Digitized by Google

9
10-G
17

9
1 E M
8

IX E 14
C. 2
S. B
O. 2
N. 26

9-1-G 17

Digitized by Google

Digitized by Google

8 1:05

Digitized by Google

XENOPHONTIS

PHILOSOPHI AC HISTORICI EXCELLENTISSIMI OPERA, QVAE QVIDEM EXTANT, OMNIA, TAM GRAECA QVAM LAtina hominum doctissimorum diligentia, partim iam olim, partim nunc primum latinitate donata, ac multo accuratius quàm antea recognita.

Quorum catalogum uersa pagella demonstrabit.

Adiecimus historiarum & rerum memoratu dignarum Indicem locupletissimum.

BIBLIOTECA NAZ. VITTORIO EMANUELE ROMA



BIBLIOTECA NAZIONALE C. LE ROMA

BASILEAE
APVD NICOLAVM BRYLINGERVM,
ANNO
M. D. XLV.

384

OPERVM XENOPHONTIS
Elenchus.

Digitized by Google

AD SPLENDIDISSIMVM DOMINVM

MORELET DE MVSEAN, DOMINVM MARSCHFERIERAE, SVMMVM

Christianißimi inuictißimiq; Regis Francorum Consiliarium, & principem in generalibus bellis apud Heluetios Legatum, etc. in Xenophontis Philosophi & Rhetoris opera, ALBANI Torini Vitodurani Præfatio.

BIBLIOTECA NAZIONALE V. E. ROMA

TANTVS tuæ splendor uitæ, tamq; illustris famæ celebritas, uir amplisſime, nõ in Gallia modò, quę te in lucem ex parentibus nõ tantũ imaginib. inclytis edidit & educauit, sed & Germania propemodũ uniuersa, exiſtit, ut doctisſimi quiq; amicitiæ & benignitati tuæ inprimis ſeſe inſinuare contendant. Etenim ad amorem in animis hominum excitandum nihil uirtutis pulchritudine ualentius. Et beneuolentiam ab eiuſdẽ nitore potisſimũ proficiſci & confoueri, præſtantisſimi autores uno ac pleno ore teſtantur, & gratiã hinc ſemel coortam, nunq; ferè neq; ſenio, neq; ſqualore marceſcere, utpote quę à uiridanti promanarit exordio, quod & menti ſuũ adſciſcit fulgorẽ ac ſummam alacritatẽ cum exultatione comparat. Inde utiq; factũ, quod nos quoq; aperto quidẽ pectore, ſed ſumma interim reuerẽtia eiuſmodi ornamentum expetere non uereamur. et Parthorũ regum more, non citra munuſculum, quod eſt, non abſq; literario qualicunq; cõmercio. Speramus enim uirtutẽ ineffabili morum integritate conſtipatam, quę Tuam Magnificentiã omnib. ſuſpiciendam & amabilẽ comprimis reddit, nos tibi uicisſim uel aliqua ſaltem ex parte conciliaturã, neq; nos uoto exciſuros metuimus, quandoquidẽ, etiamſi in perilluſtri humanarum rerum faſtigio conſtitutus ſis, & quod omniũ primas tenet, Sereniſsimi regis Francorum primarius ac intimus à conſilijs, ne dicam, et neceſſarius, exiſtas, nihilominus manſuetisſimo eſſe ingenio prædicaris, ac inter Gallorũ ſplendidæ nobilitatis uiros modeſtia, clementia & humanitate tanta perhiberis, ut nullius uel infimæ conditionis exilitatẽ è ſublimi deſpicias, ſed omnes in ſinũ tuũ humaniter ſuſcipias, nunquã hilarior, quàm ubi te quiſpiam tuas imploraturus ſuppetias, & benignitate tua inenarrabili uſurus, accedat. Literarũ uero ſtudioſos maximo fauore proſequeris, liberalitate demereris, comitate allicis, & eorum ſtudia pro uirili foues, ornas, ac tueris: breuiter, modis omnibus ſingularẽ quendam patronum agis in omnes quos aliqua eruditione cum egregia morũ ſuauitate aſpersos animaduerteris. Prædicant pleriq; tuam incomparabilẽ rerum prudentiam cum incredidili fide, conſtantia, honeſtate, iuſtitia, pietate, & alijs id genus heroicis planè uirtutib. copulatã. Quibus ſanè reb. blandisſime allectus, tuæ amplitudini Torinum, nõ quidem amicũ (neq; enim hoc tua patitur ſublimitas) ſed clientulũ planè, & hunc quoq; præhumilẽ, exhibeo, chartaceoq;, in hoc munere ueluti Parario utor: qui tibi me & doctisſimo, & omniũ ferè nobilisſimo conciliatum pergat, & certam meæ erga T. M. obſeruantiæ teſtificationem præbeat. Quæris tandẽ quod munus? Ex ſapientiæ profectò promanans theſauris, Xenophon nempe Orator ſuauisſimus, & Philoſophus nobilisſimus, ueteris illius philoſophiæ, ſed Socraticæ potisſimum ſectator, qui nuper ueluti renatus caſtigatior multò, & locupletior non paulò quàm hactenus unquam in lucem quum ſua ipſius lingua, tum in Latium aſcitus prodit. Quem inprimis tibi nobilium ſcientisſimo, & ſcientium nobilisſimo, nunc demũ emendatisſimum, ut dixi, in tui nominis propagationem, quod mihi inſtar numinis eſt, & noſtri in te affectus ſymbolũ haud abſurde, arbitror, conſecratum uolui, animo tuo ardentisſimè gratificari cupiens MORLETE ornatisſime. Neque enim me fugit, quod ij qui amant, eis quos amant, ea potisſimum munera offerunt, quibus maximè deliniri capiq; intelligunt. T. autem M. rebus priſcis illiſq; philoſophicis impendio oblectari omnibus perſuaſisſimum eſt. Ingenuus quippe animus & excelſus maximarum & illuſtrium rerum ſuauitate affatim perfunditur. Proinde de meorum ſtudiorum penu aliquid depromere, ad meum erga te ſtudium teſtificandum conſtitueram quidem: ſed quia ea inchoata ta..tum ſunt, & ob negotiorum fluctus, quibus undiq; tundor, extremã m..num tam citò accipere nequeũt, moræ impatiens de alieno liberalis eſſe, quàm incredibilem erga te ardorem diutius cælare, & gratiam ineundi occaſionẽ amplius prætermitter

Digitized by Google

termittere, malui. Xenophontē itaq; hunc tanq; præambulonē, arrhabonemq; præmitto, quo de quid ipse et prisci autores in uniuersum sentiant, breuib. accipe: M. Fabius Quintilianus libro de Institut. Oratoria decimo, cap. primo, optimorū autorū, quorum lectio comprimis expedire uideretur, censurā faciens, Xenophontis Socratici cum admiratione quadam meminit, non inter oratorum, neq; historicorum classem, quū id ueterū exemplo iure optimo facere potuisset: sed in eorū catalogo, qui recte uiuendi normā sequuti, Philosophi appellationē sortiti sunt recensens: utpote in quo ambigas, utrum eloquentiæ an philosophiæ potiores deferas, sic passim illorum omnium nō adumbratā, sed uiuā quandā imaginē comperies. Proinde Cicero haud temere ora illius Musas esse locutas existimauit. & alibi sermonē illius melle quoq; dulciorē dicit, & omnis eum antiquitas ἀττικὴν μοῦσαν appellauit, propter inaffectatā nimirū Xenophonteam iucunditatē, sed quam nulla possit affectatio consequi, adeò ut ipsæ finxisse sermonē Gratiæ uideanī, & quod de Pericle ueteris comœdiæ testimonium est, in hunc transferri iustissimè possit, in labris eius sedisse quandā persuadendi deam. Scribendo passim propemodū rei proprietate & uarietate lectionis satietatem discutit, attentionē requirit atq; inuitat. In philosophica uero seueritate subinde ad Socraticā doctrinam ceu ad quoddā oraculū confugit, & hoc inprimis agit, ut quid ille philosophorū κορυφαῖος senserit breuibus explicet. Cuius dogmata, uno uerbo, omnia è cœlo delapsa credas, quæ cuncta fermè ad corrigendos hominū mores magis, q; Aristotelis Ethica aut Politica dogmata conferunt, qui gentilis plus q; gentiliter hisce de rebus præcipit. Noster aūt hic Xenophon gentilis quidē, omnia tam doctè ac piè tradit, ut unus ex ethnicis ferè omnibus dignis. sit, qui à Chrstianis, quibus est benè uiuēdi studiū, sedulò legatur. Nihil quippe ethnicus iste quod à Christiana doctrina abhorreat spirare uidetur, imò omnia cum Christianismo perbellè conuenire omnes Xenophonteæ sapientiæ studiosi testantur: quatenus saltem humanæ & ethnicæ doctrinæ cum cœlesti cōmune quiddam habere poterit. Tanto ubiq; ardore animū ad res cœlestes hortatur, à rebus uulgaribus dehortatur, odium turpitudinis inserit, & ad honesti amorē inflammat, ut quicquid docuerit, id totum præstitisse etiam uideatur: prout uera de ratione uiuēdi disciplina in actione magis, quàm in cognitione reposita est. Grauissimus igitur hic scriptor primum nūc limatior & politior, minusq; salebrosus in proscenium egreditur, opera & sedulitate N. Brylingeri typographi Basiliensis diligentiss. qui officinā suam haud mediocri sumptu recens denuo instructā, ijs potissimū autoribus excudendis posthac ornare contendit, qui lectorem nō solū eruditiorē, sed longè etiam meliorem dimittunt. Cuius farinæ sunt Philosophi pariter & Historici, qui mirū quàm sint ad mores componēdos, & uitā feliciter ac beatè instituendā efficaces. Proinde si noster hic reip. literariæ studiosis. lectorē nō ingratum comperiet, autores quoq; optimos simili deinceps cura ac diligentia excudi curabit. Sed manum de tabula. Satis iam diu T. M. pluribus logis, quàm in animo habebam, detinui, Clarissime Heros. Tuæ sublimitatis & humanissimæ interim humanitatis fuerit, omnia boni consulere, & munusculum hoc, ad Celsitudinem tuam collatum, leuidense, exporrecta & hilari fronte suscipere, quam scio inter tot rerum tumultus, inter tot cogitationes, cōsilia & tractatus quos habes ingentes & frequentes, interdum remissionem animi quærere, honestū ocium diligere, historiarū lectione deliniri, ac philosophiæ desiderio inprimis teneri, quæ me hercle ex uno Xenophonte plenissimè hauries. quem si nostri seculi principes, & alij quicunq; Reip. gubernatores, Scipionis (cui Aphricano nomen ex uirtute fuit) exemplo diligenter euoluerent, uel filijs saltem suis per præceptorū manus legēdum traderent, non perpetuò socordia & ingurgitationibus ac reliquo luxu torpescens & ignaua iuuentus tam miserè cum insigni totius Germaniæ iactura, periret.

Si te nullo huius officij mei fastidio captum sensero, quod quidē tua humanitas pollicetur Morlete Heros splendidissime, ad ampliora nomini tuo consecrāda me extimulabis: in quibus si non ingenium ac sapientiam laudabis, uoluntatem saltē ac studium animi mei commendabis. Deus Opt. Max. C. T. sospitem & incolumem perpetuò conseruet. Montbelligardi,

An. M. D. XLV. X. Cal. Septemb.

Digitized by Google

INDEX RERVM SCITV DIGNARVM LOCVPLETISSIMVS.

A

Digitized by Google

Digitized by Google

cupidi-

D

F

mulieres

pedib.

T

tecl.es

ERRATA.

Pagina 19. linea 14. lege στρατεύματος. 34.35. ζημιοῦν. 53.56. CHRYSANTAE. 81.1. κατακλιθείς. 87.60. extrinsecus. 91.30. tumultuantis. 144.31. utrisq;. 156.1. καθόπλισιν. 164.29. φιληνίκοντα. 173.54. hostem. 177.56. ἥκει. 180.23. uenerant. 183.50. cerni cicatrices. 329.20. παρεκάλει. 355.40. Acrocorinthum. 361.41. Calydone. 373.35. nautas. 348.55. ξυμβουλεύειν. 401.32. παρακαλοῦντας. 448.24. Chærecrates. 646.1. infundat. 648.23. ἁρματηλοῦντα.

XENOPHONTIS VITA EX SVIDA.

XENOPHON, Socratis discipulus, militauit contra Persas cũ ascendisset Cyrus contra fratrem Artaxerxen. Cyrus aũt post Tissaphernem à patre Dario Asiæ regionibus præficitur. Post obitum uero Darij Artaxerxes Cyrum à Tissapherne falso delatum, matre intercedente, eiusq; exercitum conseruante integrum, dimisit. Cyrus igitur tanquam Tessaphernem bello persequuturus, copias collegit, et contra fratrem arma sumere statuit. Quadringẽti autem à Cyro defecerunt, fugerunt etiam eorum qui unà militarunt grauis armaturæ milites, & cetrati circiter 3500. Collectis igitur c. millibus Barbarorum contra Pisidas se iturum simulauit. Postquam uero harum gentium quas bello adoriri præ se tulerat, oras peruasisset, Græci intelligentes expeditionem contra regem eductam esse, ascendere recusarunt. Clearcho tamen asserente, non posse eos reuerti quin interficeretur Cyrus, simul consecuti sunt. Verùm Cyrus nudo capite contra Tissaphernem dimicans, Clearcho etiam dissuadente ne manus consereret, interijt. Hinc Græci qui sub Clearcho militabant, Ariæum sibi in regem depoposcerunt. hic autem renuit. Rex porro Cyri capite detruncato, & dextera abscissa, arma sibi à Græcis, uti qui iam uicti essent, dedi postulauit. Hi uero nequaquam tradiderunt. Tum Tissaphernes ruptis & uiolatis fœderibus, Græcos regi dolo prodidit, Clearchum uero & Menonem, nec non alios duces è medio sustulit. Xenophon tandem dux factus de omnibus uictoriam reportat. Mille qui seruati erant cum in Thraciam uenissent, sub Seuthe rege stipendia merebant.

Qui plura desiderarit, Laertium legat.

ΤΑ ΠΕΡΙ ΞΕΝΟΦΩΝΤΟΣ ἐκ τοῦ Σουΐδα.

ΞΕΝΟΦΩΝ Σωκράτους μαθητὴς, ἐστρατεύσατο ἐπὶ Πέρσας, Κύρῳ συνανελθὼν ἐπὶ τὸν ἀδελφὸν Ἀρταξέρξην. ὁ Κῦρος δὲ ἦν μετὰ Τισσαφέρνην ὕπαρχος ὑπὸ Δαρείου τοῦ πατρὸς τῶν ἐν τῇ Ἀσίᾳ κατασταθείς. μετὰ δὲ τὸν Δαρείου θάνατον, Κῦρον Ἀρταξέρξης διαβληθέντα ὑπὸ Τισσαφέρνους ἀναιρεῖν μέλλων, ἀφῆκε, παρουσίᾳ τῆς μητρὸς παραιτησαμένης αὐτὸν, καὶ τὴν στρατιὰν αὐτῷ φυλαξάσης. ὁ δὲ ὡς Τισσαφέρνει πολεμῶν, ἤθροισε δύναμιν, καὶ ἐπὶ τὸν ἀδελφὸν ἐγένετο στρατεύειν. τετρακόσιοι δὲ κατέλιπον τὸν Κῦρον, καὶ ἔφυγον ἐκ τῶν συστρατευσάντων ὁπλῖται καὶ πελτασταὶ ͵γφ΄. Ξενοφῶν δὲ συνανέβη. δέκα δὲ τῶν βαρβάρων μυριάδας συναθροίσας, ὡς ἐπὶ Πισίδας δῆθεν ἐπορεύετο. ὡς δὲ τὰ ἔθνη διῆλθεν, ἐφ᾽ ἃ στρατεύειν ἐπροφασίζετο, συνιέντες οἱ Ἕλληνες ἐπὶ βασιλέα εἶναι τὴν στρατείαν, ὤκνουν τὴν ἀνάβασιν. Κλεάρχου δὲ εἰπόντος τὴν ἀποστροφὴν ἄπορον εἶναι Κύρου μὴ συναιρουμένου, συνῄεσαν. Κῦρος δὲ γυμνῇ τῇ κεφαλῇ πρὸς Τισσαφέρνην μαχόμενος, Κλεάρχου δὲ ἀπαγορεύοντος αὐτῷ μὴ πολεμεῖν, ἀπέθανεν. οἱ δὲ Ἕλληνες ὑπὸ Κλεάρχῳ τεταγμένοι, Ἀριαῖον προεβάλλοντο βασιλέα αὐτῶν. ὁ δὲ παρῃτήσατο. βασιλεὺς δὲ τὴν τοῦ Κύρου κεφαλὴν καὶ χεῖρα ἀποκόψας, τοῖς Ἕλλησιν ἔπεμπε ζητῶν τὰ ὅπλα ὡς ἤδη νενικημένων. οἱ δὲ οὐκ ἔδοσαν. δόλῳ δὲ Τισσαφέρνης παραβὰς τοὺς ὅρκους, προδίδωσι βασιλεῖ τοὺς Ἕλληνας, καὶ Κλέαρχον, καὶ Μένωνα, καὶ τοὺς λοιποὺς στρατηγοὺς τῶν Ἑλλήνων, οὓς ἀναιρεῖ. καὶ Ξενοφῶν αὐτῶν στρατηγεῖ, καὶ πάντας νικᾷ. ἐλθόντες δὲ καὶ εἰς Θρᾴκην, ἐμισθώσαν ἑαυτοὺς Σεύθῃ τῷ βασιλεῖ μύριοι διασωθέντες.

Cicero lib. 1. epist. ad Q. Fratrem epistola 1. de Cyropædia Xenophontis sic habet: Cyrus ille a Xenophonte non ad historiæ fidem scriptus, sed ad effigiem iusti imperij: cuius summa grauitas ab illo philosopho cum singulari comitate coniungitur: quos quidem libros non sine causa noster ille Africanus de manibus ponere non solebat; nullum est enim prætermissum in his officium diligentis, et moderati imperij.

ΠΡΟΟΙΜΙΑ ΞΕΝΟΦΩΝΤΟΣ ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ.

Ἔννοιά ποθ' ἡμῖν ἐγένετο, ὅσαι δημοκρατίαι κατελύθησαν ὑπὸ τῶν ἄλλως πως βουλομένων πολιτεύεσθαι μᾶλλον, ἢ ἐν δημοκρατίᾳ. ὅσαι τε αὖ μοναρχίαι, ὅσαι τε ὀλιγαρχίαι, ἀνῄρηνται ἤδη ὑπὸ δήμων. καὶ ὅσοι τυραννεῖν ἐπιχειρήσαντες, οἱ μὲν αὐτῶν καὶ ταχὺ πάμπαν κατελύθησαν. οἱ δέ, κἂν ὁποσονοῦν χρόνον ἄρχοντες διαγένωνται, θαυμάζονται ὡς σοφοί τε καὶ εὐτυχεῖς ἄνδρες γεγενημένοι. πολλοὺς δὲ ἐδοκοῦμεν καταμεμαθηκέναι καὶ ἐν ἰδίοις οἴκοις, τοὺς μὲν ἔχοντας καὶ πλείονας οἰκέτας, τοὺς δὲ καὶ πάνυ ὀλίγους, καὶ ὅμως οὐδὲ τοῖς ὀλίγοις τούτοις, πάνυ τοι δυναμένους χρῆσθαι πειθομένοις τοὺς δεσπότας. Ἔτι δὲ πρὸς τούτοις ἐνενοοῦμεν, ὅτι ἄρχοντες μέν εἰσι, καὶ οἱ βουκόλοι τῶν βοῶν, καὶ οἱ ἱπποφορβοὶ τῶν ἵππων. καὶ πάντες δὲ οἱ καλούμενοι νομεῖς, ὧν ἂν ἐπιστατῶσι ζῴων, εἰκότως ἂν ἄρχοντες τούτων νομίζοιντο. πάσας τοίνυν ταύτας τὰς ἀγέλας ἐδοκοῦμεν ὁρᾶν, μᾶλλον ἐθελούσας πείθεσθαι τοῖς νομεῦσιν, ἢ τοὺς ἀνθρώπους τοῖς ἄρχουσι. πορεύονταί τε γὰρ αἱ ἀγέλαι, ᾗ ἂν αὐτὰς εὐθύνωσιν οἱ νομεῖς. νέμονταί τε χωρία, ἐφ' ὁποῖα ἂν αὐτὰς ἐπάγωσιν. ἀπέχονταί τε ὧν ἂν αὐτὰς ἀπείργωσι. καὶ τοῖς καρποῖς τοίνυν τοῖς γιγνομένοις ἐξ αὐτῶν ἐῶσι τοὺς νομέας χρῆσθαι οὕτως, ὅπως ἂν αὐτοὶ βούλωνται. Ἔτι τοίνυν οὐδεμίαν πώποτε ἀγέλην ᾐσθόμεθα συστᾶσαν ἐπὶ τὸν νομέα, οὔτε ὡς μὴ πείθεσθαι, οὔτε ὡς μὴ ἐπιτρέπειν τῷ καρπῷ χρῆσθαι. ἀλλὰ καὶ χαλεπώτεραί εἰσιν αἱ ἀγέλαι πᾶσι τοῖς ἄλλοις, ἢ τοῖς ἄρχουσί τε αὐτῶν, καὶ ὠφελουμένοις ἀπ' αὐτῶν. ἄνθρωποι δὲ ἐπ' οὐδένας μᾶλλον συνίστανται, ἢ ἐπὶ τούτους, οὓς ἂν αἴσθωνται ἄρχειν αὐτῶν ἐπιχειροῦντας. Ὅτε μὲν δὴ ταῦτα ἐνεθυμούμεθα, οὕτως ἐγιγνώσκομεν περὶ αὐτῶν, ὡς ἀνθρώπῳ πεφυκότι, πάντων τῶν ἄλλων ζῴων εἴη ῥᾷον, ἢ ἀνθρώπων ἄρχειν. Ἐπειδὴ δὲ ἐνενοήσαμεν, ὅτι Κῦρος ἐγένετο πέρσης, ὃς παμπόλλους μὲν ἀνθρώπους ἐκτήσατο πειθομένους αὑτῷ, παμπόλλας δὲ πόλεις, πάμπολλα δὲ ἔθνη, ἐκ τούτου δὴ ἠναγκαζόμεθα μετανοεῖν, μὴ οὔτε τῶν ἀδυνάτων, μήτε τῶν χαλεπῶν ἔργων ᾖ, τὸ ἀνθρώπων ἄρχειν, ἄν τις ἐπισταμένως τοῦτο πράττῃ. Κύρῳ γοῦν ἴσμεν ἐθελήσαντας πείθεσθαι, τοὺς μὲν ἀπέχοντας παμπόλλων ἡμερῶν ὁδόν. τοὺς δέ, καὶ μηνῶν. τοὺς δέ, οὐδ' ἑωρακότας πώποτε αὐτόν. τοὺς δέ, καὶ εὖ εἰδότας, ὅτι οὐδ' ἂν ἴδοιεν, καὶ ὅμως ἤθελον αὐτῷ ὑπακούειν. καὶ γάρ τοι τοσοῦτον διήνεγκε τῶν ἄλλων βασιλέων, καὶ τῶν πατρίους ἀρχὰς παρειληφότων, καὶ τῶν δι' ἑαυτῶν κτησαμένων. ὥστε ὁ μὲν σκύθης, καίπερ παμπόλλων ὄντων σκυθῶν, ἄλλου μὲν οὐδενὸς δύναιτ' ἂν ἔθνους ἐπάρξαι. ἀγαπῴη δ' ἂν

XENOPHONTIS DE PAEDIA CYRI REGIS PERSARVM LIBER PRIMVS, FRANCISCO Philelpho interprete.

PROOEMIVM.

Cvm olim cogitaremus, quot populi dominatus per illos soluti sunt, qui uellent alia quadam ratione, quàm populari, rempublicam gerere: & quot item regij, paucorumque principatus iam per populos sunt sublati: quótque aggreßi tyrannida, eorum alij citò admodum defecerunt, alij uerò, si quantulumcunque etiam temporis in imperio perseuerarint, admirationi haberentur, perinde atque & sapientes fuerint, & fortunati quidam uiri. Et cum didicisse rursus uideremur, in priuatis quoque domibus esse alijs famulos uel compluris, alijs perpaucos, qui tamen ne his quidem paucis uti omnino possent heriliter. Cùmque ad hæc nobiscum uersaremus, & bubulcos principes boum esse, & equorum item eos, qui equos pascunt: & omnes qui per se pastores uocantur horum animalium, quibus præsunt, non absurdè principes existimari: uidereq; uidebamur omnia hæc armenta facilius adduci, ut pastoribus pareant, quàm principibus suis homines: Nam & pergunt armenta quacunq; à pastoribus dirigantur, & in ijs regionibus pascuntur quò acta ab illis fuerint, & ab ijs abstinent, à quibus arceantur: & quos fructus produxerint, sinunt his uti pastores pro uoluntate. At ne ullum quidem armentum unquam accepimus, quod in pastores insurgeret, quo aut minus eis obtemperaret, aut fructuum usum prohiberet. Quin difficiliora in alienigenas omnis præstant se armenta, quàm in hos quos & præsides habent, & fructibus suis fouent. Homines uero in neminem magis, quàm in illos insurgunt, quos imperium senserint moliri aduersus sese. Cum hæc igitur commentaremur animo, in hac sententiam agebamur, ea esse hominem natura, ut facilius alijs omnibus animantibus imperitet, quàm hominibus. At ubi uenisset in mentem, Cyrum, qui foret Perses, permultos quidem homines, permultas urbes, permultas gentes, iußis suis reddidisse obedientis, hinc sententiam mutare coacti sumus, utpote quòd hominibus imperare, neque impoßibile sit, neque factu difficile, si quis prudenter id agat. Nouimus sane Cyro non multos paruisse, alios qui plurimorum dierum, alios qui etiam mensium iter distarent: alios item, qui ne ipsum quidem aspexissent unquam: alios etiam, qui quamuis certò scirent fore, ut non uiderent, et tamē libenter audiebant. Etenim usque adeo præstitit alijs regibus, tum ijs qui à parentibus accepissent imperia, tū ijs qui suo ductu ea essent adepti, ut et Scytha, quamuis Scytharū magnus sit numerus, nulli alij nationi queat imperitare, sed satis superq; habeat, si

beat, si diuturnum in suos principatum gesserit: & Thrax in Thracas, & Illyricus in Illyricos. Atq; eundem modo de alijs gentibus audiuimus. Itaq; fertur esse in Europa etiam hac tempestate quasdam liberas gentes, easq; inuicem dissidere. At Cyrus identidem assumptis liberis quoq; gentibus Asiae, soluens cum parua Persarum manu, Medis uolentibus atque Hyrcanis imperauit. Subiugauit Syros, Assyrios, Arabas, Cappadocas, Phrygas utrosq;, Lydos, Caras, Phoenicas, Babylonios. Potitus est etiam Bactrianis & Indis 10 ac Cilicibus, & itidem Sacis & Paphlagonibus, & Mariandinis, atq; alijs quamplurimis gentibus, quarum ne nomina quidem quis dixerit. Insuper dominatus est Asiaticis Graecis. Cum uero descendisset ad mare, Cyprios quoq; & Aegyptios imperio tenuit. Atqui hisce quidem gentibus imperauit, quae neque cum illo, neque inter sesepsas lingua conuenirent. Et potuit tamen formidine sui nominis tantum orbis terrarum peruadere, ut omnes terrore concuteret, haberetque neminem repugnantem. Tantam autem omnibus cu- 20 piditatem iniecit gratificandi sibi, ut ex eius sententia gubernari optarent. Tot nationes ad sese conuertit, sibiq; deuinxit, ut eas dinumerare operosum sit, quocunque quis ire a regia eius coeperit, siue ad orientem, siue ad occidentem, siue ad septentriones, siue ad meridiem. Nos ergo hunc uirum ut admiratione dignum considerauimus, & quo natus genere, & quo fretus ingenio, & quibus institutus disciplinis, tantum ad imperandum caeteris mortalibus antecelluit. Quae igitur de illo & audiuimus & sentimus, haec in medium refer- 30 re aggredimur.

CYRI GENUS.

Cyrus quidem natus est patre Cambyse rege Persarum: hic autem Cambyses ex Persidarum genere extitisse dicitur. At Perside a Perseo nomen habent. Matre uero consentitur fuisse Mandane, quae nata est patre Astyage Medorum rege. Fuisse autem Cyrus natura fertur, & hoc etiam tempore a Barbaris decantatur, tum corporis forma pulcherrimus, tum animo humanissimus, tum disciplinae atque honoris maxime 40 studiosus. Quapropter laborem omnem exantlabat, & omne periculum laudis gratia perferebat. Huiusmodi Cyrus bonitate formae animiq; praeditus, in Persarum legibus educatus traditur. Prima his legibus cura est a bono publico. Haud enim incipiunt itidem, ut aliae plurimae ciuitates, quae parentibus permittentes pro uoluntate filios educare, & ipsis parentibus pro arbitrio uitam agere eis iubent, ne furentur, ne rapiant, ne in alienas aedes ingrediantur ui, ne iniuste percutiant quenquam, ne adulterium pa- 50 trent, ne principi aduersentur, reliquaq; huiusmodi. Quod si quid horum transgressus quis fuerit, poena mulctatur. At Persarum leges anticipantes maxime curant, ne initio tales sint ciues, ut cuiusquam uel improbitatis, uel turpitudinis desiderio capiantur. hac enim utuntur diligentia. Est illis forum quod uocatur liberum, ubi & regiae, & alia sunt principia. Hinc & uenalia, & circumforanei, & horum clamores atq; ineptiae in ali-

δ' ἂν ἐκ τοῦ ἑαυτοῦ ἔθνους ἀρχὴν διαχειρίσοιτο. καὶ ὁ Θρᾷξ, Θρακῶν. καὶ ὁ Ἰλλυριὸς, Ἰλλυριῶν, καὶ τἆλλα δὲ ὡσαύτως ἔθνη ἀκούομεν. τὰ γοῦν ἐν τῇ Εὐρώπῃ, ἔτι καὶ νῦν αὐτόνομα εἶναι λέγεται, καὶ λελύσθαι ἀπ' ἀλλήλων. Κῦρος δὲ παραλαβὼν ὡσαύτως, οὕτω καὶ τὰ ἐν τῇ Ἀσίᾳ ἔθνη αὐτόνομα ὄντα, ὁρμηθεὶς σὺν ὀλίγῃ Περσῶν στρατιᾷ, ἑκόντων μὲν ἡγήσατο Μήδων, ἑκόντων δὲ Ὑρκανίων. κατεστρέψατο δὲ, Σύρους, Ἀσσυρίους, 10 Ἄραβας, Καππαδόκας, Φρύγας ἀμφοτέρους, Λυδοὺς, Κᾶρας, Φοίνικας, Βαβυλωνίους. ἦρξε δὲ καὶ Βακτρίων, καὶ Ἰνδῶν, καὶ Κιλίκων. ὡσαύτως δὲ Σακῶν, καὶ Παφλαγόνων, καὶ Μαγαδιδῶν. καὶ ἄλλων δὲ παμπόλλων ἐθνῶν, ὧν οὐδ' ἂν τὰ ὀνόματα ἔχοι τις εἰπεῖν. ἐπῆρξε δὲ καὶ Ἑλλήνων τῶν ἐν τῇ Ἀσίᾳ. καταβὰς δὲ ἐπὶ θάλατταν, καὶ Κυπρίων καὶ Αἰγυπτίων, καὶ τοίνυν τῶν ἐθνῶν τούτων ἦρξεν, οὐδ' ἑαυτῷ ὁμογλώττων ὄντων, οὔτε ἀλλήλοις. καὶ ὅμως ἠδυνήθη, ἐφικέσθαι μὲν ἐπὶ τοσαύτην γῆν τῷ ἀφ' ἑαυτοῦ φόβῳ, ὥστε καταπλῆξαι πάντας, καὶ μηδένα ἐπιχειρεῖν αὐτῷ. 20 ἐδυνάσθη δὲ ἐπιθυμίαν ἐμβαλεῖν τοσαύτην τοῦ πάντας ἑαυτῷ χαρίζεσθαι, ὥστε ἀεὶ τῇ ἑαυτοῦ γνώμῃ ἀξιοῦν κυβερνᾶσθαι. ἀνηρτήσατο δὲ τοσαῦτα φῦλα, ὅσα καὶ διελθεῖν ἔργον ἐστὶν, ὅποι ἂν τις ἄρξηται πορεύεσθαι ἀπὸ τῶν βασιλείων, ἐάν τε πρὸς ἕω, ἐάν τε πρὸς ἑσπέραν, ἐάν τε πρὸς ἄρκτον, ἐάν τε πρὸς μεσημβρίαν. ἡμεῖς μὲν δὴ, ὡς ἄξιον ὄντα θαυμάζεσθαι τοῦτον τὸν ἄνδρα, ἐσκεψάμεθα τίς ποτε ὢν γενεὰν, καὶ ποίαν τινὰ φύσιν ἔχων, καὶ ποίᾳ τινὶ παιδείᾳ παιδευθεὶς, τοσοῦτον διήνεγκεν εἰς τὸ ἄρχειν ἀνθρώπων. ὅσα οὖν καὶ ἐπυθόμεθα, καὶ ᾐσθῆσθαι δοκοῦμεν περὶ αὐτοῦ, ταῦτα πειρασόμεθα διηγήσασθαι. 30

ΚΥΡΟΥ ΓΕΝΟΣ.

Πατρὸς μὲν δὴ λέγεται ὁ Κῦρος γενέσθαι Καμβύσου, Περσῶν βασιλέως. ὁ δὲ Καμβύσης οὗτος τοῦ Περσειδῶν γένους ἦν. οἱ δὲ Περσεῖδαι ἀπὸ Περσέως κλῄζονται. μητρὸς δὲ ὁμολογεῖται Μανδάνης γενέσθαι. ἡ δὲ Μανδάνη αὕτη Ἀστυάγους ἦν θυγάτηρ, τοῦ Μήδων βασιλέως. φῦναι δὲ ὁ Κῦρος λέγεται καὶ ᾄδεται ἔτι καὶ νῦν ὑπὸ τῶν βαρβάρων εἶδος μὲν κάλλιστος, ψυχὴν δὲ φιλανθρωπότατος, καὶ φιλομαθέστατος, καὶ φιλοτιμότατος, ὥστε πάντα μὲν πόνον 40 ἀνατλῆναι, πάντα δὲ κίνδυνον ὑπομεῖναι, τοῦ ἐπαινεῖσθαι ἕνεκα. φύσιν μὲν δὴ τῆς ψυχῆς καὶ τῆς μορφῆς, τοιαύτην ἔχων διαμνημονεύεται. ἐπαιδεύθη γε μὴν ἐν Περσῶν νόμοις. οὗτοι δὲ δοκοῦσιν οἱ νόμοι, ἄρχεσθαι τοῦ κοινοῦ ἀγαθοῦ ἐπιμελούμενοι. οὐχ ὁμοίως γὰρ ταῖς πλείσταις πόλεσιν ἄρχονται. αἱ μὲν γὰρ πλεῖσται πόλεις ἀφεῖσαι παιδεύειν, ὅπως τις ἐθέλει τοὺς ἑαυτοῦ παῖδας. καὶ αὐτοὺς τοὺς πρεσβυτέρους ὅπως ἐθέλουσι διάγειν, ἔπειτα προστάττουσιν αὐτοῖς, μὴ κλέπτειν, μὴ ἁρπάζειν, μὴ βίᾳ εἰς οἰκίαν παριέναι, μὴ παίειν, ὃν μὴ δίκαιον, μὴ μοι- 50 χεύειν, μὴ ἀπειθεῖν ἄρχοντι, καὶ τἆλλα τὰ τοιαῦτα ὡσαύτως. ἢν δέ τις τούτων τι παραβαίνῃ, ζημίαν αὐτοῖς ἐπέθεσαν. οἱ δὲ Περσικοὶ νόμοι, προλαβόντες, ἐπιμέλονται ὅπως τὴν ἀρχὴν, μὴ τοιοῦτοι ἔσονται οἱ πολῖται, οἷοι πονηροῦ τινος ἔργου ἢ αἰσχροῦ, ἐφίεσθαι. ἐπιμέλονται δὲ ὧδε. ἔστιν αὐτοῖς ἐλευθέρα ἀγορὰ καλουμένη, ἔνθα τά τε βασίλεια, καὶ τὰ ἄλλα ἀρχεῖα πεποίηται. ἐντεῦθεν τὰ μὲν ὤνια, καὶ οἱ ἀγοραῖοι, καὶ αἱ τούτων φωναὶ καὶ ἀπειροκαλίαι

ἀπελή-

ἀπελήλαται εἰς ἄλλον τόπον, ὡς μὴ μιγνύηται ἡ τούτων τύρβη τῇ τῶν πεπαιδευμένων εὐκοσμίᾳ. διήρηται δὲ αὕτη ἡ ἀγορὰ ἡ περὶ τὰ ἀρχεῖα εἰς τέτταρα μέρη. τούτων δ' ἔστιν ἓν μὲν παισὶν, ἓν δὲ ἐφήβοις, ἄλλο τελείοις ἀνδράσιν, ἄλλο τοῖς ὑπὲρ τὰ στρατεύσιμα ἔτη γεγονόσι. νόμῳ δ' εἰς τὰς ἑαυτῶν χώρας ἕκαστοι τούτων πάρεισιν, οἱ μὲν παῖδες ἅμα τῇ ἡμέρᾳ, καὶ οἱ τέλειοι ἄνδρες, οἱ δὲ γεραίτεροι, ἡνίκ' ἂν ἑκάστῳ προχωρῇ, πλὴν ἐν ταῖς τεταγμέναις ἡμέραις, ἐν αἷς δεῖ αὐτοὺς παρεῖναι. οἱ δὲ ἔφηβοι καὶ κοιμῶνται περὶ τὰ ἀρχεῖα σὺν τοῖς γυμνητικοῖς ὅπλοις, πλὴν τῶν γεγαμηκότων. οὗτοι δὲ οὐκ ἐπιζητοῦνται, ἐὰν μὴ προρρηθῇ παρεῖναι, οὐδὲ πολλάκις ἀπεῖναι καλόν. ἄρχοντες δ' ἐφ' ἑκάστῳ τούτων τῶν μερῶν εἰσι δώδεκα. δώδεκα γὰρ καὶ Περσῶν φυλαὶ διῄρηνται. καὶ ἐπὶ μὲν τοῖς παισὶν ἐκ τῶν γεραιτέρων ᾑρημένοι εἰσὶν, οἳ ἂν δοκῶσι τοὺς παῖδας βελτίστους ἀποδεικνύναι. ἐπὶ δὲ τοῖς ἐφήβοις ἐκ τῶν τελείων ἀνδρῶν, οἳ ἂν αὖ τοὺς ἐφήβους βελτίστους δοκῶσι παρέχειν. ἐπὶ δὲ τοῖς τελείοις ἀνδράσιν, οἳ ἂν δοκῶσιν αὐτοὺς μάλιστα τὰ τεταγμένα ποιοῦντας, καὶ τὰ παραγγελλόμενα ὑπὸ τῆς μεγίστης ἀρχῆς. εἰσὶ δὲ καὶ τῶν γεραιτέρων προστάται ᾑρημένοι, οἳ προστατεύουσιν, ὅπως καὶ οὗτοι τὰ καθήκοντα ἀποτελῶσιν. ἃ δὲ ἑκάστῃ ἡλικίᾳ προστέτακται ποιεῖν, διηγησόμεθα, ὡς μᾶλλον δῆλον γένηται ᾗ ἐπιμέλονται, ὡς ἂν βέλτιστοι εἶεν οἱ πολῖται. οἱ μὲν δὴ παῖδες εἰς τὰ διδασκαλεῖα φοιτῶντες, διάγουσι μανθάνοντες δικαιοσύνην, καὶ λέγουσιν, ὅτι ἐπὶ τοῦτο ἔρχονται, ὥσπερ παρ' ἡμῖν οἱ τὰ γράμματα μαθησόμενοι. οἱ δὲ ἄρχοντες αὐτῶν διατελοῦσι, τὸ πλεῖστον τῆς ἡμέρας δικάζοντες αὐτοῖς. γίγνεται γὰρ δὴ καὶ παισὶ πρὸς ἀλλήλους, ὥσπερ ἀνδράσιν ἐγκλήματα, καὶ κλοπῆς, καὶ ἁρπαγῆς, καὶ βίας, καὶ ἀπάτης, καὶ κακολογίας, καὶ ἄλλων, οἵων δὴ εἰκός. οὓς δ' ἂν γνῶσι τούτων τι ἀδικοῦντας, τιμωροῦνται. κολάζουσι δὲ καὶ οὓς ἂν ἀδίκως ἐγκαλοῦντας εὑρίσκωσι. δικάζουσι δὲ καὶ ἐγκλήματος, οὗ ἕνεκα ἄνθρωποι μισοῦσι μὲν ἀλλήλους μάλιστα. δικάζονται δὲ ἥκιστα, ἀχαριστίας. καὶ ὃν ἂν γνῶσι δυνάμενον μὲν χάριν ἀποδιδόναι, μὴ ἀποδιδόντα δὲ, κολάζουσιν καὶ τοῦτον ἰσχυρῶς. οἴονται γὰρ τοὺς ἀχαρίστους, καὶ περὶ θεοὺς ἂν μάλιστα ἀμελῶς ἔχειν, καὶ περὶ γονέας, καὶ πατρίδα, καὶ φίλους. ἕπεσθαι δὲ δοκεῖ μάλιστα τῇ ἀχαριστίᾳ ἡ ἀναισχυντία. καὶ γὰρ αὕτη μεγίστη δοκεῖ εἶναι ἐπὶ πάντα τὰ αἰσχρὰ ἡγεμών. διδάσκουσι δὲ τοὺς παῖδας καὶ σωφροσύνην. μέγα δὲ συμβάλλεται εἰς τὸ μανθάνειν σωφρονεῖν αὐτοὺς, ὅτι καὶ τοὺς πρεσβυτέρους ὁρῶσιν ἀνὰ πᾶσαν ἡμέραν σωφρόνως διάγοντας. διδάσκουσι δὲ αὐτοὺς καὶ πείθεσθαι τοῖς ἄρχουσι. μέγα δὲ καὶ εἰς τοῦτο συμβάλλεται, ὅτι ὁρῶσι τοὺς πρεσβυτέρους, καὶ πειθομένους τοῖς ἄρχουσιν ἰσχυρῶς. διδάσκουσι δὲ καὶ ἐγκράτειαν γαστρὸς καὶ ποτοῦ. μέγα δὲ καὶ εἰς τοῦτο συμβάλλεται, ὅτι ὁρῶσι τοὺς πρεσβυτέρους οὐ πρόσθεν ἀπιόντας γαστρὸς ἕνεκα, πρὶν ἂν ἀφῶσιν οἱ ἄρχοντες. καὶ ὅτι οὐ παρὰ μητρὶ σιτοῦνται οἱ παῖδες, ἀλλὰ παρὰ τῷ διδασκάλῳ, ὅταν οἱ ἄρχοντες σημήνωσι. φέρονται δὲ οἴκοθεν σῖτα μὲν ἄρτους, ὄψον δὲ κάρδαμον. πιεῖν δὲ, ἤν τις διψῇ, κώθωνα, ὡς ἀπὸ τοῦ ποταμοῦ ἀρύσασθαι. πρὸς δὲ τούτοις μανθάνουσι τοξεύειν καὶ ἀκοντίζειν. μέχρι μὲν δὴ ἓξ ἢ ἑπτα-

καίδεκα

in alium locum reiecta sunt, ne horum turba excultis moribus misceatur. Est autem forum circa principia distributum in parteis quatuor, quarum una est puerorum, altera puberum, tertia uirorum, qui perfectam aetatem iam agunt: quarta uero eorum qui sunt emeriti. Legeq; horum singuli adsunt locis suis: pueri, cum primum illuxerit, & eodem modo perfectae aetatis uiri. Seniores uerò, cum per ocium cuique licuerit, exceptis constitutis diebus, quibus adsint necesse est. At adolescentes cubant etiam in principijs cum gymnicis armis, exceptis uxoratis, qui ne requiruntur quidem, nisi antea iussi adesse fuerint. At neque honestum ducitur saepius abesse. Et praesunt cuique harum partium duodecim principes: nam in duodecim tribus Persae distributi sunt. Hi uerò pueris praesunt, qui selecti ex senioribus eos uideantur reddituri quàm optimos. Adolescentibus quoque hi, qui ex absolutae aetatis uiris perquamoptimos eos existimentur effecturi. Viris autem ipsis hi sunt praefecti, quorum illi institutione censeantur quae constituta sunt, & à magistratu maximo imperata, maxime praestituri. Electi etiam sunt praesides seniorum: praesunt enim quò hi quoque suo fungantur officio. Quae autem cuique aetati imperantur facienda, enarrabimus, quò dilucidius fiat, diligentiámne adhibeant, ut ciues sint quàm optimi. Pueri igitur euntes ad ludos, iustitiae discendae dant operam, aiuntque ita illos huic rei studere, quemadmodum apud nos qui eunt ad literas perdiscendas. Eorum autem magistri magnam diei partem consumunt in eorum disceptationibus iudicandis. Habent enim pueri quoque inter sese, quemadmodum uiri, causas, & de furto, & de rapina, & de ui, & de fraude, & de maledicentia, & de alijs criminibus, ut par est. Quos autem norint horum aliquid deliquisse, eos plectunt. In illum item animaduertunt, quem minus uere accusantem inuenerint. Et de illo crimine iudicium faciunt, quod est in causa, ut se homines odio mutuo insectentur quammaxime. Nam uehementer causam agunt ingratitudinis. ET QVEM cognorint posse referre gratiam, nec referre, in hunc seuerissime animaduertunt: quippe qui arbitrantur eos qui sunt ingrati, & deos maiorem in modum negligere, & parentes, & patriam, & amicos. INGRATITVDINEM uerò potissimũ impudentia sequitur, quae ad omnem turpitudinem maxima est dux. Docent etiam pueros temperantiam: ad quam discendam eis plurimum conducit, quòd uident senes ipsos quotidie tẽperanter uitam agere. tradunt praeterea ijs praecepta parendi magistratibus. multum quoq; huic rei conducit, quòd seniores intuentur parere magistratibus magno studio. Eosdem insuper docent, ut & cibi & potus continentiam seruent. Ad quod illos admodum adiuuat, quod ante oculos habent seniores non prius abire uentris implendi gratia, quàm principes permiserint: quodq; non apud matrem uescuntur pueri, sed apud magistrum, quando principes significarint: feruntq; domo pro cibo panem, pro obsonio nasturtium, ad potum uero capedinem ut ex flumine aquam hauriãt. Ad haec etiam discunt sagittam & iaculum. Ad sextum igitur usq; aut septimum

deci

Adolescentum educatio.

decimum ætatis annū hæc agunt pueri. Deinde uero ubi in adolescentiam excesserunt, ita rursus degunt. Pueritiam enim egressi cubant, ut antea diximus, in principijs, idq; tum custodiendæ urbis gratia, tum ob temperantiæ studium. Videtur enim huic ætati maiorē in modum diligentia opus esse. Præbent etiam seipsos interdiu principibus si cui eis usui sint pro repub. Et cum oportuerit, manent omnes circa principia. Cum uerò ad uenationē rex exierit, id quod persæpe agit in mense, educit custodiæ dimidium. Habeant autem exeuntes oportet arcus, & iuxta pharetram, in uagina mucronem, aut securim, præterea cratem, & pila duo, quo et alterū emittant, & altero, si opus fuerit, comminus utantur. Ob hanc autem rem publicè dant operam uenationi, & rex quemadmodum in bello se ducem ijs præstat, & ipse tum uenatur, tum ut alij uenentur diligentiam adhibet, quod hæc eis uerissima uidetur meditatio rerum bellicarum. Etenim diluculo assuefacit assurgere, frigoraq; & calores tolerare. Exercet etiam eos itineribus & cursibus. Necessarium etiam est sagitta bestiam ferire ac iaculo petere, ubicunq; occurrerit. Atq; animus sæpenumero cogitur cōcalescere, ubi ferox aliqua bellua contra sese obiecerit. Nā & percutere oportet, quæ occurrerit, & irruentem obseruare. Quare haud facile in uenatione eorum quicquam abesse reperiatur, quæ inter bellandum accidunt. Exeūtes autem in uenationē prandium habent, & id quidem maiore quantitate, ut par est, quàm pueri, aliaq; eodē modo. Et donec uenantur, non prandent. Sed si quid opus fuerit aut feræ ipsius gratia præstolari, aut aliter uelint tēpus terere in uenādo, hoc prandio pro cœna usi postridie uenātur ad cœnam usq;: & duos hos dies pro uno supputant, quod unius diei cibum consumunt. Hoc autem faciunt consuescendi gratia, quod si quid etiam in bello oportuerit, id eis sit factu facile. At obsonium quidem hoc puberes habent, quodcunq; uenati fuerint. Nam si id minus, nasturtio uescūtur. Quod si quis eos existimat aut uesci iniucunde, cum aliud nihil præter nasturtiū addant ad cibum, aut potu minus suaui uti, cum aquā bibant, reminiscatur, quanta cum uoluptate massa paneq; uescūtur in fame, quamq; suaue est bibere aquam in siti. At reliquæ tribus quæ domi manentes in uenationē non exeunt, tum alia exercent, quæ pueri didicerūt & sagittando & iaculando, tum hæc inter sese decertando agitant. Sunt præterea publici horū ludi præmiaq; proposita. In qua autem tribu plurimi fuerint peritissimi fortissimiq; & maxime fideles, horum laudatur à ciuibus & honoratur nō præsens princeps duntaxat, uerumetiā ille qui eos in pueritia erudiuit. Et adolescentibus utuntur magistratus, si qua in re præsidio opus fuerit, uel ad maleficia inquirenda, uel ad insequendos latrones, uel ad alia agenda, quæcunque aut uirium aut uelocitatis sunt opera. Ab adolescentibus igitur hæc geruntur. Sed ubi annos decem absoluerint, excedunt in perfectæ ætatis uiros, quo tempore hi rursus annos quinque & uiginti ita degunt. Principio, quemadmodum adolescentes præsto sunt magistratibus, ut si quid pro republica opus fuerit, se utantur ijs in rebus quæ prudentiam uiresque requirunt. Quod si militiæ danda sit opera, qui

Virorū educatio.

καὶ δέκα ἐτῶν, ἐκ γενεᾶς οἱ παῖδες αὐτὰ πράττουσιν. ἐκ τούτου δὲ εἰς τοὺς ἐφήβους ἐξέρχονται, οὗτοι δὲ αὖ οἱ ἔφηβοι διάγουσιν ὧδε. δέκα ἔτη ἀφ' οὗ ἂν ἐκ παίδων ἐξέλθωσι, κοιμῶνται περὶ τὰ ἀρχεῖα, ὥσπερ προειρήκαμεν, καὶ φυλακῆς ἕνεκα τῆς πόλεως καὶ σωφροσύνης. δοκεῖ γὰρ αὕτη ἡ ἡλικία μάλιστα ἐπιμελείας δεῖσθαι. παρέχουσι δὲ καὶ τὴν ἡμέραν ἑαυτοὺς μάλιστα τοῖς ἄρχουσι χρῆσθαι, ἤν τι δέωνται ὑπὲρ τοῦ κοινοῦ. καὶ ὅταν μὲν δέῃ, πάντες μένουσι περὶ τὰ ἀρχεῖα. ὅταν δὲ ἐξίῃ βασιλεὺς ἐπὶ θήραν, τοὺς δὲ ἡμισείας φυλακὰς καταλείπει. ποιεῖ δὲ τοῦτο πολλάκις τοῦ μηνός. ἔχειν δὲ δεῖ τοὺς ἐξιόντας, τόξα καὶ παρὰ τὴν φαρέτραν, ἐν κολεῷ κοπίδα ἢ σάγαριν, ἔτι δὲ γέρρον καὶ παλτὰ δύο, ὥστε τὸ μὲν ἀφεῖναι, τῷ δ' ἄν, εἰ δέοι, ἐκ χειρὸς χρῆσθαι. διὰ τοῦτο δὲ δημοσίᾳ τοῦ θηρᾶν ἐπιμέλονται, καὶ βασιλεὺς ὥσπερ καὶ ἐν πολέμῳ ἡγεμών ἐστιν αὐτοῖς. καὶ αὐτός τε θηρᾷ καὶ τῶν ἄλλων ἐπιμελεῖται, ὅπως ἂν θηρῶσιν, ὅτι ἀληθεστάτη αὐτοῖς δοκεῖ αὕτη ἡ μελέτη τῶν πρὸς τὸν πόλεμον εἶναι. καὶ γὰρ πρῲ ἀνίστασθαι ἐθίζει, καὶ ψύχη καὶ θάλπη ἀνέχεσθαι. γυμνάζει δὲ καὶ ὁδοιπορίαις καὶ δρόμοις. ἀνάγκη δὲ καὶ τοξεῦσαι θηρίον, καὶ ἀκοντίσαι ὅπου ἂν παραπίπτῃ. καὶ τὴν ψυχὴν δὲ πολλάκις ἀνάγκη θήγεσθαι ἐν τῇ θήρᾳ, ὅταν τι τῶν ἀλκίμων θηρίων ἀνθιστῆται. παίειν μὲν γὰρ δεῖ, τὸ ὁμόσε γιγνόμενον, φυλάξασθαι δὲ τὸ ἐπιφερόμενον. ὥστε οὐ ῥᾴδιον εὑρεῖν ἐν τῇ θήρᾳ, τί ἄπεστι τῶν ἐν πολέμῳ παρόντων. ἐξέρχονται δὲ ἐπὶ τὴν θήραν, ἄριστον ἔχοντες, πλέον μὲν ὡς εἰκὸς τῶν παίδων, τἆλλα δὲ ὅμοιον. καὶ θηρῶντες μὲν, οὐκ ἂν ἀριστήσαιεν, ἢν δέ τι δέῃ, θηρίου ἕνεκα ἐπικαταμεῖναι, ἢ ἄλλως βουληθῶσι διατρῖψαι περὶ τὴν θήραν, τὸ ἄριστον τοῦτο δειπνήσαντες, τὴν ὑστεραίαν αὖ θηρῶσι μέχρι δείπνου. καὶ μίαν ἄμφω τούτω τὼ ἡμέρα λογίζονται, ὅτι μιᾶς ἡμέρας σῖτον δαπανῶσι. τοῦτο δὲ ποιοῦσι τοῦ ἐθίζεσθαι ἕνεκα, ἵνα καὶ ἐάν τι ἐν πολέμῳ δεήσῃ, δύνωνται τοῦτο ποιεῖν. καὶ ὄψον δὲ τοῦτο ἔχουσιν οἱ τηλικοῦτοι, ὅ, τι ἂν θηράσωσιν. εἰ δὲ μή, τὸ κάρδαμον. εἰ δέ τις αὐτοὺς οἴεται ἢ ἐσθίειν ἀηδῶς, ὅταν κάρδαμον μόνον ἔχωσιν ἐπὶ τῷ σίτῳ, ἢ πίνειν ἀηδῶς, ὅταν ὕδωρ πίνωσιν, ἀναμνησθήτω, πῶς ἡδὺ μὲν μᾶζα καὶ ἄρτος πεινῶντι φαγεῖν, πῶς δὲ ἡδὺ ὕδωρ διψῶντι πιεῖν. αἱ δὲ αὖ μένουσαι φυλαὶ διατρίβουσι μελετῶσαι τά τε ἄλλα, ἃ παῖδες ὄντες ἔμαθον, καὶ τοξεύειν, καὶ ἀκοντίζειν, καὶ διαγωνιζόμενοι ταῦτα πρὸς ἀλλήλους διατελοῦσιν. εἰσὶ δὲ καὶ δημόσιοι τούτων ἀγῶνες, καὶ ἆθλα προτίθεται. ἐν ᾗ δ' ἂν φυλῇ πλεῖστοι ὦσι δαημονέστατοι καὶ ἀνδρικώτατοι, ἐπαινοῦσιν οἱ πολῖται καὶ τιμῶσιν οὐ μόνον τὸν ἄρχοντα αὐτῶν, ἀλλὰ καὶ ὅστις αὐτοὺς παῖδας ὄντας ἐπαίδευσαν. χρῶνται δὲ τοῖς μένουσι τῶν ἐφήβων αἱ ἀρχαί, ἤν τι ἢ φρουρῆσαι δέῃ, ἢ κακούργους ἐρευνῆσαι, ἢ λῃστὰς ὑποδραμεῖν, ἢ καὶ ἄλλο τι, ὅσα ἰσχύος τε καὶ τάχους ἔργα ἐστί. ταῦτα μὲν δὴ οἱ ἔφηβοι πράττουσιν. ἐπειδὰν δὲ τὰ δέκα ἔτη τελέσωσιν, ἐξέρχονται εἰς τοὺς τελείους ἄνδρας, ἀφ' οὗ δ' ἂν ἐξέλθωσι χρόνου ἐκ τῶν ἐφήβων, οὗτοι αὖ πέντε καὶ εἴκοσιν ἔτη διάγουσιν ὧδε. πρῶτον μὲν ὥσπερ οἱ ἔφηβοι παρέχουσιν ἑαυτοὺς ταῖς ἀρχαῖς χρῆσθαι, ἢν δέῃ ὑπὲρ τοῦ κοινοῦ ὅσα φρονούντων τε ἤδη ἔργα ἐστὶ, καὶ ἔτι δυναμένων. ἢν δέ που δέῃ στρατεύεσθαι, τόξα

τόξα μὲν οἱ οὕτω πεπαιδευμένοι οὐκέτι ἔχοντες οὐδὲ παλτὰ στρατεύονται. τὰ δ᾽ ἀγχέμαχα ὅπλα καλούμενα. θώρακά τε περὶ τοῖς στέρνοις καὶ γέρρον ἐν τῇ ἀριστερᾷ. οἷόνπερ γράφονται οἱ πέρσαι ἔχοντες. ἐν δὲ τῇ δεξιᾷ μάχαιραν ἢ κοπίδα. καὶ αἱ ἀρχαὶ δὲ πᾶσαι ἐκ τούτων καθίστανται, πλὴν οἱ τῶν παίδων διδάσκαλοι. ἐπειδὰν δὲ τὰ πέντε καὶ εἴκοσι ἔτη διατελέσωσιν, εἴησαν μὲν ἂν οὗτοι, πλεῖον ἢ πεντήκοντα ἔτη γεγονότες ἀπὸ γενεᾶς. ἐξέρχονται δὲ τηνικαῦτα, εἰς τοὺς γεραιτέρους ὄντας τε καὶ καλουμένους. οἱ δ᾽ αὖ γεραίτεροι οὗτοι στρατεύονται μὲν, οὐκέτι ἔξω τῆς ἑαυτῶν. οἴκοι δὲ μένοντες, δικάζουσι τά τε κοινὰ πάντα, καὶ τὰ ἴδια. καὶ θανάτου δὲ οὗτοι κρίνουσι, καὶ τὰς ἀρχὰς οὗτοι πάσας αἱροῦνται. καὶ ἤν τις ἐν ἐφήβοις ἢ ἐν τελείοις ἀνδράσιν ἐλλίπῃ τι τῶν νομίμων, φαίνουσι μὲν οἱ φύλαρχοι ἕκαστοι καὶ τῶν ἄλλων ὁ βουλόμενος. οἱ δὲ γεραίτεροι ἀκούσαντες, ἐκκρίνουσιν. ὁ δὲ ἐκκριθεὶς, ἄτιμος τὸν λοιπὸν βίον διατελεῖ. ἵνα δὲ σαφέστερον δηλωθῇ πᾶσα ἡ περσῶν πολιτεία, μικρὸν ἐπάνειμι. νῦν γὰρ ἐν βραχυτάτῳ ἂν δηλωθείη διὰ τὰ προειρημένα. λέγονται μὲν γὰρ πέρσαι ἀμφὶ τὰς δώδεκα μυριάδας εἶναι. τούτων δ᾽ οὐδεὶς ἀπελήλαται νόμῳ τιμῶν καὶ ἀρχῶν. ἀλλ᾽ ἔξεστι πᾶσι πέρσαις πέμπειν τοὺς ἑαυτῶν παῖδας εἰς τὰ κοινὰ τῆς δικαιοσύνης διδασκαλεῖα. ἀλλ᾽ οἱ μὲν δυνάμενοι τρέφειν τοὺς παῖδας ἀργοῦντας, πέμπουσιν. οἱ δὲ μὴ δυνάμενοι, οὐ πέμπουσιν. οἳ δ᾽ ἂν παιδευθῶσι παρὰ τοῖς δημοσίοις διδασκάλοις, ἔξεστιν αὐτοῖς ἐν τοῖς ἐφήβοις νεανισκεύεσθαι. τοῖς δὲ μὴ διαπαιδευθεῖσιν οὕτως, οὐκ ἔξεστιν. οἳ δ᾽ ἂν ἐν τοῖς ἐφήβοις διατελέσωσι τὰ νόμιμα ποιοῦντες, ἔξεστι τούτοις εἰς τοὺς τελείους ἄνδρας συναλίζεσθαι, καὶ ἀρχῶν καὶ τιμῶν μετέχειν. οἳ δ᾽ ἂν μὴ διαγένωνται ἐν τοῖς ἐφήβοις, οὐκ ἔρχονται εἰς τοὺς τελείους. οἳ δ᾽ ἂν αὖ ἐν τοῖς τελείοις διαγένωνται ἀνεπίληπτοι, οὗτοι τῶν γεραιτέρων γίνονται. οὕτω μὲν δὴ οἱ γεραίτεροι διὰ πάντων τῶν καλῶν ἐληλυθότες καθίστανται. καὶ ἡ πολιτεία αὕτη, ᾗ οἴονται χρώμενοι βέλτιστοι ἂν εἶναι. καὶ νῦν δὲ ἔτι ἐμμένει μαρτύρια, καὶ τῆς μετρίας διαίτης αὐτῶν, καὶ τοῦ ἐκπονεῖσθαι τὴν δίαιταν. αἰσχρὸν μὲν γὰρ ἔτι καὶ νῦν ἐστι πέρσαις, καὶ τὸ ἀποπτύειν καὶ τὸ ἀπομύττεσθαι, καὶ τὸ φύσης μεστοὺς φαίνεσθαι. αἰσχρὸν δὲ ἐστι καὶ τὸ ἰόντα που, φανερὸν γενέσθαι, ἢ τοῦ οὐρῆσαι ἕνεκα, ἢ καὶ ἄλλου τινὸς τοιούτου. ταῦτα δὲ οὐκ ἂν ἐδύναντο ποιεῖν, εἰ μὴ καὶ διαίτῃ μετρίᾳ ἐχρῶντο, καὶ τὸ ὑγρὸν ἐκπονοῦντες ἀνήλισκον, ὥστε ἄλλῃ ποι ἀποχωρεῖν. ταῦτα μὲν δὴ κατὰ πάντων περσῶν ἔχομεν λέγειν. οὗ δὲ ἕνεκα ὁ λόγος ὡρμήθη, νῦν λέξομεν, τὰς κύρου πράξεις, ἀρξάμενοι ἐκ παιδός. κῦρος μὲν γὰρ μέχρι δώδεκα ἐτῶν, ἢ ὀλίγῳ πλεῖον, ταύτῃ τῇ παιδείᾳ ἐπαιδεύθη, καὶ πάντων τῶν ἡλίκων διαφέρων ἐφαίνετο. καὶ εἰς τὸ ταχὺ μανθάνειν ἃ δέοι, καὶ εἰς τὸ καλῶς καὶ ἀνδρείως ἕκαστα ποιεῖν. ἐκ δὲ τούτου τοῦ χρόνου μετεπέμψατο ἀστυάγης, τὴν ἑαυτοῦ θυγατέρα, καὶ τὸν παῖδα αὐτῆς. ἰδεῖν γὰρ ἐπεθύμει, ὅτι ἤκουε καλὸν κἀγαθὸν αὐτὸν εἶναι. ἔρχεται δ᾽ αὐτή τε ἡ μανδάνη πρὸς τὸν πατέρα, καὶ τὸν κῦρον τὸν υἱὸν ἔχουσα. ὡς δὲ ἀφίκετο τάχιστα, καὶ ἔγνω ὁ κῦρος τὸν ἀστυάγην τῆς μητρὸς πατέρα ὄντα, εὐθὺς, οἷα δὴ παῖς φιλόστοργος φύσει,

ἠσπάζετο

qui ita sunt instituti arcubus et pilis amplius nō utūtur, sed ensibus & armis quibus comminus pugnant: feruntque thoraca circa pectora, & in manu sinistra cetram, qualem habere pinguntur Persæ. In manu autem dextera gladium aut mucronem. Et ex huiusmodi uiris magistratus omnes constituuntur, excepus puerorum magistris. At posteaquam annos quinque uigintiq; compleuerint, agentes hi ætatis annum aliquanto amplius quàm quinquagesimum (illorum iam ætatem ingressi qui & sunt & uocantur seniores) non etiam in exercitum eunt extra solum patrium, sed manentes domi iudicant omneis caussas & publicas, & priuatas. Iudicant etiam hy caussam mortis, idémque legunt omneis magistratus. Quod si quis aut in adolescentibus, aut in uiris deliquerit quippiam contra leges, deferunt eum singuli tribuni, & ex alijs qui uoluerit. Quem seniores ubi audierint, damnant. At damnatus degit reliquam uitam cum ignominia. Verùm ut omnis Persarum respublica clarius pateat, repetamus paulo altius. Nunc autem ex ante dictis declaratum sit paucis. Persæ dicuntur esse circiter centum uiginti millia hominum. Horum nemo lege excluditur à dignitatibus atq; magistratibus. Sed licet omnibus Persis mittere filios ad publicos iustitiæ ludos. Verum qui possunt filios per ocium alere, eos mittunt ad ludos. Quibus uero alendi non est facultas, nequaquam mittunt. Qui autem fuerint apud publicos magistros instituti, licet ijs inter adolescentes eius ætatis opera exercere, alijs uerò non licet. Qui rursus legitima inter adolescentes absoluerint, possunt hi inter eos uersari, magistratuumq; participes atque honorum fieri. At hi qui pueritiæ atque adolescentiæ legitima non obierunt, inter uiros non admittuntur. At hi rursus, qui inter perfectæ ætatis uiros sine reprehensione se gesserint, fiunt ex ordine seniorum. Et ita seniores hi constituuntur, qui per omne honestatis genus uitam egerint. Et hæc est uiuendi institutio, qua qui utuntur, optimi uiri existimantur. Quin hoc etiam tempore testimonium durat, tum moderati eorum uictus, tum etiam defatigati. Nam nunc quoque turpe est apud Persas & spuere, & emungi, & flatus uideri plenos. Turpe uem ducitur, si quis appareat quoquam īre aut meiendi, aut cuiusquam huiusmodi rei gratia. Quæ quidem facere nullo pacto possent, nisi & uictu modico uterentur, & humiditatem per laborem consumerent. Quo fit, ut ea aliò quopiam secedant. Hæc igitur de Persis omnibus dicere possumus. At cuius gratia hoc tēpore nobis oratio cœpta est, res gestas Cyri narrabimus, à pueritia ordientes. Cyrus enim ad duodecimum usq; annum, aut paulò amplius hac institutus disciplina, æquales omnis antecellebat, & celeriter discendo ea quæ opus erant, & pulchrè ac fortiter singula obeundo. Ex hinc filiam suam Astyages eiusque filium accersiuit, quippe qui eum uidere cupiebat, quem & pulchritudine audiret & probitate præstare. Venit igitur Mandane ad patrem, Cyrum filium secum habens. Ad quem ubi curriculo peruenisset, Cyrusque nouisset Astyagem matris eius patrem, continuò, ut erat ingenio facili atque perhumano,

tum cum amplexatus est familiariter atque perbenigne, ueluti si quis diu una educatum, diuque illum amans amplexaretur, tum eundem exornatum intuens & suppicturatione oculorum, & coloris infricatione appositioneque comarum, quæ legitima erant in Medis: hæc enim omnia Medorum sunt, & purpureæ tunicæ, & candidi amictus, & torques ad collum, & armillæ ad manus. At in Persis cum domi sunt, uel hoc tempore & uestes sunt uiliores, & uictus tenuiores. Intuens inquam Cyrus aui Astyagis ornatum, fixis in eum oculis: O mater, inquit, ut pulcher est auus meus. Sed cum mater eum rogasset uter ei pulchrior uideretur, pater'ne, an auus: respondit Cyrus, O mater, Persarum quidem pater meus longe est pulcherrimus: at Medis, quantum scilicet ipse in uijs atque in ianuis uidi, meus hic auus maxime præstat pulchritudine. Quod audiens Astyages, rursus eum amplexatus atque osculatus, & pulcherrima stola induit, & torquibus armillisque honorauit, ornauitque: ac si quo equitaret, in equo frenis aureis insigni circumducebat, quemadmodum ipse quoque proficisci consueuit. At Cyrus ut & puer, & elegans, & ambitiosus delectabatur stola, atque equitandi disciplina mirum in modum lætabatur. Nam in Persis, quoniam difficile est & equos alere & equitare quia montosa sit regio, uel uidere equum rarissime datur. Cum uerò cœnaret Astyages una cum filia & nepote, uellétque puerum quamsuauissima uti cœna, quò minus res domesticas desideraret, apposuit ei & paropsidas & omne genus pulpamenta & epulas. Itaq; aiunt dixisse Cyrum: O aue quot negocia habes in cœna, si tibi necessarium sit in omnia hæc fercula manus extendere & degustare hasce tam uarias multasque epulas. Quid ais, inquit Astyages? Nonne tibi multò uidetur pulchrior hæc cœna quàm Persica? Atque ille respondit: Aue, mihi sane haud uidetur: sed longe simplicior apud nos ac rectior est ad explendum uia, quàm apud uos. Apud nos enim panis & carnes ad hoc deducunt. Vos autem cum eodem studetis peruenire quò nos, permultos circuitus ac uertigines sursum deorsumq; errantes uix aliquando uenitis, quò nos diu antea peruenimus. Sed ô fili, inquit Astyages, hi errores nobis molesti non sunt: quòd si hæc tu quoque gustaueris, cognosces admodum esse suauia. Tum Cyrus inquit: At ego aue uideo etiam ubi has epulas esse fastidio. Et Astyagem ferunt interrogasse: Et cuiusnam rei coniectura istud ais? Quòd te, inquit, uideo cum panem tetigeris nihilo manum detergere, sed ubi horum quicquam attigeris, continuò manum purgas ad mantilia, uelut molestè admodum feras istorum satietatem. Ad quæ subdidit Astyages: Si ergo ita sentis, ô fili, saltem carnibus uescere, quò robustior domum repetas: simulque hæc locutus, permultum ei carnium apposuit & syluestrium & cicurum. At Cyrus cum uidisset carnium tantum, ait: Num mihi das hasce carnes, ô aue, ut ipsis utar pro uoluntate? Do tibi, inquit, mehercule. Tum igitur Cyrus acceptis carnibus eas distribuit inter ministros aui,

cum

ἀσπάζεταί τε αὐτὸν, ὥσπερ ἂν εἴ τις πάλαι συντεθραμμένος, καὶ πάλαι φιλῶν ἀσπάζοιτο. καὶ ὁρῶν δὴ αὐτὸν κεκοσμημένον, καὶ ὀφθαλμῶν ὑπογραφῇ, καὶ χρώματος ἐντρίψει, καὶ κόμαις προσθέτοις, ἃ δὴ νόμιμα ἦν ἐν μήδοις. ταῦτα γὰρ πάντα μηδικά ἐστι. καὶ οἱ πορφυροῖ χιτῶνες, καὶ οἱ κάνδυες, καὶ οἱ στρεπτοὶ οἱ περὶ τῇ δέρῃ, καὶ τὰ ψέλλια τὰ περὶ ταῖν χεροῖν. ἐν πέρσαις δὲ τοῖς οἴκοι, καὶ νῦν ἔτι πολὺ καὶ ἐσθῆτες φαυλότεραι, καὶ δίαιται εὐτελέστεραι. ὁρῶν δὴ τὸν κόσμον τοῦ πάππου, ἐμβλέπων αὐτῷ, ἔλεγεν. ὦ μῆτερ, ὡς καλός μοι ὁ πάππος. ἐρωτώσης δὲ τῆς μητρὸς αὐτὸν, πότερος δοκεῖ καλλίων αὐτῷ εἶναι, ὁ πατὴρ ἢ οὗτος. ἀπεκρίνατο ἄρα ὁ κῦρος· ὦ μῆτερ, περσῶν μὲν, πολὺ κάλλιστος ὁ ἐμὸς πατήρ. μήδων μέν τοι ὅσων ἑώρακα ἐγὼ, καὶ ἐν ταῖς ὁδοῖς καὶ ἐπὶ θύραις, πολὺ οὗτος ὁ ἐμὸς πάππος κάλλιστος. ἀντασπαζόμενος δὲ αὐτὸν ὁ ἀστυάγης, καὶ στολὴν καλὴν ἐνέδυσε, καὶ στρεπτοῖς καὶ ψελλίοις ἐτίμα, καὶ ἐκόσμει καὶ εἴ που ἐξελαύνοι, ἐφ' ἵππου χρυσοχαλίνου περιῆγεν. ὥσπερ καὶ αὐτὸς εἰώθει πορεύεσθαι. ὁ δὲ κῦρος, ἅτε παῖς ὢν καὶ φιλόκαλος καὶ φιλότιμος, ἥδετο τῇ στολῇ, καὶ ἱππεύειν μανθάνων, ὑπερέχαιρεν. ἐν πέρσαις γὰρ, διὰ τὸ χαλεπὸν εἶναι καὶ τρέφειν ἵππους, καὶ ἱππεύειν, ἐν ὀρεινῇ οὔσῃ τῇ χώρᾳ, καὶ ἰδεῖν ἵππον σπάνιον. δειπνῶν δὲ ὁ ἀστυάγης σὺν τῇ θυγατρὶ καὶ τῷ κύρῳ, βουλόμενος τὸν παῖδα ὡς ἥδιστα δειπνεῖν, ἵνα ὡς ἧττον τὰ οἴκαδε ποθοίη, προσῆγαγεν αὐτῷ καὶ παροψίδας, καὶ παντοδαπὰ ἐμβάμματα καὶ βρώματα. τὸν δὲ κῦρον, ἔφασαν λέγειν· ὦ πάππε, ὅσα πράγματα ἔχεις ἐν τῷ δείπνῳ, εἰ ἀνάγκη σοι ἐπὶ πάντα τὰ λεκάνια ταῦτα διατείνειν τὰς χεῖρας, καὶ ἀπογεύεσθαι τούτων τῶν παντοδαπῶν βρωμάτων. τί δὲ φάναι τὸν ἀστυάγην. οὐ γὰρ πολύ σοι δοκεῖ κάλλιον τόδε τὸ δεῖπνον εἶναι τοῦ ἐν πέρσαις; τὸν δὲ κῦρον πρὸς ταῦτα ἀποκρίνασθαι λέγεται, οὐχὶ, ὦ πάππε, ἀλλὰ πολὺ ἁπλουστέρα καὶ εὐθυτέρα παρ' ἡμῖν ἡ ὁδός ἐστιν ἐπὶ τὸ ἐμπλησθῆναι, ἢ παρ' ὑμῖν. ἡμᾶς μὲν γὰρ ἄρτος καὶ κρέας εἰς τοῦτο ἄγει. ὑμεῖς δὲ, εἰς μὲν τὸ αὐτὸ ἡμῖν σπεύδετε. πολλοὺς δὲ ἑλιγμοὺς ἄνω καὶ κάτω πλανώμενοι, μόλις ἀφικνεῖσθε, ὅποι ἡμεῖς πάλαι ἥκομεν. ἀλλ' ὦ παῖ φάναι τὸν ἀστυάγην, οὐκ ἀχθόμενοι ταῦτα περιπλανώμεθα. γευόμενος δ', ἔφη, καὶ σὺ, γνώσῃ ὅτι ἡδέα ταῦτά ἐστιν. ἀλλὰ καὶ σὲ φάναι τὸν κῦρον ὦ πάππε, μυσαττόμενον ταῦτα τὰ βρώματα ὁρῶ. καὶ τὸν ἀστυάγην ἐπυνθάνετο. καὶ τίνι δὴ σὺ τεκμαιρόμενος ὦ παῖ λέγεις; ὅτι σὲ φάναι ὁρῶ, ὅταν μὲν τοῦ ἄρτου ἅψῃ, εἰς οὐδὲν τὴν χεῖρα ἀποψώμενον. ὅταν δὲ τούτων τινὸς θίγῃς, εὐθὺς ἀποκαθαίρει τὴν χεῖρα εἰς τὰ χειρόμακτρα, ὡς πάνυ ἀχθόμενος, ὅτι κατάπλεώς σοι ἀπ' αὐτῶν ἐγένετο. πρὸς ταῦτα δὴ τὸν ἀστυάγην εἰπεῖν, εἰ τοίνυν οὕτω γιγνώσκεις, ὦ παῖ, ἀλλὰ κρέα γε εὐωχοῦ, ἵνα νεανίας οἴκαδε ἀπέλθῃς. ἅμα δὲ ταῦτα λέγοντα, πολλὰ αὐτῷ παραφέρειν, καὶ θηρία καὶ τῶν ἡμέρων. καὶ τὸν κῦρον, ἐπεὶ ἑώρα πολλὰ τὰ κρέα εἰπεῖν. ἦ καὶ δίδως μοι, ὦ πάππε, ταῦτα πάντα τὰ κρέα, ὅτι ἂν βούλωμαι αὐτοῖς χρῆσθαι; νὴ δία φάναι ἔγωγε, ὦ παῖ. ἐνταῦθα δὴ τὸν κῦρον λαβόντα τῶν κρεῶν, διαδιδόναι τοῖς ἀμφὶ τὸν πάππον θεραπευταῖς,

ἐπιλέγον-

ἐπιλέγοντα ἑκάστῳ· σοὶ μὲν τοῦτο, ὅτι προθύμως με ἱππεύειν διδάσκεις· σοὶ δέ, ὅτι μοι παλτὸν ἔδωκας· τοῦτο γὰρ νῦν ἔχω· σοὶ δέ, ὅτι τὸν πάππον καλῶς θεραπεύεις· σοὶ δέ, ὅτι μου τὴν μητέρα τιμᾷς. τοιαῦτα ποιεῖν, ἕως διεδίδου πάντα ἃ ἔλαβε κρέα. σάκᾳ δέ φάναι τὸν ἀστυάγην τῷ οἰνοχόῳ, ὃν ἐγὼ μάλιστα τιμῶ, οὐδὲν δίδως; ὁ δὲ σάκας ἄρα καλός τε ὢν ἐτύγχανε, καὶ τιμὴν ἔχων προσάγειν τοὺς δεομένους ἀστυάγους, καὶ ἀποκωλύειν οὓς μὴ καιρὸς αὐτῷ δοκοίη εἶναι προσάγειν. καὶ τὸν κῦρον ἐπερέσθαι προπετῶς, ὡς ἂν παῖς μηδέπω ὑποπτήσσων, διατί, ὦ πάππε, τοῦτον οὕτω τιμᾷς; καὶ τὸν ἀστυάγην σκώψαντα εἰπεῖν, οὐχ ὁρᾷς φάναι, ὡς καλῶς οἰνοχοεῖ καὶ εὐσχημόνως; οἱ δὲ τῶν βασιλέων τούτων οἰνοχόοι κομψῶς τε οἰνοχοοῦσι, καὶ καθαρείως ἐγχέουσι, καὶ διδόασι τοῖς τρισὶ δακτύλοις ὀχοῦντες τὴν φιάλην, καὶ προσφέρουσιν ὡς ἂν ἐνδοῖεν τὸ ἔκπωμα, εὐληπτότατα τῷ μέλλοντι πίνειν. κέλευσον δή φάναι, ὦ πάππε, τὸν σάκαν, καὶ ἐμοὶ δοῦναι τὸ ἔκπωμα, ἵνα κἀγὼ καλῶς σοι πιεῖν ἐγχέας, ἀνακτήσωμαί σε, ἢν δύνωμαι. καὶ τὸν κελεῦσαι δοῦναι. λαβόντα δὲ τὸν κῦρον, οὕτω μὲν εὖ κλύσαι τὸ ἔκπωμα, ὥσπερ τὸν σάκαν ἑώρα. οὕτω δὲ στήσαντα τὸ πρόσωπον, σπουδαίως καὶ εὐσχημόνως προσενεγκεῖν, καὶ ἐνδοῦναι τὴν φιάλην τῷ πάππῳ, ὥστε τῇ μητρὶ καὶ τῷ ἀστυάγει, πολὺν γέλωτα παρασχεῖν. καὶ αὐτὸν δὲ κῦρον ἐκγελάσαντα, ἀναπηδῆσαι πρὸς τὸν πάππον, καὶ φιλοῦντα ἅμα εἰπεῖν. ὦ σάκα, ἀπόλωλας. ἐκβαλῶ σε τῆς τιμῆς. τά τε γὰρ ἄλλα φάναι σου κάλλιον οἰνοχοήσω, καὶ οὐκ ἐκπίομαι αὐτὸς τὸν οἶνον. οἱ γὰρ τῶν βασιλέων οἰνοχόοι, ἐπειδὰν ἐνδιδῶσι τὴν φιάλην, ἀρύσαντες ἀπ' αὐτῆς τῷ κυάθῳ, εἰς τὴν ἀριστερὰν χεῖρα ἐγχεάμενοι, καταρροφοῦσιν. τὸ δὴ εἰ φάρμακα ἐγχέοιεν, μὴ λυσιτελεῖν αὐτοῖς. ἐκ τούτου δὴ ὁ ἀστυάγης ἐπισκώπτων, ἔφη· καὶ τί δή, ὦ κῦρε, τἄλλα μιμούμενος τὸν σάκαν, οὐκ ἀπερρόφησας τοῦ οἴνου; ὅτι νὴ δί', ἔφη, ἐδεδοίκειν, μὴ ἐν τῷ κρατῆρι φάρμακα μεμιγμένα εἴη. καὶ γὰρ ὅτε εἱστίασας σὺ τοὺς φίλους ἐν τοῖς γενεθλίοις, σαφῶς κατέμαθον, φάρμακα αὐτὸν ὑμῖν ἐγχέαντα. καὶ πῶς δή, ἔφη, σύ, ὦ παῖ, τοῦτο κατέγνως; ὅτι νὴ δί', ἔφη, ὑμᾶς ἑώρων, καὶ ταῖς γνώμαις, καὶ τοῖς σώμασι σφαλλομένους. πρῶτον μὲν γάρ, ἃ οὐκ ἐᾶτε ἡμᾶς τοὺς παῖδας ποιεῖν, ταῦτα αὐτοὶ ἐποιεῖτε. πάντες μὲν γὰρ ἅμα ἐκεκράγειτε. ἐμανθάνετε δέ, οὐδὲν ἀλλήλων. ᾔδετε δέ, καὶ μάλα γελοίως. οὐκ ἀκροώμενοι δὲ τοῦ ᾄδοντος, ὠμνύετε ᾄδειν ἄριστα. λέγων δὲ ἕκαστος ὑμῶν τὴν ἑαυτοῦ ῥώμην, ἔπειτ' εἰ ἀνασταίητε ὀρχησόμενοι, μὴ ὅπως ὀρχεῖσθαι ἐν ῥυθμῷ, ἀλλ' οὐδ' ὀρθοῦσθαι ἐδύνασθε. ἐπελέλησθε δὲ παντάπασι, σύ τε ὅτι βασιλεὺς ἦσθα, οἵ τε ἄλλοι, ὅτι σὺ ἄρχων. τότε γὰρ δὴ ἔγωγε καὶ πρῶτον κατέμαθον, ὅτι τοῦτ' ἄρα ἦν ἡ ἰσηγορία, ὃ ὑμεῖς τότε ἐποιεῖτε. οὐδέποτε γοῦν ἐσιωπᾶτε. καὶ ὁ ἀστυάγης εἶπεν· ὁ δὲ σὸς πατήρ, ὦ παῖ, πίνων οὐ μεθύσκεται; οὐ μὰ δί', ἔφη. ἀλλὰ πῶς ποιεῖ; διψῶν παύεται. ἄλλο δ' ἢ κακὸν οὐδὲν πάσχει. οὐ γὰρ οἶμαι, ὦ πάππε, σάκας αὐτῷ οἰνοχοεῖ. καὶ ἡ μήτηρ εἶπεν· ἀλλὰ τί ποτε σύ, ὦ παῖ, οὕτω τῷ σάκᾳ πολεμεῖς;

τὸν

cum huiusmodi uerbis: Tibi quidem hoc à me datur, quòd alacriter mihi tradis equitandi praecepta. Tibi autem, quòd tragulam dedisti mihi: nam hoc ego tempore habeo aliud nihil. Tibi uerò, quoniam auo perpulchrè inseruis. Tibi quoque, quia patrem meum honore prosequeris. Haec faciebat, donec distribueret carnes omnes quas accepisset. Sed Astyages, Sacae, inquit, pincernae, quem ego honoro maxime, nihil das? Erat autem hic Sacas excellenti forma, eáque fungebatur dignitate, ut eos deduceret, quibus Astyage opus foret, intempestiuos autem arceret. Sed Cyrus ut puer adhuc ueritus nihil, rogat inconsultò Astyagen: Quamobrem aue hunc ita honoras? Cui Astyages cauillatus, inquit: An minus uides quàm pulchre, quámque apte uinum fundit? Horum enim regum pincernae aptissime ac purissime uinum fundunt, ferentesque phialam tribus digitis eam praebent. Afferunt enim ita, ut qui bibiturus est, poculum capiat expeditissime. Tum Cyrus ait: Iube igitur Sacae, ô aue, ut poculum tradat, quò ipse quoque pulcherrime uinum fundens te mihi uendicem, si potero. Quod ubi iussisset Astyages, Cyrus accepto poculo ita illud bene eluit, ut Sacan uiderat. Iam etiam composita facie studiose, & apte quodammodo praebuit, tradiditque in manum phialam ipsi auo, ut & matrem, & Astyagen multo risu afficeret. Cyrus uero ipse profusus in risum, ad auum prosiluit, cumq; simul osculatus ait: O Saca peristi, ex honore te eijciam: nam & pincernae officio melius quàm tu fungar, & bibam uinum ut tu. Regum enim pincernae cum dant phialam, ex ea uinum cyatho haustum fundentes in sinistram manum obsorbent, ne si uenena infudisset, ipsi non laedantur. Hinc Astyages ait per cauillum: Cur Cyre, qui alijs rebus Sacam imitaris, non uinum obsorbuisti? Quòd metuebam, inquit, mediusfidius, ne in cratere mixta uenena forent. Etenim cum tu in natalitijs amicos accepisti, perspicue didici eum uobis uenena infudisse. Et quonam pacto, inquit ille, ô fili, hoc dignosti? Quod, inquit, uos uidebam neque mentis esse, neque corporis compotes. Primum, quae à nobis pueri facere prohibemur, haec uos faciebatis. Omnes enim clamabatis simul, dicebatisque inuicem nihil. Canebatis magno cum ridiculo, & cum canentem minime audiretis, iurabatis optime eum canere. Et quisque uestrûm, cum de suis uiribus loqueretur, mox saltaturi surgebatis, cum non modo ad numerum non saltare, sed ne erigi quidem possetis. Eratisque obliti omnino, & tu, quòd rex esses, & alij, quod sibi imperares. Per id enim temporis ego primum didici, hoc quod à uobis tum agebatur, causam esse perpetuae uestrae confabulationis. Itaque nunquam tacebatis. Et Astyages ait: At patrem tuum fili, cum bibit, nonne capit ebrietas? Non, inquit, mehercule. Sed quomodo facit? Sitim tolerat, & patitur aliud mali nihil. Non enim Sacas ei, ut uidetur, uinum fundit. Mater autem inquit: Quid tandem fili adeo Sacam oppugnas?

Quoniam, inquit Cyrus, ipse odio mihi est, quippe qui me saepe cupientem ad auum accurrere, prohibet homo sceleratissimus. Verum te suppliciter aue precor, da mihi tris dies in Sacam imperium. Et Astyages inquit: Quo pacto ei imperitaueris? Cyrus autem respondit: Stans ego, quemadmodum hic in aditu, cum uoluerit ingredi ad prandium, dicerem, nondum fieri posse, ut prandio intersit: auum enim quibusdam uiris studere. Deinde cum ad coenam uenerit, dicturus sim, quod auus lauatur. Cum uero magno 10 uescendi desiderio afficeretur, dicerem, quoniam auus est apud mulieres. Tandem aliquando ita ego huc protraherem, sicuti ipse me ab auo arcendo protrahit. Tot inter coenandum relaxationes animorum eis praebebat Cyrus. Interdiu uero si quem sentiret, cui uel auo uel auunculo foret opus, ad id officij omnes anteuertebat. Quicquid enim Cyrus gratificari ijs posset, quamlibentissime obibat. At cum Mandane reditum pararet ad uirum, rogabat eam Astyages, Cyrum apud se linqueret. quae uelle quidem, 20 respondit, omnibus in rebus patri morem gerere, uerum putare esse factu difficile, inuitum puerum dimittere. Hic Astyages ait ad Cyrum: O fili, si apud me manseris, omnium primum aditus ad me tui, nulla Sacae facultas erit, sed potestas omnis in te futura est: habeboque tibi gratias, quanto saepius ad me ieris. Dein & equis meis & alijs uteris, quot uolueris. Et cum abire institueris, habiturus es quoscunque libuerit abeunti tibi. Praeterea incedes quam uiam ipse delegeris pro coenae mediocritate ex senten 30 tia tua. Insuper tibi do & quae nunc in hortis ferae sunt, & alias omne genus colligam, quas cum primum equitare didiceris, insequens, prosternesq; ex sagittando & iaculando, ut uiri magni. Praeboq; tibi pueros collusores, & alia omnia consequeris, quae uelle te dixeris. Haec Astyages ubi dixisset, Cyrum mater interrogabat, utrum uellet, manerene an abire? Hic autem nihil cunctatur, sed quam celerrime se uelle manere respondit. Rursumq; interrogatus a matre, quam ob rem: dixisse fertur, Quoniam domi, 40 ô mater, & sum, & uideor esse aequalibus superior iaculando sagittandoq;, hic autem noui me esse aequalibus meis equitando inferiorem: quae quidem res mihi mater est permolesta. Quod si me hic reliqueris, equitationemq; didicero, cum in Persis fuero, facile arbitror me illis omnibus fore superiorem, qui pedestri praestant. Cum uero uenero huc ad Medos, enitar (quia factus iam fuero bonorum equitum optimus) auo auxilium ferre. At iustitiam, inquit mater, ô fili, qui disces, cum magistri tui sint in Persis? Respon 50 ditq; Cyrus: Verum haec ego mater examussim calleo. Qui id tibi cognitum est? inquit mater. Quoniam meus magister, inquit, me perinde atque iustitiam optime tenentem constituit alijs iudicem. Atqui olim in quadam lite uerberibus caesus, sum, utpote qui minus recte iudicarim. Erat autem causa huiusmodi:

IVDICIVM CYRI.

Puer magnus corpore, cui parua esset tunica, alterum paruum

τὸν δὲ κῦρον εἰπεῖν, ὅτι νὴ Δία μισῶ αὐτόν. πολλάκις γάρ με πρὸς τὸν πάππον ἐπιθυμοῦντα προσδραμεῖν, οὗτος ὁ μιαρώτατος ἀποκωλύει. ἀλλ' ἱκέτευσον φάναι, ὦ πάππε, δός μοι τρεῖς ἡμέρας ἄρξαι αὐτοῦ. καὶ τὸν ἀστυάγην εἰπεῖν· καὶ πῶς δὴ ἂν ἄρξαις αὐτοῦ; καὶ τὸν κῦρον φάναι· στὰς ἂν ὥσπερ οὗτος ἐπὶ τῇ εἰσόδῳ, ἔπειτα ὁπότε βούλοιτο εἰσιέναι ἐπ' ἄριστον, λέγοιμ' ἄν, ὅτι οὔπω δυνατὸν ἐπὶ τὸ ἄριστον ἐντυχεῖν. σπουδάζει γὰρ πρός τινας. εἶθ' ὁπόταν ἥκῃ ἐπὶ τὸ δεῖπνον, λέγοιμ' ἂν ὅτι λοῦται. εἰ δὲ πάνυ σπουδάζοι φαγεῖν, εἴποιμ' ἄν, ὅτι παρὰ ταῖς γυναιξίν ἐστιν, ἕως παρατείναιμι τοῦτον, ὥσπερ οὗτος ἐμὲ παρατείνει ἀπὸ σοῦ κωλύων. τοιαύτας μὲν αὐτοῖς εὐθυμίας παρεῖχεν ἐπὶ τῷ δείπνῳ. τὰς δὲ ἡμέρας εἴ τινος αἴσθοιτο δεόμενον ἢ τὸν πάππον, ἢ τὸν τῆς μητρὸς ἀδελφόν, χαλεπὸν ἦν ἄλλον φθάσαι τοῦτο ποιήσαντα. ὅτι γὰρ δύναιτο ὁ κῦρος, ὑπερέχαιρεν αὐτοῖς χαριζόμενος. ἐπεὶ δὲ ἡ μανδάνη παρεσκευάζετο, ὡς ἀπιοῦσα πάλιν πρὸς τὸν ἄνδρα, ἐδεῖτο αὐτῆς ὁ ἀστυάγης, καταλιπεῖν τὸν κῦρον. ἡ δὲ ἀπεκρίνατο, ὅτι βούλοιτο μὲν ἂν ἅπαντα τῷ πατρὶ χαρίζεσθαι. ἄκοντα μέντοι τὸν παῖδα, χαλεπὸν νομίζειν εἶναι καταλιπεῖν. ἔνθα δὴ ὁ ἀστυάγης λέγει πρὸς τὸν κῦρον, ὦ παῖ, ἢν μένῃς παρ' ἐμοί, πρῶτον μὲν τῆς παρ' ἐμὲ εἰσόδου σοι, οὐ σάκας ἄρξει, ἀλλ' ὁπόταν βούλῃ εἰσιέναι ὡς ἐμέ, ἐπὶ σοὶ ἔσται. καὶ χάριν σοί, ἔφη, μᾶλλον εἴσομαι, ὅσῳ ἂν πλεονάκις εἰσίῃς ὡς ἐμέ. ἔπειτα δὲ ἵπποις τοῖς ἐμοῖς χρήσῃ, καὶ ἄλλοις ὁπόσοις ἂν βούλῃ. καὶ ὅταν ἀπίῃς, ἔχων ἄπει, οὓς ἂν αὐτὸς ἐθέλῃς. ἔπειτα δὲ ἐν τῷ δείπνῳ ἐπὶ τὸ μετρίως σοι δοκοῦν ἔχειν, ὁποίαν βούλει ὁδὸν πορεύσῃ. ἔπειτα τά τε νῦν ἐν τῷ παραδείσῳ θηρία δίδωμί σοι, καὶ ἄλλα παντοδαπὰ συλλέξω, ἃ σὺ ἐπειδὰν τάχιστα ἱππεύειν μάθῃς, διώξῃ· καὶ τοξεύων καὶ ἀκοντίζων καταβαλεῖς, ὥσπερ οἱ μεγάλοι ἄνδρες. καὶ παῖδας δέ σοι ἐγὼ συμπαίστορας παρέξω, καὶ ἄλλα ὅσα ἂν βούλῃ λέγων πρὸς ἐμέ, οὐκ ἀτυχήσεις. ἐπεὶ δὲ ταῦτα εἶπεν ὁ ἀστυάγης, ἡ μήτηρ διηρώτα τὸν κῦρον, πότερα βούλοιτο μένειν, ἢ ἀπιέναι. ὁ δὲ οὐκ ἐμέλλησεν, ἀλλὰ ταχὺ εἶπεν, ὅτι μένειν βούλοιτο. ἐπερωτηθεὶς δὲ πάλιν ὑπὸ τῆς μητρός, διὰ τί, εἰπεῖν λέγεται, ὅτι οἴκοι μὲν τῶν ἡλίκων, καὶ εἰμὶ καὶ δοκῶ κράτιστος εἶναι, ὦ μῆτερ, καὶ τοξεύων καὶ ἀκοντίζων. ἐνθάδε δὲ εὖ οἶδα, ὅτι ἱππεύων ἥττων εἰμὶ τῶν ἡλίκων. καὶ τοῦτο εὖ ἴσθι, ἔφη, ὦ μῆτερ, ὅτι ἐμὲ πάνυ ἀνιᾷ. ἢν δέ με καταλίπῃς ἐνθάδε, καὶ μάθω ἱππεύειν, ὅταν μὲν ἐν πέρσαις ὦ, οἶμαί σοι ἐκείνους τοὺς ἀγαθοὺς τὰ πεζικὰ ῥᾳδίως νικήσειν. ὅταν δὲ εἰς μήδους ἔλθω ἐνθάδε, πειράσομαι τῷ πάππῳ ἀγαθῶν ἱππέων κράτιστος ὢν ἱππεύς, συμμαχεῖν αὐτῷ. τὴν δὲ μητέρα εἰπεῖν. τὴν δὲ δικαιοσύνην, ὦ παῖ, πῶς μαθήσῃ ἐνθάδε, ἐκεῖ ὄντων σοι τῶν διδασκάλων; καὶ τὸν κῦρον φάναι, ἀλλ' ὦ μῆτερ, ἀκριβῶς ταύτην γε οἶδα. πῶς σὺ οἶσθα, εἰπεῖν τὴν μανδάνην. ὅτι φάναι ὁ διδάσκαλός με, ὡς ἤδη ἀκριβοῦντα τὴν δικαιοσύνην, καὶ ἄλλοις καθίστη δικάζειν, καὶ τοίνυν φάναι ἐπὶ μιᾷ ποτε δίκῃ, πληγὰς ἔλαβον, ὡς οὐκ ὀρθῶς δικάσας. ἦν δὲ ἡ δίκη τοιάδε.

ΚΥΡΟΥ ΚΡΙΣΙΣ.

Παῖς μέγας μικρὸν ἔχων χιτῶνα, ἕτερον παῖδα μικρόν,

ρόν, μέγαν ἔχοντα χιτῶνα, ἐκδύσας αὐτόν, τὸν μὲν ἑαυτοῦ, ἐκεῖνον ἠμφίεσε, τὸν δὲ ἐκείνου αὐτὸς ἐνέδυ. ἐγὼ γοῦν τούτοις δικάζων, ἔγνων βέλτιον εἶναι ἀμφοτέροις τὸν ἁρμόζοντα ἑκάτερον ἔχειν χιτῶνα. ἐν δὲ τούτῳ με ἔπαισεν ὁ διδάσκαλος λέγων, ὅτι ὁπότε μὲν κατασταθείην τοῦ ἁρμόττοντος κριτής, οὕτω δέοι ποιεῖν. ὁπότε δὲ κρῖναι δέοι, ὁποτέρου ὁ χιτὼν εἴη, τοῦτ', ἔφη, σκεπτέον εἶναι, τίς κτῆσις δικαία ἐστί. πότερα τὸν βίᾳ ἀφελόμενον ἔχειν, ἢ τὸν ποιησάμενον ἢ πριάμενον κεκτῆσθαι. ἔπειτα δέ, ἔφη, τὸ μὲν νόμιμον, δίκαιον εἶναι, τὸ δὲ ἄνομον βίαιον. σὺν τῷ νόμῳ οὖν ἐκέλευε δεῖν τὸν δικαστὴν τὴν ψῆφον τίθεσθαι. οὕτως ἐγώ σοι, ἔφη, ὦ μῆτερ, τά γε δίκαια, παντάπασιν οἶδα ἀκριβῶς. ἢν δέ τι ἄρα προσδέωμαι, ὁ πάππος με, ἔφη, οὗτος ἐπιδιδάξει. ἀλλ' οὐ ταῦτα, ἔφη, ὦ παῖ, παρά τε τῷ πάππῳ δίκαια καὶ ἐν Πέρσαις ὁμολογεῖται. οὗτος μὲν γὰρ τῶν ἐν Μήδοις πάντων δεσπότην ἑαυτὸν πεποίηκεν. ἐν Πέρσαις δὲ τὸ ἴσον ἔχειν δίκαιον νομίζεται. καὶ ὁ σὸς πρῶτος πατήρ, τεταγμένα μὲν ποιεῖ ἃ ποιεῖ τῇ πόλει. τεταγμένα δὲ λαμβάνει. μέτρον δὲ αὐτῷ, οὐχ ἡ ψυχή, ἀλλ' ὁ νόμος ἐστίν. ὅπως οὖν μὴ ἀπολῇ μαστιγούμενος, ἐπειδὰν οἴκοι ᾖς, ἂν παρὰ τούτου μαθὼν ἥκῃς ἀντὶ τοῦ βασιλικοῦ τὸ τυραννικόν, ἐν ᾧ ἐστι τὸ πλέον οἴεσθαι χρῆναι ἁπάντων ἔχειν. ἀλλ' ὅ γε σὸς πατήρ, εἶπεν ὁ Κῦρος, δεινότερός ἐστιν, ὦ μῆτερ, διδάσκειν μεῖον ἢ πλέον ἔχειν. ἢ οὐχ ὁρᾷς, ἔφη, ὅτι καὶ Μήδους ἅπαντας δεδίδαχεν, ἑαυτοῦ μεῖον ἔχειν; ὥστε θάρρει, ὡς ὅ γε σὸς πατήρ, οὔτ' ἄλλον οὐδένα, οὔτ' ἐμὲ διδάξας πλεονεκτεῖν ἀποπέμψεται. τοιαῦτα μὲν δὴ πολλὰ ἐλάλει ὁ Κῦρος. τέλος δὲ ἡ μὲν μήτηρ ἀπῆλθε, Κῦρος δὲ κατέμεινε, καὶ αὐτοῦ ἐτρέφετο. καὶ ταχὺ μὲν τοῖς ἡλικιώταις συνεκέκρατο, ὥστε οἰκείως διακεῖσθαι, ταχὺ δὲ τοὺς πατέρας αὐτῶν ἀνήρτητο προσιών. καὶ ἔνδηλος ὤν, ὅτι ἠσπάζετο αὐτῶν τοὺς υἱεῖς, ὥστε καὶ εἴ τι τοῦ βασιλέως δέοιντο, τοὺς παῖδας ἐκέλευον, Κύρου δεῖσθαι διαπράξασθαι σφίσιν. ὁ δὲ Κῦρος, ὅτι δέοιντο αὐτοῦ οἱ παῖδες, διὰ τὴν φιλανθρωπίαν καὶ φιλοτιμίαν, περὶ παντὸς ἐποιεῖτο διαπράττεσθαι. καὶ ὁ Ἀστυάγης δέ, ὅτι δέοιτο αὐτοῦ ὁ Κῦρος, οὐδὲν ἐδύνατο ἀντιλέγειν, μὴ οὐ χαρίζεσθαι. καὶ γὰρ ἀσθενήσαντος αὐτοῦ, οὐδέποτε ἀπέλειπε τὸν πάππον, οὐδὲ κλαίων ποτὲ ἐπαύετο. δῆλός τε ἦν πᾶσιν, ὅτι ὑπερεφοβεῖτο, μή οἱ ὁ πάππος ἀποθάνῃ. καὶ γὰρ ἐκ νυκτὸς εἴ τινος δέοιτο Ἀστυάγης, πρῶτος ᾐσθάνετο Κῦρος, καὶ πάντων ἀοκνότατα ἀνεπήδα ὑπηρετήσων ὅ,τι οἴοιτο χαριεῖσθαι. ὥστε παντάπασιν ἀνεκτήσατο τὸν Ἀστυάγην. καὶ ἦν μὲν ἴσως ὁ Κῦρος πολυλογώτερος. ἅμα μὲν διὰ τὴν παιδείαν, ὅτι ἠναγκάζετο ὑπὸ τοῦ διδασκάλου καὶ διδόναι λόγον ὧν ἐποίει, καὶ λαμβάνειν παρ' ἄλλων δικάζοι. ἔτι δὲ καὶ διὰ τὸ φιλομαθὴς εἶναι, πολλὰ μὲν αὐτὸς ἀεὶ τοὺς παρόντας ἀνηρώτα, πῶς ἔχοντα τυγχάνοι, καὶ ὅσα αὐτὸς ὑπ' ἄλλων ἐρωτῷτο, διὰ τὸ ἀγχίνους εἶναι, ταχὺ ἀπεκρίνετο. ὥστε ἐκ πάντων τούτων ἡ πολυλογία συνελέγετο αὐτῷ. ἀλλ' ὥσπερ καὶ ἐν σώμασιν, ὅσοι νέοι ὄντες, μέγεθος ἔλαβον ὅμως ἐμφαίνεταί τι αὐτοῖς νεαρόν, ὃ κατηγορεῖ τὴν ὀλιγοετίαν, οὕτω καὶ Κύρου, ἐκ τῆς πολυλογίας, οὐ θράσος διεφαίνετο, ἀλλ' ἁπλότης καὶ φιλοστοργία.

ὥστε

uum puerum qui tunicam haberet magnam exuerat, suaq; illum tunica induerat, illius tunica se induto. Ego igitur horum causa audita, iudicaui esse melius ambobus, ut aptam uterq; haberet tunicā. Itaq; hac in re magister me percussit, inquiens: Cum de conuenientia sim iudex, ita iudicare oportere: cum uero iudicandum fuerit, utrius sit tunica, hoc ita considerandum esse: Quæ possessio est iusta? utrum habere is debet, qui ui tunicam abstulit, an hic possidere, qui uel laborauit, uel emit: quoniam id est, ait, iustum, quod legitimum sit: quod uero sit contra legem, id est uiolentum. Quare secundum legem iubebat semper ferendā esse à iudice sententiam. Ita igitur ego mater iura omnino diligenter calleo. Quod si quid mihi fortasse defuerit, meus hic auus me docebit. At non eadem fili, inquit Mandane, iura conueniunt & apud auum & inter Persas. Nam hic auus tuus rex Medorum omnia habet in potestate sua: at in Persis æqualitatem seruare iustum ducitur. Tuusq; pater primum constituta facit, quæ sicut reipublicæ. Constituta etiam accipit. Estq; ei modus non libido, sed lex. Caue igitur, ne uerberibus cæsus pereas cum domum reuerteris, si uenias accepta ab hoc rei tyrannicæ, pro regiæ rei disciplina. NAM IN tyrannide decorum existimatur plus habere quàm omnes. At pater tuus, inquit, ò mater, studiosior est, qui doceat minus quàm plus habere. An minus fortasse uides eum docuisse Medos omnis minus habere, quàm sese? Esto igitur bono animo. Pater enim tuus neque alium quenquam, neq; me ita edoctum abs se dimittet, ut sim habendo superior. Cum talia Cyrus confidentius loqueretur, ad postremum abiuit mater, cum ipse illic relictus apud auum educaretur, celeriterq; æqualibus commiscebatur ad familiarem consuetudinem. Quorum etiam parentes adiens, liquidoq; ostendens eorum à se filios plurimum diligi, sibi e uestigio reddebat affectos, ut qui indolem admirarentur. Itaq; si qua uellent in re beneficio uti regis, hi filios iubebant, rogarent Cyrum, id sibi ut perficeret. At Cyrus rogatu puerorum, ut erat & humanus & honoris appetens, plurimi faciebat petita transigere. Astyages uero si quid esset rogatus à Cyro, aduersari nō poterat, quin ei morem gereret. Etenim auum in ægrotatione, qua olim correptus est, reliquit nunquam, neq; flere unquā destitit, sed omnibus clarum reddidit se de aui obitu maiorem in modum pertimescere. Nanq; si quid noctu Astyagi opus esset, Cyrus sentiebat primus, et omnium impigerrimus exiliebat ministraturus, quod auo gratū fore censeret. Quibus rebus sibi Astyagē omnino deuinxerat. Et erat fortasse Cyrus aliquanto loquacior, adq; tū ob disciplinā, quod cogeretur à magistro & rationē reddere eorū quæ faciebat, & ab aliis accipere cum causam audiret: tum etiā quod ob discēdi studium & multa ipse semper à præsentibus requirebat, ut haberent, & quæcunq; per alios quæsita essent, ob dexteritatē ingenii celeriter respondebat. Quare ex his sce omnib multus ei sermo conflabatur. Sed quēadmodū hi iuuenes, qui corporib. supra ætatē quanquā adoleuerūt, ostendūt tamē iuuenile quiddā, id quod annorum paucitatē arguit: ita ex Cyri multiloquio non audacia promebatur, sed simplicitas quædā atq; lenitas:

qud

quò fiebat, ut quis cuperet plura etiam cum dicentem audire, quàm tacenti adesse. Vt autem produxit eum tempus cum magnitudine corporis ad pubertatem, tum & oratione utebatur breuiore, & uoce sedatio/re: ac pudore adeò afficiebatur, ut etiam erubesceret, cum in seniores incideret. Nec eandem habebat petu/lantem adulationem æque ingerendi se omnibus. Itaque erat iræ remißior, & in congreßibus gratus admodum ac iucundus. Etenim quæ sæpenumero æquales inuicem decertant, non ad ea socios prouo/cabat, quæ norat melius se tenere: sed in quibus cer/tò sciret sese esse inferiorem, ab ijs initium faciebat, futurum inquiens, ut melius quàm hi faceret. Quare incipiebat uel in equos prosilire, uel sagittare, uel iaculari ab equis, cum nondum bene equo insideret: cumq; uinceretur, ipse plurimum ridebat secum. Ve/rùm ubi non detrectat id agere, quo superatus foret, sed eodem reuolutus tentat idem rursus melius facere, breui eò peruenit, ut æque atque æquales equestrem sciret: breui etiam ob rei studium illis superior factus est: breui quoque in hortis quæ seruabantur feras con/sumpsit insequens, feriens, interimens, adeò ut Astya/ges nequiret ei bestias colligere. Quare Cyrus ubi sen/sisset auum non posse, quamuis uellet, multas sibi ui/uas præbere feras, ait: O aue, quid est opus negocio/sus tibi sis in bestijs quærendis? Si me in uenationem emiseris una cum auunculo, facilè putabo feras omnis quas uidero, ali mihi. Cum uehementer autem cupe/ret exire in uenationem, non itidem ut cum esset pu/er, rogare auum blandus poterat, sed uerecundus adibat: & quæ Sacæ antea uitio dabat, quòd non se/re ad auum sineret, ipse iam sibi factus est Sacas. Non enim adibat, nisi uideret esse tempestiuum, Sacamq; rogabat, omnino sibi significaret, quando foret intro/eundi tempus, & quando tempestiuũ non esset. Qua/re & Sacæ & alijs omnib. erat is iam charißimus. V/bi igitur nouit Astyages Cyrum magna teneri cupidi/tate in uenationem egrediendi, emittit eum unà cum auunculo, datis etiam unà custodibus quibusdam equi/tibus senioribus, qui eum tum à locorum difficultati/bus, tum à syluestribus feris custodirent, si quæ appa/ruissent. Cyrus igitur promptè eos, qui se sequebantur, interrogabat, quæ feræ proximè adeundæ non sint, & quæ fidenter insequendæ. Hi autem dicebant, permul/tos propius factos, esse ab ursis & apris & leonibus & pardalibus interemptos: ceruas & capreas, & syl/uestris oues, & asinos etiam syluestris esse innocuos. Addebant hoc præterea, nihilo esse minus locorum difficultates obseruandas quàm bestias: iam enim plu/res simul cum ipsis equis præcipites corruisse. Quæ quidem omnia Cyrus strenue discebat. Sed ubi cer/uam uidisset exilientem, omnium quæ audierat obli/tus, eam insequebatur, aliud nihil aspiciens, quàm quò fugeret, cum eius equus prosiliens cadit in genua, & illi prope collũ enodauit, quin Cyrus uix equo se con/tinuit. Surgente autem equo ut uenit in campum, cer/uam iaculo prosternit, rem sanè pulchram ac ma/gnam. Cyrus igitur plurimum lætabatur. At custodes adequitantes conuicio eum appetebant, dicẽtes, quòd in periculum deuenisset, subdiderántque eum se ad auum

ὥστε ἐπιθυμεῖν αὖ τις, ὅτι πλείω ἀκούειν αὐτοῦ, ἢ σιωπῶντι παρεῖναι. ὡς δὲ προῆγεν ὁ χρόνος αὐτὸν, σὺν τῷ μεγέθει εἰς ὥραν τοῦ πρόσηβον γενέσθαι, ἐν τούτῳ δὴ, τοῖς μὲν λόγοις βραχυτέροις ἐχρῆτο, καὶ τῇ φωνῇ ἡσυχαιτέρᾳ. αἰδοῦς δὲ ἐνεπίμπλατο, ὥστε καὶ ἐρυθραίνεσθαι, ὁπότε συντυγχάνοι τοῖς πρεσβυτέροις. καὶ τὸ σκυλακῶδες τὸ πᾶσι προσπίπτειν, οὐκέτι ὁμοίως προπετῶς εἶχεν. οὕτω δὲ ἡσυχαίτερος μὲν ἦν. ἐν δὲ ταῖς συνουσίαις πάμπαν ἐπίχαρις. καὶ γὰρ ὅσα διαγωνίζονται πολλάκις ἥλικες πρὸς ἀλλήλους, οὐχ ἃ κρείσσω ᾔδει ὤν, ταῦτα προυκαλεῖτο τοὺς συνόντας, ἀλλ᾽ ἅπερ εὖ ᾔδει ἑαυτὸν ἥττονα ὄντα, ταῦτα ἐξῆρχε, φάσκων κάλλιον αὐτῶν ποιήσειν. καὶ κατῆρχεν ἤδη ἀναπηδῶν ἐπὶ τοὺς ἵππους, ἢ διακοντιούμενος, ἢ διατοξευόμενος ἀπὸ τῶν ἵππων, οὔπω πάνυ ἐποχος ὤν. ἡττώμενος δὲ αὐτὸς, ἐφ᾽ ἑαυτοῦ μάλιστα ἐγέλα. ὡς δ᾽ οὐκ ἀπεδίδρασκεν ἐκ τοῦ ἡττᾶσθαι, εἰς τὸ μὴ ποιεῖν ἃ ἡττῶτο, ἀλλ᾽ ἐκαλινδεῖτο ἐν τῷ πειρᾶσθαι αὖθις βέλτιον ποιεῖν, ταχὺ μὲν εἰς τὸ ἴσον ἀφίκετο τῇ ἱππικῇ τοῖς ἡλικιώταις, ταχὺ δὲ παρῄει διὰ τὸ ἐρᾶν τοῦ ἔργου, ταχὺ δὲ τὰ ἐν τῷ παραδείσῳ θηρία ἀνηλώκει, διώκων καὶ βάλλων καὶ κατακαίνων. ὥστε ὁ ἀστυάγης οὐκέτ᾽ εἶχεν αὐτῷ συλλέγειν θηρία. καὶ ὁ κῦρος αἰσθόμενος, ὅτι βουλόμενος οὐ δύναιτο οἱ ζῶντα πολλὰ παρέχειν, πολλάκις ἔλεγε πρὸς αὐτὸν, ὦ πάππε, τί σε δεῖ θηρία ζητοῦντα, πράγματα ἔχειν; ἀλλ᾽ ἢν ἐμὲ ἐκπέμπῃς ἐπὶ θήραν σὺν τῷ θείῳ, νομιῶ ὅσα ἂν ἴδω θηρία, ἐμοὶ ταῦτα τρέφειν. ἐπιθυμῶν δὲ σφόδρα ἐξιέναι ἐπὶ τὴν θήραν, οὐκέθ᾽ ὁμοίως λιπαρεῖν ἐδύνατο ὥσπερ παῖς ὤν. ἀλλ᾽ ὀκνηρότερον προσῄει. καὶ ἃ πρόσθεν τῷ σάκᾳ ἐμέμφετο, ὅτι οὐ παρίει αὐτὸν πρὸς τὸν πάππον, αὐτὸς ἤδη σάκας ἑαυτῷ ἐγίγνετο. οὐ γὰρ προσῄει, εἰ μὴ προειδείη, εἰ καιρὸς εἴη. καὶ τοῦ σάκα ἐδεῖτο πάντως σημαίνειν αὐτῷ, ὁπότε ἐν καιρῷ ἂν εἰσιέναι, καὶ ὁπότε οὐκ ἐν καιρῷ. ὥστε ὁ σάκας ἤδη ὑπερεφίλει αὐτὸν, ὥσπερ καὶ οἱ ἄλλοι πάντες. ἐπεὶ δ᾽ οὖν ἔγνω ὁ ἀστυάγης σφόδρα αὐτὸν ἐπιθυμοῦντα ἔξω θήρας, ἐκπέμπει αὐτὸν σὺν τῷ θείῳ, καὶ φύλακας συμπέμπει ἐφ᾽ ἵππων πρεσβυτέρους, ὅπως ἀπὸ τῶν δυσχωριῶν φυλάττοιεν αὐτὸν, καὶ εἰ τῶν ἀγρίων τι φανείη θηρίων. ὁ οὖν κῦρος τῶν ἑπομένων προθύμως ἐπυνθάνετο, ὁποίοις οὐ χρὴ θηρίοις πελάζειν, καὶ ὁποῖα χρὴ θαρροῦντα διώκειν. οἱ δ᾽ ἔλεγον, ἄρκτοι τε πολλοὺς ἤδη πλησιάσαντας διέφθειραν καὶ λέοντες καὶ κάπροι καὶ παρδάλεις, αἱ δὲ ἔλαφοι καὶ δορκάδες καὶ ἄγριοι οἶες καὶ οἱ ὄνοι οἱ ἄγριοι, ἀσινεῖς εἰσιν. ἔλεγον δὲ καὶ τοῦτο, τὰς δυσχωρίας, ὅτι δέοι φυλάττεσθαι οὐδὲν ἧττον ἢ τὰ θηρία. πολλοὺς γὰρ ἤδη αὐτοῖς τοῖς ἵπποις κατακρημνισθῆναι. καὶ ὁ κῦρος ταῦτα πάντα ἐμάνθανε προθύμως. ὡς δὲ εἶδεν ἔλαφον ἐκπηδήσασαν, πάντων ἐπιλαθόμενος ὧν ἤκουεν, ἐδίωκεν οὐδὲν ἄλλο ὁρῶν, ἢ ὅποι ἔφευγε. καί πως διαπηδῶν αὐτῷ ὁ ἵππος, πίπτει εἰς γόνατα, καὶ μικροῦ κἀκεῖνον ἐξετραχήλισεν, οὐ μὴν, ἀλλ᾽ ἐπέμεινεν ὁ κῦρος μόλις πως, καὶ ὁ ἵππος ἐξανέστη. ὡς δ᾽ εἰς τὸ πεδίον ἦλθεν, ἀκοντίσας καταβάλλει τὴν ἔλαφον καλόν τι χρῆμα καὶ μέγα. ὁ μὲν δὴ ὑπερέχαιρεν. οἱ δὲ φύλακες προσελάσαντες, ἐλοιδόρουν αὐτὸν, καὶ ἔλεγον, εἰς οἷον κίνδυνον ἔλθοι. καὶ ἔφασαν, κατερεῖν αὐτοῦ τῷ πάππῳ.

πάππῳ. ὁ δὲ Κῦρος εἱστήκει καταβεβηκώς, καὶ ἀκούων
ταῦτα ἠνιᾶτο. ὡς δὲ ᾔσθετο κραυγῆς, ἀνεπήδησεν
ἐπὶ τὸν ἵππον, ὥσπερ ἐνθουσιῶν. καὶ ὡς εἶδεν ἐκ τοῦ
ἐναντίου κάπρον προσφερόμενον, ἀντίος ἐλαύνει, καὶ
διατεινάμενος εὐστόχως, βάλλει εἰς τὸ μέτωπον, καὶ
κατέσχε τὸν κάπρον. ἐνταῦθα μέντοι ἤδη καὶ ὁ θεῖος
αὐτῷ ἐλοιδορεῖτο, τὴν θρασύτητα ὁρῶν. ὁ δ' αὐτοῦ λοι-
δορουμένου, ὅμως ἐδεῖτο ὅσα αὐτὸς ἔλαβε, ταῦτα ἐᾶσαι
αὐτὸν δοῦναι εἰσκομίσαντα τῷ πάππῳ. τὸν δὲ θεῖον
εἰπεῖν φασιν. ἀλλ' ἢν αἴσθηται ὅτι ἐδίωκες, οὐ σοὶ μόνον,
ἀλλὰ καὶ ἐμοὶ λοιδορήσεται, ὅτι σε εἴων. κἂν βούληται
φάναι αὐτόν, μαστιγωσάτω, ἐπειδάν γε ἐγὼ δῶ αὐ-
τῷ, καὶ σύ γε εἰ βούλει, ἔφη, ὦ θεῖε, τιμωρησάμενος
ὅ,τι βούλει τοῦτο ὅμως χάρισαι μοι. καὶ ὁ Κυαξάρης μέν-
τοι τελευτῶν εἶπε, ποίει ὅπως βούλει. σὺ γὰρ νῦν γε
ἡμῶν ἔοικας βασιλεὺς εἶναι. οὕτω δὴ ὁ Κῦρος εἰσκομί-
σας τὰ θηρία, ἐδίδου τε τῷ πάππῳ, καὶ ἔλεγεν, ὅτι αὐ-
τὸς ταῦτα θηράσειεν ἐκείνῳ, καὶ τὰ ἀκόντια ἐδείκνυε
μὲν οὔ, κατέθηκε δὲ ᾑματωμένα, ὅπου ᾤετο τὸν πάππον
ὄψεσθαι. ὁ δὲ Ἀστυάγης ἄρα εἶπεν· ἀλλ' ὦ παῖ, δέχομαι
μὲν ἔγωγε ἡδέως, ὅσα μοι δίδως. οὐ μέντοι δέομαί
γε τούτων οὐδενός, ὥστε σε κινδυνεύειν. καὶ ὁ Κῦρος
ἔφη· εἰ τοίνυν μὴ σὺ δέῃ, ἱκετεύω ὦ πάππε, ἐμοὶ δὸς
αὐτά, ὅπως ἐγὼ διαδῶ τοῖς ἡλικιώταις. ἀλλ' ὦ παῖ,
ἔφη ὁ Ἀστυάγης, καὶ ταῦτα λαβών, διαδίδου ὅτῳ σὺ
βούλει, καὶ τῶν ἄλλων ὁπόσα ἐθέλεις. καὶ ὁ Κῦρος λα-
βών, ἐδίδου τε ἄρα τοῖς παισί, καὶ ἅμα ἔλεγεν· ὦ παῖ-
δες, ὡς ἄρα ἐφλυαροῦμεν, ὅτε τὰ ἐν τῷ παραδεί-
σῳ θηρία ἐθηρῶμεν. ὅμοιον γάρ ἐμοί γε δοκεῖ εἶναι,
οἷόνπερ εἴ τις δεδεμένα ζῶα θηρῴη. πρῶτον μὲν γὰρ
ἐν μικρῷ χωρίῳ ἦν, ἔπειτα καὶ μικρὰ καὶ ψωραλέα. καὶ
τὸ μὲν αὐτῶν χωλὸν ἦν, τὸ δὲ κολοβόν. τὰ δ' ἐν τοῖς ὄρεσι
καὶ λειμῶσι θηρία, ὡς μὲν καλά, ὡς δὲ μεγάλα, ὡς δὲ λι-
παρὰ ἐφαίνετο. καὶ αἱ μὲν ἔλαφοι ὥσπερ πτηναὶ ἥλλον-
το πρὸς τὸν οὐρανόν, οἱ δὲ κάπροι, ὥσπερ τοὺς ἄνδρας
φασὶ τοὺς ἀνδρείους ὁμόσε ἐφέροντο. ὑπὸ δὲ τῆς πλα-
τύτητος, οὐδὲ ἁμαρτεῖν οἷόν τε ἦν αὐτῶν. καλλίω δέ,
ἔφη, ἔμοιγε δοκεῖ, καὶ τεθνηκότα ταῦτα εἶναι, ἢ ζῶν-
τα ἐκεῖνα τὰ περιῳκοδομημένα. ἀλλ' ἆρα ἄν, ἔφη,
ἀφεῖεν καὶ ὑμᾶς οἱ πατέρες ἐπὶ τὴν θήραν; καὶ ῥᾳδίως
γ' ἂν ἔφασαν, εἰ Ἀστυάγης κελεύοι. καὶ ὁ Κῦρος εἶπε·
τίς ἂν οὖν ὑμῶν πρὸς Ἀστυάγην μνησθείη; τίς γὰρ ἂν ἔφα-
σαν, σοῦ γε ἱκανώτερος πεῖσαι; ἀλλὰ μὰ τὴν Ἥραν,
ἔφη, ἐγὼ μὲν οὐκ οἶδ' ὅστις ἄνθρωπος γεγένημαι. οὐ-
δὲ γὰρ λέγειν οἷός τε εἰμί, οὐδ' ἀναβλέπειν πρὸς τὸν πάπ-
πον ἐκ τοῦ ἴσου δύναμαι. ἢν δὲ τοσοῦτον ἐπιδιδῶ, δέδοι-
κα, ἔφη, μὴ παντάπασι βλάξ τις καὶ ἠλίθιος γένωμαι.
παιδάριον δὲ ὤν, δεινότατος λαλεῖν ἐδόκουν εἶναι. καὶ
οἱ παῖδες εἶπον· πονηρὸν λέγεις τὸ πρᾶγμα εἶναι, εἰ μη-
δὲ ὑπὲρ ἡμῶν ἄν τι δέῃ δυνήσῃ πράττειν, ἀλλ' ἄλλου
τινὸς ἡμᾶς τὸ ἐπὶ σοί, ἀνάγκη δεῖσθαι. ἀκούσας δὲ ταῦτα
ὁ Κῦρος, ἐδήχθη, καὶ σιγῇ ἀπελθὼν διακελευσάμε-
νος ἑαυτῷ τολμᾶν, εἰσῆλθε. καὶ ἐπιβουλεύσας πῶς ἂν
ἀλυπότατα εἴποι πρὸς τὸν πάππον, καὶ διαπράξειεν
αὐτῷ τε καὶ τοῖς παισὶν ὧν ἐδέοντο, ἤρξατο ὧδε. εἰ-
πέ μοι, ἔφη, ὦ πάππε, ἤν τις ἀποδράσῃ τῶν οἰκετῶν,
καὶ

auum delaturos. Itaque Cyrus equo descendit, sta-
batque, atque his auditis tristis erat: sed ubi clamo-
rem sensisset, in equum tanquam afflatus resiluit, ui-
densque aprum ex aduerso adactum, et obuius e-
quum agit: iaculoq; contorto aprum rectissime in
frontem ferit, ac detinet. Hic etiam iam auunculus ui-
sa audacia, conuicio Cyrum afficit, qui eum quam-
uis obiurgantem, orabat tamen, ut has feras omnis
quas cepisset, sineret portare se, atque auo dare. Sed
auunculus fertur dixisse: At auus si te hasce insecu-
tum senserit, non te modo acerrime increpabit, sed
etiam me, quia te id facere permiserim. Quinimo si li-
buerit, inquit Cyrus, meipsum uerberet, ubi has ego
dedero. Et tu quoque, ait, auuncule crucia me ut li-
bet, modo mihi hoc gratificeris. Ac Cyaxares tan-
dem inquit: Facito ut uis, tu enim, ut uideris, hoc sa-
ne die geris in nos imperium. Ita igitur Cyrus porta-
tis feris, & dabat eas auo, & illi se uenatum illas di-
cebat. Et iacula quidem minime mõstrabat, sed ea cru-
ore illita illic posuerat, ubi ab auo uisum iri arbitra-
batur. At Astyages: Num, inquit, uerum ô fili? ac-
cipio equidem libenter quaecunque abs te dantur: sed
nihilo horum egeo, quo ipse pericliteris. Et Cyrus
inquit: Si igitur tu non eges, maiorem in modum te
rogo, & oro aue, ut has feras des mihi in meos e-
qualis distribuendas. Cui Astyages respondit: Acci-
pe fili has feras, & aliud quodcunque libuerit, &
distribue pro tua uoluntate. Quibus Cyrus acceptis,
eas distribuebat inter pueros, simulq; dicebat: O pue-
ri, ut certe nugabamur, quando hortorum feras ue-
nabamur. Nam id mihi simile uidebatur, quemad-
modum si quis ligata animalia uenaretur. Primum
enim erant paruo in loco, deinde tenues & scabidae,
& alia earum clauda erat, alia manca. Sed quae in
montibus bestiae sunt & pratis, ut sunt pulchrae, ut
sunt magnae, ut pingues apparebant. Atque ceruae
quidem tanquam uolucres saltu tollebantur ad coe-
lum: apri uero, ut uiri fortes traduntur, ferebantur
aduersi: quorum tanta est latitudo, ut ab his ictus
aberrare nequeat. Pulchriores profecto hae mihi fe-
rae uidentur uel mortuae, quam uiuae illae munimine hor-
torum muroq; occlusae. Num, inquit, permitterent
uos parentes uenatum ire? Et facile quidem, illi re-
spondebant, si Astyages iusserit. Quis igitur ue-
strum, inquit Cyrus, sit apud Astyagen internunci-
us? Quis enim, dixere, te alius persuadere satius po-
terit? At ego mediusfidius qui homo factus sim, ne-
scio: neque enim facere possum uerbum, neque re-
spicere ad auum tam ex aequo. Quod si tantum creue-
ro, uereor ne socors quispiam reddar & fatuus. Cum
puellus essem, uidebar in loquendo acerrimus. Ad
quod dicebant pueri: Male habere negocium dic is, si
ne nostra quidem causa, ubi quid opus fuerit, possis
agere, sed alium quenquam id nos rogare oporteat
quod in te sit. Quae Cyrus audiens, animo angebatur,
atq; abiens cum silentio, seq; ipse ad audendum hor-
tatus, ad auum ingressus est: meditatus quae illi sine ul-
la prorsus molestia loqueretur, perficeretq; & sibi &
pueris quae rogabant. Hoc igitur eius fuit initium:
Dic, inquit, mihi ô aue, si quis e famulis tuis effugerit
&

& eum postea ceperis, qui eo uteris? Qui aliter, inquit, quam ut eum uinctum cogam operis exercere? Quod si ultro ad te reuerterit, quomodo facies? Quid, inquit, aliud quàm ut uerberibus caeso, ne hoc iterum faciat, utar ut antea? Tempus tibi fuerit, inquit Cyrus, parare quò me uerberes, quoniam consultem à te fugam facere, aequales capiens ad uenandum. Atque, inquit Astyages, pulchrè abs te factum est quòd praedixeris: extrinsecus ne mouearis, ubi caue. Pulchrum est enim si carnicularum gratia, filiae Mandane filium perdidero. Quibus auditis paruit auo Cyrus, ac mansit. Cumq; tristis & maestus esset, tacitus degebat. Astyages uerò ubi eum nouit uehementius tristari, uelletq; ei rem gratam facere, educit ad uenationem & pedites multos & equites, congregatis etiam pueris. Cumq; in campestrem regionem feras compulisset, magnam fecit uenationem. Atq; ipse regio more praesens uetabat quenquam bestias ferire, priusquam Cyrus uenationib. expleretur. At Cyrus impedire alios non sinebat: sed si uis aue, inquit, libenter me uenari, permitte meos aequales omnis & insequi & certare ut quisque posit quamoptime. Hic igitur Astyages permittit, stansq; eos spectabat, qui & aemularentur in bestias, & contenderent, & insequerentur, iacularenturq;. Ac Cyro quidem delectabatur, quòd prae uoluptate silere non posset, sed tanquam generosus catulus circuiret cum propinquabat ferae, & quenque nominatim uocans hortaretur. Vidensq; Cyrum deridere alium, & alium sentiens laudare, ac nemini inuidere, plurimum gaudebat. Abijt domum Astyages bestias plurimas secum habens: caeterum uenatione est adeò tum delectatus, ut semper cum per ocium liceret, unà cum Cyro egrederetur, aliosq; quamplurimos pueros Cyri gratia assumeret. Cyrus igitur plurimum temporis ita egit, sese omnibus uoluptatis boniq; cuiusquam, nullius autem improbitatis autorem praestans. Cum uerò quintum sextumue ac decimum ageret aetatis annum, regis Assyriorum filius uxorem ducturus, cupiuit etiam ipse per idem temporis uenari. Audiens igitur in ijs locis, quae Assyrios Medosq; diriment, feras esse permultas, quoniam cessatum esset ab illarum uenatione propter bellum, cupiditate affectus est eò exeundi. Quò igitur tutius uenaretur, & equites pluris assumpsit & scutatos, qui feras expellerent ex asperioribus syluis in locos cultos atq; spaciosos. Sed posteaquam eò uenit, ubi ijs erant castella & statio, hic coenatus est, quò postridie uenaretur. Vbi uerò tempus uespertinum iam esset, aduenerunt ex urbe, qui priori stationi succederent & equites & pedites. Is igitur arbitratus est multum adesse exercitum, cum duae stationes simul essent, & secum ipse permultos adduxisset equites ac pedites: itaq; consilium cepit, optimum factu esse, ut praedam ageret ex Medorum solo, ita ratus et opus uenationis clarius uisum iri, & uictimarum copiam fore maximam. Manè igitur surgens ita agebat agmen. Pedites liquit frequētis intra fines: ipse uerò cum equitatu immittēs uersus Medorum castella, hic manebat, optimos secum habens atq; plures equites, ne praesidiarij Medorum milites possent aduersus palantes suos auxilium ferre. Ido/

καὶ λάβῃς αὐτὸν, τί αὐτῷ χρῇ; τί δ' ἢ ἄλλο, ἔφη, ἢ δήσας ἐργάζεσθαι ἀναγκάζειν. ἢν δὲ αὐτόματός σοι πάλιν ἐπέλθῃ, πῶς ποιεῖς; τί δὲ ἔφη, εἰ μὴ μαστιγώσας αὐτόν γε, ἵνα μὴ αὖθις τοῦτο ποιῇ, ἔπειτα ἐξ ἀρχῆς πάλιν αὐτῷ χρῶμαι. ὥρα ἂν, ἔφη ὁ Κῦρος, παρασκευάζεσθαί σοι εἴη, ὅτῳ μαστιγώσεις με, ὡς βουλεύομαί γε πῶς σε ἀποδρῶ, λαβὼν τοὺς ἐμοὺς ἡλικιώτας ἐπὶ θήραν. καὶ ὁ Ἀστυάγης, καλῶς ἔφη ἐποίησας προειπών. ἔνδοθεν γὰρ ἀπαγορεύω σοι μὴ κινεῖσθαι. χαρίεν, ἔφη, εἰ ἕνεκα κρεαδίων τῇ θυγατρὶ τὸν παῖδα ἀποβουκολήσαιμι. ἀκούσας ταῦτα ὁ Κῦρος, ἐπείθετο μὲν καὶ ἔμενεν. ἀνιαρὸς δὲ καὶ σκυθρωπὸς ὢν, σιωπῇ διῆγεν. ὁ μέντοι Ἀστυάγης, ἐπεὶ ἔγνω αὐτὸν λυπούμενον ἰσχυρῶς, βουλόμενος αὐτῷ χαρίζεσθαι, ἐξάγει ἐπὶ θήραν. καὶ πεζοὺς πολλοὺς καὶ ἱππέας συναλίσας, καὶ τοὺς παῖδας. καὶ συνελάσας εἰς τὰ ἱππάσιμα χωρία τὰ θηρία, ἐποίησε μεγάλην θήραν. καὶ βασιλικῶς δὴ αὐτὸς παρὼν, ἀπηγόρευε μηδένα βάλλειν, πρὶν Κῦρος ἐμπλησθείη βάλλων. ὁ δὲ Κῦρος οὐκ εἴα κωλύειν, ἀλλ' εἰ βούλει, ἔφη, ὦ πάππε, ἡδέως με θηρᾶν, ἄφες πάντας τοὺς κατ' ἐμὲ, διώκειν καὶ διαγωνίζεσθαι, ὅπως ἕκαστος τὰ κράτιστα δύναιτο. ἐνταῦθα δὴ ὁ Ἀστυάγης ἀφίησι. καὶ στὰς ἐθεᾶτο τοὺς ἁμιλλωμένους ἐπὶ τὰ θηρία καὶ φιλονεικοῦντας, καὶ διώκοντας καὶ ἀκοντίζοντας. καὶ Κύρῳ ἥδετο οὐ δυναμένῳ σιγᾶν ὑπὸ τῆς ἡδονῆς, ἀλλ' ὥσπερ σκύλακι γενναίῳ, ἀνακλάζοντι ὁπότε πλησιάζοι θηρίῳ, καὶ παρακαλοῦντι ὀνομαστὶ ἕκαστον. καὶ τοῦ μὲν, καταγελῶντα αὐτὸν ὁρῶν, ηὐφραίνετο. τὸν δέ τινα καὶ ἐπαινοῦντα αὐτὸν ἠσθάνετο, οὐδ' ὁπωστιοῦν φθονερῶς. τέλος δ' οὖν πολλὰ θηρία ἔχων ὁ Ἀστυάγης ἀπῄει. καὶ τολοιπὸν, οὕτως ἥσθη τῇ τότε θήρᾳ, ὥστε ἀεὶ, ὁπότε οἷόν τε εἴη, συνεξῄει τῷ Κύρῳ. καὶ ἄλλους τε πολλοὺς παρελάμβανε, καὶ τοὺς παῖδας Κύρου ἕνεκα. τὸν μὲν δὴ πλεῖστον χρόνον οὕτω διῆγεν ὁ Κῦρος, πᾶσιν ἡδονῆς μὲν καὶ ἀγαθοῦ τινος συναίτιος ὤν, κακοῦ δὲ οὐδενί. ἀμφὶ δὲ τὰ πέντε ἢ ἑκκαίδεκα ἔτη αὐτοῦ γενομένου, ὁ υἱὸς τοῦ τῶν Ἀσσυρίων βασιλέως γαμεῖν μέλλων, ἐπεθύμησεν αὐτὸς θηρᾶσαι εἰς τοῦτον τὸν χρόνον. ἀκούων οὖν ἐν τοῖς μεθορίοις τοῖς τε αὐτῶν καὶ τοῖς Μήδων πολλὰ θηρία εἶναι, ἅτε ἀθήρευτα ὄντα διὰ τὸν πόλεμον, ἐνταῦθα ἐπεθύμησεν ἐξελθεῖν. ὅπως οὖν ἀσφαλῶς θηρῴη, ἱππέας τε προσέλαβε πολλοὺς καὶ πελταστὰς, οἵτινες ἔμελλον αὐτῷ τὰ θηρία ἐξελᾶν εἰς τὰ ἐργάσιμά τε καὶ εὐήλατα. ἀφικόμενος δὲ ὅπου ἦν αὐτῷ τὰ φρούρια καὶ ἡ φυλακὴ, ἐνταῦθα ἐδειπνοποιεῖτο, ὡς πρωῒ τῇ ὑστεραίᾳ θηράσων. ἤδη δὲ ἑσπέρας γενομένης, ἡ διαδοχὴ τῇ πρόσθεν φυλακῇ, ἔρχεται ἐκ πόλεως καὶ πεζοὶ καὶ ἱππεῖς. ἔδοξεν οὖν αὐτῷ πολλὴ στρατιὰ παρεῖναι, δύο μὲν φυλακαὶ ὁμοῦ οὖσαι, πολλοὶ δὲ οὓς αὐτὸς ἔχων ἧκεν ἱππέας καὶ πεζούς. ἐβουλεύσατο οὖν κράτιστον εἶναι, λεηλατῆσαι ἐκ τῆς Μηδικῆς καὶ λαμπρότερόν τε ἂν φανῆναι τὸ ἔργον τῆς θήρας καὶ ἱερείων πολλὴν ἀφθονίαν ἐνόμιζε γενέσθαι. οὕτω δὴ πρωῒ ἀναστὰς, ἦγε τὸν στρατόν. καὶ τοὺς μὲν πεζοὺς κατέλειπε ἀθρόους ἐν τοῖς μεθορίοις, αὐτὸς δὲ τοῖς ἵπποις προσελάσας πρὸς τὰ τῶν Μήδων φρούρια, τοὺς μὲν βελτίστους καὶ πλείστους ἔχων μεθ' ἑαυτοῦ, ἐνταῦθα κατέμενεν, ὡς μὴ βοηθοῖεν οἱ φρουροὶ τῶν Μήδων ἐπὶ τοὺς καταθέοντας. τοὺς δὲ

τοὺς δ' αὖ ἐπιτηδείους ἀφῆκε ἐπὶ φυλάς, ἄλλους ἄλλοσε καταθεῖν. καὶ ἐκέλευε περιβαλλομένους ὅτῳ τις ἐντυγχάνοι, ἐλαύνειν πρὸς ἑαυτόν. οἱ μὲν δὴ ταῦτα ἔπραττον. σημανθέντων δὲ τῷ Ἀστυάγει, ὅτι πολέμιοί εἰσιν ἐν τῇ χώρᾳ, ἐκβοηθεῖ καὶ αὐτὸς πρὸς τὰ ὅρια σὺν τοῖς περὶ αὐτόν, καὶ ὁ υἱὸς αὐτοῦ ὡσαύτως σὺν τοῖς παρατυχοῦσιν ἱππόταις. καὶ τοῖς ἄλλοις δὲ ἐσήμαινε πᾶσιν ἐκβοηθεῖν. ὡς δὲ εἶδον πολλοὺς ἀνθρώπους τῶν Ἀσσυρίων συντεταγμένους, καὶ τοὺς ἱππέας ἡσυχίαν ἄγοντας, ἔστησαν καὶ οἱ Μῆδοι. ὁ δὲ Κῦρος ὁρῶν ἐκβοηθοῦντας καὶ τοὺς ἄλλους πανσυδί, ἐκβοηθεῖ καὶ αὐτός, πρῶτον τότε ὅπλα ἐνδύς, οὔποτε οἰόμενος, οὕτως ἐπεθύμει αὐτοῖς ἐξοπλίσασθαι. καὶ γὰρ μάλα καλὰ ἦν, καὶ εὖ ἁρμόττοντα αὐτῷ, ἃ ὁ πάππος περὶ τὸ σῶμα ἐπεποίητο. οὕτω δὴ ἐξοπλισάμενος προσήλασε τῷ ἵππῳ. καὶ ὁ Ἀστυάγης ἰδών, ἐθαύμασε μέν, τίνος κελεύσαντος ἥκοι. ὅμως δ' εἶπεν αὐτῷ μένειν παρ' ἑαυτόν. ὁ δὲ Κῦρος ὡς εἶδε πολλοὺς ἱππέας ἀντίους, ἤρετο. ἦ οὗτοι, ἔφη, ὦ πάππε, πολέμιοί εἰσιν, οἳ ἐφεστήκασι τοῖς ἵπποις ἠρέμα; πολέμιοι μέντοι, ἔφη. ἦ καὶ ἐκεῖνοι, ἔφη, οἱ ἐλαύνοντες; καὶ ἐκεῖνοι μέντοι. νὴ τὸν Δί', ἔφη, ὦ πάππε, ἀλλ' οὖν πονηροί γε φαινόμενοι καὶ ἐπὶ πονηρῶν ἱππαρίων, ἄγουσιν ἡμῶν τὰ χρήματα. οὐκοῦν χρὴ ἐλαύνειν τινὰς ἡμῶν ἐπ' αὐτούς. ἀλλ' οὐχ ὁρᾷς, ἔφη, ὦ παῖ, ὅσον τὸ στῖφος τῶν ἱππέων ἕστηκε συντεταγμένον; οἳ ἢν ἐπ' ἐκείνους ἡμεῖς ἐλαύνωμεν, ὑποτεμοῦνται πάλιν ἡμᾶς ἐκεῖνοι. ἡμῖν δὲ οὔπω ἰσχὺς πάρεστιν. ἀλλ' ἢν σὺ μένῃς, ἔφη ὁ Κῦρος, καὶ ἀναλαμβάνῃς τοὺς προσβοηθοῦντας, φοβήσονται οὗτοι, καὶ οὐ κινήσονται. οἱ δ' ἄγοντες ἀφήσουσιν εὐθὺς τὴν λείαν, ἐπειδὰν ἴδωσί τινας ἐπ' αὐτοὺς ἐλαύνοντας. ταῦτ' εἰπόντος, ἔδοξέ τι λέγειν τῷ Ἀστυάγει, καὶ ἅμα θαυμάζων, ὡς καὶ ἐφρόνει καὶ ἐγρηγόρει, κελεύει τὸν υἱὸν λαβόντα τάξιν ἱππέων ἐλάσαι ἐπὶ τοὺς ἄγοντας τὴν λείαν. ἐγὼ δέ, ἔφη, ἐπὶ τούσδε ἢν ἐπὶ σὲ κινῶνται ἐλῶ. ὥστε ἀναγκασθήσονται ἡμῖν προσέχειν τὸν νοῦν. οὕτω δὴ ὁ Κυαξάρης λαβὼν τῶν ἐρρωμένων ἱππέων τε καὶ ἀνδρῶν προσελαύνει, καὶ ὁ Κῦρος ὡς εἶδεν ὁρμωμένους, συνεξορμᾷ εὐθύς. καὶ αὐτὸς πρῶτος ἡγεῖτο ταχέως. καὶ Κυαξάρης μέντοι ἐφείπετο, καὶ οἱ ἄλλοι δὲ οὐκ ἀπελείποντο. ὡς δὲ εἶδον αὐτοὺς πελάζοντας οἱ λεηλατοῦντες, εὐθὺς ἀφέντες τὰ χρήματα ἔφυγον. οἱ δ' ἀμφὶ τὸν Κῦρον ὑπετέμνοντο, καὶ οὓς μὲν κατελάμβανον, εὐθὺς ἔπαιον. πρῶτος δὲ ὁ Κῦρος. ὅσοι δὲ παραλλάξαντες αὐτῶν ἔφθασαν, κατόπιν τούτους ἐδίωκον, καὶ οὐκ ἀνίεσαν, ἀλλ' ᾕρουν τινὰς αὐτῶν. ὥσπερ δὲ κύων γενναῖος ἄπειρος, ἀπρονοήτως φέρεται πρὸς κάπρον, οὕτω καὶ ὁ Κῦρος ἐφέρετο, μόνον ὁρῶν τὸ παίειν τὸν ἁλισκόμενον, ἄλλο δ' οὐδὲν προνοῶν. οἱ δὲ πολέμιοι ὡς ἑώρων πονοῦντας τοὺς σφετέρους, προυκίνησαν τὸ στῖφος, ὡς παυσομένους τοῦ διωγμοῦ, ἐπεὶ σφᾶς ἴδοιεν προορμήσαντας. ὁ δὲ Κῦρος οὐδὲν μᾶλλον ἀνίει, ἀλλ' ὑπὸ τῆς χαρμονῆς ἀνακαλῶν τὸν θεῖον, ἐδίωκε καὶ ἰσχυρὰν τὴν φυγὴν τοῖς πολεμίοις ἐποίει κατέχων. καὶ ὁ Κυαξάρης μέντοι ἐφείπετο, ἴσως μὲν καὶ αἰσχυνόμενος τὸν πατέρα. καὶ οἱ ἄλλοι δὲ εἵποντο, προθυμότεροι ὄντες ἐν τῷ τοιούτῳ εἰς τὸ διώκειν καὶ οἱ μὴ πάνυ πρὸς τοὺς ἐναντίους ἄλκιμοι ὄντες. ὁ δὲ Ἀστυάγης ὡς ἑώρα τοὺς μὲν ἀπρο-

νοήτως

Idoneos uerò dimisit per tribus, alios aliò discurrentis: iubebatq; ut facta præda, prout quis incideret, ad sese equitarent: & hi quidem hæc agebant. Sed ubi increbuisset apud Astyagen, in agro suo esse hostes, ipse cum suis auxilium tulit ad confinia: idemq; fecit filius simul cum præsenti equitatu, alijsq; omnibus ut ipsi quoque auxilio essent, significat. Vbi autem uidisset Assyrios magna hominum multitudine instructos, & equites quietem agere, steterunt etiam Medi. Cyrus uero intuitus totis uiribus alios auxilium ferre, ipse quoque auxiliator accedit, tum primum indutus arma, cum ne id quidem esset unquam suspicatus, usqueadeo armari ijs cupiebat. Ea enim arma quæ ab auo sunt facta, & perpulchra erant, & aptissima eius corpori. Ita ergo armatus equo adactus est. Quod uidens Astyages, non potuit non mirari cuius iussu uenisset, eiq; tamen dicebat, iuxta se ut maneret. At Cyrus cum uidisset multos aduersos equites, rogabat: Num hi aue, inquiens, hostes sunt, qui stant cum equis adeò quiete? Hostes, inquit Astyages. An etiam illi, ait, qui immittunt? Illi quoque, respondit. Papæ, Cyrus ait, ô aue: ueruntamen & aspectu inutiles, & super equuleos inutiles res nostras abigunt: itaque opus est, ut ex nostris aliqui aduersus eos immittantur. At non aspicis, inquit, ô fili, quantus equitum globus stat cum equis instructus? qui si aduersus illos non agamur, rursus nos intercludent. Neque adhuc nobis adsunt copiæ. Verum si tu manseris, inquit Cyrus, & auxilium ferentes exceperis, metuent hi, neque se mouebunt: qui autem prædam agunt, cum uiderint aliquos in se impetus facientes, eam dimittent. Visus est Cyrus Astyagi aliquid dicere, simulq; admiratus eius acrimoniamq; ingenij, iubet Cyaxari filio, ut accepta equitum manu in eos immittat, qui prædam agunt. Ego autem in hos ferar, si aduersus te moueantur. Itaque nos cogentur obseruare. Ita ergo Cyaxares acceptis equis, uirisq; robustissimis in hostes agitur: quos Cyrus moueri ut uidit, ipse etiam motus sese primus celeriter ducem præstitit: quem & Cyaxares sequebatur, & alij quoque. Eos autem propinquantis ut uidere, qui prædabantur, continuò dimissis rebus uertuntur in fugam. Cyri autem milites eos intercludentes, quoscunque assequerentur continuò feriebant, Cyrusq; in primis: eósque post terga pertinacius insequentes, quotquot dilapsi sunt, cepere nonnullos. Et quemadmodum generosus canis ob ruditatem temerè fertur aduersus aprum, ita etiam Cyrus ferebatur, nil aliud uidens quam captum percutere, atque aliud prouidens nihil. At hostes ut uidere suos laborantis, promouere globum, quò insequentis auerterent, cum eos intuerentur progredi. Cyrus autem nihilo remissior, quinimo auunculum præ gaudio cohortans insequebatur hostes, eósque acriter premens, uehementem fugam facere cogebat. Ac Cyaxares quidem sequebatur ob patris fortassis uerecundiam, atque alij quoque sequebantur. & erant ad fugandum hi tum etiam alacriores, quamuis essent hostibus non admodum pares uiribus. At Astyages ut uidit hos te-

merè

mere insequi, hostes autem frequenteis instructosque occurrere, filio atque Cyro metuens ne ipsi imparati in illos paratos incidentes quicquam aduersi paterentur, aduersus hostes continuo agebat exercitum. Sed illi rursus ut Medos uiderunt promoueri, intendentes alij tragulas, alij sagittas, constitere, perinde atque eos progredi prohibituri, cum ad iactum sagittæ uentum foret, ut sæpenumero facere consuerunt. Cum enim prope essent, hucusque se inuicem adoriebantur, ferentarijsq; persæpe ad uesperam usque certabant. Sed ubi uiderunt Assyrij & suos fuga recipere se ad exercitum, & Cyri milites ferri frequentis eduersus eos, & Astyagen cum equitibus iam adesse intra iactum sagittæ, inclinata acie uertuntur in fugam. Medi uero inde scilicet totis uiribus insequentes, permultos fecere captiuos: quosque caperent, & equos feriebant & uiros, cadentes uero interimebant. Nec stetere prius, quàm ad Assyriorum peditatum peruentum esset. Hic ueriti, ne insidiæ aliquæ subessent, substiterunt. Hinc igitur reductu exercitum Astyages, tum equestri lætus uictoria, tum Cyrum supra modum admirans, quem & eius operis autorem sciret, & audentia furentem nosset. Etenim cæteris abeuntibus domum, solus omnium ille tum aliud nihil quàm interemptos obequitans spectabat: ac uix eum qui huic rei præfecti erant abstrahentes, ad Astyagen adduxerunt: quos ille sibi ualde anteriores faciebat, quoniam aui faciem intueretur se in spectando turbatam. Hæc igitur gerebantur in Medis. Et cum alij omnes Cyrum habebant in ore, & oratione, & carminibus, tum Astyages quem antea honorabat, tum maximo stupore prosequebatur. At Cyri pater Cambyses his auditis lætabatur. Sed ubi accepisset iam res uiro dignas ab eo geri, illum ad se reuocauit, quo patria instituta discendo absolueret. Hic Cyrus dixisse traditur, sibi esse abeundum, ne quid pater moleste ferret, ac ciuitas uitio sibi daret. Itaque Astyagi uisum est necessarium, ut eum remitteret. Quare datis ei equis, quos ipsi capere libuisset, cum alio multo apparatu, ab se dimisit: idq; tum quia illum charissimum haberet, tum etiam quia magnam in eo spem reponeret, ut qui uir satis futurus esset qui & prodesset amicis, & malefaceret inimicis. Cyrum autem abeuntem omnes in equis deducebant, & pueri, & æquales, & uiri, & senes, & Astyages etiam ipse. Feruntque fuisse neminem, qui sine lachrymis conuerteretur. Et ipse etiam Cyrus dicitur multis cum lachrymis decessisse. Qui cum dona plurima distribuisset inter æquales, quibus donatus fuerat ab Astyage, dedissetq; ad postremum exutus stolam Medicam cuidam, hunc significans sibi esse charum & perincundum, ea illi cum accepissent, admisissentq;, detulerunt ad Astyagen. Quæ Astyages accepta rursus misit ad Cyrum. At ea Cyrus iterum misit ad Medos, dicens: O aue, si uis me rursus audacter ad te ire, sine hæc eos habere, quibus data ab me sunt. Quibus Astyages auditis, Cyri uoluntati est obsecutus. Quod si amatorij sermonis mentio est facunda, dicitur in Cyri abitione, cum

νοῦντας διώκοντας, τοὺς δὲ πολεμίους ἀθρόους τε καὶ τεταγμένους ἀπαντῶντας, δείσας περί τε τοῦ υἱοῦ καὶ τοῦ Κύρου, μὴ εἰς παρεσκευασμένους ἀτάκτως ἐμπεσόντες πάθοιέν τι, ἡγεῖτο εὐθὺς πρὸς τοὺς πολεμίους. οἱ δ' αὖ πολέμιοι, ὡς εἶδον τοὺς Μήδους προκινηθέντας, διατεινάμενοι οἱ μὲν τὰ παλτά, οἱ δὲ τὰ τόξα, ἕστησαν. ὡς δὴ ἐπειδὴ εἰς τόξευμά γε ἀφίκοιντο στησομένους, ὥσπερ τὰ πλεῖστα εἰώθασι ποιεῖν. μέχρι γὰρ τοσούτου, ὁπότε ἐγγύτατα γίγνοιντο, προσήλαυνον ἀλλήλοις, καὶ ἠκροβολίζοντο πολλάκις μέχρις ἑσπέρας. ἐπεὶ δὲ ἑώρων τοὺς μὲν σφετέρους, φυγῇ εἰς αὐτοὺς φερομένους, τοὺς δ' ἀμφὶ Κῦρον ὁμοῦ ἐπ' αὐτοὺς ἑπομένους, τὸν δὲ Ἀστυάγην σὺν τοῖς ἵπποις, ἐντὸς γιγνόμενον ἤδη τοξεύματος, ἐκκλίνουσι καὶ φεύγουσιν. οἱ δέ, ἅτε ὁμόθεν διώκοντες, ᾕρουν πολλοὺς ἀνὰ κράτος. τοὺς μὲν ἁλισκομένους, ἔπαιον καὶ ἵππους καὶ ἄνδρας. τοὺς δὲ πίπτοντας, ἔκαινον. καὶ οὐ πρόσθεν ἔστησαν, πρὶν ἢ πρὸς τοῖς πεζοῖς τῶν Ἀσσυρίων ἐγένοντο. ἐνταῦθα μέντοι δείσαντες μὴ καὶ ἐνέδρα τις μείζων ὑπείη, ἐπέσχον. ἐκ τούτου δὴ ἀνήγαγεν ὁ Ἀστυάγης, μάλα χαίρων τῇ ἱπποκρατίᾳ, καὶ τὸν Κῦρον οὐκ ἔχων λέγειν, ὅτι χρή. αἴτιον μὲν εἰδὼς ὄντα τοῦ ἔργου, μαινόμενον δὲ γιγνώσκων τῇ τόλμῃ. καὶ γὰρ τότε ἀπιόντων οἴκαδε τῶν ἄλλων, μόνος ἐκεῖνος οὐδὲν ἄλλο ἢ τοὺς πεπτωκότας περιελαύνων ἐθεᾶτο. καὶ μόλις αὐτὸν ἀφελκύσαντες οἱ ἐπὶ τοῦτο ταχθέντες, προσήγαγον τῷ Ἀστυάγει, μάλα ἐπίπροσθεν ποιούμενον τοὺς προσάγοντας, ὅτι ἑώρα τὸ πρόσωπον τοῦ πάππου, ἠγριωμένον ἐπὶ τῇ θέᾳ τῇ ἑαυτοῦ. ἐν μὲν δὴ Μήδοις ταῦτα ἐγεγένητο. καὶ οἵ τε ἄλλοι πάντες τὸν Κῦρον διὰ στόματος εἶχον, καὶ ἐν λόγῳ, καὶ ἐν ᾠδαῖς, ὅ, τε Ἀστυάγης καὶ πρόσθεν τιμῶν αὐτόν, τότε ὑπερεξεπέπληκτο ἐπ' αὐτῷ. Καμβύσης δὲ ὁ τοῦ Κύρου πατήρ, ἥδετο μὲν πυνθανόμενος ταῦτα. ἐπεὶ δ' ἤδη ἤκουσεν ἀνδρὸς ἤδη ἔργα διαπραττόμενον τὸν Κῦρον, ἀπεκάλει ὅπως τὰ ἐν Πέρσαις ἐπιχώρια ἀποτελοίη. καὶ τὸν Κῦρον δὲ ἐνταῦθα λέγεται εἰπεῖν, ὅτι ἀπιέναι βούλοιτο, μὴ ὁ πατήρ τι ἄχθοιτο, καὶ ἡ πόλις μέμφοιτο. τῷ οὖν Ἀστυάγει ἐδόκει ἀναγκαῖον εἶναι ἀποπέμπειν αὐτόν. ἔνθα δὴ ἵππους τε αὐτῷ δοὺς οὓς αὐτὸς ἐπεθύμει λαβεῖν, καὶ ἄλλα συσκευάσας παντοδαπά, ἀπέπεμπε, καὶ διὰ τὸ φιλεῖν αὐτόν, καὶ ἅμα ἐλπίδας μεγάλας ἔχων ἐν αὐτῷ, ἄνδρα ἔσεσθαι ἱκανόν, καὶ φίλους ὠφελεῖν, καὶ ἐχθροὺς ἀνιᾶν. ἀπιόντα δὲ τὸν Κῦρον, προύπεμπον ἅπαντες καὶ παῖδες καὶ ἥλικες καὶ ἄνδρες καὶ γέροντες ἐφ' ἵππων, καὶ Ἀστυάγης αὐτός. καὶ οὐδένα ἔφασαν ὅντιν' οὐ δακρύοντ' ἀποστρέφεσθαι. καὶ Κῦρον δὲ αὐτὸν σὺν πολλοῖς δακρύοις λέγεται ἀποχωρῆσαι. πολλὰ δὲ δῶρα διαδοῦναι αὐτόν φασι τοῖς ἡλικιώταις, ὧν Ἀστυάγης αὐτῷ ἐδεδώκει. τέλος δὲ καὶ ἣν εἶχε στολὴν Μηδικὴν ἐκδύντα, δοῦναί τινι, δηλοῦντα, ὅτι τοῦτον μάλιστα ἠσπάζετο. τοὺς μέντοι λαβόντας καὶ δεξαμένους τὰ δῶρα, λέγεται Ἀστυάγει ἀπενεγκεῖν. Ἀστυάγην δὲ δεξάμενον, Κύρῳ ἀποπέμψαι. τὸν δὲ πάλιν τε ἀποπέμψαι εἰς Μήδους καὶ εἰπεῖν, ὦ πάππε, εἰ βούλει με καὶ πάλιν ἰέναι ὡς σὲ μὴ αἰσχυνόμενον, ἔα ἔχειν εἴ τῳ τι ἐγὼ δέδωκα. Ἀστυάγην δὲ ταῦτα ἀκούσαντα, ποιῆσαι, ὥσπερ ὁ Κῦρος ἐπέστειλεν. εἰ δὲ δεῖ καὶ παιδικοῦ λόγου μνησθῆναι, λέγεται, ὅτε Κῦρος ἀπῄει, καὶ

ἀπολ

ἀπηλλάττοντο ἀπ' ἀλλήλων, τοὺς συγγενεῖς φιλοῦντας τὸν κῦρον τῷ στόματι, ἀποπέμπεσθαι αὐτὸν νόμῳ περσικῷ. καὶ γὰρ νῦν ἔτι τοῦτο ποιοῦσι πέρσαι. ἄνδρα δή τινα τῶν μήδων μάλα καλὸν κἀγαθὸν ὄντα ἐκπεπλῆχθαι πολλὺν δὴ χρόνον ἐπὶ τῷ κάλλει τοῦ κύρου. ἡνίκα δὲ ἑώρα τοὺς συγγενεῖς φιλοῦντας αὐτὸν, ὑπολειφθῆναι. ἐπεὶ δὲ οἱ ἄλλοι ἀπῆλθον, προσελθεῖν τῷ κύρῳ καὶ εἰπεῖν· ἐμὲ μόνον οὐ γινώσκεις, ὦ κῦρε, τῶν συγγενῶν; τί δὲ εἰπεῖν τὸν κῦρον, ἦ καὶ σὺ συγγενὴς εἶ; μάλιστα φάναι. ταῦτ' ἄρα εἰπεῖν τὸν κῦρον, καὶ ἐνεώρας μοι. πολλάκις γὰρ δοκῶ σε γιγνώσκειν τοῦτο ποιοῦντα. προσελθεῖν γάρ σοι ἀεὶ βουλόμενος, ἔφη, ναὶ τοὺς θεοὺς ᾐσχυνόμην. ἀλλ' οὐκ ἔδει φάναι τὸν κῦρον, συγγενῆ γε ὄντα. ἅμα δὲ προσελθόντα, φιλῆσαι αὐτόν. καὶ τὸν μῆδον φιληθέντα ἐρέσθαι, ἦ καὶ ἐν πέρσαις νόμος οὗτος, συγγενεῖς φιλεῖν; μάλιστα φάναι, ὅταν γε ἴδωσιν ἀλλήλους διὰ χρόνου, ἢ ἀπίωσί ποι ἀπ' ἀλλήλων. ὥρα ἂν, ἔφη, εἴη σοι ὁ μῆδος, πάλιν φιλεῖν ἐμέ. ἀπέρχομαι γὰρ ὡς ὁρᾷς ἤδη. καὶ τὸν κῦρον πάλιν φιλήσαντα, ἀποπέμπειν καὶ ἀπιέναι. καὶ ὁδόν τε οὔπω πολλὴν διεληλύθει αὐτοῖς, καὶ τὸν μῆδον ἥκειν πάλιν ἱδροῦντι τῷ ἵππῳ. καὶ τὸν κῦρον ἰδόντα, ἀλλ' ἦ φάναι ἐπελάθου τι ὧν ἐβούλου εἰπεῖν; οὐ μὰ δία φάναι, ἀλλ' ἥκω διὰ χρόνου. καὶ τὸν κῦρον εἰπεῖν· ναὶ δί', ὦ σύγγενες, δι' ὀλίγου γε. ποίου ὀλίγου εἰπεῖν τὸν μῆδον. οὐκ οἶσθα φάναι, ὦ κῦρε, ὅτι καὶ ὅσον σκαρδαμύττω χρόνον, πάνυ πολύς μοι δοκεῖ εἶναι, ὅτι οὐχ ὁρῶ σε τότε τοιοῦτον ὄντα; ἐνταῦθα δὴ τὸν κῦρον γελάσαι τε ἐκ τῶν πρόσθεν δακρύων, καὶ εἰπεῖν αὐτῷ, ἀπιόντα θαῤῥεῖν, ὅτι παρέσται αὐτοῖς ὀλίγου χρόνου ὥστε ὁρᾶν σοι ἔξεστι κἂν βούλῃ ἀσκαρδαμυκτεί. ὁ μὲν δὴ κῦρος οὕτως ἀπελθὼν εἰς πέρσας, ἐνιαυτὸν λέγεται ἔτι ἐν τοῖς παισὶ γενέσθαι. καὶ τὸ μὲν πρῶτον οἱ παῖδες ἔσκωπτον αὐτὸν ὡς ἡδυπαθεῖν μεμαθηκὼς ἐν μήδοις ἥκοι. ἐπεὶ δὲ καὶ ἐσθίοντα αὐτὸν ἑώρων ὥσπερ αὐτοὶ ἡδέως καὶ πίνοντα, καὶ εἴ ποτ' ἐν ἑορτῇ εὐωχία προσγένοιτ' ἂν ἐπιδιδόντα μᾶλλον αὐτὸν τοῦ ἑαυτοῦ μέρους ᾐσθάνοντο, ἢ προσδεόμενον. καὶ πρὸς τούτοις δὲ καὶ τἆλλα κρατιστεύοντα αὐτὸν ἑώρων περὶ ἅπαντα ἑαυτῶν. ἐνταῦθα δὴ πάλιν ὑπέπτησσον οἱ ἥλικες αὐτῷ. ἐπεὶ δὲ διελθὼν τὴν παιδείαν ταύτην ἤδη εἰσῆλθεν εἰς τοὺς ἐφήβους, ἐν τούτοις αὖ ἐδόκει κρατιστεύειν. καὶ μελετῶν ἃ χρὴ, καὶ καρτερῶν ἃ ἔδει, καὶ αἰδούμενος τοὺς πρεσβυτέρους, καὶ πειθόμενος τοῖς ἄρχουσι. προϊόντος δὲ τοῦ χρόνου, ὁ μὲν ἀστυάγης ἐν τοῖς μήδοις ἀποθνήσκει. ὁ δὲ κυαξάρης ὁ τοῦ ἀστυάγους παῖς, τῆς δὲ κύρου μητρὸς ἀδελφός, τὴν ἀρχὴν ἔλαβε τῶν μήδων. ὁ δὲ τῶν ἀσσυρίων βασιλεὺς, καταστρεψάμενος πάντας σύρους φῦλον οὐ μικρὸν, ὑπήκοον δὲ πεποιημένος τὸν ἀραβίων βασιλέα, ὑπηκόους δὲ ἔχων ἤδη καὶ ὑρκανίους. πολιορκῶν δὲ βακτρίους, ἐνόμιζεν εἰ τοὺς μήδους ἀσθενεῖς ποιήσειε, πάντων γε αὖ τῶν πέριξ ῥᾳδίως ἄρξειν. ἰσχυρότατον γὰρ τῶν ἐγγὺς τοῦτο φῦλον ἐδόκει εἶναι. οὕτω δὴ διαπέμπεται πρός τε τοὺς ὑφ' ἑαυτὸν πάντας, καὶ πρὸς κροῖσον τὸν λυδῶν βασιλέα, καὶ πρὸς τὸν καππαδοκῶν, καὶ πρὸς φρύγας ἀμφοτέρους, καὶ πρὸς κᾶρας καὶ παφλαγόνας, καὶ ἰνδοὺς δὲ καὶ πρὸς κίλικας. τὰ μὲν καὶ διαβάλλων πρὸς αὐτοὺς, μήδους καὶ πέρσας, λέγων ὡς μεγάλα τε εἴη ταῦτα ἔθνη καὶ ἰσχυρὰ, καὶ συνεστηκότα εἰς τὸ αὐτό, καὶ ἐπιγα-

cum se inuicem seiungerent, cognatos per osculum oris cum sese amisisse lege Persarum. Etenim hoc etiam tempore id faciunt Persæ. Medus autem quidam, qui & honestus ualde, & bonus uir esset, diu in stuporem adductus est ob Cyri formæ præstantiam. Hic cum uideret cognatos illum osculantes, ipse substitit. Vbi uerò alij abierunt, Cyrum adijt, atque ait: Me solum ex cognatis Cyre ignoras? Cui respondit Cyrus: Num etiam tu cognatus es? Maximè, inquit. Pro-
10 pterea, inquit Cyrus, me intueris? Nam sæpe mihi hoc facere uisus es. Adire enim te, inquit, cum usque uellem, per deos immortales me pudebat. At nullo, inquit Cyrus, te pudore teneri oportebat, cum esses necessarius: simulque adeuntem osculatus est. Et Medus post acceptum osculum quæsisse dicitur, num etiam inter Persas hæc esset consuetudo cognatos osculandi. Maximè, inquit, ubi aut post curriculum temporis se inuicem uideant, aut aliquò ab inuicem eant. Hora esset admodum, inquit Medus, oscu-
20 landi mei rursus. Iam enim ut aspicis, ita abeo. Et Cyrus cum osculatus ab se dimittit. Qui cum abisset, ac nondum multum peregisset itineris, iterum uenit sudanti equo. Et Cyrus hunc intuitus, Num, ait, eorum aliquid es oblitus, quæ dicere mihi uelles? Non equidem, respondit, sed ueni post curriculum temporis. Cui Cyrus inquit: At mediusfidius breue ô cognate. Quod breue, Medus respondit? An ignoras Cyre, quòd quantulum etiam temporis oculos moueo, mihi uidetur esse permultum, quòd tum te talem nō aspi-
30 cio? Atq; hic Cyrus ex prioribus lachrymis primum risit, & abeunti illi, Confide, inquit, nam post parum temporis uobis adero. Itaq; ubi si uolueris, aspicere me licebit uel fixis oculis. Cyrus igitur cum ita abisset in Persis traditur annum etiam egisse inter pueros, qui primum cauillis eum appetebant, tanquàm redisset edoctus in Medis uoluptuose uiuere. Sed ubi uiderent eum quemadmodum ipsos & comedentem suauiter & bibentem, & in festo die si quando epulatio fieret, de portione etiam sua alijs dantem potius quàm
40 quòd ipse egeret, eum sentirent: ad hæc alijs quoq; in rebus omnibus eundem sibi præstare cognoscerēt, hic rursus eum æquales uerebantur. Cum hanc uerò pueritiæ disciplinam absoluisset, & pubertatem iam esset ingressus, inter puberes item uisus est tenere principatum, tum ea exercens, quæ par foret, & tolerans quæ oporteret, & reuerentia utens in seniores, et magistratibus parens. Temporis autem progressu moritur in Medis Astyages, et Cyaxares Astyagis filius, fraterq; Mandanes regnum Medorū possidebat. At rex Assy-
50 riorum Syris omnibus subiugatis, natione sanè maxima, et Arabum rege in deditionē acto, ac subditis iam Hyrcanis, Bactrianisq; obsessis, cū arbitraretur, si Medos fecisset imbecillos, futurū ut finitimis omnibus facile imperaret, cum hæc natio uideretur finitimorū omnium ualidissima: quare mittit et ad subditos suos omnis, & ad regem Lydorū Crœsum, & ad regē Cappadocum, & ad Phrygas utrosq;, et ad Paphlagonas & Indos, et ad Caras et Cilicas, tum apud eos infamulans Medos ac Persas, tum etiam dicens hasce gentes & magnas esse, & ualidas, et ad idem cōsentientis, et

mutuis inter sese matrimonijs coniunctas, atque in unum conuenientis: periclitariq; nisi quis eos anteuertens debilitarit, ut singulas adorti nationes in seruitutem agant. Quare his uerbis alij persuasi, alij muneribus, ac pecunijs inducti, quibus ille plurimum abundabat, faciebant cum illo societatem. At Cyaxares Astyagis filius cum accepisset & insidias eorũ & apparatum aduersus sese, tum ipse continuo omnia parabat contra, quæ poterat, tum mittebat in Persas & ad rempublicam & ad Cambysen, qui & sororem haberet uxorem, & regnaret in Persis: mittebat etiam ad Cyrum, eum rogans, operam daret, ut si quos milites respublica Persarum in auxilium sibi mitteret, eorum ipse iret imperator. Iam enim Cyrus impletis annis decem inter puberes, erat in perfectæ ætatis uiris. Ita igitur cum rem Cyrus approbasset, seniores consultantes exercitus legunt eum imperatorem, qui mittebatur in Medos. Ad hæc ei dederunt, ut ducentos ex ijs legeret, qui ab honoris æqualitate homotimi uocantur: quibus item sigillatim dederunt electionem quaternorum uirorum, & horum quoq; homotimorum. Ac fuere hi quidem mille. quibus etiam singulatim cõstituerunt electionem ex populo Persarum denorum scutatorum, & funditorũ denorum, ac sagittariorum item denorum. Et ita fuere sagittarij decem millia, & scutati decem millia, & funditores quoq; decem millia. Præter hos autem erant ij mille homotimi. Tantus igitur exercitus Cyro datus est. Sed ubi electus est, celerrimè initium fecit primùm à dijs immortalibus, factaq; per id temporis litatione, legit ducentos illos: qui ubi etiam ipsi sigillatim quaternos legissent, eos cõuocauit, et hæc tum primùm in ijs ita loquutus est.

CONCIO CYRI.

Ego uos legi, uiri amicißimi, non propterea quòd nunc de uobis primum periculũ fecerim, sed quoniam uiderim ab usq; pueris, quæ ciuitas ad honestatẽ constituit, hisce uos alacriter operam dare: quæ autem ducit turpia, ab his omnino abstinere. quorum autẽ gratia & ipse non inuitus in hoc sum imperium constitutus, & uos rogaui, uolo hæc uobis non esse obscura. Cogitaui equidem maiores nostros nihilo fuisse nobis deteriores. Exercuerunt enim illi quoque assidue, quæ uirtutis ducuntur opera. Quod autem bonum uiri huiusmodi uel reipublicæ Persarum, uel sibiipsis addiderint, uidere id nequeo. Atqui NULLI uirtuti, ut mea fert opinio, ab hominibus datur opera, quò nihilo plus habeant uiri probi quàm improbi. SED ET HI qui à repentinis abstinent uoluptatibus, non id agunt, ut lætentur nunquam, sed ut per hanc continentiam multò maiore in posterum tempus lætitia afficiantur: & HI QUI DICENDO student cæteris antecellere, non hoc exercent, ut à bene dicendo nunquam cessent, sed quòd existimant hac orationis præstantia dum reddũt homines persuasos, fore, ut & multa & magna bona ipsi cõsequantur. Et itẽ hi qui hasce bellicas res exercẽt, non hoc laborãt ut à prælijs nunquã uacent, sed quia putant etiam hi si rerũ bellicarũ gloria excelluerint, futurum ut multas opes, multam felicitatem, maximosq; honores & sibi cõparent & reipub. Quòd si qui uersati bellicis in rebus prius quàm fructum

ἐπιγαμίας ἀλλήλοις πεποιημένοι εἶεν, καὶ συνιστάντες εἰς ἕν, καὶ κινδυνεύοιεν, εἰ μή τις αὐτοὺς φθάσας ἀσθενώσοι, ἐπὶ ἐν ἕκαστον τῶν ἐθνῶν ἰόντας καταστρέψασθαι. οἱ μὲν δὴ καὶ τοῖς λόγοις τούτοις πειθόμενοι, συμμαχίαν αὐτῷ ποιοῦνται. οἱ δὲ καὶ δώροις καὶ χρήμασιν ἀναπειθόμενοι. πολλὰ γὰρ καὶ ταῦτα ἦν αὐτῷ. Κυαξάρης δὲ ὁ τοῦ Ἀστυάγους παῖς, ἐπεὶ ᾐσθάνετο τήν τε ἐπιβουλὴν, καὶ τὴν παρασκευὴν αὐτῶν συνισταμένην ἐφ' ἑαυτὸν, αὐτός τε εὐθέως ὅσα ἐδύνατο παρεσκευάζετο. καὶ εἰς Πέρσας δὲ ἔπεμπε πρός τε τὸ κοινὸν, καὶ πρὸς Καμβύσην τὸν τὴν ἀδελφὴν ἔχοντα, καὶ βασιλεύοντα ἐν Πέρσαις. ἔπεμπε δὲ καὶ πρὸς Κῦρον, δεόμενος αὐτοῦ πειρᾶσθαι ἄρχοντα ἐλθεῖν τῶν ἀνδρῶν, εἴ τινας πέμποι στρατιώτας, τὸ Περσῶν κοινόν. ἤδη γὰρ καὶ ὁ Κῦρος διατετελεκὼς τὰ ἐν τοῖς ἐφήβοις δέκα ἔτη, ἐν τοῖς ἀνδράσιν ἦν. οὕτω δὴ δεξαμένου τοῦ Κύρου, οἱ βουλεύοντες γεραίτεροι, αἱροῦνται αὐτὸν ἄρχοντα τῆς εἰς Μήδους στρατιᾶς. ἔδοσαν δὲ αὐτῷ διακοσίους τῶν ὁμοτίμων προσελέσθαι. τῶν δ' αὖ διακοσίων ἑκάστῳ τέτταρας ἄνδρας ἐκ τῶν ὁμοίων ἔδοσαν προσελέσθαι. γίγνονται μὲν δὴ οὗτοι χίλιοι. τῶν δ' αὖ χιλίων τούτων ἔδωκαν προσελέσθαι ἑκάστῳ ἐκ τοῦ δήμου τῶν Περσῶν, δέκα μὲν πελταστὰς, δέκα δὲ σφενδονήτας, δέκα δὲ τοξότας. καὶ οὕτως ἐγένοντο μύριοι μὲν τοξόται, μύριοι δὲ πελτασταί, μύριοι δὲ σφενδονῆται. χωρὶς δὲ τούτων οἱ χίλιοι ὑπῆρχον. τοσαύτη μὲν δὴ στρατιὰ Κύρῳ ἐδόθη. ἐπεὶ δὲ ᾑρέθη τάχιστα, ἤρξατο μὲν πρῶτον ἀπὸ τῶν θεῶν. καλλιερησάμενος δὲ τότε προσῃρεῖτο τοὺς διακοσίους. ἐπεὶ δὲ προσείλοντο, καὶ οὗτοι δὴ τοὺς τέσσαρας ἕκαστοι, συνέλεξεν αὐτοὺς, καὶ ἔλεξεν ὁ Κῦρος ἐν αὐτοῖς τότε πρῶτον τάδε.

ΔΗΜΗΓΟΡΙΑ ΚΥΡΟΥ.

Ἄνδρες φίλοι, ἐγὼ προσειλόμην μὲν ὑμᾶς, οὐ νῦν πρῶτον δοκιμάσας, ἀλλ' ἐκ παίδων ὁρῶν ὑμᾶς, ἃ μὲν καλὰ ἡ πόλις νομίζει, προθύμως αὐτὰ ἐκπονοῦντας, ἃ δὲ αἰσχρὰ ἡγεῖται εἶναι, παντελῶς τούτων ἀπεχομένους. ὧν δὲ ἕνεκα αὐτός τε οὐκ ἄκων εἰς τόδε τὸ τέλος κατέστην, καὶ ὑμᾶς παρεκάλεσα, δηλῶσαι ὑμῖν βούλομαι. ἐγὼ γὰρ κατενόησα, ὅτι οἱ πρόγονοι οὐδὲν χείρους ἡμῶν ἐγένοντο. ἀσκοῦντες γοῦν κἀκεῖνα διετέλεσαν, ἅπερ ἔργα ἀρετῆς νομίζεται. ὅ,τι μέντοι προσεκτήσαντο τοιοῦτοι ὄντες, ἢ τῷ τῶν Περσῶν κοινῷ ἀγαθὸν, ἢ αὑτοῖς, τοῦτ' οὐκέτι δύναμαι κατιδεῖν. καίτοι ἔγωγε οἶμαι, οὐδεμίαν ἀρετὴν ἀσκεῖσθαι ὑπ' ἀνθρώπων, ὡς μηδὲν πλέον ἔχωσιν οἱ ἀγαθοὶ γενόμενοι τῶν πονηρῶν. ἀλλ' οἵ τε τῶν παραυτίκα ἡδονῶν ἀπεχόμενοι, οὐχ ἵνα μηδέποτε εὐφρανθῶσι τοῦτο πράττουσιν, ἀλλ' ὅπως διὰ ταύτην τὴν ἐγκράτειαν πολλαπλάσια εἰς τὸν ἔπειτα χρόνον εὐφραίνωνται, οὕτω παρασκευάζονται. οἵ τε λέγειν προθυμούμενοι δεινοὶ γενέσθαι, οὐχ ἵνα εὖ λέγοντες μηδέποτε παύσωνται τοῦτο μελετῶσιν, ἀλλ' ἐλπίζοντες τῷ λέγειν εὖ πείθοντες πολλοὺς ἀνθρώπους, μεγάλα ἀγαθὰ διαπράξεσθαι. οἵ τε αὖ τὰ πολέμια ἀσκοῦντες, οὐχ ὡς μαχούμενοι μηδέποτε παύσονται τοῦτ' ἐκπονοῦνται, ἀλλὰ νομίζοντες καὶ οὗτοι τὰ πολεμικὰ ἀγαθοὶ γενόμενοι, πολὺν μὲν ὄλβον, πολλὴν δὲ εὐδαιμονίαν, μεγάλας δὲ τιμὰς καὶ αὐτοῖς καὶ τῇ πόλει περιάψειν. εἰ δέ τινες ταῦτα ἐκπονήσαντες, πρίν τινα καρπὸν

καρπὸν ἀπ' αὐτῶν κομίσασθαι, περιιδεῖν αὐτοὺς γήρᾳ ἀδυνάτους γιγνομένους. ὅμοιοι δ' ἔμοιγε δοκοῦσι πεπονθέναι, οἷον εἴ τις γεωργὸς ἀγαθὸς προθυμηθεὶς γενέσθαι, καὶ εὖ σπείρων καὶ εὖ φυτεύων, ὁπότε αὐτῷ καρποῦσθαι ταῦτα δέοι, ἐῴη τὸν καρπὸν ἀσυγκόμιστον, εἰς τὴν γῆν πάλιν καταρρεῖν. καὶ εἴ τις ἀθλητὴς πολλὰ πονήσας, καὶ ἀξιόνικος γενόμενος, ἀναγώνιστος διατελέσειεν, οὐδ' ἂν οὗτος ἔμοιγε δοκεῖ δικαίως ἀναίτιος εἶναι ἀφροσύνης. ἀλλ' ἡμεῖς, ὦ ἄνδρες, μὴ πάθωμεν ταῦτα. ἀλλ' ἐπείπερ σύνισμεν ἡμῖν αὐτοῖς ἀπὸ παίδων ἀρξάμενοι ἀσκηταὶ ὄντες τῶν καλῶν καὶ τῶν ἀγαθῶν ἔργων, ἴωμεν ἐπὶ τοὺς πολεμίους, οὓς ἐγὼ σαφῶς ἐπίσταμαι αὐτὸς ἰδὼν, ἰδιώτας ὄντας, ὡς πρὸς ὑμᾶς ἀγωνίζεσθαι. οὐ γάρ πω οὗτοι ἱκανοί εἰσιν ἀγωνισταὶ, οἳ ἂν τοξεύωσιν ἢ ἀκοντίζωσιν, ἢ ἱππεύωσιν ἐπιστημόνως. ἢν δέ που πονῆσαι δέῃ, τούτῳ λείπωνται. ἀλλ' οὗτοι ἰδιῶταί εἰσι κατὰ τοὺς πόνους. οὐδέ γε οἵτινες ἀγρυπνῆσαι δέον ἡττῶνται τούτου. ἀλλὰ καὶ οὗτοι ἰδιῶταί εἰσι κατὰ τὸν ὕπνον. οὐδέ γε οἱ ταῦτα μὲν ἱκανοὶ, ἀπαίδευτοι δὲ ὡς χρὴ καὶ συμμάχοις καὶ πολεμίοις χρῆσθαι. ἀλλὰ καὶ οὗτοι δῆλον, ὅτι τῶν μεγίστων παιδευμάτων ἀπείρως ἔχουσιν. ὑμεῖς δὲ νυκτὶ μὲν δήπου ὅσαπερ οἱ ἄλλοι ἡμέρᾳ δύναισθε χρῆσθαι. πόνους δὲ τοῦ ζῆν ἡδέως ἡγεμόνας νομίζετε. λιμῷ δὲ ὅσαπερ ὄψῳ διαχρῆσθε. ὑδροποσίαν δὲ ῥᾷον τῶν λεόντων φέρετε. κάλλιστον δὲ πάντων καὶ πολιτικώτατον τὸ κτῆμα εἰς τὰς ψυχὰς συγκεκόμισθε. ἐπαινούμενοι γὰρ μᾶλλον ἢ τοῖς ἄλλοις ἅπασι χαίρετε. τοὺς δὲ ἐπαίνου ἐραστὰς, ἀνάγκη ἐπὶ τούτῳ πάντα μὲν πόνον, πάντα δὲ κίνδυνον, ἡδέως ὑποδύεσθαι. εἰ δὲ ταῦτα ἐγὼ λέγω περὶ ὑμῶν ἄλλως γινώσκων, ἐμαυτὸν ἐξαπατῶ. ὅτι γὰρ μὴ τοιοῦτον ἀποβήσεται παρ' ὑμῶν, εἰς ἐμὲ τὸ ἐλλεῖπον ἥξει. ἀλλὰ πιστεύω τοι τῇ πείρᾳ, καὶ τῇ ὑμῶν εἰς ἐμὲ εὐνοίᾳ, καὶ τῇ τῶν πολεμίων ἀνοίᾳ, μὴ ψεύσειν με ταύτας τὰς ἀγαθὰς ἐλπίδας, ἀλλὰ θαρροῦντες ὁρμώμεθα. ἐπειδὴ καὶ ἐκποδὼν ἡμῖν γεγένηται, τὸ δοκεῖν τῶν ἀλλοτρίων ἀδίκως ἐφίεσθαι. νῦν γὰρ ἔρχονται μὲν οἱ πολέμιοι ἄρχοντες ἀδίκων χειρῶν. καλοῦσι δὲ ἡμᾶς οἱ φίλοι ἐπικούρους. τί οὖν ἐστιν ἢ τοῦ ἀλέξασθαι δικαιότερον, ἢ τοῦ τοῖς φίλοις ἀρήγειν κάλλιον; ἀλλὰ μὴν διὰ τοῦτο ὑμᾶς οὐχ ἥκιστα οἶμαι θαρρεῖν, τὸ μὴ παρημεληκότα με τὰ τῶν θεῶν τὴν ἔξοδον ποιεῖσθαι. πολλὰ γάρ μοι συνόντες ἐπίστασθε, οὐ μόνον τὰ μεγάλα, ἀλλὰ τὸ καὶ τὰ μικρὰ πειρώμενον ἀπὸ θεῶν ὁρμᾶσθαι ἀεί. τέλος, ἔφη, τί δεῖ λέγειν ἔτι; ἀλλ' ὑμεῖς μὲν τοὺς ἄνδρας ἑλόμενοι, καὶ ἀναλαβόντες, καὶ τἄλλα παρασκευασάμενοι, ἴτε εἰς Μήδους. ἐγὼ δ' ἐπανελθὼν πρὸς τὸν πατέρα, πρόειμι δὴ ὅπως τὰ τῶν πολεμίων ὡς τάχιστα μαθὼν οἷά ἐστι, παρασκευάσω ὑμῖν ὅ, τι ἂν δέωμαι, ὅπως ὡς κάλλιστα σὺν θεῷ ἀγωνιζοίμεθα. οἱ μὲν δὴ ταῦτα ἔπραττον. Κῦρος δὲ ἐλθὼν οἴκαδε, καὶ προσευξάμενος Ἑστίᾳ πατρῴᾳ, καὶ Διὶ πατρῴῳ, καὶ τοῖς ἄλλοις θεοῖς, ὡρμᾶτο ἐπὶ τὴν στρατείαν. συμπρούπεμπε δὲ αὐτὸν καὶ ὁ πατήρ. ἐπεὶ δὲ ἔξω τῆς οἰκίας ἐγένοντο, λέγονται ἀστραπαὶ καὶ βρονταὶ αὐτῷ αἴσιοι γενέσθαι. τούτων δὲ φανέντων, οὐδὲν ἔτι οἰωνιζόμενοι ἐπορεύοντο, ὡς οὐδὲν ἂν ἄλλο λύσαντα τὰ τοῦ μεγίστου θεοῦ σημεῖα. προϊόντι δὲ τῷ Κύρῳ ὁ πατὴρ ἤρχετο λόγου τοιοῦδε. ὅτι μὲν ὦ παῖ, θεοί ἵλεῴ τε καὶ εὐμενεῖς πέμπουσι, καὶ ἐν ἱεροῖς δῆλον,

fructũ ab his quenquã susceperint, senectute redditos
se uideant imbecillos, simile hi mihi uidentur pati, ue-
luti si quis bonus agricola esse studuerit & bene se-
rendo & bene inserendo, cum de his fructus capiun-
dus est, eum non conueheat, sed sinat rursum humi de-
fluere. Ac si quis in ludo permultũ sese laborem exer
cuerit, et dignus uictoria defecerit ad calcem, neq; hic
uidetur mihi nõ esse iure dementiae accusandus. At ne
utri amicissimi haec nos patiamur, cauendum est. Sed
10 quoniã conscij nobis sumus, quod ab usq; pueris reb.
honestis bonisq; studuimus, eamus aduersus hostes.
quos ego certo scio, quoad nos, rudis esse imperitosq;
bellandi ac planè inutilis. Nec enim hi satis queant
nobiscũ descendere in certamẽ, qui etsi sagittandi sunt
& iaculandi equitãdiq; periti, ibi tamẽ relaxẽtur, ubi
laborandũ fuerit, quippe qui labores ferre non possũt.
Neq; hi, qui uigilandũ cum sit, uigilare nequeunt, sed
sunt ob ignauiam somno inferiores. Nec item hi, qui
quãuis haec praestare possent, tamen quoniã neq; ami-
20 cis, neq; hostibus uti nouerũt, magnarũ disciplinarum
non obscure indocti sunt. At uos aeque nocte possitis
atq; alij uti die: LABORES uerò iucundae uitae duces
existimatis: famem habetis pro obsonio: aquae potũ fer
tis facilius quam leones. Et quam omniũ pulcherrimã
maximeq; ciuilem possessionẽ in animos importastis,
laude magis quàm alijs rebus omnibus gaudetis. AT
LAVDIS amatores coguntur huiusce rei gratia ea
sibi comparare, quorũ causa laudentur, ob eamq; rem
omnem laborem, omne periculum quamlibentissime
30 subire. Quod si haec de uobis loquens aliter sentio, me
ipsum fallo. Nam quod minus huiusmodi per uos eue-
niet, aduersus me erratum uenturum sit. Verùm tum
ob peritiam atq; beneuolentiam in me uestram, tum
ob hostium inscitiam credo fore, ut me hae spes opti-
mae haud falsum habeant. Itaq; bona cum fiducia iter
capiamus, quoniam liquido iam patet nequaquã nos
per iniuriam appetere aliena. Nunc enim hostes ue-
niunt autores inferendae iniuriae. Nos uerò amici in au
xilium uocant. QVID IGITVR est aut iustius quã
40 propulsare iniuriam, aut pulchrius quàm amicis suc-
currere? Atqui uos illius etiam rei gratia fidere opi-
nor, quòd haud ad bellum egrediar per neglectum re
rum diuinarũ. Nam qui de me plura cognoscitis, illud
minime ignoratis, me non solum in magnis rebus, sed
etiam in paruis semper à dijs immortalibus initiũ face
re. Ad postremũ inquit: Quid est amplius dicendum?
Lectis uos assumptisq; uiris fortissimis, paratisq; reb.
alijs, ite in Medos. Ego autẽ reuersus ad patrem iandu-
dum adero, quò res hostilis quãcelerrime edoctus, ea
50 parẽ omnia quae usui sunt ut quãoptime cũ diuina ope
belligeremus. Et hi quidẽ haec gerebant. Cyrus autẽ do
mũ reuersus, precatusq; Vestam patriã, atq; Iouẽ patri
um aliosq; deos, pergebat ad exercitum, eumq; pater
una deducebat. Sed postea quã aedis egressi sunt, dicun
tur fulgura et atq; tonitrua dextera esse facta. Quae u-
bi apparuissẽt, nullo praeterea utetes alio augurio iter
faciebant, quod signa dei optimi maximi neminẽ latẽ
rẽt. Procedenti aũt Cyro, pater huiusmodi sermonẽ fa-
cere est aggressus: O fili mihi charissime, quòd dij im-
mortales te mittunt propitij, ac mites, & in sacrificijs

Quid efficiat laudis studium.

manifestum est, & in signis cœlestibus, id quod ipse etiam nosti. Nam rerum harum ego tibi doctrinam de industria tradidi, quo non alijs interpretibus mentes deorum calleres, sed ipse cognosceres & uidens & audiens, quæ uidenda audiendaq; sunt. Ne augures petas, si uelint te decipere, dicentes alia quàm dij ipsi significent: neque rursus ubi careas augure ambigas, quid tibi diuinis signis portendatur, sed cognoscens per diuinationem deorum consulta, ipsis obtemperes. Atque Cyrus inquit: O pater, quando dij non aduersi consulere nobis uelint, pro uiribus diligentiam adhibebo, ut mones. Memini enim ex te olim audisse, itidem à dijs illum magis exorare, quod uelit, quemadmodum etiam ab hominibus, qui non cum in difficultatibus fuerit, tum assentetur, sed quum rebus secundis utitur, tum reminiscatur deorum: & amicorum dicebas eandem habendam esse diligentiam. Propterea, inquit, o fili, ob illos cultus libentius uenis deos rogaturus ita affectos, sperásque futurum ut magis quæcunque rogaueris, consequare, quòd tibi conscius sis nunquam eorum cultui defuisse. Valde, inquit o pater, ita sum affectus in deos, ut in amicissimos mihi. Quid enim, fili, Cambyses inquit, meministine illa, quæ nobis olim uidebantur, feliciores esse homines si didicere quæ dij dederint, quàm si eorum fuerint inscij: & si operantur, efficere magis, quam si fuerint ociosi: & si diligentiam adhibuerint, quàm si horum fuerint negligentes, degere posse securius? Qui ergo tales se præstarent, quales par est, ita nobis uidebatur bona ijs petenda esse à dijs immortalibus. Ita, inquit Cyrus, memini equidem hæc abs te audisse. Etenim necessariò parendum est orationi tuæ. Nam noui te dicere semper solitum, haud fas esse à dijs petere, neque uictoriam eos equestri pugna, qui equitare non didicissent: neque sagittæ ignaros, superare illos sagittando, qui huiusmodi peritiam callent: neque gubernandi imperitos optare nauium salutem gubernando: neque eos, qui frumentum non seuerint, sibi precari triticum pulcherrimum nasci: neque salutem petere, qui sibi in bello non cauerint: huiusmodi enim omnia esse præter diuina instituta. Sed QVI OPTANT NEFASTA, dicebas consentaneum esse hos æquè à dijs optata non consequi, atque ab hominibus non adipisci, quæ illicita rogant. Sed illorum es ne oblitus, cum ego ac tu commentaremur, sufficiens uiri opus atque pulchrum esse, si curare quis queat, ut & ipse honestus ac bonus omnino sit, resq; ad uictum necessarias, tum ipse, tum famuli habeant abunde: & cum magnum hoc opus esset, ita etiam scire alijs præesse hominibus, ut habituri sint omneis res necessarias affatim, & ut futuri sint omnes, quales oportet, hoc nobis mirabile sanè uidebatur. Ita me diusfidius, ô pater, memini hoc dixisse te: itaque mihi quoque uidebatur opus esse maximum pulchrè imperare, ac nunc eadem mihi uidentur, cum ipsum imperandi munus mecum ipse considero. Equidem cum ad alios homines oculos conuertens animo uoluto, quales sunt qui principatum obtineant, & quales hi qui

δῆλον, καὶ ἐν οὐρανίοις σημείοις, γιγνώσκεις καὶ αὐτός. ἐγὼ γάρ σε ταῦτα ἐπίτηδες ἐδιδαξάμην. ὅπως μὴ δι' ἄλλων ἑρμηνέων, τὰς τῶν θεῶν συμβουλὰς συνιείης. ἀλλὰ αὐτὸς καὶ ὁρῶν τὰ ὁρατὰ, καὶ ἀκούων τὰ ἀκουστὰ γιγνώσκῃς. καὶ μὴ ἐπὶ μάντεσιν εἴης, οἳ εἰ βούλοιντό σε ἀπατᾶν, ἕτερα λέγοντες, ἢ τὰ παρὰ τῶν θεῶν σημαινόμενα. μηδ' αὖ εἴ ποτε ἄρα ἄνευ μάντεως γένοιο, ἀποροῖς θείοις σημείοις ὅτι χρῷο. ἀλλὰ διὰ τῆς μαντικῆς γιγνώσκων τὰ παρὰ τῶν θεῶν συμβουλευόμενα, τούτοις πείθοιο. καὶ μὲν δὴ, ἔφη, ὦ πάτερ, ὁ Κῦρος, ὅπως γ' ἂν ἵλεῳ οἱ θεοὶ ὄντες ἡμῖν συμβουλεύειν ἐθέλωσιν, ὅσον δύναμαι κατὰ τὸν σὸν λόγον διατελέσω ἐπιμελούμενος. μέμνημαι γὰρ ἀκούσας ποτέ σου, ὅτι εἰκότως ἂν καὶ παρὰ τῶν θεῶν πρακτικώτερος εἴη, ὥσπερ καὶ παρὰ ἀνθρώπων, ὅστις μὴ ὁπότε ἐν ἀπόροις εἴη, τότε κολακεύοι. ἀλλ' ὅτε ἄριστα πράττοι, τότε μάλιστα τῶν θεῶν μεμνῇτο. καὶ τῶν φίλων δὲ, ἔφησθα, χρῆναι ὡσαύτως ἐπιμελεῖσθαι. οὐκοῦν νῦν, ἔφη ὦ παῖ, δι' ἐκείνας τὰς ἐπιμελείας, ἥδιον μὲν ἔρχῃ πρὸς τοὺς θεοὺς ὄντας οὕτω διακείμενος. ἐλπίζεις δὲ μᾶλλον τεύξεσθαι ὧν ἂν δέῃ, ὅτι συνειδέναι σαυτῷ δοκεῖς, οὐπώποτ' ἀμελήσας αὐτῶν. πάνυ μὲν οὖν, ἔφη, ὦ πάτερ, ὡς πρὸς φίλους μοι τοὺς θεοὺς ὄντας, οὕτω διάκειμαι. τί γὰρ, ἔφη ὦ παῖ, ἐκεῖνα μέμνησαι, ἅ ποτε ἐδόκει ἡμῖν. ὅπερ γὰρ δή που δεδώκασιν οἱ θεοὶ μαθόντας ἀνθρώπους καὶ ἐργαζομένους μᾶλλον ἀνύειν, ἢ ἀργοὺς ὄντας. καὶ ἐπιμελουμένους ἀσφαλέστερον γ' ἂν διάγειν, ἢ ἀφυλακτοῦντας τούτων, παρέχοντας ἑαυτοὺς οἵους δεῖ; οὕτως ἡμῖν ἐδόκει καὶ αἰτεῖσθαι τἀγαθὰ τὰ παρὰ τῶν θεῶν. ναὶ μὰ Δία, ἔφη ὁ Κῦρος, μέμνημαι μέν τοι ταῦτα ἀκούσας σου. καὶ γὰρ ἀνάγκη ἦν, πείθεσθαι τῷ λόγῳ τούτῳ. καὶ οἶδά σε ἐπιτιθέντα αὐτῷ, ὡς οὐδὲ θέμις εἴη αἰτεῖσθαι παρὰ τῶν θεῶν, οὔτε ἱππεύειν μὴ μαθόντας ἱππομαχοῦντας νικᾶν, οὔτε μὴ ἐπισταμένους τοξεύειν, τοξεύοντας κρατεῖν τῶν ἐπισταμένων τοξεύειν. οὔτε μὴ ἐπισταμένους κυβερνᾶν, σῴζειν εὔχεσθαι ναῦς κυβερνῶντας. οὐδὲ μὴ σπείροντάς γε σῖτον, εὔχεσθαι καλὸν αὐτοῖς σῖτον φύεσθαι. οὐδὲ μὴ φυλαττομένους γε ἐν πολέμῳ, σωτηρίαν αἰτεῖσθαι. παρὰ γὰρ τοὺς τῶν θεῶν θεσμοὺς πάντα τὰ τοιαῦτα εἶναι. τοὺς δὲ ἀθέμιστα εὐχομένους, ὁμοίως ἔφησθα εἰκὸς εἶναι παρὰ θεῶν ἀτυχεῖν, ὥσπερ καὶ παρὰ ἀνθρώπων ἀπρακτεῖν, τοὺς παράνομα δεομένους. ἐκείνων δὲ, ἔφη, ὦ παῖ, ἐπελάθου, ἅ ποτε ἐγὼ καὶ σὺ ἐλογιζόμεθα, ὡς ἱκανὸν εἴη καὶ καλὸν ἀνδρὶ ἔργον, εἴ τις δύναιτο ἐπιμεληθῆναι, ὅπως αὐτός τε καλὸς κἀγαθὸς δοκίμως γένοιτο, καὶ τὰ ἐπιτήδεια, ὅπως αὐτός τε καὶ οἱ οἰκέται ἱκανῶς ἔχοιεν. τὸ δὲ τούτου μεγάλου ἔργου οὕτως ὄντος ἐπίστασθαι, ἀνθρώπων ἄλλων προστατεύειν, ὅπως ἕξουσιν ἅπαντα τὰ ἐπιτήδεια ἔκπλεω, καὶ ὅπως ἔσονται πάντες οἵους δεῖ, τοῦτο θαυμαστὸν δή που ἐφαίνετο ἡμῖν εἶναι. ναὶ μὰ Δί', ἔφη, ὦ πάτερ, μέμνημαι καὶ τοῦτό σου λέγοντος. συνεδόκει οὖν καὶ ἐμοὶ, ὑπερμέγεθες εἶναι ἔργον τὸ καλῶς ἄρχειν. καὶ νῦν γ', ἔφη, ταὐτά μοι δοκεῖ ταῦτα, ὅταν πρὸς αὐτὸ τὸ ἄρχειν σκοπῶν λογίζωμαι. ὅταν μέν τοι γε πρὸς ἄλλους ἀνθρώπους ἰδὼν κατανοήσω, οἷοί τε ὄντες διαγίγνονται ἄρχοντες, καὶ οἷοι ὄντες ἀνταγω-

ἀνταγωνισταὶ ἡμῶν ἔσονται, πάνυ μοι δοκεῖ αἰσχρὸν εἶναι,
τοιούτους αὐτοὺς ὄντας ὑποπτῆξαι, καὶ μὴ ἐθέλειν ἰέναι
τοῖς ἀνταγωνιουμένοις. σὺ δ', ἔφη, ἐγὼ αἰσθάνομαι ἀρξά-
μενος ἀπὸ τῶν ἡμετέρων φίλων τούτων, ὡς ἡγουμένους δεῖν
τὸν ἄρχοντα τῶν ἀρχομένων διαφέρειν, τῷ πολυτε-
λέστερον δειπνεῖν, καὶ πλέον ἔνδον ἔχειν χρυσίον, καὶ
πλείονα χρόνον καθεύδειν, καὶ πάντα ἀπονώτερον τῶν ἀρ-
χομένων διάγειν. ἐγὼ δὲ οἶμαι, ἔφη, τὸν ἄρχοντα οὐ τῷ
ῥᾳδιουργεῖν χρῆναι διαφέρειν τῶν ἀρχομένων, ἀλλὰ
τῷ προνοεῖν τε καὶ φιλοπονεῖν προθυμούμενον. ἀλλά τοι
ἔφη, ὦ παῖ, ἔνια ἔστιν, ἃ οὐ πρὸς ἀνθρώπους ἀγωνιστέον,
ἀλλὰ πρὸς αὐτὰ τὰ πράγματα, ὧν οὐ ῥᾴδιον εὐπόρως
περιγενέσθαι. αὐτίκα δή που οἶσθα, ἔφη, ὅτι εἰ μὴ ἕξει ἡ
στρατιὰ τὰ ἐπιτήδεια, καταλύσεταί σου εὐθὺς ἡ ἀρχή.
οὐκοῦν ταῦτα μὲν, ἔφη, ὦ πάτερ, Κυαξάρης φησὶ πα-
ρέξειν, τοῖς ἐντεῦθεν πᾶσιν ἰοῦσιν, ὁπόσοι ἂν ὦσι. τού-
τοις δὲ, ἔφη, ὦ παῖ, σὺ πιστεύων ἔρχῃ, τοῖς παρὰ Κυαξά-
ρου χρήμασιν; ἔγωγε, ἔφη ὁ Κῦρος. τί δὲ, ἔφη, οἶσθα ὁπό-
σα αὐτῷ ἐστι; μὰ τὸν Δία, ἔφη ὁ Κῦρος, οὐ μὲν δή. ὅμως
δὲ τούτοις πιστεύεις τοῖς ἀδήλοις; ὅτι δὲ πολλῶν μέν
σοι δεήσει, πολλὰ δὲ καὶ ἄλλα νῦν ἀνάγκη δαπανᾶν,
ἐκεῖνο οὐ γιγνώσκεις; γιγνώσκω, ἔφη ὁ Κῦρος. ἐὰν οὖν
ἔφη, ἐπιλίπῃ αὐτὸν ἡ δαπάνη, ἢ καὶ ἑκὼν ψεύσηται,
πῶς σοι ἕξει τὰ τῆς στρατιᾶς; οὐ καλῶς δηλονότι. ἀτὰρ ὦ
πάτερ, ἔφη, σὺ εἰ ὁρᾷς τινὰ πόρον καὶ ἀπ' ἐμοῦ ἂν προσ-
γενόμενον, ἕως ἔτι ἐν φιλίᾳ ἐσμὲν, λέγε. ἐρωτᾷς, ἔφη,
ὦ παῖ, εἴ τις ἂν ἀπὸ σοῦ πόρος προσγένοιτο; ἀπὸ
τίνος δὲ μᾶλλον εἰκός ἐστι πόρον προσγενέσθαι, ἢ ἀπὸ τοῦ
δύναμιν ἔχοντος; σὺ δὲ πεζὴν μὲν δύναμιν ἔχων ἐν-
θένδε ἔρχῃ, ἀνθ' ἧς εὖ οἶδ', ὅτι πολλαπλασίαν ἄλλην
οὐκ ἂν δέξαιο. ἱππικὸν δέ σοι, ὅπερ κράτιστον, τὸ Μή-
δων σύμμαχον ἔσται. ποῖον οὖν ἔθνος τῶν πέριξ οὐ δοκεῖς καὶ
χαρίζεσθαι βουλόμενον ὑμῖν ὑπηρετήσειν, καὶ φοβούμενον, μή
τι πάθῃ. ἃ χρή σε κοινῇ σὺν Κυαξάρῃ σκοπεῖσθαι, μή ποτε
ἐπιλίπῃ τι ὑμᾶς ὧν δεῖ ὑπάρχειν. καὶ ἔθους δὲ ἕνεκα μη-
χανᾶσθαι πρόσοδον πόρον. τόδε δὲ μάλιστα πάντων μέμνη-
σό μοι, μηδέποτε ἀναμένειν τὸ πορίζεσθαι τὰ ἐπιτήδεια,
ἔστ' ἂν ἡ χρεία σε ἀναγκάσῃ. ἀλλ' ὅταν μάλιστα εὐπορῇς,
τότε πρὸ τῆς ἀπορίας μᾶλλον μηχανῶ. καὶ γὰρ τεύξῃ μᾶλ-
λον παρ' ὧν ἂν δέῃ, μὴ ἀπορεῖν δοκῶν, καὶ ἔτι ἀναίτιος ἔσῃ
παρὰ τοῖς σαυτοῦ στρατιώταις. ἐκ τούτου δὲ μᾶλλον καὶ ὑπὸ τῶν
ἄλλων αἰδοῦς τεύξῃ. καὶ ἤν τινας βούλῃ, τῇ δυνάμει εὖ
ποιῆσαι, ἢ κακῶς, μᾶλλον ἕως ἂν ἔχωσι τὰ δέοντα οἱ στρα-
τιῶται, ὑπηρετήσουσί σοι. καὶ πιστικωτέρους σάφ' ἴσθι λό-
γους δυνήσῃ τότε λέγειν, ὅταν περ καὶ ἐνδείκνυσθαι μάλι-
στα δύνῃ, εὖ ποιεῖν, ἱκανὸς ὢν καὶ κακῶς. ἀλλ', ἔφη, ὦ πά-
τερ, ἄλλως τέ μοι καλῶς δοκεῖς ταῦτα λέγειν πάντα. καὶ
ὅτι ἃ μὲν αὖ νῦν λήψονται οἱ στρατιῶται, οὐδεὶς αὐτῶν ἐ-
μοὶ τούτων χάριν εἴσεται. ἴσασι γὰρ, ἐφ' οἷς αὐτοὺς Κυα-
ξάρης ἄγεται συμμάχους. ὅτι δ' ἂν πρὸς τοῖς εἰρημένοις
λαμβάνῃ τις, ταῦτα καὶ τιμὴν νομιοῦσι, καὶ χάριν τούτων
πλείστην εἰκὸς εἰδέναι τῷ διδόντι. τὸν δὲ ἔχοντα δύ-
ναμιν, ᾗ ἔστι μὲν φίλους εὖ ποιοῦντα ἀντωφελεῖσθαι, ἔστι δὲ
ἐχθροὺς ἔχοντα, πειρᾶσθαι τι κτήσασθαι ἀπ' αὐτῶν, ἔ-
πειτα ἀμελεῖν τοῦ πορίζειν. οἴει τι, ἔφη, ἧττον αἰσχρὸν
ἧττον εἶναι δ' ἢ εἴ τις ἔχων μὲν ἀγροὺς, ἔχων δὲ ἐργάτας,
οἷς

qui sint nobiscum decertaturi, turpissimum mihi uide-
tur eiusmodi homines formidare, minusq; libenter ijs
obuiam ire in pugnam, quos ego, ut ab hisce amicis no-
stris incipiam, sentio existimare id esse operæprecium,
ut rex subditus antecellat cœnæ sumptu ac magnificen-
tia, auri magnitudine, diuturniore somno, utq; omnib.
in rebus minore degat cum labore quàm subditi. AT
EGO arbitror decere principem subditus anteire, non
dolo & ocio, sed prouidentia & industria. Verũ quæ-
dam sunt, inquit, fili, quæ nō erga homines exerceri de-
bent, sed circa res ipsas, quibus difficile est abundare.
Itaq; ne te lateat breui periturum imperium, ubi exerci-
tus caruerit commeatu. Atqui hunc Cyaxares ipse ait,
ô pater, præbiturum sese nostris hinc proficiscentibus
omnibus. Pergisne igitur, inquit, fili, fidem habes hisce
Cyaxares pecunijs? Certè, inquit, o pater. Quid, in-
quit, nosti quot pecuniæ ei sunt? Nō mehercule, inquit
Cyrus. Veruntamen fidem adhibes his rebus incertis?
Quid autem tibi grandi pecunia opus erit, & multa
tibi hoc tempore alia impensa necessariò facienda est,
id haud nosti? Noui equidē, inquit Cyrus. Si igitur eum,
inquit, impensa defecerit, uel ipse etiam ultro mētiatur,
quomodo tibi exercitus res habebunt? Videlicet neque
quam bene. Idcirco, inquit, ô pater, si quē tu redditum
uides, qui quādiu inter amicos sumus, ab me quoq; præ-
stari queat, expone. Interrogas, inquit, fili, ubi abs te pe-
cunia parari queat? A quo magis consentaneũ est sup-
peditari pecuniam, q̃ ab eo, qui exercitui præsit? Tu ue-
ro hinc agis tecum peditatum, quem scio cum alio lon-
gè maiore non commutares. Equitatum autem Medo-
rum, qui optimus est, socium habebis. Quam ergo fini-
timam gentē non existimas tibi gratificatũ iri, & obse-
quendi uoluntate, & metu pœnæ? Quæ quidē tibi una
cum Cyaxare consideranda sunt, quo nunquā deficiat
uobis aliquid necessarium. Quin etiam assuescendi gra-
tia excogitandus est pecuniarum redditus. Hoc insuper
omnium maximè memineris, nunquā expectandum es-
se, ut tum commeatum pares, dum ipsa caritudo te coē-
gerit: sed cum maximè abundaueris, tum ante indigen-
tiam illum strue. Etenim magis à quibus opus fuerit,
eum consequeris, cum non uisus fueris indigere. Neq;
præterea à tuis militibus accusabere. Magis etiam ex
hac te re alij uerebuntur. Ac si quos tuis urib. uolueris
uel bene afficere uel male, obsequentioris es milites ha-
biturus in rerum necessariarum copia. Et oratione tum
uteris magis ad persuadendum apposita, cum maximè
poteris demonstrare, te satis esse qui & bene possis, &
male afficere. Verùm Cyrus inquit: O pater, mihi uide-
ris hæc omnia quàm optimè dicere: & item, quod quæ
nunc milites accipient, eorum mihi nemo sit gratiam
habiturus: quippe qui norunt, quas ob res eos Cyaxa-
res habiturus, quippe qui norunt, quas ob res eos Cya-
xares socios accersit: & quod ea præterea quæ quis ac-
cipiat, tum sibi honori ducturi sunt, tum danti horum
gratiam consentaneè plurimam habituri. Qui autem
uires habet, quibus potest tum ijs amicis gratiam re-
ferre, qui de se bene meruerint, tum de his quos habet
inimicos, operam dare ut ultionem sumat, hunc negli-
gere pecuniæ redditum. putásne (inquit) minus esse
turpe, quàm si quis & agros habeat, & ad eorum

 cultum

cultum operarios, deinde eos sinat ob negligentiã esse inutilis? Quare ita de me tibi persuade, nunquã fore, ut res necessarias militibus moliri negligã, neq; inter hostis, neq; inter amicos. Quid enim, inquit, fili, meministine quæ nobis olim necessario uidebantur nõ esse negligenda? Non enim memini, inquit Cyrus, quãdo ego sane ueni ad te argentũ petiturus, quod ei soluerẽ, qui dicebat scientiam rei militaris mihi tradidisse: & tu id mihi cum dedisses, ita me simul quodammodo interrogabas: Num fili in præceptis rei militaris uir iste, cui fers mercedem, fecit ullam etiam mentionẽ de administratione rei familiaris? Nihilo certe minus rebus ad uictum necessarijs est opus militibus, quàm in domo famulis. Sed ubi ego tibi ueritatẽ loquẽns, respondissem illum hac de re nihil omnino meminisse: rursus ex me quærebas, si quam mihi præceptionẽ tradidisset de bona ualetudine, aut de uiribus corporis, perinde atq; imperatorem oporteat non secus de his rebus, quàm de re militari habere rationem. Cum uero hæc etiam negassem, rursus ex me quærebas, si quã dedisset mihi doctrinam de reddendis socijs optimis circa singula belli opera. Quod ubi etiam negassem, hoc idem es percũctatus, dedissétne mihi institutionẽ ullam de inijcienda militibus alacritate & promptitudine, cum diceres alacritatem ignauiæ atq; inertiæ omnino præstare in omni opere. Vbi autẽ hoc quoq; habuissem, quærebas item argutius, si quam habuisset orationẽ de præcipua imperatoris industria ad persuadendum exercitum. Quod cum negassem omnino, rogabas me ad postremũ, qua tandem ille doctrina diceret me scientia rei militaris ab sese instituti. Cui cum responderem, instruendi exercitus doctrina: risisti tu quidem, mihiq; unumquodq; conferens enarrasti, cui exercitus instructio utilitati foret rei militari sine commeatu, sine bona ualetudine, sine scientia dictarum artium circa rem bellicam, sine obedientia? Cumq; mihi ostendisses, nosse aciem instruere, breuem quandam esse partem rei militaris: ipsisq; rogassem, si quid horum posses me docere, iussisti abeuntem mihi, ut cum his uiris dissererẽ, qui militares habentur, & ex ijs quærerem, qua ratione hæc singillatim fierent. Ex hoc igitur tempore eorum ego consuetudine usus sum, quos huius rei prudentissimos esse audiebam. Et de alimento quidem sum persuasus id satis fore, quod Cyaxares nobis præbuerit. De bona uerò ualetudine, quod & audirem, & uiderem etiam urbes, quibus bene ualere opus esset, medicos eligere, & duces militum gratia medicos educere: sic ego posteaquam in hac sum dignitate constitutus, continuò huius habui rei curam. Atque existimo equidem, mi pater, me uiros habiturum mecum, qui artem medicam satis calleant. Pater igitur ad hæc inquit: Verùm, fili, hi quos tu dicis, quemadmodum amictuum fractorum sunt resarcinatores quidam: sic etiam medici, cum aliqui ægrotarint, tum his medentur. Sed tua bonæ ualetudinis cura erit, quàm horum magnificentior. Nam ne initio ægrotet exercitus, tibi curandum est. Et qua ego uia, o pater, hoc agere satis queam? Si quo in loco diutius sis futurus, diligentia tibi est adhibenda primum, ut castra in salubri loces: id quod nisi neglexeris, facile assequèris. Etenim dicere homines

assiduè

εἰς ἂν ἐργάζοιτο, ἔπειτα ἐάν δὴ τὴν γῆν ἀργὴν οὖσαν ἀνωφελῆ ἐᾷ. ὡς ἐμοῦ, ἔφη, μηδέποτε ἀμελήσοντος, τοῦ τὰ ἐπιτήδεια τοῖς στρατιώταις συμμηχανᾶσθαι, μήτ᾽ ἐν φιλίᾳ μήτ᾽ ἐν πολεμίᾳ, οὕτως ἔχε τὴν γνώμην. τί γάρ, ἔφη, τῶν ἄλλων, ὦ παῖ, ὧν ἐδόκει ποθ᾽ ἡμῖν ἀναγκαῖον εἶναι μὴ παραμελεῖν μέμνησαι; οὐ γάρ, ἔφη, μέμνημαι, ὅτε ἐγὼ μὲν πρὸς σὲ ἦλθον ἐπ᾽ ἀργύριον, ὅπως ἀποδοίην τῷ φάσκοντι με στρατηγεῖν πεπαιδευκέναι, σὺ δὲ ἅμα διδούς μοι, ἐπηρώτας ὧδέ πως. ἆρά γε, ὦ παῖ, ἐν τοῖς στρατηγικοῖς ἔργοις καὶ οἰκονομίας τί σοι ἐπεμνήσθη ὁ ἀνήρ, ᾧ τὸν μισθὸν φέρεις; οὐδὲν μέντοι οἱ στρατιῶται ἧττον τῶν ἐπιτηδείων δεήσονται, ἢ οἱ ἐν οἴκῳ οἰκέται. ἐπεὶ δ᾽ ἐγώ σοι λέγων τἀληθῆ εἶπον, ὅτι οὐδ᾽ ὁτιοῦν περὶ τούτου ἐπεμνήσθη, ἐπήρου με πάλιν, εἴ τι ὑγιείας μοι περὶ ἔλεξε καὶ ῥώμης, ὡς δεήσοι καὶ τούτων, ὥσπερ καὶ τῆς στρατηγίας τὸν στρατηγὸν ἐπιμελεῖσθαι. ὡς δὲ καὶ ταῦτα ἀπέφησα, ἐπήρου με αὖ πάλιν, εἴ τινα ἐπιμέλειαν ἐδίδαξέ με, ὡς ἂν ἕκαστα τῶν πολεμίων ἔργων, κράτιστοι ἂν σύμμαχοι γένοιντο. ἀποφήσαντος δέ μου καὶ τοῦτο, ἀνέκρινας αὖ σὺ καὶ τόδε, εἴ τι μ᾽ ἐπαίδευσεν, ὡς ἂν δυναίμην στρατιᾷ προθυμίαν ἐμβαλεῖν, λέγων, ὅτι τὸ πᾶν διαφέρει ἐν παντὶ ἔργῳ, προθυμία ἀθυμίας. ἐπεὶ δὴ δὲ καὶ τοῦτο ἀνένευον, ἤλεγχες αὖ σύ, εἴ τινα λόγον ποιήσαιτο διδάσκων περὶ τοῦ πείθεσθαι τὴν στρατιάν, ὡς ἄν τις μάλιστα μηχανῷτο. ἐπειδὴ δὲ καὶ τοῦτο παντάπασιν ἄρρητον ἐφαίνετο, τέλος δή με ἐπήρου, ὅ τι ποτὲ διδάσκων, στρατηγίαν φαίη με διδάσκειν. κἀγὼ δὴ ἐνταῦθα ἀπεκρινάμην ὅτι τὰ τακτικά. καὶ σὺ γελάσας διῆλθές μοι παρατιθεὶς ἕκαστον, ὅτι οὐδὲν ὄφελος εἴη στρατιᾷ τακτικῶν, ἄνευ τῶν ἐπιτηδείων, τί δ᾽ ἄνευ τοῦ ὑγιαίνειν, τί δ᾽ ἄνευ τοῦ ἐπίστασθαι τὰς εὑρημένας εἰς πόλεμον τέχνας, τί δ᾽ ἄνευ τοῦ πείθεσθαι; ὡς δέ μοι καταφανὲς ἐποίησας, ὅτι μικρόν τι μέρος εἴη στρατηγίας τὰ τακτικά, ἐπερομένου δέ μου εἴ τι τούτων σύ με διδάξαι ἱκανὸς εἴης, ἀπιόντα με ἐκέλευσας τοῖς στρατηγικοῖς ἀνδράσι νομιζομένοις εἶναι διαλέγεσθαι, καὶ πυνθάνεσθαι, πῇ ἕκαστα τούτων γίγνεται. ἐκ τούτου δὴ συνῆν τούτοις ἐγώ, οὓς μάλιστα φρονίμους περὶ τούτων ἤκουον εἶναι. καὶ περὶ μὲν τροφῆς ἐπείσθην ἱκανὸν εἶναι ὑπάρχον, ὅτι Κυαξάρης ἔμελλε παρέξειν ἡμῖν. περὶ δὲ ὑγιείας ἀκούων τε καὶ ὁρῶν, ὅτι καὶ πόλεις αἱ χρῄζουσαι ὑγιαίνειν ἰατροὺς αἱροῦνται. καὶ οἱ στρατηγοὶ τῶν στρατιωτῶν ἕνεκεν ἰατροὺς ἐξάγουσιν. οὕτω καὶ ἐγώ. ἐπεὶ ἐν τῷ τέλει τούτῳ ἐγενόμην, εὐθὺς τούτου ἐπεμελήθην. καὶ οἶμαι, ἔφη, ὦ πάτερ, πάνυ ἱκανοὺς τὴν ἰατρικὴν τέχνην ἔχειν ἄνδρας μετ᾽ ἐμαυτοῦ. πρὸς ταῦτα δὴ ὁ πατὴρ εἶπεν· ἀλλ᾽ ὦ παῖ, ἔφη, οὗτοι μὲν οὓς λέγεις, ὥσπερ ἱματίων ῥαγέντων εἰσί τινες ἀκεσταί, οὕτω καὶ ἰατροί. ὅταν τινὲς νοσήσωσι, τότε ἰῶνται τούτους. σοὶ δὲ τούτου μεγαλοπρεπεστέρα ἔσται, ἡ τῆς ὑγιείας ἐπιμέλεια. ὥστε γὰρ ἀρχὴν μὴ κάμνειν τὸ στράτευμα, τούτου σοι δεῖ μέλειν. καὶ τίνα δή, ἔφη, ὦ πάτερ, ὁδὸν ἰὼν τοῦτο πράττειν ἱκανὸς ἔσομαι; ἂν μὲν δήπου χρόνον τινὰ μέλλῃς ἐν τῷ αὐτῷ μένειν, ὑγιεινοῦ δεῖ πρῶτον στρατοπέδου μὴ ἀμελῆσαι. τούτου δὲ οὐκ ἂν ἁμάρτοις, ἐάνπερ μέλῃ σοι. καὶ γὰρ λέγοντες

οὐδὲν

οὐδὲν παύονται οἱ ἄνθρωποι, περί τε τῶν νοσηρῶν χωρίων καὶ τῶν ὑγιεινῶν. μάρτυρες δὲ σαφεῖς ἑκατέροις αὐτῶν πάρεισι, τά τε σώματα καὶ τὰ χρώματα. ἔπειτα δὲ οὐ τὰ χωρία μόνον ἀρκέσει σκέψασθαι, ἀλλὰ μνήσθητι πῶς πειρᾷ σὺ ἐπιμελεῖσθαι σεαυτοῦ, ὅπως ὑγιαίνῃς. καὶ ὁ Κῦρος εἶπε· πρῶτον μὲν πειρῶμαι νὴ Δία, μηδέποτε ὑπερεμπίπλασθαι, δύσφορον γάρ. ἔπειτα δὲ ἐκπονῶ τὰ εἰσιόντα. οὕτω γάρ μοι δοκεῖ ἥ τε ὑγίεια μᾶλλον παραμένειν, καὶ ἰσχὺς προσγίνεσθαι. οὕτω τοίνυν δεῖ, ἔφη, ὦ παῖ, καὶ τῶν ἄλλων ἐπιμελεῖσθαι. ἦ καὶ σχολή, ἔφη, ἔσται, ὦ πάτερ, σωμασκεῖν τοῖς στρατιώταις; οὐ μὰ Δί', ἔφη ὁ πατήρ, οὐ μόνον γε, ἀλλὰ καὶ ἀνάγκη. δεῖ γὰρ δή που στρατιάν, εἰ μέλλει πράξειν τὰ δέοντα, μηδέποτε παύεσθαι ἢ τοῖς πολεμίοις κακὰ πορσύνουσαν, ἢ ἑαυτῇ ἀγαθά. ὡς χαλεπὸν μὲν καὶ ἕνα ἄνθρωπον ἀργὸν τρέφεσθαι. πολὺ δ' ἔτι, ὦ παῖ, χαλεπώτερον οἶκον ὅλον. πάντων δὲ χαλεπώτατον στρατιὰν ἀργὸν τρέφειν. πλεῖστα γὰρ τὰ ἐσθίοντα ἐν στρατιᾷ, καὶ ἀπ' ἐλαχίστων ὁρμώμενα, καὶ οἷς ἂν λάβῃ δαψιλέστατα χρώμενα. ὥστε οὐδέποτε προσήκει στρατιὰν ἀργεῖν. λέγεις σύ, ἔφη, ὦ πάτερ, ὡς ἐμοὶ δοκεῖ, ὥσπερ οὐδὲ γεωργοῦ ἀργοῦ οὐδὲν ὄφελος, οὕτως οὐδὲ στρατηγοῦ ἀργοῦ οὐδὲν ὄφελος εἶναι. τὸν δέ γε ἐργάτην στρατηγὸν ἐγώ, ἔφη, ἀναδέχομαι, ἢν μή τις θεὸς βλάπτῃ, ἅμα καὶ τὰ ἐπιτήδεια μάλιστα ἔχοντας τοὺς στρατιώτας ἀποδείξειν, καὶ τὰ σώματα ἄριστα ἔχοντας παρασκευάσειν. ἀλλὰ μήν τό γε μελετᾶσθαι, ἔφη, ἕκαστα τῶν πολεμικῶν ἔργων, ἀγῶνας ἄν τινάς μοι δοκεῖ, ὦ πάτερ, προειπὼν ἑκάστοις καὶ ἆθλα προτιθείς, μάλιστα ἂν ποιεῖν εὖ ἀσκεῖσθαι ἕκαστα. ὥστε ὁπότε δέοιτο, ἔχειν ἂν παρεσκευασμένοις χρῆσθαι. κάλλιστα λέγεις, ἔφη, ὦ παῖ· τοῦτο γὰρ ποιήσας, σάφ' ἴσθι, ὥσπερ χοροὺς τὰς τάξεις ἀεὶ τὰ προσήκοντα μελετώσας θεάσῃ. ἀλλὰ μήν, ἔφη ὁ Κῦρος, εἴς γε τὸ προθυμίαν ἐμβαλεῖν στρατιώταις, οὐδέν μοι δοκεῖ ἱκανώτερον εἶναι, ἢ τὸ δύνασθαι ἐλπίδας ἀγαθὰς ἐμποιεῖν ἀνθρώποις. ἀλλ', ἔφη, ὦ παῖ, τοῦτό γε τοιοῦτόν ἐστιν, οἷόν περ εἴ τις κύνας ἐν θήρᾳ ἀνακαλοῖτο ἀεὶ τῇ κλήσει, οἵᾳπερ ὅταν τὸ θηρίον ὁρᾷ. τὸ μὲν γὰρ πρῶτον προθύμως οἶδ', ὅτι ἔχει ὑπακουούσας. ἢν δὲ πολλάκις ψεύδηται αὐτάς, τελευτῶσαι, οὐδ' ὁπόταν ἀληθῶς ὁρῶν καλῇ πείθονται αὐτῷ. οὕτω καὶ περὶ τῶν ἐλπίδων ἔχει. ἢν πολλάκις προσδοκίας ἐμβαλὼν ψεύδηταί τις, τελευτῶν, οὐδ' ὁπόταν ἀληθεῖς ἐλπίδας λέγῃ ὁ τοιοῦτος, πείθειν δύναται. ἀλλὰ τοῦ μὲν αὐτὸν λέγειν, ἃ μὴ σαφῶς εἰδείη, φείδεσθαι δεῖ, ὦ παῖ. ἄλλοι δ' ἐνίοτε λέγοντες, ταὐτὸ διαπράττοιεν ἄν. τὴν δὲ αὐτοῦ παρόρμησιν εἰς τοὺς μεγίστους κινδύνους δεῖ ὡς μάλιστα ἐν πίστει διασώζειν. ἀλλὰ ναὶ μὰ τὸν Δία, ἔφη ὁ Κῦρος, καλῶς μοι δοκεῖς λέγειν, καὶ ἐμοὶ οὕτως ἥδιον. τό γε μὴν πειθομένους παρέχεσθαι τοὺς στρατιώτας, οὐκ ἀπείρως μοι δοκῶ ἔχειν, ὦ πάτερ. σύ τε γάρ με εὐθὺς τοῦτο ἐκ παιδίου ἐπαίδευες σαυτῷ πείθεσθαι ἀναγκάζων, ἔπειτα τοῖς διδασκάλοις παρέδωκας. κἀκεῖνοι αὖ ταὐτὸ τοῦτο ἔπραττον. ἐπεὶ δὲ ὡς ἐν τοῖς ἐφήβοις ἦμεν, ὁ ἄρχων ἡμῶν, αὐτοῦ τούτου ἰσχυρῶς ἐπεμελεῖτο. καὶ οἱ νόμοι δὲ οἱ πολλοὶ δοκοῦσί μοι δύο ταῦτα μάλιστα διδάσκειν, ἄρχειν

τε

assidue consuerunt, & qui loci morbidi sunt, & qui salubres: his uero utrisque certissima afferunt testimonia, tum corpora, tum colores. Dein non satis est locos ipsos considerare, sed meminisse etiam debes quid ipse obserues, ut bene ualeas. Et Cyrus inquit: Primum equidem operam do, ne unquam saturer: id enim difficile est & graue. Dein uero per laborem immissa consumo: Ita enim mihi uideor & perseuerantius bene ualere, & robu-
10 stior effici. Ergo, ita, inquit, tibi fili de alijs est curandum. Num, inquit, o pater, ocium erit militibus ad exercenda corpora? Minime, pater respondit. Non solum enim exerceri oportet, sed necessario exerceri. Nam exercitus scilicet opus est, si suo munere fungi uelit, ut uacet nunquam aut nocere hostibus, aut prodesse sibi. PERMOLESTUM est profecto hominem unum alere ociosum: multo etiam molestius totam domum: sed omnium est molestissimum, uniuersum exercitum ociosum alere.
20 Nam & plurima sunt in exercitu, quae uescuntur, & quae a minimis incipiunt, & quae ijs, quae ceperint, utuntur affluentissime. Itaque exercitum uacare nunquam decet. Dicis tu, Cyrus inquit, o pater, ut mihi uideor intelligere, quemadmodum ociosus agricola est inutilis, ita imperatoris nullam esse utilitatem, si uacarit. Illum autem imperatorem ego, inquit, admitto, qui nisi quis deus aduersetur, opera sua simul & commeatum militibus maxime redditurus, & corpora sit paraturus quam optima.
30 Sed ob meditationes rerum omnium bellicarum, ut mihi pater uidetur, si ludos aliquos pronunciauero singulis, ac praemia proposuero, eos reddam exercitatos quamoptime, ut ad singula cum opus fuerit, eis praesto utar. Pulcherrime, inquit, dicis fili. Hoc enim si feceris certo scito militaris te ordines semper spectaturum ueluti choros conuenienter suum officium meditari. Atqui ad reddendos milites alacris & strenuos nihil mihi uidetur satius, inquit Cyrus, quam spem inijcere hominibus. Verum, Cambyses inquit,
40 o fili, hoc huiusmodi est, quale si quis in uenatione canes hortetur semper eadem appellatione, qua solet ubi feram aspicit. Nam primum alacriter parent. Quod si eas fefellerit saepius, ad postremum neque quando feram uere intuens uocarit, ei obediunt. Ita etiam de spe accidit. SI QUIS frequenter bonorum expectationes inijciens fefellerit, uir huiusmodi ne tum quidem potest persuadere, cum spem ueram attulerit. At non ea debet, fili, is dicere, quae minus certo norit. Verum alij haec quandoque dicendo perficiant.
50 Adhortationem autem suam in maxima pericula seruet quam fidelissime, opus est. Dicis tu, inquit Cyrus, mediusfidius perpulchre, ac mihi ita iucundius est. Haudquaquam mihi pater uideor imperitus, quo pacto reddendi sunt milites obedientes. Nam & tu continuo me ex puero hoc docebas, cum tibi ipsi primum parere cogebas: dein ubi magistris me tradidisti, illi quoque idem hoc agebant: Cum uero essem in pubertate, princeps eiusdem rei uehementem habebat diligentiam. Atque leges item plures, haec duo mihi uidentur maxime docere, & imperare,

&

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

& imperium pati. Itaque de his cogitans in omnibus mihi uidere uideor, OBEDIENTIAM in exhortatione maxime consistere, quæ obedientem laudat & honorat, inobedientem uero ignominia, supplicióq; afficit. Vt necessitate adducti pareant, fili, hæc est uia. Sed, quod hoc longè melius est, ut ultro pareant, alia est uia compendiosior. QVEM enim seipsis prudentiorem duxerint circa suam ipsorum utilitatem, huic homines perlibenter obediunt. Ac noris hoc ita habere cum in alijs multis, tum in ægrotis, quòd alacriter eos uocant, qui iussuri sunt facienda: & in mari, quod gubernatoribus qui unà nauigant, audiunt: & quos aliqui putarint quàm se melius uias nosse, ab ijs tanquam ab harum peritissimis ducibus abesse nunquam uolunt. Cum uerò si obediant, arbitrantur fore, ut mali quippiam capiant, neque detrimentis admodum cedunt, neque muneribus efferuntur. NAM NE DONA quidem causa mali sui sponte quis accipit. Dicis tu (inquit) pater, ad habendos obedientes milites nihil esse efficacius, quàm ut dux subditis prudentior esse uideatur? Dico id sanè. Et quo pacto de se quisquam possit, ò pater, talem opinionem celerrime præstare? Non est, inquit, fili compendiosior uia, quàm earum rerum quarum uideri uis prudens, habere prudentiam. Quod si de his singillatim consideres, facile cognoscas dici ab me uera. Nam si uideri uelis bonus agricola, qui non sis bonus: aut eques, aut medicus, aut tibicen, aut aliud quippiam, cogita quot sint machinanda tibi quo uidearis talis. Quòd si tuo persuasu & te multi laudent, quò autoritatem adipiscaris, & in eorum singulis bona ieceris fundamenta, tum modo decipias, tum paulo postea, ubi de te periculum feceris, qualis sis, arguaris, tum ostentator præterea appareas. Sed de futura utilitate, quo pacto quis prudens uero fuerit? Perspicuum est inquit, fili, ea te discendo assecuturum, quæcunque potes per disciplinam cognoscere, quemadmodum instruere aciem didicisti. Quæcunque uero neque per disciplinam, neque per humanam prouidentiam prospici possunt, de hisce tu per uaticinium deos consulens, sis alijs prudentior, præsertim si quod noueris factu melius, curaueris quonam ut modo agendum sit. Etenim curare quod opus sit, prudentioris uiri est, quam negligere. Vt autem quis ametur à subditis, id quod mihi uidetur esse maximum, eadem est ratio, quæ si quis amicis charus esse cupiat. Oportere enim puto ut beneficium appareat. Sed hoc, inquit, fili difficile est, ut in eos semper beneficium conferre quis possit, in quos uelit. At illud certe potest, ut unà cum ijs lætetur, quibus aliquid boni contigerit: & unà tristetur, si quid acciderit mali: & opem ferre alacriter studeat eorum difficultatibus, & præcaueat, ne quid errent: & enitatur prouidere, ne quid item decipiantur, quibus in rebus magis se quodammodo socium debet præstare. Atque in rebus gerendis, si quidem in æstate fuerit, debet imperator tolerare plus solis, & id quidem non occulte: in hyeme uero plus frigoris, & in laborando plus laboris: hæc enim omnia conducunt ad amorem subditorum. Dicis tu quidem, inquit Cyrus, toleran-

τε καὶ ἄρχεσθαι. καὶ τοίνυν καταινοῶν περὶ τούτων ἐν ἅπασιν, ὁρῶν μοι δοκῶ τὸ προτρέπον πείθεσθαι μάλιστα ὂν, τὸ τὸν μὲν πειθόμενον, ἐπαινεῖν τε καὶ τιμᾶν. τὸν δὲ ἀπειθοῦντα, ἀτιμάζειν τε καὶ κολάζειν. καὶ ἐπὶ μέν γε τὸ ἀνάγκῃ πείθεσθαι, ἔφη, αὕτη, ὦ παῖ, ἡ ὁδός ἐστιν. ἐπὶ δὲ τὸ πολὺ κρεῖττον τούτου τὸ ἑκόντας πείθεσθαι, ἄλλη συντομωτέρα ὁδός ἐστιν. ὃν γὰρ ἂν ἡγήσωνται περὶ τοῦ συμφέροντος ἑαυτοῖς φρονιμώτερον ἑαυτῶν εἶναι, τούτῳ οἱ ἄνθρωποι ὑπερηδέως πείθονται. γνοίης δ' ἂν ὅτι τοῦθ' οὕτως ἔχει ἐν ἄλλοις τε πολλοῖς, καὶ δὴ καὶ ἐν τοῖς κάμνουσιν, ὡς προθύμως τοὺς ἐπιτάξοντας ὅ,τι χρὴ ποιεῖν, καλοῦσι. καὶ ἐν θαλάττῃ δὲ ὡς προθύμως τοῖς κυβερνήταις οἱ συμπλέοντες πείθονται. καὶ οὕς γ' ἂν νομίζωσί τινες βέλτιον ἑαυτῶν ὁδοὺς εἰδέναι, ὡς ἰσχυρῶς τούτων, οὐδ' ἀπολείπεσθαι θέλουσιν. ὁπόταν δὲ οἴωνται πειθόμενοι κακόν τι λήψεσθαι, οὔτε ζημίαις πάνυ τοι θέλουσιν εἴκειν, οὔτε δώροις ἐπαίρεσθαι. οὐδὲ γὰρ τὰ δῶρα ἐπὶ τῷ ἑαυτοῦ κακῷ ἑκὼν οὐδεὶς λαμβάνει. λέγεις σύ, ἔφη, ὦ πάτερ, εἰς τὸ πειθομένους ἔχειν, οὐδὲν εἶναι ἀνυσιμώτερον τοῦ φρονιμώτερον δοκεῖν εἶναι τῶν ἀρχομένων; λέγω γὰρ οὖν, ἔφη. καὶ πῶς δή τις, ὦ πάτερ, τοιαύτην δόξαν περὶ αὐτοῦ τάχιστα παρασχέσθαι ἂν δύναιτο; οὐκ ἔστιν, ἔφη, ὦ παῖ, συντομωτέρα ὁδὸς, περὶ ὧν ἂν βούλῃ δοκεῖν φρόνιμος εἶναι, ἢ τὸ γενέσθαι περὶ τούτων φρόνιμον. καθ' ἓν δὲ ἕκαστον περὶ τούτων σκοπῶν, γνώσῃ ὅτι ἐγὼ ἀληθῆ λέγω. ἢν γὰρ βούλῃ μὴ ὢν ἀγαθὸς γεωργὸς, δοκεῖν εἶναι ἀγαθὸς, ἢ ἱππεὺς, ἢ ἰατρὸς, ἢ αὐλητὴς, ἢ ἄλλ' ὁτιοῦν, ἐννόει, πόσα γε ἂν δέοι σε μηχανᾶσθαι, τοῦ δοκεῖν ἕνεκα. καὶ εἰ δὴ πείσαις ἐπαινεῖν τέ σε πολλοὺς, ὅπως δόξαν λάβῃς, καὶ κατασκευὰς καλὰς ἐφ' ἑκάστῳ αὐτῶν κτήσαιο, ἄρτι τε ἐξηπατηκὼς εἴης ἂν, καὶ ὀλίγῳ ὕστερον, ὅπου ἂν πεῖραν δοίης, ἐξεληλεγμένος τ' ἂν εἴης, καὶ προσέτι ἀλαζὼν φαίνοιο. φρόνιμος δὲ περὶ τοῦ συνοίσειν μέλλοντος, πῶς ἄν τις τῷ ὄντι γένοιτο; δηλονότι, ἔφη, ὦ παῖ, ὅσα μὲν ἔστι μαθόντα εἰδέναι, μαθὼν ἂν, ὥσπερ τὰ τακτικὰ ἔμαθες. ὅσα δὲ ἀνθρώποις οὔτε μαθητὰ, οὔτε προορατὰ ἀνθρωπίνῃ προνοίᾳ, διὰ μαντικῆς ἂν παρὰ θεῶν πυνθανόμενος φρονιμώτερος ἄλλων ἂν εἴης. ὅ,τι δὲ γνοίης βέλτιον ὂν πραχθῆναι, ἐπιμελούμενος ἂν τούτου ὡς πραχθείη. καὶ γὰρ τὸ ἐπιμελεῖσθαι τούτου, οὗ ἂν δέῃ, φρονιμωτέρου ἀνδρὸς, ἢ τὸ ἀμελεῖν. ἀλλὰ μέντοι ἐπὶ τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων, ὅπερ ἔμοιγε ἐν τοῖς μεγίστοις δοκεῖ εἶναι, δηλονότι ἡ αὐτὴ ὁδὸς, ἥπερ εἴ τις ὑπὸ τῶν φίλων στέργεσθαι ἐπιθυμοίη. εὖ γὰρ οἶμαι δεῖν ποιοῦντα φανερὸν εἶναι. ἀλλὰ τοῦτο μὲν, ἔφη, ὦ παῖ, χαλεπὸν τὸ ἀεὶ δύνασθαι εὖ ποιεῖν, οὓς ἄν τις ἐθέλῃ. τὸ δὲ συνηδόμενόν τε φαίνεσθαι ἤν τι ἀγαθὸν αὐτοῖς συμβαίνῃ, καὶ συναχθόμενον ἤν τι κακὸν, καὶ συνεπικουρεῖν προθυμούμενον ταῖς ἀπορίαις αὐτῶν, καὶ προφοβούμενον μή τι σφαλῶσι, καὶ προνοεῖν πειρώμενον ὡς μὴ σφάλλωνται, ἐπὶ ταῦτα, πῶς δεῖ μᾶλλον συμπαρομαρτεῖν. καὶ ἐπὶ τῶν πράξεων δὲ ἢν μὲν ἐν θέρει ὦσι, τὸν ἄρχοντα δεῖ τοῦ ἡλίου πλεονεκτοῦντα φανερὸν εἶναι. ἢν δὲ ἐν χειμῶνι, τοῦ ψύχους. ἢν δὲ δέῃ μοχθεῖν, τῶν πόνων. πάντα γὰρ ταῦτα εἰς τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων συλλαμβάνει. λέγεις σὺ, ἔφη, ὦ πάτερ, ὡς

ὡς καὶ καρτερώτερον δεῖ πρὸς πάντα τὸν ἄρχοντα, τῶν ἀρχομένων; λέγω γὰρ οὖν, ἔφη. θάρρει μέν τοι, ἔφη, ὦ παῖ. εὖ γὰρ ἴσθι τοῦτο, ὅτι τῶν ὁμοίων σωμάτων οἱ αὐτοὶ πόνοι, οὐχ ὁμοίως ἅπτονται, ἄρχοντός τε ἀνδρὸς καὶ ἰδιώτου. ἀλλ' ἐπικουφίζει τι ἡ τιμὴ τοὺς πόνους τῷ ἄρχοντι. καὶ τό, αὐτὸν εἰδέναι, ὅτι οὐ λανθάνει, ὅ,τι ἂν ποιῇ. ὁπότε δέ, ὦ πάτερ, ἤδη ἔχοιεν μὲν τὰ ἐπιτήδεια οἱ στρατιῶται, ὑγιαίνοιέν τε, πονεῖν δὲ δύναιντο, τὰς δὲ πολεμικὰς τέχνας ἠσκηκότες εἶεν, φιλοτίμως δ' ἔχοιεν πρὸς τὸ ἀγαθοὶ φαίνεσθαι, τὸ δὲ πείθεσθαι αὐτοῖς ἥδιον εἴη τοῦ ἀπειθεῖν, οὐκ ἂν ἤδη τηνικαῦτα, σωφρονεῖν ἄν τις σοι δοκοίη διαγωνίζεσθαι βουλόμενος πρὸς τοὺς πολεμίους ὡς τάχιστα. ναὶ μὰ Δί', ἔφη, εἰ μέλλοι γε πλεῖον ἕξειν. εἰ δὲ μή, ἔγωγ' ἂν ὅσῳ οἰοίμην καὶ αὐτὸς βελτίων εἶναι, καὶ τοὺς ἑπομένους βελτίους ἔχειν, τόσῳ δ' ἂν μᾶλλον φυλαττοίμην, ὥσπερ καὶ τἆλλα, ἃ ἂν οἰώμεθα, πλείστου ἡμῖν ἄξια εἶναι, ταῦτα πειρώμεθα, ὡς ἐν ἐχυρωτάτῳ ποιεῖσθαι. πλέον δ' ἔχειν, ὦ πάτερ, πολεμίων, πῶς ἄν τις δύναιτο μάλιστα; οὐ μὰ Δί', ἔφη, οὐκέτι τοῦτο φαῦλον, ὦ παῖ, οὐδ' ἁπλοῦν ἔργον ἐρωτᾷς. ἀλλ' εὖ ἴσθι, ὅτι δεῖ τὸν μέλλοντα τοῦτο ποιήσειν, καὶ ἐπίβουλον εἶναι, καὶ κρυψίνουν, καὶ δολερόν, καὶ ἀπατεῶνα, καὶ κλέπτην, καὶ ἅρπαγα, καὶ ἐν παντί, πλεονεκτεῖν τῶν πολεμίων. καὶ ὁ Κῦρος ἐπιγελάσας, εἶπεν· ὦ Ἡράκλεις. οἷον σὺ λέγεις ὦ πάτερ, δεῖν ἄνδρα με γενέσθαι. οἷος ἄν, ἔφη, ὦ παῖ, δικαιότατός τε καὶ νομιμώτατος ἀνὴρ εἴης. πῶς μήν, ἔφη, παῖδας ὄντας ἡμᾶς καὶ ἐφήβους, τἀναντία τούτων ἐδιδάσκετε. ναὶ μὰ Δί', ἔφη, καὶ νῦν γε πρὸς τοὺς φίλους τε καὶ πρὸς τοὺς πολίτας. ὅπως δέ γε τοὺς πολεμίους δύνασθε κακῶς ποιεῖν, οὐκ οἶσθα μανθάνοντας ὑμᾶς πολλὰς κακουργίας; οὐ δῆτ' ἔγωγ', ἔφη, ὦ πάτερ. τίνος μήν, ἔφη, ἕνεκα ἐμανθάνετε τοξεύειν; τίνος δ' ἕνεκα ἀκοντίζειν; τίνος δ' ἕνεκα δολοῦν ὗς ἀγρίους, πλέγμασι καὶ ὀρύγμασι; τί δ' ἐλάφους, ποδάγραις καὶ ἁρπεδόναις; τί δὲ λέουσι καὶ ἄρκτοις καὶ παρδάλεσιν. οὐκ εἰς τὸ ἴσον καθιστάμενοι ἐμάχεσθε, ἀλλὰ μετὰ πλεονεξίας τινὸς ἀεὶ πειρᾶσθε ἀγωνίζεσθαι πρὸς ταῦτα; ἢ οὐ γινώσκεις, ὅτι ταῦτα πάντα κακουργίαι τινὲς καὶ ἀπάται καὶ δολώσεις καὶ πλεονεξίαι; ναὶ μὰ Δί', ἔφη ὁ Κῦρος, θηρίων γε. ἀνθρώπων δέ, εἰ καὶ δόξαιμι βούλεσθαι ἐξαπατῆσαί τινα, πολλὰς πληγὰς οἶδα λαμβάνων. οὐδὲ γὰρ τοξεύειν οἶμαι, ἔφη, οὐδ' ἀκοντίζειν ἄνθρωπον ἐπετρέπομεν ὑμῖν, ἀλλ' ἐπὶ σκοπὸν βάλλειν ἐδιδάσκομεν. ἵνα γε νῦν μὲν μὴ κακουργοίητε τοὺς φίλους. εἰ δέ ποτε πόλεμος γένοιτο, δύναισθε καὶ ἀνθρώπων στοχάζεσθαι, καὶ ἐξαπατᾶν δὲ καὶ πλεονεκτεῖν, οὐκ ἐν ἀνθρώποις ἐπαιδεύομεν ὑμᾶς, ἀλλ' ἐν θηρίοις, ἵνα μὴ δ' ἐν τούτοις τοὺς φίλους βλάπτοιτε. εἰ δέ ποτε πόλεμος γένοιτο, μὴ δὲ τούτων ἀγύμναστοι εἴητε. οὐκοῦν, ἔφη, ὦ πάτερ εἴπερ χρήσιμά ἐστιν ἀμφότερα ἐπίστασθαι, εὖ τε ποιεῖν καὶ κακῶς ἀνθρώπους, καὶ διδάσκειν ἀμφότερα ταῦτα ἔδει ἐν ἀνθρώποις. ἀλλὰ λέγεται, ἔφη ὦ παῖ, ἐπὶ τῶν ἡμετέρων προγόνων γενέσθαι ποτὲ ἀνὴρ διδάσκαλος τῶν παίδων, ὃς ἐδίδασκεν ἄρα τοὺς παῖδας, τήν τε δικαιοσύνην, ὥσπερ σὺ κελεύεις, μὴ ψεύδεσθαι καὶ ψεύδεσθαι, καὶ μὴ ἐξαπατᾶν καὶ ἐξαπατᾶν, καὶ μὴ διαβάλλειν καὶ διαβάλλειν,

καὶ

tolerantiorem esse imperatorem ad omnia oportere quàm subditos? Ita planè. Confide fili, ac scito similia corpora imperatoris ac priuati hominis, iisdem laboribus non similiter affici. Honos enim labores imperatori leuiores efficit, præsertim quod intelligit in hominum esse oculis quicquid faciat. Sed ubi habuerint milites commeatum, iidemq; bene ualeant, & labores perferre possint, sintq; bellicis artibus exercitati, cupiantq; uiri apparere fortissimi, libentiusq; obire imperata uelint quàm detrectare, nonne quis tibi pater sapere uideatur, si uoluerit quàm celerrimè cum hostibus manum conserere? Ita, inquit, mehercule, si meliorem conditionem sit habiturus. Sin id minus, quo me censebo meliorem & meos item meliores, eo cauebo magis: quemadmodum aliis in rebus, quas nobis plurimi ducimus, has opportunè ac tutò facere studemus. Meliorem habere pater conditionem quàm hostes, qui possit quis maximè? Non minimum, inquit, fili mediusfidius, neque simplex opus interrogas. At noris, qui hoc facturus sit, & insidiatorem esse oportere, & dissimulatorem, & dolosum, & deceptorem, & furem, & raptorem, & omni in re hostibus præualere. Et Cyrus arridens, inquit: O Hercules qualem me pater uirum esse dicis oportere. Qualis, inquit, fili? & iustissimus sis, & legum uir obseruantissimus. Quomodo tamen, inquit, cum pueritiam pubertatemq; ageremus, his contraria docebatis? Ita, inquit, per Iouem. Et eadem nunc quoque erga amicos ac ciueis. Sed ut hosteis male afficere possitis, an ignoras didicisse uos maleficia permulta? Ignoro equidem pater. Quamobrem, inquit, discebatis sagittare? Quamobrem iaculari? Quamobrem in seruitutem agere sues agresteis & retibus & foueis? Cur ceruas pedicis & laqueis? Quid autem? Nonne aduersus leones, & ursos, & pardos, ex æquo constituti pugnabatis? sed cum meliore conditione quadam semper studebatis aduersus eas bestias certare. An hæc omnia minus nosti, & maleficia esse, & deceptiones, & dolos, & auiditates? Ita, inquit, mediusfidius, quo ad bestias quidem. Quòd si uisus forem uelle decipere quenquam hominem, multis uerberibus cæsus essem. Neque enim sagitta, inquit pater, neque iaculo hominem ferire permittebamus uobis, sed ad calcem propositam iacere docebamus. Et ne nunc quidem, ut in amicos utamini maleficio hortamur. Quod si quando bello utendum foret, possetis & in homines ictum dirigere, atque decipere, & auidius habere. Non aduersus homines uos erudiebamus, sed in bestias, quò ne in his quidem amicis noceretis. Verùm si quando belligerandum esset, neque harum rerum exercitatio uos lateret. Si ergo, inquit, pater conducit horum utrorunque scientia, & beneficiorum & maleficiorum, hæc quoque docenda fuerant aduersus homines. At dicitur, fili, fuisse olim apud maiores nostros uirum quendam magistrum puerorum, qui pueros iustitiam docebat, quemadmodum etiam ipse iubes, non mentiri & mentiri, & non decipere & decipere, & non calumniari & calumniari,

&

Budæus legit, ἵνα δ' εἰ πόλεμος γένοιτο, ἵνα δύνασθε τῶν ἀνθρώπων στοχάζεσθαι.

& nolle plus habere & uelle plus habere. Definiebat etiam quæ horum erga amicos facienda essent, & quæ aduersus inimicos. Atque in hanc sententiam docebat iustum esse amicos fallere, uidelicet propter bonum, & furari amicorum bona propter bonum. Qui uerò hæc docebat, necesse erat pueros inuicem exerceret ad hæc facienda: quemadmodum dicuntur Græci docere pueros in luctatione decipere, eósque exercere inter sese, qui facere hoc possint. Cum ergo aliqui ita essent ingeniosi & ad bene decipiendum, & ad plus habendum, fortaßis etiam non obtusi ad lucrandi studium, hi ne ab amicis quidem abstinebant, quo minus tentarent ab his locupletari. Quamobrem ex his manauit lex, qua hoc etiam tempore utimur, simpliciter pueros docendos esse, quemadmodum erga nosipsos erudimus famulos, uerum dicere, & non decipere, neque habendi auiditati studere: quos si secus egerint, supplicio afficimus, quo assuefacti huiusmodi consuetudine, ciues reddantur mitiores. Sed ubi habuerint ætatem, qua nunc ipse es, etiam quæ aduersus hostes iura seruanda sunt, securum uisum est docere. Non enim amplius uidemini incitari, qui ciues immanes efficiamini, cum ad mutuum pudorem sitis educati. Sicuti de rebus venereis uerba non facimus admodum ad iuuenes, ne addita ad uehementem libidinem desidia, ea iuuenes utantur immoderatè. Mediusfidius, inquit Cyrus, me igitur perinde ac tardum ad discendum, si quid habes pater auditatum, docere ne parcito, quo ipse plus habeam, quàm hostes. Molire igitur pro eâ quanta tibi est acies instructa, adoriri hostes imparatos, & armatus inermes, & uigilans dormienteis, & apparenteis improuisus: & qui in locorum difficultate sunt, tu eos tuto in loco excipito. Et quomodo, inquit, pater in istiusmodi erratis hostes deprehendantur? Quoniam, inquit, fili multam huiusmodi occasionem necesse est & à uobis & ab hostibus præberi. Necessariò utrique frumentatum itis, utrique cubatis, & manè ad res necessarias ferè unà omnes secedere oportet, & uijs qualescunque sint necesse est uos uti: quæ omnia tibi uolutanda sunt animo. Et qua in re noueris nos esse maxime imbecillos, hæc tibi maxime est cauenda. In qua uerò senseris hostes esse captu facillimos, in hac eos potißimum adorire. Vtrum, inquit Cyrus, in his solum studendum est, ut simus superiores, an etiam in alijs quibusdam? Et in alijs longe magis, inquit, fili. Nam in his propè omnes faciunt custodias acerrimas, quippe qui norunt esse necessarias. Qui autem hostis decipiunt, possunt eos tum intectis fiducis, incautos offendere, tum fugandi sui facultate tradita, reddere turbatos, tum simulata fuga, in locos difficileis subducere, hicq; adoriri. Est igitur, inquit, opus ubi hæc omnia studiose didiceris, non his solum utaris, sed tuo quoque ingenio alia aduersus hostis moliare: quemadmodum musici non his utuntur duntaxat, quos didicere, sed alios nouos modulos facere studeant. Ac sicuti in musicis quoque noua & florida habentur plurimum in precio, sic in rebus bellicis noua inuenta existimantur longe illustriora: quoniā hæc magis

καὶ μὴ πλεονεκτεῖν καὶ πλεονεκτεῖν. διῄρει δὲ τούτων ἅ τε πρὸς τοὺς φίλους ποιητέον εἴη, καὶ ἃ πρὸς τοὺς ἐχθρούς. Καὶ ἔτι δὲ πρὸς ταῦτα ἐδίδασκεν, ὡς τοὺς φίλους δίκαιον ἂν εἴη ἐξαπατᾶν, ἐπί γε ἀγαθῷ, καὶ κλέπτειν τὰ τῶν φίλων, ἐπί τε ἀγαθῷ. ταῦτα δὲ διδάσκοντα, ἀνάγκη καὶ γυμνάζειν ἦν πρὸς ἀλλήλους τοὺς παῖδας ταῦτα ποιεῖν. ὥσπερ καὶ ἐν πάλῃ φασὶ τοὺς Ἕλληνας διδάσκειν ἐξαπατᾶν, καὶ γυμνάζειν δὲ τοὺς παῖδας πρὸς ἀλλήλους τοῦτο δύνασθαι ποιεῖν. γενόμενοι οὖν τινες οὕτως εὐφυεῖς, καὶ πρὸς τὸ εὖ ἐξαπατᾶν, καὶ πρὸς τὸ εὖ πλεονεκτεῖν, ἴσως δὲ καὶ πρὸς τὸ φιλοκερδεῖν οὐκ ἀφυεῖς ὄντες, οὐκ ἀπείχοντο οὐδὲ ἀπὸ τῶν φίλων, τὸ μὴ οὐχὶ πλεονεκτεῖν αὐτῶν πειρᾶσθαι. ἐγένετο οὖν ἐκ τούτου ῥήτρα, ᾗ καὶ νῦν χρώμεθα ἔτι, ἁπλῶς διδάσκειν τοὺς παῖδας, ὥσπερ τοὺς οἰκέτας πρὸς ἡμᾶς αὐτοὺς διδάσκομεν ἀληθεύειν, καὶ μὴ ἐξαπατᾶν, μὴ δὲ κλέπτειν, μὴ δὲ πλεονεκτεῖν. εἰ δὲ παρὰ ταῦτα ποιοῖεν, κολάζειν, ὅπως σὺν τοιούτῳ ἔθει ἐθισθέντες, πρᾳότεροι πολῖται γένοιντο. ἐπεὶ δὲ ἔχοιεν τὴν ἡλικίαν, ἣν σὺ νῦν ἔχεις ἤδη, καὶ τὰ πρὸς τοὺς πολεμίους νόμιμα ἐδόκει ἀσφαλὲς εἶναι διδάσκειν. οὐδὲ γὰρ ἂν ἔτι ἐξενεχθῆναι δοκεῖτε πρὸς τὸ ἄγριοι πολῖται γενέσθαι, ἐν τῷ αἰδεῖσθαι ἀλλήλους συντεθραμμένοι. ὥσπερ γε καὶ περὶ ἀφροδισίων οὐ διαλεγόμεθα πρὸς τοὺς ἄγαν νέους, ἵνα μὴ πρὸς τῇ ἰσχυρᾷ ἐπιθυμίᾳ αὐτοῖς ῥᾳδιουργίας προσγενομένης, ἀμέτρως αὐτῇ χρῷντο οἱ νέοι. νὴ Δί', ἔφη, ὡς τοίνυν ὀψιμαθῆ με ὄντα τούτων τῶν πλεονεξιῶν, ὦ πάτερ, μὴ φείδου εἴ τι ἔχεις διδάσκειν, ὅπως πλεονεκτήσω ἐγὼ τῶν πολεμίων. μηχανῶ τοίνυν, ἔφη, ὁπόση δὴ δύναμις, τεταγμένοις τοῖς σοῖς ἀτάκτους λαμβάνειν τοὺς πολεμίους, καὶ ὡπλισμένοις ἀόπλους, καὶ ἐγρηγορόσι καθεύδοντας, καὶ φανεροὺς ὄντας, ἀφανὴς ὢν αὐτὸς ἐκείνοις. καὶ ἐν δυσχωρίαις αὐτοὺς γιγνομένους, ἐν ἐρυμνῷ αὐτὸς ὢν ὑποδέξῃ. καὶ πῶς ἄν, ἔφη, τις τοιαῦτα, ὦ πάτερ, ἁμαρτάνοντας δύναιτο τοὺς πολεμίους λαμβάνειν; ὅτι, ἔφη, ὦ παῖ, πολλὰ μὲν τούτων ἀνάγκη ἐστὶ καὶ ὑμᾶς καὶ τοὺς πολεμίους παρέχειν. σιτοποιεῖσθαί τε γὰρ ἀνάγκη ἀμφοτέρους, κοιμᾶσθαί τε ἀμφοτέρους. καὶ ἕωθεν ἐπὶ τὰ ἀναγκαῖα σχεδὸν ἅμα πάντας ἀποχωρεῖν δεῖσθαι. καὶ ταῖς ὁδοῖς ὁποῖαι ἂν ὦσι, τοιαύταις ἀναγκάζεσθαι χρῆσθαι. ἃ χρή σε πάντα κατανοοῦντα, ἐν ᾧ μὲν ἂν ὑμᾶς γιγνώσκῃς ἀσθενεστάτους γιγνομένους, ἐν τούτῳ μάλιστα φυλάττεσθαι. ἐν ᾧ δ' ἂν τοὺς πολεμίους αἰσθάνῃ εὐχειρωτάτους γιγνομένους, ἐν τούτῳ μάλιστα ἐπιτίθεσθαι. πότερον δ', ἔφη ὁ Κῦρος, ἐν τούτοις μόνον ἔστι πλεονεκτεῖν, ἢ καὶ ἐν ἄλλοις τισί; καὶ πολύ γε μᾶλλον, ἔφη, ὦ παῖ. ἐν τούτοις μὲν γὰρ ὡς ἐπὶ τὸ πολὺ πάντες ἰσχυρὰς φυλακὰς ποιοῦνται, εἰδότες ὅτι δέονται. οἱ δ' ἐξαπατῶντες τοὺς πολεμίους, δύνανται καὶ θαρσῆσαι ποιήσαντες ἀφυλάκτους λαμβάνειν, καὶ διῶξαι παρέντες ἀτάκτους ποιῆσαι, καὶ εἰς δυσχωρίαν φυγῇ ὑπαγαγόντες, ἐνταῦθα ἐπιτίθεσθαι. δεῖ δή, ἔφη, ὦ παῖ, φιλομαθῆ σε τούτων πάντων ὄντα, οὐχ οἷς ἂν μάθοις τούτοις μόνοις χρῆσθαι, ἀλλὰ καὶ αὐτὸν ποιητὴν εἶναι τῶν πρὸς τοὺς πολεμίους μηχανημάτων. ὥσπερ καὶ οἱ μουσικοὶ οὐχ οἷς ἂν μάθωσι, τούτοις μόνον χρῶνται, ἀλλὰ καὶ ἄλλα μέλη νέα πειρῶνται ποιεῖν. καὶ σφόδρα μὲν καὶ ἐν τοῖς μουσικοῖς τὰ νέα καὶ ἀνθηρὰ εὐδοκιμεῖ, πολὺ δὲ καὶ ἐν τοῖς πολεμικοῖς μᾶλλον τὰ καινὰ μηχανήματα εὐδοκιμεῖ. ταῦτα γὰρ μᾶλλον

λαγὼς καὶ ἐξαπατᾶν δύναιντο τοὺς πολεμίους. εἰ δὲ σύ γε,
ἔφη, ὦ παῖ, μηδ' ἐν ἄλλο μετενέγκοις ἐπ' ἀνθρώπους, ἢ τὰς
μηχανάς, ἃς καὶ πάνυ ἐπὶ τοῖς μικροῖς θηρίοις ἐμηχα-
νῶ, οὐκ οἴει ἄν, ἔφη, πρόσω πάνυ ἐλάσαι τῆς πρὸς τοὺς πο-
λεμίους πλεονεξίας; σὺ μὲν γὰρ ἐπὶ τὰς ὄρνιθας ἐν τῷ
ἰσχυροτάτῳ χειμῶνι ἀνιστάμενος, ἐπορεύου νυκτός, καὶ
πρὶν κινεῖσθαι τὰς ὄρνιθας, ἐπεποίηντό σοι ἐπὶ τούτῳ
αἱ πάγαι αὐταῖς. καὶ τὸ κεκινημένον χωρίον ἐξείκαστο
τῷ ἀκινήτῳ. ὄρνιθες δὲ ἐπεπαίδευντό σοι, ὥστε σοὶ μὲν
τὰ συμφέροντα ὑπηρετεῖν, τὰς δὲ ὁμοφύλους ὄρνιθας
ἐξαπατᾶν. αὐτὸς δὲ ἐνήδρευες, ὥστε ὁρᾶν μὲν αὐτάς, μὴ
ὁρᾶσθαι δ' ὑπ' αὐτῶν. ἤσκεις δὲ ὑπομελετᾶν τοῦ φθάνειν
ἕλκων τὰ πετεινὰ πρὸ τοῦ φυγεῖν. πρὸς δ' αὖ τὸν λαγῶ,
ὅτι μὲν ἐν σκότει νέμεται, τὴν δ' ἡμέραν ἀποδιδρά-
σκει, κύνας ἔτρεφες, αἳ τῇ ὀσμῇ αὐτὸν ἀνηύρισκον. ὅτι
δὲ ταχὺ ἔφευγεν, ἐπεὶ εὑρεθείη, ἄλλας κύνας εἶχες ἐπιτε-
τηδευμένας, πρὸς τὸ κατὰ πόδας αἱρεῖν. εἰ δὲ καὶ ταύτας
ἀποφύγοι, τοὺς πόρους αὐτῶν ἐκμανθάνων, καὶ πρὸς οἷα
χωρία φεύγειν αἱροῦνται οἱ λαγῷ, ἐν τούτοις τὰ δίκτυα
δυσόρατα ἐνεπετάννυες, ἵνα ἐν τῷ σφόδρα φεύγειν
αὐτὸς ἑαυτὸν ἐμπεσὼν συνδέοι. τοῦ δὲ μηδ' ἐντεῦθεν δια-
φεύγειν, σκοποὺς τοῦ γιγνομένου καθίστης, οἳ ἐγγύθεν τα-
χὺ ἔμελλον ἐπιγενήσεσθαι. καὶ αὐτὸς μὲν σὺ ὄπισθεν κραυ-
γῇ οὐδὲν ὑστεριζούσῃ, τοῦ λαγὼ βοῶν ἐξέπληττες αὐ-
τόν, ὥστε ἀφρόνως ἁλίσκεσθαι. τοὺς δὲ ἔμπροσθεν σιγᾶν δι-
δάξας ἐνεδρεύοντας, λανθάνειν ἐποίεις. ὥσπερ οὖν προεῖ-
πον, εἰ τοιαῦτα ἐθελήσαις καὶ ἐπὶ τοὺς ἀνθρώπους μηχα-
νᾶσθαι, οὐκ οἶδα ἔγωγε, εἴ τινα λίποις ἂν τῶν πολεμίων.
ἢν δέ ποτε ἄρα ἀνάγκη γένηται, καὶ ἐν τῷ ἰσοπέδῳ ἐκ
τοῦ ἐμφανοῦς ὡπλισμένους, καὶ ἀμφοτέρους μάχην συνά-
πτειν, ἐν τῷ τοιούτῳ δή, ὦ παῖ, αἱ ἐκ πολλοῦ παρεσκευ-
ασμέναι πλεονεξίαι μέγα δύνανται. ταύτας δὲ ἐγὼ λέ-
γω εἶναι, ὅταν τῶν στρατιωτῶν εὖ μὲν τὰ σώματα ἠσκημέ-
να ᾖ, εὖ δὲ αἱ ψυχαὶ τεθηγμέναι, εὖ δὲ αἱ πολεμικαὶ
τέχναι μεμελετημέναι ὦσιν. εὖ δὲ χρὴ καὶ τοῦτο εἰδέ-
ναι, ὅτι ὁπόσους ἂν ἀξιοῖς σοι πείθεσθαι, καὶ ἐκεῖνοι πάντες
ἀξιώσουσί σε πρὸ ἑαυτῶν βουλεύεσθαι. μήποτ' οὖν ἀφρόν-
τιστος ἔσο, ἀλλὰ τῆς μὲν νυκτὸς προσκόπει, τί σοι ποιήσου-
σιν οἱ ἀρχόμενοι, ἐπειδὰν ἡμέρα γένηται. τῆς δὲ ἡμέρας,
ὅπως τὰ εἰς νύκτα κάλλιστα ἕξει, ὅπως δὲ χρὴ τάττειν εἰς
μάχην στρατιάν, ἢ ὅπως ἄγειν ἡμέρας ἢ νυκτός, ἢ στενάς, ἢ
πλατείας ὁδούς, ἢ ὀρεινάς, ἢ πεδινάς, ἢ ὅπως στρατοπε-
δεύεσθαι, ἢ ὅπως φυλακὰς νυκτερινὰς ἢ καὶ ἡμερινὰς
καθιστάναι. ἢ ὅπως πρὸς πολεμίους προσάγειν, ἢ ἀπά-
γειν ἀπὸ πολεμίων. ἢ ὅπως παρὰ πόλιν πολεμίαν ἄγειν,
ἢ ὅπως πρὸς τεῖχος ἄγειν ἢ ἀπάγειν. ἢ ὅπως νάπας, ἢ πο-
ταμοὺς διαβαίνειν, ἢ ὅπως ἱππικὸν φυλάττεσθαι, ἢ ὅπως
ἀκοντιστὰς ἢ τοξότας. καὶ εἴ γε δή σοι κατὰ κέρας ἄγον-
τι οἱ πολέμιοι ἐπιφανεῖεν, πῶς χρὴ ἀντικαθιστάναι. καὶ
εἰ σοὶ ἐπὶ φάλαγγος ἄγοντι, ἄλλοθέν ποθεν οἱ πολέμιοι
φαίνοιντο, ἢ κατὰ πρόσωπον, πῶς χρὴ ἀντιπαράγειν. ἢ
ὅπως τὰ τῶν πολεμίων ἄν τις μάλιστα αἰσθάνοιτο. ἢ ὅ-
πως τὰ σὰ ἥκιστα οἱ πολέμιοι εἰδεῖεν. ταῦτα δὲ πάντα
τί ἂν ἐγὼ λέγοιμί σοι; ὅσα τε γὰρ ἐγὼ ᾔδειν, πολλά-
κις ἀκήκοας. ἄλλος τε εἴ τις ἐδόκει τι τούτων ἐπίστα-
σθαι, οὐδενὸς αὐτῶν ἠμέληκας, οὐδ' ἀδαὴς γεγένησαι.
δεῖ

gis queunt hostis decipere. Quòd si tu fili, uel aliud ni
hil ad homines transferas, q̃ ea inuēta, quæ propter be
stiolas excogitabas, nō putes admodū meliore esse cōdi
tione aduersus hostis? Tu enim ad capiūdas aues in ue/
hementissima surgēs hyeme ibas noctu: & priusquā mo
uerētur aues, ijs plagellas ob hāc rem figebas: & quē
locū moueras, erat immoto persimilis. Erātq; aues quæ
dā abs te edoctæ, quæ et utilia tibi suppeditarēt, et eius/
dē generis aues deciperent. Ipse uerò ita eras in insidijs
10 locatus, ut auis aspiceres, nec aspicereris ab auib. Nā
te exercueras, ut assequereris aues plagellarum tractu,
an ut fugere eas sineres? Aduersus leporē uerò, quoniā
in tenebris pascitur, diem aūt uitat, canes alebas, quæ
odoratu eū inuenirēt. Et qui celeriter fugeret, ubi esset
inuētus, alias habebas canes, quæ erāt eruditæ ad eum
intercipiendū. Quòd si ab ijs etiā euasisset cognito le/
porū transitu ac saltu, & ad quos locos fugiētes, à ue
natorib. capiūtur, hic casses uisu difficiles tetendisses,
quò in uehemēti cursu ipse seipsum incidens cōnecte/
20 ret. Quò aūt neq; hic diffugeret, eius rei speculatores
cōstituebas, qui ex propinquo loco e uestigio superueni
rent: atq; ipse tu à tergo clamore obstrepēs, cōtinuò ita
leporē exterrebas, ut stupidus caperetur. Qui uerò an
terius erant in insidijs, hos tu silentiū edoctos obseruas/
re, latēre faciebas. Quemadmodū igitur ante dixi si res
huiusmodi uelles etiā aduersus homines ipsos excogita
re ac moliri, nescio equidē si quid rerum bellicarū præ
termitteres. Si quādo igitur necesse fuerit & in campe
stri planitie, & aperto Marte, & armatis utrisq; manū
30 conserere, in huiusmodi casu fili, cōditiones quæ para
tæ meliores fuerint, plurimū possunt. Has aūt esse dico,
si & milites bene fuerint exercitati corporibus, & ani
mis bene excitati atq; acres redditi, & meditationibus
bellicarū artiū bene instructi. Hoc te præterea quāopti
me oportet nosse, quicunq; ipse duxeris dignum ut tibi
pareant, eos omnis dignum iudicaturos, ut talis sis, qui
præcipuè sibi consulas. Nunquā igitur temerè tibi ha/
bendum est, qui antea noctu cōsideres, quid subditos fa
cere oporteat, cū dies aduenerit. Interdiu uerò quomo
40 do res nocturnæ perpulchrè sint ordinandæ, et quo pa
cto sit instruēdus ad pugnā exercitus, aut quomodo in
terdiu ducendus sit, quomodo noctu, uel angustis, uel
latis itineribus, uel montuosis, uel cāpestrib. aut qui sit
castrametandū: aut quomodo nocturnæ excubiæ, diur/
næue custodiæ sint constituendæ: aut quo pacto sit uel
adigendus aduersus hostis miles, uel ab hostibus abigē
dus: aut qua ratione aduersus hostilem urbē oporteat
exercitū ducere: aut quo pacto is ad murum ducendus
sit, aut inde abducendus: aut quomodo uel per nemora
50 sit, uel per flumina transeundum: aut qua item ratione
tuendus sit equitatus: aut qua uia iaculatores sint sagit
tarijque custodiēdi. Siq; ubi tu exercitū ducas in cornu,
hostes superuenerint, ut is cōtrà sit disponendus. Quod
si ubi illum agas in phalange, ex alio quopiā loco ho/
stes appareāt q̃ ad faciē, qua sit ratione illis occurren/
dum quò aut quæ gerūtur ab hostib. quis maximè sen
tiat, aut res tuas minime hostes sciāt. Hæc aūt omnia qd
tibi dicam esse opus? Nam quæcūq; ipse tenēā, persæpe
audisti, præsertim quod si quis horū aliquid scire uide/
retur, eorū nihil neq; neglexeris, neq; minus didiceris.

Oportet igitur cum aliqua huiusmodi acciderint, his uti praeceptis, quaecunq; tibi conducere uideantur. Disce praeterea uel in primis haec ab me fili. Nam praeter sacrificia & auguria neq; solus, neq; cum exercitu ullum discrimen adeas, animo uoluens solere homines res gerendas eligere coniectatione potius, quam quod nórint, a quibus ipsarum rerum bona futura sint. Verùm scias ea esse ab his, quae eueniunt. Multi enim persuaserunt ciuitatibus, & hi quidem qui sapientissimi uidentur, aduersus hos bellum suscipere, quorum ea usae persuasionibus periere. Multi etiam auxere multos & priuatos homines & respublicas, quorum amplificatio ijs maxima attulit mala. Multi quoque his, quibus poterant amicis uti per mutua beneficia, cum maluissent seruis uti quàm amicis, his ipsis dedere poenas. Multi item non contenti ea uitae parte, quae in uoluptate est posita, cum uoluissent omnium esse domini, propterea amiserunt etiam quae habebant. Multi quoque ubi diuitias quas maxime optabant, adepti essent, propter illas perierunt. Et ita humana sapientia nihilo magis nouit expetere summum bonum, quā si quis hoc agat, quod ei sorte tributum est. Sciunt enim, charissime fili, dij immortales omnia & praeterita & praesentia, & quae sunt ex ijs singillatim euentura: consulentibusque hominibus, dij ipsi quibuscunque sint propitij, ante significant, quaeque facienda sunt, quaeque non facienda. Quod si minus omnibus consulere dij uolunt, nihil est mirandum. Non enim coguntur necessitate ea curare, quae nolint.

XENOPHONTIS DE PAEDIA CYRI LIBER SECVNDVS, FRANCISCO Philelpho interprete.

Cum talia differentes ad fines usq; Persidis uenissent, essetq; ijs aquila dextera apparens itineris dux facta, deos heroasq; precati, terram colentes Persida, ut se propitij mitterent ac mites, ita fines superarunt. His uerò superatis cum rursus orationem habuissent ad deos qui Mediam habitant, ut se propitij mitesq; exciperent, mutua se charitate pro dignitate complexi, pater Cambyses reuertit in Persas, Cyrus filius in Medos ad Cyaxarem proficiscitur. Qui cum uenisset, primùm, ut par erat, se inuicem amice complexi sunt. dein rogabat Cyrum Cyaxares, quantum agmen duceret. Cui respondit Cyrus, uiginti millia à sese duci, qui & antea ad uos ierant stipendio conducti. Alij etiam qui nunquam egressi sunt, praeter hos, ueniunt ex ordine optimatum. Hi quot sunt? inquit Cyaxares. Numerus, inquit Cyrus, si audieris, sit tibi minime iucundus. Sed illud cogitato, quòd pauci optimatis, qui ab honoris paritate homotimi uocantur, facile in alios Persas, qui sunt permulti, imperium gerunt. Verum num tibi ijs opus est? an frustra timuisti? Hostésne fortasse non ueniunt? Venient, inquit, certe, & multi quidem. Qui hoc nosti? Quoniam, inquit, multi qui inde ueniunt, alius alio modo, omnes tamen idem dicunt. Certandū est igitur nobis aduersus uiros? Est enim, inquit, necessariū. Quid igitur, inquit Cyrus, nondum uires dixisti mihi, quan-

δέεσθαι πρὸς τὰ συμβαίνοντα οἶμαι τούτοις χρῆσθαι, ὁποίοις ἄν σοι ἀεὶ συμφέρειν τούτων δοκῇ. μάνθανε δέ μου, ὦ παῖ, καὶ τάδε, ἔφη, τὰ μέγιστα. παρὰ γὰρ ἱερὰ καὶ οἰωνοὺς μήτ᾽ ἐν σαυτῷ μηδέποτε, μήτ᾽ ἐν τῇ στρατιᾷ κινδυνεύσῃς, κατανοῶν, ὡς ἄνθρωποι μὲν αἱροῦνται πράξεις εἰκάζοντες, εἰδότες δὲ οὐδὲν ἀπὸ ποίας ἔσται αὐτοῖς τἀγαθόν. γνοίης δ᾽ ἂν ἐξ αὐτῶν τῶν γιγνομένων. πολλοὶ μὲν γὰρ ἤδη πόλεις ἔπεισαν, καὶ ταῦτα οἱ δοκοῦντες σοφώτατοι εἶναι, πόλεμον ἄρασθαι πρὸς τούτους, ὑφ᾽ ὧν οἱ πεισθέντες ἐπιθέσθαι ἀπώλοντο. πολλοὶ δὲ πολλοὺς ηὔξησαν ἤδη καὶ ἰδιώτας καὶ πόλεις, ὑφ᾽ ὧν αὐξηθέντων τὰ μέγιστα κακὰ ἔπαθον. πολλοὶ δὲ οἷς ἐξῆν φίλοις χρῆσθαι, καὶ εὖ ποιεῖν καὶ εὖ πάσχειν, τούτοις δούλοις μᾶλλον βουληθέντες ἢ φίλοις χρῆσθαι, ὑπ᾽ αὐτῶν τούτων δίκην ἔδοσαν. πολλοῖς δ᾽ οὐκ ἤρκεσεν αὐτοῖς τὸ μέρος ἔχουσι ζῆν ἡδέως, ἐπιθυμήσαντες δὲ πάντων κύριοι εἶναι, διὰ ταῦτα καὶ ὧν εἶχον ἀπέτυχον. πολλοὶ δὲ τὸν πολύευκτον χρυσὸν κτησάμενοι, διὰ τοῦτον ἀπώλοντο. οὕτως ἥ γε ἀνθρωπίνη σοφία, οὐδὲν μᾶλλον οἶδε τὸ ἄριστον αἱρεῖσθαι, ἢ εἰ κληρούμενος ὅ, τι λάχοι τοῦτό τις πράττοι. θεοὶ δ᾽, ὦ παῖ, ἀεὶ ὄντες, πάντα ἴσασι τά τε γεγενημένα, καὶ τὰ ὄντα, καὶ ὅ, τι ἐξ ἑκάστου αὐτῶν ἀποβήσεται. καὶ τῶν συμβουλευομένων ἀνθρώπων, οἷς ἂν ἵλεω ὦσι, προσημαίνουσιν, ἅ, τε χρὴ ποιεῖν, καὶ ἃ οὐ χρή. εἰ δὲ μὴ πᾶσιν ἐθέλουσι συμβουλεύειν, οὐδὲν θαυμαστόν. οὐ γὰρ ἀνάγκη αὐτοῖς ἐστιν, ὧν ἂν μὴ θέλωσιν ἐπιμελεῖσθαι.

ΞΕΝΟΦΩΝΤΟΣ ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ ΔΕΥΤΕΡΟΝ.

ΤΟΙΑΥΤΑ μὲν δὴ ἀφίκοντο διαλεγόμενοι μέχρι τῶν ὁρίων τῆς περσίδος. ἐπεὶ δὲ αὐτοῖς αἰετὸς δεξιὸς φανεὶς προηγεῖτο, προσευξάμενοι θεοῖς, καὶ ἥρωσι τοῖς περσίδα γῆν κατέχουσιν, ἵλεως καὶ εὐμενεῖς πέμπειν σφᾶς, οὕτω διέβαινον τὰ ὅρια. ἐπειδὴ δὲ διέβησαν, προσηύχοντο αὖθις θεοῖς τοῖς μηδίαν γῆν κατέχουσιν, ἵλεως καὶ εὐμενεῖς δέχεσθαι αὐτούς. ταῦτα δὲ ποιήσαντες, ἀσπασάμενοι ὥσπερ ἀλλήλους εἰκός, ὁ μὲν πατὴρ πάλιν εἰς πέρσας ἀπῄει, κῦρος δὲ εἰς μήδους πρὸς κυαξάρην ἐπορεύετο. ἐπεὶ δὲ ἀφίκετο ὁ κῦρος εἰς μήδους πρὸς τὸν κυαξάρην, πρῶτον μὲν ὥσπερ εἰκός, ἠσπάσαντο ἀλλήλους, ἔπειτα δὲ ἤρετο τὸν κῦρον ὁ κυαξάρης, πόσον τι ἄγοιτο στράτευμα. ὁ δ᾽ ἔφη, δισμυρίους μὲν, οἳ καὶ πρόσθεν ἐφοίτων πρὸς ὑμᾶς μισθοφόροι. καὶ ἄλλοι δὲ τῶν οὐδεπώποτε ἐξελθόντων προσέρχονται τῶν ὁμοτίμων. πόσοι τινές, ἔφη ὁ κυαξάρης. οὐκ ἂν ὁ ἀριθμός σε, ἔφη ὁ κῦρος, ἀκούσαντα εὐφρανεῖ. ἀλλ᾽ ἐκεῖνο ἐννόησον, ὅτι ὀλίγοι ὄντες οὗτοι οἱ ὁμότιμοι καλούμενοι, πολλῶν ὄντων τῶν ἄλλων περσῶν, ῥᾳδίως ἄρχουσιν. ἀτάρ, ἔφη, δέῃ τι αὐτῶν, ἢ μάτην ἐφοβήθης, οἱ δὲ πολέμιοι οὐκ ἔρχονται; ναὶ μὰ δί᾽, ἔφη, καὶ πολλοί γε. πῶς τοῦτο σαφές; ὅτι, ἔφη, πολλοὶ ἥκοντες αὐτόθεν, ἄλλος ἄλλον τρόπον, πάντες ταυτὰ λέγουσιν. ἀγωνιστέον ἄρα ἡμῖν πρὸς τοὺς ἄνδρας; ἔφη, ἀνάγκη. τί οὖν, ἔφη ὁ κῦρος, οὐ καὶ τὴν δύναμιν ἔλεξάς μοι, εἰ οἶσθα, πόση

πόση τις ἡ προσιοῦσα, καὶ πάλιν τὴν ἡμετέραν, ὅπως εἰδότες ἀμφοτέρας, πρὸς ταῦτα βουλευώμεθα, ὅπως ἂν ἄριστα ἀγωνιζώμεθα; ἄκουε δή, ἔφη ὁ κυαξάρης· κροῖσος μὲν ὁ λυδὸς ἄγειν λέγεται μυρίους μὲν ἱππέας, πελταστὰς δὲ καὶ τοξότας πλείους ἢ τετρακισμυρίους. ἀρτακάμαν δὲ τὸν τῆς μεγάλης φρυγίας ἄρχοντα λέγουσιν, ἱππέας μὲν εἰς ὀκτακισχιλίους ἄγειν, λογχοφόρους δὲ σὺν πελτασταῖς οὐ μείους τετρακισμυρίων. ἀρίβαιον δὲ τὸν τῶν καππαδοκῶν βασιλέα ἱππέας μὲν εἰς ἑξακισχιλίους, τοξότας δὲ καὶ πελταστὰς οὐ μείους τρισμυρίων. τὸν ἀράβιον δὲ μάραγδον, ἱππέας τε εἰς μυρίους, καὶ ἅρματα εἰς ἑκατόν, καὶ σφενδονητῶν, πάμπολύ τι χρῆμα. τοὺς μέντοι ἕλληνας τοὺς ἐν τῇ ἀσίᾳ οἰκοῦντας, οὐδέν πω σαφὲς λέγεται, εἰ ἕπονται. τοὺς δὲ ἀπὸ φρυγίας τῆς παρ' ἑλλήσποντον, συμβαλεῖν φασι γαβαῖον, ἔχοντα εἰς καΰστρου πεδίον, ἑξακισχιλίους μὲν ἱππεῖς, πελταστὰς δὲ εἰς μυρίους. κᾶρας μέντοι καὶ κίλικας καὶ παφλαγόνας παρακληθέντας, οὔ φασιν ἕπεσθαι. ὁ δὲ ἀσσύριος αὐτός, ὁ βαβυλῶνά τε ἔχων καὶ τὴν ἄλλην ἀσσυρίαν, ἐγὼ μὲν οἶμαι ἱππέας μὲν ἄξει οὐ μεῖον δισμυρίων, ἅρματα δ' εὖ οἶδ' οὐ πλείω διακοσίων. πεζοὺς δὲ οἶμαι παμπόλλους. εἰώθει γοῦν ὁπότε δεῦρ' ἐμβάλλει. σύ, ἔφη ὁ κῦρος, πολεμίους λέγεις, ἱππέας μὲν εἰς ἑξακισμυρίους εἶναι, πελταστὰς δὲ καὶ τοξότας πλέον ἢ εἴκοσι μυριάδας. ἄγε δὴ τῆς σῆς δυνάμεως τί πλῆθος φὴς εἶναι; εἰσίν, ἔφη, μήδων ἱππεῖς μὲν πλέους τῶν μυρίων, πελτασταὶ δὲ καὶ τοξόται γένοιντ' ἂν ὡς ἐπὶ τῆς ἡμετέρας, κἂν ἑξακισμύριοι. ἀρμενίων δ', ἔφη, τῶν ὁμόρων ἡμῖν παρέσονται, ἱππεῖς μὲν τετρακισχίλιοι, πεζοὶ δὲ δισμύριοι. λέγεις σύ, ἔφη ὁ κῦρος, ἱππέας μὲν ἡμῖν εἶναι, μεῖον ἢ τρίτον μέρος τοῦ τῶν πολεμίων ἱππικοῦ. πεζοὺς δὲ σχεδόν, ἀμφὶ τοὺς ἡμίσεις. τί οὖν, ἔφη ὁ κυαξάρης, ὀλίγους νομίζεις περσῶν εἶναι, οὓς σὺ φὴς ἄγειν; ἀλλ' εἰ μὲν ἀνδρῶν προσδεῖ ἡμῖν, ἔφη ὁ κῦρος, εἴτε καὶ μή, αὖθις βουλευσόμεθα. τὴν δὲ μάχην μοι, ἔφη, λέξον ἑκάστων, ἥτις ἐστί. σχεδόν, ἔφη ὁ κυαξάρης, πάντων ἡ αὐτή. τοξόται γάρ εἰσι καὶ ἀκοντισταί, οἵ τ' ἐκείνων, καὶ οἱ ἡμέτεροι. οὐκοῦν, ἔφη ὁ κῦρος, ἀκροβολίζεσθαι ἀνάγκη ἐστί, τοιούτων γε τῶν ὅπλων ὄντων. ἀνάγκη γὰρ οὖν, ἔφη ὁ κυαξάρης. οὐκοῦν ἐν τούτῳ μέν, ἔφη ὁ κῦρος, τῶν πλειόνων ἡ νίκη. πολὺ γὰρ ἂν θᾶττον οἱ ὀλίγοι ὑπὸ τῶν πολλῶν τιτρωσκόμενοι ἀναλωθείησαν, ἢ ὑπὸ τῶν ὀλίγων οἱ πολλοί. εἰ οὖν οὕτως ἔχει, ἔφη, ὦ κῦρε, τί ἄν, ἄλλο τις κρεῖττον εὕροι, ἢ πέμπειν εἰς πέρσας, καὶ ἅμα μὲν διδάσκειν αὐτούς, ὅτι εἴ τι πείσονται μῆδοι, πέρσαις τὸ δεινὸν ἥξει, ἅμα δὲ αἰτεῖν πλεῖον στράτευμα; ἀλλὰ τοῦτο μέν, ἔφη ὁ κῦρος, εὖ ἴσθι, ὅτι οὐδ' εἰ πάντες ἔλθοιεν πέρσαι, πλήθει γε, οὐκ ἂν ὑπερβαλοίμεθα τοὺς πολεμίους. τί μὴν ἄλλο τι σὺ ὁρᾷς ἄμεινον τούτου; ἐγὼ μὲν ἄν, ἔφη ὁ κῦρος, εἰ ἔχοιμι ὡς τάχιστα ὅπλα ἐποιούμην πᾶσι πέρσαις τοῖς προσιοῦσιν, οἷάπερ ἔρχονται ἔχοντες οἱ ὑπὲρ ἡμῶν, οἱ τῶν ὁμοτίμων καλούμενοι. ταῦτα δ' ἐστί, θώραξ μὲν περὶ τὰ στέρνα, γέρρον δὲ εἰς τὴν ἀριστεράν· κοπὶς δὲ ἢ σάγαρις εἰς τὴν δεξιάν. κἂν ταῦτα παρασκευάσῃς, ἡμῖν μὲν ποιήσεις τὸ ὁμόσε τοῖς ἐναντίοις ἰέναι, ἀσφαλέστατον· τοῖς πολεμίοις δὲ τὸ φεύγειν, ἢ τὸ μένειν αἱρετώτερον.

τάττομεν

quanta sint adorientium hostium, quae item nostra, quò ambabus cognitis, ad haec nos consultemus, ut certemus optime? Accipe igitur, inquit Cyaxares. Croesus quidem Lydus ducere fertur secum equites decē millia, scutatos uero atq; sagittarios pluresquam quadraginta millibus. Sed Artacamā, qui magnae Phrygiae est princeps, aiunt ducere equites ad octo millia: hastatos autem simul cum scutatis nō pauciores quā quadraginta millia. Aribaeum autem Cappadocū regem equites ducere sex millia: sagittarios uerò & scutatos non paucioris triginta millibus. At Maragdum Araba, & equites ducere ferunt ad decem millia, & currus centum, & funditores magno quodam numero. Atqui Graeci qui habitant in Asia, nondum certò dicitur, an sequuntur. Sed qui sunt ex Phrygia quae Hellesponto adiacet, eos commisceri tradunt Gabaeo, qui habet ad Caystrum campum sex millia equitum, & scutatos ad decem millia. Caras quidem ac Cilicas & Paphlagonas uel rogatos minime aiunt sequi. At Assyrius qui habet & Babylona, & aliam Assyriam, ut existimo, ducet equites non paucioris quam uiginti millia: currus, id quod certò scio, non pluris quàm ducentos: pedites uerò, ut arbitror, permultos. Ita enim consueuit, cum huc impetum facit. Tu, inquit Cyrus, hostes esse dicis equites sexaginta millia, scutatos autem & sagittarios plus quam ducenta millia, age nunc exercitum tuum quantum esse dicis? Sunt, inquit, Medi equites quidem supra decem millia. Scutati uerò & sagittarij fiant in nostro scilicet regno, saltem sexaginta millia. Ex Armenijs uerò, qui finitimi nobis sunt, equites aderunt quatuor millia, pedites uiginti millia. Dicis tu, inquit Cyrus, equites nobis esse minus quàm tertiam partem hostium equitatus, pedites uerò circiter dimidium? Quid igitur, inquit Cyaxares, non paucos esse putas Persarum pedites, quos ais ducere? Si utris, inquit Cyrus, nobis etiam opus est, siue non est, rursus consultabimus. Verùm pugnam mihi dicito, quae est cuiusque. Ferè, inquit Cyaxares, eadem est omnium. Sagittarij enim sunt ac iaculatores, & illorum, & nostri. Ergo in armis huiusmodi, inquit Cyrus, opus est uti feremariorum dimicatione. Necessariò enim, inquit Cyaxares. In hac igitur re plurimum est uictoria. Longè enim celerius pauci à multis uulnerati absumentur, quàm à paucis multi. Si ergo ita res habet Cyre, quid aliud quis inueniat melius, quàm mittere in Persas, unáque docere, si quid mali Medi patiantur, fore, ut in Persas clades eat, simulque maioris copias petere? At hoc uelim scias, Cyrus inquit, neque si omnes ueniant Persae, possimus hostes multitudine excedere. Num hac re aliud quicquam melius intueris? Equidem, inquit Cyrus, si facultas sit, arma facerem quamprimum Persis omnibus aduenientibus, qualia his sunt ueteranis, qui à nobis uocantur homotimi. Haec autem sunt circa pectus thorax, & cratis in laeua manu, & mucro aut securis in manu dextra. Si haec nobis paraueris, facies ut & ipsi securius obuiam eamus aduersus hostis, & hostes fugere quàm manere magis expetāt.

Instruimus aūt nosipsos aduersus illos qui manserint: nobis uero equitibusq; uestris illos tribuimus, quicūq; ex iis fugerint, quo ne q; manendi, neq; reuertendi facultatē habeant. Cum Cyrus ita dixisset, essetq; Cyaxari uisum cum bene dicere, de pluribus accersendis militib. nullam amplius mentionē faciebat, sed antedicta parabat arma, quæ prope parata erant, cū iā adessent Persarū homotimi, qui Persicū habebāt agmē. Hic igitur Cyrus his uocatis in cōcionē, ita locutus traditur.

CYRI ORATIO.

Ego uos intuens uiri amicissimi, ita instructos armis & animis paratos ad manum cum hostibus conferendam, cognoscens etiam Persas qui uos sequuntur, ita esse armatos tanquā ad pugnā maxime propinquā sint collocati, uereor ne pauci atq; nudi sociis cōgredientes cum hostium multitudine, aduersi quippiā patiantur. Nunc igitur cum ueneritis habentes proborū uirorū corpora, & sociis arma futura sint nostris similia, uestrum opus erit eorum animos acuere, ad pugnamq; fortis reddere. Decet enim principē non se bonum præstare duntaxat, uerumetiā pro subditis diligētiam gerere, ut quamoptimi sint futuri. Cyrus ita locutus est. At hi omnes lætati sunt, cum putarent sibi esse cum maiore multitudine dimicandū, quorū unus huiusmodi uerba habuit: At ego absurdam fortassis habere uidebor orationem, si Cyro consulero, ut pro nobis aliqua uerba faciat, cum hi arma ceperint, qui nobiscum unà in pugnam socii sunt ituri. Enimuero cognoscere mihi uideor eorum orationes, qui plurimum ualent & ad bene et ad male agendum, has maxime reddere auditores persuasos: siq; a talibus dentur dona, quanquā etiam minora sint quam ea quæ à sui similib. uiris dantur, ea tamen pluris æstimant, qui accipiunt. Et nūc, inquit, astantes Persæ maiore cum uoluptate Cyri adhortationē, q̄ nostram excipiēt. Et in homotimorū ordinē constituti, hoc sibi munus certius ducent, si & à regis filio et ab imperatore collatum fuerit, quàm si à nobis idem hoc fiat. Quanquā ne nostræ quidē adhortationes abesse debent, omni tamē modo uirorū animositas acuenda est omnino. Nobis enim hoc cōducet, quomodocūq; hi meliores fiāt. Vbi ergo Cyrus ita in mediū arma posuisset, atq; omnis Persarum milites cōuocasset, huiusmodi orationē habuit:

ORATIO CYRI.

Vos uiri Persæ, ut et in eodē estis, ubi nos, orti solo atq; enutriti, & corpora nihilo quàm nos, habetis deteriora: ita et animos uestros nihilo esse cōuenit nostris humiliores. Cum tales aūt estis, non tamen in patria iisdem quib. nos, honoribus fungebamini: et ne id quidem, quod per nos essetis expulsi, sed quia necesse foret, nobis necessaria pararetis. Nunc uero ut hæc sitis habituri, mihi cū diuina benignitate erit curæ. Licet aūt uobis, si libuerit, acceptis armis qualia nobis sunt, & si quid estis quàm nos inferiores, iidē nobiscū obire periculū: & si quid præclari ac boni ex hisce euenerit, æquè atq; nosipsos honorari. Superiore tēpore et uos sagittarii iaculatoresq; eratis, et nos itē. ac si quid eratis quàm nos, ad hæc faciūda deteriores, nihil mirandū. Non enim erat uobis ut nobis otiū circa horū diligētiam. In hoc aūt armorū genere nobis nihilo præsta-

τὰς πρόσθεν δ', ἔφη, ἡμᾶς μὲν αὐτοὺς ἤδη τοὺς μένοντας. οἳ δ' ἂν αὐτῶν φεύγωσι, τούτους ὑμῖν καὶ τοῖς ἵπποις νέμομεν, ὡς μὴ σχολάζωσι μήτε φεύγειν μήτε ἀναστρέφεσθαι. Κῦρος μὲν οὕτως ἔλεξε. τῷ δὲ Κυαξάρῃ ἐδόκει τε εὖ λέγειν, καὶ τοῦ μὲν πλείους μεταπέμπεσθαι οὐκέτι ἐμέμνητο, παρεσκευάζετο δὲ ὅπλα τὰ προειρημένα. καὶ σχεδόν τε ἕτοιμα ἦν, καὶ τῶν Περσῶν οἱ ὁμότιμοι παρῆσαν, ἔχοντες τὸ ἀπὸ Περσῶν στράτευμα. ἔνθα δὴ εἰπεῖν λέγεται ὁ Κῦρος, συναγαγὼν αὐτούς, τάδε.

ΔΗΜΗΓΟΡΙΑ ΚΥΡΟΥ.

Ἄνδρες φίλοι, ἐγὼ ὑμᾶς ὁρῶν αὐτοὺς μὲν καθωπλισμένους οὕτως, καὶ ταῖς ψυχαῖς παρεσκευασμένους, ὡς εἰς χεῖρας συμμίξοντας τοῖς πολεμίοις· τοὺς δ' ἑπομένους ὑμῖν Πέρσας, γιγνώσκων ὅτι οὕτως ὡπλισμένοι εἰσίν, ὡς ὅτι προσωτάτω ταχθέντες μάχεσθαι, ἔδεισα μὴ ὀλίγοι ὄντες καὶ ἔρημοι συμμάχων, συμπίπτοντες πολεμίοις πολλοῖς, πάθοιτέ τι. νῦν οὖν, ἔφη, σώματα μὲν ἔχοντες ἀνδρῶν ἥκετε, οὐ μεμπτά· ὅπλα δ' ἔσται αὐτοῖς ὅμοια τοῖς ἡμετέροις, τάς γε μὴν ψυχὰς αὐτῶν θήγειν, ἡμέτερον ἔργον. ἄρχοντος γάρ ἐστιν, οὐκ αὐτὸν μόνον ἀγαθὸν εἶναι, ἀλλὰ καὶ τῶν ἀρχομένων ἐπιμελεῖσθαι, ὅπως ὡς βέλτιστοι ἔσονται. ὁ μὲν οὕτως εἶπεν. οἱ δ' ἥσθησαν μὲν πάντες, νομίζοντες μετὰ πλειόνων ἀγωνιεῖσθαι. εἷς δ' αὐτῶν καὶ ἔλεξε τοιάδε· ἀλλὰ θαυμαστὰ μὲν, ἔφη, ἴσως δόξω λέγειν, εἰ Κύρῳ συμβουλεύσω τι εἰπεῖν ὑπὲρ ἡμῶν, ὅταν τὰ ὅπλα λαμβάνωσιν οἱ ἡμῖν μέλλοντες συμμαχεῖσθαι. ἀλλὰ γιγνώσκω γάρ, ἔφη, ὅτι οἱ τῶν ἱκανωτάτων καὶ εὖ καὶ κακῶς ποιεῖν λόγοι, οὗτοι καὶ μάλιστα ἐνδύονται ταῖς ψυχαῖς τῶν ἀκουόντων. κἂν δῶρα διδῶσιν οἱ τοιοῦτοι, κἂν μείω τυγχάνῃ ὄντα, ἢ τὰ παρὰ τῶν ὁμοίων, ὅμως μείζονος αὐτὰ τιμῶνται οἱ λαμβάνοντες. καὶ νῦν, ἔφη, οἱ Πέρσαι παρακληθέντες ὑπὸ Κύρου, πολὺ μᾶλλον ἡσθήσονται, ἢ ὑφ' ἡμῶν παρακαλούμενοι. εἰς τε τοὺς ὁμοτίμους καθιστάμενοι, βεβαιοτέρως σφίσιν ἡγήσονται ἔχειν τοῦτο, ὑπὸ βασιλέως τε παιδὸς καὶ ὑπὸ στρατηγοῦ γιγνόμενον, ἢ ὑφ' ἡμῶν εἰς τὸ αὐτὸ τοῦτο ἄγοιντο. ἀπεῖναι μέντοι οὐδὲ τὰ ἡμέτερα χρή· ἀλλὰ παντὶ τρόπῳ δεῖ τῶν ἀνδρῶν θήγειν πάντως τὰ φρονήματα. ἡμῖν γὰρ ἔσται τοῦτο χρήσιμον, ὅτι ἂν οὗτοι βελτίονες γίγνωνται. οὕτω δὴ ὁ Κῦρος καταθεὶς τὰ ὅπλα εἰς τὸ μέσον, καὶ συγκαλέσας πάντας τοὺς Περσῶν στρατιώτας ἔλεξε τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΚΥΡΟΥ.

Ἄνδρες Πέρσαι, ὑμεῖς καὶ ἔφυτε ἐν τῇ αὐτῇ ἡμῖν χώρᾳ, καὶ ἐτράφητε, καὶ σώματά τε ἡμῶν οὐδὲν χείρονα ἔχετε. ψυχάς τε οὐδὲν κακίονας ὑμῖν προσήκει ἡμῶν ἔχειν. τοιοῦτοι δ' ὄντες, ἐν μὲν τῇ πατρίδι, οὐ μετείχετε τῶν ἴσων ἡμῖν, οὐχ ὑφ' ἡμῶν ἀπελαθέντες, ἀλλ' ὑπὸ τοῦ τὰ ἐπιτήδεια ἀνάγκην ὑμῖν εἶναι πορίζεσθαι. νῦν δὲ ὅπως μὲν ταῦτα ἕξετε, ἐμοὶ μελήσει σὺν τοῖς θεοῖς. ἔξεστι δ' ὑμῖν εἰ βούλεσθε, λαβοῦσιν ὅπλα, οἷάπερ ἡμεῖς ἔχομεν, εἰς τὸν αὐτὸν ἡμῖν κίνδυνον ἐμβαίνειν, καὶ ἤν τι ἐκ τούτων καλὸν κἀγαθὸν γίγνηται, τῶν ὁμοίων ἡμῖν ἀξιοῦσθαι. τὸν μὲν οὖν πρόσθεν χρόνον, ὑμεῖς τε τοξόται καὶ ἀκοντισταὶ ἦτε, καὶ ἡμεῖς. καὶ εἴ τι χείρους ἡμῶν ταῦτα ποιεῖν ἦτε, οὐδὲν θαυμαστόν. οὐ γὰρ ἦν ὑμῖν σχολή, ὥσπερ ἡμῖν, τούτων ἐπιμελεῖσθαι. ἐν δὲ ταύτῃ τῇ ὁπλίσει, οὐδὲν ἡμεῖς

ἡμεῖς ὑμῖν πορίξομεν. θώρακα μὲν γὰρ περὶ τὰ στέρνα ἁρμόζοντα ἑκάστῳ εἶναι. γέρρον δὲ ἐν τῇ ἀριστερᾷ, ὃ πάντες εἰθίσμεθα φορεῖν. μάχαιραν δὲ ἢ σάγαριν ἐν τῇ δεξιᾷ, ᾗ παίειν τοὺς ἐναντίους δεήσει, οὐδὲν φυλαττομένους, μή τι παίοντας ἐξαμαρτάνωμεν. τί οὖν ἂν ἐν τούτοις ἕτερος ἑτέρου ἡμῶν διαφέροι, πλὴν τόλμης, ἣν οὐδὲν ὑμῖν προσήκει ἧττον ἡμῶν παρέχεσθαι. νίκης τε γὰρ ἐπιθυμεῖν, ἣ τὰ καλὰ πάντα καὶ τὰ ἀγαθὰ κτᾶται καὶ σώζει, τί μᾶλλον ἡμῖν ἢ ὑμῖν προσήκει; κράτους τε, ὃ πάντα τὰ τῶν ἡττόνων τοῖς κρείττοσι δωρεῖται, τί εἰκὸς ἡμᾶς μᾶλλον ἢ καὶ ὑμᾶς τούτου δεῖσθαι; τέλος, εἶπεν, ἀκηκόατε πάντα, ὁρᾶτε τὰ ὅπλα. ὁ μὲν χρῄζων, λαμβανέτω ταῦτα, καὶ ἀπογραφέσθω πρὸς τὸν ταξίαρχον, εἰς τὴν ὁμοίαν τάξιν ἡμῖν. ὅτῳ δ' ἀρκεῖ ἐν μισθοφόρου χώρᾳ εἶναι, καταμενέτω ἐν τοῖς ὑπηρετικοῖς ὅπλοις. ὁ μὲν οὕτως εἶπεν. ἀκούσαντες δὲ οἱ Πέρσαι, ἐνόμισαν εἰ παρακαλούμενοι, ὥστε τὰ ὅμοια πονοῦντες τῶν αὐτῶν τυγχάνειν, μὴ θελήσουσι ταῦτα ποιεῖν, δικαίως ἂν διὰ παντὸς τοῦ αἰῶνος ἀμηχανοῦντες βιοτεύειν. οὕτω δὴ ἀπεγράφοντο πάντες, καὶ ἀνελάβοντο τὰ ὅπλα πάντες. ἐν ᾧ δὲ οἱ πολέμιοι ἐλέγοντο μὲν προσιέναι, παρῆσαν δὲ οὐδέπω, ἐν τούτῳ ἐπειρᾶτο ὁ Κῦρος, ἀσκεῖν μὲν τὰ σώματα τῶν μεθ' ἑαυτοῦ πρὸς ἰσχύν, διδάσκειν δὲ τὰ τακτικά, θήγειν δὲ τὰς ψυχὰς εἰς τὰ πολεμικά. καὶ πρῶτον μὲν λαβὼν παρὰ Κυαξάρου ὑπηρέτας, προσέταξεν ἑκάστοις τῶν στρατιωτῶν, ἱκανῶς ὧν ἐδέοντο πάντα πεποιημένα παρέχειν. τοῦτο δὲ παρασκευάσας, οὐδὲν αὐτοῖς ἄλλο ἐλελοίπει, ἢ ἀσκεῖν τὰ ἀμφὶ τὸν πόλεμον, ἐκεῖνο δοκῶν καταμεμαθηκέναι, ὅτι οὗτοι κράτιστοι ἕκαστα γίγνονται, οἳ ἂν ἀφέμενοι τοῦ πολλοῖς προσέχειν τὸν νοῦν, ἐπὶ ἓν ἔργον τράπωνται. καὶ αὐτῶν δὲ τῶν πολεμικῶν περιελών, καὶ τὸ τόξῳ μελετᾶν καὶ ἀκοντίῳ, κατέλιπε τοῦτο μόνον αὐτοῖς, τὸ σὺν μαχαίρᾳ καὶ γέρρῳ καὶ θώρακι μάχεσθαι. ὥστε εὐθὺς αὐτῶν παρεσκεύασε τὰς γνώμας, ὡς ὁμόσε ἰτέον εἴη τοῖς πολεμίοις, ἢ ὁμολογητέον μηδενὸς ἀξίους εἶναι συμμάχους. τοῦτο δὲ χαλεπὸν ὁμολογῆσαι, οἳ ἂν εἰδῶσιν, ὅτι οὐδὲ δι' ἓν ἄλλο τρέφονται, ἢ ὅπως μάχωνται ὑπὲρ τῶν τρεφόντων. ἔτι δὲ πρὸς τούτοις ἐννοήσας, ὅτι περὶ ὁπόσων ἂν ἐγγένωνται ἀνθρώποις φιλονεικίαι, πολὺ μᾶλλον ἐθέλουσι ταῦτα ἀσκεῖν. ἀγῶνάς τε αὐτοῖς προεῖπεν ἁπάντων, ὁπόσα ἐγίγνωσκεν ἀσκεῖσθαι ἀγαθὸν εἶναι ὑπὸ στρατιωτῶν. ἃ δὲ προεῖπε τάδε ἦν. ἰδιώτῃ μὲν, ἑαυτὸν παρέχειν εὐπειθῆ τοῖς ἄρχουσι, καὶ ἐθελόπονον, καὶ φιλοκίνδυνον μετ' εὐταξίας, καὶ ἐπιστήμονα τῶν στρατιωτικῶν, καὶ φιλόκαλον περὶ ὅπλα, καὶ φιλότιμον ἐπὶ πᾶσι τοῖς τοιούτοις. πεμπαδάρχῳ δ' αὐτὸν ὄντα, οἷόνπερ τὸν ἀγαθὸν ἰδιώτην, καὶ τὴν πεμπάδα εἰς τὸ δυνατὸν τοιαύτην παρέχειν. δεκαδάρχῳ δὲ τὴν δεκάδα, ὡσαύτως δὲ λοχαγῷ τὸν λόχον, ὡς δ' αὕτως ταξιάρχῳ. ὡς δ' αὕτως ἑκάστῳ τῶν ἄλλων ἀρχόντων, ἀνεπίληπτον ὄντα, ἐπιμελεῖσθαι καὶ τῶν ὑφ' αὐτὸν ἀρχόντων, ὅπως ἐκεῖνοι αὖ ὧν ἄρχουσι παρέξουσι τὰ δέοντα ποιοῦντας. ἆθλα δὲ προύφηνε τοῖς μὲν ταξιάρχοις, οἱ κρατίστας δόξαιεν τὰς τάξεις παρεσκευάσθαι, χιλιάρχους ἔσεσθαι. τῶν δὲ λοχαγῶν, οἳ κρατίστους δόξειαν τοὺς λόχους ἀποδεικνύναι, εἰς τὰς τῶν ταξιάρχων χώρας ἐπαναβήσεσθαι. τῶν δ' αὖ δεκαδάρ-

χῶν

præstabimus. Thorax erit circa pectus accommodatus cuiq; & cratis in manu læua, quam omnes gerere consueuimus. Gladius autem uel securis in manu dextra: quibus quidem ipsis ut percutiamus aduersarios opus erit, minimè cauentes, ne quid percutiendo aberremus. Quid igitur in his alter nostrûm alteri præstiterit, præterquam audentia, qua non minus uti uos decet, quàm nosipsos? Appetere enim uictoriam, quæ præclaras res omnis atq; optimas & adipiscitur & tuetur, quid nobis magis quàm uobis conuenit? Et imperio, quod eorum qui uicti sunt, omnia uictoribus elargitur, quid nobis magis opus est quàm uobis? Ad postremum ait: Audistis omnia, aspicite arma, & hæc qui eget, capiat, describaturq; apud ordinis centurionem in similem ordinem, quo descripti nos sumus. Cui autem satis est in mercenarij loco esse, maneat inter ministrandi arma. Cyrus ita locutus est. Quibus auditis Persæ putauerunt fore, ut iure in omne æuum uitam per inopiam agerent, si exhortati ad similem laborem, quo eadem ipsi præmia consequerentur, facere id noluerunt. Ita igitur describuntur omnes, & arma omnes acceperunt. In quo uero tempore aduentare hostes dicebantur, ac nondum aderant, interim enitebatur Cyrus ad uires suorum corpora exercere, docereq; ordinandos milites, & ad res bellicas animos acuere. Quare acceptis primum à Cyaxare ministris, ijs imperauit, ut abundè singulis militibus omnia præberent effecta, quibus foret illis opus. Hoc autem cum parasset, eis reliquit aliud agendum nihil, quàm res bellicas exercere: illud arbitratus didicisse, hos circa singulos esse optimos, qui parcentes rebus pluribus mentem adhibere, circa unum uersarentur opus. Quare ex ipsis rebus bellicis sagittæ ac iaculi meditatione sublata, hoc solum eis reliquit, ut cum gladio crateq; & thorace pugnarent. Quo factum est, ut continuò paratus eos redderet animis, qui aut irent obuiam hostibus, aut concederent se pro nihilo esse habendos socios. Hoc autem molestum est ijs concedere, qui norint se ob aliud nihil ali, quàm ut pro alentibus sint pugnaturi. Ad hæc item cum cogitasset, hæc homines longè malle exercere, quorum gratia lites contentionesq; oriuntur: & ijs ludos pronunciauit omnium rerum quascunque à militibus exerceri cognouit utile esse factu: & hæc pronunciauit, ut homo priuatus principibus se præstaret obedientem, & laboris cupidum, & periculi studiosum cum modestia, & gnarum rerum militarium, & in armis elegantem, & in omnibus huiusmodi rebus ambitiosum. Quincurioni uero se talem exhiberet, qualem bonum decet priuatum, & talem quoad eius fieri potest quincuriã præstaret: & decurioni itidem decuriam, & primipilo manipulum, & ordinis centurioni eodem modo se præberet, nulli culpæ obnoxium circa eorum principum diligentiam, qui sub illo sunt, quò illi rursus præstarent, ut hi quibus præsunt suo fungerentur officio. Præmia etiã declarauit ordinũ centurionibus: eos, qui uisi forent parasse ordines optimè, tribunos futuros: et primipilis, qui uisi essent optimos reddidisse manipulos, eos ascensuros in centurionũ ordinũ locos: et opti-

Instruimus aũt nosipsos aduersus illos qui manserint: nobis uerò equitibusq; uestris illos tribuimus, quicũq; ex iis fugerint, quo neq; manendi, neq; reuertendi facultatẽ habeant. Cum Cyrus ita dixisset, essetq; Cyaxari uisum cum bene dicere, de plurib. accersendis militib. nullam amplius mentionẽ faciebat, sed antedicta parabat arma, quæ prope parata erant, cũ iã adessent Persarũ homotimi, qui Persicũ habebãt agmẽ. Hic igitur Cyrus his uocatis in cõcionẽ, ita locutus traditur.

CYRI ORATIO. 10

Ego uos intuens uiri amicißimi, ita instructos armis & animis paratos ad manum cum hostibus conferendam, cognoscens etiam Persas qui uos sequuntur, ita esse armatos tanquã ad pugnã maximè propinquã sint collocati, uereor ne pauci atq; nudi socijs cõgredientes cum hostium multitudine, aduersi quippiã patiamini. Nunc igitur cum ueneritis habentes proborũ uirorũ corpora, & socijs arma futura sint nostris similia, uestrum opus erit eorum animos acuere, ad pugnamq; fortis reddere. Decet enim principẽ non se bo 20 num præstare duntaxat, uerumetiã pro subditis diligẽtiam gerere, ut quamoptimi sint futuri. Cyrus ita locutus est. At hi omnes lætati sunt, cum putarent sibi esse cum maiore multitudine dimicandũ, quorũ unus huiusmodi uerba habuit: At ego absurdam fortaßis habere uidebor orationem, si Cyro consulero, ut pro nobis aliqua uerba faciat, cum hi arma ceperint, qui nobiscum una in pugnam socij sunt ituri. Enimuero cognoscere mihi uideor eorum orationes, qui plurimum ualent & ad bene et ad male agendum, has maximè 30 reddere auditores persuasos: siq; a talibus dentur dona, quanquã etiam minora sunt quam ea quæ à sui similib. uiris dantur, ea tamen pluris æstimant, qui accipiunt. Et nũc, inquit, astantes Persæ maiore cum uoluptate Cyri adhortationẽ, q̃ nostram excipiẽt. Et in homotimorũ ordinẽ constituti, hoc sibi munus certius ducent, si & à regis filio et ab imperatore collatum fuerit, quàm si à nobis idem hoc fiat. Qui inquã ne nostræ quidẽ adhortationes abesse debent, omni tamẽ modo uirorũ animositas acuenda est omnino. Nobis enim 40 hoc cõducet, quomodocũq; hi meliores fiãt. Vbi ergo Cyrus ita in mediũ arma posuisset, atq; omnis Persarum milites cõuocasset, huiusmodi orationẽ habuit:

ORATIO CYRI.

Vos uiri Persæ, ut et in eodẽ estis, ubi nos, orti solo atq; enutriti, & corpora nihilo quàm nos, habetis deteriora: ita et animos uestros nihilo esse cõuenit nostris humiliores. Cum tales aũt estis, non tamen in patria iisdem quib. nos, honoribus fungebamini: et ne id quidem, quod per nos essetis expulsi, sed quia necesse 50 foret, uobis necessaria parare. Nunc uerò ut hæc sitis habituri, mihi cũ diuina benignitate erit curæ. Licet aũt uobis, si libuerit, acceptis armis qualia nobis sunt, & si quid estis quàm nos inferiores, idẽ nobiscũ obire periculũ: & si quid præclari ac boni ex hisce euenerit, æquè atq; nosipsos honorari. Superiore tẽpore et uos sagittarij iaculatoresq; eratis, et nos itẽ. ac si quid eratis quàm nos, ad hæc faciũda deteriores, nihil mirandũ. Non enim erat uobis ut nobis ociũ circa horũ diligẽtiam. In hoc aũt armorũ genere uobis nihilo

præsta-

τὰ πρῶτα μὲν δὴ, ἔφη, ἡμᾶς μὲν αὐτοὺς ἰθὺ τοὺς μένοντας. οἳ γὰρ μὲν τ' ἂν αὐτῶν φύγωσι, τούτοις ὑμῖν καὶ τοῖς ἵπποις νέμομεν, ὡς μὴ σχολάζωσι μήτε φεύγειν μήτε ἀναστρέφεσθαι. Κῦρος μὲν οὕτως ἔλεξε. τῷ δὲ Κυαξάρῃ ἔδοξέ τε εὖ λέγειν, καὶ τοῦ μὲν πλείους μεταπέμπεσθαι οὐκέτι ἐμέμνητο. παρεσκευάζετο δὲ ὅπλα τὰ προειρημένα. καὶ σχεδόν τε ἕτοιμα ἦν, καὶ τῶν Περσῶν οἱ ὁμότιμοι παρῆσαν, ἔχοντες τὸ ἀπὸ Περσῶν στράτευμα. ἔνθα δὴ εἰπεῖν λέγεται ὁ Κῦ- 10 ρος, συναγαγὼν αὐτούς, τάδε.

ΔΗΜΗΓΟΡΙΑ ΚΥΡΟΥ.

Ἄνδρες φίλοι, ἐγὼ ὑμᾶς ὁρῶν αὐτοὺς μὲν καθωπλισμένους οὕτως, καὶ ταῖς ψυχαῖς παρεσκευασμένους, ὡς εἰς χεῖρας συμμίξοντας τοῖς πολεμίοις. τοὺς δ' ἑπομένους ὑμῖν Πέρσας, γιγνώσκων ὅτι οὕτως ὡπλισμένοι εἰσίν, ὡς ὅτι προσωτάτω ταχθέντες μάχεσθαι, ἔδεισα μὴ ὀλίγοι ὄντες καὶ ἔρημοι συμμάχων, συμπίπτοντες πολεμίοις πολλοῖς, πάθοιτέ τι. νῦν οὖν, ἔφη, σώματα μὲν ἔχοντες ἀνδρῶν ἥκετε, οὐ μεμπτά. ὅπλα δὲ ἔσται αὐτοῖς ὅμοια τοῖς ἡμετέροις, τάς γε μὴν ψυχὰς αὐτῶν θήγειν, ἡμέτερον 20 ἔργον. ἄρχοντος γάρ ἐστιν, οὐκ αὐτὸν μόνον ἀγαθὸν εἶναι, ἀλλὰ καὶ τῶν ἀρχομένων ἐπιμελεῖσθαι, ὅπως ὡς βέλτιστοι ἔσονται. ὁ μὲν οὕτως εἶπεν. οἱ δ' ἥσθησαν μὲν πάντες, νομίζοντες μετὰ πλειόνων ἀγωνιεῖσθαι. εἷς δὲ αὐτῶν καὶ ἔλεξε τοιάδε· ἀλλὰ θαυμαστὰ μὲν, ἔφη, ἴσως δόξω λέγειν, εἰ Κύρῳ συμβουλεύσω τι εἰπεῖν ὑπὲρ ἡμῶν, ὅταν τὰ ὅπλα λαμβάνωσιν, οἱ ἡμῖν μέλλοντες συμμαχεῖσθαι. ἀλλὰ γιγνώσκω γάρ, ἔφη, ὅτι οἱ τῶν ἱκανωτάτων καὶ εὖ καὶ 30 κακῶς ποιεῖν λόγοι, οὗτοι καὶ μάλιστα ἐνδύονται ταῖς ψυχαῖς τῶν ἀκουόντων. κἂν δῶρα διδῶσιν οἱ τοιοῦτοι, κἂν μείω τυγχάνῃ ὄντα, ἢ τὰ παρὰ τῶν ὁμοίων, ὅμως μείζονος αὐτὰ τιμῶνται οἱ λαμβάνοντες. καὶ νῦν, ἔφη, οἱ Πέρσαι παρακληθέντες ὑπὸ Κύρου, πολὺ μᾶλλον ἡσθήσονται, ἢ ὑφ' ἡμῶν, παρακαλούμενοι. εἰς τε τοὺς ὁμοτίμους καθιστάμενοι, βεβαιοτέρως σφίσιν ἡγήσονται ἔχειν τοῦτο, ὑπὸ βασιλέως τε παιδὸς καὶ ὑπὸ στρατηγοῦ γιγνόμενον, ἢ ὑφ' ἡμῶν εἰς τὸ αὐτὸ τοῦτο ἄγοιντο. ἀπεῖναι 40 μέντοι οὐδὲ τὰ ἡμέτερα χρή. ἀλλὰ παντὶ τρόπῳ δεῖ τῶν ἀνδρῶν θήγειν πάντως τὰ φρονήματα. ἡμῖν γὰρ ἔσται τοῦτο χρήσιμον, ὅτι ἂν οὗτοι βελτίονες γίγνωνται. οὕτω δὴ ὁ Κῦρος καταθεὶς τὰ ὅπλα εἰς τὸ μέσον, καὶ συγκαλέσας πάντας τοὺς Περσῶν στρατιώτας ἔλεξε τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΚΥΡΟΥ.

Ἄνδρες Πέρσαι, ὑμεῖς καὶ ἔφυτε ἐν τῇ αὐτῇ ἡμῖν χώρᾳ, καὶ ἐτράφητε, καὶ σώματά τε ἡμῶν, οὐδὲν χείρονα ἔχετε. ψυχάς τε οὐδὲν κακίονας ὑμῖν προσήκει ἡμῶν ἔχειν. τοιοῦτοι δ' ὄντες, ἐν μὲν τῇ πατρίδι, οὐ μετείχετε τῶν ἴσων ἡμῖν, οὐχ ὑφ' ἡμῶν ἀπελαθέντες, ἀλλ' ὑπὸ 50 τοῦ τὰ ἐπιτήδεια, ἀνάγκην ὑμῖν εἶναι πορίζεσθαι. νῦν δὲ ὅπως μὲν ταῦτα ἕξετε, ἐμοὶ μελήσει σὺν τοῖς θεοῖς. ἔξεστι δ' ὑμῖν εἰ βούλεσθε λαβοῦσιν ὅπλα, οἷάπερ ἡμεῖς ἔχομεν, εἰς τὸν αὐτὸν ἡμῖν κίνδυνον ἐμβαίνειν. καὶ ἤν τις ἐκ τούτων καλὸς κἀγαθὸς γίγνηται, τῶν ὁμοίων ἡμῖν ἀξιοῦσθαι. τὸν μὲν οὖν πρόσθεν χρόνον, ὑμεῖς τε τοξόται καὶ ἀκοντισταὶ ἦτε, καὶ ἡμεῖς. καὶ εἴ τι χείρους ἡμῶν ταῦτα ποιεῖν ἦτε, οὐδὲν θαυμαστόν. οὐ γὰρ ἦν ὑμῖν σχολή, ὥσπερ ἡμῖν τούτων ἐπιμελεῖσθαι. ἐν δὲ τῇδε τῇ ὁπλίσει, οὐδὲν

ἡμεῖς

ἡμεῖς ὑμῶν προέξομεν. θώραξ μὲν γὰρ περὶ τὰ στέρνα ἁρμόζων ἑκάστῳ ἔσται. γέρρον δὲ ἐν τῇ ἀριστερᾷ, ὃ πάντες εἰθίσμεθα φορεῖν. μάχαιρα δὲ ἢ σάγαρις ἐν τῇ δεξιᾷ, ᾗ παίειν τοὺς ἐναντίους δεήσει, οὐδὲν φυλαττομένους, μή τι παίσαντες ἐξαμαρτάνωμεν. τί οὖν ἂν ἐν τούτοις ἕτερος ἑτέρου ἡμῶν διαφέροι, πλὴν τόλμης, ἣν οὐδὲν ὑμῖν προσήκει ἧττονα ἡμῶν παρέχεσθαι. νίκης τε γὰρ ἐπιθυμεῖν, ἣ τὰ καλὰ πάντα καὶ τὰ ἀγαθὰ κτᾶται καὶ σώζει, τί μᾶλλον ἡμῖν ἢ ὑμῖν προσήκει; κράτους τε, ὃ πάντα τὰ τῶν ἡττόνων τοῖς κρείττοσι δωρεῖται, τί εἰκὸς ἡμᾶς μᾶλλον, ἢ καὶ ὑμᾶς τούτου δεῖσθαι; τέλος, εἶπεν, ἀκηκόατε πάντα, ὁρᾶτε τὰ ὅπλα. ὁ μὲν χρῄζων, λαμβανέτω ταῦτα, καὶ ἀπογραφέσθω πρὸς τὸν ταξίαρχον, εἰς τὴν ὁμοίαν τάξιν ἡμῖν. ὅτῳ δ᾽ ἀρκεῖ ἐν μισθοφόρου χώρᾳ εἶναι, καταμενέτω ἐν τοῖς ὑπηρετικοῖς ὅπλοις. ὁ μὲν οὕτως εἶπεν. ἀκούσαντες δὲ οἱ Πέρσαι, ἐνόμισαν εἰ παρακαλούμενοι, ὥστε τὰ ὅμοια πονοῦντες τῶν αὐτῶν τυγχάνειν, μὴ θελήσουσι ταῦτα ποιεῖν, δικαίως ἂν διὰ παντὸς τοῦ αἰῶνος ἀμηχανοῦντες βιοτεύειν. οὕτω δὴ ἀπογράφονται πάντες, ἀνέλαβόν τε τὰ ὅπλα πάντες. ἐν ᾧ δὲ οἱ πολέμιοι ἐλέγοντο μὲν προσιέναι, παρῆσαν δὲ οὐδέπω, ἐν τούτῳ ἐπειρᾶτο ὁ Κῦρος, ἀσκεῖν μὲν τὰ σώματα τῶν μεθ᾽ ἑαυτοῦ πρὸς ἰσχύν· διδάσκειν δὲ τὰ τακτικά, θήγειν δὲ τὰς ψυχὰς εἰς τὰ πολεμικά. καὶ πρῶτον μὲν λαβὼν παρὰ Κυαξάρου ὑπηρέτας, προσέταξεν ἑκάστοις τῶν στρατιωτῶν, ἱκανῶς ὧν ἐδέοντο πάντα πεποιημένα παρέχειν. τοῦτο δὲ παρασκευάσας, οὐδὲν αὐτοῖς ἄλλο ἐλελοίπει, ἢ ἀσκεῖν τὰ ἀμφὶ τὸν πόλεμον, ἐκεῖνο δοκῶν καταμεμαθηκέναι, ὅτι οὗτοι κράτιστοι ἕκαστα γίγνονται, οἳ ἂν ἀφέμενοι τοῦ πολλοῖς προσέχειν τὸν νοῦν, ἐπὶ ἓν ἔργον τράπωνται. καὶ αὐτῶν δὲ τῶν πολεμικῶν περιελὼν καὶ τὸ τόξῳ μελετᾶν καὶ ἀκοντίῳ, κατέλιπε τοῦτο μόνον αὐτοῖς, τὸ σὺν μαχαίρᾳ καὶ γέρρῳ καὶ θώρακι μάχεσθαι. ὥστε εὐθὺς αὐτῶν παρεσκεύασε τὰς γνώμας, ὡς ὁμόσε ἰτέον εἴη τοῖς πολεμίοις, ἢ ὁμολογητέον, μηδενὸς ἀξίους εἶναι συμμάχους. τοῦτο δὲ χαλεπὸν ὁμολογῆσαι, οἵτινες ἂν εἰδῶσιν, ὅτι οὐδὲ δι᾽ ἓν ἄλλο τρέφονται, ἢ ὅπως μάχωνται ὑπὲρ τῶν τρεφόντων. ἔτι δὲ πρὸς τούτοις ἐννοήσας, ὅτι περὶ ὁπόσων ἂν ἐγγένωνται ἀνθρώποις φιλονεικίαι, πολὺ μᾶλλον ἐθέλουσι ταῦτα ἀσκεῖν. ἀγῶνάς τε αὐτοῖς προεῖπεν ἁπάντων, ὁπόσα ἐγίνωσκεν ἀσκεῖσθαι ἀγαθὸν εἶναι ὑπὸ στρατιωτῶν. ἃ δὲ προεῖπε τάδε ἦν. ἰδιώτῃ μὲν, ἑαυτὸν παρέχειν εὐπειθῆ τοῖς ἄρχουσι, καὶ ἐθελόπονον, καὶ φιλοκίνδυνον μετ᾽ εὐταξίας, καὶ ἐπιστήμονα τῶν στρατιωτικῶν, καὶ φιλόκαλον περὶ ὅπλα, καὶ φιλότιμον ἐπὶ πᾶσι τοῖς τοιούτοις. πεμπαδάρχῳ δ᾽ αὐτὸν ὄντα, οἷόν περ τὸν ἀγαθὸν ἰδιώτην, καὶ τὴν πεμπάδα, εἰς τὸ δυνατὸν τοιαύτην παρέχειν· δεκαδάρχῳ δὲ τὴν δεκάδα, ὡσαύτως· λοχαγῷ τὸν λόχον, ὡς δ᾽ αὕτως ταξιάρχῳ. ὡς δ᾽ αὕτως ἑκάστῳ τῶν ἄλλων ἀρχόντων, ἀνεπίληπτον ὄντα, ἐπιμελεῖσθαι καὶ τῶν ὑφ᾽ αὐτὸν ἀρχόντων, ὅπως ἐκεῖνοι αὖ ὧν ἄρχουσι παρέξουσι τὰ δέοντα ποιοῦντας. ἆθλα δὲ προύφηνε τοῖς μὲν ταξιάρχαις, οἱ κρατίστας δόξειαν τὰς τάξεις παρεσκευάσθαι, χιλιάρχους ἔσεσθαι. τῶν δὲ λοχαγῶν, οἳ κρατίστους δόξειαν τοὺς λόχους ἀποδεικνύναι, εἰς τὰς τῶν ταξιάρχων χώρας ἐπαναβήσεσθαι. τῶν δ᾽ αὖ δεκαδαρχῶν

præstabimus. Thorax erit circa pectus accommodatus cuiq;: & cratis in manu læua, quam omnes gerere consueuimus. Gladius autem uel securis in manu dextra: quibus quidem ipsis ut percutiamus aduersarios opus erit, minimè cauentes, ne quid percutiendo aberremus. Quid igitur in his alter nostrûm alteri præstiterit, præterquam audentia, qua non minus uos decet, quàm nosipsos? Appetere enim uictoriam, quæ præclaras res omnis atq; optimas & adipiscitur & tuetur, quid nobis magis quàm uobis conuenit? Et imperio, quod eorum qui uicti sunt, omnia uictoribus elargitur, quid nobis magis opus est quàm uobis? Ad postremum ait: Audistis omnia, aspicite arma, & hæc qui eget, capiat, describaturq; apud ordinis centurionem in similem ordinem, quo descripti nos sumus. Cui autem satis est in mercenarij loco esse, maneat inter ministrandi arma. Cyrus ita locutus est. Quibus auditis Persæ putauerunt fore, ut iure in omne æuum uitam per inopiam agerent, si exhortati ad similem laborem, quo eadem ipsi præmia consequerētur, facere id noluerint. Itaigitur describūtur omnes, & arma omnes acceperunt. In quo uero tempore aduentare hostes dicebātur, ac nondum aderant, interim enitebatur Cyrus ad uires suorum corpora exercere, docereq; ordinandos milites, & ad res bellicas animos acuere. Quare acceptis primùm à Cyaxare ministris, ijs imperauit, ut abunde singulis militibus omnia præberent effecta, quibus foret illis opus. Hoc autem cum parasset, eis reliquit aliud agendum nihil, quàm res bellicas exercere: illud arbitratus didicisse, hos circa singulos esse optimos, qui parcentes rebus pluribus mentem adhibere, circa unum uersarentur opus. Quare ex ipsis rebus bellicis sagittæ ac iaculi meditatione sublata, hoc solum eis reliquit, ut cum gladio crateq; & thorace pugnarent. Quo factum est, ut continuo paratis eos redderet animis, qui aut irent obuiam hostibus, aut concederent se pro nihilo esse habendos socios. Hoc autem molestum est ijs concedere, qui norint se ob aliud nihil ali, quàm ut pro alentibus sint pugnaturi. Ad hæc item cum cogitasset, hæc homines longè malle exercere, quorum gratia lites contentionesq; oriuntur: & ijs ludos pronunciauit omnium rerum quæcunque à militibus exerceri cognouit utile esse factu: & hæc pronunciauit, ut homo priuatus principibus se præstaret obedientem, & laboris cupidum, & periculi studiosum cum modestia, & gnarum rerum militarium, & in armis elegantem, & in omnibus huiusmodi rebus ambitiosum. Quincurioni uerò se talem exhiberet, qualem bonum decet priuatum, & talem quoad eius fieri potest quincuriā præstaret: & decurioni itidem decuriam, & primipilo manipulum, & ordinis centurioni eodem modo se præberet, nulli culpæ obnoxium circa eorum principum diligentiam, qui sub illo sunt, quò illi rursus præstarent, ut hi quibus præsunt suo fungerentur officio. Præmia etiā declarauit ordinū centurionibus: eos, qui uisi forent parasse ordines optimè, tribunos futuros: et primipilis, qui uisi essent optimos reddidisse manipulos, eos ascensuros in centurionū ordinū locos: et opti

mos decuriones in primipilos constituendos: ac item quinciriones optimos in decurionum locos constitutum iri. Qui uerò inter priuatos excelluiſſent, in quincurionum locos aſcenſuros. Exiſtebat autem omnibus his principibus primum, ut à ſubditis colerentur. Dein alij quoque honores conuenientes conſequebantur. Et aliæ quædam ſpes maiores uiris dignis accumulabantur, ac laudes, ſi quid maioris boni in uenturo appareret tempore. Pronunciauit etiam præmia uictoriæ & ordinibus totis, & manipulis totis, & eodem modo decurijs, & quincurijs, ſi uiſæ fuerint tum ſuis præſidibus maxime parère, tum ea quæ antea ſunt dicta alacriter exercere. Erant autem ea præmia ijs propoſita, qualia in multitudine decent. Hæc igitur & pronunciabantur, & ab exercitu exercebantur. Tabernacula uero parauit ijs Cyrus tum multitudine pro numero centurionum ordinum, tum magnitudine pro ſufficientia ordinis. Erat ordo quilibet centum uiri. Ita igitur pro ordinibus erant in tabernaculis. Videbantur hi cito hanc utilitatem conſequi ad futurum certamen, quòd inuicem ſe aſpicerent idemidem ali: neq; ea ineſſet excuſatio, quod propterea alius alio ſit aduerſus hoſtes timidior, quoniam minus bene tractetur. Videbantur etiam iuuari, quòd ſimul habitantes ſe inuicè cognoſcerent: at in mutua notitia innaſcitur magis omnibus uerecundia. Qui autem ignorantur, uidentur procliuiores quodammodo ad deſidiam, tanquam uerſentur in tenebris. Videbantur etiam Cyro maximam conſequi utilitatem ad ordines diligenter exquirendos propter contubernium. Habebant enim & ordinum centuriones ſub ſeſe ordines ornatos, quando ſingillatim ordo proficiſceretur, & primipili manipulos eodem modo, & decuriones decurias, & quincuriones quincurias. Conſtituere autem ordines diligenter, uiſum eſt ei plurimum conducere & ad non turbandū, & ut celerius reſtituerentur, ſi turbati eſſent, ueluti & lapides & ligna ſi copulari oporteat, ea ut cunq; proſtrata fuerint facillime coaptantur, ſi manifeſtas habeant notas ex quo ſit loco ipſorum quodq;. Quòd ſimul alerētur, uidebantur ei etiam utiliter agere, ut minus inuicem ſe desererent, quòd intuerentur beſtias quoq; ſimul enutritas incredibili duci ſociarū deſiderio, ſi quis eas ab inuicem diſtraheret. Videbatur præterea Cyrus hac diligentia, ut nunquam niſi priùs ſudaſſent, ad prandiū cœnamq; introirent. Aut enim ad uenationē educendo ut ſudarēt faciebat: aut ludos tales excogitabat, qui ſudorē eſſent præbituri: aut etiā ſi quid eum agere oporteret, ita ducē ſe præſtabat ad rem gerendam, ut ſine ſudore non redirent. Hoc enim ſciebat ad ſuauiter etiā ueſcendum eſſe bonū, et ad bonam ualetudinē, & ad laborē ſuſtinendum. Præterea exiſtimabat labores conducere, ut forent inuicē manſueti magis: quòd et equi inuicē laborātes manſuetius ſimul ſtare conſueuerunt. Atq; aduerſus hoſtes elatiore ſunt animo, qui bonæ exercitationis ſibiipſis conſcij ſunt. At ſibi Cyrus tabernaculū id parauit quod ſatis ijs foret, quos inuitaret ad cœnā. Inuitabat autem frequenter centuriones ordinū, quibus tempus datū eſſet opportunum. Interdum & primipilos, & decuriones quoſ/

χῶν τοὺς κρατίστους εἰς τὰς τῶν λοχαγῶν χώρας καταστῆσαι. τῶν δ' αὖ πεμπαδάρχων, ὡσαύτως εἰς τὰς τῶν δεκαδάρχων. τῶν γε μὴν ἰδιωτῶν τοὺς κρατιστεύοντας, εἰς τὰς τῶν πεμπαδάρχων. ὑπῆρχε δὲ πᾶσι τούτοις τοῖς ἄρχουσι, πρῶτον μὲν θεραπεύεσθαι ὑπὸ τῶν ἀρχομένων, ἔπειτα δὲ καὶ ἄλλαι τιμαί, αἱ πρέπουσαι ἑκάστοις, συμπαρείποντο. ἐπανέτεινε δὲ καὶ μείζονας ἐλπίδας τοῖς ἀξίοις ἐπαίνου, εἴ τι ἐν τῷ ἐπιόντι χρόνῳ ἀγαθὸν μεῖζον φαίνοιτο. προεῖπε δὲ νικητήρια, καὶ ὅλαις ταῖς τάξεσι, καὶ ὅλοις τοῖς λόχοις, καὶ ταῖς δεκάσιν ὡσαύτως, καὶ ταῖς πεμπάσιν, ἐὰν φαίνωνται εὐπειθέσταται τοῖς ἄρχουσιν οὖσαι, καὶ προθυμότατα ἀσκοῦσαι τὰ προειρημένα. ἦν δὲ ταύταις τὰ νικητήρια, οἷα δὴ εἰς πλῆθος πρέπει. ταῦτα μὲν δὴ προείρητό τε, καὶ ἠσκεῖτο ὑπὸ τῆς στρατιᾶς. σκηνὰς δὲ αὐτοῖς κατεσκεύασε, πλῆθος μὲν ὅσοι ταξίαρχοι ἦσαν, μέγεθος δὲ ὥστε ἱκανὰς εἶναι τῇ τάξει ἑκάστῃ. ἡ δὲ τάξις ἦν ἑκατὸν ἄνδρες. ἐσκήνουν μὲν δὴ οὕτω κατὰ τάξεις. ἐν δὲ τῷ ὁμοσκηνοῦν ἐδόκουν μὲν αὐτῷ ὠφελεῖσθαι πρὸς τὸν μέλλοντα ἀγῶνα, τοῦτο ὅτι ἑώρων ἀλλήλους ὁμοίως τρεφομένους, καὶ οὐκ ἦν πρόφασις μειονεξίας, ὥστε ὑφίεσθαί τινα κακίω ἕτερον ἑτέρου εἶναι πρὸς τοὺς πολεμίους. ὠφελεῖσθαι δ' ἐδόκουν αὐτῷ, καὶ πρὸς τὸ γιγνώσκεσθαι ἀλλήλους ὁμοσκηνοῦντες. ἐν γὰρ τῷ γιγνώσκεσθαι, καὶ τὸ αἰσχύνεσθαι πᾶσιν ἐδόκει μᾶλλον ἐγγίγνεσθαι. οἱ δ' ἀγνοούμενοι, ῥᾳδιουργεῖν πως μᾶλλον δοκοῦσιν, ὥσπερ οἱ ἐν σκότει ὄντες. ἐδόκουν δὲ αὐτῷ καὶ εἰς τὸ τὰς τάξεις ἀκριβοῦν μέγα ὠφελεῖσθαι διὰ τὴν ὁμοσκηνίαν. εἶχον γὰρ οἱ μὲν ταξίαρχοι, ὑφ' ἑαυτοῖς τὰς τάξεις κεκοσμημένας ὥσπερ ὁπότε εἰς ἕνα πορεύοιτο ἡ τάξις. οἱ δὲ λοχαγοὶ τοὺς λόχους. ὡσαύτως οἱ δεκάδαρχοι τὰς δεκάδας, καὶ οἱ πεμπάδαρχοι τὰς πεμπάδας. τὸ δὲ ἀκριβοῦν τὰς τάξεις, σφόδρα ἐδόκει αὐτῷ ἀγαθὸν εἶναι, καὶ εἰς τὸ μὴ ταράττεσθαι, καὶ εἰς τό, εἰ ταραχθεῖεν, θᾶττον καταστῆναι. ὥσπερ γε καὶ λίθων καὶ ξύλων, ἃ ἂν δέῃ συναρμοσθῆναι, ἔστι κἂν ὁπωσοῦν καταβεβλημένα τύχῃ, συναρμόσαι ταῦτα εὐπετῶς, ἢν ἔχῃ γνωρίσματα, ὥστ' εὔδηλον εἶναι, ἐξ ὁποίας χώρας ἕκαστον αὐτῶν ἐστιν. ἐδόκουν δὲ ὠφελεῖσθαι αὐτῷ ὁμοῦ τρεφόμενοι, καὶ πρὸς τὸ ἧττον ἀλλήλους ἂν ἐθέλειν ἀπολείπειν. ὅτι ἑώρα καὶ τὰ θηρία τὰ ὁμοῦ τρεφόμενα δεινὸν ἔχοντα πόθον, ἤν τις αὐτὰ διασπᾷ ἀπ' ἀλλήλων. ἐπεμέλετο δὲ καὶ τοῦδε ὁ Κῦρος, ὅπως μή ποτε ἀνίδρωτοι γενόμενοι, ἐπὶ τὸ ἄριστον καὶ τὸ δεῖπνον εἰσίοιεν. ἢ γὰρ ἐπὶ θήραν αὐτοὺς ἐξάγων, ἱδρῶτα αὐτοῖς παρεῖχεν, ἢ παιδιὰς τοιαύτας ἐξηύρισκεν, αἳ ἱδρῶτα ἔμελλον παρέξειν. ἢ καὶ πρᾶξαι εἴ τι δεόμενος τύχοι, οὕτως ἐξηγεῖτο τῆς πράξεως, ὡς μὴ ἐπανίοιεν ἀνιδρωτί. τοῦτο γὰρ ἡγεῖτο καὶ πρὸς τὸ ἐσθίειν ἡδέως ἀγαθὸν εἶναι, καὶ πρὸς τὸ ὑγιαίνειν, καὶ πρὸς τὸ δύνασθαί τι πονεῖν, καὶ πρὸς τὸ ἀλλήλοις δὲ πρᾳοτέρους εἶναι, ἀγαθὸν ἡγεῖτο τοὺς πόνους εἶναι. ὅτι καὶ οἱ ἵπποι συμπονοῦντες ἀλλήλοις, πρᾳότεροι συνεστήκασι. πρός γε μὴν τοὺς πολεμίους μεγαλοφρονέστεροι γίγνονται, ἂν ξυνειδῶσιν ἑαυτοῖς εὖ ἠσκηκότες. Κῦρος δὲ αὑτῷ σκηνὴν μὲν κατεσκευάσατο, ὥστε ἱκανὴν ἔχειν οἷς καλοίη ἐπὶ τὸ δεῖπνον. ἐκάλει δὲ ὡς τὰ πολλὰ τῶν ταξιάρχων, οὓς καιρὸς αὐτῷ δοκοίη εἶναι. ἔστι δ' ὅτε καὶ τῶν λοχαγῶν, καὶ τῶν δεκαδάρχων τινάς

τινὰς καὶ τῶν πεμπαδάρχων ἐκάλει. ἔστι δ' ὅτε καὶ τῶν στρατιωτῶν, ἔστι δ' ὅτε καὶ τὴν πεμπάδα ὅλην, καὶ λόχον ὅλον, καὶ τάξιν ὅλην. ἐκάλει δὲ καὶ ἐτίμα, ὅτε τινὰς ἴδοι τοιοῦτό τι ποιήσαντας, ὃ πάντας ἐβούλετο ποιεῖν. ἦν δὲ τὰ μὲν παρατιθέμενα ἀεὶ, ἴσα αὐτῷ τε καὶ τοῖς καλουμένοις ἐπὶ τὸ δεῖπνον. καὶ τοὺς ἀμφὶ τὸ στράτευμα δ' ὑπηρέτας, ἰσομοίρους ἀεὶ πάντων ἐποίει. οὐδὲν γὰρ ἧττον τιμᾶν ἄξιον ἐδόκει αὐτῷ εἶναι, τοὺς ἀμφὶ τὰ στρατιωτικὰ ὑπηρέτας, οὔτε κηρύκων, οὔτε πρέσβεων. καὶ γὰρ πιστοὺς ἡγεῖτο δεῖν εἶναι τούτους, καὶ ἐπιστήμονας τῶν στρατιωτικῶν, καὶ συνετούς. ἔτι δὲ σφοδρούς, καὶ ταχεῖς, καὶ ἀόκνους, καὶ ἀταράχους. πρὸς δὲ τούτοις, καὶ ὅσα οἱ βέλτιστοι νομιζόμενοι ἔχουσιν, ἐγίνωσκεν ὁ Κῦρος δεῖν τοὺς ὑπηρέτας ἔχειν· καὶ τοῦτο ἀσκεῖν, ὡς μηδὲν ἀναίνοιντο ἔργον, ἀλλὰ πάντα νομίζοιεν πρέπειν αὐτοῖς πράσσειν, ὅσα ἂν ὁ ἄρχων προστάττῃ. ἀεὶ μὲν οὖν ἐπεμέλετο ὁ Κῦρος, ὁπότε συσκηνοῖεν, ὅπως εὐχαριστότατοί τε ἅμα λόγοι ἐμβληθήσονται, καὶ παρορμῶντες εἰς τἀγαθόν. ἀφίκετο δ' οὖν καὶ εἰς τόνδε ποτὲ τὸν λόγον. ἆρά γε, ἔφη, ὦ ἄνδρες ἐνδεέστεροί τι ἡμῶν διὰ τοῦτο φαίνονται εἶναι οἱ ἑταῖροι, ὅτι οὐ πεπαίδευνται τὸν αὐτὸν τρόπον ἡμῖν; ἢ οὐδὲν ἄρα διοίσουσιν ἡμῶν οὔτε ἐν ταῖς συνουσίαις, οὔτε ὅταν ἀγωνίζεσθαι πρὸς τοὺς πολεμίους δέῃ; καὶ ὁ Ὑστάσπης ὑπολαβὼν εἶπεν· ἀλλ' ὁποῖοι μέν τινες ἔσονται εἰς τοὺς πολεμίους, οὔπω ἔγωγε ἐπίσταμαι. ἐν μέντοι τῇ συνουσίᾳ δύσκολοι, ναὶ μὰ τοὺς θεούς, ἔνιοι αὐτῶν ἤδη φαίνονται. πρῴην μέν γε, ἔφη, Κυαξάρης ἔπεμψεν εἰς τὴν τάξιν ἑκάστην ἱερεῖα. καὶ ἐγένετο ἑκάστῳ ἡμῶν τρία κρέα, ἢ καὶ πλείω τὰ περιφερόμενα. καὶ ἤρξατο μὲν δὴ ἀπ' ἐμοῦ ὁ μάγειρος, τὴν πρώτην περίοδον περιφέρων. ὅτε δὲ τὸ δεύτερον εἰσῄει περιοίσων, ἐκέλευσα ἐγὼ ἀπὸ τοῦ τελευταίου ἄρχεσθαι, καὶ ἀνάπαλιν περιφέρειν. ἀνακραγὼν οὖν τις τῶν κατὰ μέσον τὸν κύκλον κατακειμένων στρατιωτῶν, μὰ Δί', ἔφη, τῶν δὲ μὲν οὐδὲν ἴσον ἐστίν, εἴγε ἀφ' ἡμῶν τῶν ἐν μέσῳ οὐδεὶς οὐδέποτε ἄρξεται. καὶ ἐγὼ ἀκούσας ἠχθέσθην τε, εἴ τι μεῖον δοκοῖεν ἔχειν, καὶ ἐκάλεσα εὐθὺς αὐτὸν πρὸς ἐμέ. ὁ δὲ μάλα τοῦτό γε εὐτάκτως ὑπήκουσεν. ὡς δὲ τὰ περιφερόμενα ἧκε πρὸς ἡμᾶς, ἅτε οἶμαι ὑστάτους λαμβανόντας, τὰ σμικρότατα λελειμμένα ἦν. ἐνταῦθα δὴ ἐκεῖνος πάνυ ἀνιαθεὶς δῆλος ἐγένετο, καὶ εἶπε πρὸς ἑαυτόν· τῆς τύχης, τὸ ἐμὲ νῦν κληθέντα δεῦρο τυχεῖν. καὶ ἐγὼ εἶπον· ἀλλὰ μὴ φρόντιζε. αὐτίκα γὰρ ἀφ' ἡμῶν ἄρξεται, καὶ σὺ πρῶτος λήψῃ τὸ μέγιστον. καὶ ἐν τούτῳ περιέφερε τὸ τρίτον, ὅπερ δὴ λοιπὸν ἦν τῆς περιφορᾶς, κἀκεῖνος ἔλαβε μετ' ἐμὲ δεύτερος. ὡς δ' ὁ τρίτος ἔλαβε, καὶ ἔδοξεν αὐτὸν μεῖζον ἑαυτοῦ λαβεῖν, καταβάλλει ὃ ἔλαβεν, ὡς ἕτερον ληψόμενος. καὶ ὁ μάγειρος οὐδὲν αὐτὸν ἔτι δεῖσθαι ὄψου, ᾤχετο παραφέρων, πρὶν λαβεῖν αὐτὸν ἕτερον. ἐνταῦθα δὴ οὕτω βαρέως ἤνεγκε τὸ πάθος, ὥστε ἀνήλωτο μὲν αὐτῷ ὃ εἰλήφει ὄψον. ὁ δὲ ἔτι αὐτῷ λοιπὸν ἦν τοῦ ἐμβάπτεσθαι, τοῦτό πως ὑπὸ τοῦ ἐκπεπλῆχθαί τε καὶ ὀργίζεσθαι τῇ τύχῃ, δυσφορούμενος ἀνέτρεψεν. ὁ μὲν δὴ λοχαγὸς ὁ ἐγγύτατα ἡμῶν ἰδών, συνεκρότησέ τε τὼ χεῖρε καὶ τῷ γέλωτι ηὐφραίνετο. ἐγὼ μέντοι, ἔφη, προσεποιούμην βήττειν. οὐδὲ γὰρ αὐτὸς ἐδυνάμην κατέχειν τὸν γέλωτα. τοιοῦτον μὲν δή σοι, ὦ Κῦρε,

quosdam quincurionesq; inuitabat. Interdum uerò et quincuriam totam, & totam decuriã, & totum manipulum, & ordinem totum. Quandoq; etiam milites quosdam inuitabat præterea atq; honorabat, cum aliquos uideret, qui huiusmodi quiddam fecissent, quod eos facere uolebat. Quæ aũt apponerentur in mẽsam, paria erant semper & ipsi, & inuitatis ad cœnã. Et ministris exercitus æqualem portionem semper faciebat esculentorũ omnium. Nihilo enim minus militum ministri et honorandi uidebantur, quàm caduceatores, quàm oratores: ut enim fideles putabat hos esse oportere, & peritos rerum militarium, & callidos insuper, & uehementis, & celeris, & impigros, & moderatos. Ad hæc intelligebat Cyrus esse omnia & tenenda & exercenda ministris, quæ habentur ab his qui optimi ducuntur, quò nullum hi opus recusent facere, sed putẽt omnia esse ab se gerenda, quæcũq; sunt à principe imperata. Et eam sane diligentiam semper Cyrus adhibebat cum esset una cum suis in tabernaculo, ut & iucũdissimi simul sermones iniicerentur, et qui ad bonas actiones incitarẽt. Itaq; deuenit olim in hunc sermonem: Num, inquit, ò uiri amicissimi, ob hanc rem uidentur cæteri homines esse aliqua ex parte nobis inferiores, quòd nõ eodem sunt modo instituti, quo ipsi sumus? an à nobis nihil differũt, neq; in cõgressibus, neq; ubi cum hostib. sit certandũ? Et Hystaspas excepit inquiens: Ut eiusmodi uiri in hostis futuri sunt, equidem non intelligo. Nam in cõuictu difficiles mediusfidius aliqui eorũ uidentur, ac morosi. Misit nuper Cyaxares hostiarũ carnes in ordines singulos, erantq; carniũ frusta cuiq; nostrum tria, aut etiã plura, quæ circumferebantur. Atq; à me principium coquus fecit primum circunferens obsonium. Cum uerò secundum circuiret obsonium illaturus, iussi, ab ultimo principium faceret, retròq; circunferret. Exclamans igitur quispiam ex his militib. qui in medio circulo discumbebant: Per Iouem, inquit, horũ nihil est æquale, siquidẽ a nobis qui sumus in medio, nemo unquam incipiet. Quibus auditis, ego profectò turbatus sum, si quid illi minus habere uiderẽtur, eumq; continuò ad me uocaui: hic aũt permodestè paruit. Verùm ut ea quæ circunferebantur, ad nos uenere tanquã, ut arbitror, ultimos ea sumẽtis, minima relicta erant frusta. Hic ille manifestò admodũ tristatus est, dixitq; ad seipsum: In malã fortunã quod huc inuitatus uenerim. Ad quem ego dixi: Ne cura, rursus à nobis confestim incipiet, & tu primus maximum capies frustum. Interimq; circũferebatur tertiũ, id quod erat reliquũ, atq; cępit ille. Cui cum uisum esset exiguũ cepisse obsoniũ, quod ceperat, posuit, tanquã alterũ sumpturus: cum illum coquus arbitratus nihilo amplius egere obsonio, abiens circumferebat prius, quàm ille alterum sumeret. Hic autem grauiter adeò rem tulit, ut consumeretur ei, quod cepisset obsonium. Quod autem adhuc intinctionis ei reliquum erat, hoc, quia esset animo quodammodo perturbato fortunæq; iratus, ita male affectus euertit. Primipilus autem qui nos proximè discumbebat, rem intuitus, manus inuicem complosit, ridensq; lætabatur. At ego tussire simulabam, quippe qui neq; risum poteram continere. Talem igitur ubi

Cyre unum ex sodalibus demonstro. Ad hoc igitur ut par erat, riserunt omnes. Alius uero quidam ex ordinum centurionibus: Huic, inquit, Cyre, ut uidetur, accidit ita difficulter: ego autem ut tu nobis edoctis ordines misisti, iussistiq; ut quisque suum doceret ordinem ea, quae abs te didicimus: ita igitur ipse quemadmodum etiam alij faciebant, ubi uenissem, unum manipulum docebam. Et ubi statuissem primipilum primum, ordinassemq; post eum uegetum quendam iuuenem & alios, ubi opus esse existimabam: dein stans ex anteriore parte in manipulum respicerem, ubi mihi uisum est tempus esse, iussi procederet: & uegetus ille uir tuus procedens, prior quàm primipilus proficiscebatur: quod ego intuitus, dixi: Homo quid facis? & ille inquit, Procedo ut ipse iubes. cui respondit: At ego non te solum, sed omnis procedere iubebam. Id ille audiens, ad manipulares conuersus, ait: Non auditis imperantem procedere nos omnis? Et uiri illi omnes praetereuntes primipilum, ierunt ad me. Sed ubi primipilus eos reduxisset in locum, stomachabantur, dicentes, Utri parendum sit: nunc enim alter iubet nos procedere, alter uetat. Et ego haec aequo animo ferens, eos rursus disposui consistum, iubens ne quis ex posterioribus moueretur prius quàm anterior duceret: sed hoc solum omnes aspicerent, sequi anteriorem. Cum uerò quis in Persas abiens uenisset ad me, qui sibi epistolam dari peteret, quam ad meos scripseram: & ego, quoniam primipilus sciret ubi posita ea foret, iussissem ei, ut curreret, epistolamq; ferret, ille quidem currebat: iuuenis uerò ille habitior primipilum sequebatur unà cum thorace & mucrone: atq; adeo uniuersus manipulus illum intuitus unà currebant, ueneruntq; uiri illi ferentes epistolam. Ita, inquit ille, meus manipulus curat diligenter omnia pro iussu tuo. Atque alij quidem meritò ridebant, quòd armati ferrent epistolam. Cyrus uerò inquit: O Iupiter optime maxime, coelitesq; omnes, cuiusmodi uiros socios habemus, qui usqueadeo sunt cultu faciles, ut minimo etiam obsonio magnus imparium numerus in amicitiam queat induci; ita autem sunt obedientes, ut antea pareant, quàm imperata cognorint. Equidem nescio qui magis optandi sunt, quàm huiusmodi milites. Cyrus quidem ita milites laudauit. Erat etiam in tabernaculo unus ex ordinum centurionibus Aglaitadas nomine, uir moribus seuerissimus, qui ita quodammodo est locutus: Quid enim, inquit, putásne Cyre hosce uero haec dicere? Sed quid uolunt, inquit Cyrus, quapropter mentiantur? Quid aliud, inquit, nisi ut risum moueant, cuius rei gratia haec loquuntur, & sese ostentant. At Cyrus inquit: Bona uerba quaeso, noli hos dicere ostentatores: OSTENTATOR enim nomen mihi uidetur esse propter eos positum, qui simulant & ditioris se esse, quam sunt, & fortioris: & qui pollicentur ea se facturos, quae nequeunt, praesertim cum manifestum sit haec ab his fieri accipiendi aliquid ac lucrandi gratia. Sed qui risum conuiuis moliuntur, neq; propter ipsorum lucrũ, neq; propter audientiũ detrimentũ, neq; ut noceãt cuiquã prorsus, quare hi minus urbani ac faceti iure nominẽtur, quam ostentatores? Et Cyrus quidem ita respõdit de his,

ὦ Κῦρε, ἕνα τῶν ἑταίρων ἐπιδεικνύω, ἔφη. ἐπὶ μὲν δὴ τούτων, ὥσπερ εἰκὸς, ἐγέλασαν. ἄλλος δέ τις ἔλεξε τῶν ταξιαρχῶν· οὗτος μὲν δὴ, ἔφη, ὦ Κῦρε, ὡς ἔοικεν, οὕτω δυσκόλως ἐπέτυχεν. ἐγὼ δὲ ὡς σὺ διδάξας ἡμᾶς τὰς τάξεις ἀπέπεμψας, καὶ ἐκέλευσας διδάσκειν τὴν ἑαυτοῦ ἕκαστον τάξιν, ἃ παρὰ σοῦ ἐμάθομεν· οὕτω δὴ καὶ ἐγὼ, ὥσπερ καὶ οἱ ἄλλοι ἐποίουν, ἐλθὼν, ἐδίδασκον ἕνα λόχον. καὶ στήσας τὸν λοχαγὸν πρῶτον, καὶ τάξας δὴ μετὰ τοῦτον ἄνδρα νεανίαν, καὶ τοὺς ἄλλους ᾗ ᾤμην δεῖν· ἔπειτα στὰς ἐκ τοῦ ἔμπροσθεν βλέπων εἰς τὸν λόχον, ἡνίκα μοι ἐδόκει καιρὸς εἶναι, προϊέναι ἐκέλευσα. καὶ ὁ ἀνήρ σοι ὁ νεανίας ἐκεῖνος, προελθὼν τοῦ λοχαγοῦ ἔμπροσθεν, πρότερος ἐπορεύετο, κἀγὼ ἰδὼν, εἶπον· ὦ ἄνθρωπε, τί ποιεῖς; καὶ ὃς ἔφη· προέρχομαι, ὥσπερ σὺ κελεύεις. κἀγὼ εἶπον· ἀλλ᾽ ἐγὼ οὐ σὲ μόνον ἐκέλευον, ἀλλὰ πάντας προϊέναι. καὶ ὃς ἀκούσας τοῦτο, μεταστραφεὶς πρὸς τοὺς λοχίτας, εἶπεν· οὐκ ἀκούετε, ἔφη, προστάττοντος προϊέναι πάντας; καὶ οἱ ἄνδρες πάντες παρελθόντες τὸν λοχαγὸν, ᾖσαν πρὸς ἐμέ. ἐπεὶ δὲ ὁ λοχαγὸς αὐτοὺς ἀνεχώριζεν, ἐδυσφόρουν τε, καὶ ἔλεγον· ποτέρῳ χρὴ πείθεσθαι. νῦν γὰρ ὁ μὲν κελεύει προϊέναι, ὁ δ᾽ οὐκ ἐᾷ. ἐγὼ μέντοι ἐνεγκὼν ταῦτα πρᾴως, ἐξ ἀρχῆς αὖ καταχωρίσας, εἶπον, μηδένα τῶν ὄπισθεν κινεῖσθαι, πρὶν ἂν ὁ πρόσθεν ἡγῆται. ἀλλὰ τοῦτο μόνον ὁρᾶν πάντας, τῷ πρόσθεν ἕπεσθαι. ὡς δὲ εἰς Πέρσας τις ἀπιὼν, ἦλθε πρὸς ἐμὲ, καὶ ἐκέλευσέ με τὴν ἐπιστολὴν δοῦναι, ἣν ἔγραψα οἴκαδε. κἀγὼ, ὁ γὰρ λοχαγὸς ᾔδει ὅπου ἔκειτο ἡ ἐπιστολὴ, ἐκέλευσα αὐτὸν δραμόντα ἐνεγκεῖν τὴν ἐπιστολήν. ὁ μὲν δὴ ἔτρεχεν. ὁ δὲ νεανίας ἐκεῖνος εἵπετο τῷ λοχαγῷ, σὺν αὐτῷ τῷ θώρακι καὶ τῇ κοπίδι. καὶ ὁ ἄλλος δὲ πᾶς λόχος ἰδὼν ἐκεῖνον συνέτρεχε. καὶ ἧκον οἱ ἄνδρες φέροντες τὴν ἐπιστολήν. οὕτως, ἔφη, ὅ γε ἐμὸς λόχος ἀκριβοῖ πάντα τὰ παρά σου. οἱ μὲν δὴ ἄλλοι, ὡς εἰκὸς, ἐγέλων ἐπὶ τῇ δορυφορίᾳ τῆς ἐπιστολῆς. ὁ δὲ Κῦρος εἶπεν· ὦ Ζεῦ, καὶ πάντες θεοί, οἵους ἄρα ἡμεῖς ἔχομεν ἄνδρας ἑταίρους. οἳ γὰρ εὐθεράπευτοι μὲν οὕτως εἰσὶν, ὥστε τινὰς αὐτῶν ἔστι καὶ μικρῷ ὄψῳ πάνυ ἀνακτήσασθαι φίλους· πιθανοὶ δ᾽ οὕτως εἰσί τινες, ὥστε πρὶν εἰδέναι τὸ προσταττόμενον, πρότερον πείθονται· ἐγὼ μὲν οὐκ οἶδα, ποίους τινὰς χρὴ μᾶλλον εὔχεσθαι, ἢ τοιούτους στρατιώτας ἔχειν. ὁ μὲν δὴ Κῦρος ἅμα γελῶν, οὕτως ἐπῄνεσε τοὺς στρατιώτας. ἐν δὲ τῇ σκηνῇ ἐτύγχανέ τις ὢν τῶν ταξιάρχων, Ἀγλαϊτάδας ὄνομα, ἀνὴρ τὸν τρόπον τῶν στρυφνοτέρων ἀνθρώπων. οὗτος ὧδέ πως εἶπεν· ἦ γὰρ οἴει, ἔφη, ὦ Κῦρε, τούτους ἀληθῆ λέγειν ταῦτα; ἀλλὰ τί μὴν βουλόμενοι, ἔφη ὁ Κῦρος, ψεύδονται; τί δ᾽ ἄλλο γε, ἔφη, εἰ μὴ γέλωτα ποιεῖν ἐθέλοντες, ὑπὲρ οὗ λέγουσί τε ταῦτα, καὶ ἀλαζονεύονται. καὶ ὁ Κῦρος, εὐφήμει, ἔφη, μὴ λέγε ἀλαζόνας εἶναι τούτους. ὁ μὲν γὰρ ἀλαζὼν ἔμοιγε δοκεῖ ὄνομα κεῖσθαι ἐπὶ τοῖς προσποιουμένοις καὶ πλουσιωτέροις εἶναι ἢ εἰσὶ, καὶ ἀνδρειοτέροις, καὶ ποιήσειν ἃ μὴ ἱκανοί εἰσιν ὑπισχνουμένοις. καὶ ταῦτα φανεροῖς γιγνομένοις, ὅτι τοῦ λαβεῖν ἕνεκα καὶ κερδᾶναι ποιοῦσιν. οἱ δὲ μηχανώμενοι γέλωτα τοῖς συνοῦσι, μήτε ἐπὶ τῷ ἑαυτῶν κέρδει, μήτ᾽ ἐπὶ ζημίᾳ τῶν ἀκουόντων, μήτε ἐπὶ βλάβῃ μηδεμιᾷ, πῶς οὐχ οὗτοι ἀστεῖοι ἂν καὶ εὐχάριτες δικαιότερον ὀνομάζοιντο μᾶλλον ἢ ἀλαζόνες; ὁ μὲν δὴ Κῦρος οὕτως ἀπελογήσατο

περὶ

περὶ τῶν τὸν γέλωτα παρεχόντων. αὖθις δὲ ὁ λοχαγὸς ὁ τὴν τοῦ λόχου χαριτίαν διηγησάμενος, ἔφη, ἦπου ἂν ὦ ἀγλαϊτάδα εἴ γε κλάειν ἐπειρώμεθά σε ποιεῖν, σφόδρα ἂν ἡμῖν ἐμέμφου, ὥσπερ ἔνιοι καὶ ἐν ᾠδαῖς, καὶ ἐν λόγοις. οἰκτρὰ ἄττα λογοποιοῦντες, ἐς δάκρυα πειρῶνται ἄγειν. ὁπότε γε νῦν καὶ αὐτὸς εἰδὼς, ὅτι εὐφραίνειν μέν τι σε βουλόμεθα, βλάψαι δ᾽ οὐδέν, ὅμως οὕτως ἐν πολλῇ ἀτιμίᾳ ἡμᾶς ἔχεις. ναὶ μὰ δί᾽, ἔφη ὁ ἀγλαϊτάδας, καὶ δικαίως γε. ἐπεὶ καὶ αὐτοῦ τοῦ κλάειν καθίζοντος τοὺς φίλους, πολλαχῇ ἔμοιγε δοκεῖ ἔλαττον ἄξια διαπράττεσθαι, ὁ γέλωτα αὐτοῖς μηχανώμενος. εὑρήσεις δὲ καὶ σὺ ἢν ὀρθῶς λογίζῃ, ἐμὲ ἀληθῆ λέγοντα. κλαύμασι μέν γε καὶ πατέρες υἱοῖς σωφροσύνην μηχανῶνται, καὶ διδάσκαλοι παισὶν ἀγαθὰ μαθήματα. καὶ νόμοι γε πολίτας διὰ τοῦ κλαίοντας καθίζειν, εἰς δικαιοσύνην προτρέπουσι. τοὺς δὲ γέλωτα μηχανωμένους ἔχοις ἂν εἰπεῖν, ἢ σώματα ὠφελοῦντας, ἢ ψυχὰς οἰκονομικωτέρας τι ποιοῦντας, ἢ πολιτικωτέρας; ἐκ τούτου ὁ ὑστάσπας ὧδέ πως εἶπε. σύ, ἔφη, ὦ ἀγλαϊτάδα, ἢν ἐμοὶ πείθῃ, εἰς μὲν τοὺς πολεμίους θαρρῶν, δαπανήσεις τοῦτο τὸ πολλοῦ ἄξιον, καὶ κλαίοντας ἐκείνους πειράσῃ καθίζειν. ἡμῖν δὲ πάντως, ἔφη, ἐν τοῖσδε τοῖς φίλοις, τοῦτο τὸ ὀλίγου ἄξιον γέλωτα ἐπιδαψιλεύσῃ. καὶ γὰρ οἶδ᾽ ὅτι πολύς σοι ἐστὶν ἀποκείμενος. οὔτε γὰρ αὐτὸς χρώμενος ἀνήλωκας αὐτόν, οὐδὲ μὴν φίλοις γε, οὐδὲ ξένοις ἑκὼν εἶναι γέλωτα παρέχεις. ὥστε οὐδεμία σοι πρόφασίς ἐστιν, ὡς οὐ παρεκτέον σοι ἡμῖν γέλωτα. καὶ ὁ ἀγλαϊτάδας εἶπε, καὶ σὺ δ᾽ αὖ, ὦ ὑστάσπα, γέλωτα πειρᾷ ποιεῖν ἐξ ἐμοῦ; καὶ ὁ λοχαγὸς εἶπε, ναὶ μὰ δί᾽, ἀνόητος ἄρα ἐστίν. ἐπεὶ ἔκ γε σοῦ πῦρ οἶμαι ῥᾷον ἄν τις ἐκτρίψειεν, ἢ γέλωτα ἐξαγάγοι. ἐπὶ τούτῳ μὲν δὴ οἵ τε ἄλλοι ἐγέλασαν τὸν τρόπον εἰδότες αὐτοῦ, ὅ τε ἀγλαϊτάδας, καὶ αὐτὸς ὁ ἀγλαϊτάδας ἐπεμειδίασε. καὶ ὁ κῦρος ἰδὼν αὐτὸν φαιδρωθέντα, ἀδικεῖς, ἔφη, ὦ λοχαγέ, ὅτι ἄνδρα ἡμῖν τὸν σπουδαιότατον διαφθείρεις, γελᾶν ἀναπείθων, καὶ ταῦτα, ἔφη, οὕτω πολέμιον ὄντα τῷ γέλωτι. ταῦτα μὲν δὴ ἐνταῦθα ἔληξεν. ἐκ δὲ τούτου χρυσάντας ὧδε ἔλεξεν. ἀλλ᾽ ἐγώ, ἔφη, ὦ κῦρε, καὶ πάντες οἱ παρόντες, γινώσκω ὅτι συνεληλύθασι μὲν σὺν ἡμῖν, οἱ μὲν καὶ βελτίονες, οἱ δὲ καὶ μείονος ἄξιοι. ἢν δέ τι γένηται ἀγαθόν, ἀξιώσουσιν πάντες οὗτοι ἰσομοιρεῖν. καίτοι ἔγωγε οὐδὲν ἀνισώτερον νομίζω τῶν ἐν ἀνθρώποις εἶναι, τοῦ τῶν ἴσων τόν τε κακὸν καὶ τὸν ἀγαθὸν ἀξιοῦσθαι. καὶ ὁ κῦρος εἶπε πρὸς τοῦτο, ἆρ᾽ οὖν πρὸς τῶν θεῶν, κράτιστον ἡμῖν ὦ ἄνδρες ἐμβαλεῖν περὶ τούτου βουλὴν εἰς τὸ στράτευμα, πότερα δοκεῖ, ἤν τι ἐκ τῶν πόνων διδῷ ὁ θεὸς ἀγαθόν, ἰσομοίρους πάντας ποιεῖν, ἢ σκοποῦντας τὰ ἔργα ἑκάστου, πρὸς ταῦτα καὶ τὰς τιμὰς ἑκάστῳ προστιθέναι. καὶ τί δεῖ, ἔφη ὁ χρυσάντας, ἐμβαλεῖν λόγον περὶ τούτου, ἀλλ᾽ οὐχὶ προειπεῖν, ὅτι οὕτω ποιήσεις. οὐ σὺ καὶ τοὺς ἀγῶνας, ἔφη, προεῖπας, καὶ τὰ ἆθλα; ἀλλὰ μὰ δί᾽, ἔφη ὁ κῦρος, οὐχ ὅμοια ταῦτα ἐκείνοις. ἃ μὲν γὰρ ἂν στρατευόμενοι κτήσωνται, κοινὰ οἶμαι ἑαυτοῖς ἡγήσονται εἶναι. τὴν δὲ ἀρχὴν τῆς στρατείας, ἐμὴν ἴσως ἔτι οἴκοθεν νομίζουσιν εἶναι. ὥστε διατάττοντα ἐμὲ τοὺς ἐπιστάτας, οὐδὲν οἶμαι ἀδικεῖν νομίζουσιν. ἦ καὶ οἴει, ἔφη ὁ χρυσάντας, ψηφίσασθαι ἂν τὸ πλῆθος συνελθόν, ὥστε μὴ ἴσον ἕκαστον τυγχάνειν, ἀλλὰ τοὺς κρατίστους καὶ τιμαῖς καὶ δώροις πλεονεκτεῖν; ἔγωγ᾽, ἔφη ὁ κῦρος, οἶμαι, ἅμα μὲν ἡμῶν

de his, qui risum præbent. Ipse autem ordinis centurio qui narrat manipuli ridiculũ, inquit: Si quidem Aglaitada fletum facere studeremus, nos admodũ reprehenderes, quemadmodum aliqui etiam in carminibus & in orationibus miserabilia quædam scribentes, lachrymas nituntur inducere: quandoquidem nunc ipse quoque intelligens uelle nos quadam lætitia te afficere, nocere autem minime, nos tamen magna ignominia tibi ducis. Ita est mediusfidius, inquit Aglaitadas, ac iure id 10 quidem. Nam qui amicos ad risum mouet, uidetur is mihi tanc rem efficere minoris æstimãdam, quam qui cos multis in rebus ad fletum inducit. Quare ipse nunc si recte consideres, uera a me dici reperies. Et parẽtes quidem reddunt filios fletibus temperantes, & magistri pueros bene eruditos. Ac leges ad iustitiam ciues impellunt, quia fletibus eos instituunt. Ridiculos autem homines posses ne dicere aut corporibus prodesse, aut animos reddere ad gubernationem rei domesticæ, ad administrandamue ciuitatem aptiores? Hinc Hystaspas in 20 hunc modum locutus est: Tu, inquit, Aglaitada, si mihi obtẽperes, in hostes fidenter cõsumes hoc pluris æstimandum, ut inducas illos flere: & quod minime fuerendum est, nos hosce amicos omnino ridere assatim efficito. Etenim scio tibi risum permultũ esse repositũ. Nam neq; utens eum cõsumpsisti, neq; amicis, neq; nobis hospitibus ultro præbes. Itaq; nulla tibi excusatio est quo minus præbeas nobis risum. Ad quod inquit Aglaitadas: Et putas tu Hystaspa ex me risum facere? Et ordinis centurio inquit: Ita mehercle amens est igitur, quo 30 niam facilius quis ignem excuderit, quam exigat ex te risum. Ob quod dictum et alij riserunt, eius cognoscentes ingeniũ, & Aglaitadas ipse leniter subrisit. Ac Cyrus eũ intuitus exhilaratũ: Iniuriã, inquit, facis ordinis centurio, quòd uirũ nobis corrũpis ac uitias grauissimũ & optimũ, dum risum ei persuades, præsertim qui adeo hostis sit risui. Et hæc quidem huiusmodi dicebantur. Dein uero Chrysantas ita locutus est: At ego, Cyre, cum hisce unà omnib. cogito egressos esse nobiscũ alios plurimi, alios minimi faciundos. Si quid autem 40 boni contigerit, dignum hi omnes iudicabunt æqualẽ habere portionẽ. AT NIHIL inter homines esse inæqualius duco, quàm & ignauũ & fortem uirum de æqualitate certare. Ad quod Cyrus inquit: Num igitur uiri Persæ, per deos immortalis, nobis est optimũ sententiã hac de re inijcere in exercitũ. Vtrum uideatur, si quid boni ex laboribus deus dederit, facere omnibus æqualem portionem: an potius consideratis cuiusq; operibus, ad horum rationẽ honores esse cuiq; reddendos? Et quid opus est, Chrysantas inquit, hac de re ad ex 50 ercitum referre, ac non pronunciare potius te ita facturum? Nonne & ludos ita pronunciasti, & præmia? At mediusfidius, inquit Cyrus, non sunt hæc illis similia. Quæ enim militando acquirent, communia sibi, ut arbitror, censebunt. Exercitus uerò imperium putabunt fortassis etiam à domo in me esse collatum. Itaq; si præfectos constituo, nulla me uti putant iniuria. An etiam censes, Chrysantas inquit, decernere posse coactam multitudinem, ut non unus æquales portiones singuli consequantur, sed uiri fortissimi honoribus donisq; antecellant? Puto equidem, inquit Cyrus, tum cohortan-

cobortantibus uobis, tum etiam quia turpe sit aduersa
ri, ne qui plurimum laborat prodestq; reipub. maxima
item præmia iure cõsequatur. Puto aũt uel timidißimis
conducibile uisum iri, uiris fortib. meliorẽ esse conditio
nem. Quapropter uolebat Cyrus & ipsorum homoti/
morũ gratia, hoc decretũ fieret. Nam & hos ipsos exi
stimabat fore melioris, si uiderent se quoq; ex operibus
ipsis iudicatos, digna cõsecuturos esse præmia. Tẽpus
igitur ei uidebatur nunc esse hac de re consultandum,
quãdo etiam homotimi uerebãtur de æquali uulgi portio 10
tione. Ita igitur hi quoq; censebant, qui erant in taber/
naculo, ut res poneretur in cõsultationẽ, suaderetur q;
per eum, qui uir esse putaretur. Tum arridens quidam
ex ordinũ centurionibus, ait: At ego noui uirũ etiã ple
beium, qui non frustra moleste fert, adeò æqualem esse
portionẽ. Alius quærebat, hunc quẽnam esse diceret.
Cui ille respondit: Est medius fidius uir nobis contuber
nalis, qui omni in re quæritat sibi plus esse. Alius eum
rogabat: Num etiã ex laboribus? Minime omnium, in/
quit. Sed in hoc sum mendacij deprehensus. Nam & 20
laborũ et aliarum huiusmodi rerũ æquo admodum ani
mo semper sinit plus alium habere, qui uelit. At ego, ait
Cyrus, decerno ô uiri, si habendus sit miles ad agendũ
strenuus & obediens, ex exercitu huiusmodi homines
qualis ab hoc nũc dicitur, esse eijciẽdos. Videtur enim
mihi magnã militum partẽ eiusmodi esse, ut sequatur,
quacunq; quis duxerit. Agere aũt, ut existimo, osten/
dent alij, qui præclari fortesq; sunt ad res præclaras et
magnas: alij uero improbi, ad res improbas. Itaque fit
persæpe, ut habeãt plures qui secũ sentiant improbi ui 30
ri q̃ probi. IMPROBITAS enim proficiscẽs per subi
tas uoluptates, harũ persuasionib. utitur, quo multi se/
cum sentiãt. At VIRTUS ad arduũ agens, nõ est ad/
modum præpotens, ut subito incõsultoq; ad se trahat,
præsertim ubi alij sint, qui cõtrà ad decliue molleq; ad
hortentur. Quare ubi ex inertia atq; laborũ fuga im/
probiores sint, hos ego arbitror ueluti fucos, solum im
pensa socijs esse detrimẽto. Quicũq; præterea ad labo
res mali socij sunt, ad habendi uero auiditatẽ uehemen
tes impudẽtesq;, hi sese ad res improbas duces præstãt. 40
Possunt enim sæpenumero demõstrare plus haberi per
malas actiones. Itaq; huiusmodi homines omnino à no
bis sunt expellendi. Nec est item considerandũ uobis,
quomodo ex ciuibus ordines suppleatis, sed quẽadmo
dum equos quæritis, nõ qui patrij sint, sed qui optimi,
sic etiam homines quæritote. Ex omnibus inquã homi
nibus, quoscunque arbitremini & robori uobis orna/
mentoq; maxime futuros, hos sumite. Hæc etiam mihi
res testimonium affert, quid nobis conducat quod neq;
currus celer sit, si tardis utatur equis, neq; iustus cui 50
iungantur iniusti. NEQUE domus bene habitatur,
quæ malis utitur famulis: sed etiam si egeat famulis, mi
nus errat quàm si ab iniustis uexatur famulis. Bene aũt
scitote, uiri amicißimi, quod non hanc utilitatẽ solùm
mali milites afferent ablati si fuerint, quod aberũt ma/
li: uerumetiã qui relicti fuerint, rursus eo uitio purga/
buntur quo refersti iam erant. At boni ubi uiderint ui/
tiosos ignominia affectos, longè magis animati uirtu/
tem capessent. Cyrus quidem ita est locutus, & amicis
omnibus hæc itidem uisa sunt, & ita faciebãt. Ex hinc
rursus

ὑμῶν συναγορευόντων, ἅμα δὲ καὶ αἰσχρὸν ὂν ἀντιλέ-
γειν, μὴ οὐχὶ τὸν πλεῖστα καὶ πονοῦντα, καὶ ὠφελοῦντα
τὸ κοινόν, τοῦτον καὶ μεγίστων ἀξιοῦσθαι. οἶμαι δέ, ἔφη, καὶ
τοῖς κακίστοις σύμφορον φανεῖσθαι, τοὺς ἀγαθοὺς πλεονεκτεῖν.
ὁ δὲ Κῦρος ἐβούλετο καὶ αὐτῶν ἕνεκα τῶν ὁμοτίμων γενέσθαι
τοῦτο τὸ ψήφισμα. βελτίους γὰρ ἂν καὶ αὐτοὺς ἡγεῖτο εἶναι, εἰ
εἰδεῖεν ὅτι ἐκ τῶν ἔργων καὶ αὐτοὶ κρινόμενοι, τῶν ἀξίων
τεύξοιντο. καιρὸς οὖν αὐτῷ ἐδόκει εἶναι, δεῖν ἐμβαλεῖν περὶ
τούτων ψῆφον, ἐν ᾧ καὶ οἱ ὁμότιμοι ὤκνουν τὴν τοῦ ὄχλου
ἰσομοιρίαν. οὕτω δὴ συνεδόκει τοῖς ἐν τῇ σκηνῇ, ἐμβα-
λέσθαι περὶ τούτων λόγον. καὶ συναγορεύειν ταῦτα ἔφα-
σαν χρῆναι, ὅστις περ ἀνὴρ οἴοιτο εἶναι. ἐπιγελάσας δὲ τῶν
ταξιαρχῶν τις εἶπεν· ἀλλ' ἐγώ, ἔφη, ἄνδρα καὶ τοῦ δήμου
οἶδα, ὃς συνερεῖ, ὥστε μὴ εἰκῇ οὕτως ἰσομοιρίαν εἶναι. ἄλ-
λος δ' ἀντήρετο, τοῦτον τίνα λέγοι. ὁ δ' ἀπεκρίνατο· ἔστι
νὴ Δί' ἀνήρ, σύσκηνος ἐμός, ὃς ἐν παντὶ μαστεύει πλέον
ἔχειν. ἄλλος δ' αὖ ἐπήρετο αὐτόν, ἦ καὶ τῶν πόνων; μὰ
Δί', ἔφη, οὐ μὲν δή. ἀλλὰ τοῦτό γε ψευδόμενος ἑάλωκα.
καὶ γὰρ πόνων καὶ τῶν ἄλλων τῶν τοιούτων, πάνυ πράως 20
ἀεὶ ἐᾷ τὸν βουλόμενον πλέον ἔχειν. ἀλλ' ἐγὼ μέν, ἔφη ὁ Κῦ-
ρος, ὦ ἄνδρες, γιγνώσκω τοὺς τοιούτους ἀνθρώπους, οἷον
καὶ νῦν ὅδε λέγει, εἴπερ δεῖ ἐνεργὸν καὶ πειθόμενον ἔχειν
τὸ στράτευμα, ἐξαιρετέους εἶναι ἐκ τῆς στρατιᾶς. δοκεῖ γάρ
μοι τὸ μὲν πολὺ τῶν στρατιωτῶν εἶναι οἷον ἕπεσθαι, ᾗ ἄν τις ἡ-
γῆται. ἄγειν δ' οἶμαι ἐπιχειροῦσιν, οἱ μὲν καλοὶ κἀγαθοί, ἐπὶ
τὰ καλὰ κἀγαθά, οἱ δὲ πονηροὶ ἐπὶ τὰ πονηρά. καὶ πολλά-
κις τοίνυν πλείονας ὁμογνώμονας λαμβάνουσιν οἱ φαῦλοι,
ἢ οἱ σπουδαῖοι. ἡ γὰρ πονηρία διὰ τῶν παραυτίκα ἡδονῶν 30
πορευομένη, ταύτας ἔχει συναπατώσας πολλοὺς αὐτοῖς ὁ-
μογνωμονεῖν. ἡ δ' ἀρετὴ πρὸς ὄρθιον ἄγουσα, οὐ πάνυ δει-
νή ἐστιν ἐν τῷ παραυτίκα εἰκῇ συνεπισπᾶσθαι, ἄλλως τε
καὶ ἢν ἄλλοι ὦσιν, ἐπὶ τὸ πρανές, καὶ τὸ μαλακὸν ἀντιπαρα-
καλοῦντες. καὶ τοίνυν ἢν μέν τινες βλακείᾳ καὶ ἀπονίᾳ
μόνον κακοὶ ὦσι, τούτους ἐγὼ νομίζω, ὥσπερ κηφῆνας, δα-
πάνῃ μόνον ζημιοῦν τοὺς κοινωνούς. οἳ δ' ἂν τῶν μὲν πόνων
κακοὶ ὦσι κοινωνοί, πρὸς δὲ τὸ πλεῖστον ἔχειν, σφοδροὶ καὶ
ἀναίσχυντοι οὗτοι, καὶ ἡγεμονικοί εἰσι πρὸς τὰ πονηρά. 40
πολλάκις γὰρ δύνανται τὴν πονηρίαν πλεονεκτοῦσαν
ἀποδεικνύναι. ὥστε παντάπασιν ἐξαιρετέοι οἱ τοιοῦτοι
ἡμῖν εἰσι. καὶ μὴ δὲ μέντοι σκοπεῖτε, ὅπως ἐκ τῶν πολι-
τῶν ἀντιπληρώσετε τὰς τάξεις. ἀλλ' ὥσπερ ἵππους, οἳ
ἂν ἄριστοι ὦσιν, οὐχὶ οἳ ἂν πατριῶται, τούτους ζητεῖτε, οὕτω
καὶ ἀνθρώπους ἐκ πάντων, οἳ ἂν ὑμῖν μάλιστα δοκῶσι
συνισχυριεῖν τε ὑμᾶς καὶ συγκοσμήσειν, τούτους λαμβά-
νετε. μαρτυρεῖ δέ μοι καὶ τόδε πρὸς τὸ ἀγαθόν. οὔτε γὰρ
ἅρμα δή που ταχὺ γένοιτ' ἂν βραδέων ἵππων ἐνόντων,
οὔτε δίκαιον, ἀδίκων συνεζευγμένων. οὐδέ γε οἶκος 50
δύναιτ' ἂν εὖ οἰκεῖσθαι, πονηροῖς οἰκέταις χρώμενος. ἀλλὰ
καὶ ἐνδεόμενος οἰκετῶν, ἧττον σφάλλεται, ἢ ὑπὸ ἀδίκων
ταραττόμενος. εὖ δὲ ἴστε, ὦ ἄνδρες, ἔφη, φίλοι, ὅτι οὐδὲ
τοῦτο μόνον ὠφελήσουσιν οἱ κακοὶ, ἀφαιρεθέντες ὅτι κα-
κοὶ ἀπέσονται, ἀλλὰ τῶν καταμενόντων, ὅσοι μὲν ἂν ἀνεπί-
πλαντο ἤδη κακίας, ἀνακαθαροῦνται πάλιν αὐτήν. οἱ δὲ
ἀγαθοὶ τοὺς κακοὺς ἰδόντες ἀτιμασθέντας, πολὺ εὐθυμότε-
ρον τῆς ἀρετῆς ἀνθέξονται. ὁ μὲν οὕτως εἶπε. τοῖς δὲ φίλοις
ἅπασι συνέδοξε ταῦτα, καὶ οὕτως ἐποίουν. ἐκ δὲ τούτου
πάλιν

πάλιν αὖ, καὶ σκώμματος ἦρχεν ὁ Κῦρος. κατανοήσας γάρ τινα τῶν ταξιαρχῶν σύνδειπνον ἀγόμενον, καὶ παρακλίνην πεποιημένον, ἄνδρα ὑπέρδασύν τε καὶ ὑπεραίσχρον, ἀνακαλέσας τὸν ταξίαρχον ὀνομαστί, εἶπεν ὧδε· ὦ Σαμβαύλα, ἔφη, ἀλλ' ἦ καὶ σὺ κατὰ τὸν ἑλληνικὸν τρόπον, ὅτι καλόν ἐστι, περιάγει τοῦτο τὸ μειράκιον παρακατακείμενόν σοι; νὴ τὸν Δί', ἔφη ὁ Σαμβαύλας, ἥδομαι καὶ συνών τε τούτῳ, καὶ θεώμενος αὐτόν. ἀκούσαντες δὲ ταῦτα οἱ σύσκηνοι, προσέβλεψαν. ὡς δὲ εἶδον τὸ πρόσωπον τοῦ ἀνδρὸς ὑπερβάλλον αἴσχει, ἐγέλασαν πάντες. καί τις εἶπε· πρὸς τῶν θεῶν, ὦ Σαμβαύλα, ποίῳ τέ σε ἔργῳ ἁνὴρ οὗτος ἀνήρτηται; καὶ ὃς εἶπεν· ἐγὼ ὑμῖν, νὴ τὸν Δία, ὦ ἄνδρες, ἐρῶ. ὁποσάκις γὰρ αὐτὸν ἐκάλεσα, εἴτε νυκτὸς, εἴτε ἡμέρας, οὐ πώποτέ μοι οὔτ' ἀσχολίαν προὐφασίσατο, οὔτε βάδην ὑπήκουσεν, ἀλλ' ἀεὶ τρέχων. ὁποσάκις τε πρᾶξαί τι αὐτῷ προσέταξα, οὐδὲν ἀνιδρωτὶ πώποτε εἶδον αὐτὸν ποιοῦντα. πεποίηκε δὲ καὶ τοὺς δεκαδέας ἅπαντας τοιούτους, οὐ λόγῳ, ἀλλ' ἔργῳ ἀποδεικνὺς, οἵους δεῖ εἶναι. καί τις εἶπε· κᾆπειτα τοιοῦτον ὄντα, οὐ φιλεῖς αὐτὸν ὥσπερ τοὺς συγγενεῖς; καὶ ὁ αἰσχρὸς ἐκεῖνος πρὸς τοῦτο εἶπε· μὰ Δία, ἔφη. οὐ γὰρ φιλόπονός ἐστιν, ἐπεὶ ἤρκει ἂν αὐτῷ, εἰ ἐμὲ ἤθελε φιλεῖν, τοῦτο ἀντὶ πάντων τῶν γυμνασίων. τοιαῦτα μὲν δὴ καὶ γελοῖα, καὶ σπουδαῖα, καὶ ἐλέγετο, καὶ ἐπράττετο ἐν τῇ σκηνῇ. τέλος δὲ τὰς τρίτας σπονδὰς ποιήσαντες, καὶ εὐξάμενοι τοῖς θεοῖς τὰ ἀγαθὰ, τὴν σκηνὴν εἰς κοίτην διέλυον. τῇ δ' ὑστεραίᾳ ὁ Κῦρος συνέλεξε τοὺς στρατιώτας πάντας, καὶ ἔλεξε τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΚΥΡΟΥ.

Ἄνδρες φίλοι, ὁ μὲν ἀγὼν ἡμῖν ἐγγύς. προσέρχονται γὰρ οἱ πολέμιοι, τὰ δ' ἆθλα τῆς νίκης, ἢν μὲν ἡμεῖς νικῶμεν, δῆλον ὅτι οἵ τε πολέμιοι ἂν ἡμέτεροι, καὶ τῶν πολεμίων ἀγαθὰ πάντα. ἢν δὲ ἡμεῖς αὖ νικώμεθα, τοῦτο γὰρ ἀεὶ καὶ λέγειν, καὶ ποιεῖν δεῖ, καὶ οὕτω τὰ τῶν ἡττωμένων ἀγαθὰ πάντα, τοῖς νικῶσιν ἀεὶ ἆθλα πρόκειται. οὕτω δὴ, ἔφη, δεῖ ὑμᾶς γιγνώσκειν, ὡς ὅταν μὲν ἄνθρωποι κοινωνοὶ πολέμου γενόμενοι, ἐν ἑαυτοῖς ἔχωσιν ἕκαστοι, ὡς εἰ μὴ αὐτός τις προθυμήσεται οὐδὲν ἐσόμενον τῶν δεόντων, ταχὺ πολλά τε καὶ καλὰ διαπράττονται. οὐδὲν γὰρ αὐτοῖς ἀργεῖται τῶν πράττεσθαι δεομένων. ὁπόταν δὲ ἕκαστος διανοηθῇ, ὡς ἄλλος ἔσται ὁ πράσσων καὶ ὁ μαχούμενος, κἂν αὐτὸς μαλακίζηται, τοῖς τοιούτοις, ἔφη, εὖ ἴστε, ὅτι πᾶσιν ἅμα πάντα ἥξει τὰ χαλεπὰ φερόμενα. καὶ ὁ θεὸς, οὕτω πως ἐποίησε, τοῖς μὴ θέλουσιν ἑαυτοῖς προστάττειν, ἐκπονεῖν τἀγαθὰ, ἄλλους αὐτοῖς ἐπιτακτῆρας δίδωσι. νῦν οὖν, ἔφη, λεγέτω τις ἐνθάδε ἀναστὰς, περὶ αὐτοῦ τούτου. ποτέρως ἂν τὴν ἀρετὴν οἴεται ἀσκεῖσθαι μᾶλλον παρ' ἡμῖν, εἰ μέλλοι πλεῖστα καὶ πονεῖν καὶ κινδυνεύειν, ἐθέλων πλείστης καὶ τιμῆς τεύξεσθαι, ἢ ἂν εἰδῶμεν, ὅτι οὐδὲν διαφέρει κακὸν εἶναι. ὁμοίως γὰρ πάντες τῶν ἴσων τευξόμεθα. ἐνταῦθα δὴ ἀναστὰς Χρυσάντας, εἷς τῶν ὁμοτίμων, ἀνὴρ οὔτε μέγας, οὔτε ἰσχυρὸς ἰδεῖν, φρονήσει δὲ διαφέρων, ἔλεξεν ὧδε.

ΔΗΜΗΓΟΡΙΑ ΧΡΥΣΑΝΤΑ.

Ἀλλ' οἶμαι μὲν, ἔφη, ὦ Κῦρε, οὐδὲ διανοούμενόν σε ὡς δεῖ ἴσον τοὺς ἀγαθοὺς τοῖς κακοῖς ἔχειν, ἐμβαλεῖν τοῦτον τὸν λόγον, ἀλλ' ἀποπειρώμενον εἴ τις ἄρ' ἔσται ἀνὴρ, ὅστις ἐθελήσει

rursus cauillo in eos uti Cyrus est aggressus. Cum enim intellexisset quendam ex ordinum centurionibus qui duceret secum ad cœnam, faceretque iuxta discumbere uirum & pilosissimum & turpissimum, eo nominatim uocato ait: O Sambaula, num etiam tu more græco, id quod pulchrum est, circunducis hunc adolescentem, qui iuxta te discumbit? Equidem, inquit Sambaulas. Lætor igitur etiam ipse, qui & sum conuiua, & hunc habeo spectaculo. Quibus auditis contubernales respexerunt. Vt autem uiderunt uiri faciem turpissimam, riserunt omnes. Et quispiam dixit: Per deos immortalis, ò Sambaula, quo tandem opere uir hic te perdidit? Qui respondit: Per deos, inquit, uiri amici dicam uobis. Quoties enim eum uocaui aut noctu, aut interdiu, nunquam mihi neque negocij excusatione usus est, neque pedetentim unquam paruit, sed semper cursim. Et quoties ei agendum aliquid imperaui, nihil unquam uidi ipsum facere sine sudore. Effecit præterea hos omnis decuriales, non uerbo, sed re demonstrans, qualis oportet esse. Et quidam dixit: Et tu postea ipsum qui talis sit, non oscularis, quemadmodum cognatos? Atque deformis ille ad hoc: Non mehercule, inquit: non enim est laboriosus, quoniam satis fuisset ei, si me osculari uoluisset, unum hoc pro omnibus gymnasijs. Huiusmodi igitur & ridicula & seria tum dicebantur, tum agebantur in tabernaculo. Tandem aliquando tertijs libationibus factis, dijs immortalibus precati res bonas, conuiuium dissoluerunt in lectum. Postridie autem Cyrus militibus collectis omnibus, talia est locutus.

ORATIO CYRI.

Viri amicissimi, certamen est nobis proximum: aduentant enim hostes. Si nos uicerimus (hoc enim & dicendum est & faciendum, & non quæ sunt eorum qui uincuntur) omnia uincentibus proposita sunt præmia. Hoc igitur pacto uobis est sentiendum, quod quando in communi belli conditione singuli ita se habeant, nihil futurum ex sententia sua, nisi quisque pro se alacer ad rem fuerit, plurima quamprimum ac præclara perficient: nihil enim eorum cunctantur quæ facienda sunt. Sed ubi quisque cogitarit, alium fore qui & agat & pugnet, quamuis mollior ipse fuerit, his omnibus omnia simul mala subeunda ueniunt. Ac deus ipse ita fecit quodammodo, qui hominibus qui nolunt sibi imperare laborem ad bonum consequendum, alios ijs præficit. Nunc igitur surgat hic aliquis, qui de hac ipsa re uerba faciat, utro nam modo putat uirtutem magis exerceri posse. Num si quis plurima & facere uolet, et periclitari, plurimum quoq; honoris consequatur: an si uideamus interesse nihil, si ignauus quis fuerit. Eodem enim modo æqualia consequemur omnes. Hic igitur surgens Chrysantas, qui unus erat ex homotimis, uir satis neque magnus corpore, neque robustus uisu, sed prudentia excellens:

CHRYSANTIS ORATIO.

An ego arbitror, inquit, Cyre, te ne cogitantem quidem proposuisse hanc sententiam, an parem æque portionem improbi atque probi sint habituri: Sed tentare scilicet uoluisti, si quis tandem uir sit futurus qui sese osten-

ostentet cogitatu, ut nihil faciens neq; pulchre neq; fortiter, eorum sit æqualem portionem habiturus, quæ alij uirtute peregerint. At ego neq; pedibus uelox sum, neque manibus ualidus: neq; ignarus certe sum, quod ex rebus quas ego corpore meo fecero, non sim iudicandus neq; primus neq; secundus, puto etiam neq; millesimus, & forsitan ne ex decem millibus quidem unus. Verum & illud certo scio, quod si uiri potẽtes res fortiter capessent, alicuius boni tanta mihi pars erit, quanta pro iure fuerit. Quòd si homines ignaui nihil gesserint, fortes autem uiri ac potentes remissius habuerint, uereor ne alius rei cuiusquam magis quam boni maiorem sim partem habiturus. Chrysantas quidem ita est locutus. Cum post eum autem surrexisset Pheraulas Persa, unus ex ordine plebeio, qui Cyro etiam abusque domo uir esset familiaris ac iucundus, quiq; & corpore formosus erat, & animo generosum uirum præ se ferebat, huiusmodi est locutus uerba.

PHERAULAE ORATIO.

Equidem Cyre, uos omnes Persæ qui adestis, ipse nos omnis arbitror æqualiter nunc moueri ad uirtutis certamen. Video enim nos omnis simili alimento exercere omnia, & simili dignos congressu omnis iudicatos. Eadem etiam nobis omnibus sunt proposita: nam parere principibus omnibus cõmuniter propositũ est. Et quicunq; hoc libenter fecerit, hunc uideo à Cyro honorari. Ac præstare se fortem omnib. in rebus aduersus hostes, non aliũ decet, alium uerò dedecet, sed hoc oẽs decere maxime, est antea iudicatũ. Nunc pugna quoq; demonstratur nobis, ad quam uideo homines oẽs natura doctos: quemadmodum alia item animalia norũt singula pugnã quandam, quam neq; ab alio quopiã didicere, quam ab ipsa natura: ueluti bos cornu percutere, equus ungula, canis ore, aper dente. Quæ quidem animalia omnia cauere etiã sciunt, à quib. maxime est cauendum, & hæc quidẽ sine ullius prorsus doctoris præceptione. Atq; ipse ego ex admodum puero, continuo sciebam uti ante hoc quopiã propugnaculo, quo putarem uerberari. Quòd si aliud nihil haberẽ, utranq; manum protendens, impediebam quantum poterã percutientem. Et hoc faciebã non edoctus, quin propter hoc ipsum percutiebar, si opponerem. Gladium equidẽ continuo puellus adhuc rapiebam ubi uiderẽ, cum neq; à quoquã alio id didicissem, ut capiundus est gladius, quã à natura, ut dico. Faciebã igitur hoc item coactus, non edoctus: quemadmodũ sunt etiam alia, quæ prohibitus & à patre et à matre, agere cogebar à natura. Ac percutiebam mediusfidius gladio, quodcunq; poterã clam percutere. Non enim erat solum natura, quemadmodũ incedere & currere, sed ad naturalem motũ hoc mihi suaue uidebatur. Verùm posteaquã hæc nobis pugna relicta est, in qua alacritatis magis quàm artis est opus, qui nobis nõ iucũde certandũ est aduersus hosce homotimos, ubi uirtutis præmia proposita sunt paria? Quod si conferimur, non paria nobis pro periculo proposita esse scimus: sed hi quidem habituri sunt uitam honorificam, nos uero uitam laboriosam quidem, sed inhonoratam, quæ mea sententia est molestissima. Maxime aũt, ô uiri, hoc me bono animo ad obeũdum certamen aduersus hosce incitat, quod Cyrus iudicabit, qui nõ inuide.

λήσει ἐπιδεῖξαι ἑαυτὸν, ὡς δυνάσεται, μηδὲν καλὸν κἀγαθὸν ποιῶν, ὧν ἂν ἄλλοι τῇ ἀρετῇ καταπράξωσι, τούτων ἰσομοιρεῖν. ἐγὼ δὲ, ἔφη, εἰμὶ μὲν, οὔτε ποσὶ ταχὺς, οὔτε χερσὶν ἰσχυρός. γιγνώσκω δὲ, ὅτι ἐξ ὧν ἂν ἐγὼ τῷ ἐμῷ σώματι ποιήσω, οὐκ ἂν κριθείην, οὔτε πρῶτος, οὔτε δεύτερος, οἴομαι δὲ οὐδὲ χιλιοστὸς, ἴσως δὲ οὐδὲ μυριοστός. ἀλλὰ καὶ ἐκεῖνο σαφῶς ἐπίσταμαι, ὅτι εἰ μὲν οἱ δυνατοὶ ἐῤῥωμένως ἀντιλήψονται τῶν πραγμάτων, ἀγαθοῦ τινός μοι μετέσται μέρος, ὅσον ἂν δίκαιον ᾖ. εἰ δ' οἱ μὲν κακοὶ μηδὲν ποιήσουσιν, οἱ δ' ἀγαθοὶ, καὶ δυνατοὶ ἀθύμως ἕξουσι, δέδοικα, ἔφη, μὴ ἄλλου τινὸς μᾶλλον, ἢ τοῦ ἀγαθοῦ μεθέξω, πλέον μέρος, ἢ ἐγὼ βούλομαι. Χρυσάντας μὲν δὴ οὕτως εἶπεν. ἀνέστη δ' ἐπ' αὐτῷ Φεραύλας πέρσης τῶν δημοτῶν, Κύρῳ πως ἔτι οἴκοθεν συνήθης καὶ ἀρεστὸς ἀνὴρ, καὶ τὸ σῶμα οὐκ ἀφυὴς, καὶ τὴν ψυχὴν οὐκ ἀγεννεῖ ἀνδρὶ ἐοικὼς, ἔλεξε τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΦΕΡΑΥΛΑ.

Ἐγὼ δὲ, ἔφη, ὦ Κῦρε, καὶ πάντες δὲ οἱ παρόντες πέρσαι, ἡγοῦμαι μὲν ἡμᾶς ἐκ τοῦ ἴσου νῦν ὁρμᾶσθαι πάντας εἰς τὸ ἀγωνίζεσθαι περὶ ἀρετῆς. ὁρῶ γὰρ ὁμοίᾳ μὲν τροφῇ πάντας ἡμᾶς τὸ σῶμα ἀσκοῦντας, ὁμοίας δὲ συνουσίας πάντας ἀξιουμένους. τὰ δὲ αὐτὰ καλὰ πᾶσιν ἡμῖν πρόκειται. τό τε γὰρ τοῖς ἄρχουσι πείθεσθαι, ἐν κοινῷ κεῖται. καὶ ὃς ἂν φανῇ τοῦτο ἀπροφασίστως ποιῶν, τοῦτον ὁρῶ παρὰ Κύρῳ τιμῆς τυγχάνοντα. τό τ' αὖ πρὸς τοὺς πολεμίους ἄλκιμον εἶναι, οὐ τῷ μὲν, τῷ δ' οὔ, ἀλλὰ πᾶσι, καὶ τοῦτο προκέκριται κάλλιστον εἶναι. νῦν δὲ φημὶ ἡμῖν καὶ δεικτὴ μάχη, ἣν ἐγὼ ὁρῶ φύσει * γίγαντας ἀνθρώπους, ἐπισταμένους ὥσπερ γε καὶ τἄλλα ζῷα ἐπίσταταί τινα μάχην ἕκαστα, οὐδὲ παρ' ἑνὸς ἄλλου μαθόντα, ἢ παρὰ τῆς φύσεως. οἷον ὁ βοῦς κέρατι παίειν, ὁ ἵππος ὁπλῇ, ὁ κύων στόματι, ὁ κάπρος ὀδόντι. καὶ φυλάττεσθαί γ', ἔφη, ἐπίστανται ταῦτα πάντα, ἀφ' ὧν μάλιστα δεῖ. καὶ ταῦτα εἰς οὐδενὸς διδασκάλου πώποτε φοιτήσαντα. καὶ ἐγὼ ἐκ παιδίου εὐθὺς μὲν προβάλλεσθαι ἠπιστάμην, πρὸ τούτων ὅτῳ ᾤμην πληγήσεσθαι. καὶ εἰ μὴ ἄλλο μηδὲν ἔχοιμι, τὼ χεῖρε προέχων, ἐνεπόδιζον, ὅτι ἐδυνάμην τὸν παίοντα. καὶ τοῦτο ἐποίουν οὐ διδασκόμενος, ἀλλὰ καὶ ἐπ' αὐτῷ τούτῳ παιόμενος, εἰ προβαλλοίμην. μάχαιράν γε μὴν εὐθὺς παιδίον ὢν ἥρπαζον ὅποι ἴδοιμι. οὐδὲ παρ' ἑνὸς οὐδὲ τοῦτο μαθὼν ὅπως δεῖ λαμβάνειν ἄλλου, ἢ παρὰ τῆς φύσεως, ὡς ἐγώ φημι. ἐποίουν γοῦν καὶ τοῦτο κωλυόμενος οὐ διδασκόμενος, ὥσπερ καὶ ἄλλα ἔστιν ἃ εἰργόμενος καὶ ὑπὸ πατρὸς καὶ ὑπὸ μητρὸς, ὑπὸ τῆς φύσεως πράττειν ἠναγκαζόμην. καὶ ναὶ μὰ Δία, ἔπαιόν γε τῇ μαχαίρᾳ, πᾶν ὅ,τι δυναίμην λανθάνειν. οὐ γὰρ μόνον φύσει ἦν, ὥσπερ τὸ βαδίζειν καὶ τρέχειν, ἀλλὰ καὶ ἡδὺ πρὸς τὸ πεφυκέναι τοῦτο ποιεῖν ἐδόκει μοι εἶναι. ἐπεὶ οὖν, ἔφη, αὕτη ἡ μάχη καταλείπεται, ἐν ᾗ προθυμίας μᾶλλον ἢ τέχνης ἔργον ἐστὶ, πῶς ἡμῖν οὐχ ἡδέως πρὸς τούσδε τοὺς ὁμοτίμους ἀγωνιστέον, ὅπου γε τὰ μὲν ἆθλα τῆς ἀρετῆς ἴσα πρόκειται, παραβαλλόμενοι δὲ οὐκ εἰς τὸν κίνδυνον ἴσα μέν. ἀλλ' οὗτοι μὲν, ἔντιμον βίον, ὅσπερ ἥδιστος· ἡμεῖς δὲ ἐπίπονον μὲν, ἄτιμον δὲ, ὥσπερ οἶμαι χαλεπώτατος. μάλιστα, ὦ ἄνδρες, τοῦτό με εὐθύμως εἰς τὸν ἀγῶνα τὸν πρὸς τούσδε παρορμᾷ, ὅτι Κῦρος ἐσται ὁ κρίνων, ὃς οὐ φθό-

νῳ

πάντας

να κρίνω, ἀλλ᾽ σὺν θεῷ, ὅρκῳ δοκεῖν κυροῦν, οὕς τινας ἂν ὁρᾷ ἀγαθοὺς, φιλεῖν οὐδὲν ἧττον ἢ ἑαυτόν. τούτοις γοῦν ὁρῶ αὐτὸν ὅ, τι ἂν ἔχοι ἥδιον διδόντα μᾶλλον, ἢ αὐτὸν ἔχοντα. καί τοι, ἔφη, οἶδα ὅτι οὗτοι μέγα φρονοῦσιν, ὅτι πεπαίδευνται δὴ καὶ πρὸς λιμὸν, καὶ πρὸς δίψος, καὶ πρὸς ῥῖγος καρτερεῖν. κακῶς εἰδότες, ὅτι καὶ ταῦτα ἡμεῖς, ὑπὸ κρείττονος διδασκάλου πεπαιδεύμεθα ἢ οὗτοι. οὐ γὰρ ἔστι διδάσκαλος τούτων οὐδεὶς κρείττων τῆς ἀνάγκης, ἣ ἡμᾶς καὶ λίαν ἀκριβοῦν ταῦτα ἐδίδαξε. καὶ πονεῖν μὲν οὗτοι δὴ τὰ ὅπλα φέροντες ἐμελέτων, ἃ ἐστὶ πᾶσιν ἀνθρώποις εὑρημένα, ὡς ἂν εὐφορώτατα εἴη. ἡμεῖς δέ γε, ἔφη, ἐν μεγάλοις φορτίοις καὶ βαδίζειν, καὶ τρέχειν ἠναγκαζόμεθα, ὥστε νῦν ἐμοὶ δοκεῖ τὰ τῶν ὅπλων φορήματα πτεροῖς μᾶλλον ἐοικέναι ἢ φορτίοις. ὡς οὖν ἐμοῦ γε καὶ ἀγωνιουμένου, καὶ ὁποῖός τις ἂν ὦ κατὰ τὴν ἀξίαν τιμᾶσθαι ἀξιοῦντος, οὕτως, ἔφη, ὦ Κῦρε, γίγνωσκε. καὶ ὑμῖν δὲ, ὦ ἄνδρες δημόται, παραινῶ, ὁρμᾶσθαι εἰς ἔριν ταύτης τῆς μάχης, πρὸς τοὺς πεπαιδευμένους τουσδί. νῦν γὰρ, ἄνδρες, εἰλημμένοι εἰσὶν ἐν δημοτικῇ ἀγωνίᾳ. Φεραύλας μὲν δὴ οὕτως εἶπεν. ἀνίσταντο δὲ καὶ ἄλλοι πολλοὶ ἑκατέροις συναγορεύοντες. ἔδοξε δ᾽ οὖν κατὰ τὴν ἀξίαν ἕκαστον τιμᾶσθαι, Κῦρον δὲ τὸν κρίνοντα εἶναι. ταῦτα μὲν δὴ οὕτω προυκεχωρήκει. ἐκάλεσε δ᾽ ἐπὶ δεῖπνον ὁ Κῦρος καὶ ὅλην ποτὲ τάξιν σὺν τῷ ταξιάρχῳ. ἰδὼν δ᾽ αὐτὸν τοὺς μὲν ἡμίσεις τῶν ἀνδρῶν τῆς τάξεως ἀντιτάξαντα ἑκατέρωθεν εἰς ἐμβολήν, θώρακας μὲν δὴ ἀμφοτέρους ἔχοντας, καὶ γέρρα ταῖς ἀριστεραῖς. εἰς δὲ τὰς δεξιὰς, νάρθηκας παχεῖς τοῖς ἡμίσεσιν ἔδωκε· τοῖς δ᾽ ἑτέροις εἶπεν, ὅτι βάλλειν δεήσοι, ἀναιρουμένους ταῖς βώλοις. ἐπεὶ παρεσκευασμένοι οὕτως ἔστησαν, ἐσήμαινεν αὐτοῖς μάχεσθαι. ἐνταῦθα δὴ οἱ μὲν ἔβαλλον ταῖς βώλοις, καὶ ἔστιν οἳ ἐτύγχανον, καὶ θωράκων καὶ γέρρων, οἱ δὲ καὶ μηροῦ καὶ κνημίδος. ἐπεὶ δὲ ὁμοῦ ἐγένοντο οἱ τοὺς νάρθηκας ἔχοντες, ἔπαιον τῶν μὲν μηροὺς, τῶν δὲ χεῖρας, τῶν δὲ κνήμας. καὶ τῶν ἐπικυπτόντων ἐπὶ βώλους, ἔπαιον τοὺς τραχήλους καὶ τὰ νῶτα. τέλος δὲ τρεψάμενοι, ἐδίωκον οἱ ναρθηκοφόροι, παίοντες σὺν πολλῷ γέλωτι καὶ παιδιᾷ. ἐν μέρει γε μὴν οἱ ἕτεροι πάλιν λαβόντες τοὺς νάρθηκας, ταὐτὰ ἐποίησαν, τοὺς ταῖς βώλοις βάλλοντας. ταῦτα δ᾽ ἀγασθεὶς ὁ Κῦρος, τοῦ μὲν ταξιάρχου τὴν ἐπίνοιαν, τῶν δὲ τὴν πειθὼ, ὅτι ἅμα μὲν ἐγυμνάζοντο, ἅμα δὲ εὐθυμοῦντο, ἅμα δὲ ἐνίκων οἱ εἰκασθέντες τῇ τῶν Περσῶν ὁπλίσει. τούτοις δ᾽ ἡσθεὶς, ἐκάλεσέ τε ἐπὶ δεῖπνον αὐτοὺς καὶ ἐν τῇ σκηνῇ ἰδών τινας αὐτῶν ἐπιδεδεμένους, τὸν μέν τινα ἀντικνήμιον, τὸν δὲ χεῖρα, ἠρώτα τί πάθοιεν. οἱ δ᾽ ἔλεγον, ὅτι πληγεῖεν ταῖς βώλοις. ὁ δὲ πάλιν ἐπηρώτα, πότερον ἐπεὶ ὁμοῦ ἐγένοντο, ἢ ὅτε πρόσω ἦσαν. οἱ δ᾽ ἔλεγον, ὅτε πρόσω ἦσαν. ἐπεὶ δὲ ὁμοῦ ἐγένοντο, παιδιὰν ἔφασαν εἶναι καλλίστην οἱ ναρθηκοφόροι. οἱ δ᾽ αὖ συγκεκομμένοι τοῖς νάρθηξιν, ἀνέκραγον, ὅτι οὐ σφίσι γε δοκοίη παιδιὰν εἶναι τὸ ὁμόθεν παίεσθαι. ἅμα δὲ ἐπεδείκνυσαν τῶν ναρθηκοφόρων τὰς πληγὰς, καὶ ἐν χερσί, καὶ ἐν τραχήλοις, ἔνιοι δὲ καὶ ἐν προσώποις. καὶ τότε μὲν ὥσπερ εἰκὸς, ἐγέλων ἐπ᾽ ἀλλήλοις. τῇ δ᾽ ὑστεραίᾳ, μεστὸν ἦν τὸ πεδίον πάντων τούτους μιμουμένων. καὶ ἀεὶ ὁπότε μὴ ἄλλο τι σπουδαιότερον πράττοιεν, ταύτῃ τῇ παιδιᾷ ἐχρῶντο. ἄλλον δέ ποτε ἰδὼν ταξίαρχον ἄγοντα τὴν τάξιν

uide iudicat: sed deos obtestor, indubitatò mihi uidetur Cyrus, quos uiros probos uiderit, nihilo quam se ipsum minus eos amare. Hisce igitur ipsum uideo iucundius dare quicquid habeat, quàm sibi retinere. Noui praeterea esse hos animis elatos, quod sint tam instituti & ad famem & ad sitim & ad frigus tolerandum, nescientes hi quidem haec nos quoque didicisse à meliore magistro quam ipsos. Nemo enim est horum praestantior doctor quàm necessitas, quae 10 haec nos docuit diligentissimè. Hi laborem in ferendis armis exercuerunt, quae omnibus sunt inuenta hominibus, ut facillime ferantur. Nos autem in magnis oneribus & incedere & currere coacti sumus adeò, ut mihi nunc uideatur armorum indumentum alis potius quàm oneri esse simile. Quamobrem Cyre ita me fore exploratū habe, ut & certem, & qualiscunque quis fuero, pro meritis dignum censeam honorari. Et uos ego moneo, uiri plebeij, ut contendatis in hac pugna cum hisce uiris pugnandi e- 20 ruditis. Nunc enim uiri in plebeio certamine sumpti sunt. Pheraulas quidem habuit haec uerba. Surrexerunt etiam alij multi, qui utrisq; fauerent oratione. Decretum est autem debere quenq; pro dignitate honorari, Cyrumq; ipsum iudicē esse. Haec igitur ita processerūt. Inuitauit insuper Cyrus, cum uidisset dimidium uirorum ordinis illius utrinq; inter se contrà ad pugnam instruxisse, qui utriq; thoracas haberent, & crates in sinistris manibus: eorum alteris crassas ferulas in manus dedit: at alteris dixit, ut gle- 30 bis sublatis aduersarios percuterent. Sed ubi hi steterunt ita instructi, & centurio praelio signum dedit, hic alij glebis feriebant, & interdum alij attingebāt thoracas & crates alij & femur & caligas. Sed ubi comminus fierent, qui ferulas habebant, percutiebant alijs femora, alijs manus, alijs suras: & his qui ad capiendas glebas inclinabantur, & colla feriebant & terga. Ad postremum ferulıferi eos in fugam uersos, multo cum risu ac ludicro percutiebant. Et alij in altera parte accepti, ferulis rursus eadem ijs fece- 40 runt qui percutiebant glebis. Delectatus autem Cyrus tum centurionis cogitatu atque studio, tum militum obedientia, quòd simul & exercebantur, & excandescebant, simulq; hi uincebant, qui Persarum arma essent imitati. His igitur Cyrus delectatus, & inuitauit eos ad coenam, & intuitus in tabernaculo eorum quosdam ligatos alium tibiam, alium manum, rogauit quid paterentur: cui respondebant, quòd glebis percussi forent. Rursusq; Cyrus interrogabat, utrum posteaquam sunt congressi, an 50 cum erant procul. cui dicebant, cum essent procul. Nam ubi feruliferi comminus facti sunt, aiebant ludum fuisse pulcherrimum. Qui autem ferulis concisi erant, exclamabant non sibi ludum uideri comminus percuti: simulq; ostenderunt ferularum plagas & in utrisq; manibus, & in collis, aliqui etiam in facie. & tum, ut fieri solet, ridebant inter se plurimum. Postridie uero campus refertus erat omnibus uiris, qui hosce imitabantur: ac nisi aliud quicquam agerent melius, hoc utebantur ludo. Cum alium quoque esset olim intuitus ordinis centurionem, qui a flumine [illegible]

d [illegible]

nem ducebat singulatim ad leuam: quicq; cum ei ui
sum esset tempestiuum, iuberet primipilis ut postre
mum manipulum traducerent, & tertium, & quar
tum in frontem: & cum in fronte essent primipili,
iussit ut binatim agerent manipulum: ex hinc etiam
traducebant decuriones in frontem, & cum rursus
ei uideretur tempus esse, iubebat ut quaternatim ma
nipulum agerent: ita igitur quincuriones rursus tra
ducebant, ut quaternatim manipulus incederet. Vbi
autem fuissent ad fores tabernaculi, iubens binatim
ire ex iis qui singulatim ibant, immisit primum ma-
nipulum, & secundum ad huius caudam sequi ius-
sit: & tertium & quartum itidem iubens ducebat in
tro: & ita ut incedebat, ad coenam discumbebat. His
igitur delectatus Cyrus, ob mansuetudinem & do-
ctrinam atque diligentiam, inuitauit etiam hunc or-
dinem una cum centurione ad coenam. Cumq; alius
quidam ordinis centurio in coena adesset inuitatus,
At meum ordinem, inquit, Cyre non inuitabis in ta-
bernaculum? Enimuero cum ad coenam adsit, haec
omnia facit. Et ubi finem habuerit conuiuium, qui co
git ultimum manipulum, educit eum, cui primi sunt
ultimi instructi ad pugnam: dein qui cogit tertium
manipulum, post hos & tertius & quartus identi-
dem, quo etiam ubi sint ab hostibus abducendi, sci-
ant ut abire oportet. Cum uero ad iter quod facimus
constituti fuerimus, si quidem eamus ad auroram, e-
go quidem duco, & primus manipulus, primus: &
secundus, ut par est, & tertius & quartus, &
manipulorum decuriae & quincuriae, utcunque ip-
se iubeo. Cum uero eamus ad uesperam, qui agmen
cogit, & postremi, ducunt primi. Mihi autem, qui
ultimus sum, ita obediunt, ut consuescant & sequi,
& ducere itidem obedientes. Et Cyrus ait: Num e-
tiam semper hoc facitis? Facimus sanè, inquit, quo-
ties coenamus. Vos igitur, inquit, mediusfidius inui-
to, quod & aduenientes & abeuntes simul ordines
meditamini, & id nocte simul & die: simul etiam,
quod & corpora ambulantes exercetis, et prodestis
animus doctrina. Quoniam igitur omnia facitis du-
plicata, iustum est duplicatam uobis à me praeberi
epulationem. Noli per Iouem, inquit primipilus, uno
die praebere duplicatam, nisi duplicatos etiam nobis
uteros praebueris. Et tum finis conuiuij talis fuit. Po-
stero autem die Cyrus illum ordinem, ut dixerat, in-
uitauit. Quae ubi alij quoque didicissent, reliqui
eos imitati sunt omnes. Sed cum olim milites om-
neis censeret in armis Cyrus, simulque ordinaret,
uenit à Cyaxare nuncius, qui diceret Indorum ad-
esse legationem. Quare is ingredi iussus: Fero ti-
bi, dixit, etiam stolam pulcherrimam à Cyaxare:
uult enim te anteuertere, quo splendidissimo orna-
tissimoque corporis cultu aspiciaris ab Indis, dum
aduenis. Quae Cyrus ubi audisset, praecepit pri-
mo ordinis centurioni, qui instructus erat, ut stans
ad dexteram singulatim ordinem duceret, in fron-
témque locaret: & secundo iussit, ut idem praeci-
peret, ac per omnis idem iussit ut traderetur. Qui
ita obedientes, & praeceperunt celeriter, et quae prae-
cepta sunt fecere quamprimum: breuiq; tempore fue
runt

ξιν ἀπὸ τοῦ ποταμοῦ ἐπὶ τὸ ἀριστερὸν ἐφ' ἑνός. καὶ ὁπότε δο-
κοίη αὐτῷ καιρὸς εἶναι, παραγγέλλοντα τὸν ὕστερον λόχον
παράγειν, καὶ τὸν τρίτον, καὶ τὸν τέταρτον εἰς μέτωπον.
ἐπεὶ δὲ ἐν μετώπῳ οἱ λοχαγοὶ ἐγένοντο, παρηγγύησεν ἀνὰ
δύο ἄγειν τὸν λόχον. ἐκ τούτου δὴ παρῆγον οἱ δεκάδαρ-
χοι εἰς μέτωπον. ὁπότε δ' αὖ ἐδόκει αὐτῷ καιρὸς εἶναι, πα-
ρήγγειλεν εἰς τέτταρας τὸν λόχον. οὕτω δὴ οἱ πεμπάδαρ-
χοι αὖ παρῆγον, ὡς εἰς τέτταρας ἴοι ὁ λόχος. ἐπειδὴ δὲ
ἐπὶ τῇ θύρᾳ τῆς σκηνῆς ἐγένοντο, παραγγείλας ἀνὰ ἕνα
ἰόντων, εἰσῆγε τὸν πρῶτον λόχον, καὶ τὸν δεύτερον τούτου κατ'
οὐρὰν ἕπεσθαι ἐκέλευε, καὶ τὸν τρίτον, καὶ τὸν τέταρτον ὡσαύτως τῇ
παραγγείλας ἡγεῖτο εἴσω. οὕτω δὴ εἰσαγαγὼν κατέκλινεν ἐπὶ
τὸ δεῖπνον, ὥσπερ εἰσεπορεύοντο. τοῦτον ὁ κῦρος ἀγασθεὶς
τῆς τε πρᾳότητος τῆς διδασκαλίας, καὶ τῆς ἐπιμελείας, ἐκάλε-
σεν αὖ καὶ ταύτην τὴν τάξιν ἐπὶ τὸ δεῖπνον, σὺν τῷ ταξιάρ-
χῳ. παρὼν δέ τις ἐπὶ τὸ δεῖπνον κεκλημένος ἄλλος τα-
ξίαρχος, τὴν δ' ἐμήν, ἔφη, ὦ κῦρε, τάξιν οὐ καλεῖς εἰς τὴν
σκηνήν; καὶ μὴν ὅταν γε παρῇ ἐπὶ τὸ δεῖπνον, ταῦτα πάν-
τα ποιεῖ. καὶ ὅταν τέλος ἡ σκηνὴ ἔχῃ, ἐξάγει μὲν ὁ οὐρα-
γὸς τοῦ τελευταίου λόχου τὸν λόχον, ὑστάτους ἔχων τοὺς πρώ-
τους εἰς μάχην τεταγμένους. ἔπειτα δὲ ὁ οὐραγὸς ὁ τοῦ
ἑτέρου λόχου ἐπὶ τούτοις, καὶ ὁ τρίτος καὶ ὁ τέταρτος
ὡσαύτως. ὅπως καὶ ὅταν δέῃ ἀπάγειν ἀπὸ πολεμίων, ἐπί-
στωνται ὡς δεῖ ἀπιέναι. ἐπειδὰν δὲ καταστῶμεν εἰς τὸν δρό-
μον ἔνθα περιπατοῦμεν, ὅταν μὲν πρὸς ἕω ἴωμεν, ἐγὼ
ἡγοῦμαι καὶ ὁ πρῶτος λόχος, πρῶτος, καὶ ὁ δεύτερος ὡς
δεῖ, καὶ ὁ τρίτος, καὶ ὁ τέταρτος, καὶ αἱ τῶν λοχαγῶν δεκά-
δες, καὶ πεμπάδες ἕως ἂν παραγγέλλω ἐγώ. ὅταν δ', ἔφη,
πρὸς ἑσπέραν ἴωμεν, ὁ οὐραγός τε καὶ οἱ τελευταῖοι πρῶτοι
ἀφηγοῦνται. ἐμοὶ μέντοι ὅμως πείθονται ὑστέρῳ ἰόντι, ἵνα
ἐθίζωνται καὶ ἕπεσθαι, καὶ ἀφηγεῖσθαι ὁμοίως πειθόμενοι.
καὶ ὁ κῦρος ἔφη ἦ καὶ ἀεὶ οὕτω ποιεῖτε; ὁποσάκις γε, ἔ-
φη, καὶ δειπνοποιούμεθα, νὴ δία. καλῶ τοίνυν, ἔφη, ὑ-
μᾶς, ἅμα μὲν ὅτι τὰς τάξεις μελετᾶτε, καὶ προσιόντες καὶ
ἀπιόντες. ἅμα δὲ, ὅτι καὶ ἡμέρας καὶ νυκτός. ἅμα δὲ, ὅτι τά
τε σώματα περιπατοῦντες ἀσκεῖτε, καὶ τὰς ψυχὰς ὠ-
φελεῖτε διδάσκοντες. ἐπεὶ οὖν πάντα διπλᾶ ποιεῖ-
τε, διπλῆν ὑμῖν δίκαιον, καὶ τὴν εὐωχίαν παρέχειν.
μὰ Δί', ἔφη ὁ ταξίαρχος, μή τοι γε ἐν μιᾷ γε ἡμέρᾳ εἰ μὴ
καὶ διπλᾶς τὰς γαστέρας ἡμῖν παρέξεις. καὶ τότε μὲν οὕ-
τω τὸ τέλος τῆς σκηνῆς ἐποιήσαντο. τῇ δ' ὑστεραίᾳ ὁ
κῦρος ἐκάλεσε ταύτην τὴν τάξιν, ὥσπερ ἔφη, καὶ τῇ
ἄλλῃ. αἰσθανόμενοι δὲ ταῦτα καὶ οἱ ἄλλοι, τὸ λοιπὸν πάν-
τες αὐτοὺς ἐμιμοῦντο. ἐξέτασιν δέ ποτε τοῦ κύρου πάν-
των ποιουμένου ἐν τοῖς ὅπλοις καὶ σύνταξιν, ἦλθε παρὰ κυ-
αξάρους ἄγγελος, λέγων, ὅτι ἰνδῶν παρείη πρεσβεία. κε-
λεύει οὖν σε ἐλθεῖν ὡς τάχιστα. φέρω δέ σοι, ἔφη ὁ ἄγγε-
λος, καὶ στολὴν τὴν καλλίστην παρὰ κυαξάρους. βούλεται γάρ
σε ὡς εὐκοσμότατα καὶ λαμπρότατα προσελθεῖν, ὡς ὀψο-
μένων τῶν ἰνδῶν, ὅπως ἂν προσίῃς. ἀκούσας ταῦτα ὁ κῦρος
παρήγγειλε τῷ πρώτῳ τεταγμένῳ ταξιάρχῳ, εἰς μέτω-
πον στῆναι, ἐφ' ἑνὸς ἄγοντα τὴν τάξιν, ἐν δεξιᾷ ἄγοντα
ἑαυτόν. καὶ τῷ δευτέρῳ ἐκέλευσε ταῦτα, τοῦτο παραγ-
γεῖλαι. καὶ διὰ πάντων, οὕτω παραδιδόναι ἐκέλευσεν.
οἱ δὲ πειθόμενοι, ταχὺ μὲν τοι παρήγγελλον, ταχὺ δὲ
τὰ παραγγελλόμενα ἐποίουν. ἐν ὀλίγῳ δὲ χρόνῳ ἐγέ-
νον

ντων τὸ μὲν μέτωπον ἐπὶ διακοσίων· τοσοῦτοι γὰρ ἦσαν
οἱ ταξίαρχοι. τὸ δὲ βάθος ἐφ' ἑκατόν. ἐπεὶ δὲ κατέστη-
σαν, ἕπεσθαι ἐκέλευσεν, ὡς ἂν αὐτὸς ἡγῆται. καὶ εὐθὺς τρο-
χάδην ἡγεῖτο. ἐπεὶ δὲ κατενόησε τὴν ἀγυιὰν τὴν πρὸς τὸ
βασίλειον φέρουσαν, στενοτέραν οὖσαν ἢ ὡς ἐπὶ μετώπου
πάντας ἰέναι, παραγγείλας τὴν πρώτην χιλιοστὺν ἕπε-
σθαι κατὰ χώραν, τὴν δὲ δευτέραν κατ' οὐρὰν ταύτης
ἀκολουθεῖν. καὶ διὰ παντὸς οὕτως, αὐτὸς μὲν ἡγεῖτο οὐκ
ἀναπαυόμενος, αἱ δὲ ἄλλαι χιλιοστύες κατ' οὐρὰν ἑκά-
στη τοῖς ἔμπροσθεν εἵποντο. ἔπεμψε δὲ καὶ ὑπηρέτας δύο
ἐπὶ τὸ στόμα τῆς ἀγυιᾶς, ὅπως εἴ τις ἀγνοοίη, σημαίνοιεν τὸ δέον
ποιεῖν. ὡς δὲ ἀφίκοντο ἐπὶ τὰς Κυαξάρου θύρας, παρήγ-
γελλε τῷ πρώτῳ ταξιάρχῳ τὴν τάξιν εἰς δώδεκα τάτ-
τειν βάθος. τοὺς δὲ δωδεκάρχους ἐν μετώπῳ καθιστάναι
περὶ τὸ βασίλειον. καὶ τῷ δευτέρῳ ταῦτα ἐκέλευσε πα-
ραγγέλλειν, καὶ διὰ παντὸς οὕτως. οἱ μὲν δὴ ταῦτ' ἐποί-
ουν· ὁ δ' εἰσῄει πρὸς τὸν Κυαξάρην ἐν τῇ Περσικῇ στολῇ,
οὐδέν τι ὑβρισμένῃ. ἰδὼν δὲ αὐτὸν ὁ Κυαξάρης, τῷ μὲν
τάχει ἥσθη, τῇ δὲ φαυλότητι τῆς στολῆς ἠχθέσθη, καὶ εἶπε·
τί τοῦτο, ὦ Κῦρε, οἷον πεποίηκας, οὕτω φανεὶς τοῖς Ἰνδοῖς;
ἐγὼ δ', ἔφη, ἐβουλόμην σε ὡς λαμπρότατον φανῆναι. καὶ
γὰρ ἐμοὶ κόσμος ἂν ἦν τοῦτο, ἐμῆς ὄντα ἀδελφῆς υἱὸν, ὅτι
μεγαλοπρεπέστατον φαίνεσθαι. καὶ ὁ Κῦρος πρὸς ταῦτα εἶ-
πε· καὶ πότερον ἄν, ὦ Κυαξάρη, μᾶλλόν σε ἐκόσμουν, πορ-
φυρίδα ἐνδὺς, καὶ ψέλλια λαβὼν, καὶ στρεπτὸν περιθέμε-
νος, σχολῇ κελεύοντι ὑπακούων σοι, ἢ νῦν ὅτε σὺν τοσαύτῃ
καὶ τοιαύτῃ δυνάμει οὕτως ὀξέως σοι ὑπακούω, διὰ τὸ σὲ τι-
μᾶν, ἱδρῶτι καὶ σπουδῇ καὶ αὐτὸς κεκοσμημένος, καὶ σὲ
κοσμῶν, καὶ τοὺς ἄλλους ἐπιδεικνύς σοι οὕτω πειθομένους. Κῦ-
ρος μὲν οὖν ταῦτα εἶπεν. ὁ δὲ Κυαξάρης νομίσας αὐτὸν ὀρθῶς
λέγειν, ἐκέλευσεν ἄγειν τοὺς Ἰνδούς. οἱ δ' Ἰνδοὶ εἰσελθόν-
τες, ἔλεξαν ὅτι πέμψειε σφᾶς ὁ Ἰνδῶν βασιλεὺς, καὶ κε-
λεύσειεν ἐρωτᾶν, ἐξ ὅτου ὁ πόλεμος εἴη, Μήδοις τε καὶ τῷ
Ἀσσυρίῳ. ἐπεὶ δέ σου ἀκούσαιμεν, ἐκέλευσεν αὖ ἐλθόντας
πρὸς τὸν Ἀσσύριον, κἀκείνου τὰ αὐτὰ ταῦτα πυθέσθαι. τέ-
λος δ' αὖ ἀμφοτέροις ὑμῖν εἰπεῖν, ὅτι ὁ Ἰνδῶν βασιλεὺς
φαίη, μετὰ τοῦ ἀδικουμένου ἔσεσθαι. πρὸς ταῦτα ὁ Κυαξά-
ρης εἶπεν· ἐμοῦ τοίνυν ἀκούετε, ὅτι οὐκ ἀδικοῦμεν τὸν Ἀσσύ-
ριον οὐδέν. ἐκείνου δ' ἐλθόντες πυνθάνεσθε ὅ,τι λέγει. παρὼν
δὲ ὁ Κῦρος, ἤρετο τὸν Κυαξάρην· ἦ καὶ ἐγώ, ἔφη, εἴπω τι γι-
γνώσκω; καὶ ὁ Κυαξάρης ἐκέλευσεν. ὑμεῖς μὲν τοίνυν, ἔφη,
ἀπαγγείλατε τῷ Ἰνδῶν βασιλεῖ τάδε, εἰ μή τι ἄλλο δοκεῖ
Κυαξάρῃ, ὅτι φαμὲν ἡμεῖς, εἴ τι φησὶν ὑφ' ἡμῶν ἀδικεῖσθαι
ὁ Ἀσσύριος, αἱρούμεθα αὐτὸν τὸν Ἰνδῶν βασιλέα δικαστήν.
οἱ μὲν δὴ ταῦτα ἀκούσαντες ᾤχοντο. ἐπειδὴ δὲ οἱ Ἰν-
δοὶ ἐξῆλθον, ὁ Κῦρος πρὸς τὸν Κυαξάρην ἤρχετο λόγου
τοιοῦδε· ὦ Κυαξάρη, ἐγὼ μέντοι ἦλθον, οὐδέν τι πολλὰ
ἔχων ἴδια χρήματα οἴκοθεν. ὁπόσα δ' ἦν τούτων, πά-
νυ ὀλίγα λοιπὰ ἔχω. ἀνήλωκα δὲ εἰς τοὺς στρατιώτας. καὶ
τοῦτο ὡς θαυμάζεις σὺ πῶς ἀνήλωκα ἐγώ, σοῦ αὐτοὺς τρέ-
φοντος. εὖ ἴσθι, ἔφη, ὅτι οὐδὲν ἄλλο ποιῶν, ἢ τιμῶν,
καὶ χαριζόμενος, ὅταν τινὶ ἀγασθῶ τῶν στρατιωτῶν. δοκεῖ
γάρ μοι, ἔφη, πάντας μὲν οὓς ἄν τις βούληται ἀγα-
θοὺς συνεργοὺς ποιεῖσθαι ὁποιουτινοσοῦν πράγματος,
ἥδιον εἶναι εὖ τε λέγοντα καὶ εὖ ποιοῦντα παρορμᾶν
μᾶλλον, ἢ λυποῦντα καὶ ἀναγκάζοντα. οὓς δὲ δὴ τῶν
εἰς

runt in fronte quidem ad ducentenos (totidem enim
erat ordinum centuriones) in medio uero agminis ad
centenos. Vbi autem constituti sunt, eos sequi iussit
pro suo ductu, continuoq; ducere maturabat. Sed po
steaquàm didicisset callem ad regiam ferentē esse an
gustiorē, quam ut in fronte omnes transirent, iusso
primo ordine sequi loco suo, secundo ad caudam hu
ius, atq; ita deinceps omnib. Cyrus quidem ducebat
assidue: alij uero ordines sequebantur, quisq; ad ante
10 rioris caudam. Misit praeterea ministros duos ad cal
lis introitū, quò imprudentibus uiae quid factu opus
foret, significaret. Sed ubi uenerat ad Cyaxaris ianu
am, praecepit primo ordinis cēturioni, ut ordinem in
duodenos circa mediū instrueret: duodenarios uerò
profectos in fronte constitueret circa regiā: ac secun
do eadē praecipi iussit, & ita deinceps omnib. & hi
quidē haec faciebāt. Hic uerò ad Cyaxarē est ingres
sus in stola Persica minime sordida aut inepta. Quem
intuitus Cyaxares celeritate quidē laetatus est, sed tur
20 batus uilitate stolae. Quid hoc, ait, Cyre? Cuiusmodi
rem fecisti ita Indis apparēs? Ego sane uolebā te quā
splendidissimū apparere. Nam mihi ornamento hoc
erat, quod mea natus sorore magnificus et elegātissi
mus uidereris. Ad quae Cyrus inquit: Et utrū magis te
ornassem Cyaxares, si cum induerer ueste purpurea,
caperemq; armillas, & monili collū circumdarē, ocio
se iussis tuis audirē: an potius nūc, quando cum tali
bus tātisq; uiris adeo propere tibi pareo, cum sudore
ac studio tui honorādi gratia, tum ornatus ipse, tum
30 alios ostentās adeo tibi obediētes? Haec Cyrus locutus
est. Quē Cyaxares cum recte dicere putasset, uocauit
Indos. Qui ingressi dixere, missi se ab Indorū rege,
ab quo iussi essent interrogare, qua ex re bellum esset
et Medis & Assyrio. Et cum te audissemus, iussit ut
rursus iremus ad Assyrium, & ab illo eadem haec in
terrogaremus. Ad postremum, ut uobis utrisq; dicere
mus, regem Indorum considerato iure, cum illo fore
cui iniuria sit illata. Ad haec Cyaxares ita respondit:
Me igitur audite. Nulla nos Assyrium afficimus in
40 iuria prorsus. Illum, si opus est, adite interrogaturi
quid dicat. Cyrus autem cum adesset, quaerebat ex
Cyaxare: Num etiam ego, inquiens, dicam quod sen
tio? Qui iussit ut diceret. Vos igitur, inquit Cyrus, re
gi Indorū haec nūciate, nisi quid aliud Cyaxari uide
tur, nos ita dicere: Si quid iniuriarū à nobis Assyrius
dicit in sese illatum, eligimus ipsum regem Indorum
iudicem. His igitur auditis, legati abierunt. Sed po
steaquam Indi egressi sunt, Cyrus ad Cyaxarē dicere
haec coepit: O Cyaxares equidem ueni domo sine mul
50 tis priuatis pecunijs: quot autem erant, harum mihi
paucae sunt reliquae, eas enim in milites consumpsi.
Et hoc miraris fortasse tu, quo pacto eas consumpse
rim, quando hi milites abs te aluntur. At ne te lateat
uelim, eas à me consumptas esse pecunias in nullum
aliud opus, quàm ad honorē & gratiam, dum prae
clarum aliquem militis facinus admiror. Videtur e
nim mihi omnibus quos ullus uelit cuiuscunq; rei bo
nos reddere adiutores, his iucundius esse, si bene &
dicēdo et faciēdo fuerint ab illo incitati, quàm si mo
lestia afficiātur, coganturq;. Quos igitur quisquam

 uelit

uelit alacres sibi rerum bellicarum adiutores facere, hi omnino uenandi sunt mea sententia bonis & uerbis, & rebus. Amicos enim eos, non inimicos esse oportet, qui pro nobis sine excusatione sunt pugnaturi: & tales quidem amicos, ut neq; secundis in rebus sint imperatori inuisuri, neq; in aduersis eum prodituri. Hæc igitur ipse ita prouidens, pecunijs opus esse puto. Omnibus autem in rebus ad te respicere, cuius permultam sentio esse impensam, uidetur mihi absurdum esse. In medium autem considerandum arbitror & tibi, & mihi, ne tibi sint pecuniæ defuturæ. Nam si hæ tibi abunde fuerint, scio etiam mihi futuras, ubi opus fuerit: præsertim si in huiusmodi eas rebus accipiam, quarum sumptus, ubi eas capias, tibi sit conducturus. Memini audiuisse abs te iandudum, te ab Armenio nunc contemni, quoniam audit hostes aduersus nos ire. Quo fit, ut neque exercitum mittat, neque tributum quod debet. Facit hæc, inquit, Cyre. Itaque ego uereor, utrum mihi sit melius bellum inferre, atque eum cogere, an magis conducat per hoc temporis missum facere, ne hunc etiam alijs aduersus nos hostem addamus. Et Cyrus interrogabat: At habitacula utrum ei sunt in munitis locis, an contra? Ad quem Cyaxares respondit: Nequaquam in locis sunt admodum munitis. Ego enim hoc noui. Sunt sanè montes ubi queat, si subitò abierit, tutus esse, quò minus captiuus fiat: neque res item eæ capiantur, quascunque subuehere potuerit, nisi quis pertinacius obsederit, quemadmodum à patre meo factum est. Dein hæc Cyrus locutus est: Si mittere me uolueris, additis mihi equitibus quot uisi fuerint tibi satis, effecturum me puto pro deorum ope, ut & milites mittat tibi, & tributum soluat: ac item futurum spero, ut nobis magis amicus fiat quàm nunc est. Et Cyaxares inquit: Et ego spero illos magis ad te ituros quàm ad me: audio enim ibi pueros quosdam tecum unà olim uenari consueuisse: itaque rursus eant ad te fortasse. Quos si ceperis, aget Armenius omnia quæ nos uolumus. Videtur ne igitur, inquit Cyrus, tibi conducere occultanda esse consilia hæc nostra? Magis enim, inquit Cyaxares, eorum aliquis in manus ueniat: ac si quis eos aggrediatur, possint capi imparati. Audi igitur, inquit Cyrus, an tibi uideor quicquam dicere. Sæpe cum socijs meis omnibus uenatus sum circa montes & tui & Armeniorum agri, & equitibus olim aliquibus assumptis ex hisce Medis socijs illuc ibam. Similia igitur, inquit Cyaxares, si facias, haud eris suspectus. Quòd si maiores copiæ illis appareant copijs quas ad uenationem habere consuesti, hoc nimirum suspicionem afferat. Sed licet etiam hac in re, inquit Cyrus, excusationem instruere uerisimilem, si quis ad illos enunciet, uelle me magnam facere uenationem, & abs te equites palam petere. Dicis tu quidem perpulchrè, inquit Cyaxares: atqui ego tibi non dabo præter paucos quosdam, quasi iturus sim ad castella, quæ sunt iuxta Assyriam: etenim illuc ire institui, atque ea reddere quàm munitissima. Cum tu autem processeris cum tuis copijs, ac duos iam dies uenando contriueris, mittam tibi meorum & equitum & pedi-

εἰς τὸν πόλεμον ἔργων ποιήσασθαί τις βούλοιτο συν[εργοὺ]ς προθύμους, οὕτως παντάπασιν ἔμοιγε δοκεῖ, ἀγαθοῖς θηρευτέον εἶναι καὶ λόγοις καὶ ἔργοις. φίλους γὰρ οὐκ ἐχθροὺς δεῖ εἶναι τοὺς μέλλοντας ἀπροφασίστους συμμάχους ἔσεσθαι, καὶ μήτε ἐπὶ τοῖς ἀγαθοῖς τοῦ ἄρχοντος φθονοῦντας, μήτε ἐν τοῖς κακοῖς ἐρραθυμήσοντας. ταῦτ᾽ οὖν ἐγὼ οὕτως γινώσκων, χρημάτων δοκῶ προσδεῖσθαι. πρὸς μὲν οὖν σὲ πάντα ὁρᾶν, ὃν αἰσθάνομαι δαπανῶντα πολλά, ἄτοπόν μοι δοκεῖ εἶναι. σκοπεῖν δ᾽ ἀξιῶ κοινῇ καὶ σὲ καὶ ἐμέ, ὅπως σὲ μὴ ὑπολείψῃ χρήματα. ἢν γὰρ σὺ ἄφθονα ἔχῃς, οἶδ᾽ ὅτι καὶ ἐμοὶ εἴη λαμβάνειν, ὁπότε δεοίμην. ἄλλως τε καὶ εἰ εἰς τοιοῦτόν τι λαμβάνοιμι, ὃ μέλλει καὶ σοὶ δαπανηθὲν βέλτιον εἶναι. ἔναγχος οὖν ποτε σου μέμνημαι ἀκούσας, ὡς ὁ ἀρμένιος καταφρονοίη σου νῦν, ὅτι ἀκούει τοὺς πολεμίους προσιόντας ἐφ᾽ ἡμᾶς, καὶ οὔτε στράτευμα πέμποι, οὔτε τὸν δασμὸν ὃν ἔδει ἀπάγοι. ποιεῖ γὰρ ταῦτα, ἔφη, ὦ κῦρε ἐκεῖνος. ὥστε ἐγώ τε ἀπορῶ, πότερόν μοι κρεῖττον στρατεύεσθαι καὶ πειρᾶσθαι ἀνάγκην αὐτῷ προσθεῖναι, ἢ λυσιτελεῖν ἐᾶσαι ἐν τῷ παρόντι, μὴ καὶ τοῦτον πολέμιον πρὸς τοῖς ἄλλοις προσθώμεθα. καὶ ὁ κῦρος ἐπήρετο, αἱ δ᾽ οἰκήσεις αὐτῷ, πότερον ἐν ἐχυροῖς χωρίοις εἰσὶν, ἢ ἐν εὐεφόδοις; καὶ ὁ κυαξάρης εἶπεν· αἱ μὲν οἰκήσεις, οὐ πάνυ ἐν ἐχυροῖς. ἐγὼ γὰρ τούτου οὐκ ἠμέλουν. ὄρη μέντοι ἐστὶν, ἔνθα δύναιτ᾽ ἂν ἀπελθὼν, ἐν τῷ παραχρῆμα ἐν ἀσφαλεῖ εἶναι, τοῦ μήτ᾽ αὐτός γε ὑποχείριος εἶναι, μηδὲ ὅσα ἐνταῦθα δύναιτο ὑπεκκομίσασθαι, εἰ μή τις πολιορκοίη προσκαθήμενος, ὥσπερ ὁ ἐμὸς πατήρ ποτε ἐποίησεν. ἐκ τούτου δὲ ὁ κῦρος λέγει τάδε· ἀλλ᾽ εἰ θέλοις ἐμὲ πέμψαι, ἱππέας μοι προσθεὶς ὁπόσοι δοκοῦσιν ἱκανοὶ εἶναι, οἴομαι ἂν σὺν τοῖς θεοῖς, ποιῆσαι αὐτὸν καὶ τὸ στράτευμα πέμπειν, καὶ ἀποδοῦναι τὸν δασμόν σοι. ἔτι δὲ ἐλπίζω καὶ φίλον αὐτὸν μᾶλλον ἡμῖν ἔσεσθαι, ἢ νῦν ἐστι. καὶ ὁ κυαξάρης εἶπεν· καὶ ἐγὼ ἐλπίζω, ἐκείνους ἐλθεῖν πρὸς σὲ μᾶλλον, ἢ πρὸς ἡμᾶς. ἀκούω γὰρ καὶ συνθηρευτάς τινας τῶν παίδων αὐτοῦ σοι γενέσθαι. ὥστε ἴσως ἂν καὶ πάλιν ἔλθοιεν πρὸς σέ. ὑποχειρίων δὲ γενομένων τινῶν αὐτῶν, πάντ᾽ ἂν πραχθείη, ἣν ἡμεῖς βουλόμεθα. οὐκοῦν δοκεῖ σοι, ἔφη ὁ κῦρος, σύμφορον εἶναι, τὸ λεληθέναι ἡμᾶς ταῦτα βουλεύοντας; μᾶλλον γ᾽ ἂν οὖν, ἔφη ὁ κυαξάρης, καὶ ἔλθοι τις αὐτῶν εἰς χεῖρας. καὶ εἴ τις ὁρμῷτο ἐπ᾽ αὐτοὺς, ἀπαρασκευαστότεροι ἂν λαμβάνοιντο. ἄκουε τοίνυν, ἔφη ὁ κῦρος, ἤν τι δόξω λέγειν. ἐγὼ πολλάκις δὴ σὺν πᾶσι τοῖς μετ᾽ ἐμοῦ πέρσαις τεθήρακα, ἀμφὶ τὰ ὅρια τῆς σῆς χώρας, καὶ τῆς τῶν ἀρμενίων, καὶ ἱππέας δὲ ἤδη τινὰς προσλαβὼν τῶν ἐνθένδε ἑταίρων ἀφικόμην. τὰ μὲν τοίνυν ὅμοια ποιῶν, ἔφη ὁ κυαξάρης, οὐκ ἂν ὑποπτεύοιτο. εἰ δὲ πολὺ πλείων ἡ δύναμις φαίνοιτο ἧς εἰώθεις ἔχων θηρᾶν τότε ἤδη, ὕποπτον ἂν γίγνοιτο. ἀλλ᾽ ἔστιν, ἔφη ὁ κῦρος, καὶ πρόφασιν κατασκευάσαι καὶ ἐνθάδε, οὐκ ἄπιστον. καὶ ἤν τις ἐκεῖσε ἐξαγγείλῃ, ὡς ἐγὼ βούλομαι μεγάλην θήραν ποιῆσαι, καὶ ἱππέας, ἔφη, αἰτοίην ἄν σε ἐκ τοῦ φανεροῦ. κάλλιστ᾽, ἔφη, λέγεις ὁ κυαξάρης. ἐγὼ δέ σοι οὐκ ἐθελήσω διδόναι, πλὴν μετρίους τινὰς, ὡς βουλόμενος πρὸς τὰ φρούρια ἐλθεῖν τὰ πρὸς τῇ ἀσσυρίᾳ. καὶ γὰρ τῷ ὄντι, ἔφη, βούλομαι ἐλθὼν κατασκευάσαι αὐτὰ ὡς ἐχυρώτατα. ὁπότε δὲ σὺ προεληλυθοίης σὺν ᾗ ἔχεις δυνάμει, καὶ θηρῴης, καὶ δὴ δύο ἡμέρας, πέμψαιμι ἄν σοι ἱκανοὺς ἱππέας καὶ

πεζοὺς

πεζοὺς τῶν παρ' ἐμοὶ ἠθροισμένων, οὓς σὺ λαβὼν, εὐθὺς
ἄνιοις. καὶ αὐτὸς δὲ ἔχων τὴν ἄλλην δύναμιν, πειράσομαι,
μὴ πρόσω ὑμῶν εἶναι, ἵνα εἴ που καιρὸς εἴη ἐπιφανείην.
οὕτω δὴ ὁ μὲν κυαξάρης εὐθέως πρὸς τὰ φρούρια ἤθροι
ζεν ἱππέας τε καὶ πεζούς. καὶ ἁμάξας δὲ σίτου προὔπεμ
πε τὴν ἐπὶ τὰ φρούρια ὁδόν. ὁ δὲ κῦρος ἐθύετο ἐπὶ τῇ
πορείᾳ, καὶ ἅμα πέμπων, ᾔτει τὸν κυαξάρην τῶν νεωτέ
ρων ἱππέων. ὁ δὲ πάνυ πολλῶν βουλομένων ἕπεσθαι, οὐ
πολλοὺς ἔδωκεν αὐτῷ. προεληλυθότος δ' ἤδη τοῦ
κυαξάρους, σὺν δυνάμει, καὶ πεζικῇ καὶ ἱππικῇ τὴν
πρὸς τὰ φρούρια ὁδόν, γίγνεται τῷ κύρῳ τὰ ἱερὰ ἐπὶ
τὸν ἀρμένιον ἰέναι καλά. καὶ οὕτως ἐξάγει δή, ὡς εἰς θή
ραν παρεσκευασμένος. πορευομένῳ δὲ αὐτῷ, εὐθὺς ἐν τῷ
πρώτῳ χωρίῳ ἐπανίσταται λαγώς. ἀετὸς δ' ἐπιπτάμενος
αἴσιος ὡς κατεῖδε τὸν λαγὼ φεύγοντα, ἐπιφερόμενος,
ἔπαισέ τε αὐτὸν, καὶ συναρπάσας ἐξῆρε. καὶ ἀπενεγκὼν
ἐπὶ λόφον τινὰ οὐ πρόσω, ἐχρῆτο τῇ ἄγρᾳ ὅτι ἤθελεν. ἰδὼν
οὖν ὁ κῦρος τὸ σημεῖον, ἥσθη τε καὶ προσεκύνησε δία βα
σιλέα, καὶ εἶπε πρὸς τοὺς παρόντας· ἡ μὲν θήρα καλὴ ἔσται,
ὦ ἄνδρες, ἢν θεὸς θέλῃ. ὡς δὲ πρὸς τοῖς ὁρίοις ἐγένοντο, εὐ
θὺς ὥσπερ εἰώθει ἐθήρα. καὶ τὸ μὲν πλῆθος τῶν πεζῶν καὶ
τῶν ἱππέων, ὤγμευον ὡς ἐπιόντες τὰ θηρία ἐξανισταῖεν.
οἱ δὲ ἄριστοι καὶ πεζοὶ καὶ ἱππεῖς, διέστησαν, καὶ τὰ ἀνι-
στάμενα ὑπεδέχοντο καὶ ἐδίωκον, καὶ ᾕρουν πολλὰς καὶ
σῦς, καὶ ἐλάφους, καὶ δορκάδας, καὶ ὄνους ἀγρίους. πολ
λοὶ γὰρ ἐν τούτοις τοῖς τόποις ὄνοι καὶ νῦν ἔτι γίγνονται.
ἐπεὶ δ' ἔληξαν τῆς θήρας, προσμίξας πρὸς τὰ ὅρια τῶν ἀρ-
μενίων, ἐδειπνοποιήσατο. καὶ τῇ ὑστεραίᾳ αὖθις ἐθήρα.
προσελθὼν πρὸς τὰ ὄρη ὧν ὠρέγετο, ἐπειδὰν ἔληξεν, ἐ-
δειπνοποιεῖτο. τὸ δὲ παρὰ κυαξάρους στράτευμα, ὡς ᾔσθε
το προσιὸν, ὑποπέμψας πρὸς αὐτοὺς, εἶπεν· ἀπέχοντας αὐ
τοῦ δειπνοποιεῖσθαι, ὡς δύο παρασάγγας. τοῦτο προϊδὼν
ὡς συμβαλεῖται πρὸς τὸ λανθάνειν. ἐπεὶ δὲ δεδειπνήσειεν,
εἶπε τῷ ἄρχοντι αὐτῶν, παρεῖναι πρὸς αὐτόν. μετὰ τὸ
δεῖπνον δὲ τοὺς ταξιάρχους ἐκάλει. ἐπεὶ δὲ παρῆσαν, ἔ-
λεξεν ὧδε· ἄνδρες φίλοι, ὁ ἀρμένιος πρόσθεν μὲν καὶ
σύμμαχος ἦν, καὶ ὑπήκοος κυαξάρει. νῦν δὲ ὡς ᾔσθετο
πολεμίους ἐπιόντας, καταφρονεῖ. καὶ οὔτε στράτευμα πέμ
πει ἡμῖν, οὔτε τὸν δασμὸν ἀποδίδωσι. νῦν οὖν τοῦτον δεῖ
θηράσαι ἢν δυνώμεθα. ὧδέ μοι οὖν δοκεῖ, ἔφη, ποιεῖν.
σὺ μὲν ὦ χρυσάντα, ἐπειδὰν ἀποκοιμηθῇς ὅσον μέτριον,
λαβὲ τοὺς ἡμίσεις περσῶν τῶν σὺν ἡμῖν, ἴθι τὴν ὀρεινὴν, καὶ
κατάλαβε τὰ ὄρη, εἰς ἅ φασιν αὐτὸν ὅταν τινὰ φοβηθῇ
καταφεύγειν. ἡγεμόνας δέ σοι ἐγὼ δώσω. φασὶ μὲν οὖν καὶ
δασέα ταῦτα τὰ ὄρη εἶναι, ὥστ' ἐλπὶς ὑμᾶς μὴ ὀφθῆναι. ὅ-
μως δὲ εἰ προπέμποις πρὸ τοῦ στρατεύματος εὐζώνους ἄν
δρας λῃσταῖς ἐοικότας καὶ τὸ πλῆθος καὶ τὰς στολὰς, οὗτοι
ἄν σοι, εἴ τισιν ἐντυγχάνοιεν τῶν ἀρμενίων, οὓς μὲν ἂν συλ
λαμβάνοντες αὐτῶν κωλύοιεν τῶν ἐξαγγελιῶν. οὓς δὲ
μὴ δύναιντο λαμβάνειν, ἀποσοβοῦντες ἂν ἐμποδὼν γί-
γνοιντο, τοῦ μὴ ὁρᾶν αὐτοὺς τὸ ὅλον στράτευμα. ἀλλ' ὡς περὶ
κλωπῶν βουλεύεσθαι. καὶ σὺ μὲν, ἔφη, οὕτω ποίει. ἐ-
γὼ δὲ ἅμα τῇ ἡμέρᾳ τοὺς ἡμίσεις μὲν τῶν πεζῶν ἔχων,
ἅπαντας δὲ τοὺς ἱππέας, πορεύσομαι διὰ τοῦ πεδίου εὐ-
θὺς πρὸς τὰ βασίλεια. καὶ ἢν μὲν ἀνθίστηται, δῆλον ὅτι
μαχεῖσθαι δεήσει· ἢν δ' αὖ ὑποχωρῇ τοῦ πεδίου, δῆλον ὅτι
μετα-

peditum quantum sat fuerit: quibus tu assumptis, con
tinuò ascendas. Ipse uerò cum alijs copijs enitar non
abesse à uobis procul, quò ubi tempus fuerit, superue
niam. Hoc igitur modo Cyaxares continuò coëgit ad
castella equites ac pedites, præmisitq; currus cum ci
bo, ea uia quæ ducit ad castella. Cyrus autem sacrum
fecit propter profectionem, simulq; ad Cyaxarem mit
tens, petebat iunioris equites. Hic uerò non multos ei
dedit, cum permulti ad eum uellent. Cumq; Cyaxa-
10 res iam antecessisset cum copijs peditum atque equi-
tum, ea uia quæ ad castella ducit, Cyri sacrificia de
eundo aduersus Armenium bona exstiterunt: & ita
Cyrus suos ducit tanquam in uenationem instructus.
Et uero proficiscenti, continuò in primo agro exurgit
lepus. Aquila autem uolans dextera, leporem despi-
ciens fugientem, & irruit, & percussit illum, extu-
litq; correptum, eoq; ablato in collem proximũ, pro
libidine utebatur præda. Augurium igitur Cyrus in-
tuitus, cum lætatus est, tum Iouem regem adorauit, di
20 xitq; ad præsentes: Venatio quidem, amicissimi uiri,
pulchra est futura si deo libuerit. Vt autem ad fines
uentum est, continuò uenabatur, quemadmodũ con-
sueuit. Et peditum atq; equitum multitudo mota est
ita, ut feræ exurgerent. Fortissimi uerò pedites atque
equites diuisi sunt, exurgentisq; bestias excipiebant
atq; insequebantur. Multosq; cepere sues ac ceruos,
capreasq;, & asinos syluestris. Nam in his locis per-
multi sunt etiam hoc tempore syluestres asini. Finita
autem uenatione, cum applicuisset ad finis Armenio-
30 rum, cœnatus est. Rursusq; postridie uenabatur, ad
eos montes accedens quos desiderabat. Cumq; rur-
sus uenari desisset, cœnabat. Vt autem accepit exerci
tum, quem Cyaxares miserat, aduentare, misso ad eos
clàm nuncio, iussit abessent duas parasangas, hoc est,
stadia sexaginta, ibiq; cœnarent, hoc prouidens, con
ducturum ad latendum. Vbi autem cœnarint, di-
xit eorum principi, ad se ueni. Post cœnam ad se uoca
uit ordinum centuriones. Qui ubi adfuere, locutus est
in hunc modum: Armenius, uiri amicissimi, & socius
40 erat antea, & subditus Cyaxari: sed nunc ut accepit
hostes aduenientis, eum contemnit, quippe qui neque
exercitum nobis mittit, neq; tributũ soluit. Itaq; nunc
uenimus ad hunc uenandũ si possimus. Quare ita fa-
ciundum uidetur mihi. Tu Chrysanta, cum delatus
in fines fueris, assumpto dimidio Persarũ qui sunt no
biscum, facto montano itinere, montes occupa, quò
eum cum metus ullus inuaserit, aiunt confugere. Du
ces autem ipse dabo tibi. Et hosce quidem montis den
sos arboribus esse ferunt, itaq; sperandum est latère
50 nos posse. Veruntamen si præmittas ante exercitũ ex
tuis aliquos expeditos uiros, qui latronib. & numero
& dolis similes sint, hi si in Armenios ullos incidãt,
quos quidem cõprehenderint, eos impediant, ne quid
renũcient: quos uerò nequeant cõprehendere, eos lon
gius insequantur, quò aperte nõ possint totũ aspicere
agmẽ tuum, sed de furtis potius consultent. Et tu qui
dem ita facito. Ego aũt cum primũ illuxerit, dimidiũ
peditũ mecum habens, omnisq; equites, cãpestri itine
re uidelicet continuò proficiscar ad regiam. Et si qui-
dem obstiterit, pugnandũ erit: sin se cãpo subduxerit,

 cursim

cursim erit insequendus. Quòd si fugerit in montes, hic tuum opus futurum est, ut qui ad te uenerint, eorum euadat nemo. Existimato ita nos futuros, ut qui feras indagantur in uenatione: te autem, ut eos qui sunt ad plagas. Illud igitur memineris, oportere prius saltus obstruere, quàm feræ moueantur. Eosq; latére opus esse, qui sunt ad hos aditus ordinati, ne auertant delatas feras. Ac noli tu quidem rursus facere Chrysanta, quemadmodū quandoq; soles ob uenandi studium. Nam sæpe totam noctem in negocio somnum non admittis. Sed est hoc tempore permittendum, ut uiri mediocriter cubent, dormire ut poßint. Neq; tu sane montibus soles errare, quod careas itineris ducibus: sed quarunque feræ subducunt, hàc transcurrens transire didicisti. At noli sic etiam nunc per loca difficilia transitu abruptaq; proficisci, sed ducibus tuis iube, nisi longe breuior uia fuerit, per facilimam ducant. Quod enim agmen facilimum sit, idem est celerrimum. Nec etiam quia sis solitus per montes currere, uelis te cursus præstare ducem: sed ut te sequi poßit exercitus, maturè ducito. Bonum etiam est, ut ex robustißimis aliqui & alacerrimis uiris, subsistant quandoq;, atq; alios adhortentur. Sed ubi cornu præterierit, incitanda est acceleratio. ut omnes quoad eos qui ingrediuntur, currere uideantur. Hæc ubi Chrysantas audisset, lætatus admodum Cyri præceptione, animoq; elatus cepit itineris duces. Et ijs qui secum erant profecturi, posteaquam iußisset facienda, dedit se quieti. Sed ubi dormisset quantum uisum est satis, ad montes proficiscebantur. At Cyrus ubi illuxit, nuncium ad Armenium præmisit, qui iussus est ita dicere. Cyrus, ô Armenie, ita ut facias, iubet, uti quamprimum uenias tributum & exercitum habens. Quod si rogat ubi sum, uera dicito, quòd in finibus. Sin rogat, an ipse uenio, hic etiam uera loquere, quòd nescis. Sin quæsierit, quot sumus, iube aliquem ipse tecum mittat, ac discat. Nuncio igitur misso Cyrus hæc monuit, existimans amicius ita esse, quàm si prædicens nihil proficisceretur. Ipse uero instructus quamoptimè, & ad peragendum iter, et ad pugnandum, si opus fuerit, pergebat. Iußit præterea militibus, ab iniuria abstinerent: ac si quis in Armenium quenquam incidisset, eum moneret, ut & nihil metueret, & quisq; pro uoluntate uenalia ferret, ubicunq; ipsi forent, siue esculenta uellent, siue poculenta uendere.

μεταθεῖν δ' ἐάσει. ἢν δ' εἰς τὰ ὄρη φεύγῃ, ἐνταῦθα δή, ἔφη, σὸν ἔργον, μηδένα ἀφιέναι τῶν πρὸς σὲ ἀφικνουμένων. νόμιζε δὲ ὥσπερ ἐν θήρᾳ, ἡμᾶς μὲν τοὺς ἐπιζητοῦντας ἔσεσθαι· σὺ δὲ τὸν ἐπὶ ταῖς ἄρκυσι. μέμνησο οὖν ἐκεῖνο, ὅτι φθάνειν δεῖ ἐμφράττειν μόνους τοὺς πόρους, πρὶν κινεῖσθαι τὴν θήραν. καὶ λεληθέναι δὲ δεῖ τοὺς ἐπὶ τούτοις τεταγμένους, εἰ μέλλουσι μὴ ἀποστρέψειν τὰ προσφερόμενα. μὴ μέν τοι, ἔφη, ὦ Χρυσάντα, οὕτως αὖ ποίει, ὥσπερ ἐνίοτε διὰ τὴν φιλοθηρίαν. πολλάκις γὰρ ὅλην τὴν νύκτα ἄυπνος πραγματεύῃ. ἀλλὰ νῦν ἐᾶσαι χρὴ τοὺς ἄνδρας τὸ μέτριον ἀποκοιμηθῆναι, ὡς ἂν δύνωνται ὑπνομαχεῖν. μὴ δέ γε σὺ ὅτι οὐχ ἡγεμόνας ἔχων ἀνθρώπους, πλανᾷ ἀνὰ τὰ ὄρη· ἀλλ' ὅπῃ ἂν τὰ θηρία ὑφηγῆται, ταύτῃ μεταθεῖς. μή τοι καὶ νῦν οὕτω τὰ δύσβατα πορεύου· ἀλλὰ κέλευε σοὺς ἡγεμόνας, ἐὰν μὴ πολὺ πολλὺ ἐλάσσων ἡ ὁδὸς ᾖ, τὴν ῥᾴστην ἡγεῖσθαι. στρατιᾷ γὰρ ἡ ῥᾴστη ταχίστη. μὴ δέ γε ὅτι σὺ εἴθισαι τρέχειν ἀνὰ τὰ ὄρη, μή τοι δρόμῳ ἡγήσῃ. ἀλλ' ὡς ἂν δύνηταί σοι ὁ στρατὸς ἕπεσθαι, τῇ μέσῃ σπουδῇ ἡγοῦ. ἀγαθὸν δὲ καὶ τῶν δυνατωτάτων καὶ προθύμων ὑπομένοντας τινὰς ἐνίοτε παρακελεύεσθαι· ἐπειδὰν δὲ παρέλθῃ τὸ κέρας, παροξυντικὸν εἰς τὸ σπεύδειν, πάντας παρὰ τοὺς βαδίζοντας, τρέχοντας ὁρᾶσθαι. Χρυσάντας μὲν δὴ ταῦτα ἀκούσας, καὶ ἐπιγαυρωθεὶς τῇ ἐντολῇ Κύρου, λαβὼν τοὺς ἡγεμόνας ἀπελθὼν καὶ παραγγείλας, ἃ ἔδει τοῖς σὺν αὐτῷ μέλλουσι πορεύεσθαι, ἀνεπαύετο. ἐπεὶ δὲ ἀναπαυσάμενος, ὅσον ἐδόκει μέτριον εἶναι, ἐπορεύετο ἐπὶ τὰ ὄρη. Κῦρος δὲ ἐπεὶ ἡμέρα ἐγένετο, ἄγγελον πέμπει πρὸς τὸν Ἀρμένιον, προειπὼν αὐτῷ λέγειν ὧδε. Κῦρος, ὦ Ἀρμένιε, κελεύει οὕτω ποιεῖν σε, ὅπως τάχιστα ἔχων ἄπεις καὶ τὸν δασμὸν καὶ τὸ στράτευμα. ἢν δ' ἐρωτᾷ ὅπου εἰμί, λέγε τἀληθῆ ὅτι ἐπὶ τοῖς ὁρίοις. ἢν δ' ἐρωτᾷ εἰ καὶ αὐτὸς ἔρχομαι, λέγε κἀνταῦθα τἀληθῆ ὅτι οὐκ οἶσθα. ἢν δ' ὁπόσοι ἐσμὲν πυνθάνηται, συμπέμπειν τινὰ κέλευε καὶ μαθεῖν. τὸν μὲν δὴ ἄγγελον ἐπιστείλας ταῦτα ἔπεμψε, νομίζων φιλικώτερον εἶναι οὕτως, ἢ μὴ προειπόντα πορεύεσθαι. αὐτὸς δὲ συνταξάμενος ᾗ ἄριστον καὶ πρὸς τὸ ἀνύειν τὴν ὁδόν, καὶ πρὸς τὸ μάχεσθαι, εἴ τι δέοι, ἐπορεύετο. προεῖπε δὲ τοῖς στρατιώταις, μηδένα ἀδικεῖν. καὶ εἴ τις Ἀρμενίων τῳ ἐντυγχάνοι, θαρρεῖν παραγγέλλειν, καὶ ἀγορὰν τὸν βουλόμενον ἄγειν ὅπου ἂν ὦσιν, εἴ τις σιτία ἢ ποτὰ τυγχάνοι πωλεῖν βουλόμενος.

ΞΕΝΟΦΩΝΤΟΣ ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ ΤΡΙΤΟΝ.

ΜΕΝ δὴ κῦρος ἐν τούτοις ἦν, ὁ δὲ ἀρμένιος ὡς ἤκουσε τοῦ ἀγγέλου τὰ παρὰ τοῦ κύρου, ἐξεπλάγη· ἐννοήσας ὅτι ἀδικοίη, καὶ τὸν δασμὸν λείπων, καὶ τὸ στράτευμα οὐ πέμπων· καὶ τὸ μέγιστον ἐφοβεῖτο, ὅτι ὀφθήσεσθαι ἔμελλε τὰ βασίλεια οἰκοδομεῖν ἀρχόμενος, ὡς ἂν ἱκανὰ ἀπομάχεσθαι εἴη. διὰ ταῦτα δὴ ταῦτα ὀκνῶν, ἅμα μὲν διέπεμπεν ἀθροίζων τὴν αὑτοῦ δύναμιν, ἅμα δ' ἔπεμπεν εἰς τὰ ὄρη τὸν νεώτερον υἱὸν σάβαριν, καὶ τὰς γυναῖκας, τήν τε ἑαυτοῦ καὶ τὴν τοῦ υἱοῦ, καὶ τὰς θυγατέρας, καὶ κόσμον δὲ καὶ κατασκευὴν τὴν πλείστου ἀξίαν συναπέπεμπε, προπομποὺς δοὺς αὐτοῖς. αὐτὸς δὲ ἅμα μὲν κατασκεψόμενος ἔπεμπε τί πράττοι κῦρος. ἅμα δὲ συνέταττε τοὺς παραγινομένους τῶν ἀρμενίων. καὶ ταχὺ παρῆσαν ἄλλοι λέγοντες, ὅτι καὶ δὴ οὗτος ὁμοῦ. ἐνταῦθα δὴ, οὐκέτι ἔτλη εἰς χεῖρας ἐλθεῖν, ἀλλ' ὑπεχώρει. ὡς δὲ τοῦτ' εἶδον αὐτὸν ποιήσαντα οἱ ἀρμένιοι, διεδίδρασκον ἤδη ἕκαστος ἐπὶ τὰ ἑαυτοῦ, βουλόμενοι τὰ ὄντα ἐκποδὼν ποιεῖσθαι. ὁ δὲ κῦρος ὡς ἑώρα διαθεόντων καὶ ἐλαυνόντων τὸ πεδίον μεστὸν, ὑποπέμπων ἔλεγεν, ὅτι οὐδενὶ πολέμιος εἴη τῶν μενόντων. εἰ δέ τινα φεύγοντα λήψοιτο, προηγόρευσεν ὅτι ὡς πολεμίῳ χρήσοιτο. οὕτω δὴ οἱ μὲν πολλοὶ κατέμενον. ἦσαν δὲ οἳ ὑπεχώρουν σὺν τῷ βασιλεῖ. ἐπεὶ δὲ οἱ σὺν ταῖς γυναιξὶ προϊόντες, ἐνέπεσον εἰς τοὺς ἐν τῷ ὄρει, κραυγήν τε εὐθὺς ἐποίουν, καὶ φεύγοντες ἡλίσκοντο πολλοὶ αὐτῶν. τέλος δὲ καὶ ὁ παῖς, καὶ αἱ γυναῖκες, καὶ αἱ θυγατέρες ἑάλωσαν, καὶ τὰ χρήματα ὅσα σὺν αὐτοῖς ἀγόμενα ἔτυχον. ὁ δὲ βασιλεὺς αὐτῶν ὡς ᾔσθετο τὰ γιγνόμενα, ἀπορῶν ποῖ τράποιτο, ἐπὶ λόφον τινὰ καταφεύγει. ὁ δ' αὖ κῦρος ταῦτα ἰδὼν, περιίσταται τὸν λόφον τῷ παρόντι στρατεύματι, καὶ πρὸς χρυσάνταν πέμψας, ἐκέλευε φυλακὴν τοῦ ὄρους καταλιπόντα ἥκειν. τὸ μὲν δὴ στράτευμα ἠθροίζετο τῷ κύρῳ. ὁ δὲ πέμψας πρὸς τὸν ἀρμένιον κήρυκα, ἤρετο ὧδε· εἰπέ μοι, ὦ ἀρμένιε, πότερα βούλει αὐτοῦ μένων τῷ λιμῷ καὶ τῇ δίψῃ μάχεσθαι. ἢ εἰς τὸ ἰσόπεδον καταβὰς ἡμῖν διαμάχεσθαι; ἀπεκρίνατο ὁ ἀρμένιος, ὅτι οὐδετέροις βούλοιτο μάχεσθαι. πάλιν ὁ κῦρος πέμψας ἠρώτα· τί οὖν κάθησαι αὐτόθι, καὶ οὐ καταβαίνεις; ἀπορῶν, ἔφη, ὅ, τι χρὴ ποιεῖν. ἀλλ' οὐδὲν, ἔφη ὁ κῦρος, ἀπορεῖν σε δεῖ. ἔξεστι γάρ σοι ἐπὶ δίκην καταβαίνειν. τίς δ', ἔφη, ὁ δικάζων; δηλονότι ᾧ ὁ θεὸς ἔδωκε, καὶ ἄνευ δίκης σοι χρῆσθαι ὅτι καὶ βούλοιτο. ἐνταῦθα δὴ ὁ ἀρμένιος γιγνώσκων τὴν ἀνάγκην, καταβαίνει. καὶ ὁ κῦρος λαβὼν εἰς τὸ μέσον, κἀκεῖνον, καὶ τὰ ἄλλα πάντα περιεστρατοπεδεύσατο, ὁμοῦ δὴ πᾶσαν ἔχων τὴν δύναμιν. ἐν τούτῳ δὲ τῷ χρόνῳ ὁ πρεσβύτατος παῖς τοῦ ἀρμενίου τιγράνης, ἐξ ἀποδημίας τινὸς προσῄει, ὃς καὶ συνθηρός ποτε ἐγένετο τῷ κύρῳ, καὶ ὡς ἤκουσε τὰ γεγενημένα, εὐθὺς πορεύεται πρὸς τὸν κῦρον ὥσπερ εἶχεν. ὡς δὲ εἶδε πατέρα καὶ μητέρα καὶ ἀδελφοὺς, καὶ τὴν ἑαυτοῦ γυναῖκα αἰχμαλώτους γεγενημένους, ἐδάκρυσεν ὥσπερ εἰκός. ὁ δὲ κῦρος ἰδὼν αὐτὸν, ἄλλο μὲν οὐδὲν ἐφιλοφρονήσατο αὐτῷ. εἶπε δὲ, ὅτι εἰς καιρὸν ἥκεις, ὅπως σὺ τῆς δίκης ἀκούσῃς παρὼν, τῆς ἀμφὶ τοῦ πατρός.

καὶ

XENOPHONTIS DE PAEDIA CYRI LIBER TERTIUS, Francisco Philelpho interprete.

CYRUS igitur in his erat. At Armenius auditis quae sunt à Cyro nunciata, perterritus est: secum ipse cogitans, quòd esset iniustus, cum neq; tributum solueret, nec exercitum mitteret. Vehementissimeq; timebat quod uisus esset muro cingendae regiae fecisse initium, quo satis esset ad repugnandum. Quare ob haec omnia ueritus simul mittebat, tum ad cogendas uires suas, tum iuniorem filium Sabarin in mōtes, ac item uxores & suam & filij, atq; filias, & ornatum quoq; atque apparatum cum his preciosissimū mittebat, datis qui eos deducerent. Ipse autem & speculatores simul mittebat intuitum, quid ageret Cyrus, et praesentis Armenios instruebat, cum celeriter alij aderāt, qui dicerent hunc ipsum Cyrum adesse unà. Hic igitur non amplius sustinuit manum conserere, sed sese subtraxit. Quod ubi uidissent Armenij, diffugerunt quisq; ad sua habitacula, ut qui uellent res suas procul portare, At Cyrus ut campum uidit discurrentiū & impellentium plenum, ad eos clàm mittebat, inquiēs, eorū se nemini hostem esse, qui manerent: quòd si quem ceperit fugientem, eo pro hoste se usurū. Itaq; plures restiterunt. Qui autem clàm secesserant, erant unà cum rege. At ubi hi qui antecesserant unà cum mulieribus, in illos inciderunt qui latebant in monte, & clamoribus continuo complebant omnia, atque eorum plures capti sunt. Demum uero & filius, & uxores, & filiae simul cum pecunijs capiuntur, quotquot unà cum illis agebantur. Ipsorum autem rex ut sensit quae gerebantur, quà uerteretur ignarus, quendam in collem fuga se recepit. Quae Cyrus item intuitus, collem cingit praesenti agmine, mittitq; ad Chrysantam, iubens ut relicta montis statione ad se iret. Et agmen quidem cogebatur ad Cyrum, qui ad Armeniū misso caduceatore, ita interrogabat: Dic mihi Armenie, utrū uis istic manēs, cum fame sitiq; pugnare, an in planitiē descendis nobiscū manum conserere? Cui respondit Armenius, se cum neutris pugnā uelle. Ad quem rursus mittens Cyrus interrogat: Quid igitur istic sedes, & non descendis? Quoniā, inquit, quid me facere oporteat, ambigo. Sed nihil, inquit Cyrus, ambigere te oportet. Nam licebit tibi ad agendā causam descendere. Quis autem, inquit, iudex futurus est? Videlicet, inquit, cui deus etiam sine iudicio te uti dedit, ut uelit. Hic igitur Armenius necessitate cognita descendit. Ac Cyrus et illo, et alijs omnibus illius rebus intra exercitū receptis, castra posuit, cum uires iam omnis simul haberet secū Per id uero tēporis Armenij filius aetate maximus Tigranes, ex peregrinatione quadam aduenit, qui fuerat olim Cyro conuenator. Hic rebus ijs auditis, ita ut habebat, cōtinuo ad Cyrum proficiscitur. Sed ubi uidit patrē ac matrem, sororesq;, atq; uxorem suam captiuos factos, collachrymatus est, ut par erat. Cyrus autem illum intuitus, alia in eum benignitate nulla est usus, sed dixit: Venisti in tēpore, ut de patre causam praesens audias.

 Conuo-

Conuocabatq́; continuò Perſarum ac Medorum du/
ces, & ad hos etiam acciebat ſi quis aderat ex hone/
ſtis Armenijs: neq; amouit, ſed audire permiſit mulie/
res, quæ aderant in rhedis. Atq; ubi idoneũ fuit, dicere
eſt aggreſſus: Et ô, inquit, Armenie, primum tibi con/
ſulo in cauſa loqui uera, quò tibi id unum deſit, quod
eſt odioſiſsimum. Nanq; apertum mendacium, ut ſcis,
impedimento eſt hominibus maximè ad ueniam conſe
quendam. Dein conſcij tibi ſunt & liberi & mulieres
hæ, quot quantaq́; geſſeris, & Armenij, qui adſunt: 10
qui ſi te dicere ſenſerint alia, quàm quæ feceris, puta/
bunt te tua ſententia damnatum ad extrema patiunda
omnia, ſi minus quæ uera ſunt, audiam. At interroga,
inquit, Cyre, quod ipſe uis. Nam horum gratia uera lo
quar, & fiat quodcunq;. Dic igitur, inquit, mihi, Geſsi
ſtine olim bellum aduerſus Aſtyagen matris meæ pa/
trem, aduerſusq; Medos alios? Geſsi equidem. Ab eo
autem uictus conueniſtine tributum te daturum, itu/
rumq; in expeditionem ubi iuberet, & munimina non
habiturum? Hæc uera ſunt. Nunc ergo quare neque 20
tributum tuliſti, neq; agmina miſiſti, & munimina mu
ro cinxiſti? Libertatem, inquit, cupiebam. Pulchrum
enim mihi uidebatur & me liberum eſſe, & liberis
meis libertatem relinquere. Etenim pulchrum eſt, in/
quit Cyrus, pugnare quò nunquam ſit futurus quis ſer
uus. Quòd ſi aut bello quis uictus, aut alio quoquam
modo in ſeruitutem actus, moliatur herum ſeipſo pri/
uare, hunc tu primus dicito, utrum ut bonum uirum
honores honeſteq; agentem, an ut iniuſtum, quem ce/
peris, ſupplicio afficias? Afficiam, inquit, ſupplicio. 30
Nam mentiri me non ſinis. Dic igitur liquido, inquit
Cyrus, ſingillatim: Si quis tibi in magiſtratu fuerit, &
errarit, utrum eum ſinis magiſtratum gerere, an alium
eius loco conſtituis? Alium, inquit, conſtituo. Quid ſi
grandem habeat pecuniam, ſinis eum ditem eſſe, an
pauperem facis? Aufero, inquit, quæ habeat. Sin etiam
ad hoſtes eum deficere intelligas, quid facis? Interimo,
inquit. Quid enim eſt opus mendacij me potius argu/
tum, quàm uera dicentem mori? Hic eius filius hiſce
auditis tiaram diſcerpſit, peploſque diſcidit: mulie 40
res uerò uociferantes laniabantur perinde, atq; mor/
tuus eſſet pater, & ipſæ iam periſſent. Et Cyrus eas
tacere cum iuſsiſſet, rurſus inquit: De his ſatis. Hæc
igitur iura tua ſunt Armenie. Nobis autem quid ex
his faciundum conſulis? Ad quæ tacebat Armenius:
dubius is quidem, utrum Cyro conſuleret, num ut ſe
interimeret, an ijs contraria doceret, quæ ipſe di/
xerat ſeſe facere. At filius eius Tigranes interrogabat
Cyrum, inquiens: Dic mihi Cyre, quoniam pater ui/
detur ambigere, uis'ne ea de ipſo conſulam, quæ ti/ 50
bi optima eſſe reor? Et Cyrus quoniam accepiſſet
quo tempore Tigranes ſecum uenabatur, ſophi/
ſtam ei fuiſſe familiarem, atque admirationi habitum,
percupiebat audire, quid dicere tandem uellet. Ita/
que impigre iuſsit ut diceret, quod ſentiret. Ego igi/
tur, inquit Tigranes, ſi quidem tu probas in patre uel
quæq; conſuluit, uel quæq; geſsit, ut hunc imiteris, plu
rimum tibi conſulo. Quod ſi tibi uidetur peccaſſe om
nibus in rebus, conſilium meum eſt, ne hunc imiteris.
Ergo, inquit Cyrus, ſi faciam iuſta, minimè peccantem
imi/

καὶ εὐθὺς συνεκάλει τοὺς ἡγεμόνας, τούς τε τῶν περσῶν,
καὶ τοὺς τῶν μήδων. προσεκάλει δὲ καὶ εἴ τις ἀρμενίων
τῶν ἐντίμων παρῆν. καὶ τὰς γυναῖκας ἐν ταῖς ἁρμαμά-
ξαις παρούσας οὐκ ἀπήλασεν, ἀλλ' εἴα ἀκούειν. ὁπότε δὲ
καλῶς εἶχεν, ἤρχετο τοῦ λόγου· καὶ ὦ ἀρμένιε, ἔφη, πρῶτον
μέν σοι συμβουλεύω ἐν τῇ δίκῃ τἀληθῆ λέγειν, ἵνα σοι ἕν
γε ἀπῇ τὸ εὐμισητότατον. τὸ γὰρ ψευδόμενον φαίνεσθαι,
εὖ ἴσθι, ὅτι καὶ τοῦ συγγνώμης τινὸς τυγχάνειν, ἐμποδὼν
μάλιστα ἀνθρώποις γίγνεται. ἔπειτα δέ, ἔφη, συνίσασι
μέν σοι καὶ οἱ παῖδες, καὶ αἱ γυναῖκες αὗται πάντα ὅσα
ἔπραξας, καὶ ἀρμενίων οἱ παρόντες. ἢν δὲ αἰσθάνωνταί
σε, ἄλλα ἢ τὰ γιγνόμενα λέγοντα, νομιοῦσί σε καὶ αὐτὸν κα
ταδικάζειν σαυτοῦ πάντα τὰ ἔσχατα παθεῖν, ἢν ἐγὼ τἀ
ληθῆ πύθωμαι. ἀλλ' ἐρώτα, ἔφη, ὦ κῦρε, ὅτι βούλει, ὡς τἀ
ληθῆ ἐροῦντος τούτου γ' ἕνεκα, καὶ γενέσθω ὅτι βούλεται.
λέγε δή μοι, ἔφη, ἐπολέμησάς ποτε ἀστυάγει, τῷ τῆς ἐ/
μῆς μητρὸς πατρί, καὶ τοῖς ἄλλοις μήδοις; ἔγωγ', ἔφη.
κρατηθεὶς δ' ὑπ' αὐτοῦ συνωμολόγησας δασμὸν οἴ/
σειν, καὶ συστρατεύεσθαι ὅπου ἐπαγγέλλοι, καὶ ἐρύματα
μὴ ἕξειν; ἦν ταῦτα. νῦν οὖν διατί οὔτε τὸν δασμὸν ἀπή-
γαγες, οὔτε στράτευμα ἔπεμψας, ἐτείχιζές τε τὰ ἐρύμα
τα; καὶ ὃς ἔφη· ἐλευθερίας ἐπεθύμουν. καλὸν γάρ μοι
δοκεῖ εἶναι, καὶ αὐτὸν ἐλεύθερον εἶναι, καὶ παισὶν ἐλευθε/
ρίαν καταλιπεῖν. καὶ γάρ ἐστιν, ἔφη ὁ κῦρος, καλὸν μά
χεσθαι, ὅπως μήποτέ τις δοῦλος μέλλοι γενήσεσθαι. ἂν
δὲ δὴ ἢ πολέμῳ κρατηθείς, ἢ καὶ ἄλλον τινὰ τρόπον δου
λωθείς ἐπιχειρῶν τις φαίνηται τοὺς δεσπότας ἀποστερεῖν
ἑαυτοῦ, τοῦτον σὺ πρῶτος εἰπέ, πότερον ὡς ἀγαθὸν ἄνδρα
καὶ καλὰ πράττοντα τιμᾷς, ἢ ὡς ἀδικοῦντα ἢν λάβῃς κο
λάζεις; κολάζω, ἔφη. οὐ γὰρ ἐᾷς σὺ ψεύδεσθαι. λέγε δὴ
σαφῶς, ἔφη ὁ κῦρος, ὧδε καθ' ἓν ἕκαστον, ἢν ἄρχων τις
τύχῃ καὶ ἁμάρτῃ, πότερον ἐᾷς ἄρχειν, ἢ ἄλλον καθιστῄς
ἀντ' αὐτοῦ; ἄλλον καθίστημι, ἔφη. τί δ' ἢν χρήματα ἔχῃ, ἐᾷς
πλουτεῖν, ἢ πένητα ποιεῖς; ἀφαιροῦμαι, ἔφη, ἃ ἂν ἔχων τυγ
χάνῃ. ἢν δὲ καὶ πρὸς πολεμίους αὐτὸν γιγνώσκῃς ἀφιστά
μενον, τί ποιεῖς; κατακαίνω. τί γὰρ δεῖ ἐλεγχθέντα ὅτι
ψεύδομαι, ἀποθανεῖν μᾶλλον, ἢ τἀληθῆ λέγοντα; ἐνταῦ/
θα δὴ ὁ μὲν παῖς αὐτοῦ ὡς ἤκουσε ταῦτα, περιεσπάσα-
το τὴν τιάραν, καὶ τοὺς πέπλους κατερρήξατο. αἱ δὲ γυ
ναῖκες ἀναβοήσασαι, ἐδρύπτοντο, ὡς οἰχομένου τοῦ πα/
τρός, καὶ ἀπολωλότων πάντων σφῶν ἤδη. καὶ ὁ κῦρος
σιωπῆσαι κελεύσας, πάλιν εἶπεν· εἶεν. τὰ μὲν δὴ σά,
δίκαια, ὦ ἀρμένιε, ἡμῖν δὲ τί συμβουλεύεις ἐκ τούτων
ποιεῖν; ὁ μὲν δὴ ἀρμένιος ἐσιώπα, ἀπορῶν πότερα συμ
βουλεύοι τῷ κύρῳ, κατακαίνειν ἑαυτόν, ἢ τἀναντία δι
δάσκοι, ὧν αὐτὸς ἔφη ποιεῖν. ὁ δὲ παῖς αὐτοῦ τιγράνης
ἐπήρετο τὸν κῦρον. εἰπέ μοι, ὦ κῦρε, ἔφη· ἐπεὶ ὁ πατὴρ
ἀποροῦντι ἔοικεν, ἦ συμβουλεύσω περὶ αὐτοῦ, ἃ οἶμαί σοι
βέλτιστα εἶναι; καὶ ὁ κῦρος ᾐσθημένος ὅτε συνεθήρα αὐτῷ
ὁ τιγράνης σοφιστήν τινα αὐτῷ συνόντα καὶ θαυμαζόμε-
νον ὑπὸ τοῦ τιγράνους, πάνυ ἐπεθύμει αὐτοῦ ἀκοῦσαι, ὅ τι
ποτὲ ἐροίη. καὶ προθύμως ἐκέλευσε λέγειν ὅτι γιγνώσκοι.
ἐγὼ τοίνυν, ἔφη ὁ τιγράνης, εἰ μὲν ἄγασαι τοῦ πατρός, ἢ
ὅσα βεβούλευται, ἢ ὅσα πέπραχε, τὸ δοκεῖν πάντα ἡμαρτη
κέναι, πάνυ σοι συμβουλεύω τοῦτον μιμεῖσθαι. οὐκοῦν, ἔ/
φη ὁ κῦρος, τὰ δίκαια ποιῶν, ἥκιστ' ἂν τὸν ἁμαρτάνοντα
μιμοίμην.

μιμεῖσθαι ἔστιν, ἔφη, ταῦτα. κολαστέον σοι ἂν εἴη κατά
γε τὸν σὸν λόγον τὸν πατέρα, εἴπερ τὸν ἀδικοῦντα δί-
καιον κολάζειν. πότερα δ' ἡγῇ, ὦ Κῦρε, ἄμεινον εἶναι, σὺν
τῷ σῷ ἀγαθῷ τὰς τιμωρίας ποιεῖσθαι ἢ σὺν τῇ σῇ ζημίᾳ;
ἐμαυτοῦ ἄρα, ἔφη, οὕτω γ' ἂν ζημιοίμην. ἀλλὰ σὺ μέν τοι,
ἔφη ὁ Τιγράνης, μεγάλα γ' ἂν ζημιοῖο, εἰ τοὺς σεαυτοῦ κα-
τακαίνοις τότε, ὁπότε σοι πλείστου ἄξιοι εἶεν, κεκτῆσθαι.
πῶς δ' ἄν, ἔφη ὁ Κῦρος, τότε πλείστου ἄξιοι γίγνοιντο ἄν-
θρωποι, ὁπότε ἀδικοῦντες ἁλίσκοιντο; εἰ τότε, οἶμαι,
σώφρονες γίγνοιντο. δοκεῖ γάρ μοι, ὦ Κῦρε, οὕτως ἔχειν.
ἄνευ μὲν σωφροσύνης, οὐδ' ἄλλης ἀρετῆς οὐδὲν ὄφε-
λος εἶναι. τί γὰρ ἄν, ἔφη, χρήσαιτ' ἄν τις ἰσχυρῷ, ἢ ἀν-
δρείῳ μὴ σώφρονι, ἢ ἱππικῷ. τί δὲ πλουσίῳ, τί δὲ δυνά-
στῃ ἐν πόλει. σὺν δὲ σωφροσύνῃ, καὶ φίλος πᾶς χρήσι-
μος, καὶ θεράπων ἀγαθός. τοῦτ' οὖν, ἔφη, λέγεις, ὡς καὶ ὁ
σὸς πατὴρ ἐν τῇδε τῇ μιᾷ ἡμέρᾳ, ἐξ ἄφρονος σώφρων
γεγένηται. πάνυ μὲν οὖν, ἔφη. πάθημα ἄρα σὺ λέγεις τῆς ψυ-
χῆς εἶναι τὴν σωφροσύνην, ὥσπερ λύπην, οὐ μάθημα; οὐ γὰρ
ἂν δήπου, εἴγε φρόνιμον δεῖ γενέσθαι τὸν μέλλοντα σώ-
φρονα ἔσεσθαι, παραχρῆμα ἐξ ἄφρονος, σώφρων ἄν τις γέ-
νοιτο. τί δ', ἔφη, ὦ Κῦρε, οὔπω ᾔσθου καὶ ἕνα ἄνδρα, δι' ἀ-
φροσύνης μὲν ἐπιχειροῦντα κρείττονι ἑαυτοῦ μάχεσθαι, ἐ-
πειδὰν δὲ ἡττηθῇ, εὐθὺς πεπαυμένον τῆς πρὸς τοῦτον ἀφρο-
σύνης; πάλιν δ', ἔφη, οὔπω ἑώρακας πόλιν ἀντιταττομέ-
νην πρὸς πόλιν ἑτέραν, ἥτις ἐπειδὰν ἡττηθῇ, παραχρῆμα
ταύτῃ ἀντὶ τοῦ μάχεσθαι πείθεσθαι θέλει; ποίαν δ', ἔφη ὁ
Κῦρος, καὶ σὺ τοῦ πατρὸς ἧτταν λέγων, οὕτως ἰσχυρίζῃ σε-
σωφρονίσθαι αὐτόν; ἣν νὴ Δί', ἑαυτῷ σύνοιδεν, ἐλευθε-
ρίας μὲν ἐπιθυμήσας, δοῦλος δ' ὡς οὐδεπώποτε γενόμε-
νος. ἃ δὲ ᾠήθη χρῆναι λαθεῖν, ἢ φθάσαι, ἢ ἀποβιάσασθαι,
οὐδὲν τούτων ἱκανὸς γενόμενος διαπράξασθαι. σὲ δὲ οἶ-
δεν ἃ μὲν ἐβουλήθης ἐξαπατῆσαι αὐτόν, οὕτως ἐξαπατή-
σαντα, ὥσπερ ἄν τις τυφλοὺς ἢ κωφούς, καὶ μηδ' ὁτιοῦν
φρονοῦντας ἐξαπατήσειεν. ἃ δὲ ᾤήθης λαθεῖν χρῆναι, οὕ-
τως τε οἶδε λαθόντα, ὥστε ἃ ἐνόμιζεν ἑαυτῷ ἰσχυρὰ χωρία
ὑπάρχειν, ταῦτα εἱρκτὰς αὐτῷ ἔλαθες προκατασκευά-
σας. τάχει δὲ τοσοῦτον περιεγένου αὐτοῦ, ὥστε πρόσθεν ἔφθα-
σας ἐλθὼν σὺν πολλῷ στόλῳ, πρὶν τοῦτον τὴν παρ' ἑαυτῷ
δύναμιν ἀθροίσασθαι. ἔπειτα δοκεῖ σοι, ἔφη ὁ Κῦρος, καὶ
ἡ τοιαύτη ἧττα σωφρονίζειν ἱκανὴ εἶναι ἀνθρώπους, τὸ γνῶ-
ναι ἄλλους ἑαυτοῦ βελτίονας ὄντας. πολύ γε μᾶλλον, ἔφη
ὁ Τιγράνης, ἢ ὅταν μάχῃ τις ἡττηθῇ. ὁ μὲν γὰρ ἰσχύϊ κρατη-
θείς, ἔστιν ὅτε ᾠήθη τὸ σῶμα ἀσκήσας ἀναμαχεῖσθαι. καὶ
πόλεις γε ἁλοῦσαι, συμμάχους προσλαβοῦσαι, οἴονται
ἀναμαχέσασθαι ἄν. οὓς δ' ἂν βελτίους τινὰς ἑαυτῶν ἡγήσων-
ται, τούτοις πολλάκις καὶ ἄνευ ἀνάγκης ἐθέλουσι πεί-
θεσθαι. σύ, ἔφη, ἔοικας οὐκ οἴεσθαι τοὺς ὑβριστὰς γιγνώ-
σκειν τοὺς ἑαυτῶν σωφρονεστέρους· οὐδὲ τοὺς κλέπτας, τοὺς μὴ κλέ-
πτοντας· οὐδὲ τοὺς ψευδομένους, τοὺς ἀληθῆ λέγοντας· οὐδὲ
τοὺς ἀδικοῦντας, τοὺς τὰ δίκαια ποιοῦντας. οὐκ οἶσθα, ἔφη,
ὅτι καὶ νῦν ὁ σὸς πατὴρ ἐψεύσατο, καὶ οὐκ ἠμπέδου
τὰς πρὸς ἡμᾶς συνθήκας, εἰδώς, ὅτι ἡμεῖς οὐδ' ὁτιοῦν
ὧν Ἀστυάγης συνέθετο παραβαίνομεν; ἀλλ' οὐδ' ἐγὼ
τοῦτο λέγω, ὡς τὸ γνῶναι μόνον τοὺς βελτίονας σωφρονίζει,
ἄνευ τοῦ δίκην διδόναι ὑπὸ τῶν βελτιόνων, ὥσπερ ὁ
ἐμὸς νῦν πατὴρ δίδωσιν. ἀλλ', ἔφη ὁ Κῦρος, ὅ γε σὸς πατὴρ
πέπονθε

uniter? Sane, inquit. Supplicio igitur afficiendus sit pater
tuus pro tua ratione: siquidem iustum est, iniustum affi-
cere supplicio. Vtrum autē censes Cyre melius esse, aut
ad tuam utilitatem cruciatum fieri, aut ad tuum detri-
mentum? Ergo meipsum, inquit, hoc pacto cruciarem.
Atqui plurimū tibi noceres, si tum tuos interimas, cum
eos comparare tibi sit faciundum plurimi. At quo pacto
sint homines plurimi faciundi, cum deprehendantur in-
iusti? Si quando mea sententia fiant sapientes. Videtur
10 enim mihi Cyre ita habere. sine sapientia quidem neque
alius uirtutis ullam esse utilitatem. Quid enim quis-
quam utatur robusto fortiue, si insipiens fuerit? Quid e-
questri? Quid diuite? Quid potestatem habenti in ciuita-
te? Vna cum sapientia & amicus quisq; est utilis, & ser-
uus omnis bonus est. Hoc igitur, inquit, dicis, quòd etiā
tuus pater hoc uno die ex insipienti factus est sapiens?
Valde quidem. Affectum ergo tu animi esse dicis sapi-
entiam quemadmodum ægritudinem, non disciplinam?
Haud enim, si uidelicet prudentem fieri oportet, qui fu-
20 turus sit sapiens, continuò ex insipienti sapiens quisquā
fiat. Quid autem, inquit, Cyre, nondum sensisti etiam u-
num uirum ob insipientiam inire cum eo pugnam, qui
se fortior sit: cumq; sit uictus, cessasse continuò à sua in
hunc insipientia? Nondum item ciuitatem uidisti aduer-
sus alteram ciuitatem instructam ad pugnam, quæ uicta
cum fuerit, huic continuo pro pugna obedientiam præ-
stat? Quem autem, inquit Cyrus, patris conflictum di-
cens, nixius asseueras adeò ipsum esse sapientem effe-
ctum? In quo, inquit, mehercule sibi conscius factus est,
30 quòd pro libertate quam cupiebat, seruus sit factus, ut
antea nūquam. Quæ autem putauit latère oportere, aut
præuenire, aut propulsare, horum nihil potuerit effice-
re. Te autem nouit, cum uoluisti eum decipere, ita dece-
pisse, quemadmodum si quis cæcos ac mutos, nullius q;
sensus atq; mentis homines deciperet. Quæ uero puta-
sti latère oportere, ea à te occultata esse nouit, ut quæ si-
bi putabat loca parasse munitissima, hæc ei tu carce-
rem clam antea struxeris. Tanta autem celeritate eum
superasti, ut à loco longe distanti cum magnis copiis
40 profectus, prius assequereris, quàm hic uires apud se su-
as coēgerit. Dein, uideretur ne tibi, inquit Cyrus, talis
conflictus satis esse, qui homines reddat sapientis ad ali-
os cognoscēdos qui sint se meliores? Longe quidem ma-
gis, inquit Tigranes, quàm cum quis pugna sit uictus.
Nam corporis uiribus superatus interdū putauit fore, ut
corpore exercēdo repugnaret. Et urbes captæ arbitran-
tur assumptis socijs repugnatum iri. Quos autem me-
lioris sese aliqui dixerint, his plerunq; etiam non coa-
cti libenter parent. Tu quidem uideris non existimare
50 homines contumeliosos eos nosse, qui se sint temperan-
tiores: neq; fures illos, qui non furantur: neque mentien-
tis, qui loquuntur uera: neq; iniustos, qui iusta quæ sunt,
faciunt. An es ignarus nunc quoq; patrem tuum esse
mentitum, neque constanter obseruasse quæ nobiscum
conuenerat, nequaquam is quidem nescius nos eorum
nihil omnino esse transgressos, quæ Astyages cōuenis-
set? At nec ego, inquit Tigranes, hæc dico, solam melio-
rum cognitionē sine ulla pœna à melioribus inferenda
reddere homines prudentis, quemadmodum nunc me-
us pater dat pœnas. Verum tuus pater, inquit Cyrus,
nullum

nullum prorsus adhuc passus est malum: qui, scio, ad/
modum timet, ne extrema omnia patiatur. Num igitur
quicquam putas, inquit Tigranes, magis homines sibi
subijcere, quàm uehementem metum? Num es nescius
eos, qui ferro percutiuntur, quod supplicij genus puta/
tur ualidißimũ, rursus etiam uelle aduersus eosdem pu/
gnare? Quos autem uehementer homines metuerint, ad
hos ne si consolentur se quidem, possunt etiam oculos
conuertere. Dicis tu, inquit, metum maiori supplicio es/
se hominibus, quàm si re ipsa male afficiantur? Ac tu 10
quidem nosti, inquit Tigranes, me uera dicere: scis e/
nim eos, qui metuunt exilium patriæ, quiq; pugnaturi ti
ment ne uincantur, degere in animi acerbitate. Et eo/
dem modo qui nauigant, ne patiantur naufragium, &
qui seruitutem ac tributum metuunt, hosce neq; cibum
posse, neq; potum capere propter metum. Qui iam ue/
rò exules sunt, & qui uicti, & qui serui, possunt inter/
dum magis etiam quàm felices ipsi, & comedere &
dormire. Estq; manifestum etiam in hisce metum esse ue
luti onus quoddam: aliqui enim metuentes, ne si capti fu 20
erint, mortem dent, prius ob metum moriuntur: alij iaci
entes præcipites seipsos, alij laqueo suspendentes, alij iu
gulantes. VSQVE ADEO metus rerum omnium hor/
ribilium maximè animos perterret. Meum uero patrem
quã nunc putas animo affici, qui non modo de sua, uerũ
& de mea, & de uxoris, & de omnium liberorum ser/
uitute metuit? Ad hæc respondit Cyrus: At quod pater
hic tuus ita nunc afficiatur, facilè equidem crediderim.
Nam EIVSDEM uiri esse uidetur mihi, & in se/
cundis rebus uti contumelia, & in aduersis animo con 30
sternari celeriter: & rursus item si quid respirarit, ani/
mo efferri, ac iterum molestum se præstare. Sed ita est
profectò Cyre. Nostra quidem errata in causa sunt, quo
minus credatur nobis. Verum tibi licet castella muris
cingere, & quæ munita sunt continere, & aliud fidei
pignus capere, quodcunque uelis: ac nos sanè habebis,
qui hæc feramus haud iniquo admodum animo: memi/
nerimus enim nos harum rerum esse autores. Quod si
cui illorũ, qui nihil deliquerint, regnũ tradas, ac fidem
eis non adhibeas, uide ne simul & benefacias, & illis 40
amicus nõ existimeris. Sin rursus odium cauens, minus
eis iuga imponas, quo à cõtumelia abstineãt, uidéne illi
denuo corrigendi etiã sint magis, quàm nos nunc fueri
mus. Sed ita, inquit Cyrus, per deos immortales, huius/
modi ego ministris nõ libẽter mihi uidear uti, quos sciã
necessitate ministrare. QVOS autẽ norim beneuolentia
amicitiaq; mea quod opus est capessere, hi mihi uidẽtur
etiam si peccarint, facilius ferẽdi, quàm ij qui me exosi,
omnia cumulatißimè necessitate præstãt. Ad quæ Tigra
nes respondit: Amicitiã à quibus unquã tantam capias, 50
quantam à nobis cõparare nunc potes? Ab illis, inquit,
mea sententia, qui mihi hostes fuere nunquã, si uelim in
eos esse beneficus sic, ut ipse nũc iubes uobis benefaciã.
Num etiam poßis, inquit, Cyre quenquam hoc tempo/
re inuenire, in quem tanta utaris beneficentia, quanta in
patrem meum? Si quem uiuere nunc sinas, qui nulla in
te sit usus iniuria, quam eum tibi putes gratiam habitu/
rum? Quid etiam, si eius liberos & uxorem non aufe/
ras? Quis te huius rei gratia amabit magis, quã qui pu/
tat iure sibi auferri debere? Regnum uero Armeniorum
si mi/

πέπονθε μὲν οὐδὲ ἓν τοιοῦτο οὔπω κακόν. φοβεῖται μέντοι
εὖ οἶδ', ὅτι μὴ πάντα τὰ ἔσχατα πάθῃ. οἴει οὖν τι, ἔφη
ὁ Τιγράνης, μᾶλλον καταδουλοῦσθαι ἀνθρώπους τοῦ ἰ-
σχυροῦ φόβου; οὐκ οἶσθ', ὅτι οἱ μὲν τῷ ἰσχυροτάτῳ κο-
λάσματι νομιζομένῳ σιδήρῳ παιόμενοι, ὅμως ἐθέλου-
σι καὶ πάλιν μάχεσθαι τοῖς αὐτοῖς· οὓς δ' ἂν σφόδρα
φοβηθῶσιν ἄνθρωποι, τούτοις οὐδὲ παραμυθουμένοις
ἀντιβλέπειν δύνανται. λέγεις σύ, ἔφη, ὡς ὁ φόβος τοῦ
ἔργου κακοῦσθαι, μᾶλλον κολάζει τοὺς ἀνθρώπους. καὶ σύ
γε, ἔφη, οἶσθα, ὅτι ἀληθῆ λέγω. ἐπίστασαι γὰρ ὅτι οἱ μὲν
φοβούμενοι, μὴ φύγωσι πατρίδα, καὶ οἱ μέλλοντες μά-
χεσθαι δεδιότες μὴ ἡττηθῶσιν, ἀθύμως διάγουσι. καὶ
οἱ πλέοντες μὴ ναυαγήσωσι· καὶ οἱ δουλείαν καὶ δε-
σμὸν φοβούμενοι. οὗτοι μὲν οὔτε σίτου, οὔτε ὕπνου δύνα-
ται τυγχάνειν διὰ τὸν φόβον. οἱ δὲ ἤδη μὲν φυγάδες,
ἤδη δ' ἡττημένοι, ἤδη δὲ δουλεύοντες, ἔστιν ὅτε δύναν-
ται μᾶλλον τῶν εὐδαιμόνων ἐσθίειν τε καὶ καθεύδειν. ἔτι δὲ
φανερώτερον καὶ ἐν τοῖσδε, οἷον φόρημα ὁ φόβος. ἔνιοι
γὰρ φοβούμενοι μὴ ληφθέντες ἀποθάνωσι, προαποθνή-
σκουσιν ὑπὸ τοῦ φόβου. οἱ μὲν ῥιπτοῦντες ἑαυτούς, οἱ δὲ ἀ-
παγχόμενοι, οἱ δὲ ἀποσφαττόμενοι. οὕτω πάντων τῶν δει-
νῶν ὁ φόβος μάλιστα καταπλήττει τὰς ψυχάς. τὸν δ' ἐ-
μὸν πατέρα, ἔφη, νῦν πῶς δοκεῖς διακεῖσθαι τὴν ψυχήν,
ὃς οὐ μόνον περὶ ἑαυτοῦ, ἀλλὰ καὶ περὶ ἐμοῦ, καὶ περὶ γυ-
ναικός, καὶ περὶ πάντων τῶν τέκνων, δουλείας φοβεῖται;
καὶ ὁ Κῦρος εἶπεν· ἀλλὰ νῦν μὲν ἔμοιγε οὐδὲν ἄπιστον οὑ-
τω τοῦτον διακεῖσθαι. δοκεῖ μέντοι μοι τοῦ αὐτοῦ ἀνδρὸς
εἶναι, καὶ εὐτυχοῦντα ἐξυβρίσαι, καὶ πταίσαντα ταχὺ
πτῆξαι, καὶ ἀνεθέντα πάλιν αὖ μέγα φρονῆσαι, καὶ πά-
λιν αὖ πράγματα παρασχεῖν. ἀλλὰ ναὶ μὰ Δί', ἔφη, ἔχει
μὲν προφάσεις τὰ ἡμέτερα ἁμαρτήματα ὥστε ἀπιστεῖν ἡμῖν.
ἔξεστι δέ σοι καὶ φρούρια ἐντειχίζειν, καὶ τὰ ὀχυρὰ κατέ-
χειν, καὶ ἄλλο ὅτι ἂν πιστὸν λαμβάνειν. καὶ μέντοι, ἔφη,
ἡμᾶς μὲν ἕξεις, οὐδέν τι τούτοις μέγα λυπουμένους. μεμ-
νησόμεθα γὰρ ὅτι ἡμεῖς αὐτῶν αἴτιοί ἐσμεν. εἰ δέ τινι
τῶν ἀναμαρτήτων παραδιδοὺς τὴν ἀρχὴν ἀπιστῶν αὐτοῖς
φανῇ, ὅρα μὴ ἅμα τε εὖ ποιήσῃς, καὶ ἅμα οὐ φίλον νομιοῦ-
σί σε. εἰ δ' αὖ φυλαττόμενος τὸ ἀπεχθάνεσθαι μὴ ἐπιθή-
σεις αὐτοῖς ζυγὰ τοῦ μὴ ὑβρίσαι, ὅρα μὴ ἐκείνους αὖ δεή-
σῃ σε σωφρονίζειν ἔτι μᾶλλον ἢ ἡμᾶς νῦν ἐδέησεν. ἀλλὰ
ναὶ μὰ τοὺς θεούς, ἔφη, τοιούτοις μὲν ἔγωγε ὑπηρέταις οὖ-
σιν εἰ εἰδείην ἀνάγκῃ ὑπηρετοῦντας, ἀηδῶς ἄν μοι δο-
κῶ χρῆσθαι. οὓς δὲ γιγνώσκειν δοκοίην, ὅτι εὐνοίᾳ καὶ φιλίᾳ
τῇ ἐμῇ τὸ δέον συλλαμβάνοιεν, τούτους ἄν μοι δοκῶ καὶ
ἁμαρτάνοντας ῥᾷον φέρειν ἢ τοὺς μισοῦντας μέν, ἐκπλέω
δὲ πάντα ἀνάγκῃ διαπονουμένους. καὶ ὁ Τιγράνης πρὸς ταῦ-
τα· φιλίαν δέ, ἔφη, παρὰ τίνων ἄν ποτε λάβοις τοσαύ-
την, ὅσην σοι παρ' ἡμῶν ἔξεστι κτήσασθαι νῦν; παρ' ἐκείνων οἶ-
μαι, ἔφη, παρὰ τῶν μηδέποτε πολεμίων γεγενημένων,
εἰ ἐθέλοιμι εὐεργετεῖν αὐτούς, ὥσπερ σὺ κελεύεις με νῦν,
εὐεργετεῖν ὑμᾶς. ἦ καὶ δύναιο ἄν, ἔφη, ὦ Κῦρε, ἐν τῷ παρόντι
εὑρεῖν νῦν ὅτῳ χαρίσαιο, ὅσα περ τῷ ἐμῷ πατρί; αὐτίκα,
ἔφη, ἤν τινα ἐᾷς ζῆν τῶν σε μηδὲν ἠδικηκότων, τίνα σοι τούτου
χάριν οἴει αὐτὸν εἴσεσθαι; τί δ' ἂν αὐτοῦ τέκνα, καὶ γυναῖκα μὴ
ἀφαιρῇ, τίς σε τούτου ἕνεκα φιλήσει μᾶλλον, ἢ ὁ νομίζων προ-
σήκειν αὐτῷ ἀφαιρεθῆναι; τὴν δ' Ἀρμενίων βασιλείαν,
εἰ μὴ

ἂν μὴ ἔξῃ, οἶσθά τινα λυπούμενον μᾶλλον ἢ ἡμᾶς; συν-
νοῶ καὶ τοῦτον, ἔφη, δηλονότι μάλιστα λυπούμενος,
εἰ μὴ βασιλεύσει, οὗτος καὶ λαβὼν τὴν ἀρχὴν, με-
γίστην ἂν σοι χάριν εἰδείη. εἰ δέ τι σοι, ἔφη, μέλει, καὶ
τοῦ ὡς ἥκιστα τεταραγμένα τάδε καταλιπεῖν, ὅταν ἀπί-
ῃς, σκόπει, ἔφη, πότερον ἂν οἴει ἠρεμεστέρως ἔχειν τὰ ἐν-
θάδε καινῆς γενομένης ἀρχῆς, ἢ τῆς εἰωθυίας καταμενού-
σης; εἰ δέ τι σοι μέλει καὶ τοῦ ὡς πλείστην στρατιὰν ἐξα-
γεῖν, τίνα ἂν οἴει μᾶλλον ἐξετάσαι ταύτην ὀρθῶς, τοῦ πολ
λάκις αὐτῇ κεχρημένου; εἰ δὲ καὶ χρημάτων δέοιτο, τί-
νας ἂν ταῦτα νομίζεις ἐκπορίσαι κρεῖττον, τοῦ καὶ εἰδό-
τος καὶ ἔχοντος πάντα τὰ ὄντα. ὦγαθὲ, ἔφη, κῦρε; φύ
λαξαι μὴ ἡμᾶς ἀποβαλὼν, σαυτὸν ζημιώσῃς πλείω, ἢ ὁ
πατὴρ ἠδυνήθη σε βλάψαι. ὁ μὲν τοιαῦτα ἔλεγεν. ὁ δὲ
κῦρος ἀκούων ὑπερήδετο, ὅτι ἐνόμιζε περαίνεσθαι πάν
τα αὐτῷ, ὅσαπερ ὑπέσχετο κυαξάρει πράξειν. ἐμέμνητο
γὰρ εἰπὼν, ὅτι καὶ φίλον οἴοιτο μᾶλλον αὐτὸν, ἢ πρόσθεν
ποιήσειν. ἐκ τούτου δὴ τὸν ἀρμένιον ἐρωτᾷ· ἢν δὲ δὴ ταῦ
τα πείθωμαι ὑμῖν, λέγε μοι σὺ, ἔφη, ὦ ἀρμένιε, πόσην
μοι στρατιὰν συμπέμψεις; πόσα δὲ χρήματα συμβαλῇ εἰς
τὸν πόλεμον; πρὸς ταῦτα δὴ λέγει ὁ ἀρμένιος· οὐδὲν, ἔφη,
ὦ κῦρε, ἔχω ἁπλούστερον εἰπεῖν οὐδὲ δικαιότερον, ἢ δεῖ-
ξαι μὲν ἐμὲ πᾶσαν τὴν δύναμιν τὴν οὖσαν. σὲ δὲ ἰδόντα
ὅσην μὲν ἄν σοι δοκῇ στρατιὰν ἄγειν, τὴν δὲ καταλιπεῖν
τῆς χώρας φυλακήν. ὡσαύτως δὲ περὶ χρημάτων, δηλῶ-
σαι μὲν ἐμὲ δίκαιόν σοι πάντα τὰ ὄντα. σὲ δὲ τούτων αὐ
τῶν γνόντα, ὁπόσα τε ἂν βούλει φέρεσθαι καὶ ὁπόσα ἂν
βούλει καταλιπεῖν. καὶ ὁ κῦρος εἶπεν· ἴθι δεῖξόν μοι, ὁ/
πόση σοι δύναμίς ἐστι. λέξον δὲ, καὶ πόσα χρήματα. ἐνταῦ
θα δὴ λέγει ὁ ἀρμένιος· ἱππεῖς μὲν τοίνυν ἀρμενίων
εἰσὶν εἰς ὀκτακισχιλίους, πεζοὶ δὲ εἰς τέτταρας μυριάδας.
χρήματα δ', ἔφη, σὺν τοῖς θησαυροῖς οἷς ὁ πατὴρ κατέ-
λιπεν, ἔστιν εἰς ἀργύριον λογισθέντα, τάλαντα πλείω τῶν
τρισχιλίων. καὶ ὁ κῦρος, οὐκ ἐμέλλησεν, ἀλλ' εἶπε· τῆς μὲν
τοίνυν στρατιᾶς, ἐπεί σοι, ἔφη, οἱ ὅμοροι χαλδαῖοι πολε
μοῦσι, τὴν ἡμίσειάν μοι συμπέμπετε. τῶν δὲ χρημάτων,
ἀντὶ μὲν τῶν πεντήκοντα ταλάντων, ὧν ἔφερες δασ-
μὸν, διπλάσια κυαξάρει ἀπόδος. ὅτι ἔλιπες τὴν
φορὰν ἐμοὶ δ', ἔφη, ἄλλα ἑκατὸν δάνεισον. ἐγὼ δέ σοι ὑπι-
σχνοῦμαι, ἢν θεὸς εὖ διδῷ, ἀνθ' ὧν ἂν ἐμοὶ δανείσῃς, ἄλ
λα πλείονος ἄξια εὐεργετήσειν, ἢ τὰ χρήματα ἀπαριθ-
μήσειν, ἢν δύνωμαι. ἢν δὲ μὴ δύνωμαι, ἀδύνατος ἂν
φανοίμην οἶμαι. ἄδικος δ' οὐκ ἂν δικαίως κρινοίμην.
καὶ ὁ ἀρμένιος πρὸς τῶν θεῶν, ἔφη, ὦ κῦρε, μὴ οὕτω λέ-
γε. εἰ δὲ μὴ, οὐ θαρροῦντά με ἕξεις· ἀλλὰ νόμιζε, ἔφη, ἃ ἂν
καταλίπῃς, μηδὲν ἧττον σὰ εἶναι, ὧν ἂν ἔχων ἀπίῃς. εἶεν,
ἔφη ὁ κῦρος. ὥστε δὲ τὴν γυναῖκα ἀπολαβεῖν, πόσα ἄν μοι
χρήματα δώῃς; ὁπόσα ἂν δυναίμην, ἔφη. τί δὲ ὥστε
τοὺς παῖδας. καὶ τούτων, ἔφη, ὁπόσα ἂν δυναίμην.
οὐκοῦν, ἔφη ὁ κῦρος, ταῦτα μὲν ἤδη διπλάσια τῶν
ὄντων. σὺ δὲ, ἔφη, ὦ τιγράνη, λέξον μοι, ὁπόσου ἂν πρίαιο,
ὥστε τὴν γυναῖκα ἀπολαβεῖν; ὁ δὲ, ἐτύγχανε νεόγαμος
ὢν, καὶ ὑπερφιλῶν τὴν γυναῖκα. ἐγὼ μὲν, ἔφη, ὦ κῦρε,
κἂν τῆς ψυχῆς πριαίμην, ὥστε μή ποτε λατρεῦσαι ταύ/
την. σὺ μὲν τοίνυν, ἔφη, ἀπάγου τὴν σήν. οὐδὲ γὰρ εἰλῆφ-
θαι ἔγωγε αἰχμάλωτον ταύτην νομίζω, σοῦ γε μὴ πώποτε
φυγόντος

si minus habebit, scis ad nullum quàm ad nos dolo/
rem peruenturum. Hax ex hac re perspicuum est, in
quem maximè dolor peruenit, si rex non fuerit, hunc
accepto imperio, maximam tibi gratiam habiturum.
Quòd si tibi curæ est, ut hasce res abiēs relinquas pa
catissimas, considera utrum putes habere quietius,
nouone incipiente imperio, an permanēte usitato? Sin
est tibi curæ, ut quamplurimum exercitum educas,
quem magis existimas hunc rectè scrutari, quàm qui
10 est usus? Si præterea pecunijs opus fuerit, quem has
sæpe eo censeas melius paraturum, quàm qui & no/
uit, & quæ sunt eas habet omnis? O Cyre, uir optime,
caueto si nos amiseris, maiori tibi sis detrimēto, quam
pater tibi potuerit nocere. Tigranes in hunc modum
locutus est. At Cyrus hæc audiens mirificè lætabatur,
quod putaret sibi ad exitum euenire omnia, quæcunq;
Cyaxari fuerat pollicitus sese acturum. Meminerat
enim dixisse, futurum se putare ut faceret Armenium
et amicum magis quam esset antea. Et ex hinc Arme
20 nium rogat: Si hæc igitur uobis credidero, dic tu mi/
hi Armenie, quantum mecum mittes exercitum, &
quantum pecuniarum in bellum conferes? Ad hæc
ait Armenius: Nihil habeo Cyre simplicius tibi dice
re neque iustius, quàm ut tibi declarem potentiam om
nem meam: quam ipse cum uideris, quantum tibi ui/
sum fuerit, exercitum agito, relicto hic regni præsi/
dio. Itidem etiam de pecunijs iustum est tibi declarem,
quanta mihi sit quantitas. Quibus tu cognitis, accipi/
es quantum uolueris, ac item mihi relinques quan/
30 tum libuerit tibi. Et Cyrus inquit: Age igitur, dic mihi
quantæ tibi sunt copiæ, dic etiam quantum pecunia/
rum Hic, inquit Armenius, equites Armeniorum sunt
ad octo millia, pedites uerò quadraginta millia. At pe
cuniæ unà cum thesauris quos reliquit pater, sunt in
argentū supputatæ plures, quā tria millia talenta. Ac
Cyrus nihil cunctatus inquit: Exercitus igitur, quoniā
Chaldæi finitimi aduersus te bellum gerunt, dimidium
mecū mitte. Ex pecunijs uerò pro talētis quinquagin
ta quæ ferebas tributo, duplum Cyaxari soluito, quo/
40 niam ea soluere desieris. Mihi uerò alia talenta cen/
tum dato mutuo: pro quibus ego tibi polliceor, si mi/
hi deus benignus fuerit, me aut maiora in te beneficia
collaturum, aut pecunias ipsas, si sit facultas, dinu/
meraturum. Quòd si facultas defuerit, impotentiæ,
mea sententia, non iniustitiæ damnandus iure uidear.
Et Armenius: Per deos, inquit, Cyre noli ita loqui,
alioquin nulla mihi erit in te fiducia: sed existimato,
quascunque mihi pecunias reliqueris, non secus tuas
esse, quam quas habeas tecum abiens. In rem bo/
50 nam, inquit Cyrus. At ut recipias uxorem, quantum
mihi pecuniarum des? Quantumcunq; equidem pos/
sim. Quid uerò ut recipias liberos? Et propter hos, in/
quit Armenius, quantumcunq; mihi facultas sit dare.
Hoc pacto, inquit Cyrus, hæ sunt plures duplo quàm
habeas. Tu autem, inquit, dic mihi Tigranes: Quanti
emas, quò recipias uxorem? Hic uero & nuper uxo/
rem duxerat, & eam mirificè amabat. Equidem, in/
quit, ò Cyre animā emam, quò hæc nunquam famule/
tur. Tu igitur, inquit Cyrus, abducito uxorem tuam:
nec enim fecisse hanc captiuā puto, cum ipse nunquā
à no/

à nobis fugeris. Et tu quoq; Armenie & uxorē tuam,
& filios tecum age eorum nemine relicto, quò uideāt
se abire ad te liberos. Et nunc apud nos cœnate, cœ-
nati uerò abite quô uobis libet. Ita igitur manserunt.
Illis aūt discumbentibus post cœnam Cyrus, Dic mi-
hi (inquit) Tigranes, uir ille ubinam est, qui nobiscū
unà uenabatur, & quem ipse admirari plurimū uide
bare? Nonne, inquit, eū pater hic meus interemit? Ob
quam, inquit Cyrus, iniuriā? Dicebat ab eo me uitiari:
qui Cyre, ita erat honestus, ac bonus, ut etiā cum esset
moriturus, me ad se uocarit, inquiēs: Noli Tigranes
quicquā succensere patri de morte mea. Nō enim ulla
maleuolētia hoc facit, sed imprudētia. QVAECVNQVE
uerò per imprudentiā ab hominibus delinquūtur, hæc
omnia esse arbitror inuita. Ad hæc inquit Cyrus: Heu
illi uiro. Sed Armenius ita dixit: O Cyre, neq; hi, qui
suis cum uxoribus adulteros cōprehendunt, ob hanc
causam eos interficiūt, quod illas reddant impudicas:
sed quia ipsos existimant ab eis auferre charitatē erga
uiros, itaq; ijs ut hostib. utūtur. Ita & ego illi inuidi,
quód facere uideretur, ut filius meus se magis q̄ me pa
trē admiraretur. Ad quæ inquit Cyrus: Sed ita per de-
os, Armenie, uideris mihi humana perpetrasse errata:
ac tu Tigranes patri ignoscito. Cū talia illi tum disse
ruissent, et perbenignè essent excepti, ut par erat, ex re
cōciliatione in rhedas unà cū uxorib. ascendētes, abi
bant læti. Cumq; uenissent domū, narrabāt Cyri alius
sapientiā, alius constantiā, alius mansuetudinē, alius
etiam pulchritudinē atq; magnitudinē. Hic igitur Ti
granes quærebat ex uxore: Nū etiā, inquiens, tibi Ar
menia Cyrus uidebatur esse pulcher? At illū ædepol,
inquit, nō spectabā. Sed quē, inquit Tigranes, specta-
bas? Illum ecastor, inquit, qui dixit se anima sua fuisse
empturū seruitutē meam. Et tum sanè, ut erat cōsenta
neū, post huiusmodi uerba inuicē quiescebat. Postridie
uerò illius diei Armenius et ad Cyrū, et ad exercitum
uniuersum dedit hospitalitatis munera. Suis aūt, quos
ire in expeditionē oportebat, pronunciauit, in tertium
diem ibi adessent: et quas pecunias Cyrus dixerat, du
plicatas eas dinumerauit. At Cyrus quot iusserat acce
ptis, alias remisit: quærebatq; uter esset ducturus agi
mē, filiusne, an ipse. Respōderuntq; uterq; simul: et pa
ter quidē ita, Quēcunq; ipse iubebis. At filius ita: Ego
dē ipse abs te Cyre nō abero, ne si sarcinarius quidē
sim secuturus. Cui arridēs Cyrus: Quāti, iquit, æstima
res, ut uxor tua esset auditura te sarcinā ferre? At nihi
mè opus erit ut audiat, agā enim: itaq; uidere licebit ei
quicquid gerā. Tēpus instruendi sit uobis, inquit Cy-
rus. Existimato, inquit Tigranes, instructos adfore, qc
qd dederit pater. Et tū quidè munerati milites dederūt
se quieti. Postero aūt die Cyrus Tigrane ac fortißimis
Medorū equitibus acceptis, et ex amicis suis quot op
portuni uisi sunt, regionē obequitās cōspicabatur, cō
siderabātq; ubi castellū muro cingeretur: et ubi uenis-
set in uerticē quendā, interrogabat Tigranē, qui essēt
hi mōtes, unde Chaldæi decurrētes prædarentur? Qui
bus à Tigrane ostensis, quærebat rursus: Nunc in his
montibus solitudo agitur? Non mehercule, respondit,
sed in illis speculatores sunt semper, qui alijs signifi-
cant, quicquid uideant. Quid igitur, inquit, faciunt
ubi

φυγόντος ἡμᾶς. καὶ σὺ δὲ, ὦ ἀρμένιε, ἀπάγου τήν τε γυναῖ-
κα, καὶ τοὺς παῖδας, μηδὲν αὐτῶν καταθεὶς, ἵνα εἰδῶσιν, ὅτι
ἐλεύθεροι πρὸς σὲ ἀπέρχονται. καὶ νῦν μὲν, ἔφη, δειπνεῖτε παρ'
ἡμῖν. δειπνήσαντες δὲ, ἀπελαύνετε ὅποι ὑμῖν θυμός. οὕτω
δὴ κατέμειναν. διασκηνούντων δὲ μετὰ τὸ δεῖπνον, ἐπή-
ρετο ὁ κῦρος· εἰπέ μοι, ἔφη, ὦ τιγράνη, ποῦ δὴ ἐκεῖνος ἐστὶν
ὁ ἀνὴρ, ὃς συνεθήρα ἡμῖν. καὶ σύ μοι μάλα ἐδόκεις θαυμά-
ζειν αὐτόν; οὐ γὰρ, ἔφη, ἀπέκτεινεν αὐτὸν οὑτοσὶ ὁ ἐμὸς πατήρ;
τί λαβὼν ἀδικοῦντα; διαφθείρειν αὐτὸν, ἔφη, ἐμέ. καίτοι ὦ
κῦρε, οὕτω καλὸς κἀγαθὸς ἦν ἐκεῖνος, ὡς καὶ ὅτε ἀποθνή-
σκειν ἔμελλε, προσκαλέσας με, εἶπε· μή τι σὺ, ὦ τιγράνη,
ἔφη, ὅτι ἀποκτείνει με, χαλεπανθῇς τῷ πατρί. οὐ γὰρ κακο-
νοίᾳ τινὶ τοῦτο ποιεῖ, ἀλλ' ἀγνοίᾳ. ὁπόσα δὲ ἀγνοίᾳ ἄνθρω-
ποι ἐξαμαρτάνουσι, πάντα ἀκούσια ταῦτ' ἐγὼ νομίζω. ὁ μὲν
δὴ κῦρος ἐπὶ τούτοις εἶπε· φεῦ τοῦ ἀνδρός. ὁ δὲ ἀρμένιος ἔ-
λεξεν οὕτως· ὦ κῦρε, οὐδ' οἱ ταῖς ἑαυτῶν γυναιξὶ λαμβάνον-
τες, συνόντας ἀλλοτρίους ἄνδρας, οὐ τοῦτ' αἰτιώμενοι αὐτοὺς
κατακαίνουσιν, ὡς σωφρονεστέρας ποιοῦντας τὰς γυναῖκας,
ἀλλὰ νομίζοντες ἀφαιρεῖσθαι αὐτὰς τὴν πρὸς ἑαυτοὺς φιλίαν.
διὰ τοῦτο ὡς πολεμίοις αὐτοῖς χρῶνται. καὶ ἐγὼ ἐκείνῳ, ἔφη, ἐ-
φθόνουν, ὅτι μοι ἐδόκει τὸν ἐμὸν υἱὸν ποιεῖν αὐτὸν μᾶλλον θαυ-
μάζειν ἢ ἐμέ. καὶ ὁ κῦρος εἶπεν· ἀλλὰ ναὶ μὰ τοὺς θεοὺς, ἔφη, ὦ
ἀρμένιε, ἀνθρώπινά μοι δοκεῖς ἁμαρτεῖν. καὶ σὺ, ὦ τιγρά-
νη, συγγίνωσκε τῷ πατρί. τότε μὲν δὴ τοιαῦτα διαλεχ-
θέντες καὶ φιλοφρονηθέντες, ὥσπερ εἰκὸς, ἐκ συναλλα-
γῆς, ἀναβάντες ἐπὶ τὰς ἁρμαμάξας σὺν ταῖς γυναιξὶν,
ἀπήλαυνον εὐφραινόμενοι. ἐπεὶ δ' ἦλθον οἴκαδε, ἔλεγον
τοῦ κύρου, ὁ μέν τις τὴν σοφίαν, ὁ δὲ τὴν καρτερίαν, ὁ δὲ τὴν
πρᾳότητα, ὁ δέ τις τὸ κάλλος καὶ τὸ μέγεθος. ἔνθα δὴ ὁ τι-
γράνης ἐπήρετο τὴν γυναῖκα· ἦ καὶ σοὶ, ἔφη, ὦ ἀρμενία, κα-
λὸς ἐδόκει ὁ κῦρος εἶναι; ἀλλὰ μὰ δί', ἔφη, οὐκ ἐκεῖνον ἐθεώ-
μην. ἀλλὰ τίνα, ἔφη ὁ τιγράνης; τὸν εἰπόντα νὴ δία, ὡς τῆς
αὑτοῦ ψυχῆς ἂν πρίαιτο, ὥστε μή με δουλεύειν. τότε μὲν δὴ
ὥσπερ εἰκὸς, ἐκ τοιούτων ἀνεπαύοντο σὺν ἀλλήλοις. τῇ δ'
ὑστεραίᾳ ὁ ἀρμένιος κύρῳ μὲν καὶ τῇ στρατιᾷ πάσῃ ξένια
ἔπεμπε. προεῖπε δὲ τοῖς ἑαυτοῦ, οὓς δέοι στρατεύεσθαι, εἰς τρί-
την ἡμέραν παρεῖναι. τὰ δὲ χρήματα ὧν εἶπεν ὁ κῦρος, διπλά-
σια ἀπηρίθμησεν. ὁ δὲ κῦρος ὅσα εἶπε λαβὼν, τὰ ἄλλα ἀ-
πέπεμψεν. ἤρετο δὲ, πότερος ἔσται ὁ τὸ στράτευμα ἄγων, ὁ
παῖς, ἢ αὐτός; εἰπέτην δὲ ἅμα· ὁ μὲν πατὴρ οὕτως. ὁπότερον
ἂν σὺ κελεύῃς. ὁ δὲ παῖς οὕτως. ἐγὼ μὲν οὐκ ἀπολείψομαί
σου, ὦ κῦρε, οὐδ' ἂν σκευοφόρον με δέῃ σοι συνακολουθεῖν.
καὶ ὁ κῦρος ἐπιγελάσας εἶπε· καὶ ἐπὶ πόσῳ ἂν ἐθέλῃς, ἔφη,
τὴν γυναῖκά σου ἀκοῦσαι, ὅτι σκευοφορεῖς; ἀλλ' οὐδὲν, ἔφη,
ἀκούειν δεήσει αὐτήν. ἄξω γὰρ ὥστε ὁρᾶν ἐξέσται αὐτῇ ὅ, τι ἂν
ἐγὼ πράττω. ὥρα ἂν, ἔφη, συσκευάζεσθαι ὑμῖν εἴη. νόμιζε,
ἔφη, συνεσκευασμένους παρέσεσθαι, ὅ, τι ἂν ὁ πατὴρ δῷ. τότε
μὲν δὴ ξενισθέντες οἱ στρατιῶται ἐκοιμήθησαν. τῇ δ' ὑστε-
ραίᾳ λαβὼν ὁ κῦρος τὸν τιγράνην, καὶ τῶν μήδων ἱππέων τοὺς
κρατίστους, καὶ τῶν ἑαυτοῦ φίλων ὁπόσους καιρὸς ἐδόκει εἶναι, πε-
ριελαύνων τὴν χώραν κατεθεᾶτο, σκοπῶν ποῦ τειχίσειε φρού-
ριον. καὶ ἐπ' ἄκρον τι ἐλθὼν, ἐπηρώτα τὸν τιγράνην, ποῖα ἂν εἴη
τῶν ὀρέων, ὁπόθεν οἱ χαλδαῖοι καταθέοντες λῄζονται; καὶ ὁ τι-
γράνης ἐδείκνυεν. ὁ δὲ πάλιν ἤρετο· νῦν δὲ ταῦτα τὰ ὄρη
ἐρῆμά ἐστιν; οὐ μὰ δί', ἔφη, ἀλλ' ἀεὶ σκοποί εἰσιν ἐκείνων, οἳ
σημαίνουσι τοῖς ἄλλοις ὅ, τι ἂν ὁρῶσι. τί οὖν, ἔφη, ποιοῦσιν,
ἐπὰν

ἐπὰν αἴσθωνται; Βοηθοῦσιν, ἔφη, ἐπὶ τὰ ἄκρα, ὡς ἂν ἕκαστος δύνηται. ταῦτα μὲν δὴ ὁ κῦρος ἠκηκόει. σκοπῶν δὲ κατενόει πολλὴν τῆς χώρας τοῖς ἀρμενίοις ἔρημον καὶ ἀργὴν οὖσαν διὰ τὸν πόλεμον. καὶ τότε μὲν ἀπῆλθον ἐπὶ τὸ στρατόπεδον. καὶ δειπνήσαντες ἐκοιμήθησαν. τῇ δ' ὑστεραίᾳ αὐτός τε ὁ τιγράνης παρῆν συνεσκευασμένος, καὶ εἰς τετρακισχιλίους ἱππεῖς συνελέγοντο αὐτῷ, καὶ τοξόται εἰς τοὺς μυρίους, καὶ πελτασταὶ ἄλλοι τοσοῦτοι. ὁ δὲ κῦρος, ἐν ᾧ συνελέγοντο, ἐθύετο. ἐπεὶ δὲ καλὰ ἦν τὰ ἱερὰ αὐτῷ, συνεκάλεσε τούς τε τῶν περσῶν ἡγεμόνας, καὶ τοὺς τῶν μήδων. ἐπεὶ δὲ ὁμοῦ ἦσαν, ἔλεξε τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΚΥΡΟΥ.

Ἄνδρες φίλοι, ἔστι μὲν τὰ ὄρη ταῦτα ἃ ὁρῶμεν χαλδαίων· εἰ δὲ ταῦτα καταλάβοιμεν, καὶ ἐπ' ἄκρου γένοιτο τὸ ἡμέτερον φρούριον, σωφρονεῖν ἀνάγκη ἂν εἴη πρὸς ἡμᾶς, καὶ ἀμφοτέροις τοῖς τε ἀρμενίοις, καὶ τοῖς χαλδαίοις. τὰ μὲν οὖν ἱερὰ καλὰ ἡμῖν. ἀνθρωπίνη δὲ προθυμία εἰς τὸ πραχθῆναι ταῦτα οὐδὲν οὕτω μέγα σύμμαχον ἂν γένοιτο, ὡς τάχος. ἢν γὰρ φθάσωμεν πρὶν τοὺς πολεμίους συλλεγῆναι ἀναβάντες, ἢ παντάπασιν ἀμαχεὶ λάβοιμεν ἂν τὸ ἄκρον, ἢ ὀλίγοις τε καὶ ἀσθενέσι χρησαίμεθα ἂν πολεμίοις. τῶν οὖν πόνων, οὐδεὶς ῥάων οὐδὲ ἀκινδυνότερος, ἔφη, ἐστὶ, τοῦ νῦν καρτερῆσαι σπεύδοντας. ἴτε οὖν ἐπὶ τὰ ὅπλα. καὶ ὑμεῖς μὲν, ὦ μῆδοι, ἐν ἀριστερᾷ ἡμῶν πορεύεσθε· ὑμεῖς δὲ, ὦ ἀρμένιοι, οἱ μὲν ἡμίσεις ἐν δεξιᾷ, οἱ δὲ ἡμίσεις ἔμπροσθεν ἡμῶν ἡγεῖσθε. ὑμεῖς δὲ, ὦ ἱππεῖς, ὄπισθεν ἕπεσθε, διακελευόμενοι καὶ ὠθοῦντες ἄνω ἡμᾶς. ἢν δέ τις μαλακύνηται, μὴ ἐπιτρέπετε. ταῦτ' εἰπὼν ὁ κῦρος, ἡγεῖτο ὀρθίους ποιησάμενος τοὺς λόχους. οἱ δὲ χαλδαῖοι, ὡς ἔγνωσαν τὴν ὁρμὴν ἄνω οὖσαν, εὐθὺς ἐσήμαινόν τε τοῖς ἑαυτῶν, καὶ συνεβόων ἀλλήλοις, καὶ συνηθροίζοντο. ὁ δὲ κῦρος παρηγγύα. ἄνδρες πέρσαι, ἡμῖν σημαίνουσι σπεύδειν. ἢν γὰρ φθάσωμεν ἄνω γενόμενοι, οὐδὲν τὰ τῶν πολεμίων δυνήσεται. εἶχον δὲ οἱ χαλδαῖοι γέρρα τε καὶ παλτὰ δύο, καὶ πολεμικώτατοι δὲ λέγονται οὗτοι τῶν περὶ ἐκείνην τὴν χώραν εἶναι. καὶ μισθοῦ στρατεύονται, ὁπόταν αὐτῶν δέωνται, διὰ τὸ πολεμικώτατοι καὶ πένητες εἶναι. καὶ γὰρ ἡ χώρα αὐτοῖς ὀρεινή τε ἐστι, καὶ ὀλίγη ἡ τὰ χρήματα ἔχουσα. ὡς δὲ μᾶλλον ἐπλησίαζον οἱ ἀμφὶ τὸν κῦρον τῶν ἄκρων, ὁ τιγράνης σὺν τῷ κύρῳ πορευόμενος, εἶπεν· ὦ κῦρε, ἆρ' οἶσθ', ἔφη, ὅτι αὐτοὺς ἡμᾶς αὐτίκα μάλα δεήσει μάχεσθαι; ὡς οἵ γε ἀρμένιοι οὐ μὴ δέξωνται τοὺς πολεμίους. καὶ ὁ κῦρος εἰπὼν ὅτι ἤδει, εὐθὺς παρηγγύησε τοῖς πέρσαις παρασκευάζεσθαι, ὡς αὐτίκα δεῆσον ἐπιδιώκειν, ἐπειδὰν ὑπάγωσι τοὺς πολεμίους ὑποφεύγοντες οἱ ἀρμένιοι, ὥστ' ἐγγὺς ἡμῖν γίνεσθαι. οὕτω δὴ ἡγοῦντο μὲν οἱ ἀρμένιοι, τῶν δὲ χαλδαίων οἱ παρόντες, ὡς ἐπλησίαζον οἱ ἀρμένιοι, ταχὺ ἀλαλάξαντες, ἔθεον ὥσπερ εἰώθεσαν ἐπ' αὐτούς. οἱ δὲ ἀρμένιοι ὥσπερ εἰώθεσαν οὐκ ἐδέχοντο. ὡς δὲ διώκοντες οἱ χαλδαῖοι, εἶδον ἐναντίους μαχαιροφόρους, ἱεμένους ἄνω, οἱ μέν τινες αὐτοῖς πελάσαντες, ταχὺ ἀπέθνησκον. οἱ δ' ἔφευγον, οἱ δέ τινες καὶ ἑάλωσαν αὐτῶν. ταχὺ δὲ εἶχον τὰ ἄκρα. ἐπεὶ δὲ τὰ ἄκρα εἶχον οἱ ἀμφὶ τὸν κῦρον καθεώρων τε τῶν χαλδαίων τὰς οἰκήσεις, καὶ ᾐσθάνοντο φεύγοντας αὐτοὺς,

ἐκ

ubi senserint? Auxilium laturi eunt ad uertices, quisque pro uiribus. His Cyrus auditis, ubi considerasset, audissetque multum agri esse Armenijs, & desertum & incultum propter bellum, tum quidem & ipse, & cæteri ad castra redierunt: & ubi cœnati sunt, quieti sese dederunt. Postridie uero & Tigranes ipse instructus aderat, et equites ad quatuor millia cogebantur ei, & sagittarij ad decem millia, & tantundem scutatorum. At Cyrus interea dum hi colligebantur, sacrum faciebat. Sed postea quam litauit, Persarum conuocati atque Medorum duces. ubi simul fuere, talibus eos alloquitur:

CYRI ORATIO.

Viri amicissimi, montes hi quos uidemus, sunt Chaldæorum: hos si occupauerimus, feceremusque castellum in uertice, necesse sit utrique & Armenij & Chaldæi, ad sanitatem erga nos redeant. Et sacrificia quidem nobis bene habent. Humana uerò audentia ad hæc agenda non ita nobis magno erit auxilio, ut celeritas. Nam si occupatum eò ascenderimus prius quàm hostes cogantur, aut sine pugna omnino capiamus uerticem, aut & paucis utamur & imbecillis hostibus. Laborum autem nullus est neque facilior, neque tutior, quàm ut nunc constanter acceleremus. Ite nunc ad arma. Et uos quidem Medi pergite nobis ad leuam. Vos autem Armenij dimidiati, pars ad dextram, pars ante nos ducite: at uos equites post nos sequimini, hortantes & urgentes nos sursum. Quòd si quis molliorem se præstiterit, ei aduersamini. His dictis Cyrus antecedebat, rectos manipulos ducens. At Chaldæi ubi nouerunt impetum sursum fieri, & id continuo suis significabant, & unà clamore inuicem sublato cogebantur. Cyrus autem ita monebat: Viri Persæ nobis accelerandum esse significant. Nam si sursum anteuerterimus, hostes poterunt nihil. Habebant autem Chaldæi crates & tragulas duas, dicebanturque esse hominum illius regionis bellicosissimi. Et stipendio merent, cum his cuiquam opus est: quoniam sunt & bellicosi maximè & pauperes. Etenim regio est iis & montuosa, & breuis, quæ pecunias habeat. Vt autem Cyri milites propius facti sunt montium fastigijs, Tigranes unà cum Cyro proficiscens ait: Num Cyre nosti, nobisipsis quamprimum esse pugnandum, cum Armenij non sint eiusmodi, qui hostes sustineant? Ac respondens Cyrus, hoc se non latêre, Persas monuit sese instruerent, quòd esset quamprimum insequendum, cum subterfugientes Armenij hostis Chaldæos prope nos subduxerint. Tales igitur duces se præstabant Armenij. Qui autem aderant ex Chaldæis, ut propè Armenij facti sunt, confestim in eos ululantes, ut consueuerant, cursim ferebantur: quos Armenij, ut soliti erant, minimè expectabant. Vt autem fugantes illos Chaldæi uiderunt obuios hosteis qui sursum tenderent, gladios ferre, alij quidem eis appropinquantes statim mortui sunt, alij fugerunt, etiam quidam capti sunt. Curriculoque montium cacumina capiuntur. Quæ ubi Cyri milites tenuissent, & Chaldæorum habitacula despexerunt, & eos ex proximis habitaculis fugere sense-

senserunt. At Cyrus, ut milites omnes conuenerunt, prandium praecepit. Qui ubi pranderunt, ipseq; didicisset, ubi speculae Chaldaeorum erant, locum esse & munitum ac tutum, aquisq; abundantem, ibi continuo castellum muro circundabat, iubebátque Tigrani ad patrem mitteret, iuberetq; ut ad se iret, secum adductis quotquot essent & fabris & architectis. Ad Armenium quidem abibat nuncius. Cyrus uerò cum iis qui aderant murum struebat, cum per id temporis ad eum adducunt captiuos uinctos, & aliquos etiam uulneratos. Quos Cyrus ut uidit, uinctos continuò solui iussit: saucios autem uocatis medicis, curandos imperauit. Dein uerò dixit Chaldaeis, uenisse sese, neque quòd cuperet illos perdere, neque quod esset sibi opus bello, sed quoniam uellet inter Armenios pacem facere & Chaldeos. Priusquam tenerentur cacumina, scio, inquit, uobis pace opus non fuisse: securè enim habebant res uestrae: sed Armeniorum bona agebatis ferebatisq;. Nunc autem uidetis aliquando, qua estis conditione. Itaque ego uos dimitto domum, & reliquos captiuos: uobisq; aliis Chaldaeis tempus do consultandi, siue nobiscum uultis belligerare, siue amici esse. Et bellum si gerere optatis, nolite huc inermes ire, si sapitis: sin uobis arbitremini pace opus esse, uenite sine armis. Vt autem res uestrae bene habeant, si amici fueritis, mihi erit curae. Quibus auditis, Chaldaei Cyrum multis laudibus extulerunt, cumq; essent ius cundissimè complexi, domum abiere. Sed Armenius cum audisset à Cyro uocari sese, & quid ab eo ageretur, acceptis fabris & rebus aliis quotquot usui fore arbitrabatur, uenit ad eum quàm poterat celerrime. Quo quidem uiso, dixit: Cyre, VT PAVCA de futuro cum nos homines prospicere possumus, multa agere aggredimur. Nunc enim ipse moliri libertatem aggressus, factus sum seruus, ut antea nunquam. Cum uerò capti sumus, certò perisse arbitrati, nunc ut aliàs nunquam, salutem perspicuè sumus adepti. Qui enim nunquam cessabant multis nos malis afficere, hos ego nunc esse uideo, ut optabam. Et hoc uelim, ne te lateat Cyre, fuisse me ad abigendos Chaldaeos ex his uerticibus, multò pluris daturum pecuniae, quàm istis quas tu nunc habes ab me. Et quibus bonis pollicebaris nos affectum iri cum acciperes has pecunias, ea iam praestitisti. Itaq; nouimus alias tibi debere gratias, quas tibi si boni uelimus esse, pudeat nos sane non referre: cui etiam si referamus, nihil tamen pro dignitate facere ne hoc quidem pacto erga uirum adeò beneficum reperiamur. Et Armenius quidem haec dixit. At Chaldaei rogatum uenerunt ad Cyrum, sibi ut pacem faceret. Quos Cyrus interrogabat inquiēs: Ob aliud ne Chaldaei quicquā pacem cupitis, quàm ob huius rei causam, quod existimetis securius posse uitam agitare pace facta, quàm si bellum geratis? Quoniam haec habemus, dixerunt Chaldaei. Et Cyrus inquit: Quid igitur si alia etiam bona uobis ex pace aduenient? Magis item laetemur, respondêre. Sed quidnam aliud inquit? num qui bonitatem agri caritudine pauperes existimamini? Etiam propter hoc, confessi sunt. Quid igitur, inquit Cyrus, uel letis

ἐκ τῶν ἐγγὺς οἰκήσεων. ὁ δὲ κῦρος, ὡς πάντες οἱ στρατιῶται ὁμοῦ ἐγένοντο, ἀριστοποιεῖσθαι παρήγγειλεν. ἐπεὶ δὲ ἠριστήκεσαν, καταμαθὼν ἔνθα σκοπαὶ ἦσαν αἱ τῶν χαλδαίων, ἐρυμνόν τε ὂν καὶ ἔνυδρον, εὐθὺς ἐτείχιζε φρούριον. καὶ τὸν τιγράνην ἐκέλευσε πέμπειν ἐπὶ τὸν πατέρα, καὶ κελεύειν παραγενέσθαι, ἔχοντα ὁπόσοι εἶεν τέκτονές τε καὶ λιθοδόμοι. ἐπὶ μὲν δὴ τὸν ἀρμένιον ᾤχετο ἄγγελος. ὁ δὲ κῦρος τοῖς παροῦσιν ἐτείχιζεν. ἐν δὲ τούτῳ προσάγουσι τῷ κύρῳ τοὺς αἰχμαλώτους δεδεμένους· τοὺς δέ τινας καὶ τετρωμένους. ὡς δὲ εἶδεν, εὐθὺς λύειν μὲν ἐκέλευσε τοὺς δεδεμένους. τοὺς δὲ τετρωμένους, ἰατροὺς καλέσας, θεραπεύειν ἐκέλευσεν. ἔπειτα ἔλεξε τοῖς χαλδαίοις, ὅτι ἥκοι, οὔτε ἀπολέσαι ἐπιθυμῶν ἐκείνους, οὔτε πολεμεῖν δεόμενος, ἀλλ' εἰρήνην ποιῆσαι βουλόμενος ἀρμενίοις καὶ χαλδαίοις. πρὶν μὲν οὖν ἔχεσθαι τὰ ἄκρα, οἶδ' ὅτι οὐδὲν ἐδεῖσθε εἰρήνης. τὰ μὲν γὰρ ὑμέτερα ἀσφαλῶς εἶχε, τὰ δὲ τῶν ἀρμενίων ἤγετε καὶ ἐφέρετε. νῦν δ' ὁρᾶτε δή, ἐν οἵῳ ἐστέ. ἐγὼ οὖν ἀφίημι ὑμᾶς οἴκαδε τοὺς εἰλημμένους, καὶ δίδωμι ὑμῖν σὺν τοῖς ἄλλοις χαλδαίοις βουλεύσασθαι, εἴτε βούλεσθε πολεμεῖν ἡμῖν, εἴτε φίλοι εἶναι. κἂν μὲν πόλεμον αἱρῆσθε, μηκέτι ἥκετε δεῦρο ἄνευ ὅπλων, εἰ σωφρονεῖτε. ἢν δὲ εἰρήνης δοκῆτε δεῖσθαι, ἥκετε. ὡς δὲ καλῶς ἕξει τὰ ὑμέτερα, ἢν φίλοι γένησθε, ἐμοὶ μελήσει. ἀκούσαντες δὲ ταῦτα οἱ χαλδαῖοι, πολλὰ μὲν ἐπαινέσαντες, πολλὰ δὲ δεξιωσάμενοι τὸν κῦρον, ᾤχοντο οἴκαδε. ὁ δὲ ἀρμένιος ὡς ἤκουσε τήν τε κλῆσιν τοῦ κύρου καὶ τὴν πρᾶξιν, λαβὼν τοὺς τέκτονας, καὶ τἆλλα ὅσων ᾤετο δεῖν, ἧκε πρὸς τὸν κῦρον ὡς ἐδύνατο τάχιστα. ἐπεὶ δὲ εἶδε τὸν κῦρον, ἔλεξεν· ὦ κῦρε, ὡς ὀλίγα δυνάμενοι προορᾶν ἄνθρωποι περὶ τοῦ μέλλοντος, πολλὰ ἐπιχειροῦμεν πράττειν. νῦν γὰρ δὴ καὶ ἐγὼ ἐλευθερίαν μὲν μηχανᾶσθαι ἐπιχειρήσας, δοῦλος ὡς οὐδεπώποτε ἐγενόμην. ἐπεὶ δ' ἑάλωμεν, σαφῶς ἀπολωλέναι νομίσαντες, νῦν ἀναφαινόμεθα σεσωσμένοι, ὡς οὐδεπώποτε. χαλδαῖοι γοῦν, οἳ οὐδὲ ἐπαύοντο πώποτε πολλὰ κακὰ ἡμᾶς ποιοῦντες, νῦν ὁρῶ τούτους ἔχοντας, ὥσπερ ἐγὼ ηὐχόμην. καὶ τοῦτο ἴσθι, ἔφη, ὦ κῦρε, ὅτι ἐγώ, ὥστε ἀπελάσαι χαλδαίους ἀπὸ τούτων τῶν ἄκρων, πολλαπλάσια ἂν ἔδωκα χρήματα, ὧν σὺ νῦν ἔχεις παρ' ἐμοῦ. καὶ ἃ ὑπισχνοῦ ποιήσειν ἀγαθὰ ἡμᾶς, ὅτ' ἐλάμβανες τὰ χρήματα, ἀποτετέλεσταί σοι ἤδη. ὥστε καὶ προσοφείλοντές σοι ἄλλας χάριτας ἀναπεφήναμεν, ἃς ἡμεῖς γε, εἰ μὴ κακοί ἐσμεν, αἰσχυνοίμεθ' ἄν σοι μὴ ἀποδιδόναι. ἃ δὲ ἀποδιδόντες, οὐδὲν ἄξιον, οὐδ' οὕτως πρὸς εὐεργέτην καταλαμβανόμεθα τοσοῦτον ποιοῦντες. ὁ μὲν ἀρμένιος ταῦτ' ἔλεξεν. οἱ δὲ χαλδαῖοι ἧκον δεόμενοι τοῦ κύρου, εἰρήνην σφίσι ποιῆσαι. καὶ ἐπήρετο αὐτούς· ἄλλο τι, ἔφη, ὦ χαλδαῖοι, ἢ τούτου γε ἕνεκα, εἰρήνης νῦν ἐπιθυμεῖτε, ὅτι νομίζετε ἀσφαλέστερον δύνασθαι ζῆν, εἰρήνης γινομένης, ἢ πολεμοῦντες. ἐπεὶ καὶ ἡμεῖς ταῦτ' ἐλέγομεν. τἆλλα ἔχομεν, ἔφασαν οἱ χαλδαῖοι. καὶ ὅς· τί δ' ἄν, ἔφη, εἰ καὶ ἄλλα ὑμῖν ἀγαθὰ προσγένοιτο διὰ τὴν εἰρήνην; ἔτι ἄν, ἔφασαν, μᾶλλον εὐφραινοίμεθα. ἄλλο τι οὖν, ἔφη, ἢ διὰ τὸ γῆς σπανίζειν ἀγαθῆς, νῦν πένητες νομίζετ' εἶναι; συνέφασαν καὶ τοῦτο. τί οὖν, ἔφη ὁ κῦρος, ἢ βούλοισθ'

λεῖσθ' ἂν ἀποτελοῦντες ὅσα περ οἱ ἀρμένιοι, ἐξεῖναι ὑ-
μῖν τῆς ἀρμενίας γῆς ἐργάζεσθαι, ὁπόσην ἂν βούλησθε; ἔ-
φασαν οἱ χαλδαῖοι, εἰ πιστεύοιμεν μὴ ἀδικήσεσθαι. τί δὲ
σύ, ἔφη, ὦ ἀρμένιε, βούλοιο ἂν τὴν νῦν ἀργὸν οὖσαν γῆν
ἐνεργὸν γενέσθαι, εἰ μέλλοιεν τὰ νομιζόμενα παρὰ σοὶ ἀπο-
τελεῖν οἱ ἐργαζόμενοι. ἔφη ὁ ἀρμένιος· πολλοῦ ἂν τοῦτο
πριαίμην. πολὺ γὰρ ἂν αὐξάνοιτο ἡ πρόσοδος. τί δ'
ὑμεῖς, ἔφη, ὦ χαλδαῖοι, ἐπεὶ ὄρη ἀγαθὰ ἔχετε, ἐθέλοιτ'
ἂν ἐᾶν νέμειν ταῦτα τοὺς ἀρμενίους, εἰ ὑμῖν μέλλοιεν οἱ
νέμοντες τὰ δίκαια ἀποτελεῖν; ἔφασαν οἱ χαλδαῖοι.
πολλὰ γὰρ ἂν ὠφελεῖσθαι οὐδὲν πονοῦντας. σὺ δέ, ἔφη,
ὦ ἀρμένιε, ἐθέλοις ἂν ταῖς τούτων νομαῖς χρῆσθαι, εἰ μέλ-
λεις μικρὰ ὠφελῶν χαλδαίους, πολὺ πλείω ὠφελήσε-
σθαι; καὶ σφόδρα ἄν, ἔφη, εἰ ἡμῖν ἀσφαλὲς νέμειν.
οὐκοῦν, ἀσφαλῶς ἂν νέμοιτε, εἰ τὰ ἄκρα ἔχοιμεν σύμ-
μαχα, ἔφη ὁ ἀρμένιος. ἀλλὰ μὰ δί', ἔφασαν οἱ χαλ-
δαῖοι, οὐκ ἂν ἡμεῖς ἀσφαλῶς ἐργαζοίμεθα, μὴ ὅτι τὴν
τούτων, ἀλλ' οὐδ' ἂν τὴν ἡμετέραν, εἰ οὗτοι τὰ ἄκρα
ἔχοιεν. εἰ δ' ὑμῖν αὖ, ἔφη, τὰ ἄκρα σύμμαχα εἴη; οὕτως
ἄν, ἔφασαν, ἡμῖν καλῶς ἔχοι. οὐκ ἂν ἡμῖν νῦν καλῶς ἔ-
χοι, εἰ οὗτοι παραλήψονται τὰ ἄκρα, ἄλλως τε καὶ τε-
τειχισμένα. καὶ ὁ κῦρος εἶπεν· οὑτωσὶ τοίνυν ἐγὼ ποιή-
σω, ἔφη. οὐδ' ἑτέροις ὑμῖν τὰ ἄκρα παραδώσω. ἀλλ'
ἡμεῖς φυλάξομεν αὐτά. κἂν ἀδικῶσιν ὑμῶν, ὁπότεροι
οὖν, σὺν τοῖς ἀδικουμένοις ἐσόμεθα ἡμεῖς. ὡς δ' ἤκου-
σαν ταῦτα ἀμφότεροι, ἐπῄνεσαν καὶ ἔλεγον· οὕτως
ἂν εἴη μόνως εἰρήνη βεβαία. καὶ ἐπὶ τούτοις ἔδοσαν καὶ
ἔλαβον πάντες τὰ πιστά, καὶ ἐλευθέρους μὲν ἀμφοτέ-
ρους ἀπ' ἀλλήλων εἶναι συνετίθεντο, ἐπιγαμίας δ' εἶναι, καὶ
ἐπεργασίας, καὶ ἐπινομίας, καὶ συμμαχίαν δὲ κοινήν, εἴ τις
ἀδικοίη ὁποτέρους οὖν. οὕτω μὲν τότε διεπράχθη, καὶ νῦν
δὲ ἔτι οὕτω διαμένουσιν, αἱ τότε γενόμεναι συνθῆκαι,
χαλδαίοις, καὶ τῷ τὴν ἀρμενίαν ἔχοντι. ἐπεὶ δὲ αἱ συν-
θῆκαι ἐγένοντο, εὐθὺς συνετείχιζόν τε ἀμφότεροι προ-
θύμως ὡς κοινὸν φρούριον, καὶ τὰ ἐπιτήδεια συνεισῆ-
γον. ἐπεὶ δ' ἑσπέρα προσῄει, συνδείπνους ἔλαβεν ἀμφο-
τέρους πρὸς ἑαυτόν, ὡς φίλους ἤδη. συσκηνούντων
δέ, εἶπέ τις τῶν χαλδαίων· ὅτι τοῖς μὲν ἄλλοις σφῶν πᾶ-
σιν εὐκταῖα ταῦτα εἴη. εἰσὶ δέ τινες τῶν χαλδαίων, οἳ
λῃζόμενοι ζῶσι, καὶ οὔτ' ἂν ἐπίσταιντο ἐργάζεσθαι, οὔτ'
ἂν δύναιντο, εἰθισμένοι ἀπὸ πολέμου βιοτεύειν. ἀεὶ γάρ,
ἐλῄζοντο, καὶ ἐμισθοφόρουν, καὶ πολλάκις μὲν παρὰ
τῷ ἰνδῶν βασιλεῖ. καὶ γὰρ ἔφασαν, πολύχρυσος ὁ ἀ-
νήρ. πολλάκις δὲ καὶ παρ' ἀστυάγει. καὶ ὁ κῦρος ἔφη· τί οὖν οὐ
καὶ νῦν παρ' ἐμοὶ μισθοφοροῦσιν; ἐγὼ γὰρ δώσω, ὅσον τις
καὶ ἄλλος πλεῖστον δή ποτε ἔδωκε. συνέφασαν οὖν. καὶ πολ-
λοὺς ἔσεσθαι ἔλεγον τοὺς ἐθελήσοντας. καὶ ταῦτα μὲν δὴ
οὕτω συνωμολογεῖτο. ὁ δὲ κῦρος ὡς ἤκουσεν, ὅτι πρὸς τὸν
ἰνδὸν πολλάκις οἱ χαλδαῖοι ἐπορεύοντο, ἀναμνησθείς,
ὅτι ἦλθον παρ' αὐτόν, κατασκεψόμενοι εἰς μήδους τὰ
αὐτῶν πράγματα, καὶ ᾤχοντο πρὸς τοὺς πολεμίους, ὅπως
αὖ καὶ τὰ ἐκείνων κατίδωσιν, ἐβούλετο μαθεῖν, τὰ αὐ-
τῷ πεπραγμένα. ἤρξατο οὖν λόγου τοιοῦδε· ὦ ἀρμέ-
νιε, ἔφη, καὶ ὑμεῖς οἱ χαλδαῖοι, εἴπατέ μοι, εἴ τινα ἐγὼ τῶν
ἐμῶν ἀποστέλλοιμι πρὸς τὸν ἰνδόν, συμπέμψαιτ' ἄν μοι
τῶν ὑμετέρων, οἵτινες αὐτῷ τήν τε ὁδὸν ἡγοῖντο ἄν, καὶ
συμπράτ-

letis sine tantum soluentes tributi, quantum Armenij soluunt, uobis liceret tantũ colere agri Armenij, quantum uelitis? Modò, respondere Chaldæi, credamus fore, ne quid iniuriæ patiamur. Quid uerò tu, Cyrus inquit, Armenie, uellesne id agri quod nunc est incultum, ab his coli, si constitutas apud te pecunias soluerint? Respondit Armenius: Pluris sanè hoc emerem, cum census multum augeretur. Quid autem uos Chaldæi? quoniã uobis boni sunt mõtes, num sinere uelletis Armenijs hos mõtis esse pasturæ, si uobis pastores quæ iusta sunt soluerint? Valde, Chaldæi responderũt: nam sine ullo labore magnam ad sese utilitatẽ peruẽturam. Tu autem Armenie, uellésne pascuis horum uti, si pro parua Chaldæorum utilitate, longe maiorem ipse utilitatem esses consecuturus? Et ualde id quidem, si pasturam mihi securam arbitrarer. Igitur, inquit Cyrus, securè pasceretis, si uertices auxilio haberetis. Ita est, inquit Armenius. At per Iouem, dixere Chaldæi, nequaquam secure nos agrum coleremus, & non modò horum agrum, sed ne nostrum quidem, si hi cacumina possiderent. Sed quid, rursus inquit, si cacumina uobis essent auxilio? Ita nobis, Chaldæi responderunt, bene esset. Sed medius fidius, inquit Armenius, nobis rursus nequaquam bene foret, ubi hi rursus cacumina essent accepturi, præsertim cincta muro. Atq; Cyrus inquit: Ita igitur ego faciam: neutris uestrum uertices tradam, sed eos nos custodiemus, & utri uestrûm alteris iniuriam faciant, nos cum iniuriam passis futuri sumus. His autem auditis utriq; rem laudarunt, dicentes hoc modo duntaxat pacem futuram stabilem. Et ad hæc obseruanda dederunt omnes acceperuntq; fidei pignora, utq; utrique ab inuicem liberi essent conuenerunt, uterenturq; inter sese connubijs, & culturis, & pasturis, & communi societate, si quis in alteroscunq; esset iniustus. Ita per id temporis est peractum: atq; hac etiam tempestate, quæ tum fœdera sunt percussa inter Chaldæos & regem Armeniorum, ita perdurant. Cæterum posteaquam fœdera sunt percussa, utriq; continuò castellum tanquàm commune muro impigre cingebant, & in id res necessarias congerebant. Sed ubi aduenit uespera, Cyrus utrosq; apud se cœnaturos ut iam amicos, cõuiuio excipiebat. Iis aũt unà discumbentibus, dixit unus ex Chaldæis: hæc alijs quidẽ suis omnib. optabilia existere, uerum esse Chaldæos quosdã qui uiuerẽt ex præda, nescirentq; terrã colere, ac ne possent quidẽ, assueti ex rebus bellicis uitã degere. Prædabantur enim semper, merebantq; stipendio sæpe apud Indorum regem: nam illum aiebant uirum esse opulẽtissimum: sæpe etiã apud Astyagen. Et Cyrus inquit: Quid igitur non etiã nunc apud me stipendio merent? Ipse enim dabo quantum quis alius plurimum unquam stipendium dedit. Cui consensere, multos etiã fore qui uelint. Et hæc quidem tandem ita conuenta sunt. At Cyrus cum audisset Chaldæos sæpe ad regem Indorũ proficisci, recordatus uenisse quos ab eo speculatũ in Medos res Medicas, abisseq; ad hostes quò rursus res eorum explorarent, uolebat ut quas ipse res gesserat, Indus disceret. Itaq; cœpit ita loqui: O Armenie, et uos Chaldæi dicite mihi, si quẽ ego ex meis ad Indũ mitterẽ, mitteretisne mea causa e uestris aliquos, qui ei & itineris duces essent, atq;

unà agerent, ut quæ uolo, nobis ab Indo fierent? Ego enim uellem ut grandior etiam pecunia nobis fieret, quo & stipendium dare possim abundè quibus debeam, & milites honorare atq; munerare pro dignitate. Horum igitur causa mihi sit uolo maxima pecuniarum copia. His autem opus esse duco, si uelim quod libenter cupio, pecunijs uestris parcere. Amicos enim uos mihi iam arbitror. Ab Indo autem libenter acciperem, si daret. Itaq; nuncius cui uos iubeo dari duces, esseq; adiutores gerendi negocij, illò cum uenerit, ita dicet: Inde Cyrus me ad te misit, qui ait: Quoniam aliam exercitum domo ex Persis opperitur, maiore sibi pecunia opus esse. Etenim eũ, inquit, opperior. Quare si ad eum miseris quantum pecuniæ possis commodè, si deus ei bonum exitum dederit, enitetur ita facere ut existimes bene tibi esse consultum, quòd munificus in se fueris Et hæc sanè uerbis meis exponet. Vos autem mandate uestris nuncijs, quod ad rem conducere arbitramini. Et si quidem ab eo pecunias ceperimus, his utemur copiosius. Sin minus ceperimus, intelligemus nullam à nobis ei gratiam deberi: quinimò licebit nobis illius causa omnia facere ad nostrum emolumentum. Hæc Cyrus locutus est, futurum putans ut Armenij Chaldæiq; nuncij eiusmodi uerba de sese facerent, qualia de se ipse cupiebat ab omnibus hominibus & dici & audiri. Et tum tandem cum res bene haberet, soluto conuiuio dederunt se quieti. Sed postero die tum Cyrus nuncium mittebat, ei mandans quæcunq; dixerat. Tum Armenius Chaldæiq; unà miserũt quos maximè idoneos existimabant, & ad agendum pro Cyro, & ad dicendum, quæ conuenirent. Ex hinc autem Cyrus cum muniisset castellum, & præsidio, quãtum sat erat, & rebus necessarijs omnibus, atq; ijs principem reliquisset Medum, quem Cyaxari putasset maximè gratum esse, abiuit abducto secum exercitu, & quantum habuerat ueniens, & quem ab Armenijs assumpsit, & quos milites acceperat à Chaldæis ad quatuor millia, qui putabantur cunctis alijs præstare. Vt autem descendit in agrum habitatum, Armenius nemo neq; uir neq; mulier intra ædis se continuit, sed omnes obuiam facti sunt, letitia ob pacem exultantes, ferentesq; & agentes quod quisq; habebat preciosum. Neq; Armenio hæc molesta erant, quoniam existimaret ita Cyrum delectari magis, quod honoraretur ab omnibus. Sed ad postremũ Armenij etiam uxor occurrit, filias secum habens & iuniorem filium, quæ unà cum alijs donis portabat etiam aurũ, quod prius accipere Cyrus noluerat. Id Cyrus ubi uidit: Vos me, inquit, non facietis ut mercedis gratia obequitans sim beneficus: sed tu, ò mulier, abi, & quas ad me fers pecunias, tibi habe, easq; nolito amplius Armenio defodiendas dare. Tuum autem filium pulcherrime istis à te ornatum, in expeditionem emitte. At reliquas pecunias habeto, & tibiipsi, & uiro, & filiabus ac filijs, quod ijs seruatis pulchrius etiam ornabimini, & ætatem agitabitis iucundius. Nam in terram satis sit corpora defodere, cum quisque diem obierit. Cyrus hæc locutus abequitauit: quem Armenius & reliqui omnes homines deducebant, eum beneficum iterum atque iterum appellantes, & uirum bonum. Hæc que facie/

συμπράττοιεν, ὥστε γενέσθαι ἡμῖν παρὰ τοῦ ἰνδοῦ ἃ ἐγὼ βούλομαι; ἐγὼ γὰρ χρήματα μὲν προσγενέσθαι ἔτι ἂν βουλοίμην ἡμῖν, ὅπως ἔχω καὶ μισθὸν ἀφθόνως διδόναι οἷς ἂν δέῃ, καὶ τιμᾶν, καὶ δωρεῖσθαι τῶν στρατευομένων τοὺς ἀξίους. τούτων μὲν δὴ ἕνεκα βούλομαι, ὡς ἀφθονώτατα χρήματα ἔχειν. δεῖσθαι δὲ τούτων νομίζω. τῶν μὲν ὑμετέρων, ἡδύ μοι φείδεσθαι. φίλους γὰρ ὑμᾶς ἤδη νομίζω. παρὰ δὲ τοῦ ἰνδοῦ, ἡδέως ἂν λάβοιμι, εἰ διδοίη. ὁ οὖν ἄγγελος, ᾧ κελεύω ὑμᾶς ἡγεμόνας δοῦναι καὶ συμπράκτορας γενέσθαι, ἐλθὼν ἐκεῖσε, λέξει ὧδε· ἔπεμψέ με κῦρος, ὦ ἰνδὲ πρὸς σέ. φησὶ δὲ προσδεῖσθαι χρημάτων, προσδεχόμενος καὶ ἄλλην στρατιὰν οἴκοθεν ἐκ περσῶν, καὶ γὰρ προσδέχομαι, ἔφη. ἢν οὖν αὐτῷ πέμψῃς ὁπόσα σοι προχωρεῖ φησιν, ἢν θεὸς ἀγαθὸν τέλος διδῷ αὐτῷ, πειράσεσθαι ποιῆσαι, ὥστε σε νομίζειν καλῶς βεβουλεῦσθαι, χαρισάμενος αὐτῷ. ταῦτα μὲν ὁ παρ᾽ ἐμοῦ λέξει. τοῖς δὲ παρ᾽ ὑμῶν, ὑμεῖς αὖ ἐπιστέλλετε, ὅ, τι ὑμῖν δοκεῖ συμφέρον εἶναι. καὶ ἢν μὲν λάβωμεν παρ᾽ αὐτοῦ, ἀφθονωτέροις χρησόμεθα. ἢν δὲ μὴ λάβωμεν, εἰσόμεθα, ὅτι οὐδεμίαν αὐτῷ χάριν ὀφείλομεν, ἀλλ᾽ ἔξεσται ἡμῖν ἐκείνου ἕνεκα, πρὸς τὸ ἡμέτερον συμφέρον πάντα τίθεσθαι. ταῦτ᾽ εἶπεν ὁ κῦρος νομίζων τοὺς ἰόντας ἀρμενίων καὶ χαλδαίων τοιαῦτα λέξειν περὶ αὐτοῦ, οἷα αὐτὸς ἐπεθύμει πάντας ἀνθρώπους, καὶ λέγειν, καὶ ἀκούειν περὶ αὐτοῦ. καὶ τότε μὲν δὴ ὁπότε καλῶς εἶχε διαλύσαντες τὴν σκηνήν, ἀνεπαύοντο. τῇ δ᾽ ὑστεραίᾳ, ὅτε κῦρος ἔπεμπε τὸν ἄγγελον ἐπιστείλας, ὅσα περ ἔφη. καὶ ὁ ἀρμένιος, καὶ οἱ χαλδαῖοι συνέπεμπον οὓς ἱκανωτάτους ἐνόμιζον εἶναι, καὶ συμπρᾶξαι, καὶ εἰπεῖν περὶ τοῦ κύρου τὰ προσήκοντα. ἐκ δὲ τούτου ὁ κῦρος ἐπιτελέσας τὸ φρούριον, καὶ φύλαξιν ἱκανοῖς, καὶ τοῖς ἐπιτηδείοις πᾶσι, καὶ ἄρχοντα αὐτοῖς καταλιπὼν μῆδον, ὃν ᾤετο κυαξάρει ἂν μάλιστα χαρίσασθαι, ἀπῄει συλλαβὼν τό τε στράτευμα, ὅσον τε ἦλθεν ἔχων, καὶ ὃ παρὰ ἀρμενίων προσέλαβε, καὶ τοὺς παρὰ χαλδαίων εἰς τετρακισχιλίους, οἳ ᾤοντο καὶ συμπάντων τῶν ἄλλων κρείττονες εἶναι. ὡς δὲ κατέβη εἰς τὴν οἰκουμένην, οὐδεὶς ἔμεινεν ἔνδον ἀρμενίων, οὔτε ἀνήρ, οὔτε γυνή, ἀλλὰ πάντες ἀπήντων, ἡδόμενοι τῇ εἰρήνῃ, καὶ φέροντες, καὶ ἄγοντες, ὅ τι ἕκαστος ἄξιον εἶχε. καὶ ὁ ἀρμένιος τούτοις οὐκ ἤχθετο, οὕτως ἂν νομίζων, καὶ τὸν κῦρον μᾶλλον ἥδεσθαι τῇ ὑπὸ πάντων τιμῇ. τέλος δὲ ἀπήντησε καὶ ἡ γυνὴ τοῦ ἀρμενίου, τὰς θυγατέρας ἔχουσα, καὶ τὸν νεώτερον υἱόν, καὶ σὺν ἄλλοις δώροις καὶ τὸ χρυσίον ἐκόμιζεν, ὃ πρότερον οὐκ ἤθελε λαβεῖν ὁ κῦρος. καὶ ὁ κῦρος ἰδὼν, εἶπεν· ὑμεῖς ἐμὲ οὐ ποιήσετε μισθοῦ περιιόντα εὐεργετεῖν. ἀλλὰ σύ, ὦ γύναι, ἔχουσα ταῦτα τὰ χρήματα ἃ φέρεις, ἄπιθι, καὶ τῷ ἀρμενίῳ μηκέτι δῷς αὐτὰ κατορύξαι. ἔκπεμψον δὲ τὸν σὸν υἱὸν ὡς κάλλιστα ἀπ᾽ αὐτῶν κατασκευάσασα ἐπὶ τὴν στρατείαν. ἀπὸ δὲ τῶν λοιπῶν, κτῶ καὶ σαυτῇ, καὶ τῷ ἀνδρί, καὶ ταῖς θυγατράσι, καὶ τοῖς υἱοῖς, ὅτι κεκτημένοι καὶ κεκοσμημένοι, κάλλιον καὶ ἥδιον τὸν αἰῶνα διάξετε. εἰς δὲ τὴν γῆν, ἔφη, ἀρκείτω τὰ σώματα, ὅταν ἕκαστος τελευτήσῃ, κατακρύπτειν. ὁ μὲν ταῦτα εἰπὼν, παρήλαυνεν. ὁ δὲ ἀρμένιος συμπροὔπεμπε. καὶ οἱ ἄλλοι πάντες ἄνθρωποι, ἀνακαλοῦντες τὸν εὐεργέτην, τὸν ἄνδρα τὸν ἀγαθόν. καὶ ταῦτ᾽ ἐποί/

ἐποίουν, ἕως ἐκ τῆς χώρας ἐξέπεμψαν. συνέπεμψε δὲ αὐτῷ ὁ Ἀρμένιος καὶ στρατιὰν πλείονα, ὡς εἰρήνης οἴκοι οὔσης. οὕτω δὴ ὁ Κῦρος ἀπῄει κεχρηματισμένος, οὐχ ἃ ἔλαβε μόνον χρήματα, ἀλλὰ πολὺ πλείονα τούτων ἑτοιμασάμενος διὰ τὸν τρόπον, ὥστε λαμβάνειν ὁπότε δέοιτο. καὶ τότε μὲν ἐστρατοπεδεύσατο ἐν τοῖς μεθορίοις. τῇ δ᾽ ὑστεραίᾳ τὸ μὲν στράτευμα καὶ τὰ χρήματα ἔπεμψε πρὸς Κυαξάρην. ὁ δὲ πλησίον ἦν, ὥσπερ ἔφη. αὐτὸς δὲ σὺν Τιγράνῃ καὶ Περσῶν τοῖς ἀρίστοις ἐθήρα ὅπου ἐντυγχάνοιεν θηρίοις, καὶ εὐφραίνετο. ἐπεὶ δ᾽ ἀφίκετο εἰς Μήδους, τὰ χρήματα ἔδωκε τοῖς ἑαυτοῦ ταξιάρχοις, ὅσα ἐδόκει ἑκάστῳ ἱκανὰ εἶναι. ὅπως καὶ ἐκεῖνοι ἔχοιεν τιμᾶν, εἴ τινας ἄγοιντο τῶν ὑφ᾽ ἑαυτούς. ἐνόμιζε γάρ, εἰ ἕκαστος τὸ μέρος ἀξιέπαινον ποιήσειε, τὸ ὅλον αὐτῷ καλῶς ἔχειν. καὶ αὐτὸς δέ, ὅτι που καλὸν ἴδοι εἰς τὴν στρατιάν, ταῦτα κτώμενος ἐδωρεῖτο τοῖς ἀξιωτάτοις, τοῦτο νομίζων, ὅτι καλὸν κἀγαθὸν ἔχοι τὸ στράτευμα, τούτοις ἅπασιν αὐτὸς κεκοσμῆσθαι. ἡνίκα δὲ αὐτοῖς διεδίδου ὧν ἔλαβεν, ἔλεξεν ὧδέ πως εἰς τὸ μέσον τῶν ταξιάρχων καὶ λοχαγῶν, καὶ πάντων ὅσους ἐτίμα.

ΔΗΜΗΓΟΡΙΑ ΚΥΡΟΥ.

Ἄνδρες φίλοι, δοκεῖ ἡμῖν εὐφροσύνη τις νῦν παρεῖναι, καὶ ὅτι εὐπορία τις προσγεγένηται, καὶ ὅτι ἔχομεν ἀφ᾽ ὧν τιμᾶν ἕξομεν, οὓς ἂν βουλώμεθα, καὶ τιμᾶσθαι ὡς ἂν ἕκαστος ἄξιος ᾖ. πάντως δὴ ἀναμιμνησκώμεθα τὰ ποῖα ἔργα τούτων τῶν ἀγαθῶν εἴη αἴτια. σκοπούμενοι γὰρ εὑρήσετε, τό τε ἀγρυπνῆσαι ὅπου ἔδει, καὶ τὸ πονῆσαι, καὶ τὸ σπεῦσαι, καὶ τὸ μὴ εἶξαι τοῖς πολεμίοις. οὕτως οὖν χρὴ καὶ τὸ λοιπὸν ἄνδρας ἀγαθοὺς εἶναι, γιγνώσκοντας, ὅτι τὰς μεγάλας ἡδονάς, καὶ τὰ ἀγαθὰ τὰ μεγάλα, ἡ πειθὼ καὶ ἡ καρτερία, καὶ οἱ ἐν τῷ καιρῷ πόνοι, καὶ κίνδυνοι παρέχονται. κατανοῶν δὲ ὁ Κῦρος, ὡς εὖ μὲν αὐτῷ εἶχον τὰ σώματα οἱ στρατιῶται, πρὸς τὸ δύνασθαι στρατιωτικοὺς πόνους φέρειν, εὖ δὲ τὰς ψυχὰς πρὸς τὸ καταφρονεῖν τῶν πολεμίων, ἐπιστάμενοι δὲ ἦσαν τὰ προσήκοντα τῇ ἑαυτῶν ἕκαστος ὁπλίσει, καὶ πρὸς τὸ πείθεσθαι δὲ τοῖς ἄρχουσιν ἑώρα πάντας εὖ παρεσκευασμένους. ἐκ τούτων οὖν ἐπεθύμει τι ἤδη τῶν πρὸς τοὺς πολεμίους πράττειν, γιγνώσκων, ὅτι ἐν τῷ μέλλειν πολλάκις τοῖς ἄρχουσι, καὶ τῆς καλῆς παρασκευῆς ἀλλοιοῦταί τι. ἔτι δ᾽ ὁρῶν, ὅτι φιλοτίμως ἐχόντων ἐν οἷς ἀντηγωνίζοντο, πολλοὶ καὶ ἐπιφθόνως εἶχον πρὸς ἀλλήλους τῶν στρατιωτῶν, καὶ τούτων ἕνεκα ἐξάγειν αὐτοὺς ἐβούλετο εἰς τὴν πολεμίαν ὡς τάχιστα, ὅτι οἱ κοινοὶ κίνδυνοι, φιλοφρόνως ποιοῦσιν ἔχειν τοὺς συμμάχους πρὸς ἀλλήλους. καὶ οὐκέτι ἐν τούτῳ οὔτε τοῖς ἐν ὅπλοις κοσμουμένοις φθονοῦσιν, οὔτε τοῖς δόξης ἐφιεμένοις. ἀλλὰ μᾶλλον καὶ ἐπαινοῦσι, καὶ ἀσπάζονται οἱ τοιοῦτοι τοὺς ὁμοίους, νομίζοντες συνεργοὺς αὐτοὺς τοῦ κοινοῦ ἀγαθοῦ εἶναι. οὕτω δὴ πρῶτον μὲν ἐξώπλισε τὴν στρατιάν, καὶ κατέταξεν ὡς ἐδύνατο κάλλιστά τε καὶ ἄριστα. ἔπειτα δὲ συνεκάλεσε μυριάρχους, καὶ χιλιάρχους, καὶ ταξιάρχους, καὶ λοχαγούς. οὗτοι γὰρ ἀπολελυμένοι ἦσαν τοῦ καταλέγεσθαι ἐν τοῖς τακτικοῖς ἀριθμοῖς. καὶ ὁπότε δέοι ἢ ὑπακούειν τῷ στρατηγῷ, ἢ παραγγέλλειν τι, οὐδ᾽ ὣς οὐδὲν ἄναρχον κατελείπετο. ἀλλὰ δωδεκαδάρχοις καὶ ἑξαδάρχοις πάντα

τὰ

faciebant, donec eum ex Armenia emiserunt. Misit item ad eum Armenius maioris copias, quoniam domi pax esset. Ita igitur abiit Cyrus, non solum ditatus pecunijs quas accepit, sed multò pluribus paratis ob suos mores, quas cum opus foret acciperet. Et tum quidem intra confinia est castrametatus. Postridie uerò illius diei, & agmen, & pecunias ad Cyaxarem misit. Nam is propinquus erat, ut dixerat. Ipse autem unà cum Tigrane, optimatibusq; Persarum uenabatur, ubi feras offenderet, atq; letabatur. Sed ubi uenit in Medos, ex pecunijs dedit suis ordinum centurionibus, ut existimabat cuique satis esse, quò etiam ipsi honorare possent, si quos sub sese ducerent. Putabat enim si quisq; partem faceret laude dignam, totum sibi pulchrè habere. Atq; ipse quoq; si quid usquam uideret pulchrum pro exercitu, hoc adeptus, uiris dignissimis dono dabat: ratus ille quidem, ea sibi omnia ornamento esse, quicquid pulchri milites boniq; haberent. Cum uerò militibus ijs tribueret quæ ceperat, in medium centurionum ordinem, primipilorum, & omnium quotquot honorabat, his quasi uerbis est usus:

CYRI ORATIO.

Viri amicissimi, uidetur nobis quædam nunc adesse letitia, & quod opulentia quædam est addita, et quòd ea habemus, quibus honorare poterimus quos uelimus, & honorari quoq; pro dignitate cuiusque. Omnino autem reminiscamur, quæ qualiaq; opera horum fuere bonorum causa. Nam si nobiscum uelitis animo uolutare, inuenietis & uigilasse ubi oportebat, et laborasse accelerasseq;, et hostibus non cessisse, fuisse in causa. Sic igitur est opus, præstetis uosmetipsos in posterum uiros fortes: illud sane intelligentes, magnas uoluptates, maximaq; bona præberi obedientia, constantia, tẽpestiuisq; & laborib. & periculis. Et cũ Cyrus intelligeret milites robustis esse corporib. ad militiæ labores tolerãdos, esseq; animis infractis ad hostis contẽnendos, scire etiam singulos quæ suæ forẽt armaturæ accõmodata, cumq; omnis intueretur paratissimos ad parendum superioribus: hinc igitur cupiebat iam res aliquas præclaras in hostis gerere, præsertim cum nosset in cunctando sæpe solere principibus ex pulchro etiã apparatu aliquid uariari. Videns præterea quibus in rebus milites concertarent, illos habere ambitiose, pluris quoq; inuicem sibi inuidere, ob hæc etiam eos in hostium agrũ uolebat quãprimum educere, quippe qui nosset communibus periculis fieri, ut socij benignè inter sese habeant, & non amplius hac in re neq; armis uiris ornatis inuidẽt, neq; gloriæ cupidis: quin potius huiusmodi milites & laudãt illos, & amplectũtur, qui sui sint similes, quòd eos existiment boni publici adiutores. Sic igitur primum armauit exercitũ, instruxitq; quàm potuit & pulcherrimè & optimè. Dein cõuocauit prætores, qui militibus decẽ millib. præsunt, & militũ tribunos, & ordinũ centuriones, & primipilos: hi enim absoluti erant ab exercitus ordinarij numero. Cumq; aut imperatori audire, aut quicquã præcipere oporteret, nihil sine superiore relinquebatur, sed per duodenarios & sexcuriones relicta omnia compo-

componebantur. Sed ubi tempestiui qui uocantur, conuenerunt, ijs Cyrus adductos ostendebat quae bene haberent, docebatque qui, quaeque res ad mutuum auxilium esset ualida. Et illos posteaquam amore incendit iam ad aliquid faciundum, ait eis abeundum nunc esse ad suos ordines, & ut quisque suos edoceret quae a se illi didicissent, omnisque accendere studerent cupiditate belli, quo ingenti omnes animo ad iter mouerentur, utque adessent mane ad Cyaxaris ianuas. Tum igitur abeuntes egerunt ita. Sed postero die ubi illuxit, adfuerunt tempestiui ipsi ad ianuas. Vnde cum his Cyrus ingressus ad Cyaxarem, coepit ita loqui: Non equidem nescius sum Cyaxares, quae a me dicenda sunt, ea tibi iamdiu nihilominus uisa esse quam mihi. Sed pudet te fortassis ea dicere, ne uidearis idcirco de educendo exercitu facere mentionem, quoniam moleste feras nos alere. Quare posteaquam ipse taces, loquar ego & tua & nostra causa. Nobis enim uidetur omnibus, ne posteaquam parati sumus, tum pugnemus, cum hostes in agrum tuum impetum fecerint: neque in amico sedentes solo, hostis expectemus, sed in illorum potius regionem ipsi irruamus. Nunc enim cum in tuo sumus agro, magnum rebus tuis uel inuiti detrimentum inferimus. Quod si in hostilem eamus terram, male res eorum quam libenter afficiemus. Praeterea abs te ipsi nunc alimur, magna tua cum impensa. Si aduersus hostis eduxerimus exercitum, ex illorum agro alimenta capiemus. Insuper si maius nobis illic quam hic periculum impenderet, fortassis id esset expetendum quod securius foret. Sed nunc pares illi futuri sunt, siue hic expectemus, seu in illorum agrum ijs obuiam eamus: & nos item pares sumus pugnaturi, siue eamus nos pugnatum aduersus illos, seu hic illos adorientis excipiamus. Sed multo profecto praestantioribus robustioribusque utemur militum animis, si eamus aduersus inimicos, neque inuiti hostis aspicere uideamur. Longe etiam illi magis nos metuent, ubi audierint nos nequaquam suo terrore tanquam exanimatos domi sedere: sed posteaquam eos sentimus aduenientis, & ipsis occurrere quamcelerrime manum conserturos, et minime expectare donec noster ager detrimentum patiatur, sed anteuertentis potius uastare iam illorum solum. Ac si quidem maiorem illis metum iniecerimus, & nosipsos alacriores fecerimus ad audendum, hoc ego nobis maximo lucro cessurum puto. Et hoc item modo periculi nobis minus, hostibus uero plus fore censeo. Nam ut & meus pater dicere semper solet, & tu dixisti, & alij omnes consentiunt, PRAELIA animis longe magis, quam uiribus corporum iudicantur. Cyrus ita locutus est. Ad quem Cyaxares ita respondit: Verum quod uos alere mihi molestum sit, nolo Cyre uosque alij Persae suspicemini. Enimuero ire iam in hostilem terram, uidetur etiam mihi ad omnia esse melius. Ergo, inquit Cyrus, posteaquam eadem nobis mens est, iam instruamur licet: & si per deorum sacrificia quamprimum nobis consentitur, exeamus celerrime. Exhinc militibus instrui iussis, Cyrus sacrificabat primum Ioui regi, dein alijs dijs, petebatque ut propitij ac mites exercitum ducerent, utque boni forent & fautores et socij,

τὰ καταλειπόμενα διεκοσμεῖτο. ἐπεὶ δὲ συνῆλθον οἱ ἐπικαίριοι, παραλαβὼν αὐτοὺς, ἐπεδείκνυέ τε αὐτοῖς τὰ καλῶς ἔχοντα, καὶ ἐδίδασκεν, ἃ ἕκαστον ἰσχυρὸν ἦν τῆς συμμαχίας. ἐπεὶ δὲ κἀκείνους ἐποίησεν ἐρωτικῶς ἔχειν τοῦ ἤδη ποιεῖν τι, εἶπεν αὐτοῖς, νῦν μὲν ἀπιέναι ἐπὶ τὰς τάξεις, καὶ διδάσκειν ἕκαστον τοὺς ἑαυτοῦ, ἅπερ αὐτοὶ ἐκείνους, καὶ πειρᾶσθαι αὐτοὺς ἐπιθυμίαν ἐμβαλεῖν πᾶσι τῆς στρατείας, ὅπως εὐθυμότατα πάντες ἐξορμῷντο. πρωῒ δὲ παρεῖναι ἐπὶ τὰς Κυαξάρου θύρας. τότε μὲν δὴ ἀπιόντες οὕτως ἐποίουν. τῇ δ' ὑστεραίᾳ ἅμα τῇ ἡμέρᾳ παρῆσαν οἱ ἐπικαίριοι ἐπὶ τὰς θύρας. σὺν τούτοις οὖν ὁ Κῦρος εἰσελθὼν πρὸς τὸν Κυαξάρην, ἤρξατο λόγου τοιοῦδε. οἶδα μὲν, ἔφη, ὦ Κυαξάρη, ὅτι ἃ μέλλω λέγειν, σοὶ πάλαι δοκεῖ οὐδὲν ἧττον ἢ ἡμῖν. ἀλλ' ἴσως αἰσχύνῃ λέγειν ταῦτα, μὴ δοκῇς ἀχθόμενος, ὅτι τρέφεις ἡμᾶς, ἐξόδου μεμνῆσθαι. ἐπεὶ οὖν σὺ σιωπᾷς, ἐγὼ λέξω καὶ ὑπὲρ σοῦ καὶ ὑπὲρ ἡμῶν. ἡμῖν γὰρ δοκεῖ πᾶσιν, ἐπείπερ παρεσκευάσμεθα, μὴ ἐπειδὰν ἐμβάλωσιν οἱ πολέμιοι εἰς τὴν σὴν χώραν, τότε μάχεσθαι, μηδ' ἐν τῇ φιλίᾳ καθημένους ἡμᾶς ὑπομένειν. ἀλλ' ἰέναι ὡς τάχιστα εἰς τὴν πολεμίαν. νῦν μὲν γὰρ ἐν τῇ σῇ χώρᾳ ὄντες, πολλὰ τῶν σῶν σινόμεθα ἄκοντες. ἢν δ' εἰς τὴν πολεμίαν ἴωμεν, τὰ ἐκείνων κακῶς ποιήσομεν ἡδόμενοι. ἔπειτα νῦν μὲν σὺ ἡμᾶς τρέφεις πολλὰ δαπανῶν. ἢν δ' ἐκστρατευώμεθα, θρεψόμεθα ἐκ τῆς πολεμίας. εἰ μὲν οὖν ἡμῖν μείζων τις ὁ κίνδυνος ἔμελλεν ἐκεῖ ἢ ἐνθάδε, ἴσως τὸ ἀσφαλέστατον ἦν ἂν αἱρετέον. νῦν δὲ ἴσοι μὲν ἐκεῖνοι ἔσονται, ἐάν τε ἐνθάδε ὑπομένωμεν, ἐάν τε εἰς ἐκείνην ἰόντες, ὑπαντῶμεν αὐτοῖς. ἴσοι δ' ἡμεῖς ὄντες μαχούμεθα, ἤν τε ἐνθάδε ἐρχομένους αὐτοὺς δεχώμεθα, ἤν τε ἐπ' ἐκείνους ἰόντες, τὴν μάχην συνάπτωμεν. πολὺ μέντοι ἡμεῖς βελτίοσι καὶ ἐρρωμενεστέραις ταῖς ψυχαῖς τῶν στρατιωτῶν χρησόμεθα, ἢν ἴωμεν ἐπὶ τοὺς ἐχθρούς, καὶ μὴ ἄκοντες δοκῶμεν ὁρᾶν τοὺς πολεμίους. πολὺ δὲ κἀκεῖνοι μᾶλλον ἡμᾶς φοβηθήσονται, ὅταν ἀκούσωσιν ὅτι οὐχ ὡς φοβούμενοι πτήσσομεν αὐτοὺς οἴκοι καθήμενοι, ἀλλ' ἐπεὶ αἰσθανόμεθα προσιόντας, ἀπαντῶμέν τε αὐτοῖς, ἵν' ὡς τάχιστα συμμίξωμεν, καὶ οὐκ ἀναμένομεν, ἕως ἂν ἡ ἡμετέρα χώρα κακῶται, ἀλλὰ φθάνοντες ἤδη, δῃοῦμεν τὴν ἐκείνων γῆν. καίτοι, ἔφη, εἴ τι ἐκείνους μὲν φοβερωτέρους ποιήσομεν, ἡμᾶς δὲ αὐτοὺς θαρραλεωτέρους, πολὺ τοῦτο ἡμῖν ἐγὼ πλεονέκτημα νομίζω. καὶ τὸν κίνδυνον οὕτως ἡμῖν μὲν ἐλάττω λογίζομαι, τοῖς δὲ πολεμίοις μείζω, πολὺ ἂν μᾶλλον. καὶ ὁ πατὴρ ἀεὶ λέγει, καὶ σὺ φῂς, καὶ οἱ ἄλλοι δὲ πάντες ὁμολογοῦσιν, ὡς αἱ μάχαι κρίνονται μᾶλλον ταῖς ψυχαῖς ἢ ταῖς τῶν σωμάτων ῥώμαις. ὁ μὲν οὕτως εἶπε. Κυαξάρης δὲ ἀπεκρίνατο. ἀλλ' ὅπως μὲν, ὦ Κῦρε, καὶ οἱ ἄλλοι Πέρσαι, ἐγὼ ἄχθομαι τρέφων ὑμᾶς, μηδ' ὑπονοεῖτε. τό γε μέντοι ἰέναι εἰς τὴν πολεμίαν, ἤδη καὶ ἐμοὶ βέλτιον εἶναι δοκεῖ πρὸς πάντα. ἐπεὶ τοίνυν, ἔφη ὁ Κῦρος, ὁμογνωμονοῦμεν, συσκευαζώμεθα. καὶ ἢν τὰ τῶν θεῶν ἡμῖν θᾶττον συγκαταινῇ, ἐξίωμεν ὡς τάχιστα. ἐκ τούτου τοῖς μὲν στρατιώταις εἰπὼν συσκευάζεσθαι, ὁ Κῦρος ἔθυε πρῶτον μὲν Διὶ Βασιλεῖ, ἔπειτα δὲ καὶ τοῖς ἄλλοις θεοῖς. καὶ ᾐτεῖτο, ἵλεως καὶ εὐμενεῖς ὄντας, ἡγεμόνας γενέσθαι τῇ στρατιᾷ, καὶ παραστάτας ἀγαθούς, καὶ συμμάχους,

χους, καὶ συμβούλους τῶν ἀγαθῶν. συμπαρεκάλει δὲ
καὶ ἥρωας γῆς μηδίας οἰκήτορας καὶ κηδεμόνας. ἐπεὶ δ᾽
ἐκαλλιέρησέ τε καὶ ἀθρόον ἦν αὐτῷ τὸ στράτευμα πρὸς
τοῖς ὁρίοις, τότε δὴ οἰωνοῖς χρησάμενος αἰσίοις, ἐνέβα-
λεν εἰς τὴν πολεμίαν. ἐπεὶ δὲ τάχιστα διέβη τὰ ὅρια,
καὶ γῆν ἱλάσκετο χοαῖς καὶ θεοὺς θυσίαις, καὶ ἥρωας
ἀσσυρίας οἰκήτορας εὐμενίζετο. ταῦτα δὲ ποιήσας,
αὖθις δὲ πατρῴῳ ἔθυε, καὶ εἴ τις ἄλλος θεῶν ἐφαίνετο,
οὐδενὸς ἠμέλει. ἐπεὶ δὲ ταῦτα καλῶς εἶχεν, εὐθὺς τοὺς
μὲν πεζοὺς προαγαγόντες, οὐ πολλὴν ὁδὸν ἐστρατοπε-
δεύσαντο. τοῖς δ᾽ ἵπποις καταδρομὴν ποιήσαντες,
περιεβάλοντο πολλὴν καὶ παντοίαν λείαν. καὶ τὸ λοιπὸν δὲ
μεταστρατοπεδευόμενοι καὶ δηοῦντες τὴν χώραν, ἀνέ-
μενον τοὺς πολεμίους. ἡνίκα δὲ προσιόντες ἐλέγοντο οὐ-
κέτι δέκα ἡμερῶν ἀπέχειν ὁδόν, τότε δὴ ὁ κῦρος λέ-
γει· ὦ κυαξάρη, ὥρα δὴ ἀπαντᾶν, καὶ μήτε τοῖς πολε-
μίοις δοκεῖν, μήτε τοῖς ἡμετέροις φοβουμένοις, μὴ ἀντι-
προσιέναι, ἀλλὰ δῆλοι ὦμεν, ὅτι οὐκ ἄκοντες μαχούμε-
θα. ἐπεὶ ταῦτα συνέδοξε τῷ κυαξάρει, οὕτω δὴ ἀεὶ
συντεταγμένοι προσῇεσαν, τοσοῦτον καθ᾽ ἡμέραν, ὅσον
ἐδόκει αὐτοῖς καλῶς ἔχειν. καὶ δεῖπνον μὲν ἀεὶ κατὰ φῶς
ἐποιοῦντο. πυρὰ δὲ νύκτωρ οὐκ ἔκαιον τῷ στρατοπέ-
δῳ· ἔμπροσθεν μέντοι τοῦ στρατοπέδου ἔκαιον, ὅπως ὁ-
ρῷεν μὲν εἴ τινες νυκτὸς προσίοιεν διὰ τὸ πῦρ, μὴ ὁρῷντο
δὲ ὑπὸ τῶν προσιόντων. πολλάκις δὲ καὶ ὄπισθεν τοῦ στρατο-
πέδου, ἐπυρπόλουν ἀπάτης ἕνεκα τῶν πολεμίων. ὥστ᾽
ἐνίοτε καὶ κατάσκοποι ἐνέπιπτον εἰς τὰς προφυλα-
κὰς αὐτῶν, διὰ τὸ ὄπισθεν τὰ πυρὰ εἶναι, ἔτι πόρρω τοῦ
στρατοπέδου οἰόμενοι εἶναι. οἱ μὲν οὖν ἀσσύριοι καὶ οἱ σὺν
αὐτοῖς, ἐπεὶ δὴ ἐγγὺς ἀλλήλων τὸ στράτευμα ἐγίγνετο,
τάφρον περιεβάλλοντο. ὅπερ καὶ νῦν ἔτι ποιοῦσιν οἱ βάρ-
βαροι βασιλεῖς, ὁπόταν στρατοπεδεύωνται, τάφρον περι-
βάλλονται εὐπετῶς διὰ τὴν πολυχειρίαν. ἴσασι γὰρ ὅτι
ἱππικὸν στράτευμα ἐν νυκτὶ ταραχῶδές ἐστι, καὶ δύσχρη-
στον, ἄλλως τε καὶ βάρβαρον. πεποδισμένους γὰρ ἔχουσι
τοὺς ἵππους ἐπὶ ταῖς φάτναις. καὶ εἴ τις ἐπ᾽ αὐτοὺς ἴοι, ἔργον
μὲν νυκτὸς λῦσαι ἵππους, ἔργον δὲ χαλινῶσαι, ἔργον δ᾽
ἐπισάξαι, ἔργον δ᾽ ἐνθωρακίσασθαι. ἀναβάντας δ᾽ ἐφ᾽
ἵππων ἐλάσαι διὰ τοῦ στρατοπέδου, παντάπασιν ἀδύνα-
τον. τούτων δὴ ἕνεκα πάντων, καὶ οἱ ἄλλοι καὶ ἐκεῖνοι τὰ
ἐρύματα περιβάλλονται. καὶ ἅμα αὐτοῖς δοκεῖ τὸ ἐν ἐχυ-
ρῷ εἶναι, καὶ ἐξουσίαν παρέχειν ὅταν βούλωνται μὴ μά-
χεσθαι. τοιαῦτα μὲν δὴ ποιοῦντες ἐγγὺς ἀλλήλων ἐγί-
γνοντο. ἐπεὶ δὲ προσιόντες ἀπεῖχον ὅσον παρασάγγην, οἱ
μὲν ἀσσύριοι οὕτως ἐστρατοπεδεύοντο ὥσπερ εἴρηται, ἐν
περιτεταφρευμένῳ μέν, καταφανεῖ δέ. ὁ δὲ κῦρος ὡς ἐδύ-
νατο ἐν ἀφανεστάτῳ, κώμας τε καὶ γεωλόφους ἐπίπροσθεν
ποιησάμενος. νομίζων πάντα τὰ πολεμικά, ἐξαίφνης
ὁρώμενα φοβερώτερα τοῖς ἐναντίοις εἶναι. καὶ ἐκείνην μὲν
τὴν νύκτα ὥσπερ ἔπρεπε προφυλακὰς ποιησάμενοι,
ἑκάτεροι ἐκοιμήθησαν. τῇ δ᾽ ὑστεραίᾳ ὁ μὲν ἀσσύριος
καὶ ὁ κροῖσος, καὶ οἱ ἄλλοι ἡγεμόνες, ἀνέπαυον τὰ στρα-
τεύματα ἐν τῷ ἐχυρῷ. κῦρος δὲ καὶ κυαξάρης συντα-
ξάμενοι, περιέμενον, ὡς εἰ προσίοιεν οἱ πολέμιοι μαχούμε-
νοι. ὡς δὲ δῆλον ἐγένετο, ὅτι οὐκ ἐξίοιεν οἱ πολέμιοι ἐκ τοῦ
ἐρύματος, οὐδὲ μάχην ποιήσοιντο ταύτῃ τῇ ἡμέρᾳ, ὁ μὲν
κυαξάρης

cij, consultoresq; bonorum. Simul etiam rogabat et
& heroas soli Mediæ habitatores & curatores. V-
bi uerò & litauisset, & frequens ei esset agmen
iuxta fines, tum demum secundis usus augurijs, so-
lum inuadebat hostile: superatisque illicò finibus,
illic iterum propitiam libationibus reddebat Tellu-
rem, & sacrificijs deos ac heroas qui Assyriam
incolunt, placabat. Quæ cum fecisset, rursus Io-
ui patrio sacrificabat: & si quis alius deus osten-
deretur, nullum negligebat. His actis, continuò
haud multum itineris peditatum adigentes, loca-
bant castra: equitatu autem discurrentes, magnam
multiplicemq; prædam complectebantur. Cæterum
castrametati habentesq; res necessarias affatim, &
uastantes agrum, hostis expectabant. Qui cum
aduentare dicerentur, nec iam distare iter dierum
decem, tum ait Cyrus: Iam tempus est Cyaxares ob-
uiam eundi, ne & hostibus uideamur & nostris
metu eis non occurrere, quin potius pateat non in-
uitos nos pugnaturos. Hæc ubi Cyaxari quoque ui-
sa sunt, ita instructi procedebant, semper tantum
quotidie, quantum satis esse ipsis uideretur: facie-
bantq; cœnam semper cum luce. Neque ignis in ca-
stris noctu accendebant, sed ante castra: quò si qui
noctu procederent, propter ignem aspicerent, ne-
que ab aduenientibus uiderentur. Sæpe etiam post
castra ignis faciebant ad fallendos hostis. Quare
interdum speculatores quoque incidebant in eorum
procubitores, quoniam ignes essent post castra, cum
illi tamen arbitrarentur esse à castris sese admodum
procul. Itaque Assyrij, & qui cum ijs erant, u-
bi iam proxima inuicem agmina fierent, fossa cir-
cundabantur: id quod hoc etiam tempore faciunt
reges barbari, qui in locatione castrorum quam-
primum ob hominum multitudinem circundantur
fossa. Norunt enim equestre agmen noctu facilè
turbari, esseq; inutile & maximè barbarum. Ha-
bebant enim in præsepio equos ligatis pedibus, ad
quos si quis eat, eos & soluere noctu & frenare
laboriosum sit. Operosum est etiam eosdem ephip-
pijs sternere atque loricis induere: & cum equum
ascenderis, eum agere per castra nullo pacto pos-
sis. Itaque ob hæc omnia cum alij barbari, tum il-
li, fossa munitiones circundant: simulque existi-
mant cum in loco sunt munito, potestatem præstare
pugnandi cum uelint. Cum hæc igitur facerent, in-
uicem proximi fiebant. Sed ubi appropinquantes di-
starent circiter parasangam, Assyrij ita locabant ca-
stra, ut dictum est, in loco fossa circundato, sed a-
perto. At Cyrus quàm poterat in loco occultissimo,
factis ante castra uallis loricatis & terreis tumulis,
ratus res omnis bellicas quæ repente aspiciantur, es-
se aduersis formidabiliores. Atque illa quidem no-
cte, ut par erat, ab utrisque procubitoribus constitu-
tis, quieti se dederunt. Postridie uero illius diei Assy-
rius, Crœsusq;, atq; alij duces intra munitionem ag-
mina in pace continuere. Cyrus autem & Cyaxa-
res instructa acie expectabant pugnaturi, ubi hostes
inuaderent. Sed ut est exploratum, neq; exituros eo
die hostis ex munitione, neque pugnam facturos,

Cyaxares uocato Cyro atq; alijs tempestiuis, huiusmodi uerba locutus est: Videtur mihi, amici uiri, uti ita instructi ut sumus, eamus ad aduersariorũ munitionem, eisq; declaremus uelle nos pugnam. Ita enim ubi illi contrà in pugnam non exeant, tum nostri omnibus in rebus audentiores futuri sunt, tum hostes timidiores nostram intuiti audentiam. Cyaxares ita sentiebat. At Cyrus: Nullo modo, inquit, per deos immortalis, ô Cyaxares. Nam si ita profecturi apparuerimus ut tu iubes, tunc profectò hostes nos aduenientes spectabunt sine ulla formidine, cum non sint nescij se esse in tuto, ne quid patiantur: cumq; abeuntes nihil omnino fecerimus, rursus aspicientes copias nostras eis numero admodum cedere, nos contemnent, tum cras exibunt animis longe firmioribus. Nunc autem cum adesse nos norunt, neque nos uident, tibi perspicuum debet esse, nullus nos illis fore contemptui, sed cogitabunt potius, quidnam hoc est? denique de nobis differentis, certò scio eos minime quiescere. Cum uerò exierint, tum ijs simul appareamus oportet, continuoq; obuij eamus, eos offendentes ubi olim uolebamus. Quæ Cyri oratio posteaquam & Cyaxari & alijs est probata, per id quidem temporis ubi cœnati sunt, constituissentq; excubias, & ignis multos ante illas accendissent, dederunt se quieti. Postero autem die mane Cyrus coronatus sacrificabat, præcipiebatq; alijs optimatibus, ut coronati sacrificijs adessent. Sacrificio finito, Cyrus his conuocatis dixit:

CYRI ORATIO.

Viri amici, dij immortales quemadmodum & augures dicunt, & mihi etiam uidetur, tum pugnam fore pronunciant, tum dant uictoriam, & salutem in sacrificijs pollicentur. Quales autem uos esse oportet, pudeat me sane admonere. Noui enim æque uobis hæc esse cognita ac mihi, & hæc uos exercuisseq; & audisse, audireq; assidue, quæ etiam ego. Itaque non absurde alios doceatis. Sed hæc nunc si minus nostis, auditote. Quos enim nouißime & habemus socios, & enitimur facere nobis similis, hi nobis admonendi sunt, & quorum gratia à Cyaxare alebamur, & quæ ipsi exercebamus, & ad quas res eos inuitauimus, quapropter dixere se nobis auditores fore. Et huius rei admonitos eos reddite, quod hic dies demonstraturus est, quæ quisq; mereatur. Nam quas res homines serò discunt, non est mirandum si qui ipsorum admonitoris quoq; indigent. Verum satis fuerit, ubi etiam ex admonitione se fortiter gerant. Quæ quidem agentes de uobis quoque unà periculum facietis. Nam qui potest in huiusmodi re facere alios meliores, sibi iam cõsentaneæ conscius sit absolutæ suæ probitatis. Qui autem horum admonitionem habet duntaxat, eisq; hac cõtentus, se iure semiperfectum existimet. Quamobrẽ haud ego ijs dico, sed iubeo, uos dicatis quo etiam uobis obsequi studeat. Vos enim ex ijs estis proximi quisq; parti. Neq; uos lateat, donec istis uestram fiduciã ostẽderitis, et his

κυαξάρης καλέσας τὸν κῦρον, καὶ πάντας τοὺς ὁμοτίμους, ἔλεξε τοιάδε. δοκεῖ μοι, ἔφη, ὦ ἄνδρες, ὥσπερ τυγχάνομεν συντεταγμένοι, οὕτως ἰέναι πρὸς τὸ τῶν ἀνδρῶν ἔρυμα, καὶ δηλοῦν, ὅτι θέλομεν μάχεσθαι. οὕτω γάρ, ἔφη, ἐπειδὰν μὴ ἀντεπεξίωσιν ἐκεῖνοι, οἱ μὲν ἡμέτεροι μᾶλλον θαῤῥήσουσιν ἂν ἐπὶ πᾶσι. οἱ πολέμιοι δὲ τὴν τόλμαν ἰδόντες ἡμῶν, μᾶλλον φοβηθήσονται. τοῦτο μὲν δὴ οὕτως ἐδόκει. ὁ δὲ κῦρος ἔφη· μηδαμῶς πρὸς τῶν θεῶν, ὦ κυαξάρη οὕτω ποιήσωμεν. εἰ γὰρ ἤδη ἐκφανέντες πορευσόμεθα ἣ σὺ κελεύεις, νῦν τε προσιόντας ἡμᾶς οἱ πολέμιοι θεάσονται, οὐδὲν φοβούμενοι, εἰδότες ὅτι ἐν ἀσφαλεῖ εἰσὶ τοῦ μηδὲν παθεῖν. ἐπειδάν τε μηδὲν ποιήσαντες ἀπίωμεν, πάλιν καθορῶντες ἡμῶν τὸ πλῆθος, πολὺ ἐνδεέστερον τοῦ ἑαυτῶν καταφρονήσουσι. καὶ αὔριον ἐξίασι, πολὺ ἐῤῥωμενεστέραις ταῖς γνώμαις. νῦν δ', ἔφη, εἰδότες μὲν ὅτι πάρεσμεν, οὐχ ὁρῶντες δὲ ἡμᾶς, εὖ ἴσθι ἐπίσω, οὐ καταφρονοῦσιν. ἀλλὰ φροντίζουσι, τί ποτε τοῦτ' ἐστί. καὶ διαλεγόμενοι περὶ ἡμῶν, ἐγὼ οἶδ', ὅτι οὐδὲν παύονται. ὅταν δ' ἐξίωσι, τότε δεῖν αὐτοῖς ἅμα φανερούς τε ἡμᾶς γενέσθαι, καὶ ἰέναι εὐθὺς ὁμόσε, εἰληφότας αὐτοὺς, ἔνθαπερ πάλαι ἐβουλόμεθα. λέξαντος δὲ οὕτω κύρου, συνέδοξε καὶ ταῦτα κυαξάρει, καὶ τοῖς ἄλλοις. καὶ τότε μὲν δειπνοποιησάμενοι, καὶ φυλακὰς καταστησάμενοι, καὶ πυρὰ πρὸ τῶν φυλακῶν καύσαντες, ἐκοιμήθησαν. τῇ δ' ὑστεραίᾳ πρωί, κῦρος μὲν ἐστεφανωμένος ἔθυε, παρήγγειλε δὲ καὶ τοῖς ἄλλοις ὁμοτίμοις ἐστεφανωμένοις πρὸς τὰ ἱερὰ παρεῖναι. ἐπεὶ δὲ τέλος εἶχεν ἡ θυσία, συγκαλέσας αὐτοὺς, ἔλεξεν.

ΔΗΜΗΓΟΡΙΑ ΚΥΡΟΥ.

Ἄνδρες, οἱ μὲν θεοὶ ὡς οἵ τε μάντεις φασί, καὶ ἐμοὶ συνδοκεῖ, μάχην τ' ἔσεσθαι προαγγέλλουσι, καὶ νίκην διδόασι, καὶ σωτηρίαν ὑπισχνοῦνται ἐν τοῖς ἱεροῖς. ἐγὼ δὲ ὑμῖν παραινεῖν ὁποίους τινὰς χρὴ εἶναι ἐν τῷ τοιῷδε, αἰσχυνοίμην ἄν. οἶδα γὰρ ὑμᾶς ταῦτα ἐμοὶ ἐπισταμένους, καὶ μεμελετηκότας τε καὶ ἀκηκοότας καὶ ἀκούοντας διὰ τέλους, ἅπερ ἐγώ. ὥστε κἂν ἄλλους εἰκότως ἂν διδάσκοιτε ταῦτα. εἰ δὲ μὴ τυγχάνετε κατανενοηκότες, ἀκούσατε. οὓς γὰρ νεωστὶ συμμάχους τε ἔχομεν, καὶ πειρώμεθα ἡμῖν αὐτοῖς ὁμοίους ποιεῖν, τούτους δεῖ ὑμᾶς ὑπομιμνήσκειν, ἐφ' οἷς τε ἐτρεφόμεθα ὑπὸ κυαξάρους, ἅ τε ἠσκοῦμεν, ἐφ' ἅ τε αὐτοὺς παρακεκλήκαμεν, ὥστε ἄσμενοι ἀνταγωνισταὶ ἡμῖν ἔφασαν ἔσεσθαι. καὶ τοῦτο δὲ αὐτοὺς ὑπομιμνήσκετε, ὅτι ἥδε ἡ ἡμέρα δείξει, ὧν ἄξιος ἕκαστος ἐστίν. ὧν γὰρ ἄνθρωποι ὀψιμαθεῖς γίγνονται, οὐδὲν θαυμαστὸν, εἴ τινες αὐτῶν, καὶ τοῦ ὑπομνήσοντος δέοιντο. ἀλλ' ἀγαπητὸν, εἰ καὶ ἐξ ὑποβολῆς δύναιντο ἄνδρες ἀγαθοὶ εἶναι. καὶ ταῦτα μέν τοι πράττοντες, ἅμα καὶ ὑμῶν αὐτῶν πεῖραν λήψεσθε. ὁ μὲν γὰρ δυνάμενος ἐν τῷ τοιῷδε καὶ ἄλλους βελτίους ποιεῖν, εἰκότως ἂν ἤδη καὶ ἑαυτῷ συνειδείη, τελέως ἀγαθὸς ἀνὴρ ὤν. ὁ δὲ τὴν τούτων ὑπόμνησιν αὐτὸς μόνος ἔχων, καὶ τοῦτο ἀγαπῶν, εἰκότως ἂν ἡμιτελῆ αὑτὸν νομίζοι. τούτου δ' ἕνεκεν, οὐκ ἐγώ, ἔφη, αὐτοῖς λέγω. ἀλλ' ὑμᾶς κελεύω λέγειν, ἵνα καὶ ἀρέσκειν ὑμῖν πειρῶνται. ὑμεῖς γὰρ καὶ πλησιάζετε αὐτοῖς, ἕκαστος τῷ ἑαυτοῦ μέρει. εὖ δ' ἐπίστασθε, ἔφη, ἕως ἂν θαῤῥοῦντας τούτοις ὑμᾶς αὐτοὺς ἐπιδεικνύητε, καὶ

τούτους

τούτους καὶ ἄλλους πολλούς, οὐ λόγῳ, ἀλλ' ἔργῳ θαῤῥεῖν διδάξατε. τέλος εἶπεν ἀπιόντας ἀριστᾶν, ἐστεφανωμένους καὶ σπονδὰς ποιησαμένους, ἥκειν εἰς τὰς τάξεις, αὐτοῖς στεφάνοις. ἐπεὶ δὲ οὗτοι ἀπῆλθον, αὖθις τοὺς οὐραγοὺς προσεκάλεσε, καὶ τούτοις αὖ τοιάδε ἔλεξεν· ἄνδρες πέρσαι, ὑμεῖς καὶ τῶν ὁμοτίμων γεγόνατε, καὶ ἐπιλελεγμένοι ἐστέ, οἳ δοκεῖτε τὰ μὲν ἄλλα τοῖς κρατίστοις ὅμοιοι εἶναι, τῇ δ' ἡλικίᾳ καὶ φρονιμώτεροι. καὶ τοίνυν χώραν ἔχετε, οὐδὲν ἧττον ἔντιμον τῶν πρωτοστατῶν. ὑμεῖς γὰρ ὄπισθεν ὄντες, τούς τ' ἀγαθοὺς ἂν ἐφορῶντες, καὶ ἐπικελεύοντες αὐτοῖς, ἔτι κρείττους ποιεῖτε. εἴ τέ τις μαλακίζοιτο, καὶ τοῦτον ὁρῶντες, οὐκ ἂν ἐπιτρέποιτε αὐτῷ. συμφέρει δ' ὑμῖν εἴπερ τῳ καὶ ἄλλῳ τὸ νικᾶν, καὶ διὰ τὴν ἡλικίαν, καὶ διὰ τὸ βάρος τῆς στολῆς. ἂν δ' ἄρα ὑμᾶς καὶ οἱ ἔμπροσθεν ἀνακαλοῦντες ἕπεσθαι παρεγγυῶσιν, ὑπακούετε αὐτοῖς. καὶ ὅπως μὴ δ' ἐν τούτῳ αὐτῶν ἡττηθήσεσθε, ἀντιπαρακελευόμενοι αὐτοῖς, θᾶττον ἡγεῖσθαι ἐπὶ τοὺς πολεμίους. καὶ ἀπιόντες, ἔφη, ἀριστήσαντες καὶ ὑμεῖς, ἥκετε σὺν τοῖς ἄλλοις ἐστεφανωμένοι ἐς τὰς τάξεις. οἱ μὲν δὴ ἀμφὶ κῦρον ἐν τούτοις ἦσαν. οἱ δὲ ἀσσύριοι καὶ δὴ ἠριστηκότες, ἐξῄεσάν τε θρασέως, καὶ παρετάττοντο ἐῤῥωμένως. παρέταττε δὲ αὐτοὺς ὁ βασιλεύς, ἐφ' ἅρματος παρελαύνων, καὶ τοιάδε παρεκελεύετο· ἄνδρες ἀσσύριοι, νῦν δεῖ ἄνδρας ἀγαθοὺς εἶναι. νῦν γὰρ περὶ ψυχῶν τῶν ὑμετέρων ὁ ἀγών· καὶ περὶ γῆς, ἐν ᾗ ἔφυτε· καὶ περὶ οἴκων, ἐν οἷς ἐτράφητε· καὶ περὶ γυναικῶν δὲ καὶ τέκνων, καὶ περὶ πάντων ὧν κέκτησθε ἀγαθῶν. νικήσαντες μὲν γὰρ ἁπάντων τούτων ὑμεῖς ὥσπερ πρόσθεν κύριοι ἔσεσθε· εἰ δ' ἡττηθήσεσθε, εὖ ἴστε ὅτι παραδώσετε ταῦτα πάντα τοῖς πολεμίοις. ἅτε οὖν νίκης ἐρῶντες, μένοντες μάχεσθε. μωρὸν γάρ, τὸ κρατεῖν βουλομένους, τὰ τυφλὰ τοῦ σώματος καὶ ἄοπλα καὶ ἄχειρα ταῦτα, ἐναντία τάττειν τοῖς πολεμίοις φεύγοντας. μωρὸς δὲ καὶ εἴ τις ζῆν βουλόμενος, φεύγειν ἐπιχειροίη. εἰδὼς ὅτι μὲν νικῶντες σώζονται. οἱ δὲ φεύγοντες ἀποθνήσκουσι μᾶλλον τῶν μενόντων. μωρὸς δὲ καὶ εἴ τις χρημάτων ἐπιθυμῶν, ἧτταν προσίεται. τίς γὰρ οὐκ οἶδεν, ὅτι οἱ μὲν νικῶντες, τά τε ἑαυτῶν σώζουσι, καὶ τὰ τῶν ἡττωμένων προσλαμβάνουσιν, οἱ δ' ἡττώμενοι, ἅμα ἑαυτούς τε καὶ τὰ ἑαυτῶν, πάντα ἀποβάλλουσιν. ὁ μὲν δὴ ἀσσύριος ἐν τούτοις ἦν. ὁ δὲ κυαξάρης πέμπων πρὸς τὸν κῦρον ἔλεγεν, ὅτι ἤδη καιρὸς ἄγειν ἐπὶ τοὺς πολεμίους. εἰ γὰρ νῦν, ἔφη, ἔτι ὀλίγοι εἰσὶν οἱ ἔξω τοῦ ἐρύματος, ἐν ᾧ ἂν προΐωμεν, πολλοὶ ἔσονται. μὴ οὖν ἀναμένωμεν, ἕως ἂν πλείους ἡμῶν γένωνται. ἀλλ' ἴωμεν ἕως ἔτι οἰόμεθα, εὐπετῶς αὐτῶν κρατῆσαι ἄν. ὁ δ' αὖ κῦρος ἀπεκρίνατο· ὦ κυαξάρη, εἰ μὴ ὑπὲρ ἥμισυ αὐτῶν ἔσονται οἱ ἡττηθέντες, εὖ ἴσθι ὅτι ἡμᾶς μὲν ἐροῦσι φοβουμένους τὸ πλῆθος, τοῖς ὀλίγοις ἐπιχειρῆσαι, αὐτοὶ δὲ οὐ νομίσουσιν ἡττῆσθαι. ἄλλης οὖν συμμαχίας δεήσει σοι, ἣν ἂν ἄμεινον ἴσως βουλεύσαιντο, ἢ νῦν βεβούλευνται, παραδόντες ἑαυτοὺς ἡμῖν ταμιεύεσθαι, ὥσθ' ὁπόσοις ἂν βουλώμεθα αὐτῶν μάχεσθαι. οἱ μὲν δὴ ἄγγελοι ταῦτα ἀκούσαντες ᾤχοντο. ἐν τούτοις δ' ἦλθε χρυσάντας ὁ πέρσης, καὶ ἄλλοι τινὲς τῶν ὁμοτίμων αὐτομόλους ἄγοντες. καὶ ὁ κῦρος ὡς εἰκός, ἠρώτα τοὺς αὐτομόλους τὰ ἐκ τῶν πολεμίων. οἱ δ' ἔλεγον, ὅτι ἐξίοιέν τε ἤδη σὺν τοῖς ὅπλοις,

καὶ

bis, & alijs multis audendi non uerbo, sed opere doctores futuri estis. Dixitq; ad postremum, ut pransum abirent coronati, atq; uenirent in ordines cum coronis. Vt hi abiere, rursus subsidiarios duces ad se uocauit, quibus ita quoq; locutus est: Viri Persæ uos facti estis & homotimi & electi, qui uidemini alijs quidem in rebus uiris fortißimis esse similes, ætate uerò etiam prudentiores: habetisq; locum nihilominus honestum quàm præfecti. Vos enim cum in postremo estis agmine, uiros fortis obseruantes, ipsosq; adhortantes, redditis etiam fortioris. Quod si quis molliorem se præstiterit, hunc quoque uidentes, nequaquam ei assentiamini. Conducit uobis uictoria, quantum alteri cuiquam, tum propter ætatem, tum propter grauitatem stolæ. Quare si uos etiam qui anteriores sunt acciuerint, sequiq; hortentur, ipsis audite. Et quo ne hac quidem in re sitis illis inferiores, ipsos adhortamini ut celerrime antecedant aduersus hostis. Atq; abite, inquit, quò & ipsi prandeatis: denique unà cum alijs coronati in ordines itote. Itaq; Cyri milites in his erant. At Aßyrij iam etiam pransi & exierant audacter, instruebanturq; constanter ac robustè. Parabat autem eos rex deuectus in curru cum huiusmodi adhortatione: Viri Aßyrij nunc opus est uiros fortißimos uos præstetis. Per hoc temporis de uita uobis propositum est certamen, de solo ubi orti estis, de ædibus in quib. estis & alti & educati, de uxoribus, de liberis, ac de bonis omnibus uestris. Si quidem uiceritis, estis harum omnium rerum domini futuri, ut antea: sin uicti fueritis, hæc omnia tradetis hostibus. Quare si uictoriam amatis, manete ac pugnate. Stultum est enim qui potiri uolunt uictoria, hos terga, et eas corporis partis quæ et armis uacant & manibus, per fugam aduersarijs opponere. Stultus etiam est si quis uitæ appetens se fugæ commiserit, cum non sit ignarus uictoria parari salutem, at mortem fugientis magis quàm manentis occumbere. Atq; ille quoq; stultus est, qui pecuniarum cupidus uinci æquo animo patiatur. Quis enim ignorat, uictores & suas sibi res saluas facere, & succumbentium bona etiam capere? uictos autem, & seipsos unà & sua omnia amittere? Hæc ab Aßyrio gerebantur. At Cyaxares ad Cyrum mittens, aiebat iam tempus esse agendi aduersus hostis aciem. Si enim, inquit, nunc pauci adhuc sunt, qui sese extra munitionem egerint, in quo tum tempore aggrediemur, erunt permulti. Ne igitur expectemus donec nos superent numero, sed eamus potius dum adhuc putamus eos quamprimum à nobis superatum iri & quamfacillimè. Cui respondit Cyrus: Cyaxares, nisi uicti fuerint supra dimidium ipsorum, dicturi sunt nos metu multitudinis aggressos esse paucitatem, ac ne uictos quidem se putabunt. Itaque rursus pugnandum erit: qua quidem in pugna melius fortasse sibi consulant, quàm nunc consuluerint, tradentes se nobis administrandos, ut cum quanto uellemus eorum numero pugnaremus. Nuncij his auditis abibant: cum interea temporis uenit Chrysantas Perses, & alij quidam homotimi, qui transfugas agerent: quos Cyrus prudenter interrogabat, quæ ab hostibus gererentur. Illi autem dicebant eos exiisse iam cum armis,

dispo-

disponiq; à rege in aciem extra castra, qui eos egressos adhortaretur oratione multa eaq; ualida, ut ab ijs qui audierant ferebatur. Hic ait Chrysantas: Quid Cyre si etiam tu conuocatos milites dum adhuc licet adhorteris, si quid tandem melioris facturus es? Et Cyrus inquit: Chrysanta nulla te afficiant molestia adhortationes Assyrij. NVLLA est enim bona adeò admonitio, quæ uiros ullos, si eam audiant, non fortes, unum diem fortis factura sit. Non igitur sagittarios faciat bonos, nisi antea sagittam exercuerint: neque iaculatores, neq; equites, nec item corpora ad laborandum sufficientia, nisi fuerint antè ad labores exercitata. Ad quem Chrysantas: Sed satis est, inquit, Cyre, si ipsorum animos adhortationibus tuis reddideris melioris. NVMQVEAT una oratio, inquit Cyrus, eodem die auditorum animos uerecundia implere, aut à turpitudine cohibere, atque inducere ut laudis gratia omnem laborem, omne periculum subeant, ut hoc in mentis suas constanter admittant, expetendum magis esse mori pugnando, quàm fugiendo seruari? Nonne si huiusmodi cogitatus debent in hominibus coalescere, stabilesq; manere, leges primum huiusmodi sint oportet, per quas uiris bonis uita honorifica liberalisq; paretur, malis autem æuum proponatur & humile & molestum & mendicum? Dein magistri ac etiam principes mea sententia his præficiendi sunt, qui & rectè demonstraturi sint & docturi, assuefacturique ad hæc facienda, donec eis inhærescat penitus, uiros bonos ac præclaros putandos esse indubitatò felicissimos: malos autem & famosos omnium miserrimos duci oportere. Sic enim disponendi sunt, qui disciplinam hostili metui sint prælaturi. Si uerò quo tempore milites armati eunt in pugnam, ubi plures etiam ea quæ diu didicerint obliuiscuntur, hic potis quisquam erit qui breui agenda commentatus, è uestigio bellicosos uiros efficiat. Omnium facilimum certè sit & didicisse & docuisse maximam rerum humanarum omnium uirtutem. Quoniam ne hosce quidem credebam stabilis futuros, quos nunc haberemus exerceremusque apud nos, nisi præsenteis uos uiderem, qui ipsis eritis exemplo qualis oportet esse: & quod eos latuerit, poteritis suggerere. At ignaris omnino uirtutis mirarer equidem Chrysanta si quid plus apposita oratio prodesset ad probitatem, quàm musicæ indoctis pulchre cantatum carmen ad musicam. Et hi quidem talia disserebant. At Cyaxares iterum mittebat, dicens eum errare, quòd tempus terreret, neque aciem ageret quamprimum aduersus hostes. At Cyrus tum tandem nuncijs respondit: Exploratissimum sit Cyaxari, hostes nondum esse castris egressos, quod oporteret. Hæcq; nunciate ipsi uniuersis audientibus. Cæterum quoniam ita illi uidetur, iam agam. Hæc locutus, & eius soli deos precatus, extra castra aciem agebat. Cumq; agere cœpisset, celerius etiam præibat. Quem milites compositè sequebantur, cum ob scientiam, tum propter exercitationem in ordine pergendi. Magno autem cum robore sequebantur propter mutuam inter sese æmulationem, & quia erant exercitatis corporibus ad laborem, & quoniam præfecti omnes erant principes: libenter uerò quoniam

καὶ παρατάττοι αὐτοὺς ὁ βασιλεύς, ἔξω ὤν· καὶ παρεκελεύοντο μὲν δὴ τοῖς ἀεὶ ἔξω οὖσι, πολλά τε καὶ ἰσχυρὰ ὡς ἔφασαν λέγειν τοὺς ἀκούοντας. ἐν τοῦτῳ δὴ εἶπεν ὁ Χρυσάντας· τί δ᾽, ἔφη, ὦ Κῦρε, εἰ καὶ σὺ συγκαλέσας ἕως ἔτι ἔξεστι παρακελεύσαιο, εἰ ἄρα καὶ σὺ ἀμείνους ποιήσαις τοὺς στρατιώτας; καὶ ὁ Κῦρος εἶπεν· ὦ Χρυσάντα, μηδέν σε λυπούντων αἱ τῶν Ἀσσυρίων παρακελεύσεις. οὐδεμία γὰρ οὕτως ἐστὶ καλὴ παραίνεσις, ἥτις τοὺς μὴ ὄντας ἀγαθοὺς, αὐθημερὸν ἀκούσαντας, ἀγαθοὺς ποιήσει. οὐκ ἂν οὖν τοξότας γε, εἰ μὴ ἔμπροσθεν τοῦτο μεμελετηκότες εἶεν· οὐδ᾽ ἀκοντιστάς, οὐδὲ μὴν ἱππέας γε, οὐδὲ μὴν τά γε σώματα ἱκανοὺς πονεῖν, εἰ μὴ πρόσθεν ἠσκηκότες ὦσι. καὶ ὁ Χρυσάντας εἶπεν· ἀλλ᾽ ἀρκεῖ τοι, ὦ Κῦρε, ἐὰν τὰς ψυχὰς αὐτῶν παρακελευσάμενος, ἀμείνους ποιήσῃς. ἦ καὶ δύναιτ᾽ ἄν, ἔφη ὁ Κῦρος, εἷς λόγος ῥηθεὶς αὐθημερόν, αἰδοῦς μὲν ἐμπλῆσαι τὰς ψυχὰς τῶν ἀκουσάντων, ἢ ἀπὸ τῶν αἰσχρῶν κωλῦσαι, προτρέψαι δὲ ὡς χρὴ, ἐπαίνου μὲν ἕνεκα, πάντα μὲν πόνον, πάντα δὲ κίνδυνον ὑποδύεσθαι· λαβεῖν δ᾽ ἐν ταῖς γνώμαις βεβαίως τοῦτο, ὡς αἱρετώτερόν ἐστι, μαχομένους ἀποθνήσκειν μᾶλλον, ἢ φεύγοντας σωθῆναι; ἆρ᾽ οὐκ, ἔφη, εἰ μέλλουσι τοιαῦται διάνοιαι ἐγγραφήσεσθαι ἀνθρώποις, καὶ ἔμμονοι ἔσεσθαι, πρῶτον μὲν νόμους ὑπάρξαι δεῖ τοιούτους, δι᾽ ὧν τοῖς μὲν ἀγαθοῖς, ἔντιμος καὶ ἐλευθέριος ὁ βίος παρασκευασθήσεται· τοῖς δὲ κακοῖς, ταπεινός τε καὶ ἀλγεινὸς καὶ ἀβίωτος ὁ αἰὼν ἐπανακείσεται; ἔπειτα διδασκάλους οἶμαι δεῖ καὶ ἄρχοντας ἐπὶ τούτοις γενέσθαι, οἵτινες δείξουσί τε ὀρθῶς καὶ διδάξουσι, καὶ ἐθιοῦσι ταῦτα δρᾶν, ἕως ἂν ἐγγένηται αὐτοῖς, τοὺς μὲν ἀγαθοὺς καὶ εὐκλεεῖς, εὐδαιμονεστάτους τῷ ὄντι νομίζειν, τοὺς δὲ κακοὺς καὶ δυσκλεεῖς, ἀθλιωτάτους πάντων ἡγεῖσθαι. οὕτω γὰρ διατεθῆναι τοὺς μέλλοντας τὸν ἀπὸ τῶν πολεμίων φόβον τῇ μαθήσει κρείττονα παρέξεσθαι. εἰ δέ τοι ἰόντων εἰς μάχην σὺν ὅπλοις, ἐν ᾧ πολλοὶ καὶ τῶν παλαιῶν μαθημάτων ἐξίστανται, ἐν τούτῳ δυνήσεταί τις ἀπορραψῳδήσας, παραχρῆμα ἄνδρας πολεμικοὺς ποιῆσαι, πάντων ἂν ῥᾷστον εἴη καὶ μαθεῖν καὶ διδάξαι τὴν μεγίστην τῶν ἐν ἀνθρώποις ἀρετήν. ἐπεὶ δ᾽ ἔγωγ᾽, ἔφη, οὐδ᾽ ἂν τούτοις ἐπίστευον ἐν μόνοις ἔσεσθαι, οὓς νῦν ἔχοντες παρ᾽ ἡμῖν ἠσκοῦμεν, εἰ μὴ καὶ ὑμᾶς ἑώρων παρόντας, οἳ καὶ παράδειγμα ἔσεσθε οἵους χρὴ εἶναι· καὶ ὑποβάλλειν δυνήσεσθε ἤν τι ἐπιλανθάνωνται. τοὺς δ᾽ ἀπαιδεύτους παντάπασιν ἀρετῆς, θαυμάζοιμ᾽ ἄν, ἔφη, ὦ Χρυσάντα, εἴ τι πλέον ἂν ὠφελήσειε λόγος καλῶς ῥηθεὶς εἰς ἀνδραγαθίαν, ἢ τοὺς ἀπαιδεύτους μουσικῆς ᾆσμα, καλῶς ᾀσθὲν εἰς μουσικήν. οἱ μὲν τοιαῦτα διελέγοντο. ὁ δὲ Κυαξάρης πάλιν πέμπων, ἔλεγεν ὅτι ἐξαμαρτάνοι διατρίβων, καὶ οὐκ ἄγων ὡς τάχιστα ἐπὶ τοὺς πολεμίους. καὶ ὁ Κῦρος ἀπεκρίνατο δὴ τότε τοῖς ἀγγέλοις· ἀλλ᾽ εὖ μὲν ἴστω, ἔφη, ὅτι οὔπω εἰσὶν ἔξω ὅσους ἔδει. καὶ ταῦτα ἀπαγγέλλετε αὐτῷ ἐν ἅπασιν. ὅμως δὲ ἐπεὶ ἐκείνῳ δοκεῖ, ἄξω ἤδη. ταῦτα εἰπὼν, καὶ προσευξάμενος τοῖς θεοῖς, ἐξῆγε τὸ στράτευμα. ὡς δ᾽ ἤρξατο ἄγειν ἐπὶ θᾶττον, ὁ μὲν ἡγεῖτο. οἱ δ᾽ εἵποντο εὐτάκτως μὲν, διὰ τὸ ἐπίστασθαί τε καὶ μεμελετηκέναι ἐν τάξει πορεύεσθαι· ἐρρωμένως δὲ, διὰ τὸ φιλονείκως ἔχειν πρὸς ἀλλήλους, καὶ διὰ τὸ τὰ σώματα ἐκπεπονῆσθαι, καὶ διὰ τὸ πάντας ἄρχοντας τοὺς πρωτοστάτας εἶναι· ἡδέως δὲ, καὶ

καὶ διὰ τὸ φρονίμως ἔχειν. ἠπίσταντο γὰρ καὶ ἐκ πολλοῦ οὕτως ἐμεμαθήκεσαν, ἀσφαλέστατον εἶναι, καὶ ῥᾷστον, τὸ ὁμόσε ἰέναι τοῖς πολεμίοις· ἄλλως τε καὶ τοξόταις, καὶ ἀκοντισταῖς καὶ ἱππεῦσιν. ἕως δ' ἔτι βελῶν ἔξω ἦσαν, παρηγγύα ὁ Κῦρος σύνθημα, Ζεὺς σύμμαχος καὶ ἡγεμών. ἐπεὶ δὲ πάλιν ἧκε τὸ σύνθημα ἀνταποδιδόμενον, ἐξῆρχεν αὖ διοσκούροις, παιᾶνα τὸν νομιζόμενον. οἱ δὲ θεοσεβῶς πάντες συνεπήχησαν μεγάλῃ τῇ φωνῇ. ἐν τῷ τοιούτῳ γὰρ δὴ οἱ δεισιδαίμονες ἧττον τοὺς ἀνθρώπους φοβοῦνται. ἐπεὶ δ' ὁ παιὰν ἐγένετο, ἅμα πορευόμενοι οἱ ὁμότιμοι φαιδροί, πεπαιδευμένοι, περιορῶντες ἀλλήλους, ὀνομάζοντες παραστάτας ἐπιστάτας λέγοντες, καὶ πολὺ τὸ ἄγετ' ἄνδρες φίλοι, ἄγετ' ἄνδρες ἀγαθοί, παρεκάλουν ἀλλήλους ἕπεσθαι. οἱ δ' ὄπισθεν αὐτῶν ἀκούσαντες, ἀντιπαρεκελεύοντο τοῖς πρώτοις ἡγεῖσθαι ἐρρωμένως. ἦν δὲ μεστὸν τὸ στράτευμα τῷ Κύρῳ, προθυμίας, φιλοτιμίας, ῥώμης, θάρσους, παρακελευσμοῦ, σωφροσύνης, πειθοῦς· ὅπερ οἶμαι δεινότατον τοῖς ὑπεναντίοις. τῶν δ' Ἀσσυρίων οἱ μὲν ἀπὸ τῶν ἐρυμάτων προμαχοῦντες, ὡς ἐγγὺς ἤδη προσέμιγνυε τὸ περσικὸν πλῆθος, ἀνέβαινον ἤδη τὰ ἅρματα, καὶ ἀνεχώρουν πρὸς τὸ ἑαυτῶν πλῆθος. οἱ δὲ τοξόται, καὶ ἀκοντισταί, καὶ σφενδονῆται αὐτῶν ἀφίεσαν τὰ βέλη πολὺ πρὶν ἐξικνεῖσθαι. ὡς δ' ἐπιόντες οἱ πέρσαι, ἐπέβησαν τῶν ἀφιεμένων βελῶν, ἐφθέγξατο δὴ ὁ Κῦρος· ἄνδρες ἄριστοι ἤδη θᾶττόν τις ἰὼν ἐπιδεικνύτω ἑαυτὸν καὶ παρεγγυάτω. οἱ μὲν παρεδίδοσαν. ὑπὸ δὲ προθυμίας καὶ μένους, καὶ τοῦ σπεύδειν συμμῖξαι, δρόμου τινὲς ἦρξαν. συνεφείπετο δὲ καὶ πᾶσα ἡ φάλαγξ δρόμῳ. καὶ αὐτὸς δὲ ὁ Κῦρος ἐπιλαθόμενος τοῦ βάδην, δρόμῳ ἡγεῖτο, καὶ ἅμα ἐφθέγγετο· τίς ἕψεται; τίς ἀγαθός; τίς πρῶτος ἄνδρα κατα βαλεῖ; οἱ δὲ ἀκούσαντες, τὸ αὐτὸ τοῦτο ἐφθέγγοντο. καὶ διὰ πάντων δὴ ὥσπερ παρηγγύα, οὕτως ἐχώρει. τίς ἕψεται; τίς ἀγαθός; οἱ μὲν δὴ πέρσαι οὕτως ἔχοντες, ὁμόσε ἐφέροντο. οἵ γε μὴν πολέμιοι, οὐκέτι ἐδύναντο μένειν. ἀλλὰ στραφέντες, ἔφευγον εἰς τὸ ἔρυμα. οἱ δ' αὖ πέρσαι κατὰ τὰς εἰσόδους ἐπόμενοι, ὠθουμένων αὐτῶν, πολλοὺς κατέκτειναν. τοὺς δ' εἰς τὰς τάφρους ἐμπίπτοντας, ἐπεισπηδῶντες ἐφόνευον, ἄνδρας ὁμοῦ καὶ ἵππους. ἔνια γὰρ τῶν ἁρμάτων εἰς τὰς τάφρους ἠναγκάσθη φεύγοντα συνεμπεσεῖν. καὶ οἱ τῶν μήδων δὲ ἱππεῖς ὁρῶντες ταῦτα, ἤλαυνον εἰς τοὺς ἱππέας τῶν πολεμίων. οἱ δ' ἐνέκλιναν καὶ τούτους. ἔνθα δὴ καὶ ἵππων διωγμὸς ἦν καὶ ἀνδρῶν, καὶ φόνος δὲ ἀμφοτέρων. οἱ δ' ἐντὸς τοῦ ἐρύματος τῶν ἀσσυρίων ἑστηκότες ἐπὶ τῆς κεφαλῆς τῆς τάφρου, τοξεύειν μὲν καὶ ἀκοντίζειν εἰς τοὺς κατακτείνοντας, οὔτε ἐφρόνουν, οὔτ' ἐδύναντο, διά τε τὰ δεινὰ ὁράματα, καὶ διὰ τὸν φόβον. τάχα δὲ καὶ καταμαθόντες τῶν περσῶν τινὰς διακεκοφότας πρὸς τὰς εἰσόδους τοῦ ἐρύματος, ἐτράποντο, καὶ ἀπὸ τῶν κεφαλῶν ἔφευγον. ἰδοῦσαι δὲ αἱ γυναῖκες τῶν ἀσσυρίων, καὶ τῶν συμμάχων, φυγὴν ἤδη καὶ ἐν τῷ στρατοπέδῳ, ἀνέκραγον καὶ ἔθεον ἐκπεπληγμέναι, αἱ μὲν καὶ τὰ τέκνα ἔχουσαι, αἱ δὲ καὶ νεώτεραι, καταρρηγνύμεναι τοὺς πέπλους καὶ δρυπτόμεναι, καὶ ἱκετεύουσαι πάντας ὅτῳ ἐντυγχάνοιεν, μὴ φεύγειν καταλιπόντας αὐτάς, ἀλλ' ἀμῦναι, καὶ τέκνοις, καὶ ἑαυταῖς, καὶ σφίσιν αὐτοῖς. ἔνθα δὴ καὶ αὐτοὶ οἱ βασιλεῖς σὺν τοῖς

quoniam prudenter haberent. Sciebant enim, ac iamdiu ita didicerant, & securißimum esse & facilimum obuiam ire hostibus, & sagittarijs maxime, iaculatoribusq; & equitibus. Sed donec adhuc erant eminus a sagittarum iactu, Cyrus tesseram dabat: Iupiter socius & imperator. Vbi rursus uenit tessera uicißim reddita, Cyrus cœpit rursus Castori & Polluci canere peana, qui est ex legibus. Hi autem pie omnes magna uoce constrepuerunt. In huiusmodi enim hymno 10 superstitiosi minus homines metuunt. Peane absoluto, unà pergentes homotimi hilari facie, eruditi, ac sese inuicem circumspicientes, appellantesq; nomine fautores præfectosq; frequentißime dicentes, Agite uiri amicißimi, agite uiri fortißimi, se mutuo hortabantur, ut sequerentur. Qui autem erant retro, illis auditis, contra primos ut ualentius ducerent adhortabantur. Habebat aciem Cyrus plenam strenuitatis, ambitionis, roboris, fiduciæ, exhortationis, temperantiæ, obedientiæ: id quod est aduersarijs, mea sen- 20 tentia, maximè formidabile. At Aßyrij alij quidem qui à munitionibus propugnabant, cum prope iam accederent Persarum copiæ, ascendebant in currus ad suas copias secedentes: sagittarij uero ac iaculatores, funditoresq; multo prius tela emisere, quam possent pertingere. Persæ autem adorti Aßyrios, ubi peruenerunt ad telorum iactum, tum Cyrus uocem efferens dicebat: Viri fortißimi iam uelocius uestrum aliquis ito, seq; ipsum demonstrato, atque alios exhortator. Et hi quidem deinceps hoc tradiderunt. Quidam 30 uero ob alacritatem, & animi uim, studiumque pugnandi, cœperunt currere: quos uniuersa phalanx cursim sequebatur. Atque Cyrus ipse non pedetentim, perinde quasi oblitus quod antecedebat, sed cursim, simulq; obstrepebat, Quis me sequetur? quis fortis? quis primus uirum prosternet? Quibus illi auditis, idem hoc obstrepebant, ac per eos omneis uti monebat, sic peruadebat, Quis sequetur? quis fortis? Igitur Persæ hoc modo habentes, obuij ferebantur. Hostes cum amplius manere non possent, in fugam conuersi sunt 40 ad munitiones. Itemq; Persæ ad castrorum portas insequentes, urgenteis se illos inuicem plureis interficiebant: superq; eos insilientes qui in fossas caderent, & uiros simul, equosq; necabant. Nam & currus aliqui fugientes, coacti sunt simul in fossas cadere. Atq; Medorum equites his uisis, immittebant in hostium equites, qui eos haud sustinuerunt. Igitur hic & equorum & uirorum fuga, atq; ex utrisque nex facta. Cæterum qui intra munitionem Aßyriorum in fossæ statione steterant, sagittas iaculaq; mittere in occisores neq; scie- 50 bant, neque poterant, tum ob terribiles aspectus, tum propter metum. Fortaßis etiam cum didicissent Persas quosdam ad munitionis aditus suos trucidare, auertebantur, fugiebantq; à stationibus interioribus. Sed ubi Aßyriorum sociorumq; uxores uidissent, iam etiam in castris fugam fieri, clamabant, discurrebantq; præ stupore, aliæ liberos habentes, aliæ hæ que iuniores lacerantes peplos, seq; laniantes, omnisque in quemcunque inciderent suppliciter orantes, ne fugerent, ne se desererent, sed auxilium ferrent & filijs, & uxoribus, & sibiipsis. Hic ipsi etiam reges stantes cum fidelißi-

fidelißimis militibus, unà ad castrorum portas stationibus ascensis, tum ipsi pugnabant, tum alios hortabantur ad pugnandum. At Cyrus posteaquã rem nouit, ueritus ne si intro ui irrumperent, pauci à multis mali aliquid paterentur, præcepit ut extra telorum iactum pedem retro ferrent, atq; obedirẽt. Hic facilè quis cognosceat uiros homotimos & quam optimè institutos: celeriter enim & ipsi obediunt, & alijs parendum præcipiebant. Vt autem à iactibus eminus facti sunt, steterunt locis suis multò magis quàm chorus, perspicue scientes, ubi quenq; esse oportet.

XENOPHONTIS DE PAEDIA CYRI LIBER QVARTVS, FRANCISCO PHILELPHO INTERPRETE.

CYRVS ubi modicum temporis ibi unà cum acie mansisset, ostendissetq; paratos sese esse qui pugnarent si quis egrederetur, tandẽ posteaquã egrediebatur nemo, tantum abegit spacij, quantum bene habere existimabat. castrisq; locatis, & custodijs constitutis, ac præmissis exploratoribus, stans in medium suos milites conuocauit, ad quos in hunc modum locutus est:

ORATIO CYRI.

Viri Persæ, primum equidem deos & ipse laudo quantum possum, & uos item omnes laudatis, ut arbitror: quippe qui & uictoriam sumus salutemq; consecuti. Ex his igitur quæq; habeamus semper, gratiarũ dona dijs immortalib. sunt soluenda. Cæterũ ego uos cunctos iam laudo. Nam quod operis gestum est uobiscum unà omnibus, pulcherrimũ est profecto. Quæ autẽ est quisq; meritus, cum à quib. par est accepero, tum & uerbo & re pro dignitate gratiã cuiq; referã. Sed qui me proxime est, de Chrysanta ordinis cẽturione nihil est audiendum ab alijs. Nam ipse noui qualis fuerit. Fecit enim alia quæcunq; uos etiã omnis fecisse puto. Verum cum ipse reditũ præcepi, eumq; nomine uocaui, hic sublato gladio ut hostem percuteret, tum mihi cõtinuo audiuit, tum quod facturus erat omitẽs, agebat quod iussus foret. Nam et ipse recipiebat sese, & idem alijs faciundũ urgenter præcipiebat. Itaq; extra telorũ iactus prius ordinẽ eduxit, q̃ hostes uel perciperẽt nos recedere, uel arcus intenderẽt, tragulasq; immitterẽt. Quo factũ est, ut et seipsum, et uiros quib. præerat, illæsos præstiterit propter obedientiã. Præterea alios aspicio uulneratos, de quibus ubi considerauero, quo tempore uulnerib. sunt affecti, tum de ipsis sententiã meam ostendã. At Chrysantã, et rerũ operarũ bellicarũ & prudentẽ uirũ, & qui satis sit ad ferendũ imperiũ atq; imperandũ, miliũ tribunatu nunc dono. Verùm cum aliud item quicq̃ boni dederit deus, ne tum quidem eius obliuiscar: atq; uos omnis admonitos esse uolo. Quæ enim nũc uidistis hac in pugna, hæc uos cõmentari nunquam cessetis, quo apud uosipsos iudicetis semper, utrũ uirtusne magis, an fuga animas seruet: et utrũ qui libẽter pugnãt, facilius liberentur, an qui minus libẽter: et qualẽ uictoria uoluptatẽ præbet. Hæc enim ipsi nũc optimè iudicetis, cũ ob peri

tiam

τοῖς πιστοτάτοις, σταῦτες ἤδη τὰς εἰσόδους, καὶ ἀναβάντες ἤδη τὰς κεφαλὰς καὶ αὐτοὶ ἐμάχοντο καὶ τοῖς ἄλλοις παρεκελεύοντο. ὡς δ᾽ ἔγνω ὁ Κῦρος τὸ γιγνόμενον, δείσας μὴ εἰ καὶ βιάσαιντο εἴσω, ὀλίγοι ὄντες ὑπὸ πολλῶν σφαλεῖέν τι, παρηγγύησεν ἤδη πόδα ἀνάγειν ἔξω βελῶν καὶ πείθεσθαι. ἔνθα δὴ ἔγνω τις ἂν τοὺς ὁμοτίμους, ὡς πεπαιδευμένους ὡς δεῖ. ταχὺ μὲν γὰρ αὐτοὶ ἐπείθοντο, ταχὺ δὲ καὶ τοῖς ἄλλοις παρήγγελλον. ὡς δ᾽ ἔξω βελῶν ἐγένοντο, ἔστησαν κατὰ χώραν πολὺ μᾶλλον χοροῦ, ἀκριβῶς εἰδότες ὅπου ἔδει ἕκαστον γενέσθαι.

ΞΕΝΟΦΩΝΤΟΣ ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ ΤΕΤΑΡΤΟΝ.

ΜΕΙΝΑΣ δὲ ὁ Κῦρος μέτριον χρόνον αὐτοῦ σὺν τῷ στρατεύματι, καὶ δηλώσας ὅτι ἕτοιμοί εἰσι μάχεσθαι, εἴ τις ἐξέρχοιτο. ὡς δὲ οὐδεὶς ἐξῄει, ἀπήγαγεν ὅσον ἐδόκει καλῶς ἔχειν. καὶ κατεστρατοπεδεύσατο· φυλακάς τε καταστησάμενος, καὶ σκοποὺς προπέμψας, στὰς εἰς τὸ μέσον, συνεκάλεσε τοὺς ἑαυτοῦ στρατιώτας, καὶ ἔλεξε τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΚΥΡΟΥ.

Ἄνδρες Πέρσαι, πρῶτον μὲν τοὺς θεοὺς ἐγώ τε ἐπαινῶ ὅσον δύναμαι, καὶ ὑμεῖς πάντες οἶμαι. νίκης τε γὰρ τετυχήκαμεν καὶ σωτηρίας. τούτων μὲν οὖν χρὴ χαριστήρια ὧν ἂν ἔχωμεν τοῖς θεοῖς ἀποτελεῖν. ἐγὼ δέ, σύμπαντας μὲν ὑμᾶς ἤδη ἐπαινῶ. τὸ γὰρ γεγενημένον ἔργον, σύμπασιν ὑμῖν καλὸν ἀποτετέλεσται. ὧν δ᾽ ἕκαστος ἄξιος, ἐπειδὰν παρ᾽ ὧν προσήκει πύθωμαι, τότε τὴν ἀξίαν ἑκάστῳ καὶ λόγῳ καὶ ἔργῳ, πειράσομαι ἀποδιδόναι. τὸν δ᾽ ἐμοῦ ἐγγυτάτω ταξίαρχον Χρυσάνταν, οὐδὲν παρ᾽ ἄλλων δέομαι πυνθάνεσθαι. ἀλλ᾽ αὐτὸς οἶδα οἷος ἦν. τὰ μὲν γὰρ ἄλλα ὅσαπερ καὶ ὑμεῖς πάντες ἐποιεῖτε. ἐπεὶ δ᾽ ἐγὼ παρηγγύησα ἐπανάγειν καλέσας ὀνομαστὶ αὐτόν, ἀνατεταμένος οὗτος τὴν μάχαιραν ὡς παίσων πολέμιον, ὑπήκουσέ μου εὐθύς· καὶ ἀφεὶς ὃ ἔμελλε ποιεῖν, τὸ κελευόμενον ἔπραττεν. αὐτός τε γὰρ ἐπανῆγε, καὶ τοῖς ἄλλοις μάλα ἐπισπερχῶς παρηγγύα. ὥστ᾽ ἔφθασεν ἔξω βελῶν τὴν τάξιν ποιήσας, πρὶν τοὺς πολεμίους κατανοῆσαί τε ὅτι ἀνεχωροῦμεν, καὶ τόξα ἐντείνασθαι, καὶ τὰ παλτὰ ἐπαφιέναι. ὥστε αὐτός τε ἀβλαβής, καὶ τοὺς ἑαυτοῦ ἄνδρας, ἀβλαβεῖς διὰ τὸ πείθεσθαι παρέχεται. ἄλλους δ᾽, ἔφη, ὁρῶ τετρωμένους, περὶ ὧν ἐγὼ σκεψάμενος ἐν ὁποίῳ χρόνῳ ἐτρώθησαν, τότε τὴν γνώμην περὶ αὐτῶν ἀποφανοῦμαι. Χρυσάνταν δὲ καὶ ἐργάτην τῶν πολεμικῶν καὶ φρόνιμον, καὶ ἄρχεσθαι ἱκανὸν καὶ ἄρχειν, χιλιαρχίᾳ μὲν ἤδη τιμῶ. ὅταν δὲ καὶ ἄλλο τι ἀγαθὸν ὁ θεὸς δῷ, οὐδὲ τότε ἐπιλήσομαι αὐτοῦ, καὶ πάντας δὲ ὑμᾶς βούλομαι, ἔφη, ὑπομνῆσαι. ἃ γὰρ νῦν εἴδετε ἐν τῇ μάχῃ τῇδε, ταῦτα ἐνθυμούμενοι μήποτε παύεσθε. ἵνα παρ᾽ ὑμῖν αὐτοῖς αἰεὶ κρίνητε, πότερον ἡ ἀρετὴ μᾶλλον, ἢ ἡ φυγὴ σώζει τὰς ψυχάς· καὶ πότερον οἱ μάχεσθαι θέλοντες ῥᾷον ἀπαλλάττουσιν, ἢ οἱ οὐκ ἐθέλοντες· καὶ ποίαν τινὰ ἡδονὴν τὸ νικᾶν παρέχει. ταῦτα γὰρ νῦν ἄριστα κρίναιτ᾽ ἄν, πεῖ-

ραν τε

ραύ τε αὐτῶν ἐχόντων, καὶ ἄρτι γεγενημένου τοῦ πράγματος. καὶ ταῦτα μὲν, ἔφη, διανοούμενοι, βελτίους ἂν εἶτε. νῦν δὲ ὡς καὶ θεοφιλεῖς, καὶ ἀγαθοί, καὶ σώφρονες ἄνδρες, δειπνοποιεῖσθε, καὶ σπονδὰς τοῖς θεοῖς ποιεῖσθε, καὶ παιᾶνα ἐξάρχετε, καὶ ἅμα τὸ παραγγελλόμενον προνοεῖτε. εἰπὼν ταῦτα, ἀναβὰς ἐπὶ τὸν ἵππον ἤλασε, καὶ πρὸς Κυαξάρην ἦλθε. καὶ συνησθεὶς ἐκείνῳ κοινῇ, ὡς εἰκός, καὶ ἰδὼν τἀκεῖ, καὶ ἐρόμενος εἴ τι δέοιτο, ἀπήλαυνεν εἰς τὸ ἑαυτοῦ στράτευμα. καὶ οἱ μὲν δὴ ἀμφὶ Κῦρον δειπνοποιησάμενοι, καὶ φυλακὰς καταστησάμενοι, ὡς ἔδει, ἐκοιμήθησαν. οἱ δὲ Ἀσσύριοι ἅτε καὶ τεθνηκότος τοῦ ἄρχοντος, καὶ σχεδὸν σὺν αὐτῷ τῶν βελτίστων, ἠθύμουν πάντες. πολλοὶ δὲ καὶ ἀπεδίδρασκον αὐτῶν τῆς νυκτὸς ἐκ τοῦ στρατοπέδου. ὁρῶντες δὲ ὅ, τε Κροῖσος, καὶ οἱ ἄλλοι σύμμαχοι αὐτῶν, ἠθύμουν. πάντα μὲν γὰρ ἦν χαλεπά. ἀθυμίαν δὲ πᾶσι πλείστην παρεῖχεν, ὅτι τὸ ἡγούμενον φῦλον τῆς στρατιᾶς διεφθάρθαι ἐδόκει ταῖς γνώμαις. οὕτω δὴ ἐκλείπουσι τὸ στρατόπεδον, καὶ ἀπέρχονται νυκτός. ὡς δ' ἡμέρα ἐγένετο, καὶ ἔρημον ἀνδρῶν ἐφάνη τὸ τῶν πολεμίων στρατόπεδον, εὐθὺς διαβιβάζει ὁ Κῦρος τοὺς Πέρσας πρώτους. κατελέλειπτο δὲ ὑπὸ τῶν πολεμίων πολλὰ μὲν πρόβατα, πολλοὶ δὲ βόες, πολλαὶ δὲ ἅμαξαι πολλῶν ἀγαθῶν μεσταί. ἐκ δὲ τούτου διέβαινον ἤδη καὶ οἱ ἀμφὶ Κυαξάρην Μῆδοι πάντες, καὶ ἠριστοποιοῦντο ἐνταῦθα. ἐπεὶ δὲ ἠρίστησαν, συνεκάλεσεν ὁ Κῦρος τοὺς ἑαυτοῦ ταξιάρχους, καὶ ἔλεξε τοιάδε· οἷα μὲν δοκοῦμεν καὶ ὅσα ἀγαθά, ὦ ἄνδρες, ἀφεῖναι θεῶν ἡμῖν ταῦτα διδόντων. νῦν γὰρ ὅτι μὲν οἵ τε πολέμιοι φοβούμενοι ἡμᾶς ἀποδεδράκασιν, αὐτοὶ ὁρᾶτε. οἵτινες δὲ ἐν ἐρύματι ὄντες, ἐκλιπόντες τοῦτο φεύγουσι, πῶς τούτους οἴεται ἄν τις μεῖναι, ἰδόντας ἡμᾶς ἐν τῷ ἰσοπέδῳ; οἵτινες δὲ ἄπειροι ἡμῶν ὄντες οὐχ ὑπέμειναν, πῶς νῦν γ' ἂν ὑπομείνειεν, ἐπεὶ ἥττηνται, καὶ πολλὰ κακὰ ὑφ' ἡμῶν πεπόνθασιν; ὧν δὲ οἱ βέλτιστοι ἀπολώλασι, πῶς οἱ φαυλότεροι ἐκείνων, μάχεσθαι ἂν ἡμῖν ἐθέλοιεν; καί τις εἶπε· τί οὖν οὐ διώκομεν ὡς τάχιστα, καταδήλων γε οὕτω τῶν ἀγαθῶν ὄντων; καὶ ὃς εἶπεν· ὅτι ἵππων προσδεόμεθα. οἱ μὲν γὰρ κράτιστοι τῶν πολεμίων, οὓς μάλιστα καιρὸς ἦν ἢ λαβεῖν ἢ κατακτεῖναι, οὗτοι ἐφ' ἵππων ὀχοῦνται. οὓς ἡμεῖς τρέπεσθαι μὲν σὺν θεοῖς ἱκανοί, διώκοντες δὲ αἱρεῖν, οὐχ ἱκανοί. τί οὖν, ἔφασαν, οὐκ ἐλθὼν Κυαξάρῃ ταῦτα λέγεις; καὶ ὃς εἶπε· συνέπεσθε τοίνυν μοι πάντες, ὡς εἰδῇ ὅτι πᾶσιν ἡμῖν ταῦτα δοκεῖ. ἐκ τούτου εἵποντό τε πάντες, καὶ ἔλεγον οἷα ἐπιτήδεια ἐδόκουν εἶναι ὑπὲρ ὧν ἐδέοντο. καὶ ὁ Κυαξάρης, ἅμα μὲν ὅτι ἐκεῖνοι ἦρχον τοῦ λόγου, ὥσπερ ὑπεφθόνει, ἅμα δὲ ἴσως καλῶς ἐδόκει ἔχειν αὐτῷ, μὴ πάλιν κινδυνεύειν. καὶ γὰρ αὐτός τε περὶ εὐθυμίαν ἐτύγχανεν ὤν, καὶ τῶν ἄλλων Μήδων ἑώρα πολλοὺς, τὸ αὐτὸ τοῦτο ποιοῦντας. εἶπε δ' οὖν ὧδε· ἀλλ' ὦ Κῦρε, ὅτι μὲν μάλιστα ἀνθρώπων μελετᾶτε ὑμεῖς οἱ Πέρσαι, μὴ δὲ πρὸς μίαν ἡδονὴν ἀπλήστως διακεῖσθαι, καὶ ὁρῶν καὶ ἀκούων οἶδα. ἐμοὶ δὲ δοκεῖ τῆς μεγίστης ἡδονῆς πολὺ μᾶλλον συμφέρειν, ἐγκρατῆ εἶναι. μείζω δὲ ἡδονὴν τί παρέχει ἀνθρώποις εὐτυχίας, ἢ νῦν ἡμῖν παραγεγένηται; ἢν μὲν τοίνυν, ἐπεὶ εὐτυχοῦμεν, σωφρόνως διαφυλάττωμεν αὐτήν, ἴσως δυναίμεθ'

tiam quam habetis, tum quia modò res est gesta: quæ quidem si usque cogitetis, meliores futuri sitis. Nunc uerò ut & pij & boni & temperantes uiri cœnam sumite: denique immortalibus libationes facite, ac pæana incipite: simulq; prouidete, quod præcipitur. Quibus dictis, in equum ascendit, atq; abegit. Cumq; uenisset ad Cyaxarem, essetq; illi unà congratulatus, ut par erat, eaq; uidisset quæ ibi agebantur, ac si qua re opus esset quæsiuisset, equitauit rursus in sua castra. Et Cyri quidem milites posteaquam sunt cœnati, uigilibus ut opus erat, constitutis, quieti se dederunt. At Assyrij, utpote & mortuo principe, & quasi unà cum ipso uiris fortissimis, cum omnes molestia premebantur, tum multi quoque illorum noctu è castris diffugiebant. Hæc autem Crœsus & cæteri socij intuentes, animi angebantur: erant enim omnia molestiæ plena. Sed illud omnibus ægritudinis plurimum afferebat, quòd imperialis exercitus natio esse uideretur consilij atque mentis inops. Sic igitur castra deserunt, atque abeunt noctu. Vt dies illuxit, atque hostium castra uiris orbata apparuerunt, eò Cyrus continuò primos traducit Persas: dereliquerant enim hostes & pecudes multas, & boues multos, & carros item multos, qui bonorum plurimum pleni essent. Dein transibant etiam omnes qui apud Cyaxarem erant Medi, prandebantq; in hostium castris. Post prandium Cyrus conuocatis suis ordinum centurionibus, in hunc modum disseruit: Qualia, ut mihi uidetur, uiri amicissimi, quantaq; bona dimittimus, quæ ab dijs immortalibus nobis offeruntur. Nam quòd hostes metu nostri fuga tutati sunt, uidetis ipsi. Qui in munitione cum essent, hac relicta fugiunt, qui hosce mansuros quis putet, cum nos uiderint in planitie? Qui autem nos nondum experti, minimè expectarunt, quomodo nunc expectent uicti, malisque pluribus à nobis affecti? Quorum præterea uiri fortissimi perierunt, quomodo ignauissimi pugnare nobiscum uelint? Atque dixit aliquis: Cur igitur minus eos quamcelerrime insequimur, cum res secundæ adeò certæ sunt nobis? Et Cyrus dixit: Quoniam equorum etiam indigemus. Nam qui ex hostibus fortissimi sunt, quos tempus foret uel capere uel occidere, hi erunt super equos. Hos autem in fugam uertere deorum ope satis possumus: insequendo autem capere nequaquam satis. Quid igitur, dicebant, non egrederis, Cyaxari hæc dicturus? Dixitque ille: Sequimini nunc me unà, quòd uideat nobis omnibus eadem hæc uideri. Ex hinc sequebantur omnes, ac dicebant quæ uidebantur ad ea necessaria quæ rogabant. Simulq; Cyaxares, quoniam illi cœperant loqui, tanquam subinuidebat: simulq; fortasse, quia bene sibi esse arbitrabatur, si non rursus periculum inirent. Nam & ipse in iucunditate erat, & alios pluris Medos idem facere uidebat. Igitur ita respondebat: Verùm, ô Cyre, quòd uos Persæ uni omnium hominum maximè meditamini erga nullam uoluptatem insatiabiliter habere, & uisu noui & auditu. Mihi autem uidetur conducere longè magis, si quis in maxima se uoluptate contineat. Sed quid præbet maiorem hominibus uoluptatem quàm secunda fortuna, quæ nobis hoc tempore cõtigit? Igitur si quoniam res nobis secundæ sunt; uoluptate ipsa temperanter utamur, tutò fortasse poßimus

mus per felicitatem consenescere. Quòd si per eius inexplebilem usum aliam atq; aliam persequi nitemur, uidete ne eadem patiamur, quæ multos ferunt passos in mari, qui dum propter prosperam fortunam conquiescere à nauigatione noluissent, periere. Sic item multi uictoriam consecuti, dum alteram appetiuissent, amiserunt etiam priorem. Etenim si quidem hostes fugientes essent nobis pauciores, fortaßis nos eos tuto ut pauciores adhuc insequeremur. Sed uelim nunc animo uolutes, aduersus quantulam eorum partem cum ipsi omnes pugnauimus, uictoriam adepti sumus. At alij haud manum conseruerunt: quos si minus cogamus pugnare, hi ut & nostri & sui ipsorum ignari, propter imprudentiam mollitiemq; abibunt. Sin norint ubi etiam abeant nihilo minus in periculo sese fore, quàm si maneant, cauendum est nobis ne eos cogamus, ut uel inuiti fortes se præstent. Nec enim latère te debet, non maiorem tibi esse cupiditatem illorum uxores atque liberos capiundi, quàm illis seruandi. Cogitandum præterea tibi est, sues, si multæ etiam sint, fugere, ubi uideãt uenatorem, unà cum natis. Sed ubi quis uenetur quenquam ex earum natis, non amplius fugere, ne si una sit quidem, sed ruere aduersus capere molientem. Et modò cum sese intra munitionem occlusissent, præbuerunt nobis pugnandi potestatem, cum quanta ipsorum quantitate uellemus. Quòd si cum ijs in campestri latitudine congrediemur, discentq; aduersari separatim alij à fronte, aduersi ex aduerso, quemadmodum nunc, alij à latere, alij à tergo, uidene multis cuique nostrum opus sit & oculis & manibus. Adhæc nolim equidem remouere nunc Medos à iucunditate in qua sunt, atque eos cogere ut eant periclitatum. Ad quæ Cyrus respondit: At neminem ipse cogas, sed eos mihi dato, qui libenter sint secuturi: tibiq; fortaßis & tuorum cuique horum amicorum agamus ea quæ omnibus iucundißima sint futura: hostium enim multitudinem nos sanè haud insequemur: nam quo pacto eam caperemus? Quòd si quid ab agmine abscissum offenderimus aut relictum, id ad te agemus. Cogitandum est etiam tibi, quoniam indigebas, magnum iter fecimus, quò tibi gratificaremur. Itaque est iustum, ut ipse etiam contrà nobis gratificeris, quò domum redeamus cum aliquo emolumento, & ne omnes in thesaurum tuum conijciamus oculos. Hinc igitur dixit Cyaxares: At si quis ultro sequeretur, haberem etiam tibi gratias. Mitte igitur unà mecum quenquam ex his quos habes fidelißimos, qui sit dicturus quæ ipse mandes. Duc ex his, inquit, tecũ quem tibi libet. Erat præsens hic ille Medus qui dixerat olim Cyro, se eius esse cognatum, quiq; ab eo est osculatus. Quare continuò inquit Cyrus: Vnus hic mihi sufficit. Hic igitur te sequatur. Respondit Cyaxares: Et tu, inquit, dicito, ut cui libuerit, is eat cum Cyro. Sic uiro illo accepto, ubi à Cyaxare est egressus, continuo inquit Cyrus: Nunc mihi tandem ostendes, uerane loquereris, cum dixisti te in me spectando affici uoluptate. Nequaquam, Medus inquit, abero abs te, si hoc dicis. Et Cyrus inquit: Ergo alios quoq; alacriter educes: Illeq; adiurãs, Educam, inquit, mehercule, donec fecero ut etiam tu suauiter me spectes. Tum igitur emissus à Cyaxare cum alijs alacriter exposuit Medis, tum etiam addidit, se

quoq;

μεθ' ἂν ἀκινδύνως εὐδαιμονοῦντες γηρᾶν. εἰ δ' ἀπλήστως χρώμενοι ταύτῃ, ἄλλην καὶ ἄλλην πειρασόμεθα διώκειν, ὁρᾶτε μὴ πάθωμεν, ἅπερ πολλοὺς μὲν λέγουσιν ἐν θαλάττῃ πεπονθέναι, διὰ τὸ εὐτυχεῖν, οὐκ ἐθέλοντες παύεσθαι πλέοντας, ἕως ἂν ἀπόλωνται. πολλοὺς δὲ νίκης τυχόντας, ἑτέρας ἐφιεμένους, καὶ τὴν πρόσθεν ἀποβαλεῖν. καὶ γὰρ εἰ μὲν οἱ πολέμιοι ἥττους ὄντες ἡμῶν, ἔφυγον, ἴσως ἂν καὶ διώκειν τοὺς ἥττους ἀσφαλῶς ἔχοι. νῦν δὲ κατανόησον πόστῳ αὐτῶν μέρει πάντες μαχεσάμενοι νενικήκαμεν. οἱ δ' ἄλλοι, ἄμαχοί εἰσιν, οὓς εἰ μὲν μὴ ἀναγκάσοιμεν μάχεσθαι, ἀγνοοῦντες καὶ ἡμᾶς καὶ ἑαυτοὺς δι' ἀμαθίαν καὶ μαλακίαν ἀπίασιν. εἰ δὲ γνώσονται, ὅτι ἀπιόντες οὐδὲν ἧττον κινδυνεύσουσιν ἢ μένοντες, ὅπως μὴ ἀναγκάσωμεν αὐτοὺς, κἂν μὴ βούλωνται, ἀγαθοὺς γενέσθαι. ἴσθι γὰρ ὅτι οὐ σὺ μᾶλλον τὰς ἐκείνων γυναῖκας καὶ παιδίας ἐπιθυμεῖς λαβεῖν, ἢ ἐκεῖνοι σῶσαι. ἐννόει δ' ὅτι καὶ αἱ σύες ἐπειδὰν ὀφθῶσι φεύγουσι καὶ πολλαὶ οὖσαι σὺν τοῖς τέκνοις. ἐπειδὰν δέ τις αὐτῶν θηρᾷ τι τῶν τέκνων, οὐκέτι φεύγει, οὐδ' ἂν μία τύχῃ οὖσα, ἀλλ' ἵεται ἐπὶ τὸν λαμβάνειν πειρώμενον. καὶ νῦν μὲν ἐπικατακλείσαντες ἑαυτοὺς εἰς ἔρυμα, παρέσχον ἡμῖν ταμιεύεσθαι, ὥστε ὁπόσοις ἐβουλόμεθα αὐτῶν μάχεσθαι. εἰ δ' ἐν εὐρυχωρίᾳ πρόσιμεν αὐτοῖς, καὶ μαθήσονται χωρὶς γενόμενοι. οἱ μὲν κατὰ πρόσωπον ἡμῶν, ὥσπερ νῦν ἐναντιοῦσθαι· οἱ δ' ἐκ πλαγίου· καὶ ἄλλοι ἐκ τοῦ ἑτέρου πλαγίου· οἱ δὲ καὶ ὄπισθεν, ὅρα μὴ πολλῶν ἑκάστῳ ἡμῶν καὶ ὀφθαλμῶν καὶ χειρῶν δεήσει. πρὸς δ' ἔτι, ἔφη, οὐ βουλοίμην ἂν ἔγωγε νῦν ὁρῶν μήδους εὐθυμουμένους, ἐξαναστήσας ἀναγκάζειν κινδυνεύοντας ἰέναι. καὶ ὁ κῦρος ὑπολαβὼν εἶπεν· ἀλλὰ μηδένα σύ γε ἀναγκάσῃς, ἀλλὰ τοὺς ἐθέλοντάς μοι ἕπεσθαι δός. καὶ ἴσως ἂν σοι καὶ τῶν σῶν φίλων τούτων ἑκάστῳ ἥκοιμεν ἄγοντες, ἐφ' οἷς πάντες εὐθυμήσεσθε. τὸ μὲν γὰρ πλῆθος ἡμεῖς γε τῶν πολεμίων, οὐ διωξόμεθα. πῶς γὰρ ἂν καταλάβοιμεν; ἢν δέ τι ἢ ἀπεσχισμένον τοῦ στρατεύματος λάβοιμεν, ἢ τι ὑπολειπόμενον, ἥξομεν πρὸς σὲ ἄγοντες. ἐννόει δ', ἔφη, ὅτι καὶ ἡμεῖς ἐπειδὴ σὺ ἐδέου, ἤλθομεν σοὶ χαριζόμενοι μακρὰν ὁδόν. καὶ σὺ οὖν ἡμῖν δίκαιος εἶ ἀντιχαρίζεσθαι, ἵνα καὶ ἔχοντές τι οἴκαδε ἀφικώμεθα, καὶ μὴ εἰς τὸν σὸν θησαυρὸν πάντες ὁρῶμεν. ἐνταῦθα δὴ ἔλεξεν ὁ κυαξάρης· ἀλλ' εἰ μέντοι ἐθέλων τις ἕποιτο, καὶ χάριν ἔγωγέ σοι εἰδείην ἄν. σύμπεμψόν τοίνυν μοι τῶν ἀξιοπίστων τούτων τινά, ὃς ἐρεῖ ἃ ἂν σὺ ἐπιστείλῃς. λαβὼν δή, ἴθι ὅντινα ἐθέλεις τούτων. ἔνθα δὴ ἔτυχεν, ὁ φήσας ποτὲ συγγενὴς αὐτοῦ εἶναι καὶ φιληθεὶς παρών. εὐθὺς οὖν ὁ κῦρος εἶπεν· ἀρκεῖ, ἔφη, ἔμοιγε οὑτοσί. οὗτος τοίνυν, ἔφη, σοὶ ἑπέσθω. καὶ λέγε, ἔφη, τὸν θέλοντα ἰέναι μετὰ κύρου. οὕτω δὴ λαβὼν τὸν ἄνδρα ἐξῄει. ἐπεὶ δ' ἐξῆλθον, εὐθὺς ὁ κῦρος εἶπε· νῦν δὴ σὺ δηλώσεις εἰ ἀληθῆ ἔλεγες, ὅτε ἔφης ἥδεσθαί με θεώμενος. οὔκουν ἀπολείψομαι σοῦ, ἔφη ὁ μῆδος, εἰ τοῦτο λέγεις. καὶ ὁ κῦρος εἶπεν· οὐκοῦν καὶ ἄλλους προθύμως λέξεις. κἀκεῖνος ἐπομόσας, νὴ τὸν δί', ἔφη, ἕως ἂν γε ποιήσω καὶ σέ, ἡδέως ἐμὲ θεᾶσθαι. τότε δὴ ἐκπεμφθεὶς ὑπὸ τοῦ κυαξάρους, τά τε ἄλλα προθύμως ἀπήγγελλε τοῖς μήδοις, καὶ προσετίθει, ὅτι αὐτός

γε

τι οὐκ ἀπολείποιτο ἀνδρὸς ἀρίστου καὶ καλλίστου, καὶ τὸ μέ-
γιστον παρὰ θεῶν γεγονότος. πράττοντος δὲ ταῦτα τοῦ κύ-
ρου, θείως πως ἀφικνοῦνται παρὰ ὑρκανίων ἄγγελοι. οἱ δὲ
ὑρκάνιοι ὅμοροι μὲν τῶν ἀσσυρίων εἰσίν. ἔθνος δ' οὐ πο-
λύ. διὸ καὶ ὑπήκοοι τῶν ἀσσυρίων ἦσαν. εὔιπποι δὲ
καὶ τότε ἐδόκουν εἶναι, καὶ νῦν ἔτι δοκοῦσι. διὸ καὶ ἐ-
χρῶντο αὐτοῖς οἱ ἀσσύριοι, ὥσπερ καὶ οἱ λακεδαιμόνιοι
τοῖς σκιρίταις, οὐδὲν φειδόμενοι αὐτῶν, οὔτ' ἐν πό-
νοις, οὔτ' ἐν κινδύνοις. καὶ δὴ καὶ τότε ὀπισθοφυλακεῖν
αὐτοὺς ἐκέλευον, ὡς χιλίους ὄντας ἱππέας· ἵνα εἴ τι ὄπι-
σθεν δεινὸν ἴοι, ἐκεῖνοι πρὸ αὐτῶν τοῦτ' ἔχοιεν. οἱ δὲ ὑρ-
κάνιοι ἅτε μέλλοντες ὕστατοι πορεύεσθαι, καὶ τὰς ἁμάξας
τὰς ἑαυτῶν, καὶ τοὺς οἰκέτας ὑστάτους εἶχον. στρατεύονται
γὰρ οἱ κατὰ τὴν ἀσίαν ἔχοντες, οἱ πολλοί, μεθ' ὧνπερ καὶ
οἰκοῦσι. καὶ τότε δὴ ἐστρατεύοντο οἱ ὑρκάνιοι οὕτως. ἐννοη-
θέντες δὲ, οἷά τε πάσχουσιν ὑπὸ τῶν ἀσσυρίων, καὶ ὅτι
νῦν τεθναίη μὲν ὁ ἄρχων αὐτῶν, ἡττημένοι δ' εἶεν, φό-
βος δὲ πολὺς εἴη ἐν τῷ στρατεύματι, οἵ τε σύμμαχοι
αὐτῶν ὡς ἀθύμως ἔχοιεν, καὶ ἀπολείποιεν, ταῦτα ἐνθυ-
μουμένοις ἔδοξεν αὐτοῖς, καὶ ὡς νῦν καλὸν εἶναι ἀπο-
στῆναι, εἰ θέλοιεν οἱ ἀμφὶ κῦρον συνεπιθέσθαι. καὶ πέμ-
πουσιν ἀγγέλους πρὸς κῦρον. ἀπὸ γὰρ τῆς μάχης τὸ τούτου
ὄνομα μέγιστον ηὔξητο. οἱ δὲ πεμφθέντες λέγουσι κύ-
ρῳ, ὅτι μισοῖεν τοὺς ἀσσυρίους, δικαίως· νῦν τε εἰ βούλοιν-
το ἰέναι ἐπ' αὐτοὺς, καὶ σφεῖς σύμμαχοι ὑπάρξειν, καὶ
ἡγήσεσθαι. ἅμα δὲ πρὸς τούτοις διηγοῦντο τὰ τῶν πολε-
μίων ὡς ἔχοι. ὡς δὴ ἐπαίρειν βουλόμενοι, ὡς μάλιστα στρα-
τεύεσθαι αὐτόν. καὶ ὁ κῦρος ἐπήρετο αὐτούς· καὶ δοκεῖτε ἄν,
ἔφη, ἡμᾶς ἔτι καταλαβεῖν αὐτοὺς, πρὶν ἐν τοῖς ἐρύμασιν
εἶναι; ἡμεῖς μὲν γάρ, ἔφη, μάλα συμφορὰν τοῦτο ἡγούμεθα,
ὅτι ἔλαθον ἡμᾶς ἀποδράντες. ταῦτα δὲ ἔλεγε, βουλόμενος
αὐτοὺς ὡς μέγιστον φρονεῖν ἐπὶ σφίσιν. οἱ δὲ ἀπεκρίναντο·
ὅτι καὶ αὔριον ἕωθεν εἰ εὔζωνοι πορεύοιντο, καταλήψοιν-
το. ὑπὸ γὰρ τοῦ ὄχλου καὶ τῶν ἁμαξῶν σχολῇ πορεύεσθαι αὐ-
τούς. καὶ ἅμα ἔφασαν ἅτε τὴν προτέραν νύκτα ἀγρυ-
πνήσαντες, νῦν μικρὸν προελθόντες ἐστρατοπεδεύ-
κασι. καὶ ὁ κῦρος ἔφη· ἔχετε οὖν ὧν λέγετε πιστόν τι ἡμᾶς
διδάσκειν ὡς ἀληθεύετε; ὁμήρους γ' ἔφασαν ἐθέλομεν
ἐλάσαντες αὐτίκα τῆς νυκτὸς ἀγαγεῖν. μόνον καὶ σὺ ἡ-
μῖν θεῶν τε πιστὰ ποίησον. καὶ δεξιὰν δὸς, ἵνα φέρωμεν
καὶ τοῖς ἄλλοις ταῦτα, ἅπερ ἂν αὐτοὶ λάβωμεν παρὰ σοῦ.
ἐκ τούτου τὰ πιστὰ δίδωσιν αὐτοῖς, ἦ μὴν, ἐὰν ἐμπεδώ-
σωσιν ἃ λέγουσιν, ὡς φίλοις καὶ πιστοῖς χρήσεσθαι αὐτοῖς. ὡς
μήτε περσῶν, μήτε μήδων μεῖον ἔχειν παρ' αὐτῷ. καὶ
νῦν δ' ἔτι ἰδεῖν ἔστιν ὑρκανίους καὶ πιστευομένους, καὶ
ἀρχὰς ἔχοντας, ὥσπερ καὶ περσῶν καὶ μήδων, οἳ ἂν δο-
κῶσιν ἄξιοι εἶναι. ἐπεὶ δὲ ἐδείπνησαν, ἐξῆγε τὸ στράτευ-
μα ἔτι φάους ὄντος, καὶ τοὺς ὑρκανίους περιμένειν ἐκέ-
λευσεν, ἵνα ἅμα ἴοιεν. οἱ μὲν δὴ πέρσαι πάντες, ὥσ-
περ εἰκὸς, ἐξῆσαν, καὶ τιγράνης ἔχων τὸ ἑαυτοῦ στρά-
τευμα. τῶν δὲ μήδων ἐξῄεσαν οἱ μὲν διὰ τὸ, παιδὶ κύρῳ
ὄντι παῖδες ὄντες φίλοι γενέσθαι. οἱ δὲ, διὰ τὸ ἐν θήραις
συγγενόμενοι, ἀγασθῆναι αὐτοῦ τὸν τρόπον. οἱ δὲ, διὰ τὸ
χάριν εἰδέναι, ὅτι μέγαν αὐτοῖς φόβον, ἀπεληλακέναι
ἐδόκει. οἱ δὲ, καὶ ἐλπίδας ἔχοντες, διὰ τὸ ἄνδρα φαίνε-
σθαι ἀγαθὸν, καὶ εὐτυχῆ καὶ μέγαν ἔτι ἰσχυρῶς ἔσεσθαι αὐτόν.
οἱ δὲ,

quoque non esse carriturum uiro pulcherrimo & opti
mo, & quod maximum est, à dijs immortalibus ge/
nito. Cum à Cyro hæc geruntur, diuinitus quodam/
modo ueniunt ab Hyrcanis nuncij. Sunt autem Hyr/
canij Aßyrijs finitimi, gens haud magna, erantq; id/
circo subiecti Aßyrijs. Videbantur autem & ea tem
pestate strenui equites, & nunc item uidentur. Quare
utebantur ijs Aßyrij, quemadmodum utuntur Eilotis
Lacedæmonij, neque in laboribus, neque in periculis
10 ijs parcentes. Quapropter etiam per id temporis ut po
stremum agmen tuerētur eis iubebant, qui equites es/
sent circiter mille, quo si quid à tergo grauius incum
beret, illi ante sese hoc subirent. At Hyrcanij tanquam
ultimi profecturi, & carros suos & famulos ultimos
habebant. Erant enim in expeditione Asiatici, magna
ex parte secum habentes illos, quibus cum etiam habi
tant. Itaq; etiam tum Hyrcanij sic militabant, qui cum
animo reputantes, & qualia ab Assyrijs paterentur,
& quòd nunc princeps suus mortem occubuisset, es/
20 sentq; uicti, & quòd metus in exercitu foret ingēs, &
ipsorum socij ægrè haberent ac desererent: hæc cum
commentarentur, uisum est eis pro temporis conditio
ne bonum esse ut deficerent, si uellet Cyrus unà secum
hostis inuadere. Itaq; mittunt ad Cyrum nuncios, nam
huius nomen à pugna plurimum creuerat. Qui autem
missi sunt, dicunt Cyro, sibi Assyrios iure odio esse, siq;
uellet nunc ire aduersus eos, tum ipsi socij existerent,
tum uiæ duces se præberent: simulq; ad hæc narrabāt
res hostium ut haberent, quibus tandem incitare eum
30 uolebant ad agendum in illos exercitum. Et Cyrus ro
gabat eos, inquiens: Et putatis nos prius illos offensu/
ros quàm sint in munitionibus? Nam hoc nobis ma/
gnæ calamitati ducimus, quod nobis clàm eusserunt.
Hæc autem dicebat Cyrus, quòd eos uellet quammaxi
mam de sese habere opinionem. Ad quem illi responde
bant, fore ut cras mane, si expediti pergerent, illos of/
fenderent, nam eos præ turba & carris tarde iter face
re: simulq; dixerunt, quoniam superiore nocte uigilas/
sent, nunc paululum profecti castrametati sunt. Et Cy/
40 rus inquit: Habetisne quicquam nos docere, quò uo/
bis credamus quæ dicitis esse uera? Obsides responde/
runt, actutū equitantes noctu adducemus, solum tu ob
testare deos in fidē, dextramq; dato, quò hæc alijs fera
mus quæ ipsis abs te acceperimus. Dein fidem dat illis,
se indubitatò ipsis usurū ut amicis ac fidelibus, si quæ
dicerent confirmarint, ut ne Persis quidē neq; Medis
apud se crederent. Atq; hoc etiam tēpore licet intueri
Hyrcanios, qui & creduntur magistratus & gerunt,
quemadmodū ij quicunq; & ex Persis et ex Medis ui
50 deantur esse dignißimi. Sed posteaquā sunt cœnati, Cy
rus aciem eduxit adhuc sub lucem, iußitq; Hyrcanios
expectare, quò simul irent. Et Persæ quidem omnes, ut
par erat, castris egreßi sunt, cumq; his Tigranes suam
habens aciem. È Medis autē sunt egreßi, alij quidem
quoniam Cyro puero ipsi cum essent pueri, amici fue/
rant: alij quoniā in uenatione cōsuetudine sua usi, eius
sunt ingenio ac morib. delectati: alij quia gratiā et ha/
berent, quòd maximū ab se metū expulisse uidebatur:
alij quod eum sperarēt quoniā uir bonus et fortunatus
appareret, futurū adhuc magnum atq; præpotentem:

alij

alij uerò quia dum educabatur in Medis, sicut bona aliquis exitu sit adiutor, contra illud tui uellent rem gratam facere. Multi etiam quoniam propter eius humanitatem ab auo Astyage bona plurima acceperant. Multi præterea, quia uiderent Hyrcanios, rumorq́; emanarat, fore ut duces essent ad bona quampluri/ma, exierant quò aliquid etiam caperent. Hoc igitur pacto Medi quoque ferè omnes egressi sunt, ijs exceptis quot qui Cyaxaris contubernio utebantur: nam hi manserunt, & qui his parebant. Alij uerò omnes hilari facie, alacriq; animo soluebant, non tanquam necessariò, sed libenter gratéque exeuntes. At ubi egressi sunt, primùm quidem adijt Medos Cyrus, eósque laudauit. Ad hæc deos orauit maximè, ut & eis, & suis propitij duces forent: dein ut ipse huius alacritatis referre ijs gratiam posset. Dixitque ad postremum, ut eis pedites duces forent, illis autem iussu unà cum equitibus sequerentur: & quo in loco aut quiescant, aut immorentur inter eundum, iussit aliqui ipsorum ad se adequitarent, ut quod esset iam opportunum acciperent. Exhinc Hyrcanijs iussit ut antecederent. At illi interrogabant: Quid autem? non enim expectas donec egerimus ad te obsides, quo tu quoque pergas accepta à nobis fide? Et Cyrum dicitur respondisse: Cogito enim nobis omnibus fidem esse in animis nostris, atque in nostris manibus. Nam ita uidemur instructi: si quidem ueri sitis, nos satis simus qui in uos beneficium conferamus: sin decipiatis, ita habere arbitramur, ut non ipsi in uestra potestate simus futuri, sed uos in nostra potius, diuina pro uoluntate. Atqui, ò Hyrcanij, quoniam dicitis uestros agmen sequi postremos, cum eos uideritis, significate nobis eos uestros esse, quò ijs parcamus. Quæ Hyrcanij audientes, itineris quidem duces erant ut iubebat: eius animi robur plurimum admirabantur, qui cum neque Assyrios, nec Lydos, nec eorum socios amplius metueret, tum ne minimi quidem omnino momenti cuiusquam esse duceret, ipsorum uel præsentiam, uel absentiam. Illis uero proficiscentibus, ubi nox facta est, dicitur lucem & Cyro, & ipsi agmini cœlitus apparuisse perspicuam. Quo factum est, ut omnes horror atque ueneratio erga deos caperet, & fiducia aduersus hostis. Sed quoniam expediti celeriterq; pergebant, consentaneè tum multum itineris peregere, tum simul cum crepusculo fiunt prope Hyrcaniorum agmen. Quod nuncij postea quam nouere, Cyro dixerunt, hosce suos esse: eos enim cognoscere dicebant, & quia essent postremi, & ob ignium multitudinem. Ex hinc horum alterum ad eos mittit, qui illis diceret: imperauit ut si amici essent, quam celerrime obuiam facti dextras tollerent: mittitq; unà cum illo unum ex suis, cui iussit Hyrcanijs diceret, ut quemadmodum ipsos inuadentis uiderent, sic etiam hi facerent. Ita igitur nuncius alter apud Cyrum manet, alter uerò adequitauit ad Hyrcanios. Sed cum Hyrcanios Cyrus consideraret quid essent facturi, agmen firmauit: ad eumq; adequitant quiq; præsident Medis, & Tigranes, quid sit faciundum interrogantes. Ad quos ait Cyrus: Agmen hoc proximum est Hyrcaniorum. Abit que alter ex nuncijs

οἱ δὲ ὅτι πρόσθεν ἐν μήδοις, εἴ τι ἀγαθὸν συνέπραξεν, αὐτίκα καλῶς ἐβούλοντο. πολλοῖς δὲ πολλὰ διὰ φιλανθρωπίαν παρὰ τοῦ πάππου ἀγαθὰ διεπέπρακτο. πολλοὶ δ' ἐπεὶ τοὺς ὑρκανίους εἶδον, καὶ λόγος διῆλθεν, ὡς ἡγήσοιντο ἐπὶ πολλὰ ἀγαθά, ἐξῄεσαν καὶ τοῦ λαβεῖν τι ἕνεκεν. οὕτω δὴ καὶ μῆδοι σχεδὸν ἅπαντες ἐξῆλθον, πλὴν ὅσοι σὺν κυαξάρῃ ἔτυχον σκηνοῦντες. οὗτοι δὲ κατέμειναν, καὶ οἱ τούτων ὑπήκοοι. οἱ δ' ἄλλοι πάντες φαιδρῶς καὶ προθύμως ἐξορμῶντο, ἅτε οὐκ ἀνάγκῃ, ἀλλ' ἐθελούσιοι, καὶ χάριτος ἕνεκα ἐξιόντες. ἐπειδὴ δὲ ἔξω ἦσαν, πρῶτον μὲν πρὸς τοὺς μήδους ἐξελθὼν ἐπῄνεσέ τε αὐτούς, καὶ ἐπηύξατο, μάλιστα μὲν θεοὺς αὐτοῖς ἵλεως ἡγεῖσθαι ὄντας καὶ σφίσιν, ἔπειτα δὲ καὶ αὐτός, δυνηθῆναι χάριν αὐτοῖς, ταύτης τῆς προθυμίας ἀποδοῦναι. τέλος δ' οὖν εἶπεν· ὅτι ἡγήσοιντο μὲν αὐτοῖς οἱ πεζοί, ἐκείνους δὲ ἕπεσθαι σὺν τοῖς ἵπποις ἐκέλευσε. καὶ ὅπου ἂν ἢ ἀναπαύωνται, ἢ ἐπίσχωσι τῆς πορείας, ἐκέλευσεν αὐτοῖς πρὸς ἑαυτὸν παρελαύνειν τινάς, ἵνα εἰδῶσι τὸ ἀεὶ καίριον. ἐκ τούτου ἡγεῖσθαι ἐκέλευσε τοὺς ὑρκανίους. καὶ οἳ ἠρώτων· τί δὲ οὐκ ἀναμένεις ὡς ἐπηγγείλαντο τοὺς ὁμήρους, ἕως ἂν ἀγάγωμεν, ἵνα καὶ σὺ ἔχων τὰ πιστὰ παρ' ἡμῶν πορεύῃ; καὶ τὸν ἀποκρίνασθαι λέγεται· ἐννοῶ γὰρ φάναι ὅτι ἔχομεν πάντες τὰ πιστὰ ἐν ταῖς ἡμετέραις ψυχαῖς, καὶ ταῖς ἡμετέραις χερσίν. οὕτω γὰρ δοκοῦμεν παρεσκευάσθαι, ὡς ἐὰν μὲν ἀληθεύητε, ἱκανοὶ εἶναι ὑμᾶς εὖ ποιεῖν. ἐὰν δὲ ἐξαπατᾶτε, οὕτω νομίζομεν ἔχειν, ὡς μὴ ἡμᾶς ἐφ' ὑμῖν γενέσθαι, ἀλλὰ μᾶλλον ἐὰν οἱ θεοὶ βούλωνται, ὑμᾶς ἐφ' ἡμῖν γενήσεσθαι. καὶ μέντοι, ἔφη, ὦ ὑρκάνιοι, ἐπειδήπερ φατὲ ὑστάτους πορεύεσθαι τοὺς ὑμετέρους, ἐπειδὰν ἴδητε αὐτούς, σημαίνετε ἡμῖν, ὅτι οἱ ὑμέτεροί εἰσιν, ἵνα φειδώμεθα αὐτῶν. ἀκούσαντες ταῦτα οἱ ὑρκάνιοι, τὴν μὲν ὁδὸν ἡγοῦντο ὥσπερ ἐκέλευε, τὴν δὲ ῥώμην τῆς ψυχῆς ἐθαύμαζον, ὃς οὔτε τοὺς ἀσσυρίους, οὔτε τοὺς λυδίους, οὔτε τοὺς συμμάχους αὐτῶν ἔτι ἐφοβεῖτο, ἀλλὰ μὴ παντάπασιν ὁ κῦρος μικράν τινα ἑαυτῶν οἴοιτο ῥοπὴν εἶναι, καὶ παρόντων καὶ ἀπόντων. πορευομένων δέ, ἐπεὶ νὺξ ἐγένετο, λέγεται φῶς τῷ κύρῳ καὶ τῷ στρατεύματι ἐκ τοῦ οὐρανοῦ προφανὲς γενέσθαι, ὥστε πᾶσι φρίκην μὲν πρὸς τὸ θεῖον ἐγγίνεσθαι, θάρσος δὲ πρὸς τοὺς πολεμίους. ὡς δ' εὔζωνοί τε καὶ ταχὺ ἐπορεύοντο, εἰκότως πολλήν τε ὁδὸν διήνυσαν, καὶ ἅμα κνέφᾳ πλησίον γίγνονται τοῦ τῶν ὑρκανίων στρατεύματος. ὡς δ' ἔγνωσαν οἱ ἄγγελοι, λέγουσι τῷ κύρῳ, ὅτι οὗτοί εἰσιν οἱ σφέτεροι. τῷ τε γὰρ ὑστάτους εἶναι γινώσκειν ἔφασαν, καὶ τῷ πλήθει τῶν πυρῶν. ἐκ τούτου πέμπει τὸν *ἕτερον αὐτῶν πρὸς αὐτούς, προστάξας λέγειν, εἰ φίλοι εἰσίν, ὡς τάχιστα ἀπαντᾶν, τὰς δεξιὰς ἀνατείναντας. συμπέμπει δέ τινας καὶ τῶν παρ' ἑαυτῷ, καὶ λέγειν ἐκέλευσε τοῖς ὑρκανίοις, ὅτι ὡς ἂν ὁρῶσιν αὐτοὺς προσφερομένους, οὕτω καὶ αὐτοὶ ποιήσουσιν. οὕτω δὴ ὁ μὲν μένει τῶν ἀγγέλων παρὰ κύρῳ· ὁ δὲ προσελαύνει πρὸς τοὺς ὑρκανίους. ἐν ᾧ δ' ἐσκόπει τοὺς ὑρκανίους ὁ κῦρος, ὅ,τι ποιήσουσιν, ἐπέστησε τὸ στράτευμα. καὶ παρελαύνουσι πρὸς αὐτόν, οἱ τῶν μήδων προεστηκότες, καὶ ὁ τιγράνης, καὶ ἐρωτῶσι τί δεῖ ποιεῖν. ὁ δὲ λέγει αὐτοῖς· τοῦτ' ἐστὶ τὸ πλησίον ὑρκανίων στράτευμα. καὶ οἴχεται ὁ ἕτερος τῶν ἀγγέλων

Florentin. ἑταῖρον

τῶν ἀγγέλων πρὸς αὐτούς, καὶ τῶν ἡμετέρων τινὲς σὺν αὐτῷ· ἐροῦντες εἰ φίλοι εἰσὶν ὑπαντᾶν τὰς δεξιὰς ἀνατείναντας πάντας· ἐὰν μὲν οὖν οὕτω ποιῶσι, δεξιοῦσθε αὐτούς, καθ' ὅπου ἂν ᾖ ἕκαστος, καὶ ἅμα θαρρύνετε. ἐὰν δὲ ὅπλα αἴρωνται, ἢ φεύγειν ἐπιχειρῶσι, τούτων, ἔφη, πρώτων εὐθὺς πειρᾶσθε μηδένα λείπειν. ὁ μὲν τοιαῦτα παρήγγελλεν. οἱ δὲ Ὑρκάνιοι ἀκούσαντες τῶν ἀγγέλων, ἥσθησάν τε, καὶ ἀναπηδήσαντες ἐπὶ τοὺς ἵππους, παρῆσαν, τὰς δεξιὰς ὥσπερ εἴρητο προτείναντες. οἱ δὲ Μῆδοι καὶ οἱ Πέρσαι ἀντεδεξιοῦντό τε αὐτοὺς καὶ ἐθάρρυνον. ἐκ τούτου δὴ λέγει ὁ Κῦρος· ἡμεῖς μέν, ὦ Ὑρκάνιοι, ἤδη ὑμῖν πιστεύομεν. καὶ ὑμᾶς δὲ χρὴ πρὸς ἡμᾶς οὕτως ἔχειν. τοῦτο δ', ἔφη, ἡμῖν πρῶτον εἴπατε, ὁπόσον ἀπέχει ἐνθένδε, ἔνθα αἱ ἀρχαί εἰσι τῶν πολεμίων, καὶ τὸ ἀθρόον αὐτῶν; οἱ δὲ ἀπεκρίναντο ὅτι ὀλίγῳ πλέον, ἢ παρασάγγην. ἐνταῦθα δὴ λέγει ὁ Κῦρος· ἄγετε δή, ἔφη, ὦ ἄνδρες Πέρσαι καὶ Μῆδοι, καὶ ὑμεῖς ὦ Ὑρκάνιοι. ἤδη γὰρ καὶ πρὸς ὑμᾶς ὡς συμμάχους καὶ κοινωνοὺς διαλέγομαι. εὖ χρὴ εἰδέναι νῦν, ὅτι ἐν τοιούτῳ ἐσμέν, ἔνθα μαλακισάμενοι μέν, πάντων ἂν τῶν χαλεπωτάτων τύχοιμεν. ἴσασι γὰρ οἱ πολέμιοι ἐφ' ἃ ἥκομεν. ἢν δὲ ἐπὶ τὸ καρτερὸν ἐμβαλόμενοι, ἴωμεν ῥώμῃ καὶ θυμῷ ἐπὶ τοὺς πολεμίους, αὐτίκα μάλα ὄψεσθε, ὥσπερ δούλων ἀποδιδρασκόντων εὑρημένων, τοὺς μὲν ἱκετεύοντας αὐτῶν· τοὺς δὲ φεύγοντας. τοὺς δ' οὐδὲ ταῦτα φρονεῖν δυναμένους. ἡττημένοι τε γὰρ ὄψονται ἡμᾶς. καὶ οὔτε οἰόμενοι ἥξειν, οὔτε συντεταγμένοι, οὔτε μάχεσθαι παρεσκευασμένοι, κατειλημμένοι ἔσονται. εἰ οὖν ἡδέως βουλοίμεθα, καὶ δειπνῆσαι καὶ νυκτερεῦσαι, καὶ βιοτεύειν τὸ ἀπὸ τοῦδε, μὴ δῶμεν αὐτοῖς σχολήν, μήτε βουλεύσασθαι, μήτε παρασκευάσασθαι μηδὲν ἀγαθὸν ἑαυτοῖς. μηδὲ γνῶναι πάμπαν, ὅτι ἄνθρωποί ἐσμεν. ἀλλὰ γέρρα, καὶ σαγάρεις ἅπαντα, καὶ κοπίδας, καὶ πληγὰς ἥκειν νομιζόντων. καὶ ὑμεῖς μέν, ἔφη, ὦ Ὑρκάνιοι, ὑμᾶς αὐτοὺς προπετάσαντες ἡμῶν, προπορεύεσθε ἔμπροσθεν, ὅπως τῶν ὑμετέρων ὅπλων ὁρωμένων, λανθάνωμεν, ὅτι πλεῖστον χρόνον. ἐπειδὰν δ' ἐγὼ πρὸς τῷ στρατεύματι γένωμαι τῶν πολεμίων, παρ' ἐμοὶ μὲν καταλίπετε ἕκαστοι τάξιν ἱππέων. ὥστε ἄν τι δέῃ, χρῶμαι μένων παρὰ τὸ στρατόπεδον. ὑμῶν δὲ οἱ μὲν ἄρχοντες, καὶ οἱ πρεσβύτεροι, ἐν τάξει ἐλαύνετε ἀθρόοι, εἰ σωφρονεῖτε, ἵνα μήποτε ἀθρόῳ τινὶ ἐντυγχάνοντες, ἀποβιασθῆτε. τοὺς δὲ νεωτέρους ἐφίετε διώκειν. οὗτοι δὲ καινόντων. τοῦτο γὰρ ἀσφαλέστατον νῦν, ὡς ἐλαχίστους τῶν πολεμίων λείπειν. ἢν δὲ τὸ πολλοῖς δὴ συμβεβηκὸς κρατοῦσι τὴν τύχην ἀνατρέψαι γίγνηται, φυλάξασθαι δεῖ, τὸ ἐφ' ἁρπαγὴν τραπέσθαι. ὡς ὁ τοῦτο ποιῶν οὐκέτι ἀνήρ ἐστιν, ἀλλὰ σκευοφόρος, καὶ ἔξεστι τῷ βουλομένῳ ἤδη χρῆσθαι τούτῳ ὡς ἀνδραπόδῳ. ἐκεῖνο δὲ χρὴ γνῶναι, ὅτι οὐδέν ἐστι κερδαλεώτερον τοῦ νικᾶν. ὁ γὰρ κρατῶν, ἅμα πάντα συνήρπασε, καὶ τοὺς ἄνδρας, καὶ τὰς γυναῖκας, καὶ τὰ χρήματα, καὶ πᾶσαν ἅμα τὴν χώραν. πρὸς ταῦτα τοῦτο μόνον ὁρᾶτε, ὅπως τὴν νίκην διασωσώμεθα. ἐὰν γὰρ κρατηθῇ καὶ αὐτὸς ὁ ἁρπάζων ἔχεται. καὶ τοῦτο ἅμα διώκοντες, μέμνησθε ἥκειν πάλιν ὡς ἐμέ, ἔτι φάους ὄντος, ὡς σκότους γενομένου, οὐδένα ἔτι προσδεξόμεθα. ταῦτα εἰπών, ἀπέπεμπεν εἰς τὰς τάξεις ἑκάστους, καὶ ἐκέλευσεν ἅμα πορευομένους, τοῖς

nuncijs ad ipsos, atque unà cum illo unus è nostris: dicturi, si quidem sunt amici, ut nobis omnes occurrant sublatis dextris. Itaque si ita ad nos ueniunt, contrà iidem uos eos excipite, & simul ut quisque uenerit, bono ut animo sint hortamini. Sin arma capiant, fugamue aggrediantur, horum continuo est enitendum nil reliquum facere. Huiusmodi erant admonitiones Cyri. At Hyrcanij auditis nuncijs, tum laetati sunt plurimum, tum equis ascensis illicò affuere sublatis dextris, dictum ut fuerat. Medi uero ac Persae & ipsi contrà dextris sublatis recipiebant eos amice, & ut bene sperarent hortabantur. Et exhinc ait Cyrus: Nos quidem Hyrcanij uobis iam credimus, utque erga nos ita uos habeatis est aequum. Verùm nobis hoc primum dicite: Quantum hinc distat ubi sunt principia hostium eorúmque frequentia? Cui responderunt Hyrcanij, eos distare paulò plusquàm parasangam. Hic ait Cyrus: Agite igitur uiri Persae, Medique, uosque Hyrcanij (iam enim ad uos ut socios ac participes loquor) neminem hoc tempore ignarum esse oportet, in huiusmodi nos esse discrimine, ubi si molliter habuerimus, extrema simus mala passuri. Norunt enim hostes quas ad res uenimus. Quòd si constantia freti, eamus aduersus hostis ualenter atque ingenti animo, actutum aspicietis tanquam fugitiuos repertos seruos, alios supplices sese praestare, alios fugere, alios ne haec quidem posse mente percipere. Nam & uicti nos aspicient, cum neque uenturos nos arbitrarentur, & neque instructi, neque ad pugnam parati, & capti erunt. Quare si uelimus posthac suauiter & coenare & pernoctare, nolimus istis ocium dare, neque boni quicquam consultandi, neque cognoscendi omnino quot homines sumus, sed omnia uenisse putent, & cratis, & mucrones, & securis, & uulnera. Et uos, inquit, ô Hyrcanij, proximos hostibus uosmetipsos facientes ante nos procedite, quò uisis armis uestris lateamus quamplurimum temporis. Sed ubi ipse iuxta agmen hostium fuero, linquite singuli apud me ordinem equitum, quò ipse intra aciem manens, ijs utar si quid opus fuerit. E uobis autem principes atque seniores in ordine, si sapitis, frequentes inuadite, quò nunquam in confertam multitudinem aliquam incidentes uim patiamini. At iuniores dimittite insecutum hostes. Et hi quidem hostis occidunto, hoc enim per hoc temporis est maximè securum, quò illorum paucissimi relinquantur. Sin, quod multis iam accidit, uincentibus uobis fortuna aduersetur, cauendum est ne ad rapinam uertamini, utpote qui hoc fecerit, non sit habendus etiam uir, sed homo sarcinarius, liceatque uolenti cuique ut hoc iam utatur pro mancipio. Illud autem ignorandum non est, NVLLVM esse uictoria maius lucrum. Nam qui uincit, omnia rapit, unà & uiros, & mulieres, & pecunias, & regionem totam. Ad haec solùm hoc respicite, ut uictoriam seruemus: in hac enim etiam ipse raptor continetur. Atque hoc simul, dum hostis insequimini, mementote, ut retro adhuc per lucem ad me eatis, quòd tenebris factis nèminem etiam admittemus. Haec loquutus Cyrus, dimittebat quosque in suos ordines: iubebatque simul, ut pergentes

unà agerent, ut quæ uolo, nobis ab Indo fierent? Ego enim uellem ut grandior etiam pecunia nobis fieret, quo & stipendium dare poßim abundè quibus debeam, & milites honorare atq; munerare pro dignitate. Horum igitur causa mihi sit uolo maxima pecuniarum copia. His autem opus esse duco, si uelim quod libenter cupio, pecunijs uestris parcere. Amicos enim uos mihi iam arbitror. Ab Indo autem libenter acciperem, si daret. Itaq; nuncius cui uos iubeo dari duces, esseq; adiutores gerendi negocij, illo cum uenerit, ita dicet: Inde Cyrus me ad te misit, qui ait: Quoniam alium exercitum domo ex Persis opperitur, maiore sibi pecunia opus esse. Etenim eũ, inquit, opperior. Quare si ad eum miseris quantum pecuniæ poßis commodè, si deus ei bonum exitum dederit, enitetur ita facere ut existimes bene tibi esse consultum, quòd munificus in se fueris. Et hæc sanè uerbis meis exponet. Vos autem mandate uestris nuncijs, quod ad rem conducere arbitramini. Et si quidem ab eo pecunias ceperimus, his utemur copiosius. Sin minus ceperimus, intelligemus nullam à nobis ei gratiam deberi: quinimò licebit nobis illius causa omnia facere ad nostrum emolumentum. Hæc Cyrus locutus est, futurum putans ut Armenij Chaldæiq; nuncij eiusmodi uerba de sese facerent, qualia de se ipse cupiebat ab omnibus hominibus & dici & audiri. Et tum tandem cum res bene haberet, soluto conuiuio dederunt se quieti. Sed postero die tum Cyrus nuncium mittebat, ei mandans quæcunq; dixerat. Tum Armenius Chaldæiq; unà miserũt quos maximè idoneos existimabant, & ad agendum pro Cyro, & ad dicendum, quæ conuenirent. Ex hinc autem Cyrus cum muniisset castellum, & præsidio, quãtum sat erat, & rebus necessarijs omnibus, atq; ijs principem reliquisset Medum, quem Cyaxari putasset maxime gratum esse, abiuit abducto secum exercitu, & quantum habuerat ueniens, & quem ab Armenijs assumpsit, & quos milites acceperat à Chaldæis ad quatuor millia, qui putabantur cunctis alijs præstare. Vt autem descendit in agrum habitatum, Armenius nemo neq; uir neq; mulier intra ædis se continuit, sed omnes obuiam facti sunt, lætitia ob pacem exultantes, ferentesq; & agentes quod quisq; habebat preciosum. Neq; Armenio hæc molesta erant, quoniam existimaret ita Cyrum delectari magis, quod honoraretur ab omnibus. Sed ad postremũ Armenij etiam uxor occurrit, filias secum habens & iuniorem filium, quæ unà cum alijs donis portabat etiam aurũ, quod prius accipere Cyrus noluerat. Id Cyrus ubi uidit: Vos me, inquit, non facietis ut mercedis gratia obequitans sim beneficus: sed tu, ô mulier, abi, & quas ad me fers pecunias, tibi habe, easq; nolito amplius Armenio defodiendas dare. Tuum autem filium pulcherrime istis à te ornatum, in expeditionem emitte. At reliquas pecunias habeto, & tibi ipsi, & uiro, & filiabus ac filijs, quod ijs seruatis pulchrius etiam ornabimini, & ætatem agitabitis iucundius. Nam in terram satis sit corpora defodere, cum quisque diem obierit. Cyrus hæc locutus abequitauit: quem Armenius & reliqui omnes homines deducebant, eum beneficum iterum atque iterum appellantes, & uirum bonum. Hæc quæ facie-

συμπράττοιεν, ὥστε γίγνεσθαι ἡμῖν παρὰ τοῦ ἰνδοῦ ἃ ἐγὼ βούλομαι; ἐγὼ γὰρ χρήματα μὲν προσγίγνεσθαι ἔτι ἂν βουλοίμην ἡμῖν, ὅπως ἔχω καὶ μισθὸν ἀφθόνως διδόναι οἷς ἂν δέῃ, καὶ τιμᾶν, καὶ δωρεῖσθαι τῶν στρατευομένων τοὺς ἀξίους. τούτων μὲν δὴ ἕνεκα βούλομαι, ὡς ἀφθονώτατα χρήματα ἔχειν. δεῖσθαι δὲ τούτων νομίζω. τῶν μὲν ὑμετέρων, ἡδύ μοι φείδεσθαι. φίλους γὰρ ὑμᾶς ἤδη νομίζω. παρὰ δὲ τοῦ ἰνδοῦ, ἡδέως ἂν λάβοιμι, εἰ διδοίη. ὁ οὖν ἄγγελος, ᾧ κελεύω ὑμᾶς ἡγεμόνας δοῦναι καὶ συμπράκτορας γενέσθαι, ἐλθὼν ἐκεῖσε, λέξει ὧδε· ἔπεμψέ με κῦρος, ὦ ἰνδὲ πρὸς σέ. φησὶ δὲ προσδεῖσθαι χρημάτων, προσδεχόμενος καὶ ἄλλην στρατιὰν οἴκοθεν ἐκ περσῶν, καὶ γὰρ προσδέχομαι, ἔφη. ἢν οὖν αὐτῷ πέμψῃς ὁπόσα σοι προχωρεῖ φησιν, ἢν θεὸς ἀγαθὸν τέλος διδῷ αὐτῷ, πειράσεσθαι ποιῆσαι, ὥστε σε νομίζειν καλῶς βεβουλεῦσθαι, χαρισάμενος αὐτῷ. ταῦτα μὲν ὁ παρ' ἐμοῦ λέξει· τοῖς δὲ παρ' ὑμῶν, ὑμεῖς αὖ ἐπιστέλλετε, ὅ, τι ὑμῖν δοκεῖ συμφέρον εἶναι. καὶ ἢν μὲν λάβωμεν παρ' αὐτοῦ, ἀφθονωτέροις χρησόμεθα. ἢν δὲ μὴ λάβωμεν, εἰσόμεθα, ὅτι οὐδεμίαν αὐτῷ χάριν ὀφείλομεν, ἀλλ' ἐξέσται ἡμῖν ἐκείνου ἕνεκα, πρὸς τὸ ἡμέτερον συμφέρον πάντα τίθεσθαι. ταῦτ' εἶπεν ὁ κῦρος νομίζων τοὺς ἰόντας ἀρμενίων καὶ χαλδαίων τοιαῦτα λέξειν περὶ αὐτοῦ, οἷα αὐτὸς ἐπεθύμει πάντας ἀνθρώπους, καὶ λέγειν, καὶ ἀκούειν περὶ αὐτοῦ. καὶ τότε μὲν δὴ ὁπότε καλῶς εἶχε διαλύσαντες τὴν σκηνήν, ἀνεπαύοντο. τῇ δ' ὑστεραίᾳ, ὅτε κῦρος ἔπεμπε τὸν ἄγγελον ἐπιστείλας, ὅσαπερ ἔφη. καὶ ὁ ἀρμένιος, καὶ οἱ χαλδαῖοι συνέπεμπον οὓς ἱκανωτάτους ἐνόμιζον εἶναι, καὶ συμπρᾶξαι, καὶ εἰπεῖν περὶ τοῦ κύρου τὰ προσήκοντα. ἐκ δὲ τούτου ὁ κῦρος ἐπιτελέσας τὸ φρούριον, καὶ φύλαξιν ἱκανοῖς, καὶ τοῖς ἐπιτηδείοις πᾶσι, καὶ ἄρχοντα αὐτῶν καταλιπὼν μῆδον, ὃν ᾤετο κυαξάρει ἂν μάλιστα χαρίσασθαι, ἀπῄει συλλαβών τε καὶ ἕτερον στράτευμα, ὅσον τε ἦλθεν ἔχων, καὶ ὃ παρὰ ἀρμενίων προσέλαβε. καὶ τοὺς παρὰ χαλδαίων εἰς τετρακισχιλίους, οἳ ᾤοντο καὶ συμπάντων τῶν ἄλλων κρείττονες εἶναι. ὡς δὲ κατέβη εἰς τὴν οἰκουμένην, οὐδεὶς ἔμεινεν ἔνδον ἀρμενίων, οὔτε ἀνήρ, οὔτε γυνή, ἀλλὰ πάντες ἀπήντων, ἡδόμενοι τῇ εἰρήνῃ, καὶ φέροντες, καὶ ἄγοντες, εἴ τι ἕκαστος ἄξιον εἶχε. καὶ ὁ ἀρμένιος τούτοις οὐκ ἤχθετο, οὕτως ἂν νομίζων, καὶ τὸν κῦρον μᾶλλον ἥδεσθαι τῇ ὑπὸ πάντων τιμῇ. τέλος δὲ ἀπήντησε καὶ ἡ γυνὴ τοῦ ἀρμενίου, τὰς θυγατέρας ἔχουσα, καὶ τὸν νεώτερον υἱόν, καὶ σὺν ἄλλοις δώροις καὶ τὸ χρυσίον ἐκόμιζεν, ὃ πρότερον οὐκ ἤθελε λαβεῖν ὁ κῦρος. καὶ ὁ κῦρος ἰδών, εἶπεν· ὑμεῖς ἐμὲ οὐ ποιήσετε μισθοῦ περιιόντα εὐεργετεῖν. ἀλλὰ σύ, ὦ γύναι, ἔχουσα ταῦτα τὰ χρήματα ἃ φέρεις, ἄπιθι, καὶ τῷ ἀρμενίῳ μηκέτι δὸς αὐτὰ κατορύξαι. ἔκπεμψον δὲ τὸν σὸν υἱὸν ὡς κάλλιστα ἀπ' αὐτῶν κατασκευάσασα ἐπὶ τὴν στρατείαν. ἀπὸ δὲ τῶν λοιπῶν, κτῶ καὶ σαυτῇ, καὶ τῷ ἀνδρί, καὶ ταῖς θυγατράσι, καὶ τοῖς υἱοῖς, ὅτι κεκτημένοι καὶ κεκοσμημένοι, κάλλιον καὶ ἥδιον τὸν αἰῶνα διάξετε. εἰς δὲ τὴν γῆν, ἔφη, ἀρκείτω τὰ σώματα, ὅταν ἕκαστος τελευτήσῃ, κατακρύπτειν. ὁ μὲν ταῦτα εἰπών, παρήλαυνεν. ὁ δὲ ἀρμένιος συμπρούπεμπε. καὶ οἱ ἄλλοι πάντες ἄνθρωποι, ἀνακαλοῦντες τὸν εὐεργέτην, τὸν ἄνδρα τὸν ἀγαθόν. καὶ ταῦτ' ἐποί-

ἐποίουν, ἕως ἐκ τῆς χώρας ἐξέπεμψαν. συνέπεμψε δὲ αὐτῷ ὁ Ἀρμένιος καὶ στρατιὰν πλείονα, ὡς εἰρήνης οἴκοι οὔσης. οὕτω δὴ Κῦρος ἀπῄει κεχρηματισμένος, οὐχ ἃ ἔλαβε μόνον χρήματα, ἀλλὰ πολὺ πλείονα τούτων ἑτοιμασάμενος διὰ τὸν τρόπον, ὥστε λαμβάνειν ὁπότε δέοιτο. καὶ τότε μὲν ἐστρατοπεδεύσατο ἐν τοῖς μεθορίοις. τῇ δ' ὑστεραίᾳ τὸ μὲν στράτευμα καὶ τὰ χρήματα ἔπεμψε πρὸς Κυαξάρην. ὁ δὲ πλησίον ἦν, ὥσπερ ἔφη. αὐτὸς δὲ σὺν Τιγράνῃ καὶ Περσῶν τοῖς ἀρίστοις ἐθήρα ὅπου ἐντυγχάνοιεν θηρίοις, καὶ ηὐφραίνετο. ἐπεὶ δὲ ἀφίκετο εἰς Μήδους, τὰ χρήματα ἔδωκε τοῖς ἑαυτοῦ ταξιάρχοις, ὅσα ἐδόκει ἑκάστῳ ἱκανὰ εἶναι. ὅπως καὶ ἐκεῖνοι ἔχοιεν τιμᾶν, εἴ τινας ἄγαιντο τῶν ὑφ' ἑαυτούς. ἐνόμιζε γάρ, εἰ ἕκαστος τὸ μέρος ἀξιέπαινον ποιήσειε, τὸ ὅλον αὐτῷ καλῶς ἔχειν. καὶ αὐτὸς δέ, ὅτι τι καλὸν ἴδοι εἰς τὴν στρατιάν, τοῦτο κτώμενος ἐδωρεῖτο τοῖς ἀξιωτάτοις τῶν, νομίζων, ὅτι καλὸν κἀγαθὸν ἔχοι τὸ στράτευμα, τούτοις ἅπασιν αὐτὸς κεκοσμῆσθαι. ἡνίκα δὲ αὐτοῖς διεδίδου ὧν ἔλαβεν, ἔλεξεν ὧδέ πως εἰς τὸ μέσον τῶν ταξιάρχων καὶ λοχαγῶν, καὶ πάντων ὅσους ἐτίμα.

ΔΗΜΗΓΟΡΙΑ ΚΥΡΟΥ.

Ἄνδρες φίλοι, δοκεῖ ἡμῖν εὐφροσύνη τις νῦν παρεῖναι, καὶ ὅτι εὐπορία τις προσγεγένηται, καὶ ὅτι ἔχομεν ἀφ' ὧν τιμᾶν ἕξομεν οὓς ἂν βουλώμεθα, καὶ τιμᾶσθαι ὡς ἂν ἕκαστος ἄξιος ᾖ. πάντως δὴ ἀναμιμνησκώμεθα τὰ ποῖα ἔργα τούτων τῶν ἀγαθῶν ἐστὶν αἴτια. σκοπούμενοι γὰρ εὑρήσετε, τό, τε ἀγρυπνῆσαι ὅπου ἔδει, καὶ τὸ πονῆσαι, καὶ τὸ ἀνύσαι, καὶ τὸ μὴ εἶξαι τοῖς πολεμίοις. οὕτως οὖν χρὴ καὶ τὸ λοιπὸν ἄνδρας ἀγαθοὺς εἶναι, γιγνώσκοντας, ὅτι τὰς μεγάλας ἡδονάς, καὶ τὰ ἀγαθὰ τὰ μεγάλα, ἡ πειθὼ καὶ ἡ καρτερία, καὶ οἱ ἐν τῷ καιρῷ πόνοι, καὶ κίνδυνοι παρέχονται. κατανοῶν δὲ ὁ Κῦρος, ὡς εὖ μὲν αὐτῷ εἶχον τὰ σώματα οἱ στρατιῶται, πρὸς τὸ δύνασθαι στρατιωτικοὺς πόνους φέρειν, εὖ δὲ τὰς ψυχὰς πρὸς τὸ καταφρονεῖν τῶν πολεμίων, ἐπιστήμονες δὲ ἦσαν τὰ προσήκοντα τῇ ἑαυτῶν ἕκαστος ὁπλίσει, καὶ πρὸς τὸ πείθεσθαι δὲ τοῖς ἄρχουσιν ἑώρα πάντας εὖ παρεσκευασμένους. ἐκ τούτων οὖν ἐπεθύμει ἤδη τῶν πρὸς τοὺς πολεμίους πράττειν, γιγνώσκων, ὅτι ἐν τῷ μέλλειν πολλάκις τοῖς ἄρχουσι, καὶ τῆς καλῆς παρασκευῆς ἀλλοιοῦται. ἔτι δ' ὁρῶν, ὅτι φιλοτίμως ἔχοντες ἐν οἷς ἀντηγωνίζοντο, πολλοὶ καὶ ἐπιφθόνως εἶχον πρὸς ἀλλήλους τῶν στρατιωτῶν, καὶ τούτων ἕνεκα ἐξάγειν αὐτοὺς ἐβούλετο εἰς τὴν πολεμίαν ὡς τάχιστα. ὅτι οἱ κοινοὶ κίνδυνοι φιλοφρόνως ποιοῦσιν ἔχειν τοὺς συμμάχους πρὸς ἀλλήλους. καὶ οὐκέτι ἐν τούτῳ, οὔτε τοῖς ἐν ὅπλοις κεκοσμημένοις φθονοῦσιν, οὔτε τοῖς δόξης ἐφιεμένοις. ἀλλὰ μᾶλλον καὶ ἐπαινοῦσι, καὶ ἀσπάζονται οἱ τοιοῦτοι τοὺς ὁμοίους, νομίζοντες συνεργοὺς αὐτοὺς τοῦ κοινοῦ ἀγαθοῦ εἶναι. οὕτω δὴ πρῶτον μὲν ἐξώπλισε τὴν στρατιάν, καὶ κατέταξεν ὡς ἐδύνατο κάλλιστά τε καὶ ἄριστα. ἔπειτα δὲ συνεκάλεσε μυριάρχους, καὶ χιλιάρχους, καὶ ταξιάρχους, καὶ λοχαγούς. οὗτοι γὰρ ἀπολελυμένοι τοῦ καταλέγεσθαι ἦσαν ἐν τοῖς τακτικοῖς ἀριθμοῖς. καὶ ὁπότε δέοι ἢ ὑπακούειν τῷ στρατηγῷ, ἢ παραγγέλλειν τι, οὐδ' ὡς οὐδὲν ἄναρχον κατελείπετο. ἀλλὰ δωδεκαδάρχοις καὶ ἑξαδάρχοις πάντα τὰ

faciebant, donec eum ex Armenia emiserunt. Misit uero ad eum Armenius maioris copias, quoniam domi pax esset. Ita igitur abijt Cyrus, non solum ditatus pecunijs quas accepit, sed multo pluribus paratis ob suos mores, quas cum opus foret acciperet. Et tũ quidem intra confinia est castrametatus. Postridie uerò illius diei, & agmen, & pecunias ad Cyaxarem misit. Nam is propinquus erat, ut dixerat. Ipse autem unà cum Tigrane, optimatibusq; Persarum uenabatur, ubi feras offenderet, atq; lætabatur. Sed ubi uenit in Medos, ex pecunijs dedit suis ordinum centurionibus, ut existimabat cuique satis esse, quo etiam ipsi honorare possent, si quos sub sese ducerent. Putabat enim si quisq; partem faceret laude dignam, totum sibi pulchrè habere. Atq; ipse quoq; si quid usquam uideret pulchrum pro exercitu, hoc adeptus, uiris dignissimus dono dabat: ratus ille quidem, ea sibi omnia ornamento esse, quicquid pulchri milites boniq; haberent. Cum uerò militibus ijs tribueret quæ ceperat, in medium centurionum ordinem, primupilorum, & omnium quotquot honorabat, his quasi uerbis est usus:

CYRI ORATIO.

Viri amicissimi, uidetur nobis quædam nunc adesse lætitia, & quod opulentia quædam est addita, et quòd ea habemus, quibus honorare poterimus quos uelimus, & honorari quoq; pro dignitate cuiusque. Omnino autem reminiscamur, quæ qualiaq; opera horum fuere bonorum causa. Nam si nobiscum uelitis animo uolutare, inuenietis & uigilasse ubi oportebat, et laborasse accelerasseq;, et hostibus non cessisse, fuisse in causa. Sic igitur est opus, præstetis uosmetipsos in posterum uiros fortis: illud sanè intelligentes, magnas uoluptates, maximaq; bona præberi obedientia, constantia, tẽpestiuisq; & laborib. & periculis. Et cũ Cyrus intelligeret milites robustis esse corporib. ad militiæ labores tolerãdos, esseq; animis infractis ad hostis contẽnendos, scire etiam singulos quæ suæ forẽt armaturæ accõmodata, cumq; omnis intueretur paratissimos ad parendum superioribus: hinc igitur cupiebat iam res aliquas præclaras in hostis gerere, præsertim cum nosset in cunctando sæpe solere principibus ex pulchro etiã apparatu aliquid uariari. Videns præterea quibus in rebus milites certarent, illos habere ambitiose, pluris quoq; inuicem sibi inuidere, ob hæc etiam eos in hostium agrũ uolebat quàmprimum educere, quippe qui nosset communibus periculis fieri, ut socij benignè inter sese habeant, & non amplius hac in re neq; armis uiris ornatis inuidẽt, neq; gloriæ cupidis: quin potius huiusmodi milites & laudãt illos, & amplectũtur, qui sui sint similes, quòd eos existiment boni publici adiutores. Sic igitur primum armauit exercitũ, instruxitq; quàm potuit & pulcherrimè & optimè. Dein cõuocauit prætores, qui militibus decẽ millib. præsunt, & militũ tribunos, & ordinũ centuriones, & primipilos: hi enim absoluti erant ab exercitus ordinarij numero. Cumq; aut imperatori audire, aut quicquã præcipere oporteret, nihil sine superiore relinquebatur, sed per duodenarios & sexcuriones relicta omnia

componebantur. Sed ubi tempestiui qui uocantur, conuenerũt, ijs Cyrus adductus ostendebat quæ bene haberẽt, docebatq; qui, quæq; res ad mutuũ auxiliũ esset ualida. Et illos posteaquã amore incendit iam ad aliquid faciendũ, ait eis abeundũ nũc esse ad suos ordines, & ut quisq; suos edoceret quæ à se illi didicissent, omnisq; accẽdere studerent cupiditate bellãdi, quò ingenti omnes animo ad iter mouerẽtur, utq; adessent mane ad Cyaxaris ianuas. Tum igitur abeuntes egerunt ita. Sed postero die ubi illuxit, adfuerunt tempestiui ipsi ad ianuas. Vnd cum his Cyrus ingressus ad Cyaxarẽ, cœpit ita loqui: Non equidẽ nescius sum Cyaxares, quæ à me dicenda sunt, ea tibi iamdiu nihilominus uisa esse quàm mihi. Sed pudet te fortaßis ea dicere, ne uidearis idcirco de educendo exercitu facere mentionem, quoniam molestẽ feras nos alere. Quare posteaquã ipse taces, loquar ego & tua & nostra causa. Nobis enim uidetur omnibus, ne posteaquã parati sumus, tum pugnemus, cum hostes in agrum tuum impetũ fecerint: neq; in amico sedentes solo, hostis expectemus, sed in illorũ potius regionẽ ipsi irruamus. Nunc enim cum in tuo sumus agro, magnũ rebus tuis uel inuiti detrimentũ inferimus. Quod si in hostilem eamus terram, male res eorum quàm libentißime afficiemus. Præterea abs te ipsi nunc alimur, magna tua cum impensa. Si aduersus hostis eduxerimus exercitũ, ex illorum agro alimenta capiemus. Insuper si maius nobis illic quã hic periculum impenderet, fortaßis id esset expetendum quod securius foret. Sed nunc pares illi futuri sunt, siue hic expectemus, seu in illorum agrum ijs obuij eamus: & nos item pares sumus pugnaturi, siue eamus nos pugnatum aduersus illos, seu hic illos adorientis excipiamus. Sed multò profectò præstantioribus robustioribusq; utemur militum animis, si eamus aduersus inimicos, neq; inuiti hostis aspicere uideamur. Longẽ etiam illi magis nos metuent, ubi audierint nos nequaquam suo terrore tanquam exanimatos domi sedere: sed posteaquam eos sentimus aduenientis, & ipsis occurrere quamcelerrimẽ manum conserturos, et minime expectare donec noster ager detrimentũ patiatur, sed anteuertentis potius uastare iam illorum solum. Ac si quidem maiorem illis metum iniecerimus, & nosipsos alacrioris fecerimus ad audendum, hoc ego nobis maximo lucro cessurum puto. Et hoc item modo periculi nobis minus, hostibus uerò plus fore censeo. Nam ut & meus pater dicere semper solet, & tu dixisti, & alij omnes consentiunt, PRAELIA animis longẽ magis, quàm uiribus corporũ iudicantur. Cyrus ita locutus est. Ad quem Cyaxares ita respõdit: Verùm quòd uos alere mihi molestum sit, nolo Cyre uosq; alij Persæ suspicemini. Enimuero ire iam in hostilem terram, uidetur etiam mihi ad omnia esse melius. Ergo, inquit Cyrus, posteaquã eadem nobis mens est, iam instruamur licet: & si per deorũ sacrificia quã primũ nobis cõsentitur, exeamus celerrime. Exhinc militibus instrui iußis, Cyrus sacrificabat primũ Ioui regi, dein alijs dijs, petebatq; ut propitij ac mites exercitũ ducerent, utq; boni forent & fautores et so

τὰ καταλειπόμενα διεκοσμεῖτο. ἐπεὶ δὲ συνῆλθον οἱ ἐπικαίριοι, παραγαγὼν αὐτοὺς ἐπεδείκνυέ τε ἃ τοῖς τε καλῶς ἔχοντα, καὶ ἐδίδασκεν ἣ ἕκαστον ἰσχυρὸν εἴη τῆς συμμαχικῆς. ἐπεὶ δὲ κἀκείνους ἐποίησεν ἐρωτικῶς ἔχειν τοῦ ἤδη ποιεῖν τι, εἶπεν αὐτοῖς, νῦν μὲν ἀπιέναι ἐπὶ τὰς τάξεις, καὶ διδάσκειν ἕκαστον τοὺς ἑαυτοῦ, ἅπερ αὐτοὺς ἐκείνους, καὶ πειρᾶσθαι αὐτοὺς προθυμίαν ἐμβαλεῖν πάσῃ τῇ στρατιᾷ, ὅπως εὐθυμότατα πάντες ὁρμῶνται, πρῲ δὲ παρεῖναι ἐπὶ τὰς Κυαξάρου θύρας. τότε μὲν δὴ ἀπιόντες οὕτως ἐποίουν. τῇ δ' ὑστεραίᾳ ἅμα τῇ ἡμέρᾳ παρῆσαν οἱ ἐπικαίριοι ἐπὶ τὰς θύρας. σὺν τούτοις οὖν ὁ Κῦρος εἰσελθὼν πρὸς τὸν Κυαξάρην, ἤρξατο λόγου τοιοῦδε· οἶδα μέν, ἔφη, ὦ Κυαξάρη, ὅτι ἃ μέλλω λέγειν, σοὶ πάλαι δοκεῖ οὐδὲν ἧττον ἢ ἡμῖν. ἀλλ' ἴσως αἰσχύνῃ λέγειν ταῦτα, μὴ δοκῇς ἀχθόμενος, ὅτι τρέφεις ἡμᾶς, ἐξόδου μεμνῆσθαι. ἐπεὶ οὖν σὺ σιωπᾷς, ἐγὼ λέξω καὶ ὑπὲρ σοῦ καὶ ὑπὲρ ἡμῶν. ἡμῖν γὰρ δοκεῖ πᾶσιν, ἐπείπερ παρεσκευασάμεθα, μὴ ἐπειδὰν ἐμβάλωσιν οἱ πολέμιοι εἰς τὴν σὴν χώραν, τότε μάχεσθαι, μηδ' ἐν τῇ φιλίᾳ καθημένους ἡμᾶς ὑπομένειν. ἀλλ' ἰέναι ὡς τάχιστα εἰς τὴν πολεμίαν. νῦν μὲν γὰρ ἐν τῇ σῇ χώρᾳ ὄντες, πολλὰ τῶν σῶν σινόμεθα ἄκοντες. ἢν δ' εἰς τὴν πολεμίαν ἴωμεν, τὰ ἐκείνων κακῶς ποιήσομεν ἡδόμενοι. ἔπειτα νῦν μὲν σὺ ἡμᾶς τρέφεις πολλὰ δαπανῶν. ἢν δὲ ἐκστρατευσώμεθα, θρεψόμεθα ἐκ τῆς πολεμίας. ἔτι δὲ εἰ μὲν μείζων τις ἡμῖν κίνδυνος ἔμελλεν ἐκεῖ ἢ ἐνθάδε ἔσεσθαι, ἴσως τὸ ἀσφαλέστατον ἦν ἂν αἱρετέον. νῦν δὲ ἴσοι μὲν ἐκεῖνοι ἔσονται, ἐάν τε ἐνθάδε ὑπομένωμεν, ἐάν τε εἰς τὴν ἐκείνων ἰόντες ὑπαντῶμεν αὐτοῖς. ἴσοι δὲ ἡμεῖς ὄντες μαχούμεθα, ἤν τε ἐνθάδε ἐπιόντας αὐτοὺς δεχώμεθα, ἤν τε ἐπ' ἐκείνους ἰόντες, τὴν μάχην συνάπτωμεν. πολὺ μέντοι ἡμεῖς βελτίοσι καὶ ἐρρωμενεστέραις ταῖς ψυχαῖς τῶν στρατιωτῶν χρησόμεθα, ἢν ἴωμεν ἐπὶ τοὺς ἐχθρούς, καὶ μὴ ἄκοντες δοκῶμεν ὁρᾶν τοὺς πολεμίους. πολὺ δὲ κἀκεῖνοι μᾶλλον ἡμᾶς φοβήσονται, ὅταν ἀκούσωσιν ὅτι οὐχ ὡς φοβούμενοι πτήσσομεν αὐτοὺς οἴκοι καθήμενοι, ἀλλ' ἐπεὶ αἰσθανόμεθα προσιόντας, ἀπαντῶμέν τε αὐτοῖς, ἵν' ὡς τάχιστα συμμίξωμεν, καὶ οὐκ ἀναμένομεν, ἕως ἂν ἡ ἡμετέρα χώρα κακῶται. ἀλλὰ φθάνοντες ἤδη δῃοῦμεν τὴν ἐκείνων γῆν. καίτοι, ἔφη, εἴ τι ἐκείνους μὲν φοβερωτέρους ποιήσομεν, ἡμᾶς δὲ αὐτοὺς θαρραλεωτέρους, πολὺ τοῦτο ἡμῖν ἐγὼ πλεονέκτημα νομίζω. καὶ τὸν κίνδυνον οὕτως ἡμῖν μὲν ἐλάττω λογίζομαι, τοῖς δὲ πολεμίοις μείζω, πολὺ ἂν μᾶλλον. καὶ ὁ πατὴρ αἰεὶ λέγει, καὶ σὺ φῄς, καὶ οἱ ἄλλοι δὲ πάντες ὁμολογοῦσιν, ὡς αἱ μάχαι κρίνονται μᾶλλον ταῖς ψυχαῖς ἢ ταῖς τῶν σωμάτων ῥώμαις. ὁ μὲν οὕτως εἶπε. Κυαξάρης δὲ ἀπεκρίνατο· ἀλλ' ὅπως μέν, ὦ Κῦρε, καὶ οἱ ἄλλοι Πέρσαι, ἐγὼ ἄχθομαι τρέφων ὑμᾶς, μηδ' ὑπονοεῖτε. τό γε μέντοι ἰέναι εἰς τὴν πολεμίαν, ἤδη καὶ ἐμοὶ βέλτιον εἶναι δοκεῖ πρὸς πάντα. ἐπεὶ τοίνυν, ἔφη ὁ Κῦρος, ὁμογνωμονοῦμεν, συσκευαζώμεθα. καὶ ἢν τὰ τῶν θεῶν ἡμῖν θᾶττον συγκαταινῇ, ἐξίωμεν ὡς τάχιστα. ἐκ τούτου τοῖς μὲν στρατιώταις εἰπὼν συσκευάζεσθαι, ὁ Κῦρος ἔθυε πρῶτον μὲν Διὶ βασιλεῖ, ἔπειτα δὲ καὶ τοῖς ἄλλοις θεοῖς. καὶ ἐδεῖτο, ἵλεως καὶ εὐμενεῖς ὄντας, ἡγεμόνας γενέσθαι τῇ στρατιᾷ, καὶ παραστάτας ἀγαθούς, καὶ συμμά-

χους, καὶ συμβούλους τῶν ἀγαθῶν. συμπαρεκάλει δὲ καὶ ἥρωας γῆς Μηδίας οἰκήτορας καὶ κηδεμόνας. ἐπεὶ δ' ἐκαλλιέρησέ τε καὶ ἀθρόον ἦν αὐτῷ τὸ στράτευμα πρὸς τοῖς ὁρίοις, τότε δὴ οἰωνοῖς χρησάμενος αἰσίοις, ἐνέβαλεν εἰς τὴν πολεμίαν. ἐπεὶ δὲ τάχιστα διέβη τὰ ὅρια, καὶ γῆν ἱλάσκετο χοαῖς καὶ θεοὺς θυσίαις, καὶ ἥρωας ἀσσυρίας οἰκήτορας εὐμενίζετο. ταῦτα δὴ ποιήσας, αὖθις δὴ πατρῴῳ ἔθυε, καὶ εἴ τις ἄλλος θεῶν ἐφαίνετο, οὐδενὸς ἠμέλει. ἐπεὶ δὲ ταῦτα καλῶς εἶχεν, εὐθὺς τοὺς μὲν πεζοὺς προαγαγόντες, οὐ πολλὴν ὁδὸν ἐστρατοπεδεύσαντο. τοῖς δ' ἵπποις καταδρομὴν ποιησάμενοι, περιεβάλοντο πολλὴν καὶ παντοίαν λείαν. καὶ τὸ λοιπὸν δὲ μεταστρατοπεδευόμενοι καὶ δῃοῦντες τὴν χώραν, ἀνέμενον τοὺς πολεμίους. ἡνίκα δὲ προσιόντες ἐλέγοντο οὐκέτι δέκ' ἡμερῶν ἀπέχειν ὁδόν, τότε δὴ ὁ κῦρος λέγει· ὦ κυαξάρη, ὥρα δὴ ἀπαντᾶν, καὶ μήτε τοῖς πολεμίοις δοκεῖν, μήτε τοῖς ἡμετέροις φοβουμένους μὴ ἀντιπροσιέναι, ἀλλὰ δῆλοι ὦμεν, ὅτι οὐκ ἄκοντες μαχούμεθα. ἐπεὶ ταῦτα συνεδόκει τῷ κυαξάρῃ, οὕτω δὴ ἀεὶ συντεταγμένοι προῇσαν, τοσοῦτον καθ' ἡμέραν ὅσον ἐδόκει αὐτοῖς καλῶς ἔχειν. καὶ δεῖπνον μὲν ἀεὶ κατὰ φῶς ἐποιοῦντο. πυρὰ δὲ νύκτωρ οὐκ ἔκαιον ἐν τῷ στρατοπέδῳ. ἔμπροσθεν μέντοι τοῦ στρατοπέδου ἔκαιον, ὅπως ὁρῷεν μὲν εἴ τινες νυκτὸς προσίοιεν διὰ τὸ πῦρ, μὴ ὁρῷντο δὲ ὑπὸ τῶν προσιόντων. πολλάκις δὲ καὶ ὄπισθεν τοῦ στρατοπέδου ἐπυρπόλουν ἀπάτης ἕνεκα τῶν πολεμίων. ὥστ' ἐνίοτε καὶ κατάσκοποι ἐνέπιπτον εἰς τὰς προφυλακὰς αὐτῶν, διὰ τὸ ὄπισθεν τὰ πυρὰ εἶναι, ἔτι πόρρω τοῦ στρατοπέδου οἰόμενοι εἶναι. οἱ μὲν οὖν ἀσσύριοι καὶ οἱ σὺν αὐτοῖς, ἐπεὶ δὴ ἐγγὺς ἀλλήλων τὸ στράτευμα ἐγίγνετο, τάφρον περιεβάλλοντο. ὅπερ καὶ νῦν ἔτι ποιοῦσιν οἱ βάρβαροι βασιλεῖς, ὁπόταν στρατοπεδεύωνται, τάφρον περιβάλλονται εὐπετῶς διὰ τὴν πολυχειρίαν. ἴσασι γὰρ ὅτι ἱππικὸν στράτευμα ἐν νυκτὶ ταραχῶδές ἐστι, καὶ δύσχρηστον, ἄλλως τε καὶ βάρβαρον. πεποδισμένους γὰρ ἔχουσι τοὺς ἵππους ἐπὶ ταῖς φάτναις. καὶ εἴ τις ἐπ' αὐτοὺς ἴοι, ἔργον μὲν νυκτὸς λῦσαι ἵππους, ἔργον δὲ χαλινῶσαι, ἔργον δ' ἐπισάξαι, ἔργον δ' ἐπιθωρακίσασθαι. ἀναβάντας δ' ἐφ' ἵππων ἐλάσαι διὰ τοῦ στρατοπέδου, παντάπασιν ἀδύνατον. τούτων δὴ ἕνεκα πάντων, καὶ οἱ ἄλλοι καὶ ἐκεῖνοι τὰ ἐρύματα περιβάλλονται. καὶ ἅμα αὐτοῖς δοκεῖ τὸ ἐν ἐχυρῷ εἶναι, καὶ ἐξουσίαν παρέχειν ὅταν βούλωνται μὴ μάχεσθαι. τοιαῦτα μὲν δὴ ποιοῦντες ἐγγὺς ἀλλήλων ἐγίγνοντο. ἐπεὶ δὲ προσιόντες ἀπεῖχον ὅσον παρασάγγην, οἱ μὲν ἀσσύριοι οὕτως ἐστρατοπεδεύοντο ὥσπερ εἴρηται, ἐν περιτεταφρευμένῳ μέν, καταφανεῖ δέ. ὁ δὲ κῦρος ὡς ἐδύνατο ἐν ἀφανεστάτῳ, κώμας τε καὶ γηλόφους ἐπίπροσθεν ποιησάμενος, νομίζων πάντα τὰ πολεμικὰ ἐξαίφνης ὁρώμενα φοβερώτερα τοῖς ἐναντίοις εἶναι. καὶ ἐκείνην μὲν τὴν νύκτα ὥσπερ ἔπρεπε προφυλακὰς ποιησάμενοι, ἑκάτεροι ἐκοιμήθησαν. τῇ δ' ὑστεραίᾳ ὁ μὲν ἀσσύριος καὶ ὁ κροῖσος, καὶ οἱ ἄλλοι ἡγεμόνες, ἀνέπαυον τὰ στρατεύματα ἐν τῷ ἐχυρῷ. κῦρος δὲ καὶ κυαξάρης συνταξάμενοι, περιέμενον, ὡς εἰ προσίοιεν οἱ πολέμιοι μαχούμενοι. ὡς δὲ δῆλον ἐγένετο, ὅτι οὐκ ἐξίοιεν οἱ πολέμιοι ἐκ τοῦ ἐρύματος, οὐδὲ μάχην ποιήσοιντο ταύτῃ τῇ ἡμέρᾳ, ὁ μὲν

κυαξάρης

eis, consultoresq; bonorum. Simul etiam rogabat et & heroas soli Mediae habitatores & curatores. Vbi uero & litauisset, & frequens ei esset agmen iuxta fines, tum demum secundis usus augurijs, solum inuadebat hostile: superatisque illico finibus, illic iterum propitiam libationibus reddebat Tellurem, & sacrificijs deos ac heroas qui Assyriam incolunt, placabat. Quae cum fecisset, rursus Ioui patrio sacrificabat: & si quis alius deus ostenderetur, nullum negligebat. His actis, continuo haud multum itineris peditatum adigentes, locabant castra: equitatu autem discurrentes, magnam multiplicemq; praedam complectebantur. Caeterum castrametati habentesq; res necessarias affatim, & uastantes agrum, hostis expectabant. Qui cum aduentare dicerentur, nec iam distare iter dierum decem, tum ait Cyrus: Iam tempus est Cyaxare obuiam eundi, ne & hostibus uideamur & nostris metu eis non occurrere, quin potius pateat non inuitos nos pugnaturos. Haec ubi Cyaxari quoque uisa sunt, ita instructi procedebant, semper tantum quotidie, quantum satis esse ipsis uideretur: faciebantq; coenam semper cum luce. Neque ignis in castris noctu accendebant, sed ante castra: quo si qui noctu procederent, propter ignem aspicerent, neque ab aduenientibus uiderentur. Saepe etiam post castra ignis faciebant ad fallendos hostis. Quare interdum speculatores quoque incidebant in eorum procubitores, quoniam ignes essent post castra, cum illi tamen arbitrarentur esse à castris sese admodum procul. Itaque Assyrij, & qui cum ijs erant, ubi iam proxima inuicem agmina fierent, fossa circundabantur: id quod hoc etiam tempore faciunt reges barbari, qui in locatione castrorum quamprimum ob hominum multitudinem circundantur fossa. Norunt enim equestre agmen noctu facilè turbari, esseq; inutile & maximè barbarum. Habebant enim in praesepio equos ligatis pedibus, ad quos si quis eat, eos & soluere noctu & frenare laboriosum sit. Operosum est etiam eosdem ephippijs sternere atque loricis induere: & cum equum ascenderis, cum agere per castra nullo pacto possis. Itaque ob haec omnia cum alij barbari, tum illi, fossa munitiones circundant: simulque existimant cum in loco sunt munito, potestatem praestare pugnandi cum uelint. Cum haec igitur facerent, inuicem proximi fiebant. Sed ubi appropinquantes distarent circiter parasangam, Assyrij ita locabant castra, ut dictum est, in loco fossa circundato, sed aperto. At Cyrus quàm poterat in loco occultissimo, factis ante castra uallis loricatis & terreis tumulis, ratus res omnis bellicas quae repente aspiciantur, esse aduersis formidabiliores. Atque illa quidem noctem, ut par erat, ab utrisque procubitoribus constitutis, quieti se dederunt. Postridie uero illius diei Assyrius, Croesusq;, atq; alij duces intra munitionem agmina in pace continuere. Cyrus autem & Cyaxares instructa acie expectabant pugnaturi, ubi hostes inuaderent. Sed ut est exploratum, neq; exituros eo die hostis ex munitione, neque pugnam facturos,

Cyaxares uocato Cyro atq; alijs tempestiuis, huiusmodi uerba locutus est: Videtur mihi, amici uiri, uti ita instructi ut sumus, eamus ad aduersariorũ munitionem, eisq; declaremus uelle nos pugnam. Ita enim ubi illi contrà in pugnam non exeant, tum nostri omnibus in rebus audentiores futuri sunt, tum hostes timidiores nostram intuiti audentiam. Cyaxares ita sentiebat. At Cyrus: Nullo modo, inquit, per deos immortalis, ô Cyaxares. Nam si ita profecturi apparuerimus ut tu iubes, tunc profectò hostes nos aduenientes spectabunt sine ulla formidine, cum non sint nescij se esse in tuto, ne quid patiantur: cumq; abeuntes nihil omnino fecerimus, rursus aspicientes copias nostras eis numero admodum cedere, nos contemnent, tum cras exibunt animis longe firmioribus. Nunc autem cum adesse nos norunt, neque nos uident, tibi perspicuum debet esse, nullis nos illis fore contemptui, sed cogitabunt potius, quidnam hoc est? denique de nobis disserentis, certò scio eos minime quiescere. Cum uerò exierint, tum ijs simul appareamus oportet, continuoq; obuij eamus, eos offendentes ubi olim uolebamus. Quæ Cyri oratio posteaquam & Cyaxari & alijs est probata, per id quidem temporis ubi cœnati sunt, constituissentq; excubias, & ignis multos ante illas accendissent, dederunt se quieti. Postero autem die mane Cyrus coronatus sacrificabat, præcipiebatq; alijs optimatibus, ut coronati sacrificijs adessent. Sacrificio finito, Cyrus his conuocatis dixit:

CYRI ORATIO.

Viri amici, dij immortales quemadmodum & augures dicunt, & mihi etiam uidetur, tum pugnam fore pronunciant, tum dant uictoriam, & salutem in sacrificijs pollicentur. Quales autem uos esse oportet, pudeat me sane admonere. Noui enim æque uobis hæc esse cognita ac mihi, & hæc uos exercuisseq; & audisse, audireq; assidue, quæ etiam ego. Itaque non absurde alios doceatis. Sed hæc nunc si minus nostis, auditote. Quos enim nouißime & habemus socios, & enitimur facere nobis similis, hi nobis admonendi sunt, & quorum gratia à Cyaxare alebamur, & quæ ipsi exercebamus, & ad quas res eos inuitauimus, quapropter dixere se nobis auditores fore. Et huius rei admonitos eos reddite, quod hic dies demonstraturus est, quæ quisq; mereatur. Nam quas res homines serò discunt, non est mirandum si qui ipsorum admonitoris quoq; indigent. Verùm satis fuerit, ubi etiam ex admonitione se fortiter gerant. Quæ quidem agentes de uobis quoque unà periculum facietis. Nam qui potest in huiusmodi re facere alios meliores, sibi iam cõsentaneè conscius sit absolutæ suæ probitatis. Qui autem horum admonitionem habet duntaxat, eâq; hac cõtentus, se iure semiperfectum existimet. Quamobrẽ haud ego ijs dico, sed iubeo, uos dicatis quo etiam uobis obsequi studeat. Vos enim ex ijs estis proximi quisq; parti. Neq; uos lateat, donec istis uestram fiduciã ostẽderitis, et his

Κυαξάρης καλέσας τὸν Κῦρον, καὶ πάντας τοὺς ἐπικαιρίους, ἔλεξε τοιάδε. Δοκεῖ μοι, ἔφη, ὦ ἄνδρες, ὥσπερ τυγχάνομεν συντεταγμένοι, οὕτως ἰέναι πρὸς τὸ τῶν ἀνδρῶν ἔρυμα, καὶ δηλοῦν, ὅτι θέλομεν μάχεσθαι. οὕτω γάρ, ἔφη, ἐπειδὰν μὴ ἀντεπεξίωσιν ἐκεῖνοι, οἱ μὲν ἡμέτεροι μᾶλλον θαῤῥήσουσιν ἐν ἅπασι. οἱ πολέμιοι δὲ τὴν τόλμαν ἰδόντες ἡμῶν, μᾶλλον φοβηθήσονται. τοῦτο μὲν δὴ οὕτως ἐδόκει. ὁ δὲ Κῦρος ἔφη· μηδαμῶς πρὸς τῶν θεῶν, ὦ Κυαξάρη, οὕτω ποιήσωμεν. εἰ γὰρ ἤδη ἐκφανέντες πορευσόμεθα ἣ σὺ κελεύεις, νῦν τε προσιόντας ἡμᾶς οἱ πολέμιοι θεάσονται, οὐδὲν φοβούμενοι, εἰδότες ὅτι ἐν ἀσφαλεῖ εἰσι τοῦ μηδὲν παθεῖν. ἐπειδάν τε μηδὲν ποιήσαντες ἀπίωμεν, πάλιν καθορῶντες ἡμῶν τὸ πλῆθος, πολὺ ἐνδεέστερον τοῦ ἑαυτῶν καταφρονήσουσι. καὶ αὔριον ἐξίασι, πολὺ ἐῤῥωμενεστέραις ταῖς γνώμαις. νῦν δ', ἔφη, εἰδότες μὲν ὅτι πάρεσμεν, οὐχ ὁρῶντες δὲ ἡμᾶς, εὖ ἴστε, οὐ καταφρονοῦσιν, ἀλλὰ φροντίζουσι, τί ποτε τοῦτ' ἐστί. καὶ διαλεγόμενοι περὶ ἡμῶν, ἐγὼ οἶδ', ὅτι οὐδὲν παύονται. ὅταν δ' ἐξίωσι, τότε δεῖν αὐτοῖς ἅμα φανερούς τε ἡμᾶς γενέσθαι, καὶ ἰέναι εὐθὺς ὁμόσε, εἰληφότας αὐτοὺς ἔνθα πάλαι ἐβουλόμεθα. λέξαντος δὲ οὕτω Κύρου, συνέδοξε καὶ ταῦτα Κυαξάρει, καὶ τοῖς ἄλλοις. καὶ τότε μὲν δειπνοποιησάμενοι, καὶ φυλακὰς καταστησάμενοι, καὶ πυρὰ πρὸ τῶν φυλακῶν καύσαντες, ἐκοιμήθησαν. τῇ δ' ὑστεραίᾳ πρωῒ, Κῦρος μὲν ἐστεφανωμένος ἔθυε, παρήγγειλε δὲ καὶ τοῖς ἄλλοις ὁμοτίμοις ἐστεφανωμένοις πρὸς τὰ ἱερὰ παρεῖναι. ἐπεὶ δὲ τέλος εἶχεν ἡ θυσία, συγκαλέσας αὐτοὺς, ἔλεξεν.

ΔΗΜΗΓΟΡΙΑ ΚΥΡΟΥ.

Ἄνδρες, οἱ μὲν θεοὶ ὡς οἵ τε μάντεις φασί, καὶ ἐμοὶ συνδοκεῖ, μάχην τ' ἔσεσθαι προαγγέλλουσι, καὶ νίκην διδόασι, καὶ σωτηρίαν ὑπισχνοῦνται ἐν τοῖς ἱεροῖς. ἐγὼ δὲ ὑμῖν παραινῶν ὁποίους τινὰς χρὴ εἶναι ἐν τῷ τοιῷδε, αἰσχυνοίμην ἄν. οἶδα γὰρ ὑμᾶς ταῦτα ἐμοὶ ἐπισταμένους, καὶ ταῦτα μεμελετηκότας τε καὶ ἀκηκοότας καὶ ἀκούοντας διὰ τέλους, ἅπερ ἐγώ. ὥστε κἂν ἄλλους εἰκότως ἂν διδάσκοιτε τάδε. εἰ δὲ μὴ τυγχάνετε κατανενοηκότες, ἀκούσατε. οὓς γὰρ νεωστὶ συμμάχους τε ἔχομεν, καὶ πειρώμεθα ἡμῖν αὐτοῖς ὁμοίους ποιεῖν, τούτους δεῖ ὑμᾶς ὑπομιμνήσκειν, ἐφ' οἷς τε ἐτρεφόμεθα ὑπὸ Κυαξάρους, ἅ τε ἠσκοῦμεν, ἐφ' ἅ τε αὐτοὺς παρακεκλήκαμεν, ὥστε ἄσμενοι ἀνταγωνισταὶ ἡμῖν ἔφασαν ἔσεσθαι. καὶ τοῦτο δὲ αὐτοὺς ὑπομιμνήσκετε, ὅτι ἥδε ἡ ἡμέρα δείξει, ὧν ἄξιος ἕκαστος ἐστίν. ὧν γὰρ ἄνθρωποι ὀψιμαθεῖς γίγνωνται, οὐδὲν θαυμαστόν, εἴ τινες αὐτῶν, καὶ τοῦ ὑπομνήσοντος δέοιντο. ἀλλ' ἀγαπητόν, εἰ καὶ ἐξ ὑποβολῆς δύναιντο ἄνδρες ἀγαθοὶ εἶναι. καὶ ταῦτα μὲν πράττοντες, ἅμα καὶ ὑμῶν αὐτῶν πεῖραν λήψεσθε. ὁ μὲν γὰρ δυνάμενος ἐν τῷ τοιῷδε καὶ ἄλλους βελτίους ποιεῖν, εἰκότως ἂν ἤδη καὶ ἑαυτῷ συνειδείη, τελέως ἀγαθὸς ἀνὴρ ὤν. ὁ δὲ τὴν τούτων ὑπόμνησιν αὐτὸς μόνος ἔχων, καὶ τοῦτο ἀγαπῶν, εἰκότως ἂν ἡμιτελῆ αὑτὸν νομίζοι. τούτου δ' ἕνεκεν, οὐκ ἐγώ, ἔφη, αὐτοῖς λέγω, ἀλλ' ὑμᾶς κελεύω λέγειν, ἵνα καὶ ἀρέσκειν ὑμῖν πειρῶνται. ὑμεῖς γὰρ καὶ πλησιάζετε αὐτοῖς, ἕκαστος τῷ ἑαυτοῦ μέρει. εὖ δ' ἐπίστασθε, ἔφη, ἕως ἂν θαῤῥοῦντας τούτοις ὑμᾶς αὐτοὺς ἐπιδεικνύητε, καὶ

τούτους

τούτους καὶ ἄλλους πολλοὺς, οὐ λόγῳ, ἀλλ᾽ ἔργῳ θαρρεῖν
διδάξατε. ἀλλ᾽ ἴτε ἀπιόντας ἀριστᾶν, ἐστεφανωμέ-
νους καὶ σπονδὰς ποιησαμένους, ἥκειν εἰς τὰς τάξεις, αὐ
τοῖς στεφάνοις. ἐπεὶ δὲ οὗτοι ἀπῆλθον, αὖθις τοὺς οὐραγοὺς,
προσεκάλεσε, καὶ τούτοις αὖ τοιάδε ἔλεξεν· ἄνδρες πέρ
σαι, ὑμεῖς καὶ τῶν ὁμοτίμων γεγόνατε, καὶ ἐπιλελεγμέ-
νοι ἐστὲ, οἳ δοκεῖτε τὰ μὲν ἄλλα τοῖς κρατίστοις ὅμοιοι εἶ-
ναι, τῇ δ᾽ ἡλικίᾳ, καὶ φρονιμώτεροι. καὶ τοίνυν χώραν ἔχε
τε, οὐδὲν ἧττον ἔντιμον τῶν πρωτοστατῶν. ὑμεῖς γὰρ ὄπισθεν
ὄντες, τούς τ᾽ ἀγαθοὺς ἂν ἐφορῶντες, καὶ ἐπικελεύοντες
αὐτοῖς, ἔτι κρείττους ποιεῖτε. εἴ τέ τις μαλακίζοιτο, καὶ
τοῦτον ὁρῶντες, οὐκ ἂν ἐπιτρέποιτε αὐτῷ. συμφέρει δ᾽ ὑμῖν
εἴπερ τῳ καὶ ἄλλῳ τὸ νικᾶν, καὶ διὰ τὴν ἡλικίαν, καὶ διὰ τὸ
βάρος τῆς στολῆς. ἂν δ᾽ ἄρα ὑμᾶς, καὶ οἱ ἔμπροσθεν ἀνακα
λοῦντες ἕπεσθαι παρεγγυῶσιν, ὑπακούετε αὐτοῖς. καὶ ὅπως
μὴ δ᾽ ἐν τούτῳ αὐτῶν ἡττηθήσεσθε, ἀντιπαρακελευόμε-
νοι αὐτοῖς, θᾶττον ἡγεῖσθαι ἐπὶ τοὺς πολεμίους. καὶ ἀπιόντες,
ἔφη, ἀριστήσαντες καὶ ὑμεῖς, ἥκετε σὺν τοῖς ἄλλοις ἐστε
φανωμένοι ἐς τὰς τάξεις. οἱ μὲν δὴ ἀμφὶ κῦρον ἐν τού-
τοις ἦσαν. οἱ δὲ ἀσσύριοι καὶ δὴ ἠριστηκότες, ἐξῇσάν
τε θρασέως, καὶ παρετάττοντο ἐρρωμένως. παρέταττε δὲ
αὐτοὺς ὁ βασιλεὺς, ἐφ᾽ ἅρματος παρελαύνων, καὶ τοιάδε
δὲ παρεκελεύετο· ἄνδρες ἀσσύριοι, νῦν δεῖ ἄνδρας
ἀγαθοὺς εἶναι. νῦν γὰρ περὶ ψυχῶν τῶν ὑμετέρων ὁ ἀγών· καὶ
περὶ γῆς, ἐν ᾗ ἔφυτε· καὶ περὶ οἴκων, ἐν οἷς ἐτράφητε· καὶ
περὶ γυναικῶν δὲ καὶ τέκνων, καὶ περὶ πάντων ὧν κέκτη
σθε ἀγαθῶν. νικήσαντες μὲν γὰρ ἁπάντων τούτων ὑ-
μεῖς ὥσπερ πρόσθεν κύριοι ἔσεσθε· εἰ δ᾽ ἡττηθήσεσθε, εὖ
ἴστε ὅτι παραδώσετε ταῦτα πάντα τοῖς πολεμίοις. ἅτε
οὖν νίκης ἐρῶντες, μένοντες μάχεσθε. μωρὸν γὰρ, τὸ κρα
τεῖν βουλομένους, τὰ τυφλὰ τοῦ σώματος καὶ ἄοπλα
καὶ ἄχειρα ταῦτα, ἐναντία τάττειν τοῖς πολεμίοις φεύ/
γοντας. μωρὸς δὲ καὶ εἴ τις ζῆν βουλόμενος, φεύγειν ἐπι
χειροίη. εἰδὼς ὅτι μὲν νικῶντες σώζονται. οἱ δὲ φεύγον/
τες ἀποθνήσκουσι μᾶλλον τῶν μενόντων. μωρὸς δὲ καὶ εἴ τις
χρημάτων ἐπιθυμῶν, ἧτταν προσίεται. τίς γὰρ οὐκ οἶδεν,
ὅτι οἱ μὲν νικῶντες, τά τε ἑαυτῶν σώζουσι, καὶ τὰ τῶν ἡττω
μένων προσλαμβάνουσιν, οἱ δ᾽ ἡττώμενοι, ἅμα ἑαυτούς
τε καὶ τὰ ἑαυτῶν, πάντα ἀποβάλλουσιν. ὁ μὲν δὴ ἀσσύ
ριος ἐν τούτοις ἦν. ὁ δὲ κυαξάρης πέμπων πρὸς τὸν
κῦρον ἔλεγεν. ὅτι ἤδη καιρὸς ἄγειν ἐπὶ τοὺς πολεμίους.
εἰ γὰρ νῦν, ἔφη, ἔτι ὀλίγοι εἰσὶν οἱ ἔξω τοῦ ἐρύματος, ἐν
ᾧ ἂν προΐωμεν, πολλοὶ ἔσονται. μὴ οὖν ἀναμένωμεν, ἕως
ἂν πλείους ἡμῶν γένωνται. ἀλλ᾽ ἴωμεν ἕως ἔτι οἰόμεθα,
εὐπετῶς αὐτῶν κρατῆσαι ἄν. ὁ δ᾽ αὖ κῦρος ἀπεκρίνατο·
ὦ κυαξάρη, εἰ μὴ ὑπὲρ ἥμισυ αὐτῶν ἔσονται οἱ ἡττη
θέντες, εὖ ἴσθι ὅτι ἡμᾶς μὲν ἐροῦσι φοβουμένους τὸ πλῆ
θος, τοῖς ὀλίγοις ἐπιχειρῆσαι, αὐτοὶ δὲ οὐ νομίσουσιν
ἡττῆσθαι. ἄλλης οὖν συμμαχίας δεήσειν, ἐν ᾗ ἂν ἄμεινον
ἴσως βουλεύσαιντο, ἢ νῦν βεβούλευνται, παραδόντες
ἑαυτοὺς ἡμῖν ταμιεύεσθαι, ὥσθ᾽ ὁπόσοις ἂν βουλώμεθα
αὐτῶν μάχεσθαι. οἱ μὲν δὴ ἄγγελοι ταῦτα ἀκούσαντες
ᾤχοντο. ἐν τούτοις δ᾽ ἦλθε χρυσάντας ὁ πέρσης, καὶ ἄλ
λοι τινὲς τῶν ὁμοτίμων αὐτομόλους ἄγοντες. καὶ ὁ
κῦρος ὡς εἰκὸς, ἠρώτα τοὺς αὐτομόλους τὰ ἐκ τῶν πο-
λεμίων. οἱ δ᾽ ἔλεγον, ὅτι ἐξίοιέν τε ἤδη σὺν τοῖς ὅπλοις,

bis, & alijs multis audendi non uerbo, sed opere do/
ctores futuri estis. Dixitq; ad postremum, ut pransum
abirent coronati, utq; uenirent in ordines cum co/
ronis. Vt hi abiere, rursus subsidiarios duces ad se uo
cauit, quibus ita quoq; locutus est: Viri Persae uos
facti estis & homotimi & electi, qui uidemini alijs
quidem in rebus uiris fortißimis esse similes, aetate ue
rò etiam prudentiores: habetisq; locum nihilominus
honestum quàm praefecti. Vos enim cum in postremo
10 estis agmine, uiros fortis obseruantes, ipsosq; adhor/
tantes, redditis etiam fortioris. Quòd si quis mollio/
rem se praestiterit, hunc quoque uidentes, nequa/
quam ei assentiamini. Conducit uobis uictoria, quan/
tum alteri cuiquam, tum propter aetatem, tum pro/
pter grauitatem stolae. Quare si uos etiam qui ante/
riores sunt acciuerint, sequiq; hortentur, ipsis audite.
Et quò ne hac quidem in re sitis illis inferiores, ipsos
adhortamini ut celerrimè antecedant aduersus ho/
stis. Atq; abite, inquit, quò & ipsi prandeatis: deniq;
20 unà cum alijs coronati in ordines itote. Itaq; Cyri mi
lites in his erant. At Assyrij iam etiam pransi & exi/
erant audaciter, instruebanturq; constanter ac robu/
stè. Parabat autem eos rex deuectus in curru cum hu
iusmodi adhortatione: Viri Assyrij nunc opus est ui/
ros fortißimos uos praestetis. Per hoc temporis de ui/
ta uobis propositum est certamen, de solo ubi orti e/
stis, de aedibus in quib. estis & alti & educati, de uxo
ribus, de liberis, ac de bonis omnibus uestris. Si qui/
dem uiceritis, estis harum omnium rerum domini fu/
30 turi, ut antea: sin uicti fueritis, haec omnia tradetis ho
stibus. Quare si uictoriam amatis, manete ac pugna/
te. Stultum est enim qui potiri uolunt uictoria, hos ter
ga, et eas corporis partis quae et armis uacant & ma
nibus, per fugam aduersarijs opponere. Stultus etiam
est si quis uitae appetens se fugae commiserit, cum non
sit ignarus uictoriae parari salutem, at mortem fugien
tis magis quàm manentis occumbere. Atq; ille quoq;
stultus est, qui pecuniarum cupidus uinci aequo animo
patiatur. Quis enim ignorat, uictores & suas sibi res
40 saluas facere, & succumbentium bona etiam capere?
uictos autem, & seipsos unà & sua omnia amittere?
Haec ab Assyrio gerebantur. At Cyaxares ad Cyrum
mittens, aiebat iam tempus esse agendi aduersus ho/
stis acie. Si enim, inquit, nunc pauci adhuc sunt, qui
sese extra munitionem egerint, in quo tum tempore
aggrediemur, erunt permulti. Ne igitur expectemus
donec nos superent numero, sed eamus potius dum ad
huc putamus eos quamprimum à nobis superatum iri
& quamfacillimè. Cui respondit Cyrus: Cyaxares, ni/
50 si uicti fuerint supra dimidium ipsorum, dicturi sunt
nos metu multitudinis aggressos esse paucitatem, ac
ne uictos quidem se putabunt. Itaque rursus pugnan/
dum erit: qua quidem in pugna melius fortasse sibi
consulant, quàm nunc consuluerint, tradentes se no/
bis administrandos, ut cum quanto uellemus eorum
numero pugnaremus. Nuncij his auditis abibant:
cum interea temporis uenit Chrysantas Perses, & a/
lij quidam homotimi, qui transfugas agerent: quos
Cyrus prudenter interrogabat, quae ab hostibus gere
rentur. Illi autem dicebant eos exisse iam cum armis,
dispo/

disponiq; à rege in aciem extra castra, qui eos egressos adhortaretur oratione multa eaq; ualida, ut ab ijs qui audierant ferebatur. Hic ait Chrysantas: Quid Cyre si etiam tu conuocatos milites dum adhuc licet adhorte ris, si quid tandem melioris facturus es? Et Cyrus in/quit: Chrysanta nulla te afficiant molestia adhortatio/nes Assyrij. NVLLA est enim bona adeò admonitio, quæ uiros ullos, si eam audiant, non fortes, unum diem fortis factura sit. Non igitur sagittarios faciat bonos, ni si antea sagittam exercuerint: neque iaculatores, neq; equites, nec item corpora ad laborandum sufficientia, nisi fuerint antè ad labores exercitata. Ad quem Chry santas: Sed satis est, inquit, Cyre, si ipsorum animos ad hortationibus tuis reddideris meliores. NVMQVE AT una oratio, inquit Cyrus, eodem die auditorum ani/mos uerecundia implere, aut à turpitudine cohibere, atque inducere ut laudis gratia omnem laborem, o/mne periculum subeant, ut hoc in mentis suas con/stanter admittant, expetendum magis esse mori pu/gnando, quàm fugiendo seruari? Nonne si huiusmo/di cogitatus debent in hominibus coalescere, stabi/lesq; manere, leges primum huiusmodi sint oportet, per quas uiris bonis uita honorifica liberalisq; pare/tur, malis autem æuum proponatur & humile & mo lestum & mendicum? Dein magistri ac etiam princi/pes mea sententia his præficiendi sunt, qui & rectè demonstraturi sint & docturi, assuefacturique ad hæc facienda, donec eis inhærescat penitus, uiros bonos ac præclaros putandos esse indubitatò felicissimos: malos autem & famosos omnium miserrimos duci o/portere. Sic enim disponendi sunt, qui disciplinam hostili metui sint prælaturi. Si uerò quo tempore mi/lites armati eunt in pugnam, ubi plures etiam ea quæ diu didicerint obliuiscuntur, hic potis quisquam erit qui breui agenda commentatus, è uestigio bellicosos ui ros efficiat. Omnium facillimum certè sit & didicis/se & docuisse maximam rerum humanarum omni/um uirtutem. Quoniam ne hosce quidem credebam stabilis futuros, quos nunc haberemus exerceremusq; que apud nos, nisi præsenteis uos uiderem, qui ip/sis eritis exemplo qualis oportet esse: & quod eos la/tuerit, poteritis suggerere. At ignaris omnino uirtu/tis mirarer equidem Chrysanta si quid plus apposi/ta oratio prodesset ad probitatem, quàm musicæ in/doctis pulchre cantatum carmen ad musicam. Et hi quidem talia disserebant. At Cyaxares iterum mit/tebat, dicens eum errare, quòd tempus terreret, ne/que aciem ageret quamprimum aduersus hostes. At Cyrus tum tandem nuncijs respondit: Exploratis/simum sit Cyaxari, hostes nondum esse castris egres/sos, quod oporteret. Hæcq; nunciate ipsi uniuer/sis audientibus. Cæterum quoniam ita illi uidetur, iam agam. Hæc locutus, & eius soli deos precatus, extra castra aciem agebat. Cumq; agere cœpisset, ce lerius etiam præibat. Quem milites compositè seque/bantur, cum ob scientiam, tum propter exercitatio/nem in ordine pergendi. Magno autem cum robore se quebantur propter mutuam inter sese æmulationem, & quia erant exercitatis corporibus ad laborem, & quoniam præfecti omnes erant principes: libenter uerò quoniam

καὶ διατάξαι αὐτοὺς ὁ βασιλεὺς, ἔξω ὢν, καὶ διακελεύοιτο πολλά τε καὶ ἰσχυρὰ ὡς ἔφασαν λέγειν τοὺς ἀκούοντας. ἐν τούτῳ δὴ εἶπεν ὁ Χρυσάντας· τί δ᾽ ἔφη, ὦ Κῦρε, εἰ καὶ σὺ συγκαλέσας ἕως ἔτι ἔξεστι παρακελεύσαιο, εἰ ἄρα καὶ σὺ ἀμείνους ποιήσαις τοὺς στρατιώτας; καὶ ὁ Κῦρος εἶπεν· ὦ Χρυσάντα, μηδέν σε λυπούντων αἱ τῶν ἀσσυρίων παρακελεύσεις. οὐδεμία γάρ ἐστιν οὕτως καλὴ παραίνεσις, ἥτις τοὺς μὴ ὄντας ἀγαθοὺς, αὐθημερὸν ἀκούσαντας, ἀγαθοὺς ποιήσει. οὐκ ἂν οὖν τοξότας γε, εἰ μὴ ἔμπροσθεν τοῦτο μεμελετηκότες εἶεν· οὐδὲ ἀκοντιστὰς, οὐδὲ μὴν ἱππέας γε, οὐδὲ μὴν τά γε σώματα ἱκανοὺς πονεῖν, εἰ μὴ πρόσθεν ἠσκηκότες ὦσι. καὶ ὁ Χρυσάντας εἶπεν· ἀλλ᾽ ἀρκεῖ τοι, ὦ Κῦρε, ἐὰν τὰς ψυχὰς αὐτῶν παρακελευσάμενος, ἀμείνους ποιήσῃς. ἦ καὶ δύναιτ᾽ ἂν, ἔφη ὁ Κῦρος, εἷς λόγος ῥηθεὶς αὐθημερὸν, αἰδοῦς μὲν ἐμπλῆσαι τὰς ψυχὰς τῶν ἀκουσάντων, ἢ ἀπὸ τῶν αἰσχρῶν κωλῦσαι, προτρέψαι δ᾽ ὡς χρὴ, ἐπαίνου μὲν ἕνεκα, πάντα μὲν πόνον, πάντα δὲ κίνδυνον ὑποδύεσθαι· λαβεῖν δ᾽ ἐν ταῖς γνώμαις βεβαίως τοῦτο, ὡς αἱρετώτερόν ἐστι, μαχομένους ἀποθνήσκειν μᾶλλον, ἢ φεύγοντας σώζεσθαι; ἆρ᾽ οὐκ, ἔφη, εἰ μέλλουσι τοιαῦται διάνοιαι ἐγγραφήσεσθαι ἀνθρώποις, καὶ ἔμμονοι ἔσεσθαι, πρῶτον μὲν νόμους ὑπάρξαι δεῖ τοιούτους, δι᾽ ὧν τοῖς μὲν ἀγαθοῖς, ἔντιμος καὶ ἐλευθέριος ὁ βίος παρασκευασθήσεται· τοῖς δὲ κακοῖς, ταπεινός τε καὶ ἀλγεινὸς καὶ ἀβίωτος ὁ αἰὼν ἐπαναγκασθήσεται; ἔπειτα διδασκάλους οἶμαι δεῖ καὶ ἄρχοντας ἐπὶ τούτοις γενέσθαι, οἵτινες δείξουσί τε ὀρθῶς καὶ διδάξουσι, καὶ ἐθιοῦσι ταῦτα δρᾶν, ἕως ἂν ἐγγένηται αὐτοῖς, τοὺς μὲν ἀγαθοὺς καὶ εὐκλεεῖς, εὐδαιμονεστάτους τῷ ὄντι νομίζειν, τοὺς δὲ κακοὺς καὶ δυσκλεεῖς, ἀθλιωτάτους πάντων ἡγεῖσθαι. οὕτω γὰρ δεῖ διατεθῆναι τοὺς μέλλοντας τὸν ἀπὸ τῶν πολεμίων φόβον τῇ μαθήσει κρείττονα παρέξεσθαι. εἰ δέ τοι ἰόντων εἰς μάχην σὺν ὅπλοις, ἐν ᾧ πολλοὶ καὶ τῶν παλαιῶν μαθημάτων ἐξίστανται, ἐν τούτῳ δυνήσεταί τις ἀπορραψῳδήσας, παραχρῆμα ἄνδρας πολεμικοὺς ποιῆσαι, πάντων ἂν ῥᾷστον εἴη καὶ μαθεῖν καὶ διδάξαι τὴν μεγίστην τῶν ἐν ἀνθρώποις ἀρετήν. ἐπεὶ δ᾽ ἔγωγ᾽, ἔφη, οὐδ᾽ ἂν τούτοις ἐπίστευον ἐν μόνοις ἔσεσθαι, οὓς νῦν ἔχοντες παρ᾽ ἡμῖν αὐτοὺς ἠσκοῦμεν, εἰ μὴ καὶ ὑμᾶς ἑώρων παρόντας, οἳ καὶ παράδειγμα ἔσεσθε οἵους χρὴ εἶναι· καὶ ὑποβάλλειν δυνήσεσθε, ἤν τι ἐπιλανθάνωνται. τοὺς δ᾽ ἀπαιδεύτους παντάπασιν ἀρετῆς, θαυμάζοιμ᾽ ἂν, ἔφη, ὦ Χρυσάντα, εἴ τι πλέον ἂν ὠφελήσειε λόγος καλῶς ῥηθεὶς εἰς ἀνδραγαθίαν, ἢ τοὺς ἀπαιδεύτους μουσικὴν ᾆσμα, καλῶς ᾀσθὲν εἰς μουσικήν. οἱ μὲν ταῦτα διελέγοντο. ὁ δὲ Κυαξάρης πάλιν πέμπων, ἔλεγεν ὅτι ἐξαμαρτάνοι διατρίβων, καὶ οὐκ ἄγων ὡς τάχιστα ἐπὶ τοὺς πολεμίους. καὶ ὁ Κῦρος ἀπεκρίνατο δὴ τότε τοῖς ἀγγέλοις· ἀλλ᾽ εὖ μὲν ἴστω, ἔφη, ὅτι οὔπω εἰσὶν ἔξω ὅσους δεῖ. καὶ ταῦτα ἀπαγγέλλετε αὐτῷ ἐν ἅπασιν. ὅμως δὲ ἐπεὶ ἐκείνῳ δοκεῖ, ἄξω ἤδη. ταῦτα εἰπὼν, καὶ προσευξάμενος τοῖς θεοῖς, ἐξῆγε τὸ στράτευμα. ὡς δ᾽ ἤρξατο ἄγειν ἐπὶ θᾶττον, ὁ μὲν ἡγεῖτο. οἱ δ᾽ εἵποντο εὐτάκτως μὲν, διὰ τὸ ἐπίστασθαί τε καὶ μεμελετηκέναι ἐν τάξει πορεύεσθαι. ἐρρωμένως δὲ, διὰ τὸ φιλονείκως ἔχειν πρὸς ἀλλήλους, καὶ διὰ τὸ τὰ σώματα ἐκπεπονῆσθαι, καὶ διὰ τὸ πάντας ἄρχοντας τοὺς πρωτοστάτας εἶναι· ἡδέως δὲ, καὶ

καὶ διὰ τὸ φρονίμως ἔχειν. ἠπίσταντο γὰρ καὶ ἐκ πολλοῦ οὕτως ἐμεμαθήκεσαν, ἀσφαλέστατον εἶναι, καὶ ῥᾶστον, τὸ ὁμόσε ἰέναι τοῖς πολεμίοις· ἄλλως τε καὶ τοξόταις, καὶ ἀκοντισταῖς καὶ ἱππεῦσιν. ἕως δ᾽ ἔτι βελῶν ἔξω ἦσαν, παρηγγύα ὁ Κῦρος σύνθημα, Ζεὺς σύμμαχος καὶ ἡγεμών. ἐπεὶ δὲ πάλιν ἧκε τὸ σύνθημα ἀνταποδιδόμενον, ἐξῆρχεν αὖ διοσκούροις, παιᾶνα τὸν νομιζόμενον. οἱ δὲ θεοσεβῶς πάντες συνεπήχησαν μεγάλῃ τῇ φωνῇ. ἐν γὰρ τῷ τοιούτῳ γὰρ δὴ οἱ δεισιδαίμονες ἧττον τοὺς ἀνθρώπους φοβοῦνται. ἐπεὶ δ᾽ ὁ παιὰν ἐγένετο, ἅμα πορευόμενοι οἱ ὁμότιμοι φαιδροί, πεπαιδευμένοι, περιορῶντες ἀλλήλους, ὀνομάζοντες παραστάτας ἐπιστάτας λέγοντες. καὶ πολὺ τό, ἄνδρες φίλοι ἄγετ᾽ ἄνδρες ἀγαθοί, παρεκάλουν ἀλλήλους ἕπεσθαι. οἱ δ᾽ ὄπισθεν αὐτῶν ἀκούσαντες, ἀντιπαρεκελεύοντο τοῖς πρώτοις ἡγεῖσθαι ἐρρωμένως. ἦν δὲ μεστὸν τὸ στράτευμα τῷ Κύρῳ, προθυμίας, φιλοτιμίας, ῥώμης, θάρσους, παρακελευσμοῦ, σωφροσύνης, πειθοῦς· ὅπερ οἶμαι δεινότατον τοῖς ὑπεναντίοις. τῶν δ᾽ Ἀσσυρίων οἱ μὲν ἀπὸ τῶν ἐρυμάτων προμαχοῦντες, ὡς ἐγγὺς ἤδη προσεμίγνυε τὸ Περσικὸν πλῆθος, ἀνέβαινον ἐπὶ τὰ ἅρματα, καὶ ἀνεχώρουν πρὸς τὸ ἑαυτῶν πλῆθος. οἱ δὲ τοξόται, καὶ ἀκοντισταί, καὶ σφενδονῆται αὐτῶν ἀφίεσαν τὰ βέλη πολὺ πρὶν ἐξικνεῖσθαι. ὡς δ᾽ ἐπιόντες οἱ Πέρσαι, ἐπέβησαν τῶν ἀφιεμένων βελῶν, ἐφθέγξατο δὴ ὁ Κῦρος· ἄνδρες ἄριστοι ἤδη θᾶττόν τις ἰὼν, ἐπιδεικνύτω ἑαυτὸν καὶ παρεγγυάτω. οἱ μὲν παρεδίδοσαν ταῦτα. ὑπὸ δὲ προθυμίας καὶ μένους, καὶ τοῦ σπεύδειν συμμῖξαι, δρόμου τινὲς ἦρξαν. συνεφείπετο δὲ καὶ πᾶσα ἡ φάλαγξ δρόμῳ. καὶ αὐτὸς δὲ ὁ Κῦρος ἐπιλαθόμενος τοῦ βάδην, δρόμῳ ἡγεῖτο, καὶ ἅμα ἐφθέγγετο· τίς ἕψεται; τίς ἀγαθός; τίς πρῶτος ἄνδρα καταβαλεῖ; οἱ δὲ ἀκούσαντες, τὸ αὐτὸ τοῦτο ἐφθέγγοντο. καὶ διὰ πάντων δὴ ὥσπερ παρηγγύα, οὕτως ἐχώρει. τίς ἕψεται; τίς ἀγαθός; οἱ μὲν δὴ Πέρσαι οὕτως ἔχοντες, ὁμόσε ἐφέροντο. οἵ γε μὴν πολέμιοι, οὐκέτι ἐδύναντο μένειν. ἀλλὰ στραφέντες, ἔφευγον εἰς τὸ ἔρυμα. οἱ δ᾽ αὖ Πέρσαι κατὰ τὰς εἰσόδους ἑπόμενοι, ὠθουμένων αὐτῶν, πολλοὺς ἀπέκτειναν. τοὺς δ᾽ εἰς τὰς τάφρους ἐμπίπτοντας, ἐπεισπηδῶντες ἐφόνευον, ἄνδρας ὁμοῦ καὶ ἵππους. ἔνια γὰρ τῶν ἁρμάτων εἰς τὰς τάφρους ἠναγκάσθη φεύγοντα συνεισπεσεῖν. καὶ οἱ τῶν Μήδων δὲ ἱππεῖς ὁρῶντες ταῦτα, ἤλαυνον εἰς τοὺς ἱππέας τῶν πολεμίων· οἱ δ᾽ ἐνέκλιναν καὶ τούτους. ἔνθα δή, καὶ ἵππων διωγμὸς ἦν καὶ ἀνδρῶν, καὶ φόνος δὲ ἀμφοτέρων. οἱ δ᾽ ἐντὸς τοῦ ἐρύματος τῶν Ἀσσυρίων ἑστηκότες ἐπὶ τῆς κεφαλῆς τῆς τάφρου, τοξεύειν μὲν καὶ ἀκοντίζειν εἰς τοὺς κατακτείνοντας, οὔτε ἐφρόνουν, οὔτ᾽ ἐδύναντο, διά τε τὰ δεινὰ ὁράματα, καὶ διὰ τὸν φόβον. τάχα δὲ καὶ καταμαθόντες τῶν Περσῶν τινὰς διακεκοφότας πρὸς τὰς εἰσόδους τοῦ ἐρύματος, ἐτράποντο, καὶ ἐπὶ τῶν κεφαλῶν ἔφευγον. ἰδοῦσαι δὲ αἱ γυναῖκες τῶν Ἀσσυρίων, καὶ τῶν συμμάχων, φυγὴν ἤδη καὶ ἐν τῷ στρατοπέδῳ, ἀνέκραγον καὶ ἔθεον ἐκπεπληγμέναι. αἱ μὲν καὶ τὰ τέκνα ἔχουσαι· αἱ δὲ καὶ νεώτεραι, καταρρηγνύμεναι τοὺς πέπλους καὶ δρυπτόμεναι, καὶ ἱκετεύουσαι πάντας ὅτῳ ἐντυγχάνοιεν, μὴ φεύγειν καταλιπόντας αὐτάς, ἀλλ᾽ ἀμῦναι, καὶ τέκνοις, καὶ ἑαυταῖς, καὶ σφίσιν αὐτοῖς. ἔνθα δὴ καὶ αὐτοὶ οἱ βασιλεῖς σὺν τοῖς

quoniam prudenter haberent. Sciebant enim, ac iamdiu ita didicerant, & securissimum esse & facillimum obuiam ire hostibus, & sagittarijs maxime, iaculatoribusq; & equitibus. Sed donec adhuc erant eminus à sagittarum iactu, Cyrus tesseram dabat: Iupiter socius & imperator. Vbi rursus uenit tessera uicissim reddita, Cyrus cœpit rursus Castori & Polluci canere pæana, qui est ex legibus. Hi autem pie omnes magna uoce constrepuerunt. In huiusmodi enim hymno superstitiosi minus homines metuunt. Pæane absoluto, unà pergentes homotimi hilari facie, eruditi, ac sese inuicem circunspicientes, appellantesq; nomine fautores præfectosq; frequentissime dicentes, Agite uiri amicissimi, agite uiri fortissimi, se mutuo hortabantur, ut sequerentur. Qui autem erant retro, illis auditis, contra primos ut ualentius ducerent adhortabantur. Habebat aciem Cyrus plenam strenuitatis, ambitionis, roboris, fiduciæ, exhortationis, temperantiæ, obedientiæ: id quod est aduersarijs, mea sententia, maxime formidabile. At Assyrij alij quidem qui à munitionibus propugnabant, cum prope iam accederent Persarum copiæ, ascendebant in currus ad suas copias secedentes: sagittarij uero ac iaculatores, funditoresq; multo prius tela emisere, quàm possent pertingere. Persæ autem adorti Assyrios, ubi peruenerunt ad telorum iactum, tum Cyrus uocem efferens dicebat: Viri fortissimi iam uelocius uestrum aliquis ito, seq; ipsum demonstrato, atque alios exhortator. Et hi quidem deinceps hoc tradiderunt. Quidam uero ob alacritatem, & animi uim, studiumque pugnandi, cœperunt currere: quos uniuersa phalanx cursim sequebatur. Atque Cyrus ipse non pedetentim, perinde quasi oblitus quod antecedebat, sed cursim, simulq; obstrepebat, Quis me sequetur? quis fortis? quis primus uirum prosternet? Quibus illi auditis, idem hoc obstrepebant, ac per eos omneis uti monebat, sic peruadebat, Quis sequetur? quis fortis? Igitur Persæ hoc modo habentes, obuij ferebantur. Hostes cum amplius manere non possent, in fugam conuersi sunt ad munitiones. Itemq; Persæ ad castrorum portas insequentes, urgenteis se illos inuicem plureis interficiebant: superq; eos insilientes qui in fossas caderent, & uiros simul, equosq; necabant. Nam & currus aliqui fugientes, coacti sunt simul in fossas cadere. Atq; Medorum equites his uisis, immittebant in hostium equites, qui eos haud sustinuerunt. Igitur hic & equorum & uirorum fuga, atq; ex utrisque nex facta. Cæterum qui intra munitionem Assyriorum in fossæ statione steterant, sagittas iaculaq; mittere in occisores neq; sciebant, neque poterant, tum ob terribiles aspectus, tum propter metum. Fortassis etiam cum didicissent Persas quosdam ad munitionis aditus suos trucidare, auertebantur, fugiebantq; à stationibus interioribus. Sed ubi Assyriorum sociorumq; uxores uidissent, iam etiam in castris fugam fieri, clamabant, discurrebantq; præ stupore, aliæ liberos habentes, aliæ hæ que iuniores lacerantes peplos, seq; laniantes, omnisque in quemcunque inciderent suppliciter orantes, ne fugerent, ne se desererent, sed auxilium ferrent & filijs, & uxoribus, & sibiypsis. Hic ipsi etiam reges stantes cum

fidelissi-

fidelißimis militibus, unà ad castrorum portas stationibus ascensis, tum ipsi pugnabant, tum alios hortabantur ad pugnandum. At Cyrus posteaquã rem nouit, ueritus ne si intro ui irrumperent, pauci a multis mali aliquid paterentur, præcepit ut extra telorum iactus pedem retro ferrent, atq; obedirẽt. Hic facile quis cognosceat uiros homotimos & quamoptimè institutos: celeriter enim & ipsi obediunt, & alijs parendum præcipiebant. Vt autem à iactibus eminus facti sunt, steterunt locis suis multò magis quàm chorus, perspicuè scientes, ubi quenq; esse oportet.

XENOPHONTIS

DE PAEDIA CYRI LIBER QVARTVS, FRANCISCO Philelpho interprete.

Cyrus ubi modicum temporis ibi unà cum acie mansisset, ostendissetq; paratos sese esse qui pugnarent si quis egrederetur, tandẽ posteaquã egrediebatur nemo, tantum abegit spacij, quantum bene habere existimabat. castrisq; locatis, & custodijs constitutis, ac præmißis exploratoribus, stans in medium suos milites conuocauit, ad quos in hunc modum locutus est:

ORATIO CYRI.

Viri Persæ, primum equidem deos & ipse laudo quantum possum, & uos item omnes laudatis, ut arbitror: quippe qui & uictoriam sumus salutemq; consecuti. Ex his igitur quæq; habeamus semper, gratiarũ dona dijs immortalib. sunt soluenda. Ceterũ ego uos cunctos iam laudo. Nam quod operis gestum est uobiscum unà omnibus, pulcherrimũ est profectò. Quæ autẽ est quisq; meritus, cum à quib. par est accepero, tum & uerbo & re pro dignitate gratiã cuiq; referã. Sed qui me proxime est, de Chrysanta ordinis cẽturione nihil est audiendum ab alijs. Nam ipse noui qualis fuerit. Fecit enim alia quæcunq; uos etiã omnis fecisse puto. Verum cum ipse reduũ præcepi, eumq; nomine uocaui, hic sublato gladio ut hostem perCuteret, tum mihi cõtinuo audiuit, tum quod facturus erat omittẽs, agebat quod iussus foret. Nam et ipse recipiebat sese, & idem alijs faciundũ urgenter præcipiebat. Itaq; extra telorũ iactus prius ordinẽ eduxit, q̃ hostes uel perciperẽt nos recedere, uel arcus intenderẽt, tragulasq; immitterẽt. Quo factũ est, ut et seipsum, et uiros quib. præerat, illæsos præstiterit propter obedientiã. Præterea alios aspicio uulneratos, de quibus ubi considerauero, quo tempore uulnerib. sunt affecti, tum de ipsis sententiã meam ostendã. At Chrysantã, et rerũ operarũ bellicarũ & prudentẽ uirũ, & qui satis sit ad ferendũ imperiũ atq; imperandũ, militũ tribunatu nunc dono. Verùm cum aliud item quicq̃ boni dederit deus, ne tum quidem eius obliuiscar. atq; uos omnis admonitos esse uolo. Quæ enim nũc uidistis hac in pugna, hæc uos cõmentari nunquam cessetis, quo apud uosipsos iudicetis semper, utrũ uirtusne magis, an fuga animas seruet: et utrũ qui libẽter pugnãt, facilius liberentur, an qui minus libẽter: et qualẽ uictoria uoluptatẽ præbet. Hæc enim ipsi nũc optimè iudicetis, cũ ob peri-

tiam

τοῖς πιστοτάτοις, στάντες ἐπὶ τὰς εἰσόδους, καὶ ἀναβάντες ἐπὶ τὰς κεφαλὰς καὶ αὐτοὶ ἐμάχοντο καὶ τοῖς ἄλλοις παρεκελεύοντο. ὡς δ' ἔγνω ὁ Κῦρος τὸ γιγνόμενον, δείσας μὴ εἰ καὶ βιάσαιντο εἴσω, ὀλίγοι ὄντες ὑπὸ πολλῶν σφαλεῖέν τι, παρηγγύησεν ἐπὶ πόδα ἀνάγειν ἔξω βελῶν καὶ πείθεσθαι. ἔνθα δὴ ἔγνω τις ἂν τοὺς ὁμοτίμους, ὡς πεπαιδευμένους ὡς δεῖ. ταχὺ μὲν γὰρ αὐτοὶ ἐπείθοντο, ταχὺ δὲ καὶ τοῖς ἄλλοις παρήγγελλον. ὡς δ' ἔξω βελῶν ἐγένοντο, ἔστησαν κατὰ χώραν πολλῷ μᾶλλον χοροῦ, ἀκριβῶς εἰδότες ὅπου ἔδει ἕκαστον γενέσθαι.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ ΤΕΤΑΡΤΟΝ.

Μείνας δὲ ὁ Κῦρος μέτριον χρόνον αὐτοῦ σὺν τῷ στρατεύματι, καὶ δηλώσας ὅτι ἕτοιμοί εἰσι μάχεσθαι, εἴ τις ἐξέρχοιτο. ὡς δὲ οὐδεὶς ἐξῄει, ἀπήγαγεν ὅσον ἐδόκει καλῶς ἔχειν. καὶ κατεστρατοπεδεύσατο φυλακάς τε καταστησάμενος, καὶ σκοποὺς προπέμψας, στὰς εἰς τὸ μέσον, συνεκάλεσε τοὺς ἑαυτοῦ στρατιώτας, καὶ ἔλεξε τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΚΥΡΟΥ.

Ἄνδρες Πέρσαι, πρῶτον μὲν τοὺς θεοὺς ἐγώ τε ἐπαινῶ ὅσον δύναμαι, καὶ ὑμεῖς πάντες οἶμαι. νίκης τε γὰρ τετυχήκαμεν καὶ σωτηρίας. τούτων μὲν οὖν χρὴ χαριστήρια ὧν ἂν ἔχωμεν τοῖς θεοῖς ἀποτελεῖν. ἐγὼ δέ, σύμπαντας μὲν ὑμᾶς ἤδη ἐπαινῶ. τὸ γὰρ γεγενημένον ἔργον, σύμπασιν ὑμῖν καλὸν ἀποτετέλεσται. ὧν δ' ἕκαστος ἄξιος, ἐπειδὰν παρ' ὧν προσήκει πύθωμαι, τότε τὴν ἀξίαν ἑκάστῳ καὶ λόγῳ καὶ ἔργῳ, πειράσομαι ἀποδιδόναι. τὸν δ' ἐμοῦ ἐγγυτάτω ταξίαρχον Χρυσάνταν, οὐδὲν παρ' ἄλλων δέομαι πυνθάνεσθαι. ἀλλ' αὐτὸς οἶδα οἷος ἦν. τὰ μὲν γὰρ ἄλλα ὅσαπερ καὶ ὑμεῖς πάντες ἐποιεῖτε. ἐπεὶ δ' ἐγὼ παρηγγύησα ἐπανάγειν καλέσας ὀνομαστὶ αὐτόν, ἀνατεταμένος οὗτος τὴν μάχαιραν ὡς παίσων πολέμιον, ὑπήκουσέ μου εὐθύς· καὶ ἀφεὶς ὃ ἔμελλε ποιεῖν, τὸ κελευόμενον ἔπραττεν. αὐτός τε γὰρ ἐπανῆγε, καὶ τοῖς ἄλλοις μάλα ἐπισπερχῶς παρηγγύα. ὥστ' ἔφθασεν ἔξω βελῶν τὴν ἀξίαν ποιήσας, πρὶν τοὺς πολεμίους κατανοῆσαί τε ὅτι ἀναχωροῦμεν, καὶ τόξα ἐντείνασθαι, καὶ τὰ παλτὰ ἐπαφιέναι. ὥστε αὐτός τε ἀβλαβής, καὶ τοὺς ἑαυτοῦ ἄνδρας, ἀβλαβεῖς διὰ τὸ πείθεσθαι παρέχεται. ἄλλους δ', ἔφη, ὁρῶ τετρωμένους, περὶ ὧν ἐγὼ σκεψάμενος ἐν ὁποίῳ χρόνῳ ἐτρώθησαν, τότε τὴν γνώμην περὶ αὐτῶν ἀποφανοῦμαι. Χρυσάνταν δὲ καὶ ἐργάτην τῶν πολεμικῶν καὶ φρόνιμον, καὶ ἄρχεσθαι ἱκανὸν καὶ ἄρχειν, χιλιαρχίᾳ μὲν ἤδη τιμῶ. ὅταν δὲ καὶ ἄλλο τι ἀγαθὸν ὁ θεὸς δῷ, οὐδὲ τότε ἐπιλήσομαι αὐτοῦ, καὶ πάντας δὲ ὑμᾶς βούλομαι, ἔφη, ὑπομνῆσαι. ἃ γὰρ νῦν εἴδετε ἐν τῇ μάχῃ τῇδε, ταῦτα ἐνθυμούμενοι μήποτε παύεσθε, ἵνα παρ' ὑμῖν αὐτοῖς αἰεὶ κρίνητε, πότερον ἡ ἀρετὴ μᾶλλον, ἢ ἡ φυγὴ σώζει τὰς ψυχάς· καὶ πότερον οἱ μάχεσθαι θέλοντες ῥᾷον ἀπαλλάττουσιν, ἢ οἱ οὐκ ἐθέλοντες· καὶ ποίαν τινὰ ἡδονὴν τὸ νικᾶν παρέχει. ταῦτα γὰρ νῦν ἄριστα κρίναιτ' ἄν, πεῖ-

ράν τε

φαύ τι αὐτῶν ἔχοντα, καὶ ἄρτι γεγενημένου τοῦ πρα-
γματος. καὶ ταῦτα μὲν, ἔφη, διανοούμενοι, βελτίους
ἂν εἴητε. νῦν δὲ ὡς καὶ θεοφιλεῖς, καὶ ἀγαθοί, καὶ σώ-
φρονες ἄνδρες, δειπνοποιεῖσθε, καὶ σπονδὰς τοῖς θεοῖς
ποιεῖσθε, καὶ παιᾶνα ἐξάρχετε, καὶ ἅμα τὸ παραγγελ-
λόμενον προνοεῖτε. εἰπὼν ταῦτα, ἀναβὰς ἐπὶ τὸν ἵππον
ἤλασε, καὶ πρὸς Κυαξάρην ἦλθε. καὶ συνησθεὶς ἐκείνῳ
κοινῇ, ὡς εἰκός, καὶ ἰδὼν τἀκεῖ, καὶ ἐρόμενος εἴ τι δέοιτο,
ἀπήλαυνεν εἰς τὸ ἑαυτοῦ στράτευμα. καὶ οἱ μὲν δὴ ἀμφὶ Κῦ-
ρον δειπνοποιησάμενοι, καὶ φυλακὰς καταστησάμενοι, ὡς
ἔδει, ἐκοιμήθησαν. οἱ δὲ Ἀσσύριοι ἅτε καὶ τεθνηκότος τοῦ ἄρ-
χοντος, καὶ σχεδὸν σὺν αὐτῷ τῶν βελτίστων, ἠθύμουν πάντες.
πολλοὶ δὲ καὶ ἀπεδίδρασκον αὐτῶν τῆς νυκτὸς ἐκ τοῦ στρα-
τοπέδου. ὁρῶντες δὲ ὅ, τε Κροῖσος, καὶ οἱ ἄλλοι σύμ-
μαχοι αὐτῶν, ἠθύμουν. πάντα μὲν γὰρ ἦν χαλεπά. ἀ-
θυμίαν δὲ πᾶσι πλείστην παρεῖχεν, ὅτι τὸ ἡγούμενον φῦ-
λον τῆς στρατιᾶς διεφθάρθαι ἐδόκει ταῖς γνώμαις. οὕτω
δὴ ἐκλείπουσι τὸ στρατόπεδον, καὶ ἀπέρχονται νυκτός.
ὡς δ' ἡμέρα ἐγένετο, καὶ ἔρημον ἀνδρῶν ἐφάνη τὸ τῶν
πολεμίων στρατόπεδον, εὐθὺς διαβιβάζει ὁ Κῦρος τοὺς
Πέρσας πρώτους. κατελέλειπτο δὲ ὑπὸ τῶν πολεμίων
πολλὰ μὲν πρόβατα, πολλοὶ δὲ βόες, πολλαὶ δὲ ἅμαξαι
πολλῶν ἀγαθῶν μεσταί. ἐκ δὲ τούτου διέβαινον ἤδη καὶ
οἱ ἀμφὶ Κυαξάρην Μῆδοι πάντες, καὶ ἠριστοποιοῦντο
ἐνταῦθα. ἐπεὶ δὲ ἠρίστησαν, συνεκάλεσεν ὁ Κῦρος τοὺς
ἑαυτοῦ ταξιάρχους, καὶ ἔλεξε τοιαῦτα· οἷα μὲν δοκοῦ-
μεν καὶ ὅσα ἀγαθά, ὦ ἄνδρες, ἀφεῖναι θεῶν ἡμῖν ταῦ-
τα διδόντων. νῦν γὰρ ὅτι μὲν οἱ πολέμιοι φοβούμε-
νοι ἡμᾶς ἀποδεδράκασιν, αὐτοὶ ὁρᾶτε. οἵτινες δὲ ἐν ἐρύ-
ματι ὄντες, ἐκλιπόντες τοῦτο φεύγουσι, πῶς τούτους
οἴεται ἄν τις μεῖναι, ἰδόντας ἡμᾶς ἐν τῷ ἰσοπέδῳ; οἵ γε
[illegible] δὲ ἄπειροι ἡμῶν ὄντες οὐχ ὑπέμειναν, πῶς νῦν γ'
ἂν ὑπομείνειαν, ἐπεὶ ἥττηνται, καὶ πολλὰ κακὰ ὑφ' ἡμῶν
πεπόνθασιν; ὧν δὲ οἱ βέλτιστοι ἀπολώλασι, πῶς οἱ φαυ-
λότεροι ἐκείνων, μάχεσθαι ἂν ἡμῖν ἐθέλοιεν; καί τις εἶ-
πε· τί οὖν οὐ διώκομεν ὡς τάχιστα, καταδήλων γε οὕ-
τω τῶν ἀγαθῶν ὄντων; καὶ ὃς εἶπεν· ὅτι ἵππων προσ-
δεόμεθα. οἱ μὲν γὰρ κράτιστοι τῶν πολεμίων, οὓς μάλι-
στα καιρὸς ἦν, ἢ λαβεῖν ἢ κατακτεῖναι, οὗτοι ἐφ' ἵππων ὀχοῦ-
νται. οὓς ἡμεῖς τρέπεσθαι μὲν σὺν θεοῖς ἱκανοί, διώ-
κοντες δὲ αἱρεῖν, οὐχ ἱκανοί. τί οὖν ἔφασαν, οὐκ ἐλθὼν
Κυαξάρει ταῦτα λέγεις; καὶ ὃς εἶπε· συνέπεσθε τοίνυν
μοι πάντες, ὡς εἰδῇ ὅτι πᾶσιν ἡμῖν ταῦτα δοκεῖ. ἐκ
τούτου εἵποντό τε πάντες, καὶ ἔλεγον οἷα ἐπιτήδεια
ἐδόκουν εἶναι ὑπὲρ ὧν ἐδέοντο. καὶ ὁ Κυαξάρης, ἅμα μὲν
ὅτι ἐκεῖνοι ἦρχον τοῦ λόγου, ὥσπερ ὑπεφθόνει, ἅμα δὲ
ἴσως καλῶς ἐδόκει ἔχειν αὐτῷ, μὴ πάλιν κινδυνεύειν.
καὶ γὰρ αὐτός τε περὶ εὐθυμίαν ἐτύγχανεν ὤν, καὶ τῶν
ἄλλων Μήδων ἑώρα πολλούς, τὸ αὐτὸ τοῦτο ποιοῦντας.
εἶπε δ' οὖν ὧδε· ἀλλ' ὦ Κῦρε, ὅτι μὲν μάλιστα ἀνθρώ-
πων μελετᾶτε ὑμεῖς οἱ Πέρσαι, μὴ δὲ πρὸς μίαν ἡδονὴν
ἀπλήστως διακεῖσθαι, καὶ ὁρῶν καὶ ἀκούων οἶδα. ἐμοὶ δὲ
δοκεῖ τῆς μεγίστης ἡδονῆς πολὺ μᾶλλον συμφέρειν, ἐγ-
κρατῆ εἶναι. μείζω δὲ ἡδονὴν τί παρέχει ἀνθρώποις εὐτυ-
χίας, ἣ νῦν ἡμῖν παραγεγένηται. ἣν μὲν τοίνυν, ἐπεὶ εὐ-
τυχοῦμεν, σωφρόνως διαφυλάττωμεν αὐτήν, ἴσως δυναί-
μεθ'

tiam quam habetis, tum quia modò res est gesta: quæ quidem si usque cogitetis, meliores futuri sitis. Nunc uerò ut & pij & boni & temperantes uiri cœnam sumite: denique immortalibus libationes facite, ac pæana incipite: simulq; prouidete, quod præcipitur. Quibus dictis, in equum ascendit, atq; abegit. Cumq; uenisset ad Cyaxarem, essetq; illi una congratulatus, ut par erat, eaq; uidisset quæ ibi agebantur, ac si qua re opus esset quæsiuisset, equitauit rursus in sua castra. Et Cyri qui-
10 dem milites postea quam sunt cœnati, uigilibus ut opus erat, constitutis, quieti se dederunt. At Assyrij, utpote & mortuo principe, & quasi una cum ipso uiris fortissimis, cum omnes molestia premebantur, tum multi quoque illorum noctu è castris diffugiebant. Hæc autem Crœsus & cæteri socij intuentes, animi angebantur: erant enim omnia molestiæ plena. Sed illud omnibus ægritudinis plurimum afferebat, quòd imperialis exercitus natio esse uideretur consilij atque mentis inops. Sic igitur castra deserunt, atque abeunt noctu. Ut dies illu-
20 xit, atque hostium castra uiris orbata apparuerunt, eò Cyrus continuò primos traducit Persas: dereliquerant enim hostes & pecudes multas, & boues multos, & carros item multos, qui bonorum plurimum pleni essent. Dein transibant etiam omnes qui apud Cyaxarem erant Medi, prandebantq; in hostium castris. Post prandium Cyrus conuocatis suis ordinum centurionibus, in hunc modum disseruit: Qualia, ut mihi uidetur, uiri amicissimi, quantaq; bona dimittimus, quæ ab dijs immortalibus nobis offeruntur. Nam quòd hostes me-
30 tu nostri fuga tutati sunt, uidetis ipsi. Qui in munitione cum essent, hac relicta fugiunt, qui hosce mansuros quis putet, cum nos uiderint in planitie? Qui autem nos nondum experti, minimè expectarunt, quomodo nunc expectent uicti, malisque pluribus à nobis affecti? Quorum præterea uiri fortissimi perierunt, quomodo ignauissimi pugnare nobiscum uelint? Atque dixit aliquis: Cur igitur minus eos quamcelerrime insequimur, cum res secundæ adeò certæ sunt nobis? Et Cyrus dixit: Quoniam equorum etiam indigemus.
40 Nam qui ex hostibus fortissimi sunt, quos tempus foret uel capere uel occidere, hi erunt super equos. Hos autem in fugam uertere deorum ope satis possumus: insequendo autem capere nequaquam satis. Quid igitur, dicebant, non egrederis, Cyaxari hæc dicturus? Dixitque ille: Sequimini nunc me unà, quòd uideat nobis omnibus eadem hæc uideri. Ex hinc sequebantur omnes, ac dicebant quæ uidebantur ad ea necessaria quæ rogabant. Simulq; Cyaxares, quoniam illi cœperant loqui, tanquam subinuidebat: simulq; fortasse,
50 quia bene sibi esse arbitrabatur, si non rursus periculum inirent. Nam & ipse in iucunditate erat, & alios pluris Medos idem facere uidebat. Igitur ita respondebat: Uerùm, ò Cyre, quòd uos Persæ uni omnium hominum maximè meditamini erga nullam uoluptatem insatiabiliter habere, & uisu noui & auditu. Mihi autem uidetur conducere longè magis, si quis in maxima se uoluptate contineat. Sed quid præbet maiorem hominibus uoluptatem quàm secunda fortuna, quæ nobis hoc tempore cõtigit? Igitur si quoniam res nobis secundæ sunt; uoluptate ipsa temperanter utamur, tutò fortasse possi-

mus

mus per felicitatem consenescere. Quòd si per eius inex plebilem usum aliam atq; aliam persequi nitemur, uide ne eadem patiamur, quæ multos ferunt passos in mari, qui dum propter prosperam fortunam conquiescere à nauigatione noluissent, periere. Sic item multi uictoriam consecuti, dum alteram appetiuissent, amiserunt etiam priorem. Etenim si quidem hostes fugientes essent nobis pauciores, fortaßis nos eos tuto ut pauciores adhuc insequeremur. Sed uelim nunc animo uolutes, aduersus quantulam eorum partem cum ipsi omnes pugnauimus, uictoriam adepti sumus. At alij haud manum conseruerunt: quos si minus cogamus pugnare, hi ut & nostri & sui ipsorum ignari, propter imprudentiam mollitiemq; abibunt. Sin norint ubi etiam abeant nihilo minus in periculo sese fore, quàm si maneant, cauendum est nobis ne eos cogamus, ut uel inuiti fortes se præstent. Nec enim latère te debet, non maiorem tibi esse cupiditatem illorum uxores atque liberos capiundi, quàm illis seruandi. Cogitandum præterea tibi est, sues, si multæ etiam sint, fugere, ubi uideāt uenatorem, unà cum natis. Sed ubi quis uenetur quenquam ex earum natis, non amplius fugere, ne si una sit quidem, sed ruere aduersus capere molientem. Et modò cum sese intra munitionem occlusissent, præbuerunt nobis pugnandi potestatem, cum quanta ipsorum quantitate uellemus. Quòd si cum iis in campestri latitudine congrediemur, discentq; aduersari separatim alij à fronte, aduersi ex aduerso, quemadmodum nunc, alij à latere, alij à tergo, uidene multis cuique nostrûm opus sit & oculis & manibus. Adhæc nolim equidem remouere nunc Medos à iucunditate in qua sunt, atque eos cogere ut eant periclitatum. Ad quæ Cyrus respondit: At neminem ipse cogas, sed eos mihi dato, qui libenter sint secuturi: tibiq; fortaßis & tuorum cuique horum amicorum agamus ea quæ omnibus iucundißima sint futura: hostium enim multitudinem nos sanè haud insequemur: nam quo pacto eam caperemus? Quòd si quid ab agmine abscissum offenderimus aut relictum, id ad te agemus. Cogitandum est etiam tibi, quoniam indigebas, magnum iter fecimus, quò tibi gratificaremur. Itaque est iustum, ut ipse etiam contrà nobis gratificeris, quò domum redeamus cum aliquo emolumento, & ne omnes in thesaurum tuum coniiciamus oculos. Hinc igitur dixit Cyaxares: At si quis ultro sequetur, haberem etiam tibi gratias. Mitte igitur unà mecum quenquam ex his quos habes fidelißimos, qui sit dicturus quæ ipse mandes. Duc ex his, inquit, tecū quem tibi libet. Erat præsens hic ille Medus qui dixerat olim Cyro, se eius esse cognatum, quiq; ab eo est osculatus. Quare continuò inquit Cyrus: Vnus hic mihi sufficit. Hic igitur te sequatur. Respondit Cyaxares: Et tu, inquit, dicito, ut cui libuerit, is eat cum Cyro. Sic uiro illo accepto, ubi à Cyaxare est egressus, continuo inquit Cyrus: Nunc mihi tandem ostendes, uerâne loquereris, cum dixisti te in me spectando affici uoluptate. Nequaquam, Medus inquit, abero abs te, si hoc dicis. Et Cyrus inquit: Ergo alios quoq; alacriter educes? Illeq; adiurās, Educam, inquit, mehercule, donec fecero ut etiam tu suauiter me spectes. Tum igitur emissus à Cyaxare cum alia alacriter exposuit Medis, tum etiam addidit, se quoq;

μεθ' ἂν ἀκινδύνως εὐδαιμονοῦντες γηρᾶν. εἰ δ' ἀπλήστως χρώμενοι ταύτῃ ἄλλην καὶ ἄλλην πειρασόμεθα διώκειν, ὁρᾶτε μὴ πάθωμεν, ἅπερ πολλοὺς μὲν λέγουσιν ἐν θαλάττῃ πεπονθέναι· διὰ τὸ εὐτυχεῖν, οὐκ ἐθέλοντας παύεσθαι πλέοντας, ἕως ἂν ἀπόλωνται. πολλοὺς δὲ νίκης τυχόντας, ἑτέρας ἐφιεμένους, καὶ τὴν προτέραν ἀποβαλεῖν. καὶ γὰρ εἰ μὲν οἱ πολέμιοι ἥττους ὄντες ἡμῶν, ἔφυγον, ἴσως ἂν καὶ διώκειν τοὺς ἥττους ἀσφαλῶς εἶχε. νῦν δὲ κατανόησον πόστῳ αὐτῶν μέρει πάντες μαχεσάμενοι νενικήκαμεν. οἱ δ' ἄλλοι, ἄμαχοι εἰσίν. οὓς εἰ μὲν μὴ ἀναγκάσοιμεν μάχεσθαι, ἀγνοοῦντες καὶ ἡμᾶς καὶ ἑαυτοὺς διὰ ἀμαθίαν καὶ μαλακίαν ἀπίασιν. εἰ δὲ γνώσονται, ὅτι ἀπιόντες οὐδὲν ἧττον κινδυνεύσουσιν ἢ μένοντες, ὅπως μὴ ἀναγκάσωμεν αὐτοὺς, καὶ εἰ μὴ βούλονται, ἀγαθοὺς γενέσθαι. ἴσθι γὰρ ὅτι οὐ σὺ μᾶλλον τὰς ἐκείνων γυναῖκας καὶ παῖδας ἐπιθυμεῖς λαβεῖν, ἢ ἐκεῖνοι σῶσαι. ἐννόει δ' ὅτι καὶ αἱ σύες ἐπειδὰν ὀφθῶσι φεύγουσι καὶ πολλαὶ οὖσαι σὺν τοῖς τέκνοις. ἐπειδὰν δέ τις αὐτῶν θηρᾷ τι τῶν τέκνων, οὐκέτι φεύγει, οὐδ' ἂν μία τύχῃ οὖσα, ἀλλ' ἵεται ἐπὶ τὸν λαμβάνειν πειρώμενον. καὶ νῦν μὲν ἐπικατακλείσαντες ἑαυτοὺς εἰς ἔρυμα, παρέσχον ἡμῖν ταμιεύεσθαι, ὥστε ἐπ' ὅσοις ἐβουλόμεθα αὐτῶν μάχεσθαι. εἰ δ' ἐν εὐρυχωρίᾳ πρόσιμεν αὐτοῖς, καὶ μαθήσονται χωρὶς γενόμενοι. οἱ μὲν κατὰ πρόσωπον ἡμῶν, ὥσπερ νῦν ἐναντιοῦσθαι· οἱ δ' ἐκ πλαγίου· καὶ ἄλλοι ἐκ τοῦ ἑτέρου πλαγίου· οἱ δὲ καὶ ὄπισθεν, ὅρα μὴ πολλῶν ἑκάστῳ ἡμῶν καὶ ὀφθαλμῶν καὶ χειρῶν δεήσει. πρὸς δ' ἔτι, ἔφη, οὐ βουλοίμην ἂν ἔγωγε νῦν ὁρῶν Μήδους εὐθυμουμένους, ἐξανιστάντας ἀναγκάζειν κινδυνεύοντας ἰέναι. καὶ ὁ Κῦρος ὑπολαβὼν εἶπεν· ἀλλὰ μηδένα σύ γε ἀναγκάσῃς, ἀλλὰ τοὺς ἐθέλοντάς μοι ἕπεσθαι δός. καὶ ἴσως ἂν σοὶ καὶ τῶν σῶν φίλων τούτων ἑκάστῳ ἥκοιμεν ἄγοντες, ἐφ' οἷς πάντες εὐθυμήσεσθε. τὸ μὲν γὰρ πλῆθος ἡμεῖς γε τῶν πολεμίων, οὐ διωξόμεθα. πῶς γὰρ ἂν καταλάβοιμεν; ἢν δέ τι ἢ ἀπεσχισμένον τοῦ στρατεύματος λάβοιμεν, ἢ τι ὑπολειπόμενον, ἥξομεν πρὸς σὲ ἄγοντες. ἐννόει δ', ἔφη, ὅτι καὶ ἡμεῖς ἐπειδὴ σὺ ἐδέου, ἤλθομεν σοὶ χαριζόμενοι μακρὰν ὁδόν. καὶ σὺ οὖν ἡμῖν δίκαιος εἶ ἀντιχαρίζεσθαι, ἵνα καὶ ἔχοντές τι οἴκαδε ἀφικώμεθα, καὶ μὴ εἰς τὸν σὸν θησαυρὸν πάντες ὁρῶμεν. ἐνταῦθα δὴ ἔλεξεν ὁ Κυαξάρης· ἀλλ' εἴγε μέντοι ἐθέλων τις ἕποιτο, καὶ χάριν ἔγωγέ σοι εἰδείην ἄν. σύμπεμψον τοίνυν μοι τῶν ἀξιοπίστων τούτων τινὰ, ὃς ἐρεῖ ἃ ἂν σὺ ἐπιστέλλῃς. λαβὼν δὴ, ἴθι ὅντινα ἐθέλεις τουτωνί. ἔνθα δὴ ἔτυχεν, ὁ φήσας ποτὲ συγγενὴς αὐτοῦ εἶναι καὶ φιληθεὶς παρών. εὐθὺς οὖν ὁ Κῦρος εἶπεν· ἀρκεῖ, ἔφη, ἔμοιγε οὑτοσί. οὗτος τοίνυν, ἔφη, σοὶ ἑπέσθω. καὶ λέγε, ἔφη, τὸν θέλοντα ἰέναι μετὰ Κύρου. οὕτω δὴ λαβὼν τὸν ἄνδρα ἐξῄει. ἐπεὶ δ' ἐξῆλθεν, εὐθὺς ὁ Κῦρος εἶπε· νῦν δὴ σὺ δηλώσεις εἰ ἀληθῆ ἔλεγες, ὅτε ἔφης ἥδεσθαί με θεώμενος. οὔκουν ἀπολείψομαί σου, ἔφη ὁ Μῆδος, εἰ τοῦτο λέγεις. καὶ ὁ Κῦρος εἶπεν· οὐκοῦν καὶ ἄλλους προθύμως λέξεις. κἀκεῖνος ἐπομόσας, νὴ τὸν Δί', ἔφη, ἕως ἄν γε ποιήσω καὶ σὲ ἡδέως ἐμὲ θεᾶσθαι. τότε δὴ ἐκπεμφθεὶς ὑπὸ τοῦ Κυαξάρου, τά τε ἄλλα προθύμως ἀπήγγελλε τοῖς Μήδοις, καὶ προσετίθει, ὅτι αὐτός

γε

τε οὐκ ἀπολείποιτο ἀνδρὸς ἀρίστου καὶ καλλίστου, καὶ τὸ μέ-
γιστον ὑπὸ θεῶν γεγονότος. πράττοντος δὲ ταῦτα τοῦ κύ-
ρου, θείως πως ἀφικνοῦνται ἀπὸ ὑρκανίων ἄγγελοι. οἱ δὲ
ὑρκάνιοι ὅμοροι μὲν τῶν ἀσσυρίων εἰσίν. ἔθνος δ' οὐ πο-
λύ. διὸ καὶ ὑπήκοοι τῶν ἀσσυρίων ἦσαν. εὔιπποι δὲ
καὶ τότε ἐδόκουν εἶναι, καὶ νῦν ἔτι δοκοῦσι. διὸ καὶ ἐ-
χρῶντο αὐτοῖς οἱ ἀσσύριοι, ὥσπερ καὶ οἱ λακεδαιμόνιοι
τοῖς σκειρίταις, οὐδὲν φειδόμενοι αὐτῶν, οὔτ' ἐν πό-
νοις, οὔτ' ἐν κινδύνοις. καὶ δὴ καὶ τότε ὀπισθοφυλακεῖν
αὐτοὺς ἐκέλευον, ὡς χιλίους ὄντας ἱππέας· ἵνα εἴ τι ὄπι-
σθεν δεινὸν ἴοι, ἐκεῖνοι πρὸ αὐτῶν τοῦτ' ἔχοιεν. οἱ δὲ ὑρ-
κάνιοι ἅτε μέλλοντες ὕστατοι πορεύεσθαι, καὶ τὰς ἁμάξας
τὰς ἑαυτῶν, καὶ τοὺς οἰκέτας ὑστάτους εἶχον. στρατεύονται
γὰρ οἱ κατὰ τὴν ἀσίαν ἔχοντες, οἱ πολλοί, μεθ' ὧνπερ καὶ
οἰκοῦσι. καὶ τότε δὴ ἐστρατεύοντο οἱ ὑρκάνιοι οὕτως. ἐννοη-
θέντες δὲ, οἷά τε πάσχουσιν ὑπὸ τῶν ἀσσυρίων, καὶ ὅτι
νῦν τεθναίη μὲν ὁ ἄρχων αὐτῶν, ἡττημένοι δ' εἶεν, φό-
βος δὲ πολὺς εἴη ἐν τῷ στρατεύματι, οἵ τε σύμμαχοι
αὐτῶν ὡς ἀθύμως ἔχοιεν, καὶ ἀπολείποιεν, ταῦτα ἐνθυ-
μουμένοις ἔδοξεν αὐτοῖς, καὶ ὡς νῦν καλὸν εἶναι ἀπο-
στῆναι, εἰ θέλοιεν οἱ ἀμφὶ κῦρον συνεπιθέσθαι. καὶ πέμ-
πουσιν ἀγγέλους πρὸς κῦρον. ἀπὸ γὰρ τῆς μάχης τὸ τούτου
ὄνομα μέγιστον ηὔξητο. οἱ δὲ πεμφθέντες λέγουσι κύ-
ρῳ, ὅτι μισοῖεν τοὺς ἀσσυρίους, δικαίως· νῦν τε εἰ βούλοιτο
ἰέναι ἐπ' αὐτούς, καὶ σφεῖς σύμμαχοι ὑπάρξειν, καὶ
ἡγήσεσθαι. ἅμα δὲ πρὸς τούτοις διηγοῦντο τὰ τῶν πολε-
μίων ὡς ἔχοι. ὡς δὴ ἐπαίρειν βουλόμενοι, ὡς μάλιστα στρα-
τεύεσθαι αὐτόν. καὶ ὁ κῦρος ἐπήρετο αὐτούς· καὶ δοκεῖτε ἄν,
ἔφη, ἡμᾶς ἔτι καταλαβεῖν αὐτούς, πρὶν ἐν τοῖς ἐρύμασιν
εἶναι; ἡμεῖς μὲν γάρ, ἔφη, μάλα συμφορὰν τοῦτο ἡγούμεθα,
ὅτι ἔλαθον ἡμᾶς ἀποδράντες. ταῦτα δὲ ἔλεγε, βουλόμενος
αὐτοὺς ὡς μέγιστον φρονεῖν ἐπὶ σφίσιν. οἱ δὲ ἀπεκρίναντο·
ὅτι καὶ αὔριον ἕωθεν εἰ εὔζωνοι πορεύοιντο, καταλήψοιν-
το. ὑπὸ γὰρ τοῦ ὄχλου καὶ τῶν ἁμαξῶν σχολῇ πορεύεσθαι αὐ-
τούς. καὶ ἅμα ἔφασαν, ἅτε τὴν προτεραίαν νύκτα ἀγρυ-
πνήσαντες, νῦν μικρὸν προελθόντες ἐστρατοπεδεύ-
κασι. καὶ ὁ κῦρος ἔφη· ἔχετε οὖν ὧν λέγετε πιστόν τι ἡμᾶς
διδάσκειν ὡς ἀληθεύετε; ὁμήρους γ' ἔφασαν ἐθέλομεν
ἐλάσαντες αὐτίκα τῆς νυκτὸς ἀγαγεῖν. μόνον καὶ σὺ ἡ-
μῖν θεῶν τε πιστὰ ποίησον. καὶ δεξιὰν δός, ἵνα φέρωμεν
καὶ τοῖς ἄλλοις ταῦτα, ἅπερ ἂν αὐτοὶ λάβωμεν παρὰ σοῦ.
ἐκ τούτου τὰ πιστὰ δίδωσιν αὐτοῖς, ἦ μήν, ἐὰν ἐμπεδώ-
σωσιν ἃ λέγουσιν, ὡς φίλοις καὶ πιστοῖς χρήσεσθαι αὐτοῖς. ὡς
μήτε περσῶν, μήτε μήδων μεῖον ἔχειν παρ' αὐτῷ. καὶ
νῦν δ' ἔτι ἰδεῖν ἔστιν ὑρκανίους καὶ πιστευομένους, καὶ
ἀρχὰς ἔχοντας, ὥσπερ καὶ περσῶν καὶ μήδων, οἳ ἂν δο-
κῶσιν ἄξιοι εἶναι. ἐπεὶ δὲ ἐδείπνησαν, ἐξῆγε τὸ στράτευ-
μα ἔτι φάους ὄντος, καὶ τοὺς ὑρκανίους περιμένειν ἐκέ-
λευεν, ἵνα ἅμα ἴοιεν. οἱ μὲν δὴ πέρσαι πάντες, ὥσ-
περ εἰκός, εὐθὺς ἔξω ἦσαν, καὶ τιγράνης ἔχων τὸ ἑαυτοῦ στρά-
τευμα. τῶν δὲ μήδων ἐξῆεσαν οἱ μὲν διὰ τό, παιδὶ κύρῳ
ὄντι παῖδες ὄντες φίλοι γενέσθαι. οἱ δέ, διὰ τὸ ἐν θήραις
συγγενόμενοι, ἀγασθῆναι αὐτοῦ τὸν τρόπον. οἱ δέ, διὰ τὸ
χάριν εἰδέναι, ὅτι μέγαν αὐτοῖς φόβον, ἀπεληλακέναι
ἐδόκει. οἱ δέ, καὶ ἐλπίδας ἔχοντες, διὰ τὸ ἄνδρα φαίνε-
σθαι ἀγαθόν, καὶ εὐτυχῆ καὶ μέγαν ἔτι ἰσχυρῶς ἔσεσθαι αὐτόν.
οἱ δέ,

quoque non esse cariturum uiro pulcherrimo & optimo, & quod maximum est, à dijs immortalibus genito. Cum à Cyro hæc geruntur, diuinitus quodammodo ueniunt ab Hyrcanis nuncij. Sunt autem Hyrcanij Aßyrijs finitimi, gens haud magna, erantq; idcirco subiecti Aßyrijs. Videbantur autem & ea tempestate strenui equites, & nunc item uidentur. Quare utebantur ijs Aßyrij, quemadmodum utuntur Eilotis Lacedæmonij, neque in laboribus, neque in periculis ijs parcentes. Quapropter etiam per id temporis ut postremum agmen tuerētur eis iubebant, qui equites essent circiter mille, quò si quid à tergo grauius incumberet, illi ante sese hoc subirent. At Hyrcanij tanquam ultimi profecturi, & carros suos & famulos ultimos habebant. Erant enim in expeditione Asiatici, magna ex parte secum habentes illos, quibus cum etiam habitant. Itaq; etiam tum Hyrcanij sic militabant, qui cum animo reputantes, & qualia ab Aßyrijs paterentur, & quòd nunc princeps suus mortem occubuisset, essentq; uicti, & quod metus in exercitu foret ingēs, & ipsorum socij ægrè haberent ac desererent: hæc cum commentarentur, uisum est eis pro temporis conditione bonum esse ut deficerent, si uellet Cyrus unà secum hostis inuadere. Itaq; mittunt ad Cyrum nuncios, nam huius nomen à pugna plurimum creuerat. Qui autem missi sunt, dicunt Cyro, sibi Aßyrios iure odio esse, siq; uellet nunc ire aduersus eos, tum ipsi socij existerent, tum uiæ duces se præberent: simulq; ad hæc narrabāt res hostium ut haberent, quibus tandem incitare eum uolebant ad agendum in illos exercitum. Et Cyrus rogabat eos, inquiens: Et putatis nos prius illos offensuros quàm sint in munitionibus? Nam hoc nobis magnæ calamitati ducimus, quod nobis clàm euaserunt. Hæc autem dicebat Cyrus, quòd eos uellet quammaximam de sese habere opinionem. Ad quem illi respondebant, fore ut cras mane, si expediti pergerent, illos offenderent, nam eos præ turba & carris tarde iter facere: simulq; dixerunt, quoniam superiore nocte uigilassent, nunc paululum profecti castrametati sunt. Et Cyrus inquit: Habetisne quicquam nos docere, quò uobis credamus quæ dicitis esse uera? Obsides responderunt, actutū equitantes noctu adducemus, solum tu obtestare deos in fidē, dextramq; dato, quò hæc alijs feramus quæ ipsis abs te acceperimus. Dein fidem dat illis, se indubitatò ipsis usurū ut amicis ac fidelibus, si quæ dicerent confirmarint, ut ne Persis quidē neq; Medis apud se crederent. Atq; hoc etiam tēpore licet intueri Hyrcanios, qui & creduntur magistratus & gerunt, quemadmodū ij quicunq; & ex Persis et ex Medis uideantur esse dignißimi. Sed posteaquā sunt cœnati, Cyrus aciem eduxit adhuc sub lucem, iußitq; Hyrcanios expectare, quò simul irent. Et Persæ quidem omnes, ut par erat, castris egreßi sunt, cumq; his Tigranes suam habens aciem. È Medis autē sunt egreßi, alij quidem quoniam Cyro puero ipsi cum essent pueri, amici fuerant: alij quoniā in uenatione cōsuetudine sua usi, eius sunt ingenio ac morib. delectati: alij qui gratiā ei haberent, quòd maximū ab se metū expulisse uidebatur: alij quod eum sperarēt quoniā uir bonus et fortunatus appareret, fu..rū adhuc magnum atq; præpotentem:

 alij

τῶν ἀγγέλων πρὸς αὐτούς, καὶ τῶν ἡμετέρων τινὰς σὺν αὐτῷ· ἐροῦντας εἰ φίλοι εἰσὶν ὑπαντᾶν τὰς δεξιὰς ἀνατείναντας πάντας· ἐὰν μὲν οὖν οὕτω ποιῶσι, δεξιοῦσθαι αὐτούς, καθ' ὃν ἂν ᾖ ἕκαστος, καὶ ἅμα θαρρύνειν τε. ἐὰν δὲ ὅπλα αἴρωνται, ἢ φεύγειν ἐπιχειρῶσι, τούτων, ἔφη, πρώτων εὐθὺς πειρᾶσθαι μηδένα λείπειν. ὁ μὲν τοιαῦτα παρήγγελλεν. οἱ δὲ Ὑρκάνιοι ἀκούσαντες τῶν ἀγγέλων, ἥσθησάν τε, καὶ ἀναπηδήσαντες ἐπὶ τοὺς ἵππους, παρῆσαν, τὰς δεξιὰς ὥσπερ εἴρητο προτείναντες. οἱ δὲ Μῆδοι καὶ οἱ Πέρσαι ἀντεδεξιοῦντό τε αὐτοὺς καὶ ἐθάρρυνον. ἐκ τούτου δὴ λέγει ὁ Κῦρος· ἡμεῖς μέν, ὦ Ὑρκάνιοι, ἤδη ὑμῖν πιστεύομεν. καὶ ὑμᾶς δὲ χρὴ πρὸς ἡμᾶς οὕτως ἔχειν. τοῦτο δ', ἔφη, ἡμῖν πρῶτον εἴπατε, ὁπόσον ἀπέχει ἐνθένδε, ἔνθα αἱ ἀρχαί εἰσι τῶν πολεμίων, καὶ τὸ ἀθρόον αὐτῶν; οἱ δὲ ἀπεκρίναντο ὅτι ὀλίγῳ πλέον ἢ παρασάγγην. ἐνταῦθα δὴ λέγει ὁ Κῦρος· ἄγετε δή, ἔφη, ὦ ἄνδρες Πέρσαι καὶ Μῆδοι, καὶ ὑμεῖς ὦ Ὑρκάνιοι. ἤδη γὰρ καὶ πρὸς ὑμᾶς ὡς συμμάχους καὶ κοινωνοὺς διαλέγομαι. εὖ χρὴ εἰδέναι νῦν, ὅτι ἐν τούτῳ ἐσμέν, ἔνθα μαλακισάμενοι μέν, πάντων ἂν τῶν χαλεπωτάτων τύχοιμεν. ἴσασι γὰρ οἱ πολέμιοι ἐφ' ἃ ἥκομεν. ἢν δὲ ἐπὶ τὸ καρτερὸν ἐμβαλόμενοι, ἴωμεν ῥώμῃ καὶ θυμῷ ἐπὶ τοὺς πολεμίους, αὐτίκα μάλα ὄψεσθε, ὥσπερ δούλων ἀποδιδρασκόντων εὑρημένων, τοὺς μὲν ἱκετεύοντας αὐτῶν· τοὺς δὲ φεύγοντας. τοὺς δ' οὐδὲ ταῦτα φρονεῖν δυναμένους. ἡττημένοι τε γὰρ ὄψονται ἡμᾶς. καὶ οὔτε οἰόμενοι ἥξειν, οὔτε συντεταγμένοι, οὔτε μάχεσθαι παρεσκευασμένοι, κατειλημμένοι ἔσονται. εἰ οὖν ἡδέως βουλοίμεθα, καὶ δειπνῆσαι καὶ νυκτερεῦσαι, καὶ βιοτεύειν τὸ ἀπὸ τοῦδε, μὴ δῶμεν αὐτοῖς σχολήν, μήτε βουλεύσασθαι, μήτε παρασκευάσασθαι μηδὲν ἀγαθὸν ἑαυτοῖς. μηδὲ γνῶναι πάμπαν, ὅτι ἄνθρωποί ἐσμεν. ἀλλὰ γέρρα, καὶ σαγάρεις ἅπαντα, καὶ κοπίδας, καὶ πληγὰς ἥκειν νομιζόντων. καὶ ὑμεῖς μέν, ἔφη, ὦ Ὑρκάνιοι, ὑμᾶς αὐτοὺς προπετάσαντες ἡμῶν, πορεύεσθε ἔμπροσθεν, ὅπως τῶν ὑμετέρων ὅπλων ὁρωμένων, λανθάνωμεν, ὅτι πλεῖστον χρόνον. ἐπειδὰν δ' ἐγὼ πρὸς τῷ στρατεύματι γένωμαι τῶν πολεμίων, παρ' ἐμοὶ μὲν καταλίπετε ἕκαστοι τάξιν ἱππέων. ὡς ἐάν τι δέῃ, χρῶμαι μένων παρὰ τὸ στρατόπεδον. ὑμῶν δὲ οἱ μὲν ἄρχοντες, καὶ οἱ πρεσβύτεροι, ἐν τάξει ἐλαύνετε ἀθρόοι, εἰ σωφρονεῖτε, ἵνα μήποτε ἀθρόῳ τινὶ ἐντυγχάνοντες, ἀποβιασθῆτε. τοὺς δὲ νεωτέρους ἐφίετε διώκειν. οὗτοι δὲ καινόντων. τοῦτο γὰρ ἀσφαλέστατον νῦν, ὡς ἐλαχίστους τῶν πολεμίων λείπειν. ἢν δὲ τὸ πολλοῖς δὴ συμβεβηκὸς κρατοῦσι τὴν τύχην ἀναστρέψαι γίγνηται, φυλάξασθαι δεῖ, τὸ ἐφ' ἁρπαγὴν τραπέσθαι. ὡς ὁ τοῦτο ποιῶν οὐκέτι ἀνήρ ἐστιν, ἀλλὰ σκευοφόρος, καὶ ἔξεστι τῷ βουλομένῳ ἤδη χρῆσθαι τούτῳ ὡς ἀνδραπόδῳ. ἐκεῖνο δὲ χρὴ γνῶναι, ὅτι οὐδέν ἐστι κερδαλεώτερον τοῦ νικᾶν. ὁ γὰρ κρατῶν, ἅμα πάντα συνήρπασε, καὶ τοὺς ἄνδρας, καὶ τὰς γυναῖκας, καὶ τὰ χρήματα, καὶ πᾶσαν ἅμα τὴν χώραν. πρὸς ταῦτα τοῦτο μόνον ὁρᾶτε, ὅπως τὴν νίκην διασωσώμεθα. ἐὰν γὰρ κρατηθῇ καὶ αὐτὸς ὁ ἁρπάζων ἔχεται. καὶ τοῦτο ἅμα διώκοντες, μέμνησθε ἥκειν πάλιν ὡς ἐμέ, ἔτι φωτὸς ὄντος, ὡς σκότους γιγνομένου, οὐδένα ἔτι προσδεξόμεθα. ταῦτα εἰπών, ἀπέπεμπεν εἰς τὰς τάξεις ἑκάστους, καὶ ἐκέλευσεν ἅμα πορευομένους, τοῖς

nuncijs ad ipsos, atque unà cum illo unus è nostris: dicturi, si quidem sunt amici, ut nobis omnes occurrant sublatis dextris. Itaque si ita ad nos uenint, contrà iisdem uos eos excipite, & simul ut quisque uenerit, bono ut animo sint hortamini. Sin arma capiant, fugamue aggrediantur, horum continuo est entendum nil reliquum fieri. Huiusmodi erant admonitiones Cyri. At Hyrcanij auditis nuncijs, tum lætati sunt plurimum, tum equis ascensis illicò affuere sublatis dextris, dictum ut fuerat. Medi uero ac Persæ & ipsi contrà dextris sublatis recipiebant eos amice, & ut bene sperarent hortabantur. Et exhinc ait Cyrus: Nos quidem Hyrcanij uobis iam credimus, uosq; erga nos ita uos habeatis est æquum. Verùm nobis hoc primum dicite: Quantum hinc distat ubi sunt principia hostium eorumque frequentia? Cui responderunt Hyrcanij, eos distare paulò plusquàm parasangam. Hic ait Cyrus: Agite igitur uiri Persæ, Medique, uosq; Hyrcanij (iam enim ad uos ut socios ac participes loquor) neminem hoc tempore ignarum esse oportet, in huiusmodi [illegible] esse discrimine, ubi si molliter habuerimus, extrema simus mala passuri. Norunt enim hostes quas ad res uenimus. Quod si constantia freti, eamus aduersus hostes ualenter atque ingenti animo, actutum aspicietis tanquam fugitiuos repertos seruos, alios supplices sese præstare, alios fugere, alios ne hæc quidem posse mente percipere. Nam & uicti nos aspicient, cum neque uenturos nos arbitrarentur, & neque instructi, neque ad pugnam parati, & capti erunt. Quare si uelimus posthac suauiter & cœnare & pernoctare, nolimus istis ocium dare, neque boni quicquam consultandi, neque cognoscendi omnino quot homines sumus, sed omnia uenisse putent, & cratis, & mucrones, & securis, & uulnera. Et uos, inquit, ô Hyrcanij, proximos hostibus uosmetipsos facientes ante nos procedite, quò uisis armis uestris lateamus quamplurimum temporis. Sed ubi ipse iuxta agmen hostium fuero, linquite singuli apud me ordinem equitum, quò ipse intra aciem manens, iis utar si quid opus fuerit. E uobis autem principes atq; seniores in ordine, si sapitis, frequentes inuadite, quò nunquam in confertam multitudinem aliquam incidentes uim patiamini. At iuniores dimittite insecutum hostes. Et hi quidem hostis occidunto, hoc enim per hoc temporis est maximè securum, quò illorum paucissimi relinquantur. Sin, quod multis iam accidit, uincentibus uobis fortuna aduersetur, cauendum est ne ad rapinam uertamini, utpote qui hoc fecerit, non sit habendus etiam uir, sed homo sarcinarius, liceatq; uolenti eius; ut hoc iam utatur pro mancipio. Illud autem ignorandum non est, NVLLVM esse uictoria maius lucrum. Nam qui uincit, omnia rapit, unà & uiros, & mulieres, & pecunias, & regionem totam. Ad hæc solùm hoc respicite, ut uictoriam seruemus: in hac enim etiam ipse raptor continetur. Atque hoc simul, dum hostis insequimini, mementote, ut retro adhuc per lucem ad me eatis, quòd tenebris factis neminem etiam admittemus. Hæc loquutus Cyrus, dimittebat quosque in suos ordines: iubebatq; simul, ut pergentes eadem

eadem singuli decurionibus suis significarēt. Decuriones enim erant in fronte. Itaq; audiebāt, iisdemq; iubebant ut singuli suæ decuriæ eadē præciperēt. Exhinc Hyrcanij antecedebant. At ipse mediū tenens agmē, unà cū Persis proficiscebatur. Equites uerò ex utroq; latere rectè instruxit. At hostes ubi illuxit, alij mirabātur quæ uidebāt, alij iam rem intelligebāt, aliqui nunciabāt, aliqui clamabāt: hi equos soluebāt, illi accingebātur. Nonnulli à iumentis arma iaciebant, quidā armis induebātur. Exiliebant quidā in equos, frenabāt 10 eos alij. Vxores plerique uehiculis imponebant. Multi res preciosissimas capiebant, ut eas saluas facerent. Plerīq; cum huiusmodi res defoderent, capiebantur: plures autem fugæ sese dabant. Existimandum est etiam alia eos multa ac aduersa tum facere. Cæterum nemo pugnabat, sed gratis peribant. At Crœsus rex Lydorū, ut æstas erat, cū uxores in rhedis ante dimiserat noctu, quo facilius per temporis refrigerationē proficiscerētur, tum ipse cum equitib. prope sequebatur. Et eadem hæc Phryga fecisse tradunt, eius Phrygiæ prin 20 cipem quæ ad Hellespontū iacet. Hi ut ex fugientibus, & ex iis qui sese offenderent interrogātes rem didicerunt, fugiebant etiam ipsi quammaximè poterant. Sed Cappadocū regem, & Arabum item regē, qui in proximo adhuc essent, thoracibusq; carentes eum sustinerent, Hyrcanij interficiunt. Erant autē mortui maiori ex parte Assyrij & Arabes. Nam quia essent in agro suo, lentè admodū incedebant. Medi igitur & Hyrcanij ut tam uictores, talia patrabant eos insequētes. At Cyrus equites apud se relictos circū castra ut obequitarent, iis iubebat, ac si quos exeūtis uidissent armatos, ut interimerent. Iis uerò qui mansissent iussit per præconē, ut omnes milites, hostes quotquot essēt, aut equites, aut scutati, aut sagittarij, deferrent arma ligata, at equos in tabernaculis relinquerent. Qui autē hæc nō fecisset, is actutū obtruncaretur. Habentesq; mucrones expeditos, in ordine circunsterūt. Igitur quib. forēt arma, hi ea delata quendam iaciebant in locū quo iubebantur: quæ ipsa ab iis cremabantur, quibus fuerat imperatum. Cumq; Cyrus cogitasset eò uenisse sine e- 40 sculentis & poculentis, quibus sine neq; rei militari studeri potest, neq; aliud quicquam fieri: & cum etiam consideraret, qui hæc & celerrime fierent & pulcherrime, ei uenit in mentem, necessario oportere, ut omnibus militiam exercentibus unus sit qui & tabernaculi curam gerat, & ut cōmeatus ingredientibus militibus sit paratus. quamobrem intelligebat, hos omniū maximè circa apparatū faciundum, oportere in castris huiusmodi tempore cōprehendere. Per præcones igitur iubet, tutores ut adsint omnes. Quòd sicu- 50 bi minus sit tutor, ut is adsit qui sit à tabernaculo natu maximus, dura illi edicens omnia qui minus parēret. Hi autem uidentes parēre etiam heros, quamprimum obediebant. Vbi affuerūt, sedere primū iubebat eos, quibus esset in tabernaculo plus cōmeatus duorū mensium. Quibus uisis iterum iussit eos sedere, quibus foret commeatus menstruus. Et in his propè cuncti sedebāt. Hæc ubi didicit, ita ad eos ait: Agite nūc, ò uiri fortissimi, qui & uobis mala exosa estis, et aliquid à nobis boni consequi uultis, strenuā diligentiā adhibete, ut du-

τοῖς αὐτῶν ἕκαστον δεκαδάρχοις ταῦτα σημαίνειν. ἐν μετώπῳ γὰρ οἱ δεκάδαρχοι ἦσαν. ὥστε ἀκούειν τοὺς δεκαδάρχους τῇ δεκάδι ἕκαστον κελεύειν παραγγέλλειν. ἐκ τούτου προηγοῦντο μὲν οἱ ὑρκάνιοι. αὐτὸς δὲ τὸ μέσον ἔχων σὺν τοῖς πέρσαις ἐπορεύετο. τοὺς δὲ ἱππέας ἑκατέρωθεν ὥσπερ εἰκὸς παρέταξε. τῶν δὲ πολεμίων, ἐπεὶ σαφὲς ἐγένετο, οἱ μὲν ἐθαύμαζον τὰ ὁρώμενα, οἱ δὲ ἐγίνωσκον ἤδη, οἱ δ' ἤγγελλον, οἱ δὲ ἐβόων, οἱ δ' ἔλυον ἵππους, οἱ δὲ συνεσκευάζοντο, οἱ δ' ἐῤῥίπτουν τὰ ὅπλα ἀπὸ τῶν ὑποζυγίων, οἱ δὲ ὡπλίζοντο, οἱ δὲ ἀνεπήδων ἐπὶ τοὺς ἵππους, οἱ δὲ ἐχαλίνουν, οἱ δὲ τὰς γυναῖκας ἀνεβίβαζον ἐπὶ τὰ ὀχήματα, οἱ δὲ τὰ πλείστου ἄξια ἐλάμβανον, ὡς διασωσόμενοι, οἱ δὲ κατορύττοντες τὰ τοιαῦτα ἡλίσκοντο, οἱ δὲ πλεῖστοι εἰς φυγὴν ὥρμων. οἴεσθαι δὲ χρὴ καὶ ἄλλα πολλά τε καὶ παντοδαπὰ ποιεῖν αὐτούς. πλὴν ἐμάχετο οὐδείς, ἀλλ' ἀμαχητὶ ἀπώλλυντο. κροῖσος δὲ ὁ λυδῶν βασιλεύς, ὡς θέρος ἦν, τάς τε γυναῖκας ἐν ταῖς ἁρμαμάξαις προαπεπέμψατο τῆς νυκτός, ὡς ἂν ῥᾷον πορεύοιντο διὰ τὸ ψῦχος. καὶ αὐτὸς ἔχων τοὺς ἱππέας ἐπηκολούθει. καὶ τὸν φρύγα ταῦτά φασι ποιῆσαι, τὸν τῆς παρ' ἑλλήσποντον ἄρχοντα φρυγίας. ὡς δὲ παρῄσθοντο τῶν φευγόντων καὶ καταλαμβανόντων ἑαυτούς, πυθόμενοι τὰ γιγνόμενα, ἔφευγον δὴ καὶ αὐτοὶ κατὰ κράτος. τὸν δὲ τῶν καππαδοκῶν βασιλέα καὶ τὸν ἀραβίων ἔτι ἐγγὺς ὄντας, καὶ ὑποστάντας ἀθωρακίστους, κατακαίνουσιν οἱ ὑρκάνιοι. τὸ δὲ πλεῖστον ἦν τῶν ἀποθανόντων ἀσσυρίων καὶ ἀραβίων. ἐν γὰρ τῇ ἑαυτῶν ὄντες χώρᾳ, συντονώτατα πρὸς τὴν πορείαν εἶχον. οἱ μὲν δὴ μῆδοι καὶ ὑρκάνιοι, οἷα εἰκὸς κρατοῦντες, τοιαῦτα ἐποίουν διώκοντες. ὁ δὲ κῦρος τοὺς παρ' ἑαυτῷ ἱππέας καταλειφθέντας περιελαύνειν ἐκέλευσε τὸ στρατόπεδον. καὶ εἴ τινας σὺν ὅπλοις ἐξιόντας ἴδοιεν, ἀποκτείνοιεν. τοῖς δ' ὑπομένουσιν ἐκήρυξεν· ὁπόσοι τῶν πολεμίων στρατιωτῶν ἦσαν ἱππεῖς, ἢ πελτασταί, ἢ τοξόται, ἀποφέρειν τὰ ὅπλα συνδεδεμένα. τοὺς δὲ ἵππους ἐπὶ ταῖς σκηναῖς καταλιπεῖν. ὅστις δὲ μὴ ταῦτα ποιήσῃ, αὐτίκα τῆς κεφαλῆς στερηθήσεσθαι. τὰς δὲ κοπίδας προχείρους ἔχοντες, ἐν τάξει περιίσταντο. οἱ μὲν δὴ τὰ ὅπλα ἔχοντες, ἐῤῥίπτουν ἀποφέροντες εἰς ἓν χωρίον ὅποι ἐκέλευσε. καὶ ταῦτα μὲν οἷς ἐπέταξεν, ἔκαιον. ὁ δὲ κῦρος ἐνενόησεν, ὅτι ἦλθον μὲν οὔτε σῖτα οὔτε ποτὰ ἔχοντες. ἄνευ δὲ τούτων οὔτε στρατεύεσθαι δυνατόν, οὔτε ἄλλο οὐδὲν ποιεῖν. σκοπῶν δὲ ὡς ἂν ταῦτα τάχιστα καὶ κάλλιστα γένοιτο, ἐνθυμεῖται, ὅτι ἀνάγκη πᾶσι τοῖς στρατευομένοις δεῖν εἶναί τινα, ὅτῳ καὶ σκηνῆς μελήσει, καὶ ὅπως τὰ ἐπιτήδεια παρεσκευασμένα τοῖς στρατιώταις εἰσιοῦσιν ᾖ. καὶ τοίνυν ἔγνω ὅτι τούτους εἰκὸς μάλιστα πάντων ἐν τῷ στρατοπέδῳ νῦν καταλῆφθαι. ἂν ἦν διὰ τὸ ἀμφὶ συσκευασίαν ἔχειν, ἐκήρυξε δὴ παρεῖναι πάντας τοὺς ἐπιτρόπους. εἰ δέ που μὴ εἴη ἐπίτροπος, τὸν πρεσβύτατον ἀπὸ σκηνῆς. τῷ δὲ ἀπειθοῦντι, πάντα τὰ χαλεπὰ ἀνεῖπεν. οἱ δὲ ὁρῶντες καὶ τοὺς δεσπότας πειθομένους, ταχὺ ἐπείθοντο. ἐπεὶ δὲ παρεγένοντο, πρῶτον μὲν ἐκέλευσε καθίζεσθαι αὐτῶν, οἷς ὄντα πλέον ἢ δυοῖν μηνῶν ἐν τῇ σκηνῇ τὰ ἐπιτήδεια. ἐπεὶ δὲ τούτους εἶδεν, αὖθις ἐκέλευσεν, οἷς μηνὸς ἦν. ἐν δὲ τούτοις σχεδὸν πάντες ἐκαθίζοντο. ἐπεὶ δὲ ταῦτα ἔμαθεν, εἶπεν ὧδε αὐτοῖς· λέγετε τοίνυν, ἔφη, ὦ ἄνδρες, οἵτινες ὑμῶν τὰ μὲν κακὰ μισεῖτε, ἀγαθοῦ δέ τινος παρ' ἡμῶν βούλεσθε ἂν τυγχάνειν, ἐπιμελήθητε προθύμως, ὅπως

ὅπως δ' ἐπιπλάσια ἐν τῇ σκηνῇ ἑκάστῃ σιτία καὶ ποτὰ παρεσκευασμένα ᾖ τοῖς διατάκταις καὶ τοῖς οἰκέταις, ἢ ἃ καθ' ἡμέραν ἐποιεῖτε. καὶ τἆλλα δὲ πάντα ὁπόσα καλὴν δαῖτα παρέξει, ἕτοιμα ποιεῖτε, ὡς αὐτίκα μάλα παρέσονται ὁπότεροι ἂν κρατῶσι καὶ ἀξιώσουσιν ἐκπλέω ἔχειν πάντα τὰ ἐπιτήδεια. ἴστε οὖν ὅτι συμφέρει ἂν ὑμῖν ἀμέμπτως δέχεσθαι τοὺς ἄνδρας. οἱ μὲν δὴ ταῦτα ἀκούσαντες, πολλῇ σπουδῇ τὰ παρηγγελμένα ἔπραττον. ὁ δ' αὖ συγκαλέσας τοὺς ταξιάρχους, ἔλεξε τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΚΥΡΟΥ.

Ἄνδρες φίλοι, γιγνώσκομεν ὅτι νῦν ἔξεστιν ἡμῖν, προτέροις τῶν ἀπόντων συμμάχων, ἀρίστου τυχεῖν, καὶ τοῖς μάλα ἐσπουδασμένοις σιτίοις καὶ ποτοῖς χρῆσθαι. ἀλλ' οὔ μοι δοκεῖ τοῦτ' ἂν τὸ ἄριστον πλέον ὠφελῆσαι ἡμᾶς, ἢ τὸ τῶν συμμάχων ἐπιμελεῖς φανῆναι· οὐδ' ἂν αὕτη ἡ εὐωχία, ἰσχυροτέρους ποιῆσαι, ὅσον εἰ δυναίμεθα τοὺς συμμάχους προθύμους ποιεῖσθαι. εἰ δὲ τῶν νυνὶ διωκόντων καὶ κατακαινόντων τοὺς ἡμετέρους πολεμίους, καὶ μαχομένων εἴ τις ἐναντιοῦται, τούτων δόξομεν οὕτως ἀμελεῖν, ὥστε καὶ πρὶν εἰδέναι ὅ, τι πράττουσιν ἠριστηκότες φαίνεσθαι, ὅπως μὴ αἰσχροὶ μὲν φανούμεθα, ἀσθενεῖς δ' ἐσόμεθα συμμάχων ἀποροῦντες. τὸ δὲ τῶν πονούντων καὶ κινδυνευόντων ἐπιμεληθῆναί τινα, ὅπως εἰσιόντες τὰ ἐπιτήδεια ἕξουσιν, αὕτη ἂν ἡμᾶς ἡ θοίνη, πλείω εὐφράνειεν, ὡς ἐγώ φημι, ἢ τὸ παραχρῆμα τῇ γαστρὶ χαρίσασθαι. ἐννοήσατε δ', ἔφη, ὡς εἰ μηδ' ἐκείνους αἰσχυντέον ἦν, οὐδ' ὣς ἡμῖν προσήκει, οὔτε πλησμονῆς πω, οὔτε μέθης. οὐ γάρ πω διαπέπρακται ἡμῖν ἃ βουλόμεθα. ἀλλ' αὐτὰ πάντα νῦν ἀκμάζει ἐπιμελείας δεόμενα. ἔχομεν γὰρ ἐν τῷ στρατοπέδῳ, πολεμίους πολλαπλασίους ἡμῶν αὐτῶν, καὶ τούτους λελυμένους, οὓς καὶ φυλάττεσθαι ἔτι προσήκει, καὶ φυλάττειν, ὅπως ὦσι καὶ οἱ ποιήσοντες ἡμῖν τὰ ἐπιτήδεια. ἔτι δ' οἱ ἱππεῖς ἡμῖν ἄπεισι, φροντίδα παρέχοντες ὅπου εἰσί, κἂν ἔλθωσιν ἢ παραμενοῦσιν. ὥστε, ὦ ἄνδρες, νῦν μοι δοκεῖ τοιοῦτον σῖτον προσφέρεσθαι δεῖν ἡμᾶς, καὶ τοιοῦτον ποτόν, ὁποῖόν τις οἴεται μάλιστα σύμφορον εἶναι, πρὸς τὸ μήτε ὕπνου, μήτε ἀφροσύνης ἐμπίπλασθαι. ἔτι δὲ καὶ χρήματα ἐγὼ οἶδα, ὅτι πολλὰ ἐν τῷ στρατοπέδῳ ἐστίν. ὧν ἀκούω ὅτι δυνατὸν ἡμῖν κοινῶν αὐτῶν ὄντων τοῖς συγκατειληφόσι νοσφίσασθαι, ὁπόσα ἂν βουλώμεθα. ἀλλ' οὔ μοι δοκεῖ τὸ λαβεῖν κερδαλεώτερον εἶναι, τοῦ δικαίους φαινομένους, ἐκείνους τούτῳ πρίασθαι ἔτι μᾶλλον αὐτούς, ἢ νῦν ἀσπάζεσθαι ἡμᾶς. δοκεῖ δέ μοι, ἔφη, καὶ τὸ νεῖμαι τὰ χρήματα ἐπειδὰν ἔλθωσι, Μήδοις καὶ Ὑρκανίοις καὶ Τιγράνῃ ἐπιτρέψαι. κἂν ἔλαττον ἡμῖν δάσωνται, κέρδος ἡγεῖσθαι. διὰ γὰρ τὰ κέρδη ἥδιον ἡμῖν παραμενοῦσι. τὸ μὲν γὰρ νῦν πλεονεκτῆσαι ὀλιγοχρόνιον ἂν ἡμῖν τὸν πλοῦτον παράσχοι. τὸ δὲ ταῦτα προεμένους ἐκεῖνα κτήσασθαι ὅθεν πλοῦτος φύεται, τοῦτ' αὖθ' ὡς ἐγὼ δοκῶ, ἀεναώτερον ἡμῖν δύναιτ' ἂν τὸν πλοῦτον καὶ πᾶσι τοῖς ἡμετέροις παρέχειν. οἶμαι δ', ἔφη, καὶ οἴκοι ἡμᾶς τούτου ἕνεκεν ἀσκεῖν, καὶ γαστρὸς κρείττους εἶναι, καὶ ἀκαίρων κερδῶν, ἵν' ὁπότε δέοι, δυναίμεθα αὐτοῖς συμφόρως χρῆσθαι. ὅπου δ' ἂν μείζοσι τῶν νῦν παρόντων ἐπιδειξόμεθα τὴν παιδείαν, ἐγὼ μὲν οὐχ ὁρῶ. ὁ μὲν οὕτως εἶπε. συνεῖπε δ' αὐτῷ Ὑστάσπας ἀνὴρ

Πέρσης

ut duplo plura in quolibet tabernaculo esculēta poculentaq; sint parata heris ac famulis, quam quæ quotidie faciebatis: aliaq; omnia quæcūq; pulchras præbitura sunt epulas, ut in prōptu sint facitote, quoniā cuòad modum sunt affuturi utrīuis uicerint, dignumq; ducerint affatim habere omnis res necessarias. Ita noueritis fore, ut uobis conducat si probè uiros exceperitis. Quæ illi audientes, magno studio quæ præcepta a Cyro fuerant, agebant. Hic rursus conuocatis ordinum centurionibus, huiusmodi uerba habuit:

CYRI CONCIO.

Viri amicißimi, cognoscimus sanè licere nūc nobis, qui priores sumus q̃ absentes socij, prandere et apparatus esculentis poculentisq; uti: sed non uidetur mihi hoc prandiū plus utilitatis afferre posse, q̃ si sociorū diligentiam habuisse uideamur: neq; ipsæ epulæ tanto reddant nos ualidioris, quanto si socios poßimus strenuos facere. Quòd si insequentib. nunc socijs, & occidentib. hostis nostros atq; prælantibus, si quis aduersatur, uidebimur hos ita negligere, ut prius etiam q̃ nouerimus quid ab ijs agatur, pranderimus, cauendū est ne ut turpes appareamus, & imbeciles futuri simus, sociorum inopes. Quod si quis curauerit ut hi periclitantes laborantesq; dum castra ingrediantur habiturę sint necessaria, hæ dapes plus lætitiæ nobis afferent, mea sententia, q̃ si statim uētri obsequamur. Cogitate præterea, si etiam propter illos nobis pudendū nō esset, neq; tamē hoc pacto nos adhuc decere repleri atq; inebriari. Nondum enim peracta sunt nobis quæ uolumus, quin omnia hæc inualescunt quibus diligentia opus est: quippe qui habemus in castris hostis multò pluris quàm ipsi sumus, & hos quidem solutos, qui cauendi fortaßis adhuc sunt & custodiendi, quo sint qui res necessarias nobis faciant. Præterea equites nostri absunt, qui solicitudine nobis afferunt, ubi sint, ueniant'ne, an sint mansuri. Quare mihi uidetur, ò uiri, talem nobis afferri cibum oportere, ac talem potum, qualem quis putet maximè conducere, quo minus & somno, & insipientia referciamur. Ad hæc nō sum nescius pecunias in castris esse permultas, quæ quoniam ijs nunc cōmunes nobiscum sunt qui cepere, fieri posse intelligo, ut eas pro uoluntate uertamus in priuatū usum. At ne mihi uidetur quidem eas capere fructuosius esse, quàm si, ut iusti appareamus, enitimur illos hac re nobis reddere, maiore etiam quàm nunc sunt affectos beneuolentia. Videtur autē mihi uel distributionem ipsarū pecuniarū cum uenerint, Medis & Hyrcanijs Tigraniq; esse concedendam: & quamuis minus etiā nobis tributuri sint, lucro ducendū esse. Nam lucri causa libentius apud nos manebunt. Audio enim præsens acquisitio parum duraturas nobis diuitias præbeat, ac in his tradendis pecunijs illas nos res adipiscamur unde diuitiæ oriuntur, hoc perennioris, mea sententia, opes nobis poßit nostrisq; omnibus præstare. Puto etiam nos domi rei huiusce causa exerceri, ut & uentre & intēpestiuis quæstibus simus superiores, ut cū opus sit unquā, quęamus ijs uti ad nostrā utilitatē. At ubi maiorib. in rebus q̃ in præsentib. disciplinā poßimus demōstrare, equidē ipse nō uideo. Cyrus hoc modo locutus est. Quo cū Hystaspes uir

Perses,

Perses, & is quidem homotimus, ita oratione conuenit: Absurdum enim sit Cyre, si in uenatione saepe sine cibo perstamus, quo feram aliquam capiamus, uel minimi fortasse faciundam: opes autem totas uenari molentibus, si quid eorum impedimento sit nobis quae malis hominibus dominentur, bonis seruiunt, haudquaquam uidemur facere ex officio. Hystaspas ita cum Cyri sententia conuenit, aliiq; omnes haec una approbauere. Cyrus autem dixit: Agite quoniam eadem sentimus, mittite à manipulo singuli quinque ex uiris strenuis, qui circumeuntes quoscunque uideant parantis res necessarias, eos laudent, sed in negligentis seuerius animaduertant, quàm si essent ipsorum heri. Ab his quidem haec gerebantur. At Medi, alij quidē cum offendissent aeuertissentq; carros, qui iam antea soluerant eos impellebant, plenos earum rerum quibus egebat exercitus. Alij uero adigebant rhedas quas ceperant, refertas mulieribus pulcherrimis, partim uxoribus, partim pellicibus, quae propter formae praestantiam circunductabantur. Asiatici enim exercitus hoc etiam tempore dum rei militari student, secum habent res omnis preciosissimas, inquientes, pugnacioris se esse, ubi adsint quae habent charissima: cogi enim his ferre auxilium. Fortassis ita res habet, fortassis etiam ea faciunt uoluptati obsequentes. Cyrus autem spectans quae à Medis et Hyrcanijs gesta sunt, se ac suos tanquam increpabat, quòd alij per id temporis magis seipsis augeri gloria uidebantur, & aliquid etiam adipisci, ipsos autem in tardiore opperiri loco. Etenim qui praedam agebant ostendentes Cyro quae ab sese agebantur, iterum abequitabant alios insequentes: nam haec dicebant suos sibi principes facunda imperasse. Aegrè commotus his Cyrus, tamen res seponebat, suosq; ordinum centuriones rursus conuocabat, stánsque ubi possent quae consultarentur exaudiri, haec loquitur:

CYRI CONCIO.

Viri amicissimi, omnes sanè cognoscimus, ut opinor, futurū ut magna bona sint Persis omnibus: at uobis non absurde maxima per quos haec geruntur, si his quae initio nunc uidentur potiamur. Sed ut haec sint nostris uiris, cum haudquaquam sumus sufficientes ad ea adipiscenda nisi proprium Persae habeant equitatum, hoc equidem non uideo. Cogitandum enim nunc uobis est, arma habere nos Persas, quibus hostis obuiam euntes uertamus in fugam. Sed ubi eos uerterimus, quos aut equites, aut sagittarios, aut scutatos, aut iaculatores fugientis capere possimus, uel interimere, si equis careamus? Qui etiam laedere nos aggressi, uel sagittarij, uel iaculatores equitesue, nos metuant, cum certò norunt non maius à nobis sibi uel periculum uel malum imminere, quàm à consitis arboribus? Quod si haec ita habent, nonne liquidum est hosce equites qui nobis nunc adsunt, putare haec omnia quae capta sunt, non minus sua esse quàm nostra? ac fortassis etiam magis mehercule. Nunc igitur haec ita habent necessario. Quod si nobis equos comparemus non hisce deterioris, nonne perspicuum nobis sit prorsus fore, ut & de hostibus possimus omnia sine hisce facere, quae unà cum his nunc facimus, & hos tū habituri si/

πέρσης τῶν ὁμοτίμων ὧδε· δεινὸν γὰρ τἂν εἴη, ὦ Κῦρε, εἰ ἐν θήρᾳ μὲν πολλάκις ἄσιτοι καρτεροῦμεν, ὅπως θηρίον τι ὑποχείριον ποιησώμεθα, καὶ μάλα μικροῦ ἴσως ἄξιον· ὄλβον δὲ ὅλον προσφερόμενοι θηρᾶν, εἰ ἐμπόδιόν τι ποιησαίμεθα γενέσθαι ἡμῖν, ἃ τῶν μὲν κακῶν ἀνθρώπων ἄρχει, τοῖς δὲ ἀγαθοῖς πείθεται, οὐκ ἂν πρέποντα ἡμῖν δοκοίημεν ποιεῖν. ὁ μὲν Ὑστάσπας δὴ οὕτω συνεῖπεν. οἱ δ' ἄλλοι πάντες ταῦτα συνῄνουν. ὁ δὲ Κῦρος εἶπεν· ἄγετε δή, ἔφη, ἐπειδὴ ὁμονοοῦμεν ταῦτα, πέμψατε ἀπὸ λόχου πέντε ἄνδρας ἕκαστος τῶν σπουδαιοτάτων. οὗτοι δὲ περιιόντες οὓς μὲν ἂν ὁρῶσι πορσύνοντας τὰ ἐπιτήδεια, ἐπαινούντων· οὓς δ' ἀμελοῦντας, κολαζόντων ἀφειδέστερον ἢ ὡς δεσπόται. οὗτοι μὲν δὴ ταῦτα ἐποίουν. τῶν δὲ Μήδων τινὲς ἤδη οἱ μὲν ἁμάξας προωρμημένας καταλαμβάνοντες καὶ ἀποστρέψαντες, προσήλαυνον μεστὰς ὧν δεῖται στρατιά. οἱ δὲ καὶ ἁρμαμάξας γυναικῶν τῶν βελτίστων· τῶν μὲν καὶ γνησίων, τῶν δὲ παλλακίδων διὰ τὸ κάλλος συμπεριαγομένων. καὶ ταύτας εἰληφότες προσῆγον. πάντες γὰρ ἔτι καὶ νῦν οἱ κατὰ τὴν Ἀσίαν στρατευόμενοι, ἔχοντες τὰ πλείστου ἄξια στρατεύονται. λέγοντες ὅτι μᾶλλον μάχοιντ' ἂν εἰ τὰ φίλτατα παρείη. τούτοις γάρ φασιν ἀνάγκην εἶναι προθύμως ἀλέξειν. ἴσως μὲν οὖν οὕτως ἔχει. ἴσως δὲ καὶ ποιοῦσιν αὐτά, ἡδονῇ χαριζόμενοι. ὁ δὲ Κῦρος ὁρῶν τὰ τῶν Μήδων ἔργα καὶ Ὑρκανίων, ὥσπερ ἐκατεμέμφετο ἑαυτὸν καὶ τοὺς σὺν αὐτῷ, ὅτι εἰ οἱ ἄλλοι ἐν τοῦτον τὸν χρόνον ἀκμάζειν τε μᾶλλον ἑαυτῶν ἐδόκουν, καὶ προσκτᾶσθαί τι, αὐτοὶ δ' ἐν ἀργοτέρᾳ χώρᾳ ὑποκαταμένειν. καὶ γὰρ δὴ οἱ ἀπάγοντες, ἀποδεικνύντες Κύρῳ ἃ ἦγον, πάλιν ἀπήλαυνον, μεταδιώκοντες τοὺς ἄλλους. ταῦτα γὰρ ἔφασαν σφίσι προστετάχθαι ποιεῖν ὑπὸ τῶν ἀρχόντων. δακνόμενος δὴ ὁ Κῦρος ἐπὶ τούτοις, ταῦτα μὲν ὅμως κατεχώριζε. συνεκάλει δὲ πάλιν τοὺς ταξιάρχους, καὶ στὰς ὅπου ἔμελλον ἐξακούσεσθαι τὰ λεγόμενα, ἔλεξε τάδε.

ΔΗΜΗΓΟΡΙΑ ΚΥΡΟΥ.

Ὅτι μέν, ὦ ἄνδρες φίλοι, εἰ κατάσχοιμεν τὰ νῦν προφαινόμενα, μεγάλα μὲν ἂν ἅπασι Πέρσαις ἀγαθὰ γένοιτο, μέγιστα δ' ἂν εἰκότως ἡμῖν δι' ὧν πράττεται, πάντες οἶμαι γινώσκομεν. ὅπως δ' ἂν αὐτῶν ἡμεῖς κύριοι γενοίμεθα, μὴ αὐτάρκεις ὄντες κτήσασθαι αὐτά, εἰ μὴ ἔσται οἰκεῖον ἱππικὸν Πέρσαις, τοῦτο οὐκέτι ἐγὼ ὁρῶ. ἐννοεῖτε γὰρ δή, ἔφη, ἔχομεν ἡμεῖς οἱ Πέρσαι ὅπλα, οἷς δοκοῦμεν τοὺς πολεμίους τρέπεσθαι, ὁμόσε ἰόντας. καὶ δὴ τρεπόμενοι, ποίους ἢ ἱππέας, ἢ τοξότας, ἢ πελταστάς, ἢ ἀκοντιστάς, ἄνευ ἵππων ὄντες, δυναίμεθ' ἂν φεύγοντας ἢ λαβεῖν, ἢ κατακτεῖναι; τίνες δ' ἂν φοβοῖντο ἡμᾶς προσιόντες κακουργεῖν, ἢ τοξόται, ἢ ἀκοντισταί, ἢ ἱππεῖς, εὖ εἰδότες, ὅτι οὐδεὶς αὐτοῖς κίνδυνος ὑφ' ἡμῶν κακόν τι παθεῖν μᾶλλον, ἢ ὑπὸ τῶν πεφυκότων δένδρων; εἰ δὲ ταῦτα οὕτως ἔχει, οὐκ εὔδηλον ὅτι οἱ νῦν παρόντες ἡμῖν ἱππεῖς νομίζουσι ταῦτα πάντα ὑποχείρια γινόμενα, οὐχ ἧττον αὐτοῖς εἶναι ἢ ἡμέτερα; ἴσως δέ, νὴ Δία, καὶ μᾶλλον. νῦν μὲν οὖν οὕτω ταῦτα ἔχει κατ' ἀνάγκην. εἰ δὲ ἡμεῖς ἱππικὸν κτησαίμεθα μὴ χεῖρον τούτων, οὐ παντάπασιν ἡμῖν καταφανές, ὅτι τούς τ' ἂν πολεμίους δυναίμεθα ἄνευ τούτων ποιεῖν, ἅπερ καὶ νῦν σὺν τούτοις; τούτους τε ἔχοιμεν

μεν ἂν τότε μετριώτερον πρὸς ἡμᾶς φρονοῦντας. ὁπότε γὰρ ἢ παρεῖναι, ἢ ἀπεῖναι βούλοιντο, ἧττον ἂν ἡμῖν μέλοι, εἰ αὐτοὶ ἄνευ τούτων ἀρκοῖμεν ἡμῖν αὐτοῖς. ταῦτα μὲν δὴ οἶμαι, οὐδεὶς ἂν ἀντιγνωμονήσειε, μὴ οὐχὶ τὸ πᾶν διαφέρειν, Περσῶν γενέσθαι οἰκεῖον ἱππικόν. ἀλλ' ἐκεῖνο ἴσως ἐννοεῖτε, πῶς ἂν τοῦτο γένοιτο. ἆρ' οὖν σκεψώμεθα, εἰ βουλοίμεθα καθιστάναι ἱππικόν, τί ἡμῖν ὑπάρχει, καὶ τίνος ἐνδεῖ. οὐκοῦν ἵπποι μὲν οὗτοι πολλοὶ ἐν τῷ στρατοπέδῳ κατειλημμένοι, καὶ χαλινοὶ οἷς πείθονται, καὶ τἆλλα ὅσα δεῖ ἵππους ἔχουσι χρῆσθαί γε. ἀλλὰ μήν, καὶ οἷς γε δεῖ ἄνδρα ἱππέα χρῆσθαι ἔχομεν. θώρακας μὲν ἐρύματα τῶν σωμάτων· παλτὰ δὲ οἷς καὶ μεθιέντες καὶ ἔχοντες χρῴμεθ' ἄν. τί δὴ τὸ λοιπόν; δῆλον ὅτι ἀνδρῶν δεῖ. οὐκοῦν τοῦτο μάλιστα ἔχομεν. οὐδὲν γὰρ οὕτως ἡμέτερόν ἐστιν, ὡς ἡμεῖς ἡμῖν αὐτοῖς. ἀλλ' ἐρεῖ τις ἴσως, ὅτι οὐκ ἐπιστάμεθα. οὐδὲ γὰρ τῶν ἐπισταμένων νῦν πρὶν μαθεῖν, οὐδεὶς ἠπίστατο. ἀλλ' εἴποι ἄν τις, ὅτι παῖδες ὄντες ἐμάνθανον· καὶ πότερον οἱ παῖδές εἰσι φρονιμώτεροι, ὥστε μαθεῖν τὰ φραζόμενα καὶ δεικνύμενα, ἢ οἱ ἄνδρες; πότεροι δὲ ἐὰν μάθωσιν, ἱκανώτεροι τοῖς σώμασιν ἐκπονεῖν, οἱ παῖδες, ἢ οἱ ἄνδρες; ἀλλὰ μήν, σχολή γε ἡμῖν μανθάνειν, ὅση οὔτε παισίν, οὔτε ἄλλοις ἀνδράσιν. οὔτε γὰρ τοξεύειν ἡμῖν μαθητέον, ὥσπερ τοῖς παισί, προεπιστάμεθα γὰρ τοῦτο· οὔτε μὴν ἀκοντίζειν, ἐπιστάμεθα γὰρ τοῦτο. ἀλλ' οὐδὲ μὴν ὥσπερ καὶ τοῖς ἄλλοις ἀνδράσι, τοῖς μὲν γεωργίαι ἀσχολίαν παρέχουσι, τοῖς δὲ τέχναι, τοῖς δὲ ἄλλα οἰκεῖα, ἡμῖν δὲ στρατεύεσθαι οὐ μόνον σχολή, ἀλλὰ καὶ ἀνάγκη. ἀλλὰ μήν, οὐχ ὥσπερ ἄλλα πολλὰ τῶν πολεμικῶν, χαλεπὰ μέν, χρήσιμα δέ. ἱππικὴ δὲ οὐκ ἐν ὁδῷ μὲν ἡδίων, ἢ αὐτοῖν τοῖν ποδοῖν πορεύεσθαι; ἐν δὲ σπουδῇ οὐχ ἡδύ, ταχὺ μὲν φίλῳ παραγενέσθαι εἰ δέοι, ταχὺ δὲ εἴ τε ἄνδρα εἴτε θῆρα δέοι διώκοντα καταλαβεῖν; ἐκεῖνο δὲ οὐκ εὐπετές, τὸ ὅ τι ἂν δέῃ ὅπλον φέρειν, τὸν ἵππον τοῦτο συμφέρειν. οὐκοῦν ταὐτό γ' ἐστὶν, ἔχειν τε καὶ συμφέρειν. ὅ γε μὴν μάλιστ' ἄν τις φοβηθείη, μὴ εἰ δεήσει ἐφ' ἵππου κινδυνεύειν πρότερον ἡμᾶς, πρὶν ἀκριβοῦν τὸ ἔργον τοῦτο, κἄπειτα μήτε πεζοὶ ἔτι ὦμεν, μήθ' ἱππεῖς ἱκανοί, ἀλλ' οὐδὲ τοῦτο ἀμήχανον. ὅπου γὰρ ἂν βουλώμεθα, ἐξέσται ἡμῖν πεζοῖς εὐθὺς μάχεσθαι. οὐδὲν γὰρ τῶν πεζικῶν ἀπομαθησόμεθα, ἱππεύειν μαθόντες. Κῦρος μὲν οὕτως εἶπε. Χρυσάντας δὲ συναγορεύων αὐτῷ, ὧδε ἔλεξεν.

ΔΗΜΗΓΟΡΙΑ ΧΡΥΣΑΝΤΑ.

Ἀλλ' ἐγὼ μέν, ἔφη, οὕτως ἐπιθυμῶ ἱππεύειν μαθεῖν, ὡς νομίζω ἐὰν ἱππεὺς γένωμαι, ἄνθρωπος πτηνὸς ἔσεσθαι. νῦν μὲν γὰρ ἔγωγε ἀγαπῶ, ἤν γ' ἐξ ἴσου τῷ θεῖν ὁρμηθεὶς ἀνθρώπῳ, μόνον τῇ κεφαλῇ πρόσχω, ἄν τε θηρίον παραθέον ἰδὼν δυνηθῶ διατεινόμενος φθάσαι, ὥστε ἀκοντίσαι, ἢ τοξεῦσαι, πρὶν πάνυ πρόσω αὐτὸ γενέσθαι. ἢν δὲ ἱππεὺς γένωμαι, δυνήσομαι μὲν ἄνδρα ἐξ ὄψεως μήκους καθαιρεῖν, δυνήσομαι δὲ θηρία διώκων, τὰ μὲν ἐκ χειρὸς παίειν καταλαμβάνων· τὰ δὲ ἀκοντίζων ὥσπερ ἑστηκότα. καὶ γὰρ ἐὰν ἀμφότερα ταχέα ᾖ, ὅμως δὲ πλησίον γίνηται ἀλλήλων, ὥσπερ τὰ ἑστηκότα ἐστί. ὃ δὲ δὴ μάλιστα δοκῶ, ἔφη, ζώων ἐζηλωκέναι, ἱπποκενταύρους εἰ ἐγένοντο· ὥστε προβουλεύεσθαι

turi ſimus minus erga nos animo? Quando uel abeſſe uel abire uelint, minori nobis curæ ſit, ubi ſine his ſufficiamus nobiſipſis. Sed hæc haſtenus. His tamen in reb. opinor neminẽ contrariæ fore ſententiæ, quin præſtet omnino eſſe Perſis propriũ equitatũ. Verùm illud fortaſſe cogitatis, quonã pacto id fiat. Ergo cõſideremus, ſi uelimus equitatũ conſtituere, & quid nobis exiſtit, & quid deeſt. Igitur hi quidem equi in caſtris ſunt capti permulti, frænaq; quibus parent, & alia quibuſcũque eos oportet uti qui equos habent. Atqui habemus etiam ea, quibus uiro equiti eſt utendũ, thoracas quib. muniuntur corpora, pilaq; quib. & iaciendo utamur & habendo. Quid igitur reliquũ? Viris ſcilicet opus eſt, hoc certè habemus maxime: NIHIL eſt enim ita noſtrũ, ut nobiſipſis noſtri nos ſumus. Sed dicet fortaſſis aliquis: At neſcimus. ſed neq; ea quæ nunc ſcimus, prius quàm didiciſſemus ſciebat quiſquã. Verùm dixerit aliquis: Cum pueri eſſent, hæc diſcebãt. Et utrũ pueri ne ſunt prudentiores ad ea diſcenda quæ tradũtur ac monſtrantur, an uiri? Viri etiam quæ didicerint, magis ſufficiunt exercere atq; elaborare corporibus? pueri ne, an uiri? Quinetiã ocium nobis eſt ad diſcendum, quantum neq; pueris, neq; uiris alijs eſſe poteſt. Nam neq; nobis ſagitta diſcenda eſt ut pueris, hanc enim ſcimus. Neque iaculum, nam ſcimus hoc etiam. Verùm nec item quemadmodum alijs uiris, his agriculturæ negocium præbent, illis uerò artes, nonnullis aliæ res domeſticæ. Nobis autem militiæ operam dare non modo eſt ocium, ſed etiam neceßitas. Inſuper non quemadmodũ res aliæ plures bellicæ difficiles ſunt, ſed utiles. Equitare uero nonne in itinere iucundius eſt, quàm duobus nos pedibus proficiſci? Et ubi celeritati ſtudendum eſt, an minus delectat quamprimũ adeſſe amico ſi oporteat, celeriterq; ſiue uirum opus ſit ſeu beſtiam inſequi atq; capere? Illud autem non facile eſt & cõmodum, quicquid armorum ferendum eſt, hoc ab equo unà ferri. Itaq; idem eſt & habere, & unà ferre. Atqui metuat quiſpiam plurimum, ne ſi prius nos oportuerit in equo ſubire periculum quàm equeſtrem bene didicerimus, neq; pedites amplius ſimus nec equites ſatis. Sed ne hoc quidem perdifficile eſt. Vbi enim uelimus, licebit nobis continuo pugnare peditibus: quippe qui equeſtrem edocti, nihil pedeſtrium dediſcemus. Ita Cyrus locutus eſt. Chryſantas uero eius ſententiam ſequens, huiuſmodi uerbis eſt uſus:

CHRYSANTAE ORATIO.

At ego ita profectò cupio tenere ſcientiam equitandi, ut exiſtimem fore homo uolucer, ubi fiam eques. Nunc enim ſatis mihi ſit, ſi ex equo curſum aggreſſus ullo cum homine, hunc capite ſolum antecellam, ſi feram uideam curſu prætereuntem, eam poſſim aut iaculum, aut ſagittam intendens prius aſſequi, quàm fiat admodum eminus. Quod ſi fiam eques, potero tum uirum ex aſpectus longitudine interimere, tum beſtias inſequens alias cominus percutere, comprehenſas alias perinde ac ſtantis iaculo ferire. Etenim ſi utriq; ſint ueloces, tamen ubi propius inuicem fiant, erunt ſtantium inſtar. Quo fit, ut maximè ex omnibus animalibus adamem hippocentauros, ſi fuerunt: quippe qui tum hominis uterentur ante rem

conſul/

consultandi prudentia, & manuum artificio, tum haberent equi & uelocitatem & uires. Quare & quod fugeret, capiebant, & quod expectaret, uertebãt in fugam. Itaq; etiam ipse hæc omnia, si fiam eques, mecum sanè confero. Potero equidem omnia prouidere mente humana: manibus uero me armabo, equo autem uehar, aduersariumq; auertam equi robore: neque sicuti hippocentauri, uincar natura. Itaque hoc sanè melius est, quàm hippocentaurum esse natum. Hippocentauros enim arbitror multis carere bonis quæ ab hominibus sunt inuenta, ut ijs scilicet est utendum: multis item carere uoluptatibus equis innatis, quonã pacto ijs frui oportet. At ego si equitare didicero, cum in equo fuero, agam scilicet quæ hippocentauri sunt: cum ex equo descẽdero, et cœnabo, & induar, & me quieti dabo quemadmodum alij homines. Quare quid aliud sim futurus quàm diuisus hippocentaurus, ac rursum compositus? Insuper his etiam rebus hippocentaurum anteibo. Nam ille duobus prospiciebat oculis, duabusq; auribus audiebat: at ego oculis quatuor coniectabo, & quatuor auribus præsentiam. Aiunt enim equum manifestare hominibus multa, quæ oculis prospicit: ac multa significare auribus, quæ antea auditu percipit. Me igitur scribe in eorum numero, qui equitare maiorem in modum cupiunt. Et nos quoque scribito medius fidius, alij omnes dixerunt. Exhinc igitur ait Cyrus: Quid ergo, posteaquam hæc omnibus nobis admodum uidentur, num etiam legem scrimus nobisipsis, qua caueatur esse ijs turpe, quibus equum ipse dedero, si quis nostrùm uisus fuerit proficisci pedes, siue multum seu parum itineris faciendum sit, quò omnino nos quoque homines putent esse hippocentauros? Cyrus ita interrogabat. At ij omnes rem comprobarunt. Quare hac etiam tempestate talis usus ex illo tempore est Persis, ut neque ex claris atque bonis uiris ultro Perses quisquam aspiciatur usquam pedes incedere. Igitur hi erant in his sermonibus. Cum uero esset supra meridiem, adequitabant equites Medi atque Hyrcanij, qui agerent captiuos & equos & uiros. Quotquot enim arma tradidissent, eos haud necabant. Cum aduenissent, primùm quærebat ex eis Cyrus, an socij omnes salui essent: quod cum affirmassent, dein percunctabatur quid egerant. Illi autem narrabant quæ fecissent, & ut fortiter singula iactabant. At Cyrus omnia libẽter audiebat quæcunque uellent dicere, dein eos ita laudauit: At etiam perspicuum est, ô uiri, uos fortiter pugnauisse: etenim maiores apparetis & pulchriores, terribilioresq; uisu quàm antea. Exhinc ex ipsis percunctabatur, & quantum itineris incursassent, & an habitaretur regio. Illi autem dicebant multum itineris se fecisse, habitariq; agrum omnem, atque plenum esse & suum, & caprarum, & boum, & equorum, & frumenti, ac bonorum omnium. Duo, inquit Cyrus, nobis curanda fuerint, ut & meliores simus ea possidentibus, utq; hi maneant. NAM solum habitatum preciosa admodum est possessio: quod autem caret hominibus, caret etiam bonis. Scio repugnantes à uobis esse occisos, & rectè quidem, hoc enim maximè uictoriã seruat. Eos autem qui arma tradiderunt, egistis captiuos: quos si missos

σθαι μὲν ἀνθρώπου φρονήσει, ταῖς δὲ χερσὶ τὸ δέον πα-
λαμᾶσθαι, ἵππου δὲ τάχος ἔχειν καὶ ἰσχὺν, ὥστε τὸ μὲν φεῦ-
γον αἱρεῖν, τὸ δὲ ὑπομένον ἀνατρέπειν. οὐκοῦν πάντα
κἀγὼ ταῦτα ἱππεὺς γενόμενος, συγκομίζομαι πρὸς
ἐμαυτόν. προνοεῖν μέν γε ἕξω τῇ ἐμῇ πάντα ἀνθρωπί-
νῃ γνώμῃ. ταῖς δὲ χερσὶν ὁπλοφορήσω, διώξομαι δὲ τῷ
ἵππῳ, τὸν δ' ἐναντίον ἀνατρέψομαι τῇ τοῦ ἵππου ῥώ-
μῃ, ἀλλ' οὐ συμπεφυκὼς, δεδέσομαι ὥσπερ οἱ ἱπποκέν-
ταυροι. οὐκοῦν τοῦτό γε κρεῖττον ἢ συμπεφυκέναι. τοὺς
μὲν γὰρ ἱπποκενταύρους οἶμαι ἔγωγε πολλοῖς μὲν ἀπο-
ρεῖν τῶν ἀνθρώποις εὑρημένων ἀγαθῶν ὅπως δεῖ χρῆ-
σθαι. πολλοῖς δὲ τῶν ἵπποις ἡδέων πεφυκότων, πῶς
αὐτῶν χρὴ ἀπολαύειν. ἐγὼ δὲ ἢν ἱππεύειν μάθω, ὅταν μὲν
ἐπὶ τοῦ ἵππου γένωμαι, τὰ τοῦ ἱπποκενταύρου δή που
διαπράξομαι. ὅταν δὲ καταβῶ, δειπνήσω καὶ ἀμφιέσο-
μαι, καὶ καθευδήσω ὥσπερ οἱ ἄλλοι ἄνθρωποι. ὥστε τί
ἄλλο, ἢ διαιρετὸς ἱπποκένταυρος, καὶ πάλιν σύνθετος
γίγνομαι; ἔτι δ', ἔφη, καὶ τοῖσδε πλεονεκτήσω τοῦ ἱπ-
ποκενταύρου. ὁ μὲν γὰρ δυοῖν ὀφθαλμοῖν προεωρᾶτο,
καὶ δυοῖν ὤτοιν ἤκουεν· ἐγὼ δὲ τέτταρσι μὲν ὀφθαλ-
μοῖς τεκμαροῦμαι, τέτταρσι δὲ ὠσὶ προαισθήσομαι. πολ-
λὰ γάρ φασιν ἀνθρώπου καὶ ἵππον τοῖς ὀφθαλμοῖς
προορῶντα δηλοῦν· πολλὰ δὲ τοῖς ὠσὶ προακούοντα ση-
μαίνειν. ἐμὲ μὲν οὖν, ἔφη, γράφε τῶν ἱππεύειν ὑπερεπι-
θυμούντων. νὴ Δί', ἔφασαν οἱ ἄλλοι πάντες, καὶ ἡμᾶς γε.
ἐκ τούτου δὴ, ἔφη ὁ Κῦρος, τί οὖν, ἔφη, ἐπεὶ σφόδρα ἡ-
μῖν ταῦτα δοκεῖ, εἰ καὶ νόμον ἡμῖν αὐτοῖς ποιησαίμε-
θα, αἰσχρὸν εἶναι, οἷς ἂν ἵππους ἐγὼ πορίσω, ἄν τις φανῇ
πεζῇ ἡμῶν πορευόμενος, ἐάν τε πολλὴν, ἐάν τε ὀλίγην
ὁδὸν δέῃ διελθεῖν, ἵνα καὶ παντάπασιν ἱπποκενταύρους
οἴωνται ἡμᾶς οἱ ἄνθρωποι εἶναι; ὁ μὲν οὕτως ἐπήρετο. οἱ δὲ
πάντες συνεπῄνεσαν. ὥστε ἔτι καὶ νῦν ἐξ ἐκείνου οὕτω
χρῶνται Πέρσαι, καὶ οὐδεὶς ἂν τῶν καλῶν κἀγαθῶν ἑκὼν
ὀφθείη Περσῶν οὐδαμῇ πεζὸς ἰών. οἱ μὲν δὴ ἐν τούτοις
τοῖς λόγοις ἦσαν. ἡνίκα δ' ἦν ἔξω μέσου ἡμέρας, προσή-
λαυνον οἱ Μῆδοι ἱππεῖς καὶ οἱ Ὑρκάνιοι, ἵππους τε ἄγον-
τες αἰχμαλώτους καὶ ἄνδρας. ὅσοι γὰρ τὰ ὅπλα παρεδί-
δοσαν, οὐκ ἀπέκτεινον. ἐπεὶ δὲ προσήλασαν, πρῶτον μὲν
αὐτῶν ἐπυνθάνετο ὁ Κῦρος, εἰ σῷοι πάντες εἶεν αὐτῷ.
ἐπεὶ δὲ τοῦτ' ἔφασαν, ἐκ τούτου ἠρώτα ὅτι ἔπραξαν. οἱ
δὲ διηγοῦντο ἅπερ ἐποίησαν, καὶ ὡς ἀνδρείως ἕκαστα
ἐμεγαληγόρουν. ὁ δὲ διήκουε πάντα ἡδέως ὅσα ἐβού-
λοντο λέγειν. ἔπειτα δὲ καὶ ἐπῄνεσεν αὐτοὺς οὕτως. ἀλ-
λὰ καὶ δῆλοι, ἔφη, ἐστὲ ὡς ἄνδρες ἀγαθοὶ ἐγένεσθε. καὶ
γὰρ μείζους φαίνεσθε καὶ καλλίους καὶ γοργότεροι, ἢ πρό-
σθεν ἰδεῖν. ἐκ δὲ τούτου ἐπυνθάνετο αὐτῶν, καὶ πόσην ὁδὸν
διήλασαν, καὶ εἰ οἰκοῖτο ἡ χώρα. οἱ δ' ἔλεγον, ὅτι καὶ πολ-
λὴν διελάσειαν. καὶ πᾶσα οἰκοῖτο ἡ χώρα, καὶ μεστὴ εἴη καὶ
οἰῶν, καὶ αἰγῶν, καὶ βοῶν, καὶ ἵππων, καὶ σίτου καὶ πάντων
ἀγαθῶν. δυοῖν ἂν, ἔφη, ἐπιμελητέον ἡμῖν εἴη. ὅπως τε
κρείττους ἐσόμεθα τῶν ἐχόντων αὐτὰ, καὶ ὅπως αὐτοὶ μέ-
νωσιν. οἰκουμένη μὲν γὰρ χώρα, πολλοῦ ἄξιον κτῆμα.
ἐρήμη δ' ἀνθρώπων οὖσα, ἐρήμη καὶ τῶν ἀγαθῶν γίγνε-
ται. τοὺς μὲν οὖν ἀμυνομένους, οἶδα, ἔφη, ὅτι ἀπεκτείνα-
τε, ὀρθῶς ποιοῦντες. τοῦτο γὰρ μάλιστα σώζει τὴν νίκην.
τοὺς δὲ παραδιδόντας, αἰχμαλώτους ἐλάβετε. οὓς εἰ
ἀφεῖμεν,

ἀφίεμεν, τοῦτ᾽ αὖ σύμφορον ἂν ὡς ἐγώ φημι ποιήσαιμεν. πρῶτον μὲν γὰρ νῦν οὐκ ἂν φυλάττεσθαι οὐδὲ φυλάττειν τούτους ἡμᾶς δέοι, οὐδ᾽ αὖ σιτοποιεῖν τούτους. οὐ γὰρ λιμῷ γε δήπου κατακτενοῦμεν αὐτούς. ἔπειτα δὲ καὶ τούτους ἀφέντες, πλείοσιν αἰχμαλώτοις χρησόμεθα. ἐὰν γὰρ κρατῶμεν τῆς χώρας, ἅπαντες ἡμῖν οἱ ἐν ταύτῃ οἰκοῦντες αἰχμάλωτοι ἔσονται· μᾶλλον δὲ τούτους ζῶντας ἰδόντες καὶ ἀφεθέντας, μενοῦσι καὶ οἱ ἄλλοι, καὶ πείθεσθαι αἱρήσονται μᾶλλον ἢ μάχεσθαι. ἐγὼ μὲν οὖν οὕτω γιγνώσκω. εἰ δὲ ἄλλος τις ὁρᾷ ἄμεινον, λεγέτω. οἱ δὲ ἀκούσαντες, συνῄνουν ταῦτα ποιεῖν. οὕτω δὴ ὁ Κῦρος καλέσας τοὺς αἰχμαλώτους, λέγει τάδε.

ΔΗΜΗΓΟΡΙΑ ΚΥΡΟΥ.

Ἄνδρες, ἔφη, νῦν τε ὅτι ἐπείθεσθε, τὰς ψυχὰς περιεποιήσασθε. τό τε λοιπὸν, ἢν οὕτω ποιῆτε, οὐδ᾽ ὁτιοῦν κακὸν ἔσται ὑμῖν· ἀλλ᾽ ἢ οὐχ ὁ αὐτὸς ἄρξει ὑμῶν ὥσπερ καὶ πρότερον. οἰκήσετε δὲ τὰς αὐτὰς οἰκίας, καὶ χώραν τὴν αὐτὴν ἐργάσεσθε, καὶ γυναιξὶ ταῖς αὐταῖς συνοικήσεσθε, καὶ παίδων τῶν ὑμετέρων ἄρξετε ὥσπερ νῦν. ἡμῖν μέντοι οὐ μαχεῖσθε, οὐδὲ ἄλλῳ οὐδενί. ἂν δὲ καὶ ἄλλος ὑμᾶς ἀδικῇ, ἡμεῖς ὑπὲρ ὑμῶν μαχούμεθα. ὅπως μὴ δ᾽ ἐπαγγέλλῃ μηδεὶς ἡμῖν στρατεύειν, τὰ ὅπλα πρὸς ἡμᾶς κομίζετε. καὶ τοῖς μὲν κομίζουσιν, ἔσται εἰρήνη καὶ ἃ λέγομεν ἀδόλως. ὁπόσοι δ᾽ ἂν τὰ πολεμικὰ μὴ ἀποτίθωνται ὅπλα, ἐπὶ τούτους ἡμεῖς καὶ δὴ στρατευσόμεθα. ἐὰν δέ τις ὑμῶν, καὶ ἰὼν ὡς ἡμᾶς εὐνοϊκῶς καὶ πράττων τι καὶ διδάσκων φαίνηται, τοῦτον ἡμεῖς, ὡς εὐεργέτην καὶ φίλον, οὐχ ὡς δοῦλον περιέψοιμεν. ταῦτ᾽ οὖν ἔφη, αὐτοί τε ἴστε, καὶ τοῖς ἄλλοις διαγγέλλετε. ἂν δ᾽ ἄρα, ἔφη, ὑμῶν βουλομένων ταῦτα μὴ πείθωνταί τινες, ἐπὶ τούτους ἡμᾶς ἄγετε, ὅπως ὑμεῖς ἐκείνων, μὴ ἐκεῖνοι ὑμῶν ἄρχωσιν. ὁ μὲν ταῦτα εἶπεν, οἱ δὲ προσεκύνησάν τε, καὶ ταῦτα ἔφασαν ποιήσειν. ἐπεὶ δὲ ἐκεῖνοι ᾤχοντο, ὁ Κῦρος εἶπεν· ὥρα δή, ὦ Μῆδοι καὶ Ἀρμένιοι, δειπνεῖν πᾶσιν ἡμῖν. παρεσκεύασται δὲ ὑμῖν τὰ ἐπιτήδεια ὡς ἡμεῖς βέλτιστα ἐδυνάμεθα. ἀλλ᾽ ἴτε καὶ ἡμῖν πέμπετε, τοῦ πεποιημένου σίτου τὸ ἥμισυ, ἱκανὸς δὲ ἀμφοτέροις πεποίηται. ὄψον δὲ μὴ πέμπετε, μηδὲ πιεῖν. ἱκανὰ γὰρ ἔχομεν παρ᾽ ἡμῖν αὐτοῖς παρεσκευασμένα. καὶ ὑμεῖς δ᾽, ἔφη, ὦ Ὑρκάνιοι, διαγάγετε αὐτοὺς ἐπὶ τὰς σκηνάς. τοὺς μὲν ἄρχοντας ἐπὶ τὰς μεγίστας, γιγνώσκετε δέ· τοὺς δ᾽ ἄλλους, ὡς ἂν δοκῇ, κάλλιστα ἔχειν. καὶ αὐτοὶ δὲ δειπνεῖτε ὅπου ἥδιστον ὑμῖν. καὶ ἀκέραιοι αἱ σκηναί. παρεσκεύασται δὲ καὶ ἐνθάδε ὥσπερ καὶ τούτοις. τοῦτο δ᾽ ἴστε ἀμφότεροι, ὅτι τὰ μὲν ἔξω ὑμῖν, ἡμεῖς νυκτοφυλακήσομεν. τὰ δ᾽ ἐν ταῖς σκηναῖς, αὐτοὶ ὁρᾶτε, καὶ τὰ ὅπλα εὖ τίθεσθε. οἱ γὰρ ἐν ταῖς σκηναῖς, οὔτω φίλοι ἡμῖν. οἱ μὲν δὴ Μῆδοι καὶ οἱ ἀμφὶ Τιγράνην ἐλοῦντο. ἦν γὰρ παρεσκευασμένα, καὶ ἱμάτια μεταλαβόντες, ἐδείπνουν. καὶ οἱ ἵπποι αὐτῶν εἶχον τὰ ἐπιτήδεια. καὶ τοῖς Πέρσαις διέπεμπον τῶν ἄρτων ἑκάστοις τοὺς ἡμίσεις. ὄψον δὲ οὐκ ἔπεμπον οὐδὲ οἶνον, οἰόμενοι ἔχειν τοὺς ἀμφὶ Κῦρον, ὅτι ἔφη, ἄφθονα ταῦτα ἔχειν. ὁ δὲ Κῦρος ταῦτα ἔλεγεν, ὄψον μὲν τὸν λιμόν· πιεῖν δ᾽ ἀπὸ τοῦ παραρρέοντος ποταμοῦ. ὁ μὲν οὖν Κῦρος δειπνίσας τοὺς Πέρσας, ἐπεὶ δ᾽ ἡ συνεσκότασε, κατὰ πεμπάδας καὶ κατὰ δεκάδας πολλοὺς αὐτῶν

missos faciamus, hoc item, ut mihi uidetur, fiat à nobis utiliter. Primum enim neque cauendi hi nunc nobis, neque custodiendi sunt, nec etiam alendi: non enim esurie eos necabimus. Dein hos si missos facimus, pluribus mancipijs utemur. Nam si agro potiamur, omnes eius habitatores mancipia nobis futuri sunt. Magis etiam alij qui hosce uiuos dimissosq; uiderint, mansuri sunt, magisq; eligent parere quàm pugnare. Ipse ita sentio sane. Quod si quis melius uidet, id dicito. Illi autem audientes, hæc facienda esse comprobabant. Sic igitur Cyrus uocatis captiuis, huiusmodi uerba facit:

CYRI CONCIO.

Viri, & nunc quoniam paruistis, animas tutati estis, & in reliquum tempus ubi ita faciatis, nihil prorsus mali patiemini, nisi quod non idem uobis ut prius dominabitur. Habitabitis easdem ædes, & eandem coletis regionem, & earundem uxorum utemini contubernio, uestrisque filijs sicut & nunc imperabitis. Neque aduersus nos pugnabitis, neque aduersus alium quenquam. Quod si alius iniuriam uobis infert, nos sumus pro uobis pugnaturi. Verum ne quis præcipiat in expeditionem ut eatis, arma ad nos portate: eritque ijs qui arma portarint, & pax, & alia quæ dicimus, sine dolo. Sed quotquot arma bellica minus detulerint, aduersus hosce nunc quoque ducemus exercitum. Si quis autem uestrum & beneuolè ad nos ire, & agere quicquam docereque appareat, hunc nos ut beneficum & amicum, non ut seruum fouebimus. Hæc igitur & uos scitote, & alijs nunciate. Verum si uolentibus hæc uobis aliqui aduersentur, agite nos in illos, quo uos illis imperetis, non illi uobis. Cyrus hæc dixit. Illi uero & eum adorabant, & hæc factum iri recipiebant. Illis autem abeuntibus, Cyrus inquit: Hora iam est Medi atque Armenij cœnandi uobis omnibus. Parauimus uobis res necessarias quàm potuimus optimè: sed ite, nobisq; mittite ex cibo qui factus est dimidium: satis enim utrisque est factus. Obsonium uero ac potum ne mittite, nam hæc apud nos satis parata sunt. Atque uos Hyrcanij deducite ipsos ad tabernacula: principes quidem ad maxima tabernacula, uerùm eos cognoscite: alios uero ut uisum uobis sit, habete pulcherrimè. Et uos quoque cœnate, ubi uos maxime delectat. Nam uobis salua & integra sunt tabernacula. Est autem æquè uobis hic paratum atque hisce. Scitoteque hoc utrique, nos asseruaturos noctu, quæ uobis sunt exteriora. Vos quæ in tabernaculis sunt aspicite, atque arma bene locate. Nam qui in tabernaculis manent, nondum sunt nobis amici. Medi igitur, Tigranesque lauabantur. Erant enim parata omnia, mutatisq; uestibus cœnabant. Et eorum equi habebant necessaria. Mittebántque ad Persas ex panibus dimidium: obsonium uero non mittebant, neque uinum, ratiocinati ijs esse, quoniam dixisset Cyrus affatim hæc habere. Sed hæc dicebat Cyrus, pro obsonio esuriem, pro potu aquam præterfluentis amnis. Itaque Cyrus post cœnatos Persas ubi aduesperasset, per quincurias & decurias eorum

rum multos dimittebat, iubens circum castra delite/
scerent: quippe qui putaret tum custodiæ illos fore,
si quis extrinsecus castra adoriretur, tum si quis in/
trinsecus elatis pecunijs euaderet, eum capturos. Et
ita factum est. Multi enim effugiebant, multiq; capti
sunt. At Cyrus pecunias eos habere sinebat qui ce/
pissent, effugientis autem iussit iugulari. Itaque in
posterum ne si uelles quidem, facilè inuenisses qui no
ctu proficisceretur. Persæ igitur degebant ita. At Me/
di & potabant, & epulabantur, & utebantur ti/
bijs, & omni referciebantur iucunditate. Multæ e/
nim res huiusmodi captæ erant: Quare qui uigila/
bant, opere non carebant. At rex Medorum Cya/
xares nocte qua Cyrus egressus est, & ipse ebrieta/
te tenebatur simul cum suis contubernalibus ob se/
cundam fortunam, & alios Medos in castris adesse
arbitrabatur, exceptis paucis, cum magnum audiret
tumultum. Famuli enim Medorum, utpote heris ab/
sentibus, dissolutè & potabant & tumultuabantur,
præsertim quòd ex Assyriorum castris & uinum &
alias res multas huiusmodi ceperant. Sed ubi dies fa/
ctus est, & ad ianuas nemo ueniret, præter eos qui
unà cœnabant, audiretq; uacua esse castra Medis at/
que equitibus, ac uideret ubi exiuit ita habere, hic tan
dem & Cyro excandescebat & Medis, quod abijs/
sent se relicto solo: continuoq;, ut fertur, crudelis at/
que inexorabilis, iubet quendam ex præsentibus, ut as/
sumptis equitibus suis, quamcelerrime pergeret ad
Cyri castra, ac diceret hæc uerba: Arbitrabar equi/
dem ipse, ut neque tu Cyre adeò temere de me consul/
tares, neque uos Medi, si Cyrus ita sentiret, ita me so/
lum relinqueretis. Ac nunc si quidem Cyrus uelit, be/
ne est: sin nolit, uos huc adeste quamprimum. Hæc
mandauit. Qui uero pergere iussus est, Et quomodo,
inquit, here ego illos inueniam? In eo, inquit Cyaxa/
res, illorum solo, aduersus quos & Cyrus, & hi qui
unà cum eo sunt, proficiscebantur. Quòd meduisfi/
dius, inquit, audio Hyrcanios quosdam ab hostibus de
fecisse, illosq; huc ire, atq; eos deducere. His autem au
ditis, Cyaxares multò etiam magis Cyro irascebatur,
quòd neque hæc dixisset sibi, & longe festinantius
mittebat ad Medos, ut uiribus eum extenuaturus, ac
etiam uehementioribus minis quàm antea Medos ac
cusabat. Et nuncio quoque interminatus est, nisi
hæc acriter exponeret. Pergebat ergo nuncius ha/
bens equites suos circiter centum, & is quidem mo/
lestè ferens, quod non etiam ipse cum Cyro profectus
foret. Inter eundũ autem hi triuio quodam dissepara/
ti errabant, neque prius ueniebant ad castra Cyri,
quàm incidentes in quosdam Assyrios qui discede/
rent, eos ut sese ducerent coegerunt: & ita ignibus
uisis, circiter mediam prope noctem eò perueniunt.
Vbi uerò facti sunt iuxta castra, uigiles, ut dictum à
Cyro fuerat, haud eos passi sunt ante lucem ingredi.
Sed posteaquam dies illuxit, Cyrus Magis uocatis,
legitima dijs ob huiusmodi res secundas eligi iube/
bat: qui dum circa hæc uersantur, is conuocatis ho/
motimis, ait:

τῶν διέπεμπε, καὶ ἐκέλευσε κύκλῳ τοῦ στρατοπέδου
κρύπτειν· νομίζων ἅμα μὲν φυλακὴν ἔσεσθαι, ἐάν τις
ἔξωθεν προσίοι, ἅμα δὲ ἐάν τις ἔξω χρήματα φέρων ἀπο-
διδράσκῃ, ἁλώσεσθαι αὐτόν. καὶ ἐγένετο οὕτως. πολλοὶ
μὲν γὰρ ἀπεδίδρασκον, πολλοὶ δὲ ἑάλωσαν. ὁ δὲ Κῦ-
ρος τὰ μὲν χρήματα τοὺς λαβόντας εἴα ἔχειν. τοὺς δὲ ἀν-
θρώπους ἐκέλευσεν ἀποσφάξαι. ὥστε τοῦ λοιποῦ, οὐδὲ βου-
λόμενος ἂν εὗρες ῥᾳδίως τὸν νύκτωρ πορευόμενον.
οἱ μὲν δὴ Πέρσαι οὕτω διῆγον, οἱ δὲ Μῆδοι καὶ ἔπι-
νον, καὶ εὐωχοῦντο, καὶ ηὐλοῦντο, καὶ πάσης εὐθυμίας
ἐνεπίπλαντο. πολλὰ γὰρ καὶ τοιαῦτα ἑάλω ὥστε μὴ ἀπο-
ρεῖν ἔργου τοὺς ἐγρηγορότας. ὁ δὲ Κυαξάρης ὁ τῶν Μήδων
βασιλεύς, τὴν μὲν νύκτα ἐν ᾗ ἐξῆλθεν ὁ Κῦρος, αὐτός
τε ἐμεθύσκετο μεθ' ὧν παρεσκήνου οὕτως ἐπ' εὐτυ-
χίᾳ. καὶ τοὺς ἄλλους δὲ Μήδους ᾤετο παρεῖναι ἐν τῷ
στρατοπέδῳ πλὴν ὀλίγων, ἀκούων θόρυβον πολύν. οἱ
γὰρ οἰκέται τῶν Μήδων, ἅτε τῶν δεσποτῶν ἀπεληλυ-
θότων ἀνειμένως καὶ ἔπινον καὶ ἐθορύβουν. ἄλλως τε καὶ
ἐκ τοῦ Ἀσσυρίου στρατεύματος καὶ οἶνον καὶ ἄλλα πολλὰ
τοιαῦτα εἰληφότες. ἐπεὶ δὲ ἡμέρα ἐγένετο, καὶ ἐπὶ θύρας
οὐδεὶς ἧκε, πλὴν οἵπερ καὶ συνεδείπνουν, καὶ τὸ στρα-
τόπεδον κενὸν ἤκουεν εἶναι τῶν Μήδων καὶ τῶν ἱππέων, ἑώρα
ἐπεὶ ἐξῆλθεν, οὕτως ἔχοντα. ἐνταῦθα δὴ ἐβρεμοῦτό τε
τῷ Κύρῳ καὶ τοῖς Μήδοις, τῷ καταλιπόντας αὐτὸν ἔ-
ρημον οἴχεσθαι. καὶ εὐθὺς ὥσπερ λέγεται ὠμὸς εἶναι καὶ ἀγνώ-
μων, κελεύει τῶν παρόντων τινὰ λαβόντα τοὺς παρ' ἑαυ-
τοῦ ἱππέας, πορεύεσθαι ὡς τάχιστα πρὸς τὸ ἀμφὶ Κῦρον
στράτευμα, καὶ λέγειν τάδε· ᾤμην μὲν ἔγωγε οὐδ' ἂν σε
ὦ Κῦρε οὕτως ἀπρονοήτως περὶ ἐμοῦ βουλεύσασθαι. εἰ δὲ Κῦρος
οὕτω γιγνώσκοι, οὐκ ἂν ὑμᾶς γε, ὦ Μῆδοι, ἐθελῆσαι
οὕτως ἔρημον ἐμὲ καταλιπεῖν. καὶ νῦν ἐὰν μὲν Κῦρος
βούληται, εἰ δὲ μή, ὑμεῖς γε τὴν ταχίστην πάρεστε. ταῦ-
τα ἐπέστελλεν. ὁ δὲ ταττόμενος, πορεύεσθαι, ἔφη· καὶ
πῶς ὦ δέσποτα, ἐγὼ εὑρήσω ἐκείνους; πῶς δὲ Κῦρος
καὶ οἱ σὺν αὐτῷ, ἐφ' οὓς ἐπορεύοντο. ὅτι νὴ Δί', ἔφη, ἀ-
κούω ἀφεστηκότας τῶν πολεμίων Ὑρκανίους τινάς, καὶ ἐλ-
θόντας δεῦρο, οἴχεσθαι ἡγουμένους αὐτῷ. ἀκούσας ταῦ-
τα ὁ Κυαξάρης, πολὺ μᾶλλον ἔτι τῷ Κύρῳ ὠργίζετο, μὴ
δ' εἰπεῖν αὐτῷ ταῦτα. καὶ πολλῇ σπουδῇ μᾶλλον ἔπεμ-
πεν ἐπὶ τοὺς Μήδους, ὡς ψιλώσων αὐτόν. καὶ ἰσχυρότερον
ἔτι ἢ πρόσθεν τοῖς Μήδοις ἀπειλῶν ἐπεκάλει. καὶ τῷ
πεμπομένῳ δὲ ἠπείλησεν, εἰ μὴ ἰσχυρῶς ταῦτα ἀπαγ-
γέλλοι. ὁ μὲν δὴ πεμπόμενος ἐπορεύετο, ἔχων τοὺς ἑαυ-
τοῦ ἱππέας ὡς ἑκατόν, ἀνιώμενος ὅτι καὶ αὐτὸς οὐκ ἐ-
πορεύθη μετὰ τοῦ Κύρου. ἐν δὲ τῇ ὁδῷ πορευόμενοι δια-
σχιζομένων ὁδῶν τρίβῳ τινὶ ἐπλανῶντο. καὶ οὐ πρόσθεν
ἀφίκοντο εἰς τὸ τοῦ Κύρου στράτευμα, πρὶν ἐντυχόντες
τισὶ τῶν Ἀσσυρίων ἠνάγκασαν αὐτοὺς ἡγεῖσθαι. καὶ οὕτω δὴ
ἀφικνοῦνται τὰ πυρὰ κατιδόντες, περὶ μέσας νύκτας.
ἐπεὶ δ' ἐγγὺς ἐγένοντο πρὸς τῷ στρατοπέδῳ, οἱ φύλακες ὥσ-
περ εἰρημένον ἦν ὑπὸ Κύρου, οὐκ εἰσαφῆκαν αὐτοὺς πρὸ
ἡμέρας. ἐπεὶ δὲ ἡμέρα ὑπέφαινε, πρῶτον μὲν τοὺς μά-
γους καλέσας, τὰ τοῖς θεοῖς νομιζόμενα ἐπὶ τοῖς τοιούτοις
ἀγαθοῖς, ἐξαιρεῖσθαι ἐκέλευσε. καὶ οἱ μὲν ἀμφὶ ταῦτα εἶ-
χον. ὁ δὲ συγκαλέσας τοὺς ὁμοτίμους, εἶπεν.

ΔΗΜΗΓΟΡΙΑ ΚΥΡΟΥ.

Ἄνδρες, ὁ μὲν θεὸς προφαίνει πολλὰ ἀγαθά, ἡμεῖς δέ, ὦ πέρσαι, ἐν τῷ παρόντι ὀλίγοι ἐσμέν, ὥστε ἐγκρατεῖς εἶναι αὐτῶν. ὅτι γὰρ ὅσα ἂν κατεργαζώμεθα, μὴ φυλαττόμενα ταῦτα, πάλιν ἀλλότρια ἔσται. εἴτε καταλείψομέν τινας ἡμῶν αὐτῶν φύλακας ἐπὶ τοῖς ἐφ' ἡμῖν γιγνομένοις, αὐτίκα οὐδεμίαν ἔχοντες ἰσχὺν ἀναφανούμεθα. δοκεῖ οὖν μοι ὡς τάχιστα ἰέναι τινὰ ὑμῶν εἰς πέρσας, καὶ διδάσκειν ἅπερ ἐγὼ λέγω, καὶ κελεύειν ὡς τάχιστα πέμπειν στράτευμα, εἴπερ ἐπιθυμοῦσι πέρσαι τὴν ἀρχὴν τῆς ἀσίας, καὶ τὴν κάρπωσιν γενέσθαι ἐφ' ἑαυτοῖς. ἴθι μὲν οὖν, ἔφη, σὺ ὁ πρεσβύτατος, καὶ ἐλθὼν ταῦτα λέγε, καὶ ὅτι οὓς ἂν πέμπωσι στρατιώτας, ἐπειδὰν ἔλθωσι παρ' ἐμέ, ὅτι ἐμοὶ μελήσει περὶ τῆς τροφῆς αὐτῶν. ἃ δ' ἔχομεν ἡμεῖς, ὁρᾷς μὲν αὐτά. κρύπτε δὲ τούτων μηδέν. ὅτι δὲ τούτων ἐγὼ καλῶς καὶ νομίμως πέμπων εἰς πέρσας, ποιοίην ἂν τὰ μὲν πρὸς θεούς, τὸν πατέρα ἐρώτα· τὰ δὲ πρὸς τὸ κοινόν, τὰς ἀρχάς. πεμψάντων δὲ καὶ ὀπτῆρας ὧν πράττομεν, καὶ φραστῆρας ὧν ἐρωτῶμεν. καὶ σὺ μέν, ἔφη, συσκευάζου, καὶ τὸν λόχον προπομπὸν ἄγε. ἐκ τούτου δὲ καὶ τοὺς μήδους ἐκάλει, καὶ ἅμα ὁ παρὰ κυαξάρου ἄγγελος παρίσταται· καὶ ἐν πᾶσι τήν τε ἐπὶ τὸν κῦρον ὀργήν, καὶ τὰς πρὸς τοὺς μήδους ἀπειλὰς αὐτοῦ ἔλεγε. καὶ τέλος εἶπεν, ὅτι ἀπιέναι μήδους κελεύει, εἰ καὶ ὁ κῦρος μένειν βούλεται. οἱ μὲν δὴ μῆδοι ἀκούσαντες τοῦ ἀγγέλου, ἐσίγησαν. ἀποροῦντες μέν, πῶς χρὴ καλοῦντος ἀπειθεῖν· φοβούμενοι δέ, πῶς ἀπειλοῦντι ὑπακούσειαν, ἄλλως τε καὶ εἰδότες τὴν ὠμότητα αὐτοῦ. ὁ δὲ κῦρος εἶπεν· ἀλλ' ἐγώ, ὦ ἄγγελε καὶ μῆδοι, οὐδέν, ἔφη, θαυμάζω, εἰ κυαξάρης πολλοὺς μὲν πολεμίους τότ' ἰδών, ἡμᾶς δ' οὐκ εἰδὼς ὅ, τι πράττομεν, ὀκνεῖ περί τε ἡμῶν, καὶ περὶ ἑαυτοῦ. ἐπειδὰν δὲ αἴσθηται πολλοὺς μὲν τῶν πολεμίων ἀπολωλότας, πάντας δὲ ἀπεληλαμένους, πρῶτον μὲν παύσεται φοβούμενος· ἔπειτα γνώσεται, ὅτι νῦν ἔρημος οὐ γίγνεται, ἡνίκα οἱ φίλοι αὐτοῦ τοὺς ἐκείνου ἐχθροὺς ἀπολλύουσιν. ἀλλὰ μὴν μεμπτοί γε πῶς ἐσμὲν ἄξιοι, εὖ τε ποιοῦντες ἐκεῖνον, καὶ οὐδὲ ταῦτα αὐτοματίσαντες. ἀλλ' ἐγὼ μὲν ἐκεῖνον ἔπεισα, ἐᾶσαί με λαβόντα ὑμᾶς ἐξελθεῖν. ὑμεῖς δὲ οὐχ ὡς ἐπιθυμοῦντες τῆς ἐξόδου, ἠρωτήσατε εἰ ἐξίοιτε. καὶ νῦν δεῦρο ἥκετε, ἀλλ' ὑπ' ἐκείνου κελευσθέντες ἐξιέναι, ὅτῳ ὑμῶν μὴ ἀχθομένῳ εἴη. καὶ ἡ ὀργὴ οὖν αὕτη, σαφῶς οἶδα, ὅτι ὑπό τε τῶν ἀγαθῶν πεπανθήσεται, καὶ σὺν τῷ φόβῳ λήγοντι ἄπεισι. νῦν μὲν οὖν, ἔφη, σὺ ὦ ἄγγελε ἀνάπαυσαι, ἐπεὶ πεπόνηκας. ὑμεῖς τε, ὦ πέρσαι, ἐπεὶ καὶ προσδεχόμεθα πολεμίους, ἤτοι μαχουμένους γε ἢ πεισομένους παρέσεσθαι, ταχθῶμεν ὡς κάλλιστα. οὕτω γὰρ ὁρωμένους εἰκὸς πλέον προανύτειν ὧν χρῄζομεν. σὺ δ', ἔφη, ὁ τῶν ὑρκανίων ἄρχων, ὑπόμεινον, προστάξας τοῖς ἡγεμόσι τῶν σῶν στρατιωτῶν, ἐξοπλίζειν αὐτούς. ἐπεὶ δὲ ταῦτα ποιήσας ὁ ὑρκάνιος προσῆλθε, λέγει ὁ κῦρος· ἐγὼ δέ, ἔφη, ὦ ὑρκάνιε, ἥδομαι αἰσθανόμενος, ὅτι οὐ μόνον φιλίαν ἐπιδεικνύμενος πάρει, ἀλλὰ καὶ σύνεσιν φαίνῃ μοι ἔχειν. καὶ νῦν ὅτι συμφέρει ἡμῖν τὰ αὐτά, δῆλον. ἐμοί τε γὰρ πολέμιοι ἀσσύριοι, σοί τε νῦν ἐχθίονές εἰσιν, ἢ ἐμοί. οὕτως οὖν ἡμῖν ἀμφοτέροις βουλευτέον, ὅπως τῶν μὲν νῦν παρόντων μηδεὶς ἀποστα-

CYRI CONCIO.

Viri, deus quidem nobis bona plurima ostendit: sed nos, ô Persæ, hoc tempore pauci sumus ut hæc retineamus. Si enim qualiacunque efficiamus, minus asseruauerimus, hæc rursus erunt aliena. Quòd si liquerimus ex nobisipsis aliquos ijs custodes quæ facimus, patebit statim nullarum nos esse uirium. Itaque mihi uidetur, ut quamprimum è uobis aliquis eat in Persas, qui doceat quæ ab me dicuntur, iubeátque quamcelerrimè mittant rursus suppetias, si quidem cupiunt Persæ imperium atque fructum Asiæ. Ito igitur tu qui es ætate maximus, atque hæc narrato: quódque mihi erit alendi cura quoscunque milites mittant, ubi ad me uenerint. Quæ autem nobis sunt, ea tu uides, quorum nihil tibi celandum est. Sed in hisce rebus mittendis à nobis in Persas, ut & pulchrè faciam & legitimè quæ ad deos attinent, patrem Cambysen, quæ uerò ad rem publicam, magistratus interrogato. Mittant præterea horum inspectores quæ gerimus, quiq; ea quæ à nobis quæruntur, considerent. Et tu, inquit, accingere, ac manipulum comitem age. Exhinc uocabat Medos, simúlque adducitur nuncius à Cyaxare, qui audientibus omnibus dicebat, cum eius iram in Cyrum, tum minas aduersus Medos. Atq; ad postremum, iubere Cyaxarem ut abeant Medi, etiamsi Cyrus manere uelit. Igitur Medi audito nuncio silentium seruabant, tum ambigentes quî uocanti non parêrent, tum etiam metuentes quomodo minanti Cyaxari audirent, præsertim quod non essent nescij, quæ is foret seuitia. At Cyrus inquit: Ego, nuncie ac Medi, nequaquam miror si Cyaxares multos tum hostis aspiciens, nos uerò quid ageremus ignarus, & nobis & sibiipsi metuebat: sed postea quàm senserit hostis magno numero interemptos, omnis præterea fugatos, primùm liberabitur metu: dein cognoscet se nunc non esse solum, cum sui amici perdunt inimicos suos. Atqui accusandi quî sumus, cum illum bene afficimus? Neque à nobis hæc agimus, sed ego illo persuaso ut me egredi sineret, uobis assumptis hæc facio: uos autem non ueluti cupidi exeundi, an exiretis interrogastis. Huc'q; nunc uenistis iussi ab illo egredi, cui non liceat uos grauiter ferre. Quare ipsa etiam ira, certò scio, & mitescet ex hisce bonis, & unà cum desinenti metu abitura est. Nunc igitur & tu nuncie requiesce, quoniam laborasti: & nos, ô Persæ, quoniam hostis affuturos expectamus, qui uel pugnent, uel pareant, instruamur quampulcherrimè. Nam si hoc pacto aspicimur, consentaneum est nos plura ex his, quibus egemus, effecturos. Tu uerò Hyrcaniorum princeps opperire, militúmque tuorum ducibus imperato, eos ut armis induant. Quæ ubi fecisset Hyrcanius, uenissetq;, ait Cyrus: Non parua mihi est uoluptas Hyrcanie, cum sentio adesse te, qui non modò amicitiam præ te feras, sed te callidum esse ostendas, quæ ipsa conducere nunc nobis perspicuum est. Nam & mihi Assyrij hostes sunt, & tibi inimiciores quàm mihi. Hoc pacto nobis utrisq; nunc est consultandum, ut horum nemo qui nũc socij nobis adsunt,

deficiat:

deficiat: quinetiam si possimus, alios assumamus. Medum uerò audisti, qui equites reuocat: qui si abeunt, nos soli pedites manebimus. Sic igitur faciundum est mihi ac tibi, ut & nuncius hic qui reuocat, manere etiam ipse apud nos uelit. Tu igitur tabernaculum reperiens, id ei dato, ubi sit pulcherrimè omnia pro dignitate habiturus. Ego item conabor aliquid ei operis imperare, quod obiturus libentius sit quàm abiturus, eique omnia dissere, quæq; spem bonam & ei & amicis omnibus afferant, si bene successerint. Hæc ubi feceris, ad me reuertere. Igitur Hyrcanus in tabernaculum ducebat Medum quò decebat. Qui uerò ibat in Persas, paratus aderat. Ei Cyrus iubebat, ut diceret Persis quæ antea in sermone declarata sunt, Cyaxari literas redderet: tibique, inquit, uolo ea legere quæ ad Cyaxarem scribo, quò ea quæ noris confitcare, si quid his de rebus te roget. Hæc autem inerant in epistola.

CYRI EPISTOLA.

Cyrus Cyaxari salutem. Nos te neque solum deseruimus: nemo enim cum sit inimicis superior, tum est sine amicis: neque abscedentes, te putabamus in periculo constitutum. Sed quò magis distamus, eò tibi securius esse arbitramur. Haud enim qui sedent amicos proxime, securitatem maximè amicis præbent: sed qui maximè eminus inimicos fugant, tutiores amicos reddunt. Sed uelim animo uolutes, qualis ego erga te sum, & item qualis tu erga me, postea me accusa. Equidem ipse tibi socios egi, non quos tu suasisti, sed quot ego potui pluris. Dedisti tu mihi, cum essem in amica regione, quot possem persuadere. Nunc autem cum in agro sum hostili, non qui uelit, sed omnis reuocas Medos. Etenim tum equidem arbitrabar uobis utrisque debere gratiam: at nunc abs te cogor tui quidem obliuisci, eniti autem hisce omnem referre gratiam, qui me sunt secuti. Equidem tui similis fieri haud possum, qui etiam nunc mittens in Persas militem accersiturus mando, quotquot ad me ierint, si quid tibi ijs opus fuerit prius quàm ad me ueniant, ut in te sit ipsis uti, non quemadmodum eis libeat, sed pro tua uoluntate. Verùm consulam tibi, etsi iunior sum, ne quæ dederis auferas, ne tibi pro gratijs inimicitiæ debeantur: nec etiam quem uelis ire ad te quamprimum, minitando accersas: neque dum annuis te solum esse, multis simul intermineris, quò illos non doceas te sibi curæ non esse. Nos uerò adesse studebimus, ubi celerrimè peregerimus, quæ & tibi & nobis si gesta fuerint, communia esse bona censeamus. Vale. Hanc ei epistolam reddito, & quicquid horum ex te percunctatur, quemadmodum scriptum est itidem dicito. Etenim ego tibi de Persis mando, ut est antea scriptum. Huic ita loquutus est. Quem data epistola ire iussit, addiditque ita maturaret, quemadmodum nouit celerem aduentum conducere. Exhinc aspiciebat omnis in armis iam esse & Medos & Hyrcanios, atque Tigranem Armenium: erantque Persæ armis induti. Iam etiam finitimi quidam & addu-

ἀρκέσητον ἡμῖν συμμάχων. ἄλλους δὲ, ἐὰν δυνώμεθα, προσληψόμεθα. τὸν δὲ μῆδον ἤκουσας ἀποκαλοῦντος τοὺς ἱππέας. εἰ δὲ οὗτοι ἀπίασι, πῶς ἡμεῖς μόνοι πεζοὶ μενοῦμεν. οὕτως οὖν δεῖ ποιεῖν ἐμὲ καὶ σὲ, ὅπως ὁ ἀποκαλῶν οὗτος, καὶ αὐτὸς μένειν βουλήσεται παρ' ἡμῖν. σὺ μὲν οὖν σκηνὴν εὑρὼν, δὸς αὐτῷ ὅπου κάλλιστα διάξει πάντα τὰ δέοντα ἔχων. ἐγὼ δ' αὖ πειράσομαι ἔργον τι αὐτῷ προστάξαι, ὅπερ οὗτος ἥδιον πράξει ἢ ἄπεισι. καὶ διαλέγου δὲ αὐτῷ, ὁπόσα ἐλπὶς γενέσθαι ἀγαθὰ πᾶσι τοῖς φίλοις, ἂν ταῦτα εὖ γένηται. ποιήσας μέντοι ταῦτα, ἧκε πάλιν παρ' ἐμέ. ὁ μὲν δὴ ὑρκάνιος ᾤχετο τὸν μῆδον ἐπὶ σκηνὴν ἄγων. ὁ δὲ εἰς πέρσας ἰὼν, παρῆν συνεσκευασμένος. ὁ δὲ κῦρος αὐτῷ ἐπέστελλε πρὸς μὲν πέρσας λέγειν, ἃ καὶ πρόσθεν ἐν τῷ λόγῳ δεδήλωται, κυαξάρει δὲ ἀποδοῦναι τὰ γράμματα. ἀναγνῶναι δέ σοι, ἔφη, καὶ ἃ ἐπιστέλλω βούλομαι, ἵνα εἰδὼς αὐτὰ ὁμολογῇς, ἐάν τις σε πρὸς ταῦτα ἐρωτᾷ. ἐνῆν δὲ τῇ ἐπιστολῇ τάδε.

ΚΥΡΟΥ ΕΠΙΣΤΟΛΗ.

Κῦρος κυαξάρει χαίρειν. ἡμεῖς σε οὔτε ἔρημον κατελίπομεν· οὐδεὶς γὰρ ὅταν τῶν ἐχθρῶν κρατῇ, τότε τῶν φίλων ἔρημος γίνεται· οὐδὲ μὴν ἀποχωροῦντές τι ἀπὸ σοῦ, οἰόμεθα ἐν κινδύνῳ σε καθιστάναι. ἀλλ' ὅσῳ πλέον σου ἀπέχομεν, τοσούτῳ πλείονά σοι τὴν ἀσφάλειαν ποιεῖν νομίζομεν. οὐ γὰρ οἱ ἐγγύτατα τῶν φίλων καθήμενοι, μάλιστα τοῖς φίλοις τὴν ἀσφάλειαν παρέχουσιν. ἀλλ' οἱ τοὺς ἐχθροὺς μήκιστον ἀπελαύνοντες, μᾶλλον τοὺς φίλους ἐν ἀκινδύνῳ καθιστᾶσι. σκέψαι δὲ καὶ οἵῳ ὄντι μοι περὶ σὲ, οἷος ὢν περὶ ἐμὲ, ἔπειτά μοι μέμφῃ. ἐγὼ μὲν γέ σοι ἤγαγον συμμάχους, οὐχ ὅσους σὺ ἔπεισας, ἀλλ' ὅσους ἐγὼ πλείστους ἐδυνάμην. σὺ δέ μοι ἔδωκας μὲν ἐν τῇ φιλίᾳ ὄντι ὁπόσους πεῖσαι δυνηθείην. νῦν δ' ἐν τῇ πολεμίᾳ ὄντος, οὐ τὸν θέλοντα, ἀλλὰ πάντας ἀποκαλεῖς. τοιγαροῦν τότε μὲν ᾤμην ἀμφοτέροις ὑμῖν χάριν ὀφείλειν. νῦν δὲ ἀναγκάζεις, σοῦ μὲν ἐπιλαθέσθαι, τοῖς δ' ἀκολουθήσασι πειρᾶσθαι πᾶσαν τὴν χάριν ἀποδιδόναι. οὐ μέντοι ἔγωγε σοὶ δύναμαι ὅμοιος γενέσθαι, ἀλλὰ καὶ νῦν πέμπων ἐπὶ στράτευμα εἰς πέρσας, ἐπιστέλλω ὁπόσοι ἂν ἴωσιν ὡς ἐμὲ, ἤν τι σὺ αὐτῶν δέῃ πρὶν ἡμᾶς ἐλθεῖν, σοὶ ὑπάρχειν, οὐχ ὅπως ἂν ἐθέλωσιν, ἀλλ' ὅπως ἂν σὺ βούλῃ χρῆσθαι αὐτοῖς. συμβουλεύω δέ σοι καίπερ νεώτερος ὢν, μὴ ἀφαιρεῖσθαι ἃ ἂν δῷς, ἵνα μή σοι ἔχθραι ἀντὶ χαρίτων ὀφείλωνται. μὴ δὲ ὅταν τινὰ βούλῃ πρὸς σὲ ταχὺ ἐλθεῖν, ἀπειλοῦντα μεταπέμπεσθαι. μὴ δὲ φάσκοντα ἔρημον εἶναι, ἅμα πολλοῖς ἀπειλεῖν, ἵνα μὴ διδάσκῃς αὐτοὺς σοῦ μὴ φροντίζειν. ἔρρωσο. ἡμεῖς δὲ πειρασόμεθα παρεῖναι, ὅταν τάχιστα διαπραξώμεθα, ἃ σοί τ' ἂν νομίζομεν καὶ ἡμῖν πραχθέντα, κοινὰ γενέσθαι ἀγαθά. ταύτην αὐτῷ ἀπόδος, καὶ ὅ,τι ἄν σε τούτων ἐρωτᾷ, ᾗπερ γέγραπται, σύμφαθι. καὶ γὰρ ἐγὼ ἐπιστέλλω σοι περὶ τῶν περσῶν, ᾗπερ γέγραπται. τούτῳ μὲν οὖν οὕτως εἰπὼν, καὶ δοὺς τὴν ἐπιστολὴν, ἀπέπεμψε, προσεντειλάμενος οὕτω σπεύδειν, ὥσπερ οἶδεν ὅτι συμφέρει ταχὺ παρεῖναι. ἐκ τούτου δὲ ἑώρα μὲν ἐξωπλισμένους ἤδη πάντας καὶ τοὺς μήδους, καὶ τοὺς ὑρκανίους, καὶ τοὺς ἀμφὶ τιγράνην. καὶ οἱ πέρσαι δὲ ἐξωπλισμένοι ἦσαν. ἤδη δέ τινες τῶν προσχώρων καὶ ἵππους ἀνῆγα-

συνήγαγον, καὶ ὅπλα ἔφερον. ὁ δὲ τὰ μὲν παλτὰ, ὅπου περ καὶ τοὺς πρόσθεν καταβάλλειν ἐκέλευσε καὶ κατακαίειν οἷς τοῦτο ἔργον ἦν, ὁπόσων μὴ αὐτοὶ δέοιντο. τοὺς δὲ ἵππους ἐκέλευσε φυλάττειν μένοντας τοὺς ἀγαγόντας, ἕως ἄν τι σημανθείη αὐτοῖς. τοὺς δὲ ἄρχοντας τῶν ἱππέων καὶ ὑρκανίων καλέσας, τοιάδε ἔλεξεν.

ΔΗΜΗΓΟΡΙΑ ΚΥΡΟΥ

Ἄνδρες φίλοι καὶ σύμμαχοι μὴ θαυμάζετε, ἔφη, ὅτι πολλάκις ὑμᾶς συγκαλῶ. καινὰ γὰρ ὄντα ἡμῖν τὰ παρόντα, πολλὰ ἀσύντακτα ἔστιν. ἃ δ' ἂν ἀσύντακτα ᾖ, ἀνάγκη ταῦτα ἀεὶ πράγματα παρέχειν, ἕως ἂν χώραν λάβῃ. καὶ νῦν ἔστι μὲν ἡμῖν πολλὰ τὰ αἰχμάλωτα χρήματα, καὶ ἄνδρες ἐπ' αὐτοῖς. διὰ δὲ τὸ μήθ' ἡμᾶς εἰδέναι ποῖα τούτων ἑκάστου ἐστὶν ἡμῶν, μήτε τούτους εἰδέναι ὅστις ἑκάστῳ αὐτῶν δεσπότης. περαίνοντας μὲν δὴ τὰ δέοντα, οὐ πάνυ ἔστιν ὁρᾶν αὐτῶν πολλούς. ἀποροῦντας δὲ ὅ,τι χρὴ ποιεῖν, σχεδὸν πάντας. ἵνα οὖν μὴ οὕτως ἔχῃ, διορίσατε αὐτά. καὶ ὅστις μὲν ἔλαβε σκηνὴν, ἔχουσαν ἱκανὰ καὶ σῖτα καὶ ποτὰ, καὶ τοὺς ὑπηρετήσοντας καὶ στρωμνὴν καὶ ἐσθῆτα, καὶ τἆλλ' οἷς οἰκεῖται σκηνὴ καλῶς στρατιωτική, ἐνταῦθα μὲν οὐδὲν ἄλλο δεῖ προσγενέσθαι, ἢ τὸν λαβόντα εἰδέναι, ὅτι τούτων, ὡς οἰκείων ἐπιμελεῖσθαι δεῖ. ὅστις δὲ εἰς ἐνδεόμενά του κατεσκήνωσε, τούτοις ὑμεῖς σκεψάμενοι, τὸ ἐλλεῖπον ἐκπληρώσατε. πολλὰ δὲ καὶ περιττὰ οἶδα ὅτι ἔσται. πλείω γὰρ ἅπαντα ἢ κατὰ τὸ ἡμέτερον πλῆθος εἶχον οἱ πολέμιοι. ἦλθον δὲ πρός με καὶ χρημάτων ταμίαι, ὅ,τε τοῦ ἀσσυρίων βασιλέως, καὶ ἄλλων δυναστῶν, οἳ ἔλεγον, ὅτι χρυσίον εἴη παρὰ σφίσιν ἐπίσημον δασμούς τινας λέγοντες. καὶ ταῦτα οὖν κηρύττετε πάντα ἀποφέρειν πρὸς ὑμᾶς, ὅπου ἂν καθίζεσθε. καὶ φόβον ἐπιτίθεσθε τῷ μὴ ποιοῦντι τὸ παραγγελλόμενον. ὑμεῖς δὲ λαβόντες διαδίδοτε, ἱππεῖ μὲν τὸ διπλοῦν, πεζῷ δὲ τὸ ἁπλοῦν. ἵνα ἔχητε, ἤν τινος προσδέησθε, καὶ ὅτου ὠνήσεσθε. τὴν δ' ἀγορὰν τὴν οὖσαν ἐν τῷ στρατοπέδῳ, κηρυξάτω μὲν ἤδη, ἔφη, ἀδικεῖν μηδένα, πωλεῖν δὲ τοὺς καπήλους καὶ ἐμπόρους, ὅ,τι ἔχει ἕκαστος πράσιμον καὶ ταῦτα διαθεμένους, ἄλλα ἄγειν, ὅπως οἰκῆται ἡμῶν τὸ στρατόπεδον. καὶ ταῦτα μὲν εὐθὺς ἐκήρυττον. οἱ δὲ μῆδοι καὶ ὑρκάνιοι εἶπον ὧδε· καὶ πῶς ἄν, ἔφασαν, ἡμεῖς ἄνευ σοῦ καὶ τῶν σῶν διανέμοιμεν ταῦτα; ὁ δ' αὖ κῦρος πρὸς τοῦτον τὸν λόγον ὧδε προσηνέχθη· ἦ γὰρ οὕτως, ἔφη, ὦ ἄνδρες γιγνώσκετε, ὡς ὅ,τι ἂν δέῃ πραχθῆναι, ἐπὶ πᾶσι πάντας ἡμᾶς δεήσει παρεῖναι, καὶ οὔτε ἐγὼ ἀρκέσω ὑμῖν, πράττων πρὸ ὑμῶν ἃ ἂν δέῃ, οὔτε ὑμεῖς πρὸ ἡμῶν. καὶ πῶς ἂν ἄλλως, πλείω μὲν πράγματα ἔχοιμεν, μείω δὲ διαπραττοίμεθα, ἢ οὕτως; ἀλλ' ὁρᾶτε, ἔφη, ἡμεῖς μὲν γὰρ διεφυλάξαμεν ὑμῖν τάδε. καὶ ὑμεῖς ἡμῖν ἐπιστεύσατε, καλῶς διαπεφυλάχθαι. ὑμεῖς δ' αὖ διανείματε, καὶ ἡμεῖς πιστεύσομεν ὑμῖν καλῶς διανενεμηκέναι. καὶ ἐν τούτῳ αὖ, ἄλλο τι ἡμεῖς πειρασόμεθα κοινὸν ἀγαθὸν πράττειν. ὁρᾶτε γὰρ δὴ, ἔφη, νυνὶ πρῶτον ἵπποι ὅσοι ἡμῖν πάρεισιν. οἱ δὲ προσάγονται. τούτους οὖν εἰ μὲν ἐάσομεν ἀναμβάτους, ὠφελήσουσι μὲν οὐδὲν ἡμᾶς, πράγματα δὲ παρέξουσιν ἐπιμελεῖσθαι. ἢν δ' ἱππέας ἐπ' αὐτοὺς καταστήσωμεν, ἅμα πραγμάτων τε ἀπαλλαγησόμεθα, καὶ ἰσχὺν ἡμῖν αὐτοῖς προσθησόμεθα. εἰ μὲν οὖν ἄλλους ἔχετε,

adduxerunt equos, & arma attulerũt. At Cyrus tragulas eum in locũ deiicere illos iußit, quo alios quoq; antea iusserat: et ut hi quib. hoc opus mandatũ fuerat, eas cremarẽt, quotquot ipsi non egebant. Equos uerò iubebat custodiri, utq; hi manerent qui illos adduxerãt, donec aliquid eis significasset. Principib. aũt equitũ Hyrcanorũq; uocatis, huiusmodi uerba loquutus est:

CYRI CONCIO

Viri amici ac socij, nulla uos admiratio capiat, quòd ab me sæpenumero conuocamini. Res enim præsentes quia nouæ sunt nobis, hæ minus sunt pleræq; ordinatæ. Quæcunque autem ordine careant, hæc necessario molestiam afferunt semper, donec loco suo fuerint constitutæ. Suntq; nunc nobis multæ captæ pecuniæ: præterea uiri quoq;. Et quoniam neq; nos scimus, quæ harum rerum sint cuiusq; nostrûm, nec etiam hi nouere quis eorum singillatim herus sit, non licet admodum intueri an ipsorum multi suo fungantur munere, utq; omnes ferè quid faciundum sit dubitant. Ergo ne ita res habeant, istas definite, ut qui cepit tabernaculum in quo satis sit & esculentorum, & poculentorum, & ministrorum, & strati, & uestis, aliarumq; rerum quibus habitatur tabernaculum militare, hic sane aliud nihil addendũ est, quàm ut norit is qui cepit, horum esse habendã curam perinde atq; de rebus proprijs. Qui uero in ea incidit tabernacula, quæ rei cuiusquam indigent, hisce uos quod deest supplete diligenter. Nec sum inscius superuacanea fore permulta. Plura enim omnia quàm pro nostra multitudine habebant hostes. Venerunt autem ad me & Assyrij regis, & aliorum potentatuum quæstores, qui dicerent aurum esse apud se signatum, tributa quædam narrantes. Quare hæc omnia proclamate ad uos deferant ubiubi sederitis, metúmque illi addite qui iussa non fecerit. Vos præterea tribuite quod ceperitis, equiti quidem duplum, pediti uerò simplum, ut habeatis si quo egebitis, & quo etiam aliquid ematis. Forum castrense proclamate, iam neminem inferre cuiquam iniuriam, & ut tabernarij atque mercatores uendant quod singulis est uenale: & hæc sanè ubi disposuerint, alia agere quò castra nobis incolantur. Atque hæc hi continuo proclamabant. Medi autem & Hyrcanij ita dixerunt: Et quonam modo nos sine te ac tuis hæc distribuamus? Atque Cyrus item ad hæc uerba ita subdidit: Num enim, ò uiri, ita ipsi sentitis, ut quicquid agendum fuerit, omnibus rebus interesse nos omnes oporteat? Neque satis ego futurus sim, qui agam aliquid ante uos, quicquid opus fuerit, neque uosipsi ante nos. Et quo pacto aliter abeamus plus laboris, ac minus efficiamus quàm hoc modo? At uidete uos, inquit. Nos enim custodiuimus hæc uobis, quæ à nobis uos creditis esse bene custodita. Vos autem distribuite, & nos credimus bene à uobis esse distributa: atque alijs item rebus nos boni aliquid enitamur agere commune. Videtis enim nunc primum quot adsunt nobis equi. Alij etiam adducuntur, quos si ociosos esse permittemus, nulli nobis usui sunt futuri, quin molestiæ potius nobis erũt propter eorum curam. Quòd si equites in eos posuerimus, simul & negocijs liberabimur, & nobis ipsis uires addemus. Quare si alios habetis,

quibus istos detis, quibus cum si opus fuerit, discrimen ineatis libentius quàm nobiscum, in illos distribuite. Sin maximè nos habere uultis nobis subsidiarios, nobis eos date. Etenim cum modò sine nobis fugando dimicabitis, magno nobis eratis metui, ne quid aduersi pateremini: fecistisque nos sane pudere plurimum, quòd non ibi ubi eratis adessemus. Quod si equos acceperimus, secuturi uos sumus, ac si quid maiori usui in equis dimicantes esse uideamur, ita nihil strenuitatis omittemus. Sin pedites usi fuerimus opportunius adesse, tum descendentes in medium, uobis continuò pedites aderimus. Equos autem excogitabimus quibus tradamus. Cyrus huiusmodi orationem habuit. Illi autem responderunt: At nos Cyre, neque uiros habemus quos imponamus super hosce equos: neque si haberemus, ubi tu haec uelles, pro hisce alium eligeremus. Itaque ipse nunc hos accipite, atque facito ut esse tibi uidetur optimum. Verùm & istos, inquit Cyrus, admitto, & quod faustum fortunatumq; sit, tum nos fiamus equites, tum uos quae communia sunt diuidatis. Itaque primum seligite dijs immortalibus, quicquid magi interpretentur: dein etiam deligite Cyaxari, ubiubi magis rem gratam fore arbitramini. Et illi ridentes dixere, mulieres esse deligendas. Mulieres igitur, Cyrus ait, deligite, & aliud quicquid uobis uideatur. Cumq; delegeritis, facite pro uiribus, ut hi omnes Medi qui me ultro secuti sunt, ne quid querantur. Et uos item Medi, Hyrcanios hosce honorate, qui in societatem nostram primi uenere, quò existiment bene sibi consuluisse de amicitia nostra. Atque partem rerum omnium tribuite etiam Cyaxaris nuncio, tum ipsi, tum eius socijs: utq; nobiscum maneat istum hortamini, inquientes ita etiam mihi uideri, quò intelligens quae geruntur, ea singillatim magis renunciet Cyaxari. Persis uerò qui sunt mecum, quaecunque uobis bene habentibus superfuerint, haec sufficient. Etenim non admodum in delicijs, sed rustice quodammodo ac duriter sumus educati. Itaque uobis risui fortasse futuri sumus, si quid elegantius nobis induendum dederitis: quemadmodum noui fore, ut & sedentes in equis multum uobis risum praebeamus, quippe qui, ut opinor, decidamus in terram. Exhinc illi ad diuidendum uere, magno quodam risu ob equitationem affecti. At Cyrus conuocatis ordinum centurionibus iussit equos acciperent, equorumq; tum uasa, tum ministros, & acciperent eos quidem numero singuli aequaliter in ordinem secundum sortem. Ipse autem Cyrus proclamari iussit, si quis esset in Assyriorum, aut Syrorum, aut Arabum castris uir seruus, uel ex Medis, uel ex Persis, uel ex Caribus, uel ex Cilicibus, uel ex Bactrianis, uel ex Graecis, uel qui aliunde undecunque coacti essent, hi se exhiberent. At illi ubi proclamationem audierunt, libenter multi coràm apparuere. Cyrus uerò electis ex ijs qui forma maximè praecellerent, dicebat licere eos qui liberi forent, arma tollere quae daret ipsis, sibi autē curae fore ut res haberent necessarias. quos agens continuò ad ordinū centuriones, illis eos cōmendauit, iussitq; ut cratis nudosq; gladios his darent, quò ea habentes, sequātur unà cum equis, et ut res necessarias pro his acciperent, quemadmodū pro Persis suis: centu-

οἷς πιστὴν ἂν δοίητε αὐτοὺς, μεθ' ὧν ἂν καὶ κινδυνεύειν ἥδιον, εἴ τι δέοι, ἢ μεθ' ἡμῶν ἐκείνοις δίδοτε. εἰ μέντοι ἡμᾶς βούλεσθε παραστάτας μάλιστα ἔχειν, ἡμῖν αὐτοὺς δότε. καὶ γὰρ νῦν ὅτε ἄνευ ἡμῶν προσελάσαντες ἐκινδυνεύσατε, πολὺν μὲν φόβον ἡμῖν παρείχετε μή τι πάθητε. μάλα δὲ αἰσχύνεσθαι ἡμᾶς ἐποιήσατε, ὅτι οὐ παρῆμεν ὅπου περ ὑμεῖς. ἢν δὲ λάβωμεν τοὺς ἵππους, ἑψόμεθα ὑμῖν. κἂν μὲν δοκῶμεν ὠφελεῖν πλείονα ἀπὸ τῶν ἵππων συναγωνιζόμενοι, οὕτω προθυμίας οὐδὲν ἐλλείψομεν. ἢν δὲ πεζοὶ γενόμενοι δοκῶμεν καιριωτέρως ἂν παρεῖναι, τό, τε καταβῆναι ἐν μέσῳ, καὶ εὐθὺς πεζοὶ ὑμῖν παρεσόμεθα. τοὺς δ' ἵππους μηχανησόμεθα, οἷς ἂν παραδιδοίημεν. ὁ μὲν οὕτως ἔλεξεν, οἱ δὲ ἀπεκρίναντο· ἀλλ' ἡμεῖς μὲν, ὦ Κῦρε, οὔτε ἄνδρας ἔχομεν, οὓς ἀναβιβάσαιμεν ἂν ἐπὶ τοὺς ἵππους τούτους, οὔτ' εἰ ἔχοιμεν, σοῦ ταῦτα βουλομένου, οὐκ ἂν ἄλλο ἀντὶ τούτων αἱροίμεθα. καὶ νῦν, ἔφασαν, λαβὼν τοὺς ἵππους, ποίει ὅπως ἄριστόν σοι δοκεῖ εἶναι. ἀλλὰ δέχομαί τε, ἔφη, καὶ ἀγαθῇ τύχῃ, ἡμεῖς τε ἱππεῖς γενοίμεθα, καὶ ὑμεῖς διέλοιτε τὰ κοινά. πρῶτον μὲν οὖν, ἔφη, τοῖς θεοῖς ἐξαιρεῖτε, ὅτι ἂν οἱ μάγοι ἐξηγῶνται. ἔπειτα δὲ Κυαξάρει ἐξέλετε, ὁποῖον ἂν οἴησθε αὐτῷ μάλιστα χαρίζεσθαι. καὶ οἳ γελάσαντες εἶπον ὅτι γυναῖκας ἂν καλὰς ἐξαιρετέον ἂν εἴη. γυναῖκάς τε τοίνυν ἐξαιρεῖτε, ἔφη, καὶ ἄλλο εἴ τι ἂν δοκῇ ὑμῖν. ἐπειδὰν δὲ ἐκείνῳ ἐξέλητε, ὦ Ὑρκάνιοι, τοὺς ἐμοὶ ἐθελουσίους τούτους ἐπισπομένους, πάντας ἀμέμπτους ποιεῖτε εἰς δύναμιν. ὑμεῖς δ' αὖ, ὦ Μῆδοι, τοὺς πρώτους συμμάχους γενομένους, τούτους τιμᾶτε, ὅπως εὖ βεβουλεῦσθαι ἡγήσωνται ἡμῖν φίλοι γενόμενοι. νείματε δὲ πάντων τὸ μέρος, καὶ τῷ παρὰ Κυαξάρους ἥκοντι ἀγγέλῳ, αὐτῷ τε καὶ τοῖς μετ' αὐτοῦ. καὶ συνδιαμένειν δὲ παρακαλεῖτε, ὡς καὶ ἐμοὶ τοῦτο συνδοκοῦν. ἵνα καὶ Κυαξάρει μᾶλλον εἰδὼς, περὶ ἑκάστου ἀπαγγείλῃ τὰ ὄντα. Πέρσαις δ', ἔφη, τοῖς μετ' ἐμοῦ, ὅσα ἂν περιττὰ γένηται, ὑμῶν καλῶς κατεσκευασμένων, ταῦτα ἀρκέσει. καὶ γὰρ, ἔφη, μάλα πως ἡμεῖς οὐκ ἐν χλιδῇ τεθράμμεθα, ἀλλὰ χωρικῶς. ὥστε ἴσως ἂν ἡμῶν καταγελάσαιτε, εἴ τι σεμνὸν ἡμῖν περιτεθείη· ὥσπερ, ἔφη, οἶδα ὅτι πολὺν γέλωτα ὑμῖν παρέξομεν, καὶ ἐπὶ τῶν ἵππων καθήμενοι· οἶμαι δὲ, ἔφη, καὶ ἐπὶ τῆς γῆς καταπίπτοντες. ἐκ τούτου οἱ μὲν ᾔεσαν ἐπὶ τὴν διαίρεσιν, μάλα ἐπὶ τῷ ἱππικῷ γελῶντες. ὁ δὲ τοὺς ταξιάρχους καλέσας, ἐκέλευσε τοὺς ἵππους λαμβάνειν, καὶ τὰ τῶν ἵππων σκεύη, καὶ τοὺς ἱπποκόμους, καὶ ἀριθμήσαντας λαβεῖν κληρωσαμένους εἰς τάξιν ἴσους ἑκάστοις. αὐτὸς δὲ ὁ Κῦρος ἀνειπεῖν ἐκέλευσεν, εἴ τις εἴη ἐν τῷ Ἀσσυρίων ἢ Σύρων ἢ Ἀραβίων στρατεύματι ἀνὴρ δοῦλος, ἢ Μήδων, ἢ Περσῶν ἢ Βακτριανῶν, ἢ Καρῶν, ἢ Κιλίκων, ἢ Ἑλλήνων, ἢ ἄλλοθέν ποθεν βεβιασμένος, ἐκφαίνεσθαι. οἱ δ' ἀκούσαντες τοῦ κηρύγματος, ἄσμενοι πολλοὶ προεφάνησαν. ὁ δὲ ἐκλεξάμενος αὐτῶν τοὺς τὰ εἴδη καλλίστους, ἔλεγεν· ὅτι ἐλευθέρους αὐτοὺς ὄντας, δεήσει ὅπλα ὑποφέρειν, ἃ ἂν αὐτοῖς διδῶσι. τὰ δὲ ἐπιτήδεια ὅπως ἂν ἔχωσιν, ἔφη, αὐτῷ μελήσειν. καὶ εὐθὺς ἄγων πρὸς τοὺς ταξιάρχους, συνέστησεν αὐτούς. καὶ ἐκέλευσε τά γέῤῥα καὶ τὰς ψιλὰς μαχαίρας τούτοις διδόναι, ὅπως ἔχοντες σὺν τοῖς ἵπποις ἕπωνται. καὶ τὰ ἐπιτήδεια τούτοις, ὥσπερ καὶ τοῖς μεθ' ἑαυτοῦ Πέρσαις λαμβάνειν. αὐτοὺς

δὲ

δὲ σὺν θώρακας καὶ τὰ ξυστὰ ἔχοντας, ἀεὶ ἐπὶ τῶν ἵππων ὀχεῖσθαι. καὶ αὐτός τε οὕτω ποιῶν κατῆρχεν. ἐπὶ δὲ σὺν πεζοὺς τῶν ὁμοτίμων, ἀνθ᾽ ἑαυτοῦ καθιστάναι ἄλλον ἄρχοντα τῶν ὁμοτίμων. οἱ μὲν δὴ ἀμφὶ ταῦτα εἶχον. Γωβρύας δ᾽ ἐν τούτῳ παρῆν ὁ Ἀσσύριος, πρεσβύτης ἀνὴρ ἐφ᾽ ἵππου σὺν ἱππικῇ θεραπείᾳ. εἶχον δὲ πάντες τὰ ἐφ᾽ ἵππων ὅπλα. καὶ οἱ μὲν ἐπὶ τῷ τὰ ὅπλα παραλαμβάνειν τεταγμένοι, ἐκέλευον παραδιδόναι τὰ ξυστά, ὅπως κατακαίοιεν ὥσπερ καὶ τἆλλα. ὁ δὲ Γωβρύας εἶπεν, ὅτι Κῦρον πρῶτον βούλοιτο ἰδεῖν. καὶ οἱ ὑπηρέται τοὺς ἄλλους ἱππέας αὐτοῦ κατέλιπον. τὸν δὲ Γωβρύαν ἄγουσι πρὸς τὸν Κῦρον. ὁ δέ, ὡς εἶδε τὸν Κῦρον, ἔλεξεν ὧδε· ὦ δέσποτα ἐγώ εἰμι τὸ μὲν γένος Ἀσσύριος, ἔχω δὲ καὶ τεῖχος ἰσχυρόν, καὶ χώρας ἐπάρχω πολλῆς. καὶ ἵππον εἰς χιλίαν τῷ τῶν Ἀσσυρίων βασιλεῖ παρειχόμην, καὶ φίλος ἦν ἐκείνῳ ὡς μάλιστα. ἐπεὶ δὲ ἐκεῖνος τέθνηκεν ὑφ᾽ ὑμῶν ἀνὴρ ἀγαθὸς ὤν, ὁ δὲ παῖς ἐκείνου τὴν ἀρχὴν ἔχει, ἔχθιστος ὢν ἐμοί, ἥκω πρὸς σέ, καὶ ἱκέτης προσπίπτω, καὶ δίδωμί σοι ἐμαυτὸν δοῦλον καὶ σύμμαχον. σὲ δὲ τιμωρόν αἰτοῦμαί μοι γενέσθαι, καὶ παῖδα οὕτως ὡς δυνατόν σε ποιοῦμαι. ἄπαις δέ εἰμι ἀῤῥένων παίδων. ὃς γὰρ ἦν μοι μόνος καλός, ὦ δέσποτα, καὶ ἀγαθός, καὶ ἐμὲ φιλῶν καὶ τιμῶν, ὥσπερ ἂν εὐδαίμονα πατέρα παῖς τιθείη. τοῦτον οὖν ὁ ἐμὸς βασιλεὺς οὗτος, καλέσαντος τοῦ τότε βασιλέως, πατρὸς δὲ τοῦ νῦν, ὡς δώσοντος τὴν θυγατέρα τῷ ἐμῷ παιδί, ἐγὼ μὲν ἀπεπεμψάμην μέγα φρονῶν, ὅτι δῆθεν τῆς βασιλέως θυγατρὸς ὀψοίμην τὸν ἐμὸν υἱὸν γαμέτην. ὁ δὲ νῦν βασιλεὺς ἐπὶ θήραν αὐτὸν παρακαλέσας, καὶ ἀνεὶς αὐτῷ θηρᾶν ἀνὰ κράτος, ὡς πολὺ κρείσσων αὐτοῦ ἱππεὺς ἡγούμενος εἶναι, ὁ μὲν ὡς φίλῳ συνεθήρα. φανείσης δ᾽ ἄρκτου, διώκοντες ἀμφότεροι, ὁ μὲν ἄρχων οὗτος ἀκοντίσας, ἥμαρτεν, ὡς μή ποτ᾽ ὤφελεν. ὁ δ᾽ ἐμὸς παῖς βαλὼν οὐδὲν δέον, καταβάλλει τὴν ἄρκτον. καὶ τότε μὲν ἀνιαθεὶς ἄρα, κατέσχεν οὕτως ὑπὸ σκότου τὸν φθόνον. ὡς δὲ πάλιν λέοντος παρατυχόντος, ὁ μὲν αὖ ἥμαρτεν, οὐδὲν οἶμαι θαυμαστὸν παθών. ὁ δ᾽ αὖ ἐμὸς παῖς δ᾽ εὐτυχῶς τυχὼν κατειργάσατο τὸν λέοντα, καὶ εἶπεν· ἆρα βέβληκα μιᾷ δὶς ἐφεξῆς, καὶ καταβέβληκα θῆρας ἑκατοράκις. ἐν τούτῳ δὲ οὐκέτι κατέσχεν ὁ ἀνόσιος τὸν φθόνον· ἀλλ᾽ αἰχμὴν παρά τινος τῶν ἑπομένων ἁρπάσας, παίσας εἰς τὰ στέρνα, τὸν μόνον μοι καὶ φίλον παῖδα ἀφείλετο τὴν ψυχήν. καὶ ἐγὼ μὲν ὁ τάλας, νεκρὸν ἀντὶ νυμφίου ἐκομισάμην. καὶ ἔθαψα τηλικοῦτος ὤν, ἄρτι γενειάσκοντα τὸν ἄριστον παῖδα, τὸν ἀγαπητόν. ὁ δὲ κατακτανών, ὥσπερ ἐχθρὸν ἀπολέσας, οὔτε μεταμελόμενος πώποτε φανερὸς ἐγένετο, οὔτε ἀντὶ τοῦ κακοῦ ἔργου τιμῆς τινὸς ἠξίωσε τὸν κατὰ γῆς. ὅ γε μὴν πατὴρ αὐτοῦ καὶ συνῴκτισέ με, καὶ δῆλος ἦν συναχθόμενός μου τῇ συμφορᾷ. ἐγὼ μὲν οὖν, εἰ μὲν ἔζη ἐκεῖνος, οὐκ ἄν ποτε ἦλθον πρὸς σὲ ἐπὶ τῷ ἐκείνου κακῷ· πολλὰ γὰρ φιλικὰ ἔπαθον ὑπ᾽ ἐκείνου, καὶ ὑπηρέτησα ἐκείνῳ. ἐπεὶ δὲ εἰς τὸν τοῦ ἐμοῦ παιδὸς φονέα ἡ ἀρχὴ αὕτη περιήκει, οὐκ ἄν ποτε ἐγὼ τούτῳ δυναίμην εὔνους γενέσθαι· οὐδὲ οὗτος φίλον ἄν ποτε ἐμὲ ἡγήσαιτο. οἶδε γὰρ ὡς ἐγὼ πρὸς αὐτὸν ἔχω, καὶ ὡς πρόσθεν φαιδρῶς βιοτεύων, νυνὶ διάκειμαι ἔρημος ὤν, καὶ διὰ πένθους τὸ γῆρας διάγων. εἰ

μὲν

centuriones uerò ipsi cum thoracibus ac lanceis in equis ueherentur. Ipseq; Cyrus facere ita cœpit. At peditibus homotimorum, ut pro se quisque alium præficeret, iussit ex homotimis. Et hi quidem circa hæc uersabantur, cum interea temporis adfuit Gobryas Assyrius, uir senex, in equo cum equestri famulatu, ferebantq; arma omnes equestria. Atque hi qui constituti erant ad arma recipienda, iubebant lanceas traderent, ut eas quemadmodum alia cremarent. Quibus respondit Gobryas, uelle se antea uidere Cyrum. Et ministri relictis alijs equitibus, Gobryan ducunt ad Cyrum. Quem Gobryas ut uidit, ait: O here, ego genere sum Assyrius, qui & oppidum habeo ualidum, & magnæ dominor regioni. Præterea equites habeo circiter mille trecentos, quos præbebam regi Assyriorum, eramq; illi amicissimus. Sed ubi ille à uobis necatus est, uir sane bonus, illiusq; filius mihi inimicissimus successit in regnum, ueni ad te, cui supplex concido, meq; ipsum do seruum ac socium: abs te autem peto, ut meam ulciscaris iniuriã, quem ita facto filium ut licet, careo enim filijs maribus. Nam qui mihi hæres solus erat, filius honestus & bonus, quiq; me & amabat & honorabat, quemadmodum filius honore patrem facere felicem queat, hunc rex ille senior, regis huius præsentis pater cum inuitasset tanquã daturus filiam ei uxorẽ, ego illum misi, ut eram elato animo, quòd filiũ scilicet meum filiæ regis uisurus essem sponsum. Præsens autem rex ubi eum uenatum inuitasset, uenariq; liberrime permisisset, ratus se longe illi equitatione præstare, meus filius ut unà quidem cum amico uenabatur. Vrsa uerò ut est oblata, cum ij ambo unà illam insequerentur, hic qui nunc est princeps, misso iaculo ictu frustratus est, quod utinam accidisset nunquam. At filius meus feriens, id quod minimè opus erat, ursam prosternit. Et tum quidem hic molestè fortasse rem ferens, inuidiam clàm cõtinuit. Sed ut rursus leo obiectus esset, regis filius item iaculatus est frustra: passus is quidem incredibile nihil, mea sententia. At filius meus item assecutus leonẽ interemit. atq;: Certè bis deinceps ferit, & utraq; uice feram postrauit. Hic igitur non amplius homo nefarius inuidiam compescuit, sed arrepta lancea à sequentiũ quodam, eaq; percusso in pectus filio meo, qui & unicus mihi erat & charissimus, huic animam abstulit. Quem ergo miser tam grandem agens ætatem, filium meum optimum mihiq; dilectissimum, cui nuper florere barba inciperet, pro sponso portaui mortuum, atq; sepeliui. Parricida uerò perinde quasi inimicum aliquem perdidisset, se facti pœnitere nunquam ostendit. Neque pro perpetrato facinore, honore aliquo sepultum dignatus est. Atqui eius pater & me commiseratus est, & calamitatem meam permolestam sibi esse declarauit. Ego igitur si quidem ille uiueret, nunquam ad te issem, quo illi nocerem. Nam illius multa amicitiæ merita erga me fuere, cui etiam inseruiui. Sed posteaquam in filij mei interemptorem deuenit imperiũ, nunquam huic ego possem esse beneuolus, nec etiam hic me, certo scio, amicum unquã duceret. Nouit enim quo animo in se sum, & ut antea hilariter uitã agerẽ, nunc autem filio orbatus, in luctu dego senectutem. Si

igitur me admittis, spemq; afferas fore ut consequar tecum ultionem aliquam mei charissimi filij, tum rursus uidear mihi pubescere, tum neq; uiuere cum dedecore, neq; mori me putem cum dolore. Gobryas ita inquit. Ad quem Cyrus ita respōdit: At si quidem Gobryas omnia sentis quæ es ad nos locutus, & admitto te supplicem, & tui filij ultionem cum deorum ope promitto tibi. Verùm mihi dicito, si tibi hæc à nobis fiant, tuaq; te habere oppida permittamus, & agrum, & arma, atque uires quas habebas antè, tu pro hisce quæ nobis præstabis obsequia? Ille uero dixit: Oppida equidem cum ueneris, domum præbebo tibi: regionis tributum quod illi ferebam, tibi soluam: & ubi expeditionē ages, ibo una tecum in exercitum cum regionis meæ uiribus. Est præterea mihi filia uirgo, eaq; dilectissima, & iam nubilis, quam ego antea putabam uxorem alere huic qui nunc regnat: at ea nunc multo est cum gemitu me precata, ne se fratri parricidæ uxorem dem, id quod ipse etiam sentio. De hac autem ipsa ita hoc tempore tibi consultationem cedo, quemadmodum ipse quoque de rebus tuis uidear consultare. Sic dein inquit Cyrus: Ad hæc pro ueritate do tibi meam, tuamq; dexteram accipio, dij autem nobis testes sunto. Hæc ubi acta sunt, & abire Gobryan iubet sua secum habentem arma: & ex eo quærebat, quantum ad se usq; foret itineris, quoniam eò esset iturus. Ad quem dicebat Gobryas: Si mane cras eas, altero die apud nos pernocles. Ita igitur hic abiuit relicto Cyro imperatore. At Medi aderant, qui Magis ea soluere, quæ ijdem dijs dixerant deligenda. Cyro autem selegerunt pulcherrimum tabernaculum ac Susiam mulierem, quæ in Asia speciosissima esse diceretur, et citharistrias duas optimas. Secundo autem loco, secunda Cyaxari. Huiusmodi etiam alia quorum indigebant sibipsis explentes, quò re nulla egentes militiam exercerent: omnia enim affatim erant. Acceperunt etiam Hyrcanij ea quorum indigebant. Aequalem quoq; portionē Cyaxari nūcio fecere. Superuacanea uerò tabernacula quotquot erant, Cyro tradidere, quò Persis tribueret. Numum uerò datum iri dixerunt, ubi collectus foret: quem etiam distribuerunt. Hi quidem hæc & egerunt & dixerunt. At Cyrus dona Cyaxaris iussit eos accipere atq; custodire, quos ei sciebat esse familiarissimos, aitq;: Quæcunq; mihi datis, libenter admitto. Iis autem qui uestrum maxime indiguerit utetur. Quidam uerò ex Medis musicæ studiosus, Atqui, inquit, o Cyre, cum uesperi audissem citharistrias quas nunc tu habes, & audiendo delectatus sum: et si istarū mihi unam dederis, uidear dulcius in expeditionē ire quàm manere domi. Ad quem Cyrus inquit: At ego & do eam tibi, ac puto tibi habere gratiam magis quod à me petieris, quàm tu mihi quod accipis, usqueadeo cupio uobis gratificari. Et hanc quidem accepit qui petierat.

μὲν οὖν ἐμὲ σὺ δέχῃ, καὶ ἐλπίδα τινὰ λάβοιμι τῷ φίλῳ παιδὶ τιμωρίας ἄν τινος μετὰ σοῦ τυχεῖν, καὶ ἀνηβῆσαι πάλιν δοκῶ μοι, καὶ οὔτ' ἂν ζῶν ἔτι αἰσχυνοίμην, οὔτε ἀποθνήσκων, ἀνιώμενος ἂν τελευτᾶν δοκῶ. ὁ μὲν οὕτως εἶπε. Κῦρος δὲ ἀπεκρίνατο· ἀλλ' ἤνπερ ὦ Γωβρύα, καὶ φρονῶν φαίνῃ, ὅσαπερ λέγεις πρὸς ἡμᾶς, δέχομαί τε ἱκέτην σε, καὶ τιμωρήσειν τὸν φονέα σου σὺν θεοῖς ὑπισχνοῦμαι. λέξον δέ μοι, ἔφη, ἐὰν σοι ταῦτα ποιῶμεν, καὶ τὰ τείχη ἐῶμεν ἔχειν σε, καὶ τὴν χώραν, καὶ τὰ ὅπλα, καὶ τὴν δύναμιν, ἥνπερ πρόσθεν εἶχες, σὺ ἡμῖν τί ἀντὶ τούτων ὑπηρετήσεις; ὁ δὲ εἶπε· τὰ μὲν τείχη ὅταν ἔλθῃς, οἶκόν σοι παρέξω, δασμὸν τε τῆς χώρας ὅνπερ ἔφερον ἐκείνῳ, σοὶ ἀποίσω. καὶ ὅποι ἂν δέῃ σοι στρατεύειν, συστρατεύσομαί σοι, τὴν ἐκ τῆς χώρας δύναμιν ἔχων. ἔστι δέ μοι, ἔφη, καὶ θυγάτηρ παρθένος ἀγαπητή, γάμου ὡραία, ἣν ἐγὼ πρόσθεν μὲν ᾤμην τῷ νῦν βασιλεύοντι γυναῖκα τρέφειν. νῦν δέ με αὐτή τε ἡ θυγάτηρ πολλὰ γοωμένη ἱκέτευσε μὴ δοῦναι αὐτὴν τῷ τοῦ ἀδελφοῦ φονεῖ. ἐγώ τε ὡσαύτως γιγνώσκω. νῦν δὲ σοι δίδωμι βουλεύσασθαι καὶ περὶ ταύτης οὕτως, ὥσπερ ἂν ἐγὼ βουλεύων περὶ σοῦ φαίνωμαι. οὕτω δὴ ὁ Κῦρος εἶπεν· ἐπὶ τούτοις, ἔφη, ἐγὼ ἀληθευομένοις, δίδωμί τε σοι τὴν ἐμὴν καὶ λαμβάνω τὴν σὴν δεξιάν. θεοὶ δ' ἡμῖν μάρτυρες ἔστωσαν. ἐπεὶ δὲ ταῦτα ἐπράχθη, ἀπιέναι τε ἐκέλευσε τὸν Γωβρύαν ἔχοντα τὰ ὅπλα. καὶ ἐπήρετο πόσην τινὰ ὁδὸν ὡς αὐτὸν εἴη, ὡς ἥξων. ὁ δ' ἔλεγεν, ἢν αὔριον ἴῃς πρῲ, τῇ ἑτέρᾳ ἂν αὐλίζοιο παρ' ἡμῖν. ὁ μὲν δὴ Γωβρύας ᾤχετο, ἡγεμόνα καταλιπών. οἱ δὲ Μῆδοι παρῆσαν. τὰ μὲν συνέφασαν τοῖς θεοῖς ἐξελεῖν ἀποδόντες τοῖς μάγοις. Κύρῳ δ' ἐξῃρήκεσαν τὴν καλλίστην σκηνήν, καὶ τὴν Σουσίδα γυναῖκα, ἣ καλλίστη δὴ λέγεται ἐν τῇ Ἀσίᾳ γενέσθαι, καὶ μουσουργοὺς δὲ δύο τὰς κρατίστας. δεύτερον δὲ Κυαξάρει τὰ δεύτερα. τοιαῦτα δὲ ἄλλα ὧν ἐδέοντο ἐξεπλήρωσαν ἑαυτοῖς, ὡς μηδενὸς ἐνδεόμενοι στρατεύοιντο. πάντα γὰρ ἦν πολλά. προσέλαβον δὲ καὶ οἱ Ὑρκάνιοι, ὧν ἐδέοντο. ἰσόμοιρον δ' ἐποίησαν καὶ τὸν Κυαξάρου ἄγγελον. τὰς δὲ περιττὰς σκηνὰς ὅσαι ἦσαν, Κύρῳ παρέδωσαν, ὡς τοῖς Πέρσαις γένοιντο. τὸ δὲ νόμισμα ἔφασαν, ἐπειδὰν ἅπαν συναχθῇ, δάσειν, καὶ διέδωκαν. οἱ μὲν ταῦτα ἔπραξάν τε καὶ ἔλεξαν. ὁ δὲ Κῦρος ἐκέλευσε τὰ μὲν Κυαξάρου διαλαβόντας φυλάττειν, οὓς ᾔδει οἰκειοτάτους αὐτῷ ὄντας. καὶ ὅσα δὲ ἐμοὶ δίδοτε, ἡδέως, ἔφη, ἐγὼ δέχομαι. χρήσεται δ' αὐτοῖς ὑμῶν ὁ ἀεὶ μάλιστα δεόμενος. φιλόμουσος δέ τις τῶν Μήδων εἶπε· καὶ μὴν ἐγώ, ὦ Κῦρε, τῶν μουσουργῶν ἀκούσας ἑσπέρας, ὧν σὺ νῦν ἔχεις, ἤκουσά τε ἡδέως, κἄν μοι δῷς αὐτῶν μίαν, στρατεύεσθαι ἄν μοι δοκῶ ἥδιον ἢ οἴκοι μένειν. ὁ δὲ Κῦρος εἶπεν· ἀλλ' ἔγωγε, ἔφη, καὶ δίδωμι, καὶ χάριν οἴομαί σοι πλείω ἔχειν, ὅτι με ᾔτησας, ἢ σὺ ἐμοὶ ὅτι λαμβάνεις. οὕτως ἐγὼ ὑμῖν διψῶ χαρίζεσθαι. ταύτην μὲν οὖν ἔλαβεν ὁ αἰτήσας.

ΞΕΝΟΦΩΝΤΟΣ ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ ΠΕΜΠΤΟΝ.

Καλέσας δὲ ὁ Κῦρος Ἀράσπαν Μῆδον, ὃς ἦν αὐτῷ ἐκ παιδὸς ἑταῖρος, ᾧ καὶ τὴν στολὴν ἐκδὺς ἔδωκε τὴν Μηδικήν, ὅτε παρὰ Ἀστυάγους εἰς Πέρσας ἀπῄει, τοῦτον ἐκέλευσε διαφυλάξαι αὐτῷ, τήν τε γυναῖκα, καὶ τὴν σκηνήν. ἦν δὲ αὕτη ἡ γυνὴ τοῦ Ἀβραδάτου τοῦ Σουσίου. ὅτε δὲ ἡλίσκετο τὸ τῶν Ἀσσυρίων στρατόπεδον, ὁ ἀνὴρ αὐτῆς οὐκ ἔτυχεν ἐν τῷ στρατοπέδῳ ὤν, ἀλλὰ πρὸς τὸν Βακτριανῶν βασιλέα πρεσβεύων ᾤχετο. ἔπεμψε δὲ αὐτὸν ὁ Ἀσσύριος περὶ συμμαχίας. ξένος γὰρ ὢν ἐτύγχανε τῷ τῶν Βακτριανῶν βασιλεῖ. ταύτην οὖν ἐκέλευσεν ὁ Κῦρος διαφυλάττειν τὸν Ἀράσπαν, ἕως ἂν αὐτὸς λάβῃ. κελευόμενος δὲ ὁ Ἀράσπας ἐπήρετο. ἑώρακας δ', ἔφη, ὦ Κῦρε, τὴν γυναῖκα, ἥν με κελεύεις φυλάττειν; μὰ Δί', ἔφη ὁ Κῦρος, οὐκ ἔγωγε. ἀλλ' ἐγώ, ἔφη, ἡνίκα ἐξῃρούμην σοι αὐτήν, καὶ δῆτα ὅτε μὲν εἰσήλθομεν εἰς τὴν σκηνὴν αὐτῆς τὸ πρῶτον, οὐ διέγνωμεν αὐτήν. χαμαί τε γὰρ ἐκάθητο, καὶ αἱ θεράπαιναι πᾶσαι περὶ αὐτήν. καὶ τοίνυν ὁμοίαν ταῖς δούλαις εἶχε τὴν ἐσθῆτα. ἐπεὶ δὲ γνῶναι βουλόμενοι, τίς εἴη ἡ δέσποινα, πάσας περιεβλέψαμεν, ταχὺ πάνυ καὶ πασῶν ἐφαίνετο διαφέρουσα τῶν ἄλλων, καίπερ καθημένη, κεκαλυμμένη τε καὶ εἰς γῆν ὁρῶσα. ὡς δὲ ἀναστῆναι αὐτὴν ἐκελεύσαμεν, συνανέστησαν μὲν αὐτῇ πᾶσαι αἱ ἀμφ' αὐτήν. διήνεγκε δὲ ἐνταῦθα ἤδη, πρῶτον μὲν τῷ μεγέθει, ἔπειτα δὲ τῇ ῥώμῃ καὶ τῇ ἀρετῇ, καὶ τῇ εὐσχημοσύνῃ, καίπερ ἐν ταπεινῷ σχήματι ἑστηκυῖα. δήλη δὲ ἦν αὐτῇ καὶ τὰ δάκρυα καταστάζοντα, τὰ μὲν κατὰ τῶν πέπλων, τὰ δὲ καὶ ἐπὶ τοὺς πόδας. ὡς δὲ ἡμῶν ὁ γεραίτερος εἶπε, θάρρει ὦ γύναι. καλὸν μὲν γὰρ καὶ ἀγαθὸν ἀκούομεν καὶ τὸν σὸν ἄνδρα εἶναι. νῦν μέντοι ἐξαιρούμεν ἀνδρί σε, ἔφη, εὖ ἴσθι, ὅτι οὔτε τὸ εἶδος ἐκείνου χείρονι, οὔτε τὴν γνώμην, οὔτε τὴν δύναμιν. ἀλλ' ὡς ἡμεῖς γε νομίζομεν, εἴ τις καὶ ἄλλος ἀνήρ, καὶ ὁ Κῦρος ἄξιός ἐστι θαυμάζεσθαι, οὗ σὺ ἔσῃ τὸ ἀπὸ τοῦδε. ὡς οὖν τοῦτο ἤκουσεν ἡ γυνή, περικατερρήξατό γε τὸν ἄνωθεν πέπλον, καὶ ἀνωδύρατο. συνανεβόησαν δὲ αὐτῇ καὶ αἱ δμωαί. ἐν τούτῳ δ' ἐφάνη μὲν αὐτῆς τὸ πλεῖστον μέρος τοῦ προσώπου· ἐφάνη δὲ ἡ δέρη, καὶ αἱ χεῖρες. καὶ εὖ ἴσθι, ὦ Κῦρε, ὡς ἐμοί τε ἔδοξε καὶ τοῖς ἄλλοις πᾶσι τοῖς ἰδοῦσι, μήπω φῦναι μηδὲ γενέσθαι γυναῖκα ἀπὸ θνητῶν τοιαύτην ἐν τῇ Ἀσίᾳ. ἀλλὰ πάντως, ἔφη, καὶ σὺ θέασαι αὐτήν. καὶ ὁ Κῦρος ἔφη· ναὶ μὰ Δία πολύ γε ἧττον, εἰ τοιαύτη ἐστίν, οἵαν σὺ λέγεις. τί δαί, ἔφη ὁ νεανίσκος. ὅτι, ἔφη, καὶ νῦν σοῦ ἀκούσας, ὅτι καλή ἐστιν, εἰ πεισθήσομαι ἐλθεῖν θεασόμενος, οὐ πάνυ μοι σχολῆς οὔσης, δέδοικα μὴ πολὺ θᾶττον ἐκείνη με αὖθις ἀναπείσῃ, καὶ πάλιν ἐλθεῖν θεασόμενον. ἐκ δὲ τούτου ἴσως ἂν ἀμελήσας, ὧν με δεῖ πράττειν, καθοίμην ἐκείνην θεώμενος. καὶ ὁ νεανίσκος ἀναγελάσας εἶπεν· οἴει γάρ, ἔφη, ὦ Κῦρε, ἱκανὸν εἶναι κάλλος ἀνθρώπου, ἀναγκάζειν τὸν μὴ βουλόμενον πράττειν παρὰ τὸ βέλτιστον; εἰ μέντοι τοῦτο, ἔφη,

οὕτως

XENOPHONTIS DE PAEDIA CYRI LIBER QUINTUS, FRANCISCO PHILELPHO INTERPRETE.

Vocato autem Cyrus Araspa Medo, qui ei erat à puero sodalis, cuique stolam exutus Medicam dederat quo tempore ab Astyage abiret in Persas, huic iussit ut sibi custodiret mulierem atque tabernaculum. Erat autem ea mulier Abradatæ uxor regis Susorum: qui cum caperentur Assyriorum castra, ibi non erat, quippe qui ad Bactrianorum regem orator profectus est, eò ab Assyrio missus societatis faciundæ gratia: erat enim regi Bactrianorum hospes. Hanc igitur Cyrus tuendam iubebat Araspæ, donec ipse eam acciperet. Araspas autem iussus percunctabatur: Vidisti ne adhuc Cyre, mulierem quam mihi iubes asseruandam? Me dius fidius, Cyrus inquit, nequaquam uidi. At ego, inquit Araspas, uidi equidem cum eam delegi tibi, & rursus cum ingressi sumus in eius tabernaculum, eam ita demum minime noueramus. Nam sedebat humi, & famulæ omnes circum ipsam, habebatque illa uestem ancillarum uestibus similem. Sed ubi uolentes cognoscere quænam esset hera, omnis illas circunspeximus, quamprimum admodum uisa est alijs omnibus antecellere, quamuis sederet, esset'que uelata, & humi dispiceret. Vt autem eam iussimus surgere, consurrexerunt unà cum ea illæ ancillæ omnes. Præstabat autem hæc primum magnitudine, dein uirtute & uenustate, etsi in humili erat habitu, manifestoque ei lachrymæ stillabant, aliæ in peplos, aliæ pedes. Vbi uerò qui erat inter nos ætate grandior ait, Bono animo esto mulier, nam etsi pulchrum ac bonum uirum tibi esse audimus, nunc te uiro seligimus qui neque formæ præstantia illo est deterior, neque prudentia, neque uiribus. Sed, ut nostra fert opinio, si quis alius quisquam uir, Cyrus etiam ipse admiratione est dignus, cuius tu ex hac hora futura es. Quod mulier ut audiuit, & lacerauit à summo usque peplum, & eiulabatur: unà etiam uociferatæ sunt famulæ. Quo quidem tempore maxima ex parte apparuit eius facies, apparuit item collum ac manus. Voloq; tibi certò persuadeas Cyre, ut & mihi & alijs intuentibus uisum est, nondum esse ortam, neque inueniri inter mortales huiusmodi mulierem in Asia. Verùm eam tu omnino aspice. Atque ait Cyrus: Ita mehercule, & multo quidem minus, si talis est qualis à te narratur. Cur? inquit ille adolescens. Quoniam, ait, si nunc dum abs te audio eam esse pulchram, sententiam tuam sequens eam uisurus iero, cum neq; satis mihi ocij sit, uereor ne longè celerius illa persuadeat mihi item, ut se rursus spectaturus accedam, & exhinc fortaßis his neglectis quæ gerere me oportet, sedeam illam spectãs. Ac iuuenis multo cum risu ait: Putas enim tu Cyre, fieri posse ut mulieris pulchritudo eum qui nolit, cogat agere quod factu non sit optimum? Nam si hoc

ita na/

tia natura habet, omnes identidem cogeret. Videsne ut ignis omnes itidem urit? Natura enim talis est. Pulchras autem alias amant, alias non amant, & alius aliam. Etenim res spontanea: & quisq; amat quē uelit. Frater haud continuò sororem amat, sed ab alio hæc amatur. Neq; pater filiam amat, quæ amatur ab alio. Etenim METVS ac lex satis sunt ad amorem inhibendum. Quod si lex feratur, ut qui non uescūtur, non fame capiantur: & qui non bibunt, non sitiant, neq; per hyemē frigeant, neq; caleant per æstatē, nulla sanè lex possit efficere, ut his homines pareāt: sunt enim homines his rebus natura inferiores. At amare ultroneū est. Quisq; igitur ea amat quæ sua sunt, ut amictus, & calceos. Quomodo ergo, inquit Cyrus, si amor ultroneus est, non eo uacare quis potest cum uelit? Cæterū ego uidi qui flerent præ dolore ob amorem, & qui amatis famularentur, cum prius quàm amarent, maximum malum seruitutem opinarentur: quiq; darent eorum multa, quibus priuari eis nō esset melius: et qui præterea optarēt amore liberari nō secus quàm ab alio quodā morbo, neq; liberari tamē possent, sed ualidiore necessitate ligati essent, quàm si in ferrea uincula cōiecti forent. Præbent igitur amatis seipsos, permultum ac temerè seruientes. Neque cum huiusmodi malis teneantur, tentant euadere, sed asseruant quos amant, ne quoquā effugiant. Et adolescens ad hæc ait: Faciunt enim quæ dicis. Et sunt sanè istiusmodi amatores flagitiosi, quo fit ut etiam optent, ut perseuerantes usq; in ærumnis moriantur. Cumq; infinitæ sint liberandi artes, à uita non liberantur. Iidem præterea furari aggrediuntur, neq; ab alienis abstinēt. Sed cum quid rapuerint, furatiue fuerint, uides quod ipse primus tanquam furtum necessarium non sit, & furem & raptorem accusas: & non modo non ignoscis, sed supplicio afficis? Hoc item modo formosi non cogunt ut homines se ament, aut cupiant quæ non decet: sed flagitiosi homunciones cupiditatibus omnibus se præstant inferiores, deinde amores accusant. At honesti atq; probi uiri etsi cupiunt & aurum, & equos bonos, et mulieres pulchras, ab his tamen omnibus facile queunt abstinere, ut non his magis quàm deceat subditi sint. Itaq; ipse hanc mulierē intuitus, etsi admodum formosa mihi uisa est, sum tamen & apud te, & equito, & alia queq; mea præsto officia. Ita mediusfidius, inquit Cyrus: fortassis enim celerius abisti, quàm in quāto tempore amor potest hominē sibi disponere. Nam & ignis eum qui se tetigerit, haud continuò urit, & ligna non continuò flammas tollunt. Ipse tamen neq; ignem ultro tango, neq; pulchros intueor, nec etiam tibi consulo Araspa, sinas in pulchris oculos uersari: QVOD ignis quidem urit hominis tangentis, ac formosi eos etiā accendunt qui se procul spectāt, ut propter amorē æstuent. Confido Cyre, Araspas inquit. Nam si nunquā etiā spectare cessauero, nullo pacto uincar, quò aliquid quod minus deceat faciam. Pulcherrimè, inquit, dicis. Quare asserua hāc, ut tibi iubeo, eiusq; curā gere: fortassis enim admodū etiā in tēpore fiat hæc mulier. Tum igitur his dictis abierūt. Sed adolescens cum simul mulierem pulcherrimam aspice-

οὕτως ἐπεφύκει, πάντας ἂν ἠνάγκαζεν ὁμοίως. ὁρᾷ, ἔφη, τὸ πῦρ, ὡς πάντας ὁμοίως καίει· πέφυκε γὰρ τοιοῦτον. τῶν δὲ καλῶν, τῶν μὲν ἐρῶσι, τῶν δ᾽ οὔ· καὶ ἄλλος γε ἄλλου. ἐθελούσιον γάρ, ἔφη, ἐστὶ, καὶ ἐρᾷ ἕκαστος ὧν ἂν βούληται. αὐτίκα δ᾽ οὐκ ἐρᾷ ἀδελφὸς ἀδελφῆς, ἄλλος δὲ ταύτης· οὐδὲ πατὴρ θυγατρός, ἄλλος δὲ ταύτης. καὶ γὰρ φόβος καὶ νόμος ἱκανὸς ἔρωτα κωλύειν. εἰ δέ γ᾽, ἔφη, νόμος τεθείη μὴ ἐσθίοντας μὴ πεινῆν, καὶ μὴ πίνοντας μὴ διψῆν, μηδὲ ῥιγοῦν τοῦ χειμῶνος, μηδὲ θάλπεσθαι τοῦ θέρους, οὐδεὶς ἂν νόμος δυνηθείη διαπράξασθαι ἀνθρώπους ταῦτα πείθεσθαι. πεφύκασι γὰρ ὑπὸ τούτων κρατεῖσθαι. τὸ δ᾽ ἐρᾶν, ἐθελούσιόν ἐστιν. ἕκαστος γοῦν τῶν καθ᾽ αὑτὸν ἐρᾷ, ὥσπερ ἱματίων καὶ ὑποδημάτων. πῶς οὖν, ἔφη ὁ Κῦρος, εἰ ἐθελούσιόν ἐστι τὸ ἐρασθῆναι, οὐ καὶ παύσασθαί ἐστιν ὅταν τις βούληται; ἀλλ᾽ ἐγώ, ἔφη, ἑώρακα καὶ κλαίοντας ὑπὸ λύπης δι᾽ ἔρωτα, καὶ δουλεύοντάς γε τοῖς ἐρωμένοις, καὶ μάλα κακὸν νομίζοντας πρίν γε ἐρᾶν, τὸ δουλεύειν, καὶ διδόντας γε πολλὰ ὧν οὐ βέλτιον ἦν αὐτοῖς στέρεσθαι, καὶ εὐχομένους, ὥσπερ καὶ τινος ἄλλης νόσου ἀπαλλαγῆναι, καὶ οὐ δυναμένους μέντοι ἀπαλλάττεσθαι. ἀλλὰ δεδεμένους ἰσχυροτέρᾳ τινὶ ἀνάγκῃ, ἢ εἰ σιδήρῳ ἐδέδεντο. παρέχουσι γοῦν ἑαυτοὺς τοῖς ἐρωμένοις, πολλὰ καὶ εἰκῆ ὑπηρετοῦντες. καὶ μέντοι οὐκ ἐκδιδράσκειν ἐπιχειροῦσι, τοιαῦτα κακὰ ἔχοντες· ἀλλὰ καὶ φυλάττουσι τοὺς ἐρωμένους, μή ποι ἀποδρῶσι. καὶ ὁ νεανίσκος εἶπε πρὸς ταῦτα· ποιοῦσι γάρ, ἔφη, ταῦτα. εἰσὶ μέντοι οἱ τοιοῦτοι, ἔφη, μοχθηροί. ὅπερ οἶμαι καὶ εὔχονται μὲν ἀεὶ ἄθλιοι ὄντες ἀποθανεῖν. μυρίων δ᾽ οὐσῶν μηχανῶν ἀπαλλαγῆς τοῦ βίου, οὐκ ἀπαλλάττονται. οἱ δέ γε οὗτοι καὶ κλέπτειν ἐπιχειροῦσι, καὶ οὐκ ἀπέχονται τῶν ἀλλοτρίων. ἀλλ᾽ ἐπειδάν τι ἁρπάσωσιν ἢ κλέψωσιν, ὁρᾷς ὅτι σὺ πρῶτος, ὡς οὐκ ἀναγκαῖον τὸ κλέπτειν, αἰτιᾷ τὸν κλέπτοντα καὶ ἁρπάζοντα, καὶ οὐ συγγινώσκεις, ἀλλὰ κολάζεις; οὕτω μέντοι, ἔφη, καὶ οἱ καλοὶ οὐκ ἀναγκάζουσιν ἐρᾶν ἑαυτῶν, οὐδὲ ἐφίεσθαι ἀνθρώπους, ὧν μὴ δεῖ. ἀλλὰ τὰ μοχθηρὰ ἀνθρώπια πασῶν οἶμαι ἐπιθυμιῶν ἀκρατῆ ἐστι, κᾄπειτα ἔρωτα αἰτιῶνται. οἱ δὲ καλοὶ κἀγαθοὶ ἐπιθυμοῦντες καὶ χρυσίου καὶ ἵππων ἀγαθῶν, καὶ γυναικῶν καλῶν, ὅμως ἁπάντων τούτων ῥᾳδίως δύνανται ἀπέχεσθαι, ὥστε μὴ ἅπτεσθαι αὐτῶν παρὰ τὸ δίκαιον. ἔγωγ᾽ οὖν, ἔφη, ταύτην ἑωρακώς, καὶ πάνυ μοι καλῆς δοξάσης, ὅμως παρὰ σοί εἰμι, καὶ ἱππεύω καὶ τἆλλα τὰ μοι προσήκοντα ἀποτελῶ. ναὶ μὰ Δί᾽, ἔφη ὁ Κῦρος· ἴσως γὰρ θᾶττον ἀπῆλθες, ἢ ἐν ὅσῳ χρόνῳ ὁ ἔρως πέφυκε συσκευάζεσθαι ἄνθρωπον. καὶ πυρὸς γάρ τοι ἐπιθίγοντα μὴ εὐθὺς καίεσθαι, καὶ τὰ ξύλα οὐκ εὐθὺς ἀναλάμπει. ὅμως δ᾽ ἔγωγε οὔτε πυρὸς ἑκὼν εἶναι ἅπτομαι, οὔτε τοὺς καλοὺς εἰσορῶ. οὐδὲ σοὶ συμβουλεύω, ἔφη, ὦ Ἀράσπα, ἐν τοῖς καλοῖς τὴν ὄψιν ἐνδιατρίβειν. ὡς τὸ μὲν πῦρ τοὺς ἁπτομένους καίει. οἱ δὲ καλοί, καὶ τοὺς ἄποθεν θεωμένους ὑφάπτουσιν, ὥστε αἴθεσθαι τῷ ἔρωτι. θάρρει, ἔφη, ὦ Κῦρε. οὐδὲ ἢν μηδέποτε παύσωμαι θεώμενος, οὐ μὴ κρατηθῶ, ὥστε ποιεῖν τι ὧν μὴ χρὴ ποιεῖν. κάλλιστα, ἔφη, λέγεις. φύλαττε τοίνυν ὥσπερ σε κελεύω, καὶ ἐπιμελοῦ αὐτῆς. ἴσως γὰρ ἂν καὶ πάνυ ἡμῖν ἐν καιρῷ τι γένοιτο αὕτη ἡ γυνή. τότε μὲν δὴ ταῦτα εἰπόντες, διελύθησαν. ὁ δὲ νεανίσκος ἅμα μὲν ὁρῶν ὑπερκαλλῆ τὴν

que sit bis amoris.

τὴν γυναῖκα, ἅμα δὲ αἰδούμενος τὴν καλοκἀγαθίαν αὐτῆς, ἅμα δὲ θεραπεύων αὐτήν, καὶ οἰόμενος χαρίζεσθαι αὐτῇ, ἅμα δὲ αἰσθόμενος οὐκ ἀχάριστον οὖσαν, ἀλλ᾽ ἐπιμελομένην διὰ τῶν αὑτῆς οἰκετῶν, ὡς καὶ εἰσιόντι εἴη αὐτῷ τὰ δέοντα, καὶ εἴ ποτε ἀσθενήσειεν, ὡς μηδενὸς δέοιτο, ἐκ πάντων τούτων ἡλίσκετο ἔρωτι. καὶ ἴσως οὐδὲν θαυμαστὸν ἔπασχε. καὶ ταῦτα μὲν δὴ οὕτως ἐπράττετο. Βουλόμενος δὲ ὁ Κῦρος ἐθελοντὰς μένειν μεθ᾽ ἑαυτοῦ τούς τε Μήδους καὶ τοὺς συμμάχους, συνεκάλεσε πάντας τοὺς ἐπικαίρους. ἐπεὶ δὲ συνῆλθον, ἔλεξε τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΚΥΡΟΥ

Ἄνδρες Μῆδοι, καὶ πάντες οἱ παρόντες, ἐγὼ ὑμᾶς οἶδα σαφῶς, ὅτι οὔτε χρημάτων δεόμενοι σὺν ἐμοὶ ἐξήλθετε, οὔτε Κυαξάρῃ νομίζοντες τοῦτο ὑπηρετεῖν, ἀλλ᾽ ἐμοὶ βουλόμενοι τοῦτο χαρίζεσθαι, καὶ ἐμὲ τιμῶντες, καὶ νυκτοπορεῖν καὶ κινδυνεύειν σὺν ἐμοὶ ἠθελήσατε. καὶ χάριν τούτων ἐγὼ ὑμῖν ἔχω, εἰ μὴ ἀδικῶ. ἀποδιδόναι δὲ οὔπω ἀξίαν δύναμιν ἔχειν μοι δοκῶ. καὶ τοῦτο μὲν οὐκ αἰσχύνομαι λέγων. τὸ δ᾽ ἐὰν μένητε παρ᾽ ἐμοὶ ἀποδώσω, εὖ ἴστε, ὅτι τοῦτο αἰσχυνοίμην ἂν εἰπεῖν. νομίζοιμι γὰρ ἐμαυτὸν ἐοικέναι λέγοντι ταῦτα τούτου ἕνεκα, τοῦ ὑμᾶς ἐθέλειν μᾶλλον παρ᾽ ἐμοὶ καταμένειν. ἀντὶ δὴ τούτου, τάδε λέγω. ἐγὼ γὰρ ὑμῖν κἂν ἤδη ἀπίητε Κυαξάρῃ πειθόμενοι, ὅμως ἢν τι ἀγαθὸν πράξω, πειράσομαι οὕτω ποιεῖν, ὥστε ὑμᾶς ἐμὲ ἐπαινεῖν. οὐ γὰρ δὴ αὐτός γε ἄπειμι, ἀλλὰ καὶ Ὑρκανίοις, οἷς τοὺς ὅρκους καὶ τὰς δεξιὰς ἔδωκα, ἐμπεδώσω, καὶ οὔποτε τούτους προδιδοὺς ἁλώσομαι. καὶ τῷ μὲν νῦν ταῦτα διδόντι ἡμῖν Γωβρύᾳ, καὶ τείχη, καὶ χώραν, καὶ δύναμιν, πειράσομαι ποιεῖν, μήποτε μεταμελῆσαι τῆς πρὸς ἐμὲ ὁδοῦ. καὶ τὸ μέγιστον δή, οὕτω περιφανῶς τῶν θεῶν διδόντων ἀγαθά, καὶ φοβοίμην ἂν αὐτοὺς καὶ αἰσχυνοίμην, ἀπολιπὼν ταῦτα, εἰκῇ ἀπελθεῖν. ἐγὼ μὲν οὖν, ἔφη, οὕτω ποιήσω. ὑμεῖς δὲ ὅπως καὶ γιγνώσκετε, οὕτω καὶ ποιεῖτε. καὶ ἐμοὶ εἴπατε, ὅ τι ἂν ὑμῖν δοκῇ. ὁ μὲν οὕτως εἶπε. πρῶτος δὲ ὁ φήσας ποτὲ συγγενὴς τοῦ Κύρου εἶναι, εἶπεν· Ἀλλ᾽ ἐγὼ μέν, ἔφη, ὦ βασιλεῦ, βασιλεὺς μὲν γὰρ ἔμοιγε δοκεῖς σὺ φύσει πεφυκέναι, οὐδὲν ἧττον, ἢ ὁ ἐν τῷ σμήνει φυόμενος τῶν μελιττῶν ἡγεμών. ἐκείνῳ τε γὰρ αἱ μέλιτται ἑκοῦσαι πείθονται. ὅπου δ᾽ ἂν μένῃ, οὐδεμία ἐντεῦθεν ἀπέρχεται. ἢν δέ ποι ἐξίῃ, οὐδεμία αὐτοῦ ἀπολείπεται, οὕτω δεινός τις αὐταῖς ἔρως τοῦ ἄρχεσθαι ὑπ᾽ ἐκείνου ἐγγίγνεται. καὶ πρὸς σὲ δέ μοι δοκοῦσι παραπλησίως πως οἱ ἄνθρωποι οὗτοι διακεῖσθαι. καὶ γὰρ εἰς Πέρσας ὅτε παρ᾽ ἡμῶν ἀπῄεις, τίς Μήδων ἢ νέος ἢ γέρων σοῦ ἀπελείφθη τὸ μὴ σοὶ ἀκολουθεῖν, ἕως ὅτε Ἀστυάγης ἡμᾶς ἀπέστρεψεν; ἐπεὶ δὲ ἐκ Περσῶν βοηθὸς ἡμῖν ὡρμήθης, σχεδὸν αὖ ἑωρῶμεν τοὺς φίλους σου πάντας ἐθελουσίους συνεπομένους. ὅτε δ᾽ αὖ τῆσδε τῆς στρατείας ἐπεθύμησας, πάντες σοι Μῆδοι ἑκόντες ἠκολούθησαν. νῦν δ᾽ αὖ οὕτως ἔχομεν, ὡς σὺν μὲν σοὶ ὅμως καὶ ἐν τῇ πολεμίᾳ ὄντες θαρροῦμεν, ἄνευ δὲ σοῦ καὶ οἴκαδε ἀπιέναι φοβούμεθα. οἱ μὲν οὖν ἄλλοι ὅπως ποιήσουσιν, αὐτοὶ ἐροῦσιν. ἐγὼ δὲ ὦ Κῦρε, καὶ ὧν ἐγὼ κρατῶ, καὶ μενοῦμεν παρὰ σοί, καὶ ὁρῶντές σε ἀνεξόμεθα, καὶ καρτερήσομεν ὑπὸ σοῦ εὐεργετούμενοι. ἐπὶ τούτῳ ὁ Τιγράνης ἔλεξεν ὧδε· Σύ, ἔφη, ὦ Κῦρε, μήποτε θαυμάσῃς, ἂν ἐγὼ σιωπῶ. ἡ γάρ μοι ψυχή, ἔφη, οὐχ ὡς βου-

λεύσουσα

aspiceret, simulq; eius probitatem cognosceret, curamq; eius gereret, atq; gratificari ei arbitraretur: & cum etiam sentiret eam non esse ingratam, sed diligentiam per seruos suos adhibere, ut ingredienti Araspæ essent necessaria omnia, & ne si quando ægrotaret, rei cuiusquam indigeret: ex hisce omnibus amore captus est, & nihil fortasse mirabile est passus. Et hæc quidem hoc pacto gerebantur. Cyrus autem cum uellet libenter manere apud sese tum Medos, tum socios, conuocatis tempestiuis omnibus, huiusmodi uerba locutus est:

ORATIO CYRI.

Viri Medi, & uos qui adestis omnes, equidem certo scio neque pecuniarum indigentis uos mecum egressos esse, neque quod existimaretis Cyaxari hoc præstare obsequium, sed ut hanc rem mihi gratificaremini, meq; honore prosequeremini, & per noctem iter facere, & mecum una periclitari. Quorum ego gratiam uobis habeo nisi iniustus sim, quam referre nondum mihi uideor posse pro dignitate. Neque id dicere me pudet. Quod autem dicam eam me relaturum si apud me manseritis, hic mihi sermo pudori esset: nam existimarer uideri hæc dicere, quo uos magis uelitis manere apud me. Sed hac pro re hæc uobis dico. Ego enim uobis etiam si iam abeatis obedientes Cyaxari, tamen si quid boni gessero, ita enitar facere ut me sitis laudaturi. Non enim ipse nunc sum abiturus. Verum & Hyrcanijs quibus iusiurandum, & dextras dedi, fidem seruabo, & nunquam hos deprehendar prodidisse. Et Gobryæ qui nunc nobis & oppida dedit, & regionem, & uires facere studebo, ne se unquam pœniteat sui ad me itineris. Et quod maximum est, cum dij immortales manifestius adeo bonis nos affecerint, eos & metuerem & uererer, si his bonis relictis temere abirem. Equidem ipse ita faciam. Vos autem ita ut sentitis, ita etiam facitote, atque mihi dicite quæcunque sententia uobis sit. Cyrus ita loquutus est. Primus autem is qui olim dixit se Cyri consanguineum, respondit: At ego rex, inquiens, rex enim nihilominus uideris natura esse, quàm qui in alueari apium est dux: ILLI ENIM apes parent ultro, & ubicunque maneat, nulla illinc abscedit. Quod si quò exeat, nulla eum relinquit: amor usque adeo uehemens in his inest, ut eius patiantur imperium: identidemq; quodammodo homines mihi uidentur erga te habere. Etenim in Persas cum à nobis abisti, quis Medus aut iuuenis aut senex relictus est, qui minus te sequeretur, donec Astyages nos auertit? Cum uero ex Persis auxilio uenisti nobis, uidemus item amicos tuos ferè omnis ultro te sequentis. Vbi rursus cupisti ducere hunc exercitum, sponte Medi omnes te sunt secuti. Nunc etiam sic habemus, ut unà tecum in terra hostili cum simus, confidamus, & timeamus sine te abire etiam domum. Itaque alij quomodo facturi sunt, ipsi dicent. Sed ego Cyre, & hi qui mihi subditi sunt, & manebimus apud te, & tuum nutum obseruabimus, constanterque expectabimus beneficium tuum. Post hunc ita Tigranes loquutus est: Tu nunquam mireris Cyre, si ipse taceo. Animus enim meus non ad consultan-

sultan-

sultandum paratur, sed ad omnia ea facienda quæ iubeas. Hyrcanius autem inquit: At ego, ô Medi, si nüc abeatis, dicam mali numinis esse insidias, quod uos nolit felicißimos fieri. Humanæ autem mentis compos quis aut fugientis hostes fugiat, aut arma si tradiderint, minus capiat, aut seipsos atque sua dantis non admittat? præsertim cum talis est uobis imperator, qui mihi uidetur, ita uos deos omnis testor, magis lætari ut uobis benefaciat, quàm ut seipsum locupletet. Post hunc Medi omnes hæc dixerunt: Tu Cyre & eduxisti nos, & domum cum abeundi tempus uideatur, tecum nos age. Quæ Cyrus ubi audiuit, ita precatus est: At, ô Iupiter optime maxime, abs te peto, mihi des ut hos beneficijs uincam, qui me honorant. Exhinc iußit ut alij constituerent habere iam circa se custodes. At Persæ distribuerent tabernacula equitibus quidem, quæ his conuenirent: peditibus uerò, quæ his satis essent: & ita constituerent, ut qui in tabernaculis sunt, ubi fecerint omnia pro officio, ea in ordines ferant ad Persas, & equos præbeant cultos. Persis uerò opus ut esset aliud nullum, quàm ea elaborare quæ ad bellum pertinent. Hunc autem diem degerunt hoc pacto. Manè autem surgentes pergebant ad Gobryan, Cyrus quidem in equo, & qui ex Persis equites facti sunt, ad duo milia. Qui uerò habebant horum crates & mucrones, post hos sequebantur pari omnes numero: aliusq; exercitus instructus proficiscebatur. Cuique autem iußit, ut nouis ipsorum seruis dicerent, quicunque eorum aut post cogentes agmen uisus fuerit, aut ante frontem, aut ad latera deprehendatur extra eos qui sunt in ordine, illum punitum iri. Postridie circiter crepusculum perueniunt ad Gobryæ oppidum, uidéntque munimentum ualidißimum, & omnia parata in muris quæcunque sunt ad repugnandum optima, ac boues multas pecudésque permultas sub munimenta adductas intuebantur. Cúmque misisset ad Cyrum Gobryas, iußit ut equitans uideret si sit accessus expeditißimus, utq; intro ad se mitteret fidos aliquos, qui intuentes quæ sibi intus sunt, renunciaturi sint. Sic igitur Cyrus ipse certò uidere uolens, sicubi oppidum facile capi poßet, siue Gobryas mentiretur, immittebat undique, ac uidit omnia ualidiora esse accessu. Quos autem misit ad Gobryan, hi certò renunciabant tanta esse intus bona, quanta, ut sibi uidetur, in hominum ætatem si intus sint, defutura non forent. Itaque Cyrus solicitus erat quid tandem hæc essent, quum Gobryas & ipse ad eum egressus est, & omnes intrinsecus eduxit ferenteis uinum ac farinam, alios uerò agentis boues, capras, oues, sues: & si quid esset esculenti, omnia affatim afferebant, ut cœna exciperetur exercitus omnis unà cum Cyro. Qui ergo ad hanc rem constituti erant, & diuidebant hæc, & cœnabant. At Gobryas ubi omnes uiri sui fuerunt extra, Cyrum ingredi iußit, quò arbitraretur omnia esse secura. Cyrus igitur præmißis exploratoribus ac uiribus, ita etiam ipse ingrediebatur. Sed ubi ingressus est Cyrus habens portas patefactas,

λεύουσι παρεσκευάσθαι, ἀλλ' ὡς ποιήσοντες, ὅ,τι ἂν παραγγέλλῃς. ὁ δὲ ὑρκάνιος εἶπεν· ἀλλ' ἐγὼ μέν, ὦ μῆδοι, εἰ νῦν ἀπέλθοιτε, δαίμονος ἂν φαίην τῇ βουλήσει ἦν, τὸ μὴ ἐᾶσαι ὑμᾶς μέγα εὐδαίμονας γενέσθαι. ἀνθρωπίνῃ δὲ γνώμῃ τίς ἂν ἢ φευγόντων πολεμίων ἀποτρέποιτο, ἢ ὅπλα παραδιδόντων, οὐκ ἂν λαμβάνοι. ἢ ἑαυτοὺς παραδιδόντων καὶ τὰ ἑαυτῶν, οὐκ ἀναδέχοιτο; ἄλλως τε καὶ τοῦ ἡγεμόνος ἡμῖν ὄντος τοιούτου, ὃς ἐμοὶ δοκεῖ, ὡς ὄμνυμι ὑμῖν πάντας τοὺς θεούς, εὖ ποιῶν ἡμᾶς μᾶλλον ἥδεσθαι, ἢ ἑαυτὸν πλουτίζων. ἐπὶ τούτῳ πάντες οἱ μῆδοι τοιαῦτα ἔλεγον· σύ, ὦ κῦρε, ἐξήγαγες ἡμᾶς, καὶ οἴκαδε ὅταν ἀπιέναι καιρός σοι δοκῇ εἶναι, σὺν σοὶ ἡμᾶς ἀπάγαγε. ὁ δὲ κῦρος ταῦτα ἀκούσας, ἐπηύξατο· ἀλλ', ὦ ζεῦ μέγιστε, αἰτοῦμαί σε, δός μοι τοὺς ἐμὲ τιμῶντας, νικῆσαι εὖ ποιοῦντα. ἐκ τούτου ἐκέλευσε τοὺς μὲν ἄλλους φύλακας μεταστήσαντας, ἀμφ' αὑτοὺς ἤδη ἔχειν. τοὺς δὲ πέρσας διαλαβεῖν τὰς σκηνάς, τοῖς μὲν ἱππεῦσι, τὰς τούτοις πρεπούσας. τοῖς δὲ πεζοῖς τὰς τούτοις ἀρκούσας. καὶ οὕτω κατασκευάσασθαι, ὅπως ποιοῦντες οἱ ἐν ταῖς σκηναῖς ἅπαντες τὰ δέοντα φέρωσιν εἰς τὰς τάξεις τοῖς πέρσαις, καὶ τοὺς ἵππους τεθεραπευμένους παρέχωσι. πέρσαις δὲ μηδὲν ἄλλο ἔργον, ἢ τὰ πρὸς πόλεμον ἐκπονεῖν. ταύτην μὲν οὕτω τὴν ἡμέραν διήγαγον. πρωῒ δ' ἀναστάντες, ἐπορεύοντο πρὸς τὸν γωβρύαν. κῦρος μὲν ἐφ' ἵππῳ, καὶ οἱ περσῶν ἱππεῖς γεγενημένοι ἀμφὶ τοὺς δισχιλίους. οἱ δὲ τὰ τούτων γέρρα καὶ τὰς κοπίδας ἔχοντες, ἐπὶ τούτοις εἵποντο, ἴσοι ὄντες τὸν ἀριθμόν. καὶ ἡ ἄλλη δὲ στρατιὰ ἐπορεύετο τεταγμένη. ἕκαστον δ' ἐκέλευσε τοῖς καινοῖς ἑαυτοῦ θεράπουσιν, εἰπεῖν ὅτι ὅστις ἂν αὐτῶν ἢ τῶν ὀπισθοφυλάκων φαίνηται ὄπισθεν, ἢ τοῦ μετώπου πρόσθεν, ἢ κατὰ πλάγια ἔξω τῶν ἐν τάξει ὄντων ἁλίσκηται, κολασθήσεται. δευτεραῖοι δὲ ἀμφὶ δείλην γίγνονται πρὸς τῷ γωβρύα χωρίῳ. καὶ ὁρῶσιν ὑπερισχυρόν τε τὸ ἔρυμα, καὶ ἐπὶ τῶν τειχῶν πάντα παρεσκευασμένα, ὡς ἂν κράτιστα ἀπομάχοιντο. καὶ βοῦς δὲ πολλοὺς καὶ πάμπολλα πρόβατα ὑπὸ τὰ ἐρύματα προσηγμένα ἑώρων. πέμψας δὲ ὁ γωβρύας, ἐκέλευσε τὸν κῦρον περιελάσαντα ἰδεῖν, ᾗ ἡ πρόσοδος εὐπετεστάτη. εἴσω δὲ πέμψαι πρὸς ἑαυτόν, τῶν πιστῶν τινάς, οἵτινες αὐτῷ τὰ ἔνδον ἰδόντες ἀπαγγελοῦσιν. οὕτω δὴ ὁ κῦρος αὐτὸς μὲν τῷ ὄντι βουλόμενος ἰδεῖν, εἴ πῃ εἴη αἱρέσιμον τὸ τεῖχος, ἢ ψευδὴς φαίνοιτο ὁ γωβρύας, περιήλαυνε καὶ ἑώρα πάντοθεν, ἰσχυρότερα πάντα ἢ προσῆλθεν. οὓς δ' ἔπεμψε πρὸς γωβρύαν, ἀπήγγελλον τῷ κύρῳ, ὅτι τοσαῦτα ἔνδον ἀγαθά, ὅσα ἐπ' ἀνθρώπων γενεὰς ὡς σφίσι δοκεῖν, μὴ ἂν ἐπιλείπειν τοὺς ἔνδον ὄντας. ὁ μὲν δὴ κῦρος ἐν φροντίδι ἦν, ὅ,τι ποτε εἴη ταῦτα. ὁ δὲ γωβρύας αὐτός τε ἐξῄει πρὸς αὐτόν, καὶ τοὺς ἔνδοθεν πάντας ἐξῆγε, φέροντας οἶνον, ἄλφιτα, ἄλευρα, ἄλλους δὲ ἐλαύνοντας βοῦς καὶ ὗς, οἶας, αἶγας, καὶ εἴ τι βρωτόν, πάντα ἱκανὰ προσῆγον, ὡς δειπνῆσαι καλῶς ἅπασαν τὴν σὺν κύρῳ στρατιάν. οἱ μὲν δὴ ἐπὶ τούτῳ ταχθέντες, διῄρουν τε ταῦτα, καὶ ἐδειπνοποιοῦντο. ὁ δὲ γωβρύας, ἐπεὶ πάντες οἱ ἄνδρες αὐτῷ ἔξω ἦσαν, εἰσιέναι ἐκέλευε τὸν κῦρον, ὅπως νομίζοι ἀσφαλέστατα. προεισπέμψας οὖν ὁ κῦρος προσκόπους καὶ δύναμιν, καὶ αὐτὸς οὕτως εἰσῄει. ἐπεὶ δὲ εἰσῆλθεν ἀναπεπταμένας ἔχων

ἔχων τὰς πύλας, παρεκάλει πάντας σὺν φίλους καὶ ἄρ-
χοντας τῶν μεθ' ἑαυτοῦ. ἐπεὶ δὲ ἔνδον ἦσαν, ἐκφέρων
ὁ γωβρύας φιάλας χρυσᾶς, καὶ πρόχους, καὶ κάλπιδας,
καὶ κόσμον παντοῖον, καὶ δαρεικοὺς ἀμέτρους τινὰς, καὶ
πάντα καλά. καὶ τέλος τὴν θυγατέρα, δεινόν ἄρα κάλ-
λος καὶ μέγεθος, πενθικῶς δὲ ἔχουσαν τοῦ ἀδελφοῦ τεθνη-
κότος, ἐξαγαγὼν, τάδε εἶπεν· ὦ κῦρε, ἐγώ σοι τὰ μὲν
χρήματα ταῦτα δίδωμι. τὴν δὲ θυγατέρα ταύτην ἐπι-
τρέπω διαθέσθαι, ὅπως ἂν σὺ βούλῃ. ἱκετεύομεν δὲ, ἐγὼ
μὲν καὶ πρόσθεν τοῦ υἱοῦ, αὕτη δὲ νῦν τοῦ ἀδελφοῦ, τιμω-
ρὸν γενέσθαι σε. ὁ δὲ κῦρος πρὸς ταῦτα εἶπεν· ἀλλ' ἐγώ
σοι μὲν καὶ τότε ὑπεσχόμην, ἀψευδοῦντός σου τιμω-
ρήσειν εἰς δύναμιν. νῦν δὲ ὅτι σε ἀληθεύοντα ὁρῶ ἤδη,
ὀφείλω τὴν ὑπόσχεσιν. καὶ ταύτῃ ὑπισχνοῦμαι, ταῦτα
σὺν θεοῖς ποιήσειν. καὶ τὰ μὲν χρήματα, ἔφη, ἐγὼ ταῦ-
τα δέχομαι. δίδωμι δ' αὐτὰ τῇ παιδὶ ταύτῃ καὶ ἐκεί-
νῳ, ὃς ἂν γήμῃ αὐτήν. ἓν δὲ δῶρον ἄπειμι ἔχων παρὰ
σοῦ, ἀνθ' οὗ ἐγὼ, οὐδ' ἂν τὰ ἐν Βαβυλῶνι, ἐν ᾗ πλεῖστά
ἐστιν, οὐδὲ τὰ πανταχοῦ, ἀντὶ τούτου οὗ σύ μοι δεδώ-
ρησαι, ἥδιον ἂν ἔχων ἀπέλθοιμι. καὶ ὁ γωβρύας θαυμά-
σας, τί ποτε τοῦτο εἴη, καὶ ὑποπτεύσας μὴ τὴν θυγατέρα
λέγει, οὕτως ἤρετο· καὶ τί τοῦτ' ἐστιν, ἔφη, ὦ κῦρε; καὶ ὁ κῦρος
ἀπεκρίνατο· ὅτι, ἔφη, ὦ γωβρύα, πολλοὺς μὲν οἴομαι εἶναι
ἀνθρώπους, οἳ οὔτε ἀσεβεῖν ἂν θέλοιεν, οὔτε ἀδικεῖν, οὔτε
ἂν ψεύδοιντο ἑκόντες εἶναι. διὰ δὲ τὸ μηδένα αὐτοῖς ἐθελη-
σαι προέσθαι, μήτε χρήματα μεγάλα, μήτε τυραννίδα,
μήτε τείχη ἐρυμνὰ, μήτε τέκνα ἀξιέραστα, ἀποθνήσκουσι
πρότερον, πρὶν δῆλοι γενέσθαι, οἷοι ἦσαν. ἐμοὶ δὲ σὺ νῦν,
καὶ τείχη ἐρυμνὰ, καὶ πλοῦτον παντοδαπὸν, καὶ δύναμιν
τὴν σὴν, καὶ θυγατέρα ἀξιοκτήτην ἐγχειρίσας, πεποίηκάς
με δῆλον γενέσθαι πᾶσιν ἀνθρώποις, ὅτι οὔτ' ἂν ἀσεβεῖν
περὶ ξένους ἐθέλοιμι, οὔτ' ἂν ἀδικεῖν χρημάτων ἕνεκα, οὔ-
τε συνθήκας ψευδοίμην ἂν ἑκὼν εἶναι. τοῦτ' οὖν ἐγώ σοι εὖ
ἴσθι, ἕως ἀνὴρ δίκαιος ὦ, καὶ δοκῶν εἶναι τοιοῦτος ἐπαινῶ-
μαι ὑπ' ἀνθρώπων, οὔποτ' ἐπιλήσομαι. ἀλλὰ πειράσομαί
σε ἀντιτιμῆσαι πᾶσι τοῖς καλοῖς. καὶ ἀνδρὸς δ', ἔφη, τῇ
θυγατρὶ μὴ φοβοῦ ὡς ἀπορήσεις ἀξίου ταύτης. πολλοὶ γὰρ καὶ
ἀγαθοὶ φίλοι εἰσὶν ἐμοὶ, ὧν ὅστις γαμεῖ αὐτὴν, εἰ μέντοι χρή-
ματα ἕξει τοσαῦτα, ὅσα δίδως, ἢ καὶ ἄλλα πολλαπλάσια
τούτων, οὐκ ἂν ἔχοιμι εἰπεῖν. σὺ μέντοι εὖ ἴσθι ὅτι εἰσί τι-
νες αὐτῶν, οἳ ὧν μὲν σὺ δίδως χρημάτων, οὐδὲ μικρὸν τούτων
ἕνεκα σὲ μᾶλλον θαυμάσουσιν. ἐμὲ δὲ ζηλοῦσι νῦν, καὶ εὔ-
χονται πᾶσι θεοῖς, γενέσθαι ποτὲ καὶ ἑαυτοὺς ἐπιδεῖξαι ὡς
πιστοί μέν εἰσιν οὐδὲν ἧττον ἐμοῦ τοῖς φίλοις. τοῖς δὲ πολε-
μίοις οὐδέποτ' ἂν ὑφεῖντο ζῶντες, εἰ μὴ θεός βλάπτοι.
ἀντὶ δ' ἀρετῆς καὶ δόξης ἀγαθῆς, ὅτι οὐδ' ἂν τὰ σύρων πρὸς
τοῖς σοῖς καὶ ἀσσυρίων πάντα προέλοιντο. τοιούτους
ἴσθι ἄνδρας ἐνταῦθα καθημένους. καὶ ὁ γωβρύας ἐπιγε-
λάσας· πρὸς θεῶν, ἔφη, ὦ κῦρε, δεῖξόν μοι ποῦ οὗτοί εἰσιν,
ἵνα σε τούτων τινὰ αἰτήσωμαι παῖδά μοι γενέσθαι. ἀμέ-
λει, ἔφη, οὐδὲν ἐμοῦ σε δεήσει πυνθάνεσθαι ἀλλ' ἢν σὺν
ἡμῖν ἕπῃ, αὐτὸς σὺ ἕξεις, καὶ ἄλλῳ δεικνύναι αὐτῶν
ἕκαστον. τοσαῦτα δ' εἰπὼν, δεξιάν τ' ἔλαβε τοῦ γωβρύα,
καὶ ἀναστὰς ἐξῄει. καὶ τοὺς σὺν αὐτῷ πάντας ἐξήγαγε. καὶ
πολλὰ δεομένου τοῦ γωβρύα ἔνδον δειπνεῖν, οὐκ ἠθέλησεν,
ἀλλ' ἐν τῷ στρατοπέδῳ ἐδείπνει, καὶ τὸν γωβρύαν σύνδει-
πνον

factas, amicos omnis inuitabat, & principes quos ha
bebat secum. Vbi uerò intus fuere, Gobryas extulit
phialas aureas, & urceos, & pelues, uariumq; orna
tum, & innumeros quosdam daricos, & omnia ual
de pulchra: ad postremum etiam filiam educens mira
bili quadam pulchritudine atq; magnitudine, quæ lu
ctuose haberet propter fratris obitum, ita inquit: Ego
tibi Cyre hasce quidem pecunias dono do, hanc autē
filiam cōcedo, ut de ipsa pro uoluntate deliberes. Te
10 autem suppliciter rogamus, ego quidem etiam antea,
ut filij mei, ipsa autem nunc, ut fratris sui sis ultor. Ad
quæ Cyrus respōdit: Sed ego tibi etiam hæc tum pro-
misi me ultorem pro uiribus fore, ubi tu uerus esses.
Nunc uerò cum te talem esse intueor, iam tibi debeo
promissum: & tuæ huic filiæ eadem cum deorū ope
promitto me facturum: atq; hasce sane pecunias ipse
quidem admitto, quas filiæ huic tuæ, atq; illi do qui
eam in uxorem capiet. Vnum autē donum habens
abs te abibo, pro quo nec ea quæ Babylone sunt, etsi
20 ibi sunt plurima, nec etiam quæ ubiq; sunt, pro hoc
uno quo donatus abs te sum, suauius habens sim ha-
biturus. Et Gobryas miratus quidnā hoc esset, suspi-
catusq; ne filiam diceret, ita est percūctatus, Et quid-
nam hoc est, inquit, Cyre? Ad quem ille respōdit: Quo
niam ego, Gobrya, multos homines esse reor, qui ne-
que impietati sese uelint, neq; iniustitiæ obnoxios face
re, neq; spōte mētiantur: sed quia nemo his uelit præ-
ferre neq; pecunias multas, neq; regnū, neq; oppida
munita, neq; filios charissimos, moriuntur prius q̄ de
30 clarent quales essent. Tu autem mihi nunc & muni-
tiones tutissimas, et diuitias multiplices, et uires tuas,
& filiam dignissimā largitus mihi, clarum reddidisti
mortalibus omnibus, cum me esse, qui neq; in hospi-
tes impius esse uelim, neq; iniustus pecuniarū gratia,
neq; ultro mendax in seruandis promissis. Horū ego
obliuiscar sane nunquā, donec uir iustus sim, talisq;
esse uisus lauder ad hominibus: quin enitar te contrà
bonis omnib. honorare. Neq; tibi uerendū est, quo mi
nus careas digno uiro pro hac filia tua: Nam et mul
40 ti mihi, et boni amici sunt, quorū alicui hæc nubet, si
quidem tantas sit habiturus pecunias, quantæ abs te
dantur, uel ijs etiā alias multò plures nequeā dicere.
Tu sanè haud ignoras quosdam eorū esse, qui ob pe-
cunias tuas ne paulo quidē magis te sint admiraturi:
me autē hoc tēpore adamant, optantq; ut deorū beni
gnitate possint aliquando demōstrare, quod nihilo mi
nus q̄ ego fideles sint in amicos: in hostes autē ut nun
quā sint quandiu uiuunt remissiores, modo deus ali-
quis nō aduersetur. VIRTVTI uero atq; bonæ gloriæ,
50 ne bona quidem omnia Syrorū Assyriorumq; tuis ad
dita bonis præferāt. Talis esse uiros qui hic sedent, no
lo te lateat. Et Gobryas ridens: Per deos immortales,
inquit, Cyre, ostende mihi ubi hi sunt, quo abs te petā
horū mihi aliquē fieri filium. Atq; Cyrus ait: Nihilo
tibi opus erit ut me percūcteris: si unà nobiscū etiam
sis, ipse tu poteris alij ipsorum quenq; demonstrare.
Tantū loquutus uerborū, apprehensa Gobryæ dexte
ra, atq; surgens abijt, suosq; secū eduxit omnis. Cūq;
multum à Gobrya rogaretur ut intus cœnaret, haud
uoluit, sed cœnabat in castris, & Gobryā ipsum cōui
uam

uam assumpsit: cúmque in uimineis toris discumbe-
ret, ita eum interrogabat: Gobrya, dic mihi, utrum ti-
bi putas plura esse strata, an cuique nostrûm? Ad
quem ille respondit: Vobis sanè plura & strata sunt,
& lecti, atque ædes multo maiores quàm meæ, qui
pro ædibus & terra utimini, & cælo. Lecti etiam
uobis sunt, quotquot cubicula sunt in terra: strata
uerò existimatis non quot lanæ oriuntur ex pecudi-
bus, sed quamcunque materiam & montes & cam-
pi germinant. Primùm igitur, dum unà cum his Go-
bryas cœnaret, uideretq; appositorum esculentorum
uilitatem, putabat seipsos multò esse liberaliores
quàm Persas: sed ubi animo uolutauit ciborum mo-
derationem (in nullo etiam neque esculento, neque
potulento uir Perses, ex his qui bene instituti sunt, ne-
que oculis commotus appareat, neque rapina, neque
mente, ut consideret, tanquam si in cibo non esset:
sed quemadmodum equestres, quoniam in equis non
turbantur, possunt simul dum equitant & uidere, &
audire, & dicere, quod sit opus: sic item illi inter cœ-
nandum existimant oportere & prudentes appare-
re, & moderatos: at moueri esculentis et potulentis,
uidetur his esse porcinum admodum & immane) co-
gitauit etiam ut hi inuicem talia quædam interroga-
bant, qualia interrogati suauius esset, quàm non in-
terrogari: & ut cauillabantur, qualia cauillari sua-
uius erat, quàm non cauillari. Et quæ iocabantur, ut
admodum à contumelia aberant, & à re turpi fa-
ctu, & à mutua molestia. Maximũ uerò ei uisum est,
quòd his qui essent in exercitu, nihilo plura existima-
rent oportere apponi, quàm illis qui in diem pericu-
lum intrarent: sed hoc arbitrarentur suauissimum es-
se conuiuium, si ita pararent socios, ut futuri essent
quamoptimi. Vbi autem Gobryas surrexit domũ abi-
turus, fertur dixisse: Non amplius miror Cyre, si po-
cula, & amictus, & aurum nos possidemus quã uos
maiori copia, at nos sumus minoris faciendi quàm
uos. Nos enim operam damus, ut sint nobis quam-
plurima: at uobis ea diligentia est, ut mihi uidetur, ut
futuri sitis quamoptimi. Et ille quidem hæc loquutus
est. At Cyrus: Age, inquit, Gobrya, quò mane adsis,
tecum equitatum habens armatum, quo etiam tuum
exercitum uideamus: simulq; nos age per agrum tu-
um, quò intueamur quæ & nobis amica, & quæ ho-
stilia sunt existimanda. Tum igitur hæc loquuti, utri-
que abierunt ad res conuenientes. Sed ubi dies adue-
nit, affuit Gobryas habens equitatum suum, ac duce-
bat. Cyrus autem, ut par est uiro principi, non solum
mentem adhibebat itineri faciundo, sed procedens si-
mul considerabat, si fieri posset ut redderet hostes
imbecilliores, aut etiam seipsos ualidiores. Itaque uo-
cato Hyrcanio atque Gobrya, hos enim existima-
bat nosse maxime quæ ipse discenda sibi arbitraba-
tur: Ego, inquit, uiri amici, existimo si uobiscum,
qui fidelissimi estis, consulto de hoc bello, nequa-
quam errare. Video enim uobis magis quàm mihi
esse considerandum, ut Assyrius uobis non domine-
tur. Nam mihi si ab his rebus errauero, est fortassis
aliud perfugiũ. At à uobis, si hic uicerit, uideo nostra
omnia fieri aliena. Etenim hic mihi hostis est, qui me
odio

πνον παρέλαβε· καὶ ἐπὶ στιβάδος κατακλιθεὶς, ἤρετο
αὐτὸν ὧδε· εἰπέ μοι, ἔφη, ὦ γωβρύα, πότερον οἴει, εἰ καὶ
σοὶ πλείω ἢ ἡμῶν ἑκάστῳ στρώματα; ὑμῖν νὴ τὸν δί᾽ εὖ οἶ-
δ᾽ ὅτι στρώματα πλείω ἐστὶ καὶ κλῖναι. καὶ οἰκία γε πολ-
λῷ μείζων ἡ ὑμετέρα τῆς ἐμῆς, οἵ γε οἰκίᾳ μὲν χρῆσθε
γῇ τε καὶ οὐρανῷ. κλῖναι δ᾽ ὑμῖν εἰσιν ὁπόσαι γένοιντ᾽
ἂν εὐναὶ ἐπὶ γῆς. στρώματα δὲ νομίζετε, οὐχ ὅποσα πρό-
βατα φύει ἔρια, ἀλλ᾽ ὁπόσα φρύγανα ὄρη τε καὶ πε-
δία ἀνίησι. τότε μὲν δὴ πρῶτον ὁ γωβρύας συνδει-
πνῶν αὐτοῖς ὁρῶν τὴν φαυλότητα τῶν παρατιθεμέ-
νων βρωμάτων, πολὺ σφᾶς ἐνόμιζεν εἶναι ἐλευθεριω-
τέρους αὐτῶν. ἐπεὶ δὲ κατενόησε τὴν μετριότητα τῶν
σίτων, ἐπ᾽ οὐδενὶ γὰρ βρώματι οὐδὲ πόματι πέρσης
ἀνὴρ τῶν πεπαιδευμένων, οὔτε ὄμμασιν ἂν ἐκπε-
πληγμένος καταφανὴς γένοιτο, οὔτε ἁρπαγῇ, οὔτε
νόῳ, μὴ οὐχὶ προνοεῖν, ἅπερ ἂν καὶ μὴ ἐν σίτῳ ὤν. ἀλλ᾽
ὥσπερ οἱ ἱππικοὶ διὰ τὸ μὴ ταράττεσθαι ἐπὶ τῶν ἵπ-
πων, δύνανται ἅμα ἱππεύοντες καὶ ὁρᾶν καὶ ἀκούειν
καὶ λέγειν τὸ δέον, οὕτω καὶ ἐκεῖνοι ἐν τῷ σίτῳ οἴον-
ται δεῖν φρόνιμοι καὶ μέτριοι φαίνεσθαι. τὸ δὲ κεκινῆ-
σθαι ὑπὸ τῶν βρωμάτων καὶ τῆς πόσεως, πάνυ αὐτοῖς
χοιρικὸν καὶ θηριῶδες δοκεῖ εἶναι. ἐνενόησε δὲ αὐτῶν
καὶ ὡς ἐπηρώτων ἀλλήλους τοιαῦτα, οἷα ἐρωτηθῆναι
ἥδιον ἦν ἢ μὴ, καὶ ὡς ἔσκωπτον, οἷα σκωφθῆναι ἥδιον
ἦν ἢ μὴ, καὶ ὡς ἔπαιζον, ὡς πολὺ μὲν ὕβρεως ἀπῆν· πο-
λὺ δὲ τοῦ αἰσχρόν τι ποιεῖν, πολὺ δὲ τοῦ χαλεπαίνεσθαι
πρὸς ἀλλήλους. μέγιστον δ᾽ αὐτῷ ἔδοξεν εἶναι, τὸ ἐν
στρατείᾳ ὄντας τῶν εἰς τὸν αὐτὸν κίνδυνον ἐμβαινόν-
των, μηδενὸς οἴεσθαι δεῖν πλείω παρασκευάζεσθαι.
ἀλλὰ τοῦτο νομίζειν ἡδίστην εὐωχίαν εἶναι, τοὺς συμμά-
χεσθαι μέλλοντας, ὅτι βελτίστους παρασκευάζειν. ἡνί-
κα δὲ ὁ γωβρύας εἰς οἶκον ἀπιὼν ἀνίστατο, εἰπεῖν λέγε-
ται· οὐκέτι θαυμάζω, ὦ κῦρε, εἰ ἐκπώματα μὲν καὶ ἱ-
μάτια καὶ χρυσίον ἡμεῖς ὑμῶν πλείονα κεκτήμεθα, αὐ-
τοὶ δὲ ἐλάττονος ὑμῶν ἄξιοί ἐσμεν. ἡμεῖς γὰρ ἐπι-
μελούμεθα, ὅπως ἡμῖν ταῦτα ὡς πλεῖστα ἔσται. ὑμεῖς
δέ μοι δοκεῖτε ἐπιμελεῖσθαι, ὅπως αὐτοὶ ὡς βέλτιστοι
ἔσεσθε. ὁ μὲν ταῦτα εἶπεν. ὁ δὲ κῦρος ἔφη· ὦ γω-
βρύα, ὅπως πρωῒ παρέσῃ, ἔχων τοὺς ἱππέας ἐξωπλισ-
μένους, ἵνα καὶ τὴν δύναμίν σου ἴδωμεν, καὶ ἅμα διὰ τῆς
σῆς χώρας ἄξῃς ἡμᾶς, ὡς ἂν εἰδῶμεν ἅτε δεῖ φίλια ἢ πο-
λέμια ἡμᾶς νομίζειν. τότε μὲν δὴ ταῦτα εἰπόντες, ἀπῆλ-
θον ἑκάτεροι ἐπὶ τὰ προσήκοντα. ἐπεὶ δὲ ἡμέρα ἐγένετο,
παρῆν ὁ γωβρύας ἔχων τοὺς ἱππέας καὶ ἡγεῖτο. ὁ δὲ κῦρος
ὥσπερ προσήκει ἀνδρὶ ἄρχοντι, οὐ μόνον τῷ πορεύεσθαι
τὴν ὁδὸν προσεῖχε τὸν νοῦν, ἀλλὰ προσιὼν ἐσκοπεῖτο εἰ τι
δυνατὸν εἴη, τοὺς μὲν πολεμίους ἀσθενεστέρους ποιεῖν, αὐ-
τοὺς δὲ ἰσχυροτέρους. καλέσας οὖν τὸν ὑρκάνιον καὶ τὸν γω-
βρύαν. τούτους γὰρ ἐνόμιζε μάλιστα εἰδέναι ὧν αὐτὸς ᾤετο
δεῖσθαι μαθεῖν. ἐγώ τοι, ἔφη, ἄνδρες φίλοι, οἶμαι σὺν ὑ-
μῖν ὡς πιστοῖς βουλευόμενος περὶ τοῦ πολέμου τοῦδε, οὐκ ἂν
ἐξαμαρτάνειν. ὁρῶ γὰρ ὑμῖν ἔτι μᾶλλον, ἢ ἐμοὶ σκεπτέον
ὂν, ὅπως ὁ ἀσσύριος ἡμῶν μὴ ἐπικρατήσει. ἐμοὶ μὲν γὰρ,
ἔφη, τῶνδε ἀποσφαλέντι, ἔστιν ἴσως καὶ ἄλλη ἀποστροφή. ὑμῖν
δὲ εἰ οὗτος ἐπικρατήσει, ὁρῶ ἅπαντα τὰ ὄντα, ἀλλότρια
γιγνόμενα. καὶ γὰρ ἐμοὶ μὲν πολέμιός ἐστιν, οὐκ ἐμὲ
μισῶν,

μισῶν, ἀλλ' οἰόμενος ἀσύμφορον εἶναι αὐτῷ, ὑμᾶς μεγάλους εἶναι. καὶ ἐστράτευσε διὰ τοῦτο ἐφ' ἡμᾶς. ὑμᾶς δὲ καὶ μισεῖ, καὶ ἀδικεῖσθαι νομίζει ὑφ' ὑμῶν. πρὸς ταῦτα ἀπεκρίναντο ἀμφότεροι καὶ τὰ αὐτὰ περαίνειν ὅτι μέλλει, ὡς ταῦτα εἰδόσι σφίσι, καὶ μέλον αὐτοῖς ἰσχυρῶς, ὅπη τὰ νῦν παρόντα ἐκβήσεται. ἐντεῦθεν δὴ ἦρχεν ὧδε. λέξατέ μοι, ἔφη, ὑμᾶς μόνους νομίζει πολεμίζειν ὁ ἀσσύριος πρὸς ἑαυτόν, ἢ ἐπίστασθε καὶ ἄλλον αὐτῷ πολέμιον; ναὶ μὰ Δί', ἔφη ὁ ὑρκάνιος, πολεμιώτατοι μέν εἰσιν αὐτῷ καδούσιοι, ἔθνος μάλα πολὺ καὶ ἄλκιμον. σάκαι γε μὴν ὅμοροι ἡμῖν. οἳ πολλὰ κακὰ πεπόνθασιν ὑπὸ τοῦ ἀσσυρίου. ἐπειρᾶτο γὰρ καὶ ἐκείνους, ὥσπερ καὶ ἡμᾶς, καταστρέψασθαι. οὐκοῦν οἴεσθε, ἔφη, νῦν αὐτοὺς ἀμφοτέρους ἡδέως ἂν ἐπεμβῆναι σὺν ἡμῖν τῷ ἀσσυρίῳ; ἔφασαν καὶ σφόδρα γε, εἴ πῃ δύναιντο συμμῖξαι. τί δ' ἐν μέσῳ, ἔφη, ἐστὶ τοῦ συμμῖξαι; ἀσσύριοι, ἔφασαν, τὸ αὐτὸ ἔθνος, δι' οὗπερ νῦν πορεύῃ. ἐπεὶ δὲ ταῦτα ἤκουσεν ὁ κῦρος. τί γάρ, ἔφη, ὦ γωβρύα, οὐ σὺ τοῦ νεανίσκου τούτου, ὃς νῦν εἰς τὴν βασιλείαν καθέστηκεν, ὑπερηφανίαν πολλήν τινα τοῦ τρόπου κατηγορεῖς; τοιαῦτα γὰρ οἶμαι, ἔφη ὁ γωβρύας, ἔπαθον ὑπ' αὐτοῦ. πότερα δή, ἔφη ὁ κῦρος, εἰς σὲ μόνον ἐγένετο τοιοῦτος, ἢ καὶ εἰς ἄλλον τινά; νὴ Δί', ἔφη ὁ γωβρύας, καὶ εἰς ἄλλους πολλούς. ἀλλὰ τοὺς μὲν ἀσθενοῦντας οἷα ὑβρίζει, τί δεῖ λέγειν; υἱὸς δὲ ἀνδρὸς πολὺ δυνατωτέρου ἢ ἐγὼ ὄντα, καὶ ἐκείνου ἑταῖρον, ὥσπερ τὸν ἐμόν, συμπίνοντα παρ' ἑαυτῷ συλλαβὼν, ἐξέτεμεν. ὡς μέν τινες ἔφασαν, ὅτι ἡ παλλακὴ αὐτοῦ ἐπῄνεσεν αὐτόν, ὡς καλὸς εἴη, καὶ ἐμακάρισε τὴν μέλλουσαν αὐτῷ γυναῖκα ἔσεσθαι. ὡς δὲ αὐτὸς νῦν λέγει, ὅτι ἐπείρασεν αὐτοῦ τὴν παλλακίδα. καὶ νῦν οὗτος εὐνοῦχος μέν ἐστι. τὴν δὲ ἀρχὴν ἔχει, ἐπεὶ ὁ πατὴρ αὐτοῦ ἐτελεύτησεν. οὐκοῦν, ἔφη, οἴει ἂν καὶ τοῦτον ἡμᾶς ἰδεῖν ἡδέως, εἰ οἴοιτο αὐτῷ βοηθοὺς ἂν γενέσθαι; εὖ μὲν οὖν οἶδα, ἔφη ὁ γωβρύας, ἀλλ' ἰδεῖν τοι αὐτόν, χαλεπόν ἐστιν, ὦ κῦρε. πῶς, ἔφη ὁ κῦρος; ὅτι εἰ μέλλοι τις ἐκείνῳ συμμίξειν, παρ' αὐτὴν τὴν βαβυλῶνα δεῖ παριέναι. τί οὖν, ἔφη, τοῦτο χαλεπόν; ὅτι νὴ Δί', ἔφη ὁ γωβρύας, οἶδα ἐξελθοῦσαν δύναμιν αὐτόθεν πολλαπλασίαν, ἧς σὺ νῦν ἔχεις. εὖ δ' ἴσθι, ὅτι διὰ ταῦτα ἧττόν σοι νῦν ἢ τὸ πρῶτον οἱ ἀσσύριοι καὶ τὰ ὅπλα ἀποφέρουσι, καὶ τοὺς ἵππους ἀπάγουσιν, ὅτι τοῖς ἰδοῦσιν αὐτὴν ὀλίγη ἔδοξεν ἡ δύναμις. καὶ οὗτος ὁ λόγος πολὺς ἤδη διέσπαρται. δοκεῖ δέ μοι, ἔφη, βέλτιον εἶναι, φυλαττομένους πορεύεσθαι. καὶ ὁ κῦρος ἀκούσας τοῦ γωβρύου τοιαῦτα, τοιάδε πρὸς αὐτὸν ἔλεξε· καλῶς μοι δοκεῖς, ὦ γωβρύα, λέγειν, κελεύων ὡς ἀσφαλέστατα τὰς πορείας ποιεῖσθαι. ἔγωγ' οὖν σκοπῶν, οὐ δύναμαι ἐννοῆσαι ἀσφαλεστέραν οὐδεμίαν πορείαν ἡμῖν τῆς πρὸς αὐτὴν βαβυλῶνα πορείας ἰέναι, εἰ ἐκεῖ τῶν πολεμίων ἐστὶ τὸ κράτιστον. πολλοὶ μὲν γάρ εἰσιν ὡς σὺ φής. εἰ δὲ καὶ θαρρήσουσι, καὶ δεινοὶ ἡμῖν ὡς ἐγώ φημι ἔσονται. μὴ ὁρῶντες μὲν οὖν ἡμᾶς, ἀλλ' οἰόμενοι ἀφανεῖς εἶναι διὰ τὸ φοβεῖσθαι ἐκείνους, σάφ' ἴσθι, ἔφη, ὅτι τοῦ μὲν φόβου ἀπαλλάξονται, ὃς αὐτοῖς ἐγένετο· θάρσος δὲ ἐμφύσεται ἀντὶ τούτου τοσούτῳ μεῖζον, ὅσῳ ἂν πλείονα χρόνον ἡμᾶς μὴ ὁρῶσιν. ἢν δὲ καὶ ἤδη ἴωμεν ἐπ' αὐτούς, πολλοὺς μὲν αὐτῶν εὑρήσομεν ἔτι κλαίοντας τοὺς ἀποθανόντας ὑφ' ἡμῶν.

πολλοὺς

odio non habet, sed putet detrimentosum esse sibi, nos esse magnos: & ob hanc rem exercitum agit aduersus nos. Vos autem idcirco est tam exosus, quòd existimet à uobis pati iniuriam. Ad hæc ambo responderunt, propterea ut perficeret quod ei curæ esset: quoniam præsentia hæc intelligerent ad se uehementer pertinere, ubi euenirent. Hic igitur ita incepit: Dicite igitur mihi, utrum uos solos Assyrius putat habere hostes aduersus sese, an scitis alium item quenquam, qui ei sit hostis? Ita mehercle, inquit Hyrcanus. Hostes ei sunt maximi Cadusij, gens quidem & magna, & robusta. Atqui Sacæ finitimi nobis sunt, quos Assyrius multis affecit malis, qui enixus sit illos, quemadmodum etiam nos subiugare. Ergo existimatis, inquit, nunc eos utrosque libenter nobiscum Assyrium inuasuros? Qui responderunt: Et uehementer hi quidem, si quidem coniungi nobiscum possint. Quid est, Cyrus inquit, in medio, quo minus coniungantur? Assyrij, responderunt: Eadem gens per quam nunc pergis. Quæ cum Cyrus audisset: Quid enim, inquit, ô Gobrya, non tu hunc adolescentem, qui nunc in regnum constitutus est, moribus esse accusas admodum insolentem? Talia enim inquit Gobryas, ab eo sum passus. Verum ita, inquit Cyrus, in te duntaxat, an etiam in alios quosdam talem se gessit? Et in alios mediusfidius, inquit Gobryas. Verum quibus contumelijs afficit imbecillos, quid dicere oportet? Vnius autem uiri qui multò erat quàm ego potentior filium, qui illi etiam sodalis esset quemadmodum filius meus, compotantem apud se comprehendit atque excidit: & id quidem quoniam, ut aliqui dixere, pellex eius eum laudauit pulchritudinis, eamque beatam fore dixit, quæ uxor illi futura esset: sed ut ipse rex nunc dicit, quoniam tentasset ille suam pellicem. atque hic nunc spado est, habetque imperium, quoniam eius pater diem obijt. Putas igitur fore, inquit Cyrus, ut hic item libenter nos uideat, si putet sibi futuros auxilio? Bene equidem scio, inquit Gobryas, sed eum uidere difficile est Cyre. Qui, inquit Cyrus? Quoniam si quis uelit illi coniungi, necesse est ut præter ipsam Babylona transeat. Quid igitur, inquit Cyrus, hoc est difficile? Quoniam, inquit Gobryas, futurum scio ut multò maiores uires ex ea exeant, quàm hæ quas nunc tu habes. Nec enim debes esse nescius, quod ob hoc ipsum quod minus nunc tibi quàm antea Assyrij arma deferunt, equosque adducunt, quoniam uires tuæ his intuentibus uisæ sunt paruæ, & rumor hic iam disseminatus est permultus. Itaque mihi uidetur esse melius, ut asseueranter proficiscaris. Et ubi Cyrus huiusmodi uerba dixisse Gobryan audiuit, ita ad eum loquutus est: Perpulchrè mihi dicere Gobrya uideris, qui iubeas iter fieri quamsecurißime. Quare cogitanti mihi, nullum uidetur iter securius, quàm quod ad ipsam ducit Babylona, si ibi sunt maximæ hostium uires. Sunt enim illi multi, ut ais: qui si confidunt, erunt etiam in nos acerrimi. Itaque si nos non uideant, sed existiment nos euanuisse, quoniam illos metuamus, liberabuntur eo metu in quo sunt: capientque pro metu eò maiorem fiduciam, quò plus temporis nos non uideant. Quòd si nũc eamus aduersus eos, reperiemus eorũ permultos qui adhuc illos fleant, quos ipsi interemerimus.

b Multos

Multos item qui habeant obligata uulnera, quibus à nostris militibus sunt affecti. Omnes præterea qui adhuc meminere, tum huius exercitus audentiam, tum sui ipsorum & fugam, & cladem. Nec te latère hoc debet Gobrya, HOMINES PLURES quando confidant, esse animi constanti erectione: cum uero timeant, quo plures fuerunt, eò maiore formidabilioreq; metu detineri. Ex multis enim malisque rumoribus is auctus est metus, ex multis etiam malisque hominum coloribus, ex multis item atque ignauis exanimatisque personis coactus est. Itaque ob magnitudinem is non facile extinguere potest furorem uerbis, neque si ad hostes illum adigat, uim potest inijcere, neque si abigat, elationem excitare: sed quanto magis iubeat audere, tanto existimabunt in maiore se esse discrimine. Itaque illud consideremus ut certo habet. Nam si post hoc tempus uictoriæ sunt futuræ in bellicis eorum operibus, utriutri maiorem turbam numeraturi sint, rectè etiam tu de nobis metuis, & nos uerò in rebus sumus formidolosis. Sin quemadmodum antea pugnæ iudicantur, etiam nunc propter bene pugnantes, ubi audeas nihil haberes: longe enim ope deorum plures inuenies apud nos eos qui libenter pugnent, quàm apud illos. Vt etiam magis audeas, hoc tecum cogita. Hostes enim longe nunc sunt pauciores, quàm cum antea uicti á nobis sunt: longe item minore numero, quàm quando nos effugere. Nos uero et maiores nunc sumus quàm antea, quoniam uicimus: & ualidiores, quoniam rebus usi sumus secundis: ac item plures, quoniam uos additi nobis estis. Noli enim amplius contemnere, quoniam una nobiscū sunt. Nam cum uincentibus, Gobrya, etiam qui sequuntur audebunt. Neq; te hoc lateat, licere hostibus per hoc temporis quoq; nos uidere. Formidabiliores autem nullo modo eis appareamus, si adhuc expectemus, quam si eamus aduersus illos. Itaq; hæc mihi quoniam cognita sunt, recta nos age ad Babylona. Ita igitur pergentes ad quartum diem peruenere ad Babylonis confinia. Vt autem fuit in terra hostili, assumpsit constituitq; secum in ordine cum pedites, tum ex equitibus quotquot ei uisi sunt bene habere. Alios uero equites permisit decurrere, iussitq; ut eos qui arma haberent, interficerent: alij uero ut pecudes, & quæcunq; alia cepissent, ad sese agerent. Iussit etiam Persis ut ipsi quoq; excurrerent. Veneruntq; eorum multi qui ab equis deuoluti cecidissent: multi item qui prædam plurimam agerent. Quæ ubi affuit, cōuocatis Medorum Hyrcaniorumq; principibus atq; homotimis Persarum, hæc locutus est:

CYRI ORATIO.

Viri amici, Gobryas multis bonis hospitaliter nos omnis donauit. Si igitur ubi dijs immortalibus quæ iusta sunt delegerimus, et exercitui quæ sunt satis, dederimus, aliam prædam huic demus, certe rem honestam faciamus, quoniam statim declaremus nos eniti, ut benemerentis quoq; uincamus beneficijs. Quod ubi auditum est, & laudauerunt omnes, & prædicarunt. Vnus præterea ita locutus est. Recte admodum, inquit, Cyre hoc à nobis factum fuerit: Gobryas enim uidetur mihi mendicos nos quosdam existimare, quoniam daricis referti non uenimus, neque phialis potamus aureis.

Quòd

πολλοὺς δ' ἔτι τραύματα ἐπιδεδεμένους, ἃ ὑπὸ τῶν ἡμετέρων ἔλαβον. πάντας δὲ ἔτι μεμνημένους, τῆς τοῦδε μὲν τοῦ στρατεύματος τόλμης, τῆς δ' αὐτῶν φυγῆς τε καὶ συμφορᾶς. εὖ δ' ἴσθι, ὦ Γωβρύα, εἶναι καὶ τοῦτο ἤδη, ὡς οἱ πολλοὶ ἄνθρωποι, ὅταν μὲν θαρρήσωσιν, ἀνυπόστατον φρόνημα παρέχονται· ὅταν δὲ δείσωσιν, ὅσῳ ἂν πλείους ὦσι, τοσούτῳ μείζω καὶ ἐκπεπληγμένον μᾶλλον τὸν φόβον κέκτηνται. ἐκ πολλῶν μὲν γὰρ καὶ κακῶν λόγων ηὐξημένος αὐτοῖς πάρεστιν, ἐκ πολλῶν δὲ καὶ πονηρῶν σχημάτων, ἐκ πολλῶν δὲ καὶ δυσθύμων τε καὶ ἐξεστηκότων προσώπων ἤθροισται. ὥστε ὑπὸ τοῦ μεγέθους, οὐ ῥᾴδιον αὐτόν ἐστιν, οὔτε λόγοις ἀποσβέσαι, οὔτε προσάγοντα, πολεμίοις μένος ἐμβαλεῖν, οὔτ' ἀπάγοντα, ἀνατρέψαι τὸ φρόνημα. ἀλλ' ὅσῳ ἂν μᾶλλον αὐτοὺς θαρρεῖν παρακελεύῃ, τοσούτῳ ἐν δεινοτέροις ἡγοῦνται εἶναι. ἐκεῖνο μέντοι ἤδη σκεψώμεθα ἀκριβῶς ὅπως ἔχει. εἰ μὲν γὰρ τὸ ἀπὸ τοῦδε αἱ νῖκαι ἔσονται ἐν τοῖς πολεμικοῖς ἔργοις, ὁπότεροι ἂν πλείονα ὄχλον ἀπαριθμήσωσιν, ὀρθῶς καὶ σὺ φοβῇ περὶ ἡμῶν, καὶ ἡμεῖς τῷ ὄντι ἐν δεινοῖς ἐσμέν. εἰ μέντοι ὥσπερ πρόσθεν διὰ τοὺς εὖ μαχομένους, ἔτι καὶ νῦν αἱ μάχαι κρίνονται, θαρρῶν οὐδὲν ἂν σφαλείης. πολλοὺς μὲν γὰρ σὺν θεοῖς παρ' ἡμῖν, πλείονας εὑρήσεις τοὺς θέλοντας μάχεσθαι, ἢ παρ' ἐκείνοις. ὡς δὲ ἔτι μᾶλλον θαρρῇς, καὶ τόδε κατανόησον. οἱ μὲν γὰρ πολέμιοι, πολὺ μᾶλλον ἐλάττονές εἰσι νῦν ἢ πρὶν ἡττηθῆναι ὑφ' ἡμῶν. πολὺ δὲ μᾶλλον ἐλάττονες, ἢ ὅτε ἀπέδρασαν ἡμᾶς. ἡμεῖς δὲ καὶ μείζονες νῦν ἐπεὶ ἐνικήσαμεν, καὶ ἰσχυρότεροι, ἐπεὶ ὑμεῖς ἡμῖν προσεγένεσθε. μὴ γὰρ ἀτίμαζε μηδὲ τοὺς σοὺς, ἐπεὶ σὺν ἡμῖν εἰσι. σὺν γὰρ τοῖς νικῶσι, σάφ' ἴσθι, ὦ Γωβρύα θαρροῦντες καὶ οἱ ἀκόλουθοι ἕπονται. λανθανέτω δέ σε μηδὲ τοῦτ', ἔφη, ὅτι ἔξεστι μὲν τοῖς πολεμίοις καὶ νῦν ἰδεῖν ἡμᾶς. γοργότεροι δὲ σάφ' ἴσθι οὐδαμῶς ἂν αὐτοῖς φανείημεν, ἢ ἰόντες ἐπ' ἐκείνους. ὡς οὖν ἐμοῦ ταῦτα γινώσκοντος, ἄγε ἡμᾶς εὐθὺ τὴν ἐπὶ Βαβυλῶνα. οὕτω μὲν δὴ πορευόμενοι, τεταρταῖοι ἐπὶ τοῖς ὁρίοις τῆς Γωβρύου χώρας ἐγένοντο. ὡς δὲ ἐν τῇ πολεμίᾳ ἦν, κατέστησε λαβὼν ἐν τάξει μεθ' ἑαυτοῦ, τούς τε πεζοὺς, καὶ τῶν ἱππέων ὁπόσους ἐδόκει αὐτῷ καλῶς ἔχειν. τοὺς δ' ἄλλους ἱππέας ἀφῆκε καταθεῖν. καὶ ἐκέλευσε τοὺς μὲν ὅπλα ἔχοντας, κατακαίνειν· τοὺς δὲ ἄλλους καὶ πρόβατα ὅσα ἂν λάβωσιν, ἄγειν πρὸς αὐτόν. ἐκέλευσε δὲ καὶ τοὺς Πέρσας συγκαταθεῖν. καὶ ἧκον πολλοὶ μὲν αὐτῶν, κατακεκυλισμένοι ἀπὸ τῶν ἵππων. πολλοὶ δὲ καὶ λείαν πλείστην ἄγοντες. ὡς δὲ παρῆν ἡ λεία, συγκαλέσας τούς τε τῶν Μήδων ἄρχοντας καὶ τῶν Ὑρκανίων, καὶ τοὺς ὁμοτίμους, ἔλεξεν ὧδε.

ΔΗΜΗΓΟΡΙΑ ΚΥΡΟΥ

Ἄνδρες φίλοι, ἐξένισεν ἡμᾶς ἅπαντας πολλοῖς ἀγαθοῖς ὁ Γωβρύας. εἰ οὖν, ἔφη, τοῖς θεοῖς ἀφελόντες τὰ νομιζόμενα, καὶ τῇ ἄλλῃ στρατιᾷ τὰ ἱκανὰ, δοίημεν τὴν ἄλλην τούτῳ λείαν, ἆρ' ἄν, ἔφη, καλὸν ποιήσαιμεν τῷ εὐθὺς φανεροὶ εἶναι, ὅτι καὶ τοὺς εὖ ποιοῦντας πειρώμεθα νικᾷν εὖ ποιοῦντες. ὡς δὲ τοῦτ' ἤκουσαν πάντες, πάντες μὲν ἐπῄνουν, πάντες δ' ἐνεκωμίαζον. εἷς δὲ καὶ ἔλεξεν ὧδε· πάντως, ἔφη, ὦ Κῦρε, τοῦτο ποιήσομεν. καὶ γάρ ἔμοιγε δοκεῖ, ἔφη ὁ Γωβρύας, πτωχούς τινας νομίζειν ἡμᾶς, ὅτι οὐ δαρεικῶν μεστοὶ ἥκομεν, οὐδ' ἐκ χρυσῶν φιαλῶν πίνομεν.

εἰ δὲ

ἃ δὲ τούτων ποιήσαιμεν, γνοίη ἄν, ἔφη, ὅτι ἐλευθερίους εἶναι, καὶ ἄνευ χρυσίου δεῖ. ἴτε δή, ἔφη, τὰ τῶν θεῶν ἀποδόντες τοῖς μάγοις, καὶ ὅσα τῇ στρατιᾷ ἱκανὰ ἐξελόντες, τὰ ἄλλα καλέσαντες τὸν Γωβρύαν, δότε αὐτῷ. οὕτω δὴ λαβόντες ἐκεῖνοι ὅσα ἔδει, τὰ ἄλλα ἔδοσαν τῷ Γωβρύᾳ. ἐκ τούτου δὴ ἄγει πρὸς αὐτὴν Βαβυλῶνα παραταξάμενος, ὥσπερ ὅτε ἡ μάχη ἦν. ὡς δ' οὐκ ἀντεξῇσαν οἱ Ἀσσύριοι, ἐκέλευσεν ὁ Κῦρος τὸν Γωβρύαν προσελάσαντα εἰπεῖν ὅτι εἰ βούλεται ἐξιὼν ὁ βασιλεὺς ὑπὲρ τῆς χώρας μάχεσθαι, κἂν αὐτὸς σὺν ἐκείνῳ μάχοιτο. εἰ δὲ μή, ἀμυνεῖ τῇ χώρᾳ, ὅτι ἀνάγκη τοῖς κρατοῦσι πείθεσθαι. ὁ μὲν δὴ Γωβρύας προσελάσας ἔνθα ἀσφαλὲς ἦν ταῦτα εἶπεν. ὁ δὲ αὐτῷ ἐξέπεμψεν ἀποκρινούμενον τοιάδε· δεσπότης ὁ σὸς λέγει ὦ Γωβρύα. οὐχ ὅτι ἀπέκτεινά σου τὸν υἱὸν μεταμέλει μοι, ἀλλ' ὅτι οὐ καὶ σὲ προσαπέκτεινα. μάχεσθαι δ' εἰ βούλεσθε, ἥκετε εἰς τὴν τριακοστὴν ἡμέραν. νῦν δ' ἡμῖν οὔπω σχολή, ἔτι γὰρ παρασκευαζόμεθα. ὁ δὲ Γωβρύας εἶπεν· ἀλλὰ μήποτέ σοι λήξειεν αὕτη ἡ μεταμέλεια. δῆλον γάρ, ὅτι ἀνιῶ σε ἐγώ, ἐξ οὗ αὕτη σε ἡ μεταμέλεια ἔχει. ὁ μὲν δὴ Γωβρύας ἀπήγγελλε τὰ τοῦ Ἀσσυρίου. ὁ δὲ Κῦρος ἀκούσας ταῦτα, ἀπήγαγε τὸ στράτευμα. καὶ καλέσας τὸν Γωβρύαν, εἰπέ μοι, ἔφη, οὐκ ἔλεγες μέντοι σύ, ὅτι τὸν ἐκτμηθέντα ὑπὸ τοῦ Ἀσσυρίου, οἴει ἂν σὺν ἡμῖν γενέσθαι; εὖ μέντοι, ἔφη, δοκῶ εἰδέναι. πολλὰ γὰρ ἤδη ἔγωγε κἀκεῖνος ἐπαρρησιασάμεθα πρὸς ἀλλήλους. ὁπότ' οὖν καλῶς σοι δοκεῖ ἔχειν, πρόσιθι πρὸς αὐτόν. καὶ πρῶτον μὲν οὕτω ποίει, ὅπως ἂν αὐτοί, ὅτι ἂν λέγῃ εἰδῆτε. ἐπειδὰν δὲ συγγένῃ αὐτῷ, ἐὰν μὲν γνῷς αὐτὸν φίλον ἡμῖν βουλόμενον εἶναι, τοῦτ' ἤδη μηχανᾶσθαι, ὅπως λάθῃ φίλος ὢν ἡμῖν. οὔτε γὰρ ἂν φίλους τις ποιήσειεν ἄλλως πως, πλείω ἀγαθὰ ἐν πολέμῳ, ἢ πολέμιος δοκῶν εἶναι. οὔτ' ἂν ἐχθρούς τις πλείω βλάψειεν ἄλλως πως, ἢ φίλος δοκῶν εἶναι. καὶ μήν, ἔφη ὁ Γωβρύας, οἶδ' ὅτι κἂν πρίαιτο Γαδάτας, τὸ μέγα τι ποιῆσαι κακὸν τὸν νῦν βασιλέα Ἀσσυρίων. ἀλλ' ὅτι ἂν δύναιτο, τοῦτο καὶ ἡμᾶς δεῖ σκοπεῖν. λέγε δή μοι, ἔφη ὁ Κῦρος, εἰς τὸ φρούριον τὸ πρὸ τῆς χώρας, ὅ φατε Ὑρκανίοις τε καὶ Σάκαις ἐντετειχίσθαι τῇδε τῇ χώρᾳ, πρόβολον εἶναι τοῦ πολέμου, ἆρ' οἴει, ἔφη, ὑπὸ τοῦ φρουράρχου παρεθῆναι τὸν εὐνοῦχον ἐλθόντα σὺν δυνάμει; σαφῶς γε, ἔφη ὁ Γωβρύας, εἴπερ ἀνύποπτος ὢν ὥσπερ νῦν ἐστιν, ἀφίκοιτο πρὸς αὐτόν. οὐκοῦν, ἔφη, ἀνύποπτος ἂν εἴη, εἰ προσβάλλοιμι ἐγὼ πρὸς τὰ χωρία αὐτοῦ, ὡς λαβεῖν βουλόμενος, ἀντιμάχοιτο δ' ἐκεῖνος ἀνὰ κράτος. καὶ λάβοιμι μὲν αὐτοῦ τι ἐγώ, ἀντιλάβοι δὲ κἀκεῖνος ἡμῶν τε καὶ ἄλλους τινάς, ἢ καὶ ἀγγέλους πεμπομένους ὑπ' ἐμοῦ πρὸς οὕστινας σὺ φατε πολεμίους τῷ Ἀσσυρίῳ εἶναι. καὶ οἱ μὲν ληφθέντες λέγοιεν, ὅτι ἐπὶ στράτευμα ἀπέρχονται, καὶ κλίμακας ὡς ἐπὶ τὸ φρούριον ἄξοντες. ὁ δὲ εὐνοῦχος ἀκούσας, προσποιήσαιτο προαγγεῖλαι βουλόμενος ταῦτα παρεῖναι. καὶ ὁ Γωβρύας εἶπεν· οὕτω μὲν γιγνομένων σαφῶς οἶδα, ὅτι παρείη ἂν αὐτόν, καὶ δέοιτό γ' ἂν αὐτοῦ μένειν ἕως σὺ ἀπέλθοις. οὐκοῦν ἄν, ἔφη ὁ Κῦρος, εἴ γε ἅπαξ εἰσέλθοι, δύναιτ' ἂν ἡμῖν ὑποχείριον ποιῆσαι τὸ χωρίον; εἰκὸς γοῦν, ἔφη ὁ Γωβρύας, τὰ μὲν ἔνδον ἐκείνου συμπαρασκευάζοντος, τὰ δ' ἔξωθεν σοῦ ἰσχυρότερα προσάγοντος.

ἴθι

Quod si hoc fecerimus, cognoscet liberalis nos esse etiam sine auro. Age igitur, inquit Cyrus, quae deorum sunt, detis Magis, & quaecunque exercitui satis delegeritis: alia Gobrya uocato ei date. Sic igitur cum illi cepissent quaecunque opus fuerat, dederunt alia Gobryae. Exhinc ad Babylona profectus est acie ordinata, quemadmodum cum est pugnandum. Vt autem contra Assyrij egressi non sunt, Gobryae iussit Cyrus, ut adequitans diceret, si uellet rex egredi pro regione pugnaturus, saltem ut ipse cum illo pugnaret. Sin id minus, ut agrum defenderet, quoniam necesse est parere uincentibus. Gobryas igitur eò immisit, ubi haec dicere tutò posset. Rex autem misit, qui talia ei responderet: Herus tuus dicit, ô Gobrya: Non solum me poenitet quòd filium tuum occiderim, sed quòd nō item te interemerim. Pugnare autem si uelitis, uenite ad trigesimum diem. Nunc enim nondum ocium nobis est, quippe qui adhuc paramur. Ad quem inquit Gobryas: Verum haec poenitentia tibi nunquam desinat. Perspicuum est enim te à me affici adhuc molestia, ex quo haec poenitentia detineris. Et Gobryas quidem renunciauit Cyro, quae Assyrius respondisset. Quibus auditis, Cyrus amouit exercitum, Gobryáque uocato: Dic, inquit, mihi, nonne dixisti tu, putare te futurum, ut excisus ab Assyrio unà nobiscum esset? Bene, inquit, mihi uideor nosse. Multa enim ego atque ille inuicem fidenter loquuti sumus. Quando igitur, inquit Cyrus, tibi uidetur bene habere, procede ad eum, ac primùm quidem ita facito utcunque ille dixerit. Vbi autem unà cum eo fueris, si noueris eum uelle amicum esse, hoc moliendum est, ut elàm nobis amicus sit. NEC ENIM AMICOS quisquam aliter quodammodo pluribus in bello bonis affecerit, quàm si hostis esse uideatur. Neque inimicis magis alio quodam modo nocuerit, quàm si putetur amicus esse. Atqui, inquit Gobryas, non sum nescius quanti emeret Gadatas, ut magno aliquo malo regem hunc Assyriorum afficeret. Sed quicquid possit, hoc nobis considerandum est. Narra igitur mihi, inquit Cyrus, in castellum quod est ante regionem, quódque uos dicitis Hyrcanijs Sacisque fabricatum propugnaculum esse belli huic regioni, num putas à castelli praefecto permitti ut spado ueniat cum exercitu? Indubitatò, inquit Gobryas, si quidem minimè suspectus sicuti nunc est, ad eum ueniat. Ergo, inquit Cyrus, minime sit suspectus, si quidem ego adortus fuero eius castella, perinde atque uelim capere, ille autem repugnet pro uiribus: atque ego aliquid eius capiam, & ille contrà è nostris captiuos faciat, aut alios quospiam, aut etiam nuncios quos ad hosce mittam, qui nobis dicuntur hostes esse Assyrio, dicántque captiui abire se ad exercitum tanquam allaturi ad castellum scalas: spado uerò his auditis simulet idcirco adesse, quoniam uelit haec nunciare. Atque, inquit Gobryas, quòd si ita res gerantur, certò futurum scio, ut & adsit ille, atque eum roget ibi manere, donec transieris. Ergo, inquit Cyrus, si quidem ingrediatur, efficere queat ut castellum capiamus. Consentaneum est, inquit Gobryas, ubi ille interius rem paret, tu autem extrinsecus ualidius adoriaris.

Age igitur, inquit Cyrus, ito, atque enitere ubi haec docueris ac peregeris, huc adesse. Fidem autem ei haud maiorem neque dicas, neque demo, tres, quam eam quam tu a nobis accepisti. Exhinc abijt Gobryas: quem spado libenter uidens, & consentiebat omnia, & paciscebatur quae oportebat. Vbi autem nunciauit Gobryas, uideri spadonem quae Cyrus iusserat, omnia ualide habere, exhinc postridie Cyrus adortus est, Gadatas autem repugnabat. Nuncios uero quos Cyrus miserat admonitos quô pergerent, alios Gadatas diffugere permisit, quo agerent copias, scalasque portarent. Quos uero captiuos fecit, coram multis examinans, ubi audiuit quorum gratia se proficisci dixere, continuo instructus tanquam rem nunciaturus noctu pergebat. Postremo autem fide dictis eius adhibita, ut auxilium ferens castellum ingreditur, & tum quidem una cum praefecto castelli parabatur ut poterat. Vbi autem uenit Cyrus, capit castellum, adiutoribus usus his etiam captiuis quos Cyrus miserat. Quod ubi factum est, continuo Gadatas spado intus rebus constitutis ad Cyrum egressus est. quem ubi pro more adorasset, ait: Salue Cyre. Caeterum facio haec, inquit, quoniam tu pro diuina ope non iubes solum, uerumetiam cogis me saluum esse. Non enim debes nescius esse, inquit Cyrus, me magnifacere, quod hoc castellum amicum relinquam praesentibus socijs. Tibi autem Gadata ne filios faceres, ut uidetur, Assyrius abstulit: a quo minime es priuatus, ut possis tibi amicos comparare. At uolo tibi bene persuadeas, fecisse te nos amicos tuo hoc praesenti opere: qui ibi profecto, si facultas detur, operam dabimus ne deteriores auxiliatores simus, quam si uel filios uel nepotes adeptus esses. Et Cyrus quidem haec dicebat. Hic uero Hyrcanius cum nuper rem sensisset, accessit ad Cyrum, eiusque dextra apprehensa inquit: O magnum bonum es amicis tu Cyre. Vt magnam me facis gratiam dijs immortalibus debere, qui me tibi coniunxerunt. Ito nunc, inquit Cyrus, & accepto castello, cuius gratia mihi gratularis, ita illud gubernato, ut amico uestro dignissimum sit atque alijs socijs: maxime autem hoc Gadatae, qui id cepit atque nobis tradidit. Quid igitur (inquit Hyrcanius, postea quam uenerint Cadusij, ac Sacae, atque ciues mei, uocemus etiam hunc ut omnes simul consultemus quorumcunque interest, ut quamutilissime utamur castello. Quae agenda ita consensit Cyrus. Vbi uero conuenerunt hi quorum de castello intererat, consultauerunt ab his omnibus una custodiendum esse castellum, quibus conduceret illud amicum esse, quo foret illis belli propugnaculum, aduersus Assyrios autem munimentum. Quibus gestis, multo iam alacriores ac plures & Cadusij, & Sacae, & Hyrcanij ibant in exercitum. Coactusque hinc est exercitus, ex Cadusijs quidem scutati ad uiginti millia, & equites ad quatuor millia: ex Sacis uero sagittarij ad decem millia, & equites item sagittarij ad duo millia. Et Hyrcanij miserunt rursus & pedites, quotquot poterant, & equites expleuerunt ad duo millia. Antea enim relicti fuerant domi plures equites, quoniam & Cadusij, & Sacae, hostes erant Assyrijs. Quanto autem tempore sedit Cyrus circa castelli machinationem fabricandam, Assyrij multi

circa

ἴθι νῦν, ἔφη, καὶ πειρῶ ταῦτα διδάξας καὶ διαπραξάμενος ἥκειν. πιστὰ δὲ αὐτῷ οὐκ ἂν μείζω οὔτε εἴποις ἄν, οὔτε δείξαις, ὧν αὐτὸς σὺ τυγχάνεις παρ' ἡμῶν εἰληφώς. ἐκ τούτου ᾤχετο μὲν ὁ γωβρύας. ἄσμενος δὲ ἰδὼν αὐτὸν ὁ εὐνοῦχος, συνωμολόγει τε πάντα, καὶ συνετίθετο ἃ ἔδει. ἐπεὶ δὲ ἀπήγγειλεν ὁ γωβρύας, ὅτι πάντα δοκοίη ἰσχυρῶς τῷ εὐνούχῳ ἔχειν τὰ ἐπεσταλμένα, ἐκ τούτου τῇ ὑστεραίᾳ προσέβαλε μὲν ὁ κῦρος, ἀπεμάχετο δὲ ὁ γαδάτας. ἦν δὲ καὶ ὃ ἔλαβε χωρίον ὁ κῦρος, ὁποῖον ἔφη ὁ γαδάτας. τῶν δὲ ἀγγέλων οὓς ἔπεμψεν ὁ κῦρος προειπὼν οἷ πορεύσονται, τοὺς μὲν εἴασεν ὁ γαδάτας διαφυγεῖν, ὅπως ἀγάγοιεν τὰ στρατεύματα, καὶ τὰς κλίμακας κομίζοιεν. οὓς δ' ἔλαβε, βασανίζων ἐναντίον πολλῶν, ὡς δ' ἤκουσεν ἐφ' ἃ ἔφασαν πορεύεσθαι, εὐθέως συσκευασάμενος ὡς ἐξαγγελῶν διὰ νυκτὸς ἐπορεύετο. τέλος δὲ πιστευθεὶς ὡς βοηθὸς εἰσέρχεται εἰς τὸ φρούριον. καὶ τέως μὲν συμπαρεσκεύαζεν ὅτι ἐδύνατο τῷ φρουράρχῳ. ἐπεὶ δὲ ὁ κῦρος ἐπῆλθε, καταλαμβάνει τὸ χωρίον, συνεργοὺς ποιησάμενος καὶ τοὺς παρὰ κύρου αἰχμαλώτους. ἐπεὶ δὲ τοῦτο ἐγένετο, εὐθὺς γαδάτας ὁ εὐνοῦχος τὰ ἔνδον καταστήσας, ἐξῆλθε πρὸς τὸν κῦρον. καὶ τῷ νόμῳ προσκυνήσας, εἶπε· χαῖρε ὦ κῦρε. ἀλλὰ ποιῶ ταῦτ', ἔφη. σὺ γάρ με σὺν τοῖς θεοῖς οὐ κελεύεις μόνον, ἀλλὰ καὶ ἀναγκάζεις χαίρειν. εὖ γὰρ ἴσθι, ἔφη, ὅτι ἐγὼ μέγα ποιοῦμαι φίλον τοῦτο τὸ χωρίον τοῖς ἐνθάδε συμμάχοις καταλιπεῖν. σὲ δ', ἔφη, ὦ γαδάτα, ὁ ἀσσύριος, παῖδας μὲν ὡς ἔοικε τὸ ποιεῖν ἀφείλετο. οὐ μέντοι τό γε φίλους κτᾶσθαι σε δύνασθαι ἀπεστέρησεν. ἀλλ' εὖ ἴσθι, ὅτι ἡμᾶς τῷ ἔργῳ τούτῳ φίλους πεποίησαι, οἳ σοι ἢν δυνώμεθα, πειρασόμεθα μὴ χείρους βοηθοὶ παραστῆναι, ἢ εἰ παῖδας ἐκγόνους ἐκέκτησο. ὁ μὲν τοιαῦτα ἔλεγεν. ἐν δὲ τούτῳ ὁ ὑρκάνιος ἄρτι ᾐσθημένος τὸ γεγενημένον, προσθεὶς τῷ κύρῳ, καὶ λαβὼν τὴν δεξιὰν αὐτοῦ, εἶπεν· ὦ μέγα ἀγαθὸν σὺ τοῖς φίλοις κῦρε, ὡς πολλήν με τοῖς θεοῖς ποιεῖς χάριν ὀφείλειν, ὅτι σοί με συνήγαγον. ἴθι τοίνυν, ἔφη ὁ κῦρος, καὶ λαβὼν τὸ χωρίον, ἐφ' ᾧπερ ἕνεκά με ἀσπάζῃ, διατίθει αὐτὸ οὕτως, ὡς ἂν τῷ ὑμετέρῳ φύλῳ πλείστου ἄξιον ᾖ, καὶ τοῖς ἄλλοις συμμάχοις· μάλιστα δ', ἔφη, γαδάτᾳ τούτῳ, ὃς ἡμῖν λαβὼν παραδίδωσι. τί οὖν, ἔφη ὁ ὑρκάνιος, ἐπειδὰν καδούσιοι ἔλθωσι καὶ σάκαι, καὶ οἱ ἐμοὶ πολῖται, καλέσωμεν καὶ τοῦτον, ἵνα κοινῇ βουλευσόμεθα πάντες, ὅσοις προσήκει, πῶς ἂν συμφορώτατα χρώμεθα τῷ φρουρίῳ. ταῦτα μὲν οὕτως συνῄνεσε καὶ ὁ κῦρος. ἐπεὶ δὲ συνῆλθον οἷς ἔμελλε περὶ τοῦ φρουρίου, ἐβουλεύσαντο κοινῇ φυλάττειν, οἷσπερ ἀγαθὸν ἦν φίλιον ὄν, ὅπως ἑαυτοῖς μὲν πρόβολος εἴη πολέμου, τοῖς δ' ἀσσυρίοις ἐπιτετειχισμένον. ἐπεὶ δὲ τοῦτο ἐγένετο, πολὺ δὴ προθυμότερον καὶ πλείους καδούσιοι ἐστρατεύοντο καὶ σάκαι καὶ ὑρκάνιοι. καὶ συνελέγη ἐνταῦθα στράτευμα καδουσίων μὲν πελτασταὶ εἰς δισμυρίους, καὶ ἱππεῖς εἰς τετρακισχιλίους. σακῶν δὲ τοξόται εἰς μυρίους, καὶ ἱπποτοξόται εἰς δισχιλίους. καὶ ὑρκάνιοι δὲ πεζούς τε ὅσους ἐδύναντο προσεξέπεμψαν, καὶ ἱππέας προσεπλήρωσαν εἰς δισχιλίους. τὸ γὰρ πρόσθεν καταλελειμμένοι ἦσαν πλείους οἴκοι αὐτῶν ἱππεῖς. ὅτι οἱ καδούσιοι καὶ οἱ σάκαι τοῖς ἀσσυρίοις πολέμιοι ἦσαν. ὅσον δὲ χρόνον ἐκαθέζετο ὁ κῦρος, ἀμφὶ τὴν περὶ τὸ φρούριον οἰκονομίαν, τῶν ἀσσυρίων τῶν

πολ

περὶ ταῦτα τὰ χωρία, πολλοὶ μὲν ἀπῆγον ἵππους, πολλοὶ δὲ ἀπέφερον ὅπλα, φοβούμενοι ἤδη πάντας τοὺς περιχώρους. ἐκ δὲ τούτου προσέρχεται τῷ κύρῳ ὁ γαδάτας, καὶ λέγει ὅτι ἥκουσιν αὐτῷ ἄγγελοι. ὡς ὁ ἀσσύριος, ἐπεὶ πύθοιτο τὰ περὶ τοῦ φρουρίου, χαλεπῶς τε φέροι, καὶ παρασκευάζοιτο, ὡς ἐμβαλῶν εἰς τὴν αὐτοῦ χώραν. ἢν οὖν ἀφῇς με, ὦ κῦρε, τὰ τείχη ἂν πειρῴμην διασῶσαι. τῶν δὲ ἄλλων, μείων λόγος. καὶ ὁ κῦρος εἶπεν· ἢν οὖν ἴῃς νῦν, πότε ἔσῃ οἴκοι; καὶ ὁ γαδάτας εἶπεν· εἰς τρίτην δειπνήσω ἐν τῇ ἡμετέρᾳ. ἦ καὶ τὸν ἀσσύριον, ἔφη, οἴει ἐκεῖ καταλήψεσθαι; εὖ μὲν οὖν, ἔφη, οἶδα. σπεύσει γὰρ ἕως σὺ πρόσω δοκεῖς εἶναι. ἐγὼ δὲ, ἔφη ὁ κῦρος, ποσταῖος σὺν τῷ στρατεύματι ἐκεῖσε ἀφικοίμην. πρὸς τοῦτο δὴ ὁ γαδάτας λέγει· πολὺ ἤδη, ὦ δέσποτα, ἔχεις τὸ στράτευμα, καὶ οὐκ ἂν δύναιο, ἐν ἓξ ἢ ἑπτὰ ἡμέραις ἐλθεῖν πρὸς τὴν ἐμὴν οἴκησιν. σὺ τοίνυν, ἔφη ὁ κῦρος, ἄπιθι ὡς τάχιστα. ἐγὼ δὲ ὡς ἂν δυνατὸν ᾖ πορεύσομαι. ὁ μὲν δὴ γαδάτας ᾤχετο. ὁ δὲ κῦρος συνεκάλεσε πάντας τοὺς ἄρχοντας τῶν συμμάχων. καὶ δὴ πολλοί τε ἐδόκουν καὶ καλοὶ καὶ ἀγαθοὶ παρεῖναι, ἐν οἷς δὴ ὁ κῦρος λέγει τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΚΥΡΟΥ.

Ἄνδρες σύμμαχοι, γαδάτας διέπραξεν ἃ δοκεῖ πᾶσιν ἡμῖν πολλοῦ ἄξια εἶναι, καὶ ταῦτα πρὶν καὶ ὁτιοῦν ἀγαθὸν ὑφ' ἡμῶν παθεῖν. νῦν δὲ ὁ ἀσσύριος εἰς τὴν χώραν αὐτοῦ ἐμβάλλειν λέγεται, δηλονότι ἅμα μὲν τιμωρεῖσθαι αὐτὸν βουλόμενος, ὅτι δοκεῖ μέγα βεβλάφθαι ὑπ' αὐτοῦ. ἅμα δ' ἴσως καὶ ἐκεῖνο ἐννοεῖται, ὡς εἰ οἱ μὲν πρὸς ἡμᾶς ἀφιστάμενοι, μηδὲν ὑπ' ἐκείνου κακὸν πείσονται. οἱ δὲ σὺν ἐκείνῳ ὄντες, ὑφ' ἡμῶν ἀπολοῦνται, ὅτι ὡς τάχιστα, οὐδένα εἰκὸς σὺν αὐτῷ βούλεσθαι εἶναι. νῦν οὖν, ὦ ἄνδρες, καλόν τι ἄν μοι δοκῶ ποιῆσαι, εἰ προθύμως γαδάτῃ βοηθήσομεν, ἀνδρὶ εὐεργέτῃ καὶ ἅμα δίκαια ποιοῖμεν ἂν χάριν ἀποδιδόντες. ἀλλὰ μὴν καὶ σύμφορόν γ' ἂν ὡς ἐμοὶ δοκῶ πράττοιμεν ἡμῖν αὐτοῖς. εἰ γὰρ πᾶσι φαινοίμεθα, τοὺς μὲν κακῶς ποιοῦντας, νικᾶν πειρώμενοι κακῶς ποιοῦντες. τοὺς δ' εὐεργετοῦντας ἀγαθοῖς ὑπερβαλλόμενοι, εἰκὸς ἐκ τῶν τοιούτων φίλους μὲν ἡμῖν πολλοὺς βούλεσθαι γίγνεσθαι, ἐχθρὸν δὲ μηδένα ἐπιθυμεῖν εἶναι. εἰ δὲ ἀμελῆσαι δόξαιμεν γαδάτα, πρὸς τῶν θεῶν, ποίοις λόγοις ἄλλους πείθοιμεν ἂν χαρίζεσθαί τι ἡμῖν; πῶς δ' ἂν τολμῷμεν ἡμᾶς αὐτοὺς ἐπαινεῖν; πῶς δ' ἂν ἀντιβλέψαι τις ἡμῶν δύναιτο γαδάτᾳ, εἰ ἡττῴμεθα αὐτοῦ εὖ ποιοῦντος, τοσοίδε ὄντες ἑνὸς ἀνδρὸς, καὶ τούτου οὕτω διακειμένου; ὁ μὲν οὖν οὕτως εἶπεν. οἱ δὲ πάντες συνεπῄνουν ἰσχυρῶς ταῦτα ποιεῖν. ἄγετε τοίνυν, ἔφη, ἐπεὶ καὶ ὑμῖν συνδοκεῖ ταῦτα, ἐπὶ μὲν τοῖς ὑποζυγίοις καὶ ὀχήμασι καταλείπωμεν ἕκαστοι, τοὺς μετὰ τούτων ἐπιτηδειοτάτους πορεύεσθαι. γωβρύας δὲ ἡμῖν ἀρχέτω αὐτῶν, καὶ ἡγείσθω αὐτός. καὶ γὰρ ὁδῶν ἔμπειρος, καὶ τἆλλα ἱκανός. ἡμεῖς δὲ, ἔφη, σὺν ἵπποις τοῖς δυνατωτάτοις καὶ ἀνδράσι πορευώμεθα, τὰ ἐπιτήδεια τριῶν ἡμερῶν λαβόντες. ὅσῳ δ' ἂν κουφότερον συσκευαζώμεθα καὶ εὐτελέστερον, τόσῳ τὰς ἐπιούσας ἡμέρας ἥδιον ἂν ἀριστήσομέν τε καὶ δειπνήσομεν, καὶ καθευδήσομεν. νῦν δ', ἔφη, πορευώμεθα ὧδε· πρώτους μὲν σύ γε ἄγε χρυσάντα τοὺς θωρακοφόρους. ἄγε δὴ, ἐπεὶ ὁμαλή τε καὶ πλατεῖα ὁδός ἐστι, τοὺς ταξιάρχους ἔχων ἐν μετώπῳ πάντας. ἡ δὲ τάξις ἑκάστη

circa castella hæc habitantes agebant equos, multi arma deferebant, quippe qui finitimos omnis iam metuerent. Exhinc ad Cyrum Gadatas accedit, dicitq; uenisse ad se nuncios. Quòd Assyrius ubi accepit de castelli captiuitate, & molestè rem tulit, & paratur quo impetū faciat in suam regionē. Quare, si me, inquit, dimittas Cyre, oppida enitar seruare. Nam rerum aliarum mihi non est ratio. Ad quem inquit Cyrus: Si igitur nunc eas, quando es domi futurus? Et Gadatas respondit: Ad tertium diem cœnabo in regione nostra. Num, inquit Cyrus, futurū putas ut iam illic offendas Assyrium? Certo, inquit, scio: maturabit enim donec adhuc procul uideris abesse. Ego autem, inquit Cyrus, ad quantū temporis illuc eam unà cum exercitu? Ad hoc Gadatas ait: Multas iam here copias habes, neq; possis minus quàm aut in sex, aut in septem diebus ad meam ire habitationē. Tu igitur, inquit Cyrus, abi quamcelerrimè: ego autem quam fieri possit, iter faciam. Et Gadatas abijt. At Cyrus conuocatis omnibus sociorum principibus, qui & multi iam adesse uidebantur, & clari, & fortes uiri, hæc loquutus est:

CYRI CONCIO.

Viri socij, Gadatas peregit quæ nobis omnib. uisa sunt pluribus esse facienda: & hæc quidem prius quàm quicquā omnino boni à nobis acceperit. Nunc Assyrius in eius regionem impetum facere nūciatur, perspicuum est eum uelle et de illo capere ultionem, quoniam ab eo putet detrimentum plurimum accepisse. Simul illud quoq; fortassis cogitat fore, si nullo hi malo ab illo affecti fuerint, qui ad nos deficere, qui uero cum illo sunt, perdentur à nobis, ut nemo consentaneè uelit cum eo esse. Nūc igitur benefaciamus, mea sententia, si alacriter Gadatæ auxiliū tulerimus, uiro sanè benefico: simulq; agamus pro iustitia, si gratiam retulerimus. Præterea, ut mihi uideor intelligere, rem agamus utilem nobisipsis. Si enim omnibus uideamur uincere, eos male afficiendo qui malè perpetrarunt, beneficos uero beneficijs superare: ex his rebus uerisimile est, uelle nos quamplurimos facere amicos, ac neminem cupere inimicum. Quod si neglexisse Gadatan uideamur, quibus rationibus per deos immortales persuadeamus alijs, ut quicquam nobis gratificentur? Quomodo etiam audeamus laudare nosipsos? Quomodo item quisquā nostrûm queat Gadatan respicere, si beneficijs uincamur tot nos uiri ab uno uiro, et eo usqueadeo affecto? Cyrus ita loquutus est. At alij omnes uehementer comprobarūt hæc esse facienda. Age igitur, inquit Cyrus, quoniam hæc item uidentur uobis, relinquamus in uehiculis ac iumentis eos, qui maxime idonei sint cum his proficisci: Gobryasq; noster his præsit, atque dux fiat. Nam & itinerum est peritus, & ad alia quæque satis. Nos autem cum equis potentissimis ac uiris pergamus, acceptis rebus ad uictum necessarijs dierum trium. Quanto autem leuius paremur ac uilius, tanto suauius diebus inde proximis & prandebimus, et cœnabimus, & dormiemus. Verum nunc ita proficiscamur. Primùm quidem tu Chrysanta, thoracibus indutos agito, quoniam uia & plana est, & lata, habeasq; omnis centuriones in fronte. Quisq; aūt ordo

singilla-

singillatim eat. Nam si frequentes fuerimus, & celerrime maximeq; tutò proficiscamur. Cuius rei causa iubeo thoracibus armatos duces esse, quoniam hoc genus exercitus est grauissimũ. Quare si quod grauissimũ est ducat, necessariò omnia minus celeriter euntia facile sequuntur. Cum uerò quod celerrimũ est ducit in nocte, nihil est mirandum si agmina distrahuntur: nam quod iussum est, effugiunt. Post hos autem Artabazus agat scutatos sagittariosq; Persarum. Ardamyas inde Medus peditatum Medorũ agat. Et post hos quoq; Embas Armeniorum ducat peditatum. Artuchas uerò post hosce agat Hyrcanos. Et Thambradas post hosce, peditatum agat Sacarum. At post Damatas agat Cadusios. Agant etiã hi omnes, in fronte habentes centuriones, ad dexteram uero scutatos, & ad sinistram sagittarios, quos haberent sibi à latere. Ita enim pergentes utiliores etiam fiunt. Post hos autem qui sarcinas omnium ferunt, sequantur. Quorum principes curent ut antea quàm dormiant, parata sint omnia, & manè adsint cum uasis ad constitutum locum, & ut sequantur decorè. At post eos, qui sarcinas ferunt, Madatas Perses agat equites Persas, qui & is habeat in fronte centuriones equitum. Centurio uerò ordinem agat singillatim, quemadmodum qui peditibus præsunt. Post hos Hierosombatas Medus identidem agat equites suos. Post quos tu Tigranes agito equitatum tuum, & alij quoq; equitum duces eos agant quibus cum singuli ad nos uenere. Post hos uerò agite uos Sacæ. Vltimi autem quemadmodũ uenere Cadusij, agant agmen. Tu uerò Alceuna qui hos agis, curam non habe ut sis retro post omnes, nec quenquam patere esse tuorum equitum ultimum. Diligentiam quoq; adhibete, ut proficiscentes taceatis, & principes et omnes qui sapius. Per aures enim noctu necesse est magis, quàm per ocul· & sentire quæq; & agere. Et turbari per noctem longè maius negocium est quàm interdiu, & emendatione difficilius. Cuius rei gratia tum taciturnitas exercenda est, tum ordo custodiendus. Nocturnæ autem custodiæ cum noctu nobis surgendum est, & quambreuissimæ faciundæ sunt & quamplurimæ, quò nulla uigilia in custodia, si multa sit, detrimentũ proficiscendo patiatur. Cum uerò proficiscendi sit hora, significandum est cornu. At uos habẽtes singuli quæ necessaria sunt, in uiam adeste qua itur Babylona. Qui autẽ anterior iter facit, semper postremus iubeat ut sequantur. Exhinc ibant ad tabernacula, simulq; euntes inuicem disserebant: Quanta memoria Cyrus est, quot instruxit, quomodo nominatim præcepit. At Cyrus hæc propter diligentiam faciebat: quippe cui mirandum uideretur, si qui in sordida arte uersantur, singuli norunt artis suæ instrumentorum nomina: & medicus nomina tenet & instrumentorum & uenenorum quibus utitur: & imperator ita sit fatuus, ut nesciat nomina subditorum ducum, quibus et opus est pro instrumentis uti: & dum anticipare quicquam uelit, et dum cauere, & dum audaciã inijcere, & dum terrere, et dum honorare quandoq; quenquam cupiat, decorum ei esse uidebatur quenq; suo nomine appellare. Putabat etiã Cyrus eos qui à principe cognosci uiderẽtur, magis

ἑκάστῃ δοκεῖ ἐφ' ἑνὸς ἴτω. ἀθρόοι γὰρ ὄντες, τάχιστα καὶ ἀσφαλέστατα ἂν πορευοίμεθα. τούτου δὲ ἕνεκα, ἔφη, τοὺς θωρακοφόρους κελεύω ἡγεῖσθαι, ὅτι τοῦτο βαρύτατόν ἐστι τοῦ στρατεύματος. τοῦ δὲ βαρυτάτου ἡγουμένου ἀνάγκη ῥᾳδίως ἕπεσθαι πάντα τὰ ἐλάσσονα. ὅταν δὲ τάχιστον ἡγῆται ἐν νυκτί, οὐδέν ἐστι θαυμαστὸν καὶ διασπᾶσθαι τὰ στρατεύματα. τὰ γὰρ ἀπορραγέντα ἀποδιδράσκει. ἐπὶ δὲ τούτοις, ἔφη, Ἀρτάβαζος τοὺς Περσῶν πελταστὰς καὶ τοξότας ἀγέτω. ἐπὶ δὲ τούτοις Ἀνδραμύας ὁ Μῆδος τὸ Μήδων πεζικόν. ἐπὶ δὲ Ἴσβις * Δατάμας Καδουσίους. ἀγόντων δὲ καὶ οὗτοι πάντες, ἐν τῷ μετώπῳ μὲν τοὺς ταξιάρχους ἔχοντες, δεξιοὺς δὲ τοὺς πελταστάς, ἀριστεροὺς δὲ τοὺς τοξότας τοῦ ἑαυτῶν πλαισίου. οὕτω γὰρ πορευόμενοι, καὶ εὐχρηστότεροι γίγνονται. ἐπὶ δὲ τούτοις, ἔφη, οἱ σκευοφόροι πάντων ἑπέσθων. οἱ δὲ ἄρχοντες αὐτῶν ἐπιμελείσθωσαν πάντων, ὅπως ἂν συνεσκευασμένοι τε ὦσι πάντα πρὶν καθεύδειν, καὶ πρῲ σὺν τοῖς σκεύεσι παρῶσιν εἰς τὴν τεταγμένην χώραν. καὶ ὅπως κοσμίως ἕπωνται. ἐπὶ δὲ τοῖς σκευοφόροις, ἔφη, τοὺς Πέρσας ἱππέας Μαδάτας ὁ Πέρσης ἀγέτω, ἔχων καὶ οὗτος τοὺς ἑκατοντάρχους τῶν ἱππέων ἐν μετώπῳ. ὁ δὲ ἑκατόνταρχος τὴν τάξιν ἀγέτω εἰς ἕνα, ὥσπερ οἱ πέζαρχοι. ἐπὶ δὲ τούτοις ὁ Ῥαμβάκας ὁ Μῆδος ὡσαύτως τοὺς ἑαυτοῦ ἱππέας. ἐπὶ δὲ τούτοις σύ, ὦ Τιγράνη, τὸ σαυτοῦ ἱππικόν. καὶ οἱ ἄλλοι δ' ὕπαρχοι, μεθ' ὧν ἕκαστος ἀφίκετο πρὸς ἡμᾶς, ἐπὶ τούτοις καὶ ἄγετε. ἔσχατοι δ' ὥσπερ ἦλθον Καδούσιοι ἰόντων. Ἀλκεύνα, σὺ δὲ ἄγων αὐτούς, ἐπιμελοῦ, τὸ νῦν εἶναι πάντων τῶν ὄπισθεν, καὶ μηδένα ὕστερον τῶν σῶν ἱππέων γίγνεσθαι. ἐπιμελεῖσθε δέ, τοῦ σιωπῇ πορεύεσθαι, οἵ τε ἄρχοντες, καὶ πάντες οἱ σωφρονοῦντες. διὰ γὰρ τῶν ὤτων ἐν τῇ νυκτὶ ἀνάγκη μᾶλλον, ἢ διὰ τῶν ὀφθαλμῶν ἕκαστα, καὶ αἰσθάνεσθαι καὶ πράττεσθαι. καὶ τὸ ταραχθῆναι δ' ἐν νυκτί, πολὺ μεῖζόν ἐστι πρᾶγμα, ἢ ἐν ἡμέρᾳ, καὶ δυσκαταστατώτερον. οὗ ἕνεκα ἥ τε σιωπὴ ἀσκητέα, καὶ ἡ τάξις διαφυλακτέα. τὰς δὲ νυκτερινάς, ἔφη, φυλακάς, ὅταν μέλλητε νυκτὸς ἐξανίστασθαι, αἰεὶ χρὴ ὡς βραχυτάτας καὶ ὡς πλείστας ποιεῖσθαι, ὡς μηδένα καὶ ἡ ἐν τῇ φυλακῇ ἀγρυπνία πολλὴ οὖσα λυμαίνηται ἐν τῇ πορείᾳ. ἡνίκα δ' ἂν ὥρα ᾖ πορεύεσθαι, σημαίνειν τῷ κέρατι. ὑμεῖς δὲ ἔχοντες ἃ δεῖ ἕκαστον, πάρεστε εἰς τὴν ἐπὶ Βαβυλῶνος ὁδόν. ὁ δὲ ὁρμώμενος ἀεὶ τῷ κατ' οὐρὰν ἐγγυτάτω ἑπέσθω. ἐκ τούτου οὖν ᾤχοντο ἐπὶ τὰς σκηνάς, καὶ ἅμα ἀπιόντες, διελέγοντο πρὸς ἀλλήλους· ὡς μνημονικὸς ὁ Κῦρος, ὁπόσοις συνέταττε, πᾶσιν ὀνομάζων ἐνετέλλετο. ὁ δὲ Κῦρος ἐπιμελείᾳ τοῦτο ἐποίει. πάνυ δὲ αὐτῷ θαυμαστὸν ἐδόκει εἶναι, εἰ οἱ μὲν βάναυσοι ἴσασι τῆς αὐτῶν τέχνης ἕκαστος τῶν ἐργαλείων τὰ ὀνόματα· καὶ ἰατρὸς δὲ οἶδε καὶ τῶν ὀργάνων καὶ τῶν φαρμάκων οἷς χρῆται πάντων τὰ ὀνόματα· ὁ δὲ στρατηγὸς οὕτως ἠλίθιος ἔσοιτο, ὥστε οὐκ εἴσεται τῶν ὑφ' αὑτὸν ἡγεμόνων τὰ ὀνόματα, οἷς ἀνάγκη ἐστὶν αὐτῷ ὀργάνοις χρῆσθαι, καὶ ὅταν προκαταλαβεῖν τι βούληται, καὶ ὅταν φυλάξαι, καὶ ὅταν θαρρῦναι, καὶ ὅταν φοβῆσαι· καὶ πρὸς τὸ τιμῆσαι δὲ ὁπότε τινὰ βούλοιτο, πρέπον αὐτῷ ἐδόκει εἶναι, ὀνομαστὶ προσαγορεύειν. ἐδόκουν δὲ αὐτῷ οἱ γιγνώσκεσθαι δοκοῦντες ὑπὸ τοῦ ἄρχοντος. καὶ

καὶ τῶν καλόν τι ποιούντων ὁρᾶσθαι μᾶλλον ὀρέγεσθαι, καὶ
τοῦ αἰσχρόν τι ποιεῖν, μᾶλλον προθυμεῖσθαι ἀπέχεσθαι. ἠλί-
θιον δὲ τοῦτ' αὐτῷ ἐδόκει εἶν, τὸ ὁπότε βούλοιτό τι πραχ-
θῆναι προστάττειν, ὡς καὶ ἐν οἴκῳ ἔνιοι προστάττουσι δε-
σπόται· ἴτω τις ἐφ' ὕδωρ, ξύλα τις σχισάτω. οὕτω γὰρ
προσταττομένων εἰς ἀλλήλους ὁρᾶν ἅπαντες ἐδόκουν
αὐτῷ, καὶ οὐδεὶς περαίνειν τὸ προσταχθέν. καὶ πάντες
ἐν αἰτίᾳ εἶναι, καὶ οὐδεὶς τὴν αἰτίαν οὔτε αἰσχύνεσθαι, οὔ-
τε φοβεῖσθαι ὁμοίως διὰ τὸ σὺν πολλοῖς αἰτίαν ἔχειν. διὰ
ταῦτα δὴ αὐτὸς πάντας ὠνόμαζεν ὅτῳ τι προστάττοι. καὶ
ὁ Κῦρος μὲν δὴ οὕτω περὶ τούτων ἐγίνωσκεν. οἱ δὲ στρα-
τιῶται τότε μὲν δειπνήσαντες, καὶ φυλακὰς καταστη-
σάμενοι, καὶ συσκευασάμενοι πάντα ἃ ἔδει, ἐκοιμή-
θησαν. ἡνίκα δ' ἦν ἐν μέσῳ νυκτῶν, ἐσήμαινε τῷ κέ-
ρατι. Κῦρος δὲ εἰπὼν τῷ Χρυσάντᾳ, ὅτι ἐπὶ τῇ ὁδῷ ἐ-
πιμένοι δὴ ἐν τῷ πρόσθεν τοῦ στρατεύματος, ἐξῄει λα-
βὼν τοὺς ἀμφ' αὐτὸν ὑπηρέτας. βραχεῖ δὲ χρόνῳ ὕστερον
παρῆν Χρυσάντας ἔχων τοὺς θωρακοφόρους. τούτῳ μὲν οὖν
ὁ Κῦρος δοὺς τοὺς ἡγεμόνας τῆς ὁδοῦ, πορεύεσθαι ἐκέλευεν
ἡσύχως, ἕως ἄγγελος ἔλθοι, ὅτι πάντες ἐν ὁδῷ. αὐτὸς
δὲ ἑστηκὼς ἐν τῷ αὐτῷ, τὸν μὲν προσιόντα προὔπεμπε
τὸν ἐν τάξει, ἐπὶ δὲ τὸν ὑστερίζοντα ἔπεμπε καλῶν. ἐπεὶ
δὲ πάντες ἐν ὁδῷ ἦσαν, πρὸς μὲν Χρυσάνταν, ἱππέας
ἔπεμψεν, ἐροῦντας ὅτι ἐν ὁδῷ ἦσαν πάντες. ἄγε δὴ
οὖν θᾶσσον. αὐτὸς δὲ παρελαύνων τὸν ἵππον εἰς τὸ πρό-
σθεν ἥσυχος, κατεθεᾶτο τὰς τάξεις. καὶ οὓς μὲν ἴδοι εὐ-
τάκτως καὶ σιωπῇ ἰόντας προσελαύνων αὐτοῖς οἵτινες
εἶεν ἠρώτα. καὶ ἐπεὶ πύθοιτο, ἐπῄνει. εἰ δέ τινας θορυβου-
μένους αἰσθάνοιτο, τὸ αἴτιον τούτου σκοπῶν, κατασβεν-
νύναι τὴν ταραχὴν ἐπειρᾶτο. ἓν μόνον παραλέλειπται τῆς
ἐν νυκτὶ ἐπιμελείας αὐτοῦ. ὅτι πρὸ παντὸς τοῦ στρατοπέδου
πεζοὺς εὐζώνους οὐ πολλοὺς προὔπεμπεν, ἐφορωμένους ὑπὸ
Χρυσάντα, καὶ ἐφορῶντας αὐτόν, ὡς ὠτακουστοῦντας. καὶ
εἴ πως ἄλλως δύναιντο αἰσθάνεσθαι, τί σημαίνοιεν τῷ Χρυ-
σάντᾳ, ὅτι καιρὸς δοκοίη εἶναι. ἄρχων δὲ καὶ ἐπὶ τούτ-
των, εἷς ἦν, ὃς καὶ τούτους ἐκόσμει, καὶ τὸ ἄξιον μὲν λό-
γου ἐσήμαινε. τὸ δὲ μή, οὐκ ἠνώχλει λέγων. τὴν μὲν δὴ νύ-
κτα οὕτως ἐπορεύοντο. ἐπεὶ δὲ ἡμέρα ἐγένετο, τοὺς μὲν τῶν
Καδουσίων ἱππέας, ὅτι αὐτῶν καὶ οἱ πεζοὶ ἔσχατοι ἐ-
πορεύοντο, παρὰ τούτοις κατέλιπεν. ὡς μὴ δ' οὗτοι ψιλοὶ
ἱππέων εἶεν. τοὺς δ' ἄλλους εἰς τὸ πρόσθεν παρελαύνειν ἐ-
κέλευσεν, ὅτι καὶ οἱ πολέμιοι ἐν τῷ πρόσθεν ἦσαν, ὅπως
εἴ τέ που ἐναντίον αὐτῷ ἀπαντῴη, ὑφ' αὑτῷ ἔχων ἐν
τάξει τὴν ἰσχὺν μάχοιτο. εἴτε τι που φεῦγον ὀφθείη, ὅπως
ἐξ ἑτοιμοτάτου διώκοιεν. ἦσαν δὲ αὐτῷ ἀεὶ τεταγμένοι
εἰ δέοι διωγμοῦ, οὕς τε διώκειν δέοι, καὶ οὓς παρ' ἑαυτῷ
μένειν. πᾶσαν δὲ τὴν τάξιν λυθῆναι οὐδέποτε εἴα. Κῦ-
ρος μὲν δὴ οὕτως ἦγε τὸ στράτευμα. οὐ μέντοι αὐτός γε
μιᾷ χώρᾳ ἐχρῆτο, ἀλλ' ἄλλοτε ἄλλῃ μάχῃ περιελαύνων,
ἐφεώρα τε καὶ ἐπεμελεῖτο, εἴ του δέοιντο. οἱ μὲν δὴ ἀμ-
φὶ Κῦρον οὕτως ἐπορεύοντο. ἐκ δὲ τοῦ Γαδάτα ἱππι-
κοῦ τῶν δυνατῶν τις ἀνδρῶν, ἐπεὶ ἑώρα αὐτὸν ἀφεστηκό-
τα ἀπὸ τοῦ Ἀσσυρίου, ἐνόμισεν ὅτι εἴ τι οὗτος πάθοι, αὐ-
τὸς ἂν λαβεῖν παρὰ τοῦ Ἀσσυρίου πάντα τὰ Γαδάτα. οὕ-
τω δὴ πέμπει τινὰ τῶν ἑαυτοῦ πιστῶν πρὸς τὸν Ἀσσύριον,
καὶ κελεύει τὸν ἰόντα, εἰ καταλάβοι ἤδη ἐν τῇ Γαδάτα
χώρᾳ

magis desiderare ut honesti quicquam aspicerentur fa
cere, ac magis item expetere ut a turpi abstinere actio
ne uiderentur. Res ei praterea haec fatua uidebatur, ut
cum uellet aliquid geri, ita imperaret, quemadmodum
heri domi consueuerunt, eat aliquis ad aquam, ligna
scindat aliquis. Nam si ita iubeatur, omnes ei uide/
bantur se inuicem aspicere, neminemq; quod iussum
esset efficere, atque omnis esse in causa, & nemi/
nem ob eam causam neque pudere, neque metuere,
10 quoniam identidem una multi essent accusandi: ob
quae omnia ipse nominabat illum, cui aliquid impe/
raret. Et de his quidem rebus Cyrus ita sentiebat. At
milites per id temporis cum coenassent, & custodias
posuissent, & quae opus erat parassent omnia, somno
se dedere. Sed ubi media nocte cornu signum est da/
tum, dixissetq; Cyrus Chrysantae, ut in uia maneret
quae est ante agmen, egressus est assumptis mini/
stris suis. Paruumque post temporis Chrysantas affu/
it, ducens armatos thoracibus. Cui cum Cyrus de/
20 disset itineris duces, ut quiete pergeret iubebat, do/
nec nuncius ueniret: nondum enim omnes erant in iti
nere. Ipse autem stans in uia, aduenientem deducebat
in ordine: ad cunctantem uero mittebat uocatum.
Sed ubi omnes fuerunt in uia, equites ad Chrysan/
tam misit, qui dicerent in uia esse omnis, itaq; ut cele
rius ageret. Ipse uero equum quiete immittens ad par
tem anteriorem, ordines conspicabatur: & quos ui/
deret ordine & cum taciturnitate euntis, ad eos im/
mittens, & interrogabat qui essent, & cum audisset
30 eos laudabat. Quod si quos sentiret tumulantis, cau/
sa huius rei considerata, tumultum sedare enitebatur.
Vnum solùm relinquebatur circa nocturnam eius di/
ligentiam, quod ante omne agmen expeditos pedites
haud multos praemittebat, qui & à Chrysanta aspice
rentur, & eum ut obedientes aspicerent: & si quo a/
lio modo sentire aliquid possent, Chrysantae signifi/
carent, ubi uiderint tempus esse. Erat etiam unus,
qui huic rei praeerat, quique hos ornabat, & quod
laudabile esset significabat. Quod autem secus fo/
40 ret, sine conuicio dicebat. Noctu igitur ita perge/
bat. Sed ubi dies factus est, Cadusiorum equites,
quoniam & eorum pedites proficiscebantur ultimi,
apud hos reliquit, quo neque hi nudi irent equiti/
bus. Alios uero iubebat in partem anteriorem im/
mittere, quoniam hostes quoque in parte essent an/
teriore, quo si quid sibi aduersaretur occurreret, ro/
bur habens in ordine, ac pugnaret. Quod si quid
alicubi fugere aspiceret, ut quamparatissime inseque/
retur. Et erant ei semper instructi, & quos fugere o/
50 portet, & quos apud se manere opus esset. Totum
autem ordinem solui sinebat nunquam. Cyrus qui/
dem ita exercitum ducebat, neque ipso uno utebatur
loco, sed aliàs alio immittebat, aspiciebàtque, &
diligentiam adhibebat si cuiusquam rei indigerent.
Milites igitur Cyri ita pergebant. At ex equitatu Ga/
datae, uir quidam ex potentioribus uidens eum ab As/
syrio defecisse, putauit si quid hic pateretur acceptu/
rum sese ab Assyrio bona eius omnia. Itaque unum
ex his quos fidelissimos habebat, ad Assyrium mittit,
iubetq; eunti, si Assyrium exercitum iam in Gadatae

 regione

regione offenderit, ut ei diceret, fore ut & Gadatam,
et qui cum Gadata erant, captiuos faceret, si quidem
uellet insidias tendere: iussitq; ut regem faceret cer/
tiorem, & quantum uirium Gadatas habebat, &
quod Cyrus non eum sequebatur, ac uiam ostende/
ret qua esset iturus. Iussit etiam seruis suis, quo
maior sibi fides praestaretur, ut & castellum quod
ipse habebat in agro Gadatae Assyrio traderet, &
quae intus erant: dixitque se etiam uenturum occiso
Gadata, si quidem id posset: sin minus, in posterum 10
cum Assyrio se futurum. Vbi uero qui ad haec fue/
rat constitutus equitans quamcelerrime poterat, ad
Assyrium uenit, ac declarauit quorum causa ueni/
ret. Ille his auditis & castellum continuo accepit,
& equitatum multum currúsque secum habens, in/
sidias locauit in frequentibus uicis. At Gadatas ut
prope hos uicos factus est, mittit quosdam qui an/
te explorarent. Sed Assyrius ut nouit exploratores
aduentare, soluere ac fugere iubet currus duos aut
tres, equitésque paucos, perinde atque metuerent, 20
paucique essent. Quae ut uiderunt exploratores, &
ipsi insequebantur, Gadataeque hastas concutiebant:
& ille deceptus totis uiribus insequitur. At Assyrij
ut uisum est Gadatan capi posse, surgunt ex insidijs.
Quod Gadatae milites intuentes, ut par erat, fu/
giebant: illi uero, ut erat consentaneum, inseque/
bantur Quo tempore qui Gadatae insidias intende/
rat eum percutit, & à letali quidem uulnere aber/
rat, uerùm eum in humerum ferit ac uulnerat Quod
ubi fecisset, effugit donec ad insequenteis hostis se 30
contulit. Qui ubi patuisset quis esset, simúlque fo/
ret cum Assyrijs, alacriter equum dirigens unà
cum rege insequebatur. Hic igitur capti sunt uideli/
cet hi quibus equi erant tardissimi, ab ijs qui equis
celerrimis utebantur. Sed equites Gadatae omnes
iam pressi, quoniam profectione essent attriti, con/
spicantur Cyrum cum agmine aduentantem. Existi/
mandum sane est eos tanquam ex hyeme in portum
libenter atque iucunde aduehi. At Cyrus primùm
quidem miratus est. Vt uero rem nouit, & aduer/ 40
sarij quidem omnes immittebant, & ipse in ordine
aciem agebat. Quod hostes intelligentes, in fugam
uersi sunt. Hic Cyrus his iussit qui ad hoc negocium
fuerant instructi, ut illos insequerentur, & ipse unà
cum alijs sequebatur, ut usui esse existimabat. Tum
igitur & currus capti sunt aliqui cadentibus etiam
aurigis, alijs cum auerterentur, alijs item aliter.
Quidam uero ab equitibus anteuertentibus capti
sunt, occiduntque cum alios permultos, tum etiam
eum qui Gadatan percusserat. Et pedites quidem 50
Assyrij qui Gadatae castellum obsidebant, alij in ca/
stellum confugére, quod à Gadata defecerat: alij
anticipantes in urbem quandam, quo & ipse Assy/
rius unà cum equitibus & curribus diffugerat, con
cessere. Cyrus igitur his gestis recipit se in Gadatae
regionem: cumq; imperasset ut habere oporteret cir
ca mancipia, continuo pergebat quo Gadatan con/
sideraret, ut haberet ex uulnere. Pergenti autem il/
li Gadatas occurrit uulnere obligato. Quem Cyrus
ut uidit, & laetatus est, & ait: Ego ad te ibam, consi/
deratu/

χώρᾳ τὸ ἀσσύριον στράτευμα, λέγειν τῷ ἀσσυρίῳ, ὅτι εἰ
βούλοιτο ἐνεδρεῦσαι, λάβοι ἂν τὸν γαδάταν, καὶ τοὺς ἄλ
λους τοὺς σὺν αὐτῷ. δηλοῦν δὲ ἐνετέλλετο, ὅσην τε εἶχε
δύναμιν ὁ γαδάτας, καὶ ὅτι κῦρος οὐ συνέποιτο αὐτῷ. καὶ
τὴν ὁδὸν, ᾗ μέλλει προσιέναι ἐδήλωσε. προσεπέστειλε δὲ
καὶ τοῖς αὐτοῦ οἰκέταις. ὡς πιστεύοιτο μᾶλλον. καὶ τὸ τεῖχος
ὃ ἐτύγχανεν αὐτὸς ἔχων ἐν τῇ γαδάτα χώρᾳ, παραδοῦναι
τῷ ἀσσυρίῳ, καὶ τὰ ἐνόντα. ἥξειν δὲ καὶ αὐτὸς, ἔφη, εἰ μὲν
δύναιτο ἀποκτείνας γαδάταν· εἰ δὲ μὴ, ὡς σὺν τῷ ἀσσυ
ρίῳ τὸ λοιπὸν ἐσόμενος. ἐπεὶ δὲ ὁ ἐπὶ ταῦτα ταχθεὶς ἐλαύ
νων, ὡς δυνατὸν ἦν, τάχιστα ἀφικνεῖται πρὸς τὸν ἀσσύ/
ριον, καὶ ἐδήλωσεν, ἐφ᾽ ἃ ἥκοι. ἀκούσας ἐκεῖνος, τό, τε
χωρίον εὐθὺς καταλαμβάνει. καὶ πολλὴν ἵππον ἔχων
καὶ ἅρματα, ἐνήδρευεν ἐν κώμαις ἀθρόαις. ὁ δὲ γαδά-
τας ὡς ἐγγὺς ἦν τούτων τῶν κωμῶν, πέμπει τινας προ-
ερευνησομένους. ὁ δὲ ἀσσύριος ὡς ἔγνω προσιόντας τοὺς δι-
ερευνήσοντας, φεύγειν κελεύει ἅρματα ἐξαναστάντα δύο
ἢ τρία, καὶ ἵππους ὀλίγους. ὡς δὴ φοβηθέντας καὶ ὀλίγους ὄν/
τας. οἱ δὲ προερευνηταὶ ὡς εἶδον ταῦτα, αὐτοί τε ἐδίω-
κον, καὶ τῷ γαδάτᾳ κατέσειον. καὶ ὃς ἐξαπατηθεὶς, διώ-
κει ἀνὰ κράτος. οἱ δὲ ἀσσύριοι, ὡς ἐδόκει ἁλώσιμος εἶναι
ὁ γαδάτας, εὐθέως ἀνίστανται ἐκ τῆς ἐνέδρας. καὶ οἱ μὲν
ἀμφὶ γαδάταν ἰδόντες, ὥσπερ εἰκός, ἔφευγον. οἱ δ᾽
αὖ, ὥσπερ εἰκός, ἐδίωκον. καὶ ἐν τούτῳ ὁ ἐπιβουλεύων τῷ
γαδάτᾳ, παίει αὐτόν. καὶ καιρίας μὲν πληγῆς ἁμαρτά-
νει. τύπτει δὲ αὐτὸν εἰς τὸν ὦμον, καὶ τιτρώσκει. ποιήσας δὲ
τοῦτο, ἐξανίσταται, ὡς σὺν τοῖς διώκουσι γένοιτο. ἐπεὶ δὲ
ἐγνώσθη ὃς ἦν, ὁμοῦ δὴ ὁ ἀσσύριος προθύμως ἐκτείνων
τὸν ἵππον σὺν τῷ βασιλεῖ, ἐδίωκεν. ἐνταῦθα δὴ ἡλί/
σκοντο μὲν δηλονότι οἱ βραδυτάτους ἵππους ἔχοντες
ὑπὸ τῶν ταχίστων. ἤσαν δὲ μάλα πάντες πιεζόμενοι,
διὰ τὸ καταπεπονῆσθαι ὑπὸ τῆς πορείας τοῦ γαδάτα οἱ ἱπ/
πεῖς. καθορῶσι δὲ τὸν κῦρον προσιόντα σὺν τῷ στρατεύ/
ματι. δοκεῖν δὲ χρὴ ἀσμένως καὶ ἡδέως, ὥσπερ εἰς λιμέ
νας ἐκ χειμῶνος προσφέρεσθαι αὐτοὺς. ὁ δὲ κῦρος τὸ μὲν
πρῶτον ἐθαύμαζεν· ὡς δ᾽ ἔγνω τὸ πρᾶγμα, ἔστε μὲν πάν
τες ἀντίοι ἤλαυνον, ἀντίος καὶ αὐτὸς ἦγεν ἐν τάξει
τὴν στρατιάν. ὡς δὲ γνόντες οἱ πολέμιοι τὸ ὂν, ἐτράπη-
σαν εἰς φυγήν. ἐνταῦθα δὴ ὁ κῦρος ἐκέλευσε διώκειν
τοὺς πρὸς τοῦτο τεταγμένους. αὐτὸς δὲ εἵπετο σὺν τοῖς ἄλ-
λοις, ὡς ᾤετο συμφέρειν· ἔνθα δὴ καὶ ἅρματα ἡλίσκετο.
ἔνια μὲν καὶ ἐκπιπτόντων τῶν ἡνιόχων· τῶν μὲν ἐν τῇ
ἀναστροφῇ, τῶν δὲ καὶ ἄλλως· ἔνια δὲ καὶ περιτεμνόμενα
ὑπὸ τῶν ἱππέων, ἡλίσκετο. καὶ ἀποκτείνουσιν ἄλλους τε
πολλοὺς, καὶ τὸν παίσαντα τὸν γαδάταν. τῶν μὲν οὖν πε
ζῶν ἀσσυρίων, οἱ ἔτυχον τὸ γαδάτα χωρίον πολιορ-
κοῦντες, οἱ πλεῖστοι αὐτῶν, οἱ μὲν εἰς τὸ τεῖχος κατέφυ
γον, τὸ ἀπὸ γαδάτα ἀποστάν. οἱ δὲ φθάσαντες εἰς πόλιν
τινὰ τῶν ἀσσυρίων μεγάλην. ἔνθα καὶ αὐτὸς σὺν τοῖς
ἅρμασι καὶ τοῖς ἵπποις κατέφυγεν ὁ ἀσσύριος. κῦρος
μὲν δὴ διαπραξάμενος ταῦτα, ἐπανεχώρει εἰς τὴν γα
δάτα χώραν. καὶ προστάξας οἷς ἔδει ἀμφὶ τὰ αἰχμάλωτα
ἔχειν, εὐθὺς ἐπορεύετο ὡς ἐπισκέψαιτο τὸν γαδάταν, ὅ-
πως ἔχει ἐκ τοῦ τραύματος. πορευομένῳ δὲ αὐτῷ, ἤδη ὁ γα
δάτας ἐπιδεδεμένος τὸ τραῦμα ἀπήντα. ἰδὼν δὲ ὁ κῦ
ρος αὐτὸν, ἥσθη τε καὶ εἶπεν· ἐγὼ δὲ πρὸς σὲ, ἔφη, ἐπισκε
ψόμενος,

ὁρώμενος, πῶς ἔχεις ἐπορευόμην. ἐγὼ δέ, εἶπεν ὁ γαδάτας, ναὶ μὰ τοὺς θεοὺς ἐπανῄειν θεασόμενος σέ, ὁποῖός τις ποτὲ φαίνῃ ἰδεῖν ὁ τοιαύτην ψυχὴν ἔχων, ὅστις οὔτ' οἶδα ἐγὼ ὅ,τι μου δεόμενος, οὔτε μὴν ὑποσχόμενός γέ μοι ταῦτα πράξειν, οὔτε μὴν εὖ πεπονθὼς ὑπ' ἐμοῦ εἴς γε τὸ ἴδιον οὐδ' ὁτιοῦν. ἀλλ' ὅτι τοὺς φίλους σοι ἔδοξά τι ὀνῆσαι, οὕτως ἐμοὶ προθύμως ἐβοήθησας. ὡς νῦν τὸ μὲν ἐπ' ἐμοί, οἴχομαι· τὸ δ' ἐπὶ σοί, σέσωσμαι. οὐ μὰ τοὺς θεούς, ὦ κῦρε, εἰ ἦν οἷος ἔφυν ἐξ ἀρχῆς καὶ ἐπαιδοποιησάμην, οὐκ οἶδα εἰ ἐκτησάμην παῖδα ποτ' ἂν τοιοῦτον περὶ ἐμέ. ἐπεὶ ἄλλους οἶδα παῖδας, καὶ τοῦτον τὸν νῦν ἀσσυρίων βασιλέα, πολὺ πλείω δὴ τὸν αὑτοῦ πατέρα ἀνιάσαντα, ἢ σὲ νῦν δύναται ἀνιᾶν. καὶ ὁ κῦρος πρὸς ταῦτα εἶπεν ὧδε· ὦ γαδάτα, ἦ πολὺ μεῖζον παρεὶς θαῦμα, ἐμὲ νῦν θαυμάζεις. καὶ τί δὴ τοῦτ' ἐστίν; ὁ γαδάτας. ὅτι τοσοῦτοι μὲν περσῶν, ἔφη, ἐσπουδάκασι περὶ σέ, τοσοῦτοι δὲ μήδων, τοσοῦτοι δὲ ὑρκανίων. πάντες δὲ οἱ παρόντες ἀρμενίων καὶ σακῶν καὶ καδουσίων. καὶ ὁ γαδάτας ἐπηύξατο. ἀλλ', ὦ ζεῦ, ἔφη, καὶ τούτοις πολλὰ ἀγαθὰ δοῖεν οἱ θεοί, καὶ πλεῖστα τῷ αἰτίῳ, τοῦ καὶ τούτους τοιούτους εἶναι. καὶ ὅπως μέντοι οὓς ἐπαινεῖς, τούτους ὦ κῦρε καὶ ξενίσωμεν, καλῶς δέχου τὰ ξένια, οἷα ἐγὼ δύναμαι. ἅμα δὲ προσῆγε πάμπολλα, ὥστε καὶ θύειν τὸν βουλόμενον, καὶ ξενίζεσθαι πᾶν τὸ στράτευμα ἀξίως τῶν καλῶς πεποιημένων, καὶ καλῶς συμβάντων. ὁ δὲ καδούσιος ὀπισθοφύλαξ ἦν, καὶ οὐ μετέσχε τῆς διώξεως. βουλόμενος δὲ καὶ αὐτὸς λαμπρόν τι ποιῆσαι, οὔτε ἀνακοινωσάμενος, οὔτε εἰπὼν οὐδὲν τῷ κύρῳ, κατέθει τὴν πρὸς βαβυλῶνα χώραν. διεσπαρμένοις δὲ τοῖς ἵπποις αὐτοῦ, ἀπιὼν ὁ ἀσσύριος ἐκ τῆς αὐτοῦ πόλεως, οὗ δὴ κατέφυγε, συντυγχάνει μάλα δὴ συντεταγμένον ἔχων τὸ αὑτοῦ στράτευμα. ὡς δ' ἔγνω μόνους ὄντας τοὺς καδουσίους, ἐπιτίθεται. καὶ τόν τε ἄρχοντα τῶν καδουσίων ἀποκτείνει, καὶ ἄλλους πολλούς. καὶ ἵππους δέ τινας λαμβάνει τῶν καδουσίων, καὶ ἣν ἄγοντες λείαν ἐτύγχανον, ἀφαιρεῖται. καὶ ὁ μὲν ἀσσύριος διώξας, μέχρις οὗ ἀσφαλὲς ᾤετο εἶναι, ἀπετράπετο. οἱ δὲ καδούσιοι ἐσῴζοντο πρὸς τὸ στρατόπεδον ἀμφὶ δείλην οἱ πρῶτοι. κῦρος δὲ ὡς ᾔσθετο τὸ γεγονός, ἀπήντα τε τοῖς καδουσίοις, καὶ ὅντινα ἴδοι τετρωμένον, ἀναλαμβάνων, τοὺς μὲν ὡς γαδάταν ἀπέπεμπεν ὅπως θεραπεύοιτο, τοὺς δ' ἄλλους συγκατεσκήνου. καὶ ὅπως τὰ ἐπιτήδεια ἔχοιεν συνεπεμελεῖτο, παραλαμβάνων τῶν ὁμοτίμων περσῶν συνεπιμελητάς. ἐν γὰρ τοῖς τοιούτοις οἱ ἀγαθοὶ συνεπιπονεῖν ἐθέλουσι. καὶ ἀνιώμενος μέντοι αὐτός, ἰσχυρῶς δῆλος ἦν. ὡς καὶ τῶν ἄλλων δειπνούντων ἡνίκα ἤδη ὥρα ἦν, κῦρος ἔτι σὺν τοῖς ὑπηρέταις καὶ τοῖς ἰατροῖς οὐδένα ἑκὼν ἀτημέλητον παρέλιπεν. ἀλλ' ἢ αὐτόπτης ἐφεώρα, ἢ εἰ μὴ αὐτὸς ἐξανύτοι, πέμπων φανερὸς ἦν τοὺς θεραπεύσοντας. καὶ τότε μὲν οὕτως ἐκοιμήθησαν. ἅμα δὲ ἡμέρᾳ κηρύξας συνιέναι τῶν μὲν ἄλλων τοὺς ἄρχοντας, τοὺς δὲ καδουσίους πάντας ἔλεξε τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΚΥΡΟΥ

Ἄνδρες σύμμαχοι, ἀνθρώπινον μὲν τὸ γεγενημένον πάθος. τὸ γὰρ ἁμαρτάνειν ἀνθρώπους ὄντας, οὐδὲν οἶμαι θαυμαστόν. ἄξιοί γε μέντοι ἐσμὲν τοῦ γεγενημένου τούτου πράγματος, ἀπολαῦσαί τι ἀγαθόν, τὸ μαθεῖν μή ποτε διασπᾶν

deraturus ut habes. Ad quem Gadatas respondit: Ita ego, per deos immortales, ibam te iterum spectaturus, qui uisu appares, qui tali es in me animo, quiq; quod neq; indigeas nunc mei, neq; haec mihi actum iri promiseris, neq; a me bene affectus sis priuatim ulla prorsus in re: sed ob id duntaxat, quod tibi sum uisus prodesse amicis, adeo mihi alacriter auxilium tulisti, cum nunc quantum in me fuit, perij: quantum autem in te, seruatus sum. Non, per deos immortales, Cyre, si essem qualis sum natus, ac filios genuissem, ipse scirem an adeptus essem filium talem erga me. Alios enim noui filios, & hunc praesertim qui nunc est rex Assyriorum, qui maiore iam aegritudine patrē suum affecerit, quàm te nunc potest afficere. Et Cyrus ad haec ita respondit: Tu me admiraris, qui multò certe maius miraculum reliqueris. Et quid tandem hoc est, inquit Gadatas, quòd tot, inquit, Persae erga te studuere, tot Medi, tot Hyrcanij, praesentes omnes, Armenij, & Sacae, & Cadusij? Atq; Gadatas precatus est: Verùm, o Iupiter optime maxime, inquit, et his multa bona dij dent, & autori plurima, qui facit ut hi sint huiusmodi. Vt autem quos ipse laudas, hosce, Cyre, etiam muneremus, praeterea accipe haec munuscula cuiusmodi dari à me possunt. Simulq; adegit alia permulta, quòd & ipse si uellet sacrificaret, & omnem exercitum muneraret, pro dignitate eorum quae bene gesta sunt, et pulcherrimè successerūt. At Cadusius qui postremi agminis erat custos, neq; insequendi particeps fuerat, cum tamē uellet etiam ipse praeclarum aliquid facere, neq; communicās, neq; Cyro locutus quicquam, discurrit regionem uersus Babylona. Dispersis autem equitib. eius, rex Assyrius ex sua urbe inuadens quô perfugerat, unà occurrit habens exercitū ualde instructum. Vt uerò cognouit Cadusios esse solos, eos inuadit, & Cadusiorū principem interficit, aliosq; permultos, captis Cadusiorū quibusdam equitibus, & praeda quam agebāt ablata. Atq; Assyrius cum eousq; esset insecutus quô tutum existimasset, reuertebatur. Cadusij uerò ad castra seruati sunt primi circa crepusculū. Quam rem ut didicit Cyrus, occurrit Cadusijs: & quem uulneratum uideret, eum suscipiens, ut Gadatan antea, mittebat ut curaretur. Alios uerò recipiebat in tabernacula, curabatq; ut necessaria eis forent, assumptis Persis homotimis qui unà illorum haberent curam: in huiusmodi enim rebus uiri boni non inuiti elaborant. Erat q; perspicuum eum admodum dolere, ut etiam cum coenandi iam tēpus esset, & alij coenarent, Cyrus adhuc unà cum seruis & medicis neminem ultro neglectum relinqueret, sed aut ipsemet intuebatur, aut si minus ipse posset, palàm mittebat qui curarent. Et tum quidē ita cubuere. Cum uerò dies illuxisset, continuo ubi proclamasset ut conuenirent, aliorum quidem principes, Cadusios uerò omnis in hunc modum allocutus est:

CYRI CONCIO.

Viri socij, humanum est quod aduersi accidit. NAM QVOD HOMINES errent ut homines, nihil puto mirandum esse. Dignum autem est ut ex hoc quod accidit, aliquo fruamur bono, ut sciliicet copiae imbecilliores hostium uiribus, nunquam

duellan-

duellantur ab uniuerso exercitu. Neque hoc à me dicitur, quod minus oporteat quandoque cum minore etiam parte aliquò ire, si opus sit, quàm nunc Cadusius ierit: sed si quis iuerit re cum eo communicata, qui satis sit ad ferendum auxilium, fieri potest ut decipiatur: fieri etiam potest ubi tolleret, decipiendo hostes, alio uertere ab his qui egressi sunt: fieri item potest ut præbendo hostibus negocia, amicis securitatem afferat: & hoc pacto neque si seorsum sit abierit, sed uiribus augebitur. Qui autem aberit, & non communicauerit, ubicunque sit is nihilo magis differt, quàm si solus militaret. Verùm pro hac re, si deus, inquit, uoluerit, ultionem de hostibus non multo postea capiemus. Sed cum celeriter pranderitis, eo uos agam ubi res gesta est, simulque interemptos sepeliemus, simulque hostibus ostendemus, ubi uicisse putant, hic si deus uoluerit, iis alios esse superiores: & quo ne ipsum quidem locum libenter aspiciant, ubi socios nostros occidêre. Sin contrà minus exierint, eorum uicos cremabimus, agrúmque uastabimus, ne uidentes quæ nobis fecere, afficiantur lætitia, sed sua intuentes mala tristentur. Alij igitur pransum ite. Vos autem Cadusij primùm abite uobis principem delecturi pro lege uestra, qui cum deorum auxilio ac nostro, si qua uobis re opus fuerit, uestrûm sit diligentiam habiturus. Vbi autem elegeritis, pransi que fueritis, eum ad me mittite. Et hi quidem hæc egerunt. Cyrus autem ubi exercitum eduxit, in ordinem eum constituit quem Cadusij legerant: cui iussit ut prope se ordinem ageret, quo, inquit, si possimus, uiros audentis rursus faciamus. Sic igitur pergebant. Cúmque uenissent in locum, & sepeliebant Cadusios, & agrum uastabant. Quibus gestis, abierunt in regionem Gadatæ, rursus ex hostili agro res necessarias habentes. Cúmque cogitasset fore, ut qui ad se defecerant, quoniam essent Babyloni finitimi, male afficiantur, nisi ipse adesset semper, ita & quoscunque ex hostibus missos faciebat, iis iussit Assyrio dicerent, & ipse caduceatorem ad eum hæc dicturum misit, se paratum esse, qui sineret agricolas terram colere, nullaque iniuria afficeret, si etiam ille uelit sinere agrum colere eos cultores qui ad se defecerant. Atqui tu, inquit, si etiam potes prohibere, paucos quosdam cohibeas. Parum enim est agri, horum qui ad me defecerunt. At ego multam tibi regionem coli permittam. In messem autem fructus, si quidem bellum fuerit, ille fructum suscipiet qui superior fuerit. Sin pax erit, perspicuum est te suscepturum. Quod si qui aut ex militibus meis aduersentur tibi, aut ex tuis mihi, de his utrique ut possimus, ultionem capiemus. Hæc ubi caduceatori iussisset, eum misit. At Assyrij his omnibus auditis, & suadebant regi ut hæc concederet, præsertim quod minimum quiddam bello uacuum foret: & Assyrius siue ab indigenis persuasus, siue quod ipse ita uellet, hæc concessit. At fœdera percussa sunt, ut agricolis pax esset, militibus uero bellum. Hæc igitur Cyrus de agricolis peregit. Pasturas uero pecorum amicis

διασπᾶν ἀπὸ τοῦ ὅλου δύναμιν, ἀσθενεστέραν τῆς τῶν πολεμίων δυνάμεως. καὶ οὐχὶ τοῦτ᾽, ἔφη, λέγω, ὡς οὐχὶ δή ποτε, καὶ ἐλάσσονι ἔτι μορίῳ ἰέναι ὁπόταν δέῃ, ἢ νῦν ὁ Καδούσιος ᾤχετο. ἀλλ᾽ ἐάν τις κινούμενος ὁρμᾶται τῷ ἱκανῷ βοηθῆσαι, ἔστι μὲν ἀπατηθῆναι. ἔστι δὲ τῷ ὑπομένοντι ἐξαπατήσαντι τοὺς πολεμίους ἄλλοσε τρέψαι ἀπὸ τῶν ἐξεληλυθότων. ἔστι δὲ ἄλλα παρέχοντα πράγματα τοῖς πολεμίοις, τοῖς φίλοις ἀσφάλειαν παρέχειν. καὶ οὕτω μὲν οὐδ᾽ ὁ χωρὶς ὢν ἀπέσται, ἀλλ᾽ ἐξαρτήσεται τῆς ἰσχύος. ὁ δὲ ἀπελθὼν, μὴ ἀνακοινωσάμενος ὅπου ἂν ᾖ, οὐδέν τι διάφορον πάσχει, ἢ εἰ μόνος ἐστρατεύετο. ἀλλ᾽ ἀντὶ μὲν τούτου, ἔφη, ἢν θεὸς θέλῃ, ἀμυνούμεθα τοὺς πολεμίους, οὐκ εἰς μακράν. ἀλλ᾽ ἐπειδὰν τάχιστα ἀριστήσητε, ἄξω ὑμᾶς ἐγὼ, ἔνθα τὸ πρᾶγμα ἐγένετο, καὶ ἅμα μὲν θάψομεν τοὺς τελευτήσαντας· ἅμα δὲ δείξομεν τοῖς πολεμίοις, ἔνθα κρατῆσαι νομίζουσιν, ἐνταῦθα ἄλλους αὐτῶν κρείττονας, ἢν θεὸς θέλῃ. καὶ ὅπως γε μηδὲ τὸ χωρίον ὁρῶσιν, ἔνθα κατέκαινον ἡμῶν τοὺς συμμάχους. ἢν δὲ μὴ ἀντεπεξίωσι, καύσομεν αὐτῶν τὰς κώμας, καὶ δῃώσομεν τὴν χώραν, ἵνα μὴ ἃ ἡμᾶς ἐποίησαν, ὁρῶντες εὐφραίνωνται, ἀλλὰ τὰ ἑαυτῶν κακὰ θεώμενοι ἀνιῶνται. οἱ μὲν οὖν ἄλλοι, ἔφη, ἀριστᾶτε ἰόντες. ὑμεῖς δὲ, ὦ Καδούσιοι, πρῶτον μὲν ἀπελθόντες, ἄρχοντα ὑμῶν αὐτῶν ἕλεσθε ᾗπερ ὑμῖν νόμος, ὅστις ὑμῶν ἐπιμελήσεται σὺν τοῖς θεοῖς, καὶ σὺν ἡμῖν, ἤν τι προσδέησθε. καὶ ἀριστήσαντες, πέμψατε πρὸς ἐμὲ τὸν αἱρεθέντα. οἱ μὲν δὴ ταῦτα ἔπραξαν. ὁ δὲ Κῦρος ἐπειδὴ ἐξήγαγε τὸ στράτευμα, καὶ κατέστησεν εἰς τάξιν τὸν ᾑρημένον ὑπὸ τῶν Καδουσίων, ἐκέλευσε πλησίον αὐτοῦ ἄγειν τὴν τάξιν. ὅπως, ἔφη, ἂν δυνώμεθα ἀναθαρρύνωμεν τοὺς ἄνδρας. οὕτω δὴ ἐπορεύοντο, καὶ ἐλθόντες ἔθαπτον μὲν τοὺς Καδουσίους, ἐδῄουν δὲ τὴν χώραν. ποιήσαντες δὲ ταῦτα ἀπῆλθον, τὰ ἐπιτήδεια ἐκ τῆς πολεμίας ἔχοντες πάλιν εἰς τὴν Γαδάτα. ἐννοήσας δὲ ὅτι οἱ πρὸς αὐτὸν ἀφεστηκότες, ὄντες πλησίον Βαβυλῶνος, κακῶς πείσονται, ἢν μὴ αὐτὸς παρῇ. οὕτως ὅσους τε τῶν πολεμίων ἀφίει, καὶ τούτους ἐκέλευε λέγειν τῷ Ἀσσυρίῳ. καὶ αὐτὸς κήρυκα ἔπεμψε πρὸς αὐτὸν, λέγοντα ταῦτα· ὅτι ἕτοιμος εἴη ἐᾶν τοὺς ἐργαζομένους τὴν γῆν, καὶ μὴ ἀδικεῖν, εἰ ἐκεῖνος βούλοιτο ἐᾶν ἐργάζεσθαι τοὺς τῶν πρὸς αὐτὸν ἀφεστηκότων ἐργάτας. καίτοι, ἔφη, σὺ μὲν ἢν καὶ δύνῃ κωλύειν, ὀλίγους τινὰς κωλύσεις. ὀλίγη γάρ ἐστι γῆ ἡ τῶν πρὸς ἐμὲ ἀφεστηκότων. ἐγὼ δὲ πολλήν ἄν σοι γῆν ἐῴην ἐνεργὸν εἶναι. εἰς δὲ τὴν τοῦ καρποῦ κομιδὴν, ἢν μὲν πόλεμος ᾖ, ὁ κρατῶν μὲν οἶμαι κομίσεται. ἢν δὲ εἰρήνη γένηται, δηλονότι σὺ, ἔφη. ἢν μέντοι τις ἢ τῶν ἐμῶν ὅπλα ἀνταίρηταί σοι, ἢ τῶν σῶν ἐμοὶ, τούτους, ἔφη, ὡς ἂν δυνώμεθα ἑκάτεροι ἀμυνούμεθα. ταῦτα ἐπιστείλας τῷ κήρυκι ἀπέπεμψεν. οἱ δὲ Ἀσσύριοι ἐπεὶ ἤκουσαν ταῦτα, πάντα ἐποίουν, πείθοντες τὸν βασιλέα συγχωρῆσαι ταῦτα, καὶ ὅτι σμικρότατον τοῦ πολέμου λιπεῖν. καὶ ὁ Ἀσσύριος μέντοι εἴτε ὑπὸ τῶν ὁμοφύλων πεισθεὶς, εἴτε καὶ αὐτὸς οὕτω βουληθεὶς, συνῄνεσε ταῦτα. καὶ ἐγένοντο συνθῆκαι. τοῖς μὲν ἐργαζομένοις εἰρήνην εἶναι· τοῖς δ᾽ ὁπλοφόροις πόλεμον. ταῦτα μὲν δὴ περὶ τῶν ἐργατῶν διεπέπρακτο ὁ Κῦρος. τὰς μέντοι νομὰς τῶν κτηνῶν, τοὺς μὲν ἑαυτοῦ φίλους

φίλους ἐκέλευσε καταλείπειν, εἰ βούλοιντο, ἐν τῇ ἑαυτῶν
κρατείᾳ. τὴν δὲ τῶν πολεμίων λείαν ἦγον ὁπόθεν δύ-
ναιντο, ὅπως εἴη ἡ στρατιὰ ἡδίων τοῖς συμμάχοις. οἱ μὲν
γὰρ κίνδυνοι οἱ αὐτοὶ καὶ ἄνευ τοῦ λαμβάνειν τὰ ἐπιτή-
δεια· ἡ δὲ ἐκ τῶν πολεμίων τροφὴ κουφοτέραν τὴν στρα-
τείαν ἐδόκει παρέχειν. ἐπεὶ δὲ παρεσκευάζετο ὁ Κῦρος
ἤδη ὡς ἀπιών, παρῆν ὁ Γαδάτας ἄλλα γε δῶρα πολλὰ
καὶ παντοῖα φέρων καὶ ἄγων, ὡς ἂν ἐξ οἴκου μεγάλου. καὶ
ἵππους γε πολλοὺς ἀφελόμενος τῶν ἑαυτοῦ ἱππέων, οἷς
ἠπίστει διὰ τὴν ἐπιβουλήν. ὡς δ' ἐπλησίασεν, ἔλεξεν
ὧδε· ὦ Κῦρε, νῦν μέν σοι ἐγὼ ἄγω ταῦτα, ἵνα ἐν τῷ πα-
ρόντι χρῇ αὐτοῖς, ἄν τι δέῃ· νόμιζε δ', ἔφη, καὶ τἆλλα πάν-
τα τὰ ἐμὰ σὰ εἶναι. οὔτε γὰρ ἔστιν, οὔτ' ἔσται ποτὲ, ὅτῳ ἐγὼ
ἀπ' ἐμοῦ φύντι καταλείψω τὸν ἐμὸν οἶκον. ἀλλ' ἀνάγ-
κη, ἔφη, σὺν ἐμοὶ τελευτῶντι πᾶν ἀποσβέσαι τὸ ἡμέτε-
ρον γένος καὶ ὄνομα. καὶ ταῦτα, ἔφη, ὦ Κῦρε, ὄμνυμί σοι
τοὺς θεούς, οἳ καὶ ὁρῶσι πάντα καὶ ἀκούουσιν, οὔτε ἄδικον,
οὔτε αἰσχρὸν, οὐδὲν οὔτ' εἶπον, οὔτε ποιήσας ἔπαθον. καὶ ἅ-
μα ταῦτα λέγων, κατεδάκρυσε τὴν αὐτοῦ τύχην, καὶ
οὐκέτι ἠδυνήθη πλείω εἰπεῖν. καὶ ὁ Κῦρος ἀκούσας, τοῦ
μὲν πάθους ᾤκτειρεν αὐτόν, ἔλεξε δὲ ὧδε· ἀλλὰ τοὺς μὲν
ἵππους δέχομαι, ἔφη. σὲ γὰρ ὠφελήσω, εὐνουστέροις δοὺς
αὐτούς, ἢ οἱ νῦν σοι εἶχον. ὡς ἔοικεν ἐγώ τε οὗ δὴ πάλαι
ἐπιθυμῶ, τὸ Περσῶν ἱππικὸν, θᾶττον ἐκπλήσω εἰς
τοὺς μυρίους ἱππέας. τὰ δ' ἄλλα χρήματα σὺ ἀπαγαγὼν,
φύλαττε, ἔφη, ἔστ' ἂν με ἴδῃς ἔχοντα, ὥστε σοῦ μὴ ἡττᾶ-
σθαι ἀντιδωρούμενον. εἰ δὲ πλείω μοι δοὺς ἀπίοις ἢ λαμ-
βάνοις παρ' ἐμοῦ, μὰ τοὺς θεούς, οὐκ οἶδ' ὅπως ἂν δυναί-
μην μὴ αἰσχύνεσθαι. πρὸς ταῦτα ὁ Γαδάτας εἶπεν· ἀλ-
λὰ ταῦτα μὲν πιστεύω σοι. ὁρῶ γάρ σου τὸν τρόπον. φυ-
λάττειν μέντοι ἄρα ἐπιτήδειός εἰμι. ἕως μὲν γὰρ φίλοι
ἦμεν τῷ Ἀσσυρίῳ, καλλίστη ἐδόκει εἶναι ἡ τοῦ ἐμοῦ πα-
τρὸς κτῆσις. τῆς γὰρ μεγίστης πόλεως Βαβυλῶνος ἐγγὺς
οὖσα, ὅσα μὲν ὠφελεῖσθαι ἔστιν ἀπὸ μεγάλης πόλεως, ταῦ-
τα ἀπελαύομεν. ὅσα δὲ ἐνοχλεῖσθαι, οἴκαδε δεῦρο ἀπιόν-
τες τούτων ἐκποδὼν ἦμεν. νῦν δ' ἐπεὶ ἐχθροί ἐσμεν,
δῆλον ὅτι ἐπειδὰν σὺ ἀπέλθῃς, καὶ αὐτοὶ ἐπιβουλευσό-
μεθα καὶ ὁ οἶκος ὅλος. καὶ οἶμαι λυπηρῶς βιωσόμεθα
ὅλως, τοὺς ἐχθροὺς καὶ πλησίον ἔχοντες, καὶ κρείττους ἡμῶν
αὐτῶν ὁρῶντες. τάχ' οὖν εἴποις ἄν, καὶ τί δῆτα ταῦτα οὐκ
ἐνενόουν πρὶν ἀποστῆναι; ὅτι ὦ Κῦρε ἡ ψυχή μου διὰ τὸ
ὑβρίσθαι καὶ ὀργίζεσθαι, οὐ τὸ ἀσφαλέστατον σκοποῦσα
διῆγεν. ἀλλ' ἀεὶ τοῦτο κυοῦσα, ἆρά ποτε ἔσται ἀποτίσασθαι
τὸν καὶ θεοῖς ἐχθρὸν καὶ ἀνθρώποις, ὃς διατελεῖ μισῶν,
οὐκ ἤν τις τί αὐτὸν ἀδικήσῃ, ἀλλ' ἤν τινα ὑποπτεύσῃ
βελτίονα αὐτοῦ εἶναι. τοιγαροῦν οἶμαι αὐτὸς πονηρὸς ὤν,
πᾶσι πονηροτέροις αὐτοῦ συμμάχοις χρήσεται. ἢν δέ τις
ἄρα καὶ βελτίων αὐτοῦ φανῇ, θάρρει, ἔφη, ὦ Κῦρε, οὐδέν
σε δεήσει τῷ ἀγαθῷ ἀνδρὶ μάχεσθαι. ἀλλ' ἐκεῖνος ἀρ-
κέσει τοῦτο μηχανώμενος, ὡς ἀπολέσει τὸν αὐτοῦ βελ-
τίονα. τοῦ μὲν τοι ἐμὲ ἀνιᾶν, καὶ σὺν τοῖς πονηροῖς ῥᾳδίως
οἶμαι κρείττων ἔσται. ἀκούσαντι τῷ Κύρῳ ταῦτα, ἔδο-
ξεν ἄξια ἐπιμελείας λέγειν, καὶ εὐθὺς εἶπε· τί οὖν, ἔφη,
ὦ Γαδάτα, οὐχὶ τὰ μὲν τείχη φυλακῇ ἰσχυρὰ ἐποιήσα-
μεν, ὅπως ἄν σοι ᾖ ἀσφαλῆ χρῆσθαι, ὁπόταν εἰς αὐ-
τὰ ἴῃς, αὐτὸς δὲ σὺν ἡμῖν στρατεύῃ, ἵνα ἢν οἱ θεοί,
ὥσπερ.

amicis iußit ut haberent, si uellent, ubi ipsi dominaban
tur. Prædam autem hostium agebant unde possent, quò
expeditio iucundior esset socijs: pericula enim eadem
erant etiam si res necessarias non caperent. Sed quod
alimentum ex hostibus pararetur, iucundiorem præsta
re militiam uidebatur. At dum Cyrus iam parabatur ut
abiret, affuit Gadatas alia dona multa ac uaria ferens,
agensq; ut ex maxima domo. Agebatq; equos permul
tos equitibus suis ablatos, quibus fidem non haberet
10 propter insidias. Qui ut appropinquauit, huiusmodi
uerba fecit: Ô Cyre, hæc ego tibi do hoc tempore, qui/
bus uelim utaris, donec tibi alicui sunt usui. Existima
to etiam alia mea omnia esse tua. Nec enim est, nec erit
unquam ullus à me genitus, cui domum meam relictu/
rus sim: sed necesse fuerit, ut morienti mecum genus me
um omne nomenq; extinguatur. Et hæc, inquit, Cyre,
testor tibi deos immortales qui & uident & audiunt
omnia, passus sum, cum neq; iniusti quicquã, neq; aliud
turpe neq; dixerim, neq; fecerim. Simulq; hæc dicens
20 collachrymatus est fortunã suam, neq; potuit amplius
plura dicere. Quibus auditis, Cyrus commiseratus eius
cladem, ita loquutus est: Sed equos quidem accipio. Ti
bi enim usui sum futurus, cum eos beneuolentioribus de
dero, quam qui nunc apud te habebant, ut uidetur. Et
ego, quod iampridem cupio, Persicum equitatum cele
rius explebo ad equites decẽ millia. Sed alias pecunias
tecum abige, seruatoq; donec uideas me habere, ne te
sim cõtrà inferior donãdo. Quod si plures dando abie
ris, quàm à me accipiẽdo, nescio per deos immortales,
30 quomodo poßim non affici pudore. Gadatas ad hæc
respondit: Sed hæc ego tibi panè credo. Video enim in/
genium tuum. At uide sim ne idoneus, qui pecunias ser
uem. Nam donec amici eramus Assyrio, pulcherrima
uidebatur esse paterna possessio. Cum enim maxima
urbs Babylon esset in proximo, fruebamur omni utilita
te quæ ab urbe maxima capi potest. Quæcunq; uerò
huc abeuntes turbare poterãt, ab his longe aberamus.
Nunc uero quoniam sumus inimici, non est obscurum
cum ipse abieris, futurũ & ipsi insidias patiantur, &
40 uniuersa domus. Et, ut mihi uideor intelligere, tristem
uitam agitabimus, cum inimicos omnino & in proxi/
mo habeamus, et eos uideamus quàm nos sumus poten
tiores. Ac dicat fortasse quispiam: Et cur igitur non ita
cogitabas prius quam defecisses? Quoniam Cyre, ani/
mus meus propter illatam contumeliã mihi atq; iram
meam, non considerabat quod foret maxime tutũ, sed
hoc semper concipiebat, Num ulciscar unquam eum,
qui et dijs est, & hominib. inimicus: QVI aßidue odit,
non si quis in eum iniurius sit, sed si quem suspicetur se
50 ipso esse meliorẽ? Itaq;, ut mea fert opinio, cum ipse sit
improbus, utetur omnibus seipso improbioribus. Quod
si quis eo melior apparuerit, confide Cyre nihilo opus
fore ut pugnes aduersus bonum uirum, sed ille ad hoc
satis futurus est, quippe qui molitatur donec perdat seip
so meliorẽ. Huius ego gratia molestè habeo, et cum im
probis facile arbitror eum fore superiorẽ. His Cyrus au
ditis, existimauit eum loqui minime negligenda, aitq;
cõtinuo: Cur igitur Gadata nõ munimus castella tua
ista custodibus, quo ijs poßis secure uti cum istuc ue/
nias, & ipse nobiscum milites, quò si dij, immortales,
quem/

quemadmodum nunc, nobiscum sint, hic te potius
metuat quam tu illum? Sed quoniam tibi iucundum est
uidere tuos, hos tecum habens, aut illum cuius con/
suetudine delectaris, in expeditionem proficiscere: &
tu mihi, ut arbitror, eris admodum utilis. Ego au/
tem tibi quibuscunque in rebus potuero, enitar esse u/
sui. Quare Gadatas ubi audiuit, & respirauit & di/
xit: Num possim haec parare prius quam tu egredia/
ris? Volo enim etiam mecum ducere matrem meam.
Ita mediusfidius, inquit, parabis donec dixeris pulchre 10
habere. Quare Gadatas ita abiens custodibus castella
muniuit una cum Cyro. Parauit etiam omnia quibus/
cunque domus magna bene habetur. Ducebat prete/
rea & ex suis fidos quibus delectabatur, & infidos
permultos: coactos alios quidem uxores ducere, a/
lios uero etiam sorores, quo his ligatos eos detineret.
At Cyrus continuo pergebat habens Gadatan secum,
qui ostenderet & uias, & aquas, & pabulum, & fru
mentum, quo posset castrametari in locis abundantis/
simis. Et cum pergeret, intuitus Babyloniorum urbem, 20
uidere uisus est uiam qua incedebat, fere iuxta ipsum
murum. Itaque uocatis Gobrya & Gadata, percuncta
batur an esset alia uia, quo non admodum prope mu/
rum agerent. Ad quem respondit Gobryas: Viae qui/
dem sunt here multae. Verum ego existimarem uelle te
nunc exercitum agere quam proxime urbem, quo re/
gi quoque ipsi ostenderes, tibi exercitum iam multum
esse & pulchrum: quoniam quo tempore minorem
habebas, & accessisti ad ipsum murum, & ille nos
spectabat, quam haud multi essemus. Nunc uero & 30
si paratus est, quemadmodum pronunciauit se para/
tum ire quo tecum pugnaret, non sum nescius cum ui/
derit tuas uires, fore ut res suae uideantur maxime im/
paratae. Ad quae Cyrus respondit: Mirari mihi uide/
ris Gobrya, quod in quo tempore ueni multo cum mi/
nore exercitu, adigebam iuxta ipsum murum: nunc
uero cum maioris habeo copias, agere nolo sub ip/
sos muros. Sed ne mirare: non enim est idem, prope
agere & procul. NAM PROPE AGUNT omnes
ita instructi, quo sint optimi ad pugnandum: & pro/ 40
cul agunt uiri prudentes, quacunque tutissime, non
quacunque celerrime abeant. Transire necesse est ex/
tensis curribus, & longe sine impedimento eorum
qui sarcinas ferunt. Haec autem omnia tegenda sunt
ab armatis militibus, & nusquam huiusmodi homi/
nes ostendendi sunt hostibus armis nudi. Itaque ne/
cesse est dum ita pergunt, constitui quod bellico /
sum est aduersus debilis & imbecillos. Itaque si uo/
lunt ex urbe frequentes aliquo impetum facere, ubi
manum conseruerint, multo robustius conserant 50
quam si propius transeunt: & his qui eminus pro/
ficiscuntur, longa etiam subsidia sunt. Sed ex urbe ex/
euntibus, breue est in eos impetum facere qui prope
sunt, rursus que abire. Quod si transeamus non mi/
nus distantes quam quantum nunc instructi pergi /
mus, multitudo quidem nos uidebit. Verum ex ar/
mis coruscantibus omnis turba formidabilis uidetur.
Quod si nobis ita euntibus aliquo indubitato exierint,
e multo spacio eos prospicientes minime imparati of/
fendamur. Quin potius, inquit, o uiri, ne aggre/
dientur

ὥσπερ νῦν σὺν ἡμῖν ὦσιν, οὗτός σε φοβῆται, ἀλλὰ μὴ σὺ
τοῦτον. ὅτι δὲ ἡδύ σοι ὁρᾶν τῶν σῶν, ἢ ὅτῳ συνὼν χαί-
ρεις ἔχων, σὺν ἐμοὶ πορεύου· καὶ σύ τ' ἂν ἐμοί, ὥς γε μοι
δοκῶ, πάνυ χρήσιμος εἴης. ἐγώ τέ σοι ὡς ἂν δύνωμαι
πειράσομαι. ἀκούσας ταῦτα ὁ Γαδάτας, ἀνέπνευσέ τε
καὶ εἶπεν· ἆρ' οὖν, ἔφη, δυναίμην ἂν συσκευασάμενος
φθάσαι, πρίν σε ἐξιέναι; βούλομαι γάρ τοι, ἔφη, καὶ
τὴν μητέρα ἄγειν μετ' ἐμαυτοῦ. ναὶ μὰ Δί', ἔφη, φθά-
σεις μέντοι. ἐγὼ γὰρ ὑποσχήσω, ἔστ' ἂν καλῶς σὺ φῇς ἔ-
χειν. οὕτω δὴ ὁ Γαδάτας ἀπελθὼν, ἐφύλαξε μὲν τὰ
τείχη σὺν Κύρῳ ὠχυρώσατο. συνεσκευάσατο δὲ πάν-
τα, ὁπόσοις ἂν οἶκος μέγας καλῶς οἰκοῖτο. ἦγε δὲ καὶ
τῶν ἑαυτοῦ τῶν τε πιστῶν οἷς ἥδετο, καὶ ὧν ἠπίστει πολ-
λούς, ἀναγκάσας τοὺς μὲν αὐτῶν καὶ γυναῖκας ἄγειν, τοὺς
δὲ καὶ ἀδελφάς, ὡς δεδεμένους τούτοις κατέχοι αὐ-
τούς. καὶ τὸν μὲν Γαδάταν ὁ Κῦρος σὺν τοῖς περὶ αὐ-
τὸν ἔχων ᾔει, καὶ ὁδῶν φραστῆρα, καὶ ὑδάτων, καὶ χι-
λοῦ καὶ σίτου, ὡς ἀεὶ ἐν τοῖς ἀφθονωτάτοις στρατεύοιτο.
ἐπεὶ δὲ πορευόμενος καθεώρα τὴν τῶν Βαβυλωνίων
πόλιν, καὶ ἔδοξεν αὐτῷ ἡ ὁδός, ἣν ᾔει παρ' αὐτὸ τὸ τεῖ-
χος φέρειν, καλέσας τὸν Γωβρύαν καὶ τὸν Γαδάταν,
ἠρώτα, εἰ ἄλλη ὁδὸς εἴη, ὥστε μὴ πάνυ πλησίον ἄγειν τοῦ
τείχους. καὶ ὁ Γωβρύας εἶπεν· εἰσὶ μέν, ὦ δέσποτα, καὶ
πολλαὶ ὁδοί. ἀλλ' ἔγωγ', ἔφη, ᾤμην καὶ βούλεσθαι ἄν σε νῦν
ὅτι ἐγγύτατα ἄγειν τῆς πόλεως, ἵνα καὶ ἐπιδείξῃς αὐτοῖς
τὸ στράτευμα, ὅτι σοι ἤδη πολύ τι ἐστὶ καὶ καλόν. ἐπεὶ
καὶ ὅτε ἔλαττον εἶχες, προσῆλθές τε πρὸς αὐτὸ τὸ τεῖχος,
καὶ ἐθεῶντο ἡμᾶς οὐ πολλοὺς ὄντας. νῦν δὲ καὶ εἰ παρεσκευα-
σμένος τί ἐστιν, ὥσπερ πρὸς σὲ εἶπεν, ὅτι παρασκευάσαιτο
ὡς μαχούμενος, οἶδα ὅτι ἰδόντι αὐτῷ τὴν σὴν δύναμιν,
πάλιν ἀπαράσκευαστα τὰ αὐτοῦ φανεῖται. καὶ ὁ Κῦρος πρὸς
ταῦτα εἶπε· δοκεῖς μοι, ὦ Γωβρύα, θαυμάζειν, ὅτι ἐν ᾧ μὲν
χρόνῳ πολὺ μείονα ἔχων στρατιὰν ἦλθον, πρὸς αὐτὸ τὸ τεῖ-
χος προσήγαγον, νῦν δὲ πλείω δύναμιν ἔχων, οὐκ ἐθέλω
ὑπ' αὐτὰ τὰ τείχη ἄγειν. ἀλλὰ γὰρ μὴ θαύμαζ', ἔφη· οὐ γὰρ
τὸ αὐτό ἐστι, προσάγειν τε καὶ παράγειν. προσάγουσι μὲν
γὰρ ἅπαντες οὕτω ταξάμενοι, ὡς ἂν οἴωνται ἄριστα μά-
χεσθαι. ἀπάγουσι μέντοι οἱ σώφρονες, ᾗ ἂν ἀσφαλέστα-
τα, οὐχ ᾗ ἂν τάχιστα ἀπέλθοιεν. παριέναι δὲ ἀνάγκη
ἐστὶν, ἐκτεταμέναις μὲν ταῖς ἁμάξαις, ἀνειργμένοις δὲ
καὶ τοῖς ἄλλοις σκευοφόροις ἐπὶ πολύ. ταῦτα δὲ δεῖ πάν-
τα προκεκαλύφθαι τοῖς ὁπλοφόροις, καὶ μηδαμῇ τοῖς
πολεμίοις, γυμνὰ ὅπλων, τὰ σκευοφόρα φαίνεσθαι.
ἀνάγκη οὖν οὕτω πορευομένων ἐπὶ λεπτὸν καὶ ἀσθενὲς
τὸ μάχιμον τετάχθαι. εἰ οὖν βούλοιντο ἐκ τοῦ τείχους
ἀθρόοι πῃ προσπεσεῖν, ὅπῃ προσμίξαιεν, πολλῷ ἂν ἐρρω-
μενέστερον συμμιγνύειν τῶν παριόντων. καὶ τοῖς μὲν
ἐπὶ μακρὸν πορευομένοις, μακραὶ καὶ αἱ ἐπιβοήθειαι. τοῖς
δ' ἐκ τοῦ τείχους βραχὺ πρὸς τοὺς ἐγγύς, καὶ προσδρα-
μεῖν, καὶ πάλιν ἀπελθεῖν. ἢν δὲ μὴ μεῖον ἀπέχοντες πα-
ρίωμεν, ἢ ἐφ' ὅσον κατόψονται ἡμᾶς, καὶ νῦν ἐκτετα-
μένοι πορευόμεθα, τὸ μὲν πλῆθος κατόψονται ἡμῶν,
ὑπὸ δὲ τῶν παρυφασμένων ὅπλων, πᾶς ὄχλος δεινὸς
φαίνεται. ἢν δ' ἄρα καὶ οὕτως ἰόντων ἐπεξίωσί που,
ἐκ πολλοῦ προορῶντες αὐτούς, οὐκ ἂν ἀπαράσκευοι
λαμβανοίμεθα. μᾶλλον δ', ἔφη, ὦ ἄνδρες, οὐδ' ἐπιχει-
ρήσουσιν,

ῥᾷον οὖσιν, ὁπόταν πρόσω δέοι ἀπὸ τοῦ τείχους ἀπιέναι, ἤν μὴ τοὺς ὅλους ὑπολάβωσι τοῦ παντὸς κρείττους εἶναι. φοβερὸν γὰρ ἡ ἀποχώρησις. ἐπεὶ δὲ ταῦτα εἶπεν, ἔδοξέ τε ὀρθῶς τοῖς παροῦσι λέγειν. καὶ ὁ γωβρύας, ὥσπερ ἐκέλευσεν ἡγεῖτο. παραμειβομένου δὲ τὴν πόλιν τοῦ στρατεύματος, ἀεὶ τὸ ὑπολειπόμενον ἰσχυρὸν ποιούμενος ἀπεχώρει. ἐπεὶ δὲ πορευόμενος οὕτως ἐν ταῖς γιγνομέναις ἡμέραις ἀφικνεῖται πρὸς τὰ μεθόρια τῶν ἀσυρίων καὶ μήδων, ἔνθενπερ ὡρμᾶτο. ἐνταῦθα δὴ τρία ὄντα τῶν ἀσυρίων φρούρια, ἓν μὲν αὐτῶν τὸ ἀσθενέστατον προσβαλὼν, βίᾳ ἔλαβε. τὼ δὲ δύο φρουρίω, φοβῶν μὲν κῦρος, πείθων δὲ γαδάτας, ἔπεισε παραδοῦναι τοὺς φυλάττοντας. ἐπεὶ δὲ ταῦτα διεπράξατο, πέμπει πρὸς κυαξάρην, καὶ ἐπέστελλεν ἥκειν αὐτὸν ἐπὶ τὸ στράτευμα, ὅπως περί τε τῶν φρουρίων, ὧν εἰλήφεσαν βουλεύσαιντο ὅ,τι χρήσαιντο, καὶ ὅπως θεασάμενος τὸ στράτευμα, καὶ περὶ τῶν ἄλλων σύμβουλος γίγνοιτο, ὅ,τι αὖ δοκοίη ἐκ τούτου πράττειν. ἢν δὲ κελεύῃ, εἰπὲ, ἔφη, ὅτι ἐγὼ ἂν ὡς ἐκεῖνον ἴοιμι στρατοπεδευσόμενος. ὁ μὲν δὴ ἄγγελος ᾤχετο, ταῦτ' ἀπαγγελῶν. ὁ δὲ κῦρος ἐκέλευσεν ἐν τούτῳ τὴν γαδάτα τὴν τοῦ ἀσσυρίου σκηνὴν, ἣν κυαξάρει οἱ μῆδοι ἐξεῖλον, ταύτην κατασκευάσαι ὡς κάλλιστα, τῇ τε ἄλλῃ κατασκευῇ ἣν εἶχε, καὶ τὼ γυναῖκε εἰσαγαγεῖν εἰς τὴν γυναικωνῖτιν τῆς σκηνῆς, καὶ σὺν αὐταῖς τὰς μουσουργοὺς, αἵπερ ἐξῃρημέναι ἦσαν κυαξάρει. οἱ μὲν δὴ ταῦτ' ἔπραττον. ὁ δὲ πεμφθεὶς πρὸς τὸν κυαξάρην, ἐπεὶ ἔλεξε τὰ ἐντεταλμένα, ἀκούσας ὁ κυαξάρης αὐτοῦ, ἔγνω βέλτιον εἶναι τὸ στράτευμα μένειν ἐν τοῖς μεθορίοις. καὶ γὰρ οἱ πέρσαι οὓς μετεπέμψατο ὁ κῦρος, ἧκον. ἦσαν δὲ μυριάδες τέτταρες τοξοτῶν καὶ πελταστῶν. ὁρῶν οὖν καὶ τούτους πολλὰ σινομένους τὴν μηδικὴν, τούτων αὖ ἐδόκει ἥδιον ἀπαλλαγῆναι μᾶλλον, ἢ ἄλλον ὄχλον εἰσδέξασθαι. ὁ μὲν δὴ ἐκ περσῶν ἄγων τὸν στρατὸν, ἐρόμενος τὸν κυαξάρην, κατὰ τὴν κύρου ἐπιστολὴν, εἴ τι δέοιτο τοῦ στρατεύματος, ἐπεὶ οὐκ, ἔφη, δεῖσθαι αὐθημερὸν, ἐπεὶ ἤκουσε παρόντα κῦρον, ᾤχετο πρὸς αὐτὸν ἄγων τὸ στράτευμα. ὁ δὲ κυαξάρης τῇ ὑστεραίᾳ ἐπορεύετο σὺν τοῖς παραμείνασι μήδων ἱππεῦσιν. ὡς δ' ᾔσθετο ὁ κῦρος προσιόντα αὐτὸν, λαβὼν τοὺς περσῶν ἱππέας πολλοὺς ἤδη ὄντας, καὶ τοὺς μήδους πάντας, καὶ τοὺς ἀρμενίους, καὶ τοὺς ὑρκανίους, καὶ τῶν ἄλλων συμμάχων τοὺς εὐιπποτάτους τε καὶ εὐοπλοτάτους ἅπαντας λαβὼν, καὶ ἐπεδείκνυσι τῷ κυαξάρει τὴν δύναμιν. ὁ δὲ κυαξάρης, ἐπεὶ εἶδε σὺν μὲν τῷ κύρῳ πολλούς τε καὶ καλοὺς καὶ ἀγαθοὺς συνεπομένους, σὺν ἑαυτῷ δὲ ὀλίγην τε καὶ ὀλίγου ἀξίαν θεραπείαν, ἄτιμόν τι ἔδοξεν αὐτῷ εἶναι, καὶ ἄχος αὐτὸν ἔλαβεν. ἐπεὶ δὲ καταβὰς ὁ κῦρος ἀπὸ τοῦ ἵππου, ἦλθεν ὡς φιλήσων αὐτὸν κατὰ νόμον, ὁ κυαξάρης κατέβη μὲν ἀπὸ τοῦ ἵππου, ἀπεστράφη δὲ, καὶ ἐφίλησε μὲν οὔ. δακρύων δὲ φανερὸς ἦν. ἐκ τούτου δὲ ὁ κῦρος τοὺς μὲν ἄλλους ἅπαντας ἀποστάντας, ἐκέλευσεν ἀναπαύσασθαι. αὐτὸς δὲ λαβόμενος τῆς δεξιᾶς τοῦ κυαξάρου, καὶ ἀπαγαγὼν αὐτὸν τῆς ὁδοῦ ἔξω, ὑπὸ φοίνικάς τινας, τῶν τε μηδικῶν πίλων ὑποβάλλειν ἐκέλευσεν αὐτῷ, καὶ καθίσας αὐτὸν, καὶ παρακαθισάμενος, ἔλεγεν ὧδε. εἰπέ μοι,

dientur quidem, cum à muro oporteat procul abire, ni omnino existimarint meliores se esse uniuersa multitudine quàm nos omnes. Formidabilis est enim aci[?]ceßio. Hæc cum dixisset, præsentibus est uisus recte dicere. Ducebatq; Gobryas, quemadmodum Cyrus iusserat. Cumq; agmē ciuitati opponeretur, Cyrus abscedebat, faciens ualidius semper quod relinqueretur. Vbi uero ita pergit aßiduis diebus, ad confinia uenit Syrorum Medorumq; unde soluerat. Quare cum tria hic essent Syrorum castella, unum ipse quod infirmißimum erat adortus, ui cepit. Alia uerò duo tum Cyrus terrens, tum Gadatas suadens ut custodes traderent, persuasit. Quæ ubi gesta sunt, Cyrus ad Cyaxarem mittit, petitq; ut ueniret in castra, quò & de castellis quæ capta sunt consultarent quod opus fuerit, exercitumq; intutus de alijs quoq; unà consultet quid uideatur exhinc esse agendum. Quòd si iubeat, dic, inquit, decreuisse me ad illum ire castrametaturum. Nuncius igitur ibat ut hæc nunciaret. Interea Cyrus iußit ut tabernaculum quod Medi selegerant Cyaxari, quam optimè pararent cum alio apparatu quem habebant: tum ut mulieres duas agerent in muliebre cœnaculum tabernaculi, unàq; citharistrias quæ erāt Cyaxari electæ. Et hi quidem hæc agebant. Qui autem ad Cyaxarem missus est, cum narrauisset quæ præcepta fuerant, Cyaxares eo audito iudicauit melius esse ut in confinijs maneret exercitus: etenim Persæ uenerant, quos Cyrus accersierat. Erant autem quadraginta millia sagittariorum scutatorumq;. Quare hos quoque uidens nocere plurimum regioni Medicæ, existimauit iucundius esse hisce liberari, quàm aliam turbam excipere. Qui uerò ex Perside agebat exercitum, interrogato Cyaxare pro iussu Cyri, si quid ei exercitu opus sit: ubi respondit eius se non indigere, eodem die ubi audiuit præsentem esse Cyrum, ad eum perrexit exercitum agens. At Cyaxares postridie eius diei profectus est unà cum his Medorum equitibus qui remanserant. Quem Cyrus ut accepit aduenientem, acceptis Persarum equitibus, qui iam multi erant, præsentibusq; Medis, & Armenijs, & Hyrcanijs, & ex alijs socijs item ijs qui equitatum maximè præstarent, obuius pergit Cyaxari, ostentans exercitum. At Cyaxares ubi uidit & multos, & pulchros, & bonos unà Cyrum sequi, secum uerò & paucos, & parui faciundos famulos, existimauit id sibi esse dedecorosum, quare tristatus est. Vbi uero Cyrus ex equo descendisset, adißetque ut eum pro more oscularetur, Cyaxares descendit quidem ab equo, sed auersus est, nec eum est osculatus, sed palam lachrymatus est. Itaque exhinc Cyrus iußit alios surgere atque quiescere. Et apprehensa dextra, ubi eum abegit extra uiam sub quasdam palmas, tum Medicum tapeta ei iußit substerni. Vbi aßidens sedenti illi ita loquutus est; Dic mihi

mihi auuncule per per deos immortales, quid
mihi irasceris? & quid molestum intuitus ita ex
candescis? Hic respondit Cyaxares: Quoniam
Cyre cum uideor ex omni hominum memoria
natus esse, & priscis maioribus, & patre re/
ge, & ipse rex esse existimatus, meipsum intu/
eor humiliter adeò & indignè equitantē, te ue
rò cum famulatu meo alioq; exercitu, et magnū
adesse & præclarū: quæ ipsa etiam ab hostibus
pati molestum arbitror. Sed multò, o Iupiter, mo 10
lestius est ab his hæc pati, à quibus minimè de/
cebat. Ego enim existimō iucundius esse decies
in terrā demergi, quàm humilem adeò me aspi/
ci, meisq; intueri me esse neglectui ac risui. Non
enim hoc ignoro, quòd non tu solum me maior
es, sed mei etiā serui ualentiores quàm ego sim,
mihi obuiam eunt: itaq; sunt instructi ut queant
magis me male afficere, quàm à me affici. Quæ
dicens, multo etiā magis lachrymis tenebatur,
adeò ut Cyrum coēgerit implere lachrymis ocu 20
los. Qui ubi se paulo cōpescuit, in hunc modū
loquutus est: Verùm hæc tu Cyaxares, neq; lo/
queris uera, neq; rectè sentis, si arbitraris mea
præsentia Medos paratos esse, ut satis sint qui
te male afficiāt. Quod uero irascaris metuasq;,
haud miror. Si quidē iure an iniuria his succen
seas, hoc prætereo. Scio enim grauiter te latu/
rum, si tibi pro his respondero. Verùm QUOD
uir princeps omnibus simul subditis sit infestus,
hoc magnum mihi uidetur erratum. Necesse est 30
enim qui metui uultus est, is multos faciat inimi
cos. Qui uerò omnibus simul infestus est, iis o/
mnibus concordiā inijcit: quorum gratia, ne te
lateat uolo, me hos sine me dimittere noluisse:
quippe qui metuerem ne quid accideret ob ira/
cundiā, quod nos omnes dolore afficeret. Hæc
igitur pro deorū ope me præsente tibi securè ha
bent. Quod quidē putes à me iniuriā accipere,
hoc ipse fero admodū grauiter, si dum pro uiri
bus operā do, ut bonis quāplurimis amicos affi 40
ciā, dein huic rei cōtraria uidear operari. Enim
uero non adeo temere nosipsos accusemus. Sed
si fieri potest, perspicue uideamus, quod est meū
in te erratum, & in amicis iustissimā ego cau/
sam habeo constituere. Si quod enim malum ui
debor in te fecisse, iniuriā fateor. Sin mali nihil
fecisse apparuero, nec etiam uoluisse, non item
ipse confitebere nullam accepisse à me iniuriā?
At necesse, inquit, fuerit quod si liquido osten/
dero bona plurima me fecisse, ac facere pro uiri 50
bus studuisse, nonne sum dignus magis quē lau
des, quàm accuses? Iustum sane, respondit. Age
igitur, inquit Cyrus, consideremus quæ à me ge
sta sunt singillatim omnia: sic enim patebit ma/
xime, & quod eorū bonum est, & quod malū.
Incipiamusq; ab hoc initio, si tibi quoq; habere
uidetur satis. Tu enim cū sentires multos hostis
cōuenisse, ut aduersus te tuamq; regionē impetū
facerent, continuo misisti & ad Persarum rem/
pub. socios postulans: et priuatim ad me, rogās,
stude/

μοι, ἔφη, πρὸς τῶν θεῶν, ὦ θεῖε, τί μοι ὀργίζῃ. καὶ τί χα-
λεπὸν ὁρῶν οὕτω χαλεπῶς φέρεις; ἐνταῦθα δὴ ὁ Κυα-
ξάρης αὐτῷ λέγει τοιάδε· ὅτι, ἔφη, ὦ Κῦρε, δοκῶν γε
δὴ, ἐφ' ὅσον ἀνθρώπων μνήμη ἐφικνεῖται, καὶ τῶν πά
λαι προγόνων, καὶ πατρὸς βασιλέως πεφυκὼς, καὶ αὐ
τὸς βασιλεὺς νομιζόμενος εἶναι, ἐμαυτὸν μὲν ὁρῶ οὕτω
ταπεινῶς καὶ ἀναξίως ἐλαύνοντα, σὲ δὲ τῇ ἐμῇ θεραπείᾳ,
καὶ τῇ ἄλλῃ δυνάμει, μέγαν τε καὶ μεγαλοπρεπῆ προσόν
τα. καὶ ταῦτα, χαλεπὸν μὲν οἶμαι, καὶ ὑπὸ πολεμίων
παθεῖν, πολὺ δὲ, ὦ Ζεῦ, χαλεπώτερον, ὑφ' ὧν ἥκιστα ἐ-
χρῆν ταῦτα πεπονθέναι. ἐγὼ μὲν γὰρ δοκῶ, δεκάκις
ἂν κατὰ γῆς ἥδιον δῦναι, ἢ ὀφθῆναι οὕτω ταπεινὸς, καὶ
ἰδεῖν τοὺς ἐμοὺς, ἐμοῦ ἀμελήσαντας, καὶ ἐπεγγελῶντας
ἐμοί. οὐ γὰρ ἀγνοῶ τοῦτ', ἔφη, ὅτι οὐ σύ μου μόνον μεί-
ζων εἶ, ἀλλὰ καὶ οἱ ἐμοὶ δοῦλοι, ἰσχυρότεροι ἐμοῦ ὑπαν-
τιάζουσί μοι· καὶ κατεσκευασμένοι, ὥστε δύνασθαι ποιῆ
σαι μᾶλλον ἐμὲ κακῶς, ἢ παθεῖν ὑπ' ἐμοῦ. καὶ ἅμα ταῦ
τα λέγων, πολὺ ἔτι μᾶλλον ἐκρατεῖτο ὑπὸ τῶν δα-
κρύων, ὥστε καὶ τὸν Κῦρον ἐπεσπάσατο ἐμπλησθῆναι
δακρύων τὰ ὄμματα. ἐπισχὼν δὲ μικρὸν, ἔλεξε τοιάδε
ὁ Κῦρος· ἀλλὰ ταῦτα μὲν, ἔφη, ὦ θεῖε, οὔτε λέγεις ἀλη-
θῶς, οὔτε ὀρθῶς γιγνώσκεις, εἰ οἴει τῇ ἐμῇ παρουσίᾳ Μή/
δους κατεσκευάσθαι, ὥστε ἱκανοὺς εἶναί σε κακῶς ποι/
εῖν. τὸ μέντοι σε θυμοῦσθαι καὶ φοβεῖσθαι, οὐ θαυμάζω.
εἰ μέντοι γε δικαίως ἢ ἀδίκως αὐτοῖς χαλεπαίνεις, πα
ρήσω τοῦτο. οἶδα γὰρ, ὅτι βαρέως ἂν φέροις, ἀκούων ἐμοῦ
ἀπολογουμένου ὑπὲρ αὐτῶν. τὸ μέντοι ἄνδρα ἄρχον/
τα, πᾶσιν ἅμα χαλεπαίνειν τοῖς ἀρχομένοις τοῦτο ἐμοὶ
δοκεῖ μέγα ἁμάρτημα εἶναι. ἀνάγκη γὰρ διὰ τὸ πολλοὺς
μὲν φοβεῖν, πολλοὺς ἐχθροὺς ποιεῖσθαι. διὰ δὲ τὸ ἅμα
πᾶσι χαλεπαίνειν, πᾶσιν αὐτοῖς ὁμόνοιαν ἐμβάλλειν.
ὧν ἕνεκα, εὖ ἴσθι, ἐγὼ οὐκ ἀπέπεμπον ἄνευ ἐμαυτοῦ τού
τους· φοβούμενος, μή τι γένοιτο διὰ τὴν σὴν ὀργὴν, ὅ,
τι πάντας ἡμᾶς λυπήσει. ταῦτα μὲν οὖν σὺν τοῖς θεοῖς
ἐμοῦ παρόντος, ἀσφαλῶς ἔχει σοι. τὸ μέντοι σὲ νομί-
ζειν ὑπ' ἐμοῦ δὲ ἀδικεῖσθαι, τοῦτ' ἐγὼ χαλεπῶς πάνυ
φέρω. εἰ ἀσκῶν, ὅσον δύναμαι, τοὺς φίλους, ὡς πλεῖστα ἀ/
γαθὰ ποιεῖν, ἔπειτα ἐναντίον τούτου δοκῶ ἐργάζεσθαι.
ἀλλὰ γὰρ, ἔφη, μὴ οὕτως εἰκῇ ἡμᾶς αὐτοὺς αἰτιώμεθα.
ἀλλ' εἰ δυνατὸν, σαφέστατα κατίδωμεν, ὁποῖόν ἐστι τὸ
παρ' ἐμοῦ ἀδίκημα, καὶ τὴν ἐν φίλοις δικαιοτάτην
ὑπόθεσιν, ἐγὼ ὑποτίθεμαι. ἂν γάρ τι ἐγὼ φανῶ κα-
κὸν πεποιηκὼς, ὁμολογῶ ἀδικεῖν. ἂν μέντοι μηδὲν
φαίνωμαι κακὸν πεποιηκὼς, μὴ δὲ βουληθῆς, ὃ καὶ σὺ
αὖ ὁμολογήσεις μηδὲν ὑπ' ἐμοῦ ἀδικεῖσθαι; ἀνάγκη,
ἔφη. ἂν δὲ δὴ καὶ ἀγαθὸν πεπραχὼς σοι δῆλος ὦ, καὶ
προθυμούμενος πρᾶξαι ὁπόσα πλεῖστα ἠδυνάμην, οὐκ
ἂν ἐπαίνου σοι ἄξιος εἴην μᾶλλον ἢ μέμψεως; δίκαιον
γοῦν, ἔφη. ἄγε τοίνυν, ἔφη ὁ Κῦρος, σκοπῶμεν τὰ ἐμοὶ
πεπραγμένα πάντα καθ' ἓν ἕκαστον. οὕτω γὰρ δὴ μά
λιστα κατάδηλα ἔσται, ὅ,τι τε αὐτῶν ἀγαθόν ἐστι, καὶ ὅ,
τι κακόν. ἀρξώμεθα δὲ, ἔφη, ἐκ τῆσδε τῆς ἀρχῆς, εἰ καὶ σοὶ
δοκεῖ ἀρκούντως ἔχειν. σὺ γὰρ δήπου, ἐπεὶ ᾔσθου, πολ
λοὺς πολεμίους ἠθροισμένους, καὶ τούτους ἐπὶ σὲ καὶ τὴν
σὴν χώραν ὡρμημένους, εὐθὺς ἔπεμπες πρός τε τὸ Περ
σῶν κοινὸν συμμάχους αἰτούμενος, καὶ πρὸς ἐμὲ ἰδίᾳ,
πειρᾶσθαι

πειρᾶσθαι αὐτόν με ἐλθεῖν ἡγούμενον, εἴ τινες Περσῶν ἴοιεν. οὐκοῦν ἐγὼ ἐπείσθην τε ταῦτα ὑπὸ σοῦ, καὶ παρεγενόμην, ἄνδρας ἄγων σοι ὡς ἐδυνάμην, πλείστους τε καὶ ἀρίστους. ἦλθες γὰρ οὖν, ἔφη. ἐν τούτῳ τοίνυν μοι πρῶτον εἰπὲ, ἔφη, πότερον ἀδικίαν ἐμοῦ πρὸς σὲ κατέγνως, ἢ μᾶλλον εὐεργεσίαν; δῆλον, ἔφη ὁ Κυαξάρης, ὅτι ἔκ γε τούτων εὐεργεσίαν. τί γὰρ, ἔφη, ἐπειδὴ οἱ πολέμιοι ἦλθον, καὶ διαγωνίζεσθαι ἔδει πρὸς αὐτοὺς, ἐν τούτῳ κατεγνώκας με, ἢ πόνου τινὸς ἀποστάντα, ἢ κινδύνου φεισάμενον; οὐ μὰ τὸν Δί', ἔφη. οὐ μὲν δή. τί γὰρ ἐπεὶ νίκης γενομένης σὺν τοῖς θεοῖς ἡμετέρας, καὶ ἀναχωρησάντων τῶν πολεμίων, οὐ παρεκάλουν σε ἐγὼ, ὅπως κοινῇ μὲν αὐτοὺς διώκοιμεν, κοινῇ δὲ τιμωροίμεθα, κοινῇ δὲ εἴ τι ἀγαθὸν ἢ κακὸν συμβαίνοι, τοῦτο καρποίμεθα, ἐν τούτοις ἔχεις τινὰ πλεονεξίαν ἐμοῦ κατηγορῆσαι; ὁ μὲν δὴ Κυαξάρης πρὸς ταῦτα ἐσίγα. ὁ δὲ Κῦρος πάλιν ἔλεγεν ὧδε· ἀλλ' ἐπεὶ πρὸς τοῦτο σιωπᾶν ἥδιόν σοι ἢ ἀποκρίνασθαι, τόδε, ἔφη, εἰπὲ, εἴ τι ἀδικεῖσθαι ἐνόμισας, ὅτι ἐπεί σοι ἐδόκει οὐκ ἀσφαλὲς εἶναι τὸ διώκειν, σὲ μὲν αὐτὸν οὐκ ἀφῆκα τούτου τοῦ κινδύνου μετέχειν, ἱππέας δὲ τῶν σῶν συμπέμψαι ἐδεόμην σου. εἰ γὰρ καὶ τοῦτο αἰτῶν ἠδίκουν, ἄλλως τε καὶ προπαρεσχηκὼς ἐμαυτόν σοι σύμμαχον, τοῦτ' αὖ παρὰ σοῦ, ἔφη, ἐπιδεικνύσθω. ἐπεὶ δὲ αὖ καὶ πρὸς ταῦτα ἐσίγα ὁ Κυαξάρης, ἀλλ' εἰ μὴ δὲ τοῦτο, ἔφη, βούλει ἀποκρίνασθαι, σὺ τοὐντεῦθεν λέγε, εἴ τι αὖ ἠδίκουν. ὅτι σοῦ ἀποκριναμένου ἐμοὶ, ὡς οὐκ ἂν βούλοιο εὐθυμουμένους ὁρῶν Μήδους τούτους, παύσας αὐτοὺς, ἀναγκάζειν κινδυνεύσοντας ἰέναι· εἴ τι αὖ σοι δοκῶ τοῦτο χαλεπὸν ποιῆσαι, ὅτι ἀμελήσας τοῦ ὀργίζεσθαί σοι, ἐκ τούτου πάλιν ᾔτουν σε ὃ ᾔδειν, οὔτε σοὶ μεῖον ὂν δοῦναί μοι οὐδὲν, οὔτε ῥᾷδιον Μήδοις ἐπιταχθῆναι ἐθέλειν. τὸν γὰρ βουλόμενον δήπου ἕπεσθαι ᾔτησά σε δοῦναί μοι. οὐκοῦν τούτου τυχὼν παρὰ σοῦ, οὐδὲν ἦνον, εἰ μὴ τούτους πείσαιμι. ἐλθὼν οὖν ἔπειθον αὐτοὺς, καὶ οὓς ἔπεισα, τούτους λαβὼν ἐπορευόμην σοῦ ἐπιτρέψαντος. εἰ δὲ τοῦτό γε αἰτίας ἄξιον νομίζεις, οὐδ' ὅτι ἂν διδῷς ὡς ἔοικε δέχεσθαι παρὰ σοῦ ἀναίτιόν ἐστιν. οὐκοῦν ἐξωρμήσαμεν οὕτως. ἐπεὶ δ' ἐξήλθομεν, τί ἡμῖν πεπραγμένον οὐ φανερόν ἐστιν, οὐ τὸ στρατόπεδον ἥλωκε τῶν πολεμίων; οὐ τεθνᾶσι πολλοὶ τῶν ἐπὶ σὲ ἐλθόντων; ἀλλὰ μὴν τῶν γε ζώντων ἐχθρῶν, οὐ πολλοὶ μὲν ὅπλων ἐστέρηνται, πολλοὶ δὲ ἵππων; χρήματά γε μὴν τὰ τῶν φερόντων καὶ ἀγαγόντων τὰ σὰ πρότερον, νῦν ὁρᾷς τοὺς σοὺς φίλους, ἔχοντας καὶ ἄγοντας τὰ μὲν σοὶ, τὰ δ' αὖ τοῖς ὑπὸ τὴν σὴν ἀρχήν. τὸ δὲ πάντων μέγιστον καὶ κάλλιστον, τὴν μὲν σὴν χώραν αὐξανομένην ὁρᾷς, τὴν δὲ τῶν πολεμίων μειουμένην· καὶ τὰ μὲν τῶν πολεμίων φρούρια ἐχόμενα· τὰ δὲ σὰ, τὰ πρότερον εἰς τὴν σὴν ἐπικράτειαν συγκατασπασθέντα, νῦν τἀναντία σοι προσκεχωρηκότα. τούτων δὲ εἴτι κακόν σοι, ἢ εἴτι ἀγαθὸν, μαθεῖν μὲν ἔγωγε βούλεσθαι, οὐκ οἶδ' ὅπως ἂν εἴποιμι, ἀκοῦσαι μέντοι, ἔφη, οὐδὲν κωλύει. ἀλλὰ λέγε ὅτι γιγνώσκεις περὶ αὐτῶν. ὁ μὲν δὴ Κῦρος οὕτως εἰπὼν, ἐπαύσατο. ὁ δὲ Κυαξάρης ἔλεξε πρὸς ταῦτα, τάδε· ἀλλ' ὦ Κῦρε, εἰ μὲν ταῦτα ἃ σὺ πεποίηκας καλά ἐστιν, οὐκ οἶδα ὅπως χρὴ λέγειν. εὖ γε μέντοι, ἔφη, ἴσθι, ὅτι ταῦτα τὰ ἀγαθὰ

studerem ut ego ipse uenirem ductor, si qui Persæ ad te iremus. Itaq; ego abs te persuasus ueni, duxiq; ad te uiros, ut fieri potuit, & plurimos, & optimos. Venisti enim, inquit. Hic igitur mihi primum dicito, ullam ne iniuriam aduersus te meam, an beneficium magis nosti? Perspicuum est, inquit Cyaxares, me ex his rebus esse abs te affectum beneficio. Quid enim? inquit, dicito. Posteaquã uenerunt hostes, eratq; aduersus eos dimicandum, animaduertisti me hic usquam aut labori concessisse, aut periculo cuiquam pepercisse? Non, inquit, mehercule: Quid enim? ubi deorũ ope si uicimus, hostesq; cessere, rogaui ego te ut cõmuniter eos insequeremur, & communiter ulcisceremur, cõmuniterq; si quid præclarum bonumq; contingeret, hoc frueremur. His in rebus possisne ullius me auiditatis accusare? Et Cyaxares quidem hac in re silebat. Cyrus autem rursus ita dicebat: Quod si ad hanc rem libentius taces quàm respõdes, hoc sane mihi dicito: si qua te iniuria affectum existimasti, quod ubi tibi tutum uisum non est hostes insequi, te quidem passus nõ sum periculi huius participem fieri, sed ut mihi ex equitibus tuis mitteres, te rogaui. Si enim etiam hoc postulans iniustus in te fui, præsertim cum meipsum præstiterim tibi socium, hoc item uelim abs teipso demonstretur. Sed ubi ad hoc quoq; sileret Cyaxares: Quod si ne ad hoc quidem, inquit, tibi uoluntas est respõdere, tu uelim hinc narres, si quam rursus iniuriam intuli. Quod cum mihi respõdisses, quoniã intueris Medos in lætitia, nolle per eius lætitiæ amotionem eos cogere ut irent periclitatum. Si quid item uideor fecisse molestum tibi, quod neglecta ira post hæc iterum id abs te petij, quod sciebã neq; tibi minus esse mihi ut dares, neq; facile Medis quicquam imperare: petij enim à te, mihi ut dares, qui sequi scilicet uellent: itaq; hoc à te consecutus nihil perfeci, nisi ut hos persuasos redderem. Eos igitur adiens induxi, & quos persuasos reddidi, cum hisce profectus sum teipso assentiente. Quod si hoc accusatione dignũ existimas, neq; sine accusatione fortassis est, à te accepisse quodcunq; dederis. Ita ergo soluimus. Vbi uero egressi sumus, quid minus est perspicuũ, quod gestum à nobis fuerit? Non castra hostium capta sunt? Non multi eorum interempti, qui aduersus te ierunt? Atqui è uiuis etiam inimicis, multis arma ablata sunt, multis equi. Pecunias uero tuas quæ ab hostibus prius ferebantur & agebantur, nunc tuos amicos aspicis & agere, et habere, alias quidem tibi, alias uero sibiipsis qui sub imperio tuo sunt. Et quod omniũ maximum pulcherrimũq; est, regionẽ tuam auctam uides, hostium autem diminutam, eorũq; castella facta esse tua: tua uero quæ prius à Syrorũ dominatu tenebantur, nunc contrà ad te redisse. Ex his aũt rebus si quid mali sit, aut si quid minus boni, discere quidẽ uolens nescio quo pacto dicã, sed audire nihil prohibet. Verum dicito de his rebus ut sentis. Et Cyrus quidem ita loquutus, finem fecit. Ad quæ Cyaxares hæc respondit: Verùm, ô Cyre, quod hæc quæ abs te sunt facta, sint mala, nescio quomodo dicere oportet. Haud sanè es nescius hæc

bona esse talia, quæ quò plura uideantur, eò mihi sunt grauiora. Ego enim mallem regionẽ tuam maiorem facere meis uiribus, quàm meam intueri hoc pacto amplificatam. Nam hæc præclara sunt tibi facienti, ac mihi minime quodammodo honorifica. At pecunias ita iucundius mihi existimo tibi dono dare, quàm ita te capere, ut mihi nunc abs te dantur: his enim abs te ditatus, magis etiam sentio quibus reddor pauperior. Ac subditos meos si uideam parua à te affectos iniuria, minus mihi dolendum reor, quàm nunc intuens magna eos à te bona accepisse. Quòd si me existimas hæc inhumaniter cogitare, non in me ista, sed in te uertens, considera omnia qualia uidentur tibi. Quid enim si quis canes, quas ipse alis custodiæ gratia & ipsius tui & tuorum, ita tractet ut eas familiariores reddat sibiypsi quàm tibi? Num tibi hoc cultu is lætitiam afferat? Quòd si hoc tibi uidetur esse quid parui, illud animo uolutato Si quis eos qui tibi inseruiunt, quos tu & præsidij & expeditionis gratia adeptus es, ita disponat ut illius malint quàm tui esse, num ei gratiam habeas pro hoc beneficio? Quid autem, quod homines maximè & amplectuntur, & curant ut maximè propria, si quis uxori tuæ ita morem gereret, ut eam faceret sibi magis amicam quàm tibi, num te hoc beneficio lætum redderet? Longè, ut opinor, secus esset: sed qui hoc fecerit, maxime omnium iniurius in te foret. Vt autem dicam, quod meo dolori simillimum est: si quis Persis quos tu duxisti, ita gratificaretur ut eum libentius quàm te sequi uellent, num is tibi amicus uideatur? Puto equidem minime, sed longe magis hostis, quàm si multos istorũ interficeret. Quid uero si quis amicorum tuorum, ubi diceres tu benigne, ut capiat quæcunq; libuerit, dein ille his auditis abeat acceptis omnibus quæ potuerit, atq; is rebus tuis ditetur, cum tu ne mediocriter quidẽ uti queas, possisne probum hunc amicum existimare? Atqui nunc ego Cyre si minus hæc, at his similia pati uideor. Nanque uera abs te dicuntur, cum sis dixisse me, ut eos duceres qui id uellent. Tu abijsti accepto meo omni exercitu, me autem reliquisti solum. Et hoc tẽpore quæ cepisti fretus uirib. meis, ea tandẽ agis ad me, meamq; regionẽ auges meo cum labore. Ego uero cum nullorum bonorũ uidear esse causa, meipsum præbeo qui tanquã mulier beneficiã, tum alijs hominibus, tum subditis hisce meis: at ipse tu uir uideris, ego uero ne dignus quidẽ imperio. Hæc ne tibi beneficia uidẽtur esse Cyre? Nec enim te præterit, si qua te mei cura tetigisset, cauisses nulla re ita me priuare, ut autoritate honoreq; Quid.n. mihi plus est quod amplificetur regio si ipse reddor inhonoratus? Nec enim idcirco Medis imperabã, quod ipse omnibus essem melior: sed eo potius, quod ijdem ipsi nos ducerẽt omnibus in rebus sese esse meliores. Et Cyrus eo adhuc dicente subdidit: Per deos immortalis auũcule mi charissime, si quid etiam ipse tibi sum prius gratificatus, tu quoq; mihi nũc gratificare quæ te rogauero Desine hoc tẽpore me accusare. Cũ uero de nobis periculũ feceris,

ἀγαθὰ τοιαῦτά ἐστιν, οἷα ὅσῳ πλείω φαίνεται, τόσῳ ἐμὲ μᾶλλον βαρύνει. τήν τε γὰρ χώραν, ἔφη, ἐγὼ ἂν τὴν σὴν ἐβουλόμην τῇ ἐμῇ δυνάμει μείζω ποιεῖν μᾶλλον, ἢ τὴν ἐμὴν ὑπὸ σοῦ ὁρᾶν οὕτως αὐξανομένην. σοὶ μὲν γὰρ ταῦτα ποιοῦντι, καλά· ἐμοὶ δέ γε ἐστί πῃ ταῦτα ἀτιμίαν φέροντα. καὶ χρήματά γε, ἔφη, ἐγὼ ἂν σοὶ δοκῶ ἥδιον οὕτω δωρεῖσθαι, ἢ παρὰ σοῦ λαμβάνειν, ὧν σὺ νῦν ἐμοὶ δίδως. τούτοις γὰρ πλουτιζόμενος ὑπὸ σοῦ, καὶ μάλα αἰσθάνομαι, οἷς πενέστερος γίγνομαι. καὶ τούς γε ἐμοὺς ὑπηκόους ἰδὼν μικρά γε ἀδικουμένους ὑπὸ σοῦ, ἧττον ἂν δοκῶ λυπεῖσθαι, ἢ νῦν ὁρῶ, ὅτι μεγάλα ἀγαθὰ πεπόνθασιν ὑπὸ σοῦ. εἰ δέ σοι ταῦτα, ἔφη, δοκῶ ἀγνωμόνως ἐνθυμεῖσθαι, μὴ ἐν ἐμοὶ ταῦτα, ἀλλ' ἐν σοὶ τρέψας πάντα, καταθέασαι οἷά σοι φαίνεται. τί γὰρ ἄν, ἔφη, εἴ τις κύνας, ἃς σὺ τρέφεις φυλακῆς ἕνεκα σαυτοῦ τε καὶ τῶν σῶν, ταύτας θεραπεύων, ἑαυτῷ γνωριμωτέρας ἢ σοὶ ποιήσειεν, ἆρ' ἂν εὐφραίνοι σε, τούτῳ τῷ θεραπεύματι; εἰ δὲ τοῦτό σοι δοκεῖ μικρὸν εἶναι, κἀκεῖνο κατανόησον. εἴ τις τοὺς σὲ θεραπεύοντας, οὓς σὺ καὶ φρουρᾶς καὶ θεραπείας ἕνεκα ἐκτήσω, τούτους οὕτω διαθείη, ὡς ἐκείνου μᾶλλον ἢ σοῦ βούλεσθαι εἶναι, ἆρ' ἂν αὐτῇ ταύτης τῆς εὐεργεσίας χάριν αὐτῷ εἰδείης; τί δὲ ὃ μάλιστα ἄνθρωποι ἀσπάζονταί τε καὶ θεραπεύουσιν οἰκειότατα, εἴ τις γυναῖκα τὴν σὴν οὕτω θεραπεύσειεν, ὥστε αὐτὴν φιλεῖν μᾶλλον ποιήσειεν ἑαυτὸν ἢ σέ, ἆρ' ἄν σε τῇ εὐεργεσίᾳ ταύτῃ εὐφραίνοι; πολλοῦ γ' ἄν, ἔφη, οἶμαι καὶ δέοι. ἀλλ' εὖ οἶδ', ὅτι πάντων ἂν μάλιστα ἀδικοίη σε τοῦτο ποιήσας. ἵνα δὲ εἴπω, καὶ τὸ μάλιστα τῷ ἐμῷ πάθει ἐμφερές, εἴ τις οὓς σὺ ἤγαγες Πέρσας, οὕτω θεραπεύσειεν, ὥστε αὐτῷ ἥδιον ἕπεσθαι ἢ σοί, ἆρ' ἂν φίλον αὐτὸν νομίζοις; οἶμαι μὲν οὔ, ἀλλὰ πολεμιώτερον ἄν, ἢ εἰ πολλοὺς αὐτῶν κατακάνοι. τί δὲ εἴ τις τῶν σῶν φίλων, φιλοφρόνως σου εἰπόντος, λαμβάνειν τῶν ἐμῶν ὁπόσα ἐθέλοις, εἰ τοῦτ' ἀκούσας, οἴχοιτο λαβὼν πάντα ὁπόσα δύναιτο, καὶ αὐτὸς μὲν τοῖς σοῖς γε πλουτοίη, σὺ δὲ μὴ δὲ μετρίοις ἔχοις χρῆσθαι, ἆρ' ἂν δύναιο τὸν τοιοῦτον ἄμεμπτον φίλον νομίζειν; νῦν μέντοι ἐγώ, Κῦρε, εἰ μὴ ταῦτα, ἀλλὰ τοιαῦτα ὑπὸ σοῦ δοκῶ πεπονθέναι. σὺ γὰρ ἀληθῆ λέγεις, εἰπόντος ἐμοῦ τοὺς ἐθέλοντας ἄγειν, λαβὼν ᾤχου πᾶσάν μου τὴν δύναμιν, ἐμὲ δὲ ἔρημον κατέλιπες. καὶ νῦν ἃ ἔλαβες τῇ ἐμῇ δυνάμει, ἄγεις δή μοι, καὶ τὴν ἐμὴν χώραν αὔξεις σὺν τῇ ἐμῇ δυνάμει. ἐγὼ δὲ δοκῶ οὐδὲν συναίτιος ὢν τῶν ἀγαθῶν, παρέχειν ἐμαυτὸν ὥσπερ γυνή, εὖ ποιεῖν καὶ τοῖς τε ἄλλοις ἀνθρώποις, καὶ τοῖς δὲ τοῖς ἐμοῖς ὑπηκόοις. σὺ μὲν γὰρ ἀνὴρ φαίνῃ, ἐγὼ δ' οὐκ ἄξιος ἀρχῆς. ταῦτα οὖν σοι δοκεῖ εὐεργετήματα εἶναι, ὦ Κῦρε; εὖ οἶσθ' ὅτι, εἴ τι ἐμοῦ ἐκήδου, οὐδενὸς ἂν οὕτω με ἀποστερεῖν ἐφυλάττου, ὡς ἀξιώματος καὶ τιμῆς. τί γὰρ ἐμοὶ πλέον τὸ τὴν γῆν πλατύνεσθαι, αὐτὸν δὲ ἀτιμάζεσθαι. οὐ γάρ τοι ἐγὼ Μήδων ἦρχον, διὰ τὸ κρείττω πάντων αὐτῶν εἶναι, ἀλλὰ μᾶλλον διὰ τὸ καὶ αὐτοὺς τούτους ἀξιοῦν ἡμᾶς αὐτῶν πάντα βελτίονας εἶναι. καὶ ὁ Κῦρος ἔτι λέγοντος αὐτοῦ, ὑπολαβών, εἶπε· πρὸς τῶν θεῶν, ἔφη, ὦ θεῖε, εἴ τι κἀγώ σοι πρότερον ἐχαρισάμην, καὶ σὺ νῦν ἐμοὶ χάρισαι, ὧν ἄν σου δεηθῶ. παῦσαι, ἔφη, τὸ νῦν εἶναι μεμφόμενός μοι. ἐπειδὰν δὲ πεῖραν ἡμῶν λάβοις,

λάβοις, ὅπως ἔχομεν πρὸς σέ, ἢν μέν σοι φαίνηται τὰ ὑπ' ἐμοῦ πεπραγμένα, ἐπὶ τῷ ἀγαθῷ τῷ σῷ πεποιημένα, ἀσπαζομένου τέ μου σὲ ἀντασπάζου με, εὐεργέτην τε νόμιζε εἶναι. ἢν δ' ἐπὶ θάτερα, τότε μοι μέμφου. ἀλλ' ἴσως τοι, ἔφη ὁ κυαξάρης, καλῶς λέγεις. κἀγὼ ποιήσω ταῦτα. τί οὖν, ἔφη ὁ κῦρος, ἦ καὶ φιλήσω σε; εἰ σὺ βούλει, ἔφη. καὶ οὐκ ἀποστρέψεις με ὥσπερ ἄρτι; οὐκ ἀποστρέψομαι, ἔφη. καὶ ὃς ἐφίλησεν αὐτόν. ὡς δὲ εἶδον οἱ μῆδοι, καὶ οἱ πέρσαι, καὶ ἄλλοι πολλοί (πᾶσι γὰρ ἔμελε τί ἐκ τούτων ἔσοιτο) εὐθὺς ἥσθησάν τε καὶ ἐφαιδρύνθησαν. καὶ ὁ κυαξάρης δὲ καὶ ὁ κῦρος ἀναβάντες ἐπὶ τοὺς ἵππους, ἡγοῦντο. καὶ ἐπὶ μὲν τῷ κυαξάρῃ οἱ μῆδοι εἵποντο. κῦρος γὰρ αὐτοῖς οὕτως ἐπένευσεν. ἐπὶ δὲ τῷ κύρῳ οἱ πέρσαι· ἐπὶ δὲ τούτοις οἱ ἄλλοι. ἐπεὶ δὲ ἀφίκοντο ἐπὶ τὸ στρατόπεδον, καὶ κατέστησαν τὸν κυαξάρην εἰς τὴν κατεσκευασμένην σκηνήν, οἷς μὲν ἐπετέτακτο, παρεσκεύαζον τὰ ἐπιτήδεια τῷ κυαξάρῃ. οἱ δὲ μῆδοι ὅσον χρόνον σχολὴν πρὸ δείπνου ἦγεν ὁ κυαξάρης, ᾖσαν πρὸς αὐτόν· οἱ μὲν καὶ αὐτοὶ ἀφ' ἑαυτῶν· οἱ δὲ πλεῖστοι, ὡς ἐκέλευε ὑπὸ κύρου, δῶρα ἄγοντες· ὁ μέν τις οἰνοχόον καλόν· ὁ δὲ ὀψοποιὸν ἀγαθόν· ὁ δὲ ἀρτοποιόν· ὁ δὲ μουσουργόν· ὁ δὲ ἐκπώματα· ὁ δὲ ἐσθῆτα καλήν. πᾶς δέ τις ὡς ἐπὶ τὸ πολύ, ἕν γέ τι ὧν εἰλήφει, ἐδωρεῖτο αὐτῷ. ὥστε τὸν κυαξάρην μεταγινώσκειν, ὡς οὔτε κῦρος ἀπέστησεν αὐτοὺς ἀπ' αὐτοῦ, οὔτε οἱ μῆδοι ἧττόν τι αὐτῷ προσεῖχον τὸν νοῦν ἢ καὶ πρόσθεν. ἐπειδὴ δὲ δείπνου ὥρα ἦν, καλέσας ὁ κυαξάρης ἠξίου τὸν κῦρον διὰ χρόνου ἰδόντα αὐτὸν συνδειπνεῖν. ὁ δὲ κῦρος εἶπε· μὴ δὴ σὺ κέλευε, ὦ κυαξάρη, ἢ οὐχ ὁρᾷς ὅτι οὗτοι οἱ παρόντες ὑφ' ἡμῶν πάντες ἐπηρμένοι πάρεισιν; οὔκουν καλῶς ἂν πράττοιμι, εἰ τούτων ἀμελῶν, τὴν ἐμὴν ἡδονὴν θεραπεύειν δοκοίην. ἀμελεῖσθαι δὲ δοκοῦντες στρατιῶται, οἱ μὲν ἀγαθοί, πολὺ ἂν ἀθυμότεροι γίγνοιντο· οἱ δὲ πονηροί, πολὺ ὑβριστότεροι· ἀλλὰ σὺ μέν, ἔφη, ἄλλως τε καὶ ὁδὸν μακρὰν ἥκων, δείπνει ἤδη. καὶ εἴ τινές σε τιμῶσιν, ἀντασπάζου καὶ εὐώχει αὐτούς, ἵνα σε καὶ θαρρήσωσιν. ἐγὼ δὲ ἀπιὼν ἐφ' ἅπερ ἔλεγον, τρέψομαι. αὔριον δ', ἔφη, πρωῒ ἐπὶ τὰς σὰς θύρας παρέσονται πάντες οἱ ἐπικαίριοι, ὅπως βουλευσώμεθα σὺν σοὶ τί χρὴ ποιεῖν τὸ ἐκ τοῦδε. σὺ δ' ἡμῖν ἔμβαλε περὶ τούτου, πότερον ἔτι δοκεῖ στρατεύεσθαι, ἢ καιρὸς ἤδη διαλύειν τὴν στρατιάν. ἐκ τούτου ὁ μὲν κυαξάρης ἀμφὶ δεῖπνον εἶχεν. ὁ δὲ κῦρος, συλλέξας τοὺς ἱκανωτάτους τῶν φίλων, καὶ φρονεῖν καὶ συμπράττειν εἴ τι δέοι, ἔλεξε τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΚΥΡΟΥ.

Ἄνδρες φίλοι, ἃ μὲν δὴ πρῶτα ηὐξάμεθα, σὺν θεοῖς πάρεστιν ἡμῖν. ὅποι γὰρ ἂν πορευώμεθα, κρατοῦμεν τῆς χώρας· καὶ μὲν δὴ καὶ τοὺς πολεμίους ὁρῶμεν μειουμένους, ἡμᾶς δὲ αὐτοὺς πλείονάς τε καὶ ἰσχυροτέρους γιγνομένους. εἰ δὲ ἡμῖν ἔτι θελήσειαν οἱ νῦν προσγενόμενοι σύμμαχοι παρεῖναι, καὶ πολλῷ ἂν μᾶλλον ἀνύσαι δυναίμεθα, καὶ εἴ τι βιάσασθαι καιρός, καὶ εἴ τι πεῖσαι δέοι. ὅπως οὖν τὸ μένειν ὡς πλείστοις συνδόξαι τῶν συμμάχων, οὐδὲν μᾶλλον τοῦτο ἐμὸν ἔργον, ἢ καὶ ὑμέτερον μηχανᾶσθαι. ἀλλ' ὥσπερ ὅταν μάχεσθαι δέῃ, ὁ πλείστους χειρωσάμενος, ἀλκιμώτατος δοξάζεται εἶναι· οὕτω καὶ ὅταν που δέῃ

feceris, quomodo erga te habemus, siquidem quæ a me gesta sunt, ea propter utilitatem tuam gesta existimes, & me te amplectentem contrà amplectere, & beneficum arbitrare: si id contra, tum meipsum accusa. Verum fortaßis, inquit Cyaxares, perpulchrè dicis, et ego ita faciam. Quid igitur? inquit Cyrus, num etiam te osculor? Si tu uis, inquit. At ne a me auertere, ut nuper. Non auertar, inquit. Ac Cyrus eum est osculatus. Quod ut uiderunt & Medi, & Persæ, & alij (omnibus enim erat curæ, quid ex his rebus futurum esset) continuò lætati sunt, & hilaritatem præ se tulerunt: Cyrusq; & Cyaxares equis ascensis procedebant. Et Cyaxarem quidem Medi sequebantur: ita enim Cyrus his innuerat: Cyrū uero Persæ, & post hosce alij. Vbi uerò uenerunt in castra, statueruntq; Cyaxarem in apparatū tabernaculū, hi quibus fuerat constitutū, necessaria Cyaxari parabant. At Medi, quātum tēporis ante cœnam Cyaxares ociosus erat, ad eum ibat, alij ex se ultro, plurimi uero a Cyro iussi, agentes munera, alius pulchrum pincernam, alius bonum obsonij instructorē, alius panis artificem, alius cantorem: hi uero pocula, illi uestem pulcherrimam. Quisq; uero ut plurimum aliquid eorum singulare quæ ceperat, ei donabat. Itaq; pœnitebat ad Cyaxarem quod Cyrus eos à sese dimisisset, neq; Medi minus quiddā sibi attendissent quàm antea. Sed ubi fuit cœnandi tempus, Cyrum uocauit Cyaxares, eumq; rogabat ut diu uideret ipsum unà cœnantē. Adquem inquit Cyrus. Noli nunc iubere Cyaxares. Nónne uides hosce omnis qui adsunt, à nobis elatos adesse? Nullo modo pulchre agerem, si his neglectis uoluptati meæ putarer obsequi. MILITES uero dum uidentur haberi neglectui, qui boni sunt, longè minus redduntur alacres: at mali, multo ad contumeliam promptiores. Verùm tu præsertim qui lōgum iter feceris, iam cœnato: ac si qui te honorant, eos contrà amplectere, et conuiuio excipe, quò etiam familiarius te utantur: at ego abiens, uertar ad quæ dico. Verum cras mane huc ad ianuas tuas aderūt tēpestiui, quò unà tecū omnes consulemus, quid posthac sit faciūdum. Et ipse præsens hac de re referto, utrum etiam putes operam dandam rei militari, an sit tempus soluēdi iam exercitus. Exhinc Cyaxares cœnabat. At Cyrus his collectis amicis, qui satis & saperent, et agerent, si quid opus esset, ita loquutus est:

ORATIO CYRI.

Viri amici, quæ prima optabamus, adsunt deorum benignitate. Quocūq; enim pergamus, regionem uincimus: hostesq; uidemus diminui, nos uerò et pluris et ualidiores fieri. Quod si hi socij qui additi sunt, uoluerint apud nos manere, multo etiam magis perficere poßimus, & si quid ui capere tempus sit, & si quid persuadere oporteat. Quo igitur manere quàm plurimis socijs unà uideatur, hoc moliri non meum est opus magis quàm etiam uestrum. Sed quemadmodum quando pugnandum sit, qui plurima fecerit mancipia hunc opinantur inuictißimo esse animo: sic item quando persua

persuadendum sit, qui plurimos egerit in sententiā nostrā, hic iure ac meritò et eloquētissimus esse iudicetur, et ad res agendas præstantissimus. Ac nolue quidē perinde quasi orationē nobis ostētaturi, qualem ad unumquēq; eorū habeatis, hoc meditari, sed quò etiā persuasi à quolibet manifesti sint ex his quæ gerāt, ita instruite. Ac uos quidē gerite horū curā. Ego uero ut milites habētes res necessarias, quantū equidem ipse præstare queā, de expeditione cōsulent, huius ego rei enitar diligentiā habere. 10

XENOPHONTIS DE PAEDIA CYRI LIBER SEXTUS, FRANCISCO Philelpho interprete.

HVNC diem cū ita agitassent, cœnassentq;, dederūt se quieti: postridie uerò mane uenerūt ad Cyaxaris ianuas socij omnes. Itaq; donec Cyaxares ornabatur, audiens turbam multam esse ad fores, hic amici adducebāt ad Cyrum alij Cadusios, 20 qui cum rogarēt ut maneret, alij Hyrcanios, hic autem Sacas, ille etiam Gobryam. At Hystaspas adducebat Gadatam spadonem, qui Cyrum ut maneret precabatur. Hic igitur Cyrus sentiens Gadatā iandiu metu confectum, ne exercitus solueretur, arridens inquit: O Gadata, non est obscurū te ab hoc Hystaspa persuasum hæc sentire quæ dicis. Et Gadatas sublatis ad cœlum manibus iuratus est, sanè se minimè Hystaspa persuasum hæc sentire. Sed nō 30 sum, inquit, nescius, si uos abieritis, fore ut res meæ omnino pereant. Quamobrem cum hoc ego dissererebam, sciret'ne quæ tibi mens foret de soluēdo exercitu. Ad quem inquit Cyrus: Iniustè igitur hunc ego Hystaspam accuso. Iniuste mediusfidius, Hystaspas inquit, ô Cyre. Ego enim huic Gadatæ tantum dicebam, dūtaxat non fieri posse ut militiæ operam dares, inquiens te à patre accersi. Et Cyrus: Quid ais? inquit. Et tu es ausus hæc efferre, siue ego uellem, siue non? Ita, inquit, mehercule. Video enim te 40 cupere ut in Persis conspicuus circumeas, patriq; ostentes ut gesseris quæq;. Ad quem Cyrus inquit: Tu uerò non cupis abire domum? Non mehercule, inquit Hystaspas, neq; abiturus sum quidem, sed manens me ducem geram, donec hunc ipsum Gadatam Assyrij herum faciam. Et hi quidem hæc inuicem serio iocabantur. Interim Cyaxares uenerabili ornatus habitu egressus, in solio sedit Medico. Vt uerò conuenerunt omnes quos oportebat, ac silentium factum est, Cyaxares in hunc modum est 50 loquutus: Viri socij, quoniam adsum, ac Cyro sum grandior par est me dicendi initium facere. Nunc igitur tempus mihi uidetur esse, ut hæc primum de re dicatur, utrum adhuc militandi tempus uideatur, an soluendi iam exercitus. Dicat igitur aliquis de hac ipsa re sententiam suam. Exhinc primum dixit Hyrcanius: Viri socij, nescio equidem si quid dicendū sit, ubi res ipsæ quod optimū est demōstrant. Nouimus enim omnes, si unà maneamus, futurū ut malis plurib. hostes afficiamus, q̄ ipsi afficiamur. Cum

δίκη βουλῆς, ὁ πλείστους ὁμογνώμονας ἡμῖν πείσας, οὗτος δικαίως ἂν λεκτικώτατός τε καὶ πρακτικώτατος φαίνοιτο εἶναι. καὶ μὴν ποιούς λόγους ἡμῖν ἐπιδεικνύμενοι, οἵους ἂν εἴποιτε πρὸς ἕκαστον αὐτῶν, τούτου μὲν μὴ μελετᾶτε, ἀλλ' ὡς τοὺς πεπεισμένους ὑφ' ἑκάστου δήλους εἶναι οἷς ἂν πράττωσιν, οὕτω παρασκευάζεσθε. καὶ ὑμεῖς μὲν, ἔφη, τούτων ἐπιμελεῖσθε. ἐγὼ δὲ ὅπως ἂν ἔχοντες τὰ ἐπιτήδεια ὅσα ἂν ἐγὼ δύνωμαι, οἱ στρατιῶται περὶ τοῦ στρατεύεσθαι βουλεύωνται, πειράσομαι ἐπιμελεῖσθαι.

ΞΕΝΟΦΩΝΤΟΣ ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ ΕΚΤΟΝ.

ΤΑΥΤΗΝ μὲν δὴ τὴν ἡμέραν οὕτω διαγαγόντες καὶ δειπνήσαντες, ἀνεπαύοντο. τῇ δ' ὑστεραίᾳ πρῲ ἧκον ἐπὶ τὰς κυαξάρου θύρας πάντες οἱ σύμμαχοι. ἐν ᾧ οὖν ὁ κυαξάρης ἐκοσμεῖτο, ἀκούων ὅτι πολὺς ὄχλος ἐπὶ ταῖς θύραις εἴη, ἐν τούτῳ οἱ φίλοι τῷ κύρῳ προσῆγον· οἱ μὲν καδουσίους δεομένους αὐτοῦ μένειν· οἱ δὲ ὑρκανίους· ὁ δέ τις γωβρύαν· ὁ δέ τις σάκας· ὑστάσπης δὲ γαδάταν τὸν εὐνοῦχον προσῆγε δεόμενον τοῦ κύρου μένειν. ἔνθα δὴ ὁ κῦρος γινώσκων ὅτι ὁ γαδάτας πάλαι ἀπολώλει τῷ φόβῳ, μὴ λυθείη ἡ στρατιά, ἐπιγελάσας εἶπεν· ὦ γαδάτα, δῆλος εἶ, ἔφη, ὑπὸ ὑστάσπου τοῦδε πεπεισμένος ταῦτα γινώσκειν ἃ λέγεις. καὶ ὁ γαδάτας ἀνατείνας τὰς χεῖρας πρὸς τὸν οὐρανὸν, ἀπώμοσεν, ἦ μὴν, μὴ ὑπὸ τοῦ ὑστάσπου ταῦτα πεπεῖσθαι ἃ γιγνώσκοι. ἀλλ' οἶδα, ἔφη, ὅτι ἢν ὑμεῖς ἀπέλθητε, ἔρρει τὰ ἐμὰ παντελῶς. διὰ ταῦτ', ἔφη, καὶ τούτῳ ἐγὼ αὐτὸς προσῆλθον, ἐρωτῶν, εἰ εἰδείη, τίνα γνώμην ἔχεις περὶ τῆς διαλύσεως τοῦ στρατεύματος. καὶ ὁ κῦρος εἶπεν· ἀδίκως γὰρ ἐγὼ, ὡς ἔοικεν, ὑστάσπην αἰτιῶμαι. καὶ ὁ ὑστάσπης εἶπε· ναὶ μὰ δία, ἔφη, ὦ κῦρε, ἀδίκως μὲν δή. ἐπεὶ δὴ ἔγωγε καὶ ἀντέλεγον γαδάτᾳ, ὡς οὐχ οἷόν τέ σοι μένειν, λέγων ὅτι ὁ πατήρ σε μεταπέμποιτο. καὶ ὁ κῦρος· τί λέγεις, ἔφη. καὶ τοῦτο σὺ ἐτόλμας ἐξενεγκεῖν, εἴτ' ἐγὼ ἐβουλόμην εἴτε μή; μὰ δί', ἔφη. ὁρῶ γάρ σε ὑπερ ἐπιθυμοῦντα ἐν πέρσαις περίβλεπτον περιελθεῖν, καὶ τῷ πατρὶ ἐπιδείξασθαι, ᾗ ἕκαστα διεπράξω. ὁ δὲ κῦρος ἔφη· σὺ δὲ οὐκ ἐπιθυμεῖς οἴκαδε ἀπελθεῖν; μὰ δί', ἔφη ὁ ὑστάσπης, οὐδ' ἄπειμί γε, ἀλλὰ μένων στρατηγήσω, ἕως ἂν ποιήσω γαδάταν τουτονὶ δεσπότην τοῦ ἀσσυρίου. οἱ μὲν δὴ τοιαῦτα ἔπαιζον σπουδῇ πρὸς ἀλλήλους. ἐν δὲ τούτῳ ὁ κυαξάρης σεμνῶς κεκοσμημένος ἐξῆλθε, καὶ ἐπὶ θρόνου μηδικοῦ ἐκαθέζετο. ὡς δὲ πάντες συνῆλθον οὓς ἔδει, καὶ σιωπὴ ἐγένετο, κυαξάρης εἶπεν ὧδε· ἄνδρες σύμμαχοι, ἴσως ἐπειδὴ παρὼν τυγχάνω, καὶ πρεσβύτερός εἰμι κύρου, εἰκός με ἄρχειν λόγου. νῦν οὖν μοι δοκεῖ καιρὸς, ἔφη, εἶναι περὶ τούτου διαλέγεσθαι πρῶτον, πότερον στρατεύεσθαι καιρὸς δοκεῖ εἶναι ἔτι, ἢ διαλύειν ἤδη τὴν στρατιάν. λεγέτω οὖν τις, ἔφη, περὶ αὐτοῦ τούτου ᾗ γινώσκει. ἐκ τούτου πρῶτος μὲν εἶπεν ὁ ὑρκάνιος· ἄνδρες σύμμαχοι, οὐκ οἶδα μὲν ἔγωγε εἴ τι δεῖ λόγων, ὅπου αὐτὰ τὰ ἔργα δεικνύει τὸ κράτιστον. πάντες γὰρ ἐπιστάμεθα, ὅτι ὁμοῦ μὲν ὄντες, πλείω κακὰ ποιοῦμεν τοὺς πολεμίους ἢ πάσχομεν. ὅτε

ἐπεὶ δὲ χωρὶς ἦμεν ἀλλήλων, ἐκεῖνοι ἡμῖν ἐχρῶντο, ὡς ἐκεί-
νοις μὲν ἥδιστον, ἡμῖν γε μὴν ὡς χαλεπώτατον. ἐπὶ τού-
τῳ ὁ καδούσιος εἶπεν· ἡμεῖς δὲ τί ἂν λέγοιμεν, ἔφη, περὶ
τοῦ οἴκαδε ἀπελθόντας ἕκαστοι χωρὶς εἶναι, ὅπου γε οὐδὲ
στρατευομένοις ὡς ἔοικε χωρίζεσθαι συμφέρει. ἡμεῖς γοῦν
οὐ πολὺν χρόνον, δίχα τοῦ ἡμετέρου πλήθους στρατευσά-
μενοι, δίκην ἔδομεν, ὡς καὶ ὑμεῖς ἐπίστασθε. ἐπὶ τούτῳ
ἀρτάβαζος, ὁ συγγενὴς εἶναί ποτε φήσας κύρῳ, εἶπε
τάδε· ἐγὼ δ᾽, ἔφη, ὦ κυαξάρη, τοσοῦτον διαφέρομαι
τοῖς πρόσθεν λέγουσιν. οὗτοι μὲν γάρ φασιν, ὅτι δεῖ
μένοντας στρατεύεσθαι. ἐγὼ δὲ λέγω, ὅτι ὅτε οἴκοι ἦμην,
ἐστρατευόμην. καὶ γὰρ ἐβοήθουν πολλάκις τῶν ἡμετέ-
ρων ἀγομένων, καὶ περὶ τῶν σφετέρων φρουρίων, ὡς
ἐπιβουλευσομένων, πολλάκις πράγματα εἶχον, φοβού-
μενός τε καὶ φρουρῶν. καὶ ταῦτα ἔπραττον τὰ οἰκεῖα
δαπανῶν. νῦν δὲ ἔχω μὲν τὰ ἐκείνων φρούρια, καὶ οὐ
φοβοῦμαι ἐκείνους. εὐωχοῦμαι δὲ τὰ ἐκείνων, πίνω δὲ
τὰ τῶν πολεμίων. ὡς οὖν τὰ μὲν οἴκοι στρατιὰν οὖσαν,
τὰ δ᾽ ἑορτὴν, ἐμοὶ μὲν δοκεῖ, ἔφη, διαλύειν τήνδε τὴν
πανήγυριν. ἐπὶ τούτῳ ὁ γωβρύας εἶπεν· ἐγὼ δ᾽, ὦ ἄν-
δρες σύμμαχοι, μέχρι μὲν τοῦδε ἐπαινῶ τὴν κύρου δε-
ξιάν. οὐδὲν γὰρ ψεύδεται ὧν ὑπέσχετο. εἰ δ᾽ ἄπεισιν
ἐκ τῆς χώρας, δηλονότι ὁ μὲν ἀσσύριος ἀναπαύσεται,
οὐ τίνων ποινὰς, ὧν τε ὑμᾶς ἐπεχείρησεν ἀδικεῖν, καὶ
ὧν ἐμὲ ἐποίησεν. ἐγὼ δὲ ἐν τῷ μέρει πάλιν ἐκείνῳ δώ-
σω δίκην, ὅτι ὑμῖν φίλος ἐγενόμην. ἐπὶ τούτοις πᾶσι
κῦρος εἶπεν· ὦ ἄνδρες, οὐδ᾽ ἐμὲ λανθάνει, ὅτι ἢν νῦν
διαλύωμεν τὸ στράτευμα, τὰ μὲν ἡμέτερα ἀσθενέστερα
γίγνεται· τὰ δὲ τῶν πολεμίων πάλιν αὐξήσεται. ὅσοι
μὲν γὰρ αὐτῶν ὅπλα ἀφῄρηνται, ταχὺ ἄλλα ποιήσον-
ται· ὅσοι τε ἵππους ἀπεστέρηνται, ταχὺ πάλιν ἄλλους
κτήσονται· ἀντὶ δὲ τῶν ἀποθανόντων ἕτεροι καὶ ἐφηβή-
σονται, καὶ ἐπιγενήσονται. ὥστε οὐδὲ θαυμαστὸν, εἰ ἐν τά-
χει πάλιν ἡμῖν πράγματα παρέχειν δυνήσονται. τί
δῆτα ἐγὼ κυαξάρην λόγον ἐκέλευσα ἐμβαλεῖν πε-
ρὶ καταλύσεως τῆς στρατιᾶς; εὖ ἴστε, ἔφη, ὅτι φοβούμενος
τὸ μέλλον. ὁρῶ γὰρ ἡμῖν ἀντιπάλους προσιόντας, οἷς ἡ-
μεῖς εἰ ὧδε στρατευσόμεθα, οὐ δυνησόμεθα μάχεσθαι.
προσέρχεται μὲν γὰρ δήπου χειμών. στέγαι δ᾽ εἰ καὶ ἡμῖν
αὐτοῖς εἰσιν, ἀλλὰ μὰ δία, οὐχ ἵπποις, οὐδὲ θεράπου-
σιν, οὐδὲ τῷ δήμῳ τῶν στρατιωτῶν, ὧν ἄνευ ἡμεῖς οὐκ ἂν
δυναίμεθα στρατεύεσθαι. τὰ δ᾽ ἐπιτήδεια, ὅπου μὲν ἡμεῖς
ἐληλύθαμεν, ὑφ᾽ ἡμῶν ἀνήλωται. ὅπου δὲ οὐκ ἀφίγ-
μεθα διὰ τὸ ἡμᾶς φοβεῖσθαι, ἀνακεκομισμένα εἰσὶν εἰς
ἐρύματα, ὥστε αὐτοὶ μὲν ἔχειν, ἡμᾶς δὲ ταῦτα μὴ δύ-
νασθαι λαμβάνειν. τίς οὖν οὕτως ἀγαθὸς, ἢ τίς οὕτως
ἰσχυρὸς, ὃς λιμῷ καὶ ῥίγει δύναιτ᾽ ἂν μαχόμενος στρα-
τεύεσθαι; εἰ μὲν οὖν οὕτω στρατευσόμεθα, ἐγὼ μέν
φημι χρῆναι ἑκόντας ἡμᾶς καταλῦσαι τὴν στρα-
τιὰν μᾶλλον, ἢ ἄκοντας ὑπ᾽ ἀμηχανίας ἐξελαθῆ-
ναι. εἰ δὲ βουλόμεθα ἔτι στρατεύεσθαι, τόδ᾽ ἐγώ
φημι χρῆναι ποιεῖν, πειρᾶσθαι ὡς τάχιστα τῶν μὲν
ἐκείνων ὀχυρῶν ἡμᾶς ὡς πλεῖστα παραιρεῖν. ἡμῖν δ᾽
αὐτοῖς, ὡς πλεῖστα ἰσχυρὰ ποιεῖσθαι. εἰ γὰρ ταῦτα γένη-
ται, τὰ μὲν ἐπιτήδεια πλείονα ἕξουσιν, ὁπότεροι ἂν
πλείω δύνωνται λαμβάνοντες ἀποτίθεσθαι· πολιορκή-
σονται

Cum uerò separati inuicem fuimus, illi nobis ute-
bantur ut ijs iucundissimum erat, nobis autem mo-
lestissimum. Post hunc inquit Cadusius: Nos uerò
quid dicamus? qui si domum abeamus, singuli sepa
rati futuri simus, ubi ne militantibus quidem con-
ducit ipsa separatio. Nos igitur qui non multũ tem
poris separati à multitudine nostra rei militari ope
ram indulsimus, pœnam dedimus, ut ipsi nostis.
At post hunc Artabazus, qui olim dixit se consan
guineũ esse Cyri, ita loquutus est: Ego, Cyaxares,
tantum ab his dissentio qui antea dixerũt. Hi enim
aiunt adhuc manere oportere cum exercitu: at ego
dico, quod domi cum essem, tum rem militarem ex
ercebam. Etenim ferebam auxiliũ sæpe cum res no
stræ agerentur, & de nostris castellis ut insidijs cir
cũuentis persæpe negocia habebam, cum & metue
rem, & præsidium agitarem: & hæc gerebam pro
prijs sumptibus. At nunc illorum habeo castella,
et illis metui sum, dapibus illorum utor, ac bibo ho
stium uina. Tanquam igitur res domesticæ sint ex
ercitus, hæ uerò festiuitas, mihi quidem nõ uidetur
soluendam esse hanc celebritatem. Gobryas post
hunc ait: Ego, uiri socij, huc quidem usq; laudo Cy
ri dextram: eorum enim nihil mentitur quæ promi-
sit. Quod si abibit ex regione, Assyrius uidelicet re
quiescet minime, earum rerũ pœnas luens, quibus
& uos est aggressus, & me affecit iniuria. Ego au
tẽ ea in parte uerũ dabo pœnam, quod in uestram
ueneram amicitiam. Post hos autem omnes inquit
Cyrus, Ô uiri, neq; me latet futurum ubi soluamus
exercitũ, ut res nostræ reddantur imbecilliores, ho
stium uerò rursus augeãtur. Ii enim omnes quibus
arma sunt ablata, celeriter alia sunt facturi. Qui-
cunq; equis priuati sunt, quamprimũ rursus alios
comparabunt: & pro interemptis alij pubescent,
ac nascentur. Itaq; nihil mirabile fuerit, si celeriter
admodum nobis sint negocia præbituri Quid igi-
tur iussi ego Cyaxari, ut uerbum inijceret de sol-
uendo exercitu? Nempe, quoniam quod futurum
esset metuebam. Video enim aduersarios aduenta-
re, aduersus quos si hic castrametabimur, pugna-
re minime poterimus. Aduentat enim iam hyems.
Tecta uero si etiam sunt nobisipsis, at minime sunt
medius fidius neq; equis, neq; famulis, neq; militũ
plebi, sine quibus nos haud possimus militiæ ope-
ram dare. Necessaria uerò quem in locum ipsi ue-
nimus, à nobis consumpta sunt. quò uero non ueni
mus, ea metu nostri ipsorum conuexerunt in loca
munita. Itaq; illi habẽt, nos uero hæc capere haud
possumus. QVIS igitur est adeò fortis, aut quis ita
ualidus, ut possit aduersus famem ac frigus mili-
tando pugnare? Quare si hoc pacto militiam exer
cebimus, ego affirmo oportere nos ultro soluere
exercitum potius, quàm inuitos ob difficultatem
expelli. Quod si uolumus adhuc esse in exercitu,
hoc ego dico adhuc quamcelerrime esse faciundũ,
ut ipsi quamprimum munitiones quàm plurimas
illorum capiamus, ac nobisipsis easdem faciamus
quàmplurimas. Quæ si fiant, res necessarias habitu
ri sunt, utri pluris queant capiendo congerere: obsi

debunt etiam hi utri fuerint superiores. Nunc autē
nihilo præstamus in pelago nauigantib. ETENIM
illi cum semper nauigant, nihilo magis proprium
relinquunt quod nauigarunt, quàm quod nondum
nauigarunt. Quod si castella habuerimus, hæc ho
stibus agrum alienabunt, nobis uero propter tran/
quillitatem omnia magis erunt. Quod si fortaßis
aliqui uestrûm metuerint, ubi opus fuerit procul à
sua regione præsidium agitare, neq; hoc uerebimi
ni. Nos enim Persæ ubi etiā à domo imus peregrè,
admittimus tenere præsidijs, quæ castella hostes
sunt propißima. Vos autē Assyriæ castella quæ uo
bisipsis finitima sunt, illa & poßidetis & colitis.
Si enim ipsi tenentes præsidijs quæ illis propinqua
sunt, ea colere poßimus, in multa pace uos eritis,
qui in ea quæ procul à uobis sunt, habetis. Non.n.
poterūt, ut existimo, malis ijs neglectis quæ sunt in
proximo, uobis quos finitimos hēnt insidiari. Quæ
quidē ut dicta sunt, et alij omnes surgētes dixerūt,
hæc se malle. Et uē Cyaxares. Gadatas uero et Go
bryas uterq; dixere castella se muniuros muro, u/
bi socij assentiātur, ut hæc quoq; amica sint socijs.
Cyrus igitur posteaquā uidit oēs impigre acturos
quæcūq; dixisset, postremo ait: Si ergo perficere uo
lumus quæcūq; dicimus esse faciūda, opus sit utquā
primū machinas habeamus ad purgandos hostiū
muros, fabrosq; ad munimēta nostra turrib. cingē
da. Exhinc pollicitus est Cyaxares machinā se præ
biturū, & Gadatas aliam, et aliam Gobryas, ac Ti
granes item aliā. Ipse autē Cyrus dixit, enixurū se/
se duas facere machinas. Vbi hæc decreta sunt, præ
buerunt machinarū fabros. Parabantur autē singu
li ad machinas, ut opus erat, uirosq; præfecerūt qui
uidebātur maxime ad hæc esse idonei. Ac Cyrus po
steaquā cognouit circa hæc esse cunctandū, eo in
loco est castrametatus, quē putauit et saluberrimū
esse, ac maximè accessibilē ad quæcūq; sunt adue/
hēda. Et omnia quæ ad munitionē opus erant, effe/
cta reddidit, quo manerēt in tuto semper si quando
ulterius cum uirib. exercitū ducerent. Ad hæc inter
rogatis quos maxime arbitrabatur regionis habere
notitiā unde quamplurimā utilitatē exercitus cape
ret, educebat semper in loca pastionib referta, tū ut
plurima necessaria exercitus caperet, tum etiā quo
magis et bene ualerent, et robusti essent itineribus
laborantes, tum præterea quo in uecturis ordines
admonerent. Cyrus igitur in his erat. At ex Babylo
ne transfugæ & captiui hæc dicebant, quod Assy
rius uenisset in Lydiam, talenta multa secum agēs
auri & argenti, aliasq; diuitias multiplicemq; or/
natū. Itaq; turba militū dicebat illū iam pecunias
colligere propter metū. Cyrus uero intelligēs eum
uenisse ut cōstitueret si quid posset aduersus sese, cō
trà ipse magno cū robore parabatur, perinde atq;
pugnandū etiam esset. Cumq; explesset Persarum
equitatum, alijs ex captiuis, alijs quibusdā ab ami/
cis quoq; acceptis equis (hæc enim et admittebat
ab hominib. et renuebat nihil, neq; si arma dedisset
quis pulchra, neq; si equum) parabat etiam currus
et ex captiuis currib. & aliūde undecūq; poterat:
&

σονται δὲ ὁπότεροι ἂν ἥσσους ὦσι. νῦν δ' οὐδὲν διαφέ
ρομεν τῶν ἐν πελάγει πλεόντων. καὶ γὰρ ἐκεῖ οἱ πλέον
τες μὲν ἀεί, τὸ δὲ πεπλευσμένον, οὐδὲν οἰκειότερον τοῦ
ἀπλεύστου καταλείπουσιν. ἢν δὲ φρούρια ἡμῖν γένηται,
ταῦτα ἤδη τοῖς μὲν πολεμίοις ἀλλοτριώσει τὴν χώ
ραν, ἡμῖν δὲ ὑπ' εὐδίας μᾶλλον ἔσται πάντα. ὃ δὲ ἴσως
ἄν τινες ὑμῶν φοβηθεῖεν, εἰ δεήσει πόρρω τῆς ἑαυτῶν φρου
ρεῖν, μηδὲν τοῦτο ὀκνήσητε. ἡμεῖς μὲν γὰρ ἐπείπερ
ὡς οἴκοθεν ἀποδημοῦμεν, φρουρήσειν ἡμῖν ἀναδεχόμεθα
τὰ ἐγγύτατα χωρία τῶν πολεμίων, ὑμεῖς δὲ τὰ πρόσο
ρα ὑμῖν αὐτοῖς τοῖς ἀσσυρίοις ἐκεῖνα κτᾶσθε καὶ ἐργά
ζεσθε. ἢν γὰρ ἡμεῖς τὰ πλησίον αὐτῶν δυνώμεθα φρου
ροῦντες σῴζειν, ἐν πολλῇ ὑμεῖς εἰρήνῃ, οἱ τὰ πρόσω αὐ
τῶν ἔχοντες βιοτεύσετε. οὐ γάρ, οἶμαι, δυνήσονται τῶν
ἐγγὺς αὐτοῖς κακῶν ἀμελοῦντες, τοῖς πρόσω ὑμῖν ἐπι
βουλεύειν. ὡς δὲ ταῦτα ἐρρήθη, οἵ τε ἄλλοι πάντες ἀνιστά
μενοι συμπροθυμήσεσθαι ταῦτ' ἔφασαν καὶ κυαξάρης.
γαδάτας δὲ καὶ γωβρύας, καὶ τεῖχος αὐτῶν ἑκάτερος,
ἢν ἐπιτρέψωσιν οἱ σύμμαχοι, τειχιεῖσθαι ἔφασαν, ὥστε καὶ
ταῦτα φίλια τοῖς συμμάχοις ὑπάρχειν. ὁ οὖν κῦρος
ἐπεὶ ἑώρα πάντας προθύμους ὄντας πράττειν ὅσα ἔλε
ξε, τέλος ἔφη· εἰ τοίνυν περαίνειν βουλόμεθα ὅσα φα
μὲν, χρῆναι ποιεῖν ὡς τάχιστα, ἂν δέοι γενέσθαι μηχανὰς
μὲν εἰς τὸ καθαιρεῖν τὰ τῶν πολεμίων τείχη· τέκτονας
δὲ, εἰς τὸ ἡμῖν ἐχυρὰ πυργοῦσθαι. ἐκ τούτου ὑπέσχετο μὲν
κυαξάρης, μηχανὴν αὐτὸς ποιησάμενος παρέξειν. ἄλ
λην δὲ γαδάτας τε καὶ γωβρύας, ἄλλην τιγράνης, ἄλ
λην δὲ αὐτὸς ὁ κῦρος ἔφατο πειρᾶσθαι ποιήσασθαι. ἐ
πεὶ δὲ ταῦτ' ἔδοξεν, ἐπόριζον μὲν μηχανοποιούς. παρ
εσκευάζοντο δ' ἕκαστοι εἰς τὰς μηχανὰς ὧν ἔδει. ἄνδρας
δ' ἐπέστησαν οἳ ἐδόκουν ἐπιτηδειότατοι εἶναι ἀμφὶ ταῦτ'
ἔχειν. κῦρος δὲ ἐπεὶ ἔγνω, ὅτι διατριβὴ ἔσται ἀμφὶ ταῦ
τα, ἐκάθισε μὲν τὸ στράτευμα ἔνθα ᾤετο, ὑγιεινότατον
εἶναι καὶ εὐπροσοδώτατον, ὅσα ἔδει προσκομίζεσθαι. ὅσα
τε ἐρυμνότητος προσεδεῖτο, ἐποιήσατο ὡς ἐν ἀσφαλεῖ
οἱ ἀεὶ μένοντες εἶεν, εἴ ποτε καὶ πρόσω τῇ ἰσχύϊ ἀποστρα
τοπεδεύσαιντο. πρὸς δὲ τούτοις ἐρωτῶν, οὓς ᾤετο μάλι
στα εἰδέναι τὴν χώραν, ὁπόθεν ἂν ὡς πλεῖστα ὠφελοῖτο
τὸ στράτευμα, ἐξῆγεν ἀεὶ πρὸς νομάς. ἅμα μὲν ὡς ὅτι πλεῖ
στα λαμβάνοι τῇ στρατιᾷ τὰ ἐπιτήδεια, ἅμα δ' ὅπως μᾶλ
λον ὑγιαίνοιεν καὶ ἰσχύοιεν διαπονούμενοι ταῖς πορεί
αις. ἅμα δ' ὅπως ἐν ταῖς ἀγωγαῖς τὰς τάξεις ὑπομι
μνήσκοιντο. ὁ μὲν δὴ κῦρος ἐν τούτοις ἦν. ἐκ δὲ Βαβυ
λῶνος οἱ αὐτόμολοι καὶ οἱ ἁλισκόμενοι ταῦτ' ἔλεγον,
ὅτι ὁ ἀσσύριος οἴχοιτο ἐπὶ λυδίας, πολλὰ τάλαντα ἀρ
γυρίου καὶ χρυσίου ἄγων, καὶ ἄλλα κτήματα, καὶ κόσ
μον παντοδαπόν. ὁ μὲν οὖν ὄχλος τῶν στρατιωτῶν ὑπε
λάμβανεν, ὡς ὑπεκτίθοιτο ἤδη τὰ χρήματα φοβούμε
νος. ὁ δὲ κῦρος γιγνώσκων, ὅτι οἴχοιτο συστήσων εἴ τι
δύναιτο, ἀντίπαλον ἑαυτὸν ἀντιπαρεσκευάζετο ἐρρω
μένως, ὡς μάχης ἔτι δεῆσον. ὥστ' ἐξεπίμπλα μὲν τὸ τῶν περ
σῶν ἱππικόν. τοὺς μὲν ἐκ τῶν αἰχμαλώτων· τοὺς δέ τινας
καὶ παρὰ τῶν φίλων λαμβάνων ἵππους. ταῦτα γὰρ παρὰ πάν
των ἐδέχετο, καὶ ἀπεωθεῖτο οὐδέν, οὔτε εἴ τις ὅπλον ἐδίδου
καλόν, οὔτε ἵππον. κατεσκευάζετο δὲ καὶ ἅρματα ἐκ τῶν
αἰχμαλώτων ἁρμάτων, καὶ ἄλλοθεν ὁπόθεν δύναιτο.
καὶ

καὶ τὴν μὲν τρωϊκὴν διφρείαν πρόσθεν οὖσαν, καὶ τὴν κυρηναίων ἔτι νῦν οὖσαν ἁρματηλασίαν κατέλυσε. τὸν γὰρ πρόσθεν χρόνον καὶ οἱ ἐν τῇ μηδίᾳ, καὶ συρίᾳ, καὶ ἀραβίᾳ, καὶ πάντες οἱ ἐν τῇ ἀσίᾳ, τοῖς ἅρμασιν οὕτως ἐχρῶντο, ὥσπερ νῦν οἱ κυρηναῖοι. ἔδοξε δ' αὐτῷ ὃ κράτιστον ἦν, εἰκὸς εἶναι τῆς δυνάμεως ὄντων τῶν βελτίστων ἐπὶ τοῖς ἅρμασι, τοῦτο ἐν ἀκροβολιστῶν μέρει εἶναι, καὶ εἰς τὸ κρατεῖν οὐδὲ μέγα μέρος συμβάλλεσθαι. ἅρματα γὰρ τριακόσια, τοὺς μὲν μαχομένους παρέχεται τριακοσίους. ἵπποις δὲ οὗτοι χρῶνται διακοσίοις καὶ χιλίοις. ἡνίοχοι δ' αὐτοῖς εἰσὶ μὲν ὡς εἰκός, οἷς μάλιστα πιστεύουσιν οἱ βέλτιστοι εἰς τριακοσίους. οὗτοι δέ εἰσιν, οἳ οὐδ' ὁτιοῦν τοὺς πολεμίους βλάπτουσιν. ταύτην μὲν οὖν τὴν διφρείαν κατέλυσεν. ἀντὶ δὲ τούτου πολεμιστήρια κατεσκεύασεν ἅρματα, τροχοῖς τε ἰσχυροῖς, ὡς μὴ ῥᾳδίως συντρίβηται, ἄξοσί τε μακροῖς. ἧττον γὰρ ἀνατρέπεται πάντα τὰ πλατέα. τὸν δὲ δίφρον τοῖς ἡνιόχοις ἐποίησεν, ὥσπερ πύργον ἰσχυρῶν ξύλων. ὕψος δὲ τούτων ἐστὶ μέχρι τῶν ἀγκώνων, ὡς δύνωνται ἡνιοχεῖσθαι οἱ ἵπποι ὑπὲρ τῶν δίφρων. τοὺς δ' ἡνιόχους ἐθωράκισε πάντας πλὴν τῶν ὀφθαλμῶν. προσέθηκε δὲ καὶ δρέπανα σιδηρᾶ ὡς διπήχη πρὸς τοὺς ἄξονας ἔνθεν καὶ ἔνθεν τῶν τροχῶν· καὶ ἄλλα κάτω ὑπὸ τῷ ἄξονι εἰς γῆν βλέποντα, ὡς ἐμβαλόντων εἰς τοὺς ἐναντίους τοῖς ἅρμασιν. ὡς δὲ τότε κῦρος ταῦτα κατεσκεύασεν, οὕτω καὶ ἔτι νῦν τοῖς ἅρμασι χρῶνται καὶ οἱ ἐν τῇ βασιλέως χώρᾳ. ἦσαν δὲ αὐτῷ καὶ κάμηλοι πολλαὶ παρά τε τῶν φίλων συνειλεγμέναι, καὶ αἰχμάλωτοι πᾶσαι συνηθροισμέναι. καὶ ταῦτα μὲν οὕτως ἐπεραίνετο. Βουλόμενος δέ τινα κατάσκοπον πέμψαι ἐπὶ λυδίας, καὶ μαθεῖν, ὅ,τι πράσσοι ὁ ἀσσύριος, ἔδοξεν αὐτῷ ἐπιτήδειος εἶναι ἀράσπας ἐλθεῖν ἐπὶ τοῦτο, ὁ φυλάττων τὴν καλὴν γυναῖκα. συνεβεβήκει γὰρ τῷ ἀράσπᾳ τοιάδε. ληφθεὶς ἔρωτι τῆς γυναικός, ἠναγκάσθη προσενεγκεῖν λόγους αὐτῇ περὶ συνουσίας. ἡ δὲ ἀπέφησε μέν, καὶ ἦν πιστὴ τῷ ἀνδρί, καίπερ ἀπόντι. ἐφίλει γὰρ αὐτὸν ἰσχυρῶς· οὐ μέντοι κατηγόρησε τοῦ ἀράσπου πρὸς τὸν κῦρον, ὀκνοῦσα συμβαλεῖν φίλους ἄνδρας. ἐπεὶ δὲ ὁ ἀράσπας δοκῶν ὑπηρετεῖν, ἀπετύγχανεν ἃ ἐβούλετο, ἠπείλησε τῇ γυναικί, ὅτι εἰ μὴ βούλοιτο ἑκοῦσα, ἄκουσα ποιήσοιτο ταῦτα. ἐκ τούτου ἡ γυνὴ ὡς ἔδεισε τὴν βίαν, οὐκέτι κρύπτει, ἀλλὰ πέμπει τὸν εὐνοῦχον πρὸς τὸν κῦρον, καὶ κελεύει λέξαι ἅπαντα. ὁ δ' ὡς ἤκουσεν, ἀναγελάσας ἐπὶ τῷ κρείττονι τοῦ ἔρωτος φάσκοντι εἶναι, πέμπει ἀρτάβαζον σὺν τῷ εὐνούχῳ, καὶ κελεύει αὐτῷ εἰπεῖν, βιάζεσθαι μὲν μὴ τοιαύτην γυναῖκα, πείθειν δὲ, εἰ δύναιτο, οὐκ, ἔφη, κωλύειν. ἐλθὼν δὲ ὁ ἀρτάβαζος πρὸς τὸν ἀράσπαν, ἐλοιδόρησε, παρακαταθήκην τε ὀνομάζων τὴν γυναῖκα, ἀσέβειάν τε αὐτοῦ λέγων, ἀδικίαν τε καὶ ἀκρασίαν, ὥστε τὸν ἀράσπαν πολλὰ μὲν δακρύειν ὑπὸ λύπης, καταδύεσθαι δ' ὑπὸ τῆς αἰσχύνης, ἀπολωλέναι δὲ τῷ φόβῳ, μή τι πάθῃ ὑπὸ κύρου. ὁ οὖν κῦρος καταμαθὼν ταῦτα, ἐκάλεσέ τε αὐτόν, καὶ μόνος μόνῳ ἔλεξεν· ὁρῶ σε, ἔφη, ὦ ἀράσπα, φοβούμενόν τε ἐμέ, καὶ ἐν αἰσχύνῃ δεινῶς ἔχοντα. παῦσαι οὖν τούτων. ἐγὼ γὰρ θεούς τε ἀκούω, ἔρωτος ἡττῆσθαι· ἀνθρώπους τε οἶδα, καὶ

& Troianos currus sessilis quos antea habuissent, & quo Cyrenaices utuntur etiam nunc, curulem agitationem soluit. Superiore enim tempore et Medi, & Syri, & Arabes, & Asiatici omnes curribus ita utebantur, ut nūc Cyrenaici. Visum est ei, si qui ex uniuerso exercitu consentaneé plurimum ualerent, uiri optimates in curribus forent, eos in illa esse parte qua ferentarij pugnant, & ad uictoriam magnum conferre pondus nullum possunt. Currus enim trecēti præbent pugnantis quidem trecentos, equis autē hi utuntur mille ac ducentis. Aurigæ uero hi sunt, ut uerisimile est, quibus optimates maxime fidē habent. Ii uero sunt alij ad trecentos, qui nihil prorsus hosti nocent. Hos igitur sessilis currus sustulit. Pro his uero ad bellandū aptos parauit currus & ualidis rotis, quo non facile contererentur, et longis axibus: minus enim resupinantur lata omnia. Sellam uerò fecit aurigis, sicuti turrem, ex ualidis lignis. Harum uerò curulium sellarū altitudo est ad cubitos quinq;, quo possint equi ab aurigis gubernari super sellas. At aurigas loricis totos armauit, exceptis oculis. Apposuit etiam falces ferreas duarum ulnarū longitudine ad axes, ex altera atq; altera rotarum parte: & alias infra sub axem respicientis in terram, tāquam impetum in aduersarios curribus facturi essent. Vt hosce Cyrus tum parauit, ita etiam hoc tempore utūtur curribus, qui in regis sunt regione. Insuper erant ei camelí permultæ collectæ ab amicis, & quæcūq; fuerant captæ. Et hæc ita effecta sunt. Cum autē uellet exploratorē mittere in Lydiæ regionē, fieriq; certior quid Assyrius ageret, uisus Araspas est idoneus qui ad hāc rem mitteretur: is inquā Araspas, qui pulchrā illam mulierē custodiebat. Talia enim Araspæ acciderāt, captus amore mulieris coactus est ei uerba facere de concubitu. Hæc autē negauit quidē, eratq; fidelis uiro suo, quāquā absenti: eum enim amabat uehementer: neq; Araspan accusauit apud Cyrū, uerita certamē inijcere inter uiros amicos. Sed cum Araspas existimans in seruitutē ire, si minus quod uolebat cōsequeretur, minatus est mulieri, sese facturū quæ uellet, ea inuita, si ultro ipsa nollet. Exhinc mulier ut uim metuit, non amplius rem clàm habet, sed spadonē suum mittit ad Cyrū, iussum ut ei narraret omnia. Quod audiēs Cyrus, cum plurimū risisset propter eū qui diceret se amore esse superiorē, mittit Artabazū una cum spadone, cui iubet ei ut dicat, ut uim afferre caueret eiusmodi mulieri: uerum si posset persuadere, se illi nō esse impedimento. Artabazus uero ad Araspan ut uenit, conuicio in eum est usus, cū & depositū nominaret mulierē, & eius impietatem diceret, & iniuriam, & incontinentiam, adeo ut Araspas & præ dolore multum collachrymaret, & ob pudorem confunderetur, ac ueluti ob metum periret, ne quid etiam aliud a Cyro pateretur. At Cyrus posteaquam hæc didicit, eo ad se uocato, solus cum solo dixit: Video te Araspa & metuere me, & maximo pudore detineri. Quiesce igitur ab his: ego .n. scio & deos ab amore esse superatos: & homines qui pru

qui prudentißimi esse uiderentur, qualia ab amore
paßi sunt. Et ipse meipsum accusaui, quod minus to
lerare potuerim, ut cum pulchris congressus eos ne
gligerem. Praeterea ego tibi huius rei autor sum.
Nam ego te ad hoc inexpugnabile negocium coe/
gi. Atq; Araspas subdidit: Et in his similis es tu Cy/
re, quemadmodũ in alijs rebus, qui et mãsuetus sis,
& humanis peccatis ignoscas, me autem alij etiam
homines demergunt solicitudine. Vt enim rumor
meae calamitatis apud omnis increbuit, mei inimici 10
gratulantur mihi: amici uero adeuntes cõsulunt, ut
me è medio tollam, ne quid etiam abs te patiar, ut
quod iniustißimus fuerim. Et Cyrus ait: Bene igitur
noueris Araspa, quod hac opinione potes uehemen
ter gratificari mihi, ac socijs prodesse plurimũ. Vti/
nam fiat, inquit Araspas, ut ego tibi opportune rur/
sus sim usui. Igitur, inquit Cyrus, si simulãs à me fu
gere, uelis ad hostes ire, puto fore ut fidem apud il/
los inuenias. Ego sane meduisfidius, inquit Araspas,
puto etiam ab amicis creditũ iri puto, quod tanquã 20
à te fugiẽs rumorem sim praebiturus. Venias igitur,
inquit, ad nos cognitis hostium rebus omnibus: pu/
to autem eos tecum propter fidem cõmunicaturos
et uerba & consilia. Itaq; eorũ nihil te latebit, quae
uolumus nosse. Pergã igitur nunc, inquit Araspas.
Etenim hoc erit unum fortaßis fidei argumentum
quod uidear effugisse, quoniam essem à te aliquid
passurus. Num, inquit, poteris deserere pulchram
Pantheam? Duos, inquit, Cyre, dilucide animos ha/
beo. Nunc ego philosophatus sum cum iniusto so/ 30
phista amore. NON ENIM qui unus sit, simul &
bonus est & malus: neq; simul & honestorum &
turpium operum amore capitur, atq; haec simul uult
agere & non uult. Sed perspicuum est, animos esse
duos: quando bonus dominetur, res agit honestas:
quando autẽ improbus, res turpis aggreditur. Nũc
uero quia te socium cepit, bonus animus domina/
tur, & id admodũ quidem. Si igitur tibi quoq; eun/
dum uidetur, inquit Cyrus, sic faciundum est, quo
etiam illis credaris magis. Enuncia eis quae à nobis 40
geruntur, & ita enuncia, ut quae ijs dixeris, impedi
ant maxime quae uolunt agere. Impedient autem si
nos dicas parari, ut illorum agrum adoriamur. Haec
enim audientes, minus congregentur omnibus uiri/
bus, quisq; enim metuat suis rebus domesticis. Ma
neq; apud illos plurimum temporis. Quaecũq; enim
faciãt, ubi sint maxime prope nos, haec nos scire ma
ximè oportebit. Consule etiam his ut instruãtur, ubi
cunq; uideatur esse optimum. Quando enim tu abie
ris arbitratus eorũ ordinem nosse, necessariũ fuerit 50
ita eos instructos esse: ordinẽ enim mutare uerebun
tur. Quod sicubi uel aliter ordinẽ mutabunt, ex re/
centi ordine turbabuntur. Araspas autem ita egres/
sus cum accepisset fidelißimos famulos, dixissetq;
ad quosdã quae negocio existimabat cõducere, ab/
ijt. At Pãthea ut sensit Araspã abisse, misit ad Cyrũ
dicẽs: Noli Cyre tristari propter Araspae ad hostes
abitionẽ. Nam si me sineris mittere ad uirũ meum,
ego tibi spõdeo illum uenturũ multo quàm Araspas
amicum fideliorem: scioq; futurum ut adsit tibi cum
quantis

καὶ μάλα φρονίμους δοκοῦντας εἶναι, οἷα πεπόνθασιν
ὑπ' ἔρωτος. καὶ αὐτὸς δ' ἐμαυτοῦ κατέγνων, μὴ ἂν καρ-
τερῆσαι ὥστε συνὼν καλοῖς ἀμελῆσαι αὐτῶν. καὶ σοὶ δὲ τού-
του τοῦ πράγματος ἐγὼ αἴτιός εἰμι. ἐγὼ γάρ σε συγκα-
θεῖρξα τούτῳ τῷ ἀμάχῳ πράγματι. καὶ ὁ ἀράσπας ὑπο-
λαβὼν, εἶπεν· ἀλλὰ σὺ μὲν ὦ κῦρε, καὶ ταῦτα ὅμοιος εἶ
οἷόσπερ καὶ τἄλλα, πρᾷός τε καὶ συγγνώμων τῶν ἀν-
θρωπίνων ἁμαρτημάτων. ἐμὲ δ', ἔφη, καὶ οἱ ἄλλοι ἄνθρω-
ποι, καταδύουσι τῷ ἄχει. ὡς γὰρ ὁ θροῦς διῆλθε τῆς ἐ-
μῆς συμφορᾶς, οἱ μὲν ἐχθροὶ ἐφήδονταί μοι· οἱ δὲ φίλοι
προσιόντες συμβουλεύουσιν, ἐκποδὼν ἔχειν ἐμαυτὸν,
μή τι καὶ πάθω ὑπὸ σοῦ, ὡς ἠδικηκότος ἐμοῦ μεγάλα.
καὶ ὁ κῦρος εἶπεν· εὖ τοίνυν ἴσθι, ὦ ἀράσπα, ὅτι ταύτῃ
τῇ δόξῃ, οἷός τ' εἶ ἐμοί τε ἰσχυρῶς χαρίσασθαι, καὶ τοὺς συμ-
μάχους μεγάλα ὠφελῆσαι. εἰ γὰρ γένοιτο, ἔφη ὁ ἀρά-
σπας, ὅτι ἐγώ σοι ἐν καιρῷ ἂν γενοίμην αὖ χρήσιμος. εἰ
τοίνυν, ἔφη, προσποιησάμενος ἐμὲ φεύγειν ἐθέλοις εἰς
τοὺς πολεμίους ἐλθεῖν, οἶμαι ἄν σε πιστευθῆναι ὑπὸ τῶν
πολεμίων. ἔγωγε ναὶ μὰ Δί', ἔφη ὁ ἀράσπας, καὶ ὑπὸ τῶν
φίλων οἶδα, ὅτι ὡς σὲ πεφευγὼς, λόγον ἂν παρέχοιμι.
ἔλθοις ἂν τοίνυν, ἔφη, ἡμῖν, πάντα εἰδὼς τὰ τῶν πολε-
μίων. οἶμαι δὲ καὶ λόγων καὶ βουλευμάτων, κοινωνὸν ἄν
σε ποιοῖντο διὰ τὸ πιστεύειν. ὥστε μηδὲ ἕν σε λεληθέναι,
ὧν βουλόμεθα εἰδέναι. ὡς πορευσόμενος οὖν, ἔφη, ἤδη νυνί.
καὶ γὰρ τοῦτο ἴσθι ἓν τῶν πιστῶν ἔσται, τὸ δοκεῖν με ὑπὸ σοῦ
μέλλοντά τι παθεῖν ἐκπεφευγέναι. ἦ καὶ δυνήσῃ, ἔφη,
ἀπολιπεῖν τὴν καλὴν πάνθειαν; δύο γὰρ, ἔφη, ὦ κῦρε, σα-
φῶς ἔχω ψυχάς. νῦν τοῦτο πεφιλοσόφηκα μετὰ τοῦ ἀδί-
κου σοφιστοῦ τοῦ ἔρωτος. οὐ γὰρ δὴ μία γε οὖσα, ἅμα ἀγαθή
τέ ἐστι καὶ κακή. οὐδ' ἅμα καλῶν τε καὶ αἰσχρῶν ἔργων ἐρᾷ.
καὶ ταὐτὰ ἅμα βούλεταί τε καὶ οὐ βούλεται πράττειν. ἀλλὰ
δηλονότι δύο ἐστὸν ψυχά. καὶ ὅταν μὲν ἡ ἀγαθὴ κρα-
τῇ, τὰ καλὰ πράττεται· ὅταν δὲ ἡ πονηρὰ, τὰ αἰσχρὰ ἐπι-
χειρεῖται. νῦν δὲ ὡς σὲ σύμμαχον ἔλαβε, κρατεῖ ἡ ἀγα-
θὴ καὶ πάνυ πολύ. εἰ τοίνυν καὶ σοὶ δοκεῖ πορεύεσθαι,
ἔφη ὁ κῦρος, ὧδε χρὴ ποιεῖν, ἵνα καὶ ἐκείνοις πιστότερος
εἴης. ἐξάγγελλέ τε αὐτοῖς τὰ παρ' ἡμῶν. οὕτω τε ἐξάγγελ-
λε, ὡς ἂν αὐτοῖς τὰ παρὰ σοῦ λεγόμενα ἐμποδὼν μάλι-
στ' ἂν εἴη, ὧν βούλονται πράττειν. εἴη δ' ἂν ἐμποδὼν, εἰ
ἡμᾶς φαίης παρασκευάζεσθαι ἐμβαλεῖν που τῆς ἐκείνων
χώρας. ταῦτα γὰρ ἀκούοντες, ἧττον ἂν παντὶ σθένει ἀ-
θροίζοιντο, ἕκαστός τις φοβούμενος καὶ περὶ τῶν οἴκοι. καὶ
μένε, ἔφη, παρ' ἐκείνοις ὅτι πλεῖστον χρόνον. ἃ γὰρ ἂν ποι-
ῶσιν, ὅταν ἐγγύτατα ἡμῶν ὦσι, ταῦτα μάλιστα ἡμῖν
καιρὸς εἰδέναι ἔσται. συμβούλευε δ' αὐτοῖς καὶ ἐκτάττε-
σθαι, ὅπῃ ἂν δοκῇ κράτιστον εἶναι. ὅταν γὰρ σὺ ἀπέλθῃς
εἰδέναι δοκῶν τὴν τάξιν αὐτῶν, ἀναγκαῖον οὕτω τε-
τάχθαι αὐτοῖς. μετατάττεσθαι γὰρ ὀκνήσουσι. καὶ ἤν πῃ
ἄλλῃ μετατάττωνται ἐξ ὑπογύου ταράξονται. ἀράσπας μὲν
δὴ οὕτως ἐξελθὼν, συλλαβὼν τοὺς πιστοτάτους θεράπον-
τας, καὶ εἰπὼν πρός τινας, οἷα ᾤετο συμφέρειν τῷ πράγ-
ματι, ᾤχετο. ἡ δὲ πάνθεια, ὡς ᾔσθετο οἰχόμενον τὸν ἀρά-
σπαν, πέμψασα πρὸς τὸν κῦρον, εἶπε· μὴ λυποῦ, ὦ κῦ-
ρε, ὅτι ἀράσπας οἴχεται εἰς τοὺς πολεμίους. ἐὰν γὰρ ἐμὲ
ἐάσῃς πέμψαι πρὸς τὸν ἐμὸν ἄνδρα, ἐγώ σοι ἀναδέχομαι
ἥξειν, πολὺ ἀράσπου πιστότερόν σοι φίλον. καὶ δύναμιν δὲ
ὁπόσην

ἐπόσῳ ἂν δύνηται ἔχων παρέσεσθαι σοι. καὶ γὰρ ὁ μὲν πατὴρ τοῦ νῦν βασιλεύοντος φίλος ἦν αὐτῷ. ὁ δὲ νῦν βασιλεὺς ὢν, καὶ ἐπεχείρησέ ποτε ἐμὲ καὶ τὸν ἄνδρα διασπάσαι ἀπ᾽ ἀλλήλων. ὑβριστὴν οὖν νομίζων αὐτὸν, οἶδ᾽ ὅτι ἀσμένως ἂν πρὸς ἄνδρα, οἷος σὺ εἶ, ἀπαλλαγείη. ἀκούσας ταῦτα ὁ Κῦρος, κελεύει πέμπειν πρὸς τὸν ἄνδρα. ἡ δ᾽ ἔπεμψεν. ὡς δ᾽ ἔγνω Ἀβραδάτας τὰ παρὰ τῆς γυναικὸς σύμβολα, καὶ τἆλλα δὲ ᾔσθετο, ὡς εἶχεν, ἄσμενος πορεύεται πρὸς Κῦρον, ἵππους ἔχων ἀμφὶ τοὺς χιλίους. ὡς δ᾽ ἦν πρὸς τοῖς Περσῶν σκοποῖς, πέμπει πρὸς τὸν Κῦρον, εἰπὼν ὃς ἦν. ὁ δὲ Κῦρος εὐθὺς ἄγειν κελεύει αὐτὸν πρὸς τὴν γυναῖκα. ὡς δ᾽ εἰδέτην ἀλλήλοιν ἡ γυνὴ καὶ ὁ Ἀβραδάτας, ἠσπάσαντο ἀλλήλους, ὡς εἰκὸς, ἐκ δυσελπίστου. ἐκ τούτου δὴ λέγει ἡ Πάνθεια τοῦ Κύρου τὴν ὁσιότητα, καὶ τὴν σωφροσύνην, καὶ τὴν πρὸς αὐτὴν κατοίκτισιν. ὁ δὲ Ἀβραδάτας εἶπε· τί ἂν οὖν ἐγὼ ποιῶν, ὦ Πάνθεια, χάριν Κύρῳ ὑπέρ τε σοῦ καὶ ἐμαυτοῦ ἀποδοίην; τί δὲ ἄλλο, ἔφη ἡ Πάνθεια, ἢ πειρώμενος, ὅμοιος περὶ ἐκεῖνον εἶναι, οἷόσπερ καὶ ἐκεῖνος περὶ σέ. ἐκ τούτου δὴ ἔρχεται πρὸς τὸν Κῦρον ὁ Ἀβραδάτας. καὶ ὡς εἶδεν αὐτὸν, λαβόμενος τῆς δεξιᾶς αὐτοῦ, εἶπεν· ἀνθ᾽ ὧν σὺ εὖ πεποίηκας ἡμᾶς, ὦ Κῦρε, οὐκ ἔχω τί μεῖζον εἴπω, ἢ ὅτι φίλον σοι ἐμαυτὸν δίδωμι, καὶ θεράποντα καὶ σύμμαχον, καὶ ὅσα ἂν ὁρῶ σε σπουδάζοντα, συνεργὸς σοι πειράσομαι γίγνεσθαι ὡς ἂν δύνωμαι κράτιστος. καὶ ὁ Κῦρος εἶπεν· ἐγὼ δέχομαί τε, καὶ νῦν μέν σε ἀφίημι, ἔφη, σὺν τῇ γυναικὶ δειπνεῖν. αὖθις καὶ παρ᾽ ἐμοὶ δεήσει σε σκηνοῦν σὺν τοῖς σοῖς τε καὶ ἐμοῖς φίλοις. ἐκ τούτου ὁρῶν ὁ Ἀβραδάτας σπουδάζοντα τὸν Κῦρον περὶ τὰ δρεπανηφόρα ἅρματα, καὶ περὶ τοὺς τεθωρακισμένους ἵππους τε καὶ ἱππέας, ἐπειρᾶτο συντελεῖν αὐτῷ, εἰς τὰ ἑκατὸν ἅρματα ἐκ τοῦ ἱππικοῦ τοῦ ἑαυτοῦ, ὅμοια ἐκείνοις. αὐτὸς δὲ ὡς ἡγησόμενος αὐτῶν ἤδη τοῦ ἅρματος παρεσκευάζετο. συνεζεύξατο δὲ τὸ ἑαυτοῦ ἅρμα, τετράρυμόν τε καὶ ἐξ ἵππων ὀκτώ. ἡ δὲ Πάνθεια ἡ γυνὴ αὐτοῦ ἐκ τῶν ἑαυτῆς χρημάτων χρυσοῦν τε αὐτῷ θώρακα ἐποιήσατο, καὶ χρυσοῦν κράνος, ὡσαύτως δὲ καὶ περιβραχιόνια. τοὺς δ᾽ ἵππους τοῦ ἅρματος χαλκοῖς πᾶσι προβλήμασι κατεσκευάσατο. Ἀβραδάτας μὲν ταῦτα ἔπραττε. Κῦρος δὲ ἰδὼν τὸ τετράρυμον αὐτοῦ ἅρμα, κατενόησεν ὡς οἷόν τε εἴη, καὶ ὀκτάρυμον ποιήσασθαι, ὥστε ὀκτὼ ζεύγεσι βοῶν, ἄγειν τῶν μηχανῶν τὸ κατώτατον οἴκημα. ἦν δὲ τοῦτο τριόργυιον μάλιστα ἀπὸ τῆς γῆς σὺν τοῖς τροχοῖς. τοιοῦτοι δὲ πύργοι σὺν τάξει ἀκολουθοῦντες, ἐδόκουν αὐτῷ μεγάλη μὲν ἐπικουρία γενέσθαι τῇ ἑαυτῶν φάλαγγι, μεγάλη δὲ βλάβη τῇ τῶν πολεμίων τάξει. ἐποίησε δὲ ἤδη τῶν οἰκημάτων, καὶ περιδρόμους καὶ ἐπάλξεις. ἀνεβίβαζε δὲ ἤδη τῶν πύργων ἕκαστον ἄνδρας εἴκοσιν. ἐπεὶ δὲ πάντα συνειστήκει αὐτῷ τὰ περὶ τοὺς πύργους, πεῖραν ἐλάμβανε τοῦ ἀγωγίμου. καὶ πολὺ ῥᾷον ἦγε τὰ ὀκτὼ ζεύγη τὸν πύργον καὶ τοὺς ἐπ᾽ αὐτῷ ἄνδρας, ἢ τὸ σκευοφορικὸν βάρος ἕκαστον τὸ ζεῦγος. σκευῶν μὲν γὰρ βάρος ἀμφὶ τὰ εἴκοσι καὶ πέντε τάλαντα ἦν ζευγίτου δὲ πύργου, ὥσπερ τραγικῆς σκηνῆς, τῶν ξύλων πάχος ἐχόντων καὶ εἴκοσιν ἀνδρῶν, καὶ ὅπλων· τούτοις ἔγεμεν ἔλαττον, ἢ πεντεκαί-

δεκα

quantis poterit uiribus. Etenim pater praesentis regis eum amabat. Sed qui nunc regnat, aggressus etiam olim est inter me ac uirum diuortium facere. Quare cum existimet eum sibi esse contumeliae, non sum nescia fore ut libenter sese ad uirum recipiat qualis tu es. Quibus auditis Cyrus, ut ad uirum mitteret iubebat. Illa autem misit. At Abradatas ut signa ab uxore cognouit, & alia didicit ut habebant, libenter pergit ad Cyrum, equos habēs

10 circiter mille. Vt autem uenit ad Persarum speculatores, ad Cyrum misit qui foret enarrans. Cyrus autem iubet eum continuo duci ad uxorem. Vt uerò uxor atq; Abradatas uir inuicem se uidere, sese mutuò sunt complexi, ut uerisimile est, ex insperato. Exhinc narrat Panthea religionem Cyri, et temperantiam, & commiseratione͂ aduersum sese. Qua audiens Abradatas, ait: Quid igitur ego, Panthea sim facturus, quò Cyro & pro te, & pro meipso gratiā referam? Quid aliud, inquit Panthea, quam

20 ut enitaris similis erga illum, qualis est ille erga te? Exhinc uenit ad Cyrum Abradatas, quem ut uidit, dextra apprehensa inquit: Pro quibus nos Cyre beneficijs affecisti, non habeo quod sim maius dicturus, quàm quod tibi meipsum amicum do & famulum & socium: & quibuscunq; rebus te uideo studere, in his adiutor tibi enitar esse, quantum praestari à me queat, optimus. Ad quem respondit Cyrus: Ego uero te admitto, & nunc te dimitto unà cum uxore ut coenes: rursus item opus erit ut meo

30 utaris tabernaculo, unà cum tuis meisq; amicis. Exhinc uidens Abradatas Cyrum studere circa falcatos currus, & circa cataphractos, & equos, & equites, nitebatur ei perficere ad centum currus ex equitatu suo, illius similes curribus: & ipse ut eorum ductor parabatur in curru. Coniugauit autem currum suum quatuor temonibus, & equis octo. At Panthea eius uxor ex pecunijs suis fecit ei aureum thoraca, & caßidem auream, ac item brachialia: currus autem equos aereis omnibus tegu-

40 mentis instruxit. Et Abradatas quidem haec gerebat. At Cyrus intuitus eius currum cum quatuor temonibus, cogitauit fieri posse ut etiam cum temonibus octo currus instrueretur, ut cum octo boum paribus ageretur inferius domicilium machinarum. Erat autem hic sublatus tris passus maxime à terra unà cum rotis. Tales autem turres unà cum ordine sequentes arbitrabatur magno auxilio fore phalangi suae, magno etiam detrimento hostium ordini. Fecit etiam in huiusmodi domicilijs &

50 ambitus uiarum & pinnas, imposuitque in quamlibet turrim uiros uiginti. Vbi uerò constituit omnia quae ad turris pertinebant, cepit agendi experientiam, & multo facilius agebant octo boum paria turrim & uiros qui erant in turri, quàm pondus impedimentorum singula boum paria. Nam uasorum pondus erat singulis boum paribus circiter quinq; & uiginti talenta. Turris uerò pondus erat quemadmodum tragici tabernaculi, crassitudinis lignorum octo, ac uirorum uiginti armorumq;: harum turrium fuit minus quàm quinq; &

decem

decem talenta cuique pari boum conductio. Vt autem nouit facilem esse conductionem, parabatur perinde ac ducturus eas turris una cum agmine: existimans belli auiditatem esse simul & salutem, & iustitiam, & felicitatem. Per id uero temporis uenere qui ab Indo pecunias agerent, eiq; [illegible]iarent, regem Indorũ huiusmodi uerba significare: Mihi Cyre uoluptas est, quod ea quorũ indigebas, mihi nunciaueris: uoloq; tibi hospes esse, mittoq; tibi pecunias, siq; alijs eges, accerse. Iussi etiam meis, ut quicquid iubeas, faciant. Quae Cyrus audiens: Iubeo igitur uobis, ut alij uestrùm hic maneatis in tabernaculo ad custodiendas pecunias, et uiuendum quamsuauissimè. Tres uero mea causa concedatis ad hostes, tanquam ab Indo, de ineunda societate. Cumq; illic didiceritis, quicquid dicant & faciant, quamcelerrimè & mihi & Indo renunciate. Quibus in rebus si pulchrè mihi obsequium praestiteritis, etiam magis ob hanc rem sum uobis gratiam habiturus, quàm quod pecuniam attuleritis. Etenim speculatores seruorum similes, aliud nihil quod sciant possunt renunciare, quàm quaecũq; nouerint omnes. At uiri quales uos estis, etiam consilia saepe discũt. Quae Indi libenter cum audissent, essentq; munerati, tum apud Cyrum instructi, postridie profecti sunt, pollicentes sanè cum didicerint quaecunq; quiuerint plurima ex hostibus, uenturos se quàm poterunt celerrimè. At Cyrus tum alijs rebus paratis ad bellum magnificè quodammodo, ut erat uir qui nihil parui gerere cogitaret, tum nõ solum uisus est sociorum habere curam, sed contentionem etiam inter amicos inuicem ingessit, ut singillatim ipsi apparerent & pulcherrime armati, & equis ornatissimi, & iaculis sagittisq; munitissimi, maximeq; industrij. Haec autem operatus est ad ianuas, educens honoransq; singillatim uiros fortissimos. Et principes quos diligentius uideret circa hanc rem quo eorum milites optimi forent, hos etiam laudans ac muneribus donans quibus poterat, incitabat. Quod si quando sacrum faceret, atque ageret festum diem, etiam in hoc ipso quaecunque homines meditantur ad bellandum, horum omnium ludos faciebat, praemiaq; uincentibus munificentissime dabat, eratq; in exercitu multa iucunditas. Erant autem Cyro iam fere effecta omnia, quae militiae habere uellet, praeter machinas. Etenim Persae equites iam implebant ad decem millia: & currus falcati quos & ipse parauerat, implebant iam ad centum. Quosq; Abradatas Susius parare aggressus est similes Cyri curribus, & hi absoluti erant ad alios centum: & currus Medici quos Cyrus in hunc modũ ut mutando formaret, Cyaxari persuaserat, ex Troica et Libyca curruũ sessilũ formae, implebãt et hi circiter alios centũ. Atq; super camelos cõstituti erãt uiri bini in unamquãq; sagittarij. Et quãplurima exercitus pars hac erat mẽte, tanquã omnino iam uicisset, essentq; res hostiũ nihil. At ubi ita illis affectis uenerũt Indi ex hostibus quos miserat Cyrus speculandi gratia, ac dixerunt Croesum imperatorẽ ducemq; lectũ esse uniuersorũ hostium:

δέκα τάλαντα ἑκάστῳ ζεύγει τὸ ἀγώγιον. ὡς δ᾽ ἔγνω εὔπορον οὖσαν τὴν ἀγωγὴν, παρεσκευάζετο ὡς ἅμα ἄξων τοὺς πύργους σὺν τῷ στρατεύματι· νομίζων τὴν ἐν πολέμῳ πλεονεξίαν, ἅμα σωτηρίαν τε εἶναι καὶ δικαιοσύνην καὶ εὐδαιμονίαν. ἦλθον δ᾽ ἐν τούτῳ τῷ χρόνῳ καὶ παρὰ τοῦ Ἰνδοῦ χρήματα ἄγοντες, καὶ ἀπήγγελλον αὐτῷ, ὅτι ὁ Ἰνδὸς ἐπιστέλλει τάδε· ἐγὼ, ὦ Κῦρε, ἥδομαι, ὅτι μοι ἐπήγγειλας ὧν ἐδέου, καὶ βούλομαί σοι ξένος εἶναι, καὶ πέμπω σοι χρήματα, κἂν ἄλλων δέῃ μεταπέμπου. ἐπέσταλμαι δὲ τοῖς παρ᾽ ἐμοῦ ποιεῖν, ὅ,τι ἂν σὺ κελεύῃς. ἀκούσας ὁ Κῦρος εἶπε· κελεύω τοίνυν ὑμᾶς τοὺς μὲν ἄλλους μένοντας ἔνθα κατεσκηνώκατε, φυλάττειν τὰ χρήματα, καὶ ζῆν ὅπως ὑμῖν ἥδιστόν ἐστι. τρεῖς δέ μοι ἐλθόντες ὑμῶν εἰς τοὺς πολεμίους, ὡς παρὰ τοῦ Ἰνδοῦ περὶ συμμαχίας. καὶ τἀκεῖ μαθόντες ὅ,τι ἂν λέγωσί τε καὶ ποιῶσιν, ὡς τάχιστα ἀπαγγείλατε ἐμοί τε καὶ τῷ Ἰνδῷ. κἂν ταῦτά μοι καλῶς ὑπηρετήσητε, ἔτι μᾶλλον ὑμῖν χάριν εἴσομαι τούτου, ἢ ὅτι χρήματα πάρεστε ἄγοντες. καὶ γὰρ οἱ μὲν δούλοις ἐοικότες κατάσκοποι, οὐδὲν ἄλλο δύνανται εἰδότες ἀπαγγέλλειν, ἢ ὅσα πάντες ἴσασιν. οἱ δὲ τοιοῦτοι οἷοι περ ὑμεῖς ἄνδρες, πολλάκις καὶ τὰ βουλεύματα καταμανθάνουσιν. οἱ μὲν δὴ Ἰνδοὶ ἀκούσαντες ἡδέως, καὶ ξενισθέντες τότε παρὰ Κύρῳ συσκευασάμενοι, τῇ ὑστεραίᾳ ἐπορεύοντο, ὑποσχόμενοι ἦ μὴν καταμαθόντες ὅσα ἂν δύνωνται πλεῖστα ἐκ τῶν πολεμίων, ἥξειν ὡς ἂν δύνωνται τάχιστα. ὁ δὲ Κῦρος τά τε ἄλλα πρὸς τὸν πόλεμον παρεσκευάζετο μεγαλοπρεπῶς, ὡς δὴ ἀνὴρ οὐδὲν μικρὸν ἐπινοῶν πράττειν. ἐπεμελεῖτο δὲ οὐ μόνον ὧν ἔδοξε τοῖς συμμάχοις, ἀλλὰ καὶ ἔριν ἐνέβαλλε πρὸς ἀλλήλους τοῖς φίλοις, ὅπως αὐτοὶ ἕκαστοι φανοῦνται καὶ εὐοπλότατοι, καὶ ἱππικώτατοι, καὶ φιλοπονώτατοι. ταῦτα δὲ ἐξειργάζετο ἐπί τε τὰς θύρας ἐξάγων, καὶ τιμῶν τοὺς κρατίστους ἑκασταχῆ. καὶ τοὺς ἄρχοντας δὲ οὓς ἑώρα ἐπιμελουμένους τούτου, ὅπως οἱ αὐτῶν κράτιστοι ἔσονται στρατιῶται, καὶ τούτους ἐπαινῶν τε παρώξυνε, καὶ χαριζόμενος αὐτοῖς ὅ,τι δύναιτο. εἰ δέ ποτε θυσίαν ποιοῖτο καὶ ἑορτὴν ἄγοι, καὶ ἐν ταύτῃ ὅσα πολέμου ἕνεκα μελετῶσιν οἱ ἄνθρωποι, πάντων τούτων ἀγῶνας ἐποίει, καὶ ἆθλα τοῖς νικῶσι μεγαλοπρεπῶς ἐδίδου, καὶ ἦν πολλὴ εὐθυμία ἐν τῷ στρατεύματι. τῷ δὲ Κύρῳ σχεδόν τι ἤδη ἀποτετελεσμένα ἦν, ὁπόσα ἐβούλετο ἔχων στρατεύεσθαι, πλὴν τῶν μηχανῶν. καὶ γὰρ οἱ Πέρσαι ἱππεῖς ἔκπλεῳ ἤδη ἦσαν εἰς τοὺς μυρίους· καὶ τὰ ἅρματα τὰ δρεπανηφόρα, ἅ τε αὐτὸς κατεσκεύασεν, ἔκπλεω ἤδη ἦν εἰς τὰ ἑκατόν. ἅ τε Ἀβραδάτας ὁ Σούσιος ἐπεχείρησε κατασκευάζειν ὅμοια τοῖς Κύρου, καὶ ταῦτα ἔκπλεα ἦν εἰς ἄλλα ἑκατόν. καὶ τὰ Μηδικὰ δὲ ἅρματα ἐπεπείκει Κῦρος Κυαξάρην, εἰς τὸν αὐτὸν τρόπον μετασκευάσαι, ἐκ τῆς Τρωϊκῆς καὶ Λιβυκῆς διφρείας, καὶ ἔκπλεα καὶ ταῦτα ἦν εἰς ἄλλα ἑκατόν. καὶ ἐπὶ τὰς καμήλους δὲ ἐτεταγμένοι ἦσαν ἄνδρες δύο ἐφ᾽ ἑκάστην τοξόται. καὶ ὁ μὲν πλεῖστος στρατὸς, οὕτως εἶχε τὴν γνώμην, ὡς ἤδη παντελῶς κεκρατηκὼς, καὶ οὐδὲν ὄντα τὰ τῶν πολεμίων. ἐπεὶ δὲ οὕτω διακειμένων, ἦλθον οἱ Ἰνδοὶ ἐκ τῶν πολεμίων, οὓς ἐπεπόμφει Κῦρος ἐπὶ κατασκοπῇ, καὶ ἔλεγον, ὅτι Κροῖσος μὲν ἡγεμὼν καὶ στρατηγὸς πάντων ᾑρημένος εἴη τῶν

τῶν πολεμίων. δεδογμένον δ' εἴη πᾶσι τοῖς συμμάχοις βασιλεῦσι, πάσῃ δυνάμει ἕκαστον παρεῖναι. χρήματα δὲ εἰσφέρειν πάμπολλα. ταῦτα δὲ τελεῖν καὶ μισθουμένους οὓς δύναιντο, καὶ δωρουμένους οἷς δέοι. ἤδη δὲ καὶ μεμισθωμένους εἶναι, πολλοὺς μὲν Θρᾳκῶν μαχαιροφόρους. αἰγυπτίους δὲ προσπλεῖν. καὶ ἀριθμὸν ἔλεγον εἰς δώδεκα μυριάδας σὺν ἀσπίσι ταῖς ποδήρεσι, καὶ δόρασι μεγάλοις, οἷά περ καὶ νῦν ἔχουσι καὶ κοπίσι. προσπλεῖν δὲ καὶ κυπρίων στράτευμα. παρεῖναι δὲ ἤδη καὶ κίλικας πάντας, καὶ φρύγας ἀμφοτέρους, καὶ λυκάονας, καὶ παφλαγόνας, καὶ καππαδόκας, καὶ ἀραβίους, καὶ φοίνικας, καὶ σὺν τῷ Βαβυλῶνος ἄρχοντι, τοὺς ἀσσυρίους, καὶ ἴωνας δὲ καὶ αἰολέας· καὶ σχεδὸν πάντας τοὺς ἕλληνας, τοὺς ἐν τῇ ἀσίᾳ ἐποικοῦντας, σὺν κροίσῳ ἠναγκάσθαι ἕπεσθαι. πεπομφέναι δὲ κροῖσον καὶ εἰς λακεδαίμονα περὶ συμμαχίας. συλλέγεσθαι δὲ τὸ στράτευμα ἀμφὶ τὸν πακτωλὸν ποταμόν. προϊέναι δὲ μέλλειν αὐτοὺς, εἰς θύμβραρα. ἔνθα καὶ νῦν ὁ σύλλογος τῶν ὑπὸ βασιλέα βαρβάρων τῶν κάτω συρίας. καὶ ἀγορὰν πᾶσι παρηγγέλθαι ἐνταῦθα κομίζειν. σχεδὸν δὲ τούτοις ταὐτὰ ἔλεγον καὶ οἱ αἰχμάλωτοι. ἐπεμελεῖτο γὰρ ὁ κῦρος, ὅπως ἁλίσκοιντο, παρ' ὧν ἔμελλε πεύσεσθαί τι. ἔπεμπε δὲ καὶ δούλοις ἐοικότας κατασκόπους, ὡς αὐτομόλους. ὡς οὖν ἤκουσε ταῦτα ὁ στρατὸς τοῦ κύρου, ἐν φροντίδι τε ἕκαστος ἐγίγνετο ὥσπερ εἰκός. ἡσυχαίτεροί τε ἢ ὡς εἰώθασι διεφοίτων, φαιδροί τε οἱ πολλοὶ οὐ πάνυ ἐφαίνοντο, ἐκυκλοῦντό τε, καὶ μεστὰ ἦν πάντα ἀλλήλους ἐρωτώντων περὶ τούτων καὶ διαλεγομένων. ὡς δὲ ᾔσθετο ὁ κῦρος φόβον διαθέοντα ἐν τῇ στρατιᾷ, συγκαλεῖ τούς τε ἄρχοντας τῶν στρατευμάτων, καὶ πάντας ὁπόσων ἀθυμούντων, βλάβη ἐδόκει τις γίγνεσθαι, καὶ προθυμουμένων, ὠφέλεια. προεῖπε δὲ τοῖς ὑπηρέταις καὶ ἄλλος εἴ τις βούλοιτο τῶν ὁπλοφόρων προσίστασθαι ἀκουσόμενος τῶν λόγων, μὴ κωλύειν. ἐπεὶ δὲ συνῆλθον, ἔλεξε τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΚΥΡΟΥ.

Ἄνδρες σύμμαχοι, ἐγώ τοι ὑμᾶς συνέλεξα, ἰδών τινας ὑμῶν, ἐπεὶ αἱ ἀγγελίαι ἦλθον ἐκ τῶν πολεμίων, πάνυ ἐοικότας πεφοβημένοις ἀνθρώποις. δοκεῖ γάρ μοι θαυμαστὸν εἶναι, εἴ τις ὑμῶν ὅτι μὲν οἱ πολέμιοι λέγονται συλλέγεσθαι δέδοικεν· ὅτι δὲ ἡμεῖς πολὺ μὲν πλείους συνειλέγμεθα νῦν, ἢ ὅτε ἐνικῶμεν ἐκείνους, πολὺ δὲ ἄμεινον σὺν θεῷ παρεσκευασμένοι νῦν ἢ πρόσθεν. ταῦτα δὲ ὁρῶντες οὐ θαρρεῖτε. ὦ πρὸς θεῶν, ἔφη, τί δῆτ' ἂν ἐποιήσατε οἱ νῦν δεδοικότες, εἰ ἤγγελλόν τινες τὰ παρ' ἡμῖν νῦν ὄντα, ταῦτα ἀντίπαλα ἡμῖν προσιέντα. καὶ πρῶτον μὲν ἀκούετε, ἔφη, ὅτι οἱ πρόσθεν νικήσαντες ἡμᾶς, οὗτοι πάλιν ἔχοντες καὶ τὴν τότε νίκην, ἣν ἐκτήσαντο. ἔπειτα δὲ οἱ τότε ἐκκόψαντες τῶν τοξοτῶν καὶ ἀκοντιστῶν τὰς ἀκροβολίσεις, νῦν οὗτοι ἔρχονται, καὶ ἄλλοι ὅμοιοι τούτοις πολλαπλάσιοι. ἔπειτα δὲ ὥσπερ οὗτοι ὁπλισάμενοι τοὺς πεζοὺς τότε ἐνίκων, νῦν οὕτως καὶ οἱ ἱππεῖς αὐτῶν παρασκευασάμενοι πρὸς τοὺς ἱππέας προσέρχονται. καὶ τὰ μὲν τόξα καὶ ἀκόντια ἀποδεδοκιμάκασι, παλτὸν δὲ ἓν ἰσχυρότερον ἕκαστος λαβὼν, προσελαύνειν διανενόηται,

hostium: quodq; decretum esset regibus socijs omnibus, ut omnes cum totis uirib. adessent, inferreq; pecunias admodũ multas. Has autẽ perficere, & mercede cõducere quos possent, & donare quib. opus esset: iamq; mercede conductos esse permultos, ex Thracibus quidẽ gladijs armatos. Adnauigare praeterea Aegyptios, quorum numerum dicerent circiter centum uiginti millia, unà cum scutis ad pedes tendentibus, atque magnis hastis quas etiam nunc habent, & mucronibus. Insuper Cypriorum exercitum adnauigare, iamq; adesse omnis Cilicas, & utrosq; Phrygas, & Lycaonas, & Paphlagonas, & Cappadocas, & Phoenicas, & unà cum Babylonis principe Assyrios. Ionasq; & Aeoles, atq; omnis ferè Graecos Asiae incolas, unà cum Croeso sequi coactos esse, misisseq; Croesum etiam ad Lacedaemonios de societate. Cogi autem exercitum circa Pactolum flumen, eosq; processuros in Thymbraiam, ubi etiam nunc conuentus est barbarorum habitantium inferiorẽ Syriam, qui sunt sub rege: omnibusq; iussum esse huc portare commeatum. Quasi enim his similia dicebãt etiam captiui. Curabat enim hoc item Cyrus, ut hi caperentur, ex quibus discere quicquam posset. Mittebat etiã speculatores seruis similes tanquã transfugas. Vt igitur exercitus Cyri haec audiuit, solicitus esse coepit, ut erat consentaneum, incedebantq; omnes maiore cum silentio quàm consueuerant: neq; uidebantur admodum hilares, sed tristes potius. Erantq; plena omnia sese interrogantium inuicem de omnibus rebus, atque disserentium. At Cyrus ut sensit metum per exercitum discurrentem, tum agminum principes conuocat, tum etiam omnes quorumcunque ubi minus fiderent, detrimentum aliquod esse uidebatur: ac item utiluas, ubi alacri forent animo: pronũciauitq; ministris, si quis etiam alius ex militibus adesse uellet, quae loqueretur auditurus, eum ne arcerent. Vbi autem conuenissent, ita est loquutus:

ORATIO CYRI.

Viri, socij, ego uos conuocaui, quoniam uidissem uestrûm quosdam posteaquam nuncij ex hostibus sunt allati, admodum similis esse hominibus his qui metuant. Videtur enim mihi mirandum esse, si quis uestrûm idcirco timet, quoniam coguntur hostes. Quod autem nos multo plures congregati nunc sumus quàm quo tempore illos uicimus, multo etiam melior pro diuina benignitate nunc exercitus nobis est quàm antea. Haec uidentes non audetis? O per deos immortalis, quid aliquando faceretis, qui hoc tempore formidatis, si qui nunciarent quae nunc apud nos sunt, haec nobis aduersa aduentare? Ac primùm audiretis, quod qui prius nos uicissent, hi ueniunt rursus eam in animis habentes uictoriam, quam olim essent adepti. Dein, quod qui tum sagittarij iaculatoresque arces excidissent, hi nunc ueniunt, alij que his similes multo plures. Dein, quemadmodum hi armati peditibus tum uicere, nunc ita & eorum equites instructi aduersus equites aduentant, et arcubus iaculisq; contemptis, uno ualido quisq; accepto pilo adequitare cogitat,

ut cominus præliaturus. Præterea ueniunt currus, qui non ita statuentur ut antea conuersi tanquam in fugam, sed equi quoque qui sunt ad currus arman tur loricis, & aurigæ in turribus stant ligneis, quibus eminentia omnia loricis sunt cassidibusque armata, atque falces ferreæ axibus sunt accommodatæ, ut hi quoque impetum faciant continuo in aduersariorum ordines. Præterea cameli sunt inter eos in quibus adoriuntur, quarum quanque ne centeni quidem equi uisu sustineant. Insuper turres immittunt, à quibus suis auxilium ferrent. Nos autem iaciendo impedient aduersus eos pugnare, qui sunt in campo. Si quis igitur nunciaret uobis hæc esse in hostibus, qui nunc metuitis, quid essetis facturi, quando allatis nuncijs quod Crœsus lectus sit hostium dux, qui eo est Syris ignauior, quo Syri quidem pugna uicti fugerunt, at Crœsus cum eos uictos uidisset, pro ope ferenda socijs, in fugam est uersus. Dein etiam nunciatur hostes ipsos, quoniam nõ ducant sese satis esse qui nobiscum pugnent, alios mercede conducere, tanquã pro se melius pugnaturos quàm ipsi sint. Hæc quidem cum sint huiusmodi, uidentur esse formidabilia, nostra autem contemnenda. Hos ego affirmo, ô uiri, mittendos esse ad aduersarios: longe enim magis nobis apud illos si fuerint, quàm præsentes sint profuturi. Quæ Cyrus ubi dixisset, Chrysantas Perses surrexit, qui in hunc modum locutus est:

CHRYSANTAE ORATIO.

Ne te Cyre miratio capiat, si qui nuncijs auditis tristi facie uisi sunt. Non enim quod metuerint, ita sunt affecti, sed grauiter ferentes, quemadmodum si quibusdam uolentibus existimantibusque iam pransum ire, opus aliquod enuncietur, quod necesse sit ante prandium efficere, nemo, mea sententia, hæc audiens lætaretur: ita etiam nos arbitrantes fore iam ut ditemur, ubi audiuimus esse reliquum opus quod efficere nos oporteat, facie turbati sumus, haud id quidem quod metuamus, sed quod iam etiam facere hoc uelimus. Enimuero posteaquam non de Syria solum certabimus, ubi triticum est multum, & pecudes, palmæque fructiferæ: uerùm de Lydis quoque, ubi multum est uinum, multæ fici, multum oleum, mareque alluit per quod plura aduehuntur, quàm quotquot quisquam est bona intuitus. Hæc nos cogitantes non amplius grauiter ferimus, sed audemus quammaxime, quo celerius his quoque Lydijs fruamur bonis. Chrysantas quidem locutus est: socij uero omnes & eo sermone delectati sunt, eumque laudarunt. Atqui, inquit Cyrus, mihi uidetur ô uiri fortissimi, esse aduersus eos quamcelerrime eundum, quo illos euntes anteuertamus, si fieri possit, ubi necessaria colligunt. Dein quo celerius ierimus, eo pauciora adesse illis inuentemus, abesse autem plura. Equidem ita dico, quod si quis aliter sentit, aut tutius esse, aut facilius nobis, sane doceat. Sed posteaquam multi comprobauere, quamprimum pergere oportere aduersus hostes, nemoque contradiceret, hinc Cyrus huiusmodi uerba facere est aggressus:

ὡς ἐκ χειρὸς τὴν μάχην ποιησόμενος. ἔτι δὲ ἅρματα ἔρχεται ἃ οὐχ οὕτως ἑστήξεται ὥσπερ πρόσθεν ἀπεστραφότα ὡς εἰς φυγήν. ἀλλ' οἵ τε ἵπποι εἰσὶ κατατεθωρακισμένοι ἐν τοῖς ἅρμασιν. οἵ τε ἡνίοχοι ἐν πύργοις ἑστᾶσι ξυλίνοις, τὰ ὑπερέχοντα ἅπαντα συνεστεγασμένοι, θώραξι καὶ κράνεσι, δρέπανά τε σιδηρᾶ περὶ τοῖς ἄξοσι προσήρμοσται, ὡς ἐλῶντες καὶ οὗτοι εὐθὺς εἰς τὰς τάξεις τῶν ἐναντίων. πρὸς δ' ἔτι κάμηλοι εἰσὶν αὐτοῖς, ἐφ' ὧν προσελῶσιν, ὧν μίαν ἑκάστην ἑκατὸν ἵπποι, οὐκ ἂν ἀνάσχοιντο ἰδόντες. ἔτι δὲ πύργους ἔχοντες προσίασιν, ἀφ' ὧν τοῖς μὲν ἑαυτῶν ἀρήξουσιν, ὑμᾶς δὲ βάλλοντες κωλύσουσιν ἐν τῷ ἰσοπέδῳ μάχεσθαι. εἰ ταῦτα ἤγγελλέ τις ὑμῶν ἐν τοῖς πολεμίοις ὄντα, οἱ νῦν φοβούμενοι, τί ἂν ἐποιήσατε, ὁπότε ἀπαγγελλομένων ἐστὶ Κροῖσος μὲν ᾕρηται τοῖς πολεμίοις στρατηγός, ὃς τοσούτῳ Σύρων κακίων ἐγένετο, ὅσῳ Σύροι μὲν μάχῃ ἡττηθέντες ἔφυγον, Κροῖσος δὲ ἰδὼν ἡττημένους, ἀντὶ τοῦ ἀρήγειν τοῖς συμμάχοις, φεύγων ᾤχετο. ἔπειτα δὲ διαγγέλλεται δήπου, ὅτι αὐτοὶ μὲν οἱ πολέμιοι, οὐχ ἱκανοὶ ἡγοῦνται ὑμῖν εἶναι μάχεσθαι, ἄλλους δὲ μισθοῦνται, ὡς ἄμεινον μαχουμένους ὑπὲρ σφῶν, ἢ αὐτοί. εἰ μέντοι τισὶ ταῦτα μὲν δοκεῖ τοιαῦτα δεινὰ εἶναι, τὰ δὲ ἡμέτερα φαῦλα, τούτους ἐγώ φημι χρῆναι, ὦ ἄνδρες, ἀφεῖναι εἰς τοὺς ἐναντίους. πολὺ γὰρ ἐκεῖ ὄντες, πλείω ἂν ἡμᾶς ὠφελοῖεν, ἢ παρόντες. ἐπεὶ ταῦτα εἶπεν ὁ Κῦρος, ἀνέστη Χρυσάντας ὁ Πέρσης, καὶ ἔλεξεν ὧδε.

ΔΗΜΗΓΟΡΙΑ ΧΡΥΣΑΝΤΑ.

Ὦ Κῦρε, μὴ θαύμαζε εἴ τινες ἐσκυθρώπασαν ἀκούσαντες τῶν ἀγγελλομένων. οὐ γὰρ φοβηθέντες οὕτω διετέθησαν, ἀλλ' ἀχθεσθέντες ὥσπερ γε, ἔφη, εἰ τινῶν βουλομένων τε καὶ οἰομένων ἤδη ἀριστήσειν, ἐξαγγελθείη τι ἔργον, ὃ ἀνάγκη εἴη πρὸ τοῦ ἀρίστου ἐξεργάσασθαι, οὐδεὶς ἂν οἶμαι ἡσθείη τοῦτ' ἀκούσας. οὕτω τοίνυν καὶ ἡμεῖς ἤδη οἰόμενοι πλουτήσειν, ἐπεὶ ἠκούσαμεν, ὅτι ἔστι τι λοιπὸν ἔργον, ὃ δεῖ ἐξεργάσασθαι, συνεσκυθρωπάσαμεν, οὐ φοβούμενοι, ἀλλὰ πεποιῆσθαι ἂν ἤδη καὶ τοῦτο βουλόμενοι. ἀλλὰ γὰρ ἐπεὶ οὐ περὶ Συρίας μόνον ἀγωνιούμεθα, ὅπου σῖτος πολὺς καὶ πρόβατα ἔστι καὶ φοίνικες οἱ καρποφόροι, ἀλλὰ καὶ περὶ Λυδίας, ἔνθα πολὺς μὲν οἶνος, πολλὰ δὲ σῦκα, πολὺ δὲ ἔλαιον, θάλαττα δὲ προσκλύζει, καθ' ἣν πλείω ἔρχεται ἢ ὅσα τις ἑώρακεν ἀγαθά. ταῦτα, ἔφη, ἐννοούμενοι, οὐκέτι ἀχθόμεθα, ἀλλά γε θαρροῦντες ὡς τάχιστα, ἵνα θᾶττον καὶ τῶν Λυδίων ἀγαθῶν ἀπολαύσωμεν. ὁ μὲν οὕτως εἶπεν. οἱ δὲ σύμμαχοι πάντες ἥσθησάν τε τῷ λόγῳ, καὶ ἐπῄνεσαν. καὶ μὴν δή, ἔφη ὁ Κῦρος, ὦ ἄνδρες, δοκεῖ μοι, καὶ ἰέναι ἐπ' αὐτοὺς ὡς τάχιστα, ἵνα πρῶτον μὲν αὐτοὺς φθάσωμεν ἀφικόμενοι ἢν δυνώμεθα, ὅπου τὰ ἐπιτήδεια αὐτοῖς συλλέγεται. ἔπειτα δὲ ὅσῳ ἂν θᾶττον ἴωμεν, τοσούτῳ μείονα μὲν τὰ παρόντα αὐτοῖς εὑρήσομεν, πλείω δὲ τὰ ἀπόντα. ἐγὼ μὲν δὴ οὕτω λέγω. εἰ δέ τις ἄλλως πως γιγνώσκει, ἢ ἀσφαλέστερον εἶναι, ἢ ῥᾷον ἡμῖν, διδασκέτω. ἐπεὶ δὲ συνηγόρευον μὲν πολλοί, ὡς χρεὼν εἴη ὅτι τάχιστα πορεύεσθαι ἐπὶ τοὺς πολεμίους, ἀντέλεγε δὲ οὐδείς, ἐκ τούτου δὴ ὁ Κῦρος ἤρχετο λόγου τοιοῦδε.

ΔΗΜΗΓΟΡΙΑ ΚΥΡΟΥ.

Ἄνδρες σύμμαχοι, αἱ μὲν ψυχαὶ καὶ τὰ σώματα καὶ τὰ ὅπλα, οἷς δεήσει χρῆσθαι, ἐκ πολλοῦ ἡμῖν σὺν θεῷ παρεσκεύασται. νῦν δὲ τὰ ἐπιτήδεια δεῖ εἰς τὴν ὁδὸν συσκευάζεσθαι, αὐτοῖς τε ἡμῖν, καὶ ὁπόσοις τετράποσι χρώμεθα, μὴ μεῖον εἴκοσιν ἡμερῶν. ἐγὼ γὰρ λογιζόμενος εὑρίσκω πλέον ὂν, ἢ πεντεκαίδεκα ἡμερῶν ἐσομένην ὁδὸν, ἐν ᾗ οὐδὲν εὑρήσομεν τῶν ἐπιτηδείων. ἀνεσκεύασται γὰρ τὰ μὲν ὑφ' ἡμῶν, τὰ δὲ ὑπὸ τῶν πολεμίων ὅσα ἐδύναντο. συσκευάζεσθαι οὖν χρὴ σῖτον μὲν ἱκανόν. ἄνευ γὰρ τούτου οὔτε μάχεσθαι, οὔτε ζῆν δυναίμεθα. οἶνον δὲ τοσοῦτον χρὴ ἔχειν ἕκαστον, ὅσον ἱκανὸν ἔσται, ἐθίσαι ἡμᾶς αὐτοὺς ὑδροποτεῖν. πολλὴ γάρ ἐστι τῆς ὁδοῦ ἄοινος, εἰς ἣν οὐδ' ἂν πάνυ πολὺν οἶνον συσκευασώμεθα διαρκέσει. ὡς οὖν μὴ ἐξαπίνης, ἄοινοι γενόμενοι νοσήμασι περιπίπτωμεν, ὧδε χρὴ ποιεῖν. ἐπὶ μὲν τῷ σίτῳ νῦν εὐθὺς ἀρχώμεθα πίνειν ὕδωρ, τοῦτο γὰρ ἤδη ποιοῦντες, οὐ πολὺ μεταβαλοῦμεν. καὶ γὰρ ὅστις ἀλφιτοσιτεῖ, ὕδατι μεμιγμένην ἀεὶ τὴν μᾶζαν ἐσθίει. καὶ ὅστις ἀρτοσιτεῖ, ὕδατι δεδευμένον τὸν ἄρτον. καὶ τὰ ἑφθὰ δὲ πάντα, μεθ' ὕδατος τοῦ πλείστου ἐσκεύασται. μετὰ δὲ τὸν σῖτον ἐὰν οἶνον ἐπιπίνωμεν, οὐδὲν μεῖον ἔχουσα ἡ ψυχὴ ἀναπαύσεται. ἔπειτα δὲ καὶ τὸν μετὰ τὸ δεῖπνον ἀφαιρεῖν χρὴ, ἕως ἂν λάθωμεν ὑδροπόται γενόμενοι. ἡ γὰρ κατὰ μικρὸν μετάλλαξις πᾶσαν ποιεῖ φύσιν ὑποφέρειν τὰς μεταβολάς. διδάσκει δὲ καὶ ὁ θεὸς ἀπάγων ἡμᾶς κατὰ μικρὸν ἔκ τε τοῦ χειμῶνος εἰς τὸ ἀνέχεσθαι ἰσχυρὰ θάλπη, καὶ ἐκ τοῦ θάλπους εἰς τὸν ἰσχυρὸν χειμῶνα· ὃν χρὴ μιμουμένους εἰς ὃ δεῖ ἐλθεῖν, προειθισμένους ἡμᾶς ἀφικνεῖσθαι. καὶ τὸ τῶν στρωμάτων δὲ βάρος εἰς τὰ ἐπιτήδεια καταδαπανᾶτε. τὰ μὲν γὰρ ἐπιτήδεια περιττεύοντα οὐκ ἄχρηστα ἔσται. στρωμάτων δὲ ἐνδεηθέντες, μὴ δείσητε ὡς οὐχ ἡδέως καθευδήσετε· εἰ δὲ μὴ, ἐμὲ αἰτιᾶσθε. ἐσθὴς μέντοι ὅτῳ ἐστὶν ἀφθονωτέρα παροῦσα, πολλὰ καὶ ὑγιαίνοντι καὶ κάμνοντι ἐπικουρεῖ. ὄψα δὲ χρὴ συνεσκευάσθαι, ὅσα ἐστὶν ὀξέα ἐπὶ πλεῖστον καὶ δριμέα, καὶ ἁλμυρά. ταῦτα γὰρ ἐπὶ σῖτόν τε ἄγει, καὶ ἐπὶ πλεῖστον ἀρκεῖ. ὅταν δ' ἐκβαίνωμεν εἰς ἀκέραια, ὅπου ἡμᾶς εἰκὸς ἤδη σῖτον λαμβάνειν, χειρομύλας χρὴ αὐτόθεν παρασκευάσασθαι, αἷς σιτοποιησόμεθα. τοῦτο γὰρ κουφότατον τῶν σιτοποιικῶν ὀργάνων. συνεσκευάσθαι δὲ χρὴ καὶ ὧν ἀσθενοῦντες δέονται ἄνθρωποι. τούτων γὰρ ὁ μὲν ὄγκος μικρότατος. ἢν δὲ τύχη τοιαύτη γένηται, μάλιστα δεήσει. ἔχειν δὲ χρὴ καὶ ἱμάντας. τὰ γὰρ πλεῖστα καὶ ἀνθρώποις καὶ ἵπποις ἱμᾶσιν ἤρτηται· ὧν τριβομένων καὶ καταρρηγνυμένων, ἀνάγκη ἀργεῖν, ἂν μή τις ἔχῃ περιζυγά. ὅστις δὲ πεπαίδευται καὶ παλτὸν ξύσασθαι, ἀγαθὸν καὶ ξυλίνης μὴ ἐπιλαθέσθαι, ἀγαθὸν δὲ καὶ ῥίνην φέρεσθαι. ὁ γὰρ λόγχην ἀκονῶν, ἐκεῖνος καὶ τὴν ψυχήν τι παρακονᾷ. ἔνεστι γάρ τις αἰσχύνη, λόγχην ἀκονῶντα, κακὸν εἶναι. ἔχειν δὲ χρὴ καὶ ξύλα περίπλεα, καὶ ἅρμασι καὶ ἁμάξαις. ἐν γὰρ πολλαῖς πράξεσι, πολλὰ ἀνάγκη καὶ τὰ ἀπαγορεύοντα εἶναι. ἔχειν δὲ δεῖ καὶ τὰ ἀναγκαιότατα ὄργανα ἐπὶ ταῦτα πάντα. οὐ γὰρ ἁπανταχοῦ χειροτέχναι παραγίνονται. τὸ δ' ἐφ' ἡμέραν ἀρκέσον, ὀλίγοι τινὲς, οἳ οὐχ ἱκανοὶ ποιῆσαι. ἔχειν δὲ χρὴ καὶ ἄμην, καὶ σμινύην κατὰ ἅμαξαν ἑκάστην.

καὶ

CYRI CONCIO.

Viri amicißimi, animi quidem corporaq; & arma, quibus utendum sit, iandiu nobis diuina ope parata sunt. Nunc uerò necessaria ad iter sunt paranda, tum nobisipsis, tum etiã quibuscũq; utimur quadrupedibus, nec ea minus quam dierum uiginti. Ego enim mecũ ipse supputans, inuenio plurĩ quã quindecim dierũ iter fore, quo quidem itinere rerũ necessariarũ inuenturi nihil sumus. Translata enim sunt partim à nobis, partim ab hostibus quæcunq; metuerunt. Parandũ est enim satis cibi: nam sine cibo neq; pugnare, nec uincere poßimus. Vini aũt tantũ cuiq; est habendũ, quantum satis futurũ sit. Cõsuescamus aquam bibere, multũ enim erit itineris quod uino caret: ad quod ipsum neq; si admodum uini multũ parauerimus, satis futurum est. Ne igitur, si repente uino caruerimus, incidamus in morbos, ita faciundum est. Inter uescendum incipiamus continuo aquã bibere: hoc enim iam facientes, non admodum mutabimur. Etenim qui farinæ utitur cibo, uescitur semper massa aquæ mista: & qui panis utitur cibo, uescitur pane aqua irrigato. Et elixa omnia cum aqua plurima sunt parata. Post cibum autẽ si uinũ addimus potui, nihilo deterius habens animus quiescet. Dein uero post cibum quoq; oportet uinũ diminuere, donec didicerimus fieri aquæbibi. NAM mutatio quæ fit paulatim, efficit ut omnis natura mutationes ferat. Docet præterea deus ipse, qui paulatim nos deducit ex hyeme ad uehemẽtis æstus tolerandos, ex æstu in hyemem uehementẽ: quem imitantes, ad quod eundũ est, assuefacti antea ire nos debemus. Atq; stratorum pondus in res necessarias consumite: necessaria enim si supersint, haud erũt inutilia. Stratorũ autem indigentes, ne metuite quo minus libenter sitis dormituri: sin secus fuerit, me accusate. Vestis enim cui sit abundantior, plurimo auxilio est & ei qui bene ualet, & ei qui ægrotat. Obsonia uero parare oportet, quæcũq; acuta sunt plurimũ, & mordacia et salsa. hæc enim & agunt ad cibũ, & diutißime sufficiunt. Cum uero excesserimus in loca integra ac salubria, ubi uerisimile sit iam nos frumentũ capere, inde pistrinos parate quib. cibũ faciamus: hoc enim eorũ quibus fit cibus, leuißimũ est instrumentum. Parata etiam unà sint ea, quibus ægroti homines egẽt: horũ. n. cumulus minimus est. Quòd si talis fortuna sit, ijs maximè opus erit. Habenda etiã sunt cingula ac lora: plurima et hominib. et equis hisce perficiuntur: quib. attritis ac fractis necesse est cunctari, nisi quis habeat cingula. Qui uero didicit pilum polire, bonũ est ne dolabræ obliuiscatur: bonũ etiam ut limã ferat. Acuens enim lanceã, animũ quoq; quodã modo exacuit: additur enim quidam pudor, cum timidum esse, qui lanceam acuit. Habenda sunt præterea ligna quamplurima, & in curribus & in plaustris. Nam in actionibus multis, multa item sint necesse est, quæ desunt. Habenda sunt præterea instrumenta maximè necessaria ad hæc omnia: non enim ubiq; opifices sunt. Quod autẽ in diem sit satis, pauci quidam ad id faciundum sufficiunt. Habendum etiam est sarculum & bidens in quolibet plaustro.

Sunt etiam in iumentis bipennes falcesq; habendæ: hæc enim cuiq; etiam priuatim usui sunt, & publicè sæpe utilitatem afferunt. Et quæcunque ad alimentum necessaria sunt, uos militum duces exquirite ab ijs quibus præestis. Non enim prætereundum est, cui aliquid horum sit opus, nos enim horum indigebimus. Quæcunque uerò iumentis iubeo habenda, uos qui his præestis qui ferunt impedimenta, exquirite: & qui ijs caruerit, cogite ut paret. Vos item qui præestis itinerum ducibus, habetote descriptos à me eos, qui reprobati sunt & ex iaculatoribus, & ex sagittarijs, & ex funditoribus. Hi qui ex iaculatoribus securim habent, ad incidenda ligna cogendi sunt, in expeditionem ut eant cum securi: sagittarij uerò cum bidente, ac funditores cum sarculo. Hi uerò hæc habentes ante plaustra secundum alas debent proficisci, quo si quid opus sit ad faciendum uiam, continuo eatis ad operandum. Et ego si qua re egeam, ut uideam unde oporteat & capere hæc & uti. Ducam etiam eos qui sunt in militari ætate cum instrumentis, ærarios fabros, cerdones, quò nihil desit, si quid talium artium in expeditione opus sit. hi uero soluentur ab ordine armigero. Quæ autem sciunt, mercede ei ministrantes qui uelint, erunt in constituto loco. Quod si quis etiam mercator sequi uelit aliquid uenditurus, habeat res necessarias antedictorum dierum. Quod si deprehendatur aliquid uendere, priuabitur rebus omnibus. Vbi uero hi dies præterierint, uendat pro uoluntate. Quicunq; præterea mercator plurimum commeatum attulerit, hic & à socijs & à me dona honoremq; consequetur. Si quis uero putat ob mercaturam pecunijs pluribus egere, hic adductis qui sui & notitiam faciant & uadimonium ueniendi prorsus cum exercitu, eas à nobis capiat. Ego igitur hæc pronuncio. Quod si quis aliud quicquam necessarium intuetur, mihi significet. Et uos quidem abite atque paramini. Ego gratia huc soluendi sacrificabo, cumq; res diuinæ rectè habeāt, significabimus. Adsint etiam omnes ad constitutum locum cum rebus antedictis apud duces suos. Vos autem duces ubi quisque instruxeritis uestrum ordinem, omnes ad me conuenite, quo singuli locos uestros intelligatis. Quibus auditis illi parabantur, Cyrus uero sacrificabat. Vbi sacrificia bene habuerunt, Cyrus mouit unà cum agmine. Ac primo quidem die locauit castra ut potuit proximè, quo si quid quisquam oblitus esset, id repeteret: ac si quis nosset ulla sibi re opus esse, hanc item pararet. Et Cyaxares tertiam habens Medorum partem restitit, quo neque domi res solæ essent. Cyrus uero pergebat quàm poterat celerrime, habens equites quidem primos, & ante hosce exploratores: speculatoresq; semper præmittens ad loca anteriora ad speculandum aptissima. Post hos uero agebat impedimenta, faciens ubi cāpus esset multos globos plaustrorum impedimentorumq;. Retro phalāx sequebatur, ac si quid impedimentorum relictum esset, qui princeps incideret, curabant ne proficisci impedirentur. Et ubi uia esset angustior, armati milites

καὶ ἐπὶ τὸ νωτοφόρον δὲ, ἀξίνην καὶ δρέπανον. τοῦτο γὰρ τὸ ἰδίᾳ χρήσιμα ἑκάστῳ, τὸ ὑπὲρ τοῦ κοινοῦ πολλάκις ὠφέλημα γίνεται. τὰ μὲν οὖν εἰς τὴν τροφὴν δέοντα, οἱ ἡγεμόνες τῶν ὁπλοφόρων ἐξετάζετε τοὺς ἐφ' ὑμῖν αὐτοῖς. οὐ γὰρ δεῖ παρεῖναι, ὅτου ἄν τις ἐνδεὴς ᾖ τούτων. ἡμεῖς γὰρ τούτων ἐνδεεῖς ἐσόμεθα. ὅσα δὲ καὶ τὰ ὑποζύγια κελεύω ἔχειν, ὑμεῖς οἱ τῶν σκευοφόρων ἄρχοντες, ἐξετάζετε· καὶ τὸν μὴ ἔχοντα, κατασκευάζεσθαι ἀναγκάζετε. ὑμεῖς δ' αὖ οἱ τῶν ὁδοποιῶν ἄρχοντες, ἔχετε μὲν ἀπογεγραμμένους παρ' ἐμοῦ τοὺς ἀποδεδοκιμασμένους, καὶ τοὺς ἐκ τῶν ἀκοντιστῶν, καὶ [illegible] ἐκ τῶν τοξοτῶν, καὶ τοὺς ἐκ τῶν σφενδονητῶν. τούτους οὖν χρὴ τοὺς μὲν ἀπὸ τῶν ἀκοντιστῶν, πέλεκυν ἔχοντας ξυλοκόπον, ἀναγκάζειν στρατεύεσθαι· τοὺς δ' ἐκ τῶν τοξοτῶν, σμινύην· τοὺς δ' ἀπὸ τῶν σφενδονητῶν, ἄμην. τούτους δ' ἔχοντας ταῦτα, πρὸ τῶν ἁμαξῶν κατ' ἴλας πορεύεσθαι, ὅπως ἤν τι δέῃ ὁδοποιίας, εὐθὺς ἐνεργοὶ ἦτε. καὶ ἐγὼ ἤν τι δέωμαι, ὅπως εἰδῶ, ὁπόθεν δεῖ λαβόντα τούτοις χρῆσθαι. ἄξω δὲ καὶ τοὺς ἐν τῇ στρατιωτικῇ ἡλικίᾳ ξὺν τοῖς ὀργάνοις, χαλκέας τε καὶ τέκτονας, καὶ σκυτοτόμους, ὅπως ὁπόσα ἂν δέηται καὶ τοιούτων τεχνῶν ἐν τῇ στρατιᾷ, μηδὲν ἐλλείπηται. οὗτοι δὲ ὁπλοφόρου μὲν τάξεως ἀπολελύσονται. ἃ δ' ἐπίστανται τῷ βουλομένῳ μισθοῦ ὑπηρετοῦντες, ἐν τῷ τεταγμένῳ ἔσονται. ἢν δέ τις καὶ ἔμπορος βούληται ἕπεσθαι πωλεῖν τι βουλόμενος, τῶν μὲν προειρημένων ἡμερῶν τὰ ἐπιτήδεια ἔχειν. ἢν δέ τι πωλῶν ἁλίσκηται, πάντων στερήσεται. ἐπειδὰν δ' αὗται παρέλθωσι, πωλήσει ὅπως ἂν βούληται. ὅστις δ' ἂν τῶν ἐμπόρων πλείστην ἀγορὰν παρέχων φαίνηται, οὗτος καὶ παρὰ τῶν συμμάχων καὶ παρ' ἐμοῦ δώρων καὶ τιμῆς τεύξεται. εἰ δέ τις χρημάτων προσδεῖσθαι νομίζει εἰς ἐμπολήν, γνωστῆρας ἡμῖν προσάγων καὶ ἐγγυητάς, ἦ μὴν πορεύεσθαι σὺν τῇ στρατιᾷ, λαμβανέτω ὧν ἡμεῖς ἔχομεν. ἐγὼ μὲν δὴ ταῦτα προαγορεύω. εἰ δέ τίς τι καὶ ἄλλο δέον ὁρᾷ, πρὸς ἐμὲ σημαινέτω, καὶ ὑμεῖς μὲν ἀπιόντες συσκευάζεσθε. ἐγὼ δὲ θύσομαι ἐπὶ τῇ ὁρμῇ. ὅταν δὲ τὰ τῶν θεῶν καλῶς ἔχῃ, σημανοῦμεν. παρεῖναι δὲ χρὴ ἅπαντας τὰ προειρημένα ἔχοντας εἰς τὴν τεταγμένην χώραν πρὸς τοὺς ἡγεμόνας ἑαυτῶν. ὑμεῖς δὲ, ὦ ἡγεμόνες, τὴν ἑαυτοῦ ἕκαστος τάξιν εὐτρεπισάμενος, πρὸς ἐμὲ πάντες συμβάλλετε, ἵνα τὰς ἑαυτῶν ἕκαστοι χώρας καταλάβητε. ἀκούσαντες δὲ ταῦτα, οἱ μὲν συνεσκευάζοντο· ὁ δ' ἐθύετο. ἐπεὶ δὲ καλὰ τὰ ἱερὰ ἦν, ὡρμᾶτο σὺν τῷ στρατεύματι. καὶ τῇ μὲν πρώτῃ ἡμέρᾳ ἐξεστρατοπεδεύσατο ὡς ἐδύνατο ἐγγύτατα, ὅπως εἴ τις τι ἐπιλελησμένος εἴη, μετέλθοι· καὶ εἴ τις τι ἐνδεόμενος γνοίη, τοῦτο ἐπιπαρασκευάσαιτο. Κυαξάρης μὲν οὖν τῶν Μήδων ἔχων τὸ τρίτον μέρος, κατέμενεν ὡς μηδὲ τὰ οἴκοι ἔρημα εἴη. ὁ δὲ Κῦρος ἐπορεύετο ὡς ἐδύνατο τάχιστα, τοὺς ἱππέας μὲν πρώτους ἔχων, καὶ πρὸ τούτων διερευνητάς, καὶ σκοποὺς ἀεὶ ἀναβιβάζων ἐπὶ τὰ πρόσθεν εὐσκοπώτατα. μετὰ δὲ τούτους ἦγε τὰ σκευοφόρα. ὅπου μὲν πεδίον ἦν, πολλοὺς ὁρμαθοὺς ποιούμενος τῶν ἁμαξῶν, καὶ τῶν σκευοφόρων. ὄπισθεν δὲ ἡ φάλαγξ ἐφεπομένη, εἴ τι τῶν σκευοφόρων ὑπολείποιτο, οἱ προστυγχάνοντες τῶν ἀρχόντων ἐπεμέλοντο, ὡς μὴ κωλύοιντο πορεύεσθαι. ὅπου δὲ στενωτέρα εἴη ἡ ὁδός, διὰ μέσου ποιούμενος

ποιούμενοι τὰ σκευοφόρα, ἔνθεν καὶ ἔνθεν ἐπορεύοντο οἱ ὁπλοφόροι. καὶ εἴ τι ἐμποδίζοι, οἱ κατὰ ταῦτα γιγνόμενοι αὐτῶν στρατιῶται ἐπεμέλοντο. ἐπορεύοντο δὲ ὡς τὰ πολλὰ αἱ τάξεις παρ' ἑαυταῖς ἔχουσαι τὰ σκευοφόρα. ἐπετέτακτο γὰρ πᾶσι τοῖς σκευοφόροις κατὰ τὴν ἑαυτῶν τάξιν ἕκαστον ἰέναι, εἰ μή τι ἀναγκαῖον ἀποκωλύοι. καὶ σημεῖον δὲ ἔχων τοῦ ταξιάρχου ὁ σκευοφόρος, ἡγεῖτο γνωστὸν τοῖς τῆς ἑαυτοῦ τάξεως, ὥστε ἁθρόοι ἐπορεύοντο. ἐπεμελοῦντό τε ἰσχυρῶς ἕκαστος τῶν ἑαυτοῦ, ὡς μὴ ὑπολείποιντο. καὶ οὕτω ποιούντων, οὔτε ζητεῖν ἔδει ἀλλήλους, ἅμα τε παρόντα ἅπαντα καὶ σωτήρια ἦν, καὶ θᾶσσον τὰ δέοντα εἶχον οἱ στρατιῶται. ὡς δὲ οἱ προϊόντες σκοποὶ ἔδοξαν ἐν τῷ πεδίῳ ὁρᾶν ἀνθρώπους λαμβάνοντας καὶ χιλὸν καὶ ξύλα, καὶ ὑποζύγια δὲ ἑώρων ἕτερα τοιαῦτα ἄγοντά τε καὶ νεμόμενα, καὶ τὰ πρόσω αὖ ἀφορῶντες, ἐδόκουν καταμανθάνειν μετεωριζόμενον ἢ καπνὸν ἢ κονιορτόν. ἐκ τούτων ἁπάντων ἐγίγνωσκον ὅτι εἴη πλησίον τὸ στράτευμα τῶν πολεμίων. εὐθὺς οὖν πέμπει ὁ σκοπάρχης τινὰ ἀγγελοῦντα ταῦτα τῷ Κύρῳ. ὁ δὲ ἀκούσας ταῦτα, ἐκείνους μὲν ἐκέλευσε μένοντας ἐπὶ ταύταις ταῖς σκοπαῖς, ὅτι ἂν ἀεὶ καινὸν ὁρῶσιν, ἐξαγγέλλειν. τάξιν δ' ἔπεμψεν ἱππέων εἰς τὸ πρόσθεν, καὶ ἐκέλευσε πειραθῆναι συλλαβεῖν τινὰς τῶν ἀνὰ τὸ πεδίον ἀνθρώπων, ὅπως σαφέστερον μάθοιεν τὸ ὄν. οἱ μὲν δὴ ταχθέντες, τοῦτο ἔπραττον. αὐτὸς δὲ τὸ ἄλλο στράτευμα αὐτοῦ κατεχώριζεν, ὅπως παρασκευάσαιντο ὅσα ᾤετο χρῆναι, πρὶν πάνυ ὁμοῦ εἶναι. καὶ πρῶτον μὲν ἀριστᾶν παρηγγύησεν· ἔπειτα δὲ μένοντας ἐν ταῖς τάξεσι, καὶ παραγγελλόμενον προνοεῖν. ἐπεὶ δὲ ἠρίστησαν, συνεκάλεσε καὶ ἱππέων, καὶ πεζῶν, καὶ ἁρμάτων τοὺς ἡγεμόνας· καὶ τῶν μηχανῶν δὲ καὶ τῶν σκευοφόρων τοὺς ἄρχοντας, καὶ τῶν ἁρμαμαξῶν. καὶ οὗτοι μὲν συνῄεσαν. οἱ δὲ καταδραμόντες εἰς τὸ πεδίον, συλλαβόντες ἀνθρώπους, ἤγαγον. οἱ δὲ ληφθέντες ἀνερωτώμενοι ὑπὸ τοῦ Κύρου, ἔλεγον, ὅτι ἀπὸ τοῦ στρατοπέδου εἶεν, προεληλύθοιεν δὲ ἐπὶ χιλόν· οἱ δ' ἐπὶ ξύλα, παρελθόντες τὰς προφυλακάς. διὰ γὰρ τὸ πλῆθος τοῦ στρατεύματος σπάνια πάντα εἶναι. καὶ ὁ Κῦρος ταῦτα ἀκούσας, πόσον δ', ἔφη, ἄπεστιν ἐνθένδε τὸ στράτευμα; οἱ δ' ἔλεγον ὡς δύο παρασάγγας. ἐπὶ τούτοις ἤρετο ὁ Κῦρος· ἡμῶν δ', ἔφη, λόγος τις ἦν παρ' αὐτοῖς; ναὶ μὰ Δί', ἔφασαν, καὶ πολύς γε ὡς ἐγγὺς ἤδη εἴητε προσιόντες. τί οὖν, ἔφη ὁ Κῦρος, ἔχαιρον ἀκούοντες; ὁ δὲ τοῦτο ἐπήρετο τῶν παρόντων ἕνεκα. οὐ μὰ Δία, εἶπον ἐκεῖνοι, οὐ μὲν δὴ ἔχαιρον, καὶ μάλα ἠνιῶντο. νῦν δ', ἔφη ὁ Κῦρος, τί ποιοῦσιν; ἐκτάττονται, ἔφασαν. καὶ χθὲς δὲ καὶ τρίτην ἡμέραν τὸ αὐτὸ τοῦτο ἔπραττον. ὁ δὲ τάττων, ἔφη ὁ Κῦρος, τίς ἐστιν; οἱ δ' ἔφασαν, αὐτός τε Κροῖσος, καὶ σὺν αὐτῷ Ἕλλην τις ἀνήρ, καὶ ἄλλος δέ τις Μῆδος. οὗτος μέντοι ἐλέγετο φυγὰς εἶναι παρ' ὑμῶν. καὶ ὁ Κῦρος εἶπεν· ἀλλ' ὦ Ζεῦ μέγιστε, λαβεῖν μοι αὐτὸν γένοιτο, ὡς ἐγὼ βούλομαι. ἐκ τούτου τοὺς μὲν αἰχμαλώτους ἀπάγειν ἐκέλευσεν, εἰς δὲ τοὺς παρόντας ὡς λέξων τι ἀνήγετο. ἐν τούτῳ δὲ παρῆν ἄλλος αὖ παρὰ τοῦ σκοπάρχου λέγων, ὅτι ἱππέων τάξις μεγάλη ἐν τῷ πεδίῳ προφαίνοιτο. καὶ ἡμεῖς μέν, ἔφη, εἰκάζομεν ἐλαύνειν αὐτούς, βουλομένους ἰδεῖν τόδε τὸ στράτευμα. καὶ γὰρ πρὸ τῆς τάξεως ἄλλοι ὡς τριάκοντα ἱππεῖς, συχνῶς προελαύνουσι.

milites impedimentis tenentibus medium hinc atque hinc pergebant, ac si quid impediret, milites ad has res constituti diligentiam adhibebant. Pergebant autem ordines frequentius apud se habentes impedimenta. Iussi enim erant omnes qui ferebant sarcinas, ut singuli irent secundum ordinem suum, nisi quid necessariũ esset impedimento. Signũq; habens quisq; cuius centurionis sarcinarius foret, antecedebat, quò suo ordini notum foret. Itaq; frequentes proficiscebãtur, curabantq; uehementer suos singuli, ne subsisterent. Quibus ita facientibus, neq; opus erat se inuicẽ quærerent: simulq; & præsentia erant omnia & salua, habebantq; milites celerius quæ oportebat. Vt autem procedentes speculatores in campo uisi sunt uidere homines qui pabulum caperent & materiem, aspiciebantq; iumẽta huiusmodi res agere ac pasci: & ulterius item intuentes, discere uisi sunt sublatũ fumum aut puluerem: ex his omnibus ferè nouerant, exercitum hostium alicubi prope esse. Itaq; speculatorũ præfectus continuo quendã mittit hæc Cyro nunciantem. Qui his auditis iussit, ut illi manerent in iisdẽ speculis, quodcunq; noui usquam uiderint nunciãtes: misitq; ordinem equitum ulterius, quibus iussit, eniterentur capere ex his hominibus qui erant in campo aliquos, quo certius uerum disceret. Iussi igitur hæc agebant. At ipse aliud agmen suum disponebat, quo pararent quæcũq; arbitrabatur oportere prius q̃ essent admodum simul. Ac primũ præcepit ut pranderent, deinde ut in ordinibus manerent, prouidẽtes quod iuberetur. Quibus pransis conuocauit Cyrus & equitum & peditũ & curruũ duces. Præterea machinarum & impedimentorũ carpentorumq; præfectos, qui omnes conuenerunt. At illi qui in campum decurrerant, agebant homines quos cepissent. Captiui autẽ illi à Cyro interrogati, dicebãt se a castris antecessisse pabulatum, alij uero lignatum prætereuntes procubitores. Nam propter exercitus multitudinẽ rarissima esse omnia. Quibus Cyrus auditis inquit: Quantum hinc abest hostium agmen? Ad quem illi respondebant: Ad duas parasangas. Post hæc percũctabatur Cyrus: At de nobis rumor ne ullus esset apud eos. Ita, dixere, per Iouem, & multus quidem, quod propè iam iis adoriẽtes. Quid igitur, inquit Cyrus, nũ etiã gaudebãt, cum audirẽt nos ire? Hoc aũt percunctabatur præsentiũ gratia. Non per Iouẽ, dixerunt illi: nullo modo gaudebant, quinetiã tristabantur plurimũ. Nunc autem, inquit Cyrus, quid faciunt? Instruuntur, responderunt: & heri & nudiustertius hoc idem agebant. Qui autem eos instruit, quis est? inquit Cyrus. Ad quem responderunt: Et Crœsus ipse, & unà cum eo uir quidam Græcus, & alius item Medus quidam qui à uobis fugisse dicebatur. Et Cyrus inquit: At ò Iupiter optime maxime, utinam mihi detur eum capere ut ipse uolo. Exhinc cum iussisset abigendos captiuos, ad astantes ut dicturus quippiam reuertebatur. Hic etiam aderat alius à præfecto speculatorum, inquiens apparere ante alios in campo magnum equitum ordinem: & nos, inquit, cõiecturamus eos immittere, quòd uidere hanc uelit aciem. Etenim ante hunc ordinem alij circiter triginta equites frequentes adequitant,

quitant, qui uelint fortasse nosipsos speculatores ca-
pere si possint. nos autem sumus decem in hac spe-
cula. Et Cyrus iussit ex equitibus, qui semper a-
pud se essent, immittentes sub speculam clàm ho-
stibus, quietem agere. Cum autem denarij illi no-
stri speculam liquerint, uos exurgentes eos inuadi-
te qui in speculam ascendunt. Vt autem uos dolo-
re non afficiant, qui sunt à magno ordine, contrà tu,
inquit, egredere ô Hystaspa, tribunos militum habēs
equites, teq; contrà ostende hostium ordini. Inseque- 10
re autem nusquam in locum obscurum, sed quo spe-
culæ tibi permaneant, hisce diligentiam adhibens
transito. Quod si qui sublatis dextris ad uos immi-
serint, amicè uiros excipite. Hystaspas igitur abiens,
armis induebatur: ministri uerò continuò immitte-
bant, ut iusserat. Obuius autem his fit uel intra ipsas
speculas Araspas unà cum famulis, qui olim missus
est explorator, custos Susiæ mulieris. Quare Cyrus
ut audiuit, exiliens ex cathedra & occurrebat ei, &
amicè excipiebat. At alij, ut erat consentaneum, cum 20
nihil scirent, ob rem eam stupore tenebantur, donec
Cyrus inquit: Viri amicissimi, uenit nobis uir opti-
mus: nunc enim hominibus omnibus scienda sunt hu-
ius opera. Hic neq; ulla uictus turpitudine abijt, neq;
mei metu, sed à meipso potius missus, quò rebus ho-
stiū liquidò cognitis uera mihi referret. Quæ igitur
ego tibi pollicitus sum Araspa, & memini, & unà
cum hisce omnibus referam. Est autem iustum, ô ui-
ri, uos etiam omnis hunc honoribus prosequi ut bo-
num uirum. Ad nostram enim utilitatem & pericu- 30
lum subijt, & accusationi obnoxius factus est, quæ
erat admodum grauis. Exhinc omnes Araspam am-
plectebantur, & amicè excipiebant. Dicente autem
Cyro: De his igitur satis, quæ autem tēpus est nobis
scire, hæc Araspa narrato, nihilq; de ueritate dimi-
nue, neq; hostiū res extenua. Melius enim est si ma-
iora arbitrati, minora uideamus, quā minora audien-
tes, ualidiora inueniamus. Atqui respondit Araspas:
Ego feci ut scirem quamsecurissimè, quantus est exer-
citus: unà enim quum ijs interessem, aciem ordinaui. 40
Tu enim, inquit Cyrus, nō solum multitudinē nosti,
uerumetiam ordinem ipsorū. Equidem mediusfidius,
inquit Araspas, & quomodo cogitant pugnam face-
re. Veruntamē, inquit Cyrus, multitudinē nobis sum-
matim expone. Illi omnes, respondit, instructi sunt ad
trigenos in densitatē, & pedites & equites, demptis
Aegyptijs, qui absunt stadia circiter quadraginta.
Valde enim curaui, ut scirē quantū loci cōtinerent.
At Aegyptij, inquit Cyrus, quo pacto ordinati sunt?
quoniā dixisti dēptis Aegyptijs. Hosce, inquit, qui de- 50
cem millib. præsunt, instruxerūt singulos decē millia
in centenos: hanc enim ordinū legem, qua utūtur do-
mi, secum intulerūt. Et Crœsus sanè ualde inuitus ijs
concessit ordinari hoc pacto: uolebat enim excedere
plurimū phalange aciem tuā. Ad quid, inquit Cyrus,
cupiebat hanc rem Crœsus? Quò mediusfidius maio-
re multitudine tuam aciem circūdaret. Et Cyrus in-
quit: At hi scirent, si circundantes circundarentur.
Sed quæ à te tempus est discere, audiuimus. Cæterùm
uos oportet, ô uiri, ita facere. Nunc ubi hinc abieri-
tis,

νουσιν. καὶ μὲν τοι κατ' αὐτοὺς ἡμᾶς, ἴσως βουλόμενοι
λαβεῖν ἢν δύνωνται τὴν σκοπήν. ἡμεῖς δ' ἐσμὲν μία
δεκάς, οἱ ἐπὶ ταύτῃ τῇ σκοπῇ. καὶ ὁ Κῦρος ἐκέλευσε τῶν
περὶ αὐτὸν ἀεὶ ὄντων ἱππέων ἐλάσαντας ὑπὸ τὴν σκο-
πὴν ἀδήλους τοῖς πολεμίοις ἀτρεμίαν ἔχειν. ὅταν δ',
ἔφη, ἡ δεκὰς ἡ ἡμετέρα λείπῃ τὴν σκοπήν, ἐξαναστάν-
τες, ἐπίθεσθε τοῖς ἀναβαίνουσιν ἐπὶ τὴν σκοπήν. ὡς δ'
ὑμᾶς μὴ λυπῶσιν οἱ ἀπὸ τῆς μεγάλης τάξεως, ἀντέξελ-
θε σὺ ὦ Ὑστάσπα, τὴν χιλιοστὺν τῶν ἱππέων λαβών, καὶ
ἐπιφάνηθι ἀντίος τῇ τῶν πολεμίων τάξει. διώξῃς δὲ
μηδαμῇ εἰς ἀφανές, ἀλλ' ὅπως αἱ σκοπαί σοι διαμένω-
σιν ἐπιμεληθείς, πάρελθε. ἂν δ' ἄρα ἀνατείνοντες τὰς
δεξιὰς προσελαύνωσιν ὑμῖν τινες, δέχεσθε φιλίως τοὺς
ἄνδρας. ὁ μὲν δὴ Ὑστάσπας ἀπιών, ὡπλίζετο. οἱ δ' ὑπη-
ρέται ἤλαυνον εὐθὺς ὡς ἐκέλευσεν. ἀπαντᾷ δ' αὐτοῖς
καὶ δὴ ἐντὸς τῶν σκοπῶν Ἀράσπας σὺν τοῖς θεράπουσιν, ὁ
πεμφθεὶς πάλαι κατάσκοπος, ὁ φύλαξ τῆς Σουσίδος
γυναικός. ὁ μὲν οὖν Κῦρος ὡς εἶδεν ἀναπηδήσας ἐκ τῆς
ἕδρας ὑπήντα τε αὐτῷ, καὶ ἐδεξιοῦτο. οἱ δ' ἄλλοι, ὥσπερ
εἰκός, μηδὲν εἰδότες ἐκπεπληγμένοι ἦσαν τῷ πράγ-
ματι, ἕως ὁ Κῦρος εἶπεν· ἄνδρες φίλοι, ἥκει ἡμῖν ἀνὴρ
ἄριστος. νῦν γὰρ ἤδη πάντας ἀνθρώπους δεῖ εἰδέναι τὰ
τούτου ἔργα. οὗτος οὔτε αἰσχροῦ ἡττηθεὶς οὐδενὸς ᾤχετο, οὔτε
ἐμὲ φοβηθείς· ἀλλ' ὑπ' ἐμοῦ πεμφθείς, ὅπως ἡμῖν μαθὼν
τὰ τῶν πολεμίων, σαφῶς τὰ ὄντα ἐξαγγείλειεν. ἃ μὲν οὖν
ἐγώ σοι ὑπεσχόμην, ὦ Ἀράσπα, μέμνημαί τε καὶ ἀπο-
δώσω σὺν τούτοις πᾶσι. δίκαιον γὰρ καὶ ὑμᾶς ἅπαν-
τας, ὦ ἄνδρες, τοῦτον τιμᾶν ὡς ἀγαθὸν ἄνδρα. ἐπὶ γὰρ
τῷ ἡμετέρῳ ἀγαθῷ καὶ ἐκινδύνευσε, καὶ αἰτίαν ὑπέσχεν
ἣ ἐβάρυνεν. ἐκ τούτου δὴ πάντες ἠσπάζοντο τὸν Ἀράσπαν
καὶ ἐδεξιοῦντο. εἰπόντος δὲ Κύρου, ὅτι τούτων μὲν ἅλις
εἴη, ἃ δὲ καιρὸς ἡμῖν εἰδέναι, ταῦτα, ἔφη, διηγοῦ ὦ Ἀράσ-
πα, καὶ μηδὲν μείου τοῦ ἀληθοῦς τὰ τῶν πολεμίων. κρεῖτ-
τον γὰρ μείζονα οἰηθέντας, μείονα ἰδεῖν, ἢ μείω ἀκούσαν-
τας, μείζονα εὑρίσκειν. καὶ μήν, ἔφη ὁ Ἀράσπας, ὡς ἀσ-
φαλέστατά γ' ἂν εἰδείην ἐποίουν. συνεξέταττον γὰρ παρὼν
αὐτούς. σὺ μὲν ἄρα, ἔφη ὁ Κῦρος, οὐ τὸ πλῆθος μόνον
οἶσθα, ἀλλὰ καὶ τὴν τάξιν αὐτῶν. ἐγὼ μὲν ναὶ μὰ Δί',
ἔφη ὁ Ἀράσπας, καὶ ὡς διανοοῦνται τὴν μάχην ποιεῖσθαι.
ἀλλ' ὅμως, ἔφη ὁ Κῦρος, τὸ πλῆθος ἡμῖν πρῶτον εἰπὲ ἐν
κεφαλαίῳ. ἐκεῖνοι τοίνυν πάντες τεταγμένοι εἰσὶν ἐπὶ
τριάκοντα τὸ βάθος, καὶ πεζοὶ καὶ ἱππεῖς, πλὴν τῶν Αἰγυ-
πτίων. οὗτοι δ' ἐπέχουσιν ἀμφὶ τὰ τετταράκοντα στά-
δια. πάνυ γάρ μοι, ἔφη, ἐμέλησεν, ὥστε εἰδέναι ὁπόσον
κατεῖχον χωρίον. οἱ δ' Αἰγύπτιοι, ἔφη ὁ Κῦρος, πῶς
εἰσὶ τεταγμένοι ὅτι εἶπας, πλὴν τῶν Αἰγυπτίων. τούτους
δ' οἱ μυρίαρχοι ἔταττον, εἰς ἑκατὸν πανταχῇ τὴν μυ-
ριοστὺν ἑκάστην. τοῦτον γὰρ σφίσι καὶ οἴκοι νόμον ἔφασαν
εἶναι τῶν τάξεων. καὶ ὁ Κροῖσος μέντοι μάλα ἄκων
συνεχώρησεν αὐτοῖς, οὕτω τάττεσθαι. ἐβούλετο γάρ, ὅτι
πλεῖστον ὑπερφαλαγγῆσαι τοῦ σοῦ στρατεύματος. πρὸς
τί δή, ἔφη ὁ Κῦρος, τοῦτο ἐπιθυμῶν; ὡς ναὶ μὰ Δί', ἔφη,
τῷ περιττῷ κυκλωσόμενος. καὶ ὁ Κῦρος εἶπεν· ἀλλ' οὔ-
τοι ἂν εἰδεῖεν, εἰ κυκλούμενοι κυκλωθεῖεν. ἀλλ' ἃ μὲν
παρὰ σοῦ καιρὸς μαθεῖν, ἀκηκόαμεν. ὑμᾶς δὲ χρὴ ὦ ἄν-
δρες, οὕτω ποιεῖν. νῦν μὲν ἐπειδὰν ἐνθένδε ἀπέλ-
θητε,

θητε, ἐπισκέψασθε καὶ τὰ τῶν ἵππων, καὶ τὰ ὑμῶν αὐτῶν ὅπλα. ὡς πολλάκις μικροῦ ἐνδείᾳ, καὶ ἀνὴρ καὶ ἵππος καὶ ἅρμα, ἀχρεῖον γίνεται. αὔριον δὲ πρωῒ ἕως ἂν ἐγὼ θύωμαι, πρῶτον μὲν χρὴ ἀριστῆσαι καὶ ἄνδρας καὶ ἵππους, ὅπως ὅτι ἂν πράττειν καιρὸς ἀεὶ ᾖ, μὴ τούτου ἡμῖν ἐνδέῃ. ἔπειτα δὲ σύ, ἔφη, ὦ Ἀράσπα, τὸ δεξιὸν κέρας ἔχε, ὥσπερ κατέχεις· καὶ οἱ ἄλλοι μυρίαρχοι ᾗπερ νῦν ἔχετε. ὁμοῦ γὰρ τοῦ ἀγῶνος ὄντος, οὐδενὶ ἅρματι ἔτι καιρὸς τοὺς ἵππους μεταζευγνύναι. παραγγείλατε δὲ τοῖς ταξιάρχαις καὶ λοχαγοῖς ἐπὶ φάλαγγος καθίστασθαι, εἰς δύο ἔχοντας ἕκαστον τὸν λόχον. ὁ δὲ λόχος ἦν ἕκαστος, εἰκοσιτέτταρες. καί τις εἶπε τῶν μυριάρχων· καὶ δοκοῦμέν σοι, ὦ Κῦρε, ἱκανῶς ἕξειν εἰς τοσούτους τεταγμένοι, πρὸς οὕτω βαθεῖαν φάλαγγα; καὶ ὁ Κῦρος εἶπεν· αἱ δὲ βαθύτεραι φάλαγγες, ἢ ὡς ἐξικνεῖσθαι τοῖς ὅπλοις τῶν ἐναντίων, τί σοι δοκοῦσιν, ἔφη, τοὺς πολεμίους βλάπτειν, ἢ τοὺς συμμάχους ὠφελεῖν; ἐγὼ μὲν γάρ, ἔφη, τοὺς εἰς ἑκατὸν τούτους ὁπλίτας, εἰς μυρίους ἂν βουλοίμην μᾶλλον τετάχθαι. οὕτω γὰρ ἂν ἐλαχίστοις μαχοίμεθα. ἐξ ὅσων μέντοι ἐγὼ τὴν φάλαγγα βαθυνῶ, οἴομαι ὅλην ἐνεργὸν καὶ σύμμαχον ποιήσειν αὐτὴν ἑαυτῇ. ἀκοντιστὰς μὲν ἐπὶ τοῖς θωρακοφόροις τάξω· ἐπὶ δὲ τοῖς ἀκοντισταῖς τοξότας. τούτους γὰρ πρωτοστάτας μὲν ἄν τις τάττοι, οἳ καὶ αὐτοὶ ὁμολογοῦσι, μηδεμίαν μάχην ἂν ὑπομεῖναι ἐκ χειρός. προβεβλημένοι δὲ τοὺς θωρακοφόρους, μενοῦσί γε. καὶ οἱ μὲν ἀκοντίζοντες, οἱ δὲ τοξεύοντες ὑπὲρ τῶν προόσθεν πάντων, λυμανοῦνται τοὺς πολεμίους. ὅτι δ᾽ ἂν κακουργῇ τις τοὺς ἐναντίους, δηλονότι παντὶ τούτῳ τοὺς συμμάχους κουφίζει. τελευταίους μέντοι στήσω, τοὺς ἐπὶ πᾶσι καλουμένους. ὥσπερ γὰρ οἰκίας οὔτε ἄνευ λιθολογήματος ὀχυροῦ, οὔτε ἄνευ τῶν στέγην ποιούντων οὐδὲν ὄφελος· οὕτως οὐδὲ φάλαγγος, οὔτε ἄνευ τῶν πρώτων, οὔτε ἄνευ τῶν τελευταίων, ἂν μὴ ἀγαθοὶ ὦσιν, ὄφελος οὐδέν. ἀλλ᾽ ὑμεῖς τε, ἔφη, ὡς παραγγέλλω, τάττεσθε. καὶ ὑμεῖς οἱ τῶν πελταστῶν ἄρχοντες, ἐπὶ τούτοις τοὺς λόχους ὡσαύτως καθίστατε. καὶ ὑμεῖς οἱ τῶν τοξοτῶν ἐπὶ τοῖς πελτασταῖς ὡσαύτως. σὺ δὲ ὃς τῶν ἐπὶ πᾶσιν ἄρχεις τελευταίους ἔχων τοὺς ἄνδρας, παράγγελλε τοῖς ἑαυτοῦ, ἐφορᾶν τε ἑκάστῳ τοὺς καθ᾽ ἑαυτόν. καὶ τοῖς μὲν τὸ δέον ποιοῦσιν, ἐπικελεύειν· τοῖς δὲ κακυνομένοις, ἀπειλεῖν ἰσχυρῶς. ἂν δέ τις στρέφηται, προδιδόναι θέλων, θανάτῳ ζημιοῦν. ἔργον γάρ ἐστι τοῖς μὲν πρωτοστάταις, θαρρύνειν τοὺς ἑπομένους καὶ λόγῳ καὶ ἔργῳ· ὑμᾶς δὲ δεῖ τοὺς ἐπὶ πᾶσι τεταγμένους, πλείω φόβον παρέχειν τοῖς κακοῖς, τοῦ ἀπὸ τῶν πολεμίων. καὶ ὑμεῖς μὲν ταῦτα ποιεῖτε. σὺ δὲ ὦ Ἀβραδάτα, ὃς ἄρχεις τῶν ἐπὶ ταῖς μηχαναῖς, οὕτω ποίει, ὅπως τὰ ζεύγη τὰ τοὺς ὑπηρέτας καὶ τοὺς πύργους φέροντα, ἕψεται ὡς ἐγγύτατα τῆς φάλαγγος. σὺ δ᾽ ὦ Δαοῦχε, ὃς ἄρχεις τῶν σκευοφόρων ἁρμαμαξῶν, ἐπὶ τοῖς πύργοις ἄγε πάντα τὸν τοιοῦτον στρατόν. οἱ δ᾽ ὑπηρέται σου ἰσχυρῶς κολαζόντων, τοὺς προϊόντας τοῦ καιροῦ ἢ λειπομένους. σὺ δ᾽ ὦ Καρδοῦχε, ὃς ἄρχεις τῶν ἁρμαμαξῶν, αἳ ἄγουσι τὰς γυναῖκας, κατάστησον αὐτὰς τελευταίας ἐπὶ τοῖς σκευοφόροις. ἑπόμενα γὰρ ταῦτα πάντα, καὶ πλήθους δόξαν παρέξει, καὶ ἐνεδρεύειν ἡμῖν ἐξουσία ἔσται. καὶ τοῖς πολεμίοις ἢν κυκλοῦσθαι βούλωνται, μείζω τὴν περιβολὴν ἀναγκάσει

tis, considerate & equorum & uestrum ipsorum arma: sæpe enim ob paruæ rei defectum, & uir & currus inutilis redditur. Cras autem mane, donec ego sacrum faciam, primum quidem prandendum est & uiris & equis, ne quicquid agendi sit tempus, huius rei indigeatis. Dein tu Araspa dextrum habeto cornu, quemadmodum etiam habes. At alij quidem millenis præfecti, sicuti habetis nunc, habetote. Cum enim simul certamen est, nulli currui tempestiuũ est equos mutando coniugare: iubeteq; centurionibus atq; primipilis, ut stent in phalange bini, habẽtes singulos manipulos. Erat autem manipulus quisq; uiri XXIIII. Et quidam ex centurionibus inquit: Videmurne tibi Cyre satis habituri in tot milites instructi, aduersus phalanga adeò densam? Ad quem Cyrus respondit: At phalanges densiores quàm ut armis assequi hostes queant, quid tibi uidentur esse, hostibusne nocere, an socijs prodesse? Ego enim milites singillatim in centenos diuisos, contra decem millia potius uellem instructos esse. ita enim aduersus paucissimos pugnaremus. Ex quot ego militibus phalanga densabo, puto totam adiutricem ac sociam futuram ipsam sibi. Iaculatores quidem post thoracibus armatos ordinabo, post iaculatores autem sagittarios. Hos enim primos in acie quisnam ordinet, qui etiam ipsi fatentur nullam posse pugnam comminus sustinere? Cum uero obiecerint thoracibus armatos, & manebunt qui iaculantur: & qui sagittas mittunt, pro anterioribus omnibus lædent hostes. Quocunque quis aduersarios malo afficiat, hoc certe incommodo omni socios leuat. Postremos autem statuam, qui post omnis sunt euocati. NAM quemadmodum ædium, neque sine lapidum munita structura, neque sine facientibus tectum ulla est utilitas: ita etiam neque phalangis, nec sine primis, nec sine ultimis, nisi boni fuerint, ulla utilitas est. Sed uos ut præcipio instruamini, atque uos scutatorum principes post hos eodem modo manipulos constituite: & uos sagittariorum præfecti post scutatos identidem. Tu uerò qui in omnes principatum geris, ultimos habens uiros fortis, præcipe tuis ut quique suos obseruet, & illos pro officio facienteis adhortetur, & alijs non facientibus uehementer minitetur. Si quis autem auertatur uolens prodere, hic plectatur morte. Debent enim præfecti audentiam sequentibus inijcere, & uerbo & re: atque uos etiam oportet, qui post omneis ordinati estis, maiore metu ignauos afficere quàm qui est ab hostibus. Et uos quidem hæc facitote. Tu uerò Eufrates qui præes machinarijs, ita facito, ut iumenta quæ turres atque ministros agunt, sequantur quamproxime phalanga. Tu autem Dauce qui ducis impedimentaria plaustris, post turreis ac post machinas age omnis huiusmodi copias. Tui autem ministri uehementer animaduertant in eos qui ex multitudine ante tempus aut procedunt aut desunt. Tu uerò, ô Chaduca, qui carpentis mulieres agentibus præfectus es, ipsa post impedimenta locato ultima. Hæc enim omnia si sequantur, & multitudinis præbent opinionem, & nobis insidiandi dabunt facultatem, maioremque circuitum

λόχος

facere cogent hostis, si tentent circundare: qui quò
plus loci circundent, eò hi necessario imbecilliores
fiant. Et uos quidem ita facitote. Sed tu Artabaze et
Artagersa millenarium ordinem uterque uestrorum
peditum unà nobiscum post hos habete. Tuq; Phar
nuche & Asiadata millenarium equitum ordinem,
cui uestrûm uterque praeest, nolite constituere in
phalanga: sed post carpenta uos separatim ipsi in/
struimini armis, deinde ad me itote unà cum alijs du
cibus. Ita uos parari oportet, ut primos necessario 10
praeliaturos. Tu uero qui ijs uiris es praefectus qui
sunt post camelos, post carpenta stato, facitoq; quod
cunq; tibi Artagersas praeceperit. Vos autem qui de
signati estis curruum duces, uester quidem princeps
ante phalanga currus centum secum constituat: alij
quidem centeni ordines curruum, alteri ad dextrum
latus exercitus incedentes sequantur phalanga ad
cornu, alteri uerò ad laeuum. Et Cyrus quidem ita in
struxit. At Abradatas rex Susorum inquit: Ego tibi
Cyre ultro recipio ordinem habere è regione aduer/ 20
sae phalangis, nisi quid tibi aliud uidetur. Et Cyrus
eo delectatus admiratusq;, rogauit Persas qui erant
in alijs curribus: Num etiam uos haec conceditis?
Sed postea quam illi responderunt, non esse hone/
stum haec concedere, sortes his dedit. & in Abra/
datam sors cecidit, quemadmodum receperat, &
oppositus est aduersus Aegyptios. Tum igitur ab/
euntes, & eorum quae praedixerant curam haben/
tes coenati sunt, constitutisq; custodijs dormiere. Po
stero autem die Cyrus mane sacrum faciebat: alius 30
uerò exercitus cum prandisset, libationémque fecis/
set, instruebatur multis atque pulchris tunicis tho/
racibú'que, & cassidibus multis item & pulchris.
Armauerunt etiam equos frontalibus: pectorali/
busq;, & solos quidem equos femoralibus: eos uero
equos qui erant sub curribus, lateralibus. Itaque uni
uersus exercitus aere fulgurabat, puniceoq; florebat
ornatu. Atque Abradatae currus quatuor temonum,
& equorum octo, pulcherrime erat ornatus. Cumq;
induturus esset lineum thoraca, qui ijs patrius est, 40
affert ei Panthea auream cassidem & brachialia,
& latas armillas circa manuum iuncturas, & tu/
nicam purpuream ad pedes usque tendentem, cu/
ius inferiores orae stolae habebant speciem, & co/
num hyacinthini coloris. Haec autem clàm uiro fe/
cerat, dimensa illius arma. Quae ille intutus, &
admiratus est, & Pantheam interrogauit: Tu
sane, ô mulier, mundo tuo conciso arma feci/
sti mihi? Per Iouem, inquit Panthea, haudqua/
quam illo multi faciundo: tu enim mihi, si alijs 50
etiam appares qualis mihi uideris esse, maximus
eris mundus. Haec autem dicens simul eum armis
induebat, latereque nitebatur: nam et lachrymae
fundebantur per genas. Cúmque etiam antea esset
spectatu dignißimus Abradatas, ubi his armis in/
structus est, apparuit & pulcherrimus & uenustis/
simus: quippe qui natura etiam talis esset. Acceptis
autem habenis ab auriga, parabatur ut in currum
iam ascensurus. At hic Panthea alijs qui aderant
omnibus iußis secedere, dixit: Si qua alia nunquam
uxor

ἀναγκάσει πιέζεσθαι. ὅσῳ δ' ἂν μείζω χωρίον περιβάλλων-
ται, τοσούτῳ αὐτοὺς ἀσθενεστέρους ἀνάγκη γίγνεσθαι. καὶ
ὑμεῖς μὲν αὖ οὕτω ποιεῖτε. σὺ δὲ, ὦ Ἀρτάβαζε καὶ Ἀρ-
ταγέρσα, τὴν χιλιοστὺν ἑκάτερος τῶν σὺν ὑμῖν ἐπὶ τού-
τοις ἔχετε πεζῶν. καὶ σὺ ὦ Φαρνοῦχε καὶ Ἀσιαδάτα, τὴν
τῶν ἱππέων χιλιοστὺν, ἧς ἑκάτερος ὑμῶν ἄρχει, μὴ συγ-
καταστήσητε εἰς τὴν φάλαγγα. ἀλλ' ὄπισθεν τῶν ἁρμα-
μαξῶν ἐξοπλίσθητε καθ' ὑμᾶς αὐτούς. ἔπειτα πρὸς ἡ-
μᾶς ἥκετε σὺν τοῖς ἄλλοις ἡγεμόσιν. οὕτω δὲ δεῖ ὑμᾶς
παρεσκευάσθαι, ὡς πρώτους δεῆσον ὑμᾶς ἀγωνίζεσθαι.
καὶ σὺ δὲ, ὦ ἄρχων τῶν ἐπὶ ταῖς καμήλοις ἀνδρῶν, ὄπι-
σθεν τῶν ἁρμαμαξῶν ἐκτάττου. ποίει δ' ὅτι ἄν σοι παρ-
αγγέλλῃ Ἀρταγέρσας. ὑμεῖς δ' οἱ τῶν ἁρμάτων ἡγεμό-
νες διακληρωσάμενοι, ὁ μὲν λαχὼν ὑμῶν πρὸ τῆς φά-
λαγγος, τὰ μεθ' ἑαυτοῦ ἑκατὸν ἔχων ἅρματα καταστη-
σάτω. αἱ δ' ἕτεραι ἑκατοστύες τῶν ἁρμάτων, ἡ μὲν κατὰ
τὸ δεξιὸν πλευρὸν τῆς στρατιᾶς στοιχοῦσα, ἑπέσθω τῇ φα-
λαγγι ἐπὶ κέρας. ἡ δὲ κατὰ τὸ εὐώνυμον. Κῦρος μὲν οὕτω
διετάττετο. Ἀβραδάτης δὲ ὁ Σούσων βασιλεὺς εἶπεν· ἐγώ
σοι ὦ Κῦρε ἐθελούσιος ὑφίσταμαι, τὴν κατὰ πρόσωπον τῆς
ἀντίας φάλαγγος τάξιν ἔχειν, εἰ μή τι σοὶ ἄλλο δο-
κεῖ. καὶ ὁ Κῦρος ἀγασθεὶς αὐτὸν καὶ δεξιωσάμενος, ἐ-
πήρετο τοὺς ἐπὶ τοῖς ἄλλοις ἅρμασι Πέρσας, εἰ καὶ ὑμεῖς,
ἔφη, ταῦτα συγχωρεῖτε. ἐπεὶ δὲ ἐκεῖνοι ἀπεκρίναντο,
ὅτι οὐ καλὸν εἴη ταῦτα ὑφίεσθαι, διεκλήρωσεν αὐτούς.
καὶ ἔλαχεν Ἀβραδάτης ὅπερ ὑφίστατο. καὶ ἐγένετο κατὰ
τοὺς Αἰγυπτίους. τότε μὲν δὴ ἀπιόντες καὶ ὧν ἐμελλήσθην(?)
τες ἐπιμεληθέντες, ἐδειπνοποιοῦντο· καὶ φυλακὰς κατα-
στησάμενοι, ἐκοιμήθησαν. τῇ δ' ὑστεραίᾳ πρῲ μὲν ὁ Κῦρος
ἐθύετο. ὁ δ' ἄλλος στρατὸς ἀριστήσας καὶ σπονδὰς ποιησά-
μενος, ἐξωπλίζετο, πολλοῖς μὲν καὶ καλοῖς χιτῶσι· πολ-
λοῖς δὲ καὶ καλοῖς θώραξι καὶ κράνεσιν· ὥπλιζον δὲ καὶ ἵπ-
πους προμετωπιδίοις καὶ προστερνιδίοις. καὶ τοὺς μὲν μο-
νίππους, παραμηριδίοις· τοὺς δ' ἐπὶ τοῖς ἅρμασι, παρα-
πλευριδίοις. ὥστε ἤστραπτε μὲν χαλκῷ, ἤνθει δὲ φοινικί-
σι πᾶσα ἡ στρατιά. καὶ τῷ Ἀβραδάτῃ δὲ τὸ τετράρρυμον ἅρ-
μα καὶ ἵππων ὀκτὼ παγκάλως ἐκεκόσμητο. ἐπεὶ δ' ἔμελ-
λε τὸν λινοῦν θώρακα, ὃς ἐπιχώριος ἦν αὐτοῖς ἐνδύε-
σθαι, προσφέρει αὐτῷ ἡ Πάνθεια χρυσοῦν κράνος, καὶ πε-
ριβραχιόνια, καὶ ψέλλια πλατέα περὶ τοὺς καρποὺς τῶν χει-
ρῶν, καὶ χιτῶνα πορφυροῦν ποδήρη στολιδωτὸν κάτω,
καὶ λόφον ὑακινθινοβαφῆ. ταῦτα δὲ ἐποιήσατο λάθρα τοῦ
ἀνδρὸς ἐκμετρησαμένη τὰ ἐκείνου ὅπλα. ὁ δὲ ἰδὼν, ἐ-
θαύμασε, καὶ ἤρετο τὴν Πάνθειαν· οὐ δή που, ὦ γύναι,
συγκόψασα τὸν σαυτῆς κόσμον τὰ ὅπλα μοι ἐποιήσω;
μὰ Δί', ἔφη ἡ Πάνθεια, τὸν γε πλείστου ἄξιον. σὺ γάρ ἐμοί γ'
ἂν καὶ τοῖς ἄλλοις φανεὶς, οἷος ἐμοὶ δοκεῖς εἶναι, μέγιστος κόσ-
μος ἔσῃ. ταῦτα λέγουσα, ἐνέδυέ τε τὰ ὅπλα, καὶ λανθά-
νειν μὲν ἐπειρᾶτο. ἐλείβετο δὲ αὐτῇ τὰ δάκρυα κατὰ τῶν
παρειῶν. ἐπεὶ δὲ καὶ πρόσθεν ὢν ἀξιοθέατος ὁ Ἀβραδά-
της, ὡπλίσθη τοῖς ὅπλοις τούτοις, ἐφάνη μὲν κάλλιστος καὶ
ἐλευθεριώτατος, ἅτε καὶ τῆς φύσεως ὑπαρχούσης. λα-
βὼν δὲ παρὰ τοῦ ὑφηνιόχου τὰς ἡνίας, παρεσκευάζετο ὡς
ἀναβησόμενος ἤδη ἐπὶ τὸ ἅρμα. ἐν δὲ τούτῳ ἡ Πάνθεια
ἀποχωρῆσαι κελεύσασα τοὺς παρόντας πάντας, ἔλε-
ξεν· ἀλλ' ὅτι μὲν ὦ Ἀβραδάτα, εἴ τις καὶ ἄλλη πώποτε
γυνὴ

γυνὴ τὸν αὑτῆς ἄνδρα, μεῖζον τῆς ἑαυτῆς ψυχῆς ἐτίμησεν,
οἶμαί σε γιγνώσκειν, ὅτι καὶ ἐγὼ μία τούτων εἰμί. τί οὖν
με δεῖ καθ' ἓν ἕκαστον λέγειν· τὰ γὰρ ἔργα οἶμαί σοι πι-
θανώτερα παρεσχῆσθαι τῶν νῦν λεχθέντων. ὅμως δὲ οὕτως
ἔχουσα πρὸς σὲ ὥσπερ σὺ οἶσθα, ἐπομνύω σοι τὴν ἐμὴν καὶ
σὴν φιλίαν, ἦ μὴν ἐγὼ βούλεσθαι ἂν μετὰ σοῦ ἀνδρὸς ἀ-
γαθοῦ γενομένου, κοινῇ γῆν ἐπιέσασθαι μᾶλλον, ἢ ζῆν μετ'
αἰσχυνομένου αἰσχυνομένη. οὕτως ἐγὼ καὶ σὲ τῶν καλλί-
στων, καὶ ἐμαυτὴν ἠξίωκα. καὶ Κύρῳ δὲ δοκῶ μεγάλην τι-
νὰ ἡμᾶς χάριν ὀφείλειν, ὅτι με αἰχμάλωτον γενομέ-
νην, ἐξαιρεθεῖσαν ἑαυτῷ, οὔτε ὡς δούλην ἠξίωσε κεκτῆ-
σθαι, οὔτε ὡς ἐλευθέραν ἐν ἀτίμῳ ὀνόματι, διεφύλαξε
δέ σοι ὥσπερ ἀδελφοῦ γυναῖκα λαβών. πρὸς δὲ καὶ ὅτε
ὁ Ἀράσπας ἀπέστη αὐτοῦ ὁ ἐμὲ φυλάττων, ὑπεσχόμην αὐ-
τῷ, εἴ με ἐάσει πρὸς σὲ πέμψαι, ἥξειν αὐτῷ σὲ πολὺ Ἀρά-
σπου πιστότερον καὶ ἀμείνονα. ἡ μὲν ταῦτα εἶπεν· ὁ δὲ Ἀ-
βραδάτας ἀγασθεὶς αὐτὴν, καὶ θιγὼν αὐτῆς τῆς κεφα-
λῆς, ἀναβλέψας πρὸς τὸν οὐρανὸν, ἐπηύξατο· ἀλλ', ὦ Ζεῦ
μέγιστε, δός μοι φανῆναι ἀξίῳ μὲν Πανθείας ἀνδρί, ἀξίῳ
δὲ Κύρου φίλῳ τοῦ ἡμᾶς τιμήσαντος. ταῦτα εἰπὼν κα-
τὰ τὰς θύρας τοῦ ἁρματίου δίφρου ἀνέβαινεν ἐπὶ τὸ ἅρ-
μα. ἐπεὶ δὲ ἀναβάντος αὐτοῦ, κατέκλεισε τὸν δίφρον
ὁ ὑφηνίοχος, οὐκ ἔχουσα ἡ Πάνθεια πῶς ἔτι ἄλλως ἂν
ἀσπάσαιτο αὐτὸν, κατεφίλησε τὸν δίφρον. καὶ τῷ μὲν
προῄει ἤδη τὸ ἅρμα. ἡ δὲ λαθοῦσα αὐτὸν συνεφείπετο, ἕως
ἐπιστραφεὶς καὶ ἰδὼν αὐτὴν ὁ Ἀβραδάτας, εἶπε· θάρρει
Πάνθεια, καὶ χαῖρε, καὶ ἄπιθι ἤδη. ἐκ τούτου δὴ οἱ εὐνοῦ-
χοι, καὶ αἱ θεράπαιναι λαβοῦσαι αὐτὴν, ἀπῆγον εἰς τὴν ἁρ-
μάμαξαν, καὶ κατέκλιναν, καὶ κατεκάλυψαν τῇ σκηνῇ.
οἱ δ' ἄνθρωποι καλοῦ ὄντος τοῦ θεάματος τοῦ Ἀβραδά-
του καὶ τοῦ ἅρματος, οὐ πρόσθεν ἐδύναντο θεάσασθαι αὐτὸν,
πρὶν ἡ Πάνθεια ἀπῆλθεν. ὡς δ' ἐκεκαλλιερήκει μὲν ὁ Κῦ-
ρος, ἡ δὲ στρατιὰ παρετέτακτο αὐτῷ, ὥσπερ παρήγγελλε,
κατέχων σκοπὰς ἄλλας πρὸ ἄλλων, συνεκάλεσε τοὺς ἡ-
γεμόνας, καὶ ἔλεξεν ὧδε.

ΔΗΜΗΓΟΡΙΑ ΚΥΡΟΥ.

Ἄνδρες φίλοι καὶ σύμμαχοι, τὰ μὲν ἱερὰ ἡμῖν οἱ
θεοὶ φαίνουσιν, οἷάπερ ὅτε τὴν πρόσθεν νίκην ἔδοσαν.
ὑμᾶς δ' ἐγὼ βούλομαι ἀναμνῆσαι, ὧν μοι δοκεῖτε με-
μνημένοι, πολὺ ἂν εὐθυμότεροι εἰς τὸν ἀγῶνα ἰέναι. ἠσκή-
κατε μὲν γὰρ τὰ εἰς τὸν πόλεμον, πολὺ μᾶλλον τῶν πολε-
μίων· συντέτραφθε δὲ καὶ συντέταχθε ἐν τῷ αὐτῷ πο-
λὺ πλείω χρόνον ἢ οἱ πολέμιοι, καὶ συννενικήκατε μετ'
ἀλλήλων. τῶν δὲ πολεμίων πολλοὶ μὲν συνήττηνται κατ'
αὐτῶν. οἱ δὲ ἀμάχητοι ἑκατέρων. οἱ μὲν τῶν πολε-
μίων ἴσασιν, ὅτι προδότας τοὺς παραστάτας ἔχουσιν.
ὑμεῖς δὲ οἱ μεθ' ἡμῶν ἴστε, ὅτι μετὰ θελόντων τῶν συμ-
μάχων ἀρήγειν μαχεῖσθε. εἰκὸς δὲ τοὺς μὲν πιστεύον-
τας ἀλλήλοις, ὁμονόως μάχεσθαι μένοντας. τοὺς δὲ ἀ-
πιστοῦντας, ἀναγκαῖον βουλεύεσθαι πῶς ἕκαστοι τά-
χιστα ἐκποδὼν γένοιντο. ἴωμεν δὴ, ὦ ἄνδρες, ἐπὶ
τοὺς πολεμίους, ἅρματα μὲν ἔχοντες ὡπλισμέ-
να, πρὸς ἄοπλα τὰ τῶν πολεμίων. ὡς δ' αὔτως καὶ
ἱππέας καὶ ἵππους ὡπλισμένους πρὸς ἀόπλους ὡς ἐκ χει-
ρὸς μάχεσθαι. πεζοῖς δὲ τοῖς μὲν ἄλλοις, οἵοις καὶ πρό-
σθεν μαχεῖσθε. αἰγυπτίοις δὲ, οἳ ὁμοίως μὲν ὡπλισμένοι
εἰσίν,

uxor uirum suum pluris quàm animam suam esti-
mauit, puto te Abradata cognoscere me etiam ha-
rum esse unam. Quid igitur opus est ut omnia sin-
gillatim eloquar, cum existimem præstitisse me ope-
ra uerbis præsentibus probabiliora? Veruntamen
cum sic habeo erga te, ut ipse nosti, testor tibi meam
tuamq; amicitiam, indubitatò malle me publicè ob-
rui terra tecum bono uiro, quàm uiuere cum dede-
coroso dedecorosam. Sic ego & te & meipsam re-
bus honestissimis sum dignata. Cyro autem magnā
nos quandam gratiam debere arbitror, quod me &
captiuam & sibi electam, neq; ut seruam dignum
existimauit possidere, neq; ut liberam cum famæ ig-
nominia, sed asseruauit tibi me captam tanquam fra-
tris uxorem. Præterea quando Araspas qui me cu-
stodiebat ab eo defecit, ego ei pollicita sum, si me si-
neret ad te mittere ut uenires, sibi te futurum multò
quàm Araspam & fideliorem & meliorem uirum.
Panthea hæc loquuta est. At Abradatas eius oratio-
ne delectatus, mulcensq; eius caput, in cœlum ocu-
los tollens, ita precatus est: At, ò Iupiter optime ma-
xime, da mihi ut appaream & uir dignus Panthea,
& dignus amicus Cyro, qui nos est honoribus pro-
secutus. Hæc locutus, in foribus sellæ currulis ascen-
dit in currum. Sed posteaquam is ascendisset, sellamq;
auriga clausisset, Panthea nō habens quomodo item
aliter eum amplecteretur, sellā osculata est. Et Abra-
datæ currus iam procedebat. Pāthea uerò clam eum
sequebatur, donec cōuersus Abradatas eā intuitus in-
quit: Fide Panthea, et gaude, atq; iam abito. Exhinc
igitur spadones et ancillæ eam capientes deduxerūt
in carpentū, eamq; declinantes tabernaculo uelaue-
runt. Homines uerò quāuis spectaculum pulchrū es-
set & Abradatæ & currus, nō eum tamen prius spe-
ctare potuerunt, quàm Pāthea abijsset. At Cyrus po-
steaquā litauit, et eius exercitus quemadmodū is præ-
ceperat instructus est, habens speculatores alios ante
alios, cōuocatis ducib. huiusmodi oratione est usus:

ORATIO CYRI.

Viri amici ac socij, sacrificia nobis dij ostendūt,
qualia cum antea dedere uictoriā. Ego uolo eorum
uos repetere memoriam, quæ mihi uidemini memi-
nisse, multò maiore cum fiducia in certamen eun-
dum esse. Nam in rebus uos bellicis multò magis q̃
hostes exercitati estis: eadē aūt in re & educati estis
et instituti iam multo plus tēporis q̃ hostes, inuicēq;
unà uicistis: hostiū uerò plures cum ijsdem ipsis sunt
uicti. Alij uerò qui non pugnarūt, utrorūq; sunt: atq;
hostes quidem norunt præsides, sibi proditores esse.
Vos autem qui nobiscū estis, non latet pugnare cum
uolentibus auxiliū ferre socijs. Consentaneū uero est
eos, qui sibi inuicē credūt, concorditer manere in pu-
gna. Qui uero mutuo sibi non credunt, necesse est
consultare quomodo singuli quamcelerrime e medio
se eripiant. Eamus igitur uiri fortissimi aduersus ho-
stis, cum armatis curribus, aduersus inermes hostiū
currus: eodem modo cum equitibus equisq; arma-
tis aduersus inermes, ut pugnemus cominus. Pugne-
bitis item aduersus pedites, quemadmodum antea
aduersus alios. Aegyptij enim eodem modo armati
sunt,

sunt, identidemq́; instructi. Clypeos enim maiores habent quàm ut aliquid facere uidereq́; possint. Et ordinati in centenos, uidelicet se inuicem ad pugnandū impedient, præter admodū paucos. Quod si incumbentes credunt nos urgere, equus hi primum sustinendi sunt, ac ferro ab equis firmato. Quod si quis eorum etiam sustinuerit, quomodo simul poterunt & equitatu pugnare & phalange? Etenim nostri à turribus nobis opem ferent, qui hostis percutientes facient, ut loco pugnandi quid acturi sint nesciant. Quod si qua uobis re opus esse arbitramini, mihi dicite: nam pro diuina benignitate egebimus nihilo. Ac si quidem aliquid dicere uult quisquam, id dicat: sin id minus, uenite ad sacrificia, & precati deos quibus sacra fecimus, ad ordines itote: & quisq; uestrûm suos admoneat, quæ à me uos estis admoniti: & quisque subditis se demonstret dignum imperio, intrepidum se ostendens & habitu, & facie, & oratione.

XENOPHONTIS

DE PAEDIA CYRI LIBER SEPTIMUS, FRANCISCO PHILELPHO INTERPRETE.

POSTEAQUÀM ad deos hi orationem habuerunt, ad ordines abiere. Cyro autem & his qui cum Cyro erant, attulerunt famuli potum ac cibum. At Cyrus stās ut erat, post diuinas primitias cœnabat, eiq́; dabat semper qui maxime indigeret, libansq́; ac precatus bibebat: & alij qui cum eo erant, ita faciebant. Post hæc uero cum implorasset Iouem patrium, ut & dux esset & socius, in equum ascendit, idemq́; ut sui facerent iussit. Et erant hi milites armati omnes armis ijsdem quibus Cyrus, tunicis puniceis, thoracibus atq; cassidibus æreis, conis albis, gladijs, pilo, casside una quisq;. Equi uero frontalibus pectoralibusq́; æreis, atque lateralibus. Eadem etiam hæc femoralia erant uiro. Tantum duntaxat Cyri arma præstabant, quod alia quidem illita erant colore aureo, at Cyri arma ut speculum relucebant. Cyrus ubi equum ascendit, stetitq́; respiciens quà erat perrecturus, fulmen dexterum insonuit. Hic autem dixit, Te sequemur, ô Iupiter optime maxime: ac soluit habens ad dextram Chrysantam equitum præfectum equitesq́;, ad sinistram uero Arsaman ac pedites: præcepitq́; ut ad signum aspicerent, et pariter sequerētur. Signum autē ei erat aquila aurea, extensa in longa hasta: & hoc etiam tēpore signum hoc permanet regi Persarum. Atque prius quàm uideret hostes, uel ter quiescere fecit exercitum. At ubi iam processissent stadia circiter uiginti, cœperunt iam uidere hostium agmen contrà aduentare. Sed posteaquā omnes inuicem fuerunt in aperto, hostesq́; eos cognouerunt multo utrinque ijs phalange superiores, hanc ubi firmassent (nec enim est aliter circundare) flexerunt in circuitum, ueluti gamma utrinq; ordinem suum facientes, quo undique simul pugnarent.

εἰσὶν, ὁμοίως δὲ τεταγμένοι. τάς τε γὰρ ἀσπίδας μείζους ἔχουσιν, ἢ ὡς ποιεῖν τι καὶ ὁρᾶν. τεταγμένοι δὲ εἰς ἑκατὸν, δῆλον ὅτι κωλύσουσιν ἀλλήλους μάχεσθαι, πλὴν πάνυ ὀλίγων. εἰ δὲ τῷ ὠθοῦντες ἐξώσειν πιστεύουσιν, ἵπποις αὐτοὺς πρῶτον δεήσει ἀντέχειν, καὶ σιδήρῳ ὑφ' ἵππων ἰσχυριζομένῳ. ἢν δέ τις αὐτῶν καὶ ὑπομένῃ, πῶς ἅμα δυνήσεται ἱππομαχεῖν τε καὶ φαλαγγομαχεῖν, καὶ πυργομαχεῖν; καὶ γὰρ οἱ ἀπὸ τῶν πύργων ἡμῖν μὲν ἐπαρήξουσι. τοὺς δὲ πολεμίους παίοντες, ἀμηχανεῖν ἀντὶ τοῦ μάχεσθαι ποιήσουσιν. εἰ δέ τι ἐνδεῖσθαι δοκεῖτε, πρὸς ἐμὲ λέγετε. σὺν γὰρ θεοῖς οὐδενὸς ἀπορήσομεν. καὶ εἰ μέν τις εἰπεῖν τι βούλεται, λεξάτω· εἰ δὲ μὴ, ἐλθόντες πρὸς τὰ ἱερὰ, καὶ προσευξάμενοι οἷς ἐθύσαμεν θεοῖς, ἴτε ἐπὶ τὰς τάξεις. καὶ ἕκαστος ὑμῶν ὑπομιμνησκέτω τοὺς μεθ' ἑαυτοῦ, ἅπερ ἐγὼ ὑμᾶς, καὶ ἐπιδεικνύτω τις τοῖς ἀρχομένοις ἑαυτὸν ἄξιον ἀρχῆς, ἄφοβον δεικνὺς, καὶ σχῆμα, καὶ πρόσωπον, καὶ λόγους.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ ΕΒΔΟΜΟΝ.

Οἱ μὲν δὴ εὐξάμενοι τοῖς θεοῖς, ἀπῄεσαν πρὸς τὰς τάξεις. τῷ δὲ Κύρῳ καὶ τοῖς ἀμφ' αὐτὸν προσήνεγκαν οἱ θεράποντες, ἐμφαγεῖν καὶ ἐμπιεῖν, ἔτι οὖσιν ἀμφὶ τὰ ἱερά. ὁ δὲ Κῦρος ὥσπερ εἶχεν ἑστηκὼς, ἀπαρξάμενος ἠρίστα, καὶ μετεδίδου ἀεὶ τῷ μάλιστα δεομένῳ, καὶ σπείσας καὶ εὐξάμενος, ἔπιε· καὶ οἱ ἄλλοι δὲ οἱ περὶ αὐτὸν οὕτως ἐποίουν. μετὰ δὲ ταῦτα αἰτησάμενος Δία πατρῷον ἡγεμόνα εἶναι καὶ σύμμαχον, ἀνέβαινεν ἐπὶ τὸν ἵππον, καὶ τοὺς ἀμφ' αὐτὸν ἐκέλευσεν. ὡπλισμένοι δὲ πάντες ἦσαν οἱ περὶ τὸν Κῦρον, τοῖς αὐτοῖς Κύρῳ ὅπλοις, χιτῶσι φοινικοῖς, θώραξι χαλκοῖς, κράνεσι χαλκοῖς, λόφοις λευκοῖς, μαχαίραις, παλτῷ κρανείνῳ ἑνὶ ἕκαστος. οἱ δὲ ἵπποι προμετωπιδίοις καὶ προστερνιδίοις καὶ παραπλευριδίοις χαλκοῖς. τὰ δ' αὐτὰ ταῦτα καὶ παραμηρίδια ἦν τῷ ἀνδρί. τοσοῦτο δὲ μόνον διέφερον τὰ Κύρου ὅπλα, ὅτι τὰ μὲν ἄλλα ἐκέχριστο τῷ χρυσοειδεῖ χρώματι. τὰ δὲ Κύρου ὅπλα ὥσπερ κάτοπτρον ἐξέλαμπεν. ἐπεὶ δὲ ἀνέβη καὶ ἔστη βλέπων, ᾗπερ ἔμελλε πορεύεσθαι, βροντὴ δεξιὰ ἐφθέγξατο. ὁ δ' εἶπεν, ἑψόμεθά σοι, ὦ Ζεῦ μέγιστε. καὶ ὡρμᾶτο μὲν, ἐν δεξιᾷ ἔχων Χρυσάνταν τὸν ἵππαρχον, καὶ τοὺς ἱππέας· ἐν ἀριστερᾷ δὲ Ἀρσάμαν καὶ τοὺς πεζούς. παρηγγύησε δὲ προορᾶν πρὸς τὸ σημεῖον, καὶ ἐν ἴσῳ ἕπεσθαι. ἦν δ' αὐτῷ τὸ σημεῖον, ἀετὸς χρυσοῦς, ἐπὶ δόρατος μακροῦ ἀνατεταμένος. καὶ νῦν δ' ἔτι τοῦτο τὸ σημεῖον τῷ Περσῶν βασιλεῖ διαμένει. πρὶν δὲ ὁρᾶν τοὺς πολεμίους, εἰς τρὶς ἀνέπαυσε τὸ στράτευμα. ἐπεὶ δὲ προεληλύθεσαν ὡς εἴκοσι σταδίους, ἤρχοντο ἤδη τὸ τῶν πολεμίων στράτευμα ἀντιπρόσωπον προορᾶν. ὡς δ' ἐν τῷ καταφανεῖ πάντες ἀλλήλοις ἐγένοντο, καὶ ἔγνωσαν οἱ πολέμιοι πολὺ ἑκατέρωθεν ὑπερφαλαγγοῦντες, στήσαντες τὴν ἑαυτῶν φάλαγγα (οὐ γὰρ ἔστιν ἄλλως κυκλοῦσθαι) ἐπέκαμπτον εἰς κύκλωσιν, ὅπως ὥσπερ γάμμα ἑκατέρωθεν τὴν ἑαυτῶν τάξιν ποιήσαντες, πάντοθεν ἅμα μάχοιντο.

κῦρος δὲ ὁρῶν ταῦτα, οὐδέν τι μᾶλλον ἀφίστατο, ἀλλ' ὡσαύτως ἡγεῖτο. κατανοῶν δὲ ὡς πρόσω τὸν καμπτῆρα ἑκατέρωθεν ἐποιήσαντο, περὶ ὃν κάμπτοντες ἀνέτεινον τὰ κέρατα. ἐννοεῖς, ἔφη, ὦ χρυσάντα, ἔνθεν τὴν ἐπικαμπὴν ποιοῦνται; πάνυ γε, ἔφη ὁ χρυσάντας, καὶ θαυμάζω γε. πολὺ γάρ μοι δοκοῦσιν ἀποσπᾶν τὰ κέρατα ἀπὸ τῆς ἑαυτῶν φάλαγγος. ναὶ μὰ δί', ἔφη ὁ κῦρος, καὶ ἀπό γε τῆς ἡμετέρας. τί δὴ τοῦτο; δηλονότι, ἔφη, φοβούμενοι, μὴ ἢν ἐγγὺς ἡμῶν γένηται τὰ κέρατα, τῆς φάλαγγος ἔτι πρόσω οὔσης, ἐπιθώμεθα αὐτοῖς. ἔπειτα, ἔφη ὁ χρυσάντας, πῶς δυνήσονται ὠφελεῖν οἱ ἕτεροι τοὺς ἑτέρους, οὕτω πολὺ ἀπέχοντες ἀλλήλων; ἀλλὰ δῆλον, ἔφη ὁ κῦρος, ὅτι ἡνίκα ἂν γένηται τὰ κέρατα ἀναβαίνοντα κατ' ἀντιπέρας τῶν πλαγίων τοῦ ἡμετέρου στρατεύματος, στραφέντες ὡς εἰς φάλαγγα, ἅμα πάντοθεν ἡμῖν προσίασιν, ὡς ἅμα πάντοθεν μαχούμενοι. οὐκοῦν, ἔφη ὁ χρυσάντας, εὖ σοι δοκοῦσι βουλεύεσθαι; πρός γε ἃ ὁρῶσι. πρὸς δέ γε ἃ οὐχ ὁρῶσιν, ἔτι κάκιον, ἢ εἰ κατὰ κέρας προσῄεσαν. ἀλλὰ σὺ μέν, ἔφη, ὦ ἀρσάμα, ἡγοῦ τῷ πεζῷ ἠρέμα, ὥσπερ ἐμὲ ὁρᾷς. καὶ σύ, ὦ χρυσάντα, ἐν ἴσῳ τούτῳ τὸ ἱππικὸν ἔχων συμπαρέπου. ἐγὼ δὲ περίειμι ἐκεῖσε, ὅθεν μοι δοκεῖ καιρὸς εἶναι ἄρχεσθαι τῆς μάχης. ἅμα δὲ παριὼν, καὶ ἐπισκέψομαι ἕκαστα πῶς ἡμῖν ἔχει. ἐπειδὰν δὲ ἐκεῖ γένωμαι, ὅταν ἤδη ὁμοῦ προσιόντες ἀλλήλοις γιγνώμεθα, παιᾶνα ἐξάρξω, ὑμεῖς δὲ ἐπείγεσθε. ἡνίκα δ' ἂν ἡμεῖς ἐγχειρῶμεν τοῖς πολεμίοις, αἰσθήσεσθε μέν. οὐ γὰρ οἶμαι ὀλίγος θόρυβος ἔσται. ὁρμήσεται δὲ τηνικαῦτα ἀβραδάτας ἤδη σὺν τοῖς ἅρμασιν εἰς τοὺς ἐναντίους. οὕτω γὰρ αὐτῷ εἰρήσεται. ὑμᾶς δὲ χρὴ ἕπεσθαι, ἐχομένους ὅτι μάλιστα τῶν ἁρμάτων. οὕτω γὰρ μάλιστα τοῖς πολεμίοις τεταραγμένοις ἐπιπεσούμεθα. παρέσομαι δὲ καὶ ἐγὼ ᾗ ἂν δύνωμαι τάχιστα διώκων τοὺς ἄνδρας, ἢν οἱ θεοὶ θέλωσι. ταῦτα εἰπὼν, καὶ σύνθημα παρεγγυήσας, ζεὺς σωτὴρ καὶ ἡγεμὼν, ἐπορεύετο. μεταξὺ δὲ τῶν ἁρμάτων καὶ τῶν θωρακοφόρων διαπορευόμενος, ὁπότε προσβλέψειέ τινας τῶν ἐν ταῖς τάξεσι, τότε μὲν εἶπεν ἄν· ὦ ἄνδρες, ὡς ἡδὺ ὑμῶν τὰ πρόσωπα θεάσασθαι. τότε δ' αὖ ἐν ἄλλοις ἂν ἔλεξεν, ἆρα ἐννοεῖτε ἄνδρες, ὅτι ὁ νῦν ἀγών ἐστιν οὐ μόνον περὶ τῆς τήμερον νίκης, ἀλλὰ καὶ περὶ τῆς πρόσθεν ἣν ἐνικήσατε, καὶ περὶ πάσης εὐδαιμονίας; ἐν ἄλλοις δὲ προσιὼν, εἶπεν ἄν· ὦ ἄνδρες, τὸ ἀπὸ τοῦδε, οὐδέν ποτε θεοὺς αἰτιατέον ἔτι ἔσται. παραδεδώκασι γὰρ ἡμῖν πολλά τε καὶ μεγάλα ἀγαθὰ κτήσασθαι. ἀλλ' ὦ ἄνδρες, ἀγαθοὶ γενώμεθα. καὶ τοὺς ἄλλους αὖ τοιάδε· ὦ ἄνδρες, εἰς τίνα πότ' ἂν κάλλιον ἔρανον ἀλλήλους παρακαλέσαιμεν, ἢ εἰς τόνδε; νῦν γὰρ ἔξεστιν ἀγαθοῖς ἀνδράσι γενομένοις, πολλὰ κἀγαθὰ ἀλλήλοις εἰσενεγκεῖν. κατ' ἄλλους δ' αὖ· ἐπίστασθε μὲν οἶμαι, ὦ ἄνδρες, ὅτι νῦν ἆθλα πρόκειται, τοῖς νικῶσι μὲν διώκειν, παίειν, κατακαίνειν, ἀγαθὰ ἔχειν, καλὰ ἀκούειν, ἐλευθέροις εἶναι, ἄρχειν· τοῖς δὲ κακοῖς δηλονότι τἀναντία τούτων. ὅστις οὖν αὑτὸν φιλεῖ, μετ' ἐμοῦ μαχέσθω. ἐγὼ γὰρ οὐδὲν κακὸν οὐδ' αἰσχρὸν ἑκὼν εἶναι προσήσομαι. ὁπότε δ' αὖ γένοιτο κατά τινας τῶν πρόσθεν συμμαχεσαμένων, εἶπεν ἄν, πρὸς δὲ ὑμᾶς τί δεῖ λέγειν, ὦ ἄνδρες; ἐπίστασθε γὰρ, οἵαν τε οἱ ἀγαθοὶ ἐν ταῖς μάχαις ἡμέραν ἄγουσι, καὶ οἵαν οἱ κακοί. ὡς δὲ ἀπιὼν κατὰ ἀβρα-

δάτην

Quæ Cyrus intuens, nihilo magis destitit, sed eodē modo ducebat. Verum considerans ut illi procul undiq; fecerant flexum, circa quem flectentes cornua extendebāt: Animaduertis, inquit, ô Chrysanta, ubi hostes curuaturam faciunt? Valde, Chrysantas inquit: atq; miror equidē. Multum enim uidentur mihi separare cornua à sua ipsorū phalange. Ita mediusfidius, inquit Cyrus, & à nostra quoq;. Quare tandem hoc faciunt? Metuentes uidelicet, inquit Cyrus, ne si cornua prope nos sint, cum phalanx procul sit eos inuadamus. Dein inquit Chrysantas: Quomodo prodesse poterūt alteri alteris, ubi multū sic inuicē absint? Sed perspicuū est, inquit Cyrus, quod ubi cornibus ascendētes steterint è regione laterum nostræ aciei, uertātur tanquā in phalanga simul undiq; aduersus nos pugnaturi. Itáne, inquit Chrysantas, uidentur tibi bene cōsultare? Sané ad ea quæ uidēt, inquit Cyrus: at quæ uero nō uident, peius etiā q̃ si per cornu inuaderent. Sed tu, inquit, ô Arsama, duc peditatū quiete quemadmodū me uides. Et tu Chrysanta, unà sequere equaliter cum hoc Arsama equitatū habens. Ego uero illuc abibo, unde mihi uidetur tēpus pugnandi initiū facere, simulq; præteriēs singula considerabo ut nobis habēt. Cumq; illuc uenero, ubi iam simul inuicē inuasuri fuerimus, pæana canere incipiā, uos autē incumbite. Verùm dum nos manum cum hostibus conseramus, facite uobiscū ut sitis. Non enim, ut opinor, paruus erit tumultus. Tum uero adoriemini, cū ipse Abradatas in aduersarios cum curribus impetū faciet. Ita enim ei dicetur. Vos autē sequi oportet quàmmaxime fieri potest prope currus: ita enim maxime in hostes turbatos impetū faciemus. Adero etiam ipse celerrime quantū potero uiros insequens, si dijs libuerit. Hæc loquutus, ubi tesseram iußisset, Iupiter seruator et dux, profectus est. Pergensq; medius inter currus thoracibusq; armatos, cum aliquos eorū uidisset qui essent in ordinib. tum dixisset: ò uiri, quàm mihi iucundū est spectare facies uestras tum item inter alios dixisset: Certé cogitatis, ò uiri, nūc esse certamē non solū de hodiernæ uictoria, uerumetiā de illa quam antea uicistis, ac de omni felicitate. inter alios uerò adueniens dixisset: ò uiri, post hunc diem nunquā amplius dij erūt accusandi: tradiderunt enim nobis multorū magnorumq; bonorū possesßionē. Verùm, ò uiri, simus fortes. Inter alios rursus uerbis huiusmodi usus esset: In quem unquam meliorē fructum atq; lucrum inuicē nos adhortemur, quàm hoc tempore? Nunc enim licet, si fortiter egerimus, res multas ac bonas inuicē nobis afferre. Inter alios item ita loquutus esset: Nō estis nescij uiri, ut arbitror, nunc proposita esse præmia, uictorib. quidem fugare & interficere, bona habere, laudari, esse liberis, imperare: at uictis, uidelicet horū contraria. Qui igitur seipsum amat, mecū pugnet. Ego enim nullum, neq; malum, neq; turpe exemplum ultro præstabo. Cum uero esset inter eorum aliquos, qui antea unà pugnassent, dixisset: Ad nos, ò uiri, quid dicere oportet? Scitis enim & qualem uiri fortes diem agunt in pugnis, & qualem ignaui. Vt eo autem præteriens uenit ubi Abra-

datas

datas erat, Abradatas quidē stetit, aurigæ habenis traditis, Cyrumq; adijt. Accurrerūt etiā alij qui prope erant cōstituti, et pedites & agētes currus, inter quos præsentis Cyrus ita dixit: Deus immortalis Abradata, quemadmodū tu rogabas, et te et tuos dignatus est socijs anteferre. Tu uero hoc memineris, oportere te nunc dimicare, quoniā Persæ et spectabūt uos, & qui uos sequentur, neq; patientur solos uos certare. Ad quē Abradatas respondit: At res nostræ Cyre uidentur mihi pulchrè habere, sed transuersa me solicitū reddunt, quoniā obliqua hostiū cornua uehementer uideo porrecta, & curribus & omnifariam acie. À nobis autē nihil aduersus eos aliud cōtrà est ordinatū, quàm currus. Quare ego nisi forte cepissem hunc ordinem, puderet me hic esse: usqueadeo mihi uideor esse in tuto. Ad quem Cyrus inquit: Verùm si apud te res bene habent, de illis esto bono animo. Ego enim tibi pro diuina ope hæc hostiū obliqua cornua deserta reddā, ac tu non prius impetū feceris aduersus hostes, deos testor, quā fugiētis aspicies hos quos nunc metuis. Huiusmodi sane uerba iactabat Cyrus cum pugna futura esset, præsertim cū non esset admodum iactator. Cum sanè uideris, inquit, hosce fugientis, & me adesse arbitrare, & tu impetum fac in hostes. Etenim tu & aduersarijs tum utaris ignauißimis, & socijs tuis fortißimis. Sed donec tibi adhuc ocium est Abradata, omnino immittens intra currus tuos, hortare tuos ad inuadendū, uultu fiduciā his inijciens, & spe metū leuās. Quo autem eorum qui sunt in curribus fortißimi appareatis, contentionē ijs inijcito. Etenim bene nosti, si hæc bene fiāt, omnis dein dicturos reliquū NIHIL esse uirtute fructuosius. Itaq; Abradatas ascenso curru immittebat, hæcq; faciebat. Cyrus autem rursus transiens, ut uenit ad leuū cornu ubi Hystaspas habebat Persarū equitū dimidiū, cum nomine uocans, inquit: Ô Hystaspa, nunc opus uides dignum celeri tua actione. Nunc enim si anteuertemus hostes interimendo, nostrū moritur nemo. Ad quem Hystaspas arridens, inquit: Verū de his qui nobis obiecti sunt, curæ mihi erit: sed de his qui sunt à latere, alijs impera, quo neq; hi sint ociosi. At ego, inquit Cyrus, aduersus hosce ipse sum transiturus. Tu uero Hystaspa hoc memineris, cuicūq; nostrûm uictoriā Deus dederit, si quid usquā hostile sit, aduersus pugnantis semper cōtendamus. Quæ loquutus procedebat. Sed ubi uenit ad latus, et ad principē curruū qui hic erant, ad hunc dixit: Ego quidē uenio uobis auxiliū allaturus. Sed quādo senseritis nos inuadentis ad summū, tum etiam uos enitemini simul per hostis immittere. Longè enim tutiore in loco futuri estis si extra fueritis, q̄ si intus offendamini. Et ubi itē transiens uenit retro post carpēta, Artagersæ Pharnuchoq; iußit, ut habētes millenariū ordinē Persarū, tantundem etiā peditū, et tantundem equitū, eo manerēt in loco. Sed ubi senseritis me inuadere eos qui sunt ad dextrū cornu, tum etiam uos eos inuadite qui uobis aduersi sunt. Pugnabitis aūt aduersus cornu, quæ acies imbecillior est: & cum phalange ut eatis ualidißimi. Atq; sunt, ut uidetis, hostium equites ultimi, omnino&q;

δάτην ἐγένετο, ἔστη. καὶ ὁ ἀβραδάτας παραδοὺς τῷ ὑφηνιόχῳ τὰς ἡνίας, προσῆλθεν αὐτῷ. προσέδραμον δὲ καὶ οἱ ἄλλοι τῶν πλησίον τεταγμένων καὶ πεζῶν καὶ ἁρματηλατῶν. ὁ δ' αὖ κῦρος ἐν τοῖς παραγεγενημένοις ἔλεξε· ὁ μὲν θεός, ὦ ἀβραδάτα, ὥσπερ σὺ ἠξίους, συνηξίωσέ σε καὶ τοὺς σὺν σοὶ πρωτοστάτας εἶναι τῶν συμμάχων. σὺ δὲ τοῦτο μέμνησο, ὅταν δέῃ σε ἤδη ἀγωνίζεσθαι, ὅτι πέρσαι οἵ τε θεασόμενοι ὑμᾶς ἔσονται, καὶ οἱ ἑψόμενοι ὑμῖν, καὶ οὐκ ἐάσοντες ἐρήμους ὑμᾶς ἀγωνίζεσθαι. καὶ ὁ ἀβραδάτας εἶπεν· ἀλλὰ τὰ καθ' ἡμᾶς ἔμοιγε δοκεῖ, ὦ κῦρε, καλῶς ἔχειν· ἀλλὰ τὰ πλάγια λυπεῖ με. ὅτι τὰ μὲν τῶν πολεμίων ἰσχυρὰ ὁρῶ ἀνατεινόμενα, καὶ ἅρμασι καὶ παντοδαπῇ στρατιᾷ. ἡμέτερον δ' οὐδὲν ἄλλο αὐτοῖς ἀντιτέτακται, ἢ ἅρματα. ὥστ' ἔγωγ', ἔφη, εἰ μὴ ἔλαχον τήνδε τὴν τάξιν, ᾐσχυνόμην ἂν ἐνθάδε ὤν. οὕτω πολύ μοι δοκῶ ἐν ἀσφαλεστάτῳ εἶναι. καὶ ὁ κῦρος εἶπεν· ἀλλ' εἰ τὰ παρὰ σοὶ καλῶς ἔχει, θάρρει ὑπὲρ ἐκείνων. ἐγὼ γάρ σοι σὺν θεοῖς, ἔρημα τῶν πολεμίων τὰ πλάγια ταῦτα ἀποδείξω. καὶ σὺ μὴ πρότερον ἐμβάλῃς τοῖς πολεμίοις διαμαρτύρομαι, πρὶν ἂν φεύγοντας τούτους οὓς νῦν φοβῇ θεάσῃ. τοιαῦτα δ' ἐμεγαληγόρει, μελλούσης τῆς μάχης γίγνεσθαι, ἄλλως δ' οὐ μάλα μεγαλήγορος ἦν. ὅταν μέντοι τούτους ἴδῃς φεύγοντας, ἐμέ τε ἤδη παρεῖναι νόμιζε, καὶ ὅρμα εἰς τοὺς ἄνδρας. καὶ σὺ γὰρ τότε, τοῖς μὲν ἐναντίοις κακίστοις ἂν χρήσαιο· τοῖς δὲ μετὰ σαυτοῦ ἀρίστοις. ἀλλ' ἕως ἔτι σοι σχολή, ὦ ἀβραδάτα, πάντως παρελαύνων παρὰ τὰ σαυτοῦ ἅρματα, παρακάλει τοὺς σὺν σοὶ εἰς τὴν ἐμβολήν, τῷ μὲν προσώπῳ, παραθαρρύνων· ταῖς δὲ ἐλπίσιν ἐπικουφίζων. ὅπως δὲ κράτιστοι φανεῖσθε τῶν ἐν τοῖς ἅρμασι, φιλονεικίαν αὐτοῖς ἔμβαλλε. καὶ γάρ, εὖ ἴσθι, ἢν τάδε εὖ γένηται, πάντες ἐροῦσι τὸ λοιπὸν, μηδὲν εἶναι κερδαλεώτερον ἀρετῆς. ὁ μὲν δὴ ἀβραδάτας ἀναβάς, παρήλαυνε, καὶ ταῦτ' ἐποίει. ὁ δ' αὖ κῦρος παριών, ὡς ἐγένετο πρὸς τῷ εὐωνύμῳ, ἔνθα ὁ ὑστάσπας τοὺς ἡμίσεις ἔχων ἦν τῶν περσῶν ἱππέων, ὀνομάσας αὐτόν, εἶπεν· ὦ ὑστάσπα, νῦν ὁρᾷς ἔργον τῆς σῆς ταχυεργίας. νῦν γὰρ ἢν φθάσωμεν τοὺς πολεμίους κατακτανόντες, οὐδεὶς ἡμῶν ἀποθανεῖται. καὶ ὁ ὑστάσπας ἐπιγελάσας εἶπεν· ἀλλὰ περὶ μὲν τῶν ἐξ ἐναντίας ἡμῖν μελήσει. τοὺς δ' ἐκ πλαγίου, σὺ ἄλλοις πρόσταξον, ὅπως μηδ' οὗτοι σχολάζωσι. καὶ ὁ κῦρος εἶπεν· ἀλλ' ἐπί γε τούτους ἐγὼ αὐτὸς παρέρχομαι. ἀλλ', ὦ ὑστάσπα, τόδε μέμνησο, ὅτῳ ἂν ἡμῶν ὁ θεὸς νίκην διδῷ, ἤν τι που μένῃ πολέμιον, πρὸς τὸ μαχόμενον ἀεὶ συμβάλλωμεν. ταῦτα εἰπὼν προῄει. ἐπεὶ δὲ κατὰ τὸ πλευρὸν παριὼν ἐγίγνετο, καὶ κατὰ τὸν ἄρχοντα τῶν ταύτῃ ἁρμάτων, πρὸς τοῦτον ἔλεξεν· ἐγὼ δὲ ἔρχομαι ὑμῖν ἐπικουρήσων. ἀλλ' ὁπόταν αἴσθησθε ἡμᾶς ἐπιτιθεμένους κατ' ἄκρον, τότε καὶ ὑμᾶς πειρᾶσθαι ἅμα, διὰ τῶν πολεμίων ἐλαύνειν. πολὺ γὰρ ἐν ἀσφαλεστέρῳ ἔσεσθε ἔξω γενόμενοι, ἢ ἔνδον ἀπολαμβανόμενοι. ἐπεὶ δ' αὖ παριὼν ἐγένετο ὄπισθεν τῶν ἁρμαμαξῶν, ἀρταγέρσαν μὲν καὶ φαρνοῦχον, ἐκέλευσεν ἔχοντας τήν τε τῶν πεζῶν χιλιοστὺν καὶ τὴν τῶν ἱππέων, μένειν αὐτοῦ. ἐπειδὰν δ', ἔφη, αἰσθάνησθε ἐμοῦ ἐπιτιθεμένου τοῖς κατὰ τὸ δεξιὸν κέρας, τότε καὶ ὑμεῖς τοῖς καθ' ὑμᾶς ἐπιχειρεῖτε. μαχεῖσθε δ', ἔφη, πρὸς κέρας, ὥσπερ ἀσθενέστερον στράτευμα γίγνεται, φάλαγγα δὲ ἔχοντες, ὥσπερ ἰσχυρότεροι ἂν εἴητε. καὶ εἰσὶ μὲν ὡς ὁρᾶτε, τῶν πολεμίων ἱππεῖς οἱ ἔσχατοι. πάν-

σεις δὲ πρόσθε πρὸς αὐτοὺς τὴν τῶν καμήλων τάξιν. καὶ εὖ ἴστε ὅτι πρὶν μάχεσθαι, γελοίους τοὺς πολεμίους θεάσεσθε. ὁ μὲν δὴ κῦρος ταῦτα διαπραξάμενος, ἐπὶ τὸ δεξιὸν ᾤχετο. ὁ δὲ κροῖσος νομίσας ἤδη ἐγγύτερον εἶναι τῶν πολεμίων τὴν φάλαγγα, σὺν ᾗ αὐτὸς ἐπορεύετο, ἢ τὰ ἐπανατεινόμενα τὰ κέρατα, ἦρε τοῖς κέρασι σημεῖον, μηκέτι ἄνω πορεύεσθαι, ἀλλ' ἐν τῇ χώρᾳ στραφῆναι. ὡς δὲ ἔστησαν πάντες πρὸς τὸ κύρου στράτευμα ὁρῶντες, ἐσήμαινεν αὐτοῖς πορεύεσθαι πρὸς τοὺς πολεμίους. καὶ οὕτω προσῄεσαν τρεῖς φάλαγγες ἐπὶ τὸ κύρου στράτευμα, ἡ μὲν μία κατὰ πρόσωπον, τὼ δὲ δύο, ἡ μὲν κατὰ τὸ δεξιόν, ἡ δὲ κατὰ τὸ εὐώνυμον, ὥστε πολὺν φόβον παρεῖναι πάσῃ τῇ κύρου στρατιᾷ. ὥσπερ γὰρ μικρὸν πλινθίον ἐν μεγάλῳ τεθέν, οὕτω καὶ τὸ κύρου στράτευμα, πάντοθεν περιείχετο ὑπὸ τῶν πολεμίων, καὶ ἱππεῦσι καὶ ὁπλίταις, καὶ πελτοφόροις, καὶ τοξόταις, καὶ ἅρμασι, πλὴν ἐξόπισθεν. ὅμως δὲ καὶ ὁ κῦρος, ἐπεὶ παρήγγειλεν, ἐστράφησαν πάντες ἀντιπρόσωποι τοῖς πολεμίοις. καὶ ἦν μὲν πανταχόθεν πολλὴ σιγὴ ὑπὸ τοῦ τὸ μέλλον ὀκνεῖν. ἡνίκα δὲ ἔδοξε τῷ κύρῳ καιρὸς ἤδη εἶναι, ἐξῆρχε παιᾶνα, συνεπήχησε δὲ πᾶς ὁ στρατός. μετὰ δὲ τοῦτο τῷ ἐνυαλίῳ τε ἅμα ἐπηλάλαξαν, καὶ ἐξανίσταται ὁ κῦρος. καὶ εὐθὺς μὲν μετὰ τῶν ἱππέων λαβὼν πλαγίους τοὺς πολεμίους ὁμόσε αὐτοῖς τὴν ταχίστην συνεμίγνυεν. οἱ δὲ πεζοὶ αὐτῷ συντεταγμένοι, ταχὺ ἐφείποντο, καὶ περιεπτύσσοντο ἔνθεν καὶ ἔνθεν, ὥστε πολὺ ἐπλεονέκτουν. φάλαγγι γὰρ κατὰ κέρας προσέβαλλον, ὥστε ταχὺ ἰσχυρὰ φυγὴ ἐγίγνετο τοῖς πολεμίοις. ὡς δ' ᾔσθετο ὁ ἀρταγέρσης ἐν ἔργῳ ὄντα τὸν κῦρον, ἐπιτίθεται καὶ αὐτὸς κατὰ τὰ εὐώνυμα, προεὶς τὰς καμήλους, ὥσπερ κῦρος ἐκέλευσεν. οἱ δὲ ἵπποι αὐτὰς ἐκ πάνυ πολλοῦ οὐκ ἐδέχοντο. ἀλλ' οἱ μὲν ἔκφρονες γιγνόμενοι, ἔφευγον· οἱ δ' ἐξήλλοντο, οἱ δ' ἐνέπιπτον ἀλλήλοις. τοιαῦτα γὰρ πάσχουσιν οἱ ἵπποι ὑπὸ καμήλων. ὁ δὲ ἀρταγέρσης συντεταγμένους ἔχων τοὺς μεθ' ἑαυτοῦ, ταραττομένοις ἐπέκειτο τεταγμένος. καὶ τὰ ἅρματα δὲ τά τε κατὰ τὸ δεξιὸν καὶ τὸ εὐώνυμον, ἅμα ἐνέβαλλε. καὶ πολλοὶ μὲν τὰ ἅρματα φεύγοντες, ὑπὸ τῶν κατὰ κέρας ἑπομένων, ἀπέθνησκον. πολλοὶ δὲ τούτους φεύγοντες, ὑπὸ τῶν ἁρμάτων ἡλίσκοντο. καὶ ὁ ἀβραδάτας δὲ οὐκέτι ἔμελλεν, ἀλλὰ ἰσχυρῶς ἀναβοήσας, ἄνδρες φίλοι ἕπεσθε, ἐνίει οὐδὲν φειδόμενος τῶν ἵππων, ἀλλὰ ἐξαιματῶν κατὰ πολὺ τῷ κέντρῳ. συνεξώρμησαν δὲ καὶ οἱ ἄλλοι ἁρματηλάται. καὶ τὰ μὲν ἅρματα ἔφευγεν αὐτοὺς εὐθύς, τὰ μὲν καὶ ἀναλαβόντα τοὺς παραβάτας· τὰ δὲ καὶ ἀπολιπόντα. ὁ δὲ ἀβραδάτας, ἄντικρυ διὰ αὐτῶν, εἰς τὴν τῶν αἰγυπτίων φάλαγγα ἐμβάλλει. συνεισέβαλον δὲ αὐτῷ καὶ οἱ ἐγγύτατα τεταγμένοι. πολλαχόθι μὲν οὖν καὶ ἄλλοθι δῆλον, ὡς οὐκ ἔστιν ἰσχυροτέρα φάλαγξ, ἢ ὅταν ἐκ φίλων συμμάχων ἠθροισμένη ᾖ, καὶ ἐν τούτῳ δὲ ἐδήλωσεν. οἱ μὲν γὰρ ἑταῖροί τε αὐτοῦ καὶ ὁμοτράπεζοι, συνεισέβαλον. οἱ δὲ ἄλλοι ἡνίοχοι, ὡς εἶδον ὑπομένοντας πολλῷ στίφει τοὺς αἰγυπτίους, ἐξέκλιναν κατὰ τὰ φεύγοντα ἅρματα, καὶ τούτοις ἐφείποντο. οἱ δὲ ἀμφὶ ἀβραδάταν, ᾗ μὲν ἐνέβαλον ἅτε οὐ δυναμένων διαχωρῆσαι τῶν αἰγυπτίων, διὰ τὸ μένειν τοὺς ἔνθεν καὶ ἔνθεν αὐτῶν, τοὺς μὲν ὀρθοὺς τῇ ῥύμῃ τῇ τῶν ἵππων παίοντες, ἀνέτρεπον, τοὺς δὲ πίπτοντας κατέλυον, καὶ

noq; immittite aduersus eos camelorum ordinem. Neq; uos lateat fore, ut prius etiam quam pugnetis ridiculos spectetis hostis esse. Atq; Cyrus quidem his actis, ad dexterum cornu transit. At Croesus iam propius esse arbitratus hostium phalanga, cum acie qua cum ipse una pergebat, cornibus protensis signum sustulit, ne amplius sursum pergerent, sed ibi in loco conuerterentur. Vt autem steterunt e regione, respicientes ad Cyri aciem, signum his dedit pergendi aduersus hostes. Et ita appropinquauerũt tres phalanges Cyri exercitui, una ad faciem, duae uerò altera ad dextrum cornu, altera ad laeuum. Quo factum est, ut toti Cyri exercitui iniiceretur metus. Quemadmodum enim paruus laterculus in magno positus, ita etiam Cyri exercitus undiq; circundabatur ab hostibus, & equitibus, & militibus, & scutatis, & sagittarijs, & curribus, praeterquam à tergo. Veruntamen Cyrus posteaquam praecepit, conuersi sunt omnes e conspectu aduersus hostes. Eratq; undique permultum silentium, quoniam de futuro euentu uererentur. Sed posteaquam uisum est Cyro tempestiuum, paeana canere coepit, constrepuitq; uniuersus exercitus. Post hoc uero & Martem simul laetis uocibus conclamarunt: & Cyrus surrexit, cõtinuoq; cum equitibus lateras transuersos hostes, obuius ipsis factus manum conseruit: quem pedites instructi continuo sunt secuti, atque hastas hinc indeq; concutiebãt, adeo ut longe esset superior. Cum sua enim phalange adortus est cornu, quo factum est ut hostes uehementer in fugam uerterentur. Vt autem sensit Artagersas Cyrum esse in opere, inuadit etiam ipse ad laeuum cornu praemissis camelis, ut iusserat Cyrus. Equi uero eos camelos ex loco admodum multo nõ expectauere, sed alij ob stuporẽ fugiebant, exiliebant alij, alij uero inuicem concidebant. Talia enim equi à camelis patiuntur. At Artagersas suos habens instructos aduersus turbatos incubuit, currusq; immisit in dexterũ simul atq; in laeuũ cornu. Cumq; multi eos fugerẽt currus, ab his interempti sunt qui sequebantur ad cornu. Multi etiam hosce fugientes, capiebantur à curribus. Atq; Abradatas minimè amplius tardabat, quin potius clamitans, Viri amici sequimini, immittebat equis minimè parcens, sed eos stimulo uehementissime cruentans: simul etiam impetũ fecerunt alij curruum ductores. Et currus quidem hostiles eos cõtinuo fugiebant, alij eos capientes qui gressu essent segniores, alij uero post se relinquentes. At Abradatas ex aduerso per eos in Aegyptiorũ phalanga impetũ facit, et cum eo unà etiã inuasere qui proxime erãt ordinati. Et cũ multis alijs in locis patet, NON esse phalanga ualidiorem, quã cum fuerit congregata ex amicis socijs, tum hoc etiam in loco perspicuũ fuit. Nam & eius sodales & cõmensales unà fecerũt impetũ. At alij aurigae ut uiderũt Aegyptios multo globo sustinentis, declinarũt aduersus fugientis currus, eosq; sequebantur. Milites autẽ Abradatae quà immiserant, tanquam Aegyptij separari non possent propter illos à quib. hinc atq; illinc circundabantur, alios rectos temone equorum percutientes conuertebant, alios uero cadenteis capiebant, & ipsos,

& ipsos, & arma, & equos, & rotas. Quem autem falces cor[r]ipuissent, omnia ui incidebant & arma, & corpora. In hoc autem inenarrabili turbine ex multifaria coaceruatione exilientibus rotis excidit Abradatas, atq; alij eorum qui una inuadebant. Et hi quidem cum hic fortis sese uiros præstitissent, trucidati sunt & interempti. Persæ autem concursu facto, quà Abradatas una cum suis adortus fuerat, irruebant, turbatosq; illos enecabant: quà uero Aegyptij, nihil mali paßi sunt. Erat autem magna horum multitudo, qui obuij Persis concedebant. Itaque hic terribilis erat pugna & lancearum, et tragularum, & gladiorũ: ac prævalebant quidem Aegyptij, tum multitudine, tum etiam armis. Nam & lanceas ualidas ac longas nunc etiam habent. Et clypei multo magis quàm thoraces & crates tum tegunt corpora, tum ad urgendum adiuuant, cum ad humeros sunt. Clausis igitur clypeis procedebant, urgebãtq;. At Persæ eos sustinere non poterant, ut qui in summis manibus haberent crates: sed pedẽ referebãt percutientes percußiq;, quousq; sub machinis fuerunt. Huc uero ubi uenissent, percutiebantur rursus a turribus Aegyptij, & inter omnes non sinebant sagittarios fugere, neq; iaculatores, sed intensis gladijs cogebant & sagittare, & iaculari: multaq; erat uirorum nex, permultus armorum omnifariãq; missilium fragor, multus etiam clamor aliorum se inuicem reuocantium, aliorum adhortantium, aliorum item deos immortalis implorantium. At Cyrus hic insequẽs hostes proximos aduenit: qui ut Persas uidit e loco motos, & doluit plurimum, & cognoscens nullo pacto celerius posse hostis continere ne ulterius procederent, quàm si post eorũ terga immitteret. ijs quos secum habebat sequi iußis, post eorum terga immittebat, in eosq; irruentes Persæ inopinatos percutiũt, interimuntq; permultos. Quod Aegyptij ut senserunt, & clamabant hostis esse post terga, & inter uulnera conuertebantur, atque hoc loco mixtim præliabantur & equites & pedites. Quidam uero cum cecidisset, fusus à Cyri equitatu pessundatusq;, gladio Cyri equum ferit in uentrem. Equus autem ob id uulneris intolerabili dolore agitatus, Cyrum excutit. Hic igitur nosse quis poßit, quanti sit faciendum ut princeps ametur à subditis. Continuo enim clamorem sustulerunt omnes, incumbentesq; pugnabant, urgebant, urgebantur, percutiebant, percutiebantur: desiliénsque ex equo unus ex Cyri ministris, tollit eum in equum suum. Vt autem Cyrus ascendit, despiciebat undique iam Aegyptios percuti. Etenim Hystaspas iam aderat una cum Persarum equitatu, simulque Chrysantas. Verùm hos nondum sinebat irrumpere in Aegyptiorum phalanga, sed ut extrinsecus sagittas iaculaque torquerent, iubebat. Vt autem immittens uenit inter machinas, uisum est ei, ut aliquis in turres ascenderet, speculareturque sicubi adhuc aliud quicquam hostium maneret ac pugnaret. Qui cum ascendisset, campum despexit refertum equis, hominibus, curribus, fugientibusq; & uincentibus ac uictis: manens autem quicquam nusquam despicere amplius poterat, præter

καὶ αὐτοὺς, καὶ ὅπλα, καὶ ἵππους, καὶ τροχούς. ὅτου δ' ἂν ἐπιλάβοιτο τὰ δρέπανα, πάντα βίᾳ διεκόπτετο, καὶ ὅπλα, καὶ σώματα. ἐν δὲ τῷ ἀδιηγήτῳ τούτῳ ταράχῳ ὑπὸ τῶν παντοδαπῶν σωρευμάτων ἐξαλλομένων τῶν τροχῶν, ἐκπίπτει ὁ ἀβραδάτης, καὶ ἄλλοι δὲ τῶν συνεισβαλλόντων. καὶ οὗτοι μὲν ἐνταῦθα ἄνδρες ἀγαθοὶ γενόμενοι, κατεκόπησαν καὶ ἀπέθανον. οἱ δὲ πέρσαι συνεπισπόμενοι, ᾗ μὲν ὁ ἀβραδάτης ἐνέβαλε καὶ οἱ σὺν αὐτῷ, ταύτῃ ἐπεισπεσόντες τεταραγμένους ἐφόνευον. ᾗ δὲ ἀπαθεῖς ἐγένοντο οἱ αἰγύπτιοι, πολλοὶ δὲ οὗτοι ἦσαν, ἐχώρουν ἐναντίοι τοῖς πέρσαις. ἔνθα δὴ δεινὴ μάχη ἦν, καὶ δοράτων καὶ ξυστῶν καὶ μαχαιρῶν. ἐπλεονέκτουν μέντοι οἱ αἰγύπτιοι, καὶ πλήθει καὶ τοῖς ὅπλοις. τά τε γὰρ δόρατα ἰσχυρά τε καὶ μακρὰ, ἃ ἔτι καὶ νῦν ἔχουσιν, αἵ τε ἀσπίδες πολὺ μᾶλλον τῶν θωράκων καὶ τῶν γέρρων, καὶ στέγουσι τὰ σώματα, καὶ πρὸς τὸ ὠθεῖσθαι συνεργάζονται, πρὸς τοῖς ὤμοις οὖσαι. συγκλείσαντες οὖν τὰς ἀσπίδας, ἐχώρουν καὶ ἐώθουν. οἱ δὲ πέρσαι οὐκ ἐδύναντο ἀντέχειν, ἅτε ἐν ἄκραις ταῖς χερσὶ τὰ γέρρα ἔχοντες· ἀλλ' ἐπὶ πόδα ἀνεχάζοντο, παίοντες καὶ παιόμενοι, ἕως ὑπὸ ταῖς μηχαναῖς ἐγένοντο. ἐπεὶ μέντοι ἐνταῦθα ἦλθον, ἐπαίοντο αὖθις οἱ αἰγύπτιοι ἀπὸ τῶν πύργων. καὶ οἱ ἐπὶ πᾶσι δὲ, οὐκ εἴων φεύγειν, οὔτε τοὺς τοξότας, οὔτε τοὺς ἀκοντιστὰς. ἀλλ' ἀνατεταμένοι τὰς μαχαίρας, ἠνάγκαζον καὶ τοξεύειν καὶ ἀκοντίζειν. ἦν δὲ πολὺς μὲν ἀνδρῶν φόνος, πολὺς δὲ κτύπος ὅπλων, καὶ βελῶν παντοδαπῶν, πολλὴ δὲ βοὴ, τῶν μὲν ἀνακαλούντων ἀλλήλους· τῶν δὲ παρακελευομένων· τῶν δὲ θεοὺς ἐπικαλουμένων. ἐν δὲ τούτῳ κῦρος διώκων τοὺς καθ' ἑαυτὸν παραγίνεται. ὡς δὲ εἶδε τοὺς πέρσας ἐκ τῆς χώρας ἐωσμένους, ἤλγησέ τε, καὶ γνοὺς ὅτι οὐδαμῶς ἂν θᾶττον ἔχοι, ἢ τοὺς πολεμίους τῆς εἰς τὸ πρόσθεν προόδου, ἢ εἰς τὸ ὄπισθεν περιελάσειεν αὐτῶν. παραγγείλας οὖν ἕπεσθαι τοῖς μεθ' ἑαυτοῦ, περιελαύνει εἰς τὸ ὄπισθεν, καὶ εἰσπεσόντες, παίουσιν ἀφορῶντας, καὶ πολλοὺς κατακαίνουσιν. οἱ δὲ αἰγύπτιοι ὡς ᾔσθοντο, ἐβόων τε ὅτι ὄπισθεν οἱ πολέμιοι. καὶ ἐστρέφοντο ἐν ταῖς πληγαῖς. καὶ ἐνταῦθα δὴ, φύρδην ἐμάχοντο, καὶ πεζοὶ καὶ ἱππεῖς. πεπτωκὼς δέ τις ὑπὸ τῷ κύρου ἵππῳ, καὶ πατούμενος, παίει εἰς τὴν γαστέρα τῇ μαχαίρᾳ τὸν ἵππον αὐτοῦ. ὁ δὲ ἵππος πληγεὶς, σφαδάζων, ἀποσείεται τὸν κῦρον. ἔνθα δὴ ἔγνω ἄν τις ὅσον ἄξιον εἴη, τὸ φιλεῖσθαι ἄρχοντα ὑπὸ τῶν περὶ αὐτόν. εὐθὺς γὰρ ἀνεβόησάν τε πάντες, καὶ προσπεσόντες, ἐμάχοντο, ἐώθουν, ἐωθοῦντο, ἔπαιον, ἐπαίοντο. καταπηδήσας δέ τις ἀπὸ τοῦ ἵππου τῶν τοῦ κύρου ὑπηρετῶν, ἀναβάλλει αὐτὸν ἐπὶ τὸν ἑαυτοῦ ἵππον. ὡς δὲ ἀνέβη ὁ κῦρος, κατεῖδε πάντοθεν ἤδη παιομένους τοὺς αἰγυπτίους. καὶ γὰρ ὑστάσπας ἤδη παρῆν σὺν τοῖς περσῶν ἱππεῦσι, καὶ χρυσάντας. ἀλλὰ τούτους ἐμβαλεῖν μὲν οὐκέτι εἴα εἰς τὴν φάλαγγα τῶν αἰγυπτίων, ἔξωθεν δὲ τοξεύειν καὶ ἀκοντίζειν ἐκέλευεν. ὡς δὲ ἐγένετο περιελαύνων ἐπὶ τὰς μηχανὰς, ἔδοξεν αὐτῷ ἀναβῆναι ἐπὶ πύργον ἵνα κατασκέψαιτο, εἴπη καὶ ἄλλο τι μένοι τῶν πολεμίων, καὶ μάχοιτο. ἐπεὶ δὲ ἀνέβη, κατεῖδε μεστὸν τὸ πεδίον ἵππων, ἀνθρώπων, ἁρμάτων, φευγόντων, διωκόντων, κρατούντων, κρατουμένων. τῶν μὲν πολεμίων φευγόντων, τῶν δ' ἑαυτοῦ κρατούντων. κρατουμένων δὲ οὐδαμοῦ, οὐδὲν ἔτι ἠδύνατο κατιδεῖν, πλὴν

πλὴν τῶν αἰγυπτίων. οὗτοι δὲ ἐπειδὴ ἠποροῦντο, κύκλῳ πάντοθεν ποιησάμενοι ὥστε ὁρᾶσθαι τὰ ὅπλα, ὑπὸ ταῖς ἀσπίσιν ἐκάθηντο. καὶ ἐποίουν μὲν οὐδὲν ἔτι, ἔπασχον δὲ πολλὰ καὶ δεινά. ἀγασθεὶς δὲ ὁ κῦρος αὐτούς, καὶ οἰκτείρων ὅτι ἀγαθοὶ ἄνδρες ἀπόλοιντο, ἀνεχώρησε. καὶ πάντας τοὺς περιμαχομένους μάχεσθαι οὐδένα ἔτι εἴα. πέμπει δὲ πρὸς αὐτοὺς κήρυκα ἐρωτῶν, πότερα βούλονται ἀπολέσθαι πάντες ὑπὸ τῶν προδεδωκότων αὐτούς, ἢ σωθῆναι, ἄνδρες ἀγαθοὶ δοκοῦντες εἶναι. οἱ δ' ἀπεκρίναντο· πῶς δ' ἂν ἡμεῖς σωθείημεν ἄνδρες ἀγαθοὶ δοκοῦντες εἶναι; ὁ δὲ κῦρος πάλιν ἔλεγεν· ὅτι ἡμεῖς ὑμᾶς ὁρῶμεν μόνους καὶ μένοντας, καὶ μάχεσθαι θέλοντας. ἀλλὰ τοὐντεῦθεν, ἔφασαν οἱ αἰγύπτιοι, τί καὶ καλὸν ἂν ποιοῦντες σωθείημεν; καὶ ὁ κῦρος αὖ πρὸς τοῦτο εἶπεν· εἰ τῶν τε συμμάχων μηδένα προδόντες σωθείητε, τά τε ὅπλα ἡμῖν παραδόντες, φίλοι τε γενόμενοι τοῖς αἱρουμένοις ὑμᾶς σῶσαι, ἐξὸν ἀπολέσαι. ἀκούσαντες ταῦτα, ἐπήροντο· ἢν δὲ γενώμεθά σοι φίλοι, τί ἡμῖν ἀξιώσεις χρῆσθαι; ἀπεκρίνατο ὁ κῦρος· εὖ ποιεῖν, καὶ εὖ πάσχειν. ἐπηρώτων πάλιν οἱ αἰγύπτιοι, τίνα εὐεργεσίαν; πρὸς τοῦτο εἶπεν ὁ κῦρος· μισθὸν ὑμῖν δοίην πλείονα ἢ νῦν λαμβάνετε, ὅσον ἂν χρόνον πόλεμος ᾖ· εἰρήνης δὲ γενομένης τῷ βουλομένῳ ὑμῶν μένειν παρ' ἐμοί, χώραν τε δώσω, καὶ πόλεις, καὶ γυναῖκας, καὶ οἰκέτας. ἀκούσαντες ταῦτα οἱ αἰγύπτιοι, τὸ μὲν ἐπὶ κροῖσον συστρατεύειν, ἀφελεῖν σφίσιν ἐδεήθησαν. τούτῳ γὰρ μόνῳ συγγιγνώσκεσθαι, ἔφασαν. τὰ δ' ἄλλα συνομολογήσαντες, ἔδοσαν πίστιν καὶ ἔλαβον. καὶ οἱ αἰγύπτιοί τε οἱ καταμείναντες τότε, ἔτι καὶ νῦν βασιλεῖ πιστοὶ διαμένουσι· κῦρός τε πόλεις αὐτοῖς ἔδωκε, τὰς μὲν ἄνω, αἳ ἔτι καὶ νῦν πόλεις αἰγυπτίων καλοῦνται, λάρισάν τε καὶ κυλλήνην, παρὰ κύμην πλησίον θαλάσσης· ἃς ἔτι καὶ νῦν οἱ ἀπ' ἐκείνων ἔχουσι. ταῦτα διαπραξάμενος ὁ κῦρος, ἤδη σκοταῖος ἀναγαγών, ἐστρατοπεδεύσατο ἐν θυμβράροις. ἐν δὲ τῇ μάχῃ, τῶν μὲν πολεμίων, αἰγύπτιοι μόνοι εὐδοκίμησαν· τῶν δὲ σὺν κύρῳ, τὸ περσῶν ἱππικὸν κράτιστον ἔδοξεν εἶναι. ὡς ἔτι καὶ νῦν διαμένει ἡ ὅπλισις, ἣν τότε κῦρος τοῖς ἱππεῦσι κατεσκεύασεν. εὐδοκίμησε δὲ ἰσχυρῶς καὶ τὰ δρεπανηφόρα ἅρματα. ὥστε καὶ τοῦτο ἔτι καὶ νῦν διαμένει τὸ πολεμιστήριον τῷ ἀεὶ βασιλεύοντι. αἱ μέντοι κάμηλοι ἐφόβουν μόνον τοὺς ἵππους. οὐ μέντοι κατέκαινόν γε οἱ ἐπ' αὐτῶν ἱππεῖς, οὐδ' αὐτοί γε ἀπέθνησκον ὑπὸ ἱππέων. οὐδεὶς γὰρ ἵππος ἐπέλαζε. καὶ χρήσιμον μὲν ἐδόκει εἶναι. ἀλλὰ γὰρ οὔτε τρέφειν οὐδεὶς ἐθέλει καλὸς κἀγαθὸς κάμηλον ὥστ' ἐποχεῖσθαι, οὔτε μελετᾶν ὡς πολεμήσων ἀπὸ τούτων. οὕτω δὴ ἀπολαβοῦσαι πάλιν τὸ ἑαυτῶν σχῆμα, ἐν τοῖς σκευοφόροις διάγουσι. καὶ οἱ μὲν ἀμφὶ τὸν κῦρον δειπνοποιησάμενοι, καὶ φυλακὰς καταστησάμενοι, ὥσπερ ἔδει, ἐκοιμήθησαν. κροῖσος μέντοι εὐθὺς ἐπὶ σάρδεων ἔφευγε σὺν τῷ στρατεύματι. τὰ δ' ἄλλα φῦλα ὅποι ἐδύνατο προσωτάτω ἐν τῇ νυκτί, τῆς ἐπ' οἶκον ὁδοῦ ἕκαστος ἀπεχώρει. ἐπειδὴ δὲ ἡμέρα ἐγένετο, εὐθὺς ἐπὶ σάρδεις ἦγε κῦρος. ὡς δ' ἐγένετο πρὸς τῷ τείχει τῷ ἐν σάρδεσι, τάς τε μηχανὰς ἀνίστη ὡς προσβαλῶν πρὸς τὸ τεῖχος, καὶ κλίμακας παρεσκευάζετο. ταῦτα δὲ ποιῶν, κατὰ τὰ ἀποτομώτατα δοκοῦντα εἶναι τῶν

præter exercitū Aegyptiorū. Hi uerò quoniā difficulter haberent, undiq; facto circulo ut arma uiderentur, sub clypeis sedebāt, faciebantq; amplius nihil, patiebantur autem & multa & grauia. Admiratus autē eos Cyrus cōmiseratusq;, quòd uiri fortes cum essent, perierāt, retraxit eos omnis qui circū illos præliabantur, pugnareq; neminē amplius sinebat: misitq; ad eos caducatorē percunctatū, utrum uelint omnes ne propter eos perire, à quib. 10 proditi fuerint, an qui fortes esse uideātur seruatū iri. Ad quem respōderunt Aegyptij: Quonā pacto nos seruemur, si uiri fortes uidemur esse? Cyrus autē rursus dicebat: Quoniā nos uidemus uos solos, qui maneatis uelitisq; pugnare. Sed deinceps dixerūt Aegyptij: Quid honesti facimus ut seruemur? Et Cyrus itē ad hoc respōdit: Si ita seruemini, ut et sociorū prodatis neminē, & arma nobis tradatis, et amici his sitis qui eligunt uos saluos facere, cum liceat perdere. Quæ illi audientes interrogabant: 20 Quodsi in tuam amicitiā ueniamus, ad quid uti nobis dignū existimabis? Ad quos Cyrus respōdit: Ad beneficiū ultro citroq; conferendū. Et rursus Cyrū interrogabant Aegyptij: Ad quod beneficium? Ad hoc, inquit Cyrus: Stipendij quidē plus uobis dem, q̄ nunc accipitis, quandiu sit bellum. Facta autē pace, qui uestrum manere apud me uoluerit, huic ego & regionē dabo, & urbes, et uxores, et famulos. Quibus Aegyptij auditis, precati sunt ut sibi negociū auferret gerendi belli aduersus Crœsum. Huius 30 enim solius misereri se dixerūt. Alia uerò paciscentes fidē dederūt, atq; acceperūt. Hinc & Aegyptij qui tum restiterūt, hoc etiā tēpore fideles erga regem perseuerāt. Et Cyrus his urbes dedit alias sursum, quæ ipsæ hodie quoq; urbes Aegyptiorū uocantur, Larissam, ac Cyllenē, quæ trans Cymē posita est prope mare: quas quidē urbis hac etiā tempestate habēt eorū posteri. Cyrus his reb. gestis iam per tenebras rediēs, in Thymbraris locauit castra. In hac autē pugna Aegyptij ex hostib. claruerūt. 40 Ex Cyri quidē equitatu, Persarū equitatus uisus est optimus extitisse: quare nunc quoq; armatura permanet, quam Cyrus tum est equitib. fabricatus. Vehemēter etiā claruerūt currus falcati: quare hoc genus bellādi, hoc etiam tēpore permanet ei semper qui regnat. At cameli solū equis metui fuere. Nec enim equites qui in his erāt, interēpti sunt, nec itē ipsi ab equitib. Nullus enim equus prope factus est: atq; utile esse uidebatur. Sed enim neq; alere camelū uelit uir honestus et bonus uehendi gratia, neq; 50 meditari ut ab his sit pugnaturus. Ita igitur rursus suo recepto habitu, degunt inter impedimēta iumēta. Atq; Cyri milites ubi cœnassent, custodesq; posuissent, ut par erat, somno se dederunt. At Crœsus quidē continuo fugit Sardis una cum acie. Nationes autem aliæ quo poterant, quālongissime noctu per uiā singuli abscessere, quæ domū duceret. Sed ubi dies illuxit, cōtinuò Cyrus exercitū egit Sardis: q ubi uenit ad murū ipsius urbis, tū machinas erexit ut muro apponeret, et parabat scalas. Quæ faciēs, p ea quæ esse uidebāntur ardua ac difficilima

Sardias

Sardianorum iumenta, sequenti nocte Chaldæos sursum atque Persas tollit. Ductor ijs fuit Perses, qui seruus fuerat cuiusdam eorum qui in arce erant præsidio, quique didicerat & descensum in flumen & eundem ascensum. Quod ubi factum est, arx uidelicet capta est: quare Lydi omnes quò poterant, singuli à muris fugiebant. At Cyrus simul cum die in urbem est ingressus, præcipiens moueri neminem ex ordine suo. Crœsus uerò in regia clausus, Cyrum clamabat. Cyrus uerò Crœsi custodes reliquit. Ipse autem abiens ad captam arcem, ut uidit Persas, ut par erat, custodientis arcem, Chaldæorum autem arma sola (decurrerant enim, ut rapinam bonorum facerent ex ædibus) continuo eorum principibus conuocatis, ait ut quamprimum abirent ex acie. Non enim, inquit, contineri possem, intuens auiditatem intemperantium. Sciuis enim uos esse à me paratos, ut mecum militantes Chaldæis omnibus laudabiles redderem. Nunc uero nolite mirari, si quis melior etiam uobis abeuntibus ijs incidat. Quibus Chaldæi auditis, & metuerunt & orauerunt ut irasci desineret, seque raptas res omnis datum ire dixerunt. Ad quod Cyrus respondit, ijs sibi nihilo opus esse. Quod si me uultis ab ira desistere, reddite res istas omnis quas accepistis arcem custodientibus. Nam si alij milites senserint eos plus habere qui ordinem seruarint, omnia mihi bene sunt habitura. Et Chaldæi quidem ita fecerunt ut iußit Cyrus, acceperúntque obedientes, & multas omnisque generis pecunias. Cyrus autem ut suorum castra ibi posuisset, ubi existimauit locum esse urbis aptißimum ad manendum in armis, præcepit ut pranderent. His autem rebus gestis, iußit Crœsum agi ad sese. At Crœsus Cyrum ut uidit: Salue, inquit, here: hoc enim fortuna & habere posthac dat tibi, & mihi appellare. Et tu quidem Crœse, inquit Cyrus, salue: quoniam uterque homines sumus. Ceterùm Crœse, inquit, num mihi uelis consulere? Vellem equidem, inquit, Cyre boni aliquid tibi inuenire: hoc enim existimarem mihi quoque bonum fore. Audi igitur, inquit, Crœse. Ego enim uidens multum milites laborasse, ac multa pericula subisse, & nunc existimare habere urbem, quæ post Babylona ditißima sit in Asia, dignum puto prodesse militibus: quippe qui futurum norim, si minus fructum aliquem laborum ceperint, ne eos possim habere diutius mihi obtemperanteis: & nolo equidem pati, hi urbem diripiant. Nam & urbs, mea sententia, periret, & in rapina qui maximè sunt improbi, ditarentur. Quæ Crœsus audiens, dixit: At sine me dicere ad quoscunq; uelim Lydorum, me abs te impetrasse rapina ne fiat, neq; te sinere pueros mulieresq; perdi: quodq; tibi pollicitus sum, pro hisce reb. fore à Lydis ultro, quicquid et pulchri et boni sit in Sardib. Si enim hæc audiēt, futurum scio ut afferant quicquid hic poßidetur pulchrum et uiro et mulieri: at rursus in sequentem annū urbs tibi referta sit multis pulchrisq; rebus. Quod

τῶν σαρδιανῶν ἐρύματα, τῆς ἐπιούσης νυκτὸς, ἀναβιβάζει χαλδαίους τε καὶ πέρσας. ἡγήσατο δ' αὐτοῖς ἀνὴρ πέρσης, δοῦλος γεγενημένος τῶν ἐν τῇ ἀκροπόλει τινὸς φρουρῶν, καὶ καταμεμαθηκὼς κατάβασιν εἰς τὸν ποταμὸν καὶ ἀνάβασιν τὴν αὐτήν. ὡς δ' ἐγένετο τοῦτο δῆλον ὅτι εἴχετο τὰ ἄκρα, πάντες δὴ ἔφευγον οἱ λυδοὶ ἀπὸ τῶν τειχῶν, ὅποι ἐδύνατο ἕκαστος. κῦρος δὲ ἅμα τῇ ἡμέρᾳ εἰσῄει εἰς τὴν πόλιν, καὶ παρήγγειλεν ἐκ τῆς τάξεως μηδένα κινεῖσθαι. ὁ δὲ κροῖσος κατακλεισάμενος ἐν τοῖς βασιλείοις, κῦρον ἐβόα. ὁ δὲ κῦρος τοῦ μὲν κροίσου φύλακας κατέλιπεν, αὐτὸς δὲ ἀπαγαγὼν πρὸς τὴν ἐχομένην ἄκραν, ὡς εἶδε τοὺς μὲν πέρσας φυλάσσοντας τὴν ἄκραν ὥσπερ ἔδει, τὰ δὲ τῶν χαλδαίων ὅπλα ἔρημα (καταδεδραμήκεσαν γὰρ ἁρπασόμενοι τὰ ἐκ τῶν οἰκιῶν) εὐθὺς συνεκάλεσεν αὐτῶν τοὺς ἄρχοντας, καὶ εἶπεν αὐτοῖς ἀπιέναι ἐκ τοῦ στρατεύματος τάχιστα. οὐ γὰρ ἄν, ἔφη, ἀνασχοίμην, πλεονεκτοῦντας ὁρῶν τοὺς ἀτακτοῦντας. καὶ εὖ μὲν, ἔφη, ἐπίστασθε, ὅτι παρεσκευαζόμην ἐγὼ ὑμᾶς τοὺς ἐμοὶ στρατευομένους, πᾶσι χαλδαίοις μακαριστοὺς ποιῆσαι. νῦν δ', ἔφη, μὴ θαυμάζετε, ἤν τις καὶ ἀπιοῦσιν ὑμῖν κρείττων ἐντύχῃ. ἀκούσαντες ταῦτα οἱ χαλδαῖοι, ἔδεισάν τε καὶ ἱκέτευον παύσασθαι ὀργιζόμενον, καὶ τὰ χρήματα πάντα ἀποδώσειν ἔφασαν. ὁ δὲ εἶπεν, ὅτι οὐδὲν αὐτῶν δέοιτο. ἀλλ' εἴ με, ἔφη, βούλεσθε παύσασθαι ἀχθόμενον, ἀπόδοτε πάντα ὅσα ἐλάβετε, τοῖς διαφυλάξασι τὴν ἄκραν. ἢν γὰρ αἴσθωνται οἱ ἄλλοι στρατιῶται, ὅτι πλεονεκτοῦσιν οἱ εὔτακτοι γενόμενοι, πάντα μοι καλῶς ἕξει. οἱ μὲν δὴ χαλδαῖοι οὕτως ἐποίησαν ὡς ἐκέλευσεν ὁ κῦρος, καὶ ἔλαβον οἱ πειθόμενοι πολλὰ καὶ παντοῖα χρήματα. ὁ δὲ κῦρος καταστρατοπεδεύσας τοὺς ἑαυτοῦ ὅπου ἐδόκει ἐπιτηδειότατον εἶναι τῆς πόλεως, μένειν ἐπὶ τοῖς ὅπλοις, παρήγγειλεν ἀριστοποιεῖσθαι. ταῦτα διαπραξάμενος, ἀγαγεῖν ἐκέλευσεν αὐτῷ τὸν κροῖσον. ὁ δὲ κροῖσος ὡς εἶδε τὸν κῦρον, χαῖρε, ὦ δέσποτα, ἔφη. τοῦτο γὰρ ἡ τύχη καὶ ἔχειν τὸ ἀπὸ τοῦδε δίδωσί σοι, καὶ ἐμοὶ προσαγορεύειν. καὶ σύ γε, ἔφη, ὦ κροῖσε, ἐπείπερ ἄνθρωποί ἐσμεν ἀμφότεροι. ἀτάρ, ἔφη, ὦ κροῖσε, ἆρ' ἄν τί μοι ἐθελήσαις συμβουλεῦσαι; καὶ βουλοίμην γ' ἄν, ἔφη, ὦ κῦρε, ἀγαθόν τι σοὶ εὑρεῖν. τοῦτο γὰρ ἂν οἶμαι ἀγαθὸν κἀμοὶ γενέσθαι. ἄκουσον τοίνυν, ἔφη, ὦ κροῖσε. ἐγὼ γὰρ ὁρῶν τοὺς στρατιώτας, πολλὰ πεπονηκότας, καὶ πολλὰ κεκινδυνευκότας, καὶ νῦν νομίζοντας πόλιν ἔχειν τὴν πλουσιωτάτην μετὰ Βαβυλῶνα, ἀξιῶ ὠφεληθῆναι τοὺς στρατιώτας. γινώσκω γάρ, ἔφη, ὅτι εἰ μή τινα καρπὸν λήψονται τῶν πόνων, οὐ δυνήσομαι αὐτοὺς πολὺν χρόνον πειθομένους ἔχειν. διαρπάσαι μὲν οὖν αὐτοῖς ἐφεῖναι τὴν πόλιν οὐ βούλομαι. τήν τε γὰρ πόλιν νομίζω ἂν διαφθαρῆναι, ἔν τε τῇ ἁρπαγῇ εὖ οἶδ', ὅτι οἱ πονηροὶ πλεονεκτήσειαν ἄν. ἀκούσας ταῦτα ὁ κροῖσος, ἔλεξεν· ἀλλ' ἐμέ, ἔφη, ἔασον λέξαι, πρὸς οὓς ἂν ἐγὼ λυδῶν ἔλθω, ὅτι διαπέπραγμαι παρὰ σοῦ, μὴ ποιῆσαι ἁρπαγὴν, μηδὲ ἐᾶσαι ἀφανισθῆναι παῖδας καὶ γυναῖκας. ὑπεσχόμην δέ σοι ἀντὶ τούτων, ἦ μὴν παρ' ἑκόντων λυδῶν ἔσεσθαι, πᾶν ὅ, τι καλὸν κἀγαθόν ἐστιν ἐν σάρδεσιν. ἢν γὰρ ταῦτα ἀκούσωσιν, οἶδ' ὅτι ἥξουσι πᾶν ὅ, τι ἐστὶν ἐν σάρδεσι καλὸν κτῆμα ἀνδρὶ καὶ γυναικί. ὁμοίως εἰς νέωτα, πολλῶν καὶ καλῶν πάλιν σοι πλήρης ἡ πόλις ἔσται. ἢν δὲ

ἢν δὲ διαρπάσωσι, καὶ αἱ τέχναι σοι, ἅς πηγάς φασι τῶν καλῶν εἶναι, διεφθαρμέναι ἔσονται. ἔξεστι δέ σοι ἰδόντι ταῦτα, ἐλθόντα ἔτι περὶ τῆς ἁρπαγῆς βουλεύσασθαι. πρῶτον δὲ, ἔφη, ἴθι ἐπὶ τοὺς ἐμοὺς θησαυροὺς πέμπε, καὶ παραλαμβανέτωσαν οἱ σοὶ φύλακες παρὰ τῶν ἐμῶν φυλάκων. ταῦτα μὲν δὴ ἅπαντα οὕτω συνῄνεσε ποιεῖν ὁ κῦρος, ὥσπερ ἔλεξεν ὁ κροῖσος. τάδε δέ μοι, ἔφη, πάντως, ὦ κροῖσε λέξον, πῶς ἀποβέβηκε τὰ ἐκ τοῦ ἐν δελφοῖς χρηστηρίου; σοὶ γὰρ δὴ λέγεται, πάνυ θεραπεῦσαι ὁ ἀπόλλων, καὶ σὲ πάντα ἐκείνῳ πειθόμενον πράττειν. ἐβουλόμην δ' ἂν, ἔφη, ὦ κῦρε, οὕτως ἔχειν, νῦν δὲ πάντα τἀναντία εὐθὺς ἐξ ἀρχῆς πράττων προσηνέχθην τῷ ἀπόλλωνι. πῶς δὲ, ἔφη ὁ κῦρος, δίδασκε. πάνυ γὰρ παράδοξα λέγεις. ὅτι πρῶτον μὲν, ἔφη, ἀμελήσας ἐρωτᾶν τὸν θεὸν εἴ τι ἐδεόμην, ἀπεπειρώμην αὐτοῦ εἰ δύναιτο ἀληθεύειν. τοῦτο δὲ μὴ, ὅτι ὁ θεὸς, ἔφη, ἀλλὰ καὶ ἄνθρωποι καλοὶ κἀγαθοὶ, ἐπειδὰν γνῶσιν ἀπιστούμενοι, οὐ φιλοῦσι τοὺς ἀπιστοῦντας. ἐπεὶ μέντοι ἔγνω καὶ μάλα ἄτοπα ἐμοῦ ποιοῦντος, καὶ πρόσω δελφῶν ἀπέχοντος, οὕτω δὴ πέμπω περὶ παίδων. ὁ δέ μοι τὸ μὲν πρῶτον οὐδ' ἀπεκρίνατο. ἐπεὶ δ' ἐγὼ πολλὰ μὲν πέμπων ἀναθήματα χρυσᾶ, πολλὰ δ' ἀργυρᾶ, πάμπολλα δὲ θύων, ἐξιλασάμην ποτὲ αὐτὸν ὡς ἐδόκουν, τότε δή μοι ἀποκρίνεται ἐρωτῶντι, τί ἄν μοι ποιήσαντι, παῖδες γένοιντο. ὁ δὲ εἶπεν, ὅτι ἔσοιντο. καὶ ἐγένοντο μὲν· οὐδὲ γὰρ οὐδὲ τοῦτο ἐψεύσατο. γενόμενοι δὲ, οὐδὲν ὤνησαν. ὁ μὲν γὰρ κωφὸς ὢν διετέλει. ὁ δὲ ἄριστος γενόμενος, ἐν ἀκμῇ τοῦ βίου ἀπώλετο. πιεζόμενος δὲ ταῖς περὶ τοὺς παῖδας συμφοραῖς, πάλιν πέμπω καὶ ἐπερωτῶ τὸν θεὸν, τί ἂν ποιῶν τὸν λοιπὸν βίον εὐδαιμονέστατα διατελέσαιμι. ὁ δέ μοι ἀπεκρίνατο· σαυτὸν γινώσκων, εὐδαίμων κροῖσε περάσεις. ἐπεὶ δὲ ἀκούσας τὴν μαντείαν ἥσθην (ἐνόμιζον γὰρ τό γε ῥᾷστόν μοι αὐτὸν προστάξαντα τὴν εὐδαιμονίαν διδόναι. ἄλλους μὲν γὰρ γιγνώσκειν, τοὺς μὲν, οἷόν τ' εἶναι· τοὺς δ' οὔ. ἑαυτὸν δὲ ὅστις ἐστὶ πάντα τινὰ ἐνόμιζον ἄνθρωπον εἰδέναι) καὶ τὸν μετὰ ταῦτα δὴ χρόνον, ἕως μὲν εἶχον ἡσυχίαν, οὐδὲν ἐνεκάλουν μετὰ τὸν τοῦ παιδὸς θάνατον ταῖς τύχαις. ἐπειδὴ δὲ ἀνεπείσθην ὑπὸ τοῦ ἀσσυρίου ἐφ' ὑμᾶς στρατεύεσθαι, εἰς πάντα κίνδυνον ἦλθον. ἐσώθην μέντοι οὐδὲν κακὸν λαβών, οὐκ αἰτιῶμαι δὲ οὐδὲ τάδε τὸν θεόν. ἐπεὶ γὰρ ἔγνων ἐμαυτὸν μὴ ἱκανὸν ὑμῖν μάχεσθαι, ἀσφαλῶς σὺν τῷ θεῷ ἀπῆλθον, καὶ αὐτὸς καὶ οἱ σὺν ἐμοί. νῦν δ' αὖ πάλιν ὑπό τε πλούτου τοῦ παρόντος διαθρυπτόμενος, καὶ ὑπὸ τῶν δεομένων με προστάτην γενέσθαι, καὶ ὑπὸ τῶν δώρων ὧν ἐδίδοσάν μοι, καὶ ὑπ' ἀνθρώπων, οἵ με κολακεύοντες ἔλεγον, ὡς εἰ ἐγὼ ἐθέλοιμι ἄρχειν, πάντες ἂν ἐμοὶ πείθοιντο, καὶ μέγιστος ἂν εἴην ἀνθρώπων. ὑπὸ τοιούτων δὲ λόγων ἀναφυσώμενος, ὡς εἵλοντό με πάντες οἱ κύκλῳ βασιλεῖς προστάτην τοῦ πολέμου, ὑπεδεξάμην τὴν στρατηγίαν, ὡς ἱκανὸς ὢν μέγιστος γενέσθαι. ἀγνοῶν ἄρα ἐμαυτὸν, ὅτι σοὶ ἀντιπολεμεῖν ἱκανὸς ᾤμην εἶναι. πρῶτον μὲν ἐκ θεῶν γεγονότι, ἔπειτα δὲ διὰ βασιλέων πεφυκότι, ἔπειτα δ' ἐκ παιδὸς ἀρετὴν ἀσκοῦντι. τῶν δ' ἐμῶν προγόνων ἀκούω τὸν πρῶτον βασιλεύσαντα, ἅμα τε βασιλέα καὶ ἐλεύθερον γενέσθαι. ταῦτ' οὖν ἀγνοήσας, δικαίως, ἔφη, ἔχω τὴν δίκην. ἀλλὰ νῦν δὴ, ἔφη, ὦ κῦρε, γινώσκω μὲν ἐμαυτόν.

Quod si eam deripueris, ARTES quoq; quas bonorum fontes esse aiunt, corrūpentur. Praeterea licebit tibi, si haec uideas, etiam cum ueneris de rapina cōsulere. Primum autem mitte ad thesauros meos, & eos custodes tui à meis custodibus accipiant. Haec igitur Cyrus omnia consensit ita facienda, ut Croesus dixerat. Haec aūt, inquit, Croese mihi dicito omnino: Quo modo euenerunt quae Delphicū dixit oraculum? Dicitur enim Apollo tibi ualde obsecutus, teq; gessisse omnia ab illo persuasum. Vellem equidem, inquit, Cyre ita habere. Nunc autem secus omnia cōtinuo agēs ab initio, consului Apollinē. Quomodo? inquit Cyrus, doce me. Incredibilia enim admodū narras. Quoniā primum, inquit, interrogare deum negligēs si qua re egerem, tentaui eum an posset uera loqui. HOC autē non deus solùm, uerumetiā homines honesti ac boni, cum norint fidem sibi minus haberi, nō amant incredulos. Vbi igitur nouit me facere admodū absurda, qui longe abessem à Delphis, ita demū mitto de filijs consulens. Ille autem mihi prius non respondit. sed ubi ego multis oblationib. aureis missis, multis etiā argēteis, permultis item sacrificijs actis placaui eum aliquādo, ut mihi uidebatur, tum tandem mihi respondet percūctanti, quidnā facere me oporteret, quò mihi essent filij. Ille dixit, fore ut haberem. Et nati sunt quidē: neq; enim hoc mentitus est. Hi uerò cum mihi nati sunt, nihil profuere. Nam alter mutus esse perseuerauit, qui autem erat optimus, perijt in aetatis flore. Pressus autem cladibus filiorū, mitto iterum, atq; deum rursus consulo, quidnam essem facturus, quò reliquum tempus uitae quamfelicissimè degerem. At ipse respondit: IPSUM te noscens, es felix Croese futurus. Vbi uerò oraculo audito laetatus essem (putabam enim eum mihi felicitatem dare, quod facilimum esset imperando. Alios enim cognoscere, quosdam fieri quidem posse, quosdam uerò non posse. se autem ipsum qui sit, unūquenq; existimabam hominem nosse) omne deinceps tempus usq; quietem habui, nihil de infortunijs quaerens post filij mei mortē. Sed ubi sum ab Assyrio persuasus aduersus uos exercitū ducere, in omnu ueni periculū, & seruatus sum sanè nullo malo accepto. At ne propter haec quidem deum incuso. Cum enim meipsum nossem, non satis esse qui aduersus uos pugnarē, tutò abiui unà cum deo et ipse & mei. Nunc rursus et à praesentium diuitiarū delicijs insolentior factus, et ab ijs qui me rogabant ut bellum gererem, & à muneribus quibus me donabant, & ab hominib. qui mihi assentantes dicerēt: Si imperare uellem, futurum ut omnibus in rebus mihi parērent, foremq; hominū maximus. Huiusmodi tandem uerbis inflatus, ut omnes undiq; reges belli praefectum me legerunt, suscepi imperium tanquam satis essem qui maximus fierem: certe meipsum ignorans, quod existimarem me satis esse, qui aduersus te bellum gererem: primum quidem quod ex dijs immortalibus genitus sis, dein quod ex regibus oriundus, demum uerò quod abusq; puero uirtutem exercueris. Maiorum autem meorum audio primū qui regnauit, & regem simul fuisse & liberū. Haec igitur cum ignorarim, iure, inquit, optimo poenā do. Verum nunc tandem Cyre meipsum cognosco.

Oracula Apollinis reddita Croeso.

[illegible] in Apollinem [illegible]. Te autem propter hanc rem interrogo, quoniam mihi optime uideris [illegible] nunc coniectare, potes enim facere me felicem. Et Cyrus respondit: Consilium mihi da Crœse hac de re. Ego enim cogitans priorem tuam felicitatem, & misereor tui, & reddo tibi uxorem habendam quam habes & filias. Audio enim esse tibi & amicos, & famulos, & mensam qua cum unà uiuebatis. Pugnas uerò tibi belláque aufero. Medius fidius nihil igitur, inquit Crœsus, mihi tu adhuc consultas eripere de mea felicitate. Ego enim tibi iam dico, si hæc mihi feceris quæ dicis, hanc me, quam & alij felicißimam uitam existimabant, & ego cum his sentiebam, esse nunc etiam acturum. Et Cyrus inquit: Quis igitur est qui habet hanc uitam beatam? Mea uxor, inquit, o Cyre. Illa enim & bonarum, & mollium, & lætarum omnium rerum æqué atque ego erat particeps: curarum uerò ut hæc forent, & belli & pugnæ particeps non erat. Ita igitur tu quoque parare me nunc uideris, quemadmodum ego illam quammaximè omnium hominum amabam. Itaque mihi uideor Apollini debere alia munera. Cuius uerba Cyrus cum audisset, admiratus est animi eius tranquillitatem. Itaque deinceps eum quacunq; ipse pergeret ducebat, siue quòd eum usui cuiquam sibi esse existimaret, siue quod etiam tutius ita censeret. Et tum quidem ita quieti se dederunt. Postri die uero Cyrus uocatis amicis & exercitus ducibus, alios eorum constituit ut thesauros acciperent, alijs iußit ut quascunque pecunias Crœsus traderet, primum dijs immortalibus eligerent quas Magi interpretarentur: deinde alias pecunias quas acciperent, eas in arcis locatas, in plaustris ut portarent quocunque ipsi pergerent, ut ubi tempus foret, singuli caperent portionem suam Et hi quidem hæc faciebant. At Cyrus uocatis quibusdam ex præsentibus ministris: Dicite mihi, inquit, uiditne uirum quisquam Abradatam? Miror enim quod cum antea iret ad nos frequenter, nunc nusquam apparet. Ad quem respondit unus ex ministris: Quoniam here ille non uiuat, sed mortuus est in pugna, cum in Aegyptios currum immisisset. Alij uerò, exceptis eius sodalibus, ut aiunt, effugerunt ubi globum uidissent Aegyptiorum. Et nunc dicitur eius uxor mortuum sustulisse, imposuisséq; in carpentum in quo ipsa uehebatur, atque eum portauisse quendam hic in locum ad Pactolum flumen, feruntq; eius spadones ac famulos fodere loculum mortuo quodam in tumulo. Dicunt etiam eius uxorem humi sedere ornatum quibus uirum ornarat, haberéq; caput eius in genibus. Quibus Cyrus auditis, femur sane percussit, continuoq; equo ascenso, assumptisq; equitibus mille, immisit ad luctum. Iußit præterea Gadatæ & Gobryæ, ut quantum possent acceptum pulcherrimum ornatum, ad uirum amicum & bonum qui diem obijsset transferrent. Et qui haberet armenta sequentia et boues & equos huic dixit, simulq; pecudes multas ageret ubicunq; se esse audiret, quo ea Abradatæ immolarentur. At ubi uidit Abradatæ uxorem humi sedere, ac mortuum iacere, & col-

σὺ δ' ἔτι [illegible] δίειν τὸν ἀπόλλω, ὡς εὐδαίμων ἔσομαι, γιγνώσκων ἐμαυτόν· σὲ δ' ὁρῶ διὰ τὸ εἰκάζειν ἂν μοι δοκεῖς ἱκανὸς εἶναι τῶν ἐν τῷ παρόντι. καὶ γὰρ δύνασαι ποιῆσαι. καὶ ὁ κῦρος εἶπε· βουλήν μοι δὸς περὶ τούτου, ὦ κροῖσε. ἐγὼ γάρ σου ἐννοῶν τὴν πρόσθεν εὐδαιμονίαν, οἰκτείρω τέ σε καὶ ἀποδίδωμι ἤδη, γυναῖκά τε ἣν εἶχες, καὶ τὰς θυγατέρας, ἀκούω γάρ σοι εἶναι, καὶ τοὺς φίλους, καὶ τοὺς θεράποντας, καὶ τράπεζαν σὺν οἷσπερ ἐζῆτε, μάχας δέ σοι καὶ πολέμους ἀφαιρῶ. μὰ Δία μηδὲν τοίνυν, ἔφη ὁ κροῖσος, σὺ ἐμοὶ ἔτι βουλεύου ἀποκρίνασθαι περὶ τῆς ἐμῆς εὐδαιμονίας. ἐγὼ γάρ ἤδη σοι λέγω, ἢν ταῦτά μοι ποιήσῃς, ἃ σὺ λέγεις, ὅτι ἣν ἄλλοι τε μακαριωτάτην ἐνόμιζον εἶναι βιοτήν, καὶ ἐγὼ συνεγίγνωσκον αὐτοῖς ταύτην, καὶ ἐγὼ νῦν ἔχων διάξω. καὶ ὁ κῦρος εἶπε· τίς δὴ ὁ ἔχων τὴν μακαρίαν βιοτήν; ἡ ἐμὴ γυνή, εἶπεν, ὦ κῦρε. ἐκείνη μὲν γὰρ τῶν ἀγαθῶν καὶ τῶν μαλακῶν καὶ εὐφροσυνῶν πασῶν ἐμοὶ τὸ ἴσον μετεῖχε. φροντίδων δὲ ὅπως ταῦτα ἔσται καὶ πολέμου καὶ μάχης, οὐ μετῆν αὐτῇ. οὕτω δὴ καὶ σὺ δοκεῖς ἐμὲ κατασκευάζειν, ὥσπερ ἐγὼ ἣν ἐφίλουν μάλιστ' ἀνθρώπων. ὥστε τῷ ἀπόλλωνι, ἀλλά μοι δοκῶ χαριστήρια ὀφειλήσειν. ἀκούσας δὲ ὁ κῦρος τοὺς λόγους αὐτοῦ, ἐθαύμασε μὲν τὴν εὐθυμίαν. ἦγε δὲ λοιπόν, ὅποι καὶ αὐτὸς πορεύοιτο, εἴτ' ἄρα καὶ χρήσιμόν τι νομίζων αὐτὸν εἶναι, εἴτε καὶ ἀσφαλέστερον οὕτως ἡγούμενος. καὶ τότε μὲν οὕτως ἐκοιμήθησαν. τῇ δ' ὑστεραίᾳ καλέσας ὁ κῦρος τοὺς φίλους, καὶ τοὺς ἡγεμόνας τοῦ στρατεύματος, τοὺς μὲν αὐτῶν ἔταξε τοὺς θησαυροὺς παραλαμβάνειν, τοὺς δ' ἐκέλευσεν ὁπόσα παραδοίη κροῖσος χρήματα, πρῶτον μὲν θεοῖς ἐξελεῖν, ὁποῖα ἂν οἱ μάγοι ἐξηγῶνται· ἔπειτα τὰ ἄλλα χρήματα παραδεχομένους, ἐν ζυγάστροις στήσαντας, ἐφ' ἁμαξῶν ἐπισκευάσαι, καὶ διαλαχόντας τὰς ἁμάξας κομίζειν, ὅποιπερ ἂν αὐτοὶ πορεύωνται, ἵνα, ὅπη καιρὸς εἴη, διαλαμβάνοιεν ἕκαστοι τὰ ἄξια. οἱ μὲν δὴ ταῦτ' ἐποίουν. ὁ δὲ κῦρος καλέσας τινὰς τῶν παρόντων ὑπηρετῶν, εἴπατέ μοι, ἔφη, ἑώρακέ τις ὑμῶν ἀβραδάτην; θαυμάζω γάρ, ἔφη, ὅτι πρόσθεν θαμίζων ἐφ' ὑμᾶς, νῦν οὐδαμοῦ φαίνεται. τῶν οὖν ὑπηρετῶν τις ἀπεκρίνατο ὅτι, ὦ δέσποτα, οὐ ζῇ, ἀλλ' ἐν τῇ μάχῃ ἀπέθανεν, ἐμβαλὼν τὸ ἅρμα εἰς τοὺς αἰγυπτίους. οἱ δ' ἄλλοι πλὴν τῶν ἑταίρων αὐτοῦ ἐξέκλιναν, ὥς φασιν, ἐπεὶ τὸ στῖφος εἶδον τὸ τῶν αἰγυπτίων. καὶ νῦν γε, ἔφη, λέγεται αὐτοῦ ἡ γυνὴ ἀνελομένη τὸν νεκρόν, καὶ ἐνθεμένη εἰς τὴν ἁρμάμαξαν, ἐν ᾗπερ αὐτὴ ὠχεῖτο, προσκεκομικέναι αὐτὸν ἐνθάδε που πρὸς τὸν πακτωλὸν ποταμόν. καὶ τοὺς μὲν εὐνούχους καὶ τοὺς θεράποντας αὐτοῦ ὀρύττειν φασὶν ἐπὶ λόφου τινὸς θήκην τῷ τελευτήσαντι. τὴν δὲ γυναῖκα λέγουσιν ὡς κάθηται χαμαί, κεκοσμηκυῖα οἷς εἶχε τὸν ἄνδρα, τὴν κεφαλὴν αὐτοῦ ἔχουσα ἐπὶ τοῖς γόνασι. ταῦτα ἀκούσας ὁ κῦρος, ἐπαίσατο ἄρα τὸν μηρόν. καὶ εὐθὺς ἀναπηδήσας ἐπὶ τὸν ἵππον, λαβὼν χιλίους ἱππέας, ἤλαυνεν ἐπὶ τὸ πάθος. γαδάταν δὲ καὶ γωβρύαν ἐκέλευσεν ὅτι δύναιντο, λαβόντας καλὸν κόσμημα, ἀνδρὶ φίλῳ καὶ ἀγαθῷ τετελευτηκότι, μεταδιώκειν. καὶ ὅστις εἶχε τὰς ἑπομένας ἀγέλας, καὶ βοῦς, καὶ ἵππους, εἶπε τούτῳ καὶ ἄλλα πρόβατα πολλὰ ἐλαύνειν, ὅποι ἂν αὐτὸν πυνθάνηται ὄντα, ὡς ἐπισφαγείη τῷ ἀβραδάτῃ. ἐπεὶ δὲ εἶδε τὴν γυναῖκα χαμαὶ καθημένην, καὶ τὸν νεκρὸν κείμενον, ἐδάκρυσέ

ἐδάκρυσέ τε ἐπὶ τῷ πάθει, καὶ εἶπε· φεῦ ὦ ἀγαθὴ καὶ πι-
στὴ ψυχή. οἴχῃ δὴ ἀπολιπὼν ἡμᾶς; καὶ ἅμα ἐδεξιοῦτο αὐ-
τόν. καὶ ἡ χεὶρ τοῦ νεκροῦ ἐπηκολούθησεν. ἀπεκέκοπτο γὰρ κο-
πίδι ὑπὸ τῶν αἰγυπτίων. ὁ δὲ ἰδὼν, πολὺ ἔτι μᾶλλον ἤλ-
γησε. καὶ ἡ γυνὴ δὲ ἀνωδύρατο, καὶ δεξαμένη δὴ παρὰ τοῦ
κύρου, ἐφίλησέ τε τὴν χεῖρα, καὶ πάλιν ὡς οἷόν τ' ἦν, προσ-
ήρμοσε καὶ εἶπε· καὶ τἆλλα τοι ὦ κῦρε οὕτως ἔχει. ἀλλὰ τί δεῖ
σε ὁρᾶν; καὶ ταῦτα, ἔφη, ὅτι δι' ἐμὲ οὐχ ἥκιστα ἔπαθεν. ἴσως
δὲ καὶ διὰ σὲ ὦ κῦρε οὐδὲν ἧττον. ἐγώ τε γὰρ ἡ μωρὰ πολλὰ δι-
εκελευόμην αὐτῷ, οὕτω ποιεῖν, ὅπως σοι φίλος ἄξιος λόγου
φανείη. αὐτός τε οἶδ' ὅτι οὗτος οὐ τοῦτο ἐνενόει, ὅ,τι ποιήσοι-
το, ἀλλὰ τί ἄν σοι ποιήσας χαρίσαιτο. καὶ γὰρ οὖν, ἔφη, αὐτὸς
ἀμέμπτως τετελεύτηκεν, ἐγὼ δ' ἡ παρακελευομένη, ζῶ-
σα παρακάθημαι. καὶ ὁ κῦρος χρόνον μέν τινα σιωπῇ κα-
τεδάκρυσεν. ἔπειτα δὲ ἐφθέγξατο· ἀλλ' οὗτος μὲν δὴ,
ὦ γύναι, ἔχει τὸ κάλλιστον τέλος. νικῶν γὰρ τετελεύτη-
κε. σὺ δὲ λαβοῦσα τοῖσδε, ἐπικόσμει αὐτὸν τοῖς παρ' ἐμοῦ.
παρῆν δὲ γωβρύας καὶ ὁ γαδάτας πολὺν καὶ καλὸν κόσ-
μον φέροντες. ἔπειτα δ', ἔφη, ἴσθι ὅτι οὐδὲ τὰ ἄλλα ἄτι-
μος ἔσται, ἀλλὰ καὶ τὸ μνῆμα πολλοὶ χώσουσιν ἀξίως ἡ-
μῶν. καὶ ἐπισφαγήσεται αὐτῷ, ὅσα εἰκὸς ἀνδρὶ ἀγαθῷ. καὶ
σὺ δὲ, ἔφη, οὐκ ἔρημος ἔσῃ. ἀλλ' ἐγώ σε καὶ σωφροσύνης
ἕνεκα, καὶ πάσης ἀρετῆς καὶ τἆλλα τιμήσω καὶ συστήσω
ὅστις ἀποκομιεῖ σε, ὅποι ἂν αὐτὴ ἐθέλῃς. μόνον, ἔφη, δήλω-
σον, πρὸς ὅντινα χρῄζεις κομισθῆναι. καὶ ἡ πάνθεια εἶπεν·
ἀλλὰ θάρρει, ἔφη, ὦ κῦρε. οὐ μή σε κρύψω, πρὸς ὅντινα
βούλομαι ἀφικέσθαι. ὁ μὲν δὴ ταῦτα εἰπὼν, ἀπῄει, κα-
τοικτείρων τήν τε γυναῖκα οἵου ἀνδρὸς στεροῖτο, καὶ τὸν ἄν-
δρα οἵαν γυναῖκα καταλιπὼν, οὐκέτ' ὄψοιτο. ἡ δὲ γυνὴ
τοὺς μὲν εὐνούχους ἐκέλευσεν ἀποστῆναι, ἕως ἄν, ἔφη, τόν-
δε ἐγὼ ὀδύρωμαι, ὡς βούλομαι. τῇ δὲ τροφῷ εἶπε παρα-
μένειν, καὶ ἐπέταξεν αὐτῇ ἐπειδὰν ἀποθάνῃ, περικαλύ-
ψαι αὐτήν τε καὶ τὸν ἄνδρα ἐν ἑνὶ ἱματίῳ. ἡ δὲ τροφὸς πολ-
λὰ ἱκετεύουσα μὴ ποιεῖν τοῦτο, ἐπεὶ οὐδὲν ἤνυε, καὶ χαλε-
παίνουσαν ἑώρα, ἐκάθητο κλαίουσα. ἡ δὲ ἀκινάκην πά-
λαι παρεσκευασμένη, σφάττει ἑαυτήν, καὶ ἐπιθεῖσα ἐπὶ
τὰ στέρνα τοῦ ἀνδρὸς τὴν ἑαυτῆς κεφαλὴν, ἀπέθνησκεν.
ἡ δὲ τροφὸς ἀνωλοφύρατό τε καὶ περιεκάλυπτεν ἄμφω,
ὥσπερ ἡ πάνθεια ἐπέστειλεν. ὁ δὲ κῦρος ὡς ᾔσθετο τὸ ἔρ-
γον τῆς γυναικὸς, ἐκπλαγεὶς, ἵεται εἴ τι δύναιτο βοηθῆ-
σαι. οἱ δὲ εὐνοῦχοι ἰδόντες τὸ γεγενημένον, τρεῖς ὄντες,
σπασάμενοι κἀκεῖνοι τοὺς ἀκινάκας, ἀποσφάττονται οὗ-
περ ἔταξεν αὐτοὺς ἑστηκότες. καὶ νῦν τὸ μνῆμα μέχρι τοῦ
νῦν τῶν εὐνούχων κεχῶσθαι λέγεται. καὶ ἐπὶ μὲν τῇ ἄνω
στήλῃ τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς, ἐπιγεγράφθαι φασὶ
τὰ ὀνόματα, σύρια γράμματα. κάτω δὲ εἶναι τρεῖς λέγου-
σι στήλας, καὶ ἐπιγεγράφθαι σκηπτούχων. ὁ δὲ κῦρος
ὡς ἐπλησίασε τῷ πάθει, ἀγασθείς τε τὴν γυναῖκα, καὶ
κατολοφυράμενος ἀπῄει. καὶ τούτων μὲν ἧ εἰκὸς ἐπε-
μελήθη ὡς τύχοιεν πάντων τῶν καλῶν, καὶ τὸ μνῆμα
ὑπερμέγεθες ἐχώσθη, ὡς φασίν. ἐκ δὲ τούτου στασιαζόν-
των οἱ κᾶρες, καὶ πολεμούντων πρὸς ἀλλήλους, ἅτε τὰς
οἰκήσεις ἐχόντων ἐν ἐχυροῖς χωρίοις, ἑκάτεροι ἐπεκα-
λοῦντο τὸν κῦρον. ὁ δὲ κῦρος αὐτὸς μένων ἐν σάρδεσι,
μηχανὰς ἐποιεῖτο καὶ κριοὺς, ὡς τῶν μὴ πειθομένων ἐρεί-
ψων τὰ τείχη. ἀδούσιον δὲ ἄνδρα πέρσην καὶ τἆλλα
οὐκ

& collachrymatus est propter dolorē, & ait: Heu ô
bona atq; fidelis anima, abis nūc nobis relictis? simul
que eius dextram capiebat, atq; manus mortui secuta
est: abscissa enim mucrone fuerat ab Aegyptijs. quod
Cyrus intuitus, multo etiā mœstior fuit. Et uxor Pan-
thea eiulabatur: exceptaq; eā à Cyro, & eā est manū
osculata, et loco suo, ut fieri potuit, rursum coaptauit,
dixitq;: Et alia quidē Cyre ita habēt, uerū quid aspice
re oportet? et hæc, inquit, scio illū propter me nō mini
ma passum esse, neq; fortasse minus propter teipsum
Cyre. Nā et ego stulta multū sum eū hortata ita face-
ret, ut tibi amicus appareret dignus memoratu: et idē
ipse certò scio, nō hoc cogitabat ut mihi obtēperaret,
sed ut aliquid faciens gratificaretur tibi. Etenim ipse
quidē probè diē obiuit, ego uerò quæ eū hortata sum,
uiua assideo. Atq; Cyrus aliquantū tēporis tacēs colla
chrymauit, dein ita est locutus: Verū hic, ô mulier, pul
cherrimū finē habet: nam diē obijt uictor. Tu uero hi
sce à me acceptis eum adornato. Aderant autem Go-
bryas Gadatasq; multū ferentes pulchrūq; ornatum.
Dein inquit: Scito ne alijs quidem in rebus istum in-
honoratū fore, sed etiam monumentū multi nostrûm
pro dignitate in tumulū erigēt, eiq; immolabūtur quæ
cūq; par est uiro fortissimo. Neq; tu etiā eris orbata.
Nam ego & te pudicitiæ et omnis uirtutis gratia, cū
alijs in rebus honorabo, tum constituā qui te portet
quocunq; ipsa uolueris. Tu solum mihi declarato ad
quem uelis portari. Et Panthea inquit: Verùm bono
animo esto Cyre, nequaquā tibi occultabo ad quē ire
uolo Et Cyrus hæc locutus, abijt cōmiseratus & mu
lierē, quo tali uiro orbata esset: & uirum quod talem
uxorē cum reliquisset, nō amplius eam esset uisurus.
At Panthea spadonib. quidem iussit secederēt, donec,
inquit, hunc ego pro uoluntate eiuler. Nutrici autē di
xit ut expectaret, eiq; iussit ut cum mortua esset, et se
se & uirum in uno uelaret uestimēto. At nutrix cum
multū eam supplex precata esset ne hoc faceret, post-
eaquā nihil perficeret, uideretq; eam grauiter ferre &
permoleste, flens sedit. At Panthea acinace, quem gla
diū diu parauerat, seipsam iugulauit: & imposito suo
capite super uiri pectore, mortua est. At nutrix & uo
ciferabatur, & uelauit ambos, quemadmodum Pan-
thea iusserat. At Cyrus ut sensit mulieris opus, exter-
ritus ad eam it, si quid auxilij posset afferre. Sed spa-
dones quod factū erat intuiti, tres ut erant, ipsi quoq;
districtis acinacib. ibi se iugularūt, stantes ubi eos ius-
serat. Et hac tēpestate hucusq; monumentū spadonum
tumulatū dicitur: et in superiore colūna uiri uxorisq;
nomina inscripta esse dicūt Syris literis. Deorsum tris
esse dicūt columnas, easq; sceptriferorū inscriptionem
habere. At Cyrus ut ad eam cladem appropinquauit,
& admiratus mulierem, & questus abijt. Et horū qui
dem pro dignitate diligentiā habuit, ut consequerētur
honesta omnia, & monumentū magnum surrexit in
tumulū ut perhibent. Exhinc cum seditiones inter Ca
ras ortæ essent, & hi inuicē bellum facerent, ut hi qui
habitarent in munitissimis castellis, utriq; Cyrum im-
plorarunt. At Cyrus Sardibus ipse manens, machinas
fecit & arietes, ut eorum muros solo æquaret qui pa
rēre nollent. Cadusium uirū Persen & alijs in rebus

neq;

neque insipientem, neque imbellem, præterea admodum gratiosum, dato ei exercitu mittit in Cariam, quo cum & Cilices & Cyprij admodum impigrè in expeditionem profecti sunt. Quapropter haud misit unquam Persen satrapen, neque Cilicum, neque Cypriorum, sed satis erant ei semper indigenæ reges. Tributum quidem capiebat, & expeditiones cum opus esset his iubebat. Cadusius autem acto agmine uenit in Cariam, & ab utrisque Caribus ad eum affuere, qui dicerent se paratos esse, qui eum admitterent in oppida, in detrimentum contrariæ factionis. At Cadusius ad utrosque hæc faciebat, iustioráque aiebat hos dicere, cum utriscunque loqueretur, dicebátque oportere aduersarios latere quòd ipsi sui amici essent, ita enim fore ut magis imparatos adoriretur aduersarios, rogabátque ut fidem darent. Et Cares quidem iurati sunt, et sine dolo se eos recipere in castella, & ad Cyri Persarúmque utilitatem. Ipse quoque iuratus est sine dolo in castella ire, & ob suscipientium bonum. Hæc cum ambobus fecisset, clam utrisque eadem nocte pepigit, & hac ipsa nocte in castella insiliit, & amborum munimenta cepit: simulque facto die sedens in medium cum exercitu, uocauit utrorunque tempestiuos. Ii uero intuiti sese inuicem grauiter rem tulerunt, existimantes utrique se deceptos. Et Cadusius quidem in hunc modum locutus est: Ego uobis, ô Cares, iuratus sum sine dolo ingredi in castella, & propter bonum suscipientium. Siquidem igitur perdidero uestrûm alteutros, puto ob Carum ipsorum malum ingressus esse. Sin pacem uobis fecero ac securitatem, ut utrique agrum colatis, arbitror me uobis adesse propter uestram utilitatem. Nunc decet ab hoc die & amicè inuicem uos misceri, & sine ullo metu colere agrum uestrum, daréque & accipere mutuo liberos. Quod si præter hæc quisquam uestrûm iniuriam tentet, hisce & Cyrus & nos hostes erimus. Exhinc portæ castellorum apertæ sunt, & uiæ plenæ proficiscentium inuicem: referti etiam campi cultoribus, festos dies publice agebant, pacis ac lætitiæ omnia erant plena. Per id temporis uenerunt à Cyro nuncij, rogantes si quid aut exercitus indigeret, aut machinamentorum. Cadusius uero respondit, præsenti etiam exercitu alio uti licere: simulque hæc dicens abduxit exercitum, præsidijs relictis in arcibus. At Cares precabantur eum ut maneret. Qui ubi noluit, miserunt ad Cyrum rogantes, ut Cadusium mitteret sibi satrapen. Hoc tempore Cyrus Hystaspam misit cum exercitu aduersus Phrygiam, quæ adiacet Hellesponto. Vbi uero Cadusius uenit, ei iussit exercitum traduceret quà Hystaspas processerat, quo magis parêrent Hystaspæ, si audissent alium exercitum aduentare. Igitur Græci qui ad mare incolunt, multis muneribus datis, conuenerunt intra castella barbaros non excipere, sed tributum soluere, & in expeditionem ire quo Cyrus iuberet. At Phrygum rex parabatur, ut munita castella contineret miniméque parêret, atque iussit ita. Sed ubi ab eo ductores defecerunt, ac solus relictus est, tandem in manus uenit Hystaspæ à Cyro iudicandus. Et Hystaspas relictis uali/

οὐκ ἄφρονα, οὐδ' ἀπόλεμον, καὶ πάνυ δὲ εὔχαριν, πέμπει ἐπὶ τὴν καρίαν, στράτευμα δούς. καὶ κίλικες δὲ καὶ κύπριοι, πάνυ προθύμως αὐτῷ συνεστράτευσαν. ὧν ἕνεκα οὐδ' ἔπεμψε πώποτε πέρσην σατράπην, οὔτε κιλίκων οὔτε κυπρίων, ἀλλ' ἤρκουν αὐτῷ ἀεὶ οἱ ἐπιχώριοι βασιλεύοντες. δασμὸν μέντοι ἐλάμβανε, καὶ στρατιᾶς ὁπότε δέοιτο, ἐπήγγελλεν αὐτοῖς. ὁ δὲ καδούσιος ἄγων τὸ στράτευμα, ἐπὶ τὴν καρίαν ἦλθε, καὶ ἀπ' ἀμφοτέρων τῶν καρῶν παρῆσαν πρὸς αὐτόν, ἕτοιμοι ὄντες δέχεσθαι εἰς τὰ τείχη ἐπὶ κακῷ τῶν ἀντιστασιαζόντων. ὁ δὲ καδούσιος πρὸς ἀμφοτέρους ταὐτὰ ἐποίει, δικαιότερά τε, ἔφη, λέγειν τούτους ὁποτέροις διαλέγοιτο. λαθεῖν τε, ἔφη, δεῖν τοὺς ἐναντίους φίλους σφᾶς γενομένους, ὡς δὴ οὕτω μᾶλλον ἐπιπεσὼν ἀπαρασκεύοις τοῖς ἐναντίοις, πιστὰ δ' ἠξίου γενέσθαι. καὶ τοὺς μὲν κᾶρας ὀμόσαι ἀδόλως τε δέξασθαι εἰς τὰ τείχη σφᾶς, καὶ ἐπ' ἀγαθῷ τῷ κύρου καὶ περσῶν. αὐτὸς δὲ ὀμόσαι θέλειν ἀδόλως ἰέναι εἰς τὰ τείχη, καὶ ἐπ' ἀγαθῷ τῶν δεχομένων. ταῦτα δὲ ποιήσας, ἀμφοτέροις λάθρα ἑκατέρων, νύκτα συνέθετο τὴν αὐτήν. καὶ ἐν ταύτῃ εἰσήλασεν εἰς τὰ τείχη, καὶ παρέλαβε τὰ ἐρύματα ἀμφοτέρων. ἅμα δὲ τῇ ἡμέρᾳ καθεζόμενος εἰς τὸ μέσον σὺν τῇ στρατιᾷ, ἐκάλεσεν ἑκατέρων τοὺς ἐπικαιρίους. οἱ δὲ ἰδόντες ἀλλήλους, ἠχθέσθησαν, νομίζοντες ἐξηπατῆσθαι ἀμφότεροι. ὁ μέντοι καδούσιος ἔλεξε τοιάδε· ἐγὼ ὑμῖν, ὦ ἄνδρες, ὤμοσα, ἀδόλως εἰσιέναι εἰς τὰ τείχη, καὶ ἐπ' ἀγαθῷ τῶν δεχομένων. εἴπερ οὖν ἀπολῶ ὁποτέρους ὑμῶν, νομίζω ἐπὶ κακῷ εἰσεληλυθέναι καρῶν. ἢν δὲ εἰρήνην ὑμῖν ποιήσω, καὶ ἀσφάλειαν ἐργάζεσθαι ἀμφοτέροις τὴν γῆν, νομίζω ὑμῖν ἐπ' ἀγαθῷ παρεῖναι. νῦν δὲ χρὴ ἀπὸ τῆσδε τῆς ἡμέρας ἐπιμιγνύσθαί τε ἀλλήλοις φιλικῶς, ἐργάζεσθαί τε τὴν γῆν ἀδεῶς, διδόναι τε τέκνα καὶ λαμβάνειν παρ' ἀλλήλων. ἢν δὲ παρὰ ταῦτα ἀδικεῖν τις ἐπιχειρῇ, τούτοις κῦρός τε καὶ ἡμεῖς πολέμιοι ἐσόμεθα. ἐκ τούτου πύλαι μὲν ἀνεῳγμέναι ἦσαν τῶν τειχῶν, μεσταὶ δὲ αἱ ὁδοὶ πορευομένων παρ' ἀλλήλους, μεστοὶ δὲ οἱ χῶροι ἐργαζομένων. ἑορτὰς δὲ κοινῇ ἦγον, εἰρήνης δὲ καὶ εὐφροσύνης πάντα πλέα ἦν. ἐν δὲ τούτῳ ἧκον οἱ παρὰ κύρου ἐρωτῶντες, εἴ τι στρατιᾶς προσδέοιτο ἢ μηχανημάτων. ὁ δὲ καδούσιος ἀπεκρίνατο ὅτι καὶ τῇ παρούσῃ ἔχοι ἄλλοσε χρῆσθαι στρατιᾷ, καὶ ἅμα ταῦτα λέγων, ἀπῆγε τὸ στράτευμα, φρουροὺς ἐν ταῖς ἄκραις καταλιπών. οἱ δὲ κᾶρες ἱκέτευον μένειν αὐτόν. ἐπεὶ δ' οὐκ ἤθελε, συνέπεμψαν πρὸς τὸν κῦρον, δεόμενοι πέμψαι καδούσιον σφίσι σατράπην. ὁ δὲ κῦρος ἐν τούτῳ ἀπεστάλκει ὑστάσπαν, στράτευμα ἄγοντα ἐπὶ φρυγίαν τὴν παρὰ ἑλλήσποντον. ἐπεὶ δ' ἧκεν ὁ καδούσιος, μετάγειν αὐτὸν ἐκέλευσεν, ᾗπερ ὁ ὑστάσπας προῴχετο, ὅπως μᾶλλον πείθοιντο τῷ ὑστάσπᾳ, ἀκούσαντες ἄλλο στράτευμα προσιόν. οἱ μὲν οὖν ἕλληνες οἱ ἐπὶ θαλάττῃ οἰκοῦντες, πολλὰ δῶρα δόντες διεπράξαντο, ὥστε εἰς μὲν τὰ τείχη βαρβάρους μὴ δέχεσθαι, δασμὸν δὲ ἀποφέρειν, καὶ στρατεύειν ὅποι κῦρος ἐπαγγέλλοι. ὁ δὲ τῶν φρυγῶν βασιλεὺς παρεσκευάζετο μὲν, ὡς καθέξων τὰ ἐρυμνὰ καὶ οὐ πεισόμενος, οὐ παρήγγελλεν οὕτως. ἐπεὶ δὲ ἀφίσταντο αὐτοῦ οἱ ὕπαρχοι, καὶ ἔρημος ἐγίγνετο, τελευτῶν, εἰς χεῖρας ἦλθεν ὑστάσπᾳ ἐπὶ τῇ κύρου δίκῃ. καὶ ὁ ὑστάσπας καταλιπὼν ἐν

ἐν ταῖς ἄκραις ἰσχυρὰς περσῶν φρουρὰς, ἀπῄει ἄγων σὺν τοῖς ἑαυτοῦ, καὶ φρυγῶν πολλοὺς ἱππέας καὶ πελταστάς. ὁ δὲ κῦρος ἐπέστελλε καδουσίῳ συμμίξαντα πρὸς ὑστάσπην, τοὺς μὲν ἑλομένους φρυγῶν τὰ σφέτερα, σὺν τοῖς ὅπλοις ἄγειν. τοὺς δ' ἐπιθυμήσαντας πολεμεῖν, τούτων ἀφελομένους τοὺς ἵππους καὶ τὰ ὅπλα σφενδόνας ἔχοντας πάντας κελεύειν ἕπεσθαι. οὗτοι μὲν δὴ ταῦτ' ἐποίουν. κῦρος δὲ ὡρμᾶτο ἐκ σάρδεων, φρουρὰν μὲν πεζὴν καταλιπὼν πολλὴν ἐν σάρδεσι, κροῖσον δὲ ἔχων, ἄγων δὲ πολλὰς ἁμάξας, πολλῶν καὶ παντοδαπῶν χρημάτων. ἧκε δὲ καὶ ὁ κροῖσος γεγραμμένα ἔχων ἀκριβῶς, ὅσα ἐν ἑκάστῃ ἦν τῇ ἁμάξῃ. καὶ διδοὺς τῷ κύρῳ τὰ γράμματα εἶπε· ταῦτα, ἔφη, ἔχων ὦ κῦρε, εἴσῃ τόν τέ σοι ὀρθῶς ἀποδιδόντα ἃ ἄγει, καὶ τὸν μή. καὶ ὁ κῦρος ἔλεξεν· ἀλλὰ σὺ μὲν καλῶς ποιεῖς, ὦ κροῖσε προνοῶν. ἔμοιγε μέντοι ἄξουσι τὰ χρήματα, οἵπερ καὶ ἔχειν αὐτὰ ἄξιοί εἰσιν. ὥστε ἤν τι καὶ κλέψωσι, τὰ ἑαυτῶν κλέψονται. καὶ ἅμα ταῦτα λέγων, ἔδωκε τὰ γράμματα τοῖς φίλοις καὶ τοῖς ἄρχουσιν, ὅπως εἰδεῖεν τῶν ἐπιτρόπων, ὅτε σῶα αὐτοῖς ἀποδιδοῖεν, ὅτε μή. ἦγε δὲ καὶ λυδῶν οὓς μὲν ἑώρα καλλωπιζομένους καὶ ὅπλοις καὶ ἵπποις καὶ ἅρμασι καὶ πάντα πειρωμένους ποιεῖν, ὅ,τι ᾤοντο αὐτῷ χαριεῖσθαι, τούτους μὲν σὺν τοῖς ὅπλοις· οὓς δὲ ἑώρα ἀχαρίστως ἑπομένους, τοὺς μὲν ἵππους αὐτῶν παρέδωκε πέρσαις τοῖς πρώτοις συστρατευομένοις. τὰ δὲ ὅπλα κατέκαυσε. σφενδόνας δὲ καὶ τούτους ἠνάγκασεν ἔχοντας ἕπεσθαι. καὶ πάντας δὲ τοὺς ἀόπλους τῶν ὑποχειρίων γιγνομένων, σφενδονᾶν ἠνάγκαζε μελετᾶν, νομίζων τοῦτο τὸ ὅπλον δουλικώτατον εἶναι. σὺν μὲν γὰρ ἄλλῃ δυνάμει μάλα ἔστιν ἔνθα ἰσχυρῶς ὠφελοῦσι σφενδονῆται παρόντες, αὐτοὶ δὲ καθ' ἑαυτοὺς οὐδ' ἂν οἱ πάντες σφενδονῆται μείνειαν πάνυ ὀλίγους ὁμόσε ἰόντας, σὺν ὅπλοις ἀγχεμάχοις. προϊὼν δὲ τὴν ἐπὶ βαβυλῶνος, κατεστρέψατο μὲν φρύγας τοὺς ἐπὶ τῇ μεγάλῃ φρυγίᾳ, κατεστρέψατο δὲ καππαδόκας, ὑποχειρίους δὲ ἐποιήσατο ἀραβίους. ἐξώπλισε δὲ ἀπὸ πάντων τούτων, περσῶν μὲν ἱππέας, οὐ μεῖον ἢ τετρακισμυρίους. πολλοὺς δὲ ἵππους τῶν αἰχμαλώτων καὶ πᾶσι τοῖς συμμάχοις διέδωκε, καὶ πρὸς βαβυλῶνα ἀφίκετο, παμπόλλους μὲν ἱππέας ἄγων, παμπόλλους δὲ τοξότας καὶ ἀκοντιστὰς, σφενδονήτας δὲ ἀναριθμήτους. ἐπεὶ δὲ πρὸς βαβυλῶνι ἦν ὁ κῦρος, περιέστησε μὲν πᾶν τὸ στράτευμα περὶ τὴν πόλιν. ἔπειτα αὐτὸς περιήλαυνε τὴν πόλιν, σὺν τοῖς φίλοις τε καὶ τοῖς ἐπικαιρίοις τῶν συμμάχων. ἐπεὶ δὲ κατεθεάσατο τὰ τείχη, ἀπάγειν κατεσκευάσατο τὴν στρατιὰν ἀπὸ τῆς πόλεως. ἐξελθὼν δέ τις αὐτόμολος ἔλεγεν, ὅτι ἐπιτίθεσθαι μέλλοιεν αὐτῷ ὁπότε ἀπάγοι τὸ στράτευμα. καταθεωμένοις γὰρ, ἔφη, αὐτοῖς ἀπὸ τοῦ τείχους, ἀσθενὴς ἐδόκει εἶναι ἡ φάλαγξ. καὶ οὐδέν γε θαυμαστὸν ἦν οὕτως ἔχειν. περὶ γὰρ πολὺ τεῖχος κυκλουμένους, ἀνάγκη ἦν ἐπ' ὀλίγον τὸ βάθος γενέσθαι τὴν φάλαγγα. ἀκούσας οὖν ὁ κῦρος ταῦτα, στὰς κατὰ μέσον τοῦ αὐτοῦ στρατιᾶς, σὺν τοῖς περὶ αὐτὸν, παρήγγειλεν ἀπὸ τοῦ ἄκρου ἑκατέρωθεν τοὺς ὁπλίτας ἀναπτύσσοντας τὴν φάλαγγα, ἀπιέναι παρὰ τὸ ἑστηκὸς τοῦ στρατεύματος, ἕως γένοιτο ἑκατέρωθεν τὸ ἄκρον, κατ' αὐτὸν καὶ κατὰ τὸ μέσον. οὕτως οὖν ποιούντων, οἵ τε μένοντες εὐθὺς θαῤῥαλεώτεροι

ualidis Persarum præsidijs in arcibus, abijt suos milites secum ducens, ac Phrygum multos equites scutatos. At Cyrus iussit Cadusio, qui coniunctus Hystaspæ fuerat, ut hos Phrygas qui res suas legissent, armatos ageret: qui uerò belligerare cupissent, his iuberet ut ablatis equis & armis, omnes se funditores sequerentur. Et hi quidem hæc faciebant. At Cyrus mouebat ex Sardibus, ibi relicto magno peditum præsidio, habebatque secum Crœsum, & multa agebat plaustra multarũ & omnis generis pecuniarum. Veniebat etiam Crœsus scriptas habens pecunias, quæcunque erant in singulis plaustris: scriptisque Cyro datis, Hæc, inquit, habẽs Cyre, noris & qui tibi rectè pecunias reddiderit quas agit, & qui id minus. Ad quem Cyrus respondit: Verùm tu quidẽ Crœse pulchre facis qui prouideas. Mihi sanè pecunias sunt acturi, qui etiam eas habere digni sunt: quare si uel furati quid fuerint, sua furabuntur. Quæ simul dicens, dedit ea scripta amicis ac principibus, quò scirent tutores siue saluas eis redderent pecunias, siue non. Cyrus etiam Lydos quos intueretur ornatos & armis et equis & curribus, quique eniterentur facere omnia quæ putarent ipsi gratificari, hos ducebat armatos: quos uerò intuebatur non libenter sequi eorũ equos, illis tradidit Persis qui primum una militarant. Arma uerò concremauit, & hos quoque coëgit fundas habere ac sequi, atque inermes omnis qui serui fuerant, fundam coëgit meditari, putans hoc genus armorum esse maximè seruile. Nam unà cum alijs uiribus funditores si adsunt, ualde quandoque prosunt: ipsi uerò soli, ne omnes quidem funditores expectent paucos admodum obuios factos cum armis, quibus cominus pugnatur. Cyrus autem cum uia procederet qua itur Babylona, subiugauit & Phrygas qui in magna sunt Phrygia: subiugauit etiam Cappadocas, & fecit Arabas mancipia, quorum omnium armis Persarum armauit equites non paucioris quadraginta millibus. Multos item equos captiuorum omnibus quoque socijs tribuit. Venitque ad Babylona multos equites ducens, permultosque sagittarios iaculatoresque, ac funditores innumeros. Cumque esset prope Babylona Cyrus, locauit circum urbem aciem uniuersam. Dein ipse equitauit circum urbem unà cum amicis atque tempestiuis sociorum. Sed ubi muros intuitus est, parabat ab urbe exercitum abducere, cum transfuga quis egressus ait, futurum ut hostes eum adorirentur, cum exercitum abduceret. Iis enim à muro despicientibus, phalanx, inquit, uisa est imbecilla. Et minime mirum erat ita habere. Nam cum circundarent murum, qui multus esset, necesse erat phalanga non admodum esse confertam. Hæc Cyrus ubi audiuit, stans in medium sui exercitus unà cum ijs quos circum se haberet, iussit militibus grauis armaturæ, ut ab utraque summitate duplicantes phalanga abirent præter stantem aciem, quousque summitas utrinque ad se perueniret & ad mediũ ipsum. Sic igitur his facientib. & hi qui manebant continuo redditi sunt audaciores,

res, cum duplicati essent densitate aciei, & qui abibant: eidem magis audebant. Continuò enim qui ex his manerent, fiebant aduersus hostes: cum uero proficiscentes utrinque summitates coniunxerunt, constitere ualidiores effecti, & qui abierant propter anteriores, & anteriores propter eos qui posteriores iam essent. Duplicata autem hoc pacto phalange, necesse est & primos & ultimos esse fortissimos, in medio uero ignauissimos esse positos. Ordoq; habens hoc pacto, & ad pugnandum uidebatur bene paratus esse, & ad minimè fugiendum. Equites uerò ac uelites à cornibus fiebant propius principem semper, quanto phalanx duplicata confertior fieret. Vbi uero ita callide dispositi sunt, abiere pedem referentes, donec extra missilia facti sunt quae à muro torquebantur. Dein conuersi sunt, ac primum paucis gressibus factus mutabantur ad clypeum, ac stabant ad murum respicientes: & quo longius distarent, tanto rarius mutabantur: sed ubi tuto esse in loco uisi sunt, frequentes abibant, donec ad tabernacula peruenerunt. At ubi castrametati sunt, Cyrus conuocatis tempestiuis ita loquutus est: Viri socij cucurrimus circum urbem, equidē quomodo capere quis possit muros adeò firmos altosq; pugnando, mihi uidere non uideor. Sed quò plures homines in urbe sunt, posteaquam pugnatū non exeunt, eo celerius posse fame capere illos puto. Nisi igitur aliū quenquam modum habetis quem dicatis, ita uiros obsidendos esse dico. Ad quem Chrysantas respondit: At hoc flumen nonne per medium urbem fluit, cuius latitudo est plusquàm ad duo stadia? Ita medius fidius, inquit Gobryas: & profunditas tanta, ut ne duo quidem uiri alter super alterum stantes, supra aquā eminerent. Itaq; urbs ualidior est flumine quā muris. Et Cyrus: Haec, inquit, Chrysanta missa faciamus quaecunq; uiribus nostris praestant. Dimetiri autem nos quamplurimū oportet partem cuiusq; nostrûm, atq; fossam fodere quamlatissimam profundissimamq;, quo nobis paucissimis custodibus opus sit. Sic igitur dimensis circùm murū, distans à flumine quantū magnis propugnaculis in altum sublatis satis est, fodit hinc atq; inde à muro fossam peringentem, terramq; aduersus seipsos iecit. Ac primum quidem turres aedificauit in flumine, palmis fundatas longis non minus quàm plethrū: sunt enim maiores natura quàm tantae lōgitudinis. ETENIM palmae pressae onere, sursum curuantur, quemadmodum curui asini. Has igitur supposuit huius rei gratia, ut maximè uideretur paratus ad obsidendū, quo etiā si diffugeret flumen in fossam, turris ipsas nō tolleret. Erexit etiā alias turris super terrā congestā, quo essent quāplurimae custodiae. Et hi quidē haec faciebant. Qui uero hostes erant in muro, deridebant obsidionē, ut qui res necessarias haberent plus quàm uiginti annorū. Haec Cyrus cū audisset, exercitū distribuit in partes duodecim, quo singulae partes essent custoditurae singulos anni menses. Rursusq; Babylonij his auditis, multo etiā magis haec deridebāt, animo uolutātes, si Phry-

τεροι ἐγίγνοντο, ἅτε διπλάσιον τὸ βάθος γιγνόμενοι· οἵ τ᾽ ἀπιόντες ὡσαύτως θαῤῥαλεώτεροι. εὐθὺς γὰρ οἱ μένοντες αὐτῶν, πρὸς τοῖς πολεμίοις ἐγίγνοντο. ἐπεὶ δὲ πορευόμενοι ἑκατέρωθεν συνῆψαν τὰ ἄκρα, ἔστησαν ἰσχυρότεροι γεγενημένοι. οἵ τε ἀπεληλυθότες διὰ τοὺς ἔμπροσθεν, οἵ τε ἔμπροσθεν διὰ τοὺς ὄπισθεν προσγεγενημένους. ἀναπτυχθείσης δ᾽ οὕτω τῆς φάλαγγος, ἀνάγκη τοὺς πρώτους ἀρίστους εἶναι καὶ τοὺς τελευταίους, ἐν μέσῳ δὲ τοὺς κακίστους τετάχθαι. ἡ δ᾽ οὕτως ἔχουσα τάξις, καὶ πρὸς τὸ μάχεσθαι ἐδόκει εὖ παρεσκευάσθαι, καὶ πρὸς τὸ μὴ φεύγειν. καὶ οἱ ἱππεῖς δὲ καὶ οἱ γυμνῆται οἱ ἀπὸ τῶν κεράτων, αἰεὶ ἐγγύτερον ἐγίγνοντο τοῦ ἄρχοντος, τοσούτῳ, ὅσῳ ἡ φάλαγξ βραχυτέρα ἐγίγνετο ἀναδιπλουμένη. ἐπεὶ δὲ οὕτω συνεσπειράθησαν, ἀπῄεσαν ἕως μὲν ἐξικνεῖτο τὰ βέλη ἀπὸ τοῦ τείχους, ἐπὶ πόδα. ἐπεὶ δὲ ἔξω βελῶν ἐγένοντο, στραφέντες, καὶ τὸ μὲν πρῶτον ὀλίγα βήματα προϊόντες, μετεβάλλοντο ἐπ᾽ ἀσπίδα. καὶ ἵσταντο πρὸς τὸ τεῖχος βλέποντες. ὅσῳ δὲ προσωτέρω ἐγίγνοντο, τοσῶδε μανότερον μετεβάλλοντο. ἐπεὶ δὲ ἐν τῷ ἀσφαλεῖ ἐδόκουν εἶναι, ξυνείρον ἀπιόντες, ἔστε ἐπὶ ταῖς σκηναῖς ἐγένοντο. ἐπεὶ δὲ κατεστρατοπεδεύσαντο, συνεκάλεσεν ὁ Κῦρος τοὺς ἐπικαιρίους, καὶ ἔλεξεν· ἄνδρες σύμμαχοι, τεθεάμεθα μὲν κύκλῳ τὴν πόλιν. ἐγὼ δ᾽ ὅπως μὲν ἄν τις τείχη οὕτως ἰσχυρὰ καὶ ὑψηλὰ προσμαχόμενος ἕλοι, οὐκ ἐνορᾶν μοι δοκῶ. ὅσῳ δὲ πλείονες ἄνθρωποι ἐν τῇ πόλει εἰσίν, ἐπείπερ οὐ μάχονται ἐξιόντες, τοσούτῳ ἂν θᾶττον λιμῷ αὐτοὺς ἡγοῦμαι ἁλῶναι. εἰ μή τινα οὖν ἄλλον τρόπον ἔχετε λέγειν, τούτῳ πολιορκητέους φημὶ εἶναι τοὺς ἄνδρας. καὶ ὁ Χρυσάντας εἶπεν· ὁ δὲ ποταμός, ἔφη, οὗτος οὐ διὰ μέσης τῆς πόλεως ῥεῖ, πλάτος ἔχων πλέον ἢ ἐπὶ δύο στάδια; ναὶ μὰ Δί᾽, ἔφη ὁ Γωβρύας. καὶ βάθος γε ὡς οὐδ᾽ ἂν δύο ἄνδρες ὁ ἕτερος ἐπὶ τοῦ ἑτέρου ἑστηκώς, τοῦ ὕδατος ὑπερέχοιεν. ὥστε τῷ ποταμῷ ἔτι ἰσχυροτέρα ἐστὶν ἡ πόλις ἢ τοῖς τείχεσι. καὶ ὁ Κῦρος, ταῦτα μέν, ἔφη, ὦ Χρυσάντα, ἐῶμεν, ὅσα κρείττω ἐστὶ τῆς ἡμετέρας δυνάμεως. διαμετρησαμένους δὲ χρὴ ὡς τάχιστα τὸ μέρος ἑκάστους ἡμῶν, ὀρύττειν τάφρον, ὡς πλατυτάτην καὶ βαθυτάτην, ὅπως ὅτι ἐλαχίστων ἡμῖν τῶν φυλάκων δέοι. οὕτω δὴ κύκλῳ διαμετρήσας περὶ τὸ τεῖχος, ἀπολιπὼν ὅσον τύρσεσι μεγάλαις ἀπὸ τοῦ ποταμοῦ, ὤρυσσεν ἔνθεν καὶ ἔνθεν τοῦ τείχους, τάφρον ὑπερμεγέθη, καὶ τὴν γῆν ἀνέβαλλον πρὸς ἑαυτούς. καὶ πρῶτον μέν, πύργους ἐπὶ τῷ ποταμῷ ᾠκοδόμει, φοίνιξι θεμελιώσας, οὐ μεῖον ἢ πλεθριαίοις. εἰσὶ γὰρ καὶ μείζονες ἢ τοσοῦτοι τὸ μῆκος πεφυκότες. καὶ γὰρ δὴ πιεζόμενοι οἱ φοίνικες ὑπὸ βάρους, ἄνω κυρτοῦνται, ὥσπερ οἱ ὄνοι οἱ κανθήλιοι. τούτους δ᾽ ὑπετίθει, τούτου ἕνεκα, ὅπως ὅτι μάλιστα ἐοίκοι, πολιορκήσειν παρασκευαζομένῳ, ὡς εἰ καὶ διαφύγοι ὁ ποταμὸς εἰς τὴν τάφρον, μὴ ἂν ἕλοι τοὺς πύργους. ἀνίστη δὲ καὶ ἄλλους πολλοὺς πύργους ἐπὶ τῆς ἀμβολάδος γῆς, ὅπως ὅτι πλεῖστα φυλακτήρια εἴη. οἱ μὲν δὴ ταῦτ᾽ ἐποίουν. οἱ δὲ ἐν τῷ τείχει κατεγέλων τῆς πολιορκίας, ὡς ἔχοντες τὰ ἐπιτήδεια, πλέον ἢ εἴκοσιν ἐτῶν. ἀκούσας δὲ ταῦτα ὁ Κῦρος, τὸ στράτευμα κατένειμε δώδεκα μέρη, ὡς μῆνα τοῦ ἐνιαυτοῦ ἕκαστον τὸ μέρος φυλάξειν. οἱ δ᾽ αὖ Βαβυλώνιοι ἀκούσαντες ταῦτα, πολὺ ἔτι μᾶλλον κατεγέλων, ἐννοούμενοι, εἰ σφᾶς

εἰ σφᾶς φρύγες καὶ λύκιοι καὶ ἀράβιοι καὶ καππαδόκαι φυλάξοιεν, οὓς σφίσιν ἐνόμιζον πάντας εὐμενεστέρους εἶναι ἢ πέρσαις. καὶ αἱ μὲν τάφροι ἤδη ὀρορυγμέναι ἦσαν. ὁ δὲ κῦρος, ἐπειδὴ ἑορτὴν τοιαύτην ἐν Βαβυλῶνι ἤκουσεν εἶναι, ἐν ᾗ πάντες Βαβυλώνιοι ὅλην τὴν νύκτα πίνουσι καὶ κωμάζουσιν. ἐν ταύτῃ ἐπειδὴ τάχιστα συνεσκότασε, λαβὼν πολλοὺς ἀνθρώπους, ἀνεστόμωσε τὰς τάφρους τὰς οὔσας πρὸς τὸν ποταμόν. ὡς δὲ τοῦτο ἐγένετο τὸ ὕδωρ κατὰ τὰς τάφρους ἐχώρει ἐν τῇ νυκτί. ἡ δὲ διὰ τῆς πόλεως τοῦ ποταμοῦ ὁδὸς, πορεύσιμος ἀνθρώποις ἐγένετο. ὡς δὲ τὸ τοῦ ποταμοῦ οὕτως ἐπορσύνετο, παρηγγύησεν ὁ κῦρος, πέρσαις χιλιάρχοις καὶ πεζῶν καὶ ἱππέων, εἰς δύο ἄγοντας τὴν χιλιοστὺν, παρεῖναι πρὸς αὐτόν. τοὺς δ' ἄλλους συμμάχους κατ' οὐρὰν τούτων ἕπεσθαι, ᾗπερ πρόσθεν τεταγμένους. οἱ μὲν δὴ παρῆσαν. ὁ δὲ καταβιβάσας εἰς τὸ ξηρὸν τοῦ ποταμοῦ τοὺς ὑπηρέτας, καὶ πεζοὺς καὶ ἱππέας, ἐκέλευσε σκέψασθαι, εἰ πορεύσιμον εἴη τὸ ἔδαφος τοῦ ποταμοῦ. ἐπεὶ δὲ ἀπήγγειλαν, ὅτι πορεύσιμον εἴη, ἐνταῦθα δὴ συγκαλέσας τοὺς ἡγεμόνας τῶν πεζῶν καὶ ἱππέων, ἔλεξε τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΚΥΡΟΥ.

Ἄνδρες φίλοι, ὁ μὲν ποταμὸς ἡμῖν παρακεχώρηκε τῆς εἰς τὴν πόλιν ὁδοῦ, ἡμεῖς δὲ θαρροῦντες εἰσίωμεν, μηδὲν φοβούμενοι εἴσω ἐνθυμούμενοι ὅτι οὗτοι ἐφ' οὓς νῦν πορευσόμεθα, ἐκεῖνοί εἰσιν οὓς ἡμεῖς καὶ συμμάχους πρὸς ἑαυτοῖς ἔχοντας, καὶ ἐγρηγορότας ἅπαντας, καὶ νήφοντας, καὶ ἐξωπλισμένους, καὶ συντεταγμένους ἐνικῶμεν. νῦν δ' ἐπ' αὐτοὺς ἴομεν, ἐν ᾧ πολλοὶ μὲν αὐτῶν καθεύδουσι. πολλοὶ δ' αὐτῶν μεθύουσι. πάντες δὲ ἀσύντακτοί εἰσιν. ὅταν δὲ καὶ αἴσθωνται ἡμᾶς ἔνδον ὄντας, πολὺ ἂν ἔτι μᾶλλον ἢ νῦν ἀχρεῖοι ἔσονται ὑπὸ τοῦ ἐκπεπλῆχθαι. εἰ δέ τις τοῦτο ἐννοεῖται, ὃ δὴ λέγεται φοβερὸν εἶναι τοῖς εἰς πόλιν εἰσιοῦσι, μὴ ἐπὶ τὰ τέγη ἀναβάντες, βάλωσιν ἔνθεν καὶ ἔνθεν, τοῦτο μάλιστα θαρρεῖτε. ἢν γὰρ ἀναβῶσί τινες ἐπὶ τὰς οἰκίας, ἔχομεν σύμμαχον θεὸν ἥφαιστον. εὔφλεκτα δὲ τὰ πρόθυρα αὐτῶν. φοίνικος μὲν αἱ θύραι πεποιημέναι, ἀσφάλτῳ δὲ ὑπεκκαύματι κεχρισμέναι. ἡμεῖς δ' αὖ πολλὴν δᾷδα ἔχομεν, ἣ ταχὺ πολὺ πῦρ τέξεται. πολλὴν δὲ πίτταν καὶ στυππεῖον, ἃ ταχὺ παρακαλεῖ πολλὴν φλόγα. ὥστε ἀνάγκην εἶναι, ἢ φεύγειν ταχὺ τοὺς ἀπὸ τῶν οἰκιῶν, ἢ ταχὺ κατακεκαῦσθαι. ἀλλ' ἄγετε, λαμβάνετε ὅπλα. ἡγήσομαι δὲ ἐγὼ σὺν τοῖς θεοῖς. ὑμεῖς δ', ἔφη, ὦ γαδάτα καὶ γωβρύα, δείκνυτε τὰς ὁδούς. ἴστε γάρ. ὅταν δὲ ἐντὸς γενώμεθα, τὴν ταχίστην ἄγετε ἐπὶ τὰ βασίλεια. καὶ μὴν ἔφασαν οἱ ἀμφὶ τὸν γωβρύαν, οὐδὲν ἂν εἴη θαυμαστόν. καὶ γὰρ ἄκλειστοι αἱ πύλαι αἱ τοῦ βασιλέως, ὡς ἐν κώμῳ, δοκεῖ γὰρ ἡ πόλις πᾶσα εἶναι τῇδε τῇ νυκτί. φυλακῇ μέντοι πρὸ τῶν θυρῶν ἐντευξόμεθα. ἔστι γὰρ αἰεὶ τεταγμένη. οὐκ ἂν ἀμελεῖν δέοι, ἔφη ὁ κῦρος, ἀλλ' ἰέναι, ἵνα ἀπαρασκεύους ὡς μάλιστα λάβωμεν τοὺς ἄνδρας. ἐπεὶ δὲ ταῦτα ἐρρήθη, ἐπορεύοντο. τῶν δὲ ἀπαντώντων, οἱ μὲν ἀπέθνησκον παιόμενοι· οἱ δ' ἔφευγον πάλιν εἴσω· οἱ δ' ἐβόων· οἱ δ' ἀμφὶ τὸν γωβρύαν συνεβόων αὐτοῖς, ὡς κωμασταὶ ὄντες καὶ αὐτοί. καὶ ἰόντες ᾗ ἐδύναντο ὡς τάχιστα, ἐπὶ τοῖς βασιλείοις ἐγένοντο. καὶ οἱ μὲν σὺν τῷ γωβρύᾳ καὶ γαδάτᾳ τεταγμένοι, κεκλεισμένας εὑρίσκουσι τὰς πύλας

τοῦ

si Phryges & Lycij & Arabes & Cappadoces se custodierint, quos omnis existimabant mitiore esse in se animo quam in Persas. Ac iam fossæ effectæ erant. At Cyrus quoniam audisset euiusmodi festum esse Babylone, in quo Babylonij omnes uniuersam noctem bibunt, & lasciuis carminibus, saltationibusq; indulgent: cum primum hac nocte tenebræ factæ sunt, acceptis multis hominibus aperuit fossas quæ tendebant ad flumen. Quod ubi factum est, aqua in fossas nocte concessit: alueus autem fluminis qui tendebat per urbem, redditus est hominibus permeabilis. Vt autem quod ad flumen pertinet ita paratum est, iussit Cyrus Persis militum tribunis & peditum & equitum, ut ad se adessent agentes ordinem millenarium bini, atq; alij socij ad horum caudam sequerentur, quemadmodum antea instructi. quare hi aderant. At Cyrus cum imposuisset fluminis aridum ministros et pedites & equites, iussit explorarent an solum fluminis incessum pateretur. Quod ubi pati posse nunciarunt, hic peditum equitumq; ducibus conuocatis, talia uerba fecit:

ORATIO CYRI.

Viri amicissimi, posteaquam flumen nobis in urbem uiam cōcedit, iam intro audenter ingrediamur, nihil prorsus metuentes: animo sane repetentes aduersus quos nunc pergimus, illos esse quos ipsi cum & socios auxilio haberent, & uigilantis omnis & sobrios & armatos instructosq; uicimus. Nunc autem eamus aduersus eos, quo tempore multi horum dormiunt, multi ebrij sunt, omnes etiam imparati. Cum uerò etiam senserint nos intus esse, multo quoque magis quàm nunc futuri sunt inutiles, quoniam erunt exanimati. Quod si quis hoc cogitat, quod iam dicitur formidabile esse, in urbem intrantes, ne in tecta illi ascendentes hinc indeq; feriant, hoc maxime audete. Si qui enim ascenderint super ædes, socium habemus deum Vulcanum. Eorum autem uestibula sunt crematu facillima: ualuæ enim ex palma fabricatæ sunt, bitumineq; unctæ subadusto. Nos aūt rursus facem habemus, quæ celeriter admodū ignem pariet: multum etiam picis ac stuppæ, quæ multam flammam inuitant. Itaq; necesse fuerit, ut aut quamprimum fugiant ab ædibus, aut quamprimū comburātur. Sed agite, arma capite, ego uobis unà cum dijs immortalibus sum dux futurus. Vos autem Gadata Gobryasq; uias ostendite: nostis enim. Cum uero intus fuerimus, quamcelerrime ducite ad ædis regias. Atqui, dixerunt qui erant cum Gobrya, nihil mirādum fuerit. Nam ipsius regiæ portæ ne clausæ quidè sunt, ut in ebrietatis intemperantiæq; festo: ita enim uniuersa uidetur urbs esse hac nocte. Incidemus autem in uigiles ante fores: sunt enim semper cōstituti. Non negligendum enim est, inquit Cyrus, sed eundum quo imparatos quammaximè eos uiros offendamus. Vbi hæc dicta sunt, pergebant. Occurrētes uero, alij percussi interibāt, alij rursus intro fugiebant, alij clamabant. Qui uero erant cum Gobrya, una cum his clamabant tanquam etiam ipsi ebrij essent & incontinētes: euntesq; q̄ poterant celerrime, uenerunt ad regias ædis. Et qui erant cum Gobrya Gadataq; cōstituti,

regiæ

regiæ portas clausas inueniunt. Qui uero aduersus uigiles fuerant constituti, in eos irruunt bibentes ad multam lucem, eisq; continuo hostiliter usi sunt. Vbi autem clamor & strepitus factus est, & qui intus erant tumultum sensissent, rege iubente ut quid res ea esset specularentur, excurrunt quidã, portasq; aperuẽt. Qui uero erant cum Gadata ut uiderũt portas patefactas, in eas irruunt: illosq; sequentes ac percutientes qui refugiebant intro, ad regem ueniunt, quem iam stantẽ districto acinace quem habebat inueniũt. Et hunc sane milites multi qui essent cum Gadata et Gobrya è medio sustulerũt: his etiã interfectis qui cum eo erant, cum alius aliquid obijceret, alius fugeret, alius repugnaret cui posset. At Cyrus dimisit equitũ ordines per uias, iussitq; quos offenderent extra eos interimerent. Qui autẽ Syrice loqui scirent, ut intus domi manerent, omnibus proclamarent. Quod si quis extra caperetur, plecteretur morte. Et hi quidem hæc faciebãt. At Gadatas & Gobryas uenerunt, deosq; primùm adorarũt quod de rege nefario cepissent ultionẽ: dein Cyri manus ac pedes exosculabantur, multùm simul præ gaudio lachrymantes atq; gestientes. Vbi autem dies factus est, & hi qui arces habebãt senserunt & urbem captã esse & regem mortuum, arces etiã tradiderunt. At Cyrus arcis quidẽ continuo accipiebat, in easq; & præsidij præfectos, & præsidium iterum mittebat. Mortuos aũt sepelire necessarijs permisit, iussitq; præconibus, proclamarent ut Babylonij omnes arma deferrẽt. Vbi uero in ædibus arma offenderentur, iussit ut omnes intus interimerentur. Illi igitur ea detulerunt. Quæ Cyrus in arcis deposuit, quo parata essent si quid unquã illis utendum esset. Quæ ubi gesta sunt, primũ Magos uocauit, ac iussit ut ex urbe bello captæ spoliorũ primitias dijs immortalibus & delubra eligerent. Exhinc & ædes distribuebat, et principia, his quos existimabat participes esse rerũ gestarũ. Et ita distribuebat, ut optime ab optimatibus est decretum. Quod si quis iussus esset minus habere, iubebat is ad se iret, ac doceret. Babylonijs autem pronunciauit ut terrã colerent, tributaq; deferrent, atq; his obsequerentur quibus singuli ipsorũ dati essent: quibus etiam iussit, ut Persas & eos quibus cum res cõmunis esset, et socios quicũq; apud se manere decreuissent, ut heros quibus obtigissent alloquerẽtur atq; salutarent. Exhinc cupiẽs Cyrus iam parari etiam ipse ut regẽ decere existimabat, ratus est hoc facere oportere cum amicorũ sentẽtia, quo minima cum inuidia et rarus appareret et uenerabilis. Quam quidẽ rem ita molitus est. Vt primũ dies illuxit, quo in loco putaret esse aptissimũ, admittebat qui loqui aliquid uellet: quem dato responso dimittebat. Quod homines ut nouerũt, uenere multitudine infinita, urgentiumq; adire et conatus multus erat & pugna: ministri autem q̃ poterant habito discrimine, eis aditum permittebãt. Cumq; aliquis ex amicis uideretur turbã urgere, Cyrus protensa manu eos accersebat, ac dicebat ita: Viri amici, expectate donec uulgus extrudamus, dein per quietẽ cõgrediemur. Et amici quidẽ expectabãt: at uulgus magis magisq; affluebat, donec prius

uespe-

τοῦ βασιλείου. οἱ δὲ ὑπὲρ τοὺς φύλακας τεταγμένοι ἐπαίουσιν αὐτοῖς, πίνουσι πρὸς φῶς πολύ. καὶ εὐθὺς ὡς πολεμίοις ἐχρῶντο αὐτοῖς. ὡς δὲ κραυγὴ καὶ κτύπος ἐγίγνετο, αἰσθόμενοι οἱ ἔνδον τοῦ θορύβου, κελεύσαντος τοῦ βασιλέως σκέψασθαι, τί εἴη τὸ πρᾶγμα, ἐκθέουσί τινες ἀνοίξαντες τὰς πύλας. οἱ δ᾽ ἀμφὶ τὸν Γαδάταν, ὡς εἶδον τὰς πύλας χαλώσας, εἰσπίπτουσι. καὶ τοῖς πάλιν φεύγουσιν εἴσω ἑπόμενοι καὶ παίοντες, ἀφικνοῦνται πρὸς τὸν βασιλέα, καὶ ἤδη ἑστηκότα αὐτὸν, καὶ ἐσπασμένον ὃν εἶχεν ἀκινάκην εὑρίσκουσι. καὶ τοῦτον μὲν οἱ σὺν Γαδάτᾳ καὶ Γωβρύᾳ πολλοὶ ἐχειροῦντο. καὶ οἱ σὺν αὐτῷ δὲ ἀπέθνησκον. ὁ μὲν προβαλλόμενός τι, ὁ δὲ φεύγων, ὁ δέ γε καὶ ἀμυνόμενος ὅτῳ ἐδύνατο. ὁ δὲ Κῦρος διέπεμπε τὰς τῶν ἱππέων τάξεις κατὰ τὰς ὁδούς. καὶ προεῖπεν, οὓς μὲν ἔξω λαμβάνοιεν, κατακαίνειν. τοὺς δ᾽ ἐν ταῖς οἰκίαις κηρύττειν τοὺς Συριστὶ ἐπισταμένους, ἔνδον μένειν. εἰ δέ τις ἔξω ληφθείη, ὅτι θανατώσοιτο. οἱ μὲν δὴ ταῦτα ἐποίουν. Γαδάτας δὲ καὶ Γωβρύας ἧκον. καὶ θεοὺς μὲν πρῶτον προσεκύνουν, ὅτι τετιμωρημένοι ἦσαν τὸν ἀνόσιον βασιλέα. ἔπειτα δὲ Κύρου κατεφίλουν καὶ χεῖρας καὶ πόδας, πολλὰ δακρύοντες ἅμα χαρᾷ καὶ εὐφραινόμενοι. ἐπεὶ δὲ ἡμέρα ἐγένετο, καὶ ᾔσθοντο οἱ τὰς ἄκρας ἔχοντες, ἑαλωκυῖάν τε τὴν πόλιν, καὶ τὸν βασιλέα τεθνηκότα, παραδιδόασι καὶ τὰς ἄκρας. ὁ δὲ Κῦρος τὰς μὲν ἄκρας εὐθὺς παρελάμβανε. καὶ φρουράρχους τε καὶ φρουροὺς εἰς ταύτας ἀνέπεμπε. τοὺς δὲ τεθνηκότας θάπτειν ἀνῆκε τοῖς προσήκουσι. τοὺς δὲ κήρυκας κηρύττειν ἐκέλευσεν ἀποφέρειν πάντας τὰ ὅπλα Βαβυλωνίους. ὅπου δὲ ληφθείσοιτο ὅπλα ἐν οἰκίᾳ, προηγόρευεν, ὡς πάντες οἱ ἔνδον ἀποθανοῦνται. οἱ μὲν δὴ ἀπέφερον. ὁ δὲ Κῦρος ταῦτα μὲν εἰς τὰς ἄκρας κατέθετο, ὡς εἴη ἕτοιμα, εἴ τί ποτε δέοι χρῆσθαι. ἐπεὶ δὲ ταῦτ᾽ ἐπέπρακτο, πρῶτον μὲν τοὺς μάγους καλέσας, ὡς δοριαλώτου τῆς πόλεως οὔσης, ἀκροθίνια τοῖς θεοῖς καὶ τεμένη ἐκέλευσεν ἐξελεῖν. ἐκ τούτου δὲ καὶ οἰκίας διεδίδου καὶ ἀρχεῖα τούτοις, οὕσπερ κοινωνοὺς ἐνόμιζε τῶν καταπεπραγμένων, οὕτω διένεμεν ὥσπερ ἐδέδοκτο τὰ κράτιστα τοῖς ἀρίστοις. εἰ δέ τις οἴοιτο μεῖον ἔχειν, διδάσκειν προσιόντα ἐκέλευε. προεῖπε δὲ Βαβυλωνίοις μὲν τὴν γῆν ἐργάζεσθαι, καὶ τοὺς δασμοὺς ἀποφέρειν, καὶ θεραπεύειν τούτοις, οἷς ἕκαστοι αὐτῶν ἐδόθησαν. Πέρσας δὲ καὶ τοὺς κοινωνοῦντας, καὶ τῶν συμμάχων, ὅσοι μένειν ᾑροῦντο παρ᾽ αὐτῷ, ὡς δεσπότας ὧν ἔλαβον προηγόρευε διαλέγεσθαι. ἐκ δὲ τούτου ἐπεθύμει ὁ Κῦρος ἤδη κατασκευάσασθαι καὶ αὐτὸς ὡς βασιλεῖ ἡγεῖτο πρέπειν, ἔδοξεν αὐτῷ τοῦτο σὺν τῇ τῶν φίλων γνώμῃ ποιῆσαι, ὡς ὅτι ἥκιστα ἂν ἐπιφθόνως, σπάνιός τε καὶ σεμνὸς φανείη. ὧδε οὖν ἐμηχανᾶτο τοῦτο. ἅμα τῇ ἡμέρᾳ στὰς ὅπου ἐδόκει ἐπιτήδειον εἶναι, προσεδέχετο τὸν βουλόμενον λέγειν τι, καὶ ἀποκρινόμενος ἀπέπεμπεν. οἱ δ᾽ ἄνθρωποι ὡς ἔγνωσαν ὅτι προσδέχοιτο, ἧκον ἀμήχανοι τὸ πλῆθος. καὶ ὠθουμένων περὶ τοῦ προσελθεῖν, μηχανή τε πολλὴ καὶ μάχη ἦν. οἱ δὲ ὑπηρέται, ὡς ἠδύναντο, διακρίναντες προσίεσαν. ὁπότε δέ τις καὶ τῶν φίλων διωσάμενος τὸν ὄχλον προφανείη, προτείνων ὁ Κῦρος τὴν χεῖρα, προσήγετο αὐτοὺς, καὶ οὕτως ἔλεγεν· ἄνδρες φίλοι, περιμένετε ὡς τὸν ὄχλον διωσώμεθα. ἔπειτα δὲ καθ᾽ ἡσυχίαν συγγενησόμεθα. οἱ μὲν δὴ φίλοι περιέμενον. ὁ δ᾽ ὄχλος πλείων καὶ πλείων ἐπέῤῥει, ἕως ἔφθασε

ἑσπέ-

σαν ἑσπέρα τε γενομένη, πρὶν τοῖς φίλοις αὐτὸν σχολάσαι καὶ συγγενέσθαι. οὕτω δὴ ὁ κῦρος λέγει ἄγε, ἔφη, ὦ ἄνδρες, νῦν μὲν καιρὸς διαλυθῆναι, αὔριον δὲ πρῲ ἔλθετε· καὶ γὰρ ἐγὼ βούλομαι ὑμῖν τι διαλεχθῆναι. ἀκούσαντες δὲ ταῦτα οἱ φίλοι, ἄσμενοι ᾤχοντο ἀποθέοντες, δίκην δεδωκότες ἀπὸ πάντων τῶν ἀναγκαίων. καὶ τότε μὲν οὕτως ἐκοιμήθησαν. τῇ δ᾽ ὑστεραίᾳ ὁ μὲν κῦρος παρῆν εἰς τὸ αὐτὸ χωρίον, ἀνθρώπων δὲ πολὺ πλέον πλῆθος περιεστήκει, βουλομένων προσιέναι, καὶ πολὺ πρότερον, ἢ οἱ φίλοι παρῆσαν. ὁ οὖν κῦρος περιστησάμενος τῶν ξυστοφόρων περσῶν κύκλον μέγαν, εἶπε μηδένα παριέναι, ἢ τοὺς φίλους τε καὶ ἄρχοντας τῶν περσῶν τε καὶ συμμάχων. ἐπεὶ δὲ συνῆλθον αὐτοί, ἔλεξεν ὁ κῦρος αὐτοῖς τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΚΥΡΟΥ.

Ἄνδρες φίλοι καὶ σύμμαχοι, τοῖς μὲν θεοῖς οὐδὲν ἂν ἔχοιμεν μέμψασθαι, τὸ μὴ οὐχὶ μέχρι τοῦδε, πάντα ὅσα ηὐχόμεθα καταπεπραχέναι. εἰ μέντοι τοιοῦτον ἔσται τὸ μεγάλα πράσσειν, ὥστε μὴ οἷόν τε εἶναι, μήτε ἀμφ᾽ αὐτὸν σχολὴν ἔχειν, μήτε μετὰ τῶν φίλων εὐφρανθῆναι, ἐγὼ μὲν χαίρειν ταύτην τὴν εὐδαιμονίαν κελεύω. ἐνενοήσατε γὰρ, ἔφη, καὶ χθὲς δήπου, ὅτι ἕωθεν ἀρξάμενοι ἀκούειν τῶν προσιόντων, οὐκ ἐλήξαμεν πρόσθεν ἑσπέρας. καὶ νῦν ὁρᾶτε τούτους καὶ ἄλλους, πλείονας τῶν χθὲς παρόντων, ὡς πράγματα ἡμῖν παρέξοντας. εἰ οὖν τις τούτοις ὑφέξει ἑαυτὸν, λογίζομαι, μικρὸν μέν τι ὑμῖν μέρος ἐμοῦ μετεσόμενον, μικρὸν δέ τι ἐμοὶ ὑμῶν. ἐμαυτοῦ μέντοι σαφῶς οἶδ᾽ ὅτι οὐδ᾽ ὁτιοῦν μοι μετέσται. ἔτι δ᾽, ἔφη, καὶ ἄλλο ὁρῶ γελοῖον πρᾶγμα. ἐγὼ γὰρ δήπου ὑμῖν μὲν, ὥσπερ εἰκὸς, διάκειμαι. τούτων δὲ τῶν περιεστηκότων ἤ τινα, ἢ οὐδένα οἶδα. καὶ οὗτοι πάντες οὕτω παρεσκευασμένοι εἰσὶν, ὡς ἢν νικῶσιν ὑμᾶς ὠθοῦντες, πρότερον ἃ βούλονται ὑμῶν παρ᾽ ἐμοῦ διαπραξάμενοι. ἐγὼ δὲ ἠξίουν τούτους, εἴ τις τι ἐμοῦ δέοιτο, θεραπεύειν ὑμᾶς τοὺς ἐμοὺς φίλους δεόμενος προσαγωγῆς. ἴσως ἂν οὖν εἴποι τις, τί δῆτα οὐχ οὕτως ἐξ ἀρχῆς παρεσκευασάμην, ἀλλὰ παρεῖχον ἐν τῷ μέσῳ ἐμαυτόν; ὅτι τὰ τοῦ πολέμου τοιαῦτα ἐγίνωσκον ὄντα, ὡς μὴ ὑστερίζειν δέον τὸν ἄρχοντα, μήτε τὸ εἰδέναι ἃ δεῖ, μήτε τὸ πράττειν ἃ ἂν καιρὸς ᾖ. τοὺς δὲ σπανίους ἰδεῖν στρατηγοὺς πολλὰ ἐνόμιζον ὧν δεῖ πραχθῆναι παριέναι. νῦν δ᾽ ἐπειδὴ ὁ φιλοπονώτατος πόλεμος ἀναπέπαυται, δοκεῖ μοι καὶ ἡ ἐμὴ ψυχὴ ἀναπαύσεώς τινος ἀξιοῦν τυγχάνειν. ὡς οὖν ἐμοῦ ἀποροῦντος, ὅτι ἂν τύχοιμι ποιῶν ὥστε καλῶς ἔχειν τά τε ἡμέτερα καὶ τὰ τῶν ἄλλων, ὧν ἡμᾶς δεῖ ἐπιμελεῖσθαι, συμβουλευέτω τις ὅτι ὁρᾷ συμφορώτατον. κῦρος μὲν οὕτως εἶπεν. ἀνίσταται δ᾽ ἐπ᾽ αὐτῷ ἀρτάβαζος ὁ συγγενής ποτε φήσας εἶναι, καὶ εἶπεν.

ΔΗΜΗΓΟΡΙΑ ΑΡΤΑΒΑΖΟΥ.

Ἦ καλῶς, ἔφη, ἐποίησας, ὦ κῦρε, ἄρξας τοῦ λόγου. ἐγὼ γὰρ ἔτι νέου ὄντος σου πάνυ ἀρξάμενος ἐπεθύμουν φίλος γενέσθαι. ὁρῶν δέ σε οὐδὲν δεόμενον ἐμοῦ, κατώκνουν σοι προσιέναι. ἐπεὶ δὲ ἔτυχές ποτε καὶ ἐμοῦ δεηθεὶς προθύμως ἐξαγγεῖλαι πρὸς μήδους τὰ παρὰ κυαξάρου, ἐλογιζόμην εἰ ταῦτα προθυμός σοι συλλάβοιμι, ὡς ἐκεῖνος τέ σοι ἐσοίμην, καὶ ἐξέσοιτό μοι διαλέγεσθαί σοι, ὁπόσον ἂν χρόνον βουλοίμην. καὶ ἐκεῖνα μὲν δὴ ἐπράχθη, ὥστε σε ἐπαινεῖν. μετὰ δὲ τοῦτο ὑρκάνιοι μὲν πρῶτοι φίλοι

ἡμῖν

uespera anteuertit, quàm ipse cum amicis posset per ocium congredi. Igitur Cyrus sic ait: Nunc uiri sane tempus est soluendi, cras autem uote mane, etenim quiddam uolo uobiscum disserere. Quae amici audientes libenter abierunt & cursim, cum dedissent pœnam à rebus omnibus necessarijs: & tum quidem ita somno se dedere. Postridie uero Cyrus affuit in eundem locum, quem multò maior hominum multitudo circunsletit, cum adire uolentium, multoq; hi prius quam amici affuere. Cyrus uerò cum magnum constituisset circulum speculatorum Persarum, iussit nemo alius praeteriret quàm & amici [illegible]ncipes tum Persarum, tum sociorum: qui ut conuenerunt, in hunc modum ad eos locutus est:

CYRI ORATIO.

Viri amici ac socij, deos quidem immortalis incusare minimè possumus, quòd minus in hanc diē egerimus omnia pro nostris optatis. Quod si huiusmodi erit res magnas gerere, quò fieri non possit ut neq; solus quis uacet, neq; laetetur cum amicis, ego sane hanc fœlicitatem ualere iubeo. Cogitate enim, & heri uidelicet cum manè cœpissemus adeuntis audire, non desiuimus ante uesperam: & nunc uidete hosce & alios pluris quā heri, qui adsunt nobis negocia praebituri. Si quis igitur sese hisce subijciet, considero futurum ut minimā ei partem uobis faciam, & minimā quoq; mihi uestrûm. Ipsius autem mei certò scio ut nulla omnino pars sit futura. Praeterea aliam etiam rem ridiculam uideo. Ego enim certè affectus sum uobis uti par est: horum uero circunstantium aut ullum, aut neminem cognoui, & hi tamen omnes parati sunt, ut si urgendo uos uincant, prius quàm uos à me quae uolunt consequantur. Ego autē dignos rear hos uiros talis, si quis in re mei quis indigeat ut uos colat amicos meos, uosq; ut se abducatis roget. Fortasse quis dicat: Quomodo igitur non ita initio me paraui, sed praestabam potius me in medium? Quoniam intelligebā res bellicas esse eiusmodi, quod non deceat principē esse inferiorem, neq; intelligendo quae oportet, neq; gerendo quae tempus sit gerere. Nam si imperatores uideāt raros homines, existimabam multa eos praeterire quae gerenda sunt. Nunc uerò postea quam laboriosissimum bellum cessauit, uidetur mihi dignum esse ut animus meus quietem aliquam consequatur. Quare perinde quasi ambigente me quid sim facturus, quo & nostrae & aliorum res qui nobis debent curae esse pulchre habeant, consulat quod quisq; uidet maximè conducibile. Cyro ita locuto, surrexit post eum Artabazus is qui olim se dixerat consanguineum, ac dixit.

ARTABAZI ORATIO.

Profectò perpulchre fecisti Cyre hunc sermonem aggressus. Ego enim cum iuuenis admodū adhuc esses, initio cupiebam tibi amicus fieri. Te autem uidens minimè indigere mei, adire sum ueritus. Cum autem olim etiam me rogasses ut alacriter ad Medos, quae Cyaxares dixerat nunciarem, considerabam si ijs tibi in rebus alacriter essem adiutor, fore ut & familiaris tibi essem, & disserere tecum possem quantum uellem temporis. Atque illa quidem ita à me acta sunt, ut abs te laudarer. Post hoc Hyrcanij quidem primi

nobis amici facti sunt, quod admodum sociorum indi-
geremus: itaq; solum propter nostram in te dilectionē
non in tuas cellas eos circumferebamus. Postea uerò
ubi castra hostium capta sunt, non tibi licebat, ut ar-
bitror, erga me ocium habere, & ego tibi ignoscebā.
Dein Gobryas factus est nobis amicus, id quod ego
gaudebā: & item Gadatas. Itaq; labor erat ut tui par-
ticeps fierem Posteaquam Sacæ & Cadusij in societa-
tem recepti sunt, his erat obsequendum: etenim hi tibi
obsequebantur. Vbi autem eo reuertimus unde moue-
ramus, intuens te habere circum & equos & currus
& machinas, p[illegible]n cum ab hac re tibi ociū dare-
tur, tum etiam erg[illegible] me ociosum te futurum. Atqui ut
formidabilis nuncius est allatus de omniū hominum
aduersus nos conspiratione, intelligebam hæc esse ma-
xima: quæ si feliciter haberent, iam bene uidebar nos-
se multam tibi futuram copiam mei tuiq; congressus.
Atq; nunc tandem tum uicimus magnam pugnā, tum
Sardis Crœsumq; famulum habemus, et Babylona ce-
pimus, omniaq; subiugauimus. Et solem testor, ego he-
ri nisi multos pugnis cecidissem, te adire non poterā.
Et ubi quidem dextra me apprehendisti, & apud te
manere iussisti, iam conspicuus eram quod tecum sine
cibo & sine potu diem egi. Nunc igitur sicubi erit ut
digniores plurimam tui habeant partem, bene est. Sin
minus, rursus ego nunciabo uerbis tuis ut omnes abs
te abeant, exceptis nobis qui ab initio usq; amici su-
mus. Ad idq; & Cyrus quidem risit & alij multi. At
Chrysantas quidem Perses surgens ita loquutus est:

CHRYSANTAE ORATIO.

Verum antea Cyre, ut decebat in medium te præ-
bebas, & ob ea quæ ipse dixisti, & quoniam tu non
poteras nobis gratificari. Nos enim etiā propter nos-
ipsos aderamus. At multitudinem opus erat ut omni
ratione tibi comparares, quò quamlibentissimè uellet
unà nobiscum & laborare & periculum subire. Nūc
autem quoniam res tibi non habet hoc pacto dunta-
xat, uerumetiam alios potes homines adipisci, quùm
tempus fuerit, iam etiam dignum est ut domum conse-
quaris, aut quid fruaris imperio, ne solus fueris ex-
pers FOCI, quo neq; religiosior locus in hominib.
est, neq; suauior, neq; familiarius quicquā. Dein, nōn
ne putes nos etiā pudere, si te uideamus exterius præ-
stolantem, nos autem in ædibus simus, & locupletio-
res uideamur quàm tu? Vbi autem Chrysantas hæc lo-
cutus est, eadem multi cohortati sunt. Exhinc tandem
regiam Cyrus ingreditur, & pecunias Sardianas qui
ferebant, hic reddidere. Sed ubi Cyrus ingressus est,
primo sacrum fecit Lari, dein Ioui regi, & si cui alij
deo Magi interpretati sunt. Quæ cum fecisset, cœpit
alia administrare. Cogitansq; negocium suum, quod
qui aggrederetur multis hominibus imperare, para-
ret habitare in ea urbe quæ inter illustris erat maxi-
ma: ipsa autem ita haberet aduersus eum, ut quæ ma-
xime hostilis uiro urbs fuerit: hæc igitur animo uolu-
tans, censuit sibi esse opus custodia circa corpus.
Intelligens autem homines nusquam facilius capi
quàm in esculentis & potulentis & balneis & lecto
& somno, considerauit quos in his rebus fidelissi-
mos erga se haberet. Existimauit autem neminem esse
posse

ἡμῖν ἐγένοντο, καὶ μάλα τινῶσι συμμάχων. ὥστε μόνον
οὐκ ἐν ταῖς ἀγκάλαις περιεφέρομεν αὐτοὺς ἀγαπῶντες.
μετὰ δὲ τοῦτο, ἐπεὶ δὲ ἑάλω τὸ πολέμιον στρατόπεδον,
οὐκ οἶμαι σχολήν σοι εἶναι ἀμφ' ἐμὲ ἔχειν, καὶ ἐγώ σοι συνε-
γίνωσκον. ἐκ δὲ τούτου γωβρύας ἡμῖν φίλος ἐγένετο, καὶ
ἐγὼ ἔχαιρον· καὶ αὖθις γαδάτας. ἤδη δ' ἦν ἔργον σου μετα-
λαβεῖν. ἐπεί γε μέντοι καὶ σάκαι καὶ καδούσιοι σύμ-
μαχοι ἐγεγένηντο, θεραπεύειν εἰκότως ἔδει, καὶ γὰρ οὗτοι
σε ἐθεράπευον. ὡς δ' ἤλθομεν πάλιν ἔνθεν ὡρμήθημεν,
ὁρῶν σε ἀμφ' ἵππους ἔχοντα, ἀμφ' ἅρματα, ἀμφὶ μη-
χανάς, ἡγούμην ἐπεὶ ἀπὸ τούτου σχολάσαις, τότε σε καὶ
ἀμφ' ἐμὲ ἕξειν σχολήν. ὥς γε μέντοι ἦλθεν ἡ δεινὴ ἀγγε-
λία, τὸ πάντας ἀνθρώπους ἐφ' ἡμᾶς συλλέγεσθαι, ἐγίνω-
σκον ὅτι ταῦτα μέγιστα εἴη. εἰ δὲ ταῦτα καλῶς γένοιτο,
εὖ ἤδη ἐδόκουν εἶναι, ὅτι πολλὴ ἔσοιτο ἀφθονία, τῆς ἐμῆς
καὶ τῆς σῆς συνουσίας. καὶ νῦν δὴ νενικήκαμέν τε τὴν με-
γάλην μάχην, καὶ σάρδεις καὶ κροῖσον ὑποχείριον ἔχο-
μεν, καὶ Βαβυλῶνα ᾑρήκαμεν, καὶ πάντας κατεστράμμε-
θα. καὶ μὰ τὸν μίθρην, ἐγώ τοι ἐχθὲς εἰ μὴ πολλοῖς διεπύ-
κτευσα, οὐκ ἂν ἐδυνάμην προσελθεῖν. ἐπεί γε μέν τοι
ἐδεξιώσω με, καὶ παρὰ σοὶ ἐκέλευσας μένειν, ἤδη περί-
βλεπτος ἦν, ὅτι μετὰ σοῦ ἄσιτος καὶ ἄποτος διημέ-
ρευον. νῦν οὖν, εἰ μὲν ἔσται πῃ ὅπως οἱ πλείστου ἄξιοι γε-
γενημένοι, πλεῖστον σου μέρος μεθέξομεν· εἰ δὲ μή, πάλιν αὖ
ἐγὼ ἐθέλω παρὰ σοῦ ἐξαγγέλλειν ἀπιέναι πάντας ἀπὸ
σοῦ, πλὴν ἡμῶν τῶν ἐξ ἀρχῆς φίλων. ἐπὶ τούτῳ ἐγέλα-
σε μὲν ὁ κῦρος καὶ ἄλλοι πολλοί. χρυσάντας δὲ ἀνέστη ὁ
πέρσης, καὶ ἔλεξεν ὧδε.

ΔΗΜΗΓΟΡΙΑ ΧΡΥΣΑΝΤΑ.

Ἀλλὰ τὸ μὲν πρόσθεν, ὦ κῦρε, εἰκότως ἐν τῷ φανερῷ
σαυτὸν παρεῖχες, δι' ἅ τε αὐτὸς εἶπες, καὶ ὅτι οὐχ ἡμᾶς
σοι μάλιστα ἦν θεραπευτέον. ἡμεῖς μὲν γὰρ καὶ ἡμῶν
αὐτῶν ἕνεκα παρῆμεν. τὸ δὲ πλῆθος ἀνακτᾶσθαι ἔδει
ἐκ παντὸς τρόπου, ὅπως ὅτι ἥδιστα συμπονεῖν καὶ συγ-
κινδυνεύειν ἡμῖν ἐθέλοιεν. νῦν δ' ἐπειδὴ οὐχ οὕτω τρό-
που μόνον ἔχεις, ἀλλὰ καὶ ἄλλους ἀνακτᾶσθαι δύνασαι οὓς
καιρὸς εἴη, ἤδη καὶ οἰκίας σε τυχεῖν ἄξιον. ἢ τί ἀπολαύ-
σαις ἂν τῆς ἀρχῆς, εἰ μόνος ἄμοιρος εἴης ἑστίας; οὗ οὔτε ὁσι-
ώτερον χωρίον ἐν ἀνθρώποις, οὔτε ἥδιον, οὔτε οἰκειότε-
ρον ἐστὶν οὐδὲν. ἔπειτα δ', ἔφη, οὐκ ἂν οἴει καὶ ἡμᾶς αἰσχύ-
νεσθαι, εἰ σὲ μὲν ὁρῷμεν ἔξω καρτεροῦντα, αὐτοὶ δ' ἐν οἰ-
κίαις εἴημεν, καὶ σοῦ δοκοῖμεν πλεονεκτεῖν; ἐπεὶ δὲ χρυ-
σάντας ταῦτα ἔλεξε, συνηγόρευον αὐτῷ κατὰ ταῦτα
πολλοί. ἐκ τούτου δὴ εἰσέρχεται εἰς τὰ βασίλεια. καὶ τὰ
ἐκ σάρδεων χρήματα, ἐνταῦθα οἱ ἄγοντες ἀπέδοσαν.
ἐπεὶ δὲ εἰσῆλθεν ὁ κῦρος, πρῶτον μὲν ἑστίᾳ ἔθυσεν, ἔ-
πειτα Διὶ βασιλεῖ, καὶ εἴ τινι ἄλλῳ θεῷ οἱ μάγοι ἐξηγοῦν-
το. ποιήσας δὲ ταῦτα, τὰ ἄλλα ἤδη ἤρχετο διοικεῖν. ἐν-
νοῶν δὲ τὸ αὑτοῦ πρᾶγμα, ὅτι ἐπιχειροίη μὲν ἄρχειν πολλῶν
ἀνθρώπων, παρασκευάζοιτο δὲ οἰκεῖν ἐν πόλει τῇ μεγίστῃ τῶν
φανερῶν. αὕτη δὲ οὕτως ἔχοι αὐτῷ, ὡς ἂν πολεμιωτά-
τη γένοιτο ἀνδρὶ πόλις. ταῦτα δὴ λογιζόμενος, φυλα-
κῆς περὶ τὸ σῶμα ἡγήσατο δεῖσθαι. γνοὺς δ' ὅτι οὐδαμοῦ
ἄνθρωποι εὐχειρωτότεροί εἰσιν, ἢ ἐν σίτοις καὶ ποτοῖς καὶ
λουτροῖς καὶ κοίτῃ καὶ ὕπνῳ, ἐσκόπει τίνας ἂν ἐν τούτοις
περὶ ἑαυτὸν πιστοτάτους ἔχοι. ἐνόμιζε δὲ μὴ ἂν γενέσθαι
ποτὲ

ποτὲ πιστὸν ἄνθρωπον, ὅστις ἄλλον μᾶλλον φιλήσει, τοῦ
τῆς φυλακῆς δεομένου. τοὺς μὲν οὖν ἔχοντας παῖδας ἢ
γυναῖκας συναρμοζούσας, ἢ παιδικά, ἔγνω φύσει συν
ηναγκάσθαι ταῦτα μάλιστα φιλεῖν. τοὺς δὲ εὐνούχους ὁρῶν
πάντων τούτων στερομένους, ἡγήσατο τούτους ἂν περὶ
πλείστου ποιεῖσθαι, οἵτινες δύναιντο πλουτίζειν μάλιστα αὐ
τούς, καὶ βοηθεῖν εἴ τι ἀδικοῖντο, καὶ τιμὰς περιάπτειν αὐ
τοῖς. τούτους δ' εὐεργετοῦντα ὑπερβάλλειν αὐτὸν, οὐδένα
ἂν ἡγεῖτο δύνασθαι. πρὸς δὲ τούτοις ἄδοξοι ὄντες οἱ εὐνοῦ
χοι παρὰ τοῖς ἄλλοις ἀνθρώποις, καὶ διὰ τοῦτο δεσπότου ἐπι
κούρου προσδέονται. οὐδεὶς γὰρ ἂν ἦν, ὅστις οὐκ ἂν ἀξιώσειεν,
εὐνούχου πλέον ἔχειν ἐν παντί, εἰ μή τι ἄλλο κρεῖττον
ἀπείργοι. δεσπότῃ δὲ πιστὸν ὄντα, οὐδὲν κωλύει πρω
τεύειν καὶ τὸν εὐνοῦχον. ὃ δ' ἂν μάλιστά τις οἰηθείη ἀνάλ
κιδας τοὺς εὐνούχους γίγνεσθαι, οὐδὲ τοῦτο ἐφαίνετο αὐτῷ.
ἐτεκμαίρετο δὲ καὶ ἐκ τῶν ἄλλων ζώων, ὅτι οἵ τε ὑβρισταὶ
ἵπποι ἐκτεμνόμενοι, τοῦ μὲν δάκνειν καὶ ὑβρίζειν ἀπο
παύονται, πολεμικοὶ δὲ οὐδὲν ἧττον γίγνονται· οἵ τε ταῦ
ροι ἐκτεμνόμενοι, τοῦ μὲν μέγα φρονεῖν καὶ ἀπειθεῖν ὑφί
ενται, τοῦ δ' ἰσχύειν καὶ ἐργάζεσθαι, οὐ στερίσκονται. καὶ
οἱ κύνες δὲ ὡσαύτως, τοῦ μὲν ἀπολείπειν τοὺς δεσπότας
ἀποπαύονται ἐκτεμνόμενοι, φυλάττειν δὲ καὶ εἰς θήραν
οὐδὲν κακίους γίγνονται. καὶ οἵ γε ἄνθρωποι ὡσαύτως, ἠ
ρεμέστεροι γίγνονται, στερισκόμενοι ταύτης τῆς ἐπιθυ
μίας, οὐ μέντοι ἀμελέστεροί γε τῶν προστασσομένων, οὐδ'
ἧττόν τι ἱππικοί, οὐδὲ ἧσσόν τι ἀκοντιστικοί, οὐδὲ ἧσσον
φιλότιμοι. κατάδηλοι δὲ γίγνονται καὶ ἐν τοῖς πολε
μίοις, καὶ ἐν ταῖς θήραις, ὅτι ἔσωζον τὸ φιλόνεικον ἐν
ταῖς ψυχαῖς. τοῦ δὲ πιστοὶ εἶναι, ἐν τῇ φθορᾷ τῶν δεσποτῶν,
μάλιστα βάσανον ἐδίδοσαν. οὐδένες γὰρ πιστότερα ἔργα
ἐπεδείκνυντο ἐν ταῖς δεσποτικαῖς συμφοραῖς τῶν εὐ
νούχων. εἰ δέ τι ἄρα τῆς τοῦ σώματος ἰσχύος μειοῦσθαι δο
κοῦσιν, ὁ σίδηρος ἀνισοῖ τοὺς ἀσθενεῖς ἐν τῷ πολέμῳ
τοῖς ἰσχυροῖς. ταῦτα δὴ γιγνώσκων, ἀρξάμενος ἀπὸ
τῶν θυρωρῶν πάντας τοὺς περὶ τὸ ἑαυτοῦ σῶμα θεραπευ
τῆρας, ἐποιήσατο εὐνούχους. ἡγησάμενος δὲ οὐχ ἱκανὴν
εἶναι τὴν φυλακὴν ταύτην, πρὸς τὸ πλῆθος τῶν δυσμενῶς
ἐχόντων, ἐσκόπει τίνας τῶν ἄλλων ἂν πιστοτάτους περὶ τὸ
βασίλειον φύλακας λάβοι. εἰδὼς οὖν Πέρσας τοὺς οἴκοι,
κακοβιωτάτους μὲν ὄντας διὰ πενίαν, ἐπιπονώτατα δὲ
ζῶντας, διὰ τὴν τῆς χώρας τραχύτητα, καὶ διὰ τὸ αὐτουρ
γοὺς εἶναι, τούτους ἐνόμισε μάλιστ' ἂν ἀγαπᾶν τὴν παρ' ἑαυ
τῷ δίαιταν. λαμβάνει οὖν τούτων μυρίους δορυφόρους,
οἳ κύκλῳ μὲν νυκτὸς καὶ ἡμέρας ἐφύλαττον περὶ τὰ βα
σίλεια, ὁπότε ἔσω ῥαίσειεν. ὁπότε δὲ ἐξίοι που, ἔνθεν καὶ
ἔνθεν τεταγμένοι ἐπορεύοντο. νομίσας δὲ καὶ Βαβυλῶ
νος ὅλης φύλακας δεῖν εἶναι ἱκανούς, εἴτ' ἐπιδημῶν αὐ
τὸς τυγχάνει, εἴτε καὶ ἀποδημῶν, κατέστησε καὶ ἐν Βα
βυλῶνι φρουροὺς ἱκανούς· μισθὸν δὲ καὶ τούτοις Βαβυ
λωνίους ἔταξε παρέχειν· βουλόμενος αὐτοὺς ὡς ἀμηχανω
τάτους εἶναι, ὅπως ὅτι ταπεινότατοι καὶ εὐκαθεκτότα
τοι εἶεν. αὕτη μὲν δὴ περὶ αὐτόν τε φυλακή, καὶ ἡ ἐν Βα
βυλῶνι τότε κατασταθεῖσα, καὶ νῦν ἔτι οὕτως ἔχουσα δια
μένει. σκοπῶν δ' ὅπως ἂν καὶ ἡ πᾶσα ἀρχὴ κατέχοιτο,
καὶ ἄλλη ἔτι προσγίγνοιτο, ἡγήσατο τοὺς μισθοφόρους τού
τους οὐ τοσοῦτον βελτίονας τῶν ὑπηκόων εἶναι, ὅσον ἐλάττονας.

τοὺς

posse fidelem unquam qui magis aliū amaret, quàm
qui custodia egeret. Qui igitur haberent filios uel u-
xores conuenientis, aut pueros amoribus contun-
ctos, nouit eos natura cogi ad amandum maxime.
Sed cum spadones uideret his omnibus priuatos, ar-
bitratus est ab his plurimi eos fieri à quibus ipsi pos-
sint maximè ditari, & auxilium habere si quid in-
iuriæ patīantur, atque honoribus augeri. A quo au-
tem in beneficijs in hos conferendis superari posset,
10 neminem esse censebat. Ad hæc cum spadones ob-
scuri sint apud alios homines, etiam ob hanc rem e-
gent heri auxilio. Nemo sit enim qui non dignum pu-
tet se omni in re pluris esse faciundum quàm spado-
nem, nisi quid aliud melius impediat: sed nihil prohi-
bet spadonem quoque primarium esse, ubi fidelis
sit hero. Quòd autem maxime aliquis putet spado-
nes robore corporis carere, ne hoc quidem Cyro ui-
debatur: quippe qui coniecturam faceret ex alijs ani-
malibus, quod & contumeliosi equi ubi excidan-
20 tur, a morsu contumeliaq; cessant, nihilo tamen mi-
nus sunt bellicosi. Et tauri excisi animi elationem in-
obedientiamq; dimittunt, sed corporis uiribus & usu
colendi agri non priuantur. Et canes item eodem
modo si excidantur, cessant à relinquendis heris, sed
ad custodiam & ad uenationem nihilo sunt deterio-
res. Et homines iidem quietiores fiunt si hac priuen-
tur libidine, sed minime negligentiores circa impe-
rata, neque minus equitandi studiosi, neque ad iacu-
landum minus apti, neque ambitiosi minus: per-
30 spicuumque est & in bellis, & in uenationibus eos
pertinaciam in animis seruare. Quòd autem sint fi-
deles in herorum pernicie, maximè probarunt. Nul-
li enim fideliora opera demonstrarunt in herilibus
infortunijs quàm spadones. Quòd si quid dimi-
nui uidentur circa uires corporis, ferrum æquat im-
becilliores in bello robustioribus. Hæc igitur in-
telligens quæ ab ostiarijs acceperat, eos omnis qui
sui corporis curam gererent, spadones fecit: & ar-
bitratus curam hanc non satis esse aduersus eorum
40 multitudinem qui infesto sunt animo, considerauit
quos alios acciperet, qui circa regiam essent fide-
lissimi. Itaque sciens Persas pessimi uictus domi es-
se propter inopiam, & laboriosissimè uiuere pro-
pter regionis asperitatem, & quoniam operarij ip-
si essent, hos existimauit esse contentos maxime a-
pud se uitam agere. Accepit autem ex his speculato-
res decem millia, qui noctu dieq; circum regiam cu-
stodirent cum intus ocium ageret: cum uero exiret,
hinc indeque instructi pergerent. Ratus præterea
50 sufficientis custodes totius Babylonis esse oportere,
siue ipse in urbe esset, siue peregre proficisceretur:
constituit etiam Babylone præsidiariorum satis, qui-
bus iussit mercedem dari à Babylonijs: quippe quos
uellet maxime imbelles reddere, quo & humilimi
essent, & maxime subiecti. Hæc igitur custodia &
circa ipsum & Babylone per id tempus constitu-
ta, nunc etiam eodem modo perdurat. Considerans
rursus quo pacto et omne contineretur imperium, et
aliud item adderetur, existimauit hosce stipendiarios
non tanto esse subditis meliores, quanto pauciores.

Bonos

Bonos autem uiros cognoscebat continendos esse qui unà cum dijs immortalibus uictoriam præstitissent, & curandum esse ut perficerent exercitationem uirtutis, quibus ne iubere uideretur, sed cognoscentes ipsi hæc esse optima, ita & perseuerarent & curarent uirtutis opus, collegit homotimos, & omnis quotquot erant tẽpestiuos, quiq; utilissimi ei uisi sunt participes esse & laborum & bonorũ. Hi ubi cõuenerũt, in hunc modum est locutus: Viri amici atq; socij, dijs quidem immortalib. magna est gratia, quod dederint nobis ea consequi quib. putauimus esse nos dignos. Nũc etenim habemus & solum multum & bonum, & qui hoc colentes nos alent. Habemus etiã ædis, & in his apparatus: neq; uestrûm quisquã hæc habens existimet aliena se habere. LEX est enim inter omnis homines perpetua, quando belligerantium urbs capta fuerit, cuncta eorum esse qui ceperũt, & corpora eorum qui in urbe sunt & pecunias: nullo modo iniuste possidebitis, quodcunq; possideatis. Sed pro humanitate nõ abstuleritis, si quid habere eos siueritis: equidem hoc ego exhinc ita sentio. QVOD SI uertemur ad pigritiã improborumq; hominũ uoluntatem, qui arbitrantur laborare esse ærumnosissimũ, & uitam sine labore agitare uoluptatẽ existere, ego nos affirmo celeriter nobisipsis minimi esse faciũdos, ac fore ut citò priuemur bonis omnibus. Nihil enim ad perfectionẽ sufficit fieri bonos uiros, nisi quis usq; ad finem curet in bonitate perseuerare. Sed quemadmodum aliæ artes ubi neglectæ sint, minoris precij fiunt: et corpora ipsa bene habentia cũ quis ea remiserit ad inertiam, male rursus habeant: ita & temperantia & continentia & robur, cum quis eorum exercitationẽ relaxarit, hinc in malignitatẽ iterum uertitur. Nullo modo igitur negligendum est, neq; procedendum uobis ad subitam uoluptatẽ. Magnũ enim opus esse existimo uel principium agere, multo etiam maius qui inceperit id tueri. Nã incipere sæpe illius fuit qui præstiterit audaciam solùm: sed continere quod ceperit, non etiam hoc sine tẽperantia, non sine continentia, non sine multa diligentia fit: Quæ nunc cognoscentibus nobis longe magis uirtus est exercenda, quã prius in his bonis adipiscendis: cũ non simus nescij, QVANDO plura quis habeat, tum plurimos & inuidere illi & insidiari, & hostis fieri, maxime si ab inuitis & possessiones et seruos habeat, ut nos habemus. Atq; deos quidem putandum est nobiscum fore: non enim insidijs usi hæc iniuste possidemus, sed insidijs appetiti ultionem cepimus. Quod autem optimum sit uobisipsis posthac, parandum est. Hoc autem est, ut qui meliores sunt, eos dignos existimemus qui subditis imperent. Aestus igitur ac frigoris, & ciborum & potuum, & laboris et somni, necesse est seruis etiam partem facere. Sed quorum eos participes facimus, in his enitendum est ut præcipue meliores quàm ipsi esse appareamus. Scientiæ uerò militaris meditationisq; hi omnino participes faciundi non sunt, quos & operarios nostros & tributarios uolumus possidere: sed eos debemus hisce exercitationibus præstare: non ignari, deos hominibus demonstrasse hæc libertatis felicitatisq; instrumenta.

Et

τοὺς δ' ἀγαθοὺς ἄνδρας ἐγίγνωσκε, συνεκτέον εἶναι, οἵπερ σὺν τοῖς θεοῖς τὸ κρατεῖν παρέσχον, καὶ ἐπιμελητέον ὅπως μὴ ἀνήσουσι τὴν τῆς ἀρετῆς ἄσκησιν. ὅπως δὲ μὴ ἐπιτάσσειν αὐτοῖς δοκοίη, ἀλλὰ γνόντες καὶ αὐτοὶ ταῦτα ἄριστα εἶναι, οὕτως ἐμμένοιέν τε καὶ ἐπιμελοῖντο τῆς ἀρετῆς, συνέλεξε τούς τε ὁμοτίμους καὶ πάντας, ὁπόσοι ἐπικαίριοι ἦσαν, καὶ ἀξιοχρεώτατοι αὐτῷ ἐδόκουν κοινωνοὶ εἶναι, καὶ πόνων καὶ ἀγαθῶν. ἐπεὶ δὲ συνῆλθον, ἔλεξε τοιάδε· ἄνδρες φίλοι καὶ σύμμαχοι, τοῖς μὲν θεοῖς μεγίστη χάρις, ὅτι ἔδοσαν ἡμῖν τυχεῖν, ὧν ἐνομίζομεν ἄξιοι εἶναι. νῦν μὲν γὰρ δὴ ἔχομεν καὶ γῆν πολλὴν καὶ ἀγαθήν, καὶ οἵτινες ταύτην ἐργαζόμενοι θρέψουσιν ἡμᾶς. ἔχομεν δὲ καὶ οἰκίας, καὶ ἐν ταύταις κατασκευάς. καὶ μηδείς γε ὑμῶν ἔχων ταῦτα, νομισάτω ἀλλότρια ἔχειν. νόμος γὰρ ἐν πᾶσιν ἀνθρώποις ἀΐδιός ἐστιν, ὅταν πολεμούντων πόλις ἁλῷ, τῶν ἑλόντων εἶναι, καὶ τὰ σώματα τῶν ἐν τῇ πόλει, καὶ τὰ χρήματα. οὔκουν ἀδικίᾳ γε ἕξετε ὅ, τι ἂν ἔχητε· ἀλλὰ φιλανθρωπίᾳ οὐκ ἀφαιρήσεσθε, ἤν τι ἐᾶτε ἔχειν αὐτούς. τὸ μέντοι ἐκ τοῦδε, οὕτως ἐγὼ γιγνώσκω, ὅτι εἰ μὲν τρεψόμεθα ἐπὶ ῥᾳδιουργίαν, καὶ τὴν τῶν κακῶν ἀνθρώπων ἡδυπάθειαν, οἳ νομίζουσι τὸ μὲν πονεῖν ἀθλιώτατον, τὸ δὲ ἀπόνως βιοτεύειν ἡδυπάθειαν, ταχὺ ἡμᾶς, φημί, ὀλίγου ἀξίους ἡμῖν αὐτοῖς ἔσεσθαι, καὶ ταχὺ πάντων τῶν ἀγαθῶν στερήσεσθαι. οὐ γάρ τι τὸ ἀγαθοὺς ἄνδρας γενέσθαι, τοῦτο ἀρκεῖ, ὥστε καὶ διατελεῖν ὄντας ἀγαθούς, ἢν μή τις αὐτοῦ διὰ τέλους ἐπιμελῆται. ἀλλ' ὥσπερ καὶ αἱ ἄλλαι τέχναι ἀμεληθεῖσαι μείονος ἄξιαι γίγνονται· καὶ τὰ σώματά γε αὐτὰ εὖ ἔχοντα, ὁπόταν τις αὐτὰ ἀνῇ ἐπὶ ῥᾳδιουργίαν, πονήρως πάλιν ἔχει· οὕτω καὶ ἡ σωφροσύνη, καὶ ἡ ἐγκράτεια, καὶ ἡ ἀλκή, ὁπόταν τις αὐτῶν ἀνῇ τὴν ἄσκησιν, ἐκ τούτου εἰς τὴν πονηρίαν πάλιν τρέπεται. οὔκουν δεῖ μέλλειν, οὐδ' ἐπὶ τὸ αὐτίκα ἡδὺ, προΐεσθαι αὑτούς. μέγα μὲν γὰρ οἶμαι ἔργον, καὶ τὸ ἀρχὴν καταπρᾶξαι· πολὺ δ' ἔτι μεῖζον, τὸ λαβόντα διασώσασθαι. τὸ μὲν γὰρ λαβεῖν, πολλάκις τῷ τόλμαν μόνον παρασχομένῳ ἐγένετο· τὸ δὲ λαβόντα κατέχειν, οὐκέτι τοῦτο ἄνευ σωφροσύνης, οὐδ' ἄνευ ἐγκρατείας, οὐδ' ἄνευ πολλῆς ἐπιμελείας γίγνεται. ἃ χρὴ γιγνώσκοντας νῦν, πολὺ μᾶλλον ἀσκεῖν τὴν ἀρετὴν, ἢ πρὶν τάδε τἀγαθὰ κτήσασθαι· εὖ εἰδότας, ὅτι ὅταν πλεῖστά τις ἔχῃ, τότε πλεῖστοι καὶ φθονοῦσι καὶ ἐπιβουλεύουσι, καὶ πολέμιοι γίγνονται, ἄλλως τε κἂν παρ' ἀκόντων τά τε κτήματα, καὶ τὴν θεραπείαν, ὥσπερ ἡμεῖς, ἔχῃ. τοὺς μὲν οὖν θεοὺς οἴεσθαι χρὴ σὺν ἡμῖν ἔσεσθαι. οὐ γὰρ ἐπιβουλεύσαντες ἀδίκως ἔχομεν, ἀλλ' ἐπιβουλευθέντες ἐτιμωρησάμεθα. τὸ μέντοι μετὰ τοῦτο κράτιστον ἡμῖν αὐτοῖς παρασκευαστέον. τοῦτο δέ ἐστι, τὸ βελτίονας ὄντας, τῶν ἀρχομένων, ἄρχειν ἀξιοῦν. θάλπους μὲν οὖν καὶ ψύχους, καὶ σίτων, καὶ ποτῶν, καὶ πόνων, καὶ ὕπνου, ἀνάγκη καὶ τοῖς δούλοις μεταδιδόναι. μεταδιδόντας γε μέντοι πειρᾶσθαι δεῖ ἐν τούτοις, πρῶτον βελτίονας αὐτῶν φαίνεσθαι. πολεμικῆς δ' ἐπιστήμης καὶ μελέτης παντάπασιν, οὐ μεταδοτέον τούτοις, οὕστινας ἐργάτας τε ἡμετέρους, καὶ δασμοφόρους βουλόμεθα κτήσασθαι. ἀλλ' αὐτοὺς δεῖ τούτοις τοῖς ἀσκήμασι πλεονεκτεῖν· γιγνώσκοντας ὅτι ἐλευθερίας ταῦτα ὄργανα καὶ εὐδαιμονίας οἱ θεοὶ τοῖς ἀνθρώποις ἀπέδειξαν.

καὶ

καὶ ὥσπερ γε ἐκείνους τὰ ὅπλα ἀφῃρήμεθα, οὕτως ἡμᾶς αὐτοὺς δεῖ, μὴ τῶν ὅπλων ποτ' ἐρήμους γίγνεσθαι· εὖ εἰδότας, ὅτι τοῖς ἀεὶ ἐγγυτάτω τῶν ὅπλων οὖσι, τούτοις καὶ οἰκειότατά ἐστιν ἃ ἂν βούλωνται. εἰ δέ τις τοιαῦτα ἐννοεῖται, τί δῆτα ἡμῖν ὄφελος καταπρᾶξαι ἃ ἐπεθυμοῦμεν, εἰ ἔτι δεήσει καρτερεῖν καὶ πεινῶντας καὶ διψῶντας καὶ ἐπιμελομένους καὶ πονοῦντας, ἐκεῖνο δεῖ καταμαθεῖν, ὅτι τοσούτῳ τἀγαθὰ μᾶλλον εὐφραίνει, ὅσῳ ἂν μᾶλλον προπονήσας τις ἐπ' αὐτὰ ἀπίοι. οἱ γὰρ πόνοι, ὄψον τοῖς ἀγαθοῖς. ἄνευ δὲ τοῦ δεόμενον τυγχάνειν τινὸς, οὐδὲν οὕτω πολυτελῶς παρασκευασθείη ἂν, ὥσθ' ἡδὺ εἶναι. εἰ δὲ ὧν μὲν μάλιστα ἄνθρωποι ἐπιθυμοῦσιν, ὁ δαίμων ἡμῖν ταῦτα συμπαρεσκεύακεν, ὡς δ' ἂν ἥδιστα ταῦτα φαίνοιτο, αὐτός τις αὑτῷ ταῦτα παρασκευάσοι, ὁ τοιοῦτος ἀνὴρ τοσούτῳ πλεονεκτήσει τῶν ἐνδεεστέρων βίου, ὅσῳ πεινήσας, τῶν ἡδίστων σίτων τεύξεται· καὶ διψήσας, τῶν ἡδίστων ποτῶν ἀπολαύσεται· καὶ δεηθεὶς ἀναπαύσεως, ἥδιστον ἀναπαύσεται. ὧν ἕνεκα φημὶ χρῆναι νῦν, ἐπιταθῆναι ἡμᾶς εἰς ἀνδραγαθίαν, ὅπως τῶν τε ἀγαθῶν, ᾗ ἄριστον καὶ ἥδιστον ἀπολαύσωμεν, καὶ ὅπως τοῦ πάντων χαλεπωτάτου ἄπειροι γενώμεθα. οὐ γὰρ τὸ μὴ λαβεῖν τὰ ἀγαθὰ οὕτω χαλεπὸν, ὥσπερ τὸ λαβόντα στερηθῆναι λυπηρόν. ἐννοήσατε δὲ κἀκεῖνο, τίνα πρόφασιν ἔχοντες ἂν προσιέμεθα κακίονες ἢ πρόσθεν γενέσθαι. πότερον, ὅτι ἄρχομεν; ἀλλ' οὐ δήπου τὸν ἄρχοντα τῶν ἀρχομένων πονηρότερον προσήκει εἶναι. ἀλλ' ὅτι εὐδαιμονέστεροι δοκοῦμεν νῦν ἢ πρότερον εἶναι, ἔπειτα τῇ εὐδαιμονίᾳ φήσει τις τὴν κακίαν ἐπιπρέπειν; ἀλλ' ὅτι ἐπεὶ κεκτήμεθα δούλους τούτους κολάσομεν ἢν πονηροὶ ὦσιν; καὶ τί προσήκει αὐτὸν ὄντα πονηρὸν, πονηρείας ἕνεκα ἢ βλακείας ἄλλους κολάζειν. ἐννοεῖτε δὲ καὶ τοῦτο, ὅτι τρέφειν μὲν παρεσκευάσμεθα πολλοὺς, καὶ τῶν ἡμετέρων οἴκων φύλακας καὶ τῶν σωμάτων. αἴσχιον δὲ πῶς οὐκ ἂν εἴη, εἰ δι' ἄλλους μὲν δορυφόρους τῆς σωτηρίας οἰησόμεθα χρῆναι τυγχάνειν, αὐτοὶ δὲ ἡμῖν αὐτοῖς οὐ δορυφορήσομεν; καὶ μὴν, εὖ γε δεῖ εἰδέναι, ὅτι οὐκ ἔστιν ἄλλη φυλακὴ τοιαύτη, οἵα αὐτόν τινα καλὸν κἀγαθὸν ὑπάρχειν. τοῦτο γὰρ δεῖ συμπαρομαρτεῖν. τῷ δ' ἀρετῆς ἐρήμῳ, οὐδὲ ἄλλο καλῶς ἔχειν οὐδὲν προσήκει. τί οὖν φημι χρῆναι ποιεῖν, καὶ ποῦ τὴν ἀρετὴν ἀσκεῖν, καὶ ποῦ τὴν μελέτην ποιεῖσθαι; οὐδὲν καινὸν, ὦ ἄνδρες, ἐρῶ, ἀλλ' ὥσπερ ἐν Πέρσαις ἐπὶ τοῖς ἀρχείοις οἱ ὁμότιμοι διάγουσιν, οὕτω καὶ ὑμᾶς φημὶ χρῆναι ἐνθάδε ὄντας τοὺς ὁμοτίμους πάντας, ἅπερ καὶ ἐκεῖ ἐπιτηδεύειν. καὶ ὑμᾶς γε ἐμὲ ὁρῶντας κατανοεῖν παρόντας, εἰ ἐπιμελόμενος ὧν δεῖ διάξω. ἐγώ τε ὑμᾶς κατανοῶν θεάσομαι, καὶ οὓς ἂν ὁρῶ τὰ καλὰ καὶ τὰ ἀγαθὰ ἐπιτηδεύοντας, τούτους τιμήσω. καὶ τοὺς παῖδας δὲ, οἳ ἂν ἡμῖν γίγνωνται, ἐνθάδε παιδεύωμεν. αὐτοί γὰρ βελτίονες ἐσόμεθα, βουλόμενοι τοῖς παισὶν ὡς βέλτιστα παραδείγματα, ἡμᾶς αὐτοὺς παρέχειν, ὅτε παῖδες οὐδ' ἂν εἰ βούλοιντο, ῥᾳδίως πονηροὶ γένοιντο· αἰσχρὸν μὲν μηδὲν μήτε ὁρῶντες μήτε ἀκούοντες, ἐν δὲ καλοῖς κἀγαθοῖς ἐπιτηδεύμασι διημερεύοντες.

Et quemadmodum illis arma abstulimus, ita nosipsos oportet sine armis nunquam esse, cum bene nouerimus quibus arma sunt semper proxime, hisce familiarissima etiam esse quęcunque uelint. Quod si quisquam talia cogitat, quid igitur nobis prodest peregisse quę cupiebamus, si etiam opus fuerit tolerare & famescendo & sitiendo & curando & faciendo? Illud sanè sciendum est, EO BONA MAIOREM afferre lætitiam, quò magis quis labore antecedente ad ea perueniat. Labores enim obsonium sunt bonis uiris. Nam si quis nulla re egeat, nihil adeò paretur sumptuose ut suaue sit. Quòd si hæc nobis parauit numen, quę homines cupiunt maximè, & aliquis quò suauiora uideantur hæc parabit sibi, uir huiusmodi tanto plus habiturus earum rerum quibus uita eget, ut in fame suauissimos sit cibos consecuturus: & in siti, suauissimis potibus perfructurus: & cum est opus quiete, suauissime quieturus. Quapropter dico nunc nos decere intendere ad probitatem, quò tum bonis quamoptimè & quamsuauissime perfructuri simus, tum eius simus imperiti quod est omnium molestissimum. NON ENIM ita molestum est bona non habuisse, quàm hunc qui bona habuerit, ijs priuari molestum. Cogitate etiam illud, qua possimus induci causa, ut simus peiores quàm antea fuerimus. Vtrum quoniam imperamus? AT NEQVAQVAM certe conuenit esse principem quàm subditos improbiorem. An quoniam nunc uidemur feliciores esse quàm prius? Postea dicet aliquis, uitium felicitatis tutelam gerere. Num quoniam seruos adepti sumus, in hos animaduertemus si improbi fuerint? * Vobiscum præterea hoc animo uolutate, parasse nos multos alere, & nostrarum domorum & corporum custodes. Sed qui turpius non sit, si putabimus spiculatorem consequi ad salutem nostram, ipsi autem nobisipsis spiculatores non erimus? Atqui bene oportet nosse, NON ESSE aliam custodiam talem, qualis si ipse quisquam honestus bonusq; sit, hoc enim consequatur oportet. Ei uerò qui uirtute caret, neque aliud quicquam decet pulchre esse. Quid igitur censeo esse faciundum, & ubi uirtutem exercendam, & ubi meditandum? Nihil noui dicam, ô uiri amicissimi, sed quemadmodum inter Persas homotimi in principijs degunt, ita affirmo uos oportere cum hic estis, homotimos omnis exercere, quę illic etiam exercebatis: & cum me uidetis, considerate præsentes, si degero eorum diligentiam habens quę oportet. Ego uos quoque considerans intuebor, & quoscunque uideam honestis rebus bonisq; studere, hos equidem honoribus prosequar. At filios quoque quicunque nobis nascantur, hic instituamus: ITA ENIM ET IPSI meliores futuri simus, si uelimus præbere nosmetipsos liberis nostris quamoptima exempla: & liberi ipsi nec etiam si uelint, facile fiant improbi, quippe qui nihil turpe neque uideant, neque audiant, & in studijs honestatis bonitatisq; uersentur.

XENOPHONTIS DE PAEDIA CYRI LIBER OCTAVVS, FRANCISCO Philelpho interprete.

CHRYSANTAE ORATIO.

CYRVS quidem ita locutus est. Chrysantas uerò post eum surgens, in hunc modum orationem habuit: Verùm ego, ò uiri, sæpenumero etiam alias cogitaui, bonum principẽ nihilo differre à bono patre. Nam et parentes filijs prouident, ut bona his nunquã sint defutura. Et Cyrus uidetur mihi nũc ea nobis cõsulere, à quibus maxime in felicitate poßimus ad ultimũ usq; finem perseuerare. Quod aũt mihi uidetur minus quàm oportuerat ostendiße, hoc ego ijs enitar ostendere qui ignorant. Cogitate enim & quæ urbs hostilis capta sit ab obedire nolentibus? & quæ amica ab ijs qui parêre nolint seruata sit? quæ etiam obedientiã non præstantium sit acies uictoriam consecuta? Quo autem pacto magis homines uincãtur in pugna, quam ubi cœperint priuatim quisq; de sua salute consultare? Quod etiam aliud bonũ præstetur ab ijs qui meliorib. non parent? Quæ urbes legitime habuẽtur, uel quæ domus seruẽtur, quo pacto naues quò opus sit perueniãt? Nos uero quæ hoc tẽpore habemus bona, ob quã rem aliam magis adepti sumus, q̃ ob præstitã obedientiã principi? Propter hoc enim et noctu et die, tũ quamprimũ uenimus quò oportuit, tum frequentes principẽ sequẽtes nullo utebamur ocio: quæq; iussa erant, eorũ nihil semiperfectũ linquebamus. Si igitur principi obedire maximũ apparet esse bonũ ad bona adipiscenda, ita uobis exploratũ esse debet, quod etiam idem hoc ad seruandũ quæ oportet maximũ est bonum. Et antea quidem multi nobis imperabant, at imperabamus nemini. Nunc uerò ita parati estis quod imperatis, alij quidem pluribus, alij uero paucioribus. Quemadmodũ igitur ipsi dignũ esse existimatis uestris subditis imperare, ita etiam nos ijs pareamus quibus decet. Tantum autem inter nos decet seruosq; interesse, quantũ serui ipsi inuiti heris ministrant. Nobis autem qui dignũ putamus libertate uti, ultro faciundum est, quod plurimi uidetur æstimandũ. Inuenietis quoq; ubi sine unius principatu urbs habitatur, quæ maxime uult parêre principibus, hanc minime ab hostibus ad obediendũ cogi. Adsimus igitur, ut Cyrus iubet, ad hoc principiũ: & ea exerceamus quæ maxime cõtinere poterimus, quæ oportet: atq; præstemus nosipsos ut Cyrus utatur ad quodcunq; opus sit. Etenim ne hoc quidẽ latêre nos debet, nullo modo Cyrũ inuenire posse, quod propter suũ bonũ nobis usurus sit, nõ autẽ propter nostrũm: quoniã eadem nobis conducũt, & ijdem nobis sunt hostes. Posteaquã Chrysantas hæc locutus est, ita etiam alij multi surrexerũt & Persæ et socij eadem cõsentientes. Decretũq; est, ut uiri optimates semper adeßent ad ianuas, seq; utendos præberẽt ad quicquid Cyrus uellet, donec eos dimitteret. Et quẽadmodum tum est decretũ, ita hoc etiam tẽpore ij faciunt qui in Asia sub regibus sunt constituti, celebrant principum ianuas. Sicuti uerò demonstratum est in ratione Cyrum constituiße ad custodiendũ principatũ sibi et Per/

ΞΕΝΟΦΩΝΤΟΣ ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ ΟΓΔΟΟΝ.

ΔΗΜΗΓΟΡΙΑ ΧΡΥΣΑΝΤΑ.

ΚΥΡΟΣ μὲν οὖν οὕτως εἶπεν. ἀνέστη δ' ἐπ' αὐτῷ χρυσάντας, καὶ εἶπεν ὧδε· ἀλλὰ πολλάκις μὲν δή, ὦ ἄνδρες, καὶ ἄλλοτε κατενόησα, ὅτι ἄρχων ἀγαθὸς οὐδὲν διαφέρει πατρὸς ἀγαθοῦ. οἵ τε γὰρ πατέρες προνοοῦσι τῶν παίδων, ὅπως μήποτε αὐτοὺς τἀγαθὰ ἐπιλείψῃ. κῦρός τέ μοι δοκεῖ νῦν συμβουλεύειν ἡμῖν, ἀφ' ὧν μάλιστ' ἂν εὐδαιμονοῦντες διατελοῖμεν. ὃ δέ μοι δοκεῖ ἐνδεέστερον, ἢ ὡς ἐχρῆν δηλῶσαι, τοῦτο ἐγὼ πειράσομαι τοὺς μὴ εἰδότας διδάξαι. ἐννοήσατε γὰρ δή, τίς ἂν πόλις πολεμία ὑπὸ μὴ πειθομένων ἁλοίη; τίς δ' ἂν φιλία ὑπὸ μὴ πειθομένων διαφυλαχθείη; ποῖον δ' ἂν ἀπειθούντων στράτευμα νίκης τύχοι; πῶς δ' ἂν μᾶλλον ἐν μάχαις ἡττῷντο ἄνθρωποι, ἢ ἐπειδὰν ἄρξωνται ἰδίᾳ ἕκαστος περὶ τῆς αὑτοῦ σωτηρίας βουλεύεσθαι; τί δ' ἂν ἄλλο ἀγαθὸν τελεσθείη ὑπὸ τῶν μὴ πειθομένων τοῖς κρείττοσι; ποῖαι δὲ πόλεις νομίμως ἂν οἰκήσειαν, ἢ ποῖοι οἶκοι σωθείησαν, πῶς δ' ἂν νῆες ὅποι δεῖ ἀφίκοιντο; ἡμεῖς δὲ ἃ νῦν ἀγαθὰ ἔχομεν, διὰ τί ἄλλο μᾶλλον κατεπράξαμεν, ἢ διὰ τὸ πείθεσθαι τῷ ἄρχοντι; διὰ τοῦτο γὰρ καὶ νυκτὸς καὶ ἡμέρας, ταχὺ μὲν ὅποι ἔδει παρεγινόμεθα. ἀθρόοι δὲ τῷ ἄρχοντι ἑπόμενοι, ἀνυπόστατοι ἦμεν. τῶν δ' ἐπιταχθέντων οὐδὲν ἡμιτελὲς κατελείπομεν. εἰ τοίνυν μέγιστον ἀγαθὸν τὸ πειθαρχεῖν φαίνεται, εἰς τὸ καταπράττειν τἀγαθά, οὕτως εὖ ἴστε ὅτι αὐτὸ τοῦτο καὶ εἰς τὸ διασώζειν ἃ δεῖ, μέγιστον ἀγαθόν ἐστι. καὶ πρόσθεν μὲν δὴ πολλοὶ ἡμῶν ἦρχον, οὐδενὸς δ' ἠρχόμεθα. νῦν δὲ κατεσκεύασθε οὕτω πάντες οἱ παρόντες, ὥστε ἄρχετε οἱ μὲν, πλειόνων· οἱ δὲ μειόνων. ὥσπερ τοίνυν αὐτοὶ ἀξιώσετε ἄρχειν τῶν ὑφ' ὑμῖν, οὕτω καὶ αὐτοὶ πειθώμεθα οἷς ἂν ἡμῖν καθήκοι. τοσοῦτον δὲ διαφέρειν ἡμᾶς δεῖ τῶν δούλων, ὅσον οἱ μὲν δοῦλοι, ἄκοντες τοῖς δεσπόταις ὑπηρετοῦσιν· ἡμᾶς δὲ εἴπερ ἀξιοῦμεν ἐλεύθεροι εἶναι, ἑκόντας δεῖ ποιεῖν, ὅτι πλείστου ἄξιον φαίνεται εἶναι. εὑρήσετε δέ, ἔφη, καὶ ἔνθα ἄνευ μοναρχίας πόλις οἰκεῖται, τὴν μάλιστα τοῖς ἄρχουσιν ἐθέλουσαν πείθεσθαι, ταύτην ἥκιστα τῶν πολεμίων ἀναγκαζομένην ὑπακούειν. παρῶμέν τε οὖν ὥσπερ κῦρος κελεύει ἐπὶ τόδε τὸ ἀρχεῖον· ἀσκῶμέν τε, δι' ὧν μάλιστα δυνησόμεθα κατέχειν ἃ δεῖ. παρέχωμέν τε ἡμᾶς αὐτοὺς χρῆσθαι κύρῳ ὅτι ἂν δέῃ. καὶ τοῦτο γὰρ εὖ εἰδέναι χρή, ὅτι οὐ μὴ δυνήσεται κῦρος εὑρεῖν, ὅτι αὐτῷ μὲν ἐπ' ἀγαθῷ χρήσεται, ἡμῖν δὲ οὔ· ἐπείπερ τά γε αὐτὰ ἡμῖν συμφέρει, καὶ οἱ αὐτοί εἰσιν ἡμῖν πολέμιοι. ἐπεὶ δὲ ταῦτα εἶπε χρυσάντας, οὕτω δὴ καὶ οἱ ἄλλοι ἀνίσταντο πολλοί, καὶ περσῶν καὶ τῶν συμμάχων συνεροῦντες. καὶ ἔδοξε τοὺς ἐντίμους ἀεὶ παρεῖναι ἐπὶ θύρας, καὶ παρέχειν αὐτοῖς χρῆσθαι ὅτι βούλητ', ἕως ἂν ἀφίῃ κῦρος. ὡς δὲ τότε ἔδοξεν, οὕτω καὶ νῦν ἔτι ποιοῦσιν οἱ κατὰ τὴν ἀσίαν, ὑπὸ βασιλεῖ ὄντες, θεραπεύουσι τὰς τῶν ἀρχόντων θύρας. ὡς δ' ἐν τῷ λόγῳ δεδήλωται, κῦρος καταστησάμενος εἰς τὸ διαφυλάττειν ἑαυτῷ τε καὶ πέρσαις

πέρσαις τὴν ἀρχήν, ταῦτα καὶ οἱ μετ' ἐκεῖνον βασιλεῖς
νόμιμα ἔτι καὶ νῦν διατελοῦσι ποιοῦντες. οὕτω δ' ἔχει καὶ
ταῦτα ὥσπερ καὶ τἆλλα. ὅταν μὲν ὁ ἐπιστάτης βελτίων
γένηται, καθαρώτερον τὰ νόμιμα πράττεται· ὅταν δὲ χεί-
ρων, φαυλότερον. ἐφοίτων μὲν οὖν ἐπὶ τὰς θύρας κύρου,
οἱ ἔντιμοι σὺν τοῖς ἵπποις καὶ ταῖς αἰχμαῖς, συνδόξαν
πᾶσι τοῖς ἀρίστοις τῶν συγκαταστρεψαμένων τὴν ἀρχήν.
κῦρος δ' ἐπὶ μὲν τἆλλα καθίστη ἄλλους ἐπιμελητάς. καὶ
ἦσαν αὐτῷ καὶ προσόδων ἀποδεκτῆρες, καὶ δαπανημά-
των δοτῆρες, καὶ ἔργων ἐπιστάται, καὶ κτημάτων φύλα-
κες, καὶ τῶν εἰς τὴν δίαιταν ἐπιτηδείων ἐπιμεληταί.
καὶ ἵππων δὲ καὶ κυνῶν ἐπιμελητὰς καθίστη, οὓς ἐνόμι-
ζε καὶ ταῦτα τὰ βοσκήματα, βέλτιστ' ἂν παρέχειν αὐ-
τῷ χρῆσθαι. οὓς δὲ συμφύλακας τῆς εὐδαιμονίας οἱ ᾤετο
χρῆναι ἔχειν, τούτους ὅπως ὡς βέλτιστοι ἔσονται, οὐκέτι
τούτου τὴν ἐπιμέλειαν ἄλλοις προσετακτέον, ἀλλ' αὑτοῦ
ἐνόμιζε τοῦτο ἔργον εἶναι. ᾔδει γὰρ ὅτι εἴγε μάχης ποτὲ
δεήσοι, ἐκ τούτων αὐτῷ καὶ παραστάτας καὶ ἐπιστάτας
ληπτέον εἴη, σὺν οἷσπερ οἱ μέγιστοι κίνδυνοι· καὶ ταξιάρ-
χους δὲ καὶ πεζῶν καὶ ἱππέων ἐγίγνωσκεν ἐκ τούτων κατα-
στατέον εἶναι εἰ δέοι δὲ καὶ στρατηγῶν που ἄνευ αὐτοῦ, ᾔδει
ὅτι ἐκ τούτων πεμπτέον εἶναι. καὶ πόλεων δὲ καὶ ὅλων ἐθνῶν
φύλαξι καὶ σατράπαις, ᾔδει ὅτι τούτων τισὶ χρηστέον. καὶ
πρέσβεις γε τούτων τινὰς πεμπτέον, ὅπερ ἐν τοῖς μεγί-
στοις ἡγεῖτο εἶναι, εἰς τὸ ἄνευ πολέμου τυγχάνειν ὧν δέοιτο.
μὴ ὄντων μὲν οὖν οἵων δεῖ, δι' ὧν αἱ μέγισται καὶ πλεῖ-
σται πράξεις ἔμελλον εἶναι, κακῶς ἡγεῖτο τὰ αὑτοῦ ἕξειν· εἰ
δ' οὗτοι εἶεν οἵους δέοι, πάντα ἐνόμιζε καλῶς ἔσεσθαι. ἐνέ-
δυ μὲν οὖν οὕτω γνοὺς εἰς ταύτην τὴν ἐπιμέλειαν. ἐνόμι-
ζε δὲ τὴν αὐτὴν καὶ αὑτῷ ἄσκησιν εἶναι τῆς ἀρετῆς. οὐ γὰρ
ᾤετο οἷόν τε εἶναι, μὴ αὐτόν τινα ὄντα οἷον δεῖ, ἄλλους παρορ-
μᾶν ἐπὶ τὰ ἀγαθὰ καὶ καλὰ ἔργα. ὡς δὲ ταῦτα διενοήθη,
ἡγήσατο σχολῆς πρῶτον δεῖν, εἰ μέλλοι δυνήσεσθαι τῶν
κρατίστων ἐπιμελεῖσθαι. τὸ μὲν οὖν προσόδων ἀμελεῖν, οὐχ
οἷόν τε ἐνόμιζεν εἶναι· προνοῶν ὅτι πολλὰ καὶ τελεῖν ἀναγ-
καῖον ἔσοιτο, εἰς μεγάλην ἀρχήν. τὸ δ' αὖ πολλῶν κτημά-
των ὄντων, ἀμφὶ ταῦτα αἰεὶ αὐτὸν ἔχειν, ᾔδει ὅτι ἀσχο-
λίαν παρέξει τῆς τῶν ὅλων σωτηρίας ἐπιμελεῖσθαι. οὕ-
τω δὴ σκοπῶν, ὅπως ἂν τά τε οἰκονομικὰ καλῶς ἔχῃ, καὶ
ἡ σχολὴ γένοιτο, κατενόησέ πως τὴν στρατιωτικὴν σύν-
ταξιν. ὡς γὰρ τὰ πολλὰ, δεκάδαρχοι μὲν, δεκάδων
ἐπιμέλονται, λοχαγοὶ δὲ δεκαδάρχων, χιλίαρχοι δὲ λο-
χαγῶν, μυρίαρχοι δὲ χιλιάρχων· καὶ οὕτως οὐδεὶς ἀτημέ-
λητος γίγνεται, οὐδ' ἢν πάνυ πολλαὶ μυριάδες ἀν-
θρώπων ὦσι. καὶ ὅταν ὁ στρατηγὸς βούληται χρήσασθαί
τι τῇ στρατιᾷ, ἀρκεῖ ἢν τοῖς μυριάρχοις παραγγείλῃ. ὥσ-
περ οὖν ταῦτα ἔχει, οὕτω καὶ ὁ κῦρος συνεκεφαλαιώ-
σατο τὰς οἰκονομικὰς πράξεις. ὥστε καὶ τῷ κύρῳ ἐγέ-
νετο ὀλίγοις διαλεγομένῳ, μὴ δὲ τῶν οἰκείων ἀτημελή-
τως ἔχειν. καὶ ἐκ τούτου ἤδη σχολὴν ἦγε πλείω, ἢ ἄλλος
μιᾶς οἰκίας καὶ μιᾶς νεὼς ἐπιμελούμενος. οὕτω δὴ κατα-
στησάμενος τὰ αὑτοῦ, ἐδίδαξε καὶ τοὺς περὶ αὐτὸν, ταύ-
τῃ τῇ καταστάσει χρῆσθαι. τὴν μὲν δὴ σχολὴν οὕτω κατε-
σκευάσατο ἑαυτῷ τε καὶ τοῖς περὶ αὐτόν· ἤρχετο δ' ἐπι-
στατεῖν τοῦ οἵους δεῖ εἶναι τοὺς κοινῶνας. πρῶτον μὲν ὁπόσοι ὄν-
τες ἱκανοὶ ἄλλων ἐργαζομένων τρέφεσθαι μὴ παρεῖεν ἐπὶ
τὰς

Persis, hac item reges qui post illū secuti sunt, legitima
hac quoq; tēpestate obseruant. Et hæc quoq; ita habent
quemadmodū item alia: quando princeps melior fit, pu
riora iura constituit: quando uero deterior, nequiora. I/
bant igitur ad Cyri ianuas uiri optimates cum equis &
lanceis pro cōmuni consensu optimorū uirorum omniū
qui imperiū subiugarant. Cyrus uerò ad alia quidē con
stituit alios, qui diligentiā haberent. Erantq; ei & cen/
suum susceptores, & datores sumptuū, & operum præ
10 fecti, & custodes possessionū, & rerum necessariarū ad
uictum qui curam gererent. Atq; equorū item, et canum
illos constituit diligentiā habere, quos existimabat red/
dituros hæc pecora ad usum suum quāoptima. Quos ue
rò putabat ad suæ felicitatis custodiam habendos ut hi
quamoptimi forent, minimè rei huius diligentiā alijs im
perauit, sed hoc suum esse putabat officiū. Sciebat enim
si quando pugnandum esset, ex his esse sibi legendos, et
qui interessent et qui præessent, quib. cum maxima sunt
pericula: & centuriones quoq; peditumq; & equitū no
20 rat ex his esse constituendos. Quòd sicubi sine sese du/
cibus opus esset, sciebat illos ex hisce mittēdos esse. Scie
bat etiam quibusdā horum utendū esse custodibus ac sa
trapis & urbiū et omniū gentiū: ac item oratores quos/
dam ex his mitti oportere, id quod ducebat in maximis
esse rebus ad ea sic bello cōsequenda quib. egerēt. Qua
re ubi non essent hi quales oportet, ex quibus maximæ
ac plurimæ res forēt gerendæ, futurū censebat ut res suæ
male haberent: sin hi essent quales oporteret, putabat o/
mnia pulchra fore. Itaq; ita sentiens, in hanc diligentiā
30 accingebatur. Arbitrabatur præterea eandē uirtutis ex/
ercitationē sibi quoq; esse debere. Non enim existimabat
fieri posse, ubi ipse minus foret qualem deceret, ut alios
incitaret ad illustris bonasq; actiones. Hæc ubi cogita/
uisset, putauit primum ocio opus esse, si uellet diligentiā
habere rerum optimarū. Itaq; ut census negligeret, puta
bat haudquaquā fieri posse, quippe qui prouideret mul
tā necessariò faciundā esse impensam in magnū imperiū.
Præterea cum multæ essent possessiones, si uellet ipse cir
ca hasce uersari, semper sciebat multam sibi futuram oc
40 cupationē in adhibenda diligentia circa omnium salu/
tem. Itaq; sic considerans, quo & res familiares rectè ha
berent, & ipse foret ociosus, excogitauit quodammodo
ordinem rei militaris. Nam ut frequentius decuriones
decuriarum curam habent, & manipulorum ductores
decurionum, & millenarij manipulorum ductorum, et
qui decem millibus præsunt millenariorū: & hoc pacto
nemo negligitur, ne si admodum multa quidem sint de/
na hominum millia. Cumq; dux uelit uti ad aliquid a/
gendum exercitu, satis est si ijs præcipiat, qui singulis
50 denis millibus sunt præfecti. Vt igitur hæc habent hoc
pacto, sic etiam Cyrus summatim complexus est dome/
sticas actiones. Itaq; ei cum paucis loqui opus erat, quò
neq; res domesticas neglectui haberet: & exhinc ma/
ius ei ocium erat, quàm alij qui unam domum & unam
curaret nauim. Quare cum ita Cyrus res suas domesti/
cas constituisset, docuit etiam suos milites ut hoc ipsi
ordine uterentur. Sic igitur ocium & sibi parauit &
militibus suis. Cœpit enim instruere cuiusmodi familia/
res suos esse oporteret. Primum quotquot satis ali pos/
sent, alijs agriculturæ studentibus, hosce nisi adessent ad

 ianuas

princeps lex videns.

Prima cura principi Deum colere.

ianuas requirebat: ratus fore ut qui adessent, hi nollent neq; malum neq; turpe aliquid agere, tum quoniam essent apud principem, tum quia nosset à uiris præstantissimis uideri quid agerent. Qui autem non adessent, hos arbitrabatur uel ob incontinentiam abesse, uel ob iniustitiam, uel ob negligentiam. Quare hoc ratus, cogebat huiusmodi uiros adesse, quoniam iuberet qui apud se esset maxime amicus, huic liceret eius bona recipere qui non adesset, ac dicere sua capere. Cum igitur hoc fieret, ueniebat continuo hi quibus bona ablata essent, tanquam affecti iniuria. At Cyrus quidem diu huiusmodi uiris audiendis non attendebat: quos ubi audisset disceptationem dijudicare in multũ temporis differebat: quæ faciens arbitrabatur eos assuefacere ad præstandum obsequium, minusq; sibi fore inimicos quam si ipse coegisset per animaduersionẽ adesse. Vt igitur adessent, unus ei hic erat docendi modus: alius uero quo præsentib. imperabat, & quæ facilima essent, & quæ maxime fructuosa: alius etiam, quo nihil unquam absentib. tribuebat. Sed maximus necessitatis is erat modus, si horum nemi nem exaudiret, cuius bona quæ abstulerat alij dedisset, quem putaret sibi tempestiue adesse posse: & ita utilis ei amicus pro inutili reddebatur. Requirit etiã qui nũc rex est, si quis eorũ absit quos adesse conuenit. Qui ergo minus adessent, ita ijs Cyrus aduersabatur. Qui uero seipsos præberent, eos putauit maxime ad res præclaras & bonas posse incitare: quoniã existimabat ita iure in illos imperiũ gerere, si operam daret, ut subditis declararet se omnium esse uirtute ornatissimum. Sentire enim uidebatur, etiam propter scriptas leges homines fieri meliores: at BONVM principem ratus est uidentem legẽ esse hominibus, quoniam satis est qui & moderetur & uideat, puniatq; delinquentem. Ita igitur sentiens, primùm quidem seipsum hoc tempore ostendebat studere magis diuinis rebus, quoniam esset felicior. Et tum primũ Magi constituti sunt, & laudes simul semper ac dies illucesceret canebat ad deos, & singulis diebus ijs dijs sacra faciebat, quibus Magi dicerent. Sic igitur quæ tum constituta sunt, hæc etiam tempestate perdurant apud eum semper qui rex est. Itaque his in rebus primùm imitabantur eum alij item Persæ, rati se quoq; felicioris fore si deos colerent, quemadmodum is qui felicissimus esset & princeps. Quæ facientes existimabant se Cyro rem gratissimam facere. At ILLE SVORVM pietatem sibi etiam cõducere arbitrabatur: quippe qui putaret, quemadmodum qui nauigationem eligunt, cum pijs potius eligere solere, quàm cum ijs hominibus qui impie aliquid uideantur perpetrasse. Ad hæc secum animo reputabat, si omnes sui familiares pij essent in deum, minus eos uelle & inuicem & aduersus seipsum nefarij quicquam facere, ratus se beneficum esse erga familiaris. Liquidum præterea hoc faciens, se plurimi ducere quod neminem neque amicum, neque socium afficeret iniuria, sed ius ipsum uehementer intuens, magis etiam alios à turpi quæstu abstinere arbitrabatur, per iustitiam uerò locupletari uelle. Atque pudore existimabat magis omnes affici, si ipse ostenderet ita sibi omnis pudori esse, neque dicere, neque facere turpe aliquid auderet. Hoc autem ex hac re ita fore cogitabat, quod nõ principem solum, uerumetiam eos quos minimè timent, magis pudenteis quàm

τὰς θύρας, τούτους ἐπεζήτει· νομίζων τοὺς μὲν παρόντας οὐκ ἂν ἐθέλειν οὔτε κακὸν, οὔτε αἰσχρὸν οὐδὲν ἂν πράττειν, καὶ διὰ τὸ παρὰ ἄρχοντι εἶναι, καὶ διὰ τὸ εἰδέναι, ὅτι ὁρῷντο ὅτι πράττοιεν, ὑπὸ τῶν βελτίστων. οἱ δὲ μὴ παρεῖεν, τούτους ἡγεῖτο ἢ ἀκρατείᾳ τινὶ, ἢ ἀδικίᾳ, ἢ ἀμελείᾳ ἀπεῖναι. τοῦτο οὖν πρῶτον ἡγησάμενος, προσηνάγκαζε τοὺς τοιούτους παρεῖναι. τῶν γὰρ παρ' ἑαυτῷ μάλιστα φίλων, ἐκέλευσεν ἄν τινα λαβεῖν τὰ τοῦ μὴ φοιτῶντος, φάσκοντα λαμβάνειν τὰ ἑαυτοῦ. ἐπεὶ οὖν τοῦτο γένοιτο, ἧκον ἂν εὐθὺς οἱ στερόμενοι ὡς ἠδικημένοι. ὁ δὲ Κῦρος πολὺν μὲν χρόνον οὐκ ἐσχόλαζε τοῖς τοιούτοις ὑπακούειν. ἐπεὶ δὲ ἀκούσειεν αὐτῶν, πολὺν χρόνον ἀνεβάλλετο τὴν διαδικασίαν. ταῦτα δὲ ποιῶν, ἡγεῖτο προσεθίζειν αὐτοὺς θεραπεύειν, ἧττον δὲ ἐχθρῶς, ἢ εἰ αὐτὸς κολάζων ἠνάγκαζε παρεῖναι. εἷς μὲν διδασκαλίας τρόπος ἦν αὐτῷ οὗτος τοῦ παρεῖναι· ἄλλος δὲ, τὸ τὰ ῥᾷστα καὶ κερδαλεώτατα τοῖς παροῦσι προστάττειν· ἄλλος δὲ, τὸ μηδέν ποτε τοῖς ἀποῦσι νέμειν. ὁ δὲ δὴ μέγιστος τρόπος τῆς ἀνάγκης ἦν, εἴ τις τούτων μηδενὸς ὑπακούοι, ἀφελόμενος ἂν τοῦτον ἃ ἔχοι, ἄλλῳ ἐδίδου, ὃν ᾤετο δύνασθαι ἂν ἐν τῷ δέοντι παρεῖναι. καὶ οὕτως ἐγίγνετο αὐτῷ φίλος χρήσιμος ἀντὶ ἀχρήστου. ἐπιζητεῖ δὲ καὶ ὁ νῦν βασιλεὺς ἤν τις ἀπῇ, οἷς παρεῖναι καθήκει. τοῖς μὲν δὴ μὴ παροῦσιν, οὕτω προσεφέρετο. τοὺς δὲ παρέχοντας ἑαυτοὺς, ἐνόμισε μάλιστ' ἂν, ἐπὶ τὰ καλὰ καὶ ἀγαθὰ παρορμᾶν ἔργα, ἐπείπερ ἄρχων αὐτῶν, εἰ αὐτὸς ἑαυτὸν ἐπιδεικνύειν πειρῷτο τοῖς ἀρχομένοις, πάντων μάλιστα κεκοσμημένον τῇ ἀρετῇ. αἰσθάνεσθαι μὲν γὰρ ἐδόκει, καὶ διὰ τοὺς γραφομένους νόμους βελτίους γιγνομένους ἀνθρώπους. τὸν δὲ ἀγαθὸν ἄρχοντα, βλέποντα νόμον ἀνθρώποις ἐνόμισεν, ὅτι καὶ τάττειν ἱκανός ἐστι, καὶ ὁρᾶν τὸν ἀτακτοῦντα καὶ κολάζειν. οὕτω δὴ γιγνώσκων, πρῶτον μὲν τὰ περὶ τοὺς θεοὺς μᾶλλον ἐπεδείκνυεν ἑαυτὸν ἐκπονοῦντα ἐν τούτῳ τῷ χρόνῳ, ἐπεὶ δὲ εὐδαιμονέστερος ἦν. καὶ τότε πρῶτον κατεστάθησαν οἱ μάγοι ὑμνεῖν τε ἀεὶ ἅμα τῇ ἡμέρᾳ τοὺς θεοὺς, καὶ θύειν ἂν ἑκάστην ἡμέραν οἷς οἱ μάγοι θεοῖς εἴποιεν. οὕτω δὴ τὰ τότε κατασταθέντα, ἔτι καὶ νῦν διαμένει παρὰ τῷ ἀεὶ ὄντι βασιλεῖ. ταῦτα οὖν πρῶτον ἐμιμοῦντο αὐτὸν καὶ οἱ ἄλλοι Πέρσαι· νομίζοντες καὶ αὐτοὶ εὐδαιμονέστεροι ἔσεσθαι, ἢν θεραπεύωσι τοὺς θεοὺς, ὥσπερ ὁ εὐδαιμονέστατός τε ὢν καὶ ἄρχων. καὶ Κύρῳ δ' ἂν ἡγοῦντο ταῦτα ποιοῦντες ἀρέσκειν. ὁ δὲ Κῦρος τὴν τῶν μεθ' αὑτοῦ εὐσέβειαν, καὶ ἑαυτῷ ἀγαθὸν ἐνόμιζε· λογιζόμενος ὥσπερ οἱ πλεῖν αἱρούμενοι μετὰ τῶν εὐσεβῶν μᾶλλον, ἢ μετὰ τῶν ἠσεβηκέναι τι δοκούντων. πρὸς δὲ τούτοις ἐλογίζετο ὡς εἰ πάντες οἱ κοινῶνες θεοσεβεῖς εἶεν, ἧττον ἂν αὐτοὺς ἐθέλειν, περί τε ἀλλήλους ἀνόσιόν τι ποιεῖν, καὶ περὶ ἑαυτὸν, εὐεργέτης νομίζων εἶναι τῶν κοινώνων. ἐμφανίζων δὲ καὶ τοῦτο, ὅτι περὶ πολλοῦ ἐποιεῖτο, μηδένα μήτε φίλον ἀδικεῖν, μήτε σύμμαχον, ἀλλὰ τὸ δίκαιον ἰσχυρῶς ὁρῶν, μᾶλλον καὶ τοὺς ἄλλους ᾤετ' ἂν, τῶν μὲν αἰσχρῶν κερδῶν ἀπέχεσθαι, διὰ τοῦ δικαίου δ' ἐθέλειν πορίζεσθαι. καὶ αἰδοῦς δ' ἂν ἡγεῖτο μᾶλλον πάντας ἐμπιπλάναι, εἰ αὐτὸς φανερὸς εἴη, πάντας οὕτως αἰδούμενος, ὡς μήτ' εἰπεῖν ἂν, μήτε ποιῆσαι μηδὲν αἰσχρόν. ἐτεκμαίρετο δὲ τοῦτο οὕτως ἕξειν ἐκ τοῦδε, μὴ γὰρ ὅτι ἄρχοντα, ἀλλὰ καὶ οὓς οὐ φοβοῦνται, μᾶλλον τοὺς αἰδουμένους αἰδοῦνται

αἰδοῦνται τῶν ἀναιδῶν οἱ ἄνθρωποι. καὶ γυναῖκας ἃς ἂν αἰδουμένας αἰσθάνωνται, ἀνταιδεῖσθαι μᾶλλον ἐθέλουσιν ὁρῶντες. τὸ δ' αὖ πείθεσθαι, οὕτω μάλιστ' ἂν ᾤετο ἔμμονον εἶναι τοῖς περὶ αὐτόν, εἰ τοὺς ἀπροφασίστως πειθομένους φανερὸς εἴη μᾶλλον τιμῶν, τῶν τὰς μεγίστας ἀρετὰς καὶ ἐπιπονωτάτας δοκούντων παρέχεσθαι. γιγνώσκων δὲ οὕτω καὶ ποιῶν διετέλει. καὶ σωφροσύνην δὲ αὑτοῦ ἐπιδεικνὺς, μᾶλλον ἐποίει καὶ ταύτην πάντας ἀσκεῖν. ὅταν γὰρ ὁρῶσιν ᾧ μάλιστα ἔξεστιν ὑβρίζειν, τοῦτον σωφρονοῦντα, οὕτω μᾶλλον οἵ γε ἀσθενέστεροι ἐθέλουσιν, οὐδὲν ὑβριστικὸν ποιοῦντες φανεροὶ εἶναι. διῄρει δὲ αἰδῶ καὶ σωφροσύνην τῇδε· ὡς τοὺς μὲν αἰδουμένους, τὰ ἐν τῷ φανερῷ αἰσχρὰ φεύγοντας· τοὺς δὲ σώφρονας, καὶ τὰ ἐν τῷ ἀφανεῖ. καὶ ἐγκράτειαν δὲ οὕτω μάλιστ' ἂν ᾤετο ἀσκεῖσθαι, εἰ αὐτὸς ἐπιδεικνύοι ἑαυτὸν μὴ ὑπὸ τῶν παραυτίκα ἡδονῶν ἑλκόμενον ἀπὸ τῶν ἀγαθῶν, ἀλλὰ προπονεῖν ἐθέλοντα πρῶτον, σὺν τῷ καλῷ τῶν εὐφροσυνῶν. τοιγαροῦν τοιοῦτος ὢν, ἐποίησεν ἐπὶ ταῖς θύραις πολλὴν μὲν τῶν χειρόνων εὐταξίαν, ὑπεικόντων τοῖς ἀμείνοσι, πολλὴν δ' αἰδῶ καὶ εὐκοσμίαν πρὸς ἀλλήλους. ἐπέγνως δ' ἂν ἐκεῖ οὐδένα οὔτε ὀργιζόμενον κραυγῇ, οὔτε χαίροντα ὑβριστικῷ γέλωτι· ἀλλὰ ἰδὼν ἂν αὐτοὺς, ἡγήσω τῷ ὄντι εἰς κάλλος ζῆν. τοιαῦτα μὲν δὴ ποιοῦντες καὶ ὁρῶντες ἐπὶ θύραις διῆγον. τῆς πολεμικῆς δ' ἕνεκα ἀσκήσεως, ἐπὶ θήραν ἐξῆγεν οὕσπερ ἀσκεῖν ταῦτα ᾤετο χρῆναι, ταύτην ἡγούμενος καὶ ὅλως ἀρίστην ἄσκησιν πολεμικῶν εἶναι, καὶ ἱππικῆς δὲ ἀληθεστάτην. καὶ γὰρ ἐποχους ἐν παντοδαποῖς χωρίοις αὕτη μάλιστα ἀποδείκνυσι, διὰ τὸ θηρίοις φεύγουσιν ἕπεσθαι· καὶ ἀπὸ τῶν ἵππων ἐνεργοὺς αὕτη μάλιστα ἀπεργάζεται, διὰ τὴν τοῦ λαμβάνειν φιλοτιμίαν καὶ ἐπιθυμίαν· καὶ τὴν ἐγκράτειαν δὲ καὶ πόνους καὶ ψύχη καὶ θάλπη καὶ λιμὸν καὶ δίψος δύνασθαι φέρειν, ἐνταῦθα μάλιστα προσείθιζε τοὺς κοινῶνας. καὶ νῦν δ' ἔτι βασιλεὺς καὶ οἱ ἄλλοι οἱ περὶ βασιλέα ταῦτα ποιοῦντες διατελοῦσιν. ὅτι μὲν οὖν οὐκ ᾤετο προσήκειν οὐδενὶ ἀρχῆς, ὅστις μὴ βελτίων εἴη τῶν ἀρχομένων, καὶ τοῖς προειρημένοις πᾶσι δῆλον, καὶ ὅτι οὕτως ἀσκῶν τοὺς περὶ ἑαυτὸν πολὺ μάλιστα αὐτὸς ἐξεπόνει, καὶ τὴν ἐγκράτειαν, καὶ τὰς πολεμικὰς τέχνας, καὶ τὰς μελέτας. καὶ γὰρ ἐπὶ θήραν τοὺς μὲν ἄλλους ἐξῆγεν, ὁπότε μὴ μένειν ἀνάγκη τις εἴη. αὐτὸς δὲ καὶ ὁπότε ἀνάγκη εἴη, οἴκοι ἐθήρα τὰ ἐν τοῖς παραδείσοις θηρία τρεφόμενα. καὶ οὔτε αὐτός ποτε πρὶν ἱδρῶσαι δεῖπνον ᾑρεῖτο, οὔτε ἵπποις ἀγυμνάστοις σῖτον ἐνέβαλε. συμπαρεκάλει δὲ καὶ εἰς ταύτην τὴν θήραν τοὺς περὶ αὐτὸν σκηπτούχους. τοιγαροῦν πολὺ μὲν αὐτὸς διέφερεν ἐν πᾶσι τοῖς καλοῖς ἔργοις, πολὺ δὲ οἱ περὶ ἐκεῖνον, διὰ τὴν ἀεὶ μελέτην. παράδειγμα μὲν δὴ τοιόνδε ἑαυτὸν παρείχετο. πρὸς δὲ τούτῳ καὶ τῶν ἄλλων, οὓς μάλιστα ὁρῴη τὰ καλὰ διώκοντας, τούτους καὶ δώροις καὶ ἀρχαῖς, καὶ ἕδραις καὶ πάσαις τιμαῖς ἐγέραιρεν. ὥστε πολλὴν πᾶσι φιλοτιμίαν ἐνέβαλλεν, ὅπως ἕκαστος ἄριστος φανήσοιτο Κύρῳ. καταμαθεῖν δὲ τοῦ Κύρου δοκοῦμεν, ὡς οὐ τούτῳ μόνῳ ἐνόμιζε χρῆναι τοὺς ἄρχοντας τῶν ἀρχομένων διαφέρειν τῷ βελτίονας αὐτῶν εἶναι, ἀλλὰ καὶ καταγοητεύειν ᾤετο χρῆναι αὐτούς. στολήν τε γοῦν εἵλετο τὴν Μηδικὴν αὐτός τε φορεῖν, καὶ τοὺς κοινῶνας ταύτην ἔπεισεν ἐνδύεσθαι. αὕτη γὰρ αὐτῷ συγκρύ-

quàm impudentis homines uerentur. Et mulieres item quascunq; pudentis senserint, magis etiam qui eas uident, pudori habere uolunt. Et obedire quoq; ita rebatur maxime permanere in suis posse, si manifesto magis eos honoraret qui sine excusatione obedirent, quã qui maximas etiam laboriosissimasq; uirtutes præstare uiderentur. Hoc autem sentire ita & facere perseuerabat. Cumq; sui ipsius temperantiã ostẽderet, faciebat ut eam magis omnes exercerent. CVM enim uideant homines, cui maxime licet uti contumeliis hunc uiuere tẽperanter, ita magis imbecilliores ipsi nullis uti contumeliis uideri uolunt. At pudorem & temperantiã hac ratione diuidebat, quod pudentes quæ turpia sunt, in propatulo fugerent: temperantes uero ac pudici etiam in obscuro. Et continentiam hoc pacto maximè arbitrabatur exercendã, si sese ipse ostenderet minimè per subitas uoluptates abstrahi à bonis actionib. sed potius laborem suscipere primum unà cum honestate uelle se se quam uoluptates. Ergo Cyrus cum talis esset, fecit ut in foribus multa esset deteriorum modestia cedentiũ melioribus, multus etiam pudor atq; decorũ inuicem. Insuper etiam cognosceres illic neminẽ neq; irasci clamore, neq; gaudere risu per contumeliam. sed si eos uideres, uere existimares uiuere decore. Res igitur huiusmodi facientes uidentesq; degebant in foribus. Præterea bellicæ exercitationis gratia eos ad uenationem educebat, quibus hæc exercenda existimabat: hanc exercitationem rerum bellicarum esse omnino ratus optimam, equestris autem uerissimam. Hæc enim in omnifariam locis equitantes maxime ostendit, quoniam insequi oporteat feras fugientis: & hæc item reddit ab equis maxime agilis ad efficiendum opus, quoniam capiantur & cupiditate & honoris studio: & hic etiam maxime familiaris assuefaciebat ad ferendam & continentiam, & labores, & frigora, & calores, & famem ac sitim. Atque hoc etiam tempore rex ac regis familiares hæc assidue faciunt. Quod igitur existimaret neminem imperare decere, qui melior subditis non esset, & ex antedictis omnibus patet, & quoniam ita suos exercens multo etiam magis ipse exercebat & continentiam & bellicas arteis meditationesq;. Etenim ad uenationem alios educebat, quando aliqua manendi necessitas non esset. At ipse in necessitate quoq; domi uenabatur eas feras, quæ in hortis alebãtur. Atq; ipse nunquam antequam sudasset cœnam capiebat, nec equis priusquam essent exercitati, pabulum iniiciebat. Quinetiam ad hanc uenationem inuitabat sceptriferos suos. Itaq; longe ipse in omnibus honestis operibus excellebat, longe etiam sui præstabant ob exercitationem assiduam. Et de se quidem tale præbebat exemplũ Præterea alios quoq; & muneribus & magistratibus & consessibus & omnibus donabat honoribus, quos maxime intueretur quæ honesta sunt sequi. Itaq; multam omnibus iniiciebat ambitionem, quo quisq; Cyro optimus uideretur. Insuper de Cyro uidemur didicisse, quòd non hac re solum decere existimabat principes subditis præstare, quod iis forent meliores, sed etiã existimabat opus esse ut ornatu corporis eos allicerent. Itaq; elegit stolam Medicam & ipse ferre, & ut familiares ea induerentur persuasit. Hæc enim uisa est ei occul-

Quid intersit inter pudorem et temperantiam.

quo pacto princeps suos exercere debeat.

occultare, si quis defectum aliquem haberet in corpore: praeterea ea indutos & pulcherrimos & maximos ostendere. Etenim calceos talis habeat, in quibus qui eos ferunt clàm aliquid subijciant, quo maiores esse uideantur quàm sunt: sinebatq; ut oculos suppingerent coloribus, quo pulchrioribus quàm sunt oculis esse uiderentur, & fricarentur ut melius uiderentur colorati quàm natura essent. Exercuit eos insuper, ut neque spuere, neque mucum emittere apparerent: praeterea ne ad quenquam spectandum conuerterentur, perinde quasi mirarentur nihil. Omnia uero haec existimabat aliquid afferre, quo minus forent subditis contemptui. Quos igitur censebat dignos qui alijs praeessent, ex seipso ita composuit ut & meditarentur & uenerabiliter ijs praeessent. Quos item constituit ad seruiendum, horum neminem incitabat ad meditandos ingenuos labores, neque assentiebatur ut haberent arma: uerùm curabat ut neque sine cibo unquam essent, neque sine potu, ingenuarum meditationum gratia. Etenim quando immitterent ut agerent feras in campos equitibus, cibum in uenationem his ferre permittebat, liberorum autem nemini: & quando iter faciundum esset, agebat eos ad aquas ut iumenta. Cumq; esset prādendi tempus eos expectabat, donec aliquid essent ne esurirent. Itaque hi quoque eum, ut uiri optimates, patrem uocabant, quod sui ipsorum haberet curam, quò indubitato semper mancipia forent. Atque uniuerso quidem Persarum imperio hoc pacto parauit securitatem: sibi uerò ne à subiugatis periculi quicquam esset ad nocendum, ualde audebat. Etenim existimabat eos esse mollis, quos etiam intemperantius intueretur. Praeterea neque horum quisquam ei appropinquabat, neq; noctu neq; interdiu. Quos autem & optimos putabat, armatosq; ac frequentis intuebatur, aliosq; eorum equitum esse duces, alios peditum, multos etiam eorum animis elatis esse sentiebat, ut qui satis essent ad imperandum, hi & eius custodibus maxime erant proximi, & Cyro ipsi horum multi saepe commiscebantur: necessario enim his erat usurus. Per hos igitur ei quoq; periculum erat maxime, ne quid pateretur multis modis. Quare considerans quo ab ijs tutus esset: nam his auferre arma, atq; eos imbellis reddere reprobauit, & iniustum id ducens, & imperij solutionem hoc arbitratus. Quod rursus eos non admitteret, seq; ostenderet fidem his non habere, arbitrabatur principium esse belli. Vnum autem quiddā horum omnium nouit & optimum esse ad securitatem sui & pulcherrimum, si facere posset eorum praestantissimos sibi amiciores, quam ipsi inter se forent. Quomodo igitur uidetur nobis adeptus ille eorum amorem, hoc enitemur ostendere. Primò enim assiduè semper humanitatē animi maximè quoad poterat declarabat, existimās quemadmodum non facile est illos amare quibus se odio esse putant, neq; beneuolos esse maleuolis, ita etiam qui cogniti fuerint amare & beneuoli esse, haudquaquam fieri posse ut his odio sint qui amari sese arbitrantur.
Donec igitur pecunijs imbecillior fuit ad beneficium conferendum, tum prouidendo socijs ac familiaribus, tum anticipando labores, tum quod perspicuum faceret se laetari eorum bonis, malisque tristari.

hisce

συγκρύπτειν ἐδόκει, εἴ τις τι ἐν τῷ σώματι ἐνδεὲς ἔχοι, καὶ καλλίστους καὶ μεγίστους ἐπιδεικνύναι τοὺς φοροῦντας. καὶ γὰρ τὰ ὑποδήματα τοιαῦτα ἔχουσιν, ἐν οἷς μάλιστα λαθεῖν ἔστι καὶ ὑποτιθεμένους τι, ὥστε δοκεῖν μείζους εἶναι ἢ εἰσί. καὶ ὑπογράφεσθαι δὲ τοὺς ὀφθαλμοὺς προσίετο, ὡς εὐοφθαλμότεροι φαίνοιντο ἢ εἰσί. καὶ ἐντρίβεσθαι ὡς εὐχροώτεροι ὁρῷντο ἢ πεφύκασιν. ἐμελέτησε δὲ καὶ ὡς μὴ διαπτύοντες, μηδὲ ἀπομυττόμενοι φανεροὶ εἶεν. μηδὲ μεταστρεφόμενοι ἐπὶ θέαν μηδενός, ὡς οὐδὲν θαυμάζοντες. πάντα δὲ ταῦτα ᾤετο φέρειν τι, εἰς τὸ δυσκαταφρονητοτέρους φαίνεσθαι τοῖς ἀρχομένοις. οὓς μὲν δὴ ἄρχειν ᾤετο χρῆναι δι' αὐτοῦ, οὕτω κατεσκεύασε, καὶ μελέτῃ, καὶ τῷ σεμνῶς προεστάναι αὐτῶν. οὓς δ' αὖ κατεσκεύαζεν εἰς τὸ δουλεύειν, τούτους οὔτε μελετᾶν τῶν ἐλευθέρων πόνων οὐδένα παρόρμα, οὔτε ὅπλα κεκτῆσθαι ἐπέτρεπεν. ἐπεμελεῖτο δέ, ὅπως μήποτε ἄσιτοι, μήτε ἄποτοι ποτὲ ἔσοιντο, ἐλευθερίων ἕνεκα μελετημάτων. καὶ γὰρ ὁπόταν ἐλαύνοιεν τὰ θηρία τοῖς ἱππεῦσιν εἰς τὰ πεδία, φέρεσθαι σῖτον εἰς θήραν τούτοις ἐπέτρεπε, τῶν δὲ ἐλευθέρων, οὐδενί. καὶ ὁπότε πορεία εἴη, ἦγεν αὐτοὺς πρὸς τὰ ὕδατα ὥσπερ τὰ ὑποζύγια. καὶ ὁπότε δὲ ὥρα εἴη ἀρίστου, ἀνέμενεν αὐτοὺς ἔστ' ἂν φάγοιέν τι, ὡς μὴ βουλιμιῷεν. ὥστε καὶ οὗτοι αὐτὸν ὥσπερ οἱ ἄριστοι πατέρα ἐκάλουν, ὅτι ἐπεμέλετο αὐτῶν, ὅπως ἀναμφιλόγως ἀεὶ ἀνδράποδα διατελοῖεν. τῇ μὲν δὴ ὅλῃ Περσῶν ἀρχῇ, οὕτω τὴν ἀσφάλειαν κατεσκεύαζεν. ἑαυτῷ δὲ ὅτι μὲν οὐχ ὑπὸ τῶν καταστραφθέντων κίνδυνος εἴη παθεῖν τι, ἰσχυρῶς ἐθάρρει. καὶ γὰρ ἀνάλκιδας ἡγεῖτο εἶναι αὐτούς, καὶ ἀσυντάκτους ὄντας ἑώρα. καὶ πρὸς τούτοις, οὐδὲ ἐπλησίαζε τούτων οὐδεὶς αὐτῷ, οὔτε νυκτὸς οὔτε ἡμέρας. οὓς δὲ κρατίστους τε ἡγεῖτο, καὶ ὡπλισμένους καὶ ἀθρόους ὄντας ἑώρα. καὶ τοὺς μὲν αὐτῶν ᾔδει ἱππέων ἡγεμόνας ὄντας, τοὺς δὲ πεζῶν. πολλοὺς δὲ αὐτῶν καὶ φρονήματα ἔχοντας ᾐσθάνετο ὡς ἱκανοὺς ὄντας ἄρχειν, καὶ τοῖς φύλαξι δὲ αὐτοῦ, οὗτοι μάλιστα ἐπλησίαζον. καὶ αὐτῷ δὲ Κύρῳ τούτων πολλοὶ πολλάκις συνεμίγνυσαν. ἀνάγκη γὰρ ἦν ὅτι κεχρῆσθαι ἔμελλεν αὐτοῖς. ὑπὸ τούτων οὖν καὶ κίνδυνος ἦν αὐτὸν μάλιστα παθεῖν τι κατὰ πολλοὺς τρόπους. σκοπῶν οὖν ὅπως ἂν αὐτῷ καὶ τὰ ὑπὸ τούτων ἀκίνδυνα γένοιτο, τὸ μὲν περιελέσθαι αὐτῶν τὰ ὅπλα καὶ ἀπολέμους ποιῆσαι, ἀπεδοκίμασε, καὶ ἄδικον ἡγούμενος, καὶ κατάλυσιν τῆς ἀρχῆς τοῦτο νομίζων. τὸ δὲ αὖ μὴ προσίεσθαι αὐτούς, καὶ τὸ ἀπιστοῦντα φανερὸν εἶναι, ἀρχὴν ἡγήσατο πολέμου. ἓν δὲ ἀντὶ πάντων τούτων ἔγνω καὶ κράτιστον εἶναι πρὸς τὴν αὐτοῦ ἀσφάλειαν καὶ κάλλιστον, εἰ δύναιτο ποιῆσαι τοὺς κρατίστους ἑαυτῷ μᾶλλον φίλους ἢ ἀλλήλους. ὡς οὖν ἐπὶ τὸ φιλεῖσθαι δοκεῖ ἡμῖν ἐλθεῖν, τοῦτο πειρασόμεθα διηγήσασθαι. πρῶτον μὲν γὰρ διὰ παντὸς ἀεὶ τοῦ χρόνου φιλανθρωπίαν τῆς ψυχῆς ὡς ἐδύνατο μάλιστα ἐνεφάνιζεν. ἡγούμενος ὥσπερ οὐ ῥᾴδιόν ἐστι φιλεῖν τοὺς μισεῖν δοκοῦντας, οὐδ' εὐνοεῖν τοῖς κακονόοις, οὕτω καὶ τοὺς γνωσθέντας ὡς φιλοῦσι καὶ εὐνοοῦσιν, οὐκ ἂν δύνασθαι μισεῖσθαι ὑπὸ τῶν φιλεῖσθαι ἡγουμένων. ἕως μὲν οὖν χρήμασιν ἀδυνατώτερος ἦν εὐεργετεῖν, τῷ τε προνοεῖν τῶν συνόντων, καὶ τῷ προπονεῖν, καὶ τῷ συνηδόμενος μὲν ἐπὶ τοῖς ἀγαθοῖς φανερὸς εἶναι, συναχθόμενος δὲ ἐπὶ τοῖς κακοῖς.

τούτοις

τούτοις ἐθηρᾶτο τὴν φιλίαν θηρεύειν. ἐπειδὴ δὲ ἐγγένετο αὐτῷ ὥστε χρήμασιν εὐεργετεῖν, δοκεῖ ἡμῖν γνῶναι, πρῶτον μὲν, ὡς εὐεργέτημα ἀνθρώποις πρὸς ἀλλήλους, οὐδέν ἐστιν ἀπὸ τῆς αὐτῆς δαπάνης ἐπιχαριτώτερον, ἢ σίτων καὶ ποτῶν μετάδοσις. τοῦτο δ' οὕτω νομίσας, πρῶτον μὲν ἐπὶ τὴν αὐτοῦ τράπεζαν συνέταξεν, ὅπως οἷς αὐτὸς σιτοῖτο σίτοις, τούτοις ὅμοια ἀεὶ παρατίθοιτο αὐτῷ ἱκανὰ παμπόλλοις ἀνθρώποις. ὅσα δὲ παρατιθείη, ταῦτα πάντα, πλὴν οἷς αὐτὸς καὶ οἱ σύνδειπνοι χρήσαιντο διεδίδου, οἷς ἀεὶ βούλοιτο τῶν φίλων μνήμην ἐνδείκνυσθαι, ἢ φιλοφροσύνην. διέπεμπε δὲ καὶ τούτους οὓς ἀγασθείη, ἢ ἐν φυλακαῖς, ἢ ἐν θεραπείαις, ἢ ἐν ταῖς ποιναῖς πράξεσιν ἐνσημαινόμενος τοῦτο, ὅτι οὐκ ἐλάνθανον χαρίζεσθαι βουλόμενοι. ἐτίμα δὲ καὶ τῶν οἰκετῶν ἀπὸ τῆς τραπέζης, ὁπότε τινὰ ἐπαινέσειε. καὶ τὸν πάντα δὲ σῖτον τῶν οἰκετῶν ἐπὶ τὴν αὐτοῦ τράπεζαν ἐπετίθετο, οἰόμενος ὥσπερ καὶ τοῖς κυσὶν ἐμποιεῖν τινὰ καὶ τοῦτο εὔνοιαν. εἰ δὲ καὶ θεραπεύεσθαι τινὰ βούλοιτο τῶν φίλων ὑπὸ πολλῶν, καὶ τούτοις ἔπεμπεν ἀπὸ τραπέζης. καὶ νῦν γὰρ ἔτι, οἷς ἂν ὁρῶσι πεμπόμενα ἀπὸ τῆς βασιλέως τραπέζης, τούτους πάντες μᾶλλον θεραπεύουσι, νομίζοντες αὐτοὺς ἐντίμους εἶναι, καὶ ἱκανοὺς διαπράττειν ἤν τι δέωνται. ἔτι δὲ καὶ οὐ τούτων μόνον ἕνεκα τῶν εἰρημένων εὐφραίνει τὰ πεμπόμενα παρὰ βασιλέως, ἀλλὰ τῷ ὄντι καὶ ἡδονῇ πολὺ διαφέρει τὰ ἀπὸ τῆς βασιλέως τραπέζης. καὶ τοῦτο μέντοι οὕτως ἔχειν, οὐδέν τι θαυμαστόν. ὥσπερ γὰρ καὶ ἄλλαι τέχναι διαφερόντως ἐν ταῖς μεγάλαις πόλεσιν ἐξειργασμέναι εἰσί, κατὰ τὸν αὐτὸν τρόπον καὶ τὰ παρὰ βασιλεῖ σῖτα, πολὺ διαφερόντως ἐκπεπόνηται. ἐν μὲν γὰρ ταῖς μικραῖς πόλεσιν οἱ αὐτοὶ ποιοῦσι κλίνην, θύραν, ἄροτρον, τράπεζαν. πολλάκις δ' ὁ αὐτὸς οὗτος καὶ οἰκοδομεῖ, καὶ ἀγαπᾷ ἢν καὶ οὕτως ἱκανοὺς αὐτὸν τρέφειν ἐργοδότας λαμβάνῃ. ἀδύνατον οὖν πολλὰ τεχνώμενον ἄνθρωπον, πάντα καλῶς ποιεῖν. ἐν δὲ ταῖς μεγάλαις πόλεσι, διὰ τὸ πολλοὺς ἑκάστου δεῖσθαι, ἀρκεῖ καὶ μία ἑκάστῳ τέχνη εἰς τὸ τρέφεσθαι. πολλάκις δὲ οὐδ' ὅλη μία, ἀλλ' ὑποδήματα ποιεῖ ὁ μὲν ἀνδρεῖα, ὁ δὲ γυναικεῖα. ἔστι δὲ ἔνθα καὶ ὑποδήματα, ὁ μὲν νευρορραφῶν μόνον τρέφεται, ὁ δὲ σχίζων, ὁ δὲ χιτῶνας μόνον συντέμνων, ὁ δέ γε τούτων οὐδὲν ποιῶν, ἀλλὰ συντιθεὶς ταῦτα. ἀνάγκη οὖν τὸν ἐν βραχυτάτῳ διατρίβοντα ἔργῳ, τοῦτον καὶ ἄριστα διηναγκάσθαι τοῦτο ποιεῖν. τὸ αὐτὸ δὲ τοῦτο πέπονθε καὶ τὰ ἀμφὶ τὴν δίαιταν. ᾧ μὲν γὰρ ὁ αὐτὸς κλίνην στρώννυσι, τράπεζαν κοσμεῖ, μάττει, ὄψα ἄλλοτε ἀλλοῖα ποιεῖ, ἀνάγκη οἶμαι τούτῳ, ὡς ἂν ἕκαστον προχωρῇ, οὕτως ἔχειν. ὅπου δὲ ἱκανὸν ἔργον ἑνὶ ἕψειν κρέα, ἄλλῳ ὀπτᾶν, ἄλλῳ δὲ ἰχθὺν ἕψειν, ἄλλῳ ὀπτᾶν, ἄλλῳ ἄρτους ποιεῖν, καὶ μηδὲ τούτους παντοδαπούς, ἀλλ' ἀρκεῖ ἂν ἓν εἶδος εὐδοκιμοῦν παρέχῃ, ἀνάγκη οἶμαι ταῦτα οὕτω ποιούμενα, πολὺ διαφερόντως ἐξειργάσθαι ἕκαστον. τῇ μὲν δὴ τῶν σίτων θεραπείᾳ, τοιαῦτα ποιῶν, πολὺ ὑπερεβάλλετο πάντας. ὡς δὲ καὶ τοῖς ἄλλοις πᾶσι θεραπεύων πολὺ ἐκράτει, τοῦτο νῦν διηγήσομαι. πολὺ γὰρ διενεγκὼν ἀνθρώπων τῷ πλείστας προσόδους λαμβάνειν, πολὺ ἔτι πλέον διήνεγκε, τῷ πλεῖστα ἀνθρώποις δωρεῖσθαι. κατῆρξε μὲν οὖν τούτου Κῦρος, διαμένει δὲ

ἔτι.

hisce rebus studebat amicitiam uenari. Vbi autem factum est ut ipse posset pecunijs esse beneficus, uidemur sane cognoscere nullum esse beneficium hominibus erga homines gratius, quàm quae ab eodem fit uictuandi sumptu, ciborum potuumq; collatio. Hoc autem Cyrus ita ratus primũ constituit ad mensam suam, ut quibus ipse conuiuium faceret, his similia semper esculenta ac sibi apponerentur, quae satis essent permultis hominibus. Quaecunq; autem apposita essent, haec omnia praeterea quibus ipse conuiuaeq; uterentur, distribuebat, quibus uellet amicorum memoriam ostendere uel benignitatem. Mittebat etiam singillatim ad hos quibus delectaretur aut in custodijs, aut in famulatibus, aut in quibuscunque actionibus: hoc sane significans, quod se non lateret ea esse illos uoluntate ut sibi gratificarentur. Honorabat etiam seruos à mensa, cum aliquem laudaret: & uniuersum seruorum cibum in sua mensa ponebat, ratus etiam hac re inducere in eos quandam beneuolentiam, quemadmodum in canes. Quod si quem ex amicis uellet a multis coli, ad hos quoque mittebat a mensa. Etenim nunc item quibus uideant aliquid mitti à mensa regis, hos omnes magis colunt: rati eos esse honorificos, & qui satis sint ad transigendum si qua re egeant. Praeterea non solum horum quae diximus gratia delectant ea quae mittuntur à rege, uerumetiam quia uoluptate certo plurimum praestant quae à regis mensa mittuntur. Quam rem ita habere non est mirandum. Nam quemadmodum aliae artes in magnis urbibus excellentius laborantur, eodem modo regis esculenta sunt longe praestantius laborata. In paruis enim urbibus ijdem faciunt lectum, ualuas, aratrum, mensam. Persaepe etiam hic idem & aedificat, & contentus est si accipiat hoc pacto à quibus per datas operas ipse sat ali queat. NON ERGO fieri potest, ut qui multis utitur artibus, is homo omnia pulchre faciat. At in magnis urbibus quia multi singulis egent, satis est una etiam cuique ars ad alendum: ac saepe ne tota quidem una, sed calceos facit hic uirorum, ille mulierum. Est etiam ubi alter qui calceos facit, eos neruo solum consuens sibi uictum parat, alter autem scindens: hic tunicas duntaxat incidens, ille uero faciens horum nihil, sed incisa componens. NECESSARIO igitur qui in breuissimo uersatur opere, hic uel optime cogitur hoc facere. Idem etiam hoc patiuntur, quae pertinent ad uictum. Cum enim idem lectum sternit, mensam ornat, massam & obsonia alias alia atq; alia facit, necesse est hunc ita in ijs habere ut singillatim accidit. Vbi uero satis est operis uni unum, carnes elixare, alij assare, alij item piscem elixum facere, alij assatum, alij uero facere panes, & ne hos quidem multiplices, sed satis eis si praebeat speciem unam pulchre, necesse sit, ut arbitror, haec quae ita fiunt longe excellenter facta esse. Qui igitur res faceret huiusmodi, esculentorum cultu longe omnes excellebat. Vt uero alijs item rebus obsequens Cyrus longe praestabat, hoc equidem nunc enarrabo. Nam cum multo caeteris hominibus superior esset in plurimis censibus capiundis, multo etiam magis eos superabat in donandi magnitudine. Cyrus igitur hoc incepit, quod hac quoque tempestate in regibus perseuera

in magnis

in magnis muneribus faciundis. Cui enim ditiores amici ostenduntur quàm Persarum regi? Quis etiam pulchrioribus uidetur stolis suos ornare quàm rex? Cuius dona cognoscuntur ut regia quædam, armillæ, torques, equi frenis insignes aureis. Non enim licet illi cuiquam hæc habere, cui rex non dederit. Quis item alius dicitur donorum magnitudine efficere, ut rex anteponatur fratribus, parentibus, filijs? Quis alius quoque potuerit inimicos distantis multorum dierum uia punire ut rex Persarum? Quis præterea alius qui subiugasset imperium, est à subditis uocatus pater cum diem obijt, quàm Cyrus? Hoc autem nomen benefici uidelicet magis est, quàm eius qui auferat. Dicimus præterea Cyrum & regis oculos, qui uocantur, & regis auris non aliter adeptum esse, quàm munerando honorandóque. Cum illos enim magnis afficeret beneficijs qui nunciassent, quæcunque sibi pro tempore essent audienda, fecit ut homines multi & auribus audirent & oculis uiderent, quo nuncijs suis utilitatem regi essent allaturi. Hinc igitur extitisse etiam sunt multi esse oculi regis, & multæ aures. Quod si quis putat unum expetendum oculum regi esse, non rectè putat: unus enim pauca & uideat & audiat, essétque alijs quasi negligentia quædam indicta, si hoc uni foret imperatum. Præterea quem cognoscerent esse oculum, hunc scirent cauendum esse. Sed non ita habet. At rex omnes audit, qui dicunt se aliquid audisse aut uidisse dignum diligentia. Sic igitur multæ existimantur esse regis aures & multi oculi, metuuntq; ubique ea dicere quæ minus regi conducant, tanquam eo uidente: & ea facere quæ non prosint, quasi eo præsente. Non modo nemo ausus esset memorare mali quicquam de Cyro cum aliquo, sed ita quisque ei erat affectus tanquam esset in omnibus oculis atque auribus regis præsentibus semper. Quod autem ita homines erga eum essent affecti, equidem nescio quam aliquis causam potiorem afferat, quàm quod pro paruis magna beneficia referret. Et quod magnitudine munerum excelleret, non est mirandum, quoniam esset ditißimus. Sed quod cultu ac diligentia, qui rex esset, amicos antecelleret, hoc sane admirabilius. Ille igitur narratur nulla re, ubi superaretur, ita manifesto pudore affici consuesse, ut amicorum cultu. Et eius oratio memoriæ prodita est, cum diceret similia esse opera boni pastoris & boni regis. Nam & pastorem decere id præstare, ut pecora habeant feliciter: & ijs uti, si tandem pecudum est felicitas. Et regem identidem decet urbes atque homines felices facere, & ijs uti. Nihil igitur mirabile si hæc esset sententia, ut pertinaciter uellet omnis homines obsequio præstare. Pulchrum etiam documentum Cyrus dicitur Crœso demonstrasse, quando ab eo admonebatur, fore ut in multa largitione pauper fieret, cum liceret ei uni uiro quamplurimos auri thesauros domi reponere. Et Cyrum dicitur percunctatum: Et quot iam mihi pecunias futuras fuisse arbitraris si aurum collegissem, ut ipse iubes, ex quo tempore sum in imperio? Crœsumq; respondisse, magnum quendam numerum. Atque Cyrum ad hæc dixisse: Age igitur Crœse, mitte uirum unà cum hoc Hystaspa, cui tu maxime

ἔτι καὶ νῦν τοῖς βασιλεῦσιν ἡ πολυδωρία. τίνι μὲν γὰρ φίλοι πλουσιώτεροι ὄντες φανεροί, ἢ Περσῶν βασιλεῖ; τίς δὲ κοσμῶν κάλλιον φαίνεται στολαῖς τοὺς περὶ αὐτὸν, ἢ βασιλεύς; τίνος δὲ δῶρα γιγνώσκεται ὥσπερ ἔνια τῶν βασιλέως, ψέλλια καὶ στρεπτοὶ καὶ ἵπποι χρυσοχάλινοι; οὐ γὰρ δὴ ἔξεστιν ἐκεῖ ταῦτα ἔχειν, ᾧ ἂν μὴ βασιλεὺς δῷ. τίς δ' ἄλλος λέγεται δώρων μεγέθει ποιεῖν αἱρεῖσθαι αὑτὸν, καὶ ἀντ' ἀδελφῶν, καὶ ἀντὶ πατέρων, καὶ ἀντὶ παίδων; τίς δ' ἄλλος ἐδυνάσθη ἐχθροὺς ἀπέχοντας πολλῶν μηνῶν ὁδὸν τιμωρεῖσθαι ὡς Περσῶν βασιλεύς; τίς δ' ἄλλος καταστρεψάμενος ἀρχὴν, ὑπὸ τῶν ἀρχομένων πατὴρ καλούμενος ἀπέθανεν, ἢ Κῦρος; τοῦτο δὲ τὸ ὄνομα, δῆλον ὅτι εὐεργετοῦντός ἐστι μᾶλλον ἢ ἀφαιρουμένου. κατεμάθομεν δὲ, ὡς καὶ τοὺς βασιλέως καλουμένους ὀφθαλμοὺς, καὶ τὰ βασιλέως ὦτα οὐκ ἄλλως ἐκτήσατο, ἢ τῷ δωρεῖσθαί τε καὶ τιμᾶν. τοὺς μὲν γὰρ ἀπαγγείλαντας ὅσα καιρὸς αὐτῷ εἴη πεπύσθαι, μεγάλως εὐεργετῶν, πολλοὺς ἐποίησεν ἀνθρώπους καὶ ὠτακουστεῖν καὶ κατοπτεύειν, τί ἂν ἀγγείλαντες ὠφελήσειαν βασιλέα. ἐκ τούτου δὴ, καὶ πολλοὶ ἐνομίσθησαν, βασιλέως ὀφθαλμοὶ καὶ πολλὰ ὦτα. εἰ δέ τις οἴεται ἕνα αἱρετὸν εἶναι ὀφθαλμὸν βασιλεῖ, οὐκ ὀρθῶς οἴεται. ὀλίγα γὰρ εἷς ἂν ἴδοι καὶ εἷς ἀκούσειε, καὶ τοῖς ἄλλοις ὥσπερ ἀμελεῖν ἂν παρηγγελμένον εἴη, εἰ ἑνὶ τοῦτο προστεταγμένον εἴη. πρὸς δὲ καὶ ὅντινα γιγνώσκοιεν ὀφθαλμὸν ὄντα, τοῦτον ἂν εἰδεῖεν ὅτι φυλάττεσθαι δεῖ. ἀλλ' οὐχ οὕτως ἔχει. ἀλλὰ τοῦ φάσκοντος ἀκοῦσαί τι ἢ ἰδεῖν ἄξιον ἐπιμελείας, πάντος βασιλεὺς ἀκούει. οὕτω δὴ πολλὰ μὲν βασιλέως ὦτα, πολλοὶ δὲ ὀφθαλμοὶ νομίζονται. καὶ φοβοῦνται πανταχοῦ λέγειν τὰ μὴ σύμφορα βασιλεῖ, ὥσπερ αὐτοῦ ἀκούοντος· καὶ ποιεῖν ἃ μὴ σύμφορα, ὥσπερ αὐτοῦ παρόντος. οὔκουν ὅπως μνησθῆναι ἄν τις ἐτόλμησε πρός τινα περὶ Κύρου φλαῦρόν τι. ἀλλ' ὡς ἐν ὀφθαλμοῖς πᾶσι καὶ ὠσὶ βασιλέως τοῖς ἀεὶ παροῦσιν, οὕτως ἕκαστος διέκειτο. τὸ δὲ οὕτω διακεῖσθαι τοὺς ἀνθρώπους πρὸς αὐτὸν, ἐγὼ μὲν οὐκ οἶδα ὅ,τι ἄν τις αἰτιάσαιτο μᾶλλον, ἢ ὅτι μεγάλα ἤθελεν ἀντὶ μικρῶν εὐεργετεῖν. καὶ τῷ μὲν δὴ μεγέθει δώρων ὑπερβάλλειν πλουσιώτατον ὄντα, οὐ θαυμαστόν. τῇ δὲ θεραπείᾳ καὶ τῇ ἐπιμελείᾳ τῶν φίλων βασιλεύοντα περιγενέσθαι, τοῦτο ἀξιολογώτερον. ἐκεῖνος τοίνυν λέγεται κατάδηλος εἶναι, μηδενὶ ἂν οὕτως αἰσχυνθεὶς ἡττώμενος, ὡς φίλων θεραπείᾳ. καὶ λόγος δὲ αὐτοῦ ἀπομνημονεύεται, ὡς λέγοι παραπλήσια ἔργα εἶναι, νομέως ἀγαθοῦ καὶ βασιλέως ἀγαθοῦ. τόν τε γὰρ νομέα χρῆναι, ἔφη, εὐδαίμονα τὰ κτήνη ποιοῦντα, χρῆσθαι αὐτοῖς, ἥ δὴ προβάτων εὐδαιμονία. τόν τε βασιλέα ὡσαύτως, εὐδαίμονας πόλεις καὶ ἀνθρώπους ποιοῦντα, χρῆσθαι αὐτοῖς. οὐδὲν οὖν θαυμαστὸν, εἴπερ ταύτην εἶχε τὴν γνώμην, τὸ φιλονείκως ἔχειν πάντων ἀνθρώπων, θεραπείᾳ περιγίγνεσθαι. καλὸν δὲ ἐπίδειγμα καὶ τοῦτο λέγεται Κῦρος ἐπιδεῖξαι Κροίσῳ, ὅτε ἐνουθέτει αὐτὸν, ὡς διὰ τὸ πολλὰ διδόναι πένης ἔσοιτο, ἐξὸν αὐτῷ θησαυροὺς χρυσοῦ πλείστους, ἑνί γε ἀνδρὶ ἐν τῷ οἴκῳ καταθέσθαι. καὶ τὸν Κῦρον λέγεται ἐρέσθαι, καὶ πόσα ἂν ἤδη οἴει μοι χρήματα εἶναι, εἰ συνέλεγον χρυσίον ὥσπερ σὺ κελεύεις, ἐξ ὅτου ἐν τῇ ἀρχῇ εἰμι; καὶ τὸν Κροῖσον εἰπεῖν, πολλά τινα ἀριθμόν. καὶ τὸν Κῦρον πρὸς ταῦτα· ἄγε δὴ φάναι, ὦ Κροῖσε, σύμπεμψον ἄνδρα σὺν Ὑστάσπᾳ τούτῳ, ὅτῳ σὺ πιστεύεις

πλουσίους μάλιστα. σὺ δὲ, ὦ Ὑστάσπα, ἔφη, περιελθὼν πρὸς τοὺς φίλους, λέγε αὐτοῖς, ὅτι δέομαι χρυσίου, πρὸς πρᾶξίν τινα. καὶ γὰρ τῷ ὄντι προσδέομαι. καὶ κέλευε αὐτοὺς, ὁπόσα ἂν ἕκαστος δύναιτο πορίσαι μοι χρήματα, γράψαντας καὶ κατασημηναμένους δοῦναι τὴν ἐπιστολὴν τῷ Κροίσου θεράποντι φέρειν. ταῦτα δὲ ὅσα ἔλεγε, καὶ γράψας καὶ σημηνάμενος, ἐδίδου τῷ Ὑστάσπᾳ φέρειν πρὸς τοὺς φίλους. ἐνέγραψε δὲ πρὸς πάντας, καὶ Ὑστάσπαν ὡς φίλον αὐτοῦ δέχεσθαι. ἐπεὶ δὲ περιῆλθε καὶ ἤνεγκεν ὁ Κροίσου θεράπων τὰς ἐπιστολὰς, ὁ δὴ Ὑστάσπας εἶπεν· ὦ Κῦρε βασιλεῦ, καὶ ἐμοὶ ἤδη χρὴ ὡς πλουσίῳ χρῆσθαι. πάμπολλα γὰρ ἔχων πάρειμι δῶρα διὰ τὰ σὰ πράγματα. καὶ ὁ Κῦρος εἶπεν· εἷς μὲν τοίνυν καὶ οὗτος ἤδη θησαυρὸς ἡμῖν, ὦ Κροῖσε· τοὺς δὲ ἄλλους καταθεῶ, καὶ λόγισαι πόσα ἐστὶν ἕτοιμα χρήματα, ἤν τι δέωμαι χρῆσθαι. λέγεται δὴ λογιζόμενος ὁ Κροῖσος, πολλαπλάσια εὑρεῖν, ἢ ἔφη Κύρῳ ἂν εἶναι ἐν τοῖς θησαυροῖς ἤδη εἰ συνέλεγεν. ἐπεὶ δὲ τοῦτο φανερὸν ἐγένετο, εἰπεῖν λέγεται ὁ Κῦρος, ὁρᾷς φάναι, ὦ Κροῖσε, ὡς εἰσὶ καὶ ἐμοὶ θησαυροί· ἀλλὰ σὺ μὲν κελεύεις με παρ᾽ ἐμοὶ αὐτοὺς συλλέγοντα, φθονεῖσθαί τε δι᾽ αὐτοὺς καὶ μισεῖσθαι, καὶ φύλακας αὐτοῖς ἐφιστάντα μισθοφόρους τούτοις πιστεύειν. ἐγὼ δὲ τοὺς φίλους πλουσίους ποιῶν, τούτους μοι νομίζω θησαυροὺς, καὶ φύλακας ἅμα ἐμοῦ τε καὶ τῶν ἡμετέρων ἀγαθῶν πιστοτέρους εἶναι, ἢ εἰ φρουροὺς μισθοφόρους ἐπεστησάμην. καὶ ἄλλο δέ σοι ἐρῶ. ἐγὼ γὰρ, ὦ Κροῖσε, ὃ μὲν οἱ θεοὶ δόντες εἰς τὰς ψυχὰς τοῖς ἀνθρώποις ἐποίησαν ὁμοίως πένητας πάντας, τούτου μὲν οὐδὲ αὐτὸς δύναμαι περιγενέσθαι. ἀλλ᾽ εἰμὶ ἄπληστος κἀγὼ, ὥσπερ οἱ ἄλλοι χρημάτων. τῇδε μέντοι διαφέρειν μοι δοκῶ τῶν πλείστων, ὅτι οἱ μὲν ἐπειδὰν τῶν ἀρκούντων περιττὰ κτήσωνται, τὰ μὲν αὐτῶν κατορύττουσι, τὰ δὲ κατασήπουσι, τὰ δὲ ἀριθμοῦντες καὶ μετροῦντες, καὶ ἱστάντες καὶ διαψύχοντες καὶ φυλάττοντες, πράγματα ἔχουσι. καὶ ὅμως ἔνδον ἔχοντες αὐτὰ, οὔτε ἐσθίουσι πλείω ἢ δύνανται φέρειν, διαρραγεῖεν γὰρ ἄν· οὔτ᾽ ἀμφιέννυνται πλείω ἢ δύνανται φέρειν, ἀποπνιγεῖεν γὰρ ἄν. ἀλλὰ τὰ περιττὰ χρήματα, πράγματα ἔχουσιν. ἐγὼ δὲ ὑπηρετῶ μὲν τοῖς θεοῖς, καὶ ὀρέγομαι ἀεὶ πλειόνων. ἐπειδὰν δὲ κτήσωμαι, ἃ ἂν ἴδω περιττὰ ὄντα τῶν ἐμοὶ ἀρκούντων, τούτοις τάς τ᾽ ἐνδείας τῶν φίλων ἐξακοῦμαι, καὶ πλουτίζων καὶ εὐεργετῶν ἀνθρώπους, εὔνοιαν ἐξ αὐτῶν κτῶμαι καὶ φιλίαν. καὶ ἐκ τούτων καρποῦμαι ἀσφάλειαν καὶ εὔκλειαν, ἃ οὔτε κατασήπεται, οὔτε ὑπερπληροῦντα λυμαίνεται. ἀλλὰ ἡ εὔκλεια, ὅσῳ ἂν πλείων ᾖ, τοσούτῳ καὶ μείζων καὶ καλλίων καὶ κουφοτέρα φέρειν γίγνεται. πολλάκις δὲ καὶ τοὺς φέροντας αὐτὴν κουφοτέρους παρέχεται. ὅπως δὲ καὶ τοῦτ᾽ εἰδῇς, ἔφη, ὦ Κροῖσε, ἐγὼ οὐ τοὺς πλεῖστα ἔχοντας καὶ φυλάττοντας πλεῖστα εὐδαιμονεστάτους ἡγοῦμαι (οἱ γὰρ τὰ τείχη φυλάττοντες, οὕτως ἂν εὐδαιμονέστατοι εἶεν· πάντα γὰρ τὰ ἐν ταῖς πόλεσι φυλάττουσιν) ἀλλ᾽ ὃς ἂν κτᾶσθαί τε πλεῖστα δύνηται σὺν τῷ δικαίῳ, καὶ χρῆσθαί τε πλείστοις σὺν τῷ καλῷ, τοῦτον ἐγὼ εὐδαιμονέστατον νομίζω, καὶ τὰ χρήματα. καὶ ταῦτα μὲν δὴ φανερὸς ἦν, ὥσπερ καὶ ἔλεγε πράττων. πρὸς δὲ τούτοις κατανοήσας τοὺς πολλοὺς τῶν ἀνθρώπων, ὅτι ἢν μὲν ὑγιαίνοντες διατελῶσι, παρασκευάζονται ὅπως ἕξουσι τὰ ἐπι-

τήδεια

maximè credis. Tu uerò Hystaspa circumadiens amicos, dic eis me auro egere ad opus quoddam: etenim uero egeo: eisq; iube, mihi præbeant pecunias quascunque singuli queant: scriptam autem obsignatamque epistolam dent ferendam Crœsi famulo. Hæc autem quæcunque dixerat, cum scripsisset, obsignassetq; literas, eas Hystaspæ ad amicos dedit, scripsitq; ad omnes ut Hystaspam exciperent ut amicum suum. Cum igitur amicos circuisset Hystaspas, & Crœsi famulus epistolas tulisset, ait Hystaspas: O rex Cyre, etiam me iam ut diuite decet uti. Adsum enim multis donatus muneribus ob literas tuas. Et Cyrus ait: Vnus igitur iam etiam hic nobis Crœse thesaurus est: alios uerò ipse intuere, & supputa quot pecuniæ sunt paratæ, si quid mihi utendum sit. Supputatis igitur Crœsus pecunijs, multò plures inuenit quàm Cyro dixerat futuras fuisse iam in thesauris, si eas collegisset. Quod ubi patuit, Cyrus dixisse traditur: Vides ne Crœse mihi quoque esse thesauros? At ipse mihi iubes, ut eos collectos apud me habeam, ut propter eos & inuidiæ sim & odio, ac fidem habeam mercenarijs custodibus, quos ijs præfecerim. AT EGO DVM AMICOS DIVITES reddo, hos mihi thesauros esse puto, & custodes simul tum mei ipsius, tum meorum bonorum longe fideliores, quàm si præsidiarios stipendiarios præfecissem. Atque aliud item dicam tibi: Ego enim Crœse, quod dij dederunt animis hominum, qui omnes identidem pauperes fecerunt, hoc ne ipse quidem possum esse superior, sed insatiabilis sum pecuniarum quemadmodum alij. Verùm ego hoc mihi uideor multitudini præstare, quod hi posteaquam plus quàm satis est adepti fuerint, alias suas pecunias defodientes, alias marcescere facientes, alias numerantes, metientes, expendentes, uentilantes, custodientésque, turbationes habent. Et ipsas tamen cum intra ædes tot habeant, neque comedunt plus quàm ferre possunt: frangerentur enim. neque induuntur plus quàm ferre etiam queunt: suffocarentur enim. Sed pecuniæ superuacaneæ negocia afferunt. Verùm ego ministerium præsto dijs immortalibus, ac plureis pecunias semper desidero, quas cum adeptus fuero, eas quas mihi uideo superesse, his indigentias amicorum leuo: & diuitijs homines & beneficijs prosequens, ex ijs beneuolentiam & amicitiam mihi comparo. Ex ijs uerò hominibus fructus mihi fit securitas & bona nominis fama, quæ neque marcescunt, neque quò plura sunt, corrumpuntur. Sed gloriæ quo plus est, eò & maius & melius, & ad ferendum fit leuius: sæpe etiam magis eos leuat, à quibus fertur. Vt autem hoc etiam scias Crœse, ego non eos felicißimos duco, qui pecunias plurimas habeát & poßideant (hoc enim pacto qui muros custodiút, essent felicißimi: quippe qui omnia quæ sunt in urbibus custodiunt) uerùm qui & comparare plurimas pecunias iuste poßit, et ijs uti honeste plurimis, hunc ego felicem esse puto, eiusq; pecunias. Atq; hæc Cyrus dilucidè faciebat, quemadmodum etiam dicebat. Ad hæc cum Cyrus cogitasset permultos homines, si quidem bona ualetudine utantur, parari ut sint ne-

cessaria

Qui divites felices

ce∫∫aria habituri, eaq; reponere quæ u∫ui ∫int ad uictum bene ualentiũ: ut autem ∫i ægrotarint a∫forent utilia, huius rei non admodũ eos habere diligentiam uidebat: itaq; exi∫timauit circa hæc quoq; ∫ibi elaborandũ, medicosq; optimos ad ∫e∫e accer∫iuit ut cum his loqueretur: & quæcunq; uel in∫trumenta utilia e∫∫e dixi∫∫et aliquis eorũ, uel uenena, uel e∫culenta, uel potulenta, hæc omnia parata ∫eruabat apud ∫e∫e. Con∫iderabat etiam quando quis eorum ægrotaret, quod e∫∫et curandi tempus, præbebatq; omnia quib. opus e∫∫et. Habebat etiã medicis gratiã, cum quis ∫ana∫∫et quenquã eorum quos ab illis ∫anandos acce-pi∫∫et. Hæc igitur & huiu∫modi permulta moliebatur, ut apud eos excelleret à quib. amari uellet. Quarum autem rerũ & certamen pronunciabat ac præmia proponebat, uolens inijcere contentionẽ de pulchris boni∫q; operibus, hæc Cyro laudem a∫ferebãt, quod curaret ut uirtus exerceretur. Et optimatib. quidem hæc certamina inuicẽ inijciebant & lites et pervicacias. In∫uper et legem Cyrus con∫tituit, quæcũq; dijudicanda e∫∫ent, ∫iue ciuili cau∫a, ∫iue concertatione, ut hi quibus dijudicatione opus e∫∫et, refugiũ haberent ad iudices. Per∫picuum igitur erat conĩectare ∫olitos ip∫os aduer∫arios optimorũ amici∫∫imorumq; iudicum ambos aliquid. Victus autem his qui uicerant inuidebat, & qui nõ pro ∫e ∫ententiam tuli∫∫ent eos oderat. Qui autem uicerat, ∫imulabat iure uincere, itaq; exi∫timabat gratiam debere nemini. Et qui amicitia primi apud Cyrum e∫∫e uellent, quemadmodum in urbibus alij, ita etiam hi inuide inuicẽ habebant. Itaq; plures malebant alter alterũ e medio tolli, quàm unà agere inuicem boni quicquam. Et hæc declarant Cyrum moliri ∫olitũ, ut hi qui potenti∫∫imi e∫∫ent, magis eum amarent quàm ∫eip∫os inuicem.

Nunc autẽ iam enarrabimus, quo pacto primùm Cyrus emi∫it è regia: etenim emi∫∫ionis uenerabilitas uidetur nobis ars una ex his quæ moliuntur, ne imperium ∫it contẽptui. Itaq; primùm antequã egrederetur, uocatis ad ∫e∫e & Per∫is et alijs qui præerãt magi∫tratibus, di∫tribuit inter eos ∫tolas Medicas: et tum primũ Per∫æ Medicã ∫tolam induti ∫unt. Et cum eas di∫tribueret, ∫imul hæc uerba ad eos loquebatur: ∫e emittere uelle ad delubra dijs immortalib. cõ∫tituta, ac ∫imul cum illis ∫acra facere. Ade∫te igitur, inquit, ad fores ∫tolis hi∫ce ornati ante ∫olis ortum, con∫tituiminiq; quemadmodũ uobis uerbis meis nũciarit Pheraulas Per∫es: cumq; ip∫e ducã, eritis in ea quæ uobis dicta fuerit regione. Quod ∫i ue∫trùm alicui aliter uidetur melius quàm ut nunc immittamus, cum reuerterimus is me doceat. Vt enim pulcherrimũ atq; optimũ e∫∫e uobis uideatur, ita ∫ingula cõ∫tituenda ∫unt. Vbi autẽ primarijs di∫tribuit ∫tolas pulcherrimas, extulit alias quoq; ∫tolas Medicas. Permultas .n. parauerat nihilo parcẽs, neq; purpureis, neq; ferrugineis, neq; puniceis, neq; caricinis ue∫tib. Cumq; horũ amictuum partẽ ∫ingillatim di∫tribui∫∫et inter duces, his iu∫∫it ut amicos ∫uos hi∫ce ue∫tib. ornarent, quemadmodũ, inquit, uos e∫tis à me ornati. Et quidã ex præ∫entib. eum interrogauit: Tu, inquiens, ò Cyre, quando ornabere? Re∫pondit autẽ Cyrus: Non enim uideor

nunc

τήδεια, καὶ κατατίθεντες τὰ χρήσιμα εἰς τὴν τῶν ὑγιαινόντων δίαιταν. ὅπως δὲ ἢν ἀσθενήσωσι, τὰ σύμφορα παρέσεσθαι, τούτου οὐ πάνυ ἐπιμελουμένους ἑώρα. ἔδοξεν οὖν καὶ ταῦτα ἐκπονῆσαι αὐτῷ, τούς τε ἰατροὺς τοὺς ἀρίστους συνεκομίσατο πρὸς αὑτὸν, τῷ τε λέγειν ἐθέλειν· καὶ ὁπόσα ἢ ὄργανα χρήσιμα ἔφη τις ἂν αὐτῷ γενέσθαι, ἢ φάρμακα, ἢ σιτία, ἢ ποτὰ, οὐδὲν τούτων ὅτι οὐχὶ παρασκευάζων ἐθησαύριζε παρ᾽ αὐτῷ. καὶ ὁπότε δέ τις ἀσθενήσειε τῶν θεραπεύεσθαι ἐπικαιρίων, ἐπεσκόπει, καὶ παρεῖχε πάντα ὅτου ἔδει. καὶ τοῖς ἰατροῖς δὲ χάριν ᾔδει, ὁπότε τις ἰάσαιτό τινα τῶν παρ᾽ ἐκείνου λαμβάνων. ταῦτα μὲν δὴ καὶ τοιαῦτα πολλὰ ἐμηχανᾶτο πρὸς τὸ πρωτεύειν, παρ᾽ οἷς ἐβούλετο ἑαυτὸν φιλεῖσθαι. ὧν δὲ προηγόρευέ τε ἀγῶνας, καὶ ἆθλα προυτίθει φιλονεικίας ἐμποιεῖν βουλόμενος περὶ τῶν καλῶν καὶ ἀγαθῶν ἔργων, ταῦτα τῷ μὲν Κύρῳ ἔπαινον παρεῖχεν, ὅτι ἐπεμέλετο ὅπως ἀσκοῖτο ἡ ἀρετή. τοῖς μέντοι ἀρίστοις οἱ ἀγῶνες οὗτοι, πρὸς ἀλλήλους καὶ ἔριδας καὶ φιλονεικίας ἐνέβαλλον. πρὸς δὲ τούτοις, ὥσπερ νόμον κατεστήσατο ὁ Κῦρος, ὅσα διακρίσεως δέοιτο, εἴτε δίκῃ εἴτε ἀγωνίσματι, τοὺς δεομένους διακρίσεως, συντρέχειν τοῖς κριταῖς. δῆλον οὖν ὅτι ἐστοχάζοντο μὲν οἱ ἀνταγωνιζόμενοί τι ἀμφότεροι τῶν κρατίστων καὶ τῶν μάλιστα φίλων κριτῶν. ὁ δὲ μὴ νικῶν, τοῖς μὲν νικῶσιν ἐφθόνει· τοὺς δὲ μὴ ἑαυτὸν κρίνοντας ἐμίσει. ὁ δ᾽ αὖ νικῶν, τῷ δικαίῳ προσεποιεῖτο νικᾶν, ὥστε χάριν οὐδενὶ ἡγεῖτο ὀφείλειν. καὶ οἱ πρωτεύειν δὲ βουλόμενοι φιλίᾳ παρὰ Κύρῳ, ὥσπερ ἄλλοι ἐν πόλεσιν, καὶ οὗτοι ἐπιφθόνως πρὸς ἀλλήλους εἶχον, ὥσθ᾽ οἱ πλείονες, ἐκποδὼν ἐβούλοντο ὁ ἕτερος τὸν ἕτερον γενέσθαι μᾶλλον, ἢ συνέπραξαν ἄν τι ἀλλήλοις ἀγαθόν. καὶ ταῦτα μὲν δεδήλωται ὡς ἐμηχανᾶτο τοὺς κρατίστους αὐτὸν μᾶλλον πάντας φιλεῖν ἢ ἀλλήλους. νῦν δὲ ἤδη διηγησόμεθα, ὡς τὸ πρῶτον ἐξήλασε Κῦρος ἐκ τῶν βασιλείων. καὶ γὰρ αὐτῆς τῆς ἐξελάσεως ἡ σεμνότης ἡμῖν δοκεῖ, μία τῶν τεχνῶν εἶναι, τῶν μεμηχανημένων τὴν ἀρχὴν, μὴ εὐκαταφρόνητον εἶναι. πρῶτον μὲν οὖν πρὸ τῆς ἐξελάσεως εἰσκαλέσας πρὸς αὑτὸν τοὺς τὰς ἀρχὰς ἔχοντας Περσῶν τε καὶ τῶν ἄλλων, διέδωκεν αὐτοῖς τὰς Μηδικὰς στολάς. καὶ τότε Πέρσαι πρῶτον Μηδικὴν στολὴν ἐνέδυσαν. διαδιδούς τε ἅμα, τάδε ἔλεγεν αὐτοῖς, ὅτι ἐλάσαι βούλοιτο, εἰς τὰ τεμένη, τὰ τοῖς θεοῖς ἐξῃρημένα, καὶ θῦσαι μετ᾽ ἐκείνων. πάρεστε οὖν, ἔφη, ἐπὶ τὰς θύρας κοσμηθέντες ταῖς στολαῖς ταύταις, πρὶν ἥλιον ἀνατέλλειν, καὶ καθίστασθε, ὡς ἂν ὑμῖν Φεραύλας ὁ Πέρσης ἐξαγγείλῃ παρ᾽ ἐμοῦ. καὶ ἐπειδὰν, ἔφη, ἐγὼ ἡγῶμαι, ἕπεσθε ἐν τῇ ῥηθείσῃ χώρᾳ. ἢν δ᾽ ἄρα τινὶ δοκῇ ὑμῶν ἄλλῃ κάλλιον εἶναι, ἢ ὡς ἂν νῦν ἐλαύνωμεν, ἐπειδὰν πάλιν ἔλθωμεν, διδασκέτω με. ὅπῃ γὰρ ἂν κάλλιστον καὶ ἄριστον ὑμῖν δοκῇ εἶναι, ταύτῃ ἕκαστα δεῖ καταστήσασθαι. ἐπεὶ δὲ τοῖς κρατίστοις διέδωκε τὰς καλλίστας στολὰς, ἐξέφερε δὴ καὶ ἄλλας Μηδικὰς στολάς. πάμπολλας γὰρ παρεσκευάσατο, οὐδὲν φειδόμενος οὔτε πορφυρίδων, οὔτε ὀρφνίνων, οὔτε φοινικίδων, οὔτε καρυκίνων ἱματίων. νείμας δὲ τούτων τὸ μέρος ἑκάστῳ τῶν ἡγεμόνων, ἐκέλευσεν αὐτοὺς τούτοις κοσμεῖν τοὺς αὐτῶν φίλους, ὥσπερ, ἔφη, ἐγὼ ὑμᾶς κοσμῶ. καί τις τῶν παρόντων ἐπήρετο αὐτόν· σὺ δὲ ὦ Κῦρε, ἔφη, πότε κοσμήσῃ; ὁ δ᾽ ἀπεκρίνατο· οὐ γὰρ νῦν,

ἔφη,

ἔφη, δοκῶ ὑμῖν αὐτὸς κοσμεῖσθαι ὑμᾶς κοσμῶν; ἀμέλει, ἔφη, ἢν δύνωμαι ὑμᾶς τοὺς φίλους εὖ ποιεῖν, ὁποίαν ἂν ἔχων στολὴν τυγχάνω, ἐν ταύτῃ καλὸς φανοῦμαι. οὕτω δὴ οἱ μὲν ἀπελθόντες μεταπεμπόμενοι τοὺς φίλους, ἐκόσμουν ταῖς στολαῖς. ὁ δὲ κῦρος νομίζων φεραύλαν τὸν ἐκ τῶν δημοτῶν καὶ συνετὸν εἶναι καὶ φιλόκαλον καὶ εὔτακτον, καὶ τοῦ χαρίζεσθαι αὐτῷ οὐκ ἀμελεῖν, ὅς ποτε καὶ περὶ τοῦ τιμᾶσθαι ἕκαστον κατὰ τὴν ἀξίαν συνεῖπε. τοῦτον δὴ καλέσας, συνεβουλεύετο αὐτῷ, πῶς ἂν τοῖς μὲν εὔνοις, κάλλιστα ἰδεῖν ποιοῖτο, τὴν ἐξέλασιν, τοῖς δὲ δυσμενέσι φοβερώτατα. ἐπεὶ δὲ σκοπούντοιν αὐτοῖν ταὐτὰ ἔδοξεν, ἐκέλευσε τὸν φεραύλαν ἐπιμεληθῆναι, ὅπως ἂν οὕτω γένηται αὔριον ἡ ἐξέλασις, ὥσπερ ἔδοξε καλῶς ἔχειν. εἴρηκα δέ, ἔφη, ἐγὼ πάντας πείθεσθαί σοι, περὶ τῆς ἐν τῇ ἐξελάσει τάξεως. ὅπως δ᾽ ἂν ἥδιον παραγγέλλοντός σου ἀκούωσι, φέρε λαβών, ἔφη, χιτῶνας μὲν τουτουσί, τοῖς τῶν δορυφόρων ἡγεμόσι. καλέσας δὲ τούτους ἐφιππείους, τοῖς τῶν ἱππέων ἡγεμόσι δός· καὶ τῶν ἁρμάτων τοῖς ἡγεμόσιν, ἄλλους τούσδε χιτῶνας. ὁ μὲν δὴ ἔφερε λαβών. οἱ δὲ ἡγεμόνες ἐπεὶ ἴδοιεν αὐτόν, ἔλεγον· μέγας δὲ σύ γε, ὦ φεραύλα, ὁπότε γε καὶ ἡμῖν τάξεις ἃ ἂν δέοι ποιεῖν. οὐ μὰ Δί᾽, ἔφη ὁ φεραύλας. οὐ μόνον γε ὡς ἔοικεν, ἀλλὰ καὶ σκευοφορήσω. νῦν γοῦν φέρω τώδε δύο κάνδυε. τὸ μὲν σοί, τὸ δὲ ἄλλῳ. σὺ μέντοι τούτων λάβε ὁπότερον βούλει. ἐκ τούτου δὴ ὁ μὲν λαμβάνων τὸν κάνδυν, τοῦ φθόνου ἐπελέληστο. εὐθὺς δὲ συνεβουλεύετο αὐτῷ, ὁπότερον λαμβάνοι. ὁ δὲ συμβουλεύσας ἂν ὁπότερον βέλτιον εἴη. καὶ εἰπών, ἤν μου κατηγορήσῃς, ὅτι αἵρεσίν σοι δέδωκα, εἰσαῦθις ὅταν διακονῶ, ἑτέρῳ χρήσῃ μοι διακόνῳ. ὁ μὲν δὴ φεραύλας οὕτω διαδιδοὺς ᾗ ἐτάχθη, εὐθὺς ἐπεμελεῖτο τῶν εἰς τὴν ἐξέλασιν, ὅπως ὡς κάλλιστα ἕξει. ἡνίκα δὲ ἡ ὑστεραία ἧκε, καθαρὰ μὲν ἦν πάντα πρὸ ἡμέρας, στῖχοι δὲ εἱστήκεσαν ἔνθεν καὶ ἔνθεν τῆς ὁδοῦ, ὥσπερ καὶ νῦν ἔτι ἵστανται, ᾗ ἂν βασιλεὺς μέλλῃ ἐλαύνειν, ὧν ἐντὸς οὐδενὶ ἔξεστιν εἰσιέναι τῶν μὴ τετιμημένων. μαστιγοφόροι δὲ καθέστασαν, οἳ ἔπαιον εἴ τις ἐνοχλοίη. ἕστασαν δὲ πρῶτον μὲν τῶν δορυφόρων εἰς τετρακισχιλίους. ἔμπροσθεν δὲ τῶν πυλῶν εἰς τέτταρας. δισχίλιοι δὲ ἑκατέρωθεν τῶν πυλῶν. καὶ οἱ ἱππεῖς δὲ πάντες παρῆσαν καταβεβηκότες ἀπὸ τῶν ἵππων. καὶ διειρκότες τὰς χεῖρας διὰ τῶν κανδύων. ὥσπερ καὶ νῦν ἔτι διείρουσιν ὅταν ὁρᾷ βασιλεύς. ἕστασαν δὲ πέρσαι μὲν ἐκ δεξιᾶς· οἱ δὲ ἄλλοι σύμμαχοι ἐξ ἀριστερᾶς τῆς ὁδοῦ, καὶ τὰ ἅρματα ὡσαύτως τὰ ἡμίσεα ἑκατέρωθεν. ἐπεὶ δὲ ἀνεπετάννυντο αἱ τῶν βασιλείων πύλαι, πρῶτον μὲν ἤγοντο τῷ Διῒ, ταῦροι πάγκαλοι εἰς τέτταρας, καὶ τοῖς τῶν ἄλλων θεοῖς οἱ μάγοι ἐξηγοῦντο. πολλοὶ γὰρ οἴονται πέρσαι χρῆναι τοῖς περὶ τοὺς θεοὺς μᾶλλον τεχνίταις χρῆσθαι, ἢ περὶ τἄλλα. μετὰ δὲ τοὺς βοῦς, ἵπποι ἤγοντο θῦμα τῷ ἡλίῳ. μετὰ δὲ τούτους ἐξήγετο ἅρμα, λευκὸν χρυσόζυγον, ἐστεμμένον Διὸς ἱερόν. μετὰ δὲ τόδε, ἡλίου ἅρμα λευκόν, καὶ τοῦτο ἐστεμμένον, ὥσπερ τὸ πρόσθεν. μετὰ δὲ τοῦτο ἄλλο τρίτον ἅρμα ἐξήγετο, φοινικίσι καταπεπταμένοι οἱ ἵπποι. καὶ πῦρ ὄπισθεν αὐτοῦ ἐπ᾽ ἐσχάρας μεγάλης ἄνδρες εἵποντο φέροντες. ἐπὶ δὲ τούτοις, ἤδη αὐτὸς ἐκ τῶν πυλῶν προυφαίνετο ὁ κῦρος ἐφ᾽ ἅρματος, ὀρθὴν ἔχων

nunc uobis ipse ornari, dum uos orno? Ergo si queam in uos amicos esse beneficus, apparebo etiam in stola quam habeo pulcherrimus. Sic igitur illi abeuntes, accersitos amicos stolis ornabant. At Cyrus arbitratus Pheraulam, qui erat ex ordine plebeio, & callidum esse, & elegantem, & modestum, & sibi gratificandi studiosum, qui olim de singulis pro dignitate honorandis internuncius fuit: hunc igitur ubi uocasset, consuluit quo pacto esset facturus, ut emissio beneuolis uisu pulcherrima foret, inimicis autem maxime formidabilis. Vbi uero ipsis considerantibus eadem ambobus sunt uisa, Cyrus Pheraulæ iussit curandum ut cras ita fieret emissio, ut uisa est pulchre habere. Ego enim dixi, ut tibi de emissionis ordine parerent omnes. Verùm quò libentius te præcipientem audiant, fer tecum hasce tunicas ad spiculatorum duces: equitibúsque uocatis, dato has etiam equitum ducibus, & curruum ductoribus hasce alias tunicas. Pheraulas igitur ferebat tunicas acceptas. Quem duces ut uiderunt, dicebant: Magnus iam sane tu es Pheraula, quandoquidem iussurus es nobis facienda. Non equidem, respondit Pheraulas. Non solum etiam iubebo, ut uidetur, sed feram etiam sarcinas. Itaq; nūc fero hos duos amictus, alterum alteri: et tu quidem horum cape utrum ipse uis. Exhinc igitur ille accepto amictu, inuidentiæ est oblitus, continuóque eum consulebat utrum caperet. At Pheraulas ubi consuluisset uter esset melior, dixissetq;: Si me accusaueris quod tibi optionē dederim, rursus cum ministrauero me utere altero ministro. Pheraulas cum ita ut iussus fuerat tunicas distribuisset, cōtinuo ea curabat quæ ad egreßionem regiam pertinebant, quo singula habitura essent quampulcherrimè. Cum uero dies posterus factus esset, omnia ante lucem erāt pura atq; expedita. Ordines steterant & ab hac & ab altera parte uiæ, quemadmodū hoc etiam tempore stant, quà rex est immissurus, intra quos nemo ingredi potest qui minus sit ex honoratis. Flagriferi etiam steterant, qui uerberarent si quis turbaret. Steterant præterea primum spiculatores circiter quatuor millia ad quaternos ante portas. Duo millia uero ex utroq; portarum latere, aderātq; omnes equites qui ex equo descenderant sublatis manibus per candyas uestis. Et nunc etiam eas tollunt quando uidentur à rege. Et Persæ quidem stabant dexteram, sed alij socij ad leuam uiæ partem: & curruum eodem modo utrinq; dimidium. Sed ubi patefactæ sunt portæ ipsius regiæ, primum agebantur tauri Ioui optimo maximo perpulchri quaterni, & ijs dijs alijs quos Magi sunt interpretati. Putant enim Persæ, multo magis artificibus esse utendum erga deos immortalis, quàm circa res alias. Post boues autem agebantur equi, ad Solis sacrificium. Post hos autem educebatur currus albus coronatus, iugo aureo, qui esset Iouis sacrum. Post hunc agebatur etiam Solis currus candidus, & is coronatus ut anterior. Post hūc etiam alius tertius currus educebatur, cuius equi strati erant puniceis amiculis: & post eum uiri sequebantur, qui ignem portarent in magno quodā foco. Post hæc uerò iam ipse Cyrus apparebat prior ex portis super currū, rectam

tiaram habens, tunicamq; purpuream pari albo distinctam, alij uero semialbam habere non licet: et circa crura periscelidas hedereo colore infectas, et candyn purpureum totum. Habebat etiam diadema circum tiarā, atq; eius cognati idem hoc habebāt signū. Et hoc etiam tempore hoc idem habēt. Manus uero habebat extra chiridas. Comitabatur aūt eū auriga magnus quidē, sed minor sane quàm ille, siue re ipsa minor, siue quomodocunq;. Verùm Cyrus longe maior uidebatur, quem omnes intuētes adorauere, siue quod alij iussi essent incipere, siue quod etiā stupefacti ob apparatū, et quod Cyrus et magnus uideretur & pulcher. Antea uero Persarū nemo adorabat Cyrum. Sed cum procederet Cyri currus, procedebāt hi speculatores quatuor millia. Iuxta autē sequebantur insuper qui eum circundabant sceptriferi in equis ornati, una cū pilis circiter trecenti. Adducebātur praeterea equi à Cyro nutriti, qui haberēt fræna aurea, amictuq; uirgatis strati essent, circiter ducentos. Et post hos hastiferi duo millia. Dein uero equites qui primi facti sunt decē millia, instructi undiq; in centenos, quib. Chrysantas praeerat. Post quos sequebantur Persarū equites alij decem millia, eodē instructi modo, quib. Hystaspas praeerat. Et post hos alij decē millia identidem, quibus praefectus erat Datamas. Et post hos alij, quorū dux erat Gadatas. Post hos uero sequebantur Medi equites, dein Armenij. Post Armenios Hyrcanij, post Hyrcanios uerò Cadusij sequebantur. Post equites autem sequebantur currus quaterni instructi, quib. praefectus erat Artabates Perses. Sed cum Cyrus iter faceret, permulti homines sequebātur extra signa, alius rem aliā rogantes. Quare Cyrus cum ad eos misisset quosdā ex sceptriferis, qui eum terni sequebātur iuxta ex utraq; parte currus, rei huiusce causa ut nunciarent, iussit ut ijs dicerēt, si quis aliquid ab eo uellet, id doceret aliquē ex praebitoribus, quoniā illos diceret rem sibi dicturos. Quare illi abeūtes continuo inter equites pergebāt, cōsultantes quem quisq; adiret. At Cyrus quos maxime ex amicis uellet ab hominibus coli, hos misso aliquo singillatim ad se uocabat, & his ita dicebat: Si quis horū qui me iuxta sequuntur, uos aliquid doceat, qui uobis uisus fuerit nihil dicere, nolite ei attēdere. Qui uero iustis reb. egere uideantur, mihi nūciate, quo per publicā consultationē eos expediamus. Alij igitur cū uocaret uehemēter immittētes obediebāt, imperiū Cyro acturi, ostēdentesq; uehemēter se parēre. Erat Daiphernes quidā incultus morib. qui putabat, si minus celeriter obediret, liberiorem se uisum iri. Quod Cyrus cū didicisset, priusquā se is adiret, secūq; dissereret, clā misso quodā ex sceptriferis, iussit ut ei diceret quod nihilo amplius eo sibi opus esset, ac caeterū nō uocabat. Vt aūt qui post eū uocatus esset, priusquā ipse obediuit, immisit Cyrus, eiq; equū dedit ex ijs qui iuxta sequebātur, iussitq; sceptrifero cuidā illū ut ei ageret, quò ipse iussisset: quod quidē uidentib. uisum est honorificū quiddā esse: exhinc multo plures homines eū colebant. Sed ubi uenerunt ad delubra, sacrū fecere Ioui optimo maximo, totosq; tauros cremauerūt: dein Soli totos equos cremauere, postea

ἔχων τὴν τιάραν, καὶ χιτῶνα πορφυροῦν μεσόλευκον. ἄλλῳ δ' οὐκ ἔξεστι μεσόλευκον ἔχειν. καὶ περὶ τοῖς σκέλεσιν, ἀναξυρίδας ὑσγινοβαφεῖς, καὶ κάνδυν ὁλοπόρφυρον. εἶχε δὲ καὶ διάδημα περὶ τῇ τιάρᾳ. καὶ οἱ συγγενεῖς δὲ αὐτοῦ τὸ αὐτὸ τοῦτο σημεῖον εἶχον. καὶ νῦν τὸ αὐτὸ τοῦτο ἔχουσι. τὰς δὲ χεῖρας ἔξω τῶν χειρίδων εἶχε. παρωχεῖτο δὲ αὐτῷ ἡνίοχος, μέγας μὲν, μείων δ' ἐκείνου, εἴτε καὶ τῷ ὄντι, εἴτε καὶ ὁπωσοῦν. μείζων δὲ ἐφάνη πολὺ Κῦρος. ἰδόντες δὲ πάντες προσεκύνησαν, εἴτε καὶ ἄρξαι τινὲς κεκελευσμένοι, εἴτε καὶ ἐκπλαγέντες τῇ παρασκευῇ, καὶ τῷ δόξαι, μέγαν τε καὶ καλὸν φανῆναι τὸν Κῦρον. πρόσθεν δὲ Περσῶν οὐδεὶς Κῦρον προσεκύνει. ἐπεὶ δὲ προῄει τὸ τοῦ Κύρου ἅρμα, προηγοῦντο μὲν οἱ τετρακισχίλιοι δορυφόροι. παρείποντο δὲ οἱ δισχίλιοι ἑκατέρωθεν τοῦ ἅρματος. οἱ δ' αὐτῷ Κύρῳ τρεφόμενοι ἵπποι παρήγοντο χρυσοχάλινοι, ῥαβδωτοῖς ἱματίοις καταπεπταμένοι, ἀμφὶ τοὺς διακοσίους. ἐπὶ δὲ τούτοις δισχίλιοι ξυστοφόροι. ἐπὶ δὲ τούτοις ἱππεῖς οἱ πρῶτοι γενόμενοι, μύριοι εἰς ἑκατὸν πανταχῇ τεταγμένοι. ἡγεῖτο δὲ αὐτῶν Χρυσάντας. ἐπὶ δὲ τούτοις μύριοι ἄλλοι Περσῶν ἱππεῖς τεταγμένοι ὡσαύτως. ἡγεῖτο δὲ αὐτῶν Ὑστάσπας. ἐπὶ δὲ τούτοις ἄλλοι μύριοι ὡσαύτως. * ἡγεῖτο δ' αὐτῶν Γαδάτας. ἐπὶ δὲ τούτοις Μῆδοι ἱππεῖς. ἐπὶ δὲ τούτοις Ἀρμένιοι. μετὰ δὲ τούτους Ὑρκάνιοι. μετὰ δὲ τούτους Καδούσιοι. μετὰ δὲ τοὺς ἱππέας, ἅρματα ἐπὶ τεττάρων τεταγμένα. ἡγεῖτο δὲ αὐτῶν Ἀρταβάτης Πέρσης. πορευομένου δὲ αὐτοῦ, παρείποντο πάμπολλοι ἄνθρωποι ἔξω τῶν σημείων δεόμενοι Κύρου, ἄλλος ἄλλης πράξεως. πέμψας οὖν πρὸς αὐτοὺς τῶν σκηπτούχων τινὰς, οἳ παρείποντο αὐτῷ, τρεῖς ἑκατέρωθεν τοῦ ἅρματος αὐτοῦ, τούτου ἕνεκα τοῦ διαγγέλλειν, ἐκέλευσεν εἰπεῖν αὐτοῖς, εἴ τίς τι αὐτοῦ δέοιτο, διδάσκειν τῶν ὑπάρχων τινὰ, ὅτι τις βούλοιτο, ἐκείνους δὲ, ἔφη, πρὸς αὐτὸν ἐρεῖν. οἱ μὲν δὴ ἀπιόντες, εὐθὺς παρὰ τοὺς ἱππέας ἐπορεύοντο, καὶ ἐβουλεύοντο, τίνι ἕκαστος προσίοι. ὁ δὲ Κῦρος οὓς ἐβούλετο μάλιστα θεραπεύεσθαι τῶν φίλων ὑπὸ τῶν ἀνθρώπων, τούτους πέμπων τινὰ πρὸς αὐτὸν, ἐκάλει καθ' ἕκαστον, καὶ ἔλεγεν αὐτοῖς, ἤν τις ὑμᾶς διδάσκῃ τι τούτων τῶν παρεπομένων, ὃς μὲν ἂν μηδὲν δοκῇ ὑμῖν λέγειν, μὴ προσέχετε αὐτῷ τὸν νοῦν. ὃς δ' ἂν δικαίων δεῖσθαι δοκῇ, εἰσαγγέλλετε πρὸς ἐμὲ, ἵνα κοινῇ βουλευόμενοι, διαπράττωμεν αὐτοῖς. οἱ μὲν δὴ ἄλλοι ἐπεὶ καλέσειεν, ἀνακράτος ἐλαύνοντες, ὑπήκουον συναύξοντες τὴν ἀρχὴν τῷ Κύρῳ, καὶ ἐνδεικνύμενοι, ὅτι σφόδρα πείθοιντο. Δαϊφέρνης δέ τις ἦν, σολοικότερος ἄνθρωπος τῷ τρόπῳ, ὃς ᾤετο εἰ μὴ ταχὺ ὑπακούοι, ἐλευθερώτερος ἂν φαίνεσθαι. αἰσθόμενος οὖν ὁ Κῦρος τοῦτο, πρὶν προσελθεῖν αὐτὸν καὶ διαλεχθῆναι αὐτῷ, ὑποπέμψας τινὰ τῶν σκηπτούχων, εἰπεῖν ἐκέλευσε πρὸς αὐτὸν, ὅτι οὐδὲν ἔτι δέοιτο. καὶ τὸ λοιπὸν οὐκ ἐκάλει. ὡς δ' ὁ ὕστερον κληθεὶς αὐτοῦ, πρότερος αὐτῷ ὑπήκουσε, προσελάσας ὁ Κῦρος, καὶ ἵππον αὐτῷ ἔδωκε τῶν παρεπομένων. καὶ ἐκέλευσε τῶν σκηπτούχων τινὰ συναπαγαγεῖν αὐτῷ ὅποι κελεύσειε. τοῖς δὲ ἰδοῦσιν ἔντιμόν τι ἔδοξεν εἶναι. καὶ πολὺ πλέονες ἐκ τούτου αὐτὸν ἐθεράπευον ἀνθρώπων. ἐπεὶ δὲ ἀφίκοιντο πρὸς τὰ τεμένη, ἔθυσαν τῷ Διὶ, καὶ ὡλοκαύτωσαν τοὺς ταύρους. ἔπειτα τῷ ἡλίῳ, καὶ ὡλοκαύτωσαν τοὺς ἵππους. ἔπειτα

ἔπειτα γῇ σφάξαντες, ὡς ἐξηγήσαντο οἱ μάγοι, ἔπειτα δὲ ἥρωσι τοῖς συρίαν ἔχουσι. μετὰ δὲ ταῦτα καλοῦ ὄντος τοῦ χωρίου, ἔδειξε τέρμα ὡς ἐπὶ πέντε σταδίων χωρίου, καὶ εἶπε κατὰ φυλὰς ἀνὰ κράτος ἐνταῦθα ἀφεῖναι τοὺς ἵππους. σὺν μὲν οὖν τοῖς πέρσαις αὐτὸς ἤλαυνε καὶ ἐνίκα πολύ· μάλιστα γὰρ ἐμεμελήκει αὐτῷ ἱππικῆς. μήδων δὲ ἀρταβάζης ἐνίκα, κῦρος γὰρ αὐτῷ τὸν ἵππον ἐδεδώκει· σύρων δὲ ὁ προστάτης· ἀρμενίων δὲ τιγράνης· ὑρκανίων δὲ ὁ υἱὸς τοῦ ἱππάρχου· σακῶν δὲ ἰδιώτης ἀνήρ, ἀπέλιπεν ἄρα τῷ ἵππῳ τοὺς ἄλλους ἵππους, ἐγγὺς τῷ ἡμίσει τοῦ δρόμου. ἔνθα δὴ λέγεται ὁ κῦρος ἐρέσθαι τὸν νεανίσκον, εἰ δέξαιτ' ἂν βασιλείαν ἀντὶ τοῦ ἵππου. τὸν δ' ἀποκρίνασθαι, ὅτι βασιλείαν μὲν οὐκ ἂν δεξαίμην, χάριν δ' ἀνδρὶ ἀγαθῷ καταθέσθαι, δεξαίμην ἄν. καὶ ὁ κῦρος εἶπε· καὶ μὴν ἐγὼ δεῖξαί σοι θέλω, ἔνθα κἂν μύων βάλῃς, οὐκ ἂν ἁμάρτοις ἀνδρὸς ἀγαθοῦ. πάντως τοίνυν, ὁ σάκας ἔφη, ἀνελόμενος δεῖξόν μοι, ὡς βαλῶ γε ταύτῃ τῇ βώλῳ ἀνελών. καὶ ὁ μὲν κῦρος δείκνυσιν αὐτῷ, ὅπου ἦσαν πλεῖστοι τῶν φίλων. ὁ δὲ καταμύων, ἵησι τῇ βώλῳ, καὶ παρελαύνοντος φεραύλα τυγχάνει. ἔτυχε γὰρ ὁ φεραύλας παραγγέλλων τι τάξει παρὰ τοῦ κύρου. βληθεὶς δὲ οὐδὲ μετεστράφη, ἀλλ' ᾤχετο ἐφ' ὅπερ ἐτάχθη. ἀναβλέψας δὲ ὁ σάκας, ἐρωτᾷ τίνος ἔτυχεν. οὐ μὰ τὸν Δί', ἔφη, οὐδενὸς τῶν παρόντων. ἀλλ' οὐ μέντοι, ἔφη ὁ νεανίσκος, τῶν γε ἀπόντων. ναὶ μὰ Δί', ἔφη ὁ κῦρος, σύ γε ἐκείνου τοῦ παρὰ τὰ ἅρματα ταχὺ ἐλαύνοντος τὸν ἵππον. καὶ πῶς, ἔφη, οὐ μεταστρέφεται; καὶ ὁ κῦρος ἔφη· μαινόμενος γάρ τίς ἐστιν ὡς ἔοικεν. ἀκούσας ὁ νεανίσκος, ᾤχετο σκεψόμενος τίς εἴη, καὶ εὑρίσκει τὸν φεραύλαν, γῆς τε καταπλέων τὸ γένειον καὶ αἵματος. ἐρρύη γὰρ αὐτῷ ἐκ τῆς ῥινὸς βληθέντι. ἐπεὶ δὲ προσῆλθεν, ἤρετο αὐτὸν εἰ βληθείη. ὁ δὲ ἀπεκρίνατο, ὡς ὁρᾷς. δίδωμι τοίνυν σοι, ἔφη, τοῦτον τὸν ἵππον. ὁ δ' ἐπήρετο, ἀντὶ τοῦ; ἐκ τούτου δὴ διηγεῖτο ὁ σάκας τὸ πρᾶγμα. καὶ τέλος εἶπε· καὶ οἶμαί γε οὐχ ἡμαρτηκέναι ἀνδρὸς ἀγαθοῦ. καὶ ὁ φεραύλας εἶπεν· ἀλλὰ πλουσιωτέρῳ μὲν ἄν, εἰ ἐσωφρόνεις, ἢ ἐμοὶ ἐδίδους. νῦν δὲ κἀγὼ δέξομαι. ἐπεύχομαι δέ, ἔφη, τοῖς θεοῖς, οἵπερ με ἐποίησαν βληθῆναι ὑπὸ σοῦ, δοῦναί μοι ποιῆσαι, μὴ μεταμέλειν σοι τῆς ἐμῆς δωρεᾶς. καὶ νῦν μέν, ἔφη, ἀπέλα, ἀναβὰς ἐπὶ τὸν ἐμὸν ἵππον, αὖθις δ' ἐγὼ παρέσομαι πρὸς σέ. οἱ μὲν δὴ οὕτω διηλλάξαντο. καδουσίων δὲ ἐνίκα ῥαθίνης. ἀφίει δὲ καὶ τὰ ἅρματα καθ' ἕκαστον. τοῖς δὲ νικῶσι πᾶσιν ἐδίδου, βοῦς τε ὅπως ἂν θύσαντες ἑστιῷντο, καὶ ἐκπώματα. τὸν μὲν οὖν βοῦν ἔλαβε καὶ αὐτὸς τὸ νικητήριον· τῶν δ' ἐκπωμάτων τὸ αὑτοῦ μέρος φεραύλᾳ ἔδωκεν, ὅτι καλῶς ἔδοξεν αὐτῷ τὴν ἐκ τοῦ βασιλείου ἔλασιν διατάξαι. οὕτω δὴ ἡ τότε ὑπὸ κύρου κατασταθεῖσα ἔλασις, οὕτως ἔτι καὶ νῦν διαμένει ἡ βασιλέως ἔλασις, πλὴν τὰ ἱερὰ ἄπεστιν ὅταν μὴ θύῃ. ὡς δὲ ταῦτα τέλος εἶχεν, ἀφικνοῦνται πάλιν εἰς τὴν πόλιν, καὶ ἐσκήνωσαν, οἷς μὲν ἐδόθησαν οἰκίαι, κατ' οἰκίας· οἷς δὲ μή, ἐν τάξει. καλέσας δὲ καὶ ὁ φεραύλας τὸν σάκαν, τὸν δόντα τὸν ἵππον, ἐξένιζε, καὶ τἆλλα τε παρεῖχεν ἔκπλεα, καὶ ἐπεὶ ἐδεδειπνήκεσαν, τὰ ἐκπώματα αὐτῷ ἃ ἔλαβε παρὰ κύρου ἐμπιπλάς, προύπινε καὶ ἐδωρεῖτο. καὶ ὁ σάκας ὁρῶν πολλὴν μὲν καὶ καλὴν στρωμνήν, πολλὴν

postea Telluri immolauerūt, ut Magi interpretati sunt, dein heroibus, Syriam habitantibus. Post hæc uerò quoniam locus pulcher esset, calcē demonstrauit ut ad quindecim stadia eius loci, & dixit ut per tribus totis uiribus hic equos dimitterent. Vnà igitur cum Persis ipse immisit ac uicit: nam maiorem in modum Cyro equestris cura fuerat. È Medis uero Artabates uicit: nam equum ei dederat Cyrus. È Syris uerò omnibus Gadatas. At ex Armenijs Tigranes. Ex Hyrcanijs autem præfecti filius. At ex Sacis priuatus uir quidam equo suo alios reliquit equos, cum esset prope dimidium curriculi. Hic igitur dicitur Cyrus interrogasse adolescentem, si regnum admitteret pro illo equo. illumq; respondisse: Regnū equidem minime admitterem, uerùm locare gratiam apud uirum bonum, admissurus essem. Ad quem inquit Cyrus: Atqui ostendere tibi uolo, hic etiam si clausis oculis iacias, fore ut non aberres à uiro bono. Omnino igitur, inquit Saca, sublata manu ostēde mihi, ut hac sublata gleba illum feriam. Ac Cyrus demonstrat ei ubi suorum amicorum erant plurimi. Hic uerò clausis oculis immisit glebam, & equo transcurrentem Pheraulam assequitur: nam casu Pheraulas quiddam præcipiebat, quod Cyrus iusserat. Qui percussus ne conuersus est quidem, sed pergebat id acturus, cuius gratia iussus fuerat. Saca uero respiciens, interrogat quem esset assecutus. Non per Iouem, inquit, quenquam es ex præsentibus assecutus. Sed minime quidem, inquit adolescens, ex absentibus quenquam. Ita me diusfidius, inquit Cyrus: tu quidem illum percussisti, qui equum celeriter inter currus immittit. Et quomodo, inquit, non conuertitur? Ad quem inquit Cyrus: Insanus quidem est, ut uidetur. Quod audiens adolescens, ibat quinam esset consideraturus: inuenitq; Pheraulam, cuius barba & terra referta erat & sanguine, qui percusso ei fluebat ex nare. Sed ubi Pheraulam adijsset, interrogauit si percussus esset. Cui ille respondit: Vt uides. Do igitur tibi hunc equum, inquit adolescens. At Pheraulas interrogauit, cuius rei gratia. Exhinc Saca rem ei narrabat, dixitq; postremo: Et equidem puto non aberrasse à uiro bono. Ad quem respondit Pheraulas: At ditiori quàm mihi, si saperes, eum dedisses. Nunc uerò ego quoq; equum admittā. Oro autem deos qui fecerūt ut abs te percuterer, mihi dent ut faciam ne pœniteat huius munerationis erga me. Atq; nunc tu, inquit, abequita in meum equū ascendens, rursus ego ad te ibo. Ita quidem hi inuicem à se discesserunt. Ex Cadusijs uerò uicit Rhadines. Dimisit autem currus singillatim Cyrus, & qui uicissent dedit omnibus, tum boues, quo ubi sacrificassent uescerentur, tum etiam pocula. Itaq; bouem accepit ipse uictoriæ premiū: sed ex poculis partem suam Pheraulæ dedit, quoniam uisus esset eius immissionem è regia pulchrè instruxisse. Itaq; ut tum Cyrus constituerat, ita etiam hoc tempore perseuerat regis immissio, nisi quod hostiæ desunt quando nō sacrificet. Sed posteaquā hæc finē habuerūt, in urbē redeunt, et distribuunt hi quidem quibus ædes datæ fuerant, in ædibus: quibus aūt non datæ fuerant, in ordine distribuerunt. At Pheraulas inuitato Saca, à quo equum acceperat, & munera ei dedit, et alia præbuit affatim. Cūq; cœnati essent, impletis poculis quæ acceperat à Cyro, et propinauit, et ea largitus est Sacæ. At Saca uidens multū quidē ac pulchrū stratum,

καὶ ὑπὲρ ἐμοῦ. καὶ ἐάν τι ἀγαθὸν προσλαμβάνω διὰ τὴν Κύρου θεραπείαν, ἢ καὶ ἀπὸ στρατείας τινός, οἴσω πρὸς σέ, ἵνα ἔτι πλειόνων ἄρχῃς· μόνον, ἔφη, ἐμὲ ἀπόλυσον ταύτης τῆς ἐπιμελείας. ἢν γὰρ ἐγὼ σχολὴν ἄγω ἀπὸ τούτων, ἐμοί τε σὲ οἴομαι πολλὰ καὶ Κύρῳ χρήσιμον ἔσεσθαι. τούτων οὕτω ῥηθέντων, ταῦτα συνέθεντο, καὶ ταῦτα ἐποίουν. καὶ ὁ μὲν ἡγεῖτο εὐδαιμονίαν γεγενῆσθαι, ὅτι πολλῶν ἦρχε χρημάτων. ὁ δ' αὖ ἐνόμιζε μακαριώτατος εἶναι, ὅτι ἐπίτροπον ἕξει, σχολὴν παρέχοντα πράττειν ὅ,τι ἂν αὐτῷ ἡδὺ εἴη. ἦν δὲ τοῦ Φεραύλα ὁ τρόπος φιλέταιρός τε καὶ θεραπεύειν οὐδὲν ἡδὺ αὐτῷ οὕτως ἐδόκει εἶναι οὐδ' ὠφέλιμον ὡς ἀνθρώπους. καὶ γὰρ βέλτιστον πάντων τῶν ζώων ἡγεῖτο ἄνθρωπον εἶναι καὶ εὐχαριστότατον· ὅτι ἑώρα τούς τε ἐπαινουμένους ὑπό τινος ἀντεπαινοῦντας τούτους προθύμως, τοῖς τε χαριζομένοις, πειρωμένους ἀντιχαρίζεσθαι· καὶ οὓς γνοῖεν εὐνοϊκῶς ἔχοντας, τούτοις ἀντευνοοῦντας· καὶ οὓς εἰδεῖεν φιλοῦντας αὐτούς, τούτους μισεῖν οὐ δυναμένους· καὶ γονέας δὲ πολὺ μᾶλλον ἀντιθεραπεύειν πάντων τῶν ζώων ἐθέλοντας, καὶ ζῶντας, καὶ τελευτήσαντας. τὰ δ' ἄλλα πάντα ζῷα καὶ ἀχαριστότερα καὶ ἀγνωμονέστερα ἀνθρώπων ἐγίγνωσκεν εἶναι. οὕτω δὴ ὅ τε Φεραύλας ὑπερήδετο, ὅτι ἐξέσοιτο αὐτῷ, ἀπαλλαγέντι τῆς τῶν ἄλλων κτημάτων ἐπιμελείας ἀμφὶ τοὺς φίλους ἔχειν· ὅ τε Σάκας, ὅτι ἔμελλε πολλὰ ἔχων, πολλοῖς χρήσεσθαι. ἐφίλει δὲ ὁ μὲν Σάκας τὸν Φεραύλαν, ὅτι προσέφερέ τι ἀεί· ὁ δὲ τὸν Σάκαν, ὅτι παραλαμβάνειν πάντα ἤθελε, καὶ ἀεὶ πλειόνων ἐπιμελούμενος οὐδὲν μᾶλλον αὐτῷ ἀσχολίαν παρεῖχε. καὶ οὗτοι μὲν δὴ οὕτω διῆγον. θύσας δὲ καὶ ὁ Κῦρος νικητήρια ἑστιᾶν, ἐκάλεσε τῶν φίλων, οἳ μάλιστ' αὐτὸν αὔξειν τε βουλόμενοι φανεροὶ ἦσαν καὶ τιμῶντες εὐνοϊκώτατα. συνεκάλεσε δὲ αὐτοῖς καὶ Ἀρτάβαζον τὸν Μῆδον, καὶ Τιγράνην τὸν Ἀρμένιον, καὶ τὸν Ὑρκάνιον ὕπαρχον, καὶ Γωβρύαν. Γαδάτας δὲ τῶν σκηπτούχων ἦρχεν αὐτῷ καὶ ὅπως ἐκεῖνος διεκόσμησεν, ἡ πᾶσα ἔνδον δίαιτα καθειστήκει. καὶ ὁπότε μὲν συνδειπνοῖέν τινες, οὐδ' ἐκάθιζε Γαδάτας, ἀλλ' ἐπεμελεῖτο. ὁπότε δὲ αὐτοὶ εἶεν, καὶ συνεδείπνει· ἥδετο γὰρ αὐτῷ ξυνών. ἀντὶ δὲ τούτων πολλοῖς καὶ μεγάλοις ἐτιμᾶτο ὑπὸ τοῦ Κύρου, διὰ δὲ Κῦρον, καὶ ὑπ' ἄλλων. ὡς δ' ἦλθον οἱ κληθέντες ἐπὶ τὸ δεῖπνον, οὐχ ὅπου ἔτυχεν ἕκαστον ἐκάθιζεν, ἀλλ' ὃν μὲν μάλιστα ἐτίμα, παρὰ τὴν ἀριστερὰν χεῖρα, ὡς εὐεπιβουλευτοτέρας ταύτης οὔσης, ἢ τῆς δεξιᾶς· τὸν δὲ δεύτερον, παρὰ τὴν δεξιάν· τὸν δὲ τρίτον, πάλιν παρὰ τὴν ἀριστεράν· τὸν δὲ τέταρτον, παρὰ τὴν δεξιάν· καὶ ἢν πλείονες ὦσιν, ὡσαύτως. σαφηνίζεσθαι δὲ ὡς ἕκαστον ἐτίμα, τοῦτ' ἐδόκει αὐτῷ ἀγαθὸν εἶναι. ὅπου ἔτι μὲν οἴονται οἱ ἄνθρωποι τὸν κράτιστον ὄντα, μήτε κηρυχθήσεσθαι, μήτε ἆθλα λήψεσθαι, δῆλοί εἰσιν, ἐνταῦθα οὐ φιλονείκως πρὸς ἀλλήλους ἔχοντες. ὅπου δὲ μάλιστα πλεονεκτῶν ὁ κράτιστος φαίνεται, ἐνταῦθα προθυμότατα φανεροί εἰσιν ἀγωνιζόμενοι πάντες. καὶ ὁ Κῦρος δὲ οὕτως ἐσαφήνιζε μὲν τοὺς κρατιστεύοντας παρ' ἑαυτῷ εὐθὺς ἀρξάμενος, ἐξ ἕδρας καὶ παραστάσεως. οὐ μέντοι ἀθάνατον τὴν ταχθεῖσαν ἕδραν κατεστήσατο· ἀλλὰ νόμιμον ἐποιήσατο, καὶ ἀγαθοῖς ἔργοις προβῆναι εἰς τὴν τιμιωτάτην ἕδραν. καὶ εἴ τι

ῥᾳδιουρ-

& pro meipso Et si quid boni preterea accepero ob Cyri cultum, aut etiam ab aliqua re militari, id ad te feram, quo item pluribus domineris, solum me soluito hac cura. Nam si mihi ab his ocium, futurum puto ut & mihi & Cyro magno usui sim. Quibus ita dictis hæc inuicem composuere, faciebantq;. Et Saca quidem se ducebat felicem factum, quòd multis pecunijs dominaretur. Pheraulas item arbitrabatur se beatissimum esse, quod tutorem esset habiturus, qui sibi ocium præberet ad agendum quodcunque ei iucundum foret. Erat autem Pheraulas natura amicorum studiosus, & colere nihil ei iucundum ita esse uidebatur neque utile, ut homines. Etenim arbitrabatur HOMINEM ANIMALIVM OMNIVM ESSE optimum & gratissimum, quod uideret & eos qui ab aliquo laudarentur, contra etiam hosce alacriter laudare eniti; ut contrà rem gratam his facerent, qui sibi gratificarentur: & quos cognosceret beneuole habere, in illos nos contra esse beneuolos: & quos uideret amare eos, hos odio habere non posse, parentésque magis quàm omnia alia animalia: contrà utem uelle colere & uiuos & mortuos. Cognoscebat autem alias quasque animantis & magis ingratas esse, minusq; beneficij memores, quàm homines. Sic igitur & Pheraulas afficiebatur maxima uoluptate, quod sibi licitum foret, ut liberatus cura aliarum possessionum, apud alios amicos uersari posset: & Saca plurimum lætabatur, quod quia haberet multa, multis quoque usurus esset. Amabat autem & Saca Pheraulam, quod semper afferret aliquid: & Sacam Pheraulas, quod accipere uellet omnia, sempérque plura curans, nihilo magis ei præberet occupationem. Et hi quidem ita degebant. At Cyrus cum sacrificasset uictoriæ præmia epulatus, uocauit ex amicis qui perspicuè uiderentur ipsum uelle & amplificatum ire maxime, & honorare beneuolentissime. Inuitauit etiam una cum his Artabazum Medum, & Tigranem Armenium, & Hyrcanium præfectum, & Gobryam. Gadatas uerò sceptriferis eius præerat. Et ubi ille parauisset, ibi omnem intus uictum constituit. Cumq; aliqui una cœnarent, Gadatas ne sedebat quidem, sed curam habebat. Dum uero ipsi abessent, cœnabat ipse quoque unà cum Cyro: delectabatur enim unà cum eo esse. Pro his autem rebus multis magnísque beneficijs honorabatur à Cyro, & propter Cyrum apud alios quoque erat in honore. Sed ut uenerunt inuitati ad cœnam, non temere & inconsulto singulos locabat ad mensam: sed quem maxime honoraret, ad sinistram sedere iubebat manum, quod hæc insidijs magis subiecta sit quàm dextera: secundum uero ad dextram, tertiũ rursus ad sinistrã, & quartum ad dextram. Quod si plures essent, eodem modo. Declarare enim quo pacto singulos honoraret, hoc ei bonum esse uidebatur. Quod ubi adhuc homines putant eum qui melior sit, neque proclamandum, neq; præmia accepturum, liquido patet eos hic minimè inuicem habere pertinaciter: sed ubi qui optimus sit longe præfertur, hic maxima cum alacritate non obscurè omnes certant. Atque Cyrus ita declarabat eos qui apud se erant optimi, continuo incipiens à consessu & assistentia: haud sane immortalem quem consessum iussiserat, constituit: sed lege cauit, ut bonis operibus ad honoratissimum consessum ascenderetur. Ac si quis

Cur eum quem ma- honoraret ad sinistra[m] sedere iuberat.

uoraciter immundeq; uesceretur, ut is secederet ad sedem
minus honorificam. Qui autē excelleret in consessu, Cy-
rum pudebat, quod minus is uideretur bonis plurimis ab
se affici. Atq; hæc quæ sub Cyro fuerunt, ita etiam hoc
tempore sentimus permanere. Cum uero cœnaret, uisum
est Gobryæ, quod singula permulta forent, minime esse
mirandum apud uirum multis imperitantē. Sed quod Cy
rus qui res adeo magnas gereret, si quid iucundū cepisse
uideretur, nihil consumeret solus, sed id honoris haberet,
ut qui aderant omnes, rei sibi datæ participes faceret, hoc 10
sane mirabatur. Persæpe quoq; cū uidebat Gobryas hæc
absentibus quibusdam amicis mittere, quibus ipse delecta
retur. Quare postea quam cœnauisset, & omnia Cyrus,
quæ permulta erant, misisset à mensa, dixit Gobryas: At
ego Cyre, hac te re plurimū cæteris præstare hominibus
ducebam, quod esses rei militaris scientissimus: nunc au-
tem, deos testor, certo mihi uideri te magis humanitate
præstare quàm re militari. Per Iouem, inquit Cyrus, mul
to profecto mihi iucundius est humanitatis opera demon
strare, quàm rei militaris. Quī tandem? inquit Gobryas. 20
Quoniam, inquit, demonstranda sunt et ea quæ homines
male faciunt, & ea quæ bene. Hinc igitur ubi modicè bi
bissent, interrogauit Hystaspas Cyrum: Num, inquiens,
Cyre succensurus mihi sis, si te interrogauero quod audi
re ex te uolo? Sed ita per deos, inquit, contra tibi succen-
serem si sentirem tacere te, quæ tibi interrogare uoluntas
esset. Dic igitur, inquit, mihi, num ullo unquam tempore
cum uocatus abs te sum, non ueni? Dij meliora, inquit Cy
rus. Sed dum obedio, num ociose obedio? Ne hoc quidem.
Si quid etiam iam mihi iussisti tu, non id egi? Haud te, in 30
quit, accuso. Quod autem agerem, unquam deprehēdisti
me nō alacriter, aut iucunde minus id à me agi? Hoc om
niū minimè, inquit Cyrus. Quare tamen, inquit, per deos
immortalis Cyre, Chrysantā scripsisti, ut honoratiore in
loco quàm ego poneretur? Dico sane quod in re est, in-
quit Cyrus. Omnino, inquit Hystaspas. Et tu rursus non
mihi succensebis si uera audias? Quin uoluptate, inquit,
afficiar si didicero me non pati iniuriam. Chrysantas igi
tur, inquit, hic primum quidem non expectabat uocari se,
sed prius quàm uocaretur, aderat rerum mearum gratia. 40
Deinde non id solum quod iuberetur, sed etiam quod ipse
cognosceret esse mihi facto melius, hoc agebat. Cūq; ali-
quid dicendū esset ad socios, quæ dicere me puderet, con
sulebat mihi: & quæ sentiret me uelle à socijs cognosci,
meq; animaduerteret pudere de meipso loqui, hæc ipse di
cens tanquam suam esse sententiā ostendebat. Itaq; his in
rebus quid prohibet ipsum mihi esse meipso etiam melio
rem? Ac sibi quidē semper ait, præsentia omnia satis esse:
mihi uerò perspicuū est eum usq; cōsiderare quid rursus
utilitatis sit allaturus, multoq; magis exultat ac lætatur 50
meis bonis, q̃ ipse ego. Ad quæ ipsa respondit Hystaspas:
Per Iunonē Cyre, lætor hæc me percunctatum. Cur maxi
me? inquit Cyrus. Quoniā ego etiam hoc enitar facere.
Sed unum solo ignoro, quonā modo sim ostensurus gau-
dere me bonis tuis. Vtrum manuū concussione utendum
est, an ridendum, an aliud faciundum? Et Artabazus in-
quit: Saltandum est Persice. Quibus in uerbis risus factus
est. Procedente autem symposio Cyrus Gobryā interro-
gauit: Dic mihi ô Gobrya, hoc ne tempore libentius prius
putas horū alicui filiam tuam dare uxorem, an cum pri-

ῥᾳδιουργοίη, ἀναχωρῆσαι εἰς τὴν ἀτιμοτέραν. τὸν δὲ προ-
τεύοντα ἐν ἕδρᾳ ᾐσχύνετο, μὴ πλεῖστα καὶ ἀγαθὰ ἔχοντα,
παρ' αὐτοῦ φαίνεσθαι. καὶ ταῦτα δὲ ἐπὶ Κύρου γιγνόμενα,
οὕτως ἔτι καὶ νῦν διαμένοντα αἰσθανόμεθα. ἐπεὶ δὲ ἐδεί-
πνουν, ἐδόκει τῷ Γωβρύᾳ, τὸ μὲν πολλὰ ἕκαστα εἶναι, οὐ-
δὲν θαυμαστὸν παρ' ἀνδρὶ πολλῶν ἄρχοντι. τὸ δὲ τὸν Κῦ-
ρον οὕτω μεγάλα πράττοντα, ἔτι ἡδὺ δόξειε λαβεῖν, μη-
δὲν τούτων μόνον καταδαπανᾶν, ἀλλὰ ἔργον ἔχειν δεό-
μενον, τούτων κοινωνεῖν τοὺς παρόντας. πολλάκις δὲ καὶ
τῶν ἀπόντων φίλων ἔστιν, οἷς ἑώρα πέμποντα ταῦτα αὐ-
τὸν, οἷς ἡσθεὶς τύχοι· ὥστε ἐπεὶ ἐδεδειπνήκεσαν, καὶ πάν-
τα τὰ πολλὰ ὄντα, διαπεπόμφει ὁ Κῦρος ἀπὸ τῆς τρα-
πέζης, εἶπεν ἄρα ὁ Γωβρύας· ἀλλ' ἐγὼ, ὦ Κῦρε, πρόσθεν
μὲν ἡγούμην, τούτῳ σε πλεῖστον διαφέρειν ἀνθρώπων, τὸ
στρατηγικώτατον εἶναι. νῦν δὲ θεοὺς ὄμνυμι, ἦ μὴν ἐμοὶ δο-
κεῖν πλέον σε διαφέρειν φιλανθρωπίᾳ, ἢ στρατηγίᾳ. ναὶ
δί', ἔφη ὁ Κῦρος. καὶ μὲν δὴ καὶ ἐπιδεικνύναι τὰ ἔργα,
πολὺ ἥδιον φιλανθρωπίας ἢ στρατηγίας. πῶς δὲ ὁ Γω-
βρύας. ὅτι, ἔφη, τὰ μὲν κακῶς ποιοῦντα ἀνθρώπους δεῖ
ἐπιδείκνυσθαι, τὰ δὲ εὖ. ἐκ τούτου δὴ ἐπεὶ ὑπέπινον, ἤρε-
το ὁ Ὑστάσπας τὸν Κῦρον· ἆρ' ἄν, ἔφη, ὦ Κῦρε, ἀχθεσθείης
μοι εἴ σε ἐροίμην, ὃ βούλομαί σου πυθέσθαι; ἀλλὰ ναὶ μὰ τοὺς
θεοὺς, ἔφη, τοὐναντίον τούτου ἀχθοίμην ἄν σοι, εἰ αἰσθοί-
μην σιωπῶντα, ἃ ἂν βούλοιο ἐρέσθαι. λέγε δή μοι, ἔφη,
ἤδη πώποτε καλέσαντός σου οὐκ ἦλθον; εὐφήμει, ἔφη
ὁ Κῦρος. ἀλλ' ὑπακούων σχολῇ ὑπήκουσα; οὐδὲ τοῦτο. προ-
σταχθὲν δέ τι ἤδη σοι, οὐκ ἔπραξα; οὐκ αἰτιῶμαι, ἔφη. ὃ
δὲ πράττοιμι, ἔστιν ὅτι πώποτε οὐ προθύμως ἢ οὐχ ἡδο-
μένως πράττοντά με κατέγνως; τοῦτο δὴ πάντων ἥκι-
στα, ἔφη ὁ Κῦρος. τίνος μὴν ἕνεκα, ἔφη, πρὸς τῶν θεῶν, ὦ
Κῦρε, Χρυσάνταν σε ἔγραψας, ὥστε εἰς τὴν τιμιωτέραν ἐμοῦ
χώραν ἱδρυθῆναι; ἦ λέγω, ἔφη ὁ Κῦρος; πάντως, ἔφη ὁ
Ὑστάσπας. καὶ σὺ αὖ, οὐκ ἀχθεσθήσῃ μοι ἀκούων τἀλη-
θῆ. ἡσθήσομαι μὲν οὖν, ἔφη, ἢν εἰδῶ ὅτι οὐκ ἀδικοῦμαι.
Χρυσάντας τοίνυν, ἔφη, οὑτοσὶ, πρῶτον μὲν οὐ κλῆσιν
ἀνέμενεν, ἀλλὰ πρὶν καλεῖσθαι, παρῆν τῶν ἡμετέρων ἕνε-
κα. ἔπειτα δὲ οὐ τὸ κελευόμενον μόνον, ἀλλὰ καὶ ὅ, τι αὐ-
τὸς γνοίη ἄμεινον εἶναι πεπραγμένον ἡμῖν, τοῦτο ἔπραττεν.
ὁπότε δὲ εἰπεῖν τι δέοι εἰς τοὺς συμμάχους, ἃ μὲν ἐμὲ ᾤετο
πρέπειν λέγειν, ἐμοὶ συνεβούλευεν. ἃ δὲ ἐμὲ αἴσθοιτο
βουλόμενον μὲν εἰδέναι τοὺς συμμάχους, αὐτὸν δέ με
αἰσχυνόμενον περὶ ἐμαυτοῦ λέγειν, ταῦτα οὗτος λέγων
ὡς ἑαυτοῦ γνώμην ἀπεφαίνετο. ὥστ' ἔν γε τούτοις, τί κω-
λύει αὐτὸν, καὶ ἐμοῦ, ἐμοὶ κρείττονα εἶναι; καὶ ἑαυτῷ μὲν,
ἀεί φησι πάντα τὰ παρόντα ἀρκεῖν. ἐμοὶ δὲ ἀεὶ φανερός
ἐστι σκοπῶν, τί ἂν προσγενόμενον ὀνήσειεν. ἐπί τε τοῖς
ἐμοῖς καλοῖς, μᾶλλον ἐμοῦ ἀγάλλεται καὶ ἥδεται. πρὸς
ταῦτα ὁ Ὑστάσπας εἶπε· νὴ τὴν Ἥραν, ὦ Κῦρε, ἥδομαί γε
ταῦτά σε ἐρωτήσας. τί μάλιστα, ἔφη ὁ Κῦρος; ὅτι κἀ-
γὼ πειράσομαι ταῦτα ποιεῖν. ἓν μόνον, ἔφη, ἀγνοῶ,
πῶς ἂν εἴην δῆλος χαίρων ἐπὶ τοῖς σοῖς ἀγαθοῖς. πότε-
ρον κροτεῖν δεῖ τὼ χεῖρε, ἢ γελᾶν, ἢ τί ποιεῖν. καὶ ὁ Ἀρτά-
βαζος εἶπεν· ὀρχεῖσθαι δεῖ τὸ περσικόν. ἐπὶ τούτοις μὲν
δὴ γέλως ἐγένετο. προϊόντος δὲ τοῦ συμποσίου, ὁ Κῦρος
τὸν Γωβρύαν ἐπήρετο· εἰπέ μοι, ἔφη, ὦ Γωβρύα, νῦν ἂν ἥδι-
ον δοκεῖς ἑνὶ τούτων δοῦναι τὴν θυγατέρα, ἢ ὅτε τὸ πρῶ-
τον

πρὶν ἡμῖν συνεγένου; οὐκοῦν, ἔφη ὁ γωβρύας, κἀγὼ τἀληθῆ λέγω; νὴ Δί', ἔφη ὁ κῦρος, ὡς ψευδοῦς γε οὐδὲ μία ἐρώτησις δεῖται. σὺ τοίνυν, ἔφη, ἴσθι, ὅτι νῦν ἂν πολὺ ἥδιον. ἦ καὶ ἔχοις ἄν, ἔφη ὁ κῦρος, εἰπεῖν διότι; ἔγωγε. λέγε δή. ὅτι τότε μὲν ἑώρων τοὺς πόνους καὶ τοὺς κινδύνους εὐθύμως αὐτοὺς φέροντας. νῦν δὲ ὁρῶ αὐτοὺς τὰ ἀγαθὰ σωφρόνως φέροντας. δοκεῖ δέ μοι, ὦ κῦρε, χαλεπώτερον εἶναι εὑρεῖν ἄνδρα τἀγαθὰ καλῶς φέροντα, ἢ τὰ κακά. τὰ μὲν γὰρ ὕβριν τοῖς πολλοῖς, τὰ δὲ σωφροσύνην τοῖς πᾶσιν ἐμποιεῖ. καὶ ὁ κῦρος εἶπεν· ἤκουσας, ὦ ὑστάσπα, γωβρύου τὸ ῥῆμα; ναὶ μὰ Δί', ἔφη. καὶ ἐὰν πολλά τοιαῦτά γε λέγῃ, πολὺ μᾶλλον με τῆς θυγατρὸς μνηστῆρα λήψεται, ἢ ἐὰν ἐκπώματα πολλὰ ἐπιδεικνύῃ. ἦ μήν, ἔφη ὁ γωβρύας, πολλά γέ μοι ἐστὶ τοιαῦτα συγγεγραμμένα, ὧν ἐγώ σοι οὐ φθονήσω, ἢν τὴν θυγατέρα μου γυναῖκα λαμβάνῃς. τὰ δὲ ἐκπώματα, ἔφη, ἐπειδὴ οὐκ ἀνέχεσθαί μοι φαίνῃ, οὐκ οἶδ' εἰ χρυσάντᾳ τούτῳ δῶ, ἐπεὶ καὶ τὴν ἕδραν σου ὑφήρπασε. καὶ μὴν δή, ἔφη ὁ κῦρος, ὦ ὑστάσπα, καὶ οἱ ἄλλοι δὲ οἱ παρόντες, ἢν ἐμοὶ λέγητε, ὅταν τις ὑμῶν γαμεῖν ἐπιχειρῇ, γνώσεσθε ὁποῖός τις κἀγὼ συνεργὸς ὑμῖν ἔσομαι. καὶ ὁ γωβρύας εἶπεν· ἢν δέ τις ἐκδοῦναι βούληται θυγατέρα, πρὸς τίνα δεῖ λέγειν; πρὸς ἐμέ, ἔφη ὁ κῦρος, καὶ τοῦτο. πάνυ γάρ, ἔφη, δεινός εἰμι ταύτην τὴν τέχνην. ποίαν, ἔφη ὁ χρυσάντας; τὸ γνῶναι ὁποῖος ἂν γάμος ἑκάστῳ συναρμόσειε. καὶ ὁ χρυσάντας ἔφη· λέγε δὴ πρὸς τῶν θεῶν ποίαν τινά μοι γυναῖκα οἴει συναρμόσειν κάλλιστα; πρῶτον μέν, ἔφη, μικράν. μικρὸς γὰρ καὶ αὐτὸς εἶ. ἢν δὲ μεγάλην γαμήσῃς, ἤν ποτε βούλῃ αὐτὴν ὀρθὴν φιλῆσαι, προσάλλεσθαί δεήσει ὥσπερ τὰ κυνάρια. τοῦτο μὲν δή, ἔφη, ὀρθῶς προνοεῖς. καὶ γὰρ οὐδ' ὁπωστιοῦν ἁλτικός εἰμι. ἔπειτα δ', ἔφη, σιμὴ ἄν σοι ἰσχυρῶς συμφέροι. πρὸς τί δὴ αὖ τοῦτο; ὅτι, ἔφη, σὺ γρυπὸς εἶ. πρὸς οὖν τὴν σιμότητα σάφ' ἴσθι, ὅτι ἡ γρυπότης ἄριστα προσαρμόσει. λέγεις σύ, ἔφη, ὡς καὶ τῷ εὖ δεδειπνηκότι, ὥσπερ καὶ ἐγὼ νῦν, ἄδειπνος ἂν συναρμόζοι. ναὶ μὰ Δί', ἔφη ὁ κῦρος. τῶν μὲν γὰρ μεστῶν γρυπὴ ἡ γαστὴρ γίγνεται· τῶν δὲ ἀδείπνων, σιμή. καὶ ὁ χρυσάντας ἔφη· ψυχρῷ δ' ἂν πρὸς τῶν θεῶν βασιλεῖ ἔχοις ἂν εἰπεῖν, ποία τις συνοίσει; ἐνταῦθα μὲν δὴ ὅ τε κῦρος ἐξεγέλασε, καὶ οἱ ἄλλοι ὁμοίως. γελώντων δὲ ἅμα εἶπεν ὁ ὑστάσπας· πολύ γε, ἔφη, μάλιστα τοῦτό σε, ὦ κῦρε, ζηλῶ ἐν τῇ βασιλείᾳ. τίνος, ἔφη ὁ κῦρος; ὅτι δύνασαι καὶ ψυχρὸς ὢν γέλωτα παρέχειν. καὶ ὁ κῦρος εἶπεν· ἔπειτ' οὐκ ἂν πρίαιό γε πάμπολλα, ὥστε σοὶ ταῦτα εἰρῆσθαι καὶ ἀπαγγελθῆναι παρ' ᾗ εὐδοκιμεῖν βούλει, ὅτι ἀστεῖος εἶ; καὶ ταῦτα μὲν δὴ οὕτω διεσκώπτοντο. μετὰ δὲ ταῦτα, τιγράνῃ μὲν ἐξήνεγκε γυναικεῖον κόσμον, καὶ ἐκέλευσε τῇ γυναικὶ δοῦναι, ὅτι ἀνδρείως συνεστρατεύετο τῷ ἀνδρί. ἀρταβάζῳ δὲ χρυσοῦν ἔκπωμα· τῷ δὲ ὑρκανίῳ, ἵππον. καὶ ἄλλα πολλὰ καὶ καλὰ ἐδωρήσατο. σοὶ δέ, ἔφη, ὦ γωβρύα, δώσω ἄνδρα τῇ θυγατρί. οὐκοῦν ἐμέ, ἔφη ὁ ὑστάσπας, δώσεις, ἵνα καὶ τὰ συγγράμματα λάβω. ἦ καὶ ἔστι σοι, ἔφη ὁ κῦρος, οὐσία ἀξία τῶν τῆς παιδός; νὴ Δί', ἔφη, πολλαπλασίων μὲν οὖν χρημάτων. καὶ ποῦ, ἔφη ὁ κῦρος, ἔστι σοι αὕτη ἡ οὐσία; ἐνταῦθα, ἔφη, ὅπου περ καὶ σὺ κάθησαι φίλος ὢν ἐμοί. ἀρκεῖ μοι, ἔφη ὁ γωβρύας. καὶ εὐθὺς ἐκτείνας τὴν δεξιάν, δίδου, ἔφη, ὦ κῦρε. δέχομαι γάρ

mùm nobiscum congressus es? Num etiam ego, inquit Gobryas, uera loquor? Ita mehercule, inquit Cyrus, utpote quod NULLI interrogationi mendacio opus est. Certo igitur, inquit, scito me nunc multo libentius. Putas an etiam habeas, inquit Cyrus, dicere quamobrem? Habeo equidem. Dic igitur. Quoniam tum equidē aspiciebā ipsos æquo animo tolerare labores ac pericula, nunc uero eosdem uideo res secundas temperanter ferre. Videturq; mihi Cyre, DIFFICILIUS inuenire uirum qui bona pulchre ferat, quàm qui mala. Altera enim in contumeliā multos, altera omnes in intemperantiā agunt. Et Cyrus inquit: Audistine Hystaspa uerbum Gobryæ? Ita, inquit, mehercule. Quod si multa loquatur huiusmodi, multo magis me capiet filiæ suæ procum, quàm si multa mihi pocula ostentet. Profecto, inquit Gobryas, multa mihi sunt literis mandata huiusmodi, quæ tibi nō inuidebo si filiam meam ceperis uxorē: pocula uerò quoniā mihi non uideris admittere, nescio an Chrysantæ huic das, quoniā et ipse tuam sellam subripuit. Atqui, inquit Cyrus, ô Hystaspa, & uos alij qui adestis, si mihi dixeritis cum quis uestrum nubere tentauerit, cognosceus qualis etiā ego adiutor uobis futurus sim. Ad quem Gobryas respondit: Sed si quis tradere uult filiam, cui dicere oportet? Mihi, inquit Cyrus, etiam hoc: hanc enim artem egregie calleo. Quā enim? inquit Chrysantas. Cognoscere scilicet quod matrimonij cuiq; cōueniat. Et Chrysantas respondit: Dic igitur per deos, quam mihi uxorē putas pulcherrimè conuenire? Primùm, inquit Cyrus, paruā: paruus enim es etiam ipse. Nam si magnā ducas uxorem, ubi quandoq; uelis eam rectam osculari, prosilire te oportebit quemadmodum anserulos. Hoc, inquit Chrysantas, recte prouides. Etenim nullo modo prorsus ad saltum sum aptus. Deinde, inquit, sima tibi uxor conductura sit uehementer. Ad quid item hoc? Quoniā, inquit, tu es adunco naso: ad simitatē uero nasi subcuruitas, ut non te lateat, optime accōmodatur. Dicis tu, inquit, ut cū bene cœnato, quemadmodum nunc mecū qui cœnatus non sit, cōueniat? Ita medius fidius, inquit Cyrus. Nam plenorū uenter fit curuus, incœnatorū autem simus. Ad quē respondit Chrysantas: Frigido autem regi possis ne dicere per deos, cuiusmodi uxor conductura sit? Et hic quidē tum Cyrus uehementer risit, tum identidem alij. Quibus simul ridentib. inquit Hystaspas: Multo equidē maximè ob hanc rem tibi inuideo in imperio. Ob quā? inquit Cyrus. Quod potes etiā frigidus risum præbere. Et Cyrus inquit: Postea nolis emere plurimi, ut abs te hæc dicta essent & ei nunciata, apud quā uis in precio haberi te esse urbanū. Et his cauillis ita utebātur. Postea uero Tigrani extulit mundū muliebrē, quē iussit uxori ut daret, quoniā fortiter in re militari se gesserit cum uiro. Artabazo uerò aureū poculum, Hyrcanio aūt equū, aliaq; permulta ac pulchra largitus est. Tibi aūt, inquit, ô Gobrya, uirū filiæ tuæ dabo. Ergo, inquit Hystaspas, me dabis, quo historias quoq; accipiā. Nū, inquit Cyrus, tibi substātia est digna rebus puellæ? Ita, inquit, per Iouem multo plurib. pecunijs. Et ubi est, inquit Cyrus, hæc tibi substātia? Hic respōdit Hystaspas, ubi etiā ipse sedes qui mihi amicus es. Sufficit mihi, inquit Gobryas. Et continuo dextrā cum extendisset: Da, inquit, Cyre. Admitto enim

difficilius est bonis temperanter uti, quā mala patienter ferre.

enim. Et Cyrus Hystaspæ dextram capiens, dedit Gobryæ. Ille autem excepit. Exhinc multa atque pulchra dona dedit Hystaspæ, quò ea puellæ mitteret. Chrysantam uero ad se tractum osculatus est. Atque Artabazus inquit: Per deum Cyre, non similis auri & mihi poculũ dedisti & Chrysantæ dono. Verum tibi etiam, inquit, dabo. Quæsiuit ille: Quando? Ad trigesimum, inquit, annum. Itaque sic te parato ut expectaturum, & non ut moriturum. Et tum quidem conuiuium hoc pacto desijt. Ii uero cum surrexissent, surrexit item Cyrus, & eos deduxit ad fores usque. Postridie uero eius diei dimisit socios quosque domum pro uoluntate sua, his exceptis quicunque habitare apud se uellent: quibus & agrum dedit & ædis, quæ omnia hac etiam tempestate posteri eorum qui remansere, possident. Hi autem sunt maiore ex parte Medi & Hyrcanij. Eos uero qui abirent, cum plurimis muneribus donauisset, fecissetq; ne quid expostularent, & principes & milites dimisit. Exhinc distribuit inter milites suos pecunias quascunque ex Sardibus ceperat. Atque ijs qui denis millibus præessent, eorumq; ministris electas pecunias dedit pro dignitate cuiusque, alias uerò distribuit. Et pecuniarum parte data præfecto cuique denorum millium, his permisit earum tributionem, quemadmodum ipse illis tribuerat. Dederunt autem alias pecunias singuli principes, singulos eos dijudicantes magistratus quibus ipsi præessent: ultimas autem pecunias hi qui senis præerant, pro iudicio suo cuique priuato dedere pro dignitate. Et ita omnes iustam portionem acceperunt. Vbi uero pecunias accepissent quæ tum datæ sunt, quidam huiusmodi uerba de Cyro loquebantur: Certè multas ipse pecunias habet, qui singillatim nobis tot dedit. Alij qui autem dicebant: Quas multas pecunias habet? ingenium Cyri non tale est ut ditari omnino uelit, sed dando magis lætatur quàm possidendo. Quæ uerba cum accepisset, & eas de se opiniones, collegit & amicos & tempestiuos omnis, atque in hunc modum loquutus est:

CYRI CONCIO.

Viri amici, uidi equidem iam homines qui uideri uolunt plura possidere quam habeant, rati hi quidem liberaliores ita apparere: at hi uidentur mihi secus trahi quàm uolunt. Nam cum is qui uidetur habere multas pecunias, minus pro dignitate substãtiæ amicis prodest, auaritiæ nomen subit, mea quidem sententia. Sunt etiam qui latêre alios uolunt, quæcunque ipsi habeant. Improbi igitur etiam hi uidentur mihi esse in amicos. Nam quoniam quas ipsi pecunias habeant ignoratur, sæpe indigentes amici sodalibus minus nunciant, sed decipiuntur. Simplicis autem apertißimiq; uiri mihi uidetur esse, qui manifestata substantia, ex hac exerceatur circa æquum & bonum. Ego igitur ostendere uobis uolo, quæ mihi sunt omnia, quæcunque possunt uideri. Quæcunque autem uideri non possunt, ea narrabo. Quæ loquutus, alia quidem bona ostendebat, quæ multa pulchraq; possidebat. Quæ autem reposita erant, ut quæ uideri facile non possent, ea enarrabat. Postremo ita dixit: Hæc, ô uiri amicißimi, omnia oportet uos arbitrari non magis mea esse q̃ etiam uestra. Ego enim hæc congero, neq; ut ipse impendam, neq; ut ipse consu-

γάρ. καὶ ὁ Κῦρος λαβὼν τὴν τοῦ Ὑστάσπου δεξιὰν, ἐνέδωκε τῷ Γωβρύᾳ. ὁ δ' ἐδέξατο. ἐκ δὲ τούτου πολλὰ καὶ καλὰ ἔδωκε δῶρα τῷ Ὑστάσπᾳ, ὅπως τῇ παιδὶ πέμψειε. Χρυσάνταν δ' ἐφίλησε προσαγαγόμενος. καὶ ὁ Ἀρτάβαζος εἶπε· μὰ Δί', ἔφη, ὦ Κῦρε, οὐχ ὁμοίου γε χρυσοῦ, ἐμοί τε τὸ ἔκπωμα δέδωκας, καὶ Χρυσάντᾳ τὸ δῶρον. ἀλλὰ καὶ σοί, ἔφη, δώσω. ἐπήρετο ἐκεῖνος, πότε; εἰς τριακοστὸν, ἔφη, ἔτος. ὡς ἀναμενοῦντος, ἔφη, καὶ οὐκ ἀποθανουμένου, οὕτω παρασκευάζου. καὶ τότε μὲν δὴ οὕτως ἔληξεν ἡ σκηνή. ἐξανισταμένων δ' αὐτῶν, ἐξανέστη καὶ ὁ Κῦρος, καὶ συμπροὔπεμψεν αὐτοὺς ἐπὶ τὰς θύρας. τῇ δ' ὑστεραίᾳ τοὺς ἐθελουσίους συμμάχους γενομένους, ἀπέπεμπεν οἴκαδε ἑκάστους, πλὴν ὅσοι αὐτῶν οἰκεῖν ἐβούλοντο παρ' αὐτῷ, τούτοις δὲ χώραν καὶ οἴκους ἔδωκε. καὶ νῦν ἔτι ἔχουσιν οἱ τῶν καταμεινάντων τούτων τότε ἀπόγονοι, πλεῖστοι δ' εἰσὶ Μήδων καὶ Ὑρκανίων. τοῖς δ' ἀπιοῦσι δωρησάμενος πολλὰ, καὶ ἀμέμπτους ποιησάμενος, καὶ ἄρχοντας καὶ στρατιώτας ἀπεπέμψατο. ἐκ τούτου δὲ διέδωκε καὶ τοῖς περὶ ἑαυτὸν στρατιώταις τὰ χρήματα, ὅσα ἐκ Σάρδεων ἔλαβε. καὶ τοῖς μὲν μυριάρχοις καὶ τοῖς περὶ αὐτὸν ὑπηρέταις, ἐξαίρετα ἐδίδου, πρὸς τὴν ἀξίαν ἑκάστῳ. τὰ δ' ἄλλα διένειμε. καὶ τὸ μέρος ἑκάστῳ δοὺς τῶν μυριάρχων, ἐπέτρεψεν αὐτοῖς διανέμειν, ὥσπερ αὐτὸς ἐκείνοις διένειμεν. ἐδίδοσαν δὲ τὰ μὲν ἄλλα χρήματα ἄρχων ἄρχοντας τοὺς ὑφ' ἑαυτῷ δοκιμάζων. τὰ δὲ τελευταῖα οἱ ἑξάδαρχοι, τοὺς ὑφ' ἑαυτοῖς ἰδιώτας δοκιμάσαντες, πρὸς τὴν ἀξίαν ἑκάστῳ ἔδοσαν. καὶ οὕτω πάντες εἰλήφεσαν τὸ δίκαιον μέρος. ἐπειδὴ δὲ εἰλήφεσαν τὰ τότε δοθέντα, οἱ μέν τινες ἔλεγον περὶ τοῦ Κύρου τοιάδε· ἦ που αὐτός γε πολλὰ ἔχει, ὅπου γε καὶ ἡμῶν ἑκάστῳ τοσαῦτα δέδωκεν. οἱ δέ τινες αὐτῶν ἔλεγον, ποῖα πολλὰ ἔχει; οὐχ ὁ Κύρου τρόπος τοιοῦτος, ὅλως χρηματίζεσθαι, ἀλλὰ διδοὺς μᾶλλον ἢ κτώμενος ἥδεται. αἰσθανόμενος δὲ ὁ Κῦρος, τούτους τοὺς λόγους καὶ τὰς δόξας τὰς περὶ αὐτοῦ, συνέλεξε τοὺς φίλους τε καὶ τοὺς ἐπικαιρίους ἅπαντας, καὶ ἔλεξεν ὧδε.

ΔΗΜΗΓΟΡΙΑ ΚΥΡΟΥ.

Ἄνδρες φίλοι, ἑώρακα μὲν ἤδη ἀνθρώπους, οἳ βούλονται δοκεῖν, πλείω κεκτῆσθαι, ἢ ἔχουσιν, ἐλευθεριώτεροι ἂν οἰόμενοι οὕτω φαίνεσθαι. ἐμοὶ δὲ δοκοῦσιν, ἔφη, οὗτοι, τοὔμπαλιν οὗ βούλονται ἐφέλκεσθαι. τὸ γὰρ πολλὰ δοκοῦντα ἔχειν, μὴ κατ' ἀξίαν τῆς οὐσίας φαίνεσθαι ὠφελοῦντα τοὺς φίλους, ἀνελευθερίαν ἔμοιγε δοκεῖ προσάπτειν. εἰσὶ δ' αὖ, ἔφη, οἳ λεληθέναι βούλονται, ὅσα ἂν ἔχωσι. πονηροὶ οὖν καὶ οὗτοι, τοῖς φίλοις ἔμοιγε δοκοῦσιν εἶναι. διὰ γὰρ τὸ μὴ εἰδέναι τὰ ὄντα πολλάκις δεόμενοι, οὐκ ἐπαγγέλλουσιν οἱ φίλοι τοῖς ἑταίροις, ἀλλ' ἀπατῶνται. ἁπλουστάτου δέ μοι, ἔφη, δοκεῖ εἶναι, τὸ τὴν δύναμιν φανερὰν ποιήσαντα, ἐκ ταύτης ἀγωνίζεσθαι περὶ καλοκαγαθίας. κἀγὼ οὖν, ἔφη, βούλομαι ὑμῖν, ὅσα μὲν οἷόν τ' ἐστὶν ἰδεῖν τῶν ἐμοὶ ὄντων, δεῖξαι. ὅσα δὲ μὴ οἷόν τε ἰδεῖν, διηγήσασθαι. ταῦτα εἰπὼν, τὰ μὲν ἐδείκνυε πολλά τε καὶ καλὰ κτήματα· τὰ δὲ κείμενα ὡς μὴ ῥᾴδια εἶναι ἰδεῖν διηγεῖτο. τέλος δὲ εἶπεν ὧδε· ταῦτα, ἔφη, ὦ ἄνδρες, ἅπαντα δεῖ ὑμᾶς, οὐδὲν μᾶλλον ἐμὰ ἡγεῖσθαι, ἢ καὶ ὑμέτερα. ἐγὼ γὰρ, ἔφη, ταῦτα ἀθροίζω, οὔθ' ὅπως αὐτὸς καταδαπανήσω, οὔθ' ὅπως αὐτὸς κατα-

κατατρίψω (οὐ γὰρ ἂν δυναίμην) ἀλλ' ὅπως ἔχω τῷ τε ἀεὶ
ὑμῶν καλόν τι ποιοῦντι διδόναι· καὶ ὅπως ἤν τις ὑμῶν
τινὸς ἐνδεᾶ νομίσῃ, πρὸς ἐμὲ ἐλθὼν, λάβῃ οὗ ἂν ἐνδεὴς
τυγχάνῃ ὤν. καὶ ταῦτα μὲν οὕτως ἐλέχθη. ἡνίκα δὲ ἤδη
αὐτῷ ἐδόκει, καλῶς ἔχειν τὰ ἐν Βαβυλῶνι ὡς καὶ ἀποδη-
μεῖν, συνεσκευάζετο τὴν εἰς Πέρσας πορείαν, καὶ τοῖς ἄλ-
λοις παρήγγειλεν. ἐπεὶ δ' ἐνόμισεν ἱκανὰ ἔχειν ὧν ᾤετο
δεήσεσθαι, οὕτω δὴ ἀνεζεύγνυε. διηγησόμεθα δὲ καὶ ταῦ-
τα, ὡς πολύστολος ὢν, εὐτάκτως μὲν κατεσκευάζετο,
καὶ πάλιν ἀνεσκευάζετο. κατεχωρίζετο δὲ ταχὺ ὅπου
δέοι. ὅπου γὰρ ἂν στρατοπεδεύηται βασιλεὺς, σκηνὰς μὲν δὴ
ἔχοντες πάντες, οἱ ἀμφὶ βασιλέα στρατεύονται καὶ θέ-
ρους καὶ χειμῶνος. εὐθὺς δὲ τοῦτο ἐνόμιζε Κῦρος, πρὸς ἕω
βλέπουσαν ἵστασθαι τὴν σκηνήν. ἔπειτα ἔταξε πρῶτον μὲν
πόσον δεῖ ἀπολιπόντας σκηνοῦν τοὺς δορυφόρους τῆς βα-
σιλικῆς σκηνῆς. ἔπειτα σιτοποιοῖς μὲν χώραν ἀπέδειξε
τὴν δεξιάν· ὀψοποιοῖς δὲ τὴν ἀριστεράν· ἵπποις δὲ τὴν δε-
ξιὰν, ὑποζυγίοις δὲ τοῖς ἄλλοις τὴν ἀριστεράν. καὶ τἆλλα δὲ
διετέτακτο, ὥστε εἰδέναι ἕκαστον τὴν ἑαυτοῦ χώραν, καὶ
μέτρῳ καὶ τόπῳ. ὅταν δὲ ἀνασκευάζωνται, συντίθησι μὲν
ἕκαστος σκεύη, οἷσπερ τέτακται χρῆσθαι. ἀνατίθενται δ'
αὖ ἄλλοι ἐπὶ τὰ ὑποζύγια. ὥσθ' ἅμα μὲν πάντες ἔρχον-
ται οἱ σκευαγωγοὶ, ἐπὶ τὰ τεταγμένα ἄγειν· ἅμα δὲ
πάντες ἀνατιθέασιν ἐπὶ τὰ ἑαυτοῦ ἕκαστος. οὕτω δὴ
ὁ αὐτὸς χρόνος, ἀρκεῖ μιᾷ τε σκηνῇ καὶ πάσαις ἀνῃρῆ-
σθαι. ὡσαύτως οὕτως ἔχει καὶ περὶ κατασκευῆς. καὶ περὶ τοῦ
πεποιῆσθαι δὲ τὰ ἐπιτήδεια πάντα ἐν καιρῷ, ὡσαύτως δια-
τέτακται ἑκάστοις τὰ ποιητέα. καὶ διὰ τοῦτο ὁ αὐτὸς χρόνος
ἀρκεῖ ἑνί τε μέρει καὶ πᾶσι πεποιῆσθαι. ὥσπερ δὲ οἱ περὶ
τὰ ἐπιτήδεια θεράποντες, χώραν εἶχον τὴν προσή-
κουσαν ἕκαστοι, οὕτω καὶ οἱ ὁπλοφόροι αὐτῷ ἐν τῇ στρατοπε-
δεύσει χώραν τε εἶχον τὴν τῇ ὁπλίσει ἑκάστῃ ἐπιτηδεί-
αν. καὶ ᾔδεσαν ταύτην ὁποία ἦν, καὶ ἐπ' ἀναμφισβήτη-
τον πάντες κατεχωρίζοντο. καλὸν μὲν γὰρ ἡγεῖτο ὁ Κῦ-
ρος καὶ ἐν οἰκίᾳ εἶναι ἐπιτήδευμα τὴν εὐθημοσύνην. ὅ-
ταν γάρ τις του δέηται, δῆλόν ἐστιν ὅπου δεῖ ἐλθόντα
λαβεῖν. πολὺ δὲ ἔτι κάλλιον ἐνόμιζε τὴν τῶν στρατιωτι-
κῶν φυλῶν εὐθημοσύνην εἶναι. ὅσῳ τε ὀξύτεροι οἱ και-
ροὶ τῶν εἰς τὰ πολεμικὰ χρήσεων, καὶ μείζω τὰ σφάλμα-
τα ἀπὸ τῶν ὑστεριζόντων ἐν αὐτοῖς. ἀπὸ δὲ τῶν ἐν καιρῷ πα-
ραγινομένων, πλείστου ἄξια τὰ κτήματα ἑώρα γινόμε-
να ἐν τοῖς πολεμικοῖς. διὰ ταῦτα οὖν καὶ ἐπεμέλετο ταύ-
της τῆς εὐθημοσύνης μάλιστα. καὶ αὐτὸς μὲν δὴ πρῶτον
ἑαυτὸν ἐν μέσῳ κατετίθετο τοῦ στρατοπέδου, ὡς ταύτης τῆς
χώρας ἐχυρωτάτης οὔσης. ἔπειτα δὲ τοὺς μὲν πιστοτάτους,
ὥσπερ εἰώθει, περὶ ἑαυτὸν εἶχε. τούτων δὲ ἐν κύκλῳ ἐχο-
μένους ἱππέας τ' εἶχε, καὶ ἁρματηλάτας. καὶ γὰρ τούτοις
ἐχυρᾶς ἐνόμιζε χώρας δεῖσθαι. ὅτι σὺν οἷς μάχονται ὅπλοις,
οὐδὲν πρόχειρον ἔχοντες τούτων στρατοπεδεύονται. ἀλλὰ
πολλοῦ χρόνου δέονται εἰς τὴν ἐξόπλισιν, εἰ μέλλουσι
χρησίμως ἐξοίσειν. ἐν δεξιᾷ δὲ καὶ ἐν ἀριστερᾷ αὐτοῦ τε
καὶ τῶν ἱππέων, πελτασταῖς χώρα ἦν. τοξοτῶν δ'
αὖ χώρα, ἡ πρόσθεν ἦν καὶ ὄπισθεν αὐτοῦ τε καὶ τῶν ἵπ-
πων. ὁπλίτας δὲ καὶ τοὺς τὰ μεγάλα γέρρα ἔχοντας, κύκλῳ
πάντων εἶχεν, ὥσπερ τεῖχος, ὅπως καὶ εἰ δέοι τι ἐνσκευ-
άζεσθαι τοὺς ἱππέας, οἱ μονιμώτατοι πρόσθεν ὄντες,

παρέ-

consumam (nec enim possim id facere) sed quò habeam
quod sim ei daturus, qui e uobis pulchri aliquid fecerit:
& quo si quis uestrum existimauerit rei alicuius indige
re, si ad me ueniat, accipiat quod ei sit opus. Et hæc sanè
dicta sunt ita. Sed ubi iam ei uisum res est Babylone pul
chre habere, ita ut etiam abire posset, parauit reditum
in Persas, eumq; alijs præcepit. Vbi uerò putauit satis ea
habere, quibus egere futurum arbitrabatur, sic tandem
soluit. Exponemus præterea hæc, ut multus exercitus cū
10 esset, pulchro ordine parabatur, ac rursus itineri accin-
gebatur, atq; celeriter ponebatur quo in loco oporteret.
Vbicunque enim castrametabatur rex, ibi uniuersus re-
gis exercitus sese cum tabernaculis locat & æstate &
hyeme. Cyrus autem continuo hoc legitimum fecit, ut ta
bernaculum poneretur ex orientis regione. Deinde con
stituit, primum quidem quantum abesse cum tabernacu
lis oporteret speculatores à regio tabernaculo. Dein dex
terum locum ostendit ijs qui cibum facerent, sinistrum
autem obsoniorum artificibus. Equis quoque dexterum
20 locum, iumentis uerò alijs sinistrum. Et reliqua constitu
ta sunt ita, ut quisque sciret sedem suam & dimensione
& loco. Cum uerò iter rursus est faciundum, componit
quisque ea uasa quibus pro constitutione est utendum.
Alij item ea ponunt in iumentis. Itaque ueniunt simul
omnes qui agunt impedimenta ad agendum constituta:
simul etiam omnes reponunt, quisque super sua iumen-
ta. Sic igitur idem tempus satis est, ut & unum taberna-
culum & omnia tollantur. Identidem sic habet etiam de
apparatu, & de faciundis necessarijs omnibus tempesti
30 ue: eodem modo singulis constitutum est quæ facere o-
porteat. Ob quam quidem rem idem tempus sufficit &
uni parti, & omnibus ad faciundum. Quemadmodum
uero famuli qui erant ad res necessarias constituti, lo-
cum habebant conuenientem singuli, ita etiam armigeri
eius in expeditione & habebant locum armaturæ ac-
commodatum, & sciebant quis hic esset, & indubitato
omnes se locabant. Perpulchrum sane arbitrabatur Cy-
rus, in ædibus quoq; esse aptæ locationis studium. Cum
enim cuiquam re ulla est opus, liquidum est quô sit itu-
40 rus ad eam accipiendam. Multo præterea pulchrius exi
stimauit, si bene positæ essent tribus militares. Quo e-
nim acutiora sunt tempora earum rerum quibus uten-
dum est ad res bellicas, maiora etiā errata fiunt per eos
qui in his cunctantur. Ab illis uero qui tempestiue ad-
sunt, uidebat utilitates fieri plurimi æstimandas in rebus
bellicis, itaq; curam habebat huius ordinis maximè. At-
que ipse Cyrus primùm se in medio castrorum colloca-
bat, utpote quod hic locus munitissimus foret. Dein ui-
ros maxime fidos, quemadmodum semper consueuit, cir
50 cum se habebat. Hi uero cum circulariter starent, & e-
quites habebat, & curruū ductores. Etenim his putabat
opus esse loco munitissimo, quoniam quibus cum armis
præliantur, nihil horum paratum expeditumq; habentes
castrametantur, quin multo his tempore opus est ad se
armandos, si utiliter sint educturi. In dextera autem ac si
nistra & suipsius & equitum parte, locus erat scutatis
constitutus. Sagittariorū item locus & antè erat et post,
tum ipsum, tum etiā equites. Milites uero grauis armatu
ræ et qui magnas haberēt cratis, circum eos omnis habe
bat ueluti murum, quo si quid oporteret parari milites,

hi con-

bi constantissime aggressi præberent ijs ad armandum securitatem. Accubabant autem ei in ordine quemadmodum milites grauis armaturæ, sic quoq; scutati ac sagittarij, quo etiam noctu si quid ei opus esset, sicut & milites ipsi parati sunt ad feriendum comminus inuadentem, ita & sagittarij & iaculatores si qui adorirentur, præsto iacula sagittasq; torquerent pro his militibus. Habebant præterea signa omnes principes in tabernaculis. Sed ministri quemadmodū etiam in urbibus qui temperantes prudentesq; sunt, plurimorum quoq; sciebant habitationes, præsertim tempestiuorum: eodem quoque modo Cyri ministri, et sciebant in castris ducum loca, et signa cognoscebant quæ singulis essent: quare si quo illorum Cyro opus esset, eum non quærebant, sed quam breuissime currebant ad singulos. Et quoniam nationes singulæ meræ essent, multo etiam magis erāt manifestæ, & cum quis bene iussa seruaret, & si quis minus ageret quod iussum esset. Igitur cum ita illi haberent, censebat Cyrus si quis etiam inuaderet noctu aut die, inuadentis hostes tanquam in insidias in castra incidere. Atq; disciplinæ militaris non hoc solum esse ducebat, si quis extēdere phalangas facile posset, aut restringere, aut ex cornu in phalanga redigere, aut ex dextra uel sinistra, aut a tergo apparentibus hostibus recte explicare: sed etiā distrahere cum opus sit, ordinarium præceptum existimabat: & quo pacto ponenda esset quælibet pars quo maxime esset utilis, & quomodo accelerandū ubi assequi oporteat: hæc omnia ac similia periti strenuiq; uiri esse arbitrabatur, atq; hæc omnia æque curabat. Præterea in itineribus, ad id quod accideret semper exercitu disposito pergebat. In castrametatione uero frequenter, quemadmodum dictum est, exercitum locabat. At ubi uenerunt in Mediæ regionem, diuertit Cyrus ad Cyaxarem. Qui ubi se inuicem sunt complexi, Cyrus primum inquit Cyaxari, ei & ædes Babylone electas esse, & principia, quo haberet etiam cum illuc iret, diuersorium tanquam in domum. Dein quoq; alia ei dona dedit & plurima et pulcherrima. At Cyaxares his quidem acceptis, ad eum filiam misit, quæ ferret & coronam auream, & armillas, & torquem, & stolam Medicam quàm fieri potuit pulcherrimam. Et puella quidem Cyrum coronabat. Cyaxares uero dixit: Do etiam tibi Cyre hanc ipsam uxorem quæ mea est filia. Tuus autem pater uxorem cepit filiam patris mei, ex qua ipse natus es. Hæc autem est, quam tu sæpe cum puer apud nos esses, cantiunculis demulcebas: cumq; aliquis eam interrogaret cui nuberet, dicebat se Cyro nubere. Præterea do etiam ipsi dotem uniuersam Mediam: nec enim mas filius mihi legitimus est. Cyaxares ita est loquutus. Ad quem Cyrus respondit: Verùm Cyaxares & genus laudo, & puellam, et dona: sed hæc tibi uolo consentire unà cum patris mei matrisq; sententia. Quæ quidē Cyrus in hunc modum loquutus est, sed puellæ tamen hæc omnia dono dedit, quæcunq; arbitrabatur Cyaxari quoq; grata fore. Et hæc cū fecisset, proficiscebatur in Persas. Sed ubi peruenit in Persarum fines, relicto alio agmine ipse unà cum amicis ad urbem pergebat, uictimas secum agens, quæ omnib. Persis satis essent & ad sacrificandum & ad epulandum. Agebat etiam dona quæ decerent & patrē, et matrem, & amicos alios: qualia item forent pro magistratuū & senio-

παρέχοιεν αὐτοῖς ἀσφαλῆ τὴν καθόπλισιν. ἐκάθευδον δὲ αὐτῷ ἐν τάξει ὥσπερ οἱ ὁπλῖται, οὕτω δὲ καὶ οἱ πελτασταὶ καὶ οἱ τοξόται, ὅπως καὶ ἐκ τῶν νυκτῶν εἰ δέοι τι, ὥσπερ καὶ οἱ ὁπλῖται παρεσκευασμένοι εἰσὶ παίειν τὸν εἰς χεῖρας ἰόντα, οὕτω καὶ οἱ ἀκοντισταί, εἴ τινες προσίοιεν, ἐξ ἑτοίμου ἀκοντίζοιεν καὶ τοξεύοιεν ὑπὲρ τῶν ὁπλιτῶν. εἶχον δὲ καὶ σημεῖα πάντες οἱ ἄρχοντες ἐπὶ ταῖς σκηναῖς. οἱ δ' ὑπηρέται, ὥσπερ καὶ ἐν ταῖς πόλεσιν οἱ σώφρονες, ἴσασι μὲν καὶ τῶν πλείστων τὰς οἰκήσεις, μάλιστα δὲ τῶν ἐπικαιρίων. οὕτω καὶ τῶν ἐν τοῖς στρατοπέδοις, τάς τε χώρας τὰς τῶν ἡγεμόνων ἠπίσταντο οἱ Κύρου ὑπηρέται, καὶ τὰ σημεῖα ἐγίγνωσκον, ἃ ἑκάστοις ἦν. ὥστε ὅτου δέοιτο Κῦρος, οὐκ ἐζήτουν, ἀλλὰ τὴν συντομωτάτην ἐφ' ἕκαστον ἔθεον. καὶ διὰ τὸ εἰλικρινῆ ἕκαστα εἶναι, πολὺ μᾶλλον ἦν δῆλα, καὶ ὁπότε τις εὐτακτοίη, καὶ εἴ τις μὴ πράττοι τὸ προσταττόμενον. οὕτω δὴ ἐχόντων, ἡγεῖτο εἴ τις καὶ ἐπίθοιτο νυκτὸς ἢ ἡμέρας, ὥσπερ ἂν εἰς ἐνέδραν εἰς τὸ στρατόπεδον τοὺς ἐπιτιθεμένους ἐμπίπτειν. καὶ τὸ τακτικὸν δὲ εἶναι οὐ τοῦτο μόνον ἡγεῖτο, εἴ τις ἐκτεῖναι φάλαγγας εὐπόρως δύναιτο, ἢ βαθῦναι, ἢ ἐκ κέρατος εἰς φάλαγγα καταστῆσαι, ἢ ἐκ δεξιᾶς, ἢ ἀριστερᾶς, ἢ ὄπισθεν ἐπιφανέντων πολεμίων, ὀρθῶς ἐξελίξαι, ἀλλὰ καὶ διασπᾶν ὁπότε δέοι, τακτικὸν ἡγεῖτο. καὶ τὸ τιθέναι γε τὸ μέρος ἕκαστον, ὅπου μάλιστα ἐν ὠφελείᾳ ἂν εἴη. καὶ τὸ ταχύνειν δὲ ὅπου φθάσαι δέοι, πάντα ταῦτα καὶ τὰ τοιαῦτα, τακτικοῦ ἀνδρὸς ἐνόμιζεν εἶναι. καὶ ἐπεμελεῖτο τούτων πάντων. ὁμοίως καὶ ἐν μὲν ταῖς πορείαις πρὸς τὸ συμπίπτον ἀεί, διατάττων ἐπορεύετο. ἐν δὲ τῇ στρατοπεδεύσει ὡς τὰ πολλά, ὥσπερ εἴρηται, κατεχώριζεν. ἐπεὶ δὲ πορευόμενοι γίγνονται κατὰ τὴν Μηδικήν, τρέπεται ὁ Κῦρος πρὸς Κυαξάρην. ἐπεὶ δὲ ἠσπάσαντο ἀλλήλους, πρῶτον μὲν δὴ ὁ Κῦρος εἶπε τῷ Κυαξάρῃ, ὅτι οἶκος αὐτῷ ἐξῃρημένος εἴη ἐν Βαβυλῶνι, καὶ ἀρχεῖα ὅπως ἔχῃ, καὶ ὅταν ἐκεῖσε ἔλθῃ, εἰς οἰκεῖα κατάγηται. ἔπειτα δὲ καὶ ἄλλα δῶρα ἔδωκεν αὐτῷ πολλὰ καὶ καλά. ὁ δὲ Κυαξάρης ταῦτα μὲν ἐδέχετο. προσέπεμψε δὲ αὐτῷ τὴν θυγατέρα, στέφανόν τε χρυσοῦν, καὶ ψέλλια φέρουσαν, καὶ στρεπτὸν καὶ στολὴν Μηδικήν, ὡς δυνατὸν καλλίστην. καὶ ἡ μὲν δὴ παῖς ἐστεφάνου τὸν Κῦρον. ὁ δὲ Κυαξάρης εἶπε· δίδωμι δέ σοι, ὦ Κῦρε, καὶ αὐτὴν ταύτην γυναῖκα, ἐμὴν οὖσαν θυγατέρα. καὶ ὁ σὸς δὲ πατὴρ ἔγημε τὴν τοῦ ἐμοῦ πατρὸς θυγατέρα, ἐξ ἧς σὺ ἐγένου. αὕτη δ' ἐστὶν ἣν σὺ πολλάκις παῖς ὢν, ὅτε παρ' ἡμῖν ἦσθα, ἐτιθηνήσω. καὶ ὁπότε τις ἐρωτῴη αὐτήν, τίνι γαμοῖτο, ἔλεγεν ὅτι Κύρῳ. ἐπιδίδωμι δὲ αὐτῇ ἐγὼ καὶ φερνὴν, Μηδίαν τὴν πᾶσαν. οὐδὲ γάρ ἐστί μοι ἄρρην παῖς γνήσιος. ὁ μὲν οὕτως εἶπεν. ὁ δὲ Κῦρος ἀπεκρίνατο· ἀλλ' ὦ Κυαξάρη, τό τε γένος ἐπαινῶ, καὶ τὴν παῖδα, καὶ δῶρα. βούλομαι δέ, ἔφη, σὺν τῇ τοῦ πατρὸς γνώμῃ καὶ τῇ τῆς μητρὸς, ταῦτά σοι συναινέσαι. εἶπε μὲν οὕτως ὁ Κῦρος. ὅμως δὲ τῇ παιδὶ πάντα ἐδωρήσατο ὁπόσα ᾤετο Κυαξάρῃ χαριεῖσθαι. ταῦτα δὲ ποιήσας εἰς Πέρσας ἐπορεύετο. ἐπεὶ δ' ἐπὶ τοῖς Περσῶν ὁρίοις ἐγένετο πορευόμενος, τὸ μὲν ἄλλο στράτευμα αὐτοῦ κατέλιπεν. αὐτὸς δὲ σὺν τοῖς φίλοις εἰς τὴν πόλιν ἐπορεύετο, ἱερεῖα μὲν ἄγων, ὡς πᾶσι Πέρσαις ἱκανὰ θύειν τε καὶ ἑστιᾶσθαι. δῶρα δὲ ἦγεν, οἷα μὲν ἔπρεπε τῷ πατρὶ καὶ τῇ μητρὶ καὶ τοῖς ἄλλοις φίλοις, οἷα δ' ἔπρεπεν ἀρχαῖς καὶ γεραιτέροις

γεραιτέροις καὶ τοῖς ὁμοτίμοις πᾶσιν. ἐδώκε δὲ καὶ πᾶ-
σι πέρσαις καὶ περσίσιν, ὅσαπερ καὶ νῦν ἔτι δίδωσιν,
ὅταν περ ἀφίκηται βασιλεὺς εἰς πέρσας. ἐκ δὲ τούτου
συλλέξας καμβύσης τοὺς γεραιτέρους περσῶν, καὶ τὰς ἀρ-
χὰς, οἵπερ τῶν μεγίστων κύριοί εἰσι. παρεκάλεσε δὲ καὶ
κῦρον, καὶ ἔλεξε τοιάδε· ἄνδρες πέρσαι, καὶ σὺ ὦ κῦρε,
ἐγὼ ἀμφοτέροις ὑμῖν εἰκότως εὔνους εἰμί. ὑμῶν μὲν γὰρ
βασιλεύω. σὺ δὲ, ὦ κῦρε, παῖς ἐμὸς εἶ. δίκαιος οὖν εἰμι,
ὅσα γιγνώσκειν δοκῶ ἀγαθὰ ἀμφοτέροις, ταῦτα εἰς τὸ
μέσον λέγειν. τὰ μὲν γὰρ παρελθόντα, ὑμεῖς μὲν κῦρον
ηὐξήσατε, στράτευμα δόντες, καὶ ἄρχοντα τούτου αὐτὸν
καταστήσαντες. κῦρος δὲ ἡγούμενος τούτου σὺν θεοῖς,
εὐκλεεῖς μὲν ὑμᾶς, ὦ πέρσαι, ἐν πᾶσιν ἀνθρώποις ἐ-
ποίησεν, ἐντίμους δ' ἐν τῇ ἀσίᾳ πάσῃ. τῶν δὲ συστρατευ-
σαμένων, τοὺς μὲν ἀρίστους καὶ πεπλούτηκε· τοῖς δὲ πολ-
λοῖς μισθὸν καὶ τροφὴν παρεσκεύακεν. ἱππικὸν καταστή-
σας περσῶν, πεποίηκε πέρσαις καὶ πεδίων εἶναι μετουσίαν.
ἢν μὲν οὖν καὶ τὸ λοιπὸν οὕτω γιγνώσκητε, πολλῶν καὶ ἀγα-
θῶν αἴτιοι ἀλλήλοις ἔσεσθε. εἰ δὲ ἢ σὺ ὦ κῦρε ἐπαρθεὶς ταῖς
παρούσαις τύχαις, ἐπιχειρήσεις καὶ περσῶν ἄρχειν ἐπὶ
πλεονεξίᾳ ὥσπερ τῶν ἄλλων, ἢ ὑμεῖς, ὦ πολῖται φθονή-
σαντες τούτῳ τῆς δυνάμεως, καταλύειν πειράσεσθε
τοῦτον τῆς ἀρχῆς, εὖ ἴστε ὅτι ἐμποδὼν ἀλλήλοις πολλῶν καὶ
ἀγαθῶν ἔσεσθε. ὡς οὖν μὴ ταῦτα γίγνηται, ἀλλὰ τἀγαθὰ,
ἐμοὶ δοκεῖ, ἔφη, θύσαντας ὑμᾶς κοινῇ καὶ θεοὺς ἐπιμαρ-
τυραμένους συνθέσθαι. σὲ μὲν, ὦ κῦρε, ἤν τις ἐπιστρατεύη-
ται χώρᾳ περσίδι, ἢ περσῶν νόμους διασπᾶν πειρᾶται,
βοηθήσειν παντὶ σθένει. ὑμᾶς δὲ, ὦ πέρσαι, ἤν τις ἢ ἀρχῆς
κῦρον ἐπιχειρῇ καταπαύειν, ἢ ἀφίστασθαί τις τῶν ὑποχει-
ρίων, βοηθήσειν καὶ ὑμῖν αὐτοῖς καὶ κύρῳ καθ' ὅτι ἂν ἐπαγ-
γέλλῃ. καὶ ἕως μὲν ἂν ἐγὼ ζῶ, ἐμὴ γίγνεται ἡ ἐν πέρσαις
βασιλεία. ὅταν δ' ἐγὼ τελευτήσω, δῆλον ὅτι κύρου, ἐὰν
ζῇ. καὶ ὅταν μὲν οὗτος ἀφίκηται εἰς πέρσας, ὁσίως ἂν
ὑμῖν ἔχοι, τοῦτον θύειν τὰ ἱερὰ ὑπὲρ ὑμῶν, ἅπερ νῦν ἐ-
γὼ θύω. ὅταν δ' οὗτος ἔκδημος ᾖ, καλῶς ἂν οἶμαι ὑ-
μῖν ἔχειν, εἰ ἐκ τοῦ γένους, ὃς ἂν δοκῇ ὑμῖν ἄριστος εἶν,
οὗτος τὰ τῶν θεῶν ἀποτελοίη. ταῦτα εἰπόντος καμβύ-
σου, συνέδοξε κύρῳ τε καὶ τοῖς περσῶν τέλεσι. καὶ συν-
θέμενοι ταῦτα τότε, καὶ θεοὺς ἐπιμαρτυράμενοι, οὕτω καὶ
νῦν ἔτι διαμένουσι ποιοῦντες πρὸς ἀλλήλους πέρσαι
τε καὶ βασιλεύς. τούτων δὲ πραχθέντων, ἀπῄει ὁ κῦρος.
ὡς δ' ἀπιὼν ἐγένετο ἐν μήδοις, συνδόξαν τῷ πατρὶ
γαμεῖ τὴν κυαξάρου θυγατέρα, ἧς ἔτι καὶ νῦν λόγος ὡς
παγκάλου γενομένης. ἔνιοι δὲ τῶν λογοποιῶν λέγουσιν, ὡς
τὴν τῆς μητρὸς ἀδελφὴν ἔγημεν. ἀλλὰ γραῦς ἂν καὶ παν-
τάπασιν ἦν ἡ παῖς. γήμας δ' εὐθὺς ἔχων ἀνεζεύγνυεν.
ἐπεὶ δ' ἐν βαβυλῶνι ἦν, ἐδόκει αὐτῷ σατράπας ἤδη
πέμπειν ἐπὶ τὰ κατεστραμμένα ἔθνη. τοὺς μέντοι ἐν ταῖς
ἄκραις φρουράρχους, καὶ τοὺς χιλιάρχους τῶν κατὰ τὴν χώ-
ραν φυλακῶν, οὐκ ἄλλου ἢ ἑαυτοῦ ἐβούλετο ἀκούειν. τοῦ-
το δὲ προεωρᾶτο, ἐννοῶν, ὅπως εἴ τις τῶν σατραπῶν, ὑπὸ
πλούτου καὶ πλήθους ἀνθρώπων ἐξυβρίσειε, καὶ ἐπιχει-
ρήσειε μὴ πείθεσθαι, εὐθὺς ἀντιπάλους ἔχοι ἐν τῇ χώρᾳ.
ταῦτ' οὖν βουλόμενος πρᾶξαι, ἔγνω συγκαλέσαι πρῶ-
τον τοὺς ἐπικαιρίους, καὶ προειπεῖν ὅπως εἰδεῖεν, ἐφ' οἷς
ἴασιν οἱ ἰόντες. οὕτω γὰρ ᾤετο ῥᾷον φέρειν ἂν αὐτούς.
ἐπεὶ

seniorum homotimorumq; dignitate. Dabat praeterea Persis omnibus dona & maribus & foeminis, quaecunq; etiam hac tempestate dantur à rege quandocunq; in Persas ierit. Exhinc collegit Cambyses Persarũ seniores atq; magistratus, qui rerum maximarũ ius habent. Inuitauit etiam Cyrum, ac tali est usus oratione: Viri Persae, & tu Cyre fili, ego utrisq; uobis, ut decet, sum beneuolus. Nam uobis Persis rex sum, tu autem Cyre meus es filius. Itaq; meae est iustitiae, quaecunq; uideor mihi nosse utrisq; uobis conducere, haec ut in medium referam. Superioribus enim temporibus uos Cyrum amplificastis, quippe cui & exercitum dedistis, & exercitus principẽ constituistis. Huius autem dux Cyrus pro deorum benignitate inclytos uos, ô Persae, inter omnis homines reddidit, & in uniuersa Asia honorificos. Eorum uero qui una cum ipso militiam obiere, uiros optimatis etiam locupletauit. Multitudini uero stipendiũ uictumq; parauit, constitutoq; Persarum equitatu reddidit Persas agrorũ item participes. Si quidem in posterum ita senseritis, eritis inuicem uobis autores multarum bonarumq; rerum. Sin autem tu Cyre elatus secundis rebus praesentibus, aggrediaris in Persas quoq; pro auiditate imperium gerere quemadmodum in alios, aut uos ciues huius potentiae inuidia tentabitis soluere huius imperium, debetis non esse nescij uos inuicem uobis fore impedimento, quò minus rerum plurimarũ bono perfruamini. Quae quidem mala ne fiant, sed bona potius, mihi uidetur ut per publicum sacrificium, perq; deorum attestationem in haec pacta conueniatis. Te quidem, ô Cyre, si quis aut regionem Persida bello appetierit, aut Persarum leges rescindere tentauerit, auxilium patriae laturum omnibus uiribus. Vos autem, ô Persae, si quis aut imperio Cyrum priuare aggrediatur, aut si subditorum mancipiorum quisquam defecerit, futuros auxilio et uobisipsis, et Cyro ad quicquid hic praecipiat. Atque donec ego in uiuis sum, meum sit in Persis imperium: sed ubi ipse diem obiero, regnum scilicet erit Cyri si uixerit. Cumq; hic in Persas uenerit, si religiose uobiscum se gesserit, ut hic sacra pro uobis faciat, quae nunc ipse sacrifico. Sed ubi hic naturae concesserit, recte uobis consultũ erit mea sententia, si ex genere qui uobis futurus optimus uideatur, hic legitima dijs immortalibus persoluat. Quae Cambyses cum dixisset, probata sunt et Cyro et magistratibus Persarum. Atque haec ut tum pepigerunt, atq; deos attestati sunt, ita etiam hac tempestate facere inuicem & Persae & rex perseuerant. His autẽ gestis abijt Cyrus: qui ubi uenit in Medos, ex patris matrisq; sententia uxorem capit Cyaxaris filiam, quae fertur hoc etiam tempore fuisse pulcherrima. Etsi historici quidam tradunt, Cyrum matris sororem duxisse uxorem: sed ea etiam anus fuisset omnino. Continuo autem ubi cepit uxorem, eam secum habens soluit ex Medis: qui ubi fuisset Babylone, uisum est et satrapas iam esse mittendos in gentis subiugatas. Atq; eos quidem qui in arcibus praesidijs praeerant, atq; millenarios quos praefecerat custodiae regionis, noluit alij parère quàm sibi. Haec prospiciebat, quoniam cogitaret ut si quis satraparum prae diuitijs atque hominum multitudine contumelia se esset affecturus, tentaturusq; minus parère, continuo in regione haberet qui aduersarentur. Haec igitur uolens agere, decreuit conuocare primum tempestiuos, eisq; praedicere ut scirent ẽites quae erant facturi: existimabat enim ita facile eos esse laturos.

Vbi autem aliquis esset constitutus princeps, aliaq; acce
perit, putabat Cyrus hæc illos laturos moleste, quippe
qui arbitrarentur hæc facta esse propter ipsorum infideli/
tatem. Sic igitur uocatis illis in concionem, huiusmodi
uerba loquutus est: Viri amici, sunt nobis in urbibus sub/
iugatis præsidia præsidiorumq; præfecti, quos tum reli/
quimus: & his ego abiens iussi ut aliam ad rem nullam
essent curiosi, quàm ad seruandas urbes. Hos igitur à ma/
gistratu nolo amouere, quoniā bene imperata seruauere:
sed alij satrapæ uidentur mihi mittendi qui imperent ha/ 10
bitantibus, quiq; accepto tributo & præsidiarijs militibus
dent stipendium, & aliud quodcunq; opus est soluant.
Videtur etiam mihi è uobis hic agentibus quibuscunque
negocia præbeo, cum illos mitto acturos aliquid in has
gentes, & agros tribuendos illic esse & ædis, quò & tri
butum huc ad uos dent, & cum illuc eant, in propria ha/
beant diuersorium. Hæc loquutus est, deditq; amicorum
multis in omnibus subiugatis urbibus & ædis & subdi/
tos, & nunc etiam sunt illorum posteris qui hæc tum acce
perunt agri, permanentes alij in alio solo: ipsi autem habi 20
tant apud regem. Oportet autem, inquit, ut satrapas eun/
tis in has regiones tales ipsi consideremus, qui memine/
rint huc etiam mittere quicquid aut pulchri aut boni in
quolibet solo sit, quo nos quoq; qui hic sumus, participes
simus bonorum omnium quæ ubiq; sunt. Etenim si quid
alicubi graue fiat, nobis erit ulciscendum. Hæc loquutus
Cyrus, tum quidem dicendi finem fecit. Dein uero quos ex
amicis cognouit cupidos eundi in dicta loca, electis ex his
qui aptißimi esse uidebantur, eos misit satrapas. In Ara/
biam quidem Megabyzum, in Cappadociam Artabatan, 30
in Phrygiam magnam Artacamam. In Lydiam uero &
Ioniam Chrysantam, in Cariam Cadusium, ut Cares etiam
petierunt: in Phrygiam uero quæ adiacet Hellesponto &
Aeolidi, Pharnuchum. Ciliciæ autem Cypri & Paphla/
gonum, non misit Persas satrapas, quoniam ultro uisi sunt
una secum bellum geßisse aduersus Babylona. Atque tri/
buta quidem ut hi quoque deferrent, ordinauit. Vt autem
tum Cyrus constituit, sic item hoc tempore & sunt regis
arcium custodiæ: & millenarij qui custodibus præsunt, à
rege constituti sunt. descriptique apud regem. Iußit præ/ 40
terea satrapis omnibus quos mittebat, ut pro uiribus ea
omnia imitarentur, quæ ipsum facere uiderent. Et primum
quidem ut equites constituerent, aurigasq; ex his Persis
& socijs qui una secuti sunt: & quicunque agrum prin/
cipatusque cepissent, hos cogerent ut ad fores irent, tempe/
rantiæq; studerent, & sese utendum satrapæ præberent si
qua re opus esset: atque ut filios qui nascerentur, institue/
rent ire ad fores, quemadmodum apud ipsum. Insuper ut
satrapes educeret ad uenationem eos qui sunt ad fores: &
ut satrapes ipse, & qui unà cum eo sunt res bellicas ex/ 50
ercerent. Quicunque autem, dixit, mihi reddiderit pro ra
tione potentiæ plurimos currus, plurimósque & optimos
equites, hunc ego ut bonum socium bonumque concusto
dem imperij, & Persarum & mei honoribus prose/
quar. Ad hæc præferantur apud uos quoque, quemad/
modum apud me, uiri optimates cæteris in consessu. Et
mensa etiam sit sicuti mea, quæ alat primum famulos, de/
in satis sit ornata ad impertiendum etiam amicis: & ut
eum qui pulchrè aliquid fecerit, quotidie rursus mune/
rare. Insuper hortos comparate, atque nutrite feras,
& neq;

ἐπεὶ δὲ κατασταίη τις ἄρχων, καὶ αἰσθάνοιτό τι ταῦτα, χαλε-
πῶς ἂν ἐδόκουν αὐτῷ φέρειν, νομίζοντες δι᾽ ἑαυτῶν ἀπι-
στίαν ταῦτα γεγενῆσθαι. οὕτω δὴ συλλέξας, λέγει αὐτοῖς τοιά-
δε· ἄνδρες φίλοι, εἰσὶν ὑμῖν ἐν ταῖς κατεστραμμέναις
πόλεσι, φρουροὶ καὶ φρούραρχοι, οὓς τότε κατελίπομεν.
καὶ τούτοις ἐγὼ προστάξας, ἀπῆλθον, ἄλλο μὲν οὐδὲν πο-
λυπραγμονεῖν, τὰ δὲ τείχη διασώζειν. τούτους μὲν οὖν
οὐ παύσω τῆς ἀρχῆς, ἐπεὶ καλῶς διαπεφυλάχασι τὰ προ-
σταχθέντα· ἄλλους δὲ σατράπας πέμψαι μοι δοκεῖ, οἵτι-
νες ἄρξουσι τῶν ἐνοικούντων, καὶ τὸν δασμὸν λαμβάνον-
τες τοῖς τε φρουροῖς δώσουσι μισθὸν, καὶ ἄλλο τελέσουσιν
ὅ,τι ἂν δέῃ. δοκεῖ δέ μοι καὶ τῶν ἐνθάδε ὑμῶν, οἷς ἂν ἐγὼ
πράγματα παρέχω, πέμπων πράξοντάς τι ἐπὶ ταῦτα
ἔθνη, χώρας γενέσθαι καὶ οἴκους ἐκεῖ, ὅπως δασμοφορῆται
αὐτοῖς δεῦρο. ὅταν τε ἴωσιν ἐκεῖσε, εἰς οἰκεῖα ἔχωσι κα-
τάγεσθαι. ταῦτα εἶπε, καὶ ἔδωκε πολλοῖς τῶν φίλων κατὰ
πάσας τὰς καταστραφείσας πόλεις, οἴκους. καὶ νῦν εἰσιν
ἔτι τοῖς ἀπογόνοις τῶν τότε λαβόντων αἱ χῶραι καταμένου-
σαι, ἄλλαι ἐν ἄλλῃ γῇ· αὐτοὶ δὲ οἰκοῦσι παρὰ βασιλεῖ. δεῖ δὲ,
ἔφη, τοὺς ἰόντας σατράπας ἐπὶ ταύτας τὰς χώρας τοιού-
τους ἡμᾶς σκοπεῖν, οἵτινες ὅ,τι ἂν ἐν τῇ γῇ ἑκάστῃ κα-
λὸν ἢ ἀγαθὸν ᾖ, μεμνήσονται καὶ δεῦρο ἀποπέμπειν, ὡς
μετέχωμεν καὶ οἱ ἐνθάδε ὄντες, τῶν πανταχοῦ γιγνο-
μένων ἀγαθῶν. καὶ γὰρ ἤν τί που δεινὸν γίγνηται, ὑμῖν
ἔσται ἀμυντέον. ταῦτ᾽ εἰπὼν, τότε μὲν ἔπαυσε τὸν λό-
γον· ἔπειτα δὲ οὓς ἐγίγνωσκε τῶν φίλων ἐπὶ τοῖς εἰρημέ-
νοις ἐπιθυμοῦντας ἰέναι, ἐκλεξάμενος αὐτῶν τοὺς δοκοῦν-
τας ἐπιτηδειοτάτους εἶναι, ἔπεμπε σατράπας· εἰς ἀραβίαν
μὲν μεγάβυζον· εἰς καππαδοκίαν δὲ, ἀρταβάταν· εἰς φρυ-
γίαν δὲ τὴν μεγάλην, ἀρτακάμαν· εἰς λυκίαν δὲ καὶ ἰωνίαν,
χρυσάνταν· εἰς φρυγίαν δὲ τὴν παρ᾽ ἑλλήσποντον καὶ αἰολί-
δα, φαρνοῦχον· κιλικίας δὲ καὶ κύπρου καὶ παφλαγόνων οὐκ
ἔπεμψε πέρσας σατράπας, ὅτι ἑκόντες ἐδόκουν συστρατεύε-
σθαι ἐπὶ βαβυλῶνα. δασμοὺς μέντοι συνέταξεν ἀποφέρειν
καὶ τούτους. ὡς δὲ τότε κῦρος κατεστήσατο, οὕτως ἔτι καὶ
νῦν βασιλέως εἰσὶν αἱ ἐν ταῖς ἄκραις φυλακαί. καὶ οἱ χι-
λίαρχοι τῶν φυλακῶν ἐκ βασιλέως εἰσὶ καθεστηκότες, καὶ
παρὰ βασιλεῖ ἀπογεγραμμένοι. προεῖπε δὲ πᾶσι τοῖς ἐκπεμ-
πομένοις σατράπαις, ὅσα δυνατὸν ἑώρων ποιοῦντα ἑαυτὸν
πάντα μιμεῖσθαι. πρῶτον μὲν ἱππέας καθιστάναι, ἐκ τῶν συν-
επομένων περσῶν καὶ συμμάχων, καὶ ἁρματηλάτας. ὁ-
πόσοι δ᾽ ἂν γῆν καὶ ἀρχεῖα λάβωσιν, ἀναγκάζειν τού-
τους ἐπὶ θύρας ἰέναι, καὶ σωφροσύνης ἐπιμελουμένους, παρέ-
χειν ἑαυτοὺς τῷ σατράπῃ χρῆσθαι ἤν τι δέηται. παιδεύειν
δὲ καὶ τοὺς γιγνομένους παῖδας ἐπὶ θύρας, ὥσπερ παρ᾽ αὐ-
τῷ. ἐξάγειν δ᾽ ἐπὶ τὴν θήραν τὸν σατράπην, τοὺς ἀπὸ θυ-
ρῶν. καὶ ἀσκεῖν αὑτόν τε καὶ τοὺς σὺν ἑαυτῷ τὰ πολεμικά.
ὃς δ᾽ ἂν ἐμοὶ, ἔφη, κατὰ λόγον τῆς δυνάμεως, πλεῖστα μὲν ἅρ-
ματα, πλείστους δὲ καὶ ἀρίστους ἱππέας ἀποδεικνύῃ, τοῦτον
ἐγὼ ὡς ἀγαθὸν σύμμαχον, καὶ ὡς ἀγαθὸν συμφύλακα
πέρσαις τε καὶ ἐμοὶ, τῆς ἀρχῆς τιμήσω. ἔστωσαν δὲ παρ᾽ ὑ-
μῖν καὶ ἕδραι, ὥσπερ παρ᾽ ἐμοὶ οἱ ἄριστοι προτετιμημένοι.
καὶ τράπεζα ὥσπερ ἡ ἐμή. τρεφέτω μὲν πρῶτον τοὺς οἰκέ-
τας, ἔπειτα δὲ καὶ ὡς φίλοις μεταδιδόναι, ἱκανῶς κε-
κοσμημένη, καὶ ὡς τὸν καλόν τι ποιοῦντα, καθ᾽ ἡμέραν
ἐπιγεραίρειν. κτᾶσθε δὲ καὶ παραδείσους, καὶ θηρία τρέφετε,
καὶ

καὶ μήτε αὐτοί ποτε ἄνευ πόνου σῖτον παραθῆσθε, μή-
τε ἵπποις ἀγυμνάστοις χόρτον ἐμβάλλετε. οὐ γὰρ ἂν δυναί-
μην ἐγὼ εἷς ὤν, ἀνθρωπίνῃ ἀρετῇ τὰ πάντων ὑμῶν ἀ-
γαθὰ διασώζειν· ἀλλὰ δεῖ ἐμὲ μὲν ἀγαθὸν ὄντα σὺν ἀγα-
θοῖς τοῖς παρ' ἐμοῦ, ὑμῖν ἐπίκουρον εἶναι. ὑμᾶς δὲ ὁμοίως αὐ-
τοὺς ἀγαθοὺς ὄντας, σὺν ἀγαθοῖς τοῖς μεθ' ὑμῶν, ἐμοὶ συμ-
μάχους εἶναι. βουλοίμην δ' ἂν ὑμᾶς καὶ τοῦτο κατανοῆσαι,
ὅτι τούτων ὧν νῦν ὑμῖν παρακελεύομαι, οὐδὲν τοῖς δούλοις
προστάττω· ἃ δ' ὑμᾶς φημὶ χρῆναι ποιεῖν, ταῦτα καὶ αὐ-
τὸς πειρῶμαι πράττειν. ὥσπερ δ' ἐγὼ ὑμᾶς κελεύω ἐμὲ
μιμεῖσθαι, οὕτω καὶ ὑμεῖς τοὺς ὑφ' ὑμῶν ἀρχὰς ἔχοντας, μι-
μεῖσθαι ὑμᾶς διδάσκετε. ταῦτα δὲ κύρου οὕτως τότε τά-
ξαντος, ἔτι καὶ νῦν τῷ αὐτῷ τρόπῳ, πᾶσαι μὲν αἱ ὑπὸ
βασιλεῖ φυλακαὶ ὁμοίως φυλάττονται. πᾶσαι δὲ αἱ τῶν
ἀρχόντων θύραι ὁμοίως θεραπεύονται. πάντες δὲ οἱ οἶ-
κοι καὶ μεγάλοι καὶ μικροὶ ὁμοίως οἰκοῦνται. πᾶσι δὲ οἱ
ἄριστοι τῶν παρόντων, ἕδρας προτετίμηνται. πᾶσαι δὲ αἱ
πορεῖαι συντεταγμέναι κατὰ τὸν αὐτὸν τρόπον εἰσί. πᾶ-
σι δὲ συγκεφαλαιοῦνται πολλαὶ πράξεις, ὀλίγοις ἐπιστά-
ταις. ταῦτα δ' εἰπὼν ὡς χρὴ ποιεῖν ἑκάστους, καὶ δύναμιν
ἑκάστῳ προσθεὶς, ἐξέπεμπε, καὶ προεῖπεν ἅπασι παρα-
σκευάζεσθαι, ὡς εἰς νέωτα στρατείας ἐσομένης, καὶ ἐπιδεί-
ξεως ἀνδρῶν καὶ ὅπλων καὶ ἵππων καὶ ἁρμάτων. κατανενοή-
καμεν δὲ καὶ τοῦτο, ὅτι κατάρξαντος, ὥς φασι, καὶ νῦν ἔτι
διαμένει. ἐφοδεύει γὰρ ἀνὴρ κατ' ἐνιαυτὸν ἀεὶ, στράτευμα
ἔχων. ὡς ἢν μέν τις τῶν σατραπῶν ἐπικουρίας δέηται,
ἐπικουρῇ. ἢν δέ τις ὑβρίζῃ, σωφρονίζῃ. ἢν δέ τις ἢ δασ-
μῶν φορᾶς ἀμελῇ, ἢ τῶν ἐνοίκων φυλακῆς, ἢ ὅπως ἡ χώρα
ἐνεργὸς ᾖ, ἢ ἄλλο τι τῶν τεταγμένων παραλείπῃ, ταῦτα
πάντα κατευτρεπίζῃ. ἢν δὲ μὴ δύνηται, βασιλεῖ ἀπαγ-
γέλλῃ. ὁ δὲ ἀκούων βουλεύεται περὶ τοῦ ἀτακτοῦντος. καὶ
οἱ πολλάκις λεγόμενοι ὅτι βασιλέως υἱὸς καταβαίνει, βα-
σιλέως ἀδελφὸς, βασιλέως ὀφθαλμὸς, καὶ ἐνίοτε οὐκ ἐκ-
φαινόμενοι, οὗτοι τῶν ἐφόδων εἰσίν. ἀποτρέπεται γὰρ
ἕκαστος αὐτῶν, ὁπόθεν ἂν βασιλεὺς κελεύῃ. καταμα-
θῶμεν δὲ αὐτοῦ καὶ ἄλλο μηχάνημα πρὸς τὸ μέγεθος τῆς
ἀρχῆς, ἐξ οὗ ταχέως ᾐσθάνετο, καὶ τὰ πάμπολυ ἀπέ-
χοντα, ὅπως ἔχοι. σκεψάμενος γὰρ πόσην ἂν ὁδὸν ἵπ-
πος κατανύτει τῆς ἡμέρας ἐλαυνόμενος ὥστε διαρκεῖν,
ἐποιήσατο ἱππῶνας τοσοῦτον διαλείποντας, καὶ ἵππους
ἐν αὐτοῖς κατέστησε, καὶ τοὺς ἐπιμελομένους τούτων. καὶ
ἄνδρα ἐφ' ἑκάστῳ τῶν τόπων ἔταξε τὸν ἐπιτήδειον, πα-
ραδέχεσθαι τὰ φερόμενα γράμματα, καὶ παραδιδόναι καὶ
παραλαμβάνειν τοὺς ἀπειρηκότας ἵππους, καὶ ἄλλους πέμπειν
νεαλεῖς. ἔστι δ' ὅτε, οὐδὲ τὰς νύκτας φασὶν ἵστασθαι ταύ-
την τὴν πορείαν, ἀλλὰ τῷ ἡμερινῷ ἀγγέλῳ, τὸν νυ-
κτερινὸν διαδέχεσθαι. τούτων δὲ οὕτως γιγνομένων, φασί
τινες θᾶττον τῶν γεράνων ταύτην τὴν πορείαν ἀνύ-
τειν. εἰ δὲ τοῦτο ψεύδονται, ἀλλ' ὅτι γε τῶν ἀνθρωπίνων πε-
ζῇ πορειῶν αὕτη ταχίστη, τοῦτο εὔδηλον. ἀγαθὸν δὲ ὡς τά-
χιστα ἕκαστον αἰσθανόμενον, ὡς τάχιστα ἐπιμελεῖσθαι. ἐπεὶ
δὲ περιῆλθεν ὁ ἐνιαυτὸς, συνήγειρε στρατιὰν εἰς Βαβυ-
λῶνα, καὶ λέγεται αὐτῷ γενέσθαι εἰς δώδεκα μὲν ἵπ-
πων μυριάδας, εἰς δισχίλια δὲ ἅρματα δρεπανηφό-
ρα. πεζῶν δὲ εἰς μυριάδας ἑξήκοντα. ἐπεὶ δὲ ταῦτα
συνεσκευάσατο αὐτῷ, ὥρμα δὴ ταύτην τὴν στρατείαν,
ἐν

& neq; ipsi unquam sine labore cibum apponite, ne-
que equis sine exercitatione pabulum inijcite: haud
enim possim ipse qui unus sum, humana uirtute bona
omnium uestrum seruare semper: sed oportet me qui
bonus sum, auxilio esse uobis unà cum his bonis quæ
à me sunt: identidem quoq; uos qui ipsi boni sitis, cum
his bonis quæ uobiscum sunt mihi esse socios. Vellem
præterea uos hoc etiam animo uobiscum uolutaretis,
me nihil horũ ad quæ nunc uos hortor seruis impera-
10 re, sed quæ uobis faciũda dico, hæc item ipse omnia eni-
tor agere. Et quemadmodũ ego uobis iubeo ut me imi-
temini, sic item uos qui à uobis magistratus habent, ut
uos imitẽtur eos docetote. Atq; hæc ut tum Cyrus con-
stituit, etiã hoc tẽpore eodem modo oẽs quæ sub rege
sunt custodiæ similiter asseruantur. Omnes aũt princi-
pum ianuæ identidem celebrantur, ædesq; omnes &
magnæ & paruæ simili ratione habitantur: atq; omni-
bus uiri optimates præferũtur, in consessu præsertim:
omniaq; itinera eodẽ modo constituta sunt, et omnib.
20 summatim cõprehenduntur multæ actiones, cũ pauci
sint præfecti. Hæc loquutus Cyrus ut singulis essent a-
genda, datisq; cuiq; uiribus, eos emisit: pronũciauitq;
omnib. ut se pararent, utpote quod in proximũ annum
in expeditionem eundũ foret, faciundusq; census et ui-
rorum et armorũ et equorũ et curruum. Considerau-
imus hoc præterea quod Cyro authore, ut aiunt, hac
quoq; tempestate perdurat. Soluit.n. uir annuatim sem-
per exercitũ secum habens, quò si cui satraparũ auxi-
lio opus sit, auxiliũ et afferat: sin aliquis cõtumelia uta-
30 tur, ut eum ad sanitatẽ redigat. Quod si quis negat
aut solutionẽ tributorũ, aut inhabitantiũ custodiam,
aut ut ager colatur, aut aliud quicquã eorũ quæ sint
constituta reliquerit, ut hæc omnia disponat, modere-
turq;: sin id minus queat, regi ut nũciet. Quod rex au-
diens, cõsultat de eo qui inordinatẽ quid egerit: et qui
sæpe dicuntur regis filius descendit, regis frater, regis
oculus, & quandoq; minimè apparent, hi sunt regij
quæsitores. Amouetur enim eorũ quisq; dum rex iusse-
rit. Insuper didicimus aliud Cyrũ excogitasse ad impe-
40 rij magnitudinẽ, ex quo celeriter sentiebat quomodo
ea haberent quæ permultũ etiam distarent. Cum enim
considerasset quantũ itineris equus faceret die equitãs
quantũ sat esset, fecit equorũ stabula tantundẽ distan-
tia, in quibus equos constituit, & qui equorũ diligen-
tiam haberent. Virumq; quolibet in loco ordinauit,
qui aptus esset ad accipiendas literas quæ ferebantur,
easq; tradendas: quiq; reciperet equos defatigatos at-
que homines, recentisq; alios mitteret. Interdũ etiam
ferunt ne noctes quidem sufficere huic itineri, sed diur-
50 no nuncio nocturnum succedere. Quibus rebus ita ge-
stis, aiunt quidam hoc itineris uelocius perfici quàm
gruum uolatum. Quòd si hoc mentiuntur, illud certè
manifestum est, hanc pedestrem profectionem uelocis-
simam esse humanorũ pedestrium itinerum: & quod
que bonum ubi sit quamcelerrimè intellectum, quam
celerrime etiam curari. Sed ubi annus præterijt, coëgit
Cyrus exercitum suum ad Babylona, cui fuisse fertur
equites ad centum uiginti millia, currus falcatos ad
duo millia, pedites uero ad quingenta uiginti millia.
Vbi uero hæc parasset Cyrus, mouit hunc exercitum,

regis personarũ ministri fratres, filij, oculi regis appellantur.

quo fertur subiugasse gentes eas omnis, quæ ab incun
te Syria habitant usque ad mare rubrum. Postea uero
expeditio facta dicitur in Aegyptum, subiugasseq; Ae
gyptũ. Exhinc imperiũ terminauit Cyro ad orientem
rubrum mare, ad septentriones pontus Euxinus, ad oc
cidentem Cyprus & Aegyptus, ad meridiem Aethio
pia. Horum autem metæ aliæ propter calorem, aliæ
propter frigus, aliæ propter aquam, aliæ uerò propter
ariditatem sunt cultu difficiles. At Cyrus in harũ me
dio uitam agens, tempore hyemali degebat Babylone 10
septem menses: hæc enim regio clemens est. Per ue
ris autem tempus tres menses degebat Susis, in æsta
tis autem uehementia menses duos agebat Ecbatanis.
Sic autem Cyrus dum faceret, ferunt eum per calores
& frigora degere semper solitum in uerno tempore.
Et usqueadeo homines erant in eum affecti, ut omnis
gens deterius habere uideretur, nisi ad Cyrum misis
set quod pulchrum eis in regione uel oriretur, uel nu
triretur, uel arte excogitaretur. Omnis etiam urbs i
dentidem, omnisque uir priuatus fieri sanè diues uide 20
batur, si quid Cyro largiretur. Etenim Cyrus à sin
gulis ea accipiens quibus dantes abundabant, ea
retribuebat quorum eos esse inopes sentiret. Verùm
cum ita æuum processisset Cyrus, iam admodum se
nex uenit in Persas anno septimo sui imperij, cuius pa
ter materque iandiu, ut par erat, diem obierant.
Atque Cyrus sacrificauit uictimas legitimas, duxitque
chorum Persis more patrio, & omnibus tribuit do
na, ut consueuerat. Cúmque dormiret in regia, uisus
est ei aduenisse melior quidam quàm natura huma 30
na, eiq; dixisse: Para te, ô Cyre: iam enim abis ad de
os. Quod somnium intuitus excitatus est, propéque
intelligere est uisus uitæ exitum adesse. Itaque hostijs
continuò captis, eas sacrificabat & Ioui patrio, et So
li, & alijs dijs in cacuminibus, ut Persæ sacrificant,
ita orans: Iupiter patrie, ac Sol, dijq; omnes, hæc ac
cipite & ultima sacrificia multarum pulchrarumque
rerum gestarum, & gratiarum dona, quod significa
stis mihi et in sacris, & in signis cœlestibus, & in au
gurijs, & in rumoribus, & quæ agenda erant, & 40
quæ non agenda. Multa autem uobis gratia, quod &
ipse noram diligentiam uestram, & nunquam in re
bus secundis super hominem sum elatus. Peto autem
à uobis, ut detis etiam nunc filijs quidem meis, & u
xori, & amicis, et patriæ felicitatem. Mihi autem qua
le dedistis æuum, talem detis etiam uitæ exitum. Quæ
Cyrus cum fecisset, domumq; reuertisset, uisus est sua
uiter quiescere, cubuitq;. Sed ubi hora iam erat, cum
adeuntes qui constituti fuerant, iubebant ut lauare
tur. Ad quos respondit, libenter se quiescere. Rursus 50
hi constituti cum tempus esset, cœnam apposuerunt.
At Cyrus animo cibum quidem non appetebat, sed ui
sus est sitire, bibitq;, & suauiter quidem. Sed ut postri
die eius diei, ac die item tertio hæc item ei accidissent,
filios uocauit: hi enim sequuti eum fuerant, & erãt in
Persis. Vocauit præterea amicos magistratusq; Persa
rum, quibus omnibus præsentibus loqui cœpit in hũc
modum: Filij mei charissimi, & uos amici omnes qui
hic adestis, uitæ finẽ adesse iam mihi ex multis equidẽ
reb. perspicuè cognosco. Vos autem decet cum obiero,
omnia

ἐν ᾗ λέγεται καταστρέψασθαι πάντα τὰ ἔθνη, ὅσα συρίαν
ἐκβάντι οἰκεῖ, μέχρις ἐρυθρᾶς θαλάσσης. μετὰ δὲ ταῦτα
ἡ εἰς αἴγυπτον στρατεία λέγεται γενέσθαι, καὶ καταστρέψασθαι
αἴγυπτον. καὶ ἐκ τούτου τὴν ἀρχὴν ὥριζεν αὐτῷ. πρὸς
ἕω μὲν ἡ ἐρυθρὰ θάλαττα, πρὸς ἄρκτον δὲ ὁ εὔξεινος
πόντος, πρὸς ἑσπέραν δὲ κύπρος καὶ αἴγυπτος, πρὸς
μεσημβρίαν δὲ αἰθιοπία. τούτων δὲ τὰ πέρατα, τὰ μὲν
διὰ θάλπος, τὰ δὲ διὰ ψῦχος, τὰ δὲ διὰ ὕδωρ, τὰ δὲ
δι᾽ ἀνυδρίαν, δυσοίκητα. αὐτὸς δ᾽ ἐν μέσῳ τούτων τὴν
δίαιταν ποιησάμενος, τὸν μὲν ἀμφὶ τὸν χειμῶνα χρό-
νον, διῆγεν ἐν βαβυλῶνι ἑπτὰ μῆνας. αὕτη γὰρ ἀλεεινὴ
ἡ χώρα. τὸν δὲ ἀμφὶ τὸ ἔαρ, τρεῖς μῆνας ἐν σούσοις, τὴν
δὲ ἀκμὴν τοῦ θέρους, δύο μῆνας ἐν ἐκβατάνοις. οὕτω δὴ
ποιοῦντ᾽ αὐτὸν, λέγουσιν ἐν ἐαρινῷ θάλπει καὶ ψύχει
διάγειν ἀεί. οὕτω δὲ διέκειντο πρὸς αὐτὸν οἱ ἄνθρωποι
ὡς πᾶν μὲν ἔθνος μειονεκτεῖν ἐδόκει, εἰ μὴ κύρῳ πέμ
ψειεν, ὅτι καλὸν αὐτοῖς ἐν τῇ χώρᾳ, ἢ φύοιτο ἢ τρέφοιτο
ἢ τεχνοῖτο. πᾶσα δὲ πόλις ὡσαύτως. πᾶς δὲ ἰδιώτης,
πλούσιος ἂν ᾤετο γενέσθαι, εἴ τι κύρῳ χαρίσαιτο. καὶ
γὰρ ὁ κῦρος λαμβάνων παρ᾽ ἑκάστων ὧν ἀφθονίαν εἶχον
οἱ διδόντες, ἀντεδίδου, ὧν σπανίζοντας αὐτοὺς αἰσθά
νοιτο. οὕτω δὲ τοῦ αἰῶνος προκεχωρηκότος, μάλα δὴ
πρεσβύτης ὢν ὁ κῦρος, ἀφικνεῖται εἰς πέρσας τὸ ἕβδο
μον ἐπὶ τῆς αὐτοῦ ἀρχῆς. καὶ ὁ μὲν πατὴρ καὶ μήτηρ πά
λαι δὴ, ὥσπερ εἰκὸς, ἐτετελευτήκεσαν αὐτῷ. ὁ δὲ κῦ-
ρος ἔθυσε τὰ νομιζόμενα ἱερεῖα καὶ τοῦ χοροῦ ἡγήσατο
πέρσαις κατὰ τὰ πάτρια. καὶ τὰ δῶρα πᾶσι διέδωκεν,
ὥσπερ εἰώθει. κοιμηθεὶς δ᾽ ἐν τῷ βασιλείῳ, ὄναρ εἶδε
τοιόνδε. ἔδοξεν αὐτῷ προσελθὼν κρείττων τις ἢ κατὰ ἄν-
θρωπον, εἰπεῖν· συσκευάζου, ὦ κῦρε, ἤδη γὰρ εἰς θεοὺς ἄπει.
τοῦτο δὲ ἰδὼν τὸ ὄναρ, ἐξηγέρθη, καὶ σχεδὸν ἐδόκει εἰδέ-
ναι, ὅτι τοῦ βίου ἡ τελευτὴ παρείη. εὐθὺς οὖν λαβὼν ἱερεῖα,
ἔθυε διΐ τε πατρῴῳ καὶ ἡλίῳ, καὶ τοῖς ἄλλοις θεοῖς, ἐπὶ τῶν
ἄκρων, ὡς πέρσαι θύουσιν, ὧδε ἐπευχόμενος· ζεῦ πα
τρῷε καὶ ἥλιε, καὶ πάντες θεοί, δέχεσθε τάδε καὶ τελεστή
ρια πολλῶν καὶ καλῶν πράξεων, καὶ χαριστήρια, ὅτι ἐση
μήνατέ μοι, καὶ ἐν ἱεροῖς καὶ ἐν οὐρανίοις, καὶ ἐν οἰωνοῖς, καὶ
ἐν φήμαις, ἅτ᾽ ἐχρῆν ποιεῖν, καὶ ἃ οὐκ ἐχρῆν. πολλὴ δ᾽ ὑμῖν
χάρις, ὅτι κἀγὼ ἐγίγνωσκον τὴν ὑμετέραν ἐπιμέλειαν,
καὶ οὐδεπώποτε ἐπὶ ταῖς εὐτυχίαις ὑπὲρ ἄνθρωπον
ἐφρόνησα. αἰτοῦμαι δ᾽ ὑμᾶς δοῦναι καὶ νῦν παισὶ μὲν
καὶ γυναικὶ καὶ φίλοις καὶ πατρίδι, εὐδαιμονίαν. ἐμοὶ δὲ
οἷόνπερ αἰῶνα δεδώκατε, τοιαύτην καὶ τελευτὴν δοῦ-
ναι. ὁ μὲν δὴ τοιαῦτα ποιήσας, καὶ οἴκαδε ἐλθὼν, ἔδοξεν
ἀναπαύσασθαι, καὶ κατεκλίθη. ἐπεὶ δὲ ὥρα ἦν, οἱ τεταγμέ
νοι προσιόντες, λούσασθαι αὐτὸν ἐκέλευον. ὁ δ᾽ ἔλεγεν,
ὅτι ἡδέως ἀναπαύοιτο. οἱ δ᾽ αὖ τεταγμένοι, ἐπεὶ ὥρα
ἦν, δεῖπνον παρετίθεσαν. τῷ δὲ ἡ ψυχὴ σῖτον μὲν οὐ
προσίετο, διψῆν δ᾽ ἐδόκει, καὶ ἔπιεν, ἡδέως δέ. ὡς δὲ
καὶ τῇ ὑστεραίᾳ συνέβαινεν αὐτῷ ταῦτα, καὶ τῇ τρίτῃ,
ἐκάλεσε τοὺς παῖδας. οἱ δὲ ἔτυχον συνηκολουθηκότες
αὐτῷ, καὶ ὄντες ἐν πέρσαις. ἐκάλεσε δὲ καὶ τοὺς φίλους
καὶ τὰς περσῶν ἀρχάς. παρόντων δὲ πάντων, ἤρχετο τοιοῦ
δε λόγου· παῖδες ἐμοὶ, καὶ πάντες οἱ παρόντες φί-
λοι, ἐμοὶ μὲν τοῦ βίου τὸ τέλος ἤδη πάρεστιν. ἐκ πολλῶν
τοῦτο σαφῶς γιγνώσκω. ὑμᾶς δὲ χρὴ ὅταν τελευτήσω,
ὥσπερ

ὥσπερ εὐδαίμονος ἐμοῦ καὶ λέγειν καὶ ποιεῖν πάντα. ἐγὼ γὰρ παῖς τε ὢν, τὰ ἐν παισὶ νομιζόμενα καλὰ, δοκῶ κεκαρπῶσθαι. ἐπεί τε ἥβησα, τὰ ἐν νεανίσκοις. τέλειός τε ἀνὴρ γενόμενος, τὰ ἐν ἀνδράσι. σὺν δὲ χρόνῳ τε προϊόντι ἀεὶ, συναυξανομένην ἐπιγιγνώσκειν ἐδόκουν, καὶ τὴν ἐμὴν δύναμιν. ὥστε καὶ τὸ ἐμὸν γῆρας οὐδεπώποτε ᾐσθόμην, τῆς ἐμῆς νεότητος ἀσθενέστερον γιγνόμενον. καὶ οὔτ' ἐπιχειρήσας, οὔτ' ἐπιθυμήσας οἶδα, ὅτου ἠτύχησα. καὶ τοὺς μὲν φίλους ἐπεῖδον δι' ἐμοῦ εὐδαίμονας γενομένους, τοὺς δὲ πολεμίους ὑπ' ἐμοῦ δουλωθέντας. καὶ τὴν πατρίδα πρόσθεν ἰδιωτεύουσαν ἐν τῇ ἀσίᾳ, νῦν προτετιμημένην καταλείπω. ὧν τ' ἐκτησάμην, οὐδὲν οἶδα, ὅ, τι οὐ διεσωσάμην. καὶ τὸν μὲν παρελθόντα χρόνον ἔπραττον οὕτως, ὥσπερ ηὐχόμην. φόβος δέ μοι συμπαρομαρτῶν, μή τι ἐν τῷ ἐπιόντι χρόνῳ, ἢ ἴδοιμι, ἢ ἀκούσαιμι, ἢ πάθοιμι χαλεπὸν, οὐκ εἴα τελέως με φρονεῖν, οὐδ' εὐφραίνεσθαι ἐκπεπταμένως. νῦν δ' ἢν τελευτήσω, καταλείπω μὲν ὑμᾶς, ὦ παῖδες, ζῶντας, οὕσπερ ἔδοσάν μοι οἱ θεοὶ γενέσθαι. καταλείπω δὲ πατρίδα καὶ φίλους εὐδαιμονοῦντας. ὥστε πῶς οὐκ ἂν ἐγὼ δικαίως μακαριζόμενος τὸν ἀεὶ χρόνον, μνήμης τυγχάνοιμι; δεῖ δὲ καὶ τὴν βασιλείαν σαφηνίσαντα καταλιπεῖν, ὡς ἂν μὴ ἀμφίλογος γενομένη, πράγματα ὑμῖν παράσχῃ. ἐγὼ δὲ νῦν φιλῶ μὲν ἀμφοτέρους ὑμᾶς ὁμοίως, ὦ παῖδες. τὸ δὲ προβουλεύειν καὶ τὸ ἡγεῖσθαι ἐφ' ὅτι ἂν καιρὸς δοκῇ εἶναι, τοῦτο προστάττω τῷ προτέρῳ γενομένῳ, καὶ πλειόνων κατὰ τὸ εἰκὸς ἐμπείρῳ. ἐπαιδεύθην δὲ καὶ αὐτὸς οὕτως, ὑπὸ τῆσδε τῆς ἐμῆς τε καὶ ὑμετέρας πατρίδος τοῖς πρεσβυτέροις, οὐ μόνον ἀδελφοῖς, ἀλλὰ καὶ πολίταις, καὶ ὁδῶν καὶ θάκων καὶ λόγων ὑπείκειν. καὶ ὑμᾶς δὲ, ὦ παῖδες, οὕτως ἐξ ἀρχῆς ἐπαίδευον, τοὺς μὲν γεραιτέρους προτιμᾶν, τῶν δὲ νεωτέρων προτετιμῆσθαι. ὡς οὖν παλαιὰ καὶ εἰθισμένα καὶ ἔννομα λέγοντος ἐμοῦ, οὕτως ἀποδέχεσθε. καὶ σὺ μὲν, ὦ Καμβύση, τὴν βασιλείαν ἔχε, θεῶν τε διδόντων, καὶ ἐμοῦ ὅσον ἐν ἐμοί. σοὶ δὲ, ὦ Τανаοξάρη, σατράπην εἶναι δίδωμι, Μήδων τε καὶ Ἀρμενίων, καὶ τρίτων Καδουσίων. ταῦτα δέ σοι διδοὺς, νομίζω ἀρχὴν μὲν μείζω καὶ τοὔνομα τῆς βασιλείας τῷ πρεσβυτέρῳ καταλιπεῖν, εὐδαιμονίαν δὲ σοὶ ἀλυποτέραν. ὁποίας μὲν γὰρ ἀνθρωπίνης εὐφροσύνης ἐπιδεὴς ἔσῃ, οὐχ ὁρῶ. ἀλλὰ πάντα σοι τὰ δοκοῦντα ἀνθρώπους εὐφραίνειν παρέσται. τὸ δὲ δυσκαταπρακτοτέρων ἐρᾶν, καὶ τὸ πολλὰ μεριμνᾶν, καὶ τὸ μὴ δύνασθαι ἡσυχίαν ἔχειν, κεντριζόμενον ὑπὸ τῆς πρὸς τἀμὰ ἔργα φιλονεικίας, καὶ τὸ ἐπιβουλεύειν, καὶ τὸ ἐπιβουλεύεσθαι, ταῦτα τῷ βασιλεύοντι ἀνάγκη σοῦ μᾶλλον συμπαρομαρτεῖν. ἃ σάφ' ἴσθι πολλὰς ἀσχολίας παρέχειν. οἶσθα μὲν οὖν καὶ σὺ, ὦ Καμβύση, ὅτι οὐ τόδε τὸ χρυσοῦν σκῆπτρον τὸ τὴν βασιλείαν διασῶζόν ἐστιν, ἀλλ' οἱ πολλοὶ φίλοι σκῆπτρον βασιλεῦσιν ἀληθέστατον καὶ ἀσφαλέστατον. πιστοὺς δὲ μὴ νόμιζε φύεσθαι ἀνθρώπους. πᾶσι γὰρ ἂν οἱ αὐτοὶ πιστοὶ φαίνοιντο. ὥσπερ καὶ τἆλλα τὰ πεφυκότα πᾶσι τὰ αὐτὰ φαίνεται. ἀλλὰ τοὺς πιστοὺς τίθεσθαι δεῖ ἕκαστον ἑαυτῷ. ἡ δὲ κτῆσις αὐτῶν ἐστιν οὐδαμῶς σὺν τῇ βίᾳ, ἀλλὰ μᾶλλον σὺν τῇ εὐεργεσίᾳ. εἰ οὖν καὶ ἄλλους τινὰς πειράσῃ συμφύλακας τῆς βασιλείας ποιεῖσθαι, μηδαμόθεν πρότερον ἄρχου, ἢ ἀπὸ τοῦ ὁμόθεν γενομένου. καὶ πολῖταί τοι ἄνθρωποι, ἀλλοδαπῶν οἰκειότεροι,

καὶ

omnia & dicere & facere, perinde atq; felicitatem adeptus sim. Ego enim & cum puer essem, quæ in pueritia honesta existimantur, eorum mihi uideor fructum consecutum: & ubi excessi in ephebos, adolescentiæ honesta te. & perfectus uir factus, quæ in uiris honesta sunt, his sum perfructus. Et cum una cum ætate procederem, mihi auctas cognoscere uisus sum uires meas. Itaq; senectutem meam nunquam sensi esse mea factam iuuenta imbecilliorem. Neque aliquid aut cupisse aut aggres-10sum me noui, quod minus mihi contigerit: undique amicos meos per me factos esse felices, hostes uero a me actos in seruitutem. Atque meam patriam, quæ antea in Asia nullum habebat imperium, nunc præ cæteris relinquo honoratam. Quæcunque adeptus sum, eorum nihil noui minus mihi seruari. Et superius quidem tempus ita gessi, ut optaui. Cum metus autem me comitaretur, ne quid in futurum uel uiderem, uel audirem, uel paterer molestum, is me non sinebat prorsus esse magno elatoque animo, neque lætari absolute. Nunc uero si mo-20rior, relinquo uos filij uiuos, quos dij immortales dederunt mihi. Relinquo etiam patriam & amicos feliciter agentis. Quare qui ego minus iure memoriam beatitudinis in omnem ætatem consequar? Est autem à me declarandum, cui regnum sim relicturus, ne si id ambiguum sit, negocia uobis præbeat: equidem uos, ô filij, ambos æque amo. Verùm & consilio prouidere, & ducem relinquere tempus uidetur esse hoc ei imperio, qui & prior est natus, & rerum plurium consentanee peritus. Institutus autẽ est etiam ita ipse & à mea & uestra pa-30tria senioribus, non solum fratribus, uerumetiam ciuibus & incedendo, & sedendo, & dicendo cedere. Atq; uos ego filij, ita initio institui, ut & seniores honoraretis, & honoraremini à iunioribus. Quare ita admittite quæ à me dicuntur, ut & uetera et usitata & legitima. At tu quidem, ô Cambyses, regnum habe & dijs dantibus & meipso, quantum in me est. Tibi uero, ô Tanaoxares, satrapæ esse do & Medorum & Armeniorum, & tertium Cadusiorum. Hæc uero dans tibi, existimo imperium quidem maius atque regni nomen seniori fi-40lio reliquisse, at felicitatem tibi cum minore molestia. Qua enim humana lætitia cariturus sis, haud equidẽ uideo: quin omnia tibi sunt affutura, quæ uidentur afficere homines uoluptate. Sed cupere res factu difficilioris, ac multum esse solicitum, neq; posse quietem habere qui stimuletur æmulatione rerum à me gestarum, & insidias tendere obijciq; insidijs, hæc necessario magis illum qui regem gerit, quàm te consequantur: quæ quidem ipsa, ut perspicue nosti, multas ei qui lætari uelit, præbent occupationes. Quare, quod etiam te Cambyses mini-50me latet, NON EST AVREVM HOC sceptrum quod regnum seruet, sed amici multi sceptrum sunt regibus uerissimum maximeque securum. Verùm ne putes homines nasci natura fidos. omnibus enim ijdem fidi apparerent, quemadmodum etiam alia quæ natura gignuntur, omnibus apparent eadem: sed fidos oportet sibi unusquisque faciat, quorum comparatio nullo modo fit ui, sed beneficentia potius. Itaque si alios quosdam tentabis regni concustodes efficere, nusquam aliunde prius incipe quam ab eo qui ex eodem loco natus est. Quare & homines ciues alienis præferendi sunt:

& qui unà sunt aliis, iis qui contubernales non sunt. Qui autem ex eodem semine sunt orti, & aliti ab eadem matre, & in iisdem mœnibus adoleuerunt, & ab iisdem sunt dilecti parentibus, & eandem matrem eandemq; patrem appellant, quomodo hi minus sunt omnibus propinquitate præferendi? Nolite igitur quæ dii immortales bona admonent ad familiaritatem fratribus, inania unquam facere, sed ad hæc continuo parate alia amicitiæ opera, & ita semper insuperabilis uobis inuicem futura est charitas. Qui fratri prouidet, seipsum curat. Cui enim alii, cui frater est magnus, adeo bonum sit ut fratri? Quis alius honorabit uirum qui magnis sit uiribus ita ut frater? Quemnam timebit quisquam iniuria afficere, si frater sit magnus, ut fratrem? Nemo igitur te celerius huic audiat, neque alacrius adsit. Nemini enim magis propria sunt huius neque bona neque mala, quàm tibi. Cogita hæc præterea: Cui gratificeris unde maiora consequi speres, quàm huic? Cui etiam si auxilium feras, ualentiorem socium belli recipias? Quem præterea turpius est non amare, quàm fratrem? Quem omnium pulchrius est anteponere, quam fratrem? Solus quidem, ò Cambyses, frater est, qui si prioris habet partes apud fratrem, neque inuidia uenit ab aliis. Quin per deos patrios filii mihi charissimi, honorate uos inuicem, si quid etiam tunc mihi gratum facere curæ est uobis. Non enim sane hoc uidemini nosse dilucide, me nihil amplius esse, cum ab humana uita decessero. Nam ne nunc quidem animum meum uidebatis: uerum ex his quæ ageret, eum esse cernabatis. ANIMOS VERO EORUM qui iniuriam passi sunt nondum didicistis, quos metus sceleratis parricidis iniiciunt, quas ultrices afflictiones in nefarios immittunt. Vita autem functis putetis ne honores fuisse adhuc duraturos, si eorum animi nullius rei ius haberent? Nullo modo ego filii, ne hoc quidem mihi unquam persuasi, ut animus uiuat donec fuerit in corpore mortali: cum uerò ab hoc solutus fuerit, moriatur. Video enim eum corpora mortalia quantum temporis in his sit, uiua præstare. Neq; sanè animus, mea sententia, stupidus est atque insipiens, cum separetur à stupido insipientiq; corpore: sed cum mens mera ac pura ab eo discreta fuerit, tum etiam consentaneum est ipsam maxime & uigere & sapere. Cum uero homo dissoluitur, minimè est obscurum abire singula ad cognatam speciē ac suam, animo tamen excepto, qui solus neq; dum adest, neq; dum abest, uidetur. Cogitate præterea NIHIL esse morti somno similius. At HOMINIS animus tum scilicet maxime diuinus perspicitur, & tum futurorum aliquid prospicit: in somno enim, ut uidetur, maxime liber redditur. Quare si hæc ita habent, ut ipse mihi persuadeo, & animus relinquit corpus, uos, ô filii, uerentes animum meum: facite quæ uos rogo. Quod si ita nō habent, sed manens animus in corpore unà cum corpore interit, deos saltem qui semper sunt, & omnia uident, et omnia possunt, quiq; hunc rerū omnium ordinē cōtinent certū et immortalē & sine errore, quiq; præ pulchritudine atq; magnitudine enarrari nō potest, hosce uos metuentes nihil usquam impiū, nihil nefarium neq; feceritis, neq; consultaueritis. Et post deos quidem hominum etiam genus omne, quod semper propagatur, uobis uerendum est.

Non

Animus immortalis.

καὶ σύσσιτοι ἀσκηνίων. οἱ δὲ ἀπὸ τοῦ αὐτοῦ σπέρματος φύντες, καὶ ὑπὸ τῆς αὐτῆς μητρὸς τραφέντες, καὶ τῇ αὐτῇ οἰκίᾳ αὐξηθέντες, καὶ ὑπὸ τῶν αὐτῶν γονέων ἀγαπώμενοι, καὶ τὴν αὐτὴν μητέρα, καὶ τὸν αὐτὸν πατέρα προσαγορεύοντες, πῶς οὐ πάντων οὗτοι οἰκειότατοι; μὴ οὖν ἃ οἱ θεοὶ ὑφήγηνται ἀγαθὰ εἰς οἰκειότητα ἀδελφοῖς, μάταιά ποτε ποιήσητε· ἀλλ' ἐπὶ ταῦτα εὐθὺς οἰκοδομεῖτε τὰ ἄλλα φιλικὰ ἔργα, καὶ οὕτως ἀεὶ ἀνυπέρβλητος ἀλλήλοις ἔσται ἡ ὑμετέρα φιλία. ἑαυτοῦ τοι κήδεται ὁ προνοῶν ἀδελφοῦ. τίνι γὰρ ἄλλῳ ἀδελφὸς μέγας ὤν, οὕτω καλὸν ὡς ἀδελφῷ; τίς δ' ἄλλος τιμήσεται δι' ἄνδρα μέγα δυνάμενον οὕτως, ὡς ἀδελφός; τίνα δὲ φοβήσεταί τις ἀδικεῖν, ἀδελφοῦ μεγάλου ὄντος οὕτως, ὡς τὸν ἀδελφόν; μήτε οὖν θᾶττον μηδείς σου τούτῳ ὑπακουέτω, μήτε προθυμότερον παρέστω. οὐδενὶ γὰρ οἰκειότερα τὰ τούτου, οὔτε ἀγαθὰ οὔτε δεινά, ἢ σοί. ἐννοεῖτε καὶ τάδε. τίνι χαρισάμενος ἐλπίσαις ἂν μειζόνων τυχεῖν, ἢ τούτῳ; τίνι δ' ἂν βοηθήσας ἰσχυρότερον σύμμαχον ἀντιλάβοις; τίνα δ' αἴσχιον μὴ φιλεῖν, ἢ τὸν ἀδελφόν; τίνα δὲ ἁπάντων κάλλιον προτιμᾶν, ἢ τὸν ἀδελφόν; μόνου τοι ὦ Καμβύση πρώτου ὄντος ἀδελφοῦ παρ' ἀδελφῷ, οὐδὲ φθόνος παρὰ τῶν ἄλλων ἀφικνεῖται. ἀλλὰ πρὸς θεῶν πατρῴων ὦ παῖδες, τιμᾶτε ἀλλήλους, εἴ τι καὶ τοῦ ἐμοὶ χαρίζεσθαι μέλει ὑμῖν. οὐ γὰρ δή που τοῦτό γε σαφῶς δοκεῖτε εἰδέναι, ὡς οὐδέν εἰμι ἐγὼ ἔτι ἐπειδὰν τοῦ ἀνθρωπίνου βίου τελευτήσω. οὐδὲ γὰρ νῦν τοι τήν γε ἐμὴν ψυχὴν ἑωρᾶτε· ἀλλ' οἷς διεπράττετο, τούτοις αὐτὴν ὡς οὖσαν κατεφωρᾶτε. τὰς δὲ τῶν ἄδικα παθόντων ψυχάς, οὔπω κατενοήσατε, οἵους μὲν φόβους τοῖς μιαιφόνοις ἐμβάλλουσιν, οἵους δὲ παλαμναίους τοῖς ἀνοσίοις ἐπιπέμπουσι. τοῖς δὲ φθιμένοις τὰς τιμὰς διαμένειν, ἔτι ἂν δοκεῖτε, εἰ μηδενὸς αὐτῶν αἱ ψυχαὶ κύριαι ἦσαν; οὔτοι ἔγωγε, ὦ παῖδες, οὐδὲ τοῦτο πώποτε ἐπείσθην, ὡς ἡ ψυχή, ἕως μὲν ἂν ἐν θνητῷ σώματι ᾖ, ζῇ· ὅταν δὲ τούτου ἀπαλλαγῇ, τέθνηκεν. ὁρῶ γὰρ ὅτι καὶ τὰ θνητὰ σώματα, ὅσον ἂν ἐν αὐτοῖς χρόνον ᾖ ἡ ψυχή, ζῶντα παρέχεται. οὐδέ γε ὅπως ἄφρων ἔσται ἡ ψυχή, ἐπειδὰν τοῦ ἄφρονος σώματος δίχα γένηται, οὐδὲ τοῦτο πέπεισμαι. ἀλλ' ὅταν ἄκρατος καὶ καθαρὸς ὁ νοῦς ἐκκριθῇ, τότε καὶ φρονιμώτατον εἰκὸς αὐτὸν εἶναι. διαλυομένου δὲ ἀνθρώπου, δῆλά ἐστιν ἕκαστα, ἀπιόντα πρὸς τὸ ὁμόφυλον, πλὴν τῆς ψυχῆς. αὕτη δὲ μόνη οὔτε παροῦσα οὔτε ἀπιοῦσα ὁρᾶται. ἐννοήσατε δέ, ἔφη, ὅτι ἐγγύτερον μὲν τῷ ἀνθρωπίνῳ θανάτῳ οὐδέν ἐστιν ὕπνου. ἡ δὲ τοῦ ἀνθρώπου ψυχὴ τότε δήπου θειοτάτη καταφαίνεται, καὶ τότε τι τῶν μελλόντων προορᾷ. τότε γὰρ ὡς ἔοικε, μάλιστα ἐλευθεροῦται. εἰ μὲν οὖν οὕτως ἔχει ταῦτα, ὥσπερ ἐγὼ οἴομαι, καὶ ἡ ψυχὴ καταλείπει τὸ σῶμα, καὶ τὴν ἐμὴν ψυχὴν καταιδούμενοι, ποιεῖτε ἃ ἐγὼ δέομαι. εἰ δὲ μὴ οὕτως, ἀλλὰ μένουσα ἡ ψυχὴ ἐν τῷ σώματι συναποθνήσκει, ἀλλὰ θεούς γε τοὺς ἀεὶ ὄντας, καὶ πάντ' ἐφορῶντας, καὶ πάντα δυναμένους, οἳ καὶ τήνδε τὴν τῶν ὅλων τάξιν συνέχουσιν ἀκριβῆ καὶ ἀκήρατον καὶ ἀναμάρτητον καὶ ὑπὸ κάλλους καὶ μεγέθους ἀδιήγητον, τούτους φοβούμενοι, μήτε ἀσεβὲς μηδὲν μηδὲ ἀνόσιον, μήτε ποιήσητε, μήτε βουλεύσητε. μετὰ μέντοι θεούς, καὶ ἀνθρώπων τὸ πᾶν γένος, τὸ ἀεὶ ἐπιγιγνόμενον, αἰδεῖσθε.

οὐ γὰρ

οὐ γὰρ ἐν σκότῳ ὑμᾶς οἱ θεοὶ ἀποκρύψονται, ἀλλ' ἐμφανῆ πᾶσιν ἀνάγκη ἀεὶ ζῆν τὰ ὑμέτερα ἔργα, ἃ ἢν μὲν καθαρὰ καὶ ἔξω τῶν ἀδίκων φαίνηται, δυνατοὺς ὑμᾶς ἐν πᾶσιν ἀνθρώποις ἀναδείξει. εἰ δὲ εἰς ἀλλήλους ἄδικόν τι φρονήσετε, ἐκ πάντων ἀνθρώπων τὸ ἀξιόπιστον εἶναι ἀποβαλεῖτε. οὐδεὶς γὰρ ἂν ἔτι πιστεῦσαι δύναιτο ὑμῖν, οὐδ' εἰ πάνυ προθυμοῖτο, ἰδὼν ἀδικούμενον τὸν μάλιστα φιλίᾳ προσήκοντα. εἰ μὲν οὖν ἐγὼ ὑμᾶς ἱκανῶς διδάσκω, οἵους χρὴ πρὸς ἀλλήλους εἶναι· εἰ δὲ μή, καὶ παρὰ τῶν προγεγενημένων μανθάνετε. αὕτη γὰρ ἀρίστη διδασκαλία. οἱ μὲν γὰρ πολλοὶ διαγεγένηνται, φίλοι μὲν γονεῖς παισί, φίλοι δὲ ἀδελφοῖς. ἤδη δέ τινες τούτων καὶ ἐναντία ἀλλήλοις ἔπραξαν. ὁποτέροις ἂν οὖν αἰσθάνησθε τὰ πραχθέντα συνενεγκόντα, ταῦτα δὴ αἱρούμενοι ὀρθῶς ἂν βουλεύοισθε. καὶ τούτων μὲν ἴσως ἤδη ἅλις. τὸ δ' ἐμὸν σῶμα, ὦ παῖδες, ὅταν τελευτήσω, μήτε ἐν χρυσῷ θῆτε, μήτε ἐν ἀργύρῳ, μηδὲ ἐν ἄλλῳ μηδενί, ἀλλὰ τῇ γῇ ὡς τάχιστα ἀπόδοτε. τί γὰρ τούτου μακαριώτερον, τοῦ γῇ μιχθῆναι, ἣ πάντα μὲν τὰ καλά, πάντα δὲ τἀγαθά, φύει τε καὶ τρέφει. ἐγὼ καὶ ἄλλως φιλάνθρωπος ἐγενόμην, καὶ νῦν ἡδέως ἄν μοι δοκῶ κοινωνῆσαι τοῦ εὐεργετοῦντος ἀνθρώπους. ἀλλὰ γὰρ ἤδη, ἔφη, ἐκλείπειν μοι φαίνεται ἡ ψυχή, ὅθεν περ ὡς ἔοικε πᾶσιν ἄρχεται ἀπολείπουσα. εἴ τις οὖν ὑμῶν, ἢ δεξιᾶς βούλεται τῆς ἐμῆς ἅψασθαι, ἢ ὄμμα τοὐμὸν ζῶντος ἔτι προσιδεῖν ἐθέλει, προσίτω. ὅταν δ' ἐγὼ ἐγκαλύψωμαι, αἰτοῦμαι ὑμᾶς, ὦ παῖδες, μηδεὶς ἔτ' ἀνθρώπων τοὐμὸν σῶμα ἰδέτω, μηδ' αὐτοὶ ὑμεῖς. Πέρσας μέντοι πάντας καὶ τοὺς συμμάχους ἐπὶ τὸ μνῆμα τοὐμὸν παρακαλεῖτε συνησθησομένους ἐμοί, ὅτι ἐν τῷ ἀσφαλεῖ ἤδη ἔσομαι, ὡς μηδὲν ἂν ἔτι κακὸν παθεῖν, μήτε ἢν μετὰ τοῦ θείου γένωμαι, μήτε ἢν μηδὲν ἔτι ὦ. ὁπόσοι δ' ἂν ἔλθωσι, τούτους εὖ ποιήσαντες, ὁπόσα ἐπ' ἀνδρὶ εὐδαίμονι νομίζεται, ἀποπέμπετε. καὶ τοῦτο, ἔφη, μέμνησθέ μου τελευταῖον, τοὺς φίλους εὐεργετοῦντες, καὶ τοὺς ἐχθροὺς δυνήσεσθε κολάζειν. καὶ χαίρετε, ὦ φίλοι παῖδες, καὶ τῇ μητρὶ ἀπαγγέλλετε ὡς παρ' ἐμοῦ. καὶ πάντες δὲ οἱ παρόντες, καὶ οἱ ἀπόντες φίλοι, χαίρετε. ταῦτ' εἰπών, καὶ πάντας δεξιωσάμενος, συνεκαλύψατο, καὶ οὕτως ἐτελεύτησεν. ὅτι μὲν δὴ καλλίστη καὶ μεγίστη τῶν ἐν τῇ Ἀσίᾳ ἡ τοῦ Κύρου βασιλεία ἐγένετο, αὐτὴ ἑαυτῇ μαρτυρεῖ. ὡρίσθη γὰρ πρὸς ἕω τῇ ἐρυθρᾷ θαλάττῃ, πρὸς ἄρκτον δέ, τῷ εὐξείνῳ πόντῳ, πρὸς ἑσπέραν δέ, Κύπρῳ καὶ Αἰγύπτῳ, πρὸς μεσημβρίαν δέ, Αἰθιοπίᾳ. τοσαύτη δὲ γενομένη, μιᾷ γνώμῃ τῇ Κύρου ἐκυβερνᾶτο. καὶ ἐκεῖνός τε τοὺς ὑφ' ἑαυτῷ, ὥσπερ ἑαυτοῦ παῖδας ἐτίμα τε καὶ ἐθεράπευεν. οἵ τε ἀρχόμενοι Κῦρον ὡς πατέρα ἐσέβοντο. ἐπεὶ μέντοι Κῦρος ἐτελεύτησεν, εὐθὺς μὲν αὐτοῦ οἱ παῖδες ἐστασίαζον, εὐθὺς δὲ πόλεις καὶ ἔθνη ἀφίσταντο, πάντα δ' ἐπὶ τὸ χεῖρον ἐτρέπετο. ὡς δ' ἀληθῆ λέγω, ἄρξομαι διδάσκων ἐκ τῶν θείων. οἶδα γάρ, ὅτι πρότερον μὲν βασιλεὺς καὶ οἱ ὑπ' αὐτῷ, καὶ τοῖς τὰ ἔσχατα πεποιηκόσιν, εἴτε ὅρκους ὀμόσαιεν ἠμπέδουν, εἴτε δεξιὰς δοῖεν ἐβεβαίουν. εἰ δὲ μὴ τοιοῦτοι ἦσαν, καὶ τοιαύτην δόξαν εἶχον, ὥσπερ οὐδὲ νῦν πιστεύει οὐδὲ εἷς ἔτι, ἐπεὶ ἔγνωσται ἡ ἀσέβεια αὐτῶν, οὕτως οὐδὲ τότε ἐπίστευσαν ἂν

οἱ τ

Non enim uos dii in tenebris operiunt, sed opera uestra necesse est semper in propatulo uiuere apud omnes: quæ si pura & sine iniuria appareant, reddent uos inter omnes homines potentissimos. Quod si quid iniusti inter uos inuicem cogitabitis, fidei dignitatem apud omnes homines amittetis. Nemo enim amplius credere uobis possit, neq; si uos admodum eam præstare uelitis, intuitus ille quidem eum à uobis iniuria affici, qui necessitudine sit coniunctissimus. Si igitur ego uos satis doceo quales inui-
10 cem esse debeatis, bene est: si id minus, saltem ab illis discite qui ante nos fuerūt: hæc enim optima est doctrina. Multi enim perseuerauerūt in amicitia, parētes quidem cum filiis, & fratres cum fratribus, & horū iam aliqui contraria inuicē gesserūt. Quibus igitur alterutris quæ gessere conduxisse senseritis, hæc si eligatis recte cōsuletis. Et de his quidē iam satis fortasse. Meum uero corpus, ô mihi charissimi filii, cum moriar neq; in auro conditte, neq; in argēto, neq; in alia re prorsus ulla, sed illud terræ reddite quamprimum. Quid enim hac re beatius
20 quam terræ misceri, quæ pulchra omnia, bona omnia & gignit & nutrit? Ego uero & alias me humanum præstiti, & nunc iucunde mihi uideor eius rei particeps fieri, quæ benefica est in homines. Enimuero iā, inquit, animus mihi uidetur deficere: unde, ut uidetur, incipit omni ex parte me relinquere. Quare si quis uestrū aut dextram meam tangere, aut oculum meum dum adhuc uiuo intueri uelit, me adeat propius. Verū ubi ego oculos clausero, peto à uobis filii, nemo amplius corpus meum intueatur, neq; uos etiam ipsi. Atq; Persas quidem
30 omnis ac socios inuitate ad monumentū meum, qui unà mecum lætentur, quód iam securo in loco futurus sum, utpote qui nihil amplius mali patiar, neq; si cū diis fuero, neq; si nihil amplius sim futurus. Quicunque autem uenerint, hos his beneficiis affectos, quæcunq; existimatis in homine esse felici, dimittite. Et hoc ad postremū de me memineritis: si in amicos benefici fueritis, poteritis etiam plectere inimicos. Ac ualete filii charissimi, matriq; hæc nunciate uerbis meis: & qui hic adestis, et qui abestis amici, ualete omnes. Hæc locutus, cum dedisset
40 omnibus dextram, oculos clausit, & ita diem obiit. Quod pulcherrimū quidem ac maximum regnorum omnium Asiæ Cyri fuerit regnum, ipsum de se testimoniū præbet. Terminos enim habuit ad orientē mare rubrū, ad septentriones pontū Euxinum, ad occidētem Cyprū & Aegyptum, ad meridiem Aethiopiam. Id autem imperium cum tanta esset magnitudine, una Cyri sententia gubernabatur, qui etiam ipse subditos suos æquè ac filios et honorabat & colebat, & Cyrum subditi perinde quasi patrem uenerabantur. Vbi Cyrus excessit è uiuis,
50 continuo ipsi filii inter se dissidere, cōtinuoq; urbes ac gētes deficere, sicq; in deterius omnia uersa sunt. Quód autem uera à me narrantur, incipiā à rebus diuinis hæc docere. Noui enim & regem prius, & qui sub rege essent, etiā his qui ultima scelera perpetrassent, siue iusiurandum iurati essent, inuiolatum præstare, siue dextras dedissent, constantissime obseruare solitos. Quod si minus tales fuissent, & huiusmodi de se opinionē non præbuissent, ne unus quidem credidisset eis, quēadmodum nunc nemo amplius credit, posteaquam cognita est eorum impietas: sic utinam neque tunc illi credidissent,

 qui

qui duces unà cum Cyro ascenderunt. At hoc tempore, qui priori de iis opinioni adhibita fide ubi credidissent sese, ad regem acti, obtruncati sunt. Multi etiam eorum barbarorum qui unà militarunt, alij alijs decepti suasionibus periere. Multi praeterea etiam iis in rebus nunc sunt deteriores. Antea enim si quis aut periculum subiisset pro rege, aut urbem gentemue in seruitutem egisset, aut aliud quicquam pulchri boniue ei peregisset, hi erant qui in honore habebantur. At nunc etiam si quis, quemadmodum Leomithres, uxorem ac liberos amicorumque filios obsides apud Aegyptum liquisset, iisq; maximum iusiurandum iuratus foret, esset que id trangressus, quo uideretur aliquid emolumenti fecisse regi, hi sunt qui maximos honores praemij loco habent. Haec igitur uidentes Asiatici, omnes ad impietatem & iniustitiam uersi sunt. QVALES ENIM FVERINT praefecti, tales etiam qui sub ipsis sunt, frequentius fiunt: ob eámque rem maiore utuntur licentia nunc quàm antea, praesertim circa pecunias, ut sunt iniustiores. Non enim eos solum qui magnis se delictis fecerunt obnoxios, sed iam hos item qui nihil fecerunt iniustè, comprehensos cogunt nullo iure pecunias soluere. Quo fit, ut nihilo illi minus qui uidentur esse ditissimi, quàm qui multa per iniustitiam deliquerunt, in metu sint, adeo ut neque in manus hi ire uelint potentiorum, neque audeant conuenire cum exercitu regio. Igitur quicunque bellum cum iis gerat, omnibus licet in regione ipsorum sine pugna uenari, utruncunque uelint propter illorum tum impietatem erga deos, tum iniustitiam erga homines. Mentes igitur eorum ita sunt omnino nunc deteriores quàm antiquitus. Quòd autem ne corpora quidem exercent, ut antea consueuerunt, nūc item hoc exponam. Lex erat apud eos neque spuere, neque mecum facere. Est autem manifestum hac eos lege sanxisse, non quia parcerent corporis humori, sed quoniam uellent per labores ac sudorem reddere corpora solidiora. Hoc uerò tempore non spuere quidem, neque emungi adhuc perdurat, sed labori nusquam studetur. Atqui antea erat Persis legitimum comedere semel, quò toto die uterentur & circa res gerendas & circa labores: hac uerò tempestate semel cibum capere adhuc permanet, sed uesci incipientes quemadmodum qui summo mane prandent, ad illorum usque tempus comedentes potantesque degunt, qui extremo uesperi cubant. Erat autem his legitimum, ne urcei importarentur in symposia: quippe qui putabant SI MINVS nimis potarent, minus corporibus ac mentibus prosternerentur. Hac uero tempestate quod urcei non importentur, adhuc permanet: tantum autem bibunt, ut pro importandis urceis ipsi exportentur, quoniam nequeant amplius erecti egredi. Atqui ille quoque mos patrius iis erat, ut dum iter facerent, neque comederent, neque biberent, neque horum gratia quicquam rerum necessariarum facerent, quod pateret: nunc autem ab iis abstinere adhuc perdurat, sed itinera faciunt adeò breuia, ut minime sit mirandum quòd à rebus necessarijs abstineant. Atqui ad uenationem quoque toties antea exibant, ut pro exercitatione uenationes satis essent & ipsis & equis. Sed ubi Artaxerxes rex, & qui ei erant familiares, redditi sunt uino inferiores, non

οἱ τῶν σὺν Κύρῳ ἀναβάντων στρατηγοί. νῦν δὲ τῇ πρόσθεν αὐτῶν δόξῃ πιστεύσαντες, ἐνεχείρισαν ἑαυτούς, καὶ ἀναχθέντες πρὸς βασιλέα ἀπετμήθησαν τὰς κεφαλάς. πολλοὶ δὲ καὶ τῶν συστρατευσάντων βαρβάρων, ἄλλοι ἄλλαις πίστεσιν ἐξαπατηθέντες, ἀπώλοντο. πολλοὶ δὲ καὶ τάδε χείρονες νῦν εἰσι. πρόσθεν μὲν γάρ, εἴ τις ἢ διακινδυνεύσειε πρὸ βασιλέως, ἢ πόλιν, ἢ ἔθνος ὑποχείριον ποιήσειεν, ἢ ἄλλο τι καλὸν ἢ ἀγαθὸν αὐτῷ διαπράξειεν, οὗτοι ἦσαν οἱ τιμώμενοι. νῦν δὲ καὶ ἤν τις ὥσπερ Λεομίθρης τὴν γυναῖκα καὶ τὰ τέκνα, καὶ τοὺς τῶν φίλων παῖδας ὁμήρους παρὰ τῷ Αἰγυπτίῳ ἐγκαταλιπὼν, καὶ τοὺς μεγίστους ὅρκους παραβὰς, βασιλεῖ δόξῃ τι σύμφορον ποιῆσαι, οὗτοί εἰσιν οἱ ταῖς μεγίσταις τιμαῖς γεραιρόμενοι. ταῦτα οὖν ὁρῶντες οἱ ἐν τῇ Ἀσίᾳ πάντες ἐπὶ τὸ ἀσεβὲς καὶ τὸ ἄδικον τετραμμένοι εἰσίν. ὁποῖοί τινες γὰρ ἂν οἱ προστάται ὦσι, τοιοῦτοι καὶ οἱ ὑπ' αὐτοὺς ἐπὶ τὸ πολὺ γίγνονται. ἀθεμιστότεροι δὲ νῦν ἢ πρόσθεν ταύτῃ γεγένηνται. εἴς γε μὴν χρήματα, τῇδε ἀδικώτεροι. οὐ γὰρ μόνον τοὺς πολλὰ ἡμαρτηκότας, ἀλλ' ἤδη τοὺς οὐδὲν ἀδικηκότας συλλαμβάνοντες, ἀναγκάζουσι πρὸς οὐδὲν δίκαιον χρήματα ἀποτίνειν. ὥστε οὐδὲν ἧττον οἱ πολλὰ ἔχειν δοκοῦντες, τῶν πολλὰ ἠδικηκότων, φοβοῦνται. καὶ εἰς χεῖρας οὐδ' οὗτοι ἐθέλουσι τοῖς κρείττοσιν ἰέναι, οὐδέ γε ἀθροίζεσθαι εἰς βασιλικὴν στρατείαν θαρροῦσι. τοιγαροῦν ὅστις ἂν πολεμῇ αὐτοῖς, πᾶσιν ἔξεστιν ἐν τῇ χώρᾳ αὐτῶν ἀναστρέφεσθαι ἄνευ μάχης, ὅπως ἂν βούλωνται, διὰ τὴν ἐκείνων περὶ μὲν θεοὺς ἀσέβειαν, περὶ δὲ ἀνθρώπους ἀδικίαν. αἱ μὲν δὴ γνῶμαι ταύτῃ τῷ παντὶ χείρους νῦν, ἢ τὸ παλαιὸν αὐτῶν. ὡς δὲ οὐδὲ τῶν σωμάτων ἐπιμέλονται, ὥσπερ πρόσθεν, νῦν αὖ τοῦτο διηγήσομαι. νόμιμον γὰρ δὴ ἦν αὐτοῖς, μήτε πτύειν, μήτε ἀπομύττεσθαι. δῆλον δὲ ὅτι ταῦτα, οὐ τοῦ ἐν τῷ σώματι ὑγροῦ φειδόμενοι ἐνόμισαν, ἀλλὰ βουλόμενοι διὰ πόνων καὶ ἱδρῶτος τὰ σώματα στερεοῦσθαι. νῦν δὲ τὸ μὲν μὴ πτύειν, μηδὲ ἀπομύττεσθαι ἔτι διαμένει. τὸ δὲ πονεῖν, οὐδαμοῦ ἐπιτηδεύεται. καὶ μὴν πρόσθεν μὲν ἦν αὐτοῖς μονοσιτεῖν νόμιμον, ὅπως ὅλῃ τῇ ἡμέρᾳ χρῷντο καὶ εἰς τὰς πράξεις, καὶ εἰς τὸ διαπονεῖσθαι. νῦν γε μὴν τὸ μὲν μονοσιτεῖν ἔτι διαμένει, ἀρχόμενοι δὲ τοῦ σίτου, ἡνίκα περ οἱ πρωϊαίτατα ἀριστῶντες, μέχρι τούτου ἐσθίοντες καὶ πίνοντες διάγουσιν, ἕως γε περ οἱ ὀψιαίτατα κοιμώμενοι. ἦν δὲ αὐτοῖς νόμιμον, μηδὲ προχοΐδας εἰσφέρεσθαι εἰς τὰ συμπόσια. δῆλον ὅτι νομίζοντες, τὸ μὴ ὑπερπίνειν, ἧττον ἂν καὶ σώματα καὶ γνώμας σφάλλειν. νῦν δὲ τὸ μὲν μὴ εἰσφέρεσθαι, ἔτι αὖ διαμένει. τοσοῦτον δὲ πίνουσιν, ὥστε ἀντὶ τοῦ εἰσφέρειν, αὐτοὶ ἐκφέρονται, ἐπειδὰν μηκέτι δύνωνται ὀρθούμενοι ἐξιέναι. ἀλλὰ μὴν, κἀκεῖνο ἦν αὐτοῖς ἐπιχώριον, τὸ μεταξὺ πορευομένους, μήτε ἐσθίειν, μήτε πίνειν, μήτε τῶν διὰ ταῦτα ἀναγκαίων μηδὲν ποιοῦντας φανεροὺς εἶναι. νῦν δ' αὖ τὸ μὲν τούτων ἀπέχεσθαι ἔτι διαμένει. τὰς μέντοι πορείας οὕτω βραχείας ποιοῦνται, ὡς μηδ' ἂν ἔτι θαυμάσαι τὸ ἀπέχεσθαι τῶν ἀναγκαίων. ἀλλὰ μὴν καὶ ἐπὶ θήραν, πρόσθεν μὲν τοσαυτάκις ἐξῄεσαν, ὥστε ἀρκεῖν αὐτοῖς τε καὶ ἵπποις γυμνάσια τὰς θήρας. ἐπεὶ δὲ Ἀρταξέρξης ὁ βασιλεὺς καὶ οἱ σὺν αὐτῷ ἥττους τοῦ οἴνου ἐγένοντο, οὐκέτι

οὐκέτι ὁμοίως ἔτι αὐτοὶ ἐξῄεσαν, οὔτε τοὺς ἄλλους ἐξῆγον ἐπὶ τὰς θήρας. ἀλλὰ καὶ οἵ τινες φιλόπονοι γιγνόμενοι, σὺν τοῖς περὶ αὐτοὺς ἱππεῦσιν ἅμα θηρῷεν, φθονοῦντες αὐτοῖς δῆλοι ἦσαν, καὶ ὡς βελτίονας αὐτῶν ἐμίσουν. ἀλλά τοι καὶ οἱ παῖδες τὸ μὲν παιδεύεσθαι ἐπὶ ταῖς θύραις ἔτι διαμένει. τὸ μέντοι τὰ ἱππικὰ μανθάνειν καὶ μελετᾶν, ἀπέσβηκε, διὰ τὸ μὴ εἶναι ὅπου ἂν ἀποφαινόμενοι εὐδοκιμοῖεν. καὶ ὅτι γε οἱ παῖδες ἀκούοντες ἐκεῖ πρόσθεν τὰς δίκας δικαίως δικαζομένας, ἐδόκουν μανθάνειν δικαιότητα. καὶ τοῦτο παντάπασιν ἀνέστραπται. σαφῶς γὰρ ὁρῶσι νικῶντας, ὁπότεροι ἂν πλεῖον διδῶσιν. ἀλλὰ καὶ τῶν φυομένων ἐκ τῆς γῆς τὰς δυνάμεις οἱ παῖδες, πρόσθεν μὲν ἐμάνθανον, ὅπως τοῖς μὲν ὠφελίμοις χρῷντο, τῶν δὲ βλαβερῶν ἀπέχοιντο. νῦν δὲ ἐοίκασι ταῦτα διδασκομένοις, ὅπως ὅτι πλεῖστα κακοποιῶσιν. οὐδαμοῦ γοῦν πλείους ἢ ἐκεῖ, οὔτε ἀποθνῄσκουσιν, οὔτε διαφθείρονται ὑπὸ φαρμάκων. ἀλλὰ μὴν καὶ θρυπτικώτεροι πολὺ νῦν ἢ ἐπὶ Κύρου εἰσί. τότε μὲν γὰρ ἔτι, τῇ ἐκ Περσῶν παιδείᾳ καὶ ἐγκρατείᾳ ἐχρῶντο. τῇ δὲ Μήδων στολῇ καὶ ἁβρότητι. νῦν δὲ τὴν μὲν ἐκ Περσῶν καρτερίαν περιορῶσιν ἀποσβεννυμένην, τὴν δὲ τῶν Μήδων μαλακίαν διασῴζονται. σαφηνίσαι δὲ βούλομαι καὶ τὴν θρύψιν αὐτῶν. ἐκείνοις γὰρ πρῶτον μὲν τὰς εὐνάς, οὐ μόνον ἀρκεῖ μαλακῶς ὑποστρώννυσθαι, ἀλλ' ἤδη καὶ τῶν κλινῶν τοὺς πόδας ἐπὶ δαπίδων τιθέασιν, ὅπως μὴ ἀντερείδῃ τὸ δάπεδον, ἀλλ' ὑπείκωσιν αἱ δάπιδες. καὶ μὴν τὰ πεττόμενα ἐπὶ τράπεζαν, ὅσα τε πρόσθεν ηὕρητο, οὐδὲν αὐτῶν ἀφῄρηται. ἀλλά τε ἀεὶ καινὰ ἐπιμηχανῶνται, καὶ ὄψα γε ὡσαύτως. καὶ γὰρ καινοποιητὰς ἀμφοτέρων τούτων κέκτηνται. ἀλλὰ μήν, καὶ ἐν τῷ χειμῶνι οὐ μόνον κεφαλὴν καὶ σῶμα καὶ πόδας ἀρκεῖ αὐτοῖς ἐσκεπάσθαι, ἀλλὰ καὶ ἄκραις ταῖς χερσί, χειρῖδας δασείας καὶ δακτυλήθρας ἔχουσιν. ἔν γε μὴν τῷ θέρει οὐκ ἀρκοῦσιν αὐτοῖς, οὔθ' αἱ τῶν δένδρων, οὔθ' αἱ τῶν πετρῶν σκιαί. ἀλλ' ἐν ταύταις ἑτέρας σκιὰς ἄνθρωποι μηχανώμενοι, αὐτοῖς παρεστᾶσι. καὶ μὴν ἐκπώματα ἢν μὲν ὡς πλεῖστα ἔχωσι, τούτῳ καλλωπίζονται. ἢν δ' ἐξ ἀδίκου φανερῶς ᾖ μεμηχανημένα, οὐδὲν τοῦτο αἰσχύνονται. πολὺ γὰρ ηὔξηται ἐν αὐτοῖς ἡ ἀδικία τε καὶ αἰσχροκέρδεια. ἀλλὰ καὶ πρόσθεν μὲν ἦν ἐπιχώριον αὐτοῖς, μὴ ὁρᾶσθαι πεζῇ πορευομένοις, οὐκ ἄλλου τινὸς ἕνεκα, ἢ τοῦ ὡς ἱππικωτάτους γίγνεσθαι. νῦν δὲ στρώματα πλείω ἔχουσιν ἐπὶ τῶν ἵππων, ἢ ἐπὶ τῶν εὐνῶν. οὐ γὰρ τῆς ἱππείας οὕτως, ὥσπερ τοῦ μαλακῶς καθῆσθαι ἐπιμέλονται. τά γε μὴν πολεμικά, πῶς οὐκ εἰκότως νῦν τῷ παντὶ χείρους, ἢ πρόσθεν εἰσίν; οἷς ἐν μὲν τῷ παρελθόντι χρόνῳ ἐπιχώριον εἶναι ὑπῆρχε, τοὺς μὲν τὴν γῆν ἔχοντας, ἀπὸ ταύτης ἱππότας παρέχεσθαι, οἳ δὴ καὶ ἐστρατεύοντο. τοὺς δὲ φρουροῦντας, εἰ δέοι στρατεύεσθαι, πρὸ τῆς χώρας μισθοφόρους εἶναι. νῦν δὲ τούς τε θυρωροὺς καὶ τοὺς σιτοποιούς, καὶ τοὺς ὀψοποιοὺς καὶ οἰνοχόους, καὶ λουτροχόους, καὶ παρατιθέντας καὶ ἀναιροῦντας, καὶ κατακοιμίζοντας, καὶ ἀνιστάντας, καὶ τοὺς κοσμητάς, οἳ ὑποχρίουσί τε καὶ ἐντρίβουσιν αὐτούς, καὶ τἆλλα ῥυθμίζουσι, τούτους πάντας ἱππέας οἱ δυνάσται πεποιήκασιν, ὅπως μισθοφορῶσιν αὐτοῖς. πλῆθος μὲν οὖν καὶ ἐκ τούτων φαίνεται, οὐ μέντοι ὄφελός γε οὐδὲν αὐτῶν εἰς πόλεμον.

δηλοῖ

non amplius eodem modo, neque ipsi egrediebantur, neque alios ducebant ad uenationes: quin potius si qui laboris studiosi atque industrij una cum suis equitibus simul uenarentur, liquido ijs inuidebant, & ut seipsis meliores oderant. Praeterea puerorum institutio ad uenandum adhuc perdurat, sed disciplina & meditatio equitandi extincta est: quoniam eo non e/ sunt, ubi antecellere uideantur. Et quoniam pueri cum illic antea lites audirent pro iure iudicari, uidebantur discere iustitiam, & hoc omnino conuersum est, quoniam certo uident eos uictores utri plus dederint. Sed eorum uim quae e terra oriuntur, pueri antea discebant quo utilibus uterentur, & a perniciosis abstinerent: nunc uero uidentur haec discere, quo mala quamplurima perpetrent. Nusquam igitur plures quam illic, neque moriuntur, neque corrumpuntur ex uenenis. Quinetiam multo nunc delicatiores sunt, quam Cyri temporibus. Tum enim adhuc disciplina Persica & continentia utebantur, Medorum uero stola atque lautitia: sed hoc tempore Persicam constantiam aequo animo uident extingui, at Medorum mollitiem diligenter seruant. Declarare autem uolo eorum quoque delicias. Illis enim primum cubilia non modo satis est substernere molliter, uerumetiam lectorum pedes in tapetibus locant, ne pauimentum renitatur, sed ut tapetes cedant. Insuper quae ludo iaciebantur ad mensam, & quaecunque reperta sunt antea, eorum nihil ablatum est, sed & noua semper excogitantur, & obsonia identidem: etenim utrarunque harum rerum noui artifices comparantur. Insuper hyeme non solum his satis est caput & corpus atque pedes tegere, sed extremis manibus chirothecas crassas habent, & grandioris anulos. Ac aestate quidem non his satis sunt, neque arborum, neque saxorum umbrae, sed in his umbras alias homines molientes eis adstant. Utque pocula quamplurima habeant, hac re gloriantur. Quae si iniuste comparata sint, id nulli sibi dedecori ducunt: in illis enim & iniustitia lucrique turpitudo longe est aucta. Atque antea patrius eis mos erat, ne uiderentur tum proficisci pedites alius cuiusquam rei gratia, quam ut equites optimi fierent: nunc autem plura in equis strata habent quam in cubilibus. Non enim ita equitandi curam habent, ut molliter sedendi. Quae uero ad bellum pertinent, quo pacto in his non sunt conuenienter omnino deteriores quam antea? Quibus superiore tempore patrium existebat, tum eos qui terram colerent, ab hac ipsa equitatores reddi, qui etiam in expeditionem ibant: tum praesidiarios si militandum esset, pro regione stipendiarios esse: nunc uero qui ostiarij sunt, & ciborum obsoniorumque artifices, & pincernae, & balneatores, & qui ad mensam apponunt, & qui e mensa tollunt, & qui dormitum agunt, & qui a somno excitant, & ornatores, qui & coloribus eos liniunt infricantque, aliaque decenter aptant: hosce omnis qui potestatem habent, equites faciunt, quo sibi stipendium ferant. Multitudo igitur ex his quoque apparet, & nulla eorum ad bellum utilitas.

Hoc

delicie persarum.

Hoc etiam res declarant ipsæ: nam per eorum regiones hostes facilius uersantur quàm amici. Cyrus enim cum iactum ferentariorum amouisset, thoracibus autem eos & equos armasset, & pilum unum cuique dedisset in manum, comminus pugnam faciebat: sed hoc tempore neque iactu utuntur amplius, neq; cōgredientes comminus præliantur. Atque pedites habent quidem ipsi crates & mucrones & securis, quemadmodum Cyri temporibus pugnaturi, sed comminus congredi neque hi uolunt. Nec item falcatis curribus ad id utuntur amplius, ad quod eos Cyrus est fabricatus. Cyrus enim cum aurigas amplificasset honoribus, bonosq; reddidisset, habebat qui in arma impetum facerent. Persæ autem huius temporis cum ne norint quidem eos qui sunt in curribus, cēsent similes sibi qui exercitatione carent eos fore, qui exercitati sunt. Et hi quidem adoriuntur. Sed priusquam fuerint inter hostes, alij e curribus ultro excidunt, alij exiliunt. Quo fit, ut iugales aurigis carentes pluribus sæpe malis amicos quàm hostes afficiant. Quoniā nimirum ipsi quoq; cognoscunt, qualia sibi proposita sunt belli præmia, remittuntur. Nemoq; amplius sine Græcis ad bellum constituitur, neq; cum inuicem belligerant, neque cum Græci agunt contra eos exercitum: sed etiam aduersus hosce didicere cum Græcis bellum gerere. Et ego quidē arbitror, quæ pollicitus sum, ea mihi aliquādo esse absoluta. Existimo enim Persas atq; Persarum socios & magis impios esse aduersus deos, & magis nefarios in necessarios, & iniustiores erga alios, & ignauiores ad bellū hoc tempore, quàm antea fuerit demonstratum. Quod si quis secus atq; ego sentiat, si eorum is opera consideret, ea inueniet testimonio suo uerba mea confirmare.

δηλοῖ δὲ καὶ αὐτὰ τὰ γιγνόμενα. διὰ τὴν χώραν γὰρ αὐτῶν ῥᾷον οἱ πολέμιοι ἢ οἱ φίλοι ἀναστρέφονται. καὶ γὰρ δὴ ὁ Κῦρος, τὸ μὲν ἀκροβολίζεσθαι ἀπαύσας, θωρακίσας δὲ καὶ αὐτοὺς καὶ ἵππους, καὶ ἓν παλτὸν ἑκάστῳ δοὺς εἰς χεῖρα, ὁμόθεν τὴν μάχην ἐποιεῖτο. νῦν δὲ οὔτε ἀκροβολίζονται ἔτι, οὔτ᾽ εἰς χεῖρας συνιόντες μάχονται. καὶ οἱ πεζοὶ ἔχουσι μὲν γέρρα, καὶ κοπίδας, καὶ σαγάρεις, ὥσπερ ἐπὶ Κύρου τὴν μάχην ποιησόμενοι. εἰς χεῖρας δὲ ἰέναι, οὐδ᾽ οὗτοι ἐθέλουσιν. οὐδέ γε τοῖς δρεπανηφόροις ἅρμασιν ἔτι χρῶνται, ἐφ᾽ ᾧ Κῦρος αὐτὰ ἐποιήσατο. ὁ μὲν γὰρ τιμαῖς αὐξήσας τοὺς ἡνιόχους, καὶ ἀγαστοὺς ποιήσας, εἶχε τοὺς εἰς τὰ ὅπλα ἐμβαλοῦντας. οἱ δὲ νῦν οὐδέ γε γιγνώσκοντες τοὺς ἐπὶ τοῖς ἅρμασιν, οἴονται σφίσιν ὁμοίους, τοὺς ἀνασκήτους τοῖς ἠσκηκόσιν ἔσεσθαι. οἱ δὲ ὁρμῶσι μέν. πρὶν δ᾽ ἐν τοῖς πολεμίοις εἶναι, οἱ μὲν ἄκοντες ἐκπίπτουσιν, οἱ δ᾽ ἐξάλλονται. ὥστε ἄνευ ἡνιόχων γιγνόμενα τὰ ζεύγη πολλάκις, πλείω κακὰ τοὺς φίλους ἢ τοὺς πολεμίους ποιεῖ. ἐπεὶ μέντοι καὶ αὐτοὶ γιγνώσκουσιν, οἷα σφίσι τὰ πολεμιστήρια ὑπάρχει, ὑφίενται. καὶ οὐδεὶς ἔτι ἄνευ τῶν Ἑλλήνων εἰς πόλεμον καθίσταται, οὔτε ὅταν ἀλλήλοις πολεμῶσιν, οὔτε ὅταν οἱ Ἕλληνες αὐτοῖς ἀντιστρατεύονται. ἀλλὰ καὶ πρὸς τούτους ἐγνώκασι μεθ᾽ Ἑλλήνων τοὺς πολέμους ποιεῖσθαι. ἐγὼ μὲν δὴ οἶμαι, ἅπερ ὑπεθέμην ἀπειργάσθαι μοι. φημὶ γὰρ Πέρσας, καὶ τοὺς σὺν αὐτοῖς, καὶ ἀσεβεστέρους περὶ θεούς, καὶ ἀνοσιωτέρους περὶ συγγενεῖς, καὶ ἀδικωτέρους περὶ τοὺς ἄλλους, καὶ ἀνανδροτέρους τὰ εἰς τὸν πόλεμον, νῦν ἢ πρόσθεν ἀποδεδεῖχθαι. εἰ δέ τις τἀναντία ἐμοὶ γιγνώσκει, τὰ ἔργα αὐτῶν ἐπισκοπῶν, εὑρήσει αὐτὰ μαρτυροῦντα τοῖς ἐμοῖς λόγοις.

ROMVLVS AMASAEVS LVDOVICO AVYLAE CAROLI V. CAESARIS IMPERATORIS INTIMO CVBICVLARIO S. P. D.

AD amorem, Ludouice Auyla, in animis hominum excitandum, etsi nihil est uirtutis pulchritudine ualentius, sæpe tamen usu uenire uidemus, ut ea amoris scintilla, quam uirtutis ipsius splendor accenderit, nisi mutuis officijs, & perpetuis beneuolentiæ indicijs foueatur, aut in ipsis amicitiæ primordijs elanguescat, aut ad luminis claritatem segnius emicet. Quare à quo primum tempore tua me eximia indoles, suauissimi mores, incredibile optimarum artium studium, te ut quantū alium neminem amarē, impulerunt, ac mihi e regiō tuam erga me uoluntatē, tua multa & humanitatis plenissima officia declararunt: nihil mihi sanctius, aut solennius esse debere existimaui, quam ut orientis (ut ita dicam) mutui amoris nostri igniculos, certa quapiam meæ erga te obseruantiæ significatione inflammarē, atque enixe operā darē, ut me quia te constanter & perpetuo diligerer, nō indignissimū duceres. Quo in genere, cum eos qui amant nō ignorarē, eos quos amāt, ijs potissimū rebus munerari solere, quas ab illis maxime expeti intelligūt, tibi, quem literarū cupidissimū cognorā, aliquid de studiorum meorum quasi penu depromere cogitabā. Verum cum de multis, quæ inchoata duntaxat & ut informata habeo, unū aliquid cuperē deligere, quod & ad meū erga te studiū testificandū esset appositū, & tibi aptum ac iucundū contingeret: optatissimus tuus a Turcico bello cum Cæsare, quem maiestatis causa nomine, Bononiā reditus, facile omnem eius delectus mei dubitationem sustulit. Cum enim in primo congressu nostro, tibi ego de sequundissimis Cæsaris euentis essem gratulatus, qui diuina uirtute sua immanissimum hostem præproperam fugam facere coegisset, atque e re nata inter nos mētio facta esset Alexandri, Themistoclis, Miltiadis, Agesilai, Luculli, Pompeij, & aliorum quorundam Imperatorum, qui rebus fortissime gestis maxime illustres de Asiæ gentibus uictoriæ quæsiuissent, ho. loco, quænam fuisset illa Græcorum expeditio, quam Plutarchus M. Antonio cum Parthis bellum gerenti admirationi fuisse scriptum reliquerit: & nunquid Xenophontis, quem ille autorem nominat, de ea libri adhuc extent: exposui ego tibi celebratæ illius Græcorū monumentis historiæ summatim argumentū. Ac cum te eius subtilius cognoscendæ cupiditate incensum animaduerterē, in Xenophontis ipsius libris septem, quos inter iuueniles meas exercitationes, in latinū sermonem conuersos haberem, rem omnem ordine explicatam, prius quàm hinc discederes, me tibi traditurum pollicitus sum. Ac statim e bibliothecæ meæ latebris, in quibus annos amplius duodecim rudes & informes pene contabuerant, eductos, ut in tuo nomine apparerent in lucem, non magis emisi quàm extrusi. Quid enim facerem? An quin huiusmodi aliqua re tibi gratificari ardentissime cupiissem, hoc a te gratiam ineundi tempus prætermitterem: præsertim cum tu postea sæpius pro iure tuo me appellaris & tanquam æris alieni submonueris. Ego uero cum quamdiu esset hic Cæsar cōmoraturus incertum omnino esset, malui festinata expolitione in obsequendo studium & fidem, quam emendationis maturitate curam & exactam quandam diligentiam tibi meam probare. Quin cum ex sermone etiam tuo suspicari potuissem, ita demum fore tibi hoc quicquid muneris est gratissimum, si posses absoluti iam operis uno tempore complusculа exemplaria habere, libros hosce non describendos (quod famæ fuisset meæ fortasse consultius) sed librariorū formulis exprimendos curaui. Neq; illud omnino me deterruit, quod paratos uidebam multos, qui aut hanc uertendi operam contemnerent, aut melius uerti potuisse dicerent. Illis enim quod respondeā in promptu est. Primum inique eos facere qui laborem eum uituperent, per quem maximas & grauissimas disciplinas, facile qui non sit rerum omnium imperitissimus, ab interitu uindicatas intelligere possit. Deinde non posse iure id operis reprehendi, è quo summam aliquando de ueteribus ac recentioribus hominibus multi sibi laudem meruerint. Quanquā attentius consideranti, uideri quodammodo possit ea quæ nunc leguntur

leguntur, maiore ex parte ab alijs, uel quasi mutuo accepta, uel ex alia lingua in patrium sermonem conuersa. Atque ut nulla uertentem laus consequatur, mihi bene & præclare de hominum genere meriti illi uideri solent, qui quum intelligerent operam suam alijs commodiorem, quam sibi gloriosiorem fore, non grauate suam paucorum laudem, ut quamplurimorum utilitati condonatam uellent, sibi in animum induxerant. Ad hæc, uire fortassis nonnullis mea hæc editio sermonem dederit, si in hoc uno cur es uigiliæ meæ uertentur, ac non tam multa à me scripta domi delitescant, ut quæ conuersa in lucem prodierint, illorum merito prolusiones ueluti quædam numerentur. Et profecto facile passurus sum meum hoc consilium reprehendi, si hi ipsi quibus id non probabitur, ostenderint aliquando se melius sua, quam qui uerterēt aliena, pronunciasse. Quod si minimi fortasse negocij, atque operæ leuissimæ græca in latinum trāsferre existimauerint, in hac cupio palæstra ut periculum faciant, intelligent profecto multa esse cogitantibus facillima, experientibus supra quam dici possit grauia ac laboriosa. Postremo hos homines exoratos uelim, ne moleste ferant, me dum & incomparabili, quo sui incensus sum, amori indulgeo, & neglectæ fidei crimen redimo, de laude mea non plurimum laborasse. Iam uero qui melius potuisse dicant, hi ut eadem, qua ipse cum eos uerti sum ætate, a se aliquid melius conuersum, ac non maiore ocio, uel laxiore tempore elimatum ostendant, uehementer cupio. Hic est à Cæsaris in hanc urbem aduentu dies optimo quinquaginta nimus: ex his ipsis diebus, cum primorum aliquot lucem, partim in maximis reip. negocijs, partim in scholarum publico munere consumpserim, noctium, & succisiuis quidem horis totius operis castigationem elucubraui: reliqui dies librario dati sunt. At maturitatem, & potius constitutionem deliberant, hoc est eodem reuolui. Meum, inquam, studium & beneuolentiam tibi adolescenti nobilissimo, atque omnibus fortunæ ac uirtutis ornamentis prædito, quo uno ego in præsentia poteram & tu maxime cuperes modo, declaratam quamprimum uolui, non scienter uertendi facultatē longiore sumpto temporis spacio cuiquam ostentarē. Verum cum pluribus quam in animo habebā, cum hæc ad te scribere exorsus essem, mei huius uel officii, uel obsequij uituperatoribus, si quorum forte aculeos meus hic labor exacuerit, respondere, ad te iam ornatissime Aluysi redeo. Munusculi certe huius mei prima erit ab autore commendatio, in quo te spero uel latine loquente, propter summam rerum prudentiam, Socratis discipulum, propter orationis copiam & iucunditatem, Atticam Musam, iam uero quod ex scriptis quibus non solum miles interfuit, uerumetiam dux præfuit, & historiæ fidem, & summi imperatoris laudes agnituram. Illud enim hoc loco non dicam, multa te animaduersurum inter legendum fidei, prudentiæ, tolerantiæ, ac reliquarum uirtutum exempla, quæ facile uelis & possis imitari. Multa item uitiorum, à quibus te semper abhorruisse lætere. Vt illud missum faciā, magnam tibi uoluptatem afferre posse locorum & itinerum descriptionem, euentorum uarietatem, illustrium præterea hominum mirabiliter expressos mores, naturam, consilia, acta, casus. Non addam multas etiam castrenses conciones, grauiter & ornate, ac cum multa & plane Xenophontea iucunditate expositas, tibi facile declaraturas, uel inter armorum fremitus suum esse eloquentiæ locum. Quæ enim communes sunt totius historiæ laudes, etsi in Xenophonte, atque adeo in his eius libris multum eminent, eas tamen potes ex aliorum etiam scriptorum monumentis cognoscere. Quod uero præter autoris dignitatē ad munus meum apud te ornandum ualde fore accommodatū duco, id primum erit quædam ac maxime germana similitudo illius Græcorum expeditionis cum hac, quæ nuper Caroli Cæsaris magnitudinem & felicitatem immortalitati consecrauit. Vtraque enim magno sane temporum interuallo, certissimo fuit documento, non copiarum numero, sed militū uirtute, consilio, nō ducum temeritate, disciplina, non impetu ad uictoriam profici. Deinde uero, quod cum Græcos leges parua manu infinitum prope Asianorum numerum sæpius fudisse, neque tantum hostium perfidiam, pericula atque insidias ualuisse, quin sola illi uirtute freti, per ignota et infesta loca, feras & immanes gentes euaserint, atque ad suos in patriam incolumes redierint, in maximam dubiam spem adduci poteris, Cæsarem aliquando minore multo negocio, uindicata Christiano imperio Peloponneso, extorto de impij hostis manibus Byzantio, in Asiam uictrices aquilas illaturum. Atque utinam tu Aluysi, & cum hæc spe atque cogitatione complectere, & cum inter illas gentes assiduus, & fidus comes Cæsarem sequere, mihi qui [illegible] meum erga te amorem hac æditione indicare uolui, animo uero ac uoluntate summa, totum me in clientelam & fidem tibi tradidi, uel iuuenti, uel uitæ iam muneribus perfuncto, aliquid suauitatis ac beneuolentiæ tuæ impertiare. Vale. Bononiæ, pridie Kalend. Februar.

M. D. XXIII.

ΞΕΝΟΦΩΝΤΟΣ ΚΥΡΟΥ ΑΝΑΒΑΣΕΩΣ ΠΡΩΤΟΝ.

Δαρείου καὶ παρυσάτιδος γίγνονται παῖδες δύο, πρεσβύτερος μὲν ἀρταξέρξης, νεώτερος δὲ κῦρος. ἐπεὶ δὲ ἠσθένει δαρεῖος καὶ ὑπώπτευε τελευτὴν τοῦ βίου, ἐβούλετο τὼ παῖδε ἀμφοτέρω παρεῖναι. ὁ μὲν οὖν πρεσβύτερος παρὼν ἐτύγχανε. κῦρον δὲ μεταπέμπεται ἀπὸ τῆς ἀρχῆς, ἧς αὐτὸν σατράπην ἐποίησε. καὶ στρατηγὸν δὲ αὐτὸν ἀπέδειξε πάντων, ὅσοι εἰς καστωλοῦ πεδίον ἀθροίζονται. ἀναβαίνει οὖν ὁ κῦρος, λαβὼν τισσαφέρνην ὡς φίλον, καὶ τῶν ἑλλήνων δὲ ἔχων ὁπλίτας ἀνέβη τριακοσίους, ἄρχοντα δὲ αὐτῶν ξενίαν παρράσιον. ἐπειδὴ δὲ ἐτελεύτησε δαρεῖος, καὶ κατέστη εἰς τὴν βασιλείαν ἀρταξέρξης, τισσαφέρνης διαβάλλει τὸν κῦρον πρὸς τὸν ἀδελφόν, ὡς ἐπιβουλεύοι αὐτῷ. ὁ δὲ πείθεταί τε, καὶ συλλαμβάνει κῦρον, ὡς ἀποκτενῶν. ἡ δὲ μήτηρ ἐξαιτησαμένη αὐτόν, ἀποπέμπει πάλιν ἐπὶ τὴν ἀρχήν. ὁ δ' ὡς ἀπῆλθε κινδυνεύσας καὶ ἀτιμασθείς, βουλεύεται ὅπως μήποτε ἔτι ἔσται ἐπὶ τῷ ἀδελφῷ, ἀλλ' ἢν δύνηται, βασιλεύσει ἀντ' ἐκείνου. παρύσατις μὲν δὴ ἡ μήτηρ, ὑπῆρχε τῷ κύρῳ φιλοῦσα αὐτὸν μᾶλλον, ἢ τὸν βασιλεύοντα ἀρταξέρξην. ὅστις δ' ἀφικνεῖτο τῶν παρὰ βασιλέως πρὸς αὐτόν, πάντας οὕτω διατιθεὶς ἀπεπέμπετο, ὥστ' ἑαυτῷ μᾶλλον φίλους εἶναι ἢ βασιλεῖ. καὶ τῶν παρ' ἑαυτῷ δὲ βαρβάρων ἐπεμελεῖτο, ὡς πολεμεῖν τε ἱκανοὶ εἴησαν, καὶ εὐνοϊκῶς ἔχοιεν αὐτῷ. τὴν δὲ ἑλληνικὴν δύνα-

μιν

XENOPHONTIS DE CYRI MINORIS EXPEDITIONE LIBER PRIMUS, Romulo Amasæo interp.

Darius ex Parysatide filios duos suscepit: maiorē quidem natu Artaxerxē, minorē uerò Cyrū. Is cū graui affectus morbo, extremū à se diem nō longe abesse suspicaretur, utrūq; filium cum è uita decederet, interesse cupiebat. Aderat tūc quidē Artaxerxes: Cyrus è prouincia, cui à patre præfectus fuerat, accersendus fuit: nanq; ciuitatū earum omniū quæ ad Castoli cāpos sunt, imperiū detulerat. Ac uenit ille quidē quamprimū cum Tissapherne, quem sibi amicū putabat, & Græcorum grauis armaturæ peditū trecentorū cohorte, quam Xenias Parrhasius ducebat. Mortuo uerò Dario, cū ei in regnū Artaxerxes successisset, Tissaphernes Cyrum apud fratrē criminatur, quod ei insidias cōpararet: cui cū ille credidisset, Cyrum cōprehendit. Eum tamē mater deprecatione sua, certæ necis periculo liberatū, in prouinciā remisit. Tūc Cyrus & periculi, & fraternæ cōtumeliæ indignitate grauiter cōmotus, deliberat quonā modo et à fratre deficiat, et eius etiā sibi regnū uindicet. Et Parysatis quidē mater, in hūc magis q̄ in ipsum iā regnantē Artaxerxē animi inclinatione propēdebat. Ipse uerò Cyrus eorū qui ad se à rege quacūq; de causa uenissēt, ita sibi animos cōciliabat, ut amiciores multo sibi, q̄ regi dimitteret. Præterea & ex barbaris nationib. quarū & bellicæ uirtuti, & studijs erga se confideret, multas sibi suo beneficio deuinciebat, & Græcorū co-

pias

pias quamoccultissime (quod scilicet regem imparatissimum adoriretur) ad se accersebat. Quoties itaque singularum ciuitatum præsidia recenseret, toties præfectis earum negocium dabat, ut è Peloponneso quam plurimos, quamque lectissimos homines euocarent, simulans comperisse se eas Ioniæ ciuitates à Tissapherne clàm solicitari: quæ cum fuissent antea à rege Tissapherni traditæ, nuper ad Cyrum omnes, præter Miletum, defecerant. Cum enim Milesios Tissaphernes præsensisset nouas res moliri, ex consilij eius autoribus partim occiderat, partim exegerat.

Hos cum Cyrus ad se confugientes excepisset, exercitu comparato Miletum summa ui, terra marique suscepta exulum causa, aggressus fuerat obsidere: quæ sane obsidio eius quoque in nouo delectu dissimulationem facilè sustinebat. Quas etiam de causa miserat Cyrus ad regem legatos, qui eum orarent, ut ei qui frater esset, mallet quàm Tissapherni eas ciuitates parere: qua quidem in re neque matris ei studium defuit. Atque his artibus regiæ suspicioni facilè occursum est. Cum enim putaret rex contra Tissaphernem à fratre copias comparari, non molestissime ferebat eos inter se armis dissidere, præsertim uero cum tributi nomine, pro ijs quas diximus ciuitatibus nihil minus quàm Tissaphernes regi Cyrus penderet. Et Cyro alius etiam delectus habebatur in Chersoneso, quæ Abydi è regione est, ad hunc sane modum. Clearchus Lacedæmonius domo eiectus, erat apud Cyrum in summo honore: à quo cum Daricorum decem millia accepisset, ex Chersoneso collecta manu, Thracibus qui supra Hellespontum sunt, bellum intulit. Quæ res quod erat ex Græcorum commodo, ciuitates Hellesponti ultrò ei ad alendum exercitum pecunias conferebant: quare & hæ Cyro copiæ clàm confectæ sunt. Aristippus uerò Thessalus hospes eius, cum domi aduersariorum factione premeretur, ad Cyrum confugit: a quo cum pecuniam in bis mille mercenarios milites, & trimestre stipendium poposcisset, quòd ea se manu facile inimicis superiorem futurum confideret, Cyrus pro liberalitate sua in quater mille, & mensium sex ei stipendium detulit: hominémque incitauit, ut negocium conficere maturaret, prius quàm ad se eum consultandi causa accerseret. Atque etiam in Thessalia auxilia ex occulto Cyro alebantur. Eodem sane tempore Proxenum Bœotium, bello in Pisidas sibi infensos simulato, pro uetere amicitia rogauit, ut ad se cum quàm posset maximo militum numero ueniret.

Sophænetum etiam Stymphalium, & Socratem Achæum hospites suos, belli eius nomine quod Milesiorum exulum causa contra Tissaphernem suscepisset, cum suis utrunque manu ad se euocauit: neque hi in officio non fuerunt. Cyrus ubi in superiorem Asiam mouere statuit, causam huius belli eam præ se tulit, quod Pisidas finibus suis uellet eijcere: atque ob eam rem simulat omnis tum Græcorum, tum barbarorum auxilia se cogere. Tum Clearcho denunciat, ut ad se quas habebat copias, adducat.

Aristippum admonet ut pace cum ciuibus facta, ad se manum illam mittat. Xeniæ uerò Arcadi, quem ijs

quos

μιν ἤθροιζεν, ὡς μάλιστα ἐδύνατο ἐπικρυπτόμενος, ὅπως ὅτι ἀπαρασκευαστότατον λάβοι βασιλέα. ὧδε οὖν ἐποιεῖτο τὴν συλλογήν, ὁπόσους εἶχε φύλακας ἐν ταῖς πόλεσι, παρήγγελλε τοῖς φρουράρχοις ἑκάστοις λαμβάνειν ἄνδρας πελοποννησίους, ὅτι πλείστους καὶ βελτίστους, ὡς ἐπιβουλεύοντος τισσαφέρνους ταῖς πόλεσι. καὶ γὰρ ἦσαν ἰωνικαὶ πόλεις τισσαφέρνους τὸ ἀρχαῖον, ἐκ βασιλέως δεδομέναι. τότε δ' ἀπέστησαν πρὸς κῦρον πᾶσαι πλὴν μιλήτου. ἐν μιλήτῳ δ' ὁ τισσαφέρνης προαισθόμενος τὰ αὐτὰ ταῦτα βουλευομένους ἀποστῆναι πρὸς κῦρον, τοὺς μὲν ἀπέκτεινε, τοὺς δ' ἐξέβαλεν. ὁ δὲ κῦρος ὑπολαβὼν τοὺς φεύγοντας, συλλέξας στράτευμα, ἐπολιόρκει μίλητον καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, καὶ ἐπειρᾶτο κατάγειν τοὺς ἐκπεπτωκότας. αὕτη οὖν ἄλλη πρόφασις ἦν αὐτῷ τοῦ ἀθροίζειν στράτευμα. πρὸς δὲ βασιλέα πέμπων, ἠξίου ἀδελφὸς ὢν αὐτοῦ, δοθῆναι οἱ ταύτας τὰς πόλεις μᾶλλον ἢ τισσαφέρνην ἄρχειν αὐτῶν. καὶ ἡ μήτηρ συνέπραττεν αὐτῷ ταῦτα, ὥστε βασιλεὺς τῆς πρὸς ἑαυτὸν ἐπιβουλῆς οὐκ ᾐσθάνετο. τισσαφέρνει δὲ ἐνόμιζε πολεμοῦντα αὐτὸν ἀμφὶ τὰ στρατεύματα δαπανᾶν. ὥστε οὐδὲν ἤχθετο αὐτῶν πολεμούντων. καὶ γὰρ ὁ κῦρος ἀπέπεμπε τοὺς γιγνομένους δασμοὺς βασιλεῖ ἐκ τῶν πόλεων, ὧν τισσαφέρνης ἐτύγχανεν ἔχων. ἄλλο δὲ στράτευμα συνελέγετο αὐτῷ ἐν χερρονήσῳ τῇ καταντιπέρας ἀβύδου, τόνδε τὸν τρόπον. κλέαρχος λακεδαιμόνιος φυγὰς, τούτῳ συγγενόμενος ὁ κῦρος, ἠγάσθη τε αὐτὸν, καὶ δίδωσιν αὐτῷ μυρίους δαρεικούς. ὁ δὲ λαβὼν τὸ χρυσίον, στράτευμα συνέλεξεν ἀπὸ τούτων τῶν χρημάτων. καὶ ἐπολέμει ἐκ χερρονήσου ὁρμώμενος, τοῖς θραξὶ τοῖς ὑπὲρ ἑλλήσποντον οἰκοῦσι, καὶ ὠφέλει τοὺς ἕλληνας. ὥστε καὶ χρήματα συνεβάλλοντο αὐτῷ εἰς τὴν τροφὴν τῶν στρατιωτῶν, αἱ ἑλλησποντιακαὶ πόλεις ἑκοῦσαι. τοῦτο δ' αὖ οὕτω τρεφόμενον, ἐλάνθανεν αὐτῷ τὸ στράτευμα. ἀρίστιππος δὲ ὁ θετταλὸς ἐτύγχανε ξένος ὢν αὐτῷ, καὶ πιεζόμενος ὑπὸ τῶν οἴκοι ἀντιστασιωτῶν, ἔρχεται πρὸς τὸν κῦρον, καὶ αἰτεῖ αὐτὸν εἰς δισχιλίους ξένους καὶ τριῶν μηνῶν μισθὸν, ὡς οὕτω περιγενόμενος ἂν τῶν ἀντιστασιωτῶν. ὁ δὲ κῦρος δίδωσιν αὐτῷ εἰς τετρακισχιλίους, καὶ ἓξ μηνῶν μισθόν. καὶ δεῖται αὐτοῦ μὴ πρόσθεν καταλῦσαι πρὸς τοὺς ἀντιστασιώτας, πρὶν ἂν αὐτῷ συμβουλεύσηται. οὕτω δὲ αὖ τὸ ἐν θετταλίᾳ ἐλάνθανεν αὐτῷ τρεφόμενον στράτευμα. πρόξενον δὲ τὸν βοιώτιον, φίλον ὄντα αὐτῷ, ἐκέλευσε λαβόντα ἄνδρας ὅτι πλείστους παραγενέσθαι, ὡς εἰς πισίδας βουλόμενος στρατεύεσθαι, ὡς πράγματα παρεχόντων πισιδῶν τῇ ἑαυτοῦ χώρᾳ. σοφαίνετον δὲ τὸν στυμφάλιον, καὶ σωκράτην τὸν ἀχαιὸν, ξένους ὄντας καὶ τούτους, ἐκέλευσεν ἄνδρας λαβόντας ἐλθεῖν ὅτι πλείστους, ὡς πολεμήσων τισσαφέρνει σὺν τοῖς φυγάσι τῶν μιλησίων. καὶ ἐποίουν οὕτως οὗτοι. ἐπεὶ δὲ ἐδόκει αὐτῷ ἤδη πορεύεσθαι ἄνω, τὴν μὲν πρόφασιν ἐποιεῖτο, ὡς πισίδας βουλόμενος ἐκβαλεῖν παντάπασιν ἐκ τῆς χώρας. καὶ ἀθροίζει ὡς ἐπὶ τούτους τό τε βαρβαρικὸν καὶ τὸ ἑλληνικὸν ἐνταῦθα στράτευμα. καὶ παραγγέλλει τῷ τε κλεάρχῳ λαβόντι ἥκειν ὅσον ἦν αὐτῷ στράτευμα. καὶ τῷ ἀριστίππῳ συναλλαγέντι πρὸς τοὺς οἴκοι, ἀποπέμψαι πρὸς ἑαυτὸν ὃ εἶχε στράτευμα. καὶ ξενίᾳ τῷ ἀρκάδι, ὃς αὐτῷ

προειστήκει

προεστήκει τοῦ ἐν ταῖς πόλεσι ξενικοῦ, ἥκειν παρήγγειλε λαβόντα τοὺς ἄνδρας, πλὴν ὁπόσοι ἱκανοὶ εἶεν τὰς ἀκροπόλεις φυλάττειν. ἐκάλεσε δὲ καὶ τοὺς μίλητον πολιορκοῦντας, καὶ τοὺς φυγάδας ἐκέλευσε σὺν αὐτῷ στρατεύεσθαι, ὑποσχόμενος αὐτοῖς εἰ καλῶς καταπράξειεν ἐφ᾽ ἃ ἐστρατεύετο, μὴ πρόσθεν παύσεσθαι, πρὶν αὐτοὺς καταγάγοι οἴκαδε. οἱ δὲ ἡδέως ἐπείθοντο. ἐπίστευον γὰρ αὐτῷ. καὶ λαβόντες τὰ ὅπλα, παρῆσαν εἰς σάρδεις. ξενίας μὲν δὴ τοὺς ἐκ τῶν πόλεων λαβὼν, παρεγένετο εἰς σάρδεις ὁπλίτας εἰς τετρακισχιλίους. πρόξενος δὲ παρῆν ἔχων ὁπλίτας μὲν εἰς πεντακοσίους καὶ χιλίους, γυμνῆτας δὲ πεντακοσίους. σοφαίνετος δὲ ὁ στυμφάλιος, ὁπλίτας ἔχων χιλίους. σωκράτης δὲ ὁ ἀχαιὸς ὁπλίτας ἔχων ὡς πεντακοσίους. πασίων δὲ ὁ μεγαρεὺς εἰς ἑπτακοσίους ἔχων ἄνδρας παρεγένετο. ἦν δὲ καὶ οὗτος καὶ ὁ σωκράτης τῶν ἀμφὶ μίλητον στρατευομένων. οὗτοι μὲν εἰς σάρδεις αὐτῷ ἀφίκοντο. τισσαφέρνης δὲ κατανοήσας ταῦτα, καὶ μείζονα ἡγησάμενος εἶναι, ἢ ὡς ἐπὶ πισίδας τὴν παρασκευὴν, πορεύεται ὡς βασιλέα ᾗ ἐδύνατο τάχιστα, ἱππέας ἔχων ὡς πεντακοσίους. καὶ βασιλεὺς μὲν δὴ ἐπεὶ ἤκουσε παρὰ τισσαφέρνους τὸν κύρου στόλον, ἀντιπαρεσκευάζετο. κῦρος δὲ ἔχων, ὡς εἶπον, ὡρμᾶτο ἀπὸ σάρδεων, καὶ ἐξελαύνει διὰ τῆς λυδίας σταθμοὺς τρεῖς, παρασάγγας εἴκοσι καὶ δύο ἐπὶ τὸν μαίανδρον ποταμόν. τούτου τὸ εὖρος δύο πλέθρα. γέφυρα δὲ ἐπῆν, ἐζευγμένη πλοίοις ἑπτά. τοῦτον διαβὰς, ἐξελαύνει διὰ φρυγίας σταθμὸν ἕνα, παρασάγγας ὀκτὼ, εἰς κολοσσὰς πόλιν οἰκουμένην, εὐδαίμονα καὶ μεγάλην. ἐνταῦθα ἔμεινεν ἡμέρας ἑπτά. καὶ ἧκε μένων ὁ θετταλὸς, ἔχων ὁπλίτας χιλίους, καὶ πελταστὰς πεντακοσίους, δόλοπας καὶ αἰνιᾶνας καὶ ὀλυνθίους. ἐντεῦθεν ἐξελαύνει σταθμοὺς τρεῖς, παρασάγγας εἴκοσιν, εἰς κελαινὰς τῆς φρυγίας πόλιν οἰκουμένην μεγάλην καὶ εὐδαίμονα. ἐνταῦθα κύρῳ βασίλεια ἦν, καὶ παράδεισος μέγας ἀγρίων θηρίων πλήρης, ἃ ἐκεῖνος ἐθήρευεν ἀπὸ ἵππου, ὁπότε γυμνάσαι βούλοιτο ἑαυτόν τε καὶ τοὺς ἵππους. διὰ μέσου δὲ τοῦ παραδείσου ῥεῖ ὁ μαίανδρος ποταμός· αἱ δὲ πηγαὶ αὐτοῦ εἰσιν ἐκ τῶν βασιλείων. ῥεῖ δὲ καὶ διὰ τῆς κελαινῶν πόλεως. ἔστι δὲ καὶ μεγάλου βασιλέως βασίλεια ἐν κελαιναῖς ἐρυμνὰ ἐπὶ ταῖς πηγαῖς τοῦ μαρσύου ποταμοῦ, ὑπὸ τῇ ἀκροπόλει. ῥεῖ δὲ καὶ οὗτος διὰ τῆς πόλεως, καὶ ἐμβάλλει εἰς τὸν μαίανδρον. τοῦ δὲ μαρσύου τὸ εὖρος εἴκοσι καὶ πέντε ποδῶν. ἐνταῦθα λέγεται ἀπόλλων ἐκδεῖραι μαρσύαν νικήσας, ἐρίζοντά οἱ περὶ σοφίας, καὶ τὸ δέρμα κρεμάσαι ἐν τῷ ἄντρῳ, ὅθεν αἱ πηγαί. διὰ δὲ τοῦτο ὁ ποταμὸς καλεῖται μαρσύας. ἐνταῦθα ξέρξης ὅτε ἐκ τῆς ἑλλάδος ἡττηθεὶς τῇ μάχῃ ἀπεχώρει, λέγεται οἰκοδομῆσαι ταῦτά τε τὰ βασίλεια, καὶ τὴν κελαινῶν ἀκρόπολιν. ἐνταῦθα ἔμεινε κῦρος ἡμέρας τριάκοντα, καὶ ἧκε κλέαρχος ὁ λακεδαιμόνιος φυγὰς, ἔχων ὁπλίτας χιλίους, καὶ πελταστὰς θρᾷκας ὀκτακοσίους, καὶ τοξότας κρῆτας διακοσίους. ἅμα δὲ καὶ σωσίας παρῆν ὁ συρακούσιος, ἔχων ὁπλίτας χιλίους. καὶ σοφαίνετος ὁ ἀρκὰς, ἔχων ὁπλίτας χιλίους. ἐνταῦθα κῦρος ἐξέτασιν καὶ ἀριθμὸν τῶν ἑλλήνων ἐποίησεν ἐν τῷ παραδείσῳ. καὶ ἐγένοντο οἱ σύμπαντες, ὁπλῖται μὲν μύριοι καὶ χίλιοι, πελτασταὶ δὲ ἀμφὶ τοὺς δισχιλίους. ἐντεῦθεν ἐξελαύνει σταθμοὺς δύο, παρασάγγας δέκα, εἰς πέλτας πόλιν οἰκουμένην. ἐνταῦθα

ἔμειναν

quos in ciuitatibus singulis habebat mercenarijs praefecerat, imperat ut ad se, firmatis tamen praesidio arcibus, cum suis omnibus ueniat. Eos quoq; qui in Mileti obsidione occupati erant, ac ipsos etiam exules, sibi eius expeditionis socios adsciscit: quibus pollicetur confecto ex sententia quod tunc suscipiebat bello, non conquieturum se prius, quàm eos domum restituisset. Hi uero minime inuiti paruerunt: quippe qui non paruã Cyro fidem habebant, ac omnes quidẽ Sardeis armati conuenerunt. Xenias collectis omnibus ex urbibus, ad quatuor millia peditum grauis armaturae: Proxenus cum mille & quingentis, et expeditis quingentis: Sophaenetus grauis armaturae mille. Socrates Achaeus fere quingentos adduxere. Pasion Megarensis cum septingentis militibus uenit. Hic & Socrates unà in Mileti oppugnatione fuerant. Atq; hi quidem Sardibus praestò fuere. Cum haec animaduerteret Tissaphernes, eumq; apparatum alio pertinere quàm ad Pisidas arbitraretur, cum equitum quingentorũ comitatu, ad regem quàm potuit maximis itineribus contendit. Vbi rem omnem rex cognouit ex Tissapherne, & ipse omnia ad bellum necessaria comparat. Cyrus uerò cum ijs, quas enumerauimus copijs, Sardibus mouit. Inde per Lydiam tertijs castris, parasangas uiginti duas, quod est ad passuum millia octoginta octo, progressus, ad Maeandrum amnẽ peruenit. Cuius cum esset latitudo duûm plethrorum, id est, passuum fermè quadraginta, erat tunc ponte, quem nauigia septem sustinebant, iunctus. Hũc cum traiecisset, per Phrygiam primis castris tricies bis mille passibus confectis, ad Colossas uenit, celebrẽ urbem, magnam & opulentam: ubi cum dies septem commoratus esset, superuenit interea Menon Thessalus, cum grauis armaturae peditibus mille, cetratis item quingentis Dolopibus, Aenianensibus, Olynthijs Inde uero tertijs castris passuum octoginta millia progressus, Celaenas uenit. Vrbs haec Phrygiae est, ampla, frequens, & luculenta. Hic Cyri regia fuit, in qua horti feris refertißimi, quas in equo insectabatur, quoties seipsum & equos exercere uellet. Medios hortos Maeander perlabitur, eiusq; fontes in ipsa regia sunt. Idem amnis oppidum quoq; praeterfluit. Est etiam regis ipsius Celaenis regia in edito, & situ ipso munito loco, sub arce, ad Marsyae fluminis fontes. Marsyas etiam urbem praeterfluens, in Maeandrum intrat: eius est latitudo pedum uigintiquinque. Hic Apollinem ferunt à se in tibiarum certamine uicto Marsyae cutem detraxisse, eamq; in antro ubi fontes sunt, suspendisse, atque ex ea re flumini nomen inditum. Hoc in loco Xerxen traditum est, cum clade accepta ex Graecia retrocederet, regiam hanc & arcem munisse. Illic Cyrus triginta ipsos dies commoratus est: intra quos Clearchus Lacedaemonius exul, cum peditibus grauis armaturae mille, & Thracibus cetratis octingentis, Cretensibus sagittarijs ducentis, est eum assequutus. Per eosdem etiam dies Sosias adfuit Syracusanus, cum grauis armaturae peditibus mille, & cum totidem Sophaenetus Arcas. In ijs quos antè diximus hortis, Cyrus Graecorum censum habuit. Censa sunt grauis armaturae pedites XI. millia, cetrati plus minus bis mille. Hinc secundis castris passus XL. millia processit ad Peltas celebre oppidum, ubi

dies item tres quieuit. Ibi Xenias ludos fecit, Lupercalia: uictoribus præmia fuere strigiles aureæ. Eos ludos ipse etiam Cyrus spectauit. Hinc secundis castris millibus passuum XLVIII. confectis, Ceramuntem uenit. Ea urbs nobilis est, in Mysiæ finibus. Ab hac tertijs castris millibus passuum CXX. ad Caystri campos, quæ ciuitas et ipsa frequens: hic dies quinque substitit. Quo in loco cum militi trimestre iam, atque eo maius stipendium deberetur, urgebatur quotidie Cyrus à multitudine, quæ ad eius fores conueniebat. At ille flagitantes spe alebat: neque tamen animi solicitudinem dissimulare poterat, quippe qui neutiquam, cum haberet, pensionem differre solitus esset. Interea Epyanaxa, Syennesis Cilicum regis uxor, ad Cyrum ultro uenit, á qua magnam creditur pecuniam accepisse: quatuor mensium certe mercedem militibus dissoluit: ac eam quidem Cilicum & Aspendiorum satellitum comitatus deduxerat. Vulgo quidem ferebatur cum Cyro eam familiarius congressam. Hinc secundis castris passuum XL. millia progressus, Thymbrium uenit. ciuitas & ea celebris. In ipsa quæ huc ducit uia, fons ostenditur, qui Midæ dicitur: cum enim Midam Phrygum regem uino miscuisse proditum est, cum ad se Silenum pellexit. Hinc secundis castris millium passuum XL. itinere, ad frequentem urbem Tyriæum peruenit, quo in loco dies tres commoratus. Cum interea Cilissa ut exercitum sibi ostenderet uniuersum rogasset, Græcorum ac barbarorum copias in proximo campo hoc modo recensuit. Græcis imperauit, ut suo ritu aciem instruerent, ac suos quisque produceret. Illi in cornua diuisi, qua terni constiterunt. Dextrum Menon tenuit: in læuo suos Clearchus habuit: in media cæteri duces acie stetere. Spectauit Cyrus barbaros primum: atque hi quidem in cateruas ac centurias descripti processere: Græcos deinde: ipse curru præteruectus, Cilissa uero plaustro curuli. Erant omnibus æreæ galeæ, puniceæ tunicæ, ocreæ, & scuta ad splendorem detersa. Cyrus omnia conspicatus, currum ante aciem sustinuit, ac Pigretem interpretem misit, qui Græcorum ducibus suo nomine denunciaret, ordinibus imperarent, scuta ut proijcerent, ac quasi impressionem facerent, ita promouerent. Atque hi quidem militibus quod facto opus esset significarunt. Quare ubi classicum cecinit, cuncti proiectis scutis, cum clamore promouerunt: tantoq; cum impetu excurrerunt, ut non ante sisti cursus potuerit, quàm ad tentoria uentum sit. Ibi cum barbaris alijs sane multis incessit metus ac trepidatio, tum Cilissa ex curuli plaustro se in fugam dedit: forensis uero omnis multitudo mercibus relictis dilapsa est: at Græci se cum risu intra tabernacula recepere. Regina speciem ac ordinem exercitus est uehementer admirata. Ac Cyrus quidem magnam cepit uoluptatem, cum Græcos animaduertit tantopere à barbaris metui. Progressus hinc tertijs castris millia paß. LXXX. ad Iconium quæ extrema Phrygiæ urbs est, uenit: in qua triduum commoratus, inde per Lycaoniam quintis castris nonaginta duûm millium passuum iter fecit. Agrum uero eius regionis uniuersum, quod hostilis erat, Græcis diripiendum tradidit. Hinc Cilissam ea uia, quæ breuissima uisa est, Menonis Thessali cohorti, ipsiq; Meno-

ἔμεινεν ἡμέρας τρεῖς. ἐν αἷς ξενίας ὁ ἀρκὰς τὰ λύκαια ἔθυσε, καὶ ἀγῶνα ἔθηκε. τὰ δὲ ἆθλα ἦσαν, στλεγγίδες χρυσαῖ. ἐθεώρει δὲ τὸν ἀγῶνα καὶ κῦρος. ἐντεῦθεν ἐξελαύνει σταθμοὺς δύο, παρασάγγας δώδεκα, εἰς κεράμων ἀγοράν, πόλιν οἰκουμένην ἐσχάτην ἐν τῇ μυσίᾳ χώρᾳ. ἐντεῦθεν ἐξελαύνει σταθμοὺς τρεῖς, παρασάγγας τριάκοντα, εἰς καΰστρου πεδίον, πόλιν οἰκουμένην. ἐνταῦθα ἔμεινεν ἡμέρας πέντε, καὶ τοῖς στρατιώταις ὠφείλετο μισθὸς πλέον ἢ τριῶν μηνῶν. καὶ πολλάκις ἰόντες ἐπὶ τὰς θύρας ἀπῄτουν. ὁ δὲ ἐλπίδας λέγων διῆγε. καὶ δῆλος ἦν ἀνιώμενος. οὐ γὰρ ἦν πρὸς τοῦ κύρου τρόπου, ἔχοντα μὴ ἀποδιδόναι. ἐνταῦθα ἀφικνεῖται ἐπύαξα ἡ συεννέσιος γυνὴ τοῦ κιλίκων βασιλέως παρὰ κῦρον. καὶ ἐλέγετο κύρῳ δοῦναι χρήματα πολλά. τῇ δ' οὖν στρατιᾷ τότε ἀπέδωκε κῦρος μισθὸν τεττάρων μηνῶν. εἶχε δὲ ἡ κιλίκισσα καὶ φύλακας περὶ αὑτὴν κίλικας καὶ ἀσπενδίους. ἐλέγετο δὲ κῦρος συγγενέσθαι τῇ κιλικίσσῃ. ἐντεῦθεν ἐξελαύνει σταθμοὺς δύο, παρασάγγας δέκα, εἰς θύμβριον πόλιν οἰκουμένην. ἐνταῦθα ἦν παρὰ τὴν ὁδὸν κρήνη ἡ μίδου καλουμένη τοῦ φρυγῶν βασιλέως, ἐφ' ᾗ λέγεται μίδας τὸν σάτυρον θηρεῦσαι, οἴνῳ κεράσας αὐτόν. ἐντεῦθεν ἐξελαύνει σταθμοὺς δύο, παρασάγγας δέκα εἰς τυριαῖον πόλιν οἰκουμένην. ἐνταῦθα ἔμεινεν ἡμέρας τρεῖς. καὶ λέγεται δεηθῆναι ἡ κιλίκισσα κύρου, ἐπιδεῖξαι τὸ στράτευμα ἑαυτῇ. βουλόμενος οὖν ἐπιδεῖξαι, ἐξέτασιν ποιεῖται ἐν τῷ πεδίῳ τῶν ἑλλήνων καὶ τῶν βαρβάρων. ἐκέλευσε δὲ τοὺς ἕλληνας, ὡς νόμος αὐτοῖς εἰς μάχην, οὕτω ταχθῆναι καὶ στῆναι, συντάξαι δὲ ἕκαστον τοὺς ἑαυτοῦ. ἐτάχθησαν οὖν ἐπὶ τεττάρων. εἶχε δὲ τὸ μὲν δεξιὸν μένων καὶ οἱ σὺν αὐτῷ· τὸ δ' εὐώνυμον, κλέαρχος καὶ οἱ ἐκείνου· τὸ δὲ μέσον οἱ ἄλλοι στρατηγοί. ἐθεώρει οὖν ὁ κῦρος πρῶτον μὲν τοὺς βαρβάρους. οἱ δὲ παρήλαυνον τεταγμένοι κατ' ἴλας καὶ κατὰ τάξεις· εἶτα δὲ τοὺς ἕλληνας παρελαύνων ἐφ' ἅρματος, καὶ ἡ κίλισσα, ἐφ' ἁρμαμάξης. εἶχον δὲ πάντες κράνη χαλκᾶ, καὶ χιτῶνας φοινικοῦς, καὶ κνημῖδας, καὶ τὰς ἀσπίδας ἐκκεκαθαρμένας. ἐπεὶ δὲ πάντας παρήλασε, στήσας τὸ ἅρμα πρὸ τῆς φάλαγγος, πέμψας πίγρητα τὸν ἑρμηνέα παρὰ τοὺς στρατηγοὺς τῶν ἑλλήνων, ἐκέλευσε προβαλέσθαι τὰ ὅπλα, καὶ ἐπιχωρῆσαι ὅλην τὴν φάλαγγα. οἱ δὲ ταῦτα προεῖπον τοῖς στρατιώταις. καὶ ἐπεὶ ἐσάλπιγξε προβαλλόμενοι τὰ ὅπλα ἐπῄεσαν. ἐκ δὲ τούτου θᾶττον προϊόντων σὺν κραυγῇ ἀπὸ τοῦ αὐτομάτου, δρόμος ἐγένετο τοῖς στρατιώταις ἐπὶ τὰς σκηνάς. τῶν δὲ βαρβάρων φόβος πολλοῖς τε καὶ ἄλλοις, καὶ ἥ τε κίλισσα ἔφυγεν ἐκ τῆς ἁρμαμάξης. καὶ οἱ ἐκ τῆς ἀγορᾶς καταλιπόντες τὰ ὤνια, ἔφευγον. οἱ δὲ ἕλληνες σὺν γέλωτι ἐπὶ τὰς σκηνὰς ἦλθον. ἡ δὲ κίλισσα ἰδοῦσα τὴν λαμπρότητα καὶ τὴν τάξιν τοῦ στρατεύματος, ἐθαύμαζε. κῦρος δὲ ἥσθη τὸν ἐκ τῶν ἑλλήνων φόβον εἰς τοὺς βαρβάρους ἰδών. ἐντεῦθεν ἐξελαύνει σταθμοὺς τρεῖς, παρασάγγας εἴκοσιν, εἰς ἰκόνιον τῆς φρυγίας πόλιν ἐσχάτην. ἐνταῦθα ἔμεινε τρεῖς ἡμέρας. ἐντεῦθεν ἐξελαύνει διὰ τῆς λυκαονίας σταθμοὺς πέντε, παρασάγγας τρεῖς. ταύτην τὴν χώραν ἐπέτρεψε διαρπάσαι τοῖς ἕλλησιν, ὡς πολεμίαν οὖσαν. ἐντεῦθεν ὁ κῦρος τὴν κίλισσαν εἰς κιλικίαν ἀποπέμπει, τὴν ταχίστην ὁδόν. καὶ συνέπεμψεν αὐτῇ στρατιώτας, οὓς μένων εἶχε, καὶ αὐτὸν μένωνα

μένωνα τὸν θετταλόν. κῦρος δὲ μετὰ τῶν ἄλλων ἐξελαύνει
διὰ καππαδοκίας σταθμοὺς τέσσαρας, παρασάγγας εἴκοσι
καὶ πέντε πρὸς δάναν πόλιν οἰκουμένην μεγάλην καὶ εὐ-
δαίμονα. ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς, ἐν αἷς κῦρος ἀπέ-
κτεινεν ἄνδρα πέρσην μεγαφέρνην, φοινικιστὴν βασί-
λειον, καὶ ἕτερόν τινα τῶν ὑπάρχων δυνάστην, αἰτιασάμενος
ἐπιβουλεύειν αὐτῷ. ἐντεῦθεν ἐπειρῶντο εἰσβάλλειν εἰς τὴν
κιλικίαν. ἡ δὲ εἰσβολὴ ἦν ὁδὸς ἁμαξιτὸς ὀρθία ἰσχυρῶς,
καὶ ἀμήχανος εἰσελθεῖν στρατεύματι, εἴ τις ἐκώλυεν. ἐλέ-
γετο δὲ καὶ συέννεσιν εἶναι ἐπὶ τῶν ἄκρων, φυλάττοντα τὴν
εἰσβολήν. διὸ ἔμειναν ἡμέραν ἐν τῷ πεδίῳ. τῇ δ' ὑστε-
ραίᾳ ἧκεν ἄγγελος λέγων, ὅτι λελοιπὼς εἴη συέννεσις
τὰ ἄκρα, ἐπεὶ ᾔσθετο τό τε μένωνος στράτευμα, ὅτι ἐν κι-
λικίᾳ εἴη εἴσω τῶν ὀρέων, καὶ ὅτι τριήρεις ἤκουε περιπλεούσας
ἀπ' ἰωνίας εἰς κιλικίαν, ταμὼν ἔχοντα τὰς λακεδαιμο-
νίων καὶ αὐτοῦ κύρου. κῦρος δ' οὖν ἀνέβη ἐπὶ τὰ ὄρη, οὐδενὸς
κωλύοντος, καὶ εἶδε τὰς σκηνάς, οὗ ἐφύλαττον οἱ κίλι-
κες. ἐντεῦθεν δὲ κατέβαινεν εἰς πεδίον μέγα, καλὸν καὶ
ἐπίρρυτον, καὶ δένδρων παντοδαπῶν ἔμπλεον καὶ ἀμ-
πέλων. πολὺ δὲ καὶ σήσαμον καὶ μελίνην καὶ κέγχρον καὶ
πυροὺς καὶ κριθὰς φέρει. ὄρος δ' αὐτὸ περιέχει ὀχυρόν,
καὶ ὑψηλὸν πάντῃ ἐκ θαλάττης εἰς θάλατταν. καταβὰς
δὲ διὰ τούτου τοῦ πεδίου, ἤλασε σταθμοὺς τέσσαρας, παρασάγ-
γας πέντε καὶ εἴκοσιν εἰς ταρσοὺς πόλιν τῆς κιλικίας μεγά-
λην καὶ εὐδαίμονα. ἐνταῦθα ἦσαν τὰ συεννέσιος βασί-
λεια, τοῦ κιλίκων βασιλέως. διὰ μέσης δὲ τῆς πόλεως ῥεῖ
ποταμός, κύδνος ὄνομα, εὖρος δύο πλέθρων. ταύτην
τὴν πόλιν ἐξέλιπον οἱ ἐνοικοῦντες μετὰ συεννέσιος
εἰς χωρίον ὀχυρὸν ἐπὶ τὰ ὄρη, πλὴν οἱ τὰ καπηλεῖα ἔχον-
τες. ἔμειναν δὲ καὶ οἱ παρὰ τὴν θάλατταν οἰκοῦντες, ἐν
σόλοις καὶ ἐν ἰσσοῖς. ἐπύαξα δ' ἡ συεννέσιος γυνὴ προτέ-
ρα κύρου πέντε ἡμέρας, εἰς ταρσοὺς ἀφίκετο. ἐν δὲ τῇ ὑπερ-
βολῇ τῶν ὀρέων τῇ εἰς τὸ πεδίον, δύο λόχοι τοῦ μένωνος
στρατεύματος ἀπώλοντο. οἱ μὲν ἔφασαν ἁρπάζοντάς τι
κατακοπῆναι ὑπὸ τῶν κιλίκων. οἱ δὲ ὑπολειφθέντας
καὶ οὐ δυναμένους εὑρεῖν τὸ ἄλλο στράτευμα, οὐδὲ τὰς
ὁδούς, εἶτα πλανωμένους ἀπολέσθαι. ἦσαν δὲ οὗτοι ἑκα-
τὸν ὁπλῖται. οἱ δ' ἄλλοι ἐπεὶ ἧκον, τήν τε πόλιν τοὺς
ταρσοὺς διήρπασαν, διὰ τὸν ὄλεθρον τῶν συστρατιωτῶν
ὀργιζόμενοι, καὶ τὰ βασίλεια τὰ ἐν αὐτῇ. κῦρος δέ, ἐπεὶ
εἰσήλασεν εἰς τὴν πόλιν, μετεπέμπετο συέννεσιν πρὸς
ἑαυτόν. ὁ δὲ οὔτε πρότερον οὐδενί πω κρείττονι ἑαυτοῦ
εἰς χεῖρας ἐλθεῖν ἔφη, οὔτε τότε κύρῳ ἰέναι ἤθελε, πρὶν
ἡ γυνὴ αὐτὸν ἔπεισε, καὶ πίστεις ἔλαβε. μετὰ δὲ ταῦτα,
ἐπεὶ συνεγένοντο ἀλλήλοις, συέννεσις μὲν κύρῳ ἔδωκε
χρήματα πολλὰ εἰς τὴν στρατιάν· κῦρος δ' ἐκείνῳ δῶρα,
ἃ νομίζεται παρὰ βασιλεῖ τίμια, ἵππον χρυσοχάλι-
νον, καὶ στρεπτὸν χρυσοῦν, καὶ στολὴν περσικήν, καὶ τὴν χώ-
ραν μηκέτι ἁρπάζεσθαι. τὰ δὲ ἡρπασμένα ἀνδράποδα,
ἤν που ἐντυγχάνωσιν, ἀπολαμβάνειν. ἐνταῦθ' ἔμεινε κῦ-
ρος καὶ ἡ στρατιὰ ἡμέρας εἴκοσιν. οἱ γὰρ στρατιῶται οὐκ ἔ-
φασαν ἰέναι τοῦ πρόσω. ὑπώπτευον γὰρ ἤδη ἐπὶ βασιλέα
ἰέναι, μισθωθῆναι δὲ οὐκ ἐπὶ τούτῳ ἔφασαν. πρῶτος δὲ
κλέαρχος τοὺς αὐτοῦ στρατιώτας ἐβιάζετο ἰέναι. οἱ δὲ αὐ-
τόν τε ἔβαλλον, καὶ τὰ ὑποζύγια τὰ ἐκείνου, ἐπεὶ ἤρξατο
προϊέναι. κλέαρχος δὲ τότε μικρὸν ἐξέφυγε τὸ μὴ κατα-
πετρω-

Menoni, in Ciliciam deducendam committit. Ipse cum re-
liquo exercitu quartis castris millibus passuum c. confe-
ctis, per Cappadociam Danam, quae ampla & opulen-
ta urbs est, peruenit. Hic quoque triduum est com-
moratus, atque interea Megaphernem Persam homi-
nem, regis purpuratum, & alium quendam, summo
inter regios praefectos loco, eo nomine quod sibi insi-
dias fecissent, interemit. Hinc in Ciliciam traiectio-
nem molitur. Angusti sunt ad eam aditus, trames ue-
10 hementer arduus, & uix singulis plaustris peruius:
quem certè agmen nullum, si quis prohibeat, ulla ui su-
perare posit. Ac tunc quidem Syennesis summis in iu-
gis aditus eos custodire ferebatur. Quare in campis
Cyrus diem unum constituit: postero uerò die cum re-
nunciatum esset, Syennesin, ubi animaduertisset intra
montes Menonem in ipsa iam Cilicia cum suis constitis-
se, audisset etiam Tamon, cum Lacedaemoniorum, Cy-
rique ipsius triremibus ex Ionia profectum, ad Ciliciam
appropinquare, è montibus praesidium deduxisse, sine
20 ullo negocio in montes ascendit: ubi deserta Cilicum ca-
stra conspicatus, descendit in late patentes campos, a-
moenos & irriguos, ac omnifariis arboribus & uitibus
consitos: sesami uerò, panici, milii, tritici, ordei, fe-
racissimos. Eos arduus ab una maris ad alteram par-
tem, & praeruptus mons amplectitur. Hinc cum mil-
lia passuum c. castris tertiis promouisset, Tarsum ue-
nit: magna & opulenta est Ciliciae ciuitas, & in eadem
Syennesis Cilicum regis domus. mediam urbem prae-
terlabitur Cydnus amnis, cuius est latitudo passuum
30 x l. Ac urbe quidem cum Syennesi ciues omnes deserta,
se in montium castella receperant: soli remanserant cau-
pones: neque hi se loco mouerant, qui Solis & Issi ad
mare habitabant. Epyaxa quidem Syennesis uxor,
quinque ante Cyrum diebus Tarsum peruenerat: in qui-
bus quà in plana e summis montibus descensus erat, ma-
nipulos duos de copiis suis Menon amiserat, quos popu-
labundos erant qui dicerent à Cilicibus caesos: alii uerò
aiebant, in extremo agmine relictos, suos assequi ne-
quisse, quòd scilicet à uia aberrassent, itaque palantes
40 interemptos. Fuere qui desiderati sunt grauis armaturae
c. reliqui cum Tarsum uenissent, ira ob amissos commi-
litones incensi, oppidum ac ipsam regiam diripuere. Cy-
rus primùm urbem ingressus, misit qui Syennesin ad se
euocarent. At ille quòd diceret, eam sibi cautionem
semper fuisse, ne ad eos accederet, quibus se infirmiorem
esse putaret, non prius cum Cyro congredi uoluit, quàm
& uxoris suasu adductus, & fide a Cyro data confir-
matus esset. Cum essent itaque multa inter se colloqu-
ti, Syennesis Cyro magnam pecuniam ad exercitum a-
50 lendum dedit. Cyrus illi uicissim munera quae regibus
eximia esse consueuerunt, equum cum freno aureo, au-
reum item torquem, Persicum uestitum. Ad haec in po-
sterum tutos fore ei à suorum populationibus fines rece-
pit, mancipiáque redditurum se, ubicunque ea essent re-
perta. Hoc in loco Cyrus dies x x. commoratus est, cum
milites iam suspicantes se contra regem duci, recusa-
rent longius progredi: neque enim se eo nomine condu-
ctos aiebant. Hic Clearchus suos ui impellere conatus est:
at illi & in eum, cum iam agmen duceret, & in iumenta
lapides coniecerunt: quo factum ut penè lapidibus obrue-
retur.

Tarsus urbs.

reitur. Quare cum iam plane intelligeret se nihil ui profe/cturū, suos ad concionē uocauit: ac prius cum diu stans collacrymatus esset cum magna militū admiratione ac silentio, ad hunc deinde modū loquutus est: Nihil est mili tes quod miremini, si animi angor propter præsentē rerū statum. Cyrus mihi quidē hospes est: is mihi exulanti et a/lios honores habuit, & Daricorū x. millia largitus est: quā ego pecuniā neq; in cōmoda, neq; in uoluptates pro/prias effudi, sed eam uniuersam inter uos diuisi. Et primū cum Thracibus bellum gessi, quos uobiscū unà suscepi a 10 Græciæ causa, armis sum persequutus: ac eos Græcis colo nis agrum eripere conātes, è Chersoneso eiecimus. Vbi ue ro me Cyrus ad se euocauit, uobiscū ad eum ueni, ut cum quā in re opus esset, ille me adiutore uteretur, pro multis in me meritis gratiā et referrē. Iam uerò cum refugere uos hoc iter animaduertā, ac mihi horū alterutrū necesse sit, uel ut uos prodam, Cyri amicitia utar: uel ut eum spe sua frustrer, uobiscū abeam: etsi haud scio an iustum cuiquam meum hoc factum uideri possit, certū est tamen uos illi an teponere, & uobiscū quencunq; casum fors tulerit, æquo 20 animo pati. Neq; me quisquā iure criminabitur, quod cū Græcos ad barbaros duxerim, Græcis plane proditis, bar barorum amicitiam sim sequutus: uerùm cum uos neq; au dire me, neq; sequi uolueritis, ego uos sequar, ego uobiscū quicquid ceciderit, ferā. Vos ego mihi patriā, uos amicos, uos socios esse arbitror: uobiscū ego ubicunq; fuero, egre gium me fore, & honoratū confido: à uobis si deseror, ne esse quidem possim, nedum aut amicū iuuare, aut inimicū ulcisci. Quare eo animo uos esse uelim, ut me, quocunq; uos duxeritis, uenturū putetis. Hæc cum dixisset, milites, 30 quod negasset se illis inuitis aduersus regem profecturū, eius orationē magnopere approbarunt. Quo etiam à Xe/nia et Pasione amplius bis mille, cum armis et iumētis ad Clearchi tabernacula transierūt. Hic Cyrus magna solici tudine ac molestia ex re inopinata affectus, Clearchū ad se accersi iubet: ille palàm quidē se iturū negat: clàm uerò certū ex militib. suis nunciū mittit, ac Cyrum bono animo esse iubet, quod uti expediret, omnia euentura consideret, se modo iterum accerseret. Quo facto, ille iterum se uentu rum negauit. Atq; è re nata uocatis cum suis, tum aduen 40 titijs ad concionē, in hūc modum uerba fecit: Iam milites nihil plus hercule nos à Cyro, q̄ illum à nobis expectare æquum est: neq; enim nos illi milites, qui scilicet eum non sequimur: neq; ipse nobis iam stipendium pendet. Atq; cum quidem plane scio se à nobis existimare iniuria affe/ctum esse: quare cum accersierit, nullo pacto ad eum mihi eundum putaui: pudet enim me (quod caput est) quod mi hi conscius sum, illum prorsus à me deceptū esse. Deinde uero & illud timeo, ne cū me cōprehensum tenuerit, meā in se iniuriā iusta uindicet pœna. Vt res igitur se nunc ha/ 50 bet, non patitur tempus ut somno nos demus, et ipsos nos ut negligamus: uerùm pro re atq; tēpore consiliū capien/dum, quo aut si hic manendū putamus, quàm minimo cum periculo maneamus: aut si discedendū, quàm tutissimè ab eamus, atq; interea nobis ut commeatus suppeditent. Ne que enim hi si desint, aut militis, aut ducis opera quicquā proficere possit. Et Cyrus sane, ut cui amicus est, omni officij genere cuiuis facile præstat: ita est cui inimicus extiterit, hostis acerbissimus. Habet præterea eas, cum terrestres peditum atque equitum, tum maritimas co/pias,

πετρώθησαν. ὕστερον δὲ ἐπεὶ ἔγνω, ὅτι οὐ δυνήσεται βιάσασθαι, συνήγαγεν ἐκκλησίαν τῶν αὑτοῦ στρατιωτῶν. καὶ πρῶτον μὲν ἐδάκρυε πολὺν χρόνον ἑστώς. οἱ δὲ ὁρῶντες ἐθαύμαζον, καὶ ἐσιώπων. εἶτα ἔλεξε τοιάδε· ἄνδρες στρατιῶται, μὴ θαυμάζετε ὅτι χαλεπῶς φέρω τοῖς παροῦσι πράγμασιν. ἐμοὶ γὰρ Κῦρος ξένος ἐγένετο, καί με φεύγοντα ἐκ τῆς πατρίδος, τά τε ἄλλα ἐτίμησε, καὶ μυρίους ἔδωκε δαρεικούς. οὓς ἐγὼ λαβὼν, οὐκ εἰς τὸ ἴδιον κατεθέμην ἐμοὶ, ἀλλ' οὐδὲ καθηδυπάθησα, ἀλλ' εἰς ὑμᾶς ἐδαπάνων. καὶ πρῶτον μὲν πρὸς τοὺς Θρᾶκας ἐπολέμησα. καὶ ὑπὲρ τῆς Ἑλλάδος ἐτιμωρούμην μεθ' ὑμῶν ἐκ τῆς Χερρονήσου αὐτοὺς ἐξελαύνων, βουλομένους ἀφαιρεῖσθαι τοὺς ἐνοικοῦντας Ἕλληνας τὴν γῆν. ἐπειδὴ δὲ Κῦρος ἐκάλει, λαβὼν ὑμᾶς ἐπορευόμην, ἵνα εἴ τι δέοιτο, ὠφελοίην αὐτὸν, ἀνθ' ὧν εὖ ἔπαθον ὑπ' ἐκείνου. ἐπεὶ δὲ ὑμεῖς οὐ βούλεσθε συμπορεύεσθαι, ἀνάγκη δή μοι ἢ ὑμᾶς προδόντα τῇ Κύρου φιλίᾳ χρῆσθαι, ἢ πρὸς ἐκεῖνον ψευσάμενον μεθ' ὑμῶν εἶναι. εἰ μὲν δὴ δίκαια ποιήσω, οὐκ οἶδα. αἱρήσομαι δ' οὖν ὑμᾶς, καὶ σὺν ὑμῖν ὅτι ἂν δέῃ πείσομαι. καὶ οὔποτ' ἐρεῖ οὐδεὶς ὡς ἐγὼ Ἕλληνας ἀγαγὼν εἰς τοὺς βαρβάρους, προδοὺς τοὺς Ἕλληνας, τὴν τῶν βαρβάρων φιλίαν εἱλόμην. ἀλλ' ἐπεὶ ὑμεῖς ἐμοὶ οὐκ ἐθέλετε πείθεσθαι οὐδὲ ἕπεσθαι, ἐγὼ σὺν ὑμῖν ἕψομαι, καὶ ὅτι ἂν δέῃ πείσομαι. νομίζω γὰρ ὑμᾶς ἐμοὶ εἶναι καὶ πατρίδα καὶ φίλους καὶ συμμάχους. καὶ σὺν ὑμῖν μὲν ἂν εἶναι τίμιος ὅπου ἂν ὦ· ὑμῶν δὲ ἔρημος ὢν, οὐκ ἂν ἱκανὸς εἶναι οἶμαι, οὔτ' ἂν φίλον ὠφελῆσαι, οὔτ' ἂν ἐχθρὸν ἀλέξασθαι. ὡς ἐμοῦ οὖν ἰόντος ὅπῃ ἂν ὑμεῖς, οὕτω τὴν γνώμην ἔχετε. ταῦτα εἶπεν. οἱ δὲ στρατιῶται, οἵ τε αὐτοῦ ἐκείνου, καὶ οἱ ἄλλοι ταῦτα ἀκούσαντες, ὅτι οὐ φαίη παρὰ βασιλέα πορεύεσθαι, ἐπῄνεσαν. παρὰ δὲ Ξενίου καὶ Πασίωνος πλείους ἢ δισχίλιοι λαβόντες τὰ ὅπλα, καὶ τὰ σκευοφόρα, ἐστρατοπεδεύσαντο παρὰ Κλεάρχῳ. Κῦρος δὲ τούτοις ἀπορῶν τε καὶ λυπούμενος, μετεπέμπετο τὸν Κλέαρχον. ὁ δ' ἰέναι μὲν οὐκ ἤθελε. λάθρα δὲ τῶν στρατιωτῶν πέμπων αὐτῷ ἄγγελον, ἔλεγε θαρρεῖν, ὡς καταστησομένων τούτων εἰς τὸ δέον. μεταπέμπεσθαι δ' ἐκέλευεν αὐτόν. αὐτὸς δὲ οὐκ ἔφη ἰέναι. μετὰ δὲ ταῦτα συναγαγὼν τοὺς αὑτοῦ στρατιώτας, καὶ τοὺς προσελθόντας αὐτῷ, καὶ τῶν ἄλλων τὸν βουλόμενον, ἔλεξε τοιάδε· ἄνδρες στρατιῶται, τὰ μὲν δὴ Κύρου δῆλον ὅτι οὕτως ἔχει πρὸς ἡμᾶς, ὥσπερ τὰ ἡμέτερα πρὸς ἐκεῖνον. οὔτε γὰρ ἡμεῖς ἔτι ἐκείνου στρατιῶται, ἐπεί γε οὐ συνεπόμεθα αὐτῷ, οὔτε ἐκεῖνος ἡμῖν ἔτι μισθοδότης. ὅτι μέντοι ἀδικεῖσθαι νομίζει ὑφ' ἡμῶν, οἶδα. ὥστε καὶ μεταπεμπομένου αὐτοῦ, οὐκ ἐθέλω ἐλθεῖν. τὸ μὲν μέγιστον αἰσχυνόμενος, ὅτι σύνοιδα ἐμαυτῷ πάντα ἐψευσμένος αὐτόν. ἔπειτα δὲ καὶ δεδιὼς, μὴ λαβών με, δίκην ἐπιθῇ, ὧν νομίζει ὑπ' ἐμοῦ ἠδικῆσθαι. ἐμοὶ οὖν δοκεῖ, οὐχ ὥρα εἶναι ἡμῖν καθεύδειν, οὐδ' ἀμελεῖν ἡμῶν αὐτῶν· ἀλλὰ βουλεύεσθαι ὅτι χρὴ ποιεῖν ἐκ τούτων. καὶ ἕως τε μένομεν αὐτοῦ, σκεπτέον μοι δοκεῖ εἶναι, ὅπως ἀσφαλέστατα μένωμεν· εἴτε δὴ δοκεῖ ἤδη ἀπιέναι, ὅπως ἀσφαλέστατα ἄπιμεν, καὶ ὅπως τὰ ἐπιτήδεια ἕξομεν. ἄνευ γὰρ τούτων οὔτε στρατηγοῦ οὔτε ἰδιώτου ὄφελος οὐδέν. ὁ δ' ἀνὴρ, πολλοῦ μὲν ἄξιος φίλος, ᾧ ἂν φίλος ᾖ, χαλεπώτατος δ' ἐχθρὸς, ᾧ ἂν πολέμιος ᾖ. ἔτι δὲ δύναμιν ἔχει καὶ πεζὴν καὶ ἱππικὴν καὶ ναυτικὴν,

υτικὴν, ἣν πάντες ὁμοίως ὁρῶμέν τε καὶ ἐπιστάμεθα. καὶ γὰρ οὐδὲ πόρρω δοκοῦμέν μοι αὐτοῦ καθῆσθαι. ὥστε ὥρα λέγειν, ὅτι τις γιγνώσκει ἄριστον εἶναι. ταῦτ' εἰπὼν, ἐπαύσατο. ἐκ δὲ τούτου ἀνίσταντο οἱ μὲν ἐκ τοῦ αὐτομάτου, λέξοντες ἃ ἐγίγνωσκον. οἱ δὲ καὶ ὑπ' ἐκείνου ἐγκέλευστοι, ἐπιδεικνύντες οἵα εἴη ἡ ἀπορία ἄνευ τῆς κύρου γνώμης, καὶ μένειν καὶ ἀπιέναι. εἷς δὲ δὴ εἶπε, προσποιούμενος σπεύδειν ὡς τάχιστα πορεύεσθαι εἰς τὴν ἑλλάδα. στρατηγοὺς μὲν ἑλέσθαι ἄλλους ὡς τάχιστα, εἰ μὴ βούλεται κλέαρχος ἀπάγειν. τὰ δ' ἐπιτήδεια ἀγοράζεσθαι. ἡ δ' ἀγορὰ ἦν ἐν τῷ βαρβαρικῷ στρατεύματι, καὶ συσκευάζεσθαι. ἐλθόντας δὲ κῦρον αἰτεῖν πλοῖα, ὡς ἀποπλέοιεν. ἐὰν δὲ μὴ διδῷ ταῦτα, ἡγεμόνα αἰτεῖν κῦρον, ὅστις ὡς διὰ φιλίας τῆς χώρας ἀπάξει. ἐὰν δὲ μηδὲ ἡγεμόνα διδῷ, συντάττεσθαι τὴν ταχίστην. πέμψαι δὲ καὶ προκαταληψομένους τὰ ἄκρα, ὅπως μὴ βλάψωσι, μήτε ὁ κῦρος, μήτε οἱ κίλικες καταλαβόντες, ὧν πολλοὺς καὶ πολλὰ χρήματα ἔχομεν ἀνηρπακότες. οὗτος μὲν δὴ τοιαῦτα εἶπε. μετὰ δὲ τοῦτον κλέαρχος εἶπε τοσοῦτον. ὡς μὲν στρατηγήσοντα ἐμὲ ταύτην τὴν στρατηγίαν, μηδεὶς ὑμῶν λεγέτω. πολλὰ γὰρ ἐνορῶ, δι' ἃ ἐμοὶ τοῦτο οὐ ποιητέον. ὡς δὲ τῷ ἀνδρὶ ὃν ἂν ἕλησθε πείσομαι ᾗ δυνατὸν μάλιστα, ἵνα εἰδῆτε, ὅτι καὶ ἄρχεσθαι ἐπίσταμαι, ὥς τις καὶ ἄλλος μάλιστα ἀνθρώπων. μετὰ δὲ τοῦτον ἄλλος ἀνέστη, ἐπιδεικνὺς μὲν τὴν εὐήθειαν τοῦ τὰ πλοῖα αἰτεῖν κελεύοντος, ὥσπερ πάλιν στόλον κύρου μὴ ποιουμένου. ἐπιδεικνὺς δὲ ὡς εὔηθες εἴη, ἡγεμόνα αἰτεῖν παρὰ τούτου, ᾧ λυμαινόμεθα τὴν πρᾶξιν. εἰ δὲ τι καὶ τῷ ἡγεμόνι πιστεύσομεν ᾧ ἂν κῦρος διδῷ, τί κωλύει καὶ τὰ ἄκρα ἡμῖν κελεύειν κῦρον προκαταλαμβάνειν. ἐγὼ μὲν γὰρ ὀκνοίην ἂν εἰς τὰ πλοῖα ἐμβαίνειν, ἃ ἡμῖν δοίη, μὴ ἡμᾶς αὐταῖς ταῖς τριήρεσι καταδύσῃ. φοβοίμην δ' ἂν τῷ ἡγεμόνι, ᾧ ἂν δοίη ἕπεσθαι, μὴ ἡμᾶς ἀγάγοι, ὅθεν οὐχ οἷόν τε ἔσται ἐξελθεῖν. βουλοίμην δ' ἂν ἄκοντος ἀπιὼν κύρου λαθεῖν αὐτὸν ἀπελθὼν, ὃ οὐ δυνατόν ἐστιν. ἀλλ' ἔγωγέ φημι, ταῦτα μὲν φλυαρίας εἶναι. δοκεῖ δέ μοι ἄνδρας ἐλθόντας πρὸς κῦρον, οἵτινες ἐπιτήδειοι σὺν κλεάρχῳ, ἐρωτᾶν ἐκεῖνον τί βούλεται ἡμῖν χρῆσθαι. καὶ ἐὰν μὲν ἡ πρᾶξις ᾖ παραπλησία, οἵαπερ καὶ πρότερον ἐχρῆτο τοῖς ξένοις, ἕπεσθαι καὶ ἡμᾶς, καὶ μὴ κακίους εἶναι τῶν πρόσθεν τούτῳ συναναβάντων. ἐὰν δὲ μείζων ἡ πρᾶξις τῆς πρόσθεν φαίνηται, καὶ ἐπιπονωτέρα καὶ ἐπικινδυνοτέρα, ἀξιοῦν, ἢ πείσαντας ἡμᾶς ἄγειν, ἢ πεισθέντας, πρὸς φιλίαν ἀφιέναι. οὕτω γὰρ καὶ ἑπόμενοι ἂν φίλοι αὐτῷ καὶ πρόθυμοι ἑποίμεθα. καὶ ἀπιόντες, ἀσφαλῶς ἂν ἀπίοιμεν. ὅ τι δ' ἂν πρὸς ταῦτα λέγῃ, ἀπαγγεῖλαι δεῦρο. ἡμᾶς δ' ἀκούσαντας πρὸς ταῦτα βουλεύεσθαι. ἔδοξε δὲ ταῦτα, καὶ ἄνδρας ἑλόμενοι σὺν κλεάρχῳ πέμπουσιν, οἳ ἠρώτων κῦρον, τὰ δόξαντα τῇ στρατιᾷ. ὁ δ' ἀπεκρίνατο, ὅτι ἀκούοι ἀβροκόμαν ἐχθρὸν ἄνδρα ἐπὶ τῷ εὐφράτῃ ποταμῷ εἶναι, ἀπέχοντα δώδεκα σταθμούς. πρὸς τοῦτον οὖν ἔφη, βούλεσθαι ἐλθεῖν. κἂν μὲν ᾖ ἐκεῖ, τὴν δίκην ἔφη χρῄζειν ἐπιθεῖναι αὐτῷ. ἢν δὲ φεύγῃ, ἡμεῖς ἐκεῖ πρὸς ταῦτα βουλευσόμεθα. ἀκούσαντες δὲ ταῦτα οἱ αἱρετοὶ, ἀπαγγέλλουσι τοῖς στρατιώταις. τοῖς δὲ ὑποψία μὲν ἦν ὅτι ἄγει πρὸς βασιλέα, ὅμως δὲ ἐδόκει ἕπεσθαι. προσαιτοῦσι δὲ μισθόν, ὁ κῦρος ὑπισχνεῖται, ἡμιόλιον πᾶσι δώσειν, οὗ

pias, quas ipsi cernere ac nosse possumus: neque enim, ut mihi uidetur, ita longe ab eo consedimus. Quare tempus monet, ut quod quisque factu optimum ducat, id in medium afferat. Cum dicendi finem fecisset, surrexerunt ex eo numero militum, partim qui pro animi sui sententia uerba fecerunt, partim uerò qui à Clearcho subornati, demonstrabant quæ esset rerum omnium difficultas futura, uel manerent, uel discederent sine Cyri consensu.

Ac unus ex his festinatione simulata, cēsebat primo quoque tempore in Græciam redeundum: ac si Clearchus dux esse recusaret, alios quamprimum duces deligendos, commeatus curandos (erat autem in barbarorū castris forum) reliqua omnia cōparanda: mittēdos item qui à Cyro nauigia poscerent, quibus in patriam reueherentur: ea si dare nollet, ducem daret, qui per amicorū fines reduceret. Quod si hunc etiam se daturū negaret, occupanda esse quamcelerrimè montium iuga, ne scilicet aut Cyrus, aut Cilices, quorum paulò antè, inquit, opimam prædam asportauimus, detrimento nos ullo afficiāt. Hæc ille. Tunc Clearchus unum hoc addidit: Me quidem iubeat nemo hoc imperiū capessere: multa enim occurrūt, quamobrē id mihi nullo pacto censeam faciundū. Et tamen quemcunq; uos imperatorē delegeritis, pro facultate mea parebo, ut me intelligatis nō facile cuiquam hominum parendi scientia cedere. Alius subinde eius stultitiā reprehēdit, qui nauis à Cyro petendas censuerit, tanquā uero aliam ille classem cōparare non posset. Nam quid absurdius, inquit, quàm ab eo ducem petere, cuius nos expeditionem, quantū in nobis est, irritam facimus? Sed fidem Cyri duci habeamus, quis prohibeat quin iubeat Cyrus iuga montium occupari? Ego quidem & nauis quas ille nobis dederit, non meduis fidius libenter conscenderim, quod scilicet iure timeri possit, ne cum ipsis nos triremibus demergendos curet. Cur etiam non timeā, quem mihi dederit ducem sequi? quasi nos ille eò compingere non possit, unde nulla sit exeundi potestas. Ego uero inuito si Cyro abeundū sit, quamocculutissime discedendum putarim. Sed enim hæc mihi plane nugatoria esse uidentur: quin potius eum Clearcho idoneos homines ad Cyrum mittimus, qui percōtentur qua in re opera nostra uti uelit. Quod si intellexerimus, à nobis illum nihil plusquā à cæteris cōductitys postulare, censeo sequamur, neq; deteriores ijs simus qui cum illo ante hoc iter ingressi sunt. Sin res maior, maiorisq; periculi ac laboris, quā adhuc fuerit, uideatur: aut ille nos, se ut sequamur adducat, aut si nobis id persuadere nō potuerit, salua amicitia nos abire sinat. Sic enim aut amici ac libentes sequemur, aut tuti discedemus. Ac quid ille quidem ad hæc respōderit, legati renuncient: nos uerò tunc ex ipsa re consiliū capiemus. Huius est omnibus probata sententia, ac statim delecti sunt qui cum Clearcho ad Cyrum profecti, quæ à suis mandata acceperant, exposuerunt. Ad ea ille respondit: Audisse se Abrocomā hostem suum ad Euphraten amnē esse, quò possit dierum XII. itinere perueniri: eò se igitur iter habere, ubi si hominem assequatur, de eo se supplicium sumpturū: sin effugerit, eo ipso in loco consiliū de reliquo, inquit, capiemus. Hæc legati suis renunciarunt. At illi tametsi suspicabantur se aduersus regem duci, decreuerunt tamen sequi, stipendium tantum postularunt. quib. Cyrus pristinæ mercedis sesquiplū daturū recepit,

nempe ut pro Darico, sesquidaricum menstruum acciperet. Quod eos uero aduersus regem duceret, ne tum quidem uulgatum est. Post hæc secundis castris M. p. ß. XL. progressus, ad flumen Pharon uenit, quod quidem in latitudine n. paß. sexaginta patebat. Inde primis castris M. paß. XX. ad Pyramum, huius nihilo minor stadio latitudo: à quo castris secundis LX. M. paß. confectis, Issum, quæ Ciliciæ extrema ciuitas est, maritima quidem ea, & opulenta, peruenit. Ibi triduum commoratus est: per quos dies ex Peloponneso naues trigintaquinque, quarum erat nauarchus Pythagoras Lacedæmonius, præsto fuere. Dux earum Tamus erat Aegyptius, qui ab Epheso Cyri etiam naues uigintiquinque adducebat, quibus ille Miletum obsederat, quod ea scilicet ciuitas Tissapherni se coniunxerat, aduersus quem Tamus Cyro auxilium tulerat. Fuit in illis nauibus à Cyro euocatus Chirisophus Lacedæmonius, cũ DCC. grauis armaturæ militibus, quibus ille Cyri auspicijs imperabat. Ac naues quidem proxime ad Cyri pretorium appulerunt. Eo in loco Græci CCCC. grauis armaturæ, qui Abrocomæ stipendia faciebant, ab eo ad Cyrũ transiere. Hinc Cyrus castris primis paß. XXV. M. confectis, ad Ciliciæ, ac Syriæ portas peruenit. Harum citeriores muros, qua Ciliciæ finis est, Cilicum præsidium à Syennesi constitutum custodiebat: ulteriores regis ipsius præsidium tenere dicebatur. Interfluebat amnis cui Cerso nomen, cuius erat uiginti paß. latitudo: medium utrorumque murorum interuallum trium erat stadium: ui quidem insuperabilis locus. angustißimus erat transitus: muri ipsi ad mare pertinebant, quibus ardua & prærupta imminebant saxa. In utrisque muris portæ erant singulæ. Hæ fecerunt angustiæ, ut naues Cyrus accerseret, quo transmißis intra & extra portas armatis, si quos offendisset qui Syriæ portas præsidio tuerentur, ijs ui pulsis, loci difficultatem superaret: neque uero dubitabat, quin Abrocomas qui magnum exercitum haberet, esset eos aditus defensurus. At ille ubi primum Cyrum accepit Ciliciam iam tenere, deserta Phœnice ad regem cum CCC. millibus hominum, quos in armis habere dicebatur, se recepit. Ingressus igitur Cyrus, nullo negocio per Syriam primis castris M. paß. XX. itinere, ad Myriandrum, celebrem & maritimam Phœnicum ciuitatem contendit. Erat hic locus totus ore emporium. quò tunc onerariæ naues quamplurimæ appulerant. Hic Cyrus dies sex commoratus est. Hinc Xenias Arcadum dux, & Pasion Megarensis, optima rerum suarum parte in nauim imposita, clàm soluerunt. Id multi ex indignatione factum interpretati sunt, quod milites qui ab ipsis simulato in Græciam reditu, ad Clearchum perfugerant, quod aduersus regẽ proficisci nollent, Cyrus eos à Clearcho detineri pateretur. Cum itaq; se ex omnium conspectu eripuissent, rumor increbuit, triremibus eos Cyrum persecuturum. Ac alij quidem, ut capti perfidiæ pœnas darent, cupiebant: alij ne caperentur timentes, eorum uicem dolebant. Hic Cyrus uocatis ad se ducibus, in hunc modum uerba fecit: Itáne Xenias nos et Pasion deseruerunt? Ne tamen putẽt se aut perfugisse, cum me non fugiat quò abeant: neq; effugisse, cum triremes mihi non desint, quibus eorum nauigiũ capere possim. Sed enim neutiquam eos persequar: neq; committam

ut me

οὗ πρότερον ἔφερον ἀντὶ δαρεικοῦ τρία ἡμιδαρεικὰ τοῦ μηνὸς τῷ στρατιώτῃ. ὅτι δ' ἐπὶ βασιλέα ἄγοι, οὐδ' ἐνταῦθ' ἤκουεν οὐδεὶς, ἔν γε τῷ φανερῷ. ἐντεῦθεν ἐξελαύνει σταθμοὺς δύο, παρασάγγας δέκα, ἐπὶ τὸν φάρον ποταμόν, οὗ ἦν τὸ εὖρος τρία πλέθρα. ἐντεῦθεν ἐξελαύνει σταθμὸν ἕνα, παρασάγγας πέντε, ἐπὶ τὸν πύραμον ποταμόν, οὗ τὸ εὖρος στάδιον. ἐντεῦθεν ἐξελαύνει σταθμοὺς δύο, παρασάγγας πεντεκαίδεκα, εἰς ἰσσοὺς τῆς κιλικίας ἐσχάτην πόλιν, ἐπὶ τῇ θαλάττῃ οἰκουμένην μεγάλην καὶ εὐδαίμονα. ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς. καὶ κύρῳ παρῆσαν ἐκ πελοποννήσου νῆες τριάκοντα καὶ πέντε. καὶ ἐπ' αὐταῖς ναύαρχος πυθαγόρας λακεδαιμόνιος. ἡγεῖτο δ' αὐτῶν ταμὼς αἰγύπτιος ἐξ ἐφέσου, ἔχων ναῦς ἑτέρας κύρου πέντε καὶ εἴκοσιν, αἷς ἐπολιόρκει μίλητον, ὅτι τισσαφέρνει φίλη ἦν, καὶ συνεπολέμει κύρῳ πρὸς αὐτόν. παρῆν δὲ καὶ χειρίσοφος ὁ λακεδαιμόνιος ἐπὶ τῶν νεῶν μετάπεμπτος ὑπὸ κύρου, ἑπτακοσίους ἔχων ὁπλίτας, ὧν ἐστρατήγει παρὰ κύρῳ. αἱ δὲ νῆες ὥρμουν παρὰ τὴν κύρου σκηνήν. ἐνταῦθα καὶ οἱ παρ' ἀβροκόμα μισθοφόροι ἕλληνες ἀποστάντες ἦλθον παρὰ κῦρον τετρακόσιοι ὁπλῖται, καὶ συνεστρατεύοντο ἐπὶ βασιλέα. ἐντεῦθεν ἐξελαύνει σταθμὸν ἕνα, παρασάγγας πέντε ἐπὶ πύλας τῆς κιλικίας καὶ τῆς συρίας. ἦσαν δὲ ταῦτα δύο τείχη. καὶ τὸ μὲν ἔσωθεν πρὸ τῆς κιλικίας συέννεσις εἶχε, καὶ κιλίκων φυλακή. τὸ δὲ ἔξω τὸ πρὸ τῆς συρίας βασιλέως ἐλέγετο φυλακὴ φυλάττειν. διὰ μέσου δὲ τούτων ῥεῖ ποταμὸς, κέρσος ὄνομα, εὖρος πλέθρου. ἅπαν δὲ τὸ μέσον τῶν τειχῶν ἦσαν στάδιοι τρεῖς, καὶ παρελθεῖν οὐκ ἦν βίᾳ. ἦν γὰρ ἡ πάροδος στενὴ, καὶ τὰ τείχη εἰς τὴν θάλατταν καθήκοντα, ὕπερθεν δ' ἦσαν πέτραι ἠλίβατοι. ἐπὶ δὲ τοῖς τείχεσιν ἀμφοτέροις ἐφειστήκεσαν πύλαι. ταύτης οὖν ἕνεκα τῆς παρόδου κῦρος τὰς ναῦς μετεπέμψατο, ὅπως ὁπλίτας ἀποβιβάσειεν, εἴσω καὶ ἔξω τῶν πυλῶν. καὶ βιασάμενοι τοὺς πολεμίους παρέλθοιεν εἰ φυλάττοιεν ἐπὶ ταῖς συρίαις πύλαις, ὅπερ ᾤετο ποιήσειν τὸν ἀβροκόμαν ὁ κῦρος, ἔχοντα πολὺ στράτευμα. ἀβροκόμας δὲ οὐ τοῦτ' ἐποίησε. ἀλλ' ἐπεὶ ἤκουε κῦρον ἐν κιλικίᾳ ὄντα, ἀναστρέψας ἐκ φοινίκης παρὰ βασιλέα ἀπήλαυνεν, ἔχων ὡς ἐλέγετο τριάκοντα μυριάδας στρατιᾶς. ἐντεῦθεν ἐξελαύνει διὰ συρίας σταθμὸν ἕνα, παρασάγγας πέντε εἰς μυρίανδρον πόλιν οἰκουμένην ὑπὸ φοινίκων ἐν τῇ θαλάττῃ. ἐμπόριον δ' ἦν τὸ χωρίον. καὶ ὥρμουν αὐτόθι ὁλκάδες πολλαί. ἐνταῦθ' ἔμειναν ἡμέρας ἑπτά. καὶ ξενίας ὁ ἀρκὰς στρατηγὸς, καὶ πασίων ὁ μεγαρεὺς ἐμβάντες εἰς πλοῖον, καὶ τὰ πλείστου ἄξια ἐνθέμενοι, ἀπέπλευσαν. ὡς μὲν τοῖς πλείστοις ἐδόκουν, φιλοτιμηθέντες ὅτι τοὺς στρατιώτας αὐτῶν παρὰ κλέαρχον ἀπελθόντας, ὡς ἀπιόντας εἰς τὴν ἑλλάδα πάλιν, καὶ οὐ πρὸς βασιλέα, εἴα κῦρος τὸν κλέαρχον ἔχειν. ἐπεὶ δ' οὖν ἦσαν ἀφανεῖς, διῆλθεν ὁ λόγος, ὅτι διώκοι αὐτοὺς κῦρος τριήρεσι. καὶ οἱ μὲν εὔχοντο ὡς δολίους ὄντας αὐτοὺς ληφθῆναι. οἱ δ' ᾤκτειρον εἰ ἁλώσοιντο. κῦρος δὲ συγκαλέσας τοὺς στρατηγοὺς, εἶπεν· ἀπολελοίπασιν ἡμᾶς ξενίας καὶ πασίων. ἀλλ' εὖ μέντοι ἐπιστάσθωσαν, ὅτι οὔτε ἀποδεδράκασιν. οἶδα γὰρ ὅπῃ οἴχονται. οὔτε ἀποπεφεύγασιν. ἔχω γὰρ τριήρεις ὥστε ἑλεῖν τὸ ἐκείνων πλοῖον. ἀλλὰ μὰ τοὺς θεοὺς, οὐκ ἔγωγε αὐτοὺς διώξω. οὐδ' ἐρεῖ οὐδεὶς

ὡς

ὡς ἐγὼ ἕως μὲν ἂν παρῇ τις χρῶμαι. ἐπειδὰν δὲ ἀπιέναι βούληται, συλλαβὼν καὶ αὐτοὺς, κακῶς ποιῶ, καὶ τὰ χρήματα ἀποσυλῶ. ἀλλὰ ἰόντων ἂν εἰδότες ὅτι κακίους εἰσὶ περὶ ἡμᾶς, ἢ ἡμεῖς περὶ ἐκείνους. καί τοι ἔχω γε αὐτῶν καὶ τέκνα καὶ γυναῖκας ἐν τράλλεσι φρουρούμενα. ἀλλ' οὐδὲ τούτων στερήσονται. ἀλλ' ἀπολήψονται ἕνεκα τῆς πρόσθεν ἕνεκα περὶ ἐμὲ ἀρετῆς. καὶ ὁ μὲν ταῦτα εἶπεν. οἱ δὲ ἕλληνες εἴ τις καὶ ἀθυμότερος ἦν πρὸς τὴν ἀνάβασιν, ἀκούοντες τὴν κύρου ἀρετὴν, ἥδιον καὶ προθυμότερον συνεπορεύοντο. μετὰ δὲ ταῦτα κῦρος ἐξελαύνει σταθμοὺς τέσσαρας, παρασάγγας εἴκοσιν, ἐπὶ τὸν χάλον ποταμὸν, ὄντα τὸ εὖρος πλέθρου, πλήρη δ' ἰχθύων μεγάλων καὶ πραέων, οὓς οἱ σύροι θεοὺς ἐνόμιζον, καὶ ἀδικεῖν οὐκ εἴων, οὐδὲ τὰς περιστεράς. αἱ δὲ κῶμαι, ἐν αἷς ἐσκήνουν, παρυσάτιδος ἦσαν εἰς ζώνην δεδομέναι. ἐντεῦθεν ἐξελαύνει σταθμοὺς πέντε, παρασάγγας τριάκοντα ἐπὶ τὰς πηγὰς τοῦ δαράδακος ποταμοῦ. οὗ τὸ εὖρος πλέθρου. ἐνταῦθα ἦσαν τὰ βελέσιος βασίλεια τοῦ συρίας ἄρξαντος. καὶ παράδεισος πάνυ μέγας καὶ καλὸς, ἔχων πάντα ὅσα ὧραι φύουσι. κῦρος δ' αὐτὸν ἐξέκοψε, καὶ τὰ βασίλεια κατέκαυσεν. ἐντεῦθεν ἐξελαύνει σταθμοὺς τρεῖς, παρασάγγας πεντεκαίδεκα ἐπὶ τὸν εὐφράτην ποταμὸν, ὄντα τὸ εὖρος τεττάρων σταδίων, καὶ πόλις αὐτόθι ᾠκεῖτο μεγάλη καὶ εὐδαίμων, θάψακος ὀνόματι. ἐνταῦθα ἔμειναν ἡμέρας πέντε. καὶ κῦρος μεταπεμψάμενος τοὺς στρατηγοὺς τῶν ἑλλήνων, ἔλεγεν ὅτι ἡ ὁδὸς ἔσοιτο πρὸς βασιλέα μέγαν εἰς βαβυλῶνα. καὶ κελεύει αὐτοὺς λέγειν ταῦτα τοῖς στρατιώταις, καὶ ἀναπείθειν ἕπεσθαι. οἱ δὲ ποιήσαντες ἐκκλησίαν, ἀπήγγελλον ταῦτα. οἱ δὲ στρατιῶται ἐχαλέπαινον τοῖς στρατηγοῖς, καὶ ἔφασαν αὐτοὺς πάλαι ταῦτα εἰδότας κρύπτειν. καὶ οὐκ ἔφασαν ἰέναι, ἂν μή τις αὐτοῖς χρήματα διδῷ, ὥσπερ καὶ τοῖς προτέροις μετὰ κύρου ἀναβᾶσι παρὰ τὸν πατέρα τοῦ κύρου. καὶ ταῦτα οὐκ ἐπὶ μάχην ἰόντων, ἀλλὰ καλοῦντος τοῦ πατρὸς κῦρον. ὁ δ' ὑπέσχετο ἀνδρὶ ἑκάστῳ δώσειν πέντε ἀργυρίου μνᾶς, ἐπὰν εἰς βαβυλῶνα ἥκωσι, καὶ τὸν μισθὸν ἐντελῆ, μέχρις ἂν καταστήσει τοὺς ἕλληνας εἰς ἰωνίαν πάλιν. τὸ μὲν δὴ πολὺ τοῦ ἑλληνικοῦ, οὕτως ἐπείσθη. μένων δὲ πρὶν δῆλον εἶναι τί ποιήσουσιν οἱ ἄλλοι στρατιῶται, πότερον ἕψονται κύρῳ ἢ οὔ, συνέλεξε τὸ αὐτοῦ στράτευμα χωρὶς τῶν ἄλλων, καὶ ἔλεξε τάδε· ἄνδρες, ἐὰν ἐμοὶ πεισθῆτε, οὔτε κινδυνεύσαντες, οὔτε πονήσαντες, τῶν ἄλλων πλέον προτιμήσεσθε στρατιωτῶν ὑπὸ κύρου. τί οὖν κελεύω ποιῆσαι; νῦν δεῖται κῦρος ἕπεσθαι τοὺς ἕλληνας ἐπὶ βασιλέα. ἐγὼ οὖν φημὶ ὑμᾶς χρῆναι, διαβῆναι τὸν εὐφράτην ποταμὸν, πρὶν δῆλον εἶναι, ὅ, τι οἱ ἄλλοι ἕλληνες ἀποκρινοῦνται κύρῳ. ἢν μὲν γὰρ ψηφίσωνται ἕπεσθαι, ὑμεῖς δόξετε αἴτιοι εἶναι, ἄρξαντες τοῦ διαβαίνειν, καὶ ὡς προθυμοτάτοις ὑμῖν οὖσι, χάριν εἴσεται κῦρος καὶ ἀποδώσει, ἐπίσταται δ' εἴ τις καὶ ἄλλος. ἢν δ' ἀποψηφίσωνται οἱ ἄλλοι, ἄπιμεν μὲν ἅπαντες εἰς τοὔμπαλιν, ὑμῖν δ' ὡς μόνοις πειθομένοις, πιστοτάτοις χρήσεται, καὶ εἰς φρούρια καὶ εἰς λοχαγίας, καὶ ἄλλου οὗτινος ἂν δέησθε, οἶδα ὅτι ὡς φίλου τεύξεσθε κύρου. ἀκούσαντες ταῦτα, ἐπείθοντο, καὶ διέβησαν, πρὶν τοὺς ἄλλους ἀποκρίνασθαι. κῦρος δὲ ἐπεὶ ᾔσθετο διαβεβηκότας, ἥσθη τε, καὶ τῷ στρατεύματι πέμψας γλοῦν, εἶπεν· ἐγὼ μὲν, ὦ ἄνδρες, ἤδη ὑμᾶς ἐπαινῶ.

ὅπως

ut me criminari quisquã poßit, quòd quãtisper mecum quis est, eo utor: ubi discere statuerit, aut captũ mulctem, aut sua cum pecunia spoliẽ: uerùm impune abeant. facile enim patior eos intelligere, maiore me in illos æquitate, q̃ illos in me fide, usum esse. Quin & cum eorũ liberos & coniuges Trallibus obsides habeam, non tamen illis per me carebũt. uolo enim eos pristinis in me illorũ officijs cõdonatos. Hæc Cyrus. At è Græcis multi, qui antea expeditionẽ eam grauius tulerant, humanitate eius perspecta, libẽtius multò atq; alacrius cõsequuti sunt. Hinc Cyrus quartis castris M. paß. L X X X. ad Chalon amnẽ progreditur. Huius est latitudo paß. X X. magnis uero ac mansuetis piscib. refertißimus est, quos Syri sacrosanctos habent, eosq; uiolare æquè ac colũbas, nefas putãt. Vici in quib. castra posuerant, Parysatidi in sumptus fuerant attributi. Eo ex loco quintis castris M. paß. C X X. itinere, ad Daradacis fontes uenit: patet is quà latus est, paß. X X. Erat hîc Belesis Syriæ prætoris regia, atq; in ea horti maximi ac elegantißimi, atq; omniũ quæ ferũt anni tẽporã fructuũ feracißimi. Hos Cyrus succisis arborib. uastauit, ipsamq; regiã exußit. Tertijs deinde castris M. paß. L X. progressus, ad Euphraten amnem peruenit, cuius latitudo stadium est I I I. Proxima fluuio est magna & opulenta urbs, Thapsacus nomine, ubi dies quinq; Cyrus commoratus est. Atque eo primum in loco accersitis ad colloquium ducibus, Babylonem se aduersus regem ipsum contendere confessus est: quod ut militibus quisque suis denunciaret, imperauit: eosq; adduceret, ne inuiti se quererentur. Illi uocata concione rem exposuere. Tum milites grauiter commoti sunt, quod suos duces putarent, cum id antea multo resciissent, se de industria celasse: se uero sequuturos negabant, nisi idem sibi stipendij daretur, quod ijs Græcis ante datum scirent, qui Cyrũ ad patrem deduxerunt, cum præsertim nulla illis fuisset proposita pugna, nempe quod Cyrũ pater accersisset. Tum Cyrus singulis argẽti minas quinq;, cum Babylonẽ ingressi essent, se daturũ recepit: stipendium uero quãtum uniuersis præfinisset, usq; dũ in Ioniã eos restitutos curasset. Atq; huic quidẽ conditioni acquieuerũt reliqui. Menon uero dum anceps esset adhuc omniũ deliberatio, neq; cõstaret Cyrũ sequuturi essent nec ne, ita propemodũ suos est alloquutus: Si me audiatis milites, neq; periculo, neq; labore q̃ cæteri maiore efficere potestis, ut Cyrus uobis maiorẽ q̃ cæteris honorẽ habeat. Quid igitur faciendũ cẽseo? Nempe quoniã Cyrus nunc à Græcis ut se aduersus regẽ sequãtur, uehemẽter contendit, nos ultro Euphratẽ trãsmittamus, atq; id antequã cæteri Cyro quicquã in alterutram partẽ respõdeant. Nam si sequi decreuerint, nos illi autores fuisse uidebimur: nobisq; Cyrus, cum ei tãto maiorẽ alacritatem præstiterimus, gratiã & habebit, & referet, quod prolixè, ut alius quiuis, facere cõsueuit. Sin illi secus statuerint, uniuersi domũ reuertemur. Ac tũc quidẽ nobis, ut quorũ sit fidem atq; officiũ expertus, utetur præ cæteris: ac uos, siue præsidiorum præfecturas, siue centuriatus, siue aliud quid ex commodo uestro poposceritis, omnia uobis de eius beneficentia polliceri poteritis. Hæc illi facile approbarũt, ac prius quàm cæteri Cyro responsum darent, transmiserunt. Id ubi Cyrus cognouit, magnam cepit uoluptatẽ, statimq; Glun misit qui hæc nunciaret, habere se iam quod in illis summopere laudaret:

Euphratis latitudo.

sibi uero magnæ curæ fore, ut ab illis laudem mereretur, uel se nõ amplius Cyrum putarẽt. Quibus sane uerbis milites hi ad magnã spem erecti sunt, ac ut Cyro omnia felicißime euentrent, optabant. Menoni quidem ipsi magnifica dona misisse ferebatur. Post hæc & ipse flumen traiecit quẽ uniuersum agmen consecutũ est: neq; uero quisquàm est altius, quàm ad pectus immersus, cum Thapsaceni affirmarent, neminem ante tam facile potuisse eum amnẽ pedibus transmittere. Nauigijs enim alios traijcere solitos, quæ Abrocomas in ipsa fuga exusserat, quo Cyro transeundi facultatẽ eriperet. Quare id diuinitus factũ interpretabantur, quasi uero ipse amnis se Cyro paulo post regnaturo submitteret. Inde nonis castris per Syriam M. paß. c c itinere ad Araxen amnem peruenere. Hic uici erant complures frumẽto uinoq; refertißimi, in quibus dies i i i. frumẽtandi causa commorati sunt. Hinc per Arabiam, Euphrate ad dexteram relicto, quinis castris M. paß. c x l. iter per deserta loca fecere. In hoc quidem spacio campi late in æquoris modum patebant, absinthij ex omni parte plenißimi: sed in his & alia sylua, uel calami, uel cuiusuis fruticũ generis, odoris gratia nihil ab aromatis differrebat. Arbor omnino nulla, ferarũ ac syluestrium auium aliquot genera, onagri, struthiocameli, otides, capreæ, quas equites nonnunquã bestias insectabantur. Onagri quidem cursu equos facile superabant: cumq; iam ad eos equites proxime accesßissent, ad cursum illi incitabãtur: restitabant deinde cum abessent longius, atq; ita sæpius iterata fuga equitẽ fallebant: neq; capi ulla ratione potuissent, nisi eos equites diuersis ex partibus urgentes, medios excepissent. Erant eorum carnes sapore nihil ferè à ceruinis differentes, molliores aliquanto. Struthiocamelum nemo omnino capere potuit: tam lõge enim modo pedum pernicitate, modo uero alarum quasi uelificatione promouebant, ut statim equites desperata præda insequi desinerent. Otidas uero, qui modo in eas celeriter mouisset, nõ magno negocio capiebat: nihilo enim quàm perdices longius prouolant, & fatigantur celerrime. Sunt aũt carne multò suauißima. Hinc profecti ad eiusdem regionis fluuium perueniunt, Mascã nomine, paß. x x. latitudine patentẽ: ad hunc urbs fuit, illa quidem magna, sed deserta, cui Corsote nomẽ, quam amnis ipse undiq; circunfluebat. Hoc in loco exercitus triduũ frumentandi causa cõmoratus est. Mox castris decimistertijs M. paß. c c c l x. per deserta progressus, ad dextram Euphrate relicto, ad Arabiæ portas peruenit. Eo interuallo quàm plurima iumenta fame perierũt: neq; enim aut pabulum aut arbor ulla uspiam inuenta. Tota siquidem regio uasta usquequaq; et inanis. Incolæ asinarias molas circa flumen cædunt, excusasq; Babylonem deportãt, ijsq; uenditis coëmpto frumento famẽ leuant. Ac tunc quidẽ frumenti inopia uehementer exercitus laborabat, neq; erat unde emi posset, nisi forte ex Lydiæ foro, ab ijs barbaris qui sub Cyri erant imperio. ubi singulæ farinæ capides quaternis siclis uænibãt: et siclus obolis septẽ et semis mutatur: capides binos Atticos chœnicas capiũt: carnibus itaq; milites se sustentabãt. Et horum sane castrorũ fuere non parũ longa interualla, dum ad irrigua loca et pabuli feracia festinarent. Hic angustã & lutulentam uiam, & idcirco plaustris multo iniquißimam offenderunt: substitit itaq; eo in loco Cyrus cum opti-

ὅπως δὲ καὶ ὑμεῖς ἐμὲ ἐπαινέσητε, ἐμοὶ μελήσει, ἢ μηκέτι με Κῦρον νομίζετε. οἱ μὲν δὴ στρατιῶται ἐν ἐλπίσι μεγάλαις ὄντες, εὔχοντο αὐτὸν εὐτυχῆσαι. Μένωνι δὲ καὶ δῶρα ἐλέγετο πέμψαι μεγαλοπρεπῶς. ταῦτα δὲ ποιήσας διέβαινε· συνείπετο δὲ καὶ τὸ ἄλλο στράτευμα αὐτῷ ἅπαν. καὶ τῶν διαβαινόντων τὸν ποταμὸν, οὐδεὶς ἐβρέχθη ἀνωτέρω τῶν μαζῶν ὑπὸ τοῦ ποταμοῦ. οἱ δὲ Θαψακηνοὶ ἔλεγον, ὅτι οὐ πώποθ' οὗτος ὁ ποταμὸς διαβατὸς γένοιτο πεζῇ, εἰ μὴ τότε, ἀλλὰ πλοίοις, ἃ τότε Ἀβροκόμας προϊὼν κατέκαυσεν, ἵνα μὴ Κῦρος διαβῇ. ἐδόκει δὲ θεῖον εἶναι, καὶ σαφῶς ὑποχωρῆσαι τὸν ποταμὸν Κύρῳ, ὡς βασιλεύσοντι. ἐντεῦθεν ἐξελαύνει διὰ τῆς Συρίας σταθμοὺς ἐννέα, παρασάγγας πεντήκοντα, καὶ ἀφικνοῦνται πρὸς τὸν Ἀράξην ποταμόν. ἐνταῦθα ἦσαν κῶμαι πολλαὶ μεσταὶ σίτου καὶ οἴνου. ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς, καὶ ἐπεσιτίσαντο. ἐντεῦθεν ἐξελαύνει διὰ τῆς Ἀραβίας, τὸν Εὐφράτην ποταμὸν ἐν δεξιᾷ ἔχων σταθμοὺς ἐρήμους πέντε, παρασάγγας τριάκοντα καὶ πέντε. ἐν τούτῳ δὲ τῷ τόπῳ ἦν μὲν ἡ γῆ πεδίον ἅπαν ὁμαλὸν ὥσπερ θάλαττα, ἀψινθίου δὲ πλῆρες. εἰ δέ τι καὶ ἄλλο ἐνῆν ὕλης ἢ καλάμου, ἅπαντα ἦσαν εὐώδη ὥσπερ ἀρώματα. δένδρον δ' οὐδὲν ἐνῆν. θηρία δὲ, πλεῖστοι μὲν οἱ ἄγριοι ὄνοι, οὐκ ὀλίγοι δὲ στρουθοὶ αἱ μεγάλαι. ἐνῆσαν δὲ καὶ ὠτίδες καὶ δορκάδες. ταῦτα δὲ τὰ θηρία οἱ ἱππεῖς ἐδίωκον ἐνίοτε. καὶ οἱ μὲν ὄνοι ἐπεί τις διώκοι, προδραμόντες ἀνεστήκεσαν. πολὺ γὰρ τῶν ἵππων θᾶττον ἔτρεχον, καὶ πάλιν ἐπεὶ πλησιάζοι ὁ ἵππος, ταὐτὰ ἐποίουν. ὥστε οὐκ ἦν λαβεῖν, εἰ μὴ διαστάντες οἱ ἱππεῖς θηρῷεν διαδεχόμενοι τοῖς ἵπποις. τὰ δὲ κρέα τῶν ἁλισκομένων ἦν παραπλήσια τοῖς ἐλαφείοις, ἁπαλώτερα δέ. στρουθὸν δὲ οὐδεὶς ἔλαβεν. οἱ δὲ διώξαντες τῶν ἱππέων, ταχὺ ἐπαύοντο. πολὺ γὰρ ἀπέσπα φεύγουσα, τοῖς μὲν ποσὶ δρόμῳ, ταῖς δὲ πτέρυξιν αἴρουσα, ὥσπερ ἱστίῳ χρωμένη. τὰς δὲ ὠτίδας, ἄν τις ταχὺ ἀνιστῇ, ἔστι λαμβάνειν. πέτονται γὰρ βραχὺ ὥσπερ πέρδικες, καὶ ταχὺ ἀπαγορεύουσι. τὰ δὲ κρέα αὐτῶν ἥδιστα ἦν. πορευόμενοι δὲ διὰ ταύτης τῆς χώρας, ἀφικνοῦνται ἐπὶ τὸν Μασκᾶν ποταμόν, τὸ εὖρος πλεθριαῖον. ἐνταῦθα ἦν πόλις ἐρήμη μεγάλη, ὄνομα δὲ αὐτῇ Κορσωτή. περιεῤῥεῖτο δὲ αὕτη ὑπὸ τοῦ Μασκᾶ κύκλῳ. ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς, καὶ ἐπεσιτίσατο τὸ στράτευμα. ἐντεῦθεν ἐξελαύνει σταθμοὺς ἐρήμους τρισκαίδεκα, παρασάγγας ἐνενήκοντα, τὸν Εὐφράτην ποταμὸν ἐν δεξιᾷ ἔχων, καὶ ἀφικνεῖται ἐπὶ Πύλας. ἐν τούτοις τοῖς σταθμοῖς πολλὰ τῶν ὑποζυγίων ἀπώλετο ὑπὸ τοῦ λιμοῦ. οὐ γὰρ ἦν χόρτος, οὐδὲ ἄλλο δένδρον οὐδέν, ἀλλὰ ψιλὴ ἦν ἅπασα ἡ χώρα. οἱ δὲ ἐνοικοῦντες, ὄνους ἀλέτας παρὰ τὸν ποταμὸν ὀρύττοντες καὶ ποιοῦντες, εἰς Βαβυλῶνα ἦγον καὶ ἐπώλουν, καὶ ἀνταγοράζοντες σῖτον, ἔζων. τὸ δὲ στράτευμα, ὁ σῖτος ἐπέλιπε, καὶ πρίασθαι οὐκ ἦν, εἰ μὴ ἐν τῇ Λυδίᾳ ἀγορᾷ, ἐν τῷ Κύρου βαρβαρικῷ, τὴν καπίθην, ἀλεύρων ἢ ἀλφίτων τεττάρων σίγλων. ὁ δὲ σίγλος δύναται ἑπτὰ ὀβολοὺς καὶ ἡμιωβόλιον, Ἀττικούς. ἡ δὲ καπίθη δύο χοίνικας Ἀττικὰς ἐχώρει. κρέα οὖν ἐσθίοντες οἱ στρατιῶται, διεγίγνοντο. ἦν δὲ τούτων τῶν σταθμῶν, οὓς πάνυ μακροὺς ἤλαυνεν, ὁπότε ἢ πρὸς ὕδωρ βούλοιτο διατελέσαι, ἢ πρὸς χιλόν. καὶ δή ποτε στενοχωρίας καὶ πηλοῦ φανέντος ταῖς ἁμάξαις δυσπορεύτου, ἐπέστη ὁ Κῦρος σὺν τοῖς περὶ

περὶ αὐτὸν ἀρίστοις καὶ εὐδαιμονεστάτοις. καὶ ἔταξε Γλοῦν καὶ Πίγρητα, λαβόντας τοῦ βαρβαρικοῦ στρατοῦ, συνεκβιβάζειν ταῖς ἁμάξαις. ἐπεὶ δὲ ἐδόκουν αὐτῷ σχολαίως ποιεῖν ὥσπερ ὀργῇ, ἐκέλευσε τοὺς περὶ αὐτὸν Πέρσας τοὺς κρατίστους συνεπισπεῦσαι τὰς ἁμάξας. ἔνθα δὴ μέρος τι τῆς εὐταξίας ἦν θεάσασθαι. ῥίψαντες γὰρ τοὺς πορφυροῦς κάνδυς, ὅπου ἕκαστος ἐτύγχανεν ἑστηκώς, ἵεντο, ὥσπερ ἂν δράμοι τις περὶ νίκης, καὶ μάλα κατὰ πρανοῦς γηλόφου, ἔχοντες τούτους τε τοὺς πολυτελεῖς χιτῶνας καὶ τὰς ποικίλας ἀναξυρίδας. ἔνιοι δὲ καὶ στρεπτοὺς περὶ τῷ τραχήλῳ. καὶ ψέλλια ἐπὶ τῶν χειρῶν. εὐθὺς δὲ σὺν τούτοις εἰσπηδήσαντες εἰς τὸν πηλόν, θᾶττον ἢ ὥς τις ἂν ᾤετο, μετεώρους ἐξεκόμισαν τὰς ἁμάξας. τὸ δὲ σύμπαν, δῆλος ἦν Κῦρος σπεύδων πᾶσαν τὴν ὁδόν, καὶ οὐ διατρίβων, ὅπου μὴ ἐπισιτισμοῦ ἕνεκα, ἤ τινος ἄλλου ἀναγκαίου ἐκαθέζετο· νομίζων ὅσῳ μὲν ἂν θᾶττον ἔλθοι, τοσούτῳ ἀπαρασκευαστοτέρῳ βασιλεῖ μαχεῖσθαι. ὅσῳ δὲ σχολαιότερον, τοσούτῳ πλέον βασιλεῖ συναγείρεσθαι στράτευμα. καὶ συνιδεῖν δ' ἦν τῷ προσέχοντι τὸν νοῦν, ἡ βασιλέως ἀρχή, πλήθει μὲν χώρας καὶ ἀνθρώπων ἰσχυρὰ οὖσα· τῷ δὲ μήκει τῶν ὁδῶν καὶ τῷ διεσπάσθαι τὰς δυνάμεις, ἀσθενὴς εἴ τις διὰ ταχέων τὸν πόλεμον ποιοῖτο. πέραν δὲ τοῦ Εὐφράτου κατὰ τοὺς ἐρήμους σταθμοὺς ἦν πόλις εὐδαίμων καὶ μεγάλη, ὄνομα δὲ Χαρμάνδη. ἐκ ταύτης οἱ στρατιῶται ἠγόραζον τὰ ἐπιτήδεια, σχεδίαις διαβαίνοντες ὧδε. διφθέρας ἃς εἶχον στεγάσματα, ἐπίμπλασαν χόρτου κούφου. εἶτα συνῆγον καὶ συνέσπων, ὡς μὴ ἅπτεσθαι τῆς κάρφης τὸ ὕδωρ. ἐπὶ τούτων διέβαινον καὶ ἐλάμβανον τὰ ἐπιτήδεια, οἶνόν τε ἐκ τῆς βαλάνου πεποιημένον τῆς ἀπὸ τοῦ φοίνικος καὶ σῖτον μελίνης. τοῦτο γὰρ ἦν ἐν τῇ χώρᾳ πλεῖστον. ἀμφιλεξάντων δέ τι ἐνταῦθα, τῶν τε τοῦ Μένωνος στρατιωτῶν καὶ τοῦ Κλεάρχου, ὁ Κλέαρχος κρίνας ἀδικεῖν τὸν τοῦ Μένωνος, πληγὰς ἐνέβαλεν. ὁ δ' ἐλθὼν πρὸς τὸ ἑαυτοῦ στράτευμα, ἔλεγεν. ἀκούσαντες δ' οἱ στρατιῶται, ἐχαλέπαινον καὶ ὠργίζοντο ἰσχυρῶς τῷ Κλεάρχῳ. τῇ δὲ αὐτῇ ἡμέρᾳ Κλέαρχος ἐλθὼν ἐπὶ τὴν διάβασιν τοῦ ποταμοῦ, καὶ ἐκεῖ κατασκεψάμενος τὴν ἀγοράν, ἀφιππεύει ἐπὶ τὴν αὑτοῦ σκηνὴν διὰ τοῦ Μένωνος στρατεύματος, σὺν ὀλίγοις τοῖς περὶ αὐτόν. Κῦρος δ' οὔπω ἧκεν, ἀλλ' ἔτι προσήλαυνε. τῶν δὲ Μένωνος στρατιωτῶν ξύλα σχίζων τις, ὡς εἶδε τὸν Κλέαρχον διελαύνοντα, ἵησι τῇ ἀξίνῃ, καὶ οὗτος μὲν αὐτοῦ ἥμαρτεν. ἄλλος δὲ λίθῳ, καὶ ἄλλος. εἶτα πολλοί, κραυγῆς γενομένης. ὁ δὲ καταφεύγει εἰς τὸ ἑαυτοῦ στράτευμα, καὶ εὐθὺς παραγγέλλει εἰς τὰ ὅπλα. καὶ τοὺς μὲν ὁπλίτας ἐκέλευσεν αὐτοῦ μεῖναι, τὰς ἀσπίδας πρὸς τὰ γόνατα θέντας. αὐτὸς δὲ λαβὼν τοὺς Θρᾷκας καὶ τοὺς ἱππέας, οἳ ἦσαν αὐτῷ ἐν τῷ στρατεύματι, πλείους ἢ τετταράκοντα. τούτων δὲ Θρᾷκας ἤλαυνεν ἐπὶ τοὺς Μένωνος, ὥστε ἐκείνους ἐκπεπλῆχθαι καὶ αὐτὸν Μένωνα, καὶ τρέχειν ἐπὶ τὰ ὅπλα. οἱ δὲ καὶ ἕστασαν ἀποροῦντες. ὁ δὲ Πρόξενος, ἔτυχε γὰρ ὕστερον προσιών, καὶ τάξις αὐτῷ ἑπομένη τῶν ὁπλιτῶν. εὐθὺς οὖν εἰς τὸ μέσον ἀμφοτέρων ἄγων, ἔθετο τὰ ὅπλα, καὶ ἐδεῖτο τοῦ Κλεάρχου μὴ ποιεῖν ταῦτα. ὁ δὲ ἐχαλέπαινεν, ὅτι ὀλίγου δεήσαντος καταλευσθῆναι, πρᾴως λέγοι τὸ αὑτοῦ πάθος. ἐκέλευέ τε αὐτὸν ἐκ τοῦ μέσου ἐξίστασθαι. ἐν τούτῳ δὲ ἐπεὶ ἧκε Κῦρος, καὶ

optimis quibusque & potentissimis suorum. Glun uero & Pigreta iussit, cum barbarici exercitus parte plaustra prae se agere: quod cum illi quasi indignantes lentius facerent, Persarum nobilissimis id negocij dedit. Vt magnum potuit officij documentum spectari. Abiectis enim protinus purpureis amiculis, cum quisque in quem incidit locum obtinuit: atque uide quasi de magna uictoria propositum certamen esset, in aduersum tumulum subiere. Horum multi cum preciosis tunicis & 10 pictis femoralibus, nonnulli etiam cum aureis torquibus & armillis, in medium se lutum coniecere, atque inde opinione celerius, plaustra suis quasi humeris exportarunt. Res autem ipsa facile indicabat Cyrum plurimum in celeritate spei positum habere. quippe qui nusquam, nisi forte commeatus, aut necessarij cuiuspiam negocij causa moraretur, existimaretque quanto magis properasset, tanto se imparatiorem regem offensurum: quo uero plus temporis in itinere consumpsisset, eo copiis fore regem exercitum instructiorem. Neque om- 20 nino attentius coganti non erat facile intellectu, regis imperium finium magnitudine, atque hominum numero plurimum pollere: propter locorum autem longinquitatem, ac dispersas opes, celeritate facile superari posse. Erat trans Euphraten magna & opulenta ciuitas, cui Charmande nomen: ibi miles quaecunque opus fuit, mercatus est: & ad eam sane ad hunc modum traijciebant. In pelles eas, quibus tabernacula contegebantur, foenum insuebant, suturisque arcte iunctis, ne aqua posset ad stillucas peruadere, his culeis pro rati- 30 bus, & ad transmittendum, & ad comportandum utebantur: & erat sane in ea regione uini ex palmulis, ac panici maxima copia. Hoc in loco orta inter duos milites, alterum Menonis, Clearchi alterum controuersia, Clearchus Menonis militem iudicio suo damnatum plagis mulctauit. Ille cum ad se suos recepisset, eos in Clearchum uehementer incendit. Cumque is eodem die ad eam amnis partem, unde traijcientes soluebant, uenisset, atque inde foro perlustrato, equo uehens, ad sua se tentoria cum paucis comitibus per Menonis tabernacu- 40 la reciperet, aberat Cyrus. Cum enim in extremo agmine iter faceret, nondum ad eum locum peruenerat. Hic unus de Menonis cohorte, ut forte ligna diuidebat, transeuntem conspicatus, in eum bipennem contorsit, quem sane non attigit. Sed alius subinde atque alius, deinque tota multitudo magno cum clamore lapides in eum coniecere: is tamen ad suos incolumis effugit, mox ut arma caperent imperauit, ac grauem quidem armaturam, scutis ante genua protectis, in subsidijs manere iubet. Ipse cum Thracibus & equitibus, quos in 50 sua cohorte habebat supra XL. profectus, Thracas de improuiso in Menonis tentoria immisit, ibi omnes conterruit, quin & Menon ipse subita re perculsus ad arma accurrit. Multi uero incerti quid agerent, trepidabant. Tum Proxenus, qui suum grauis armaturae ordinem nondum dimiserat (ut in postremis iter fecerat) in medios scuta proijci iubet: Clearchum obsecrat, ut ruere desinat. Is enimuero uehementer indignari, quod cum paulo ante pene lapidibus obrutus esset, suam ille iniuriam adeo leniter ferre uideretur. Iubet itaque eum de medio recedere. Superuenit interea Cyrus, qui

qui ubi rem audiuit, armis sumptis cum paucis, de multis, qui circũ ipsum erant, in medium processit, atq; ibi, Clearche, inquit, & Proxene cæteriq; qui nunc adestis Græci, plane quid agatis nescire uidemini: nam si ullã inter uos pugnam cõmittitis, existimare debetis eodem hoc ipso die me prius, uosipsos deinde ad internicionẽ cæsum iri. Quos enim in partib. nostris barbaros esse uidetis, ij uniuersi re inclinata, pro rege cõtra nos acerrime dimicabunt. Hæc cũ Clearchus audisset, impetũ compreßit, & utraq; pars armis positis ad suas se cohortes recepit. Hinc uero cum procederent, ex equorũ uestigijs cæterisq; signis cõiecturam faciebãt, fuisse in illis locis globũ plus minus equites bis mille. Et hi quidẽ in ea loca cum excurrissent, quã Cyrus transiturus erat, & pabulũ, & quicquid aliud usui futurũ esset, exusserãt, ibi Orontes Cyro insidias comparat. Erat hic regi genere proximus, rebus uerò bellicis inter Persas cum primis clarus, ac bellum quidẽ antea Cyro intulerat: sed in fidem ab eo iam receptus pollicetur, sibi si Cyrus mille equites tradidisset, eas equitum turmas quæ igni omnia corrupißẽt, aut insidijs circũuentas se necaturũ, aut ex ijs equitib. quãplurimos uiuos ad Cyrũ pducturum, prohibiturũq; quò minus reliqua incendãt, aut regi, quæ de Cyri copijs explorata haberẽt, renũciare poßint. Hæc cum Cyrus audisset, existimauit id è re sua magnopere futurũ: quare à ducibus singulis iußit eum copiarum partẽ accipere. Orontes ubi equites præsto sibi fore putauit, ad regem epistolã scribit, se propediem cum q̃ posset maxima equitũ manu affuturũ, imperaret modo ille equitibus suis, ut se tanquam amicum reciperent. Et pristinam amicitiam in memoriã redigit: epistolã uero certo ac fideli (sic enim ipse existimabat) homini, ad regem perferendã tradit. Eam ille ut primũ accepit, Cyro ostẽdit. Quã cum Cyrus legisset, primum cõprehendi Orontẽ iubet, deinde accersit in prætoriũ de Persarum numero VII. dignitate & honore apud se longe principes. Ad hos Græcorũ duces iubet grauẽ armaturã ad se ducere, eamq; in præsidijs circa prætorium locare. Cumq; illi cum III. M. grauis armaturæ peditum præsto fuissent, Cyrus Clearchũ in consilium adhibuit, quod sane & ipsi, & item cæteris Persis, dignitate longe reliquos Græcos anteire uidebatur. Atq; ille quidem cum conciliũ iam dimissum esset, iudicium de Oronte quo factum esset modo amicis narrauit, neq; enim id iussus erat reticere. Aiebat igitur Cyrum hinc dicendi initiũ fecisse: Vos amici huc accersi iußi, ut de uestra sententia, quod dijs & hominib. probari poßit, de Orõte statuã. Hunc primũ pater sub imperio meo esse uoluit: postea uerò cũ in regnũ frater meus successisset, eius iussu (sic. n. ipse mihi cõfessus est) aduersus me, cum Sardiũ arcẽ obtineret arma cepit: cuius ego bello iniuriã persecutus, effeci ut de cætero ab armis sibi quiescendũ putaret, deinde data et accepta fide, in fidẽ eũ et amicitiã recepi. Hæc præfatũ, ad Orontẽ cõuersum dixisse: Nũ te ego ulla iniuria affeci? Cui cũ ille respõdisset, prorsus nulla: Atqui, inquit Cyrus, nulla, ut ipse fateris, a me iniuria lacessitus, facta ad Mysos defectiõe, pro uirili tua fines meos infestos reddidisti? Ita factũ est ut dicis, inquit Orõtes. Tũ Cyrus: Nonne ubi quanto esses potẽtia inferior nosti, in Dianæ uenisti, atq; ibi deprecãdo me, ut te pœnituisse putarẽ adduxisti? fidẽq; in posterũ dedisti, atq; accepisti? His cũ Orõtes assensus esset: Qua igitur mea, inquit Cyrus, iniuria commotus, nouas

καὶ ἐπύθετο τὸ πρᾶγμα, εὐθὺς ἔλαβε τὰ ὅπλα εἰς τὰς χεῖρας, καὶ σὺν τοῖς παροῦσι τῶν πλείστων, ἧκεν ἐλαύνων εἰς τὸ μέσον, καὶ λέγει ὧδε· Κλέαρχε καὶ Πρόξενε, καὶ οἱ ἄλλοι οἱ παρόντες Ἕλληνες, οὐκ ἴστε ὅτι ποιεῖτε. εἰ γάρ τινα ἀλλήλοις μάχην συνάψετε, νομίζετε ἐν τῇδε τῇ ἡμέρᾳ, ἐμέ τε κατακεκόψεσθαι, καὶ ὑμᾶς οὐ πολὺ ἐμοῦ ὕστερον. κακῶς γὰρ τῶν ὑμετέρων ἐχόντων, πάντες οὗτοι οὓς ὁρᾶτε βάρβαροι ἡμῖν ἔσονται τῶν παρὰ βασιλεῖ ὄντων. ἀκούσας ταῦτα ὁ Κλέαρχος, ἐν ἑαυτῷ ἐγένετο, καὶ παυσάμενοι ἀμφότεροι, κατὰ χώραν ἔθεντο τὰ ὅπλα. ἐντεῦθεν προϊόντων ἐφαίνετο ἴχνια ἵππων καὶ κόπρος. εἰκάζετο δὲ εἶναι ὁ στίβος, ὡς δισχιλίων ἵππων. οὗτοι προϊόντες, ἔκαιον καὶ χιλὸν, καὶ εἴ τι ἄλλο χρήσιμον ἦν. Ὀρόντης δὲ Πέρσης ἀνὴρ, γένει τε προσήκων βασιλεῖ, καὶ τὰ πολέμια λεγόμενος ἐν τοῖς ἀρίστοις Περσῶν, ἐπιβουλεύει Κύρῳ. καὶ πρόσθεν πολεμήσας, καταλλαγεὶς δὲ οὗτος Κύρῳ, εἶπεν, εἰ αὐτῷ δοίη ἱππέας χιλίους, ὅτι τοὺς προκατακαίοντας ἱππέας, ἢ κατακάνοι ἐνεδρεύσας, ἢ ζῶντας πολλοὺς αὐτῶν ἕλοι, καὶ κωλύσειε τοῦ καίειν ἐπιόντας, καὶ ποιήσειεν ὥστε μήποτε δύνασθαι αὐτοὺς ἰδόντας τὸ Κύρου στράτευμα, βασιλεῖ διαγγεῖλαι. τῷ δὲ Κύρῳ ἀκούσαντι ταῦτα, ἐδόκει ὠφέλιμα εἶναι, καὶ ἐκέλευεν αὐτὸν λαμβάνειν μέρος παρ' ἑκάστου τῶν ἡγεμόνων. ὁ δὲ Ὀρόντης νομίσας ἑτοίμους αὐτῷ εἶναι τοὺς ἱππέας, γράφει ἐπιστολὴν παρὰ βασιλέα, ὅτι ἥξοι ἔχων ἱππέας ὡς ἂν δύνηται πλείστους, ἀλλὰ φράσαι τοῖς ἑαυτοῦ ἱππεῦσιν ἐκέλευεν, ὡς φίλιον αὐτὸν ὑποδέχεσθαι. ἐνῆν δ' ἐν τῇ ἐπιστολῇ καὶ τῆς πρόσθεν φιλίας ὑπομνήματα καὶ πίστεως. ταύτην τὴν ἐπιστολὴν δίδωσι πιστῷ ἀνδρὶ ὡς ᾤετο. ὁ δὲ λαβὼν, Κύρῳ δείκνυσιν. ἀναγνοὺς δὲ αὐτὴν Κῦρος, συλλαμβάνει Ὀρόντην, καὶ συγκαλεῖ εἰς τὴν αὑτοῦ σκηνὴν Περσῶν τοὺς ἀρίστους τῶν περὶ αὐτὸν ἑπτὰ, καὶ τοὺς τῶν Ἑλλήνων στρατηγοὺς ἐκέλευεν ὁπλίτας ἀγαγεῖν. τούτους δὲ θέσθαι τὰ ὅπλα περὶ τὴν αὑτοῦ σκηνήν. οἱ δὲ ταῦτα ἐποίησαν, ἀγαγόντες ὡς τρισχιλίους ὁπλίτας. Κλέαρχον δὲ καὶ εἴσω παρεκάλεσε σύμβουλον, ὅς γε καὶ αὐτῷ καὶ τοῖς ἄλλοις ἐδόκει προτιμηθῆναι μάλιστα τῶν Ἑλλήνων. ἐπεὶ δ' ἐξῆλθεν, ἐξήγγειλε τοῖς φίλοις τὴν κρίσιν τοῦ Ὀρόντου ὡς ἐγένετο. οὐ γὰρ ἀπόρρητον ἦν. ἔφη δὲ Κῦρον ἄρχειν τοῦ λόγου ὧδε· παρακαλέσω ὑμᾶς ἄνδρες φίλοι, ὅπως σὺν ὑμῖν βουλευόμενος ὅτι δικαιότατον καὶ πρὸς θεῶν καὶ πρὸς ἀνθρώπων, τοῦτο πράξω περὶ Ὀρόντου τουτοΐ. τοῦτον γὰρ πρῶτον μὲν ὁ ἐμὸς πατὴρ ἔδωκεν ὑπήκοον ἐμοὶ εἶναι. ἐπεὶ δὲ ταχθεὶς, ὡς ἔφη αὐτὸς, ὑπὸ τοῦ ἐμοῦ ἀδελφοῦ ὄντος, ἐπολέμησεν ἐμοὶ, ἔχων τὴν ἐν Σάρδεσιν ἀκρόπολιν, καὶ ἐγὼ αὐτὸν προσπολεμῶν, ἐποίησα, ὥστε δόξαι τούτῳ, τοῦ πρὸς ἐμὲ πολέμου παύσασθαι. καὶ δεξιὰν ἔλαβον καὶ ἔδωκα· μετὰ ταῦτα ἔφη, ὦ Ὀρόντα, ἔστιν ὅ τι σε ἠδίκησα; ὁ δὲ ἀπεκρίνατο, ὅτι οὔ. πάλιν ὁ Κῦρος ἠρώτα, οὐκοῦν ὕστερον ὡς αὐτὸς σὺ ὁμολογεῖς, οὐδὲν ὑπ' ἐμοῦ ἀδικούμενος ἀποστὰς εἰς Μυσοὺς, κακῶς ἐποίεις τὴν ἐμὴν χώραν, ὅτι ἐδύνω; ἔφη ὁ Ὀρόντης. οὐκοῦν, ἔφη ὁ Κῦρος, ὁπότ' αὖ ἔγνως τὴν σεαυτοῦ δύναμιν, ἐλθὼν ἐπὶ τὸν τῆς Ἀρτέμιδος βωμὸν, μεταμεμέλησθαί σοι, ἔφησθα, καὶ πείσας ἐμὲ, πιστὰ πάλιν ἔδωκάς μοι καὶ ἔλαβες παρ' ἐμοῦ; καὶ ταῦθ' ὡμολόγει ὁ Ὀρόντης. τί οὖν, ἔφη ὁ Κῦρος, ἀδικηθεὶς ὑπ' ἐμοῦ, νῦν

τὸ τρίτον

τὸ τρίτον ὕστερον ἐλθὼν μοι φανερὸς γέγονας; εἰπόντος δὲ
τοῦ ὀρόντου, ὅτι οὐδὲν ἀδικηθεὶς, ἠρώτησεν ὁ Κῦρος αὐ-
τόν· ὁμολογεῖς οὖν περὶ ἐμὲ ἄδικος γενέσθαι; ἦ γὰρ ἀνάγκη, ἔφη
ὁ ὀρόντης. ἐκ τούτου πάλιν ἠρώτησεν ὁ Κῦρος· ἔτι οὖν ἂν
γένοιο τῷ ἐμῷ ἀδελφῷ πολέμιος, ἐμοὶ δὲ καὶ φίλος καὶ
πιστός; ὁ δὲ ἀπεκρίνατο· ὅτι οὐδ' εἰ γενοίμην, ὦ Κῦρε, σοί
γ' ἂν ἔτι ποτὲ δόξαιμι. πρὸς ταῦτα ὁ Κῦρος εἶπε τοῖς
παροῦσιν· ὁ μὲν ἀνὴρ τοιαῦτα μὲν πεποίηκε, τοιαῦτα
δὲ λέγει. ὑμῶν δὲ σὺ πρῶτος, ὦ Κλέαρχε, ἀπόφηναι γνώ-
μην, ὅτι σοι δοκεῖ. Κλέαρχος δὲ εἶπε τάδε· συμβουλεύω
ἐγὼ τὸν ἄνδρα τοῦτον ἐκποδὼν ποιεῖσθαι ὡς τάχιστα, ὡς
μηκέτι δέοι τοῦτον φυλάττεσθαι. ἀλλὰ σχολὴ ἡμῖν, τὸ κα-
τὰ τοῦτον εἶναι, τοὺς ἐθέλοντας φίλους τούτους εὖ ποιεῖν.
ταύτῃ δὲ τῇ γνώμῃ ἔφη καὶ τοὺς ἄλλους προσθέσθαι. με-
τὰ ταῦτα κελεύοντος Κύρου ἔλαβον τῆς ζώνης τὸν ὀ-
ρόντην ἐπὶ θανάτῳ ἅπαντες ἀναστάντες καὶ οἱ συγγε-
νεῖς. εἶτα δὲ ἐξῆγον αὐτὸν οἷς προσετάχθη. ἐπεὶ δὲ εἶδον
αὐτὸν, οἵπερ πρόσθεν προσεκύνουν, καὶ τότε προσεκύνη-
σαν, καίπερ εἰδότες ὅτι ἐπὶ θανάτῳ ἄγοιτο. ἐπεὶ δὲ εἰς τὴν
ἀρταπάτα σκηνὴν εἰσήχθη τοῦ πιστοτάτου τῶν Κύρου σκη-
πτούχων, μετὰ ταῦτα οὔτε ζῶντα ὀρόντην, οὔτε τεθνεῶ-
τα οὐδεὶς πώποτε εἶδεν, οὐδ' ὅπως ἀπέθανεν, οὐδεὶς
εἰδὼς ἔλεγεν. εἴκαζον δ' ἄλλοι ἄλλως. τάφος δ' οὐδεὶς
πώποτε αὐτοῦ ἐφάνη. ἐντεῦθεν ἐξελαύνει διὰ τῆς Βαβυ-
λωνίας σταθμοὺς τρεῖς, παρασάγγας δώδεκα. ἐν δὲ τῷ
τρίτῳ σταθμῷ Κῦρος ἐξέτασιν ποιεῖται τῶν Ἑλλήνων καὶ
τῶν βαρβάρων ἐν τῷ πεδίῳ περὶ μέσας νύκτας. ἐδό-
κει γὰρ εἰς τὴν ἐπιοῦσαν ἕω ἥξειν βασιλέα σὺν τῷ στρα-
τεύματι μαχούμενον, καὶ ἐκέλευε Κλέαρχον μὲν τοῦ
δεξιοῦ κέρως ἡγεῖσθαι, Μένωνα δὲ τὸν Θετταλὸν τοῦ εὐω-
νύμου. αὐτὸς δὲ τοὺς ἑαυτοῦ διέταξε. μετὰ δὲ τὴν ἐξέτασιν
ἅμα τῇ ἐπιούσῃ ἡμέρᾳ, αὐτόμολοι παρὰ μεγάλου βασι-
λέως ἥκοντες, ἀπήγγελλον Κύρῳ περὶ τῆς βασιλέως στρα-
τιᾶς. Κῦρος δὲ συγκαλέσας τοὺς στρατηγοὺς καὶ λοχα-
γοὺς τῶν Ἑλλήνων, συνεβουλεύετό τε, πῶς ἂν τὴν μά-
χην ποιοῖτο. καὶ αὐτὸς παρῄνει θαρρύνων τοιάδε· ὦ ἄν-
δρες Ἕλληνες, οὐκ ἀνθρώπων ἀπορῶν βαρβάρων, συμ-
μάχους ὑμᾶς ἄγω· ἀλλὰ νομίζων ἀμείνονας καὶ κρείττους
πολλῶν βαρβάρων ὑμᾶς εἶναι, διὰ τοῦτο προσέλαβον. ὅπως
οὖν ἔσεσθε ἄνδρες ἄξιοι τῆς ἐλευθερίας ἧς κέκτησθε, καὶ
ὑπὲρ ἧς ὑμᾶς ἐγὼ εὐδαιμονίζω. εὖ γὰρ ἴστε, ὅτι τὴν ἐλευθε-
ρίαν ἑλοίμην ἂν ἀντὶ ὧν ἔχω πάντων καὶ ἄλλων πολλαπλα-
σίων. ὅπως δὲ καὶ εἰδῆτε εἰς οἷον ἔρχεσθε ἀγῶνα, ἐγὼ ὑμᾶς
διδάξω. τὸ μὲν γὰρ πλῆθος πολὺ, καὶ πολλῇ κραυγῇ ἐπία-
σιν. ἂν δὲ ταῦτα ἀνάσχησθε, τἄλλα καὶ αἰσχύνεσθαί μοι δο-
κῶ, οἵους ἡμῖν γνώσεσθε τοὺς ἐν τῇ χώρᾳ ὄντας ἀνθρώ-
πους. ὑμῶν δὲ ἀνδρῶν ὄντων, καὶ εὐτόλμων γενομένων,
ἐγὼ ὑμῶν τὸν μὲν οἴκαδε βουλόμενον ἀπιέναι, τοῖς οἴκοι
ζηλωτὸν ποιήσω ἀπελθεῖν. πολλοὺς δ' οἶμαι ποιήσειν
τὰ παρ' ἐμοὶ ἑλέσθαι ἀντὶ τῶν οἴκοι. ἐνταῦθα Γαυλίτης
παρὼν φυγὰς Σάμιος, πιστὸς δὲ Κύρῳ, εἶπε· καὶ μὴν, ὦ
Κῦρε, λέγουσί τινες, ὅτι πολλὰ ὑπισχνῇ νῦν, διὰ τὸ ἐν τοι-
ούτῳ εἶναι τοῦ κινδύνου προσιόντος. ἂν δ' εὖ γένηταί τι,
οὐ μεμνῆσθαί σέ φασιν· ἔνιοι δὲ, οὐδ' εἰ μέμνῷό τε καὶ βούλοιο,
δύνασθαι ἂν ἀποδοῦναι ὅσα ὑπισχνῇ. ἀκούσας ταῦτα, ἔλε-
ξεν ὁ Κῦρος· ἀλλ' ἔστι μὲν ἡμῖν, ὦ ἄνδρες, ἡ ἀρχὴ πατρῴα,
πρὸς

nouas mihi insidias, quas inficiari nullo pacto potes, fa/
ciēdas putasti? Cumq; ille prorsus nulla respondisset: Fa
teris igitur, inquit Cyrus, te planè fuisse in me iniurium.
Et qui, inquit ille, negare possum? Tum rursus Cyrus:
Possisne, si tibi nunc ignoscam, & fratri meo hostis, &
mihi ipsi fidus amicus esse? Atqui ut maxime essem, qui ti
bi, inquit, Cyre uideri possem? Tūc Cyrus ad eos qui ad
erant cōuersus: Hic quidem, inquit, quæ audistis commi
sit, uestrum nunc est de eo statuere. Dic tu Clearche pri
mū quid censeas. Tum Clearchus: Hunc ego, inquit, ho
minem primo quoq; tempore de medio tollendū censeo,
ne nobis scilicet ab eo cauendū sit, atq; ut ociosiore ani
mo ab hac parte, de præmijs eorū, qui ultro nobis amici
sunt, liceat cogitare. In hanc sententiā et cæteros comme
morabat Clearchus isse: quare Cyri iussu uniuersi, atq;
in his aliquot eius cognati, hominē zona apprehensum,
paucis quibus id erat negocij datū, ad supplicium ducen/
dum tradidere. Transeuntem, qui antè incolumē uenerari
cōsueuerant, nihilominus et tunc ad terrā Persico more
proni honorē habuerunt. Deductus quidē est in Artapa
tæ, cui ex omni apparitorū numero maximā Cyrus fidē
habebat, tabernaculū. Neq; postea quisquā eum aut ui/
uentem, aut mortuū uidit, neq; quo mortis genere interi
erit, quisquam affirmare potuit: alij alia suspicati sunt.
Eius quidem nusquam sepulchri ullum extitit uestigium.
Post hæc progreditur Cyrus per Babyloniam M. pass.
XLVIII. Ac cum tertia castra posuisset in campis, me/
dia ferè nocte copias suas, tum Græcorū, tum barbarorū
recensuit: regem enim putabat postero primum die cum
exercitu pugnādi causa affuturū: ac dextro quidem cor
nu Clearchum, læuo Menonē Thessalum præfecit. Ipse
cum suis mediam aciem tenuit. His ita constitutis, poste
ro die, prima luce, perfugæ à regijs castris Cyrum de to
to regis exercitu docuerū. Hic ille ducibus ac centurio
nibus Græcorū ad se uocatis, cum illis de pugnæ ratio/
ne consilium capiebat, atq; hac tunc eos ratione confir
mauit: Ego uos Græci, nō quod mihi barbarorū auxilia
deessent, huc adduxi, uerū idcirco uestra mihi opera utē
dum existimaui, quòd uos quemuis barbarorū numerū
anteire putaui. Vobis igitur uidendum est, quo iure ea
qua fruimini libertate, & cuius ego gratia uos beatos
esse arbitror, digni etiā in posterū habeamini. Hoc enim
uobis persuasum uelim, me libertatē ipsam multò q̃ quæ
habeo omnia, ac si ea longe essent ampliora, pluris face
re. Quò uerò, quod certaminis genus uobis subeundum
sit, intelligatis, ego uos id planissimè docebo. Barbaro/
rum quidem exercitus magno cum clamore impressio/
nem facit: eam si uos sustinueritis, pudet dicere quales si
tis nostros cognituri. Equidē si uiros uos fuisse, et infra
cto animo perspexero, cum domū redire uolueritis, ita di
mittam ut multis fortuna uestra inuidenda sit. Sed profe
cto efficiam, ut uestrum plurimi mecum, quàm in patria
esse malint. Hic Gaulites qui Samo exulabat, uir in pri/
mis Cyro spectatus: Atqui, inquit, Cyre sunt qui dicāt te
nunc multa polliceri, dum incertus est & periculosus
rerum exitus: ubi uerò rem feliciter gesseris, tibi omnia
ex animo dilapsura. Alij, neq; si memineris, & maximè
uelis, eas te opes habiturum, ut singulis quæ promiseris
præstare possis. Quæ cum accepisset Cyrus: Atenim,
inquit, paternum nobis uiri fortissimi, imperium est.
Ad au/

Ad austros ad ea usq; loca, in quibus propter æstus ua-
pores nulli homines habitare possunt. Ad septentrio-
nes, quantũ ad maxima usq; frigora terrarũ patet: quic
quid inter hos fines medium est, totum in eorũ potestate
est, quos frater de amicorũ suorum numero illis regio-
bus præesse uoluit. Quod si nos uicerimus, amicos ego
meos pro illis eorum locorũ compotes, uti æquum est,
faciam. quamobrẽ tantum abest ut defuturum sit quod
dem, ut magis uerear ne quibus dem desit. Insuper Græ
cis auream etiam coronã dabo. Hæc cum illi audissent, 10
& ipsi alacriores redditi sunt, & alijs quæ acceperãt re
nunciarunt. Venerunt aũt in eius tabernaculum duces
aliquot, & ex Græcis nonnulli, ut ex Cyro nominatim
cognoscerent, si uicissent quid premij laturi essent: quos
Cyrus omnes optima spe plenos dimisit. Sedenim qui cũ
eo tunc sunt congressi, omnes autores erant, ne ipse præ
liũ intret, sed in extrema acie in subsidijs cõsisteret. Atq;
hic Clearchus: Putásne, inquit, Cyre tecum fratrẽ in pu
gna congressurũ? Non mediusfidius, si Darij et Parysa
tidis filius, et meus, inquit, frater est, hæc ego illi sine pu 20
gna eripiam. Ac in ea quidem recẽsione, ex Græcis cẽsa
tunc sunt scutatorũ x. millia, & cccc. Peltatorũ duo
millia, & cccc. Ex barbaris qui cum Cyro ueuerãt.
c. millia hominum. Currus falcati circiter xx. At in ho
stili agmine esse dicebantur, militum duodecies centena
millia, & currus cum falcibus cc. Sed amplius in præ-
sidijs pro regijs castris instructa erant equitum vi. mil-
lia, quibus Artageses præerat. Regij uero exercitus qua
drifariã diuisi: ter centenis hominũ millibus singuli du-
ces summa potestate imperabant: atq; hi fuere, Abroco- 30
mas, Tissaphernes, Gobryas, Abraces. Sed tota ex hac
multitudine nongenta tantum millia prælio interfue-
runt, & currus cum falcibus c, & l. nam Abrocomas
ex Phœnice ueniens diebus v. post pugnam, regem est
assequutus. quod cum ex ijs intelligi potuit qui ante præ
lium à rege ad Cyrum profugerant, tum ex ijs qui post
pugnam ex hostibus capti sunt. Hinc Cyrus unis castris
millia pass. xii. cum copijs omnibus Græcorum ac bar
barorum instructis processit. Existimabat enim eo ipso
die regem prælium commissurum: aberat siquidem hinc 40
non longius quàm quò posset dimidia diei unius parte
perueniri, fossa passus alta quinque, treis lata, quæ cam
pos sursum uersum ad pas. circiter xlviii. millia, usq;
ad Mediæ muros diuidebat: qua in parte aluei erant à
Tigri amne ducti iiii. ingenti altitudine, ac pass. xx.
latitudine per quos frumentaria nauigia cõmode agi po
terant: ac hi quidẽ aluei in Euphraten influunt. Singulo
rum uero aliquãto breuius est iiii. millibus spaciũ: pon
tibus hi per interualla iungũtur. Angustus callis inter
fossam et flumen medius, ad Euphratẽ ducebat, nõ am- 50
plior is xx. pedum latitudine. Fossam eam rex munimẽ
ti causa agendã curarat, accepto primo de Cyri irruptio
ne nũcio. Sedenim Cyrus cũ exercitu ijs locorũ difficul
tatibus superatis, iam intra fossam castra habebat. Ac eo
quidẽ die rex nõ prodijt in pugnam, sed appropinquan
tium cum hominũ, tum uero equorũ uestigia cerneban-
tur. Ibi Cyrus uatem Silanũ Ambracioten ad se uocatũ
Daricis ter mille donauit, quod undecimo die antè pro-
ximis x. diebus regem, cum id ex eo quæreretur, præ-
lium commissurum negasset. Cui Cyrus responderat,
non

πρὸς μὲν μεσημβρίαν, μέχρις οὗ διὰ καῦμα οὐ δύνανται οἰ-
κεῖν οἱ ἄνθρωποι· πρὸς δὲ ἄρκτον, μέχρις ὅτου διὰ χειμῶ-
να. τὰ δ' ἐν μέσῳ τούτων ἅπαντα, σατραπεύουσιν οἱ τοῦ
ἐμοῦ ἀδελφοῦ φίλοι. ἢν δ' ἡμεῖς νικήσωμεν, ἡμᾶς δεῖ τοὺς
ἡμετέρους φίλους τούτων ἐγκρατεῖς ποιῆσαι. ὥστε οὐ τοῦτο
δέδοικα, μὴ οὐκ ἔχω ὅτι δῶ ἑκάστῳ τῶν φίλων, ἂν εὖ γένη-
ται. ἀλλὰ μὴ οὐκ ἔχω ἱκανοὺς οἷς δῶ. ὑμῶν δὲ τῶν ἑλλήνων,
καὶ στέφανον χρυσοῦν δώσω. οἱ δὲ ταῦτα ἀκούσαντες, αὐ-
τοί τε ἦσαν πολὺ προθυμότεροι, καὶ τοῖς ἄλλοις ἐξήγγελ-
λον, εἰσῄεσαν δὲ παρ' αὐτὸν οἵ τε στρατηγοὶ καὶ τῶν ἄλλων
ἑλλήνων τινὲς, ἀξιοῦντες εἰδέναι, τί σφίσιν ἔσται ἐὰν
κρατήσωσιν. ὁ δὲ ἐμπιπλὰς ἁπάντων τὴν γνώμην, ἀπέ-
πεμπε. παρεκελεύοντο δ' αὐτῷ πάντες ὅσοι περ διελέ-
γοντο μὴ μάχεσθαι, ἀλλ' ὄπισθεν ἑαυτῶν τάττεσθαι. ἐν δὲ τῷ
καιρῷ τούτῳ κλέαρχος ὧδέ πως ἤρετο κῦρον· οἴει γάρ
σοι, ὦ κῦρε, μαχεῖσθαι τὸν ἀδελφόν; νὴ δί', ἔφη ὁ κῦρος, εἴ-
περ γε δαρείου καὶ παρυσάτιδός ἐστι παῖς, καὶ ἐμὸς ἀδελ-
φός, οὐκ ἀμαχεὶ ταῦτα ἐγὼ λήψομαι. ἐνταῦθα δὴ ἐν τῇ
ἐξοπλισίᾳ ἀριθμὸς ἐγένετο, τῶν μὲν ἑλλήνων ἀσπὶς μυρία
καὶ τετρακοσία· πελτασταὶ δὲ δισχίλιοι καὶ τετρακόσιοι·
τῶν δὲ μετὰ κύρου βαρβάρων δέκα μυριάδες, καὶ ἅρματα
δρεπανηφόρα ἀμφὶ τὰ εἴκοσι. τῶν δὲ πολεμίων ἐλέγοντο
εἶναι ἑκατὸν καὶ εἴκοσι μυριάδες, καὶ ἅρματα δρεπανηφό-
ρα διακόσια. ἄλλοι δὲ ἦσαν ἑξακισχίλιοι ἱππεῖς, ὧν ἀρ-
ταγέρσης ἦρχεν. οὗτοι δὲ πρὸ αὐτοῦ βασιλέως τεταγμένοι ἦ-
σαν. τοῦ δὲ βασιλέως στρατεύματος ἦσαν ἄρχοντες καὶ
στρατηγοὶ καὶ ἡγεμόνες τέτταρες, τριάκοντα μυριάδων
ἕκαστος, ἀβροκόμας, τισσαφέρνης, γωβρύας, ἀρβάκης. τού-
των δὲ παρεγένοντο ἐν τῇ μάχῃ ἐνενήκοντα μυριάδες. καὶ
ἅρματα δρεπανηφόρα ἑκατὸν καὶ πεντήκοντα. ἀβροκό-
μας γὰρ ὑστέρησε τῆς μάχης ἡμέρας πέντε ἐκ φοινίκης ἐ-
λαύνων. ταῦτα δὲ ἤγγελλον πρὸς κῦρον οἱ αὐτομολήσαν-
τες ἐκ τῶν πολεμίων παρὰ μεγάλου βασιλέως πρὸ τῆς μά-
χης, καὶ μετὰ τὴν μάχην οἳ ὕστερον ἐλήφθησαν τῶν πολε-
μίων, ταῦτα ἤγγελλον. ἐντεῦθεν δὲ κῦρος ἐξελαύνει σταθ-
μὸν ἕνα, παρασάγγας τρεῖς, συντεταγμένῳ τῷ στρατεύμα-
τι παντὶ καὶ τῷ ἑλληνικῷ καὶ τῷ βαρβαρικῷ. ᾤετο γὰρ ταύ-
τῃ τῇ ἡμέρᾳ μαχεῖσθαι βασιλέα. κατὰ γὰρ μέσον τὸν σταθμὸν
τοῦτον τάφρος ἦν ὀρυκτὴ βαθεῖα· τὸ μὲν εὖρος ὀργυιαὶ
πέντε, τὸ δὲ βάθος ὀργυιαὶ τρεῖς. παρετέτατο δὲ ἡ τάφρος
ἄνω διὰ τοῦ πεδίου ἐπὶ δώδεκα παρασάγγας, μέχρι τοῦ μη-
δίας τείχους. ἔνθα δή εἰσιν αἱ διώρυχες, ἀπὸ τοῦ τίγρη-
τος ποταμοῦ ῥέουσαι· εἰσὶ δὲ τέτταρες. τὸ μὲν εὖρος πλε-
θριαῖαι, βαθεῖαι δὲ ἰσχυρῶς. καὶ πλοῖα πλεῖ ἐν αὐταῖς σι-
ταγωγά. εἰσβάλλουσι δὲ εἰς τὸν εὐφράτην· διαλείπουσι δὲ ἑκά-
στη παρασάγγην. γέφυραι δὲ ἔπεισιν. ἦν δὲ παρ' αὐτὸν τὸν
εὐφράτην πάροδος στενὴ, μεταξὺ τοῦ ποταμοῦ καὶ τῆς
τάφρου, ὡς εἴκοσι ποδῶν τὸ εὖρος. ταύτην δὲ τὴν τάφρον
βασιλεὺς μέγας ποιεῖ ἀντὶ ἐρύματος, ἐπειδὴ πυνθά-
νεται κῦρον προσελαύνοντα. ταύτην δὴ τὴν πάροδον κῦ-
ρός τε καὶ ἡ στρατιὰ παρῆλθε, καὶ ἐγένοντο εἴσω τῆς τάφρου.
ταύτῃ μὲν οὖν τῇ ἡμέρᾳ οὐκ ἐμαχέσατο βασιλεὺς, ἀλλ' ὑπο-
χωρούντων φανερὰ ἦσαν καὶ ἵππων καὶ ἀνθρώπων ἴχνη
πολλά. ἐνταῦθα κῦρος σιλανὸν καλέσας τὸν ἀμβρακιώτην
μάντιν, ἔδωκεν αὐτῷ δαρεικοὺς τρισχιλίους. ὅτι τῇ ἑνδε-
κάτῃ ἀπ' ἐκείνης τῆς ἡμέρας πρότερον θυόμενος, εἶπεν
αὐτῷ

αὐτῷ ὅτι βασιλεὺς οὐ μαχεῖται δέκα ἡμερῶν. κῦρος δ' εἶπεν· οὐκ ἄρα ἔτι μαχεῖται, εἰ μὴ ἐν ταύταις ταῖς ἡμέραις μαχεῖται. ἐὰν δ' ἀληθεύσῃς, ὑπισχνοῦμαί σοι δέκα τάλαντα. τοῦτο τὸ χρυσίον τότε ἀπέδωκεν, ἐπεὶ παρῆλθον αἱ δέκα ἡμέραι. ἐπεὶ δ' ἐπὶ τῇ τάφρῳ οὐκ ἐκώλυε βασιλεὺς τὸ κύρου στράτευμα διαβαίνειν, ἔδοξε καὶ κύρῳ καὶ τοῖς ἄλλοις, ἀπεγνωκέναι τοῦ μάχεσθαι. ὥστε τῇ ὑστεραίᾳ κῦρος ἐπορεύετο ἠμελημένως μᾶλλον. τῇ δὲ τρίτῃ ἐπί τε τοῦ ἅρματος καθήμενος, τὴν πορείαν ἐποιεῖτο, καὶ ὀλίγους ἐν τάχει ἔχων πρὸ αὐτοῦ. τὸ δὲ πολὺ αὐτῷ ἀνατεταραγμένον ἐπορεύετο, καὶ τῶν ὅπλων τοῖς στρατιώταις, πολλὰ ἐπὶ ἁμαξῶν καὶ ὑποζυγίων ἤγετο. καὶ ἤδη τε ἦν ἀμφὶ ἀγορὰν πλήθουσαν. καὶ πλησίον ἦν ὁ σταθμός, ἔνθα ἔμελλε καταλύσειν. ἡνίκα πατηγύας ἀνὴρ πέρσης τῶν ἀμφὶ κῦρον πιστῶν προφαίνεται ἐλαύνων κατὰ κράτος ἱδροῦντι τῷ ἵππῳ, καὶ εὐθὺς πᾶσιν οἷς ἐνετύγχανεν, ἐβόα καὶ βαρβαρικῶς καὶ ἑλληνικῶς, ὅτι βασιλεὺς στρατεύματι πολλῷ προσέρχεται, ὡς εἰς μάχην παρεσκευασμένος. ἔνθα δὴ πολὺς τάραχος ἐγένετο. αὐτίκα γὰρ ἐδόκουν οἱ ἕλληνες, καὶ πάντες δὲ ἀτάκτοις σφίσιν ἐπιπεσεῖσθαι. καὶ κῦρός τε καταπηδήσας ἐκ τοῦ ἅρματος, τὸν θώρακα ἐνέδυ. καὶ ἀναβὰς ἐπὶ τὸν ἵππον, τὰ παλτὰ εἰς χεῖρας ἔλαβε· τοῖς τε ἄλλοις πᾶσι παρήγγελλεν ἐξοπλίζεσθαι καὶ καθίστασθαι εἰς τὴν ἑαυτοῦ τάξιν ἕκαστον. ἔνθα δὴ σὺν πολλῇ σπουδῇ καθίσταντο, κλέαρχος μὲν τὰ δεξιὰ τοῦ κέρατος ἔχων, πρὸς τῷ εὐφράτῃ ποταμῷ, πρόξενος δὲ ἐχόμενος, οἱ δ' ἄλλοι μετὰ τοῦτον. μένων δὲ τὸ στράτευμα τὸ εὐώνυμον κέρας ἔσχε τοῦ ἑλληνικοῦ. τοῦ δὲ βαρβαρικοῦ, ἱππεῖς μὲν παφλαγόνες εἰς χιλίους παρὰ κλέαρχον ἔστησαν ἐν τῷ δεξιῷ καὶ τὸ ἑλληνικὸν πελταστικόν. ἐν δὲ τῷ εὐωνύμῳ ἀριαῖός τε ὁ κύρου ὕπαρχος, καὶ τὸ ἄλλο βαρβαρικόν. κῦρος δὲ, καὶ ἱππεῖς μετ' αὐτοῦ ἑξακόσιοι ὡπλισμένοι θώραξι μεγάλοις καὶ παραμηριδίοις, καὶ κράνεσι πάντες, πλὴν κύρου. κῦρος δὲ ψιλὴν ἔχων τὴν κεφαλὴν, εἰς τὴν μάχην καθίστατο. λέγεται δὲ καὶ τοὺς ἄλλους πέρσας, ψιλαῖς ταῖς κεφαλαῖς ἐν τῷ πολέμῳ διακινδυνεύειν. οἱ δ' ἵπποι ἅπαντες οἱ μετὰ κύρου, εἶχον καὶ προμετωπίδια, καὶ προστερνίδια. εἶχον δὲ καὶ μαχαίρας οἱ ἱππεῖς ἑλληνικάς. καὶ ἤδη τε ἦν μέσον ἡμέρας, καὶ οὔπω καταφανεῖς ἦσαν οἱ πολέμιοι. ἡνίκα δὲ δείλη ἐγένετο, ἐφάνη κονιορτὸς ὥσπερ νεφέλη λευκή. χρόνῳ δὲ συχνῷ ὕστερον ὥσπερ μελανία τις ἐν τῷ πεδίῳ ἐπὶ πολύ. ὅτε δὲ ἐγγύτερον ἐγίγνοντο, τάχα δὴ καὶ χαλκός τις ἤστραπτε, καὶ αἱ λόγχαι καὶ αἱ τάξεις καταφανεῖς ἐγίγνοντο. καὶ ἦσαν ἱππεῖς μὲν λευκοθώρακες, ἐπὶ τοῦ εὐωνύμου τῶν πολεμίων. τισσαφέρνης ἐλέγετο τούτων ἄρχειν. ἐχόμενοι δὲ τούτων γερροφόροι. ἐχόμενοι δὲ ὁπλῖται σὺν ποδήρεσι ξυλίναις ἀσπίσιν. αἰγύπτιοι οὗτοι ἐλέγοντο εἶναι. ἄλλοι δ' ἱππεῖς, ἄλλοι τοξόται πάντες οὗτοι κατὰ ἔθνη ἐν πλαισίῳ πλήρει ἀνθρώπων, ἕκαστον ἔθνος ἐπορεύετο. πρὸ δὲ αὐτῶν ἅρματα διαλείποντα συχνὸν ἀπ' ἀλλήλων τὰ δρεπανηφόρα λεγόμενα. εἶχον δὲ τὰ δρέπανα ἐκ τῶν ἀξόνων, εἰς πλάγιον ἀποτεταμένα, καὶ ὑπὸ τοῖς δίφροις εἰς γῆν βλέποντα, ὡς διακόπτειν ὅτῳ ἐντυγχάνοιεν. ἡ δὲ γνώμη ἦν ὡς εἰς τὰς τάξεις τῶν ἑλλήνων, ἐλόντων καὶ διακοψάντων. ὃ μέντοι κῦρος εἶπεν, ὅτε καλέσας παρεκελεύετο τοῖς ἕλλησι τὴν κραυγὴν τῶν βαρβάρων ἀνέχεσθαι, ἐψεύσθη τοῦτο.

οὐ γὰρ

non prœliaturum certe illum si intra x. dies non esset congressus: quod si id euentu ipso uerum esse cognouisset, talenta se illi x. receperat daturum. Quare cum x. ipsi dies præteriissent, pecuniam dissoluit. Cum uero copiis uniuersæ, rege nihil omnino prohibente fossam transmisissent, & Cyrus & item alii illum pugnandi consilium abiecisse putarunt. Quare iam ociosius postero die Cyrus iter faciebat: quin & tertio iam die ipse curru uectus est, paucis tamen qui quamcelerrime progrederentur præmissis. Multitudo uniuersa dissipato agmine procedebat, & arma magna ex parte plaustris & iumentis uehebantur. Sub eam uero horam, qua forum multitudine compleri consueuit, cum iam locus prope esset ubi castra ponere constituerat, aduolat sudanti equo Pagyas Perses, ex iis unus quibus Cyrus maximam fidem habebat. Vt quisque ei fit obuius, aut barbarica, aut græca uoce clamat, adesse regem cum ingenti exercitu, neque aliter instructum quam si confestim sit signa collaturus. Ibi magna cum Græcos, tum cæteros inuasit trepidatio, cum nihil magis metuerent, quàm ne in dispersos hostis irruptionem faceret. Hic Cyrus loricam induit: cúmque de curru in equum arreptis missilibus desiluisset, aliis denunciauit ut arma caperent, ac suo quisq; loco in acie consisterent: atque illi impigre constiterunt. Clearchus dextrum cornu proxime ad Euphraten, Menon læuum, medium aciem reliqui tenuerunt. Proxenus iuxta Clearchum, cæteri deinceps ordine. Græcorum hæc acies fuit. At ex barbaris ad mille equites Paphlagones, prope Clearchum in dextro cornu steterunt: atque eadem in parte Græci omnes qui cum cetris erant. In sinistro uero Ariæus Cyri præfectus cum reliquis barbaris. Cyrus in principiis, & cum eo equites DC. grandibus loricis omnes, & femorum munimentis ac galeis muniti: solus Cyrus nudo capite pugnam expectabat. sed & alios aiunt Persas nudis capitibus prælia inire. Equi sane omnes frontis ac pectoris munimenta habebant: equites ipsi græcis gladiis utebantur. Erat iam meridies, neque hostes adhuc conspici poterant. Atenim cum iam aduesperasceret, pulueris ueluti globus conuolui cœptus, in modum albicantis nebulæ: atque is paulatim per totum campum mutato iam in atrum colore, se diffudit. Cum uero propius accessissent, æris primo splendor micare, deinde spicula, ac ipsi etiam militum ordines cerni potuerunt. Erant in læuo hostilis aciei cornu equites albis loricis tecti, quibus Tissaphernes imperare dicebatur. His proximi erant cetrati: succedebat grauis armatura, scutis crateis ad imos usque pedes protecta: Aegyptios esse hos aiebant. Inde equites & sagittarii, atque hi omnes per gentes descripti singillatim, quadratis agminibus, ac ex omni parte pleni procedebant. Præibant currus, magnis singuli interuallis, qui falcati appellantur. falces his ex dolabris ad imos currus, in obliquum affixæ prominebant, terram deorsum spectantes, quo facile in quæcunque incidissent, diuiderent. Consilium etenim fuit ad Græcorum aciem sternendam, eos primo congressu immittere. Ac Cyrum quidem opinio sua fefellit, quòd Græcos pro concione antea adhortatus fuerat, ut barbarorum clamorem in prima impreßione sustinerent:

q neq;

neq; enim illi cum clamore, sed taciti, ac quoad eius fie
ri potuit, sedate, ac æquabili gradu in pugnam proces
serunt. Ibi Cyrus ut principia progressus cum Pigrete
interprete, tribusq; aut quatuor alijs, Clearcho incla
mabat ut in mediam hostium aciem, qua in parte rex
erat, agmē suum ageret: quod si, inquit, illic uicerimus,
tota nobis res confecta fuerit. Clearchus etsi mediæ aci
ei hostilem globum cernebat, atq; ex Cyri uerbis intel
ligebat mediam aciem in qua erat rex, lōge ultra Græ
corum læuum cornu extēdi, cum tanto superior nume
ro hostis esset, ut media eius acies longo interuallo cor
nu læuum Cyri relinqueret: non potuit tamen adduci,
ut dextrū cornu a fluminis ripa introrsum retraheret,
cum maxime metueret ne utrinq; ab hostibus cingere
tur. Quare id unum e Cyro respondit, sibi curæ fore, ut
quamcōmodissime omnia gererentur. Interea barbari
pedetentim accedebant, Græcorum uero ordines quam
diu in eodem loco permanserūt, alijs subinde atq; alijs
superuenientibus implebantur. Cyrus obequitans modi
co ab acie interuallo, & suas eminus copias, & hosti
les intuebatur. Hunc à Græcorum ordinib. Xenophon
cōspicatus, obuiam procedit, rogat, nunquid denūciet:
qui paululū cum hæsisset, renunciari omnibus iubet, in
sacris rite litatum. Dumq; hæc diceret, fremitu inter or
dines coorto, causam quæsiuit. Respondit Xenophō, se
cundam iam tesseram tradi. Hic ille admiratus quis eam
prodidisset, quænam esset rogauit: Iupiter, inquit, serua
tor, & uictoria. Tunc ille: Omen, inquit, accipio, atq;
ita esto. Hæc cum dixisset, in suum se locū recepit. Iam
uero tria, aut quatuor ad summū stadia acies utraq; di
stabat, cum Græci signo dato priores in aduersos iere:
atq; hic cum longius promouissent principia, posterio
res ordines cum laxati fluctuarent, cursu præeūtes con
sequebantur. Tum clamorem cuncti bellicum sustule
runt, cunctiq; se ad cursum pariter incitarunt. Non de
sunt qui dicant, ad equos incitādos clypeos hastis per
cussos. Nullū adhuc telum iactum fuerat, cum barbari
equites fuga effusissima terga uerterūt, quos Græci acer
rime insectabantur. Cū tamē se clamitantes uicissim mo
nerent, ne nimiam in cursu celeritatem susciperent, atq;
ut potius ordinibus cōseruatis sequerētur, interea in ho
stiū acie currus temere, excussis aurigis, partim eorum
per hostes, partim per Græcos trahebātur. Hos multi cū
præuidissent, sistebant: fuit etiam qui repente tanquā in
curriculo, perculsus obstupesceret, neq; tamē grauiter
fuerit affectus, quādo neq; Græcorum alius quisquam,
hac in pugna quicquā passus est, præterquam quod in
læuo cornu dicebatur nescio quis sagitta percussus. Cy
rus cū Græcos ex sua aciei parte uincētes cerneret, ho
stēq; acriter insectantes, magnā certe lætitiā cepit: iāq;
ab his, qui circa eum erāt, rex fuerat salutatus, nō tamē
cupide est hostē insequutus, sed stipatus conferto equi
tum DC. globo, quid facturus esset rex expectabat. Illū
etenim sciebat Persici exercitus mediā aciē tenere, cum
& cæteri, qui barbaris præessent, medium semper inter
suos ordines locū obtinerēt: quod ita se tutiori loco es
se putarēt, si suorū robore utrinq; muniti essent, simulq;
id commodi in ea re inesse, quod dimidio breuiore tem
pore, quæ à se denunciari suis uoluissent, utrocunq; per
ferri possent. Verū media regiæ aciei pars ultra sinistrū
Cyri

οὐ μὴν κραυγῇ, ἀλλὰ σιγῇ, ὡς ἀνυστὸν καὶ ἡσυχῇ ἐν ἴσῳ
καὶ βραδέως προσῄεσαν. καὶ ἐν τούτῳ Κῦρος παρελαύ-
νων αὐτὸς σὺν Πίγρητι τῷ ἑρμηνεῖ, καὶ ἄλλοις τρισὶν ἢ
τέτταρσι, τῷ Κλεάρχῳ ἐβόα ἄγειν τὸ στράτευμα κατὰ
μέσον τὸ τῶν πολεμίων, ὅτι ἐκεῖ βασιλεὺς εἴη. κἂν τοῦ-
το, ἔφη, νικῶμεν, πάνθ' ἡμῖν πεποίηται. ὁρῶν δὲ ὁ Κλέ-
αρχος τὸ μέσον στῖφος, καὶ ἀκούων Κῦρον ἔξω ὄντα τοῦ
ἑλληνικοῦ εὐωνύμου βασιλέα. τοσοῦτον γὰρ πλήθει περιῆν
βασιλεὺς, ὥστε μέσον τὸ ἑαυτοῦ ἔχων τοῦ Κύρου εὐωνύμου
ἔξω ἦν. ἀλλ' ὅμως ὁ Κλέαρχος οὐκ ἤθελεν ἀποσπάσαι
ἀπὸ τοῦ ποταμοῦ τὸ δεξιὸν κέρας, φοβούμενος μὴ κυ-
κλωθείη ἑκατέρωθεν. τῷ δὲ Κύρῳ ἀπεκρίνατο, ὅτι αὐ-
τῷ μέλοι ὅπως καλῶς ἔχοι. καὶ ἐν τούτῳ τῷ καιρῷ τὸ μὲν
βαρβαρικὸν στράτευμα ὁμαλῶς προῄει. τὸ δ' ἑλληνικὸν
ὂν ἔτι ἐν τῷ αὐτῷ μένον, συνετάττετο ἐκ τῶν ἔτι προσ-
ιόντων. καὶ ὁ Κῦρος παρελαύνων οὐ πάνυ πρὸς αὐτῷ
τῷ στρατεύματι, κατεθεᾶτο ἑκατέρους ἄποθεν, τούς τε
πολεμίους ἀποβλέπων, τούς τε φίλους. ἰδὼν δὲ αὐτὸν
ἀπὸ τοῦ ἑλληνικοῦ Ξενοφῶν Ἀθηναῖος, ὑπελάσας ὡς συν-
αντῆσαι, ἤρετο εἴ τι παραγγέλλοι. ὁ δ' ἐπιστήσας εἶπε,
καὶ λέγειν ἐκέλευε πᾶσιν, ὅτι τὰ ἱερὰ καὶ τὰ σφάγια
καλὰ εἴη. ταῦτα δὲ λέγων, θορύβου ἤκουσε διὰ τῶν τά-
ξεων ἰόντος, καὶ ἤρετο, τίς ὁ θόρυβος. ὁ δὲ Ξενοφῶν εἶ-
πεν, ὅτι τὸ σύνθημα παρέρχεται δεύτερον ἤδη. καὶ ὃς
ἐθαύμασε τίς παραγγέλλει. καὶ ἤρετο ὅ, τι εἴη τὸ σύνθημα. ὁ
δὲ ἀπεκρίνατο, ὅτι Ζεὺς σωτὴρ καὶ νίκη. ὁ δὲ Κῦρος ἀκούσας,
ἀλλὰ δέχομαι, ἔφη, καὶ τοῦτο ἔστω. ταῦτα δὲ εἰπὼν, εἰς τὴν
ἑαυτοῦ χώραν ἀπήλαυνε, καὶ οὐκέτι τρία ἢ τέτταρα στά-
δια ἀπειχέτην τὼ φάλαγγε ἀπ' ἀλλήλων, ἡνίκα ἐπαιά-
νιζόν τε οἱ Ἕλληνες, καὶ ἤρχοντο ἀντίοι ἰέναι τοῖς πο-
λεμίοις. ὡς δὲ πορευομένων, ἐξεκύμαινέ τι τῆς φάλαγ-
γος τὸ ἐπιλειπόμενον, ἤρξατο δρόμῳ θεῖν. καὶ ἅμα ἐ-
φθέγξαντο πάντες, οἷον περ τῷ Ἐνυαλίῳ ἐλελίζουσι,
καὶ πάντες δὲ ἔθεον. λέγουσι δέ τινες, ὡς καὶ ταῖς
ἀσπίσι πρὸς τὰ δόρατα ἐδούπησαν, φόβον ποιοῦντες
τοῖς ἵπποις. πρὶν δὲ τόξευμα ἐξικνεῖσθαι, ἐκκλίνουσιν
οἱ βάρβαροι τοῖς ἵπποις καὶ φεύγουσι. καὶ ἐνταῦθα δὴ ἐ-
δίωκον μὲν κατὰ κράτος οἱ Ἕλληνες, ἐβόων δὲ ἀλλήλοις
μὴ θεῖν δρόμῳ, ἀλλ' ἐν τάξει ἕπεσθαι. τὰ δὲ ἅρματα ἐφέρε-
το, τὰ μὲν δι' αὐτῶν τῶν πολεμίων· τὰ δὲ καὶ δι' αὐτῶν
τῶν Ἑλλήνων, κενὰ ἡνιόχων. οἱ δὲ, ἐπεὶ προΐδοιεν, διΐσταν-
το. ἔστι δὲ ὅστις καὶ κατελήφθη, ὥσπερ ἐν ἱπποδρόμῳ ἐκ-
πλαγείς. καὶ οὐδὲ μέντοι οὐδὲ τοῦτον παθεῖν ἔφασαν. οὐ-
δὲ ἄλλος δὲ τῶν Ἑλλήνων ἐν ταύτῃ τῇ μάχῃ ἔπαθεν οὐ-
δεὶς οὐδὲν, πλὴν ἐπὶ τῷ εὐωνύμῳ τοξευθῆναί τις ἐλέ-
γετο. Κῦρος δὲ ὁρῶν τοὺς Ἕλληνας, νικῶντας τὸ καθ' αὑτοὺς
καὶ διώκοντας, ἡδόμενος καὶ προσκυνούμενος ἤδη ὡς βασι-
λεὺς ὑπὸ τῶν ἀμφ' αὐτὸν, οὐδ' ὡς ἐξήχθη διώκειν, ἀλλὰ
συνεσπειραμένην ἔχων τὴν τῶν σὺν ἑαυτῷ ἑξακοσίων ἱπ-
πέων τάξιν, ἐπεμελεῖτο ὅ, τι ποιήσει βασιλεύς. καὶ γὰρ ᾔδει
αὐτὸν, ὅτι μέσον ἔχοι τοῦ περσικοῦ στρατεύματος. καὶ πάντες δὲ οἱ
τῶν βαρβάρων ἄρχοντες μέσον ἔχοντες τὸ αὑτῶν, ἡγοῦνται.
νομίζοντες οὕτως ἐν ἀσφαλεστάτῳ εἶναι, ἢν ᾖ ἡ ἰσχὺς αὐτῶν
ἑκατέρωθεν ᾖ, καὶ εἴ τι παραγγεῖλαι χρήζοιεν, ἡμίσει ἂν
χρόνῳ αἰσθάνεσθαι τὸ στράτευμα. καὶ βασιλεὺς δὴ τότε
μέσον ἔχων τῆς ἑαυτοῦ στρατιᾶς, ὅμως ἔξω ἐγένετο τοῦ
Κύρου

κύρου εὐωνύμου κέρατος. ἐπεὶ δὲ οὐδεὶς αὐτῷ ἐμάχετο ἐκ τοῦ
ἐναντίου, οὐδὲ τοῖς αὐτοῦ τεταγμένοις ἔμπροσθεν, ἐπέκαμ-
πτεν ὡς εἰς κύκλωσιν. ἔνθα δὴ κῦρος δείσας μὴ ὄπισθεν
γενόμενος, κατακόψει τὸ ἑλληνικὸν, ἐλαύνει ἀντίος, καὶ
ἐμβαλὼν σὺν τοῖς ἑξακοσίοις, νικᾷ τοὺς πρὸς βασιλέα τεταγ-
μένους, καὶ εἰς φυγὴν ἔτρεψε τοὺς ἑξακισχιλίους. καὶ ἀποκτεῖ-
ναι λέγεται αὐτὸς τῇ ἑαυτοῦ χειρὶ ἀρταγέρσην τὸν ἄρχοντα
αὐτῶν. ὡς δ' ἡ τροπὴ ἐγένετο, διασπείρονται καὶ οἱ κύρου ἑξακό-
σιοι εἰς τὸ διώκειν ὁρμήσαντες, πλὴν πάνυ ὀλίγοι ἀμφ'
αὐτὸν κατελείφθησαν, σχεδὸν οἱ ὁμοτράπεζοι καλούμενοι.
σὺν τούτοις δὲ ὢν, καθορᾷ βασιλέα καὶ τὸ ἀμφ' ἐκεῖνον στῖ-
φος, καὶ εὐθὺς οὐκ ἠνέσχετο, ἀλλ' εἰπὼν ὁρῶ τὸν ἄνδρα, ἵετο
ἐπ' αὐτὸν. καὶ παίει κατὰ τὸ στέρνον, καὶ τιτρώσκει διὰ τοῦ θώ-
ρακος, ὥς φησι κτησίας ὁ ἰατρὸς, καὶ ἰᾶσθαι αὐτὸς τὸ τραῦμά φη-
σι. παίοντα δ' αὐτὸν, ἀκοντίζει τις παλτῷ ὑπὸ τὸν ὀφθαλμὸν
βιαίως, καὶ ἐνταῦθα μαχόμενοι καὶ βασιλεὺς καὶ κῦρος, καὶ οἱ
ἀμφ' αὐτοὺς ὑπὲρ ἑκατέρου. ὁπόσοι μὲν τῶν ἀμφὶ βασιλέα ἀ-
πέθανον, κτησίας λέγει. παρ' ἐκείνῳ γὰρ ἦν. κῦρος δὲ αὐτός τε
ἀπέθανε, καὶ ὀκτὼ οἱ ἄριστοι τῶν περὶ αὐτὸν ἔκειντο ἐπ' αὐτῷ.
ἀρταπάτης δὲ ὁ πιστότατος αὐτῷ τῶν σκηπτούχων θεραπόντων
λέγεται, ἐπειδὴ εἶδε πεπτωκότα κῦρον, καταπηδήσας ἀπὸ
τοῦ ἵππου, περιπεσεῖν αὐτῷ. καὶ οἱ μέν φασι βασιλέα κελεύ-
σαι τινὰ, ἐπισφάξαι αὐτὸν κύρῳ. οἱ δὲ ἑαυτὸν ἐπισφάξαι
σπασάμενον τὸν ἀκινάκην. εἶχε γὰρ χρυσοῦν, καὶ στρεπτὸν δὲ ἐφό-
ρει, καὶ ψέλλια, καὶ τὰ ἄλλα, ὥσπερ οἱ ἄριστοι τῶν περσῶν.
ἐτετίμητο γὰρ ὑπὸ κύρου δι' εὔνοιάν τε καὶ πιστότητα. κῦρος
μὲν οὖν οὕτως ἐτελεύτησεν, ἀνὴρ ὢν περσῶν τῶν μετὰ κῦρον
τὸν ἀρχαῖον γενομένων, βασιλικώτατός τε καὶ ἄρχειν ἀξιώ-
τατος, ὡς παρὰ πάντων ὁμολογεῖται τῶν κύρου δοκούντων ἐν
πείρᾳ γενέσθαι. πρῶτον μὲν γὰρ ὢν ἔτι παῖς ὅτε ἐπαιδεύετο καὶ
σὺν τῷ ἀδελφῷ, καὶ τοῖς ἄλλοις παισὶ, πάντων πάντα κρά-
τιστος ἐνομίζετο. πάντες γὰρ οἱ τῶν ἀρίστων περσῶν παῖδες ἐν
ταῖς βασιλέως θύραις παιδεύονται. ἔνθα πολλὴν μὲν σω-
φροσύνην καταμάθοι ἄν τις. αἰσχρὸν δ' οὐδὲν οὔτε ἀκοῦσαι
οὔτ' ἰδεῖν ἔστι. θεῶνται δ' οἱ παῖδες καὶ τοὺς τιμωμένους ὑπὸ βα-
σιλέως. καὶ ἀκούουσι καὶ ἄλλους ἀτιμαζομένους, ὥστ' εὐθὺς παῖ-
δες ὄντες, μανθάνουσιν ἄρχειν τε καὶ ἄρχεσθαι. ἔνθα κῦ-
ρος αἰδημονέστατος μὲν πρῶτον τῶν ἡλίκων ἐδόκει εἶναι, τοῖς τε
πρεσβυτέροις καὶ τῶν αὐτοῦ ὑποδεεστέρων μᾶλλον πείθεσθαι.
ἔπειτα δὲ φιλιππότατος, καὶ τοῖς ἵπποις ἄριστα χρῆσθαι. ἔκρι-
νον δ' αὐτὸν καὶ τῶν εἰς τὸν πόλεμον ἔργων, τοξικῆς τε καὶ ἀκον-
τίσεως, φιλομαθέστατον εἶναι καὶ μελετηρότατον. ἐπεὶ δὲ τῇ
ἡλικίᾳ ἔπρεπε καὶ φιλοθηρότατος ἦν, καὶ πρὸς τὰ θη-
ρία μέντοι φιλοκινδυνότατος, καὶ ἄρκτον ποτὲ ἐπιφε-
ρομένην οὐκ ἔτρεσεν, ἀλλὰ συμπεσὼν, κατεσπάσθη ἀπὸ
τοῦ ἵππου. καὶ τὰ μὲν ἔπαθεν, ὧν καὶ τὰς ὠτειλὰς φανερὰς
εἶχε. τέλος δὲ κατέκτανε. καὶ τὸν πρῶτον μέντοι βοηθή-
σαντα, πολλοῖς μακαριστὸν εἶναι ἐποίησεν. ἐπεὶ δὲ κα-
τεπέμφθη ὑπὸ τοῦ πατρὸς, σατράπης λυδίας τε καὶ φρυ-
γίας τῆς μεγάλης καὶ καππαδοκίας, στρατηγὸς δὲ καὶ πάν-
των ἀπεδείχθη, οἷς καθήκει εἰς καστωλοῦ πεδίον ἀθροί-
ζεσθαι, πρῶτον μὲν ἐπέδειξεν αὐτὸν, ὅτι περὶ πλείστου ποιοῖτο
εἴ τῳ σπείσαιτο, καὶ εἴ τῳ συνθοῖτο, καὶ εἴ τῳ ὑπόσχοιτό τι, μη-
δὲν ψεύδεσθαι. καὶ γὰρ οὖν ἐπίστευον μὲν αὐτῷ αἱ πόλεις ἐπιτρεπό-
μεναι, ἐπίστευον δ' οἱ ἄνδρες, καὶ εἴ τις πολέμιος ἐγένετο σπεισα-
μένου κύρου, ἐπίστευε μηδὲν ἂν παρὰ τὰς σπονδὰς παθεῖν.

τοιγαροῦν

Cyri cornu procurrebat: in hac ex aduerso nulla facta impressio fuerat. Quare cum Cyrus regem animaduertisset curuatis ordinibus in eam partem, quæ hoste uacabat, incumbentē, ueritus ne si in longiorem ambitum se explicuisset, Græcorū terga cæderet, in eum cum globo suo inuectus est, ac primo statim impetu regios ordines fundit, VI. hostiū millia de cohorte prætoria in fugam uertit, eorūq; ducem Artagesen sua manu occidit. Vt illi terga uertere, Cyri manus dum eos urget auidius, iam confidentius ordinem deserit: pauci tamen cum Cyro remanserunt, nempe hi, qui eius contubernales appellabantur. Interea Cyrus regem suo incinctum globo conspicatus, continere se amplius nequit, Video, inquit, hominē: statimq; in eum inuadit, infesta hasta per loricā pectus uerberat. Quod se uulnus Ctesias medicus curasse refert. Ibi hostē incautus ferientē, tragula ex hostili acie, nescio quis Cyrum alte sub oculo uulnerat. Pugnatur utrinq; acriter, dum suū utraq; pars regē protegit. Ctesias quidē, qui ceciderint circa regem, memorat, in illis enim fuit partibus. In his cū Cyrus ipse, tum ex eius cohorte VIII. uiri fortissimi occubuere. Hic Artapetes eorum qui cum sceptro Cyro apparebant, fidelissimus, posteaquā Cyrū humi iacentē uidit, ex equo descendens, ad eius se cadauer abiecit. Hunc sunt qui dicant, regis iussu supra Cyri corpus iugulatū, alij ipsum sibimet latus acinace cōfodisse: erat enim ei aureus acinaces, ut qui & torquē gestaret, & armillas aureas, ut quiuis ex Persarū optimatibus, cum esset ob fidem ac beneuolentiā in summo apud Cyrū honore. Hunc Cyrus uitæ exitum habuit, uir cōsentienti omniū qui cum eo uixerant iudicio, unus post maiorē Cyrū, ad regnandū imperandūq; maximè factus. Is primū cum puer esset, omni puerilū exercitationū genere, & fratri & æqualib. cæterisq; quib. cum educabatur, præstitit. NAM in Persis Principū liberi ad ipsas regiæ fores erudiūntur, ubi multa illis summæ cōtinentiæ documēta suppeditāt, cum nihil unquā fœdū, uel obscœnū aspiciant, aut audiāt: cum uero alios honoribus, probris alios à rege affici uideāt, statim à pueris cum parendi, tum bene imperandi exemplis imbuuntur. In ea se disciplina Cyrus præ cūctis æqualibus suis maxime docilem præbuit: idemq; senioribus, multo etiam quàm qui inferiore erant fortuna, promptius parebat: equos studiose alebat, atq; his utebatur scientissime. In armorum studijs, iaculis, ac sagittis mittendis, tantum consequebatur, ut in eo tyrocinio ac meditatione longo interuallo cæteris anteponeretur. Puber uero factus, ad uenationem studiosissime animum adiecit. in qua pericula unus omnium fortissimè adibat, atq; adeo ut ursum aliquando in se ruentem nihil extimuerit, sed cum eo congressus, ab equo quidem fuerit abstractus, & uulnera acceperit, quorum etiam cicatrices poterant: feram tamen peremerit: eumque, qui sibi primus in eo certamine auxiliū tulerat, perhonorificis præmijs affecerit. Postea uero quàm Lydia ei à patre, magna Phrygia, & Cappadocia, & eorum omnium qui in Castoli campos conueniunt, imperium decretum est, primum facile omnibus declarauit, se nihil fœderum, pactorum, ac promissorum omnium religione antiquius habere. Quare eximiam ei fidem cum ciuitates, quæ in eius potestate erant, tum alij omnes populi habebant. Neq; hostes etiā ipsi, si quid cum Cyro pepigissent, ne quid præter compositionis ius paterentur, metuebant.

Quam

Quam ob rem ubi Tissapherni bellum intulit, ciuitates cunctæ ultro, præter Milesios ad Cyrum defecerant. Nam Milesij, quod exulum causam nollet negligere, ei se credere ueriti sunt. Id enim præ se ferebat, ac prædicabat, multoq; magis re ipsa confirmabat, se eos ne in aduersis quidem rebus atq; afflicta fortuna, quos iam antè in fidē recepisset, destituturum. Perspicuum uerò omnibus semper fuit, id esse ei omnium antiquissimum certamen, ut bene de se meritos beneficijs, inimicos nocendi rationibus superaret. Neq; ullum ei frequentius uotum esse consueuisse, multi prodiderunt, quàm ut tandiu uiuere liceret, donec & amicorum beneficia, & inimicorum iniurias uinceret. Quare uni ei ex omnibus ætatis nostræ hominibus, cūcti mortales pecuniam, urbes, corpora etiam sua tradere cupiebant. Neq; tamen uere quisquam dixerit, improbis ac sceleratis hominibus impunitatem apud eum fuisse, cum in eos seuerissimè animaduerteret, atq; adeo, ut in militaribus uijs multi passim offenderētur, quibus uel manus, uel pedes præcisi, uel effossi essent oculi. Quo fiebat, ut in toto Cyri imperio quietis omnibus ac pacatis, uel Græcis, uel barbaris, quicquid ex re commodoq; suo comportarent, tutissima essent itinera. Præ cæteris quidem, militari uirtute præstantibus hominibus maximum honorem habebat. Primam in Pisidas & Mysos expeditionem suscepit: cui cum ipse etiam interfuisset, quos alacriter belli se periculis obijcere animaduerterat, ijs earum quas armis subegisset prouinciarum imperia, & alia item præmia ac munera detulit. Quibus ex rebus efficiebatur, ut fortissimi quiq; fortuna etiam excellerent: contrà uero timidi & ignaui, nihilo honestiores haberentur, quàm si illis seruitutem seruirent. Quamobrem nunquam deerant, qui ultro se periculis offerrent, modo id Cyrum resciturum putarent. In primis uerò si qui aliquod iustitiæ documentum dedissent, eos sibi Cyrus multò magis locupletandos putabat quàm quos lucri cupiditate teneri animaduertisset. Hinc meritò & adiumenta rerum gerendarum ei omnia undecunq; suppetebant, & firmissimo ac fidelissimo exercitu utebatur. Duces enim & centuriones non pecuniæ cupiditate, sed uerissimæ disciplinæ amore, quā menstruis stipendijs multo utiliorem ducebant, ultrò ad eum e Græcia nauigabant: sed neq; ille ijs unquam, qui alacriter imperata fecissent, se ingratum præbuit. Quare uni omnium optimi ac præstantissimi cuiusuis operis adiutores præstò erāt. Quod si quem uideret, aut bono modo rem familiarē augentem, atq; ea in re diligentem & callidum: aut regionem, cui præesset, dum bene eam constitueret, fructuosiorem multò reddentem, nihil ei omnino adimebat, quin eius industriam sua etiam liberalitate prosequebatur. Ex quo & libenter omnes labores suscipiebant, & partis bonis fidenter fruebantur: quo fiebat, ut nemo quantū possideret, Cyrum celaret. Neq; enim cuiquam aperte quærenti inuidebat, sed clàm coactam pecuniam uindicabat. Ac eorum quidem cōmodis quos in amicitiā suam recepisset, quosq; sibi beneuolos, & ad opem ferendam (quodcūq; suscepisset negocium) promptos esse intelligeret, omnium consensu studiosissime seruiebat: quandoquidem cuius rei causa aliorū ipse amicitiā magnopere sibi necessariā esse ducebat, quò scilicet rerum gerendarū socios & adiutores haberet: eadem etiam in re amicis, ubi eorum tempora postularent, opitulando gratiam referendam putabat.

Dona

τοιγαροῦν, ἐπεὶ Τισσαφέρνει ἐπολέμησε, πᾶσαι αἱ πόλεις ἑκοῦσαι Κῦρον εἵλοντο ἀντὶ Τισσαφέρνους, πλὴν Μιλησίων. οὗτοι δὲ ὅτι οὐκ ἤθελε τοὺς φεύγοντας προέσθαι, ἐφοβοῦντο αὐτόν. καὶ γὰρ ἔργῳ ἐπεδείκνυε καὶ ἔλεγεν, ὅτι οὐκ ἄν ποτε προοῖτο, ἐπεὶ ἅπαξ αὐτοῖς φίλος ἐγένετο, οὐδ' εἰ ἔτι μὲν μείους γένοιντο, ἔτι δὲ καὶ κάκιον πράξειαν. φανερὸς δ' ἦν, καὶ εἴ τις ἀγαθὸν ἢ κακὸν ποιήσειεν αὐτῷ, νικᾶν πειρώμενος. καὶ εὐχὴν δέ τινες αὐτοῦ ἐξέφερον, ὡς εὔχοιτο τοσοῦτον χρόνον ζῆν, ἔστε νικῴη καὶ τοὺς εὖ καὶ τοὺς κακῶς ποιοῦντας ἀλεξόμενος. καὶ γὰρ οὖν πλεῖστοι δὴ αὐτῷ, ἑνί γε ἀνδρὶ τῶν ἐφ' ἡμῶν ἐπεθύμησαν, καὶ χρήματα, καὶ πόλεις, καὶ τὰ ἑαυτῶν σώματα προέσθαι. οὐ μὲν δή, οὐδὲ τοῦτ' ἄν τις εἴποι, ὡς τοὺς κακούργους καὶ ἀδίκους εἴα καταγελᾶν, ἀλλ' ἀφειδέστατα πάντων ἐτιμωρεῖτο. πολλάκις δ' ἦν ἰδεῖν παρὰ τὰς στειβομένας ὁδούς, καὶ ποδῶν, καὶ χειρῶν, καὶ ὀφθαλμῶν στερουμένους ἀνθρώπους, ὥστε ἐν τῇ Κύρου ἀρχῇ ἐγένετο, καὶ Ἕλληνι καὶ βαρβάρῳ μηδὲν ἀδικοῦντι, ἀδεῶς πορεύεσθαι ὅποι τις ἤθελεν, ἔχοντι ὅ,τι προχωροίη. τούς γε μέν τοι ἀγαθοὺς εἰς πόλεμον, ὡμολόγητο διαφερόντως τιμᾶν. καὶ πρῶτον μὲν ἦν αὐτῷ πόλεμος πρὸς Πισίδας καὶ Μυσούς. στρατευόμενος οὖν καὶ αὐτὸς εἰς ταύτας τὰς χώρας, οὓς ἑώρα ἐθέλοντας κινδυνεύειν, τούτους καὶ ἄρχοντας ἐποίει ἧς κατεστρέφετο χώρας, καὶ ἄλλοις δώροις ἐτίμα. ὥστε φαίνεσθαι τοὺς μὲν ἀγαθοὺς εὐδαιμονεστάτους, τοὺς δὲ κακούς, δούλους τούτων ἀξιοῦσθαι εἶναι. τοιγαροῦν πολλὴ ἦν ἀφθονία, τῶν ἐθελόντων κινδυνεύειν, ὅπου τις οἴοιτο Κῦρον αἰσθήσεσθαι. εἴς γε μὴν δικαιοσύνην εἴ τις αὐτῷ φανερὸς γένοιτο, ἐπιδείκνυσθαι βουλόμενος, περὶ παντὸς ἐποιεῖτο τούτους πλουσιωτέρους ποιεῖν, τῶν ἐκ τοῦ ἀδίκου φιλοκερδούντων. καὶ γὰρ οὖν, ἄλλα τε πολλὰ δικαίως αὐτῷ διεχειρίζετο, καὶ στρατεύματι ἀληθινῷ ἐχρήσατο. καὶ γὰρ στρατηγοὶ καὶ λοχαγοὶ οὐ χρημάτων ἕνεκα πρὸς ἐκεῖνον ἔπλευσαν, ἀλλ' ἐπεὶ ἔγνωσαν κερδαλεώτερον εἶναι καλῶς πειθαρχεῖν, ἢ τὸ κατὰ μῆνα κέρδος. ἀλλὰ μήν, εἴ τίς γέ τι αὐτῷ προστάξαντι καλῶς ὑπηρετήσειεν, οὐδενὶ πώποτε ἀχάριστον εἴασε τὴν προθυμίαν. τοιγαροῦν κράτιστοι δὴ ὑπηρέται παντὸς ἔργου, Κύρῳ ἐλέχθησαν γενέσθαι. εἰ δέ τινα ὁρῴη, δεινὸν ὄντα οἰκονόμον ἐκ τοῦ δικαίου, καὶ κατασκευάζοντά τε ἧς ἄρχοι χώρας, καὶ προσόδους ποιοῦντα, οὐδένα ἂν πώποτε ἀφείλετο, ἀλλὰ καὶ πλείω προσεδίδου. ὥστε καὶ ἡδέως ἐπόνουν, καὶ θαρραλέως ἐκτῶντο, καὶ ἃ ἐπέπατο αὖ τις, ἥκιστα Κῦρον ἔκρυπτεν. οὐ γὰρ φθονῶν τοῖς φανερῶς πλουτοῦσιν ἐφαίνετο, ἀλλὰ πειρώμενος χρῆσθαι τοῖς τῶν ἀποκρυπτομένων χρήμασι. φίλους γε μὴν ὅσους ποιήσαιτο, καὶ εὔνους γνοίη ὄντας, καὶ ἱκανοὺς κρίνειε συνεργοὺς εἶναι, ὅ,τι τυγχάνοι βουλόμενος κατεργάζεσθαι, ὁμολογεῖται πρὸς πάντων κράτιστος δὴ γενέσθαι θεραπεύειν. καὶ γὰρ αὐτὸ τοῦτο, οὗπερ αὐτὸς ἕνεκα φίλων ᾤετο δεῖσθαι, ὡς συνεργοὺς ἔχοι, καὶ αὐτὸς ἐπειρᾶτο συνεργὸς τοῖς φίλοις κράτιστος εἶναι τούτου, ὅτου ἕκαστον αἰσθάνοιτο ἐπιθυμοῦντα.

δῶρα

Δῶρα δὲ πλεῖστα μὲν οἶμαι εἷς γε ἀνὴρ ὢν ἐλάμβανε διὰ πολλά. ταῦτα δὲ δὴ πάντα μάλιστα τοῖς φίλοις διεδίδου, πρὸς τοὺς τρόπους ἑκάστου σκοπῶν, καὶ ὅτου μάλιστα ὁρῴη ἕκαστον δεόμενον. καὶ ὅσα τῷ σώματι αὐτοῦ κόσμον πέμποι τις, ἢ ὡς εἰς πόλεμον, ἢ ὡς εἰς καλλωπισμόν, καὶ περὶ τούτων λέγειν αὐτὸν ἔφασαν, ὅτι τὸ μὲν ἑαυτοῦ σῶμα οὐκ ἂν δύναιτο τούτοις πᾶσι κοσμηθῆναι· φίλους δὲ καλῶς κεκοσμημένους, μέγιστον κόσμον ἀνδρὶ νομίζοι. καὶ τὸ μὲν τὰ μεγάλα νικᾶν τοὺς φίλους εὖ ποιοῦντα οὐδὲν θαυμαστόν, ἐπειδή γε καὶ δυνατώτερος ἦν. τὸ δὲ τῇ ἐπιμελείᾳ περιεῖναι τῶν φίλων, καὶ τῷ προθυμεῖσθαι χαρίζεσθαι, ταῦτα μᾶλλον ἔμοιγε δοκεῖ ἀγαστὰ εἶναι. κῦρος γὰρ ἔπεμπε βίκους οἴνου ἡμιδεεῖς πολλάκις, ὁπότε πάνυ ἡδὺν λάβοι, λέγων ὅτι οὔπω δὴ πολλοῦ χρόνου τούτου ἡδίονι οἴνῳ ἐπιτύχοι. τοῦτον οὖν σοὶ ἔπεμψε, καὶ δεῖταί σου τοῦτον ἐκπιεῖν τήμερον σὺν οἷς μάλιστα φιλεῖς. πολλάκις δὲ χῆνας ἡμιβρώτους ἔπεμπε καὶ ἄρτων ἡμίσεα, καὶ ἄλλα τοιαῦτα, ἐπιλέγειν κελεύων τὸν φέροντα. τούτοις ἥσθη κῦρος, βούλεται οὖν καὶ σὲ τούτων γεύσασθαι. ὅπου δὲ χιλὸς σπάνιος πάνυ εἴη, αὐτὸς δ' ἐδύνατο παρασκευάσασθαι, διὰ τὸ πολλοὺς ἔχειν ὑπηρέτας, καὶ διὰ τὴν ἐπιμέλειαν, διαπέμπων, ἐκέλευε τοὺς φίλους τοῖς τὰ ἑαυτῶν σώματα ἄγουσιν ἵπποις, ἐμβάλλειν τοῦτον τὸν χιλόν, ὡς μὴ πεινῶντες τοὺς ἑαυτοῦ φίλους ἄγωσιν. εἰ δὲ δή ποτε πορεύοιτο, καὶ πλεῖστοι μέλλοιεν ὄψεσθαι, προσκαλῶν τοὺς φίλους, ἐσπουδαιολογεῖτο, ὡς δηλοίη οὓς τιμᾷ. ὥστε ἔγωγε ἐξ ὧν ἀκούω, οὐδένα κρίνω ὑπὸ πλειόνων πεφιλῆσθαι, οὔτε ἑλλήνων οὔτε βαρβάρων. τεκμήριον δὲ τούτου καὶ τόδε. παρὰ μὲν κύρου δούλου ὄντος, οὐδεὶς ἀπῄει πρὸς βασιλέα. πλὴν ὀρόντας ἐπεχείρησε. καὶ οὗτος δὲ, ὃν ᾤετο πιστόν οἱ εἶναι, ταχὺ αὐτὸν ηὗρε κύρῳ φιλαίτερον ἢ ἑαυτῷ. παρὰ δὲ βασιλέως πολλοὶ πρὸς κῦρον ἀπῆλθον, ἐπεὶ πολέμιοι ἀλλήλοις ἐγένοντο. καὶ οὗτοι μέντοι οἱ μάλιστα ὑπ' αὐτοῦ ἀγαπώμενοι, νομίζοντες παρὰ κύρῳ ὄντες ἀγαθοί, ἀξιωτέρας ἂν τιμῆς τυγχάνειν ἢ παρὰ βασιλεῖ. μέγα δὲ τεκμήριον, καὶ τὸ ἐν τῇ τελευτῇ τοῦ βίου αὐτῷ γενόμενον, ὅτι καὶ αὐτὸς ἦν ἀγαθός, καὶ κρίνειν ὀρθῶς ἐδύνατο τοὺς πιστοὺς καὶ εὔνους καὶ βεβαίους. ἀποθνήσκοντος γὰρ αὐτοῦ, πάντες οἱ παρ' αὐτὸν φίλοι καὶ συντράπεζοι, μαχόμενοι ἀπέθανον ὑπὲρ κύρου, πλὴν ἀριαίου. οὗτος δὲ τεταγμένος ἐτύγχανεν ἐπὶ τῷ εὐωνύμῳ τοῦ ἱππικοῦ ἄρχων. ὡς δ' ᾔσθετο κῦρον πεπτωκότα, ἔφυγεν, ἔχων καὶ τὸ στράτευμα πᾶν, οὗ ἡγεῖτο. ἐνταῦθα δὴ κύρου ἀποτέμνεται ἡ κεφαλή, καὶ χεὶρ ἡ δεξιά. βασιλεὺς δὲ καὶ οἱ σὺν αὐτῷ διώκων, εἰσπίπτει εἰς τὸ κύρειον στρατόπεδον. καὶ οἱ μὲν μετὰ ἀριαίου οὐκέτι ἵστανται, ἀλλὰ φεύγουσι διὰ τοῦ αὐτῶν στρατοπέδου εἰς τὸν σταθμὸν ἔνθεν ὡρμῶντο. τέτταρες δ' ἐλέγοντο παρασάγγαι τῆς ὁδοῦ εἶναι. βασιλεὺς δὲ καὶ οἱ σὺν αὐτῷ, τά τε ἄλλα πολλὰ διαρπάζουσι, καὶ τὴν φωκαΐδα τὴν κύρου παλλακίδα τὴν σοφὴν καὶ καλὴν λεγομένην εἶναι λαμβάνει. ἡ δὲ μιλησία ἡ νεωτέρα, ληφθεῖσα ὑπὸ τῶν ἀμφὶ βασιλέα, ἐκφεύγει γυμνὴ πρὸς τῶν ἑλλήνων, οἳ ἔτυχον ἐν τοῖς σκευοφόροις ὅπλα ἔχοντες. καὶ ἀντιταχθέντες, πολλοὺς μὲν τῶν διαρπαζόντων ἀπέκτειναν, οἱ δὲ καὶ αὐτῶν ἀπέθανον. οὐ

Dona autem, quæ unus omniũ plurima accipere consueuerat, omnia inter amicos pro cuiusq; uitæ ac temporum conditione diuidebat. Quin & quæ sibi ornamenta uel ad belli usum, uel ad elegantiam uestitus mittebantur, elargiebatur. Quo in genere hoc eius dictum celebratur: Non posse suum unius corpus ijs omnibus ornari: amicos uero egregie ornatos, præclarum se homini ornatum putare. At enim quòd amicos beneficijs uinceret, cum tanto illis esset potentior, nihil fortasse mirum uideatur: quod uero cura, & in bene de illis merendo alacritate, eosdem longo interuallo superaret, id enimuero mihi laude & admiratione summa dignum uideri solet. Quoties enim uini, quod esset optimum & præstantißimũ nactus, semiplenos cantharos ad suos mittebat, quod se nescire diceret, quando eo melius nancisci posset? Hoc igitur dicebat is, cui negocium datum esset: Tibi Cyrus mittit, teq; ut id hodie cum ijs bibas quos maximè diligis, rogat. Quoties semesos anseres? Quoties panes dimidiatos, & huius generis alia mittebat? Quæ qui ferebant, Hæc ubi, aiebant, Cyrus impertitur, quod ipsi iucundißima fuere. Quoties in magna pabuli penuria, quod sibi facilius comparatu esset pabulum, propter pabulatorum multitudinem ac diligentiam, ad amicos mittebat, atque id equis, ut suis, quibus ueherentur, apponerent hortabatur, ne illi dominos esurientes ueherent? Quoties in uia, multis spectantibus dedita opera ad se amicos uocabat, cumq; illis secreto loquebatur, ut quibus honorem haberet, testificaretur? Quare ex omnibus quos ego audierim, uel Græcis, uel barbaris, neminem statuo plures unquam amicos habuisse. Cui rei & illud documento est, quod à Cyro, qui sub alieno erat imperio, nemo unquam ad regem defecit, uno Oronte excepto: quem tamen rex dum sibi fidelem putat, Cyro pene, quàm sibi amictorem inuenit. Ab ipso uero rege ad Cyrum, bello suscepto, quàm plurimi perfugere, atq; hi maxime regi familiares, quod uirtuti suæ maiorem à Cyro, quàm ab ipso rege honorem habitum iri putarent. Bene autem cum illo, & præclare extremo uitæ tempore actum est, quod & ipse fortiter dimicans occubuerit, ac suorum in se fidem, beneuolentiam, ac constantiam sit expertus: quando amici omnes, & contubernales pro eo pugnantes ceciderunt, præter Ariæum. Is enim cum in læuo cornu equitatui præesset, ubi Cyrum cecidisse comperit, integris copijs suis aufugit. Cyro tunc, & caput, & dextera manus abscissa est. At rex cum exercitu hostem insequens, in Cyri castra incidit. Ariæus non prius cum suis fugere destitit, quàm ad ea unde paulo ante discessum fuerat, castra peruenit, quæ sexdecim fere millia passuum ab eo loco, quo prælium commissum est, abfuerunt. Rex interim cum suis castra diripit, ac Cyri ipsius Pallacam Phocaicam, eximia specie, ac prudentia etiam, uti fama ferebatur, mulierem abducit. Nanque altera natu minor Milesia, à regia cohorte capta, nuda effugit, seq; ad eas Græcorum turmas recepit, quæ forte inter impedimenta cum armis steterant. Et illi quidem barbaris castra diripientibus, globo facto acriter restiterunt, multosque ex ijs ceciderũt:

ac quamuis nonnulli ex ipsis etiam ceciderint, locum
tamen suum tutati sunt, mulierémque, & cæteros
homines, résque omnes quæ ea in parte fuerunt, ser-
uarunt. Erat inter regem & Græcos x x x. ferè sta-
diorum interuallum. Et Græci quidem cum uictos à
se omnes putarent, urgebant: Barbari contrà qua-
si ex omni parte uicissent, se totos ad prædam con-
uerterant. Vbi uero & Græci regem cum sua manu
ad impedimenta peruenisse cognouerunt, & rex à
Tissapherne certior factus est, uicisse sua ex parte 10
Græcos, ac fusos persequi, rex copias suas colligit,
& componit. Clearchus & Proxenus, qui loco pro-
ximi erant, deliberant, nunquid uniuersis castris o-
pem ferant, an copiarum tantum partem mittant.
At rex interea ita suos instruebat, ut à tergo impres-
sionem facturus uideretur: quare Græci collecti, in
quam ille partem minaretur, ea aut ui perrumpere,
aut hostis irruptionem sustinere putabant. Sed ille,
qua paulo ante progressus fuerat, extra læuum Cy-
ri cornu, inde retractis ijs qui in pugna ad Græcos 20
perfugerant, & intra suum agmen Tissapherne re-
cepto, retrocessit. Tissaphernes in primo congres-
su non sane fugerat, sed cum secundum flumen pel-
tatos Græcorum inuasisset, neminem plane interfe-
cit: quin Græci cum se in duas partes diuisissent, e-
um cohortem cum gladijs, tum missilibus urgere cœ-
perunt. Imperabat peltatis Episthenes Megalopoli-
tanus, uir cum primis prudens & fortis: eo factum
est, ut Tissaphernes inferior discesserit. In Græco-
rum uero castra cum incidisset, ibi regem offendit, 30
quò cum instructo agmine profectus est. Ac ad læuum
cornu Græcorum cum propius accessissent, ueriti sunt
Græci ne se inuaderent, ac utrinq; explicatis ordinib.
circumuentos cæderent: optimum igitur factu uideba
tur, si illud ipsum cornu ita porrigerent, ut flumen à
tergo haberent. Dum id consiliū ineunt, rex in eos
haud alia forma aciem dirigit, quàm qua ante con-
gressus fuerat. Illi simulac barbaros ita instructos ap-
propinquare senserunt, per pæanem patrio ritu signo
dato, eos multo alacrius etiam quam ante, adorti 40
sunt. Barbari nusquam impetum sustinentes, effu-
sius multò quàm paulò ante fugam fecerunt. At hi
cum usq; ad uicum quendam insequuti essent, paulu-
lum substitere: ob eam nempe causam, quod regis e-
questres copiæ, sine ullo peditatu collem qui supra ui-
cum erat, tam latè insederant, ut totus ab equitibus te
neretur. quare cunctati sunt primum, quid ageretur in
certi. Hic aiunt regale signum agnitum, auream aqui
lam, in pelta ad summā hastam alligata. Verum cum
subire aduersum cliuum Græci cœpissent, diffugiētes 50
barbari quà quisq; poterat, dissipatis ordinibus cum
collem deseruere. Quem etsi præsidio nudatum, dila-
psis iam omnibus equitibus Clearchus cōspicatus est,
tantisper tamen milites suos continuit, dum Lycius Sy
racusanus, & alius quidam, quos speculatū miserat,
quæ in colle cōperissent, renunciarent. Ac Lycius re-
diens, hostes nūciat quàm maxime citatis equis fugere.
Verum cum iam prope esset ut occideret sol, armis de
positis quiescendū putarunt: ac tūc primum admirari
cœperunt, quod neq; Cyrus, quem perisse ignorabāt,
neq;

οὐ μὴν ἔφυγόν γε, ἀλλὰ καὶ ταύτην ἔσωσαν, καὶ τὰ ἄλλα
ὁπόσα ἐντὸς αὐτῶν καὶ χρήματα καὶ ἄνθρωποι ἐγένοντο,
πάντα ἔσωσαν. ἐνταῦθα διέσχον ἀλλήλων βασιλεύς τε
καὶ οἱ Ἕλληνες, ὡς τριάκοντα στάδια. οἱ μὲν διώκοντες
τοὺς καθ' ἑαυτοὺς ὡς πάντας νικῶντες. οἱ δὲ ἁρπάζοντες,
ὡς ἤδη πάντες νικῶντες. ὡς δὲ ᾔσθοντο οἱ μὲν Ἕλλη-
νες, ὅτι βασιλεὺς σὺν στρατεύματι ἐν τοῖς σκευοφόροις
εἴη, βασιλεὺς δ' αὖ ἤκουσε Τισσαφέρνους, ὅτι οἱ Ἕλληνες
νικῷεν τὸ καθ' ἑαυτοὺς, καὶ εἰς τὸ πρόσθεν οἴχονται διώ-
κοντες, ἐνταῦθα δὴ βασιλεὺς μὲν ἀθροίζει τοὺς ἑαυτοῦ,
καὶ συντάττεται. ὁ δὲ Κλέαρχος ἐβουλεύετο πρόξενον κα-
λέσας, πλησιαίτατος γὰρ ἦν, εἰ πέμποιεν τινὰς, ἢ πάν-
τες ἴοιεν ἐπὶ τὸ στρατόπεδον ἀρήξοντες. ἐν τούτῳ βασι-
λεὺς πάλιν δῆλος ἦν προσιὼν, ὡς ἐδόκει, ὄπισθεν. καὶ
οἱ μὲν Ἕλληνες συστραφέντες παρασκευάζονται, ὡς
ταύτῃ προσιόντος καὶ δεξόμενοι. ὁ δὲ βασιλεὺς ταύτῃ μὲν
οὐκ ἦγεν, ᾗ δὲ παρῆλθεν ἔξω τοῦ εὐωνύμου κέρατος,
ταύτῃ καὶ ἀπήγαγεν ἀναλαβὼν, καὶ τοὺς ἐν τῇ μάχῃ πρὸς
τοὺς Ἕλληνας αὐτομολήσαντας, καὶ Τισσαφέρνην καὶ τοὺς
σὺν αὐτῷ. ὁ γὰρ Τισσαφέρνης ἐν τῇ πρώτῃ συνόδῳ οὐκ ἔφυ-
γεν, ἀλλὰ διήλασε παρὰ τὸν ποταμὸν κατὰ τοὺς Ἕλληνας πελτα-
στάς. διελαύνων δὲ, κατέκανε μὲν οὐδένα. διαστάντες δὲ οἱ
Ἕλληνες ἔπαιον καὶ ἠκόντιζον αὐτούς. ἐπισθένης δὲ ἀμφιπολί-
της ἦρχε τῶν πελταστῶν, καὶ ἐλέγετο φρόνιμος γενέσθαι. ὁ δ' οὖν
Τισσαφέρνης ὡς μεῖον ἔχων, ἀπηλλάγη. εἰς δὲ τὸ στρατόπεδον
ἀφικόμενος τὸ τῶν Ἑλλήνων, ἐκεῖ συντυγχάνει βασιλεῖ. καὶ
ὁμοῦ δὴ πάλιν συνταξάμενοι, ἐπορεύοντο. ἐπεὶ δ' ἦσαν
κατὰ τὸ εὐώνυμον τῶν Ἑλλήνων κέρας, ἔδεισαν οἱ Ἕλληνες, μὴ
προσάγοιεν πρὸς τὸ κέρας, καὶ περιπτύξαντες ἀμφοτέρω-
θεν αὐτοὺς, κατακόψειαν, καὶ ἐδόκει αὐτοῖς ἀναπτύσσειν τὸ
κέρας, καὶ ποιήσασθαι ὄπισθεν τὸν ποταμόν. ἐν ᾧ δὲ ταῦτα ἐ-
βουλεύοντο, καὶ δὴ βασιλεὺς παραμειψάμενος εἰς τὸ αὐτὸ
σχῆμα, κατέστησεν ἐναντίαν τὴν φάλαγγα, ὥσπερ τὸ πρῶ-
τον μαχούμενος συνῄει. ὡς δὲ εἶδον οἱ Ἕλληνες, ἐγγύς τε
ὄντας καὶ παρατεταγμένους, αὖθις παιανίσαντες ἐπῇσαν
πολὺ ἔτι προθυμότερον, ἢ τὸ πρόσθεν. οἱ δὲ αὖ βάρ-
βαροι οὐκ ἐδέχοντο, ἀλλ' ἐκ πλέονος ἢ τὸ πρόσθεν ἔ-
φευγον. οἱ δὲ ἐπεδίωκον μέχρι κώμης τινός. ἐνταῦ-
θα δὲ ἔστησαν οἱ Ἕλληνες. ὑπὲρ γὰρ τῆς κώμης γήλο-
φος ἦν, ἐφ' οὗ ἀνεστράφησαν οἱ ἀμφὶ βασιλέα, πεζοὶ μὲν
οὐκέτι. τῶν δὲ ἱππέων ὁ λόφος ἐνεπλήσθη. ὥστε τὸ ποι-
ούμενον μὴ γιγνώσκειν. καὶ τὸ βασίλειον σημεῖον ὁρᾶν
ἔφασαν, αἰετόν τινα χρυσοῦν ἐπὶ πέλτης, ἐπὶ ξύλου ἀ-
νατεταμένον. ἐπεὶ δὲ καὶ ἐνταῦθα ἐχώρουν οἱ Ἕλληνες,
λείπουσι δὴ καὶ τὸν λόφον οἱ ἱππεῖς, οὐ μὴν ἔτι ἀθρόοι,
ἀλλ' ἄλλοι ἄλλοθεν. ἐψιλοῦτο δὲ ὁ λόφος τῶν ἱππέων.
τέλος δὲ καὶ πάντες ἀπεχώρησαν. ὁ οὖν Κλέαρχος οὐκ
ἀνεβίβαζεν ἐπὶ τὸν λόφον, ἀλλ' ὑπὸ αὐτὸν στήσας τὸ
στράτευμα, πέμπει Λύκιον τὸν Συρακούσιον, καὶ ἄλ-
λον ἐπὶ τὸν λόφον, καὶ κελεύει κατιδόντας τὰ ὑπὲρ τοῦ
λόφου, τί ἐστιν, ἀπαγγεῖλαι. καὶ ὁ Λύκιος ἤλασε. καὶ ἰ-
δὼν, ἀπαγγέλλει, ὅτι φεύγουσιν ἀνακράτος. σχεδὸν
δ' ὅτε ταῦτα ἦν, καὶ ἥλιος ἐδύετο. ἐνταῦθα δὲ ἔστησαν
οἱ Ἕλληνες, καὶ θέμενοι τὰ ὅπλα ἀνεπαύοντο. καὶ ἅμα μὲν
ἐθαύμαζον, ὅτι οὐδαμοῦ Κῦρος φαίνοιτο, οὐδ' ἄλλος
ἀπ' αὐτοῦ οὐδεὶς παρῄει. οὐ γὰρ ᾔδεσαν αὐτὸν τεθνηκότα,
ἀλλ'

ἀλλ' εἴκαζον, διώκοντα οἴχεσθαι, ἢ καταληψόμενόν τι προεληλακέναι, καὶ αὐτοὶ ἐβουλεύοντο, ἢ αὐτοῦ μείναντες, τὰ σκευοφόρα ἐνταῦθα ἀγάγοιντο, ἢ ἀπίοιεν ἐπὶ τὸ στρατόπεδον. ἔδοξεν οὖν αὐτοῖς ἀπιέναι. καὶ ἀφικνοῦνται ἀμφὶ δορπηστὸν ἐπὶ τὰς σκηνάς. ταύτης μὲν τῆς ἡμέρας τοῦτο τὸ τέλος ἐγένετο. καταλαμβάνουσι δὲ τῶν τε ἄλλων χρημάτων τὰ πλεῖστα διηρπασμένα, καὶ εἴ τι σιτίον ἢ ποτὸν ἦν, καὶ τὰς ἁμάξας μεστὰς ἀλεύρων καὶ οἴνου, ἃς παρεσκευάσατο Κῦρος, ἵνα εἴ ποτε σφόδρα λάβοι τὸ στρατόπεδον ἔνδεια, διαδοίη τοῖς Ἕλλησιν. ἦσαν δ' αὗται ὡς ἐλέγοντο, τετρακόσιαι ἅμαξαι. καὶ ταύτας τότε οἱ σὺν βασιλεῖ διήρπασαν. ὥστε ἄδειπνοι ἦσαν οἱ πλεῖστοι τῶν Ἑλλήνων. ἦσαν δὲ καὶ ἀνάριστοι. πρὶν γὰρ δὴ καταλῦσαι τὸ στράτευμα πρὸς ἄριστον, βασιλεὺς ἐφάνη. ταύτην μὲν οὖν τὴν νύκτα οὕτω διεγένοντο.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΑΝΑΒΑΣΕΩΣ ΔΕΥΤΕΡΟΝ.

Ὡς μὲν ἠθροίσθη Κύρῳ τὸ Ἑλληνικόν, ὁπότε ἐπὶ τὸν ἀδελφὸν Ἀρταξέρξην ἐστρατεύετο, καὶ ὅσα ἐν τῇ ἀνόδῳ ἐπράχθη, καὶ ὡς ἡ μάχη ἐγένετο, καὶ ὡς Κῦρος ἐτελεύτησε, καὶ ὡς ἐπὶ τὸ στρατόπεδον ἐλθόντες οἱ Ἕλληνες ἐκοιμήθησαν, οἰόμενοι τὰ πάντα νικᾶν, καὶ Κῦρον ζῆν, ἐν τῷ ἔμπροσθεν λόγῳ δεδήλωται. ἅμα δὲ τῇ ἡμέρᾳ συνελθόντες οἱ στρατηγοὶ ἐθαύμαζον, ὅτι Κῦρος οὔτε ἄλλον πέμποι σημανοῦντα ὅ, τι χρὴ ποιεῖν, οὔτ' αὐτὸς φαίνοιτο. ἔδοξεν οὖν αὐτοῖς συσκευασαμένοις ἃ εἶχον, καὶ ἐξοπλισαμένοις, προϊέναι εἰς τὸ πρόσθεν, ὡς Κύρῳ συμμίξειαν. ἤδη δὲ ἐν ὁρμῇ ὄντων, ἅμ' ἡλίῳ ἀνίσχοντι, ἦλθε Προκλῆς ὁ Τευθρανίας ἄρχων γεγονώς, ἀπὸ Δαμαράτου τοῦ Λάκωνος, καὶ Γλοῦς ὁ Ταμώ. οὗτοι ἔλεγον, ὅτι Κῦρος μὲν τέθνηκεν. Ἀριαῖος δὲ πεφευγὼς ἐν τῷ σταθμῷ εἴη μετὰ τῶν ἄλλων βαρβάρων, ὅθεν τῇ προτεραίᾳ ὥρμηντο. καὶ λέγοι ὅτι ταύτην μὲν τὴν ἡμέραν περιμείνειαν ἂν αὐτούς, εἰ μέλλοιεν ἥκειν. τῇ δὲ ἄλλῃ ἀπιέναι φαίη ἐπὶ Ἰωνίας ὅθενπερ ἦλθε. ταῦτα ἀκούσαντες οἱ στρατηγοὶ καὶ οἱ ἄλλοι Ἕλληνες, βαρέως ἔφερον. Κλέαρχος δὲ τάδ' εἶπεν· ἀλλ' ὄφελε μὲν Κῦρος ζῆν. ἐπεὶ δὲ τετελεύτηκεν, ἀπαγγέλλετε Ἀριαίῳ, ὅτι ἡμεῖς γε νικῶμεν βασιλέα. καὶ ὡς ὁρᾶτε, οὐδεὶς ἡμῖν ἔτι μάχεται. καὶ εἰ μὴ ὑμεῖς ἤλθετε, ἐπορευόμεθα ἂν ἐπὶ βασιλέα. ἐπαγγελλόμεθα δὲ Ἀριαίῳ, ἐὰν ἐνθάδε ἔλθῃ, εἰς τὸν θρόνον τὸν βασίλειον αὐτὸν καθιεῖν. τῶν γὰρ μάχην νικώντων, καὶ τὸ ἄρχειν ἐστί. ταῦτ' εἰπών, ἀποστέλλει τοὺς ἀγγέλους, καὶ σὺν αὐτοῖς Χειρίσοφον τὸν Λάκωνα, καὶ Μένωνα τὸν Θετταλόν. καὶ γὰρ αὐτὸς ὁ Μένων ἐβούλετο. ἦν γὰρ φίλος καὶ ξένος Ἀριαίου. οἱ μὲν ᾤχοντο. Κλέαρχος δὲ περιέμενε. τὸ δὲ στράτευμα ἐπορίζετο σῖτον, ὅπως ἐδύνατο ἐκ τῶν ὑποζυγίων, κόπτοντες τοὺς βοῦς καὶ ὄνους. ξύλοις δ' ἐχρῶντο μικρὸν προϊόντες ἀπὸ τῆς φάλαγγος, οὗ ἡ μάχη ἐγένετο. τοῖς τε οἰστοῖς πολλοῖς οὖσιν, οὓς ἠνάγκαζον οἱ Ἕλληνες ἐκβάλλειν τοὺς αὐτομολοῦντας παρὰ βασιλέως, καὶ τοῖς γέρροις, καὶ ταῖς

neq; ex eius comitatu quisquam iam adesset. Illum tamen uel hostes insequi, uel relictum a tergo statim adfuturum opinabantur. Inter se uero consultabãt, ad eumne locum impedimenta adducerent, an uero in pristina se castra reciperent: placuit postremò in castra redire. Ad tabernacula igitur sua, sub ipsum cœnæ tempus peruenerunt. Et hic diei illius exitus fuit. Offenderũt autem cum cæteras multarum rerum copias direptas, tum quicquid poculentum, aut esculentum fuerat: atq; inter hæc plaustra farina uinoq; onerata CCCC. quæ Cyrus reseruabat inter Græcos diuidenda, si fortè exercitus penuria laboraret. Quæ sanè omnia regiæ copiæ diripuerant, eamq; ob rem ex Græcis quamplurimi incœnati pernoctarunt, cum omnes etiam impransi essent. Rex enim se ostenderat, antequam cibi capiendi potestas esset. Atque hanc quidem noctem ad hunc modum egère.

XENOPHONTIS

DE CYRI MINORIS EXPEDITIONE LIBER SECUNDUS, Romulo Amasæo interp.

Quemadmodum ad se Cyrus Græcorum copias euocarit, suscepta aduersus Artaxerxen fratrem expeditione: quemadmodum deinde prælium sit commissum, ac in eo Cyrus ceciderit, & Græci postremò uicisse se omni ex parte, ac Cyrum uiuere existimantes, in castra reuersi pernoctarint, superiore libro expositum est. Postero uerò die prima luce cum duces in unum conuenissent, uehementer admirari cœperunt, quod neque nuncium ad se, quid facto opus esset, mitteret, neque ipse usquam in conspectu prodiret. Quare iis, quæ reliqua erant, impedimentis collectis, uniuersi armis sumptis promouere statuerunt, usquedum se cum Cyro coniungerẽt. Iam propè erat ut iter ingrederentur, cum sub ipsum solis ortum Procles Teuthraniæ præfectus à Lacone Demarato genus ducens, & Tami filius Glus uenientes, Cyrum mortuum esse nunciarunt. Ariæum uero cum reliquis barbaris ad ea castra fugisse unde pridie mouerunt: illum dicere, totum se eum diem, nec amplius, Græcos opperiri uelle: postridie si non uenissent, in Ioniam se unde profectus esset, reuersurum. Hæc cum audissent duces, et item Græci omnes, molestissime tulerunt. Clearchus uerò ad illos conuersus: Utinã, inquit, Cyrus uiueret: sed quando ille mortem oppetijt, Ariæo renunciate, nos quidem regem uicisse: ut enim uidetis, nemo iam nobis repugnat: quod nisi uos interuenissetis, aduersus ipsum regem contendissemus. Verum Ariæo pollicemur, si ad nos uenerit, ipsum nos in regio solio collocaturos: EST enim penes eos qui prælio uicerint, imperiũ. Cum hoc respõso nũcios remittit, cumq; ijs Chirisophũ Laconẽ, et Menonẽ Thessalum, hunc sanè postulantẽ: erat enim Ariæo et amicus, & hospes. Atq; hi statim profecti sunt. Clearchus uerò quid illi afferrent, expectabat. Interea exercitus se in maxima cibariorum penuria ueterinis sustentabat, boues, asinos, cædens: ac pro lignis utebantur sagittis & missilibus, quæ non longe à castris, quo in loco pugna cõmissa fuerat, humi iacebant: quæq; ijs qui à rege perfugerant, Græci adimebant. Non deerant præterea parmæ, & etiam

crattiascuta Aegyptiaca, peltæ passim plurimæ, & plaustra inania, sine iumentis, è quibus facto igni, elixis eo die carnibus, famem leuarunt. Sub eam uerò diei horam, qua forum hominum multitudine refertissimũ esse consueuit, à rege & Tissapherne legati uenerunt: reliqui barbari, unus Græcus, Phalynus nomine, qui tunc forte apud Tissaphernem honestissimum locum tenebat, quod & rerum gerendarum, & armorum singularem sibi peritiam uindicabat. Hi cum ad Græcorum duces accessissent: Regem, inquiunt, iubere (quod scilicet à se uictoria esset, cum Cyrum occidisset) ut sibi arma tradant, & ad regis limina consistentes, experiantur si quid forte commodi nancisci possint. Hæc illi. Quæ etsi Græci indignissimè ferebant, Clearchus tamen id unum respondit, non esse eorum qui uicissent, arma tradere: uerùm uos, inquit, prætores, illud his respondebitis, quod honestissimum atque optimum uobis in mentem uenerit: ego ad uos statim reuertar. Accersierat enim eum ex ministris unus, ut exempta exta inspiceret, ut tunc forte sacris operam dabat. Ibi Cleanor Arcas, omnium natu maximus, primus respondit, quod ad se pertineret, malle mori, quàm arma tradere. Thebanus deinde Proxenus: Enimuero, inquit, ego admiror Phalyne, quid sibi cum hac postulatione rex uelit: utrum ne tanquam uictor à uictis arma, an ut ab amicis amicus dona petit? Nam si ut uictor, quid ea opus est petere? cur non inuitis ereptum uenit? Sin mauult ea dono accipere, quid obsecro militibus, ubi arma elargiti fuerint, reliquum fiet? Ad hæc Phalynus: Rex, inquit, se planè uicisse interpretatur: nam & Cyro interempto, qui cum est ei amplius de imperio certamen? Ac uos in potestate sua esse putat, quos in media regione sua, intra difficilima traiectu flumina interclusos tenet. Eam uerò contra uos hominum multitudinem possit adducere, quam si uobis ipse interficiendam tradat, neutiquam tamen possitis. Tum Xenophon Atheniensis: Atqui ô Phalyne, inquit, nobis, ut uides, nihil boni, præter arma & uirtutem reliquum est. Ac arma quidem quandiu obtinemus, nobis arbitramur uirtutem usui esse posse: illa simulac tradiderimus, ipsorum etiam corporum nos uis omnem amissuros. Noli igitur, obsecro te, putare nôs ea quæ sola possidemus bona, cuiquam tradituros: quin his ipsis de reliquis bonis pugnabimus. His auditis, Phalynus subridens: Tu quidem, inquit, adolescens philosophus, ni fallor, es: & sunt sanè quæ dicis non illepida, uerùm non satis sanus es, si uestram uirtutem regijs copijs superiorem fore putas. Alios quidem rumor fuit demissius multò, & pene effœminatè loquutos, cum dicerent se, ut Cyro fideles fuissent, ita & regi ipsi egregiam operam nauare posse, modo ille se in amicitiam recipiat: nam & in alijs quibusuis expeditionibus, & in Aegypto debellanda, strenuè ipsum adiuturos. Interea Clearchus rediens, nunquid iam legatis responsum sit, rogat. Tum Phalynus: Ex his, inquit, Clearche alius alia dicit. Tu uerò iam quid censeas, nobis explica. Ad hæc Clearchus: Te, inquit, Phalyne libenter uidi, atq; hi etiam, opinor, omnes: nam & ipse tu Græcus es, & nos item omnes quos hic uides. Quare in hoc rerum statu te consulimus, quid in rem nostram esse putes. Age igitur per deos, eo nos consilio iuua, quod tibi honestissimum, atq; optimum uideatur, quodq; tibi apud poste-

ταῖς ξυλίναις ἀσπίσι ταῖς αἰγυπτίαις. πολλαὶ δὲ καὶ πέλται καὶ ἅμαξαι ἦσαν φέρεσθαι ἔρημοι, οἷς πᾶσι χρώμενοι κρέα ἕψοντες, ἤσθιον ἐκείνην τὴν ἡμέραν. καὶ ἤδη τε ἦν περὶ πλήθουσαν ἀγοράν, καὶ ἔρχονται παρὰ βασιλέως καὶ Τισσαφέρνους κήρυκες. οἱ μὲν ἄλλοι βάρβαροι. ἦν δὲ αὐτῶν Φαλῖνος εἷς Ἕλλην, ὃς ἐτύγχανε παρὰ Τισσαφέρνει ὤν, καὶ ἐντίμως ἔχων. καὶ γὰρ προσεποιεῖτο ἐπιστήμων εἶναι τῶν περὶ τὰς τάξεις τε καὶ ὁπλομαχίαν. οὗτοι δὲ προσελθόντες καὶ καλέσαντες τοὺς τῶν Ἑλλήνων ἄρχοντας, λέγουσιν ὅτι βασιλεὺς κελεύει τοὺς Ἕλληνας, ἐπεὶ νικῶν τυγχάνει, καὶ Κῦρον ἀπέκτονε, παραδόντας τὰ ὅπλα, ἰόντας ἐπὶ τὰς βασιλέως θύρας εὑρίσκεσθαι ἤν τι δύνωνται ἀγαθόν. ταῦτα μὲν εἶπον οἱ βασιλέως κήρυκες. οἱ δὲ Ἕλληνες βαρέως μὲν ἤκουσαν· ὅμως δὲ Κλέαρχος τοσοῦτον εἶπεν· ὅτι οὐ τῶν νικώντων εἴη τὰ ὅπλα παραδιδόναι. ἀλλ᾽, ἔφη, ὑμεῖς μὲν, ὦ ἄνδρες στρατηγοί, τούτοις ἀποκρίνασθε ὅ, τι κάλλιστόν τε καὶ ἄριστον ἔχετε· ἐγὼ δὲ αὐτίκα ἥξω. ἐκάλεσε γάρ τις αὐτὸν τῶν ὑπηρετῶν, ὅπως ἴδοι τὰ ἱερὰ ἐξῃρημένα. ἔτυχε γὰρ θυόμενος. ἔνθα δὲ ἀπεκρίνατο Κλεάνωρ μὲν ὁ Ἀρκάς, πρεσβύτατος ὤν, ὅτι πρόσθεν ἂν ἀποθάνοιεν, ἢ τὰ ὅπλα παραδοίησαν. Πρόξενος δὲ ὁ Θηβαῖος· ἀλλ᾽ ἐγώ, ἔφη, ὦ Φαλῖνε, θαυμάζω, πότερα ὡς κρατῶν βασιλεὺς αἰτεῖ τὰ ὅπλα, ἢ ὡς διὰ φιλίαν δῶρα. εἰ μὲν γὰρ ὡς κρατῶν, τί δεῖ αὐτὸν αἰτεῖν, ἀλλ᾽ οὐ λαβεῖν ἐλθόντα; εἰ δὲ πείσας, βούλεται λαβεῖν, λεγέτω τί ἔσται τοῖς στρατιώταις, ἐὰν αὐτῷ ταῦτα χαρίσωνται. πρὸς ταῦτα Φαλῖνος εἶπε· βασιλεὺς νικᾶν ἡγεῖται, ἐπεὶ Κῦρον ἀπέκτονε. τίς γὰρ αὐτῷ ἐστιν, ὅστις ἀρχῆς ἀντιποιεῖται; νομίζει δὲ καὶ ὑμᾶς αὐτοῦ εἶναι, ἔχων ἐν μέσῃ τῇ αὐτοῦ χώρᾳ καὶ ποταμῶν ἐντὸς ἀδιαβάτων, καὶ πλῆθος ἀνθρώπων ἐφ᾽ ὑμᾶς δυνάμενος ἀγαγεῖν, ὅσον οὐδ᾽ εἰ παρέχοι ὑμῖν δύναισθ᾽ ἂν ἀποκτεῖναι. μετὰ τοῦτον Ξενοφῶν Ἀθηναῖος εἶπεν· ὦ Φαλῖνε, νῦν ὡς σὺ ὁρᾷς, ἡμῖν οὐδὲν ἄλλο ἐστὶν ἀγαθόν, εἰ μὴ ὅπλα καὶ ἀρετή. καὶ ὅπλα μὲν οὖν ἔχοντες, οἰόμεθα ἂν καὶ τῇ ἀρετῇ χρῆσθαι. παραδόντες δ᾽ ἂν ταῦτα, καὶ τῶν σωμάτων στερηθῆναι. μὴ οὖν οἴου τὰ μόνα ἡμῖν ἀγαθὰ ὄντα, ἡμᾶς παραδώσειν, ἀλλὰ σὺν τούτοις καὶ περὶ τῶν ὑμετέρων ἀγαθῶν μαχούμεθα. ἀκούσας δὲ ταῦτα ὁ Φαλῖνος, ἐγέλασε καὶ εἶπεν· ἀλλὰ φιλοσόφῳ μὲν ἔοικας, ὦ νεανίσκε, καὶ λέγεις οὐκ ἀχάριστα. ἴσθι μέντοι ἀνόητος ὤν, εἰ οἴει ἂν τὴν ὑμετέραν ἀρετὴν περιγενέσθαι τῆς βασιλέως δυνάμεως. ἄλλους δέ τινας ἔφασαν λέγειν ὑπομαλακιζομένους, ὡς καὶ Κύρῳ πιστοὶ γένοιντο, καὶ βασιλεῖ γ᾽ ἂν πολλοῦ ἄξιοι γένοιντο, εἰ βούλοιτο φίλος γενέσθαι, καὶ εἴ τι ἄλλο βούλεται χρῆσθαι, εἴτ᾽ ἐπ᾽ Αἴγυπτον στρατεύειν, συγκαταστρέψαιντ᾽ ἂν αὐτῷ. ἐν τούτῳ καὶ Κλέαρχος ἧκε, καὶ ἠρώτησεν, εἰ ἤδη ἀποκεκριμένοι εἶεν. Φαλῖνος δ᾽ ὑπολαβὼν εἶπεν· οὗτοι μὲν, ὦ Κλέαρχε, ἄλλος ἄλλα λέγει. σὺ δ᾽ ἡμῖν εἰπέ, τί λέγεις; ὁ δ᾽ εἶπεν· ἐγώ σε, ὦ Φαλῖνε, ἄσμενος ἑώρακα. οἶμαι δὲ καὶ οἱ ἄλλοι πάντες οὗτοι. σύ τε γὰρ Ἕλλην εἶ, καὶ ἡμεῖς τοσοῦτοι ὄντες ὅσους σὺ ὁρᾷς. ἐν τοιούτοις δὲ ὄντες πράγμασι συμβουλευόμεθά σοι τί χρὴ ποιεῖν περὶ ὧν λέγεις. σὺ οὖν πρὸς θεῶν συμβούλευσον ἡμῖν ὅ, τι σοι δοκεῖ κάλλιστον καὶ ἄριστον εἶναι, καὶ ὅ, σοι τιμὴν οἴσει εἰς τὸν

τὸν ἔπειτα χρόνον ἀναλεγόμενον, ὅτι Φαλῖνος ποτὲ πεμ-
φθεὶς παρὰ βασιλέως κελεύσων τοὺς Ἕλληνας τὰ ὅπλα
παραδοῦναι, συμβουλευόμενος, συνεβούλευσεν αὐ-
τοῖς τάδε. οἶσθα δὲ ὅτι ἀνάγκη λέγεσθαι ἐν τῇ Ἑλλάδι,
ἃ ἂν συμβουλεύσῃς. ὁ δὲ Κλέαρχος ταῦτα ὑπήγετο,
βουλόμενος καὶ αὐτὸν τὸν παρὰ βασιλέως πρεσβεύον-
τα συμβουλεῦσαι, μὴ παραδιδόναι τὰ ὅπλα, ὅπως
εὐέλπιδες μᾶλλον οἱ Ἕλληνες εἶεν. Φαλῖνος δ' ὑπο-
στρέψας παρὰ τὴν δόξαν αὐτοῦ, εἶπεν ὧδε· ἐγὼ εἰ μὲν τῶν
μυρίων ἐλπίδων μία τις ὑμῖν ἐστι σωθῆναι πολεμοῦν-
τας βασιλεῖ, συμβουλεύω μὴ παραδιδόναι τὰ ὅπλα·
εἰ μέντοι μηδεμιᾶς σωτηρίας ἐστὶν ἐλπίς, ἄκοντος βασι-
λέως συμβουλεύω σώζεσθαι ὅπῃ δυνατόν. Κλέαρχος
δὲ πρὸς ταῦτα εἶπεν· ἀλλὰ ταῦτα μὲν δὴ σὺ λέγεις. παρ'
ἡμῶν δὲ ἀπάγγελλε τάδε, ὅτι ἡμεῖς οἰόμεθα, εἰ μὲν δέοι
βασιλεῖ φίλους εἶναι, πλείονος ἂν ἄξιοι εἶναι φίλοι, ἔ-
χοντες τὰ ὅπλα, ἢ παραδόντες ἄλλῳ· εἰ δὲ δέοι πολε-
μεῖν, ἄμεινον ἂν πολεμεῖν, ἔχοντες τὰ ὅπλα, ἢ ἄλλῳ πα-
ραδόντες. ὁ δὲ Φαλῖνος εἶπε· ταῦτα μὲν δὴ ἀπαγγε-
λοῦμεν, ἀλλὰ καὶ τάδε ὑμῖν ἐκέλευσεν εἰπεῖν βασι-
λεύς, ὅτι μένουσι μὲν ὑμῖν αὐτοῦ, σπονδαὶ εἴησαν· προϊ-
οῦσι δὲ καὶ ἀπιοῦσι, πόλεμος. εἴπατε οὖν καὶ περὶ τού-
του, πότερα μενεῖτε καὶ σπονδαί εἰσιν, ἢ ὡς πολέμου ὄν-
τος παρ' ὑμῶν ἀπαγγελῶ. Κλέαρχος δ' ἔλεξεν, ἀπάγ-
γελλε τοίνυν καὶ περὶ τούτου, ὅτι καὶ ἡμῖν ταὐτὰ δοκεῖ,
ἅπερ βασιλεῖ. τί οὖν ταῦτ' ἐστίν, ἔφη ὁ Φαλῖνος; ἀπε-
κρίνατο Κλέαρχος· ἢν μὲν μένωμεν, σπονδαί· ἀπιοῦσι
δὲ καὶ προϊοῦσι, πόλεμος. ὁ δὲ πάλιν ἠρώτησε, σπονδὰς
ἢ πόλεμον ἀπαγγελῶ; Κλέαρχος δὲ ταὐτὰ πάλιν ἀπε-
κρίνατο· σπονδαὶ μέν, μένουσιν· ἀπιοῦσι δὲ ἢ προϊοῦσι, πό-
λεμος. ὅτι δὲ ποιήσοι, οὐ διεσήμαινε. Φαλῖνος μὲν δὴ
ᾤχετο καὶ οἱ σὺν αὐτῷ. οἱ δὲ παρὰ Ἀριαίου ἧκον, Προκλῆς
καὶ Χειρίσοφος. Μένων δὲ αὐτοῦ ἔμενε παρὰ Ἀριαίῳ. οὗ-
τοι δὲ ἔλεγον, ὅτι πολλοὺς φαίη Ἀριαῖος εἶναι Πέρσας ἑαυ-
τοῦ βελτίους, οὓς οὐκ ἂν ἀνασχέσθαι αὐτοῦ βασιλεύοντος,
ἀλλ' εἰ βούλεσθε συναπιέναι, ἥκειν ἤδη κελεύει τῆς νυ-
κτός· εἰ δὲ μή, αὐτὸς πρωῒ ἀπιέναι φησίν. ὁ δὲ Κλέαρχος
εἶπεν· ἀλλ' οὕτω χρὴ ποιεῖν. ἂν μὲν ἥκωμεν ὥσπερ λέ-
γετε· εἰ δὲ μή, πράττετε ὁποῖον ἄν τι ὑμῖν οἴησθε μάλι-
στα συμφέρειν. ὅ, τι δὲ ποιήσοι, οὐδὲ τούτοις εἶπε. μετὰ δὲ
ταῦτα, ἤδη ἡλίου δύνοντος, συγκαλέσας τοὺς στρατη-
γούς, καὶ λοχαγούς, ἔλεξε τοιάδε· ἐμοί, ὦ ἄνδρες, θυο-
μένῳ ἰέναι ἐπὶ βασιλέα, οὐκ ἐγίγνετο τὰ ἱερά, καὶ εἰκότως
ἄρα οὐκ ἐγίγνετο. ὡς γὰρ ἐγὼ νῦν πυνθάνομαι, ἐν μέσῳ
ἡμῶν καὶ βασιλέως ὁ Τίγρης ποταμός ἐστι ναυσίπορος, ὃν
οὐκ ἂν δυναίμεθα ἄνευ πλοίων διαβῆναι. πλοῖα δ' ἡμεῖς
οὐκ ἔχομεν. οὐ μὲν δὴ αὐτοῦ γε μένειν οἷόν τε. τὰ γὰρ ἐπι-
τήδεια οὐκ ἔστιν. ἰέναι δὲ παρὰ τοὺς Κύρου φίλους, πάνυ
καλὰ ἡμῖν τὰ ἱερὰ ἦν. ὧδε οὖν χρὴ ποιεῖν, ἀπιόντας δει-
πνεῖν, ὅ τι τις ἔχει. ἐπειδὰν δὲ σημήνῃ τῷ κέρατι ὡς ἀνα-
παύεσθαι, συσκευάζεσθε. ἐπειδὰν δὲ τὸ δεύτερον, ἀνατί-
θεσθε ἐπὶ τὰ ὑποζύγια. ἐπὶ δὲ τῷ τρίτῳ ἕπεσθε τῷ ἡ-
γουμένῳ. τὰ μὲν ὑποζύγια ἔχοντες πρὸς τοῦ ποταμοῦ,
τὰ δὲ ὅπλα ἔξω. ταῦτα ἀκούσαντες οἱ στρατηγοὶ καὶ οἱ
λοχαγοί, ἀπῆλθον, καὶ ἐποίουν οὕτω. καὶ τὸ λοιπόν, ὁ
μὲν ἦρχεν, οἱ δὲ ἐπείθοντο, οὐχ ἑλόμενοι· ἀλλ' ὁρῶντες,
ὅτι

posteros laudi futurum sit, cum illi scilicet aut legent,
aut audient Phalynũ à rege missum, ut Græcos iube-
ret arma tradere, eijs regis in effecto erat, id tamen il-
lis consilij dedisse: quicquid enim id fuerit, tibi persua
deas in Græcia prædicatũ iri. Hoc sermode Clearchus
se illum inducturũ sperabat, ut diceret, neq; se putare
ex Græcorum re esse arma tradere: Græcos uero ipsos
cum legati regij sententiã nossent, meliorẽ existimabat
in posterũ spem concepturos. Verum multo secus Pha
lynus, atq; ille opinatus fuerat, respondit: Ego, inquit,
si uel tantula spes reliqua est, fore uos saluos si bellum
regi inferatis, neutiquam uobis suadeam arma tradere:
sin salutis spes prorsus nulla reliqua esse posit, uos
hortor, ut quo possitis modo salui esse malitis. Tũ Cle-
archus: Tu quidem, inquit, ita censes: à nobis uerò hæc
regi renunciato, arbitrari nos, si nos sibi amicos esse
malit, multò ei fore utiliores amicos, arma si retinueri-
mus, q̃ si ea cuiquã tradiderimus: sin bellum fuerit ge-
rendũ, non esse difficile existimare, quanto magis con
ducat arma retinere, q̃ alijs tradere. At Phalynus: Nos
inquit, ita ut iubes renunciabimus. Sed & alia à rege
ad uos mandata habemus: manentib. hoc ipso in loco,
fœdus: progredientib. uerò, aut regredientib. se uobis
bellum proponere. Respondebitis igitur & hoc mihi,
utrũ manentes uobis à rege pacem, an uero discedẽtes
bellum malitis, ut habeã quid regi renunciem. Hic Cle
archus: Illi, inquit, renũciabis, hac de re idẽ nobis quod
regi uideri. Quid hoc est? inquit Phalynus. Si manseri
mus, respondet Clearchus, pacem: sin progressi aut re-
gressi fuerimus, bellum nobis futurũ. Dic, inquit ille, a-
pertius, pacemne an bellũ renuncio? Iterũ Clearchus:
Pax, inquam, manentibus, progressis aut regressis bel
lũ. Neq; quid facturus esset, ulla ex parte significauit.
Ac Phalynus quidẽ cũ collegis profectus est. Procles
uero et Chirisophus ab Ariæo redierunt: apud illũ Me
non mansit. Hi retulerunt, Ariæũ dicere in Persis mul-
tos esse dignitate se longe superiores, qui nequaquam
laturi essent se regnare: si ad se uenire uellent, ea ipsa
nocte uenirent, prima luce se omnino discessurũ. Tum
Clearchus: Sic, inquit, ut dicitis, si uenerimus: sin aliter,
quod maximè uobis uisum fuerit expedire, illud facito
te. Quid uerò facturus esset, neq; his aperuit. His ita a-
ctis, sole iam occidẽte prætorib. et centurionib. ad se ad
uocatis, in hunc modũ uerba fecit: Mihi, uiri fortissimi,
deos per exta cõsulenti, an aduersus regẽ eundum sit,
nõ est belle litatũ: atq; id opinor consentaneũ fuit. Re
enim explorata, inter nos et regẽ Tigrim fluuiũ cõpe-
rio: atq; is non aliter q̃ nauibus traijci potest, quæ no-
bis nusquã suppetunt. Hic uero commorandi nulla est
nobis facultas: desunt enim commeatus. At.n. ad Cyri
amicos si nos cõferamus, exta optime promittũt. Sic igi
tur facto opus est: pro sua quisq; copia cibũ capiat: dein
de cũ eodẽ modo quo quiescẽdi tẽpus significatur, cor
nu signum datum fuerit, ad primũ protinus signum ua
sa colligãtur: ad secundum, iumenta onerẽtur: ad terti
um, ducem omnes sequantur: atq; ita ut impedimẽta se
cundũ flumẽ sint armati citerius iter faciant. His audi
tis, prætores ac centuriones sibi quod ille statuisset fa-
ciũdum putarunt: atq; ex hoc quidem tempore, tacito
omniũ consensu, ille uniuersis imperauit, quod nempe
solus

solus imperatorijs artibus, quarum cæteri expertes essent, excellere uideretur. Fuit iter quod ab Epheso Ioniæ confecerunt, castrorum quingentenûm nonagenûm ternûm: stadiûm sedecies M. & L. id est, millium passuum uicies centenûm, & amplius centum, decem & octo. Ab eo uero loco ubi pugnatum est, ad Babylonem usque, stadia esse ferebantur ter M. & LX. passuum millia CCCCVIII. Hinc cum iam primæ se intenderent tenebræ, Myltocythes Thrax cum equitibus quibus ipse imperabat, circiter XL. ad regem transfugit. Clearchus reliquos dicto audientes habuit, cum quibus media ferme nocte ad prima castra, ad Ariæum, eiusq; copias peruenit. Ibi prætores & centuriones instructam aciem relinquentes, ad Ariæum conuenere. Vbi inter Græcos & Ariæum, eiusq; optimates foedus percussum est, neutram partem alteram proditurам, firmam & fidam inter ipsos societatem futuram: Barbari priores iusiurandum conceperunt, se bona fide agmen ducturos. Foedus ictum est, mactatis super scuto, tauro, apro, lupo, ariete, in quorum sanguine enses Græci, hastas barbari intinxerunt. His ritè sancitis, Clearchus age, inquit, Ariæe, quando idem est nobis de reditu consilium capiendum, quid obsecro de tota itineris ratione censes? utrum ne eadem qua uenimus uia utamur? an tibi potior ulla in mentem uenire potest? Hic ille: Si eadem, inquit, reuertamur, fame nos confici necesse est, ubi neq; commeatus ulli nobis, ut proximè, bis denis septenis castris suppetant: neque ex agro liceat comparare, cum nuper quacunq; iter fecimus, omnia consumpserimus. Quare uia utendum statuo, etsi longiore, in qua tamen commeatuum penuria multò minus laboremus. Ac primis quidem diebus magnis est nobis itineribus contendendum, quo scilicet à regijs castris quamlongißime recedamus. Nam si biduи aut tridui ab rege abfuerimus, non erit quod uereamur ne nos assequi poßit. Cum paruis enim copijs non audebit, cum magna manu non poterit celeriter insequi. Ad hæc commeatuum penuria laborabit. Hæc, inquit, mea sententia est. Erat hoc consilium ad fugam & recessum appositum, ad reliqua inutile. Verum fortuna melior dux fuit. Vt enim illuxit, iter facere cœperunt, à dextera solem habentes, cum se existimarent sole iam occidente ad uicos Babyloniæ peruenturos. Quæ sanè coniectura nihil eos fefellit. Sub ipsum uerò crepusculum, hostilem sibi equitatum uidere uisi sunt: ob id Græci qui ordinem, ut in longiore uia fit, negligentius seruarant, statim in locum suum recurrerunt. Et Ariæus ipse, cum propter uulnus quod in pugna acceperat, plaustro curuli ueheretur, desiliji, ac loricam induit. Idem eius milites fecerunt. Dum hi arma caperent, qui speculatum missi fuerant, renunciarunt nullos in conspectu esse equites, iumenta duntaxat pascere: ex quo facile omnes intellexerunt regia castra nō longe abesse, quod item fumus è proximis uicis planū fecit. Ibi Clearchus neq; aduersus hostes progredi tutum duxit, cum fessum de uia, et plane debilitatum inedia militem esse intelligeret. Neq; tamen (id cauens ne fugere uideretur) de uia sibi declinandum putauit: sed recta agmen agens occidente iam sole, cum ijs qui in fronte agminis erant castra locauit.

Taber/

ὅτι μόνος ἐφρόνει, οἷα δεῖ τὸν ἄρχοντα. οἱ δὲ ἄλλοι ἄπειροι ἦσαν. ἀριθμὸς δὲ τῆς ὁδοῦ, ἣν ἦλθον ἐξ Ἐφέσου τῆς Ἰωνίας μέχρι τῆς μάχης, σταθμοὶ τρεῖς καὶ ἐνενήκοντα καὶ πεντακόσιοι, στάδιοι πεντήκοντα καὶ ἑξακισχίλιοι καὶ μύριοι. ἀπὸ δὲ τῆς μάχης ἐλέγοντο εἶναι εἰς Βαβυλῶνα στάδιοι ἑξήκοντα καὶ τριχίλιοι. ἐντεῦθεν δὴ ἐπεὶ σκότος ἐγένετο, Μιλθοκύθης μὲν ὁ Θρᾷξ, ἔχων τούς τε ἱππέας τοὺς μεθ' ἑαυτοῦ εἰς τεσσαράκοντα, καὶ τῶν πεζῶν Θρᾳκῶν ὡς τριακοσίους, ηὐτομόλησε πρὸς βασιλέα. Κλέαρχος δὲ τοῖς ἄλλοις ἡγεῖτο κατὰ τὰ παρηγγελμένα. οἱ δ' εἵποντο, καὶ ἀφικνοῦνται εἰς τὸν πρῶτον σταθμὸν παρὰ Ἀριαῖον καὶ τὴν ἐκείνου στρατιάν, ἀμφὶ μέσας νύκτας. καὶ ἐν τάξει θέμενοι τὰ ὅπλα, συνῆλθον οἱ στρατηγοὶ καὶ οἱ λοχαγοὶ τῶν Ἑλλήνων παρὰ Ἀριαῖον, καὶ ὤμοσαν, οἵ τε Ἕλληνες καὶ Ἀριαῖος, καὶ τῶν σὺν αὐτῷ οἱ κράτιστοι, μήτε προδώσειν ἀλλήλους, σύμμαχοί τε ἔσεσθαι. οἱ δὲ βάρβαροι προσώμοσαν, καὶ ἡγήσεσθαι ἀδόλως. ταῦτα δ' ὤμοσαν, σφάξαντες κάπρον καὶ ταῦρον καὶ λύκον καὶ κριόν, εἰς ἀσπίδα βάπτοντες· οἱ μὲν Ἕλληνες, ξίφος· οἱ δὲ βάρβαροι, λόγχην. ἐπεὶ δὲ τὰ πιστὰ ἐγένετο, εἶπεν ὁ Κλέαρχος· ἄγε δή, ὦ Ἀριαῖε, ἐπείπερ ὁ αὐτὸς ἡμῖν στόλος ἐστὶ καὶ ὑμῖν, εἰπέ, τίνα γνώμην ἔχεις περὶ τῆς πορείας. πότερον ἄπιμεν, ἥνπερ ἤλθομεν, ἢ ἄλλην τινὰ ἐννενοηκέναι δοκεῖς ὁδόν, κρείττω; ὁ δ' εἶπεν· ἣν μὲν ἤλθομεν ἀπιόντες, παντελῶς ἂν ὑπὸ λιμοῦ ἀπολοίμεθα. ὑπάρχει γὰρ νῦν ἡμῖν οὐδὲν τῶν ἐπιτηδείων. ἑπτακαίδεκα γὰρ σταθμῶν τῶν ἐγγυτάτω οὐδὲ δεῦρο ἰόντες ἐκ τῆς χώρας, ὧν ἐν εἴχομεν λαμβάνειν. ἔνθα δ' ἔτι ἦν, ἡμεῖς διαπορευόμενοι κατεδαπανήσαμεν. νῦν δ' ἐπινοοῦμεν πορεύεσθαι, μακροτέραν μέν, τῶν δ' ἐπιτηδείων οὐκ ἀπορήσομεν. πορευτέον δ' ἡμῖν τοὺς πρώτους σταθμούς, ὡς ἂν δυνώμεθα μακροτάτους, ἵνα ὡς πλεῖστον ἀποσπασθῶμεν τοῦ βασιλικοῦ στρατεύματος. ἢν γὰρ ἅπαξ δυοῖν ἢ τριῶν ἡμερῶν ὁδὸν ἀπόσχωμεν, οὐκ ἔτι μὴ δυνήσεται βασιλεὺς ἡμᾶς καταλαβεῖν. ὀλίγῳ μὲν γὰρ στρατεύματι οὐ τολμήσει ἐφέπεσθαι· πολὺν δ' ἔχων στόλον, οὐ δυνήσεται ταχὺ πορεύεσθαι. ἴσως δὲ καὶ τῶν ἐπιτηδείων σπανιεῖ. ταύτην, ἔφη, γνώμην ἔχω. ἦν δὲ αὕτη ἡ στρατηγία οὐδὲν ἄλλο δυναμένη, ἢ ἀποδρᾶναι, ἢ ἀποφυγεῖν. ἡ δὲ τύχη ἐστρατήγησε κάλλιον. ἐπεὶ γὰρ ἡμέρα ἐγένετο, ἐπορεύοντο ἐν δεξιᾷ ἔχοντες τὸν ἥλιον, λογιζόμενοι ἥξειν ἅμα ἡλίῳ δύνοντι, εἰς κώμας τῆς Βαβυλωνίας χώρας. καὶ τοῦτο μὲν οὐκ ἐψεύσθησαν. ἔτι δὲ ἀμφὶ δείλην ἔδοξαν πολεμίους ὁρᾶν ἱππέας. καὶ τῶν τε Ἑλλήνων, οἳ μὴ ἔτυχον ἐν ταῖς τάξεσιν ὄντες, εἰς τὰς τάξεις ἔθεον. καὶ Ἀριαῖος, ἐτύγχανε γὰρ ἐφ' ἁμάξης πορευόμενος, διότι ἐτέτρωτο, καταβὰς ἐθωρακίζετο καὶ οἱ σὺν αὐτῷ. ἐν ᾧ δὲ ὡπλίζοντο, ἧκον λέγοντες οἱ προπεμφθέντες σκοποί, ὅτι οὐχ ἱππεῖς εἰσιν, ἀλλὰ ὑποζύγια νέμοιτο. καὶ εὐθὺς ἔγνωσαν πάντες ὅτι ἐγγύς που ἐστρατοπεδεύετο βασιλεύς. καὶ γὰρ καὶ καπνὸς ἐφαίνετο ἐν κώμαις οὐ πρόσω. Κλέαρχος δὲ ἐπὶ μὲν τοὺς πολεμίους οὐκ ἦγεν. ᾔδει γὰρ καὶ ἀπειρηκότας τοὺς στρατιώτας, καὶ ἀσίτους ὄντας. ἤδη δὲ καὶ ὀψὲ ἦν. οὐ μέντοι οὐδ' ἀπέκλινε, φυλαττόμενος, μὴ δοκοίη φεύγειν. ἀλλ' εὐθύωρον ἄγων, ἅμα τῷ ἡλίῳ δυομένῳ εἰς τὰς ἐγγυτάτω κώμας, τοὺς πρώτους ἔχων κατεσκήνωσεν,

ἐξ

foedus ictum mactatis animalibus.

ἃς ἦν διηρπασμένα ἀπὸ τοῦ βασιλικοῦ στρατεύματος, καὶ τὰ ἀπὸ τῶν οἰκιῶν ξύλα. οἱ μὲν οὖν πρῶτοι, ὁμοίῳ τρόπῳ τινὶ ἐστρατοπεδεύοντο. οἱ δὲ ὕστεροι σκοταῖοι προσιόντες ὡς ἐτύγχανον ἕκαστοι ηὐλίζοντο, καὶ κραυγὴν πολλὴν ἐποίουν καλοῦντες ἀλλήλους, ὥστε καὶ τοὺς πολεμίους ἀκούειν. ὥστε οἱ μὲν ἐγγύτατα τῶν πολεμίων, καὶ ἔφυγον ἐκ τῶν σκηνωμάτων. δῆλον δὲ τοῦτο τῇ ὑστεραίᾳ ἐγένετο. οὔτε γὰρ ὑποζύγιον οὐδὲν ἐφάνη, οὔτε στρατόπεδον, οὔτε καπνὸς οὐδαμοῦ πλησίον. ἐξεπλάγη δὲ ὡς ἔοικε καὶ βασιλεὺς τῇ ἐφόδῳ τοῦ στρατεύματος. ἐδήλωσε δὲ τοῦτο, οἷς τῇ ὑστεραίᾳ ἔπραττε. προϊούσης γάρ τοι τῆς νυκτὸς ταύτης, καὶ τοῖς Ἕλλησι φόβος ἐμπίπτει καὶ θόρυβος. καὶ δοῦπος ἦν, οἷον εἰκὸς φόβου ἐμπεσόντος γίγνεσθαι. Κλέαρχος δὲ Τολμίδην Ἠλεῖον, ὃν ἐτύγχανεν ἔχων παρ' ἑαυτῷ κήρυκα ἄριστον τῶν τότε, τοῦτον ἀνειπεῖν ἐκέλευσε, σιγὴν κατακηρύξαντα. προαγορεύουσιν οἱ ἄρχοντες, ὃς ἂν τὸν ἀφέντα τὸν ὄνον εἰς τὰ ὅπλα καταμηνύσῃ, ὅτι λήψεται μισθὸν, τάλαντον ἀργυρίου. ἐπεὶ δὲ ταῦτα ἐκηρύχθη, ἔγνωσαν οἱ στρατιῶται ὅτι κενὸς ὁ φόβος εἴη, καὶ οἱ ἄρχοντες σῶοι. ἅμα δὲ ὄρθρῳ παρήγγειλε Κλέαρχος, εἰς τάξιν τὰ ὅπλα τίθεσθαι τοὺς Ἕλληνας, ᾗπερ εἶχον ὅτε ἦν ἡ μάχη. ὃ δὲ δὴ ἔγραψα, ὅτι βασιλεὺς ἐξεπλάγη τῇ ἐφόδῳ, τῷδε δῆλον ἦν. τῇ μὲν γὰρ πρόσθεν ἡμέρᾳ πέμπων, τὰ ὅπλα παραδιδόναι ἐκέλευε. τότε δὲ ἅμα ἡλίῳ ἀνατέλλοντι, κήρυκας ἔπεμψε περὶ σπονδῶν. οἱ δ' ἐπεὶ ἦλθον πρὸς τοὺς προφύλακας, ἐζήτουν τοὺς ἄρχοντας. ἐπεὶ δ' ἀπήγγελλον οἱ προφύλακες, Κλέαρχος τυχὼν τότε τὰς τάξεις ἐπισκοπῶν, εἶπε τοῖς προφύλαξι κελεύειν τοὺς κήρυκας περιμένειν ἄχρι σχολάσῃ. ἐπεὶ δὲ κατέστησε τὸ στράτευμα, ὥστε καλῶς ἔχειν ὁρᾶσθαι πάντῃ φάλαγγα πυκνήν. τῶν δὲ ἀόπλων μηδένα καταφανῆ εἶναι, ἐκάλεσε τοὺς ἀγγέλους, καὶ αὐτός τε προῆλθε. τούς τε εὐοπλοτάτους ἔχων καὶ εὐειδεστάτους τῶν αὐτοῦ στρατιωτῶν, καὶ τοῖς ἄλλοις στρατηγοῖς ταῦτα ἔφρασεν. ἐπεὶ δὲ πρὸς τοῖς ἀγγέλοις ἦσαν, ἠρώτα τί βούλοιντο. οἱ δ' ἔλεγον ὅτι περὶ σπονδῶν ἥκοιεν ἄνδρες, οἵτινες ἱκανοὶ ἔσονται, τά τε παρὰ βασιλέως τοῖς Ἕλλησιν ἀπαγγεῖλαι, καὶ τὰ παρὰ τῶν Ἑλλήνων βασιλεῖ. ὁ δὲ ἀπεκρίνατο· ἀπαγγέλλετε τοίνυν αὐτῷ, ὅτι μάχης δεῖ πρῶτον. ἄριστον γὰρ οὐκ ἔστιν, οὐδὲ ὁ τολμήσων περὶ σπονδῶν τοῖς Ἕλλησι λέγειν, μὴ πορίσας ἄριστον. ταῦτα ἀκούσαντες οἱ ἄγγελοι, ἀπήλαυνον, καὶ ἧκον ταχύ. ᾧ καὶ δῆλον ἦν, ὅτι ἐγγύς που ἦν βασιλεὺς, ἢ ἄλλος τις, ᾧ ἐπετέτακτο ταῦτα πράττειν. ἔλεγον δὲ, ὅτι εἰκότα δοκοῖεν λέγειν βασιλεῖ, καὶ ἥκοιεν ἡγεμόνας ἔχοντες, οἳ αὐτοὺς, ἐὰν σπονδαὶ γένωνται, ἄξουσιν, ἔνθεν ἕξουσι τὰ ἐπιτήδεια. ὁ δ' ἠρώτα, εἰ αὐτοῖς τοῖς ἀνδράσι σπένδοιτο, ἰοῦσι καὶ ἀπιοῦσιν, ἢ καὶ τοῖς ἄλλοις ἔσονται σπονδαί. οἱ δὲ πᾶσιν ἔφασαν, μέχρις ἂν βασιλεῖ τὰ παρ' ὑμῶν διαγγελθῇ. ἐπεὶ δὲ ταῦτα εἶπον, μεταστησάμενος αὐτοὺς ὁ Κλέαρχος, ἐβουλεύετο, καὶ ἐδόκει ταχὺ τὰς σπονδὰς ποιεῖσθαι, καὶ καθ' ἡσυχίαν ἐλθεῖν τε ἐπὶ τὰ ἐπιτήδεια καὶ λαβεῖν. ὁ δὲ Κλέαρχος εἶπε· δοκεῖ μὲν καὶ ἐμοὶ ταῦτα. οὐ μέντοι ταχύ γε ἀπαγγελῶ, ἀλλὰ διατρίψω, ἔστ' ἂν ὀκνήσωσιν οἱ ἄγγελοι, μὴ ἀποδόξῃ ἡμῖν τὰς σπονδὰς ποιήσασθαι. οἶμαί γε μέντοι, ἔφη, καὶ τοῖς ἡμετέροις στρατιώταις τὸν αὐτὸν φόβον παρέσεσθαι.

Tabernacula ex ea copia quam rex cæteris direptis reliquã fecerat, sumpta e uillarũ tugurijs materia, erecta sunt: ac priores quidem continuo ac certo ordine, postremi ut intempesta & obscura nocte adfuere, quo quisq; potuit loco decubuerunt. Ac dum se mutuo, ut fit, uocarent, sublatum clamorem hostes audierunt: e quibus qui proximi erant, fugientes tabernacula deseruere. Quod postero die facile intellectum est: neq; enim aut iumentum, aut castra, aut fumus ullus in cõspectu fuit. Quocirca ipsum regem constabat primo exercitus nostri accessu perterrefactũ: cuius rei certa postridie argumenta extiterunt. Verum et Græcis timor et trepidatio incessit, talisq; in castris fremitus fuit, qualis cũ subitus terror inciderit, existere consueuit. Quod ubi Clearchus animaduertit, Tolmiden Eleum præconem ætatis suæ præstantissimum, quem secum forte habebat, accersit, et mandat ut silentio imperato hæc pronunciet: Qui indicarit á quo sit asinus in media arma actus, ei duces præmium argenti talentum decernunt. Ex edicto milites plane intellexerunt inanem fuisse metum, & duces incolumes esse. Sub primam uero lucem Græcis imperat Clearchus, ut sumptis armis eo ordine aciem instruant, quo in pugna steterant. Quod uero scripsi ante regem pertimuisse, ex eo intelligi etiam potuit, quod cum pridie sibi arma tradi postulasset, postero die sole oriente de pace legatos misit. Hi itaque cum ad primas custodias accessissent, ubi duces essent quæsierunt. Quod ubi ducibus est á custodibus renunciatum, Clearchus qui tum forte ordines recensebat, custodibus mandat, ut oratores iubeant expectare, quantisper ijs audiendis uacui aliquid temporis dare possit. Postea uero quàm copias omnes bellissimé instructas animaduertit, atq; ita ut ex omni parte densæ phalangis species pulcherrima cerni posset, neque esset quisquam inermis in conspectu, tum legatos accersi iubet, ac ipse processu paululum, globo militum stipatus, armorum ornatu ac forma præstantissimorum: quod & reliqui duces eius monitu fecere. Vbi ad legatos uentum est, tum rogat Clearchus quidnam uelint. Illi se ut de pacis conditionibus agerent, uenisse dixerunt: idoneosque se esse, qui & á rege Græcis, & regi rursus á Græcis, quicquid utraque pars mandarit, renuncient. Renunciate igitur, inquit Clearchus, pugna opus esse: prandium enim nusquam in promptu est: neq; fuerit quisquam inuentus qui de conditionibus apud Græcos uerba facere audeat, prius quàm prandium ijs præbeat. Vbi hæc illi audierunt, statim profecti quamcelerrime redierunt. Quæ res indicio fuit uel regem, uel eum cui hæc á rege cura demandata esset, non longe abesse. Ac illi quidem renunciarunt, æqua regi uideri quæ attulissent: quamobrem se adduxisse secum eos homines, quibus ducibus ad eum locum essent peruenturi, unde sibi commeatum compararent, modo ut pax fieret. Tum quæsiuit Clearchus, cum omnibusne pax futura esset, an cum ijs tantum qui ultro citróque commeassent? Cum omnibus, illi responderunt, usque dum quæ á uobis proposita fuerint, ad regem referantur. Hæc illi. Tum Clearchus cum eos paululũ concedere iussisset, de tota re suos consuluit. Quibus statim ac sine disceptatione ulla uisum est compositionem transigendam, ad commeatus comparandos proficiscendũ. Sed enim Clearchus, et si, inquit, eadem mihi uidentur, non tamen euestigio responsum á me auferent. Nam de industria cunctabor, quo & legati uereantur ne nobis cõpositio non probetur, & idem nostri milites metuant: hoc enim orationibus nostris conducere arbitror.

arbitror. Vbi uero respondendi maturitas uisa est, se fœdus percussurum dixit, sed ad commeatus deduci se prius iussit. Tunc illi iter ingressi sunt. Clearchus, etsi paulo post fœderis erat cōditiones accepturus, quadrato tamen agmine consequebatur, ac ipse quidē in subsidijs erat. Cum uero in fossas et alueos quosdā aquæ plenissimos incidissent, quos nequaquam sine pontibus traijcere poterant, ex palmis aut passim humi iacentibus, aut quas ipsi excidissent, pontes facere aggressi sunt. ibi Clearchus curæ ac diligētiæ suæ in imperando specimē dedit: cum læua manu hastā, dextra uirgā tenēs, quencunq; segnius opus facientē, ex ijs quib. id negocij dederat, animaduertisset, iuberet multatū de medio recedere, aliū in eius locum deligeret. Quin ipsemet in cœnū cum descendisset, eius operis suas sibi partes depoposcit. Quod cū cæteri uidissent, dedecori sibi fore putarūt, si non fuissent illius alacritatē imitati. Quare cum eorum tantū, qui annis xxx. minores essent, delectum habuissent, seniores tamen cum illum nullum laboris genus detrectantem uiderent, et ipsi sua munia obierunt. Et Clearchus quidem eo plus celeritatis in negocio conficiēdo adhibebat, quod cum eas lacunas nequaquam perennes esse suspicaretur, iam uero aquis completas uideret, eo anni tempore quo agros irrigari nihil necesse erat, id ueritus est, ne rex aquam eam inducendā curasset, quo Græcos itineris difficultate perterrefaceret. Peruenerāt iam ad eos uicos, è quib. ducum suorum iussu, cōmeatus capiēdi erant. Frumentū plurimū, uiniq; ex palmulis magnā copiam nacti sunt. Quin & acetum ex ijsdē palmulis decoctis cōditum. Ac palmarū quidem fructus ipsi multò præstātiores ijs qui in Græciam cōportantur, seruis apponebātur. Delectissimi uero quiq;, & pulchritudine, ac magnitudine admirabiles, colore non multū ab electro differentes, dominis reseruabantur. Hos erant qui siccarēt, aut in usum bellariorū reponerēt. Mensis quidē ex his suauissimæ epulæ, sed quæ capitis dolorē afferrent. Quin et cerebro, id est, excisa ex uiridib. ramis medulla, milites uescebantur, quæ item ipsa capiti molesta erat. Sed multi præcipuā quādam in eo cibi genere suauitatē admirabantur. Hac extracta, arbor tota exarescebat. Hoc in loco Græci triduū cōmorati sunt. Interea uenit à rege Tissaphernes, & cum eo regis uxoris frater, tres itē Persæ, cum magno seruorū numero. Quibus cum Græcorū prætores obuiā uenissent, prior Tissaphernes per interpretē ita loquutus est: Ego principes Græci, proximo Græciæ loco habito. Quare cum uos in summas ac plurimas rerū difficultates incidisse uiderē, præclare me uestris rebus cōsulere posse putaui, si forte à rege possem impetrare, ut a me uos in Græciā incolumes reduci sineret. Pro quo cū et à uobisipsis, & ab uniuersa Græcia egregiā me gratiā initurū mihi persuaderē, à rege id pro iure meo petij: cū illi etiā dicerē, me plane ita meritū esse, ut libenter mihi in hoc genere gratificari deberet, cum et de Cyri motu primus eum certiorē fecerim. Primus itē, atq; adeo cum ipso nūcio copias ei in auxiliū adduxerim. Solus deinde ex omnib. qui cōtra Græcos in acie steterūt, nō fugerim, sed per medios hostes euaserim. Deinde cū ipso rege in uestris castris cōgressus, quò scilicet rex post Cyri cædem penetrarat, barbaros eos qui Cyrum secuti fuerāt, unà cum ijs qui nunc mecū sunt regi fidelissimis hominibus, in fugam uerterim. Quæ cum exposuissem, se deliberaturū rex promisit. Verùm interea me ad uos uenire iussit, ac quærere quamnam ob causam contra ipsum arma ceperitis. Hic ego uobis ut lenius respondeatis suadeo, quo possim quæ

παρέσεσθαι. ἐπεὶ δ' ἐδόκει καιρὸς εἶναι, ἀπήγγελλον ὅτι σπένδοιτο, καὶ εὐθὺς ἡγεῖσθαι ἐκέλευε πρὸς τὰ ἐπιτήδεια. καὶ οἱ μὲν ἡγοῦντο. Κλέαρχος μέντοι ἐπορεύετο, τὰς μὲν σπονδὰς ποιησόμενος, τὸ δὲ στράτευμα ἔχων ἐν τάξει, καὶ αὐτὸς ὠπισθοφυλάκει. καὶ ἐνετύγχανον τάφροις, καὶ αὐλῶσι πλήρεσιν ὕδατος, ὡς μὴ δύνασθαι διαβαίνειν ἄνευ γεφυρῶν. ἀλλ' ἐποιοῦντο διαβάσεις ἐκ τῶν φοινίκων, οἳ ἦσαν ἐκπεπτωκότες, τοὺς δὲ καὶ ἐξέκοπτον. καὶ ἐνταῦθα ἦν Κλέαρχον καταμαθεῖν, ὡς ἐπεστάτει. ἐν μὲν τῇ ἀριστερᾷ χειρὶ τὸ δόρυ ἔχων· ἐν δὲ τῇ δεξιᾷ βακτηρίαν, καὶ εἴ τις αὐτῷ δοκοίη τῶν πρὸς τοῦτο τεταγμένων αὐτῶν βλακεύειν, ἐκλεγόμενος τὸν ἐπιτήδειον, ἔπαισεν ἄν. καὶ ἅμα αὐτὸς προσελάμβανεν εἰς τὸν πηλὸν ἐμβαίνων, ὥστε πᾶσιν αἰσχύνην εἶναι, μὴ οὐ συσπουδάζειν. καὶ ἐτάχθησαν μὲν πρὸς αὐτὸν οἱ τριάκοντα ἔτη γεγονότες. ἐπεὶ δὲ καὶ Κλέαρχον ἑώρων σπουδάζοντα, προσελάμβανον καὶ οἱ πρεσβύτεροι. πολὺ δὲ μᾶλλον ὁ Κλέαρχος ἔσπευδεν ὑποπτεύων, μὴ αἰεὶ οὕτω πλήρεις εἶναι τὰς τάφρους ὕδατος. οὐ γὰρ ἦν ὥρα οἵα τὸ πεδίον ἄρδειν. ἀλλ' ἵνα πολλὰ τὰ ἄπορα φαίνοιτο τοῖς Ἕλλησιν εἶναι εἰς τὴν πορείαν, τούτου ἕνεκα βασιλέα ὑπώπτευεν, ἐπὶ τὸ πεδίον τὸ ὕδωρ ἀφηκέναι. πορευόμενοι δὲ ἀφίκοντο εἰς κώμας, ὅθεν ἀπέδειξαν οἱ ἡγεμόνες λαμβάνειν τὰ ἐπιτήδεια. ἐνῆν δὲ σῖτος πολύς, καὶ οἶνος φοινίκων, καὶ ὄξος ἑψητὸν ἀπὸ τῶν αὐτῶν. αὐταὶ δὲ αἱ βάλανοι τῶν φοινίκων, οἵας μὲν ἐν τοῖς Ἕλλησιν ἔστιν ἰδεῖν, τοῖς οἰκέταις ἀπέκειντο. αἱ δὲ τοῖς δεσπόταις ἀποκείμεναι, ἦσαν ἀπόλεκτοι, θαυμάσιαι τὸ κάλλος καὶ τὸ μέγεθος. ἡ δὲ ὄψις ἠλέκτρου οὐδὲν διέφερε. τὰς δέ τινας ξηραίνοντες, τραγήματα ἀπετίθεσαν, καὶ ἦν καὶ παρὰ πότον ἡδὺ μὲν καὶ φαλαγγὲς δέ. ἐνταῦθα καὶ τὸν ἐγκέφαλον τοῦ φοίνικος πρῶτον ἔφαγον οἱ στρατιῶται, καὶ οἱ πολλοὶ ἐθαύμαζον, τό τε εἶδος καὶ τὴν ἰδιότητα τῆς ἡδονῆς. ἦν δὲ σφόδρα καὶ τοῦτο καὶ φάλαγγες. ὁ δὲ φοίνιξ ὅθεν ἐξαιρεθείη ὁ ἐγκέφαλος, ὅλος ἐξηραίνετο. ἐνταῦθα δὲ ἔμειναν ἡμέρας τρεῖς, καὶ παρὰ μεγάλου βασιλέως ἧκε Τισσαφέρνης, καὶ ὁ τῆς βασιλέως γυναικὸς ἀδελφός, καὶ ἄλλοι Πέρσαι τρεῖς. δοῦλοι δὲ πολλοὶ εἵποντο. ἐπεὶ δὲ ἀπήντησαν αὐτοῖς οἱ τῶν Ἑλλήνων στρατηγοί, ἔλεγε πρῶτον Τισσαφέρνης δι' ἑρμηνέως τοιάδε· ἐγώ, ὦ ἄνδρες Ἕλληνες, γείτων οἰκῶ τῇ Ἑλλάδι, καὶ ἐπεὶ ὑμᾶς εἶδον εἰς πολλὰ κακὰ καὶ ἀμήχανα πεπτωκότας, εὕρημα ἐποιησάμην, εἴ πως δυναίμην παρὰ βασιλέως αἰτήσασθαι, δοῦναί μοι ἀποσῶσαι εἰς τὴν Ἑλλάδα ὑμᾶς. οἶμαι γὰρ οὐκ ἀχαρίστως μοι ἕξειν, οὔτε πρὸς ὑμῶν, οὔτε πρὸς τῆς Ἑλλάδος ἁπάσης. ταῦτα δὲ γνούς, ᾐτούμην βασιλέα, λέγων αὐτῷ, ὅτι ἄν μοι δικαίως χαρίζοιτο, ὅτι αὐτῷ Κῦρόν τε ἐπιστρατεύοντα πρῶτος ἤγγειλα, καὶ βοήθειαν ἔχων, ἅμα τῇ ἀγγελίᾳ ἀφικόμην, καὶ μόνος τῶν κατὰ τοὺς Ἕλληνας τεταγμένων οὐκ ἔφυγον. ἀλλὰ διήλασα καὶ συνέμιξα βασιλεῖ ἐν τῷ ὑμετέρῳ στρατοπέδῳ, ἔνθα βασιλεὺς ἀφίκετο, ἐπεὶ Κῦρον ἀπέκτεινε. καὶ τοὺς σὺν Κύρῳ βαρβάρους ἐδίωξα, σὺν τοῖς δὲ τοῖς παροῦσιν νῦν μετ' ἐμοῦ, οἵπερ αὐτῷ εἰσι πιστότατοι. καὶ περὶ μὲν τούτων, ὑπέσχετό μοι βουλεύσεσθαι. ἐρέσθαι δὲ ὑμᾶς ἐκέλευσεν ἐλθόντα, τίνος ἕνεκα ἐστρατεύσατε ἐπ' αὐτόν. καὶ συμβουλεύω ὑμῖν μετρίως ἀποκρίνασθαι, ἵνα μοι εὐπρακτότερον ᾖ, ἐάν τι δύνωμαι ἀγαθὸν

ἀγαθὸν ὑμῖν παρ' αὐτοῦ διαπράξασθαι. πρὸς ταῦτα μεταστάντες οἱ Ἕλληνες ἐβουλεύοντο καὶ ἀπεκρίναντο. Κλέαρχος δ' ἔλεγεν· ἡμεῖς οὔτε συνήλθομεν ὡς βασιλεῖ πολεμήσοντες, οὔτ' ἐπορευόμεθα ἐπὶ βασιλέα· ἀλλὰ πολλὰς προφάσεις Κῦρος εὕρισκεν, ὡς καὶ σὺ εὖ οἶσθα, ἵνα ὑμᾶς τε ἀπαρασκευάστους λάβοι, καὶ ἡμᾶς ἐνθάδε ἀναγάγοι. ἐπεὶ μέντοι ἤδη ἑωρῶμεν αὐτὸν ἐν δεινῷ ὄντα, ᾐσχύνθημεν καὶ θεοὺς καὶ ἀνθρώπους προδοῦναι αὐτόν, ἐν τῷ πρόσθεν χρόνῳ παρέχοντες ἡμᾶς αὐτοὺς εὖ ποιεῖν. ἐπεὶ δὲ Κῦρος τέθνηκεν, οὔτε ἀντιποιούμεθα βασιλεῖ τῆς ἀρχῆς, οὔτ' ἔστιν, οὗ ἕνεκα ἂν βουλοίμεθα τὴν βασιλέως χώραν κακῶς ποιεῖν, οὐδ' αὐτὸν ἀποκτεῖναι ἂν ἐθέλοιμεν. πορευοίμεθα δ' ἂν οἴκαδε, εἴ τις ἡμᾶς μὴ λυποίη. ἀδικοῦντα μέντοι πειρασόμεθα σὺν τοῖς θεοῖς ἀμύνασθαι. ἐὰν μέν τοι τὶς ἡμᾶς καὶ εὖ ποιῶν ὑπάρχῃ, καὶ τούτου εἴς γε δύναμιν οὐχ ἡττησόμεθα εὖ ποιοῦντες. ὁ μὲν οὕτως εἶπεν. ἀκούσας δὲ ὁ Τισσαφέρνης, ἔφη ταῦτα ἐγὼ ἀπαγγελῶ βασιλεῖ, καὶ ὑμῖν πάλιν τὰ παρ' ἐκείνου. μέχρι δ' ἂν ἐγὼ ἥκω, αἱ σπονδαὶ μενόντων. ἀγορὰν δὲ ἡμεῖς παρέξομεν. καὶ εἰς μὲν τὴν ὑστεραίαν οὐχ ἧκεν. ὥσθ' οἱ Ἕλληνες ἐφρόντιζον. τῇ δὲ τρίτῃ ἥκων ἔλεγεν, ὅτι διαπεπραγμένος ἥκοι παρὰ βασιλέως, δοθῆναι αὐτῷ σώζειν τοὺς Ἕλληνας, καίπερ πάνυ πολλῶν ἀντιλεγόντων, ὡς οὐκ ἄξιον εἴη βασιλεῖ, ἀφεῖναι τοὺς ἐφ' ἑαυτὸν στρατευομένους. τέλος δ' εἶπε· καὶ νῦν ἔξεστιν ὑμῖν πιστὰ λαβεῖν παρ' ἡμῶν, ἦ μὴν φιλίαν ὑμῖν παρέξειν τὴν χώραν, καὶ ἀδόλως ἀπάξειν εἰς τὴν Ἑλλάδα ἀγορὰν παρέχοντας. ὅπου δ' ἂν μὴ παρέχωμεν ἀγοράν, λαμβάνειν ὑμᾶς ἐκ τῆς χώρας ἐάσομεν τὰ ἐπιτήδεια. ὑμᾶς δ' αὖ ἡμῖν δεήσει ὀμόσαι, ἦ μὴν πορεύσεσθαι ὡς διὰ φιλίας ἀσινῶς, σῖτα καὶ ποτὰ λαμβάνοντας, ὁπόταν μὴ παρέχωμεν ἀγοράν. ἐὰν δὲ παρέχωμεν ἀγοράν, ὠνουμένους ἕξειν τὰ ἐπιτήδεια. ταῦτα ἔδοξε καὶ ὤμοσαν. καὶ δεξιὰς ἔδοσαν, Τισσαφέρνης καὶ ὁ τῆς βασιλέως γυναικὸς ἀδελφὸς τοῖς τῶν Ἑλλήνων στρατηγοῖς καὶ λοχαγοῖς, καὶ ἔλαβον παρὰ τῶν Ἑλλήνων. μετὰ δὲ ταῦτα Τισσαφέρνης εἶπε· νῦν μὲν δή, ἄπειμι ὡς βασιλέα. ἐπειδὰν δὲ διαπράξωμαι ἃ δέομαι, ἥξω συσκευασάμενος, ὡς ἀπάξων ὑμᾶς εἰς τὴν Ἑλλάδα, καὶ αὐτὸς ἀπιὼν ἐπὶ τὴν ἐμαυτοῦ ἀρχήν. μετὰ ταῦτα περιέμενον Τισσαφέρνην, οἵ τε Ἕλληνες καὶ Ἀριαῖος, ἐγγὺς ἀλλήλων ἐστρατοπεδευμένοι ἡμέρας πλείους ἢ εἴκοσιν. ἐν δὲ ταύταις ἀφικνοῦνται πρὸς Ἀριαῖον, καὶ οἱ ἀδελφοὶ καὶ οἱ ἄλλοι ἀναγκαῖοι, καὶ πρὸς τοὺς σὺν ἐκείνῳ Περσῶν τινες παρεθάρρυνόν τε καὶ δεξιὰς ἐνίοις παρὰ βασιλέως φέροντες, μὴ μνησικακήσειν βασιλέα αὐτοῖς τῆς σὺν Κύρῳ ἐπιστρατείας, μηδὲ ἄλλου μηδενὸς τῶν παρῳχημένων. τούτων δὲ γιγνομένων, ἔνδηλοι ἦσαν οἱ περὶ τὸν Ἀριαῖον, ἧττον τοῖς Ἕλλησι προσέχοντες τὸν νοῦν. ὥστε καὶ διὰ τοῦτο τοῖς μὲν πολλοῖς τῶν Ἑλλήνων οὐκ ἤρεσκον, ἀλλὰ προσιόντες τῷ Κλεάρχῳ, ἔλεγον καὶ τοῖς ἄλλοις στρατηγοῖς· τί μένομεν; ἢ οὐκ ἐπιστάμεθα, ὅτι βασιλεὺς ἡμᾶς ἀπολέσαι περὶ παντὸς ἂν ποιήσαιτο, ἵνα καὶ τοῖς ἄλλοις Ἕλλησι φόβος ᾖ ἐπὶ βασιλέα στρατεύειν; καὶ νῦν μὲν ἡμᾶς ὑπάγεται μένειν, διὰ τὸ διεσπάρθαι αὐτῷ τὸ στράτευμα. ἐπειδὰν δὲ πάλιν ἁλισθῇ αὐτῷ ἡ στρατιά, οὐκ ἔστιν ὅπως οὐκ ἐπιθήσεται ἡμῖν.

ἴσως

quæ cupio uestra causa facilius obtinere. Hæc ubi Græci audierũt, paululũ concedẽtes, inter se quid respondendũ esset consultarũt. Tũ Clearchus pro omnib. in hũc modũ loquutus est: Nos neq; in unũ cõuenimus ut bellũ regi inferremus, neq; cõtra ipsum prudẽtes ac scientes uenimus: sed, ut ipse nosti, Cyrus omnib. artibus usus est, quo & uos imparatos opprimeret, & nos huc perduceret. Vbi cum eum maximis rerũ difficultatibus circumuentũ uideremus, fuit quod deorum nos, & hominũ pudor adduxit, ne eum in aduersis deseremus, cui in sequũdis præsto semper fuissemus. Iam Cyro interfecto, neq; nobis de imperio cum rege ullũ est certamen, neq; in eius fines hostiliter inuadimus, nec ipsum occidere uelimus, liceat modo in patriã sine cuiusquã iniuria redire. Quod si quis nos lacesierit, hunc, dis freti, ut ulciscamur, operã dabimus. Sin fuerit de nobis quisquã bene meritus, nihil certe, ne uicti beneficio uideamur, referẽdæ gratiæ studio futurũ nobis antiquius est. Hæc Clearchus. Tissaphernes uero: Hæc, inquit, regi nũciabo, rursusq; uobis quicquid ille respõderit. Dũ uero ad illũ excurro, de cõpositione illud maneat, quod ante inter nos cõuenit, ac interim commeatus uobis dabimus. Ac tunc abiẽs, cum postero die nõ rediret, Græcis nõnihil suspicandũ præbuit. Tertio uero die cum uenisset, se à rege impetrasse dixit, ut liceret Græcos in patriã incolumes reducere: quãuis nõ defuissent qui aduersati essent, cũ e regis dignitate esse negarẽt, si qui cõtra ipsum armati uenissent, impune ab eo discederẽt. Postremò, ut rẽ, inquit, paucis absoluã, uobis, ut nũc se res hẽt, licet nobiscum pacisci. Fidẽ nos dabimus primũ, tuta uobis fore itinera, per oẽs regni partes, ut nihil plus q̃ ab amicis uobis timẽdũ sit: deinde uos optima fide in Græciã reducendos suscipiemus. Cõmeatuum copiam faciemus, id si minus præstare potuerimus, tum ex agro quæcũq; opus fuerint, uos sumere patiemur. Vos cõtra iusiurandũ cõcipietis, quacũq; transieritis, nulli neq; incõmodum, neq; detrimentũ ullũ importaturos, ac si per sociorũ fines iter faceretis: esculenta tantũ, & poculenta sumpturos, ubi è foro ea nobis curare nõ potueritis. Vbi uero mercãdi facultas fuerit, omnia uos empturos. Hæc utrinq; iureiurando sancita sunt: dextræ datæ uicissim. Autores fuere illinc Tissaphernes, & regis uxoris frater, hinc Græcorũ prætores & centuriones. His ita transactis, Tissaphernes ad regẽ inquit excurro: illinc rebus omnibus, quæ ad iter pertinẽt, cõparatis, confestim adero, uosq; in Græciã deducã, & ipse me in meã prouinciã recipiã. Post hæc Græci eo ipso in loco, & Arieus coniunctis castris, x x. ipsos dies Tissaphernẽ expectantes cõmorati sunt. Interea uenerũt ex Persis ad Arieũ, cæterosq; qui cum eo erant, cum ipsius fratres, tum cæteri necessarij, qui eos bono animo esse iusserunt: fidem etiã à rege dederũt, quod Cyrũ armis iuuissent, nulli ipsis fraudi futurũ, ac præteritas omnes offensiones illum ijs condonaturũ. Hæc Arieũ eiusq; milites ita cõmouisse uidebantur, ut iam Græcorũ societatẽ multo negligentius colerẽt. Quod cum uulgus Græcorũ animaduertisset, nõ belle secũ agi putarũt: quare cum Clearchũ & cæteros duces cõuenissent: Quid, inquiũt, hic amplius cõmoramur? An uero ignoramus regẽ nihil impensius, q̃ nos perditos cupere? atq; ob id maxime, ut reliquos Græcos hoc exemplo perterrefaciat, ne in posterũ contra ipsum arma capiãt. At nunc quidem dedita opera hic nos detinet, quãuis per scilicet eius copiæ, quæ nunc dißipatæ sunt, in unum coẽant. An dubitatis quin ubi coierint, sit in nos impetum facturus?

Quid si forte nunc, aut fodiendum, aut muniendum aliquid curat, quo nos intercludat. Neque enim quantum in se fuerit, passurum consentaneum est, in Græciam renunciari, nos cum tam pauci essemus, regem in ordinem redegisse, atque ab ipsius, ut aiunt, ianua, domum, eius potentiam illudentes, rediisse. Ad hæc Clearchus: Eadem mihi, inquit, suspicari in mentem uenire solet: sed illud iam cogito, si nunc discedimus, ne rebellasse contra fœdus uideamur. Deinde uero commeatus nobis dabit nemo, neque erit quo frumentatum eamus: ducem præterea itineris neminem habebimus. Ad hæc Ariæus, quasi nostro hoc facto commotus, à nobis plane deficiet. Atque ita non modo nullum nobis amicum reliquum fecerimus, sed qui ante amici, hi hostes fient. Fluuius quidem nunquis traijciendus nobis sit alius, nescio. Euphraten certe, facile intelligere possumus, si obsistant hostes, nullo pacto transmitti posse. Quod si pugnandum fuerit, ecquis nobis est equitatus? at is hostibus plurimus & lectissimus. Quo fiet, ut si uicerimus, illos tamen assequi nequeamus: sin uicti fuerimus, nostrum euadat nemo. Ego sane regis consilium miror, si, cum tam multis modis pro suis opibus ac facultatibus, nos facilime perdere possit, nobiscum fœdus feriat, fidem det, deos periurio lædat, fideique suæ autoritatem apud Græcos & barbaros comminuat. Multa in hanc sententiam cum egisset, Tissaphernes uenit, copiásque suas secum, uti domum rediturus, adduxit. Cum eo unà Orontes, cum suis item copijs uenit: ac is secum regis filiam sibi matrimonio coniunctam habebat. Hinc duce Tissapherne, & eodem commeatus uenum exponente, profecti sunt. Vnà etiam Ariæus cum ea barbarorum manu, quæ Cyri fuerat. Atque hi quidem, & Orontes, communibus castris utebantur. Græci uerò cum barbaros suspectos haberent, seorsum iter faciebant, duces suos sequentes: quocunque locorum peruenissent, castra ponebant, interuallo haud multo minore inter se pass. IIII. M. Ac utrinque, æquè ac aduersus hostes custodiæ adhibebantur: quæ res suspicionem haud leuem in omnium animos immisit. Sæpe etiam qui aut lignatum, aut pabulatum, aut quid aliud quæsitum mittebantur, ab alterutris plagis mulctati redibant, ex quo implacabiles inimicitiæ existebant. Hinc uero progressi, tertijs castris ad Medeæ muros accesserunt: per cuius etiam interius pomœrium iter fecere. Erant hi coctilibus laterculis & bitumine extructi, pedes XX. lati, C. alti, in spacium excurrentes uti ferebatur M. pass. LXXX. À Babylone uero non longe hi aberant. Proximis binis castris M. pass. XXXII. confectis, alueos duos traiecerunt, quorum unus ponte, alter nauigijs septem iungebatur. Hi à Pigrete amne ducti fuerant, atque ab his fossæ per totum agrum diducebantur: quarum primæ quæque maiores, minores mediæ, postremæ nihilo latiores ijs riuulis, quos Græci in panici segetem inducere solent. Hinc ad Pigretem amnem peruenere, à quo quindecim circiter stadia urbs abest Sitace nomine, magna illa & hominum multitudine abundans. Græci in proximo agro non longe à pulcherrimis maximisque, ac omnifarijs arboribus consitis hortis, castrametati sunt: Barbari ipsi trans Pigretem, quique in parte conspici non poterant. Iam uerò cum à cœna forte Proxenus & Xenophon pro castris ambularent, accedens nescio quis ab ijs qui pro statione erāt, quæsiuit, Clearchum aut Proxenū, ubinam reperire possit: de Me-

ἴσως δέ που, ἢ ἀποσκάπτει τι, ἢ ἀποτειχίζει, ὡς ἄπορος εἴη ἡ ὁδός. οὐ γάρ ποτε ἑκών γε βουλήσεται ἡμᾶς ἐλθόντας εἰς τὴν ἑλλάδα ἀπαγγεῖλαι, ὡς ἡμεῖς τοσοίδε ὄντες, ἐνικῶμεν τὴν βασιλέως δύναμιν ἐπὶ ταῖς θύραις αὐτοῦ, καὶ καταγελάσαντες ἀπήλθομεν. κλέαρχος δὲ ἀπεκρίνατο τοῖς ταῦτα λέγουσιν· ἐγὼ ἐνθυμοῦμαι μὲν καὶ ταῦτα πάντα. ἐννοῶ δὲ, ὅτι εἰ νῦν ἄπιμεν, δόξομεν ἐπὶ πολέμῳ ἀπιέναι, καὶ παρὰ τὰς σπονδὰς ποιεῖν. ἔπειτα πρῶτον μὲν ἀγορὰν οὐδεὶς ἡμῖν παρέξει, οὐδ' ὁπόθεν ἐπισιτιούμεθα. αὖθις δὲ ὁ ἡγησόμενος οὐδεὶς ἔσται, καὶ ἅμα ταῦτα ποιούντων ἡμῶν, εὐθὺς ἀριαῖος ἀφεστήξει. ὥστε φίλος ἡμῖν, οὐδεὶς λελείψεται, ἀλλ' οἱ καὶ πρόσθεν ὄντες πολέμιοι ἡμῖν ἔσονται. ποταμὸς δὲ εἰ μέν τις καὶ ἄλλος ἄρα ἡμῖν ἐστι διαβατέος, οὐκ οἶδα. τὸν δ' οὖν εὐφράτην ἴσμεν, ὅτι ἀδύνατον διαβῆναι, κωλυόντων πολεμίων. οὐ μὲν δὴ ἂν μάχεσθαι δέῃ, ἱππεῖς εἰσιν ἡμῖν σύμμαχοι; τῶν δὲ πολεμίων ἱππεῖς εἰσιν οἱ πλεῖστοι, καὶ πλείστου ἄξιοι. ὥστε νικῶντες μὲν τίνα ἂν ἀποκτείναιμεν; ἡττωμένων δὲ μὴν, οὐδένα οἷόν τε σωθῆναι. ἐγὼ μὲν οὖν βασιλέα, ᾧ πολλὰ οὕτως ἐστὶ τὰ σύμμαχα, εἴπερ προθυμεῖται ἡμᾶς ἀπολέσαι, οὐκ οἶδα ὅτι δεῖ αὐτὸν ὀμόσαι, καὶ δεξιὰν δοῦναι, καὶ θεοὺς ἐπιορκῆσαι, καὶ τὰ ἑαυτοῦ πιστὰ, ἄπιστα ποιῆσαι ἕλλησι καὶ βαρβάροις. τοιαῦτα ἔλεγε πολλά. ἐν δὲ τούτῳ τισσαφέρνης ἧκεν, ἔχων τὴν ἑαυτοῦ δύναμιν, ὡς εἰς οἶκον ἀπιών, καὶ ὀρόντας τὴν ἑαυτοῦ δύναμιν. ἦγε δὲ καὶ τὴν θυγατέρα τὴν βασιλέως ἐπὶ γάμῳ. ἐντεῦθεν δὲ τισσαφέρνους ἡγουμένου, καὶ ἀγορὰν παρέχοντος, ἐπορεύοντο. ἐπορεύετο δὲ καὶ ἀριαῖος, ἔχων τὸ κύρου βαρβαρικὸν στράτευμα, ἅμα τισσαφέρνει καὶ ὀρόντᾳ, καὶ συνεστρατοπεδεύετο σὺν ἐκείνοις. οἱ δὲ ἕλληνες ὑφορῶντες τούτους, αὐτοὶ ἐφ' ἑαυτῶν ἐχώρουν, ἡγεμόνας ἔχοντες. ἐστρατοπεδεύοντο δὲ ἑκάστοτε, ἀπέχοντες ἀπ' ἀλλήλων, παρασάγγην καὶ μεῖον. ἐφυλάττοντο δὲ οἱ ἀμφότεροι, ὥσπερ πολεμίους ἀλλήλους. καὶ εὐθὺς τοῦτο ὑποψίαν παρεῖχεν. ἐνίοτε δὲ καὶ ξυλιζόμενοι ἐκ τοῦ αὐτοῦ, καὶ χόρτον, καὶ ἄλλα τοιαῦτα συλλέγοντες, πληγὰς ἐνέτεινον ἀλλήλοις, ὥστε καὶ τοῦτο ἔχθραν παρεῖχε. διελθόντες δὲ τρεῖς σταθμούς, ἀφίκοντο πρὸς τὸ μηδείας τεῖχος, καὶ παρῆλθον αὐτοῦ εἴσω. ἦν δὲ ᾠκοδομημένον, πλίνθοις ὀπταῖς, ἐν ἀσφάλτῳ κειμέναις, εὖρος εἴκοσι ποδῶν, ὕψος δὲ ἑκατόν, μῆκος δὲ ἐλέγετο εἴκοσι παρασαγγῶν. ἀπέχει δὲ βαβυλῶνος οὐ πολύ. ἐντεῦθεν δ' ἐπορεύθησαν σταθμοὺς δύο, παρασάγγας ὀκτώ, καὶ διέβησαν διώρυχας δύο· τὴν μὲν ἐπὶ γεφύρας, τὴν δ' ἐζευγμένην πλοίοις ἑπτά. αὗται δὲ ἦσαν ἀπὸ τοῦ τίγρητος ποταμοῦ. κατετέτμηντο δὲ ἐξ αὐτῶν καὶ τάφροι ἐπὶ τὴν χώραν. αἱ μὲν πρῶτοι μεγάλαι, ἔπειτα δ' ἐλάσσους. τέλος δὲ καὶ μικροὶ ὀχετοί, ὥσπερ ἐν τῇ ἑλλάδι ἐπὶ τὰς μελίνας. καὶ ἀφικνοῦνται ἐπὶ τὸν τίγρητα ποταμόν, πρὸς ᾧ πόλις ἦν μεγάλη καὶ πολυάνθρωπος, ᾗ ὄνομα σιτάκη, ἀπέχουσα τοῦ ποταμοῦ σταδίους πεντεκαίδεκα. οἱ μὲν οὖν ἕλληνες παρ' αὐτὴν ἐσκήνωσαν, ἐγγὺς παραδείσου καλοῦ καὶ μεγάλου καὶ δασέος παντοίων δένδρων. οἱ δὲ βάρβαροι διαβεβηκότες τὸν τίγρητα, οὐ μέντοι γε καταφανεῖς ἦσαν. μετὰ δὲ τὸ δεῖπνον, ἔτυχον ἐν περιπάτῳ ὄντες πρὸ τῶν ὅπλων πρόξενος καὶ ξενοφῶν. καὶ προσελθὼν ἠρώτησεν ἄνθρωπός τις τοὺς προφύλακας, ποῦ ἂν ἴδοι πρόξενον ἢ κλέαρχον. μένωνα

μένωνα δὲ οὐκ ἐζήτει. καὶ ταῦτα παρὰ ἀριαίου ὤν, τοῦ μένωνος ξένου. ἐπεὶ δὲ πρόξενος εἶπεν, ὅτι αὐτός εἴη ὃν ζητεῖ, εἶπεν ὁ ἄνθρωπος. ἔπεμψέ με ἀριαῖος καὶ ἀρτάβαζος, πιστοὶ ὄντες κύρῳ, καὶ ὑμῖν εὖνοι, καὶ κελεύουσι φυλάττεσθαι, μὴ ὑμῖν ἐπιθῶνται τῆς νυκτὸς οἱ βάρβαροι. ἔστι δὲ στράτευμα πολὺ ἐν τῷ πλησίον παραδείσῳ. καὶ ἐπὶ τὴν γέφυραν τοῦ τίγρητος ποταμοῦ, πέμψαι κελεύουσι φύλακας, ὅτι διανοεῖται λῦσαι αὐτὴν τισσαφέρνης τῆς νυκτός, ἢν δύνηται, ὡς μὴ διαβῆτε, ἀλλ' ἐν μέσῳ ἀποληφθῆτε τοῦ ποταμοῦ καὶ τῆς διώρυχος. ἀκούσαντες ταῦτα, ἄγουσιν αὐτὸν παρὰ τὸν κλέαρχον, καὶ φράζουσιν ἃ λέγει. ὁ δὲ κλέαρχος ἀκούσας, ἐταράχθη, καὶ ἐφοβεῖτο σφόδρα. νεανίσκος δέ τις τῶν παρόντων ἐννοήσας, εἶπεν, ὡς οὐκ ἀκόλουθα εἴη τό τε ἐπιθήσεσθαι, καὶ τὸ λύσειν τὴν γέφυραν. δῆλον γὰρ ὅτι ἐπιτιθεμένους, ἢ νικᾶν δεήσει αὐτούς, ἢ ἡττᾶσθαι. ἐὰν μὲν οὖν νικῶσι, τί δεῖ αὐτοὺς λύειν τὴν γέφυραν; οὐδὲ γὰρ ἂν πολλαὶ γέφυραι ὦσιν, ἔχοιμεν ἂν ὅποι φυγόντες ἡμεῖς σωθείημεν. ἂν δ' αὖ ἡμεῖς νικῶμεν, λελυμένης τῆς γεφύρας, οὐχ ἕξουσιν ἐκεῖνοι ὅποι ἂν φύγωσιν. οὐδὲ μὴν βοηθῆσαι πολλῶν ὄντων πέραν οὐδεὶς αὐτοῖς δυνήσεται, λελυμένης τῆς γεφύρας. ἀκούσας δὲ ταῦτα ὁ κλέαρχος, ἤρετο τὸν ἄγγελον, πόση τις εἴη χώρα, ἡ ἐν μέσῳ τοῦ τίγρητος καὶ τῆς διώρυχος. ὁ δὲ εἶπεν, ὅτι πολλή, καὶ κῶμαι ἔνεισι, καὶ πόλεις πολλαὶ καὶ μεγάλαι. τότε δὴ καὶ ἐγνώσθη, ὅτι οἱ βάρβαροι τὸν ἄνθρωπον ὑποπέμψαιεν, ὀκνοῦντες μὴ οἱ ἕλληνες διελθόντες τὴν γέφυραν, μένοιεν ἐν τῇ νήσῳ ἐρύματα ἔχοντες, ἔνθεν μὲν τὸν τίγρητα ποταμόν, ἔνθεν δὲ τὴν διώρυχα. τὰ δ' ἐπιτήδεια ἔχοιεν ἐκ τῆς ἐν μέσῳ χώρας, πολλῆς καὶ ἀγαθῆς οὔσης, καὶ τῶν ἐργαζομένων ἐνόντων. εἶτα καὶ ἀποστροφὴ γένοιτο, εἴ τις βούλοιτο βασιλέα κακῶς ποιεῖν. μετὰ ταῦτα ἀνεπαύοντο. ἐπὶ μέντοι τὴν γέφυραν ὅμως φυλακὴν ἔπεμψαν. καὶ οὔτε ἐπέθετο οὐδεὶς οὐδαμόθεν, οὔτε πρὸς τὴν γέφυραν οὐδεὶς ἦλθε τῶν πολεμίων, ὡς οἱ φυλάττοντες ἀπήγγελλον. ἐπειδὴ δ' ἕως ἐγένετο, διέβαινον τὴν γέφυραν ἐζευγμένην πλοίοις τριάκοντα καὶ ἑπτά, ὡς οἷόν τε μάλιστα πεφυλαγμένως. ἐξήγγελλον γάρ τινες τῶν παρὰ τισσαφέρνους ἑλλήνων, ὡς διαβαινόντων, μέλλοιεν ἐπιτίθεσθαι. ἀλλὰ ταῦτα μὲν ψευδῆ ἦν. διαβαινόντων μέντοι γλοῦς αὐτοῖς ἐπεφάνη μετ' ἄλλων, σκοπῶν εἰ διαβαίνοιεν τὸν ποταμόν. ἐπεὶ δὲ εἶδεν, ᾤχετο ἀπελαύνων. ἀπὸ δὲ τοῦ τίγρητος ἐπορεύθησαν σταθμοὺς τέτταρας, παρασάγγας εἴκοσιν ἐπὶ τὸν φύσκον ποταμόν, τὸ εὖρος πλέθρου. ἐπῆν δὲ γέφυρα. καὶ ἐνταῦθα ᾠκεῖτο πόλις μεγάλη, ᾗ ὄνομα ὦπις. πρὸς ἣν ἀπήντησε τοῖς ἕλλησιν ὁ κύρου καὶ ἀρταξέρξου νόθος ἀδελφός, ἀπὸ σούσων καὶ ἐκβατάνων, στρατιὰν πολλὴν ἄγων, ὡς βοηθήσων βασιλεῖ. καὶ ἐπιστήσας τὸ ἑαυτοῦ στράτευμα, παρερχομένους τοὺς ἕλληνας ἐθεώρει. ὁ δὲ κλέαρχος ἡγεῖτο μὲν εἰς δύο. ἐπορεύετο δὲ ἄλλοτε καὶ ἄλλοτε ἐφιστάμενος. ὅσον δ' ἂν χρόνον τὸ ἡγούμενον τοῦ στρατεύματος ἐπιστῇ, τοσοῦτον ἀνάγκη χρόνον δι' ὅλου τοῦ στρατεύματος γίγνεσθαι τὴν ἐπίστασιν, ὥστε τὸ στράτευμα καὶ αὐτοῖς τοῖς ἕλλησι δόξαι πάμπολυ εἶναι, καὶ τὸν πέρσην ἐκπεπλῆχθαι θεωροῦντα. ἐντεῦθεν δὲ ἐπορεύθησαν διὰ τῆς μηδίας σταθμοὺς ἐρήμους ἕξ, παρασάγγας τριάκοντα εἰς τὰς παρυσάτιδος κώμας, τῆς κύρου καὶ βασιλέως μητρός. ταύτας τισσαφέρνης κύ-

ρῳ

de Menone nullam mentionem fecit, cum tamen ab Ariaeo missus esset Menonis hospite. Vbi uero Proxenus se illi indicauit: Me, inquit ille, Arieus & Artabazus fideles olim Cyro, nobis beneuoli homines miserunt, ut monerem, caueatis ne noctu uos barbari adoriantur: in proximis enim hortis magnae copiae subsederunt. Ad haec, uos ijdem iubent praesidio pontem Pigretis occupare: statuisse enim Tissaphernem illum dissoluere, si possit, quo retrocedendi adempta facultate, intra fluuium & alueum intercludamini. Haec illi cum audissent, ipsum nuncium ad Clearchum adducunt, ac ei rem omnem explicant: qua ille audita, uehementer commotus ac perterritus est. Hic ex ijs qui tunc aderant, adolescens quidam, re attentius considerata, pugnantia esse dixit, adoriri simul, & pontem soluere: necesse enim, inquit, est si nos adorti fuerint, aut uincere, aut uinci. Quod si uicerint, quid tunc est quod pontem soluant? cum neque si multi nobis pontes suppetant, fuga saluti consulere possimus. Sin eos nos uicerimus, certe soluto ponte quò effugiant non habebunt. Adde quod ex ulteriore parte, nemo ex tanta multitudine ponte amoto, his auxilio uenire poterit. Cum ad haec attendisset Clearchus, de nuncio quaesiuit, quàm late pateret ea regio, quae Pigrete & alueo terminaretur. Cui cum respondisset ille, magnam utique esse, & in qua uici complures, multaeq; essent, ac magnae urbes, plane ab omnibus intellectum est, allegatum esse illum hominem à barbaris: illud metuentibus, ne Graeci cum pontem transissent, insulam illam occuparent, in qua se hinc aluei, illinc fluminis duplici quasi munimento tueri, & commeatus ex agro, qui in medio maximus & optimus pateret, copiam habere possent, cum praesertim qui eum colerent, defuturi non essent: ex eo uero loco regem multis posse incommodis affici. His rebus perspectis, Graeci quieuerunt, pontem tantum misso praesidio tenuerunt. Verum neque eos quisquam ulla ex parte adortus est, neque ullus omnino ex hostibus ad pontem accessit, uti postea ex illis ipsis, qui in praesidio fuerant, cognitum est. Cum illuxisset, pontem nauigijs XXXVII. fultum, omni adhibita cautione transierunt: etenim renunciatum fuerat, in ipso transitu Tissaphernem impetum facturum: quod falsum omnino compertum est.

Conspexerunt quidem transeuntes Glun, & Allonem: speculatum hi uenerant, nunquid Graeci transirent, ac re cognita pedem retulerunt. À Pigrete uero quartis castris M. pass. LXXX. confectis, ad Physcum amnem peruenere. Huius latitudo passuum erat XX. Ponte is iungebatur. Nec longe aberat ampla ciuitas, Opis nomine: prope quam Graecis obuius factus est Cyri & Artaxerxis nothus frater, qui secum à Susis & Ecbatanis, magna regi auxilia adducebat. Is cum exercitu substitit, & praetereuntes Graecos spectauit. Agmen in binos Clearchus ducebat, ac modo hac, modo illa in parte imperabat: & quantisper quidem frons agminis intersisteret, agmen totum intendi necesse erat.

Quod sane efficiebat, ut & ipsis Graecis multò maximus militum numerus uideretur, & Perses intuens uehementer extimesceret. Hinc per Mediae solitudines, senis castris M. pass. CXX. profecti, in Parysatidis, Cyri, & Artaxerxis matris uicos uenerunt: eos Graecis, Cy-

ro iā mortuo illudens, populabūdos Tissaphernes præbuit, captiuū tamen neminem abduxerunt. Erat in his uicis, frumenti, pecoris, aliarūq; rerum luculenta copia. Hinc profecti per solitudines castra quina habuerunt intra M. pass. LXXX. ad læuam Pigretē habētes. Ad prima castra trās flumen, urbs incolebatur frequens & opulenta, Cenæ: ex qua barbari coriaceis ratibus panē, caseum, uinū in castra conuehebant. Hinc ad Zabatū amnē uenere, cuius latitudo pass. patebat LXXX. atq; hic dies tris commorati sunt: in quib. ut nullæ se ostenderint insidiæ, suspiciones utrinq; nō defuerunt. Quas cum tollere uellet Clearchus, antequā ex iis bellum aliquod conflaretur, sibi cum Tissapherne congrediendū putauit: quare per nunciū eum monuit, sibi magnopere ex usu esse cum eo congredi: ille non grauatè sui adeundi potestatem fecit. Vbi cōuenerunt, Clearchus ita locutus est: Noui equidē Tissapherne fœdus inter nos ictū, datasq; dexteras, neutrā partem alterā læsurā. Quod cum ita sit, quid est obsecro, quod uobis æque à nobis, atq; ab hostib. cauetis? Id enimuero cum nos animaduertamus, uestrum exemplū sequimur. Sed enim cum diligentius attēdo, neq; uestrûm quenquam esse comperio, qui nobis periculū ullū intentet: neq;, quod ego planè affirmare possum, quisquam de nostris est, qui in uos quicquā hostile cogitet: eam ob rē te mihi conueniendū putaui, ut has si fieri posset, utrinq; suspiciōes exēptas ex animis curaremus. NOVI. n. ex huiusmodi plerunq; suspicionib. & criminationib. effici solere, ut dum homines ne patiātur quid grauius metuūt, lōge atrocissimas iniurias iis plerunq; facere occupēt, qui nihil ipsi unquā tale quicquā commissuri fuerant. Veni igitur ad te, quod nulla re magis q̄ familiari congressu, huiusmodi errores tolli posse existimaui: ac tibi quidē facilè, opinor, ostēdam, nihil esse quamobrē fidem nobis nō habeas. Primū enim omniū IPSA nos omnino iurisiurādi religio cōtinere debet, ne nobis uicissim infensi simus: atq; eū quidem, qui se uiolatæ religionis cōscientia obligarit: neutiquā ego inter beatos numerarim. Deorū enim immortaliū bellum, neq; qua quis celeritate, nec in quas effugiat latebras uideo: nec postremo in quod se propugnaculū recipiat, quò neglecti numinis ira non peruadat, cum sint omnia dis obnoxia, neq; sit quicquā uspiam quod in deorum potestate non sit. Ac de dis, fide, ac iureiurādo, quo nobis fœdus sancitum est, ita statuo. Quod uero ad homines attinet, te ego nobis in præsentia salutis autorem puto. Per te enim omnis nobis est aditu facilis uia: per te facile quemuis amnem traiicimus: per te nobis commeatuum copia in promptu est. Sine te omnis nobis, quasi in tenebris ignota est uia, quod scilicet omnium locorū prorsus ignari sumus: sine te nullus est, quem transmittere possimus, amnis: sine te formidolosa quæuis turba, multò formidolosior solitudo, cum nulla nobis itineris satis expedita ratio iniri possit. Quod si te furore atq; amentia impulsi occidamus, quid aliud obsecro, nisi homine bene de nobis merito interempto, maximi regis ad ultionem iure incitati, sit nobis bellum sustinendum? Iam uero quas mihiipsi spes irritas redditurus sim, tibi si quām iniuriam facere conatus fuero, nunc explicabo. Ego Cyri ante amicitiam expetiui, quod unum omnium suæ ætatis, ad bene merendum de quibus uellet, maximè idoneum existimaui. Nunc ad pristinam potētiā tuam, illius opes atq; imperium adiectum esse uideo: ac regis copias quæ Cyro infensæ erant, firmo tibi præsidio fore. Hæc

Deorū bellū nemo effugere potest.

ρῳ ἐπεγγελῶν, διαρπάσαι τοῖς Ἕλλησιν ἐπέτρεψε, πλὴν ἀνδραπόδων. ἐνῆν δὲ σῖτος πολὺς καὶ πρόβατα καὶ ἄλλα χρήματα. ἐντεῦθεν δ' ἐπορεύθησαν σταθμοὺς ἐρήμους πέντε, παρασάγγας εἴκοσι, τὸν Τίγρητα ποταμὸν ἐν ἀριστερᾷ ἔχοντες. ἐν δὲ τῷ πρώτῳ σταθμῷ πέραν τοῦ ποταμοῦ, πόλις ᾠκεῖτο μεγάλη καὶ εὐδαίμων, ὄνομα Καιναί. ἐξ ἧς οἱ βάρβαροι διῆγον ἐπὶ σχεδίας διφθερῶν ἄρτους, τυρόν, οἶνον. μετὰ ταῦτα ἀφίκοντο ἐπὶ τὸν Ζαβάταν ποταμόν, τὸ εὖρος τεττάρων πλέθρων. καὶ ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς. ἐν δὲ ταύταις ὑποψίαι μὲν ἦσαν. φανερὰ δ' οὐδεμία ἐφαίνετο ἐπιβουλή. ἔδοξεν οὖν τῷ Κλεάρχῳ, συγγενέσθαι Τισσαφέρνει, καὶ εἴ πως δύναιτο, παῦσαι τὰς ὑποψίας, πρὶν ἐξ αὐτῶν πόλεμον γενέσθαι. καὶ ἔπεμψέ τινα ἐροῦντα, ὅτι συγγενέσθαι αὐτῷ χρῄζει. ὁ δὲ ἑτοίμως ἐκέλευσεν ἥκειν. ἐπειδὴ δὲ συνῆλθον, λέγει ὁ Κλέαρχος τάδε· ἐγώ, ὦ Τισσαφέρνη, οἶδα μὲν ἡμῖν ὅρκους γεγενημένους, καὶ δεξιὰς δεδομένας, μὴ ἀδικήσειν ἀλλήλους. φυλαττόμενον δέ σε ὁρῶ ὡς πολεμίους ἡμᾶς. καὶ ἡμεῖς ὁρῶντες ταῦτα, ἀντιφυλαττόμεθα. ἐπεὶ δὲ σκοπῶν οὐδὲν δύναμαι, οὔτε αἰσθέσθαι πειρώμενον ἡμᾶς κακοποιεῖν. ἐγώ τε σαφῶς οἶδα, ὅτι ἡμεῖς γε οὐδ' ἐπινοοῦμεν οὐδὲν τοιοῦτον, ἔδοξέ μοι εἰς λόγους σοι ἐλθεῖν, ὅπως εἰ δυναίμεθα, ἐξέλοιμεν ἀλλήλων τὴν ἀπιστίαν. καὶ γὰρ οἶδα ἤδη, ἀνθρώπους τοὺς μὲν ἐκ διαβολῆς, τοὺς δὲ ἐξ ὑποψίας, οἳ φοβηθέντες ἀλλήλους φθάσαι βουλόμενοι πρὶν παθεῖν, ἐποίησαν ἀνήκεστα κακά, τοὺς οὔτε μέλλοντας, οὔτε βουλομένους τοιοῦτον οὐδέν. τὰς οὖν τοιαύτας ἀγνωμοσύνας νομίζων συνουσίαις μάλιστα ἂν παύεσθαι, ἥκω, καὶ διδάσκειν σε βούλομαι, ὡς σὺ ἡμῖν οὐκ ὀρθῶς ἀπιστεῖς. πρῶτον μὲν γὰρ καὶ μέγιστον, οἱ θεῶν ὅρκοι ἡμᾶς κωλύουσι πολεμίους εἶναι ἀλλήλοις. ὅστις δὲ τούτων σύνοιδεν αὑτῷ παρημεληκώς, τοῦτον ἐγὼ οὔποτ' ἂν εὐδαιμονίσαιμι. τὸν γὰρ θεῶν πόλεμον οὐκ οἶδα, οὔτ' ἀπὸ ποίου ἂν τάχους φεύγων τις ἀποφύγοι, οὔτ' εἰς ποῖον ἂν σκότος ἀποδραίη, οὔθ' ὅπως ἂν εἰς ἐχυρὸν χωρίον ἀποσταίη. πάντῃ γὰρ πάντα τοῖς θεοῖς ὕπεχα, καὶ πανταχῇ πάντων ἴσον οἱ θεοὶ κρατοῦσι. περὶ μὲν δὴ τῶν θεῶν τε καὶ τῶν ὅρκων οὕτω γιγνώσκω, παρ' οὓς ἡμεῖς τὴν φιλίαν συνθέμενοι κατεθέμεθα. τῶν δὲ ἀνθρωπίνων σὲ ἔγωγε ἐν τῷ παρόντι νομίζω μέγιστον ἡμῖν εἶναι ἀγαθόν. σὺν μὲν γὰρ σοὶ πᾶσα ἡμῖν ὁδὸς εὔπορος· πᾶς δὲ ποταμὸς διαβατός. τῶν δ' ἐπιτηδείων οὐκ ἀπορία. ἄνευ δὲ σοῦ, πᾶσα μὲν ἡ ὁδὸς διὰ σκότους. οὐδὲν γὰρ αὐτῆς ἐπιστάμεθα. πᾶς δὲ ποταμὸς δύσπορος· πᾶς δ' ὄχλος φοβερός· φοβερώτατον δ' ἐρημία. μεστὴ γὰρ πολλῆς ἀπορίας ἐστίν. εἰ δὲ καὶ μανέντες σε κατακτείναιμεν, ἄλλο τι ἂν ἢ τὸν εὐεργέτην κατακτείναντες, πρὸς βασιλέα τὸν μέγιστον ἔφεδρον ἀγωνιζοίμεθα; ὅσων δὲ δὴ καὶ οἵων ἐλπίδων ἐμαυτὸν ἂν στερήσαιμι, εἴ σέ τι κακὸν ἐπιχειρήσαιμι ποιεῖν, ταῦτα λέξω. ἐγὼ γὰρ Κῦρον ἐπεθύμησά μοι φίλον γενέσθαι, νομίζων τῶν τότε ἱκανώτατον εἶναι, εὖ ποιεῖν ὃν ἂν βούλοιτο. σὲ δὲ νῦν ὁρῶ τήν τε Κύρου δύναμιν καὶ χώραν ἔχοντα, καὶ τὴν σεαυτοῦ ἀρχὴν σῴζοντα, τὴν δὲ βασιλέως δύναμιν, ᾗ Κῦρος πολεμίᾳ ἐχρῆτο, σοὶ ταύτην σύμμαχον οὖσαν. τούτων

τούτων δὲ τοιούτων ὄντων, τίς οὕτω μαίνεται, ὅστις οὐ σοὶ βούλεται φίλος εἶναι; ἀλλὰ μὴν ἐρῶ γὰρ καὶ τὰ ἐξ ὧν ἔχω ἐλπίδας, καὶ σὲ βουλήσεσθαι φίλον ἡμῖν εἶναι. οἶδα μὲν γὰρ ὑμῖν Μυσοὺς λυπηροὺς ὄντας, οὓς ἐλπίζω ἂν σὺν τῇ παρούσῃ δυνάμει ταπεινοὺς ὑμῖν παρασχεῖν. οἶδα δὲ καὶ Πισίδας. ἀκούω δὲ καὶ ἄλλα ἔθνη πολλὰ τοιαῦτα εἶναι, ἃ οἶμαι ἂν παῦσαι ἐνοχλοῦντα ἀεὶ τῇ ὑμετέρᾳ εὐδαιμονίᾳ. Αἰγυπτίους δὲ οἷς μάλιστα ὑμᾶς νῦν γιγνώσκω τεθυμωμένους, οὐχ ὁρῶ ποίᾳ δυνάμει συμμάχῳ χρησάμενοι, μᾶλλον ἂν κολάσαισθε, τῆς νῦν σὺν ἐμοὶ οὔσης. ἀλλὰ μὴν ἔν γε τοῖς πέριξ οἰκοῦσι, σὺ εἰ μὲν βούλοιό τῳ φίλος εἶναι, ὡς μέγιστος ἂν εἴης. εἰ δέ τις σε λυποίη, ὡς δεσπότης ἀναστρέφοιο ἔχων ἡμᾶς ὑπηρέτας, ὅσοι οὐκ ἂν τοῦ μισθοῦ ἕνεκα μόνον ὑπηρετοῖμεν, ἀλλὰ καὶ τῆς χάριτος, ἣν σωθέντες ὑπὸ σοῦ, σοὶ ἂν ἔχοιμεν δικαίως. ἐμοὶ μὲν ταῦτα πάντα ἐνθυμουμένῳ, οὕτω δοκεῖ θαυμαστὸν εἶναι, τὸ σὲ ἡμῖν ἀπιστεῖν, ὥστε καὶ ἥδιστ' ἂν ἀκούσαιμι τοὔνομα, τίς ἐστιν οὕτω δεινὸς λέγειν, ὥστε πεῖσαι λέγων, ὡς ἡμεῖς σοι ἐπιβουλεύομεν. Κλέαρχος μὲν οὖν τοσαῦτα εἶπε. Τισσαφέρνης δὲ ὧδε ἀπημείφθη· ἀλλ' ἥδομαι μὲν, ὦ Κλέαρχε, ἀκούων σου φρονίμους λόγους. ταῦτα γὰρ γιγνώσκων, εἴ τι ἐμοὶ κακὸν βουλεύοις, ἅμα ἄν μοι δοκεῖς καὶ σαυτῷ κακόνους εἶναι. ὡς δ' ἂν μάθητε, ὅτι οὐδ' ἂν ὑμεῖς δικαίως, οὔτε βασιλεῖ οὔτ' ἐμοὶ ἀπιστοίητε, ἀντάκουσον. εἰ γὰρ ὑμᾶς ἐβουλόμεθα ἀπολέσαι, πότερά σοι δοκοῦμεν ἱππέων πλήθους ἀπορεῖν, ἢ πεζῶν, ἢ ὁπλίσεως, ἐν ᾗ ὑμᾶς μὲν βλάπτειν ἱκανοὶ ἂν εἴημεν, ἀντιπάσχειν δὲ οὐδεὶς κίνδυνος; ἀλλὰ χωρίων ἐπιτηδείων ὑμῖν ἐπιτίθεσθαι, ἀπορεῖν ἄν σοι δοκοῦμεν; οὐ τοσαῦτα μὲν πεδία ἡμῖν φίλια ὄντα, σὺν πολλῷ πόνῳ διαπορεύεσθε. τοσαῦτα δὲ ὄρη ὑμῖν ὁρᾶται ὄντα πορευτέα, ἃ ἡμῖν ἔξεστι προκαταλαβοῦσιν, ἄπορα ὑμῖν παρέχειν; τοσοῦτοι δέ εἰσι ποταμοὶ, ἐφ' ὧν ἔξεστιν ἡμῖν ταμιεύεσθαι, ὁπόσοις ἂν ὑμῶν βουλοίμεθα μάχεσθαι. εἰσὶ δ' αὐτῶν οὓς οὐδ' ἂν παντάπασι διαβαίητε, εἰ μὴ ἡμεῖς ὑμᾶς διαπορεύοιμεν. εἰ δὲ ἐν πᾶσι τούτοις ἡττώμεθα, ἀλλὰ τό γε πῦρ τοῦ καρποῦ κρεῖττόν ἐστιν, ὃν ἡμεῖς δυναίμεθ' ἂν κατακαύσαντες, λιμὸν ὑμῖν ἀντιτάξαι, ᾧ ὑμεῖς οὐδ' εἰ πάνυ ἀγαθοὶ εἴητε, μάχεσθαι ἂν δύναισθε. πῶς ἂν οὖν ἔχοντες τοσούτους πόρους πρὸς τὸ ὑμῖν πολεμεῖν, καὶ τούτων μηδένα ἡμῖν ἐπικίνδυνον, ἔπειτα ἐκ τούτων πάντων τοῦτον ἂν τὸν τρόπον ἐξελοίμεθα, ὃς μόνος μὲν πρὸς θεῶν ἀσεβὴς, μόνος δὲ πρὸς ἀνθρώπων αἰσχρός; παντάπασι δὲ ἀπόρων ἐστὶ καὶ ἀμηχάνων καὶ ἀνάγκῃ ἐχομένων, καὶ τούτων πονηρῶν, οἵτινες ἐθέλουσι δι' ἐπιορκίας τε πρὸς θεοὺς, καὶ ἀπιστίας πρὸς ἀνθρώπους πράττειν τι. οὐχ οὕτως ἡμεῖς, ὦ Κλέαρχε, οὔτε ἠλίθιοι, οὔτε ἀλόγιστοί ἐσμεν. ἀλλὰ τί δὴ ἡμᾶς ἐξὸν ἀπολέσαι, οὐκ ἐπὶ τοῦτο ἤλθομεν; εὖ ἴσθι, ὅτι ὁ ἐμὸς ἔρως τούτου αἴτιος, τὸ τοῖς Ἕλλησιν ἐμὲ πιστὸν γενέσθαι. καὶ ᾧ Κῦρος ἀνέβη ξενικῷ διὰ μισθοδοσίας πιστεύων, τούτῳ ἐμὲ καταβῆναι δι' εὐεργεσίαν ἰσχυρόν. ὅσα δὲ μοι ὑμεῖς χρήσιμοι ἐστὲ, τὰ μὲν καὶ σὺ εἶπας. τὸ δὲ μέγιστον ἐγὼ οἶδα. τὴν μὲν γὰρ ἐπὶ τῇ κεφαλῇ τιάραν, βασιλεῖ μόνῳ ἔξεστιν ὀρθὴν ἔχειν. τὴν δ' ἐπὶ τῇ καρδίᾳ ἴσως ἂν ὑμῶν παρόντων, καὶ ἕτερος εὐπετῶς ἔχοι. ταῦτα εἰπὼν, ἔδοξε τῷ Κλεάρχῳ ἀληθῆ λέγειν. καὶ εἶπεν·

οὐκοῦν

Haec cum ita sint, quis tantopere insaniat, quin te sibi amicum expetat? Verùm & quae adducar spe, te mihi amicum fore, aperire non dubitabo. Satis constat Mysos infestos uobis esse, quos hisce quae me sequuntur copijs, nihil diffido uestrae me potestati subiecturum. Quin & Pisidas, & alias gentes, quae (ut audio) uestrae felicitati negocium facessunt, facile à nobis existimo, suppetias nobis ferentibus, coerceri posse. Quid? Aegyptios quibus nunc maximè uos iratos scio, quibusnam alijs auxilijs freti facilius ulciscemini? Praeterea quod & finitimis benemerentibus prodesse, in eos qui te lacessierint, pro iure tuo, nobis adiuuantibus, tanto facilius animaduertere poteris. Ac nos quidem non hercule magis stipendij causa tuis temporibus inseruiemus, quàm quod pro tuis in nos meritis, gratiam tibi (uti aequum est) libentissime referemus. Mihi profectò haec attentius consideranti, permirum uideri solet, te nobis fidem non habere: atq; illum mediusfidius, quisnam sit libenter uelim cognoscere, qui tantum in dicendo ualere possit, ut cuiquam persuadeat nos tibi insidias cōparare. Haec Clearchus. Ad quae sic respondit Tissaphernes: Enimuero Clearche plurimum delectatus sum prudenti oratione tua, ac facile adducor te, si quid in me moliaris, tibijpsi male consulturum. Sed quo ipse etiam intelligas, non iure uos, aut à rege aut à me posse deficere, me uicißim audi. Si uos perdere uoluißemus, defuisset ne, obsecro te, nobis aut equitum multitudo, aut leuis grauisue armaturae peditū copiae, quibus uos minimo negocio, ac sine ullo nostro periculo affligeremus? At enim iniquiora fortasse nobis loca esse uideantur, unde uos adoriamur. Atqui longū uobis iter cum per campos nobis pacatos, tum per difficilimos montes faciendum est: quos cum arbitratu nostro occupare possimus, an non facile uos intercludamus? Quot uero flumina sunt, ad quae uestram traiectionem obseruantes, cum qua nobis expediat copiarum uestrarum parte, pugnare possimus? Adde quod sunt ex illis non pauca, quae nisi uobis duces simus, traijcere nullo pacto possitis. Sed fac his rebus omnibus inferiores simus, ignis certe, frumento ac pabulo superior est, quo cum omnia exusserimus, famem uobis, quasi in acie opponemus, cui uos ne si longe quidem omnibus fortitudine praestetis, repugnare possitis. Est uero consentaneum, cum tam multis uos modis, ac sine periculo nostro oppugnare atque euertere possimus, unum illum deligere maluisse, qui & deorum maiestatem laederet, & apud homines summa turpitudinis infamia carere non posset? Est omnino non improborum modo, sed eorum etiam qui & aduersis rebus premantur, & maximis difficultatibus, ac necessitate summa circumuenti sint, id committere, in quo & iusiurandum deorum immortalium, & hominū fidem uiolent. Non adeo uecordes aut stulti sumus Clearche: quid enim opus est, cum tam multis uos modis opprimere possimus? Non propterea huc uenimus. Vnum, mihi credito, bene merendi studium me ad hanc cum Graecis societatem adduxit: abunde uero praeclarum mihi fore putaui, si quo exercitu mercede sibi conciliato, Cyrus in superiorem Asiam ascendisset, cum eodem ego meo beneficio fretus, in inferiorem descenderem. Cur uero mihi usui esse possitis, & ipse paulo ante exposuisti: & ego, quod caput est, per me noui, uni scilicet regi rectam tiaram capite gestare licere, alijs corde fortasse facile licuturum, uobis in officio permanentibus. Haec ille. Quae cum Clearchus approbasset,

 Nonne

Nónne igitur, inquit, qui inter nos tam firma iunctos amicitia, dissidiũ quærũt, dignissimi sunt qui grauissima quæq; pœna afficiantur? Tum Tissaphernes: Si uestri, inquit, prætores ac centuriones cuncti in conspectum uenerint, indicabo tibi eos qui ad me detulerunt, te mihi copijsq; meis insidias facere. Ego plane, respõdit Clearchus, omnes ad te adducam, & simul tibi aperiam qui de te minus commode apud me loquuti sunt. Ab his sermonibus Tissaphernes Clearchum amplexus, manere tunc cum apud se iubet, ac cœnæ etiam adhibuit. Postero uero die cum in castra Clearchus redisset, facile erat cognoscere, omnia cum sibi de Tissaphernis amicitia polliceri. Hic ubi suum cum Tissapherne colloquiũ exposuit, opus esse ait, uenire ad Tissaphernem quos ille iusserit: quiq; conuicti fuerint, quod Græcos insimularint, eos proditionis ac maleuoli in Græcos animi pœnas dare. Suspicabatur is quidẽ eius insimulationis autorẽ fuisse Menonẽ: meminerat enim illũ unà cũ Ariæo ad Tissaphernẽ se contulisse: meminerat ab illo in se tumultum olim concitatũ. Iam uerò sciebat sibi ab illo insidias cõparari: cupiebat enim ille à Clearchi studijs exercitu uniuerso abducto, ad Tissaphernis se amicitiã conferre. Sed et Clearchus summa ope milites in officio retinere nitebatur, ac propterea omnes qui sibi aduersarentur, de medio tollere cupiebat. Sed tũc non defuerunt ex milit. qui dicerent, nihil opus esse cẽturiones et prætores omnes ab exercitu discedere, neq; esse omnino fidem Tissapherni habendam. At Clearchus pertinacissime cõtendit, quousq; obtinuit ut prætores v. centuriones x x. se ad Tissaphernẽ redeuntem sequerentur: quos milites circiter c c. non secus ac si in forum iretur, consequuti sunt. Vbi uerò ad Tissaphernis prætorium uentum est, prætores ipsi intromissi sunt, Proxenus Bœotius, Menon Thessalus, Hagias Arcas, Clearchus Lacon, & Socrates Achæus: centuriones ad fores remanserunt. Neq; ita multò post ad idem signum, & qui intus erant, comprehensi sunt, & qui foris, ad unum cæsi. Tum barbari equites per campos discurrentes, in quemcunq; de Græcis incidissent, sine discrimine, seruúsne, an liber esset, passim omnes trucidabant. Græci ex castris eorum discursationem prospicientes, quid rei esset mirabantur, prorsus quid ageretur, incerti, antequam Nicarchus Arcas accepto in uentre uulnere, ex quo intestina manibus sustinebat, fuga se in castra recipiens, rem omnẽ aperuit. Ibi Græci inopinata re perculsi, statim ad arma concurrerunt: neq; cuiquam dubium erat, quin illi eodẽ impetu ad castra uenturi essent. Non uenerunt tamen uniuersi, sed Ariæus tantum, Artabazus & Mithridates, quibus maximam Cyrus fidem habuerat. Græcorum uero interpres se uidere inter eos Tissaphernis fratrem, quem probe cognosceret, affirmauit. Sequuti sunt hos ex Persis loricati plus minus ccc. Vbi propius accessere, procedere iusserunt ex prætoribus aut centurionibus aliquem, ut ei quæ à rege mandata haberent, exponerent. Processerunt igitur è Græcis, qui in præsidijs erant, prætores quidem, Cleanor Orchomenius, & Sophænetus Stymphalius, & cum his Xenophon Athenensis, ut aliquid de Proxeno sciscitaretur. Nam Chirisophus tunc forte aberat: erat enim in uicum quendã frumentandi causa cum cohorte sua profectus. Hi posteaquã eo loco constiterunt, unde quæ illi dicerent exaudire possent, his eis uerbis Ariæus alloquutus est: Clearchus, Græci, cum se manifesto periurio obligaret, scelus morte luit:

Proxe-

quinque pretores [illegible] capti et ad regem missi [illegible]

οὐκοῦν, ἔφη, οἵ τινες τοιούτων ἡμῖν εἰς φιλίαν ὑπαρχόντων, πειρῶνται διαβάλλοντες πολεμίους ποιῆσαι ἡμᾶς, ἄξιοί εἰσι τὰ ἔσχατα παθεῖν; καὶ ἐγὼ μὲν, ἔφη ὁ τισσαφέρνης, εἰ βούλεσθέ μοι, οἵ τε στρατηγοὶ καὶ οἱ λοχαγοὶ ἐν τῷ ἐμφανεῖ ἐλθεῖν, λέξω τοὺς πρὸς ἐμὲ λέγοντας, ὡς σὺ ἐπιβουλεύεις ἐμοί τε καὶ τῇ σὺν ἐμοὶ στρατιᾷ. ἐγὼ δ', ἔφη ὁ κλέαρχος, ἄξω πάντας. καὶ σοὶ αὖ ἐγὼ δηλώσω, ὅθεν ἐγὼ περὶ σοῦ ἀκούω. ἐκ τούτων δὴ τῶν λόγων ὁ τισσαφέρνης φιλοφρονούμενος, τότε μὲν μένειν τε αὐτὸν ἐκέλευσε, καὶ σύνδειπνον ἐποιήσατο. τῇ δ' ὑστεραίᾳ κλέαρχος ἐλθὼν ἐπὶ τὸ στρατόπεδον, δῆλός τε ἦν πάνυ φιλικῶς οἰόμενος διακεῖσθαι τῷ τισσαφέρνει, καὶ ἔλεγεν ἃ ἐκεῖνος ἀπήγγελλεν. ἔφη τε χρῆναι ἰέναι παρὰ τισσαφέρνην οὓς ἐκέλευσε, καὶ οἳ ἂν ἐξελεγχθῶσι διαβάλλοντες τῶν ἑλλήνων, ὡς προδότας αὐτοὺς καὶ κακόνους τοῖς ἕλλησιν ὄντας, τιμωρηθῆναι. ὑπώπτευε δὲ εἶναι τὸν διαβάλλοντα μένωνα, εἰδὼς αὐτὸν καὶ συγγεγενημένον τισσαφέρνει μετὰ ἀριαίου καὶ στασιάζοντα αὐτῷ, καὶ ἐπιβουλεύοντα αὐτῷ, ὅπως τὸ στράτευμα ἅπαν πρὸς ἑαυτὸν λαβὼν, φίλος ᾖ τισσαφέρνει. ἐβούλετο δὲ καὶ ὁ κλέαρχος ἅπαν τὸ στράτευμα πρὸς ἑαυτὸν ἔχειν τὴν γνώμην, καὶ τοὺς παραλυποῦντας, ἐκποδὼν εἶναι. τῶν δὲ στρατιωτῶν ἀντέλεγόν τινες αὐτῷ, μὴ ἰέναι πάντας τοὺς λοχαγοὺς καὶ στρατηγούς, μηδὲ πιστεύειν τισσαφέρνει. ὁ δὲ κλέαρχος ἰσχυρῶς κατέτεινεν, ἕως αὖ διεπράξατο, πέντε μὲν στρατηγοὺς ἰέναι, εἴκοσι δὲ λοχαγούς. συνηκολούθησαν δὲ ὡς εἰς ἀγορὰν καὶ τῶν ἄλλων στρατιωτῶν ὡς διακόσιοι. ἐπεὶ δὲ ἦσαν ἐπὶ ταῖς θύραις τισσαφέρνους, οἱ μὲν στρατηγοὶ παρεκλήθησαν εἴσω, πρόξενος βοιώτιος, μένων θετταλός, ἀγίας ἀρκάς, κλέαρχος λάκων, σωκράτης ἀχαιός. οἱ δὲ λοχαγοὶ ἐπὶ θύραις ἔμενον. οὐ πολλῷ δ' ὕστερον ἀπὸ τοῦ αὐτοῦ σημείου οἵ τε ἔνδον συνελαμβάνοντο, καὶ οἱ ἔξω κατεκόπησαν. μετὰ δὲ ταῦτα τῶν βαρβάρων τινὲς ἱππέων διὰ τοῦ πεδίου ἐλαύνοντες, ᾧ τινι ἐντυγχάνοιεν ἕλληνι, ἢ δούλῳ ἢ ἐλευθέρῳ, πάντας ἔκτεινον. οἱ δὲ ἕλληνες τήν τε ἱππασίαν αὐτῶν ἐθαύμαζον ἐκ τοῦ στρατοπέδου ὁρῶντες, καὶ ὅτι ἐποίουν ἠμφιγνόουν, πρὶν νίκαρχος ἀρκὰς ἧκε φεύγων τετρωμένος εἰς τὴν γαστέρα, καὶ τὰ ἔντερα ἐν ταῖς χερσὶν ἔχων, καὶ εἶπε πάντα τὰ γεγενημένα. ἐκ τούτου δὴ οἱ ἕλληνες ἔθεον ἐπὶ τὰ ὅπλα πάντες ἐκπεπληγμένοι, καὶ νομίζοντες αὐτίκα ἥξειν αὐτοὺς ἐπὶ τὸ στρατόπεδον. οἱ δὲ πάντες μὲν οὐκ ἦλθον, ἀριαῖος δὲ καὶ ἀρτάβαζος καὶ μιθριδάτης, οἳ ἦσαν κύρῳ πιστότατοι. ὁ δὲ τῶν ἑλλήνων ἑρμηνεὺς ἔφη καὶ τὸν τισσαφέρνους ἀδελφὸν, σὺν αὐτοῖς ὁρᾶν καὶ γιγνώσκειν. συνηκολούθουν δὲ καὶ ἄλλοι πολλοὶ περσῶν τεθωρακισμένοι εἰς τριακοσίους. οὗτοι ἐπεὶ ἐγγὺς ἦσαν, ἐλθεῖν ἐκέλευον εἴ τις εἴη τῶν ἑλλήνων ἢ στρατηγὸς, ἢ λοχαγὸς, ἵνα ἀπαγγείλωσι τὰ παρὰ βασιλέως. μετὰ ταῦτα ἐξῆλθον τῶν ἑλλήνων φυλαττόμενοι στρατηγοὶ μὲν, κλεάνωρ ὀρχομένιος καὶ σοφαίνετος στυμφάλιος, σὺν αὐτοῖς δὲ ξενοφῶν ἀθηναῖος, ὅπως μάθοι τὰ περὶ προξένου. χειρίσοφος δ' ἐτύγχανεν ἀπὼν ἐν κώμῃ τινὶ σὺν ἄλλοις ἐπισιτιζόμενος. ἐπεὶ δ' ἔστησαν εἰς ἐπήκοον, λέγει ἀριαῖος· κλέαρχος μὲν, ὦ ἄνδρες ἕλληνες, ἐπεὶ ἐπιορκῶν τε ἐφάνη καὶ τὰς σπονδὰς λύων, ἔχει τὴν δίκην καὶ τέθνηκε.

πρόξενος

πρόξενος δὲ καὶ μένων ὅτι κατήγγειλαν αὐτῷ τὴν ἐπιβουλήν, ἐν μεγάλῃ τιμῇ εἰσιν. ὑμᾶς δὲ βασιλεὺς τὰ ὅπλα ἀπαιτεῖ. ἑαυτοῦ γὰρ εἶναι φησιν, ἐπείπερ κύρου ἦσαν τοῦ ἐκείνου δούλου. πρὸς ταῦτα ἀπεκρίναντο οἱ ἕλληνες. ἔλεγε δὲ κλεάνωρ ὀρχομένιος· ὦ κάκιστε ἀνθρώπων ἀριαῖε, καὶ ἄλλοι ὅσοι ἦτε κύρου φίλοι, οὐκ αἰσχύνεσθε οὔτε θεοὺς οὔτε ἀνθρώπους, οἵτινες ὀμόσαντες ἡμῖν τοὺς αὐτοὺς φίλους καὶ ἐχθροὺς νομιεῖν, προδόντες ἡμᾶς σὺν τισσαφέρνει τῷ ἀθεωτάτῳ τε καὶ πανουργοτάτῳ, τούς τε ἄνδρας αὐτοὺς οἷς ὤμνυτε ἀπολωλέκατε, καὶ τοὺς ἄλλους ἡμᾶς προδεδωκότες, σὺν τοῖς πολεμίοις ἔρχεσθε ἐφ᾽ ἡμᾶς; ὁ δὲ ἀριαῖος εἶπε· κλέαρχος γὰρ πρόσθεν ἐπιβουλεύων, φανερὸς ἐγένετο τισσαφέρνει τε καὶ ὀρόντα, καὶ πᾶσιν ἡμῖν τοῖς σὺν τούτοις. ἐπὶ τούτοις δὲ ξενοφῶν τάδε εἶπε· κλέαρχος μὲν τοίνυν, εἰ παρὰ τοὺς ὅρκους ἔλυε τὰς σπονδάς, τὴν δίκην ἔχει. δίκαιον γὰρ ἀπόλλυσθαι τοὺς ἐπιορκοῦντας. πρόξενος δὲ καὶ μένων, ἐπείπερ εἰσὶν ὑμέτεροί τε εὐεργέται, ἡμέτεροί τε στρατηγοί, πέμψατε αὐτοὺς δεῦρο. δῆλον γὰρ ὅτι φίλοι γε ὄντες, ἀμφοτέροις πειράσονται καὶ ὑμῖν καὶ ἡμῖν τὰ βέλτιστα συμβουλεύειν. πρὸς ταῦτα οἱ βάρβαροι πολὺν χρόνον διαλεχθέντες ἀλλήλοις, ἀπῆλθον οὐδὲν ἀποκρινόμενοι. οἱ μὲν δὴ στρατηγοὶ οὕτω ληφθέντες, ἀνήχθησαν ὡς βασιλέα, καὶ ἀποτμηθέντες τὰς κεφαλάς, ἐτελεύτησαν. εἷς μὲν αὐτῶν κλέαρχος ὁμολογουμένως ἐκ πάντων τῶν ἐμπείρως αὐτοῦ ἐχόντων δόξας γενέσθαι, ἀνὴρ καὶ πολεμικὸς καὶ φιλοπόλεμος ἐσχάτως. καὶ γὰρ δὴ ἕως μὲν πόλεμος ἦν τοῖς λακεδαιμονίοις πρὸς ἀθηναίους, παρέμενεν. ἐπεὶ δὲ εἰρήνη ἐγένετο, πείσας τὴν αὐτοῦ πόλιν ὡς οἱ θρᾶκες ἀδικοῦσι τοὺς ἕλληνας, καὶ διαπραξάμενος ὡς ἐδύνατο παρὰ τῶν ἐφόρων, ἐξέπλει ὡς πολεμήσων τοῖς ὑπὲρ χερρονήσου καὶ περίνθου θρᾳξίν. ἐπεὶ δὲ μεταγνόντες πως οἱ ἔφοροι, ἤδη ἔξω ὄντος αὐτοῦ, ἀποστρέφειν αὐτὸν ἐπειρῶντο ἐξ ἰσθμοῦ, ἐνταῦθα οὐκέτι πείθεται, ἀλλ᾽ ᾤχετο πλέων εἰς ἑλλήσποντον. ἐκ τούτου καὶ ἐθανατώθη ὑπὸ τῶν ἐν τῇ σπάρτῃ τελῶν, ὡς ἀπειθῶν. ἤδη δὲ φυγὰς ὤν, ἔρχεται πρὸς κῦρον. καὶ ὁποίοις μὲν λόγοις ἔπεισε κῦρον, ἀλλαχοῦ γέγραπται. δίδωσι δὲ αὐτῷ κῦρος μυρίους δαρεικούς. ὁ δὲ λαβών, οὐκ ἐπὶ ῥᾳθυμίαν ἐτράπετο, ἀλλ᾽ ἀπὸ τούτων τῶν χρημάτων συλλέξας στράτευμα, ἐπολέμει τοῖς θρᾳξί, καὶ μάχῃ τε ἐνίκησε, καὶ ἀπὸ τούτου ἔφερε καὶ ἦγεν αὐτούς. καὶ πολεμῶν διεγένετο, μέχρις οὗ κῦρος ἐδεήθη τοῦ στρατεύματος. τότε δὲ ἀπῆλθεν, ὡς σὺν ἐκείνῳ αὖ πολεμήσων. ταῦτα οὖν φιλοπολέμου δοκεῖ ἀνδρὸς ἔργα εἶναι, ὅστις ἐξὸν μὲν εἰρήνην ἔχειν, ἄνευ αἰσχύνης καὶ βλάβης αἱρεῖται πολεμεῖν· ἐξὸν δὲ ῥᾳθυμεῖν, βούλεται πονεῖν ὥστε πολεμεῖν· ἐξὸν δὲ χρήματα ἔχειν ἀκινδύνως, αἱρεῖται πολεμῶν μείονα ταῦτα ποιεῖν. ἐκεῖνος δὲ ὥσπερ εἰς παιδικά, ἢ εἰς ἄλλην τινὰ ἡδονήν, ἤθελε δαπανᾶν εἰς πόλεμον. οὕτω μὲν φιλοπόλεμος ἦν. πολεμικὸς δὲ ταύτῃ ἐδόκει εἶναι, ὅτι φιλοκίνδυνός τε ἦν, καὶ ἡμέρας τε καὶ νυκτὸς ἄγων ἐπὶ τοὺς πολεμίους. καὶ ἐν τοῖς δεινοῖς φρόνιμος, ὡς οἱ παρόντες πανταχοῦ πάντες ὡμολόγουν. καὶ ἀρχικὸς δὲ ἐλέγετο εἶναι, ὡς δυνατὸν ἐκ τοῦ τοιούτου τρόπου, οἷον καὶ ἐκεῖνος εἶχεν. ἱκανὸς

Proxeno & Menoni, quod rem detulerunt, gratia & honos maximus habetur. A uobis rex arma sibi dedi postulat, quod sua sint, quæ ante Cyri serui sui fuerunt. Ad hæc pro Græcis omnib. Cleanor Orchomenius ita respondit: O hominū sceleratissime Ariæe, & uos alij qui Cyri olim amicitiā sequuti estis, an nō pudet uos & hominū, & deorū? Siccine cum iureiurādo nos obstrinxeritis, eosdē nobis qui nobis essent, & amicos, & hostes futuros, iam cum Tissapherne, uno omniū maxime impio ac nefario homine, nos prodidistis? eosq; homines, qui propter iusiurandi ac fœderis religionem, nobis sacrosancti esse debuerant, sustulistis? iam uero & nos eadem proditione circūuentos, cum hostibus oppressum uenitis? Tum Arieus: Atqui Clearchus inquit, prior manifestis insidijs Tissaphernem & Orontem, nosq; qui cū ipsis eramus, opprimere conatus est. Hic Xenophō: Si Clearchus, inquit, præter fœdus aliquid molitus est, iam pœnas dedit: NIHIL enim æquius quàm periuros merita affici pœna. At Proxenū et Menonē, si quidem hi de uobis benemeriti sunt, et iidem nobis præsunt, ad nos huc quamprimū remittite: hi enim proculdubio cum utrisq; amici sint, uestris æquè ac nostris rebus optime consulent. Ad hæc barbari, cum diu inter se capita cōtulissent, postremo nullo dato responso, abierunt. Prætores quidem ipsi, uti ante dictum est, comprehensi, regis iussu ad quem deducti sunt, securi percussi diem extremū clauserunt. Ex ijs Clearchus, uir consensu omnium eorū qui illum familiarius nossent, ad militaris muneris natus, ac idem belligerendi, supra quàm dici posset, cupidus. Is enim quandiu bellum Lacedæmonijs cum Atheniensibus fuit, operam patriæ nauauit: pace facta, ciuibus suis persuasit bellum cōtra Thracas, eo nomine quod illis Græcis infesti essent, suscipiendū: cumq; ut bellum id sibi decerneretur, ab Ephoris impetrasset, classe Thracibus ijs, qui supra Chersonesum & Perinthum habitant, bellum intulit. Postea uero quàm Ephori mutata sententia, iam profectū ab Isthmo reuocare conati sunt, ille quidem non paruit, sed ad Hellespontū nauibus cōtendit: eam ob rem à magistratibus Spartanis, quod parere noluisset, capitis arcessitus est. Ac tunc exul ad Cyrum profectus, quibus eum rationibus sibi conciliasset, alio loco scripsimus: à quo Daricis uicies mille acceptis, nequaquam se ocio aut desidiæ dedit, sed comparato ea pecunia exercitu, Thraces bello cœpit urgere: quos cum prælio uicisset, latissime agros eorum populatus est: ac in eo sanè bello uersatus, usquequo Cyrus cum delectum haberet, eum ad se euocauit, tunc illi belli socius futurus in Asiam traiecit. Atq; hæc propensi ad bellum animi documenta fuerunt, quod cum honestæ ac securæ paci consulere posset, bellum optaret: cum uerò ocium amplecti liceret, bellandi causa labores suscipere mallet. Cum deniq; magnam pecuniam posset impune possidere, præstabilius duceret eam bellicis impensis comminuere. Itaque ut in amores alij, ac alia uoluptatum genera, sic in bellicos apparatus hic libentissime pecuniam erogabat. Hæc, inquam, omnium facile eius in re bellica studium declararunt. Quod autem bellicarum laudum unus maxime compos esset, ex eo intelligi poterat, quod pericula omnia intrepide adibat, modo interdiu, modo nocte in hostem mouens. Idem in grauibus ac difficilibus rebus, prudentiæ muneribus fungebatur, atque id ubiuis locorum omnes confessi sunt. Ad hæc imperandi artes egregie tenere uidebatur, pro suo tamen ingenio ac moribus.

Laus clearchi.

Vt enim diligentius nemo operam dabat, ut commeatus ac reliqua commoda militibus suppeterent: sic metuendum se potius, quàm diligendum præbebat: quippe qui & uultu acerbitatem quandam præ se ferret, & uoce esset asperiore, ac in puniendo ea uteretur seueritate, ut ab ira nonnunquam, cuius eum rei aliquando pœnitebat, se uinci sineret. Neque tamen non certam rationem sequebatur, CVM dissoluto exercitu nequius nihil esse putaret. Quin dicere solitum aiunt, IMPERATOREM hoste ipso formidolosiorem militi esse oportere: neq; enim aliter aut uigilias obiturum, aut amicis temperanter usurum, aut absq; tergiuersatione in hostem iturum. Quare periculosis in rebus eum libentissime omnes auscultabant, unum sibi illum imperatorem exoptabant, ac eius oris tristitiam, hilaritatem, in imperando acerbitatem, robur in hostes interpretabātur, sibiq; eam salutarem potius quàm molestam ducebant. At ubi pericula euaserant, poterantq; impune ad alios duces transire, multi eum deserebant: quippe qui morum suauitatē, quæ longissime ab eo aberat, sectarentur, duritiam & difficultatem refugerent: neq; enim aliter illum milites, quàm magistros pueri metuebant. Quocirca nunquam illum aut studijs, aut beneuolentia deuincti milites sequebantur: eos tantum dicto audientes habebat, qui aut ex ciuitatis delectu ei attributi essent, aut qui cum eius opera indigerent, ipsa necessitate adducti, in officio permanerēt. Postea uerò quàm eius ductu hostem uincere cœpere, quotidie utilioribus militibus usus est. Nam & ipsa consuetudo in hostem audaces effecerat, & pœnæ metus urgebat, ut ordinis cōseruandi antiquissimā rationem haberēt. Talis ille imperator fuit. Alijs autem imperantibus unus omnium minime libenter parère dicebatur. Excessit è uita annum agens plus minus quinquagesimum. Proxenus autem Bœotius statim à puero cum indole esset optima, rerum gerendarum studio conflagrauit: ad quas ut se quamoptime compararet, Gorgiæ Leontino operam dedit, cuius consuetudine cum tantum se profecisse intelligeret, ut & recte imperare, & principū amicitias ita colere posset, ut ab ijs beneficijs non uinceretur, Cyro se susceptæ expeditionis socium adiunxit, cum ex ea magnum nomen magnasq; opes, & ingētem pecuniam adipisci posse speraret. Quæ tamen ita cupiebat, ut satis omnibus constaret, nihil tanti esse, quod ille per iniuriam sibi partum uellet, cum hæc ita demum expetenda duceret, si cum iustitia & honestate coniuncta essent. Ac ille quidem optimo cuiq; cōmodissime imperabat. Non erat is tamen, qui militem pudore, aut metu contineret, quin suos magis uerebatur, quàm ipsi illum. Neque dubium erat, quin multò magis metueret suorum inuidiam, quàm hi ne sibi ille fidem non haberet. Satis enim imperandi munus & esse, & uideri perfectum putabat, si bene merentes collaudasset, improbis nullas laudes impertiretur. Quibus ille rationibus effecerat, ut probissimus atq; honestissimus quisq; esset in eum animo propensissimo. Qui ad iniuriam essent procliuiores, sæpe illi insidias facerent, cum præsertim sibi leuissimè caueret. Agebat cum de medio sublatus est, annum ferè XXX. At Menon Thessalus magnam & diuitiarum, & imperij cupiditatem semper præ se tulerat. Is enim imperare cupiebat, ut unde caperet, haberet, & honores lucri causa expetebat. Potentiorum uerò amicitias magni æstimabat, ut si iniuria quenquam affecisset, pœnas dare non cogeretur: & ad ea quæ semel concupisset,

se con-

Qualis Proxenus.

Menon qualis.

ἱκανὸς μὲν γὰρ ὡς εἴ τις καὶ ἄλλος φροντίζειν ἦν, ὅπως ἕξει ἡ στρατιὰ αὐτοῦ τὰ ἐπιτήδεια, καὶ παρασκευάζειν ταῦτα. ἱκανὸς δὲ καὶ ἐμποιῆσαι τοῖς παροῦσιν, ὡς πειστέον εἴη Κλεάρχῳ. τοῦτο δ᾽ ἐποίει ἐκ τοῦ χαλεπὸς εἶναι. καὶ γὰρ ὁρᾷν στυγνὸς ἦν, καὶ τῇ φωνῇ τραχύς. ἐκόλαζέ τε ἀεὶ ἰσχυρῶς, καὶ ὀργῇ ἐνίοτε, ὥστε καὶ αὐτῷ μεταμέλειν ἔσθ᾽ ὅτε. καὶ γνώμῃ δὲ ἐκόλαζεν. ἀκολάστου γὰρ στρατεύματος οὐδὲν ἡγεῖτο ὄφελος εἶναι. ἀλλὰ καὶ λέγειν αὐτὸν ἔφασαν, ὡς δέοι τὸν στρατιώτην φοβεῖσθαι μᾶλλον τὸν ἄρχοντα ἢ τοὺς πολεμίους, εἰ μέλλοι ἢ φυλακὰς φυλάξειν, ἢ φίλων ἀφέξεσθαι, μὴ ἀπροφασίστως ἰέναι πρὸς τοὺς πολεμίους. ἐν μὲν οὖν τοῖς δεινοῖς ἤθελον αὐτοῦ ἀκούειν σφόδρα, καὶ οὐκ ἄλλον ᾑροῦντο οἱ στρατιῶται. καὶ τὸ στυγνὸν τότε φαιδρὸν αὐτοῦ ἐν τοῖς προσώποις ἔφασαν φαίνεσθαι. καὶ τὸ χαλεπὸν, ἐῤῥωμένον πρὸς τοὺς πολεμίους ἐδόκει εἶναι, ὥστε σωτήριον καὶ οὐκέτι χαλεπὸν ἐφαίνετο. ὅτε δ᾽ ἔξω τοῦ δεινοῦ γένοιντο, καὶ ἐξείη πρὸς ἄλλους ἀρχομένους ἀπιέναι, πολλοὶ αὐτὸν ἀπέλιπον. τὸ γὰρ ἐπίχαρι οὐκ εἶχεν, ἀλλὰ ἀεὶ χαλεπὸς καὶ ὠμὸς ἦν. ὥστε διέκειντο πρὸς αὐτὸν οἱ στρατιῶται, ὥσπερ παῖδες πρὸς διδάσκαλον. καὶ γὰρ οὖν φιλίᾳ μὲν καὶ εὐνοίᾳ ἑπομένους οὐδέποτ᾽ εἶχεν. οἵτινες δὲ ἢ ὑπὸ πόλεως τεταγμένοι, ἢ ὑπὸ τοῦ δεῖσθαι, ἢ ἄλλῃ τινὶ ἀνάγκῃ κατεχόμενοι παρείησαν αὐτῷ, σφόδρα πειθομένοις ἐχρῆτο. ἐπειδὴ δὲ καὶ ἤρξαντο νικᾷν σὺν αὐτῷ τοὺς πολεμίους, μεγάλα ἤδη ἦν τὰ χρησίμους ποιοῦντα εἶναι τοὺς σὺν αὐτῷ στρατιώτας. τό, τε γὰρ πρὸς τοὺς πολεμίους θαῤῥαλέως ἔχειν παρῆν, καὶ τὸ τὴν παρ᾽ ἐκείνου τιμωρίαν φοβεῖσθαι αὐτοὺς εὐτάκτους εἶναι. τοιοῦτος μὲν δὴ ἄρχων ἦν. ἄρχεσθαι δ᾽ ὑπὸ ἄλλων οὐ μάλα ἐθέλειν ἐλέγετο. ἦν δὲ ὅτε ἐτελεύτα ἀμφὶ τὰ πεντήκοντα ἔτη. πρόξενος δὲ ὁ Βοιώτιος, εὐθὺς μὲν μειράκιον ὤν, ἐπεθύμει γενέσθαι ἀνὴρ τὰ μεγάλα πράττειν ἱκανὸς. καὶ διὰ ταύτην τὴν ἐπιθυμίαν, ἔδωκε Γοργίᾳ ἀργύριον τῷ Λεοντίνῳ. ἐπεὶ δὲ συνεγένετο ἐκείνῳ, ἱκανὸς ἤδη νομίσας εἶναι καὶ ἄρχειν, καὶ φίλος ὢν τοῖς πρώτοις μὴ ἡττᾶσθαι εὐεργετῶν, ἦλθεν εἰς ταύτας τὰς σὺν Κύρῳ πράξεις. καὶ ᾤετο κτήσεσθαι ἐκ τούτων ὄνομα μέγα, καὶ δύναμιν μεγάλην, καὶ χρήματα πολλά. τούτων δ᾽ ἐπιθυμῶν σφόδρα ἔνδηλον αὖ καὶ τοῦτο εἶχεν, ὅτι τούτων οὐδὲν ἂν θέλοι κτᾶσθαι μετὰ ἀδικίας, ἀλλὰ σὺν τῷ δικαίῳ καὶ καλῷ ᾤετο δεῖν τούτων τυγχάνειν· ἄνευ δὲ τούτων, μή. ἄρχειν δὲ καλῶν μὲν καὶ ἀγαθῶν ἱκανὸς ἦν. οὐ μέντοι οὔτ᾽ αἰδῶ τοῖς στρατιώταις ἑαυτοῦ, οὔτε φόβον ἱκανὸς ἐμποιῆσαι· ἀλλὰ καὶ ᾐσχύνετο μᾶλλον τοὺς στρατιώτας, ἢ οἱ ἀρχόμενοι ἐκεῖνον. καὶ φοβούμενος μᾶλλον ἦν φανερὸς τὸ ἀπεχθάνεσθαι τοῖς στρατιώταις, ἢ οἱ στρατιῶται τὸ ἀπιστεῖν ἐκείνῳ. ᾤετο δὲ ἀρκεῖν πρὸς τὸ ἀρχικὸν εἶναι καὶ δοκεῖν, τὸν μὲν καλῶς ποιοῦντα ἐπαινεῖν, τὸν δὲ ἀδικοῦντα μὴ ἐπαινεῖν. τοιγαροῦν αὐτῷ οἱ μὲν καλοὶ κἀγαθοὶ τῶν συνόντων εὔνοι ἦσαν, οἱ δ᾽ ἄδικοι ἐπεβούλευον, ὡς εὐμεταχειρίστῳ ὄντι. ὅτε δὲ ἀπέθνησκεν, ἦν ὡς ἐτῶν τριάκοντα. μένων δὲ ὁ Θετταλὸς δῆλος ἦν, ἐπιθυμῶν μὲν πλουτεῖν ἰσχυρῶς· ἐπιθυμῶν δὲ ἄρχειν, ὅπως πλείω λαμβάνοι· ἐπιθυμῶν δὲ τιμᾶσθαι, ἵνα πλείω κερδαίνοι. φίλος τ᾽ ἐβούλετο εἶναι τοῖς μέγιστον δυναμένοις, ἵνα ἀδικῶν, μὴ διδοίη δίκην. ἐπὶ δὲ τὸ κατεργάζεσθαι ὧν ἐπιθυμοίη,

συντομω-

συντομωτάτην ὁδὸν ᾤετο εἶναι, διὰ τοῦ ἐπιορκεῖν τε, καὶ ψεύδεσθαι, καὶ ἐξαπατᾶν. τὸ δὲ ἁπλοῦν τε καὶ ἠλίθιον, ἐνόμιζεν αὐτῷ ἠλιθίῳ εἶναι. στέργων δὲ φανερὸς μὲν ἦν οὐδένα. ὅτῳ δὲ φαίη φίλος εἶναι, τούτῳ ἔνδηλος ἦν ἐπιβουλεύων. καὶ πολεμίου μὲν οὐδενὸς κατεγέλα. τῶν δὲ συνόντων πάντων, ὡς καταγελῶν ἀεὶ διελέγετο. καὶ τοῖς μὲν τῶν πολεμίων κτήμασιν οὐκ ἐπεβούλευε. χαλεπὸν γὰρ ᾤετο εἶναι τὰ τῶν φυλαττομένων λαμβάνειν. τὰ δὲ τῶν φίλων μόνος ᾤετο εἰδέναι ὅτι ῥᾷστον ἀφύλακτα λαμβάνειν. καὶ ὅσους μὲν αἰσθάνοιτο ἐπιόρκους καὶ ἀδίκους, ὡς εὖ ὡπλισμένους ἐφοβεῖτο. τοῖς δ' ὁσίοις καὶ ἀλήθειαν ἀσκοῦσιν, ὡς ἀνάνδροις ἐπειρᾶτο χρῆσθαι. ὥσπερ δέ τις ἀγάλλεται ἐπὶ θεοσεβείᾳ, καὶ ἀληθείᾳ, καὶ δικαιότητι, οὕτω καὶ μένων ἠγάλλετο τῷ ἐξαπατᾶν δύνασθαι, τῷ πλάσασθαι ψευδῆ, τῷ φίλους διαγελᾶν. τὸν δὲ μὴ πανοῦργον, ἀπαίδευτον ἐνόμιζεν εἶναι. καὶ παρ' οἷς μὲν ἐπιχείρει πρωτεύειν φιλίᾳ, διαβάλλων τοὺς πρώτους, τούτους ᾤετο δεῖν κτήσασθαι. τὸ δὲ πειθομένους τοὺς στρατιώτας παρέχεσθαι, ἐκ τοῦ συναδικεῖν αὐτοῖς ἐμηχανᾶτο. τιμᾶσθαι καὶ θεραπεύεσθαι ἠξίου, ἐπιδεικνύμενος ὅτι πλεῖστα δύναιτο καὶ ἐθέλοι ἂν ἀδικεῖν. εὐεργεσίαν δὲ κατέλεγεν, ὁπότε τις αὐτοῦ ἀφίσταιτο, ὅτι χρώμενος αὐτῷ οὐκ ἀπώλεσεν αὐτόν. καὶ τὰ μὲν δὴ ἀφανῆ, ἔξεστι περὶ αὐτοῦ ψεύδεσθαι. ἃ δὲ πάντες ἴσασι, τάδ' ἐστί. παρὰ ἀριστίππου μὲν ἔτι ὡραῖος ὢν στρατηγεῖν διεπράξατο τῶν ξένων. ἀριαίῳ δὲ βαρβάρῳ ὄντι, ὅτι μειρακίοις καλοῖς ἥδετο, οἰκειότατος ἔτι ὡραῖος ὢν ἐγένετο. αὐτὸς δὲ παιδικὰ εἶχε θαρύπαν, ἀγένειος ὢν γενειῶντα. ἀποθνησκόντων δὲ τῶν στρατηγῶν, ὅτι ἐστράτευσαν ἐπὶ βασιλέα σὺν κύρῳ, τὰ αὐτὰ πεποιηκὼς οὐκ ἀπέθανε. μετὰ δὲ τὸν τῶν ἄλλων θάνατον στρατηγῶν, τιμωρηθεὶς ὑπὸ βασιλέως ἀπέθανεν, οὐχ ὥσπερ κλέαρχος καὶ οἱ ἄλλοι στρατηγοί, ἀποτμηθέντων τὰς κεφαλάς, ὅπερ κάλλιστον θανάτων δοκεῖ εἶναι. ἀλλὰ ζῶν αἰκισθεὶς ἐνιαυτὸν ὡς πονηρὸς λέγεται τελευτῆς τυχεῖν. ἀγίας δὲ ὁ ἀρκὰς, καὶ σωκράτης ὁ ἀχαιὸς, καὶ τούτω ἀπεθανέτην. τούτων δὲ οὐδεὶς οὔθ' ὡς ἐν πολέμῳ κακῶν κατεγέλα, οὔτ' ἐς φιλίαν αὐτοὺς ἐμέμφετο. ἤστην τε ἄμφω ἀμφὶ τετταράκοντα ἔτη ἀπὸ γενεᾶς.

ΞΕΝΟΦΩΝΤΟΣ
ΚΥΡΟΥ ΑΝΑΒΑΣΕΩΣ ΤΡΙΤΟΝ.

ΟΣΑ μὲν δὴ ἐν τῇ ἀναβάσει τῇ μετὰ κύρου οἱ ἕλληνες ἔπραξαν, μέχρι τῆς μάχης, καὶ ὅσα ἐπεὶ κῦρος ἐτελεύτησεν ἐγένετο, ἀπιόντων τῶν ἑλλήνων σὺν τισσαφέρνει ἐν ταῖς σπονδαῖς, ἐν τῷ πρόσθεν λόγῳ δεδήλωται. ἐπεὶ δὲ οἵ τε στρατηγοὶ συνειλημμένοι ἦσαν, καὶ τῶν λοχαγῶν καὶ στρατιωτῶν οἱ συνεπόμενοι ἀπωλώλεσαν, ἐν πολλῇ δὴ ἀπορίᾳ ἦσαν οἱ ἕλληνες, ἐνθυμούμενοι ὅτι ἐπὶ ταῖς βασιλέως θύραις ἦσαν. κύκλῳ δ' αὐτοῖς πάντη πολλὰ καὶ ἔθνη καὶ πόλεις πολέμιαι ἦσαν. ἀγορὰν δὲ οὐδεὶς ἔτι παρέξειν ἔμελλεν. ἀπεῖχον δὲ τῆς ἑλλάδος πλέον ἢ μυρία στάδια. ἡγεμὼν δ' οὐδεὶς ὁδοῦ ἦν. ποταμοὶ δὲ διεῖργον ἀδιάβατοι ἐν μέσῳ τῆς οἴκαδε ὁδοῦ.

προυδε-

se compendiariis admodum uiis peruenturū putabat, si peierasset, si mentitus esset, si fefellisset. Animi simplicitatē ac lenitatē, quasi lentitudinem quandam et ignauiam esse existimabat. Neminem ex animo diligebat, neq; se cuiquā amicum unquā simulauit, quin insidias ei fecerit. Ex hostib. nemine unquā ludibrio habuit: ac contrà quib. cum consuetudinē habebat, cum iis de rebus omnib. deridens atq; illudens agebat. Hostiū bonis non insidiabatur: quod difficile esse putabat, quæ diligenter seruarentur eripere. Amicorum res ita appetebat, ut solus nosse uideretur, facillime quæ non custodiantur, adimi posse. Ad hæc, quos periuros, quos iniuriosos esse intelligeret, eos tantum, quasi bene aduersus se armatos metuebat: bonorum pietate ac fide pro libidine sua abutebatur. Neq; sua quisquam religione, ueri & æqui obseruantia tantopere delectabatur, quantam Menon uoluptatem capiebat, dum aut aliquē fraudaret, aut mendacia fingeret, aut amicos derideret. Homines minimè facinorosos, rudes existimabat & indoctos. Apud quos principem in amicitia locum obtinere cōtenderet, nihil suis rationibus magis cōducere putabat, quā si gratiosissimos quosq; criminando suspectos reddidisset. Iam milites scelerum societate in officio retinere studebat: atq; ut hi se colerent, ac honore dignum putarent, facillimè se consequi posse arbitrabatur, si ostendisset posse se & uelle quamplurimum nocere. Ac iis quidem qui à se defecerant, tanquam eximium beneficiū exprobrabat, quod illos quandiu apud se fuissent, non perdidisset. Verùm hæc propterea quod obscuriora sunt, ficta uideri possunt: quæ autem notissima omnibus, iam dicentur. Ab Aristippo, cum nondum excessisset ex ephebis, mercenariorū præfecturā impetrauit. Idem cum Arieo barbaro homine, quod is formosorū puerorū consuetudine magnopere delectaretur, specie corporis, ac ætatis flore commendatus, familiarissime uixit. Ipse nondum puber, iam puberē Tarypan in deliciis habuit. Interēptis uero iis, quos ante dixi, prætoribus, eo nomine quod Cyrum contra regem iuuissent, cum eiusdem criminis esset damnatus, non statim tamen, neq; eodem mortis genere sublatus est. Non enim ei, ut cæteris, est caput à ceruicibus abscissum (quod supplicii genus honestissimum habetur) sed, quod eius scelere dignum fuit, regis iussu, multis corporis cruciatibus laceratus, uix anno exacto exanimatus est. Hagias quoq; Arcas, & Socrates Achæus occisi sunt. In his nemo unquam, neq; bellicam uirtutem, neq; amicitiæ fidem requisiuit. Vixerunt uterq; annos fermè XL.

XENOPHONTIS
DE CYRI MINORIS EXPEDITIONE LIBER TERTIUS, Romulo Amasæo interp.

QVAE gesserint Græci toto eo itinere, quod cū Cyro in ulteriorem Asiam fecerūt usq; ad prælium: quæq; post Cyri interitum acta sint, dum Græci cum Tissapherne icto foedere retrocederent, superioribus libris exposita sunt. Postea uerò quàm & prætores ipsi oppressi, et qui eos sequuti fuerāt cēturiones ac milites cæsi sunt, magna ex rerū difficultate Græcis trepidatio incessit. quippe qui se etiamnū ad regis fores esse, ac circūquaq; hostilibus se nationibus, atq; urbibus incinctos cogitarent. Neminem uerò iam fore, qui sibi annonā præberet, cum a Græcia amplius stadium decem millia (id erat ferè terdecies centena, & XX. M. pass.) abessent: neq; dux uiæ quisquam præstò esset: at flumina in medio plurima, altiora multò quàm ut uado transiri possent.

Videbant

Videbant praeterea se ab ijs proditos barbaris, qui Cyro eius expeditionis socij fuerant. Ad haec, equitem ne unum quidem habebant: ex quo futurum erat, ut neq; uictores fugientes assequi, neq; uicti insequētes effugere possent. Haec dū animo agitarēt, magna cura & moerore afficiebantur. Ac pauci omnino cum iā aduesperasceret, cibū ceperant, pauci ignē accenderant, neq; multi ea nocte ad suos ordines cum armis conuenerunt, sed eo quem quisq; fortuito occuparat loco, quiescentes, prae moerore, ac patriae, parentum, uxorum, liberum, quos nunquā se amplius uisuros putabant, desiderio, insomnem noctem egerūt. Atq; hic tunc fuit Graecorum militum status. Erat in eo exercitu Xenophon quidam Atheniensis, qui non modo nēq; praetor, neq; centurio erat, aut alium ullum ordinē ducebat, sed neq; ulla stipendia faciebat: quippe qui priuata tantum amicitia ductus, pro ueteris hospitij iure, Proxenum sequutus esset, ab eo è patria euocatus, quod scilicet hunc ille Cyro commendandum susceperat, quem se merito pluris quàm ipsam patriam facere dictitabat. Quare Xenophon cum ea de re à Proxeno epistolam accepisset, ubi eam legit, de profectione sua ad Socratē Atheniensem retulit. At is cum uereretur, ne esset illi alicui fraudi apud ciues suos, Cyri amicitiam expetisse, propterea quod Cyrus Lacedaemonios, bellum cum Athenièsibus gerentes alacriter iuuerat, iubet illum Delphos proficisci, ibiq; de ea profectione Apollinem consulere. At Xenophō ab Apolline quaesiuit, cuinā deo uotis nuncupatis, & sacris peractis, quod haberet iter ex animi sententia conficere, req; inde feliciter gesta, saluus domū redire posset. Tunc deos quibus res diuina facienda esset, deus edidit. Cum uero ad Socratem reuersus Xenophon, oraculum retulisset, ab eo reprehensus est, quod non ante quaesisset, utrum satius esset proficisci, an manere: ea enim de re deum consuli oportuisse: non autem itinere iam suscepto, quomodo id optime euenturum esset. Sed quando, inquit ille, ita ut libuit quaesisti, iam quae deus iussit fieri oportet. Tum Xenophon sacris, quibus dis oraculo iussus fuerat, ritè patratis, nauem conscendit: ac Sardeis cum appulisset, ibi Proxenum & Cyrum conuenit, iter iam in ulteriorem Asiam capessentes. Cyro quidem est Xenophon à Proxeno commendatus. Cumq; eum manere secum Proxenus cuperet, est etiam à Cyro liberaliter inuitatus, qui se illum promisit quamprimum expeditio ea cōfecta esset, in patriam remissurum. Et tunc sane copiae illae in Pisidas comparari dicebātur: quare ea simulatione inductus Xenophon, castra sequutus est: non ille quidem à Proxeno deceptus, cum nemo ex Graecis omnino, praeter unum Clearchum, bellum id contra regem suscipi sensisset. Neq; enim prius res omnibus perspicua fuit, quàm in Ciliciam uentum est: ac tunc quidem milites partim metu, propter uiae difficultatem, partim uero mutuo pudore impediti, in fide permanserūt. In hoc numero Xenophō fuit. Hoc uero tempore cum ijsdem & ipse esset, quibus caeteri, difficultatibus circumuentus, uehementer angebatur, neq; somnum capere poterat. Leuißime tamen dormitanti, huiusmodi somnium oblatum est. Paternam domum uisus est uidere cum tonitru de coelo ictam, omni ex parte subito lumine coruscare: qua specie perculsus, cum somno solutus esset, eodem somnio & laeta sibi, & aduersa significata esse interpretatus est. Nam quod in medijs laboribus ac periculis lumen sibi à Ioue magnum affulsisse uisum esset, ad salutis spem pertinere uidebatur. Terrorem uero afferebat, quod cum à Ioue rege id somniū extitisset, ac circunquaque omnia uisa essent flammis ardere, ne non posset ex loci iniquitate euadere, ac rerum omnium difficultatibus intercluderetur, metuebat. Sed uti fuerit somnium illud accipiendum, ex

Qua occasione Xenophon hanc expeditionem secutus fuerit.

προυδεδώκασι δὲ αὐτοὺς καὶ οἱ σὺν κύρῳ ἀναβάντες βάρβαροι. μόνοι δὲ καταλελειμμένοι ἦσαν, οὐδὲ ἱππέα οὐδένα σύμμαχον ἔχοντες· ὥστε δῆλον ἦν, ὅτι νικῶντες μὲν οὐδ᾽ ἂν ἕνα κατακαίνοιεν, ἡττηθέντων δ᾽ αὐτῶν, οὐδεὶς ἂν λειφθείη. ταῦτα ἐννοούμενοι καὶ ἀθύμως ἔχοντες, ὀλίγοι μὲν αὐτῶν εἰς τὴν ἑσπέραν σίτου ἐγεύσαντο, ὀλίγοι δὲ πυρὰ ἔκαυσαν, ἐπὶ δὲ τὰ ὅπλα πολλοὶ οὐκ ἦλθον ταύτῃ τῇ νυκτί. ἀνεπαύοντο δὲ ὅπου ἐτύγχανεν ἕκαστος, οὐ δυνάμενοι καθεύδειν ὑπὸ λύπης, καὶ πόθου πατρίδων, γονέων, γυναικῶν, παίδων, οὓς οὔποτε ἐνόμιζον ἔτι ὄψεσθαι. οὕτω μὲν δὴ διακείμενοι πάντες, ἀνεπαύοντο. ἦν δέ τις ἐν τῇ στρατιᾷ ξενοφῶν ἀθηναῖος, ὃς οὔτε στρατηγὸς, οὔτε λοχαγὸς, οὔτε στρατιώτης ὢν, συνηκολούθει. ἀλλὰ πρόξενος αὐτὸν μετεπέμψατο οἴκοθεν, ξένος ὢν ἀρχαῖος. ὑπισχνεῖτο δὲ εἰ ἔλθοι, φίλον αὐτὸν κύρῳ ποιήσειν, ὃν αὐτὸς, ἔφη, κρείττω ἑαυτῷ νομίζειν τῆς πατρίδος. ὁ μέντοι ξενοφῶν ἀναγνοὺς τὴν ἐπιστολὴν, ἀνακοινοῦται σωκράτει τῷ ἀθηναίῳ περὶ τῆς πορείας. καὶ ὁ σωκράτης ὑποπτεύσας, μήτι πρὸς τῆς πόλεως αἰ ὑπαίτιον εἴη κύρῳ φίλον γενέσθαι, ὅτι ἐδόκει ὁ κῦρος προθύμως τοῖς λακεδαιμονίοις ἐπὶ τὰς ἀθήνας συμπολεμῆσαι, συμβουλεύει τῷ ξενοφῶντι, ἐλθόντι εἰς δελφοὺς, ἀνακοινῶσαι τῷ θεῷ περὶ τῆς πορείας. ἐλθὼν δὲ ὁ ξενοφῶν, ἐπήρετο τὸν ἀπόλλω, τίνι ἂν θεῶν θύων καὶ εὐχόμενος, κάλλιστ᾽ ἂν καὶ ἄριστα ἔλθοι τὴν ὁδὸν ἣν ἐπινοεῖ, καὶ καλῶς πράξας σωθείη. καὶ ἀνεῖλεν αὐτῷ ὁ ἀπόλλων, θεοῖς οἷς ἔδει θύειν. ἐπεὶ δὲ πάλιν ἦλθε, λέγει τὴν μαντείαν τῷ σωκράτει. ὁ δ᾽ ἀκούσας ᾐτιᾶτο αὐτὸν, ὅτι οὐ τοῦτο πρότερον ἠρώτα, πότερον λῷον αὐτῷ εἴη πορεύεσθαι ἢ μένειν. ἀλλ᾽ αὐτὸς κρίνας ἰτέον εἶναι, τοῦτ᾽ ἐπυνθάνετο, ὅπως ἂν κάλλιστα πορευθείη. ἐπεὶ μέντοι οὕτως ἤρου, ταῦτ᾽, ἔφη, χρὴ ποιεῖν ὅσα ὁ θεὸς ἐκέλευσεν. ὁ μὲν δὴ ξενοφῶν οὕτω θυσάμενος, οἷς ἀνεῖλεν ὁ θεὸς, ἐξέπλει. καὶ καταλαμβάνει ἐν σάρδεσι πρόξενον καὶ κῦρον, μέλλοντας ἤδη ὁρμᾶν τὴν ἄνω ὁδὸν, καὶ συνεστάθη κύρῳ. προθυμουμένου δὲ τοῦ προξένου, καὶ ὁ κῦρος συμπροὐθυμεῖτο μεῖναι αὐτόν. εἶπε δὲ, ὅτι ἐπειδὰν τάχιστα ἡ στρατεία λήξῃ, εὐθὺς ἀποπέμψει αὐτόν. ἐλέγετο δὲ ὁ στόλος εἶναι εἰς πισίδας. ἐστρατεύετο μὲν δὴ οὕτως ἐξαπατηθεὶς, οὐχ ὑπὸ τοῦ προξένου. οὐ γὰρ ᾔδει τὴν ἐπὶ βασιλέα ὁρμὴν, οὐδ᾽ ἄλλος οὐδεὶς τῶν ἑλλήνων, πλὴν κλεάρχου. ἐπεὶ μέντοι εἰς κιλικίαν ἦλθον, σαφὲς πᾶσιν ἐδόκει εἶναι, ὅτι ὁ στόλος εἴη ἐπὶ βασιλέα. φοβούμενοι δὲ τὴν ὁδὸν, καὶ ἄκοντες ὅμως οἱ πολλοὶ, δι᾽ αἰσχύνην καὶ ἀλλήλων καὶ κύρου συνηκολούθησαν. ὧν εἷς καὶ ξενοφῶν ἦν. ἐπεὶ δ᾽ ἀπορία ἦν, ἐλυπεῖτο μὲν σὺν τοῖς ἄλλοις, καὶ οὐκ ἐδύνατο καθεύδειν. μικρὸν δ᾽ ὕπνου λαχὼν, εἶδεν ὄναρ. ἔδοξεν αὐτῷ βροντῆς γενομένης, σκηπτὸς πεσεῖν εἰς τὴν πατρῴαν οἰκίαν, καὶ ἐκ τούτου λάμπεσθαι πᾶσαν. περίφοβος δ᾽ εὐθὺς ἀνηγέρθη. καὶ τὸ ὄναρ πῇ μὲν ἔκρινεν ἀγαθὸν, ὅτι ἐν πόνοις ὢν καὶ κινδύνοις, φῶς μέγα ἐκ διὸς ἰδεῖν ἔδοξε. πῇ δὲ καὶ ἐφοβεῖτο, ὅτι ἀπὸ διὸς μὲν βασιλέως τὸ ὄναρ ἐδόκει αὐτῷ εἶναι, κύκλῳ δὲ ἐδόκει λάμπεσθαι τὸ πῦρ. μὴ οὐ δύναιτο ἐκ τῆς χώρας ἐξελθεῖν τῆς βασιλέως, ἀλλ᾽ εἴργοιτο πάντοθεν ὑπό τινων ἀποριῶν. ὁποῖόν τι μὲν δή ἐστι τὸ τοιοῦτον ὄναρ ἰδεῖν,

ἔξεστι

ἔξεστι σκοπεῖν ἐκ τῶν συμβάντων μετὰ τὸ ὄναρ. γίγνεται
γὰρ τάδε εὐθύς. ἐπειδὴ ἀνηγέρθη, πρῶτον μὲν ἔννοια
αὐτῷ ἐμπίπτει, τί κατάκειμαι, ἡ δὲ νὺξ προβαίνει. ἅμα
δὲ τῇ ἡμέρᾳ εἰκὸς τοὺς πολεμίους ἥξειν. εἰ δὲ γενησόμεθα
ἐπὶ βασιλεῖ τί ἐμποδὼν, μὴ οὐχὶ πάντα τὰ χαλεπώ-
τατα ἐπιδόντας, πάντα δὲ τὰ δεινότατα παθόντας,
ὑβριζομένους ἀποθανεῖν; ὅπως δ᾽ ἀμυνούμεθα, οὐδεὶς
παρασκευάζεται οὐδ᾽ ἐπιμελεῖται. ἀλλὰ κατακείμεθα,
ὥσπερ ἐξὸν ἡσυχίαν ἄγειν. ἐγὼ οὖν τὸν ἐκ ποίας πόλεως
στρατηγὸν προσδοκῶ ταῦτα πράξειν; ποίαν δ᾽ ἡλικίαν ἐ-
μαυτῷ ἐλθεῖν ἀναμένω; οὐ γὰρ ἔγωγ᾽ ἔτι πρεσβύτερος
ἔσομαι, ἐὰν τήμερον προδῶ ἐμαυτὸν τοῖς πολεμίοις.
ἐκ τούτου ἀνίσταται, καὶ συγκαλεῖ τοὺς Προξένου πρῶ-
τον λοχαγούς. ἐπεὶ δὲ συνῆλθον, ἔλεξεν· ἐγὼ, ὦ ἄνδρες
λοχαγοί, οὔτε καθεύδειν δύναμαι, ὥσπερ οἶμαι οὐδ᾽
ὑμεῖς, οὔτε κατακεῖσθαι ἔτι, ὁρῶν ἐν οἵοις ἐσμέν. οἱ μὲν
γὰρ δὴ πολέμιοι δῆλον ὅτι οὐ πρότερον πρὸς ἡμᾶς τὸν
πόλεμον ἐξέφηναν, πρὶν ἐνόμισαν τὰ ἑαυτῶν καλῶς
παρεσκευάσθαι. ἡμῶν δὲ οὐδεὶς οὐδὲ ἀντεπιμελεῖται,
ὅπως ὡς κάλλιστα ἀγωνιούμεθα. καὶ μὴν, εἰ ὑφησόμεθα
καὶ ἐπὶ βασιλεῖ γενησόμεθα, τί οἰόμεθα πείσεσθαι, ὃς καὶ
τοῦ ὁμομητρίου καὶ ὁμοπατρίου ἀδελφοῦ, καὶ τεθνηκό-
τος ἤδη, ἀποτεμὼν τὴν κεφαλὴν καὶ τὴν χεῖρα, ἀνε-
σταύρωσεν; ἡμᾶς δὲ οἷς κηδεμὼν μὲν οὐδεὶς πάρεστιν,
ἐστρατεύσαμεν δ᾽ ἐπ᾽ αὐτὸν, ὡς δοῦλον ἀντὶ βασιλέως
ποιήσοντες, καὶ ἀποκτενοῦντες εἰ δυναίμεθα, τί ἂν οἰό-
μεθα παθεῖν; ἆρ᾽ οὐκ ἐπὶ πᾶν ἔλθοι ὡς ἡμᾶς τὰ ἔσχατα
αἰκισάμενος, πᾶσιν ἀνθρώποις φόβον παράσχῃ τοῦ στρα-
τεῦσαι ποτὲ ἐφ᾽ ἑαυτόν; ἀλλ᾽ ὅπως τοι μὴ ἐπ᾽ ἐκείνῳ
γενησοίμεθα πάντα ποιητέον. ἐγὼ μὲν οὖν, ἔστ᾽ ἂν μὲν αἱ
σπονδαὶ ἦσαν, οὔποτε ἐπαυόμην, ἡμᾶς μὲν οἰκτείρων,
βασιλέα δὲ καὶ τοὺς σὺν αὐτῷ μακαρίζων, διαθεώμενος
αὐτῶν, ὅσην μὲν χώραν καὶ οἵαν ἔχοιεν. ὡς δὲ ἄφθονα τὰ
ἐπιτήδεια. ὅσους δὲ θεράποντας, ὅσα δὲ κτήνη. χρυσὸν δὲ,
ἐσθῆτα δέ. τὰ δ᾽ αὖ τῶν στρατιωτῶν ὁπότε ἐνθυμοίμην
ὅτι τῶν μὲν ἀγαθῶν πάντων οὐδενὸς ἡμῖν μετείη, εἰ
μὴ πριαίμεθα. ὅτου δὲ ὠνησόμεθα, ἤδειν ὅτι ὀλίγους
ἔχοντας. ἄλλως δέ πως πορίζεσθαι τὰ ἐπιτήδεια, ὠνου-
μένους ὅρκους ἤδη κατέχοντας ἡμᾶς. ταῦτ᾽ οὖν λογιζό-
μενος ἐνίοτε, τὰς σπονδὰς μᾶλλον ἐφοβούμην, ἢ νῦν τὸν
πόλεμον. ἐπεὶ μέντοι ἐκεῖνοι ἔλυσαν τὰς σπονδὰς, λε-
λύσθαι μοι δοκεῖ καὶ ἡ ἐκείνων ὕβρις, καὶ ἡ ἡμετέρα ὑπο-
ψία. ἐν μέσῳ γὰρ ἤδη κεῖται ταῦτα τὰ ἀγαθὰ ἆθλα, ὁ-
πότεροι ἂν ἡμῶν ἄνδρες ἀμείνονες ὦσιν. ἀγωνοθέ-
ται δ᾽ οἱ θεοί εἰσιν, οἳ σὺν ἡμῖν ὡς τὸ εἰκὸς ἔσονται. οὗτοι
μὲν γὰρ αὐτοὺς ἐπιωρκήκασιν. ἡμεῖς δὲ πολλὰ ὁρῶντες
ἀγαθὰ, στερρῶς αὐτῶν ἀπειχόμεθα, διὰ τοὺς τῶν θεῶν
ὅρκους. ὥστε ἐξεῖναί μοι δοκεῖ ἰέναι ἐπὶ τὸν ἀγῶνα, πο-
λὺ σὺν φρονήματι μείζονι, ἢ τούτοις. ἔτι δὲ ἔχομεν σώ-
ματα ἱκανώτερα τούτων, καὶ ψύχη καὶ θάλπη καὶ πό-
νους φέρειν. ἔχομεν τε καὶ ψυχὰς σὺν τοῖς θεοῖς ἀμείνο-
νας. οἱ δὲ ἄνδρες καὶ τρωτοὶ καὶ θνητοὶ μᾶλλον ἡμῶν,
ἢν οἱ θεοὶ ὥσπερ τὸ πρόσθεν νίκην ἡμῖν διδῶσιν. ἀλλ᾽
ἴσως γὰρ καὶ ἄλλοι ταῦτ᾽ ἐνθυμοῦνται. πρὸς τῶν θεῶν μὴ
ἀναμένωμεν ἄλλους ἐφ᾽ ἡμᾶς ἐλθεῖν, παρακαλοῦντας
ἐπὶ τὰ κάλλιστα ἔργα, ἀλλ᾽ ἡμεῖς ἄρξωμεν τοῦ ἐξορμῆσαι
καὶ

ex rerū, quæ consecutæ sunt euētis, facilè iudicari potest: hæc
enim postea acciderūt. Vbi primū a somno excitatus est, cœ
pit secū ita cogitare: Quid hic ego iaceo? nox quidem exacta
magna ex parte est. Quid tam credi potest, q̄ hostes cum pri
ma luce adfuturos? Quod si in regis potestatem redigimur,
quid impediet, quin quæ indignißima homini cōtingere pos/
sint, uideamus: ac deinde grauißima quæq; paßi, & ab hosti
bus contumeliosißime tractati, mortē oppetamus? Qui uero
resistamus, neq; opē cōparat, neq; curat quisquā: sed iacemus
10 oēs, proinde quasi ociosis esse liceat. Ac ego quidem ipse, ex
qua potißimū ciuitate, tā præclari facinoris dux aliquis exo/
riatur expectē? Aut quā tandē ætatem idoneam mihi ad res
magnas gerendas fore putē? Senex quidem nunquā fiā, si me
hostib. hodie tradidero. His impulsus cogitationib. surgit, ac
statum Proxeni cēturiones conuocat. Qui cū unū in locum
conuenissent: Ego, inquit, cēturiones, non modo nō dormire,
quod mihi uobiscum cōmune esse arbitror, sed ne quiescere
quidē possum, dū quo loco res nostræ sint, considero. Hostes
nō ante aperte nobis arma intulerūt, quàm sibi ex sententia pa
20 rata omnia, et cōstituta esse putarūt: Nostrum uero nemo est
qui rationē ineat, quonā modo cum illis quā æquißima cōdi
tione certemus. Atqui si fracti animo, atq; abiecti, in regis po
testatē uenerimus, quā nobis æquū illum futurū putamus, qui
germani fratris mortui abscissum caput, et dexterā palo suffi
xerit? Iā quid nos pati par sit, quorū nemo causam suscipit,
quiq; ut et armis regē seruū facturi, ac cū fortunis omnib. ui
ta etiā ipsa euersuri uenerimus? An nō eo cōtra nos animo il
lū uenturū putatis, ut cū indignißimis nos modis cruciarit,
exemplū cæteris edat, quid eos expectare oporteat, qui con/
30 tra ipsum arma capiūt? At nobis quiduis faciendū, ne in illius
potestatē ueniamus. Equidē tātisper fœdus nobis cū barbaris
integrū & inuiolatū fuit, cū rege bene ac præclare agi puta
bā, cum tā multas eū regiones, tā immēsam cōmeatuū copiā,
tam ingentē seruorū multitudinē, tot pecorū greges, tantā au
ri, uestisq; uim, in potestate sua habere uiderē. Cōtra uero no
strā hanc conditionē magnopere miserabar, quod ex tā mul
tis bonis, nihil cuiquā nisi quod precio mercatus esset, poßi/
dere liceret, cū et ipsum preciū quāpaucißimis suppeditaret:
alio uero quouis modo, quæ opus essent nobis quærere, fœde
40 ris religione prohiberemur. Quæ cū in mentē uenirēt, fœde/
ris ipsius conditiones, omni bello nobis multo grauiores esse
statuebā. Nūc uero cum fœdus illi irritū fecerint, nō mehercu
le cū illorū insolentia solutißima sit, quominus nos rationib.
nostris, ut ex usu cōmodoq; nostro sit, consulamus, ulla uere
cundia, aut religione astricti esse debemus. Iam in medio, quæ
paulo ante commemoraui bona, quasi quædā præmia posita
sunt: ea sibi utri nostrūm uirtute præstiterint, uindicabūt. Cer
taminis autores et præsides dii, qui, uti consentaneū est, à no/
bis erunt, cū illi fidē eorū fefellerint: nos ne quid cōtra iusiu/
50 randū faceremus, maximis plurimisq; cōmodis quorū cōpo/
tes esse poteramus, constantißime abstinuerimus. Quare, ut
mea fert opinio, in hoc certamē nobis multo q̄ illis fidētius li
cet descēdere. Sūt præterea nobis et frigoris, et æstus, et labo
rū oīm corpora multò tolerātiora: et aīs etiā robore (dii modo
ꝓpitii sint) illos anteibimus. Neq; illi cæde ac uulnerib. nō fa
cilius q̄ nos cōfici posſūt: qd' et ante expti sumus, et in posterū
experiemur, si deorū ope, uti paulo ante, uictoriā adepti fueri/
mus. Verū hæc eadē in exercitu nostro, fortasse et aliis in mē
tem ueniēt. Sed p deos, ne expectemus usq; quo alii ultro ue/
niāt, et ad pulcherrimi facinoris laudē nos excitent: quin ipsi
aliis

alijs duces & impulsores simus ad uirtutis gloriam capessen
dam. Vos nunc, uos inquā centuriones, uiri fortißimi, omniū
dignißimos ijs quos geritis honorib. & ad imperandū ma/
xime idoneos ostendite. Ego medius fidius, neq; uos alacriter
ad hoc opus aggredientes, nō libentißime sequar: neq; si mihi
hoc imperandi munus detuleritis, ætatis excusatione utar: qp
pe qui adolescētiæ ipsius uigorē, magno ad propulsanda quæ
imminēt mala, mihi auxilio fore putē. Hæc ille. Quib. cēturio
nes cōmoti, sub eius imperio esse nihil recusabāt. Ex his tamē
Apollonides quidā, Bœoticam ille quidem linguam præ se fe
rēs, nugari eos dicere cœpit, qui salutē aliunde, quā ex regis
misericordia, se cōsequi posse putarent. Ac difficultates om/
nes rei gerendæ cōmemorare aggressus fuerat, cum Xeno/
phon eum interpellans: Vir præclarißime, inquit, solus mihi
omnia ignorare uideris: ac cum rebus omnibus non minus
quàm hi, & ipse interfueris, perinde quasi neq; uideris, neq;
audieris quicquā, prorsus non meminisse, regē post Cyri cæ/
dem rei euentu elatū, primū ad nos misisse, qui eius nomine
iuberēt arma tradere. Deinde cū id nos facturos negassemus,
ac cum ijsdem armis propius ad eius tabernacula castra lo/
cassemus, eundē nihil, quod uelle uideremur, non fecisse. An
non & legatos de pace misit, & commeatuū nobis copiā fe
cit? Vbi uero ad compositionē adducti sumus, ac ad eum præ
tores & centuriones armis posiuis uenerūt, quod nūc etiam
faciendum censere uideris, non illi (credo) plagis, uulnerib.
contumelijs affecti, mori etiam (quod unū ut in summis mise
rijs maxime expetūt) prohibentur. Quæ cum euenisse scias,
nihilo tamē minus nugari eos audes dicere, qui armis resistē
dum putant: ac illum, ut saluos nos esse patiatur, rogandum
censes. Ego Græci, hominem hunc è nostro consilio eijcien/
dum puto, atq; ordine amotum, ad uasa portanda amandan
dum. Quantū enim in ipso est, & patriā suam, & Græciam
uniuersam dedecorat, cum Græcus homo tam sit à Græcis de
gener. Ad hæc Agasias Stymphalius: At huic quidem, in/
quit, neq; cum Bœotijs, neq; cum Græcis omnino quicquam
est: etenim eius ego utranq; aurem Lydorum more perfora/
tam uidi: atq; ita sanè esse compertum est. Eum igitur cum e/
uestigio exterminassent, cæteri per cohortes certos dimise/
runt, qui uel prætores ipsos, quibus superstites adhuc essent,
& centuriones: uel quibus perissent, eos qui pro prætori/
bus, proq; centurionibus essent, conuocarent. Qui cum in u/
num conuenissent, ante suos quisq; ordines consederunt, ac
fuerunt prætores & centuriones in ea concione circiter C.
Erat cum hæc agerentur, media ferme nox. Eo in conuentu
Hieronymus Eleus, omnium Proxeni centurionum natu ma
ximus, primus ita loquutus est: Nobis quidem rerum nostra
rum statum considerantibus, prætores ac centuriones, opti/
mum factu uisum est, si & ipsi conueniremus, & uos con/
uocaremus, quò, si qua posset rei bene gerendæ ratio iniri,
communiter consilium caperemus. Dic, inquit, iam Xeno/
phon, quæ nobiscum paulo ante egisti. Hic ille: Est, inquit,
omnibus notum, regem ac Tissaphernem, & antè, quos de
nostris potuerint, comprehendisse, & nunc operam dare ut
nos per insidias de medio tollant. Nobis uero quiduis facien/
dum censeo, ne in barbarorum potestatem ueniamus, ac ut
illos nos potius (si fieri poßit) opprimamus. Illud quidem
nos scire oportet, nosipsos quotcunq; sumus, qui huc conue/
nimus, præclaram uirtutis declarandæ occasionem habere:
milites enim hi nos omnes intuentur: quos si fractos ac de/
bilitatos uiderint, & ipsi ad ignauiam propensi ferentur.
Sin

καὶ τοὺς ἄλλους ἐπὶ τὴν ἀρετήν. φαίνετε τῶν λοχαγῶν
ἄριστοι, καὶ τῶν στρατηγῶν ἀξιοστρατηγότεροι. κἀγὼ δὲ
εἰ μὲν ὑμεῖς ἐθέλετε ἐξορμᾶν ἐπὶ ταῦτα, ἕπεσθαι ὑμῖν
βούλομαι. εἰ δὲ ὑμεῖς τάττετέ με ἡγεῖσθαι, οὐδὲν προφα
σίζομαι τὴν ἡλικίαν· ἀλλὰ καὶ ἀκμάζειν ἡγοῦμαι, ἐρύ-
κειν ἀπ' ἐμαυτοῦ τὰ κακά. ὁ μὲν ταῦτα ἔλεξεν. οἱ δὲ λο
χαγοὶ ἀκούσαντες ταῦτα, ἡγεῖσθαι ἐκέλευον ἅπαντες.
πλὴν Ἀπολλωνίδης τις ἦν, βοιωτιάζων τῇ φωνῇ. οὗτος
δ' εἶπεν· ὅτι φλυαροίη ὅστις λέγοι, ἄλλως πως σωτη-
ρίας ἂν τυχεῖν, ἢ βασιλέα πείσας εἰ δύναιτο. καὶ ἅμα
ἤρχετο λέγειν τὰς ἀπορίας. ὁ μέντοι Ξενοφῶν, μεταξὺ
ὑπολαβὼν, ἔλεξεν ὧδε· ὦ θαυμασιώτατε ἄνθρωπε,
σύ γε οὐδ' ὁρῶν γιγνώσκεις, οὐδ' ἀκούων μέμνησαι.
ἐν ταὐτῷ γε μέντοι ἦσθα τούτοις, ὅτε βασιλεὺς, ἐπεὶ
Κῦρος ἀπέθανε, μέγα φρονήσας ἐπὶ τούτῳ, πέμπων
ἐκέλευε παραδιδόναι τὰ ὅπλα. ἐπειδὴ δὲ ἡμεῖς οὐ πα
ραδόντες, ἀλλ' ἐξωπλισμένοι ἐλθόντες, παρεσκηνώ-
σαμεν αὐτῷ. τί οὐκ ἐποίησε πρέσβεις πέμπων, καὶ σπον
δὰς αἰτῶν, καὶ παρέχων τὰ ἐπιτήδεια, ἕως σπονδῶν
ἔτυχεν; ἐπεὶ δ' αὖ οἱ στρατηγοὶ καὶ λοχαγοὶ, ὥσπερ δὴ
σὺ κελεύεις, εἰς λόγους αὐτοῖς ἄνευ ὅπλων ἦλθον, πι-
στεύσαντες ταῖς σπονδαῖς, οὐ νῦν ἐκεῖνοι, παιόμενοι,
κεντούμενοι, ὑβριζόμενοι, οὐδ' ἀποθανεῖν οἱ τλήμονες
δύνανται, καὶ μάλ' οἶμαι ἐρῶντες τούτου. ἃ σὺ πάντα
εἰδὼς, τοὺς μὲν ἀμύνεσθαι κελεύοντας, φλυαρεῖν φής.
πείθειν δὲ πάλιν κελεύεις ἰόντας. ἐμοὶ δὲ, ὦ ἄνδρες, δο
κεῖ τὸν ἄνθρωπον τοῦτον μήτε προσίεσθαι εἰς ταὐτὸ ὑμῖν
αὐτοῖς, ἀφελομένους τε τὴν λοχαγίαν, σκεύη ἀναθέν-
τας ὡς τοιούτῳ χρῆσθαι. οὗτος γὰρ καὶ τὴν πατρίδα καται
σχύνει, καὶ πᾶσαν τὴν Ἑλλάδα, ὅτι Ἕλλην ὢν, τοιοῦτός ἐστιν.
ἐντεῦθεν ὑπολαβὼν Ἀγασίας Στυμφάλιος, εἶπεν· ἀλ-
λὰ τούτῳ γε οὔτε τῆς Βοιωτίας προσήκει οὐδὲν, οὔτε τῆς
Ἑλλάδος παντάπασιν, ἐπεὶ ἐγὼ αὐτὸν εἶδον ὥσπερ Λυ/
δὸν, ἀμφότερα τὰ ὦτα τετρυπημένον, καὶ εἶχεν οὕτως.
τοῦτον μὲν οὖν ἀπήλασαν. οἱ δ' ἄλλοι παρὰ τὰς τάξεις
ἰόντες, ὅπου μὲν στρατηγὸς σῶος εἴη, τὸν στρατηγὸν πα
ρεκάλουν. ὁπόθεν δὲ οἴχοιντο, τὸν ὑποστράτηγον. ὅπου
δὲ λοχαγὸς σῶος εἴη, τὸν λοχαγόν. ἐπεὶ δὲ πάντες
συνῆλθον, εἰς τὸ πρόσθεν τῶν ὅπλων ἐκαθέζοντο. καὶ ἐ-
γένοντο οἱ συνελθόντες στρατηγοὶ καὶ λοχαγοὶ ἀμφὶ τοὺς
ἑκατόν. ὅτε δὲ ταῦτα ἦν, σχεδὸν ἦσαν μέσαι νύκτες.
ἐνταῦθα Ἱερώνυμος Ἠλεῖος πρεσβύτατος ὢν τῶν Προ-
ξένου λοχαγῶν, ἤρχετο λέγειν ὧδε· ἡμῖν, ὦ ἄνδρες στρα
τηγοὶ καὶ λοχαγοὶ ὁρῶσι τὰ παρόντα, ἔδοξε καὶ αὐτοῖς
συνελθεῖν, καὶ ὑμᾶς παρακαλέσαι, ὅπως βουλευσαίμε-
θα ἄν τι δυναίμεθα ἀγαθόν. λέξον δ', ἔφη, καὶ σὺ, ὦ Ξενο
φῶν, ἅπερ καὶ πρὸς ἡμᾶς. ἐκ τούτου λέγει τάδε Ξενοφῶν·
ἀλλὰ ταῦτα μὲν ἅπαντες ἐπιστάμεθα, ὅτι βασιλεὺς καὶ
Τισσαφέρνης, οὓς μὲν ἐδυνήθησαν συνειλήφασιν ἡμῶν· τοῖς
δ' ἄλλοις δηλονότι ἐπιβουλεύουσιν, ὡς ἢν δύνωνται ἀπολέ-
σωσιν. ἡμῖν δέ γ' οἶμαι πάντα ποιητέα, ὡς μήποτ' ἐπὶ
τοῖς βαρβάροις γενώμεθα, ἀλλὰ μᾶλλον ἢν δυνώμεθα, ἐ-
κεῖνοι ἐφ' ἡμῖν. εὖ τοίνυν ἐπίστασθε, ὅτι ὑμεῖς τοσοῦτοι ὄν-
τες ὅσοι συνεληλύθατε, μέγιστον ἔχετε καιρόν. οἱ γὰρ
στρατιῶται οὗτοι πάντες πρὸς ὑμᾶς ἀποβλέπουσι. κἂν
μὲν ὑμᾶς ὁρῶσιν ἀθυμοῦντας, πάντες κακοὶ ἔσονται.
ἢν

ἢν δ' ὑμᾶς αὐτοί τε παρασκευαζομένους, φανεροὶ ἦτε ἐπὶ τοὺς πολεμίους, καὶ τοὺς ἄλλους παρακαλῆτε, εὖ ἴστε ὅτι ἕψονται ὑμῖν καὶ πειράσονται μιμεῖσθαι. ἴσως δέ τοι καὶ δίκαιόν ἐστιν ὑμᾶς διαφέρειν τι τούτων. ὑμεῖς γάρ ἐστε στρατηγοί, ὑμεῖς ταξίαρχοι καὶ λοχαγοί, καὶ ὅτε εἰρήνη ἦν, ὑμεῖς καὶ χρήμασι καὶ τιμαῖς τούτων ἐπλεονεκτεῖτε. καὶ νῦν τοίνυν ἐπεὶ πόλεμός ἐστιν, ἀξιοῦν δεῖ ὑμᾶς αὐτοὺς ἀμείνους τε τοῦ πλήθους εἶναι, καὶ προβουλεύειν τούτων, καὶ προπονεῖν, ἤν που δέῃ. καὶ νῦν πρῶτον οἶμαι ἂν ὑμᾶς μέγα ὀνῆσαι τὸ στράτευμα, εἰ ἐπιμεληθείητε, ὅπως ἀντὶ τῶν ἀπολωλότων ὡς τάχιστα στρατηγοὶ καὶ λοχαγοὶ κατασταθῶσιν. ἄνευ γὰρ ἀρχόντων οὐδὲν ἂν οὔτε καλὸν οὔτε ἀγαθὸν γένοιτο. ὡς μὲν συνελόντι εἰπεῖν, οὐδαμοῦ, ἐν γε δὴ τοῖς πολεμικοῖς παντάπασιν. ἡ μὲν γὰρ εὐταξία σῴζειν δοκεῖ, ἡ δὲ ἀταξία πολλοὺς ἤδη ἀπολώλεκεν. ἐπειδὰν δὲ καταστήσησθε τοὺς ἄρχοντας ὅσους δεῖ, ἢν καὶ τοὺς ἄλλους στρατιώτας συλλέγητε καὶ παραθαρρύνητε, οἶμαι ὑμᾶς πάνυ ἂν ἐν καιρῷ ποιῆσαι. νῦν μὲν γὰρ ἴσως καὶ ὑμεῖς αἰσθάνεσθε, ὡς ἀθύμως μὲν ἦλθον ἐπὶ τὰ ὅπλα, ἀθύμως δὲ πρὸς τὰς φυλακάς. ὥστε οὕτω γ' ἐχόντων, οὐκ οἶδα ὅτι ἄν τις χρήσαιτο αὐτοῖς, εἴτε νυκτὸς δέοι τι, εἴτε καὶ ἡμέρας. ἢν δέ τις αὐτῶν τρέψῃ τὰς γνώμας, ὡς μὴ τοῦτο μόνον ἐννοῶνται τί πείσονται, ἀλλὰ καὶ τί ποιήσουσι, πολὺ εὐθυμότεροι ἔσονται. ἐπίστασθε γὰρ δήπου, ὅτι οὔτε πλῆθός ἐστιν, οὔτε ἰσχὺς ἡ ἐν τῷ πολέμῳ τὰς νίκας ποιοῦσα, ἀλλ' ὁπότεροι ἂν σὺν τοῖς θεοῖς ταῖς ψυχαῖς ἐρρωμενέστεροι ἴωσιν ἐπὶ τοὺς πολεμίους, τούτους ὡς ἐπὶ τὸ πολὺ οἱ ἀντίοι οὐ δέχονται. ἐντεθύμημαι δ' ἔγωγε, ὦ ἄνδρες, καὶ τοῦτο, ὅτι ὁπόσοι μὲν μαστεύουσι ζῆν ἐκ παντὸς τρόπου ἐν τοῖς πολεμίοις, οὗτοι κακῶς τε καὶ αἰσχρῶς ὡς ἐπὶ τὸ πολὺ ἀποθνῄσκουσιν. ὁπόσοι δὲ τὸν μὲν θάνατον ἐγνώκασι πᾶσι κοινὸν εἶναι καὶ ἀναγκαῖον ἀνθρώποις, περὶ δὲ τοῦ καλῶς ἀποθνῄσκειν ἀγωνίζονται, τούτους ὁρῶ μᾶλλόν πως εἰς τὸ γῆρας ἀφικνουμένους, καὶ ἕως ἂν ζῶσιν εὐδαιμονέστερον διάγοντας. ἃ καὶ ἡμᾶς δεῖ νῦν καταμαθόντας, ἐν τοιούτῳ γὰρ καιρῷ ἐσμεν, αὐτούς τε ἀγαθοὺς ἄνδρας εἶναι, καὶ τοὺς ἄλλους παρακαλεῖν. ὁ μὲν ταῦτ' εἰπὼν ἐπαύσατο. μετὰ τοῦτον εἶπε χειρίσοφος· ἀλλὰ πρόσθεν μέν, ὦ ξενοφῶν, τοσοῦτον μόνον σε ἐγίγνωσκον, ὅσον ἤκουον ἀθηναῖον εἶναι. νῦν δὲ καὶ ἐπαινῶ σε ἐφ' οἷς λέγεις τε καὶ πράττεις, καὶ βουλοίμην ἂν ὅτι πλείστους εἶναι τοιούτους. κοινὸν γὰρ ἂν εἴη τὸ ἀγαθόν. καὶ νῦν, ἔφη, μὴ μέλλωμεν, ὦ ἄνδρες. ἀλλ' ἀπελθόντες ἤδη αἱρεῖσθε οἱ δεόμενοι ἄρχοντας, καὶ ἑλόμενοι, ἥκετε εἰς τὸ μέσον τοῦ στρατοπέδου, καὶ τοὺς αἱρεθέντας ἄγετε. ἔπειτα ἐκεῖ συγκαλοῦμεν τοὺς ἄλλους στρατιώτας. παρέστω δ' ἡμῖν, ἔφη, καὶ τολμίδης ὁ κῆρυξ. καὶ ἅμα ταῦτα εἰπών, ἀνέστη, ὡς μὴ μέλλοιτο, ἀλλὰ περαίνοιτο τὰ δέοντα. ἐκ τούτου ᾑρέθησαν ἄρχοντες. ἀντὶ μὲν κλεάρχου, τιμασίων δαρδανεύς· ἀντὶ δὲ σωκράτους, ξανθικλῆς ἀχαιός· ἀντὶ δὲ ἀγίου, κλεάνωρ ἀρκάς· ἀντὶ δὲ μένωνος, φιλήσιος ἀχαιός· ἀντὶ δὲ προξένου, ξενοφῶν ἀθηναῖος. ἐπεὶ δὲ ᾕρηντο, ἡμέρα τε σχεδὸν ὑπέφαινε, καὶ εἰς τὸ μέσον ἧκον οἱ ἄρχοντες, ἔδοξεν αὐτοῖς προφυλακὰς καταστήσαντας, συγκαλεῖν τοὺς στρατιώτας. ἐπεὶ δὲ καὶ οἱ ἄλλοι στρατιῶται συνῆλθον, ἀνέστη πρῶτον μὲν χειρίσοφος ὁ λακεδαιμόνιος, καὶ ἔλεξεν ὧδε· ὦ ἄνδρες στρατιῶται, χαλεπὰ μὲν τὰ παρόντα, ὁπότε ἀνδρῶν στρατηγῶν τοιούτων στερόμεθα, καὶ λοχαγῶν

καὶ

Sin contrà, & ipsos uos paratos, & erectos in hostē esse, & ad alios incitandos acres animaduerterint, mihi credite, uos sequentur, ac ita se comparabunt, ut uestri quàm similum esse uideantur. Et profectò, uos æquum est (nisi quid fortasse me fallit) hos bellicis artibus longè anteire. Vos enim pratores, uos tribuni militares, uos centuriones estis: uos pacatis temporibus, pecunia, et honoribus abundatis. Vos itaq; & nunc in bello enin decet, omnibus ut laudibus multitudinē superetis. Vos prouidere, uos primi, si res 10 postulet, labores suscipere debetis. Ac primum omnium uehementer arbitror ad exercitum confirmandum pertinet, ut primo quoq; tempore prætores, ac cēturiones, in demortuorū locum subrogentur. Nihil enim omnino, si desint qui imperent, ulla in re bene ac præclare geri potest. Ac ne omnia persequar, nihil certe in re bellica profici potest, in qua & ordinis constantia rebus salutem, perniciē affert perturbatio. Vbi uero duces constitueritis, ipsos etiam si milites recensueritis, ac ad munia quenq; sua adhortati fueritis, nihil, opinor, á uobis opportunius fieri poßit. Nunc enim & 20 uos facile uidere potestis, quám segniter, quámq; diffidētes & ad ordines suos ueniant, et uigilias obeant. Quod si ad officium non redierint, non uideo cui uobis usui esse possint, quoties quid uel die, uel noctu geri oportuerit. Quòd si conuerso in melius animo, non tantum quid passuri, sed quid facturi sint, cogitarint, multo mehercule alacriores euadent. Id enim planè omnibus perspicuum est, non numero, aut corporum robore uictoriam comparari, sed utri in hostem, dis utiq; iuuantibus, animo firmiore impreßionē fecerint, eos esse quorum ille impetū sustinere nō poßit. Illud 30 etiam mihi in mentem uenire solet: qui quouis modo, ut uiuere liceat, ab hostibus impetrant, eos plerunque turpiter ac misere mori. Contrà uero, quicunq; moriendi omnibus communem ac necessariam legem esse, animo reputantes, neq; certamine, neq; periculo ullo proposito, honestā mortem deprecantur, eos ego ad senectutem peruenire uideo, & quoad uiuant, beatioris multò uitæ muneribus fungi. Qua nos opinione præditos (id enim temporum á nobis conditio exigit) & ipsos uirtutis laudem capessere, & ad eam cæteros expedit adhortari. Hunc in modum loquutus 40 Xenophon, dicendi finem fecit. Tum Chirisophus: Ego te Xenophon, inquit, antehac ex eo tantū noram, quod Atheniensem esse intellexeram: iam uerò, quod talem in dictis ac factis uirtutem præ te fers, te magnopere laudo, ac maximè uelim publici boni causa, quamplurimos tui similes reperiri. Ad eos deinde qui aderant conuersus: Adhuc, inquit, cū clamaris quin hinc digreßi, prætores, quibus opus est, deligite: ac quos delegeritis, in media castra eòdem producite, quò & milites accersamus: præsto autem nobis sit Tolmides caduceator. Atque hæc cum dixisset, ne quid ipse mo- 50 ra interponeret, quo minus quamcelerrime, quæ opus esset, exequeretur, statim surrexit. Suffecti in demortuorum locum, pro Clearcho Timasion Dardanensis, pro Socrate Xanticles Achæus, pro Agia Cleanor Arcas, pro Menone Philesius Achæus, Proxeno succeßit Xenophon Athenensis. Ac hi quidem duces cum renunciati essent, diluculo in medium omnes prodierunt, ac præsidijs circum castra dispositis, militibusque ad concionem uocatis, primus Chirisophus Lacedæmonius in hunc modum uerba fecit: Iniquißima nos milites in præsentia temporum conditio oppreßit, tot prætoribus, tot centurionibus, tot mi-

Quid pariat victoriam in bello.

Xenophon dux constituitur.

tot militibus orbatos: ad hæc ab Ariæo, qui ante societate nobiscum coniunctus fuerat, eiusq; copijs destitutos ac proditos. Nihil tamen nos aduersis rebus frangi, ac debilitari oportet: quin pristinæ uirtutis memores, eniti debemus, ut uel ex uictoria salutem consequamur: uel si aliter ceciderit, summa cum gloria occũbamus. Viuentes certe ne unquam in hostium potestatem ueniamus, à quibus quæ passuri essemus, di in ipsorum caput uertant. Post hunc Cleanor Orchomenius surrexit, atq; ita loquutus est: Videtis profectò milites, regis periuria, & impietatem: uidetis Tissaphernis perfidiam: qui, cum se Græciæ uicinum esse diceret, & idcirco nihil se malle, quàm sibi nos salutem acceptam referre, ipse iusiurandum concepit, ipse dexteram dedit, ipse deniq; in fraudem inductos, cum prætores cæteros, tum uerò Clearchum ipsum conuiuam suum, nihil Iouem hospitalem ueritus, per summum scelus perdidit. Nam quid de Ariæo dicam, quem nos ad regnum euehere uolumus? Is, credo, datam acceptamq; fidem, quantũ in se fuit, irritam fecit, ac nõ deos immortales, & Cyri manes, apud quem in summo fuit honore, contempsit. Idem ad hostes eius nomini infensissimos defecit, ac nos illius amicos ac socios, nunc maximis calamitatibus afficere conatur: sed hos di immortales ulciscantur. Nos uero hæc considerantes, & cauere oportet ne dolis amplius illudamur: & cum res postularit, quã fortissime pugnare: tum quicquid dis placitum fuerit, fortiter ac magno animo ferre. Vbi finem ille dicendi fecit, surrexit Xenophon quàm potuit splendidissime ad pugnã ornatus: nam si uictoriam cõsequerentur, uictori honestissimum ornatum conuenire: sin mori necesse esset, elegantissimum esse putabat, pro sua quenq; dignitate ornatũ occidere. Sic autem exorsus est: Barbarorũ periuria, atq; omnem perfidiam, & Cleanor antè uobis exposuit, & uosipsi satis, opinor, nostis. Nunc si rursus nobis eorum amicitia utendũ statuimus, magnam certe animi demissionem profiteamur necesse est, cum, qui se eorum fidei tradiderunt, prætores quid passi sint, non ignoremus. Sin eorum iniurias armis uindicare, & in posterum dis approbantib. aperto eos bello persequi in animo habemus, multa nobis pulcherrimam salutis spẽ pollicentur. Interea dum hæc ille diceret, de concione sternuit nescio quis: quo omine accepto, cuncti milites deum abiecti ad terrã uenerati sunt. Tum Xenophon è re nata: Quoniam uiri fortissimi, dum uerba de salute facimus, nobis à Ioue salutari omen extitit, eidem deo uotũ nuncupandum pro communi salute censeo: quod tum sacris rite susceptis persoluemus, cum primum pacatam terram attigerimus. Atqui & dis cæteris uota facienda sunt, quibus eodem tempore sacrificiũ pro copijs nostris faciamus. Quare cui idem uidetur, manum tollat: ac manũ quidem cuncti sustulerunt, uotoq; nuncupato pæanem cuncti cum plausu cecinerunt. His quæ ad deorũ cultum pertinebant, ita institutis, ad id unde digressus fuerat Xenophon, rediit. Multa, inquit, ut paulo ante cœperã dicere, pulcherrimam salutis spem nobis pollicẽtur. Primùm enim deorum fidem ratam habuimus: at hostes et iurisiurandi, & fœderis religionem omnem uiolarunt. Hæc cum ita sint, & hostibus deos infensos, & nobis propitios futuros consentaneũ est. Atqui illi ipsi di, & secunda elatos fortuna quamcelerrime, cum uelint, euertere, & abiectos cum maxime rebus aduersis conflictantur, excitare facile possunt. Deinde uero maiorum nostrorum pericula uobis in memoriam redigam,

ut

καὶ στρατιωτῶν. πρὸς δ' ἔτι καὶ οἱ ἀμφὶ Ἀριαῖον, οἱ πρόσθεν σύμμαχοι ὄντες, προδεδώκασιν ἡμᾶς. ὅμως δὲ δεῖ ἐκ τῶν παρόντων ἄνδρας ἀγαθοὺς τελέθειν, καὶ μὴ ὑφίεσθαι, ἀλλὰ πειρᾶσθαι, ὅπως ἂν μὲν δυνώμεθα, καλῶς νικῶντες σωζώμεθα. εἰ δὲ μή, ἀλλὰ καλῶς γε ἀποθνήσκωμεν. ὑποχείριοι δὲ μή ποτε γενώμεθα ζῶντες τοῖς πολεμίοις. οἶμαι γὰρ ἂν ἡμᾶς τοιαῦτα παθεῖν, οἷα τοὺς ἐχθροὺς οἱ θεοὶ ποιήσειαν. ἐπὶ τούτῳ Κλεάνωρ Ἐρχομένιος ἀνέστη, καὶ ἔλεξεν ὧδε· ἀλλ' ὁρᾶτε μέν, ὦ ἄνδρες, τὴν βασιλέως ἐπιορκίαν καὶ ἀσέβειαν· ὁρᾶτε δὲ τὴν Τισσαφέρνους ἀπιστίαν, ὅστις λέγων, ὡς γείτων τε εἴη τῆς Ἑλλάδος, καὶ περὶ πλείστου ἂν ποιήσαιτο σῶσαι ἡμᾶς, καὶ ἐπὶ τούτοις αὐτὸς ὀμόσας ἡμῖν, αὐτὸς δεξιὰς δούς, αὐτὸς ἐξαπατήσας συνέλαβε τοὺς στρατηγούς, καὶ οὐδὲ Δία ξένιον ᾐδέσθη, ἀλλὰ Κλεάρχῳ καὶ ὁμοτράπεζος γενόμενος, αὐτοῖς τούτοις ἐξαπατήσας τοὺς ἄνδρας, ἀπολώλεκεν. Ἀριαῖος δέ, ὃν ἡμεῖς ἠθέλομεν βασιλέα καθιστάναι, καὶ ἐδώκαμεν καὶ ἐλάβομεν πιστά, μὴ προδώσειν ἀλλήλους, καὶ οὗτος οὔτε τοὺς θεοὺς δείσας, οὔτε Κῦρον τὸν τεθνηκότα αἰδεσθείς, τιμώμενος μάλιστα ὑπὸ Κύρου ζῶντος, νῦν πρὸς τοὺς ἐκείνου ἐχθίστους ἀποστάς, ἡμᾶς τοὺς Κύρου φίλους κακῶς ποιεῖν πειρᾶται. ἀλλὰ τούτους μὲν οἱ θεοὶ ἀποτίσαιντο. ἡμᾶς δὲ δεῖ ταῦτα ὁρῶντας, μήποτε ἐξαπατηθῆναι ἔτι ὑπὸ τούτων, ἀλλὰ μαχομένους ὡς ἂν δυνώμεθα κράτιστα τοῦθ' ὅ, τι ἂν δοκῇ θεοῖς πάσχειν. ἐκ τούτου Ξενοφῶν ἀνίσταται ἐσταλμένος εἰς πόλεμον ὡς ἐδύνατο κάλλιστα, νομίζων, εἴτε νίκην διδοῖεν οἱ θεοί, τὸν κάλλιστον κόσμον τῷ νικᾶν πρέπειν, εἴτε τελευτᾶν δέοι, ὀρθῶς ἔχειν, τῶν καλλίστων ἑαυτὸν ἀξιώσαντα, ἐν τούτοις τῆς τελευτῆς τυγχάνειν. τοῦ δὲ λόγου ἤρχετο ὧδε· τὴν μὲν τῶν βαρβάρων ἐπιορκίαν τε καὶ ἀπιστίαν λέγει μὲν Κλεάνωρ, ἐπίστασθε δὲ οἶμαι καὶ ὑμεῖς. εἰ μὲν οὖν βουλευόμεθα πάλιν αὐτοῖς διὰ φιλίας ἰέναι, ἀνάγκη ἡμᾶς πολλὴν ἀθυμίαν ἔχειν, ὁρῶντας τοὺς στρατηγούς, οἳ διὰ πίστεως αὐτοῖς ἑαυτοὺς ἐνεχείρισαν, οἷα πεπόνθασιν. εἰ μέντοι διανοούμεθα σὺν τοῖς ὅπλοις ὧν τε πεποιήκασι, δίκην ἐπιθεῖναι αὐτοῖς, καὶ τὸ λοιπὸν διὰ παντὸς πολέμου αὐτοῖς ἰέναι σὺν τοῖς θεοῖς, πολλαὶ ἡμῖν καὶ καλαὶ ἐλπίδες εἰσὶ σωτηρίας. τοῦτο δὲ λέγοντος αὐτοῦ, πτάρνυταί τις. ἀκούσαντες δὲ οἱ στρατιῶται πάντες, μιᾷ ὁρμῇ προσεκύνησαν τὸν θεόν. καὶ Ξενοφῶν εἶπε· δοκεῖ μοι, ὦ ἄνδρες, ἐπεὶ περὶ σωτηρίας ἡμῶν λεγόντων, οἰωνὸς τοῦ Διὸς τοῦ σωτῆρος ἐφάνη, εὔξασθαι τῷ θεῷ τούτῳ θύσειν σωτήρια, ὅπου ἂν πρῶτον εἰς φιλίαν χώραν ἀφικώμεθα. συνεπεύξασθαι δὲ καὶ τοῖς ἄλλοις θεοῖς, θύσειν κατὰ δύναμιν. καὶ ὅτῳ δοκεῖ ταῦτ', ἔφη, ἀνατεινάτω τὴν χεῖρα. καὶ ἀνέτειναν ἅπαντες. ἐκ τούτου εὔξαντο καὶ ἐπαιάνισαν. ἐπεὶ δὲ τὰ τῶν θεῶν καλῶς εἶχεν, ἤρχετο πάλιν ὧδε· ἐτύγχανον λέγων, ὅτι πολλαὶ καὶ καλαὶ ἐλπίδες ἡμῖν εἶεν σωτηρίας. πρῶτον μὲν γὰρ ἡμεῖς μὲν ἐμπεδοῦμεν τοὺς τῶν θεῶν ὅρκους. οἱ δὲ πολέμιοι ἐπιωρκήκασί τε, καὶ τὰς σπονδὰς καὶ τοὺς ὅρκους λελύκασιν. οὕτω δ' ἐχόντων, εἰκὸς τοῖς μὲν πολεμίοις ἐναντίους εἶναι τοὺς θεούς, ἡμῖν δὲ συμμάχους. οἵπερ ἱκανοί εἰσι, καὶ τοὺς μεγάλους ταχὺ μικροὺς ποιεῖν, καὶ τοὺς μικρούς, κἂν ἐν δεινοῖς ὦσι, σώζειν εὐπετῶς, ὅταν βούλωνται. ἔπειτα δέ, ἀναμνήσω γὰρ ὑμᾶς καὶ τοὺς τῶν προγόνων τῶν ὑμετέρων κινδύνους,

ἵν'

ἵν' εἰδῆτε, ὡς ἀγαθοῖς τε ὑμῖν προσήκει εἶναι, σώζονταί
τε σὺν τοῖς θεοῖς καὶ ἐκ πάνυ δεινῶν οἱ ἀγαθοί. ἐλθόν-
των μὲν γὰρ περσῶν καὶ τῶν σὺν αὐτοῖς παμπληθεῖ στό-
λῳ, ὡς ἀφανιούντων τὰς ἀθήνας, ὑποστῆναι αὐτοῖς ἀ-
θηναῖοι τολμήσαντες, ἐνίκησαν αὐτούς. καὶ εὐξάμενοι τῇ
ἀρτέμιδι, ὁπόσους ἂν κατακάνοιεν τῶν πολεμίων, το-
σαύτας χιμαίρας καταθύσειν τῇ θεῷ. ἐπεὶ οὐκ εἶχον ἱκα-
νὰς εὑρεῖν, ἔδοξεν αὐτοῖς κατ' ἐνιαυτὸν πεντακοσίας
θύειν. καὶ ἔτι καὶ νῦν ἀποθύουσιν. ἔπειτα ὅτε ξέρξης ὕστε-
ρον ἀγείρας τὴν ἀναρίθμητον στρατιὰν ἦλθεν ἐπὶ τὴν
ἑλλάδα, καὶ τότε ἐνίκων οἱ ἡμέτεροι πρόγονοι τοὺς τούτων
προγόνους, καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. ὧν ἔστι μὲν τεκ-
μήρια ὁρᾶν τὰ τρόπαια, μέγιστον δὲ μαρτύριον, ἡ ἐλευ-
θερία τῶν πόλεων, ἐν αἷς ὑμεῖς ἐγένεσθε καὶ ἐτράφητε.
οὐδένα γὰρ ἄνθρωπον δεσπότην, ἀλλὰ τοὺς θεοὺς προσ-
κυνεῖτε. τοιούτων μέν ἐστε προγόνων. οὐ μὲν δὴ τοῦτό γε
ἐρῶ, ὡς ὑμεῖς καταισχύνετε αὐτούς, ἀλλ' οὔπω πολλαὶ ἡμέ-
ραι, ἀφ' οὗ ἀντιταξάμενοι τούτοις τοῖς ἐκείνων ἐκγόνοις,
πολλαπλασίους ὑμῶν αὐτῶν ἐνικᾶτε σὺν τοῖς θεοῖς. καὶ
τότε μὲν δὴ περὶ τῆς κύρου βασιλείας, ἄνδρες ἦτε ἀγα-
θοί. νῦν δ' ὁπότε περὶ τῆς ὑμετέρας σωτηρίας ὁ ἀγών ἐ-
στι, πολὺ δή που ὑμᾶς προσήκει, καὶ ἀμείνονας καὶ προθυ-
μοτέρους εἶναι. ἀλλὰ μὴν καὶ θαρραλεωτέρους νῦν πρέ-
πει εἶναι πρὸς τοὺς πολεμίους. τότε μὲν γὰρ ἄπειροι ὄν-
τες αὐτῶν, τό, τε πλῆθος ἄμετρον ὁρῶντες, ὅμως ἐτολ-
μήσατε σὺν τῷ πατρίῳ φρονήματι ἰέναι εἰς αὐτούς. νῦν
δ' ὁπότε καὶ πεῖραν ἤδη ἔχετε αὐτῶν, ὅτι θέλουσι καὶ
πολλαπλάσιοι ὄντες μὴ δέχεσθαι ὑμᾶς, τί ὑμῖν ἔτι
προσήκει τούτους φοβεῖσθαι; μὴ δὲ μέντοι τοῦτο μεῖον δό-
ξητε ἔχειν, εἰ οἱ κύρειοι, πρόσθεν σὺν ὑμῖν ταττόμενοι,
νῦν ἀφεστήκασιν. ἔτι γὰρ οὗτοι κακίονές εἰσι τῶν ὑφ' ἡμῶν
ἡττημένων. ἔφυγον οὖν πρὸς ἐκείνους καταλιπόντες
ἡμᾶς. τοὺς δ' ἐθέλοντας φυγῆς ἄρχειν, πολὺ κρεῖττον σὺν
τοῖς πολεμίοις ταττομένους, ἢ ἐν τῇ ἡμετέρᾳ τάξει ὁρᾶν.
εἰ δέ τις αὖ ὑμῶν ἀθυμεῖ, ὅτι ἡμῖν μὲν οὐκ εἰσὶν ἱππεῖς,
τοῖς δὲ πολεμίοις πολλοὶ πάρεισιν, ἐνθυμήθητε, ὅτι
οἱ μύριοι ἱππεῖς, οὐδὲν ἄλλο ἢ μύριοι ἄνθρωποί εἰσιν.
ὑπὸ μὲν γὰρ ἵππου ἐν μάχῃ, οὐδεὶς πώποτε οὔτε
δηχθεὶς, οὔτε λακτισθεὶς ἀπέθανεν. οἱ δ' ἄνδρες εἰσίν,
οἱ ποιοῦντες ὅ, τι ἂν ἐν ταῖς μάχαις γίγνηται. οὐκοῦν τῶν
γε ἱππέων πολὺ ἡμεῖς ἐπ' ἀσφαλεστέρου ὀχήματός ἐσ-
μέν. οἱ μὲν γὰρ ἐφ' ἵππων κρέμανται φοβούμενοι οὐχ
ἡμᾶς μόνον, ἀλλὰ καὶ τὸ καταπεσεῖν. ἡμεῖς δ' ἐπὶ τῆς γῆς
βεβηκότες, πολὺ μὲν ἰσχυρότερον παίσομεν ἤν τις προσίῃ,
πολὺ δ' ἔτι μᾶλλον ὅτου ἂν ἐθέλωμεν τευξόμεθα. ἑνὶ
μόνῳ προέχουσιν ἡμᾶς οἱ ἱππεῖς, φεύγειν αὐτοῖς ἀσφα-
λέστερόν ἐστιν, ἢ ἡμῖν. εἰ δὲ δὴ τὰς μὲν μάχας θαρρεῖτε,
ὅτι δ' οὐκέτι ἡμῖν τισσαφέρνης ἡγήσεται, οὐδὲ βασι-
λεὺς ἀγορὰν παρέξει, τοῦτο ἄχθεσθε, σκέψασθε, πότερον
κρεῖττον, τισσαφέρνην ἡγεμόνα ἔχειν, ὃς ἐπιβουλεύων
ἡμῖν φανερός ἐστιν, ἢ οὓς ἂν ἡμεῖς ἄνδρας λαβόντες, ἡ-
γεῖσθαι κελεύομεν, οἳ εἴσονται, ὅτι ἤν τι περὶ ἡμᾶς ἁ-
μαρτάνωσι, περὶ τὰς ἑαυτῶν ψυχὰς, καὶ τὰ σώματα
ἁμαρτάνουσι. τὰ δ' ἐπιτήδεια, πότερον ὠνεῖσθαι κρεῖτ-
τον ἐκ τῆς ἀγορᾶς ἧς οὗτοι παρεῖχον μικρὰ μέτρα πολλοῦ
ἀργυρίου, μὴ δὲ τοῦτο ἔτι ἔχοντας αὐτοὺς λαμβάνειν,
ἢ ἤν περ

ut intelligatis quales uos, quáue in rebus aduersis uirtute esse oporteat, præsertim CVM DEORVM OPE ADIVTA uirtus, ab iniquißimis plerunque & difficilimis temporibus homines uindicare consueuerit. Cùm Persæ cum ingentibus copijs, ut Athenas delerent, in fines nostros inuasissent, animi magnitudine hosti sibi resistendum Athenienses putarunt, ac eos quidem uicerunt. Quo tempore cum Dianæ uotum fecissent, tot illi se capras immolaturos, quot hostes occidissent, ac totidem uictimas ex toto agro comparare non potuissent, quotannis D. mactare decreuerunt, quas ætate etiam nostra quotannis mactant. Postea uero cum Xerxes infinitis prope copijs comparatis, in Græciam traiecisset, maiores nostri horum hostium maiores terra marique uicerunt. Cuius quidem uictoriæ & tropheæ multa monumento sunt, & earum ciuitatum, in quibus nati & educati estis, libertas: in quibus deos tantum, ex hominibus uero neminem domini loco habetis. Et ab his uos estis maioribus, à quibus tamen neutiquam uos dixerim degenerasse. Neque enim ita multi dies præterierunt, ex quo uos acie cum illorum posteris congreßi, dijs iuuantibus, eorum copias tanto uestris maiores fudistis: ac illud quidem pro Cyri regno suscepto certamine, uirtutis uestræ documentum dedistis. Nunc uero cum uestra ipsorum salus agatur, multo uos meliores, & in hostem alacriores esse par est. Nam si ante cum quales illi in prælio essent, plane ignoraretis, patrio animi elatione freti, nihil dubitastis cum tam magno eorum numero collatis signis congredi: quid nunc cum periculum feceritis, eos, quamuis tam multis partibus uos numero superarent, uestrum tamen impetum sustinere nequisse? quid, inquam, absurdius quam si eos nunc pertimescatis? Neque uero nunc res uestras iniquiore loco putare debetis, quod à uobis hi defecerint, qui uiuente Cyro nobiscum unà prælium inierunt. Illi enim multo sunt ijs quos uicimus ignauiores: quare nihil mirandum, si à nobis desciscentes, ad illos confugerunt. Quin illud optandum, ut qui ad fugam spectent, in hostili potius acie, quàm in nostra uersentur. Quod si quem illud diffidentiorem reddit, quod equitatum nos nullum, hostes uero maximum habeant: is consideret uelim, decem equitum M. nihil esse plus, quàm hominum X. M. Neque enim in prælio quisquam equi morsu, uel calcibus unquam confectus est. Viri sunt, mihi credite, uiri, quorum opera in pugna geruntur omnia: ac nos quidem uehiculo multo utimur, quàm equites tutiore. Illi enim equis subnixi, & nos unà timent, & simul ab illis ne excutiantur. At nos pedibus uadentes, & ferimus cominus uehementius, & certius ijdem eminus iaculamur. Vna equites re præstant, quod in fuga certius est illis subsidium. Verùm ad pugnam fortasse uestrùm quisque paratißimus est. Sed illud scilicet solicitudinis multum affert, quod neque Tissapherne duce amplius utemini, neque annonam nobis rex præstaturus est. Hic illud considerate, Tissaphernem ducem habere satiusne sit, à quo nobis insidias factas nihil possumus dubitare: an uero eos quos ipsi duces delegerimus? qui si quid deliquerint, non nobis magis, quàm uitæ, capitique suo male consuluerint. Nam quod ad cibaria, ac quæ usui sunt reliqua pertinet, malléne debeamus ex foro precario sumere, parua admodum mensura, ac minime tolerabili precio: an ue-

Votũ Atheniensiũ.

an uero arbitratu nostro, qua mēsura, ac quanti ipsemet sta
tuerimus, si uictoriā scilicet adipiscamur? Atenim in his non
est fortasse difficile, utrū uobis magis cōducat dijudicare.
Sed flumina uos terrēt, in quib. traijciendis ne uada uos fal
lant ueremini: in quo ipso q̄ stulte barbari fecerint, perspice-
re potestis: * omnia enim flumina, quæ procul à fontib. suis
pleniora sunt, eadē circa fontes nō hercule sunt altiora, q̄ ut
genua traijcientiū alluant. Sed esto, obstent nobis flumina,
neq; duces nāciscamur, nō tamen idcirco animū despōdere
debemus. Videmus Mysos, illos quidem nihilo armis melio
res q̄ nos simus, in regis finibus eo inuito, multas easq; ma-
gnas & opulentas urbes incolere. Eodemq; modo Pisidas,
Lycaonas etiam scimus, occupatis camporū munimētis im-
pune, ex eiusdem regis agro sibi uictū quærere. Et haud scio
an simus multò rationib. nostris melius consulturi, si reditu
in patriā dissimulato, ad manendum parati uideamur: nihil
enim dubito, quin si Mysi discedere uelint, rex facile addu-
ci possit, ut multos ducibus, multis item obsidibus datis, tutā
profectionē præstet: ac si id postulent, quadrigas etiā ad iter
conficiendū præbeat. Quibus in rebus & nobis illum obse-
quuturū scio, ac supra quàm facilè dici possit, libēter, si nos
ad permanendū paratos uideat. Sedenim illud nonnihil ti-
meo, ne ipsa ocij consuetudine, et cum rerū omniū copia, tū
forma & corporis magnitudine, qua Medorum & Persa-
rū uxores ac uirgines præstāt, cū illis familiariores esse cœ
perimus, deliniti, ueluti qui ad Lotophagos diuerterint, de
reditu in patriā nihil laboremus. Atqui æquū & iustū esse
duco, ut ad suos quisq; redeat: ac ibi Græcis ostendamus, ip
sorum culpa fieri quod inopes sint, quibus liceat miserā et
egentem multitudinē, qua ciuitates refertæ sunt, huc dedu-
cere, ubi tenuissimū quenq; quamfacillime ac celerrime locu
pletē fieri uisuri essent. Sed hæc omnia uiri fortissimi bona,
in eorū qui uicerint potestate sunt. Illud nunc consilium in
eundum, ut uel quamtutissime discedamus, uel si pugnandū
sit, quamæquissima conditione pugnemus. Ac primū plau-
stra omnia cremanda censeo, ne sarcinaria uehicula nobis
quodāmodo imperēt, impediātq; quo minus quocunq; exer
citui expediat, accedere possimus. Deinde ipsa etiā tētoria:
ea.n. retardant nos plurimū: nihil uero neq; ad pugnā, neq;
ad cōmeatus cōparandos iuuant. Ad hæc, superuacanea ua
sa omnia reijcienda, neq; aliud quicquā retinēdum, q̄ quod
aut ad belli, aut ad cibi potusq; usum pertineat: atq; id ob
eam maxime causam, ut in armis expediti quāplurimi sint,
ac quāpaucissimi nobis sint lixæ & huiusmodi operæ alen
dæ: neq; enim ignoramus uictores eorū etiam potiri, quæ in
alterius mancipio sunt. Quare ubi uicerimus, ipsi nobis ho
stes pro lixis erunt. Vnū illud mihi ad dicendū restat. quod
maximi momenti esse arbitror. Videtis hostes non ante bel
lo nos lacessere ausos esse, quàm prætores nostros compre
henderint: quippe qui omni ex bello superiores nos discessu
ros putarūt, quantisper & essent qui nobis imperarent, &
nos imperantib. pareremus. At si ducib. uos orbassent, sub-
lata imperandi autoritate, atq; omni ordinis tuendi discipli
na, nos procul dubio perituros existimarūt. Quamobrē et præ
tores qui nuper renūciati sunt, multo oportet attētiores esse,
et milites in suis ordinib cōseruandis diligētiores, ac multo
q̄ adhuc, magis dicto audiētes. Quod si quis ab officio di-
scesserit, statuite uestris sentētijs, ut de eo cuiuis uestrum, cū
res ipsa tulerit, una cum præfecto liceat pœnas sumere. Hoc
.n. maximè modo se sua opinione deceptos hostes intelligēt,
cum

ἢ ἐκεῖνον κρατοῦμεν, μέτρῳ χρωμένους, ὁπόσῳ ἂν ἕκα-
στος βούληται. εἰ δὲ ταῦτα μὲν γιγνώσκετε, ὅτι οὕτω
κρεῖττον, τοὺς δὲ ποταμοὺς ἄπορον νομίζετε εἶναι, καὶ μεγά-
λως ἡγεῖσθε ἐξαπατηθῆναι διαβάντες, σκέψασθε εἰ ἄ-
ρα τοῦτο καὶ μωρότατον πεποιήκασιν οἱ βάρβαροι. πάν-
τες μὲν γὰρ οἱ ποταμοὶ, ἢν πρόσω τῶν πηγῶν ἄποροι ὦσι,
προϊοῦσι πρὸς τὰς πηγὰς, διαβατοὶ γίγνονται, οὐδὲ τὸ γό-
νυ βρέχοντες. εἰ δὲ μήθ' οἱ ποταμοὶ διήσουσιν, ἡγεμών
τε μηδεὶς φανεῖται, οὐδ' ὣς ἡμῖν γε ἀθυμητέον. ἐπιστά-
μεθα γὰρ μυσοὺς, οὓς οὐκ ἂν ἡμῶν φαίημεν βελτίους εἶναι,
οἳ βασιλέως ἄκοντος, ἐν τῇ βασιλέως χώρᾳ, πολλάς τε
καὶ μεγάλας καὶ εὐδαίμονας πόλεις οἰκοῦσιν. ἐπιστάμεθα
δὲ πισίδας ὡσαύτως. λυκάονας δὲ καὶ αὐτοὶ εἴδομεν,
ὅτι ἐν τοῖς πεδίοις τὰ ἐρυμνὰ καταλαβόντες, τὴν τούτων
χώραν καρποῦνται. καὶ ἡμᾶς δ' ἂν, ἔφην, ἔγωγε χρῆναι,
μήπω φανεροὺς εἶναι οἴκαδε ὡρμημένους, ἀλλὰ κατασκευ-
άζεσθαι, ὡς αὐτοῦ που οἰκήσοντας. οἶδα γὰρ ὅτι καὶ μυσοῖς
βασιλεὺς, πολλοὺς μὲν ἡγεμόνας ἂν δοίη, πολλοὺς δ' ἂν
ὁμήρους τοῦ ἀδόλως ἐκπέμψειν. καὶ ὁδοποιήσειέ γ' ἂν αὐ-
τοῖς, καὶ εἰ σὺν τεθρίπποις βούλοιντο ἀπιέναι. καὶ ἡμῖν γ'
ἂν οἶδ' ὅτι τρισάσμενος ταῦτα ἐποίει, εἰ ἑώρα ἡμᾶς
μένειν παρασκευαζομένους. ἀλλὰ γὰρ δέδοικα, μὴ ἂν
ἅπαξ μάθωμεν ἀργοὶ ζῆν καὶ ἐν ἀφθόνοις βιοτεύειν. καὶ
μήδων δὲ καὶ περσῶν καλαῖς καὶ μεγάλαις γυναιξὶ καὶ
παρθένοις ὁμιλεῖν, μὴ ὥσπερ οἱ λωτοφάγοι ἐπιλαθώμε-
θα τῆς οἴκαδε ὁδοῦ. δοκεῖ οὖν μοι εἰκὸς καὶ δίκαιον εἶναι,
πρῶτον εἰς τὴν ἑλλάδα καὶ πρὸς τοὺς οἰκείους πειρᾶσθαι ἀ-
φικνεῖσθαι, καὶ ἐπιδεῖξαι τοῖς ἕλλησιν, ὅτι ἑκόντες πένον-
ται, ἐξὸν αὐτοῖς, τοὺς νῦν οἴκοι ἀκλήρους πολιτεύοντας
ἐνθάδε κομισαμένους πλουσίους ὁρᾷν. ἀλλὰ γὰρ, ὦ ἄν-
δρες, πάντα ταῦτ' ἀγαθὰ δῆλον ὅτι τῶν κρατούντων
ἐστί. τοῦτο δὴ δεῖ λέγειν, πῶς ἂν πορευοίμεθά τε ὡς ἀσφα-
λέστατα, καὶ εἰ μάχεσθαι δέοι, ὡς κράτιστα μαχοίμεθα.
πρῶτα μὲν τοίνυν, ἔφη, δοκεῖ μοι κατακαῦσαι τὰς ἁμά-
ξας ἃς ἔχομεν, ἵνα μὴ τὰ ζεύγη ἡμῶν στρατηγῇ. ἀλλὰ πο-
ρευοίμεθα, ὅποι ἂν τῇ στρατιᾷ συμφέρῃ. ἔπειτα καὶ τὰς
σκηνὰς συγκατακαῦσαι. αὗται γὰρ αὖ ὄχλον μὲν παρέ-
χουσιν ἄγειν, συνωφελοῦσι δ' οὐδὲν, οὔτε εἰς τὸ μάχεσθαι,
οὔτ' εἰς τὸ τὰ ἐπιτήδεια ἔχειν. ἔτι δὲ τῶν ἄλλων σκευ-
ῶν τὰ περιττὰ ἀπαλλάξωμεν, πλὴν ὅσα πολέμου ἕνεκεν
ἢ σιτῶν ἢ ποτῶν ἔχομεν, ἵν' ὡς πλεῖστοι μὲν ἡμῶν ἐν τοῖς
ὅπλοις ὦσιν, ὡς ἐλάχιστοι δὲ σκευοφορῶσι. κρατουμένων
μὲν γὰρ ἐπίστασθε, ὅτι πάντα ἀλλότρια. ἢν δὲ κρατῶμεν,
καὶ τοὺς πολεμίους δεῖ σκευοφόρους ἡμετέρους νομίζειν. λοι-
πόν μοι εἰπεῖν, ὅπερ καὶ μέγιστον νομίζω εἶναι. ὁρᾶτε γὰρ καὶ
τοὺς πολεμίους, ὅτι οὐ πρόσθεν ἐξενεγκεῖν ἐτόλμησαν
πρὸς ἡμᾶς πόλεμον, πρὶν τοὺς στρατηγοὺς ἡμῶν συνέλα-
βον, νομίζοντες, ὄντων μὲν τῶν ἀρχόντων καὶ ἡμῶν πει-
θομένων, ἱκανοὺς εἶναι ἡμᾶς περιγενέσθαι τῷ πολέμῳ. λα-
βόντες δὲ τοὺς ἄρχοντας, ἀναρχίᾳ καὶ ἀταξίᾳ, ἐνόμιζον
ἡμᾶς ἀπολέσθαι. δεῖ οὖν πολὺ μὲν τοὺς ἄρχοντας ἐπιμελε-
στέρους γενέσθαι, τοὺς νῦν τῶν πρόσθεν. πολὺ δὲ τοὺς ἀρ-
χομένους εὐτακτοτέρους, καὶ πειθομένους μᾶλλον τοῖς
ἄρχουσι νῦν, ἢ καὶ πρόσθεν. ἢν δέ τις ἀπειθῇ, ψηφίση-
σθε τὸν ἀεὶ ὑμῶν ἐντυγχάνοντα, σὺν τῷ ἄρχοντι κολά-
ζειν. οὕτως οἱ πολέμιοι, πλεῖστον ἐψευσμένοι ἔσονται.
τῇ

τῇδε γὰρ ἡμέρᾳ μυρίους ὄψονται ἀνθ' ἑνὸς κλεάρχους, οὐδὲ ὀλίγοι ἐπιτρέψοντας κακοῖς εἶναι. ἀλλὰ γὰρ καὶ περαίνειν ἤδη ὥρα. ἴσως γὰρ οἱ πολέμιοι αὐτίκα παρέσονται. ὅτι μὲν οὖν τούτων δοκεῖ καλῶς ἔχειν, ἐπικυρώσατε ὡς τάχιστα, ἵν' ἔργῳ περαίνηται. εἰ δέ τις τι οἶδε τῶν ἄλλων βέλτιον, ἢ ταύτῃ, τολμάτω καὶ ὁ ἰδιώτης διδάσκειν. πάντων γὰρ κοινῆς σωτηρίας δεόμεθα. μετὰ δὲ ταῦτα χειρίσοφος εἶπεν· ἀλλ' εἰ μέν τινος ἄλλου δεῖ πρὸς τούτοις οἷς λέγει ξενοφῶν, καὶ αὐτίκα ἐξέσται ποιεῖν. ἃ δὲ νῦν εἴρηκε, δοκεῖ μοι ὡς τάχιστα ψηφίσασθαι ἄριστον εἶναι. καὶ ὅτῳ δοκεῖ ταῦτα, ἀνατεινάτω τὴν χεῖρα. ἀνέτειναν ἅπαντες. ἀναστὰς δὲ πάλιν, εἶπε ξενοφῶν· ὦ ἄνδρες, ἀκούσατε, ὧν προσδοκᾶν δοκεῖ μοι. δῆλον ὅτι, πορεύεσθαι ἡμᾶς δεῖ, ὅπου ἕξομεν τὰ ἐπιτήδεια. ἀκούω δὲ κώμας εἶναι καλὰς, οὐ πλεῖον εἴκοσι σταδίων ἀπεχούσας. οὐκ ἂν οὖν θαυμάζοιμι, εἰ οἱ πολέμιοι ὥσπερ οἱ δειλοὶ κύνες, τοὺς μὲν παριόντας διώκουσί τε καὶ δάκνουσιν ἢν δύνωνται, τοὺς δὲ διώκοντας φεύγουσιν, εἰ καὶ οὗτοι ἡμῖν ἀπιοῦσιν, ἐπακολουθοῖεν. ἴσως οὖν ἀσφαλέστερον ἡμῖν πορεύεσθαι, πλαίσιον ποιησαμένους τῶν ὅπλων, ἵνα τὰ σκευοφόρα καὶ ὁ πολὺς ὄχλος, ἐν ἀσφαλεστέρῳ ᾖ. εἰ οὖν ἀποδειχθείη, τίνα χρὴ ἡγεῖσθαι τοῦ πλαισίου, καὶ τὰ πρόσθεν κοσμεῖν, καὶ τίνας ἐπὶ τῶν πλευρῶν ἑκατέρων εἶναι, καὶ τίνας ὀπισθοφυλακεῖν, οὐκ ἂν ὁπότε οἱ πολέμιοι ἔλθοιεν βουλεύεσθαι ἡμᾶς δέοι. ἀλλὰ χρώμεθ' ἂν εὐθὺς τοῖς τεταγμένοις. εἰ μὲν οὖν ἄλλος τις βέλτιον ὁρᾷ, ἄλλως ἐχέτω· εἰ δὲ μὴ, χειρίσοφος μὲν ἡγεῖτο, ἐπειδὴ καὶ λακεδαιμόνιός ἐστι. τῶν δὲ πλευρῶν ἑκατέρων δύο τῶν πρεσβυτάτων στρατηγοὶ ἐπιμελείσθων. ὀπισθοφυλακῶμεν δὲ ἡμεῖς οἱ νεώτατοι, ἐγώ τε καὶ τιμασίων τὸ νῦν εἶναι. τὸ δὲ λοιπὸν πειρώμενοι ταύτης τῆς τάξεως, βουλευσόμεθα ὅ τι ἂν ἀεὶ κράτιστον εἶναι δοκοίη. εἰ δέ τις ἄλλο βέλτιον ὁρᾷ, λεξάτω. ἐπεὶ δὲ οὐδεὶς ἀντέλεγεν, εἶπεν· ὅτῳ δοκεῖ ταῦτα, ἀνατεινάτω τὴν χεῖρα. ἔδοξε ταῦτα. νῦν, ἔφη, ἀπιόντας ποιεῖν δεῖ τὰ δεδογμένα. καὶ ὅστις τε ὑμῶν τοὺς οἰκείους ἐπιθυμεῖ ἰδεῖν, μεμνήσθω ἀνὴρ ἀγαθὸς εἶναι. οὐ γὰρ ἔστιν ἄλλως τούτου τυχεῖν. ὅστις τε ζῆν ἐπιθυμεῖ, πειράσθω νικᾶν. τῶν μὲν γὰρ νικώντων τὸ κατακαίνειν· τῶν δὲ ἡττωμένων τὸ ἀποθνήσκειν ἐστί. καὶ εἴ τις γε χρημάτων ἐπιθυμεῖ, κρατεῖν πειράσθω. τῶν γὰρ νικώντων ἐστὶ καὶ τὰ ἑαυτῶν σώζειν, καὶ τὰ τῶν ἡττωμένων λαμβάνειν. τούτων λεχθέντων ἀνέστησαν. καὶ ἀπελθόντες, κατέκαιον τάς ἁμάξας καὶ τὰς σκηνάς. τῶν δὲ περιττῶν, ὅτου μὲν δέοιτό τις, μετεδίδοσαν ἀλλήλοις. τὰ δὲ ἄλλα εἰς τὸ πῦρ ἐρρίπτουν. ταῦτα ποιοῦντες, ἠριστοποιοῦντο. ἀριστοποιουμένων δὲ αὐτῶν, ἔρχεται μιθριδάτης σὺν ἱππεῦσιν ὡς τριάκοντα, καὶ καλεσάμενος τοὺς στρατηγοὺς εἰς ἐπήκοον, λέγει ὧδε· ἐγὼ, ὦ ἄνδρες ἕλληνες, καὶ κύρῳ πιστὸς ἦν, ὡς ὑμεῖς ἐπίστασθε, καὶ νῦν ὑμῖν εὔνους, καὶ ἐνθάδε εἰμὶ σὺν πολλῷ φόβῳ διάγων. εἰ οὖν ὁρῴην ὑμᾶς σωτήριόν τι βουλευομένους, ἔλθοιμι ἂν πρὸς ὑμᾶς, καὶ τοὺς θεράποντας πάντας ἄγων. λέξατε οὖν, ἔφη, πρός με, τί ἐν νῷ ἔχετε, ὡς πρὸς φίλον τε καὶ εὔνουν, καὶ βουλόμενον κοινῇ σὺν ὑμῖν τὸν στόλον ποιεῖσθαι. βουλευομένοις τοῖς στρατηγοῖς, ἔδοξεν ἀποκρίνασθαι τάδε, καὶ ἔλεγε χειρίσοφος· ἡμῖν δοκεῖ, ἢν μέν τις ἐᾷ ἡμᾶς ἀπιέναι οἴκαδε,

cum hodierno die decies mille Clearchos pro uno extitisse uidebūt, p quos nemini nequā esse liceat. Sed iā tempus est ut dicta ad rē cōferamus: hostes. n. iam fortasse aderūt. Quare si quæ relata sunt uobis probātur, ea quamprimū sciscite, quo decreta uestra operib. ipsis primo quoq; tēpore cōprobetis. Quod si quis melius quid uidet, ne dubitet quauis, ut etiā priuatus ille sit et gregarius, cæteros docere. de cōmuni. n. salute est omnib. cōsiliū capiendū. Tum Chirisophus: Si quid, inquit, aliud opus est, qd' Xenophō

10 prætermiserit, iā fieri id licebit, cū in mentē uenerit. Quæ uero ab eo iā dicta sunt, optimū factu esse cēseo, ut ea sine ulla cunctatione sciscatis: cui igitur ea probantur, is sublata manu significet. Tū cūcti manū sustulerūt. Surrexit iterū Xenophō, atq; ita loquutus est: Audite uiri quæ cauenda mihi uidētur. Eundū nobis iā est, ubi cōmeatus in prōptu sint. Audio aūt uicos pulcherrimos, nihilo hinc longius q̄ stadia x x. abesse. Nihil uero mirandum mihi uidebitur, si quemadmodū ignaui canes prætereūtes insectātur, ac mordēt assequuti, persequētes uero fugiūt, sic hostes ab

20 eūtes nos insequātur. Tutissime nos iter facturos arbitror quadrato agmine, ita quidē ut eius quālibet partē armati teneāt. In mediū, turba omnis, ac impedimēta recipiātur. Quod si nūc etiā statuerimus, qui fronti, qui tergo, quos itē utriq; laterū præesse oporteat, nihil erit necesse tūc demū cum nos hostes adorti fuerint, imperia diuidere, quin statim instructa acie uti licebit. Ac nūc, uel eius qui rectius sentiat sententiā sequamur, uel Chirisophus principia ducat, quippe qui Lacedæmonius est. In laterib. e nobis prætores duo natu maximi imperēt. Tergū nos iuuenes rege-

30 mus, ego ipse & Timasion. atq; ita quidē in præsentia. De reliquo uero cū experti semel fuerimus hanc ordinis rationē, uel eādem tuebimur, uel meliorē inibimus: quā si quis uel nūc uidet, in mediū censeo prodeat. Cum nemo inuentus esset, qui cōtra ea diceret cui hæc probātur, Xenophō inquit, manū tollat. Cum scitū oēs fecissent, Iam uidendū, inquit, est, ut quæ sciuimus, abeūtes re ipsa rata faciamus. Ac primū quidē qui suos uidere cupit, utrū se strenuū præbeat: neq; n. aliter quisquā sperare possit se uoti cōpotem fore. Qui uiuēdi cupiditate tenetur, is uincere contendat:

40 est enim uictori hostiū cædes, uicto mors proposita. Qui postremo pecuniā cōcupiscit, in uictoria studium incūbat: quod si uicerit, & sua tueri, et quæ in hostiū sunt potestate, sibi uendicare facile potest. Quæ cū dixisset ille, surrexerūt cuncti, ac iter iam ingressuri, primum plaustra et tabernacula omnia incēdere. Deinde uero quæ uasa cuiq; superuacanea fuerūt, ea indigentib. concesserūt, in ignē reliqua coniecere. Tū ad corpus curandū cōuersi. Ac dum cibū caperēt, superuenit Mithridates cum equitib. ad xxx. uocatisq; ad colloquiū prætoribus, in hūc modū loquutus

50 est: Ego, uiri fortissimi, Cyro ut scitis fidē, usq; dum ille uixit, meā præstiti: ac nūc optimo erga uos animo sum: & quoniā in his locis non possum nō magnopere de salute mea solicitus esse, uos ego si intelligā salutare aliquod cōsilium inire, me uobis adiungā sociū, & quamprimū cum toto comitatu meo ad uos redibo. Mecum igitur quod in animo habetis, libēter, ut cū amico, ac uestri cupidissimo homine, atq; adeo cum eo qui uobiscū unà proficisci uelit, cōmunicate. Ad hæc prætores, cū capita inter se contulissent, ita respōdendū putarūt, ac pro omnib. quidē Chirisophus: Nos, inquit, si liceat, p has regiones quāpacatissimè

domum contendere in animo habemus: sin quis aduersari uoluerit, cum eo omni ope nostra bellare. Tum Mithridates docere conabatur, nullã inuito rege salutis existere spem posse. Ex quo satis intelligi potuit, nihil esse quod ei fides haberetur; præsertim uero cũ uenisset cum eo una de Tissaphernis familiaribus unus, quasi eius orationis arbiter. Quare prætoribus uisum est, nihil statui melius posse, quàm si quantisper in hostili terra essent, tacitũ, ac minime indictum bellum gererent. * Cum propius accessissent, milites occiderunt: quin & ex centurionibus unum Nicarchum Arcadem. * Noctu deinde profectus cum xx. plus minus hominibus.* Post hæc corporibus curatis, Zaten amnem traiecerunt, instructo quidem agmine, impedimentisq; omnibus, ac inermi turba in medium recepta. Non longe processerant, cum Mithridates cum globo equitum CC. iaculatorum ac funditorum maxime agilium, atque expeditorum circiter quadringentos obuiam uenit, ac propius quidem quasi amicus uenisset, accessit. Equites uero ac pedites sagittis, plumbeis glandibus funditores, Græcos lacessere cœperunt: ex quibus qui in extremo erant agmine, impune feriebantur, cum hosti ipsi nihil nocere possent. Cretenses enim sagittarij, & minus longe quam Persæ mittebant, & cum ipsi leuissime armati essent, grauis armaturæ ordinibus stipabantur: at iaculatores missilibus ne funditores quidem assequi poterant. Hic Xenophon cum peltatis & graui armatura, quæ erat in extremo agmine, cui ipse imperabat, hostem insequi statuit. Sedenim neminem omnino consequebantur, quippe qui equitatum nullum haberent: pedites uero intra tam breue spacium medij campi, fugientem peditem adipisci non poterant, neque omnino expediebat à reliquo agmine tam longe discedere. At barbari equites in ipsa fuga à tergo sagittas mittentes nostros uulnerabant: quos, quantum hostem urgentes processissent, tantundem dimicando retrocedere oportebat: quare toto eo die nihil amplius quàm stadia xxv. promouerunt, ac sub ipsum crepusculum in proximos uicos peruenere. Ibi pristina homines solicitudo inuasit. Chirisophus quidem, & ex toto prætorum numero natu grandiores Xenophontem incusabant, quod ab acie nimis longe, suo cum maximo periculo, ac nullo hostium detrimento, persequendi causa excurrisset. Hæc Xenophon cum audiret, iure eos queri fatebatur, neq; inficiabatur quicquam. Sedenim, inquit, necessitas ipsa me ut insequerer impulit, quod uidebam grauiter nos dum consisteremus lædi, cũ interea nihil ipsi hosti nocere possemus. At postquam insequuti sumus, ita sane accidit ut dicitis: hostibus nihil plus quam ante nocuimus, et ipsi uix, & magno cum periculo pedem retulimus. Sed gratia scilicet dijs est habenda, quod paruа omnino cum manu periclitati sumus, atq; ex leui admodum iactura quid nobis in posterum opus sit, planissime cognouimus. Etenim hostes & sagittas, et e fundis glandes longius multò mittũt, quàm ut cum illis aut Cretenses sagittarij, aut ferentarij nostri cõferri possint. Cumq; illos insequimur, nobis non conducit longius à reliquo agmine progredi: modico uerò spacio, non possit utiq; pedes peditem assequi, ne intra teli quidem iactum. Quod si hostis impetum retardatum uolumus, ne quid nobis in posterum detrimenti inferri possit, funditoribus nobis atq; equitibus opus esse censeo. Atq;

οἴκαδε, διαπορεύεσθαι τὴν χώραν ὡς ἂν δυνώμεθα ἀσινέστατα. ἂν δέ τις ἡμᾶς τῆς ὁδοῦ ἀποκωλύῃ, διαπολεμεῖν τούτῳ ὡς ἂν δυνώμεθα κράτιστα. ἐκ τούτου ἐπειρᾶτο Μιθριδάτης διδάσκειν, ὡς ἄπορον εἴη, βασιλέως ἄκοντος σωθῆναι. ἔνθα δὴ ἐγιγνώσκετο, ὅτι ὕποπτος εἴη. καὶ γὰρ τῶν Τισσαφέρνους τις οἰκείων παρηκολούθει πίστεως ἕνεκα. καὶ ἐκ τούτου ἐδόκει τοῖς στρατηγοῖς βέλτιον εἶναι δόγμα ποιήσασθαι τὸν πόλεμον ἀκήρυκτον εἶναι, ἕως ἐν τῇ πολεμίᾳ εἶεν. διέφθειρον γὰρ προσιόντες τοὺς στρατιώτας, καὶ ἕνα γε λοχαγὸν διέφθειραν Νίκαρχον Ἀρκάδα, καὶ ᾤχετο ἀπιὼν νυκτὸς σὺν ἀνθρώποις ὡς εἴκοσι. μετὰ δὲ ταῦτα ἀριστήσαντες, καὶ διαβάντες τὸν Ζάβατον ποταμὸν, ἐπορεύοντο τεταγμένοι, τὰ ὑποζύγια καὶ τὸν ὄχλον ἐν μέσῳ ἔχοντες. οὐ πολὺ δὲ προεληλυθότων αὐτῶν, ἐπιφαίνεται πάλιν ὁ Μιθριδάτης, ἱππέας ἔχων ὡς διακοσίους, καὶ τοξότας καὶ σφενδονήτας ὡς τετρακοσίους, μάλα ἐλαφροὺς καὶ εὐζώνους. καὶ προσῄει μὲν ὡς φίλος ὢν πρὸς τοὺς Ἕλληνας. ἐπεὶ δὲ ἐγγὺς ἐγένετο, ἐξαπίνης οἱ μὲν αὐτῶν ἐτόξευον, καὶ ἱππεῖς καὶ πεζοί· οἱ δ᾽ ἐσφενδόνων καὶ ἐτίτρωσκον. οἱ δ᾽ ὀπισθοφύλακες τῶν Ἑλλήνων ἔπασχον μὲν κακῶς, ἀντεποίουν δὲ οὐδέν. οἵ τε γὰρ Κρῆτες βραχύτερα τῶν Περσῶν ἐτόξευον, καὶ ἅμα ψιλοὶ ὄντες, εἴσω τῶν ὅπλων κατεκέκλειντο. οἵ τε ἀκοντισταὶ βραχύτερον ἠκόντιζον, ἢ ὡς ἐξικνεῖσθαι τῶν σφενδονητῶν. ἐκ τούτου Ξενοφῶντι ἐδόκει, διωκτέον εἶναι, καὶ ἐδίωκον τῶν τε ὁπλιτῶν καὶ τῶν πελταστῶν, οἳ ἔτυχον σὺν αὐτῷ ὀπισθοφυλακοῦντες. διώκοντες δὲ, οὐδένα κατελάμβανον τῶν πολεμίων. οὔτε γὰρ ἱππεῖς ἦσαν τοῖς Ἕλλησιν, οὔτε οἱ πεζοὶ τοὺς πεζοὺς ἐκ πολλοῦ φεύγοντας ἐδύναντο καταλαμβάνειν ἐν ὀλίγῳ χωρίῳ. πολὺ γὰρ οὐχ οἷόν τε ἦν ἀπὸ τοῦ ἄλλου στρατεύματος διώκειν. οἱ δὲ βάρβαροι ἱππεῖς καὶ φεύγοντες ἅμα ἐτίτρωσκον, εἰς τοὔπισθεν τοξεύοντες ἀπὸ τῶν ἵππων. ὁπόσον δὲ προδιώξειαν οἱ Ἕλληνες, τοσοῦτον πάλιν ἐπαναχωρεῖν μαχομένους ἔδει. ὥστε τῆς ἡμέρας ὅλης διῆλθον οὐ πλέον πέντε καὶ εἴκοσι σταδίων. ἀλλὰ δείλης ἀφίκοντο εἰς τὰς κώμας. ἔνθα δὴ πάλιν ἀθυμία ἦν, καὶ Χειρίσοφος καὶ οἱ πρεσβύτατοι τῶν στρατηγῶν Ξενοφῶντα ᾐτιῶντο, ὅτι ἐδίωκεν ἀπὸ τῆς φάλαγγος, καὶ αὐτός τε ἐκινδύνευε, καὶ τοὺς πολεμίους οὐδὲν μᾶλλον ἐδύνατο βλάπτειν. ἀκούσας δὲ ὁ Ξενοφῶν, ἔλεγεν ὅτι ὀρθῶς ᾐτιῶντο, καὶ αὐτὸ τὸ ἔργον αὐτοῖς μαρτυροίη. ἀλλ᾽ ἐγὼ ἠναγκάσθην διώκειν, ἐπεὶ ἑώρων ἡμᾶς ἐν τῷ μένειν, κακῶς μὲν πάσχοντας, ἀντιποιεῖν δὲ οὐδὲν δυναμένους. ἐπειδὴ δὲ ἐδιώκομεν, ἀληθῆ, ἔφη, ὑμεῖς λέγετε. κακῶς μὲν γὰρ οὐδὲν ποιεῖν μᾶλλον ἐδυνάμεθα τοὺς πολεμίους, ἀνεχωροῦμεν δὲ πάνυ χαλεπῶς. τοῖς οὖν θεοῖς χάρις, ὅτι οὐ σὺν πολλῇ ῥώμῃ, ἀλλὰ σὺν ὀλίγοις ἦλθον. ὥστε βλάψαι μὲν μὴ μεγάλα, δηλῶσαι δὲ ὧν δεόμεθα. νῦν μὲν γὰρ οἱ μὲν πολέμιοι τοξεύουσι καὶ σφενδονῶσιν, ὅσον οὔτε οἱ Κρῆτες ἀντιτοξεύειν δύνανται, οὔτε οἱ ἐκ χειρὸς βάλλοντες ἐξικνεῖσθαι. ὅταν δὲ αὐτοὺς διώκωμεν, πολὺ μὲν οὐχ οἷόν τε χωρίον ἀπὸ τοῦ στρατεύματος διώκειν. ὀλίγον δὲ ἔνθα οὐδ᾽ εἰ ταχὺς εἴη πεζὸς πεζὸν διώκων καταλαμβάνοι ἐκ τόξου ῥύματος. ἡμεῖς μὲν οὖν εἰ μέλλομεν τούτους εἴργειν, ὥστε μὴ δύνασθαι βλάπτειν ἡμᾶς πορευομένους, σφενδονητῶν τε τὴν ταχίστην δεῖ καὶ ἱππέων.

ἀκούω

ἀκούω δ' εἶναι ἐν τῷ στρατεύματι ἡμῶν ῥοδίους, ὧν τοὺς πολλούς φασιν ἐπίστασθαι σφενδονᾶν, καὶ τὸ βέλος αὐτῶν καὶ διπλάσιον φέρεσθαι τῶν περσικῶν σφενδονῶν. ἐκεῖναι τε γὰρ διὰ τὸ χειροπληθέσι τοῖς λίθοις σφενδονᾶν, ἐπὶ βραχὺ ἐξικνοῦνται. οἱ δέ γε ῥόδιοι καὶ ταῖς μολυβδίσιν ἐπίστανται χρῆσθαι. ἢν οὖν αὐτῶν ἐπισκεψώμεθα, τίνες πέπανται σφενδόνας, καὶ τούτων τῷ μὲν δῶμεν αὐτῶν ἀργύριον, τῷ δὲ ἄλλας πλέκειν ἐθέλοντι ἄλλο ἀργύριον τελῶμεν, καὶ τῷ σφενδονᾶν ἐντεταγμένῳ ἐθέλοντι ἄλλην τινὰ ἀτέλειαν εὑρίσκωμεν, ἴσως τινὲς φανοῦνται ἱκανοὶ ἡμᾶς ὠφελεῖν. ὁρῶ δὲ καὶ ἵππους ἐν τῷ στρατεύματι. τοὺς μέν τινας παρ' ἐμοί, τοὺς δὲ τῷ κλεάρχῳ καταλελειμμένους, πολλοὺς δὲ καὶ ἄλλους αἰχμαλώτους σκευοφοροῦντας. ἂν οὖν τούτους πάντας ἐκλέξαντες, σκευοφόρα μὲν ἀντιδῶμεν, τοὺς δὲ ἵππους εἰς ἱππέας κατασκευάσωμεν, ἴσως καὶ οὗτοί τι τοὺς φεύγοντας ἀνιάσουσιν. ἔδοξε ταῦτα. καὶ ταύτης τῆς νυκτὸς σφενδονῆται μὲν εἰς διακοσίους ἐγένοντο. ἵπποι δὲ καὶ ἱππεῖς ἐδοκιμάσθησαν τῇ ὑστεραίᾳ εἰς πεντήκοντα, καὶ στολάδες καὶ θώρακες αὐτοῖς ἐπορίσθησαν. καὶ ἵππαρχος ἐπεστάθη λύκιος ὁ πολυστράτου ἀθηναῖος. μείναντες δὲ ταύτην τὴν ἡμέραν, τῇ ἄλλῃ ἐπορεύοντο πρωιαίτερον ἀναστάντες. χαράδραν γὰρ αὐτοὺς ἔδει διαβῆναι, ἐφ' ᾗ ἐφοβοῦντο μὴ ἐπίθοιντο αὐτοῖς διαβαίνουσιν οἱ πολέμιοι. διαβεβηκόσι δὲ αὐτοῖς ἐπιφαίνεται ὁ μιθριδάτης πάλιν, ἔχων ἱππέας χιλίους, τοξότας δὲ καὶ σφενδονήτας εἰς τετρακισχιλίους. τοσούτους γὰρ ᾔτησε τισσαφέρνην, καὶ ἔλαβεν, ὑποσχόμενος, ἂν τούτους λάβῃ, παραδώσειν αὐτῷ τοὺς ἕλληνας, καταφρονήσας, ὅτι ἐν τῇ ἔμπροσθεν προσβολῇ ὀλίγους ἔχων, ἔπαθε μὲν οὐδέν, πολλὰ δὲ κακὰ ἐνόμισε ποιῆσαι. ἐπεὶ δὲ οἱ ἕλληνες διαβεβηκότες, ἀπεῖχον τῆς χαράδρας ὅσον ὀκτὼ σταδίους, διέβαινε καὶ ὁ μιθριδάτης, ἔχων τὴν δύναμιν. παρήγγελτο δὲ τῶν τε πελταστῶν, οὓς ἔδει διώκειν, καὶ τῶν ὁπλιτῶν, καὶ τοῖς ἱππεῦσιν εἴρητο θαρροῦσι διώκειν, ὡς ἐφεψομένης ἱκανῆς δυνάμεως. ἐπεὶ δὲ ὁ μιθριδάτης κατειλήφει, καὶ ἤδη σφενδόναι καὶ τοξεύματα ἐξικνοῦντο, ἐσήμηνε τοῖς ἕλλησι τῇ σάλπιγγι, καὶ εὐθὺς ἔθεον ὁμόσε οἷς εἴρητο, καὶ οἱ ἱππεῖς ἤλαυνον. οἱ δὲ οὐκ ἐδέξαντο, ἀλλ' ἔφευγον ἐπὶ τὴν χαράδραν. ἐν ταύτῃ τῇ διώξει τοῖς βαρβάροις τῶν τε πεζῶν ἀπέθανον πολλοί, καὶ τῶν ἱππέων ἐν τῇ χαράδρᾳ ζωοὶ ἐλήφθησαν ὡς ὀκτωκαίδεκα. τοὺς δ' ἀποθανόντας, αὐτοκέλευστοι οἱ ἕλληνες ᾐκίσαντο, ὡς ὅτι φοβερώτατον τοῖς πολεμίοις εἴη ὁρᾶν. καὶ οἱ μὲν πολέμιοι οὕτω πράξαντες, ἀπῆλθον. οἱ δ' ἕλληνες ἀσφαλῶς πορευόμενοι τὸ λοιπὸν τῆς ἡμέρας ἀφίκοντο ἐπὶ τὸν πίγρητα ποταμόν. ἐνταῦθα πόλις ἦν ἐρήμη μεγάλη. ὄνομα δ' αὐτῇ ἦν λάρισσα. ᾤκουν δ' αὐτὴν τὸ παλαιὸν μῆδοι. τοῦ δὲ τείχους ἦν αὐτῆς τὸ εὖρος πέντε καὶ εἴκοσι πόδες. ὕψος δ' ἑκατόν. τοῦ δὲ κύκλου ἡ περίοδος δύο παρασάγγαι. ᾠκοδόμητο δὲ πλίνθοις κεραμέαις. κρηπὶς δὲ ὑπῆν λιθίνη, τὸ ὕψος εἴκοσι ποδῶν. ταύτην βασιλεὺς ὁ περσῶν, ὅτε παρὰ μήδων ἐλάμβανον τὴν ἀρχὴν πέρσαι, πολιορκῶν οὐδενὶ τρόπῳ ἐδύνατο ἑλεῖν. ἥλιος δὲ νεφέλην προκαλύψας, ἠφάνισε, μέχρις οἱ ἄνθρωποι ἐξέλιπον, καὶ οὕτως ἑάλω. παρ' αὐτὴν τὴν πόλιν ἦν πυραμὶς λιθίνη.

τὸ μὲν

Atque in castris quidem nostris Rhodios esse audio, quorum multi funda scienter utantur, ac duplo longius quàm Persici funditores mittant. Nam cum illi graviores intorqueant lapides, non possunt usque longum spacium assequi: at Rhodij plumbeis glandibus uti didicerunt. Eos igitur qui fundas habent si conquisierimus, ac pro illis argentum dederimus, ac alijs item certa mercede faciundas locauerimus, ac ijs qui in funditorum ordinem recepti fuerint, ab alijs muneribus uacationem dederimus, inueniemus fortasse qui certam rebus nostris opem afferant. Ad hec, uideo in castris aliquot equos esse, quorum partim penes me sunt, partim uero à Clearcho relicti: nonnulli item sunt bello capti, quibus ad impedimenta uehenda utimur. Horum itaque si maxime idoneos ad usum atque apparatum equestrem delegerimus, aliósque pro his clitellarios substituerimus, cum his opinor fugientes hostes aliquanto certè facilius ulciscemur. Probata est omnibus hec sententia. Eadem itaque nocte funditores ad ducentos conscripti sunt. Postero uero die equi, equitesq; circiter quinquaginta delecti, quibus loricæ datæ, & equester ornatus. magister equitum creatus Lycius Atheniensis, Polystrati filius. Eum diem Græci in quo substiterant loco manserunt. Postridie prima luce castra mouerunt: erat enim eo die torrens transmittendus, ad quem ne se hostes inuaderent, metuebant. Neque sua ipsos fefellit opinio: cum enim transmittere cœpissent, obuius fit Mithridates cum equitibus mille, sagittarijs ac funditoribus ad quater mille, quos à Tissapherne acceperat, pollicitus ea se manu Græcos omnes ei in potestatem traditurum: erat enim superioris diei euentu elatus, quod cum paucos duxisset, neminem ipse desiderasset: Græcos uerò se arbitraretur grauiter multasse. Cum igitur iam Græci octo circiter stadia longe à torrente progressi essent, Mithridates suis cum copijs traiecit. Hic peltatis denunciatum est, multisque item è graui armatura atque equitatu, hostem ut alacriter adorirentur: paulo enim post maiores copias subsidio uenturas. Iam prope Mithridates accesserat, fundisque ac missilibus Græci lacessebantur, cum ad primum tubæ cantum hi quibus imperatum fuerat, in hostes cum cursu impetum fecerunt, & equites in primis se in aduersos effudere: quorum cum illi impetum non sustinuissent, fugientes, nostri insequuti sunt, atque ad ipsum torrentem multi de barbarorum peditibus, multi item in medio alueo ex equitibus perierunt: uiui ad decem & octo capti sunt: cæsos milites nostri, cum id tamen duces non imperassent, fœde lacerarunt, ut hostes rei spectaculo terrerentur: atque illi quidem re ita gesta discesserunt. At Græci, quod eius diei reliquum fuit, tutò progressi, ad Pigretem amnem peruenerunt: quo in loco urbs fuit magna, sed deserta, Larissa nomine: quam priscis temporibus Medi tenuerunt. Muri eius latitudine fuerunt pedum uigintiquinq;, altitudine centum, ambitu octo millium passuum, ac toti coctilibus laterculis extructi. Lapidea tantum crepido uiginti pedum à fundamentis eminebat. Hanc urbem Persarum rex, cum Medos Persæ imperio spoliassent, diu obsessam, non ante capere potuit, quàm solem densa nubes obscurasset, oppidani animis concidissent. Ante ipsam urbem pyramis lapidea surgebat,

lata paß. x x. alta x l. Huc ex proximis regionibus barbari multi profugerant. Hinc profecti primis castris M. paß. x x i i i i. cōfectis, ad muros peruenere, magnos quidem, sed neglectos, qui ante urbem stabant, cui Mespila nomen fuit. & hanc Medi olim habitarūt. Eius murus crepidine nitebatur lapidea, excisis in muricū modum lapidi . latitudine pedum L. ac totidē altitudine: reliqua muri superficies lateritia erat, pedum lata L. alta C. ambitus erat M. paß x x i i i i. Huc Mediā regis uxorē confugisse ferunt, quo tēpore Medi imperiū amisere. Eam olim urbē Persarū rex cum neq; obsidionis diuturnitate, neq; ui expugnare potuisset, obstupefactos postremò crebris tonitrib. oppidanos dicitur oppreßisse. Hinc profecti cū M. paß. x v i. processissent, ad castra prima Tissaphernes in cōspectum uenit cum equitatu suo, atq; Orontæ regis generi copijs, cum ijs itē barbaris qui Cyrū sequuti fuerant, atq; ijs etiā quos secū regis frater in eius auxilium adduxerat, quosq; rex Tissapherni ipsi attribuerat: quæ copiæ uniuersæ planè magni agminis speciē habuerunt. Atq; is cum propius accessisset, alias quidē cohortes in subsidijs locauit, alias uero de transuerso immissurus uidebatur: neq; tamen impreßionē facere, aut suos pugnæ periculo cōmittere ausus est. Funditorib. tantū & ferentarijs, nostros ut lacesserent, imperauit. Verū ubi Rhodij per ordines diuisi, e fundis lapides, ac Scythici sagittarij sagittas mittere cœperūt, multi paßim ex barbaris uulnerabātur, à quibus aberrare nostri, ne si uoluissent quidē, facile poterant. Quare Tissaphernes extra telorū iactum cōceßit, ac reliqui item ordines retrocesserūt. Reliquū igitur eius diei nostri progrediebantur, à tergo illi ex interuallo sequebātur, neq; pristinā tamen iaculationē repetere ausi sunt: longius. n. q̄ Persæ, Rhodij funditores mittebāt, ac longius etiā q̄ possent è sagittarijs plurimi. Erant præterea Persica missilia maiora nostris, quare usui fuerūt quæ nostri legerāt, et ea sane didicerant è superiore loco longißime iaculari. In proximis uero uicis, & neruos, & plumbū ad fundarū usum reperierunt. Atq; eo die cum Græci ad uicos peruenissent, barbari ex leui illa iaculatiōe inferiores discessere. Postero die eodem in loco frumentādi causa cōmorati sunt: erat enim illis in uicis magna frumēti copia. Postridie iter continuarunt, & Tissaphernes eminus lacessens insequebatur. Ibi animaduersum est, hostibus insequentib. nequaquam utile esse quadratū agmen laterib. æqualibus, propterea, quod si se aliquādo agminis cornua cōtraxissent (quod fieri necesse est, ubi uel uiarū angustiæ, uel montium anfractus, uel postremò pontiū transitus cogerent) grauis armatura aut arctius constipata ægre procederet, aut turbatis ordinibus laxata, nihil posset in pugnando proficere. Rursus uerò si cornua discederēt, in diuersa irent qui ante cohæserant: atq; inter cornua area uacua relicta, qui utroq; uersum abijssent, urgentib. hostibus animis deficerēt: quo plerūq; fiebat, ut cū uel pons, uel alia quæuis uiæ difficultas superāda esset, certatim unusquisq; principia occuparet, atq; ita ab hostib. agmē facilius oppugnari posset. Quod ubi animaduersum est, prætores ordines sex, singulos uirorū C. instituere, eisq; suos centuriones præfecere: centurias uero singulas in semicenturias, ac manipulos descripsere: quibus item subcenturiones & decuriones præesse uoluerunt. Cumq; agmen progrederetur, centuriones, ubi cornua contraherentur, ne urgerent, subsistebant,

Mespila urbs.

τὸ μὲν εὖρος ἑνὸς πλέθρου, τὸ δὲ ὕψος δύο πλέθρων. ἐπὶ ταύτης πολλοὶ τῶν βαρβάρων ἦσαν ἐκ τῶν πλησίον κωμῶν ἀποπεφευγότες. ἐντεῦθεν ἐπορεύθησαν σταθμὸν ἕνα, παρασάγγας ἕξ, πρὸς τεῖχος ἐρῆμον μέγα πρὸς τῇ πόλει κείμενον. ὄνομα δ' ἦν τῇ πόλει Μέσπιλα. Μῆδοι δ' αὐτήν ποτε ᾤκουν. ἦν δὲ ἡ μὲν κρηπὶς λίθου ξεστοῦ κογχυλιάτου, τὸ εὖρος πεντήκοντα ποδῶν, καὶ τὸ ὕψος πεντήκοντα. ἐπὶ δὲ ταύτῃ ἐπῳκοδόμητο πλίνθινον τεῖχος, τὸ μὲν εὖρος πεντήκοντα ποδῶν, τὸ δὲ ὕψος ἑκατόν. τοῦ δὲ κύκλου περίοδος ἓξ παρασάγγαι. ἐνταῦθα ἐλέγετο Μηδία γυνὴ βασιλέως φυγεῖν, ὅτε ἀπώλλυσαν τὴν ἀρχὴν ὑπὸ Περσῶν Μῆδοι. ταύτην δὲ τὴν πόλιν πολιορκῶν ὁ Περσῶν βασιλεὺς, οὐκ ἐδύνατο οὔτε χρόνῳ ἑλεῖν, οὔτε βίᾳ. Ζεὺς δ' ἐμβροντήτους ποιεῖ τοὺς ἐνοικοῦντας, καὶ οὕτως ἑάλω. ἐντεῦθεν δ' ἐπορεύοντο σταθμὸν ἕνα, παρασάγγας τέτταρας. εἰς τοῦτον δὲ τὸν σταθμὸν Τισσαφέρνης ἐπεφάνη, οὕς τε αὐτὸς ἦλθεν ἱππέας ἔχων, καὶ τὴν Ὀρόντου δύναμιν, τοῦ τὴν βασιλέως θυγατέρα ἔχοντος, καὶ οὓς Κῦρος ἔχων ἀνέβη βαρβάρους, καὶ οὓς ὁ βασιλέως ἀδελφὸς ἔχων βασιλεῖ ἐβοήθει, καὶ πρὸς τούτοις, ὅσους βασιλεὺς ἔδωκεν αὐτῷ. ὥστε τὸ στράτευμα πάμπολυ ἐφάνη. ἐπεὶ δὲ ἐγγὺς ἐγένετο, τὰς μὲν τῶν τάξεων ἔχων ὄπισθεν κατέστησε, τὰς δὲ εἰς τὰ πλάγια παραγαγὼν, ἐμβάλλειν μὲν οὐκ ἐτόλμησεν, οὐδ' ἐβούλετο διακινδυνεύειν. σφενδονᾶν δὲ παρήγγελλε καὶ τοξεύειν. ἐπεὶ δὲ διαταχθέντες οἱ Ῥόδιοι ἐσφενδόνησαν, καὶ οἱ Σκυθοτοξόται ἐτόξευσαν, καὶ οὐδεὶς ἡμάρτανεν ἀνδρὸς, οὐδὲ γὰρ εἰ πάνυ προεθυμεῖτο, ῥᾴδιον ἦν. καὶ ὁ Τισσαφέρνης, μάλα ταχέως ἔξω βελῶν ἀπεχώρει. καὶ αἱ ἄλλαι τάξεις ἀπεχώρησαν. καὶ τὸ λοιπὸν τῆς ἡμέρας οἱ μὲν ἐπορεύοντο, οἱ δ' εἵποντο, καὶ οὐκέτι ἐπῄνουν οἱ βάρβαροι τῇ τότε ἀκροβολίσει. μακρότερον γὰρ οἵ τε Ῥόδιοι τῶν Περσῶν ἐσφενδόνων, καὶ τῶν πλείστων τοξοτῶν. μεγάλα δὲ καὶ τὰ τόξα τὰ Περσικά ἐστιν. ὥστε χρήσιμα ἦν ὁπόσα ἁλίσκοιτο τῶν τοξευμάτων, καὶ ἐμελέτων τοξεύειν ἄνω ἱέντες μακράν. εὑρίσκετο δὲ καὶ νεῦρα πολλὰ ἐν ταῖς κώμαις καὶ μόλιβδος, ὥστε χρῆσθαι εἰς τὰς σφενδόνας. καὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ, ἐπεὶ κατεστρατοπεδεύοντο οἱ Ἕλληνες, κώμαις ἐπιτυχόντες ἀπῆλθον οἱ βάρβαροι, μεῖον ἔχοντες ἐν τῇ τότε ἀκροβολίσει. τὴν δ' ἐπιοῦσαν ἡμέραν ἔμειναν οἱ Ἕλληνες καὶ ἐπεσιτίσαντο. ἦν γὰρ πολὺς σῖτος ἐν ταῖς κώμαις. τῇ δ' ὑστεραίᾳ ἐπορεύοντο διὰ τοῦ πεδίου, καὶ Τισσαφέρνης εἵπετο ἀκροβολιζόμενος. ἔνθα δὴ οἱ Ἕλληνες ἔγνωσαν, ὅτι πλαίσιον ἰσόπλευρον, πονηρὰ τάξις εἴη πολεμίων ἑπομένων. ἀνάγκη γάρ ἐστιν, ἢν μὲν συγκύπτῃ τὰ κέρατα τοῦ πλαισίου, ἢ ὁδοῦ στενωτέρας οὔσης, ἢ ὀρέων ἀναγκαζόντων, ἢ γεφύρας, ἐκθλίβεσθαι τοὺς ὁπλίτας, καὶ πορεύεσθαι πονήρως, ἅμα μὲν πιεζομένους, ἅμα δὲ καὶ ταραττομένους. ὥστε δυσχρήστους εἶναι ἀνάγκη, ἀτάκτους ὄντας. ὅταν δ' αὖ διασχῇ τὰ κέρατα, ἀνάγκη διασπᾶσθαι τοὺς τότε ἐκθλιβομένους, καὶ κενὸν γίγνεσθαι τὸ μέσον τῶν κεράτων, καὶ ἀθυμεῖν τοὺς ταῦτα πάσχοντας τῶν πολεμίων ἑπομένων, καὶ ὁπότε δέοι γέφυραν διαβαίνειν, ἢ ἄλλην τινὰ διάβασιν, ἔσπευδε πᾶς ἕκαστος, βουλόμενος φθάσαι πρῶτος, καὶ εὐεπίθετον ἦν ἐνταῦθα τοῖς πολεμίοις. ἐπεὶ δὲ ταῦτα ἔγνωσαν οἱ στρατηγοὶ, ἐποιήσαντο ἓξ λόχους ἀνὰ ἑκατὸν ἄνδρας, καὶ λοχαγοὺς ἐπέστησαν, καὶ ἄλλους πεντηκοντῆρας, καὶ ἄλλους ἐνωμοτάρχας. οὗτοι δὲ πορευόμενοι οἱ λοχαγοὶ, ὁπότε μὲν συγκύπτοι τὰ κέρατα, ὑπέμενον ὕστεροι, ὥστε μὴ ἐνοχλεῖν τοῖς κέρασι.

τότε δὲ παρῆγον ἔξωθεν τῶν κεράτων. ὁπότε δὲ διαχοῖεν αἱ πλευραὶ τοῦ πλαισίου τὸ μέσον, ἂν ἐξεπίμπλασαν. εἰ μὲν στενότερον εἴη τὸ διέχον, κατὰ λοχαγούς. εἰ δὲ πλατύτερον, κατὰ πεντηκοστῦς. εἰ δὲ πάνυ πλατύ, κατ' ἐνωμοτίας. ὥστε ἀεὶ ἔκπλεων εἶναι τὸ μέσον. εἰ δὲ καὶ διαβαίνειν τινὰ δέοι διάβασιν, ἢ γέφυραν, οὐκ ἐταράττοντο ἀλλ' ἐν τῷ μέρει οἱ λοχαγοὶ διέβαινον. καὶ εἴ που δέοι τι τῆς φάλαγγος, ἐπιπαρῆσαν οὗτοι. τούτῳ τῷ τρόπῳ ἐπορεύθησαν σταθμοὺς τέτταρας. ἡνίκα δὲ τὸν πέμπτον ἐπορεύοντο σταθμόν, εἶδον βασίλειόν τι, καὶ περὶ αὐτὸ κώμας πολλάς, τὴν δὲ ὁδὸν πρὸς τὸ χωρίον τοῦτο διὰ γηλόφων ὑψηλῶν γιγνομένην, οἳ καθῆκον ἀπὸ τοῦ ὄρους, ὑφ' ᾧ ἦν ἡ κώμη. καὶ εἶδον μὲν τοὺς γηλόφους ἄσμενοι οἱ Ἕλληνες, ὡς εἰκὸς τῶν πολεμίων ὄντων ἱππέων. ἐπεὶ δὲ πορευόμενοι ἐκ τοῦ πεδίου, ἀνέβησαν ἐπὶ τὸν πρῶτον γήλοφον, κατέβαινον ὡς ἐπὶ τὸν ἕτερον ἀναβαῖεν. ἐνταῦθα παραγίνονται οἱ βάρβαροι, καὶ ἀπὸ τοῦ ὑψηλοῦ ἐπὶ τὸ πρανὲς ἔβαλλον, ἐσφενδόνων, ἐτόξευον ὑπὸ μαστίγων, καὶ πολλοὺς κατετίτρωσκον. καὶ ἐκράτησαν τῶν Ἑλλήνων γυμνήτων, καὶ κατέκλεισαν αὐτοὺς εἴσω τῶν ὅπλων. ὥστε παντάπασι ταύτην τὴν ἡμέραν ἄχρηστοι ἦσαν ἐν τῷ ὄχλῳ ὄντες, καὶ οἱ σφενδονῆται, καὶ οἱ τοξόται. ἐπεὶ δὲ πιεζόμενοι οἱ Ἕλληνες ἐπεχείρησαν διώκειν, σχολῇ μὲν ἐπὶ τὸ ἄκρον ἀφικνοῦνται ὁπλῖται ὄντες. οἱ δὲ πολέμιοι ταχὺ ἀπεπήδων. πάλιν δὲ ὁπότε ἀπίοιεν πρὸς τὸ ἄλλο στράτευμα, ταῦτα ἔπασχον. καὶ ἐπὶ τοῦ δευτέρου γηλόφου ταῦτα ἐγίγνετο. ὥστε ἀπὸ τοῦ τρίτου γηλόφου ἔδοξεν αὐτοῖς μὴ κινεῖν τοὺς στρατιώτας, πρὶν ἀπὸ τῆς δεξιᾶς πλευρᾶς τοῦ πλαισίου ἀνήγαγον πελταστὰς πρὸς τὸ ὄρος. ἐπεὶ δὲ οὗτοι ἐγένοντο ὑπὲρ τῶν ἑπομένων πολεμίων, οὐκέτι ἐπετίθεντο οἱ πολέμιοι τοῖς καταβαίνουσι, δεδοικότες μὴ ἀποτμηθείησαν, καὶ ἀμφοτέρωθεν αὐτῶν γένοιντο οἱ πολέμιοι. οὕτω τὸ λοιπὸν τῆς ἡμέρας πορευόμενοι, οἱ μὲν τῇ ὁδῷ κατὰ τοὺς γηλόφους, οἱ δὲ κατὰ τὸ ὄρος ἐπιπαριόντες, ἀφίκοντο εἰς τὰς κώμας, καὶ ἰατροὺς κατέστησαν ὀκτώ. πολλοὶ γὰρ ἦσαν οἱ τετρωμένοι. ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς, καὶ τῶν τετρωμένων ἕνεκα, καὶ ἅμα ἐπιτήδεια πολλὰ εἶχον, ἄλευρα, οἶνον, κριθὰς ἵπποις συμβεβλημένας πολλάς. ταῦτα δὲ συνηγμένα ἦν τῷ στρατεύματι τῆς χώρας. τετάρτῃ δ' ἡμέρᾳ καταβαίνουσιν εἰς τὸ πεδίον. ἐπεὶ δὲ κατέλαβεν αὐτοὺς Τισσαφέρνης σὺν τῇ δυνάμει, ἐδίδαξε τοὺς Ἕλληνας ἡ ἀνάγκη κατασκηνῆσαι, οὗ πρῶτον εἶδον κώμην, καὶ μὴ πορεύεσθαι ἔτι μαχομένους. πολλοὶ γὰρ ἦσαν ἀπόμαχοι τετρωμένοι, καὶ οἱ ἐκείνους φέροντες, καὶ οἱ τῶν φερόντων τὰ ὅπλα δεξάμενοι. ἐπεὶ δὲ κατεσκήνωσαν, καὶ ἐπεχείρησαν αὐτοῖς ἀκροβολίζεσθαι οἱ βάρβαροι πρὸς τὴν κώμην προσιόντες, ἐν ᾗ περιῆσαν οἱ Ἕλληνες. πολὺ γὰρ διέφερεν ἐκ χώρας ὁρμῶντας ἀλέξασθαι, ἢ πορευομένους ἐπιοῦσι τοῖς πολεμίοις μάχεσθαι. ἡνίκα δ' ἦν ἤδη δείλη, ὥρα ἦν ἀπιέναι τοῖς πολεμίοις. οὔποτε γὰρ μεῖον ἀπεστρατοπεδεύοντο οἱ βάρβαροι τοῦ Ἑλληνικοῦ ἑξήκοντα σταδίων, φοβούμενοι μὴ τῆς νυκτὸς ἐπίθοιντο αὐτοῖς. πονηρὸν γὰρ νυκτός ἐστι στράτευμα Περσικόν. οἵ τε γὰρ ἵπποι αὐτοῖς δέδενται, καὶ ὡς ἐπὶ τὸ πολὺ πεποδισμένοι εἰσί, τοῦ μὴ φεύγειν ἕνεκα, εἰ λυθείησαν.

ἐάν

ac deinde seorsum subsequebantur. Quoties uerò laxari cornua necesse fuisset, ydē quadrati agminis mediū cōplebant, uel cēturionib. ipsis, si fortè quæ discessissent partes exiliores essent: uel si pleniores aliquanto, sub/cēturionibus: si postremo quàmminime attenuatæ essent, decurionib. in uacua succedentibus. quo fiebat, ut medium agmen semper confertū esset: ac si quid superandū esset, pons ue quis transmittendus, nihil trepidaretur. Centuriones enim hi, quos ante diximus, seorsum transiebāt: quaq; in parte aciei res postulasset, in eam se immittebant. atq; hoc quidē ordine ad quarta castra progressi sunt. Ad quinta uerò cum accederēt, regiā quandam conspexerunt, circumq; eam uicos complures, in quam partē uia per editos colles ducebat. Hi uero colles monti subiacebant, in cuius ima parte uicus erat: ac Græci per illi quidem libēter colles uiderunt, ut qui hostem scirent in primis equis fi lere. Ibi cam e cāpis primum tumulum subissent, atq; inde per decliuia ad alterum accederent, barbari e superiore loco deorsum tela mittere in nostros, fundas torquere, iacula amēto uibrare. Multi sane in nostris uulnerati, quin & expediti milites ita a barbaris circumuenti atq; interclusi sunt, ut funditores & iaculatores in turba oppressi, nullius usui esse potuerint. Nam si Græci malo coacti in hostem se conuertebant, uix in aduersos cliuos euadere poterāt, quippe qui graui armatura tardarentur, cum hostes interea summa agilitate in collis uerticem exilirent: sin ad suos properarēt, eodem incommodo urgebantur. Idem etiā euenit cum ad alterū collem transirent. Quare statuerunt Græci, e tertio tumulo non ante agmen mouere, q̃ subductos a dextro aciei latere cetratos ad uerticē obtinendū misissent. Quod ubi factum est, hostes à nostris superiorē locum occupatū cum animaduertissent, non sunt ausi amplius descedē.es insequi, quod uerebantur, ne diuisi utrinq; circumuenirētur. Quod reliquum igitur eius diei fuit, nostri pars una per colles, altera secundum montes, iter modico interuallo faciētes, ad uicos peruenere: ubi medicos octo (multi enim saucij erant) delegere. His in uicis dies tris manserunt, cum sauciorum causa, tum uerò quod cōmeatuum bonam copiam nacti sunt, farinæ, uini, ordei, quo largißime equos explerūt, quæ omnia ex proximis agris, ad exercitū regis alendum, in unum coacta fuerant. Quarto uero die in campos descendēre: ibi eos Tissaphernes assequutus effecit, ut sibi censerent, in eo qui primus se obtulisset uico, consistendum, neq; ullo pacto in uia pugnandū: erant enim iam quamplurimi ad pugnam inutiles, alij quod uulnera acceperāt, alij quod saucios deportarēt, alij postremo quod eorū à quibus illi deportarentur, armis onerati essent. Ac ubi Græci castra posuerant, cum barbari propius ad uicū accedentes, mißilia mittere cœperūt: sed facile eos Græci repulerunt. Multo enim iam è castris mouētes, hostes facilius coercebant, q̃ ante in ipso itinere eorundē excursiones reprimere potuerant. Cum itaq; iam aduesperasceret, hostes pedē retulerunt: neq; enim propiùs q̃ stad. LX. ad nostros castra locabāt, quod scilicet nocturnum nostrorum impetum metuebant. Nam Persarum copiæ minime ad nocturnas pugnas idoneæ sunt: equos enim uinciunt, ac sæpe etiam pedicis impediunt, ne forte rupiis capistris effugiant.

Qua/

Quare in tumultu, & equum insternere, & frenare, & cum loricam induerit inscendere, Persæ homini necesse est: quæ omnia per noctem, præsertim cum trepidatum fuerit, difficilime fieri consueuerunt: quæ res efficiebat, ut procul a Græcis castra haberent. At Græci ubi eos animaduerterunt agmē discedendi causa coegisse, ad arma conclamarūt: tum barbari (facile enim omnia audiebant) pauxillum substiterunt: nocte uero iam imminente retrocesserunt, quod sibi intelligebant minime expedire, noctu uel iter facere, uel castra ponere. Eos uero Græci postesquā manifesto discedentes uiderunt, & ipsi castra mouere, stadiaq; circiter LX. progressi sunt: tantum inter utrunq; exercitū spacij relictum est, ut neq; postero die, neq; omnino tertio, hostes in cōspectum uenerint. Quarto demū noctu ad nostros propius accesserunt, ac montis iugum ad dexteram occuparūt, quà Græci erant iter facturi. Ex eo in campos descēsus erat. Vbi iugum id occupatum Chirisophus animaduertit, Xenophontē ab extremo agmine euocat, eumq; iubet cum peltatis ad principia transire. At is peltatos loco non mouit. Cum iam uniuersum Tissaphernis exercitū conspiceret, ipse tantum citato equo accurrit: tum, quid, inquit, me uocas? Vt uides, respondit ille, uertex qui supra uiam ipsam eminet, quà nobis discedendum est, ab hostibus obtinetur: quos nisi ceciderimus, nulla est euadendi ratio. Sed cur peltatos nō adduxisset quærenti Chirisopho, quoniam, inquit ille, nequaquam tam propinquis hostibus putaui nuda agminis terga relinquenda. Atqui, inquit Chirisophus, uidendum est ut eos ex eo uertice deyciamus. Ibi Xenophon cum iugum animaduertisset ijs, quas ipse ducebat, copijs imminere, atq; ex eo tramitem, per quem ad uerticem eum aditus patebat, in quo hostes constiterant: Optimum, inquit, Chirisophe fuerit, si quamcelerrime ad eum tumulum contendamus: quem si occupauerimus, hostes nullo pacto poterunt supra uiam, eodem quo nūc loco sunt permanere: quare aut cum exercitu ipse maneto, quantisper ego in montem euado: aut si tu mauis ad montem contendere, hic ego cum exercitu manebo. Quin ego tibi, inquit ille, potestatem facio, utrum malis deligendi. Tum Xenophon: Iunior, inquit, ego sum: ac ita proficiscendi sibi partes deposcit: sedenim postulat ex principijs, quod longum esse putabat ab extremo agmine milites euocare, sibi cohortem unam dari. Chirisophus ei ex ipsa fronte peltatos tribuit, atque adeo de medio quadrati agminis exemptos: ad hos CCC. sequi iubet lectissimos uiros de suorum numero, qui ipsa agminis principia obtinebant: atq; hi quidem omnes iter strenue ingressi sunt. Quos ubi ad montem rectà contendere hostes animaduertere, & ipsi certatim eodem cursum direxerunt. Hic clamorem Græci, item qui cum Tissapherne erant, dum suos utrique cohortantur, ingentem sustulerunt. Xenophon equo præteruehens, his uerbis suos incendebat: Nunc uiri fortissimi, uobis de reditu in Græciam, ad liberos, coniugesque uestras, certamen propositum esse existimate. Nunc si paululum hoc laboris exhauserimus, reliquum iter sine pugna conficiemus. Tum Soteridas Sicyonius: Atenim, inquit, Xenophō non satis æqua cōditione res geritur: tu equo ueheris, ego grauiter scutū ferēs laboro. Id cum

ἐάν τις θόρυβος γίγνηται, δεῖ ἐπισάξαι τὸν ἵππον Πέρσῃ ἀνδρί, καὶ χαλινῶσαι δεῖ, καὶ θωρακισθέντα ἀναβῆναι ἐπὶ τὸν ἵππον. ταῦτα δὲ πάντα χαλεπὰ νύκτωρ, ὅτε καὶ θορύβου ὄντος ποιεῖν. τούτου ἕνεκα πόῤῥω ἀπεσκήνουν τῶν Ἑλλήνων. ἐπεὶ δὲ ἐγίγνωσκον αὐτοὺς οἱ Ἕλληνες, βουλομένους ἀπιέναι καὶ διαγγελλομένους, ἐκήρυξε τοῖς Ἕλλησι συσκευάζεσθαι, ἀκουόντων τῶν πολεμίων. καὶ χρόνον μέν τινα ἐπέσχον τῆς πορείας οἱ βάρβαροι. ἐπειδὴ δὲ ὀψὲ ἐγίγνετο, ἀπήεσαν. οὐ γὰρ ἐδόκει λυσιτελεῖν αὐτοῖς, νυκτὸς πορεύεσθαι, καὶ κατάγεσθαι ἐπὶ τὸ στρατόπεδον. ἐπειδὴ δὲ σαφῶς ἀπιόντας ἤδη ἑώρων οἱ Ἕλληνες, ἐπορεύοντο καὶ αὐτοὶ ἀναζεύξαντες, καὶ διῆλθον ὅσον ἑξήκοντα σταδίους, καὶ γίγνεται τοσοῦτον μεταξὺ τῶν στρατιωτῶν, ὥστε τῇ ὑστεραίᾳ οὐκ ἐφάνησαν οἱ πολέμιοι, οὐδὲ τῇ τρίτῃ. τῇ δὲ τετάρτῃ νυκτὸς προελθόντες, καταλαμβάνουσι χωρίον ὑπερδέξιον οἱ βάρβαροι, ᾗ ἔμελλον οἱ Ἕλληνες παριέναι, ἀκρωνυχίαν ὄρους, ὑφ᾽ ἣν ἡ κατάβασις ἦν εἰς τὸ πεδίον. ἐπειδὴ δὲ ἑώρα Χειρίσοφος προκατειλημμένην τὴν ἀκρωνυχίαν, καλεῖ Ξενοφῶντα ἀπὸ τῆς οὐρᾶς, καὶ κελεύει λαβόντα τοὺς πελταστὰς, παραγενέσθαι εἰς τὸ πρόσθεν. ὁ δὲ Ξενοφῶν τοὺς μὲν πελταστὰς οὐκ ἦγεν. ἐπιφαινόμενον γὰρ ἑώρα Τισσαφέρνην καὶ τὸ στράτευμα πᾶν. αὐτὸς δὲ προσελάσας, ἠρώτα, τί καλεῖς; ὁ δὲ λέγει αὐτῷ· ἔξεστιν ὁρᾶν. προκατείληπται γὰρ ἡμῖν ὁ ὑπὲρ τῆς καταβάσεως λόφος, καὶ οὐκ ἔστι παρελθεῖν, εἰ μὴ τούτους ἀποκόψομεν. ἀλλὰ τί οὐκ ἦγες τοὺς πελταστάς; ὁ δὲ λέγει, ὅτι οὐκ ἐδόκει αὐτῷ, ἔρημα καταλιπεῖν τὰ ὄπισθεν, ἐπιφαινομένων τῶν πολεμίων. ἀλλὰ μὴν, ὥρα γ᾽, ἔφη, βουλεύεσθαι, πῶς τις τοὺς ἄνδρας ἀπελᾷ τοῦ λόφου. ἐνταῦθα Ξενοφῶν ὁρᾷ τοῦ ὄρους τὴν κορυφὴν, ὑπὲρ τοῦ ἑαυτοῦ στρατεύματος οὖσαν. καὶ ἀπὸ ταύτης ἔφοδον ἐπὶ τὸν λόφον, ἔνθα ἦσαν οἱ πολέμιοι, καὶ λέγει· κράτιστον, ὦ Χειρίσοφε, ἡμῖν ἵεσθαι ὡς τάχιστα ἐπὶ τὸ ἄκρον. ἐὰν γὰρ τοῦτο λάβωμεν, οὐ δυνήσονται μένειν ὑπὲρ τῆς ὁδοῦ. ἀλλ᾽ εἰ βούλει, μένε ἐπὶ τῷ στρατεύματι, ἐγὼ δὲ ἐθέλω πορεύεσθαι. εἰ δὲ χρῄζεις, πορεύου ἐπὶ τὸ ὄρος, ἐγὼ δὲ μενῶ αὐτοῦ. ἀλλὰ δίδωμί σοι, ἔφη ὁ Χειρίσοφος, ὁπότερον βούλει ἑλέσθαι. εἰπὼν ὁ Ξενοφῶν, ὅτι νεώτερός ἐστιν, αἱρεῖται πορεύεσθαι. κελεύει δέ οἱ συμπέμψαι ἀπὸ τοῦ στόματος ἄνδρας. μακρὰν γὰρ ἦν ἀπὸ τῆς οὐραγίας λαβεῖν. καὶ ὁ Χειρίσοφος συμπέμπει τοὺς ἀπὸ τοῦ στόματος πελταστάς. ἔλαβε δὲ τοὺς κατὰ μέσον τοῦ πλαισίου. συνέπεσθαι δ᾽ ἐκέλευσεν αὐτῷ καὶ τοὺς τριακοσίους ὁ Χειρίσοφος, οὓς αὐτὸς εἶχε τῶν ἐπιλέκτων ἐπὶ τῷ στόματι τοῦ πλαισίου. ἐντεῦθεν ἐπορεύοντο ὡς ἐδύναντο τάχιστα. οἱ δ᾽ ἐπὶ τοῦ λόφου πολέμιοι ὡς ἐνόησαν αὐτῶν τὴν πορείαν ἐπὶ τὸ ἄκρον, εὐθὺς καὶ αὐτοὶ ὥρμησαν ἁμιλλᾶσθαι ἐπὶ τὸ ἄκρον. καὶ ἐνταῦθα πολλὴ μὲν κραυγὴ ἦν τοῦ Ἑλληνικοῦ στρατεύματος, διακελευομένων τοῖς ἑαυτῶν. πολλὴ δὲ κραυγὴ τῶν ἀμφὶ Τισσαφέρνην τοῖς ἑαυτῶν κελευομένοις. Ξενοφῶν δὲ παρελαύνων ἐπὶ τοῦ ἵππου, παρεκελεύετο· ἄνδρες, νῦν εἰς τὴν Ἑλλάδα νομίζετε ἁμιλλᾶσθαι. νῦν πρὸς παῖδας καὶ γυναῖκας· νῦν ὀλίγον πονήσαντες ἀμαχεὶ τὴν λοιπὴν πορευσόμεθα. Σωτηρίδας δὲ ὁ Σικυώνιος εἶπεν· οὐκ ἐξ ἴσου, ὦ Ξενοφῶν, ἐσμέν. σὺ μὲν ἐφ᾽ ἵππου ὀχῇ, ἐγὼ δὲ χαλεπῶς κάμνω τὴν ἀσπίδα φέρων.

καὶ

καὶ ὃς ἀκούσας ταῦτα, καταπηδήσας ἀπὸ τοῦ ἵππου, ὠθεῖται αὐτὸν ἐκ τῆς τάξεως. καὶ τὴν ἀσπίδα ἀφελόμενος ὡς ἐδύνατο, τάχιστα ἐπορεύετο. ἐτύγχανε δὲ καὶ θώρακα ἔχων τὸν ἱππικόν, ὥστε ἐπιέζετο. καὶ τοῖς μὲν ἔμπροσθεν ὑπάγειν παρεκελεύετο. τοῖς δὲ ὄπισθεν παριέναι, μόγις ἑπομένοις. οἱ δ' ἄλλοι στρατιῶται παίουσι καὶ λοιδοροῦσι τὸν Σωτηρίδαν, ἕως ἠνάγκασαν λαβόντα τὴν ἀσπίδα, πορεύεσθαι. ὁ δὲ ἀναβὰς ἐπὶ τοῦ ἵππου, ἕως μὲν βάσιμα ἦν, ἦγεν· ἐπεὶ δὲ ἄβατα ἦν, καταλιπὼν τὸν ἵππον, ἔσπευδε πεζῇ. καὶ φθάνουσιν ἐπὶ τῷ ἄκρῳ γενόμενοι τοὺς πολεμίους. ἔνθα δὴ οἱ μὲν βάρβαροι στραφέντες, ἔφευγον ᾗ ἕκαστος ἐδύνατο. οἱ δ' Ἕλληνες εἶχον τὸ ἄκρον. οἱ δὲ ἀμφὶ Τισσαφέρνην καὶ Ἀριαῖον ἀποτραπόμενοι, ἄλλην ὁδὸν ᾤχοντο. οἱ δ' ἀμφὶ Χειρίσοφον καταβάντες εἰς τὸ πεδίον, ἐστρατοπεδεύσαντο ἐν κώμῃ μεστῇ πολλῶν ἀγαθῶν. ἦσαν δὲ καὶ ἄλλαι κῶμαι πλήρεις πολλῶν ἀγαθῶν ἐν τούτῳ τῷ πεδίῳ παρὰ τὸν Τίγρητα ποταμόν. ἡνίκα δ' ἦν δείλη, ἐξαπίνης ἐπιφαίνονται οἱ πολέμιοι ἐν τῷ πεδίῳ, καὶ τῶν Ἑλλήνων κατέκοψάν τινας τῶν ἐσκεδασμένων ἐν τῷ πεδίῳ καθ' ἁρπαγήν. καὶ γὰρ νομαὶ πολλαὶ βοσκημάτων διαβιβαζόμεναι εἰς τὸ πέραν τοῦ ποταμοῦ κατελήφθησαν. ἐνταῦθα Τισσαφέρνης καὶ οἱ σὺν αὐτῷ καίειν ἐπεχείρησαν τὰς κώμας. καὶ τῶν Ἑλλήνων μάλα ἠθύμησάν τινες, ἐννοούμενοι μὴ τὰ ἐπιτήδεια, εἰ καίοιεν, οὐκ ἔχοιεν ὁπόθεν λαμβάνοιεν. καὶ οἱ μὲν ἀμφὶ Χειρίσοφον ἀπῄεσαν ἐκ τῆς βοηθείας. ὁ δὲ Ξενοφῶν, ἐπεὶ κατέβη, παρελαύνων τὰς τάξεις, ἡνίκα ἀπὸ τῆς βοηθείας ἀπήντησαν οἱ Ἕλληνες, ἔλεγεν· ὁρᾶτε ὦ ἄνδρες Ἕλληνες ὑφιέντας τὴν χώραν ἤδη ἡμετέραν εἶναι. ἃ γὰρ ὅτε ἐσπένδοντο, διεπράττοντο μὴ καίειν τὴν βασιλέως χώραν, νῦν αὐτοὶ καίουσιν ὡς ἀλλοτρίαν. ἀλλ' ἐάν που καταλίπωσί γε αὐτοῖς τὰ ἐπιτήδεια, ὄψονται καὶ ἡμᾶς ἐνταῦθα πορευομένους. ἀλλ' ὦ Χειρίσοφε, ἔφη, δοκεῖ μοι βοηθεῖν ἐπὶ τοὺς καίοντας, ὡς ὑπὲρ τῆς ἡμετέρας. ὁ δὲ Χειρίσοφος, οὔκουν ἔμοιγε δοκεῖ. ἀλλὰ καὶ ἡμεῖς, ἔφη, καίωμεν, καὶ οὕτω θᾶττον παύσονται. ἐπεὶ δ' ἐπὶ τὰς σκηνὰς ἀπῆλθον, οἱ μὲν ἄλλοι περὶ τὰ ἐπιτήδεια ἦσαν, στρατηγοὶ δὲ καὶ λοχαγοὶ συνῆλθον. καὶ ἐνταῦθα πολλὴ ἀπορία ἦν. ἔνθεν μὲν γὰρ ὄρη ἦν ὑπερύψηλα. ἔνθεν δὲ ὁ ποταμὸς τοσοῦτος τὸ βάθος, ὡς μηδὲ τὰ δόρατα ὑπερέχειν, πειρωμένοις τοῦ βάθους. ἀπορουμένοις δὲ αὐτοῖς, προσελθών τις ἀνὴρ Ῥόδιος, εἶπεν· ἐγὼ θέλω ὑμᾶς διαβιβάσαι κατὰ τετρακισχιλίους ὁπλίτας, ἂν ἐμοὶ ὧν δέομαι ὑπηρετήσητε, καὶ τάλαντον μισθὸν πορίσητε. ἐρωτώμενος δὲ ὅτου δέοιτο, ἀσκῶν, ἔφη, δισχιλίων δεήσομαι. πολλὰ δὲ ὁρῶ ταῦτα πρόβατα, καὶ αἶγας, καὶ βοῦς, καὶ ὄνους, ἃ ἀποδαρέντα καὶ φυσηθέντα, ῥᾳδίως ἂν παρέχοι τὴν διάβασιν. δεήσομαι δὲ καὶ τῶν δεσμῶν, οἷς χρῆσθε περὶ τὰ ὑποζύγια. τούτοις δ', ἔφη, ζεύξας τοὺς ἀσκοὺς πρὸς ἀλλήλους, ἁρμόσας ἕκαστον ἀσκόν, λίθους ἀρτήσας, καὶ ἀφεὶς ὥσπερ ἀγκύρας εἰς τὸ ὕδωρ, διαγαγὼν καὶ ἀμφοτέρωθεν δήσας, ἐπιβαλῶ ὕλην, καὶ γῆν ἐπιφορήσω. ὅτι μὲν οὖν οὐ καταδύσεσθε, αὐτίκα μάλα εἴσεσθε. ὁ γὰρ ἀσκὸς δύο ἄνδρας ἕξει τοῦ μὴ καταδῦναι. ὥστε δὲ μὴ ὀλισθάνειν, ἡ ὕλη καὶ ἡ γῆ σχήσει. ἀκούσασι ταῦτα τοῖς στρατηγοῖς, τὸ μὲν ἐνθύμημα χαρίεν ἐδόκει εἶναι,
τὸ

Id cum ille audisset, statim ex equo desilijt, hominem de loco deturbat, ipse eius scuto abrepto quàm potuit celerrime promouet. Erat forte equestri lorica indutus, qua et si premebatur, nihilo tamen segnius & praecedentes incitabat, & sequētes, illos quidē in ascendendo laborantes confirmabat. At milites Soteridam caedūt, obiurgant, cogunt postremò, scuto recepto unà cū caeteris pergere. Xenophon equum ascendit: eo usus est quantum per loci conditionem licuit. Cum ad difficiliorem aditu montis partem uentum esset, & ipse pedibus equo relicto subijt. Priores tandem Graeci montis fastigium occuparunt. Tunc barbari terga uertentes, quo quisque maxime potuit, effugerunt: Graeci fastigium tenuerunt. Tissaphernis atq; Ariaei copiae ad aliam se uiam, priore relicta, conuerterunt. Tum Chirisophus, quiq; cum eo erant, iam tuto in campos descendere, & castra in pago quodam locarunt, omnibus copijs refertissimo. Sed erant alij item in his campis pagi ad Pigretem amnem, omni commeatuum genere copiosissimi. Iam aduesperascebat, cum repente hostes se obtulerunt, ac de Graecorū numero nonnullos occidere, ut forte illi diuersi ad praedam discurrerant: nacti enim fuerant pecoris greges, qui cum amnem transissent, iam erant in citeriore ripa interclusi. Post haec Tissaphernes cum suis copijs pagos exurere aggressus est: quae res Graecorum animos uehementer debilitauit: non poterant enim non magnopere uereri, ne commeatibus incensis, non haberent unde alios sumerent. Iam Chirisophi milites è praesidijs discedebant, cum Xenophon ad singulos ordines in equo accedens: Videtis iam, inquit, uti nobis agris concedere se barbari fatentur? cum enim ne nos uicos regios exureremus, foedus nobiscū ferientes cauissent, eos iam ipsi tanquam alienos ultro incendunt. Nunc per ea ipsa loca nos iter facientes uidebunt, in quibus sibiipsis cōmeatus reliquerint: Interea Chirisophe, ad illum conuersus, censeo, inquit, hos agros tanquam nostros ab iniuria uindicādos. Minime, respondit ille, quin & nos itidem uramus: sic enim illi celerius desistent. Iam uero cum se intra castra recepissent, alij ad commeatus animum adiecerunt. At praetores centurionesq; in unum conuenere, ut consiliū de itinere caperent. Erat enim res difficultatis plenissima, cum hinc arduis montibus, illinc tam profundo flumine cohiberentur, ut ne hastae quidem quibus uada tentabant, immersae quicquam eminerent. In hac cunctatione Rhodius quidam ad duces ueniens: Ego, inquit, si mihi quae opus fuerint, parata tradideritis, ac pro mercede talētum unum, quaterna millia simul grauis armaturae peditū traijciā. Rogatus autē quid opus esset, utrium respondit ille duobus millibus: esse aūt in cōspectu quāplurimas oues, capras, boues, asinos, quib. coriis detracta & inflata, facilem traiectionē praestare possent. Loris deinde opus, inquit, est ad cōnectendos, ut apte cohereant inter se utres, qualia ea sunt, quibus ad iungenda iumēta utimini. Huic ego ex utribus rati saxa alligabo, quib. quasi anchoris quibusdam in flumen demissis, et rate utrinq; religata, terrā & sarmenta superiniiciam illud quidem nequaquā intellectu difficile est, qui hac rate traiecerint, mergi minime posse, siquidē binos singuli utres facile subleuāt: quo minus uerò labantur pedites, terra eos ac sarmēta continebunt. Enimuero id ducibus cōsilium callidum uisum est:
sed

sed qui res effici posset, nō uidebant, cum trans amnem multi essent hostiū equites, qui facile ijs, qui primi ad opus aggrederentur, impedimento futuri essent. Quare cū hanc cogitationē missam fecissent, postero die quasi Babylonem uersus ad integros uicos profecturi, retrocesserunt, ac quà iter faciebant, incendijs cuncta uastabant: quod cum hostes uiderent, iam nihil ut anteuerterent laborabant. Illud magis mirabantur, quò se Græci recepturi essent, aut quid omnino in animo haberent. Interea cū milites in cibarijs conquirendis occupati essent, prætores ac centuriones rursus conuenere, ac omnibus captiuis in mediū adductis, quæstione habita, ex illis planissime cognouerunt, quorum locorum finibus cingerentur. Indicarunt enim illi à meridie Babylonem esse, & Mediam, quà ante uenissent: ab ortu Susa & Ecbatana, quibus in urbibus uer et æstatē agere rex solitus esset. Quod si trans amnē se ad occasum conuertissent, in Lydiam et Ioniam peruenturos. At montanam uiam, quæ ad septentrionem esset, ad Carduchos perducere: hos ferocem in bello esse gentem, quæ montes incoleret, ac ne regi quidem ipsi pareret. Regias enim copias in ea loca aliquando irrupisse: ex centum autem & uiginti millibus hominum neminē omnino redisse, quod ex locorū difficultatibus euadere non potuissent: ac eo ipso tempore fœdus illis cum eo satrapa esse, qui campestrem regionē obtineret, ac liberos esse utrisq; ad alteros aditus. Quæ cū prætores audissent, eos ipsos à quibus regionū situs cognouerāt, diuersos locarunt, neq; omnino quò iter haberēt, indicarūt. Ipsi inter se statuerūt, necesse fore per montes in Carduchos ducere, quod illinc in Armeniā, cui tunc Orontes præerat, amplam & fertilem regionem descensuri essent: ex qua nihil prohibiturum uidebatur, quo minus in quam uellent terrarū partem se conferrent. Id cū decreuissent, ac dis sacra fecissent, ne quid esset in mora, cum iter capessendum esset (uerebantur enim ne montes ab hostibus occuparentur) militibus imperant, corporibus curatis, ac uasis collectis, conquiescant, ac deinde cum signum datum fuerit, se ut sequantur.

XENOPHONTIS

DE CYRI MINORIS EXPEDITIONIS LIBER QVARTUS, Romulo Amasæo interp.

QVAE à Græcis in superiorem Asiæ partem progredientibus, usque ad prelij commissionem gesta sint: quæ item post prælium, fœdere cum rege percusso, atque eodem ab ipso rege ac Tissapherne uiolato acciderint: ac quemadmodū Græci insequēte Persarū exercitu, assiduo bello urgerētur, superioribus cōmentarijs expositū est. Postea uerò quā ad Pigretē amnē uentum est, qua is ea in parte propter magnitudinē atq; altitudinem traijci nō poterat, cū flumini Carduchij mōtes, ardui illi quidē ac prærupti imminerēt, eos (neq; enim alia occurrebat euadendi ratio) milites sibi superandos censuerunt. A captiuis enim acceperāt, hos ubi superassent, se ad Pigretis ipsius fontem, qui in Armenia est, uenturos: à quo non longe Euphratis etiam fons abesset: eum fontem, quòd angu-

τὸ δὲ ἔργον ἀδυνάτον. ἦσαν γὰρ οἱ κωλύσοντες πέραν πολλοὶ ἱππεῖς, οἳ εὐθὺς τοῖς πρώτοις, οὐδὲν ἂν ἐπέτρεπον τούτων ποιεῖν. ἐνταῦθα τὴν μὲν ὑστεραίαν ἐπανεχώρουν εἰς τοὔμπαλιν ἢ πρὸς Βαβυλῶνα εἰς τὰς ἀκαύστους κώμας, κατακαύσαντες ἔνθεν ἐξῇσαν, ὥστε οἱ πολέμιοι οὐ προσήλαυνον, ἀλλὰ ἐθεῶντο, καὶ ὅμοιοι ἦσαν θαυμάζοντες, ὅποι ποτὲ τρέψονται οἱ Ἕλληνες, καὶ τί ἐν νῷ ἔχοιεν. ἐνταῦθα οἱ μὲν ἄλλοι στρατιῶται ἀμφὶ τὰ ἐπιτήδεια ἦσαν. οἱ δὲ στρατηγοὶ καὶ οἱ λοχαγοὶ πάλιν συνῆλθον, καὶ συναγαγόντες τοὺς αἰχμαλώτους, ἤλεγχον τὴν κύκλῳ πᾶσαν χώραν, τίς ἑκάστη εἴη. οἱ δ᾽ ἔλεγον, ὅτι τὰ μὲν πρὸς μεσημβρίαν, τῆς ἐπὶ Βαβυλῶνα εἴη καὶ Μηδίαν, δι᾽ ἧσπερ ἥκοιεν. ἡ δὲ πρὸς ἕω ἐπὶ Σοῦσά τε καὶ Ἐκβάτανα φέρειν, ἔνθα θερίζειν καὶ ἐαρίζειν λέγεται βασιλεύς. ἡ δὲ διαβάντι τὸν ποταμὸν πρὸς ἑσπέραν, ἐπὶ Λυδίαν καὶ Ἰωνίαν φέροι. ἡ δὲ διὰ τῶν ὀρέων, καὶ πρὸς ἄρκτον τετραμμένη, ὅτι εἰς Καρδούχους ἄγοι. τούτους δ᾽ ἔφασαν οἰκεῖν ἀνὰ τὰ ὄρη, καὶ πολεμικοὺς εἶναι, καὶ βασιλέως οὐκ ἀκούειν, ἀλλὰ καὶ ἐμβαλεῖν ποτε εἰς αὐτοὺς βασιλικὴν στρατιάν, δώδεκα μυριάδας. τούτων δὲ οὐδένα ἀπονοστῆσαι, διὰ τὴν δυσχωρίαν. ὁπότε μέντοι πρὸς τὸν σατράπην τὸν ἐν τῷ πεδίῳ σπείσαιντο, καὶ ἐπιμίγνυσθαι σφῶν τε πρὸς ἐκείνους, καὶ ἐκείνων πρὸς αὐτούς. ἀκούσαντες δὲ ταῦτα οἱ στρατηγοί, ἐκάθισαν χωρὶς τοὺς ἑκασταχόσε φάσκοντας εἰδέναι, οὐδὲν δῆλον ποιήσαντες, ὅποι πορεύεσθαι ἔμελλον. ἐδόκει δὲ τοῖς στρατηγοῖς ἀναγκαῖον εἶναι, διὰ τῶν ὀρέων εἰς Καρδούχους ἐμβάλλειν. τούτους γὰρ διελθόντας, ἔφασαν εἰς Ἀρμενίαν ἥξειν, ἧς Ὀρόντας ἦρχε, πολλῆς καὶ εὐδαίμονος. ἐντεῦθεν δὲ εὔπορον ἔφασαν εἶναι, ὅποι τις ἐθέλοι πορεύεσθαι. ἐπὶ τούτοις ἐθύσαντο ὅπως ὁπηνίκα δοκοίη τῆς ὥρας, τὴν πορείαν ποιοῖντο. τὴν γὰρ ὑπερβολὴν τῶν ὀρέων ἐδεδοίκεσαν μὴ καταληφθείη. καὶ παρήγγειλαν ἐπειδὴ δειπνήσειαν, συσκευασαμένους πάντας ἀναπαύεσθαι, καὶ ἕπεσθαι, ἡνίκ᾽ ἄν τις παραγγέλλῃ.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΑΝΑΒΑΣΕΩΣ ΤΕΤΑΡΤΟΝ.

ΟΣΑ μὲν δὴ ἐν τῇ ἀναβάσει ἐγένετο μέχρι τῆς μάχης, καὶ ὅσα μετὰ τὴν μάχην ἐν ταῖς σπονδαῖς, ἃς βασιλεὺς καὶ οἱ σὺν Κύρῳ ἀναβάντες Ἕλληνες ἐσπείσαντο, καὶ ὅσα παραβάντος τὰς σπονδὰς βασιλέως καὶ Τισσαφέρνους ἐπολεμήθη πρὸς τοὺς Ἕλληνας, ἐπακολουθοῦντος τοῦ περσικοῦ στρατεύματος, ἐν τῷ πρόσθεν λόγῳ δεδήλωται. ἐπεὶ δὲ ἀφίκοντο, ἔνθα ὁ μὲν Τίγρης ποταμὸς παντάπασιν ἄπορος ἦν διὰ τὸ βάθος καὶ μέγεθος, πάροδος δ᾽ οὐκ ἦν, ἀλλὰ τὰ Καρδούχια ὄρη ἀπότομα ὑπὲρ αὐτοῦ τοῦ ποταμοῦ ἐκρέματο. ἐδόκει δὴ τοῖς στρατιώταις διὰ τῶν ὀρέων πορευτέον εἶναι. ἤκουον γὰρ τῶν ἁλισκομένων, ὅτι εἰ διέλθοιεν τὰ Καρδούχια ὄρη, ἐν τῇ Ἀρμενίᾳ τὰς πηγὰς τοῦ Τίγρητος ποταμοῦ, ἢν μὲν βούλωνται διαβήσονται, ἢν δὲ μὴ βούλωνται, περιίασι. καὶ τοῦ Εὐφράτου τε τὰς πηγὰς ἐλέγετο, οὐ πρόσω τοῦ Τίγρητος εἶναι. καὶ ἔστιν οὕτω στενόν.

στενόν· τὴν δ' εἰς τοὺς Καρδούχους ἐμβολὴν ὧδε ποιοῦνται, ἅμα μὲν λαθεῖν πειρώμενοι, ἅμα δὲ φθάσαι, πρὶν τοὺς πολεμίους καταλαβεῖν τὰ ἄκρα. ἡνίκα δ' ἦν ἀμφὶ τὴν τελευταίαν φυλακήν, καὶ ἐλείπετο τῆς νυκτὸς ὅσον σκοταίους διελθεῖν τὸ πεδίον, τηνικαῦτα ἀναστάντες ἀπὸ παραγγέλσεως πορευόμενοι, ἀφικνοῦνται ἅμα τῇ ἡμέρᾳ πρὸς τὸ ὄρος. ἔνθα δὴ Χειρίσοφος μὲν ἡγεῖτο τοῦ στρατεύματος, λαβὼν τὸ ἀμφ' αὐτόν, καὶ τοὺς γυμνῆτας πάντας. Ξενοφῶν δὲ σὺν τοῖς ὀπισθοφύλαξιν ὁπλίταις εἵπετο, οὐδένα ἔχων γυμνῆτα. οὐδεὶς γὰρ ἐδόκει κίνδυνος εἶναι, μή τις ἄνω πορευομένων ἐκ τοῦ ὄπισθεν ἐπίσποιτο. καὶ ἐπὶ μὲν τὸ ἄκρον ἀναβαίνει ὁ Χειρίσοφος, πρίν τινα αἰσθέσθαι τῶν πολεμίων. ἔπειτα δὲ ὑφηγεῖτο. ἐφείπετο δὲ ἀεὶ τὸ ὑπερβάλλον τοῦ στρατεύματος εἰς τὰς κώμας, τὰς ἐν τοῖς ἄγκεσί τε καὶ μυχοῖς τῶν ὀρέων. ἔνθα δὴ οἱ μὲν Καρδοῦχοι ἐκλιπόντες τὰς οἰκίας, ἔχοντες καὶ γυναῖκας καὶ παῖδας, ἔφευγον ἐπὶ τὰ ὄρη. τὰ δὲ ἐπιτήδεια πολλὰ ἦν λαμβάνειν. ἦσαν δὲ καὶ χαλκώμασι παμπόλλοις κατεσκευασμέναι αἱ οἰκίαι, ὧν οὐδὲν ἔφερον οἱ Ἕλληνες, οὐδὲ τοὺς ἀνθρώπους ἐδίωκον, ὑποφειδόμενοι, εἴ πως ἂν ἐθελήσειαν οἱ Καρδοῦχοι διιέναι αὐτοὺς ὡς διὰ φιλίας τῆς χώρας, ἐπείπερ βασιλεῖ πολέμιοι ἦσαν. τὰ μέντοι ἐπιτήδεια ὅ, τι τις ἐπιτυγχάνοι, ἐλάμβανον. ἀνάγκη γὰρ ἦν. οἱ δὲ Καρδοῦχοι οὔτε καλούντων ὑπήκουον, οὔτε ἄλλο φιλικὸν οὐδὲν ἐποίουν. ὅτε δὲ οἱ τελευταῖοι τῶν Ἑλλήνων κατέβαινον εἰς τὰς κώμας ἀπὸ τοῦ ἄκρου ἤδη σκοταῖοι, διὰ γὰρ τὸ στενὴν εἶναι τὴν ὁδὸν ὅλην τὴν ἡμέραν ἡ ἀνάβασις αὐτοῖς ἐγένετο καὶ κατάβασις εἰς τὰς κώμας· τότε δὴ συλλεγέντες τινὲς τῶν Καρδούχων, τοῖς τελευταίοις ἐπετίθεντο, καὶ ἀπέκτεινόν τινας, καὶ λίθοις καὶ τοξεύμασι κατέτρωσαν, ὀλίγοι τινὲς ὄντες. ἐξ ἀπροσδοκήτου γὰρ αὐτοῖς ἐπέπεσε τὸ Ἑλληνικόν. εἰ μέντοι τότε πλείους συνελέγησαν, ἐκινδύνευσεν ἂν διαφθαρῆναι πολλὰ τοῦ στρατεύματος. καὶ ταύτην μὲν τὴν νύκτα οὕτως ἐν ταῖς κώμαις ηὐλίσθησαν. οἱ δὲ Καρδοῦχοι κύκλῳ πυρὰ ἔκαιον ἐπὶ τῶν ὀρέων, καὶ συνεώρων ἀλλήλους. ἅμα δὲ τῇ ἡμέρᾳ, συνελθοῦσι τοῖς στρατηγοῖς καὶ λοχαγοῖς τῶν Ἑλλήνων, ἔδοξε τῶν τε ὑποζυγίων τὰ ἀναγκαῖα καὶ τὰ δυνατώτατα πορεύεσθαι ἔχοντας, καταλιπόντας τὰ ἄλλα. καὶ ὁπόσα ἦν νεωστὶ αἰχμάλωτα ἀνδράποδα ἐν τῇ στρατιᾷ, πάντα ἀφεῖναι. σχολαίαν γὰρ ἐποίουν τὴν πορείαν, πολλὰ ὄντα τὰ ὑποζύγια καὶ τὰ αἰχμάλωτα. καὶ πολλοὶ δὲ αὐτῶν οἱ ἐπὶ τούτοις ὄντες, ἀπόμαχοι ἦσαν, διπλάσιά τε τὰ ἐπιτήδεια ἔδει πορίζεσθαι καὶ φέρεσθαι πολλῶν τῶν ἀνθρώπων ὄντων. δόξαν δὲ ταῦτα, ἐκήρυξαν οὕτω ποιεῖν. ἐπειδὴ δὲ ἀριστήσαντες ἐπορεύοντο, ὑποστάντες ἐν στενῷ οἱ στρατηγοί, ἐπεὶ εὑρίσκοιεν τῶν εἰρημένων μὴ ἀφειμένον, ἀφῃροῦντο. οἱ δ' ἐπείθοντο, πλὴν εἴ τις τι ἔκλεψεν, ἢ παιδὸς ἐπιθυμήσας ἢ γυναικὸς τῶν εὐπρεπῶν. καὶ ταύτην μὲν τὴν ἡμέραν οὕτως ἐπορεύθησαν, τὰ μέντοι μαχόμενοι, τὰ δὲ καὶ ἀναπαυόμενοι. εἰς δὲ τὴν ὑστεραίαν χειμὼν γίγνεται πολύς. ἀναγκαῖον δ' ἦν πορεύεσθαι· οὐ γὰρ ἦν ἱκανὰ τὰ ἐπιτήδεια. καὶ ἡγεῖτο μὲν Χειρίσοφος, ὀπισθοφυλάκει δὲ Ξενοφῶν, καὶ οἱ πολέμιοι ἰσχυρῶς ἐπετίθεντο,

καὶ

angustißimus esset, aut transmissuros, id si mallent, aut si uisum aliter esset, circumituros. Ad hunc uerò modũ in Carduchos mouerunt. Cum illud in primis curæ esset, ut quam occultißime proficiscerentur, atq; ut in montium iuga prius quàm ea ab hostibus occuparentur, euaderent: ad postremã uigiliam, cum adhuc tantum tenebrarum superesset, ut per campos iter facientes cerni non possent uniuersi, ubi denunciatum est, iter ingreßi, prima luce ad montem peruenerũt. Chirisophus agmen ducebat, cum suis cohortibus atq; omnibus expeditis militibus. Consequebatur Xenophon cum grauis armaturæ caterua, in qua ne unus quidem erat de expeditorum numero. Neq; enim periculum ullum esse uidebatur, ne quis dum illi in aduersos cliuos subirent, ex inferiore loco à tergo impetum faceret. Ac Chirisophus prius quàm id quisquam hostium præsensisset, iam montium iuga occuparat: inde porro promouebat: sequebatur exercitus frons: iamq; in pagos, qui passim inter montium anfractus, atq; in ipsis receßibus erant, descendebant. At Carduchi domibus relictis, cum coniugibus ac liberis in montes confugerant. Hic Græci præclarum commeatuum copiam repererunt: erant præterea domus ipsæ æneis uasis egregiè instructæ, quæ illi non attigerunt: neq; homines etiam ipsos persequuti sunt quod illis tantisper parcendum putarunt, dum experirentur, passurine essent se, cum & ipsi regis hostes esse perhiberentur, tanquam per pacatam regionem iter facere. Cibaria tantum quo quisq; loco nactus esset, sumebat. hoc etenim ipsa neceßitas cogebat. At illi neq; uocati præsto fuerunt, neq; ullam amicitiæ significationem dederunt. Quin cum extrema agminis pars, iam primis se intendentibus tenebris in pagos descenderet (erat enim totus dies in montibus superandis consumptus) globo facto extremos adorti, ex ipsis aliquot occiderunt, aliquot lapidibus ac mißilibus uulnerarunt. Atq; hi quidem pauci fuerunt, in quos de improuiso Græcorum agmen inciderat: quod si maior multitudo cõcurrisset, nihil propius futurum fuit, quàm ut maxima exercitus pars deleretur. Tunc Græcis in illis, quos ante diximus, pagis pernoctãtibus, Carduchi circumquaq; per montes ignibus accensis mutuo se prospectantes, omnes aditus custodiebant. Vbi illuxit, cum prætores ac centuriones in unum consultandi causa conuenissent, relatum est optimum factu fore, si iumentis maxime necessarijs cõseruatis, quàm possent celerrime iter facerent: reliqua uero relinquerent, ac cum his eos quos paulò ante ceperant homines missos facerent: quandoquidem & iumenta ipsa, & mancipia, itineri moram afferebant, præsertim cum multi qui in his custodiendis occupati erant, parum essent in pugna utiles, ac præterea duplo propè plus commeatuum comparare, & quocunque irent, comportare cogerentur. Id cum omnibus placuisset, ita ut fieret, decretum est. Quare cum iam pransi iter ingrederentur, prætores angustias, qua uniuersi exituri erant, obsederunt: ac quod apud quenque, ex ijs quæ ante diximus, reperissent, id nisi sponte à dominis dimissum esset, eripiebant: paruerunt tamen omnes, præter paucos, qui elegantem quempiam puerum, aut formosam mulierculam, amori suo obsequentes, furtim retinuerunt: ac tunc modo pugnantes, sæpe etiam à pugna interquiescentes, iter fecerunt. Postero uero die, etsi frigus uehementer inualuerat, commeatuum tamen tenuitate, castra mouere coacti sunt. Erat agminis dux Chirisophus, tergo imperabat Xenophon. Hostes acriter urgebant,

l nempe

nempe qui angustijs freti, propius etiam accedentes de su/
periore loco nostros mißilib. ac fundis uulnerarent. Ea res
Græcos cogebat ut se aliquãdo in hostes cõuerterent, ac de
inde ijs repulsis restitando iter facerẽt. Quamobrẽ frequen
ter, cũ illi urgerẽt, significabat Xenophõ, ut qui anteibant,
subsisterent. At Chirisophus, qui alias quoties significatum
esset, subsistere cõsueuerat, tunc, quantũ poterat, accelerabat,
& alijs ut quãcelerrime sequerẽtur imperabat. Ex quo con
ijci poterat, nõ temere eum festinare: sed non uacabat ad eũ
propius accedere, et festinat onis causam cognoscere: qua 10
re iter fuit ijs, qui in extremo agmine fuerũt, fugæ similimũ.
In qua trepidatione, uir honestißimus ac fortißimus Cleo/
nymus Spartanus, transfosso per parmã & loricã latere oc
cubuit: cumq; eo unà Pasias Arcas, transfixo capite. Qua/
re ubi primum cõgrediendi copia facta est, antequã usquam
cõsisteret Xenophõ, eodem quo erat ornatu ad Chirisophũ
ueniens, quidnã accidisset rogauit, quod ille nõ expectasset,
ac se inter pugnã fugere coëgisset. Amisimus enim, inquit,
duos, eos quidẽ optimos, ac summa uirtute homines, quos
neq; tollere, nec sepulturæ mandare licuit. Ad hæc Chiriso 20
phus: Mõtes, inquit, intuere: uiden' quàm sint ardui ac præ
rupti, ac per eos unicus hic trames quàm angustus? atq; is
quanta hominũ multitudine circunsedeatur: quæ nẽpe fau/
ces eas, per quas euadere nos oportet, obsessas tenet. Idcir/
co, inquit, non restiti, quod maturandũ esse putaui, antequã
illi de superiore loco uerticibus occupatis, exitu nos prohi/
bere possent. Neq; uero duces nostri aliã nobis uiã indicãt.
Atqui, inquit Xenophõ, ego etiã duos in potestate habeo.
Nam cũ hostes negociũ facessrent, in insidijs subsedimus:
quæ res etiã nobis respirandi facultatẽ dedit. Ibi ex illis cum 30
nõnullos occidissemus, unum & alterũ operam dedimus ut
uiuos caperemus, quo scilicet peritis locorũ ducibus uteres/
mur. Atq; hic cum ambo illi in quæstionẽ producti fuissent,
ac seorsum rogarẽtur, uiam ecquã nossent aliam q̃ eam per
uulgatã: eorũ quidem alter, cum nullis minis cogi potuisset
ut quicquã diceret quod Græcis cognoscere expediret, in a
terius cõspectu iugulatus est. Tum superstes alter, illũ affir
mauit propterea Græcis se negasse aliam uiam nosse, quod
filiæ timuisset, quæ in ipsa uia apud uirũ esset: at se per eam
uiam ducturũ, qua iumenta etiam transire possent. Cum ue/ 40
ro ex eodẽ quæreretur, ecquæ essent locorũ difficultates: u/
nicum respondit esse iugum, quod nisi occuparetur, euaden
di nulla inuri ratio posset. Id ubi prætores audierunt, centu/
riones ac peltatos, bonam etiam grauis armaturæ partẽ ac
cersendam censuerunt: ac re cum his cõmunicata, quæren/
dum, nunquis esset, qui uirtutis documentũ dare uellet, su/
scepto in eum locum proficiscendi negocio. Quo facto, eam
sibi prouinciã Aristonymus Methydriensis Arcas, et Aga
sias Stymphalius ex eadẽ Arcadia, depoposcerunt. Sed fuit
in primis inter Callimachũ Parrhasium, & Agasiam Stym 50
phaliũ non parua contentio. Agasias se cum ijs, qui se è to
to exercitu ultro offerrent, profecturum dixit: Persuasum e/
nim mihi, inquit, satis habeo, meum ductum bonam iuuen/
tutis partem sequuturam. Quæsierunt præterea duces, nun/
quis e numero expeditorum, aut militarum tribunorũ pro/
ficisci uellet. Ibi Aristarchus se obtulit, uir militari uirtute
multis in rebus spectatißimus. Iam primæ se tenebræ in/
tendebant, cum milites raptim sumpto cibo, iter ingredi iuſ/
si sunt: ducem uinctis uinctum ijs prætores tradiderunt. I/
ta autem res composita est, ut nocte si iugum occupassent,
locum

καὶ στενῶν ὄντων τῶν χωρίων, ἐγγὺς προσιόντες, ἐτό-
ξευον, καὶ ἐσφενδόνων. ὥστε ἠναγκάζοντο οἱ ἕλληνες
ἐπιδιώκοντες, καὶ πάλιν ἀναχαζόντες, σχολῇ πορεύε-
σθαι. καὶ θαμινὰ παρήγγελλεν ὁ ξενοφῶν ὑπομένειν,
ὅτε οἱ πολέμιοι ἰσχυρῶς ἐπικέοιντο. ἔνθα ὁ χειρίσοφος,
ἄλλοτε μὲν ὅτε παρεγγυῷτο ὑπέμενε, τότε δὲ οὐχ ὑπέ-
μενεν, ἀλλ' ἦγε ταχέως καὶ παρηγγύα ἕπεσθαι. ὥστε δῆ-
λον ἦν, ὅτι πρᾶγμά τι εἴη. σχολὴ δὲ οὐκ ἦν ἰδεῖν παρελ-
θόντι τὸ αἴτιον τῆς σπουδῆς. ὥστε ἡ πορεία ὁμοία φυγῆς ἐ- 10
γίγνετο τοῖς ὀπισθοφύλαξι. καὶ ἐνταῦθα ἀποθνήσκει
ἀνὴρ ἀγαθὸς λακωνικὸς κλεώνυμος, τοξευθεὶς διὰ τῆς
ἀσπίδος καὶ τῆς στολάδος εἰς τὰς πλευράς. καὶ βα-
σίας ἀρκὰς διαμπερὲς εἰς τὴν κεφαλήν. ἐπειδὴ δὲ πο-
τε ἀφίκοντο ἐπὶ σταθμόν, εὐθὺς ὥσπερ εἶχεν ὁ ξενοφῶν
ἐλθὼν πρὸς τὸν χειρίσοφον, ᾐτιᾶτο αὐτόν, ὅτι οὐχ ὑπέ-
μεινεν, ἀλλ' ἠναγκάζοντο φεύγοντες ἅμα μάχεσθαι.
καὶ νῦν δύο καλώ τε κἀγαθὼ ἄνδρε τεθνάτην, καὶ
οὔτε ἀνελέσθαι, οὔτε θάψαι αὐτὼ ἐδυνάμεθα. ἀποκρί- 20
νεται πρὸς ταῦτα ὁ χειρίσοφος· βλέψον, ἔφη, εἰς τὰ ὄ/
ρη, καὶ ἴδε, ὡς ἄβατα πάντα ἐστί. μία δὲ αὕτη ὁδὸς, ἣν
ὁρᾷς ὀρθία. καὶ ἐπὶ ταύτῃ ὁρᾶν ἀνθρώπων ἔξεστί σοι
ὄχλον τοσοῦτον, οἳ κατειληφότες φυλάττουσι τὴν ἔκ-
βασιν. ταῦτ' ἐγὼ ἔσπευδον, καὶ διὰ τοῦτό σε οὐχ ὑπέ-
μενον, ὅπως δυναίμην φθάσαι, πρὶν κατειλῆφθαι
τὴν ὑπερβολήν. οἱ δὲ ἡγεμόνες οὓς ἔχομεν, οὔ φασιν εἶ-
ναι ἄλλην ὁδόν. ὁ δὲ ξενοφῶν λέγει· ἀλλ' ἐγὼ ἔχω δύο
ἄνδρας. ἐπεὶ γὰρ ἡμῖν πράγματα παρεῖχον, ἐνεδρεύ-
σαμεν, ὅπερ ἡμᾶς καὶ ἀναπνεῦσαι ἐποίησε. καὶ ἀπεκτεί- 30
ναμεν μέν τινας αὐτῶν, καὶ ζῶντας προυθυμήθημεν λα-
βεῖν, αὐτοῦ τούτου ἕνεκεν, ὅπως ἡγεμόσιν εἰδόσι τὴν χώ-
ραν χρησόμεθα. καὶ εὐθὺς ἀγαγόντες τοὺς ἀνθρώπους, ἤ-
λεγχον διαλαβόντες, εἴ τινα εἰδεῖεν ἄλλην ὁδὸν ἢ τὴν
φανεράν. ὁ μὲν οὖν ἕτερος οὐκ ἔφη, καὶ μάλα πολλῶν
φόβων προσαγομένων. ἐπειδὴ δὲ οὐδὲν ὠφέλιμον ἔλε-
γεν, ὁρῶντος τοῦ ἑτέρου κατεσφάγη. ὁ δὲ λοιπὸς ἔλε-
ξεν, ὅτι οὗτος μὲν διὰ ταῦτα οὐ φαίη εἰδέναι, ὅτι αὐ-
τῷ τυγχάνει θυγάτηρ ἐκεῖ, παρ' ἀνδρὶ ἐκδεδομένη, 40
αὐτὸς δ', ἔφη ἡγήσεσθαι δυνατὴν καὶ ὑποζυγίοις πο-
ρεύεσθαι ὁδόν. ἐρωτώμενος δ' εἰ εἴη τι ἐν αὐτῇ δύσβα/
τον χωρίον, ἔφησεν καὶ ἄκρον, καὶ εἰ μή τις αὐτὸ κατα-
λήψοιτο, ἀδύνατον εἶναι παρελθεῖν. ἐνταῦθα ἐδόκει
συγκαλέσαντας λοχαγοὺς καὶ πελταστὰς καὶ τῶν ὁπλι-
τῶν, λέγειν τε τὰ παρόντα, καὶ ἐρωτᾶν εἴ τις ἐστὶν, ὅστις
ἀνὴρ ἀγαθὸς ἐθέλοι γενέσθαι, καὶ ὑποστὰς ἐθελοντὴς πορεύε-
σθαι. ὑφίσταται τῶν μὲν ὁπλιτῶν, ἀριστώνυμος μεθυδριεὺς
ἀρκὰς, καὶ ἀγασίας στυμφάλιος ἀρκάς. ἀντιστασίαζον δὲ
ἐχόμενοι καλλίμαχος παρράσιος ἀρκὰς, καὶ ἀγασίας στυμ- 50
φάλιος ἀρκάς. καὶ οὗτος ἔφη ἐθέλειν πορεύεσθαι, προσ-
λαβὼν ἐθελοντὰς ἐκ παντὸς τοῦ στρατεύματος. ἐγὼ γὰρ
οἶδα, ἔφη, ὅτι ἕψονται πολλοὶ τῶν νέων, ἐμοῦ ἡγουμένου. ἐκ
τούτου ἐρωτῶσιν, εἴ τις καὶ τῶν γυμνητῶν ἢ ταξιαρχῶν
ἐθέλοι συμπορεύεσθαι. ὑφίσταται ἀρίσταρχος, ὃς πολλα-
χοῦ πολλοῦ ἄξιος τῇ στρατιᾷ εἰς τὰ τοιαῦτα ἐγένετο. καὶ ἦν
μὲν δείλη. ἤδη δ' ἐκέλευον αὐτοὺς, ἐμφαγόντας, πο-
ρεύεσθαι. καὶ τὸν ἡγεμόνα δήσαντες, παραδιδόασιν αὐ-
τοῖς. καὶ συντίθενται τὴν μὲν νύκτα, ἢν λάβωσι τὸ ἄκρον,
τὸ

τὸ χωρίον φυλάττειν. ἅμα δὲ τῇ ἡμέρᾳ τῇ σάλπιγγι σημαίνειν, καὶ τοὺς μὲν ἄνω ὄντας ἰέναι ἐπὶ τοὺς κατέχοντας τὴν φανερὰν ἔκβασιν. αὐτοὶ δὲ συμβοηθήσειν ἐκβαίνοντες ὡς ἂν δύνωνται τάχιστα. ταῦτα συμβαίνουσιν. οἱ μὲν οὖν ἐπορεύοντο, πλῆθος ὡς δισχίλιοι, καὶ ὕδωρ πολὺ ἦν ἐξ οὐρανοῦ. Ξενοφῶν δὲ ἔχων τοὺς ὀπισθοφύλακας, ἡγεῖτο πρὸς τὴν φανερὰν ἔκβασιν, ὅπως ταύτῃ τῇ ὁδῷ οἱ πολέμιοι προσέχοιεν τὸν νοῦν, καὶ ὡς μάλιστα λάθοιεν οἱ περιιόντες. ἐπεὶ δὲ ἦσαν ἐπὶ χαράδραν οἱ ὀπισθοφύλακες, ἣν ἔδει διαβάντας πρὸς τὸ ὄρθιον ἐκβαίνειν, τηνικαῦτα ἐκύλινδον οἱ βάρβαροι, ὁλοιτρόχους ἁμαξιαίους, καὶ μείζους καὶ ἐλάττους λίθους, οἱ φερόμενοι, παίοντες πρὸς τὰς πέτρας, διεσφενδονῶντο, καὶ παντάπασιν οὐδὲ πελάσαι οἷόν τ' ἦν τῇ ὁδῷ. ἔνιοι δὲ τῶν λοχαγῶν, εἰ μὴ ταύτῃ δύναιντο, ἄλλῃ ἐπειρῶντο. καὶ ταῦτα ἐποίουν μέχρι σκότος ἐγένετο. ἐπεὶ δὲ ᾤοντο ἀφανεῖς εἶναι ἀπιόντες, τότε ἀπῆλθον ἐπὶ τὸ δεῖπνον. ἐτύγχανον δὲ καὶ ἀνάριστοι ὄντες αὐτῶν οἱ ὀπισθοφυλακήσαντες. οἱ μέντοι πολέμιοι οὐδὲν ἐπαύσαντο ὅλης τῆς νυκτὸς κυλινδοῦντες τοὺς λίθους. τεκμαίρεσθαι δ' ἦν τῷ ψόφῳ. οἱ δὲ ἔχοντες τὸν ἡγεμόνα, καὶ κύκλῳ περιιόντες, καταλαμβάνουσι τοὺς φύλακας, ἀμφὶ πῦρ καθημένους, καὶ τοὺς μὲν κατακτείναντες, τοὺς δὲ καταδιώξαντες, αὐτοὶ ἐνταῦθα ἔμενον, ὡς κατέχοντες τὸ ἄκρον. οἱ δ' οὐ κατεῖχον, ἀλλὰ μαστὸς ἦν ὑπὲρ αὐτῶν, παρ' ὃν ἦν ἡ στενὴ αὕτη ὁδός, ἐφ' ᾗ ἐκάθηντο οἱ φύλακες. ἔφοδος μέντοι αὐτόθεν ἐπὶ τοὺς πολεμίους ἦν, οἱ ἐπὶ τῇ φανερᾷ ὁδῷ ἐκάθηντο. καὶ τὴν μὲν νύκτα ἐνταῦθα διήγαγον. ἐπεὶ δὲ ἡμέρα ὑπέφαινεν, ἐπορεύοντο σιγῇ συντεταγμένοι ἐπὶ τοὺς πολεμίους. καὶ γὰρ ὁμίχλη ἐγένετο. ὥστε ἔλαθον ἐγγὺς προσελθόντες. ἐπεὶ δὲ εἶδον ἀλλήλους, ἥ τε σάλπιγξ ἐφθέγξατο, καὶ ἀλαλάξαντες οἱ Ἕλληνες ἵεντο εἰς τοὺς ἀνθρώπους. οἱ δ' οὐκ ἐδέξαντο, ἀλλὰ καταλιπόντες τὴν ὁδὸν φεύγοντες, ὀλίγοι ἀπέθνησκον. εὔζωνοι γὰρ ἦσαν. οἱ δ' ἀμφὶ Χειρίσοφον ἀκούσαντες τῆς σάλπιγγος, εὐθὺς ἵεντο ἄνω κατὰ τὴν φανερὰν ὁδόν. ἄλλοι δὲ τῶν στρατηγῶν, κατὰ ἀτριβεῖς ὁδοὺς ἐπορεύοντο, ᾗ ἔτυχον ἕκαστοι ὄντες, καὶ ἐκβάντες ὡς ἐδύναντο, ἀνίμων ἀλλήλους τοῖς δόρασι. καὶ οὗτοι μόνοι πρῶτοι συνέμιξαν τοῖς προκαταλαβοῦσι τὸ χωρίον. Ξενοφῶν δὲ ἔχων τῶν ὀπισθοφυλάκων τοὺς ἡμίσεις, ἐπορεύετο ᾗπερ οἱ τὸν ἡγεμόνα ἔχοντες. εὐοδωτάτη γὰρ ἦν τοῖς ὑποζυγίοις. τοὺς δ' ἡμίσεις ὄπισθεν τῶν ὑποζυγίων ἔταξε. πορευόμενοι δ' ἐντυγχάνουσι λόφῳ ὑπὲρ τῆς ὁδοῦ, κατειλημμένῳ ὑπὸ τῶν πολεμίων, οὓς ἢ ἀποκόψαι ἦν ἀνάγκη, ἢ διεζεῦχθαι ἀπὸ τῶν ἄλλων Ἑλλήνων. καὶ αὐτοὶ μὲν ἂν ἐπορεύθησαν, ᾗπερ οἱ ἄλλοι, τὰ δ' ὑποζύγια οὐκ ἦν ἄλλῃ ἢ ταύτῃ ἐκβῆναι. ἔνθα δὴ παρακελευσάμενοι ἀλλήλοις, προσβάλλουσι πρὸς τὸν λόφον, ὀρθίοις τοῖς λόχοις οὐ κύκλῳ, ἀλλὰ καταλιπόντες ἄφοδον τοῖς πολεμίοις εἰ βούλοιντο φεύγειν. καὶ ὁρῶντες αὐτοὺς ἀναβαίνοντας ὅπῃ ἐδύναντο ἕκαστος, οἱ βάρβαροι, οὔτε ἐτόξευον, οὔτε ἔβαλλον, ἐγγὺς ὁδοῦ προσιόντας, ἀλλὰ φυγῇ λείπουσι τὸ χωρίον. καὶ τοῦτόν τε παρεληλύθεισαν οἱ Ἕλληνες. καὶ ἕτερον ὁρῶντες ἔμπροσθεν λόφον κατεχόμενον, ἐπὶ τοῦτον αὖθις ἐδόκει πορεύεσθαι.

ἐννοήσας

locum ne relinquerent, mane tuba signum darent, ac deinde è superiori loco inuaderent eos, qui tritum illum exitum obsiderēt: prętores cum reliquo agmine quamcelerrime se euasuros affirmarunt. His ita constitutis, profecti illi sunt, ac per maximos quidem imbres: numerus is fuit hominum bis mille. Xenophon tergum agminis ad notum exitum deducebat, eo sane consilio, ut cum hostes eam unā uiam obseruarent, ad eos non attenderent qui per montes iter facerent. Verùm cum ad alueum quendam uentū esset, quo superato milites oportebat per aduersum cliuum euadere, hostes in eos globosa, & maiora ac minora saxa, quàm quę plaustris conuehi possent, deuoluere cœperunt: quę petris illisa, tanquam è fundis missa, cum impetu dissiliebāt. Quę res cum uiam infestissimam reddidisset, ex centurionibus nonnulli priore uia relicta, alia euadere aggressi sunt. Vbi uero per noctis tenebras eos qui profecti fuerant, iam non posse amplius conspici arbitrati sunt, ad corpora curanda se milites conuerterunt: erant etenim in extrema agminis parte omnes adhuc impransi. At hostes tota nocte nullum lapides deuoluendi, quod fragor ipse nostris indicabat, finem fecerunt. Interea montanę illę cohortes ducem suum sequutę, milites ex hostium pręsidio ad ignem sedentes offenderunt, quorum parte una cęsa, altera pulsa, locoq; occupato, primum illum tenere cogitarunt: deinde cū uerrucam iugo imminentem animaduertissent, atque ad eam angustum tramitem, in quo hostium pręsidium constiterat, unde erat ad eos qui tritam uiam obsederant, aditus, ad eam ipsam uerrucam transierunt. Cumq; noctem eo in loco peregissent, ubi illuxit, cum silentio directa acie in hostes contenderunt: iam densa autem circunfusa est nebula, ut quamproxime accesserint, prius quàm illi quicquam sensenint. Hic cum utrinque iam se conspicerent, tubę cecinerunt: deinde cum clamore & plausu Gręci barbaros adorti sunt. At illi impetum non sustinuerunt, sed pręsidio deserto fugam statim fecerunt. Pauci cęsi sunt, quod cum expediti essent, è periculo se eripuerunt. Tum qui Chirisophum sequebantur, tubę cantu audito, ad tritam uiam accurrerunt. Prętores alij per tramites, ut quis cuiq; proximus erat, contendebant: ac qui superiorem iam locum summo negocio tenuerant, hastis quasi aquam è puteis haurirent, inferiores tollebant. Atque hi primi se cum his coniunxerunt, qui iugi illum uerticem occuparant. Xenophon cum dimidia extremi agminis parte, eôdem quô cęteri qui ducem habebant, progrediebatur: erat enim ea iumentis multò ęquior uia: dimidia altera, ut impedimenta sequerentur, imperarat. Cum aliquantulum processissent, ad uerticem quendam peruenere, quem hostes occuparant, eos nisi cecidissent, necesse fuisset seorsum à cęteris Gręcis castra ponere. Et hominibus quidem uia patebat illa, quā cęteri iter faciebant, sed eadem iumenta nullo potuissent pacto euadere. Ibi mutuis adhortationibus incitati, ad uerticem contendunt, non in orbem explicatis, sed aduersis directisq; ordinibus, ne scilicet uia utrinque hostibus intercluderetur, si in fugam se illi uertissent. Enimuero cum Gręcos uidissent barbari ascendentes, neq; sagittam quisquam direxit, neque aliud teli genus in eos misit, sed repente se, qua quisque potuit, deserto pręsidio effugerunt: quare ex hoc etiam loco incolumes Gręci euaserunt. Ac cum alterum à fronte conspexissent iugum itidem ab hostibus occupatū, sine ulla cunctatione eò contendendum putarunt.

Atenim Xenophon cum ueretur, ne si quem uerticē iam occuparant, deseruissent, illum hostes reciperent, atq; ex eo iumenta transeuntia adorirentur, quæ nimirum ut in angusta uia, in longiorem seriem se explicuerant, eo in ipso uertice centuriones duos, Cephisodorum Cephisophōtis F. Atheniensem, & Archagoram Argiuum exulem, cum præsidio reliquit: ipse unà cum cæteris ad alterū iugum accessit, atq; id pari celeritate ceperunt. Restabat tertia adhuc uerruca, magis illa quidem ardua, quàm ea de qua deiecti sunt, qui superiore nocte ad ignem, ab ijs, qui sibi ultro negociū poposcerant, deprehensi fuerant. Hic Græci pari sunt usi fortuna: nā barbari sine ullo certamine, simulac Græci appropinquare cœperunt, statim deserta uerruca diffugerūt. Quæ res cunctis admirationi fuit: etsi non fuit difficile suspicari, ueritos illos ne undiq; à nostris circumuenirentur, fugæ tempus occupasse. Quare cum intuerentur quæ à tergo gerebantur, hi qui in summo iugo consederant, statim omnes ad eos, qui erant in subsidijs, se applicuerunt. Xenophon autem cum iunioribus in iugum ascendit, alios pedetentim usq; eo consequi iussit, quoad extremi centuriones se cum cæteris coniunxissent. In ipsa deinde uia, æquo loco, ut arma ponerent, imperauit. Interea Archagoras uenit, ex hostium manibus elapsus: is nostris nunciauit, deturbatos eos esse, qui primum tumulum occuparant: Cephisodorum, & Amphicraten occisos, cumq; ijs reliquos omnes, præter eos, qui cum è saxo quodam saltu se deiecissent, subsidia fuerant assequuti. Re igitur ita gesta, barbari in eum collem ascenderunt, qui uerrucæ ex aduerso erat. Cum ijs Xenophon per interpretem de conditionibus agere cœpit, ac suorum cadauera repetijt, quæ illi se reddituros spoponderunt, si tutos ab incendio pagos præstitisset. Id se præstare Xenophon affirmauit. Interea uero dum cæteræ copiæ prætereunt, ac de conditionibus agitur, eo ipso in loco hostes constiterunt, quem Græci omnes delapsi uacuum reliquerant: ac dum nostri è uerruca descendunt, in eum locum in quo paulo ante Xenophontis cohors arma posuerat, barbari cum clamore conferti impetum fecere: ac uerrucæ eius, è qua descenderat Xenophon, uertice occupato, saxa deuoluere cœperunt: his uni de nostris crus fractum est. Et Xenophontem quidem is, qui scutum ei præferebat, deseruit: in eum uero locum Eurylochus Lusiensis Arcas accurrit, & proiecto clypeo utrunq; protexit, in suum deinde locum pedem retulit. Alij item se intra suos quisq; ordines receperūt: cunctus deinde exercitus eodem in loco castra habuit. Ibi enim pagi multi fuerunt sane quampulchri, & cum cæteris copijs abundantissimi, tum uino, quod incolæ in pauimentatis lacubus conditum habebant. Hic Xenophon & Chirisophus perfecerunt, reddito eo quo duce usi fuerant, ut sibi hostes suorum cadauera redderent. Quibus cum iusta, patrio ritu, pro præsenti rerum copia, atq; hominum ipsorum dignitate, persoluissent, postero die sine ullo duce castra mouerunt. Hostes uero assidue insequebantur, ac ubi locorum angustias nacti essent, nostros exitu prohibere conabantur. Nostris id auxilio fuit, quod si se illi principijs opposuerant, Xenophon à tergo in montes ascendebat, deque superiore loco oppositum hostium globum dissipabat: sin extremos intercludere conabantur, à fronte Chirisophus è iugis eodem modo suis opem ferebat: atque ita alter alterum periculo liberabat, suoque uicissim officio strenuè uterque fungebatur. Nonnunquam & ijs qui

γνοὺς δὲ ὁ Ξενοφῶν, μὴ εἰς ἔρημον καταλίποι τὸν ἡλωκότα λόφον, καὶ πάλιν λαβόντες οἱ πολέμιοι, ἐπιθοῖντο τοῖς ὑποζυγίοις παριοῦσιν, ἐπὶ πολὺ δὲ ἦν τὰ ὑποζύγια, ἅτε διὰ στενῆς τῆς ὁδοῦ πορευόμενα, καταλείπει ἐπὶ τοῦ λόφου λοχαγούς, Κηφισόδωρον Κηφισοφῶντος Ἀθηναῖον, καὶ Ἀρχαγόραν Ἀργεῖον φυγάδα. αὐτὸς δὲ σὺν τοῖς λοιποῖς ἐπορεύετο ἐπὶ τὸν δεύτερον λόφον. καὶ τῷ αὐτῷ τρόπῳ καὶ τοῦτον αἱροῦσιν. ἔτι δὲ αὐτοῖς τρίτος μαστὸς λοιπὸς ἦν, πολὺ ὀρθιώτατος, ὁ ὑπὲρ τῆς ἐπὶ τῷ πυρὶ καταληφθείσης φυλακῆς τῆς νυκτὸς ὑπὸ τῶν ἐθελοντῶν. ἐπεὶ δ' ἐγγὺς ἦσαν οἱ Ἕλληνες, λείπουσιν οἱ Βάρβαροι ἀμαχητὶ τὸν μαστόν. ὥστε θαυμαστὸν γενέσθαι πᾶσι. καὶ ὑπώπτευον δείσαντας αὐτούς, μὴ κυκλωθέντες πολιορκοῖντο ἀπολιπεῖν. οἱ δὲ ἄρα ἀπὸ τοῦ ἄκρου καθορῶντες τὰ ὄπισθεν γιγνόμενα, πάντες ἐπὶ τοὺς ὀπισθοφύλακας ἐχώρουν. καὶ Ξενοφῶν μὲν σὺν τοῖς νεωτάτοις ἀνέβαινεν ἐπὶ τὸ ἄκρον. τοὺς δ' ἄλλους ἐκέλευσεν ὑπάγειν, ὅπως οἱ τελευταῖοι λοχαγοὶ προσμίξειαν. καὶ προελθόντας κατὰ τὴν ὁδὸν ἐν τῷ ὁμαλῷ θέσθαι τὰ ὅπλα, εἶπεν. καὶ ἐν τούτῳ τῷ χρόνῳ ἦλθεν Ἀρχαγόρας ὁ Ἀργεῖος πεφευγώς, καὶ λέγει ὡς ἀπεκόπησαν ἀπὸ τοῦ πρώτου λόφου, καὶ ὅτι τεθνᾶσι Κηφισόδωρος καὶ Ἀμφικράτης, καὶ ἄλλοι ὅσοι μὴ ἁλλόμενοι κατὰ τῆς πέτρας πρὸς τοὺς ὀπισθοφύλακας ἀφίκοντο. ταῦτα δὲ διαπραξάμενοι οἱ Βάρβαροι, ἧκον ἐπ' ἀντίπορον λόφον τῷ μαστῷ. καὶ Ξενοφῶν διελέγετο αὐτοῖς δι' ἑρμηνέως περὶ σπονδῶν, καὶ τοὺς νεκροὺς ἀπῄτει. οἱ δ' ἔφασαν ἀποδώσειν ἐφ' ᾧ μὴ καίειν τὰς κώμας. συνωμολόγει ταῦτα ὁ Ξενοφῶν. ἐν ᾧ δὲ τὸ μὲν ἄλλο στράτευμα παρῄει, οἱ δὲ ταῦτα διελέγοντο, πάντες οἱ ἐκ τούτου τοῦ τόπου συνερρύησαν. ἐνταῦθα ἵσταντο οἱ πολέμιοι. καὶ ἐπεὶ ἤρξαντο καταβαίνειν ἀπὸ τοῦ μαστοῦ πρὸς τοὺς ἄλλους, ἔνθα τὰ ὅπλα ἔκειντο, ἵεντο δὴ οἱ πολέμιοι πολλῷ πλήθει καὶ θορύβῳ. καὶ ἐπεὶ ἐγένοντο ἐπὶ τῆς κορυφῆς τοῦ μαστοῦ, ἀφ' οὗ Ξενοφῶν κατέβαινεν, ἐκύλινδον πέτρας, καὶ ἑνὸς μὲν κατέαξαν τὸ σκέλος. Ξενοφῶντα δὲ ὁ ὑπασπιστὴς ἔχων τὴν ἀσπίδα, ἀπέλιπεν. Εὐρύλοχος δὲ Λουσιεὺς Ἀρκάς, προσδραμὼν αὐτῷ ὁπλίτης, καὶ πρὸ ἀμφοῖν προβεβλημένος ἀπεχώρει. καὶ οἱ ἄλλοι πρὸς τοὺς συντεταγμένους ἀπῆλθον. ἐκ δὲ τούτου πᾶν ὁμοῦ ἐγένετο τὸ Ἑλληνικόν. καὶ ἐσκήνησαν αὐτοῦ ἐν πολλαῖς καὶ καλαῖς καὶ ἐπιτηδείοις δαψιλέσι. καὶ γὰρ οἶνος πολὺς ἦν, ὥστε ἐν λάκκοις κονιατοῖς εἶχον. Ξενοφῶν δὲ καὶ Χειρίσοφος διεπράξαντο, ὥστε λαβόντες τοὺς νεκροὺς, ἀποδοῦναι τὸν ἡγεμόνα. καὶ πάντα ἐποίησαν τοῖς ἀποθανοῦσιν ἐκ τῶν δυνατῶν, ὥσπερ νομίζεται ἀνδράσιν ἀγαθοῖς. τῇ δ' ὑστεραίᾳ ἄνευ ἡγεμόνος ἐπορεύοντο. μαχόμενοι δ' οἱ πολέμιοι, καὶ ὅπῃ εἴη στενὸν χωρίον προκαταλαμβάνοντες, ἐκώλυον τὰς παρόδους. ὁπότε μὲν οὖν τοὺς πρώτους κωλύοιεν, Ξενοφῶν ὄπισθεν ἐκβαίνων πρὸς τὰ ὄρη, ἔλυε τὴν ἀπόφραξιν τῆς παρόδου τοῖς πρώτοις, ἀνωτέρω πειρώμενος γίγνεσθαι τῶν κωλυόντων. ὁπότε δὲ τοῖς ὄπισθεν ἐπιθοῖντο, Χειρίσοφος ἐκβαίνων, καὶ πειρώμενος ἀνωτέρω γίγνεσθαι τῶν κωλυόντων, ἔλυε τὴν ἀπόφραξιν τῆς παρόδου τοῖς ὄπισθεν. καὶ ἀεὶ οὕτως ἐβοήθουν ἀλλήλοις, καὶ ἰσχυρῶς ἀλλήλων ἐπεμελοῦντο. ἦν δὲ ὁπότε καὶ αὐτοῖς τοῖς

τοῖς ἀναβᾶσι πολλὰ πράγματα παρεῖχον οἱ βάρβαροι πάλιν καταβαίνουσιν. ἐλαφροὶ γὰρ ἦσαν. ὥστε καὶ ἐγγύθεν φεύγοντες ἀποφεύγειν. οὐδὲν γὰρ ἄλλο εἶχον, ἢ τόξα καὶ σφενδόνας. ἄριστοι δὲ τοξόται ἦσαν. εἶχον δὲ τόξα ἐγγὺς τριπήχη. τὰ δὲ τοξεύματα πλέον ἢ διπήχη. εἷλκον δὲ τὰς νευρὰς ὁπότε τοξεύοιεν πρὸς τὸ κάτω τοῦ τόξου, τῷ ἀριστερῷ ποδὶ προσβαίνοντες. τὰ δὲ τοξεύματα ἐχώρει διὰ τῶν ἀσπίδων καὶ διὰ τῶν θωράκων. ἐχρῶντο δὲ αὐτοῖς οἱ ἕλληνες ὑπολαβόμενοι ἀκοντίοις ἐναγκυλῶντες. ἐν τούτοις τοῖς χωρίοις οἱ κρῆτες χρησιμώτατοι ἐγένοντο. ἦρχε δὲ αὐτῶν στρατοκλῆς κρής. ταύτην δ᾽ αὖ τὴν ἡμέραν ηὐλίσθησαν ἐν ταῖς κώμαις ταῖς ὑπὲρ τοῦ πεδίου τοῦ παρὰ τὸν κεντρίτην ποταμόν, εὖρος ὡς δίπλεθρον, ὃς ὁρίζει τὴν ἀρμενίαν καὶ τὴν τῶν καρδούχων χώραν. καὶ οἱ ἕλληνες ἐνταῦθα ἀνεπαύσαντο. ἀπέχει δὲ τῶν ὀρέων ὁ ποταμός, ὡς ἓξ ἢ ἑπτὰ στάδια τῶν καρδούχων. τότε μὲν οὖν ηὐλίσθησαν μάλα ἡδέως, καὶ τἀπιτήδεια ἔχοντες, καὶ πολλοὶ τῶν παρεληλυθότων πόνων μνημονεύοντες. ἑπτὰ γὰρ ἡμέρας, ὅσασπερ ἐπορεύθησαν διὰ τῶν καρδούχων, πάσας μαχόμενοι διετέλεσαν, καὶ ἔπαθον κακά, οἷα οὐδὲ τὰ σύμπαντα ὑπὸ βασιλέως καὶ τισσαφέρνους. ὡς οὖν ἀπηλλαγμένοι τούτων ἡδέως ἐκοιμήθησαν. ἅμα δὲ τῇ ἡμέρᾳ ὁρῶσιν ἱππέας πέραν τοῦ ποταμοῦ ἐξωπλισμένους, ὡς κωλύσοντας διαβαίνειν. πεζοὺς δ᾽ ἐπὶ ταῖς ὄχθαις παρατεταγμένους ἄνω τῶν ἱππέων, ὡς κωλύσοντας εἰς τὴν ἀρμενίαν ἐκβαίνειν. ἦσαν δὲ οὗτοι ὀρόντου καὶ ἀρτούχου ἀρμένιοι καὶ μυγδόνιοι, καὶ χαλδαῖοι μισθοφόροι. ἐλέγοντο δὲ οἱ χαλδαῖοι ἐλεύθεροι καὶ ἄλκιμοι εἶναι. ὅπλα δ᾽ εἶχον γέρρα μακρὰ καὶ λόγχας. αἱ δὲ ὄχθαι αὗται, ἐφ᾽ ὧν παρατεταγμένοι οὗτοι ἦσαν, τρία ἢ τέτταρα πλέθρα ἀπὸ τοῦ ποταμοῦ ἀπεῖχον. ὁδὸς δὲ μία ἡ ὁρωμένη ἦν, ἄγουσα ἄνω ὥσπερ χειροποίητος. ταύτῃ ἐπειρῶντο διαβαίνειν οἱ ἕλληνες. ἐπεὶ δὲ πειρωμένοις, τό, τε ὕδωρ ὑπὲρ τῶν μαστῶν ἐφαίνετο, καὶ τραχὺς ἦν ὁ ποταμός, μεγάλοις λίθοις καὶ ὀλισθηροῖς, καὶ οὔτε ἐν τῷ ὕδατι τὰ ὅπλα ἦν ἔχειν. εἰ δὲ μή, ἥρπαζεν ὁ ποταμός, ἐπί τε τῆς κεφαλῆς τὰ ὅπλα εἴ τις φέροι, γυμνοὶ ἐφέροντο πρὸς τὰ τοξεύματα καὶ τὰ ἄλλα βέλη. ἀνεχώρησαν οὖν καὶ αὐτοῦ ἐστρατοπεδεύσαντο παρὰ τὸν ποταμόν. ἔνθα δὲ αὐτοὶ τὴν πρόσθεν νύκτα ἦσαν ἐπὶ τοῦ ὄρους, ἑώρων τοὺς καρδούχους, πολλοὺς συνειλεγμένους τοῖς ὅπλοις. ἐνταῦθα δὴ πολλὴ ἀθυμία ἦν τοῖς ἕλλησιν, ὁρῶσι μὲν τοῦ ποταμοῦ τὴν δυσπορίαν, ὁρῶσι δὲ τοὺς διαβαίνειν κωλύσοντας, ὁρῶσι δὲ τοῖς διαβαίνουσιν ἐπικεισομένους τοὺς καρδούχους ὄπισθεν. ταύτην μὲν οὖν τὴν ἡμέραν καὶ τὴν νύκτα ἔμειναν ἐν πολλῇ ἀπορίᾳ ὄντες. ξενοφῶν δὲ ὄναρ εἶδεν. ἔδοξεν ἐν πέδαις δεδέσθαι. αὗται δὲ αὐτῷ αὐτόμαται περιρραγῆναι, ὥστε λυθῆναι, διαβαίνειν ὁπόσον ἐβούλετο. ἐπεὶ δὲ ὄρθρος ἦν, ἔρχεται πρὸς τὸν χειρίσοφον, καὶ λέγει, ὅτι ἐλπίδας ἔχει καλῶς ἔσεσθαι, καὶ διηγεῖται αὐτῷ τὸ ὄναρ. ὁ δὲ ἥδετό τε, καὶ ὡς τάχιστα ἕως ὑπέφαινεν ἐθύοντο πάντων παρόντων οἱ στρατηγοί, καὶ τὰ ἱερὰ καλὰ ἦν εὐθὺς ἀπὸ τοῦ πρώτου, καὶ ἀπιόντες ἀπὸ τῶν ἱερῶν οἱ στρατηγοὶ καὶ λοχαγοί, παρήγγελλον τῇ στρατιᾷ ἀριστοποιεῖσθαι. ἀριστῶντι δὲ τῷ ξενοφῶντι, προσέτρεχον δύο νεανίσκω. ᾔδεσαν γὰρ πάντες, ὅτι ἐξείη αὐτῷ

καὶ

qui iam cliuum superassent, dum iam descenderent, barbari negocium facessebant, quippe qui agiles erant: ac cum uel proxime accessissent, facilime effugere possent: nulla enim in his alia arma, quàm arcus & fundæ. Erãt hi sagittandi peritissimi: arcubus utebantur ternûm cubitùm, sagittis nihilo binûm cubitûm breuioribus: neruum intendebãt, applicato ad imum arcum læuo pede: sagittæ, scuta & loricas penetrabant. Eas nostri, si nacti essent, amentabant, ac pro iaculis utebantur. In his locis perutiles Cretenses fuere: his autẽ Cretensis Stratocles præerat. Atq; eo quidem die in uicis commorati sunt, supra eos campos, per quos Centrites amnis fluit. Eius amnis latitudo est pass. c c. Armeniamq; à Carduchis diuidit: abest à Carduchorum montibus stad. v i. aut ad summum v i i. Hic Græci iucundissimo diuersorio usi sunt, ac in rerum omnium copia, labores quos antè pertulerant, cum quadam (ut fit) uoluptate recordabantur. v i i. enim dies, per quos iter per Carduchos fecerant, tam graues, tamq; iniquos, propter crebras atque adeo perpetuas pugnas perpessi fuerant, ut cum his uniuersa incommoda ac molestiæ, quibus à rege ac Tissapherne affecti fuerant, nulla ex parte cõferendæ essent. Maximis itaq; defuncti periculis, hoc in loco suauissime pernoctarunt. Sequenti uero die trans flumen equites armatos cõspicati sunt, qui se traijcientibus oppositurí uidebantur. Conspicati etiã sunt pedites in tumulis seorsum ab equitibus instructos, ad nostros scilicet Armeniæ aditu prohibendos. Erant autem hi Orontis & Artuchi, ex Armenia, Mygdonia, & Chaldæis mercenarij. Et Chaldæos quidem fama erat liberos esse & bellica uirtute præstare. Arma his prægrandes cetræ, & lanceæ. Aberant hi tumuli, in quibus acie constiterant, ab amnis alueo passus l. x. aut ad summũ l x x x. & unica erat uia, quasi manu facta, quæ ad ulteriorem partem ducebat. Ea igitur Græci cum traijcere conarẽtur, in aqua mammis tenus mergebantur: amnis inter magna & lubrica saxa rapidissime ferebatur, quare armati ingredi non poterant: quod si arma capite portarent, hostiũ sagittis ac reliquis missilibus nudata corpora præbebant. Retrocesserunt igitur, ac propter ipsum flumen castra locarunt.

Quo uero in loco superiorem noctem egerant, in ipsis montibus magnum Carduchorũ globum in armis conspexerunt: ex quo rebus suis uehementer diffidere cœperunt. Videbant enim amnis importunitatem: in aduersa ripa, qui obsistere parati essent: in citeriore Carduchos, qui agminis tergum dum traijcerent, oppugnaturi uidebantur. In hac trepidatione ac metu cum diem & noctem unam consumpsissent, Xenophonti in somnis nonnulla salutis spes ostentata est. Is enim in quiete se compedibus distineri putauit: eas uero compedes, quibus distineretur, uidere uisus est repente rumpi, seq; liberum ac solutum quo uellet cunq; ingredi. Quamobrem diluculo ad Chirisophum ueniens, ei somnium exponit, cum præfatus esset in posterum optime sperandum. Id ille cum audisset, lætatus est. Vt primum illuxit, omnes qui aderant prætores rem diuinam fecerunt. Cumq; esset pulcherrimè litatum, prætores ac centuriones à sacris ad suos quisq; milites reuersi, cibum ut caperent, imperant. Hic ad Xenophontem dum pranderet, adolescentes duo accurrerunt, quod omnes norant ad

cum

Atenim Xenophon cum uereretur, ne si quem uerticẽ iam occuparant, deseruissent, illum hostes reciperent, atq; ex eo iumenta transeuntia adorirentur, quæ nimirum ut in angusta uia, in longiorem seriem se explicuerant, eo in ipso uertice centuriones duos, Cephisodorum Cephisophõtis F. Athenienſem, & Archagoram Argiuum exulem, cum præsidio reliquit: ipſe unà cum cæteris ad alterũ iugum acceßit, atq; id pari celeritate ceperunt. Restabat tertia adhuc uerruca, magis illa quidem ardua, quàm ea de qua deiecti ſunt, qui ſuperiore nocte ad ignem, ab ijs, qui ſibi ultro negociũ popoſcerant, deprehenſi fuerant. Hic Græci pari ſunt uſi fortuna: nã barbari ſine ullo certamine, ſimulac Græci appropinquare cœperunt, ſtatim deſerta uerruca diffugerũt. Quæ res cunctis admirationi fuit: etſi non fuit difficile ſuſpicari, ueritos illos ne undiq; à noſtris circumuenirentur, fugæ tempus occupaſſe. Quare cum intuerentur quæ à tergo gerebantur, hi qui in ſummo iugo conſederant, ſtatim omnes ad eos, qui erant in ſubſidijs, ſe applicuerunt. Xenophon autem cum iunioribus in iugum aſcendit, alios pedetentim uſq; eo conſequi iuſsit, quoad extremi centuriones ſe cum cæteris coniunxiſſent. In ipſa deinde uia, æquo loco, ut arma ponerent, imperauit. Interea Archagoras uenit, ex hoſtium manibus elapſus: is noſtris nunciauit, deturbatos eos eſſe, qui primum tumulum occuparant: Cephiſodorum, & Amphicraten occiſos, cumq; ijs reliquos omnes, præter eos, qui cum è ſaxo quodam ſaltu ſe deiecißent, ſubſidia fuerant aſſequuti. Re igitur ita geſta, barbari in eum collem aſcenderunt, qui uerrucæ ex aduerſo erat. Cum ijs Xenophon per interpretem de conditionibus agere cœpit, ac ſuorum cadauera repetijt, quæ illi ſe reddituros ſpoponderunt, ſi tutos ab incendio pagos præſtitiſſet. Id ſe præſtare Xenophon affirmauit. Interea uero dum cæteræ copiæ prætereunt, ac de conditionibus agitur, eo ipſo in loco hoſtes conſtiterunt, quem Græci omnes dilapſi uacuum reliquerant: ac dum noſtri è uerruca deſcendunt, in eum locum in quo paulo ante Xenophontis cohors arma poſuerat, barbari cum clamore conferti impetum fecere: ac uerrucæ eius, è qua deſcenderat Xenophon, uertice occupato, ſaxa deuoluere cœperunt: his uni de noſtris crus fractum eſt. Et Xenophontem quidem is, qui ſcutum ei præferebat, deſeruit: in eius uero locum Eurylochus Luſienſis Arcas accurrit, & protecto clypeo utrunq; protexit, in ſuum deinde locum pedem retulit. Alij item ſe intra ſuos quiſq; ordines receperũt: cunctus deinde exercitus eodem in loco caſtra habuit. Ibi enim pagi multi fuerunt ſane quampulchri, & cum cæteris copijs abundantißimi, tum uino, quod incolæ in pauimentatis lacubus conditum habebant. Hic Xenophon & Chiriſophus perfecerunt, reddito eo quo duce uſi fuerant, ut ſibi hoſtes ſuorum cadauera redderent. Quibus cum iuſta, patrio ritu, pro præſenti rerum copia, atq; hominum ipſorum dignitate, perſoluiſſent, poſtero die ſine ullo duce caſtra mouerunt. Hoſtes uero aſsidue inſequebantur, ac ubi locorum anguſtias nacti eſſent, noſtros exitu prohibere conabantur. Noſtris id auxilio fuit, quod ſi ſe illi principijs oppoſuerant, Xenophon à tergo in montes aſcendebat, déque ſuperiore loco oppoſitum hoſtium globum diſſipabat: ſin extremos intercludere conabantur, à fronte Chiriſophus è iugis eodem modo ſuis opem ferebat: atque ita alter alterum periculo liberabat, ſuóque uiciſsim officio ſtrenuè uterque fungebatur. Nonnunquam & ijs qui

γνοὺς δ' ὁ Ξενοφῶν, μὴ εἰς ἔρημον καταλίπῃ τὸν ἤδη ἑαλωκότα λόφον, καὶ πάλιν λαβόντες οἱ πολέμιοι, ἐπιθοῖντο τοῖς ὑποζυγίοις παριοῦσιν, ἦν πολὺ δὲ ἐπὶ τὰ ὑποζύγια, ἅτε διὰ στενῆς τῆς ὁδοῦ πορευόμενα, καταλείπει ἐπὶ τοῦ λόφου λοχαγούς, Κηφισόδωρον Κηφισοφῶντος Ἀθηναῖον, καὶ Ἀρχαγόραν Ἀργεῖον φυγάδα. αὐτὸς δὲ σὺν τοῖς λοιποῖς ἐπορεύετο ἐπὶ τὸν δεύτερον λόφον. καὶ τῷ αὐτῷ τρόπῳ καὶ τοῦτον αἱροῦσιν. ἔτι δ' αὐτοῖς τρίτος μαστὸς λοιπὸς ἦν, πολὺ ὀρθιώτατος, ὁ ὑπὲρ τῆς ἐπὶ τῷ πυρὶ καταληφθείσης φυλακῆς τῆς νυκτὸς ὑπὸ τῶν ἐθελόντων. ἐπεὶ δ' ἐγγὺς ἦσαν οἱ Ἕλληνες, λείπουσιν οἱ βάρβαροι ἀμαχητὶ τὸν μαστόν. ὥστε θαυμαστὸν γενέσθαι πᾶσι. καὶ ὑπώπτευον δείσαντας αὐτούς, μὴ κυκλωθέντες πολιορκοῖντο ἀπολείπειν. οἱ δὲ ἄρα ἀπὸ τοῦ ἄκρου καθορῶντες τὰ ὄπισθεν γιγνόμενα, πάντες ἐπὶ τοὺς ὀπισθοφύλακας ἐχώρουν. καὶ Ξενοφῶν μὲν σὺν τοῖς νεωτάτοις ἀνέβαινεν ἐπὶ τὸ ἄκρον. τοὺς δὲ ἄλλους ἐκέλευσεν ὑπάγειν, ὅπως οἱ τελευταῖοι λοχαγοὶ προσμίξειαν. καὶ προελθόντας κατὰ τὴν ὁδὸν ἐν τῷ ὁμαλῷ θέσθαι τὰ ὅπλα, εἶπεν. καὶ ἐν τούτῳ τῷ χρόνῳ ἦλθεν Ἀρχαγόρας ὁ Ἀργεῖος πεφευγώς, καὶ λέγει ὡς ἀπεκόπησαν ἀπὸ τοῦ πρώτου λόφου, καὶ ὅτι τεθνᾶσι Κηφισόδωρος καὶ Ἀμφικράτης, καὶ ἄλλοι ὅσοι μὴ ἁλόμενοι κατὰ τῆς πέτρας πρὸς τοὺς ὀπισθοφύλακας ἀφίκοντο. ταῦτα δὲ διαπραξάμενοι οἱ βάρβαροι, ἧκον ἐπ' ἀντίπορον λόφον τῷ μαστῷ. καὶ Ξενοφῶν διελέγετο αὐτοῖς δι' ἑρμηνέως περὶ σπονδῶν, καὶ τοὺς νεκροὺς ἀπῄτει. οἱ δ' ἔφασαν ἀποδώσειν, ἐφ' ᾧ μὴ καίειν τὰς κώμας. συνωμολόγει ταῦτα ὁ Ξενοφῶν. ἐν ᾧ δὲ τὸ μὲν ἄλλο στράτευμα παρῄει, οἱ δὲ ταῦτα διελέγοντο, πάντες οἱ ἐκ τούτου τοῦ τόπου συνερρύησαν. ἐνταῦθα ἵσταντο οἱ πολέμιοι. καὶ ἐπεὶ ἤρξαντο καταβαίνειν ἀπὸ τοῦ μαστοῦ πρὸς τοὺς ἄλλους, ἔνθα τὰ ὅπλα ἔκειντο, ἵεντο δὴ οἱ πολέμιοι πολλῷ πλήθει καὶ θορύβῳ. καὶ ἐπεὶ ἐγένοντο ἐπὶ τῆς κορυφῆς τοῦ μαστοῦ, ἀφ' οὗ Ξενοφῶν κατέβαινεν, ἐκύλινδον πέτρας, καὶ ἑνὸς μὲν κατέαξαν τὸ σκέλος. Ξενοφῶντα δὲ ὁ ὑπασπιστὴς ἔχων τὴν ἀσπίδα, ἀπέλιπεν. Εὐρύλοχος δὲ Λουσιεὺς Ἀρκάς, προσδραμὼν αὐτῷ ὁπλίτης, καὶ πρὸ ἀμφοῖν προβεβλημένος ἀπεχώρει. καὶ οἱ ἄλλοι πρὸς τοὺς συντεταγμένους ἀπῆλθον. ἐκ δὲ τούτου πᾶν ὁμοῦ ἐγένετο τὸ Ἑλληνικόν. καὶ ἐσκήνωσαν αὐτοῦ ἐν πολλαῖς καὶ καλαῖς οἰκίαις καὶ ἐπιτηδείοις δαψιλέσι. καὶ γὰρ οἶνος πολὺς ἦν, ὥστε ἐν λάκκοις κονιατοῖς εἶχον. Ξενοφῶν δὲ καὶ Χειρίσοφος διεπράξαντο, ὥστε λαβόντες τοὺς νεκρούς, ἀποδοῦναι τὸν ἡγεμόνα. καὶ πάντα ἐποίησαν τοῖς ἀποθανοῦσιν ἐκ τῶν δυνατῶν, ὥσπερ νομίζεται ἀνδράσιν ἀγαθοῖς. τῇ δ' ὑστεραίᾳ ἄνευ ἡγεμόνος ἐπορεύοντο. μαχόμενοι δ' οἱ πολέμιοι, καὶ ὅπῃ εἴη στενὸν χωρίον προκαταλαμβάνοντες, ἐκώλυον τὰς παρόδους. ὁπότε μὲν οὖν τοὺς πρώτους κωλύοιεν, Ξενοφῶν ὄπισθεν ἐκβαίνων πρὸς τὰ ὄρη, ἔλυε τὴν ἀπόφραξιν τῆς παρόδου τοῖς πρώτοις, ἀνωτέρω πειρώμενος γίγνεσθαι τῶν κωλυόντων. ὁπότε δὲ τοῖς ὄπισθεν ἐπιθοῖντο, Χειρίσοφος ἐκβαίνων, καὶ πειρώμενος ἀνωτέρω γίγνεσθαι τῶν κωλυόντων, ἔλυε τὴν ἀπόφραξιν τῆς παρόδου τοῖς ὄπισθεν. καὶ ἀεὶ οὕτως ἐβοήθουν ἀλλήλοις, καὶ ἰσχυρῶς ἀλλήλων ἐπεμελοῦντο. ἦν δὲ ὁπότε καὶ αὐτοῖς τοῖς

τοῖς ἀναβᾶσι πολλὰ πράγματα παρεῖχον οἱ βάρβαροι πάλιν καταβαίνουσιν. ἐλαφροὶ γὰρ ἦσαν. ὥστε καὶ ἐγγύθεν φεύγοντες ἀποφεύγειν. οὐδὲν γὰρ ἄλλο εἶχον, ἢ τόξα καὶ σφενδόνας. ἄριστοι δὲ τοξόται ἦσαν. εἶχον δὲ τόξα ἐγγὺς τριπήχη. τὰ δὲ τοξεύματα πλέον ἢ διπήχη. εἷλκον δὲ τὰς νευρὰς ὁπότε τοξεύοιεν πρὸς τὸ κάτω τοῦ τόξου, τῷ ἀριστερῷ ποδὶ προβαίνοντες. τὰ δὲ τοξεύματα ἐχώρει διὰ τῶν ἀσπίδων καὶ διὰ τῶν θωράκων. ἐχρῶντο δὲ αὐτοῖς οἱ Ἕλληνες ἐπειδὴ λάβοιεν ἀκοντίοις ἐναγκυλῶντες. ἐν τούτοις τοῖς χωρίοις οἱ Κρῆτες χρησιμώτατοι ἐγένοντο. ἦρχε δὲ αὐτῶν Στρατοκλῆς Κρής. ταύτην δ' αὖ τὴν ἡμέραν ηὐλίσθησαν ἐν ταῖς κώμαις ταῖς ὑπὲρ τοῦ πεδίου τοῦ παρὰ τὸν Κεντρίτην ποταμόν, εὖρος ὡς δίπλεθρον, ὃς ὁρίζει τὴν Ἀρμενίαν καὶ τὴν τῶν Καρδούχων χώραν. καὶ οἱ Ἕλληνες ἐνταῦθα ἀνεπαύσαντο. ἀπεῖχε δὲ τῶν ὀρέων ὁ ποταμὸς, ὡς ἓξ ἢ ἑπτὰ στάδια τῶν Καρδούχων. τότε μὲν οὖν ηὐλίσθησαν μάλα ἡδέως, καὶ τἀπιτήδεια ἔχοντες, καὶ πολλοὶ τῶν παρεληλυθότων πόνων μνημονεύοντες. ἑπτὰ γὰρ ἡμέρας, ὅσασπερ ἐπορεύθησαν διὰ τῶν Καρδούχων, πάσας μαχόμενοι διετέλεσαν, καὶ ἔπαθον κακὰ, ὅσα οὐδὲ τὰ σύμπαντα ὑπὸ βασιλέως καὶ Τισσαφέρνους. ὡς οὖν ἀπηλλαγμένοι τούτων ἡδέως ἐκοιμήθησαν. ἅμα δὲ τῇ ἡμέρᾳ ὁρῶσιν ἱππέας πέραν τοῦ ποταμοῦ ἐξωπλισμένους, ὡς κωλύσοντας διαβαίνειν. πεζοὺς δ' ἐπὶ ταῖς ὄχθαις παρατεταγμένους ἄνω τῶν ἱππέων, ὡς κωλύσοντας εἰς τὴν Ἀρμενίαν ἐκβαίνειν. ἦσαν δ' οὗτοι Ὀρόντου καὶ Ἀρτούχου Ἀρμένιοι καὶ Μυγδόνιοι, καὶ Χαλδαῖοι μισθοφόροι. ἐλέγοντο δὲ οἱ Χαλδαῖοι ἐλεύθεροι καὶ ἄλκιμοι εἶναι. ὅπλα δ' εἶχον γέρρα μακρὰ καὶ λόγχας. αἱ δὲ ὄχθαι αὗται, ἐφ' ὧν παρατεταγμένοι οὗτοι ἦσαν, τρία ἢ τέτταρα πλέθρα ἀπὸ τοῦ ποταμοῦ ἀπεῖχον. ὁδὸς δὲ μία ἡ ὁρωμένη ἦν, ἄγουσα ἄνω ὥσπερ χειροποίητος. ταύτῃ ἐπειρῶντο διαβαίνειν οἱ Ἕλληνες. ἐπεὶ δὲ πειρωμένοις, τό, τε ὕδωρ ὑπὲρ τῶν μαστῶν ἐφαίνετο, καὶ τραχὺς ἦν ὁ ποταμὸς, μεγάλοις λίθοις καὶ ὀλισθηροῖς, καὶ οὔτε ἐν τῷ ὕδατι τὰ ὅπλα ἦν ἔχειν. εἰ δὲ μή, ἥρπαζεν ὁ ποταμός, ἐπί τε τῆς κεφαλῆς τὰ ὅπλα εἴ τις φέροι, γυμνοὶ ἐγίγνοντο πρὸς τὰ τοξεύματα καὶ τὰ ἄλλα βέλη. ἀνεχώρησαν οὖν καὶ αὐτοῦ ἐστρατοπεδεύσαντο παρὰ τὸν ποταμόν. ἔνθα δὲ αὐτοὶ τὴν πρόσθεν νύκτα ἦσαν ἐπὶ τοῦ ὄρους, ἑώρων τοὺς Καρδούχους, πολλοὺς συνειλεγμένους τοῖς ὅπλοις. ἐνταῦθα δὴ πολλὴ ἀθυμία ἦν τοῖς Ἕλλησιν, ὁρῶσι μὲν τοῦ ποταμοῦ τὴν δυσπορίαν, ὁρῶσι δὲ τοὺς διαβαίνειν κωλύσοντας, ὁρῶσι δὲ τοῖς διαβαίνουσιν ἐπικεισομένους τοὺς Καρδούχους ὄπισθεν. ταύτην μὲν οὖν τὴν ἡμέραν καὶ τὴν νύκτα ἔμειναν ἐν πολλῇ ἀπορίᾳ ὄντες. Ξενοφῶν δὲ ὄναρ εἶδεν. ἔδοξεν ἐν πέδαις δεδέσθαι, αὗται δὲ αὐτῷ αὐτόματοι περιρρυῆναι, ὥστε λυθῆναι, καὶ διαβαίνειν ὁπόσον ἐβούλετο. ἐπεὶ δὲ ὄρθρος ἦν, ἔρχεται πρὸς τὸν Χειρίσοφον, καὶ λέγει, ὅτι ἐλπίδας ἔχει καλὰς ἔσεσθαι, καὶ διηγεῖται αὐτῷ τὸ ὄναρ. ὁ δὲ ἥδετό τε, καὶ ὡς τάχιστα ἕως ὑπέφαινεν ἐθύοντο πάντες παρόντες οἱ στρατηγοί, καὶ τὰ ἱερὰ καλὰ ἦν εὐθὺς ἀπὸ τοῦ πρώτου, καὶ ἀπιόντες ἀπὸ τῶν ἱερῶν οἱ στρατηγοὶ καὶ λοχαγοὶ, παρήγγελλον τῇ στρατιᾷ ἀριστοποιεῖσθαι. ἀριστῶντι δὲ τῷ Ξενοφῶντι, προσέτρεχον δύο νεανίσκω. ᾔδεσαν γὰρ πάντες, ὅτι ἐξείη αὐτῷ

qui iam cliuum superassent, dum iam descenderent, barbari negocium facessebant, quippe qui agiles erant: ac cum uel proxime accessissent, facilime effugere possent: nulla enim in his alia arma, quàm arcus & fundæ. Erãt hi sagittandi peritissimi: arcubus utebantur ternûm cubitûm, sagittis nihilo binûm cubitûm breuioribus: neruum intendebãt, applicato ad imum arcum læuo pede: sagittæ, scuta & loricas penetrabant. Eas nostri, si nacti essent, amentabant, ac pro iaculis utebantur. In his locis perutiles Cretenses fuere: his autẽ Cretensis Stratocles præerat. Atq; eo quidem die in uicis commorati sunt, supra eos campos, per quos Centrites amnis fluit. Eius amnis latitudo est pass. C C. Armeniamq; à Carduchis diuidit: abest à Carduchorum montibus stad. VI. aut ad summum VII. Hic Græci iucundissimo diuersorio usi sunt, ac in rerum omnium copia, labores quos antè pertulerant, cum quadam (ut fit) uoluptate recordabantur. VII. enim dies, per quos iter per Carduchos fecerant, tam graues, tamq; iniquos, propter crebras atqueadeo perpetuas pugnas perpessi fuerant, ut cum his uniuersa incommoda ac molestiæ, quibus à rege ac Tissapherne affecti fuerant, nulla ex parte cõferendæ essent. Maximis itaq; defuncti periculis, hoc in loco suauissime pernoctarunt. Sequenti uero die trans flumen equites armatos cõspicati sunt, qui se traijcientibus opposituri uidebantur. Conspicati etiã sunt pedites in tumulis seorsum ab equitibus instructos, ad nostros scilicet Armeniæ aditu prohibendos. Erant autem hi Orontis & Artuchi, ex Armenus, Mygdonia, & Chaldæis mercenarij. Et Chaldæos quidem fama erat liberos esse & bellica uirtute præstare. Arma his prægrandes cetræ, & lanceæ. Aberant hi tumuli, in quibus acie constiterant, ab amnis alueo passus L X. aut ad summũ L X X X. & unica erat uia, quasi manu facta, quæ ad ulteriorem partem ducebat. Ea igitur Græci cum traijcere conarẽtur, in aqua mammis tenus mergebantur: amnis inter magna & lubrica saxa rapidissime ferebatur, quare armati ingredi non poterant: quod si arma capite portarent, hostiũ sagittis ac reliquis missilibus nudata corpora præbebant. Retrocesserunt igitur, ac propter ipsum flumen castra locarunt. Quo uero in loco superiorem noctem egerant, in ipsis montibus magnum Carduchorũ globum in armis conspexerunt: ex quo rebus suis uehementer diffidere cœperunt. Videbant enim amnis importunitatem: in aduersa ripa, qui obsistere parati essent: in citeriore Carduchos, qui agminis tergum dum traijcerent, oppugnaturi uidebantur. In hac trepidatione ac metu cum diem & noctem unam consumpsissent, Xenophonti in somnis nonnulla salutis spes ostentata est. Is enim in quiete se compedibus distineri putauit: eas uero compedes, quibus distineretur, uidere uisus est repente rumpi, seq; liberum ac solutum quo uellet cunq; ingredi. Quamobrem diluculo ad Chirisophum ueniens, ei somnium exponit, cum præfatus esset in posterum optime sperandum. Id ille cum audisset, lætatus est. Vt primum illuxit, omnes qui aderant prætores rem diuinam fecerunt. Cumq; esset pulcherrimè litatum, prætores ac centuriones à sacris ad suos quisq; milites reuersi, cibum ut capiant, imperant. Hic ad Xenophontem dum pranderet, adolescentes duo accurrerunt, quod omnes norant ad

cum unum facilmos, uel cum cibum caperet, aditum esse:
quin & dormientem se excitari idem facile patiebatur,
si quis quid attulisset, quod bellicæ rei conduceret. Nar/
rarunt igitur illi, se forte dum ad ignem in ripa sarmen
ta colligunt, in aduersæ ripæ saxis flumini imminentib.
senem conspexisse, mulierem, & puellas quasdam, quæ
uestiū inuolucra quedā in specu abderēt: id cū uidissēt,
existimasse tuto se traijcere posse, quod hostiū equitatus
propter loci asperitatē eo non posset accedere. Vestibus
itaq; depositis, ac sicis eductis, quippe qui sibi natandum 10
putarēt, ita traiecisse, ut ne supra femur quidē mergeren
tur. Amne itaq; superato, ac uestib. ablatis, eodē se uado
reuersos. Id cum Xenophon audisset, et ipse dis libauit,
& adolescentib. fundi iussit: tum peractis libationib. ac
uotis nuncupatis. ijs nempe dijs qui somniū obtulissent,
quiq; uadum fluminis mōstrassent, ad Chirisophū statim
adolescentes deduxit: qui cum singula audisset, rem diui
nam fecit. Tum multitudini, ut uasa colligerēt, denuncia
uit: ac deinde adhibitis cæteris prætorib. de tota traijcien
di ratione cum ijs unà consiliū cepit: illud in primis, qui 20
& aduersos uincerent, & ab insequentibus tuti essent.
Ita uerò constitutum est, ut Chirisophus agmen duce/
ret, ac prior cum dimidia exercitus parte traijceret: al/
tera uero dimidia pars Xenophontem sequeretur: iu/
menta ac turbæ reliquum, in medium agmen includere/
tur. His ita, uti maxime oportuit, confectis, iter ingressi
sunt. Præibant quo illi adolescentes, relicto ad læuam a/
mne. Via quæ ad uadum ducebat IIII. ferme stadium e/
rat. Contra nostros, ex altera fluminis parte, hostes pro/
cedebant. Vbi ad uadum ipsum uentum est, arma pri/ 30
mum posuerunt. Deinde Chirisophus primus omnium co
ronam cepit, ac ueste posita arma iterum sumpsit, tum a/
lijs ut idem facerent, imperauit. Iussit autem cēturiones,
aciem utrinq; directam, ad dextrā læuamq; agere. Ibi ua
tes hostias ad flumen ceciderūt. Interea hostes sagittas
in nostros, atq; e fundis glandes mittebant, quæ nostros
neutiquam attingere poterāt. Postea uero quàm bene ex
ta promiserūt, milites cūcti simul cum plausu pæanē ce/
cinerūt: quem plausum & ipsæ mulieres (erāt. n. nō pa/
rum multa in exercitu scorta) lætū tollentes clamorē, cō 40
probarunt. Tum in fluuiū Chirisophus cum suis cohorti
bus intrauit. Interea Xenophō cum expeditissimis ab ex
tremo agmine, citatissimo cursu ad uadū illud amnis, un
de paulo ante discesserāt, recurrit, ac unde in Armenio/
rum mōtes exitus patebat: id adeo simulās ea se traiectu
rum, quo hostilem equitatum intercluderet. Hic hostes,
cum Chirisophū animaduertissent non magno negocio
amnē traijcere, Xenophontē uero pristinū uadum cele
ritate summa repetere, ueriti ne reuera intercluderētur,
in fugam cōuersi, incitato quoad eius fieri potuit, cursu, 50
se ad eum tramitē, qui ab amne ad mōtes ducebat, rece/
perūt. ac ad ipsam quidē uiam cū iam peruenissent, rectà
ad mōtes contenderūt. Quos ubi iam effuse fugiētes Ly
cius, qui aliquot equitū turmas, Aeschines item qui Chi
risophi cetratos ducebat, conspexere, statim eos insequi
cœperunt. Milites uero cæteri cum clamore rogabāt, ne
à se longius discederent, atq; ut secum in montes unà a/
scenderent. At Chirisophus simulac ulteriorem ripam te
nuit, equites ille quidem insequutus non est: uerum in
eos cursum cōuertit, qui in proximis tumulis cōstiterant.

Qui

libando gratias agebant.

καὶ ἀριστῶντι καὶ δειπνοῦντι προσελθεῖν, καὶ εἰ καθεύδοι
ἐπεγείραντα εἰπεῖν, εἴ τίς τι ἔχοι τῶν πρὸς τὸν πόλε-
μον. καὶ τότε ἔλεγον, ὅτι τυγχάνοιεν φρύγανα συλλέ-
γοντες ὡς ἐπὶ πῦρ, κἄπειτα κατίδοιεν ἐν τῷ πέραν
ἐν ταῖς πέτραις καθηκούσαις ἐπ' αὐτὸν τὸν ποταμόν,
γέροντά τε καὶ γυναῖκα καὶ παιδίσκας ὥσπερ μαρσίππους
ἱματίων κατατιθεμένους ἐν πέτρᾳ ἀντρώδει. ἰδοῦσι
δὲ σφίσι, δόξαι ἀσφαλὲς εἶναι διαβῆναι. οὐδὲ γὰρ τοῖς
πολεμίοις ἱππεῦσι, πρόσβατον εἶναι κατὰ τοῦτο. ἐκδύν-
τες δὲ ἔφασαν, ἔχοντες τὰ ἐγχειρίδια γυμνὰ ὡς νευ-
σούμενοι διαβαίνειν. πορευόμενοι δέ, πρόσθεν διαβῆναι
πρὶν βρέξαι τὰ αἰδοῖα, καὶ διαβάντες καὶ λαβόντες
τὰ ἱμάτια, πάλιν ἥκειν. εὐθὺς οὖν ὁ Ξενοφῶν αὐτός τε ἔ-
σπενδε, καὶ τοῖς νεανίσκοις ἐγχεῖν ἐκέλευε, καὶ εὔχεσθαι
τοῖς φήνασι θεοῖς τά τε ὀνείρατα καὶ τὸν πόρον, καὶ τὰ λοι-
πὰ ἀγαθὰ ἐπιτελέσαι. σπείσας δέ, εὐθὺς ἦγε τοὺς νεανί-
σκους παρὰ τὸν Χειρίσοφον, καὶ διηγοῦνται ταῦτα. ἀ-
κούσας δὲ ὁ Χειρίσοφος, σπονδὰς ἐποίει. σπείσαντες δὲ
τοῖς μὲν ἄλλοις παρήγγελλον συσκευάζεσθαι. αὐτοὶ δὲ
συγκαλέσαντες τοὺς στρατηγούς, ἐβουλεύσαντο, ὅπως
ἂν κάλλιστα διαβαῖεν, καὶ τούς τε πρόσθεν νικῷεν, καὶ
ὑπὸ τῶν ὄπισθεν μηδὲν κακὸν πάσχοιεν. καὶ ἔδοξεν αὐτοῖς
Χειρίσοφον μὲν ἡγεῖσθαι καὶ διαβαίνειν, ἔχοντα τὸ ἥμισυ
τοῦ στρατεύματος. τὸ δὲ ἥμισυ ὑπομένειν σὺν Ξενοφῶν-
τι. τὰ δὲ ὑποζύγια καὶ τὸν ὄχλον ἐν μέσῳ τούτων διαβαί-
νειν. ἐπεὶ δὲ καλῶς ταῦτα εἶχεν, ἐπορεύοντο. ἡγοῦντο δὲ
οἱ νεανίσκοι ἐν ἀριστερᾷ ἔχοντες τὸν ποταμόν. ὁδὸς δ' ἦν
ἐπὶ τὴν διάβασιν, ὡς τέτταρα στάδια. πορευομένων δ'
αὐτῶν, ἀντιπαρῄεσαν αἱ τάξεις τῶν ἱππέων. ἐπεὶ δὲ
ἦσαν κατὰ τὴν διάβασιν καὶ τὰς ὄχθας τοῦ ποταμοῦ, ἔ-
θεντο τὰ ὅπλα. καὶ αὐτὸς πρῶτος Χειρίσοφος στεφανω-
σάμενος, καὶ ἀποδύς, ἐλάμβανε τὰ ὅπλα, καὶ τοῖς ἄλλοις πᾶ-
σι παρήγγελλε. καὶ τοὺς λοχαγοὺς ἐκέλευεν ἄγειν τοὺς λό-
χους ὀρθίους, τοὺς μὲν ἐν ἀριστερᾷ, τοὺς δὲ ἐν δεξιᾷ ἑαυτοῦ. καὶ
οἱ μὲν μάντεις ἐσφαγιάζοντο εἰς τὸν ποταμόν. οἱ δὲ πο-
λέμιοι ἐτόξευόν τε καὶ ἐσφενδόνων, ἀλλ' οὔπω ἐξικνοῦν-
το. ἐπεὶ δὲ καλὰ ἦν τὰ σφάγια, ἐπαιάνιζον πάντες
οἱ στρατιῶται, καὶ ἀνηλάλαζον, συνωλόλυζον δὲ καὶ αἱ
γυναῖκες ἅπασαι. πολλαὶ γὰρ ἦσαν ἑταῖραι ἐν τῷ στρα-
τεύματι. καὶ Χειρίσοφος μὲν ἐνέβαινε, καὶ οἱ σὺν αὐτῷ.
ὁ δὲ Ξενοφῶν λαβὼν τῶν ὀπισθοφυλάκων τοὺς εὐζωνοτά-
τους, ἔθει ἀνὰ κράτος πάλιν, ἐπὶ τὸν πόρον τὸν κατὰ τὴν
ἔκβασιν τὴν εἰς τὰ τῶν Ἀρμενίων ὄρη, προσποιούμενος
ταύτῃ διαβάς, ἀποκλείσειν τοὺς παρὰ τὸν ποταμὸν ἱππέας.
οἱ δὲ πολέμιοι, ὁρῶντες μὲν τοὺς ἀμφὶ Χειρίσοφον, εὐπε-
τῶς τὸ ὕδωρ διαπερῶντας, ὁρῶντες δὲ τοὺς ἀμφὶ Ξενο-
φῶντα θέοντας τοὔμπαλιν, δείσαντες μὴ ἀποκλεισθεῖ-
εν, φεύγουσιν ἀνὰ κράτος πρὸς τὴν ἀπὸ τοῦ ποταμοῦ ἔκ-
βασιν ἄνω. ἐπεὶ δὲ κατὰ τὴν ὁδὸν ἐγένοντο, ἔτεινον ἄνω
πρὸς τὸ ὄρος, Λύκιος ὁ τὴν τάξιν ἔχων τῶν ἱππέων, καὶ
Αἰσχίνης ὁ τὴν τάξιν ἔχων τῶν πελταστῶν τῶν ἀμφὶ Χειρίσο-
φον, ἐπεὶ ἑώρων ἀνὰ κράτος φεύγοντας, εἵποντο. οἱ δὲ
στρατιῶται ἐβόων, μὴ ἀπολείπεσθαι, ἀλλὰ συνεκβαίνειν
ἐπὶ τὸ ὄρος. Χειρίσοφος δὲ αὖ, ἐπεὶ διέβη, τοὺς μὲν ἱπ-
πέας οὐκ ἐδίωκεν, εὐθὺς δὲ κατὰ τὰς προσηκούσας ὄχ-
θας ἐπὶ τὸν ποταμόν, ἐξέβαινεν ἐπὶ τοὺς ἄνω πολεμίους.

οἱ δὲ

οἱ δὲ ἄνω ὁρῶντες μὲν τοὺς ἑαυτῶν ἱππέας φεύγοντας, ὁρῶντες δὲ ὁπλίτας ἐπιόντας σφίσιν, ἐκλείπουσι τὰ ὑπὲρ τοῦ ποταμοῦ ἄκρα. Ξενοφῶν δὲ ἐπεὶ τὰ πέραν ἑώρα καλῶς γιγνόμενα, ἀπεχώρει τὴν ταχίστην πρὸς τὸ διαβαῖνον στράτευμα. καὶ γὰρ οἱ Καρδοῦχοι φανεροὶ ἤδη ἦσαν εἰς τὸ πεδίον καταβαίνοντες, ὡς ἐπιθησόμενοι τοῖς τελευταίοις. καὶ Χειρίσοφος μὲν τὰ ἄνω κατεῖχε. Λύκιος δὲ σὺν ὀλίγοις ἐπιχειρήσας ἐπιδιῶξαι, ἔλαβε τῶν σκευοφόρων τὰ ὑπολειπόμενα, καὶ μετὰ τούτων ἐσθῆτά τε καλὴν καὶ ἐκπώματα. καὶ τὰ μὲν σκευοφόρα τῶν Ἑλλήνων καὶ ὁ ὄχλος ἀκμὴν διέβαινε. Ξενοφῶν δὲ στρέψας πρὸς τοὺς Καρδούχους, ἀντία τὰ ὅπλα ἔθετο. καὶ παρήγγειλε τοῖς λοχαγοῖς κατ᾽ ἐνωμοτίας ποιήσασθαι ἕκαστον τὸν ἑαυτοῦ λόχον, παρ᾽ ἀσπίδας παραγαγόντας τὴν ἐνωμοτίαν ἐπὶ φάλαγγος, καὶ τοὺς μὲν λοχαγοὺς καὶ τοὺς ἐνωμοτάρχας πρὸς τῶν Καρδούχων ἰέναι, οὐραγοὺς δὲ καταστήσασθαι πρὸς τοῦ ποταμοῦ. οἱ δὲ Καρδοῦχοι ὡς ἑώρων τοὺς ὀπισθοφύλακας τοῦ ὄχλου ψιλουμένους, καὶ ὀλίγους ἤδη φαινομένους, θᾶττον δὴ ἐπῄεσαν, ᾠδάς τινας ᾄδοντες. ὁ δὲ Χειρίσοφος, ἐπεὶ τὰ παρ᾽ αὐτῷ ἀσφαλῶς εἶχε, πέμπει παρὰ Ξενοφῶντα τοὺς πελταστὰς, καὶ σφενδονήτας, καὶ τοξότας, καὶ κελεύει ποιεῖν ὅ,τι ἂν παραγγέλλῃ. ἰδὼν δὲ αὐτοὺς καταβαίνοντας ὁ Ξενοφῶν, πέμψας ἄγγελον, κελεύει αὐτοῦ μεῖναι ἐπὶ τοῦ ποταμοῦ διαβάντας. ὅταν δ᾽ ἄρξωνται αὐτοὶ διαβαίνειν, ἐναντίους ἔνθεν καὶ ἔνθεν σφῶν ἐμβαίνειν ὡς διαβησομένους, διηγκυλισμένους τοὺς ἀκοντιστὰς, καὶ ἐπιβεβλημένους τοὺς τοξότας· μὴ πρόσω δὲ τοῦ ποταμοῦ προβαίνειν. τοῖς δὲ παρ᾽ ἑαυτῷ παρήγγειλεν, ἐπειδὰν σφενδόνη ἐξικνῆται καὶ ἀσπὶς ψοφῇ, παιανίσαντας, θεῖν ἀεὶ εἰς τοὺς πολεμίους· ἐπειδὰν δ᾽ ἀναστρέψωσιν οἱ πολέμιοι, καὶ ἐκ τοῦ ποταμοῦ ὁ σαλπιγκτὴς σημήνῃ τὸ πολεμικὸν, ἀναστρέψαντας ἐπὶ δόρυ, ἡγεῖσθαι μὲν τοὺς οὐραγοὺς, θεῖν δὲ πάντας ὅτι τάχιστα, καὶ διαβαίνειν ᾗ ἕκαστος τὴν τάξιν εἶχεν, ὡς μὴ ἐμποδίζειν ἀλλήλους· ὅτι οὗτος ἄριστος ἔσοιτο, ὃς ἂν πρῶτος ἐν τῷ πέραν γένηται. οἱ δὲ Καρδοῦχοι ὁρῶντες ὀλίγους ἤδη τοὺς λοιποὺς, πολλοὶ γὰρ καὶ τῶν μένειν τεταγμένων ᾤχοντο ἐπιμελόμενοι, οἱ μὲν ὑποζυγίων, οἱ δὲ σκευοφόρων, οἱ δὲ ἑταιρῶν, ἐνταῦθα δὴ ἐπέκειντο θρασέως, καὶ ἤρξαντο σφενδονᾶν καὶ τοξεύειν. οἱ δὲ Ἕλληνες παιανίσαντες ὥρμησαν δρόμῳ ἐπ᾽ αὐτούς. οἱ δ᾽ οὐκ ἐδέξαντο. καὶ γὰρ ἦσαν ὡπλισμένοι, ὡς μὲν ἐν τοῖς ὄρεσιν ἱκανῶς πρὸς τὸ ἐπιδραμεῖν καὶ φεύγειν, πρὸς δὲ τὸ εἰς χεῖρας δέχεσθαι, οὐχ ἱκανῶς. ἐν τούτῳ σημαίνει ὁ σαλπιγκτὴς, καὶ οἱ μὲν πολέμιοι ἔφευγον πολὺ ἔτι θᾶττον. οἱ δὲ Ἕλληνες τὰ ἐναντία στρέψαντες, ἔφευγον διὰ τοῦ ποταμοῦ ὅτι τάχιστα. τῶν δὲ πολεμίων, οἱ μέν τινες αἰσθανόμενοι, πάλιν ἔδραμον ἐπὶ τὸν ποταμὸν, καὶ τοξεύοντες, ἀλλήλους ἔτρωσαν. οἱ δὲ πολλοὶ καὶ πέραν ὄντων τῶν Ἑλλήνων, ἔτι φανεροὶ ἦσαν φεύγοντες. οἱ δὲ ὑπαντήσαντες, ἀνδριζόμενοι, καὶ προσωτέρω τοῦ καιροῦ προϊόντες, ὕστερον τῶν μετὰ Ξενοφῶντος διέβησαν πάλιν, καὶ ἐτρώθησάν τινες καὶ τούτων. ἐπεὶ δὲ διέβησαν ἀμφὶ μέσον ἡμέρας συντεταγμένοι, ἐπορεύθησαν διὰ τῆς Ἀρμενίας πεδίον ἅπαν, καὶ λείους γηλόφους, οὐ μεῖον ἢ πέντε παρασάγγας.

οὐ γὰρ

Qui cũ equites fugere animaduertissent, eũq; iam se inuadẽtis grauis Græcorum armaturæ impetũ ne sustinere nõ possent, uererentur, eos repente tumulos reliquerũt. Xenophõ ubi trãs amnẽ uidet suis omnia ex animi sententia euenisse, statim ad uadũ reuertitur. Etenim Carduchi à summis iugis, in aciei tergũ impetũ facturi uidebãtur, ac Chirisophus iã in superiora euaserat. At Lycius, qui cũ paucis equites insecutus fuerat, nactus impedimẽtorũ reliquias, preciosam uestẽ, & pocula multa, in prædã occupatus erat. Feruebat iã iumentorũ, & turbæ traiectio, cum Xenophõ cõuersa fronte, in Carduchos aciẽ direxit. Centurionib. uero imperauit, ut suas quisq; centurias in manipulos describeret: ac primores quidẽ manipulos, ipsi cẽturiones, decurionesq;, phalange constituta, in scutũ aduersus Carduchos ducerẽt: reliquos, sub suis tergiducib. iuxta amnẽ, in præsidijs locarẽt. At Carduchi cũ laxari turbæ extremos ordines uidissent, ac iã paucos in cõspectu haberent, tunc idoneũ ad inuadendũ tẽpus rati, quã potuerant celerrimè, sua quædã carmina concinẽtes, in nostros impetum faciũt. Interea Chirisophus, cũ iam suos in tuto collocasset, peltatos, funditores, sagittarios ad Xenophontẽ mittit, ijsq; imperat, ut illius dicto audiẽtes sint. Hos descẽdentes Xenophõ cõspicatus; nũciũ præmittit, qui eos suo nomine iubeat in ipsis uadi principijs subsistere, ad trajiciendũ tamen paratos. Cũq; se trajecere animaduerterint, tum diuisis utrinq; ordinibus non aliter quã si ipsi in alteram rursus partẽ traiecturi essent, obuiã ueniant: ac ferẽtarij amẽtata iacula, sagittarij iunctas neruis sagittas præferãt: extra flumẽ uero nequaquã progrediãtur. Tũ ijs, qui se sequebãtur, imperat, ut quoties e fundis glãdes emissæ fuerint, ac cõplosa scuta cõcrepuerint, hoc signo moniti, in hostẽ pæane citato, læto cũ clamore excurrãt. Vbi illi se auerterint, et a flumine lituus bellicũ cecinerit, et ipsi in hastã pedẽ referãt; tũ tergi duces sequuti, ad flumẽ quã celerrime descẽdãt, ac quo loco cuiq; contigerit, modo ne quid trepidetur, trajiciãt. Edicitur, primas cũ uirtutis laturũ, qui primus ulteriorẽ ripã tenuerit. At Carduchi ubi numerũ ualde diminutũ uident, ac paucos omnino reliquos factos (nã & multi ex ijs, quos manere oportuerat, subduxerãt se, quod alium iumentorũ, alium sarcinarũ, mulierculæ aliũ cuiuspiã cura auocarat) nostros cõfidenter adoriuntur, fundisq; ac sagittis urgent. Ibi Græci ex cõposito, citato pæane, in illos cursu cõtendunt. At illi impetũ non sustinuere: quippe qui ita erãt armati, ut ad fugã atq; excursiones agiles essent: ad statarias uero pugnas nequaquã satis muniti. Vbi uero classica cecinerũt, hostes effusius multo fugère. Græci ad flumẽ cõuersi, omnẽ ad traijciendũ celeritatẽ susceperũt. Tum qui dolum è barbaris sensere, rursus ad flumen recurrerunt, ac eminus nostros sagittis lacessentes, non plura sane fecerunt, quàm ipsi acceperint uulnera, multoq; plurimi, cum iam nostri transmisissent, adhuc fugientes cõspiciebãtur. At hi, qui Xenophonti obuiam uenerant, cum in hostem cupidius progressi essent, nempe qui audaciam ostentare uoluissent, amnem post Xenophontem, ac nonnulli ex his uulneribus acceptis, traiecerunt. Verùm cum uniuersi traiecissent sub ipsam iam meridiem, pristinis ordinibus repetitis per Armeniæ campos, & molliter surgentes colles, passuum haud minus uiginti M. confecerunt:

Neq;

Pigreti fontes.

Neq; enim uici ulli propius amnem propter bella, quæ finitimi cum Carduchis aßidue gerebant, incolebantur. Is certe uicus ad quem diuerterunt, amplißimus fuit, in quo satrapæ erat prætoria domus: ac supra complures domos mœnia surgebant. Cibaria hoc in loco largißimè militibus suppeditarunt. Hinc secundis castris M. paß. XII. confectis, supra Pigretis fontes, ad Teleboan amnem peruenerunt: pulchrum illum quidem, sed minimè magnum. Circa eum uici erant plurimi, atq; ipsa regio, Armenia ad occasum uocabatur. Eam tunc obtinebat cum imperio Teribazus, cũ primis regis amicus, quiq; quoties adesset, regem in equo collocabat. Hic obuiam cum equitatu uenit, ac interprete præmisso, nostros ad colloquium inuitauit. Prætores quidem quid afferret audiendũ putarunt. Quare cum in eũ locum uenissent, ubi quæ diceret exaudire possent, quidnam uellet quæsierunt. At ille paratum se dixit certis conditionibus cum Græcis fœdus ferire. Eæ uero conditiones erant: Ne ipse ullo aut incommodo, aut detrimento Græcorum exercitum afficeret, neue Græci domos exurerent: ea tantum quibus indigerent, omnia undecunque caperent. Quæ cum prætoribus probata essent, in ea fœdus ictum est. Hinc per campos castris tertiis M. paß. LX. progreßi sunt, sequente cum suis copijs Teribazo X. stadiorum interuallo: cumq; eo unà ad prætoriam domum, atque eos uicos, qui circa eam plurimi incolebantur, peruenerunt, ubi commeatuum luculentam copiam nacti sunt. Ea uero nocte cum in agro castra locassent, cœlo ingẽs niuis effusa uis est: quæ res effecit, ut cum illuxisset, uicatim militibus prætores diuersoria attribuerent. Neque enim hostem ullum amplius uidebant, neq; quicquam omnino propter niuis magnitudinem metuendum putabant. Et omnia quæ ad usum uictumq; expetuntur, in promptu erant, hostiæ, frumentum, uina uetusta, atq; optime olentia, uuæ passæ, ac legumina omnifaria. At hic, qui à castris paulo longius diuerterant, se procul copias quasdam, ac per noctem multos ignes uidisse nunciarunt. Quare prætores commoti, tutius esse putarunt, uti ante solebant, uno in loco castra habere. Conuenerunt itaq; omnes in unum. Cum uero sub diuo, quod res ita postulare uisa fuerat, pernoctassent, tam ingẽs cœlo nix demissa, ut non homines modo iacentes, & arma, sed ipsa etiam iumenta contegerentur. Hic se homines præ torpore tollere non poterant: iacentes uero miserabile erat niue sepultos uidere. Tum torpentibus quidem cæteris, primus Xenophon surrexit, lignaq; cædere cœpit. Tunc alius quidam & ipse surrexit, atq; à Xenophonte illud sibi munus depoposcit: mox alij se erexerunt, accensisq; ignibus omnes ungebantur. Multum autem eo in loco liquaminis suilli, sesamini, amygdalini, triticei, terebinthini, quo pro oleo utebantur. Vnguenta etiam ex ijsdem rebus confecta repererunt. Tum rursus uicatim sub tecto diuertendum censuerunt. Milites lætis cum uocibus se intra tuguria receperunt, ac sane libenter ad pristinam optimarum rerum copiam redière. Ex quibus, qui domos incenderãt, sub diuo pernoctãtes pœnas dedere. Eadè nocte Democraten Temenitẽ, cum aliquot comitibus in eos mõtes misere, ubi qui ab exercitu lõgius recesserant, ignes se prospexisse renunciarant. Atq; huic quidem merito fidem habebant: sæpe enim antea uerißimè,

quæ

χρίσμα

οὐ γὰρ ἦσαν ἐγγὺς τοῦ ποταμοῦ κῶμαι, διὰ τοὺς πολέμους τοὺς πρὸς καρδούχους. εἰς δὲ ἣν ἀφίκοντο κώμην, μεγάλη τε ἦν, καὶ βασίλειόν τε εἶχε τῷ σατράπῃ, καὶ ἐπὶ ταῖς πλείσταις οἰκίαις, τύρσεις ἐπῆσαν, ἐπιτήδεια δ' ἦν δαψιλῆ. ἐντεῦθεν δ' ἐπορεύθησαν σταθμοὺς δύο, παρασάγγας τρεῖς, μέχρις ὑπερῆλθον τὰς πηγὰς τοῦ τίγρητος ποταμοῦ. ἐντεῦθεν δ' ἐπορεύθησαν σταθμοὺς τρεῖς, παρασάγγας πεντεκαίδεκα, ἐπὶ τὸν τηλεβόαν ποταμόν. οὗτος δ' ἦν καλὸς μὲν, μέγας δ' οὔ. κῶμαι δὲ πολλαὶ περὶ τὸν ποταμὸν ἦσαν. ὁ δὲ τόπος οὗτος, ἀρμενία ἐκαλεῖτο ἡ πρὸς ἑσπέραν. ὕπαρχος δ' αὐτῆς ἦν τηρίβαζος, ὁ καὶ βασιλεῖ φίλος γενόμενος, καὶ ὁπότε παρείη, οὐδεὶς ἄλλος βασιλέα ἐπὶ τὸν ἵππον ἀνέβαλλεν. οὗτος προσήλασεν ἱππέας ἔχων, καὶ προπέμψας ἑρμηνέα, εἶπεν, ὅτι βούλοιτο διαλεχθῆναι τοῖς ἄρχουσι. τοῖς δὲ στρατηγοῖς ἔδοξεν ἀκοῦσαι. καὶ προσελθόντες εἰς ἐπήκοον, ἠρώτων τί θέλοι. ὁ δὲ ἔλεγεν, ὅτι σπείσασθαι βούλοιτο, ἐφ' ᾧ μήτ' αὐτὸς τοὺς ἕλληνας ἀδικεῖν, μήτ' ἐκείνους καίειν τὰς οἰκίας, λαμβάνειν τε τὰ ἐπιτήδεια ὅσων δέοιντο. ἔδοξε ταῦτα τοῖς στρατηγοῖς, καὶ ἐσπείσαντο ἐπὶ τούτοις. ἐντεῦθεν ἐπορεύθησαν σταθμοὺς τρεῖς διὰ τοῦ πεδίου, παρασάγγας πεντεκαίδεκα. καὶ τηρίβαζος παρηκολούθει, ἔχων τὴν ἑαυτοῦ δύναμιν, ἀπέχων ὡς δέκα σταδίους. καὶ ἀφίκοντο εἰς βασίλεια καὶ κώμας πέριξ πολλὰς, πολλῶν τῶν ἐπιτηδείων μεστάς. στρατοπεδευομένων δ' αὐτῶν, γίνεται τῆς νυκτὸς χιὼν πολλή, καὶ ἕωθεν ἔδοξε διασκηνῆσαι τὰς τάξεις καὶ τοὺς στρατηγοὺς κατὰ τὰς κώμας. οὐ γὰρ ἑώρων πολέμιον οὐδένα, καὶ ἀσφαλὲς ἐδόκει εἶναι, διὰ τὸ πλῆθος τῆς χιόνος. ἐνταῦθα εἶχον πάντα τὰ ἐπιτήδεια ὅσα ἐστὶν ἀγαθὰ, ἱερεῖον, σῖτον, οἴνους παλαιοὺς εὐώδεις, ἀσταφίδας, ὄσπρια παντοδαπά. τῶν δὲ ἀποσκεδαννυμένων τινὲς ἀπὸ τοῦ στρατοπέδου, ἔλεγον ὅτι κατίδοιεν στράτευμα, καὶ νύκτωρ πολλὰ πυρὰ φαίνοιτο. ἐδόκει δὲ τοῖς στρατηγοῖς οὐκ ἀσφαλὲς εἶναι διασκηνοῦν, ἀλλὰ συναγαγεῖν τὸ στράτευμα, πάλιν ἐντεῦθεν συνῆλθον. καὶ γὰρ ἐδόκει διαιθριάζειν. νυκτερευόντων δ' αὐτῶν ἐνταῦθα, ἐπιπίπτει χιὼν ἄπλετος, ὥστε ἀπέκρυψε καὶ τὰ ὅπλα καὶ τοὺς ἀνθρώπους κατακειμένους. καὶ τὰ ὑποζύγια συνεπόδισεν ἡ χιὼν, καὶ πολὺς ὄκνος ἦν ἀνίστασθαι. κατακειμένων δὲ ἀλεεινὸν ἦν ἡ χιὼν ἐπιπεπτωκυῖα ὅτῳ μὴ παραῤῥυείη. ἐπεὶ δὲ ξενοφῶν ἐτόλμησε γυμνὸς ἀναστὰς σχίζειν ξύλα, τάχα ἀναστάς τις καὶ ἄλλος ἐκείνου ἀφελόμενος ἔσχιζεν. ἐκ δὲ τούτου καὶ οἱ ἄλλοι ἀναστάντες, πῦρ ἔκαιον, καὶ ἐχρίοντο. πολὺ γὰρ ἐνταῦθα ηὕρισκον τὸ χρῖσμα, ᾧ ἐχρῶντο ἀντ' ἐλαίου, σύειον, καὶ σησάμινον, καὶ ἀμυγδάλινον ἐκ τῶν πυρῶν, καὶ τερεβίνθινον. ἐκ δὲ τῶν αὐτῶν τούτων καὶ μύρον εὕρισκον. μετὰ ταῦτα πάλιν ἐδόκει διασκηνητέον εἶναι τὰς κώμας εἰς στέγας. ἔνθα δὴ οἱ στρατιῶται σὺν πολλῇ κραυγῇ καὶ ἡδονῇ, ᾖσαν ἐπὶ τὰς στέγας καὶ τὰ ἐπιτήδεια. ὅσοι δὲ ὅτε τὸ πρότερον ἀπῄεσαν, τὰς οἰκίας ἐνέπρησαν, ὑπὸ τῆς αἰθρίας δίκην ἐδίδοσαν, κακῶς σκηνοῦντες. ἐντεῦθεν ἔπεμψαν τῆς νυκτὸς δημοκράτην τημνίτην, ἄνδρας δόντες ἐπὶ τὰ ὄρη, ἔνθα ἔφασαν οἱ ἀποσκεδαννύμενοι καθορᾶν τὰ πυρά. οὗτος γὰρ ἐδόκει καὶ πρότερον, πολλὰ ἤδη ἀληθεῦσαι τοιαῦτα,

τὰ

τὰ ὄντα τε ὡς ὄντα, καὶ τὰ μὴ ὄντα ὡς οὐκ ὄντα. πορευθεὶς δὲ τὰ μὲν πυρὰ οὐκ ἔφη ἰδεῖν, ἄνδρα δὲ συλλαβὼν ἧκεν ἄγων, ἔχοντα τόξον περσικὸν καὶ φαρέτραν, καὶ σάγαριν, οἵανπερ αἱ ἀμαζόνες ἔχουσιν. ἐρωτώμενος δὲ ὁ ποδαπὸς εἴη, πέρσης μὲν ἔφη εἶναι, στρατεύεσθαι δὲ ἀπὸ τοῦ τηριβάζου στρατεύματος, ὅπως ἐπιτήδεια λάβοι. οἱ δ' ἠρώτων αὐτὸν, τὸ στράτευμα ὁπόσον τε εἴη καὶ ἐπὶ τίνι συνειλεγμένον. ὁ δὲ εἶπεν, ὅτι τηρίβαζος εἴη, ἔχων τήν τε ἑαυτοῦ δύναμιν, καὶ μισθοφόρους, χάλυβας, καὶ ταόχους. παρεσκευάσθαι δ' ἑαυτὸν, ἔφη, ὡς ἐπὶ τῇ ὑπερβολῇ τοῦ ὄρους ἐν τοῖς στενοῖς, ᾗπερ μοναχῇ εἴη πορεία, ἐνταῦθα ἐπιθησόμενον τοῖς ἕλλησιν. ἀκούσασι τοῖς στρατηγοῖς ταῦτα, ἔδοξε τὸ στράτευμα συναγαγεῖν, καὶ εὐθὺς καταλιπόντες φύλακας, καὶ στρατηγὸν ἐπὶ τοῖς μένουσι σοφαίνετον στυμφάλιον, ἐπορεύοντο, ἔχοντες ἡγεμόνα τὸν ἁλόντα ἄνθρωπον. ἐπειδὴ δὲ ὑπερέβαλλον τὰ ὄρη, οἱ πελτασταὶ προϊόντες καὶ κατιδόντες τὸ στρατόπεδον, οὐκ ἔμειναν τοὺς ὁπλίτας, ἀλλ' ἀνακραγόντες, ἔθεον ἐπὶ τὸ στρατόπεδον. οἱ δὲ βάρβαροι ἀκούσαντες τὸν θόρυβον, οὐχ ὑπέμειναν, ἀλλ' ἔφευγον, ὅμως δὲ ἀπέθανόν τινες τῶν βαρβάρων, καὶ ἵπποι ἥλωσαν ὡς εἴκοσι, καὶ ἡ σκηνὴ τηριβάζου ἑάλω, καὶ ἐν αὐτῇ κλίναι ἀργυρόποδες καὶ ἐκπώματα, καὶ οἱ ἀρτοποιοὶ καὶ οἰνοχόοι φάσκοντες εἶναι. ἐπεὶ δὲ ἐπύθοντο ταῦτα οἱ τῶν ὁπλιτῶν στρατηγοί, δοκεῖ αὐτοῖς ἀπιέναι τὴν ταχίστην ἐπὶ τὸ στρατόπεδον, μή τις ἐπίθεσις γένοιτο τοῖς καταλελειμμένοις, καὶ εὐθὺς ἀνακαλεσάμενοι τῇ σάλπιγγι, ἀπῇσαν, καὶ ἀφικνοῦνται αὐθημερὸν ἐπὶ τὸ στρατόπεδον. τῇ δ' ὑστεραίᾳ ἐδόκει πορευτέον εἶναι, ᾗ δύναιντο τάχιστα, πρὶν συλλεγῆναι τὸ στράτευμα πάλιν, καὶ καταλαβεῖν τὰ στενά. συσκευασάμενοι δ' εὐθὺς, ἐπορεύοντο διὰ χιόνος πολλῆς, ἡγεμόνας ἔχοντες πολλούς, καὶ αὐθημερὸν ὑπερβαλόντες τὸ ἄκρον, ἐφ' ᾧ ἔμελλεν ἐπιτίθεσθαι τηρίβαζος, κατεστρατοπεδεύσαντο. ἐντεῦθεν ἐπορεύθησαν σταθμοὺς ἐρήμους τρεῖς, παρὰ τὸν εὐφράτην ποταμόν, καὶ διέβαινον αὐτὸν βρεχόμενοι πρὸς τὸν ὀμφαλόν. ἐλέγοντο δὲ αὐτοῦ αἱ πηγαὶ οὐ πρόσω εἶναι. ἐντεῦθεν ἐπορεύοντο διὰ χιόνος πολλῆς καὶ πεδίου, σταθμοὺς τρεῖς, παρασάγγας πεντεκαίδεκα. ὁ δὲ τρίτος ἐγένετο χαλεπός, καὶ ἄνεμος βορρᾶς ἐναντίος ἔπνει, παντάπασιν ἀποκαίων καὶ πηγνὺς τοὺς ἀνθρώπους. ἔνθα δὴ τῶν μάντεών τις εἶπε, σφαγιάσασθαι τῷ ἀνέμῳ, καὶ σφαγιάζεται. καὶ πᾶσι περιφανῶς ἔδοξε λῆξαι τὸ χαλεπὸν τοῦ πνεύματος. ἦν δὲ τῆς χιόνος τὸ βάθος ὀργυιά, ὥστε καὶ τῶν ὑποζυγίων καὶ τῶν ἀνδραπόδων πολλὰ ἀπώλετο, καὶ τῶν στρατιωτῶν ὡς τριάκοντα. διεγένοντο δὲ τὴν νύκτα πῦρ καίοντες. ξύλα δ' ἦν ἐν τῷ σταθμῷ πολλά. οἱ δὲ ὀψὲ προσιόντες ξύλα οὐκ εἶχον. οἱ οὖν πάλαι ἥκοντες, καὶ τὸ πῦρ καίοντες, οὐ προσίεσαν πρὸς τὸ πῦρ τοὺς ὀψίζοντας, εἰ μὴ μεταδοῖεν πυροὺς, ἢ ἄλλο τι εἴ τι ἔχοιεν βρωτόν. ἔνθα δὴ μετεδίδοσαν ἀλλήλοις ὧν εἶχον ἕκαστοι. ἔνθα δὲ τὸ πῦρ ἐκαίετο, διατηκομένης τῆς χιόνος, βόθροι ἐγίγνοντο μεγάλοι, ἔστε ἐπὶ τὸ δάπεδον. οὗ δὴ παρῆν μετρεῖν τὸ βάθος τῆς χιόνος. ἐντεῦθεν δὲ τὴν ἐπιοῦσαν ἡμέραν ὅλην ἐπορεύοντο διὰ χιόνος, καὶ πολλοὶ τῶν ἀνθρώπων ἐβουλιμίασαν. ξενοφῶν δὲ ὀπισθοφυλακῶν καὶ

quæ comperer at omnia, detulerat. Is autem rediens nullos omnino ignes sibi uisos renunciauit: at enim hominem unum uinctum deduxit. Erat hic Persico arcu, pharetra, & securicula, qualem prope Amazones gerere consueuerunt, armatus. De quo cum quæreretur, cuiusnam esset, se Persen esse respondit, ac unum de Teribazi castris: digressum autem à suis se frumentandi causa. Rursus cum rogassent, quàm magnus esset Teribazi exercitus, quoq; nomine coactus esset: Habere Teribazum respondit, præter suas ipsius copias, mercenarios Chalybas, & Taochos: eas uero comparatas copias esse, ut inter montium angustias, quà unicus esset transitus, Græcos adorirentur. Hæc cum prætores audissent, de cõmuni consilio exercitũ congregarunt: ac deinde relicto præsidio, eiq; præposito Sophæneto Stymphalio, ipsi captiuum illum ducem sequentes, profecti ultro aduersus hostem sunt. Mõtibus uerò superatis, peltati fidentius progressi, castrisq; hostilibus exploratis, grauẽ armaturam nihil expectandũ rati, repente in hostium castra impetũ fecerunt. At barbari tumultu audito, in fugam se protinus dedere: in qua tamẽ ex ipsis nõnulli occisi sunt, equi uerò ad x x capti: captum etiam ipsius Teribazi tabernaculum, quiq; in eo erant argẽteis pedib. lecti, item pocula multa, tum seruitia quædam, pistores uti ipsi dicebant, & pincernæ. Hoc cum grauis armaturæ duces rescissent, quàm celerrimè sibi ad castra redeundum decreuerunt, ne scilicet in eos, qui ibi relicti erant, impetus quis fieret. Cum igitur receptui cani iussissent, eodem ipso die in castra redierunt. Postero uero die prætores censuerũt castra quàm primum mouenda, antequã in unum ex fuga copijs collectis, hostes angustias occuparent. Cũ uasa itaq; colligi iussissent, per multas niues, ducibus quidem compluribus præeuntibus, eo ipso die iugum superarunt, de quo impetum Teribazus facturus erat, atq; eo quidem in loco castra locarũt. Inde per desertos agros, secundum Euphraten amnẽ castris ternis progressi, fluuium ita traiecerunt, ut infra duntaxat umbilicum mergerentur: non longe autem hinc amnis ipsius fontes abesse dicebantur. Inde processere per altas camporum niues castris ternis M. pass. L X. Tertij uero diei iter multo difficillimam uiam habuit: flabat enim aduersus Boreas, urens homines, ac plane congelans. Ibi è uatum numero nescio quis, uento rem diuinam faciẽdam dixit. Quo facto, liquido apparuit uenti impetum statim fractum, ac lenitum. Nix uero nihilo duobus passibus minus alta erat: quare & iumentorum & captiuorum magnus numerus perijt, ac milites ad x x x. Noctem itaq; multis ignibus accensis egerunt: ligna enim passim multa in tota uia reperta sunt. At qui serius uenerant, nullam habuerunt lignorum copiam: & qui eam occuparant, postremos ad suos ignes non admittebant, nisi illi ignis usum, aut tritico, aut aliquo cibariorum genere redemissent. Quo factum est, ut omnes uicissim quas haberent res, alijs impertirentur, atque ab ijs item acciperent. Quibus certe in locis ignes fecissent, in ijs soluta niue scrobes aperiebantur deorsum usq; ad imum solum, ex quib. facile erat niuis altitudinem metiri. Postero die per niues perpetuas iter fecerunt, inter quas homines non pauci grauiter fame laborare cœperunt: quos cũ humi passim iacentes Xenophon, qui extremũ agmen ducebat, offen-

offendisset, primo rei nouitate perculsus est, cum calamitatis eius causam ignoraret. Postea uero quàm ab ijs qui rerum usu præstabant, cognouit fame illos concidisse, ac si quid comessent, fore ut repente se erigerent, ad iumenta accedens, quicquid cibi aut potionis nactus esset, illis dabat, ac dimittebat ualentiores, qui esurientes assequuti releuarent. Ac illi cibo sumpto subleuati, unà cum cæteris proficiscebantur. Chirisophus crepusculo ad uicum quendam peruenit, ubi puellas offendit ante castellum, e fonte aquam haurientes. Priores illæ quærere occuparunt, quinam essent: quibus interpres respondit Persicè, à rege se ad satrapen uenire. At illæ cum negarunt ibi esse: abesse eum locum, ubi tunc erat, pass. IIII. fermè M. Nostri tamen eas imminente iam nocte secuti, in castellum ad uici eius præfectum intrarunt: ubi & Chirisophus, & hi quibus potestas fuit, castra locarunt: reliqui in ipsa uia pernoctarunt, et hi quidem sine cibo et igne: multi itaq; frigore ac fame confecti sunt. Vrgebant uerò ex hostibus multi in unum congregati, qui iumenta, quæ sequi non possent, adorti, impedimenta diripiebant, ac tam auide, ut pro illis inter se etiam pugnarent. Relicti de nostris multi sunt, qui oculos ex perpetuo niuium aspectu amiserunt. Multi item quibus gelu pedum digiti obstupuerant. Hic unicum erat oculis præsidium, si quid ante eos nigri prætendissent: pedibus, si corpus assidue mouerent, & nunquam omnino quiescerent, ac si noctu calciamenta detraxissent. Nam si calceati decubuissent, tumescentibus pedibus alte uincula imprimebantur, atque ita, ut calcei pedibus astricti, resolui nullo modo possent, præsertim cum ueteribus calceis cõsumptis, carbatinis è boum recenti corio uterentur. His itaque malis, quo minus cæteros consequi possent, retardabantur. Ac locum quidem conspicati, qui colore ipso à niuibus uacuus esse uidebatur (solutæ enim fuerant eo in saltu proximi fontis halitu) eò diuerterunt. Cumq; iam consedissent, negabant se iter amplius facturos. Id ubi Xenophon sensit, nempe qui tergum agminis ducebat, primo rogare cœpit, ac quouis modo atque arte suadere, ne ordinem desererent, hostibus præsertim congregatis, ac insequentibus: postremo cum precando nihil proficeret, acerbius etiam obiurgare. At illi iugula ostentantes, omnino se iter facere non posse affirmabant. In hac rei difficultate, nihil Xenophon magis expedire arbitratus est, quàm si terror quispiam hostibus inijceretur, ne tam grauiter affectos adorirentur. Iam noctis se tenebræ intenderãt: hostes uero de præda inter se cum tumultu litigantes, propius ad nostros accedebãt, cum ab ipso tergo excitati Græci, integri illi qui lem ac bene ualentes, cum cursu in hostem inuaserunt. Eodẽq; tempore debiles illi atq; infirmi clamorem sustulerunt, ac hastis scuta percusserunt. Quæ res tam uehementer barbaros perterrefecit, ut se per medias niues in conuallem dimiserint, neq; eorum quisquam uel uocem miserit. Tum Xenophon cum suis longius progressurus, iubet languentes & ægros bono animo esse, postridie uenturos ad eos qui auxilium ferrent. Ipsi tunc profecti, nondum stadijs IIII. confectis, prostratos atq; inuolutos medijs in niuibus milites, sine ullis excubijs offenderunt. Quos cum excitassent, didicerunt priores ordines nihil omnino promouisse: qua re commotus Xenophon, de pelta-

καὶ καταλαμβάνων τοὺς πίπτοντας τῶν ἀνθρώπων, ἠγνόει ὅ,τι τὸ πάθος εἴη. ἐπειδὴ δὲ εἶπέ τις αὐτῷ τῶν ἐμπείρων, ὅτι σαφῶς βουλιμιῶσι, καὶ ἐάν τι φάγωσιν ἀναστήσονται, περιιὼν περὶ τὰ ὑποζύγια, εἴ που ὁρῴη βρωτὸν, διεδίδου καὶ διέπεμπε διδόντας τοὺς δυναμένους παρατρέχειν τοῖς βουλιμιῶσιν. ἐπειδὴ δέ τι ἐμφάγοιεν, ἀνίσταντο καὶ ἐπορεύοντο. πορευομένων δὲ χειρίσοφος μὲν ἀμφὶ κνέφας πρὸς κώμην ἀφικνεῖται, καὶ ὑδροφορούσας ἐκ τῆς κώμης γυναῖκας κόρας πρὸς τῇ κρήνῃ καταλαμβάνει, ἔμπροσθεν τοῦ ἐρύματος. αὗται ἠρώτων αὐτοὺς, τίνες εἶεν. ὁ δὲ ἑρμηνεὺς εἶπε περσιστί, ὅτι παρὰ βασιλέως πορεύοιντο πρὸς τὸν σατράπην. αἱ δὲ ἀπεκρίναντο, ὅτι οὐκ ἐνταῦθα εἴη, ἀλλ' ἀπέχει ὅσον παρασάγγην. οἱ δ' ἐπεὶ ὀψὲ ἦν, πρὸς τὸν κωμάρχην συνεισέρχονται εἰς τὸ ἔρυμα, σὺν ταῖς ὑδροφόροις. χειρίσοφος μὲν οὖν καὶ ὅσοι ἐδυνήθησαν τοῦ στρατεύματος, ἐνταῦθα ἐστρατοπεδεύσαντο. τῶν δ' ἄλλων στρατιωτῶν οἱ μὴ δυνάμενοι διατελέσαι τὴν ὁδόν, ἐνυκτέρευσαν ἄσιτοι καὶ ἄνευ πυρός, καὶ ἐνταῦθα τινὲς ἀπώλοντο τῶν στρατιωτῶν. ἐφείποντο δὲ τῶν πολεμίων συνειλεγμένοι τινὲς, καὶ τὰ μὴ δυνάμενα τῶν ὑποζυγίων ἥρπαζον, καὶ ἀλλήλοις ἐμάχοντο περὶ αὐτῶν. ἐλείποντο δὲ καὶ τῶν στρατιωτῶν, οἵ τε διεφθαρμένοι ὑπὸ τῆς χιόνος τοὺς ὀφθαλμούς, οἵ τε ὑπὸ τοῦ ψύχους τοὺς δακτύλους τῶν ποδῶν ἀποσεσηπότες. ἦν δὲ τοῖς μὲν ὀφθαλμοῖς ἐπικούρημα τῆς χιόνος, εἴ τις μέλαν τι ἔχων πρὸ τῶν ὀφθαλμῶν πορεύοιτο, τῶν δὲ ποδῶν εἴ τις κινοῖτο, καὶ μηδέποτε ἡσυχίαν ἔχοι, καὶ εἰς τὴν νύκτα ὑπολύοιτο. ὅσοι δὲ ὑποδεδεμένοι ἐκοιμῶντο, εἰσεδύοντο εἰς τοὺς πόδας οἱ ἱμάντες, καὶ τὰ ὑποδήματα περιεπήγνυντο. καὶ γὰρ ἦσαν, ἐπειδὴ ἐπέλιπε τὰ ἀρχαῖα ὑποδήματα, καρβάτιναι πεποιημέναι ἐκ τῶν νεοδάρτων βοῶν. διὰ τὰς τοιαύτας οὖν ἀνάγκας, ὑπελείποντό τινες τῶν στρατιωτῶν. καὶ ἰδόντες μέλαν τι χωρίον, διὰ τὸ ἐκλελοιπέναι αὐτόθεν τὴν χιόνα, εἴκαζον τετηκέναι τὴν χιόνα, καὶ ἐτετήκει διὰ κρήνην τινὰ, ἣ πλησίον ἦν ἀτμίζουσα ἐν νάπει. ἐνταῦθα ἐκτραπόμενοι ἐκάθηντο, καὶ οὐκ ἔφασαν πορεύεσθαι. ὁ δὲ Ξενοφῶν ἔχων ὀπισθοφύλακας, ὡς ᾔσθετο, ἐδεῖτο αὐτῶν πάσῃ τέχνῃ καὶ μηχανῇ μὴ ἀπολείπεσθαι, λέγων ὅτι ἕπονται πολλοὶ πολέμιοι συνειλεγμένοι. καὶ τελευτῶν ἐχαλέπαινεν. οἱ δὲ σφάττειν ἐκέλευον. οὐ γὰρ ἂν δύνασθαι πορευθῆναι. ἐνταῦθα ἔδοξε κράτιστον εἶναι τοὺς ἑπομένους πολεμίους εἴ τις δύναιτο φοβῆσαι, μὴ ἐπιπέσοιεν τοῖς κάμνουσι, καὶ ἦν μὲν σκότος. οἱ δὲ προσῄεσαν πολλῷ θορύβῳ, ἀμφὶ ὧν εἶχον διαφερόμενοι. ἔνθα δὴ οἱ μὲν ὀπισθοφύλακες ἐξαναστάντες, ἅτε ὑγιαίνοντες ἔδραμον εἰς τοὺς πολεμίους. οἱ δὲ κάμνοντες ἀνακραγόντες ὅσον ἐδύναντο μέγιστον, τὰς ἀσπίδας πρὸς τὰ δόρατα ἔκρουσαν. οἱ δὲ πολέμιοι δείσαντες, ἧκαν ἑαυτοὺς κατὰ τῆς χιόνος εἰς τὴν νάπην, καὶ οὐδεὶς ἔτι οὐδαμοῦ ἐφθέγξατο. καὶ Ξενοφῶν μὲν καὶ οἱ σὺν αὐτῷ, εἰπόντες τοῖς ἀσθενοῦσιν, ὅτι τῇ ὑστεραίᾳ ἥξουσί τινες ἐπ' αὐτοὺς, πορευόμενοι, πρὶν τέτταρα στάδια διελθεῖν, ἐντυγχάνουσιν ἐν τῇ ὁδῷ ἀναπαυομένοις ἐπὶ τῆς χιόνος τοῖς στρατιώταις ἐγκεκαλυμμένοις, καὶ οὐδὲ φυλακὴ οὐδεμία καθειστήκει, καὶ ἀνίστασαν αὐτούς. οἱ δ' ἔλεγον, ὅτι οἱ ἔμπροσθεν οὐχ ὑποχωροῖεν. ὁ δὲ παριὼν καὶ παραπέμπων τῶν πελτα-

πελταστῶν τοὺς ἰσχυροτάτους, ἐκέλευε σκέψασθαι, τί εἴη τὸ κωλῦον. οἱ δὲ ἀπήγγελλον, ὅτι ὅλον οὕτως ἀναπαύοιτο τὸ στράτευμα. ἐνταῦθα καὶ οἱ περὶ Ξενοφῶντα ηὐλίσθησαν αὐτοῦ ἄνευ πυρὸς, καὶ ἄδειπνοι, φυλακὰς οἵας ἐδύναντο καταστησάμενοι. ἐπειδὴ δὲ πρὸς ἡμέραν ἦν, ὁ Ξενοφῶν πέμψας πρὸς τοὺς ἀσθενοῦντας τοὺς νεωτάτους ἀνιστάντας, ἐκέλευσεν ἀναγκάζειν προϊέναι. ἐν δὲ τούτῳ χειρίσοφος πέμπει τῶν ἐκ τῆς κώμης σκεψομένους, πῶς ἔχοιεν οἱ τελευταῖοι. οἱ δὲ ἄσμενοι ἰδόντες, τοὺς μὲν ἀσθενοῦντας τούτοις παρέδοσαν κομίζειν ἐπὶ τὸ στρατόπεδον. αὐτοὶ δὲ ἐπορεύοντο. καὶ πρὶν εἴκοσι στάδια διεληλυθέναι, ἦσαν ἐν τῇ κώμῃ ἔνθα χειρίσοφος ηὐλίζετο. ἐπεὶ δὲ συνεγίγνοντο ἀλλήλοις, ἔδοξε κατὰ τὰς κώμας ἀσφαλὲς εἶναι τὰς τάξεις σκηνοῦν. καὶ χειρίσοφος μὲν αὐτοῦ ὑπέμενεν. οἱ δὲ ἄλλοι διαλαχόντες ἃς ἑώρων κώμας, ἐπορεύοντο ἕκαστοι τοὺς ἑαυτῶν ἔχοντες. ἔνθα δὴ πολυκράτης ἀθηναῖος λοχαγὸς ἐκέλευσεν ἀφιέναι αὐτόν. καὶ λαβὼν τοὺς εὐζώνους, θέων ἐπὶ τὴν κώμην ἣν εἰλήχει ξενοφῶν, καταλαμβάνει πάντας ἔνδον τοὺς κωμήτας καὶ τὸν κωμάρχην, καὶ πώλους εἰς δασμὸν βασιλεῖ τρεφομένους ἑπτακαίδεκα, καὶ τὴν θυγατέρα τοῦ κωμάρχου, ἐνάτην ἡμέραν γεγαμημένην. ὁ δὲ ἀνὴρ αὐτῆς λαγὼς ᾤχετο θηράσων, καὶ οὐχ ἥλω ἐν ταῖς κώμαις. αἱ δ᾽ οἰκίαι ἦσαν κατάγειοι. τὸ μὲν στόμα ὥσπερ φρέατος. κάτω δὲ εὐρεῖαι. αἱ δ᾽ εἴσοδοι τοῖς μὲν ὑποζυγίοις ὀρυκταί. οἱ δὲ ἄνθρωποι ἐπὶ κλίμακας κατέβαινον. ἐν δὲ ταῖς οἰκίαις ἦσαν αἶγες, οἶες, βόες, ὄρνιθες, καὶ τὰ ἔκγονα τούτων. τὰ δὲ κτήνη πάντα χιλῷ ἔνδον ἐτρέφετο. ἦσαν δὲ καὶ πυροὶ, καὶ κριθαὶ καὶ ὄσπρια, καὶ οἶνος ἐν κρατῆρσιν ἦν. ἐνῆσαν δὲ καὶ αὐταὶ αἱ κριθαὶ ἰσοχειλεῖς. καὶ κάλαμοι ἐνέκειντο, οἱ μὲν μείζους, οἱ δὲ ἐλάττους, γόνατα οὐκ ἔχοντες. τούτους δ᾽ ἔδει ὁπότε τις διψῴη, λαβόντα εἰς τὸ στόμα ἀμύζειν, καὶ πάνυ ἄκρατος ἦν, εἰ μή τις ὕδωρ ἐπιχέοι. καὶ μάλα ἡδὺ πόμα συμμαθόντι ἦν. ὁ δὲ ξενοφῶν τὸν μὲν ἄρχοντα τῆς κώμης ταύτης σύνδειπνον ἐποιήσατο, καὶ θαρρεῖν ἐκέλευεν αὐτὸν, λέγων ὅτι οὔτε τῶν τέκνων στερήσοιτο, τήν τε οἰκίαν αὐτοῦ ἀντεμπλήσαντες τῶν ἐπιτηδείων ἀπίασιν, ἢν ἀγαθόν τι τῷ στρατεύματι ἐξηγησάμενος φαίνηται, ἔστ᾽ ἂν ἐν ἄλλῳ ἔθνει γένωνται. ὁ δὲ ταῦτα ὑπισχνεῖτο, καὶ φιλοφρονούμενος, οἶνον ἔφρασεν, ἔνθα ἦν κατορωρυγμένος. ταύτην μὲν οὖν τὴν νύκτα διασκηνήσαντες οὕτως ἐκοιμήθησαν ἐν πᾶσιν ἀφθόνοις ἀγαθοῖς οἱ στρατιῶται, ἐν φυλακῇ ἔχοντες τὸν κωμάρχην, καὶ τὰ τέκνα αὐτοῦ ὁμοῦ ἐν ὀφθαλμοῖς. τῇ δ᾽ ἐπιούσῃ ἡμέρᾳ ξενοφῶν λαβὼν τὸν κωμάρχην, πρὸς τὸν χειρίσοφον ἐπορεύετο. ὅπου δὲ παρίοι κώμην, ἐτρέπετο πρὸς τοὺς ἐν ταῖς κώμαις, καὶ κατελάμβανε πανταχοῦ εὐωχουμένους καὶ εὐθυμουμένους, καὶ οὐδαμόθεν ἀφίεσαν, πρὶν παραθεῖναι αὐτῷ ἄριστον. οὐκ ἦν δ᾽ ὅπου οὐ παρετίθεσαν ἐπὶ τὴν αὐτὴν τράπεζαν, κρέα ἄρνεια, ἐρίφεια, χοίρεια, μόσχεια, ὀρνίθεια, σὺν πολλοῖς ἄρτοις, τοῖς μὲν πυρίνοις, τοῖς δὲ κριθίνοις. ὁπότε δέ τις φιλοφρονούμενός τῳ, εἰ βούλοιτο προπιεῖν, εἷλκεν ἐπὶ τὸν κρατῆρα, ἔνθα ἐπικύψαντα ἔδει ῥοφοῦντα πίνειν ὥσπερ βοῦν. καὶ τὸν κωμάρχην ἐδίδοσαν λαμβάνειν ὅ, τι

peltatorum numero fortissimos homines præmisit, qui cognoscerent quare illi impediti substitissent: cumq; hi renunciassent, totum plane exercitum eodem modo in niue abiectum, & hi qui cum Xenophonte erant, ubi potuerunt, constitutis tamen pro tẽpore ac loci natura excubijs, pernoctarunt, incœnati quidem, ac sine igne. Prima luce misit Xenophon de suis iuniores aliquot, qui ægros ac torpentes tollerent, ac progredi cogerẽt. Iam & Chirisophus de ijs qui in uicum diuerterãt, miserat qui inspicerent uti se qui in extremo agmine erãt, haberent: quorum aduentus Xenophontis militibus optatissimus fuit, ac ijs debiles & affectos in castra deportandos tradiderũt. Ipsi stadia ferme XX. confectis, ad uicum eum quo Chirisophus diuerterat, peruenerunt. Ibi cum in unum iam omnes conuenissent, prætoribus uisum est tutissimũ fore, si per uicos ordines, quasi in hyberna, describerentur. Et Chirisophus quidẽ in eodem uico permansit. Alij uero, qui cuiq; uicus sorte obtigit, ex ijs qui in conspectu erant, eum obiuit. Hic Polycrates Atheniensis centurio, ut arbitratu suo sibi diuertere liceret impetrauit: assumptaq; expeditorum parte, in eum uicum accurrit, qui Xenophonti obtigerat. In quo & curiales omnes, & curionẽ etiam ipsum deprehendit: pullos præterea equinos XVII. qui tributi nomine regi alebantur: ipsius etiã curionis filiã, quæ nono ante die ad uirum matrimonij causa uenerat. Vir autem eius tunc leporum uenatione detinebatur: quæ causa fuit, ut cum cæteris nõ opprimeretur. Hic domus erant subterraneæ, quarum erant ostia puteorũ instar, ab imo uero late patebant: primi aditus fastigio, bestiarum deducendarũ causa, æquati erant: homines per cochleas descendebant: intus oues, capræ, boues, gallinæ cũ suis fœtib. alebantur: pecora uero ipsa pabulo sustẽtabantur. Repertũ etiam triticũ, ordeum, legumina, & uino plenissimi crateres. Ordeum quidẽ accumulatissime suppeditabat. Cõditi etiã calami erãt, maiores alij, alij uero minores, prorsus enodes, quos qui sitiens ore teneret, ac sugeret, merũ is bibere sibi uideretur, modo ne aqua perfunderẽtur: cum tamẽ hoc etiã modo suauem potionẽ, neq; à uini sapore magnopere differentẽ praberẽt. Hic Xenophõ curionẽ conuiuio adhibitum cõfirmauit, ac se ei filios incolumes præstiturũ, ac domũ multo q̃ accepissent, copijs omnibus pleniorẽ relicturũ spopondit, modo ut quantũ in ipso esset, Græcorũ copijs, quoad in finitimæ gẽtis fines uenissent, bene cõsuleret. Id ille se facturũ pollicitus est: ac tunc, cum in conuiuio hilare ac iucunde fuisset, uinũ etiam quod defossum erat indicauit. Eam noctẽ egerunt Græci milites sub pellibus, in rerũ omnium copia, cũ interea in custodijs curionẽ ipsum eiusq; liberos in conspectu haberẽt. Postero die illum Xenophõ ad Chirisophũ deduxit. Ac cũ uicũ iam priorẽ præterisset, in cæteris uicis omnib. milites Græcos offendit, tẽpestiuis conuiuijs se festiue oblectãtes: quorũ nemo sane fuit qui Xenophõtem non inuitaret, ac mensa posita carnes non apponeret, agninã, hœdinam, suillam, uitulinam, cum panibus triticeis, atq; ordeaceis: quem uero ad bibendũ inuitassent, ei non e poculo propinabant, sed ad craterẽ deductum demisso capite exorbere iubebant. Curioni etiam ipsi quantum è quouis rerum genere uellet, ut caperet permi

permisere: at ille nihil quicquã attigit. E cognatis tantum suis, si quem uidisset, eum secũ abducebat. Ad Chirisophũ cum uenissent, illic etiam milites sub pellibus offenderunt fœno aut stipula coronatos: quibus Armenij pueri, barbaricis amicti stolis, ministrabãt: illis Græci tanquam adolescentibus quid facto opus esset monstrabant. Hic cum Chrisophus & Xenophon amantißime congreßi essent, communiter curionem per interpretem Persice rogarunt, quænam esset ea regio: cum ille Armeniam esse respondisset, tum rursus rogarunt, cuinam equi illi alerentur: regis tributum esse respondit. Addidit, proximam gentem Chalybas esse, et qua eò uia duceret, demonstrauit. Tunc Xenophõ hominem ad suos reduxit, ac ei equum, quem sibi sumpserat, iam seniorem, immolandum tradidit. Audierat enim hanc Solis apud eas gentes uictimam esse: & sane ueritus est, ne equus ille quem iam itineris labor magnopere debilitarat, in ipsa uia deficeret: pro illo itaque pullum unum cepit, ac reliquos singulis prætoribus ac centurionibus singulos dedit. Erant equi hi Persicis aliquãto minores, ferociores uero multo. Idem autem curio docuit, ut per niuosam uiam sacculis equorum & iumentorum pedes obligarent, quod nudis pedibus ingredientes, usq; ad uentrem in ipsas niues descenderent. Iam erant dies VIII. eo in loco commorati, cum Xenophon Chrisopho curionem, ut eo duce uteretur, tradidit: de eius quidem familia neminẽ prorsus abduxit, præter puberem eius filium, quem Episthenι Amphipolitano in custodiam dedit, ut cum eo unà incolumis pater rediret, si se fide optima duxisset: in eius uero domum res plurimas atq; optimas congesserunt. Inde motis castris, duce curione, qui solutus præibat, per niues profecti sunt. Iam ad castra tertia peruenerant, cum Chrisophus grauiter curioni succensuit, quod se per uicos non duxisset. Ille quidem nullos ea in regione esse uicos affirmabat. Ibi Chrisophus hominem percußit, non tamen uinxit. Quare ille commotus, clam noctu filio relicto aufugit. Hæc in curionem contumelia, atq; in eo seruando negligentia, unica fuit in toto itinere inter Xenophontem & Chrisophum dißidij causa. Episthenes uero puerũ adamauit: ac cum domum eum secum adduxisset, fidelißimo usus est.

Post hæc septimis castris, confectis in dies singulos uicenis quinis M. paß. ad Phasin peruenere. Eius fluminis latitudo paß. est fermè XX. Illinc M. paß. XL. bidui confectis, obuios habuere in montium uerticibus, per quos in campos descendendum erat, Chalybas, Taochos, Phasianos: quos ubi conspexit Chrisophus, gressum sustinuit, interuallo stadiũm fere L. ueritus ne si in cornu ageret, ad hostes accederet. Alijs itaq; imperat, ut manipulos adducant, quo in phalangem copiæ omnes coirent. Ac ubi primum extremum agmen affuit, cõuocatis prætoribus ac centurionibus, in hunc modum loquutus est: Hostes, uti uidetis, montiũ editiores partes obtinent: consilium itaq; ex ipso tẽpore capiendũ qui cum illis æquißima cõditione depugnemus. Ipse quidẽ censeo militib edicendũ ut cibum capiant: nos uero interea consultemus, hodiéne, an cras potius mõtes superemus. Tum Cleanor: Mihi uidetur, inquit, sine ulla mora cum primum pransi fuerimus, arma capienda

τι βούλοιτο. ὁ δὲ ἄλλο μὲν οὐδὲν ἐδέχετο. ὅπου δέ τινα τῶν συγγενῶν ἴδοι, πρὸς ἑαυτὸν ἀεὶ ἐλάμβανεν. ἐπεὶ δ' ἦλθον πρὸς χειρίσοφον, κατελάμβανον καὶ ἐκείνους σκηνοῦντας, ἐστεφανωμένους τοῦ ξηροῦ χιλοῦ, καὶ διακονοῦντας ἀρμενίους παῖδας σὺν ταῖς βαρβαρικαῖς στολαῖς. τοῖς δὲ παισὶν ἐδείκνυσαν ὥσπερ ἐνεοῖς, ὅ, τι δέοι ποιεῖν. ἐπεὶ δὲ ἀλλήλους ἐφιλοφρονήσαντο χειρίσοφος καὶ ξενοφῶν, κοινῇ δὴ ἀνηρώτων τὸν κωμάρχην διὰ τοῦ περσίζοντος ἑρμηνέως τίς εἴη ἡ χώρα. ὁ δ' ἔλεγεν, ὅτι ἀρμενία. καὶ πάλιν ἠρώτων, τίνι ἵπποι τρέφοιντο. ὁ δ' ἔλεγεν, ὅτι βασιλεῖ δασμός. τὴν δὲ πλησίον χώραν ἔφη εἶναι χάλυβας, καὶ τὴν ὁδὸν ἔφραζεν ᾗ εἴη. καὶ αὐτὸν, τότε μὲν ᾤχετο ἄγων ξενοφῶν πρὸς τοὺς ἑαυτοῦ οἰκέτας, καὶ ἵππον ὃν εἰλήφει παλαιότερον, δίδωσι τῷ κωμάρχῃ ἀναθρέψαντι καταθῦσαι, ὅτι ἤκουσεν αὐτὸν ἱερὸν εἶναι τοῦ ἡλίου, δεδιὼς μὴ ἀποθάνῃ. ἐκεκάκωτο γὰρ ὑπὸ τῆς πορείας. αὐτὸς δὲ τῶν πώλων λαμβάνει, καὶ τῶν ἄλλων στρατηγῶν καὶ λοχαγῶν, ἔδωκεν ἑκάστῳ πῶλον. ἦσαν δ' οἱ ταύτῃ ἵπποι μείονες μὲν τῶν περσικῶν, θυμοειδέστεροι δὲ πολλῷ. ἐνταῦθα δὴ καὶ διδάσκει ὁ κωμάρχης περὶ τοὺς πόδας τῶν ἵππων καὶ τῶν ὑποζυγίων, σακκία περιειλεῖν, ὅταν διὰ τῆς χιόνος ἄγωσιν. ἄνευ δὲ τῶν σακκίων κατεδύοντο μέχρι τῆς γαστρός. ἐπεὶ δὲ ἡμέρα ἦν ὀγδόη, τὸν μὲν ἡγεμόνα παραδίδωσι χειρισόφῳ, τοὺς δ' οἰκέτας καταλείπει τῷ κωμάρχῃ, πλὴν τοῦ υἱοῦ ἄρτι ἡβάσκοντος. τοῦτον δ' ἐπισθένει ἀμφιπολίτῃ παραδίδωσι φυλάττειν, ὅπως εἰ καλῶς ἡγήσαιτο, ἔχων καὶ τοῦτον ἀπίοι. καὶ εἰς τὴν οἰκίαν αὐτοῦ εἰσεφόρησαν ὡς ἐδύναντο πλεῖστα. καὶ ἀναζεύξαντες ἐπορεύοντο. ἡγεῖτο δ' αὐτοῖς ὁ κωμάρχης λελυμένος διὰ χιόνος. καὶ ἤδη τ' ἦν ἐν τῷ τρίτῳ σταθμῷ, καὶ ὁ χειρίσοφος αὐτῷ ἐχαλεπάνθη, ὅτι οὐκ εἰς κώμας ἤγαγεν. ὁ δ' ἔλεγεν, ὅτι οὐκ εἶεν ἐν τῷ τόπῳ τούτῳ. ὁ δὲ χειρίσοφος αὐτὸν ἔπαισε μὲν, ἔδησε δ' οὔ. ἐκ δὲ τούτου ἐκεῖνος τῆς νυκτὸς ἀποδρὰς, ᾤχετο καταλιπὼν τὸν υἱόν. τοῦτό τε δὴ χειρισόφῳ καὶ ξενοφῶντι μόνον διάφορον ἐν τῇ πορείᾳ ἐγένετο, ἡ τοῦ ἡγεμόνος κάκωσις καὶ ἀμέλεια. ἐπισθένης δὲ ἠράσθη τε τοῦ παιδὸς, καὶ οἴκαδε κομίσας, πιστοτάτῳ ἐχρῆτο. μετὰ τοῦτο σταθμοὺς ἑπτὰ ἐπορεύθησαν, ἀνὰ πέντε παρασάγγας τῆς ἡμέρας παρὰ τὸν φᾶσιν ποταμὸν, εὖρος ὡς πλεθριαῖον. ἐντεῦθεν ἐπορεύθησαν σταθμοὺς δύο, παρασάγγας δέκα. ἐπὶ δὲ τῇ εἰς τὸ πεδίον ὑπερβολῇ ἀπήντησαν αὐτοῖς, χάλυβες καὶ τάοχοι καὶ φασιανοί. χειρίσοφος δὲ ἐπεὶ κατεῖδε τοὺς πολεμίους ἐπὶ τῇ ὑπερβολῇ, ἐπαύσατο πορευόμενος, ἀπέχων ὡς πεντήκοντα σταδίους, ἵνα μὴ κατὰ κέρας ἄγων, πλησιάσῃ τοῖς πολεμίοις. παρήγγειλε δὲ τοῖς ἄλλοις παράγειν τοὺς λόχους, ὅπως ἐπὶ φάλαγγος γένοιτο τὸ στράτευμα. ἐπεὶ δὲ ἦλθον οἱ ὀπισθοφύλακες, συνεκάλεσε τοὺς στρατηγοὺς καὶ λοχαγοὺς, καὶ ἔλεξεν ὧδε· οἱ μὲν πολέμιοι, ὡς ὁρᾶτε, κατέχουσι τὰς ὑπερβολὰς τοῦ ὄρους· ὥρα δὲ βουλεύεσθαι, ὅπως ὡς κάλλιστα ἀγωνιούμεθα. ἐμοὶ μὲν οὖν δοκεῖ, παραγγέλλειν μὲν ἀριστοποιεῖσθαι τοῖς στρατιώταις, ἡμᾶς δὲ βουλεύεσθαι, εἴτε τήμερον εἴτε αὔριον δοκεῖ ὑπερβάλλειν τὸ ὄρος. ἐμοὶ δέ γε, ἔφη ὁ κλεάνωρ δοκεῖ, ἐπὰν ὡς τάχιστα ἀριστήσωμεν, ἐξοπλισα-

πλησιασμένους ὡς τάχιστα, ἰέναι ἐπὶ τοὺς ἄνδρας. εἰ γὰρ δια-
τρίψομεν τὴν τήμερον ἡμέραν, οἵ τε νῦν ὁρῶντες ἡμᾶς
πολέμιοι, θαρσαλεώτεροι ἔσονται, καὶ ἄλλους εἰκὸς τού-
των θαρρούντων πλείους προσγενέσθαι. μετὰ τοῦτον Ξε-
νοφῶν εἶπεν· ἐγὼ δ' οὕτω γιγνώσκω. εἰ μὲν ἀνάγκη
ἐστὶ μάχεσθαι, τοῦτο δεῖ παρασκευάσασθαι, ὅπως ὡς κρά-
τιστα μαχούμεθα· εἰ δὲ βουλόμεθα ὡς ῥᾷστα ὑπερβαλ-
λεῖν, τοῦτό μοι δοκεῖ σκεπτέον εἶναι, ὅπως ἐλάχιστα μὲν
τραύματα λάβωμεν, ὡς ἐλάχιστα δὲ σώματα ἀνδρῶν ἀ-
ποβάλωμεν. τὸ μὲν οὖν ὄρος ἐστὶ τὸ ὁρώμενον, πλέον ἢ
ἐφ' ἑξήκοντα στάδια. ἄνδρες δ' οὐδαμοῦ φυλάττον-
τες ἡμᾶς φανεροί εἰσιν, ἀλλ' ἢ κατὰ ταύτην τὴν ὁδόν.
πολὺ οὖν κρεῖττον τοῦ ἐρήμου ὄρους καὶ κλέψαι τι πειρᾶσθαι
λαθόντας, καὶ ἁρπάσαι φθάσαντας ἢν δυνάμεθα μᾶλλον,
ἢ πρὸς ἰσχυρὰ χωρία καὶ ἄνδρας παρεσκευασμένους μά-
χεσθαι. πολὺ γὰρ ῥᾷον ὄρθιον ἀμαχεὶ ἰέναι, ἢ ὁμαλὸν, ἔνθεν
καὶ ἔνθεν πολεμίων ὄντων. καὶ νύκτωρ ἀμαχεὶ, ὡς μᾶλλον
ἂν τὰ πρὸ ποδῶν ὁρῴη τις, ἢ μεθ' ἡμέραν μαχόμενος.
καὶ ἡ τραχεῖα τοῖς ποσὶν ἀμαχεὶ ἰοῦσιν, εὐμενεστέρα ἢ
ὁμαλὴ τὰς κεφαλὰς βαλλομένοις. κλέψαι δὲ οὐκ ἀδύ-
νατόν μοι δοκεῖ εἶναι. ἐξὸν γὰρ νυκτὸς ἰέναι, ὡς μὴ ὁρᾶ-
σθαι. ἐξὸν δὲ ἀπελθεῖν τοσοῦτον, ὡς μὴ αἴσθησιν
παρέχειν. δοκοῦμεν δ' ἄν μοι ταύτῃ προσποιούμενοι
προσβαλεῖν, ἐρημοτέρῳ ἂν τῷ ἄλλῳ ὄρει χρῆσθαι. μένοιεν
γὰρ αὐτοῦ μᾶλλον ἀθρόοι οἱ πολέμιοι. ἀτὰρ τί ἐγὼ περὶ
κλοπῆς συμβάλλομαι; ὑμᾶς γὰρ ἔγωγε, ὦ Χειρίσοφε,
ἀκούω τοὺς Λακεδαιμονίους, ὅσοι ἐστὲ τῶν ὁμοίων, εὐθὺς
ἐκ παίδων, κλέπτειν μελετᾶν, καὶ οὐκ αἰσχρὸν εἶναι,
ἀλλὰ καλὸν κλέπτειν, ὅσα μὴ κωλύει νόμος. ὅπως
δὲ ὡς κράτιστα κλέπτητε καὶ πειρᾶσθε λανθάνειν, νό-
μιμον ἄρα ὑμῖν ἐστιν ἐὰν ληφθῆτε κλέπτοντες, μαστι-
γοῦσθαι. νῦν οὖν μάλα σοι καιρός ἐστιν ἐπιδείξασθαι τὴν
παιδείαν, καὶ φυλάξασθαι μέντοι μὴ ληφθῶμεν κλέ-
πτοντες τοῦ ὄρους, ὡς μὴ πολλὰς πληγὰς λάβωμεν. ἀλ-
λὰ μέντοι, ἔφη ὁ Χειρίσοφος, καὶ ἐγὼ ὑμᾶς ἀκούω τοὺς
Ἀθηναίους δεινοὺς εἶναι κλέπτειν τὰ δημόσια, καὶ μά-
λα ὄντος δεινοῦ τοῦ κινδύνου τῷ κλέπτοντι, καὶ τοὺς
κρατίστους μέντοι μάλιστα, εἴπερ ὑμῖν οἱ κράτιστοι ἄρ-
χειν ἀξιοῦνται. ὥστε ὥρα καὶ σοὶ ἐπιδείκνυσθαι τὴν
παιδείαν. ἐγὼ μὲν τοίνυν, ἔφη ὁ Ξενοφῶν, ἕτοιμός
εἰμι τοὺς ὀπισθοφύλακας ἔχων, ἐπειδὰν δειπνήσωμεν,
ἰέναι καταληψόμενος τὸ ὄρος. ἔχω δὲ καὶ ἡγεμόνας.
οἱ γὰρ γυμνῆται τῶν ἑπομένων ἡμῖν κλωπῶν, ἔλα-
βόν τινας ἐνεδρεύσαντες τούτων, καὶ πυνθάνομαι, ὅ-
τι οὐκ ἄβατόν ἐστι τὸ ὄρος, ἀλλὰ νέμεται καὶ αἰξὶ καὶ βου-
σίν. ὥστε ἐάνπερ ἅπαξ λάβωμέν τι τοῦ ὄρους, βατὰ καὶ
τοῖς ὑποζυγίοις ἔσται. ἐλπίζω μέντοι, οὐδὲ τοὺς πολεμί-
ους μένειν ἔτι, ἐπειδὰν ἴδωσιν ἡμᾶς ἐν τῷ ὁμοίῳ τῶν
ἄκρων. οὐδὲ γὰρ νῦν ἐθέλουσι καταβαίνειν εἰς τὸ ἴσον
ἡμῖν. ὁ δὲ Χειρίσοφος εἶπε· καὶ τί δεῖ σε ἰέναι καὶ κατα-
λιπεῖν τὴν ὀπισθοφυλακίαν; ἀλλ' ἄλλους πέμψον, ἐὰν
μή τινες ἐθελούσιοι φαίνωνται. ἐκ τούτου Ἀριστώνυ-
μος Μεθυδριεὺς ἔρχεται ὁπλίτας ἔχων, καὶ Ἀριστέας
Χῖος γυμνῆτας, καὶ Νικόμαχος ὁ Οἰταῖος γυμνῆτας. καὶ
σύνθημα ἐποιήσαντο, ὁπότε ἔχοιεν τὰ ἄκρα, πυρὰ
καίειν πολλά. ταῦτα συνθέμενοι, ἠρίστων. ἐκ δὲ τοῦ

prenda, & in hostē alacriter eũdũ: nam si hodiernum
diē hic cõsumpserimus, id cũ hostes animaduertēt, & q
adsunt cõfidentiores reddētur, & ad eos alij fortasse illo
rũ confidentia freti, se adiũgent. Ego uerò, inquit Xeno
phõ, si necesse sit pugnare, ad pugnā oĩa cõparanda, ac
dandā esse operā censeo, ut ex sentētia pugnemus. Sin il
lud unũ contendendũ uidetur, ut quā facillimè loci diffi-
cultatē superemus, uidendũ est ut incolumes atq; integri
euadamus, ac de nostris q̃ paucissimos amittamus. Atq;
hic quidē mõs, qui in cõspectu est, quantũ cerni potest,
nihil minus q̃ stadia L X. excurrit. Homines uero qui iter
nostrũ obseruant, nuspiā præterquā circa hāc ipsam uiā
apparēt. Satius igitur, opinor, fuerit experiri, si quam de
sertā mõtis partem clàm, et quasi furtim præripere, atq;
occupare possimus, q̃ simul & cũ loci difficultate, et pa
ratis ad pugnandum hominib. certamen suscipere. est. n.
facilius multo in aduersa eniti, modo pugnandũ nõ sit, q̃
per plana iter facere, urgentib. omni ex parte hostib. Præ
terea noctu quæ antè pedes sunt, si pugnandũ nõ sit, mul
to hercule melius cernũtur, q̃ interdiu si in pugnā sit in-
cumbendũ. Iam salebrosa uia, sine pugna multo est æqui
or pedibus, q̃ plana, si capita ex superiore loco feriātur.
Neq; sane hostes nũc cælare difficile fore uidetur: nam
per noctem progredi possumus, ita ut nõ uideamur: et re
gredi si opus fuerit, ut nihil omnino hostis sentiat. Quod
si recta nos transituros simulauerimus, alterā mõtis par
tem ab hoste uacuā facile superare licebit: in hac. n. ipsa
uniuersi permanebũt. Sed quid ego de furto disputo, cum
uos, inquit, Chirisophe Lacedæmonios audiā patria di-
sciplina à pueris furtis assuefieri: tantũq; abesse ut turpe
cuiquā sit furari, ut necesse etiam sit: modo ijs abstineat
quæ lege excepta sunt. Ac quo quā elegantissime & cau
tissime furemini, iubet lex deprehēsum in furto, loris cæ
di. Nũc itaq; nobis Chirisophe, cũ maxime tempus postu
lat, ostendes, q̃ sis ex patria institutione in furando calli
dus: ac illud est in primis cauendũ, ne in furto deprehen
si, plagas ab hoste multas accipiamus. At. n. inquit Chi
risophus, et ego uos Athenienses audio ad publicæ pecu
niæ furta egregie eruditos esse, cũ ea tamen res magnæ
fraudi furi sit: et qđ est magis mirādũ, optimi quiq; (nā
apud uos, qui optimi censentur, hi honores summos ge-
rũt) hoc furti genere nequaquā abstinēt. Quare et nunc
scietiæ uestræ aliquod tibi dandũ est documentũ. Imò, in
qt Xenophõ, cũ extremis hisce quos duco, paratus sum,
cũ cibũ cepimus, mõtē occupare: neq; mihi uiæ duces de
sunt. Velites. n. nostri nup ex ijs nõnullos ceperũt, q no
bis à tergo insidiabātur. Præterea montē intelligo nõ esse
usquequaq; insuperabilē, ac etiam in eo maximũ esse ca
prarũ ac boũ numerũ: quo facile adducor, modo aliquā
eius partē occupauerimus, iumētis etiā nostris peruiũ fo
re. Ad hæc sperandũ illud etiā est, nõ permansuros eodē
in loco hostes, cũ nos uiderint nihilo se loco inferiores.
Satis. n. liquet, nolle eos nobiscũ æquo loco cõgredi. Tũ
Chirisophus: Quin tu alios, ĩquit, eò mittito: neq;. n. expe
dit à te agminis tergũ relinqui, nisi forte qui id ultrò ne
gocij suscipiant, defuerint. Ibi se ituros professi sunt Ari
stonymus Methydriēsis cum graui armatura, Aristeas
Chius cũ uelitibus, atq; item cũ uelitib. Nicomachus Te
us. De tessera cõuenit, ut cũ iuga occupassent, ignes fa-
cerēt multos. Inde ad corpora curāda cõuersi sunt: ac cũ

mos erat lacedemonijs furari.

cibum cepissent, Aristonymus prope ad hostes x. ferme stadia copias omnes duxit, quo scilicet tuta illa uia usurus uideretur. A cœna uero cum iam nox immineret, hi quibus negocium datum erat, montem occuparunt: alij infra montem substiterunt. Hostes cum montem captum uidissent, totam noctem multis accensis ignibus euigilarunt. Vbi primum illuxit, Chirisophus cum rem diuinam fecisset, rectà in hostes contendit, cum interea nostri iuga iam inuaderent. At barbari partim quidem in superiore montis parte manserunt, partim uero ijs qui iuga appetebant, occurrerunt: ac prius quàm in unum coirent, eos nostri impressione facta fundunt, fugantq́: atque eodem tempore è campis peltati in aduersam aciem cursu inuaserunt. Chirisophus pedetentim progressus, cum graui armatura præsto fuit. Hostes de uia cum superiora omnia capta uiderent, statim terga uertunt, & eorum sane multi cæsi sunt. Scuta cratitia multa relicta, quæ nostri, ne cui usui essent, gladijs conciderunt. Iugis iam superatis, ac sacris rite peractis, trophæóque erecto, in campos descenderunt, ubi uicos copijs omnibus refertissimos offendere. Ex his quintis castris pass. circiter CC.M. confectis, in Taochos peruexerunt, quo loco cibaria defecerunt. Loca enim munita Taochi tenebant, in quæ commeatus omnis deportarant. Cum autem eò peruentum esset, quò (etsi neque oppida ibi, neque domus ullæ erant) Taochi tamen se cum pecoribus & uxoribus receperant, Chirisophus eum locum oppugnare aggressus est. Et quoniam non poterant uniuersi saltum illum circunsedere, quippe qui omni ex parte præruptus erat, primæ cuique cohorti iam fessæ, integra succurrebat. Hic cum Xenophon cum peltatis qui in tergo erant, & graui armatura superuenisset, Opportune, inquit Chirisophus, aduenis, est enim hic nobis saltus omnino capiendus: quem nisi ceperimus, copijs nostris nullo pacto commeatus suppetere possunt. Inter consultandum autem rogauit Xenophon, quid impediret, quo minus eò possent penetrare: Vnus, inquit Chirisophus, hic, quem uides, illuc trames ducit. Quod si quis hàc enitatur, de superiore illa crepidine saxa deuoluunt, quibus uti uides homines eliduntur. Ac simul et aliquot homines ostendit, cruribus alios, alios lateribus elisis. Sedenim, inquit Xenophon, si lapides consumpserint, quid nos amplius loci aditu prohibebit? aduersos quidem nobis paucos uidemus, atque ex ijs duos, ad summum tres, armatos. Qui uero locus nobis infestus ac periculosus est, is in triginta fere passuum longitudinem patet: idemq́; est ad uiginti ferme pass. pinis maximis per interualla condensus. Quis in parte quid omnino nobis aut iacta, aut deuoluta saxa nocere possunt? Reliquum erit spacium pass. decem, quod erit cursim conficiendum, cum scilicet quæ deuolui possint, nulla amplius saxa supererunt. Verùm, inquit Chirisophus, cum iam per conseptum hunc arboribus locum iter facere cœperimus, saxa in nos creberrima deferentur. Hoc ipsum, inquit Xenophon, à nobis erit: sic enim celerius quem habent lapidum numerum abijcient. Sed ad eum iam locum accedamus, quo, modo liceat peruenire, breui euademus. Hæc cum dixisset, Xeno

ἄριστον προήγαγεν ἀριστώνυμος τὸ στράτευμα πᾶν ὡς
δέκα στάδια πρὸς τοὺς πολεμίους, ὅπως ὡς μάλιστα δο-
κοίη ταύτῃ προσάξειν. ἐπεὶ δὲ ἐδείπνησαν καὶ νὺξ ἐγέ-
νετο, οἱ μὲν ταχθέντες ᾤχοντο, καὶ καταλαμβάνουσι
τὸ ὄρος. οἱ δὲ ἄλλοι αὐτοῦ ἀνεπαύοντο. οἱ δὲ πολέμιοι ὡς
ᾔσθοντο ἐχόμενον τὸ ὄρος, ἐγρηγόρησαν, καὶ ἔκαιον πυ-
ρὰ πολλὰ διὰ νυκτός. ἐπεὶ δὲ ἡμέρα ἐγένετο, χειρίσοφος
μὲν θυσάμενος, ἦγε κατὰ τὴν ὁδόν. οἱ δὲ τὸ ὄρος κατα-
λαβόντες καὶ τὰ ἄκρα ἐπῄεσαν. τῶν δ' αὖ πολεμίων
τὸ μὲν πολὺ ἔμενεν ἐπὶ τῇ ὑπερβολῇ τοῦ ὄρους. μέρος
δ' αὐτῶν ἀπήντα τοῖς κατὰ τὰ ἄκρα. πρὶν δὲ ὁμοῦ εἶναι τοὺς
πολεμίους, ἀλλήλοις συμμιγνύουσιν οἱ κατὰ τὰ ἄκρα, καὶ
νικῶσιν οἱ ἕλληνες καὶ διώκουσιν. ἐν τούτῳ δὲ καὶ οἱ
ἐκ τοῦ πεδίου οἱ μὲν πελτασταὶ τῶν ἑλλήνων δρόμῳ ἔ-
θεον πρὸς τοὺς παρατεταγμένους. χειρίσοφος δὲ βάδη-
ν ταχὺ ἐφείπετο σὺν τοῖς ὁπλίταις. οἱ δὲ πολέμιοι
ἐν τῇ ὁδῷ, ἐπεὶ τὸ ἄνω ἑώρων ἡττώμενον, φεύγουσι, καὶ
ἀπέθανον μὲν οἱ πολλοὶ αὐτῶν. γέρρα δὲ πάμπολλα ἐ-
λήφθη, ἃ οἱ ἕλληνες ταῖς μαχαίραις κόπτοντες, ἀχρεῖα
ἐποίουν. ὡς δ' ἀνέβησαν, θύσαντες, καὶ τρόπαιον στησά-
μενοι, κατέβησαν εἰς τὸ πεδίον καὶ κώμας, πολλῶν
ἀγαθῶν γεμούσας. ἐκ δὲ τούτων ἐπορεύθησαν εἰς ταό-
χους σταθμοὺς πέντε, παρασάγγας πεντήκοντα, καὶ τὰ
ἐπιτήδεια ἐπέλιπε. χωρία γὰρ ᾤκουν ἰσχυρὰ οἱ τάοχοι,
ἐν οἷς καὶ τὰ ἐπιτήδεια πάντα εἶχον ἀνακεκομισμένοι.
ἐπεὶ δὲ ἀφίκοντο εἰς χωρίον, ὃ πόλιν μὲν οὐκ εἶχεν οὐδ'
οἰκίας, συνεληλυθότες δὲ ἦσαν αὐτόσε, καὶ ἄνδρες καὶ
γυναῖκες καὶ κτήνη πολλά, χειρίσοφος μὲν πρὸς τοῦτο
προσέβαλλεν εὐθὺς ἥκων. ἐπεὶ δὲ ἡ πρώτη τάξις ἐκά-
μνεν, ἄλλη προσῄει, καὶ αὖθις ἄλλη. οὐ γὰρ ἦν ἀθρόοις περι-
στῆναι, ἀλλ' ἀπότομον ἦν κύκλῳ. ἐπεὶ δὲ ξενοφῶν ἦλ-
θε σὺν τοῖς ὀπισθοφύλαξι καὶ πελτασταῖς καὶ ὁπλίταις,
ἐνταῦθα δὴ λέγει χειρίσοφος, εἰς καλὸν ἥκεις. τὸ γὰρ
χωρίον αἱρετέον. τῇ γὰρ στρατιᾷ οὐκ ἔστι τὰ ἐπιτήδεια,
εἰ μὴ ληψόμεθα τὸ χωρίον. ἐνταῦθα δὴ κοινῇ ἐβουλεύ-
οντο. καὶ τοῦ ξενοφῶντος ἐρωτῶντος τί τὸ κωλῦον εἴη
εἰσελθεῖν, εἶπεν ὁ χειρίσοφος· ἀλλὰ μία αὕτη ἐστὶ πάρο-
δος, ἣν ὁρᾷς. ὅταν δέ τις ταύτῃ ἐπειρᾶτο παριέναι,
κυλινδοῦσι λίθους ὑπὲρ ταύτης τῆς ὑπερεχούσης πέ-
τρας. ὃς δ' ἂν καταληφθείη, οὕτω διατίθεται. ἅμα δ'
ἔδειξεν αὐτῷ, συντετριμμένους ἀνθρώπους καὶ σκέ-
λη καὶ πλευράς. ἢν δὲ τοὺς λίθους ἀναλώσωσιν, ἔφη ὁ ξενο-
φῶν, ἄλλο τι, ἢ οὐδὲν κωλύει παριέναι. οὐ γὰρ δὴ ἐκ τοῦ
ἐναντίου ὁρῶμεν, εἰ μὴ ὀλίγους τούτους ἀνθρώπους, καὶ
τούτων δύο ἢ τρεῖς ὡπλισμένους. τὸ δὲ χωρίον ὡς καὶ σὺ
ὁρᾷς, σχεδὸν τρία ἡμίπλεθρά ἐστιν, ἃ δεῖ βαλλομένους διε-
λθεῖν. τούτου δὲ ὅσον πλέθρον δασὺ, πίτυσι διαλεχού-
σαις μεγάλαις. ἀνθ' ὧν ἑστηκότες ἄνδρες, τί ἂν πά-
σχοιεν, ἢ ὑπὸ τῶν φερομένων λίθων, ἢ ὑπὸ τῶν κυλινδουμέ-
νων. τὸ λοιπὸν οὖν ἤδη γίγνεται ὡς ἡμίπλεθρον, ὃ δεῖ, ὅταν
λωφήσωσιν οἱ λίθοι παραδραμεῖν. ἀλλ' εὐθέως ἔφη ὁ χειρί-
σοφος, ἐπειδὰν ἀρξώμεθα εἰς τὸ δασὺ προσιέναι φέρονται οἱ
λίθοι πολλοί, αὐτὸ ἂν ἔφη τὸ δέον εἴη. θᾶττον γὰρ ἀληθῶς
ἀναλώσουσι τοὺς λίθους. ἀλλὰ πορευώμεθα, ἔνθεν ἡμῖν μι-
κρόν τι παραδραμεῖν ἔσται, ἢν δυνώμεθα, καὶ ἀπελ-
θεῖν ῥᾴδιον, ἢν βουλώμεθα. ἐντεῦθεν ἐπορεύοντο χειρίσοφος,
καὶ

καὶ Ξενοφῶν, καὶ Καλλίμαχος Παῤῥάσιος λοχαγός. τούτου γὰρ ἡ ἡγεμονία ἦν τῶν ὀπισθοφυλάκων λοχαγῶν ἐκείνῃ τῇ ἡμέρᾳ. οἱ δὲ ἄλλοι λοχαγοὶ ἔμενον ἐν τῷ ἀσφαλεῖ. μετὰ τοῦτο οὖν ἀπῆλθον ὑπὸ τὰ δένδρα ἄνθρωποι εἰς τοὺς ἑβδομήκοντα, οὐκ ἀθρόοι, ἀλλὰ καθ᾽ ἕνα ἕκαστος φυλαττόμενος ὡς ἐδύνατο. Ἀγασίας δὲ ὁ Στυμφάλιος, καὶ Ἀριστώνυμος Μεθυδριεύς, καὶ οὗτοι τῶν ὀπισθοφυλάκων λοχαγοὶ ὄντες, καὶ ἄλλοι δὲ ἐφέστασαν ἔξω τῶν δένδρων. οὐ γὰρ ἦν ἀσφαλὲς ἐν τοῖς δένδροις ἑστάναι πλεῖον ἢ τὸν ἕνα λόχον. ἔνθα δὴ Καλλίμαχος μηχανᾶταί τι. προέτρεχεν ἀπὸ τοῦ δένδρου, ὑφ᾽ ᾧ ἦν αὐτός, δύο ἢ τρία βήματα. ἐπεὶ δὲ οἱ λίθοι φέροιντο, ἀνεχάζετο εὐπετῶς. ἐφ᾽ ἑκάστης δὲ προδρομῆς, πλέον ἢ δέκα ἅμαξαι πετρῶν ἀνηλίσκοντο. ὁ δὲ Ἀγασίας ὡς ὁρᾷ τὸν Καλλίμαχον ἃ ἐποίει, καὶ τὸ στράτευμα πᾶν θεώμενον, δείσας μὴ οὐ πρῶτος παραδράμοι εἰς τὸ χωρίον, οὔτε τὸν Ἀριστώνυμον πλησίον ὄντα παρακαλέσας, οὐδὲ Εὐρύλοχον τὸν Λουσιέα ἑταίρους ὄντας, οὐδ᾽ ἄλλον οὐδένα, χωρεῖ αὐτὸς καὶ παρέρχεται πάντας. ὁ δὲ Καλλίμαχος ὡς ὁρᾷ αὐτὸν παριόντα, ἐπιλαμβάνεται αὐτοῦ τῆς ἴτυος. ἐν δὲ τούτῳ παρέθει αὐτούς, Ἀριστώνυμος Μεθυδριεύς. καὶ μετὰ τοῦτον Εὐρύλοχος Λουσιεύς. πάντες γὰρ οὗτοι ἀντεποιοῦντο ἀρετῆς, καὶ διηγωνίζοντο πρὸς ἀλλήλους. καὶ οὕτως ἐρίζοντες, αἱροῦσι τὸ χωρίον. ὡς γὰρ ἅπαξ εἰσέδραμον, οὐδεὶς ἔτι πέτρος ἄνωθεν ἠνέχθη. ἐνταῦθα δὴ δεινὸν ἦν θέαμα. αἱ γὰρ γυναῖκες ῥιπτοῦσαι τὰ παιδία, εἶτα καὶ ἑαυτὰς ἐπικατερρίπτουν, καὶ οἱ ἄνδρες ὡσαύτως. ἔνθα δὴ καὶ Αἰνείας ὁ Στυμφάλιος λοχαγὸς ἰδών τινα θέοντα, ὡς ῥίψοντα ἑαυτόν, στολὴν ἔχοντα καλήν, ἐπιλαμβάνεται ὡς αὐτὸν κωλύσων. ὁ δ᾽ αὐτὸν ἐπισπᾶται, καὶ ἀμφότεροι ᾤχοντο κατὰ τῶν πετρῶν φερόμενοι, καὶ ἀπέθανον. ἐντεῦθεν ἄνθρωποι μὲν ὀλίγοι πάνυ ἐλήφθησαν. βόες δὲ καὶ ὄνοι καὶ πρόβατα πολλά. ἐντεῦθεν ἐπορεύθησαν διὰ Χαλύβων σταθμοὺς ἑπτά, παρασάγγας πεντήκοντα. οὗτοι ἦσαν ὧν διῆλθον, ἀλκιμώτατοι, καὶ εἰς χεῖρας ᾖσαν, εἶχον δὲ θώρακας λινοῦς μέχρι τοῦ ἤτρου· ἀντὶ δὲ τῶν πτερυγίων, σπάρτα πυκνὰ ἐστραμμένα. εἶχον δὲ καὶ κνημῖδας καὶ κράνη, καὶ παρὰ τὴν ζώνην μαχαίριον ὅσον ξυήλην Λακωνικήν, ᾧ ἔσφαττον, ὧν κρατεῖν δύναιντο, καὶ ἀποτέμνοντες ἂν τὰς κεφαλάς, ἔχοντες ἐπορεύοντο. καὶ ᾖδον καὶ ἐχόρευον, ὁπότε οἱ πολέμιοι ὄψεσθαι αὐτοὺς ἔμελλον. εἶχον δὲ καὶ δόρυ, ὡς πεντεκαίδεκα πηχῶν, μίαν λόγχην ἔχον. οὗτοι ἐνέμενον ἐν τοῖς πολίσμασιν. ἐπεὶ δὲ παρέλθοιεν οἱ Ἕλληνες, εἵποντο ἀεὶ μαχόμενοι. ᾤκουν δὲ ἐν τοῖς ὀχυροῖς. καὶ τὰ ἐπιτήδεια ἐν τούτοις ἀνακεκομισμένοι ἦσαν. ὥστε μηδὲν λαμβάνειν αὐτόθεν τοὺς Ἕλληνας. ἀλλὰ διετράφησαν τοῖς κτήνεσιν, ἃ ἐκ τῶν Ταόχων ἔλαβον. ἐκ τούτου οἱ Ἕλληνες ἀφίκοντο ἐπὶ τὸν Ἅρπασον ποταμόν, εὖρος τεττάρων πλέθρων. ἐντεῦθεν ἐπορεύθησαν διὰ Σκυθινῶν, σταθμοὺς τέτταρας, παρασάγγας εἴκοσι διὰ πεδίου εἰς κώμας, ἐν αἷς ἔμειναν ἡμέρας τρεῖς, καὶ ἐπεσιτίσαντο. ἐντεῦθεν ἦλθον σταθμοὺς τέτταρας, παρασάγγας εἴκοσι, πρὸς πόλιν μεγάλην καὶ εὐδαίμονα οἰκουμένην. ἐκαλεῖτο δὲ Γυμνίας. ἐκ ταύτης τῆς χώρας ὁ ἄρχων τοῖς Ἕλλησιν ἡγεμόνα πέμπει, ὅπως διὰ τῆς ἑαυτῶν πολεμίας χώρας ἄγοι αὐτούς.

ἐλθὼν

Xenophon, cum eo Chirisophus & Callimachus Parrhasius (cũ is eo die, principẽ inter eos, qui in tergo erant centuriones, locum obtineret) profecti sunt: centuriones uero reliqui in tuto manserunt. Tum homines ferme septuaginta ad arbores se contulerunt, non uniuersi, sed singuli, quàm quisq; potuit cautissime. Agasias quidem Stymphalius, & Aristonymus Methydriensis, & ipsi tergi centuriones, citra arbores se continuerunt: neq; enim amplius quàm centuria una arboribus illis protegi poterat. Hic Callimachus progrediendi rationẽ excogitat: ab ea arbore, sub qua constiterat, pass. ferme II. aut III. excurrebat. Cum uerò lapides deuoluebãtur, haud magno negocio se in tutum recipiebat. At quoties excurrerat, toties plaustra haud minus quàm X. lapidum consumebantur. Id cum à Callimacho factum Agasias animaduertisset, ueritus ne spectante exercitu primus ille laudem in capiendo saltu occuparet, solus re, neq; cũ Aristonymo, qui loco erat proximus, neq; cum Eurylocho Lusiensi, aut sociorum alio quoquam cõmunicata, in mediũ processit, ac omnes anteuertit. At Callimachus ubi se praeteritum sensit, Agasiam clypeo prehensum retrahere conabatur. Illis uero inter se certantibus, Aristonymus Methydriensis, ac post eũ statim Eurylochus Lusiensis (erat enim inter hos omnes de gloria certamẽ, ac sibi eorũ quisq; uirtutis primas uindicabat) irruptionem primi intra saltum fecerũt, ac certatim eum occuparũt: neq; enim aditu semel occupato, lapis ullus amplius deuolutus est. Hic miserabile spectaculum extitit: foeminae paruulos primum filios, ac seipsas deinde de saxo praecipites miserunt: ac uiri etiam idem fecerunt. Ibi Stymphalius Aeneas centurio, quendam conspicatus corporis ornamentis insignem, hominem ne se deijceret, retinere conatus est: at ille & hunc in praeceps traxit, atq; ita ambo è summo saxo collapsi, una interierunt. In eo uero loco homines sane pauci, asini ac boues quamplurimi reperti sunt. Hinc Graeci discedentes septimis castris M. pass. CC. itinere, in Chalybas peruenerunt, gentẽ omniũ ad quas uenerint fortissimã, quaeq; manus conserere non dubitarit. Hi linteis loricis ad imum usq; uentrem muniebantur: pro plumulis, arcte contortis sparteis funiculis utebantur. Ocreas ijdem & galeas habebant: de zona Sicula pendebat instar Laconici cultri: eas, quos in potestatẽ redegissent, iugulabant, ac praecisis capitibus, cum ijs se ad suos recipiebant. Hi quoties in eum locum uenissent, unde se conspici posse ab hostibus putarent, cantu & saltatione laetitiam prae se ferebant. Hasta utebãtur longa ad cubita XV. unica praefixa cuspide. Graecis quidem praetereuntibus, intra oppida se continebant, deinde tergum pugna lacessebant: partim etiam in castella se receperunt, quò cibaria omnia concluserant: quare ex toto eorum agro nulla Graecis cibaria suppeditarunt. Pecudibus tantum alebantur, quas à Taochis abegerant. Hinc elapsi, ad Harpasum fluuium peruenere, cuius latitudo nihilo erat minor quàm pass. LXXX. Progressi deinde per Scythinorũ campos pass. LXXX. M. quatridui in uicos proximos, ibi triduum frumentandi causa cõmorati sunt: quo ex loco, quatridui, pass. LXXX. M. confectis, ad urbem uenerunt opulentam ac celebrem, cui nomen Gymnias. Huius regionis praefectus ducẽ ad Graecos misit, qui eos per hostilem agrum duceret.

parentes primo filios deinde seipsos e saxo praecipitarunt.

Hic cum in Græcorum castra uenisset, se eos in eam re/
gionem ducturũ pollicitus est, è qua proximis illis quin
que diebus mare essent uisuri: id nisi præstitisset, nihil de
precaturum, quin se occiderent. Ingressus postea hostiũ
suorum fines, igni ferroq; omnia Græcis uastanda tradi
dit: ex quo apparuit, illorum odio, non Græcorum bene
uolentia, tam æquum illum se præbuisse. Quinto uero ip
so die in sacrum montem Græci peruenerũt, cui Teches
nomen. Hic cum in montem, qui in principijs agminis
erant, iam ascendissent, mari conspecto clamorem sustu/ 10
lerunt, quo Xenophõ, quiq; in tergo erant perculsi, ueri
ti sunt ne hostes agmen à fronte inuasissent, quandoqui
dem & à tergo, ab incensis uilliis multi urgebant, è quo
rum numero nonnullos extremi agminis custodiæ occi
derant, nonnullos item ex insidijs uiuos ceperant, ac scu
ta ferme x x. hirtorũ boum recenti corio contecta eripu
erant. Iam uero cum increbuisset clamor, & insequen/
tium ad primos, qui clamassent, concursus fieret, ac eo
uehementior clamor fieret, quanto iam plures cum cla/
more ascendissent: enimuero Xenophonti ea res mini 20
me contemnenda uisa est, quamobrem statim in equum
ascendit, assumptoq; Lycio cum equitatu, auxilium latu
rus accurrit: cum aũt propius accessisset, intellexit militũ
eam uocẽ esse, mare, mare iterantiũ, ac se mutuo cohor/
tantiũ. Iam eõdẽ triarij accurrebant, eodem iumẽta atq;
equi agebantur. Cum uero in ipso iugo iam omnes con
stitissent, collacrymantes præ gaudio, prætores ac cen
turiones se mutuo amplectebãtur. Milites alacres, incer
tum cuius iussu, lapides in unum congesserunt, ac sugge
stu extructo, in eo corio intecta scuta, sudes, cratitios ité, 30
quos hosti eripuerant, clypeos collocarunt, quæ dux ip
se concidit, atq; ut alij itidem facerẽt, hortatus est. Tum
ducem Græci datis communi impensa donis, remiserũt.
Dona fuerunt equus, phiala argentea, ornatus Persicus,
Darici ad hæc x. in primis quos ille cupide petierat, à
militibus priuatim annulos complures accepit: ac uico
monstrato, quo diuersuri essent, monstrata item uia, qua
in Macronas iter facerent, cum iam aduesperasceret, no
ctu iter facturus, à Græcis discessit. Ipsi triduũ x L. M.
paß. confectis, in Macronas peruenerũt. Primo uero die 40
ad fluuium uenere, qui Macronas à Scythinis diuidit.
Macrones regionem dextram tenent, quippe quæ est adi
tu difficilior: ad leuam alium amnem habent, in quem is
qui eos à Scythinis disiungit, influit: & utrunq; Græcis
traijcere necesse erat. Posterioris alueus arboribus non
illis quidem densis, sed crasßioribus conseptus erat: quas
arbores quo celerius possent è loco infesto euadere, Græ
ci strauere. In aduersa ripa constiterant acie Macrones
cum cratitijs clypeis, lanceis, & è setis contextis tuni/
cis, qui se mutuo cohortati, lapides in flumẽ cõtra Græ 50
cos mittebant: uerum longiore interuallo, q̃ ut quenquã
omnino attingere potuerint. Ibi è peltatorũ numero u/
nus ad Xenophontẽ uenit: is se Athenis quidem seruitu
tem seruisse dixit, iam uero suam se patriã ex hominũ uo
ce agnoscere, ac cupere, si nulli esset fraudi futurũ, cũ il
lis colloqui. Impune, inquit Xenophõ, colloquere, et ab
his primũ quære quinã homines sint. Quod cũ ille quæ
sisset, ac se illi Macronas esse respõdissent: Quære, inqt,
rursus, quare cõmoti arma nobis inferãt. Ad quæ illi re/
sponderũt, quoniam priores uos fines nostros inuaditis.

Atqui,

ἐλθὼν δὲ αὐτοῖς λέγει, ὅτι ἄξει αὐτοὺς εἰς χωρίον, ὅθεν ἐν πέν
τε ἡμερῶν ὄψονται θάλατταν· εἰ δὲ μή, τεθνάναι ἐπηγ
γέλλετο καὶ ἡγούμενος. ἐπεὶ δὲ ἐνέβαλεν εἰς τὴν ἑαυ
τοῖς πολεμίαν, παρεκελεύετο αἴθειν καὶ φθείρειν τὴν
χώραν. ᾧ καὶ δῆλον ἐγένετο, ὅτι τούτου ἕνεκα ἔλθοι, οὐ
τῆς τῶν Ἑλλήνων εὐνοίας. καὶ ἀφικνοῦνται ἐπὶ τὸ ἱερὸν ὄ-
ρος τῇ πέμπτῃ ἡμέρᾳ. ὄνομα δὲ ἦν τῷ ὄρει, Θήχης. ἐπεὶ
δὴ δὲ οἱ πρῶτοι ἐγένοντο ἐπὶ τοῦ ὄρους, καὶ κατεῖδον τὴν
θάλατταν, πολλὴ κραυγὴ ἐγένετο. ἀκούσας δὲ ὁ Ξενοφῶν 10
καὶ οἱ ὀπισθοφύλακες ᾠήθησαν καὶ ἔμπροσθεν ἄλλους ἐπι-
τίθεσθαι πολεμίους. εἵποντο γὰρ καὶ οἱ ὄπισθεν ἐκ τῆς καιο
μένης χώρας. καὶ αὐτῶν οἱ ὀπισθοφύλακες ἀπέκτειναν
τέ τινας, καὶ ἐζώγρησαν ἐνέδραν ποιησάμενοι, καὶ γέρρα
ἔλαβον δασέων βοῶν ὠμοβόινα, ἀμφὶ τὰ εἴκοσιν. ἐπει-
δὴ δὲ βοὴ πλείων τε ἐγίγνετο καὶ ἐγγύτερον, καὶ οἱ ἀεὶ
ἐπιόντες ἔθεον δρόμον ἐπὶ τοὺς ἀεὶ βοῶντας, καὶ πολλῷ
μείζων ἐγίγνετο βοή, ὅσῳ δὴ πλείους ἐγίγνοντο, ἐδόκει
δὴ μεῖζόν τι εἶναι τῷ Ξενοφῶντι. καὶ ἀναβὰς ἐφ' ἵππον,
καὶ Λύκιον καὶ τοὺς ἱππέας ἀναλαβών, παρεβοήθει. καὶ 20
τάχα δὴ ἀκούουσι βοώντων τῶν στρατιωτῶν, θάλαττα, θά
λαττα, καὶ παρεγγυώντων. ἔνθα δὴ ἔθεον ἅπαντες, καὶ οἱ
ὀπισθοφύλακες, καὶ τὰ ὑποζύγια ἠλαύνετο, καὶ οἱ ἵπποι.
ἐπεὶ δὲ ἀφίκοντο πάντες ἐπὶ τὸ ἄκρον, ἐνταῦθα δὴ περι
εβάλλον ἀλλήλους, καὶ στρατηγοὺς καὶ λοχαγοὺς δακρύον-
τες. καὶ ἐξαπίνης ὅτου δὴ παρεγγυήσαντος οἱ στρατιῶται,
φέρουσι λίθους, καὶ ποιοῦσι κολωνὸν μέγαν. ἐνταῦθα ἀνετί/
θεσαν πλῆθος δερματίνων ὠμοβοΐων, καὶ βακτηρίας
καὶ τὰ αἰχμάλωτα γέρρα, καὶ ὁ ἡγεμὼν αὐτός τε κατέτε 30
μνε τὰ γέρρα, καὶ τοῖς ἄλλοις διεκελεύετο. μετὰ ταῦτα τὸν
ἡγεμόνα ἀποπέμπουσιν οἱ Ἕλληνες, δῶρα δόντες ἀπὸ κοι-
νοῦ, ἵππον καὶ φιάλην ἀργυρᾶν, καὶ σκευὴν περσικήν,
καὶ δαρεικοὺς δέκα. ᾔτει δὲ μάλιστα τοὺς δακτυλίους, καὶ ἔ-
λαβε πολλοὺς παρὰ τῶν στρατιωτῶν. κώμην δὲ δείξας αὐτοῖς
οὗ σκηνήσουσι, καὶ τὴν ὁδὸν ἣν πορεύσοιντο εἰς Μακρῶ/
νας, ἐπεὶ ἑσπέρα ἐγένετο, ᾤχετο τῆς νυκτὸς ἀπιών. ἐντεῦ
θεν ἐπορεύθησαν οἱ Ἕλληνες διὰ Μακρώνων σταθμοὺς τρεῖς,
παρασάγγας δέκα. τῇ πρώτῃ δὲ ἡμέρᾳ ἀφίκοντο ἐπὶ τὸν 40
ποταμόν, ὃς ὥριζε τήν τε τῶν Μακρώνων καὶ τὴν τῶν Σκυθι-
νῶν. εἶχον δ' ὑπὲρ δεξιῶν χωρίον οἷον χαλεπώτατον, καὶ
ἐξ ἀριστερᾶς ἄλλον ποταμόν, εἰς ὃν ἐνέβαλλεν ὁ ὁρίζων,
δι' οὗ ἔδει διαβαίνειν. ἦν δὲ οὗτος δασὺς δένδροις πα-
χέσι μέν, οὐ πυκνοῖς δέ. ταῦτα ἐπεὶ προσῆλθον οἱ Ἕλλη-
νες, ἔκοπτον, σπεύδοντες ὡς τάχιστα ἐκ τοῦ χωρίου ἐξελ
θεῖν. οἱ δὲ Μάκρωνες ἔχοντες γέρρα καὶ λόγχας καὶ τριχί
νους χιτῶνας, κατ' ἀντιπέραν τῆς διαβάσεως παρατεταγ
μένοι ἦσαν, καὶ ἀλλήλοις διεκελεύοντο, καὶ λίθους εἰς τὸν
ποταμὸν ἔρριπτουν. ἐξικνοῦντο δὲ οὐδὲ οὕτως, οὐδ' ἔ- 50
βλαπτον οὐδένα. ἔνθα δὴ προσέρχεται τῷ Ξενοφῶντι
τῶν πελταστῶν τις ἀνὴρ Ἀθήνησι φάσκων δεδουλευ-
κέναι, λέγων ὅτι γιγνώσκοι τὴν φωνὴν τῶν ἀνθρώπων. καὶ
οἶμαι, ἔφη, ἐμὴν ταύτην τὴν πατρίδα εἶναι, καὶ εἰ μή τι κω-
λύει, ἐθέλω αὐτοῖς διαλεχθῆναι. ἀλλ' οὐδὲν κωλύει, ἔφη,
ἀλλὰ διαλέγου, καὶ μάθε πρῶτον αὐτῶν τίνες εἰσίν. οἱ δ'
εἶπον ἐρωτήσαντος, ὅτι Μάκρωνες. ἐρώτα τοίνυν, ἔφη,
αὐτούς, τί ἀντιτετάχασι, καὶ χρῄζουσιν ἡμῖν πολέμιοι εἶναι.
οἱ δ' ἀπεκρίναντο, ὅτι καὶ ὑμεῖς ἐπὶ τὴν ἡμετέραν ἔρχεσθε.

λέγειν

λέγειν ἐκέλευον οἱ στρατηγοὶ, ὅτι γε οὐ κακῶς ποιήσοντες, ἀπερχόμεθα εἰς τὴν Ἑλλάδα, καὶ ἐπὶ θάλατταν βουλόμεθα ἀφικέσθαι. ἠρώτων ἐκεῖνοι, εἰ δοῖεν ἂν τούτων τὰ πιστά. οἱ δ᾽ ἔφασαν, καὶ δοῦναι καὶ λαβεῖν ἐθέλειν. ἐντεῦθεν διδόασιν οἱ Μάκρωνες βαρβαρικὴν λόγχην τοῖς Ἕλλησιν, οἱ δὲ Ἕλληνες ἐκείνοις ἑλληνικήν. ταῦτα γὰρ ἔφασαν πιστὰ εἶναι. θεοὺς δ᾽ ἐπεμαρτύραντο ἀμφότεροι. μετὰ δὲ τὰ πιστὰ, εὐθὺς οἱ Μάκρωνες τὰ δένδρα συνεξέκοπτον. τήν τε ὁδὸν ὡδοποίουν ὡς διαβιβάσοντες, ἐν μέσοις ἀναμεμιγμένοι τοῖς Ἕλλησιν, καὶ ἀγορὰν οἵαν ἐδύναντο παρεῖχον, καὶ διήγαγον τρισὶν ἡμέραις, ἕως ἐπὶ τὰ ὅρια τῶν Κόλχων κατέστησαν τοὺς Ἕλληνας. ἐνταῦθα ἦν ὄρος μέγα, προσβατὸν δέ. καὶ ἐπὶ τούτου οἱ Κόλχοι παρατεταγμένοι ἦσαν, καὶ τὸ μὲν πρῶτον οἱ Ἕλληνες, ἀντιπαρετάξαντο φάλαγγα ὡς οὕτως ἄξοντες πρὸς τὸ ὄρος. ἔπειτα δὲ ἔδοξε τοῖς στρατηγοῖς συλλεγεῖσι βουλεύσασθαι, ὅπως ὡς κάλλιστα ἀγωνιοῦνται. ἔλεξεν οὖν Ξενοφῶν, ὅτι δοκεῖ παύσαντας τὴν φάλαγγα, λόχους ὀρθίους ποιῆσαι. ἡ μὲν γὰρ φάλαγξ διασπασθήσεται εὐθύς. τῇ μὲν γὰρ ἄνοδον, τῇ δὲ εὔοδον εὑρήσομεν τὸ ὄρος. καὶ εὐθὺς τοῦτο ἀθυμίαν ποιήσει, ὅτι τεταγμένοι εἰς φάλαγγα ταύτην διεσπασμένην ὁρῶσιν. ἔπειτα δὲ, ἢν μὲν ἐπὶ πολλοὺς τεταγμένοι προσάγωμεν, περιττεύσουσιν ἡμῶν οἱ πολέμιοι, καὶ τοῖς περιττοῖς χρήσονται ὅτι ἂν βούλωνται. ἐὰν δὲ ἐπ᾽ ὀλίγων τεταγμένοι ἴωμεν, οὐδὲν ἂν εἴη θαυμαστὸν, εἰ διακοπείη ἡμῶν ἡ φάλαγξ, ὑπὸ ἀθρόων καὶ βελῶν, καὶ ἀνθρώπων συμπεσόντων. εἰ δέ πῃ τοῦτο ἔσται, τῇ ὅλῃ φάλαγγι κακὸν ἔσται. ἀλλά μοι δοκεῖ ὀρθίους τοὺς λόχους ποιησαμένους, τοσοῦτον χωρίον κατασχεῖν διαλιπόντας τοὺς λόχους, ὅσον ἔξω τοὺς ἐσχάτους λόχους γενέσθαι τῶν πολεμίων κεράτων, καὶ οὕτως ἐσόμεθα τῆς τε τῶν πολεμίων φάλαγγος ἔξω οἱ ἔσχατοι λόχοι, καὶ ὀρθίους ἄγοντες οἱ κράτιστοι ἡμῶν, πρῶτοι προσίασιν, εἴτε ἂν εὔοδον ᾖ, ταύτῃ ἕκαστος ἄξει ὁ λόχος. καὶ εἴς τε τὸ διαλεῖπον, οὐ ῥᾴδιον ἔσται τοῖς πολεμίοις εἰσελθεῖν, ἔνθεν καὶ ἔνθεν λόχων ὄντων. διακόψαι τε οὐ ῥᾴδιον ἔσται, λόχον ὄρθιον προσιόντα. ἐάν τέ τις πιέζηται τῶν λόχων, ὁ πλησίον βοηθήσει. ἤν τε εἷς πῃ δυνηθῇ τῶν λόχων ἐπὶ τὸ ἄκρον ἀναβῆναι, οὐδεὶς μηκέτι μείνῃ τῶν πολεμίων. ταῦτα ἔδοξε, καὶ ἐποίουν ὀρθίους τοὺς λόχους. Ξενοφῶν δὲ ἀπιὼν ἐπὶ τὸ εὐώνυμον ἀπὸ τοῦ δεξιοῦ, εἶπε τοῖς στρατιώταις· ἄνδρες, οὗτοί εἰσιν οὓς ὁρᾶτε, μόνοι ἔτι ἡμῖν ἐμποδὼν, τὸ μὴ εἶναι ἔνθα πάλαι σπεύδομεν. τούτους ἤν πως δυνώμεθα, καὶ ὠμοὺς δεῖ καταφαγεῖν. ἐπεὶ δ᾽ ἐν ταῖς χώραις ἕκαστοι ἐγένοντο, καὶ τοὺς λόχους ὀρθίους ἐποιήσαντο, ἐγένοντο μὲν λόχοι τῶν ὁπλιτῶν ἀμφὶ τοὺς ὀγδοήκοντα. ὁ δὲ λόχος ἕκαστος σχεδὸν εἰς τοὺς ἑκατόν. τοὺς δὲ πελταστὰς καὶ τοὺς τοξότας, τριχῇ ἐποιήσαντο. τοὺς μὲν τοῦ εὐωνύμου ἔξω. τοὺς δὲ τοῦ δεξιοῦ· τοὺς δὲ κατὰ μέσον σχεδὸν ἑξακοσίους ἑκάστους. ἐκ τούτου παρηγγύησαν οἱ στρατηγοὶ, εὔχεσθαι. εὐξάμενοι δὲ καὶ παιανίσαντες ἐπορεύοντο. καὶ Χειρίσοφος μὲν καὶ Ξενοφῶν, καὶ οἱ σὺν αὐτοῖς πελτασταὶ, ἔξω γενόμενοι τῆς τῶν πολεμίων φάλαγγος ἐπορεύοντο. οἱ δὲ πολέμιοι ὡς εἶδον αὐτοὺς, ἀντιπορεύονται. καὶ οἱ μὲν ἐπὶ τὸ δεξιὸν, οἱ δὲ ἐπὶ τὸ εὐώνυμον διεσπάσθησαν. καὶ πολὺ τῆς ἑαυτῶν φάλαγγος ἐν τῷ μέσῳ κενὸν ἐποίησαν.

ἰδόντες

Atqui, responderi prætores iusserunt, non ut illis uos damnis afficerent, sed ad mare contendunt, in Græciam redituri. Tunc illi rogarunt, nunquid ita futurum, fide data sibi uellent cauere. Quinimò & dabitur, & à uobis fidem, Græci responderunt, non inuiti accipiemus. Tum Macrones barbaricam lanceam Græcis dedere, Græci illis græcam. Sic enim illi fœdera patrio ritu sanciebant: deos quidem utriq; suos attestati sunt. His ita actis, Macrones Græcis permisti, arbores cædere, ac uiæ ut illi celeriter traijcerent, impedimenta tollere: mercatus præterea pro copijs suis, potestatem facere: quin triduo etiã homines deduxerunt, quoad scilicet eos in Colchorũ montibus collocarunt. Ibi mons fuit, ille quidem non insuperabilis, uerùm in eo Colchi acie occurrerunt. Quare animaduersa Græci, primum in phalangẽ contracti, aduersum montem subire uoluerunt. Deinde prætoribus uisum de communi consilio statuere, quæ pugnandi ratio optima futura esset. Tum Xenophon censuit omissa phalange per directos manipulos ascendendum Nam cum modo faciliorem, modo uero difficiliorem ascẽsum, propter montis anfractus, offensuri simus, necesse, inquit, fuerit phalangẽ laxari: quæ res nonnihil nostrorũ fortasse animos franget, cũ ita se scindi uidebunt. Huc accedit, quod si densa phalãge hostes adorti fuerimus, illi tanto numero superiores, quacunq; in parte maluerint, numero suo utentur: sin laxiore, nihil mirum acciderit, si phalanx nostra cum telorum multitudine, tum hominum undecunq; irruentiũ impetu, concidatur: neq; poterit id usquam euenire, quin phalanx uniuersa male multetur. Verùm optimum fore arbitror, si cum totum agmẽ in manipulos descripserimus, tantum spacij occupemus, ut extremi quiq; manipuli, citra utrunq; hostium cornu sint. Nam præterquam quod utrinq; manipuli nostri extra hostilem phalangem erunt, atq; eò minus circũueniri poterunt: simul & illud erit cõmodi, quòd nostrùm lectissimi quiq;, quà se uia æquior ostendet, ea manipulos in ardua erectos ducent. Neq; uero facile hostib. fuerit, aut in id spacij, quod in medio relictũ fuerit, irrumpere, obsistentib. utrinq; manipulis, aut rectã acie procedẽtes ordines cædere. Quòd si cui manipulorũ negocium facessetur, proximus quisq; opem feret: neq; omnino si uel unus in iuga potuerit euadere, quisquam hostium locum suum retinebit. Huic reliqui assensi sunt, ac primùm rectos manipulos constituerunt. Xenophon cum à dextro in læuum cornu excurrisset, his uerbis milites alloquutus est: Soli iam, inquit, homines hi quos uidetis, nobis impedimento sunt, quò minus eò quamprimum quô contendimus, perueniamus: Hos, si quo modo possimus, uel crudos uoremus oportet. Iam suo quisq; loco constiterant, ac manipulos in rectam aciem direxerant, qui omnes fuere numero circiter LXXX. militum centenùm singuli. Peltatos uero & sagittarios trifariam diuiserunt, alios sinistrum, alios extra dextrum cornu, alios item in media acie collocarunt. In singulis partib. homines prope DC. His ita constitutis, prætores milites ut rẽ diuinam facerẽt, hortati sunt. Tum perfectis sacris, uotis nũcupatis, citato pæane, iter ingressi sunt. Chirisophus et Xenophõ cum peltatorũ globo extra phalangẽ hostium se cõtinebant. At barbari ubi eos primũ cõspexerunt, obuiã uenere: cumq; in dextrũ & læuũ cornu se scidissent, multũ est in medio spacij relictũ.

uel quod comedētes ebrios reddebat.

illos Arcadici peltati, quibus praeerat Aeschines Carnen
sis, cum uidissent in diuersa abeuntes, fugere arbitrati,
cursum uehementissime incitarunt: atq; hi primi in montē
ascenderunt, quò Arcadū grauis armatura consequuta
est, cui Cleanor Orchomenius praefuit. Hostes cū semel
terga uertere coepissent, nusquā constiterunt, quin alius
in aliam partē diffugerent. At Graeci iugo potiti, in pro/
ximis uicis, qui multi modicis interuallis se obtulerūt, at
que hi quidē rerum omniū copijs abundantissimi, castra
posuerūt. In ijs caetera usitata: sed quod miraculo fuit, a/
pū multa fuerūt aluearia, fauis refertissima: ex ijs quicūq;
edissent, statim mente commouebantur, idéq; & uome/
bant, & excernebant, neq; stare omnino quisquam pote
rat. Ac qui minus ederant, temulentis similes reddeban
tur: qui plus aliquanto, furentibus: multi etiā moribūdis:
tam multi autem iacebant, ut ab hostibus fusi uiderētur:
quae res effecerat, ut plane omnes animū desponderent.
At postero die eadem fere hora, qua fuerant eo calamita
tis genere affectu, resipiscere coeperūt. Tertio deinde, ac
quarto ut hi solent qui medicamentū potarunt, se erexe/
runt. Hinc progressi, bidui M. pass. XXVIII. cōfectis, ad
mare tandem peruenerunt, ac Trapezuntem graecam ur
bem intrarunt, celebrē illam quidem, in Euxini ponti lit
tore, Sinopensiū coloniam, in Colchorum finibus sitam.
Hic statiua XXX. fere dies in ipsis Colchorum agris ha
buerūt, quos etiā hostiliter populati sunt. Mercatus Tra
pezuntij copiam fecere, ac Graecos hospitaliter accepe/
runt, donis etiam hospitalibus datis, bubus, farina, uino.
Pro Colchis autē finitimis suis, qui cāpos incolūt, depre
cati sunt: a quib. sunt item dona missa. Ac boues Graeci
Ioui Seruatori, et Herculi mactarūt, pro felici ductu gra
tiam referentes: alijs item dis uota nūcupata. Quin et in
eo ipso monte ubi castra habebant, Gymnicos ludos fece
re, quibus praeesse uoluerūt Dracōtium Spartanum, qui
domo exulabat, quod puer adhuc, imprudens puerū La
conico cultro percussū occiderat: hūc cursib. ac reliquis
ludis praefecerunt. Ac sacris quidē peractis, uictimarum
coria ei tradiderunt, ac ut locum designaret, iussere, qui
maxime ad cursus idoneus esset. Tum ille locum, in quo
tunc constiterant, monstrans: Est hic, inquit, tumulus ubi
certent cursu, qui uelint, pulcherrimus. Atqui, dixerunt
nonnulli, quae erit in tam aspero, ac syluoso solo luctandi
ratio? Optima, inquit ille: quod qui deiectus fuerit, uehe/
mentius dolebit. Eo ipso igitur in loco pueri quāplures
captiuū stadium decurrerūt: longius curriculū Cretenses
amplius LX. In primis lucta, caestus & pancratium pul
cherrimum spectaculū praebuere. In quibus certaminum
generibus, magna fuit inter athletas (ut par est, spectāti
bus socijs) aemulatio. Equi etiā decurrerūt, sui quos sesso
res cogebātur e superiore loco, per decliuia usq; ad ma/
re agitare, atq; inde reflexos, per ardua ad aram, ubi
carceres. Multi deorsum agitantes, proni deuolue/
bantur, quos clamoribus, risu, cohortationibus
etiam spectatores proseque/
bantur.

ἰδόντες δὲ αὐτοὺς διαχάζοντας, οἱ ἐπὶ τὸ ἀρκαδικὸν πελ
ταστικόν, ὧν ἦρχεν αἰσχίνης ὁ ἀκαρνάν, νομίσαντες φεύγειν,
ἀνακραγόντες ἔθεον, καὶ οὗτοι πρῶτοι ἐπὶ τὸ ὄρος ἀναβαί
νουσι. συνεφείπετο δὲ αὐτοῖς καὶ τὸ ἀρκαδικὸν ὁπλιτι
κόν, ὧν ἦρχε κλεάνωρ ὁ ὀρχομένιος. οἱ δὲ πολέμιοι, ἐ
πεὶ ἤρξαντο θεῖν, οὐκέτι ἔστησαν, ἀλλὰ φυγῇ ἄλλος ἄλ
λῃ ἐτράπετο. οἱ δὲ ἕλληνες ἀναβάντες, ἐστρατοπεδεύ
σαντο ἐν πολλαῖς κώμαις. καὶ τὰ ἐπιτήδεια δὲ πολλὰ
ἐχούσαις. καὶ τὰ μὲν ἄλλα οὐδὲν ἦν, ὅτι καὶ ἐθαύμασαν.
τὰ δὲ σμήνη πολλὰ ἦν αὐτόθι. καὶ τῶν κηρίων ὅσοι δὲ
ἔφαγον τῶν στρατιωτῶν, πάντες ἄφρονές τε ἐγίγνον
το, καὶ ἤμουν καὶ κάτω διεχώρει αὐτοῖς, καὶ ὀρθὸς οὐ
δεὶς ἐδύνατο ἵστασθαι. ἀλλ' οἱ μὲν ὀλίγον ἐδηδοκότες,
σφόδρα μεθύουσιν ἐῴκεσαν· οἱ δὲ πολύ, μαινομένοις· οἱ
δὲ καὶ ἀποθνήσκουσιν. ἔκειντο δὲ οὕτω πολλοί, ὥσπερ τρο
πῆς γεγενημένης, καὶ πολλὴ ἦν ἀθυμία. τῇ δ' ὑστεραίᾳ
ἀπέθανε μὲν οὐδείς, ἀμφὶ δὲ τὴν αὐτήν που ὥραν ἐφρό
νουν. τρίτῃ δὲ καὶ τετάρτῃ ἀνίσταντο, ὥσπερ ἐκ φαρμα
κοποσίας. ἐντεῦθεν ἐπορεύθησαν δύο σταθμοὺς, ἑπτὰ πα
ρασάγγας, καὶ ἦλθον ἐπὶ θάλατταν, εἰς τραπεζοῦν
τα, πόλιν ἑλληνίδα, οἰκουμένην ἐν τῷ εὐξείνῳ πόντῳ,
σινωπέων ἀποικίαν, ἐν τῇ κόλχων χώρᾳ. ἐνταῦθα ἔμει
ναν ἡμέρας ἀμφὶ τὰς τριάκοντα ἐν ταῖς τῶν κόλχων
χώραις. καὶ ἐντεῦθεν μὲν ἐλῄζοντο τὴν κολχίδα. ἀγο
ρὰν δὲ παρεῖχον ἐν τῷ στρατοπέδῳ τραπεζούντιοι, καὶ
ἐδέξαντο τοὺς ἕλληνας, καὶ ξένια ἔδοσαν, βοῦς καὶ ἄλ
φιτα καὶ οἶνον. συνδιεπράττοντο δὲ καὶ ὑπὲρ τῶν πλη
σίον κόλχων τῶν ἐν τῷ πεδίῳ μάλιστα οἰκούντων, καὶ
ξένια καὶ παρ' ἐκείνων ἦλθον, βόες. ἀπέθυσαν τῷ διὶ
τῷ σωτῆρι, καὶ τῷ ἡρακλεῖ ἡγεμόσυνα, καὶ τοῖς ἄλ
λοις δὲ θεοῖς ηὔξαντο. ἐποίησαν δὲ καὶ ἀγῶνα γυμνι
κὸν ἐν τῷ ὄρει, ἔνθαπερ ἐσκήνουν. εἵλοντο δὲ δρακόν
τιον σπαρτιάτην, ὃς ἔφυγε παῖς ὢν οἴκοθεν, παῖδα
ἄκων κατακτανὼν, ξυήλῃ πατάξας, δρόμου τε ἐπιμε
ληθῆναι καὶ τοῦ ἀγῶνος προστατῆσαι. ἐπειδὴ δὲ ἡ θυ
σία ἐγένετο, τὰ δέρματα παρέδοσαν τῷ δρακοντίῳ,
καὶ ἡγεῖσθαι ἐκέλευον ὅπου τὸν δρόμον πεποιηκὼς
εἴη. ὁ δὲ δείξας ὅπου περιεστηκότες ἐτύγχανον, οὗτος ὁ
λόφος, ἔφη, κάλλιστος τρέχειν, ὅπου ἄν τις βούληται.
πῶς οὖν, ἔφασαν, δυνήσονται παλαίειν ἐν σκληρῷ καὶ
δασεῖ οὕτως; μᾶλλόν τι γε ἀνιάσεται ὁ καταπεσών. ἠγω
νίζοντο δὲ, παῖδες μὲν στάδιον τῶν αἰχμαλώτων οἱ πλεῖ
στοι. δόλιχον δὲ κρῆτες, πλείους ἢ ἑξήκοντα ἔθεον. πά
λην δὲ καὶ πυγμὴν καὶ παγκράτιον, καλὴ θέα ἐγένετο.
καὶ ἅτε θεωμένων τῶν ἑταίρων, πολλὴ φιλονεικία ἐγί
γνετο. ἔθεον δὲ καὶ ἵπποι. καὶ ἔδει αὐτοὺς ἐπὶ τοῦ πρα
νοῦς ἐλάσαντας ἐν τῇ θαλάττῃ, ἀναστρέψαντας πάλιν
ἄνω, πρὸς τὸν βωμὸν ἄγειν. καὶ κάτω μὲν οἱ πολλοὶ ἐκυ
λινδοῦντο· ἄνω δὲ πρὸς τὸ ἰσχυρῶς ὄρθιον, μόλις βάδην
ἐπορεύοντο οἱ ἵπποι. ἔνθα πολλὴ κραυγὴ καὶ
γέλως καὶ παρακέλευσις ἐγίγνετο
αὐτῶν.

ΞΕΝΟΦΩΝΤΟΣ ΚΥΡΟΥ ΑΝΑΒΑΣΕΩΣ ΠΕΜΠΤΟΝ.

ΟΣΑ μὲν δὴ ἐν τῇ ἀναβάσει τῇ μετὰ κύρου ἔπραξαν οἱ ἕλληνες, καὶ ὅσα ἐν τῇ πορείᾳ τῇ μέχρι ἐπὶ θάλατταν τὴν ἐν τῷ εὐξείνῳ πόντῳ, καὶ ὡς εἰς τραπεζοῦντα πόλιν ἑλληνίδα ἀφίκοντο, ἐν τῷ πρόσθεν λόγῳ δεδήλωται. ἐκ δὲ τούτου συνελθόντες, ἐβουλεύοντο περὶ τῆς λοιπῆς πορείας. ἀνέστη δὲ πρῶτος ἀντιλέων θούριος, καὶ ἔλεξεν ὧδε· ἐγὼ μὲν τοίνυν, ἔφη, ὦ ἄνδρες, ἀπείρηκα ἤδη, συσκευαζόμενος καὶ βαδίζων, καὶ τρέχων, καὶ τὰ ὅπλα φέρων, καὶ ἐν τάξει ἰὼν, καὶ φυλακὰς φυλάττων, καὶ μαχόμενος. ἐπιθυμῶ δὲ ἤδη παυσάμενος τούτων τῶν πόνων, ἐπεὶ θάλατταν ἔχομεν, πλεῖν τὸ λοιπὸν, καὶ ἐκταθεὶς, ὥσπερ ὀδυσσεὺς καθεύδων, ἀφικέσθαι εἰς τὴν ἑλλάδα. ἀκούσαντες οἱ στρατιῶται, ἀνεθορύβησαν, ὡς εὖ λέγοι. καὶ ἄλλος ταῦτα ἔλεγε, καὶ πάντες οἱ παρόντες. ἔπειτα χειρίσοφος ἀνέστη, καὶ εἶπεν ὧδε· φίλος μοι ἐστὶν, ὦ ἄνδρες, ἀναξίβιος, ναυαρχῶν δὲ τυγχάνει. ἢν οὖν πέμψητέ με, οἶμαι ἂν ἐλθεῖν καὶ τριήρεις ἔχων καὶ πλοῖα τὰ ὑμᾶς ἄξοντα. ὑμεῖς δ' ἐπεὶ περ πλεῖν βούλεσθε, περιμένετε ἔστ' ἂν ἐγὼ ἔλθω. ἥξω δὲ ταχέως. ἀκούσαντες ταῦτα οἱ στρατιῶται, ἥσθησάν τε, καὶ ἐψηφίσαντο πλεῖν αὐτὸν ὡς τάχιστα. μετὰ τοῦτον ξενοφῶν ἀνέστη, καὶ ἔλεξεν ὧδε· χειρίσοφος μὲν ἤδη ἐπὶ πλοῖα στέλλεται, ἡμεῖς δὲ ἀναμενοῦμεν. ὅσα οὖν δοκεῖ καιρὸς εἶναι ποιεῖν ἐν τῇ μονῇ, ταῦτα ἐρῶ. πρῶτον μὲν τὰ ἐπιτήδεια δεῖ πορίζεσθαι ἐκ τῆς πολεμίας. οὔτε γὰρ ἀγορά ἐστιν ἱκανὴ, οὔτε ὅτου ὠνησόμεθα πάρεστιν, εἰ μὴ ὀλίγοις. ἡ δὲ χώρα πολεμία. κίνδυνος οὖν πολλοὺς ἀπόλλυσθαι, ἢν ἀμελῶς τε καὶ ἀφυλάκτως πορεύωνται ἐπὶ τὰ ἐπιτήδεια. ἀλλά μοι δοκεῖ συμπρονομεύειν λαμβάνειν τὰ ἐπιτήδεια. ἄλλως δὲ μὴ πλανᾶσθε, ὡς σώζεσθε. ἡμᾶς δὲ ὡς τούτων ἐπιμελεῖσθαι. ἔδοξε ταῦτα. ἔτι τοίνυν ἀκούσατε καὶ τάδε. ἐπὶ λείαν γὰρ ὑμῶν ἐκπορεύονται τινές. οἶμαι οὖν βέλτιον εἶναι ἡμῖν εἰπεῖν τὸν μέλλοντα ἐξιέναι. φράζειν δὲ καὶ ὅποι, ἵνα καὶ τὸ πλῆθος εἰδῶμεν τῶν ἐξιόντων, καὶ τῶν μενόντων, καὶ συμπαρασκευάζωμεν ἐάν τι δέῃ, κἂν βοηθῆσαί τισιν ἂν καιρὸς ᾖ, εἰδῶμεν ὅποι δεήσει βοηθεῖν, καὶ ἄν τις τῶν ἀπειροτέρων ἐγχειρῇ τι ποιεῖν, συμβουλεύωμεν, πειρώμενοι εἰδέναι τὴν δύναμιν, ἐφ' οὓς ἂν ἴωσιν. ἔδοξε καὶ ταῦτα. ἐννοεῖτε δὴ καὶ τόδ', ἔφη· σχολὴ τοῖς πολεμίοις λῄζεσθαι, καὶ δικαίως ἡμῖν ἐπιβουλεύουσιν. ἔχομεν γὰρ τὰ ἐκείνων, ὑπερκάθηνται δ' ἡμῶν. φύλακας δή μοι δοκεῖ δεῖν, περὶ τὸ στρατόπεδον εἶναι. ἐὰν οὖν κατὰ μέρος μερισθέντες φυλάττωμεν καὶ σκοπῶμεν, ἧττον δύναιντ' ἂν ἡμᾶς θηρᾶν οἱ πολέμιοι. ἔτι τοίνυν, τάδε ὁρᾶτε. εἰ μὲν ἠπιστάμεθα σαφῶς, ὅτι ἥξει πλοῖα χειρίσοφος ἄγων ἱκανά, οὐδὲν ἂν ἔδει ὧν μέλλω λέγειν. νῦν δ' ἐπεὶ τοῦτ' ἄδηλον, δοκεῖ μοι πειρᾶσθαι πλοῖα συμπαρασκευάζειν καὶ αὐτόθεν. ἢν μὲν γὰρ ἔλθῃ ὑπαρχόντων ἐνθάδε, ἐν ἀφθονωτέροις πλευσούμεθα. ἐὰν δὲ μὴ ἄγῃ, τοῖς ἐνθάδε χρησόμεθα. ἐγὼ δ' ὁρῶ πλοῖα πολλάκις παραπλέοντα. εἰ οὖν αἰτησάμενοι παρὰ τραπεζουντίων μικρὰ

πλοῖα

XENOPHONTIS DE CYRI MINORIS EXPEDITIONE LIBER QVINtus, Romulo Amasæo interp.

EXPOSITA sunt in superioribus commentarijs, quæ Graeci in regis fines duce Cyro progreßi, gesserint. Quæ item dum ad mare se reciperent, usq; quo Trapezuntē græcam urbē, quæ ad Euxinum pontum sita est, peruenere. Iam uero concione aduocata, cum de reliquo itinere deliberarent, surrexit primus omniū Antileon Thurius, atq; in hunc modū uerba fecit: Ego uiri fortißimi, satis mihi diu uideor, uasa colligendi, iter pedibus faciendi, discurrendi etiam, arma portandi, ordinem tuendi, excubandi, pugnandi, laborem sustinuisse: quo iam penè confectus, cupio cum ad mare tandem peruenerimus, quod reliquum est itineris classe conficere, ac iam perfunctus laboribus, procumbens, uti olim Vlysses, atq; adeo dormiens in Græciam appellere. Hæc cum milites audissent, admurmuratione eius orationem cōprobarunt: neq; quisquam omnino ex ijs qui aderant, non et assensus est. Tum surgens Chirisophus: Amicus mihi, inquit, sane est Anaxibius, cui claßis his in regionibus imperium obtigit: ad eum si me miseritis, spero cum triremibus, atq; ijs nauigijs quibus aduehi poßitis, me ad uos rediturum. Vos interim, quando nauigare uobis in animo est, his ipsis in locis, quantisper ad uos redeo, expectate: ac certe redibo quamocyßime. His illi auditis, uehementer gauisi sunt, ac sciuū fecerunt, ut quamprimū ille nauigaret. His ita constitutis, surrexit Xenophō, ac Chirisophus quidem, inquit, ut nobis nauigia adducat, dimittitur, nos hic cōmorabimur: quæ uero interea pro tēpore à nobis negocia suscipi oporteat, ipse exponā. Primum ab hostili nobis terra cōmeatus cōparandi sunt: neq; .n. hoc, quo nunc utimur, forū satis prolixū est, aut uenaliū rerum, præterquā paucis, copia suppetit. Et uero si in agrum hostilē nostri ociosius atq; incautius excurrerint, illud nempe in metu est, ne quāplurimi opprimantur. Cū præsidio igitur, ac certo constantiq; ordine exeundū cēseo, atq; ita, ne quoquā erretur, quan salutis extet ratio. Ac nos quidē, qui ceteris præsumus, in mediū cōsulere debemus. Cū essent oēs assensi: Et illud, inquit, considerandum arbitror: suo nunc quisq; arbitratu ad prædā exit. Quanto uero fuerit posthac rectius, ut nobiscum, qui exire uelint, id cōmunicent, & quo ituri sint, indicent: ut cum & qui manserint, & qui item profecti sint, cōstiterit, reliquos cogere, & ijs qui exierint, si res postularit, opē ferre poßimus: cum præsertim incertum non fuerit, in quam illi partē excursiones fecerint. Ac si qui imperitius quid attētarint, cōsilio eos iuuabimus: atq; ut uires copiasq; eorū, contra quos ierint, exploratas habeamus, operā dabimus. Ad hæc & illud uidendum, quod hostes impunè à nobis prædas agere possunt, neq; iniuria nobis illi insidias faciūt: eorū enim res nos habemus. superiores certe illi loco sunt. Optimū itaq; factu fuerit, ut dispertiti, uicißim castrorū custodias obeamus: sic enim fiet, ut illis de improuiso nos adoriri nō liceat. Simul et illud uelim cogitetis: quod si nobis liqueat Chirisophū cū nauigijs, quā obrē profectus est, ac quāmulus opus est, rediturū, nihil sit necesse me quæ iā dicturus sum, dicere. At quia id incertū est, fuerit certe cōmodißimū, ut ex huius loci opportunitate, q̄ poßimus plurima nobis nauigia comparemus: etenim si sua ille adduxerit, tanto certè his additis, nobis plura suppeditabunt: sin illa nobis præstò non fuerint, his utemur. Animaduerto autem multa nauigia præteruehi: quæ si acceptis à Trapezuntijs longis

naui/

nauibus comprehendamus, eaq; detractis etiam gubernaculis, quot nobis sat sint, custodiamus, certe de uectura nihil nos oportebit solicitos esse. Et hæc nihilo minus, quàm quæ ante dixerat, sancita sunt. Quid autem, inquit, an non est ratio ineunda, ut quos nautas detinuerimus, eos quoad nobiscum manserint, communi impensa alamus, suamq; ijs mercedem, ut cum quæstu à nobis discedāt, pendamus? In hæc iisdem ab omnibus consensum est. Subiecit Xenophon: Quod si nauigia, quot nobis opus foret, colligere non possimus, imperandum utiq; censeo maritimis ciuitatibus, ut uias, quæ difficiliores uideantur, 10 nobis muniāt: atq; illæ quidem partim metu, partim uerò quod nos quamcelerrime cupiant è suis finibus discedere, imperata facient. Hic uehementer est ab omnibus reclamatum, nihil sua interesse uias muniri, quod nauigandum omnino esset. At ille cum milites intelligeret præ nauigandi cupiditate, à recto consilio aberrare, rem eorum suffragijs non commisit, uerùm occulte ciuitatib. persuasit, ut uias munirēt: sic enim fore ut celerius multo ex illis locis discederent. Tum nauem remorū quinquaginta à Trapezuntijs acceperunt: ei Laconicum Dexippum, qui tum illis in locis domiciliū habebat, præfecerunt. At is nul 20 lis nauigijs captis, cum naui extra pontum perfugit: neq; multo post dignas scelere pœnas pēdit: nam cum in Thracia, apud Seuthen regem nescio quid nouarum rerum moliretur, est à Nicandro Laconico interemptus. Acceperunt item Græci à Trapezuntijs triginta remorum nauem, cui Polycrates Atheniensis præfectus est. Hic quascūq; naues cepit, in castra subduxit: è quib. quæ ad uehendū idoneæ uisæ sunt, ijs amota armamēta, et custodes adhibiti, reliquis ad quotidianas traiectiones utebantur. His ita gestis, prædatū exierunt: ac fuerūt quidem, quibus res ea bene processerit, alij qui nihil omnino profecerunt. Cle 30 netus cum & cohortem suam, & ex alijs unam eduxisset, loci iniquitate ab hostib. circūuentus, cum magna agminis parte periit. Iam uero cum non esset unde ex tam proximo loco cōmeatus cōparari possent, ut eadē die frumentatores ac pabulatores se possent in castra recipere, Xenophon à Trapezuntijs acceptis ducibus, exercitus dimidiam partem in Drilas eduxit: reliquum in castrorū præsidijs esse uoluit. Nam Colchi sedibus suis pulsi in unum conuenerant, & montium iugis occupatis, de superiore loco in castra impetū facturi uidebantur. At Trapezuntij Græcos non deduxerunt in ea loca, unde sine multo negocio 40 commeatuum potiri potuissent, propterea quod amicos lædere noluerunt. In Drilas uero alacriter duxerunt, à quibus grauiter uexari soliti erant, in montana & ardua loca, & aduersus eos, qui bellicis artibus Ponti cæteros accolas longe anteibant. At Drilæ ubi hostem in finibus uidere, uicis omnibus atq; oppidis, quæ facile expugnari posse putarunt, exustis, statim migrarunt: neq; ad prædam Græcis quicquam est relictum, præter paucos, sues, boues, atque alia pecoris genera nonnulla, quæ ignis uim effugerant. Ipsi in suarum urbium maximam ac munitissimam, undecunque confluxerunt. Erat ea ac 50 cessu difficillima, quippe quæ prærupto alueo obstructa erat. Hic peltasti, cum grauem armaturam quinque uel sex stadia præcurrissent, conspectis gregibus, atque item copijs multis, alueum superarunt, ac proxime ad oppidum accesserunt. Eos hastati multi, qui frumentatum exierant, secuti sunt. Fuerunt qui tunc alueum traiecerunt ad bis M. Qui castellum frustra capere conati (erat enim lata fossa incinctum, & in ulteriore aggere sudes præfixi, ligneæ uerò turres in ambitu multæ) pedem referre uoluerunt: uerùm oppidani à tergo urgebant. Nostri igitur cum euadere non possent, quod

πλοῖα κατάγοιμεν καὶ φυλάττοιμεν αὐτὰ τὰ πηδάλια παραλυόμενοι, ἕως ἂν ἱκανὰ τὰ ἄξοντα γένηται, ἴσως ἂν οὐκ ἀπορήσωμεν κομιδῆς οἵας δεόμεθα. ἔδοξε καὶ ταῦτα. ἐννοήσατε δ', ἔφη, εἰ εἰκὸς καὶ τρέφειν ἀπὸ κοινοῦ, οὓς ἂν καταγάγωμεν, ὅσον ἂν χρόνον ἡμῶν ἕνεκα μένωσι, καὶ ναῦλον συνθέσθαι ὅπως ὠφελῶνται. ἔδοξε καὶ ταῦτα. δοκεῖ τοίνυν μοι, ἔφη, ἢν ἄρα καὶ ταῦτα ἡμῖν μὴ ἐκπεραίνηται ὥστε ἀρκεῖν πλοῖα, τὰς ὁδοὺς ἃς δυσπόρους ἀκούομεν εἶναι ταῖς παρὰ θάλατταν οἰκούσαις πόλεσιν ἐντείλασθαι ὁδοποιεῖν. πείσονται γὰρ καὶ διὰ τὸ φοβεῖσθαι, καὶ διὰ τὸ βούλεσθαι ἡμᾶς ἀπαλλαγῆναι. ἐνταῦθα δὴ ἀνέκραγον, ὡς οὐ δέοι ὁδοποιεῖν. ὁ δὲ, ὡς ἔγνω τὴν ἀφροσύνην αὐτῶν, ἐπεψήφισε μὲν οὐδέν, τὰς δὲ πόλεις ἑκούσας ἔπεισε ποιεῖν τὰς ὁδοὺς, λέγων ὅτι θᾶττον ἀπαλλάξονται, ἢν εὔποροι γένωνται αἱ ὁδοί. ἔλαβον δὲ καὶ πεντηκόντορον παρὰ Τραπεζουντίων, ᾗ ἐπέστησαν Δέξιππον Λακωνικὸν περίοικον. οὗτος ἀμελήσας τοῦ συλλαβεῖν πλοῖα, ἀποδρὰς ᾤχετο, ἔξω τοῦ πόντου ἔχων τὴν ναῦν. οὗτος μὲν οὖν δίκαια ἔπαθεν ὕστερον. ἐν Θρᾴκῃ γὰρ παρὰ Σεύθῃ πολυπραγμονῶν τι, ἀπέθανεν ὑπὸ Νικάνδρου τοῦ Λακωνικοῦ. ἔλαβον δὲ καὶ τριακόντορον, ᾗ ἐπεστάθη Πολυκράτης Ἀθηναῖος, ὃς ὁπόσα λαμβάνοι πλοῖα, κατῆγεν ἐπὶ τὸ στρατόπεδον. καὶ τὰ μὲν ἀγώγιμα, ἃ ἐπῆγον ἐξαιρούμενοι, φύλακας καθίστασαν, ὅπως σῶα εἴη. τοῖς δὲ πλοίοις ἐχρήσαντο εἰς παραγωγήν. ἐν ᾧ δὲ ταῦτα ἦν, ἐπὶ λείας ἐξῄεσαν οἱ Ἕλληνες. καὶ οἱ μὲν ἐνετύγχανον, οἱ δὲ καὶ οὔ. Κλεαίνετος δ' ἐξαγαγὼν, καὶ τὸν ἑαυτοῦ καὶ τὸν ἄλλον λόχον πρὸς χωρίον χαλεπὸν, αὐτός τε ἀπέθανε, καὶ ἄλλοι πολλοὶ τῶν σὺν αὐτῷ. ἐπεὶ δὲ τὰ ἐπιτήδεια οὐκέτι ἦν λαμβάνειν, ὥστε ἀπαυθημερίζειν ἐπὶ τὸ στράτευμα, ἐκ τούτου λαβὼν ὁ Ξενοφῶν ἡγεμόνας τῶν Τραπεζουντίων, ἐξάγει εἰς Δρίλας τὸ ἥμισυ τοῦ στρατεύματος. τὸ δὲ ἥμισυ φυλάττειν κατέλιπε τὸ στρατόπεδον. οἱ γὰρ Κόλχοι ἅτε ἐκπεπτωκότες ἐκ τῶν οἰκιῶν, πολλοὶ ἦσαν ἀθρόοι, καὶ ὑπερεκάθηντο ἐπὶ τῶν ἄκρων. οἱ δὲ Τραπεζούντιοι ὁπόθεν μὲν τὰ ἐπιτήδεια ῥᾴδιον ἦν λαβεῖν, οὐκ ἦγον. φίλοι γὰρ αὐτοῖς ἦσαν. εἰς τοὺς Δρίλας δὲ προθύμως ἦγον, ὑφ' ὧν κακῶς ἔπασχον, εἰς χωρία τε ὀρεινὰ καὶ δύσβατα, καὶ ἀνθρώπους πολεμικωτάτους τῶν ἐν τῷ πόντῳ. ἐπεὶ δὲ ἦσαν ἐν τῇ χώρᾳ οἱ Ἕλληνες, ὁποῖα τῶν χωρίων τοῖς Δρίλαις ἁλώσιμα ἐδόκει εἶναι, ἐμπιπράντες ἀπῄεσαν, οὐδὲν ἦν λαβεῖν, εἰ μὴ ὗς, ἢ βοῦς, ἢ ἄλλο τι κτῆνος τὸ πῦρ διαπεφευγός. ἓν δ' ἦν χωρίον, ὃ μητρόπολις αὐτῶν ἐκαλεῖτο, εἰς τοῦτο πάντες συνερρυήκεσαν. περὶ δὲ τοῦτο ἦν χαράδρα ἰσχυρῶς βαθεῖα, καὶ πρόσοδοι χαλεπαὶ πρὸς τὸ χωρίον. οἱ δὲ πελτασταὶ προτρέχοντες στάδια πέντε ἢ ἓξ τῶν ὁπλιτῶν, διαδραμόντες τὴν χαράδραν, ὁρῶντες πρόβατα πολλὰ, καὶ ἄλλα χρήματα, προσέβαλλον πρὸς τὸ χωρίον. συνείποντο δὲ καὶ δορυφόροι πολλοὶ, οἱ ἐπὶ τὰ ἐπιτήδεια ἐξωρμημένοι. ὥστε ἐγένοντο οἱ διαβάντες πλείους ἢ εἰς δισχιλίους ἀνθρώπους. ἐπεὶ δὲ μαχόμενοι οὐκ ἐδύναντο λαβεῖν τὸ χωρίον, καὶ γὰρ τάφρος ἦν περὶ αὐτὸ εὐρεῖα ἀναβεβλημένη, καὶ σκόλοπες ἐπὶ τῆς ἀναβολῆς, καὶ τύρσεις πολλαὶ ξύλιναι πεποιημέναι, ἀπιέναι ἤδη ἐπεχείρουν. οἱ δὲ ἐπέκειντο αὐτοῖς. ὡς δ' οὐκ ἐδύναντο ἀπελθεῖν. ἦν γὰρ

ἦν γὰρ ἐφ' ἧς ἡ κατάβασις ἐκ τοῦ χωρίου εἰς τὴν χαράδραν, πέμπουσι πρὸς Ξενοφῶντα, ὃς ἡγεῖτο τοῖς ὁπλίταις. ὁ δ' ἐλθὼν λέγει, ὅτι ἐστὶ χωρίον χρημάτων πολλῶν μεστόν. τοῦτο οὔτε λαβεῖν δυνάμεθα, ἰσχυρὸν γάρ ἐστιν, οὔτε ἀπελθεῖν ῥᾴδιον. μάχονται γὰρ ἐπεξεληλυθότες, καὶ ἡ ἄμφοδος χαλεπή. ἀκούσας ταῦτα ὁ Ξενοφῶν, προσαγαγὼν πρὸς τὴν χαράδραν, τοὺς μὲν ὁπλίτας ἐκέλευσε θέσθαι τὰ ὅπλα. αὐτὸς δὲ διαβὰς σὺν τοῖς λοχαγοῖς, ἐσκοπεῖτο πότερον εἴη κρεῖττον ἀπάγειν καὶ τοὺς διαβεβηκότας, ἢ καὶ τοὺς ὁπλίτας διαβιβάζειν, ὡς ἁλόντος ἂν τοῦ χωρίου. ἐδόκει τὸ μὲν ἀπάγειν, οὐκ εἶναι ἄνευ πολλῶν νεκρῶν. ἑλεῖν γ' ἂν ᾤοντο καὶ οἱ λοχαγοὶ τὸ χωρίον. καὶ ὁ Ξενοφῶν συνεχώρησε, τοῖς ἱεροῖς πιστεύσας. οἱ γὰρ μάντεις ἀποδεδειγμένοι ἦσαν, ὅτι μάχη μὲν ἔσται, τὸ δὲ τέλος καλὸν τῆς ἐξόδου. καὶ τοὺς μὲν λοχαγοὺς πέμπει διαβιβάσαντας τοὺς ὁπλίτας. αὐτὸς δ' ἔμενεν ἀναχωρίσας ἅπαντας τοὺς πελταστάς, καὶ οὐδένα εἴα ἀκροβολίζεσθαι. ἐπεὶ δ' ἧκον οἱ ὁπλῖται, ἐκέλευσε τὸν λόχον ἕκαστον ποιῆσαι τῶν λοχαγῶν, ὡς ἂν κράτιστα οἴηται ἀγωνιεῖσθαι. ἦσαν γὰρ οἱ λοχαγοὶ πλησίον ἀλλήλων, οἳ πάντα τὸν χρόνον ἀλλήλοις περὶ ἀνδραγαθίας ἀντεποιοῦντο. καὶ οἱ μὲν λοχαγοὶ ταῦτα ἐποίουν. ὁ δὲ τοὺς πελταστὰς πᾶσι παρήγγελλε διηγκυλισμένους ἰέναι, ὡς ὁπόταν σημήνῃ, ἀκοντίζειν δεῆσον, καὶ τοὺς τοξότας ἐπιβεβλῆσθαι ἐπὶ ταῖς νευραῖς, ὡς ὁπόταν σημήνῃ, τοξεύειν δεῆσον, καὶ τοὺς γυμνῆτας λίθων ἔχειν μεστὰς τὰς διφθέρας, καὶ τοὺς ἐπιτηδείους ἔπεμψε τούτων ἐπιμεληθῆναι. ἐπεὶ δὲ πάντα παρεσκεύαστο, καὶ οἱ λοχαγοὶ καὶ ὑπολοχαγοί, καὶ ἀξιοῦντες τούτων μὴ χείρους εἶναι, πάντες παρατεταγμένοι ἦσαν, καὶ ἀλλήλους μὲν συνεώρων. μηνοειδὴς γὰρ ἦν ἡ παράταξις διὰ τὸ χωρίον. ἐπεὶ δ' ἐπαιάνισαν, καὶ ἡ σάλπιγξ ἐφθέγξατο, καὶ ἅμα γε τῷ ἐνυαλίῳ ἠλάλαξαν, καὶ ἔθεον δρόμῳ οἱ ὁπλῖται, καὶ τὰ βέλη ὁμοῦ ἐφέρετο λόγχαι, τοξεύματα, σφενδόναι, πλεῖστοι ἐκ τῶν χειρῶν λίθοι. ἦσαν δὲ οἳ καὶ πῦρ προσέφερον. ὑπὸ δὲ πλήθους τῶν βελῶν, ἔλιπον οἱ πολέμιοι τά τε σταυρώματα, καὶ τὰς τύρσεις. ὥστε Ἀγασίας Στυμφάλιος καὶ Φιλόξενος Πελληνεύς, καταθέμενοι τὰ ὅπλα, ἐν χιτῶνι μόνον ἀνέβησαν, καὶ ἄλλος ἄλλον εἷλκε, καὶ ἄλλος ἀναβεβήκει, καὶ ἡλώκει τὸ χωρίον ὡς ἐδόκει. καὶ οἱ μὲν πελτασταὶ καὶ οἱ ψιλοὶ εἰσδραμόντες, ἥρπαζον ὅτι ἕκαστος ἐδύνατο. ὁ δὲ Ξενοφῶν στὰς κατὰ τὰς πύλας, ὁπόσους ἐδύνατο κατεκώλυσε τῶν ὁπλιτῶν ἔξω. πολέμιοι γὰρ ἄλλοι ἐφαίνοντο ἐπ' ἄκροις τισὶν ἰσχυροῖς. οὐ πολλοῦ δὲ χρόνου μεταξὺ γενομένου κραυγὴ ἐγίγνετο ἔνδον, καὶ ἔφευγον. οἱ μὲν καὶ ἔχοντες ἃ ἔλαβον, τάχα δέ τις καὶ τετρωμένος. καὶ πολὺς ἦν ὠθισμὸς ἀμφὶ τὰ θύρετρα. καὶ ἐρωτώμενοι οἱ ἐκπίπτοντες, ἔλεγον ὅτι ἄκρα τί ἐστιν ἔνδον, καὶ οἱ πολέμιοι πολλοί, οἳ παίουσιν ἐκδεδραμηκότες τοὺς ἀνθρώπους. ἐνταῦθα ἀνειπεῖν ἐκέλευσε Τολμίδην τὸν κήρυκα, ἰέναι εἴσω τὸν βουλόμενόν τι λαμβάνειν, καὶ ἐφέροντο εἴσω πολλοί, καὶ νικῶσι τοὺς ἐκπίπτοντας οἱ εἴσω ὠθούμενοι, καὶ κατακλείουσι τοὺς πολεμίους πάλιν εἰς τὴν ἄκραν. καὶ τὰ μὲν ἔξω τῆς ἄκρας πάντα διηρπάσθη, καὶ ἐξεκομίσαντο οἱ Ἕλληνες. οἱ δ' ὁπλῖται ἔθεντο τὰ ὅπλα, οἱ μὲν περὶ τὸ σταύρωμα, οἱ δὲ κατὰ τὴν ὁδὸν τὴν

ἐπὶ

quòd non plures quàm singuli in alueum descendere poterant, ad Xenophontem, qui graui armaturæ imperabat, statim extruserunt, qui nunciarent castellum omnibus copijs refertissimum esse: uerum neq; capi posse, neq; sine maximo periculo retrocedi, propterea q od & hostes eruptionem fecissent, et uia difficilimos exitus haberet. Quæ cum audisset Xenophon, ad alueum suas copias duxit: ibi grauem armaturam iussit consistere. Ipse cum centurionibus traiecit, ac loci naturam situmq; speculatus, animo aliquandiu incerto fuit, pedemne referret, an uero eos etiam iuberet traijcere, quos in ulteriore aluei ripa reliquerat. Illud quidem certe dubium non erat posse sine multa suorum cæde discedi, nisi oppido potiti essent. Posse autem expugnari, & centuriones existimabant, & ipse extorum significationibus adductus, illis assentiebatur: aruspices enim prædixerant acrem pugnam, uerùm qualem optarent, exitum fore. Centuriones igitur, ut grauem armaturam adducerent, remisit. Ipse interea cetratos in unum locum coëgit, atque illis, ut se à iaculatione continerent, edixit. Vbi uero grauis armatura adfuit, centuriones iussit centurias quenque suas non alia forma instruere, quàm qua eas ad pugnam aptissimas fore iudicaret. Erant enim cum eo hi omnes centuriones, inter quos perpetua fuerat de uirtute æmulatio. Cum centuriones paruissent, tum peltatos cum amentatis telis procedere iussit, ut dato primùm signo iaculari possent. Sagittarios item cum applicatis ad neruum sagittis, quo simulac significatum esset, sine mora telum in hostem dirigerent. Ad hæc, uelites iussit lapidibus scorteos uidulos refertos habere: dimisit autem idoneos homines, qui hæc ne negligerentur, curarent. His ita constitutis, centuriones, succenturiones, quiq; illis uirtute nihilo deteriores ut uiderentur, laborabant, in acie constiterunt, ac se mutuo intuebantur: erat enim pro loci natura aciei species pulcherrima. Pæane autem cantato, cum tubæ cecinissent, martium clamorem uniuersa grauis armatura sustulit, ac cursu in hostem contendit: eodemq; impetu missilia, spicula, sagittæ, è fundis, è manibus etiam quamplurimi emissi lapides: fuerũt etiã qui accensas faces intulerint. Ibi hostes præ telorum multitudine turres ac uallum deserere coacti. Quo factum, ut Agasias Stymphalius, & Peleneus Philoxenus, armis abiectis, cum tunica in oppidum ascenderint, atque ex eo alius alium eòdem pertraxerit, multi suo per se nisu ascenderint, ac plane captum esse oppidum uidebatur. Peltati equidem, & leuis armatura huc illuc concursantes, quæ poterant diripiebant. At Xenophon cum ad portas constitisset, quoscunque poterat grauis armaturæ milites aditu prohibebat: hostes enim in arduis superiorum montium iugis alij conspecti fuerant. Interea inter mœnia clamor exortus, quod qui ad rapinas cupidius concurrerant, partim abiecta præda, partim etiam acceptis uulneribus fugiebant, ac se ita, ut in fuga fit, trepidantes, in ipsis portarum angustijs trudebant. E quibus cum causa fugæ quæreretur, responsum est, ex interiore quadam arce magnum hostium numerum in palantes impetum fecisse. Ibi Xenophon Tolmiden præconem iussit pronunciare, ut qui iam uellent quid capere, arbitratu suo introirent: tum certatim omnes irrupere: quo impetu egredientes reiecti sunt. Hostes in eo iugo cœpti obsideri: quæ in castello reperta sunt, direpta omnia, atq; exportata. Grauis quidem armatura partim ad uallum, partim in uia quæ

ad

ad iugū iter erat, in armis cōsedit. At Xenophō cum centu
rionibus de arce capienda cōsultabat: una hæc enim se ostē
debat salutis spes, neq; erat non difficilimū alia ratione eua
dere. Hic rebus omnib. circunspectis, plane statuerunt arcē
eā expugnari nullo pacto posse: quare cū uniuersum agmē
ad discessum spectaret, propugnacula ad quæ quisq; cōse/
derat, demoliri ceperūt. Iamq; minus ad agendā prædā ido
neos, & magnā grauis armaturæ partē emiserāt, et eos dū
taxat quorū uirtute plurimū confidebāt, cēturiones in præ
sidijs collocarāt, cum repente magnus hostiū numerus cū 10
uimineis scutis, hastisq;, ocreis, ac Paphlagonicis galeis, ex
insidijs eruptione facta, domos eas occupauit, quæ in utraq;
eius uiæ parte erāt, quæ ad arcē ducebat. Neq; uero nostris
tutū erat eos inuadere sub ijs portis, quib. arx imminebat,
illi.n. magnas trabes deijciebāt: erat itaq; & profectio, &
māsio periculosa. Nox in primis terrorē afferebat. Nostris
aūt non pugnantib. magis, q̄ quid in ancipiti loco deprehē
si agerēt dubitātibus, deorū nescio quis, salutis uiā mōstra
uit. Ex ijs.n. ædib. quæ in dextera uiæ parte erāt, una subi/
tò igni correptæ sunt: neq; unde is immissus esset, apparuit: 20
qui quidē eo irruperāt, statim dilapsi sunt. Res fortuita Xe
nophōti salutare consiliū attulit, quandoquidē è re nata, læ
ua in parte quæ erāt ædes, omnes incendi iußit: quod sane
minimo negocio factū est: erāt enim domus illæ oēs ligneæ.
Atq; ea quidē etiā pars ab hostib. cōfestim relicta est: soli
iam metuebātur, qui in frōte erāt, in ipsis uiæ faucibus: neq;
dubiū erat, quin simulac nostros exeūtes iā, ac descēdentes
cōspexissent, à tergo urgerēt. Iubet hic Xenophō eos q ab
hostib. telis peti nō possent, undecūq; ligna in eū locū, qui
medius relictus erat inter Græcorū agmē et hostes, cōpor/ 30
tare, atq; ubi satis multū iam lignorū cōportatū, ignem sub
ijci, ac proximos etiā circa uallū ædes cōburi, quo scilicet
hostes medijs ignib. intercluderētur. Hac ratione è difficili
loco uix euaserūt. Oppidū totū, arce excepta, & quicquid
domorū fuit, eo arsit incēdio. Postero die Græci cōmeatib.
onusti recesserūt. Cum Trapezuntē redeūdū esset, ne in de
scensu maxime decliui et angusto ab hostib. urgerētur, me
tuebāt. Quare simulatis insidijs, hostē eludendū sibi puta/
runt. Suscepto igitur negocio, Mysus quidā et patria, et no
mine, assumptis quatuor aut quinq; Cretēsibus, in cōdenso 40
loco subsedit, quasi hostē ex insidijs inuasurus. Illorū uero
peltæ, eminus è diuersis partib. cū æreæ essent, coruscabāt.
Qua specie hostes territi, nostros persequi ausi nō sunt. In
terea nostrorū agmē descēdit. Mysus ubi nihil iam esse am
plius simulatione opus intellexit, signū suis dedit, ut quāma
xime possent, citato cursu fugerēt: & ipse simul è latebris
erūpens, & qui cum eo erāt, se in fugā dedere. Alij, cū se
ne hostis cursu assequeretur metuissent, de uia discedētes, in
syluā quampiā se è proximis saltib. deuoluerūt, atq; ita ser
uati sunt. Mysus fugiēs, de uia suis clamabat, sibi ut opē fer 50
rent. Neq; illi nō præsto fuerūt: saucius Mysus intra suos re
ceptus est, et qui opē tulerāt, cū de superiore loco telis gra
uiter uulnerarētur, pedē retulerūt. Fuerūt tamē è Cretēsib.
unus & alter, qui sagittas in hostes miserint. Postremo cū
cti incolumes in castra redierūt. Ibi cū neq; redisset Chiriso
phus: neq; naues, quāmultis opus erat, in prōptu essent. nec
cōmeatus unde sibi cōpararent iā haberēt, discedendum si
bi statuerūt. In nauis itaq; ægros oēs, et XL. annis maiores,
impuberes, et mulieres, ac impedimentorū qcqd minus usui
futurū uidebatur, cū imposuissēt, atq; ei classi de prætorib.
natu

ἐπὶ τὴν ἄκραν φέρουσαν. ὁ δὲ Ξενοφῶν καὶ οἱ λοχαγοὶ
ἐσκόπουν, εἰ οἷόν τ' εἴη τὴν ἄκραν λαβεῖν. ἦν γὰρ οὕτω
σωτηρία ἀσφαλής. ἄλλως δὲ παγχάλεπον ἐδόκει εἶναι
ἀπελθεῖν. σκοπουμένοις δ' αὐτοῖς, ἔδοξε παντάπασιν
ἀνάλωτον εἶναι τὸ χωρίον. ἐνταῦθα παρεσκευάζοντο
τὴν ἄφοδον. καὶ τοὺς μὲν σταυροὺς ἕκαστοι τοὺς καθ' αὑ-
τοὺς διῄρουν, καὶ τοὺς ἀχρείους εἰς ἁρπαγὰς ἐξέπεμπον, καὶ
τῶν ὁπλιτῶν τὸ πλῆθος. κατέλιπον δὲ οἱ λοχαγοί, οἷς
ἕκαστος ἐπίστευεν. ἐπεὶ δὲ ἤρξαντο ἀποχωρεῖν, ἐπεξέθεον 10
ἔνδοθεν πολλοί, γέρρα καὶ λόγχας ἔχοντες καὶ κνημῖ-
δας καὶ κράνη παφλαγονικά. καὶ ἄλλοι ἐπὶ τὰς οἰκίας
ἀνέβαινον, τὰς ἔνθεν καὶ ἔνθεν τῆς εἰς τὴν ἄκραν φερού-
σης ὁδοῦ. ὥστ' οὐδὲ διώκειν ἀσφαλὲς ἦν αὐτοὺς κατὰ τὰς
πύλας τὰς εἰς τὴν ἄκραν φερούσας. καὶ γὰρ ξύλα με-
γάλα ἐπερρίπτουν ἄνωθεν. ὥστε χαλεπὸν ἦν καὶ μένειν
καὶ ἀπιέναι, καὶ ἡ νὺξ φοβερὰ ἦν ἐπιοῦσα. μαχομένων
δ' αὐτῶν, καὶ ἀπορουμένων, θεῶν τις αὐτοῖς μηχανὴν
σωτηρίας δίδωσιν. ἐξαπίνης γὰρ ἀνέλαμψεν οἰκία τῶν
ἐν δεξιᾷ, ὅτου δὴ ἀνάψαντος τινός. ὡς δ' αὕτη συνέ- 20
πιπτον, ἔφευγον οἱ ἀπὸ τῶν ἐν δεξιᾷ οἰκιῶν. ὡς δ' ἔμα-
θεν ὁ Ξενοφῶν τοῦτο παρὰ τῆς τύχης, ἀνάπτειν ἐκέλευε
καὶ τὰς ἐν ἀριστερᾷ οἰκίας. αἱ δὲ ξύλιναι ἦσαν, ὥστε καὶ
ταχὺ ἐκαίοντο. ἔφευγον οὖν καὶ οἱ ἀπὸ τούτων τῶν οἰ-
κιῶν. οἱ δὲ κατὰ στόμα δὴ ἔτι μόνοι ἐλύπουν, καὶ δῆλοι
ἦσαν, ὅτι ἐπικείσονται ἐπὶ τῇ ἐξόδῳ τε καὶ καταβά-
σει. ἐνταῦθα παραγγέλλει φορεῖν ξύλα, ὅσοι ἐτύγχανον
ἔξω ὄντες τῶν βελῶν, εἰς τὸ μέσον ἑαυτῶν καὶ τῶν πο-
λεμίων. ἐπεὶ δὲ ἱκανὰ ἤδη ἦν, ἀνῆψαν. ἀνῆπτον δὲ καὶ 30
τὰς παρ' αὐτὸ τὸ χαράκωμα οἰκίας, ὅπως οἱ πολέμιοι
ἀμφὶ ταῦτα ἔχοιεν. οὕτω μόλις ἀπῆλθον ἀπὸ τοῦ χωρίου,
πῦρ ἐν μέσῳ ἑαυτῶν καὶ τῶν πολεμίων ποιησάμενοι, καὶ
κατεκαύθη πᾶσα ἡ πόλις, καὶ αἱ οἰκίαι καὶ αἱ τύρσεις
καὶ τὰ σταυρώματα, καὶ τἆλλα πάντα, πλὴν τῆς ἄκρας.
τῇ δ' ὑστεραίᾳ ἀπῄεσαν οἱ Ἕλληνες ἔχοντες τὰ ἐπιτή-
δεια. ἐπεὶ δὲ τὴν κατάβασιν ἐφοβοῦντο τὴν εἰς Τραπε-
ζοῦντα, πρανὴς γὰρ ἦν καὶ στενή, ψευδενέδραν ἐποιή-
σαντο, καὶ ἀνὴρ Μυσὸς τὸ γένος, καὶ τοὔνομα τοῦτο ἔχων, 40
τῶν Κρητῶν λαβὼν τέτταρας ἢ πέντε, ἔμενεν ἐν λασίῳ χω-
ρίῳ, καὶ προσεποιεῖτο τοὺς πολεμίους πειρᾶσθαι λανθάνειν. αἱ
δὲ πέλται αὐτῶν ἄλλη καὶ ἄλλη διεφαίνοντο χαλκαῖ οὖσαι.
οἱ μὲν πολέμιοι ταῦτα διορῶντες, ἐφοβοῦντο ὡς ἐνέδραν
οὖσαν. ἡ δὲ στρατιὰ ἐν τούτῳ κατέβαινεν. ἐπεὶ δὲ ἐδόκει ἱκα-
νὸν ἤδη ὑπεληλυθέναι τῷ Μυσῷ, ἐσήμηνε φεύγειν ἀνὰ
κράτος. καὶ ὃς ἐξαναστάς, φεύγει καὶ οἱ σὺν αὐτῷ. καὶ οἱ μὲν
ἄλλοι Κρῆτες ἁλίσκεσθαι γὰρ ἔφασαν τῷ δρόμῳ, ἐκπε-
σόντες ἐκ τῆς ὁδοῦ, εἰς ὕλην κατὰ τὰς νάπας κυλινδού-
μενοι, ἐσώθησαν. ὁ Μυσὸς δὲ κατὰ τὴν ὁδὸν φεύγων, ἐβόα 50
βοηθεῖν, καὶ ἐβοήθησαν αὐτῷ, καὶ ἀνέλαβον τετρωμέ-
νον. καὶ αὐτοὶ ἐπὶ πόδα ἀνεχώρησαν βαλλόμενοι οἱ βοη-
θήσαντες, καὶ ἀντιτοξεύοντές τινες τῶν Κρητῶν, οὕτως ἀφ-
ικνοῦνται ἐπὶ τὸ στρατόπεδον, πάντες σῶοι ὄντες.
ἐπεὶ δὲ οὔτε ὁ Χειρίσοφος ἧκεν, οὔτε πλοῖα ἱκανὰ ἦν, οὔτε
τὰ ἐπιτήδεια ἦν λαμβάνειν ἔτι, ἐδόκει ἀπιτέον εἶναι. καὶ εἰς μὲν
τὰ πλοῖα τοὺς ἀσθενοῦντας ἐνεβίβαζον, καὶ τοὺς ὑπὲρ τετταρ-
άκοντα ἔτη, καὶ παῖδας καὶ γυναῖκας, καὶ τῶν σκευῶν,
ὅσα μὴ ἀνάγκη ἦν ἔχειν, καὶ Φιλήσιον καὶ Σοφαίνετον τοὺς
πρεσβυ/

alludit ad adagium θεὸς ἐκ μηχανῆς.

πρεσβυτάτους τῶν στρατηγῶν, εἰσβιβάσαντες τούτους ἐκέλευον ἐπιμελεῖσθαι. οἱ δ᾽ ἄλλοι ἐπορεύοντο. ἡ δ᾽ ὁδὸς ὡδοποιημένη ἦν, καὶ ἀφικνοῦνται πορευόμενοι εἰς Κερασοῦντα τριταῖοι, πόλιν ἑλληνίδα, ἐπὶ τῇ θαλάσσῃ Σινωπέων ἄποικον, ἐν τῇ Κολχίδι χώρᾳ. ἐνταῦθα ἔμειναν ἡμέρας δέκα, καὶ ἐξέτασις ἐν τοῖς ὅπλοις γίνεται, καὶ ἀριθμός, καὶ ἐγένοντο ὀκτακισχίλιοι καὶ ἑξακόσιοι. οὗτοι ἐσώθησαν ἐκ τῶν ἀμφὶ τοὺς μυρίους. οἱ δ᾽ ἄλλοι ἀπώλοντο ὑπό τε πολεμίων καὶ χιόνος, καὶ εἴ τις νόσῳ. ἐνταῦθα διαλαμβάνουσι τὸ ἀπὸ τῶν αἰχμαλώτων γενόμενον ἀργύριον, καὶ τὴν δεκάτην, ἣν ἐν τῷ Ἀπόλλωνι ἐξεῖλον, καὶ τῇ Ἐφεσίᾳ Ἀρτέμιδι. διέλαβον οἱ στρατηγοὶ τὸ μέρος ἕκαστος φυλάττειν τοῖς θεοῖς. ἀντὶ δὲ Χειρισόφου, Νέων ὁ Ἀσιναῖος ἔλαβε. Ξενοφῶν οὖν τὸ μὲν τοῦ Ἀπόλλωνος ἀνάθημα ποιησάμενος, ἀνατίθησιν εἰς τὸν ἐν Δελφοῖς τῶν Ἀθηναίων θησαυρόν, καὶ ἐπεγράψατο τό τε αὑτοῦ ὄνομα καὶ τὸ Προξένου, ὃς σὺν Κλεάρχῳ ἀπέθανε. ξένος γὰρ ἦν αὐτοῦ. τὸ δὲ τῆς Ἀρτέμιδος τῆς Ἐφεσίας, ὅτε ἀπῄει σὺν Ἀγησιλάῳ ἐκ τῆς Ἀσίας τὴν εἰς Βοιωτοὺς ὁδόν, καταλείπει παρὰ Μεγαβύζῳ, τῷ τῆς Ἀρτέμιδος νεωκόρῳ, ὅτι αὐτὸς κινδυνεύσων ἐδόκει ἰέναι μετὰ Ἀγησιλάου ἐν Κορωνείᾳ, καὶ ἐπέστειλεν, ἢν μὲν αὐτὸς σωθῇ, ἑαυτῷ ἀποδοῦναι· εἰ δέ τι πάθοι, ἀναθεῖναι ποιησάμενον τῇ Ἀρτέμιδι ὅ,τι οἴοιτο χαριεῖσθαι τῇ θεῷ. ἐπεὶ δ᾽ ἔφυγε Ξενοφῶν, κατοικοῦντος ἤδη αὐτοῦ ἐν Σκιλλοῦντι ὑπὸ τῶν Λακεδαιμονίων οἰκισθέντος, παρὰ τὴν Ὀλυμπίαν, ἀφικνεῖται Μεγάβυζος εἰς Ὀλυμπίαν θεωρήσων, καὶ ἀποδίδωσι τὴν παρακαταθήκην αὐτῷ. Ξενοφῶν δὲ λαβὼν χωρίον ὠνεῖται τῇ θεῷ, ὅπου ἀνεῖλεν ὁ θεός. ἔτυχε δὲ διαρρέων διὰ τοῦ χωρίου ποταμὸς Σελινοῦς. καὶ ἐν Ἐφέσῳ δὲ παρὰ τὸν τῆς Ἐφεσίας Ἀρτέμιδος νεὼν, Σελινοῦς ποταμὸς παραρρεῖ, καὶ ἰχθύες τε ἐν ἀμφοτέροις εἰσὶ καὶ κόγχαι. ἐν δὲ τῷ Σκιλλοῦντι χωρίῳ καὶ θῆραι πάντων, ὁπόσα ἐστὶν ἀγρευόμενα θηρία. ἐποίησε δὲ καὶ ναὸν καὶ βωμὸν ἀπὸ τοῦ ἱεροῦ ἀργυρίου, καὶ τὸ λοιπὸν ἀεὶ δεκατεύων τὰ ἐκ τοῦ ἀγροῦ ὡραῖα, θυσίαν ἐποίει τῇ θεῷ, καὶ πάντες οἱ πολῖται, καὶ οἱ πρόσχωροι ἄνδρες καὶ γυναῖκες μετεῖχον τῆς ἑορτῆς. παρεῖχε δὲ ἡ θεὸς τοῖς σκηνοῦσιν ἄλφιτα, ἄρτους, οἶνον, τραγήματα, καὶ τῶν θυομένων ἀπὸ τῆς ἱερᾶς νομῆς λάχος, καὶ τῶν θηρευομένων δέ. καὶ γὰρ θήραν ἐποιοῦντο εἰς τὴν ἑορτὴν οἵ τε Ξενοφῶντος παῖδες, καὶ οἱ τῶν ἄλλων πολιτῶν. οἱ δὲ βουλόμενοι καὶ ἄνδρες συνεθήρων, καὶ ἡλίσκετο τὰ μὲν ἐξ αὐτοῦ τοῦ ἱεροῦ χώρου, τὰ δὲ ἐκ τῆς Φολόης, σύες καὶ δορκάδες καὶ ἔλαφοι. ἔστι δὲ ὁ τόπος ᾗ ἐκ Λακεδαίμονος εἰς Ὀλυμπίαν πορεύονται, ὡς εἴκοσι στάδιοι ἀπὸ τοῦ ἐν Ὀλυμπίᾳ Διὸς ἱεροῦ. ἔνι δ᾽ ἐν τῷ ἱερῷ τόπῳ καὶ ἄλση, καὶ ὄρη δένδρων μεστά, ἱκανὰ καὶ σῦς καὶ αἶγας καὶ βοῦς τρέφειν, καὶ ἵππους. ὥστε καὶ τὰ τῶν εἰς τὴν ἑορτὴν ἰόντων ὑποζύγια εὐωχεῖσθαι. περὶ δ᾽ αὐτὸν τὸν ναὸν ἄλσος ἡμέρων δένδρων ἐφυτεύθη, ὅσα ἐστὶ τρωκτὰ ὡραῖα. ὁ δὲ ναὸς ὡς μικρὸς μεγάλῳ τῷ ἐν Ἐφέσῳ εἴκασται. καὶ τὸ ξόανον ἔοικεν ὡς κυπαρίσσινον χρυσῷ ὄντι τῷ ἐν Ἐφέσῳ. καὶ στήλη ἕστηκε παρὰ τὸν ναόν, γράμματα ἔχουσα, ἱερὸς ὁ χῶρος τῆς Ἀρτέμιδος. τὸν δὲ ἔχοντα καὶ καρπούμενον, τὴν μὲν δεκάτην καταθύειν ἑκάστου ἔτους. ἐκ δὲ τοῦ περιττοῦ τὸν ναὸν ἐπισκευάζειν. ἐὰν δέ τις μὴ ποιῇ ταῦτα, τῇ θεῷ μελήσει. ἐκ Κερασοῦντος δὲ κατὰ θάλατταν ἐκομί-

natu maximos Philesiũ et Sophænetũ præfecissent, reliqui omnes pedibus, quà erat iam uia munita, profecti sunt. Triduo quidẽ Cerasuntẽ, quæ ad mare Græca urbs est, Sinopẽsium colonia, in Colchorum finibus, peruenerunt. Hic dies x. permanserunt: per quos totius exercitus censu habito, censa sunt armatorum octo M. DC. Hic decem ferè millibus reliqui fuere: cæteri partim ab hostibus cæsi, partim niuibus ac morbo consumpti. Hic etiam pecuniam de captiuis collectam partiti, eam quæ decimæ nomine aut Apollini, aut Ephesiæ Dianæ uota fuerat, consecrandam prætores acceperunt. Chirisophi partem, Neon Asinæus accepit. Xenophon primum de manubijs donum Apollini Delphico in Atheniensium thesauro dedicauit, suo & Proxeni, qui cum Clearcho occiderat, hospitis sui nomine, inscriptum. Deinde cum ex Asia cum Agesilao in Europam aduersus Bœotios traijceret, ac prælij aleam, quod ad Coroneam factum postea est, sibi subeundam intelligeret, quam Dianæ debebat pecuniam, eam apud Megabyzum deæ æditum deposuit, pactus ut eam ille sibi redderet, si belli periculum effugisset: sin aliter cecidisset, ex ea, ut quod doni genus iudicasset deæ gratissimum fore, dedicaret. Quare cum Xenophon è prælio discessisset incolumis, ac Sciluntem migrasset, quod oppidum Lacedæmonij coloniam non longe ab Olympia deduxerant, ita forte accidit, ut Megabyzus ad Olympiam spectandi gratia ueniens, Xenophonti depositum redderet. Ea pecunia Xenophon, ubi oraculum iussit, agrum mercatus est: eum agrum Sellenus fluuius præterfluit. Et sane eodem nomine fluuius Ephesi, propter Ephesiæ Dianæ templum fluit, ac uterq; pisces & conchas alit. Hic autem uicus, quem Sciluntem appellatum diximus, ferarum omnium quæ indagine capiuntur, copiam habet luculentam. Templum Xenophon, & aram, ex eadem pecunia erexit. Sacrum deæ è decumis fructuum eius agri, qui quauis anni parte perciperentur, faciebat. Dies festi ciuium ac finitimorum cum uirorum tum fœminarum frequentia celebrabantur. Ipsa quidem dea conuenis suis frumenta, uina, stipes, bellaria administrat. Ad hæc ijsdem ratam extorum, & uenationum partem elargitur. Nam Xenophon, eiusq; liberi, atq; item ciuium multi, ac deniq; ex quocunq; hominum numero, qui uelint, dies aliquot in uenationibus, ad nundinarũ copiam augendam, consumunt. Capiuntur autẽ cum è sacro agro, tum uero ex Pholoë, quæ non longe abest, apri, capreæ, cerui. Locus is ea in uia est, qua itur à Lacedæmone in Olympiam: longe abest ab Olympij Iouis stad. non amplius x x. In eo saltus & montes sunt arboribus condensi, ubi sues, oues, capellæ, equi etiam, lætissima habent pascua: ac deinde pastiones eorum qui ad sacra uehuntur, ueterinis largißime suppeditant. Incingitur ædes luco pomiferis arboribus consestito, in quo nullum desit, pro sua tempestiuitate, escariorum fructuum genus. Aedes ipsa, operis forma, pro rata quidẽ portione, Ephesiæ Dianæ templo simillima. Deæ etiam signum, quod cupreßinum est, ab aurei illius similitudine, sola recedit materia. Ante templum pila erecta est, in qua incisæ literæ, Sacrum esse Dianæ agrum. Qui possideat, atq; ex eo fructum capiat, annonæ decimam illum deæ soluere, reliquũ in sartis tecta conferre oportere: deam ipsam, qui se fraudarit, uindicaturam. Sed ut unde digressa est oratio, reuertatur. A Cerasunte ea pars exercitus, quæ iam ante naues conscen-

Quantus fuerit exercitus Græcorum in hac expeditione.

Decima pars manubiarum dijs consecrata.

Quæ Xenophon dijs consecrauit.

conſcenderat, mari, reliqui pedibus iter fecerunt. Atq; hi quidem cum in Moſynœcorũ fines ueniſſent, Timeſitheũ Trapezuntiũ illorum hoſpitẽ præmittunt, qui ex illis quæ rat, malintne Græcos tanquã amicos, an uero tanquã hoſtes in fines ingredi. At illi nihil id ſua intereſſe reſponderũt, quippe qui locorũ ſitu maxime confiderẽt. Tum Timeſitheus Græcos docet, eſſe his cum euſdẽ nominis populis, qui in ulteriore ponti littore eſſent, perpetuum bellum: quare cõmodiſſimum Græcis uiſum eſt fore, ſi cũ illis belli ſocietatẽ coniunxiſſent. Ad eos itaq; cũ Timiſitheo prætores uenerũt: ad quos Xenophõ eodẽ Timeſitheo interprete, in hũc modũ uerba fecit: Nos Moſynœci, pedib. in Græciã contendimus: neq; enim claſſe poſſumus, cum naues præſtò nõ ſint. Atenim uia nobis ab iis, qui uobis etiã (ſic.n. audimus) hoſtes ſunt, intercluditur. Poteſtis igitur, ſi uelitis, uobis nos ſocios aſciſcere, atq; illos uos unà, quã ſi iniuria affecerũt, ulciſci, ac in poſterũ cogere, in ueſtro ut ſint officio ac poteſtate. Quod ſi præſentẽ conditionẽ reſpueritis, uidete ne tãti poſtea exercitus opẽ deſideretis. Ad hæc, qui ſummũ in Moſynœcis magiſtratũ gerebat, ſibi probari ea quæ ille dixiſſet reſpõdit, neq; ullã in ſe firmandæ ſocietatis morã futurã. Tum Xenophõ: Qua, inquit, in re opera noſtra uſuri eſtis, cũ ſocios nos uobis aſciueritis? aut in uiæ difficultate ſuperãda, quid in auxilio ueſtro ſpei nobis poſitũ eſſe poteſt? Nos, illi inquiũt, in communiũ hoſtiũ fines, hinc ſimul, atq; iſtinc, ope ueſtra freti, facile inuadere poſſumus. Viciſſim uero uobis in caſtra homines et naues mittemus, qui et in pugna, cũ opus fuerit, ſocij, et in uia duces eſſe poterũt. Atq; his quidẽ cõditionibus, fide data utrinq;, & accepta, ſocietas inita eſt. Poſtero die Græci ad ſuos redierũt: quos lintres CCC. ſequuti, in ſingulis terni homines: è quibus duo deſcenderũt, ac ſe in Græcorũ ordines cũ ſuis armis inſeruere: ſinguli cũ ſingulis nauigijs domũ reuerſi ſunt. Atqui remanſerãt, in centurias, quaſi totidẽ in choros deſcripti, quadratũ agmen, ueluti in quincuncẽ direxerũt. Læua manu cetram alborũ boum hirtis corijs intectã, hederacei folij forma, dextra iaculũ tenebãt cubitũ ſenum: in cuius ſumma parte cuſpis erat, ima pilæ formã habebat. Tunicis induti tam denſis erãt, quàm ſunt lectorũ culcitræ: eæ ſummis genibus terminabãtur: galeis coriaceis capita munierãt, quales ferè Paphlagonicæ ſunt, in quarũ uertice ſpirula in tiaræ modũ eminebat: iidẽ uero & ferreas habebãt ſecuriculas. Ex his cum unus progredi cœpiſſet, cũ cantu cæteri in numerũ ingredientes, cum per Græcorũ medios ordines atq; arma ſequuti ſunt: ac recta quidẽ in hoſtes profecti, ad caſtellũ quoddã oppugnãdi cauſa, qua parte id facillime capi poſſe uidebatur, acceſſerũt. Erat id ante urbẽ eã, quæ regia Moſynœcorũ appellabatur, quæ fuit imperij quaſi arx: quã qui tenuiſſent, facile toto Moſynœcorũ imperio potiri poſſe uidebãtur. Eam urbẽ aiebant ſocij nõ iure, ſed ut ab hoſtib. occupatã teneri, cũ ante cõmunis imperij ſedes eſſet, ac eius maxime præſidio fretos, totius ſibi gẽtis dominatũ uindicaſſe. Sequuti illos ſunt e Græcis etiã nõnulli, nõ illi quidẽ à ſuis prætorib. inſtructi, ſed qui fortuito agmine atq; incerto ordine ad prædã aduolarãt. Neq; uero ſe hoſtes prius mouerũt, quàm noſtros uiderũt ad caſtellũ quàm proxime acceſſiſſe. Ibi eruptione facta, cupidius progreſſos in fugam uertũt, de barbaris quàmplurimos, de iis etiã qui cum illis aſcenderãt Græcis, aliquot trucidãt: neq; ante inſequi deſtiterunt,

ἐκομίζοντο, οἵπερ καὶ πρόσθεν. οἱ δ' ἄλλοι κατὰ γῆν ἐπορεύοντο. ἐπεὶ δ' ἦσαν ἐπὶ τοῖς μοσυνοίκων ὁρίοις, πέμπουσιν εἰς αὐτοὺς τιμησίθεον τὸν τραπεζούντιον, πρόξενον ὄντα τῶν μοσυνοίκων, ἐρωτῶντες, πότερον ὡς διὰ φιλίας, ἢ ὡς διὰ πολεμίας πορεύσονται τῆς χώρας. οἱ δ' εἶπον, ὅτι οὐ διοίσοιεν. ἐπίστευον γὰρ τοῖς χωρίοις. ἐντεῦθεν λέγει ὁ τιμησίθεος, ὅτι πολέμιοί εἰσιν αὐτοῖς, οἱ ἐκ τοῦ ἐπέκεινα, καὶ ἐδόκει καλέσαι ἐκείνους, εἰ βούλοιντο συμμαχίαν ποιήσασθαι. καὶ πεμφθεὶς ὁ τιμησίθεος ἧκεν ἄγων τοὺς ἄρχοντας. ἐπεὶ δὲ ἀφίκοντο, συνῆλθον οἵ τε τῶν μοσυνοίκων ἄρχοντες, καὶ οἱ στρατηγοὶ τῶν ἑλλήνων. καὶ ἔλεγε μὲν ξενοφῶν, ἡρμήνευε δὲ τιμησίθεος· ὦ ἄνδρες μοσυνοίκοι, ἡμεῖς διελθεῖν βουλόμεθα εἰς τὴν ἑλλάδα πεζῇ. πλοῖα γὰρ οὐκ ἔχομεν. κωλύουσι δὲ οὗτοι ἡμᾶς, οὓς ἀκούομεν ὑμῖν πολεμίους εἶναι. εἰ οὖν βούλεσθε, ἔξεστιν ὑμῖν, ἡμᾶς λαβεῖν συμμάχους καὶ τιμωρήσασθαι, εἴ τι πώποθ' ὑμᾶς οὗτοι ἠδίκησαν, καὶ τὸ λοιπὸν ὑμῶν ὑπηκόους εἶναι τούτους. εἰ δ' ἡμᾶς ἀφήσετε, σκέψασθε, πόθεν αὖθις ἂν τοσαύτην δύναμιν λάβοιτε σύμμαχον. πρὸς ταῦτα ἀπεκρίνατο ὁ ἄρχων τῶν μοσυνοίκων, ὅτι καὶ βούλοιτο ταῦτα, καὶ δέχοιτο τὴν συμμαχίαν. ἄγετε δή, ἔφη ὁ ξενοφῶν, τί ἡμῶν δεήσεσθε χρήσασθαι, ἂν σύμμαχοι ὑμῶν γενώμεθα. καὶ ὑμεῖς, ποῖοί τε ἔσεσθε ἡμῖν συμπρᾶξαι περὶ τῆς διόδου. οἱ δ' εἶπον, ὅτι ἱκανοί ἐσμεν εἰς τὴν χώραν εἰσβάλλειν ἐκ τοῦ ἐπὶ θάτερα, τὴν τῶν ὑμῖν τε καὶ ἡμῖν πολεμίων, καὶ δεῦρο ὑμῖν πέμψαι ναῦς τε καὶ ἄνδρας, οἵτινες ὑμῖν συμμαχοῦνταί τε καὶ τὴν ὁδὸν ἡγήσονται. ἐπὶ τούτοις πιστὰ δόντες καὶ λαβόντες, ᾤχοντο. καὶ ἧκον τῇ ὑστεραίᾳ, ἄγοντες τριακόσια πλοῖα μονόξυλα, καὶ ἐν ἑκάστῳ τρεῖς ἄνδρας, ὧν οἱ μὲν δύο ἐκβάντες εἰς τάξιν ἔθεντο τὰ ὅπλα. ὁ δὲ εἷς ἔμενε, καὶ οἱ μὲν λαβόντες τὰ πλοῖα, ἀπέπλευσαν. οἱ δὲ μένοντες ἐξετάξαντο. οὕτως ἔστησαν, ὥσπερ ἀνὰ ἑκατὸν μάλιστα οἱ χοροί, ἀντιστοιχοῦντες ἀλλήλοις, ἔχοντες γέρρα πάντες λευκῶν βοῶν δασέα, εἰκασμένα κιττοῦ πετάλῳ. ἐν δὲ τῇ δεξιᾷ παλτὸν ἑξάπηχυ, ἔμπροσθεν μὲν λόγχην ἔχον, ὄπισθεν δὲ αὐτοῦ τοῦ ξύλου σφαιροειδές. χιτωνίσκους δ' ἐνεδεδύκεσαν ὑπὲρ γονάτων, πάχος ὡς λινοῦ στρωματοδέσμου. ἐπὶ δὲ τῇ κεφαλῇ κράνη σκύτινα, οἷάπερ τὰ παφλαγονικά, κρωβύλον ἔχοντα κατὰ μέσον ἐγγυτάτω τιαροειδῆ. εἶχον δὲ καὶ σαγάρεις σιδηρᾶς. ἐντεῦθεν ἐξῆρχε μὲν αὐτῶν εἷς, οἱ δ' ἄλλοι πάντες ᾄδοντες ἐπορεύοντο ἐν ῥυθμῷ. καὶ διελθόντες διὰ τῶν τάξεων, καὶ διὰ τῶν ὅπλων τῶν ἑλλήνων, ἐπορεύοντο εὐθὺς πρὸς τοὺς πολεμίους, ἐπὶ χωρίον ὃ ἐδόκει ἐπιμαχώτατον εἶναι. ᾤκειτο δὲ τοῦτο πρὸ τῆς πόλεως, τῆς μητροπόλεως καλουμένης αὐτοῖς, καὶ ἐχούσης τὸ ἀκρότατον τῶν μοσυνοίκων. καὶ περὶ τούτου ὁ πόλεμος ἦν. οἱ γὰρ ἀεὶ τοῦτ' ἔχοντες, ἐδόκουν ἐγκρατεῖς πάντων μοσυνοίκων εἶναι, καὶ ἔφασαν τούτους οὐ δικαίως ἔχειν τοῦτο. ἀλλὰ κοινὸν ὂν καταλαβόντας πλεονεκτεῖν. εἵποντο δὲ αὐτοῖς καὶ τῶν ἑλλήνων τινές, οὐ ταχθέντες ὑπὸ τῶν στρατηγῶν, ἀλλ' ἁρπαγῆς ἕνεκεν. οἱ δὲ πολέμιοι προσιόντων, τέως μὲν ἡσύχαζον. ἐπεὶ δ' ἐγγὺς ἐγένοντο τοῦ χωρίου, ἐκδραμόντες τρέπονται αὐτούς, καὶ ἀπέκτειναν συχνοὺς τῶν βαρβάρων καὶ τῶν συναναβάντων ἑλλήνων τινάς, καὶ ἐδίω-

κον

τῶν μέχρις οὗ εἶδον τοὺς Ἕλληνας βοηθοῦντας. εἶτα δὲ ἀναστρεψάμενοι ᾤχοντο, καὶ ἀποτεμόντες τὰς κεφαλὰς τῶν νεκρῶν, ἐπεδείκνυσαν τοῖς τε Ἕλλησι καὶ τοῖς ἑαυτῶν πολεμίοις. καὶ ἅμα ἐχόρευον νόμῳ τινὶ ᾄδοντες. οἱ δ' Ἕλληνες μάλα ἤχθοντο, ὅτι τούς τε πολεμίους ἐπεποιήκεσαν θρασυτέρους, καὶ ὅτι οἱ ἐξελθόντες Ἕλληνες σὺν αὐτοῖς ἐπεφεύγεσαν, μάλ' ὄντες συχνοί, ὃ οὔπω πρόσθεν ἐπεποιήκεσαν ἐν τῇ στρατιᾷ. Ξενοφῶν δὲ συγκαλέσας τοὺς Ἕλληνας, εἶπεν· ἄνδρες στρατιῶται, μηδὲν θαυμάσητε ἕνεκα τῶν γεγενημένων. ἴστε γὰρ ὅ,τι καὶ ἀγαθὸν οὐ μεῖόν τι κακοῦ γεγένηται. πρῶτον μὲν γὰρ ἐπίστασθε, ὅτι οἱ μέλλοντες ἡμῖν ἡγεῖσθαι, τῷ ὄντι πολέμιοι εἰσίν, οἷσπερ καὶ ἡμᾶς ἀνάγκη. ἔπειτα δὲ τῶν Ἑλλήνων οἱ ἀφροντιστήσαντες τῆς σὺν ἡμῖν τάξεως, καὶ ἡγησάμενοι ἱκανοὶ εἶναι σὺν τοῖς βαρβάροις ταὐτὰ πράττειν, ἅπερ σὺν ἡμῖν, δίκην δεδώκασιν. ὥστε αὖθις ἧττον τῆς ἡμετέρας τάξεως ἀπολείψονται. ἀλλ' ὑμᾶς δεῖ παρασκευάζεσθαι, ὅπως καὶ τοῖς φίλοις οὖσι τῶν βαρβάρων δόξετε κρείττους αὐτῶν εἶναι, καὶ τοῖς πολεμίοις δηλώσετε, ὅτι οὐχ ὁμοίοις ἀνδράσι μαχοῦνται, νῦν τε καὶ ὅτε τοῖς ἀτάκτοις ἐμάχοντο. ταύτην μὲν οὖν τὴν ἡμέραν οὕτως διέμειναν. τῇ δ' ὑστεραίᾳ θύσαντες, ἐπεὶ ἐκαλλιερήσαντο ἀριστήσαντες, ὀρθίους τοὺς λόχους ποιησάμενοι, καὶ τοὺς βαρβάρους ἐπὶ τὸ εὐώνυμον κατὰ ταῦτα ταξάμενοι, ἐπορεύοντο τοὺς τοξότας μεταξὺ τῶν λόχων ὀρθίων ὄντων, ἔχοντες, ὑπολειπομένους δὲ μικρὸν τοῦ στόματος τῶν ὁπλιτῶν. ἦσαν γὰρ τῶν πολεμίων οἱ εὔζωνοι, οἳ κατατρέχοντες, τοῖς λίθοις ἔβαλλον. τούτους οὖν ἀνέστελλον οἱ τοξόται καὶ οἱ πελτασταί. οἱ δ' ἄλλοι, βάδην ἐπορεύοντο, πρῶτον μὲν ἐπὶ τὸ χωρίον, ἀφ' οὗ τῇ προτεραίᾳ οἱ βάρβαροι ἐτράπησαν καὶ οἱ σὺν αὐτοῖς· ἐνταῦθα γὰρ οἱ πολέμιοι ἦσαν ἀντιτεταγμένοι. τοὺς μὲν οὖν πελταστὰς ἐδέξαντο οἱ βάρβαροι, καὶ ἐμάχοντο. ἐπεὶ δ' ἐγγὺς ἦσαν οἱ ὁπλῖται, ἐτράποντο. καὶ οἱ μὲν πελτασταὶ εὐθὺς εἵποντο, διώκοντες ἄνω πρὸς τὴν μητρόπολιν, οἱ δὲ ὁπλῖται ἐν τάξει εἵποντο. ἐπεὶ δ' [illegible] ἦσαν πρὸς ταῖς τῆς μητροπόλεως οἰκίαις, ἐνταῦθα δὴ οἱ πολέμιοι, ὁμοῦ δὴ πάντες γενόμενοι, ἐμάχοντο τοῖς παλτοῖς, καὶ ἄλλα δόρατα ἔχοντες παχέα μακρά, ὅσα ἀνὴρ φέροι μόλις. τούτοις ἐπειρῶντο ἀμύνεσθαι ἐκ χειρός. ἐπεὶ δὲ οὐχ ὑφίεντο οἱ Ἕλληνες, ἀλλ' ὁμόσε ἐχώρουν, ἔφυγον οἱ βάρβαροι. καὶ ἐντεῦθεν ἅπαντες λιπόντες τὸ χωρίον. ὁ δὲ βασιλεὺς αὐτῶν, ὁ ἐν τῷ μοσυνι τῷ ἐπ' ἄκρου ᾠκοδομημένῳ, ὃν τρέφουσι πάντες κοινῇ αὐτοῦ μένοντα καὶ φυλάττοντα, οὐκ ἤθελεν ἐξελθεῖν, οὐδὲ οἱ ἐν τῷ πρότερον αἱρεθέντι χωρίῳ, ἀλλ' αὐτοῦ σὺν τοῖς μοσύνοις κατεκαύθησαν. οἱ δ' Ἕλληνες διαρπάζοντες τὸ χωρίον, εὕρισκον θησαυροὺς ἐν ταῖς οἰκίαις ἄρτων νενημένων πατρίους περυσινῶν, ὡς ἔφασαν οἱ μοσυνοικοι. τὸν δὲ νέον σῖτον σὺν τῇ καλάμῃ ἀποκείμενον. ἦσαν δὲ ζεαὶ αἱ πλεῖσται. καὶ δελφίνων τεμάχη ἐν ἀμφορεῦσιν εὑρίσκετο τεταριχευμένα. καὶ στέαρ ἐν τεύχεσι τῶν δελφίνων, ᾧ ἐχρῶντο οἱ μοσυνοικοι καθάπερ οἱ Ἕλληνες τῷ ἐλαίῳ. κάρυα δ' ἐπὶ τῶν ἀνωκαίων ἦν πολλὰ τὰ πλατέα, οὐκ ἔχοντα διαφυὴν οὐδεμίαν. τούτῳ καὶ πλείστῳ σίτῳ ἐχρῶντο ἕψοντες.

stiterunt, quàm Græcos animaduertere ad opē suis ferendam accurrere. tunc quidem retrocesserunt. Cæsorū uero, quæ de/dua opera absciderāt, capita Græcis ac gentilibus suis, saltantes, ac patrio ritu carmina modulantes, ostentabāt. Enimuero Græci casum hunc molestissimè tulerunt, tū quod hostes elatos secundo rei euentu intelligebant, tū quod fugam fecerāt Græci, ac tam quidē multi cum fuissent, quod in tota expeditione atq; itinere nō ante contigerat. Hic Xenophō mœrētes Græcos in unū conuocat, atq; his eos uerbis affatur: Nihil est milites, quamobrē casu inopinato perculsi, animis deficiatis: quin uos ex ea re, quæ tam præter animi sententiam accidit, plus multo commodi, q̄ mali extitisse existimare debetis. Primū enim satis liquidò perspicitis, eos qui duces nobis itineris futuri sunt, reuera hostili esse in hostes nostros animo. Deinde, qui neglecto ordine imperioq; nostro, se barbaris in pugna pares futuros confisi sunt, hi re infeliciter gesta, cum temeritatis suæ pœnas dederint, exēplo cæteris esse possunt, non esse ullo pacto à præscripto ordine discedendum. Agite igitur uiri fortissimi, ita uos comparate, ut socij uos multo se quidem meliores esse intelligant: hostibus uerò planum faciatis, cum alijs tam sibi uiris negocium esse, quàm hi fuerint, quos nuper omisso ordine, quasi palantes fuderint ac cæciderint. Hæc ille. Exercitum uero cunctum reliquum eius diei quieti dedit. Postridie sacris peractis, ac corporibus curatis, cum tam pulcherrime litatum esset, prætores ita agmen instruxerunt, ut Græcorum manipulis in dextro, barbarorum in læuo cornu collocatis, aciem dirigerent: sagittarios inter directos manipulorum ordines disponerent, ita tamen, ut paululum grauis armaturæ frontem antecederent. Etenim expeditos hostium milites, quo minus excurrentes in nostros lapides mitterent, oppositis sagittarijs & peltatis coërcendos putarunt. Hi igitur anteibant, reliqui pedetentim promouebant. Ac primum in eum ipsum locum uentum est, unde pridie eius duci barbari, & qui se cum illis coniunxerant, pulsi fuerant. Eo in loco hostes acie constiterant. Qui cum primam peltatorum impreßionem acriter pugnantes sustinuissent, graui deinde armatura propius accedente, terga dederunt. Eos peltati fugientes, in aduersum montem insequuti sunt, usq; ad urbis ipsius mœnia, cum interea seruato ordine grauis armatura succederet. Ibi in unum congregati hostes, pugnam instaurarunt, ac sparos, & prælongas ac tam ualidas hastas cum haberent, ut eas singuli homines haud facile tractare posse uiderentur, eas eminus in hostem mittere conabantur. Atenim cum Græci non modo nihil cederent, sed alacrius etiam urgerent, hinc etiam deserto præsidio hostes effusißimam fugam fecere. Eorum rex ipse, quem illi in eminentißimo urbis loco publice alebant, e suis præsidijs deduci unus non potuit, neque hi etiam qui in castello inferiore deprehensi sunt. Quare fuerunt omnes cum suis domibus, quas è lignis extructas, Mosynos appellant, igni cremati. Græci dum omnia diriperent, cellas inuenere patrio more ædificatas, panibus in frusta diuisis refertißimas, quam penum annonæ superioris esse Mosynœci dictitabant. Hornas etiam fruges cum ipso culmo conditas, inter quas zeæ magnus numerus fuit. Præterea in amphoris e delphinorum carnibus salsamenta, atq; eorundem adipem in testis, quem illi ad usus eosdem, ad quos oleum Græci, reponere consueuerāt. In glandium magna est reperta in tabulatis copia, atq; hæ forma erant q̄ uulgares latiore: nucleus nullo erat ligneæ membranæ diuortio interseptus. His elixis Græci pro pane utebantur.

Vinum etiam non deficit: uerùm eiusmodi erat, ut si quis merum biberet, acidum pene præ nimia austeritate uideretur: iam uero dilutum, saporis esset & odoris suauißimi. Græci cum cibo refecti essent, urbe socijs tradita, profecti ex eo loco sunt. Ac dum iter facerent, hostilia oppida, quæ difficiles accessus non habere uisa essent, præteribant: ea tamen socij occupare non negligebant. Castella quidem paßim per eos montes, stad. LXXX. plus minus, interuallo, inter se distabant: & sane ultro citroq; missæ uoces utrinq; exaudiri poterãt, quod efficiebat non solum edita, sed crebris etiam uallium sinibus concaua regio. Iam uero cum in sociorum fines uenissent, ostentabant illi diuitum ac beatorum parentum liberos optime curatos, non alio tamen cibo, quam elixis nucibus enutritos. Corpore eos quidem mollißimo & candidißimo, proceritate ac reliqua habitudine prope pares, quorum & terga & pectora Anthemij flore picta, crebrisq; notis distincta erãt. Viri ipsi, eorum quæ castra sequebantur scortorum congressus appetebant, neq; patriæ mos, quin propalam cupiditati suæ obsequerentur, prohibebat. Par erat maribus ac fœminis corporum candor. Atque hos proculdubio omnium ad quos uenissent, maxime barbaros, atq; à Græcorum moribus uiuendi ritu dißidentes, milites nostri iudicarunt, cum in frequentißima celebritate ea facere nihil uererentur, ad quæ pleriq; omnes solitudinem ac latebras quærere consueuerunt: quin & ea, quæ ne remotis quidem arbitris faciunt paulo pudentiores, ipsi in cœtu ac multitudine faciebant: secum loqui, ridere, subsistere, atque ubicunque libitum esset saltare, & quidem eo gestu, ut alios indicare uiderentur. Inter has gentes Græci partim per hostilem, partim uero per pacatum agrum mansionibus octo ad Chalybas peruenerunt. Infrequens ea gens, et sub Mosynœcorum imperio, omnes fere sibi e ferri metallis uictum comparant. Hinc ad Tibarenos uenere, quorum est ager campestris maxime. In eo castella aliquot ad mare, parum sane munita. Hic prætores in animo habuerunt, ad ea hostiliter accedere, quo præda exercitus calamitates leuarent. Quare missa à Tibarenis dona non statim acceperunt, ac sibi consultandum, ijs qui ea attulerant, responderunt, accipienda essent nec ne. Cæsis autem hostijs, disq; per exta consultis, monuerunt uates, belli eius susceptionem deos minime approbare. Donis igitur acceptis tanquam per pacatum agrum bidui ad Cotyorum, Græcam ciuitatem, Sinopensium coloniam, in Tiberanorum tamen finibus sitam, peruenerunt. Ad hunc usque locum Græcorum exercitus, ab eo prælio quod ad Babylonem factum est dum ad mare descenderent, uiam confecerant Persica dimensione parasangarum DC. & XX. Græca uerò, stadium decies octies mille uiginti: Romana, milliarium circiter bis mille quadringentorum & octoginta. Mansiones fuere CXXII. in quibus menses octo consumpti. Cotyori dies XLV. commorati, primùm sacra dis persoluere, deinde in gentes descripti, pompas traduxere, ludos Gymnicos fecere. Commeatus interea partim è Paphlagonia, partim è Cotyoritanorũ pagis sibi comparabant: illi enim neq; in foro mercatum præbuerãt, neq; ægros intra mœnia receperãt. Dum hæc aguntur, Sinopenses, cum uehementer metuerent ne quid Cotyoritanorũ ciuitas detrimenti caperet, præsertim cum agrum uexari, ac populationib. infestũ reddi intelligerent, ac non modo ad suam fidem atq; officium putarent pertinere, à se oriundam ciuitatem tueri: sed propemodum etiam uectigalia sua, quæ illis ea ciuitas pendebat, agi uiderent, legatos deprecandi causa ad Græcos mittunt. Hi cum in castra uenissent.

Hecato/

οἶνος δὲ εὑρίσκετο, ὃς ἄκρατος μὲν, ὀξὺς ἐφαίνετο εἶναι ὑπὸ τῆς αὐστηρότητος· κερασθεὶς δὲ, εὐώδης τε καὶ ἡδύς. οἱ μὲν δὴ ἕλληνες ἀριστήσαντες ἐνταῦθα, ἐπορεύοντο τοῦ πρόσω, παραδόντες τὸ χωρίον, τοῖς συμμαχήσασι τῶν μοσυνοίκων. ὁπόσα δὲ καὶ ἄλλα παρῇσαν χωρία τῶν σὺν τοῖς πολεμίοις ὄντων τὰ εὐπροσοδώτατα, οἱ μὲν ἔλιπον, οἱ δὲ ἑκόντες προσεχώρουν. τὰ δὲ πλεῖστα τοιάδ' ἦν τῶν χωρίων. ἀπεῖχον ἀλλήλων αἱ πόλεις, στάδια ὀγδοήκοντα. αἱ δὲ πλεῖον· αἱ δὲ μεῖον. ἀναβοώντων δὲ ἀλλήλων, συνήκουον εἰς τὴν ἑτέραν ἐκ τῆς ἑτέρας πόλεως. οὕτως ὑψηλή τε καὶ κοίλη ἡ χώρα ἦν. ἐπεὶ δὲ πορευόμενοι ἐν τοῖς φίλοις ἦσαν, ἐπεδείκνυσαν αὐτοῖς παῖδας τῶν εὐδαιμόνων σιτευτοὺς τεθραμμένους καρύοις ἑφθοῖς, ἁπαλοὺς καὶ λευκοὺς σφόδρα, καὶ οὐ πολλοῦ δέοντας, ἴσους τὸ πλάτος καὶ τὸ μῆκος εἶναι. ποικίλους δὲ τὰ νῶτα, καὶ τὰ ἔμπροσθεν πάντα ἐστιγμένους ἀνθέμιον. ἐζήτουν δὲ καὶ ταῖς ἑταίραις αἷς ἦγον οἱ ἕλληνες, ἐμφανῶς συγγίνεσθαι. νόμος γὰρ ἦν σφίσιν οὗτος. λευκοὶ δὲ πάντες οἱ ἄνδρες καὶ αἱ γυναῖκες. τούτους ἔλεγον οἱ στρατευσάμενοι βαρβαρωτάτους διελθεῖν, καὶ πλεῖστον τῶν ἑλληνικῶν νόμων κεχωρισμένους. ἔν τε γὰρ ὄχλῳ ὄντες, ἐποίουν ἅπερ ἄνθρωποι ἐν ἐρημίᾳ ποιήσειαν. ἄλλοι δὲ οὐκ ἂν τολμῷεν, μόνοι τε ὄντες, ὅμοια ἔπραττον, ἅπερ ἂν μετ' ἄλλων ἰόντες, διελέγοντό τε ἑαυτοῖς, καὶ ἐγέλων ἐφ' αὑτοῖς, καὶ ὠρχοῦντο ἐφιστάμενοι ὅπου τύχοιεν, ὥσπερ ἄλλοις ἐπιδεικνύμενοι. διὰ ταύτης τῆς χώρας οἱ ἕλληνες διά τε τῆς πολεμίας καὶ τῆς φιλίας, ἐπορεύθησαν ὀκτὼ σταθμοὺς, καὶ ἀφικνοῦνται εἰς χάλυβας. οὗτοι ὀλίγοι ἦσαν καὶ ὑπήκοοι τῶν μοσυνοίκων. καὶ ὁ βίος ἦν τοῖς πλείστοις αὐτῶν ἀπὸ σιδηρείας. ἐντεῦθεν ἀφικνοῦνται εἰς τιβαρηνούς. ἡ δὲ τῶν τιβαρηνῶν χώρα πολὺ ἦν πεδινωτέρα, καὶ χωρία εἶχεν ἐπὶ θαλάττῃ ἧττον ἐρυμνά. καὶ οἱ στρατηγοὶ ἔχρῃζον πρὸς τὰ χωρία προσβάλλειν, καὶ τὴν στρατιὰν ὀνηθῆναί τι, καὶ τὰ ξένια ἃ ἧκε παρὰ τῶν τιβαρηνῶν, οὐκ ἐδέχοντο· ἀλλ' ἐπιμεῖναι κελεύσαντες ἔστε βουλεύσαιντο, ἐθύοντο. καὶ πολλὰ καταθυσάντων, τέλος ἀπεδείξαντο οἱ μάντεις πάντες γνώμην, ὅτι οὐδαμῇ προσίοιντο οἱ θεοὶ τὸν πόλεμον. ἐντεῦθεν δὴ τὰ ξένια ἐδέξαντο, καὶ ὡς διὰ φιλίας πορευόμενοι δύο ἡμέρας, ἀφίκοντο εἰς κοτύωρα, πόλιν ἑλληνίδα, σινωπέων ἀποίκους, οἰκοῦντας ἐν τῇ τιβαρηνῶν χώρᾳ. μέχρις ἐπεζεύσεν ἐνταῦθα ἡ στρατιὰ, πλῆθος τῆς καταβάσεως τῆς ὁδοῦ, ἀπὸ τῆς ἐν βαβυλῶνι μάχης, ἄχρι εἰς κοτύωρα, σταθμοὶ ἑκατὸν εἴκοσι δύο, παρασάγγαι ἑξακόσιοι εἴκοσι, στάδιοι μύριοι ὀκτακισχίλιοι εἴκοσι. χρόνου πλῆθος ὀκτὼ μῆνες. ἐνταῦθα ἔμειναν ἡμέρας τετταράκοντα καὶ πέντε. ἐν δὲ ταύταις πρῶτον μὲν τοῖς θεοῖς ἔθυσαν, καὶ πομπὰς ἐποίησαν κατὰ ἔθνος ἕκαστος τῶν ἑλλήνων, καὶ ἀγῶνας γυμνικούς. τὰ δ' ἐπιτήδεια ἐλάμβανον, τὰ μὲν ἐκ τῆς παφλαγονίας, τὰ δ' ἐκ τῶν χωρίων τῶν κοτυωριτῶν. οὐ γὰρ παρεῖχον ἀγορὰν, οὐδ' εἰς τὸ τεῖχος τοὺς ἀσθενοῦντας ἐδέχοντο. ἐν δὲ τούτῳ ἔρχονται ἐκ σινώπης πρέσβεις, φοβούμενοι περὶ τῶν κοτυωριτῶν, τῆς τε πόλεως. ἦν γὰρ ἐκείνων, καὶ φόρον ἐκείνοις ἔφερον, καὶ περὶ τῆς χώρας, ὅτι ἤκουον δῃουμένην. καὶ ἐλθόντες εἰς τὸ στρατόπεδον, ἔλεγον·

προηγόρει

προηγόρει δὲ Ἑκατώνυμος, δεινὸς νομιζόμενος εἶναι λέ-
γειν. ἔπεμψεν ἡμᾶς, ὦ ἄνδρες στρατιῶται, ἡ τῶν σινω-
πέων πόλις ἐπαινέσοντάς τε ὑμᾶς, ὅτι νικᾶτε Ἕλληνες
ὄντες βαρβάρους. ἔπειτα δὲ καὶ συνησθησομένους, ὅτι
διὰ πολλῶν τε καὶ δεινῶν ὡς ἡμεῖς ἀκούομεν πραγμά-
των σεσωσμένοι πάρεστε. ἀξιοῦμεν δὲ Ἕλληνες ὄντες
καὶ αὐτοί, ὑφ' ὑμῶν ὄντων Ἑλλήνων, ἀγαθὸν μέν τι πά-
σχειν, κακὸν δὲ μηδέν. οὐδὲ γὰρ ἡμεῖς ὑμᾶς οὐδὲν πώ-
ποθ' ὑπήρξαμεν κακῶς ποιοῦντες. Κοτυωρῖται δὲ οὗτοι
εἰσίν, οἱ μὲν ἡμέτεροι ἄποικοι, καὶ τὴν χώραν ἡμεῖς αὐ-
τοῖς ταύτην παραδεδώκαμεν, βαρβάρους ἀφελόμε-
νοι. διὸ καὶ δασμὸν ἡμῖν φέρουσιν οὗτοι τεταγμένον,
καὶ Κερασούντιοι, καὶ Τραπεζούντιοι ὡσαύτως. ὥσθ'
ὅτι ἂν τούτοις κακὸν ποιήσητε, ἡ σινωπέων πόλις νο-
μίζει πάσχειν. νῦν δὲ ἀκούομεν ὑμᾶς, εἴς τε τὴν πόλιν
βίᾳ παρεληλυθότας ἐνίους σκηνοῦν ἐν ταῖς οἰκίαις,
καὶ ἐκ τῶν χωρίων λαμβάνειν ὧν ἂν δέησθε οὐ πείθον-
τας. ταῦτ' οὖν οὐκ ἀξιοῦμεν. εἰ δὲ ταῦτα ποιήσετε,
ἀνάγκη ἡμῖν καὶ Κορύλαν, καὶ Παφλαγόνας, καὶ ἄλ-
λον ὅντινα ἂν δυνώμεθα φίλον ποιεῖσθαι. πρὸς ταῦτα
ἀναστὰς Ξενοφῶν ὑπὲρ τῶν στρατιωτῶν, εἶπεν· ἡμεῖς δέ,
ὦ ἄνδρες σινωπεῖς, ἥκομεν, ἀγαπῶντες ὅτι τὰ σώμα-
τα διεσωσάμεθα καὶ τὰ ὅπλα. οὐ γὰρ ἦν δυνατόν,
ἅμα τε χρήματα ἄγειν, καὶ φέρειν, καὶ τοῖς πολεμίοις
μάχεσθαι. καὶ νῦν ἐπειδὴ εἰς τὰς ἑλληνίδας πόλεις ἤλθο-
μεν, ἐν Τραπεζοῦντι μέν, παρεῖχον γὰρ ἡμῖν ἀγοράν,
ὠνούμενοι εἴχομεν τὰ ἐπιτήδεια, καὶ ἀνθ' ὧν ἐτίμησαν
ἡμᾶς, καὶ ξένια ἔδωκαν τῇ στρατιᾷ, ἀντετιμῶμεν αὐ-
τούς καὶ νῦν εἴ τις αὐτοῖς φίλος ἦν τῶν βαρβάρων τού-
των, ἀπειχόμεθα. τοὺς δὲ πολεμίους αὐτῶν, ἐφ' οὓς αὐ-
τοὶ ἡγοῦντο, κακὸν ἐποιοῦμεν ὅσον ἐδυνάμεθα. ἐρωτᾶτε
δὲ αὐτοὺς ὁποίων τινῶν ἡμῶν ἔτυχον. πάρεισι γὰρ ἐνθάδε
οὓς ἡμῖν ἡγεμόνας διὰ φιλίαν ἡ πόλις συνέπεμψεν. ὅποι
δ' ἂν ἐλθόντες ἀγορὰν μὴ ἔχωμεν, ἄν τε εἰς βάρβαρον
γῆν, ἄν τε εἰς ἑλληνίδα, οὐχ ὕβρει, ἀλλ' ἀνάγκῃ λαμβάνο-
μεν τὰ ἐπιτήδεια. καὶ Καρδούχους, καὶ Χαλδαίους, καὶ
Ταόχους, καίπερ βασιλέως οὐχ ὑπηκόους ὄντας, ὅμως
καὶ μάλα φοβεροὺς ὄντας, πολεμίους ἐκτησάμεθα, διὰ τὸ
ἀνάγκην εἶναι λαμβάνειν τὰ ἐπιτήδεια, ἐπεὶ ἀγορὰν
οὐ παρεῖχον. Μάκρωνας δέ γε καὶ βαρβάρους ὄντας,
ἐπεὶ ἀγορὰν οἵαν ἐδύναντο παρεῖχον, φίλους τε ἐνομί-
ζομεν εἶναι, καὶ βίᾳ οὐδὲν ἐλαμβάνομεν τῶν ἐκείνων.
Κοτυωρίτας δέ, οὓς ὑμετέρους φατὲ εἶναι, εἴ τι αὐτῶν
εἰλήφαμεν, αὐτοὶ αἴτιοί εἰσιν. οὐ γὰρ ὡς φίλοι προσε-
φέροντο ἡμῖν, ἀλλὰ κλείσαντες τὰς πύλας, οὔτ' εἴσω
ἐδέχοντο, οὔτ' ἔξω ἀγορὰν ἔφερον. ᾐτιῶντο δὲ τὸν
παρ' ὑμῶν ἁρμοστὴν, τούτων αἴτιον εἶναι. ὃ δὲ λέγεις
βίᾳ παρελθόντας σκηνοῦν, ἡμεῖς ἠξιοῦμεν, τοὺς κάμνον-
τας εἰς τὰς στέγας δέξασθαι. ἐπεὶ δὲ οὐκ ἀνέῳγον τὰς πύ-
λας, ᾗ ἡμᾶς οὐκ ἐδέχοντο, αὐτὸ τὸ χωρίον ταύτῃ εἰσελ-
θόντες, ἄλλο μὲν οὐδὲν βίαιον ἐποιήσαμεν. σκηνοῦσι
δ' ἐν ταῖς στέγαις οἱ κάμνοντες, τὰ ἑαυτῶν δαπανῶν-
τες. καὶ τὰς πύλας φρουροῦμεν, ὅπως μὴ ἐπὶ τῷ ὑ-
μετέρῳ ἁρμοστῇ ὦσιν οἱ κάμνοντες ἡμῶν, ἀλλ' ἐφ' ἡμῖν
κομίσασθαι ὅταν βουλώμεθα. οἱ δ' ἄλλοι ὡς ὁρᾶτε σκη-
νοῦμεν ὑπαίθριοι, ἐν τῇ τάξει παρεσκευασμένοι. ἂν
μὲν

Hecatonymus, qui unus ex illis erat, uir dicendi laude clarus, huiusmodi oratione usus est: Nos, uiri fortissimi, Sinopensium ciuitas huc misit: primum, ut uos merito laudum honore afficiamus, propterea quod multis uictorijs à uobis declaratum est, quantum uirtute Graeci barbaris antecellant. Deinde, uobis ut ex animo gratulemur, quod é difficilimis rebus grauissimisq; casibus sospites huc euaseritis. Quod reliquum est, pro ea quae nobis uobiscum intercedit graeci nominis cõmunione, uos obtestamur, ut malitis beneficio nos deuinctos habere, q̃ iniuriae ullo genere lacessere. Neq;.n. uobis nos priores unquã quicquã incõmodi importauimus. Cotyoritani, in quorũ nũc finib. cõmoramini, à nobis in coloniam deducti sunt, á nobis ademptũ barbaris agrum acceperũt: proq; eo nobis uectigal, eodẽ quo Cerasuntij & Trapezuntij iure pensitant. Quare non possunt hi ullam à uobis calamitatẽ accipere, quin ea in nos etiam ipsos redũdet. Ac nũc de uestro exercitu nõnullos audimus, per uim in oppidum ingressos, in ipsis aedibus castra habere: neminẽ uerò esse, qui é proximis pagis quicquid usui sit, inuitis dominis non auferat. Haec à uobis maiorè in modũ deprecamur. Quod si nihil profecerimus, cogemur certè et Corylan, Paphlagoniae praefectum, & quodcunq; potuerimus hominũ genus, societate nobis atq; amicitia adiungere. Cum finẽ dicendi ille fecisset, surrexit Xenophon, atq; ita pro cunctis militibus loquutus est: Nos enimuero Sinopẽses, non male nobiscũ actũ existimamus, quod uita dũtaxat, armisq; seruatis, huc euadere potuerimus. Cõmeatus & quae usui futura erant caetera, quibus cum hoste tam saepe cõgrediendũ esset, aut portare aut trahere nullo pacto potuimus. Atenim cumprimũ graecas urbes attigimus, foro eo usi sumus, cuius nobis à Trapezũtijs copia facta est: neq; alieni quicquã sine precio sumpsimus. Et sane pro eo, quẽ nobis habuerũt, honore, proq; hospitalib. quae ab illis accepimus, donis, gratiam illis retulimus. Nã & eorũ amicis pepercimus, & quãmaximis potuimus detrimẽtis hostes affecimus, illos nẽpe quocũq; nos duxere sequuti. Quaeratis aũt de ipsis licet, quales erga se nos fuerint experti: adsunt enim, quos ipsa nobis ciuitas publicè, pro amicitia nostra duces dedit. Nos quidẽ, quoties hi ad quos uenimus, cõmeatus nobis nõ dederũt, ut ab egestate nos atq; inopia uindicaremus, undecũq; potuimus, nihil interesse putãtes, barbarorũ, an ne Graecorũ fines essent, quae nobis usui fuerũt, sumpsimus. Neq; uero Carduchos, Chaldaeos, ac Taochos, bellicosos illos quidẽ, et feros populos, qui nec ipsi regi parẽt, aliã ob causam ad arma cõtra nos capiẽda impulimus, q̃ quod cum ab illis nõ praeberẽtur quae ad uictũ erãt necessaria, ea nos inuitis eripere cogebamur. At Macronas, qđ nobis quod habuerũt forũ, expositũ, et apertũ esse uoluerũt, pro amicis habuimus, neq; quicquã ab ijs ui abstulimus. Quod si nũc à Cotyoritanis, quos in officio ac potestate uestra esse dicitis, aliquid sumpsimus, ipsi in culpa fuerũt, qui tantum abfuit, ut nos amicos agnouerint, ut clausis portis, neq; nos intromiserint, neq; extra muros quicquam quod emere possemus, miserint: cuius rei causam ipsi in praetorẽ uestrũ conferunt. Quod uero queritis, per uim nos esse in oppidũ ingressos, ac in ipsis domibus castra habere: nos certe rogauimus, ut aegros tantũ reciperẽt intra moenia: quibus cũ illi portas non aperirent, quid in eos aliud per uim fecimus, quàm quod ea ipsa parte irrupimus, qua nos illi non admittebant? Aegros in eorum aedibus collocauimus: at illi suo se sumptu alunt. Ad portas praesidium constituimus, nempe ne sint aegri nostri in praetoris uestri potestate, atq; ut arbitratu nostro tollere eos possimus. Caeteri, uti uidetis, omnes sub diuo tabernacula habemus, ordines tuemur, arma in promptu sunt, quid

scilicet

scilicet quam facillime & iis qui de nobis bene merentur, gratiam referre, & qui nos lacessierint, ulcisci possimus. Quod uero interminatus es, Corylæ Paphlagonum præfecti, uobis contra nos auxilia non defutura: si necesse fuerit, & uobiscum, & cum illo pugnabimus, quando cum maiore, multis quidem partibus hostium manu sæpissime belli fortunam experti sumus. Atqui neque nobis ad Corylæ societatem erit aditus interclusus: eam etenim audiuimus ad maritimam oram, & ad agram urbemque uestram animum adiecisse. Hunc igitur nihil impediet, quin eum nos ad ea quæ expetit, occupanda iuuemus. Hæc Xenophon. Hecatonymo uero, quod esset acerbius loquutus, irasci se collegæ eius, taciti quodammodo significabant. Atque hic ex iis unus in medium procedens: Non bellum, inquit, indicturi huc uenimus, sed potius ad amicitiam uos, atque hospitium inuitaturi. Ac si Sinopen ueneritis, uos certe intra mœnia recipiemus: nunc sociis imperabimus, ut quarum possint rerum uobis copiam faciant. Veram enim orationem uestram fuisse iudicamus. Post hunc sermonem, & Cotyoritani dona hospitalia ad exercitum misere, & Græci duces legatos mensæ suæ adhibuerunt, ubi multa quæ res, tempusque postulabat, colloquuti sunt: Græci de reliqui itineris tota ratione quæsierunt. Vtrinque ea postulata sunt, quæ ex utriusque commodo essent. Atque his sermonibus dies exemptus. Postero die, conuocatis in unum militibus, prætores de toto itinere, legatis præsentibus deliberant. Etenim si pedibus iter faciendum esset, commodissimum fore putabant illos duces habere: sin classe traiiciendum, solos eos esse, a quibus quantum toti exercitui sat esset, nauigiorum accipere possent. Vocatis itaque legatis, ad eos rem, de qua agebatur, retulerunt: atque eos rogarunt, ut Græci cum essent, sibi item Græcis, beneuolentia atque optime consulendi studio, quæ certissima amicitiæ pignora, ne deessent. Surrexit ibi Hecatonymus, & a purgatione exorsus, se quæ de Paphlagonibus adiungendis dixisset, non eo spectasse dixit, ut bellum Græcis minitaretur: uerum ita illa accipi uoluisse, cum barbarorum amicitia uti possent, illam se Græcorum causa facile neglecturos. Iam uero quod me, inquit, de uestro itinere consulitis, deos omnes contestor, ac precor, si uobis quod optimum duxero consilium dedero, multa mihi ut ex uoto eueniant: sin aliter, aduersa ut mihi sint omnia. Deuoui me iam, inquit: atque hoc quidem est, quod sacrum consilium dicitur. Nam si is fuerit, quem opto, consilii mei euentus, mihi omnes gratiam habebitis: sin aliter ceciderit, e uobis certe non deerunt, qui me diris persequantur. Equidem illud nihil dubito, si nauibus proficiscamini, curam nobis non paruam suscipiendam, ut sit uobis parata classis. Quod si pedibus iter facietis, uestro uobis marte, cum iis qui se opposuerint, erit præliandum: dicam tamen quæ uobis arbitror conducere. Mihi & Paphlagonum regio tota, & populi opes notæ sunt. Regio ipsa & campis pulcherrimis, & altissimis montibus prædita est: ac primum aditus habet difficilimos, inter montes diuisa, in duo quasi cornua: uia maxime ardua, hac utique ingrediamini necesse est. Quod si eas fauces pauci homines obsiderint (neque est enim multis opus) illis inuitis, quantæcunque copiæ fuerint, penetrare non poterunt. Atque id ita se habere ex ipso loco ostendam, si quem de uestris eo mecum miseritis. At si in campos descenderitis, ibi equitatum offendetis, quem hostes regio equitatu multo meliorem ducunt: atque eo maxime confisi, nuper euocati a rege, non sunt ad eum profecti, quando & horum rex, illi certe animi elatione par est. Quod si uel clam penetraueritis,

μὲν τις εὖ ποιῇ, ἀντευποιεῖν· ἂν δὲ κακῶς, ἀλέξασθαι. ἃ δὲ ἠπείλησας ὡς ἢν ὑμῖν δοκῇ, κορύλαν καὶ παφλαγόνας συμμάχους ποιήσεσθαι ἐφ' ἡμᾶς, ἡμεῖς δὲ ἢν μὲν ἀνάγκη ᾖ, πολεμήσομεν καὶ ἀμφοτέροις. ἤδη γὰρ καὶ ἄλλοις πολλαπλασίοις ὑμῶν ἐπολεμήσαμεν. ἂν δὲ δοκῇ ἡμῖν, καὶ φίλον ποιήσασθαι κορύλαν καὶ τὸν παφλαγόνα, ἀκούομεν δὲ αὐτὸν καὶ ἐπιθυμεῖν τῆς ὑμετέρας πόλεως καὶ χωρίων τῶν ἐπιθαλαττίων. πειρασόμεθα οὖν συμπράττοντες αὐτῷ ὧν ἐπιθυμεῖ, φίλοι γίγνεσθαι. ἐκ τούτου μάλα μὲν δῆλοι ἦσαν οἱ συμπρέσβεις τῷ ἑκατωνύμῳ χαλεπαίνοντες τοῖς εἰρημένοις. παρελθὼν δ' αὐτῶν ἄλλος, εἶπεν, ὅτι οὐ πόλεμον ποιησόμενοι ἥκομεν, ἀλλ' ἐπιδείξοντες, ὅτι φίλοι εἰσί. καὶ ξενίοις μὲν ἢν ἔλθητε πρὸς τὴν σινωπέων πόλιν, ἐκεῖ δεξόμεθα. νῦν δὲ τοὺς ἐνθάδε κελεύσομεν διδόναι ἃ δύνανται. ὁρῶμεν γὰρ πάντα ἀληθῆ ὄντα ἃ λέγετε. ἐκ τούτου ξένιά τε ἔπεμπον οἱ κοτυωρῖται, καὶ οἱ στρατηγοὶ τῶν ἑλλήνων, ἐξένιζον τοὺς τῶν σινωπέων πρέσβεις. καὶ πρὸς ἀλλήλους πολλά τε καὶ ἐπιτήδεια διελέγοντο, τά τε ἄλλα καὶ περὶ τῆς λοιπῆς πορείας ἐπυνθάνοντο καὶ ὧν ἑκάτεροι ἐδέοντο. ταύτῃ μὲν τῇ ἡμέρᾳ τοῦτο τέλος ἐγένετο. τῇ δ' ὑστεραίᾳ συνέλεξαν οἱ στρατηγοὶ τοὺς στρατιώτας. καὶ ἐδόκει αὐτοῖς περὶ τῆς λοιπῆς πορείας παρακαλέσαντας τοὺς σινωπέας βουλεύεσθαι. εἴτε γὰρ πεζῇ δέοι πορεύεσθαι, χρήσιμον ἂν ἐδόκουν εἶναι οἱ σινωπεῖς ἡγούμενοι. ἔμπειροι γὰρ ἦσαν τῆς παφλαγονίας. εἴτε κατὰ θάλατταν, προσδεῖν ἐδόκει σινωπέων. μόνοι γὰρ ἐδόκουν ἱκανοὶ εἶναι, πλοῖα παρασχεῖν ἀρκοῦντα τῇ στρατιᾷ. καλέσαντες οὖν τοὺς πρέσβεις, συνεβουλεύοντο, καὶ ἠξίουν ἕλληνας ὄντας, ἕλλησι τούτῳ πρῶτον καλῶς δέχεσθαι, τῷ εὔνους τε εἶναι, καὶ τὰ βέλτιστα συμβουλεύειν. ἀναστὰς δὲ ἑκατώνυμος, πρῶτον μὲν ἀπελογήσατο περὶ οὗ εἶπεν, ὡς τὸν παφλαγόνα φίλον ποιοῖντο, ὅτι οὐχ ὡς τοῖς ἕλλησι πολεμησόντων σφῶν εἴποι, ἀλλ' ὅτι ἐξὸν τοῖς βαρβάροις φίλους εἶναι, τοὺς ἕλληνας αἱρήσονται. ἐπεὶ δὲ συμβουλεύειν με ἐκελεύετε, ἐπευξάμενος, ὧδε εἶπεν· εἰ μὲν συμβουλεύοιμι ἃ βέλτιστά μοι δοκεῖ εἶναι, πολλά μοι ἀγαθὰ γένοιτο· εἰ δὲ μή, τἀναντία. αὕτη γὰρ ἡ ἱερὰ συμβουλὴ λεγομένη εἶναι, δοκεῖ μοι παρεῖναι. νῦν γὰρ ἂν μὲν εὖ συμβουλεύσας φανῶ, πολλοὶ ἔσεσθε οἱ ἐπαινοῦντές με· ἂν δὲ κακῶς, πολλοὶ ἔσεσθε οἱ καταρώμενοι. πράγματα μὲν οὖν οἶδ' ὅτι πολὺ πλείω ἕξομεν, ἐὰν κατὰ θάλατταν κομίζησθε. ἡμᾶς γὰρ δεήσει τὰ πλοῖα πορίζειν. ἢν δὲ κατὰ γῆς στέλλησθε, ὑμᾶς δεήσει τοὺς μαχομένους εἶναι. ὅμως δὲ λεκτέα ἃ γιγνώσκω. ἔμπειρος γάρ εἰμι καὶ τῆς χώρας τῶν παφλαγόνων καὶ τῆς δυνάμεως. ἔχει γὰρ ἡ χώρα ἀμφότερα, καὶ πεδία κάλλιστα, καὶ ὄρη ὑψηλότατα. καὶ πρῶτον μὲν οἶδα εὐθὺς, ᾗ ὅπου τὴν εἰσβολὴν ἀνάγκη ποιεῖσθαι, οὐ γάρ ἐστιν ἄλλῃ. τὰ κέρατα τῆς ὁδοῦ τοῦ ὄρους καθ' ἑκάτερά ἐστιν ὑψηλά, ἃ κρατεῖν κατέχοντες, καὶ πάνυ ὀλίγοι δύναιντ' ἄν. τούτων δὲ κατεχομένων οὐδ' ἂν οἱ πάντες ἄνθρωποι δύναιντο διελθεῖν. ταῦτα δὲ καὶ δείξαιμι ἄν, εἴ μοι τινὰ βούλεσθε συμπέμψαι. ἔπειτα δὲ οἶδα πεδία ὄντα, καὶ ἱππείαν, ἣν αὐτοὶ οἱ βάρβαροι νομίζουσι κρείττω εἶναι, ἁπάσης τῆς βασιλέως ἱππείας. καὶ νῦν οὗτοι οὐ παρεγένοντο βασιλεῖ καλοῦντι. ἀλλὰ καὶ μεῖζον φρονεῖ ὁ ἄρχων αὐτῶν. ἢν δὲ καὶ δυνηθῆτε τά τε ὄρη κλέψαι,

ψαι, ἢ φθάσαι λαβόντες, καὶ ἐν τῷ πεδίῳ κρατῆτε μαχόμενοι τούς τε ἱππέας τούτους καὶ πεζοὺς, μυριάδας πλέον ἢ δώδεκα, ἥξετε ἐπὶ ποταμούς. πρῶτον μὲν τὸν θερμώδοντα, εὖρος τριῶν πλέθρων, ὃν χαλεπὸν οἶμαι διαβαίνειν. ἄλλως τε καὶ πολεμίων, πολλῶν μὲν ἔμπροσθεν ὄντων, πολλῶν δὲ ὄπισθεν ἑπομένων. δεύτερον δ' ἶριν, τρίπλεθρον ὡσαύτως οὕτως. τρίτον δὲ ἅλυν, οὐ μεῖον δυοῖν σταδίοιν, ὃν οὐκ ἂν δύναισθε ἄνευ πλοίων διαβῆναι. πλοῖα δὲ τίς ἔσται ὁ παρέχων; ὡς δ' αὔτως καὶ ὁ παρθένιος ἄβατος, ἐφ' ὃν ἔλθοιτε ἄν, εἰ τὸν ἅλυν διαβαίητε. ἐγὼ μὲν οὖν οὐ χαλεπὴν ὑμῖν εἶναι νομίζω τὴν πορείαν, ἀλλὰ παντάπασιν ἀδύνατον. ἂν δὲ πλέητε, ἔστιν ἐνθένδε μὲν ἐς σινώπην παραπλεῦσαι. ἐκ σινώπης δὲ εἰς ἡράκλειαν. ἐξ ἡρακλείας δὲ οὔτε πεζῇ οὔτε κατὰ θάλατταν ἀπορία. πολλὰ γὰρ ἔστι πλοῖα ἐν ἡρακλείᾳ. ἐπεὶ δὲ ταῦτα ἔλεξεν, οἱ μὲν ὑπώπτευον φιλίας ἕνεκα τῆς κορύλα λέγειν. καὶ γὰρ ἦν πρόξενος αὐτῷ. οἱ δὲ καὶ ὡς δῶρα ληψόμενον διὰ τὴν συμβουλὴν ταύτην. οἱ δ' ὑπώπτευον καὶ τούτου ἕνεκα λέγειν, ὡς μὴ πεζῇ ἰόντες τὴν σινωπέων χώραν κακόν τι ἐργάζοιντο. οἱ δ' οὖν ἕλληνες ἐψηφίσαντο κατὰ θάλατταν τὴν πορείαν ποιεῖσθαι. μετὰ ταῦτα ξενοφῶν εἶπεν· ὦ σινωπεῖς, οἱ μὲν ἄνδρες ᾕρηνται πορείαν, ἣν ὑμεῖς συμβουλεύετε, οὕτω δ' ἔχει, εἰ μὲν μέλλει πλοῖα ἔσεσθαι ἱκανὰ, ὡς ἀριθμῷ ἕνα μὴ καταλείπεσθαι ἐνθάδε, ἡμεῖς πλέοιμεν ἄν, εἰ δὲ μέλλοιμεν οἱ μὲν καταλείψεσθαι, οἱ δὲ πλεύσεσθαι, οὐκ ἂν ἐμβαίημεν εἰς τὰ πλοῖα. γινώσκομεν γὰρ, ὅτι ὅπου μὲν ἂν κρατῶμεν, δυναίμεθ' ἂν καὶ σώζεσθαι καὶ τὰ ἐπιτήδεια ἔχειν. εἰ δέ που ἥττους τῶν πολεμίων ληφθησόμεθα, εὔδηλον δὴ ὅτι ἐν ἀνδραπόδων χώρᾳ ἐσόμεθα. ἀκούσαντες ταῦτα οἱ πρέσβεις, πέμπειν ἐκέλευον πρέσβεις. καὶ πέμπουσι καλλίμαχον ἀρκάδα, καὶ ἀρίστωνα ἀθηναῖον, καὶ σαμόλαν ἀχαιόν. καὶ οἱ μὲν ᾤχοντο. ἐν δὲ τούτῳ τῷ χρόνῳ ξενοφῶντι ὁρῶντι μὲν πολλοὺς ὁπλίτας τῶν ἑλλήνων, ὁρῶντι δὲ πολλοὺς πελταστὰς, πολλοὺς δὲ καὶ τοξότας καὶ σφενδονήτας, καὶ ἱππέας δὲ, καὶ μάλα ἤδη διὰ τὴν τριβὴν ἱκανοὺς ὄντας ἐν τῷ πόντῳ, ἔνθα οὐκ ἂν ἀπ' ὀλίγων χρημάτων τοσαύτη δύναμις παρεσκευάσθη, καλὸν αὐτῷ ἐδόκει εἶναι, καὶ χώραν καὶ δύναμιν τῇ ἑλλάδι προσκτήσασθαι, πόλιν κατοικίσαντας. καὶ γενέσθαι ἂν ἐδόκει αὐτῷ μεγάλη, καταλογιζομένῳ, τό, τε αὐτῶν πλῆθος καὶ τοὺς περιοικοῦντας τὸν πόντον. καὶ ἐπὶ τούτοις ἐθύετο πρίν τινι εἰπεῖν τῶν στρατιωτῶν, σιλανὸν παρακαλέσας τὸν κύρου μάντιν γενόμενον, τὸν ἀμπρακιώτην. ὁ δὲ σιλανὸς δεδιὼς μὴ γένοιτο ταῦτα, καὶ καταμείνειέ που ἡ στρατιὰ, ἐκφέρει εἰς τὸ στράτευμα λόγον, ὅτι ξενοφῶν βούλεται καταμεῖναι τὴν στρατιὰν, καὶ πόλιν οἰκίσαι, καὶ ἑαυτῷ ὄνομα καὶ δύναμιν περιποιήσασθαι. αὐτὸς δὲ ὁ σιλανὸς, ἐβούλετο ὅτι τάχιστα εἰς τὴν ἑλλάδα ἀφικέσθαι. οὓς γὰρ παρὰ κύρου ἔλαβε τρισχιλίους δαρεικοὺς, ὅτε τὰς δέκα ἡμέρας ἠλήθευσε θυόμενος κύρῳ, διεσεσώκει. τῶν δὲ στρατιωτῶν, ἐπεὶ ἤκουσαν, τοῖς μὲν ἐδόκει βέλτιστον εἶναι καταμεῖναι, τοῖς δὲ πολλοῖς οὔ. τιμασίων δὲ ὁ δαρδανεὺς, καὶ θώραξ ὁ βοιώτιος, πρὸς ἐμπόρους τινὰς παρόντας τῶν ἡρακλεωτῶν

καὶ

tis, uel priores angustias occupaueritis, ac ipsos in campis equites praelio uiceritis: pedestres etiam eorum copias, quarum numerus nihilo est minor, quàm hominum uicies centena, & amplius uiginti millia, fuderitis, ad flumina certe nobis perueniendum fuerit, atq; ad Thermodontem primùm, cuius latitudo cum sit pass. LX. quàm facile eum traijcere nobis liciturum sit, hostibus praesertim & à fronte resistentibus, & à tergo urgentibus, non est profecto difficile existimare. Ad Irin deinde, cuius eadem omnino latitudo est: tum ad Alyn, qui cum stadia ipsa duo, quà latus est pateat, hunc certe sine nauibus nũquam transmittetis. Nauium uero ecquisnam nobis copiam facturus est? Iam uero Parthenius, ad quem uenietis, si Alyn traieceretis, nihilo is certe quam hi, quos ante nominaui, facilius transiri potest. Ego mehercule his omnibus de causis terrestre iter, non modo difficiles exitus habiturum, sed plane interclusum nobis fore arbitror. Quod si nauibus proficiscamini, primùm Sinopen appelletis, illinc Heraclean: ab Heraclea, siue classe, siue pedibus reliquum itineris conficere malitis, neutra nobis facultas defutura est, cum ea ciuitas nauium luculentam sane copiam habeat. Haec cum ille dixisset, non defuerunt qui uel Corylae gratia, cuius hospes erat, uel precio adductum, ita loquutum suspicarentur: existimarunt alij cauisse illum Sinopensium agris, ne scilicet detrimentis afficerentur, si Graecorum copiae per eos transirent. Quaecunque tamen ei in dando consilio mens fuerit, sciuerunt certe Graeci suffragio suo mari eundum esse. Tum Xenophon: Sinopenses, inquit, milites nostri uestram in deligendo itinere autoritatem sequuti sunt: sed haec quidem decreti nostri summa est: Si nobis ea fuerit nauium copia, ut ne unum relinqui necesse sit, classe utemur: sin aliqua nobis exercitus pars relinquenda est, naues neutiquam conscendemus: satis est enim illud nobis persuasum, integris copijs ubiuis gentium, neque commeatus nos desideraturos, neque de salute unquam in dubium uenturos. Quod si hostibus multo fuerimus numero inferiores, necesse certe fuerit tanquam mancipia, illorum nos imperata facere. Haec cum illi audissent, ut his de rebus ad ciuitatem suam legatos mitterent, hortati sunt. Missi sunt Callimachus Arcas, Ariston Athenensis, Samolas Achaeus, ac hi cum Sinopensibus profecti sunt. Interea Xenophon cum in Graecorum copias intueretur, grauem armaturam sane amplam, cetratos multos, multos item sagittarios ac funditores, equites praeterea qui propter longiorem in Ponto commorationem, ex locorum peritia, ad res gerendas aptiores essent, ac plane intelligeret, non posse talem exercitum parua pecunia in posterum Graecis comparari: optimum factu duxit, eo tempore, eisque copijs, uti ad Graecorum opes augendas, ac coloniam quampiam deducendam. Quam neque paruam fore putabat, cum ad Graecorum numerum è Ponti accolis multos accessuros existimaret. Qua de re cum per exta deos consulendos putaret, prius quàm quid in animo haberet, cum quoquam de suis communicaret, ad Silanum Ambracioten uatem, quo Cyrus usus fuerat, totam cogitationem refert. Ille enimuero, qui nihil mallet, quàm celerrime transmittere, quo Daricos ter mille à Cyro olim acceptos, propter illam de decem diebus praedictionem, adhuc incolumes in patriam deportaret, quod de Xenophonte audierat, profert: addit Xenophontem gloriae, potentiaeq; suae studentem, operam daturum ut exercitus in Ponto maneat. Haec ille. Ex militibus uero erant sane multi, qui prae se ferrent, putare se non alienum id fore rationibus suis: sed multo maior pars totum consilium repudiabat. Timasion quidem Dardanensis, & Boeotius Thorax cum mercatoribus quibusdam Heracleoticis

ac Sinopensibus congressi, illis denunciant, fore ut, nisi exercitui stipendium eorum ciuitates pendant, & commeatus classi curent, omnes Graecorum copiae in Ponto maneant. Illud enim, inquit, consilium init Xenophon, atq; in eam ut nos sententiā adducat, operā dat: ac cum iam naues praesto fuerint, sic nobiscum opinor aget. Iam Graeci neq; cōmeatus, neq; nauales copias amplius desideramus. quid igitur? Nihil omnino iam impedit, quin aut domū redeūtes, nostros, quib. reb. potuerimus, iuuemus, aut nobis in quauis Pōti parte, qualāte in ambitū patet, sedes deligētes, in his ipsis locis maneamus: quare me quidē autore, uel domum, qui uelit, abeat: uel maneat, qui suis ita conducere rationibus arbitratur. Naues certe, quo uobis cunq; cōtendendum statueritis, iam non sunt defuturae. Haec ubi mercatores audierunt, ad suos deferunt, & cum illis unà Timasiō Dardanēsis, Erymachum itidē Dardanensem, et Thoracē Boeotiū mittit, ut iisdē de reb. eas ciuitates doceāt. Re audita, Sinopēses et Heracleotae per nuncios agūt cum Timasione, ipse negocium ut suscipiat: atq; et pecuniā se, ipsius arbitratu, daturos spondent, ubi primum classe exercitus proficisci coepisset. Id ubi ille accepit, in militū conuentu ita loquutus est: Nihil necesse est, milites, de mansione cogitare: quid enim tanti est, quod pluris quā Graeciā facere debeamus? Atqui audio esse, qui hac ipsa de re deos per exta cōsulant, ac nihil ad uos referāt. Ego uero uobis, si hinc solueritis, ab ipso mensis initio polliceor Cyzycenū unū, menstruū stipendiū singulis: & uos quidem in Troadē deducam, unde sum in exiliū pulsus: ibi ex mea uobis patria multa suppetent commoda: neq;. n. inuiti me ciues mei recipiēt. Deducam etiam uos in ea loca, è quibus pecuniam sane multam cogere poteritis. Nulla enim est mihi uel Aeolidis, uel Phrygiae, uel Troadis, totius deniq; Pharnabazi imperij ignota pars, neq; ob id magis, quod in illa sum natus regione, quàm quod Clearcho & Dercyllidae stipēdia feci. Tum Boeotius Thorax, cui perpetua fuerat cum Xenophonte de praetura cōtentio, hoc amplius addidit: si è Pōto semel exissent, in eorū potestate Chersonesum, pulchrā illam quidē & opulentā regionē futurā, in qua uel cōsisterent, uel domū si ita mallent, quā facilime se ex ea cōferrent. Ridiculum uero esse, cum in ipsa Graecia agrum maximū & fructuosissimū possidere possent, ad barbarorum fines spectare. Ego, inquit, etiam ipse, cum eo perueneritis, uobis perinde ac Timasion, ac quantū ille, stipendiū polliceor. Atq; haec ille fidenter dicebat, quod quae Heracleotae, ac Sinopenses Timasioni promiserant, si ut exercitum è Ponto discedere effecisset, non ignorabat. Hactenus Xenophon, tacitus hanc in se concitatam inuidiā tulerat. Sed enim cum Philesius & Lycon Achiui consurrexissent, & graue sibi uideri affirmassent, quòd cum esset Xenophon ante priuato consilio ad manendum milites adhortatus, ac ea etiam de re diuinam rem fecisset, neq; quod in animo haberet ad exercitū retulisset, eundē iam neq; in praesentia pro concione quicquā purgandi sui causa agere. Hic ille criminosis eorum uocibus coactus ad dicendum surrexit, atq; hunc in modum loquutus est: Ego milites pro uestra meaq; salute non desino deos per sacra consulere, ac precari, ut quae in mentē uenerint aut dicere, aut facere, ea uobis cūctis, mihiq; bene ac feliciter eueniāt. Atq; hoc ipso tēpore ob id ipsum sacra feci, ut extis monētib. intelligerē, utrum esset satius, an uobiscū ea de re agere, quae mihi in mentē uenerat, an uerbum omnino nullum facere. Enimuero Silanus aruspex consulenti mihi respondit, bona, quod caput est, exta esse: sciebat enim non esse me omnino eius rationis, quae ad exta pertinet, ignarum, quippe qui sacris multum interesse consueuerim. Tantum dixit, occultos in meipsum dolos, atque insidias significari: argute ille quidem, qui

καὶ σινωπέων, λέγουσιν, ὅτι εἰ μὴ ἐκποριοῦσι τῇ στρατιᾷ μισθὸν, ὥστε ἔχειν τὰ ἐπιτήδεια ἐκπλέοντας, ὅτι κινδυνεύσει μεῖναι τοσαύτη δύναμις ἐν τῷ πόντῳ. βούλεται γὰρ ξενοφῶν, καὶ ἡμᾶς παρακαλεῖ, ἐπειδὰν ἔλθῃ τὰ πλοῖα, τότ' εἰπεῖν ἐξαίφνης τῇ στρατιᾷ· ἄνδρες, νῦν μὲν ὁρῶμεν ὑμᾶς εὐπόρους ὄντας, καὶ ἐν τῷ ἀπόπλῳ ἔχειν τὰ ἐπιτήδεια, καὶ οἴκαδε ἀπελθόντας, ὀνῆσαί τι τοὺς οἴκοι. εἰ δὲ βούλεσθε τῆς κύκλῳ χώρας περὶ τὸν πόντον οἰκουμένης, ἐκλεξάμενοι ὅπῃ ἂν βούλησθε κατασχεῖν. καὶ τὸν μὲν θέλοντα, ἀπιέναι οἴκαδε· τὸν δὲ ἐθέλοντα, μένειν αὐτοῦ. πλοῖα δ' ὑμῖν πάρεστιν. ὥστε ὅπῃ βούλεσθε, ἐξαίφνης ἂν ἐπιπέσοιτε. ἀκούσαντες ταῦτα οἱ ἔμποροι, ἀπήγγελλον ταῖς πόλεσι. συνέπεμψε δ' αὐτοῖς τιμασίων ὁ δαρδανεὺς, ἐρύμαχόν τε τὸν δαρδανέα, καὶ θώρακα τὸν βοιώτιον, τὰ αὐτὰ ταῦτα ἐροῦντας. σινωπεῖς δὲ καὶ ἡρακλεῶται ἀκούσαντες, πέμπουσι πρὸς τιμασίωνα, καὶ κελεύουσι προστατεῦσαι λαβόντα χρήματα, ὅπως ἐκπλεύσῃ ἡ στρατιά. ὁ δὲ ἄσμενος ἀκούσας ἐν συλλόγῳ τῶν στρατιωτῶν ὄντων, λέγει τάδε· οὐ δεῖ προσέχειν μονῇ, ὦ ἄνδρες, οὐδὲ τῆς ἑλλάδος οὐδὲν περὶ πλείονος ποιεῖσθαι. ἀκούω δέ τινας θύεσθαι ἐπὶ τούτῳ, οὐδ' ὑμῖν λέγοντας. ὑπισχνοῦμαι δὲ ὑμῖν ἐὰν ἐκπλέητε ἀπὸ νουμηνίας, μισθοφορὰν παρέξειν ὑμῖν κυζικηνὸν ἑκάστῳ τοῦ μηνὸς, καὶ ἄξω ὑμᾶς εἰς τὴν τρῳάδα, ἔνθεν καὶ εἰμὶ φυγάς. καὶ ὑπάρξει ὑμῖν ἡ ἐμὴ πόλις. ἑκόντες γάρ με δέξονται. ἡγήσομαι δὲ αὐτὸς ἐγὼ ἔνθεν πολλὰ χρήματα λήψεσθε. ἔμπειρος δὲ εἰμὶ τῆς αἰολίδος καὶ τῆς φρυγίας, καὶ τῆς τρῳάδος, καὶ τῆς φαρναβάζου ἀρχῆς πάσης· τῆς μὲν, διὰ τὸ ἐκεῖθεν εἶναι· τῆς δὲ, διὰ τὸ στρατεύεσθαι ἐν αὐτῇ σὺν κλεάρχῳ τε καὶ δερκυλλίδᾳ. ἀναστὰς δ' εὐθὺς θώραξ ὁ βοιώτιος, ὃς ἀεὶ περὶ στρατηγίας ξενοφῶντι ἐμάχετο, ἔφη· εἰ ἐξέλθοιεν ἐκ τοῦ πόντου, ἔσεσθαι αὐτοῖς χεῤῥόνησον χώραν καλὴν καὶ εὐδαίμονα, ὥστε τῷ βουλομένῳ ἐνοικεῖν, τῷ δὲ μὴ βουλομένῳ ἀπιέναι οἴκαδε. γελοῖον δ' εἶναι ἐν τῇ ἑλλάδι οὔσης χώρας πολλῆς καὶ ἀφθόνου, ἐν τῇ βαρβάρων μαστεύειν. ἔστε δ' ἂν, ἔφη, ἐκεῖ γένησθε, κἀγὼ, καθάπερ τιμασίων, ὑπισχνοῦμαι ὑμῖν τὴν μισθοφοράν. ταῦτα δ' ἔλεγεν, εἰδὼς ἃ τιμασίωνι οἱ ἡρακλεῶται καὶ οἱ σινωπεῖς ἐπαγγέλλοιντο, ὥστε ἐκπλεῖν. ὁ δὲ ξενοφῶν ἐν τούτῳ ἐσίγα. ἀναστὰς δὲ φιλήσιος καὶ λύκων οἱ ἀχαιοὶ, ἔλεγον ὡς δεινὸν εἴη, ἰδίᾳ μὲν ξενοφῶντα πείθειν τε καταμένειν, καὶ θύεσθαι ὑπὲρ τῆς μονῆς, μὴ κοινούμενον τῇ στρατιᾷ, εἰς δὲ κοινὸν μηδὲν ἀγορεύειν περὶ τούτων. ὥστε ἠναγκάσθη ὁ ξενοφῶν ἀναστῆναι καὶ εἰπεῖν τάδε· ἐγὼ, ὦ ἄνδρες, θύομαι μὲν, ὡς ὁρᾶτε, ὁπόσα δύναμαι, καὶ ὑπὲρ ὑμῶν καὶ ὑπὲρ ἐμαυτοῦ, ὅπως ταῦτα τυγχάνω καὶ λέγων, καὶ νοῶν, καὶ πράττων, ὁποῖα μέλλει τε ὑμῖν κάλλιστα καὶ ἄριστα ἔσεσθαι καὶ ἐμοί. καὶ νῦν ἐθυόμην περὶ αὐτοῦ τούτου, εἰ ἄμεινον εἴη ἄρχεσθαι λέγειν εἰς ὑμᾶς καὶ πράττειν περὶ τούτων, ἢ παντάπασι μηδ' ἅπτεσθαι τοῦ πράγματος. σιλανὸς δέ μοι ὁ μάντις ἀπεκρίνατο· τὸ μὲν μέγιστον, τὰ ἱερὰ καλὰ εἶναι. ᾔδει γὰρ καὶ ἐμὲ οὐκ ἄπειρον ὄντα, διὰ τὸ ἀεὶ παρεῖναι τοῖς ἱεροῖς. ἔλεξε δὲ ὅτι ἐν τοῖς ἱεροῖς φαίνοιτό τις δόλος καὶ ἐπιβουλὴ ἐμοί, ὀρθῶς ἄρα γιγνώσκων, ὅτι

ὅτι αὐτὸς ἐπιβουλεύει διαβάλλειν με πρὸς ὑμᾶς. ἐξήνεγκε γὰρ τὸν λόγον ὡς ἐγὼ πράττειν ταῦτα διανοοίμην ἤδη, οὐ πείσας ὑμᾶς. ἐγὼ δὲ εἰ μὲν ἀποροῦντας ὑμᾶς ἑώρων, τοῦτ᾽ ἂν ἐσκόπουν ἀφ᾽ οὗ ἂν γένοιτο, ὥστε λαβόντας ὑμᾶς πόλιν, τὸν μὲν βουλόμενον ἀποπλεῖν ἤδη, τὸν δὲ μὴ βουλόμενον, ἐπεὶ κτήσαιτο ἱκανά, ὥστε καὶ τοὺς ἑαυτοῦ οἰκείους ὠφελῆσαί τι. ἐπεὶ δ᾽ ὁρῶ ὑμῖν καὶ τὰ πλοῖα πέμποντας Ἡρακλεώτας καὶ Σινωπέας, καὶ μισθὸν ὑπισχνουμένους ὑμῖν ἄνδρας ἀπὸ νουμηνίας, καλόν μοι δοκεῖ εἶναι σωζομένους ἔνθα βουλόμεθα, μισθὸν τῆς σωτηρίας λαμβάνειν. καὶ αὐτός τε ἀναπαύομαι ἐκείνης τῆς διανοίας. καὶ ὁπόσοι πρός με προσῄεσαν λέγοντες, ὡς χρὴ ταῦτα πράττειν, ἀναπαύεσθαι φημὶ χρῆναι. οὕτω γὰρ γινώσκω· ὁμοῦ μὲν γὰρ ὄντες πολλοὶ ὥσπερ νυνί, δοκεῖτε ἄν μοι καὶ ἔντιμοι εἶναι, καὶ ἔχειν τὰ ἐπιτήδεια. ἐν γὰρ τῷ κρατεῖν ἐστι καὶ τὸ λαμβάνειν τὰ τῶν ἡττωμένων. διασπασθέντες δέ, καὶ κατὰ μικρὰ γενομένης τῆς δυνάμεως, οὔτ᾽ ἂν τροφὴν δυναίμεθα λαμβάνειν, οὔτε χαίροντες ἂν ἀπαλλάξετε. δοκεῖ οὖν μοι ἅπερ ὑμῖν, ἐκπορεύεσθαι εἰς τὴν Ἑλλάδα. καὶ ἄν τις μένῃ, ἢ ἀπολιπών τινα ληφθῇ, πρὶν ἐν ἀσφαλεῖ εἶναι πᾶν τὸ στράτευμα, κρίνεσθαι αὐτὸν ὡς ἀδικοῦντα. καὶ ὅτῳ δοκεῖ, ἔφη, ταῦτα, αἰρέτω τὴν χεῖρα. ἀνέτειναν πάντες. ὁ δὲ Σιλανὸς ἐβόα, καὶ ἐπεχείρει λέγειν, ὡς δίκαιον εἴη ἀπιέναι τὸν βουλόμενον. οἱ δὲ στρατιῶται οὐκ ἠνείχοντο, ἀλλ᾽ ἠπείλουν αὐτῷ, εἰ λήψονται ἀποδιδράσκοντα, ὅτι τὴν δίκην ἐπιθήσοιεν. ἐντεῦθεν ἐπεὶ ἔγνωσαν οἱ Ἡρακλεῶται, ὅτι ἐκπλεῖν δεδογμένον εἴη, τὰ μὲν πλοῖα πέμπουσι, τὰ δὲ χρήματα ἃ ὑπέσχοντο Τιμασίωνι καὶ Θώρακι, ἐψευσμένοι ἦσαν τῆς μισθοφορᾶς. ἐνταῦθα ἐκπεπληγμένοι ἦσαν, καὶ ἐδεδίεσαν τὴν στρατιάν, οἱ τὴν μισθοφορὰν ὑπεσχημένοι. καὶ παραλαβόντες οὗτοι καὶ τοὺς ἄλλους στρατηγούς, οἷς ἀνεκεκοίνωντο ἃ πρόσθεν ἔπραττον, ἅπαντες δ᾽ ἦσαν πλὴν Νέωνος τοῦ Ἀσιναίου, ὃς Χειρισόφῳ ὑπεστρατήγει, Χειρίσοφος δὲ οὔπω παρῆν, ἔρχονται πρὸς Ξενοφῶντα, καὶ λέγουσιν, ὅτι μεταμέλοι αὐτοῖς, καὶ δοκοίη κράτιστον εἶναι πλεῖν εἰς Φᾶσιν, ἐπεὶ πλοῖα ἐκεῖ ἐστι, καὶ κατασχεῖν τὴν Φασιανῶν χώραν. Αἰήτου δ᾽ υἱὸς ἐτύγχανε βασιλεύων αὐτῶν. Ξενοφῶν δ᾽ ἀπεκρίνατο, ὅτι οὐδὲν ἂν τούτων εἴποι εἰς τὴν στρατιάν. ὑμεῖς δὲ συλλέξαντες, ἔφη, εἰ βούλεσθε, λέγετε. ἐνταῦθα ἀποδείκνυται Τιμασίων ὁ Δαρδανεὺς γνώμην, μὴ ἐκκλησιάζειν, ἀλλὰ τοὺς ἑαυτοῦ ἕκαστον λοχαγοὺς πρῶτον πειρᾶσθαι πεῖσαι, καὶ ἀπελθόντες ταῦτα ἐποίουν. οἱ δὲ στρατιῶται ἀνεπύθοντο ταῦτα πραττόμενα. καὶ ὁ Νέων λέγει, ὡς Ξενοφῶν ἀναπεπεικὼς τοὺς ἄλλους στρατηγοὺς διανοεῖται ἄγειν ἐξαπατήσας τοὺς στρατιώτας πάλιν εἰς Φᾶσιν. ἀκούσαντες δὲ οἱ στρατιῶται, χαλεπῶς ἔφερον, καὶ σύλλογοι ἐγίγνοντο καὶ κύκλοι συνίσταντο, καὶ μάλα φοβεροὶ ἦσαν μὴ ποιήσειαν, οἷα καὶ τοὺς τῶν Κόλχων κήρυκας ἐποίησαν, καὶ τοὺς ἀγορανόμους. ὅσοι γὰρ μὴ εἰς τὴν θάλατταν κατέφυγον, κατελεύσθησαν. ἐπεὶ δὲ ᾐσθάνετο ὁ Ξενοφῶν, ἔδοξεν αὐτῷ ὡς τάχιστα συναγαγεῖν αὐτῶν ἀγοράν, καὶ μὴ ἐᾶσαι συλλεγῆναι αὐτομάτους. καὶ ἐκέλευσε τὸν κήρυκα συλλέξαι ἀγοράν. οἱ δ᾽ ἐπεὶ τοῦ κήρυκος ἤκουσαν, συνέδραμον καὶ μάλα ἑτοίμως. ἐνταῦθα Ξενοφῶν τῶν μὲν στρατηγῶν οὐ κατηγόρει, ὅτι ἦλθον πρὸς αὐτόν. λέγει

qui iam cogitaret criminando me apud uos, in inuidiam uocare. Quod ad eos autem sermones attinet, quos de me uulgauit, equidem quantisper profectionis præsidia ne uobis deessent ueritus sum, unde illa suppeditarent, nullum unquam cogitandi tempus intermisi. Ac sane uobis expediturum existimaui, urbem aliquam capere, ex qua proficiscerentur, qui id mallent: aut statim, aut tum demum cum eas sibi copias comparassent, quibus suos quisq; facile iuuare posset. Iam uero cum mitti uobis ab Heracleotis & Sinopensibus naues uideã, & certos esse homines, qui stipendiũ uobis polliceãtur ab ipso mensis initio, nihil fieri posse arbitror elegantius, quàm si incolumes in patriam restituti, cum ipsa incolumitate mercedem etiam accipiamus: ac ipse quidem pristinã cogitationẽ meam missam facio, et plane ijs omnib. qui me hac de re conuenerunt, respondi, me à sententia illa deductũ: sic enim statuo, quoad uester iste exercitus integer fuerit, neq; gloriam uobis, neq; ullum cõmodorum genus defuturũ. IN uictoria est enim eorum bonorũ quæ in hostiũ ante potestate fuerãt, uindicatio. Quod si hæ copiæ dilabãtur, cõminuanturq;, neq; uos arbitror cõmeatuum cõpotes futuros, neq; satis honeste ex his locis discessuros. In Græciã igitur primo quoq; tẽpore classe contendendum censeo: ac si quis hic manserit, aut suos deseruerit, antequã uniuersum agmen in pacatis tutisq; locis cõstiterit, hostis illum loco habendũ. Hæc qui sua sentẽtia rata esse uelit, manũ tollat: manum cuncti sustulerunt. Hic Silanus aruspex reclamare, ac docere uelle, ius fasq; esse unicuiq;, quocunq; uellet, a reliquis discedere: sed enim est eius oratio omniũ militum clamore interpellata, qui sunt etiam homini interminati, se in illũ acriter animaduersuros, si forte fugientẽ retraxissent. Heracleotæ ubi compertum habuere, de discessu scitum factũ esse, nauigia miserunt illi quidẽ: de pecunia uero quam in exercitus stipendium Timasioni ac Thoraci promiserãt, plane à fide data desciuerũt. Quare inopinata re perculsi, qui in eam spem milites adduxerãt, metuere cœperunt, ne quis ab irata multitudine in se impetus fieret, quod periculum cum deuitare uellẽt, assumptis ijs prætorib. quibus cum res fuerat ante cõmunicata (qui plane omnes erãt, præter Neonẽ Asinæum, qui absente Chirisopho subrogatus fuerat) ad Xenophõtem ueniunt: Mutasse se aiunt sententiã, tamq; nihil consultius Græcis fore arbitrari, quàm si intra Phasin nauibus ingressi, Phasianorũ agrũ occuparent. Regnabat tunc in Phasianis Aeetæ filius. Ad hæc respondet Xenophon, se non esse hac de re cum exercitu amplius acturum: ipsi, si ita uideretur, militibus in concionẽ uocatis agerent. Timasion Dardanensis negat se pro concione ea de re uerba facturum: sed centuriones suos quenq; conuenturũ, daturosq; operam ut singillatim eos in hanc sententiã adducant: quod sane ut re ipsa efficerent, elaborarunt: ac milites iam de suis centurionib. rem cognorant. At Neon Xenophontẽ criminari, quod prætores in suam sententiam induxisset, ac iam illis assentientibus Græcos decipere meditaretur, quos non in Græciam, sed intra Phasis ostia deducturus esset. Id enimuero milites iniquissimo animo ferebant, ac cœtus iam fieri, & inusitati militum circuli: ex quo nonnihil erat metuendum, ne in prætores uim facerẽt, neq; alio pene modo quàm ante in Colchorum caduceatores, & annonæ præfectos, è quibus qui ad mare confugere non potuerunt, lapidibus obruti sunt. Quod ubi sensit Xenophon, non expectandũ ratus usquedum tumultuose ultro concurrerent, milites in cõcionem uocandos putauit. Dimissis itaq; præconibus uniuersos adesse iussit. Ac illi sane simulatq; denunciatũ est, cupidissime conuenerunt. Hic Xenophõ de prætorib. qui se cõuenerant, nulla mẽtione facta

Audio, inquit, milites, nonnullos esse, qui me apud uos in inuidiam rapiant, cum dicant operam me dare, ut intra Phasin uos dolo circumuentos deducã. Audite nunc me, per deos immortales uos obtestor, ac deinde si me scius decretisq; uestris fraudem ullam facere iudicaueritis, nihil deprecor, quin antequam è uestro cõspectu discedã, de me suppliciũ sumatis. Sin eos, qui me criminãtur, plane cognoueritis id dare operam, ut me per calumniã euertant: illis, quam postulat hominũ huiusmodi ingenium, fidem habetote. Neminẽ omnino uestrûm esse opinor, qui ubi sol oriatur, atq; ubi idem occidat, ignoret: aut qui non plane norit, eos qui in Græciam nauibus eant, ad occasum nauigare: contrà uero ad ortum, qui in Asiam cõtendant. Ecquis obsecro in re tam perspicua uobis imponat? persuadeatq;, & ibi oriri solem ubi occidit, rursusq; occidere qua in parte oritur? Atqui & illud scimus omnes, aquilones in Græciã, austrũ ad Phasin nauigantibus sequundũ esse. Nam & inter uos illud crebro usurpatur, flare nũc aquilonẽ: nauigia si parata essent, uehi uos in Græciã sequũdissima tempestate posse. Quis igitur tã ad fallendũ callidus & paratus, ut soluatis austro flante uos inducat? At uos tunc nimirũ conscendere iubebo, cum à uentis fuerit tranquillum mare. Atqui non pluribus ego nauibus quã unà uehi possum, & uos ut minimũ singulas naues in cohortes descripti occupabitis, qui possim igitur uos cogere, ut inuiti me sequamini? Sed esto, decepti è me, & quasi præstigijs quibusdam circumuenti, Phasidis ostia unà mecum intretis: quid cum iam descenderimus? ex ipso regionis habitu non intelligetis credo, non esse eam Græciam. Ibi unus ero qui uos decepero: uos uero decepti, ad x. millia hominum armati: & possim ego existimare me uobis meritas pœnas non daturum? aut in quem unquã animaduertetur, si non in eum, qui sibiipsi, ac uobis, simul male cõsuluerit? At sunt, mihi credite, hi sermones nõ stultorum magis, q̃ inuidentium, quod uident mihi à uobis honorẽ haberi: quo sane nomine nõ iure mihi illi inuident. Cui enim ego obsisto, quo minus aut quæ recte sentiat, libere dicat: aut pro uobis, si uelit, pugnet: aut postremo res uestras uigilantius studioq; suo tueatur? Iam uero cui ego aduersor, quin imperia suffragio uestro consequatur? Per me quiuis imperet licet, modo ut appareat antiquissimã ille uestrorũ esse commodorum rationẽ. Atq; hæc quidem mihi contra maleuolorũ crimina dicta sint. Quod si quis uel se decipi iudicat, uel alium quẽuis, prodeat, & uos aperte doceat. Nunc cum de his satis, non ante uobis censeo discedendum, quàm quæ nuper acciderunt, cognoscatis: quæ si latius, uti cœperunt, serpserint, uobis primo quoq; tẽpore salutare quodpiam consilium ineundũ existimo, ne flagitiosissimi omniũ ac turpissimi reperiamur, ac in deorum atq; hominũ, neq; magis hostium, quàm amicorũ offensionẽ incurramus. Hæc cum audissent milites, quidnã hoc esset admirati, rem ut explanaret rogarunt. Hic rursus Xenophon: Scitis, inquit, in barbarorum hisce montibus uicos esse in Cerasuntiorum fide, è quibus ad nos certi homines descẽdere, & uictimas uendere, atq; alias huiusmodi res, quibus ipsi abundarent, soliti fuerant. Vestrum etiam existimo nõnullos in proximum uicũ aliquando nundinandi causa uenisse. Id cum Clearatus centurio animaduertisset, ac plane uideret uicum eum et paruum esse, & nullis firmatũ præsidijs, quod à nobis incolæ nihil plus, quàm ab amicis metuebant, noctu cum nihil nostrûm cuiquam ea de re dixisset, eò diripiendi spe impulsus contendit. Statuerat autem si uicum cepisset, neutiquam amplius in castra redire: sed cum eius contubernales naui forte proximum littus legerent, in eam præda omni imposita, e Ponto aufugere: atq;

λέγει δ' ὅτι ἀκούω τινὰ διαβάλλειν, ὦ ἄνδρες, ἐμὲ, ὡς ἐγὼ ἄρα ἐξαπατήσας ὑμᾶς, μέλλω ἄγειν εἰς Φᾶσιν. ἀκούσατε οὖν μου πρὸς θεῶν. καὶ ἐὰν μὲν ἐγὼ φαίνωμαι ἀδικῶν, οὐ χρή με ἐνθένδε ἀπελθεῖν, πρὶν ἂν δῶ τὴν δίκην. ἂν δ' ὑμῖν φαίνωνται ἀδικοῦντες οἱ ἐμὲ διαβάλλοντες, οὕτως αὐτοῖς χρῆσθε ὥσπερ ἄξιον. ὑμεῖς δὲ ἐπίστασθε δήπου, ὁπόθεν ὁ ἥλιος ἀνίσχει, καὶ ὅποι δύεται. καὶ ὅτι ἐὰν μέν τις εἰς τὴν Ἑλλάδα μέλλῃ ἰέναι, πρὸς ἑσπέραν δεῖ πορεύεσθαι. ἐὰν δέ τις βούληται εἰς τοὺς βαρβάρους, τοὔμπαλιν πρὸς ἕω. ἔστιν οὖν ὅστις τοῦτο δύναιτ' ἂν ὑμᾶς ἐξαπατῆσαι, ὡς ὁ ἥλιος ἔνθα μὲν ἀνίσχει, δύεται δ' ἐνταῦθα, ἔνθεν δὲ δύεται, ἀνίσχει δ' ἐντεῦθεν; ἀλλὰ μὴν καὶ τοῦτό γε ἐπίστασθε, ὅτι ὁ βορέας μὲν ἔξω τοῦ πόντου εἰς τὴν Ἑλλάδα φέρει. νότος δὲ εἴσω εἰς Φᾶσιν. καὶ ἀεὶ λέγετε, ὅτι ὁ Βορρᾶς πνεῖ, ὥστε καλὸν πλοῖα-ζειν, καὶ ἀπελθεῖν εἰς τὴν Ἑλλάδα. τοῦτο οὖν οὐκ ἔστιν ὅπως τίς ἂν ἐξαπατῆσαι ὡς ἐμβαίνειν ὁπόταν νότος πνέῃ; ἀλλ' ἄρα ὑμᾶς ὁπόταν γαλήνη ᾖ ἐμβιβῶ. οὐκοῦν ἐγὼ μὲν ἐν ἑνὶ πλοίῳ πλευσοῦμαι· ὑμεῖς δὲ τὸ ἐλάχιστον ἐν ἑκατόν. πῶς ἂν οὖν ὑμᾶς ἐγὼ ἢ βιασαίμην σὺν ἐμοὶ πλεῖν μὴ βουλομένους, ἢ ἐξαπατήσας ἄγοιμι; ποιῶ δ' ὑμᾶς ἐξαπατηθέντας καὶ καταγοητευθέντας ὑπ' ἐμοῦ ἥκειν εἰς Φᾶσιν, καὶ δὴ καὶ ἀποβαίνομεν εἰς τὴν χώραν, γνώσεσθε δήπου ὅτι οὐκ ἐν τῇ Ἑλλάδι ἐστέ. καὶ ἐγὼ μὲν ἔσομαι ὁ ἐξηπατηκὼς εἷς, ὑμεῖς δὲ οἱ ἐξηπατημένοι, ἐγγὺς μυρίων ἔχοντες ὅπλα. πῶς ἂν οὖν εἷς ἀνὴρ μᾶλλον δοίη δίκην, ἢ οὕτω περὶ αὐτοῦ τε καὶ ὑμῶν βουλευόμενος; ἀλλ' οὗτοί εἰσιν οἱ λόγοι ἀνδρῶν ἠλιθίων, καὶ ἐμοὶ φθονούντων, ὅτι ἐγὼ ὑφ' ὑμῶν τιμῶμαι. καίτοι οὐ δικαίως γ' ἄν μοι φθονοῖεν. τίνα γὰρ αὐτῶν κωλύω, ἢ λέγειν εἴ τίς τι δύναται ἀγαθὸν ἐν ὑμῖν, ἢ μάχεσθαι εἴ τις ἐθέλοι ὑπὲρ ὑμῶν τε καὶ ἑαυτοῦ, ἢ ἐγρηγορέναι περὶ τῆς ὑμετέρας ἀσφαλείας ἐπιμελόμενον; τί γάρ, ἄρχοντας αἱρουμένων, ἐγώ τινι ἐμποδών εἰμι. παρίημι. ἀρχέτω, μόνον ἀγαθόν τι ποιῶν φαινέσθω. ἀλλὰ γὰρ ἐμοὶ μὲν ἀρκεῖ περὶ τούτων τὰ εἰρημένα. εἰ δέ τις ὑμῶν, ἢ αὐτὸς ἂν ἐξαπατηθῆναι οἴεται ταῦτα, ἢ ἄλλον ἐξαπατῆσαι ταῦτα λέγων, διδασκέτω. ὅταν δὲ τούτων ἅλις ἔχητε, μὴ ἀπέλθητε πρὶν ἂν ἀκούσητε, οἷον ὁρῶ ἐν τῇ στρατιᾷ ἀρχόμενον πρᾶγμα, ὃ εἰ ἔπεισι καὶ ἔσται οἷον ὑποδείκνυσιν, ὥρα ὑμῖν βουλεύεσθαι περὶ ἡμῶν αὐτῶν, μὴ κάκιστοί τε καὶ αἴσχιστοι ἄνδρες φαινώμεθα, καὶ πρὸς θεῶν καὶ πρὸς ἀνθρώπων, καὶ φιλίων καὶ πολεμίων, καὶ καταφρονηθῶμεν. ἀκούσαντες ταῦτα οἱ στρατιῶται, ἐθαύμασάν τε τί εἴη, καὶ λέγειν ἐκέλευον. ἐκ τούτου ἄρχεται πάλιν· ἐπίστασθέ που, ὅτι χωρία ἦν ἐν τοῖς ὄρεσι τοῖς βαρβαρικοῖς φίλια τοῖς Κερασουντίοις, ὅθεν κατιόντες τινὲς, καὶ ἱερεῖα ἐπώλουν ἡμῖν καὶ ἄλλα ὧν εἶχον. δοκοῦσι δέ μοι καὶ ὑμῶν τινὲς, εἰς τὸ ἐγγυτάτω χωρίον τούτων ἐλθόντες, ἀγοράσαντές τε πάλιν ἐλθεῖν. τοῦτο καταμαθὼν Κλεάρετος ὁ λοχαγὸς, ὅτι μικρὸν εἴη καὶ ἀφύλακτον, διὰ τὸ φίλιον νομίζειν εἶναι, ἔρχεται ἐπ' αὐτοὺς νυκτὸς ὡς πορθήσων, οὐδ' ἑνὶ ἡμῶν εἰπών. διενενόητο δὲ εἰ λάβοι τὸ χωρίον, εἰς μὲν τὸ στράτευμα μηκέτι ἐλθεῖν. ἐμβὰς δὲ εἰς τὸ πλοῖον, ἐν ᾧ ἐτύγχανον οἱ σύσκηνοι αὐτοῦ παραπλέοντες. καὶ ἐνθέμενος εἴ τι λάβοι, ἀποπλέων οἴχεσθαι ἔξω τοῦ πόντου.

καὶ

καὶ ταῦτα συνωμολόγησαν αὐτῷ οἱ ἐν τῷ πλοίῳ σύσκηνοι, ὡς ἐγὼ νῦν αἰσθάνομαι. παρακαλέσας οὖν ὁπόσους ἔπειθεν, ἦγεν ἐπὶ τὸ χωρίον. πορευόμενον δὲ αὐτὸν φθάνει ἡμέρα γενομένη. καὶ συστάντες οἱ ἄνθρωποι ἀπὸ ἰσχυρῶν τόπων, βάλλοντες καὶ παίοντες, τόν τε Κλεάρετον ἀποκτείνουσι, καὶ τῶν ἄλλων συχνούς. οἱ δέ τινες καὶ εἰς Κερασοῦντα αὐτῶν ἀποχωροῦσι. ταῦτα δ᾽ ἦν τῇ ἡμέρᾳ, ᾗ ἡμεῖς δεῦρο ἐξωρμῶμεν πεζῇ. τῶν δὲ παραπλεόντων ἔτι τινὲς ἦσαν ἐν Κερασοῦντι, οὔπω ἀνηγμένοι. μετὰ τοῦτο ὡς οἱ Κερασούντιοι λέγουσιν, ἀφικνοῦνται τῶν ἐκ τοῦ χωρίου τρεῖς ἄνδρες τῶν γεραιτέρων πρὸς τὸ κοινὸν τὸ ἡμέτερον χρῄζοντες ἐλθεῖν. ἐπεὶ δ᾽ ἡμᾶς οὐ κατέλαβον, πρὸς τοὺς Κερασουντίους ἔλεγον, ὅτι θαυμάζοιεν, τί ἡμῖν δόξειεν ἐλθεῖν πρὸς αὐτούς. ἐπεὶ μέντοι σφᾶς λέγειν ἔφασαν, ὅτι οὐκ ἀπὸ κοινοῦ γένοιτο τὸ πρᾶγμα, ἥδεσθαί τε αὐτοὺς καὶ μέλλειν πλεῖν δεῦρο, ὡς ἡμῖν λέξειαν τὰ γενόμενα, καὶ τοὺς νεκροὺς αὐτοὺς κελεύειν, λαβόντας τοὺς τούτων δεομένους. τῶν δ᾽ ἀποφυγόντων τινὲς Ἑλλήνων, ἔτυχον ἔτι ὄντες ἐν Κερασοῦντι. αἰσθόμενοι δὲ τοὺς βαρβάρους ὅποι ἴοιεν, αὐτοί τε ἐτόλμησαν βάλλειν τοῖς λίθοις, καὶ τοῖς ἄλλοις διεκελεύοντο. καὶ οἱ ἄνδρες ἀποθνήσκουσι, τρεῖς ὄντες οἱ πρέσβεις καταλευσθέντες. ἐπεὶ δὲ τοῦτο ἐγένετο, ἔρχονται πρὸς ἡμᾶς οἱ Κερασούντιοι, καὶ λέγουσι τὸ πρᾶγμα. καὶ ἡμεῖς οἱ στρατηγοὶ ἀκούσαντες, ἠχθόμεθα τοῖς γεγενημένοις. καὶ ἐβουλευόμεθα σὺν τοῖς Κερασουντίοις, πῶς ἂν ταφείησαν οἱ τῶν Ἑλλήνων νεκροί. συγκαθήμενοι δ᾽ ἔξωθεν τῶν ὅπλων, ἐξαίφνης ἀκούομεν θορύβου πολλοῦ, παῖε, παῖε, βάλλε, βάλλε. καὶ τάχα δὴ ὁρῶμεν πολλοὺς προσθέοντας, λίθους δ᾽ ἔχοντας ἐν ταῖς χερσί. τοὺς δὲ καὶ ἀναιρουμένους. καὶ οἱ μὲν Κερασούντιοι, ὡς ἂν καὶ ἑωρακότες τὸ παρ᾽ αὐτοῖς πρᾶγμα, δείσαντες ἀποχωροῦσι πρὸς τὰ πλοῖα. ἦσαν δὲ νὴ Δία οἳ καὶ ἡμῶν ἔδεισαν. ἔγωγε μὴν ἦλθον πρὸς αὐτούς, καὶ ἠρώτων ὅ, τι ἐστὶ τὸ πρᾶγμα. τῶν δὲ ἦσαν μὲν οἳ οὐδὲν ᾔδεσαν. ὅμως δὲ λίθους εἶχον ἐν ταῖς χερσίν. ἐπεὶ δὲ καὶ εἰδότι τινὶ ἐνέτυχον, λέγει μοι, ὅτι οἱ ἀγορανόμοι δεινότατα ποιοῦσι τὸ στράτευμα. καὶ ἐν τούτῳ τις ὁρᾷ τὸν ἀγορανόμον Ζήλαρχον πρὸς τὴν θάλατταν ἀποχωροῦντα, καὶ ἀνέκραγεν. οἱ δ᾽ ὡς ἤκουσαν, ὥσπερ συὸς ἀγρίου ἢ ἐλάφου φανέντος, ἵενται ἐπ᾽ αὐτόν. οἱ δὲ Κερασούντιοι, ὡς εἶδον ὁρμῶντας καθ᾽ ἑαυτούς, νομίσαντες ἐπὶ σφᾶς ἵεσθαι, φεύγουσι δρόμῳ, καὶ ἐμπίπτουσιν εἰς τὴν θάλατταν. συνεισέπεσον δὲ καὶ ἡμῶν αὐτῶν τινές, καὶ ἐπνίγετο, ὅστις μὴ ἐτύγχανεν ἐπιστάμενος νεῖν. καὶ τούτους τί δοκεῖτε; ἠδίκουν μὲν οὐδέν. ἔδεισαν δὲ μὴ λύττα τις ὥσπερ κυσὶν ἡμῖν ἐμπεπτώκοι. εἰ οὖν ταῦτα τοιαῦτα ἔσται, θεάσασθε οἵα κατάστασις ἡμῖν ἔσται τῆς στρατιᾶς. ὑμεῖς μὲν οἱ πάντες οὐκ ἔσεσθε κύριοι, οὔτ᾽ ἀνελέσθαι πόλεμον ᾧ ἂν βούλησθε, οὔτε καταλῦσαι. ἰδίᾳ δὲ ὁ βουλόμενος ἄξει στράτευμα, ἐφ᾽ ὅ,τι ἂν ἐθέλῃ. κἄν τινες πρὸς ὑμᾶς ἴωσι πρέσβεις, ἢ εἰρήνης δεόμενοι, ἢ ἄλλου τινός, κατακαίνοντες τούτους οἱ βουλόμενοι, ποιήσουσιν ὑμᾶς τῶν λόγων μὴ ἀκοῦσαι τῶν πρὸς ὑμᾶς ἰόντων. ἔπειτα δὲ οὓς μὲν ἂν ὑμεῖς ἅπαντες ἕλησθε ἄρχοντας, ἐν οὐδεμιᾷ χώρᾳ ἔσονται. ὅστις δ᾽ ἂν ἑαυτὸν ἕληται στρατηγόν, καὶ ἐθέλῃ λέγειν, βάλλε, βάλλε, οὗτος ἔσται ἱκανός, καὶ

atque eius consilij ijdem, quod nunc demum intelligo, contubernales participes erant. Quoscunque igitur potuit ad facinoris societatem adducere, cum ijs ad uicum oppugnandum perrexit. Sedenim cum non potuisset ante lucem eo peruenire, patefactis insidijs, tota ea uicinitas ad propulsandam iniuriam concurrit, ac de superiore loco missilibus ac gladijs nostros reiecerunt: e quibus & Clearatum, & ex eius cohorte non paucos occidere: multi Cerasuntem confugere. Atque hæc eo ipso die gesta sunt, quo nos pedibus huc mouimus. Erant ex ijs qui adnauigabant nonnulli, qui Cerasunte nondum soluerant: cum interea, quemadmodum Cerasuntij narrant, ex eo uico uenere legati tres de natu maximis, ad exercitum nostrum à suis missi: quem cum illic non offendissent, apud Cerasuntios mirari se plane dixerunt, quid ita nobis in mentem uenisset sibi bellum inferre. Eos se docuisse aiunt Cerasuntij, non esse id commissum publico consilio: ac illos cum id audissent lætatos, fuisseque ad nos nauigaturos, ut de tota re nos docerent, atque ut cadauera, si reperissemus, ad sepulturam concederent. Id cum rescissent, qui paulo ante ex illa clade Cerasuntem aufugerant, obseruato legatorum itinere, & ipsi priores in eos lapides iecerunt, & alios ut iacerent incitarunt. Tris itaque legati, grandes iam natu, lapidibus obruti sunt. Hæc cum ita se haberent, ueniunt ad nos Cerasuntij, ac rem totam renunciant. omnes quidem prætores uehementer commoti sumus. Interea uero dum de Græcis sepeliendis consultantes, cum Cerasuntijs extra præsidia nostra staremus, de improuiso ad aures tumultuosissima uox profertur clamantium, cæde, cæde, iaci, iaci: ac simul multos incursantes uidemus, quorum partim lapides iam arripuerant, partim humo tollebant. Cerasuntij nempe, qui quæ paulo ante apud se acta erant, adhuc quasi in oculis ferebant, cum trepidatione & cursu ad naues confugiunt: & plane ex ipsis fuerunt etiam, qui à nobis nonnihil metuerent. Ego ad illos tamen accedens, quid rei esset quæsiui. Quorum multi plane quid agerent nesciebant, cum lapides tamen manibus tenerent: nactus tandem hominem rei non ignarum, ex eo audio, ab annonæ præfectis exercitum iniuriosissime tractari. Atque interea Zelarchum, qui è præfectis annonæ unus erat, quidam ad mare confugientem conspicatus, magna uoce cæteris signum dedit: uniuersi uero, non aliter quàm aprum aut ceruum uenatores solent, hunc sunt insequuti. At Cerasuntij in se impetum fieri arbitrati, cum illos uiderent aduersum se currere, statim terga uertentes, non prius à cursu destiterunt, quàm se in mare abijcerent: quo & de nostris nonnulli irruerunt, ac plane omnes qui minus natare sciebant, periere. Quid autem eos peccasse putatis? id sane metuerunt, ne illi in se quasi in canes rabie incitati ruerent. Quod si in his conniueamus, facile existimare potestis, quis sit status futurus uniuersi exercitus. Penes uos certe non erit amplius, aut suscipiendi contra quos uelitis, aut ubi uisum fuerit, finiendi belli autoritas: sed priuato consilio quilibet, quocunque uoluerit copias ducet. Ac si qui populi ad nos, uel de pace, uel quauis alia de re legatos miserint, eos erunt qui ante opprimant, quàm quid afferant cognoscere possimus.

Ad hæc, prætores uestris suffragijs creati plane in ordinem redigentur. Etenim quicunq; arbitratu suo ducem legerit, ac uocem illam usurparit, iaci, iaci, is nostrûm quiuis,

sive

siue ducem, siue gregarium militem nactus, uti nunc contigit, furoris sui comitem, indemnatum de medio tollet. Ac nunc quid sit actum ab hisce, qui se autoritate sua prætores crearũt, cõsiderate. Zelarchus annonæ præfectus, si quid cõmisit impune, abiens iudiciũ subterfugit. Sin uos ille nihil omnino læserat, ueritus ne paucorum impetu sine ullo iudicio opprimeretur, fuga saluti suæ cõsuluit. Iam uero qui legatos lapidibus obruerũt, nos pæne solos è Græcis Cerasunte excluserunt, nisi forte armis irrũpere conemur. Nã quod ad nostrorũ cadauera attinet, quæ illi ipsi, qui cædem fecerant, ultro nos tollere ad sepulturã iubebant: ea certe, ne caduceum quidem præferẽtibus, repetere satis tutum futurũ est. Quis enim ad illos audeat cum caduceo uenire, quorũ caduceatores occiderit? Atqui Cerasuntios ut cæsos sepelirent rogauimus. Hæc igitur rectè ne, atq; ita uti ius fasq; sit gerantur, uos existimate. Nã si ita uisum fuerit, priuatim sibi quisq; ab hac hominũ insolentia caueb it, ac quocũq; uenerit, ut superiore ac munitiore loco tabernacula habeat, operã dabit. Sin ferarũ hos esse mores, non hominum statuitis, cogitare debetis quæ sit futura huius licẽtiæ coërcẽdæ ratio optima. Nam, ut nũc res est, quî aut rem diuinam facere bona cum spe, qui deorũ fidem ac religionẽ tam impie ac nefarie uiolarimus: aut cum hostibus alacriter ac fidenter pugnare possumus, qui nostros tam crudeliter opprimamus? Vel quæ nos ciuitas recipiet, cum nostra fuerit omnibus testata immanitas? Et quis nos iam ad forũ suum admittet, quos resciuerit nulla uerecũdia absterritos, quin socios grauißimis iniurijs affecerimus? Postremo neq; laudẽ opinor amplius, cuius fuimus semper maxime appetẽtes, ullam cõsequemur: quis enim talib. unquã hominib. laudis ullum genus impertiatur? Nos certe, satis scio, improbos ac sceleratos appellaremus, quos huiuscemodi culpæ affines fuisse intelligeremus. Hic oẽs una uoce acclamarũt, in autores grauiter ac seuere animaduertendũ: atq; in posterũ uidendũ, ne quis impune tantum facinus susciperet: ac quicunq; suscepisset, fraus ut ei capitalis esset. Iudiciũ his de reb. ac de omnib iniurijs, quæ à Cyri interitu ad eũ usq; diẽ factæ fuissent, à prætorib. ut cõstitueretur. Iudicandi potestas centurionibus permissa est. Ad hæc, Xenophontis hortatu, atq; ex aruspicum respõsis, placuit exercitũ lustrari. Lustrum conditum est: tum, ut prætores præteriti totius tẽporis rationem redderẽt, decretum est. Atq; in ea reddenda, Philesius & Xanthicles repetundarũ damnati, quod è Gaulitica pecunia, quam seruandam acceperãt, minas x x. suppilassent, tantundẽ rependerũt. At Sophænetus quòd prætor declaratus, munus recusasset, x. minis multatus est. Iam uero Xenophontem erant nonnulli qui iniuriarũ arcesserent, se ab eo pulsatos crimini dantes. At ille eum, qui primus id obiecerat, id primũ rogauit, quonã in loco se cæsum quereretur. Quo in loco, respõdit ille, frigore pene exanimati, ac niue plurima oppreßi fuimus. Enimuero in tanta hyemis, inquit Xenophõ, quantam ipse prædicas, asperitate, cum & cibaria deessent, ac ne tantum quidem uini haberemus, ut uel ipso eius odore recreari possemus: huc adde tam multis de nostrorũ numero iã fractis labore, & prope confectis, hostibus uero aßiduè urgentibus: eo, inquã, tempore, si quem iniuriæ ullo genere laceßiui, non possum nõ confiteri, uel asinis me, qui esse dicuntur omnium quadrupedum inuerecũdißimi, inuerecundiorẽ fuisse. Verùm dic quæso, quid me ut te cæderẽ impulit? De tuo ne quid petij, quod quia non dederis, te pulsarim? An meum quid repetij? An de amoribus mihi fuit ullum tecum certamen? An uero uinolentus in te bacchatus sum? Horum cum ille nihil in causa fuisse respondisset, rursus Xenophon: Quid, inquit, tu in graui ne armatura, an inter cetratos fuisti? Neutrum, respondit ille: sed contubernalium iussu, quãquam liber sum, mulum agebam. Hic illum agnouit Xenophon:

Ac tu,

Lustratio exercitus.

καὶ ἄρχοντα κατακαίνειν, καὶ ἰδιώτην ὑμῶν, ὃν ἂν ἐθέλοι ἄκριτον, ἂν ὦσιν οἱ πεισόμενοι αὐτῷ, ὥσπερ καὶ νῦν ἐγένετο. οἷα δ' ἡμῖν πεπράχασιν οἱ αὐθαίρετοι οὗτοι στρατηγοί, σκέψασθε. Ζήλαρχος μὲν γὰρ ὁ ἀγορανόμος, εἰ μὲν ἀδικεῖ ὑμᾶς, οἴχεται ἀποπλέων, οὐ δοὺς ὑμῖν δίκην· εἰ δὲ μὴ ἀδικεῖ, φεύγει ἐκ τοῦ στρατεύματος, δείσας μὴ ἀδίκως ἄκριτος ἀποθάνῃ. οἱ δὲ καταλεύσαντες τοὺς πρέσβεις, διεπράξαντο ὑμῖν μόνοις μὲν τῶν Ἑλλήνων εἰς Κερασοῦντα μὴ ἀσφαλὲς εἶναι, ἐὰν μὴ σὺν ἰσχύι ἀφικνῆσθε. τοὺς δὲ νεκρούς, οὓς πρόσθεν αὐτοὶ οἱ κατακανόντες ἐκέλευον θάπτειν, τούτους διεπράξαντο, μηδὲ σὺν κηρυκείῳ ἔτι ἀσφαλὲς εἶναι ἀνελέσθαι. τίς γὰρ ἐθελήσει κῆρυξ ἰέναι, κήρυκας ἀπεκτονώς; ἀλλ' ἡμεῖς Κερασουντίων θάψαι αὐτοὺς ἐδεήθημεν. εἰ μὲν οὖν καλῶς ἔχει ταῦτα, δοξάτω ὑμῖν. ἵνα ὡς τοιούτων ἐσομένων, καὶ φυλακὴν ἰδίᾳ ποιήσηταί τις, καὶ τὰ ἐρυμνὰ ὑπερδέξια πειρᾶται ἔχων σκηνοῦν. εἰ μέντοι δοκεῖ ὑμῖν, θηρίων, ἀλλὰ μὴ ἀνθρώπων εἶναι τὰ τοιαῦτα ἔργα, σκοπεῖτε παῦλάν τιν' αὐτῶν. εἰ δὲ μή, πρὸς Διός, πῶς ἢ θεοῖς θύσομεν ἡδέως, ποιοῦντες ἔργα ἀσεβῆ, ἢ τοῖς πολεμίοις πῶς μαχούμεθα, ἢν ἀλλήλους κατακαίνωμεν; πόλις δὲ φιλία τίς ἡμᾶς δέξεται, ἥτις ἂν ὁρᾷ τοσαύτην ἀνομίαν ἐν ἡμῖν. ἀγορὰν δὲ τίς ἄξει θαρρῶν, ἢν περὶ τὰ μέγιστα τοιαῦτα ἐξαμαρτάνοντες φαινώμεθα; οὗ δὲ δὴ πάντων οἰόμεθα τεύξεσθαι ἐπαίνου, τίς ἂν ἡμᾶς τοιούτους ὄντας ἐπαινέσειεν; ἡμεῖς μὲν γὰρ οἶδ', ὅτι πονηροὺς ἂν φαίημεν εἶναι τοὺς τὰ τοιαῦτα ποιοῦντας. ἐκ τούτου ἀνιστάμενοι πάντες, ἔλεγον, τοὺς μὲν τούτων ἄρξαντας δοῦναι δίκην. τοῦ δὲ λοιποῦ οὐκέτι ἐξεῖναι ἀνομίας ἄρξαι. ἐὰν δέ τις ἄρξῃ, ἄγεσθαι αὐτοὺς θανάτου. τοὺς δὲ στρατηγοὺς εἰς πάντας καταστῆσαι. εἶναι δὲ δίκας, καὶ εἴ τι ἄλλο τις ἠδίκητο, ἐξ οὗ Κῦρος ἀπέθανε. δικαστὰς δὲ τοὺς λοχαγοὺς ἐποιήσαντο. παραινοῦντος δὲ Ξενοφῶντος, καὶ τῶν μάντεων συμβουλευόντων, ἔδοξε καὶ καθᾶραι τὸ στράτευμα. καὶ ἐγένετο καθαρμός. ἔδοξε δὲ καὶ τοὺς στρατηγοὺς δίκην ὑποσχεῖν τοῦ παρεληλυθότος χρόνου. καὶ διδόντων Φιλήσιος μὲν ὦφλε καὶ Ξανθικλῆς καὶ φυλακῆς τῶν γαυλιτικῶν χρημάτων τὸ μείωμα εἴκοσι μνᾶς. Σοφαίνετος δὲ ὅτι αἱρεθεὶς κατημέλει, δέκα μνᾶς. Ξενοφῶντος δὲ κατηγόρησάν τινες, φάσκοντες παίεσθαι ὑπ' αὐτοῦ, καὶ ὡς ὑβρίζοντος τὴν κατηγορίαν ἐποιοῦντο. καὶ ὁ Ξενοφῶν ἀναστάς, ἐκέλευσεν εἰπεῖν τὸν πρῶτον λέξαντα ποῦ καὶ ἐπλήγη. ὁ δὲ ἀποκρίνεται, ὅπου καὶ τῷ ῥίγει ἀπωλλύμεθα, καὶ χιὼν πλείστη ἦν. ὁ δ' εἶπεν, ἀλλὰ μὴν καὶ χειμῶνός γε ὄντος, οἵου λέγεις, σίτου δὲ ἐπιλελοιπότος, οἴνου δὲ μηδ' ὀσφραίνεσθαι παρόντος, ὑπὸ δὲ πόνων πολλῶν ἀπαγορευόντων, πολεμίων δὲ ἑπομένων, εἰ ἐν τούτῳ καιρῷ ὕβριζον, ὁμολογῶ καὶ τῶν ὄνων ὑβριστότερος εἶναι, οἷς φασιν ὑπὸ τῆς ὕβρεως κόπον οὐκ ἐγγίνεσθαι. ὅμως δὲ καὶ λέξον ἐκ τίνος ἐπλήγης; πότερον ᾔτουν τί σε, καὶ ἐπεὶ οὐκ ἐδίδους ἔπαιον; ἀλλ' ἀπῄτουν; ἀλλὰ περὶ παιδικῶν μαχόμενος, ἀλλὰ μεθύων ἐπαρῴνησα; ἐπεὶ δὲ τούτων οὐδὲν ἔφησεν, ἐπήρετο αὐτὸν εἰ ὁπλιτεύοι. οὐκ, ἔφη. πάλιν εἰ πελτάζοι. οὐδὲ τοῦτ' ἔφη. ἀλλ' ἡμίονον ἐλαύνειν ταχθεὶς ὑπὸ τῶν συσκήνων ἐλεύθερος ὤν. ἐνταῦθα δὴ ἀναγινώσκει αὐτόν,

καὶ

καὶ ὃς ἔφη, εἰ σὺ εἶ ὁ τὸν κάμνοντα ἀπάγων; καὶ μὰ Δί', ἔφη. σὺ γὰρ ἠνάγκαζες. τὰ δὲ τῶν ἐμῶν συσκήνων σκεύη διέρριψας. ἀλλ' ἡ μὲν διάρριψις, ἔφη ὁ Ξενοφῶν, τοιαύτη τις ἐγένετο. διέδωκα ἄλλοις ἄγειν, καὶ ἐκέλευσα πρὸς ἐμὲ ἀπάγειν, καὶ ἀπολαβὼν ἅπαντα σῶα, ἀπέδωκά σοι, ἐπεὶ καὶ σὺ ἐμοὶ ἀπέδειξας τὸν ἄνδρα. οἷον δὲ τὸ πρᾶγμα ἐγένετο, ἀκούσατε, ἔφη, καὶ γὰρ ἄξιον. ἀνὴρ κατελείπετο, διὰ τὸ μηκέτι δύνασθαι πορεύεσθαι. καὶ ἐγὼ τὸν μὲν ἄνδρα τοσοῦτον ἐγίγνωσκον, ὅτι εἷς ἡμῶν εἴη. ἠνάγκασα δὲ σὲ τοῦτον ἄγειν, ὡς μὴ ἀπόλοιτο. καὶ γὰρ ὡς ἐγὼ οἶμαι, πολέμιοι ἐφείποντο. συνέφη γ' οὗτος ὁ ἄνθρωπος. οὐκοῦν, ἔφη ὁ Ξενοφῶν, ἐπεὶ προὔπεμψά σε, καταλαμβάνω αὖθις σὺν τοῖς ὀπισθοφύλαξι προσιών, βόθρον ὀρύττοντα, ὡς κατορύξοντα τὸν ἄνθρωπον. καὶ ἐπιστάς, ἐπῄνουν σε. ἐπεὶ δὲ παρεστηκότων ἡμῶν συνέκαμψε τὸ σκέλος ὁ ἀνήρ, ἀνέκραγον οἱ παρόντες, ὅτι ζῇ ὁ ἀνήρ. σὺ δ' εἶπας ὁπόσα γ' ἐθέλει, ὡς ἔγωγε αὐτὸν οὐκ ἄξω. ἐνταῦθα ἔπαισά σε. ἀληθῆ λέγεις. ἔδοξας γάρ μοι εἰδότι ἐοικέναι ὅτι ἔζη. τί οὖν, ἔφη, ἧττόν τι ἀπέθανεν, ἐπεὶ ἐγώ σοι ἀπέδειξα αὐτόν; καὶ γὰρ ἡμεῖς, ἔφη ὁ Ξενοφῶν, πάντες ἀποθανούμεθα. τούτου οὖν ἕνεκα ζῶντας ἡμᾶς δεῖ κατορυγῆναι; τοῦτον μὲν ἀνέκραγον πάντες, ὡς ὀλίγας παίσειεν. ἄλλους δ' ἐκέλευον λέγειν, διὰ τί ἕκαστος ἐπλήγη. ἐπεὶ δὲ οὐκ ἀνίσταντο, αὐτὸς ἔλεγεν· ἐγώ, ὦ ἄνδρες, ὁμολογῶ παῖσαι δὴ ἄνδρας πολλοὺς ἕνεκα ἀταξίας, οἷς σῴζεσθαι μὲν ἤρκει δι' ὑμᾶς, ἐν τάξει τε ἰόντων καὶ μαχομένων ὅπου δέοι. αὐτοὶ δὲ λιπόντες τὰς τάξεις, προθέοντες ἁρπάζειν ἤθελον, καὶ ὑμῶν πλεονεκτεῖν. εἰ δὲ τοῦτο πάντες ἐποιοῦμεν, ἅπαντες ἂν ἀπωλόμεθα. ἤδη δὲ καὶ μαλακιζόμενόν τινα, καὶ οὐκ ἐθέλοντα ἀνίστασθαι, ἀλλὰ προϊέμενον ἑαυτὸν τοῖς πολεμίοις, καὶ ἔπαισα, καὶ ἐβιασάμην πορεύεσθαι. ἐν γὰρ τῷ ἰσχυρῷ χειμῶνι καὶ αὐτός ποτε ἀναμένων τινὰς συσκευαζομένους, καθεζόμενος συχνὸν χρόνον, κατέμαθον ἀναστὰς μόγις, καὶ τὰ σκέλη μόγις ἐκτείνας. ἐν ἐμαυτῷ οὖν πεῖραν λαβὼν ἐκ τούτου, καὶ ἄλλον ὁπότε ἴδοιμι καθήμενον καὶ βλακεύοντα, ἤλαυνον. τὸ γὰρ κινεῖσθαι καὶ ἀνδρίζεσθαι παρεῖχε θερμασίαν τινὰ καὶ ὑγρότητα. τὸ δὲ καθῆσθαι καὶ ἡσυχίαν ἔχειν, ἑώρων ὑπουργὸν ὄν, τῷ τε ἀποπήγνυσθαι τὸ αἷμα, καὶ τῷ ἀποσήπεσθαι τοὺς τῶν ποδῶν δακτύλους, ἅπερ πολλοὺς καὶ ὑμεῖς ἴστε παθόντας. ἄλλον δέ γε ἴσως ἀπολειπόμενον διὰ ῥᾳστώνην, καὶ κωλύοντα καὶ ὑμᾶς τοὺς πρόσθεν, καὶ ἡμᾶς τοὺς ὄπισθεν πορεύεσθαι, ἔπαισα πύξ, ὅπως μὴ λόγχῃ ὑπὸ τῶν πολεμίων παίοιτο. καὶ γὰρ οὖν νῦν ἔξεστιν αὐτοῖς σωθεῖσιν, εἴ τι ὑπ' ἐμοῦ ἔπαθον παρὰ τὸ δίκαιον, δίκην λαβεῖν. εἰ δ' ἐπὶ τοῖς πολεμίοις ἐγένοντο, τί μέγα ἂν οὕτως ἔπαθον, ὅτι δίκην ἠξίουν λαμβάνειν; ἁπλοῦς μοι, ἔφη, ὁ λόγος. ἐγὼ γὰρ εἰ μὲν ἐπ' ἀγαθῷ ἐκόλασά τινα, ἀξιῶ ὑπέχειν δίκην, οἵαν καὶ γονεῖς υἱοῖς, καὶ διδάσκαλοι παισί. καὶ γὰρ ἰατροὶ τέμνουσι καὶ καίουσιν ἐπ' ἀγαθῷ. εἰ δὲ ὕβρει νομίζετέ με ταῦτα πράττειν, ἐνθυμήθητε, ὅτι νῦν ἐγὼ θαρρῶ σὺν τοῖς θεοῖς μᾶλλον ἢ τότε. καὶ θρασύτερός εἰμι νῦν ἢ τότε. καὶ οἶνον πλείω πίνω, ἀλλ' ὅμως οὐδένα παίω. ἐν εὐδίᾳ γὰρ ὁρῶ ὑμᾶς. ὅταν δὲ χειμὼν ᾖ καὶ θάλαττα μεγάλη ἐπιφέρεται,

Ac tu, inquit, ille es qui ægrotum hominem auehendum susceperas? Quid ni? tu enim cogebas, respondit ille, qui contubernalium etiam meorum impedimenta dissipasti. Et cuiusmodi fuit, inquit Xenophon, dissipatio? Diuisi alijs illa cõportanda. Quæ cum ad me postea relata fuissent, ubi ea reddidi, simulac hominem mihi, quem auehendum acceperas, ostendisti. Atq; uti res se habuerit, audire operæpreciũ est. Vir quidam, quod præ corporis infirmitate ingredi non posset, relictus fuerat: eum ego hactenus noram, quod unum de nostris esse sciebam. Hunc coëgi ut illum iumento impositũ auheret: sequebantur enim si recte memini hostes. Nihil horum ille negauit. Quid autem inquit Xenophon, nonne cum te præmisissem, cum extremo agmine ueniens, offendi foueam aperientem, ut in eam illum miserum abijceres? ac proxime quidem accedens, te prius collaudaui, quod animam illum iam egisse putabam. At cum mulus circunstantibus, crus adduxisset, exclamassentq; qui aderant, uiuere illum: dixisti tu, quoties uoluisti, Hunc ego hinc non auehbam. Atque ibi ego te pulsaui, non inficior, quòd plane mihi uisus es nihil dubitasse uiuere illum. Sed quid, inquit ille, minus fortasse mortuus est, posteaquam illum ubi reddidit? Sedenim, inquit Xenophon, & nos moriemur omnes, an idcirco uiuos defodi æquum sit? Hic est uehementer ab omnibus acclamatum, leuius illum quàm pro merito cæsum. Tunc alios dicere iusserunt, ob quam eorum quisq; causam pulsatus esset. Cum nemo iam uerbum faceret: Ego, inquit Xenophon, multos me fateor pulsasse, quod ab illis ordinem deseri uidebam: quibus, si conseruato ordine pugnassent, quoties ita res tulisset, satis esse poterat, si uestra maxime opera salui essent. At illi, cum maiorem quàm uos prædam asportare cuperent, sæpius excurrebant: quod si idem fecissemus omnes, plane perijssemus omnes. Quin si torpentem aliquem ac desidentem offendissem, quiq; se ultro hostibus præ inertia dediturus uideretur, illum ego pulsabam, seq; erigere ac progredi iubebam. Ex meipso enim intelligebam, in magna hyemis acerbitate desidendo tanto inertiora ac pigriora corpora reddi: qui si forte paululum commoratus essem, ut fit, eos qui sarcinas colligerent expectans, sentiebam crura præ frigore obtorpescere. Meo itaque periculo doctus, ubi se quem pigritiæ dedentem, ac quasi frigore stupentem uidissem, illum ego commouebam, quod intelligerem motu, ac utili quadam corporis exercitatione, recalescere membra, & humorem euocari: contrà uerò efficere quietem & tarditatẽ, ut sanguis quasi gelu cõcretus intabescat, atq; ex eo, quod ipsi multis accidisse scitis, pedum digiti obrigescãt. Sed & alium, quẽ fortasse inertia, ac torpore contractum, per quem neq; principia agminis progredi, neq; strenuè sequi poterãt qui in tergo erant, pugno uerberaui, ne hasta uidelicet ab hostibus confoderetur. Atq; his quidem omnibus licet per me seruatis, si quid se læsos putant, à me pœnas repetere. Quod si in hostium potestatem uenissent, quid tam graue essent passi, ut eo nomine eum, à quo uiolati essent, iudicio persequi possent? Postremò, si ut illis bene consulerem, fui in plectendo seuerior, nihil recuso, quin ijs easdem pœnas, quas liberis parentes, pædagogi pueris: quando ET MEDICI GRAVIUS laborantes, ululatus causa urunt & secant. Quod si me existimatis petulantia impulsum horum quenquam pulsasse, illud uobis attendendum est, quod multo nunc prosperiore (quam dijs gratiam habeo) quàm per illa tempora, fortuna utor, quodq;, quare confidam, plus iam est, ac plus certe uini bibo, neque tamen quenquam pulso, propterea quod sequundiore nos quasi tempestate uti uideo. QVID ENIM turbulentis tempestatibus, concitato ma-

to mari, nonne uidemus irasci iis qui in prora sunt, proræ magistrum: iis qui in puppi sedent, gubernatorem, illi si quid uel in leuißimis rebus ad nutum minus respicientes, offenderint? ob eam nempe causam, quod minima tunc peccata facile omnia perdere ac pessundare possunt. Quid dicam & uos tunc tacite iudicasse, iure illos à me cædi? Nam qui non suffragia tunc, sed arma habentes circunsistebatis, poteratis sane, si ita usum esset, iniuriam propulsare: sed neq; cuiquã auxilio fuistis, neq; mecum in peccantes animaduertistis: atq; id minime fuit ex usu uestro futurum. Ex eo enim improbißimus quisque, uobis conniuentibus, existimauit licituram sibi, quem uellet iniuria afficere. Nihil enim dubito, quin si hominum facta notare uoluissetis, eosdem fueritis tunc ignauißimos, ac nunc petulantißimos cognituri. Atque huius rei documentum in promptu est. Boiscus pugil Thessalus, illis temporibus nos incusabat, quod se cogeremus cum labore summo, scutum ferentem iter facere: idem nunc, uti ego audio, Cotyoritanorum quamplurimos spoliauit. Hunc uos pro uestra prudentia, longe aliter quàm canes tractare debetis: nam ferociores quidem canes pleriq; interdiu uinciunt, noctu dimittunt. Hos uos, si quod æquum est feceritis, nocte uinctum tenebitis, interdiu solutum dimittetis. Illud uero uehementer miror, uestrum quenquam, si qua in re se à me læsum putet, meminisse id, neq; omnino reticere: at si aut contra frigoris uim aliquid reperi, aut hostium aduentum multo ante nunciaui, aut morbo laborantes uel inopia subleuaui, nemo id omnino recordatur: neq; si quem etiam benemeritum laudaui, aut pro facultate mea honore ac præmijs affeci. AT quanto fuit iustius, quantoq; optabilius, ac magis pium, beneficiorum potius, quàm iniuriarum meminisse? Ad hæc surrexere uniuersi, ac se memores esse testificati sunt. Atq; in posterum inita ratio est, ut multo omnia commodius gererentur.

ἔρχηται, οὐχ ὁρᾶτε ὅτι καὶ κυμαινομένης θαλάσσης μέγα κύματος ἐπιφερομένου χαλεπαίνει μὲν πρωρεὺς τοῖς ἐν πρώρᾳ, χαλεπαίνει δὲ κυβερνήτης τοῖς ἐν πρύμνῃ. ἱκανὰ γὰρ ἐν τῷ τοιούτῳ καὶ μικρὰ ἁμαρτηθέντα πάντα συνεπιτρῖψαι. ὅτι δὲ δικαίως ἔπαιον αὐτούς, καὶ ὑμεῖς κατεδικάσατε τότε. ἔχοντες γὰρ οὐ ψήφους, ἀλλ' ὅπλα παρεστήκετε. καὶ ἐξῆν ὑμῖν ἐπικουρεῖν αὐτοῖς, εἰ ἐβούλεσθε. ἀλλὰ μὰ Δία, οὔτε τούτοις ἐπικουρεῖτε, οὔτε σὺν ἐμοὶ τὸν ἀτακτοῦντα ἐπαίετε. τοιγαροῦν ἐξουσίαν ἐποιήσατε τοῖς κακοῖς αὐτῶν, ὑβρίζειν ἐῶντες αὐτούς. οἶμαι γὰρ, εἰ ἠθέλετε σκοπεῖν, τοὺς αὐτοὺς εὑρήσετε τότε κακίστους, καὶ νῦν ὑβριστοτάτους. Βοΐσκος μὲν οὖν ὁ πύκτης ὁ Θετταλὸς τότε μὲν διεμάχετο ὡς κάμνων ἀσπίδα μὴ φέρειν. νῦν δ', ὡς ἐγὼ ἀκούω, Κοτυωρειτῶν πολλοὺς ἤδη ἀποδέδυκεν. ἂν οὖν σωφρονῆτε, τούτῳ τἀναντία ποιήσετε, ἢ τοὺς κύνας ποιοῦσι. τοὺς μὲν γὰρ κύνας τοὺς χαλεποὺς τὰς ἡμέρας δεσμεύουσι, τὰς δὲ νύκτας ἀφιᾶσι. τοῦτον δὲ, ἂν σωφρονῆτε, τὴν νύκτα μὲν δήσετε, τὴν δὲ ἡμέραν ἀφήσετε. ἀλλὰ γὰρ, ἔφη, θαυμάζω, ὅτι εἰ μέν τινι ὑμῶν ἀπηχθόμην, μέμνησθε καὶ οὐ σιωπᾶτε, εἰ δέ τῳ ἢ χειμῶνα ἐπεκούρησα, ἢ πολέμιον ἀπεκήρυξα, ἢ ἀσθενοῦντι ἢ ἀποροῦντί συνεξεπόρισά τι, τούτων οὐδεὶς μέμνηται, οὐδ' εἴ τινα καλῶς τι ποιοῦντα ἐπῄνεσα, οὐδ' εἴ τιν' ἄνδρα ἀγαθὸν ὄντα ἐτίμησα ὡς ἐδυνάμην, οὐδὲ τούτων μέμνησθε. ἀλλὰ μὴν καλόν γε καὶ δίκαιον καὶ ὅσιον καὶ ἥδιον τῶν ἀγαθῶν μᾶλλον ἢ τῶν κακῶν μεμνῆσθαι. ἐκ τούτου μὲν δὴ ἀνίσταντο, καὶ ἀνεμίμνησκον, καὶ περιεγένετο ὥστε καλῶς ἔχειν.

XENOPHONTIS

DE CYRI MINORIS EXPEDITIONE LIBER SEXTUS, Romulo Amasæo interp.

INSEQVENTI dein tempore Græci, quandiu in illis locis commorati sunt, partim ex foro, partim uerò ex præda, quam è Paphlagonum finibus agebant, sibi uictum quæsierunt. Verum nostros etiam, Paphlagones, aut dißipatos facile spoliabant, aut paulo à castris longius tabernacula habentes noctu oppugnabant. Quo factum est, ut ex mutuis iniurijs, hostili iam inter se animo essent. Interea Corylas, qui tum Paphlagonibus imperabat, legatos ad Græcos mittit, pulcherrimis equis, ac preciosis uestimentis egregie ornatos. Hi à Coryla renunciant, non esse illum Græcis iniuriam facturum, modo ut ipsi etiam desinant cum eo hostiliter agere. Quæ cum audissent prætores, de his se rebus exercitum consulturos responderunt. Hospitaliter quidem illos acceperunt. inuitarunt etiam ex eorum comitatu honestißimum quenq;. Cæsis uerò bubus, de ijs quos abegerant, atq; alijs hostijs satis opulente sunt cõuiuati: lecti fronde strati sunt: poculis sunt in potando corneis usi, qualia scilicet in ea regione inuenere. Isto autem fœdere, cum pæanẽ cecinissent, Thraces prius surrexere, & ad tibiam armati saltarunt: atq; alte quidem à terra se, summa cum agilitate attollebant, gladios tenentes, quibus ita alter alterum uerberabat, ut plane omnes hominem percussum existimarent: sed erat ea ludendi ars quædam. Paphla-

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΑΝΑΒΑΣΕΩΣ ΕΚΤΟΝ.

ΕΚ ΤΟΥΤΟΥ δὲ ἐν τῇ διατριβῇ, οἱ μὲν ἀπὸ τῆς ἀγορᾶς ἔζων· οἱ δὲ λῃζόμενοι ἐκ τῆς Παφλαγονίας. ἐκλώπευον δὲ καὶ οἱ Παφλαγόνες εὖ μάλα τοὺς ἀποσκεδαννυμένους. ἐκ τῶν νυκτὸς δὲ τοὺς πρόσω σκηνοῦντας ἐπειρῶντο κακουργεῖν. καὶ πολεμικώτατα πρὸς ἀλλήλους εἶχον ἐκ τούτων. ὁ δὲ Κορύλας, ὃς ἐτύγχανε τότε Παφλαγονίας ἄρχων, πέμπει παρὰ τοὺς Ἕλληνας πρέσβεις, ἔχοντας ἵππους καὶ στολὰς καλάς, λέγοντας ὅτι Κορύλας ἕτοιμος εἴη τοὺς Ἕλληνας μήτ' ἀδικεῖν, μήτ' αὐτὸς ἀδικεῖσθαι. οἱ δὲ στρατηγοὶ ἀπεκρίναντο, ὅτι περὶ μὲν τούτων ἐν τῇ στρατιᾷ βουλεύσοιντο. ἐπὶ ξένια δὲ ἐδέχοντο αὐτούς. παρεκάλεσαν δὲ καὶ τῶν ἄλλων ἀνδρῶν οὓς ἐδόκει δικαιοτάτους εἶναι. θύσαντες δὲ τῶν αἰχμαλώτων βοῶν καὶ ἄλλα ἱερεῖα, εὐωχίαν μὲν ἀρκοῦσαν παρεῖχον. κατακείμενοι δὲ ἐν στιβάσιν, ἐδείπνουν καὶ ἔπινον κερατίνοις ποτηρίοις, οἷς ἐπετύγχανον ἐν τῇ χώρᾳ. ἐπεὶ δὲ αἱ σπονδαί τε ἐγένοντο καὶ ἐπαιάνισαν, ἀνέστησαν πρῶτον Θρᾷκες, καὶ πρὸς αὐλὸν ὠρχήσαντο σὺν τοῖς ὅπλοις, καὶ ἥλλοντο ὑψηλά τε καὶ κούφως. καὶ ταῖς μαχαίραις ἐχρῶντο. τέλος δὲ ὁ ἕτερος τὸν ἕτερον παίει, ὡς πᾶσιν ἐδόκει πεπληγέναι τὸν ἄνθρωπον. ὁ δ' ἔπεσε τεχνικῶς πως,

καὶ

καὶ αὐτ' ἔκραγον οἱ παφλαγόνες. καὶ ὁ μὲν σκυλεύσας τὰ ὅπλα τοῦ ἑτέρου, ἐξῄει ᾄδων σιτάλκα. ἄλλοι δὲ τῶν θρᾳκῶν τὸν ἕτερον ἐξέφερον ὡς τεθνεῶτα. ἦν δὲ οὐδὲν μὴ τεθνεώς. μετὰ τοῦτο αἰνιᾶνες καὶ μάγνητες ἀνέστησαν, οἳ ὠρχοῦντο τὴν καρπαίαν καλουμένην ἐν τοῖς ὅπλοις. ὁ δὲ τρόπος τῆς ὀρχήσεως ἦν ὅδε· ὁ μὲν παραθέμενος τὰ ὅπλα, σπείρει καὶ ζευγηλατεῖ, πυκνὰ μεταστρεφόμενος, ὡς φοβούμενος. λῃστὴς δὲ προσέρχεται· ὁ δ' ἐπειδὰν προσίδῃ τι, ἀπαντᾷ ἁρπάσας τὰ ὅπλα, καὶ μάχεται πρὸ τοῦ ζεύγους. καὶ οὗτοι ταῦτ' ἐποίουν ἐν ῥυθμῷ πρὸς τὸν αὐλόν. καὶ τέλος ὁ λῃστὴς, δήσας τὸν ἄνδρα καὶ τὸ ζεῦγος ἀπάγει. ἐνίοτε δὲ καὶ ὁ ζευγηλάτης τὸν λῃστήν. εἶτα παρὰ τοὺς βοῦς ζεύξας ὀπίσω τὼ χεῖρε δεδεμένον ἐλαύνει. μετὰ τοῦτο μυσὸς εἰσῆλθεν, ἐν ἑκατέρᾳ τῇ χειρὶ ἔχων πέλτην. καὶ τοτὲ μὲν ὡς δύο ἀντιτεταγμένων μιμούμενος ὠρχεῖτο. τοτὲ δὲ ὡς πρὸς ἕνα ἐχρῆτο ταῖς πέλταις. τοτὲ δὲ ἐδινεῖτο, καὶ ἐξεκυβίστα ἔχων τὰς πέλτας. ὥστε ὄψιν ἔχειν καλὴν φαίνεσθαι. τέλος δὲ τὸ περσικὸν ὠρχεῖτο, κρούων τὰς πέλτας, καὶ ὤκλαζε, καὶ ἀνίστατο. καὶ ταῦτα πάντα ἐν ῥυθμῷ πρὸς τὸν αὐλὸν ἐποίει. ἐπὶ δὲ τούτῳ ἐπιόντες οἱ μαντινεῖς, καὶ ἄλλοι τινὲς τῶν ἀρκάδων, ἀναστάντες ἐξοπλισάμενοι ὡς ἐδύναντο κάλλιστα, ᾖσάν τε ἐν ῥυθμῷ πρὸς τὸν ἐνόπλιον ῥυθμὸν αὐλούμενοι καὶ ἐπαιάνισαν, καὶ ὠρχήσαντο, ὥσπερ ἐν ταῖς πρὸς τοὺς θεοὺς προσόδοις. ὁρῶντες δὲ οἱ παφλαγόνες δεινὰ ἐποιοῦντο πάσας τὰς ὀρχήσεις ἐν ὅπλοις εἶναι. ἐπὶ τούτοις ὁρῶν ὁ μυσὸς ἐκπεπληγμένους αὐτοὺς, πείσας τῶν ἀρκάδων τινὰ πεπαμένον, ὀρχηστρίδα εἰσάγει, σκευάσας ὡς ἐδύνατο κάλλιστα, καὶ ἀσπίδα δοὺς κούφην αὐτῇ. ἡ δὲ ὠρχήσατο πυρρίχην ἐλαφρῶς. ἐνταῦθα κρότος ἦν πολύς. καὶ οἱ παφλαγόνες ἤροντο, εἰ καὶ γυναῖκες συνεμάχοντο αὐτοῖς. οἱ δ' ἔλεγον, ὅτι αὗται καὶ αἱ τρεψάμεναι εἶεν βασιλέα ἐκ τοῦ στρατοπέδου. τῇ μὲν οὖν νυκτὶ ταύτῃ τοῦτο τὸ τέλος ἐγένετο. τῇ δ' ὑστεραίᾳ ἡμέρᾳ προσῆγον αὐτοὺς εἰς τὸ στράτευμα. καὶ ἔδοξε τοῖς στρατιώταις, μήτε ἀδικεῖν παφλαγόνας, μήτε ἀδικεῖσθαι. μετὰ τοῦτο οἱ μὲν πρέσβεις ᾤχοντο. οἱ δὲ ἕλληνες, ἐπειδὴ πλοῖα ἱκανὰ ἐδόκει παρεῖναι, ἀναβάντες ἔπλεον ἡμέραν καὶ νύκτα πνεύματι καλῷ, ἐν ἀριστερᾷ ἔχοντες τὴν παφλαγονίαν. τῇ δ' ἄλλῃ ἀφικνοῦνται εἰς σινώπην. καὶ ὡρμίσαντο εἰς ἁρμήνην τῆς σινώπης. σινωπεῖς δὲ οἰκοῦσι μὲν ἐν τῇ παφλαγονικῇ, μιλησίων δ' ἄποικοί εἰσιν. οὗτοι ξένια πέμπουσι τοῖς ἕλλησιν, ἀλφίτων μὲν μεδίμνους τρισχιλίους, οἴνου δὲ κεράμια χίλια καὶ πεντακόσια. καὶ χειρίσοφος ἐνταῦθα ἦλθε τριήρεις ἔχων. καὶ οἱ μὲν στρατιῶται προσεδόκων ἄγοντά τι σφίσιν ἥκειν. ὁ δ' ἦγε μὲν οὐδέν. ἀπήγγελλε δὲ ὅτι ἐπαινοίη αὐτοὺς, καὶ ἀναξίβιος ὁ ναύαρχος, καὶ οἱ ἄλλοι. καὶ ὅτι ὑπισχνεῖτο ἀναξίβιος, εἰ ἀφίκοιντο ἔξω τοῦ πόντου, μισθοφορὰν αὐτοῖς ἔσεσθαι. καὶ ἐν ταύτῃ τῇ ἁρμήνῃ ἔμειναν οἱ στρατιῶται ἡμέρας πέντε. ὡς δὲ τῆς ἑλλάδος ἐδόκουν ἐγγὺς γίγνεσθαι, ἤδη μᾶλλον ἢ πρόσθεν εἰσῄει αὐτοὺς, ὅπως ἂν καὶ ἔχοντές τι οἴκαδε ἀφίκωνται. ἡγήσαντο οὖν εἰ ἕνα ἕλοιντο ἄρχοντα, μᾶλλον ἂν ἢ πολυαρχίας οὔσης, δύνασθαι τὸν ἕνα χρῆσθαι τῷ στρατεύματι, καὶ

Paphlagones uero clamorem tollebant: sed ex gladiatoribus illis erat, qui arma iacenti detraheret, deinde Sidalca (qui patrius illis cantus fuit) cãtans abiret. Item qui alium iam mortuũ efferret, cum et ille nulla ex parte nõ mortuus uideretur. Aenianẽses deinde, & Magnetes in mediũ processere, eamq; saltationẽ in armis saltarunt, quã patria uoce Carpaean appellant. Hic eius ritus fuit. Eorum unus armis proximo loco positis, bobus iunctis serit, ac se sæpius tanquã metuens conuertit. Insequitur prædo, quo ille conspecto arma illico corripit, atq; ante iugũ pugnat. Atq; hæc ad tibiæ certum numerũ aguntur. Postremo prædo ille hominem uincit, ac boues abigit. Nonnunquã etiam arator prædonem comprehensum, post terga reuinctis manibus, cum bobus ipsis cõiunctum agit. Post hos Mysus prodijt, utraq; manu peltas tenens: ac primùm ita saltauit, ut eos qui cum aduersarijs duobus depugnant, imitari uideretur. Deinde uero peltas, quasi cõtra unũ duntaxat proijciebat, mox se circumagebat, peltasq; ueluti alterna quadam manuum prolusione uibrabat, ut plane ea saltatio spectantibus pulchra contigerit. Postremo complosis peltis, Persico more saltauit, ac in genua procumbens, se rursum erigebat: atq; hæc etiam ad tibiæ modos fiebant. Cõsequuti sunt Mantinenses, & Arcadum alij, qui quàm elegantißime ad speciem armati, & ipsi in numerum, præcinente tibia, uti hi solent qui armati saltant, ingrediebantur: ac pæane cãtato non aliter saltabant, quàm in deorum supplicationibus fieri consueuit. Hic Paphlagones commoti sunt, quod neminem uidebant nisi armatum saltare. Quod cum animaduertisset Mysus, ac Paphlagonas ea saltationis forma territos intelligeret, ex Arcadibus cuidam persuasit, ut saltatriculam mimam, quam ille habebat, in medium produceret. Quam cum bellißime exornasset, atq; ei leue scutum dedisset, illa summa corporis agilitate Pyrrhicam saltauit. Cui cum esset magnus ab omnibus plausus datus, quæsierunt Paphlagones, nunquid mulieribus etiam in pugna uterentur. Imo, Græci responderunt, hæ sunt quæ regem à castris reiecerunt. Atque hic fuit eius noctis finis. Postero uero die legatos in castra prætores produxerunt: ubi scitum à militibus factum est, sibi in posterum cum Paphlagonibus pacem esse expedire: ac legati tunc abierunt. Græci cum iam naues adessent, neque pauciores quàm opus erat, conscenderunt: ac relicta ad leuam Paphlagonia, diem eum atq; item noctem sequundißimo uento usi, postridie Armenen appulerunt, qui uicus in Sinopensium ditione est. Sinopenses ipsi in Paphlagonicis finibus sunt, Milesiorum coloni. Hi Græcis munera hospitalia misere: farinæ medimna ter mille, uini amphoras M. D. Atque huc Chirisophus cum triremibus uenit: quem cum boni aliquid allaturum milites putarent, cupide expectabant. Ille uero nihil omnino attulit: id unum renunciauit, ab Anaxibio nauarcho, atq; item alijs omnibus uehemẽter Græcos laudari, atq; eundem Anaxibium Græcis polliceri, si è Ponto exissent, stipendium se illis daturum. Exercitus Armenæ dies quinq; cõmoratus est. Cumq; ad Græciam propius accedere se intelligerent, ibi iam ea cogitatio homines solicitos habere cœpit, qui se cum domum aliquid afferrent. Ad continendum autem in officio exercitum, rem multo accommodatißimam existimarunt, abrogato tam multis ducibus imperio, ad unum duntaxat summam potestatem deferre: quod illum uniuersi sequuti, uel die, uel

nocte, aut quod opus esset capere, aut celare, aut postremo anteuertere, multo possent facilius ac celerius. Quantum enim temporis multorũ inter se consultationibus impendi solitum esset, id si unius mandatis obeundis daretur, multo certe plus profici posse. Adhuc enim omnia multitudinis suffragijs, prætorib. rogantibus, scita fuerãt. Id cum oẽs approbassent, atq; in Xenophontẽ maxime studia hominum propenderẽt, illum centuriones adeũt, ordinum animũ, ac uoluntatẽ exponunt: ac pro se quisq; summã in eum beneuolentiã declarantes, delatum ab exercitu honorẽ ut susciperet, rogant. Hic Xenophon cum secum cogitaret, magno id sibi honori fore, ac nomen suum cum apud amicos, tum apud ciues multo fore illustrius ac gloriosius: ac fortasse illas copias, ductu suo rem posse multo præclarius gerere: enimuero uehementer ad negociũ capessendũ incitabatur, ac nihil iam malebat, q̃ se imperatorẽ summa potestate renunciari. Contrà uero cum in mentẽ ueniret, incertissima esse homini rerum euenta: ac timeri etiã posse, ne partã iam gloriã aliqua offensione perderet, non poterat consilij exitum reperire. In tam ancipiti deliberãdi quasi momẽto, deos sibi cõsulendos statuit. Duobus itaq; sacerdotib. adhibitis, Ioui regi sacrificauit, quem ex Delphico oraculo in primis sequutus fuerat: atq; ab hoc olim somnium sibi missum putauit, cũ primũ cœpit imperia capessere. Recordabatur præterea, sibi Epheso ad Cyrũ iter habenti auguriũ oblatũ, uocẽ dextræ aquilæ, illius quidẽ sedentis: aut tunc sibi augurẽ, cuius autoritatẽ maxime sequebatur, monuisse, magnũ illud auguriũ esse, ac minime plebeiũ: omnia tamen fore laboris plenissima, propterea quod in sedẽtem aquilam aues reliquæ impetum facere consueuissent. Neq; uero ex eo augurio esse quod sibi lucri quicquam polliceretur: circumuolitantem etenim aquilam, ea quib. aliuer, rapere solitam. Eodem tẽpore eiusdẽ dei per exta mens declarata: neq; illũ imperia petere, neq; delata suscipere oportere. Atq; hoc ita plane cecidit. At exercitus in unũ conuenit, ac primùm sciuerunt unum deligi oportere: deinde unum omnes Xenophontẽ deposcere cœperũt. Quare cum ille animaduertisset, si militũ consensum tacitus cõprobaret, ad se procul dubio rerum summã delatum iri, surrexit, atq; in hunc modum loquutus est: Ego, milites, magnopere lætor, cum tantũ mihi uideo à uobis honorẽ haberi: siquidẽ humano sensu prædutus sum, ac uobis sane gratiã habeo: deosq; oro, ut mihi eam facultatẽ dent, ut uobis quãoptime aliquãdo consulere possim. Sedenim mihi nõ uideo cur studeatis imperiũ decernere, cum Lacedæmoniũ hominem habeatis: id uero ego si accipiã, neq; è uestra, neq; ex mea re fore arbitror. Nam & uobis (si fuerit aliquãdo ad Lacedæmoniorũ opẽ confugiendũ, quod se hoc facto læsos interpretabũtur) minus illi se æquos præbebũt, & ipse qui potero hanc inuidiam sustinere? Equidẽ Lacedæmonios uideo nõ ante desijsse patriæ meæ bellum facere, q̃ armis nosipsos etiã sibi parere coẽgerunt: ubi uero imperata facere nõ recusauimus, à bello illi gerendo, atq; obsidenda urbe destiterunt. Quæ cum me nõ prætereant, si nũc ea in re, quæ arbitrij mei est, eorũ officerem dignitati, illud sane mihi magnopere esset metuendum, ne me illi facile intra ordinẽ redigerent. Quod uero facilius multo contineri in officio militẽ posse existimatis, unius quàm multorum imperio, illud uobis persuasum uelim, quemcunq; summæ rerum præfeceritis, nullam me in ullum unquam seditionem concitaturum. NAM qui

contra

νυκτὸς καὶ ἡμέρας. καὶ εἴ τι δέοι λαμβάνειν, μᾶλλον ἂν καὶ κρύπτεσθαι· καὶ εἴ τι αὖ δέοι φθάνειν, ἧττον ἂν ὑστερίζειν. οὐ γὰρ ἂν λόγων δεῖν πρὸς ἀλλήλους. ἀλλὰ τὸ δόξαν τῷ ἑνὶ περαίνεσθαι ἄν. τὸν δὲ πρόσθεν χρόνον ἐκ τῆς νικώσης ἔπραττον πάντα οἱ στρατηγοί. ὡς δὲ ταῦτα διενοοῦντο, ἐτρέποντο ἐπὶ τὸν Ξενοφῶντα. καὶ οἱ λοχαγοὶ ἔλεγον προσιόντες αὐτῷ, ὅτι ἡ στρατιὰ οὕτω γινώσκει. καὶ εὔνοιαν ἐνδεικνύμενος ἕκαστός τις, ἔπειθεν αὐτὸν ὑποστῆναι τὴν ἀρχήν. ὁ δὲ Ξενοφῶν τῇ μὲν ἐβούλετο ταῦτα, νομίζων, καὶ τὴν τιμὴν μείζω οὕτως ἑαυτῷ γίνεσθαι, καὶ πρὸς τοὺς φίλους, καὶ εἰς τὴν πόλιν τοὔνομα μεῖζον ἀφίξεσθαι αὐτοῦ. τυχὸν δὲ καὶ ἀγαθοῦ τινος αἴτιος τῇ στρατιᾷ γενέσθαι. τὰ μὲν δὴ τοιαῦτα ἐνθυμήματα, ἐπῆρεν αὐτὸν ἐπιθυμεῖν αὐτοκράτορα γενέσθαι ἄρχοντα. ὁπότε δ' αὖ ἐνθυμοῖτο, ὅτι ἄδηλον μὲν παντὶ ἀνθρώπῳ, ὅπῃ τὸ μέλλον ἕξει. διὰ τοῦτο δὲ κίνδυνος εἴη, μὴ καὶ τὴν προειργασμένην δόξαν ἀποβάλοι, ἠπορεῖτο. ἀπορουμένῳ δὲ αὐτῷ διακρῖναι, ἔδοξε κράτιστον εἶναι τοῖς θεοῖς ἀνακοινῶσαι. καὶ παραστησάμενος δύο ἱερεῖς, ἐθύετο τῷ Διὶ τῷ Βασιλεῖ, ὅσπερ αὐτῷ μαντευτὸς ἦν ἐκ Δελφῶν. καὶ τὸ ὄναρ δὴ ἀπὸ τούτου τοῦ θεοῦ ἐνόμιζεν ἑωρακέναι, ὃ εἶδεν ὅτε ἤρχετο, ἐπὶ τὸ συνεπιμελεῖσθαι τῆς στρατιᾶς καθίστασθαι. καὶ ὅτε ἐξ Ἐφέσου δὲ ὡρμᾶτο, Κύρῳ συσταθησόμενος, αἰετὸν ἀνεμιμνήσκετο αὐτῷ δεξιὸν φθεγγόμενον, καθήμενον μέντοι, ὅνπερ ὁ μάντις προπέμπων αὐτὸν ἔλεγεν, ὅτι μέγας μὲν οἰωνὸς εἴη, καὶ οὐκ ἰδιωτικός, καὶ ἔνδοξος. ἐπίπονος μέντοι. τὰ γὰρ ὄρνεα μάλιστα ἐπιτίθεσθαι τῷ αἰετῷ καθημένῳ. οὐ μέντοι χρηματιστικὸν εἶναι τὸν οἰωνόν. τὸν γὰρ αἰετὸν πετόμενον μᾶλλον λαμβάνειν τὰ ἐπιτήδεια. οὕτω δὲ θυομένῳ αὐτῷ, διαφανῶς ὁ θεὸς σημαίνει μήτε προσδεῖσθαι τῆς ἀρχῆς, μήτ' εἰ αἱροῖντο ἀποδέχεσθαι. τοῦτο μὲν δὴ οὕτως ἐγένετο. ἡ δὲ στρατιὰ συνῆλθε. καὶ πάντες ἔλεγον, ἕνα αἱρεῖσθαι. καὶ ἐπεὶ τοῦτο ἔδοξε, προὐβάλλοντο αὐτόν. ἐπειδὴ ἐδόκει δῆλον εἶναι, ὅτι αἱρήσονται αὐτὸν εἴ τις ἐπιψηφίζοι, ἀνέστη, καὶ ἔλεξε τάδε· ἐγώ, ὦ ἄνδρες, ἥδομαι μὲν ὑπὸ ὑμῶν τιμώμενος, εἴπερ ἄνθρωπός εἰμι. καὶ χάριν ἔχω, καὶ εὔχομαι δοῦναί μοι τοὺς θεούς, αἴτιόν τινος ὑμῖν ἀγαθοῦ γενέσθαι. τὸ μέντοι ἐμὲ προκριθῆναι ὑπὸ ὑμῶν ἄρχοντα, Λακεδαιμονίου ἀνδρὸς παρόντος, οὔτε ὑμῖν, οὔτ' ἐμοὶ δοκεῖ συμφέρον εἶναι, ἀλλ' ἧττον ἂν διὰ τοῦτο τυγχάνειν εἴ τι δέοισθε παρ' αὐτῶν. ἐμοὶ δὲ αὖ πάνυ τι νομίζω τοῦτο ἀσφαλὲς εἶναι. ὁρῶ γὰρ ὅτι καὶ τῇ πατρίδι μου οὐ πρόσθεν ἐπαύσαντο πολεμοῦντες, πρὶν ἐποίησαν πᾶσαν τὴν πόλιν ὁμολογεῖν, Λακεδαιμονίους καὶ αὐτῶν ἡγεμόνας εἶναι. ἐπεὶ δὲ τοῦτο ὡμολόγησαν, εὐθὺς ἐπαύσαντο πολεμοῦντες, καὶ οὐκέτι πέρα ἐπολιόρκησαν τὴν πόλιν. εἰ οὖν ταῦτα ἐγὼ ὁρῶν δοκοίην ὅπου δυναίμην, ἐνταῦθ' ἄκυρον ποιεῖν τὸ ἐκείνων ἀξίωμα, ἐκεῖνο ἐννοῶ, μὴ λίαν ἂν ταχὺ σωφρονισθείην. ὃ δ' ὑμεῖς ἐννοεῖτε, ἧττον ἂν στάσις εἴη ἑνὸς ἄρχοντος ἢ πολλῶν, εὖ ἴστε ὅτι ἄλλον μὲν ἑλόμενοι, οὐχ εὑρήσετέ με στασιάζοντα. νομίζω γάρ, ὅτι ὅστις ἐν πολέ-

μῳ

μὴ ἂν στασιάζει πρὸς ἄρχοντα, πρὸς τὴν ἑαυτοῦ σωτηρίαν στασιάζει. ἂν δὲ ἐμὲ ἕλησθε, οὐκ ἂν θαυμάσαιμι εἴ τινα εὕροιτε καὶ ὑμῖν καὶ ἐμοὶ ἀχθόμενον. ἐπεὶ δὲ ταῦτ' ἔλεγε, πολὺ μᾶλλον ἐξανίσταντο λέγοντες, ὡς δέοι αὐτὸν ἄρχειν. Ἀγασίας δὲ ὁ Στυμφάλιος εἶπεν· ὅτι γελοῖον εἴη, εἰ οὕτως ἔχει, ὡς ὀργιοῦνται Λακεδαιμόνιοι, καὶ ἐὰν σύνδειπνοι συνελθόντες μὴ Λακεδαιμόνιον συμποσίαρχον αἱρῶνται. ἐπεὶ οὕτω γε τοῦτ', ἔφη, οὐδὲ λοχαγεῖν ἡμῖν ἔξεστιν, ὡς ἔοικεν, ὅτι Ἀρκάδες ἐσμέν. ἐνταῦθα δὴ ὡς εὖ εἰπόντος τοῦ Ἀγασίου, ἀνεθορύβησαν. καὶ ὁ Ξενοφῶν ἐπειδὴ ἑώρα πλείονος ἐνδέον, παρελθὼν εἶπεν· ἀλλ', ὦ ἄνδρες, ἔφη, ὡς πάνυ εἰδῆτε, ὀμνύω ὑμῖν θεοὺς πάντας καὶ πάσας, ἦ μὴν ἐγὼ, ἐπεὶ τὴν ὑμετέραν γνώμην ᾐσθανόμην, ἐθυόμην εἰ βέλτιον εἴη, ὑμῖν τε ἐμοὶ ἐπιτρέψαι ταύτην τὴν ἀρχὴν, καὶ ἐμοὶ ὑποστῆναι. καὶ ἐμοὶ οἱ θεοὶ οὕτως ἐν τοῖς ἱεροῖς ἐσήμηναν, ὡς καὶ ἰδιώτην ἀναγνῶναι, ὅτι ταύτης τῆς μοναρχίας ἀπέχεσθαί με δεῖ. οὕτω δὴ Χειρίσοφον αἱροῦνται. Χειρίσοφος δ' ἐπεὶ ᾑρέθη, παρελθὼν, εἶπεν· ἀλλ', ἔφη, ὦ ἄνδρες, τοῦτο μὲν ἴστε ὅτι οὐκ ἂν ἔγωγε ἐστασίαζον, εἰ ἄλλον εἵλεσθε. Ξενοφῶντα μὲν, ἔφη, ὠνήσατε οὐχ ἑλόμενοι, ὡς καὶ νῦν Δέξιππος ἤδη διέβαλλεν αὐτὸν πρὸς Ἀναξίβιον ὅτι ἐδύνατο, καὶ μάλα ἐμοῦ αὐτὸν σιγάζοντος. ὁ δ' ἔφη νομίζειν αὐτὸν Τιμασίωνι μᾶλλον συνάρχειν ἐθελῆσαι Δαρδανεῖ ὄντι τοῦ Κλεάρχου στρατεύματος, ἢ ἑαυτῷ Λάκωνι ὄντι. ἐπεὶ μέντοι ἐμὲ εἵλεσθε, ἔφη, καὶ ἐγὼ πειράσομαι, ὅ,τι ἂν δύνωμαι ὑμᾶς ἀγαθὸν ποιεῖν. καὶ ὑμεῖς οὕτω παρασκευάζεσθε, ὡς αὔριον ἐὰν πλοῦς ᾖ, ἀναξόμενοι. ὁ δὲ πλοῦς ἔσται εἰς Ἡράκλειαν. ἅπαντας οὖν δεῖ ἐκεῖσε πειρᾶσθαι ἥκειν. τὰ δὲ ἄλλα, ἐπειδὰν ἐκεῖσε ἔλθωμεν, βουλευσόμεθα. ἐντεῦθεν τῇ ὑστεραίᾳ ἀναγόμενοι πνεύματι καλῷ, ἔπλεον ἡμέρας δύο παρὰ γῆν, καὶ παραπλέοντες ἐθεώρουν τήν τ' Ἰασονίαν ἀκτὴν, ἔνθα ἡ Ἀργὼ λέγεται ὁρμίσασθαι, καὶ τῶν ποταμῶν τὰ στόματα. πρῶτον μὲν τοῦ Θερμώδοντος. ἔπειτα δὲ τοῦ Ἅλυος. μετὰ δὲ τοῦτον τοῦ Παρθενίου. τοῦτον δὲ παραπλεύσαντες, ἀφίκοντο εἰς Ἡράκλειαν, πόλιν Ἑλληνίδα, Μεγαρέων ἄποικον, οὖσαν δ' ἐν τῇ Μαριανδυνῶν χώρᾳ, καὶ ὡρμίσαντο παρὰ τῇ Ἀχερουσιάδι Χερρονήσῳ, ἔνθα λέγεται Ἡρακλῆς ἐπὶ τὸν Κέρβερον κύνα καταβῆναι, οὗ νῦν τὰ σημεῖα δεικνύουσι τῆς καταβάσεως τὸ βάθος, πλέον ἢ ἐπὶ δύο στάδια. ἐνταῦθα τοῖς Ἕλλησιν οἱ Ἡρακλεῶται ξένια πέμπουσιν ἀλφίτων μεδίμνους τρισχιλίους, καὶ οἴνου κεράμια δισχίλια, καὶ βοῦς εἴκοσι, καὶ ὄις ἑκατόν. ἐνταῦθα διὰ τοῦ πεδίου ῥεῖ ποταμὸς, Λύκος ὄνομα, εὖρος ὡς δύο πλέθρων. οἱ δὲ στρατιῶται συλλεγέντες, ἐβουλεύοντο τὴν λοιπὴν πορείαν, πότερον κατὰ γῆν, ἢ κατὰ θάλατταν χρὴ πορεύεσθαι ἐκ τοῦ Πόντου. ἀναστὰς δὲ Λύκων Ἀχαιὸς, εἶπε· θαυμάζω μὲν, ὦ ἄνδρες, τῶν στρατηγῶν, ὅτι οὐ πειρῶνται ἡμῖν ἐκπορίζειν σιτηρέσιον. τὰ μὲν γὰρ ξένια οὐ μὴ γένηται τῇ στρατιᾷ τριῶν ἡμερῶν σιτία. ὁπόθεν δ' ἐπισιτισάμενοι πορευσόμεθα, οὐκ ἔστιν, ἔφη. ἐμοὶ οὖν δοκεῖ αἰτεῖν τοὺς Ἡρακλεώτας, μὴ ἔλαττον ἢ τρισχιλίους κυζικηνούς. ἄλλος δ' εἶπε·

contra imperatorē suum seditionem concitat, is postremò in suam ipsius salutem seditiosus reperitur. Quod si mihi imperium deferretis, nihil omnino mirarer, si quamplurimi & mihi & uobis offensiores existerent. Hæc cum milites audissent, eo maiore contentione acclamantes surrexere: illum omnino expedire, imperiū suscipere. Ac Stymphalius quidē Agasias: Perinde, inquit, ridiculū esset, nobis si Lacedæmonij trascerentur, ac si ijs conuiuis succenserent, qui cum Lacedæmonij non essent, iidem non Lacedæmonium magistrū deligerent. Nam si solis est Lacedæmonijs imperandum, nihil omnino causæ est, quin & nos cum Arcades simus, centuriatu nos abdicemus. Eius orationē cuncti cum fremitu cōprobarunt. Tum Xenophon cum intelligeret non posse, quod imponeretur oneris, recusare, ni apertius resisteret: in medium procedēs, Vt rem planius conoscatis, deos, inquit, deasq; omnes, milites, attestor, simulatque uestra mihi uoluntas perspecta fuit, per exta me à dis quæsisse, conduceret ne uobis mihi imperiū mandare, ac mihi illud accipere: Illos uero tam apertis clarisq; signis mentē mihi suam explanasse, ut nemo in extis iudicandis tam rudis sit & indoctus, quin fuerit, si ea inspexisset, cogniturus nihil fore, aut uestris, aut meis rationib. alienius, quam si unus hoc imperiū suscipiā. Hæc res milites flexit, qui statim Chirisophum crearūt. Et ille in mediū productus: Ego, me hercule, inquit, etiam si alium quemuis delegissetis, nullam omnino seditionem fecissem. Sedenim bene Xenophonti, quod eum non delegistis, consultum fuit: nam acriter eum nuper Dexippus apud Anaxibium insimulabat, me certe illi silentiū imperante. At ille se existimare dicebat, Xenophontē, Timasionem Dardanensem, qui fuerat de Clearchi cohortibus, quàm se, qui Laco esset, collegam habere malle. Sed cum hoc mihi imperiū detuleritis, dabo equidē operam, ut quantū maxime possim, uestris cōmodis atq; utilitatibus seruiā. Nunc paratos uos esse oportet, ut si fuerit cras ad nauigandum idonea tēpestas, hinc soluamus. Et erit Heraclean primùm contendendū, quò ut perueniamus est nostrum unicuiq; in præsentia elaborandum. Illic de reliquo itinere cōsilium capiemus. Hæc tunc ille. Postero uero die soluerunt, ac biduū sequundissimo uento oram legentes, Iasonium littus prospiciebant, ubi Argo nauim ferunt in anchoris stetisse: & multorū fluminum ostia, Thermodontis primum, deinde Halis, ac Parthenij: quem prætereuecti, Heraclean appulerunt, urbem Græcam, Megarensium coloniam, in Maryandinorū finibus sitam. Expositi sunt in Acherusiaden peninsulam, quo in loco descendisse Herculem ad Cerberum canem rapiendum memorant incolæ: atque eius descensus monimentum ostendunt, specum haud minus quàm stadia duo subsidentem. Hic Heracleenses Græcis hospitalia munera misere: Farinæ medimnū M M M. Vini amphoras M M. Boues X X. Oues C. Per hanc regionem Lycus fluuius labitur, latitudine passuum X L. Hic cum in unum milites conuenissent, de reliquo itinere consultabant. Et illud primum, e Ponto mari ne, an pedibus proficiscendum esset. Cum Lycon Achæus, Demiror, inquit, quid sit quod prætores nobis uiaticum non conficiunt: nam quæ hospitij nomine missa sunt, ne triduo quidem ex his exercitus ali possit: neq; plane est unde ipsimet nobis frumentemur. Mihi sane optimum factu fore uidetur, si per legatos stipendium ab Heracleensibus postulemus, haud hercule minus quā Cyzicenos ter mille. Atq; alius,

quin x. inquit, ut minimũ millia Cyzicenorũ menstruum stipendium postulandum censeo, & legatos quamprimum cum postulatis, dum hic commoramur, extrudendos: qui cum quid renuncient cognouerimus, ex eo consilium capiemus. Cum de legatis ageretur, dux ipse Chirisophus primus deligitur: fuere qui Xenophontem etiam nominarent: sed ambo uehementer resistebant, quod utrique minime æquum esse uidebatur, Græcam & sociam ciuitatem, inuitam ad ea quæ ipsa nollet danda, cogere. Quare cum ab ea causa alieniores uiderentur, Lycona Achæum, Callimachum Parrhasium, & Agasian Stymphalium miserunt. Hi cum ad Heracleenses uenissent, legationem exposuerunt. Lyconem minas etiam addidisse ferunt: quibus commoti socij, tunc quidem se ea de re deliberaturos responderunt: statim uero ex agris copias omnes intra oppidum comportandas curarunt: mercatum submouerunt, ac clausis portis cum armis ad muros accursum est. Tunc hi ipsi, qui socios irritarunt, prætores, quod causam prodidissent, criminari: Arcades & Achæi seorsum iam à cæteris cœtus habere: eos Callimachus Parrhasius, & Achæus Lycon incitare, à quibus uoces seditiosæ iactabantur: Indignum esse Atheniensem unum, Lacedæmonijs ac Peloponnesijs imperare, præsertim cum nullam is in exercitum manum contulisset: se labores tolerasse, alios fructus capere, ac se omnino salutem cæteris dedisse. Præ Arcadibus enim & Achæis, reliquum exercitum nihil omnino esse (& sane erant hi haud minus, quàm dimidia exercitus pars) quod si à cæteris desciscerent, propriósque sibi duces eligerent, iter ex sententia facere posse, ac certi alicuius commodi spem sequi. Hæc cum essent omnium consensu comprobata, Chirisophum deserunt & Xenophontem, hi etiam ex Achæis & Arcadibus qui eos ad eum usque diem sequuti fuerant. Imperatores uero suffragijs sibi decem pristino more crearunt. Atque ita summum illud imperium sexto uel septimo die Chirisopho abrogatum est. Xenophon cupiebat unà cum illis proficisci, quod multo tutius fore existimabat, si simul omnes, quàm si cum suis tantum singuli iter facerent. Sed ab ea sententia Neonis oratione deductus est: se enim ille de Chirisopho audisse dixit, Cleandrum, qui præfectus Lacedæmoniorum Byzantij erat, uenturum cum triremibus intra Calpes portum: enauigandi commoditate solos cum suis copijs prætores usuros. Chirisophus ipse cum rei indignitate commotus milites odisse cœpisset, Xenophontem iubet arbitratu suo omnia administrare: ac ipse omni negocio reiecto, ad solam iam nauigationem spectabat. At Xenophon cum sacrificium Herculi duci fecisset, deósque per exta consuluisset, utrum consultius futurum esset expeditionem quampiam suscipere, an cum ijs qui remanserant militibus soluere, expeditionem suscipiendam exta significarunt. Exercitus trifariam diuisus est. Arcades & Achæi fuere quater mille & quingenti. Chirisophus adhuc mille & quadringentos habebat grauis armaturæ. Peltatos Thracas ex Clearchi ordinibus ad septingentos. Xenophon grauis armaturæ mille ferme & septingentos. Peltatos trecentos ac solus equitatum ducebat, equites plus minus XL. Arcades primi, acceptis nauigijs ab Heracleensibus, soluerunt: eam maxime ob causam festinantes,

ut

δ' ἐπὶ μηνὸς μισθὸν μὴ ἔλαττον, ἢ μυρίους. καὶ ἑλομένους πρέσβεις αὐτίκα μάλα ἡμῶν καθημένων πέμπειν πρὸς τὴν πόλιν, καὶ εἰδέναι ὅτι ἂν ἀπαγγέλλωσι, καὶ πρὸς ταῦτα βουλεύεσθαι. ἐντεῦθεν προυβάλλοντο πρέσβεις. πρῶτον μὲν χειρίσοφος ὁ ἄρχων ᾕρητο· εἰσὶ δ' οἳ καὶ ξενοφῶντα· οἱ δ' ἰσχυρῶς ἀπεμάχοντο· ἀμφοῖν γὰρ ταὐτὰ ἐδόκει, μὴ ἀναγκάζειν πόλιν ἑλληνίδα καὶ φιλίαν, ὅτι μὴ αὐτοὶ ἐθέλοντες διδοῖεν. ἐπεὶ δ' οὗτοι ἐδόκουν ἀπρόθυμοι εἶναι, πέμπουσι λύκωνα ἀχαιὸν καὶ καλλίμαχον παῤῥάσιον, καὶ ἀγασίαν στυμφάλιον. οὗτοι ἐλθόντες, ἔλεγον τὰ δεδογμένα. τὸν δὲ λύκωνα ἔφασαν καὶ ἐπαπειλεῖν, εἰ μὴ ποιήσαιεν ταῦτα πάντα. ἀκούσαντες δ' οἱ ἡρακλεῶται, βουλεύσασθαι ἔφασαν. καὶ εὐθὺς τά τε χρήματα ἐκ τῶν ἀγρῶν συνῆγον, καὶ τὴν ἀγορὰν εἴσω ἀνεσκεύασαν, καὶ αἱ πύλαι ἐκέκλειντο, καὶ ἐπὶ τῶν τειχῶν ὅπλα ἐφαίνετο. ἐκ τούτου οἱ ταράξαντες ταῦτα τοὺς στρατηγοὺς ᾐτιῶντο διαφθείρειν τὴν πρᾶξιν. καὶ συνίσταντο οἱ ἀρκάδες καὶ οἱ ἀχαιοί. προειστήκει δὲ μάλιστα αὐτῶν καλλίμαχός τε ὁ παῤῥάσιος, καὶ λύκων ὁ ἀχαιός. οἱ δὲ λόγοι ἦσαν αὐτοῖς, ὡς αἰσχρὸν εἴη ἄρχειν ἕνα ἀθηναῖον, πελοποννησίων καὶ λακεδαιμονίων μηδεμίαν δύναμιν παρεχόμενον εἰς τὴν στρατιάν. καὶ τοὺς μὲν πόνους σφᾶς ἔχειν, τὰ δὲ κέρδη ἄλλους. καὶ ταῦτα τὴν σωτηρίαν σφῶν κατειργασμένων. εἶναι γὰρ τοὺς κατειργασμένους ἀρκάδας καὶ ἀχαιούς· τὸ δ' ἄλλο στράτευμα οὐδὲν εἶναι. καὶ ἦν δὲ τῇ ἀληθείᾳ ὑπὲρ ἥμισυ τοῦ ἄλλου στρατεύματος ἀρκάδες καὶ ἀχαιοί. εἰ οὖν σωφρονοῖεν, οὗτοι συστάντες, καὶ στρατηγοὺς ἑλόμενοι ἑαυτῶν, καθ' ἑαυτοὺς ἂν τὴν πορείαν ποιοῖντο, καὶ πειρῷντο ἀγαθόν τι λαμβάνειν. ταῦτ' ἔδοξε. καὶ ἀπολιπόντες χειρίσοφον, εἴ τινες ἦσαν παρ' αὐτῷ ἀρκάδες ἢ ἀχαιοί, καὶ ξενοφῶντα, συνέστησαν. καὶ στρατηγοὺς αἱροῦνται ἑαυτῶν δέκα. τούτους δ' ἐψηφίσαντο ἐκ τῆς νικώσης, ὅτι δοκοίη τοῦτο ποιεῖν. ἡ μὲν οὖν τοῦ παντὸς ἀρχὴ χειρισόφῳ ἐνταῦθα κατελύθη ἡμέρᾳ ἕκτῃ ἢ ἑβδόμῃ ἀφ' ἧς ᾑρέθη. ξενοφῶν μέντοι ἐβούλετο κοινῇ μετ' αὐτῶν τὴν πορείαν ποιεῖσθαι, νομίζων οὕτως ἀσφαλεστέραν εἶναι, ἢ ἰδίᾳ ἕκαστον στέλλεσθαι. ἀλλὰ νέων ἔπειθεν αὐτὸν καθ' ἑαυτὸν πορεύεσθαι, ἀκούσας τοῦ χειρισόφου, ὅτι κλέανδρος ὁ ἐν βυζαντίῳ ἁρμοστὴς φαίη τριήρεις ἔχων, ἥξειν εἰς κάλπης λιμένα. ὅπως οὖν μηδεὶς μετάσχοι, ἀλλ' αὐτοὶ καὶ οἱ αὐτῶν στρατιῶται ἐκπλεύσειαν ἐπὶ τῶν τριήρων, διὰ ταῦτα συνεβούλευε. καὶ χειρίσοφος ἅμα μὲν ἀθυμῶν τοῖς γεγενημένοις, ἅμα δὲ μισῶν ἐκ τούτου τὸ στράτευμα, ἐπιτρέπει αὐτῷ ποιεῖν ὅ, τι βούλεται. ξενοφῶν ἔτι μὲν ἐπεχείρησεν ἀπαλλαγεὶς τῆς στρατιᾶς ἐκπλεῦσαι. θυομένῳ δὲ αὐτῷ τῷ ἡγεμόνι ἡρακλεῖ καὶ κοινουμένῳ, πότερα λῷον καὶ ἄμεινον εἴη στρατεύεσθαι. οὕτω γίνεται τὸ στράτευμα τριχῆ. ἀρκάδες μὲν καὶ ἀχαιοί, πλείους ἢ τετρακισχίλιοι καὶ πεντακόσιοι. χειρισόφῳ δὲ ὁπλῖται μὲν εἰς τετρακοσίους καὶ χιλίους, πελτασταὶ δὲ εἰς ἑπτακοσίους, οἱ κλεάρχου θρᾶκες. ξενοφῶντι δὲ ὁπλῖται μὲν εἰς ἑπτακοσίους καὶ χιλίους, πελτασταὶ δὲ εἰς τριακοσίους. ἱππικὸν δὲ οὗτος μόνος εἶχεν, ἀμφὶ τοὺς τετταράκοντα ἱππέας. καὶ οἱ μὲν ἀρκάδες διαπραξάμενοι πλοῖα παρὰ τῶν ἡρακλεωτῶν, πρῶτοι πλέουσιν, ὅπως ἐξαίφνης

ἐπιπε-

ἐμπεσόντες τοῖς Βιθυνοῖς, λάβοιεν ὅτι πλεῖστα. καὶ ἀποβαίνουσιν εἰς κάλπης λιμένα τῆς μέσον πως τῆς θράκης. χειρίσοφος δ' εὐθὺς ἀπὸ τῆς πόλεως τῶν ἡρακλεωτῶν ἀρξάμενος, πεζῇ ἐπορεύετο διὰ τῆς χώρας. ἐπεὶ δὲ εἰς τὴν θράκην ἐνέβαλε, παρὰ τὴν θάλατταν ἐπορεύετο. καὶ γὰρ ἤδη ἠσθένει. ξενοφῶν δὲ πλοῖα λαβὼν ἀποβαίνει ἐπὶ τὰ ὅρια τῆς θράκης, καὶ τῆς ἡρακλεώτιδος, καὶ διὰ μεσογαίας ἐπορεύετο. ὃν μὲν οὖν τρόπον ἥ τε χειρισόφου ἀρχὴ τοῦ παντὸς κατελύθη, καὶ τῶν ἑλλήνων τὸ στράτευμα ἐσχίσθη, ἐν τοῖς ἐπάνω εἴρηται. ἔπραξαν δ' αὐτῶν ἕκαστοι τάδε. οἱ μὲν ἀρκάδες ὡς ἀπέβησαν νυκτὸς εἰς κάλπης λιμένα, πορεύονται εἰς τὰς πρώτας κώμας, στάδια ἀπὸ θαλάττης ὡς τριάκοντα. ἐπεὶ δὲ φῶς ἐγένετο, ἦγεν ἕκαστος στρατηγὸς τὸ αὑτοῦ λόχος ἐπὶ κώμην. ὁποία δὲ μείζων κώμη ἐδόκει εἶναι, σύνδυο λόχους ἦγον οἱ στρατηγοί. συνεβάλοντο δὲ καὶ λόφον, εἰς ὃν δέοι πάντας ἁλίζεσθαι. καὶ ἅτε ἐξαίφνης ἐπιπεσόντες, ἀνδράποδά τε πολλὰ ἔλαβον, καὶ πρόβατα πολλὰ περιεβάλοντο. οἱ δὲ θρᾷκες ἠθροίζοντο οἱ διαφεύγοντες. πολλοὶ δὲ διέφυγον πελτασταὶ ὄντες ὁπλίτας ἐξ αὐτῶν τῶν χειρῶν. ἐπεὶ δὲ συνελέγησαν, πρῶτον μὲν τῷ σμίκρητος λόχῳ ἑνὸς τῶν ἀρκάδων στρατηγῶν, ἀπιόντι ἤδη εἰς τὸ συγκείμενον, καὶ πολλὰ χρήματα ἄγοντι, ἐπιτίθενται. καὶ τέως μὲν ἐμάχοντο, ἅμα πορευόμενοι οἱ ἕλληνες. ἐπὶ δὲ διαβάσει χαράδρας τρέπονται αὐτούς· καὶ αὐτὸν μὲν τὸν σμίκρητα ἀποκτιννύουσι, καὶ τοὺς ἄλλους πάντας. ἄλλου δὲ λοχαγοῦ τῶν δέκα στρατηγῶν τοῦ ἡγησάνδρου, ὀκτὼ μόνους κατέλιπον, καὶ αὐτὸς ἡγήσανδρος ἐσώθη. καὶ ἄλλοι δὲ λοχαγοὶ συνῆλθον· οἱ μὲν σὺν πράγμασιν, οἱ δ' ἄνευ πραγμάτων. οἱ δὲ θρᾷκες εὐτυχήσαντες τοῦτο τὸ εὐτύχημα, συνεβόων τε ἀλλήλους, καὶ συνελέγοντο ἐρρωμένως τῆς νυκτός. καὶ ἅμα κύκλῳ τῇ ἡμέρᾳ περὶ τὸν λόφον, ἔνθα οἱ ἕλληνες ἐστρατοπεδεύοντο, ἐτάττοντο. καὶ ἱππεῖς πολλοὶ καὶ πελτασταί, καὶ ἀεὶ πλείονες συνέρρεον. καὶ προσέβαλλον πρὸς τοὺς ὁπλίτας ἀσφαλῶς. οἱ μὲν γὰρ ἕλληνες οὔτε τοξότην εἶχον, οὔτε ἀκοντιστήν, οὔτε ἱππέα. οἱ δὲ προσθέοντες καὶ προσελαύνοντες, ἠκόντιζον. ὁπότε δ' αὐτοῖς ἐπίοιεν, ῥᾳδίως ἀπέφευγον. ἄλλοι δὲ ἄλλῃ ἐπετίθεντο. καὶ τῶν μὲν πολλοὶ ἐτιτρώσκοντο· τῶν δὲ οὐδείς. ὥστε κινηθῆναι οὐκ ἐδύναντο ἐκ τοῦ χωρίου. ἀλλὰ τελευτῶντες, καὶ ἀπὸ τοῦ ὕδατος εἶργον αὐτοὺς οἱ θρᾷκες. ἐπεὶ δὲ ἀπορία πολλὴ ἦν, διελέγοντο περὶ σπονδῶν. καὶ τὰ μὲν ἄλλα ὡμολόγητο αὐτοῖς. ὁμήρους δὲ οὐκ ἐδίδοσαν οἱ θρᾷκες, αἰτούντων τῶν ἑλλήνων. ἀλλ' ἐν τούτῳ ἴσχετο. τὰ μὲν δὴ τῶν ἀρκάδων οὕτως εἶχε. χειρίσοφος δὲ ἀσφαλῶς πορευόμενος παρὰ θάλατταν, ἀφικνεῖται εἰς κάλπης λιμένα. ξενοφῶντι δὲ διὰ τῆς μεσογαίας πορευομένῳ, οἱ ἱππεῖς προκαταθέοντες, ἐντυγχάνουσι πρεσβύταις πορευομένοις ποι. καὶ ἐπεὶ ἤχθησαν πρὸς ξενοφῶντα, ἐρωτᾷ αὐτοὺς, εἴ που ᾔσθηνται ἄλλου στρατεύματος ἑλληνικοῦ. οἱ δ' ἔλεγον πάντα τὰ γεγενημένα, καὶ νῦν ὅτι πολιορκοῦνται ἐπὶ λόφου, οἱ δὲ θρᾷκες πάντες περικεκυκλωμένοι εἶεν αὐτούς. ἐνταῦθα τοὺς μὲν ἀνθρώπους τούτους

ἐφύ-

ut cum repente ad Bithynos uenissent, ab ijs quantum postulassent, auferrent: peruenerunt'que in Calpes portũ, qui in media fere Thracia est. Chirisophus ab ipsis Heracleensium mœnibus per eorum fines pedibus iter fecit: deinde cum Thraciam attigisset, ac iam ualetudine infirmiore uteretur, nauem conscendit. Xenophon quoque maritimo itinere in eos fines uenit, qui Heracleensium & Thraciæ agros terminant, ac deinde per mediterranea progressus est. Expositum iam est, & quemadmodum imperium Chirisopho sit abrogatum, & diuisæ sint Græcorum copiæ: iam uero quomodo sit à singulis partibus res gesta, exponendum uidetur. Arcades cum in Calpes portum noctu descendissent, ad uicos proximos, qui stad. L. longe à mari aberant, contenderunt: ac cum iam illuxisset, uicos eos prætores sortiti sunt. Quod si uicus amplior esset, in eum cohortes binas adducebant. Tumulum etiam occuparunt, quem ad castra ponenda maxime idoneum existimabant. Captiuos, ut qui de improuiso impetum fecissent, multos abduxerunt: multas item oues cepere. Ibi Thraces qui ante in fugam se dederant, atq; hi, qui cum sola pelta è manibus grauis armaturæ elapsi fuerant, cum in hostem congregati se conuertissent, primum Smicretem Arcadum prætorem, qui cum sua coborte in locum, qui ei obtigerat, multa cum præda se recipiebat, adoriti sunt. Græci fortiter pugnantes processerunt, usque dum ad alueum torrentis cuiusdam uentum est: quem cum traijcere conarentur, cum duce suo ad unum cæsi sunt. Ex Hegesandri uero centurionis coborte, qui iam unus erat de decem prætoribus, octo duntaxat cum ipso prætore seruati sunt. Tum centuriones omnes partim salua, partim amissa præda, in unum conuenerunt. Thraces clamore inter se, rem bene gestam significarunt: ijdem'q; ea nocte iam multi congregati sunt, ut mane ex omni parte tumulum in quo Græci castra habebant, acie cinxerint: multi erant equites, peltati item multi, atque in horas plures confluebant: minime uero timide in grauem Arcadum armaturam inuadebant. Cum enim neq; sagittarium ullum, neq; ferentarium Græci haberent, in eos cursu hostes irruebant: ac cum quantum collibitum fuisset, eos cominus atq; eminus uexassent, si repellerentur, impune ad suos refugiebant. Deinde alij ab alia parte adoriebantur: ac nostrorum quidem multi uulnerabantur, Thracum uero ne unus quidem. Ibi Græci ita circunsessi sunt, ut ne pedem quoquã possent ex eo colle mouere: ad aquam etiam illis aditus interclusi. Quare summis circumuenti difficultatibus, de pactione cum bostibus agere coacti sunt. In conditiones est utrinq; consensum. Obsides tantum postulantibus Græcis, non dedere Thraces: confecta igitur res non est. Arcadum ita se res babebant. Interea Chirisophus sine ulla offensione, nauibus Calpes portum intrat. Xenophon per mediterranea iter faciebat: cuius equites cum ex interuallo præcurrerent, legatos quosdã offenderunt, incertum quò iter haberent: & eos illi ad Xenophontẽ adduxerunt. De quibus cum quæsisset, ecquid de Græcorũ exercitu scirent, cognouit quæ gesta erant omnia: circunsideri eos à Thracibus in quodam tumulo, atq; ita ut nulla ex parte non incincti, atq; interclusi essent. Hic Xenophon eos homines diligentissime

asser/

asseruãdos curat, ut ijs itineris ducibus, si res ita ferret, uteretur: ac x. speculatoribus constitutis, milites ad concionem uocauit, atq; huiusmodi ad eos uerbis usus est: Milites ex Arcadib. multi iam perierunt, alij in tumulo quodam obsidentur: quod si deleti fuerint, neq; nos arbitror in tãta hostiũ multitudine, atq; audacia, incolumes hinc euadere posse. Optimũ igitur fore existimo, si quã celerrime nostris subsidio ueniamus, ut si adhuc uiuunt, cũ illis cõiuncti cõtra hostes pugnemus, ac ne eorũ præsidio destituti, soli periclitemur. Ac statim eundũ cẽseo: neq; prius castra locãda, q̃ cœnæ tẽpus fuerit: quãtisper uero iter faciemus, Timasiõ cũ equitatu anteeat, ac quæ opus est omnia prospiciat, ac speculetur ne quid minus caute agamus. Præmisit etiã ex leui armatura expeditissimũ quenq; in latera, ac mõtis iuga, ut hi quicquid speculati essent, significarẽt: atq; ijs imperat ut quicquid offendissent, quod incẽdi posset, urerẽt. Quò enim, inquit, si fugerimus, redeamus? Lõge hinc abest Heraclea, si forte eò redire cogitemus: neq; possimus breuiore uia Chrysopolin accedere: & hostes proxime absunt. Atenim in Calpes portum (quò Chirisophũ, si modo is adhuc incolumis est, peruenisse putamus) uia est multo breuissima: uerũ neq; naues illic sunt, quib. auehamur: neq; in unum duntaxat diem, si commorati fuerimus, cõmeatus suppetent. Huc accedit, quod si qui nunc obsidẽtur perierint, cum sola Chirisophi manu pericula nobis fuerint adeunda: sin seruati fuerint, rursus congressi, cõmuniter salutis rationẽ aliquam inibimus. Quin ita comparatis animis proficisci nos oportet, ut uel gloriosam mortem oppetamus, uel magni & præclari alicuius facinoris nobis laudẽ, cum tam multos Græcos seruauerimus, cõparemus. Atq; haud scio an quis fortasse deus eorum arrogantiæ uindex, in hoc eos discrimẽ impulerit, ut nos qui deorũ auspicia semper sequuti sumus, multò illis clariores redderet. Sed maturandũ iam est, atq; illud in primis uidendum, ut diligenter quæ imperata fuerint, exequamini. Hæc loquutus, agmen ducere cœpit. Equites modicis excursionibus præeuntes, atq; eos sequentes peltati in longum directis ordinibus, quicquid incendi potuit, inflammarunt: ac si quid reliqui illi fecissent, id subsequens agmen cremabat. Tota itaq; ea regio ardere uidebatur, ac quantæcunq; illæ copiæ essẽt, propter ea incendia magni proculdubio exercitus speciẽ præ se ferebant. Postremo iã nocte aduentante, collẽ subeuntes castra locarũt, è quibus hostiũ ignes cõspicere poterant: neq; enim longius, quàm stad. XL. aberant. Et hostes ipsi quasi certatim quamplurimos ignes incendebant. Iam uerò cũ milites corpora curassent, signum datum est, ut ignes extinguerent: ac deinde eam noctem dispositis custodijs somno dederunt. Prima autem luce sacris rite peractis, non aliter quàm si pugnam inituri essent, cõposito agmine, iter quanta maxime potuerũt celeritate ingressi sunt. Timasion cum equitatu duces sequutus, in eo tumulo ubi Græci obsidebãtur, prius quàm se eò uenisse animaduertisset, constitit: ubi neq; hostium, neq; sociorũ ullas copias inuenerunt: aniculas tantũ quasdam, et paucos senes, ouiculas præterea, et boues ab hostibus relictos. Quod cũ Xenophonti renunciassent, res primũ cunctis admirationi fuit: deinde ex ijs qui relicti fuerant, cognouerũt Thracas, primis se intendẽtibus tenebris, de loco abisse:

Græcos

ἐφύλαττον ἰσχυρῶς, ὅπῃ ἡγεμόνες εἶεν ὅπῃ δέοι. σκοποὺς δὲ καταστήσας δέκα, συνέλεξε τοὺς στρατιώτας, καὶ ἔλεξεν· ἄνδρες στρατιῶται, τῶν ἀρκάδων οἱ μὲν τεθνᾶσιν, οἱ δὲ λοιποὶ ἐπὶ λόφου τινὸς πολιορκοῦνται. νομίζω δ᾽ ἔγωγε εἰ ἐκεῖνοι ἀπολοῦνται, οὐδ᾽ ἡμῖν εἶναι οὐδεμίαν σωτηρίαν, οὕτω μὲν πολλῶν ὄντων πολεμίων, οὕτω δὲ τεθαρσηκότων. κράτιστον οὖν ἡμῖν ὡς τάχιστα βοηθεῖν τοῖς ἀνδράσιν, ὅπως εἰ ἔτι εἰσὶ σῷοι, σὺν ἐκείνοις μαχώμεθα, καὶ μὴ μόνοι λειφθέντες, μόνοι καὶ κινδυνεύσωμεν. νῦν μὲν οὖν στρατοπεδευσόμεθα προελθόντες, ὅσον ἂν δοκῇ καιρὸς εἶναι εἰς τὸ δειπνοποιεῖσθαι. ἕως δ᾽ ἂν πορευώμεθα, Τιμασίων ἔχων τοὺς ἱππέας, προελαυνέτω ἐφορῶν ἡμᾶς, καὶ σκοπείτω τὰ ἔμπροσθεν, ὡς μηδὲν ἡμᾶς λάθῃ. παρέπεμψε δὲ καὶ τῶν γυμνήτων ἀνθρώπους εὐζώνους εἰς τὰ πλάγια καὶ τὰ ἄκρα, ὅπως εἴ πού τι ποθὲν καθορῷεν, σημαίνοιεν. ἐκέλευε δὲ καίειν ἅπαντα ὅτῳ ἐντυγχάνοιεν καυσίμῳ. ἡμεῖς μὲν γὰρ ἀποδραίημεν ἂν οὐδαμοῦ. ἐνθένδε δὲ πολλὴ μὲν, ἔφη, εἰς ἡράκλειαν πάλιν ἀπιέναι. πολλὴ δὲ εἰς χρυσόπολιν διελθεῖν. οἱ δὲ πολέμιοι πλησίον. εἰς κάλπης δὲ λιμένα, ἔνθα χειρίσοφον νομίζομεν εἶναι εἰ σέσωσται, ἐλαχίστη ὁδός. ἀλλ᾽ ἤδη ἐκεῖσε μὲν οὔτε πλοῖα ἐστὶν οἷς ἀποπλευσούμεθα. μένουσι δὲ αὐτοῦ, οὐδεμιᾶς ἡμέρας ἐστὶ τὰ ἐπιτήδεια. τῶν δὲ πολιορκουμένων ἀπολομένων, σὺν τοῖς χειρισόφου μόνοις, κάκιόν ἐστι διακινδυνεύειν· σωθέντων δὲ, πάντας εἰς ταὐτὸν ἐλθόντας, κοινῇ τῆς σωτηρίας ἔχεσθαι. ἀλλὰ χρὴ παρασκευασαμένους τὴν γνώμην, πορεύεσθαι νῦν, ὡς ἢ εὐκλεῶς τελευτῆσαι ἔστιν, ἢ κάλλιστον ἔργον ἐργάσασθαι, ἕλληνας τοσούτους σώσαντας. καὶ ὁ θεὸς ἴσως ἄγει οὕτως, ὃς τοὺς μεγαληγορήσαντας, ὡς πλέον φρονοῦντας, ταπεινῶσαι βούλεται. ἡμᾶς δὲ τοὺς ἀπὸ τῶν θεῶν ἀρχομένους, ἐντιμοτέρους ἐκείνων καταστῆσαι. ἀλλ᾽ ἕπεσθαι χρὴ καὶ προσέχειν τὸν νοῦν, ὡς ἂν τὸ παραγγελλόμενον δύνησθε ποιεῖν. ταῦτ᾽ εἰπὼν, ἡγεῖτο. οἱ δ᾽ ἱππεῖς διασπειρόμενοι ἐφ᾽ ὅσον καλῶς εἶχον, καὶ οἱ πελτασταὶ ἐπιπαριόντες ἐπὶ τὰ ἄκρα, ἔκαιον πάντα ὅσα καύσιμα ἑώρων. καὶ ἡ στρατιὰ δὲ εἴ τι παραλελειμμένον ἐντυγχάνοιεν. ὥστε πᾶσα ἡ χώρα καίεσθαι ἐδόκει, καὶ τὸ στράτευμα πολὺ εἶναι. ἐπεὶ δὲ ὥρα ἦν, κατεστρατοπεδεύσαντο ἐπὶ λόφον ἐκβάντες, καὶ τά τε τῶν πολεμίων πυρὰ ἑώρων. ἀπεῖχον γὰρ ὡς τετταράκοντα στάδια. καὶ αὐτοὶ ὡς ἐδύναντο, πλεῖστα πυρὰ ἔκαιον. ἐπεὶ δ᾽ ἐδείπνησαν, τάχιστα παρηγγέλθη τὰ πυρὰ κατασβεννύναι ἅπαντας. καὶ τὴν μὲν νύκτα φυλακὰς ποιησάμενοι ἐκάθευδον. ἅμα δὲ τῇ ἡμέρᾳ προσευξάμενοι τοῖς θεοῖς, καὶ συνταξάμενοι ὡς εἰς μάχην, ἐπορεύοντο ᾗ ἐδύναντο τάχιστα. τιμασίων δὲ καὶ οἱ ἱππεῖς ἔχοντες τοὺς ἡγεμόνας, καὶ προελαύνοντες, ἐλάνθανον αὑτοὺς ἐπὶ τῷ λόφῳ γενόμενοι, ἔνθα ἐπολιορκοῦντο οἱ ἕλληνες, καὶ οὐχ ὁρῶσιν οὔτε τὸ φίλιον στράτευμα, οὔτε τὸ πολέμιον. καὶ ταῦτα ἀπαγγέλλουσι πρὸς τὸν ξενοφῶντα καὶ τὸ στράτευμα· γρᾴδια δὲ καὶ γερόντια καὶ προβάτια ὀλίγα, καὶ βοῦς καταλελειμμένους. καὶ τὸ μὲν πρῶτον θαῦμα ἦν, τί εἴη τὸ γεγενημένον· ἔπειτα δὲ τῶν καταλελειμμένων ἐπυνθάνοντο, ὅτι οἱ θρᾷκες εὐθὺς ἀφ᾽ ἑσπέρας ᾤχοντο ἀπιόντες.

ἕωθεν

ηὗρον δὲ καὶ τοὺς Ἕλληνας ἔφασαν οἴχεσθαι, ὅπου δὲ οὐκ εἰδέναι. ταῦτα ἀκούσαντες οἱ ἀμφὶ Ξενοφῶντα, ἐπεὶ ἠρίστησαν συσκευασάμενοι ἐπορεύοντο, βουλόμενοι ὡς τάχιστα συμμῖξαι τοῖς ἄλλοις, εἰς Κάλπης λιμένα. καὶ πορευόμενοι ἑώρων τὸν στίβον τῶν Ἀρκάδων καὶ Ἀχαιῶν κατὰ τὴν ἐπὶ Κάλπης ὁδόν. ἐπεὶ δ' ἀφίκοντο εἰς τὴν ὁδὸν, ἄσμενοί τε εἶδον ἀλλήλους, καὶ ἠσπάζοντο ὥσπερ ἀδελφούς. καὶ ἐπυνθάνοντο οἱ Ἀρκάδες τῶν ἐπὶ Ξενοφῶντα, τί τὰ πυρὰ κατασβέσειαν. ἡμεῖς μὲν γὰρ ἔφασαν, οἰόμεθα ὑμᾶς τὸ μὲν πρῶτον, ἐπειδὴ τὰ πρῶτα οὐχ ἑωρῶμεν τῆς νυκτὸς ἥξειν ἐπὶ τοὺς πολεμίους. καὶ οἱ πολέμιοι ὥς γ' ἡμῖν ἐδόκουν, τοῦτο δείσαντες ἀπῆλθον. σχεδὸν γὰρ ἀμφὶ τοῦτον τὸν χρόνον ἀπῇσαν. ἐπεὶ δὲ οὐκ ἀφικνεῖσθε, ὁ δὲ χρόνος ἐξῆκεν, ᾠόμεθ' ὑμᾶς πυθομένους τὰ παρ' ἡμῖν, φοβηθέντας οἴχεσθαι ἀποδράντας ἐπὶ θάλατταν. καὶ ἐδόκει ἡμῖν, μὴ ἀπολείπεσθαι ὑμῶν. οὕτως οὖν καὶ ἡμεῖς δεῦρο ἐπορεύθημεν. ταύτην μὲν οὖν τὴν ἡμέραν αὐτοῦ ηὐλίζοντο ἐπὶ τοῦ αἰγιαλοῦ ἐν τῷ λιμένι. τὸ δὲ χωρίον τοῦτο ὃ καλεῖται Κάλπης λιμὴν, ἔστι μὲν ἐν τῇ Θρᾴκῃ τῇ ἐν τῇ Ἀσίᾳ. ἀρξαμένη δὲ ἡ Θρᾴκη αὕτη, ἐστὶν ἀπὸ τοῦ στόματος τοῦ Πόντου μέχρις Ἡρακλείας ἐπὶ δεξιὰ εἰς τὸν Πόντον εἰσπλέοντι. καὶ τριήρει μέν ἐστιν εἰς Ἡράκλειαν ἐκ Βυζαντίου κώπαις ἡμέρας μάλα μακρᾶς, πλοῦς. ἐν δὲ τῷ μέσῳ ἄλλη μὲν πόλις οὐδεμία, οὔτε φιλία, οὔτε Ἑλληνίς, ἀλλ' ἢ Θρᾷκες, ἢ Βιθυνοί. καὶ οὓς ἂν λάβωσι τῶν Ἑλλήνων, ἢ ἐκπίπτοντας ἢ ἄλλως πως, δεινὰ ὑβρίζειν λέγονται τοὺς Ἕλληνας. ὁ δὲ Κάλπης λιμὴν ἐν μέσῳ μὲν κεῖται, ἑκατέρωθεν πλεόντων ἐξ Ἡρακλείας καὶ Βυζαντίου. ἔστι δ' ἐν τῇ θαλάττῃ προκείμενον χωρίον· τὸ μὲν εἰς τὴν θάλατταν καθῆκον αὐτοῦ, πέτρα ἀπορρώξ, ὕψος ὅπῃ ἐλάχιστον, οὐ μεῖον εἴκοσιν ὀργυιῶν. ὁ δὲ αὐχὴν ὁ εἰς γῆν ἀνήκων τοῦ χωρίου, μάλιστα τεττάρων πλέθρων τὸ εὖρος. τὸ δ' ἐντὸς τοῦ αὐχένος χωρίον, ἱκανὸν μυρίοις ἀνθρώποις οἴκησις. λιμὴν δ' ὑπ' αὐτῇ τῇ πέτρᾳ τὸ πρὸς ἑσπέραν αἰγιαλὸν ἔχων. κρήνη δὲ ἡδέος ὕδατος καὶ ἀφθόνου, ῥέουσα ἐπ' αὐτῇ τῇ θαλάττῃ, ὑπὸ τῇ ἐπικρατείᾳ τοῦ χωρίου. ξύλα δὲ πολλὰ μὲν καὶ ἄλλα, πάνυ δὲ πολλὰ καὶ καλὰ ναυπηγήσιμα ἐπ' αὐτῇ τῇ θαλάττῃ. τὸ δὲ ὄρος τὸ ἐν τῷ λιμένι, εἰς μεσόγαιαν ἀνήκει, ὅσον ἐπὶ εἴκοσι σταδίους, καὶ τοῦτο γεῶδες καὶ ἄλιθον. τὸ δὲ παρὰ θάλατταν, πλέον ἢ ἐπὶ εἴκοσι σταδίους, δασὺ, πολλοῖς καὶ παντοδαποῖς καὶ μεγάλοις ξύλοις. ἡ δ' ἄλλη χώρα καλὴ καὶ πολλή. καὶ κῶμαι ἐν αὐτῇ εἰσι πολλαί, καὶ εὖ οἰκούμεναι. φέρει γὰρ ἡ γῆ καὶ κριθὰς, καὶ πυρούς, καὶ ὄσπρια πάντα, καὶ μελίνας, καὶ σήσαμον, καὶ σῦκα ἀρκοῦντα, καὶ ἀμπέλους πολλὰς καὶ ἡδυοίνους, καὶ τἄλλα πάντα, πλὴν ἐλαιῶν. ἡ μὲν χώρα ἦν τοιαύτη. ἐσκήνουν δὲ ἐν τῷ αἰγιαλῷ ἐπὶ τῇ θαλάττῃ. εἰς δὲ τὸ πόλισμα ἂν γενόμενοι, οὐκ ἐβούλοντο στρατοπεδεύεσθαι. ἀλλὰ ἐδόκει καὶ τὸ ἐλθεῖν ἐνταῦθα, ἐξ ἐπιβουλῆς εἶναι, βουλομένων τινῶν κατοικῆσαι πόλιν. τῶν γὰρ στρατιωτῶν οἱ πλεῖστοι ἦσαν, οὐ σπάνει βίου ἐκπεπλευκότες ἐπὶ ταύτην τὴν μισθοφοράν. ἀλλὰ τὴν Κύρου ἀρετὴν ἀκούοντες, οἱ μὲν καὶ ἄνδρας ἄγοντες, πρὸς ἀνηλωκότα χρήματα· οἱ δὲ καὶ τούτων ἕτεροι ἀποδε-

Græcos item bene mane, incertum quò discessisse. Quæ cum Xenophontis milites audissent, curatis corporibus, uasa conclamarunt: cum nihil iam impensius cuperent, quàm celeriter, quoad eius fieri posset, ad Calpes portum cum suis congredi. Neq; ita multum processerant, cum in ea ipsa uia qua ad Calpes iter erat, Arcadum & Achaorum globos conspexerunt. In eandem igitur iam uiam cum descendissent, læti ac gratulabundi, non aliter se mutuò, quàm si germani fratres essent, complexi sunt. Quæsierunt de Xenophontis militibus Arcades, quanam de causa ignes extinxissent: Nos, illi inquiunt, ubi amplius uos non uidimus, noctu in hostem impetum facturos putauimus. Neque aliud metuentes barbaros discessisse iam suspicamur: eo enim ipso tempore abierunt. Cum autem tempus illud, ad quod uos expectabamus, non obijsetis, arbitrati sumus cognouisse uos, quo loco res nostræ essent, ac ipsis iam uobis timentes, ad mare fugisse. Statuimus itaque eôdem nobis, uobiscum ut congrederemur, properandum. Tunc simul diem illum in eo littore egerunt, quod è regione portus est. Ea regiuncula, qui Calpes portus dicitur, in Thraciæ est ea parte quæ Asiæ attribuitur: cuius initium est intra Pontum nauigantibus, ab ipsius Ponti ostio Heracleam usq;: ab Heraclea uero Byzantium, diei unius, illius quidem quamlongissimi cursu, triremis, remis duntaxat acta, traijcere posset. In medio nulla est, neque socia, neque Græci nominis ciuitas. Thraces & Bithyni oram eam totam incolunt, qui Græcos uel tempestate aberrantes, uel quouis alio casu in ea loca delatos, iniuriosissime tractare dicuntur. Portus ipse, medium se ab Heraclea Byzantium nauiganubus præbet. Insula in mare eminet, cuius quæ pars mare spectat, abrupta est petra: altitudo eius, qua minima est, nihilo est uiginti passuum minor. Quæ uero terra, quasi ceruix quædam ad litus pertinet, lata est passuum ferme octoginta. Ager qui in ea ceruice est, decem hominum millia facile capere posset. Sub ea de qua iam diximus petra portus se aperit, cuius littus ad occasum uergit. Fons dulcis & perennis aquæ, ex ipsa ferè maris alluuie erumpens, agrum irrigat. Lignorum magna copia, cum aliorum generum, tum eorum è quibus classes ædificantur, quæ plurima eius in maritima loci parte, & pulcherrima sunt. Mons supra portum se attollit, continentem uersus uiginti prope stadia excurrens, terrenus totus, ac minime saxosus. Pars eius quæ in mare est exposita, condensa est multis ac magnis cuiusuis generis arboribus. Campestris pars est, & aspectu, & amœnitate pulcherrima: & late sane patet, multique sunt in ea & frequentes uici. Non fert ager ordeum, triticum, leguminum quoduis genus, panicum, sesamum, ficos quamplurimas, uites item multas, & suauissimi uini feraces, atque alias huiusmodi copias, præter oleas tamen. Hic loci situs, & natura. Milites castra in littore locarunt: oppidi mœnibus se propterea non crediderunt, quod ne quo dolo circumuenirentur ueriti sunt, ab ijs, quos deducendæ coloniæ cupiditate accensos existimabant. Neque enim ex eo numero multi erant, qui uictus quæritandi causa è Græcia ad Cyri stipendia nauigassent: sed eorum partim Cyri uirtute allecti, ad eam quam impenderant pecuniam, uiros etiam secum traxerant: partim

Descriptio portus Calpes

partim ab ipsis parentibus aufugerant: nonnulli etiā liberos reliquerant, futurū rati, ut rem illis augerent, cū multos audissent Cyri fidē sequutos, rem optime gessisse. Qui igitur ea semper mente fuissent, iam nihil malebāt, quàm in Græciam se incolumes quamcelerrime restitui. Iam dies unus, postquam rursus conuenerant, transierat, cū Xenophon de educendis copijs deos sibi per sacra consulendos censuit: educendæ enim omnino erant, cum nulla iam cibaria suppeterent. Vrgebat mortuos etiam sepeliēdi cura. Cum exta bona fuissent, sequuti Arcades sunt, ac multos, eo ipso quo ceciderant loco, humarunt: quinto enim iam die ita contabuerant, ut tolli nullo pacto possent: aliquot tamen è uia sublatos, pro præsenti copia honestissimo funere extulerunt. At ijs quorum cadauera non inuenerunt, inane sepulchrum excitarunt: magnos etiā rogos extruxerunt, coronisq; eos ornarunt. His rite transactis, in castra reuerterunt, ac, quod iam tempus suadebat, cibo ac somno corpora curarunt. Postero die milites in concionem, ab Agasia Stymphalio in primis, & Eleo Hieronymo cēturionibus, atq; alijs natu maximis ex Arcadum cohortibus uocati, uenerunt. Ibi scitum fecere, qui primus de exercitu diuidendo in posterum mentionem fecisset, fraus ut ei capitalis esset: ac, ut in eos quiq; ordines, quos ante dissidium tenuerant, redirent: ijdemq;, qui ante prætores, ut rerum summæ præessent. Iam Chirisophus cum febri laborasset, sumpto medicamēto diem suum obierat: in eius locum surrogatus est Neon Asinæus. Tum Xenophon milites his uerbis alloquutus est: Iam nobis milites, pedibus iter faciundum esse, satis res ipsa declarat: nullæ enim naues præsto sunt. Et sane ut hinc proficiscamur, ipsa nos necessitas cogit: neq; enim hic est usquam, unde nobis cōmeatus cōparemus. Nos itaq; hostias cædemus: uos ita parati eritis, ut eos esse oportet, quibus si alio unquam tēpore, nunc maxime pugnandū sit: qua enim sint hostes cōfidentia, plane nostis. Tū prætores hostias immolarūt. Aruspex adfuit Arexiō Arcas: nā Silanus Ambraciotes ex Heraclea cōducta naui, se subduxerat. Cōsulentibus de profectione exta minime læta fuere, quare eo die ibidē māserūt: nec ueriti sunt nōnulli inuidiosas in Xenophontem uoces mittere, illū propter cupiditatē deducēdæ in proximæ insulæ agrū coloniæ, aruspicē corrupisse, ut ad discedendū negaret secūda exta esse. Tum Xenophō cū edicendū curasset, ut quicūq; uellet die crastini sacris interesset, atq; ut quicūq; extorū peritiā profiteretur, exta inspecturus, sacrificij tēpus obiret, hostias mactauit multis spectantib. Sacrificiū trifariam factū, neq; usquā litatū. Quæ res uehemēter militum animos conturbauit: relictis.n. ijs quos habuerāt cōmeatibus, huc uenerāt, neq; usquā nūdinādi copia fiebat. Hos cū rursus cōuocasset Xenophō, in hūc modū loquutus est: Extorū, uti uidetis milites, à profectione abhorret significatio. Cōmeatuū uero penuria interea laboramus: hac ipsa igitur nobis de re di cōsulendi. Tū à media concione quidā: Quid, inquit, mirū si litatū nō est: audiui ego heri de certis hominib. qui fortuito nauigio huc uecti sunt, Cleandrū Byzantij præfectum, multis cum nauigijs ac triremibus aduentare. Id cum milites audissent, expectandum censuerunt. Sed erat utiq; cōmeatuum causa quopiam excurrendum: est itaque de integro trifariam immolatum, neq; meliora quàm ante exta fuerunt. Tum milites cum clamore ad tabernaculum Xeno-

ἀποδεδρακότες πατέρας καὶ μητέρας. οἱ δὲ καὶ τέκνα καταλιπόντες, ὡς χρήματα αὐτοῖς κτησάμενοι, ἥξοντες πάλιν, ἀκούοντες καὶ τοὺς ἄλλους τοὺς παρὰ Κύρῳ, πολλὰ ἄγαν πράττειν. τοιοῦτοι οὖν ὄντες, ἐπεθύμουν εἰς τὴν Ἑλλάδα σώζεσθαι. ἐπειδὴ δὲ ἡμέρα ἐγένετο τῇ εἰς ταὐτὸ συνόδῳ, ἐπ' ἐξόδῳ ἐθύετο Ξενοφῶν. ἀνάγκη γὰρ ἦν ἐπὶ τὰ ἐπιτήδεια ἐξάγειν. ἐπενόει δὲ καὶ τοὺς νεκροὺς θάψαι. ἐπεὶ δὲ τὰ ἱερεῖα ἐγένετο, εἵποντο καὶ οἱ ἀρκάδες. καὶ τοὺς νεκροὺς τοὺς μὲν πλείστους ἐνταῦθά περ ἑκάστους ἔθαψαν. ἤδη γὰρ ἦσαν πεμπταῖοι, καὶ οὐχ οἷόν τι ἀναιρεῖν ἔτι ἦν. ἐνίους δὲ τοὺς ἐκ τῶν ὁδῶν συνενεγκόντες, ἔθαψαν ἐκ τῶν ὑπαρχόντων ὡς ἐδύναντο κάλλιστα. οὓς δὲ μὴ εὕρισκον, κενοτάφιον αὐτοῖς ἐποίησαν μέγα, καὶ πυρὰν μεγάλην, καὶ στεφάνους ἐπέθεσαν. ταῦτα δὲ ποιήσαντες, ἀνεχώρησαν ἐπὶ τὸ στρατόπεδον. καὶ τότε μὲν δειπνήσαντες ἐκοιμήθησαν. τῇ δ' ὑστεραίᾳ συνῆλθον οἱ στρατιῶται πάντες. συνῆγον δὲ αὐτοὺς μάλιστα ἀγασίας στυμφάλιος ὁ λοχαγός, καὶ ἱερώνυμος ἠλεῖος λοχαγός, καὶ ἄλλοι πρεσβύτατοι τῶν ἀρκάδων, καὶ δόγμα ἐποιήσαντο, ἐάν τις τοῦ λοιποῦ μνησθῇ, δίχα τὸ στράτευμα ποιεῖν, θανάτῳ αὐτὸν ζημιοῦσθαι. καὶ κατὰ χώραν ἀπιέναι, ἥπερ πρόσθεν εἶχε τὸ στράτευμα. καὶ ἄρχειν τοὺς πρόσθεν στρατηγούς. καὶ χειρίσοφος μὲν ἤδη τετελευτήκει, φάρμακον πιὼν, πυρέττων. τὰ δ' ἐκείνου νέων ὁ ἀσιναῖος παρελάμβανε. μετὰ δὲ ταῦτα ἐξαναστὰς εἶπε ξενοφῶν· ὦ ἄνδρες στρατιῶται, τὴν μὲν πορείαν ὡς ἔοικε, δηλονότι πεζῇ ποιητέον. οὐ γὰρ ἔστι πλοῖα. ἀνάγκη δὲ πορεύεσθαι ἤδη. οὐ γὰρ ἔστι μένουσι τὰ ἐπιτήδεια. ἡμεῖς μὲν οὖν θυσόμεθα, ὑμᾶς δὲ δεῖ παρασκευάζεσθαι, ὡς μαχουμένους εἴ ποτε καὶ ἄλλοτε. οἱ γὰρ πολέμιοι ἀνατεθαρσήκασιν. ἐκ τούτου ἐθύοντο οἱ στρατηγοί. μάντις δὲ παρῆν ἀρηξίων ἀρκάς. ὁ δὲ σιλανὸς ὁ ἀμβρακιώτης ἤδη ἀποδεδράκει, πλοῖον μισθωσάμενος ἐξ ἡρακλείας. θυομένοις δὲ ἐπὶ τῇ ἀφόδῳ, οὐκ ἐγίγνετο τὰ ἱερὰ καλά. ταύτην μὲν οὖν τὴν ἡμέραν ἐπαύσαντο. καί τινες ἐτόλμων λέγειν, ὡς ὁ ξενοφῶν βουλόμενος τὸ χωρίον οἰκῆσαι, πέπεικε τὸν μάντιν λέγειν, ὡς τὰ ἱερὰ οὐ γίγνεται ἐπὶ ἀφόδῳ. ἐντεῦθεν κηρύξας ξενοφῶν τῇ αὔριον παρεῖναι ἐπὶ τὴν θυσίαν τὸν βουλόμενον, καὶ μάντις εἴ τις εἴη, παραγγείλας παρεῖναι, ὡς συνθεασόμενον τὰ ἱερά, ἔθυε. καὶ ἐνταῦθα παρῆσαν πολλοί. θυομένων δὲ πάλιν εἰς τρεῖς ἐπὶ τῇ ἀφόδῳ, οὐκ ἐγίγνετο τὰ ἱερά. ἐκ τούτου χαλεπῶς εἶχον οἱ στρατιῶται. καὶ γὰρ τὰ ἐπιτήδεια ἔχοντες ἃ ἔλιπον, ἦλθον. καὶ ἀγορὰ οὐδεμία παρῆν. ἐκ τούτου συνελθόντων, εἶπε πάλιν ξενοφῶν· ὦ ἄνδρες, ἐπὶ μὲν τῇ πορείᾳ, ὡς ὁρᾶτε, τὰ ἱερὰ οὔπω γίγνεται. τῶν δ' ἐπιτηδείων ὁρῶ ὑμᾶς δεομένους. ἀνάγκη οὖν μοι δοκεῖ θύεσθαι περὶ αὐτοῦ τούτου. ἀναστὰς δέ τις, εἶπε· καὶ εἰκότως ἄρα ἡμῖν οὐ γίγνεται τὰ ἱερά. ὡς γὰρ ἐγὼ ἀπὸ τοῦ αὐτομάτου ἐχθὲς ἥκοντος πλοίου, ἤκουσά τινος, ὅτι κλέανδρος ἐκ βυζαντίου ἁρμοστὴς μέλλοι ἥξειν πλοῖα ἔχων καὶ τριήρεις. ἐκ τούτου δὲ ἀναμένειν μὲν πᾶσιν ἐδόκει. ἐπὶ δὲ τὰ ἐπιτήδεια ἀναγκαῖον ἦν ἐξιέναι, καὶ ἐπὶ τούτῳ πάλιν ἐθύετο εἰς τρεῖς, καὶ οὐκ ἐγίγνετο τὰ ἱερά. καὶ ἤδη ἐπὶ σκηνὴν ἰόντες τὴν

ἐπὶ Ξενοφῶντα, λέγοντες ὅτι οὐκ ἔχοιεν τὰ ἐπιτήδεια. ὁ δ' οὐκ ἂν ἔφη ἐξαγαγεῖν, μὴ γινομένων τῶν ἱερῶν. καὶ πάλιν τῇ ὑστεραίᾳ ἐθύετο. καὶ σχεδόν τι πᾶσα ἡ στρατιὰ διὰ τὸ μέλλειν πᾶσιν, ἐκυκλοῦντο περὶ τὰ ἱερά. τὰ δὲ θύματα ἐπιλελοίπει. οἱ δὲ στρατηγοὶ ἐξῆγον μὲν, οὐ συνεκάλεσαν δέ. ἔλεγεν οὖν ὁ Ξενοφῶν· ἴσως οἱ πολέμιοι συνειλεγμένοι εἰσὶ, καὶ ἀνάγκη μάχεσθαι. εἰ οὖν καταλιπόντες ἐν τῷ ἐρυμνῷ χωρίῳ ὡς εἰς μάχην παρεσκευασμένοι ἴοιμεν, ἴσως ἂν τὰ ἱερὰ μᾶλλον προχωροίη ἡμῖν. ἀκούσαντες δ' οἱ στρατιῶται, ἀνέκραγον, ὡς οὐδὲν δέον εἰς τὸ χωρίον ἄγειν, ἀλλὰ θύειν ὡς τάχιστα. καὶ πρόβατα μὲν οὐκέτι ἦν, βοῦς δὲ ὑφ' ἁμάξης πριάμενοι ἐθύοντο. καὶ Ξενοφῶν Κλεάνορος ἐδεήθη τοῦ Ἀρκάδος προθυμεῖσθαι, εἴ τι ἐν τούτῳ εἴη. ἀλλ' οὐδ' ὡς ἐγένετο καλὰ τὰ ἱερὰ δηλονότι. Νέων δὲ ἦν μὲν στρατηγὸς κατὰ τὸ Χειρισόφου μέρος. ἐπεὶ δὲ ἑώρα τοὺς ἀνθρώπους ὡς εἶχον δεινῶς τῇ ἐνδείᾳ, βουλόμενος αὐτοῖς χαρίζεσθαι, εὑρών τινα ἄνθρωπον Ἡρακλεώτην, ὃς ἔφη κώμας ἐγγὺς εἰδέναι, ὅθεν εἴη λαβεῖν τὰ ἐπιτήδεια, ἐκήρυξε τὸν βουλόμενον ἰέναι ἐπὶ τὰ ἐπιτήδεια, ὡς ἡγεμόνος ἐσομένου. ἐξέρχονται δὴ σὺν δορατίοις καὶ ἀσκοῖς καὶ θυλάκοις, καὶ ἄλλοις ἀγγείοις εἰς δισχιλίους ἀνθρώπους. ἐπεὶ δὲ ἦσαν ἐν ταῖς κώμαις, καὶ διεσπείροντο, ὡς ἐπὶ τὸ λαμβάνειν, ἐπιπίπτουσιν αὐτοῖς οἱ Φαρναβάζου ἱππεῖς πρῶτοι. βεβοηθηκότες γὰρ ἦσαν τοῖς Βιθυνοῖς, βουλόμενοι σὺν τοῖς Βιθυνοῖς εἰ δύναιντο ἀποκωλῦσαι τοὺς Ἕλληνας, μὴ ἐλθεῖν εἰς τὴν Φρυγίαν. οὗτοι οἱ ἱππεῖς ἀποκτείνουσι τῶν ἀνδρῶν οὐ μεῖον ἢ πεντακοσίους. οἱ δὲ λοιποὶ ἐπὶ τὸ ὄρος ἀνέφυγον. ἐκ τούτου ἀπαγγέλλει τις ταῦτα τῶν ἀποπεφευγότων εἰς τὸ στρατόπεδον. καὶ Ξενοφῶν ἐπειδὴ οὐκ ἐγεγένητο τὰ ἱερὰ ταύτῃ τῇ ἡμέρᾳ, λαβὼν βοῦν ὑπὸ ἁμάξης, οὐ γὰρ ἦν ἄλλα ἱερεῖα, σφαγιασάμενος ἐβοήθει, καὶ οἱ ἄλλοι μέχρι τριάκοντα ἐτῶν πάντες. καὶ ἀναλαβόντες τοὺς λοιποὺς ἄνδρας, εἰς τὸ στρατόπεδον ἀφικνοῦνται. καὶ ἤδη μὲν ἀμφὶ ἡλίου δυσμὰς ἦν, καὶ οἱ Ἕλληνες μάλα ἀθύμως ἔχοντες, ἐδειπνοποιοῦντο. καὶ ἐξαπίνης διὰ τῶν λασίων, τῶν Βιθυνῶν τινὲς ἐπιγενόμενοι τοῖς προφύλαξι, τοὺς μὲν κατέκανον, τοὺς δὲ ἐδίωξαν μέχρις εἰς τὸ στρατόπεδον. καὶ κραυγῆς γενομένης, εἰς τὰ ὅπλα πάντες ἔδραμον οἱ Ἕλληνες. καὶ διώκειν μὲν καὶ κινεῖν τὸ στρατόπεδον νυκτὸς, οὐκ ἀσφαλὲς ἐδόκει εἶναι. λάσια γὰρ ἦν τὰ χωρία. ἐν δὲ τοῖς ὅπλοις ἐνυκτέρευον φυλαττόμενοι, ἱκανοῖς φύλαξι μάχεσθαι. τὴν μὲν νύκτα οὕτω διήγαγον. ἅμα δὲ τῇ ἡμέρᾳ οἱ στρατηγοὶ εἰς τὸ ἐρυμνὸν χωρίον ἡγοῦντο. οἱ δὲ εἵποντο, ἀναλαβόντες τὰ ὅπλα καὶ τὰ σκεύη. πρὶν δὲ ἀρίστου ὥραν εἶναι, ἀπετάφρευσαν ᾗ ἡ εἴσοδος ἦν εἰς τὸ χωρίον. καὶ ἀπεσταύρωσαν ἅπαντα, καταλιπόντες τρεῖς πύλας. καὶ πλοῖον ἐξ Ἡρακλείας ἧκεν, ἄλφιτα ἄγον, καὶ ἱερεῖα, καὶ οἶνον. πρῲ δ' ἀναστὰς Ξενοφῶν ἐθύετο ἐπεξόδια, καὶ γίγνεται καλὰ τὰ ἱερὰ ἐπὶ τοῦ πρώτου ἱερείου. καὶ ἤδη τέλος ἐχόντων τῶν ἱερῶν, ὁρᾷ αἰετὸν αἴσιον ὁ μάντις Ἀρηξίων Παρράσιος, καὶ ἡγεῖσθαι κελεύει τὸν Ξενοφῶντα. καὶ διαβάντες τὴν τάφρον, τὰ ὅπλα τίθενται. καὶ ἐκήρυξαν ἀριστήσαντας ἐξιέναι

τοὺς

Xenophontis concurrerunt, sibi querētes nulla iam cibaria superesse. At ille se negabat eos quoquam eductum, nisi prius fuissent exta cōmodiora. Postridie sacra repetita, cum militum corona (uti fit in communi omnium solicitudine) circunstetisset, ostiae defecerunt. Praetores interea eduxerant, cum ante in unum milites non conuocassent. Tum Xenophō: Hostes, inquit, fortasse congregati sunt, & necesse fuerit pugnare: nihil igitur opinor errabimus, si relictis munito quopiam loco impedimentis, bene instructi paratiq; ad pugnam proficiscamur: ac tunc fortasse erunt exta, qualia maxime uelimus. Hic est ab uniuersis militibus uehementer acclamatum, non expedire quoquam diuertere, sed quamprimum diuinae rei operam dandum. Pecudes iam omnes consumpserāt, bouem itaque de plaustro emptum mactarunt. Xenophon Cleanorem Arcadem parare interea omnia iussit, ut si bona exta fuissent, nihil iam esset in mora. Sedenim idem fuit extorum habitus. Tum Neon, is qui in Chirisophi locum successerat, cum milites cibariorum inopia uehementer premi uideret, cumq; cognouisset ex Heracleota quodam, e proximis uicis cibaria sumi posse, ut ab exercitu gratiam iniret, edixit, ut qui sibi cibaria in promptu esse cuperēt, se sequerentur. Homines arreptis hastilis, utribus, saccis, & multis uascrū generibus, ad bis mille eum sequuti sunt. Hi in eos, quos ille monstrarat, uicos profecti, statim ad praedam discurrerunt. Ibi palātes Pharnabazi equites adoriu(hi enim se cum Bithynis coniunxerant, quo Graecos aditu Phrygiae prohiberent) ex eo numero non pauciores quingentis trucidant: reliqui in montes confugerunt. Id cum unus ex ijs qui fugerant, in castra renunciasset, Xenophon, cui eo die litatum non fuerat, boue de plaustro immolato (neq; enim erant aliunde hostiae) ad ferendum auxilium aduolat: quem omnes militari aetate, ad quinquagesimū usq; annum sequuti sunt: ac caeteris etiam assumptis, in castra perueniunt sole ferme cadente, ubi milites rebus suis magnopere diffidentes, coenam sibi curabant. At Bithyni in excubias, per syluosos & auios saltus impetum fecerunt: multos occiderunt, alios usq; ad castra persequuti sunt: clamore ac tumultu Graeci excitati ad arma accurrerunt, sed neq; hostem insequi, neq; castra noctu mouere tutum fore uisum est: in tam syluestribus locis armati pernoctarunt, ac certum hominū numerū in praesidijs ante castra collocarunt, qui hostium impetum sustinerēt: atq; eam quidem noctem ad hunc modum egere. A diluculo statim praetores in munitum castellum militem traduxerunt. Sequuti omnes sunt cum armis, uasisq; suis quisq;: atq; antequam cibum caperent, qua erat ad castellum aditus fossam duxerūt: omnia solo aequarūt, tribus tantum portis relictis. Interea ab Heraclea nauis uenit, in ea frumentum, hostiae, et uinum comportatū. Mane Xenophon cum esset castra moturus, hostias caedit: laeta fuerunt primae hostiae exta. Ac peractis iam sacris, Arexiō Parrhasius cum aquilam, faustissimā alitem uolantem conspexisset, Xenophontem iubet agmē ducere. Ibi milites fossam traijciunt, in armis consistunt: iamq; cum pransi essent, ut

arma-

armati exeant denunciatur: turba omnis, & captiui in castris manere iussi, pr*ae*tores exierunt, pr*ae*ter Neonem: expedire enim uisum est eum cum pr*ae*sidio in castris relinquere. Sed qui relicti fuerant, sibi dedecori fore putantes, quod eos qui exierant sequuti non essent, eos tantum reliquerunt, qui quadraginta quinque annorum maiores essent: ipsi iter sunt ingressi. Nondum stadia quindecim processerant, cum c*ae*sorum cadauera inuenerunt: ibi sinuato in caud*ae* formam cornu, quoscunque ambire 10 potuerunt, sepeliere. Rursum progressi, atque eodem modo cornu in caudam reflexo, quoscunque reperierunt, sepultur*ae* mandarunt: cumque iam in eam uiam uenissent, qua ad uicos iter erat, quo in loco coaceruata iacebant cadauera, omnia unum in locum comportata humarunt: iam appetente meridie, ultra uicos progressum Gr*ae*corum agmen, commeatibus pro ea, qu*ae* se ostentasset copia, cogendis intentum erat, cum repente in aduersa ui*ae* parte, per colles descendentes instructa phalange hostes magno cum e- 20 quitatu ac peditatu prospexerunt. Venerãt enim Spithridates & Rathines, à Pharnabazo cum magna manu. Hi cum Gr*ae*cos uidissent, stadiûm fere XV. spacio in medio relicto, constiterunt. Tum Arexion uates rem diuinam facit: prim*ae* hosti*ae* l*ae*ta exta fuere. Hic Xenophon: Censeo, inquit, milites ex interuallo, secundum phalangem subsidiarias cohortes locandas, ut si forte inclinarit, ill*ae* subsidio accurrant, atque ut hostes turbatis ordinibus in integram ac bene instructam aciem incidant. Eius sententia est omni- 30 bus comprobata. Vos igitur agmen, inquit, in hostes ducite, ne quid ubi hostem uiderimus, titubemus. Ego mox extremis ordinibus constitutis, consequar: nisi uobis fortasse aliter uidetur. Illi nihil cunctati pedetentim procedere c*oe*perunt. Xenophon ad extremos ordines constituendos se conuertit, sibique socios tris asciuit. Ducenûm militum tres ordines fecit, atque ex his unum, cui Samolan Ach*ae*um pr*ae*fecerat, consequi iussit uiginti pass. interuallo, secundum cornu dexterum. Post mediam aciem alter consequeba- 40 tur, duce Pyria Arcade. Iam uero tertius, cui Phrasias Atheniensis pr*ae*erat, citra l*ae*uum se cornu continebat. Cum autem ad magnum & arduum saltum, qui pr*ae*cesserant uenissent, substiterunt, incerti nunquid saltus superari posset. Centuriones & pr*ae*tores, ut pr*ae*sto sibi essent, monuerunt. Xenophon admiratus ante fuerat quid accidisset, quod progredi desiissent: iam uero ad primum monitum in principia aduolat. Quo cum Sophænetus congressus, qui e pr*ae*toribus natu erat maximus, 50 se censere dixit, non esse in tam difficilem saltum ascendendum. Ad h*ae*c continuo Xenophon: Hoc uobis, inquit, milites persuasum uelim, me quidem prudentem nullius uobis periculi autorem fore: neque enim gloriam iam uobis, sed incolumitatem expetendam intelligo. Sed ita res se habet. Non est quod speremus sine pugna nos hinc euasuros: etenim si hostes non adoriamur, illi nos, cum hinc retrocedamus, à tergo urgebunt. Considerate utrum uobis satius esse uideatur, aduersos ne nos in hostem arma

τοὺς στρατιώτας σὺν τοῖς ὅπλοις. τὸν δὲ ὄχλον καὶ τὰ ἀνδράποδα αὐτοῦ. οἱ μὲν δὴ ἄλλοι πάντες ἐξῄεσαν. νέωνα δὲ οὔ. ἐδόκει γὰρ κάλλιστον εἶναι τοῦτον φύλακα καταλιπεῖν, τῶν ἐπὶ στρατοπέδῳ. ἐπειδὴ δὲ οἱ λοχαγοὶ καὶ οἱ στρατιῶται ἀπέλιπον αὐτόν, αἰσχυνόμενοι μὴ ἕπεσθαι τῶν ἄλλων ἐξιόντων, κατέλιπον τοὺς ὑπὲρ πέντε καὶ τετταράκοντα ἔτη. καὶ οὗτοι ἔμενον, οἱ δὲ ἄλλοι ἐπορεύοντο. πρὶν δὲ πέντε καὶ δέκα στάδια διεληλυθέναι, ἐντύγχανον ἤδη νεκροῖς, καὶ τὴν οὐρὰν τοῦ κέρατος ποιη- 10 σάμενοι κατὰ τοὺς πρώτους φανέντας νεκρούς, ἔθαπτον πάντας, ὁπόσους ἐπελάμβανε τὸ κέρας. ἐπειδὴ δὲ τοὺς πρώτους ἔθαψαν, προαγαγόντες, καὶ τὴν οὐρὰν αὖθις ποιησάμενοι κατὰ τοὺς πρώτους τῶν ἀτάφων, ἔθαπτον τὸν αὐτὸν τρόπον ὁπόσους ἐπελάμβανεν ἡ στρατιά. ἐπεὶ δὲ τὴν ὁδὸν ἧκον τὴν ἐκ τῶν κωμῶν, ἔνθα ἔκειντο ἀθρόοι, συνενεγκόντες αὐτούς, ἔθαψαν. ἤδη δὲ πέρα μεσούσης τῆς ἡμέρας, προαγαγόντες τὸ στράτευμα ἔξω τῶν κωμῶν, ἐλάμβανον τὰ ἐπιτήδεια, ὅ,τι τις ὁρῴη ἐκ τῆς φάλαγγος, 20 καὶ ἐξαίφνης ὁρῶσι τοὺς πολεμίους ὑπερβάλλοντας κατὰ λόφους τινὰς ἐκ τοῦ ἐναντίου τεταγμένους ἐπὶ φάλαγγος, ἱππέας τε πολλοὺς καὶ πεζούς. καὶ γὰρ Σπιθριδάτης καὶ Ῥαθίνης ἧκον παρὰ Φαρναβάζου ἔχοντες δύναμιν. ἐπεὶ δὲ κατεῖδον τοὺς Ἕλληνας οἱ πολέμιοι, ἔστησαν ἀπέχοντες αὐτῶν ὅσον πεντεκαίδεκα σταδίους. ἐκ τούτου εὐθὺς Ἀρηξίων ὁ μάντις τῶν Ἑλλήνων, σφαγιάζεται, καὶ ἐγένετο ἐπὶ τοῦ πρώτου καλὰ τὰ σφάγια. ἐνταῦθα ὁ Ξενοφῶν λέγει· δοκεῖ μοι, ὦ ἄνδρες στρατη- 30 γοί, ἐπιτάξασθαι τῇ φάλαγγι λόχους, φύλακας, ἵνα ἤν που δέῃ ὦσιν, οἱ ἐπιβοηθήσονται τῇ φάλαγγι. καὶ οἱ πολέμιοι τεταραγμένοι ἐμπίπτωσιν, εἰς τεταγμένους καὶ ἀκεραίους. συνεδόκει ταῦτα πανταπᾶσιν. ὑμεῖς μὲν τοίνυν, ἔφη, προηγεῖσθε πρὸς τοὺς ἐναντίους, ὡς μὴ ἑστήκωμεν, ἐπεὶ ὤφθημεν καὶ εἴδομεν τοὺς πολεμίους. ἐγὼ δὲ ἥξω τοὺς τελευταίους λόχους καταχωρίσας, ᾗπερ ὑμῖν δοκεῖ. ἐκ τούτου οἱ μὲν ἡσύχως προῆγον. ὁ δὲ τρεῖς ἀφελὼν τὰς τελευταίας τάξεις ἀνὰ διακοσίους ἄν- 40 δρας, τὴν μὲν ἐπὶ τὸ δεξιόν, ἐπέτρεψεν ἐφέπεσθαι, ἀπολείποντας ὡς πλέθρον· Σαμόλας Ἀχαιὸς ταύτης ἦρχε τῆς τάξεως. τὴν δ' ἐπὶ τοῦ μέσου ἐχώρισεν ἕπεσθαι. Πυῤῥίας Ἀρκὰς ταύτης ἦρχε. τὴν δὲ μίαν ἐπὶ τοῦ εὐωνύμου. Φρασίας Ἀθηναῖος ταύτῃ ἐφειστήκει. προϊόντες δὲ ἐπεὶ ἐγένοντο οἱ ἡγούμενοι ἐπὶ νάπει μεγάλῳ καὶ δυσπόρῳ, ἔστησαν ἀγνοοῦντες εἰ διαβατέον εἴη τὸ νάπος. καὶ παρεγγυῶσι στρατηγοὺς καὶ λοχαγοὺς παριέναι ἐπὶ τὸ ἡγούμενον. καὶ ὁ Ξενοφῶν θαυμάσας ὅ,τι τὸ ἴσχον εἴη τὴν πορείαν, καὶ ταχὺ ἀκούων τὴν παρεγγύην, ἐ- 50 λαύνει ᾗ τάχιστα. ἐπεὶ δὲ συνῆλθον, λέγει Σοφαίνετος πρεσβύτατος ὢν τῶν στρατηγῶν, ὅτι οὐκ ἄξιον εἴη διαβαίνειν, τοιοῦτον ὂν τὸ νάπος. καὶ ὁ Ξενοφῶν σπουδῇ ὑπολαβὼν, ἔλεξεν· ἀλλ' ἴστε μέν με, ὦ ἄνδρες, οὐδένα πω κίνδυνον προξενήσαντα ὑμῖν ἐθελούσιον. οὐ γὰρ δόξης ὁρῶ δεομένους ὑμᾶς εἰς ἀνδρειότητα, ἀλλὰ σωτηρίας. νῦν δὲ οὕτως ἔχει. ἀμαχεὶ μὲν ἐνθένδε οὐκ ἔστιν ἀπελθεῖν. ἢν γὰρ μὴ ἡμεῖς ἴωμεν ἐπὶ τοὺς πολεμίους, οὗτοι ἡμῖν ὅταν ἀπίωμεν ἕψονται, καὶ ἐπιπεσοῦνται. ὁρᾶτε δή, πότερον κρεῖττον ἰέναι ἐπὶ τοὺς ἄνδρας προβαλλομένους

μένους τὰ ὅπλα, ἢ μεταβαλλομένους, ὄπισθεν ἡμῶν ἐπι-
όντας τοὺς πολεμίους θεάσασθαι. ἴστε γε μὲν τοι, ὅτι τὸ μὲν
ἀπιέναι ἀπὸ πολεμίων, οὐδενὶ καλῷ ἔοικε. τὸ δὲ ἐφέπε-
σθαι, καὶ τοῖς κακίοσι θάρρος ἐμποιεῖ. ἔγωγ᾽ οὖν ἥδιον
ἂν σὺν ἡμίσεσιν ἑποίμην, ἢ σὺν διπλασίοις ἀποχωροί-
ην. καὶ τούτους οἶδ᾽ ὅτι ἐπιόντων μὲν ἡμῶν οὐδ᾽ ὑμεῖς ἐλπί-
ζετε δέξασθαι ἡμᾶς. ἀπιόντων δὲ πάντες ἐπιστάμεθα,
ὅτι τολμήσουσιν ἐφέπεσθαι. τὸ δὲ διαβάντας ὄπισθεν
νάπος χαλεπὸν ποιήσασθαι μέλλοντας μάχεσθαι, ἆρ᾽ οὐ-
χὶ καὶ ἁρπάσαι ἄξιον; τοῖς μὲν γὰρ πολεμίοις ἐγώ γε
βουλοίμην εὔπορα πανταπάσι φαίνεσθαι, ὥστε ἀπο-
χωρεῖν. ἡμᾶς δὲ καὶ ἀπὸ τοῦ χωρίου δεῖ διδάσκεσθαι, ὅτι
οὐκ ἔστι μὴ νικῶσι σωτηρία. θαυμάζω δ᾽ ἔγωγε καὶ τὸ
νάπος τοῦτο, εἴ τις μᾶλλον φοβερὸν νομίζει εἶναι τῶν ἄλ-
λων, ὧν διαπεπορεύμεθα χωρίων. πῶς μὲν γὰρ δυσ-
διάβατον τὸ χωρίον, εἰ μὴ νικήσομεν τοὺς ἱππέας; πῶς
δὲ ἃ διεληλύθαμεν ὄρη; πελτασταὶ τόσοι δ᾽ ἕπον-
ται. ἢν δὲ δὴ καὶ σωθῶμεν ἐπὶ θάλατταν, πόσον τι νά-
πος ὁ πόντος; ἔνθα δὲ πλοῖα ὅσι τὰ ἀπαλλάξοντα;
οὔτε σῖτος ᾧ θρεψόμεθα μένοντες. δεήσει δὲ ἂν θᾶτ-
τον ἐκεῖ γενώμεθα θᾶττον ἐξιέναι πάλιν ἐπὶ τὰ ἐπι-
τήδεια. οὐκοῦν νῦν βέλτιον ἠριστηκότας μάχεσθαι, ἢ
αὔριον ἀναρίστους. ἄνδρες, τά τε ἱερὰ ἡμῖν καλά, οἵ τε
οἰωνοὶ αἴσιοι, τά τε σφάγια κάλλιστα. ἴωμεν ἐπὶ τοὺς ἄν-
δρας. οὐ δεῖ ἔτι τούτους, ἐπεὶ ἡμᾶς πάντας εἶδον, ἡ-
δέως δειπνῆσαι, οὐδ᾽ ὅπου ἂν ἐθέλωσι σκηνῆσαι. ἐν-
τεῦθεν οἱ λοχαγοὶ ἡγεῖσθαι ἐκέλευον. ὁ οὐδεὶς ἀντέλε-
γε. καὶ ὃς ἡγεῖτο παραγγείλας διαβαίνειν ᾗ ἕκαστος ἐ-
τύγχανε τοῦ νάπους ὤν. θᾶττον γὰρ ἂν ἀθρόον ἐδόκει
οὕτω πέραν γενέσθαι τὸ στράτευμα, ἢ εἰ κατὰ τὴν γέφυ-
ραν, ἣ ἐπὶ τῷ νάπει, ἦν ἐξεμηρύοντο. ἐπεὶ δὲ διέβησαν
παριὼν παρὰ τὴν φάλαγγα, ἔλεγεν· ἄνδρες, ἀναμι-
μνήσκεσθε ὅσας δὴ μάχας σὺν τοῖς θεοῖς ὁμόσε ἰόντες
νενικήκατε, καὶ οἷα πάσχουσιν οἱ πολεμίους φεύγον-
τες. καὶ τοῦτ᾽ ἐννοήσατε, ὅτι ἐπὶ ταῖς θύραις τῆς Ἑλλά-
δος ἐσμέν. ἀλλ᾽ ἕπεσθε ἡγεμόνι τῷ Ἡρακλεῖ, καὶ ἀλλή-
λους παρακαλεῖτε ὀνομαστί. ἡδὺ τὸ ἀνδρεῖόν τι καὶ
καλὸν νῦν εἰπόντα, καὶ ποιήσαντα μνήμην ἐν οἷς ἐθέ-
λει παρέχειν ἑαυτοῦ. ταῦτα παρελαύνων ἔλεγε, καὶ
ἅμα ὑφηγεῖτο φάλαγγος. καὶ τοὺς πελταστὰς ἑκατέ-
ρωθεν ποιησάμενοι ἐπορεύοντο ἐπὶ τοὺς πολεμίους.
παρηγγέλλετο δὲ τὰ δόρατα ἐπὶ τὸν δεξιὸν ὦμον ἔ-
χειν, ἕως σημαίνοι τῇ σάλπιγγι. ἔπειτα δὲ εἰς προβο-
λὴν καθέντας, ἕπεσθαι βάδην, καὶ μηδένα δρόμῳ διώ-
κειν. ἐκ τούτου σύνθημα παρῄει, Ζεὺς σωτήρ, Ἡρακλῆς
ἡγεμών. οἱ δὲ πολέμιοι ὑπέμενον, νομίζοντες καλὸν
ἔχειν τὸ χωρίον. ἐπεὶ δὲ ἐπλησίαζον, ἀλαλάξαντες οἱ
Ἕλληνες πελτασταὶ ἔθεον ἐπὶ τοὺς πολεμίους, πρίν τινα
κελεύειν. οἱ δὲ πολέμιοι ἀντίοι ὥρμησαν, οἵ τε ἱππεῖς,
καὶ στῖφος τῶν Βιθυνῶν. καὶ τρέπονται τοὺς πελταστὰς
ἅμα. ἐπεὶ δὲ ὑπηντίαζεν ἡ φάλαγξ τῶν ὁπλιτῶν, τα-
χὺ πορευομένη, καὶ ἅμα ἡ σάλπιγξ ἐφθέγξατο, καὶ
ἐπαιάνιζον, καὶ μετὰ ταῦτα ἠλάλαζον, καὶ ἅμα τὰ δό-
ρατα καθίεσαν. ἐνταῦθα οὐκέτι ἐδέξαντο οἱ πολέ-
μιοι, ἀλλ᾽ ἔφευγον. καὶ Τιμασίων μὲν ἔχων τοὺς ἱππέας
ἐφείπετο, καὶ ἀπεκτίννυσαν, ὅσους περ ἐδύναντο,
ὡς

arma inferre, an uero auersos urgentiũ impetum excipe-
re. Illud certe dubitare nõ debetis, QVI hosti terga uer-
tant, nõ posse fortes haberi: qui fugiẽtes insequãtur, sæpe
ex ignauis alacres & fidentes reddi. Ego me(dius fidius)
multo malim cum dimidio minore manu insequi, q̃ retro
cedere cũ duplo maiore. Et illud etiã satis scio, nihil uos
metuere, ne nostrã illi impreßionẽ sustineant. At cui du-
biũ esse poßit, ausuros nihil magis, q̃ retrocedentes inse-
qui? Erit præterea, si saltũ superauerimus, eius nobis diffi-
10 cultas à tergo relicta, magno utiq; auxilio, cũ pugnan-
dum fuerit: qua sane commoditate cupide uti debemus.
Quid enim optabilius, quàm in procliui hostibus fu-
gam esse: nobis uero nõ aliunde, quàm ex uictoria spem
salutis ostendi? Nihil autem magis miror, quàm esse qui-
busdam saltum hunc formidolosiorem, quàm tam mul-
ti fuerunt, quos ante superauimus. Est utiq;, nisi equita-
tum hostium uicerimus, difficilis ex tam importuno lo-
co exitus. Quid autẽ? quales tandẽ, quos adhuc supera-
uimus, mõtes fuerũt? qui poterimus tam multos à tergo
20 urgentes peltatos effugere? Sed fac ad mare incolumes
redeamus, quãtus deniq; saltus ipse Põtus est? Vnde uerò
naues, quib. ueheremur? Vnde frumentũ, quo, si manseri-
mus, alamur? Erit, mihi credite, quamprimũ illuc ueneri-
mus, frumentatũ nobis exeũdum: quãto uero elegantius
nũc prãsos pugnare nos, q̃ cras ieiunos? quid, quòd pul-
chra exta fuerũt? sequũda deorũ auspicia? ac bellißime li-
tatũ est? Agite uiri fortißimi, in hostem alacriter eamus:
nõ est ferendũ cœnare eos hilare in cõspectu nostro, ac
nos, quo loco ipsi uelint, pernoctare. Finẽ dicẽdi fecerat,
30 cũ cẽturiones (neq;. n. cõtradixerat quisquã) ut se duce-
ret postularũt: ac ille quidẽ ducere cœpit, cũ ante denũ-
ciasset omnib. ut q cuiq; locus obtigisset, ex eo in aduer-
sum saltũ eniterẽtur: sic. n. celerius multo uniuersum a-
gmẽ traijcere posse putauit, q̃ si per pontẽ, qui diuersas
saltus partes iũgebat, se explicassent. Cũ iam traiecißẽt,
modo hãc Xenophõ, modo illã phalãgis partẽ adibat,
atq; his propemodũ uerbis suos incitabat: Recordamini
milites, quot prælijs antè, deorũ ope freti, hostem uiceri-
tis. Cõsiderate quib. incõmodis, qui fugiũt, afficiãtur. Co-
40 gitate nos ad ipsas prope iam Græciæ portas uenisse. A-
gite, Herculẽ ducem sequimini, ac uicißim uos cohorta-
mini. Iucundũ certe futurũ est, apud quos maxime ueli-
tis, præclare dicta factaq; uestra testata relinquere. Hæc
præteruehẽs loquutus est, ac deinde in aciei se frontem
contulit. Peltati in duas alas diuisi, recta in hostes uade-
bãt. Iusserat Xenophõ, ut hastas dextero humero porta-
rẽt, usq; dũ tuba signũ dari iußisset, tũc ut infestis hastis
in hostẽ modicis paßib. ingrederẽtur, neminẽ cursim ut
insequerẽtur: Tũ tessera data, Iupiter seruator, Hercules
50 dux. Hostes primũ loco plurimũ confidere uisi sunt. In
eos peltati cũ iam prope acceßissent, antequã signũ da-
retur, cum clamore & cursu impetũ fecerũt. His hostiũ
equitatus, & Bythinorũ globus occurrit. Ac primo con-
gressu peltati terga uerterunt. Vbi uero grauis armatu-
ræ phalãx summa cum celeritate subsidio uenit, atq; eo-
dem tempore claßica cecinerũt, & pæanem ac bellicum
clamorem milites sustulerunt, hastasq; in hostem inten-
tarunt (enimuero illi iam in fugã uersi facile se ad Græ-
corum impetum sustinendũ impares esse declararũt) fu-
gientes Timasion cum equitatu insequutus, quãmulto,
parua

parua manu potuit, cecidit. Læuum hostium cornu, qua parte Græcorum equites urgebant, dißipatum est. Dexterum, quod fuerat multo leuius perculsum, in collis cuiusdam se uerticem recepit. Illam itaq; manū cum ibi constitisse Græci animaduertissent, nihil arbitrati sunt esse facilius ac tutius, quàm si in eam illico inuaderēt. Citato igitur pæane impreßionem fecere: impetum illi non sustinuerunt. Insequuti peltati sunt, usq; dum dexterum cornu fusum est: pauci sane cæsi. Hostium enim equitatus, qui plenißimus erat, Græcos retardauit. Atenimuero cum Pharnabazi equitatum adhuc stare uiderent, & ad illos Bithynos equites confugisse, qui quæ gerebantur omnia è montis uertice speculabantur: etsi iam erant labore confecti, in illos sibi tamen eundum ita, uti possent, statuerunt, ne darent hosti ad respirandum, ac uires recipiendas quicquam laxamenti. Instructi itaq; ierunt. At illi per decliuia nihilo fugerunt lentius, quā hi, quos ante equites nostri fuderant. In saltū autem descēderūt, Græcis nō ante prouisum. Quare cū iam aduesperasceret, in eum locū pedem retulerūt, ubi primū concurrerant, ac trophæo excitato, occidente iam sole, ad mare redierunt: aberāt enim castra haud minus q̄ VIII. M. paß. Tunc hostes ad agmen cogendū conuersi, seruitia, resq; suas omnes quālongißime abduxerunt. Græci Cleandrū cum triremibus ac nauigijs expectabant. Interea uero quotidie cum iumentis & mancipijs exeuntes, metu iam omni liberati, in castra triticum, ordeum, uinum, legumina, panicum, ficos comportabant. Erat enim ea regio optimarū quarunq; rerum copijs, excepto tamen oleo, refertißima: ac licebat, ubicunq; exercitus quiescendi causa commoraretur, ad prædam exire: neq; unquam nisi onusti reuertebantur. Quod si copiæ omnes exissent, quicquid seorsum ab alijs quis occupasset, id quasi publicum habebatur. Iam copiosa erant & prolixa omnia. Vndiq; in castra ex Græci nominis ciuitatibus multi, cū rebus uenalibus confluebant: ac qui ultro citroq; nauigabant, libenter eò appellebant, quippe qui oppidum eum portu Græcos munituros audissent. Miserunt etiam uicini hostes ad Xenophontem legatos (illum enim ex rumoribus acceperant nouæ urbis condendæ autorem esse) qui ex eo quærerent, quonam officij genere efficere possent, ut se in amicitiam reciperet. Eos Xenophon ad milites reiecit. Interea Cleander cum duabus triremibus uenit, nauigium uero plane nullum adduxit. Forte eo ipso tempore, quo ille appulit, milites ad prædam alio alius excurrerant. Pecoris autem magnum utiq; numerum abegerant: quod ne sibi eriperetur metuentes, Dexippum, qui paulo ante cum naui remorum L. è Trapezunte aufugerat, rogant ut eius pecoris partem sumat, reliquum sibi incolume redditum curet. Tum ille statim allegat factionis suæ populares, qui publicum illud pecus esse affirment: & ipse ad Cleandrum ueniens, renunciat Græcos ad prædas agendas se conuertisse. At ille ut ad se, qui de prædonibus capi potuissent, adducerentur, mandat. Hic cum unus ad illum traheretur, Agasiæ interuentu, quod erat ei manipularis, eripitur. Qui tunc forte aderant milites, in Dexippum, proditorem eum appellantes, cœperunt lapides iacere. Qua re perterriti, ex remigibus multi ad mare confugerunt: ipse etiam Cleander fuga se è periculo eripuit.

Xeno-

ὡς ὀλίγοι ὄντες. τῶν δὲ πολεμίων τὸ μὲν εὐώνυμον διεσπάρη, καθ' ὃ οἱ Ἑλλήνων ἱππεῖς ἦσαν. τὸ δὲ δεξιὸν ἅτε οὐ σφόδρα διωκόμενον, ἐπὶ λόφου συνέστη. ἐπεὶ δὲ εἶδον οἱ Ἕλληνες ὑπομένοντας αὐτούς, ἐδόκει ῥᾷστόν τε καὶ ἀκινδυνότατον εἶναι, ἰέναι ἤδη ἐπ' αὐτούς. παιανίσαντες οὖν εὐθὺς ἐπορεύοντο. οἱ δὲ οὐχ ὑπέμειναν. καὶ ἐνταῦθα οἱ πελτασταὶ ἐδίωκον, μέχρι τὸ δεξιὸν αὖ διεσπάσθη. ἀπέθανον δὲ ὀλίγοι. τὸ γὰρ ἱππικὸν φόβον παρεῖχε τῶν πολεμίων πολὺ ὄν. ἐπεὶ δὲ εἶδον οἱ Ἕλληνες τό τε Φαρναβάζου ἱππικὸν ἔτι συνεστηκὸς, καὶ τοὺς Βιθυνοὺς ἱππέας πρὸς τοῦτο συναθροιζομένους, καὶ ἀπὸ λόφου τινὸς καταθεωμένους τὰ γιγνόμενα, ἀπειρήκεσαν μέν· ὅμως δὲ ἐδόκει καὶ ἐπὶ τούτους ἰτέον εἶναι, οὕτως ὅπως δύναιντο, ὡς μὴ τεθαῤῥηκότες ἀναπαύσαιντο. συνταξάμενοι δὴ πορεύονται. ἐντεῦθεν οἱ πολέμιοι ἱππεῖς φεύγουσι κατὰ τοῦ πρανοῦς ὁμοίως, ὥσπερ ὑπὸ ἱππέων διωκόμενοι. νάπος γὰρ αὐτοὺς ὑπεδέχετο, ὃ οὐκ ᾔδεσαν οἱ Ἕλληνες. ἀλλὰ προαπετράποντο διώκοντες. ὀψὲ γὰρ ἦν. ἐπανελθόντες δὲ ἔνθα ἡ πρώτη συμβολὴ, στησάμενοι τρόπαιον, ἀπῄεσαν ἐπὶ θάλατταν περὶ ἡλίου δυσμάς. στάδιοι γὰρ ἦσαν ὡς ἑξήκοντα ἐπὶ τὸ στρατόπεδον. ἐντεῦθεν οἱ μὲν πολέμιοι εἶχον ἀμφὶ τὰ αὑτῶν, καὶ ἀπήγοντο τοὺς οἰκέτας, καὶ τὰ χρήματα, ὅπῃ ἐδύναντο προσωτάτω. οἱ δ' Ἕλληνες ἀνέμενον μὲν Κλέανδρον, καὶ τὰς τριήρεις, καὶ τὰ πλοῖα ὡς ἥξοντα. ἐξιόντες δὲ ἑκάστης ἡμέρας σὺν τοῖς ὑποζυγίοις καὶ τοῖς ἀνδραπόδοις, ἐφέροντο ἀδεῶς ἤδη πυροὺς, κριθὰς, οἶνον, ὄσπρια, μελίνας, σῦκα. ἅπαντα γὰρ ἀγαθὰ εἶχε, πλὴν ἐλαίου. καὶ ὁπότε μὲν καταμένοι τὸ στράτευμα ἀναπαυόμενον, ἐξῆν ἐπὶ λείαν ἰέναι, καὶ ἐλάμβανον ἐξιόντες. ὁπότε δ' ἐξίοι πᾶν τὸ στράτευμα, εἴ τις χωρὶς ἀπελθὼν λάβοι τι, δημόσιον ἐδόκει εἶναι. ἤδη δὲ ἦν πολλὴ πάντων ἀφθονία. καὶ γὰρ ἀγοραὶ πάντοθεν ἀφικνοῦντο ἐκ τῶν Ἑλληνίδων πόλεων. καὶ οἱ παραπλέοντες ἄσμενοι κατεῖχον, ἀκούοντες ὡς οἰκίζοιτο πόλις, καὶ λιμὴν εἴη. ἔπεμπον δὲ καὶ οἱ πολέμιοι πλησίον οἰκοῦντες πρὸς Ξενοφῶντα, ἀκούοντες, ὅτι οὗτος πολίζει τὸ χωρίον, ἐρωτῶντες ὅ,τι δέοι ποιοῦντας φίλους εἶναι. ὁ δ' ἐπεδείκνυεν αὐτοὺς τοῖς στρατιώταις. κἀν τούτῳ Κλέανδρος ἀφικνεῖται, δύο τριήρεις ἔχων, πλοῖον δ' οὐδέν. ἐτύγχανε δὲ τό,τε στράτευμα ἔξω ὂν ὅτε ἀφίκετο, καὶ ἐπὶ λείαν τινὲς οἰχόμενοι, ἄλλος εἰς τὸ ὄρος, καὶ εἰλήφεσαν πρόβατα πολλά. ὀκνοῦντες δὲ μὴ ἀφαιρεθεῖεν, τῷ Δεξίππῳ λέγουσιν, ὃς ἀπέδρα τὴν πεντηκόντορον ἔχων ἐκ Τραπεζοῦντος, καὶ κελεύουσι διασώσαντα τὰ πρόβατα, τὰ μὲν αὐτὸν λαβεῖν, τὰ δὲ σφίσιν αὐτοῖς ἀποδοῦναι. εὐθὺς δ' ἐκεῖνος ἀπελαύνει τοὺς περιεστῶτας τῶν στρατιωτῶν, καὶ λέγοντας, ὅτι δημόσια ταῦτ' εἴη. καὶ τῷ Κλεάνδρῳ εὐθὺς ἐλθὼν λέγει, ὅτι ἁρπάζειν ἐπιχειροῦσιν. ὁ δὲ κελεύει τὸν ἁρπάζοντα ἄγειν πρὸς αὐτόν. καὶ ὁ μὲν λαβὼν ἦγέ τινα. περιτυχὼν δ' Ἀγασίας, ἀφαιρεῖται. καὶ γὰρ ἦν αὐτῷ ὁ ἀγόμενος λοχίτης. οἱ δὲ ἄλλοι οἱ παρόντες τῶν στρατιωτῶν, ἐπιχειροῦσι βάλλειν τὸν Δέξιππον, ἀνακαλοῦντες τὸν προδότην. ἔδεισαν δὲ καὶ τῶν τριηριτῶν πολλοὶ, καὶ ἔφευγον εἰς τὴν θάλατταν. Κλέανδρος δ' ἔφευγε.

Ξενο-

Ξενοφῶν δὲ καὶ οἱ ἄλλοι στρατηγοὶ κατεκωλύοντό τε, καὶ τῷ κλεάνδρῳ ἔλεγον, ὅτι οὐδὲν εἴη πρᾶγμα. ἀλλὰ τὸ δόγμα εἴη αἴτιον τοῦ στρατεύματος, ταῦτα γενέσθαι. ὁ δὲ κλέανδρος ὑπὸ τοῦ δεξίππου τε ἀνερεθιζόμενος, καὶ αὐτὸς ἀχθεσθεὶς, ὅτι ἐφοβήθη, ἀποπλεύσεσθαι ἔφη, καὶ κηρύξειν μηδεμίαν πόλιν δέχεσθαι ὡς πολεμίους. ἦρχον δὲ τότε πάντων τῶν ἑλλήνων οἱ λακεδαιμόνιοι. ἐνταῦθα πονηρὸν ἐδόκει τὸ πρᾶγμα ἐκεῖνο εἶναι τοῖς ἕλλησι, καὶ ἐδέοντο μὴ ποιεῖν ταῦτα. ὁ δ' οὐκ ἂν ἄλλως ἔφη γενέσθαι, εἰ μή τις ἐκδώσει τὸν ἄρξαντα βάλλειν, καὶ τὸν ἀφελόμενον. ἦν δὲ ὃν ἐζήτει, ἀγασίας διὰ τέλους φίλος τῷ ξενοφῶντι, ἐξ οὗ καὶ διέβαλεν αὐτὸν ὁ δέξιππος. ἐντεῦθεν ἐπειδὴ ἀπορία ἦν, συνήγαγον τὸ στράτευμα οἱ ἄρχοντες. καὶ ἔνιοι μὲν αὐτῶν παρ' ὀλίγον ἐποιοῦντο τὸν κλέανδρον. τῷ δὲ ξενοφῶντι οὐκ ἐδόκει φαῦλον εἶναι τὸ πρᾶγμα, ἀλλ' ἀναστὰς ἔλεξεν· ὦ ἄνδρες στρατιῶται, ἐμοὶ δ' οὐ φαῦλον δοκεῖ τὸ πρᾶγμα, εἰ ἡμῖν οὕτως ἔχων τὴν γνώμην, κλέανδρος ἄπεισιν, ὥσπερ λέγει. εἰσὶ μὲν γὰρ ἤδη ἐγγὺς αἱ ἑλληνίδες πόλεις. τῆς δ' ἑλλάδος λακεδαιμόνιοι προεστήκασιν. ἱκανοὶ δέ εἰσι καὶ εἷς ἕκαστος λακεδαιμονίων ἐν ταῖς πόλεσιν ὅ,τι βούλονται διαπράττεσθαι. εἰ οὖν οὗτος πρῶτον μὲν ἡμᾶς βυζαντίου ἀποκλείσει, ἔπειτα δὲ τοῖς ἄλλοις ἁρμοσταῖς παραγγελεῖ εἰς τὰς πόλεις, μὴ δέχεσθαι ὡς ἀπιστοῦντας λακεδαιμονίοις καὶ ἀνόμους ὄντας, ἔτι δὲ πρὸς ἀναξίβιον τὸν ναύαρχον οὗτος ὁ λόγος περὶ ἡμῶν ἥξει, ὥστε χαλεπὸν εἶναι, καὶ μένειν καὶ ἀποπλεῖν. καὶ γὰρ ἐν τῇ γῇ ἄρχουσι λακεδαιμόνιοι καὶ ἐν τῇ θαλάττῃ τὸν νῦν χρόνον. οὔκουν δεῖ οὔτε ἑνὸς ἀνδρὸς ἕνεκα οὔτε δυοῖν ἡμᾶς τοὺς ἄλλους τῆς ἑλλάδος ἀπέχεσθαι, ἀλλὰ πειστέον ὅτι ἂν κελεύωσι. καὶ γὰρ αἱ πόλεις ἡμῶν ὅθεν ἐσμὲν, πείθονται αὐτοῖς. ἐγὼ μὲν οὖν, καὶ γὰρ ἀκούω δέξιππον λέγειν πρὸς κλέανδρον, ὡς οὐκ ἂν ἐποίησεν ἀγασίας ταῦτα, εἰ μὴ ἐγὼ αὐτὸν ἐκέλευσα. ἐγὼ μὲν οὖν ἀπολύω καὶ ὑμᾶς τῆς αἰτίας καὶ ἀγασίαν, ἂν αὐτὸς ἀγασίας φήσῃ, ἐμέ τινος τούτων αἴτιον εἶναι, καὶ καταδικάζω ἐμαυτοῦ, εἰ ἐγὼ πετροβολίας ἢ ἄλλου τινὸς βιαίου ἐξάρχω, τῆς ἐσχάτης δίκης ἄξιος εἶναι, καὶ ὑφέξω τὴν δίκην. φημὶ δὲ καὶ εἴ τινα ἄλλον αἰτιᾶται, ἑαυτὸν χρῆναι παρασχεῖν κλεάνδρῳ κρῖναι. οὕτω γὰρ ἂν ὑμεῖς ἀπολελυμένοι τῆς αἰτίας εἴητε. ὡς δὲ νῦν ἔχει χαλεπὸν, εἰ οἰόμενοι ἐν τῇ ἑλλάδι καὶ ἐπαίνου καὶ τιμῆς τεύξεσθαι, ἀντὶ τούτων, μηδ' ὅμοιοι τοῖς ἄλλοις ἐσόμεθα, ἀλλ' εἰρξόμεθα ἐκ τῶν ἑλληνίδων πόλεων. μετὰ ταῦτα ἀναστὰς ἀγασίας, εἶπεν· ἐγὼ, ὦ ἄνδρες, ὄμνυμι θεοὺς καὶ θεὰς, ἦ μὴν μήτε ἐμὲ ξενοφῶντα κελεῦσαι ἀφελέσθαι τὸν ἄνδρα, μήτε ὑμῶν ἄλλον μηδένα. ἰδόντι δέ μοι ἄνδρα ἀγαθὸν ἀγόμενον τῶν ἐμῶν λοχιτῶν ὑπὸ δεξίππου, ὃν ὑμεῖς ἐπίστασθε ὑμᾶς προδόντα, δεινὸν ἔδοξεν εἶναι. καὶ ἀφειλόμην ὁμολογῶ. καὶ ὑμεῖς μὲν μὴ ἐκδῶτε. ἐγὼ δ' ἐμαυτὸν ὥσπερ ξενοφῶν λέγει παρασχήσω κρῖναι κλεάνδρῳ, ὃ ἂν βούληται ποιῆσαι. τούτου ἕνεκα μήτε πολεμεῖτε λακεδαιμονίοις, σώζεσθέ τε ἀσφαλῶς ὅπῃ θέλει ἕκαστος. συμπέμψατε μέντοι ὑμῶν αὐτῶν ἑλόμενοι πρὸς κλέανδρον, οἵτινες ἐάν τι ἐγὼ παραλείπω, καὶ λέξουσιν ὑπὲρ ἐμοῦ καὶ πράξουσιν. ἐκ τούτου

ἔδωκεν

Xenophon atq; alij item duces tumultum sedare conabantur: Cleandrum docebāt, nihil esse quod metueret: in causa ut id fieret, exercitus quoddam decretum esse. At ille, quod & eum Dexippus incēderat, & erat grauiter præsenti periculo commotus, se cum sua classe abiturum minitatur: atq; edicturum omnibus ciuitatibus, ne earum ulla Græcos ad se uenientes exciperet: eo enim tempore plane Græcis omnibus imperabant Lacedæmonij. Id enimuero maxime solicitos Græcos habebat, atq; idipsum maiore in modū deprecabātur. At ille, certum sibi esse, neq; se prius sententiam mutaturū, q̄ sibi is deditus fuisset, qui primus lapides iaciēdos curasset, q̄q; eū qui cōprehensus fuerat, suis ademisset. Erat Agasias, quē ille tacite postulabat, Xenophōti summus & constātissimus amicus, atq; ex eo maxime tēpore quo in Xenophontē Dexippus criminando inuidiā concitarat. In tam ancipiti rerū statu in concionē milites uocātur. Ibi censentib. multis, nō esse eorū, quæ Cleander diceret, ratione habendam: minime dissimulandū aut contemnendum negociū Xenophōti uideri: qua cū ad dicendū surrexisset, Ego, inquit, milites, nihil existimo minus rationib. nostris conducere, q̄ si Cleāder hinc tam abalienato q̄ nunc est animo, abeat. Vicinæ sunt Græci nominis ciuitates: Græciæ nūc imperiū penes Lacedæmonios est: summa est eorū cuiusuis in qualibet urbe potestas. Quod si nos iste Byzātij aditu prohibuerit, ac deinde præfectis alijs denūciarit, ne nos quoquā intrare patiātur, quod à Spartanorū fide per summā iniuriā discesserimus, ea certe fama ad Anaxibij nauarchi aures peruadet: quā difficile tūc nobis futurū sit, uel manere, uel classe proficisci, nō est cuiquā nostrum difficile iudicare: terra enim mariq; hoc tēpore Spartani imperāt. Nō est igitur nobis cōmittendū, ut unius & alterius hominis gratia, reliqui omnes patria careāt: sed Lacedæmonijs certe, quicquid illi iusserint, parendū: quorū eæ etiā urbes, in quib. nati sumus, imperata faciunt. Equidē audio Dexippū Cleandro dixisse, nō fuisse, quæ fecerit, Agasiā facturū, nisi me ducē sequutus esset. Hic ego cū uos, tum Agasiā ipsum culpa omni liberabo. Nā si me Agasias huius facinoris autorē fuisse dixerit, nihil deprecabor, quin si me autore aut lapidato, aut quid aliud per uim factū fuerit, ipse extremo supplicio afficiar. Eodē modo cēseo, quēcunq; ille arcessierit, eū se oportere Cleādri iudicio subijcere: id .n. unū uos uniuersos præsentis piculi metu eximet. Nā, ut nūc res se habet, indignissimū certe futurū est, nos, quibus pro rerū gestarū magnitudine, laudū & honorū ab uniuersa Græcia spes proposita esse uidebatur, ne pari q̄dem cū cæteris cōditione esse posse: nempe quib. Græciæ ciuitatib. interdictū sit. Surrexit tūc Agasias: Et testor, inquit, milites deos deasq; oēs, neq; Xenophontē, neq; uestrūm aliū quenquā mihi, ut illum hominē eriperē, autores fuisse: sed cum uiderē manipularē meum, spectatū hominē trahi, ultro illū me fateor eripuisse. Neq; profecto ē qd' uos illū ad suppliciū dedatis, ego meipsum, uti Xenophon censet, Cleādro tradā: de quo ille arbitratu suo statuat. Vos hac de causa nō est quod bellū cum Lacedæmonijs geratis, aut quo minus incolumes quò quisq; uestrūm uelit, perueniatis. Vos modo nūc deligite de uobis aliquot, qui mecū ad Cleandrum ueniāt: ac si quid à me prætermissum fuerit, ipsi pro me dicant, agantq;. Tunc

z permi-

paruus manu potuit, cæcidit. Læuum hostium cornu, qua
parte Græcorum equites urgebant, dißipatum est. De/
xterum, quod fuerat multo leuius perculsum, in collis
cuiusdam se uerticem recepit. Illam itaq; manū cum ibi
constitisse Græci animaduertissent, nihil arbitrati sunt
esse facilius ac tutius, quàm si in eam illico inuaderēt. Ci
tato igitur pæane impreßionem fecere: impetum illi non
sustinuerunt. Insequuti peltati sunt, usq; dum dexterum
cornu fusum est: pauci sane cæsi. Hostium enim equita/
tus, qui plenißimus erat, Græcos retardauit. At enim eo
cum Pharnabazi equitatum adhuc stare uiderent, &
ad illos Bithynos equites confugisse, qui quæ gereban/
tur omnia è montis uertice speculabantur: etsi iam erant
labore confecti, in illos sibi tamen eundum ita, uti pos/
sent, statuerunt, ne darent hosti ad respirandum, ac ui/
res recipiendas quicquam laxamenti. Instructi itaq; ie/
runt. At illi per decliuia nihilo fugerunt lentius, quā hi,
quos ante equites nostri fuderant. In saltū autem descēde
rūt, Græcis nō ante prouisum. Quare cū iam aduesperaf
sceret, in eum locū pedem retulerūt, ubi primū concurre 20
rant, ac trophæo excitato, occidente iam sole, ad mare re
dierunt: aberāt enim castra haud minus q̄ v i i i. M. paß.
Tunc hostes ad agmen cogendū conuersi, seruitia, resq;
suas omnes quā longißime abduxerunt. Græci Cleandrū
cum triremibus ac nauigijs expectabant. Interea uero
quotidie cum iumentis & mancipijs exeuntes, metu iam
omni liberati, in castra triticum, ordeum, uinum, legumi
na, panicum, ficos comportabant. Erat enim ea regio o/
ptimarū quarunq; rerum copijs, excepto tamen oleo, re/
fertißima: ac licebat, ubicunq; exercitus quiescendi cau/ 30
sa commoraretur, ad prædam exire: neq; unquam nisi
onusti reuertebantur. Quod si copiæ omnes exissent,
quicquid seorsum ab alijs quis occupasset, id quasi pu/
blicum habebatur. Iam copiosa erant & prolixa omnia.
Vndiq; in castra ex Græci nominis ciuitatibus multi, cū
rebus uenalibus confluebant: ac qui ultro citroq; nauiga
bant, libenter eò appellebant, quippe qui oppidum cum
portu Græcos munituros audissent. Miserunt etiam uici
ni hostes ad Xenophontem legatos (illum enim ex ru/
moribus acceperant nouæ urbis condendæ autorem es/ 40
se) qui ex eo quærerent, quonam officij genere efficere
possent, ut se in amicitiam reciperet. Eos Xenophon ad
milites reiecit. Interea Cleander cum duabus triremibus
uenit, nauigium uero plane nullum adduxit. Forte eo ip/
so tempore, quo ille appulit, milites ad prædam alio ali/
us excurrerant. Pecoris autem magnum utiq; numerum
abegerant: quod ne sibi eriperetur metuentes, Dexip/
pum, qui paulo ante cum naui remorum L. è Trape/
zunte aufugerat, rogant ut eius pecoris partem sumat,
reliquum sibi incolume redditum curet. Tum ille sta/ 50
tim allegat factionis suæ populares, qui publicum illud
pecus esse affirment: & ipse ad Cleandrum ueniens, re
nunciat Græcos ad prædas agendas se conuertisse. At il
le ut ad se, qui de prædonibus capi potuissent adduce/
rentur, mandat. Hic cum unus ad illum traheretur, A/
gasiæ interuentu, quod erat ei manipularis, eripitur.
Qui tunc forte aderant milites, in Dexippum, pro/
ditorem eum appellantes, cœperunt lapides iacere.
Quæ re perterriti, ex remigibus multi ad mare confu/
gerunt: ipse etiam Cleander fuga se è periculo eripuit.
Xeno/

ὡς ὀλίγοι ὄντων. τῶν δὲ πολεμίων τὸ μὲν εὐώνυμον
διεσπάσθη, καθ᾽ ὃ οἱ τῶν ἑλλήνων ἱππεῖς ἦσαν. τὸ δὲ δεξιὸν
ἅτε οὐ σφόδρα διωκόμενον, ἐπὶ λόφου συνέστη. ἐπεὶ
δὲ εἶδον οἱ ἕλληνες ὑπομένοντας αὐτούς, ἐδόκει ῥᾷστόν
τε καὶ ἀκινδυνότατον εἶναι, ἰέναι ἤδη ἐπ᾽ αὐτούς. παιανί-
σαντες οὖν εὐθὺς ἐπέκειντο. οἱ δὲ οὐχ ὑπέμειναν. καὶ
ἐνταῦθα οἱ πελτασταὶ ἐδίωκον, μέχρι τὸ δεξιὸν αὖ δι-
εσπάσθη. ἀπέθανον δὲ ὀλίγοι. τὸ γὰρ ἱππικὸν φόβον
παρεῖχε τῶν πολεμίων πολὺ ὄν. ἐπεὶ δὲ εἶδον οἱ ἕλλη-
νες τό τε φαρναβάζου ἱππικὸν ἔτι συνεστηκός, καὶ τοὺς
βιθυνοὺς ἱππέας πρὸς τούτους συναθροιζομένους, καὶ
ἀπὸ λόφου τινὸς καταθεωμένους τὰ γιγνόμενα, ἀπειρή-
κεσαν μέν. ὅμως δὲ ἐδόκει καὶ ἐπὶ τούτους ἰτέον εἶναι,
οὕτως ὅπως δύναιντο, ὡς μὴ τεθαρρηκότες ἀναπαύ-
σαιντο. συνταξάμενοι δὴ πορεύονται. ἐντεῦθεν οἱ πο-
λέμιοι ἱππεῖς φεύγουσι κατὰ τοῦ πρανοῦς ὁμοίως, ὥσπερ
ὑπὸ ἱππέων διωκόμενοι. νάπος γὰρ αὐτοὺς ὑπεδέ-
χετο, ὃ οὐκ ᾔδεσαν οἱ ἕλληνες. ἀλλὰ προαπετράποντο
διώκοντες. ὀψία γὰρ ἦν. ἐπανελθόντες δὲ ἔνθα ἡ
πρώτη συμβολή, στησάμενοι τρόπαιον, ἀπῄεσαν ἐπὶ
θάλατταν περὶ ἡλίου δυσμάς. στάδιοι γὰρ ἦσαν ὡς
ἑξήκοντα ἐπὶ τὸ στρατόπεδον. ἐντεῦθεν οἱ μὲν πολέ-
μιοι εἶχον ἀμφὶ τὰ αὐτῶν. καὶ ἀπήγοντο τοὺς οἰκέτας, καὶ
τὰ χρήματα, ὅποι ἐδύναντο προσωτάτω. οἱ δ᾽ ἕλληνες
ἀνέμενον μὲν κλέανδρον, καὶ τὰς τριήρεις, καὶ τὰ πλοῖα ὡς
ἥξοντα. ἐξιόντες δὲ ἑκάστης ἡμέρας σὺν τοῖς ὑποζυγίοις
καὶ τοῖς ἀνδραπόδοις, ἐφέροντο ἀδεῶς ἤδη πυρούς, κρι-
θάς, οἶνον, ὄσπρια, μελίνας, σῦκα. πάντα γὰρ ἀγαθὰ εἶχε,
πλὴν ἐλαίου. καὶ ὁπότε μὲν καταμένοι τὸ στράτευμα,
ἀναπαυόμενον, ἐξῆν ἐπὶ λείαν ἰέναι, καὶ ἐλάμβανον
οἱ ἐξιόντες. ὁπότε δ᾽ ἐξίοι πᾶν τὸ στράτευμα, εἴ τις χω-
ρὶς ἀπελθὼν λάβοι τι, δημόσιον ἐδόκει εἶναι. ἤδη δὲ ἦν
πολλὴ πάντων ἀφθονία. καὶ γὰρ ἀγοραὶ πάντοθεν
ἀφικνοῦντο ἐκ τῶν ἑλληνίδων πόλεων. καὶ οἱ παραπλέον-
τες ἄσμενοι κατῆγον, ἀκούοντες ὡς οἰκίζοιτο πόλις, καὶ
λιμὴν εἴη. ἔπεμπον δὲ καὶ οἱ πολέμιοι πλησίον οἰ-
κοῦντες πρὸς ξενοφῶντα, ἀκούοντες, ὅτι οὗτος πο-
λίζει τὸ χωρίον, ἐρωτῶντες ὅ,τι δέοι ποιοῦντας φί-
λους εἶναι. ὁ δ᾽ ἐπεδείκνυεν αὐτοὺς τοῖς στρατιώταις.
κἀν τούτῳ κλέανδρος ἀφικνεῖται, δύο τριήρεις ἔχων,
πλοῖον δ᾽ οὐδέν. ἐτύγχανε δὲ τό, τε στράτευμα ἔξω ὄν,
ὅτε ἀφίκετο, καὶ ἐπὶ λείαν τινὲς οἰχόμενοι, ἄλλος εἰς τὸ
ὄρος, καὶ εἰλήφεσαν πρόβατα πολλά. ὀκνοῦντες δὲ
μὴ ἀφαιρεθεῖεν, τῷ δεξίππῳ λέγουσιν, ὃς ἀπέδρα
τὴν πεντηκόντορον ἔχων ἐκ τραπεζοῦντος. καὶ κε-
λεύουσι διασώσαντα τὰ πρόβατα, τὰ μὲν αὐτὸν λα-
βεῖν, τὰ δὲ σφίσιν αὐτοῖς ἀποδοῦναι. εὐθὺς δ᾽ ἐκεῖνος
ἀπελαύνει τοὺς περιεστῶτας τῶν στρατιωτῶν, καὶ λέγοντας,
ὅτι δημόσια ταῦτ᾽ εἴη. καὶ τῷ κλεάνδρῳ εὐθὺς ἐλθὼν
λέγει, ὅτι ἁρπάζειν ἐπιχειροῦσιν. ὁ δὲ κελεύει τὸν ἁρπά-
ζοντα, ἄγειν πρὸς αὐτόν. καὶ ὁ μὲν λαβών, ἄγει τινά.
περιτυχὼν δ᾽ ἀγασίας, ἀφαιρεῖται. καὶ γὰρ ἦν αὐτῷ ὁ
ἀγόμενος λοχίτης. οἱ δὲ ἄλλοι οἱ παρόντες τῶν στρατιω-
τῶν, ἐπιχειροῦσι βάλλειν τὸν δέξιππον, ἀνακαλοῦντες
τὸν προδότην. ἔδεισαν δὲ καὶ τῶν τριηριτῶν πολλοί, καὶ
ἔφευγον εἰς τὴν θάλατταν. κλέανδρος δ᾽ ἔφευγε.
ξενο-

ξενοφῶν δὲ καὶ οἱ ἄλλοι στρατηγοὶ κατεκώλυόν τε, καὶ τῷ κλεάνδρῳ ἔλεγον, ὅτι οὐδὲν εἴη πρᾶγμα. ἀλλὰ τὸ δόγμα εἴη αἴτιον τοῦ στρατεύματος, ταῦτα γενέσθαι. ὁ δὲ κλέανδρος ὑπὸ τοῦ δεξίππου τε ἀνερεθιζόμενος, καὶ αὐτὸς ἀχθεσθείς, ὅτι ἐφοβήθη, ἀποπλευσεῖσθαι ἔφη, καὶ κηρύξειν μηδεμίαν πόλιν δέχεσθαι ὡς πολεμίους. ἦρχον δὲ τότε πάντων τῶν ἑλλήνων οἱ λακεδαιμόνιοι. ἐνταῦθα πονηρὸν ἐδόκει τὸ πρᾶγμα ἐκεῖνο εἶναι τοῖς ἕλλησι, καὶ ἐδέοντο μὴ ποιεῖν ταῦτα. ὁ δ᾽ οὐκ ἂν ἄλλως ἔφη γενέσθαι, εἰ μή τις ἐκδώσει τὸν ἄρξαντα βάλλειν, καὶ τὸν ἀφελόμενον. ἦν δὲ ὃν ἐζήτει, ἀγασίας διὰ τέλους φίλος τῷ ξενοφῶντι, ἐξ οὗ καὶ διέβαλλεν αὐτὸν ὁ δέξιππος. ἐντεῦθεν ἐπειδὴ ἀπορία ἦν, συνήγαγον τὸ στράτευμα οἱ ἄρχοντες. καὶ ἔνιοι μὲν αὐτῶν παρ᾽ ὀλίγον ἐποιοῦντο τὸν κλέανδρον. τῷ δὲ ξενοφῶντι οὐκ ἐδόκει φαῦλον εἶναι τὸ πρᾶγμα, ἀλλ᾽ ἀναστὰς ἔλεξεν. ὦ ἄνδρες στρατιῶται, ἐμοὶ δ᾽ οὐ φαῦλον δοκεῖ τὸ πρᾶγμα, εἰ ἡμῖν οὕτως ἔχων τὴν γνώμην, κλέανδρος ἄπεισιν, ὥσπερ λέγει. εἰσὶ μὲν γὰρ ἤδη ἐγγὺς αἱ ἑλληνίδες πόλεις. τῆς δ᾽ ἑλλάδος λακεδαιμόνιοι προεστήκασιν. ἱκανοὶ δέ εἰσι καὶ εἷς ἕκαστος λακεδαιμονίων ἐν ταῖς πόλεσιν ὅ, τι βούλονται διαπράττεσθαι. εἰ οὖν οὗτος πρῶτος μὲν ἡμᾶς βυζαντίου ἀποκλείσει, ἔπειτα δὲ τοῖς ἄλλοις ἁρμοσταῖς παραγγελεῖ εἰς τὰς πόλεις, μὴ δέχεσθαι ὡς ἀπιστοῦντας λακεδαιμονίοις καὶ ἀνόμους ὄντας, ἔτι δὲ πρὸς ἀναξίβιον τὸν ναύαρχον οὗτος ὁ λόγος περὶ ἡμῶν ἥξει, ὥστε χαλεπὸν εἶναι, καὶ μένειν καὶ ἀποπλεῖν. καὶ γὰρ ἐν τῇ γῇ ἄρχουσι λακεδαιμόνιοι καὶ ἐν τῇ θαλάττῃ τὸν νῦν χρόνον. οὔκουν δεῖ οὔτε ἑνὸς ἀνδρὸς ἕνεκα οὔτε δυοῖν ἡμᾶς τοὺς ἄλλους τῆς ἑλλάδος ἀπέχεσθαι, ἀλλὰ πειστέον ὅτι ἂν κελεύωσι. καὶ γὰρ αἱ πόλεις ἡμῶν ὅθεν ἐσμέν, πείθονται αὐτοῖς. ἐγὼ μὲν οὖν, καὶ γὰρ ἀκούω δέξιππον λέγειν πρὸς κλέανδρον, ὡς οὐκ ἂν ἐποίησεν ἀγασίας ταῦτα, εἰ μὴ ἐγὼ αὐτὸν ἐκέλευσα. ἐγὼ μὲν οὖν ἀπολύω καὶ ὑμᾶς τῆς αἰτίας καὶ ἀγασίαν, ἂν αὐτὸς ἀγασίας φήσῃ, ἐμέ τινος τούτων αἴτιον εἶναι, καὶ καταδικάζω ἐμαυτοῦ, εἰ ἐγὼ πετροβολίας ἢ ἄλλου τινὸς βιαίου ἐξάρχω, τῆς ἐσχάτης δίκης ἄξιος εἶναι, καὶ ὑφέξω τὴν δίκην. φημὶ δὲ καὶ εἴ τινα ἄλλον αἰτιᾶται, ἑαυτὸν χρῆναι παρασχεῖν κλεάνδρῳ κρῖναι. οὕτω γὰρ ἂν ὑμεῖς ἀπολελυμένοι τῆς αἰτίας εἴητε. ὡς δὲ νῦν ἔχει χαλεπόν, εἰ οἰόμενοι ἐν τῇ ἑλλάδι καὶ ἐπαίνου καὶ τιμῆς τεύξεσθαι, ἀντὶ τούτων, μηδ᾽ ὅμοιοι τοῖς ἄλλοις ἐσόμεθα, ἀλλ᾽ εἰρξόμεθα ἐκ τῶν ἑλληνίδων πόλεων. μετὰ ταῦτα ἀναστὰς ἀγασίας, εἶπεν ἐγώ, ὦ ἄνδρες, ὄμνυμι θεοὺς καὶ θεάς, ἦ μὴν μήτε ἐμὲ ξενοφῶντα κελεῦσαι ἀφελέσθαι τὸν ἄνδρα, μήτε ὑμῶν ἄλλον μηδένα. ἰδόντι δέ μοι ἄνδρα ἀγαθὸν ἀγόμενον τῶν ἐμῶν λοχιτῶν ὑπὸ δεξίππου, ὃν ὑμεῖς ἐπίστασθε ὑμᾶς προδόντα, δεινὸν ἔδοξεν εἶναι. καὶ ἀφειλόμην ὁμολογῶ. καὶ ὑμεῖς μὲν μὴ ἐκδῶτε. ἐγὼ δ᾽ ἐμαυτὸν ὥσπερ ξενοφῶν λέγει παραχωρήσω κρῖναι κλεάνδρῳ, ὅ ἂν βούληται ποιῆσαι. τούτου ἕνεκα μήτε πολεμεῖτε λακεδαιμονίοις, σώζεσθέ τε ἀσφαλῶς ὅποι θέλει ἕκαστος. συμπέμψατε μέντοι ὑμῶν αὐτῶν ἑλόμενοι πρὸς κλέανδρον, οἵτινες, ἐάν τι ἐγὼ παραλείπω, καὶ λέξουσιν ὑπὲρ ἐμοῦ καὶ πράξουσιν. ἐκ τούτου

ἔδωκαν

Xenophon atq; alij item duces tumultum sedare conabantur: Cleandrum docebãt, nihil esse quod metueret: in causa ut id fieret, exercitus quoddam decretum esse. At ille, quod & eum Dexippus incẽderat, & erat grauiter præsenti periculo commotus, se cum sua classe abiturum minitatur: atq; edicturum omnibus ciuitatibus, ne earum ulla Græcos ad se uenie̋tes exciperet: eo enim tempore plane Græcis omnibus imperabant Lacedæmonij. Id enimuero maxime solicitos Græcos habebat, 10 atq; idipsum maiorẽ in modũ deprecabãtur. At ille, certum sibi esse, neq; se prius sententiam mutaturũ, q̃ sibi is deditus fuisset, qui primus lapides iaciẽdos curasset, q̀q; eũ qui cõprehensus fuerat, suis ademisset. Erat Agasias, quẽ ille tacite postulabat, Xenophõti summus & constãtissimus amicus, atq; ex eo maxime tẽpore quo in Xenophontẽ Dexippus criminando inuidiã concitarat. In tam ancipiti rerũ statu in concionẽ milites uocãtur. Ibi censentib. multis, nõ esse eorũ, quæ Cleander diceret, rationẽ habendam: minime dissimulandũ aut contemnendum negociũ Xenophõti uideri: qui cũ ad dicendũ surrexisset, Ego, inquit, milites, nihil existimo minus rationib. nostris conducere, q̃ si Cleãder hinc tam abalienato q̃ nunc est animo, abeat. Vicinæ sunt Græci nominis ciuitates: Græciæ nũc imperiũ penes Lacedæmonios est: summa est eorũ cuiusuis in qualibet urbe potestas. Quod si nos iste Byzãtij aditu prohibuerit, ac deinde præfectis alijs denũciarit, ne nos quoquã intrare patiãtur, quod à Spartanorũ fide per summã iniuriã discesserimus, ea certe fama ad Anaxibij nauarchi aures ꝑuadet: quã difficile 30 tũc nobis futurũ sit, uel manere, uel classe proficisci, nõ est cuiquã nostrum difficile iudicare: terra enim mariq; hoc tẽpore Spartani imperãt. Nõ est igitur nobis cõmittendũ, ut unius & alterius hominis gratia, reliqui omnes patria careãt: sed Lacedæmonijs certe, quicquid illi iusserint, parendũ: quorũ eæ etiã urbes, in quib. nati sumus, imperata faciunt. Equidẽ audio Dexippũ Cleandro dixisse, nõ fuisse, quæ fecerit, Agasiã facturũ, nisi me ducẽ sequutus esset. Hic ego cũ uos, tum Agasiã ipsum culpa omni liberabo. Nã si me Agasias huius facinoris 40 autorẽ fuisse dixerit, nihil deprecabor, quin si me autore aut lapidato, aut quid aliud per uim factũ fuerit, ipse extremo supplicio afficiar. Eodẽ modo cẽseo, quẽcunq; ille arcessierit, eũ se oportere Cleãdri iudicio subijcere: id .n. unũ uos uniuersos præsentis ꝑiculi metu eximet. Nã, ut nũc res se habet, indignissimũ certe futurũ est, nos, quibus pro rerũ gestarũ magnitudine, laudũ & honorũ ab uniuersa Græcia spes proposita esse uidebatur, ne pari quidem cũ cæteris cõditione esse posse: nempe quib. Græciæ ciuitatib. interdictũ sit. Surrexit tũc Agasias: Et testor, in 50 quit, milites deos deasq; oẽs, neq; Xenophontẽ, neq; uestrũm aliũ quenquã mihi, ut illum hominẽ eriperẽ, autores fuisse: sed cum uiderẽ manipularẽ meum, spectatũ hominẽ trahi, ultro illũ me fateor eripuisse: Neq; profecto ẽ q̀d uos illũ ad suppliciũ dedatis, ego meipsum, uti Xenophon censet, Cleãdro tradã: de quo ille arbitratu suo statuat. Vos hac de causa nõ est quod bellũ cum Lacedæmonijs geratis, aut quo minus incolumes quò quisq; uestrũm uelit, perueniatis. Vos modo nũc deligite de uobis aliquot, qui mecũ ad Cleandrum ueniãt: ac si quid à me prætermissum fuerit, ipsi pro me dicant, agantq;. Tunc

 permi/

permisit exercitus, ut se cum quos ipse mallet, adduceret. At ille pretores deligit. Agasias itaq;, ac simul is quem ille eripuerat, cum pretoribus ad Cleandrum ueniunt. Ibi pretores: Misit nos, inquiunt, ad te exercitus, ac iussit ut quoscunq; depoposcisses, uel omnes, uel in unum, duosue, aut plures, in potestatem tuam traderemus, quo his, cum eos iudicio conuiceris, arbitratu tuo utare. Quod si quem nostrûm in crimē uocas, ipsi presto sumus: sin aliū quenquā, cum nobis edito: ac tibi persuade, neminē nō in potestate tua futurum, qui in ditione nostra sit. Hæc illi. Agasias uero in mediū prodiens: Ego, inquit, ille sum uiri, qui eum hominē, quē Dexippus trahebat, eripui, quiq; in Dexippū lapides iaciendos iuraui. Illum enim uirū bonum ac fortem esse norā: At Dexippū eum esse, qui cum ab exercitu L. remorum naui, quam à Trapezuntijs impetraramus, præfectus fuisset, ut ea ad nauigia colligēda, quibus in patriam ueheremur, uteretur, fugiens socios prodiderit, quib. cum huc incolumis uenerat. Itaq; istius scelere apud Trapezuntios, quos L. remorum naui spoliauimus, sempiterna nobis perfidiæ nota inusta ē: ac præterea per eum non stetit, quin periremus omnes: audierat enim æque ac nos, quàm futurum esset difficile pedibus iter facientes fluuios traijcere, atq; in Græciam incolumes redire. Huic igitur ita de nobis merito, quem comprehenderat, eripui. Quod si uel tu illum hominem comprehendisses, uel de tuis quiuis, modo is à nobis non profugisset, nolito existimare me tale quicquam facturum fuisse. Illud uero cogites uelim, si me istius causa occideris, improbi te, ac nequam hominis causa, bonum ac fortem uirum occisurum. Ad hæc Cleander: Se quidem, si illa commisisset, Dexippum minime laudare: sed quocunq; ille se scelere obligasset, non oportuisse de indemnato pœnas sumi. Nam quamobrem uos postulatis, inquit, ut uobis liceat iudicio constituto causam dicere? Nunc ad uestros redite, isto uno relicto: iudicij uero diem cum uobis denunciaro, fac ut obeatis. Neq; uero aut exercitū, aut alium quenquam in crimen uoco, cum hic se fateatur fraudem commisisse. Tunc ille ipse qui fuerat ereptus: Ego, inquit, uiri optimi, etsi Cleander me iniuriam alicui intulisse putat, neq; uulneraram quenquam, neq; iaculatus fueram, tantum dixeram pecus publicum esse: scitum enim erat militum, ut cum milites prædatum exijssent, quod quisq; prædæ egisset, id publicum ut esset id tantum dixi. At ille nō aliam ob causam me comprehendit, quàm quod uoluit metu cæteros deterrere, ne quid quis indicaret: prædæ uero partem ipse ut posset contra edictum prædonibus suis diuidere. Tum Cleander: Et uero tu, quando tam es argutus, hic remane, quo de te etiam aliquid statuamus. Post hæc cum suis cibum cepit. Xenophon interea exercitum coegit ac retulit de mittendis ad Cleandrum, qui pro ijs qui illi traditi erant, deprecarentur. Decreuerunt milites ut ad Cleandrum pretores, centuriones, cumque ijs Dracontius Spartanus, ac si qui alij idonei uiderentur, uentrent, ac illum, ut eos sibi uiros condonatos uellet, rogarent. Cum iam ad eum uenissent, in hunc modum loquutus est Xenophon: Hos tu quidem uiros Cleander detines, ac eos in tuam potestatem exercitus tradidit, ut non magis de illis quàm de seipsis, ita ut esset tibi uisum, statueres. Idem nunc te exercitus obsecrat, atque obtestatur, ut eos sibi remittas, ac ne eos capite euer/

ἐκέλευσεν ἡ στρατιὰ οὕς τινας βούλοιτο προελόμενον ἰέναι. ὁ δὲ προείλετο τοὺς στρατηγούς. μετὰ ταῦτα ἐπορεύοντο πρὸς κλέανδρον ἀγασίας καὶ οἱ στρατηγοί, καὶ ὁ ἀφαιρεθεὶς ἀνὴρ ὑπὸ ἀγασίου. καὶ ἔλεγον οἱ στρατηγοί· ἔπεμψεν ἡμᾶς ἡ στρατιὰ πρὸς σέ, ὦ κλέανδρε, καὶ κελεύουσί σε, εἴτε πάντας αἰτιᾷ, κρίναντα σεαυτὸν χρῆσθαι ὅ, τι ἂν βούλῃ, εἴτ᾽ ἕνα τινὰ ἢ δύο, ἢ καὶ πλείους αἰτιᾷ, τούτους ἀξιοῦσι παρασχεῖν σοι ἑαυτοὺς εἰς κρίσιν. εἴτε οὖν ἡμῶν τινὰ αἰτιᾷ, πάρεσμέν σοι ἡμεῖς, εἴτε καὶ ἄλλον τινά, φράσον. οὐδεὶς γάρ σοι ἀπέσται, ὅς κε ἂν ἡμῖν ἐθελήσῃ πείθεσθαι. μετὰ ταῦτα παρελθὼν ὁ ἀγασίας, εἶπεν· ἐγώ εἰμι, ὦ ἄνδρες, ὁ ἀφελόμενος δεξίππου ἄγοντος τοῦτον τὸν ἄνδρα, καὶ παίειν κελεύσας δέξιππον. τοῦτον μὲν γὰρ οἶδα ἄνδρα ἀγαθὸν ὄντα. δέξιππον δὲ αἱρεθέντα οἶδα ὑπὸ τῆς στρατιᾶς ἄρχειν τῆς πεντηκοντόρου, ἧς ᾐτησάμεθα παρὰ τραπεζουντίων, ἐφ᾽ ὧτε πλοῖα συλλέγειν ὡς σωζοίμεθα. καὶ ἀποδράντα δέξιππον, καὶ προδόντα τοὺς στρατιώτας μεθ᾽ ὧν ἐσώθη. καὶ τούς τε τραπεζουντίους ἀπεστερήκαμεν τὴν πεντηκόντορον, καὶ κακοὶ δοκοῦμεν εἶναι διὰ τοῦτον. αὐτοί τε ἤδη τοῦτο ἀπολώλαμεν πάντες. ἤκουε γὰρ ὥσπερ ἡμεῖς, ὡς ἄπορον εἴη πεζῇ ἀπιόντας, τούς ποταμούς τε διαβῆναι καὶ σωθῆναι εἰς τὴν ἑλλάδα. τοῦτον οὖν τοιοῦτον ὄντα, ἀφειλόμην. εἰ δὲ σὺ ἦγες ἢ ἄλλος τίς τῶν παρὰ σοῦ, καὶ μὴ τῶν παρ᾽ ἡμῶν ἀποδράντων, εὖ ἴσθι, ὅτι οὐδὲν ἂν τούτων ἐποίησα. νόμιζε δ᾽ ἐὰν ἐμὲ νῦν ἀποκτείνῃς δι᾽ ἄνδρα δειλόν τε καὶ πονηρόν, ἄνδρα ἀγαθὸν ἀποκτείνων. ἀκούσας ταῦτα ὁ κλέανδρος, ὅτι δέξιππον μὲν οὐκ ἐπαινοίη, εἰ ταῦτα πεποιηκὼς εἴη, οὐ μέν τοι, ἔφη, νομίζειν, οὐδ᾽ εἰ παμπόνηρος ἦν δέξιππος, δίκαια πάσχειν αὐτόν. ἀλλὰ κριθέντα, ὥσπερ καὶ ὑμεῖς νῦν ἀξιοῦτε, τῆς δίκης λαχεῖν. νῦν μὲν οὖν ἄπιτε, καταλιπόντες τοῦτον τὸν ἄνδρα. ὅταν δ᾽ ἐγὼ κελεύσω, πάρεστε πρὸς τὴν κρίσιν. αἰτιῶμαι δὲ οὔτε τὴν στρατιάν, οὔτε ἄλλον μηδένα, ἐπεί γε οὗτος αὐτὸς ὁμολογεῖ ἀφελέσθαι τὸν ἄνδρα. ὁ δ᾽ ἀφαιρεθείς, εἶπεν· ἐγώ, ὦ ἄνδρες, εἰ καὶ οἴει με ἀδικοῦντά τι ἄγεσθαι, οὔτ᾽ ἔπαιον οὐδένα, οὔτ᾽ ἔβαλλον, ἀλλ᾽ εἶπον ὅτι δημόσια εἴη τὰ πρόβατα. ἦν γὰρ τῶν στρατιωτῶν δόγμα, εἴ τις ὁπότε ἡ στρατιὰ ἐξίοι ἰδίᾳ λῄζοιτο, δημόσια εἶναι τὰ ληφθέντα. ταῦτ᾽ εἶπον. καὶ ἐκ τούτου μεταλαβών με οὗτος, ἦγεν, ἵνα μὴ φθέγγοιτο μηδείς, ἀλλ᾽ αὐτὸς λαβὼν τὸ μέρος διασώσειε τοῖς λῃσταῖς παρὰ τὴν ῥήτραν τὰ χρήματα. πρὸς ταῦτα ὁ κλέανδρος εἶπεν· ἐπεὶ τοίνυν τοιοῦτος εἶ, κατάμενε ἵνα καὶ περὶ σοῦ βουλευσώμεθα. ἐκ τούτου οἱ μὲν ἀμφὶ κλέανδρον ἠρίστων. τὴν δὲ στρατιὰν συνήγε ξενοφῶν, καὶ συνεβούλευε πέμψαι ἄνδρας πρὸς κλέανδρον, παραιτησομένους περὶ τῶν ἀνδρῶν. ἐκ τούτου ἔδοξεν αὐτοῖς πέμψαντας, στρατηγοὺς καὶ λοχαγούς, καὶ δρακόντιον σπαρτιάτην, καὶ τῶν ἄλλων οἳ ἐδόκουν ἐπιτήδειοι εἶναι, δεῖσθαι κλεάνδρου κατὰ πάντα τρόπον ἀφεῖναι τὼ ἄνδρε. ἐλθὼν δὲ ξενοφῶν, λέγει· ἔχεις μέν, ὦ κλέανδρε, τοὺς ἄνδρας, καὶ ἡ στρατιά σοι ἐφεῖτο ὅ, τι ἐβούλου ποιῆσαι, καὶ περὶ τούτων, καὶ περὶ ἑαυτῶν ἁπάντων. νῦν δέ σε αἰτοῦνται καὶ δέονται, δοῦναι σφίσι τὼ ἄνδρε, καὶ μὴ κατακαίνειν.

παίνειν. πολλὰ γὰρ ἐν τῷ πρόσθεν χρόνῳ περὶ τὴν στρατιὰν ἐμοχθήσατε. ταῦτα δέ σου τυχόντες, ὑπισχνοῦνταί σοι ἀντὶ τούτων, ἐὰν βούλῃ ἡγεῖσθαι αὐτῶν, καὶ ἐὰν οἱ θεοὶ ἵλεῳ ὦσιν, ἐπιδείξειν σοι καὶ ὡς κόσμιοί εἰσι, καὶ ὡς ἱκανοὶ τῷ ἄρχοντι πειθόμενοι, τοὺς πολεμίους σὺν τοῖς θεοῖς μὴ φοβεῖσθαι. δέονται δέ σου καὶ τοῦτο. παραγενόμενον καὶ ἄρξαντα ἑαυτῶν, πεῖραν λαβεῖν, καὶ Δεξίππου καὶ σφῶν καὶ τῶν ἄλλων οἷος ἕκαστός ἐστι, καὶ τὴν ἀξίαν ἑκάστοις νέμειν. ἀκούσας ταῦτα ὁ Κλέανδρος, ἀλλὰ ναὶ μὰ τοὺς θεούς, ἔφη, ταχύ τοι ὑμῖν ἀποκρινοῦμαι, καὶ τώ τε ἄνδρε ὑμῖν δίδωμι, καὶ αὐτὸς παρέσομαι. καὶ ἐὰν οἱ θεοὶ παραδιδῶσί τι, ἐξηγήσομαι εἰς τὴν Ἑλλάδα. καὶ πολλοὶ οἱ λόγοι οὗτοι ἀντίοι εἰσὶν, ἢ οὓς ἐγὼ περὶ ὑμῶν ἐνίων ἤκουον, ὡς τὸ στράτευμα ἀφιστάτε ἀπὸ Λακεδαιμονίων. ἐκ τούτου οἱ μὲν ἐπαινοῦντες ἀπῆλθον τὼ ἄνδρε. Κλέανδρος δὲ ἐθύετο τὰ ἐπὶ τῇ πορείᾳ, καὶ συνῆν Ξενοφῶντι φιλικῶς, καὶ ξενίαν συνεβάλλοντο. ἐπεὶ δὲ καὶ ἑώρα αὐτοὺς τὸ παραγγελλόμενον εὐτάκτως ποιοῦντας, καὶ μᾶλλον ἐπεθύμει ἡγεμὼν γενέσθαι αὐτῶν. ἐπεὶ μέντοι θυομένῳ αὐτῷ ἐπὶ τρεῖς ἡμέρας, ὡς οὐκ ἐγίγνετο τὰ ἱερὰ, συγκαλέσας τοὺς στρατηγοὺς, εἶπεν· ἐμοὶ μὲν οὐκ ἐθέλει γενέσθαι τὰ ἱερὰ ἐξάγειν. ὑμεῖς μέντοι μὴ ἀθυμεῖτε τούτου ἕνεκα. ὑμῖν μὲν γὰρ, ὡς ἔοικε, δέδοται ἐκκομίσαι τοὺς ἄνδρας, ἀλλὰ πορεύεσθε. ἡμεῖς δὲ ὑμᾶς ἐπειδὰν ἐκεῖσε ἥκητε, δεξόμεθα, ὡς ἂν δυνώμεθα κάλλιστα. ἐκ τούτου ἔδοξε τοῖς στρατιώταις δοῦναι αὐτῷ τὰ δημόσια πρόβατα. ὁ δὲ δεξάμενος, πάλιν αὐτοῖς ἀπέδωκε. καὶ αὐτὸς μὲν ἀπέπλει. οἱ δὲ στρατιῶται διαθέμενοι τὸν σῖτον, ὃν ἦσαν συγκεκομισμένοι, καὶ τἄλλα ἃ εἰλήφεσαν, ἐξεπορεύοντο διὰ τῶν Βιθυνῶν. ἐπεὶ δὲ οὐδενὶ ἐνετύγχανον πορευόμενοι τὴν ὀρθὴν ὁδὸν, ὥστ᾽ ἔχοντές τι εἰς τὴν φιλίαν διεξελθεῖν, ἔδοξεν αὐτοῖς τοὔμπαλιν ὑποστρέψαντας, ἐλθεῖν μίαν ἡμέραν καὶ νύκτα. τοῦτο δὲ ποιήσαντες, ἔλαβον πολλὰ καὶ ἀνδράποδα καὶ πρόβατα. καὶ ἀφίκοντο ἑκταῖοι εἰς Χρυσόπολιν τῆς Χαλκηδονίας, καὶ ἐκεῖ ἔμειναν ἡμέρας ἑπτὰ, τὰ λάφυρα πωλοῦντες.

euertas: multis enim ante hoc tempus meritis, ac laboribus hanc sibi exercitus gratiam pepererũt: ijdemq; si tua misericordia ab imminenti periculo fuerint liberati, promittunt ac spondent, pro tua in se clementia, si dux sibi esse uolueris, re ipsa demonstraturos (dii modo propitij sint) & moderatos se esse, ac ducum suorum dicto tam audientes, ut dis freti, nunquã sibi hostem metuẽdum putent. Illud nunc te orant, ut cum in fidem se tuam, ac potestatem receperis, periculum facias de Dexippo, seq; et alijs, quis quisq; fide ac uirtute sit, atq; pro merito cuiq; suo honorẽ habeas. Hæc cum Cleander audisset, Per, inquit, deos uobis respondere nihil cunctabor. Viros uobis reddo, ipse etiam ubi opus fuerit, adero: ac si per deorum auspicia licitum fuerit, uos in Græciam reducam. Est enim oratio uestra ab ijs, quos apud me nonnulli sermones habuerunt, longe diuersa: aiebant enim illi, exercitum uos à Lacedæmoniorum fide abducere. Hæc cum Cleander respondisset, ad suos uiri illi quos ante detinuerat, redierũt. Cleander rem diuinam ad suscipiẽdum iter fecit, & cum Xenophonte plane amanter ac familiariter congressus est, atq; inter se hospitium iunxerunt. Multo uero magis Græcis ducem se præbere optauit, posteaquam rato certoq; ordine ab illis, quodcunq; mãdaretur, effici animaduertit. Sed enim cum triduum immolasset, litatum nõ est. Hic ille prætoribus conuocatis, Non potui, inquit, qualia optabam exta nancisci. Vos uero nihil est quod hac de causa animum despondeatis. Vestram hanc dii gloriã esse uolunt, ut hunc exercitum in Græciam reporteus: proficiscimini igitur. Nostrũm erit cum Græciam attigeritis, uos illic quambellissime accipere. Ibi milites publicum pecus Cleandro donandum censuerunt. Quod cum accepisset, rursus illis reddidit, ac deinde quãprimum soluit. Græci frumento, quod undecunq; comportarant, diuiso, atq; item reliqua præda, per Bithynos iter facere cœperunt. At ubi recta proficiscentes, neminem omnino offenderunt. neq; quo in pacatum agrum diuerterent se habere uiderunt, retrocedentes diem unum ac noctem totam in itinere fuere. At multos quidem interea cum homines, tum oues ceperunt. Sexto denique die Chrysopolin, quæ Chalcedoniæ ciuitas est, uenerunt, ubi septem ipsos dies in uendenda præda occupati fuere.

ΞΕΝΟΦΩΝΤΟΣ
ΚΥΡΟΥ ΑΝΑΒΑΣΕΩΣ ΕΒΔΟΜΟΝ.

Ὅσα μὲν δὴ ἐν τῇ ἀναβάσει τῇ μετὰ Κύρου ἔπραξαν οἱ Ἕλληνες, μέχρι τῆς μάχης, καὶ ὅσα ἐπεὶ Κῦρος ἐτελεύτησεν ἐν τῇ πορείᾳ μέχρις εἰς τὸν Πόντον ἀφίκοντο, καὶ ὅσα μὲν ἐκ τοῦ Πόντου πεζοὶ ἐξιόντες καὶ πλέοντες ἐποίουν, μέχρις ἔξω τοῦ στόματος ἐγένοντο ἐν Χρυσοπόλει τῆς Ἀσίας, ταῦτα ἐν τῷ πρόσθεν λόγῳ δεδήλωται. ἐκ τούτου δὲ Φαρνάβαζος φοβούμενος τὸ στράτευμα, μὴ ἐπὶ τὴν αὐτοῦ ἀρχὴν στρατεύηται, πέμψας πρὸς Ἀναξίβιον τὸν ναύαρχον, ὁ δὲ ἔτυχεν ἐν Βυζαντίῳ ὤν, ἐδεῖτο διαβιβάσαι τὸ στράτευμα ἐκ τῆς Ἀσίας. καὶ ὑπισχνεῖτο πάντα ποιήσειν αὐτῷ ὅσα δέοι. καὶ Ἀναξίβιος μετεπέμψατο τοὺς

XENOPHONTIS
DE CYRI MINORIS EXPEDITIONE LIBER SEPTImus, Romulo Amasæo interp.

Qvae gesta sint à Græcis in expeditione Cyro duce suscepta, usq; ad præliũ: ac deinde post Cyri mortẽ in itinere, donec in Pontũ uenere: ad hæc, quẽadmodũ e Põto partim nauibus, partim uerò pedib. egressi sint, usq; quo Chrysopolin Asiæ urbem extra Põti ostium sitã, accesserunt, in superiorib. cõmentarijs exposuimus. Hæc uero postea cõsequuta sunt. Pharnabazus cum metueret ne copiæ illæ in suam prouinciam inuaderent, legatis ad Anaxibium nauarchum, qui tunc Byzantij erat, missis, ab eo contendit, ut nostrum exercitum quamprimum ex Asia traijciendum curaret, pollicitus se quicquid ad eam traiectionẽ pertineret, administraturum. Cui obsequutus Anaxibius, præ/

prætores & centuriones Byzantium euocat, ac se illis stipendium, simulac traiecissent, daturum pollicitus est. Ibi cum alij tempus sibi ad deliberandum sumpsissent, Xenophon respondit, à reliquo exercitu statim se discessurum, ac Byzantium uenturum. Anaxibius uero affirmabat, non ante ei discedendũ, quàm cum cæteris traiecisset: neq; sibi ille secus faciendum statuit. Interea Seuthes Thrax, per Medosaden nuncium suum Xenophōtem hortatur, ut ad traijciēdum quamprimum militum animos incitet: quod si fecerit, præclare cum ipso actum iri. Atqui, ille respondit, traiectionem non possum ego utiq; præstare, quare hoc nomine neq; mihi, neq; alij quicquam Seuthes pendat: postea uero quàm exercitus transportatus iam fuerit, ego sane me seiungam. Cum ijs autem qui manserint, quos ex re usuq; suo fore putarit, perinde ac ei cōmodum fuerit, ita agat. Exinde Byzãtium uniuersi milites transmiserunt. Quibus non modo stipendium Anaxibius non pendit, sed edixit etiam, ut cum armis impedimētisq; quã primum exirent: simulans ille quidem se, censu habito, illos statim remissurum. Quod sane factum Græci molestissime tulerunt, atq; eo maxime quod pecuniæ ad uictum nulla reliqua erat. Lente igitur, & contracto quodammodo animo se ad iter comparabant. Xenophō cum Cleãdri urbis præfecti hospitio uteretur, ad eum uenit, ac hominem complexus, ut qui amicos digredientes ualere iubent, se statim soluturum præ se tulit. At ille: Ne feceris, inquit, ne tibi sit grauis inuidia sustinenda: non desunt enim qui per te stare dicant, quo minus quamcelerrime exercitus exeat. Ego uero, inquit Xenophon, culpa omnino uaco: id enim est unum militibus impedimento, quod in promptu uiaticum non habent: atq; ob hanc causam & animi anguntur, & cũctantur. At ego, inquit ille, suadeo, ut rebus omnib. ad iter faciēdum cōparatis, unà cum cæteris exeas: deinde cum totum agmen extra portas iam fuerit, licebit quò uoles abire. Ad hæc Xenophon, se ita facturum, simulac Anaxibium conuenisset, respondit. Re audita Anaxibius, ut cum rebus suis quamprimũ exeãt, imperat: ac ut suos moneant, quemcunq; in recensendo abesse norit, illum se hostis loco habiturũ. Exierunt itaq; primi omnium prætores, tum reliqui consequuti sunt, ac iam intra mœnia reliqui erãt pauci. Eteonicus ad portas stabat, ut simulac exijssent, portas oppositis uectib. occluderet. Anaxibus prætorib. & centurionib. aduocatis: Cōmeatus, inquit, ex Thraciæ uicis uobis sumetis: est enim ibi & ordei, & tritici magnus numerus, atq; eorum quæ ad uictum pertinent omnium, præclara sane copia: quæ cum acceperitis, in Chersonesum uobis eundum est, illic Cyniscus stipendium dabit. Hæc uel quod milites aliquot subaudissent, uel quod de centurionum numero quis eum sermonem protulisset, ad cunctorum sane aures permanarunt. Quare dum prætores diligenter ex Anaxibio quærunt de Seuthe, amici ne loco, an hostis esset habendus: et an per sacrum montem, an uero per mediam Thraciam longiore ambitu iter esset faciundum: interea dum hæc illi percontantur, arreptis armis milites ad portas cursu redeunt, ac rursus intra muros irrumpere contendunt. Quod ubi Eteonicus, quiq; cum eo erant, animaduerterunt, confestim portas oppositis uectibus occludunt. At milites repagula perfringere conabantur, clamantes magna se iniuria affici, quod hostibus obijcerentur:

portas

τοὺς στρατηγοὺς καὶ λοχαγοὺς τῶν στρατιωτῶν εἰς Βυζάντιον. καὶ ὑπισχνεῖτο εἰ διαβαῖεν, μισθοφορὰν ἔσεσθαι τοῖς στρατιώταις. οἱ μὲν δὴ ἄλλοι ἔφασαν βουλευόμενοι ἀπαγγέλλειν. Ξενοφῶν δὲ εἶπεν αὐτῷ, ὅτι ἀπαλλάξοιτο ἤδη ἀπὸ τῆς στρατιᾶς, καὶ βούλοιτο ἀποπλεῖν. ὁ δὲ Ἀναξίβιος ἐκέλευσεν αὐτὸν συνδιαβάντα, ἔπειτα οὕτως ἀπαλλάττεσθαι. ἔφη οὖν ταῦτα ποιήσειν. Σεύθης δὲ ὁ Θρᾷξ πέμπει Μηδοσάδην, καὶ κελεύει Ξενοφῶντα συμπροθυμεῖσθαι, ὅπως διαβῇ τὸ στράτευμα. καὶ ἔφη αὐτῷ ταῦτα συμπροθυμηθέντι, οὐ μεταμελήσειν. ὁ δ᾽ εἶπεν· ἀλλὰ τὸ μὲν στράτευμα οὐ διαβήσεται· τούτου ἕνεκα μηδὲν τελείτω, μήτε ἐμοί, μήτε ἄλλῳ μηδενί. ἐπειδὰν δὲ διαβῇ, ἐγὼ μὲν ἀπαλλάξομαι. πρὸς δὲ τοὺς διαμένοντας καὶ ἐπικαιρίους ὄντας, προσφερέσθω, ὡς ἂν αὐτῷ δοκῇ. ἐκ τούτου διαβαίνουσι πάντες εἰς Βυζάντιον οἱ στρατιῶται. καὶ μισθὸν μὲν οὐκ ἐδίδου ὁ Ἀναξίβιος. ἐκήρυξε δὲ λαβόντας τὰ ὅπλα καὶ τὰ σκεύη τοὺς στρατιώτας, ἐξιέναι, ὡς ἀποπέμψων τε ἅμα καὶ ἀριθμὸν ποιήσων. ἐνταῦθα οἱ στρατιῶται ἤχθοντο, ὅτι οὐκ εἶχον ἀργύριον ἐπισιτίζεσθαι εἰς τὴν πορείαν, καὶ ὀκνηρῶς συνεσκευάζοντο. καὶ ὁ Ξενοφῶν Κλεάνδρῳ τῷ ἁρμοστῇ ξένος γεγενημένος, προσελθὼν ἠσπάζετο αὐτόν, ὡς ἀποπλευσόμενος ἤδη. ὁ δ᾽ αὐτῷ λέγει· μὴ ποιήσῃς ταῦτα· εἰ δὲ μή, ἔφη, αἰτίαν ἕξεις, ἐπεὶ καὶ νῦν τινὲς ἤδη σὲ αἰτιῶνται, ὅτι οὐ ταχὺ ἐξέρπει τὸ στράτευμα. ὁ δ᾽ εἶπεν· ἀλλ᾽ αἴτιος μὲν ἔγωγε οὐκ εἰμὶ τούτου. οἱ δὲ στρατιῶται αὐτοὶ ἐπισιτισμοῦ δεόμενοι, καὶ οὐκ ἔχοντες, διὰ τοῦτο ἀθυμοῦσι πρὸς τὴν ἔξοδον. ἀλλ᾽ ὅμως, ἔφη, ἐγώ σοι συμβουλεύω, ἐξελθεῖν μὲν ὡς πορευσόμενον. ἐπειδὰν δ᾽ ἔξω γένηται τὸ στράτευμα, τότε ἀπαλλάττεσθαι. ταῦτα τοίνυν, ἔφη ὁ Ξενοφῶν, ἐλθόντες πρὸς Ἀναξίβιον διαπραξόμεθα. οὕτως ἐλθόντες ἔλεγον ταῦτα. ὁ δὲ ἐκέλευσεν οὕτω ποιεῖν, καὶ τὴν ταχίστην ἐξιέναι συνεσκευασμένους, καὶ προσανειπεῖν, ὃς ἂν μὴ παρῇ εἰς τὴν ἐξέτασιν καὶ τὸν ἀριθμόν, ὅτι αὐτὸς αὑτὸν αἰτιάσεται. ἐντεῦθεν ἐξῄεσαν οἵ τε στρατηγοὶ πρῶτον, καὶ οἱ ἄλλοι. καὶ ἤδη τε πάντες πλὴν ὀλίγων ἔξω ἦσαν, καὶ Ἐτεόνικος εἱστήκει παρὰ τὰς πύλας, ὡς ὁπόταν ἔξω γένωνται πάντες, ἀποκλείσων τὰς πύλας καὶ τὸν μοχλὸν ἐμβαλῶν. ὁ δὲ Ἀναξίβιος συγκαλέσας τοὺς στρατηγοὺς καὶ τοὺς λοχαγούς, ἔλεγε· τὰ μὲν ἐπιτήδεια, ἔφη, λαμβάνετε ἐκ τῶν Θρᾳκίων κωμῶν. εἰσὶ δὲ αὐτόθι πολλαὶ κριθαὶ καὶ πυροί, καὶ τἆλλα τὰ ἐπιτήδεια. λαβόντες δὲ πορεύεσθε εἰς τὴν Χερρόνησον. ἐκεῖ δὲ Κυνίσκος ὑμῖν μισθοδοτήσει. ἐπακούσαντες δέ τινες τῶν στρατιωτῶν ταῦτα, ἢ καὶ τῶν λοχαγῶν τις, διαγγέλλει εἰς τὸ στράτευμα. καὶ οἱ μὲν στρατηγοὶ ἐπυνθάνοντο περί τε Σεύθου, πότερα πολέμιος εἴη ἢ φίλος, καὶ πότερα διὰ τοῦ ἱεροῦ ὄρους δέοι πορεύεσθαι, ἢ κύκλῳ διὰ μέσης τῆς Θρᾴκης. ἐν ᾧ δὲ οὗτοι ταῦτα διελέγοντο, οἵ τε στρατιῶται ἀναρπάσαντες τὰ ὅπλα, θέουσι δρόμῳ πρὸς τὰς πύλας, ὡς πάλιν πρὸς τὸ τεῖχος εἰσιόντες. ὁ δὲ Ἐτεόνικος, καὶ οἱ σὺν αὐτῷ, ὡς εἶδον προσθέοντας τοὺς ὁπλίτας, συγκλείουσι τὰς πύλας, καὶ τὸν μοχλὸν ἐμβάλλουσιν. οἱ δὲ στρατιῶται ἔκοπτον τὰς πύλας, καὶ ἔλεγον, ὅτι ἀδικώτατα πάσχοιεν ἐκβαλλόμενοι εἰς τοὺς πολεμίους.

καὶ

καὶ κατασχίσειν τὰς πύλας ἔφασαν, εἰ μὴ ἑκόντες ἀνοίξουσιν. ἄλλοι δ' αὖ τ' ἔθεον παρὰ τὴν θάλατταν καὶ παρὰ τὴν χηλὴν τοῦ τείχους ὑπερβάλλουσιν εἰς τὴν πόλιν. ἄλλοι δέ, οἳ ἐτύγχανον ἔνδον ὄντες τῶν στρατιωτῶν, ὡς ὁρῶσι τὰ ἐπὶ ταῖς πύλαις πράγματα, διακόψαντες δὲ ἀξίναις τὰ κλεῖθρα, ἀναπεταννύουσι τὰς πύλας. οἱ δ' εἰσπίπτουσιν. ὁ δὲ Ξενοφῶν ὡς εἶδε τὰ γιγνόμενα, δείσας μὴ ἐφ' ἁρπαγὴν τράποιτο τὸ στράτευμα, καὶ ἀνήκεστα κακὰ γένοιτο τῇ πόλει, καὶ αὐτῷ καὶ τοῖς στρατιώταις, ἔθει καὶ συνεισπίπτει εἴσω τῶν πυλῶν σὺν τῷ ὄχλῳ. οἱ δὲ Βυζάντιοι ὡς εἶδον τὸ στράτευμα βίᾳ εἰσπῖπτον, φεύγουσιν ἐκ τῆς ἀγορᾶς, οἱ μὲν εἰς τὰ πλοῖα, οἱ δὲ οἴκαδε. ὅσοι δὲ ἔνδον ἐτύγχανον ὄντες, ἔξω· οἱ δὲ καθεῖλκον τριήρεις, ὡς ἐν ταῖς τριήρεσι σῴζοιντο. πάντες δὲ ᾤοντο ἀπολωλέναι, ὡς ἑαλωκυίας τῆς πόλεως. ὁ δὲ Ἐτεόνικος εἰς τὴν ἄκραν ἀποφεύγει. ὁ δὲ Ἀναξίβιος καταδραμὼν ἐπὶ τὴν θάλατταν ἐν ἁλιευτικῷ πλοίῳ, περιέπλει εἰς τὴν ἀκρόπολιν, καὶ εὐθὺς μεταπέμπεται ἐκ Χαλκηδόνος φρουρούς. οὐ γὰρ ἱκανοὶ ἐδόκουν εἶναι οἱ ἐν τῇ ἀκροπόλει σχεῖν τοὺς ἄνδρας. οἱ δὲ στρατιῶται ὡς εἶδον Ξενοφῶντα, προσπίπτουσιν αὐτῷ πολλοί, καὶ λέγουσι· νῦν σοι ἔξεστιν, ὦ Ξενοφῶν, ἀνδρὶ γενέσθαι. ἔχεις πόλιν, ἔχεις τριήρεις, ἔχεις χρήματα, ἔχεις ἄνδρας τοσούτους. νῦν εἰ βούλοιο σύ τε ἡμᾶς ὀνήσαις, καὶ ἡμεῖς σὲ μέγαν ποιήσαιμεν. ὁ δ' ἀπεκρίνατο· ἀλλ' εὖ τε λέγετε, καὶ ποιήσω ταῦτα. εἰ δὲ τούτων ἐπιθυμεῖτε, θέσθε τὰ ὅπλα ἐν τάξει ὡς τάχιστα· βουλόμενος αὐτοὺς κατηρεμῆσαι, καὶ τοὺς ἄλλους ἐκέλευσε παρεγγυᾶν, καὶ τίθεσθαι τὰ ὅπλα. οἱ δ' αὐτοὶ ὑφ' ἑαυτῶν ταττόμενοι, οἵ τε ὁπλῖται ἐν ὀλίγῳ χρόνῳ εἰς πεντήκοντα ἐγένοντο. καὶ οἱ πελτασταὶ ἐπὶ τὸ κέρας ἑκάτεροι παραδεδραμηκότες. τὸ δὲ χωρίον οἷον κάλλιστον ἐκτάξασθαί ἐστι τὸ Θρᾴκιον καλούμενον, ἔρημον οἰκιῶν καὶ πεδινόν. ἐπεὶ δὲ ἔκειτο τὰ ὅπλα καὶ κατηρεμίσθησαν, συγκαλεῖ Ξενοφῶν τὴν στρατιάν, καὶ λέγει τάδε· ὅτι μὲν ὀργίζεσθε, ὦ ἄνδρες στρατιῶται, καὶ νομίζετε δεινὰ πάσχειν ἐξαπατώμενοι, οὐ θαυμάζω. ἐὰν δὲ τῷ θυμῷ χαριζώμεθα, καὶ Λακεδαιμονίους τε τοὺς παρόντας τῆς ἐξαπάτης τιμωρησώμεθα, καὶ τὴν πόλιν τὴν οὐδὲν αἰτίαν διαρπάσωμεν, ἐνθυμεῖσθε ἃ ἔσται ἐντεῦθεν. πολέμιοι μὲν ἐσόμεθα ἀποδεδειγμένοι Λακεδαιμονίοις τε καὶ τοῖς συμμάχοις. οἷος δ' ὁ πόλεμος γένοιτο, εἰκάζειν δὴ πάρεστιν, ἑωρακότας καὶ ἀναμνησθέντας τὰ νῦν δὴ γεγενημένα. ἡμεῖς γὰρ οἱ Ἀθηναῖοι εἰσήλθομεν εἰς τὸν πόλεμον τὸν πρὸς τοὺς Λακεδαιμονίους καὶ τοὺς συμμάχους, ἔχοντες τριήρεις, τὰς μὲν ἐν θαλάττῃ, τὰς δ' ἐν τοῖς νεωρίοις, οὐκ ἐλάττους τετρακοσίων. ὑπαρχόντων δὲ πολλῶν χρημάτων ἐν τῇ πόλει, καὶ προσόδου οὔσης κατ' ἐνιαυτὸν ἀπό τε τῶν ἐνδήμων, καὶ ἐκ τῆς ὑπερορίας, οὐ μεῖον χιλίων ταλάντων, ἄρχοντές τε τῶν νήσων ἁπασῶν, καὶ ἔν τε τῇ Ἀσίᾳ πόλεις πολλὰς ἔχοντες, καὶ ἐν τῇ Εὐρώπῃ ἄλλας τε πολλάς, καὶ αὐτὸ τοῦτο τὸ Βυζάντιον, ὅπου νῦν ἐσμὲν ἔχοντες, κατεπολεμήθημεν οὕτως, ὡς πάντες ἐπίστασθε. νῦν δὲ δὴ τί οἰόμεθα παθεῖν, Λακεδαιμονίων μὲν καὶ τῶν Ἀχαιῶν συμμάχων ὑπαρχόντων, Ἀθηναίων δέ, καὶ ὅσοι ἐκείνοις τότε ἦσαν σύμμαχοι, πάντων προσγεγενημένων. Τισσα-

φέρνους

portas uero se effracturos minabātur, nisi eas illi sua uolūtate aperuissent. Accurrerūt alij ad mare, ac iuxta ipsa portus latera, quæ, quod curuatis utrinq; molib. pminēt, chelas, id est, † acceptabula Græci uocāt, muris superatis intra oppidū desiluere: cū interea, q intus relicti fuerāt, cum ea quæ ad portas gerebātur, uiderēt, dolabris, uectibus, et claustris perfractis, suis aditū patefaciūt, illi uno oēs impetu irruerūt. Quod ubi Xenophō uidet, uerituus ne ad prædā exercitus se cōuerteret, ac quæ expiari faci le nō possent flagitia (futura proculdubio et ciuitati et sibi ac militib. perniciosa) cōmitterentur, et ipse accurrit, et intra portas una cum ipso agmine euadit. Byzātij ubi uident tanto cum impetu agmē introrūpere, deserto foro ad naues alij, alij domū confugere: qui intus essent, foras exire: triremes nōnulli, quib. periculum maxime se effugere posse putabāt, deducere. Nemo plane erat, qui quasi capta ab hostib. urbe, extrema omnia nō metueret. Eteonicus in promontoriū proximū, Anaxibius ad mare cōfugit, ac piscatorio nauigio circūuectus in arcē ascendit, atq; inde ex Chalcedone auxiliarios accersit: neq; n. qd erat in arce præsidium, Græcorū impetū sustinere posse uidebatur. At milites cum Xenophontē uidissent, ad eum frequentes accurrūt, ac Nunc, inquiunt, tibi Xenophon uirtutis declarandæ tempus datum est. Vrbem habes, habes classem, habes pecuniam: nūc si uelis, et nos tu sublevare, & te nos magnum & gloriosum reddere possumus. Ad hæc ille: Præclare, inquit, dicitis, neq; malle q̄ quā debeo: sed si id ut faciam cupitis, redite quamprimū cum armis in suos uestrum quisq; ordines. Hoc eo consilio dixit, ut concitatā multitudinē à tumultu ad officiū reuocaret. Ac dimisit quidē qui milites monerent, ut in ordines redirēt: atq; illi statim per se suū quisq; locū occuparunt. Grauis armatura in quinquagenos dispertita est: peltati utrunq; cornu statim tenuerūt. Vrbis regio in qua constiterūt, cui Thracius cāpus nomē est, ad aciem instruendā omniū maxime idonea, ut quæ plana & domibus uacua. Tumultu iam cōpresso, Xenophō multitudine ad concionē uocata, in hunc modum loquutus est: Quod irascimini milites, ac plane quod decepti fueritis, acerbum et iniquū ducitis, nihil sane miror. At si iracundiæ obsequētes, et ex Lacedæmonijs eos qui nūc adsunt, ab illis delusi ulciscamur, & ciuitatē nulli affinē culpæ diripiamus, quæ cōsequutura sunt, certe prouidere debetis. Primùm. n. effugere nullo pacto possumus, quin à Lacedæmonijs & eorum socijs hostes publice iudicemur. Qua uero cōditione bellum cum illis gesturi simus, non erit difficile existimare, si nostrū hunc statū cum superiorib. tēporib. contulerimus. Maiores nostri, ut de Atheniensib. loquar, bellum cōtra Lacedæmonios susceperūt, cū triremes partim iā deductas, partim in armamētarijs haberēt, haud minus q̄ quadringentas: pecunia uero & ex ærario abunde suppeditaret, et ex uectigalib. quā aut populares, aut externi penderēt, annua talēta mille caperēt. Iidē insulis fere omnib. imperarēt: urbes quoq; in Asia multas, et in Europa cū alias, tum hoc ipsum, ubi nūc sumus, Byzantiū tenerēt. Debellati tamē illi sunt, uti plane oēs scitis. Hoc aūt tēpore quorsum euasuros conatus nostros putatis, quo Lacedæmonij cū Achæis societate cōiuncti sunt? Atheniensiū uero ac omniū, qui socij illis ante fuerant, res prope sunt afflictæ, ac perditæ? Tissapher-

> † uel ungulam, sic fortasse rectius

phernes & cæteri, qui maritimæ oræ imperant, nobis hostes sunt, ac omnium maxime superioris Asiæ rex, cui & imperium & uitam simul ereptam uoluimus. Hæc cum nobis simul omnia aduersentur, quis est tam rerum omnium imperitus, qui nos incolumes hinc euasuros existimet? Ne per deos immortales insaniamus, ne turpissime nos perditum eamus, ipsis prope parentibus atque amicis ac necessarijs nostris bellum inferentes. Et cogentur illi quidem, una cum suis eorum quisque ciuitatibus, contra nos arma capere: neque iniuria. Nos enim cum nullam plane ex barbarorum urbibus uiolauerimus, atque id aliquoties in potestate nostra fuerit, quamprimum Græcorum urbem attigerimus, eam diripiemus? Ego mehercule antequam hæc fieri uideam, opto infra terram passuum decem millia detrudi. Nunc eo uos in patriam animo esse oportere censeo, ut si possitis, eos qui urbi huic præsunt, precibus & adhortationibus, ut officio in uos suo fungantur, adducatis. Id si minus possitis, Græciæ tamen urbibus neutiquam uobis interdictum esse uelitis. Ac nunc ad Anaxibium mittendos censeo, qui doceant, in hanc urbem redijsse nos, non ut iniuria quenquam lacesseremus, sed ut ab ea commodi aliquid caperemus: id si minus consequuti essemus, ut non fraude eiecti, sed uoluntate dimissi uideremur. Idem est omnibus probatum. Mittunt igitur Hieronymum Eleum, Eurylochum Arcadem, Philesium Achæum: qui cum iam abijssent, in eodem adhuc loco permanentibus militibus, superuenit Cyratades Thebanus. Is non exilij causa, sed imperij cuiuspiam cupiditate Græciam peragrabat, se omnibus uenditans, qui forte in quauis gente aut oppido, ducis operam expetissent. Accedens itaque se paratum dixit eos deducere ad Delta Thraciæ regionem, è qua multa essent eis, quæ ad usum ualde expeti solent, præsto futura, interea uero se illis esculenta, ac poculenta omnia exhibiturum. Hæc auscultarunt milites: neque minus ea quæ pollicebatur Anaxibius. Siquidem legatis responderat, si ut discederent sibi in animum induxissent, fore ut nihil eos pœniteret: se enim eos ciuitatum principibus commendaturum, & seipsum quàm posset optime eorum commodis consulturum. Eo sermone adducti milites, Cyrataden exercitui præesse iubent, ac rursus extra muros exeunt: Cyratades se postridie eius diei affuturum cum hostijs, aruspice ac commeatibus pollicetur. Vbi illi exierunt, Anaxibius portas claudit, edictóq́; quicunque intra muros deprehensus esset, eum emptori se addicturum. Postero die Cyratades præsto fuit cum hostijs & aruspice. Cum eo una uiri uiginti farinam, totidem uinum, tres oleum, aliorum unus quàm poterat maximam sarcinam, item alter ceparum, comportantes. Quæ cum in castris deposita essent, mox omnia diuisurus, sacra primum facere instituit. Hic Xenophon accersit ad se Cleandrum, ac rogat ut per eum sibi liceat oppidum intrare, atque inde enauigare. Cleander cum celerrime redisset, Vix, inquit, impetratum est: Anaxibius enim absurdum sibi dicit uideri, esse milites ad muros, Xenophontem uerò intus, præsertim uero exulceratis seditione Byzantiorum animis. Introire tamen iubet, si in animo habeat unà secum enauigare. Xenophon itaque

milites

φέρνους δὲ καὶ τῶν ἐπὶ θαλάττῃ ἄλλων βαρβάρων, πάντων πολεμίων ἡμῖν ὄντων. πολεμιωτάτου δὲ αὐτοῦ τοῦ ἄνω βασιλέως, ὃν ἤλθομεν ἀφαιρησόμενοί τε τὴν ἀρχὴν, καὶ ἀποκτενοῦντες εἰ δυναίμεθα. τούτων δὴ πάντων ὁμοῦ ὄντων, ἔστι τις οὕτως ἄφρων, ὅστις οἴεται ἂν ἡμᾶς περιγενέσθαι; μὴ πρὸς θεῶν μαινώμεθα, μὴ αἰσχρῶς ἀπολώμεθα, πολέμιοι ὄντες καὶ ταῖς πατρίσι, καὶ τοῖς ἡμετέροις αὐτῶν φίλοις τε καὶ οἰκείοις. ἐν γὰρ ταῖς πόλεσιν εἰσὶ πάντες, ταῖς ἐφ' ἡμᾶς στρατευσομέναις· καὶ δικαίως. εἰ βάρβαρον μὲν πόλιν οὐδεμίαν ἠθελήσαμεν κατασχεῖν, καὶ ταῦτα κρατοῦντες, Ἑλληνίδα δὲ εἰς ἣν πρώτην ἤλθομεν πόλιν, ταύτην ἐξαλαπάξομεν. ἐγὼ μὲν τοίνυν εὔχομαι πρὶν ταῦτα ἐπιδεῖν ὑφ' ὑμῶν γενόμενα μυρίας ἐμέ γε κατὰ τῆς γῆς ὀργυιὰς γενέσθαι. καὶ ὑμῖν συμβουλεύω Ἕλληνας ὄντας, τοῖς Ἑλλήνων προεστηκόσι πειθομένους, πειρᾶσθαι τῶν δικαίων τυγχάνειν. ἐὰν δὲ μὴ δύνησθε ταῦτα, ἡμᾶς δεῖ ἀδικουμένους, τῆς γοῦν Ἑλλάδος μὴ στέρεσθαι. καὶ νῦν μοι δοκεῖ πέμψαντας Ἀναξιβίῳ εἰπεῖν, ὅτι ἡμεῖς οὐδὲν βίαιον ποιήσοντες παρεληλύθαμεν εἰς τὴν πόλιν, ἀλλ' ἢν μὲν δυνώμεθα παρ' ὑμῶν ἀγαθόν τι εὑρίσκεσθαι· εἰ δὲ μή, ἀλλὰ δηλώσοντες ὑμῖν, ὅτι οὐκ ἐξαπατώμενοι, ἀλλὰ πειθόμενοι ἐξερχόμεθα. ταῦτα ἔδοξε. καὶ πέμπουσιν Ἱερώνυμόν τε Ἠλεῖον ἐροῦντα ταῦτα, καὶ Εὐρύλοχον Ἀρκάδα, καὶ Φιλήσιον Ἀχαιόν. οἱ μὲν ταῦτα ᾤχοντο ἐροῦντες. ἔτι δὲ καθημένων τῶν στρατιωτῶν, προσέρχεται Κυρατάδης Θηβαῖος, ὃς οὐ φεύγων τὴν Ἑλλάδα περιῄεσιν, ἀλλὰ στρατηγιῶν, καὶ ἐπαγγελλόμενος, εἴ τις ἢ πόλις ἢ ἔθνος στρατηγοῦ δέοιτο. καὶ τότε προσελθὼν ἔλεγεν, ὅτι ἕτοιμος εἴη ἡγεῖσθαι αὐτοῖς εἰς τὸ Δέλτα καλούμενον τῆς Θρᾴκης, ἔνθα πολλὰ καὶ ἀγαθὰ λήψοιντο. ἔστε δ' ἂν μολῶσιν, εἰς ἀφθονίαν παρέξειν ἔφη καὶ σῖτα καὶ ποτά. ἀκούουσι ταῦτα οἱ στρατιῶται, καὶ τὰ παρὰ Ἀναξιβίου ἅμα ἀπαγγελλόμενα. ἀπεκρίνατο γὰρ ὅτι πειθομένοις αὐτοῖς οὐ μεταμελήσει, ἀλλὰ τοῖς τε οἴκοι τέλεσι ταῦτα ἀπαγγελεῖ, καὶ αὐτὸς βουλεύσοιτο περὶ αὐτῶν ὅ, τι δύναιτο ἀγαθόν. ἐκ τούτου οἱ στρατιῶται τόν τε Κυρατάδην δέχονται στρατηγόν, καὶ ἔξω τοῦ τείχους ἀπῆλθον. ὁ δὲ Κυρατάδης συντίθεται αὐτοῖς εἰς τὴν ὑστεραίαν, παρέσεσθαι ἐπὶ τὸ στράτευμα, ἔχων καὶ ἱερεῖα, καὶ μάντιν, καὶ σῖτα, καὶ ποτὰ τῇ στρατιᾷ. ἐπεὶ δ' ἐξῆλθον, ὁ Ἀναξίβιος ἔκλεισε τὰς πύλας, καὶ ἐκήρυξεν, ὅτι ὅστις ἂν ἁλῷ ἔνδον ὢν τῶν στρατιωτῶν, πεπράσεται. τῇ δ' ὑστεραίᾳ ὁ Κυρατάδης μὲν ἔχων τὰ ἱερεῖα, καὶ τὸν μάντιν ἧκε. καὶ ἄλφιτα φέροντες εἵποντο αὐτῷ εἴκοσιν ἄνδρες, καὶ ἄλλοι οἶνον εἴκοσιν ἄνδρες, καὶ ἐλαιῶν τρεῖς, καὶ σκορόδων εἷς ἀνὴρ ὅσον ἐδύνατο μέγιστον φορτίον, καὶ ἄλλος κρομμύων. ταῦτα δὲ καταθέμενος, ὡς ἐπὶ δάσμευσιν ἐθύετο. Ξενοφῶν δὲ μεταπεμψάμενος Κλέανδρον, ἐκέλευεν οἱ διαπρᾶξαι, ὅπως εἰς τὸ τεῖχός τε εἰσέλθῃ, καὶ ἀποπλεύσαι ἐκ Βυζαντίου. ἐλθὼν δὲ Κλέανδρος, μάλα, μόλις, ἔφη, διαπραξάμενος ἥκω. λέγειν γὰρ Ἀναξίβιον, ὅτι οὐκ ἐπιτήδειον εἴη, τοὺς μὲν στρατιώτας πλησίον εἶναι τοῦ τείχους, Ξενοφῶντα δὲ ἔνδον. τοὺς Βυζαντίους δὲ στασιάζειν καὶ πονηροὺς εἶναι πρὸς ἀλλήλους. ὅμως δὲ εἰσιέναι, ἔφη, ἐκέλευσεν, εἰ μέλλοις σὺν ἑαυτῷ ἐκπλεῖν. ὁ μὲν δὴ Ξενοφῶν ἀσπασάμενος

τοὺς

τοὺς στρατιώτας, εἴσω τοῦ τείχους ἀπῄει σὺν κλεάνδρῳ. ὁ δὲ κυρατάδης τῇ μὲν πρώτῃ ἡμέρᾳ οὐκ ἐκαλλιέρει, οὐδὲ διεμέτρησεν οὐδὲν τοῖς στρατιώταις. τῇ δ' ὑστεραίᾳ τὰ μὲν ἱερεῖα εἱστήκει παρὰ τὸν βωμόν, καὶ κυρατάδης ἐστεφανωμένος ὡς θύσων, προσελθὼν δὲ τιμασίων ὁ δαρδανεύς, καὶ νέων ὁ ἀσιναῖος, καὶ κλεάνωρ ὁ ὀρχομένιος, ἔλεγον κυρατάδῃ μὴ θύειν, ὡς οὐχ ἡγησόμενον τῇ στρατιᾷ, εἰ μὴ δώσει τὰ ἐπιτήδεια. ὁ δὲ κελεύει διαμετρεῖσθαι. ἐπεὶ δὲ πολλῶν ἐνέδει αὐτῷ, ὥστε ἡμέρας σῖτον ἑκάστῳ γενέσθαι τῶν στρατιωτῶν, ἀναλαβὼν τὰ ἱερεῖα ἀπῄει καὶ τὴν στρατηγίαν ἀπειπών. νέων δὲ ὁ ἀσιναῖος, καὶ φρυνίσκος ἀχαιός, καὶ τιμασίων δαρδανεὺς ἐπέμενον τῇ στρατιᾷ. καὶ εἰς κώμας τῶν θρᾳκῶν προσελθόντες τὰς κατὰ βυζάντιον, ἐστρατοπεδεύοντο. καὶ οἱ στρατηγοὶ ἐστασίαζον. κλεάνωρ μὲν καὶ φρυνίσκος πρὸς σεύθην βουλόμενοι ἄγειν. ἔπειθε γὰρ αὐτούς, καὶ ἔδωκε τῷ μὲν ἵππον, τῷ δὲ γυναῖκα. νέων δὲ εἰς χερρόνησον, οἰόμενος εἰ ὑπὸ λακεδαιμονίοις γένοιτο, παντὸς ἂν προεστάναι τοῦ στρατεύματος. τιμασίων δὲ προὐθυμεῖτο πέραν εἰς τὴν ἀσίαν πάλιν διαβῆναι, οἰόμενος ἂν οἴκαδε κατελθεῖν. καὶ οἱ στρατιῶται ταῦτα ἐβούλοντο. διατριβομένου δὲ τοῦ χρόνου, πολλοὶ τῶν στρατιωτῶν, οἱ μὲν τὰ ὅπλα ἀποδιδόμενοι, κατὰ τοὺς χώρους ἀπέπλεον, ὡς ἐδύναντο. οἱ δὲ καὶ διδόντες τὰ ὅπλα κατὰ τοὺς χώρους, εἰς τὰς πόλεις κατεμίγνυντο. ἀναξίβιος δ' ἔχαιρεν, ἀκούων διαφθειρόμενον τὸ στράτευμα. τούτων γὰρ γιγνομένων ᾤετο μάλιστα χαρίζεσθαι φαρναβάζῳ. ἀποπλέοντι δὲ ἀναξιβίῳ ἐκ βυζαντίου, συναντᾷ ἀρίσταρχος ἐν κυζίκῳ, διάδοχος κλεάνδρῳ, βυζαντίου δὲ ἁρμοστής. ἐλέγετο δὲ καὶ ὅτι ναύαρχος διάδοχος πῶλος ὅσον οὐ παρείη ἤδη εἰς ἑλλήσποντον. καὶ ὁ ἀναξίβιος τῷ μὲν ἀριστάρχῳ ἐπιστέλλει, ὁπόσους ἂν εὕροι ἐν βυζαντίῳ τῶν κύρου στρατιωτῶν ὑπολελειμμένους ἀποδόσθαι. ὁ δὲ κλέανδρος οὐδένα ἐπεπράκει, ἀλλὰ καὶ τοὺς κάμνοντας ἐθεράπευεν, οἰκτείρων καὶ ἀναγκάζων οἰκίᾳ δέχεσθαι. ἀρίσταρχος δ' ἐπεὶ ἦλθε τάχιστα, οὐκ ἐλάχιστους τετρακοσίων ἀπέδοτο. ἀναξίβιος δὲ παραπλεύσας εἰς πάριον, πέμπει παρὰ φαρνάβαζον κατὰ τὰ συγκείμενα. ὁ δ' ἐπεὶ ᾔσθετο ἀρίσταρχόν τε ἥκοντα εἰς βυζάντιον ἁρμοστήν, καὶ ἀναξίβιον οὐκέτι ναυαρχοῦντα, ἀναξιβίου μὲν ἠμέλησε, πρὸς ἀρίσταρχον δὲ διεπράττετό τι τὰ αὐτὰ περὶ τοῦ κυρείου στρατεύματος, ἅπερ καὶ πρὸς ἀναξίβιον. ἐκ τούτου δὴ ἀναξίβιος καλέσας ξενοφῶντα, κελεύει πάσῃ τέχνῃ πλεῦσαι ἐπὶ τὸ στράτευμα ὡς τάχιστα, καὶ συνέχειν τε τὸ στράτευμα, καὶ συναθροίζειν τῶν διεσπαρμένων, ὡς ἂν πλείστους δύνηται, καὶ παραγαγόντας εἰς πέρινθον διαβιβάζειν εἰς τὴν ἀσίαν ὅτι τάχιστα. καὶ δίδωσιν αὐτῷ τριακόντορον καὶ ἐπιστολήν, καὶ ἄνδρα συμπέμπει κελεύσοντα τοὺς περινθίους ὡς τάχιστα ξενοφῶντα προπέμψαι τοῖς ἵπποις ἐπὶ τὸ στράτευμα. καὶ ὁ μὲν ξενοφῶν διαπλεύσας, ἀφικνεῖται ἐπὶ τὸ στράτευμα. οἱ δὲ στρατιῶται ἐδέξαντο ἡδέως. καὶ εὐθὺς εἵποντο ἄσμενοι ὡς διαβησόμενοι ἐκ τῆς θρᾴκης εἰς τὴν ἀσίαν. ὁ δὲ σεύθης ἀκούσας ἥκοντα πάλιν ξενοφῶντα, πέμψας πρὸς αὐτὸν κατὰ θάλατταν μηδοσάδην, ἐδεῖτο τὴν στρατιὰν ἄγειν πρὸς

milites complexus cum Cleandro introijt. Cyratades postero die cum sacrum fecisset, non litauit, neq; quos attulerat commeatus inter milites partitus est. Postero uero die cum iam ad aram hostiæ adductæ essent, & cum corona astitisset immolaturus Cyratades, in medium progressi Timasion Dardanensis, Neon Asinæus, Cleanor Orchomenius, negant se Cyrataden immolare passuros, nisi prius cõmeatus militib. diuisisset. Ille cũ ut æquabiliter omnia diuiderentur imperasset, facile intellectum est, multum abesse ut milites uel in unum tantum diem, ex ijs quæ attulisset Cyratades, commeatus haberent: quo factum est, ut cum suis ille hostijs deposito imperio discederet. Permansere in castris Neon Asinæus, Phryniscus Achæus, & Timasiõ Dardanensis. Hi cum exercitu profecti, in proximis Byzantio uicis castra locarunt. Ibi inter duces dissideri cœptum. Cleanor et Phryniscus ad Seuthẽ transeundũ putabãt: fuerant enim ab eo munerib. deliniti, cum eorũ alteri equum, alteri mulierẽ donasset. Neon ut in Chersonesum contenderent, hortabatur. Existimabat enim si in Lacedæmoniorũ fines peruenisset, facile se uniuersi exercitus imperium obtenturum. At Timasion operã dabat, ut omnes in Asiã traijcerent, quod se ita in patriã restitutũ iri putabat: neq; id milites nolebãt. In hac deliberãdi mora, milites partim armis diuẽditis, per proximos uicos, q̃ potuerunt celerrime enauigarunt: partim uero per eosdem uicos diuisis, in urbes ciuibus permisti introierunt. Anaxibius cũ dilabi exercitũ ac dissolui intelligeret, magnã uoluptatẽ capiebat. Nã quod sua maxime opera accidisset, in eo se gratiã eximiam à Pharnabazo initurũ putabat. Huic cum è Byzantio discessisset, Cyzici Aristarchus, cui erat Byzãtij præitura in Cleandri locũ decreta, obuius factus, propẽdiem Polum nauarchũ, ut ei succederet, in Hellespontũ uenturum nũciat. Anaxibius Aristarchum hortatur, quotcunq; è reliquijs Cyri copiarũ Byzantij offendisset, omnes ut uenderet. Nam tantum abfuerat ut quenquam Cleander uẽderet, ut per ædes etiam inuitis dominis distributos, ægros curare uoluerit. At Aristarchus ut primum Byzantiũ attigit, nihilo sane pauciores q̃ cccc. uendidit. Anaxibius cum Parium appulisset, misit qui Pharnabazũ docerent, esse Byzantij quæ imperasset omnia confecta. Ille ubi resciuit Byzantij prætorem futurum Aristarchum, Anaxibio classis imperium abrogatum, hunc sane nihili pendit, ac quæ de Cyri copijs illi ante imperarat, eadem Aristarcho denũciat. Quod ubi animaduertit Anaxibius, Xenophontem ad se accersit, ac eum iubet qua possit arte, quamq; celerrime ad exercitum uenire: milites aut retinere, aut iam dissipatos, quàm possit plurimos ad officiũ reuocare, cũq; ijs Perinthum contendere, atq; inde in Asiam quamocyssime traijcere: ei & triginta remorũ nauem, et epistolam dat, simulq; certum hominẽ mittit, qui à se Perinthios roget, ut Xenophonti equos, quib. ad exercitũ ueheretur, præbeant. Xenophõ celeriter classe trãsuectus, cum in castra peruenisset, magna cũ lætitia est à militib. exceptus, et cum magno sane studio sequuti oẽs sunt, eo duce è Thracia in Asiã traiectum. Seuthes cũ Xenophõtem redisse ad exercitũ audisset statim maritimo itinere Medosadẽ misit, q rogaret ut cũ exercitu

ad se ueniret. Is cum omnia esset pollicitus, quibus hominem quamfacillime adduci posse putaret, Xenophō respōdit, id sibi nullo pacto licere. Cum ille igitur abijsset, milites Perinthum profecti sunt: quò cum peruenissent, Neon cum DCCC. militibus, quos à reliquo exercitu auellerat, seorsum castra habuit: reliquae omnes copiae simul, atque eodem in loco, ad Perinthiorum muros constiterunt. Ibi cum Xenophon naues cogeret, quibus in Asiam quamcelerrime milites trāsportarentur, superuenit Aristarchus cum triremibus 10 duabus. Is Pharnabazi studio adductus, edicit nauclerís, ne Graecos in naues recipiant: ac deinde in castra ueniens militibus, ne in Asiam traijciant. Atqui, inquit Xenophon, sic iußit Anaxibius, & una hac de causa me huc remisit. Anaxibius, inquit ille, nauarchus non est: ego uero praetor hoc oppidum obtineo: quod si quem uestrum hinc abeuntem deprehendero, in mare deyciam. Haec cum dixisset, in oppidū introijt. Ac postero dies praetores ac centuriones ad se accersit: qui cum ad muros iam accessissent, Xenophontem mo 20 net quidam ne introëat: fore enim ut comprehēdatur, & aut eo ipso in loco plectatur, aut Pharnabazo dedatur. Qua re Xenophon audita, caeteros quidem deducit, ipse per sacra se deos consulturū dicit: atq; à caeteris digressus, consuluit an permitterent, ut exercitum ad Seuthen duceret: siquidem uidebat minime tutum esse traijcere, cum is qui uetaret, triremes haberet. Neque uero si in Chersonesum uenisset, se illic facilime intercludi posse non intelligebat, omniumq; rerum penuria exercitum laboraturum, qui ut maxime praetoris 30 imperata faceret, nihilo tamen magis commeatuū compos futurus uidebatur. Dum haec ille agitaret, redeunt ab Aristarcho praetores, ac renunciāt non esse se tunc admissos, sed iussos uesperi redire. Ex quo plane intellectum est insidiose ab illo actum. Xenophon cum ex is significassent tutum ipsi et exercitui ad Seuthen iter fore, sumpsit Polycraten Atheniensem centurionem, atque item accepit à praetoribus, uno excepto Neone, singulos quibus illi fidem haberent maximam, cumq; ijs noctu ad Seuthae castra contendit. Aberant ea LX. 40 fere stadia. Cum propius accessisset, turres quasdā desertas uidit, atq; ex eo primum suspicatus est Seuthen castra mouisse. Verùm cum fremitum quendam audisset, & significantium inter se uoces, plane intellexit non aliam ob causam ignes multo ante castrorum excubias accensos, nisi ut qui in statione essent, in tenebris conspici non possent: contraq; quicunq; accederent, per ignium lumina facile cernerētur. Quod cum animaduertisset, interpretem praemisit, quem secum forte habebat, qui iuberet uigiles Seuthae renunciare, adesse Xenophontem, uelleque eum cum Seuthe congredi. Tunc quaesierunt illi, numquid Atheniensis esset is Xenophon, atq; è Graecorum castris uenisset: ubi affirmatum est, cum exultatione ad Seuthen accurrerunt. Neque multo post adfuerunt peltati fere CC. qui hilare acceptum Xenophontem, eiusq; comitatum ad regem deduxerunt. Continebat se ille intra ualde munitum propugnaculum. Stabant circūquaq; frenati equi. Nam propter metū interdiu equos pascere, noctu ad custodias paratos esse uolebat. Aiebant enim Teren

πρὸς ἑαυτόν, ὑπισχνούμενος αὐτῷ, ὅτι ᾤετο λέγων πείσειν. ὁ δ' ἀπεκρίνατο αὐτῷ, ὅτι οὐδὲν οἷόν τ' εἴη τούτων γενέσθαι. καὶ ὁ μὲν ταῦτα ἀκούσας ᾤχετο. οἱ δ' Ἕλληνες ἐπεὶ ἀφίκοντο εἰς Πέρινθον, Νέων μὲν ἀποσπάσας, ἐστρατοπεδεύσατο χωρίς, ἔχων ὡς ὀκτακοσίους ἀνθρώπους. τὸ δ' ἄλλο στράτευμα πᾶν, ἐν τῷ αὐτῷ παρὰ τὸ τεῖχος τῶν Περινθίων ἦν. μετὰ ταῦτα Ξενοφῶν μὲν ἔπραττε περὶ πλοίων, ὅπως ὅτι τάχιστα διαβαῖεν εἰς τὴν Ἀσίαν. ἐν δὲ τούτῳ ἀφικόμενος Ἀρίσταρχος ὁ ἐκ Βυζαντίου ἁρμοστής, ἔχων δύο τριήρεις, πεπεισμένος ὑπὸ Φαρναβάζου, τοῖς τε ναυκλήροις ἀπεῖπε μὴ διάγειν. ἐλθὼν δὲ ἐπὶ τὸ στράτευμα, εἶπε τοῖς στρατιώταις, μὴ περαιοῦσθαι εἰς τὴν Ἀσίαν. ὁ δὲ Ξενοφῶν ἔλεγεν, ὅτι Ἀναξίβιος ἐκέλευσε, καὶ ἐμὲ πρὸς τοῦτο ἔπεμψεν ἐνθάδε. πάλιν δ' Ἀρίσταρχος ἔλεξεν, Ἀναξίβιος μὲν οὐκ ἔστι ναύαρχος, ἐγὼ δὲ τῇδε ἁρμοστής. εἰ δέ τινα ὑμῶν λήψομαι ἐν τῇ θαλάττῃ, καταδύσω. ταῦτα εἰπὼν, ᾤχετο εἰς τὸ τεῖχος. τῇ δ' ὑστεραίᾳ μεταπέμπεται τοὺς στρατηγοὺς καὶ λοχαγοὺς τοῦ στρατεύματος. ἤδη δὲ ὄντων πρὸς τὸ τεῖχος, ἐξαγγέλλει τις τῷ Ξενοφῶντι, ὅτι εἰ εἴσεισι, συλληφθήσεται, καὶ ἢ αὐτοῦ τι πείσεται, ἢ καὶ Φαρναβάζῳ παραδοθήσεται. ὁ δ' ἀκούσας ταῦτα, τοὺς μὲν προπέμπεται, αὐτὸς δ' εἶπεν, ὅτι θῦσαί τι βούλοιτο. καὶ ἀπελθὼν, ἐθύετο, εἰ προεῖεν αὐτὸν οἱ θεοὶ πειρᾶσθαι πρὸς Σεύθην ἄγειν τὸ στράτευμα. ἑώρα γὰρ οὔτε διαβαίνειν ἀσφαλὲς ὂν, τριήρεις ἔχοντος τοῦ κωλύσοντος, οὔτ' εἰς Χερρόνησον ἐλθὼν, κατακλεισθῆναι ἐβούλετο, καὶ τὸ στράτευμα ἐν πολλῇ σπάνει πάντων γενέσθαι, ἔνθα δὴ πείθεσθαι ἀνάγκη τῷ ἐκεῖ ἁρμοστῇ, τῶν δὲ ἐπιτηδείων οὐδὲν ἔμελλεν ἕξειν τὸ στράτευμα. καὶ ὁ μὲν ἀμφὶ ταῦτα εἶχεν. οἱ δὲ στρατηγοὶ ἥκοντες παρὰ τοῦ Ἀριστάρχου ἀπήγγελλον, ὅτι νῦν μὲν ἀπιέναι σφᾶς κελεύει, τῆς δείλης δὲ ἥκειν. ἔνθα καὶ δήλη μᾶλλον ἐδόκει εἶναι ἡ ἐπιβουλή. ὁ οὖν Ξενοφῶν ἐπεὶ ἐδόκει τὰ ἱερὰ γενέσθαι, καὶ ἑαυτῷ καὶ τῷ στρατεύματι ἀσφαλῶς πρὸς Σεύθην ἰέναι, παραλαβὼν Πολυκράτην τὸν Ἀθηναῖον λοχαγόν, καὶ παρὰ τῶν στρατηγῶν ἑκάστου ἄνδρα, πλὴν παρὰ Νέωνος, ᾧ ἕκαστος ἐπίστευεν, ᾤχετο τῆς νυκτὸς ἐπὶ τὸ Σεύθου στράτευμα ξ΄ στάδια. ἐπεὶ δ' ἐγγὺς ἦσαν αὐτοῦ, ἐπιτυγχάνει πύργοις ἐρήμοις. καὶ τὸ μὲν πρῶτον ᾤετο μετακεχωρηκέναι ποι τὸν Σεύθην. ἐπειδὴ δὲ θορύβου τε ᾔσθετο, καὶ σημαινόντων ἀλλήλοις τῶν περὶ Σεύθην, κατέμαθεν ὅτι τούτου ἕνεκα τὰ πυρὰ προκεκαυμένα εἴη τῷ Σεύθῃ πρὸ τῶν νυκτοφυλάκων, ὅπως οἱ μὲν φύλακες μὴ ὁρῷντο ἐν τῷ σκότει ὄντες, μήθ' ὅπου εἶεν, οἱ δὲ προσιόντες, μὴ λανθάνοιεν, ἀλλὰ διὰ τὸ φῶς καταφανεῖς εἶεν. ἐπεὶ δὲ ᾔσθετο, προπέμπει τὸν ἑρμηνέα, ὃν ἐτύγχανεν ἔχων, καὶ εἰπεῖν κελεύει Σεύθῃ, ὅτι Ξενοφῶν πάρεστι βουλόμενος συγγενέσθαι αὐτῷ. οἱ δ' ἤροντο, εἰ ὁ Ἀθηναῖος ὁ ἀπὸ τοῦ στρατεύματος. ἐπειδὴ δ' ἔφη οὗτος εἶναι, ἀναπηδήσαντες ἐδίωκον. καὶ ὀλίγον ὕστερον παρῆσαν πελτασταὶ ὅσον διακόσιοι, καὶ παραλαβόντες Ξενοφῶντα καὶ τοὺς σὺν αὐτῷ, ἦγον πρὸς Σεύθην. ὁ δ' ἐν τύρσει ἦν μάλα φυλαττόμενος, καὶ ἵπποι περὶ αὐτὴν κύκλῳ ἐγκεχαλινωμένοι. διὰ γὰρ τὸν φόβον τὰς μὲν ἡμέρας ἐχίλου τοὺς ἵππους, τὰς δὲ νύκτας ἐφυλάττετο. ἐλέγετο γὰρ καὶ πρόσθεν Τήρης

τήρης ὁ τούτου πρόγονος, ἐν ταύτῃ τῇ χώρᾳ πολὺ ἔχων στράτευμα, ὑπὸ τούτων τῶν ἀνδρῶν πολλοὺς ἀπολέσαι, καὶ τὰ σκευοφόρα ἀφαιρεθῆναι. ἦσαν δ' οὗτοι θυνοί, πάντων λεγόμενοι εἶναι μάλιστα νυκτὸς πολεμικώτατοι. ἐπεὶ δ' ἐγγὺς ἦσαν, ἐκέλευσεν εἰσελθεῖν ξενοφῶντα, ἔχοντα δύο οὓς βούλοιτο. ἐπειδὴ δ' ἔνδον ἦσαν, ἠσπάζοντο μὲν πρῶτον ἀλλήλους, καὶ κατὰ τὸν θρᾴκιον νόμον, κέρατα οἴνου προύπινον. παρῆν δὲ καὶ μηδοσάδης τῷ σεύθῃ, ὅσπερ ἐπρέσβευεν αὐτῷ πάντοσε. ἔπειτα δὲ ξενοφῶν ἤρχετο λέγειν· ἔπεμψας πρὸς ἐμέ, ὦ σεύθη, εἰς χαλκηδόνα πρῶτον, μηδοσάδην τουτονί, δεόμενός μου, συμπροθυμηθῆναι διαβῆναι τὸ στράτευμα ἐκ τῆς ἀσίας. καὶ ὑπισχνούμενος, εἰ ταῦτα πράξαιμι, εὖ ποιήσειν, ὡς ἔφη μηδοσάδης οὗτος. ταῦτα εἰπών, ἐπήρετο μηδοσάδην, εἰ ἀληθῆ ταῦτ' εἴη. ὁ δ' ἔφη. αὖθις ἦλθε μηδοσάδης οὗτος, ἐπεὶ ἐγὼ διέβην πάλιν ἐπὶ τὸ στράτευμα ἐκ παρίου, ὑπισχνούμενος, εἰ ἄγοιμι τὸ στράτευμα πρὸς σέ, τἆλλά τε σοὶ φίλῳ χρήσεσθαι καὶ ἀδελφῷ, καὶ τὰ παρὰ θαλάττῃ μοι χωρία ὧν σὺ κρατεῖς, ἔσεσθαι παρὰ σοῦ. ἐπὶ τούτοις πάλιν ἐπήρετο μηδοσάδην, εἰ ἔλεγε ταῦτα. ὁ δὲ συνέφη καὶ ταῦτα. ἴθι νῦν, ἔφη, ἀφήγησαι τούτῳ τί σοι ἀπεκρινάμην ἐν χαλκηδόνι πρῶτον. ἀπεκρίνω, ὅτι τὸ στράτευμα διαβήσοιτο εἰς βυζάντιον, καὶ οὐδὲν τούτου ἕνεκα δέοι τελεῖν, οὔτε σοί, οὔτ' ἄλλῳ. αὐτὸς τ' ἐπεὶ διαβαίης, ἀπιέναι ἔφησθα. καὶ ἐγένετο οὕτως, ὥσπερ σὺ ἔλεγες. τί γὰρ ἔλεγον, ἔφη, ὅτε κατὰ σηλυμβρίαν ἀφίκου; οὐκ ἔφησθα οἷόν τ' εἶναι, ἀλλ' εἰς πέρινθον ἐλθόντας διαβαίνειν εἰς τὴν ἀσίαν. νῦν τοίνυν, ἔφη ὁ ξενοφῶν, πάρειμι καὶ ἐγὼ καὶ οὗτος φρυνίσκος εἷς τῶν στρατηγῶν, καὶ πολυκράτης οὗτος εἷς τῶν λοχαγῶν, καὶ ἔξω εἰσὶν ἀπὸ τῶν στρατηγῶν ὁ πιστότατος ἑκάστῳ, πλὴν νέωνος τοῦ λακωνικοῦ. εἰ οὖν βούλει πιστοτέραν εἶναι τὴν πρᾶξιν, καὶ ἐκείνους κάλεσον. τὰ δὲ ὅπλα συνελθὼν εἰπέ, ὦ πολύκρατες, ὅτι ἐγὼ κελεύω καταλιπεῖν. καὶ αὐτὸς ἐκεῖ καταλιπὼν τὴν μάχαιραν εἴσιθι. ἀκούσας ταῦτα ὁ σεύθης, εἶπεν ὅτι οὐδενὶ ἂν ἀπιστήσειεν ἀθηναίων. καὶ γὰρ ὅτι συγγενεῖς εἶεν εἰδέναι, καὶ φίλους εὔνους ἔφη νομίζειν. μετὰ ταῦτα δ', ἐπεὶ εἰσῆλθον οὓς ἔδει, πρῶτον ξενοφῶν ἐπήρετο σεύθην, τί δέοιτο χρῆσθαι τῇ στρατιᾷ. ὁ δ' εἶπεν ὧδε· μαισάδης ἦν μοι πατήρ. ἐκείνου δ' ἦν ἀρχὴ μελανδῖται, καὶ θυνοί, καὶ τρανίψαι. ἐκ ταύτης οὖν τῆς χώρας, ἐπεὶ τὰ ὀδρυσῶν πράγματα ἐνόσησεν, ἐκπεσών, ὁ πατὴρ αὐτὸς μὲν θνήσκει νόσῳ. ἐγὼ δ' ἐξετράφην ὀρφανὸς παρὰ μηδόκῳ τῷ νῦν βασιλεῖ. ἐπεὶ δὲ νεανίσκος ἐγενόμην, οὐκ ἐδυνάμην ζῆν, εἰς ἀλλοτρίαν τράπεζαν ἀποβλέπων. καὶ ἐκαθεζόμην ἐνδίφριος αὐτῷ ἱκέτης, δοῦναί μοι ὁπόσους δυνατὸς εἴη ἄνδρας, ὅπως καὶ τοὺς ἐκβαλόντας ἡμᾶς, εἴ τι δυναίμην κακὸν ποιοίην, καὶ ζῴην μὴ εἰς τὴν ἐκείνου τράπεζαν ἀποβλέπων, ὥσπερ κύων. ἐκ τούτου μοι δίδωσι τοὺς ἄνδρας, καὶ τοὺς ἵππους οὓς ὑμεῖς ὄψεσθε, ἐπειδὰν ἡμέρα γένηται. καὶ νῦν ἐγὼ ζῶ τούτους ἔχων, λῃζόμενος τὴν ἐμαυτοῦ πατρῴαν χώραν. εἰ δέ μοι ὑμεῖς παραγένοισθε, οἶμαι ἂν σὺν τοῖς θεοῖς ῥᾳδίως ἀπολαβεῖν τὴν ἀρχήν. ταῦτ' ἐστὶν ἃ ἐγὼ ὑμῶν δέομαι. τί οὖν ἄν, ἔφη ὁ ξενοφῶν, σὺ δύναιο, εἰ ἔλθοιμεν, τῇ τε στρατιᾷ διδόναι, καὶ τοῖς λοχαγοῖς, καὶ τοῖς στρατηγοῖς. λέξον

Teren unum de huius maioribus, in illis ipsis aliquando finibus cum magnas copias haberet, ab iisdem hostib. magna clade affectum, castris etiam exutum. Erant autē hi hostes Thyni, gens quæ una omniū ad nocturnas excursiones & pugnas aptissima ferebatur. Cum ad fores iam Græci astitissent, iubet Seuthes Xenophontē cum duob. quib. mallet comitib. ingredi. Cum intromissi essent, post primos cōplexus & salutationes, Thracio more Græcis in corneis poculis uinum propinatū est. Aderat Medosades, qui Seuthæ in legationib. cū primis operā nauabat. Hic priore loco ita dicere orsus est Xenophō: Ad me Seuthe huncce Medosaden Chalcedona misisti, qui me tuo nomine rogaret, ut cum ipso unà operam darem, ut ad te Græcorū copiæ ex Asia traijcerent: quod si fecissem, gratiam te relaturum. Idem affirmabat Medosades. Rogauit Medosaden, an ita se res haberet: maxime, respondit ille. Rursus Xenophō: Cum iam traiecissem e Pario, rediit in castra Medosades, ac pollicitus est, si Græcos ad te adduxissem, me non amici tantū, uerumetiā fratris loco habiturum, ac iis, quæ mari proxima possideres, oppidis cōcessurū. Quæsiuit denuo an ita secum egisset: egisse, Medosades respōdit. Age nunc, inquit, huic expone quid tibi cum Chalcedone essemus, ad ea responderim. Respōdisti, inquit ille, exercitū Byzantium uenturū: huius rei causa, neq; tibi, neq; alij quicquā pendi opus esse. Vbi Byzantiū peruentum esset, te à cæteris discessurum. ac plane quod dixisti, effectum etiam reddidisti. Quidnam, inquit ille, dixi, cum Selymbriā peruenisses: necesse tibi fore Perintho in Asiam traijcere. Nūc igitur, inquit Xenophō, adsum, et mecum unà de prætorib. unus Phryniscus, de centurionib. uero Polycrates. Sunt foris præterea à singulis prætoribus singuli, illis coniunctissimi & fidelissimi, præterquàm à Neone Lacedæmonio. Quod si firmam & ratam inter nos pactionem esse uis, et illos accersi iube. Ac tu, inquit Polycrates, illis dic meo nomine, ut arma deponant, & ipse etiā ense deposito cum illis unà ingredere. Tum Seuthes, nemini se dixit, qui modo Atheniensis sit, nō fidem habere: ac scire se, Athenięses cōsanguineos esse: amicos uero illos, et animo in se optimo esse existimare. Cum introissent qui fuerāt accersiti, quæsiuit primum Xenophon de Seuthe, cui usui ipsi Græcorū esset exercitus futurus. Ad hæc ille inquit: Mesades mihi pater fuit, sub cuius imperio Melandeptæ fuere, Thyni, et Tranipsæ. Is e regno per Odrysiorum seditionē pulsus, morbo interiit. Ego patre orbatus, apud Medocū qui nunc regnū obtinet, educatus sum. Vbi uero adoleui, cum ad alienam mihi mensam uiuendum esse indignissime ferrem, ad eius solium dum in curru sederet, accessi, meq; ad eius genua aduolui, obsecrauiq; ut mihi q̄ posset magnum numerum hominum cōcederet, quo eos à quib. eiecti essemus, iusto bello persequi possem, ne mihi esset perpetuo ad alienam mensam, perinde ac canes solent, respiciendum. Precibus itaq; ille meis commotus, & milites mihi eos, & equos tradidit, quos cum illuxerit uidebitis: cum his ego uitam traduco, & cum his e paterno agro prædas ago: quod si uestro auxilio uti licitum fuerit, dis fretus, me imperiū paternum recepturum confido. Qua igitur in re uestra opera mihi usui esse possit intelligitis. Iam uero, inquit Xenophon, si tecum societatem coierimus, nobis expone quid milites, prætores, ac centuriones abs te accepturi sint. ut

ut hi qui mecum huc uenerunt, certi aliquid cæteris renũ
cient. Tum ille militib. menstruũ stipendiũ Cyzicenos sin
gulos, cẽturioni binos, quaternos prætorib. pollicitus est:
agri, quantũ uellẽt, iumẽta, munitũ ad mare oppidũ. Ad
hæc Xenophõ: Si periclitatus nihil effecero, et à Lacedæ
monijs nobis quid fuerit metuendũ, erit ne locus apud te
ijs, qui huc se receperint? Imò, inquit, illos fratrũ loco ha-
bebo, atq; in currus mei partẽ recipiã: cũq; his quicquid
bello partũ fuerit, cõmunicabo. Tibi uero Xenophõ filiã
collocabo: ac si ulla tibi filia est, eã Thracia lege emã: ubi
uero habites, Bisanthẽ tibi tradã, qui mihi locus est mari
timorũ omniũ pulcherrimus. Cũ hæc audißẽt Græci, dex
tras iunxerũt: atq; ita firmato fœdere, ante lucẽ in castra
reuersi, ijs à quib missi fuerãt, rẽ cẽm ordine exposuerũt.
Prima luce rursus Aristarchus prætores et cẽturiones ac
cersit. At illi eundũ neutiquã esse, ac statim milites in con
cionẽ cõuocandos cẽsuerunt. Cũ oẽs, præter eos quos Ne
on ducebat, cõuenissent, his eos uerbis Xenophõ allocu
tus est: Iã nõ licet nobis, milites, quô cõstitueramus hinc
enauigare. Aristarchus .n. cũ triremes habeat, nobis ob-
stat, neq; satis tuto naues possumus cõscendere: ac idẽ im
perat, ut per sacrũ montẽ in Chersonesum proficiscamur.
Quod si itineris difficultate superata eò peruenerimus, iã
neq; uenditũ nos, neq;, uti Byzãtij euenit, circumuentum
iri promittit: illic .n. stipendia nos accepturos: neq; causæ
quicquã fore, quin cõmeatus in prõptu nobis sint. Sic ille
quidẽ affirmat. Rursus Seuthes cũ ad se ueneritis, spõdet
benigna uobis oĩa apud se & prolixa fore. Vos itaq; uel
prius q̃ hinc discedatis, decernite, uel ad quærẽdos cõmea
tus iam proficiscimini. Mihi quidẽ, quoniã neq; pecuniã
habemus, qua quod opus est mercemur: neq; nobis, quæ
uitæ usus postulat, ab his gratis dãtur, optimũ factu uide
tur, ut in uicos reuersi, quæ opus sunt ab ijs sumamus:
quos facile uel cogere, uel adducere possumus, ut ea nos
sinãt asportare, quæ nostrũ quisq; ad usum suũ expetit: at
que id arbitrij uestri sit: cui tamẽ idẽ uidetur, is manũ tol-
lat. Manũ cũcti sustulerũt. Agite igitur, inquit Xenophõ,
ita uos cõparate, ut cũ datũ fuerit signũ, statim ducem se-
quamini. Xenophõ dux fuit, eũ secuti oẽs sunt: neq; aut
Neõ, aut alij qui ab Aristarcho summißi fuerãt, à proposi
to illos deducere potuerũt. Cum iam stad. circiter L. pro
greßi essent, Seuthes obuius factus est: quẽ cũ Xenophõ
uidisset, procedere intra cohortes Græcorũ iußit, ut quæ
ille diceret pro Græcorũ utilitate, audirent quamplurimi.
Quod cũ ille fecisset, tum Xenophõ, Iter, inquit, habemus
in ea loca, unde milites cibaria capere poßint: ibi cũ à te
& à Lacedæmonijs propositas cõditiones audierimus, id
sequemur quod ex usu maxime fore uidebitur. Quod si
nobis tu ad cõmeatus cõparandos dux extiteris, planè ho
spitaliter nos acceptos existimabimus. Ad hæc Seuthes:
Possum, inquit, indicare uobis uicos multos, hominũ nu
mero et rerũ omniũ copia abũdantes, à nobis eatenus di-
stãtes, ut hinc mane digreßi, sine ullo negocio illic cœna
re poßimus. Eò duc igitur nos, inquit Xenophon. Quod
cũ ille fecisset, uesperi, quò ille dixerat, peruentũ est. cũq;
in unũ milites cõuenissent, in hũc modũ Seuthes loquutus
est: Ego uestra opera Græci, in bellicis reb. indigeo: quã
mihi si præstiteritis, singulis Cizycenũ unum militib. da-
bo menstruum stipendium, ac centurionib. & prætoribus
quod iam illis à me præfinitum est. Ad hæc unicuiq; pro
merito

λέξει ἵνα οὗτοι ἀπαγγέλλωσιν. ὁ δὲ ὑπισχνεῖτο τῷ μὲν στρατιώ-
τῃ κυζικηνόν, τῷ δὲ λοχαγῷ διμοιρίαν, τῷ δὲ στρατηγῷ
τετραμοιρίαν, καὶ γῆν ὁπόσην ἂν βούλωνται καὶ ζεύγη, καὶ
χωρίον ἐπὶ θαλάττῃ τετειχισμένον. ἐὰν δέ, ἔφη ὁ ξενο-
φῶν, ταῦτα πειρώμενος μὴ διαπράξωμαι, ἀλλά τις
φόβος ὑπὸ λακεδαιμονίων ᾖ, δέξῃ εἰς τὴν σαυτοῦ ἄν
τις βούληται ἀπιέναι πρὸς σέ; ὁ δ᾽ εἶπε καὶ ἀδελφούς γε
ποιήσομαι, καὶ ἐνδιφρίους, καὶ κοινωνοὺς ἁπάντων ὧν ἂν
δυνώμεθα κτᾶσθαι. σοὶ δ᾽, ὦ ξενοφῶν, καὶ θυγατέρα
δώσω· καὶ εἴ τις σοί ἐστι θυγάτηρ, ὠνήσομαι θρακίῳ νόμῳ.
καὶ Βισάνθην οἴκησιν δώσω, ὅπερ ἐμοὶ κάλλιστον χωρίον
ἐστὶ τῶν ἐπὶ θαλάττῃ. ἀκούσαντες ταῦτα, καὶ δεξιὰς δόντες
καὶ λαβόντες, ἀπήλαυνον, καὶ πρὸ ἡμέρας ἐπὶ τὸ στρατόπε-
δον, καὶ ἀπήγγειλαν ἕκαστοι τοῖς πέμψασιν. ἐπεὶ δὲ ἡμέ-
ρα ἐγένετο, ὁ μὲν ἀρίσταρχος πάλιν ἐκάλει τοὺς στρατηγοὺς
καὶ λοχαγούς. τοῖς δ᾽ ἔδοξε τὴν πρὸς ἀρίσταρχον ὁδὸν ἐᾶ-
σαι, τὸ δὲ στράτευμα συγκαλέσαι. καὶ συνῆλθον πάντες
πλὴν οἱ νέωνος. οὗτοι δὲ ἀπεῖχον ὡς δέκα στάδια. ἐπεὶ δὲ
συνῆλθον, ἀναστὰς ξενοφῶν, εἶπε τάδε· ἄνδρες, διαπλεῖν
μὲν ἔνθα βουλόμεθα, ἀρίσταρχος ὁ δὲ τριήρεις ἔχων, κω-
λύει, ὥστ᾽ εἰς πλοῖα οὐκ ἀσφαλὲς ἐμβαίνειν. οὗτος δὲ ὁ αὐ-
τὸς εἰς χερρόνησον κελεύει βίᾳ διὰ τοῦ ἱεροῦ ὄρους πορεύε-
σθαι. ἢν δὲ κρατήσαντες τούτου ἐκεῖσε ἔλθωμεν, οὔτε
πωλήσειν ἔτι φησὶν ὑμᾶς, ὥσπερ ἐν Βυζαντίῳ, οὔτε
ἐξαπατήσεσθαι ἔτι ὑμᾶς, ἀλλὰ λήψεσθαι μισθὸν μᾶλ-
λον· οὔτε περιόψεσθαι ἔτι ὥσπερ νυνί, ἐνδεομένους τῶν
ἐπιτηδείων. οὗτος μὲν ταῦτα λέγει. σεύθης δέ φη-
σιν ἂν πρὸς ἐκεῖνον ἴητε, εὖ ποιήσειν ὑμᾶς. νῦν οὖν σκέ-
ψασθε, πότερον ἐνθάδε μένοντες τοῦτο βουλεύσε-
σθε, ἢ εἰς τὰ ἐπιτήδεια ἐπανελθόντες. ἐμοὶ μὲν οὖν
δοκεῖ, ἐπεὶ ἐνθάδε οὔτε ἀργύριον ἔχομεν, ὥστε ἀγο-
ράζειν, οὔτε ἄνευ ἀργυρίου ἐῶσι λαμβάνειν τὰ ἐπι-
τήδεια, ἐπανελθόντας εἰς τὰς κώμας, ὅθεν οἱ ἥττους
ἐῶσι λαμβάνειν ἐκεῖ ἔχοντας τὰ ἐπιτήδεια, καὶ ἀκού-
οντας ὅτι τις ὑμῶν δεῖται αἱρεῖσθαι, ὅτι ἂν ὑμῖν δοκῇ
κράτιστον εἶναι. καὶ ὅτῳ ὑμῖν ταῦτα δοκεῖ, ἀράτω τὴν
χεῖρα. ἀνέτειναν πάντες. ἀπιόντες τοίνυν, ἔφη, συ-
σκευάζεσθε, καὶ ἐπειδὰν παραγγέλλῃ τις, ἕπεσθε τῷ
ἡγουμένῳ. μετὰ ταῦτα ξενοφῶν μὲν ἡγεῖτο, οἱ δ᾽ εἵποντο.
νέων δὲ καὶ παρὰ ἀριστάρχου ἄλλοι ἔπειθον ἀποτρέπεσθαι.
οἱ δὲ οὐχ ὑπήκουον. ἐπεὶ δὲ ὅσον ν΄ σταδίους προεληλύ-
θεσαν, ἀπαντᾷ σεύθης. καὶ ὁ ξενοφῶν ἰδὼν αὐτόν, προσε-
λάσαι ἐκέλευσεν, ὅπως πλείστων ἀκουόντων εἴποι αὐ-
τῷ ἃ ἐδόκει συμφέρειν. ἐπεὶ δὲ προσῆλθεν, εἶπεν ὁ ξενο-
φῶν· ἡμεῖς πορευόμεθα ὅπου μέλλει τὸ στράτευμα ἕξειν
τροφήν. ἐκεῖ δὲ ἀκούοντες καὶ σοῦ καὶ τῶν τοῦ λακω-
νικοῦ, αἱρησόμεθα ἃ ἂν κράτιστα δοκῇ εἶναι. ἢν οὖν ἡμῖν
ἡγήσῃ, ὅπου πλεῖστά ἐστιν ἐπιτήδεια, ὑπὸ σοῦ νομιοῦμεν
ξενίζεσθαι. καὶ ὁ σεύθης εἶπεν· ἀλλὰ οἶδα κώμας πολλὰς
ἀθρόας καὶ πάντα ἐχούσας τὰ ἐπιτήδεια, ἀπεχούσας
ἡμῶν ὅσον διελθόντες ἂν ἡδέως ἀριστῷμεν. ἡγοῦ τοί-
νυν, ἔφη ὁ ξενοφῶν. ἐπεὶ δὲ ἀφίκοντο εἰς αὐτὰς τῆς δεί-
λης, συνῆλθον οἱ στρατιῶται, καὶ εἶπε σεύθης τοιάδε·
ἐγώ, ὦ ἄνδρες, δέομαι ὑμῶν στρατεύεσθαι σὺν ἐμοί, καὶ
ὑπισχνοῦμαι ὑμῖν τοῦ μηνὸς δώσειν κυζικηνόν, λοχα-
γοῖς τε καὶ στρατηγοῖς τὰ νομιζόμενα. ἔξω δὲ τούτων
τὸν

τὸν ἄξιον τιμήσω. σῖτα δὲ καὶ ποτά, ὥσπερ καὶ νῦν, ἐκ τῆς χώρας λαμβάνοντες ἕξετε. ὁπόσα δὲ ἂν ἁλίσκηται, ἀξιώσω αὐτὸς ἔχειν, ἵνα ταῦτα διατιθέμενος, ὑμῖν τὸν μισθὸν πορίζω. καὶ τὰ μὲν φεύγοντα καὶ ἀποδιδράσκοντα, ἡμεῖς ἱκανοὶ ἐσόμεθα διώκειν καὶ μαστεύειν. ἢν δέ τις ἀνθίστηται, σὺν ὑμῖν πειρασόμεθα χειροῦσθαι. ἐπήρετο ὁ ξενοφῶν· πόσον δὲ ἀπὸ θαλάττης ἀξιώσεις συνέπεσθαί σοι τὸ στράτευμα; ὁ δ' ἀπεκρίνατο· οὐδαμῆ πλεῖον ἑπτὰ ἡμερῶν, μεῖον δὲ πολλαχῆ. μετὰ ταῦτα ἐδίδοτο λέγειν τῷ βουλομένῳ. καὶ ἔλεγον πολλοὶ κατὰ ταῦτα, ὅτι παντὸς ἄξια λέγει σεύθης. χειμὼν γὰρ εἴη, καὶ οὔτε οἴκαδε ἀποπλεῖν τῷ βουλομένῳ δυνατὸν εἴη· διαγενέσθαι τε ἐν φιλίᾳ οὐχ οἷόν τ' εἴη, δέοι δὲ ὠνουμένους ζῆν. ἐν δὲ τῇ πολεμίᾳ διατρίβειν καὶ τρέφεσθαι ἀσφαλέστερον μετὰ σεύθου, ἢ μόνους ὄντων ἀγαθῶν τοσούτων. εἰ δὲ μισθὸν προσλήψοιντο, εὕρημα ἐδόκει εἶναι. ἐπὶ τούτοις εἶπε ξενοφῶν· εἴ τις ἀντιλέγει, λεγέτω· εἰ δὲ μή, ἐπιψηφιζέτε ταῦτα. ἐπεὶ δὲ οὐδεὶς ἀντέλεγεν, ἐπεψήφισεν, καὶ ἔδοξε ταῦτα. εὐθὺς δὲ σεύθῃ εἶπεν, ὅτι συστρατεύσοιντο αὐτῷ. μετὰ τοῦτο οἱ μὲν ἄλλοι κατὰ τάξεις ἐσκήνωσαν, στρατηγοὺς δὲ καὶ λοχαγοὺς ἐπὶ δεῖπνον σεύθης ἐκάλεσε, πλησίον κώμην ἔχων. ἐπεὶ δ' ἐπὶ θύραις ἦσαν, ὡς ἐπὶ δεῖπνον εἰσιόντες, ἦν τις ἡρακλείδης μαρωνείτης, οὗτος προσιὼν ἑνὶ ἑκάστῳ, οὕστινας ᾤετο ἔχειν τι δοῦναι σεύθῃ. πρῶτον μὲν πρὸς παριανούς τινας, οἳ παρῆσαν φιλίαν διαπραξόμενοι πρὸς μήδοκον τὸν ὀδρυσῶν βασιλέα, καὶ δῶρα ἦγον διδόντες αὐτῷ τε καὶ τῇ γυναικί, ἔλεγεν, ὅτι μήδοκος μὲν ἄνω εἴη, δώδεκα ἡμερῶν ἀπὸ θαλάττης ὁδόν, σεύθης δὲ ἐπεὶ τὸ στράτευμα τοῦτο εἴληφεν, ἄρχων ἔσοιτο ἐπὶ θαλάττῃ. γείτων οὖν ὢν ἱκανώτατος ἔσται ὑμᾶς καὶ εὖ καὶ κακῶς ποιεῖν. εἰ οὖν σωφρονεῖτε, τούτῳ δώσετε ὅ,τι ἄγετε, καὶ ἄμεινον ὑμῖν διακείσεται, ἢ ἐὰν μηδόκῳ τῷ πρόσω οἰκοῦντι δῶτε. τούτους μὲν οὕτως ἔπειθεν. αὖθις δὲ τιμασίωνι τῷ δαρδανεῖ προσελθών, ἐπεὶ ἤκουεν αὐτῷ εἶναι καὶ ἐκπώματα καὶ τάπιδας βαρβαρικάς, ἔλεγεν, ὅτι νομίζοιτο ὁπότε ἐπὶ δεῖπνον καλέσαι σεύθης, δωρεῖσθαι αὐτῷ τοὺς κληθέντας. οὗτος δ' ἂν μέγας ἐνθάδε γένηται, ἱκανὸς ἔσται σε καὶ οἴκαδε κατάγειν, καὶ ἐνθάδε πλούσιον ποιῆσαι. τοιαῦτα προὐμνᾶτο ἑκάστῳ προσιών. προσελθὼν δὲ καὶ ξενοφῶντι, ἔλεγε· σὺ καὶ πόλεως μεγίστης εἶ, καὶ παρὰ σεύθῃ τὸ σὸν ὄνομα μέγιστόν ἐστι. καὶ ἐν τῇδε τῇ χώρᾳ ἴσως ἀξιώσεις καὶ τείχη λαμβάνειν, ὥσπερ καὶ ἄλλοι τῶν ὑμετέρων ἔλαβον, καὶ χώραν. ἄξιον οὖν σοι καὶ μεγαλοπρεπέστατα τιμῆσαι σεύθην. εὔνους δέ σοι ὢν παραινῶ. εὖ οἶδα γάρ, ὅτι ὅσῳ ἂν μείζω τούτῳ δωρήσῃ, τοσούτῳ μείζω ὑπὸ τούτου ἀγαθὰ πείσῃ. ἀκούων ταῦτα ὁ ξενοφῶν, ἠπόρει. οὐ γὰρ διαβεβήκει ἔχων ἐκ παρίου, εἰ μὴ παῖδα καὶ ὅσον ἐφόδιον. ἐπεὶ δὲ εἰσῆλθον ἐπὶ τὸ δεῖπνον, τῶν τε θρᾳκῶν οἱ κράτιστοι τῶν παρόντων, καὶ οἱ στρατηγοὶ καὶ λοχαγοὶ τῶν ἑλλήνων, καὶ εἴ τις πρεσβεία παρῆν ἀπὸ πόλεως, τὸ δεῖπνον μὲν ἦν καθημένοις κύκλῳ. ἔπειτα δὲ τρίποδες εἰσηνέχθησαν πᾶσιν. οὗτοι δ' ὅσον εἴκοσι κρεῶν μεστοὶ νενεμημένων. καὶ ἄρτοι ζυμῖται μεγάλοι προσπεπερονημένοι ἦσαν πρὸς τοῖς κρέασι. μάλιστα δ' αἱ τράπεζαι κατὰ

merito & dignitate honorē habebo. Cibaria quidē uobis ex agro, ut nūc, suppeditabunt. Quæ capietis reliqua, ea ut penes me sint, æquū esse statuo, quo ex iis uobis stipēdia pendam. Accedētes sane & fugiētes, satis idonei erimus, qui persequamur atq; inuestigemus: sin erūt qui resistāt, eos uestro auxilio fretus, ut in potestatē meā redigā, operā dabo. Tūc Xenophō: Quàm lōge, inquit, à mari, ut hic te exercitus sequatur, postulas? Nihilo, respōdit ille, lōgius, q̃ septē dierū itinere, atque haud scio an multo minus. Fecit tūc potestatē omnib. qui uellent, dicēdi. Dixerūt itaq; multi, quātiuis æstimāda quæ Seuthes à xisset. Hyemē iam esse, neq; idoneā ad nauigandū tempestatē. Hybernare in amicorū finib. minime expedire, ubi nō nisi de reb. emptis exercitus ali posset. In hostili uero agro statiua habere, ac sibi cōmeatus cōparare, in magna rerū copia, multo fore tutius unà cū Seuthe, q̃ si ab eo discessirint. Quod si stipendiū etiā ab eo accipiāt, præclare omnino secum actū existimandū esse. His auditis, si quis, inquit Xenophō, est, qui his uelit cōtradicere, dicat iam is licet: sin his oēs assentimini, sciscite. Cōtradixit nemo. Scitū itaq; itur factū est: Tūc Seuthes sibi illos dixit in bellicis expeditionib. socios fore. Post hæc alii quidē in ordines descripti, castra posuerūt: centuriones & prætores ad cœnā uocauit Seuthes, cum nō lōge ab uno de proximis uicis abesset. Interea dum ad fores oēs astarent, ut cœnatū intromitterētur, adfuit Heraclides quidā Maronites: is ad eos, quos aliquid habere existimabat, quod Seuthæ dare possent, accedebat, ac primū quidē ad Parianos qui ea de causa uenerāt, ut cū Medoco Odrysorū rege de pace agerēt, ac cū ei tū uxori eius dona attulerāt: Quid, inquit, Medoco ista potius dabitis, qui à mari duodecim dierū itinere abest? cur nō potius Seuthæ, qui hoc iā sibi adiūcto exercitu, maritima ore quā facilime imperiū obtinebit, ac uobis uel prodesse, uel obesse tā finitimis, plurimū poterit? Quin uos huic quæcūq; affertis, si reb. uestris bene consultū uolueritis, nō ei dabitis, qui lōgissime à uobis abest. Et sane, ut ita facerēt, persuasit. Ad Timasionē deinde Dardanēsem cū accessisset, quē audierat & pocula, et barbaricos tapetas habere: Ita, inquit, more maiorū traditū est, ut qui à rege inuitātur, pro copiis suis ei dona dēt: hi certe si imperiū suū auxerit, facile aut domū te reducere, aut si hic manere malueris, te locupletare poßit. Hæc separatim cū singulis agebat. Ad Xenophontē etiā cū uenisset, Ex magna, inquit, tu ciuitate es, & perceleb re tuū ē apud Seuthē nomē: neq; uero dubito quin et oppidū et agrū ut ante etiā de maiorib. tuis nōnulli, in regione nostra sis accepturus: par igitur æquū est, luculēter Seuthē à te ornari: atq; hæc tibi amicus, ut qui maxime, suadeo: mihi .n. persuasum habeo, quo illi maiora dederis, eo te ab illo maiora, ac præclariora accepturū. Hic Xenophō quid ageret dubitabat: e Pario .n. soluerat cū unico puero, neq; plus pecuniæ habebat, q̃ pro uiatico esset. Cū iā eßēt oēs ingreßi ad cœnā, e Thracib. qui tūc aderāt, nobilißimus quisq;, prætores deinde ac cēturiones Græcorū & à quacūq; ciuitate missæ legatiōes, in orbē accubuere. Sūt omnib tripodes appositi, nō pauciores q̃ x x. carnib. refertißimi: & cū carnib. cōfixi panes fermentati, prægrandes. Hospitibus autem præ ceteris, mensæ pa-

patrio ritu apponebantur. Seuthes primus omnium appositos sibi panes in frusta discidit, atq; eos quibus uisum est proiecit: eodem modo & carnes à se duntaxat prægustatas. Atq; iidem cæteri, quibus mensæ appositæ fuerant, fecere. Erat in eo conuiuio Arcas quidam, Aristus nomine, edacitate maxime insignis: is ritum illum dissipandi, ac distrahendi cibaria, nihil ad se pertinere arbitratus, ingenti pane correpto, carneq; multa genibus imposita, epulabatur. Cumq; uini cornua, quæ circunferebantur, omnes à pincerna accepissent, ac iam Xenophon epulari desisset, Aristus, illi, inquit, propinato: cessat enim iam, ego uero nequiquam. Eam uocem cum audisset Seuthes, de ministro quæsiuit, quid ille diceret: id cum indicasset, græce enim aliquid sciebat, risus est ab omnibus consecutus. Cum omnes iam potu exhilarati essent, introijt Thrax quidam album equum ducens, sumptoq; uini pleno cornu, tibi, inquit, propino Seuthe, atq; hunc equum dono do, super quo & quencunq; uolueris facile assequere: ac si retrocedere contigerit, à tergo relictum hostem non metues. Alius puerum, eodem modo propinans, dedit: uestimenta alius, ad uxoris usum. Timasion argenteam phialam, & tapetium, non minoris precij minarum decem. Surrexit hic Gnesipus Atheniensis, ac, PRISCA, inquit, LEGE, qui habent, regi dona dant: qui non habent, eos quod dent, à rege æquum est accipere. Hæc ille. At Xenophon quid agendum sibi esset, uehementer dubitabat. Sedebat ille quidem in proxima regi, atque adeo honoratissima sella. Et Heraclides pincernam ut cornu sibi præberet monuerat. At ille cum ante accumberet, poculo sumpto alacriter surrexit: Et tibi ego, inquit, Seuthe, meipsum, & socios hosce meos in fidem tuam trado atq; dedo, & eorum neminem inuitum: nemo est enim qui non æque atq; ego à te gratiam studeat inire, tibiq; amicus esse cupiat: ac nunc adsunt, ut gratia tua causa & labores suscipiant, & pericula adeant: quorum auxilio, dijs fauentibus, & patrium regnum recipies, & alienos etiam agros imperio tuo adijcies, multos præterea equos, uiros, fœminas in potestatem rediges: è quorum finibus nihil erit necesse prædas agere: ipsi enim tibi ultro dona afferent. Tunc Seuthes ex prouocatione bibit, & de more cornu in eum qui proximus erat, effudit. Post hæc Cerasuntij ingressi sunt, qui tibijs, tubisq; è bubulis ossibus, in numerum, ut qui magade canunt, signum dedere. Ad eum cantum primus omnium Seuthes excitatus, bellicum quiddam uociferatus est, ac peragiliter uitantis iaculum gestum egit. Adfuerunt etiam sanniones. Sole uero iam cadente, surrexerũt Græci, ac Seuthen monuerunt ut excubias disponeret, ac tesserã daret: rogarunt etiã ut ediceret, ne quis è Thracibus noctu in Græcorum castra intraret: quod sane de fide Seuthæ nihil se dubitare dicerẽt, quãta uero Thracibus habenda esset, nondum se scire. Cum Græcis unà surrexit Seuthes, nulla ebrietatis signa præ se ferens: atque exiens, prætoribus ad se uocatis, Nondum, inquit, hostes de nostra societate quicquã resciuerũt: quod si eos adorti fuerimus, antequam aut sibi caueant, aut auxilia contra nos comparent, facile et prædam multam agere, & homines quamplurimos capere possimus.

Id

παρὰ τοὺς ξένους ἀεὶ ἐτίθεντο. νόμος γὰρ ἦν, καὶ πρῶτος τοῦτο ἐποίει σεύθης, ἀνελόμενος τοὺς παρακειμένους αὐτῷ ἄρτους, διέκλα κατὰ μικρόν, καὶ ἐῤῥίπτει οἷς αὐτῷ ἐδόκει. καὶ τὰ κρέα ὡσαύτως ὅσον μόνον γεύσασθαι ἑαυτῷ καταλιπών. καὶ οἱ ἄλλοι δὲ κατὰ ταῦτα ἐποίουν, καθ' οὓς αἱ τράπεζαι ἔκειντο. ἀρκὰς δέ τις, ἄρυστος ὄνομα, φαγεῖν δεινός, τὸ μὲν διαῤῥίπτειν εἴα χαίρειν. λαβὼν δὲ εἰς τὴν χεῖρα ὅσον τριχοίνικον ἄρτον, καὶ κρέα θέμενος ἐπὶ τὰ γόνατα, ἐδείπνει. κέρατα δὲ οἴνου περιέφερον, καὶ πάντες ἐδέχοντο. ὁ δ' ἄρυστος ἐπεὶ παρ' αὐτὸν φέρων τὸ κέρας ὁ οἰνοχόος ἦν, εἶπεν, ἰδὼν τὸν ξενοφῶντα οὐκέτι δειπνοῦντα, ἐκείνῳ, ἔφη, δός. σχολάζει γὰρ ἤδη, ἐγὼ δ' οὔπω. ἀκούσας ὁ σεύθης τὴν φωνὴν, ἠρώτα τὸν οἰνοχόον, τί λέγοι. ὁ δὲ οἰνοχόος εἶπεν· ἑλληνίζειν γὰρ ἠπίστατο. ἐνταῦθα μὲν δὴ γέλως ἐγένετο. ἐπεὶ δὲ προεχώρει ὁ πότος, εἰσῆλθεν ἀνὴρ θρᾷξ, ἵππον ἔχων λευκόν, καὶ λαβὼν κέρας μεστὸν, ἔφη· προπίνω σοι, ὦ σεύθη, καὶ τὸν ἵππον τοῦτον δωροῦμαι, ἐφ' οὗ καὶ διώκων ὃν ἂν ἐθέλῃς, αἱρήσεις· καὶ ἀποχωρῶν, οὐ μὴ δείσῃς τὸν πολέμιον. ἄλλος παῖδα ἀγαγὼν, οὕτως ἐδωρήσατο προπίνων. καὶ ἄλλος ἱμάτια τῇ γυναικί. καὶ τιμασίων προπίνων, ἐδωρήσατο φιάλην ἀργυρᾶν, καὶ τάπιδα ἀξίαν δέκα μνῶν. γνήσιππος δέ τις ἀθηναῖος ἀναστὰς εἶπεν, ὅτι ἀρχαῖος εἴη νόμος κάλλιστος, τοὺς μὲν ἔχοντας διδόναι τῷ βασιλεῖ τιμῆς ἕνεκα· τοῖς δὲ μὴ ἔχουσι διδόναι τὸν βασιλέα, ἵνα κἀγὼ, ἔφη, σοὶ ἔχω δωρεῖσθαι καὶ τιμᾶν. ὁ δὲ ξενοφῶν ἠπορεῖτο ὅ,τι ποιήσοι. καὶ γὰρ ἐτύγχανεν ὡς τιμώμενος ἐν τῷ πλησιαιτάτῳ δίφρῳ καθήμενος. ὁ δ' ἡρακλείδης ἐκέλευσεν αὐτῷ τὸ κέρας ὀρέξαι τὸν οἰνοχόον. ὁ δὲ ξενοφῶν, ἤδη γὰρ ὑποπεπωκὼς ἐτύγχανεν, ἀνέστη θαῤῥαλέως δεξάμενος τὸ κέρας, καὶ εἶπεν· ἐγὼ δέ σοι, ὦ σεύθη, δίδωμι ἐμαυτὸν, καὶ τοὺς ἐμοὺς τούτους ἑταίρους φίλους εἶναι πιστούς, καὶ οὐδένα ἄκοντα. ἀλλὰ πάντας μᾶλλον ἐμοῦ σοι βουλομένους φίλους εἶναι. καὶ νῦν πάρεισιν οὐδέν σε προσαιτοῦντες, ἀλλὰ καὶ προϊέμενοι καὶ πονεῖν ὑπὲρ σοῦ καὶ προκινδυνεύειν, μεθ' ὧν ἂν οἱ θεοὶ θέλωσι, πολλὴν χώραν τὴν μὲν ἀπολήψῃ πατρῴαν οὖσαν, τὴν δὲ κτήσῃ. πολλοὺς δ' ἵππους, πολλοὺς δὲ ἄνδρας καὶ γυναῖκας καταστήσῃ, οὓς οὐ λῄζεσθαι δεήσει, ἀλλ' αὐτοὶ φέροντες παρέσονται πρὸς σὲ δῶρα. ἀναστὰς ὁ σεύθης, συνεξέπιε καὶ συγκατεσκεδάσατο μετ' αὐτοῦ τὸ κέρας. μετὰ ταῦτα εἰσῆλθον κερασιναῖς, οἷς σημαίνουσιν αὐλοῖς τε καὶ σάλπιγξιν ὠμοβοΐναις, ῥυθμούς τε καὶ οἷον μαγάδι σαλπίζοντες. καὶ αὐτὸς σεύθης ἀναστὰς, ἀνέκραγέ τε πολεμικὸν, καὶ ἐξήλατο ὥσπερ βέλος φυλαττόμενος μάλα ἐλαφρῶς. εἰσῄεσαν δὲ καὶ γελωτοποιοί. ὡς δ' ἦν ἥλιος ἐπὶ δυσμαῖς, ἀνέστησαν οἱ ἕλληνες, καὶ εἶπον, ὅτι ὥρα εἴη νυκτοφύλακας καθιστάναι, καὶ σύνθημα παραδιδόναι. καὶ σεύθην ἐκέλευον παραγγεῖλαι, ὅπως εἰς τὰ ἑλληνικὰ στρατόπεδα μηδεὶς τῶν θρᾳκῶν εἴσεισι νυκτός. οἵ τε γὰρ πολέμιοι θρᾷκες ἡμῖν, καὶ ὑμεῖς οἱ φίλοι. ὡς δ' ἐξῄεσαν, συνανέστη ὁ σεύθης, οὐδέν τι μεθύοντι ἐοικώς· ἐξελθὼν δ' εἶπεν, αὐτοὺς τοὺς στρατηγοὺς ἀποκαλέσας· ὦ ἄνδρες, οἱ πολέμιοι ἡμῶν οὐκ ἴσασί πω τὴν ἡμετέραν συμμαχίαν. ἢν οὖν ἔλθωμεν ἐπ' αὐτοὺς, πρὶν φυλάξασθαι, ὥστε μὴ ληφθῆναι, ἢ παρασκευάσασθαι, ὥστε ἀμύνασθαι, μάλιστ' ἂν λάβοιμεν χρήματα καὶ ἀνθρώπους.

συνεπῄ/

συνεδόκουν ταῦτα οἱ στρατηγοί, καὶ ἡγεῖσθαι ἐκέλευον. ὁ δ' εἶπε· παρασκευασάμενοι ἀναμένετε. ἐγὼ δ' ὁπόταν καιρὸς ᾖ ἥξω παρ' ὑμᾶς, καὶ τοὺς πελταστὰς, καὶ ὑμᾶς ἀναλαβὼν, ἡγήσομαι σὺν τοῖς θεοῖς. καὶ ὁ ξενοφῶν εἶπε· σκέψαι τοίνυν εἴπερ νυκτὸς πορευσόμεθα, εἰ ὁ ἑλληνικὸς νόμος κάλλιον ἔχει. μεθ' ἡμέραν μὲν γὰρ ἐν ταῖς πορείαις ἡγεῖται τοῦ στρατεύματος, ὁποῖον ἀεὶ πρὸς τὴν χώραν συμφέρει, ἐάν τε ὁπλιτικὸν, ἐάν τε πελταστικὸν, ἐάν τε ἱππικόν. νύκτωρ δὲ νόμος τοῖς ἕλλησιν δεῖν ἡγεῖσθαι τὸ βραδύτατον. οὕτω γὰρ ἥκιστα διασπᾶται τὰ στρατεύματα· καὶ ἥκιστα λανθάνουσιν ἀποδιδράσκοντες ἀλλήλους. οἱ δὲ διασπασθέντες, πολλάκις καὶ περιπίπτουσιν ἀλλήλοις, καὶ ἀγνοοῦντες κακῶς ποιοῦσι καὶ πάσχουσιν. εἶπεν ὁ σεύθης· ὀρθῶς τε λέγετε, καὶ τῷ νόμῳ τῷ ὑμετέρῳ πείσομαι. καὶ ὑμῖν μὲν ἡγεμόνας δώσω τῶν πρεσβυτάτων τοὺς ἐμπειροτάτους τῆς χώρας. αὐτὸς δ' ἐφέψομαι τελευταῖος, τοὺς ἵππους ἔχων. ταχὺ γὰρ πρῶτος ἂν δέῃ παρέσομαι. σύνθημα δ' εἶπον ἀθηναίαν κατὰ τὴν συγγένειαν. ταῦτ' εἰπόντες ἀνεπαύοντο. ἡνίκα δ' ἦν ἀμφὶ μέσας νύκτας, παρῆν σεύθης, ἔχων τοὺς ἱππέας τεθωρακισμένους, καὶ τοὺς πελταστὰς σὺν τοῖς ὅπλοις. καὶ ἐπεὶ παρέδωκαν τοὺς ἡγεμόνας, οἱ μὲν ὁπλῖται ἡγοῦντο, οἱ δὲ πελτασταὶ εἵποντο, οἱ δ' ἱππεῖς ὠπισθοφυλάκουν. ἐπεὶ δὲ ἡμέρα ἦν, ὁ σεύθης παρήλαυνεν εἰς τὸ πρόσθεν, καὶ ἐπῄνεσε τὸν ἑλληνικὸν νόμον. πολλάκις γὰρ, ἔφη, νύκτωρ αὐτὸς καὶ σὺν ὀλίγοις πορευόμενος, ἀπεσπάσθην σὺν τοῖς ἵπποις ἀπὸ τῶν πεζῶν. νῦν δὲ ὥσπερ δεῖ, ἀθρόοι πάντες ἅμα τῇ ἡμέρᾳ φαινόμεθα. ἀλλ' ὑμεῖς μὲν περιμένετε αὐτοῦ καὶ ἀναπαύεσθε. ἐγὼ δὲ σκεψάμενός τι ἥξω. ταῦτ' εἰπὼν ἤλαυνε δι' ὄρους ὁδόν τινα λαβών. ἐπεὶ δὲ ἀφίκετο εἰς χιόνα πολλὴν, ἐσκέψατο ἐν τῇ ὁδῷ, εἰ εἴη ἴχνη ἀνθρώπων ἢ προηγούμενα ἢ ἐναντία. ἐπεὶ δὲ ἀτριβῆ ἑώρα τὴν ὁδὸν, ἧκε ταχὺ πάλιν, καὶ ἔλεγε· καλῶς, ὦ ἄνδρες, ἔσται, ἐὰν θεὸς θέλῃ. τοὺς γὰρ ἀνθρώπους λήσομεν ἐπιπεσόντες. ἀλλ' ἐγὼ μὲν ἡγήσομαι τοῖς ἵπποις, ὅπως ἄν τινα ἴδωμεν, μὴ διαφυγὼν σημήνῃ τοῖς πολεμίοις. ὑμεῖς δ' ἕπεσθε. κἂν λειφθῆτε, τῷ στίβῳ τῶν ἵππων ἕπεσθε. ὑπερβάντες δὲ τὰ ὄρη, ἥξομεν εἰς τὰς κώμας, πολλάς τε καὶ εὐδαίμονας. ἡνίκα δὲ ἦν μέσον ἡμέρας, ἤδη τε ἦν ἐπὶ τοῖς ἄκροις, καὶ κατιδὼν τὰς κώμας, ἧκεν ἐλαύνων πρὸς τοὺς ὁπλίτας, καὶ ἔλεγεν· ἀφήσω ἤδη καταθεῖν τοὺς μὲν ἱππέας εἰς τὸ πεδίον, τοὺς δὲ πελταστὰς ἐπὶ τὰς κώμας. ἀλλ' ἕπεσθε ὡς ἂν δύνησθε τάχιστα, ὅπως ἄν τις ὑφιστῆται, ἀλέξησθε. ἀκούσας ταῦτα ὁ ξενοφῶν, κατέβη ἀπὸ τοῦ ἵππου. καὶ ὃς ἤρετο· τί καταβαίνεις; ἐπεὶ σπεύδειν δεῖ. οἶδα, ἔφη, ὅτι οὐκ ἐμοῦ μόνου δεῖ. οἱ δ' ὁπλῖται θᾶττον δραμοῦνται καὶ ἥδιον, ἂν καὶ ἐγὼ πεζὸς ἡγῶμαι. μετὰ ταῦτα ᾤχετο καὶ τιμασίων μετ' αὐτοῦ, ἔχων ἱππέας ὡς τετταράκοντα τῶν ἑλλήνων. ξενοφῶν δὲ παρηγγύησε τοὺς εἰς τριάκοντα ἔτη, παριέναι ἀπὸ τῶν λοχαγῶν εὐζώνους. καὶ αὐτὸς μὲν ἐτρόχαζε τούτους ἔχων. κλεάνωρ δὲ ἡγεῖτο τῶν ἑλλήνων. ἐπεὶ δ' ἐν ταῖς κώμαις ἦσαν, σεύθης ἔχων ὅσον τριάκοντα ἱππέας, προσελάσας,

εἶπε·

Id est prætoribus uehementer probatum, ac se ut duceret, rogarunt. Vos igitur, inquit ille, parati ad rem gerendam, me expectabitis: ego cum tempus idoneum uisum fuerit, ad uos ueniam: ac cum cetratos assumpsero, dis fretus, uobis me ducem præbebo. Tunc Xenophon: At enim, inquit, consideres uelim, nunquid si de nocte nobis iter faciendum sit, præstet græco more agmen instruere: nam si de die eundum, ex locorum duntaxat ratione, aut grauem armaturã, aut peltatos, aut equitatum præire oportet: de nocte uero cum iter suscipitur, græco ritu impeditissima quæque exercitus pars agmen ducit: sic enim minime agmen diuiditur, neq; facile, qui fugam cogitent, alios latêre possunt: et profecto sæpe accidere consueuit, ut dissipati per errorem in suos inuadant, ac magnæ utrinq; offensiones fiant. Recte, inquit Seuthes, dicis, ac uestro isti instituto parendum censeo. Vobis itaq; duces homines natu maximos, & eosdẽ locorũ peritissimos dabo: ego postremus cum equitatu consequar, ac cũ opus fuerit, quãcelerrime ad principia præsto ero. Tesseram Athenienses cognationis ius dedere: atq; his ita constitutis, quiete corpora curarunt. De media uero nocte præstò fuit Seuthes, secumq; loricatos equites adduxit, & cetratos suis armis instructos & ornatos: ubi editi duces sunt: grauis armatura agminis primam partem, secundam cetrati tenuerunt: equitibus tergi custodia mandata est. Vbi uero illuxit, Seuthes in frontem agminis promouit, ac Græcorum institutum magnopere collaudauit: Quoties enim, inquit, ego nocturnis itineribus in paruo agmine, cum equitatu, à pedestribus copijs aberraui? Nunc uero ita, uti maxime opus est, uniuersi prima luce eodem in loco consistimus: sed enim quanti sper ad uos omnia speculatus redeo, hic requiescite. Ac statim uiam montanam ingressus, cum niuem multam offendisset, ad hominũ maxime uestigia attendit, auersa ne illa essent, an aduersa. Vbi uiã uidit minime tritam, ad suos reuersus, Recte, inquit, modo di faueãt, omnia: homines, mihi credite, opprimemus. Sed procedam cum equitatu, ut si quem forte in uia uidero, eum ante comprehendendum curem, quàm hostibus quicquam significet: uos consequimini: ac si fueritis à tergo relicti, uiam uobis equorum uestigia monstrabunt. certe his montibus superatis, in uicos perueniemus multos & opulentos. Hora fere sexta iam erat, cum ipsa montium iuga tenebat: unde cum uicos despiceret, incitato equo ad grauem armaturam uenit: ac immittã, inquit, equitem in campos, peltatos in uicos: uos uelim quàm celerrime consequi, ut si qui restiterint, opem feratis. Hæc cum Xenophon audisset, ex equo statim desiluit. Ad quem Seuthes: Quid tu, inquit, descendis? quod scilicet accelerandum est, respondit ille. Neq; omnino tu mea unius opera indiges. Grauis uero armatura multo maiorem celeritatem suscipiet, cum me etiam ipsum pedestrem agmen ducentem uiderit. Cum eo profectus etiam Timasion, cum Græcis equitibus circiter L X. Xenophon ijs, qui annorum L. minores essent, imperauit, ut à centurionibus digressi, expediti in primum agmen transirent: ac cum his ipse raptim aduolauit. Cleanor Græcos ducebat. Vbi in uicos peruentum est, recurrens cum L. haud amplius equitibus Seuthes: Ita,

inquit,

inquit, est, uti ante dixisti Xenophon: equites longe iã à nobis abierũt, ac soli huc illuc excurrunt: illud uero metuo, ne hostes globo facto eos inuadant. Oportet itaq; uestrũm partẽ aliquã, circa hos uicos in præsidijs esse: sunt.n. hominibus refertissimi. Atenim ego, inquit Xenophon, cũ meis iuga occupabo: tu uero Cleanora iube per cãpos phalangẽ in uicos extendere. Cũ id ita factum esset, capti sunt homines nõ pauciores q̃ M. boues bis mille, ouiũ prope x. millia: ac tunc quidem ibi pernoctarunt. Postero uero die Seuthes cũ uicos totos exuri iussisset, atq; ita ut nulla domus reliqua fieret, cæteri, nisi paruissent, qd metuendũ sibi esset intelligerẽt, pedẽ retulit, ac prædam Heraclidæ tradidit, ut eam Perinthi uenundandã curaret, quo ex ea pecunia, quæ inde coacta esset, stipendiũ militi dissolueretur. Ipse cum Græcis in Thynorũ campis castra posuit. Ex hostibus qui euadere potuerant, in montes cõfugerant. Erat in illis locis niuis magna uis, ac frigus adeo uehemens, ut aqua cœnantibus apposita, quin & in dolijs uinum congelasceret, multis etiam Græcorũ, nares & auricula solo tactu præ rigore auellerẽtur. Ac tũc plane nostris est intellectũ, quã nã de causa Thraces uulpium pellibus capita, ad imas usq; aures uelarent. Sed ijdem nõ solum pectora, sed femora etiã tunicis muniũt: atq; in equis sedẽtes, talaribus lacernis, nõ chlamydib. utuntur. Seuthes quibusdam è captiuorũ numero in mõtes dimissis, iussit illis, qui illuc confugerant, renunciare, nisi in pristinas sedes quamprimũ redissent, ac se in eius potestatẽ dedissent, se uicos eorum inflammaturũ, corruptoq; omni frumento, fame eos necaturum. Fecit hic nuncius ut mulieres tantum, puerique, ac seniores descenderent: iuniores uero in uicis, qui sub monte erant, castra locarunt. Quod cum Seuthes resciisset, Xenophontẽ iussit cum ualẽtissima grauis armaturæ parte se sequi. Nocte e castris egressi, cum prima luce in uicos uenerũt. Ex illis uero quãplurimi diffugerant in proximos montes: quicũq; deprehensi sunt, eos omnes iaculis Seuthes cõfecit. Erat in Græcorũ exercitu Episthenes quidã Olynthius, puerorũ cum primis amator: is eximia pulchritudine puerũ, tunc primũ pubescentem, pelta armatũ conspicatus, cum prope iam esset ut occideretur, Xenophontẽ obsecrauit, ut puero tã pulchro auxilio esset. Et ille quidẽ deprecatione suscepta, primùm Seuthen docuit, Episthenen ijs morib. hominẽ esse, ut nõ aliam ob causam aliquando centuriã unam conscripserit, nisi ut eorum qui forma præstarent, delectum haberet, ac uirtutis unà cum illis documenta daret. Tunc Seuthes ad eum conuersus: Quid tu, inquit, Episthene, inducásne tibi in animũ, ut pro isto moriare? Tunc ille iugulũ ostentans, Feri me, inquit, si ita puer iubet, atq; id est gratũ ei futurũ. Puerum deinde rogauit, nunquid hũc uellet pro se cædi: at ille negãs, pro se ac pro illo simul deprecabatur. Hic Episthenes cũ puerũ dono accepisset, Iam paratus, inquit, sum, si ita res ferat, pro hoc certare, neq; hunc ego unquam dimittam. Subridens Seuthes, tu, inquit, uideris. Statuit autẽ castra eo ipso in loco ponere, ne, qui se in montes recepissent, ex illis uicis ali possent: ac ipse quidẽ plano loco tabernacula sua cõstituit: Xenophõ cum lectissimo quoq; in supremo ad imi montis uico, alij uero Græci in

quid passi sint greci ex rigore.

ἔπειτα δὲ δή, ὦ Ξενοφῶν, ἃ σὺ ἔλεγες, ἔχουσιν οἱ ἄνθρωποι. ἀλλὰ γὰρ οἱ ἱππεῖς ἔρημοι οἴχονταί μοι, ἄλλος ἀλλαχῆ διώκων, καὶ δέδοικα μὴ συσάντες ἀθρόοι που, κακόν τι ἐργάσωνται οἱ πολέμιοι. δεῖ δὲ καὶ ἐν ταῖς κώμαις καταμένειν τινὰς ἡμῶν. μεσταὶ γάρ εἰσιν ἀνθρώπων. ἀλλ' ἐγὼ μέν, ἔφη ὁ Ξενοφῶν, σὺν οἷς ἔχω τὰ ἄκρα καταλήψομαι. σὺ δὲ Κλεάνορα κέλευε διὰ τοῦ πεδίου παρατεῖναι τὴν φάλαγγα παρὰ τὰς κώμας. ἐπεὶ δὲ ταῦτα ἐποίησαν, συνηλίσθησαν ἀνδράποδα μὲν ὡς χίλια, βόες δὲ δισχίλιοι, καὶ ἄλλα πρόβατα μύρια. καὶ τότε μὲν αὐτοῦ ηὐλίσθησαν. τῇ δ' ὑστεραίᾳ κατακαύσας ὁ Σεύθης τὰς κώμας παντελῶς, καὶ οὐδεμίαν οἰκίαν λιπών, ὅπως φόβον ἐνθείη καὶ τοῖς ἄλλοις, οἷα πείσονται ἂν μὴ πείθωνται, ἀπῄει πάλιν. καὶ τὴν μὲν λείαν ἀπέπεμψε διατίθεσθαι Ἡρακλείδῃ εἰς Πέρινθον, ὅπως μισθὸς γένηται τοῖς στρατιώταις. αὐτὸς δὲ καὶ οἱ Ἕλληνες ἐστρατοπεδεύσαντο ἀνὰ τὸ Θυνῶν πεδίον. οἱ δ' ἐκλιπόντες ἔφευγον εἰς τὰ ὄρη. ἦν δὲ χιὼν πολλὴ καὶ ψῦχος, οὕτως ὥστε τὸ ὕδωρ, ὃ ἐφέροντο ἐπὶ δεῖπνον, ἐπήγνυτο, καὶ ὁ οἶνος ἐν τοῖς ἀγγείοις. καὶ τῶν Ἑλλήνων πολλῶν καὶ ῥῖνες ἀπεκαίοντο καὶ ὦτα. καὶ τότε δῆλον ἐγένετο οὗ ἕνεκα οἱ Θρᾷκες τὰς ἀλωπεκίδας ἐπὶ ταῖς κεφαλαῖς φοροῦσι καὶ τοῖς ὠσί. καὶ χιτῶνας οὐ μόνον περὶ τοῖς στέρνοις, ἀλλὰ καὶ περὶ τοῖς μηροῖς. καὶ ζειρὰς μέχρι ποδῶν ἐπὶ τῶν ἵππων ἔχουσιν, ἀλλ' οὐ χλαμύδας. ἀφιεὶς δὲ τῶν αἰχμαλώτων ὁ Σεύθης εἰς τὰ ὄρη, ἔλεγεν, ὅτι εἰ μὴ καταβήσονται οἰκήσοντες, καὶ πείσονται, ὅτι κατακαύσει καὶ τούτων τὰς κώμας, καὶ τὸν σῖτον, καὶ ἀπολοῦνται τῷ λιμῷ. ἐκ τούτου κατέβαινον καὶ γυναῖκες καὶ παῖδες καὶ οἱ πρεσβύτεροι. οἱ δὲ νεώτεροι ἐν ταῖς ὑπὸ τὸ ὄρος κώμαις ηὐλίζοντο. καὶ ὁ Σεύθης καταμαθών, ἐκέλευσε τὸν Ξενοφῶντα τῶν ὁπλιτῶν τοὺς νεωτάτους λαβόντα συνέπεσθαι. καὶ ἀναστάντες τῆς νυκτός, ἅμα τῇ ἡμέρᾳ παρῆσαν ἐπὶ τὰς κώμας. καὶ οἱ μὲν πλεῖστοι ἐξέφυγον. πλησίον γὰρ ἦν τὸ ὄρος. ὅσους δὲ κατέλαβον, κατηκόντισεν ἅπαντας ὁ Σεύθης. Ἐπισθένης δὲ ἦν τις Ὀλύνθιος παιδεραστής, ὃς ἰδὼν καλὸν παῖδα ἡβάσκοντα, ἄρτι πέλτην ἔχοντα, μέλλοντα ἀποθνήσκειν, Ξενοφῶντα ἱκέτευσε βοηθῆσαι παιδὶ καλῷ. καὶ ὃς προσελθὼν τῷ Σεύθῃ, δεῖται μὴ ἀποκτεῖναι τὸν παῖδα, καὶ τοῦ Ἐπισθένους διηγεῖται τὸν τρόπον, καὶ ὅτι λόχον ποτὲ συνελέξατο σκοπῶν οὐδὲν ἄλλο, ἢ εἴ τινες εἶεν καλοί. καὶ μετὰ τούτων ἦν ἀνὴρ ἀγαθός. ὁ δὲ Σεύθης ἤρετο· ἦ καὶ ἐθέλοις ἄν, ὦ Ἐπίσθενες, ὑπὲρ τούτου ἀποθανεῖν; ὁ δ' ἀνατείνας τὸν τράχηλον, παῖε, εἶπεν, εἰ κελεύει ὁ παῖς, καὶ μέλλει χάριν εἰδέναι. ἐπήρετο ὁ Σεύθης τὸν παῖδα, εἰ παίσειεν αὐτὸν ἀντὶ ἐκείνου. οὐκ εἴα ὁ παῖς. ἀλλ' ἱκέτευε μηδέτερον κατακαίνειν. ἐνταῦθα δὴ ὁ Ἐπισθένης περιλαβὼν τὸν παῖδα, εἶπεν· ὥρα μοι, ὦ Σεύθη, περὶ τοῦδέ μοι διαμάχεσθαι. οὐ γὰρ μεθήσω τὸν παῖδα. ὁ δὲ Σεύθης γελῶν, ταῦτα μὲν εἴα. ἔδοξε δ' αὐτῷ αὐτοῦ αὐλισθῆναι, ἵνα μὴ ἐκ τούτων τῶν κωμῶν οἱ ἐπὶ τοῦ ὄρους τρέφοιντο. καὶ αὐτὸς ἐν τῷ πεδίῳ ὑποκαταβάς, ἐσκήνου. Ξενοφῶν δὲ ἔχων τοὺς ἐπιλέκτους ἐν τῇ ὑπὸ τὸ ὄρος ἀνωτάτω κώμῃ, καὶ οἱ ἄλλοι Ἕλληνες ἐν

ἐν ταῖς ὀρεινοῖς τοῖς καλουμένοις Θρᾳξὶ πλησίον κατεσκήνωσαν. ἐκ τούτου ἡμέραι οὐ πολλαὶ διετρίβοντο, καὶ οἱ ἐκ τοῦ ὄρους Θρᾷκες καταβαίνοντες πρὸς τὸν Σεύθην, περὶ ὁμήρων καὶ σπονδῶν διεπράττοντο. καὶ Ξενοφῶν ἔλεγε τῷ Σεύθῃ, ὅτι ἐν πονηροῖς τόποις σκηνοῖεν, καὶ πλησίον εἶεν οἱ πολέμιοι. ἥδιον δ' ἂν ἔξω αὐλίζεσθαι ἔφη, ἐν ἐχυροῖς ἂν χωρίοις μᾶλλον, ἢ ἐν τοῖς στενοῖς, ὥστε ἀπολέσθαι. ὁ δὲ θαρρεῖν ἐκέλευε, καὶ ἔδειξεν ὁμήρους παρόντας αὐτῶν. ἐδέοντο δὲ καὶ τοῦ Ξενοφῶντος καταβαίνοντές τινες τῶν ἐκ τοῦ ὄρους, συμπρᾶξαι σφίσι τὰς σπονδάς. ὁ δ' ὡμολόγει, καὶ θαρρεῖν ἐκέλευε, καὶ ἠγγυᾶτο αὐτοῖς, μηδὲν κακὸν πείσεσθαι πειθομένους Σεύθῃ. οἱ δ' ἄρα ταῦτ' ἔλεγον κατασκοπῆς ἕνεκα. ταῦτα μὲν τῆς ἡμέρας ἐγένετο. εἰς δὲ τὴν ἐπιοῦσαν νύκτα, ἐπιτίθενται ἐλθόντες ἐκ τοῦ ὄρους οἱ Θυνοί. καὶ ἡγεμὼν μὲν ἦν ὁ δεσπότης ἑκάστης οἰκίας. χαλεπὸν γὰρ ἦν ἄλλῳ τὰς οἰκίας σκότους ὄντος ἀνευρίσκειν ἐν ταῖς κώμαις. καὶ γὰρ αἱ οἰκίαι κύκλῳ περιεσταύρωντο μεγάλοις σταυροῖς τῶν προβάτων ἕνεκα. ἐπεὶ δ' ἐγένοντο κατὰ τὰς θύρας ἑκάστου οἰκήματος, οἱ μὲν εἰσηκόντιζον, οἱ δὲ τοῖς σκυτάλοις ἔβαλλον, ἃ ἔχειν ἔφασαν, ὡς ἀποκόψοντες τῶν δοράτων τὰς λόγχας. οἱ δ' ἐνεπίμπρασαν. καὶ Ξενοφῶντα ὀνομαστὶ καλοῦντες ἐξιόντα ἐκέλευον ἀποθνήσκειν, ἢ αὐτοῦ ἔφασαν κατακαυθήσεσθαι αὐτόν. καὶ ἤδη τε διὰ τοῦ ὀρόφου ἐφαίνετο πῦρ, καὶ ἐντεθωρακισμένοι οἱ περὶ Ξενοφῶντα ἔνδον ἦσαν, καὶ κράνη ἔχοντες. καὶ Σιλανὸς Μακίστιος ἐτῶν ὀκτωκαίδεκα ὤν, σημαίνει τῇ σάλπιγγι, καὶ εὐθὺς ἐκπηδῶσιν ἐσπασμένοι τὰ ξίφη, καὶ οἱ ἐκ τῶν ἄλλων σκηνωμάτων, οἱ δὲ Θρᾷκες φεύγουσιν, ὥσπερ δὴ τρόπος αὐτοῖς, ὄπισθεν περιβαλλόμενοι τὰς πέλτας. καὶ αὐτῶν ὑπεραλλομένων τοὺς σταυροὺς, ἐλήφθησάν τινες κρεμασθέντες, ἐνεχομένων τῶν πελτῶν ἐν τοῖς σταυροῖς. οἱ δὲ καὶ ἀπέθανον, διαμαρτόντες τῶν ἐξόδων. οἱ δ' Ἕλληνες ἐδίωκον ἔξω τῆς κώμης. τῶν δὲ Θυνῶν ὑποστραφέντες τινὲς ἐν τῷ σκότει, τοὺς παρατρέχοντας παρ' οἰκίαν ἠκόντιζον, καιομένην, εἰς τὸ φῶς ἐκ τοῦ σκότους. καὶ ἔτρωσαν Ἱερώνυμόν τε καὶ Ἐνοδίαν τὸν λοχαγὸν, καὶ Θεαγένην δὲ Λοκρὸν τὸν λοχαγόν. ἀπέθανε δὲ οὐδείς. κατεκαύθη μέντοι ἐσθής τινων καὶ σκεύη. Σεύθης δὲ ἧκε βοηθήσων σὺν ἑπτὰ ἱππεῦσι τοῖς πρώτοις, καὶ τὸν σαλπικτὴν ἔχων τὸν Θρᾴκιον. καὶ ἐπείπερ ᾔσθετο, ὅσονπερ χρόνον ἐβοήθει, τοσοῦτον καὶ τὸ κέρας ἐφθέγγετο αὐτῷ. ὥστε καὶ αὐτὸ φόβον συμπαρεῖχε τοῖς πολεμίοις. ἐπεὶ δ' ἦλθεν, ἐδεξιοῦτο καὶ ἔλεγεν, ὅτι οἴοιτο τεθνεῶτας πολλοὺς εὑρήσειν. ἐκ τούτου ὁ Ξενοφῶν δεῖται τοὺς ὁμήρους τε αὐτῷ παραδοῦναι, καὶ ἐπὶ τὸ ὄρος εἰ βούλεται συστρατεύεσθαι· εἰ δὲ μὴ, αὐτὸν ἐᾶσαι. τῇ οὖν ὑστεραίᾳ παραδίδωσιν ὁ Σεύθης τοὺς ὁμήρους πρεσβυτέρους ἄνδρας, τοὺς κρατίστους ὡς ἔφασαν τῶν ὀρεινῶν. καὶ αὐτὸς ἐξέρχεται σὺν τῇ δυνάμει. ἤδη δὲ εἶχε καὶ τριπλασίαν δύναμιν ὁ Σεύθης. ἐκ γὰρ τῶν Ὀδρυσῶν ἀκούοντες ἃ πράττοι ὁ Σεύθης, πολλοὶ κατέβαινον συστρατευσόμενοι. οἱ δὲ Θυνοὶ, ἐπεὶ εἶδον τοῦ ὄρους πολλοὺς μὲν ὁπλίτας, πολλοὺς δὲ πελταστὰς, πολλοὺς δὲ ἱππεῖς, καταβαίνοντες, ἱκέτευον σπείσασθαι, καὶ πάντα ὡμολόγουν ποιήσειν, καὶ

τὰ

in montanis (sic enim appellantur) Thraciis, non longe à caeteris. Quibus in locis cum dies paucos commorati essent, ex montibus ad Seuthen legati uenerũt, tanquam de conditionibus & obsidibus acturi. Atq; eodem tempore Seuthen Xenophon monuit, non esse satis bono loco castra locata, quod ea facile possent tam propinqui hostes inuadere: ac certe fuisse potius munita loca, q̃ angusta deligenda, in quib. non longè à summo periculo abessent. Iubet Seuthes eum bono animo 10 esse, ac simul obsides ostendit. Nonnulli etiam ex iis, qui è montibus descenderant, Xenophontem ipsum rogare coeperunt, sibi ut conditiones conficeret. At ille ita se facturum spopondit, in suamq; eos fidem recepit. nihil omnino affirmans incommodi passuros, si Seuthae se dedissent. Verùm illi ut specularentur uenerant: nocte enim ea quae diem, quo haec acta sunt, consecuta est, Thyni impetu facto nostros adorti sunt. Duces erant domorum singularum domini, quod alij in uicis, domus per tenebras agnoscere non potuissent.

20 Domus ipsae firmissimis erant uallis ad pecoris custodiam circunseptae. Ad earum tunc fores cum uentum esset, alij missilia intro iaciebant: alij lora quaedam, ac tanquam scuticas uibrabant, quibus ad praecidendas hastarum cuspides utebantur. Erant qui faces immitterent: ac Xenophontem quidem, cum nominatim appellantes, aut si exisset ad necem exposcebant, aut se illum intus crematuros minabantur: ac iam ad culmen ignis euaserat, & qui sub tecto erant, cum Xenophonte loricas & galeas ceperant, cum Silanus Macestius 30, adolescens annos natus decem & octo, tuba signum dedit: quo audito, repente ex omnibus tuguriis districtos enses tenentes Graeci eruperunt: Thraces uero, qui ipsis mos est, in fugam se dederunt, peltis in tergum reiectis: & ex illis non pauci, qui uallum ascenderant, peltarum loris implicati, de ualli sudibus pependerunt: alij, cum in tanta trepidatione exitum non reperirent, occisi sunt. Graeci fugientes ultra uicum insecuti sunt: contra quos Thynorum quidam conuersi, in tenebris, nonnullos qui ad ardentis do40mus cuiusdam incendium, luminis causa, accurrerant, missilibus uulnerarunt, & inter eos Hieronymum, Enodian, & Locrensem Theagenem, centuriones, uerum nemo periit. Multorum arma igni consumpta. Et Seuthes quidem cum equitibus tantum septem auxilium laturus uenit, ac secum tubicinem Thracium adduxit. Vbi in conspectu fuit, statim cornua cecinerunt: quae res hostibus magnum terrorem iniecit. At ille Graecos complexus, se timuisse dixit ne multi caesi essent. Hic Xenophon rogat ut obsides sibi tradat: ac 50 se pollicetur cum illo ad montem oppugnandum profecturum: sin minus, dimitti se postulat. Postero die Seuthes obsides tradidit, grandiores natu homines, quos omnibus montis incolis aiebant dignitate praestare: ac ipse etiam est cum copiis suis profectus. Habebat iam Seuthes exercitum triplo maiorem. Ex Odrysis enim multi fama rerum à Seuthe gestarum commoti, ut eius essent expeditionum participes, descenderant. At Thyni cum grauem armaturam tantam, támque multos peltatos & equites uidissent, supplices pacem petere, & se imperata facturos polliceri, ac

A 2 ut à

ut à se pignora fidei acciperēt, rogare. Quare Seuthes
accersit Xenophontē, atq; et exponit quæ illi attulis-
sent: seq; negat ullo pacto pacē petentib. daturū, si sta-
tuisse ipsum intelligat, impetū, quē illi paulo ante fece-
rãt, ulcisci. Atqui, inquit Xenophō, mihi hercule satis
magnas pœnas dederint, si qui liberi ante fuerunt, in
seruitutē redigãtur: censere tamē se, ab illis obsides ac
cipiēdos: atq; eos in primis, qui ad faciendã iniuriã in
structiores, ac paratiores esse uiderentur: seniores uero
domi relinquendos. Horū illi nihil recusarūt. Hinc ad 10
Thracas, qui Delta incolūt, quæ regio supra Byzantiū
est, transeūt. Iã locus hic ad Medosadæ imperiū nihil
attinebat: nã ueteris cuiusdã Teres Odrysorū regis di-
tione cōtinebatur. Hic Heraclides cū pecunia de manu
biis adfuit: et Seuthes cum iuga tria iumentorū, quod
plura nō habebat, boū uero sane multa produxisset, ut
à se dono ea acciperet, Xenophontē rogat: alia uero
quæcūq; ut prætorib. et centurionib. diuidat. Hæc Seu
thæ offerēti, respōdet Xenophō: satis sibi fore, si alio tē
pore accipiat: in præsentia, inquit, ista prætorib. et cen 20
turionib. qui me huc secuti sunt, donato. Accepit itaq;
Timasiō Dardanēsis iugū unum, unū Cleanor Orcho
menius, unū Phryniscus Achæus: boū uero iuga inter
cēturiones partitus est. Cūq; iam mēsis exisset, xx. dū
taxat dierū stipendiū pendit. Heraclides se de præda ni
hilo maiorē pecuniã coēgisse affirmarat. Quare Xe-
nophō grauiter cōmotus, Heraclide, inquit, nō uideris
mihi satis diligēter, quæ ad Seuthæ utilitates pertinēt,
curare: attulisses. n. tu quidem stipendiū integrū, ac si
aliter nō potuisses, uel fœnori accepta pecunia, aut ip 30
sis uestimentis diuenditis. Hæc oratio uehemēter Hera
clidæ animū offendit, cum non parū metueret, ne ex eo
amicitiæ loco, quē apud Seuthen obtinebat, deturbare
tur. Exinde itaq; q̃ potuit maxime Xenophontē cœpit
apud Seuthen insimulare. Milites cum Xenophōte ex
postulabant, quod stipendio fraudarētur. Seuthes ægre
ferebat se toties ab eo appellari. Neq; enim desinebat
Xenophon ei uerba illa illa exprobare: Cum ad mare
uenero (id. n. erat ille pollicitus) Bisantē dabo, Ganon,
et nouos muros. Iã uerò nihil meminisse uidebatur. Nã 40
et illud Heraclides, quo Xenophontē in suspicionē &
inuidiã adduceret, dictitabat, nō esse satis tutū in pote-
statem hominis exercitū habētis, munita loca tradere.
Quæ res effecit, ut Xenophon deliberandū sibi puta-
ret, an p̃sisteret in ea societate. Heraclides interea præ
tores alios ad Seuthē adducit, iisq; persuadere cona-
tur, ut profiteãtur se in exercitu ductãdo, nihilo q̃ Xe
nophontem imperitiores fore: ac se illis intra dies pau
cos pollicitus est, mercedē duūm mensiū curaturū, ma
nerēt modo in officio. Ibi Timasiō omniū primus: Ego 50
uero, inquit, ne si mensiū quinq; stipendiū capiã, sine
Xenophōte, ut in societate hac permaneã, adduci pos-
sum. Ac se idē in animo habere Phryniscus et Cleanor
affirmarūt. Tunc Seuthes Heraclidē obiurgauit, quod
Xenophontem non accersisset. Accersitur itaq; unus
Xenophon: qui cum Heracliden intelligeret operã da
re, ut sibi apud cæteros prætores inuidiã conflaret, ue-
nit cum prætorib. et centurionibus: quibus cum persua
sum esset ne à Seuthe deficerent, castra mouerunt, ac
primum ad dexteram, regione relicta eorum Thra-
cum

τὰ πιστὰ λαμβάνειν ἐκέλευον. ὁ δὲ σεύθης καλέσας τὸν
ξενοφῶντα ἐπιδείκνυσιν ἃ λέγοιεν, καὶ οὐκ ἂν ἔφη σπεί-
σασθαι, εἰ ξενοφῶν βούλοιτο τιμωρήσασθαι αὐτοὺς τῆς ἐπι-
θέσεως. ὁ δ' εἶπεν· ἀλλ' ἔγωγε ἱκανὴν νομίζω δίκην ἔ-
χειν, εἰ οὗτοι δοῦλοι ἔσονται ἀντ' ἐλευθέρων. συμβου-
λεύειν μέντοι, ἔφη, αὐτῷ τὸ λοιπὸν ὁμήρους λαμβάνειν
τοὺς δυνατωτάτους κακόν τι ποιεῖν· τοὺς δὲ γέροντας
οἴκοι ἐᾶν. οἱ μὲν οὖν ταύτῃ πάντες προσωμολόγουν.
ὑπερβάλλουσι δὲ πρὸς τοὺς ὑπὲρ Βυζαντίου θρᾷκας, εἰς
τὸ δέλτα καλούμενον. αὕτη δ' ἦν οὐκέτι ἀρχὴ μηδο-
σάδου, ἀλλὰ τηρέου τοῦ ὀδρυσοῦ ἀρχαίου τινός. καὶ
ὁ ἡρακλείδης ἐνταῦθα ἔχων τὴν τιμὴν τῆς λείας παρ-
ῆν. καὶ σεύθης ἐξαγαγὼν ζεύγη ἡμιονικὰ τρία. οὐ γὰρ
ἦν πλείω. τὰ δ' ἄλλα βοεικά, καλέσας ξενοφῶντα, ἐκέ-
λευσε λαβεῖν. τὰ δὲ ἄλλα διανεῖμαι τοῖς στρατηγοῖς καὶ
λοχαγοῖς. ξενοφῶν δὲ τάδ' εἶπεν· ἐμοὶ μὲν τοίνυν ἀρκεῖ
καὶ αὖθις λαβεῖν. τούτοις δὲ τοῖς στρατηγοῖς δωροῦ, οἳ
σὺν ἐμοὶ ἠκολούθησαν, καὶ λοχαγοῖς. καὶ τῶν ζευγῶν
λαμβάνει ἓν μὲν τιμασίων ὁ δαρδανεύς, ἓν δὲ κλεά-
νωρ ὁ ὀρχομένιος, ἓν δὲ φρυνίσκος ὁ ἀχαιός. τὰ δὲ βοει-
κὰ ζεύγη τοῖς λοχαγοῖς κατεμερίσθη. τὸν δὲ μισθὸν ἀπο-
δίδωσιν, ἐξεληλυθότος ἤδη τοῦ μηνός, εἴκοσι μόνον
ἡμερῶν. ὁ γὰρ ἡρακλείδης ἔλεγεν, ὅτι οὐ πλεῖον ἐμπο-
λῆσαι. ὁ οὖν ξενοφῶν ἀχθεσθείς, εἶπε· δοκεῖς μοι, ὦ ἡρα-
κλείδη, οὐχ ὡς δεῖ κήδεσθαι σεύθου. εἰ γὰρ ἐκήδου,
ἧκες ἂν πλήρη φέρων τὸν μισθόν, καὶ προσδανεισά-
μενος, εἰ μή γ' ἄλλως ἐδύνω, καὶ ἀποδόμενος τὰ σαυ-
τοῦ ἱμάτια. ἐντεῦθεν τε ἡρακλείδης ἠχθέσθη τε καὶ ἔ-
δεισε, μὴ ἐκ τῆς σεύθου φιλίας ἐκβληθείη. καὶ ὅ, τι ἐδύ-
νατο ἀπὸ ταύτης τῆς ἡμέρας, ξενοφῶντα διέβαλλε πρὸς
σεύθην. οἱ μὲν δὴ στρατιῶται ξενοφῶντι ἐνεκάλουν,
ὅτι οὐκ εἶχον τὸν μισθόν. σεύθης δὲ ἤχθετο αὐτῷ, ὅτι
ἐντόνως τοῖς στρατιώταις ἀπῄτει τὸν μισθόν. καὶ τέως
μὲν ἀεὶ ἐμέμνητο, ὡς ἐπειδὰν ἤδη θάλατταν ἀπέλθοι,
παραδώσει αὐτῷ βισάνθην, καὶ γάνον, καὶ νέον τεῖ-
χος. ἀπὸ δὲ τούτου τοῦ χρόνου, οὐδενὸς ἔτι τούτων ἐμέ-
μνητο. ὁ μὲν γὰρ ἡρακλείδης καὶ τοῦτο διαβεβλήκει, ὡς
οὐκ ἀσφαλὲς εἴη τείχη παραδιδόναι ἀνδρὶ δύναμιν
ἔχοντι. ἐκ τούτου ὁ μὲν ξενοφῶν ἐβουλεύετο τί χρὴ ποι-
εῖν, περὶ τοῦ ἔτι ἄνω στρατεύεσθαι. ὁ δ' ἡρακλείδης εἰσα-
γαγὼν τοὺς ἄλλους στρατηγοὺς πρὸς σεύθην, λέγειν τε
ἐκέλευεν αὐτούς, ὅτι οὐδὲν ἂν ἧττον σφεῖς ἀγάγοιεν τὴν
στρατιάν, ἢ ξενοφῶν. τόν τε μισθὸν ὑπισχνεῖτο αὐτοῖς, ἐν-
τὸς ὀλίγων ἡμερῶν, ἔκπλεων παρέσεσθαι δυοῖν μη-
νοῖν, συστρατεύεσθαί τε ἐκέλευε. καὶ ὁ τιμασίων εἶπεν·
ἐγὼ μὲν τοίνυν οὐδ' ἂν πέντε μηνῶν μισθὸς μέλλοι εἶ-
ναι, στρατευσαίμην ἂν ἄνευ ξενοφῶντος. καὶ ὁ φρυνί-
σκος καὶ ὁ κλεάνωρ συνωμολόγουν τιμασίωνι. ἐν-
τεῦθεν σεύθης ἐλοιδόρει τὸν ἡρακλείδην, ὅτι οὐ πα-
ρακαλεῖ τὸν ξενοφῶντα. ἐκ δὲ τούτου παρακαλοῦσιν
αὐτὸν μόνον. ὁ δὲ γνοὺς τοῦ ἡρακλείδου τὴν πανουρ-
γίαν, ὅτι βούλοιτο αὐτὸν διαβάλλειν πρὸς τοὺς ἄλλους
στρατηγούς, παρέρχεται λαβὼν τούς τε στρατηγοὺς πάν-
τας καὶ τοὺς λοχαγούς. καὶ ἐπεὶ πάντες ἐπείσθησαν,
συνεστρατεύοντο, καὶ ἀφικνοῦνται ἐν δεξιᾷ ἔχοντες
τὸν πόντον, διὰ τῶν μελινοφάγων καλουμένων θρᾳ-
κῶν

καὶ εἰς τὸν σαλμυδησσόν, ἔνθα τῶν εἰς τὸν πόντον πλεουσῶν νεῶν πολλαὶ ὀκέλλουσι καὶ ἐκπίπτουσι. τέναγος γάρ ἐστιν ἐπὶ πολὺ τῆς θαλάττης. καὶ οἱ θρᾷκες οἱ κατὰ ταῦτα οἰκοῦντες, στήλας ὁρισάμενοι, τὰ καθ' αὑτοὺς ἕκαστοι ἐκπίπτοντα λῄζονται. τέως δ' ἐλέγοντο πρὶν ὁρίσασθαι ἁρπάζοντες, πολλοὶ ὑπ' ἀλλήλων ἀποθνήσκειν. ἐνταῦθα εὑρίσκονται πολλαὶ μὲν κλίναι, πολλὰ δὲ κιβώτια, πολλαὶ δὲ βίβλοι, καὶ τἆλλα πολλά, ὅσα ἐν ξυλίνοις τεύχεσι ναύκληροι ἄγουσιν. ἐντεῦθεν ταῦτα καταστρεψάμενοι, ἀπῄεσαν πάλιν. ἔνθα δὴ σεύθης εἶχε στράτευμα πλέον τοῦ ἑλληνικοῦ. ἔκ τε γὰρ ὀδρυσῶν πολὺ πλείους κατεβεβήκεσαν. καὶ οἱ αὐτοὶ πειθόμενοι συνεστρατεύοντο. κατηυλίσθησαν δὲ ἐν τῷ πεδίῳ ὑπὲρ σηλυβρίας, ὅσον ν΄ σταδίους ἀπέχοντες τῆς θαλάττης. καὶ μισθὸς μὲν οὐδεὶς πω ἐφαίνετο. καὶ πρὸς μὲν τὸν ξενοφῶντα οἵ τε στρατιῶται παντελῶς χαλεπῶς εἶχον, ὅτε σεύθης οὐκέτι οἰκείως διέκειτο. ἀλλ' ὁπότε συγγενέσθαι αὐτῷ βουλόμενος ἔλθοι, πολλαὶ ἤδη ἀσχολίαι ἐγίγνοντο. ἐν δὲ τούτῳ τῷ χρόνῳ, σχεδὸν ἤδη δύο μηνῶν ὄντων, ἀφικνοῦνται χαρμῖνός τε ὁ λάκων καὶ πολύνικος παρὰ θίμβρονος, καὶ λέγουσιν ὅτι λακεδαιμονίοις δοκεῖ στρατεύεσθαι ἐπὶ τισσαφέρνην. καὶ θίμβρων ἐκπέπλευκεν ὡς πολεμήσων, καὶ δεῖται ταύτης τῆς στρατιᾶς. καὶ λέγει ὅτι δαρεικὸς ἑκάστῳ ἔσται μισθὸς τοῦ μηνός, καὶ τοῖς λοχαγοῖς διμοιρία. ἐπεὶ δ' ἦλθον οἱ λακεδαιμόνιοι, εὐθὺς ὁ ἡρακλείδης πυθόμενος ὅτι ἐπὶ τὸ στράτευμα ἥκουσι, λέγει τῷ σεύθῃ, ὅτι κάλλιον γεγένηται. οἱ μὲν γὰρ λακεδαιμόνιοι δέονται τοῦ στρατεύματος, σὺ δ' οὐ δέῃ, ἀποδιδοὺς δὲ τὸ στράτευμα αὐτοῖς, χαριεῖ. σὲ δὲ οὐκέτι ἀπαιτήσουσι τὸν μισθόν, ἀλλ' ἀπαλλάξονται ἐκ τῆς γῆς. ἀκούσας ταῦτα ὁ σεύθης, κελεύει παράγειν. καὶ ἐπεὶ εἶπον, ὅτι ἐπὶ τὸ στράτευμα ἥκουσι, λέγει ὅτι τὸ στράτευμα ἀποδίδωσι, φίλος τε καὶ σύμμαχος βούλεται εἶναι, καλεῖ τε αὐτοὺς ἐπὶ ξένια, καὶ ἐξένιζε μεγαλοπρεπῶς. ξενοφῶντα δὲ οὐ καλεῖ, οὐδὲ τῶν ἄλλων στρατηγῶν οὐδένα. ἐρωτώντων δὲ τῶν λακεδαιμονίων, ὅτι τίς ἀνὴρ εἴη ξενοφῶν, ἀπεκρίνατο, ὅτι τὰ μὲν ἄλλα εἴη οὐ κακός, φιλοστρατιώτης δέ, καὶ διὰ τοῦτο χεῖρόν ἐστιν αὐτῷ. καὶ οἳ εἶπον· ἀλλ' ἦ δημαγωγεῖ ὁ ἀνὴρ τοὺς ἄνδρας; καὶ ὁ ἡρακλείδης, πάνυ μὲν οὖν, ἔφη. ἆρ' οὖν, ἔφασαν, μὴ καὶ ἡμῖν ἐναντιώσεται περὶ τῆς ἀπαγωγῆς; ἀλλ' ἢν ὑμεῖς, ἔφη ὁ ἡρακλείδης, συλλέξαντες αὐτοὺς ὑπόσχησθε τὸν μισθόν, ὀλίγον ἐκείνῳ προσσχόντες, ἀποδραμοῦνται σὺν ὑμῖν. πῶς ἂν οὖν, ἔφασαν, ὑμῖν συλλεγεῖεν; αὔριον ὑμᾶς, ἔφη ὁ ἡρακλείδης, πρωῒ ἄξομεν πρὸς αὐτούς· καὶ οἶδα, ἔφη, ὅτι ἐπειδὰν ὑμᾶς ἴδωσιν, ἄσμενοι συνδραμοῦνται. αὕτη μὲν ἡ ἡμέρα, οὕτως ἔληξε. τῇ δ' ὑστεραίᾳ ἄγουσιν ἐπὶ τὸ στράτευμα τοὺς λάκωνας, σεύθης τε καὶ ἡρακλείδης. καὶ συλλέγεται ἡ στρατιά. τὼ δὲ λάκωνε ἐλεγέτην, ὅτι λακεδαιμονίοις δοκεῖ, πολεμεῖν τισσαφέρνει τῷ ὑμᾶς ἀδικήσαντι. ἢν οὖν ἴητε σὺν ἡμῖν, τόν τε ἐχθρὸν τιμωρήσεσθε, καὶ δαρεικὸν ἕκαστος οἴσει τοῦ μηνὸς ὑμῶν. λοχαγὸς δὲ τὸ διπλοῦν, στρατηγὸς δὲ τὸ τετραπλοῦν. καὶ οἱ στρατιῶται ἄσμενοί τε ἤκουσαν, καὶ εὐθὺς ἀνίσταταί τις τῶν ἀρκάδων, τοῦ ξενοφῶντος κατηγορήσων. παρῆν δὲ καὶ σεύθης βου-

cum qui Melinophagi (id est, ac si panico uescentes dicas) appellantur, Salmydessum peruenerunt. Ad ea littora è mari, in breuia & quasi æstuaria quædam impactæ naues quamplurimæ, in Pontum uenientes, franguntur: eas Thraces prædantur, diuisis inter se littoribus, columnis per interualla erectis: nam antequam id fieret, de præda inter eos cædes plurimæ fiebant. Ibi lecti multi, et arcæ item multæ repertæ sunt: multæ papyri, & alia multa, quæ in ligneis uasis reposita nauiculatores habere consueuerunt. His omnibus direptis abierunt. Iam copias Seuthes Græcorum exercitu maiores habebat: ex Odrysis enim longe plurimi descenderant, qui omnes Seuthæ fidem secuti sunt. Castra supra Selymbriam habebantur, in campis qui à mari absunt quinquaginta circiter stadia stipendium omnino nullum pendebatur. Milites Xenophonti succensebant, quod ab eius familiaritate et consuetudine iam Seuthes refugere uidebatur: nam ad eum quoties ueniret, se ille negocijs distineri causabatur. Interea cum iam menses duo abijssent, Charminus Laco, & Polynicus à Thimbrone missi, nunciant decreuisse Lacedæmonios bellum Tissapherni inferre. Iam cum classe profectum Thimbronem, qui exercitum inuitaret, menstruum stipendium militibus singulis Daricum pollicens, centurionibus duplicatum. Quod ubi Heraclides cognouit, Seuthæ suadet, conducere eum exercitum tradere Lacedæmonijs. Illi, inquit, eo indigent, tibi nihil opus est: & sane illis non parum gratificabere. Stipendium uero hi abs te non exigent: quamprimũ enim è nostris finibus decedent. His ille persuasus iubet legatos introduci, ac legatione audita, statim se exercitum illis tradere respondit, amicúmque se & socium Lacedæmoniorum futurum. Legatos etiam hospitaliter inuitatos accepit magnifice, neq; Xenophontem aut aliorum prætorum quenquam uocauit. Cum autem Lacones quæsissent, qui uir esset Xenophon: respondit ille, non omnino malum esse, sed militum amantiorem fere quàm opus esset, ac sibi propterea minus utilem. Nunquid, illi inquiunt, popularem se militibus præbet? Vnus omnium maxime, respondit Heraclides. At illud uerendum est, dicunt illi, ne hunc nobis exercitum abducere cupientibus, aduersetur. Verùm, inquit, illis uos in unum congregatis paruum stipendium si promiseritis, Xenophonte relicto, uos proculdubio sequentur. Sed quonam possint modo congregari? inquiunt illi. Cras, respõdit Heraclides, uos ad eos deducam: neq; dubito quin simulac uos uiderint, concursuri sint. Et his quidem sermonibus dies exemptus est. Postero die à Seuthe & Heraclide deducti sunt ad exercitum legati. Cum in unum omnes conuenissent, Græcos legati his uerbis allocuti sunt: Lacedæmonijs uisum est bellum Tissapherni inferre, à quo iniuriam acceperunt: uos nobiscum si societatem coieritis, & communem hostem ulciscemini, & Daricum uestrûm unusquisque mensibus singulis capiet, centuriones uero duplum, quadruplũ prætores. Hæc milites audierunt sane quàm libenter. Ac statim ex Arcadibus quidam surrexit, & Xenophontem acerbe cœpit accusare. Aderat Seuthes:

ut planius.n.cognosceret quorsum res euaderet, propius accesserat, & eo loco cōstiterat, adhibuo interprete, è quo facile oīa posset audire. Sed multa etiam græce sciebat. Arcas ita locutus est: Nos iampridē ad uos uenissemus Lacedæmonij, nisi Xenophontis oratione inducti huc diuertissemus, ubi et hyemē importunissimā, et asperrimā egimus: et militaria munia obeūtes, neq; diē, neq; noctē unā quieuimus. Ille uero fructus nostrorū laborū præripit, et cū sane Seuthes dōis expleuit, nos nostro stipēdio fraudat. Quod si, idē inquit, lapidib. illū obrutū, & pœnas pro eo q̃ nos tandiu uexauit, dantē uideam, plane integrā mihi uidear mercedē accepisse: neq; erūt, quæ passus sum, ulla ex parte amplius grauia. Surrexit deinde alius, et subinde alius. Quorū querelis cōmotus Xenophō, sui purgādi causa ita locutus est. Nimirū nihil est qd' homini metuendū nō sit, cū eas uos mihi res crimini esse uelitis, in quib. mihi cōscius sim, cura studioq; summo, uestris rationib. quamoptime consultū uoluisse. Diuerti ego uobiscū, cū iam nihil, q̃ domū redire mallē: nō sane quod existimarē, posse me uos magno aliquo beneficio afficere, sed cū urgeri uos rerū omnium penuria uiderē, ut uos qua possem ope subleuarē. Ac cū p nūcios Seuthes hicce me solicitaret, ac mihi quiduis polliceretur, si ut uos ad se ueniretis effecissem, testes uos ipsi esse potestis, non potuisse me adduci. Deduxi igitur uos eū in locū, unde quāfacillime in Asiā traijcere possetis: quod maxime uobis cōducere existimabā, et uos esse in eam partē propēsiores cognoscebā. Verū cū Aristarchus cū triremib. uenisset, ac nos traijcere uetuisset, ad uos ego, sicuti res postulabat, de eo quod faciendū esset retuli. Quo tēpore cū Aristarchus, ut in Chersonesum ueniretis imparet, ac Seuthes ad societatē inuitaret, nonne dixistis oēs ad Seuthen eundū, atq; id uestris etiā sentētijs declarastis? Dicite igitur obsecro, inquit, nunquid ego eo uos læserim, q̃ uestræ uolūtati obtēperans, uos, quò ipsi maxime uoluistis, duxerim? Postea uero q̃ Seuthes, neglecta quā dederat fide, cœpit uos mercede fraudare, si mihi eius factū probatur, iure uos quidē & accusatis me, et odio habetis: sin cōtra ab eo nūc maxime, cui fui coniunctissimus, dissideo, quanā de causa, qui in uestra esse, q̃ illius potestate malim, nūc à uobis in inuidiā & crimē rapior? Quod si illud dicitis, stipēdijs uestris interuersis, me in causa uestra apud Seuthē præuaricatum: illud certe perspicuū est, quod si quid mihi Seuthes pēdisset, nō posset utiq; ferre, q̃ & eo careret, et insuper aliā uobis pecuniā pēderet: pēdisset.n.ille, ut minore mihi pecunia data, tāto maiorē uobis nō daret. Quod si aliter existimatis, si mercedē uestrā nūc à Seuthe exegeritis, facile aut uos ego redarguā, aut me uos. Quis.n.dubitet repetiturū à me Seuthē quæ dederit, si pactum qd' fuerim, precio corruptus, ei non præstitero? Sed.n.multū abest, ut uestra ego uos mercede fraudarim: ac p deos oēs deasq; iuro, Seuthē neque ea mihi dedisse, quæ priuatim promiserat: adest ipse, atq; hæc audiēs, si mētior, periurij me tacitus cōdemnat. Ac qd' magis miremini, illud etiā adiuro, minus me multo accepisse, quàm cæteros prætores, ne dicā quàm de centurionibus nonnulli. Quæ uero me res, ut

βουλόμενος εἰδέναι τί πραχθήσεται, καὶ ἐν ἐπηκόῳ εἱστήκει, ἔχων τὸν ἑρμηνέα. συνίει δὲ καὶ αὐτὸς ἑλληνιστὶ τὰ πλεῖστα. ἔνθα δὴ λέγει ὁ ἀρκάς· ἀλλ᾽ ἡμεῖς μὲν, ὦ λακεδαιμόνιοι, καὶ πάλαι ἂν ἦμεν παρ᾽ ὑμῖν, εἰ μὴ ξενοφῶν δεῦρο ἡμᾶς πείσας ἀπήγαγεν. ἔνθα δὴ ἡμεῖς μὲν τὸν δεινὸν χειμῶνα στρατευόμενοι, καὶ νύκτα καὶ ἡμέραν οὐδὲν πεπαύμεθα. ὁ δὲ τοὺς ἡμετέρους πόνους ἔχει. καὶ σεύθης ἰδίᾳ μὲν ἐκεῖνον πεπλούτηκεν, ἡμᾶς δὲ ἀποστερεῖ τὸν μισθόν. ὥστε ὅγε πρῶτος λέγων, ἐγὼ μὲν ἔφη, εἰ τοῦτον ἴδοιμι καταλευσθέντα, καὶ δόντα δίκην, ὧν ἡμᾶς περιεῖλκε, καὶ τὸν μισθὸν ἄν μοι δοκῶ ἔχειν, καὶ οὐδὲν ἂν ἔτι τοῖς πεπονημένοις ἄχθεσθαι. μετὰ τοῦτον ἄλλος ἀνέστη ἄν, ὁμοίως καὶ ἄλλος. ἐκ δὲ τούτων ξενοφῶν ἔλεξεν ὧδε· ἀλλὰ πάντα μὲν ἄνθρωπον ὄντα, προσδοκᾶν δεῖ, ὁπότε ἐγὼ νυνὶ μὲν ὑφ᾽ ὑμῶν αἰτίας ἔχω, ἐν ᾧ πλείστην προθυμίαν ἐμαυτῷ γε δή μοι δοκῶ συνειδέναι περὶ ὑμᾶς παρεσχημένος. ἀπετραπόμην μέντοι ἤδη οἴκαδε ὁρμώμενος μὰ τὸν δία, οὔτοι πυνθανόμενος ὑμᾶς εὖ πράττειν, ἀλλὰ μᾶλλον ἀκούων ἐν ἀπόροις εἶναι, ὡς ὠφελήσων εἴ τι δυναίμην. ἐπεὶ δ᾽ ἦλθον, σεύθου τουτουῒ πολλοὺς ἀγγέλους πρὸς ἐμὲ πέμποντος, καὶ πολλὰ ὑπισχνουμένου ἐμοί, εἰ πείσαιμι ὑμᾶς πρὸς αὐτὸν ἐλθεῖν, τοῦτο μὲν οὐκ ἐπεχείρησα ποιεῖν, ὡς αὐτοὶ ὑπίστασθε. ἦγον δὲ ὅθεν ᾤμην τάχιστ᾽ ἂν ὑμᾶς εἰς τὴν ἀσίαν διαβῆναι. ταῦτα γὰρ καὶ βέλτιστα ἐνόμιζον ὑμῖν εἶναι, καὶ ὑμᾶς ᾔδειν βουλομένους. ἐπεὶ δὲ ἀρίσταρχος ἐλθὼν σὺν τριήρεσιν ἐκώλυσε διαπλεῖν ἡμᾶς, ἐκ τούτου, ὅπερ εἰκὸς δή που ἦν, συνέλεξα ὑμᾶς, ὅπως βουλευσώμεθα ὅ,τι χρὴ ποιεῖν. οὐκοῦν ὑμεῖς ἀκούοντες μὲν ἀριστάρχου ἐπιτάττοντος ὑμῖν εἰς χερρόνησον πορεύεσθαι, ἀκούοντες δὲ σεύθου πείθοντος αὐτῷ συστρατεύεσθαι, πάντες μὲν ἐλέγετε σὺν σεύθῃ ἰέναι, πάντες δ᾽ ἐψηφίσασθε ταῦτα. τί οὖν ἐγὼ ἐνταῦθα ἠδίκησα, ἀγαγὼν ὑμᾶς ἔνθα πᾶσιν ὑμῖν ἐδόκει, εἴπατε; ἐπεί γε μὴν ψεύδεσθαι ἤρξατο σεύθης περὶ τοῦ μισθοῦ, εἰ μὲν ἐπαινῶ αὐτὸν, δικαίως ἄν με αἰτιᾶσθε καὶ μισεῖτε· εἰ δὲ πρόσθεν αὐτῷ μάλιστα φίλος ὤν, νῦν πάντων διαφορώτατός εἰμι, πῶς ἂν τις δικαίως αἱρούμενος ὑμᾶς ἀντὶ σεύθου, ὑφ᾽ ὑμῶν αἰτίαν ἔχοιμι, περὶ ὧν πρὸς τοῦτον διαφέρομαι; ἀλλ᾽ εἴποιτε ἄν, ὅτι ἔξεστι καὶ τὰ ὑμέτερα ἔχοντα παρὰ σεύθου τεχνάζειν. οὐκοῦν δῆλον τοῦτό γε, ὅτι εἴπερ ἐμοὶ ἐτέλει τι σεύθης, οὐχ οὕτως ἐτέλει δή που, ὡς ὧν τε ἐμοὶ δοίη στεροῖτο, καὶ ἄλλα ὑμῖν ἀποτίσειεν. ἀλλ᾽ οἶμαι εἰ ἐδίδου, ἐπὶ τούτῳ ἂν ἐδίδου, ὅπως ἐμοὶ δοὺς μεῖον, μὴ ἀποδοίη ὑμῖν τὸ πλεῖον. εἰ τοίνυν οὕτως ἔχειν οἴεσθε, ἔξεστιν ὑμῖν αὐτίκα μάλα ματαίαν ταύτην τὴν πρᾶξιν ἀμφοτέροις ὑμῖν ποιῆσαι, ἐὰν πράττητε αὐτὸν τὰ χρήματα. δῆλον γὰρ, ὅτι σεύθης εἰ ἔχω τι ἀπ᾽ αὐτοῦ, ἀπαιτήσει μέν τε δικαίως ἐὰν μὴ βεβαιῶ τὴν πρᾶξιν αὐτῷ, ἐφ᾽ ᾗ ἐδωροδόκουν. ἀλλὰ πολλοῦ μοι δοκῶ δεῖν τὰ ὑμέτερα ἔχειν. ὀμνύω γὰρ ὑμῖν θεοὺς ἅπαντας καὶ πάσας, μηδὲ ἃ ἐμοὶ ἰδίᾳ ὑπέσχετο σεύθης ἔχειν. πάρεστι δὲ αὐτὸς καὶ ἀκούων, σύνοιδέ μοι εἰ ἐπιορκῶ. ἵνα δὲ μᾶλλον θαυμάσητε, συνεπόμνυμι, μηδὲ ἃ οἱ ἄλλοι στρατηγοὶ ἔλαβον, εἰληφέναι, μὴ τοίνυν μηδ᾽ ὅσα τῶν λοχαγῶν ἔνιοι. καὶ τί δὴ ταῦτα

τοῦ ἐναντίου; ᾤμην, ὦ ἄνδρες, ὅσῳ μᾶλλον συμφέ-
ροιμι τούτῳ τὴν τότε προθυμίαν, τοσούτῳ μᾶλλον αὐτὸν
φίλον μοι ἔσεσθαι, ὁπότε δυναίη. ἐγὼ δὲ ἅμα ὁρῶ αὐ-
τὸν εὖ πράττοντα, καὶ γιγνώσκω δὴ αὐτοῦ τὴν γνώμην.
εἴποι δή τις ἄν, οὐκ αἰσχύνῃ οὕτω μωρῶς ἐξαπατώ-
μενος; ναὶ μὰ Δία, αἰσχυνοίμην μέντοι, εἰ ὑπὸ πολεμίου
γε ὄντος ἐξηπατήθην. φίλῳ δ' ὄντι ἐξαπατᾶν αἴσχιόν
μοι δοκεῖ εἶναι, ἢ ἐξαπατᾶσθαι. ἐπεὶ εἴ γε πρὸς φίλους ἐστὶ
φυλακή, πᾶσαν οἶδα ὑμᾶς διαφυλαξαμένους, ὡς μὴ
παρασχεῖν τούτῳ πρόφασιν δικαίαν, μὴ ἀποδιδόναι
ὑμῖν ἃ ὑπέσχετο. οὔτε γὰρ ἠδικήσαμεν τοῦτον οὐδέν, οὔ-
τε κατεβλακεύσαμεν τὰ τούτου, οὔτε μὴν κατεδειλιά-
σαμεν οὐδ' ἕν, ἐφ' ὅτι ἡμᾶς οὗτος παρεκάλεσεν. ἀλλὰ
φαίη τις ἄν, ἔδει τὰ ἐνέχυρα τότε λαβεῖν, ὡς μηδ' εἰ ἐ-
βούλετο ἐδύνατο ἐξαπατᾶν. πρὸς ταῦτα δὲ ἀκούσα-
τε ἃ ἐγὼ οὐκ ἄν ποτε εἶπον τούτου ἐναντίον, εἰ μή μοι
ἢ παντάπασιν ἀγνώμονες ἐδοκεῖτε εἶναι, ἢ λίαν εἰς ἐ-
μὲ ἀχάριστοι. ἀναμνήσθητε γὰρ ἐν ποίοις τισὶν ὄντες
πράγμασιν ἐτυγχάνετε, ἐξ ὧν ὑμᾶς ἐγὼ ἀνήγαγον
πρὸς Σεύθην. οὐκ εἰς μὲν Πέρινθον εἰ προσίοιτε τῇ πό-
λει, Ἀρίσταρχος ὑμᾶς ὁ Λακεδαιμόνιος οὐκ εἴα εἰσιέναι
ἀποκλείσας τὰς πύλας, ὑπαίθριοι δὲ ἔξω ἐστρατοπε-
δεύετε, μέσος δὲ χειμὼν ἦν, ἀγορᾷ δὲ ἐχρῆσθε, σπάνια
μὲν ὁρῶντες τὰ ὤνια, σπάνια δὲ ἔχοντες ὅτου ὠνήσε-
σθε, ἀνάγκη δὲ ἦν μένειν ἐπὶ Θρᾴκης. τριήρεις γὰρ
ἐφορμοῦσαι ἐκώλυον διαπλεῖν. εἰ δὲ μένοι τις ἐν πολε-
μίᾳ χώρᾳ εἶναι, ἔνθα πολλοὶ μὲν ἱππεῖς ἐναντίοι ἦσαν,
πολλοὶ δὲ πελτασταί. ἡμῖν δὲ ὁπλιτικὸν μὲν ἦν, ᾧ ἀ-
θρόοι μὲν ἰόντες ἐπὶ τὰς κώμας, ἴσως ἂν ἐδυνάμεθα
σῖτον λαμβάνειν, οὐδέν τι ἄφθονον. ὅτῳ δὲ διώκοντες
ἂν ἢ ἀνδράποδα ἢ πρόβατα καταλαμβάνοιμεν, οὐκ
ἦν ἡμῖν. οὔτε γὰρ ἱππικὸν οὔτε πελταστικὸν ἔτι ἐγὼ
συνεστηκὸς κατέλαβον παρ' ὑμῖν. εἰ οὖν ἐν τοιαύτῃ ἀ-
νάγκῃ ὄντων ὑμῶν μηδ' ὁντιναοῦν μισθὸν προσαιτή-
σας, Σεύθην σύμμαχον ὑμῖν προσέλαβον, ἔχοντα ἱπ-
πέας καὶ πελταστὰς ὧν ὑμεῖς προσεδεῖσθε, κακῶς ἂν ἐδό-
κουν ὑμῖν βεβουλεῦσθαι πρὸ ὑμῶν; τούτων γὰρ δή-
που κοινωνήσαντες, καὶ σῖτον ἀφθονώτερον ἐν ταῖς κώ-
μαις εὑρίσκετε, διὰ τὸ ἀναγκάζεσθαι τοὺς Θρᾷκας κατὰ
σπουδὴν μᾶλλον φεύγειν, καὶ προβάτων καὶ ἀνδραπό-
δων μετέσχετε. καὶ πολέμιον οὐδένα ἔτι ἑωρῶμεν,
ἐπειδὴ τὸ ἱππικὸν ἡμῖν προσεγένετο. τέως δὲ θαρρα-
λέως ἡμῖν ἐφείποντο οἱ πολέμιοι, καὶ ἱππικῷ καὶ πελ-
ταστικῷ, κωλύοντες μηδαμῇ κατ' ὀλίγους ἀποσκε-
δαννυμένους, τὰ ἐπιτήδεια ἀφθονώτερα ποιεῖσθαι.
εἰ δὲ δὴ ὁ συμπαρέχων ὑμῖν ταύτην τὴν ἀσφάλειαν,
μὴ πάνυ πολὺν μισθὸν προσετέλει τῆς ἀσφαλείας, τοῦτο
δὴ τὸ πάθημα τὸ σχέτλιον, καὶ διὰ τοῦτο οὐδαμῇ οἴεσθε
χρῆναι ζῶντα μ' ἀνεῖναι; νῦν δὲ δὴ πῶς ἀπέρχεσθε; οὐ
διαχειμάσαντες μὲν ἐν ἀφθόνοις τοῖς ἐπιτηδείοις; περιτ-
τὸν δὲ ἔχοντες τοῦτο, ὅ, τι ἐλάβετε παρὰ Σεύθου. τὰ γὰρ
παρὰ τῶν πολεμίων ἐδαπανᾶτε. καὶ ταῦτα πράττοντες
οὔτε ἄνδρας ἐπείδετε ὑμῶν αὐτῶν ἀποθανόντας, οὔτε
ζῶντας ἀπεβάλετε. εἰ δέ τι καλὸν πρὸς τοὺς ἐν τῇ Ἀσίᾳ
βαρβάρους ἐπέπρακτο ὑμῖν, οὐκ ἐκεῖνο σῶν ἔχετε;
καὶ πρὸς ἐκείνοις νῦν ἄλλην εὔκλειαν προσειλήφατε,

ut id facerem adduxit? Existimabam, quo cum magis in aduersis rebus iuuissem, tanto fore mihi in sequundis amiciorem. Sed iam & illum uideo re bene gesta, neque memori, neque grato animo esse. Quid igitur, dicat aliquis, non erubescis cum te sentis tam fuisse improuidum, ut ludibrio te habuerit? Ego uero plane erubescam, si ab hoste me deceptum sentiam. Nam QVICVNQVE SVB AMICI nomine alterum fallit, is, meo iudicio, multo est, quam qui fallitur, turpior. Nam si qua est aduersum amicum cautio, eam nos sedulo adhibuisse satis scio, ne causa ei esset, quamobrem ea uobis non daret quæ promisisset: neque enim hunc nos aut læsimus quicquam, aut ullo per ignauiam nostram detrimento affecimus, neque ullum, quod ipse nobis proposuerit, certamen refugimus. Verum dicatis fortasse pignora fuisse postulanda, ne nos posset cum uellet fallere. Ad hæc auscultate: quæ sane reticuissem, nisi uos aut minus peritos rerum iudices, aut meorum erga uos meritorum immemores cognouissem. Recordamini quo loco res uestræ essent, cum uos ad Seuthen deduxi. Perinthum cum intrare uelletis, non patiebatur Aristarchus: qui occlusis portis, uos sub diuo, hyeme summa, statiua habere cogebat: foro uero eo utebamini, in quo prætenues erant copiæ, neque uobis unde emeretis, quæ opus erant, ualde suppeditabat. Necesse uero erat in Thracia permanere: triremes enim excursionibus assiduis, quo minus traijceremus obstabant. Quod si statiua in hostili agro habuissemus, in quo erat magnus equitum numerus, magnus etiam peltatorum, cum grauem tantum nos armaturam haberemus, potuissemus omnino uniuerso agmine in uicos inuadere, & inde non ita multum commeatuum quærere. At cum neque equitatum, neque peltatos ullos à uobis accepissem, neque persequi, nec retinere, uel homines, uel pecora potuissemus: tam dubijs igitur rebus, si uobis gratis Seuthen conciliaui, hominem & equitum & peltatorum copijs ualde instructum, uideor, uestram fidem obtestor, uobis ego male consuluisse? Vos certe dum eius societate usi estis, & frumenta in uicis, quos effuse fugientes præ metu Thraces deseruerant, reperistis, & pecoris ac mancipiorum participes fuistis. Præterea postea quam equestres copias habere cœpimus, nulli nobis hostes in conspectum uenerunt, cum ante & nos equitatu, & peltatorum suorum globo acriter urgerent, semperq; impedimento essent, quo minus parua manu largiores uobis commeatus acquirere possetis. Is igitur per quem hanc estis securitatem consecuti, quod magnam præterea uobis mercedem non penderit, quasi uos magna aliqua calamitate affecerit, ad necem deposcitur? Considerate uero quæ futura fuisset abeundi facultas, nisi hyemem in summa rerum omnium copia egissetis, ac nisi aduentitium quasi quiddam & superuacaneum à Seuthe accepissetis. Quæ enim hostibus eripueratis, iam prorsus erant consumpta: & interea uestrum omnino neminem neque cæsum, neque bello captum amisistis. Ad hæc, si quid in Asia præclare gessistis, nonne ea uobis gloria integra atque incolumis manet? & ad eam nouam hanc

in Europa, deuictis cōtra quos bellastis Thracibus, addidistis? Ego mehercule ita statuo: ꝑ ijs quorū mihi causa irascimini, magnā à uobis dijs immortalibus, per quos maximorū bonorū cōpotes fuistis, gratiā habendā. Atque hic fuit rerū uestrarū exitus. Nunc, q̄ mecū sit praeclare actū, cognoscite. Ego si domū statim rediissem, primū laudē sane magnā, quam mihi tunc oēs impertiebamini, reportassem, ac per uos fuisset gloriae meae apud alias Graeciae gētes aditus patefactus: fidē uero mihi habuissent Lacedaemonij, quādo illi me ad uos remiserāt: Nunc ad ipsos Lacedaemonios, in summā à uobis inuidiam adductus, proficiscor. Vestra etiā causa cum Seuthe inimicitias suscepi, quē meo uestroq; merito sperarā, aut mihi aliquādo, aut liberis meis, si ita usu uenisset, memorē se & gratū praebiturū. Ac ipsi uos, quorū ego causa, tanto quā ego sum, potentiorū hominū odia subij, quiq; ab ijs, quas saluti uobis fore existimē, actionib. nondum tamen desistere possum, isto in me animo estis. Sed quid uerbis opus est? prehēdite iam me, si ita uidetur, neq; fugientem neq; deprecantem. Atqui si in me uti minamini seueritis, hominē certe tolletis, cuius toties uigilantia seruati estis, q multa uobiscū gessit, multa pericula adijt, cum suam, tum alienā uicem, officio suo functus: qq; dijs fauentibus, ac uestra adiutus uirtute, multa de barbaris trophaea erexit. Eum praeterea, qui quantum maxime potuit, semper plurimū contendit, ne cum ulla Graecorū natione uobis bellandum esset. Ac certe, amoto iam metu, quò uobis libet, terra marive licet proficisci. Vos uero rebus tam sequundissimis fruentes, cum expedita iam sit, quod iampridē cupijstis, nauigandi facultas: ac uestrū sibi potentissimi quiq; auxiliū expetant: stipendiū in promptu sit: ultro se uobis Lacedaemonij duces praebeant, qui facile praestare caeteris uirtute et imperio existimātur: tēpus iam, quo me occidatis, idoneū nacti estis. At quàm, perditis et afflictis reb. aliū erga me animū prae uobis ferebatis, cum me, ò maxime omniū memores, parentē appellabatis? cum meorū erga uos meritorū semper sanctā atq; inuiolatā memoriā fore promittebatis? At neq; sunt rerū imperiti hi, qui nunc ad uos uenerūt: quare nisi me animus fallit, nihilo uos certe meliores de uestro isto in me facto iudicabūt. Haec Xenophō. Qui cū perorasset, surrexit Lacedaemonius Charminus: Et mihi sane, inqt, nō iure milites huic succēsere uidemini: possum enim eū ego quoq; meo testimonio subleuare. Nam cū ego et Polynices quaesissemus de Seuthe, quid de Xenophōte sentiret: aliud ille nihil habuit quod accusaret, nisi quod eū dixit nimis propensō esse in milites animo: ac propterea neque sibi fuisse, neq; nobis fore satis utilē hominis amicitiā. Surrexit deinde Eurylochus Lysiates Arcās: Ac uidetur mihi, inquit, Lacedaemonij, nihil nobis ante auspicijs ductuq; uestro gerendū, quàm Seuthes, uelit nolit, quae nobis debet stipendia pēderit: neq; omnino hinc antequā ea receperimus, discedendū. Ad haec Polycrates Atheniensis Xenophōtis causam agens: Video, inquit, milites adesse Heraclidē, qui pecunias, quā magnis nostris laborib. partam nobis debebat Seuthes, interuertit, & Seuthen ipsum, et nos ea fraudauit. Nihil igitur fecerimus elegantius, quàm si ipsum comprehenderimus. Neq; enim Thrax est, sed Graecus male de Graecis meretur. Haec cū audisset Heraclides, uehemēter territus est: &

καὶ τοὺς ἐν τῇ Εὐρώπῃ Θρᾷκας, ἐφ' οὓς ἐστρατεύσασθε, κρατήσαντες; ἐγὼ μὲν ὑμᾶς φημὶ δικαίως ἂν ὧν ἐμοὶ χαλεπαίνετε, τούτων τοῖς θεοῖς χάριν εἰδέναι ὡς ἀγαθῶν. καὶ τὰ μὲν ὑμέτερα τοιαῦτα. ἄγετε δὴ πρὸς θεῶν καὶ τὰ ἐμαυτοῦ σκέψασθε ὡς ἔχει. ἐγὼ μὲν γὰρ ὅτε πρότερον ἀπῇα οἴκαδε, ἔχων μὲν ἔπαινον πολὺν ὑμῶν ἀπεπορευόμην. ἔχων δὲ δι' ὑμᾶς καὶ ὑπὸ τῶν ἄλλων Ἑλλήνων εὔκλειαν. ἐπιστευόμην δ' ὑπὸ Λακεδαιμονίων. οὐ γὰρ ἄν με ἔπεμπον πάλιν πρὸς ὑμᾶς. νῦν δ' ἀπέρχομαι πρὸς Λακεδαιμονίους ὑφ' ὑμῶν διαβεβλημένος. Σεύθῃ δὲ ἀπεχθόμενος ὑπὲρ ὑμῶν, ὃν ἤλπιζον εὖ ποιήσας μεθ' ὑμῶν ἀποστροφὴν καὶ ἐμοὶ καλὴν καὶ παισίν, εἰ γένοιντο, καταθήσεσθαι. ὑμεῖς δ' ὑπὲρ ὧν ἐγὼ ἀπήχθημαί τε πλεῖστα, καὶ ταῦτα πολὺ κρείττοσιν ἐμαυτοῦ, πραγματευόμενός τε, οὐδὲ νῦν πω πέπαυμαι, ὅ, τι δύναμαι ἀγαθόν, τοιαύτην γνώμην ἔχετε περὶ ἐμοῦ. ἀλλ' ἔχετε μέν με οὔτε φεύγοντα λαβόντες, οὔτε ἀποδιδράσκοντα. ἢν δὲ ποιήσητε ἃ λέγετε, ἴστε ὅτι ἄνδρα κατακανόντες ἔσεσθε, πολλὰ μὲν δὴ πρὸ ὑμῶν ἀγρυπνήσαντα, πολλὰ δὲ σὺν ὑμῖν πονήσαντα, καὶ κινδυνεύσαντα, καὶ ἐν τῷ μέρει καὶ παρὰ τὸ μέρος· θεῶν δὲ ἵλεων ὄντων, καὶ τρόπαια βαρβάρων πολλὰ δὴ σὺν ὑμῖν στησάμενον. ὅπως δέ γε τῶν Ἑλλήνων μηδενὶ πολέμιοι γένοισθε, πᾶν ὅσον ἐγὼ ἐδυνάμην πρὸς ὑμᾶς διατεινόμενον. ὥστε νῦν ὑμῖν ἔξεστιν ἀνεπιλήπτως πορεύεσθαι, ὅπῃ ἂν θέλητε καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. ὑμεῖς δέ, ὅτι πολλὴ ὑμῖν εὐπορία φαίνεται, καὶ πλεῖτε ἔνθα δὴ ἐπεθυμεῖτε πάλαι, δέονται δὲ ὑμῶν οἱ τὸ μέγιστον δυνάμενοι, μισθὸς δὲ φαίνεται, ἡγεμόνες δὲ ἥκουσι Λακεδαιμόνιοι κράτιστοι νομιζόμενοι εἶναι, νῦν δὴ καιρὸς δοκεῖ ὑμῖν εἶναι, ὡς τάχιστα ἐμὲ κατακτανεῖν. οὐ μὴν ὅτε γε ἐν τοῖς ἀπόροις ἦμεν, ὦ πάντων μνημονικώτατοι. ἀλλὰ καὶ πατέρα ἐμὲ ἐκαλεῖτε, καὶ ἀεὶ ὡς εὐεργέτου μεμνῆσθαι ὑπισχνεῖσθε. οὐ μέντοι ἀγνώμονες, οὐδ' οὗτοι εἰσὶν οἱ νῦν ἥκοντες ἐφ' ὑμᾶς. ὥστε ἐγὼ οἶμαι, οὐδὲ τούτοις δοκεῖτε βελτίονες εἶναι, τοιοῦτοι ὄντες περὶ ἐμέ. ταῦτα εἰπὼν, ἐπαύσατο. Χαρμῖνος δὲ ὁ Λακεδαιμόνιος ἀναστάς, εἶπεν· ἀλλ' οὑτωσί, ὦ ἄνδρες, ἐμοὶ μὲν οὐ δικαίως γε δοκεῖτε τῷ ἀνδρὶ τούτῳ χαλεπαίνειν. ἔχω γὰρ καὶ αὐτὸς αὐτῷ μαρτυρῆσαι. Σεύθης γὰρ ἐρωτῶντος ἐμοῦ καὶ Πολυνείκους περὶ Ξενοφῶντος, τίς ἀνὴρ εἴη, ἄλλο μὲν οὐδὲν εἶχε μέμφεσθαι. ἄγαν δὲ φιλοστρατιώτην ἔφη αὐτὸν εἶναι. διὸ καὶ χεῖρον αὐτῷ εἶναι πρὸς ἡμῶν τε τῶν Λακεδαιμονίων καὶ πρὸς αὐτοῦ. ἀναστὰς δὲ ἐπὶ τούτῳ Εὐρύλοχος ὁ Λυσιάτης Ἀρκάς, εἶπε· καὶ δοκεῖ δέ μοι, ὦ ἄνδρες Λακεδαιμόνιοι, ἔφη, τοῦτο ὑμᾶς πρῶτον ἡμῶν στρατηγῆσαι, παρὰ Σεύθου ἡμῖν τὸν μισθὸν πρᾶξαι, ἢ ἑκόντος ἢ ἄκοντος, καὶ μὴ πρότερον ἡμᾶς ἀπαγαγεῖν. Πολυκράτης δὲ ὁ Ἀθηναῖος εἶπεν ἀναστὰς ὑπὲρ Ξενοφῶντος· ὁρῶ γε μήν, ὦ ἄνδρες, ἔφη, καὶ Ἡρακλείδην ἐνταῦθα παρόντα, ὃς παραλαβὼν τὰ χρήματα ἃ ἡμεῖς ἐπονήσαμεν, ταῦτα ἀποδόμενος, οὔτε Σεύθῃ ἀπέδωκεν, οὔτε ἡμῖν τὰ γιγνόμενα, ἀλλ' αὐτὸς κλέψας πέπαται. ἢν οὖν σωφρονῶμεν, ἑξόμεθα αὐτοῦ. οὐ γὰρ δὴ οὗτός γε, ἔφη, Θρᾷξ ἐστιν, ἀλλ' Ἕλλην ὤν, Ἕλληνας ἀδικεῖ. ταῦτα ἀκούσας ὁ Ἡρακλείδης, μάλα ἐξεπλάγη.

καὶ

καὶ ἐπελθὼν πρὸς σεύθην λέγει· ἡμεῖς, ἢν σωφρονῶμεν, ἄπιμεν ἐντεῦθεν ἐκ τῆς τούτων ἐπικρατείας. καὶ ἀναβάντες ἐπὶ τοὺς ἵππους ᾤχοντο ἀπελαύνοντες εἰς τὸ ἑαυτῶν στρατόπεδον. καὶ ἐντεῦθεν σεύθης πέμπει ἐβόζελμιν τὸν ἑαυτοῦ ἑρμηνέα πρὸς ξενοφῶντα, καὶ κελεύει αὐτὸν καταμεῖναι παρ᾽ ἑαυτῷ ἔχοντα χιλίους ὁπλίτας, καὶ ὑπισχνεῖτο αὐτῷ ἀποδώσειν τά τε χωρία τὰ ἐπὶ θαλάττῃ, καὶ τὰ ἄλλα ἃ ὑπέσχετο. καὶ ἐν ἀπορρήτῳ ποιησάμενος λέγει, ὅτι ἀκήκοε πολυνείκους, ὡς εἰ ὑποχείριος ἔσται λακεδαιμονίοις, σαφῶς ἀποθανοῖ ὑπὸ θίμβρωνος. ἐπέστελλον δὲ ταῦτα καὶ οἱ ἄλλοι πολλοὶ ξένοι τῷ ξενοφῶντι, ὡς διαβεβλημένος εἴη, καὶ φυλάττεσθαι δέοι. ὁ δ᾽ ἀκούων ταῦτα, δύο ἱερεῖα λαβὼν, ἐθύε τῷ διὶ τῷ βασιλεῖ, πότερά οἱ λῷον καὶ ἄμεινον εἴη μένειν παρὰ σεύθῃ ἐφ᾽ οἷς σεύθης λέγει, ἢ ἀπιέναι σὺν τῷ στρατεύματι. ἀναιρεῖ δὲ αὐτῷ ἀπιέναι. ἐντεῦθεν σεύθης μὲν ἀπεστρατοπεδεύσατο προσωτέρω. οἱ δὲ ἕλληνες ἐσκήνωσαν εἰς κώμας, ὅθεν ἔμελλον πλεῖστα ἐπισιτισάμενοι, ἐπὶ θάλατταν ἥκειν. αἱ δὲ κῶμαι αὗται ἦσαν δεδομέναι ὑπὸ σεύθου μηδοσάδῃ. ὁρῶν οὖν ὁ μηδοσάδης δαπανώμενα τὰ ἐν ταῖς κώμαις ὑπὸ τῶν ἑλλήνων, χαλεπῶς ἔφερε. καὶ λαβὼν ἄνδρα ὀδρύσην δυνατώτατον τῶν ἄνωθεν καταβεβηκότων, καὶ ἱππέας ὅσον πεντήκοντα, ἔρχεται καὶ προσκαλεῖται ξενοφῶντα ἐκ τοῦ ἑλληνικοῦ στρατεύματος. καὶ ὃς λαβών τινας τῶν λοχαγῶν, καὶ ἄλλους τινὰς τῶν ἐπιτηδείων, προσέρχεται. ἔνθα δὴ λέγει ὁ μηδοσάδης· ἀδικεῖτε, ὦ ξενοφῶν, τὰς ἡμετέρας κώμας πορθοῦντες. προλέγομεν οὖν ὑμῖν ἐγώ τε ὑπὲρ σεύθου, καὶ ὅδε ἀνὴρ παρὰ μηδόκου ἥκων τοῦ ἄνωθεν βασιλέως, ἀπιέναι ἐκ τῆς χώρας· εἰ δὲ μὴ, οὐκ ἐπιτρέψομεν ὑμῖν, ἀλλ᾽ ἐὰν ποιῆτε κακῶς τὴν ἡμετέραν χώραν, ὡς πολεμίους ἀλεξησόμεθα. ὁ δὲ ξενοφῶν ἀκούσας ταῦτα, εἶπεν· ἀλλὰ σοὶ μὲν τοιαῦτα λέγοντι, καὶ ἀποκρίνασθαι χαλεπόν· τοῦδε δὲ ἕνεκα τοῦ νεανίσκου λέξω, ἵν᾽ εἰδῆτε οἷοί τε ὑμεῖς ἐστὲ, καὶ οἷοι ἡμεῖς. ἡμεῖς μὲν, ἔφη, πρὶν φίλοι γενέσθαι ὑμῖν, ἐπορευόμεθα διὰ ταύτης τῆς χώρας ὅποι ἐβουλόμεθα, ἣν μὲν ἐθέλοιμεν πορθοῦντες, ἣν δ᾽ ἐθέλοιμεν κατακαίοντες. καὶ σὺ ὁπότε πρὸς ἡμᾶς ἔλθοις πρεσβεύων, ηὐλίζου παρ᾽ ἡμῖν, οὐδένα φοβούμενος τῶν πολεμίων. ὑμεῖς δὲ οὐκ ᾖτε εἰς τήνδε τὴν χώραν, ἢ εἴ ποτε ἔλθοιτε, ὡς ἐν κρειττόνων χώρᾳ ηὐλίζεσθε ἐγκεχαλινωμένοις τοῖς ἵπποις. ἐπεὶ δὲ ἡμῖν φίλοι ἐγένεσθε, καὶ δι᾽ ἡμᾶς ἔχετε τήνδε τὴν χώραν, νῦν δὲ ἐξελαύνετε ἡμᾶς ἐκ τῆς χώρας, ἣν παρ᾽ ἡμῶν ἑκόντων κατὰ κράτος παρελάβετε. ὡς γὰρ αὐτὸς οἶσθα, οἵ τε πολέμιοι οὐκ ἦσαν ἱκανοὶ ἡμᾶς ἐξελαύνειν. καὶ οὐχ ὅπως δῶρα δοὺς καὶ εὖ ποιήσας ἀνθ᾽ ὧν εὖ ἔπαθες, ἀξιοῖς ἡμᾶς ἀποπέμψασθαι, ἀλλὰ πορευομένους ἡμᾶς, οὐδ᾽ ἐναυλισθῆναι ὅσον δύνασαι ἐπιτρέπεις. καὶ ταῦτα λέγων, οὔτε θεοὺς αἰσχύνῃ, οὔτε τόνδε τὸν ἄνδρα, ὃς νῦν σε ὁρᾷ πλουτοῦντα, πρὶν δὲ ἡμῖν φίλον γενέσθαι, ἀπὸ λῃστείας τὸν βίον ἔχοντα, ὡς αὐτὸς ἔφησθα. ἀτὰρ τί καὶ πρὸς ἐμὲ ταῦτα λέγεις, ἔφη. οὐ γὰρ ἔγωγ᾽ ἔτι ἄρχω, ἀλλὰ λακεδαιμονίοις ὑμεῖς παρεδώκατε τὸ στράτευμα ἀπάγειν, οὐδὲ ἐμὲ παρακαλέσαντες, ὦ θαυμασιώτατοι, ὅπως ὥσπερ ἀπηχθανόμην αὐτοῖς ὅτε πρὸς ὑμᾶς ἦγον,

& ad Seuthen accedens, Bene, inquit, rebus nostris consultum fuerit, si hinc abeuntes, ex horum nos potestate subduxerimus. Vterque igitur citatis equis, in sua castra redierunt. Mittit inde Seuthes Ebozelmium interpretem suum ad Xenophontem, ac se illi spondet, & maritima illa loca, & reliqua quæ promiserat, daturum, si apud se cum grauis armaturæ militibus mille permanserit. Addit tanquam arcanum, audisse se de Polynice, illum si in Lacedæmoniorum potestatem uenisset, proculdubio à 10 Thimbrone occisum iri. Ac sane hospites multi Xenophontem per nuncios monuerunt, ut concitatam sibi multis criminationibus inuidiam caueret. Ea re commotus Xenophon, hostias duas Ioui regi immolat: consulitq́; acquiescendúmne Seuthæ conditionibus, an uero cum exercitu discedendum. Discedendum exta nunciarunt. Interim Seuthes castra locauit, Græci uero in uicis: unde frumento plurimo coacto, ad mare descendere in animo habebant. Hos 20 uicos Medosadæ Seuthes tradiderat. Medosades itaque, cum à Græcis absumi omnia uideret, molestissime id ferebat. Assumpto igitur ex Odrysis, qui illuc descenderant, homine potentissimo, ac quinquaginta feré equitibus, ad castra propius accedit, & Xenophontem ad se accersit: qui cum centurionibus & honestis aliquot hominibus uenit. Tunc ita Medosades locutus est: Iniuriam uos quidem Græci nobis facitis, qui uicos nostros populamini: uobis itaque edicimus, ego pro Seuthe: hic qui ad-30 est, pro Medoco superioris Thraciæ rege, ut ex his finibus quamprimum discedatis: quod nisi feceritis, iniurias uestras nullo pacto feremus, quin tanquam hostes uos ulciscemur. Ad hæc ita respondit Xenophon: Tibi quidem, ad ea quæ dicis, est omnino difficile respondere. Verùm istius adolescentis causa dicam quæ opus est, ut quales uos sitis, quales item nos, facile cognoscatis. Nos antequam uobis amici essemus, per hos fines quocunque libitum esset, uel populantes, uel etiam uren-40 tes excurrebamus: ac tu quoties legatus ad nos uenisses, intra castra receptus, hostes plane nullos metuebas. Vos uero in hos agros nunquam ueniebatis: aut si quando uenissetis, ut inter eos, qui multo uiribus præstarent, frænatis equis pernoctabatis. Postea uero quàm uobis amicitia nobiscum intercedit, & nostra maxime opera agrum hunc tenetis, eijcitis nos ex ea regione, quam nostra uoluntate captam habetis. Vti enim ipse nosti, nos certe hostes eijcere non potuissent. Tan-50 tum uero abest ut donis ac beneficijs optime de uobis meritos prosequaris, ut castris etiam locum capere prohibeas. Neque, dum ista dicis, aut deos uereris, aut istum ipsum hominem, qui te iam diuitem conspicit, cum ante, ut ipse profitebare, antequam ad amicitiam te nostram applicasses, e latrocinijs tibi uictitandum esset. Verùm quid hæc mecum agitis? cur non potius cum Lacedæmonijs? quibus abducendum exercitum, ô uiri omnium præstantissimi tradidistis, re mecum neutiquam cōmunicata, ne uidelicet eam inuidiā, quā mihi his copijs ad uos addu-

adductis concitarã, si nũc illis eas ipse reddidißẽ, extinguerẽ. Hæc cũ Odrysius ille audisset, ego, inquit, Medosade, infra terrã, præ pudore, cũ hæc audio, me abdere cupio: et profecto si hæc ante scissem, te huc nullo pacto secutus essem. Verũ iam abeo: satis. n. scio me apud Medocũ reprehensione carere nõ posse, si me intelligat bene de nobis meritos homines è finib. pellere. Hæc locutus equo citato abijt, et cum eo equites oẽs, præter quatuor, aut ad summũ quinq;. At Medosades, ut qui æquo animo ferre nõ poterat agrũ populationib. uastatũ, Xenophontẽ iubet in consiliũ legatos Lacedæmoniorũ uocare. At ille assumptis lectißimis quibusq;, ad Charminũ & Polynicẽ uenit: tum, uos, inquit, accersit Medosades, idem quod nobis imperaturus, ut è finib. abeatis: uobis itaq; nunc ea potestas est, ut Græcis debitũ à Seuthe stipendiũ auferatis, si ita huic responderitis, rogare Græcos, ut se adiuuetis in sua, à Seuthe uel uolente, uel inuito, mercede recipienda. Atq; eos quidẽ polliceri alacriter se, sibi si nõ defueritis, uobis operã nauaturos. Videri uobis illos æquũ poscere: ac uos iã promisisse, nõ ante discessuros, q̃ suũ ius milites obtinuerint. Id cũ Lacones accepissent, se ita dicturos affirmant, atq; hanc causam q̃ accuratißime acturos: ac statim ad Medosadẽ, cum ijs, q maxime idonei uisi sunt, comitib. ueneriit: et priore loco Charminus, Adsumus, inquit, Medosade, si qd uelis nobiscũ agere: nã et nobis, quod tecũ agamus, nõ deest. Ad hæc Medosades perq̃ demisse: Ego, inquit, et Seuthes rogatos uos uolumus, ne qua in re nostrã amicitiã uioletis. Nã cum socios nostros calamitate afficitis, ea certe in nos iniuria redũdat. Atenim (Lacones respõderũt) si hi, quorũ ista maxime opera posidetis, suã à nobis mercedẽ acceperint, quamprimũ hinc abibimus. Sin aliter, et iisdẽ uenimus auxiliũ laturi, et in eos acriter animaduersuri, qui hos, iurisiurãdi religione neglecta, uiolarũt: quo de numero si uos estis, istinc primũ pœnas expetemus. Adiecit Xenophon: Velitisne Medosade, hos ipsos populos, in quorũ finib. estis, quos uobis socios esse dicitis, suffragio suo declarare, utrũ nos, an uos potius, malint hinc abire? At ille id sibi nõ placere respõdit: tantũ Lacones hortatus est, ut ad Seuthẽ secũ uenirẽt, et cum eo de mercede agerẽt: sin ipsi recusarẽt, ut Xenophontẽ secũ mitterẽt, ac se ei auxilio fore promisit. Interea rogauit, uicos ne urerẽt. Mittitur Xenophõ, & cũ eo, qui maxime idonei comites uisi sunt. Qui cũ ad Seuthen accessisset, Adsum, inquit, nõ ut à te quicquã repetã, sed ut doceã, qua possim ratione, mihi te nõ iure succẽsere, qđ militib. quæ tua summa uolũtate pollicitus es, à te exigã: siquidẽ tibi semper magis cõducere ea reddere duxi, q̃ illis recipere. Illud enim satis scio, te illos, secundũ deos, illustrẽ reddidisse, qui tam ampli regni te cõpotem fecerint, ac tam magnũ hominũ numerũ potestati tuæ subiecerint, ut nullũ iã, aut honestũ, aut turpe factũ tuũ, obscurũ esse poßit. Quare cum ita se res tuæ habeãt, tua permagni arbitror referre, nõ uideri te homines tam bene de te meritos, tam inhumaniter dimisisse. Neq; uero paruifaciendũ est, hominũ te VI. millium laudibus celebrari. Nam certe illud est tibi omnium maxime expetendum, neq;

ἦγον, οὕτω καὶ χαλεπαίνειν νῦν ἀποδιδούς [illegible] ταῦτα ἤκουσεν ὁ ὀδρύσης, εἶπεν· ἐγὼ μὲν, ὦ μηδόσαδες, κατὰ τῆς γῆς καταδύομαι ὑπὸ τῆς αἰσχύνης ἀκούων ταῦτα. καὶ εἰ μὲν πρόσθεν ἠπιστάμην, οὐκ ἂν συνηκολούθησά σοι. καὶ νῦν ἄπειμι. οὐ γὰρ ἂν μήδοκός με ὁ βασιλεὺς ἐπαινοίη, εἰ ἐξελαύνοιμι τοὺς εὐεργέτας. ταῦτ᾽ εἰπὼν, ἀναβὰς ἐπὶ τὸν ἵππον ἀπήλαυνε, καὶ σὺν αὐτῷ οἱ ἄλλοι ἱππεῖς, πλὴν τεττάρων ἢ πέντε. ὁ δὲ μηδοσάδης, ἐλύπει γὰρ αὐτὸν ἡ χώρα πορθουμένη, ἐκέλευε τὸν ξενοφῶντα καλέσαι τὼ λακεδαιμονίω. ὁ δὲ ἀπολαβὼν τοὺς ἐπιτηδειοτάτους, προσῆλθε τῷ χαρμίνῳ καὶ τῷ πολυνείκει, καὶ ἔλεξεν, ὅτι καλεῖ αὐτοὺς μηδοσάδης προερῶν, ἅπερ αὐτῷ, ἀπιέναι ἐκ τῆς χώρας. οἶμαι ἂν οὖν, ἔφη, ὑμᾶς ἀπολαβεῖν τῇ στρατιᾷ τὸν ὀφειλόμενον μισθὸν, εἰ εἴποιτε, ὅτι δέοιτο ὑμῶν ἡ στρατιὰ συναναπρᾶξαι τὸν μισθὸν ἢ παρ᾽ ἑκόντος ἢ παρὰ ἄκοντος σεύθου, καὶ ὅτι τούτων τυχόντες, προθύμως μὲν ἂν συνέπεσθαι ὑμῖν φασί. καὶ ὅτι δίκαια ὑμῖν δοκοῦσι λέγειν, καὶ ὅτι ὑπέσχεσθε αὐτοῖς τότε ἀπιέναι, ὅταν τὰ δίκαια ἔχωσιν οἱ στρατιῶται. ἀκούσαντες οἱ λάκωνες ταῦτα, ἔφασαν ἐρεῖν καὶ ἄλλα ὅμοια ἂν δύνωνται κράτιστα. καὶ εὐθὺς ἐπορεύοντο ἔχοντες πάντας τοὺς ἐπικαιρίους. ἐλθόντων δ᾽ ἔλεξε χαρμῖνος· εἰ μέν τι σὺ ἔχεις, ὦ μηδόσαδες, πρὸς ἡμᾶς λέγειν· εἰ δὲ μή, ἡμεῖς πρὸς σὲ ἔχομεν. ὁ δὲ μηδοσάδης μάλα ὑφειμένως· ἀλλ᾽ ἐγὼ μὲν, ἔφη, λέγω καὶ σεύθης ταῦτα, ὅτι ἀξιοῦμεν τοὺς φίλους ὑμῖν γεγενημένους, μὴ κακῶς πάσχειν ὑφ᾽ ὑμῶν. ὅτι γὰρ ἂν τούτους κακῶς ποιῆτε, ἡμᾶς ἤδη ποιεῖτε. ἡμέτεροι γάρ εἰσιν. ἡμεῖς τοίνυν ἔφασαν οἱ λάκωνες, ἀπίοιμεν ἄν, ὁπότε τὸν μισθὸν ἔχοιεν, οἱ ταῦτα ὑμῖν καταπράξαντες· εἰ δὲ μή, ἐρχόμεθα μὲν καὶ νῦν βοηθήσοντες τούτοις, καὶ τιμωρησόμενοι ἄνδρας, οἳ τούτους παρὰ τοὺς ὅρκους ἠδίκησαν. ἢν δὲ καὶ ὑμεῖς τοιοῦτοι ἦτε, ἐνθένδε ἀρξόμεθα τὰ δίκαια λαμβάνειν. ὁ δὲ ξενοφῶν εἶπεν· ἐθέλοιτε δ᾽ ἄν, ὦ μηδόσαδες, τούτοις ἐπιτρέψαι, ἐπειδὴ φατὲ φίλους εἶναι ὑμῶν, ἐν ὧν τῇ χώρᾳ ἐσμέν, ὁπότερα ἂν ψηφίσωνται, εἴθ᾽ ὑμᾶς πρόσθεν ἐκ τῆς χώρας ἀπιέναι, εἴθ᾽ ἡμᾶς. ὁ δὲ, ταῦτα μὲν οὐκ ἔφη. ἐκέλευε δὲ μάλιστα αὐτὼ ἐλθεῖν τὼ λάκωνε παρὰ σεύθην περὶ τοῦ μισθοῦ, καὶ οἴεσθαι ἂν σεύθην ἀκοῦσαι· εἰ δὲ μή, ξενοφῶντα σὺν αὐτῷ πέμπειν, καὶ συμπράξειν ὑπισχνεῖτο. ἐδεῖτο δὲ τὰς κώμας μὴ καίειν. ἐντεῦθεν πέμπουσι τὸν ξενοφῶντα, καὶ σὺν αὐτῷ οἳ ἐδόκουν ἐπιτηδειότατοι εἶναι. ὁ δ᾽ ἐλθὼν, λέγει πρὸς τὸν σεύθην· οὐδὲν ἀπαιτήσων, ὦ σεύθη, πάρειμί σε, ἀλλὰ διδάξων ὡς ἂν δύνωμαι, ὡς οὐ δικαίως μοι ἠχθέσθης, ὅτι ὑπὲρ τῶν στρατιωτῶν ἀπῄτουν σε, ἃ ὑπέσχου αὐτοῖς προθύμως. σοὶ γὰρ ἔγωγε οὐχ ἧττον ἐνόμιζον εἶναι συμφέρον ἀποδοῦναι, ἢ ἐκείνοις ἀπολαβεῖν. πρῶτον μὲν γὰρ οἶδα μετὰ τοὺς θεοὺς εἰς τὸ φανερόν σε τούτους καταστήσαντας, ἐπεί γε βασιλέα σε ἐποίησαν πολλῆς χώρας καὶ πολλῶν ἀνθρώπων, ὥστε οὐχ οἷόν τ᾽ ἐστὶ λανθάνειν, οὔτε ἤν τι καλὸν, οὔτε ἤν τι αἰσχρὸν ποιήσεις. τοιούτῳ δ᾽ ὄντι ἀνδρί, μέγα μέν μοι δοκεῖ εἶναι, μὴ δοκεῖν ἀχαρίστως ἀποπέμψασθαι ἄνδρας εὐεργέτας. μέγα δ᾽ εὖ ἀκούειν ὑπὸ ἑξακισχιλίων ἀνθρώπων. τὸ δὲ μέγιστον, μηδα-

[illegible]ς ἄπιστον σαυτὸν καταστῆσαι ὧν λέγεις. ὁρῶ γὰρ τοὺς μὲν ἀπίστους ματαίους καὶ ἀδυνάτους καὶ ἀτίμους τοὺς λόγους πλανωμένους. οἳ δ᾽ ἂν φανεροὶ ὦσιν ἀλήθειαν ἀσκοῦντες, τούτων οἱ λόγοι, ἤν τι δέωνται, οὐδὲν μεῖον δύνανται ἀνύσασθαι, ἢ ἄλλων ἡ βία. ἤν τέ τινας σωφρονίζειν βούλωνται, γινώσκω τὰς τούτων ἀπειλὰς οὐχ ἧττον σωφρονιζούσας, ἢ ἄλλων τε διὰ κολάσεις. ἤν τέ τῳ τι ὑπισχνῶνται οἱ τοιοῦτοι ἄνδρες, οὐδὲν μεῖον διαπράττειν, ἢ ἄλλοι παραχρῆμα διδόντες. ἀναμνήσθητι δὲ καὶ σύ τι προτελέσας ἡμῖν συμμάχους ἡμᾶς ἔλαβες. οἶσθ᾽ ὅτι οὐδέν. ἀλλὰ πιστευθεὶς ἀληθεύσειν ἃ ἔλεγες, ἐπῆρας τοσούτους ἀνθρώπους, συστρατεύσασθαί τε καὶ κατεργάσασθαί σοι ἀρχὴν οὐ πεντήκοντα μόνον ἀξίαν ταλάντων, ὅσα οἴονται δεῖν οὗτοι νῦν ἀπολαβεῖν, ἀλλὰ πολλαπλασίων. οὐκοῦν τοῦτο μὲν πρῶτον τὸ πιστεύεσθαί σε, καὶ τὴν βασιλείαν σοι κατειργασμένον τούτων τῶν χρημάτων ὑπὸ σοῦ πιπράσκεται; ἴθι δὴ ἀναμνήσθητι, πῶς μέγα ἡγοῦ τότε καταπρᾶξαι, ὃ νῦν καταστρεψάμενος ἔχεις; ἐγὼ μὲν οἶδ᾽ ὅτι εὔξω ἂν τὰ νῦν πεπραγμένα μᾶλλον σοὶ καταπραχθῆναι, ἢ πολλαπλάσια τούτων τῶν χρημάτων γενέσθαι. ἐμοὶ τοίνυν μεῖζον βλάβος καὶ αἴσχιον δοκεῖ εἶναι, τὸ ταῦτα νῦν μὴ κατασχεῖν, ἢ τότε μὴ λαβεῖν, ὅσωπερ χαλεπώτερον ἐκ πλουσίου πένητα γενέσθαι, ἢ ἀρχὴν μὴ πλουτῆσαι. καὶ ὅσῳ λυπηρότερον ἐκ βασιλέως ἰδιώτην φανῆναι, ἢ ἀρχὴν μὴ βασιλεῦσαι. οὐκοῦν ἐπίστασαι μὲν, ὅτι οἱ νῦν σοι ἐπήκοοι γενόμενοι, οὐ φιλίᾳ τῇ σῇ ἐπείσθησαν ὑπὸ σοῦ ἄρχεσθαι, ἀλλ᾽ ἀνάγκῃ. καὶ ὅτι ἐπιχειροῖεν ἄν, πάλιν ἐλεύθεροι γίγνεσθαι, εἰ μή τις αὐτοὺς φόβος κατέχοι. ποτέρως οἴει μᾶλλον ἂν φοβεῖσθαί τε αὐτοὺς, καὶ φρονεῖν τὰ πρὸς σὲ, εἰ ὁρῷσι σοι τοὺς στρατιώτας οὕτω διακειμένους, ὡς νῦν τε μένοντας ἂν εἰ σὺ κελεύεις, αὖθίς τ᾽ ἂν, ταχὺ ἐλθόντας εἰ δέοι. ἄλλως τε τούτων περὶ σοῦ ἀκούοντας πολλὰ ἀγαθά, ταχὺ ἄν σοι πρὸς ὃ σὺ βούλοιο παραγίγνεσθαι, ἢ εἰ καταδοξάσειαν, μήτε ἂν ἄλλους ἐλθεῖν δι᾽ ἀπιστίαν ἐκ τῶν νῦν γεγενημένων, τούτους τε αὐτοῖς εὐνουστέρους εἶναι ἢ σοί; ἀλλὰ μὴν, οὐδὲ πλήθει γε ἡμῶν λειφθέντες ὑπεῖξάν σοι, ἀλλὰ προστατῶν ἀπορίᾳ. οὐκοῦν νῦν καὶ τοῦτο κίνδυνος, μὴ λαβεῖν προστάτας τινὰς αὐτῶν τούτων, οἳ νομίζουσιν ὑπὸ σοῦ ἀδικεῖσθαι, ἢ καὶ τούτων κρείττονας τοὺς Λακεδαιμονίους, ἐὰν οἱ μὲν στρατιῶται ὑπισχνοῦνται προθυμότερον αὐτοῖς συστρατεύεσθαι, ἐὰν τὰ παρὰ σοῦ ἀναπράξωσιν· οἱ δὲ Λακεδαιμόνιοι διὰ τὸ δεῖσθαι τῆς στρατιᾶς, συναινέσωσιν αὐτοῖς ταῦτα. ὅτι γε μὴν οἱ νῦν ὑπὸ σοῦ Θρᾷκες γενόμενοι, πολὺ ἂν προθυμότερον ἴοιεν ἐπὶ σὲ ἢ σὺν σοί, οὐκ ἄδηλον. σοῦ μὲν γὰρ κρατοῦντος, δουλεία ὑπάρχει αὐτοῖς· κρατουμένου δὲ σοῦ, ἐλευθερία. εἰ δὲ καὶ τῆς χώρας προνοεῖσθαι ἤδη τι δεῖ, ὡς σῆς οὔσης, ποτέρως ἂν, οἴει ἀπαθῆ κακῶν αὐτὴν εἶναι μᾶλλον, εἰ οὗτοι οἱ στρατιῶται ἀπολαβόντες ἃ ἐγκαλοῦσιν, εἰρήνην καταλιπόντες οἴχοιντο, ἢ εἰ οὗτοί τε μένοιεν ὡς ἐν πολεμίᾳ, σύ τε ἄλλους πειρῷο πλείονας τούτων ἔχων ἀντιστρατοπεδεύεσθαι, δεομένους τῶν ἐπιτηδείων; ἀργύριον δὲ, ποτέρως ἂν πλεῖον ἀναλωθείη, εἰ τούτοις τὸ ὀφειλόμενον ἀποδοθείη, ἢ ταῦτά τε ὀφείλοιτο, ἄλλους τε κρείττονας τούτων δέοι μισθοῦσθαι; ἀλλὰ

neq; irrita, neq; uana uideri, quæ dixeris. VIDEO enim leuiũ & inconstantium hominũ orationem, futilẽ & inanẽ haberi, ac temere huc atq; illuc errare, sine põdere ullo, aut honore. Cõtrà uero cũ fidei quempiã rationẽ habere maximã constituerit, eius orationem, si quid rogarit, multo plus q̃ ullam uim ualere: eundem si quenq; ad officiũ uelit reuocare, minãdo id facilius, q̃ alios puniendo cõsequi posse: ac postremò plus proficere promittendo, q̃ alios statim dando. Recordare uero cũ nos tibi socios asciuisti, an præ manu aliquid nobis dederis: certe tu quidem nihil, sed tuam duntaxat fidem secuti sumus: & ea una tot homines concita sti, quorum maxime auxilio et opera tibi id imperium partum est: quod multis partibus pluris æstimandum, quàm ea L. talenta, quæ à te nostri repetunt. Quid autem? nónne & perfidiæ crimen, & regni nuper parti instabilitatem hac pecunia redimis? Iam uero quanti, obsecro te, æstimares istarum te rerũ potiri posse, quæ in tua nunc potestate sunt? Mihi profectò dubium esse non potest, quin ista, quæ tibi effecta reddidimus, multo maiori, quàm quantã nobis debes, pecuniæ fueris prælaturus. MIHI certe & damnũ, & dedecus multo maius esse uidetur, parta nõ tueri, quàm quæ in aliorũ sint potestate, nõ uindicare: quanto scilicet grauius est e diuite pauperẽ fieri, quàm omnino ab initio diuitem non fuisse: quantoq; sit acerbius è regno eijci, q̃ nõ esse regnum unquam consecutũ. Et illud etiã non ignoras, eos qui nunc tibi parent, non amicitia conciliatos, sed ut parére coactos: atq; eos si quod recipiendæ libertatis tempus nacti fuerint, neq; ullo fuerint metu retardati, facile rebellaturos. Vtro igitur modo facilius in officio cõtineri poßint, si milites hosce eo erga te animo esse uideant, ut uel si iubeas maneãt, uel cum opus fuerit quamprimum ad te redeant, atq; id eos audiant prædicantes, tuo se merito tibi ubiuis locorum præsto futuros? an uero si spem in perfidia tua positam habuerint, neq; aliunde manum ullam tibi auxilio uenturam, neq; hos quibus es usus, tibi quicquã fore quàm ipsis amiciores? Neq; uero illi quod nostris copijs numero inferiores essent, subacti sunt, sed quod plane duces nullos habuerunt. Quid futurum igitur est, si aut ex ijs, qui iniuria se laceßitos putant, dux illis unus aliquis extiterit? aut, quod fuerit illis optabilius, ex ipsis Lacedæmonijs? quibus cum milites alacriores in bello futuros se polliciti fuerint, si in repetenda sua se adiuuerint mercede, certe cum exercitu indigeãt, quicquid oneris impositum fuerit, suscipere sua interesse putabũt. Quod autem, qui sub imperio tuo sunt Thraces, multo sint alacrius contra te, quàm tecum arma sumpturi, ex eo non est difficile conijcere, quod te regnum obtinente, seruitus: eiecto, libertas illis parata est. Iam uero si regioni huic, tanquam tuæ, bene consulendum est, utro tandẽ modo eã integriorẽ fore iudicas: si milites hi sua mercede, cuius tibi causa irati sunt, recepta, pacati abeãt? an uero, si & hi agrũ populationib. infestũ reddãt? & maiorẽ tu, quã his opponas, manũ cõparare coneris, cui erũt nihilominus cõmeatus curandi? Et pecunia utra tandẽ ratione maior erogabitur, si q̃d his debes dissolueris, an uero si et his uno tempore debeas, & alius tibi sit uel hoc maior exercitus alendus?

Atenim

Atenim hæc pecuniæ summa, Heraclidæ, quod ex eius oratione cognovi, per hercle magna videtur: sed certe decem partibus minor tibi, vel reddenti, vel accipienti, videri debet, quàm ea, quam, cum ad te venimus, poßidebas. NEQVE ENIM NVMERO, quantum quis vel det, vel accipiat, sed hominis ipsius facultate metiendum est. Tu vero nunc maiores quotannis fructus capis, quàm quanti omnis ante pecunia tua censeretur. Atq; id ego tibi tãquam integra amicitia nostra suadeo, quo & ipse deorum tam multis beneficijs dignus habeare, & mihi non sit concitatæ multitudinis capitis pœna luenda. Qui est enim in præsentia multum in me animus, neq; ego his copijs inimicum ulcisci, neq; iterum si velim, tibi opem ferre possem. Atqui & ipsum te, & deos, quos nihil latêre potest, testes cito, nihil me, eo nomine, quod tibi Græcos conciliarim, abs te accepisse: neq; unquam quæ illis deberentur, mihi ut dares postulasse: quãdo neq; ea repetij, quæ tu mihi ultro promisisti. Illud etiam iureiurando affirmo, nihil me abs te accepturum, nisi & milites suum receperint. Quid enim turpius, quàm meis ipsius rebus ex animi sententia trãsactis, eorũ causam negligere, qui me maxime ornatum & honestatum voluerunt? At Heraclides nugas esse arbitratur omnia, præterquam argentum quovis modo partum habere. Ego vero Seuthe NIHIL HOMINI cuiuis, ac præcipue ei, qui in alios imperium habeat, ullas opes existimo pulchriores, aut honestiores, quàm virtus sit, iustitia, animi magnitudo: quæ qui poßideat, cum ei tam multi amici sint, ac tam multi esse cupiant, non potest non divitijs plurimum abundare: neq; omnino is in secundis qui gratulentur, in adversis qui opem ferant, requirit. Quod si neq; ex ullo facto meo satis perspectum habes, me tibi ex animo amicum esse, neq; id etiam potes ex oratione mea cognoscere, veniat tibi quæso in mentem eorum, quæ à militibus ipsis dicta sunt: audisti enim cum dicerent vituperatores mei, dum apud Lacedæmonios me insimularent, te pluris multo à me, quàm Lacedæmonios fieri: meq; accusarent, quod tuis, quàm suis rationibus bene consultum mallem: ac ijdem accepisse me abs te pecuniam obijcerent. In quam suspicionem unde putas eos venisse? An quod me potius hostili, quàm prompto & benevolo in te animo esse animadvertebant? EGO MEHERCVLE ITA existimo, neminem à quoquam, nisi benevolentiam erga illum præ se ferat, munera accipere. Ac tu quidem, antequam de te quicquam bene mererer, & vultu & voce me, hospitalibus etiam donis liberalißime accepisti: promittendi vero nullum finem faciebas: posteaquam voti compos factus es, ac quantum ope, operaq; mea fieri potuit, crevisti, nihil quod militibus nostris contemptui sim, ad te pertinere arbitraris? Atenim confido, ex tempore ipso consilio capto, te quod debes dissoluturum. Nam adduci non possum ut credam, te semper bene de te meritorum hominum querelas pro nihilo habiturum. Te igitur rogatum velim, ut cum satis militibus feceris, me etiam apud eos, in quem accepisti, locum restituas. Hæc ubi Seuthes audivit, male ei precatus est, cuius suasu adductus Græcis iampridem stipendium non pendisset (illum nimirum Heracliden fuisse

ἀλλὰ γὰρ ἡρακλείδης ὡς πρὸς ἐμὲ ἔλεγεν, πά[illegible]λα τοῦτο δοκεῖ τὸ ἀργύριον εἶναι. ἦ μὴν πολύ γε ἐστὶν ἔλαττον νῦν σοι καὶ λαβεῖν τοῦτο καὶ ἀποδοῦναι, ἢ πρὶν ἡμᾶς ἐλθεῖν πρὸς σὲ τὸ δέκατον τούτου μέρος. οὐ γὰρ ὁ ἀριθμός ὁρίζων ἐστὶ τὸ πολὺ καὶ ὀλίγον, ἀλλ' ἡ δύναμις, τοῦ τε ἀποδιδόντος καὶ λαμβάνοντος. σοὶ δὲ νῦν ἡ κατ' ἐνιαυτὸν πρόσοδος πλείω ἐστὶν, ἢ ἔμπροσθεν τὰ παρόντα ἃ ἐκέκτησο. ἐγὼ μὲν, ὦ σεύθη, τοῦ τοι, ὡς φίλου σου ὄντος, προνοούμην, ὅπως σύ τε ἄξιος δοκοίης εἶναι, ὧν οἱ θεοί σοι ἔδωκαν ἀγαθῶν, ἐγώ τε μὴ διαφθαρείην ἐν τῇ στρατιᾷ. εὖ ἴσθι, ὅτι νῦν ἐγὼ οὔτ' ἂν ἐχθρὸν κακῶς ποιῆσαι βουλόμενος δυνηθείην σὺν ταύτῃ τῇ στρατιᾷ, οὔτ' ἂν, εἴ σοι πάλιν βουλοίμην βοηθῆσαι, ἱκανὸς ἂν γενοίμην. οὕτω γὰρ πρὸς ἐμὲ ἡ στρατιὰ διάκειται. καί τοι αὐτόν σε μάρτυρα σὺν τοῖς θεοῖς εἰδόσι ποιοῦμαι, ὅτι οὔτε ἐγὼ ἔχω παρὰ σοῦ ἐπὶ τοῖς στρατιώταις οὐδὲν, οὔτε ᾔτησα πώποτε, εἰς τὸ ἴδιον τὰ ἐκείνων, οὔτε ἃ ὑπέσχου μοι ἀπῄτησα. ὄμνυμι δέ σοι μηδ' ἀποδιδόντος δέξασθαι ἂν, εἰ μὴ καὶ οἱ στρατιῶται ἔμελλον τὰ ἑαυτῶν συναπολαμβάνειν. αἰσχρὸν γὰρ ἦν τὰ μὲν ἐμὰ διαπεπράχθαι, τὰ δὲ ἐκείνων περιορᾶν ἐμὲ κακῶς ἔχοντα, ἄλλως τε καὶ τιμώμενον ὑπ' ἐκείνων. καί τοι γε ἡρακλείδῃ λῆρος πάντα δοκεῖ εἶναι, πρὸς τὸ ἀργύριον ἔχειν ἐκ παντὸς τρόπου. ἐγὼ δὲ, ὦ σεύθη, οὐδὲν νομίζω γε ἀνδρὶ, ἄλλως τε καὶ ἄρχοντι κάλλιον εἶναι κτῆμα οὐδὲ λαμπρότερον, ἀρετῆς καὶ δικαιοσύνης καὶ γενναιότητος. ὁ γὰρ ταῦτα ἔχων, πλουτεῖ μὲν ὄντων φίλων πολλῶν, πλουτεῖ δὲ ἄλλων βουλομένων γενέσθαι. καὶ εὖ μὲν πράττων, ἔχει τοὺς συνησθησομένους. ἐὰν δέ τι σφαλῇ, οὐ σπανίζει τῶν βοηθησόντων. ἀλλὰ γὰρ εἰ μήτε ἐκ τῶν ἐμῶν ἔργων κατέμαθες, ὅτι σοι ἐκ τῆς ψυχῆς φίλος ἦν, μήτε ἐκ τῶν ἐμῶν λόγων δύνασαι τοῦτο γνῶναι, ἀλλὰ τοὺς τῶν στρατιωτῶν λόγους κατανόησον. παρῆσθα γὰρ καὶ ἤκουες ἃ ἔλεγον, οἱ ψέγειν ἐμὲ βουλόμενοι. κατηγόρουν μὲν γάρ μου πρὸς λακεδαιμονίους, ὡς σὲ περὶ πλείονος ποιοίμην ἢ λακεδαιμονίους. αὐτοὶ δ' ἐνεκάλουν ἐμοὶ, ὡς μᾶλλον ἐμελοίμην ὅπως τὰ σὰ καλῶς ἔχοι, ἢ ὅπως τὰ ἑαυτῶν. ἔφασαν δέ με καὶ δῶρα ἔχειν παρὰ σοῦ. καί τοι τὰ δῶρα ταῦτα οἴει, πότερον αὐτοὺς κακόνοιάν τινα ἐνιδόντας μοι πρὸς σὲ αἰτιᾶσθαί με ἔχειν παρὰ σοῦ, ἢ προθυμίαν πολλὴν περὶ σὲ κατανοήσαντας; ἐγὼ μὲν οἶμαι πάντας ἀνθρώπους εὔνοιαν δεῖν ἀποδείκνυσθαι τούτῳ, παρ' οὗ ἄν τις δῶρα λαμβάνῃ. σὺ δὲ πρὶν μὲν ὑπηρετῆσαί τί σοι ἐμὲ, ἐδέξω ἡδέως καὶ ὄμμασι καὶ φωνῇ, καὶ ξενίοις, καὶ ὅσα ἔσοιτο ὑπισχνούμενος οὐκ ἐνεπίμπλασο. ἐπεὶ δὲ κατέπραξας ἃ ἐβούλου, καὶ γεγένησαι ὅσον ἐγὼ ἐδυνάμην, μέγιστος, νῦν μὲν οὕτως ἄτιμον ὄντα ἐν τοῖς στρατιώταις τολμᾷς περιορᾶν. ἀλλὰ μὴν ὅτι σοι δόξει ἀποδοῦναι, πιστεύω καὶ τὸν χρόνον διδάξειν σε, καὶ αὐτόν γέ σε οὐκ ἀνέξεσθαι τοὺς σοὶ προεμένους εὐεργεσίαν ὁρῶντας ἐγκαλοῦντάς σοι. δέομαι οὖν σου ὅταν ἀποδιδῷς, προθυμεῖσθαι, ἐμὲ παρὰ τοῖς στρατιώταις τοιοῦτον ποιῆσαι, οἷόν περ καὶ παρέλαβες. ἀκούσας ταῦτα ὁ σεύθης, κατηράσατο τῷ αἰτίῳ, μὴ πάλαι ἀποδεδόσθαι τὸν μισθόν. καὶ πάντες τὸν ἡρακλείδην ὑπώ-

ὑπώπτευσαν εἶ. ἐγὼ γάρ, ἔφη, οὔτε διενοήθην πώ-
ποτε ἀποστερῆσαι, ἀποδώσω τε. ἐντεῦθεν πάλιν εἶπεν
ὁ Ξενοφῶν· ἐπεὶ τοίνυν ἀποδιδόναι βούλει, νῦν ἐγώ
σοι δέομαι δι' ἐμοῦ ἀποδιδόναι, καὶ μὴ περιιδεῖν με
διὰ σὲ ἀνομοίως ἔχοντα ἐν τῇ στρατιᾷ, νῦν τε καὶ ὅτε
πρὸς σὲ ἀφικόμενος. ὁ δ' εἶπεν· ἀλλ' οὐδ' ἐγὼ τοῖς στρα-
τιώταις ἔσῃ δι' ἐμὲ ἀτιμότερος. ἄν τε μένῃς παρ' ἐ-
μοὶ χιλίους μόνους ὁπλίτας ἔχων, ἐγώ σοι τά τε χωρία
ἀποδώσω, καὶ τἆλλα ἃ ὑπεσχόμην. ὁ δὲ πάλιν εἶπε·
ταῦτα μὲν ἔχειν οὕτως οὐχ οἷόν τε. ἀπόπεμπε δὲ ἡ-
μᾶς. καὶ μήν, ἔφη ὁ Σεύθης, καὶ ἀσφαλέστερόν γέ σοι οἶ-
δα ὂν παρ' ἐμοὶ μένειν ἢ ἀπιέναι. ὁ δὲ πάλιν εἶπεν·
ἀλλὰ τὴν μὲν σὴν πρόνοιαν ἐπαινῶ, ἐμοὶ δὲ μένειν οὐχ
οἷόν τε. ὅπου δ' ἂν ἐγὼ ἐντιμότερος ὦ, νόμιζε καὶ σοὶ
τοῦτο ἀγαθὸν ἔσεσθαι. ἐντεῦθεν λέγει Σεύθης· ἀργύ-
ριον μὲν οὐκ ἔχω, ἀλλ' ἢ μικρόν τι, καὶ τοῦτό σοι δί-
δωμι τάλαντον. βοῦς δὲ ἑξακοσίους καὶ πρόβατα εἰς
τετρακισχίλια, καὶ ἀνδράποδα εἰς εἴκοσι καὶ ἑκα-
τόν. ταῦτα λαβὼν καὶ τοὺς τῶν ἀδικησάντων σε ὁμή-
ρους προσλαβών, ἄπιθι. γελάσας ὁ Ξενοφῶν, εἶπεν· ἢν
οὖν μὴ ἐξαρκῇ ταῦτα εἰς τὸν μισθόν, τίνος τάλαντον
φήσω ἔχειν; ἆρ' οὐκ ἐπειδή μοι καὶ ἐπικίνδυνόν ἐστιν
ἀπιόντι, ἄμεινον φυλάττεσθαι τοὺς ἐχθρούς; ἤκουσε δὲ
τὰς ἀπειλάς. τότε μὲν δὴ αὐτοῦ ἔμειναν. τῇ δ' ὑστε-
ραίᾳ ἀπέδωκεν αὐτοῖς ἃ ὑπέσχετο, καὶ τοὺς ταῦτα ἐ-
λάσοντας συνέπεμψεν. οἱ δὲ στρατιῶται τέως μὲν ἔλε-
γον, ὡς Ξενοφῶν οἴχοιτο πρὸς Σεύθην οἰκήσων, καὶ ἃ ὑ-
πέσχετο αὐτῷ ἀποληψόμενος. ἐπεὶ δὲ αὐτὸν ἥκοντα
εἶδον, ἥσθησάν τε καὶ προσέθεον. Ξενοφῶν δ' ἐπεὶ εἶδε
Χαρμῖνον καὶ Πολύνικον, ταῦτα, ἔφη, καὶ σέσωσται
διὰ ὑμᾶς τῇ στρατιᾷ, καὶ παραδίδωμι αὐτὰ ἐγὼ ὑ-
μῖν. ὑμεῖς δὲ διατιθέμενοι, διάδοτε τῇ στρατιᾷ. οἱ μὲν
οὖν παραλαβόντες, λαφυροπώλας καταστήσαντες ἐ-
πώλουν. καὶ πολλὴν εἶχον αἰτίαν. Ξενοφῶν δὲ οὐ προσῄει,
ἀλλὰ φανερὸς ἦν οἴκαδε παρασκευαζόμενος. οὐ γάρ
πω ψῆφος αὐτῷ ἐπῆκτο Ἀθήνησι περὶ φυγῆς. προσ-
ελθόντες δὲ αὐτῷ οἱ ἐπιτήδειοι ἐν τῷ στρατεύματι,
ἐδέοντο μὴ ἀπελθεῖν, πρὶν ἀπαγάγοι τὸ στράτευμα
καὶ Θίμβρωνι παραδοίη. ἐντεῦθεν διέπλευσαν εἰς
Λάμψακον, καὶ ἀπαντᾷ τῷ Ξενοφῶντι Εὐκλείδης
μάντις Φλιάσιος, Κλεαγόρου υἱός, τοῦ τὰ ἐνύπνια ἐν
Λυκείῳ γεγραφότος. οὗτος συνήδετο τῷ Ξενοφῶν-
τι, ὅτι ἐσέσωστο. καὶ ἠρώτα αὐτόν, πόσον χρυσίον ἔχει.
ὁ δ' αὐτῷ ἐπομόσας, εἶπεν· ἦ μὴν ἔσεσθαι, μηδ' ἐφό-
διον ἱκανὸν οἴκαδε ἀπιόντι, εἰ μὴ ἀποδοῖτο τὸν ἵπ-
πον καὶ ἃ ἀμφὶ αὐτὸν εἶχεν. ὁ δ' αὐτῷ οὐκ ἐπίστευεν.
ἐπεὶ δὲ πεμψάντων Λαμψακηνῶν ξένια τῷ Ξενο-
φῶντι, καὶ θύων τῷ Ἀπόλλωνι παρεστήσατο τὸν Εὐκλεί-
δην, ἰδὼν τὰ ἱερὰ ὁ Εὐκλείδης, εἶπεν, ὅτι πείθοι-
το αὐτῷ μὴ εἶναι χρήματα. ἀλλ' οἶδα, ἔφη, ὅτι κἂν
μέλλῃ ποτὲ γενήσεσθαι, φαίνεταί τι ἐμπόδιον, ἐὰν
μηδὲν ἄλλο, σὺ σαυτῷ. συνωμολόγει ταῦτα ὁ Ξε-
νοφῶν. ὁ δ' εἶπεν· ἐμπόδιος γάρ σοι ὁ Ζεὺς ὁ μει-
λίχιός ἐστι. καὶ ἐπήρετο εἰ ἤδη ποτὲ θύσειεν, ὥσπερ
οἴκοι, ἔφη, εἰώθειν ἐγὼ ὑμῖν θύεσθαι καὶ ὁλοκαυτεῖν. ὁ
δ' οὐκ ἔφη, ἐξ ὅτου ἀπεδήμησε, τεθυκέναι τούτῳ τῷ θεῷ.

συν-

fuisse omnes suspicati sunt) Mihi enim, inquit, nunquã, ut milites sua mercede fraudarẽ, in mentẽ uenire potuis/set, ac iã quod debeo dependã. Tunc Xenophõ: Si certũ est depẽdere, per me istud aguto: neq; me negligas in eũ, quem cũ ad te ueni, tenebã apud milites, gratiæ et honoris locũ restituere, cum præsertim eũ, dum plurimũ tua causa uolo, amiserim. At nihil, respondit ille, mea causa uolo apud tuos de tua existimatione detractum. Ac si in animũ potes inducere ut mecũ maneas, cum M. dũtaxat grauis armaturæ peditib. et regiones tibi maritimas tradã, et quæ pollicitus sum oĩa. Ad hæc Xenophõ. Nõ est id inquit, iã mihi integrũ, quin tu nos q̃primũ dimittito. Tũc ille: At. n. certo scio, si mãseris, multo id tibi tutius futurũ. Quod mihi, inquit rursus Xenophõ, cautũ uelis, agnosco humanitatẽ tuã: sed nõ est id plane arbitrij mei. Verùm quicquid mihi honoris accesserit, id uelim existimes, ex re usuq; tuo magnopere futurũ. Ibi Seuthes, Mihi, inquit, in præsentia argẽti in prõptu nihil plus est, q̃ talentũ unũ, & illud iam tibi pendã. Boues uero DC. oues ter mille, mancipia CXX. penes me sunt, hæc omnia auferto: & eos simul, qui te læserunt, à me obsides cape, ac quò libet abi. Subrisit Xenophõ: et quid, inquit, si quæ aufero oĩa integrã mercedẽ cõficere nõ possunt, cui nã talentũ dabitur? Nonne satius fuerit, qd' ab inimicis mihi imminet, periculũ deuitare? audisti. n. eorũ minas. Ac tũc simul noctẽ eã peregerũt. Postero uero die quæ promiserat Seuthes tradidit, ac simul qui præ oĩa agerẽt misit. Interea uulgo inter Græcos oratio ea iactari cœpta, nõ rediturum amplius Xenophontẽ: sed apud Seuthẽ ablatis ijs, quæ ille promisisset, mansurũ. Quare ubi uenientẽ uiderunt, lætati magnopere sunt, ac ei cum gratulatione occurrerũt. Is uero ubi Charminus et Polynicus in cõspectu fuere, Hæc inquit, opera uestra recepta sunt, quæ nũc uobis trado, uos ea arbitratu uestro diuidite. Illi magistris uẽditionis cõstitutis, omnia uendiderũt: neq; omnino interuersæ pecuniæ suspiciõe carere potuerunt. At Xenophon ab omni iã se cura abduxerat, neq; ulla de re magis, q̃ de reditu cogitare uidebatur: nondũ enim ei populi suffragio erat Athenis exilij pœna cõstituta. Hic ad eum homines è toto exercitu lõge honestissimi accesserunt, ac multis cum precibus, ut nõ ante discederet contenderunt, q̃ copias illas Thimbroni traderet. Cũ se igitur ille exorari siuisset, è Thracia classe Lãpsacum oẽs traiecerunt: ibi Xenophõti obuius fit Euclides Phliasius uates, Cleagoræ illius filius, qui in Lyceo somnia pinxit: ac de reditu gratulatus, quæsiuit quantũ auri attulisset: iurauit Xenophõ se ne uiaticũ quidem habere quantisper domũ perueniat, nisi equum & sarcinas uendat: quod ille ut crederet adduci non poterat. Sed cũ Lampsaceni hospitalia dona misissent, adhibito Euclide Apollini Xenophon immolauit: inspectis uero extis, se iam credere dixit Euclides, nullam Xenophontẽ pecuniam habere. Atenim uideo, inquit, etiam in posterũ ad pecuniam cogendã semper tibi aliquid impedimento futurũ. Nihil autem æque tibi, ac teipsum aduersari. Assensus est Xenophõ. quid tu, inquit ille, cui aduersarius sit Iupiter placabilis? Quæsiuit rursus, nũquid ei sacrum fecisset aliquãdo, uti ego, inquit, domi consuerã et immolare et uictimã adurere. Negauit Xenophõ, se unquã illi deo toto peregrinationis tempore rem diuinam fecisse.

Persuasit igitur ille, ut sacrum ei faceret, ac secundiora futura deinde omnia affirmauit. Postero itaq; die Xenophon sub Ophrynij mœnibus porcos mactat, & patrio ritu adolet. Litatum quidem est. Eodem ipso die adfuere Biton & Euclides, pecuniam militibus daturi: & inuitarunt illi quidem Xenophontē, & equum, quē Lampsaci uenundederat (suspicati numorū egestate coactum illum uendidisse, cum alioquin equo audissent eo plurimum delectatum) redemptum illi reddiderunt, neq; ullo pacto preciū recipere uoluerunt. Hinc profecti per Troiam, Ida superata Antandrū perueniunt: inde per oram Lydiæ in Thebes campos. Illinc prætergreßi Adramyttium, Certonium, Atarnum, & Caici campos, Pergamū Lydiæ oppidum intrant. Xenophon ab Hellade Gongyli matre hospitio acceptus, ex ea cognoscit, Asidaten hominem Persam in campis cōmorari. Hunc, inquit, si noctu, uel cum trecentis tantum hominibus adoriare, facilē cum uxore & liberis opprimes, ac tota eius pecunia, quam plane luculentā habet, potiere. Ac ne ducem desideret, mittit Daphnagoram patruelem suum, hominem quem plurimi faciebat. Xenophon militib. iam coactis, rem diuinā facit. Agasias Eleus uates, læta esse exta nunciat, ac hominem oppressum omnino iri. A cœna itaq; iter ingressus, assumptis ex omni centurionum numero amantißimis ac fideliß.mis quibusq; , quos nempe suo beneficio præ cæteris ornatos uellet. In eum tamen se militum delectum D C. fere alij intrudere conati sunt, quos centuriones repulerunt, ne cum illis prædam, quam sui iuris futuram pro certo habebant, communicarent. Peruenerunt autem media fere nocte ad Asidatæ munitiones: ibi cum & mancipia, & res item multæ extra munimenta essent, de manibus omnia sunt elapsa, propterea quod ad unum Asidaten, & eius pecuniam occupandam, animum adiecerant. Cum uero munimēta iam oppugnare cœpissent, neq; turrem quandā capere possent, quod præalta erat, ac firmißimis propugnaculis, et lectißimis hominibus instructa, eam aggreßi sunt subruere. Erat muri latitudo, quantam fictilium laterum octonum structura efficere poterat: opus tamen prima luce confectum. Sed enim cum iam turris peruia esset, ex ijs qui intus erant quidam, de nostris unum sibi obuium ueruto transfodit: ac reliqui sagittis iaciendis effecerūt, ne cui esset irrumpendi causa tutum accedere. Cumq; ijdem clamore, & ignium significatione auxiliū implorassent, præsto fuit cū suis copijs ex Comania Itabelius. In ijs erat grauis armatura, præsidiarij equites Hyrcani, omnes regis mercenarij, numero L X X. reliqui cetrati, haud minus D C C C. Accurrerūt item ex Parthenio alij, alij ex Apollonia, et ex finitimis locis iam multi, ut iam nostris nō de oppugnādo, sed pedē referendo cogitandū esset. Coacti igitur in mediū quadrati agminis bobus, ac reliquo quod abegerāt pecore, atq; item captiuis, pedetentim retrocedere cœperūt, nō iam prædā intuentes, sed unū id agētes, ne discessus similis fugæ uideretur, neu partā iam prædā relinquere cogerentur, atq; ex eo hostibus audacia cresceret, sui animis deficerēt. Ac plane ita retrocessum est, ut pugnā de præda tuenda intuiri uiderentur. Iam resciuerat Gongylus Græcos ab hostib. numero superari. quare matre inuita, & ipse cum copijs suis, ut præclari alicuius facti particeps esset, auxilio uenit.

Venit

συνεβούλευσεν οὖν αὐτῷ θύσασθαι, [illegible] ἔφη συ[illegible] σοι εἶναι τὸ βέλτιον. τῇ δ' ὑστεραίᾳ ὁ ξενοφῶν εἰς ὀφρύνιον ἐθύετο, καὶ ὡλοκαύτει χοίρους τῷ πατρίῳ νόμῳ, καὶ καλλιερεῖ. καὶ ταύτῃ τῇ ἡμέρᾳ ἀφικνεῖται Βίτων καὶ ἅμα εὐκλείδης χρήματα δώσοντες τῷ στρατεύματι. καὶ ξενοῦνταί τε τῷ ξενοφῶντι, καὶ ἵππον ὃν ἐν λαμψάκῳ ἀπέδοτο πεντήκοντα δαρεικῶν, ὑποπτεύοντες αὐτὸν δι' ἔνδειαν πεπρακέναι, ὅτι ἤκουον αὐτὸν ἥδεσθαι τῷ ἵππῳ, λυσάμενοι, ἀπέδοσαν, καὶ τιμὴν οὐκ ἤθελον ἀπολαβεῖν. ἐντεῦθεν ἐπορεύοντο διὰ τῆς τρῳάδος, καὶ ὑπερβάντες τὴν ἴδην, εἰς ἀντανδρον ἀφικνοῦνται πρῶτον. εἶτα παρὰ θάλατταν πορευόμενοι τῆς λυδίας, εἰς θήβης πεδίον. ἐντεῦθεν δι' ἀδραμυττίου καὶ κερτωνίου, παρ' ἀταρνέα εἰς καΐκου πεδίον ἐλθόντες, πέργαμον καταλαμβάνουσι τῆς λυδίας. ἐνταῦθα δὲ ξενοῦται ξενοφῶν παρ' ἑλλάδι τῇ γογγύλου μητρί. αὕτη αὐτῷ φράζει, ὅτι ἀσιδάτης εἴη ἐν τῷ πεδίῳ ἀνὴρ πέρσης. τοῦτον ἔφη αὐτόν, εἰ ἔλθοι τῆς νυκτὸς σὺν τριακοσίοις ἀνδράσι λαβεῖν ἂν καὶ αὐτὸν καὶ γυναῖκα καὶ παῖδας, καὶ τὰ χρήματα. εἶναι δὲ πολλά. ταῦτα δὲ καθηγησομένους ἔπεμψε, τόν τε αὐτῆς ἀνεψιὸν καὶ δαφναγόραν, ὃν περὶ πλείστου ἐποιεῖτο. ἔχων οὖν ὁ ξενοφῶν τούτους παρ' ἑαυτῷ ἐθύετο. καὶ ἀγασίας ὁ ἠλεῖος μάντις παρὼν, εἶπεν, ὅτι κάλλιστα εἴη τὰ ἱερὰ αὐτῷ, καὶ ὁ ἀνὴρ ἁλώσιμος εἴη. δειπνήσας οὖν ἐπορεύετο. τούς τε λοχαγοὺς τοὺς μάλιστα φίλους λαβὼν, καὶ πιστοὺς γεγενημένους διαπαντὸς, ὅπως εὖ ποιήσαι αὐτούς. συνεξέρχονται δὲ αὐτῷ καὶ ἄλλοι βιασάμενοι εἰς ἑξακοσίους. οἱ δὲ λοχαγοὶ ἀπήλαυνον, ἵνα μὴ μεταδοῖεν τὸ μέρος ὡς ἑτοίμων δὴ χρημάτων. ἐπεὶ δὲ ἀφίκοντο περὶ τὰς μέσας νύκτας, τὰ μὲν πέριξ ὄντα ἀνδράποδα τῆς τύρσιος, καὶ χρήματα πλεῖστα, ἀπέδρα αὐτοὺς, παραμελοῦντας, ὡς τὸν ἀσιδάτην αὐτὸν λάβοιεν, καὶ τὰ ἐκείνου. πυργομαχοῦντες δὲ, ἐπεὶ οὐκ ἐδύναντο λαβεῖν τὴν τύρσιν, ὑψηλὴ γὰρ ἦν καὶ μεγάλη, καὶ προμαχῶνας καὶ ἄνδρας πολλοὺς καὶ μαχίμους ἔχουσα, διορύττειν ἐπεχείρησαν τὸν πύργον. ὁ δὲ τοῖχος ἦν, ἐπὶ ὀκτὼ πλίνθων γηΐνων τὸ εὖρος, ἅμα δὲ τῇ ἡμέρᾳ διωρώρυκτο. καὶ ὡς τὸ πρῶτον διεφάνη, ἐπάταξεν ἔνδοθεν βουπόρῳ τις ὀβελίσκῳ διαμπερὲς, τὸν μηρὸν τοῦ ἐγγυτάτω. τὸ δὲ λοιπὸν ἐκτοξεύοντες, ἐποίουν μηδὲ παριέναι ἔτι ἀσφαλὲς εἶναι. κεκραγότων δ' αὐτῶν καὶ πυρσευόντων ἐκβοηθοῦσιν, ἰταβέλιος μὲν ἔχων τὴν ἑαυτοῦ δύναμιν ἐκ κομανίας, ὁπλῖται φρουροὶ καὶ ἱππεῖς ὑρκάνιοι, καὶ οὗτοι βασιλέως μισθοφόροι ὡς ὀγδοήκοντα. καὶ ἄλλοι πελτασταὶ εἰς ὀκτακοσίους. ἄλλοι δ' ἐκ παρθενίου, ἄλλοι δὲ ἐξ ἀπολλωνίας καὶ ἐκ τῶν πλησίον χωρίων. καὶ ἱππεῖς. ἐνταῦθα δὴ ὥρα ἦν, πῶς ἔσται ἡ ἄφοδος σκοπεῖν. καὶ λαβόντες ὅσοι ἦσαν βόες καὶ πρόβατα, ἤλαυνον καὶ τὰ ἀνδράποδα ἐντὸς πλαισίου ποιησάμενοι, οὐ τοῖς χρήμασιν ἔτι προσέχοντες τὸν νοῦν, ἀλλὰ μὴ φυγὴ εἴη ἡ ἄφοδος, εἰ καταλιπόντες τὰ χρήματα ἀπίοιεν, καὶ οἵ τε πολέμιοι θρασύτεροι εἶεν, καὶ οἱ στρατιῶται ἀθυμότεροι. νῦν δὲ ἀπῄεσαν ὡς περὶ τῶν χρημάτων μαχούμενοι. ἐπεὶ δὲ ἑώρα ὁ γογγύλος ὀλίγους μὲν τοὺς ἕλληνας, πολλοὺς δὲ τοὺς ἐπικειμένους, ἐξέρχεται καὶ αὐτὸς βίᾳ τῆς μητρὸς, τὴν ἑαυτοῦ δύναμιν ἔχων, βουλόμενος συμμετασχεῖν τοῦ ἔργου.

συν

σὺν [illegible] καὶ ἐκ γογγύλος δὲ ἐλισάρνης, ὁ τευθρανίας ὁ δαμαράτου. οἱ δὲ περὶ ξενοφῶντα ἐπεὶ πάνυ ἤδη ἐπιέζοντο ὑπὸ τῶν τοξευμάτων καὶ σφενδονῶν πορευόμενοι κύκλῳ, ὅπως τὰ ὅπλα ἔχοιεν πρὸ τῶν τοξευμάτων, μόλις διαβαίνουσι τὸν κάρκασον ποταμόν. τετρωμένοι ἐγγὺς ἡμίσεις. ἐνταῦθα καὶ ἀγασίας συμφάλιος λοχαγὸς τιτρώσκεται, τὸν πάντα χρόνον μαχόμενος πρὸς τοὺς πολεμίους, καὶ διασώζονται ἀνδράποδα ὡς διακόσια, ἔχοντες καὶ πρόβατα ὅσον θύματα. τῇ δ᾽ ὑστεραίᾳ θυσάμενος ὁ ξενοφῶν ἐξάγει νύκτωρ πᾶν τὸ στράτευμα, ὅπως ὅτι μακροτάτην ἔλθοι τῆς λυδίας, ὥστε μὴ διὰ τὸ ἐγγὺς εἶναι φοβεῖσθαι, ἀλλ᾽ ἀφυλακτεῖν. ὁ δ᾽ ἀσιδάτης ἀκούσας ὅτι πάλιν ἐπ᾽ αὐτὸν τεθυμένος εἴη ξενοφῶν, καὶ παντὶ τῷ στρατεύματι ἥξει, ἐξαυλίζεται εἰς κώμας ὑπὸ τὸ παρθένιον πόλισμα ἐχούσας. ἐνταῦθα οἱ περὶ ξενοφῶντα, συμπεριτυγχάνουσιν αὐτῷ, καὶ λαμβάνουσιν αὐτόν, καὶ γυναῖκα καὶ παῖδας καὶ τοὺς ἵππους καὶ πάντα τὰ ὄντα, καὶ οὕτω τὰ πρότερα ἱερὰ ἀπέβη. ἔπειτα πάλιν ἀφικνοῦνται εἰς πέργαμον. ἐνταῦθα τὸν θεὸν ἠτιάσατο ὁ ξενοφῶν. συνέπραττον γὰρ καὶ οἱ λάκωνες, καὶ οἱ λοχαγοί, καὶ οἱ ἄλλοι στρατηγοί, καὶ οἱ στρατιῶται, ὥστε ἐξαίρετα λαμβάνειν καὶ ἵππους καὶ ζεύγη, καὶ τἄλλα, ὥστε ἱκανὸν εἶναι καὶ ἄλλον ἤδη εὖ ποιεῖν. ἐκ τούτου θίμβρων παραγενόμενος, παρέλαβε τὸ στράτευμα. καὶ συμμίξας τῷ ἄλλῳ ἑλληνικῷ, ἐπολέμει πρὸς τισσαφέρνην καὶ φαρνάβαζον. ἄρχοντες δὲ οἵδε τῆς βασιλέως χώρας ὅσην ἐπήλθομεν, λυδίας, ἀρτίμας· φρυγίας, ἀρτακάμας· λυκαονίας καὶ καππαδοκίας, μιθριδάτης· κιλικίας, συέννεσις· φοινίκης καὶ ἀραβίας, δέρνης· συρίας καὶ ἀσσυρίας, βέλεσυς· βαβυλῶνος, ῥωπάρας· μηδίας, ἀρβάκας· φασιανῶν καὶ ἑσπεριτῶν, τιρίβαζος. καρδοῦχοι δὲ καὶ χάλυβες, καὶ χαλδαῖοι, καὶ μάκρωνες, καὶ κόλχοι, καὶ μοσσύνοικοι, καὶ κοῖται, καὶ τιβαρηνοί, αὐτόνομοι. παφλαγονίας, κορύλας· βιθυνῶν, φαρνάβαζος. τῶν ἐν εὐρώπῃ θρακῶν, σεύθης. ἀριθμὸς συμπάσης τῆς ὁδοῦ τῆς ἀναβάσεως καὶ καταβάσεως, σταθμοὶ διακόσιοι δεκαπέντε, παρασάγγαι χίλιοι ἑκατὸν πεντήκοντα, στάδια τρισμύρια τετρακισχίλια διακόσια πεντήκοντα πέντε. χρόνου πλῆθος τῆς ἀναβάσεως καὶ καταβάσεως, ἐνιαυτός, τρεῖς μῆνες.

Venit uero ab Elisarne, & Teuthrania à Demarato missus, Procles. Qui uero cum Xenophonte erant, cum telorum & fundarum ictibus pene obruerentur, ut iter facientes obiectu clypeorum se tegerent, in orbem agmen conuerterunt: ac uix Carcasum amnem traiecerunt, cum plus dimidia parte saucij essent, ac inter cæteros uulnus etiam accepisset Agasias Stymphalius centurio, homo perpetuis dimicationibus exercitus. Captiuos fere ducentos retinuerunt: pecoris quod esset ad immolandum duntaxat satis. Postero die sacris peractis, noctu copias omnes educit Xenophon: ac longissima uia, per Lydiam agmen circunduxit, ut hostes metu iam uacui, cum nihil sibi cauerent, facilius opprimerentur. Asidates cum audisset Xenophontem de agmine iterum educendo sacra fecisse, neque multo post cum copijs omnibus adfuturum, in pagos castra mouere statuit, Parthenico oppido proximos. Eo cum contenderet, in Xenophontis milites incidit, à quibus cum uxore, liberis, equis, ac reliquis fortunis captus est. Euentus itaque, sacri prioris fidem comprobauit. Cum iam Pergamum omnes redissent, Xenophon minus sibi æquos deos fuisse questus est, propterea quod à sua tantum cohorte negocium geri non potuerat, sed eius expeditionis participes fuerant Lacones, & centuriones alij, quàm quos ipse delegerat: prætores præterea, & milites, qui sibi bellissimum quodque ex omni præda præceperunt, equos uidelicet, iumentorum iuga, & quæ uisum est alia, ut iam eorum unusquisque haberet, unde et alijs benigne faceret. His ita gestis Thimbron superuenit, qui cum acceptum à Xenophonte exercitum, ijs quas ipse adduxerat Græcorum cohortibus admiscuisset, Tissapherni & Pharnabazo bellum intulit. Regionum omnium quæ sub regis ditione erant, quasque nos peragrauimus, illis temporibus hi præfecti fuerunt: Lydiæ, Artimas: Phrygiæ, Artacamas: Lycaoniæ & Cappadociæ, Mithridates: Ciliciæ, Syennesis: Phœniciæ, et Arabiæ, Dernes: Syriæ, & Assyriæ, Belesis: Babylonis, Roparas: Mediæ, Arbacas: Phasianorum, & Hesperitanorum, Teribazus. Nam Carduchi, Chalybes, Chaldæi, Macrones, Colchi, Mosynœci, Cotæ & Tibareni, omnes suis legibus utebantur. Paphlagoniæ præerat Corylas, Bythinis Pharnabazus. In Europa Thracibus Seuthes imperabat. Totius itineris spacium, quod aut progredientes aut regredientes confecerunt, fuere castra ducena quindena, parasangæ M C L. quæ summa stad. efficit tricies & quater mille, C C L V. Milliarium circiter quater mille & D C. Quo quidem in itinere annus & menses III. consumpti.

ΞΕΝΟΦΩΝΤΟΣ ΕΛΛΗΝΙΚΩΝ ΠΡΩΤΟΝ.

Μετὰ δὲ ταῦτα οὐ πολλαῖς ἡμέραις ὕστερον, ἦλθεν ἐξ Ἀθηνῶν Θυμοχάρης, ναῦς ἔχων ὀλίγας· καὶ εὐθὺς ἐναυμάχησαν αὖθις Λακεδαιμόνιοι καὶ Ἀθηναῖοι. ἐνίκησαν δὲ Λακεδαιμόνιοι, ἡγουμένου Ἀγησανδρίδου. μετ᾽ ὀλίγον δὲ τούτων, Δωριεὺς ὁ Διαγόρου ἐκ Ῥόδου εἰς Ἑλλήσποντον εἰσέπλει, ἀρχομένου χειμῶνος, τέτταρσι καὶ δέκα ναυσίν, ἅμα ἡμέρᾳ. κατιδὼν δὲ ὁ τῶν Ἀθηναίων ἡμεροσκόπος, ἐσήμανε τοῖς στρατηγοῖς. οἱ δὲ ἀνηγάγοντο ἐπ᾽ αὐτὸν εἴκοσι ναυσίν· ἃς ὁ Δωριεὺς φυγὼν, πρὸς τὴν γῆν ἀνεβίβαζε τὰς ἑαυτοῦ τριήρεις, ὡς ἤνοιγε περὶ τὸ Ῥοίτειον. ἐγγὺς δὲ γενομένων τῶν Ἀθηναίων, ἐμάχοντο ἀπό τε τῶν νεῶν καὶ τῆς γῆς, μέχρις οἱ Ἀθηναῖοι ἀπέπλευσαν εἰς Μάδυτον, πρὸς τὸ ἄλλο στρατόπεδον, οὐδὲν πράξαντες. Μίνδαρος δὲ κατιδὼν τὴν μάχην, ἐν Ἰλίῳ θύων τῇ Ἀθηνᾷ, ἐβοήθει ἐπὶ τὴν θάλατταν, καὶ καθελκύσας τὰς ἑαυτοῦ τριήρεις, ἀπέπλει, ὅπως ἀναλάβοι τὰς μετὰ Δωριέως. οἱ δὲ Ἀθηναῖοι ἀνταναγόμενοι, ἐναυμάχησαν περὶ Ἄβυδον κατὰ τὴν ἠιόνα μέχρι δείλης ἐξ ἑωθινοῦ. καὶ τὰ μὲν νικώντων, τὰ δὲ νικωμένων, Ἀλκιβιάδης ἐπεισπλεῖ δυοῖν δεούσαιν εἴκοσι ναυσίν. ἐντεῦθεν δὲ φυγὴ τῶν Πελοποννησίων ἐγένετο πρὸς τὴν Ἄβυδον. καὶ ὁ Φαρνάβαζος παρεβοήθει. καὶ ἐπεισβαίνων τῷ ἵππῳ εἰς τὴν θάλατταν μέχρι δυνατὸν ἦν, ἐμάχετο. καὶ τοῖς ἄλλοις τοῖς αὑτοῦ ἱππεῦσι, καὶ πεζοῖς παρεκελεύετο. συμφράξαντες δὲ τὰς ναῦς οἱ Πελοποννήσιοι, καὶ παραταξάμενοι πρὸς τῇ γῇ ἐμάχοντο. Ἀθηναῖοι δὲ ἀπέπλευσαν, τριάκοντα ναῦς τῶν πολεμίων λαβόντες κενάς· καὶ ἃς αὐτοὶ ἀπώλεσαν, κομισάμενοι εἰς Σηστόν. ἐντεῦθεν πλὴν τετταράκοντα νεῶν ἄλλαι ἄλλῃ ᾤχοντο ἐπ᾽ ἀργυρολογίαν ἔξω τοῦ Ἑλλησπόντου, καὶ ὁ Θρασύλος, εἷς ὢν τῶν στρατηγῶν, εἰς Ἀθήνας ἔπλευσε ταῦτα ἐξαγγελῶν, καὶ στρατιὰν καὶ ναῦς αἰτήσων. μετὰ δὲ ταῦτα Τισσαφέρνης ἦλθεν εἰς Ἑλλήσποντον. ἀφικόμενον δὲ παρ᾽ αὐτὸν μιᾷ τριήρει Ἀλκιβιάδην, ξένιά τε καὶ δῶρα ἄγοντα, συλλαβὼν, εἷρξεν ἐν Σάρδεσι, φάσκων κελεύειν βασιλέα πολεμεῖν Ἀθηναίοις. ἡμέραις δὲ τριάκοντα ὕστερον, Ἀλκιβιάδης ἐκ Σάρδεων μετὰ Μαντιθέου τοῦ ἁλόντος ἐν Καρίᾳ, ἵππων εὐπορήσαντες, νυκτὸς ἀπέδρασαν εἰς Κλαζομενάς. οἱ δ᾽ ἐν Σηστῷ Ἀθηναῖοι αἰσθόμενοι Μίνδαρον πλεῖν ἐπ᾽ αὐτοὺς μέλλοντα ναυσὶν ἑξήκοντα, νυκτὸς ἀπέδρασαν εἰς Καρδίαν. ἐνταῦθα δὲ καὶ Ἀλκιβιάδης ἧκεν ἐκ τῶν Κλαζομενῶν σὺν πέντε τριήρεσι, καὶ ἐπακτρίδι. πυθόμενος δὲ ὅτι αἱ τῶν Πελοποννησίων νῆες ἐξ Ἀβύδου ἀνηγμέναι εἶεν εἰς Κύζικον, αὐτὸς μὲν πεζῇ ἦλθεν εἰς Σηστόν, τὰς δὲ ναῦς περιπλεῖν ἐκεῖσε ἐκέλευσεν. ἐπεὶ δ᾽ ἦλθον, ἀνάγεσθαι ἤδη αὐτοῦ μέλλοντος ὡς ἐπὶ ναυμαχίαν, ἐπεισπλεῖ Θηραμένης εἴκοσι ναυσὶν ἀπὸ Μακεδονίας. ἅμα δὲ καὶ Θρασύβουλος εἴκοσιν ἑτέραις ἐκ Θάσου, ἀμφότεροι ἠργυρολογηκότες.

XENOPHONTIS RERUM GRAECARUM LIBER PRIMUS.

Inde haud multis interiectis diebus, uenit ab Athenis nauibus paucis Thymochares: rursusq; conflictum praelio cōflixere naualı, Lacedæmonij & Athenienses, uicereq; Lacedæmonij, duce Hegesandride. Breui inde Dorieus Diagori filius, ex Rhodo cū quatuordecim nauibus in Hellespontum profectus est, ineunte iam hyeme. Quem cum orto die Atheniensium uidisset speculator, signum dat ducibus: ad quod illi exciti, cum uiginti occurrerunt triremibus: quas Dorieus fugiens, in terram cum suis desilijt: naues quoq; ad Rhœteum subduxit: sicq; Atheniensibus ingruentibus, terra mariq; resistebat. Athenienses itaq; frustra certamine inito, re infecta Madytū ad alium redière exercitum. At Mindarus cum de pugna certior factus esset, sacrificio prius Ilij Mineruæ facto, classeq; in mare deducta, ut Dorieo opem ferret, obuiam ire parat. quem Athenienses iuxta Abydi litus, prælio excipiūt nauali. Cumq; anceps certamen ab ortu solis ad occasum usq; durasset, iamq; illi superarent, mox uincerentur, Alcibiades duodeuiginti nauibus in conspectum uenit. quo uiso, Peloponnenses fugam Abydum uersus cepere. Quibus Pharnabazus suppetias tulit, equo quantum permittebatur, mare ingressus, hostem propellebat, suosq; tam equites quàm pedites, ut idem facerent hortabatur. At Peloponnēses iunctis nauibus, structisq; ordinibus, à terra resistebant. Tandem Athenienses abierunt triginta hostium nauibus uacuis captis, recuperatis etiam illis quas ipsi antea amiserant, omnesq; Sestum perduxerunt. Inde præter quadraginta naues, aliæ alio ad tributum extra Hellespontū exigēdum, profectæ sunt. Thrasylus uero è ducibus unus Athenas nauigauit, uictoriam nunciaturus, militesq; & naues in supplementū petiturus. Post hæc Tissaphernes in Hellespontū uenit: ad quem Alcibiades triremi una cum munerib. delatus, ab eo captus, ac Sardis in custodiam missus est, sub prætextu mandati regij, quo Atheniensibus, ut ipse aiebat, bellum inferre iubebatur. Elapsis inde diebus triginta, Alcibiades ex Sardis cum Mātitheo quodam, qui in in Caria captus fuerat, equis ad fugam usus, Clazomenas noctu aufugit. Athenienses interim qui ad Sestum stabant, cum rescissent Mindarum cum sexaginta aduentare nauibus, in Cardiam noctu profugerunt, quò etiam Alcibiades cum triremibus quinq;, & oneraria naui una, ex Clazomenis peruenit. Vbi edoctus Peloponnensem classem ex Abydo Cyzicum coactam esse, cum peditibus Sestum contendit, naues uero circumagi iussit. Quo cum peruenisset, iamq; ad prælium se accingeret naua[illegible] aduenit Theramenes ex Macedonia triremibus uiginti, simul & Thrasybulus cum alijs totid. ex Thaso, qui ambo ad exigendum tributum profe-

ut à se pignora fidei acciperēt, rogare. Quare Seuthes accersit Xenophontē, atq; et exponit quæ illi attulissent: seq; negat ullo pacto pacē petentib. daturū, si statuisse ipsum intelligat, impetū, quē illi paulo ante fecerāt, ulcisci. Atqui, inquit Xenophō, mihi hercule satis magnas pœnas dedisse, si qui liberi ante fuerunt, in seruitutē redigātur: censere tamē se, ab illis obsides accipiēdos: atq; eos in primis, qui ad faciendā iniuriā instructiores, ac paratiores esse uiderentur: seniores uero domi relinquendos. Horū illi nihil recusarūt. Hinc ad Thracas, qui Delta incolūt, quæ regio supra Byzantiū est, transiēt. Iā locus hic ad Medosadæ imperiū nihil attinebat: nā ueteris cuiusdā Terei Odrysorū regis ditione cōtinebatur. Hic Heraclides cū pecunia de manubijs adfuit: et Seuthes cum iuga tria iumentorū, quod plura nō habebat, boū uero sane multa produxisset, ut à se dono ea acciperet, Xenophontē rogat: alia uero quæcūq; ut pretorib. et centurionib. diuidat. Hæc Seuthæ offerēti, respōdet Xenophō: satis sibi fore, si alio tēpore accipiat: in præsentia, inquit, ista pretorib. et centurionib. qui me huc secuti sunt, donato. Accepit itaq; Timasiō Dardanēsis iugū unum, unū Cleanor Orchomenius, unū Phryniscus Achæus: boū uero iuga inter cēturiones partitus est. Cūq; iam mēsis exisset, x x. dūtaxat dierū stipendiū pendit. Heraclides se de præda nihilo maiorē pecuniā coēgisse affirmarat. Quare Xenophō grauiter cōmotus, Heraclide, inquit, nō uideris mihi satis diligēter, quæ ad Seuthæ utilitates pertinēt, curare: attulisses .n. tu quidem stipendiū integrū, ac si aliter nō potuisses, uel fœnori accepta pecunia, aut ipsis uestimentis diuenditis. Hæc oratio uehemēter Heraclidæ animū offendit, cum non parū metueret, ne ex eo amicitiæ loco, quē apud Seuthen obtinebat, deturbaretur. Exinde itaq; q̄ potuit maxime Xenophontē cœpit apud Seuthen insimulare. Milites cum Xenophōte expostulabant, quod stipendio fraudarētur. Seuthes ægre ferebat se toties ab eo appellari. Neq; enim desinebat Xenophon ei uerba illa illi exprobare: Cum ad mare uenero (id .n. erat ille pollicitus) Bisantē dabo, Ganon, et nouos muros. Iā uerò nihil meminisse uidebatur. Nā et illud Heraclides, quo Xenophontē in suspicionē & inuidiā adduceret, dictitabat, nō esse satis tutū in potestatem hominis exercitū habētis, munita loca tradere. Quæ res effecit, ut Xenophon deliberandū sibi putaret, an psisteret in ea societate. Heraclides interea prætores alios ad Seuthē adducit, ijsq; persuadere conatur, ut profiteātur se in exercitu ductādo, nihilo q̄ Xenophontem imperitiores fore: ac se illis intra dies paucos pollicitus est, mercedē duūm mensiū curaturū, manerēt modo in officio. Ibi Timasiō omniū primus: Ego uero, inquit, ne si mensiū quinq; stipendiū capeā, sine Xenophōte, ut in societate hac permaneā, adduci possum. Ac se idē in animo habere Phryniscus et Cleanor affirmarūt. Tunc Seuthes Heraclidē obiurgauit, quod Xenophontem non accersisset. Accersitur itaq; unus Xenophon: qui cum Heracliden intelligeret operā dare, ut sibi apud cæteros pretores inuidiā conflaret, uenit cum pretorib. et centurionibus: quibus cum persuasum esset ne à Seuthe deficerent, castra mouerunt, ac primum ad dexteram, regione relicta eorum Thracum

τὰ πιστὰ λαμβάνειν ἐκέλευον. ὁ δὲ Σεύθης καλέσας τὸν Ξενοφῶντα ἐπιδείκνυσιν ἃ λέγοιεν, καὶ οὐκ ἂν ἔφη σπείσασθαι, εἰ Ξενοφῶν βούλοιτο τιμωρήσασθαι αὐτοὺς τῆς ἐπιθέσεως. ὁ δ' εἶπεν· ἀλλ' ἔγωγε ἱκανὴν νομίζω δίκην ἔχειν, εἰ οὗτοι δοῦλοι ἔσονται ἀντ' ἐλευθέρων. συμβουλεύειν μέντοι, ἔφη, αὐτῷ τὸ λοιπὸν ὁμήρους λαμβάνειν τοὺς δυνατωτάτους κακόν τι ποιεῖν· τοὺς δὲ γέροντας οἴκοι ἐᾶν. οἱ μὲν οὖν ταύτῃ πάντες προσωμολόγουν. ὑπερβάλλουσι δὲ πρὸς τοὺς ὑπὲρ Βυζαντίου Θρᾷκας, εἰς τὸ Δέλτα καλούμενον. αὕτη δ' ἦν οὐκέτι ἀρχὴ Μαισάδου, ἀλλὰ Τήρου τοῦ Ὀδρυσοῦ ἀρχαίου τινός. καὶ ὁ Ἡρακλείδης ἐνταῦθα ἔχων τὴν τιμὴν τῆς λείας παρῆν. καὶ Σεύθης ἐξαγαγὼν ζεύγη ἡμιονικὰ τρία, οὐ γὰρ ἦν πλείω, τὰ δ' ἄλλα βοεικά, καλέσας Ξενοφῶντα, ἐκέλευσε λαβεῖν. τὰ δὲ ἄλλα διανεῖμαι τοῖς στρατηγοῖς καὶ λοχαγοῖς. Ξενοφῶν δὲ τάδ' εἶπεν· ἐμοὶ μὲν τοίνυν ἀρκεῖ καὶ αὖθις λαβεῖν. τούτοις δὲ τοῖς στρατηγοῖς δωροῦ, οἳ σὺν ἐμοὶ ἠκολούθησαν, καὶ λοχαγοῖς. καὶ τῶν ζευγῶν λαμβάνει ἓν μὲν Τιμασίων ὁ Δαρδανεύς, ἓν δὲ Κλεάνωρ ὁ Ὀρχομένιος, ἓν δὲ Φρυνίσκος ὁ Ἀχαιός. τὰ δὲ βοεικὰ ζεύγη τοῖς λοχαγοῖς κατεμερίσθη. τὸν δὲ μισθὸν ἀποδίδωσιν, ἐξεληλυθότος ἤδη τοῦ μηνός, εἴκοσι μόνον ἡμερῶν. ὁ γὰρ Ἡρακλείδης ἔλεγεν, ὅτι οὐ πλεῖον ἐμπολῆσαι. ὁ οὖν Ξενοφῶν ἀχθεσθείς, εἶπε· δοκεῖς μοι, ὦ Ἡρακλείδη, οὐχ ὡς δεῖ κήδεσθαι Σεύθου. εἰ γὰρ ἐκήδου, ἧκες ἂν πλήρη φέρων τὸν μισθόν, καὶ προσδανεισάμενος, εἰ μή γ' ἄλλως ἐδύνω, καὶ ἀποδόμενος τὰ ἑαυτοῦ ἱμάτια. ἐντεῦθεν ὁ Ἡρακλείδης ἠχθέσθη τε καὶ ἔδεισε, μὴ ἐκ τῆς Σεύθου φιλίας ἐκβληθείη. καὶ ὅ, τι ἐδύνατο ἀπὸ ταύτης τῆς ἡμέρας, Ξενοφῶντα διέβαλλε πρὸς Σεύθην. οἱ μὲν δὴ στρατιῶται Ξενοφῶντι ἐνεκάλουν, ὅτι οὐκ εἶχον τὸν μισθόν. Σεύθης δὲ ἤχθετο αὐτῷ, ὅτι ἐντόνως τοῖς στρατιώταις ἀπῄτει τὸν μισθόν. καὶ τέως μὲν ἀεὶ ἐμέμνητο, ὡς ἐπειδὰν ἐπὶ θάλατταν ἀπέλθοι, παραδώσει αὐτῷ Βισάνθην, καὶ Γάνον, καὶ Νέον τεῖχος. ἀπὸ δὲ τούτου τοῦ χρόνου, οὐδενὸς ἔτι τούτων ἐμέμνητο. ὁ μὲν γὰρ Ἡρακλείδης καὶ τοῦτο διαβεβλήκει, ὡς οὐκ ἀσφαλὲς εἴη τείχη παραδιδόναι ἀνδρὶ δύναμιν ἔχοντι. ἐκ τούτου ὁ μὲν Ξενοφῶν ἐβουλεύετο τί χρὴ ποιεῖν, περὶ τοῦ ἔτι ἄνω στρατεύεσθαι. ὁ δ' Ἡρακλείδης εἰσαγαγὼν τοὺς ἄλλους στρατηγοὺς πρὸς Σεύθην, λέγειν τε ἐκέλευεν αὐτούς, ὅτι οὐδὲν ἂν ἧττον σφεῖς ἀγάγοιεν τὴν στρατιάν, ἢ Ξενοφῶν. τόν τε μισθὸν ὑπισχνεῖτο αὐτοῖς, ἐντὸς ὀλίγων ἡμερῶν, ἔκπλεων παρέσεσθαι δυοῖν μηνοῖν, συστρατεύεσθαί τε ἐκέλευε. καὶ ὁ Τιμασίων εἶπεν· ἐγὼ μὲν τοίνυν οὐδ' ἂν πέντε μηνῶν μισθὸς μέλλοι εἶναι, στρατευσαίμην ἂν ἄνευ Ξενοφῶντος. καὶ ὁ Φρυνίσκος καὶ ὁ Κλεάνωρ συνωμολόγουν Τιμασίωνι. ἐντεῦθεν Σεύθης ἐλοιδόρει τὸν Ἡρακλείδην, ὅτι οὐ παρακαλεῖ τὸν Ξενοφῶντα. ἐκ δὲ τούτου παρακαλοῦσιν αὐτὸν μόνον. ὁ δὲ γνοὺς τοῦ Ἡρακλείδου τὴν πανουργίαν, ὅτι βούλοιτο αὐτὸν διαβάλλειν πρὸς τοὺς ἄλλους στρατηγούς, παρέρχεται λαβὼν τούς τε στρατηγοὺς πάντας καὶ τοὺς λοχαγούς. καὶ ἐπεὶ πάντες ἐπείσθησαν, συνεστρατεύοντο, καὶ ἀφικνοῦνται ἐν δεξιᾷ ἔχοντες τὸν Πόντον, διὰ τῶν Μελινοφάγων καλουμένων Θρᾳκῶν

κάλ[ους] εἰς τὸν σαλμυδησσόν, ἔνθα τῶν εἰς τὸν πόντον πλεου/
σῶν νηῶν πολλαὶ ὀκέλλουσι καὶ ἐκπίπτουσι. τέναγος
γάρ ἐστιν ἐπὶ πολὺ τῆς θαλάττης. καὶ οἱ θρᾷκες οἱ κατὰ
ταῦτα οἰκοῦντες, στήλας ὁρισάμενοι, τὰ καθ' αὑτοὺς
ἕκαστοι ἐκπίπτοντα λῄζονται. τέως δ' ἐλέγοντο πρὶν
ὁρίσασθαι ἁρπάζοντες, πολλοὶ ὑπ' ἀλλήλων ἀπο-
θνήσκειν. ἐνταῦθα εὑρίσκονται πολλαὶ μὲν κλῖναι,
πολλὰ δὲ κιβώτια, πολλαὶ δὲ βίβλοι, καὶ τἆλλα πολ-
λά, ὅσα ἐν ξυλίνοις τεύχεσι ναύκληροι ἄγουσιν. ἐν-
τεῦθεν ταῦτα καταστρεψάμενοι, ἀπῄεσαν πάλιν, ἔν-
θα δὴ σεύθης εἶχε στράτευμα πλέον τοῦ ἑλληνικοῦ.
ἔκ τε γὰρ ὀδρυσῶν πολὺ πλείους καταβεβήκεσαν. καὶ
οἱ αὐτοὶ πειθόμενοι συνεστρατεύοντο. κατηυλίσθησαν
δὲ ἐν τῷ πεδίῳ ὑπὲρ σηλυβρίαν, ὅσον ν' σταδίους ἀπέ-
χοντες τῆς θαλάττης. καὶ μισθὸς μὲν οὐδείς πω ἐφαίνετο.
καὶ πρὸς μὲν τὸν ξενοφῶντα οἵ τε στρατιῶται παντάπασι χα-
λεπῶς εἶχον, ὅτε σεύθης οὐκέτι οἰκείως διέκειτο. ἀλλ'
ὁπότε συγγενέσθαι αὐτῷ βουλόμενος ἔλθοι, πολλαὶ ἤ-
δη ἀσχολίαι ἐγένοντο. ἐν δὲ τούτῳ τῷ χρόνῳ, σχεδὸν
ἤδη δύο μηνῶν ὄντων, ἀφικνοῦνται χαρμῖνός τε ὁ
λάκων καὶ πολύνικος παρὰ θίμβρωνος, καὶ λέγουσιν
ὅτι λακεδαιμονίοις δοκεῖ στρατεύεσθαι ἐπὶ τισσα-
φέρνην. καὶ θίμβρων ἐκπέπλευκεν ὡς πολεμήσων, καὶ
δεῖται ταύτης τῆς στρατιᾶς. καὶ λέγει ὅτι δαρεικὸς ἑκά/
στῳ ἔσται μισθὸς τοῦ μηνός, καὶ τοῖς λοχαγοῖς διμοιρία.
ἐπεὶ δ' ἦλθον οἱ λακεδαιμόνιοι, εὐθὺς ὁ ἡρακλείδης
πυθόμενος ὅτι ἐπὶ τὸ στράτευμα ἥκουσι, λέγει τῷ σεύ-
θῃ, ὅτι κάλλιον γεγένηται. οἱ μὲν γὰρ λακεδαιμόνιοι δέ-
ονται τοῦ στρατεύματος, σὺ δ' οὐ δέῃ, ἀποδιδοὺς δὲ τὸ
στράτευμα αὐτοῖς, χαριεῖ· σὲ δὲ οὐκέτι ἀπαιτήσουσι τὸν
μισθόν, ἀλλ' ἀπαλλάξονται ἐκ τῆς γῆς. ἀκούσας ταῦτα ὁ
σεύθης, κελεύει παράγειν. καὶ ἐπεὶ εἶπον, ὅτι ἐπὶ τὸ στρά-
τευμα ἥκουσι, λέγει ὅτι τὸ στράτευμα ἀποδίδωσι, φί-
λος τε καὶ σύμμαχος βούλεται εἶναι, καλεῖ τε αὐτοὺς ἐπὶ
ξένια, καὶ ἐξένιζε μεγαλοπρεπῶς. ξενοφῶντα δὲ οὐ κα-
λεῖ, οὐδὲ τῶν ἄλλων στρατηγῶν οὐδένα. ἐρωτώντων δὲ τῶν
λακεδαιμονίων, ὅτι τίς ἀνὴρ εἴη ξενοφῶν, ἀπεκρίνα-
το, ὅτι τὰ μὲν ἄλλα εἴη οὐ κακός, φιλοστρατιώτης δέ,
καὶ διὰ τοῦτο χεῖρόν ἐστιν αὐτῷ. καὶ οἳ εἶπον· ἀλλ' ἦ δη-
μαγωγεῖ ὁ ἀνὴρ τοὺς ἄνδρας; καὶ ὁ ἡρακλείδης, πάνυ
μὲν οὖν, ἔφη. ἆρ' οὖν, ἔφασαν, μὴ καὶ ἡμῖν ἐναντιώσεται
περὶ τῆς ἀπαγωγῆς; ἀλλ' ἢν ὑμεῖς, ἔφη ὁ ἡρακλείδης,
συλλέξαντες αὐτοὺς ὑπόσχησθε τὸν μισθόν, ὀλίγον ἐκεί-
νῳ προσχόντες, ἀποδραμοῦνται σὺν ὑμῖν. πῶς ἂν οὖν,
ἔφασαν, ἡμῖν συλλεγεῖεν; αὔριον ὑμᾶς, ἔφη ὁ ἡρακλεί-
δης, πρωῒ ἄξομεν πρὸς αὐτούς· καὶ οἶδα, ἔφη, ὅτι ἐπειδὰν
ὑμᾶς ἴδωσιν, ἄσμενοι συνδραμοῦνται. αὕτη μὲν ἡ ἡμέ-
ρα, οὕτως ἔληξε. τῇ δ' ὑστεραίᾳ ἄγουσιν ἐπὶ τὸ στράτευ-
μα τοὺς λάκωνας, σεύθης τε καὶ ἡρακλείδης. καὶ συλλέ-
γεται ἡ στρατιά. τὼ δὲ λάκωνε ἐλεγέτην, ὅτι λακεδαι-
μονίοις δοκεῖ, πολεμεῖν τισσαφέρνει τῷ ὑμᾶς ἀδική-
σαντι. ἢν οὖν ἴητε σὺν ἡμῖν, τόν τε ἐχθρὸν τιμωρήσεσθε,
καὶ δαρεικὸν ἕκαστος οἴσει τοῦ μηνὸς ὑμῶν. λοχαγὸς δὲ
τὸ διπλοῦν, στρατηγὸς δὲ τὸ τετραπλοῦν. καὶ οἱ στρατιῶται
ἄσμενοί τε ἤκουσαν, καὶ εὐθὺς ἀνίσταταί τις τῶν ἀρκά-
δων, τοῦ ξενοφῶντος κατηγορήσων. παρῆν δὲ καὶ σεύθης
βου/

cum qui Melinophagi (id est, ac si panico uescentes
dicas) appellantur, Salmydessum peruenerunt. Ad ea
littora e mari, in breuia & quasi aestuaria quaedam
impactae naues quamplurimae, in Pontum uenientes,
franguntur: eas Thraces praedantur, diuisis inter se
littoribus, columnis per interualla erectis: nam ante/
quam id fieret, de praeda inter eos caedes plurimae fie/
bant. Ibi lecti multi, et arcae item multae repertae sunt:
multae papyri, & alia multa, quae in ligneis uasis re/
posita nauculatores habere consueuerunt. His omni
bus direptis abierunt. Iam copias Seuthes Graecorum
exercitu maiores habebat: ex Odrysis enim longe
plurimi descenderant, qui omnes Seuthae fidem secuti
sunt. Castra supra Selymbriam habebantur, in cam/
pis qui à mari absunt quinquaginta circiter stadia sti
pendium omnino nullum pendebatur. Milites Xe/
nophonti succensebant, quod ab eius familiaritate et
consuetudine iam Seuthes refugere uidebatur: nam
ad eum quoties ueniret, se ille negocijs distineri cau
sabatur. Interea cum iam menses duo abijssent, Char/
minus Laco, & Polynicus à Thimbrone missi, nun
ciant decreuisse Lacedaemonios bellum Tissapherni
inferre. Iam cum classe profectum Thimbronem,
qui exercitum inuitaret, menstruum stipendium
militibus singulis Daricum pollicens, centurioni/
bus duplicatum. Quod ubi Heraclides cognouit,
Seuthae suadet, conducere eum exercitum tradere La
cedaemonijs. Illi, inquit, eo indigent, tibi nihil opus est:
& sane illis non paruum gratificabere. Stipendium ue
ro hi abs te non exigent: quamprimum enim é nostris
finibus decedent. His ille persuasus iubet legatos in/
troduci, ac legatione audita, statim se exercitum illis
tradere respondit, amicumque se & socium Lace/
daemoniorum futurum. Legatos etiam hospitaliter in
uitatos accepit magnifice, neq; Xenophontem aut
aliorum praetorum quenquam uocauit. Cum autem
Lacones quaesissent, qui uir esset Xenophon: respon/
dit ille, non omnino malum esse, sed militum amanti/
orem fere quàm opus esset, ac sibi propterea minus
utilem. Nunquid, illi inquiunt, popularem se militi/
bus praebet? Vnus omnium maxime, respondit Hera/
clides. At illud uerendum est, dicunt illi, ne hunc no
bis exercitum abducere cupientibus, aduersetur. Ve/
rùm, inquit, illis uos in unum congregatis paruum sti
pendium si promiseritis, Xenophonte relicto, uos
proculdubio sequentur. Sed quonam possint modo
congregari? inquiunt illi. Cras, respōdit Heraclides,
uos ad eos deducam: neq; dubito quin simulac uos
uiderint, concursuri sint. Et his quidem sermonibus
dies exemptus est. Postero die à Seuthe & Heracli/
de deducti sunt ad exercitum legati. Cum in unum
omnes conuenissent, Graecos legati his uerbis allocu
ti sunt: Lacedaemonijs uisum est bellum Tissapherni
inferre, à quo iniuriam acceperunt: uos nobiscum si
societatem coieritis, & communem hostem ulcisce/
mini, & Daricum uestrùm unusquisque mensibus
singulis capiet, centuriones uero duplum, quadru/
plū praetores. Haec milites audierunt sane quam liben
ter. Ac statim ex Arcadibus quidam surrexit, & Xe
nophontem acerbe coepit accusare. Aderat Seuthes:

ui

ut planius .n. cognosceret quorsum res euaderet, propius accesserat, & eo loco cōstiterat, adhibuo interprete, è quo facile oīa posset audire. Sed multa etiam græce sciebat. Arcas ita locutus est: Nos iampridē ad uos uenissemus Lacedæmonij, nisi Xenophontis oratione inducti huc diuertissemus, ubi et hyemē importunissimā, et asperrimā egimus: et militaria munia obeūtes, neq; diē, neq; noctē unā quieuimus. Ille uero fructus nostrorū laborū præripit, et cū sane Seuthes dōis expleuit, nos nostro stipēdio fraudat. Quod si, idē inquit, lapidib. illū obruiū, & pœnas pro eo q̄ nos tandiu uexauit, dantē uideam, plane integrā mihi uidear mercedē accepisse: neq; enim, quæ passus sum, ulla ex parte amplius grauia. Surrexit deinde alius, et subinde alius. Quorū querelis cōmotus Xenophō, sui purgādi causa ita locutus est. Nimirū nihil est qd' homini metuendū nō sit, cū eas uos mihi res crimini esse uelitis, in quib. mihi cōscius sim, cura studioq; summo, uestris rationib. quamoptime consultū uoluisse. Diuerti ego uobiscū, cū iam nihil, q̄ domū redire mallē: nō sane quod existimarē, posse me uos magno aliquo beneficio afficere, sed cū urgeri uos rerū omnium penuria uiderē, ut uos qua possem ope subleuarē. Ac cū p nūcios Seuthes hicce me solicitaret, ac mihi quiduis polliceretur, si ut uos ad se uenretis effecissem, testes uos ipsi esse potestis, non potuisse me adduci. Deduxi igitur uos eū in locū, unde quāfacilime in Asiā traijcere possetis: quod maxime uobis cōducere existimabā, et uos esse in eam partē propēsiores cognoscebā. Verū cū Aristarchus cū triremib. uenisset, ac nos traijcere uetuisset, ad uos ego, sicuti res postulabat, de eo quod faciendū esset retuli. Quo tēpore cū Aristarchus, ut in Chersonesum ueniretis imparet, ac Seuthes ad societatē inuitaret, nonne dixistis oēs ad Seuthen eundū, atq; id uestris etiā sententijs declarastis? Dicite igitur obsecro, inquit, nunquid ego eo uos læserim, q̄ uestræ uoluntati obtēperans, uos, quò ipsi maxime uoluistis, duxerim? Postea uero q̄ Seuthes, neglecta quā dederat fide, cœpit uos mercede fraudare, si mihi eius factū probatur, iure uos quidē & accusatis me, et odio habetis: sin cōtra ab eo nūc maxime, cui fui coniūctissimus, dissideo, quanā de causa, qui in uestra esse, q̄ illius potestate malim, nūc à uobis in inuidiā & crimē rapior? Quod si illud dicitis, stipēdijs uestris interuersis, me in causa uestra apud Seuthē præuaricatum: illud certe perspicuū est, quod si quid mihi Seuthes pēdisset, nō posset utiq; ferre, q̄ & eo careret, et insuper aliā uobis pecuniā pēderet: pēdisset .n. ille, ut minore mihi pecunia data, tāto maiorē uobis nō daret. Quod si aliter existimatis, si mercedē uestrā nūc à Seuthe exegeritis, facile aut uos ego redarguā, aut me uos. Quis .n. dubitet repetiturū à me Seuthē quæ dederit, si pactus qd' fuerim, precio corruptus, ei non præstitero? Sed .n. multū abest, ut uestra ego uos mercede fraudarim: ac p deos oēs deasq; iuro, Seuthē neque ea mihi dedisse, quæ priuatim promiserat: adest ipse, atq; hæc audiēs, si mētior, piurij me tacitus cōdemnat. Ac qđ magis miremini, illud etiā adiuro, minus me multo accepisse, quàm cæteros prætores, ne dicā quàm de centurionibus nonnulli. Quæ uero me res, ut

βουλόμενος εἰδέναι τί πραχθήσεται, καὶ ἐν ἐπηκόῳ εἱστήκει, ἔχων τὸν ἑρμηνέα. συνίει δὲ καὶ αὐτὸς ἑλληνιστὶ τὰ πλεῖστα. ἔνθα δὴ λέγει ὁ ἀρκάς· ἀλλ' ἡμεῖς μὲν, ὦ λακεδαιμόνιοι, καὶ πάλαι ἂν ἦμεν παρ' ὑμῖν, εἰ μὴ ξενοφῶν δεῦρο ἡμᾶς πείσας ἀπήγαγεν. ἔνθα δὴ ἡμεῖς μὲν τὸν δεινὸν χειμῶνα στρατευόμενοι, καὶ νύκτα καὶ ἡμέραν οὐδὲν πεπαύμεθα. ὁ δὲ τοὺς ἡμετέρους πόνους ἔχει. καὶ σεύθης ἰδίᾳ μὲν ἐκεῖνον πεπλούτικεν, ἡμᾶς δὲ ἀποστερεῖ τὸν μισθόν. ὥστε ὅ γε πρῶτος λέγων, ἐγὼ μὲν ἔφη, εἰ τοῦτον ἴδοιμι καταλευσθέντα, καὶ δόντα δίκην, ὧν ἡμᾶς περιεῖλκε, καὶ τὸν μισθὸν ἄν μοι δοκῶ ἔχειν, καὶ οὐδὲν ἂν ἔτι τοῖς πεποιημένοις ἄχθεσθαι. μετὰ τοῦτον ἄλλος ἀνέστη ἄν, ὁμοίως καὶ ἄλλος. ἐκ δὲ τούτων ξενοφῶν ἔλεξεν ὧδε· ἀλλὰ πάντα μὲν ἄνθρωπον ὄντα, προσδοκᾶν δεῖ, ὁπότε ἐγὼ νυνί μὲν ὑφ' ὑμῶν αἰτίας ἔχω, ἐν ᾧ πλείστην προθυμίαν ἐμαυτῷ γε δή μοι δοκῶ συνειδέναι περὶ ὑμᾶς παρεσχημένος. ἀπετραπόμην μέντοι ἤδη οἴκαδε ὡρμημένος, μὰ τὸν δία, οὔ τι πυνθανόμενος ὑμᾶς εὖ πράττειν, ἀλλὰ μᾶλλον ἀκούων ἐν ἀπόροις εἶναι, ὡς ὠφελήσων εἴ τι δυναίμην. ἐπεὶ δ' ἦλθον, σεύθου τουτοῦ πολλοὺς ἀγγέλους πρὸς ἐμὲ πέμποντος, καὶ πολλὰ ὑπισχνουμένου ἐμοί, εἰ πείσαιμι ὑμᾶς πρὸς αὐτὸν ἐλθεῖν, τοῦτο μὲν οὐκ ἐπεχείρησα ποιεῖν, ὡς αὐτοὶ ἐπίστασθε. ἦγον δ' ὅθεν ᾤμην τάχιστ' ἂν ὑμᾶς εἰς τὴν ἀσίαν διαβῆναι. ταῦτα γὰρ καὶ βέλτιστα ἐνόμιζον ὑμῖν εἶναι, καὶ ὑμᾶς ᾔδειν βουλομένους. ἐπεὶ δὲ ἀρίσταρχος ἐλθὼν σὺν τριήρεσιν ἐκώλυσε διαπλεῖν ἡμᾶς, ἐκ τούτου, ὅπερ εἰκὸς δή που ἦν, συνέλεξα ὑμᾶς, ὅπως βουλευσαίμεθα ὅ, τι χρὴ ποιεῖν. οὐκοῦν ὑμεῖς ἀκούοντες μὲν ἀριστάρχου ἐπιτάττοντος ὑμῖν εἰς χερρόνησον πορεύεσθαι, ἀκούοντες δὲ σεύθου πείθοντος αὐτῷ συστρατεύεσθαι, πάντες μὲν ἐλέγετε σὺν σεύθῃ ἰέναι, πάντες δ' ἐψηφίσασθε ταῦτα. τί οὖν ἐγὼ ἐνταῦθα ἠδίκησα, ἀγαγὼν ὑμᾶς ἔνθα πᾶσιν ὑμῖν ἐδόκει, ἄπαντες; ἐπεί γε μὴν ψεύδεσθαι ἤρξατο σεύθης περὶ τοῦ μισθοῦ, εἰ μὲν ἐπαινῶ αὐτὸν, δικαίως ἄν με αἰτιᾶσθε καὶ μισεῖτε. εἰ δὲ πρόσθεν αὐτῷ μάλιστα φίλος ὤν, νῦν πάντων διαφορώτατός εἰμι, πῶς ἂν τις δικαίως αἱρούμενος ὑμᾶς ἀντὶ σεύθου, ὑφ' ὑμῶν αἰτίαν ἔχοιμι, περὶ ὧν πρὸς τοῦτον διαφέρομαι; ἀλλ' εἴποιτε ἄν, ὅτι ἔξεστι καὶ τὰ ὑμέτερα ἔχοντα παρὰ σεύθου τεχνάζειν. οὐκοῦν δῆλον τοῦτό γε, ὅτι εἴπερ ἐμοὶ ἐτέλει τι σεύθης, οὐχ οὕτως ἐτέλει δή που, ὡς οὗτε ὧν ἐμοὶ δοίη στέροιτο, καὶ ἄλλα ὑμῖν ἀποτίσειεν. ἀλλ' οἶμαι εἰ ἐδίδου, ἐπὶ τούτῳ ἂν ἐδίδου, ὅπως ἐμοὶ δοὺς μεῖον, μὴ ἀποδοίη ὑμῖν τὸ πλεῖστον. εἰ τοίνυν οὕτως ἔχειν οἴεσθε, ἔξεστιν ὑμῖν αὐτίκα μάλα ματαίαν ταύτην τὴν πρᾶξιν ἀμφοτέροις ὑμῖν ποιῆσαι, ἐὰν πράττητε αὐτὸν τὰ χρήματα. δῆλον γάρ, ὅτι σεύθης εἰ ἔχω τι ἀπ' αὐτοῦ, ἀπαιτήσει με, καὶ ἀπαιτήσει μέντοι δικαίως ἐὰν μὴ βεβαιῶ τὴν πρᾶξιν αὐτοῦ, ἐφ' ᾗ ἐδωροδοκούμην. ἀλλὰ πολλοῦ μοι δοκῶ δεῖν τὰ ὑμέτερα ἔχειν. ὀμνύω γὰρ ὑμῖν θεοὺς ἅπαντας καὶ πάσας, μηδὲ ἃ ἐμοὶ ἰδίᾳ ὑπέσχετο σεύθης ἔχειν. πάρεστι δὲ αὐτὸς καὶ ἀκούων, σύνοιδέ μοι εἰ ἐπιορκῶ. ἵνα δὲ μᾶλλον θαυμάσητε, συνεπόμνυμι, μηδὲ ἃ οἱ ἄλλοι στρατηγοὶ ἔλαβον, εἰληφέναι, μὴ τοίνυν μηδ' ὅσα τῶν λοχαγῶν ἔνιοι. καὶ τί δὴ ταῦτα

τοῦ ἐναντίου; ἐγὼ μὲν, ὦ ἄνδρες, ὅσῳ μᾶλλον συμφέροιμι τούτῳ τὴν τότε πενίαν, τοσούτῳ μᾶλλον αὐτὸν φίλον μοι ἔσεσθαι, ὁπότε δυνηθείη. ἐγὼ δὲ ἅμα ὁρῶ αὐτὸν εὖ πράττοντα, καὶ γιγνώσκω δὴ αὐτοῦ τὴν γνώμην. εἴποι δή τις ἄν, οὔκουν αἰσχύνῃ οὕτω μώρως ἐξαπατώμενος; ναὶ μὰ Δία, αἰσχυνοίμην μέντοι, εἰ ὑπὸ πολεμίου γε ὄντος ἐξηπατήθην. φίλῳ δ' ὄντι ἐξαπατᾶν αἴσχιόν μοι δοκεῖ εἶναι, ἢ ἐξαπατᾶσθαι. ἐπεὶ εἴ γε πρὸς φίλους ἐστὶ φυλακὴ, πᾶσαν οἶδα ὑμᾶς φυλαξαμένους, ὡς μὴ παρασχεῖν τούτῳ πρόφασιν δικαίαν, μὴ ἀποδιδόναι ὑμῖν ἃ ὑπέσχετο. οὔτε γὰρ ἠδικήσαμεν τοῦτον οὐδὲν, οὔτε κατεβλακεύσαμεν τὰ τούτου, οὔτε μὴν κατεδειλιάσαμεν οὐδὲν, ἐφ' ὅ τι ἡμᾶς οὗτος παρεκάλεσεν. ἀλλὰ φαίη τις ἄν, ἔδει τὰ ἐνέχυρα τότε λαβεῖν, ὡς μηδ' εἰ ἐβούλετο ἐδύνατο ἐξαπατᾶν. πρὸς ταῦτα δὲ ἀκούσατε ἃ ἐγὼ οὐκ ἄν ποτε εἶπον τούτου ἐναντίον, εἰ μή μοι παντάπασιν ἀγνώμονες ἐδοκεῖτε εἶναι, ἢ λίαν εἰς ἐμὲ ἀχάριστοι. ἀναμνήσθητε γὰρ ἐν ποίοις τισὶν ὄντες πράγμασιν ἐτυγχάνετε, ἐξ ὧν ὑμᾶς ἐγὼ ἀνήγαγον πρὸς Σεύθην. οὐκ εἰς μὲν Πέρινθον εἰ προσῄειτε τῇ πόλει, Ἀρίσταρχος ὑμᾶς ὁ Λακεδαιμόνιος οὐκ εἴα εἰσιέναι, ἀποκλείσας τὰς πύλας, ὑπαίθριοι δὲ ἔξω ἐστρατοπεδεύετε, μέσος δὲ χειμὼν ἦν, ἀγορᾷ δὲ ἐχρῆσθε, σπάνια μὲν ὁρῶντες τὰ ὤνια, σπάνια δὲ ἔχοντες ὅτου ὠνήσεσθε, ἀνάγκη δὲ ἦν μένειν ἐπὶ Θρᾴκης. τριήρεις γὰρ ἐφορμοῦσαι ἐκώλυον διαπλεῖν. εἰ δὲ μένοι τις, ἐν πολεμίᾳ χώρᾳ εἶναι, ἔνθα πολλοὶ μὲν ἱππεῖς ἐναντίοι ἦσαν, πολλοὶ δὲ πελτασταί. ἡμῖν δὲ ὁπλιτικὸν μὲν ἦν, ᾧ ἀθρόοι μὲν ἰόντες ἐπὶ τὰς κώμας, ἴσως ἂν ἐδυνάμεθα σῖτον λαμβάνειν οὐδέν τι ἄφθονον. ὅτῳ δὲ διώκοντες ἂν ἢ ἀνδράποδα ἢ πρόβατα καταλαμβάνοιμεν, οὐκ ἦν ἡμῖν. οὔτε γὰρ ἱππικὸν οὔτε πελταστικὸν ἔτι ἐγὼ συνεστηκὸς κατέλαβον παρ' ὑμῖν. εἰ οὖν ἐν τοιαύτῃ ἀνάγκῃ ὄντων ὑμῶν μηδ' ὁντιναοῦν μισθὸν προσαιτήσας, Σεύθην σύμμαχον ὑμῖν προσέλαβον, ἔχοντα ἱππέας καὶ πελταστὰς ὧν ὑμεῖς προσεδεῖσθε, κακῶς ἂν ἐδόκουν ὑμῖν βεβουλεῦσθαι πρὸ ὑμῶν; τούτων γὰρ δήπου κοινωνήσαντες, καὶ σῖτον ἀφθονώτερον ἐν ταῖς κώμαις εὑρίσκετε, διὰ τὸ ἀναγκάζεσθαι τοὺς Θρᾷκας κατὰ σπουδὴν μᾶλλον φεύγειν, καὶ προβάτων καὶ ἀνδραπόδων μετέσχετε. καὶ πολέμιον οὐδένα ἔτι ἑωρῶμεν, ἐπειδὴ τὸ ἱππικὸν ἡμῖν προσεγένετο. τέως δὲ θαρραλέως ἡμῖν ἐφείποντο οἱ πολέμιοι, καὶ ἱππικῷ καὶ πελταστικῷ κωλύοντες μηδαμῇ κατ' ὀλίγους ἀποσκεδαννυμένους, τὰ ἐπιτήδεια ἀφθονώτερα πορίζεσθαι. εἰ δὲ δὴ ὁ συμπαρέχων ὑμῖν ταύτην τὴν ἀσφάλειαν, μὴ πάνυ πολὺν μισθὸν προσετέλει τῆς ἀσφαλείας, τοῦτο δὴ τὸ πάθημα τὸ σχέτλιον, καὶ διὰ τοῦτο οὐδαμῇ οἴεσθε χρῆναι ζῶντά με ἀνεῖναι; νῦν δὲ δὴ πῶς ἀπέρχεσθε; οὐ διαχειμάσαντες μὲν ἐν ἀφθόνοις τοῖς ἐπιτηδείοις; περιττὸν δ' ἔχοντες τοῦτο, ὅ, τι ἐλάβετε παρὰ Σεύθου. τὰ γὰρ παρὰ τῶν πολεμίων ἐδαπανᾶτε. καὶ ταῦτα πράττοντες οὔτε ἄνδρας ἐπείδετε ὑμῶν αὐτῶν ἀποθανόντας, οὔτε ζῶντας ἀπεβάλετε. εἰ δέ τι καλὸν πρὸς τοὺς ἐν τῇ Ἀσίᾳ βαρβάρους ἐπέπρακτο ὑμῖν, οὐκ ἐκεῖνο σῶον ἔχετε; καὶ πρὸς ἐκείνοις νῦν ἄλλην εὔκλειαν προσειλήφατε,

ut id facerem adduxit? Existimabam, quo cum magis in aduersis rebus iuuissem, tanto fore mihi in sequundis amiciorem. Sed iam & illum uideo re bene gesta, neque memorem, neque grato animo esse. Quid igitur, dicat aliquis, non erubescis cum te senseris tam fuisse improuidum, ut ludibrio te habuerit? Ego uero plane erubescam, si ab hoste me deceptum sentiam. NAM QVICVNQVE SVB AMICI nomine alterum fallit, is, meo iudicio, multo est, quàm qui fallitur, turpior. Nam si qua est aduersum amicum cautio, eam uos sedulo adhibuisse satis scio, ne causa ei esset, quamobrem ea uobis non daret quæ promisisset: neque enim hunc nos aut læsimus quicquam, aut ullo per ignauiam nostram detrimento affecimus, neque ullum, quod ipse nobis proposuerit, certamen refugimus. Verum dicatis fortasse pignora fuisse postulanda, ne nos posset cum uellet fallere. Ad hæc auscultate: quæ sane reticuissem, nisi uos aut minus peritos rerum iudices, aut meorum erga uos meritorum immemores cognouissem. Recordamini quo loco res uestræ essent, cum uos ad Seuthen deduxi. Perinthum cum intrare uelletis, non patiebatur Aristarchus: qui occlusis portis, uos sub diuo, hyeme summa, statiua habere cogebat: foro uero eo utebamini, in quo prætenues erant copiæ, neque uobis ui de emeretis, quæ opus erant, ualde suppeditabat. Necesse uero erat in Thracia permanere: triremes enim excursionibus aßiduis, quo minus traijceremus obstabant. Quod si statiua in hostili agro habuissemus, in quo erat magnus equitum numerus, magnus etiam peltatorum, cum grauem tantum nos armaturam haberemus, potuissemus omnino uniuerso agmine in uicos inuadere, & inde non ita multum commeatuum quærere. At cum neque equitatum, neque peltatos ullos à uobis accepissem, neque persequi, nec retinere, uel homines, uel pecora potuissemus: tam dubijs igitur rebus, si uobis gratis Seuthen conciliaui, hominem & equitum & peltatorum copijs ualde instructum, uideor, uestram fidem obtestor, uobis ego male consuluisse? Vos certe dum eius societate usi estis, & frumenta in uicis, quos effuse fugientes præ metu Thraces deseruerant, reperistis, & pecoris ac mancipiorum participes fuistis. Præterea posteaquam equestres copias habere cœpimus, nulli nobis hostes in conspectum uenerunt, cum ante & nos equitatu, & peltatorum suorum globo acriter urgerent, semperq; impedimento essent, quo minus parua manu largiores uobis commeatus acquirere possetis. Is igitur per quem hanc eßis securitatem consecuti, quod magnam præterea uobis mercedem non penderit, quasi uos magna aliqua calamitate affecerit, ad necem deposcitur? Considerate uero quæ futura fuisset abeundi facultas, nisi hyemem in summa rerum omnium copia egissetis, ac nisi aduentitium quasi quiddam & superuacaneum à Seuthe accepissetis. Quæ enim hostibus eripueratis, iam prorsus erant consumpta: & interea uestrum omnino neminem neque cæsum, neque bello captum amisistis. Ad hæc, si quid in Asia præclare gessistis, nonne ea uobis gloria integra atque incolumis manet? & ad eam nouam hanc

in Europa, deuictis cōtra quos bellastis Thracibus, addidistis? Ego mehercule ita statuo: pro ijs quorū mihi causa irascimini, magnā à uobis dijs immortalibus, per quos maximorū bonorū cōpotes fuistis, gratiā habendā. Atque hic fuit rerū uestrarū exitus. Nunc, quō meū sit praeclare actū, cognoscite. Ego si domū statum redissem, primū laudē sane magnā, quam mihi tunc oēs impertiebamini, reportassem, ac per uos fuisset gloriæ meæ apud alias Graciæ gētes aditus patefactus: fidē uero mihi habuissent Lacedæmonij, quādo illi me ad uos remiserāt: Nunc ad ipsos Lacedæmonios, in summā à uobis inuidiam adductus, proficiscor. Vestra etiā causa cum Seuthe inimicitias suscepi, quē meo uestroq; merito sperarā, aut mihi aliquādo, aut liberis meis, si ita usu uenisset, memorē se & gratū præbiturū. Ac ipsi uos, quorū ego causa, tanto quā ego sum, potentiorū hominū odia subij, quiq; ab ijs, quas saluti uobis fore existimē, actionib. nondum tamen desistere possum, isto in me animo estis. Sed quid uerbis opus est? prehēdite iam me, si ita uidetur, neq; fugientem neq; deprecantem. Atqui si in me uti minamini seueritis, hominē certe tolletis, cuius toties uigilantia seruati estis, qui multa uobiscū gessit, multa pericula adijt, cum suam, tum alienā uicem, officio suo functus: quiq; dijs fauentibus, ac uestra adiutus uirtute, multa de barbaris trophæa erexit. Eum præterea, qui quantum maxime potuit, semper plurimū contendit, ne cum ulla Græcorū natione uobis bellandum esset. Ac certe, amoto iam me tu, quò uobis libet, terra mariue licet proficisci. Vos uero rebus tam secundißimis fruentes, cum expedita iam sit, quod iampridē cupijstis, nauigandi facultas: ac uestrū sibi potentißimi quiq; auxiliū expetant: stipendiū in prōptu sit: ultro se uobis Lacedæmonij duces præbeant, qui facile præstare cæteris uirtute et imperio existimātur: tēpus iam, quo me occidatis, idoneū nacti estis. At quàm, perditis et afflictis reb. aliū erga me animū præ uobis ferebatis, cum me, ò maxime omniū memores, parentē appellabatis? cum meorū erga uos meritorū semper sanctā atq; inuiolatā memoriā fore promittebatis? At neq; sunt rerū imperiti hi, qui nunc ad uos uenerūt: quare nisi me animus fallit, nihilo uos certe meliores de uestro isto in me facto iudicabūt. Hæc Xenophō. Qui cū perorasset, surrexit Lacedæmonius Charminus: Et mihi sane, inqt, nō iure milites huic succēsere uidemini: possum enim eū ego quoq; meo testimonio subleuare. Nam cū ego et Polynices quæsissemus de Seuthe, quid de Xenophōte sentiret: aliud ille nihil habuit quod accusaret, nisi quod eū dixit nimis propensō esse in milites animo: ac propterea neque sibi fuisse, neq; nobis fore satis utilē hominis amicitiā. Surrexit deinde Eurylochus Lysiates Arcas: Ac uidetur mihi, inquit, Lacedæmonij, nihil nobis ante auspicijs ductuq; uestro gerendū, quàm Seuthes, uelit nolit, quæ nobis debet stipendia pēderit: neq; omnino hinc antequā ea receperimus, discedendū. Ad hæc Polycrates Atheniensis Xenophōtis causam agens: Video, inquit, milites adesse Heraclidē, qui pecunia, quā magnis nostris laborib. partam nobis debebat Seuthes, interuertit, & Seuthen ipsum, et nos ea fraudauit. Nihil igitur fecerimus elegantius, quàm si ipsum comprehenderimus. Neq; enim Thrax est, sed Græcus male de Græcis meretur. Hæc cū audisset Heraclides, uehemēter territus est: &

καὶ τοὺς ἐν τῇ Εὐρώπῃ Θρᾷκας, ἐφ' οὓς ἐστρατεύσασθε, κρατήσαντες; ἐγὼ μὲν ὑμᾶς φημὶ δικαίως ἂν ὧν ἐμοὶ χαλεπαίνετε, τούτων τοῖς θεοῖς χάριν εἰδέναι ὡς ἀγαθῶν. καὶ τὰ μὲν ὑμέτερα τοιαῦτα. ἄγετε δὴ πρὸς θεῶν καὶ τὰ ἐμαυτοῦ σκέψασθε ὡς ἔχει. ἐγὼ μὲν γὰρ ὅτε πρότερον ἀπῄα οἴκαδε, ἔχων μὲν ἔπαινον πολὺν πρὸς ὑμῶν ἀπεπορευόμην. ἔχων δὲ δι' ὑμᾶς καὶ ὑπὸ τῶν ἄλλων Ἑλλήνων εὔκλειαν. ἐπιστευόμην δ' ὑπὸ Λακεδαιμονίων. οὐ γὰρ ἄν με ἔπεμπον πάλιν πρὸς ὑμᾶς. νῦν δ' ἀπέρχομαι πρὸς Λακεδαιμονίους ὑφ' ὑμῶν διαβεβλημένος. Σεύθῃ δὲ ἀπηχθημένος ὑπὲρ ὑμῶν, ὃν ἤλπιζον ἂν εὖ ποιήσας μεθ' ὑμῶν ἀποστροφὴν καὶ ἐμοὶ καλὴν καὶ παισίν, εἰ γένοιντο, καταθήσεσθαι. ὑμεῖς δ' ὑπὲρ ὧν ἐγὼ ἀπήχθημαί τε πλεῖστα, καὶ ταῦτα πολὺ κρείττοσιν ἐμαυτοῦ, πραγματευόμενός τε, οὐδὲ νῦν πω πέπαυμαι, ὅ, τι δύναμαι ἀγαθόν, τοιαύτην γνώμην ἔχετε περὶ ἐμοῦ. ἀλλ' ἔχετε μέν με οὔτε φεύγοντα λαβόντες, οὔτε ἀποδιδράσκοντα. ἢν δὲ ποιήσητε ἃ λέγετε, ἴστε ὅτι ἄνδρα κατακανόντες ἔσεσθε, πολλὰ μὲν δὴ πρὸ ὑμῶν ἀγρυπνήσαντα, πολλὰ δὲ σὺν ὑμῖν πονήσαντα, καὶ κινδυνεύσαντα, καὶ ἐν τῷ μέρει καὶ παρὰ τὸ μέρος· θεῶν δὲ ἵλεων ὄντων, καὶ τρόπαια βαρβάρων πολλὰ δὴ σὺν ὑμῖν στησάμενον. ὅπως δέ γε τῶν Ἑλλήνων μηδενὶ πολέμιοι γένοισθε, πᾶν ὅσον ἐγὼ ἐδυνάμην πρὸς ὑμᾶς διατεινόμενον. ὧν νῦν ὑμῖν ἔξεστιν ἀνεπιλήπτως πορεύεσθαι, ὅπῃ ἂν θέλητε καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. ὑμεῖς δέ, ὅτι πολλὴ ὑμῖν εὐπορία φαίνεται, καὶ πλεῖτε ἔνθα δὴ ἐπεθυμεῖτε πάλαι, δέονται δὲ ὑμῶν οἱ τὸ μέγιστον δυνάμενοι, μισθὸς δὲ φαίνεται, ἡγεμόνες δὲ ἥκουσι Λακεδαιμόνιοι κράτιστοι νομιζόμενοι εἶναι, νῦν δὴ καιρὸς δοκεῖ ὑμῖν εἶναι, ὡς τάχιστα ἐμὲ κατακτανεῖν. οὐ μὴν ὅτε γε ἐν τοῖς ἀπόροις ἦμεν, ὦ πάντων μνημονικώτατοι. ἀλλὰ καὶ πατέρα ἐμὲ ἐκαλεῖτε, καὶ ἀεὶ ὡς εὐεργέτου μεμνῆσθαι ὑπισχνεῖσθε. οὐ μέντοι ἀγνώμονες, οὐδ' οὗτοι εἰσὶν οἱ νῦν ἥκοντες ἐφ' ὑμᾶς. ὥστε ἐγὼ οἶμαι, οὐδὲ τούτοις δοκεῖτε βελτίονες εἶναι, τοιοῦτοι ὄντες περὶ ἐμέ. ταῦτα εἰπὼν, ἐπαύσατο. Χαρμῖνος δὲ ὁ Λακεδαιμόνιος ἀναστὰς, εἶπεν· ἀλλ' οὑτωσί, ἄνδρες, ἐμοὶ μὲν οὐ δικαίως γε δοκεῖτε τῷ ἀνδρὶ τούτῳ χαλεπαίνειν. ἔχω γὰρ καὶ αὐτὸς αὐτῷ μαρτυρῆσαι. Σεύθης γὰρ ἐρωτῶντος ἐμοῦ καὶ Πολυνίκους περὶ Ξενοφῶντος, τίς ἀνὴρ εἴη, ἄλλο μὲν οὐδὲν εἶχε μέμψασθαι. ἄγαν δὲ φιλοστρατιώτην ἔφη αὐτὸν εἶναι. διὸ καὶ χεῖρον αὐτῷ εἶναι πρὸς ἡμῶν τε τῶν Λακεδαιμονίων καὶ πρὸς αὐτοῦ. ἀναστὰς δὲ ἐπὶ τούτῳ Εὐρύλοχος ὁ Λυσιάτης Ἀρκάς, εἶπε· καὶ δοκεῖ δέ μοι, ὦ ἄνδρες Λακεδαιμόνιοι, ἔφη, τοῦτο ὑμᾶς πρῶτον ἡμῶν στρατηγῆσαι, παρὰ Σεύθου ἡμῖν τὸν μισθὸν πρᾶξαι, ἢ ἑκόντος ἢ ἄκοντος, καὶ μὴ πρότερον ἡμᾶς ἀπαγαγεῖν. Πολυκράτης δὲ Ἀθηναῖος εἶπεν ἀναστὰς ὑπὲρ Ξενοφῶντος· ὁρῶ γε μήν, ὦ ἄνδρες, ἔφη, καὶ Ἡρακλείδην ἐνταῦθα παρόντα, ὃς παραλαβὼν τὰ χρήματα ἃ ἡμεῖς ἐπονήσαμεν, ταῦτα ἀποδόμενος, οὔτε Σεύθῃ ἀπέδωκεν, οὔτε ἡμῖν τὰ γινόμενα, ἀλλ' αὐτὸς κλέψας πέπαται. ἢν οὖν σωφρονῶμεν, ἑξόμεθα αὐτοῦ. οὐ γὰρ δὴ οὗτός γε, ἔφη, Θρᾷξ ἐστιν, ἀλλὰ Ἕλλην ὢν, Ἕλληνας ἀδικεῖ. ταῦτα ἀκούσας ὁ Ἡρακλείδης, μάλα ἐξεπλάγη. καὶ

καὶ ὁ Ξενοφῶν ἐλθὼν πρὸς Σεύθην λέγει· ἡμεῖς, ἢν σωφρονῶμεν, ἄπιμεν ἐντεῦθεν ἐκ τῆς τούτων ἐπικρατείας. καὶ ἀναβάντες ἐπὶ τοὺς ἵππους ᾤχοντο ἀπελαύνοντες εἰς τὸ ἑαυτῶν στρατόπεδον. καὶ ἐντεῦθεν Σεύθης πέμπει Ἐβόζελμιν τὸν ἑαυτοῦ ἑρμηνέα πρὸς Ξενοφῶντα, καὶ κελεύει αὐτὸν καταμεῖναι παρ᾽ ἑαυτῷ ἔχοντα χιλίους ὁπλίτας, καὶ ὑπισχνεῖτο αὐτῷ ἀποδώσειν τά τε χωρία τὰ ἐπὶ θαλάττῃ, καὶ τὰ ἄλλα ἃ ὑπέσχετο. καὶ ἐν ἀπορρήτῳ ποιησάμενος λέγει, ὅτι ἀκήκοε Πολυνίκους, ὡς εἰ ὑποχείριος ἔσται Λακεδαιμονίοις, σαφῶς ἀποθανεῖται ὑπὸ Θίμβρωνος. ἔπεμπον δὲ ταῦτα καὶ οἱ ἄλλοι πολλοὶ ξένοι τῷ Ξενοφῶντι, ὡς διαβεβλημένος εἴη, καὶ φυλάττεσθαι δέοι. ὁ δὲ ἀκούων ταῦτα, δύο ἱερεῖα λαβὼν, ἔθυε τῷ Διὶ τῷ βασιλεῖ, πότερά οἱ λῷον καὶ ἄμεινον εἴη μένειν παρὰ Σεύθῃ ἐφ᾽ οἷς Σεύθης λέγει, ἢ ἀπιέναι σὺν τῷ στρατεύματι. ἀναιρεῖ δὲ αὐτῷ ἀπιέναι. ἐντεῦθεν Σεύθης μὲν ἀπεστρατοπεδεύσατο προσωτέρω. οἱ δὲ Ἕλληνες ἐσκήνωσαν εἰς κώμας, ὅθεν ἔμελλον πλεῖστα ἐπισιτισάμενοι, ἐπὶ θάλατταν ἥξειν. αἱ δὲ κῶμαι αὗται ἦσαν δεδομέναι ὑπὸ Σεύθου Μηδοσάδῃ. ὁρῶν οὖν ὁ Μηδοσάδης δαπανώμενα τὰ ἐν ταῖς κώμαις ὑπὸ τῶν Ἑλλήνων, χαλεπῶς ἔφερε. καὶ λαβὼν ἄνδρα Ὀδρύσην δυνατώτατον τῶν ἄνωθεν καταβεβηκότων, καὶ ἱππέας ὅσον πεντήκοντα, ἔρχεται καὶ προσκαλεῖται Ξενοφῶντα ἐκ τοῦ Ἑλληνικοῦ στρατεύματος. καὶ ὃς λαβών τινας τῶν λοχαγῶν, καὶ ἄλλους τινὰς τῶν ἐπιτηδείων, προσέρχεται. ἔνθα δὴ λέγει ὁ Μηδοσάδης· ἀδικεῖτε, ὦ Ξενοφῶν, τὰς ἡμετέρας κώμας πορθοῦντες. προλέγομεν οὖν ὑμῖν, ἐγώ τε ὑπὲρ Σεύθου, καὶ ὅδε ἀνὴρ παρὰ Μηδόκου ἥκων τοῦ ἄνωθεν βασιλέως, ἀπιέναι ἐκ τῆς χώρας· εἰ δὲ μὴ, οὐκ ἐπιτρέψομεν ὑμῖν. ἀλλ᾽ ἐὰν ποιῆτε κακῶς τὴν ἡμετέραν χώραν, ὡς πολεμίους ἀλεξησόμεθα. ὁ δὲ Ξενοφῶν ἀκούσας ταῦτα, εἶπεν· ἀλλὰ σοὶ μὲν τοιαῦτα λέγοντι, καὶ ἀποκρίνασθαι χαλεπόν· τοῦδε δὲ ἕνεκα τοῦ νεανίσκου λέξω, ἵν᾽ εἰδῆτε οἷοί τε ὑμεῖς ἐστε, καὶ οἷοι ἡμεῖς. ἡμεῖς μὲν, ἔφη, πρὶν φίλοι γενέσθαι ὑμῖν, ἐπορευόμεθα διὰ ταύτης τῆς χώρας ὅποι ἐβουλόμεθα, ἣν μὲν ἐθέλοιμεν πορθοῦντες, ἣν δ᾽ ἐθέλοιμεν κατακαίοντες. καὶ σὺ ὁπότε πρὸς ἡμᾶς ἔλθοις πρεσβεύων, ηὐλίζου παρ᾽ ἡμῖν, οὐδένα φοβούμενος τῶν πολεμίων. ὑμεῖς δὲ οὐκ ἦτε εἰς τήνδε τὴν χώραν, ἢ εἴ ποτε ἔλθοιτε, ὡς ἐν κρειττόνων χώρᾳ ηὐλίζεσθε ἐγκεχαλινωμένοις τοῖς ἵπποις. ἐπεὶ δὲ ἡμῖν φίλοι ἐγένεσθε, καὶ δι᾽ ἡμᾶς ἔχετε τήνδε τὴν χώραν, νῦν δὲ ἐξελαύνετε ἡμᾶς ἐκ τῆς χώρας, ἣν παρ᾽ ἡμῶν ἑκόντων κατὰ κράτος παρελάβετε. ὡς γὰρ αὐτὸς οἶσθα, οἵ τε πολέμιοι οὐκ ἦσαν ἱκανοὶ ἡμᾶς ἐξελαύνειν. καὶ οὐχ ὅπως δῶρα δοὺς καὶ εὖ ποιήσας ἀνθ᾽ ὧν εὖ ἔπαθες, ἀξιοῖς ἡμᾶς ἀποπέμψασθαι, ἀλλὰ πορευομένους ἡμᾶς, οὐδ᾽ ἐναυλισθῆναι ὅσον δύνασαι ἐπιτρέπεις. καὶ ταῦτα λέγων, οὔτε θεοὺς αἰσχύνῃ, οὔτε τόνδε τὸν ἄνδρα, ὃς νῦν σε ὁρᾷ πλουτοῦντα, πρὶν δὲ ἡμῖν φίλον γενέσθαι, ἀπὸ λῃστείας τὸν βίον ἔχοντα, ὡς αὐτὸς ἔφησθα. ἀτὰρ τί καὶ πρὸς ἐμὲ ταῦτα λέγεις, ἔφη. οὐ γὰρ ἔγωγ᾽ ἔτι ἄρχω, ἀλλὰ Λακεδαιμονίοις ὑμεῖς παρεδώκατε τὸ στράτευμα ἀπάγειν, οὐδὲ ἐμὲ παρακαλέσαντες, ὦ θαυμαστότατοι, ὅπως ὥσπερ ἀπηχθανόμην αὐτοῖς ὅτε πρὸς ὑμᾶς ἦγον,

& ad Seuthen accedens, Bene, inquit, rebus nostris consultum fuerit, si hinc abeuntes, ex horum nos potestate subduxerimus. Vterque igitur citatis equis, in sua castra redierunt. Mittit inde Seuthes Ebozelmium interpretem suum ad Xenophontem, ac se illi spondet, & maritima illa loca, & reliqua quæ promiserat, daturum, si apud se cum grauis armaturæ militibus mille permanserit. Addit tanquam arcanum, audisse se de Polynice, illum si in Lacedæmoniorum potestatem uenisset, proculdubio à Thimbrone occisum iri. Ac sane hospites multi Xenophontem per nuncios monuerunt, ut concitatam sibi multis criminationibus inuidiam caueret. Ex re commotus Xenophon, hostias duas Ioui regi immolat, consulitq; acquiescendúmne Seuthæ conditionibus, an uero cum exercitu discedendum. Discedendum exta nunciarunt. Interim Seuthes castra locauit, Græci uero in uicis: unde frumento plurimo collecto, ad mare descendere in animo habebant. Hos uicos Medosadæ Seuthes tradiderat. Medosades itaque, cum à Græcis absumi omnia uideret, molestissime id ferebat. Assumpto igitur ex Odrysis, qui illuc descenderant, homine potentissimo, ac quinquaginta ferè equitibus, ad castra propius accedit, & Xenophontem ad se accersit: qui cum centurionibus & honestis aliquot hominibus uenit. Tunc ita Medosades locutus est: Iniuriam nos quidem Græci nobis facitis, qui uicos nostros populamini: uobis itaque edicimus, ego pro Seuthe: hic qui adest, pro Medoco superioris Thraciæ rege, ut ex his finibus quamprimum discedatis: quod nisi feceritis, iniurias uestras nullo pacto feremus, quin tanquam hostes uos ulciscemur. Ad hæc ita respondit Xenophon: Tibi quidem, ad ea quæ dicis, est omnino difficile respondere. Verùm istius adolescentis causa dicam quæ opus est, ut quales uos sitis, quales item nos, facile cognoscatis. Nos antequam uobis amici essemus, per hos fines quocunque libitum esset, uel populantes, uel etiam urentes excurrebamus: ac tu quoties legatus ad nos uenisses, intra castra receptus, hostes plane nullos metuebas. Vos uero in hos agros nunquam ueniebatis: aut si quando uenissetis, ut inter eos, qui multo uiribus præstarent, frenatis equis pernoctabatis. Postea uero quàm uobis amicitia nobiscum intercedit, & nostra maxime opera agrum hunc tenetis, eijcitis nos ex ea regione, quam nostra uoluntate captam habetis. Vti enim ipse nosti, nos certe hostes eijcere non potuissent. Tantum uero abest ut donis ac beneficijs optime de uobis meritos prosequaris, ut castris etiam locum capere prohibeas. Neque, dum ista dicis, aut deos uereris, aut istum ipsum hominem, qui te iam diuitem conspicit, cum ante, ut ipse profitebare, antequam ad amicitiam te nostram applicasses, e latrocinijs tibi uictitandum esset. Verùm quid hæc me cum agitis? cur non potius cum Lacedæmonijs? quibus abducendum exercitum, ò uiri omnium præstantissimi tradidistis, re mecum neutiquam cõmunicata, ne uidelicet eam inuidiã, quã mihi his copijs ad uos addu-

adductis concitarã, si nũc illis eas ipse reddidißẽ, extin
guerẽ. Hæc cũ Odrysius ille audisset, ego, inquit, Me
dosade, infra terrã, præ pudore, cũ hæc audio, me ab
dere cupio: et profecto si hæc ante scissem, te huc nul
lo pacto secutus essem. Verũ iam abeo: satis. n. scio me
apud Medocũ reprehensione carere nõ posse, si me
intelligat bene de nobis meritos homines è finib. pel
lere. Hæc locutus equo citato abijt, et cum eo equites
oẽs, præter quatuor, aut ad summũ quinq;. At Medo
sades, ut qui æquo animo ferre nõ poterat agrũ popu
lationib. uastatũ, Xenophontẽ iubet in consiliũ lega
tos Lacedæmoniorũ uocare. At ille assumptis lectißi
mis quibusq;, ad Charminũ & Polynicẽ uenit: tum,
uos, inquit, accersit Medosades, idem quod nobis im
peraturus, ut è finib. abeatis: uobis itaq; nunc ea pote
stas est, ut Græcis debitũ à Seuthe stipendiũ auferatis,
si ita huic responderitis, rogare Græcos, ut se adiuue
tis in sua, à Seuthe uel uolente, uel inuito, mercede re
cipienda. Atq; eos quidẽ polliceri alacriter se, sibi si
nõ defueritis, uobis operã nauaturos. Videri uobis il
los æquũ poscere: ac uos iã promisisse, nõ ante disces
suros, q̃ suũ ius milites obtinuerint. Id cũ Lacones ac
cepissent, se ita dicturos affirmant, atq; hanc causam
q̃ accuratißime acturos: ac statim ad Medosadẽ, cum
ijs, q maxime idonei uisi sunt, comitib. uenerũt: et prio
re loco Charminus, Adsumus, inquit, Medosade, si qd
uelis nobiscũ agere: nã et nobis, quod tecũ agamus,
nõ deest. Ad hæc Medosades perq̃ demisse: Ego, in
quit, et Seuthes rogatos uos uolumus, ne qua in re no
strã amicitiã uioletis. Nã cum socios nostros calami
tate afficitis, ea certe in nos iniuria redũdat. At enim
(Lacones respõderũt) si hi, quorũ ista maxime opera
poßidetis, suã à uobis mercedẽ acceperint, quamprí
mũ hinc abibimus. Sin aliter, et ijsdẽ uenimus auxiliũ
laturi, et in eos acriter animaduersuri, qui hos, iuris
iurãdi religione neglecta, uiolarũt: quo de numero si
uos estis, ylinc primũ pœnas expetemus. Adiecit Xe
nophon: Velitisne Medosade, hos ipsos populos, in
quorũ finib estis, quos uobis socios esse dicitis, suffra
gio suo declarare, utrũ nos, an uos potius, malit hinc
abire? At ille id sibi nõ placere respõdit: tantũ Laco
nes hortatus est, ut ad Seuthẽ secũ uenirẽt, et cum eo
de mercede agerẽt: sin ipsi recusarẽt, ut Xenophontẽ
secũ mitterẽt, ac se ei auxilio fore promisit. Interea ro
gauit, uicos ne urerẽt. Mittitur Xenophõ, & cũ eo,
qui maxime idonei comites uisi sunt. Qui cũ ad Seu
then accessisset, Adsum, inquit, nõ ut à te quicquã re
petã, sed ut doceã, qua possim ratione, mihi te nõ iu
re succẽsere, qđ militib. quæ tua summa uolũtate pol
licitus es, à te exigã: siquidẽ tibi semper magis cõdu
cere ea reddere duxi, q̃ illis recipere. Illud enim satis
scio, te illos, secundũ deos, illustrẽ reddidisse, qui tam
ampli regni te cõpotem fecerint, ac tam magnũ homi
nũ numerũ potestati tuæ subiecerint, ut nullũ iã, aut
honestũ, aut turpe factũ tuũ, obscurũ esse poßit. Qua
re cum ita se res tuæ habeãt, tua permagni arbitror
referre, nõ uideri te homines tam bene de te meritos,
tam inhumaniter dimisisse. Neq; uero paruifaciendũ
est, hominũ te VI. millium laudibus celebrari. Nam
certe illud est tibi omnium maxime expetendum,
neq;

ἦγον, οὕτω καὶ χαρισαίμην νῦν ἀποδιδούς. ἐπεὶ δὲ
ταῦτα ἤκουσεν ὁ Ὀδρύσης, εἶπεν· ἐγὼ μὲν, ὦ Μηδόσα
δες, κατὰ τῆς γῆς καταδύομαι ὑπὸ τῆς αἰσχύνης ἀκού
ων ταῦτα. καὶ εἰ μὲν πρόσθεν ἠπιστάμην, οὐκ ἂν συνη
κολούθησά σοι. καὶ νῦν ἄπειμι. οὐ γὰρ ἂν Μήδοκός με
ὁ βασιλεὺς ἐπαινοίη, εἰ ἐξελαύνοιμι τοὺς εὐεργέτας.
ταῦτ' εἰπὼν, ἀναβὰς ἐπὶ τὸν ἵππον ἀπήλαυνε, καὶ σὺν
αὐτῷ οἱ ἄλλοι ἱππεῖς, πλὴν ἢ τεττάρων ἢ πέντε. ὁ δὲ Μη
δοσάδης, ἐλύπει γὰρ αὐτὸν ἡ χώρα πορθουμένη, ἐκέ
λευε τὸν Ξενοφῶντα καλέσαι τὼ Λακεδαιμονίω. ὁ δὲ
ἀπολαβὼν τοὺς ἐπιτηδειοτάτους, προσῆλθε τῷ Χαρ
μίνῳ καὶ τῷ Πολυνίκῳ, καὶ ἔλεξεν, ὅτι καλεῖ αὐτοὺς Μη
δοσάδης προερῶν, ἅπερ αὐτῷ, ἀπιέναι ἐκ τῆς χώρας.
οἶμαι ἂν οὖν, ἔφη, ὑμᾶς ἀπολαβεῖν τῇ στρατιᾷ τὸν ὀ
φειλόμενον μισθὸν, εἰ εἴποιτε, ὅτι δέοιτο ὑμῶν ἡ στρα
τιὰ συνεκπρᾶξαι τὸν μισθὸν ἢ παρ' ἑκόντος ἢ πα
ρὰ ἄκοντος Σεύθου, καὶ ὅτι τούτων τυχόντες, προ
θύμως μὲν ἂν συνέπεσθαι ὑμῖν φασί. καὶ ὅτι δίκαια
ὑμῖν δοκοῦσι λέγειν, καὶ ὅτι ὑπέσχεσθε αὐτοῖς τότε
ἀπιέναι, ὅταν τὰ δίκαια ἔχωσιν οἱ στρατιῶται. ἀκού
σαντες οἱ Λάκωνες ταῦτα, ἔφασαν ἐρεῖν καὶ ἄλλα ὁ
ποῖα ἂν δύνωνται κράτιστα. καὶ εὐθὺς ἐπορεύοντο ἔχον
τες πάντας τοὺς ἐπικαιρίους. ἐλθόντων δὲ ἔλεξε Χαρ
μῖνος· εἰ μέν τι σὺ ἔχεις, ὦ Μηδόσαδες, πρὸς ἡμᾶς λέ
γειν· εἰ δὲ μὴ, ἡμεῖς πρὸς σὲ ἔχομεν. ὁ δὲ Μηδοσάδης μά
λα ὑφειμένως· ἀλλ' ἐγὼ μὲν, ἔφη, λέγω καὶ Σεύθης ταὐ
τὰ, ὅτι ἀξιοῦμεν τοὺς φίλους ὑμῖν γεγενημένους, μὴ κα
κῶς πάσχειν ὑφ' ὑμῶν. ὅτι γὰρ ἂν τούτους κακῶς ποιῆ
τε, ἡμᾶς ἤδη ποιεῖτε. ἡμέτεροι γάρ εἰσιν. ἡμεῖς τοίνυν
ἔφασαν οἱ Λάκωνες, ἀπίοιμεν ἂν, ὁπότε τὸν μισθὸν ἔχοι
εν, οἱ ταῦτα ὑμῖν καταπράξαντες· εἰ δὲ μὴ, ἐρχόμεθα
μὲν καὶ νῦν βοηθήσοντες τούτοις, καὶ τιμωρησόμενοι
ἄνδρας, οἳ τούτους παρὰ τοὺς ὅρκους ἠδίκησαν. ἢν δὲ καὶ
ὑμεῖς τοιοῦτοι ἦτε, ἐνθένδε ἀρξόμεθα τὰ δίκαια λαμ
βάνειν. ὁ δὲ Ξενοφῶν εἶπεν· ἐθέλοιτε δ' ἂν, ὦ Μηδόσα
δες, τούτοις ἐπιτρέψαι, ἐπειδὴ φατὲ φίλους εἶναι ὑμῶν,
ἐν ὧν τῇ χώρᾳ ἐσμὲν, ὁπότερα ἂν ψηφίσωνται, εἴθ' ὑ
μᾶς προσήκει ἐκ τῆς χώρας ἀπιέναι, εἴθ' ἡμᾶς. ὁ δὲ, ταῦ
τα μὲν οὐκ ἔφη. ἐκέλευε δὲ μάλιστα αὐτὼ ἐλθεῖν τὼ
Λάκωνε παρὰ Σεύθην περὶ τοῦ μισθοῦ, καὶ οἴεσθαι ἂν
Σεύθην ἀκοῦσαι· εἰ δὲ μὴ, Ξενοφῶντα σὺν αὐτῷ πέμ
πειν, καὶ συμπράξειν ὑπισχνεῖτο. ἐδεῖτο δὲ τὰς κώμας
μὴ καίειν. ἐντεῦθεν πέμπουσι τὸν Ξενοφῶντα, καὶ σὺν
αὐτῷ οἳ ἐδόκουν ἐπιτηδειότατοι εἶναι. ὁ δὲ ἐλθὼν, λέ
γει πρὸς τὸν Σεύθην· οὐδὲν ἀπαιτήσων, ὦ Σεύθη, πά
ρειμί σε, ἀλλὰ διδάξων ὡς ἂν δύνωμαι, ὡς οὐ δικαίως
μοι ἠχθέσθης, ὅτι ὑπὲρ τῶν στρατιωτῶν ἀπῄτουν σε, ἃ
ὑπέσχου αὐτοῖς προθύμως. σοὶ γὰρ ἔγωγε οὐχ ἧττον ἐνό
μιζον εἶναι συμφέρον ἀποδοῦναι, ἢ ἐκείνοις ἀπολαβεῖν.
πρῶτον μὲν γὰρ οἶδα μετὰ τοὺς θεοὺς εἰς τὸ φανερόν σε τού
τους καταστήσαντας, ἐπεί γε βασιλέα σε ἐποίησαν πολ
λῆς χώρας καὶ πολλῶν ἀνθρώπων, ὥστε οὐχ οἷόν τέ σοι λαν
θάνειν, οὔτε ἤν τι καλὸν, οὔτε ἤν τι αἰσχρὸν ποιήσῃς. τοιού
τῳ δ' ὄντι ἀνδρὶ, μέγα μέν μοι δοκεῖ εἶναι μὴ δοκεῖν ἀ
χαρίστως ἀποπέμψασθαι ἄνδρας εὐεργέτας. μέγα δ' εὖ
ἀκούειν ὑπὸ ἑξακισχιλίων ἀνθρώπων. τὸ δὲ μέγιστον,
μηδα-

[illegible] ἄπιστον σαυτὸν καταστῆσαι ὧν λέγεις. ὁρῶ γὰρ τῶν μὲν ἀπίστων ματαίους καὶ ἀδυνάτους καὶ ἀτίμους τοὺς λόγους πλανωμένους. οἳ δ᾽ ἂν φανεροὶ ὦσιν ἀλήθειαν ἀσκοῦντες, τούτων οἱ λόγοι ἤν τι δέωνται, οὐδὲν μεῖον δύνανται ἀνύσασθαι, ἢ ἄλλων ἡ βία. ἤν τέ τινα σωφρονίζειν βούλωνται, γινώσκω τὰς τούτων ἀπειλὰς οὐχ ἧττον σωφρονιζούσας, ἢ ἄλλων τὲ διὰ κολάσεις. ἤν τέ τῳ τι ὑπισχνῶνται οἱ τοιοῦτοι ἄνδρες, οὐδὲν μεῖον διαπράττουσιν, ἢ ἄλλοι παραχρῆμα διδόντες. ἀναμνήσθητι δὲ καὶ σὺ τί προτελέσας ἡμῖν συμμάχους ἡμᾶς ἔλαβες. οἶσθ᾽ ὅτι οὐδέν. ἀλλὰ πιστευθεὶς ἀληθεύσειν ἃ ἔλεγες, ἐπῆρας τοσούτους ἀνθρώπους, συστρατεύσασθαί τε καὶ κατεργάσασθαί σοι ἀρχὴν οὐ τριάκοντα μόνον ἀξίαν ταλάντων, ὅσα οἴονται δεῖν οὗτοι νῦν ἀπολαβεῖν, ἀλλὰ πολλαπλασίων. οὐκοῦν τοῦτο μὲν πρῶτον τὸ πιστεύεσθαί σε, καὶ τὴν βασιλείαν σοι κατεργασάμενον τούτων τῶν χρημάτων ὑπὸ σοῦ πιπράσκεται; ἴθι δὴ ἀναμνήσθητι, πῶς μέγα ἡγοῦ τότε καταπρᾶξαι, ἃ νῦν καταστρεψάμενος ἔχεις; ἐγὼ μὲν οἶδ᾽ ὅτι εὔξω ἂν τὰ νῦν πεπραγμένα μᾶλλόν σοι καταπραχθῆναι, ἢ πολλαπλάσια τούτων τῶν χρημάτων γενέσθαι. ἐμοὶ τοίνυν μεῖζον βλάβος καὶ αἴσχιον δοκεῖ εἶναι, τὸ ταῦτα νῦν μὴ κατασχεῖν, ἢ τότε μὴ λαβεῖν, ὅσῳπερ χαλεπώτερον ἐκ πλουσίου πένητα γενέσθαι, ἢ ἀρχὴν μὴ πλουτῆσαι, καὶ ὅσῳ λυπηρότερον ἐκ βασιλέως ἰδιώτην φανῆναι, ἢ ἀρχὴν μὴ βασιλεῦσαι. οὐκοῦν ἐπίστασαι μέν, ὅτι οἱ νῦν σοι ἐπήκοοι γενόμενοι, οὐ φιλίᾳ τῇ σῇ ἐπείσθησαν ὑπὸ σοῦ ἄρχεσθαι, ἀλλ᾽ ἀνάγκῃ. καὶ ὅτι ἐπιχειροῖεν ἄν, πάλιν ἐλεύθεροι γίγνεσθαι, εἰ μή τις αὐτοὺς φόβος κατέχοι. ποτέρως οἴει μᾶλλον ἂν φοβεῖσθαί τε αὐτούς, καὶ φρονεῖν τὰ πρὸς σέ, εἰ ὁρῶσί σοι τοὺς στρατιώτας οὕτω διακειμένους, ὡς νῦν τε μένοντας ἂν εἰ σὺ κελεύεις, αὖθίς τ᾽ ἄν, ταχὺ ἐλθόντας εἰ δέοι. ἄλλους τε τούτων περὶ σοῦ ἀκούοντας πολλὰ ἀγαθά, ταχὺ ἄν σοι πρὸς ὃ σὺ βούλοιο παραγίγνεσθαι, ἢ εἰ καταδοξάσειαν, μήτε ἂν ἄλλους ἐλθεῖν δι᾽ ἀπιστίαν ἐκ τῶν νῦν γεγενημένων, τούτους τε αὐτοῖς εὐνουστέρους εἶναι ἢ σοί; ἀλλὰ μήν, οὐδὲ πλήθει γε ἡμῶν λειφθέντες ὑπεῖξάν σοι, ἀλλὰ προστατῶν ἀπορίᾳ. οὐκοῦν νῦν καὶ τοῦτο κίνδυνος, μὴ λαβεῖν προστάτας τινὰς αὐτῶν τούτων, οἳ νομίζουσιν ὑπὸ σοῦ ἀδικεῖσθαι, ἢ καὶ τούτων κρείττονας τοὺς Λακεδαιμονίους, ἐὰν οἱ μὲν στρατιῶται ὑπισχνῶνται προθυμότερον αὐτοῖς συστρατεύεσθαι, ἐὰν τὰ παρὰ σοῦ ἀναπράξωσιν· οἱ δὲ Λακεδαιμόνιοι διὰ τὸ δεῖσθαι τῆς στρατιᾶς, συναινέσωσιν αὐτοῖς ταῦτα. ὅτι γε μὴν οἱ νῦν ὑπὸ σοῦ Θρᾷκες γενόμενοι, πολὺ ἂν προθυμότερον ἴοιεν ἐπὶ σὲ ἢ σὺν σοί, οὐκ ἄδηλον. σοῦ μὲν γὰρ κρατοῦντος, δουλεία ὑπάρχει αὐτοῖς· κρατουμένου δὲ σοῦ, ἐλευθερία. εἰ δὲ καὶ τῆς χώρας προνοεῖσθαι ἤδη τι δεῖ, ὡς σῆς οὔσης, ποτέρως ἄν, οἴει ἀπαθῆ κακῶν αὐτὴν εἶναι μᾶλλον, εἰ οὗτοι οἱ στρατιῶται ἀπολαβόντες ἃ ἐγκαλοῦσιν, εἰρήνην καταλιπόντες οἴχοιντο, ἢ εἰ οὗτοί τε μένοιεν ὡς ἐν πολεμίᾳ, σύ τε ἄλλους πειρῷο πλείονας τούτων ἔχων ἀντιστρατοπεδεύεσθαι, δεομένους τῶν ἐπιτηδείων; ἀργύριον δέ, ποτέρως ἂν πλεῖον ἀναλωθείη, εἰ τούτοις τὸ ὀφειλόμενον ἀποδοθείη, ἢ ταῦτά τε ὀφείλοιτο, ἄλλους τε κρείττονας τούτων δέοι μισθοῦσθαι; ἀλλὰ

neq; irrita, neq; uana uideri, quæ dixeris. VIDEO enim leuiũ & inconstantium hominũ orationem, futilẽ & inanẽ haberi, ac temere huc atq; illuc errare, sine põdere ullo, aut honore. Cõtrà uero cũ fidei quempiã rationẽ habere maximã constiterit, eius orationem, si quid rogarit, multo plus q̃ ullam uim ualere: eundem si quenq; ad officiũ uelit reuocare, minãdo id facilius, q̃ alios puniendo cõsequi posse: ac postremò plus proficere promittendo, q̃ alios statim dando. Recordare uero cũ nos tibi socios asciuisti, an præ manu aliquid nobis dederis: certe tu quidem nihil, sed tuam duntaxat fidem secuti sumus: & ea una tot homines concitasti, quorum maxime auxilio et opera tibi id imperium partum est: quod multis partibus pluris æstimandum, quàm ea L. talenta, quæ à te nostri repetunt. Quid autem? nónne & perfidiæ crimen, & regni nuper parti instabilitatem hac pecunia redimis? Iam uero quanti, obsecro te, æstimares istarum te rerũ potiri posse, quæ in tua nunc potestate sunt? Mihi profectò dubium esse non potest, quin ista, quæ tibi effecta reddidimus, multo maiori, quàm quantã nobis debes, pecuniæ fueris prælaturus. MIHI certe & damnũ, & dedecus multo maius esse uidetur, parta nõ tueri, quàm quæ in aliorũ sint potestate, nõ uindicare: quanto scilicet grauius est è diuite pauperẽ fieri, quàm omnino ab initio diuitem non fuisse: quantóq; sit acerbius è regno eijci, q̃ nõ esse regnum unquam consecutũ. Et illud etiã non ignoras, eos qui nunc tibi parent, non amicitia conciliatos, sed ui parère coactos: atq; eos si quod recipiendæ libertatis tempus nacti fuerint, neq; ullo fuerint metu retardati, facile rebellaturos. Vtro igitur modo facilius in officio cõtineri poßint, si milites hosce eo erga te animo esse uideant, ut uel si iubeas maneãt, uel cum opus fuerit quamprimum ad te redeant, atq; id eos audiant prædicantes, tuo se merito tibi ubiuis locorum presto futuros? an uero si spem in perfidia tua positam habuerint, neq; aliunde manum ullam tibi auxilio uenturam, neq; hos quibus es usus, tibi quicquã fore quàm ipsis amiciores? Neq; uero illi quod nostris copijs numero inferiores essent, subacti sunt, sed quod plane duces nullos habuerunt. Quid futurum igitur est, si aut ex ijs, qui iniuria se laceßitos putant, dux illis unus aliquis extiterit? aut, quod fuerit illis optabilius, ex ipsis Lacedæmonijs? quibus cum milites alacriores in bello futuros se polliciti fuerint, si in repetenda sua se adiuuerint mercede, certe cum exercitu indigeãt, quicquid oneris impositum fuerit, suscipere sua interesse putabũt. Quod autem, qui sub imperio tuo sunt Thraces, multo sint alacrius contra te, quàm tecum arma sumpturi, ex eo non est difficile conijcere, quod te regnum obtinente, seruitus: eiecto, libertas illis parata est. Iam uero si regioni huic, tanquam tuæ, bene consulendum est, utro tandẽ modo eã integriorẽ fore iudicas: si milites hi sua mercede, cuius tibi causa irati sunt, recepta, pacati abeãt: an uero, si & hi agrũ populationib. infestũ reddãt: & maiorẽ tu, quã his opponas, manũ cõparare coneris, cui erũt nihilominus cõmeatus curandi? Et pecunia utra tandẽ ratione maior erogabitur, si qđ his debes dissolueris, an uero si et his uno tempore debeas, & alius tibi sit uel hoc maior exercitus alendus?

Atenim

Atenim haec pecuniae summa, Heraclidae, quod ex eius oratione cognoui, per hercle magna uidetur: sed certe decem partibus minor tibi, uel reddenti, uel accipienti, uideri debet, quàm ea, quam, cum ad te uenimus, possidebas. NEQVE ENIM NVMERO, quantum quis uel det, uel accipiat, sed hominis ipsius facultate metiendum est. Tu uero nunc maiores quotannis fructus capis, quàm quanti omnis ante pecunia tua censetur. Atq; id ego tibi tanquam integra amicitia nostra studeo, quo & ipse deorum tam multis beneficiis di- 10 gnus habeare, & mihi non sit concitatae multitudinis capitis poena luenda. Qui est enim in praesentia militum in me animus, neq; ego his copiis inimicum ulcisci, neq; iterum si uelim, tibi opem ferre possem. Atqui & ipsum te, & deos, quos nihil latère potest, testes cito, nihil me, eo nomine, quod tibi Graecos conciliarim, abs te accepisse: neq; unquam quae illis deberentur, mihi ut dares postulasse: quãdo neq; ea repetii, quae tu mihi ultro promisisti. Illud etiam iureiurando affirmo, nihil me abs te accepturum, nisi & milites suum recepe- 20 rint. Quid enim turpius, quàm meis ipsius rebus ex animi sententia trãsactis, eorũ causam negligere, qui me maxime ornatum & honestatum uoluerunt? At Heraclides nugas esse arbitratur omnia, praeterquam argentum quouis modo partum habere. Ego uero Seuthe NIHIL HOMINI cuiuis, ac praecipue ei, qui in alios imperium habeat, ullas opes existimo pulchriores, aut honestiores, quàm uirtus sit, iustitia, animi magnitudo: quae qui possideat, cum ei tam multi amici sint, ac tam multi esse cupiant, non potest non diuitiis pluri- 30 mum abundare: neq; omnino is in sequundis qui gratulentur, in aduersis qui opem ferant, requirit. Quod si neq; ex ullo facto meo satis perspectum habes, me tibi ex animo amicum esse, neq; id etiam potes ex oratione mea cognoscère, ueniat tibi quaeso in mentem eorum, quae à militibus ipsis dicta sunt: audisti enim cum dicerent uituperatores mei, dum apud Lacedemonios me insimularent, te pluris multo à me, quàm Lacedaemonios fieri: neq; accusarent, quod tuis, quàm suis rationibus bene consultum mallem: ac iidem accepis- 40 se me abs te pecuniam obiicerent. In quam suspicionem unde putas eos uenisse? An quod me potius hostili, quàm prompto & beneuolo in te animo esse animaduertebant? EGO MEHERCVLE ITA existimo, neminem à quoquam, nisi beneuolentiam erga illum prae se ferat, munera accipere. Ac tu quidem, antequam de te quicquam bene mererer, & uultu & uoce me, hospitalibus etiam donis liberalissime accepisti: promittendi uero nullum finem faciebas: posteaquam uoti compos factus es, ac quantum ope, operaq; mea 50 fieri potuit, creuisti, nihil quod militibus nostris contemptus sim, ad te pertinere arbitraris? Atenim confido, ex tempore ipso consilio capto, te quod debes dissoluturum. Nam adduci non possum ut credam, te semper bene de te meritorum hominum querelas pro nihilo habiturum. Te igitur rogatum uelim, ut cum satis militibus feceris, me etiam apud eos, in quem accepisti, locum restituas. Haec ubi Seuthes audiuit, male ei precatus est, cuius suasu adductus Graecis iampridem stipendium non pendisset (illum nimirum Heracliden fuisse

ἀλλὰ γὰρ ἡρακλείδῃ ὡς πρὸς ἐμὲ ἐδήλου, πάμπολυ τοῦτο δοκεῖ τὸ ἀργύριον εἶναι. ἡμῖν ὁ πολύ γε ὅσῳ ἔλαττον νῦν σοι καὶ λαβεῖν τοῦτο καὶ ἀποδοῦναι, ἢ πρὶν ἡμᾶς ἐλθεῖν πρὸς σὲ τὸ δέκατον τούτου μέρος. οὐ γὰρ ὁ ἀριθμὸς ὁρίζων ἐστὶ τὸ πολὺ καὶ ὀλίγον, ἀλλ' ἡ δύναμις, τοῦ τε ἀποδιδόντος καὶ λαμβάνοντος. σοὶ δὲ νῦν ἡ κατ' ἐνιαυτὸν πρόσοδος πλείων ἔσται, ἢ ἔμπροσθεν τὰ παρόντα ἃ ἐκέκτησο. ἐγὼ μὲν, ὦ σεύθη, ταῦτα, ὡς φίλου σου ὄντος, σοῦ προενοούμην, ὅπως σύ τε ἄξιος δοκοίης εἶναι, ὧν οἱ θεοί σοι ἔδωκαν ἀγαθῶν, ἐγώ τε μὴ διαφθαρείην ἐν τῇ στρατιᾷ. εὖ ἴσθι, ὅτι νῦν ἐγὼ οὔτ' ἂν ἐχθρὸν κακῶς ποιῆσαι βουλόμενος δυνηθείην σὺν ταύτῃ τῇ στρατιᾷ, οὔτ' ἄν, εἴ σοι πάλιν βουλοίμην βοηθῆσαι, ἱκανὸς ἂν γενοίμην. οὕτω γὰρ πρὸς ἐμὲ ἡ στρατιὰ διάκειται. καίτοι αὐτόν σε μάρτυρα σὺν τοῖς θεοῖς εἰδόσι ποιοῦμαι, ὅτι οὔτε ἐγὼ ἔχω παρὰ σοῦ ἐπὶ τοῖς στρατιώταις οὐδὲν, οὔτε ᾔτησα πώποτε, εἰς τὸ ἴδιον τὰ ἐκείνων, οὔτε ἃ ὑπέσχου μοι ἀπῄτησα. ὄμνυμι δέ σοι μηδ' ἀποδιδόντος δέξασθαι ἄν, εἰ μὴ καὶ οἱ στρατιῶται ἔμελλον τὰ ἑαυτῶν συναπολαμβάνειν. αἰσχρὸν γὰρ ἦν τὰ μὲν ἐμὰ διαπεπρᾶχθαι, τὰ δὲ ἐκείνων περιορᾷν ἐμὲ κακῶς ἔχοντα, ἄλλως τε καὶ τιμώμενον ὑπ' ἐκείνων. καίτοιγε ἡρακλείδῃς λῆρος πάντα δοκεῖ εἶναι, πρὸς τὸ ἀργύριον ἔχειν ἐκ παντὸς τρόπου. ἐγὼ δ', ὦ σεύθη, οὐδὲ νομίζω γε ἀνδρί, ἄλλως τε καὶ ἄρχοντι κάλλιον εἶναι κτῆμα οὐδὲ λαμπρότερον, ἀρετῆς καὶ δικαιοσύνης καὶ γενναιότητος. ὁ γὰρ ταῦτα ἔχων, πλουτεῖ μὲν ὄντων φίλων πολλῶν, πλουτεῖ δὲ ἄλλων βουλομένων γενέσθαι. καὶ εὖ μὲν πράττων, ἔχει τοὺς συνησθησομένους. ἐὰν δέ τι σφαλῇ, οὐ σπανίζει τῶν βοηθησόντων. ἀλλὰ γὰρ εἰ μήτε ἐκ τῶν ἐμῶν ἔργων κατέμαθες, ὅτι σοι ἐκ τῆς ψυχῆς φίλος ἦν, μήτε ἐκ τῶν ἐμῶν λόγων δύνασαι τοῦτο γνῶναι, ἀλλὰ τοὺς τῶν στρατιωτῶν λόγους κατανόησον. παρῆσθα γὰρ καὶ ἤκουες ἃ ἔλεγον, οἱ ψέγειν ἐμὲ βουλόμενοι. κατηγόρουν μὲν γάρ μου πρὸς λακεδαιμονίους, ὡς σὲ περὶ πλείονος ποιοίμην ἢ λακεδαιμονίους. αὐτοὶ δ' ἐνεκάλουν ἐμοί, ὡς μᾶλλον ἐπιμελοίμην ὅπως τὰ σὰ καλῶς ἔχοι, ἢ ὅπως τὰ ἑαυτῶν. ἔφασαν δέ με καὶ δῶρα ἔχειν παρὰ σοῦ. καίτοι τὰ δῶρα ταῦτα οἴει, πότερον αὐτοὺς κακόνοιάν τινα ἐνιδόντας με πρὸς σὲ αἰτιᾶσθαί με ἔχειν παρὰ σοῦ, ἢ προθυμίαν πολλὴν περὶ σὲ κατανοήσαντας; ἐγὼ μὲν οἶμαι πάντας ἀνθρώπους εὔνοιαν δεῖν ἀποδείκνυσθαι τούτῳ, παρ' οὗ ἄν τις δῶρα λαμβάνῃ. σὺ δὲ πρὶν μὲν ὑπηρετῆσαί τί σοι ἐμὲ, ἐδέξω ἡδέως καὶ ὄμμασι καὶ φωνῇ, καὶ ξενίοις, καὶ ὅσα ἔσοιτο ὑπισχνούμενος οὐκ ἐνεπίμπλασο. ἐπεὶ δὲ κατέπραξας ἃ ἐβούλου, καὶ γεγένησαι ὅσον ἐγὼ ἐδυνάμην, μέγιστος, νῦν μὲν οὕτως ἄτιμον ὄντα ἐν τοῖς στρατιώταις τολμᾷς περιορᾷν. ἀλλὰ μὴν ὅτι σοι δόξει ἀποδοῦναι, πιστεύω καὶ τὸν χρόνον διδάξειν σε, καὶ αὐτόν γέ σε οὐκ ἀνέξεσθαι τοὺς σοὶ προεμένους τὴν εὐεργεσίαν ὁρῶντα ἐγκαλοῦντάς σοι. δέομαι οὖν σου ὅταν ἀποδιδῷς, προθυμεῖσθαι, ἐμὲ παρὰ τοῖς στρατιώταις τοιοῦτον ποιῆσαι, οἷόνπερ καὶ παρέλαβες. ἀκούσας ταῦτα ὁ σεύθης, κατηράσατο τῷ αἰτίῳ, μὴ πάλαι ἀποδεδόσθαι τὸν μισθόν. καὶ πάντες τὸν ἡρακλείδην ὑπώ-

ὑπὸ [illegible] ἐγὼ γάρ, ἔφη, οὔτε διενοήθην πώ-
ποτε [illegible] ἀποστερῆσαι ἀποδώσω τε. ἐντεῦθεν πάλιν εἶπεν
ὁ ξενοφῶν· ἐπεὶ τοίνυν ἀποδιδόναι βούλει, νῦν ἐγώ
σοι δέομαι δι᾽ ἐμοῦ ἀποδιδόναι, καὶ μὴ περιιδεῖν με
διὰ σὲ ἀνομοίως ἔχοντα ἐν τῇ στρατιᾷ, νῦν τε καὶ ὅτε
πρὸς [illegible] ἀφικόμενος. ὁ δ᾽ εἶπεν· ἀλλ᾽ οὔτ᾽ ἐν τοῖς στρα-
τιώταις ἔσῃ δι᾽ ἐμὲ ἀτιμότερος. ἄν τε μένῃς παρ᾽ ἐ-
μοὶ χι[λί]ους μόνους ὁπλίτας ἔχων, ἐγώ σοι τά τε χωρία
ἀποδώσω, καὶ τἆλλα ἃ ὑπεσχόμην. ὁ δὲ πάλιν εἶπε·
ταῦτα μὲν ἔχειν οὕτως οὐχ οἷόν τε. ἀπόπεμπε δὲ ἡ-
μᾶς. καὶ μήν, ἔφη ὁ σεύθης, καὶ ἀσφαλέστερόν γέ σοι οἶ-
δα ὂν παρ᾽ ἐμοὶ μένειν ἢ ἀπιέναι. ὁ δὲ πάλιν εἶπεν·
ἀλλὰ τὴν μὲν σὴν πρόνοιαν ἐπαινῶ, ἐμοὶ δὲ μένειν οὐχ
οἷόν τε. ὅπου δ᾽ ἂν ἐγὼ ἐντιμότερος ὦ, νόμιζε καὶ σοὶ
τοῦτο ἀγαθὸν ἔσεσθαι. ἐντεῦθεν λέγει σεύθης· ἀργύ-
ριον μὲν οὐκ ἔχω, ἀλλ᾽ ἢ μικρόν τι, καὶ τοῦτό σοι δί-
δωμι τάλαντον. βοῦς δὲ ἑξακοσίους καὶ πρόβατα εἰς
τετρακισχίλια, καὶ ἀνδράποδα εἰς εἴκοσι καὶ ἑκα-
τόν. ταῦτα λαβὼν καὶ τοὺς τῶν ἀδικησάντων σε ὁμή-
ρους προσλαβών, ἄπιθι. γελάσας ὁ ξενοφῶν, εἶπεν· ἢν
οὖν μὴ ἐξαρκῇ ταῦτα εἰς τὸν μισθόν, τίνος τάλαντον
φήσω ἔχειν; ἆρ᾽ οὐκ ἐπειδή μοι καὶ ἐπικίνδυνόν ἐστιν
ἀπιόντι, ἄμεινον φυλάττεσθαι τοὺς ἐχθρούς; ἤκουσα δὲ
τὰς ἀπειλάς. τότε μὲν δὴ αὐτοῦ ἔμειναν. τῇ δ᾽ ὑστε-
ραίᾳ ἀπέδωκεν αὐτοῖς ἃ ὑπέσχετο, καὶ τοὺς ταῦτα ἐ-
λάσοντας συνέπεμψεν. οἱ δὲ στρατιῶται τέως μὲν ἔλε-
γον, ὡς ξενοφῶν οἴχοιτο πρὸς σεύθην οἰκήσων, καὶ ἃ ὑ-
πέσχετο αὐτῷ ἀποληψόμενος. ἐπεὶ δὲ αὐτὸν ἥκοντα
εἶδον, ἥσθησάν τε καὶ προσέθεον. ξενοφῶν δ᾽ ἐπεὶ εἶδε
χαρμῖνον καὶ πολύνικον, ταῦτα, ἔφη, καὶ σέσωσται
διὰ ὑμᾶς τῇ στρατιᾷ, καὶ παραδίδωμι αὐτὰ ἐγὼ ὑ-
μῖν. ὑμεῖς δὲ διατιθέμενοι, διάδοτε τῇ στρατιᾷ. οἱ μὲν
οὖν παραλαβόντες, λαφυροπώλας καταστήσαντες ἐ-
πώλουν, καὶ πολλὴν εἶχον αἰτίαν. ξενοφῶν δὲ οὐ προσῄει,
ἀλλὰ φανερὸς ἦν οἴκαδε παρασκευαζόμενος. οὐ γάρ
πω ψῆφος αὐτῷ ἐπῆκτο ἀθήνησι περὶ φυγῆς. προσ-
ελθόντες δὲ αὐτῷ οἱ ἐπιτήδειοι ἐν τῷ στρατεύματι,
ἐδέοντο μὴ ἀπελθεῖν, πρὶν ἀπαγάγοι τὸ στράτευμα
καὶ θίμβρωνι παραδοίη. ἐντεῦθεν διέπλευσαν εἰς
λάμψακον, καὶ ἀπαντᾷ τῷ ξενοφῶντι εὐκλείδης
μάντις φλιάσιος, κλεαγόρου υἱός, τοῦ τὰ ἐνύπνια ἐν
λυκείῳ γεγραφότος. οὗτος συνήδετο τῷ ξενοφῶν-
τι, ὅτι ἐσέσωστο. καὶ ἠρώτα αὐτόν, πόσον χρυσίον ἔχει.
ὁ δ᾽ αὐτῷ ἐπομόσας, εἶπεν· ἦ μὴν ἔσεσθαι μηδὲ ἐφό-
διον ἱκανὸν οἴκαδε ἀπιόντι, εἰ μὴ ἀποδοῖτο τὸν ἵπ-
πον καὶ ἃ ἀμφὶ αὐτὸν ἔχοι. ὁ δ᾽ αὐτῷ οὐκ ἐπίστευεν.
ἐπεὶ δὲ πεμψάντων λαμψακηνῶν ξένια τῷ ξενο-
φῶντι, ἔθυεν τῷ ἀπόλλωνι, παρεστήσατο τὸν εὐκλεί-
δην, ἰδὼν τὰ ἱερὰ ὁ εὐκλείδης, εἶπεν, ὅτι πείθοι-
το αὐτῷ μὴ εἶναι χρήματα. ἀλλ᾽ οἶδα, ἔφη, ὅτι κἂν
μέλλῃ ποτὲ γενήσεσθαι, φαίνεταί τι ἐμπόδιον, ἐὰν
μηδὲν ἄλλο, σὺ σαυτῷ. συνωμολόγει ταῦτα ὁ ξε-
νοφῶν. ὁ δ᾽ εἶπεν· ἐμπόδιος γάρ σοι ὁ ζεὺς ὁ μει-
λίχιός ἐστι. καὶ ἐπήρετο εἰ ἤδη ποτὲ θύσειεν, ὥσπερ
οἴκοι, ἔφη, εἰώθειν ἐγὼ ὑμῖν θύεσθαι καὶ ὁλοκαυτεῖν. ὁ
δ᾽ οὐκ ἔφη, ἐξ ὅτου ἀπεδήμησε, τεθυκέναι τούτῳ τῷ θεῷ.
συν/

fuisse omnes suspicati sunt) Mihi enim, inquit, nunquã, ut milites sua mercede fraudarẽ, in mentẽ uenire potuis/ set, ac iã quod debeo dependã. Tunc Xenophõ: Si certũ est depẽdere, per me istud agito: neq; me negligas in eũ, quem cũ ad te ueni, tenebã apud milites, gratiæ et hono ris locũ restituere, cum præsertim eũ, dum plurimũ tua causa uolo, amiserim. At nihil, respondit ille, mea causa uolo apud tuos de tua existimatione detractum. Ac si in animũ potes inducere ut mecũ maneas, cum M. dũtaxat
10 grauis armaturæ peditib. et regiones tibi maritimas tra dã, et quæ pollicitus sum oĩa. Ad hæc Xenophõ. Nõ est id inquit, iã mihi integrũ, quin tu nos q̃primũ dimittito. Tũc ille: At. n. certo scio, si mãseris, multo id tibi tutius futurũ. Quod mihi, inquit rursus Xenophõ, cautũ uelis, agnosco humanitatẽ tuã: sed nõ est id plane arbitrij mei. Verùm quicquid mihi honoris accesserit, id uelim existi mes, ex re usuq; tuo magnopere futurũ. Ibi Seuthes, Mi hi, inquit, in præsentia argẽti in prõptu nihil plus est, q̃ talentũ unũ, & illud iam tibi pendã. Boues uero DC. o/
20 ues ter mille, mancipia CXX. penes me sunt, hæc omnia auferto: & eos simul, qui te læserunt, à me obsides ca/ pe, ac quò libet abi. Subrisit Xenophõ: et quid, inquit, si quæ aufero oĩa integrã mercedẽ cõficere nõ possunt, cui nã talentũ dabitur? Nonne satius fuerit, qđ ab inimi cis mihi imminet, periculũ deuitare? audisti. n. eorũ mi/ nas. Ac tũc simul noctẽ eã peregerũt. Postero uero die quæ promiserat Seuthes tradidit, ac simul qui præ oĩa agerẽt misit. Interea uulgo inter Græcos oratio ea iacta ri cœpta, nõ rediturum amplius Xenophontẽ: sed apud
30 Seuthẽ ablatis ijs, quæ ille promisisset, mansurũ. Quare ubi uenientẽ uiderunt, læstati magnopere sunt, ac ei cum gratulatione occurrerũt. Is uero ubi Charminus et Poly nicus in cõspectu fuere, Hæc inquit, opera uestra recepta sunt, quæ nũc uobis trado, uos ea arbitratu uestro diuidi te. Illi magistris uẽditionis cõstitutis, omnia uendiderũt: neq; omnino interuersæ pecuniæ suspiciõe carere potue runt. At Xenophon ab omni iã se cura abduxerat, neq; ulla de re magis, q̃ de reditu cogitare uidebatur: nondũ enim ei populi suffragio erat Athenis exilij pœna cõsti
40 tuta. Hic ad eum homines è toto exercitu lõge honestissi mi accesserunt, ac multis cum precibus, ut nõ ante disce deret contenderunt, q̃ copias illas Thimbroni traderet. Cũ se igitur ille exorari siuisset, è Thracia classe Lãpsa/ cum oẽs traiecerunt: ibi Xenophõti obuius fit Euclides Phliasius uates, Cleagoræ illius filius, qui in Lyceo som nia pinxit: ac de reditu gratulatus, quæsiuit quantũ au/ ri attulisset: iurauit Xenophõ se ne uiaticũ quidem habe re quantisper domũ perueniat, nisi equum & sarcinas uendat: quod ille ut crederet adduci non poterat. Sed cũ
50 Lampsaceni hospitalia dona misissent, adhibito Euclide Apollini Xenophon immolauit: inspectis uero extis, se iam credere dixit Euclides, nullam Xenophontẽ pecu/ niam habere. Atenim uideo, inquit, etiam in posterũ ad pecuniam cogendã semper tibi aliquid impedimento fu turũ. Nihil autem æque tibi, ac teipsum aduersari. Assen sus est Xenophõ. quid ni, inquit ille, cui aduersarius sit Iupiter placabilis? Quæsiuit rursus, nũquid ei sacrum fe cisset aliquãdo, uti ego, inquit, domi consuerã et immola re et uictimã adurere. Negauit Xenophõ, se unquã illi deo toto peregrinationis tempore rem diuinam fecisse.

Persuasit igitur ille, ut sacrum ei faceret, ac secundiora futura deinde omnia affirmauit. Postero itaq; die Xenophon sub Ophrynij mœnibus porcos mactat, & patrio ritu adurit. Litatum quidem est. Eodem ipso die adfuere Biton & Euclides, pecuniam militibus daturi: & inuitarunt illi quidem Xenophontē, & equum, quē Lampsaci uenundederat (suspicati numorū egestate coactum illum uendidisse, cum alioquin equo audissent eo plurimum delectatum) redemptum illi reddiderunt, neq; ullo pacto preciū recipere uoluerunt. Hinc profecti per Troiam, Ida superata Antandrū perueniunt: inde per oram Lydiæ in Thebes campos. Illinc prætergressi Adramytium, Certonium, Atarnum, & Caici campos, Pergamū Lydiæ oppidum intrant. Xenophon ab Hellade Gongyli matre hospitio acceptus, ex ea cognoscit, Asidaten hominem Persam in campis cōmorari. Hunc, inquit, si noctu, uel cum trecentis tantum hominibus adoriare, facilē cum uxore & liberis opprimes, ac tota eius pecunia, quam plane luculentā habet, potiere. Ac ne ducem desideret, mittit Daphnagoram patruelem suum, hominem quem plurimi faciebat. Xenophon militib. iam coactis, rem diuinā facit. Agasias Eleus uates, læta esse exta nunciat, ac hominem oppressum omnino iri. A cœna itaq; iter ingressus, assumptis ex omni centurionum numero amantissimis ac fidelissimis quibusq;, quos nempe suo beneficio præ cæteris ornatos uellet. In eum tamen se militum delectum D C. fere alij intrudere conati sunt, quos centuriones repulerunt, ne cum illis prædam, quam sui iuris futuram pro certo habebant, communicarent. Peruenerunt autem media fere nocte ad Asidatæ munitiones: ibi cum & mancipia, & res item multæ extra munimenta essent, de manibus omnia sunt elapsa, propterea quod ad unum Asidaten, & eius pecuniam occupandam, animum adiecerant. Cum uero munimēta iam oppugnare cœpissent, neq; turrem quandā capere possent, quod prælta erat, ac firmissimis propugnaculis, et lectissimis hominibus instructa, eam aggressi sunt subruere. Erat muri latitudo, quantam fictilium laterum octonum structura efficere potuerat: opus tamen prima luce confectum. Sed enim cum iam turris peruia esset, ex ijs qui intus erant quidam, de nostris unum sibi obuium ueruto transfodit: ac reliqui sagittis iaciendis effecerūt, ne cui esset irrumpendi causa tutum accedere. Cumq; ijdem clamore, & ignium significatione auxiliū implorassent, præsto fuit cū suis copijs ex Comania Itabelius. In ijs erat grauis armatura, præsidiarij equites Hyrcani, omnes regis mercenarij, numero L X X. reliqui cetrati, haud minus D C C C. Accurrerūt item ex Parthenio alij, alij ex Apollonia, et ex finitimis locis tam multi, ut iam nostris nō de oppugnādo, sed pedē referendo cogitandū esset. Coactis igitur in mediū quadrati agminis bobus, ac reliquo quod abegerāt pecore, atq; item captiuis, perdetentum retrocedere cœperūt, nō iam predā inhiantes, sed unū id agētes, ne discessus similis fugæ uideretur, neu partā iam prædā relinquere cogerentur, atq; ex eo hostibus audacia cresceret, sui animis deficerēt. Ac plane ita retrocessum est, ut pugnā de præda tuenda mituri uiderentur. Iam resciierat Gongylus Græcos ab hostib. numero superari: quare matre inuita, & ipse cum copijs suis, ut præclari alicuius facti particeps esset, auxilio uenit.

Venit

συνεβούλευεν οὖν αὐτῷ θύεσθαι, καὶ ἔφη συν[illegible] ἐπὶ τὸ βέλτιον. τῇ δ' ὑστεραίᾳ δ[illegible]ὼν εἰς Ὀφρύνιον ἔθυετο, καὶ ὁλοκαύτει χοίρους τῷ πατρίῳ νόμῳ, καὶ καλλιερεῖται. καὶ ταύτῃ τῇ ἡμέρᾳ ἀφικνεῖται Βίτων καὶ ἅμα Εὐκλείδης χρήματα δώσοντες τῷ στρατεύματι, καὶ ξενοῦνταί τε τῷ Ξενοφῶντι, καὶ ἵππον ὃν ἐν Λαμψάκῳ ἀπέδοτο πεντήκοντα δαρεικῶν, ὑποπτεύοντες αὐτὸν δι' ἔνδειαν πεπρακέναι, ὅτι ἤκουον αὐτὸν ἥδεσθαι τῷ ἵππῳ, λυσάμενοι, ἀπέδοσαν, καὶ τιμὴν οὐκ ἤθελον ἀπολαβεῖν. ἐντεῦθεν ἐπορεύοντο διὰ τῆς Τροίας, καὶ ὑπερβάντες τὴν Ἴδην, εἰς Ἄντανδρον ἀφικνοῦνται πρῶτον. εἶτα παρὰ θάλατταν πορευόμενοι τῆς Λυδίας, εἰς Θήβης πεδίον. ἐντεῦθεν δι' Ἀδραμυττίου καὶ Κερτωνίου, παρ' Ἀταρνέα εἰς Καΐκου πεδίον ἐλθόντες, Πέργαμον καταλαμβάνουσι [illegible] Λυδίας. ἐνταῦθα δὲ ξενοῦται Ξενοφῶν παρ' Ἑλλάδι τῇ Γογγύλου μητρί. αὕτη αὐτῷ φράζει, ὅτι Ἀσιδάτης ἐστὶν ἐν τῷ πεδίῳ ἀνὴρ Πέρσης. τοῦτον ἔφη αὐτόν, εἰ ἔλθοι τῆς νυκτὸς σὺν τριακοσίοις ἀνδράσι λαβεῖν ἂν καὶ αὐτὸν καὶ γυναῖκα καὶ παῖδας, καὶ τὰ χρήματα. εἶναι δὲ πολλά. ταῦτα δὲ καθηγησομένους ἔπεμψε, τόν τε αὑτῆς ἀνεψιὸν καὶ Δαφναγόραν, ὃν περὶ πλείστου ἐποιεῖτο. ἔχων οὖν ὁ Ξενοφῶν τούτους παρ' ἑαυτῷ ἐθύετο. καὶ Ἀγασίας ὁ Ἠλεῖος μάντις παρὼν, εἶπεν, ὅτι κάλλιστα εἴη τὰ ἱερὰ αὐτῷ, καὶ ὁ ἀνὴρ ἁλώσιμος εἴη. δειπνήσας οὖν ἐπορεύετο. τούς τε λοχαγοὺς τοὺς μάλιστα φίλους λαβὼν, καὶ πιστοὺς γεγενημένους διὰ παντός, ὅπως εὖ ποιήσαι αὐτούς. συνεξέρχονται δὲ αὐτῷ καὶ ἄλλοι βιασάμενοι εἰς ἑξακοσίους. οἱ δὲ λοχαγοὶ ἀπήλαυνον, ἵνα μὴ μεταδοῖεν τὸ μέρος ὡς ἑτοίμων δὴ χρημάτων. ἐπεὶ δὲ ἀφίκοντο περὶ τὰς μέσας νύκτας, τὰ μὲν πέριξ ὄντα ἀνδράποδα τῆς τύρσιος, καὶ χρήματα πλεῖστα, ἀπέδρα αὐτοὺς, παραμελοῦντας, ὡς τὸν Ἀσιδάτην αὐτὸν λάβοιεν, καὶ τὰ ἐκείνου. πυργομαχοῦντες δ', ἐπεὶ οὐκ ἐδύναντο λαβεῖν τὴν τύρσιν, ὑψηλὴ γὰρ ἦν καὶ μεγάλη, καὶ προμαχεῶνας καὶ ἄνδρας πολλοὺς καὶ μαχίμους ἔχουσα, διορύττειν ἐπεχείρησαν τὸν πύργον. ὁ δὲ τοῖχος ἦν ἐπὶ ὀκτὼ πλίνθων γηΐνων τὸ εὖρος, ἅμα δὲ τῇ ἡμέρᾳ διωρώρυκτο. καὶ ὡς τὸ πρῶτον διεφάνη, ἐπάταξεν ἔνδοθεν βουπόρῳ τις ὀβελίσκῳ διαμπερὲς, τὸν μηρὸν τοῦ ἐγγυτάτω. τό δε λοιπὸν ἐκτοξεύοντες, ἐποίουν μηδὲ παριέναι ἔτι ἀσφαλὲς εἶναι. κεκραγότων δ' αὐτῶν καὶ πυρσευόντων ἐκβοηθοῦσιν, Ἰταβέλιος μὲν ἔχων τὴν ἑαυτοῦ δύναμιν ἐκ Κομανίας, ὁπλῖται φρουροὶ καὶ ἱππεῖς Ὑρκάνιοι, καὶ οὗτοι βασιλέως μισθοφόροι ὡς ὀγδοήκοντα. καὶ ἄλλοι πελτασταὶ εἰς ὀκτακοσίους. ἄλλοι δ' ἐκ Παρθενίου, ἄλλοι δ' ἐξ Ἀπολλωνίας καὶ ἐκ τῶν πλησίον χωρίων. καὶ ἱππεῖς. ἐνταῦθα δὴ ὥρα ἦν, πῶς ἔσται ἡ ἄφοδος σκοπεῖν. καὶ λαβόντες ὅσοι ἦσαν βόες καὶ πρόβατα, ἤλαυνον καὶ τὰ ἀνδράποδα ἐντὸς πλαισίου ποιησάμενοι, οὐ τοῖς χρήμασιν ἔτι προσέχοντες τὸν νοῦν, ἀλλὰ μὴ φυγὴ εἴη ἡ ἄφοδος, εἰ καταλιπόντες τὰ χρήματα ἀπίοιεν, καὶ οἵ τε πολέμιοι θρασύτεροι εἶεν, καὶ οἱ στρατιῶται ἀθυμότεροι. νῦν δὲ ἀπῄεσαν ὡς περὶ τῶν χρημάτων μαχούμενοι. ἐπεὶ δὲ ἑώρα ὁ Γογγύλος ὀλίγους μὲν τοὺς Ἕλληνας, πολλοὺς δὲ τοὺς ἐπικειμένους, ἐξέρχεται καὶ αὐτὸς βίᾳ τῆς μητρὸς, τὴν ἑαυτοῦ δύναμιν ἔχων, βουλόμενος συμμετασχεῖν τοῦ ἔργου.

συν

…ἧκε καὶ Προκλῆς δὲ ἐξ Ἑλισάρνης, καὶ Τευθρανίας ὁ ἀπὸ Δαμαράτου. οἱ δὲ περὶ Ξενοφῶντα ἐπεὶ πάνυ ἤδη ἐπιέζοντο ὑπὸ τῶν τοξευμάτων καὶ σφενδονῶν, πορευόμενοι κύκλῳ, ὅπως τὰ ὅπλα ἔχοιεν πρὸ τῶν τοξευμάτων, μόλις διαβαίνουσι τὸν Κάρκασον ποταμόν, τετρωμένοι ἐγγὺς ἡμίσεις. ἐνταῦθα καὶ Ἀγασίας Στυμφάλιος λοχαγὸς τιτρώσκεται, τὸν πάντα χρόνον μαχόμενος πρὸς τοὺς πολεμίους, καὶ διασῴζονται ἀνδράποδα ὡς διακόσια ἔχοντες καὶ πρόβατα ὅσον θύματα. τῇ δ᾽ ὑστεραίᾳ θυσάμενος ὁ Ξενοφῶν ἐξάγει νύκτωρ πᾶν τὸ στράτευμα, ὅπως ὅτι μακροτάτην ἔλθοι τῆς Λυδίας, ὥστε μὴ διὰ τὸ ἐγγὺς εἶναι φοβεῖσθαι, ἀλλ᾽ ἀφυλακτεῖν. ὁ δ᾽ Ἀσιδάτης ἀκούσας ὅτι πάλιν ἐπ᾽ αὐτὸν τεθυμένος εἴη Ξενοφῶν, καὶ παντὶ τῷ στρατεύματι ἥξει, ἐξαυλίζεται εἰς κώμας ὑπὸ τὸ Παρθένιον πόλισμα ἐχούσας. ἐνταῦθα οἱ περὶ Ξενοφῶντα συμπεριτυγχάνουσιν αὐτῷ, καὶ λαμβάνουσιν αὐτόν, καὶ γυναῖκα καὶ παῖδας καὶ τοὺς ἵππους καὶ πάντα τὰ ὄντα, καὶ οὕτω τὰ πρότερα ἱερὰ ἀπέβη. ἔπειτα πάλιν ἀφικνοῦνται εἰς Πέργαμον. ἐνταῦθα τὸν θεὸν ἠτιάσατο ὁ Ξενοφῶν. συνέπραττον γὰρ καὶ οἱ Λάκωνες, καὶ οἱ λοχαγοί, καὶ οἱ ἄλλοι στρατηγοί, καὶ οἱ στρατιῶται, ὥστε ἐξαίρετα λαμβάνειν καὶ ἵππους καὶ ζεύγη, καὶ τἆλλα, ὥστε ἱκανὸν εἶναι καὶ ἄλλον ἤδη εὖ ποιεῖν. ἐκ τούτου Θίμβρων παραγενόμενος, παρέλαβε τὸ στράτευμα. καὶ συμμίξας τῷ ἄλλῳ Ἑλληνικῷ, ἐπολέμει πρὸς Τισσαφέρνην καὶ Φαρνάβαζον. ἄρχοντες δὲ οἵδε τῆς βασιλέως χώρας ὅσην ἐπήλθομεν, Λυδίας, Ἀρτίμας· Φρυγίας, Ἀρτακάμας· Λυκαονίας καὶ Καππαδοκίας, Μιθριδάτης· Κιλικίας, Συέννεσις· Φοινίκης καὶ Ἀραβίας, Δέρνης· Συρίας καὶ Ἀσσυρίας, Βέλεσυς· Βαβυλῶνος, Ῥωπάρας· Μηδείας, Ἀρβάκας· Φασιανῶν καὶ Ἑσπεριτῶν, Τιρίβαζος. Καρδοῦχοι δὲ καὶ Χάλυβες, καὶ Χαλδαῖοι, καὶ Μάκρωνες, καὶ Κόλχοι, καὶ Μοσσύνοικοι, καὶ Κοῖται, καὶ Τιβαρηνοί, αὐτόνομοι. Παφλαγονίας, Κορύλας· Βιθυνῶν, Φαρνάβαζος. τῶν ἐν Εὐρώπῃ Θρᾳκῶν, Σεύθης. ἀριθμὸς συμπάσης τῆς ὁδοῦ τῆς ἀναβάσεως καὶ καταβάσεως, σταθμοὶ διακόσιοι δεκαπέντε, παρασάγγαι χίλιοι ἑκατὸν πεντήκοντα, στάδια τρισμύρια τετρακισχίλια διακόσια πεντήκοντα πέντε. χρόνου πλῆθος τῆς ἀναβάσεως καὶ καταβάσεως, ἐνιαυτὸς, τριῶν μηνῶν.

Venit itē ab Elisarne, & Teuthrania à Demarato missus, Procles. Qui uero cum Xenophonte erant, cum telorum & fundarum ictibus pene obruerentur, ut iter facientes obiectu clypeorum se tegerent, in orbem agmen conuerterunt: ac uix Carcasum amnem traiecerunt, cum plus dimidia parte saucij essent, ac inter caeteros uulnus etiam accepisset Agasias Stymphalius centurio, homo perpetuis dimicationibus exercitus. Captiuos fere ducentos retinuerunt: pecoris quod esset ad immolandum duntaxat satis. Postero die sacris peractis, noctu copias omnes educit Xenophon: ac longissima uia, per Lydiam agmen circunduxit, ut hostes metu iam uacui, cum nihil sibi cauerent, facilius opprimerentur. Asidates cum audisset Xenophontem de agmine iterum educendo sacra fecisse, neque multo post cum copijs omnibus adfuturum, in pagos castra mouere statuit, Parthenio oppido proximos. Eo cum contenderet, in Xenophontis milites incidit, à quibus cum uxore, liberis, equis, ac reliquis fortunis captus est. Euentus itaque, sacri prioris fidem comprobauit. Cum iam Pergamum omnes redissent, Xenophon minus sibi aequos deos fuisse questus est, propterea quod à sua tantum cohorte negocium geri non potuerat, sed eius expeditionis participes fuerant Lacones, & centuriones alij, quàm quos ipse delegerat: praetores praeterea, & milites, qui sibi bellissimum quodque ex omni praeda praecerpserunt, equos uidelicet, iumentorum iuga, & quae uisum est alia, ut iam eorum unusquisque haberet, unde et alijs benigne faceret. His ita gestis Thimbron superuenit, qui cum acceptum à Xenophonte exercitum, ijs quas ipse adduxerat Graecorum cohortibus admiscuisset, Tissapherni & Pharnabazo bellum intulit. Regionum omnium quae sub regis ditione erant, quasque nos peragrauimus, illis temporibus hi praefecti fuerunt: Lydiae, Artimas: Phrygiae, Artacamas: Lycaoniae & Cappadociae, Mithridates: Ciliciae, Syennesis: Phoenicis, et Arabiae, Dernes: Syriae, & Assyriae, Belesis: Babylonis, Ropares: Mediae, Arbacas: Phasianorum, & Hesperitanorum, Teribazus. Nam Carduchi, Chalybes, Chaldaei, Macrones, Colchi, Mosynoeci, Coetae & Tibareni, omnes suis legibus utebātur. Paphlagoniae praeerat Corylas, Bythinis Pharnabazus. In Europa Thracibus Seuthes imperabat. Totius itineris spacium, quod aut progredientes aut regredientes confecerunt, fuere castra ducena quindena, parasangae M CL. quae summa stad. efficit tricies & quater mille, CCLV. Milliarium circiter quater mille & DC. Quo quidem in itinere annus & menses III. consumpti.

ΞΕΝΟΦΩΝΤΟΣ ΕΛΛΗΝΙΚΩΝ ΠΡΩΤΟΝ.

Μετὰ δὲ ταῦτα οὐ πολλαῖς ἡμέραις ὕστερον, ἦλθεν ἐξ ἀθηνῶν θυμοχάρης, ναῦς ἔχων ὀλίγας· καὶ εὐθὺς ἐναυμάχησαν αὖθις λακεδαιμόνιοι καὶ ἀθηναῖοι. ἐνίκησαν δὲ λακεδαιμόνιοι, ἡγουμένου ἡγησανδρίδου. μετ' ὀλίγον δὲ τούτων, δωριεὺς ὁ διαγόρου ἐκ ῥόδου εἰς ἑλλήσποντον εἰσέπλει, ἀρχομένου χειμῶνος, τέτταρσι καὶ δέκα ναυσὶν, ἅμα ἡμέρᾳ. κατιδὼν δὲ ὁ τῶν ἀθηναίων ἡμεροσκόπος, ἐσήμηνε τοῖς στρατηγοῖς. οἱ δὲ ἀνηγάγοντο ἐπ' αὐτὸν εἴκοσι ναυσίν· ἃς ὁ δωριεὺς φυγὼν, πρὸς τὴν γῆν ἀνεβίβαζε τὰς ἑαυτοῦ τριήρεις, ὡς ἤνοιγε περὶ τὸ ῥοίτειον. ἐγγὺς δὲ γενομένων τῶν ἀθηναίων, ἐμάχοντο ἀπό τε τῶν νεῶν, καὶ τῆς γῆς, μέχρις οἱ ἀθηναῖοι ἀπέπλευσαν εἰς μάδυτον, πρὸς τὸ ἄλλο στρατόπεδον, οὐδὲν πράξαντες. μίνδαρος δὲ κατιδὼν τὴν μάχην ἐν ἰλίῳ θύων τῇ ἀθηνᾷ, ἐβοήθει ἐπὶ τὴν θάλατταν, καὶ καθελκύσας τὰς ἑαυτοῦ τριήρεις, ἀπέπλει, ὅπως ἀναλάβῃ τὰς μετὰ δωριέως. οἱ δὲ ἀθηναῖοι ἀνταναγόμενοι, ἐναυμάχησαν περὶ ἄβυδον κατὰ τὴν ἠϊόνα μέχρι δείλης ἐξ ἑωθινοῦ. καὶ τὰ μὲν νικώντων, τὰ δὲ νικωμένων, ἀλκιβιάδης ἐπεισπλεῖ δυοῖν δεούσαιν εἴκοσι ναυσίν. ἐντεῦθεν δὲ φυγὴ τῶν πελοποννησίων ἐγένετο πρὸς τὴν ἄβυδον. καὶ ὁ φαρνάβαζος παρεβοήθει. καὶ ἐπεισβαίνων τῷ ἵππῳ εἰς τὴν θάλατταν μέχρι δυνατὸν ἦν, ἐμάχετο. καὶ τοῖς ἄλλοις τοῖς αὐτοῦ ἱππεῦσι, καὶ πεζοῖς παρεκελεύετο. ξυμπράξαντες δὲ τὰς ναῦς οἱ πελοποννήσιοι, καὶ παραταξάμενοι πρὸς τῇ γῇ ἐμάχοντο. ἀθηναῖοι δὲ ἀπέπλευσαν, τριάκοντα ναῦς τῶν πολεμίων λαβόντες κενὰς· καὶ ἃς αὐτοὶ ἀπώλεσαν, κομισάμενοι εἰς σηστόν. ἐντεῦθεν πλὴν τετταράκοντα νεῶν ἄλλαι ἄλλῃ ᾤχοντο ἐπ' ἀργυρολογίαν ἔξω τοῦ ἑλλησπόντου, καὶ ὁ θράσυλλος, εἷς ὢν τῶν στρατηγῶν, εἰς ἀθήνας ἔπλευσε ταῦτα ἐξαγγελῶν, καὶ στρατιὰν καὶ ναῦς αἰτήσων. μετὰ δὲ ταῦτα τισσαφέρνης ἦλθεν ἐς ἑλλήσποντον. ἀφικόμενον δὲ παρ' αὐτὸν μιᾷ τριήρει ἀλκιβιάδην, ξένιά τε καὶ δῶρα ἄγοντα, ξυλλαβὼν, εἶρξεν ἐν σάρδεσι, φάσκων κελεύειν βασιλέα πολεμεῖν ἀθηναίοις. ἡμέραις δὲ τριάκοντα ὕστερον, ἀλκιβιάδης ἐκ σάρδεων μετὰ μαντιθέου τοῦ ἁλόντος ἐν καρίᾳ, ἵππων εὐπορήσαντες, νυκτὸς ἀπέδρασαν ἐς κλαζομενάς. οἱ δ' ἐν σηστῷ ἀθηναῖοι αἰσθόμενοι μίνδαρον πλεῖν ἐπ' αὐτοὺς μέλλοντα, ναυσὶν ἑξήκοντα νυκτὸς ἀπέδρασαν ἐς καρδίαν. ἐνταῦθα δὲ καὶ ἀλκιβιάδης ἧκεν ἐκ τῶν κλαζομενῶν σὺν πέντε τριήρεσι, καὶ ἐπακτρίδι. πυθόμενος δὲ ὅτι αἱ τῶν πελοποννησίων νῆες ἐξ ἀβύδου ἀνηγμέναι εἶεν ἐς κύζικον, αὐτὸς μὲν πεζῇ ἦλθεν ἐς σηστὸν, τὰς δὲ ναῦς περιπλεῖν ἐκεῖσε ἐκέλευσεν. ἐπεὶ δ' ἦλθον, ἀνάγεσθαι ἤδη αὐτοῦ μέλλοντος ὡς ἐπὶ ναυμαχίαν, ἐπεισπλεῖ θηραμένης εἴκοσι ναυσὶν ἀπὸ μακεδονίας· ἅμα δὲ καὶ θρασύβουλος εἴκοσιν ἑτέραις ἐκ θάσου, ἀμφότεροι ἠργυρολογηκότες.

XENOPHONTIS RERVM GRAECARVM LIBER PRIMVS.

INDE haud multis interiectis diebus, uenit ab Athenis nauibus paucis Thymochares: rursusq; consertum praelio cõflixere nauali, Lacedaemonij & Athenienses, uicereq; Lacedaemonij, duce Hegesandride. Breui inde Dorieus Diagori filius, ex Rhodo cũ quatuordecim nauibus in Hellespontum profectus est, ineunte iam hyeme. Quem cum orto die Atheniensium uidisset speculator, signum dat ducibus: ad quod illi exciti, cum uiginti occurrerunt triremibus: quas Dorieus fugiens, in terram cum suis desilijt: naues quoq; ad Rhoeteum subduxit: sicq; Atheniensibus ingruentibus, terra mariq; resistebat. Athenienses itaq; frustra certamine inecto, re infecta Madytũ ad alium redicre exercitum. At Mindarus cum de pugna certior factus esset, sacrificio prius Ilij Mineruae facto, classeq; in mare deducta, ut Doreo opem ferret, obuiam ire parat. quem Athenienses iuxta Abydi litus, praelio excipiũt nauali. Cumq; anceps certamen ab ortu solis ad occasum usq; durasset, iamq; illi superarent, mox uincerentur, Alcibiades duodeuiginti nauibus in conspectum uenit. quo uiso, Peloponnenses fugam Abydum uersus cepere. Quibus Pharnabazus suppetias tulit, equo quantum permittebatur, mare ingressus, hostem propellebat, suosq; tam equites quàm pedites, ut idem facerent hortabatur. At Peloponnẽses iunctis nauibus, structisq; ordinibus, à terra resistebant. Tandem Athenienses abierunt triginta hostium nauibus uacuis captis, recuperatis etiam illis quas ipsi antea amiserant, omnesq; Sestum perduxerunt Inde praeter quadraginta naues, aliae alio ad tributum extra Hellespontũ exigẽdum, profectae sunt. Thrasylus uero e ducibus unus Athenas nauigauit, uictoriam nunciaturus, militesq; & naues in supplementũ petiturus. Post haec Tissaphernes in Hellespontũ uenit: ad quem Alcibiades triremi una cum munerib. delatus, ab eo captus, ac Sardis in custodiam missus est, sub praetextu mandati regij, quo Atheniensibus, ut ipse aiebat, bellum inferre iubebatur. Elapsis inde diebus triginta, Alcibiades ex Sardis cum Mãtitheo quodam, qui in in Caria captus fuerat, equis ad fugam usus, Clazomenas noctu aufugit. Athenienses interim qui ad Sestum stabant, cum rescissent Mindarum cum sexaginta aduentare nauibus, in Cardiam noctu profugerunt, quò etiam Alcibiades cum triremibus quinq;, & oneraria naui una, ex Clazomenis peruenit. Vbi edoctus Peloponnensem classem ex Abydo Cyzicum coactam esse, cum peditibus Sestum contendit, naues uero circumagi iussit. Quo cum peruenisset, iamq; ad praelium se accingeret naua[illegible] aduenit Theramenes ex Macedonia triremibus uiginti, simul & Thrasybulus cum alijs totid[illegible] ex Thaso, qui ambo ad exigendum tributum profe-

cti fuerant. Hos Alcibiades contractis maioribus uelis subsequi iussit, ipse in Parium nauigauit. Inde omnibus collectis nauibus (quae octoginta sex erant) nocte d[illegible] uero die sub prandij tempus Attici duces Pr[illegible]: ibi certiores facti Mindarum ac Pharnabazum cum peditatu apud Cyzicum cum copijs se continere, die illa ibi mansere. Postridie Alcibiades milites pro concione alloquutus, ostendit, ob stipendij inopiam, quod tamen abunde hostibus à rege subministraretur, necesse esse nauali, terrestri, ac murali decertare pugna: sicq; dimissa concione, pridie quàm inde solueret, tam minores quàm maiores ad se uenire praecepit naues: & ne hostibus classis magnitudo innotesceret, mortem indixit, si quis finibus excederet. Inde ad praelium nauale conuersus, Cyzicum uersus nauigauit, uehementi coorta pluuia. Mox ubi in Cyzici conspectum uentum est, serenum esse, ac sol fulgere coepit: simulq; sexaginta Mindari apparuere naues, ante portum se exercentes, sibiq; insultantes. Sed cum multo plures esse Atheniensium naues, quàm antea, conspexissent, iamq; portũ subeuntes, ad terrã Peloponnenses fugerunt, nauibusq; coactis, hostibus qui eos adoriebantur, resistebant. Alcibiades interim uiginti circumegit naues, militesq; in terram exposuit. Quod cum Mindarus uidisset, suos quoq; in littus desilire iussit, ubi ipse in primis pugnans occubuit: quo interempto, reliqui qui cum eo aderant, in fugam uersi sunt. Naues omnes, praeter Syracusanas, Athenienses Proconnesum perduxerunt: nam illas Syracusij, ne in hostium potestatem uenirent, incenderant. Inde postridie Cyzicum nauigauerunt. At Cyziceni, cum & à Pelopõnensibus & Pharnabazo destituti essent, deditionem fecere. Ibi Alcibiades dies remansit uiginti, grandi pecunia Cyzicenis mulctatis, nec ulla maiori calamitate ciuitatem affecit. Hinc Proconnesum reuersus est, ac inde Perinthum, & Selybriam nauigauit: & Perinthij exercitum in urbem receperunt: Selybrij uero, excluso illo, pecunias dedere. Inde Attici duces Chrysopolim Chalcedonis profecti sunt, & eam munierunt. Vectigal quoq; ibi constituerunt, & decimam quam ex Ponticis exigebant nauibus, in ea deposuerunt. Praesidium insuper triginta nauium, cum praefectis duobus, Theramene & Eubulo, ibi reliquerunt, dato mandato ut regionis & nauium curam gererent, hostesq; excursio ubiq; & quibuscunq; possent incommodis afficerent. alij uero duces in Hellespontum abierunt. Intercepta est interim epistola, ab Hippocrate Mindari filio, Laconicis scripta literis, ac Athenis missa, quae haec continebat: Perdita sunt bona: Mindarus cecidit: fame milites laborant: nos quid fieri oporteat, dubij sumus. Pharnabazus interea uniuerso tam Peloponnensium, quàm Syracusanorum conuocato exercitu, illos consolatus est: ostendens, ob lignorum iacturam, quorum uis magna apud regem esset, dolendũ non esse, praecipue cum corpora salua essent. Vestes quoq; et duorũ mensium stipendium, singulis distribuit militibus. Nautas insuper armauit, & praesidia ubiq; in locis constituit maritimis:

κότων. ἀλκιβιάδης δὲ εἰπὼν καὶ τούτοις διώκειν αὐτὸν, ἐξελομένοις τὰ μεγάλα ἱστία, αὐτὸς ἐπ[illegible] ἐς πάριον. ἀθρόαι δὲ γενόμεναι αἱ νῆες [illegible] ἅπασαι ἐν παρίῳ, ἓξ καὶ ὀγδοήκοντα, τῆς ἐπιούσης νυκτὸς ἀνηγάγοντο. καὶ τῇ ἄλλῃ ἡμέρᾳ περὶ ἀρίστου ὥραν ἧκον ἐς προικόννησον. ἐκεῖ δ' ἐπύθοντο ὅτι μίνδαρος ἐν κυζίκῳ εἴη, καὶ φαρνάβαζος μετὰ τοῦ πεζοῦ. ταύτην μὲν οὖν τὴν ἡμέραν αὐτοῦ ἔμειναν. τῇ δὲ ὑστεραίᾳ ἀλκιβιάδης ἐκκλησίαν ποιήσας, παρεκελεύετο αὐτοῖς ὅτι ἀνάγκη εἴη καὶ ναυμαχεῖν, καὶ πεζομαχεῖν, καὶ τειχομαχεῖν. οὐ γάρ ἐστιν, ἔφη, χρήματα ἡμῖν, τοῖς δὲ πολεμίοις ἄφθονα παρὰ βασιλέως. τῇ δὲ προτεραίᾳ, ἐπειδὴ ὡρμίσαντο, τὰ πλοῖα πάντα καὶ τὰ μικρὰ συνήθροισε παρ' ἑαυτόν, ὅπως μηδεὶς ἐξαγγείλῃ τοῖς πολεμίοις τὸ πλῆθος τῶν νεῶν. ἐπεκήρυξέ τε ὃς ἂν ἁλίσκηται ἐς τὸ πέραν διαπλέων, θάνατον τὴν ζημίαν. μετὰ δὲ τὴν ἐκκλησίαν, παρασκευασάμενος ὡς ἐπὶ ναυμαχίαν ἀνηγάγετο ἐπὶ τὴν κύζικον, ὕοντος πολλῷ. ἐπειδὴ δ' ἐγγὺς τῆς κυζίκου ἦν, αἰθρίας γενομένης, καὶ τοῦ ἡλίου ἐκλάμψαντος, καθορᾷ τὰς τοῦ μινδάρου ναῦς γυμναζομένας πόρρω ἀπὸ τοῦ λιμένος, καὶ ἀπειλημμένας ὑπ' αὐτοῦ, ἑξήκοντα οὔσας. οἱ δὲ πελοποννήσιοι ἰδόντες τὰς τῶν ἀθηναίων τριήρεις οὔσας πλείους τε πολλῷ ἢ πρότερον, καὶ πρὸς τῷ λιμένι, ἔφυγον ἐς τὴν γῆν. καὶ συνορμίσαντες τὰς ναῦς, ἐμάχοντο ἐπιπλέουσι τοῖς ἐναντίοις. ἀλκιβιάδης δὲ ταῖς εἴκοσι τῶν νεῶν περιπλεύσας, ἀπέβη ἐς τὴν γῆν. ἰδὼν δὲ ὁ μίνδαρος, καὶ αὐτὸς ἀποβὰς ἐν τῇ γῇ, μαχόμενος ἀπέθανεν. οἱ δὲ μετ' αὐτοῦ ὄντες, ἔφυγον. τὰς δὲ ναῦς οἱ ἀθηναῖοι ᾤχοντο ἄγοντες ἐς προικόννησον ἁπάσας, πλὴν τῶν συρακουσίων. ἐκείνας δὲ αὐτοὶ κατέκαυσαν οἱ συρακούσιοι. ἐκεῖθεν δὲ τῇ ὑστεραίᾳ ἔπλεον οἱ ἀθηναῖοι ἐπὶ κύζικον. οἱ δὲ κυζικηνοί, τῶν πελοποννησίων καὶ φαρναβάζου ἐκλιπόντων αὐτήν, ἐδέχοντο τοὺς ἀθηναίους. ἀλκιβιάδης δὲ μείνας αὐτοῦ εἴκοσιν ἡμέρας, καὶ χρήματα πολλὰ λαβὼν παρὰ τῶν κυζικηνῶν, οὐδὲν ἄλλο κακὸν ἐργασάμενος ἐν τῇ πόλει, ἀπέπλευσεν ἐς προικόννησον. ἐκεῖθεν δ' ἔπλευσεν ἐς πέρινθον, καὶ σηλυβρίαν. καὶ περίνθιοι μὲν εἰσεδέξαντο ἐς τὸ ἄστυ τὸ στρατόπεδον· σηλυβριανοὶ δὲ ἐδέξαντο μὲν οὔ, χρήματα δὲ ἔδοσαν. ἐντεῦθεν δ' ἀφικόμενοι τῆς χαλκηδονίας ἐς χρυσόπολιν, ἐτείχισαν αὐτήν, καὶ δεκατευτήριον κατεσκεύασαν ἐν αὐτῇ. καὶ τὴν δεκάτην ἐξελέγοντο τῶν ἐκ τοῦ πόντου πλοίων, καὶ φυλακὴν ἐγκαταλιπόντες ναῦς τριάκοντα, καὶ στρατηγὼ δύο, θηραμένην καὶ εὔβουλον, τοῦ τε χωρίου ἐπιμελεῖσθαι, καὶ τῶν ἐκπλεόντων πλοίων, καὶ εἴ τι ἄλλο δύναιντο βλάπτειν τοὺς πολεμίους. οἱ δ' ἄλλοι στρατηγοὶ ἐς τὸν ἑλλήσποντον ᾤχοντο. παρὰ δὲ ἱπποκράτους τοῦ μινδάρου ἐπιστολέως ἐς λακεδαίμονα γράμματα πεμφθέντα, ἑάλωσαν ἐς ἀθήνας, λέγοντα τάδε· ἔρρει τὰ καλά, μίνδαρος δ' ἀπεσσύα, πεινῶντι τ' ὤνδρες, ἀπορίομες τί χρὴ δρᾶν. φαρνάβαζος δὲ παντὶ τῷ τῶν πελοποννησίων στρατεύματι, καὶ τοῖς συρακουσίοις παρακελευσάμενος μὴ ἀθυμεῖν ἕνεκα ξύλων, ὡς ὄντων πολλῶν ἐν τῇ βασιλέως, ἕως ἂν τὰ σώματα σῷα ᾖ, ἱμάτιόν τ' ἔδωκεν ἑκάστῳ, καὶ ἐφόδιον δυοῖν μηνοῖν· καὶ ὁπλίσας τοὺς ναύτας, φυλακὰς κατέστησε τῆς ἑαυτοῦ παραθαλασσίας

θαλαττίας γῆς· καὶ ξυγκαλέσας τούς τε τῶν πόλεων στρατηγοὺς καὶ τριηράρχους, ἐκέλευσε ναυπηγεῖσθαι τριήρεις ἐν Ἀντάνδρῳ, ὅσας ἕκαστοι ἀπώλεσαν, χρήματά τε διδοὺς, καὶ ὕλην ἐκ τῆς Ἴδης κομίζεσθαι φράζων. ναυπηγουμένων δὲ οἱ Συρακούσιοι ἅμα τοῖς Ἀντανδρίοις τοῦ τείχους τι ἐπετέλεσαν, καὶ ἐν τῇ φρουρᾷ ἤρεσαν πάντων μάλιστα. διὰ ταῦτα δὲ εὐεργεσία τε, καὶ πολιτεία Συρακουσίοις ἐν Ἀντάνδρῳ ἐστί. Φαρνάβαζος μὲν οὖν ταῦτα διατάξας, εὐθὺς εἰς Χαλκηδόνα ἐβοήθει. ἐν δὲ τῷ χρόνῳ τούτῳ ἠγγέλθη τοῖς τῶν Συρακουσίων στρατηγοῖς, ὅτι φεύγοιεν οἴκοθεν ὑπὸ τοῦ δήμου. ξυγκαλέσαντες οὖν τοὺς ἑαυτῶν στρατιώτας, Ἑρμοκράτους προηγουμένου, ἀπωλοφύροντο τὴν ἑαυτῶν ξυμφοράν, ὡς ἀδίκως φεύγοιεν ἅπαντες παρὰ τὸν νόμον. παρῄνεσάν τε προθύμους εἶναι καὶ τὰ λοιπά, ὥσπερ τὰ πρότερα, καὶ ἄνδρας ἀγαθοὺς πρὸς τὰ ἀεὶ παραγγελλόμενα. ἑλέσθαι δὲ ἐκέλευον ἄρχοντας, μέχρις ἂν ἀφίκωνται οἱ ᾑρημένοι ἀντ' ἐκείνων. οἱ δ' ἀναβοήσαντες, ἐκέλευον ἐκείνους ἄρχειν, καὶ μάλιστα οἱ τριήραρχοι, καὶ οἱ ἐπιβάται, καὶ οἱ κυβερνῆται. οἱ δ' οὐκ ἔφασαν δεῖν στασιάζειν πρὸς τὴν ἑαυτῶν πόλιν. εἰ δέ τις ἐπικαλοίη τι αὐτοῖς, λόγον ἔφασαν χρῆναι διδόναι, μεμνημένους, ὅσας τε ναυμαχίας αὐτοὶ καθ' αὑτοὺς νενικήκατε, καὶ ναῦς εἰλήφατε, ὅσα τε μετὰ τῶν ἄλλων ἀήττητοι γεγόνατε, ἡμῶν ἡγουμένων, τάξιν ἔχοντες τὴν κρατίστην, διά τε τὴν ἡμετέραν ἀρετήν, καὶ τὴν ὑμετέραν προθυμίαν, καὶ κατὰ γῆν, καὶ κατὰ θάλατταν ὑπάρχουσαν. οὐδενὸς δὲ οὐδὲν ἐπαιτιωμένου δεομένων, ἔμειναν ἕως ἀφίκοντο οἱ ἀντ' ἐκείνων στρατηγοί, Δήμαρχός τε Ἐπιδόκου, καὶ Μύσκων Μενεκράτους, καὶ Πόταμις Γνωσίου. τῶν δὲ τριηράρχων ὀμόσαντες οἱ πλεῖστοι κατάξειν αὐτούς, ἐπὰν εἰς Συρακούσας ἀφίκωνται, ἀπεπέμψαντο ὅποι ἐβούλοντο, πάντας ἐπαινοῦντες. ἰδίᾳ δὲ οἱ πρὸς Ἑρμοκράτην προσομιλοῦντες, μάλιστα ἐπόθησαν τήν τε ἐπιμέλειαν, καὶ προθυμίαν, καὶ κοινότητα. ὧν γὰρ ἐγίνωσκε τοὺς ἐπιεικεστάτους τῶν τριηράρχων, καὶ κυβερνητῶν, καὶ ἐπιβατῶν, ἑκάστης ἡμέρας τὸ πρωῒ, καὶ πρὸς ἑσπέραν συναλίζων πρὸς τὴν σκηνὴν τὴν ἑαυτοῦ, ἀνεκοινοῦτο ὅ τι ἔμελλε λέγειν, ἢ πράττειν, κἀκείνους ἐδίδασκε, κελεύων λέγειν, τὰ μὲν ἀπὸ τοῦ παραχρῆμα, τὰ δὲ βουλευσαμένους. ἐκ τούτων Ἑρμοκράτης τὰ πολλὰ ἐν τῷ συνεδρίῳ εὐδόξει, λέγειν τε δοκῶν, καὶ βουλεύειν τὰ κράτιστα. κατηγορήσας δὲ Τισσαφέρνους ἐν Λακεδαίμονι Ἑρμοκράτης, μαρτυροῦντος καὶ Ἀστυόχου, καὶ δόξας τὰ ὄντα λέγειν, ἀφικόμενος παρὰ Φαρνάβαζον, πρὶν αἰτῆσαι χρήματα λαβών, παρεσκευάζετο πρὸς τὴν εἰς Συρακούσας κάθοδον ξένους τε καὶ τριήρεις. ἐν τούτῳ δὲ ἧκον οἱ διάδοχοι τῶν Συρακουσίων εἰς Μίλητον, καὶ παρέλαβον τὰς ναῦς, καὶ τὸ στράτευμα. ἐν Θάσῳ δὲ κατὰ τὸν καιρὸν τοῦτον στάσεως γενομένης, ἐκπίπτουσιν οἱ λακωνισταί, καὶ ὁ Λάκων ἁρμοστὴς Ἐτεόνικος. καταιτιαθεὶς δὲ ταῦτα πρᾶξαι σὺν Τισσαφέρνει Πασιππίδας ὁ Λάκων, ἔφυγεν ἐκ Σπάρτης. ἐπὶ δὲ τὸ ναυτικόν, ὃ ἐκεῖνος ἠθροίκει ἀπὸ τῶν συμμάχων, ἐξεπέμφθη Κρατησιππίδας, καὶ παρέλαβεν ἐν Χίῳ. περὶ δὲ τούτους τοὺς χρόνους Θρασύλλου ἐν Ἀθήναις ὄντος, Ἆγις ἐκ τῆς Δεκελείας προνομὴν ποιούμενος, πρὸς αὐτὰ τὰ τείχη ἦλθε τῶν Ἀθηναίων.

θρασύλλος

timis: conuocatisq; ex omnibus ciuitatibus, tam ducibus quàm trierarchis, illos classem aliam apud Antandrum ædificare, pristinumq; amissarum nauium numerum explere iussit: pecunias quoq; inter eos diuisit, ac materiã ex Ida sumere permisit. Cæteris igitur operi incũbentib. Syracusani ciuiũ auxilio Antãdrũ muro circundederũt, munitissimũq; reddiderũt: ob qđ beneficiũ Syracusani ab Antãdrys ciuitate donati sunt. Quæ cũ ita Pharnabazus cõstituisset, cõfestim Chalcedonis succurrit. Eodẽ tẽpore Syracusanis ducib. nũciatum est, eos domi exilio à populo dãnatos esse. Qua re audita, cõuocatis milutib. apud illos Hermocrates cõmunem deplorauit calamitatẽ, ac cõquestus est oẽs iniuste ac præter leges, in exiliũ actos esse. Insuper eos hortatus est, ut posthac strenuã, quẽ admodum antea fecerant, nauarent operam, cũctisq; semper obedirent mandatis. Iussit etiam duces eligere, qui ipsis quoad successores eorum aduenirent, præessent. Quibus milites obstrepentes, illos imperare iusserunt, & maxime trierarchi, propugnatores, & gubernatores. Illi uero responderunt, non decere seditione contra propriam decertare patriam: si uero accusarentur, posse omniũ quæ gessissent rationẽ reddere, quorum illos testes haberent optimos, cum scirent, quoties ductu eorum nauali uicissent prælio, quotq; naues cepissẽt, et quod inter alios inuicti huc usq; fuissent, id omne militari ducum uirtute, & militum audacia, quæ in terra ac mari enituisset, accidisse. Cum itaq; omnes his quæ dicebantur assentirẽtur, remansere, donec eorum successores aduenerũt, Demarchus Pidoci, & Myscon Menecrati filius, ac Potamis Gnosius. At trierarchi complures illis iureiurando promiserũt, si unquam Syracusas reuerti daretur, eos in patriã secum reducturos. Interim liberã abeundi quocunq; libitũ foret, dedere facultatẽ. Omnesq; pariter laudabant, præcipue uero Hermocratẽ miris extollebant præconijs, ob singularẽ diligentiã, industriam & humanitatẽ, quæ omnib. trierarchis, gubernatoribus, et militibus nota erat, cum quotidie ab ortu solis ad occasum usq;, circa suum uersarẽtur tabernaculum, sciscitantes quid dicendum, faciendumue esset. Quos ille egregie instituens, edocebat, quæ confestim essent proferenda, & quæ reticenda, seu deliberate loquenda: unde magnæ autoritatis existimationem, apud uniuersum consequutus est concilium, cum & loqui, & suadere utilissima quæq; uideretur. Tissaphernẽ quoq; Hermocrates Lacedæmone accusauit, astipulante etiam Astyocho: ac ut res se habebat dicere uisus est. Ad Pharnazabũ inde accessit, à quo spõte, priusquã pecunias peteret, abunde suscepit: inde se cum amicis & triremib. ad reditum Syracusas accingebat. Venere interim Miletum successores, ac naues & exercitum susceperunt. Eodẽ tempore ex Thaso, orta seditione, Lacones cum eorum præfecto Eteonico expulsi sunt, opera Pasippidæ exulis Spartani, & auxilio Tissaphernis. Cui successit Cratisippidas, qui naues, quas ille undique ex socijs collegerat, in Chio suscepit. Eo quoq; tempore cum Thrasylus Athenis esset, et Agis ex Decelea excursionẽ faciens, ad muros Athenensiũ usq; peruenisset.

Thrasy/

Thrasylus omnes tam Athenienses quàm alios qui præsto erant, ex urbe eduxit: instructaq; acie, circa Lyceum situm gymnasium, pugnare paratus, si propius hostes accessissent. Quod cum Agis cerneret, celeriter exercitum reduxit, amissis quibusdam, à leuis armaturæ interfectis. Quamobrem Athenienses lubenter Thrasylo parebant, ac quocunq; ducere uellet, sequi parati erant: necnō publice sibi pedites mille, equites centum, ac triremes quinquaginta decernunt. Agis interim cum ex Decelea plura uidisset nauigia frumento onusta, Piræum subire, nihil se egisse circumstantibus dicebat, quamuis tanto tempore Athenienses terræ usu prohibuisset, nisi etiam mari, ne frumentum inferre possent, intercluderentur. Optimum igitur ratus, Clearchum Ramphij filium, Chalcedonem & Byzantium mittere (nam et cum urbibus istis hospitalitas intercedebat) ut inde collectis nauibus, Athenienses à mari quoq; aggrederentur. Id cum fecisset, celeriter ab illis, ac Megarensibus, necnon socijs alijs, quindecim ut plurimum militares collegit naues. Sed cum in Hellespontum uenissent, tres ex eis ab nouem Atheniensium nauibus, quæ semper in oris illis excubabant, interceptæ sunt: reliquæ Sestum fugerunt, inde Byzantium in pacatum abiere. Annusq; desijt, in quo Carthaginienses duce Annibale, decem myriadibus Siciliam aggressi sunt, ubi trimestri spacio, duas græcas cepere ciuitates, Selinuntem, & Himeram. Insequenti anno, in quem incidit Olympias nonagesimatertia, qua curru Euagoras Eliensis uicit, in stadio uero Eubotas Cyrenæus, Ephoro apud Spartas Euarchippo, Athenis præsidente Euctemone, Athenienses Thoricum munierunt. At Thrasylus cum sibi decretas accepisset naues, quinque millia nautarum, quos cæteris immisceret militib. armauit, ac ineunte iā uere in Samum nauigauit: ubi cum tribus mansisset diebus, Pygelam profectus est, totumq; agrum ad muros usque, igni ac ferro populatus est. Cum uero ex Mileto quidam Pygelensibus opem tulissent, in Atticos leuis armaturæ milites hinc inde palantes, impetum fecere: quibus statim cetrati, & grauis armaturæ cohortes duæ succurrunt, Milesiosq; omnes, exceptis paucis, interfecerunt, & ferme ducentis potiti sunt scutis: trophæum quoq; erexerunt. Postridie Attica classis Notium nauigauit, inde instructa Colophonem transmisit. Cesserunt Colophonij uenienti Thrasylo. Ille uero nocte superueniente, Lydiam ingressus est, adulto iam frumento: ibiq; pluribus incensis uicis, ac multa capta pecunia, mortalium est uis ingens in prædam abducta. Stages uero Persa, qui ea præsidio obtinebat loca, Athenienses sparsos, & prædæ intentos aggressus est: ex quibus interfectis septem, unum cepit uiuum. Thrasylus inde ad mare abduxit exercitum, tanquam Ephesum nauigaturus. Quod cum Tissaphernes resciuisset, undiq; auxiliares contraxit copias, ac passim equites dimisit, qui cunctis nunciarent, ut Ephesum conuenirent, ac Dianæ opem ferrent. Thrasylus igitur decimaseptima post excursionem die Ephesum nauigauit, ac grauem armaturā ad Coressum, equites uero, ferentarios, classiarios, & omnes alios leuis armaturæ milites, ex altera urbis parte ad

Θρασύλος δὲ ἐξαγαγὼν Ἀθηναίους, καὶ τοὺς ἄλλους τοὺς ἐν τῇ πόλει ὄντας, ἅπαντας παρέταξε παρὰ τὸ Λύκειον γυμνάσιον, ὡς μαχούμενος, ἂν προσίωσιν. ἰδὼν δὲ ταῦτα Ἆγις, ἀπήγαγε ταχέως· καί τινες αὐτῶν ὀλίγοι τῶν ἐπὶ πᾶσιν ὑπὸ τῶν ψιλῶν ἀπέθανον. οἱ οὖν Ἀθηναῖοι τῷ Θρασύλῳ διὰ ταῦτα ἔτι προθυμότεροι ἦσαν ἐφ' ἃ ἧκε· καὶ ἐψηφίσαντο ὁπλίτας τε αὐτὸν καταλέξασθαι χιλίους, ἱππέας δὲ ἑκατόν, τριήρεις δὲ πεντήκοντα. Ἆγις δὲ ἐκ τῆς Δεκελείας ἰδὼν πλοῖα πολλὰ σίτου εἰς Πειραιᾶ καταθέοντα, οὐδὲν ὄφελος ἔφη εἶναι τοὺς μετ' αὐτοῦ πολὺν ἤδη χρόνον Ἀθηναίους εἴργειν τῆς γῆς, εἰ μή τις σχήσοι ὅθεν καὶ ὁ κατὰ θάλατταν σῖτος φοιτᾷ. κράτιστόν τε εἶναι καὶ Κλέαρχον τὸν Ῥαμφίου, πρόξενον ὄντα Βυζαντίων, πέμψαι εἰς Χαλκηδόνα τε καὶ Βυζάντιον. δόξαντος δὲ τούτου, πληρωθεισῶν νεῶν, ἔκ τε Μεγάρων, καὶ παρὰ τῶν ἄλλων ξυμμάχων πεντεκαίδεκα στρατιωτίδων μᾶλλον, ἢ ταχειῶν ᾤχετο. καὶ αὐτοῦ τῶν νεῶν τρεῖς ἀπόλλυνται ἐν τῷ Ἑλλησπόντῳ, ὑπὸ τῶν Ἀττικῶν ἐννέα νεῶν, αἳ ἀεὶ ἐνταῦθα τὰ πλοῖα διεφύλαττον· αἱ δ' ἄλλαι ἔφυγον εἰς Σηστόν. ἐκεῖθεν δὲ εἰς Βυζάντιον ἐσώθησαν. καὶ ὁ ἐνιαυτὸς ἔληγεν, ἐν ᾧ Καρχηδόνιοι Ἀννίβα ἡγουμένου στρατεύσαντες ἐπὶ Σικελίαν, δέκα μυριάσι στρατιᾶς αἱροῦσιν ἐν τρισὶ μησὶ δύο πόλεις Ἑλληνίδας, Σελινοῦντα καὶ Ἱμέραν. τῷ δὲ ἄλλῳ ἔτει, ᾧ ἦν Ὀλυμπιὰς τρίτη καὶ ἐνενηκοστή, ᾗ προστεθεῖσα ξυνωρὶς ἐνίκα Εὐαγόρου Ἠλείου, τὸ δὲ στάδιον, Εὐβώτας Κυρηναῖος, ἐπὶ ἐφόρου μὲν ὄντος ἐν Σπάρτῃ Εὐαρχίππου, ἄρχοντος δ' ἐν Ἀθήναις, Εὐκτήμονος, Ἀθηναῖοι μὲν Θορικὸν ἐτείχισαν. Θρασύλος δὲ τά τε ψηφισθέντα πλοῖα λαβών, καὶ πεντακισχιλίους τῶν ναυτῶν πελταστὰς ποιησάμενος, ὡς ἅμα καὶ πελτασταῖς ἐσομένοις, ἐξέπλευσεν ἀρχομένου τοῦ θέρους εἰς Σάμον. ἐκεῖ δὲ μείνας τρεῖς ἡμέρας, ἔπλευσεν εἰς Πύγελα. καὶ ἐνταῦθα τήν τε χώραν ἐδῄου, καὶ προσέβαλε πρὸς τὸ τεῖχος. ἐκ δὲ τῆς Μιλήτου βοηθήσαντές τινες τοῖς Πυγελεῦσι, διεσπαρμένους ὄντας τῶν Ἀθηναίων τοὺς ψιλούς, ἐδίωκον. οἱ δὲ πελτασταί, καὶ τῶν ὁπλιτῶν δύο λόχοι, βοηθήσαντες πρὸς τοὺς αὐτῶν ψιλούς, ἀπέκτειναν ἅπαντας τοὺς ἐκ Μιλήτου ἐκτὸς ὀλίγων. καὶ ἀσπίδας ἔλαβον ὡς διακοσίας, καὶ τρόπαιον ἔστησαν. τῇ δὲ ὑστεραίᾳ ἔπλευσαν εἰς Νότιον, καὶ ἐντεῦθεν παρασκευασάμενοι, ἐπορεύοντο εἰς Κολοφῶνα. Κολοφώνιοι δὲ προσεχώρησαν. καὶ τῆς ἐπιούσης νυκτὸς ἐνέβαλον εἰς τὴν Λυδίαν, ἀκμάζοντος τοῦ σίτου, καὶ κώμας τε πολλὰς ἐνέπρησαν, καὶ χρήματα ἔλαβον, καὶ ἀνδράποδα, καὶ ἄλλην λείαν πολλήν. Στάγης δὲ ὁ Πέρσης περὶ ταῦτα τὰ χωρία ὤν, ἐπεὶ οἱ Ἀθηναῖοι ἐκ τοῦ στρατοπέδου διεσκεδασμένοι ἦσαν κατὰ τὰς ἰδίας λείας, βοηθησάντων τῶν ἱππέων, ἕνα μὲν ζῶον ἔλαβεν, ἑπτὰ δὲ ἀπέκτεινε. Θρασύλος δὲ μετὰ ταῦτα ἀπήγαγεν ἐπὶ θάλατταν τὴν στρατιάν, ὡς εἰς Ἔφεσον πλευσούμενος. Τισσαφέρνης δὲ αἰσθόμενος τοῦτο τὸ ἐπιχείρημα, στρατιάν τε συνέλεγε πολλήν, καὶ ἱππέας ἀπέστελλε, παραγγέλλων πᾶσιν εἰς Ἔφεσον βοηθεῖν τῇ Ἀρτέμιδι. Θρασύλος δὲ ἑβδόμῃ καὶ δεκάτῃ ἡμέρᾳ μετὰ τὴν ἐσβολήν, εἰς Ἔφεσον ἔπλευσε. καὶ τοὺς μὲν ὁπλίτας εἰς τὸν Κορησσὸν ἀποβιβάσας, τοὺς δὲ ἱππέας καὶ πελταστὰς καὶ ἐπιβάτας, καὶ τοὺς ἄλλους πάντας πρὸς

πρὸς τὸ ἕλος ἐπὶ τὰ ἕτερα τῆς πόλεως, ἅμα τῇ ἡμέρᾳ, προσῆγε δύο στρατόπεδα. οἱ δ᾽ ἐκ τῆς πόλεως ἐβοήθησαν σφίσιν, οἵ τε σύμμαχοι, οὓς Τισσαφέρνης ἤγαγε, καὶ οἱ Συρακούσιοι, οἵ τ᾽ ἀπὸ τῶν προτέρων εἴκοσι νεῶν, καὶ ἀπὸ ἑτέρων πέντε, αἳ ἔτυχον τότε παραγενόμεναι νεωστὶ, ἄρχοντος μετὰ Εὐκλέους τε καὶ τοῦ Ἵππωνος, καὶ Ἡρακλείδου τοῦ Ἀριστογένους, στρατηγῶν, καὶ Σελινούσιαι δύο. οὗτοι δὲ πάντες πρῶτον μὲν πρὸς τοὺς ὁπλίτας τοὺς ἐν Κορησσῷ ἐβοήθησαν. τούτους δὲ τρεψάμενοι, καὶ ἀποκτείναντες ἐξ αὐτῶν ὡσεὶ ἑκατὸν, καὶ ἐς τὴν θάλασσαν καταδιώξαντες, πρὸς τοὺς παρὰ τὸ ἕλος ἐτράποντο. ἔφυγον δὲ κἀκεῖ οἱ Ἀθηναῖοι, καὶ ἀπώλοντο αὐτῶν ὡς τριακόσιοι. οἱ δὲ Ἐφέσιοι τρόπαιον ἐνταῦθα ἔστησαν, καὶ ἕτερον πρὸς τῷ Κορησσῷ. τοῖς δὲ Συρακουσίοις καὶ Σελινουσίοις, κρατίστοις γενομένοις, ἀριστεῖα ἔδωκαν, καὶ κοινῇ καὶ ἰδίᾳ πολλοῖς, καὶ οἰκεῖν ἀτέλειαν ἔδοσαν τῷ βουλομένῳ ἀεί. Σελινουσίοις δὲ, ἐπεὶ ἡ πόλις ἀπολώλει, καὶ πολιτείαν ἔδοσαν. οἱ δὲ Ἀθηναῖοι τοὺς νεκροὺς ὑποσπόνδους ἀπολαβόντες, ἀπέπλευσαν ἐς Νότιον· κἀκεῖ θάψαντες αὐτοὺς, ἔπλεον ἐπὶ Λέσβου καὶ Ἑλλησπόντου. ὁρμοῦντες δὲ ἐν Μηθύμνῃ τῆς Λέσβου, εἶδον παραπλεούσας ἐξ Ἐφέσου τὰς Συρακουσίας ναῦς πέντε καὶ εἴκοσι. καὶ ἐπ᾽ αὐτὰς ἀναχθέντες, τέτταρας μὲν ἔλαβον αὐτοῖς ἀνδράσι, τὰς δ᾽ ἄλλας κατεδίωξαν ἐς Ἔφεσον. καὶ τοὺς μὲν ἄλλους αἰχμαλώτους Θράσυλλος ἐς Ἀθήνας ἀπέπεμψε πάντας. Ἀλκιβιάδην δὲ Ἀθηναῖον, Ἀλκιβιάδου ὄντα ἀνεψιὸν καὶ ξυμφυγάδα, κατέλευσεν. ἐντεῦθεν δὲ ἔπλευσεν ἐς τὴν Σηστὸν πρὸς τὸ ἄλλο στράτευμα. ἐκεῖθεν δὲ ἅπασα ἡ στρατιὰ διέβη ἐς Λάμψακον, καὶ χειμὼν ἐπῄει, ἐν ᾧ οἱ αἰχμάλωτοι Συρακούσιοι εἰργμένοι τοῦ Πειραιῶς ἐν λιθοτομίαις, διορύξαντες τὴν πέτραν, ἀποδράντες νυκτὸς, ᾤχοντο ἐς Δεκέλειαν, οἱ δ᾽ ἐς Μέγαρα. ἐν δὲ τῇ Λαμψάκῳ συντάττοντος Ἀλκιβιάδου τὸ στράτευμα πᾶν, οἱ πρότεροι στρατιῶται οὐκ ἐβούλοντο τοῖς μετὰ Θρασύλλου συντάττεσθαι, ὡς αὐτοὶ μὲν ὄντες ἀήττητοι, ἐκεῖνοι δὲ ἡττημένοι ἥκοιεν. ἐνταῦθα δὴ ἐχείμαζον ἅπαντες, Λάμψακον τειχίζοντες, καὶ ἐστράτευσαν πρὸς Ἄβυδον. Φαρνάβαζος δ᾽ ἐβοήθησεν ἵπποις πολλοῖς, καὶ μάχῃ ἡττηθεὶς, ἔφυγεν. Ἀλκιβιάδης δὲ ἐδίωκεν, ἔχων τούς τε ἱππέας, καὶ τῶν ὁπλιτῶν εἴκοσι καὶ ἑκατὸν, ὧν ἦρχε Μένανδρος, μέχρι σκότος ἀφείλετο. ἐκ δὲ τῆς μάχης ταύτης συνέβησαν οἱ στρατιῶται αὐτοὶ αὐτοῖς, καὶ ἠσπάζοντο τοὺς μετὰ Θρασύλλου. ἐξῆλθον δέ τινας καὶ ἄλλας ἐξόδους τοῦ χειμῶνος ἐς τὴν ἤπειρον, καὶ ἐπόρθουν τὴν βασιλέως χώραν. τῷ δ᾽ αὐτῷ χρόνῳ καὶ Λακεδαιμόνιοι τοὺς ἐς Κορυφάσιον τῶν Εἱλώτων ἀφεστῶτας ἐκ Μαλέας ὑποσπόνδους ἀφῆκαν. κατὰ δὲ τὸν αὐτὸν καιρὸν καὶ ἐν Ἡρακλείᾳ τῇ Τραχινίᾳ Ἀχαιοὶ τοὺς ἐποίκους, ἀντιτεταγμένων πάντων πρὸς τοὺς Οἰταίους πολεμίους ὄντας, προέδοσαν, ὥστε ἀπολέσθαι αὐτῶν πρὸς ἑπτακοσίους σὺν τῷ ἐκ Λακεδαίμονος ἁρμοστῇ Λαβώτῃ. καὶ ὁ ἐνιαυτὸς ἔληγεν οὗτος, ἐν ᾧ καὶ Μῆδοι ἀπὸ Δαρείου τοῦ Περσῶν βασιλέως ἀποστάντες, πάλιν προσεχώρησαν αὐτῷ. τοῦ δ᾽ ἐπιόντος ἔτους, ὁ ἐν Φωκαίᾳ νεὼς τῆς Ἀθηνᾶς ἐνεπρήσθη, πρηστῆρος ἐμπεσόντος. ἐπεὶ δ᾽ ὁ χειμὼν ἔληγε, Παντακλέους μὲν

ad Elos exponit. Iamq; illucescente die, duobus progressus est exercitibus: cui ex urbe obuiam facti sunt socij, quos undiq; Tissaphernes in unum collegerat: necnon Syracusani, qui in prioribus uiginti aduenerant nauibus, & qui in alijs quinq;, cum ducibus Eucleo Hipponici, & Heraclide Aristogeni filijs nuper appulerant, necnon qui in duabus Selinusijs uenerant nauibus. Hi omnes in Coresso grauem aggressi armaturam, illam extemplo in fugam uerterunt, & centum circiter interfectis, reliquos ad mare usque persequuti sunt. Inde ad Elos uersi, reliquos quoque inuaserunt: qui & ipsi triginta circiter militibus amissis, fugæ se mandarunt. Ephesij uero trophæum ibi erexere: aliud quoq; in Coresso. Syracusani autem & Selinusij, ob egregie operam nauatam, magnis sunt muneribus publice ac priuatim donati. Data præterea cum immunitate perpetua ciuitas, ijs qui Ephesum incolere uoluerunt. Selinusios quoq; post euersam eorum ciuitatem, in urbem receperunt. Athenienses mortuis per inducias receptis, Notium petiere: ubi illis sepultis, in Lesbum ac Hellespontum profecti sunt. Vbi cum Methymnæo sederent portu, uigintiquinque Syracusanas naues ex Epheso aduentare conspexerunt, in quas impetum fecere, ac quatuor ex his cum militibus captis, reliquas Ephesum usque insecuti sunt. Thrasylus captiuos omnes Athenas deportari iußit, præter Alcibiadem Atheniensem, Alcibiadis nepotem, ac fugæ socium, quem interfici mandauit. Quo facto, Sestum ad aliam peruenit classem. Inde uniuersus Lampsacum descendit exercitus: & hyems exijt, in qua Syracusani captiui, qui in Piræo in lapidicinas coniecti fuerant, perfossa petra nocte, partim Deceleam, reliqui Megaram perfugerunt. Eodem tempore cum Alcibiades uniuersum Lampsaci congregaret exercitum, ueterani milites cum Thrasylianis militare recusauerunt: asserentes illos ut ignauos sæpius esse uictos ac fugatos, cum ipsi nunquam aliquo superati essent prælio. omnes tamen ibi hyemauerunt, & Lampsacum militari communierunt opere: necnon Abydum aggreßi sunt, & Pharnabazum qui Abydenis copioso equitatu suppetias uenerat, prælio superauerunt: quem fugientem Alcibiades equitatu ac peditibus centum uiginti, quibus Menander præerat, longe persequutus est: sed ille noctis beneficio ex hostium manibus ereptus est. Secundum prosperam eam pugnam, milites inuicem reconciliati sunt, & ueterani Thrasylianos amice salutauerunt. Eadem etiam hyeme, in continentem Asiæ oram aliquoties cum populatione effusi, magna clade hostium regionem afflixerunt. Per id tempus Lacedæmonij Helotas, qui ex Malea in Coryphasium transfugerant, sub conditione receptos dimiserunt: & Heraclienses ab Achæis, à quibus in ciuili administratione dissentiebant, Oetæis sunt hostibus proditi, eorumq; septingenti occidione occisi, cum præfecto Lacedæmonio Labote. Hoc quoq; anno Medi, cum à Dario Persarum rege defecissent, rursus subacti sunt. Et in Phocæa Palladis templum fulmine ictum conflagrauit. Sub exitum hyemis, Pantacleo Ephoro,

Euboro, præsidente Athenis Antigene, ineunte iam uere, secundo & uigesimo huius belli anno, Athenienses uniuersis copijs Proconnesum nauigauerunt: inde Chalcedonem & Byzantium mouerunt, Chalcedonémque totis obsederunt uiribus. At Chalcedonenses cum certiores de Atheniensium aduentu facti essent, fortunas suas omnes apud eorum uicinos, Bithynos deponunt Thraces. Id cum Alcibiades resciuisset, nauibus subsequi iussis, ipse cum equitibus & nonnullis copijs pedestribus, in Bithynorum peruenit fines, sibiq; Chalcedonensium opes tradi iussit, aut se hostium loco illos habiturum comminatus est. Quibus illi perterriti minis, confestim paruere. Alcibiades itaq; receptis spolijs, cum laude in castra reuersus, Chalcedonem uniuerso exercitu, à mari & flumine, usque ad mare alterum, muro cinxit ligneo. Quod cum Hippocrates Lacedæmoniorum considerasset præfectus, eductis copijs pugnandi fecit potestatem: nec Athenienses certamen detrectauere. Pharnabazus interim ex alia parte, magnis cum pedestribus tum equestribus copijs munitiones aggressus est. Inter Hippocraten uero & Thrasylum aliquandiu ancipiti decertatum est prælio, quousque Alcibiades equitibus & nonnullis succurrit peditibus: tunc Hippocrates cecidit, sui uero in urbem refugerunt. Pharnabazus uero cum propter fluminis angustias, ac munitionum propinquitatem, Hippocrati coniungi non ualeret, in Heracleam Chalcedonensium recessit, ubi & castra habebat. Post hanc uictoriam Alcibiades in Hellespontum & Cherronesum ad legendas pecunias profectus est. Interea cæteri duces cum Pharnabazo de Chalcedone conuenere, ut persolutis uiginti talentis, Atheniensium legatos ad regem deduceret, præstito utrinque iuramento, ut Chalcedonenses soluto Atheniensibus tributo, quemadmodum antea consueuerant, debitas quoque illis redderent pecunias: interim Athenienses illis bellum non inferrent, quousque ad regem missi legati redirent. Alcibiades cum hæc agerentur præsens non erat: sed paulo post capta Selybria, cum copioso exercitu, Cherronensibus uniuersis, & Thracibus militibus, ac plus quàm tercentum equitibus, Byzantium reuersus est: quem Pharnabazus Chalcedone, donec à Byzantio ueniret, expectauit, ut ab illo iuramentum exigeret. Ille uero cum aduenisset iurare renuit, nisi è conuerso Pharnabazus sibi quoque iuramentum præstaret. Conuenere tandem, ut hinc inde data & accepta fide, ne quis publice seu priuatæ alteri iniuriam inferret, ambo iurarent, ille Chrysopoli, his quos id Pharnabazus miserat, Metrobati & Arnapi: ipse autem Chalcedoni, Euryptolemo & Diotimo. Quo facto Pharnabazus statim inde discessit, legatis qui ad regem ituri erant, Cyzicum conuenire iussis. Mittebantur ab Atheniensibus Dorotheus, Philodices, Theogenes, Euryptolemus & Mantitheus: cum quibus proficiscebantur Cleostratus & Pirrholochus, Argiui. Lacedæmoniorum quoq; cum illis commeabant legati, Pasippides, & alij nonnulli: cum quibus ueneræ Hermocrates

iam

μὲν ἐφορεύοντος, ἄρχοντος δ' Ἀντιγένους, [illegible] ἀρχομένου, δυοῖν καὶ εἴκοσιν ἐτῶν τοῦ πολέμου παρεληλυθότων, οἱ Ἀθηναῖοι ἔπλευσαν εἰς Προικόννησον παντὶ τῷ στρατοπέδῳ. ἐκεῖθεν δ' ἐπὶ Χαλκηδόνα καὶ Βυζάντιον ὁρμήσαντες, ἐστρατοπεδεύσαντο πρὸς Χαλκηδόνι. οἱ δὲ Χαλκηδόνιοι προσιόντας αἰσθόμενοι τοὺς Ἀθηναίους, τὴν λείαν ἅπασαν κατέθεντο εἰς τοὺς Βιθυνοὺς, Θρᾷκας ἀστυγείτονας ὄντας. Ἀλκιβιάδης δὲ λαβὼν τῶν τε ὁπλιτῶν ὀλίγους, καὶ τοὺς ἱππέας καὶ τὰς ναῦς παραπλεῖν κελεύσας, ἐλθὼν εἰς τοὺς Βιθυνοὺς, ἀπῄτει τὰ τῶν Χαλκηδονίων χρήματα· εἰ δὲ μὴ, πολεμήσειν ἔφη αὐτοῖς. οἱ δὲ ἀπέδοσαν. Ἀλκιβιάδης δὲ ἐπεὶ ἧκεν εἰς τὸ στρατόπεδον, τήν τε λείαν ἔχων, καὶ πίστεις πεποιημένος, ἀπετείχιζε τὴν Χαλκηδόνα παντὶ τῷ στρατοπέδῳ, ἀπὸ θαλάττης εἰς θάλατταν, καὶ τοῦ ποταμοῦ, ὅσον τε ἦν ξυλίνῳ τείχει. ἐνταῦθα Ἱπποκράτης μὲν ὁ Λακεδαιμόνιος ἁρμοστὴς ἐκ τῆς πόλεως ἐξήγαγε τοὺς στρατιώτας ὡς μαχούμενος. οἱ δὲ Ἀθηναῖοι ἀντιπαρετάξαντο αὐτῷ. Φαρνάβαζος δὲ ἔξω τῶν περιτειχισμάτων προσεβοήθει στρατιᾷ τε καὶ ἵπποις πολλοῖς. Ἱπποκράτης μὲν οὖν καὶ Θράσυλος ἐμάχοντο, ἑκάτερος τοῖς ὁπλίταις χρόνον πολὺν, μέχρις Ἀλκιβιάδης ἔχων ὁπλίτας τέ τινας, καὶ τοὺς ἱππέας ἐβοήθησε. καὶ Ἱπποκράτης μὲν ἀπέθανεν, οἱ δὲ μετ' αὐτοῦ ὄντες, ἔφυγον εἰς τὴν πόλιν. ἅμα δὲ καὶ Φαρνάβαζος οὐ δυνάμενος συμμῖξαι πρὸς τὸν Ἱπποκράτην, διὰ τὴν στενοχωρίαν τοῦ ποταμοῦ, καὶ τῶν ἀποτειχισμάτων ἐγγὺς ὄντων, ἀπεχώρησεν εἰς τὸ Ἡράκλειον τὸ τῶν Χαλκηδονίων, οὗ ἦν αὐτῷ τὸ στρατόπεδον. ἐκ τούτου δὲ Ἀλκιβιάδης μὲν ᾤχετο εἰς τὸν Ἑλλήσποντον, καὶ εἰς Χερρόνησον, χρήματα πράξων. οἱ δὲ λοιποὶ στρατηγοὶ συνεχώρησαν πρὸς Φαρνάβαζον ὑπὲρ Χαλκηδόνος εἴκοσι τάλαντα δοῦναι Ἀθηναίοις Φαρνάβαζον, καὶ ὡς βασιλέα πρέσβεις Ἀθηναίων ἀναγαγεῖν. καὶ ὅρκους ἔλαβον, καὶ ἔδοσαν πρὸς Φαρνάβαζον ὑποτελεῖν τὸν φόρον Χαλκηδονίους Ἀθηναίοις, ὅσον περ εἰώθεσαν, καὶ τὰ ὀφειλόμενα χρήματα ἀποδοῦναι. Ἀθηναίους δὲ μὴ πολεμεῖν Χαλκηδονίοις, ἕως ἂν οἱ παρὰ βασιλέως πρέσβεις ἔλθωσιν. Ἀλκιβιάδης δὲ τοῖς τε ὅρκοις οὐκ ἐτύγχανε παρὼν, ἀλλὰ περὶ Σηλυβρίαν ἦν. κείνην δ' ἑλὼν, πρὸς τὸ Βυζάντιον ἧκεν, ἔχων Χερρονησίτας τε πανδημεὶ, καὶ ἀπὸ Θρᾴκης στρατιώτας, καὶ ἱππέας πλείους τριακοσίων. Φαρνάβαζος δὲ ἀξιῶν δεῖν κἀκεῖνον ὀμνύναι, περιέμενεν ἐν Χαλκηδόνι, μέχρις ἔλθῃ ἐκ τοῦ Βυζαντίου. ἐπεὶ δ' ἦλθεν, οὐκ ἔφη ὀμεῖσθαι, εἰ μὴ κἀκεῖνος αὐτῷ ὀμεῖται. μετὰ ταῦτα ὤμοσεν, ὁ μὲν ἐν Χρυσοπόλει, οἷς Φαρνάβαζος ἔπεμψε, Μητροβάτει, καὶ Ἀρνάπει· ὁ δ' ἐν Χαλκηδόνι τοῖς παρ' Ἀλκιβιάδου, Εὐρυπτολέμῳ, καὶ Διοτίμῳ, τόν τε κοινὸν ὅρκον, καὶ ἰδίᾳ, καὶ ἀλλήλοις πίστεις ἐποιήσαντο. Φαρνάβαζος μὲν οὖν εὐθὺς ἀπῄει, καὶ τοὺς παρὰ βασιλέα πορευομένους πρέσβεις ἀπαντᾶν ἐκέλευσεν εἰς Κύζικον. ἐπέμφθησαν δὲ Ἀθηναίων μὲν Δωρόθεος, Φιλοδίκης, Θεογένης, Εὐρυπτόλεμος, Μαντίθεος. σὺν δὲ τούτοις Ἀργεῖοι, Κλεόστρατος, Πυρρόλοχος. ἐπορεύοντο δὲ καὶ Λακεδαιμονίων πρέσβεις, Πασιππίδας, καὶ ἕτεροι. μετὰ δὲ τούτων καὶ Ἑρμοκράτης,

ἤδη

ἤδη φεύγων ἐκ συρακουσῶν, καὶ ὁ ἀδελφὸς αὐτοῦ πρόξενος. καὶ φαρνάβαζος μὲν τούτους ἦγεν. οἱ δὲ ἀθηναῖοι τὸ βυζάντιον ἐπολιόρκουν περιτειχίσαντες, καὶ πρὸς τὸ τεῖχος ἀκροβολισμοὺς, καὶ προσβολὰς ἐποιοῦντο. ἐν δὲ τῷ βυζαντίῳ ἦν κλέαρχος λακεδαιμόνιος ἁρμοστὴς, καὶ σὺν αὐτῷ τῶν περιοίκων τινὲς, καὶ τῶν νεοδαμωδῶν οὐ πολλοὶ, καὶ μεγαρεῖς, καὶ ἄρχων αὐτῶν ἕλιξος μεγαρεὺς, καὶ βοιωτοὶ, καὶ τούτων ἄρχων κοιρατάδας. οἱ δ' ἀθηναῖοι, ὡς οὐδὲν ἐδύναντο διαπράξασθαι κατ' ἰσχὺν, ἔπεισάν τινας τῶν βυζαντίων προδοῦναι τὴν πόλιν. κλέαρχος δὲ ὁ ἁρμοστὴς, οἰόμενος οὐδένα ἂν τοῦτο ποιῆσαι, καταστήσας δὲ ἅπαντα ὡς ἐδύνατο κάλλιστα, καὶ ἐπιτρέψας τὰ ἐν τῇ πόλει κοιρατάδᾳ καὶ ἑλίξῳ, διέβη παρὰ τὸν φαρνάβαζον εἰς τὸ πέραν, μισθόν τε τοῖς στρατιώταις παρ' αὐτοῦ ληψόμενος, καὶ ναῦς συλλέξων, αἳ ἦσαν ἐν τῷ ἑλλησπόντῳ ἄλλαι, καταλελειμμέναι φρουρίδες ὑπὸ πασιππίδου· καὶ ἐν ἀντάνδρῳ, καὶ ἃς ἡγησανδρίδας εἶχεν ἐπὶ θρᾴκης, ἐπιβάτης ὢν μινδάρου, καὶ ὅπως ἄλλαι ναυπηγηθείησαν. ἀθρόαι δὲ γενόμεναι πᾶσαι, κακῶς τοὺς τῶν ἀθηναίων συμμάχους ποιοῦσαι, ἀποσπάσειαν τὸ στρατόπεδον ἀπὸ τοῦ βυζαντίου. ἐπεὶ δ' ἐξέπλευσεν ὁ κλέαρχος, οἱ προδιδόντες τὴν πόλιν τῶν βυζαντίων, κύδων, καὶ ἀρίστων, καὶ ἀναξικράτης, καὶ λυκοῦργος, καὶ ἀναξίλαος, ὃς ὑπαγόμενος θανάτου ὕστερον ἐν λακεδαίμονι διὰ τὴν προδοσίαν, ἀπέφυγεν, ὅτι οὐ προδοίη τὴν πόλιν, ἀλλὰ σῶσαι, παῖδας ὁρῶν, καὶ γυναῖκας λιμῷ ἀπολλυμένας, βυζάντιος ὢν, καὶ οὐ λακεδαιμόνιος. τὸν γὰρ ἐνόντα σῖτον, κλέαρχον τοῖς λακεδαιμονίων στρατιώταις διδόναι. διὰ ταῦτ' οὖν τοὺς πολεμίους ἔφη εἰσέσθαι, οὐκ ἀργυρίου ἕνεκα, οὐδὲ διὰ τὸ μισεῖν λακεδαιμονίους. ἐπεὶ δὲ αὐτοῖς παρεσκεύαστο, νυκτὸς ἀνοίξαντες τὰς πύλας τὰς ἐπὶ τὸ θρᾴκιον καλουμένας, εἰσήγαγον τὸ στράτευμα, καὶ τὸν ἀλκιβιάδην. ὁ δὲ ἕλιξος, καὶ ὁ κοιρατάδας οὐδὲν τούτων εἰδότες, ἐβοήθουν μετὰ πάντων εἰς τὴν ἀγοράν. ἐπεὶ δὲ πάντῃ οἱ πολέμιοι κατεῖχον, οὐδὲν ἔχοντες ὅ, τι ποιήσαιεν, παρέδοσαν σφᾶς αὐτούς. καὶ οὗτοι μὲν ἀπεπέμφθησαν εἰς ἀθήνας. καὶ ὁ κοιρατάδας ἐν τῷ ὄχλῳ ἀποβαινόντων ἐν πειραιεῖ, ἔλαθεν ἀποδρὰς, καὶ ἀπεσώθη εἰς δεκέλειαν. φαρνάβαζος δὲ καὶ οἱ πρέσβεις τῆς φρυγίας, ἐν γορδίῳ ὄντες τὸν χειμῶνα, τὰ περὶ τὸ βυζάντιον πεπραγμένα ἤκουσαν. ἀρχομένου δὲ τοῦ ἔαρος, πορευομένοις αὐτοῖς παρὰ βασιλέα, ἀπήντησαν καταβαίνοντες οἵ τε λακεδαιμονίων πρέσβεις, βοιώτιος ὄνομα, καὶ οἱ μετ' αὐτοῦ, καὶ οἱ ἄλλοι ἄγγελοι. καὶ ἔλεγον ὅτι λακεδαιμόνιοι πάντων ὧν δέονται πεπραγότες εἶεν παρὰ βασιλέως, καὶ κῦρος ἄρξων πάντων τῶν ἐπὶ θαλάττῃ, καὶ συμπολεμήσων λακεδαιμονίοις, ἐπιστολήν τε ἔφερε τοῖς κάτω πᾶσι, τὸ βασίλειον ἔχουσαν σφράγισμα, ἐν ᾗ ἐνῆν καὶ τάδε. καταπέμπω κῦρον κάρανον τῶν εἰς καστωλὸν ἀθροιζομένων. τὸ δὲ κάρανον, ἐστὶ κύριον. ταῦτ' οὖν ἀκούοντες οἱ τῶν ἀθηναίων πρέσβεις, καὶ ἐπειδὴ κῦρον εἶδον, ἐβούλοντο μὲν μάλιστα παρὰ βασιλέα ἀναβῆναι· εἰ δὲ μὴ, οἴκαδε ἀπελθεῖν. κῦρος δὲ φαρναβάζῳ εἶπεν, ἢ παραδοῦναι τοὺς πρέσβεις ἑαυτῷ, ἢ μὴ οἴκαδέ πω ἀποπέμψαι, βουλόμενος τοὺς ἀθηναίους μὴ εἰδέναι τὰ πραττόμενα. φαρνάβαζος δὲ, τέως μὲν κατεῖχε τοὺς πρέσβεις, φάσκων

iam à Syracusis extorris, & frater illius Proxenus: hos omnes Pharnabazus deducebat. Interea Athenienses totis uiribus Byzantium obsederunt, & muro circundederunt ligneo, unde quotidie leuia committebantur prælia. Præerat urbi Clearchus Lacedæmonius armostes, cum accolis quibusdam, & tyronibus haud ita multis, necnon Megarensibus, & Bœotijs, quorum dux Helixus erat, Bœotiorum uero Cratades. Athenienses igitur cum aperta ui ni-
10 hil se proficere cernerent, clàm cum quibusdam egére Byzantinis, ut urbem illis proderent. Clearchus interim cum nihil tale suspicaretur, rectè quantũ poterat cunctis dispositis, Cratade & Helixo militibus præesse iussis, ipse ad Pharnabazum proficiscitur, ut cum illo de militum stipendio, qui ad præsidium urbis relicti erant, ageret, & ut naues quæ in Hellesponti ora sub Pasippide excubabant, accerseret: necnon eas quæ apud Antandrum erant, ac in Thraciæ sub Hegesandro Mindari legato, & si
20 quæ aliæ ædificatæ erant, ut omnibus collectis, Atheniensium socios aliquo insigni afficeret clade, sicque Athenienses à Byzantij distraheret obsidione. Vix discesserat Clearchus, cum proditores Cydon, & Aryston, Anaxicrates, Lycurgus, ac Anaxilaus, qui postea Lacedæmone capitis reus, cum ob hanc accusaretur proditionem, absolutus est, quod non tam urbem prodidisse, quàm seruasse uideretur, cum cerneret pueros & mulieres inedia perire, præcipue cum Byzantinus & non La-
30 cedæmonius esset: Clearchus enim frumentum quod supererat omne, præsidiarijs distribuerat militibus: hanc enim ob causam, clàm hostes introduxisse aiebat, & non lucri cupiditate, seu Lacedæmoniorum odio. Illi igitur cum omnia ad proditionem composita essent, nocte apertis portis quæ Thraciæ appellantur, Alcibiaden cum uniuerso in urbem recepere exercitu. At Helixus & Cratades omnium ignari, facto agmine ad forum occurrunt: sed cum ab hostibus cuncta obsessa, & se
40 frustra niti cernerent, deditionem ipsi quoque fecere. qui omnes Athenas missi sunt: ex quibus Cratades, in turba cum in Piræo è nauibus egrederentur delituit, & aufugit, saluusq; Deceleam euasit. Pharnabazus autem & legati cum in Gordio Phrygiæ hybernarent, quæ circa Byzantium acciderant, audiuerunt: cumq; sub initium ueris ad regem ascenderent, fiunt illis in itinere obuiam Lacedæmoniorum legati, Biotius cum plerisq; alijs, à quo Lacedæmonios omnia quæ à rege petierant,
50 impetrasse audiuerunt. Nunciarunt hi quoque Cyrum uniuersæ oræ maritimæ præfectum esse, speciali mandato, ut Lacedæmonios bello iuuaret: epistolamq; hæc continentem, ac regio sigillo munitam, ad omnes regios ferebant subditos. Quæ cum Athenienium audissent legati, uidissentq; Cyrum, summopere regem adire cupiebant: uel si id non daretur, domum reuerti desiderabant. Cyrus uero Pharnabazum sibi legatos uel tradere, aut saltem missos facere iussit, uolens illos ablegare, ut quid ageretur ignorarent. Sed illos Pharnabazus suspensos tenebat,

tamq;

iamq; ad regem deducere simulabat, mox ne fraudis insimulari posset, domum dimittere uelle aiebat. Elapso tandem triennio Cyrum rogauit, ut illos missos faceret, ostendens se iurasse, ut eos si minus ad regem, ad mare saltem deduceret: quapropter illos ad Ariobarzanem miserunt, ac ut eos conduceret imperauerunt: qui & ad Cium Mysiæ eos deduxit: inde ad Atheniensium peruenerunt exercitum. Alcibiades interim cum domum cum militibus proficisci uellet, Samum uenit: inde cum uiginti nauibus in Ceramicum, qui in Caria est, nauigauit sinum, ubi centum exactis talentis, Samum reuersus est. Thrasybulus uero cum triginta nauibus in Thraciam profectus est. ubi regiones alias quæ adhuc cum Lacedæmonijs sentiebant, subegit: necnon Thasum bello, fame, seditione ac peste uexatam, occupauit. Thrasylus cum reliquo exercitu Athenas nauigauit. Elegerunt interim Athenienses duces tres, Alcibiaden exulem, Thrasybulum absentem, & Cononem præsentem. Alcibiades ex Samo cum pecunijs & nauibus uiginti in Parum nauigauit, ibique substitit, obseruans triremes triginta, quas Lacedæmonios ibi instruere audiebat: simul & quo animo, antequam domum reuerteretur, in eum ciuitas esset, cognosceret. Quam cum sibi beneuolam, ac conciliatam intellexisset, seq; ducem electum, uocantibus etiam priuatim necessarijs, in Piræum nauigauit, die qua Plynteria celebrabat ciuitas, & Palladis clauditur templum: quod festum necessarium aliqui sibi ac uniuersæ esse arbitrantur ciuitati: nullus etenim Atheniensium, etiam summa coactus necessitate, aliquid die illa operari audet. Tota interim ciuitas ex Pyræo & urbe, uidendi hominis studio, ad portum effusa est, ipsumq; summis extollebant laudibus, prædicantes omnium ciuium esse fortissimum, iniusteque inimicorum insidijs circumuentum, in exilium pulsum esse, qui nec eloquio, aut ulla alia uirtute ipsi conferri possent, sed lucri proprij gratia rempublicam turbarent: illum uero cum publicis, tum priuatis uiribus commune semper quæsiuisse bonum: & quamuis causa, in qua tanquam impius & mysteriorum uiolator delatus est, protinus cognosci debuisset, à potentioribus tamen inimicis callide dilatam fuisse: inde absentem damnatum, & in exilium actum esse. Eo uero tempore consilij inopia coactum, etiam maximo & quotidiano capitis periculo, inimicissimis adhærere hominibus: cumque uidisset familiares, ciues, propinquos, ciuitatem denique uniuersam, errantes, exilio impeditum succurrere non potuisse. quod si illi similes extitissent, non necesse fuisse rerum innouatione, immutationeue: proinde in coætaneorum numero illum excellere, seniorum uero non inferiorem esse. Quod si inimicorum contra eum factio usquequaque durasset, optimi quique ab illis sublati forent cum uero ipsi depressi essent, ideo eum a ciuibus amari debere, quod reliquis optimatibus ex sententia sua abuti non ualerent. cæterum cum præteritorum malorũ sibiipsis causa fuissent, ferrent etiã peri-

cu/

φάσκων τότε μὲν ἀνάξειν αὐτοὺς παρὰ βασιλέα, τότε δὲ οἴκαδε ἀποπέμψειν, ὡς μηδὲν μέμψηται. ἐπειδὴ δὲ ἐνιαυτοὶ τρεῖς ἦσαν, ἐδεήθη τοῦ Κύρου ἀφεῖναι αὐτούς, φάσκων ὀμωμοκέναι ἀπάξειν ἐπὶ θάλατταν, ἐπειδὴ οὐ παρὰ βασιλέα. πέμψαντες δὲ ἀριοβαρζάνει, παρακομίσαι αὐτοὺς ἐκέλευον. ὁ δὲ ἀπήγαγεν εἰς κίον τῆς μυσίας, ὅθεν πρὸς τὸ ἄλλο στρατόπεδον ἀπέπλευσαν. ἀλκιβιάδης δὲ βουλόμενος μετὰ τῶν στρατιωτῶν ἀποπλεῖν οἴκαδε, ἀνήχθη εὐθὺς ἐπὶ σάμου. ἐκεῖθεν δὲ λαβὼν τῶν νεῶν εἴκοσιν, ἔπλευσε τῆς καρίας εἰς τὸν κεραμικὸν κόλπον. ἐκεῖθεν δὲ συλλέξας ἑκατὸν τάλαντα, ἧκεν εἰς τὴν σάμον. θρασύβουλος δὲ σὺν τριάκοντα ναυσὶν ἐπὶ θρᾴκης ᾤχετο. ἐκεῖθεν δὲ τά τε ἄλλα χωρία τὰ πρὸς λακεδαιμονίους μεθεστηκότα κατεστρέψατο, καὶ θάσον ἔχουσαν κακῶς, ὑπό τε τῶν πολέμων, καὶ στάσεων, καὶ λιμοῦ. θρασύλος δὲ σὺν τῇ ἄλλῃ στρατιᾷ εἰς ἀθήνας κατέπλευσε. πρὶν δὲ ἥκειν αὐτόν, οἱ ἀθηναῖοι στρατηγοὺς εἵλοντο, ἀλκιβιάδην μὲν φεύγοντα, καὶ θρασύβουλον ἀπόντα, κόνωνα δὲ τρίτον ἐκ τῶν οἴκοθεν. ἀλκιβιάδης δ' ἐκ τῆς σάμου ἔχων τὰ χρήματα κατέπλευσεν εἰς πάρον ναυσὶν εἴκοσιν. ἐκεῖθεν δ' ἀνήχθη εὐθὺ γυθείου ἐπὶ κατασκοπὴν τῶν τριήρων, ἃς ἐπυνθάνετο λακεδαιμονίους αὐτόθι παρασκευάζειν τριάκοντα, καὶ τοῦ οἴκαδε κατάπλου ὅπως ἡ πόλις πρὸς αὐτὸν ἔχει. ἐπεὶ δ' ἑώρα ἑαυτῷ εὔνουν οὖσαν, καὶ στρατηγὸν αὐτὸν ᾑρημένους, καὶ ἰδίᾳ μεταπεμπομένους τοὺς ἐπιτηδείους, κατέπλευσεν εἰς τὸν πειραιᾶ ἡμέρᾳ, ᾗ πλυντήρια ἦγεν ἡ πόλις, τοῦ ἕδους κατακεκαλυμμένου τῆς ἀθηνᾶς, ὅ τινες οἰωνίζοντο ἀνεπιτήδειον εἶναι καὶ αὐτῷ, καὶ τῇ πόλει. ἀθηναίων γὰρ οὐδεὶς ἐν ταύτῃ τῇ ἡμέρᾳ οὐδενὸς σπουδαίου ἔργου τολμήσαι ἂν ἅψασθαι. καταπλέοντος δ' αὐτοῦ, ὅ, τε ἐκ τοῦ πειραιῶς, καὶ ὁ ἐκ τοῦ ἄστεως ὄχλος, ἠθροίσθη πρὸς τὰς ναῦς, θαυμάζοντες, καὶ ἰδεῖν βουλόμενοι τὸν ἀλκιβιάδην, λέγοντες ὅτι οἱ μέν, ὡς κράτιστος εἴη τῶν πολιτῶν, καὶ μόνος ἀπηγγέλθη ὡς οὐ δικαίως φύγοι. ἐπιβουλευθεὶς δὲ ὑπὸ τῶν ἔλαττον ἐκείνου δυναμένων, μοχθηρότερόν τε λεγόντων, καὶ πρὸς τὸ αὑτῶν ἴδιον κέρδος πολιτευόντων, ἐκείνου ἀεὶ τότε κοινὸν αὔξοντος, καὶ ἀπὸ τοῦ αὑτοῦ, καὶ τοῦ τῆς πόλεως δυνατοῦ, ἐθέλοντος δὲ τότε κρίνεσθαι παραχρῆμα, τῆς αἰτίας ἄρτι γεγενημένης, ὡς ἠσεβηκότος εἰς τὰ μυστήρια, ὑπερβαλλόμενοι οἱ ἐχθροὶ τὰ δοκοῦντα δίκαια εἶναι, ἀπόντα αὐτὸν ἐστέρησαν τῆς πατρίδος. ἐν ᾧ χρόνῳ ὑπὸ ἀμηχανίας δουλεύων, ἠναγκάσθη μὲν θεραπεύειν τοὺς ἐχθίστους, κινδυνεύων ἀεὶ παρ' ἑκάστην ἡμέραν ἀπολέσθαι. τοὺς δὲ οἰκειοτάτους πολίτας τε, καὶ ξυγγενεῖς, καὶ τὴν πόλιν ἅπασαν ὁρῶν ἐξαμαρτάνουσαν, οὐκ εἶχεν ὅπως ὠφελοίη, φυγῇ ἀπειργόμενος. οὐκ ἔφασαν δὲ τῶν οἵωνπερ αὐτὸς ὄντων καινῶν δεῖσθαι πραγμάτων, οὐδὲ μεταστάσεως. ὑπάρχειν μὲν γὰρ ἐκ τοῦ δήμου ἑαυτῷ μέν, τῶν τε ἡλικιωτῶν πλέον ἔχειν, καὶ τῶν πρεσβυτέρων μὴ ἐλαττοῦσθαι. τοῖς δ' αὐτοῦ ἐχθροῖς τοιοῦτος δοκεῖν εἶναι οἷός περ πρότερον, ὕστερον δὲ δυνασθέντας ἀπολλύναι τοὺς βελτίστους. αὐτοὺς δὲ μόνους λειφθέντας, δι' αὐτὸ τοῦτο ἀγαπᾶσθαι ὑπὸ τῶν πολιτῶν, ὅτι ἑτέροις βελτίοσιν οὐκ εἶχον χρῆσθαι. οἱ δέ, ὅτι τῶν προοιχομένων αὐτοῖς κακῶν, μόνος αἴτιος εἴη, τῶν τε φοβερῶν ὄντων

τῇ

τῇ πόλει γενέσθαι, μόνος κινδυνεῦσαι, ἡγεμὼν κατασταθῆναι. ἀλκιβιάδης δὲ πρὸς τὴν γῆν ὁρμισθεὶς, ἀπέβαινε μὲν οὐκ εὐθέως, φοβούμενος τοὺς ἐχθρούς. ἐπαναστὰς δὲ ἐπὶ τοῦ καταστρώματος, ἐσκόπει τοὺς αὐτοῦ ἐπιτηδείους, εἰ παρείησαν. κατιδὼν δὲ εὐρυπτόλεμον τὸν πεισιάνακτος, ἑαυτοῦ δὲ ἀνεψιὸν, καὶ τοὺς ἄλλους οἰκείους, καὶ τοὺς φίλους μετ' αὐτῶν, τότε ἀποβὰς ἀναβαίνει εἰς τὴν πόλιν μετὰ τῶν παρεσκευασμένων, εἴ τις ἅπτοιτο, μὴ ἐπιτρέπειν. ἐν δὲ τῇ βουλῇ, καὶ τῇ ἐκκλησίᾳ ἀπολογησάμενος ὡς οὐκ ἠσεβήκει, εἰπὼν δὲ ὡς ἠδίκηται, λεχθέντων δὲ καὶ ἄλλων τοιούτων, καὶ οὐδενὸς ἀντειπόντος, διὰ τὸ μὴ ἀνασχέσθαι ἂν τὴν ἐκκλησίαν, ἀναῤῥηθεὶς ἁπάντων ἡγεμὼν αὐτοκράτωρ, ὡς οἷός τε ὢν σῶσαι τὴν προτέραν τῆς πόλεως δύναμιν. πρότερον μὲν τὰ μυστήρια τῶν ἀθηναίων κατὰ θάλατταν ἀγόντων διὰ τὸν πόλεμον, κατὰ γῆν ἐποίησεν, ἐξαγαγὼν τοὺς στρατιώτας ἅπαντας. μετὰ δὲ ταῦτα κατελέξατο στρατιὰν, ὁπλίτας μὲν πεντακοσίους καὶ χιλίους, ἱππεῖς δὲ πεντήκοντα καὶ ἑκατὸν, ναῦς δ' ἑκατόν. καὶ μετὰ τὸν κατάπλουν τρίτῳ μηνὶ ἀνήχθη ἐπ' ἄνδρον, ἀφεστηκυῖαν τῶν ἀθηναίων. καὶ μετ' αὐτοῦ ἀριστοκράτης, καὶ ἀδείμαντος ὁ λευκολοφίδου, συνεπέμφθησαν οἱ ᾑρημένοι κατὰ γῆν στρατηγοί. ἀλκιβιάδης δὲ ἀπεβίβασε τὸ στράτευμα τῆς ἀνδρίας χώρας εἰς γαύρειον. ἐκβοηθήσαντας δὲ τοὺς ἀνδρίους, ἐτρέψαντο, καὶ κατέκλεισαν εἰς τὴν πόλιν, καί τινας ἀπέκτειναν οὐ πολλοὺς, τοὺς λάκωνας, οἳ αὐτόθι ἦσαν. ἀλκιβιάδης δὲ τρόπαιόν τε ἔστησε, καὶ μείνας αὐτοῦ ὀλίγας ἡμέρας, ἔπλευσεν εἰς σάμον. κἀκεῖθεν ὁρμώμενος ἐπολέμει. οἱ δὲ λακεδαιμόνιοι, πρότερον τούτων οὐ πολλῷ χρόνῳ κρατησιππίδᾳ τῆς ναυαρχίας παρεληλυθυίας, λύσανδρον ἐξέπεμψαν ναύαρχον. ὁ δὲ ἀφικόμενος εἰς ῥόδον, καὶ ναῦς ἐκεῖθεν λαβὼν, εἰς κῶ, καὶ μίλητον ἔπλευσεν, ἐκεῖθεν δ' εἰς ἔφεσον, καὶ ἐκεῖ ἔμεινε ναῦς ἔχων ἑβδομήκοντα, μέχρις οὗ κῦρος εἰς σάρδεις ἀφίκετο. ἐπεὶ δ' ἧκεν, ἀνέβη πρὸς αὐτὸν σὺν τοῖς ἐκ λακεδαίμονος πρέσβεσιν. ἐνταῦθα δὴ κατά τε τοῦ τισσαφέρνους ἔλεγον, ἃ πεποιηκὼς εἴη, αὐτοῦ τε κύρου ἐδέοντο, ὡς προθυμότατον πρὸς τὸν πόλεμον γενέσθαι. κῦρος δὲ τόν τε πατέρα ἔφη ταῦτα ἐπεσταλκέναι, καὶ αὐτὸς οὐκ ἄλλ' ἐγνωκέναι, ἀλλὰ πάντα ποιήσειν, ἔχων δὲ ἥκειν τάλαντα πεντακόσια. ἐὰν δὲ ταῦτα ἐκλίπῃ, τοῖς ἰδίοις χρήσεσθαι ἔφη, ἃ ὁ πατὴρ αὐτῷ ἔδωκεν· ἐὰν δὲ καὶ ταῦτα, καὶ τὸν θρόνον κατακόψειν, ἐφ' ᾧ ἐκάθητο ὄντα ἀργυροῦν καὶ χρυσοῦν. οἱ δὲ ταῦτ' ἐπήνουν, καὶ ἐκέλευσαν αὐτὸν τάξαι τῷ ναύτῃ δραχμὴν ἀττικήν· διδάσκοντες ὅτι ἂν οὗτος ὁ μισθὸς γένηται, οἱ τῶν ἀθηναίων ναῦται ἀπολείψουσι τὰς ναῦς, καὶ μείω χρήματα ἀναλώσει. ὁ δὲ καλῶς μὲν ἔφη αὐτοὺς λέγειν, οὐ δυνατὸν δ' εἶναι παρ' ἃ βασιλεὺς ἐπέστειλεν αὐτῷ, ἄλλα ποιεῖν. εἶναι δὲ καὶ τὰς συνθήκας οὕτως ἐχούσας, τριάκοντα μνᾶς ἑκάστῃ νηὶ τοῦ μηνὸς διδόναι, ὁπόσας ἂν βούλωνται τρέφειν λακεδαιμόνιοι. ὁ δὲ λύσανδρος τότε μὲν ἐσιώπησε. μετὰ δὲ τὸ δεῖπνον, ἐπεὶ αὐτῷ προπιὼν ὁ κῦρος, ἤρετο τί ἂν μάλιστα χαρίζοιτο ποιῶν. εἶπεν, ὅτι εἰ πρὸς τὸν μισθὸν ἑκάστῳ ναύτῃ ὀβολὸν προσθείης. ἐκ δὲ τούτου τέτταρες ὀβολοὶ ἦν ὁ μισθὸς, πρότερον δὲ τριώβολον. καὶ τόν τε προσοφειλόμενον ἀπέδωκε. καὶ ἔτι

riculum, quod eis illo duce creato immineret. Portum itaq; ingressus, inimicorum timore non cōfestim in terram descendit, sed stans celsa in puppi, an familiares sui adessent considerabat. Conspicatus itaq; Euryptolemum Pisianacti filium, nepotē suum, cum alijs necessarijs & amicis: è naui egressus, cum illis in ciuitatē ingenti stipatus multitudine, ne uis sibi inferri posset, ascēdit. Inde cum in senatu & pro cōcione de mysteriorū uiolatione se excusasset, ostendissetq; falso eam sibi esse notā iniustā, quod & reliqui omnes nemine contradicente affirmabant, antequā concio dissolueretur, cum ingenti omniū assensu dux electus est, ac rerū omniū terra mariq; gerendarū sibi potestas & imperiū decretū, tanquā solus ciuitatē in pristinā restituere posset fortunā. Confestim itaq; Atheniensiū mysteriis, quæ propter belli periculū nō nisi mari ducebantur, ipse omnib. eductis militib. per terram traduxit. Inde collecto exercitu peditū M D. ac equitum C L. nauibus C. tertio post reuersionē mense, Andrū profectus est: nam ab Atheniensib. defecerat. Missi sunt & cū eo duces alij, Aristocrates & Adimātus Leucorophidis filius. In Gaurio itaq; Andriorū regione exercitū exposuit, ac Andrios sibi occurrere ausos in fugā uertit, & in ciuitatē usq; cōpulit, interfectis nōnullis Lacedæmoniorū, qui illic præsidio loci erāt: erectoq; tropheo, paucis ibi māsit diebus: dehinc Samū traiecit, ac inde bellū ciebat. At Lacedæmonij haud multis ante hæc tēpora diebus, in locū Cratesippidæ, qui classi præfuerat, ducē miserant Lysandrū: qui cum Rhodū uenisset, acceptis nauib. in Coum & Miletum, ac inde Ephesum traiecit, ubi cum septuaginta nauibus Cyri aduentū ex Sardis opperiebatur: quē cum applicuisse audisset, ad illū cum Lacedæmoniorū legatis cōtendit, multaq; de belli ratione cum eo colloquutus, Tissaphernis segnitiē incusauit, Cyrū ut prōptior ad bellū esset, enixe rogauit. Cyrus omnia quæ in usum belli necessaria essent, abunde pollicitus est: ita enim sibi à patre iniunctū esse dicebat. Ostendens præterea quingēta talēta à se in prouinciā allata esse: deficientib. tamē illis, proprias quoq; quas pater sibi dederat pecunias, in belli sumptus erogaturū promisit: & si ita necessitas exigeret, regiū quoq; thronū, qui ex auro & argēto cōstaret, in usum belli se conflaturum pollicitus est. His lætus Lysander illum rogauit, ut deinde Atticā drachmā nautis in stipendiū solueret: ostendens ea ratione Atheniensiū nautas à suis abstrahi posse nauib. ut pinguiorē sequerentur fortunā. Ad quæ Cyrus, illū recte sentire aiebat: sed impossibile sibi esse, pacta à patre inita immutare, in quib. diserte contineretur, ut mensibus singulis, unicuiq; naui triginta soluerentur minæ: essetq; in arbitrio Lacedæmoniorum, ut quotquot uellent instruerent. Quibus auditis Lysander tunc tacuit. Peracta autem cœna, Cyrus ad illum accessit, interrogauitq;, quid maxime sibi acceptum facere posset. Cui respondit, rem sibi fore gratissimam, si ultra stipendium consuetum, unicuiq; nautæ obolum adijceret: cui ille annuit: fuitq; inde stipendium obolorū quatuor, cum antea nisi triū fuisset. Insuper æs militare alienū omne bona fide persoluit, ac stipen-

stipendium menstruum ante tempus numerauit: quae res exercitum ad omnia obeunda pericula multo alacriorem & promptiorem reddidit. Id cum Athenienses audissent, aegre tulerunt, & legatos ad Cyrum miserunt, quos ille repulit: quamuis intercedēte Tissapherne, ac identidem monente, summopere cauendum, ne Graecorum quispiam nimium super alium extolleretur: curandum uero potius, ut omnes inter se dissidentes deprimerentur: sic se, Alcibiade suadente, hucusq; rem administrasse. At Lysander re maritima ordinata, Ephesum nonaginta collegit naues, quas in portu sedens restaurabat, & remigem exercebat. Alcibiades uero cum audisset Thrasybulum ex Hellesponto egressum Phocaeam munire, ad eum nauigauit, relicto classis praefecto Antiocho gubernatore suo, quem identidem monuit, ne se absente ad hostem nauigaret. Vix ille discesserat, cum Antiochus duabus triremibus ad ipsas usque Lysandri nauium proras, quae in Ephesino stabant portu, inuectus, hostem lacessebat, quem Lysander paucis primo insequutus est nauibus: cum uero Athenienses pluribus suis suppetias ferrent, tunc ipse quoq; omnibus collectis nauibus, illos aggressus est. qui reliquis quoq; triremibus ex Notio temere progressi, ut quisque poterat bellum capessebant: cumq; dispersi cuncta sine imperio gererent Lacedaemonij uero seruatis ordinibus illos uehementer urgerent, omnes tandem, quindecim amissis triremibus, in fugam uersi sunt: pauci tamen desiderati fuere milites, nam omnes ferme, praeter paucos qui capti sunt, in terram euaserunt. Lysander hostium nauibus potitus, trophaeoq; in Notio erecto, Ephesum reuersus est. Athenienses Samum profecti sunt, quo & paulo post Alcibiades peruenit, ac cum uniuersa classe Ephesum usque progressus est, & ante portus fauces instructa stetit classe, pugnare paratus, si quis obuiam procederet. Lysander quia nauium numero inferior erat, certamine abstinuit, illeq; Samum reuectus est. Lacedaemonij paulo post Delphinium ceperunt, & Eiona. Interim Athenienses qui domi erant, accepto cladis nuncio, Alcibiadi subirati erant, existimantes illam negligentia & culpa sua accidisse: aliosq; decem elegere duces, Cononem, Diomedontem, Leontem, Periclem, Eresinidem, Aristocratem, Archestratum, Protomachum, Thrasylum, Aristogenem. Haec cum Alcibiadi renunciata essent, grauiter tulit, & una accepta trirem, in Cherronesum fortunam tentaturus abijt. Conon interim ex Antandro cum uiginti nauibus sibi publice decretis, Samum ad aliam nauigauit classem: cui in Antandro quatuor successit nauibus Phanosthenes, qui duabus triremibus circumnauigans Thuriam cepit, captiuosq; omnes uinxit, praeter eorum principem Dorieum, qui olim Athenis & Rhodo pulsus, morte cum omnibus propinquis damnatus fuerat, & huc se contulerat: quem misericordia ductus absq; precio dimisit. Conon cum Samum uenisset, classem accepit dissipatam: uix enim ex centum prioribus nauibus, septuaginta instruere potuit. cum his & alijs ducibus circumnauigans, pluribus descendit locis, ac hostium fines

ἔτι μηνὸς προέδωκεν, ὥστε τὸ στράτευμα πολὺ προθυμότερον εἶναι. οἱ δὲ ἀθηναῖοι ἀκούοντες ταῦτα, ἀθύμως μὲν εἶχον. ἔπεμπον δὲ πρὸς τὸν κῦρον πρέσβεις διὰ τισσαφέρνους. ὁ δὲ οὐ προσεδέχετο, δεομένου τισσαφέρνους, καὶ λέγοντος ἅπερ αὐτὸς ἐποίει, πεισθεὶς ὑπ' ἀλκιβιάδου σκοπεῖν, ὅπως τῶν ἑλλήνων μηδὲν, οἱ τινὲς ἰσχυροὶ ὦσιν, ἀλλὰ πάντες ἀσθενεῖς, αὐτοὶ ἐν ἑαυτοῖς στασιάζοντες. καὶ ὁ μὲν λύσανδρος, ἐπεὶ αὐτῷ τὸ ναυτικὸν συνετέτακτο, ἀνελκύσας τὰς ἐν τῇ ἐφέσῳ ναῦς οὔσας ἐνενήκοντα, ἡσυχίαν ἦγεν, ἐπισκευάζων, καὶ ἀναψύχων αὐτάς. ἀλκιβιάδης δὲ ἀκούσας θρασύβουλον ἔξω ἑλλησπόντου ἥκοντα τειχίζειν φώκαιαν, διέπλευσε πρὸς αὐτὸν, καταλιπὼν ἐπὶ ταῖς ναυσὶν ἀντίοχον τὸν αὐτοῦ κυβερνήτην, ἐπιστείλας μὴ ἐπιπλεῖν ἐπὶ τὰς λυσάνδρου ναῦς. ὁ δὲ ἀντίοχος τῇ τε αὐτοῦ νηῒ, καὶ ἄλλῃ ἐκ νοτίου εἰς τὸν λιμένα τὸν ἐφεσίων εἰσπλεύσας, παρ' αὐτὰς τὰς πρῴρας τῶν λυσάνδρου νεῶν παρέπλει. ὁ δὲ λύσανδρος τὸ μὲν πρῶτον ὀλίγας τῶν νεῶν καθελκύσας, ἐδίωκεν αὐτόν. ἐπεὶ δὲ οἱ ἀθηναῖοι τῷ ἀντιόχῳ ἐβοήθουν πλείοσι ναυσὶ, τότε δὴ καὶ πάσας ξυντάξας, ἐπέπλει. μετὰ δὲ ταῦτα καὶ οἱ ἀθηναῖοι ἐκ τοῦ νοτίου καθελκύσαντες, τὰς λοιπὰς τριήρεις ἀνήχθησαν, ὡς ἕκαστος ἤνοιξεν. ἐκ τούτου δ' ἐναυμάχησαν, οἱ μὲν ἐν τάξει. οἱ δ' ἀθηναῖοι, διεσπαρμέναις ταῖς ναυσὶ, μέχρις οὗ ἔφυγον, ἀπολέσαντες πεντεκαίδεκα τριήρεις. τῶν δὲ ἀνδρῶν οἱ μὲν πλεῖστοι ἐξέφυγον, οἱ δ' ἐζωγρήθησαν. λύσανδρος δὲ τάς τε ναῦς ἀναλαβὼν, καὶ τρόπαιον στήσας ἐπὶ τοῦ νοτίου, διέπλευσεν εἰς ἔφεσον· οἱ δ' ἀθηναῖοι εἰς σάμον. μετὰ δὲ ταῦτα ἀλκιβιάδης ἐλθὼν εἰς σάμον, ἀνήχθη ταῖς ναυσὶν ἁπάσαις ἐπὶ τὸν λιμένα τῶν ἐφεσίων, καὶ πρὸ τοῦ στόματος παρέταξεν, εἴ τις βούλοιτο ναυμαχεῖν. ἐπεὶ δὲ λύσανδρος οὐκ ἀντανήγαγε διὰ τὸ πολλαῖς ναυσὶν ἐλαττοῦσθαι, ἀπέπλευσεν εἰς σάμον. λακεδαιμόνιοι δὲ ὀλίγῳ ὕστερον, αἱροῦσι δελφίνιον καὶ ἠιόνα. οἱ δὲ ἐν οἴκῳ ἀθηναῖοι ἐπειδὴ ἠγγέλθη ἡ ναυμαχία, χαλεπῶς εἶχον τῷ ἀλκιβιάδῃ, οἰόμενοι δι' ἀμέλειάν τε καὶ ἀκράτειαν ἀπολωλεκέναι τὰς ναῦς. καὶ στρατηγοὺς εἵλοντο ἄλλους δέκα, κόνωνα, διομέδοντα, λέοντα, περικλέα, ἐρασινίδην, ἀριστοκράτην, ἀρχέστρατον, πρωτόμαχον, θράσυλον, ἀριστογένην. ἀλκιβιάδης μὲν οὖν πονήρως καὶ ἐν τῇ στρατιᾷ φερόμενος, λαβὼν τριήρη μίαν, ἀπέπλευσεν εἰς χερρόνησον εἰς τὰ ἑαυτοῦ τείχη. μετὰ δὲ ταῦτα κόνων ἐκ τῆς ἄνδρου ξὺν αἷς εἶχε ναυσὶν εἴκοσι, ψηφισαμένων ἀθηναίων, εἰς σάμον ἔπλευσεν ἐπὶ τὸ ναυτικόν. ἀντὶ δὲ κόνωνος εἰς ἄνδρον ἔπεμψαν φανοσθένην, τέτταρας ναῦς ἔχοντα. οὗτος περιελθὼν δυοῖν τριήροιν θουρίαιν ἔλαβεν αὐτοῖς ἀνδράσι. καὶ τοὺς μὲν αἰχμαλώτους ἅπαντας ἔδησαν ἀθηναῖοι. τὸν δὲ ἄρχοντα αὐτῶν δωριέα, ὄντα μὲν ῥόδιον, πάλαι δὲ φυγάδα ἐξ ἀθηνῶν καὶ ῥόδου, ὑπὸ ἀθηναίων κατεψηφισμένων αὐτοῦ θάνατον, καὶ τῶν ἐκείνου συγγενῶν, πολιτεύοντα παρ' αὐτοῖς, ἐλεήσαντες, ἀφῆκαν, οὐδὲ χρήματα πραξάμενοι. κόνων δ' ἐπεὶ εἰς τὴν σάμον ἀφίκετο, καὶ τὸ ναυτικὸν κατέλαβεν ἀθύμως ἔχον, ξυμπληρώσας τριήρεις ἑβδομήκοντα ἀντὶ τῶν προτέρων, οὐσῶν πλέον ἢ ἑκατὸν, καὶ ταύταις ἀναγόμενος μετὰ τῶν ἄλλων στρατηγῶν, ἄλλοτε ἄλλῃ ἀποβαίνων τῆς τῶν πολεμίων χώρας

ρας ἐλπίζων. καὶ ὁ ἐνιαυτὸς ἔληγεν, ἐν ᾧ Καρχηδόνιοι εἰς
Σικελίαν στρατεύσαντες εἴκοσι καὶ ἑκατὸν τριήρεσι, καὶ
πεζῆς στρατιᾶς δώδεκα μυριάσιν, εἷλον Ἀκράγαντα λι-
μῷ, μάχῃ μὲν ἡττηθέντες, προσκαθεζόμενοι δὲ ἑπτὰ μῆ-
νας. τῷ δ' ἐπιόντι ἔτει, ᾧ ἥ τε σελήνη ἐξέλιπεν ἑσπέ-
ρας, καὶ ὁ παλαιὸς τῆς Ἀθηνᾶς νεὼς ἐν Ἀθήναις ἐνεπρήσθη,
Πίτυος μὲν ἐφορεύοντος, ἄρχοντος δὲ Καλλίου Ἀθήνησιν,
οἱ Λακεδαιμόνιοι τῷ Λυσάνδρῳ, παρεληλυθότος ἤδη
τοῦ χρόνου, καὶ τοῦ πολέμου τεττάρων καὶ εἴκοσιν ἐτῶν, ἔπεμ-
ψαν ἐπὶ τὰς ναῦς Καλλικρατίδαν. ὅτε δὲ παρεδίδου ὁ Λύ-
σανδρος τὰς ναῦς, ἔλεγε τῷ Καλλικρατίδᾳ, ὅτι θα-
λαττοκράτωρ τε παραδοίη, καὶ ναυμαχίᾳ νενικηκώς. ὁ δὲ
αὐτὸν ἐκέλευσεν ἐξ Ἐφέσου ἐν ἀριστερᾷ Σάμου παραπλεύ-
σαντα, οὗ ἦσαν αἱ τῶν Ἀθηναίων νῆες, ἐν Μιλήτῳ παρα-
δοῦναι τὰς ναῦς, καὶ ὁμολογήσειν θαλαττοκρατεῖν. οὐ φά-
μενος δὲ τοῦ Λυσάνδρου πολυπραγμονεῖν ἄλλου ἄρχοντος,
αὐτὸς ὁ Καλλικρατίδας πρὸς αἷς παρὰ Λυσάνδρου ἔλαβε
ναυσί, προσεπλήρωσεν ἐκ Χίου καὶ Ῥόδου, καὶ ἄλλοθεν, ἀπὸ τῶν
ξυμμάχων πεντήκοντα ναῦς. ταύτας δὲ πάσας ἀθροίσας,
οὔσας τετταράκοντα καὶ ἑκατόν, παρεσκευάζετο ὡς ἀπαν-
τησόμενος τοῖς πολεμίοις. καταμαθὼν δὲ ὑπὸ τῶν Λυ-
σάνδρου φίλων καταστασιαζόμενος, οὐ μόνον ἀπρο-
θύμως ὑπηρετούντων, ἀλλὰ καὶ διαθροούντων ἐν ταῖς
πόλεσιν, ὅτι Λακεδαιμόνιοι μέγιστα παραπίπτοιεν ἐν
τῷ διαλλάττειν τοὺς ναυάρχους, πολλάκις ἀνεπιτηδεί-
ων γιγνομένων, καὶ ἄρτι ξυνιέντων τὰ ναυτικά, καὶ ἀν-
θρώποις ὡς χρηστέον οὐ γιγνωσκόντων, ἀπείρους θαλάτ-
της πέμποντες, καὶ ἀγνῶτας τοῖς ἐκεῖ κινδυνεύοιέν τι
παθεῖν διὰ τοῦτο. ἐκ τούτου δὲ ὁ Καλλικρατίδας ξυγκα-
λέσας τοὺς Λακεδαιμονίων ἐκεῖ παρόντας, ἔλεγεν αὐτοῖς
τοιάδε· ἐμοὶ ἀρκεῖ οἴκοι μένειν, καὶ εἴτε Λύσανδρος, εἴ-
τε ἄλλος τις ἐμπειρότερος περὶ τὰ ναυτικὰ βούλεται
εἶναι, οὐ κωλύω τὸ κατ' ἐμέ. ἐγὼ δ' ὑπὸ τῆς πόλεως ἐπὶ
τὰς ναῦς πεμφθείς, οὐκ ἔχω τί ἄλλο ποιῶ, ἢ τὰ κελευό-
μενα, ὡς ἂν δύνωμαι κράτιστα. ὑμεῖς δὲ πρὸς ἃ ἐγώ τε
φιλοτιμοῦμαι, καὶ ἡ πόλις ἡμῶν αἰτιάζεται, ἴστε γὰρ
αὐτὰ ὥσπερ καὶ ἐγώ, ξυμβουλεύετε τὰ ἄριστα ὑμῖν δο-
κοῦντα εἶναι περὶ τοῦ ἐμὲ ἐνθάδε μένειν, ἢ οἴκαδε ἀπο-
πλεῖν, ἐροῦντες τὰ καθεστῶτα ἐνθάδε. οὐδενὸς δὲ τολ-
μήσαντος ἄλλο τι εἰπεῖν, ἢ τοῖς οἴκοι πείθεσθαι, ποιεῖν
τε ἐφ' ἃ ἥκει, ἐλθὼν παρὰ Κῦρον, ᾔτει μισθὸν τοῖς ναύταις.
ὁ δὲ αὐτῷ εἶπε δύο ἡμέρας ἐπισχεῖν. Καλλικρατίδας δὲ
ἀχθεσθεὶς τῇ ἀναβολῇ, καὶ ταῖς ἐπὶ τὰς θύρας φοιτήσε-
σιν ὀργισθείς, καὶ εἰπὼν ἀθλιωτάτους εἶναι τοὺς Ἕλληνας,
ὅτι βαρβάρους κολακεύουσιν ἕνεκα ἀργυρίου, φά-
σκων τε ἢν σωθῇ οἴκαδε κατά γε τὸ αὑτοῦ δυνατὸν
διαλλάξειν Ἀθηναίους, καὶ Λακεδαιμονίους, ἀπέπλευ-
σεν εἰς Μίλητον. κἀκεῖθεν πέμψας τριήρεις εἰς Λακεδαί-
μονα ἐπὶ χρήματα, ἐκκλησίαν ἀθροίσας τῶν Μιλησίων, τά-
δε εἶπεν· ἐμοὶ μέν, ὦ Μιλήσιοι, ἀνάγκη τοῖς οἴκοι ἄρχουσι
πείθεσθαι. ὑμᾶς δὲ ἐγὼ ἀξιῶ προθυμοτάτους εἶναι εἰς τὸν πόλε-
μον, διὰ τὸ οἰκοῦντας ἐν βαρβάροις, πλεῖστα κακὰ ἤδη
ὑπ' αὐτῶν πεπονθέναι. δεῖ δ' ὑμᾶς ἐξηγεῖσθαι τοῖς
ἄλλοις ξυμμάχοις, ὅπως ἂν τάχιστά τε, καὶ μάλιστα βλά-
πτωμεν τοὺς πολεμίους, ἕως ἂν οἱ ἐκ Λακεδαίμονος ἥκω-
σιν, οὓς ἐγὼ ἔπεμψα χρήματα ἄξοντας, ἐπεὶ τὰ ἐνθάδε
ὑπάρ-

nes populatum est. Annusq; exijt, in quo Carthagi
nienses centum uiginti nauibus, & duodecim my
riadibus militum, Siciliam aggreßi sunt, ubi Agri
gentinos bello uictos, et in urbem compulsos, fame
septimo domuere mense. Insequēti anno, quo luna
sub occasum defecit, et antiquum Palladis tēplum
Athenis deflagrauit, Pitio Ephoro, præsidēte uerò
Athenis Callio, uigesimoquarto huius belli anno,
Lacedæmonij Callicratidem Lysandro successorē
10 dederūt: cui cum ille naues traderet, dixisse fertur,
se uictricē & maris dominantē reddere classem: il
le uero iußit ut ex Epheso ad sinistrā Sami circum
ageret naues, ubi Athenienses in statione erāt, ac in
Mileto sibi classem traderet: sic. n. fore manifestū, il
lum maris obtinere imperiū. Tū Lysander, classem
alieno, nō suo obtēperare respōdit imperio. Callicra/
tides itaq; ultra eas quas à Lysandro accepit, ex
Chio, Rhodo, et alijs socijs, L. instruxit naues: qui/
bus omnib. collectis (erāt aūt CXL.) se ad cōfligen
20 dum cum hostib præparabat. Sed cū certior factus
esset, Lysandri amicos nō solū munia ipsis cōmis/
sa negligēter obire, sed et undiq; in ciuitatib. disse
minare, Lacedæmonios maximis ob ducū mutatio
nē obnoxios esse periculis, ac in multis errare: quā
doquidē cum nuper rei nauticæ incūbere cœpißēt,
homines inexpertos, reiq; maritimæ penitus igna/
ros, pro strenuis ad classem mitterēt, nescièntes ma/
xime se ob hanc rē periclitari: quapropter Callicra
tides omnib. qui aderāt Lacedæmonijs cōuocatis,
30 ita loquutus est: Mihi domi manere præstat: et si Ly
sander uel alius quispiam in reb. nauticis me magis
expertus, classem suscipere maluerit, quantū ad me
spectat, nō prohibeo. Ceterū cum à republica mihi
claßis imperiū demandatū sit, nihil mihi reliquum
est q̄ obedire, & ea quæ optima uidētur, pro uirib.
exequi. Cum igitur hostes superare cupiā, idq; ciui
tas nostra summopere desideret, ac uos haud secus
q̄ ego quæ in rem sunt optime noscatis, uos cōsulo,
satius ne uobis uideatur, me hic manere, uel domū
40 reuerti debere. Sed cū nemo aliter dicere auderet,
q̄ ut ijs qui domi erant, obediret, ac illis incūberet
reb. ob quas in prouinciā missus esset, ad Cyrum ut
nautis stipendium ab illo peteret, profectus est. Cy
rus uero duos eū expectare iußit dies. Sed Callicra
tides morā pertæsus, et ianitorib. succensens, dixisse
fertur, miserrimos esse Græcos, quod barbaris argē
ti gratia adularētur: deosq; testatus est, si unquam
saluus in patriam reuerteretur, enixe operam se da
turum, ut Athenienses & Lacedæmonij in pristi/
50 nam redirent gratiam. Inde Miletum nauigauit, ac
triremes nōnullas ad petendū pecunias Spartā mi
sit: cōuocatisq; Milesijs, ita disseruit: Ego ô Mile/
sij, illis qui domi imperāt, obedire cogor: at uos ad
modū dignos reputo, qui strenuā huic bello operā
impēdatis: quandoquidē cum inter barbaros habi
tetis, incōmoda plura ab illis hucusq; ꝑpeßi estis:
quapropter uos, alijs quoq; socijs ostendere decet,
quonā pacto et celeriter, maximo hostes afficere pos
simus incōmodo. Cū igitur à Lacedæmone hi, quos
ꝑ afferēdis misi pecunijs, reuersi fuerīt (quādoquidē

que superarant, Lysander discedens, Cyro ut superfluas reddidit: (at ego cum Cyrum accessissem, ille uero de congressu me uerbis suspensum tenuisset, tandem foribus illius diutius obuersari haud potui) uobis promitto, non solum beneficiorum omnium me tempore opportuno memorem fore, sed & mutuum bona fide persoluturum: monstrabimus etenim, deo dante, barbaris, etiam non sine admiratione eorum, hostes nostros ulcisci posse. Hæc cum dixisset, surrexere multi, & maxime appellati: nam resistere formidabant, pecuniásque attulere paratas: insuper alias quoque sponte afferebant: quibus ille receptis, unicuique nautæ in Chio quinque distribuit drachmas. Inde ad Methymnam Lesbi nauigauit, quæ hostibus parebat, illámque præsidio confisam, ac resistere conantem (nam & qui reipublicæ præerant, Atheniensium fauebant rebus) adortus, ui cepit, captámque militibus diripiendam concessit: mancipia uero omnia in forum congregauit. Cumque socij Methymnæos quoque uendi debere censuissent, respondit, se imperante Græcorum uendi passurum neminem: postridie liberos cunctos dimisit, Atheniensium præsidio cum mancipijs seruilibus uendito. Cononem uero mari abstinere iussit. Sed cum illum orta die portum egredi uidisset, prærepto itinere, ne Samum effugere posset, insecutus est: sed Conon nauium usus celeritate (nam ex copioso supplemento ualidissimum elegerat remigem) euasit, ac cum duobus ex decem ducibus, Leonide, & Eresinide, in Mitylenem Lesbi perfugit: quem Callicratides usque ad portum, cum centum & septuaginta nauibus insequutus est. Conon Lesbijs hortantibus, ante fauces portus confligere coactus est, ubi triginta uacuis amissis nauibus (nam turme in proximum euaserant litus) reliquas quadraginta naues muris subduxit. Callicratides ne Conon effugere posset, portum insidet: & ut illum à terra quoque obsidione fatigaret, Methymnæos cum omni plebe, & uniuersum ex Chio accersiuit exercitum, allatæ que sunt interim à Cyro pecuniæ. Conon uerò cum se undique terra ac mari obsessum cerneret, iamq; ob hominum multitudinem ac frumenti inopiam fames ingrueret, nec ab Atheniensibus, utpote obsidionis ignaris, ullum expectaret auxilium, duas occulte triremes electissimo instruit remige, submissis clàm propugnatoribus: & die quidem quietem agebat, nocte uero & in tenebris, ne ab hoste conspicaretur, frumento mediocri, & alijs rebus onerabat necessarijs: quæ quinta tandem die, circa meridiem, per medias stationes, quæ secure agebant, celerrime erumpunt, ac in apertum euasere mare: diuersæ que abierunt, in pelagus una, Hellespontum uersus altera: tum qui in anchoris stabant, oras repente ac tumultu-

ὑπάρχοντα Λύσανδρος Κύρῳ ἀποδοὺς ὡς περιττὰ ὄντα, οἴχεται. Κῦρος δὲ ἐλθόντος ἐμοῦ ἐπ' αὐτὸν, ἀεὶ ἀνεβάλλετό μοι διαλεχθῆναι. ἐγὼ δὲ ἐπὶ τὰς ἐκείνου θύρας φοιτᾶν οὐκ ἐδυνάμην ἐμαυτὸν πεῖσαι. ὑπισχνοῦμαι δ' ὑμῖν ἀντὶ τῶν ξυμβάντων ἡμῖν ἀγαθῶν ἐν τῷ χρόνῳ, ᾧ ἂν ἐκεῖνα προσδεχώμεθα, χάριν ἀξίαν ἀποδώσειν. ἀλλὰ ξὺν τοῖς θεοῖς δείξομεν τοῖς βαρβάροις, ὅτι καὶ ἄνευ τοῦ ἐκείνους θαυμάζειν δυνάμεθα τοὺς ἐχθροὺς τιμωρεῖσθαι. ἐπεὶ δὲ ταῦτ' εἶπεν, ἀνιστάμενοι πολλοὶ, καὶ μάλιστα οἱ αἰτιαζόμενοι ἐναντιοῦσθαι, δεδιότες, εἰσηγοῦντο πόρον χρημάτων, καὶ αὐτοὶ ἐπαγγελλόμενοι ἰδίᾳ. λαβὼν δὲ ταῦτα ἐκεῖνος, καὶ ἐκ Χίου πενταδραχμίαν ἑκάστῳ τῶν ναυτῶν ἐφοδιασάμενος, ἔπλευσε τῆς Λέσβου ἐπὶ Μήθυμναν, πολεμίαν οὖσαν. οὐ βουλομένων δὲ τῶν Μηθυμναίων προσχωρεῖν, ἀλλ' ἐμφρούρων ὄντων Ἀθηναίων, καὶ τῶν τὰ πράγματα ἐχόντων ἀττικιζόντων, προσβαλὼν, αἱρεῖ τὴν πόλιν κατὰ κράτος. τὰ μὲν οὖν χρήματα πάντα διήρπαζον οἱ στρατιῶται. τὰ δὲ ἀνδράποδα πάντα ξυνήθροισεν ὁ Καλλικρατίδας ἐν τῇ ἀγορᾷ. καὶ κελευόντων τῶν ξυμμάχων ἀποδόσθαι καὶ τοὺς Μηθυμναίους, οὐκ ἔφη αὐτοῦ γε ἄρχοντος, οὐδένα Ἑλλήνων εἰς τὸ ἐκείνου δυνατὸν ἀνδραποδισθῆναι. τῇ δ' ὑστεραίᾳ, τοὺς μὲν ἐλευθέρους ἀφῆκε· τοὺς δὲ τῶν Ἀθηναίων φρουροὺς, καὶ τὰ ἀνδράποδα τὰ δοῦλα πάντα ἀπέδοτο. Κόνωνι δὲ εἶπεν, ὅτι παύσει αὐτὸν μοιχῶντα τὴν θάλατταν. κατιδὼν δὲ αὐτὸν ἀναγόμενον ἅμα τῇ ἡμέρᾳ, ἐδίωκεν ὑποτεμνόμενος τὸν εἰς Σάμον πλοῦν, ὅπως μὴ ἐκεῖσε φύγοι. Κόνων δ' ἔφευγε ταῖς ναυσὶν εὖ πλεούσαις, διὰ τὸ ἐκ πολλῶν πληρωμάτων εἰς ὀλίγας ἐκλελέχθαι τοὺς ἀρίστους ἐρέτας. καὶ καταφεύγει εἰς Μυτιλήνην τῆς Λέσβου, καὶ ξὺν αὐτῷ τῶν δέκα στρατηγῶν, Λέων καὶ Ἐρασινίδης. Καλλικρατίδας δὲ ξυνεισέπλευσεν εἰς τὸν λιμένα, διώκων ναυσὶν ἑκατὸν καὶ ἑβδομήκοντα. Κόνων δὲ, ὡς ἔφθη ὑπὸ τῶν πολιτῶν κατακωλυθεὶς, ἠναγκάσθη ναυμαχῆσαι πρὸς τῷ λιμένι. καὶ ἀπώλεσε ναῦς τριάκοντα, οἱ δὲ ἄνδρες εἰς τὴν γῆν ἀπέφυγον. τὰς δὲ λοιπὰς τῶν νεῶν τετταράκοντα οὔσας, ὑπὸ τῷ τείχει ἀνείλκυσε. Καλλικρατίδας δὲ ἐν τῷ λιμένι ὁρμισάμενος, ἐπολιόρκει. ἐνταῦθα τὸν ἔκπλουν ἔχων, καὶ κατὰ γῆν μεταπεμψάμενος τοὺς Μηθυμναίους πανδημεὶ, καὶ ἐκ τῆς Χίου τὸ στράτευμα διεβίβασε, χρήματά τε παρὰ Κύρου αὐτῷ ἦλθεν. ὁ δὲ Κόνων, ἐπεὶ ἐπολιορκεῖτο καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, καὶ σίτων οὐδαμόθεν ἦν εὐπορῆσαι. οἱ δὲ ἄνθρωποι πολλοὶ ἐν τῇ πόλει ἦσαν, καὶ οἱ Ἀθηναῖοι οὐκ ἐβοήθουν, διὰ τὸ μὴ πυνθάνεσθαι ταῦτα, καθελκύσας τῶν νεῶν τὰς ἄριστα πλεούσας δύο, ἐπλήρωσε πρὸ ἡμέρας, ἐξ ἁπασῶν τῶν νεῶν τοὺς ἀρίστους ἐρέτας ἐκλέξας, καὶ τοὺς ἐπιβάτας εἰς κοίλην ναῦν μεταβιβάσας, καὶ τὰ παραῤῥύματα παραλαβών. τὴν μὲν οὖν ἡμέραν οὕτως ἀνεῖχον. ἐς δὲ τὴν ἑσπέραν, ἐπεὶ σκότος εἴη, ἐξεβίβαζεν, ὡς μὴ καταδήλους εἶναι τοῖς πολεμίοις ταῦτα ποιοῦντας. τῇ πέμπτῃ δὲ ἡμέρᾳ ἐνθέμενοι σῖτα μέτρια, ἐπειδὴ ἤδη μέσον ἡμέρας ἦν, καὶ οἱ ἐφορμοῦντες ὀλιγώρως εἶχον, καὶ ἔνιοι ἀνεπαύοντο, ἐξέπλευσαν ἔξω τοῦ λιμένος. καὶ ἡ μὲν ἐπὶ Ἑλλησπόντου ὥρμησεν, ἡ δὲ ἐς τὸ πέλαγος. τῶν δ' ἐφορμούντων, ὡς ἕκαστοι ἤνοιγον, τάς τε ἀγκύρας ἀποκόπτοντες, καὶ ἐγειρόμενοι ἐβοήθουν, τεταραγμένοι

μένοι τυχόντες, ἐν τῇ γῇ ἀριστοποιούμενοι. εἰσβάντες
δὲ ἐδίωκον τὴν εἰς τὸ πέλαγος ὁρμήσασαν, καὶ ἅμα
τῷ ἡλίῳ δυομένῳ κατέλαβον, καὶ κρατήσαντες μάχῃ,
ἀναδησάμενοι, ἀπῆγον εἰς τὸ στρατόπεδον αὐτοῖς ἀνδρά-
σιν. ἡ δ' ἐπὶ τοῦ ἑλλησπόντου φυγοῦσα ναῦς, διέφυγε. καὶ
ἀφικομένη εἰς τὰς ἀθήνας, ἐξαγγέλλει τὴν πολιορκίαν.
διομέδων δὲ βοηθῶν κόνωνι πολιορκουμένῳ, δώδεκα
ναυσὶν ὡρμίσατο εἰς τὸν εὔριπον τῶν μιτυληναίων. ὁ δὲ
καλλικρατίδας ἐπιπλεύσας αὐτῷ ἐξαίφνης, δέκα μὲν
τῶν νεῶν ἔλαβε. διομέδων δ' ἔφυγε τῇ τε αὑτοῦ καὶ ἄλλῃ.
οἱ δὲ ἀθηναῖοι τὰ γεγενημένα, καὶ τὴν πολιορκίαν ἐπεὶ ἤ-
κουσαν, ἐψηφίσαντο βοηθεῖν ναυσὶν ἑκατὸν καὶ δέκα, εἰσ-
βιβάζοντες τοὺς ἐν ἡλικίᾳ ὄντας ἅπαντας, καὶ δούλους καὶ
ἐλευθέρους, καὶ πληρώσαντες τὰς δέκα καὶ ἑκατὸν, ἐν
τριάκοντα ἡμέραις ἀπῆραν. εἰσέβησαν δὲ καὶ τῶν ἱππέων
πολλοί. μετὰ ταῦτα ἀνήχθησαν εἰς σάμον. κἀκεῖθεν σα-
μίας ναῦς ἔλαβον δέκα. ἤθροισαν δὲ καὶ ἄλλας πλείους ἢ
τριάκοντα παρὰ τῶν ἄλλων ξυμμάχων, εἰσβαίνειν ἀναγ-
κάσαντες ἅπαντας, ὁμοίως δὲ καὶ εἴ τινες αὐτοῖς ἔτυ-
χον ἔξω οὖσαι. ἐγένοντο δὲ αἱ πᾶσαι, πλείους ἢ πεντήκον-
τα καὶ ἑκατόν. ὁ δὲ καλλικρατίδας ἀκούων τὴν βοή-
θειαν ἤδη ἐν σάμῳ οὖσαν, αὐτοῦ μὲν κατέλιπε πεντή-
κοντα ναῦς, καὶ ἄρχοντα ἐτεόνικον. ταῖς δὲ εἴκοσι καὶ ἑκα-
τὸν ἀναχθεὶς, ἐδειπνοποιεῖτο τῆς λέσβου ἐπὶ τῇ μαλέᾳ
ἄκρᾳ, ἀντίον τῆς μιτυλήνης. τῇ δ' αὐτῇ ἡμέρᾳ ἔτυχον
καὶ οἱ ἀθηναῖοι δειπνοποιούμενοι ἐν ταῖς ἀργινούσαις.
αὗται δ' εἰσὶν ἀντίον τῆς λέσβου ἐπὶ τῇ μαλέᾳ ἄκρᾳ,
ἀντίον τῆς μιτυλήνης. τῆς δὲ νυκτὸς ἰδὼν τὰ πυρὰ, καὶ
τινων αὐτῷ ἐξαγγειλάντων, ὅτι ἀθηναῖοι εἶεν, ἀνήγετο
περὶ μέσας νύκτας, ὡς ἐξαπιναίως προσπέσοι. ὕδωρ δ'
ἐπιγενόμενον πολὺ, καὶ βρονταὶ, διεκώλυσαν τὴν ἀνα-
γωγήν. ἐπεὶ δὲ ἀνέσχεν, ἅμα τῇ ἡμέρᾳ ἔπλει ἐπὶ τὰς ἀρ-
γινούσας. οἱ δὲ ἀθηναῖοι ἀντανήγοντο εἰς τὸ πέλαγος τῷ
εὐωνύμῳ, παρατεταγμένοι ὧδε. ἀριστοκράτης μὲν τὸ
εὐώνυμον ἔχων, ἡγεῖτο πεντεκαίδεκα ναυσί. μετὰ δὲ
ταῦτα διομέδων ἑτέραις πεντεκαίδεκα. ἐπιτέτακτο
δὲ ἀριστοκράτει μὲν περικλῆς. διομέδοντι δὲ ἐρασινίδης.
παρὰ δὲ διομέδοντα οἱ σάμιοι δέκα ναυσὶν ἐπὶ μιᾶς τε-
ταγμένοι. ἐστρατήγει δὲ αὐτῶν σάμιος, ὀνόματι ἱππεύς.
ἐχόμεναι δὲ τῶν ταξιάρχων δέκα, καὶ αὗται ἐπὶ μιᾶς.
ἐπὶ δὲ ταύταις αἱ τῶν ναυάρχων τρεῖς, καὶ εἴ τινες ἄλλαι ἦσαν
ξυμμαχίδες. τὸ δὲ δεξιὸν κέρας πρωτόμαχος εἶχε πεν-
τεκαίδεκα ναυσί. παρὰ δ' αὐτὸν θρασύλος ἑτέραις πεν-
τεκαίδεκα. ἐπιτέτακτο δὲ, πρωτομάχῳ μὲν λυσίας,
ἔχων τὰς ἴσας ναῦς. θρασύλῳ δὲ, ἀριστογένης. οὕτω δ' ἐ-
τάχθησαν, ἵνα μὴ διέκπλουν διδοῖεν. χεῖρον γὰρ ἔπλεον.
αἱ δὲ τῶν λακεδαιμονίων, ἀντιτεταγμέναι ἦσαν ἅπασαι
ἐπὶ μιᾶς, ὡς πρὸς διέκπλουν, καὶ περίπλουν, παρεσκευασμέ-
ναι. διὰ τὸ βέλτιον πλεῖν. εἶχε δὲ τὸ δεξιὸν κέρας καλλι-
κρατίδας. ἕρμων δὲ μεγαρεὺς ὁ τῷ καλλικρατίδᾳ κυ-
βερνῶν, εἶπε πρὸς αὐτὸν, ὅτι εἴη καλῶς ἔχον ἀποπλεῦ-
σαι. αἱ γὰρ τριήρεις τῶν ἀθηναίων πολλῷ πλείονες ἦσαν.
καλλικρατίδας δὲ εἶπεν, ὅτι ἡ σπάρτη οὐδὲν μὴ κάκιον
οἰκεῖται, αὐτοῦ ἀποθανόντος. φεύγειν δὲ αἰσχρὸν ἔφη.
μετὰ δὲ ταῦτα ἐναυμάχησαν χρόνον πολὺν, πρῶτον μὲν
ἀθρόαι, ἔπειτα δὲ διεσκεδασμέναι. ἐπεὶ δὲ καλλικρα-
τίδας

multuantes abrumpunt: nam milites in terra prandium parabãt, cursuq; celerrimo Atticas insequuti sunt naues: & illa quæ altum tenuit, sub solis occasum ab insequentibus capta, ac plena uiris ad reliquam perducta est classem: altera uero quæ in Hellespontum uersus fugam arripuit, euasit, & obsidionis nuncia Athenas peruenit. Diomedonti interim, cum Cononi obsesso duodecim nauibus per Mitylenæorum euripum opem ferre quæreret, fit obuiam Callicratides, & decem captis nauibus, duæ cum ipso duce ægerrime dilapsæ sunt. Athenienses interim auditis suorum clade ac obsidione, triginta diebus centum ac decem instruxere naues, habito delectu ex omni ætate, ac fortuna, seruis, ac liberis: cum ijs, ac equitibus quamplurimis, Samum appulerunt: ubi decem Samijs, quæ ex fœdere debebantur, acceptis nauibus, plures quàm triginta ab alijs collegere socijs: nam omnes sequi cogebant, etiam eos qui illis casu obuiam fiebant. Confestim igitur centum ac quinquaginta nauium expleuere classem. Callicratides audito Atheniensium accessu, iamq; eos in Samo esse, quinquaginta naues cum Eteonico ad obsidionem reliquit: ipse cum centum uiginti nauium classe, ad Maleam Mitylenæ promontorium concessit, ubi & cœnauit. Contigit eadem quoque die Athenienses ad Arginusas cœnare. Sitæ sunt Arginusæ ante Lesbum, in Maleæ conspectu, contra Mitylenem. Lacon dux nocte ignes intuitus, edoctusq; Athenienses adesse, circa mediam noctem classem tanquam continuo conflicturus mouit: sed uehementi ingruente pluuia, ac tonitruis strepentibus, pugnare prohibitus est. At cum disserenasset, ubi primum illuxit, ad Arginusas nauigauit: cui obuiam facti Athenienses, ita instructi erant: Aristocrates cum nauibus quindecim læuum tenebat cornu: totidem Diomedon sequebatur. Aristocrati Pericles succedebat, Diomedonti Erasinides: post quos Samij decem collocati erant nauibus, quibus præerat Samius quidam nomine Hippeus. Post illos præfectorum tredecim, & aliæ omnes sociæ ordinatæ erant naues. Dextrum cornu Protomachus, cum quindecim procurabat nauibus: post quem Thrasylus, cum totidem locatus erat: cui hærebat Aristogenes. Protomachum uero æquali nauium numero Lysias sequebatur, & Thrasylum Aristogenes: quem ordinem tenebant ne circumuenti possent: nam graues agebant naues: econtra Lacedæmonij leues & agiles, maximeque ad excursionem idoneas. Dextrum Callicratides ducebat cornu: qui ab Hermone Megarensi gubernatore suo admonitus, ut sine prælio discederet, cum omnino Atticæ classis numero superaretur. Cui Callicratides respondisse fertur: SPARTAM SE CADENTE, NIHIL deteriorem futuram: at sibi fugere esse turpissimum. Pugnatum est ab initio conferto utrinque agmine, mox sparsim: sed postquam Callicratides

tides naui excussus in mare decidit. & Protomachus dextro sinistrũ uicit cornu, tũc manifesta Peloponnensiũ subsequuta est fuga: quidam in Chium contenderunt, plurimi Phocæam fuga delati sunt. Athenienses quinque & uiginti amissis nauibus, cum uiris ipsis, præter paucos qui in terram euaserant, Arginusas reuersi sunt. Peloponnensium, Laconicæ nouem, cum omnino decem essent, sociorum uero plus quàm sexaginta desideratæ sunt naues. Habebant in animo duces Attici, Theramenem ac Thrasybulum, cum quibusdam alijs præfectis, ác nauibus quadraginta sex, naufragis in succursum mittere: reliqua classe ad Eteonicum, qui circa Mitylenem sedebat, opprimendum nauigare: sed uentus cum tempestate uehementi ortus, quo minus id facerent impedimento fuit. Trophæo igitur erecto, ibi manere coacti sunt. Eteonicus interea cum per actuariũ lembum de suorum clade certior factus esset, nuncios protinus tacitos discedere iussit: suppresso tantisper eorum aduentu, donec rursus in eadem castra coronati reuerterentur, ac magno clamore Callicratidem naualis pugnæ uictorem, omnibus hostium depressis nauibus, nunciarent. Quod cum illi fecissent, ipse ob rem bene gestam sacrificauit, milites'q; cœnare iussit. Mercatores uero ut sine tumultu pecunias nauibus imponerent, admonuit, eosq; in Chium præmisit, qui uentum sequundum nacti, celeriter abierunt: ipse terrestri itinere, incensis castris, Methymnam contendit. Conon sub hostium digressu, ac uentis cadentibus, deductis nauibus suis obuiam Arginusas proficiscitur, & quæ circa Eteonicum acciderant, nunciauit. Athenienses itaque Mitylenem nauigarunt, inde Chium: ubi cum nihil agere potuissent, Samum uictrix reducta est classis. Interim qui domi erant Athenienses, abrogarunt ducibus, præter Cononi, imperium: cui alios duos, Adimantum & Philoclem adiunxere collegas. Duces itaq; alij qui prælio interfuerant nauali, præter Protomachum & Aristogenem, Athenas reuersi sunt, Pericles nempe, & Diomedon, Lysias, Aristocrates, Thrasylus, & Erasinides: cui Archidemus, qui tum Athenis præsidebat, & Deceleæ curam gerebat, insidias struxit, ac publice accusauit, insimulans illum clam ex Hellesponto pecunias, quæ populi essent, attulisse: insuper ei ob male administratam præturam diem dixit: quam ob rem Erasinidem in carcerem duci, æquum esse uisum est. Post hec cum duces in concilio pugnæ rationem redderẽt, tempestatisq; uim prætenderent, illos quoque Timocrates uinctos populo tradi, iustum esse censuit: qui & ipsi à senatu in uincula coniecti sunt: concióque coacta est, in qua duces à pluribus, præcipue tamen ab Theramene accusati sunt, iustum esse dicente, eos rationem reddere, cur naufragis opem non tulissent: & cum nullũ aliud haberet argumentum, epistolam quãdam in testimonium producebat. Duces ad senatũ & populũ delati, nihil aliud q̃ tempestatis uim prætendebant: inde

πίδας τε, ἐμβαλούσης τῆς νεὼς, ἀποπεσὼν ἐν τῇ θάλατταν, ἠφανίσθη, πρωτόμαχός τε καὶ οἱ μετ' αὐτοῦ, τῷ δεξιῷ τὸ εὐώνυμον ἐνίκησαν. ἐντεῦθεν φυγὴ τῶν πελοποννησίων ἐγένετο εἰς χίον, πλείστων δὲ καὶ εἰς φώκαιαν. οἱ δὲ ἀθηναῖοι πάλιν ἐς τὰς ἀργινούσας κατέπλευσαν. ἀπώλοντο δὲ τῶν μὲν ἀθηναίων νῆες πέντε καὶ εἴκοσιν αὐτοῖς ἀνδράσιν, ἐκτὸς ὀλίγων τῶν πρὸς τὴν γῆν προσενεχθέντων. τῶν δὲ πελοποννησίων, λακωνικαὶ μὲν ἐννέα, πασῶν οὐσῶν δέκα. τῶν δ' ἄλλων ξυμμάχων πλείους ἢ ἑξήκοντα. ἔδοξε δὲ καὶ τοῖς τῶν ἀθηναίων στρατηγοῖς, ἓξ μὲν καὶ τετταράκοντα ναυσὶ θηραμένην τε καὶ θρασύβουλον, τριηράρχους ὄντας, καὶ τῶν ταξιάρχων τινὰς, πλεῖν ἐπὶ τὰς καταδεδυκυίας ναῦς, καὶ τοὺς ἐπ' αὐτῶν ἀνθρώπους. ταῖς δ' ἄλλαις ἐπὶ τὰς μετ' ἐτεονίκου τῇ μιτυλήνῃ ἐφορμούσας. ταῦτα δὲ βουλομένους ποιεῖν, ἄνεμος καὶ χειμὼν αὐτοὺς διεκώλυσε, μέγας γενόμενος. τρόπαιον δὲ στήσαντες, αὐτοῦ ηὐλίζοντο. τῷ δ' ἐτεονίκῳ ὁ ὑπηρετικὸς κέλης, πάντα ἐξήγγελλε τὰ περὶ τὴν ναυμαχίαν. ὁ δὲ αὐτὸν πάλιν ἐξέπεμψεν, εἰπὼν τοῖς ἐνοῦσι σιωπῇ ἐκπλεῖν, καὶ μηδενὶ διαλέγεσθαι. παραχρῆμα δὲ αὖθις πλεῖν ἐς τὸ ἑαυτῶν στρατόπεδον ἐστεφανωμένους, καὶ βοῶντας, ὅτι καλλικρατίδας νενίκηκε ναυμαχῶν, καὶ ὅτι αἱ τῶν ἀθηναίων νῆες ἀπολώλασιν ἅπασαι. καὶ οἱ μὲν ταῦτ' ἐποίουν. αὐτὸς δ' ἐπειδὴ ἐκεῖνοι κατέπλεον, ἔθυε τὰ εὐαγγέλια, καὶ τοῖς στρατιώταις παρήγγελλε δειπνοποιεῖσθαι, καὶ τοῖς ἐμπόροις τὰ χρήματα σιωπῇ ἐνθεμένους εἰς τὰ πλοῖα, ἀποπλεῖν εἰς χίον. ἦν δὲ τὸ πνεῦμα οὔριον, καὶ τὰς τριήρεις τὴν ταχίστην. αὐτὸς δὲ τὸ πεζὸν ἀπῆγεν εἰς τὴν μήθυμναν, τὸ στρατόπεδον ἐμπρήσας. κόνων δὲ καθελκύσας τὰς ναῦς, ἐπεὶ οἵ τε πολέμιοι ἀποδεδράκεσαν, καὶ ὁ ἄνεμος εὐδιαίτερος ἦν, ἀπαντήσας τοῖς ἀθηναίοις ἤδη ἀνηγμένοις ἐκ τῶν ἀργινουσῶν, ἔφρασε τὰ περὶ τοῦ ἐτεονίκου. οἱ δὲ ἀθηναῖοι κατέπλευσαν εἰς τὴν μιτυλήνην. ἐκεῖθεν δ' ἐπανήχθησαν εἰς τὴν χίον. καὶ οὐδὲν διαπραξάμενοι, ἀπέπλευσαν ἐπὶ σάμου. οἱ δ' ἐν οἴκῳ τούτους μὲν τοὺς στρατηγοὺς ἔπαυσαν, πλὴν κόνωνος. πρὸς δὲ τούτῳ εἵλοντο ἀδείμαντον, καὶ τρίτον φιλοκλέα. τῶν δὲ ναυμαχησάντων στρατηγῶν πρωτόμαχος μὲν καὶ ἀριστογένης οὐκ ἀπῆλθον εἰς ἀθήνας. τῶν δὲ ἓξ καταπλευσάντων, περικλέους, καὶ διομέδοντος, καὶ λυσίου, καὶ ἀριστοκράτους, καὶ θρασύλου, καὶ ἐρασινίδου, ἀρχέδημος ὁ τότε προεστηκὼς ἐν ἀθήναις, καὶ τῆς δεκελείας ἐπιμελούμενος, ἐρασινίδῃ ἐπιβολὴν ἐπιβαλὼν, κατηγόρει ἐν δικαστηρίῳ, φάσκων ἐξ ἑλλησπόντου αὐτὸν ἔχειν χρήματα, ὄντα τοῦ δήμου. κατηγόρει δὲ καὶ περὶ τῆς στρατηγίας, καὶ ἔδοξε τῷ δικαστηρίῳ δῆσαι τὸν ἐρασινίδην. μετὰ δὲ ταῦτα ἐν τῇ βουλῇ διηγοῦντο οἱ στρατηγοὶ περί τε τῆς ναυμαχίας, καὶ τοῦ μεγέθους τοῦ χειμῶνος. τιμοκράτους δ' εἰπόντος ὅτι καὶ τοὺς ἄλλους χρὴ δεθέντας εἰς τὸν δῆμον παραδοθῆναι, ἡ βουλὴ ἔδησε. μετὰ δὲ ταῦτα ἐκκλησία ἐγένετο, ἐν ᾗ τῶν στρατηγῶν κατηγόρουν ἄλλοι τε, καὶ θηραμένης μάλιστα, δικαίους εἶναι λέγων λόγον ὑποσχεῖν, διότι οὐκ ἀνείλοντο τοὺς ναυαγούς. ὅτι μὲν γὰρ οὐδενὸς ἄλλου καθήπτοντο, ἐπιστολὴν ἐπεδείκνυ μαρτύριον. καὶ ἔπεμψαν οἱ στρατηγοὶ ἐς τὴν βουλὴν, καὶ ἐς τὸν δῆμον, ἄλλο οὐδὲν αἰτιώμενοι, ἢ τὸν χειμῶνα.

μετὰ

μετὰ δὲ ταῦτα οἱ στρατηγοὶ βραχέα ἕκαστος ἀπελογή-
σατο. οὐ γὰρ προὐτέθη σφίσι λόγος κατὰ τὸν νόμον, καὶ
τὰ πεπραγμένα διηγοῦντο, ὅτι αὐτοὶ μὲν ἐπὶ τοὺς πολε-
μίους πλέοιεν, τὴν δὲ ἀναίρεσιν τῶν ναυαγῶν προστάξαιεν
τῶν τριηράρχων ἀνδράσιν ἱκανοῖς, καὶ ἐστρατηγηκόσιν
ἤδη, Θηραμένει καὶ Θρασυβούλῳ καὶ ἄλλοις τοιούτοις. καὶ
εἴπερ γέ τινας δέοι περὶ τῆς ἀναιρέσεως, οὐδένα ἄλλον ἔ-
χειν αὐτοὺς αἰτιᾶσθαι, ἢ τούτους, οἷς προσετάχθη. καὶ οὐχ ὅτι
γε κατηγοροῦσιν ἡμῶν ἔφασαν, ψευσόμεθα φάσκον-
τες αὐτοὺς αἰτίους εἶναι, ἀλλὰ τὸ μέγεθος τοῦ χειμῶνος εἶναι
τὸ κωλῦσαν τὴν ἀναίρεσιν. τούτων δὲ μάρτυρας παρείχοντο
τοὺς κυβερνήτας, καὶ ἄλλους τῶν ξυμπλεόντων πολλούς. τοιαῦ-
τα λεγόντων, ἔπειθον τὸν δῆμον. ἐβούλοντο δὲ πολλοὶ τῶν
ἰδιωτῶν ἐγγυᾶσθαι ἀνιστάμενοι. ἔδοξε δὲ ἀναβαλέσθαι εἰς
ἑτέραν ἐκκλησίαν. τότε γὰρ ὀψὲ ἦν, καὶ τὰς χεῖρας οὐκ
ἂν καθεώρων. τὴν δὲ βουλὴν προβουλεύσασαν εἰσενεγ-
κεῖν ὅτῳ τρόπῳ οἱ ἄνδρες κρίνοιντο. μετὰ δὲ ταῦτα
ἐγένετο Ἀπατούρια, ἐν οἷς οἵ τε πατέρες, καὶ οἱ ξυγγε-
νεῖς ξύνεισι σφίσιν αὐτοῖς. οἱ οὖν περὶ τὸν Θηραμένην πα-
ρεσκεύασαν ἀνθρώπους μέλανα ἱμάτια ἔχοντας, καὶ ἐν
χρῷ κεκαρμένους πολλοὺς ἐν ταύτῃ τῇ ἑορτῇ, ἵνα πρὸς
τὴν ἐκκλησίαν ἥκοιεν, ὡς δὴ ξυγγενεῖς ὄντες τῶν ἀπο-
λωλότων. καὶ Καλλίξενον ἔπεισαν ἐν τῇ βουλῇ κατηγο-
ρεῖν τῶν στρατηγῶν. ἐντεῦθεν ἐκκλησίαν ἐποίουν, εἰς
ἣν ἡ βουλὴ εἰσήνεγκε τὴν ἑαυτῆς γνώμην, Καλλιξένου
εἰπόντος τήνδε. ἐπεὶ δὲ τῶν τε κατηγορούντων κατὰ
τῶν στρατηγῶν, καὶ ἐκείνων ἀπολογουμένων, ἐν τῇ προ-
τέρᾳ ἐκκλησίᾳ ἀκηκόασι, διαψηφίσασθαι Ἀθηναίους πάν-
τας κατὰ φυλάς, θεῖναι δὲ εἰς τὴν φυλὴν ἑκάστην δύο ὑ-
δρίας, ἐφ' ἑκάστῃ δὲ τῇ φυλῇ κήρυκα κηρύττειν, ὅτῳ δο-
κοῦσιν ἀδικεῖν οἱ στρατηγοί, οὐκ ἀνελόμενοι τοὺς νικήσαν-
τας ἐν τῇ ναυμαχίᾳ, εἰς τὴν προτέραν ψηφίσασθαι. ὅτῳ δὲ
μή, εἰς τὴν ὑστέραν. ἂν δὲ δόξωσιν ἀδικεῖν, θανάτῳ ζημιῶ-
σαι, καὶ τοῖς ἕνδεκα παραδοῦναι, καὶ τὰ χρήματα δη-
μοσιεῦσαι, τὸ δ' ἐπιδέκατον τῆς θεοῦ εἶναι. παρῆλθε δέ τις
εἰς τὴν ἐκκλησίαν, φάσκων ἐπὶ τεύχους ἀλφίτων σω-
θῆναι, ἐπιστέλλειν δὲ αὐτῷ τοὺς ἀπολλυμένους, ἐὰν σωθῇ,
ἀπαγγεῖλαι τῷ δήμῳ, ὅτι οἱ στρατηγοὶ οὐκ ἀνείλοντο
τοὺς ἀρίστους ὑπὲρ τῆς πατρίδος γενομένους. τὸν δὲ Καλλί-
ξενον προσεκαλέσαντο, παράνομα φάσκοντες ξυγγε-
γραφέναι, Εὐρυπτόλεμος τε ὁ Πεισιάνακτος, καὶ ἄλλοι
τινὲς τοῦ δήμου ταῦτα ἐπῄνουν. τὸ δὲ πλῆθος ἐβόα, δει-
νὸν εἶναι, εἰ μή τις ἐάσει τὸν δῆμον πράττειν, ὃ ἂν βούληται.
καὶ ἐπὶ τούτοις εἰπόντος Λυκίσκου καὶ τούτους τῇ αὐ-
τῇ ψήφῳ κρίνεσθαι, ἧπερ καὶ τοὺς στρατηγούς, ἐὰν μὴ ἀ-
φῶσι τὴν ἐκκλησίαν, ἐπεθορύβησε πάλιν ὁ ὄχλος, καὶ
ἠναγκάσθησαν ἀφιέναι τὰς κλήσεις. τῶν δὲ πρυτάνεων
οὐ φασκόντων προθήσειν τὴν διαψήφισιν παρὰ τὸν νό-
μον, αὖθις Καλλίξενος ἀναβάς, κατηγόρει αὐτῶν τὰ αὐ-
τά. οἱ δὲ ἐβόων καλεῖν τοὺς οὐ φάσκοντας. οἱ δὲ πρυτάνεις
φοβηθέντες, ὡμολόγουν πάντες προθήσειν, πλὴν
Σωκράτους τοῦ Σωφρονίσκου. οὗτος δ' οὐκ ἔφη, ἀλλ' ἢ κατὰ
νόμον ποιήσειν. μετὰ δὲ ταῦτα ἀναβὰς Εὐρυπτόλεμος
ἔλεξεν ὑπὲρ τῶν στρατηγῶν τάδε. τὰ μὲν κατηγορή-
σων, ὦ ἄνδρες Ἀθηναῖοι, ἀνέβην ἐνθάδε, Περικλέους ἀ-
ναγκαίου μοι ὄντος καὶ ἐπιτηδείου, καὶ Διομέδοντος φίλου.
τὰ

inde breuiter unuſquiſq; crimen diluit: nam iuxta le-
gem oratione perpetua ſe excuſare prohibebantur:
oſtendebantq; ſeriem geſtarũ rerum: cum ipſi in ho-
ſtes nauigarent, naufragorũ ſuccurſum trierarchis
hominib. expertis, & qui nũc quoq; præeſſent, The-
ramene ac Thraſybulo, ſimilibusq; mandaſſe: ac oſtē-
debãt, ſi quis de naufragorũ ſuccurſu accuſari debe-
ret, neminē potius pœnas dare dignũ eſſe, quàm eos
qui iuſſa minus exequuti fuiſſent: nunc uero alios in-
10 cuſarent, ac aperto mendacio illis culpam impinge-
rent: cum manifeſte cõſtaret, tempeſtatis uim ſuccur-
ſum prohibuiſſe: cuius rei teſtes producebant guber-
natores, ac quamplures alios qui tum præſentes fue-
rant. Hæc cum dixiſſent, illis populus aſſentiebatur.
Surrexere igitur priuati plures, ac ſe pro ducibus fi-
deiubere paratos eſſe oſtenderunt. Cæterum in aliud
concilium rem differendam eſſe uiſum eſt: iam enim
ueſper ingruebat, & manus, quib. populus decernit,
amplius dinumerari non poterãt: interim æquum eſſe
20 ſenatũ deliberare, quemadmodũ ſontes puniri debe-
rent. Incidêre in dies hos Apaturia, in quibus defun-
ctorũ patres et propinqui ad luctũ cõuenere: qui ue-
ro cũ Theramene ſentiebãt, plures eodē feſto ſubmi-
ſerũt homines, nigris indutos ueſtib. & colore triſti
circũdatos, qui ſe tanquã propinqui eorũ qui ſubmer-
ſi fuerant, cõcioni immiſcerent. Callixeno quoq; per-
ſuaſerũt, ut duces in ſenatu accuſaret. Poſt hæc cõci-
lium coactũ eſt, in quo ſenatus ex Callixeni mēte ſen-
tentiã tulit talē: Cum duces priori accuſati eſſent con-
30 cilio, illiq; ſe defendiſſent, Athenieſes per omnes ſor-
tiri debere tribus, poſitis per unamquanq; tribum hy-
drijs duabus, ac uoce præconis nũciari, cuicunq; du-
ces iniuſte egiſſe uiderētur, quod bello nauali uicto-
res nõ ſuſtuliſſent, ſortē in priorē deijceret hydriam:
qui uero eos abſolueret, in aliã: & ſi damnati eſſent,
pœnam mortē fore: illoſq; undecim uiris tradi debe-
re, publicatis bonis, ex quib. decima deo ſacra eſſet.
Venit etiã quidam in concionē, dicens ſe frumētario
euaſiſſe modio: ac eos qui perierãt ſibi in mãdatis de-
40 diſſe, ſi euaderet, populo nunciaret, quod optime de
patria meritos duces minime de medio tollerent. At
Euryptolemus Piſianactis filius, cum quibuſdã alijs è
populo, Callixenũ incuſans, aſſerebat illum cõtra le-
ges ſententiã conſcripſiſſe: ſed multitudo clamabat,
indignũ eſſe, ſi quæ populus facere uellet, prohibere-
tur: et per Lyciſcũ cõminati ſunt, eiſdē ſuffragijs il-
los quoq; iudicare uelle, ſi intercederēt, quib. & du-
ces, ni concio dimitteretur: rurſusq; turba tumultu-
ans, uocationē illos dimittere coēgit. Et cum iudices
50 ſuffragia illa contra leges eſſe, minime incuſare aude-
rent, rurſus Callixenus ſuggeſtum aſcendit, ac priora
ducibus obiecit crimina. At populus clamabat, duces
minime eſſe audiēdos. Iudices uero multitudinē timē-
tes, oēs inauditis ducibus ſortiri debere decreuerunt:
præter Socratē Sophroniſci filiũ, qui illis minime cõ-
ſenſit, ſed et inſuper eos, quod iniuſte ac præter leges
agerēt, accuſauit. Poſt hæc ſuggeſtũ Euryptolemus
aſcendit, ac ita pro ducibus diſſeruit: Huc, ò uiri A-
thenienſes, accuſandi partim aſcendi gratia, cum
Periclis neceſſarius, Diomedontis uero ſim amicus:

 partim

partim uero, ut obiectis responderem: tum ut consulerem, quae maxime utilia esse putarem ciuitati uniuersae. Illos igitur accuso, quod intercesserunt, ne collegae senatui ac uobis scriberent. Quod cum Therameni & Thrasybulo iniunxissent, ut naufragis septem ac quadraginta succurrerent triremibus, eos minime paruisse: quapropter culpam cōmunem iam ferunt, quamuis illi priuatim peccauere: meritoq; ob hāc humanitatē, ab illis et quibusdā alijs impetiti, in ultimo nunc constituti sunt periculo. Sed si mihi non parueritis, feceritisq; ea, quae iusta ac sancta sunt, & unde maxime recte audietis, & minime poenitere poteritis, uos postea summopere errasse sentietis, deosq; ac uosmetipsos frustra incusabitis. Consulo uero uobis ea, in quibus nec per me, seu quemuis alium decipi poteritis: sed si quos inique quid egisse cognoueritis, dummodo placuerit, ex iuris forma punire poteritis, & simul omnes, & seorsum quenq;. Id fiet, si ducibus uestris, si non plus, saltem diem unam ad defensionem concesseritis, ne alijs potius, quàm uobisipsis, hac de re credere uideamini. An ignoratis, uiri Athenienses, legis decretum esse potentissimū, quod iubet si, quis populum Atheniensem iniuria affecerit, uinctum coram populo causam dicere? & si iniurius esse conuictus fuerit, interfectum in barathrum proijci debere, publicatis bonis, ex quibus decima deo sacra sit? Hoc decreto duces iudicari iubeo, & per Iouem si uobis ita uisum fuerit, primo necessarium meum Periclem: turpe etenim mihi esset, pluris illum quàm ciuitatem facere uniuersam. Aut si mauultis, alia illos iudicate lege, quae contra sacrilegos ac proditores lata est, & qua illi qui ciuitatem tradere conātur, seu qui sacra furati sunt, in foro iudicari cōsueuerunt: qui si conuincantur, in Attica sepeliri prohibentur, bona uero publicantur. Vtra igitur ex illis quae placuerit, duces singulatim iudicate lege, tribus tantum cōcessis diebus: una, in qua collecti deliberare possitis, rei sint illi, nec ne: altera, qua accusentur: tertia uero qua respondeant. Id si feceritis, hi qui iniuste egisse conuicti fuerint, maximis ac iustissimis afficientur supplicijs: qui uero insontes esse comperienētur, à uobis o Athenienses, ne iniuste pereāt, absolutur. Vos igitur ut iusti iudices, ac iuramenti memores, secundum leges iudicate, ne dum eos indemnatos contra legem occiditis, cum Lacedaemonijs contra illos bellū gerere uideamini, quibus illi deuictis, septuaginta die una abstulerunt naues. Sed dicet quispiam, cur tam uehementer solicitus es? Respondeo, ne, quem interficere seu absoluere uultis, non secundum, sed contra leges iudicetis. quemadmodum Callixenus senatui persuasit, cum unius ad populum suffragij mentionem fecit. Praeterea si quempiam insontem interfeceritis, postea poenitebis. At mementote, seram ac inutilem poenitentiam hanc futuram: insuper & mortis hominum reieritis: iniuste praeterea agetis cum Aristarcho, qui primo populum concitauit, inde Oenoēm Thebanis prodidit hostibus: diem, si respondere uoluisset, concessistis, reliquaq; iuxta leges egistis: at ducibus uestris, qui ex animi sententia cuncta uobis confe-

τὰ δ᾽ ὑπεραπολογησόμενος. τὰ δὲ ξυμβουλεύσων ἅ μοι δοκεῖ ἄριστα εἶναι ἁπάσῃ τῇ πόλει. κατηγορῶ μὲν οὖν αὐτῶν, ὅτι ἔπεισαν τοὺς ξυνάρχοντας, βουλομένους πέμπειν γράμματα τῇ τε βουλῇ, καὶ ὑμῖν, ὅτι ἐπέταξαν τῷ Θηραμένει καὶ Θρασυβούλῳ, τετταράκοντα καὶ ἑπτὰ τριήρεσιν ἀνελέσθαι τοὺς ναυαγούς. οἱ δὲ οὐκ ἀνείλοντο. εἶτα νῦν τὴν αἰτίαν κοινὴν ἔχουσιν, ἐκείνων ἰδίᾳ ἁμαρτόντων, καὶ ἀντὶ τῆς τότε φιλανθρωπίας, νῦν ὑπ᾽ ἐκείνων τε καί τινων ἄλλων ἐπιβουλευόμενοι, κινδυνεύουσιν ἀπολέσθαι. οὐκ ἂν ὑμεῖς γέ μοι πείθοισθε, τὰ δίκαια, καὶ ὅσια ποιοῦντες. καὶ ὅθεν μάλιστ᾽ ἀληθῆ πεύσεσθε, καὶ οὐ μετανοήσαντες, ὕστερον εὑρήσετε σφᾶς αὐτοὺς ἡμαρτηκότας εἰς τὰ μέγιστα, θεούς τε καὶ ὑμᾶς αὐτούς. ξυμβουλεύω δ᾽ ὑμῖν, ἐν οἷς οὔθ᾽ ὑπ᾽ ἐμοῦ οὔθ᾽ ὑπ᾽ οὐδενὸς ἄλλου ἐστὶν ἐξαπατηθῆναι ὑμᾶς, καὶ τοὺς ἀδικοῦντας εἰδότες κολάσεσθε ᾗ ἂν βούλησθε δίκῃ, καὶ ἅμα πάντας, καὶ καθ᾽ ἕνα ἕκαστον, εἰ μὴ πλέον, ἀλλὰ μίαν ἡμέραν δόντες αὐτοῖς ὑπὲρ αὐτῶν ἀπολογήσασθαι, μὴ ἄλλοις μᾶλλον πιστεύοντες, ἢ ὑμῖν αὐτοῖς. ἴστε δέ, ὦ ἄνδρες Ἀθηναῖοι πάντες, ὅτι τὸ Καννωνοῦ ψήφισμά ἐστιν ἰσχυρότατον, ὃ κελεύει, ἐάν τις τὸν τῶν Ἀθηναίων δῆμον ἀδικῇ, δεδεμένον ἀποδικεῖν ἐν τῷ δήμῳ. καὶ ἐὰν καταγνωσθῇ ἀδικεῖν, ἀποθανόντα, εἰς τὸ βάραθρον ἐμβληθῆναι, τὰ δὲ χρήματα αὐτοῦ, δημευθῆναι, καὶ τῆς θεοῦ, τὸ ἐπιδέκατον εἶναι. κατὰ τοῦτο τὸ ψήφισμα κελεύω κρίνεσθαι τοὺς στρατηγούς. καὶ νὴ Δία ἂν ὑμῖν γε δοκῇ, πρῶτον Περικλέα τὸν ἐμοὶ προσήκοντα, αἰσχρόν μοι ἐστὶν ἐκεῖνον περὶ πλείονος ποιεῖσθαι ἢ τὴν πόλιν. τοῦτο δ᾽ εἰ βούλεσθε, κατὰ τοῦτον τὸν νόμον κρίνατε, ὅς ἐστιν ἐπὶ τοῖς ἱεροσύλοις, καὶ προδόταις, ἐάν τις ἢ τὴν πόλιν προδιδῷ, ἢ τὰ ἱερὰ κλέπτῃ, κατακριθέντα ἐν δικαστηρίῳ, ἂν καταγνωσθῇ, μὴ ταφῆναι ἐν τῇ Ἀττικῇ, τὰ δὲ χρήματα αὐτοῦ δημόσια εἶναι. τούτων ὁποτέρῳ βούλεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τῷ νόμῳ, κρινέσθωσαν οἱ ἄνδρες κατὰ ἕνα ἕκαστον, διῃρημένης τῆς ἡμέρας τριῶν μερῶν· ἑνὸς μὲν, ἐν ᾧ ξυλλέγεσθαι ὑμᾶς δεῖ τε διαψηφίζεσθαι, ἐάν τε ἀδικεῖν δοκῶσιν, ἐάν τε μή· ἑτέρου δ᾽, ἐν ᾧ κατηγορῆσαι· ἑτέρου δ᾽, ἐν ᾧ ἀπολογήσασθαι. τούτων δὲ γιγνομένων, οἱ μὲν ἀδικοῦντες τεύξονται τῆς μεγίστης τιμωρίας. οἱ δ᾽ ἀναίτιοι ἐλευθερωθήσονται ὑφ᾽ ὑμῶν, ὦ Ἀθηναῖοι, καὶ οὐκ ἀδικοῦντες ἀπολοῦνται. ὑμεῖς δὲ κατὰ τὸν νόμον εὐσεβοῦντες, καὶ εὐορκοῦντες, κρινεῖτε, καὶ οὐ ξυμπολεμήσετε Λακεδαιμονίοις, τοὺς ἐκείνους ἑβδομήκοντα ναῦς ἀφελομένους, καὶ νενικηκότας, τούτους ἀπολλύντες ἀκρίτους παρὰ τὸν νόμον. τί δὲ καὶ δεδιότες σφόδρα οὕτως ἐπείγεσθε; ἢ μὴ οὐχ ὑμεῖς ὃν ἂν βούλησθε, ἀποκτείνητε, καὶ ἐλευθερώσητε, ἂν κατὰ τὸν νόμον κρίνητε, ἀλλ᾽ οὐκ ἂν παρὰ τὸν νόμον, ὥσπερ Καλλίξενος τὴν βουλὴν ἔπεισεν εἰς τὸν δῆμον εἰσενεγκεῖν μιᾷ ψήφῳ. ἀλλ᾽ ἴσως ἄν τινα καὶ οὐκ αἴτιον ὄντα ἀποκτείνητε, μεταμελήσει δὲ ὕστερον, ἀναμνήσθητε ὡς ἀλγεινόν, καὶ ἀνωφελὲς ἤδη ἐστί. πρὸς δ᾽ ἔτι, καὶ περὶ θανάτου ἀνθρώπους ἡμαρτηκότες. δεινὰ δ᾽ ἂν ποιήσαιτε, εἰ Ἀριστάρχῳ μὲν, πρότερον τὸν δῆμον καταλύοντι, εἶτα δὲ Οἰνόην προδιδόντι Θηβαίοις, πολεμίοις οὖσιν, ἔδοτε ἡμέραν ἀπολογήσασθαι, ᾗ ἐβούλετο, καὶ τἆλλα κατὰ τὸν νόμον προὔθετε, τοὺς δὲ στρατηγοὺς τοὺς πάντα ὑμῖν κατὰ γνώμην πρά-

πράξαντας, νικήσαντας δὲ τοὺς πολεμίους, τῆς αὐτῶν τότε τῶν ἀποστερήσητε. μὴ ὑμεῖς γε, ὦ Ἀθηναῖοι, ἀλλ' ἑαυτῶν ὄντας τοὺς νόμους, δι' οὓς μάλιστα μέγιστοί ἐστε φυλάττοντες, ἄνευ τούτων μηδὲν πράττειν πειρᾶσθε. ἐπανέλθετε δὲ καὶ ἐπ' αὐτὰ τὰ πράγματα, καθ' ἃ καὶ αἱ ἁμαρτίαι δοκοῦσι γεγενῆσθαι τοῖς στρατηγοῖς. ἐπεὶ γὰρ κρατήσαντες τῇ ναυμαχίᾳ εἰς τὴν γῆν κατέπλευσαν, Διομέδων μὲν ἐκέλευεν ἀναχθέντας ἐπὶ κέρως ἅπαντας, ἀναιρεῖσθαι τὰ ναυάγια, καὶ τοὺς ναυαγούς. Ἐρασινίδης δ' ἐπὶ τοὺς εἰς Μυτιλήνην πολεμίους τὴν ταχίστην πλεῖν ἅπαντας. Θρασύλος δ' ἀμφότερα ἔφη γενέσθαι, ἂν τὰς μὲν αὐτοῦ καταλίπωσι, ταῖς δὲ ἐπὶ τοὺς πολεμίους πλέωσι. καὶ δοξάντων τούτων καταλιπεῖν τρεῖς ναῦς ἕκαστον ἐκ τῆς αὐτοῦ συμμορίας, τῶν στρατηγῶν ὀκτὼ ὄντων, καὶ τὰς τῶν ταξιάρχων δέκα, καὶ τὰς τῶν ναυάρχων τρεῖς, αὗται ἅπασαι γίγνονται ἑπτὰ καὶ τετταράκοντα, τέτταρες περὶ ἑκάστην ναῦν, τῶν ἀπολωλυιῶν δώδεκα οὐσῶν. τῶν δὲ καταλειφθέντων ταξιάρχων, ἦσαν Θρασύβουλος καὶ Θηραμένης, ὃς ἐν τῇ πρότερᾳ ἐκκλησίᾳ κατηγόρει τῶν στρατηγῶν. ταῖς δὲ ἄλλαις ναυσὶν ἔπλεον ἐπὶ τὰς πολεμίας. τί τούτων οὐχ ἱκανῶς, καὶ καλῶς ἔπραξαν; οὐκοῦν δίκαιον τὰ μὲν πρὸς τοὺς πολεμίους μὴ καλῶς πραχθέντα τοὺς πρὸς τούτους ταχθέντας ὑπέχειν λόγον· τοὺς δὲ πρὸς τὴν ἀναίρεσιν μὴ ποιήσαντας, ἃ οἱ στρατηγοὶ ἐκέλευσαν, διότι οὐκ ἀνείλοντο κρίνεσθαι. τοσοῦτον δ' ἔχω εἰπεῖν ὑπὲρ ἀμφοτέρων, ὅτι ὁ χειμὼν διεκώλυσε μηδὲν πρᾶξαι, ὧν οἱ στρατηγοὶ παρεκελεύσαντο. τούτων δὲ μάρτυρες, οἱ σωθέντες ἀπὸ τοῦ αὐτομάτου, ὧν εἷς τῶν ἡμετέρων στρατηγῶν ἐπὶ καταδύσης νεὼς σωθείς, ὃν κελεύουσι τῇ αὐτῇ ψήφῳ κρίνεσθαι, καὶ αὐτὸν τότε δεόμενον ἀναιρέσεως, ᾗπερ τοὺς πράξαντας τὰ προσταχθέντα. μὴ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ἀντὶ μὲν τῆς νίκης καὶ τῆς εὐτυχίας, ὅμοια ποιήσητε τοῖς ἡττημένοις τε καὶ ἀτυχοῦσιν. ἀντὶ δὲ τῶν ἐκ θεοῦ ἀναγκαίων, ἀγνωμονεῖν δόξητε, προδοσίαν καταγνόντες ἀντὶ τῆς ἀδυναμίας, οὐχ ἱκανοὺς γενομένους διὰ τὸν χειμῶνα πρᾶξαι τὰ προσταχθέντα, ἀλλὰ πολὺ δικαιότερον στεφάνοις γεραίρειν τοὺς νικῶντας, ἢ θανάτῳ ζημιοῦν, πονηροῖς ἀνθρώποις πειθομένους. ταῦτ' εἰπὼν Εὐρυπτόλεμος ἔγραψε γνώμην κατὰ τὸ Καννώνου ψήφισμα, κρίνεσθαι τοὺς ἄνδρας, δίχα ἕκαστον. ἡ δὲ τῆς βουλῆς ἦν μιᾷ ψήφῳ ἅπαντας κρίνειν. τούτων δὲ διαχειροτονουμένων, τὸ μὲν πρῶτον ἔκριναν τὴν Εὐρυπτολέμου, ὑπομοσαμένου δὲ Μενεκλέους. καὶ πάλιν διαχειροτονίας γενομένης, ἔκριναν τὴν τῆς βουλῆς. καὶ μετὰ ταῦτα κατεψηφίσαντο τῶν ναυμαχησάντων στρατηγῶν, ὀκτὼ ὄντων. ἀπέθανον δὲ οἱ παρόντες ἕξ. καὶ οὐ πολλῷ χρόνῳ ὕστερον μετέμελε τοῖς Ἀθηναίοις. καὶ ἐψηφίσαντο, οἵτινες τὸν δῆμον ἐξηπάτησαν, προβολὰς αὐτῶν εἶναι, καὶ ἐγγυητὰς καταστῆσαι, ἕως ἂν κριθῶσιν. εἶναι δὲ καὶ Καλλίξενον τούτων. προυβλήθησαν δὲ καὶ ἄλλοι τέτταρες, καὶ ἐδέθησαν ὑπὸ τῶν ἐγγυησαμένων. ὕστερον δὲ στάσεώς τινος γενομένης, ἐν ᾗ Κλεοφῶν ἀπέθανεν, ἀπέδρασαν οὗτοι πρὶν κριθῆναι. Καλλίξενος δὲ κατελθών, ὅτε καὶ οἱ ἐκ Πειραιῶς εἰς τὸ ἄστυ, μισούμενος ὑπὸ πάντων, λιμῷ ἀπέθανεν.

ΞΕΝΟ-

confecere, hostesq; uicere, hoc idem denegetis? Nolite igitur, o Athenienses, cum eas habeat leges, per quas in maximam quandiu illas obseruastis potentiã euasistis [illegible] contra leges cõmittere. Veniat [illegible] ad [illegible] s fecisse uidentur. Defuncti bello nauali, consilium in continentẽ nauigarunt: ubi Diomedon censuit, nauibus cunctis naufragis ac submersis succurri debere: Erasinides, uniuersos quam celerrime ad hostes Mitylenem nauigare: Thrasybulus utrunq; fieri posse asseruit, si partem nauiũ ibi relinquerent, reliquis ad hostes pergerent. Id cum omnibus placuisset, decreuerũt unumquenq; ducum, qui octo erant, ex contubernio suo tres ibi relinquere naues: & praefectorum, decem: nauarchorũ quoq; tres: quae omnes erant quadragintaseptem: quatuor circa unamquanq; nauium quae perierãt, quaeq; duodecim erãt, occupatis. Hi uero qui relicti sunt praefecti, Thrasybulus & Theramenes, is qui priori concione duces accusauit, nauibus reliquis ad hostes pertexere. Proinde num hac in re quid neglexerunt, aut minus recte egerunt? Aequumne est cum quid contra hostes non recte actum est, eos qui cuncta bene ordinarunt, poenam luere? illos uero qui ducum iussa de mortuorũ susceptione exequuti sunt minime, tanquã innocentes absolui? Sed de illis ambobus, quod & de ducibus asserere possum, tempestatis uim impedimento fuisse, quo minus exequerentur quae duces iusserant. Huius rei testes sunt, qui sua ope euaserunt: inter quos ex ducibus uestris unus est, quem iam eisdẽ suffragijs damnari iubent: maxime tamen cum mandata exequeretur, succursus indigẽtem. Nolite igitur o uiri Athenienses, uictoriam hanc egregiã ac fortunatã dedecorare, ac tanquam uicti et cladem perpessi, turpe quid cõmittere, ne contra deos ingrati uideamini, cum impossibilitatẽ tanquam proditionẽ quandam incusandam esse censeatis: praesertim cum omnibus notũ sit ac constet, tempestatẽ impedimẽto fuisse, quo minus iussa exequi potuerint. Caeterum multo rectius agetis, si uictores coronis decorabitis, q̃ a prauis persuasi hominibus, illos morte plectetis. Haec cũ Euryptolemus dixisset, suam scripsit sententiã, uiros secundũ legis decretum iudicari, & his de unoquoq; sortiri debere. Senatus uero sententia erat, inauditos omnes simul unicis iudicandos esse suffragijs. Quae cum in disceptationẽ uenissent, primo in Euryptolemi omnes iuere sententiã. At rursus referente Menecleo, factaq; iterum disceptatione, senatus praeualuit sentẽtia, protinusq; duces condẽnati sunt octo, ex quibus sex qui praesentes erãt, occubuere. Sed haud multo post tẽpore maxima Athenienses inuasit poenitẽtia: quapropter decreuerũt, ut quicunq; populũ seduxissent, capitis rei essent, datis quoad iudicarentur uadibus. Esse uero inter praecipuos Callixenum omnes clamabant. Delati sunt & alij quatuor, qui & ipsi uades praestare coacti sunt. Sed cum postea seditio quaedam orta esset, in qua Cleophon occubuit, aufugere alij antequam condemnarentur. At Callixenus cum aliquãdo cum ijs qui in Piraeo erant, in ciuitatem descendisset, ab omnibus exosus fame perijt.

XENO-

XENOPHONTIS RERVM GRAECARVM LIBER SECVNDVS

At milites qui cum Eteonico in Chio relicti erant, durante æstate, undique ex agris alebantur, necnon mercede operam locabant. Ingruente uero hyeme cum uictus, tum uestitus penuria laborare cœperũt: 10 quapropter clanculum de occupanda Chio consilia agitare, & unumquenque cui hæc placerent, calamum ferre iusserunt, ut eo pacto quotquot essent internoscerentur. Eteonicus cum conuenticulum hoc indies glíscere præsensisset, anxius erat quid sibi hac in re faciendum esset: nam aperta ui, propter multitudinem calamum ferentium, niti, periculosum uidebatur: timebat etenim ne sumptis armis, ac ciuitate occupata, hostes euaderent, & omnia quæ antea ex hostibus ceperant, pessundarent. Preterea tot ho- 20 mines, præcipue belli socios interficere, impium esse ducebat. Verebatur pariter ne reliquis Græcis criminandi materiam præstaret, cæteriq; milites ad omnia obeunda pericula segniores rederentur. Assumptis igitur quindecim uiris gladijs accinctis, per ciuitatem incedebat: cui casu fit obuiam quidam calamum gestans, qui oculorum morbo tenebatur, ac à medico redibat: quem protinus obtruncauit. Concursu facto, ac quibusdam sciscitantibus, quamobrem homo ille interfectus esset, Eteonicus respon- 30 deri iussit, quia calamum portauerat. His auditis, cuncti qui calamos ferebant, illos abiecere, timentes ne & ipsi conspicerentur. At Eteonicus conuocatis Chijs, pecunias, quas militibus ne quid noui molirentur distribuerent, imperauit. Illi uero quàm primũ paruere. Dat interim militibus ascendendi naues signũ: ac circũuectus, pluribus illos hortatus, ac de præteritis solatus est: unicuiq; deinde menstruũ persoluit stipendium. Conuenerũt post hæc Chij, & socij alij Ephesum, ubi de rebus præsentibus consultarunt: pla- 40 cuitq; legatos Lacedæmonẽ mittere, qui Lysandrum classis imperatorem exposcerent: nam humane antea classi præfuerat, ac benigne se erga socios gesserat, cum in Notio bello uicisset nauali. Itaq; legati decem hanc ob rem Lacedæmonem missi sunt: alij quoq; ad Cyrum, qui illi hæc nunciarent. Lacedæmonij itaque Lysandrũ tanquam legatum præesse iusserunt, ac nauarchum Aracum constituerunt: bis enim eundẽ imperare leges non permittunt. Traditæ igitur sunt naues Lysandro x x v. huius belli anno. Hoc quoq; an- 50 no Cyrus Autobisacem interfecit & Mitræum, filios Dariææ sororis Xerxis, patris Darij, hãc ob causam, quod sibi occurrentes manus intra manicã non contraxerant, quod regi solo fieri solet: est enim manica q̃ manus longior: & cum quis manum intra illam continet facere omnino nihil potest. Hieramenes igitur et uxor, Dario assiduis instantes fletibus, iniquissimum esse aiebant, si tam grauem iniuriam inultã relinquere. Quorũ ille precibus deuictus, Cyrum per nuncios tanquam ægrotans accersiuit. Eodem anno Archyto

ΞΕΝΟΦΩΝΤΟΣ ΕΛΛΗΝΙΚΩΝ ΔΕΥΤΕΡΟΝ.

Οἱ δὲ ἐν τῇ χίῳ μετὰ ἐτεονίκου στρατιῶται ὄντες, ἕως μὲν θέρος ἦν, ἀπό τε τῆς ὥρας ἐτρέφοντο, καὶ ἐργαζόμενοι μισθοῦ κατὰ τὴν χώραν. ἐπεὶ δὲ χειμὼν ἐγένετο, καὶ τροφὴν οὐκ εἶχον, γυμνοί τε ἦσαν, καὶ ἀνυπόδητοι, ξυνίσταντο ἀλλήλοις, καὶ ξυνετίθεντο, ὡς τῇ χίῳ ἐπιθησόμενοι. οἷς δὲ ταῦτα ἀρέσκοι, κάλαμον φέρειν ἐδόκει, ἵνα ἀλλήλους μάθοιεν ὁπόσοι εἴησαν. πυθόμενος δὲ τὸ ξύνθημα ὁ ἐτεόνικος, ἀπόρως μὲν εἶχε τί χρῷτο περὶ τῷ πράγματι, διὰ τὸ πλῆθος τῶν καλαμοφόρων. τό, τε γὰρ ἐκ τοῦ ἐμφανοῦς ἐπιχειρῆσαι, σφαλερὸν ἐδόκει εἶναι, μὴ εἰς τὰ ὅπλα ὁρμήσωσι, καὶ τὴν πόλιν κατασχόντες, καὶ πολέμιοι γενόμενοι, ἀπολέσωσι πάντα τὰ πράγματα ἂν κρατήσωσι. τό, τ' αὖ ἀπολλύναι ἀνθρώπους ξυμμάχους πολλοὺς, δεινὸν ἐφαίνετο εἶναι· μή τινα καὶ εἰς τοὺς ἄλλους ἕλληνας διαβολὴν σχοῖεν, καὶ οἱ στρατιῶται δύσνοοι εἰς τὰ πράγματα ὦσιν. ἀναλαβὼν δὲ μεθ' ἑαυτοῦ ἄνδρας πεντεκαίδεκα, ἐγχειρίδια ἔχοντας, ἐπορεύετο κατὰ τὴν πόλιν, καὶ ἐντυχών τινι ἀνθρώπῳ ὀφθαλμιῶντι ἀπιόντι ἐξ ἰατρείου, κάλαμον ἔχοντι, ἀπέκτεινε. θορύβου δὲ γενομένου, καὶ ἐρωτώντων τινῶν διατί ἀπέθανεν ὁ ἄνθρωπος, παραγγέλλειν ἐκέλευεν ὁ ἐτεόνικος, ὅτι τὸν κάλαμον εἶχε. κατὰ δὲ τὴν παραγγελίαν ἐρρίπτουν πάντες ὅσοι εἶχον τοὺς καλάμους, ἀεὶ ὁ ἀκούων δεδιὼς μὴ ὀφθείη ἔχων. μετὰ δὲ ταῦτα ὁ ἐτεόνικος ξυγκαλέσας τοὺς χίους, χρήματα ἐκέλευσε ξυνεισενεγκεῖν, ὅπως οἱ ναῦται λάβωσι τὸν μισθὸν, καὶ μὴ νεωτερίσωσί τι. οἱ δὲ εἰσήνεγκαν, ἅμα δὲ εἰς τὰς ναῦς ἐσήμαινεν ἐμβαίνειν. προσιὼν δὲ ἐν μέρει παρ' ἑκάστην ναῦν, παρεθάῤῥυνέ τε καὶ παρῄνει πολλὰ, ὡς τοῦ γεγενημένου οὐδὲν εἰδώς. καὶ μισθὸν ἑκάστῳ μηνὸς διέδωκε. μετὰ δὲ ταῦτα οἱ χῖοι, καὶ οἱ ἄλλοι ξύμμαχοι, συλλεγέντες εἰς ἔφεσον, ἐβουλεύσαντο περὶ τῶν ἐνεστηκότων πραγμάτων πρέσβεις εἰς λακεδαίμονα πέμπειν, ταῦτά τε ἐροῦντας, καὶ λύσανδρον αἰτήσοντας ἐπὶ τὰς ναῦς, εὖ φερόμενον παρὰ τοῖς ξυμμάχοις κατὰ τὴν προτέραν ναυαρχίαν, ὅτε καὶ τὴν ἐν νοτίῳ ἐνίκησε ναυμαχίαν. καὶ ἀπεπέμφθησαν πρέσβεις ξὺν αὐτοῖς δέκα, καὶ παρὰ κύρου ταῦτα λέγοντες ἄγγελοι. οἱ δὲ λακεδαιμόνιοι ἔδοσαν τὸν λύσανδρον ὡς ἐπιστολέα. ναύαρχον δὲ ἄρακον. οὐ γὰρ νόμος αὐτοῖς δὶς τὸν αὐτὸν ναυαρχεῖν. τὰς μέντοι ναῦς παρέδοσαν λυσάνδρῳ, ἐτῶν ἤδη πέντε καὶ εἴκοσι παρεληλυθότων. τούτῳ δὲ περὶ ἐνιαυτῷ καὶ κῦρος ἀπέκτεινεν αὐτοβοισάκην καὶ μιτραῖον, υἱεῖς ὄντας τῆς δαρειαίου ἀδελφῆς τῆς τοῦ ξέρξου τοῦ δαρείου πατρὸς, ὅτι αὐτῷ ἀπαντῶντες, οὐ διέωσαν διὰ τῆς κόρης τὰς χεῖρας, ὃ ποιοῦσι βασιλεῖ μόνῳ. ἡ δὲ κόρη ἐστὶ μακρότερον, ἢ χειρὸς, ἐν ᾗ τὴν χεῖρα ἔχων, οὐδὲν ἂν δύναιτο ποιῆσαι. ἱεραμένης μὲν οὖν καὶ ἡ γυνὴ ἔλεγον πρὸς δαρειαῖον, δεινὸν εἶναι εἰ περιόψεται τὴν λίαν ὕβριν τούτου. ὁ δὲ αὐτὸν μεταπέμπεται ὡς ἀῤῥωστῶν, πέμψας ἀγγέλους. τῷ δ' ἐπιόντι ἔτει, ἐπὶ

ἀρχίτου

ἀρχύτου μὲν ἐφορεύοντος, ἄρχοντος δ' ἐν ἀθήναις ἀλεξίου, λύσανδρος ἀφικόμενος εἰς ἔφεσον, μετεπέμψατο ἐτεόνικον ἐκ χίου σὺν ταῖς ναυσί. καὶ τὰς ἄλλας πάσας συνήθροισεν, εἴ πού τις ἦν, καὶ ταύτας τ' ἐπεσκεύαζε, καὶ ἄλλας ἐν ἀντάνδρῳ ἐναυπηγεῖτο. ἐλθὼν δὲ παρὰ κῦρον, χρήματα ᾔτει. ὁ δ' αὐτῷ εἶπεν, ὅτι τὰ μὲν παρὰ βασιλέως ἀνηλωμένα εἴη, καὶ ἔτι πλείω πολλῷ, δεικνύων ὅσα ἕκαστος τῶν ναυάρχων ἔχοι. ὅμως δ' ἔδωκε. λαβὼν δὲ ὁ λύσανδρος τἀργύριον, ἐπὶ τὰς τριήρεις τριηράρχους ἐπέστησε, καὶ τοῖς ναύταις τὸν ὀφειλόμενον μισθὸν ἀπέδωκε. παρεσκευάζοντο δὲ καὶ οἱ τῶν ἀθηναίων στρατηγοὶ πρὸς τὸ ναυτικὸν ἐν τῇ σάμῳ. κῦρος δ' ἐπὶ τούτοις μετεπέμψατο λύσανδρον, ἐπεὶ αὐτῷ παρὰ τοῦ πατρὸς ἧκεν ἄγγελος λέγων, ὅτι ἀρρωστῶν, ἐκεῖνον καλοίη, ὢν ἐν θαμνηρίοις τῆς μηδίας, ἐγγὺς καδουσίων, ἐφ' οὓς ἐστράτευσε ἀφεστῶτας. ἥκοντα δὲ λύσανδρον, οὐκ εἴα ναυμαχεῖν πρὸς ἀθηναίους, ἐὰν μὴ πολλῷ πλείους ναῦς ἔχῃ. εἶναι γὰρ χρήματα πολλὰ καὶ βασιλεῖ, καὶ ἑαυτῷ ὥστε τούτου ἕνεκεν πολλὰς πληροῦν. παρέδειξε δ' αὐτῷ πάντας τοὺς φόρους τοὺς ἐκ τῶν πόλεων, οἱ αὐτῷ ἴδιοι ἦσαν. καὶ τὰ περιττὰ χρήματα ἔδωκε. καὶ ἀναμνήσας ὡς εἶχε φιλίας πρός τε τὴν λακεδαιμονίων πόλιν καὶ πρὸς λύσανδρον ἰδίᾳ, ἀνέβαινε παρὰ τὸν πατέρα. λύσανδρος δ', ἐπεὶ αὐτῷ κῦρος πάντα παραδοὺς τὰ αὑτοῦ, πρὸς τὸν πατέρα ἀρρωστοῦντα, μετάπεμπτος ἀνέβαινε, μισθὸν διαδοὺς τῇ στρατιᾷ, ἀνήχθη τῆς καρίας εἰς τὸν κεράμειον κόλπον. καὶ προσβαλὼν πόλει τῶν ἀθηναίων συμμάχῳ, ὄνομα κεδρείαις, τῇ ὑστεραίᾳ προσβολῇ κατακράτος αἱρεῖ, καὶ ἐξηνδραπόδισεν. ἦσαν δὲ μιξοβάρβαροι οἱ ἐνοικοῦντες. ἐκεῖθεν δ' ἀπέπλευσεν εἰς ῥόδον. οἱ δὲ ἀθηναῖοι ἐκ τῆς σάμου ὁρμώμενοι, τὴν βασιλέως κακῶς ἐποίουν, καὶ τὴν ἐπὶ χίον, καὶ τὴν ἔφεσον ἐπέπλεον, καὶ παρεσκευάζοντο πρὸς ναυμαχίαν, καὶ στρατηγοὺς πρὸς τοῖς ὑπάρχουσιν εἵλοντο, μένανδρον, τυδέα, κηφισόδοτον. λύσανδρος δ' ἐκ τῆς ῥόδου παρὰ τὴν ἰωνίαν ἐκπλεῖ πρὸς τὸν ἑλλήσποντον, πρός τε τῶν πλοίων τὸν ἔκπλουν, καὶ ἐπὶ τὰς ἀφεστηκυίας αὐτῶν πόλεις. ἀνήγοντο δὲ καὶ οἱ ἀθηναῖοι ἐπὶ τῆς χίου πελάγιοι. ἡ γὰρ ἀσία πολεμία αὐτοῖς ἦν. λύσανδρος δ' ἐξ ἀβύδου παρέπλει εἰς λάμψακον, σύμμαχον οὖσαν ἀθηναίων. καὶ οἱ ἀβυδηνοί, καὶ οἱ ἄλλοι παρῆσαν πεζῇ. ἡγεῖτο δὲ θώραξ λακεδαιμόνιος. προσβαλόντες δὲ τῇ πόλει, αἱροῦσι κατακράτος. καὶ διήρπασαν οἱ στρατιῶται οὖσαν πλουσίαν καὶ οἴνου, καὶ σίτου, καὶ τῶν ἄλλων ἐπιτηδείων πλήρη. τὰ δὲ ἐλεύθερα σώματα πάντα ἀφῆκε λύσανδρος. οἱ δὲ ἀθηναῖοι κατὰ πόδας πλέοντες ὡρμίσαντο τῆς χερρονήσου ἐν ἐλαιοῦντι, ναυσὶν ὀγδοήκοντα καὶ ἑκατόν. ἐνταῦθα δὴ ἀριστοποιουμένοις αὐτοῖς, ἀγγέλλεται τὰ περὶ λάμψακον, καὶ εὐθὺς ἀνήχθησαν εἰς σηστόν. ἐκεῖθεν δ' εὐθὺς ἐπισιτισάμενοι, ἔπλευσαν εἰς αἰγὸς ποταμούς, ἀντίον τῆς λαμψάκου. διεῖχε δ' ὁ ἑλλήσποντος ταύτῃ σταδίους ὡς πεντεκαίδεκα. ἐνταῦθα δὴ ἐδειπνοποιοῦντο. λύσανδρος δὲ τῇ ἐπιούσῃ νυκτί, ἐπεὶ ὄρθρος ἦν, ἐσήμηνεν εἰς τὰς ναῦς ἀριστοποιησαμένους εἰσβαίνειν. πάντα δὲ παρασκευασάμενος ὡς εἰς ναυμαχίαν, καὶ τὰ παραβλήματα παραβαλών, προεῖ-

πεν

Archyto Ephoro, præsidente Athenis Alexio, Lysander Ephesum applicuit, quo et Eteonicũ ex Chio cum nauib. accersiuit, ac reliquas undiq; contraxit, quas omnes reparauit: nouas quoq; in Antandro cõstruxit: inde ad Cyrum ut ab illo pecunias posceret, contendit. At ille non solũ pecunias regias, sed & proprias cõsumptas esse ostendit. quantũq; unicuiq; nauium præfecto tradidisset, edocet: nihilominus tamen alias dedit. Quibus Lysander receptis, trierarchos singulis constituit nauibus, simul & debitum nautis persoluit stipendium. Nec segnius Atheniensium quoque duces in Samo se prælio accingebant nauali. Venere interim ad Cyrum nuncij, qui illum ad patrem tanquam ægrotum accersirent, qui tum contra Thamnerios Mediæ, qui Cadusijs adiacent, bellum gerebat: nam ab eo defecerant. Confestim itaque ille Lysandrum uocauit, eumq; cum Atheniensibus pugnare prohibuit, ni longe classe superior esset: regem enim ac se multis pollere opibus, quibus naues quãplurimas instruere possent, ostendit. Omnes quoq; redditus qui ex proprijs ipsius exigebantur ciuitatibus, illi consignauit: ac reliquas, quæ supererant, tradidit pecunias: summopere Lysandrũ admonens, ut amicitiæ quã & Lacedæmoniorũ ciuitati, & priuatim ipsi deuinctus esset, quandoq; memor foret: sicq; ad patrem ascendit. Lysander acceptis cunctis quæ Cyrus ad patrem ægrotantẽ proficiscens sibi reliquerat, persolutoq; exercitui stipendio, in sinum Ceramicũ, qui in Caria est, nauigauit: ac ciuitatem quandam Atheniensium sociam, nomine Cedries aggressus, postridie ui cepit ac diripuit. erant habitatores loci illius semibarbari. Inde uero Rhodũ nauigat. Athenienses interim ex Samo mouent, ac in Asiæ delati oram, pluribus locis regios depopulati sunt agros, Chiumq; ac Ephesum usque processere, ibiq; ad pugnam se accingebant naualẽ, ducesq; alios tres prioribus addidere præfectis, Menandrum, Tydeum, & Cephisodotum. Lysander interim ex Rhodo præter Ioniam in Hellespontum, ad excursiones nauium inhibendum, simul & contra ciuitates quæ defecerant, nauigat. Legebant Athenienses quoque Chium mare: nam Asia illis hostilis erat. Lysander uero ex Abydo Lampsacum circumnauigabat: erant hi Atheniensium socij: ibi præsto fuere Abydeni ac alij socij, quos Thorax ducebat Lacedæmonius. Ciuitatem igitur aggressi, ui capiunt, captamq; diripiunt: præda ibi opulenta parta est: nam uino, frumento, ac reliquis omnibus necessarijs referta erat. Libera corpora omnia à Lysandro dimissa sunt. Insecuti sunt illius uestigia Athenienses: ac cum Eleuntem quæ in Cherroneso est, centum & octuaginta nauium classe uenissent, iamque pranderent, de Lampsacena clade certiores facti sunt. Protinus itaque Sestum aduehuntur: inde cum frumentassent, ad Aegos flumen contra Lampsacum nauigant. Dirimitur Hellespontus ibi stadijs quasi quindecim, ubi & cœnarunt. Lysander milites circa diei ortum pransos naues inscendere, & paratos edictum expectare iubet, ac ne

quis

quis ordine excederet, inhibet. Athenienses exorto sole in portus faucibus ordinem explicant, ac classem conuocant: sed cum Lysander certamen detrectaret, solq; in occasum uergeret, rursus ad Aegos flumen reuertuntur. Lysander uero explorandi gratia celerrimas subsequi iußit triremes, ac quid hostis ageret, nunciari sibi imperat: nec prius milites è nauibus dimittit, quàm speculatoriæ reuersæ essent triremes. Id per quatuor egit dies. Alcibiades interim à muris Athenienses in littore, & ab omni ciuitate procul castra locasse speculatus, commeatumque ægre à Sesto deferre, distantem à nauibus stadiis quindecim: hostes uero in portu & à ciuitate omnibus abundare necessarijs, non in tuto duces castra posuisse ostendit, eosq; hortatus est, ut illa Sestum, ubi portus & urbs esset, & unde cum uellent ad bellum procedere possent, transferrent. At duces, & maxime Tydeus, & Menander, illum contumeliose abire iusserunt: adiecere, se, non illum imperare. Ille igitur discessit. At Lysander die quinto Athenensibus ut consueuerant remeantibus, speculatorijs imperat nauibus, ut cum primum uidissent eos è nauibus egressos, ac per Cherronesum dispersos, quemadmodum singulis antea facere consueuerant diebus, commeatum ementes, ac Lysandrum despicientes, tanquam cum illis confligere minime ausuri, retro omni celeritate remigent, ac inter nauigandum clypeum attollerent. Qui ut iußi erant, mandata impigre exequuntur. Lysander itaque statim quamcelerrime nauigandi dat signum: aderat & Thorax peditatu. Conon uero cum ingruentem uidisset hostem, signum nauibus omni ope ad succurrendum proponit: sed homines undiq; dispersi erãt, & naues partim biremes, aliæ uniremes, cæteræ uero omnino erant uacuæ, præter Cononis & alias septem, quæ militibus instructæ erant, & paralum: reliquas omnes Lysander iuxta continentem oppreßit. Maior quoque hominum pars in terra capta est, reliqui Chidrias aufugerunt. Conon nouem effugiens nauibus, ad Abarnidem Lampsaci adnauigauit promontorium: ubi maximis Lysandri nauium ablatis malis, postquam Atheniensium res fractas cognouit, nauibus octo in Cyprum ad Euagoram aufugit. Paralos uero accepta cladis nuncia, Athenas festinauit. Lysander naues, captiuos, & reliqua omnia Lampsacum abducit. Cepit & inter duces alios Philoclem, & Adimantum. Eadem quoque die qua parta est uictoria, Lysander Theopompum Milesium piratam, Lacedæmonem uictoriam nunciaturum misit: qui & tertia die illac cum tam læto peruenit nuncio. Inde Lysander socios conuocat, quos de captiuis consuleret. Ibi de multis Athenienses accusati sunt criminibus, quod uidelicet si bello uincerent nauali, captiuis omnibus dextras amputare manus decreuerant: quodque duas cepissent triremes, Corinthiam unam, & Andriam aliam, ex quibus uiros omnes in mare præcipites deiecissent: cuius facinoris dux Philocles fuerat: aliaq; permul-

πρὶν ὡς μηδεὶς κινήσοιτο ἐκ τῆς τάξεως, μηδ' ἀνάξοιτο. οἱ δὲ ἀθηναῖοι ἅμα τῷ ἡλίῳ ἀνίσχοντι, ἐπὶ τῷ λιμένι ἀντετάξαντο ἐν μετώπῳ ὡς εἰς ναυμαχίαν. ἐπεὶ δὲ οὐκ ἀντανήγαγε λύσανδρος, καὶ τῆς ἡμέρας ὀψὲ ἦν, ἀπέπλευσαν πάλιν εἰς τοὺς αἰγὸς ποταμούς. λύσανδρος δὲ τὰς ταχίστας τῶν νεῶν ἐκέλευσεν ἕπεσθαι τοῖς ἀθηναίοις, ἐπειδὰν δὲ ἐκβῶσι, κατιδόντας ὅ, τι ποιοῦσιν, ἀποπλεῖν καὶ αὐτῷ ἐξαγγεῖλαι· καὶ οὐ πρότερον ἐξεβίβασεν ἐκ τῶν νεῶν, πρὶν αὗται ἧκον. ταῦτα δ' ἐποίει τέτταρας ἡμέρας. καὶ οἱ ἀθηναῖοι ἐπανήγοντο. ἀλκιβιάδης δὲ κατιδὼν ἐκ τῶν τειχῶν τοὺς μὲν ἀθηναίους ἐν αἰγιαλῷ ὁρμοῦντας, καὶ πρὸς οὐδεμιᾷ πόλει, τὰ δ' ἐπιτήδεια ἐκ σηστοῦ μετιόντας πεντεκαίδεκα σταδίους ἀπὸ τῶν νεῶν, τοὺς δὲ πολεμίους ἐν λιμένι, καὶ πρὸς πόλιν ἔχοντας πάντα, οὐκ ἐν καλῷ ἔφη αὐτοὺς ὁρμεῖν, ἀλλὰ μεθορμίσαι εἰς σηστὸν παρῄνει, πρός τε λιμένα, καὶ πρὸς πόλιν, οὗ ὄντες, ναυμαχήσετε ἔφη, ὅταν βούλησθε. οἱ δὲ στρατηγοί, μάλιστα δὲ τυδεύς, καὶ μένανδρος, ἀπιέναι αὐτὸν ἐκέλευσαν. αὐτοὶ γὰρ νῦν στρατηγεῖν, οὐκ ἐκεῖνον. καὶ ὁ μὲν ᾤχετο. λύσανδρος δ' ἐπεὶ ἡμέρα ἦν πέμπτη, ἐπιπλέουσι τοῖς ἀθηναίοις, εἶπε τοῖς παρ' αὐτοῦ ἑπομένοις, ἐπὰν κατίδωσιν αὐτοὺς ἐκβεβηκότας, καὶ ἐσκεδασμένους κατὰ τῆς χερρονήσου, ὅπερ ἐποίουν πολὺ μᾶλλον καθ' ἑκάστην ἡμέραν, τά τε σιτία πόρρωθεν ὠνούμενοι, καὶ καταφρονοῦντες τοῦ λυσάνδρου, ὅτι οὐκ ἀντανῆγεν, ἀποπλέοντας τοὔμπαλιν παρ' αὐτόν, ἆραι ἀσπίδα κατὰ μέσον τοῦ πλοῦ. οἱ δὲ ταῦτα ἐποίησαν, ὡς ἐκέλευσε. λύσανδρος δ' εὐθὺς ἐσήμαινε τὴν ταχίστην πλεῖν. συμπαρῄει δὲ ὁ θώραξ, τὸ πεζὸν ἔχων. κόνων δὲ ἰδὼν τὸν ἐπίπλουν, ἐσήμαινεν εἰς τὰς ναῦς βοηθεῖν κατὰ κράτος, διεσκεδασμένων δὲ τῶν ἀνθρώπων ὄντων, αἱ μὲν τῶν νεῶν δίκροτοι ἦσαν, αἱ δὲ μονόκροτοι, αἱ δὲ παντελῶς κεναί. ἡ δὲ κόνωνος, καὶ ἄλλαι περὶ αὐτὸν ἑπτά, πλήρεις ἀνήχθησαν, καὶ ἡ πάραλος. τὰς δ' ἄλλας πάσας λύσανδρος ἔλαβε πρὸς τῇ γῇ. τοὺς δὲ πλείστους ἄνδρας ἐν τῇ γῇ συνέλεξεν. οἱ δὲ καὶ ἔφυγον εἰς τὰ χαράκια. κόνων δὲ ταῖς ἐννέα ναυσὶ φεύγων, ἐπεὶ ἔγνω τῶν ἀθηναίων τὰ πράγματα διεφθαρμένα, κατασχὼν ἐπὶ τὴν ἀβαρνίδα τὴν λαμψάκου ἄκραν, ἔλαβεν αὐτόθεν τὰ μεγάλα τῶν λυσάνδρου νεῶν ἱστία. καὶ αὐτὸς μὲν ὀκτὼ ναυσὶν ἀπέπλευσε παρ' εὐαγόραν εἰς κύπρον. ἡ δὲ πάραλος εἰς τὰς ἀθήνας ἀπαγγελοῦσα τὰ γεγονότα. λύσανδρος δὲ τάς τε ναῦς, καὶ τοὺς αἰχμαλώτους, καὶ τἄλλα πάντα, εἰς λάμψακον ἀπήγαγεν. ἔλαβε δὲ καὶ τῶν στρατηγῶν ἄλλους τε, καὶ φιλοκλέα, καὶ ἀδείμαντον. ᾗ δ' ἡμέρᾳ ταῦτα κατειργάσατο, ἔπεμψε θεόπομπον τὸν μιλήσιον λῃστὴν εἰς λακεδαίμονα ἀπαγγελοῦντα τὰ γεγονότα. ὃς ἀφικόμενος τριταῖος, ἀπήγγειλε. μετὰ δὲ ταῦτα λύσανδρος τοὺς συμμάχους ἐκέλευσε βουλεύεσθαι περὶ τῶν αἰχμαλώτων. ἐνταῦθα δὴ κατηγορίαι ἐγίγνοντο πολλαὶ τῶν ἀθηναίων, ἅ τε ἤδη παρανενομήκεσαν, καὶ ἃ ἐψηφισμένοι ἦσαν ποιεῖν, εἰ κρατήσειαν τῇ ναυμαχίᾳ, τὴν δεξιὰν χεῖρα ἀποκόπτειν τῶν ζωγρηθέντων πάντων. καὶ ὅτι λαβόντες δύο τριήρεις, κορινθίαν καὶ ἀνδρίαν, τοὺς ἄνδρας ἐξ αὐτῶν πάντας κατακρημνίσειαν. φιλοκλῆς δ' ἦν στρατηγὸς τῶν ἀθηναίων, ὃς τούτους διέφθειρεν. ἐλέγετο δὲ καὶ ἄλλα πολλά,

πολλά. καὶ ἔδοξεν ἀποκτεῖναι τῶν αἰχμαλώτων ὅσοι ἦ-
σαν ἀθηναῖοι, πλὴν ἀδειμάντου, ὅτι μόνος ἐπελάβε-
το ἐν τῇ ἐκκλησίᾳ τοῦ περὶ τῆς ἀποτομῆς τῶν χειρῶν ψηφίσ-
ματος. ᾐτιάθη μέντοι ὑπό τινων προδοῦναι τὰς ναῦς.
λύσανδρος δὲ φιλοκλέα πρῶτον ἐρωτήσας, ὃς τοὺς ἀν-
δρίους καὶ κορινθίους κατεκρήμνισε, τί εἴη ἄξιος
παθεῖν, ἀρξάμενος εἰς ἕλληνας παρανομεῖν, ἀπέσφα-
ξεν. ἐπεὶ δὲ τὰ ἐν τῇ λαμψάκῳ κατεστήσατο, ἔπλει ἐπὶ τὸ
βυζάντιον καὶ χαλκηδόνα. οἱ δ' αὐτὸν ὑπεδέχοντο, τοὺς
τῶν ἀθηναίων φρουροὺς ὑποσπόνδους ἀφέντες. οἱ δὲ προ-
δόντες ἀλκιβιάδῃ τὸ βυζάντιον, τότε μὲν ἔφυγον εἰς
τὸν πόντον, ὕστερον δὲ εἰς ἀθήνας, καὶ ἐγένοντο ἀθηναῖοι.
λύσανδρος δὲ τούς τε φρουροὺς τῶν ἀθηναίων, καὶ εἴ τινά
που ἄλλον ἴδοι ἀθηναῖον, ἀπέπεμπεν εἰς τὰς ἀθήνας, δι-
δοὺς ἐκεῖσε μόνον πλέουσιν ἀσφάλειαν, ἄλλοθι δ' οὔ· εἰδὼς
ὅτι ὅσῳ ἂν πλείους συλλεγῶσιν εἰς τὸ ἄστυ, καὶ τὸν πει-
ραιᾶ, θᾶττον τῶν ἐπιτηδείων ἔνδειαν ἔσεσθαι. καταλιπὼν
δὲ βυζαντίου καὶ χαλκηδόνος σθενέλαον ἁρμοστὴν λάκω-
να, αὐτὸς ἀποπλεύσας εἰς λάμψακον τὰς ναῦς ἐπεσκεύ-
αζεν. ἐν δὲ ταῖς ἀθήναις τῆς παράλου ἀφικομένης νυ-
κτὸς, ἐλέγετο ἡ ξυμφορὰ, καὶ ἡ οἰμωγὴ ἐκ τοῦ πειραιῶς
διὰ τῶν μακρῶν τειχῶν εἰς ἄστυ διῆκεν, ὁ ἕτερος τῷ
ἑτέρῳ παραγγέλλων, ὥστε ἐκείνης τῆς νυκτὸς οὐδεὶς ἐκοι-
μήθη, οὐ μόνον τοὺς ἀπολωλότας πενθοῦντες, ἀλλὰ πο-
λὺ ἔτι μᾶλλον αὐτοὶ ἑαυτοὺς πείσεσθαι νομίζοντες οἷα ἐ-
ποίησαν μηλίους τε, λακεδαιμονίων ἀποίκους ὄντας, κρα-
τήσαντες, πολιορκίᾳ, καὶ ἱστιέας, καὶ σκιωναίους, καὶ
τορωναίους, καὶ αἰγινήτας, καὶ ἄλλους πολλοὺς τῶν ἑλλήνων.
τῇ δ' ὑστεραίᾳ ἐκκλησίαν ἐποίησαν, ἐν ᾗ ἔδοξε τούς τε
λιμένας ἀποχῶσαι, πλὴν ἑνὸς, καὶ τὰ τείχη εὐτρεπίζειν,
καὶ φυλακὰς ἐφιστάναι, καὶ τἄλλα πάντα, ὡς εἰς πολιορ-
κίαν παρασκευάζειν τὴν πόλιν. καὶ οὗτοι μὲν περὶ ταῦτα
ἦσαν. λύσανδρος δ' ἐκ τοῦ ἑλλησπόντου ναυσὶ διακο-
σίαις ἀφικόμενος εἰς τὴν λέσβον, κατεσκευάσατο τάς
τε ἄλλας πόλεις ἐν αὐτῇ, καὶ μιτυλήνην. εἰς δὲ τὰ ἐπὶ θρᾴ-
κης χωρία ἔπεμψε δέκα τριήρεις ἔχοντα ἐτεόνικον, ὃς
τὰ ἐκεῖ πάντα πρὸς λακεδαιμονίους μετέστησεν. εὐθὺς
δὲ καὶ ἡ ἄλλη ἑλλὰς ἀφειστήκει ἀθηναίων μετὰ τὴν ναυ-
μαχίαν, πλὴν σαμίων. οὗτοι δὲ σφαγὰς τῶν γνωρίμων
ποιήσαντες, κατεῖχον τὴν πόλιν. λύσανδρος δὲ μετὰ
ταῦτα ἔπεμψε πρὸς ἆγίν τε, καὶ εἰς δεκέλειαν, καὶ εἰς
λακεδαίμονα, ὅτι προσπλεῖ σὺν διακοσίαις ναυσί. λα-
κεδαιμόνιοι δὲ ἐξῄεσαν πανδημεὶ καὶ οἱ ἄλλοι πελοπον-
νήσιοι, πλὴν ἀργείων, παραγγείλαντος τοῦ ἑτέρου λακεδαι-
μονίων βασιλέως παυσανίου. ἐπεὶ δὲ ἅπαντες ἠθροίσθη-
σαν, ἀναλαβὼν αὐτοὺς, πρὸς τὴν πόλιν ἐστρατοπέδευ-
σεν ἐν τῇ ἀκαδημίᾳ, τῷ καλουμένῳ γυμνασίῳ. λύ-
σανδρος δὲ ἀφικόμενος πρὸς αἴγιναν, ἀπέδωκε τὴν πό-
λιν αἰγινήταις, ὅσους ἐδύνατο πλείστους ἀθροίσας αὐτῶν.
ὡς δ' αὔτως καὶ μηλίοις, καὶ τοῖς ἄλλοις, ὅσοι τῆς αὐτῶν ἐστέ-
ροντο. μετὰ δὲ τοῦτο δῃώσας σαλαμῖνα, ὡρμίσατο πρὸς τῷ
πειραιεῖ ναυσὶ πεντήκοντα καὶ ἑκατόν. καὶ τὰ πλοῖα
εἶργε τοῦ εἴσπλου. οἱ δ' ἀθηναῖοι πολιορκούμενοι κατὰ
γῆν καὶ κατὰ θάλατταν, ἠπόρουν τί χρὴ ποιεῖν, οὔτε
νεῶν, οὔτε συμμάχων αὐτοῖς ὄντων, οὔτε σίτου· ἐνόμι-
ζον δὲ οὐδεμίαν εἶναι σωτηρίαν εἰ μὴ παθεῖν, ἃ οὐ τιμωρού-
μενοι

permulta illis obiecta ſunt facinora. Cenſuerunt tandem
omnes captiuos quicunq; Athenienſes erant, necandos
eſſe, præter Adimantum, qui ſolus in concione decreto de
manuum abſciſione cōtradixerat: qui etiam ab aliquibus
tanquam nauium proditor accuſatus eſt. Lyſander itaq;
Philocleē, qui Andrios et Corinthios præcipitauerat, pri
mo interrogauit, quid pati dignus eſſet, qui primus cōtra
leges Græcos interficere cœpiſſet. At ille ad calamitatem
minime demiſſus, reſpondit, ut uictor ageret, quæ uictus
10 paſſurus fuiſſet: deinde lotus, ac ſplendida ſumpta ueſte,
ante alios ut iugularetur proceſſit ciues. Lyſander cōpoſi
tis Lampſacenis rebus, Byzantium & Chalcedonem na
uigat, à quibus ſponte ſuſceptus eſt: Athenienſium uero
præſidium ſub conditione dimiſſum eſt. At qui Alcibia/
di urbem prodiderant, in Pontum, inde Athenas aufuge/
runt, ubi & ciuitate donati ſunt. Lyſander Atheniēſium
præſidia, & quos undiq; reperit Athenienſes, omnes A/
thenas abire imperat, nulliq; ueniam alibi quàm ibi ſe cō
ceſſurum prædicit: ſciebat enim quanto plures in urbem
20 ac Piræum cōpellerentur, tanto citius neceſſariorum pe/
nuriam ingruituram. Inde relicto Byzantij ac Chalcedo
ne Sthenelao Laconico harmoſte, Lampſacum ad inſtru
endas rediit naues. Interim cum paralos calamitatis nun
cia, nocte Athenas applicuiſſet, tantum excitauit luctum,
ut planctus ex Pyræo per longos muros in ciuitatem pe
netraret. Cumq; in ſtatione unus alteri rem nunciaret, a/
deo percrebuit, ut nocte illa nemo calamitatis tam fune/
ſtæ ignarus eſſet. Lugebant igitur non ſolum eos qui ceci
derant, ſed multo magis ſemetipſos: timebant etenim ea/
30 dem pati, quæ ipſi Melijs Lacedæmoniorum coloniæ,
quam obſidione ceperant, & Hiſticis, Scionæis, To/
ronæis, & Æginetis, ac quamplurimis alijs fecerant
Græcis. Poſtridie concio coacta eſt, in qua uiſum eſt
portas omnes, præter unam, obſtrui debere, mœnia
inſtaurare, cuſtodes conſtituere, & reliqua cuncta
quæ ad obſidionem ferendam neceſſaria uiderentur, præ/
parare. & illi his incumbebant. At Lyſander cunctis
domitis, ex Helleſponto ducentis Leſbum applicuit na/
uibus: ubi reliquorum ciuitatum, Mitylenæ quoque ſta/
40 tu ex ſententia compoſitis, Eteonicum in Thraciam cum
decem mittit triremibus, ut omnia illic ad Lacedæmoni/
os traduceret: reliqua enim Græcia uniuerſa, confeſtim
poſt bellum nauale ab Athenienſibus defecerat, præter
Samios, qui cæſis familiaribus & inutili turba, ciuita/
tem ſeruare quærebant. Lyſander inde ad Agim, ac De/
celeam, Lacedæmonemq; mittit, & de acceſſu ſuo cum
ducentis nauibus, certiores Lacedæmones reddit. Sta/
tim igitur Lacedæmonij cum uniuerſo populo, ac alij
Peloponnenſes, præter Argiuos, ductu regis alterius
50 Pauſaniæ obuiam Lyſandro uadunt, caſtraq; iuxta ciui/
tatem in Academia, quæ gymnaſium appellatur, locant.
Lyſander cum Æginam ueniſſet, Æginetis quoſcunque
reperire potuit, ciuitatem reſtituit: idem Melijs, & alijs
quicunq; expulſi fuerant, fecit. Inde Salaminem ac Piræ/
um centum quinquaginta nauium claſſe inuadit, omnem
que intrandi ac exeundi Athenienſibus facultatē ademit.
Qui terra ac mari obſeſſi, penitus quid agerent ignari e/
rant: neq; enim naues, aut frumentum, ſiue ſocij ad quos
confugerent, amplius ſupererant: nec ullam ſpem ſalutis
cernebant: oculiſq; obuerſabantur ea quæ alijs nulla ir/

ritati iniuria, sed solum uiolentia ac petulantia instincti, intulerant: talia siquidem & ipsi pati formidabant. Quam plurimos enim humiliorum ciuitatû homines iniuria affecerant, nullam aliam ob causam, nisi quod cum Lacedæmonijs in bello sensissent: quapropter infimæ sortis homines extollebant, ac obsidionem tolerabant. Moriebantur interim quamplures inedia, nec uerbum ullum de pace fiebat. Postquam uero omne penitus defecerat frumentum, tunc demum legatos ad Agim mittere placuit, qui cum Lacedæmonijs de societate agerent: & si muros longos ac Piræum retinere possent, super hæc fœdera sancire iusserunt. At ille legatos Lacedæmonem reiecit: non enim se huius rei dominum esse asserebat. Hæc cum legati Atheniensibus renunciassent, illos Lacedæmonem miserunt. Qui cum iam Sellasiam prope Laconicam uenissent, & Ephori, quod cum eisdem quibus & ad Agim uenissent mandatis audiuissent, illos si pacem habere uellent, consideratius de hac re deliberatos reuerti iusserût. Hæc cum legati domum reuersi nunciassent, omnes tristitia magna inuasit: de libertate enim iam timebant, & antequam alij redirent legati, plures fame certû erat absumptum iri. De murorum uero demolitione, nemo referre audebat. Cum enim Archestratus in senatu dixisset, qualemcunq; pacem suscipiendam esse: Lacedæmonij uero longos muros ad decem utrinq; stadia dirui iussissent: decretum factum est, ne quis hac de re amplius referret. Tandem Theramenes in concilio professus est, si eum ad Lysandrum mitterent, ex illo deprehendere posse, numquid Lacedæmonij muros dirui uellent, ut ciuitas in prædam daretur, uel quia de fide dubitarent. Cum uero missus esset, plusquam tres apud Lysandrum frustra contriuit menses: id eo fecit consilio, ut cum Athenienses omne cõsumpsissent frumentum, & ad ultimam deuenissent necessitatem, ea calamitate submissiores redderentur, hostiumq; mandatis obedirent. Tandem cum quarto rediisset mense, in concione se à Lysandro tandiu retentum esse ostendit: iam uero eum Lacedæmonem ire iussum: non enim Lysandrum, sed Ephoros rei quæ peteretur esse dominos. Itaq; ipse cum decê alijs legatis, ac liberis mandatis Lacedæmonem missus est. Lysander uero Aristotelem exulem Atheniensem, cum alijs Lacedæmonijs ad Ephoros mittit, qui ostenderent illum Therameni respondisse, eos & belli ac pacis esse dominos. Theramenes interim & reliqui legati, postquam in Sellasia erant, quib. uenirent mandatis interrogati sunt: illi uero liberis se pro pace uenisse respondebant. Itaq; Ephori illos uocari iussere. Cumq; uenissent, concilium coactum est, in quo ne pax Atheniensibus redderetur, Corinthij, & maxime Thebani, pluresq; alij Græcorû contradixerunt, sed ciuitatê penitus delendâ esse asserebant. At Lacedæmonij negabant ciuitatem Græcam, quæ in maximis Græciæ periculis egregiam nauasset operam, subuerti debere. Pax igitur Atheniêsibus his data est cõditionibus, ut muros lõgos & Piræum demolirentur: naues omnes, præter duodecim, ac profugos traderent: eundem amicum et hostem quem & Lacedæmonij haberent: quos terra mariq; quocunq; ducerent, sequerentur. Has pacis conditiones Theramenes & legati alij Athenas detulerunt: Quibus urbem intrantibus, ingens hominum multitudo circumfusa est: timebant etenim ne re infecta redirent: non enim amplius

fame

μηδένα τιμωρούμενοι, ἀλλὰ διὰ τὴν ὕβριν ἠδίκουν ἀνθρώπους μικροπολίτας, οὐδ' ἐπὶ μιᾷ αἰτίᾳ ἑτέρᾳ, ἢ ὅτι ἐκείνοις συνεμάχουν. διὰ ταῦτα τοὺς ἀτίμους ἐπιτίμους ποιήσαντες ἐκαρτέρουν. καὶ ἀποθνησκόντων ἐν τῇ πόλει λιμῷ πολλῶν, οὐ διελέγοντο περὶ διαλλαγῆς. ἐπεὶ δὲ παντελῶς ἤδη ὁ σῖτος ἐπιλελοίπει, ἔπεμψαν πρέσβεις παρὰ Ἆγιν, βουλόμενοι σύμμαχοι εἶναι λακεδαιμονίοις, ἔχοντες τὰ τείχη, καὶ τὸν πειραιᾶ, καὶ ἐπὶ τούτοις συνθήκας ποιεῖσθαι. ὁ δὲ αὐτοὺς εἰς λακεδαίμονα ἐκέλευεν ἰέναι. οὐ γὰρ εἶναι κύριος αὐτός. ἐπεὶ δ' ἀπήγγειλαν οἱ πρέσβεις ταῦτα τοῖς ἀθηναίοις, ἔπεμψαν αὐτοὺς εἰς λακεδαίμονα. οἱ δ' ἐπεὶ ἦσαν ἐν σελλασίᾳ, πλησίον τῆς λακωνικῆς, καὶ ἐπύθοντο αὐτῶν οἱ ἔφοροι ἃ ἔλεγον, ὄντα οἷάπερ καὶ πρὸς Ἆγιν, αὐτόθεν αὐτοὺς ἐκέλευον ἀπιέναι, καὶ εἴ τι δέονται εἰρήνης, κάλλιον ἥκειν βουλευσαμένους. οἱ δὲ πρέσβεις ἐπεὶ ἧκον οἴκαδε, καὶ ἀπήγγειλαν ταῦτα εἰς τὴν πόλιν, ἀθυμία ἐνέπεσε πᾶσιν. ᾤοντο γὰρ ἀνδραποδισθήσεσθαι. καὶ ἕως ἂν πέμπωσιν ἑτέρους πρέσβεις, πολλοὺς τῷ λιμῷ ἀπολεῖσθαι. περὶ δὲ τῶν τειχῶν τῆς καθαιρέσεως οὐδεὶς ἐβούλετο συμβουλεύειν. ἀρχέστρατος γὰρ εἰπὼν ἐν τῇ βουλῇ λακεδαιμονίοις κράτιστον εἶναι, ἐφ' οἷς προυκαλοῦντο εἰρήνην ποιεῖσθαι, ἐδέθη. προυκαλοῦντο δὲ τῶν μακρῶν τειχῶν ἐπὶ δέκα σταδίους καθελεῖν ἑκάτερον. ἐγένετο δὲ ψήφισμα μὴ ἐξεῖναι περὶ τούτων συμβουλεύειν. τοιούτων δὲ ὄντων, θηραμένης ἐν ἐκκλησίᾳ εἶπεν, ὅτι εἰ βούλονται αὐτὸν πέμψαι παρὰ λύσανδρον, εἰδὼς ἥξει λακεδαιμονίους πότερον ἐξανδραποδίσασθαι τὴν πόλιν βουλόμενοι ἀντέχουσι περὶ τῶν τειχῶν, ἢ πίστεως ἕνεκα. πεμφθεὶς δὲ διέτριβε παρὰ λυσάνδρῳ τρεῖς μῆνας καὶ πλείω, ἐπιτηρῶν ὁπότε ἀθηναῖοι ἔμελλον διὰ τὸ ἐπιλελοιπέναι τὸν σῖτον ἅπαντα, ὅ, τι τις λέγοι ὁμολογήσειν. ἐπεὶ δ' ἧκε, τῷ τετάρτῳ μηνὶ ἀπήγγειλεν ἐν ἐκκλησίᾳ ὅτι αὐτὸν λύσανδρος τέως μὲν κατέχοι, εἶτα κελεύοι εἰς λακεδαίμονα ἰέναι. οὐ γὰρ εἶναι κύριος ὧν ἐρωτῷτο ὑπ' αὐτοῦ, ἀλλὰ τοὺς ἐφόρους. μετὰ ταῦτα ᾑρέθη πρεσβευτὴς εἰς λακεδαίμονα, αὐτοκράτωρ δέκατος αὐτός. λύσανδρος δὲ τοῖς ἐφόροις ἔπεμψεν ἀγγελοῦντα μετ' ἄλλων λακεδαιμονίων ἀριστοτέλην φυγάδα, ἀθηναῖον ὄντα, ὅτι ἀποκρίναιτο θηραμένει ἐκείνους κυρίους εἶναι εἰρήνης καὶ πολέμου. θηραμένης δὲ καὶ οἱ ἄλλοι πρέσβεις, ἐπεὶ ἦσαν ἐν σελλασίᾳ, ἐρωτώμενοι ἐπὶ τίνι λόγῳ ἥκοιεν, εἶπον ὅτι αὐτοκράτορες περὶ εἰρήνης. μετὰ ταῦτα οἱ ἔφοροι καλεῖν ἐκέλευον. ἐπεὶ δ' ἧκον, ἐκκλησίαν ἐποίησαν, ἐν ᾗ ἀντέλεγον κορίνθιοι, καὶ θηβαῖοι μάλιστα, πολλοὶ δὲ καὶ ἄλλοι τῶν ἑλλήνων, μὴ σπένδεσθαι ἀθηναίοις, ἀλλ' ἐξαιρεῖν. λακεδαιμόνιοι δὲ οὐκ ἔφασαν πόλιν ἑλληνίδα ἀνδραποδιεῖν, μέγα ἀγαθὸν εἰργασμένην ἐν τοῖς μεγίστοις κινδύνοις γενομένοις τῇ ἑλλάδι, ἀλλ' ἐποιοῦντο εἰρήνην, ἐφ' ᾧ τά τε μακρὰ τείχη, καὶ τὸν πειραιᾶ καθελόντας, καὶ τὰς ναῦς, πλὴν δώδεκα παραδόντας, καὶ τοὺς φυγάδας καθέντας, τὸν αὐτὸν ἐχθρὸν καὶ φίλον νομίζοντας, λακεδαιμονίοις ἕπεσθαι καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, ὅποι ἂν ἡγῶνται. θηραμένης δὲ καὶ οἱ σὺν αὐτῷ πρέσβεις ἐπανεφέροντο ταῦτα εἰς τὰς ἀθήνας. εἰσιόντας δ' αὐτοὺς, ὄχλος περιεχεῖτο πολύς, φοβούμενοι μὴ ἄπρακτοι ἥκοιεν. οὐ γὰρ ἔτι ἐνεχώρει μέλλειν

διὰ

διὰ τὸ πλῆθος τῶν ἀπολλυμένων ὑπὸ λιμοῦ. τῇ δ' ὑστεραίᾳ ἀπήγγελλον οἱ πρέσβεις ἐφ' οἷς οἱ Λακεδαιμόνιοι ποιοῖντο τὴν εἰρήνην. προηγόρει δὲ αὐτῶν Θηραμένης, λέγων ὡς χρὴ πείθεσθαι Λακεδαιμονίοις, καὶ τὰ τείχη περιαιρεῖν, ἀντειπόντων δέ τινων αὐτῷ, πολὺ δὲ πλειόνων ξυνεπαινεσάντων, ἔδοξε δέχεσθαι τὴν εἰρήνην. μετὰ δὲ ταῦτα Λύσανδρός τε κατέπλει εἰς τὸν Πειραιᾶ, καὶ οἱ φυγάδες κατῄεσαν, καὶ τὰ τείχη κατέσκαπτον ὑπ' αὐλητρίδων πολλῇ προθυμίᾳ, νομίζοντες ἐκείνην τὴν ἡμέραν τῇ Ἑλλάδι ἄρχειν τῆς ἐλευθερίας. καὶ ὁ ἐνιαυτὸς ἔληγεν, ἐν ᾧ μεσοῦντι Διονύσιος ὁ Ἑρμοκράτους Συρακούσιος ἐτυράννησε, μάχῃ μὲν πρότερον ἡττηθέντων ὑπὸ Συρακουσίων Καρχηδονίων, σπάνει δὲ σίτου ἑλόντων Ἀκράγαντα, ἐκλιπόντων τῶν Σικελιωτῶν τὴν πόλιν. τῷ δ' ἐπιόντι ἔτει, ἐν ᾧ ἦν Ὀλυμπιάς, ᾗ τὸ στάδιον ἐνίκα Κροκίνας Θετταλός, Εὐδίου ἐν Σπάρτῃ ἐφορεύοντος, Πυθοδώρου δ' ἐν Ἀθήναις ἄρχοντος, ὃν Ἀθηναῖοι ὅτι ἐν ὀλιγαρχίᾳ ᾑρέθη, οὐκ ὀνομάζουσιν, ἀλλ' ἀναρχίαν τὸν ἐνιαυτὸν καλοῦσιν. ἐγένετο δὲ αὕτη ἡ ὀλιγαρχία ὧδε. ἔδοξε τῷ δήμῳ τριάκοντα ἄνδρας ἑλέσθαι, οἳ τοὺς πατρίους νόμους ξυγγράψουσι, καθ' οὓς πολιτεύσουσι. καὶ ᾑρέθησαν οἵδε, Πολυάρχης, Κριτίας, Μηλόβιος, Ἱππόλοχος, Εὐκλείδης, Ἱέρων, Μνησίλοχος, Χρέμων, Θηραμένης, Ἀρεσίας, Διοκλῆς, Φαιδρίας, Χαιρέλεως, Ἀναίτιος, Πείσων, Σοφοκλῆς, Ἐρατοσθένης, Χαρικλῆς, Ὀνομακλῆς, Θέογνις, Αἰσχίνης, Θεογένης, Κλεομήδης, Ἐρασίστρατος, Φείδων, Δρακοντίδης, Εὐμάθης, Ἀριστοτέλης, Ἱππόμαχος, Μνησιθείδης. τούτων δὲ πραχθέντων, ἀπέπλει Λύσανδρος πρὸς Σάμον. Ἆγις δὲ ἐκ τῆς Δεκελείας ἀπαγαγὼν τὸ πεζὸν στράτευμα, διέλυσε κατὰ πόλεις ἑκάστους. κατὰ δὲ τοῦτον τὸν καιρὸν περὶ ἡλίου ἔκλειψιν, Λυκόφρων ὁ Φεραῖος βουλόμενος ἄρξαι ὅλης τῆς Θετταλίας, τοὺς ἐναντιουμένους αὐτῷ τῶν Θετταλῶν, Λαρισαίους τε καὶ ἄλλους, ἐνίκησε μάχῃ, καὶ πολλοὺς ἀπέκτεινεν. ἐν δὲ τῷ αὐτῷ χρόνῳ καὶ Διονύσιος ὁ Συρακούσιος τύραννος μάχῃ ἡττηθεὶς ὑπὸ Καρχηδονίων, Γέλαν καὶ Καμάριναν ἀπώλεσε. μετ' ὀλίγον δὲ καὶ Λεοντῖνοι Συρακουσίοις ξυνοικοῦντες, ἀπέστησαν εἰς τὴν αὐτῶν πόλιν ἀπὸ Διονυσίου, καὶ Συρακουσίων. παραχρῆμα δὲ καὶ οἱ Συρακούσιοι ἱππεῖς ὑπὸ Διονυσίου εἰς Κατάνην ἀπεστάλησαν. οἱ δὲ Σάμιοι πολιορκούμενοι ὑπὸ Λυσάνδρου πάντῃ, ἐπεὶ οὐ βουλομένων αὐτῶν τὸ πρῶτον ὁμολογεῖν, προσβάλλειν ἤδη ἔμελλεν ὁ Λύσανδρος, ὡμολόγησαν ἓν ἱμάτιον ἔχων ἕκαστος ἀπιέναι τῶν ἐλευθέρων, τὰ δ' ἄλλα παραδοῦναι, καὶ οὕτως ἐξῆλθον. Λύσανδρος δὲ ἀρχαίοις πολίταις παραδοὺς τὴν πόλιν, καὶ τὰ ἐνόντα πάντα, καὶ δέκα ἄρχοντας καταστήσας φρουρούς, ἀφῆκε τὸ τῶν ξυμμάχων ναυτικὸν κατὰ πόλεις. ταῖς δὲ Λακωνικαῖς ναυσὶν ἀπέπλευσεν εἰς Λακεδαίμονα, ἀπάγων τά τε τῶν αἰχμαλώτων νεῶν ἀκρωτήρια, καὶ τὰς ἐκ τοῦ Πειραιῶς τριήρεις, πλὴν δώδεκα. καὶ στεφάνους, οὓς παρὰ τῶν πόλεων ἐλάμβανε δῶρα ἰδίᾳ, καὶ ἀργυρίου τετρακόσια καὶ ἑβδομήκοντα τάλαντα, ἃ περιεγένοντο τῶν φόρων, οὓς αὐτῷ Κῦρος παρέδειξεν εἰς τὸν πόλεμον, καὶ εἴ τι ἄλλο προσεκτήσατο ἐν τῷ πολέμῳ, ταῦτα δὲ πάντα Λακεδαιμονίοις ἀπέδωκε, τελευτῶντος τοῦ θέρους, εἰς ὃ ἑξάμηνος καὶ ὀκτὼ καὶ εἴκοσιν ἔτη

fame pereuntem multitudinem sustinere poterant. Postridie legati quibus conditionibus pax illis à Lacedæmonijs concessa esset, retulere: quam ut necessariam Theramenes suscipi debere, murosq; dirui suadebat: & quamuis nonnulli contradixissent, omnium tamen animi ad pacem inclinarunt. Itaq; Lysander Piræum ingressus est, ibiq; illi naues ac profugi traditi sunt omnes: muri quoq; ad tibiarum cantum magna alacritate diruti sunt: omnes enim diem hanc initium libertatis Græciæ esse interpretabantur. Annusq; exijt, in quo Dionysius Hermocratis filius, tyrannidem Syracusis arripuit, deuictis antea Carthaginiensibus à Syracusanis: qui tamen Acragantum in ditionem redegere, cum Siculi annonæ penuria ciuitatem reliquissent. Sequenti anno in quem incidit Olympias, qua uicit in stadio Crocinas Thessalus, Eudio Spartæ Ephoro, præsidente Athenis Pythodoro, quem Athenienses, quia in illum oligarchia incidit, non nominant, sed interregnum annum illum appellant. Oligarchia Athenis ita constituta est. Visum est populo triginta eligi debere uiros, qui patrias, in quibus respublica regatur, conscriberent leges. Fuere uero electi, Polyarches, Critias, Melobius, Hippolochus, Euclides, Hieron, Mnesilochus, Chremon, Theramenes, Aresias, Diocles, Phædria, Chæreleus, Anetius, Pison, Sophocles, Eratosthenes, Charicles, Onomacles, Theognis, Aeschines, Theogenes, Cleomedes, Erasistratus, Phidon, Dracontides, Eumathes, Aristoteles, Hippomachus, Mnesithides. His actis Lysander Samum nauigat: Agis uero exercitum ex Decelea domum reduxit, ac per ciuitates dimisit. Eodem tempore circa solis defectum, Lycophron Pherræus, qui uniuersæ imperare Thessaliæ quærebat, Larissæos ac alios Thessalos qui sibi resistere conabantur, prælio deuicit, pluribus ex eis interfectis. Eodem quoque tempore Dionysius Syracusanus tyrannus, bello à Carthaginiensibus superatus est, Gellámque ac Camarinam amisit. Paulo post Leontij qui Syracusis habitabant, in eorum ciuitatem reuersi sunt, ac à Dionysio & Syracusanis defecere: statimque Syracusij equites à Dionysio Catanem dimißi sunt. At Samij à Lysandro undique obseßi, cum amplius resistere non possent, incolumitatem pacti sunt, ut liberi cum singulis solùm abirent uestimentis: ac ita digreßi sunt. Lysander uero ciuibus ueteribus ciuitatem cum rebus omnibus restituit, decem constitutis præfectis, qui præsidio loci essent: Inde dimissa sociorum classe, cum Laconicis nauibus Lacedæmonem nauigauit, præ se ferens captiuarum nauium rostra, ac triremes ex Piræo omnes, præter duodecim, & coronas sibi à ciuitatibus priuatim dono datas: argenti uero quadringenta ac septuaginta talenta: tributum ex ciuitatibus quas Cyrus ei ad belli expensas aßignauerat: & si quid aliud bello partum erat, id omne Lacedæmonijs tradidit, exeunte uere, quo debellatum est anno uigesimo octauo, menseq;

Dionysius primus Syracusanorum tyrannus.

Triginta Atheniensium præfecti.

menséq; sexto: quo tempore Ephori numerantur tot: Aenesias primus, sub quo bellum cœptum est, decimo quinto anno post Eubœæ captiuitatem, ac fœdera tricennalia. Post hunc successere Brasidas, Isanor, Sostratides, Exarchos, Agesistratus, Agenides, Onomacles, Zeuxippus, Pityas, Plistolas, Clinomachus, Ilarchus, Leo, Cherides, Patesiades, Cleosthenes, Lycarius, Eperatus, Onomantius, Alexippidas, Misgolaidas, Isias, Aracus, Euarchippus, Pantacles, Piteas, Archytas, Eudæus, sub quo Lysander rebus gestis, domum reuersus est. At triginta præfecti celerrime muros longos diruerunt. Piræi quoque mœnia demoliti sunt. Sed cum ad describendas leges quibus ciuitas regeretur, electi essent, id tamen minime præstitere: sed electo senatu, ac principibus ex eorum sententia constitutis, primo omnes quos in populari statu nouerant ex calumnijs uixisse, bonisq; & probis molestos fuisse, comprehenderunt, ac morte damnarunt: qua in re senatus alacriter illis opem ferebat, nec alij ægreferebant sontes puniri. At cum deliberare cœperunt, quo pacto ciuitate ex libito abuterentur, primo Lacedæmonem Aeschinem & Aristotelem miserunt, qui Lysandro persuaderent, ut operam daret, quo illis præsidium mitteretur, donec homines praui è medio tollerentur, ac respublica stabiliretur: eos interim alere uelle polliciti sunt. A quibus ille persuasus, in senatu egit ut præsidium & Callibius harmostes ad eos mitteretur. At triginta accepto præsidio, Callibium cunctis demerebantur officijs, ita ut omnia quæ agerent, laudaret. Cúmque præsidium illis quoque assentiretur, quoscunque uolebant comprehendebant, non iam malos & infimæ sortis homines, sed optimates, & quos minimè uiolentiam toleraturos, sed potius contra ituros arbitrabantur.

Cúmque superiori tempore Critias Therameni familiaris ac amicus fuisset, ille uero cædibus & populi fuga immodice abuteretur, Theramenes ei resistere cœpit, dicens, neminem propterea interfici debere, quia à populo honoraretur, præcipue si aliàs bonus ac probus fuisset, nemineḿque læsisset: quandoquidem & ego ac tu, inquit, multa ut populo placeremus, & diximus ac fecimus. At ille, nam adhuc familiariter Theramene utebatur, respondit: Ciuitatem circumueniri non posse, nisi ex pedibus optimi, qui impedimento esse possent, tollerentur: si enim quia triginta sumus, ait, & non unus, arbitraris principatu illo ut tyrannide nos uti non posse, stolidus es. Sed cum quotidie multo plures iniuste interficerentur, ac multi conuenientes admirarentur, quonam res euasura esset, rursus Theramenes inquit: Si socij ab male cœptis non desisterent, impoßibile esse paucorum dominationem durare posse. Inde Critias & reliqui triginta haud modice Theramenem, ne ciues ad eum confluerent, timere cœperũt. Elegerunt igitur tria millia ciuium, qui rerũ participes essent. Ad id rursus Thera-

ἔτη τοῦ πολέμου τελευτῶντα. ἐν οἷς ἔφοροι ἀριθμούμενοι οἵδε ἐγένοντο. Αἰνησίας πρῶτος, ἐφ' οὗ ἤρξατο ὁ πόλεμος, πέμπτῳ καὶ δεκάτῳ ἔτει τῶν μετ' Εὐβοίας ἅλωσιν τριακοντουτίδων σπονδῶν. μετὰ δὲ τοῦτον οἵδε· Βρασίδας, Ἰσάνωρ, Σωστρατίδας, Ἔξαρχος, Ἀγησίστρατος, Ἀγγενίδας, Ὀνομακλῆς, Ζεύξιππος, Πιτύας, Πλειστόλας, Κλεινόμαχος, Ἴλαρχος, Λέων, Χαιρίδας, Πατησιάδας, Κλεοσθένης, Λυκάριος, Ἐπήρατος, Ὀνομάντιος, Ἀλεξιππίδας, Μισγολαΐδας, Ἰσίας, Ἄρακος, Εὐάρχιππος, Παντακλῆς, Πιτύας, Ἀρχύτας, Εὔδιος, ἐφ' οὗ Λύσανδρος πράξας τὰ εἰρημένα, οἴκαδε κατέπλευσεν. οἱ δὲ τριάκοντα ᾑρέθησαν μὲν ἐπεὶ τάχιστα τὰ μακρὰ τείχη, καὶ τὰ περὶ τὸν Πειραιᾶ καθῃρέθη. αἱρεθέντες δὲ ἐφ' ᾧτε ξυγγράψαι νόμους, καθ' οὕστινας πολιτεύσοιντο, τούτους μὲν ἀεὶ ἔμελλον ξυγγράφειν τε καὶ ἀποδεικνύναι. βουλὴν δὲ καὶ τὰς ἄλλας ἀρχὰς κατέστησαν, ὡς ἐδόκει αὐτοῖς. ἔπειτα πρῶτον μὲν οὓς πάντες ᾔδεσαν ἐν τῇ δημοκρατίᾳ ἀπὸ συκοφαντίας ζῶντας, καὶ τοῖς καλοῖς καὶ ἀγαθοῖς βαρεῖς ὄντας, συλλαμβάνοντες ὑπῆγον θανάτου. καὶ ἥ τε βουλὴ ἡδέως αὐτῶν κατεψηφίζετο, οἵ τε ἄλλοι ξυνῄδεσαν ἑαυτοῖς μὴ ὄντες τοιοῦτοι, οὐδὲν ἤχθοντο. ἐπεὶ δὲ ἤρξαντο βουλεύεσθαι ὅπως ἂν ἐξείη αὐτοῖς τῇ πόλει χρῆσθαι ὅπως βούλοιντο, ἐκ τούτου πρῶτον μὲν πέμψαντες εἰς Λακεδαίμονα Αἰσχίνην τε καὶ Ἀριστοτέλην, ἔπεισαν Λύσανδρον φρουροὺς σφίσι ξυμπρᾶξαι ἐλθεῖν, ἕως δὴ τοὺς πονηροὺς ἐκποδὼν ποιησάμενοι, καταστήσαιντο τὴν πολιτείαν, θρέψειν δὲ αὐτοὶ ὑπισχνοῦντο. ὁ δὲ πεισθεὶς τούς τε φρουροὺς καὶ Καλλίβιον ἁρμοστὴν ξυνέπραξεν αὐτοῖς πεμφθῆναι. οἱ δ' ἐπεὶ τὴν φρουρὰν ἔλαβον, τὸν μὲν Καλλίβιον ἐθεράπευον πάσῃ θεραπείᾳ, ὡς πάντα ἐπαινοίη ἃ πράττοιεν. τῶν δὲ φρουρῶν τούτου ξυμπέμποντος αὐτοῖς, οὓς ἐβούλοντο ξυνελάμβανον, οὐκέτι τοὺς πονηρούς τε καὶ ὀλίγου ἀξίους, ἀλλ' ἤδη οὓς ἐνόμιζον ἥκιστα μὲν παρωθουμένους ἀνέχεσθαι, ἀντιπράττειν δέ τι ἐπιχειροῦντας, πλείστους ἂν τοὺς ξυνεθέλοντας λαμβάνειν. τῷ μὲν οὖν πρώτῳ χρόνῳ ὁ Κριτίας τῷ Θηραμένει ὁμογνώμων τε καὶ φίλος ἦν. ἐπεὶ δὲ αὐτὸς μὲν προπετὴς ἦν ἐπὶ τὸ πολλοὺς ἀποκτείνειν, ἅτε καὶ φυγὼν ὑπὸ τοῦ δήμου, ὁ δὲ Θηραμένης ἀντέκοπτε λέγων, ὅτι οὐκ εἰκὸς εἴη θανατοῦν, εἴ τις ἐτιμᾶτο ὑπὸ τοῦ δήμου, τοὺς δὲ καλοὺς καὶ ἀγαθοὺς μηδὲν κακὸν εἰργάζετο, ἐπεὶ καὶ ἐγώ ἔφη, καὶ σὺ πολλὰ δὴ τοῦ ἀρέσκειν ἕνεκα τῇ πόλει, καὶ εἴπομεν καὶ ἐπράξαμεν. ὁ δὲ ἔτι γὰρ οἰκείως ἐχρῆτο τῷ Θηραμένει, ἀντέλεγεν ὅτι οὐκ ἐγχωροίη τοῖς πλεονεκτεῖν βουλομένοις μὴ οὐκ ἐκποδὼν ποιεῖσθαι τοὺς ἱκανωτάτους διακωλύειν. εἰ δὲ ὅτι τριάκοντα ἐσμὲν καὶ οὐχ εἷς, ἧττόν τι οἴει, ὥσπερ τυραννίδα ταύτης τῆς ἀρχῆς χρῆναι ἐπιμελεῖσθαι, εὐήθης εἶ. ἐπεὶ δὲ ἀποθνῃσκόντων πολλῶν καὶ ἀδίκως, πολλοὶ δῆλοι ἦσαν ξυνιστάμενοί τε καὶ θαυμάζοντες τί ἔσοιτο ἡ πολιτεία, πάλιν ἔλεγεν ὁ Θηραμένης, ὅτι εἰ μή τις κοινωνοὺς ἱκανοὺς λήψοιτο τῶν πραγμάτων, ἀδύνατον ἔσοιτο τὴν ὀλιγαρχίαν διαμένειν. ἐκ τούτου μέντοι Κριτίας καὶ οἱ ἄλλοι οἱ ἐκ τῶν τριάκοντα ἤδη φοβούμενοι καὶ οὐχ ἥκιστα τὸν Θηραμένην μὴ συρρυεῖεν πρὸς αὐτὸν οἱ πολῖται, καταλέγουσι τρισχιλίους τοὺς μεθέξοντας δὴ τῶν πραγμάτων. ὁ δ' αὖ Θηρα-

Θηραμένης καὶ πρὸς ταῦτα ἔλεγεν, ὅτι ἄτοπον δοκοίη ἑαυτῷ εἶναι, τὸ πρῶτον μὲν βουλομένους τοὺς βελτίστους τῶν πολιτῶν κοινωνοὺς ποιήσασθαι τρισχιλίους, ὥσπερ τὸν ἀριθμὸν τοῦτον ἔχοντά τινα, ἀνάγκην καλοὺς καὶ ἀγαθοὺς εἶναι, καὶ οὔτε ἔξω τούτων σπουδαίους, οὔτ' ἐντὸς τούτων πονηροὺς οἷόν τε εἴη γενέσθαι. ἔπειτα δ', ἔφη, ὁρῶ δ' ἔγωγε δύο ὑμᾶς ἐναντιώτατα πράττοντας, βιαίαν τε τὴν ἀρχὴν καὶ ἥττονα τῶν ἀρχομένων κατασκευαζομένους. ὁ μὲν ταῦτ' ἔλεγεν. οἱ δ' ἐξέτασιν ποιήσαντες, τῶν μὲν τρισχιλίων ἐν τῇ ἀγορᾷ, τῶν δ' ἔξω τοῦ καταλόγου ἄλλων ἀλλαχοῦ, ἔπειτα κελεύσαντες ἐπὶ τὰ ὅπλα, ἐν ᾧ ἐκεῖνοι ἀπεληλύθεσαν, πέμψαντες τοὺς φρουροὺς, καὶ τῶν πολιτῶν τοὺς ὁμογνώμονας αὐτοῖς, τὰ ὅπλα πάντων, πλὴν τῶν τρισχιλίων παρείλοντο. καὶ ἀνακομίσαντες ταῦτα εἰς τὴν ἀκρόπολιν, συνέθηκαν ἐν τῷ ναῷ. τούτων δὲ γενομένων, ὡς ἐξὸν ἤδη ποιεῖν αὐτοῖς ὅ,τι βούλοιντο, πολλοὺς μὲν ἔχθρας ἕνεκα ἀπέκτεινον, πολλοὺς δὲ χρημάτων. ἔδοξε δ' αὐτοῖς ὅπως ἔχοιεν καὶ τοῖς φρουροῖς χρήματα διδόναι, καὶ τῶν μετοίκων ἕνα ἕκαστον λαβεῖν, καὶ αὐτοὺς μὲν ἀποκτεῖναι, τὰ δὲ χρήματα αὐτῶν ἀποσημήνασθαι. ἐκέλευον δὲ καὶ τὸν Θηραμένην λαβεῖν ὅντινα βούλοιτο. ὁ δ' ἀπεκρίνατο, ἀλλ' οὐ δοκεῖ μοι, ἔφη, καλὸν εἶναι φάσκοντας βελτίστους εἶναι, ἀδικώτερα τῶν συκοφαντῶν ποιεῖν. ἐκεῖνοι μὲν γὰρ παρ' ὧν χρήματα λαμβάνοιεν, ζῆν εἴων. ἡμεῖς δὲ ἀποκτενοῦμεν μηδὲν ἀδικοῦντας, ἵνα χρήματα λαμβάνωμεν, πῶς οὐ ταῦτα τῷ παντὶ ἐκείνων ἀδικώτερα; οἱ δ' ἐμπόδιον νομίζοντες αὐτὸν εἶναι τῷ ποιεῖν ὅ,τι βούλοιντο, ἐπιβουλεύουσιν αὐτῷ, καὶ ἰδίᾳ πρὸς τοὺς βουλευτὰς ἄλλος πρὸς ἄλλον διέβαλλον, ὡς λυμαινόμενον τὴν πολιτείαν. καὶ παραγγείλαντες τοῖς νεανίσκοις, οἳ ἐδόκουν αὐτοῖς θρασύτατοι εἶναι, ξιφίδια ὑπὸ μάλης ἔχοντας παραγενέσθαι, συνέλεξαν τὴν βουλήν. ἐπεὶ δὲ ὁ Θηραμένης παρῆν, ἀναστὰς ὁ Κριτίας ἔλεξεν ὧδε· ὦ ἄνδρες βουλευταί, εἰ μέν τις ὑμῶν νομίζει πλείονας τοῦ καιροῦ ἀποθνῄσκειν, ἐννοησάτω ὅτι ὅπου πολιτεῖαι μεθίστανται, πανταχοῦ ταῦτα γίγνεται. πλείστους δ' ἀνάγκη πολεμίους εἶναι, τοῖς εἰς ὀλιγαρχίαν μεθιστᾶσι, διά τε τὸ πολυανθρωποτάτην τῶν Ἑλληνίδων τὴν πόλιν εἶναι, καὶ διὰ τὸ πλεῖστον χρόνον ἐν ἐλευθερίᾳ τὸν δῆμον τετράφθαι. ἡμεῖς δὲ γνόντες τοῖς οἵοις τε ἡμῖν καὶ ὑμῖν χαλεπὴν πολιτείαν εἶναι δημοκρατίαν, γνόντες δὲ ὅτι Λακεδαιμονίοις τοῖς περισώσασιν ἡμᾶς, ὁ μὲν δῆμος οὔποτε ἂν φίλος γένοιτο, οἱ δὲ βέλτιστοι ἀεὶ ἂν πιστοὶ διατελοῖεν, διὰ ταῦτα σὺν τῇ Λακεδαιμονίων γνώμῃ τήνδε τὴν πολιτείαν καθίσταμεν. καὶ ἐάν τινα αἰσθανώμεθα ἐναντία τῇ ὀλιγαρχίᾳ, ὅσον δυνάμεθα ἐκποδὼν ποιούμεθα. πολὺ δὲ μάλιστα ἡμῖν δοκεῖ δίκαιον εἶναι, εἴ τις ἡμῶν αὐτῶν λυμαίνεται ταύτῃ τῇ καταστάσει, δίκην αὐτὸν διδόναι. νῦν οὖν αἰσθανόμεθα Θηραμένην τουτονὶ οἷς δύναται ἀπολλύντα ἡμᾶς τε καὶ ὑμᾶς. ὡς δὲ ταῦτα ἀληθῆ, ἢν κατανοῆτε εὑρήσετε ὅτι ψέγοντα οὐδένα μᾶλλον Θηραμένους τουτουὶ τὰ παρόντα, οὔτε ἐναντιούμενον, ὅταν τινὰ ἐκποδὼν βουλώμεθα ποιήσασθαι τῶν δημαγωγῶν. εἰ μὲν τοίνυν ἐξ ἀρχῆς ἐγίγνωσκε, πολέμιος μὲν ἦν, οὐ μέντοι πονηρός γ' ἂν δικαίως ἐνομίζετο. νῦν δὲ αὐτὸς μὲν ἄρξας τῆς πρὸς Λακεδαιμονίους πίστεως καὶ φιλίας, αὐτὸς δὲ τῆς τοῦ δήμου καταλύσεως, μάλιστα δὲ ἐξορμήσας

ἡμᾶς

Theramenes ait: Absurdū sibi uideri, quod primo tria millia ex optimatibus eligerent, ac si numerus ille necessitatem quandam honesti ac boni præ se ferret: tanquam impoßibile esset extra illos bonum, inter eos uero improbum quempiam esse. Nunc uero, inquit, duo uos maxime contraria facere cerno, uiolentum uidelicet principatum, ac subditis longe plures principes creare. Et hæc ille dicebat. Hi uero omnes arma sumere iusserunt, ac tria millia in foro lustrarunt, reliquum uero populum alio ablegarunt: inde præsidium & ciues, qui illis adhærebant omnibus, præter tribus millibus, arma abstulerunt, & ea in arcem deferentes, in Palladis templo deposuerunt. His gestis cum iam quicquid libitum esset, perpetrare possent, multos inimicitiarum, plures uero pecuniarum interficiebant gratia: & ut esset unde præsidio pecunias persoluerent, decreuerunt unumquenque aduenam unum eligere debere, quem ablatis pecunijs interficerent: Theramenem quoque quem uellet assumere iusserunt. At ille respondit: NON RECTE SIBI uideri optimos eos appellari, sycophantis uero peiora perpetrare. Illi enim, inquit, cum per calumniam quendam pecunijs spoliant, uitam tamen haud adimunt: nos uero ut pecunias auferamus, innocentes interficimus. Nonne in hoc illis longe nequiores sumus? Igitur triginta Theramenem rebus suis impedimento esse arbitrati, ut quæ uellent libere facere possent, illi insidias tendunt, ac inuicem tanquam reipublicæ perniciosum criminari cœperunt. Iusserunt igitur iuuenes quosdam, qui illis maxime ad hanc rem idonei uidebantur, cum gladijs ueste tectis præsto esse, ac collecto concilio, cum iam Theramenes aduenisset, assurgens Critias ita uerba fecit: Si quis ex uobis, ô uiri collegæ, plures quàm tempus exigat, mori existimat, ille id omni in loco ubi ciuitatis forma mutatur, fieri haud ignoret. Necesse enim est multos, propter paucorum dominationem nobis esse infensos, cum populosißimam totius Græciæ poßideamus ciuitatem, ac in qua tempore plurimo populus in libertate coaluit. Nos uero quàm grauis nobis ac uobis popularis fuerit status, iampridem experti sumus. Quinimo nec hoc ignoramus, Lacedæmonijs, qui graui nos eruere iugo, nunquam populum amicum fuisse: at uiri præstantes semper in eorum fide & amicitia persistunt: quapropter ex Lacedæmoniorum sentencia hanc regendi constituimus formam, & si quem paucorum dominationi obuiam ire cognoscimus, quantum ualemus è medio tollimus. Proinde si quempiam ex nobisipsis Oligarchiæ aduersari cōsideramus, illum pœnas delicti huius reddere debere longe iustius arbitramur. Nunc uero compertum habemus Theramenē hunc, quibus potest modis, & nobis & uobis perniciem struere: & ut illa uera esse deprehēdatis, si diligenter considerabitis, neminē magis præsentem statum uituperantē, aut si quem populi ductorem è pedibus tollere properamus, plus resistentē, q̃ hunc inuenietis Theramenē: qui si sub initium ita sensisset (hostis etenim erat) haud recte improbus appellari posset. Nunc uerò quamuis ipse maxime initium fidei ac amicitiæ Laconicæ fuerit, ipse populi statū dissoluerit, ipse summopere

nos

nos aduersus insidiatores nostros, ut illos capitali affi ceremus, supplicio cõcitauerit: postquã nos & uos ex professo populi hostes euasisse cernit, amplius quæ aguntur sibi placere negat, scilicet ut ipse in tuto cõstitutus, nos uero gestorum rationẽ aliquando reddamus. Quapropter illum non solũ quasi inimicũ, sed ut uestri ac nostri proditorẽ supplicio affici decet: tanto.n. hoste perniciosius delictũ est proditio, quãto difficilius rẽ latentẽ q̃ manifestã custodire: tanto etiã abominabilius, quod hostes aliquãdo rursus recõciliantur, amiciq; redduntur: at qui semel in proditione deprehẽsus est, cũ illo nemo unquam in gratiã redit, aut illi deinde confidit. Vt aũt intelligatis quæ ille facit non noua esse, sed natura prodítionẽ ei innatã, eius acta uobis ad memoriã reuocabo. Quũuis enim à teneris usq; annis, ob patrem Agnonẽ à populo honoratus esset, impulsor tamẽ fuit ut popularis status deprimeretur, ad quadringẽtorũq; numerũ deduceretur: inter quos et ipse princeps quodãmodo extitit. Deinde cum uideret ob illũ numerum rem ad paucorũ potentiã declinare, rursus populo dux contra CCCC. factus est: unde haud ab re Coturni nomẽ illi inditũ est. Cothurnus.n. ambobus congruere uidetur pedibus, etsi ab utrisq; dissentiat. Decet uero ô Theramenes, uirũ uita dignũ non id meditari, quo pacto socios ad pericula impellat, et si quid nõ ex animi sentẽtia cesserit, cõfestim immutari: sed tanquã in naui moderari, quousq; aura sequũdior flare incipiat. Id si minus quis fecerit, quo pacto unquã quô tendit peruenire poterit? cũ re quapiã leui impediẽte, cõfestim in contrariũ nauigare uelit. Siquidẽ sunt oẽs ferme publicarũ rerũ mutationes morti obnoxiæ. At tu propter inconstantiã multis ex oligarchia ut sub populo perirent, plurimis uero ex democratia ut ab optimatib. necarẽtur, causa fuisti: quale hoc est, cũ ubi à ducibus in bello nauali circa Lesbũ cõmisso, succursus submersorum ciuiũ iniunctus esset, tu non solũ illos nõ sustulisti, sed et duces accusasti, ut per mortẽ illorũ periculũ euaderes propriũ. Proinde qui proprij cõmodi gratia cuncta agere nec honestatis, aut amicorũ curam gerere deprehẽditur, nõ uideo cur ei parcendũ sit: quinimo potius ab isto cauendũ erit, ne cũ ipsum cognouimus instabilitatẽ, ipsi quoq; aliquãdo decepti, ea quæ et alij ab ipso passi sunt, ferre cogamur. Illũ igitur et nostri et uestri insidiatorẽ ac proditorẽ deferimus. Quod uero recte agamus, ita cõsiderate. Si in Lacedæmoniorũ republica, quã optimis institutã legibus cernimus, quis ex Ephoris formã regiminis mutare conaretur, illã uituperaret, ac deniq; omnib. quæ fierẽt aduersaretur, nunquid putatis illũ et ab Ephoris ipsis, ac reliqua ciuitate uniuersa, maximis dignũ cẽseri supplicijs? Igitur & uos, si sapitis, nõ huic, sed uobisipsis prospicite. Nã si euadet, plurimis ut hostiliter cõtra nos sentiant, occasionẽ præbebit: dãnatus uerò, cunctorũ tam intra q̃ extra urbem spes præcidet. Hæc cũ loquutus esset, desedit. At Theramenes surgẽs ita disseruit. Ego uiri, ad ea quæ Critias postremo mihi obiecit, primũ respõdebo. Dixit.n. præfectos ob accusationẽ meã ultimo affectos esse supplicio. Ego uero accusationi illorũ principiũ nõ dedi: uerum cũ ab alijs accusati respõdissent, se mihi collectionẽ ciuiũ q pugna nauali iuxta Lesbũ interierũt demãdasse, osten

ἡμᾶς τοῖς πρώτοις ὑπαγομένοις εἰς ἡμᾶς δίκην ἐπιτεθῆναι. νῦν ἐπεὶ καὶ ὑμεῖς καὶ ἡμεῖς φανερῶς ἐχθροὶ τῷ δήμῳ γεγενήμεθα, οὐκ ἔτ' αὐτῷ τὰ γιγνόμενα ἀρέσκει, ὅπως αὐτὸς μὲν αὖ ἐν τῷ ἀσφαλεῖ καταστῇ, ἡμεῖς δὲ δίκην δῶμεν τῶν πεπραγμένων. ὥστε οὐ μόνον ὡς ἐχθρῷ αὐτῷ προσήκει, ἀλλὰ καὶ ὡς προδότῃ ὑμῶν τε καὶ ἡμῶν διδόναι τὴν δίκην. καίτοι τοσούτῳ μὲν δεινότερον προδοσία πολέμου, ὅσῳ χαλεπώτερον φυλάξασθαι τὸ ἀφανὲς τοῦ φανεροῦ, τοσούτῳ δ' ἔχθιον ὅσῳ πολεμίοις μὲν ἄνθρωποι καὶ σπένδονται αὖθις, καὶ πιστοὶ γίγνονται. ὃν δ' ἂν προδιδόντα λαμβάνωσι, τούτῳ οὔτε ἐσπείσατο πώποτε οὐδεὶς οὔτ' ἂν πιστεύσειε τοῦ λοιποῦ. ἵνα δὲ εἰδῆτε ὅτι οὐ καινὰ τοῦτ' οὗτος ποιεῖ, ἀλλὰ φύσει προδότης ἐστὶν ἀναμνήσω ὑμᾶς τὰ τούτῳ πεπραγμένα. οὗτος μὲν ἐξ ἀρχῆς τιμώμενος, ὑπὸ τοῦ δήμου διὰ τὸν πατέρα Ἅγνωνα προπετέστατος ἐγένετο, τὴν δημοκρατίαν μεταστῆσαι εἰς τοὺς τετρακοσίους, καὶ ἐπρώτευεν ἐν ἐκείνοις. ἐπεὶ δ' ᾔσθετο ἀντίπαλόν τι τῇ ὀλιγαρχίᾳ συνιστάμενον, πρῶτος αὖ ἡγεμὼν τῷ δήμῳ ἐπ' ἐκείνους ἐγένετο. ὅθεν δήπου καὶ κόθορνος ἐπικαλεῖται. καὶ γὰρ ὁ κόθορνος ἁρμόττειν μὲν τοῖς ποσὶν ἀμφοτέροις δοκεῖ, ἀποβλέπει δὲ ἐπ' ἀμφοτέρων. δεῖ δέ, ὦ Θηραμένη, ἄνδρα τὸν ἄξιον ζῆν οὐ προάγειν μὲν δεινὸν εἶναι τοὺς συνόντας εἰς πράγματα, ἂν δέ τι ἀντικόπτῃ, εὐθὺς μεταβάλλεσθαι, ἀλλ' ὥσπερ ἐν τῇ νηὶ διαπονεῖσθαι, ἕως ἂν εἰς οὖρον καταστῶσιν· εἰ δὲ μή, πῶς ἂν ἀφίκοιντό ποτε ἔνθα δεῖ, εἰ ἐπειδάν τι ἀντικόψῃ, εὐθὺς εἰς τἀναντία πλέοιεν; καὶ εἰσὶ μὲν δήπου πᾶσαι μεταβολαὶ πολιτειῶν θανατηφόροι. σὺ δὲ διὰ τὸ εὐμετάβολος εἶναι, πλείστοις μὲν μεταίτιος εἶ ἐξ ὀλιγαρχίας ὑπὸ τοῦ δήμου ἀπολωλέναι, πλείστοις δ' ἐκ δημοκρατίας ὑπὸ τῶν βελτιόνων. οὗτος δέ τοι ἐστὶν, ὃς ταχθεὶς ἀνελέσθαι ὑπὸ τῶν στρατηγῶν τοὺς καταδύντας Ἀθηναίων ἐν τῇ περὶ Λέσβον ναυμαχίᾳ, αὐτὸς οὐκ ἀνελόμενος, ὅμως τῶν στρατηγῶν κατηγορῶν ἀπέκτεινεν αὐτούς, ἵνα αὐτὸς περισωθείη. ὅστις γε μὴν φανερός ἐστι τοῦ μὲν πλεονεκτεῖν ἀεὶ ἐπιμελούμενος, τοῦ δὲ καλοῦ καὶ τῶν φίλων μηδὲν ἐντρεπόμενος, πῶς τούτου χρή ποτε φείσασθαι; πῶς δ' οὐ φυλάξασθαι, εἰδότας αὐτοῦ τὰς μεταβολάς, ὡς μὴ καὶ ἡμᾶς ταὐτὸ δυνασθῇ ποιῆσαι; ἡμεῖς οὖν τοῦτον ὑπάγομεν καὶ ὡς ἐπιβουλεύοντα, καὶ ὡς προδιδόντα ἡμᾶς τε καὶ ὑμᾶς. ὡς δ' εἰκότα ποιοῦμεν, καὶ τάδ' ἐννοήσατε. καλλίστη μὲν γὰρ δήπου δοκεῖ πολιτεία εἶναι ἡ Λακεδαιμονίων. εἰ δὲ ἐκεῖ ἐπιχειρήσειέ τις τῶν ἐφόρων ἀντὶ τοῦ τοῖς πλείοσι πείθεσθαι ψέγειν τε τὴν ἀρχὴν, καὶ ἐναντιοῦσθαι τοῖς πραττομένοις, οὐκ ἂν οἴεσθε αὐτὸν καὶ ὑπ' αὐτῶν τῶν ἐφόρων καὶ ὑπὸ τῆς ἄλλης ἁπάσης πόλεως τῆς μεγίστης τιμωρίας ἀξιωθῆναι; καὶ ὑμεῖς οὖν ἐὰν σωφρονῆτε, οὐ τούτου, ἀλλ' ὑμῶν φείσεσθε. ὡς οὗτος σωθεὶς μὲν πολλοὺς ἂν μέγα φρονεῖν ποιήσειε τῶν ἐναντία γιγνωσκόντων ὑμῖν. ἀπολόμενος δὲ πάντων καὶ τῶν ἐν τῇ πόλει, καὶ τῶν ἔξω ὑποτέμοι ἂν τὰς ἐλπίδας. ὁ μὲν ταῦτ' εἰπὼν, ἐκαθέζετο. Θηραμένης δὲ ἀναστὰς ἔλεξεν· ἀλλὰ πρῶτον μὲν μνησθήσομαι, ὦ ἄνδρες, ὃ τελευταῖον κατ' ἐμοῦ εἶπε. φησὶ γάρ με τοὺς στρατηγοὺς ἀποκτεῖναι κατηγοροῦντα. ἐγὼ δὲ οὐκ ἦρχον κατ' ἐκείνων λόγου, ἀλλ' ἐκεῖνοι ἔφασαν προσταχθέντα μοι ὑφ' ἑαυτῶν, οὐκ

οὐκ ἀνελέσθαι τοὺς δυστυχοῦντας ἐν τῇ περὶ λέσβον ναυμαχίᾳ. ἐγὼ δὲ ἀπολογούμενος ὡς διὰ τὸν χειμῶνα οὐδὲ πλεῖν, μὴ ὅτι ἀναιρεῖσθαι τοὺς ἄνδρας δυνατὸν ἦν, ἔδοξα τῇ πόλει εἰκότα λέγειν. ἐκεῖνοι δὲ ἑαυτῶν κατηγορεῖν ἐφαίνοντο. φάσκοντες γὰρ οἷόν τε εἶναι σῶσαι τοὺς ἄνδρας, προέμενοι αὐτοὺς ἀπολέσθαι, ἀποπλέοντες ᾤχοντο. οὐ μέντοι θαυμάζω γε τὸ κριτίαν παρανενομηκέναι. ὅτε γὰρ ταῦτα ἦν, οὐ παρὼν ἐτύγχανεν, ἀλλ' ἐν θετταλίᾳ μετὰ προμηθέως δημοκρατίαν κατασκευάζων, καὶ τοὺς πενέστας ὥπλιζεν ἐπὶ τοὺς δεσπότας. ὧν μὲν οὖν οὗτος ἐκεῖ ἐπράχθη, μηδὲν ἐνθάδε γένοιτο. τάδε γε μέντοι ὁμολογῶ ἐγὼ τούτῳ. εἴ τις ὑμᾶς μὲν τῆς ἀρχῆς βούλεται παῦσαι, τοὺς δ' ἐπιβουλεύοντας ὑμῖν ἰσχυροὺς ποιεῖν, δίκαιον εἶναι τῆς μεγίστης αὐτὸν τιμωρίας τυγχάνειν. ὅστις μέντοι ὁ ταῦτα πράττων ἐστὶν, οἶμαι ἂν ὑμᾶς κάλλιστα κρίνειν, τά τε πεπραγμένα, καὶ ἃ νῦν πράττει ἕκαστος ἡμῶν, εἰ κατανοήσετε. οὐκοῦν μέχρι μὲν τοῦ ὑμᾶς τε καταστῆναι εἰς τὴν βουλὴν, καὶ ἀρχὰς ἀποδειχθῆναι, καὶ τοὺς ὁμολογουμένους συκοφάντας ὑπάγεσθαι, πάντες ταὐτὰ ἐγιγνώσκομεν. ἐπεὶ δὲ οὗτοι ἤρξαντο ἄνδρας καλούς τε καὶ ἀγαθοὺς συλλαμβάνειν, ἐκ τούτου κἀγὼ ἠρξάμην τἀναντία τούτοις γιγνώσκειν. ᾔδειν γὰρ ὅτι ἀποθνήσκοντος μὲν λέοντος τοῦ σαλαμινίου, ἀνδρὸς καὶ ὄντος καὶ δοκοῦντος ἱκανοῦ εἶναι, ἀδικοῦντος δ' οὐδὲ ἕν, οἱ ὅμοιοι τούτῳ φοβήσοιντο. φοβούμενοι δὲ ἐναντίοι τῇδε τῇ πολιτείᾳ ἔσοιντο. ἐγίγνωσκον δὲ ὅτι ξυλλαμβανομένου νικηράτου τοῦ νικίου, καὶ πλουσίου καὶ οὐδὲν πώποτε δημοτικὸν, οὔτε αὐτοῦ, οὔτε τοῦ πατρὸς πράξαντος, οἱ τούτῳ ὅμοιοι δυσμενεῖς ὑμῖν γενήσοιντο. ἀλλὰ μὴν καὶ ἀντιφῶντος ὑφ' ὑμῶν ἀπολλυμένου, ὃς ἐν τῷ πολέμῳ δύο τριήρεις εὖ πλεούσας παρείχετο, ἠπιστάμην ὅτι καὶ οἱ πρόθυμοι τῇ πόλει γεγενημένοι πάντες ὑπόπτως ὑμῖν ἕξοιεν. ἀντεῖπον δὲ καὶ ὅτε τῶν μετοίκων ἕνα ἕκαστον λαβεῖν ἔφασαν χρῆναι. εὔδηλον γὰρ ἦν, ὅτι τούτων ἀπολομένων, καὶ οἱ μέτοικοι ἅπαντες πολέμιοι τῇ πολιτείᾳ ἔσοιντο. ἀντεῖπον δὲ καὶ ὅτε τὰ ὅπλα τοῦ πλήθους παρῃροῦντο, οὐ νομίζων χρῆναι ἀσθενῆ τὴν πόλιν ποιεῖν. οὐδὲ γὰρ τοὺς λακεδαιμονίους ἑώρων τούτου ἕνεκα βουλομένους περισῶσαι ἡμᾶς, ὅπως ὀλίγοι γενόμενοι, μηδὲν δυναίμεθα αὐτοὺς ὠφελεῖν. ἐξῆν γὰρ αὐτοῖς, εἰ τούτου γε δέοιντο, καὶ μηδένα λιπεῖν, ὀλίγον ἔτι χρόνον τῷ λιμῷ πιέσαντας. οὐδέ γε τὸ φρουροὺς μισθοῦσθαι ξυνήρεσκέ μοι, ἐξὸν αὐτῶν τῶν πολιτῶν τοσούτους προσλαμβάνειν, ἕως ῥᾳδίως οἱ ἄρχοντες ἐμέλλομεν τῶν ἀρχομένων κρατήσειν. ἐπεί γε μὴν πολλοὺς ἑώρων ἐν τῇ πόλει τῇ ἀρχῇ τῇδε δυσμενεῖς, πολλοὺς δὲ φυγάδας γιγνομένους, οὐκ αὖ ἐδόκει μοι οὔτε θρασύβουλον, οὔτε ἄνυτον, οὔτε ἀλκιβιάδην φυγαδεύειν. ᾔδειν γὰρ ὅτι οὕτω γε τὸ ἀντίπαλον ἰσχυρὸν ἔσοιτο, εἰ τῷ μὲν πλήθει ἡγεμόνες ἱκανοὶ προσγενήσοιντο, τοῖς δ' ἡγεῖσθαι βουλομένοις ξύμμαχοι πολλοὶ φανήσοιντο. ὁ ταῦτ' οὖν νουθετῶν ἐν τῷ φανερῷ πότερα εὐμενὴς ἂν δικαίως ἢ προδότης νομίζοιτο; οὐχ οἱ ἐχθροὺς, ὦ κριτία, κωλύοντες πολλοὺς ποιεῖσθαι, οὐδ' οἱ ξυμμάχους πλείστους διδάσκοντες κτᾶσθαι, οὗτοι τοὺς πολεμίους ἰσχυροὺς ποιοῦσιν, ἀλλὰ πολὺ μᾶλλον οἱ ἀδίκως τε χρήματα ἀφαιρούμενοι, καὶ τοὺς οὐδὲν ἀδικοῦντας

ostendi ob tempestatis uehementiam impoßibile mihi fuisse, non solum nauigationem, sed & uirorum collectionem: quæ in re uera Athenensibus dicere, & illi quodammodo seipsos accusare uisi sunt, fatentes defunctorũ corpora colligi potuisse, se tamen ad alia loca nauigasse. Proinde non miror Critiam mihi iniuste hæc obiecisse. Nam cum hæc acta sunt, præsens non fuit, sed cum Prometheo in Thessalia statum instituit popularem, ac calones in dominos armauit: & quæ ille ibi egit, ne hic fiant, dij longe repellant. In eo uero illi assentior, si quis uobis principatum auferre nitatur, ac hostibus uestris fauere uelit, maximis hunc dignũ esse supplicijs. Verum quisnam hæc agat, uos optime dijudicaturos arbitror, si diligenter perpenderitis ante acta, & quæ nunc unusquisq; è nobis gerit: quandoquidem in eligendo senatu, constituendis principibus, tollendis è medio manifestis calumniatoribus, omnes unà sensimus: sed ex quo illi uiros bonos ac iustos comprehendere cœperunt, ego quoq; diuersa illis sentire occepi. Sciebã etenim cum interfici uidissem Leontẽ Salaminiũ, uirũ spectatum ac egregiũ, nullaq; in re iniuriũ, contribules suos in timore constitutũ iri, constitutos uero gubernationi nostræ obuiã ituros. Pariter cum Niceratũ Nicij filium cõprehensum cernerem, uirum diuitem, ac minime popularẽ, cognoscebam æquales suos nobis hostes futuros. Præterea cum Antiphõ, qui in bello duas aluisset triremes, à uobis interficeretur, sciebam oẽs qui egregiam reipublicæ nauassent operã, nos suspectos habituros. Cõtradixi quoq; cum unũquenq; aduenam unum ad opprimendũ arripere iußissent: manifeste enim apparebat, si illi perirent, incolas reliquos omnes hostes reipublicæ euasuros. Cõtradixi quoq; cum arma multitudini adẽpta essent: arbitrabar etenim ciuitatẽ imbecillem reddi non oportere. Neq; enim Lacedæmonios ideo nos seruare uoluisse, ut uiribus exhaustis, nullo illis præsidio cum uellent, esse possemus: quippe si hoc uoluissent, neminẽ ex nobis relinquere potuissent, si modico adhuc tẽpore fame nos opprimere decreuissent. Neq; præsidiũ contraducere mihi placuit, cum tot abundaremus ciuibus, ut faciliter principes subditis, si quid noui moliti fuissent, resistere potuissemus. Deniq; cũ plures in ciuitate statui huic infensos cernerẽ, multos quoq; in exiliũ quotidie pelli, displicuit mihi his Thrasybulum, Anytũ, et Alcibiadẽ adiungi. Intelligebam enim quantũ robur hostib accessurũ foret, si multitudini exulum, duces quasi de industria subministraremus, ducibus uero sociorum numerum augeremus. Qui ergo palàm hæc admonet, num rectius beneuolus quàm proditor est existimandus? Non illi, ô Critia, qui impedimento sunt ne hostium numerus augeatur, uel qui docent quo pacto sociorum numerus crescat, hi hostes reddunt potentiores: sed multo magis qui per uim ac iniuste pecunias auferunt, innocen-

κοῦντας teíq;

tesq; interfictiũ, hi sunt qui aduersariorũ augent
numerũ: quiq; nõ solũ amicos, sed semetipsos tur
pis lucri gratia prodũt. Quod si nõ aliũde me ue
rũ dicere intelligere potestis, ita saltē cõsiderate:
nũquid Thrasybulus et Anytus reliquiq; exules,
magis uelint ea hic fieri, quæ ego suadeo, uel po
tius quæ illi agũt: siquidē eos nihil magis optare
puto, q̃ ut socij quãplurimi sibi quotidie coniun
gãtur. Quod si ciuitatis opulẽtiores nobiscũ sen
sissent, admodũ difficile fuisset quẽpiã nostros in
uadere potuisse fines. Ceterũ nũc ijs quæ de incõ
stantia mea dixit, ueraciter respondebo. Statum
cccc. populus ipse aliquando decreuit, edoctus
Lacedæmonios eã gubernãdi formã potius q̃ po
pularẽ probare statũ: uerũ cũ hi nihil sani sensis/
sent, et qui cũ Aristotele, et Melãthio, ab Aristar
cho militabãt, cõperti sunt munitiões, in quas ob
ciuiũ oppreßionẽ hostes introducerent, in agris
erigere, ut ciuitatẽ suo et aliorũ subijcere possent
impio: id q̃ primũ resciui, ne fieret prohibui. Nũ
quæso hoc est amicorũ esse proditorẽ? Proinde
me cothurnũ quoq; appellat, tanquã utriq; parti
studere conantẽ. Ceterũ q neutræ placet parti, p
deos imortales quo nomine illũ appellare decet?
Siqdẽ tu in statu populari, omniũ minime popula
ris fuisti: i optimatũ uero regimine optimũ quẽq;
capitali prosequutus es odio. Ego uero ô Critia,
illis semp resistere paratus sum, q popularẽ statũ
nõ antea optimũ esse arbitrãtur, q̃ cũ serui et a/
lij infimæ sortis homines ciuitatẽ drachma uen/
dũt, ut drachmæ participes esse poßit. Illis quoq;
semp contrarius esse soleo, q paucorũ dominatio
nẽ nõ recte cõstitutã existimãt, prius q̃ à paucis
subacta ciuitas tyrãnidi subijciatur. Nã qd' semp
eã rẽp. optimã esse iudicaui, quæ ab opulẽtiorib.
ac probis hominib. armis ac uiribus cõseruatur,
nũc non muto. Proinde si tu Critia ostẽdere po/
tes, ubinã cũ popularib. uel tyrãnicis, bonos &
probos à rep. depellere conatus fuerim, age ostẽ/
de. Si n. seu nũc talia agere, aut posthac unquã fa
cere cõuictus fuero, fateor me extrema oĩa pati
esse dignißimũ, iusteq; ultimo affici debere sup/
plicio. Hæc cũ dixisset, tacuit. Verũ cõciliũ cũ be
neuolentiã suã strepitu indicasset, ueritus est Cri
tias, ne si senatui de illo sortiri pmitteretur, euade
ret: quã rẽ minime tolerandã arbitrabatur. Pro/
cedẽs igitur, et cũ triginta colloquuturus exiuit:
iußit interim ensib. cũctos aperte senatũ in cãcel
lis circũdare. Inde cum rursus ingressus esset, ita
uerba fecit: Ego patres cõscripti, eũ q reipublicæ
præest, decere arbitror, cũ amicos decipi uideat, il
lis pro uirib. succurrere: qd' & ego nũc facere in
tẽdo. Nã et qui à nobis defecerũt, recte affirmare
possent, nos curã nostri minime gerere, si indẽna
tũ dimitteremus uirũ, apte oligarchiæ resistentẽ.
Cũ igitur à nouis cõstitutũ sit legib. neminẽ ex tri
bus millib. sine decreto uestro morte dãnari debe
re: at q extra numerũ illũ sunt, horũ triginta esse
uitæ ac necis dominos: ego Theramenẽ hunc, o/
mnib. uobis cõsentiẽtib. ex catalogo deleo, quẽ et
nos

κοινοῦντες ἀπεκτείνοντο, οὗτοί εἰσιν οἱ καὶ πολλοὺς τοὺς ἐναν-
τίους ποιοῦντες, καὶ προδιδόντες οὐ μόνον τοὺς φίλους,
ἀλλὰ καὶ ἑαυτοὺς δι' αἰσχροκέρδειαν. εἰ δὲ μὴ ἄλλως γνω-
στὸν ὅτι ἀληθῆ λέγω, ὧδε ἐπισκέψασθε. πότερον οἴεσθε
Θρασύβουλον καὶ Ἄνυτον, καὶ τοὺς ἄλλους φυγάδας, ἃ
ἐγὼ λέγω μᾶλλον ἂν ἐνθάδε βούλεσθαι, γίγνεσθαι, ἢ ἃ
οὗτοι πράττουσιν. ἐγὼ μὲν γὰρ οἶμαι νῦν μὲν αὐτοὺς νομί-
ζειν συμμάχων πάντα μεστὰ εἶναι. εἰ δὲ τὸ κράτιστον τῆς πό-
λεως προσφιλῶς ἡμῖν εἶχε, χαλεπὸν ἂν ἡγεῖσθαι εἶναι καὶ
ἐπιβαίνειν ποι τῆς χώρας. ἃ δ' αὖ εἶπεν, ὡς ἐγώ εἰμι οἷος
ἀεί ποτε μεταβάλλεσθαι, κατανοήσατε καὶ ταῦτα. τὴν μὲν
γὰρ τῶν τετρακοσίων πολιτείαν καὶ αὐτὸς δήπου ὁ δῆ-
μος ἐψηφίσατο, διδασκόμενος ὡς οἱ Λακεδαιμόνιοι
πάσῃ πολιτείᾳ μᾶλλον ἂν ἢ δημοκρατίᾳ πιστεύσειαν.
ἐπεὶ δέ γε ἐκεῖνοι μὲν οὐδὲν ἀνίεσαν, οἱ δὲ ἀμφὶ Ἀριστο-
τέλην, καὶ Μελάνθιον, καὶ Ἀρίσταρχον στρατηγοῦντες
φανεροὶ ἐγένοντο ἐπὶ τῷ χώματι, ἔρυμα τειχίζοντες,
εἰς ὃ ἐβούλοντο τοὺς πολεμίους δεξάμενοι, ὑφ' αὑτοῖς καὶ
τοῖς ἑταίροις τὴν πόλιν ποιήσασθαι, εἰ ταῦτ' αἰσθανόμε-
νος ἐγὼ διεκώλυσα, τοῦτ' ἐστὶ προδότην εἶναι τῶν φίλων;
ἀποκαλεῖν δὲ κόθορνόν με, ὡς ἀμφοτέροις πειρώμενον
ἁρμόττειν. ὅστις δὲ μηδ' ἑτέροις ἀρέσκει, τοῦτον ὦ πρὸς τῶν
θεῶν, τί ποτε καὶ καλέσαι χρή; σὺ γὰρ δὴ ἐν μὲν τῇ δη-
μοκρατίᾳ, πάντων μισοδημότατος ἐνομίζου. ἐν δὲ τῇ
ἀριστοκρατίᾳ πάντων μισοχρηστότατος γεγένησαι. ἐγὼ
δ', ὦ Κριτία, ἐκείνοις μὲν ἀεί ποτε πολεμῶ τοῖς οὐ πρό-
σθεν οἰομένοις καλλίστην ἂν δημοκρατίαν εἶναι, πρὶν ἂν καὶ
οἱ δοῦλοι, καὶ οἱ δι' ἀπορίαν δραχμῆς ἂν ἀποδόμενοι τὴν
πόλιν, δραχμῆς μετέχοιεν. καὶ τοῖς δέ γ' αὖ ἀεὶ ἐναν-
τίος εἰμί, οἳ οὐκ οἴονται καλλίστην ἂν ἐγγενέσθαι ὀλιγαρ-
χίαν, πρὶν ἂν εἰς τὸ ὑπ' ὀλίγων τυραννεῖσθαι τὴν πό-
λιν καταστήσειαν. τὸ μέντοι σὺν τοῖς δυναμένοις καὶ
μεθ' ἵππων καὶ μετ' ἀσπίδων ὠφελεῖν, διὰ τούτων τὴν
πολιτείαν πρόσθεν ἄριστον ἡγουμένην εἶναι, καὶ νῦν οὐ
μεταβάλλομαι. εἰ δ' ἔχεις εἰπεῖν, ὦ Κριτία ὅπου ἐγὼ ξὺν
τοῖς δημοτικοῖς, ἢ τυραννικοῖς, τοὺς καλούς τε κἀγαθοὺς
ἀποστερεῖν πολιτείας ἐπεχείρησα, λέγε. ἐὰν γὰρ ἐλεγ-
χθῶ, ἢ νῦν ταῦτα πράττων, ἢ πρότερον πώποτε ταῦ-
τα πεποιηκώς, ὁμολογῶ τὰ πάντων ἐσχατώτατα πα-
θὼν ἄν, δικαίως ἀποθνήσκειν. ὡς δὲ εἰπὼν ταῦτα ἐπαύ-
σατο, καὶ ἡ βουλὴ δήλη ἐγένετο εὐμενῶς ἐπιθορυβήσα-
σα, γνοὺς ὁ Κριτίας ὅτι εἰ ἐπιτρέψει τῇ βουλῇ διαψηφί-
ζεσθαι περὶ αὐτοῦ, ἀναφεύξοιτο, καὶ τοῦτο οὐ βιωτὸν ἡγη-
σάμενος, προσελθὼν καὶ διαλεχθείς τι τοῖς τριάκοντα,
ἐξῆλθε, καὶ ἐπιστῆναι ἐκέλευσε τοὺς τὰ ἐγχειρίδια ἔχον-
τας φανερῶς τῇ βουλῇ ἐπὶ τοῖς δρυφάκτοις. πάλιν δὲ
εἰσελθών, εἶπεν· ἐγώ, ὦ βουλή, νομίζω προστάτου ἔργον
εἶναι οἵου δεῖ, ὃς ἂν ὁρῶν τοὺς φίλους ἐξαπατωμένους μὴ
ἐπιτρέπῃ. καὶ ἐγὼ οὖν τοῦτο ποιήσω. καὶ γὰρ οἵδε οἱ
ἐφεστηκότες οὔ φασιν ἡμῖν ἐπιτρέψειν, εἰ ἀνήσομεν
ἄνδρα τὸν φανερῶς τὴν ὀλιγαρχίαν λυμαινόμενον.
ἔστι δὲ ἐν τοῖς καινοῖς νόμοις τῶν μὲν ἐν τοῖς τρισχιλίοις
ὄντων, μηδένα ἀποθνήσκειν ἄνευ τῆς ὑμετέρας ψήφου.
τῶν δ' ἔξω τοῦ καταλόγου κυρίους εἶναι τοὺς τριάκοντα
θανατοῦν. ἐγὼ οὖν, ἔφη, Θηραμένην τουτονὶ ἐξαλείφω
ἐκ τοῦ καταλόγου ξυνδοκοῦν ἅπασιν ὑμῖν. καὶ τοῦτον, ἔφη,
ἡμεῖς

ἀκρίτους θανατοῦσθαι. ἀκούσας ταῦτα ὁ Θηραμένης ἀνεπήδησεν ἐπὶ τὴν ἑστίαν, καὶ εἶπεν· ἐγὼ δ', ἔφη, ὦ ἄνδρες, ἱκετεύω τὰ πάντων ἐννομώτατα, μὴ ἐπὶ Κριτίᾳ εἶναι ἐξαλείφειν μήτε ἐμὲ, μήτε ὑμῶν ὃν ἂν βούληται. ἀλλ' ὅνπερ νόμον οὗτοι ἔγραψαν περὶ τῶν ἐν τῷ καταλόγῳ, κατὰ τοῦτον καὶ ὑμῖν καὶ ἐμοὶ τὴν κρίσιν εἶναι. καὶ τοῦτο μὲν, ἔφη, μὰ τοὺς θεοὺς οὐκ ἀγνοῶ, ὅτι οὐδέν μοι ἀρκέσει ὅδε ὁ βωμός. ἀλλὰ βούλομαι καὶ τοῦτο ἐπιδεῖξαι, ὅτι οὗτοι οὐ μόνον εἰσὶ περὶ ἀνθρώπους ἀδικώτατοι, ἀλλὰ καὶ περὶ θεοὺς ἀσεβέστατοι. ὑμῶν μέντοι, ἔφη, ὦ ἄνδρες καλοὶ κἀγαθοὶ, θαυμάζω, εἰ μὴ βοηθήσετε ὑμῖν αὐτοῖς, καὶ ταῦτα γιγνώσκοντες ὅτι οὐδὲν τὸ ἐμὸν ὄνομα εὐεξαλειπτότερον, ἢ τὸ ὑμῶν ἑκάστου. ἐκ δὲ τούτου ἐκέλευσε μὲν ὁ τῶν τριάκοντα κῆρυξ τοὺς ἕνδεκα ἐπὶ τὸν Θηραμένην. ἐκεῖνοι δὲ εἰσελθόντες σὺν τοῖς ὑπηρέταις, ἡγουμένου αὐτῶν Σατύρου τοῦ θρασυτάτου αὐτῶν, καὶ ἀναιδεστάτου, εἶπε μὲν ὁ Κριτίας· παραδίδομεν ὑμῖν, ἔφη, Θηραμένην τουτονὶ κατακεκριμένον κατὰ τὸν νόμον. ὑμεῖς δὲ λαβόντες, καὶ ἀπαγαγόντες οἱ ἕνδεκα οὗ δεῖ, τὰ ἐκ τούτων πράσσετε. ὡς δὲ ταῦτα εἶπεν, εἷλκε μὲν ἀπὸ τοῦ βωμοῦ ὁ Σάτυρος, εἷλκον δὲ οἱ ὑπηρέται. ὁ δὲ Θηραμένης ὥσπερ εἰκὸς, καὶ θεοὺς ἐπεκαλεῖτο καὶ ἀνθρώπους, καθορᾶν τὰ γιγνόμενα. ἡ δὲ βουλὴ ἡσυχίαν εἶχεν, ὁρῶσα καὶ τοὺς ἐπὶ τοῖς δρυφάκτοις ὁμοίους Σατύρῳ, καὶ τὸ ἔμπροσθεν τοῦ βουλευτηρίου πλῆρες τῶν φρουρῶν, καὶ οὐκ ἀγνοοῦντες ὅτι ἐγχειρίδια ἔχοντες παρῆσαν. οἱ δ' ἀπήγαγον τὸν ἄνδρα διὰ τῆς ἀγορᾶς μάλα μεγάλῃ τῇ φωνῇ δηλοῦντα οἷα ἔπασχε. λέγεται δὲ ἓν ῥῆμα καὶ τοῦτο αὐτοῦ, ὡς εἶπεν ὁ Σάτυρος, ὅτι οἰμώξοιτο, εἰ μὴ σιωπήσειεν. ἐπήρετο· ἂν δὲ σιωπῶ, οὐκ ἄρ', ἔφη, οἰμώξομαι; καὶ ἐπεί γε ἀποθνῄσκειν ἀναγκαζόμενος, τὸ κώνειον ἔπιε, τὸ λειπόμενον ἔφασαν ἀποκοτταβίσαντα, εἰπεῖν αὐτὸν, Κριτίᾳ τοῦτ' ἔστω τῷ καλῷ. καὶ τοῦτο μὲν οὐκ ἀγνοῶ, ὅτι ταῦτα ἀποφθέγματα οὐκ ἀξιόλογα. ἐκεῖνο δὲ κρίνω τοῦ ἀνδρὸς ἀγαθὸν τὸ τοῦ θανάτου παρεστηκότος, μήτε τὸ φρόνιμον μήτε τὸ παιγνιῶδες ἀπολιπεῖν ἐκ τῆς ψυχῆς. Θηραμένης μὲν δὴ οὕτως ἀπέθανεν. οἱ δὲ τριάκοντα ὡς ἐξὸν ἤδη αὐτοῖς τυραννεῖν ἀδεῶς, προεῖπον μὲν τοῖς ἔξω τοῦ καταλόγου μὴ εἰσιέναι εἰς τὸ ἄστυ. ἦγον δὲ ἐκ τῶν χωρίων, ἵνα αὐτοὶ καὶ οἱ φίλοι τοὺς τούτων ἀγροὺς ἔχοιεν. φευγόντων δὲ εἰς τὸν Πειραιᾶ, καὶ ἐντεῦθεν πολλοὺς ἀγόντες, ἐνέπλησαν καὶ τὰ Μέγαρα, καὶ τὰς Θήβας τῶν ὑποχωρούντων. ἐκ δὲ τούτου Θρασύβουλος ὁρμηθεὶς ἐκ Θηβῶν, ὡς σὺν ἑβδομήκοντα Φυλὴν χωρίον καταλαμβάνει ἰσχυρόν. οἱ δὲ τριάκοντα ἐβοήθουν ἐκ τοῦ ἄστεος σύν τε τρισχιλίοις, καὶ σὺν τοῖς ἱππεῦσι καὶ μάλα εὐημερίας οὔσης. ἐπεὶ δὲ ἀφίκοντο, εὐθὺς μὲν θρασυνόμενοί τινες τῶν νέων προσέβαλον πρὸς τὸ χωρίον. καὶ ἐποίησαν μὲν οὐδὲν, τραύματα δὲ λαβόντες ἀπῆλθον. βουλομένων δὲ τῶν τριάκοντα ἀποτειχίζειν, ὅπως ἐκπολιορκήσαιεν αὐτοὺς, ἀποκλείσαντες αὐτοῖς τὰς ἐφόδους τῶν ἐπιτηδείων, ἐπιγίγνεται τῆς νυκτὸς χιὼν παμπληθής. καὶ τῇ ὑστεραίᾳ οἱ δὲ νιφόμενοι ἀπῆλθον εἰς τὸ ἄστυ, μάλα συχνοὺς τῶν σκευοφόρων ὑπὸ τῶν ἐκ Φυλῆς ἀποβαλόντες. γιγνώσκοντες δὲ ὅτι καὶ ἐκ τῶν ἀγρῶν λεηλατήσοιεν εἰ μή τις φυλακὴ ἔσοιτο, διαπέμπουσιν εἰς τὰς ἐσχατιὰς ὅσον πεντεκαίδεκα στάδια ἀπὸ Φυλῆς,

nos r esse dānamus. Quæ cum Theramenes audiuisset, ad aram ita uociferans confugit: Ego uero o uiri, per omnia legitima uos oro ac precor, ut neq; me, neq; alium quenquam ad libitum Critiæ delere permittatis: sed uos lege, quam illi de ijs qui in catalogo continentur tulerunt, me, si quid commisi, iudicetis. Et quamuis per deos immortales, inquit, non ignorem, aram illam nihil mihi profuturā, id tamen ostendere uolo, tyrānos istos nō solū in homines esse iniustißimos, sed erga deos quoq; maxime impios ac sceleſtißimos. Admiror uero uos uiri optimi ac honesti, uobisipsis succurrere nolle, cū sciatis nomen meū nō minus esse delebile, q̄ uniuscuiusq; uestrûm. Interea tyrannorū præco undecim uiros ad Theramenē citabat: quibus cum ministris, ac duce eorum Satyro, homine audacißimo ac facinorißimo, irrumpentibus, Critias ait: Tradimus uobis Theramenem nunc secundum legē iudicandum: uos uerò undecim uiri, illū quo oportet, abducite, ac e medio tollere memineritis. Hæc cum dixisset, Satyrus illum cum ministris ab ara abstrahere nitebatur. At Theramenes cū hæc cerneret, ut par erat, deos ac homines inuocabat. Senatus uero uidens æquales Satyri circum cancellos, & ante prætorium quamplurimos milıtum dispositos, quietem agebat, tacitusq; euentū rei expectabat, non ignarus illos ensibus cinctos esse. At undecim uiri per forum hominem abducebant, magna uoce quod indigna pateretur clamantē, ac tyrannos detestātem. Fertur cum Satyrus illi dixisset, flebis nisi silebis, respondisse: Nunquid non flebo, si tacebo? Cum uero mori coactus esset, epoto ueneno, reliquum effudisse aiebant, ac dixisse: Hoc Critiæ libamus. Et quamuis non ignorem dicteria ista nō admodum relatu digna, illum tamen uirum admirandū esse iudico, cui morte præsente, nec prudentia, nec scommata ex animo exciderint. Theramenes igitur hunc finem sortitus est. At triginta cum iam absq; timore tyrannidē exercere posse sperarent, omnibus extra catalogum urbem intrare probibuere: quinimo finib. quoq; pellebant, ut eo pacto ipsi cum amicis eorum agris potirentur. erantq; fugientium omnia plena: nam ex Piræo dilabentes, Megaram ac Thebas impleuerant. Itaq; Thrasybulus ex Thebis impetu facto quasi cum septuaginta suæ factionis hominibus, Phylen locum occupauit munitißimum: cui triginta ex urbe cum tribus millibus, ac equitibus, statim cum serena esset tranquillitas, occurrunt. Cumq; prope essent, audacißimi quidam iuuenes locum aggreßi sunt: sed cum nihil proficerent, multis acceptis uulneribus repulsi sunt. At triginta cum constituissent illos muro circundare, ut eo pacto obseßi, annona intercluderentur, eadem nocte densa effusa est nix: & cum die insequenti uehementer quoque ningeret, in ciuitatem plurimis abiectis impedimentis reuersi sunt. Timentes uero agrorū incursionem, ni præsidio munirētur, quasi quindecim stadijs à Phyla.

Phyla, Laconicum uniuersum, exceptis paucis, constituunt præsidium, cum equitum turmis duabus, qui in Lasio campo positis castris, in stationis agebant. At Thrasybulus collectis quasi septingentis suæ factionis hominibus, nocte ad illos descendit, ac positis tribus uel quatuor ab hostibus stadijs armis, quietem agebat. Cumque primo diluculo hostes è stratis surrexissent, ac inermes securè deambularent, alij uero equos tergerent, Thrasybulus resumptis armis, prono cursu cum suis ad illos delatus est: ex quibus aliquot uiuos cepit, omnes uero in fugam uertit, quos sex uel septem prosequutus est stadijs. Cecideruntq; ex peditibus plus quàm centum uiginti, equitum uero Nicostratus appellatus Pulcher: duo quoq; alij in stratis oppreßi sunt. Thrasybulus uero cum suis reuersus trophæum statuit, acceptisque armis ac præda, Phylam redijt. At equites ex ciuitate cum suis opem ferrent, neminem hostium deprehenderunt: tandiu uero manserunt, quoad necessarij qui ceciderant, mortuos reciperent, inde in ciuitatem reuerterunt. Ex eo tempore triginta rebus suis diffidenter, Eleusinam ut refugium illis quandoque esset, munire constituerunt. Acceptis igitur equitibus Eleusinam profecti sunt, ibiq; Critias & alij triginta equites lustrarunt, illosque omnes describere iusserunt: dicentes id eo facere animo, ut numerum eorum cognoscere possent. Descriptum igitur unumquenque per portam mare uersus exire, ac in littore hinc inde consistere iusserunt: at quàm primum quis egressus erat, ab ministris comprehendebatur. Cùmque omnes capti essent, iusserunt eorum præfectum Lysimachum illos abducere, ac undecim uiris tradere. Postridie conuocatis tribus millibus, ac reliquis equitibus, surgens Critias ita loquutus est: Vobis, ò uiri, non minus quàm nobisipsis rempublicam stabilimus: proinde quemadmodum honorum, sic & periculi uos participes esse decet. Vt igitur nobis fidem adhibeatis, pariterq; timeatis, omnes per Eleusina conuenimus sacra: ostensoq; loco, in illo palàm de hac re calculum ferre iussit. Præsto interim erat Laconicum præsidium armatum, ut illos cogeret. Erat uero hæc initiatio tantummodo eorum ciuium qui calumnijs affici debebant. Thrasybulus interea collectis ex Phyla quasi militibus mille, nocte Piræum occupauit. Quod cum triginta resciuissent, statim cum Laconico præsidio, equitibus ac peditibus, in succursum aduolant: inde Piræum aggredi pergunt. At qui ex Phyla irruperant, uiriliter resistunt: sed cum ambitus esset uastus, multiq; indigens præsidij, ipsi uerò pauci, in Munychiam se retrahunt, at qui in ciuitate erant, in Hippodamum conueniunt forum, ubi ordine lato, non minus quàm hominum quinquaginta instructa, ita ut totam implerent uiam, quæ ad templum Munychiæ ducit Dianæ, Bendidium ad hostes ascendere cœperunt: quibus

φυλῆς, τούς τε λακωνικοὺς πλὴν ὀλίγων φρουρούς, καὶ τῶν ἱππέων δύο φυλάς. οὗτοι δὲ στρατοπεδευσάμενοι ἐν χωρίῳ λασίῳ, ἐφύλαττον. ὁ δὲ θρασύβουλος ἤδη συνειλεγμένων τῶν εἰς φυλὴν περὶ ἑπτακοσίους, λαβὼν αὐτούς, καταβαίνει τῆς νυκτός. θέμενος δὲ τὰ ὅπλα ὅσον τρία ἢ τέτταρα στάδια ἀπὸ τῶν φρουρῶν ἡσυχίαν εἶχεν. ἐπεὶ δὲ πρὸς ἡμέραν ἐγίγνετο, καὶ ἤδη ἀνίσταντο ὅποι ἐδεῖτο ἕκαστος ἀπὸ τῶν ὅπλων, καὶ οἱ ἱπποκόμοι ψήχοντες τοὺς ἵππους ψόφον ἐποίουν, ἐν τούτῳ ἀναλαβόντες οἱ περὶ θρασύβουλον τὰ ὅπλα, δρόμῳ προσέπιπτον. καὶ ἔστι μὲν οὓς αὐτῶν κατέβαλον. πάντας δὲ τρεψάμενοι ἐδίωξαν ἓξ ἢ ἑπτὰ στάδια. καὶ ἀπέκτειναν τῶν μὲν ὁπλιτῶν πλέον ἢ εἴκοσι καὶ ἑκατόν· τῶν δὲ ἱππέων νικόστρατόν τε τὸν καλὸν ἐπικαλούμενον, καὶ ἄλλους δὲ δύο ἐπικαταλαβόντες ἐν ταῖς εὐναῖς. ἐπαναχωρήσαντες δὲ καὶ τρόπαιον στησάμενοι, συσκευασάμενοι ὅπλα τε ὅσα ἔλαβον καὶ σκεύη, ἀπῆλθον ἐπὶ φυλῆς. οἱ δὲ ἐξ ἄστεος ἱππεῖς βοηθήσαντες, τῶν μὲν πολεμίων οὐδένα ἔτι εἶδον. προσμείναντες δὲ ἕως τοὺς νεκροὺς ἀνείλοντο οἱ προσήκοντες, ἀνεχώρησαν εἰς τὸ ἄστυ. ἐκ δὲ τούτου οἱ τριάκοντα οὐκ ἔτι νομίζοντες ἀσφαλῆ σφίσι τὰ πράγματα, ἐβουλήθησαν ἐλευσῖνα ἐξιδιώσασθαι, ὥστε εἶναι σφίσι καταφυγήν, εἰ δεήσοι. καὶ παραγγείλαντες τοῖς ἱππεῦσιν ἦλθον εἰς ἐλευσῖνα κριτίας τε καὶ οἱ ἄλλοι τῶν τριάκοντα, ἐξέτασίν τε ποιήσαντες ἐν τοῖς ἱππεῦσι, φάσκοντες εἰδέναι βούλεσθαι πόσοι εἶεν, καὶ πόσης φυλακῆς προσδεήσοιντο, ἐκέλευον ἀπογράφεσθαι πάντας. τὸν δὲ ἀπογραψάμενον ἀεὶ διὰ τῆς πυλίδος ἐπὶ τὴν θάλατταν ἐξιέναι. ἐπὶ δὲ τῷ αἰγιαλῷ τοὺς μὲν ἱππέας ἔνθεν καὶ ἔνθεν κατέστησαν. τὸν δ' ἐξιόντα ἀεὶ οἱ ὑπηρέται συνέδουν. ἐπεὶ δὲ πάντες συνειλημμένοι ἦσαν, λυσίμαχον τὸν ἵππαρχον ἐκέλευσαν ἀναγαγόντα παραδοῦναι αὐτοὺς τοῖς ἕνδεκα. τῇ δ' ὑστεραίᾳ εἰς τὸ ᾠδεῖον παρεκάλεσαν τοὺς ἐν τῷ καταλόγῳ ὁπλίτας, καὶ τοὺς ἄλλους ἱππέας. ἀναστὰς δὲ κριτίας, ἔλεξεν· ἡμεῖς, ἔφη, ὦ ἄνδρες, οὐδὲν ἧττον ὑμῖν κατασκευάζομεν τὴν πολιτείαν, ἢ ἡμῖν αὐτοῖς. δεῖ οὖν ὑμᾶς ὥσπερ καὶ τιμῶν μεθέξετε, οὕτω καὶ τῶν κινδύνων μετέχειν. τῶν οὖν συνειλεγμένων ἐλευσινίων καταψηφιστέον ἐστίν, ἵνα ταὐτὰ ἡμῖν καὶ θαρρῆτε καὶ φοβῆσθε. δείξας δέ τι χωρίον, εἰς τοῦτο ἐκέλευσε φανερὰν φέρειν τὴν ψῆφον. οἱ δὲ λακωνικοὶ φρουροὶ ἐν τῷ ἡμίσει τοῦ ᾠδείου ἐξωπλισμένοι ἦσαν. ἦν δὲ ταῦτα ἀρεστὰ καὶ τῶν πολιτῶν, ὅσοις τὸ πλεονεκτεῖν μόνον ἔμελλεν. ἐκ δὲ τούτου λαβὼν ὁ θρασύβουλος τοὺς ἀπὸ φυλῆς περὶ χιλίους ἤδη συνειλεγμένους, ἀφικνεῖται τῆς νυκτὸς εἰς τὸν πειραιᾶ. οἱ δὲ τριάκοντα ἐπεὶ ᾔσθοντο ταῦτα, ἐβοήθουν εὐθὺς αὐτοῖς σύν τε τοῖς λακωνικοῖς, καὶ σὺν τοῖς ἱππεῦσι, καὶ τοῖς ὁπλίταις. ἔπειτα ἐχώρουν κατὰ τὴν εἰς τὸν πειραιᾶ ἁμαξιτὸν ἀναφέρουσαν. οἱ δὲ ἀπὸ φυλῆς ἔτι μὲν ἐπεχείρησαν μὴ ἀνιέναι αὐτούς. ἐπεὶ δὲ μέγας ὁ κύκλος ὤν, πολλῆς φυλακῆς ἐδόκει δεῖσθαι, οὔπω πολλοῖς οὖσι, συνεσπειράθησαν ἐπὶ τὴν μουνυχίαν. οἱ δ' ἐκ τοῦ ἄστεος εἰς τὴν ἱπποδάμειον ἀγορὰν ἐλθόντες, πρῶτον μὲν συνετάξαντο ὥστε ἐμπλῆσαι τὴν ὁδόν, ἣ φέρει πρός τε τὸ ἱερὸν τῆς μουνυχίας ἀρτέμιδος, καὶ τὸ βενδίδειον. καὶ ἐγένοντο βάθος οὐκ ἔλαττον ἢ ἐπὶ πεντήκοντα ἀσπίδων.

οὕτω δὲ ξυντεταγμένοι, ἐχώρουν ἄνω. οἱ δ' ἀπὸ φυλῆς ἀντενέπλησαν μὲν τὴν ὁδὸν, βάθος δὲ οὐ πλέον, ἢ εἰς δέκα ὁπλίτας ἐγένοντο. ἐτάχθησαν μέντοι ἐπ' αὐτοῖς πελτοφόροι τε καὶ ψιλοὶ ἀκοντισταί· ἐπὶ δὲ τούτοις οἱ πετροβόλοι. οὗτοι μέντοι συχνοὶ ἦσαν. καὶ γὰρ αὐτόθι προσεγένοντο. ἐν ᾧ δὲ προσῄεσαν οἱ ἐναντίοι, θρασύβουλος τοὺς μετ' αὐτοῦ θέσθαι κελεύσας τὰς ἀσπίδας, καὶ αὐτὸς θέμενος, τὰ δ' ἄλλα ὅπλα ἔχων, κατὰ μέσον στὰς, ἔλεξεν· ἄνδρες πολῖται, τοὺς μὲν διδάξαι, τοὺς δὲ ἀναμνῆσαι ὑμῶν βούλομαι, ὅτι εἰσὶ τῶν προσιόντων οἱ μὲν τὸ δεξιὸν ἔχοντες, οὓς ὑμεῖς ἡμέρᾳ πέμπτῃ τρεψάμενοι, ἐδιώξατε· οἱ δὲ ἐπὶ τοῦ εὐωνύμου ἔσχατοι, οὗτοι δὲ οἱ τριάκοντα, οἳ ἡμᾶς καὶ πόλεως ἀπεστέρουν οὐδὲν ἀδικοῦντας, καὶ οἰκιῶν ἐξήλαυνον, καὶ τοὺς φιλτάτους τῶν ἡμετέρων ἀπεσημαίνοντο, ἀλλὰ νῦν τοι παραγεγένηνται, οὗ οὗτοι μὲν οὔποτε ᾤοντο· ἡμεῖς δὲ ἀεὶ ηὐχόμεθα. ἔχοντες γὰρ ὅπλα μὲν ἐναντίοι αὐτοῖς καθέσταμεν. οἱ δὲ θεοὶ ὅτι ποτὲ καὶ δειπνοῦντες, ξυνελαμβανόμεθα, καὶ καθεύδοντες, καὶ ἀγοράζοντες. οἱ δὲ καὶ οὐχ ὅπως ἀδικοῦντες, ἀλλὰ οὐδὲ ἐπιδημοῦντες, ἐφυγαδευόμεθα, νῦν φανερῶς ἡμῖν ξυμμαχοῦσι. καὶ γὰρ ἐν εὐδίᾳ χειμῶνα ποιοῦσιν, ὅταν ἡμῖν ξυμφέρῃ. καὶ ὅταν ἐπιχειρῶμεν πολλῶν, ὄντων ἐναντίων, ὀλίγοις οὖσι, τρόπαια ἵστασθαι διδόασι. καὶ νῦν δὲ κεκομίκασιν ἡμᾶς εἰς χωρίον, ἐν ᾧ οὗτοι μὲν οὔτε βάλλειν, οὔτε ἀκοντίζειν ὑπὲρ τῶν προτεταγμένων διὰ τὸ πρὸς ὄρθιον ἰέναι δύναιντ' ἄν. ἡμεῖς δὲ εἰς τὸ κάταντες, καὶ δόρατα ἀφιέντες, καὶ ἀκόντια, καὶ πέτρους, *ἀξιξόμεθά τε αὐτῶν, καὶ πολλοὺς κατατρώσομεν. καὶ ᾤετο μὲν ἄν τις δεῖν τοῖς γε προστάταις ἐκ τοῦ ἴσου μάχεσθαι. νῦν δὲ ἂν ὑμεῖς, ὥσπερ προσήκει, προθύμως ἀφιῆτε τὰ βέλη, ἁμαρτήσεται μὲν οὐδεὶς, ὧν γε μεστὴ ἡ ὁδός. φυλαττόμενοι δὲ δραπετεύσουσιν ἀεὶ ὑπὸ ταῖς ἀσπίσιν. ὥστε ἐξέσται ὥσπερ τυφλοὺς καὶ τύπτειν ὅπου ἂν βουλώμεθα, καὶ ἐναλλομένους ἀνατρέπειν. ἀλλ', ὦ ἄνδρες, οὕτω χρὴ ποιεῖν, ὅπως ἕκαστός τις ἑαυτῷ ξυνείσεται τῆς νίκης αἰτιώτατος ὤν. αὕτη γὰρ ἡμῖν, ἂν θεὸς θέλῃ, νῦν ἀποδώσει καὶ πατρίδα, καὶ οἴκους, καὶ ἐλευθερίαν, καὶ τιμὰς, καὶ παῖδας, οἷς εἰσι, καὶ γυναῖκας. ὦ μακάριοι δῆτα, οἳ ἂν ἡμῶν νικήσαντες, ἐπίδωσι τὴν πασῶν ἡδίστην ἡμέραν. εὐδαίμων δὲ καὶ ἄν τις ἀποθάνῃ. μνημείου γὰρ οὐδεὶς οὕτω πλούσιος ὢν, καλοῦ τεύξεται. ἐξάρξομαι οὖν ἐγὼ ἡνίκ' ἂν καιρὸς ᾖ, παιᾶνα. ὅταν δὲ τὸν ἐνυάλιον παρακαλέσωμεν, τότε πάντες ὁμοθυμαδὸν ἀνθ' ὧν ὑβρίσθημεν, τιμωρώμεθα τοὺς ἄνδρας. ταῦτα δ' εἰπὼν, καὶ μεταστραφεὶς πρὸς τοὺς ἐναντίους, ἡσυχίαν εἶχε. καὶ γὰρ ὁ μάντις παρήγγελλεν αὐτοῖς μὴ πρότερον ἐπιτίθεσθαι, πρὶν ἂν τῶν σφετέρων ἢ πέσοι τις, ἢ τρωθείη. ἐπειδὰν μέντοι τοῦτο γένηται, ἡγησόμεθα μὲν, ἔφη, ἡμεῖς. νίκη δ' ὑμῖν ἔσται ἑπομένοις. ἐμοὶ μέντοι θάνατος, ὥς γέ μοι δοκεῖ. καὶ οὐκ ἐψεύσατο. ἀλλ' ἐπεὶ ἀνέλαβε τὰ ὅπλα, αὐτὸς μὲν ὥσπερ ὑπὸ μοίρας τινὸς ἀγόμενος, ἐκπηδήσας πρῶτος, ἐμπεσὼν τοῖς πολεμίοις, ἀποθνῄσκει. καὶ τέθαπται ἐν τῇ διαβάσει τοῦ κηφισοῦ. οἱ δ' ἄλλοι ἐνίκων, καὶ κατεδίωξαν μέχρι τοῦ ὁμαλοῦ. ἀπέθανον δ' ἐνταῦθα τῶν μὲν τριάκοντα, κριτίας τε, καὶ ἱππόμαχος· τῶν δ' ἐν πειραιεῖ δέκα ἀρχόντων, χαρμίδης ὁ γλαύκωνος· τῶν δ' ἄλλων περὶ ἑβδομή-

Fortè ἀξιομαχησόμεθα.

quibus obuiam fiunt Thrasybuliani, ordine contracto: nam haud plus quàm homines decem in fronte constiterant: quibus succedebant uelites, ac iaculatores: illos uero sequebantur funditores ordine denso. Cumq; iam prope ad manus uetum esset, progressus Thrasybulus, ac deposito scuto, armatus in medio suorum ita loqui cœpit: Viri ciues, quosdam ex uobis docere, alios uero admonere uolo, hostes qui dextrum tenent cornu, eos esse, quos quinta antea die in fugam uersos persequuti estis. at ultimos qui in sinistro stant cornu, triginta esse tyrannos scelestissimos, qui nos immeritos urbe priuarunt, domibus expulerunt, ac amicissimos nostros ultimo affecerunt supplicio. Euenit uero nunc quod illi nunquam futurum arbitrabantur, nos autem summopere semper optabamus: armati nanque contra illos stamus. Quamuis enim aliquando in deos cœnantes, dormientes, ac concionantes incidimus, non tamen adeo iniusti sunt, ut in perpetuum nobis irascantur: siquidem aperte iam nobiscum ad prælium pergunt. Possunt etenim in tranquillitate tempestatem conciliare, si id nobis prodesse norunt: rursus etsi pauci simus, concedere tamen ualent, ut multos inimicos nostros in fugam uertere, trophæumq; statuere possimus: quapropter nunc quoque inimicos nostros eo conduxere, ubi propter ordinis densitatem, ac loci iniquitatem, neque iaculis aut sagittis rem gerere possunt: nobis uero neque hastæ, sagittæ aut lapides frustra in hostes emittentur, adeo ut illos facile repellere, & in fugam uertere possimus. quamuis etiam si in æquo pugnaremus loco, facile dij uictoriam concedere possent. Nunc igitur alacriter, ut decet, tela emittite: nam haud aberrabitis, cum undique uia plena sit hostium: quos cum scutis protectis nos adoriemur, illos tanquam cæcos pro libito ferire, & in fugam uertere poterimus. Sed ò socij, ita rem aggredi oportet, ut unusquisque uictoriam in manibus suis sitam arbitretur. Ea enim nobis (si deus uoluerit) nunc patriam, domos, libertatem, honores, ac filios, & quibus sunt uxores, reddet. Proinde felices quicunque è nobis uictores euadent: illis etenim lætissimus fulgebit dies. Beati quoque qui cadent, memoriam enim sempiternam cunctis diuitijs præstantiorem acquirent. Igitur cum tempus id exiget, pæana inchoabo: cum uero Martem inuocauero, unanimiter omnes pro acceptis iniurijs hostes ulciscamur. Hæc cum dixisset, in hostes uersus quietem agebat: uates enim illis prædixerat, ne hostes adorirentur antequam ex eis quispiam uulneraretur aut caderet: id si fieret, lætandum esse, tanquam uictoria parta asserebat: sibi uero certissimam incumbere mortem. Nec mentitus est: nam assumptis armis, tanquam fanaticus, primus in confertissimos insiluit hostes, ubi undique telis obrutus cecidit, ac in Cephisi descensu sepultus est: at reliqui egregiè uicerunt, hostesq; in plana usq; persequuti sunt. Ceciderunt autem in eo certamine ex triginta Critias, & Hippomachus: ex decem uero in Piræo præfectis, Charmides Glauconis filius: ex reliquis quoque septua-

septuaginta circiter, quibus solum adempta sunt arma: nullus uero ciuium uestitu spoliatus est. His actis, ac mortuis per inducias redditis, inuicem multi colloqui & conuenire cœperunt. Cleocritus quoque Myscorum præco, cum uocalißimus esset, facto silentio ita loquutus est: Viri ciues, cur nos expellere quæritis? cur interficere uultis? cum uobis nihil mali unquam fecerimus, sed participes simus purißimorũ templorum, ac sacrificiorũ, pulcherrimarũq; festiuitatũ: unà alti sumus, unà educati, unà militauimus: multaq; pro cõmuni salute ac libertate, terra ac mari pericula exanclauimus. Per deos igitur paternos ac maternos, affinitates, consanguinitates, & familiaritates, quibus omnes maxime inuicem deuincti sumus: ueneremini deos, hominesq; timete, & ab iniurijs patriæ cõmunis aliquando desistite, nec inquißimis fauete tyrannis, qui proprij lucri gratia, paulominus mensibus octo, plures interfecere Athenienses, quàm decem antea annis cuncti in bello obtruncarunt Peloponnenses. Cumq; omnes in pace degere possemus, hi omnium scelestißimi ac iniquißimi, nefandum & abominandum deis ac hominibus, inter nos concitarunt bellum. Insuper & hoc scitote, eos qui ceciderunt, non minus à nobis quàm à uobisipsis deploratos esse. Et ille ita loquutus est. At reliqui tyranni cum hæc audissent, suos ne talia audirent, in urbem reduxerunt. Postridie triginta, omni deposito fastu, humiles ac quodammodo à cunctis deserti in consessum uenerunt. At tria millia ubicunque dispositi erant, inter se dissentiebant: & qui uiolentius egerant, timebant, unanimiterq; asserebant, minime cum exulibus reconciliationem admittendam esse: qui uero nihil iniuste se egisse sciebant, aliter sentiebant: reliquos quoque admonebant, ut se aliquando ab his malis in libertatem uendicarent, ac minime tyrannidi obedirent, ciuitatémque in manifestum præcipitarent periculum. Tandem triginta tyrannidem abrogare coëgerunt: alios quoque decem qui rebus præessent, ex unaquaque tribu singulos elegerunt. Et triginta quidem Eleusinam abierunt: at decem electi ualde timidi, minimeq; inuicem fidentes, cum præfectis equitum agebant. Equites uero in triuijs cum equis & armis pernoctabant: & quia nemini credebant, nocte mœnia circumibant armati: orta uero die conscensis equis obequitabant, semper timentes ne in Thrasybulianos inciderent. Interim numerus eorum qui in Piræo erant, quotidiano augebatur concursu, uariaq; fabricabantur arma, lignea quoque & saligna, quæ inde dealbabantur. Fidem quoq; & præstiterunt ijs qui ante decem dies ad eos transirent: et si aduena esset, æquali cum iure usurum pollicebantur. Perfugerunt igitur ad eos armati plures, inermes quoque non pauci. Nacti sunt circa equos septuaginta, quibus incursiones in agros faciebant, receptisque lignis & fructibus, rursus in Piræum reuertebantur. Ex urbe uero nemo præter equites egredi audebat, qui illis insidiabantur, & quandoque male afficiebant. Deprehenderunt quoque iuuenes quosdam, qui commeatus causa in agros

ἑβδομήκοντα. καὶ τὰ μὲν ὅπλα ἔλαβον· τοὺς δὲ χιτῶνας οὐδενὸς τῶν πολιτῶν ἐσκύλευσαν. ἐπεὶ δὲ τοῦτο ἐγένετο, καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπεδίδοσαν, προσιόντες ἀλλήλοις πολλοὶ διελέγοντο. Κλεόκριτος δὲ ὁ τῶν μυστῶν κῆρυξ, μάλ' εὔφωνος ὤν, κατασιωπησάμενος, ἔλεξεν· ἄνδρες πολῖται, τί ἡμᾶς ἐξελαύνετε; τί ἀποκτεῖναι βούλεσθε; ἡμεῖς γὰρ ὑμᾶς κακὸν οὐδὲ πώποτε ἐποιήσαμεν. μετεσχήκαμεν δὲ ὑμῖν καὶ ἱερῶν τῶν σεμνοτάτων, καὶ θυσιῶν, καὶ ἑορτῶν τῶν καλλίστων, καὶ ξυγχορευταὶ, καὶ ξυμφοιτηταὶ γεγενήμεθα, καὶ συστρατιῶται. καὶ πολλὰ μεθ' ὑμῶν κεκινδυνεύκαμεν κατὰ γῆν καὶ κατὰ θάλατταν, ὑπὲρ τῆς κοινῆς ἀμφοτέρων ἡμῶν σωτηρίας τε καὶ ἐλευθερίας, πρὸς θεῶν πατρῴων καὶ μητρῴων καὶ ξυγγενείας, καὶ κηδεσίας καὶ ἑταιρείας. πάντων γὰρ τούτων πολλοὶ κοινωνοῦμεν ἀλλήλοις. αἰδούμενοι καὶ θεοὺς καὶ ἀνθρώπους, παύσασθε ἁμαρτάνοντες εἰς τὴν πατρίδα, καὶ μὴ πείθεσθε τοῖς ἀνοσιωτάτοις τριάκοντα, οἳ ἰδίων κερδέων ἕνεκα, ὀλίγου δεῖν, πλείους ἀπεκτόνασιν Ἀθηναίων ἐν ὀκτὼ μησίν, ἢ πάντες Πελοποννήσιοι δέκα ἔτη πολεμοῦντες. ἐξὸν δ' ἡμῖν ἐν εἰρήνῃ πολιτεύεσθαι, οὗτοι τὸν πάντων αἴσχιστόν τε καὶ χαλεπώτατον, καὶ ἀνοσιώτατον, ἔχθιστον καὶ θεοῖς καὶ ἀνθρώποις πόλεμον ἡμῖν πρὸς ἀλλήλους παρέχουσιν. ἀλλ' εὖ γε μέντοι ἐπίστασθε, ὅτι καὶ τῶν νῦν ὑφ' ἡμῶν ἀποθανόντων, οὐ μόνον ὑμεῖς, ἀλλὰ καὶ ἡμεῖς, ἔστιν οὓς πολλὰ κατεδακρύσαμεν. ὁ μὲν τοιαῦτα ἔλεγεν. οἱ δὲ λοιποὶ ἄρχοντες καὶ διὰ τὸ τοιαῦτα προσακούειν, τοὺς μεθ' ἑαυτῶν ἀπήγαγον εἰς τὸ ἄστυ. τῇ δ' ὑστεραίᾳ οἱ μὲν τριάκοντα, πάνυ δὴ ταπεινοὶ καὶ ἔρημοι ξυνεκάθηντο ἐν τῷ ξυνεδρίῳ. τῶν δὲ τρισχιλίων ὅπου ἕκαστοι τεταγμένοι ἦσαν, πανταχοῦ διεφέροντο πρὸς ἀλλήλους. ὅσοι μὲν γὰρ ἐπεποιήκεσάν τι βιαιότερον, καὶ ἐφοβοῦντο, ἐντόνως ἔλεγον, ὡς οὐ χρὴ καθυφίεσθαι τοῖς ἐν Πειραιεῖ. ὅσοι δὲ ἐπίστευον μηδὲν ἠδικηκέναι, αὐτοί τε ἀνελογίζοντο, καὶ τοὺς ἄλλους ἐδίδασκον, ὡς οὐδὲν δέοιντο τούτων τῶν κακῶν, καὶ τοῖς τριάκοντα οὐκ ἔφασαν χρῆναι πείθεσθαι, οὐδ' ἐπιτρέπειν ἀπολλύναι τὴν πόλιν, καὶ τὸ τελευταῖον ἐψηφίσαντο ἐκείνους μὲν καταπαῦσαι, ἄλλους δὲ ἑλέσθαι, καὶ εἵλοντο δέκα, ἕνα ἀπὸ φυλῆς. καὶ οἱ μὲν τριάκοντα ἐλευσῖνάδε ἀπῆλθον. οἱ δὲ δέκα τῶν ἐν ἄστει καὶ μάλα τεταραγμένων, καὶ ἀπιστούντων ἀλλήλοις, ξὺν τοῖς ἱππάρχοις ἐπεμέλοντο. ἐξεκάθευδον δὲ καὶ οἱ ἱππεῖς ἐν τῷ ᾠδείῳ, τούς τε ἵππους, καὶ τὰς ἀσπίδας ἔχοντες. καὶ δι' ἀπιστίαν ἐφώδευον τὸ μὲν ἀφ' ἑσπέρας ξὺν ταῖς ἀσπίσι κατὰ τὰ τείχη. τὸ δὲ πρὸς ὄρθρον ξὺν τοῖς ἵπποις ἀεὶ φοβούμενοι μὴ ἐπεισπέσοιέν τινες αὐτοῖς τῶν ἐκ τοῦ Πειραιῶς. οἱ δὲ πολλοὶ ὄντες, καὶ παντοδαποί, ὅπλα ἐποιοῦντο, οἱ μὲν ξύλινα, οἱ δὲ οἰσύϊνα, καὶ ταῦτα ἐλευκοῦντο. πρὶν δὲ ἡμέρας δέκα γενέσθαι, πιστὰ δόντες, οἵτινες ξυμπολεμήσειαν, καὶ εἰ ξένοι εἶεν, ἰσοτέλειαν ἔσεσθαι, ἐξῆσαν πολλοὶ μὲν ὁπλῖται, πολλοὶ δὲ γυμνῆτες. ἐγένοντο δὲ αὐτοῖς καὶ ἱππεῖς ὡσεὶ ἑβδομήκοντα. προνομὰς δὲ ποιούμενοι, καὶ λαμβάνοντες ξύλα, καὶ ὀπώραν, ἐκάθευδον πάλιν ἐν Πειραιεῖ. τῶν δ' ἐκ τοῦ ἄστεος ἄλλος μὲν οὐδεὶς ξὺν ὅπλοις ἐξῄει. οἱ δὲ ἱππεῖς ἔστιν ὅτε καὶ λῃστὰς ἐχειροῦντο τῶν ἐκ τοῦ Πειραιῶς, καὶ τὴν φάλαγγα αὐτῶν ἐκακούργουν. περιέτυχον δὲ καὶ τῶν Αἰξωνέων τισὶν εἰς τοὺς αὑτῶν ἀγρούς

ἀγρούς, ἐπὶ τὰ ἐπιτήδεια περιδυομένοις. καὶ τούτους Λυ-
σίμαχος ὁ ἵππαρχος ἀπέσφαξε, πολλὰ λιτανευόντων,
καὶ πολλῶν χαλεπῶς φερόντων ἱππέων. ἀντιπέκτει-
ναν δὲ καὶ οἱ ἐν Πειραιεῖ τῶν ἱππέων ἐπ' ἀγροῦ λαβόντες
Καλλίστρατον, φυλῆς Λεοντίδος. καὶ γὰρ ἤδη μέγα ἐ-
φρόνουν. ὥστε καὶ πρὸς τὸ τεῖχος τοῦ ἄστεος προσέβαλον.
εἰ δὲ καὶ τοῦτο δεῖ εἰπεῖν, τοῦ μηχανοποιοῦ τοῦ ἐν τῷ ἄστει,
ὃς ἐπειδὴ ἔγνω ὅτι κατὰ τὸν ἐκ Λυκείου δρόμον μέλλοιεν τὰς
μηχανὰς προσάγειν, τὰ ζεύγη ἐκέλευσε πάντα ἁμα-
ξιαίους λίθους ἄγειν καὶ καταβάλλειν ὅπου ἕκαστος βού- 10
λοιτο τοῦ δρόμου. ὡς δὲ τοῦτο ἐγένετο, πολλὰ εἷς ἕκαστος τῶν
λίθων πράγματα παρεῖχε. πεμπόντων δὲ πρέσβεις εἰς
Λακεδαίμονα τῶν μὲν τριάκοντα ἐξ Ἐλευσῖνος, τῶν δ'
ἐν καταλόγῳ ἐξ ἄστεος, καὶ βοηθεῖν κελευόντων ὡς ἀφε-
στηκότος τοῦ δήμου ἀπὸ Λακεδαιμονίων, Λύσανδρος
λογισάμενος ὅτι οἷόν τε εἴη ταχὺ ἐκπολιορκῆσαι τοὺς
ἐν τῷ Πειραιεῖ κατά τε γῆν καὶ κατὰ θάλατταν, εἰ τῶν
ἐπιτηδείων ἀποκλεισθείησαν, συνέπραξεν ἑκατόν τε τά-
λαντα αὐτοῖς δανεισθῆναι, καὶ αὐτὸν μὲν κατὰ γῆν ἁρ- 20
μοστήν. Λίβυν δὲ τὸν ἀδελφὸν ναυαρχοῦντα ἐκπεμφθῆ-
ναι. καὶ ἐξελθὼν αὐτὸς μὲν Ἐλευσινάδε, συνελέγετο ὁ-
πλίτας πολλοὺς Πελοποννησίων. ὁ δὲ ναύαρχος κατὰ θά-
λατταν ἐφύλαττεν, ὅπως μηδὲν εἰσπλέοι αὐτοῖς τῶν ἐπι-
τηδείων. ὥστε ταχὺ πάλιν ἐν ἀπορίᾳ ἦσαν οἱ ἐν Πειραιεῖ.
οἱ δ' ἐν τῷ ἄστει πάλιν αὖ μέγα ἐφρόνουν ἐπὶ τῷ Λυσάν-
δρῳ. οὕτω δὲ προχωρούντων, Παυσανίας ὁ βασιλεὺς φθο-
νήσας Λυσάνδρῳ, εἰ κατεργασάμενος ταῦτα, ἅμα μὲν
εὐδοκιμήσοι, ἅμα δὲ ἰδίας ποιήσαιτο τὰς Ἀθήνας, πεί- 30
σας τῶν ἐφόρων τρεῖς, ἐξάγει φρουράν. συνείποντο δὲ
καὶ οἱ σύμμαχοι πάντες, πλὴν Βοιωτῶν καὶ Κορινθίων.
οὗτοι δὲ ἔλεγον μὲν ὅτι οὐ νομίζοιεν εὐορκεῖν ἂν στρατευό-
μενοι ἐπ' Ἀθηναίους μηδὲν παράσπονδον ποιοῦντας.
ἔπραττον δὲ ταῦτα, ὅτι ἐγίγνωσκον Λακεδαιμονίους
βουλομένους τὴν τῶν Ἀθηναίων χώραν οἰκείαν καὶ πι-
στὴν ποιήσασθαι. ὁ δὲ Παυσανίας ἐστρατοπεδεύσατο μὲν
ἐν τῷ Ἁλιπέδῳ καλουμένῳ, πρὸς τῷ Πειραιεῖ δεξιὸν
ἔχων κέρας. Λύσανδρος δὲ σὺν τοῖς μισθοφόροις τὸ εὐώ-
νυμον. πέμπων δὲ πρέσβεις ὁ Παυσανίας πρὸς τοὺς ἐν Πει- 40
ραιεῖ, ἐκέλευεν ἀπιέναι ἐπὶ τὰ ἑαυτῶν. ἐπεὶ δ' οὐκ ἐπεί-
θοντο, προσέβαλλεν ὅσον ἀπὸ βοῆς ἕνεκεν, ὅπως μὴ δῆλος
εἴη, εὐμενὴς αὐτοῖς ὤν. ἐπεὶ δ' οὐδὲν ἀπὸ τῆς προσβολῆς πρά-
ξας ἀπῆλθε, τῇ ὑστεραίᾳ λαβὼν τῶν μὲν Λακεδαιμονίων
δύο μόρας, τῶν δὲ Ἀθηναίων ἱππέων τρεῖς φυλάς, παρ-
ῆλθεν ἐπὶ τὸν κωφὸν λιμένα, σκοπῶν πῇ εὐαποτείχιστος
εἴη ὁ Πειραιεύς. ἐπεὶ δὲ ἀπιόντος αὐτοῦ προσέθεόν τι-
νες, καὶ πράγματα αὐτῷ παρεῖχον, ἀχθεσθεὶς παρήγγει-
λε τοὺς μὲν ἱππέας ἐλαύνειν εἰς αὐτοὺς ἀνέντας, καὶ τοὺς 50
τὰ δέκα ἀφ' ἥβης συνέπεσθαι, σὺν δὲ τοῖς ἄλλοις αὐτὸς
ἐπηκολούθει, καὶ ἀπέκτειναν μὲν ἐγγὺς τριάκοντα τῶν
ψιλῶν. τοὺς δ' ἄλλους κατεδίωξαν πρὸς τὸ ἐν Πειραιεῖ
θέατρον. ἐκεῖ δὲ ἔτυχον ἐξοπλιζόμενοι οἵ τε πελτασταὶ
πάντες, καὶ οἱ ὁπλῖται τῶν ἐκ Πειραιέως. καὶ οἱ μὲν
ψιλοὶ εὐθὺς ἐκδραμόντες ἠκόντιζον, ἔβαλλον, ἐτόξευ-
ον, ἐσφενδόνων. οἱ δὲ Λακεδαιμόνιοι, ἐπεὶ αὐτῶν πολλοὶ
ἐτιτρώσκοντο, μάλα πιεζόμενοι, ἀνεχώρησαν ἐπὶ πό-
δα. οἱ δ' ἐν τούτῳ πολὺ μᾶλλον ἐπέκειντο. ἐνταῦθα δὲ
ἀπ-

agros exierant proprios: quos Lysimachus equi-
tum præfectus multum deprecantes, equitibusq;
ægre ferentibus, iugulare iußit: quapropter Thra-
sybuliani irritati, quoscunq; equitum capiebant,
trucidabant, & inter illos Callistratum ex tribu
Leontida: iam enim adeo uiribus creuerant, ut ad
urbis muros incursiones facere auderent. Cumq;
cognouissent machinas ex ciuitate per Lyciū du-
ci debere, iumenta immensis onerarunt lapidib.
quib. temere per uiam deiectis, maximum hostib. 10
præstituere impedimentum. Tandem triginta ex
Eleusina, & qui in catalogo descripti erāt ex ur-
be, Lacedæmonē miserunt legatos, qui præsidiū
tanquā populus à Lacedæmonijs defecisset, pe-
terent. At Lysander considerans, si illi qui in Pi-
ræo erant terra mariq; obsiderentur, breuiter ob
necessariorum penuriā ad ultimam uenturos ne-
cessitatem, sicq; facile expugnari posse, Lacedæ-
monijs persuasit, ut mutuis illis talentis cētum,
cum terra harmosten, Libyn uero fratrē classis 20
præfectum in subsidium mitterēt. Egressus igitur,
milites quamplures Peloponnenses terra Eleusi-
nam duxit: at classis præfectus mare obseruabat,
quo minus necessaria in Piræum inferri possent.
Quibus circumuenti difficultatibus obsessi, breui-
ter ad ultimā deuenere necessitatem: & qui in ci-
uitate erant, rursus ob Lysandrum animum erige-
re cœperunt. Id cum Pausanias rex didicisset, Ly-
sandri gloriæ inuidebat: timebat etenim ne egre-
gio perpetrato opere, clarior euaderet, simulq; 30
Atheniarū dominiū sibi uendicaret. Persuasis igi-
tur Ephoris trib. exercitum educit: quē socij oēs
præter Bœotios et Corinthios sequuti sunt: hi. n.
se contra iuramentū uenire dicebant, si aduersus
Athenieñ̄ses, q nil præter pacta egerant, militarēt.
Hæc tamē ideo faciebant, quoniā Lacedæmonios
Atheniensem agrū inhabitare, ac in ditionē redi-
gere propriā uelle intelligebāt. Pausanias igitur
in Hali cāpo castra posuit, inde Piræū uersus du-
cere pergit. In cornu dextro ipse præerat, sinistro 40
uero cū milite conductitio Lysander: præmissoq;
præcone eos qui in Pyræo erāt, ad propria redire
iußit. Cūq; minus parerent, impreßionē in illos,
ne eis fauere detegeretur, fecit. Sed cū conatus ille
minus procederet, in castra copias reduxit. Po-
stridie acceptis manipulis Lacedæmoniorū duo-
bus ac Atheniensium equitum turmis trib. ad Co-
phū portum usq; processit, Piræi situ cōsiderans.
Inde cū discedere uellet, Thrasybuliani postremū
agmen lacessere cœperunt: id ægre ferēs Pausani- 50
as, equites & leuis armaturæ milites in eos immi-
sit, ipse uero cum reliquis subsequebatur. Igitur
triginta circiter leuis armaturæ militib. occisis,
reliquos usq; in Piræi theatrum persequutus est:
ibi illis obuiam fiunt ex Piræo peltati & armati
omnes: uelitesq; excursione facta, iaculis, sagit-
tis, ac fundis rem agebant. At Lacedæmonij cum
plures ex eis uulnerarentur, ac uehementer ur-
gerentur, pedem referre cœperunt. Id cum hostes
cernerent, uehementius illos premere pergunt:

cecideruntq; eo in loco Chæron, & Thibrachus, ambo bello præfecti, & Lacrates Olympionicus, ac alij Lacedæmonij quamplures: qui ante portas in Ceramico sepulti sunt. Quæ cum Thrasybuliani & alij uidissent armati, illis suppetias ferunt, ac ordine structo inuadunt. At Pausanias cum impetum amplius ferre haud posset, ad tumulum quendam, quatuor aut quinque distantem stadijs declinauit: collectisque ex fuga Lacedæmonijs ac socijs, aciem densam ac 10 compactam instruere cœpit, rursusq; contra Athenienses ducere pergit, quem primo intrepide Thrasybuliani excepere: at procedente certamine impetum ferre non potuerunt, sed amissis quasi centum quinquaginta ex suis, in fugam uersi sunt. Pausanias itaque erecto tropheo copias reduxit, nihil hostibus succensens: sed clàm eos admonuit, ut legatos ad eum ac præsentes mitterent Ephoros: cui illi paruere. Persuasit & ciuibus, ut collecti eum adirent, 20 ac precarentur, ut bellum solueretur, communesque Lacedæmoniorum essent amici. Grata quoque fuit ea res Nauclidæ Ephoro: ambo enim Ephori qui cum rege militabant, & tum aderant, magis cum Pausania quàm Lysandro sentiebant: quapropter per inducias à Piræo ac ex ciuitate, Cephisophon & Melitus, Lacedæmonem legati sunt missi. Illi uerò cum Lacedæmonem uenissent, ciuitatem ac seipsos tradiderunt, iustum esse dicentes, ut hi qui in 30 Piræo essent, si amici esse uellent, idem facerent, Piræoq; ac Munychia excederent. Quibus auditis Ephori gauisi sunt, & quindecim uiros Athenas miserunt, quos cum Pausania res ex æquo componere iusserunt. Qui bellum ita diremerũt, ut unusquisq; ad propria reuerteretur, exceptis triginta, ac undecim uiris, & præfectis decẽ, qui in Piræo præfuerant. Quod si qui in urbe timerent, Eleusinæ migrare iusserunt. Hoc pacto sedato bello, Pausanias exercitum reduxit. At qui 40 in Piræo fuerant, armati in arcem ascenderunt, ac Palladi rem sacram fecerunt. Inde Thrasybulus eos qui in urbe fuerant, ita alloquutus est: Vobis, ô uiri ex urbe, suadeo, ut uosmetipsos cognoscere uelitis: cognoscetis autem, si diligenter perpenderitis, quam ob rem adeo elati estis, ut nobis dominari uolueritis. Nunquid nobis iustiores estis? Verum populus quamuis pauperior uobis semper fuerit, nulla tamen unquam uos pecuniæ gratia iniuria affecit: uos uero ditiores omni 50 bus, multa enormia lucri gratia perpetrastis. Cum igitur propter iustitiam efferri minime possitis, considerate nunquid fortitudine præcellatis. Sed rei huius discrimen pulcherrimum euenit, cum bellum inuicem gessimus. Sed prudentia forsan excellere uidemini. Cum muros, arma, pecunias, ac Peloponnenses socios habueritis, ab eis tamen qui omnium horum indigni fuere, in ultimum pene discrimen adducti estis. Cæterum de Lacedæmonijs forsitan uobis gloriandum

ἀποθνήσκει χαίρων τε καὶ θίβραχος, ἄμφω πολεμάρχω, καὶ λακράτης ὁ ὀλυμπιονίκης, καὶ ἄλλοι οἱ τεθαμμένοι λακεδαιμονίων πρὸ τῶν πυλῶν ἐν κεραμεικῷ. ὁρῶν δὲ ταῦτα ὁ θρασύβουλος, καὶ οἱ ἄλλοι ὁπλῖται ἐβοήθουν. καὶ ταχὺ παρετάξαντο πρὸ τῶν ἄλλων ἐπ' ὀκτώ. ὁ δὲ παυσανίας μάλα πιεσθείς, καὶ ἀναχωρήσας ὅσον στάδια τέτταρα ἢ πέντε πρὸς λόφον τινά, παρήγγειλε τοῖς λακεδαιμονίοις καὶ τοῖς ἄλλοις ξυμμάχοις ἐπιχωρεῖν πρὸς ἑαυτόν. ἐκεῖ δὲ ξυνταξάμενος βαθεῖαν παντελῶς τὴν φάλαγγα, ἦγεν ἐπὶ τοὺς ἀθηναίους. οἱ δ' εἰς χεῖρας μὲν ἐδέξαντο. ἔπειτα δὲ οἱ μὲν ἐξεώσθησαν εἰς τὸν ἐν ταῖς ἁλαῖς πηλόν· οἱ δὲ ἐνέκλιναν, καὶ ἀποθνήσκουσιν αὐτῶν ὡς πεντήκοντα καὶ ἑκατόν. ὁ δὲ παυσανίας τρόπαιον στησάμενος ἀνεχώρησε. καὶ οὐδ' ὡς ὠργίζετο αὐτοῖς, ἀλλὰ λάθρα πέμπων, ἐδίδασκε τοὺς ἐν πειραιεῖ, οἷα χρὴ λέγοντας πρέσβεις πέμπειν πρὸς ἑαυτόν, καὶ τοὺς παρόντας ἐφόρους. οἱ δ' ἐπείθοντο. διίστη δὲ καὶ τοὺς ἐν τῷ ἄστει. καὶ ἐκέλευε πρὸς σφᾶς προσιέναι ὡς πλείστους ξυλλεγομένους, λέγοντας ὅτι οὐδὲν δέονται τοῖς ἐν τῷ πειραιεῖ πολεμεῖν, ἀλλὰ διαλυθέντες κοινῇ ἀμφότεροι, λακεδαιμονίοις φίλοι εἶναι. ἡδέως δὲ ταῦτα καὶ ναυκλείδας ἔφορος ὢν ξυνήκουεν. ὥσπερ γὰρ νομίζεται ξὺν βασιλεῖ δύο τῶν ἐφόρων συστρατεύεσθαι, καὶ τότε παρῆν οὗτός τε καὶ ἄλλος, ἀμφότεροι τῆς μετὰ παυσανίου γνώμης ὄντες μᾶλλον, ἢ τῆς μετὰ λυσάνδρου. διὰ ταῦτα οὖν καὶ εἰς τὴν λακεδαίμονα προθύμως ἔπεμπον τούς τ' ἐκ πειραιέως ἔχοντας τὰς πρὸς λακεδαιμονίους σπονδάς, καὶ τοὺς ἀπὸ τῶν ἐν τῷ ἄστει ἰδιώτας, κηφισοφῶντά τε καὶ μέλιτον. ἐπεὶ μέντοι οὗτοι ᾤχοντο εἰς λακεδαίμονα, ἔπεμπον δὴ καὶ οἱ ἀπὸ τοῦ κοινοῦ ἐκ τοῦ ἄστεος λέγοντας, ὅτι αὐτοὶ μὲν παραδιδόασι καὶ τὰ τείχη ἃ ἔχουσι. καὶ σφᾶς αὐτοὺς λακεδαιμονίοις χρῆσθαι ὅ τι βούλονται. ἀξιοῦν δ' ἔφασαν καὶ τοὺς ἐν πειραιεῖ εἰ φίλοι φασὶν εἶναι λακεδαιμονίοις, παραδιδόναι τόν τε πειραιᾶ, καὶ τὴν μουνυχίαν. ἀκούσαντες δὲ πάντων αὐτῶν οἱ ἔφοροι καὶ οἱ ἔκκλητοι, ἐξέπεμψαν πεντεκαίδεκα ἄνδρας εἰς τὰς ἀθήνας, καὶ ἐπέταξαν ξὺν παυσανίᾳ διαλλάξαι ὅπῃ δύναιντο κάλλιστα. οἱ δὲ διήλλαξαν. ἐφ' ᾧ εἰρήνην μὲν ἔχειν ὡς πρὸς ἀλλήλους. ἀπιέναι δὲ ἐπὶ τὰ ἑαυτῶν ἑκάστους, πλὴν τῶν τριάκοντα καὶ τῶν ἕνδεκα, καὶ τῶν ἐν τῷ πειραιεῖ ἀρξάντων δέκα. εἰ δέ τινες φοβοῖντο τῶν ἐξ ἄστεος, ἔδοξεν αὐτοῖς τὴν ἐλευσῖνα κατοικεῖν. τούτων δὲ περανθέντων, παυσανίας μὲν διῆκε τὸ στράτευμα. οἱ δ' ἐκ τοῦ πειραιέως ἀνελθόντες ξὺν τοῖς ὅπλοις ἐς τὴν ἀκρόπολιν, ἔθυσαν τῇ ἀθηνᾷ. ἐπεὶ δὲ κατέβησαν οἱ στρατηγοί, ἔνθα δὴ ὁ θρασύβουλος ἔλεξεν· ὑμῖν, ἔφη, ὦ ἐκ τοῦ ἄστεος ἄνδρες, ξυμβουλεύω ἐγὼ γνῶναι ὑμᾶς αὐτούς. μάλιστα δ' ἂν γνοίητε, εἰ ἀναλογίσαισθε ἐπὶ τίνι ὑμῖν μέγα φρονητέον ἐστίν, ὥστε ἡμῶν ἄρχειν ἐπιχειρεῖν. πότερον δικαιότεροί ἐστε; ἀλλ' ὁ μὲν δῆμος πενέστερος ὑμῶν ὤν, οὐδὲν πώποτε ἕνεκα χρημάτων ὑμᾶς ἠδίκηκεν. ὑμεῖς δὲ πλουσιώτεροι πάντων ὄντες, πολλὰ καὶ αἰσχρὰ ἕνεκα κερδέων πεποιήκατε. ἐπεὶ δὲ δικαιοσύνης οὐδὲν ὑμῖν προσήκει, σκέψασθε εἰ ἄρα ἐπ' ἀνδρείᾳ ὑμῖν μέγα φρονητέον. καὶ τίς ἂν καλλίων κρίσις τούτου γένοιτο, ἢ ὡς ἐπολεμήσαμεν πρὸς ἀλλήλους; ἀλλὰ γνώμῃ φαίητ' ἂν προέχειν; οἱ ἔχοντες καὶ τεῖχος, καὶ ὅπλα, καὶ χρήματα, καὶ ξυμμάχους πελοποννησίους, ὑπὸ τῶν οὐδὲν τούτων ἐχόντων περιελήφθητε; ἀλλ' ἐπὶ λακεδαιμονίοις δὴ οἴεσθε μέ-

γα φροντιστέον ἐστὶν; πῶς οἵ γε τοὺς δάκνοντας ὥσπερ κλοιῷ δήσαντες παραδεδώκασιν; οὗτοι ἐκεῖνοι ὑμᾶς παραδόντες τῷ ἠδικημένῳ τούτῳ δήμῳ, οἴχονται ἀπιόντες. οὐ μέντοι γε ὑμᾶς, ὦ ἄνδρες, ἀξιῶ ἐγὼ ὧν ὀμωμόκατε παραβῆναι οὐδὲν, ἀλλὰ καὶ τοῦτο πρὸς τοῖς ἄλλοις καλοῖς ἐπιδεῖξαι, ὅτι καὶ εὔορκοι καὶ ὅσιοί ἐστε. εἰπὼν δὲ ταῦτα καὶ ἄλλα τοιαῦτα, καὶ ὅτι οὐδὲν δέοι ταράττεσθαι, ἀλλὰ τοῖς νόμοις τοῖς ἀρχαίοις χρῆσθαι, ἀνέστησε τὴν ἐκκλησίαν, καὶ τότε μὲν ἀρχὰς καταστησάμενοι ἐπολιτεύοντο. ὑστέρῳ δὲ χρόνῳ ἀκούσαντες ξένους μισθοῦσθαι τοὺς ἐν ἐλευσῖνι, στρατευσάμενοι πανδημεὶ ἐπ' αὐτοὺς, τοὺς μὲν στρατηγοὺς αὐτῶν εἰς λόγους ἐλθόντας ἀπέκτειναν. τοῖς δὲ ἄλλοις εἰσπέμψαντες τοὺς φίλους καὶ ἀναγκαίους, ἔπεισαν ξυναλλαγῆναι. καὶ ὀμόσαντες ὅρκους ἦ μὴν μὴ μνησικακήσειν, ἔτι καὶ νῦν ὁμοῦ γε πολιτεύονται, καὶ τοῖς ὅρκοις ἐμμένει ὁ δῆμος.

ΞΕΝΟΦΩΝΤΟΣ ΕΛΛΗΝΙΚΩΝ ΤΡΙΤΟΝ.

Ἡ μὲν δὴ ἀθήνησι στάσις οὕτως ἐτελεύτησεν. ἐκ δὲ τούτου πέμψας κῦρος ἀγγέλους εἰς λακεδαίμονα ἠξίου, οἷόσπερ αὐτὸς λακεδαιμονίοις ἦν ἐν τῷ πρὸς ἀθηναίους πολέμῳ, τοιούτους καὶ λακεδαιμονίους αὐτῷ γίγνεσθαι. οἱ δ' ἔφοροι δίκαια νομίσαντες λέγειν αὐτὸν, σαμίῳ τῷ τότε ναυάρχῳ ἐπέστειλαν ὑπηρετεῖν κύρῳ, εἴ τι δέοιτο. κἀκεῖνος μέντοι προθύμως ὅπερ ἐδεήθη ὁ κῦρος ἔπραξεν. ἔχων γὰρ τὸ ἑαυτοῦ ναυτικὸν σὺν τῷ κύρου περιέπλευσεν εἰς κιλικίαν, καὶ ἐποίησε τὸν τῆς κιλικίας ἄρχοντα συέννεσιν, μὴ δύνασθαι κατὰ γῆν ἐναντιοῦσθαι κύρῳ πορευομένῳ ἐπὶ βασιλέα. ὡς μὲν οὖν κῦρος στράτευμά τε συνέλεξε, καὶ τοῦτ' ἔχων ἀνέβη ἐπὶ τὸν ἀδελφὸν, καὶ ὡς ἡ μάχη ἐγένετο, καὶ ὡς ἀπέθανε, καὶ ὡς ἐκ τούτου ἀπεσώθησαν οἱ ἕλληνες ἐπὶ θάλατταν, θεμιστογένει τῷ συρακουσίῳ γέγραπται. ἐπεὶ μέντοι τισσαφέρνης πολλοῦ ἄξιος βασιλεῖ δόξας γεγενῆσθαι, ἐν τῷ πρὸς τὸν ἀδελφὸν πολέμῳ σατράπης κατεπέμφθη, ὧν τε αὐτὸς πρόσθεν ἦρχε, καὶ ὧν κῦρος, εὐθὺς ἠξίου τὰς ἰωνικὰς πόλεις ἁπάσας ἑαυτῷ ὑπηκόους εἶναι. αἱ δὲ ἅμα μὲν ἐλεύθεραι βουλόμεναι εἶναι, ἅμα δὲ φοβούμεναι τὸν τισσαφέρνην, ὅτι κῦρον ὅτ' ἔζη ἀντ' ἐκείνου ᾑρημέναι ἦσαν, εἰς τὰς πόλεις οὐκ ἐδέχοντο αὐτὸν, εἰς λακεδαίμονα δὲ ἔπεμπον πρέσβεις. καὶ ἠξίουν, ἐπεὶ πάσης τῆς ἑλλάδος προστάται εἰσὶν, ἐπιμεληθῆναι καὶ σφῶν τῶν ἐν τῇ ἀσίᾳ ἑλλήνων, ὅπως ἥ τε χώρα μὴ δῃοῖτο αὐτῶν, καὶ αὐτοὶ ἐλεύθεροι εἶεν. οἱ οὖν λακεδαιμόνιοι πέμπουσιν αὐτοῖς θίβρωνα ἁρμοστὴν, δόντες στρατιώτας τῶν μὲν νεοδαμωδῶν εἰς χιλίους, τῶν δὲ ἄλλων πελοποννησίων εἰς τετρακισχιλίους. ᾐτήσατο δ' ὁ θίβρων καὶ παρ' ἀθηναίων τριακοσίους ἱππέας, εἰπὼν ὅτι αὐτὸς μισθὸν παρέξει. οἱ δ' ἔπεμψαν τοὺς ἐπὶ τῶν τριάκοντα ἱππευσάντων, νομίζοντες κέρδος τῷ δήμῳ εἰ ἐναποδημοῖεν, καὶ ἐναπόλοιντο. ἐπεὶ δ' εἰς τὴν ἀσίαν ἀφίκοντο, συνήγαγε μὲν

dum esse existimatis: at illi uos mordētes, tanquā frenis coërcitos, populo huic irritato discedētes obiecere. Igitur uos hortor, ne quid eorum quæ iurastis transgrediamini, sed uiros bonos & iuramenti memores uos esse ostendatis. Hæc et his similia ille loquutus est, hortatusq; ne timerent, sed legib. uterentur antiquis. Illi igitur electo se natu, placide rempublicā debinc gubernabant. Succedenti uero tēpore, cū eos qui in Eleusina agebāt milites cōducere, et ad defectionē specta re didicissent, uniuerso populo contra illos exierunt, ducesq; eorum cum in colloquium uenissent, interfecerūt, ac reliquis submissis amicis & necessarijs persuaserunt, ut cum eis recōciliarentur: iuramentūq; præstiterunt, ne quisquā præteritarū iniuriarū memor esset. Ab eo tēpore usq; nunc, rempublicā unanimiter gubernant, populusq; præstiti iuramenti non immemor fuit.

XENOPHONTIS RERUM GRAECARUM LIBER TERTIUS.

Hunc exitum Atheniensis habuit seditio. Eodem tempore Cyrus Lacedæmonem misit legatos, rogās, ut quēadmodum ipse Lacedæmonijs contra Athenienses opem tulisset, ita e conuerso Lacedæmonij ei suppetias ferrent. Id cum iustum esse Ephori censuissent, Samio nauarcho scribunt, ut Cyro in omnib. parēret reb. Quod ille ut Cyrus uolebat, impigre fecit: nam classem suam cum Cyri cōiunxit, et in Ciliciam nauigauit, ac Syēnesim Ciliciæ satrapam probibuit, ne Cyro in regem eunti impedimento esset: Quemadmodum uero Cyrus exercitum collegerit, ac contra fratrem pugnauerit, tandemq; occubuerit, Græciq; salui ad mare rursus peruenerint, ab Themistogene Syracusano scriptum est. At Tissaphernes in bello quod rex contra fratrem gessit, magnum nomen adeptus, non solum dignus uisus est obtinere satrapiam, cui antea dominabatur, sed ea quoq; illi adiecta est quæ Cyri fuerat. Confestim igitur omnes Ioniæ ciuitates sibi subdere cœpit. At illæ quamuis libertatis desiderio tenerentur, Tissaphernis tamen formidabant potentiam, præcipue quod Cyro uiuenti aliquādo contra illum adhæserant: quapropter eum in ciuitates minime recipiebāt, sed Lacedæmonem mittentes auxilium implorabant, rogabāntq; Lacedæmonios, cum uniuersæ essent tutores Græciæ, aliquādo & Græcorum qui in Asia essent, curam gererent, ne cum ipsi liberi essent, Asia seruiret. At Lacedæmonij illis Thimbronē miserunt harmosten, cum iunioribus mille, & alijs Peloponnensib. quasi millib. quatuor. Thimbrō uero ab Atheniensib. CCC. petijt equites, quib. stipēdium soluere promisit: quos haud grauatē Athenienses cōcessere, lucrum arbitrantes si ablegarentur & perirent. Cumq; in Asiā uenissent milites

milites ex omnibus ciuitatibus Graecis quae in Epiro erant, collegit: lubentes enim cuncti parebant, quandoquidem uirum Lacedaemoniũ praeesse uidebant. Sed cum hostem equitatu praeualere cerneret, in plana nõ descendit: satis actum putans, si regionem ab iniuria illaesam seruaret. At cum Graeci qui cum Cyro ad bellum ascenderant, sibi iuncti essent, in campis quoq; contra Tissaphernem castra locare ausus est: ciuitatesq; Pergamum, Teuthraniam, & Halisarniam in fidem accepit: quibus praeerant Eurysthenes & Procles, qui a Demarato Lacedaemonio descenderant, cui regio illa, ob expeditionem in Graeciam, à rege in donum cesserat. Venerunt quoq; in fidem duo Gorgius & Gongylus, quorum ille Gambrion & Palaegambrion obtinebat, alter uero Myrinam & Grynium. Erant quoque hae ciuitates Gongylo à rege donatae, quoniam solus Eretreorum qui cum Medis senserãt, euaserat. Cepit quoq; Thimbrõ ciuitates aliquas immunitas, ui. Larissam quoq; quae Aegyptia uocatur, [illegible] detrectaret, obsedit. Quam cum capere non posset, profundissimam coepit fodere fossam, ut incolis eo pacto aquam adimeret. At illi per quotidianas eruptiones, lapidibus ac lignis fossam replebant: quapropter Thimbron testudinem ligneam super fossam statuit, quam Larissaei nocte erumpentes incenderunt. Ephori uero cum Thimbronem nihil proficere cernerent, Larissam relinquere, & in Cariam exercitum ducere iusserunt. Cumq; iam Cariam irrupturus Ephesi esset, aduenit Dercyllides, uir ingenio clarus, cognomento Sisyphus: hic exercitum suscepit, Thimbronq; domum reuersus est, ubi damnatus aufugit: accusatus est enim à socijs, quod militi amicos diripiendos tradidisset. Dercyllides suscepto exercitu, cum non ignorasset Tissaphernem & Pharnabazum suspectos inuicem esse, colloquutus cum Tissapherne, in Pharnabazi fines exercitum ducit: securius esse existimans, alteri quàm ambobus bellum inferre. Erat praeterea Dercyllides priuatim Pharnabazo inimicus: nam olim harmostes sub Lysandro classis praefecto, à Pharnabazo, cum scutum imperite gestaret, uulneratus fuerat: quod ignominiae apud Lacedaemonios datur, apud quos militaris disciplina neglecta, seuerius puniri solet. Eam igitur ob causam libentius contra illum mouit: statimq; apparuit, quãtum inter illum & Thimbronem interesset. Nanque in Aeolidem usq;, ubi Pharnabazus erat, omnibus illaesis socijs exercitum duxit. Erat Aeolis Pharnabazi: sed regioni quandiu uixerat Zenes praefuerat Dardanus. Illo mortuo, cum Pharnabazus alteri satrapiam tradere uellet, Mania Zenis uxor, quae & ipsa Dardana erat, sumpta stola ac pecunijs quas Pharnabazo, pellicibus, ac amicis qui apud eum maxime pollebant, traderet, illum accessit. Cumq; in colloquium uenisset, ita loquuta est: Vir meus, ô Pharnabaze, in om-

μὲν στρατιώτας καὶ ἐκ τῶν ἐν τῇ ἠπείρῳ ἑλληνίδων πόλεων. πᾶσαι γὰρ τότε αἱ πόλεις ἐπείθοντο, ὅτι λακεδαιμόνιος ἀνὴρ ἐπέταττε. καὶ σὺν μὲν ταύτῃ τῇ στρατιᾷ ὁρῶν θίμβρων τὸ ἱππικὸν εἰς τὸ πεδίον, οὐ κατέβαινεν. ἠγάπα δὲ εἰ ὅπου τυγχάνοι ὢν, δύναιτο ταύτην τὴν χώραν ἀδῄωτον διαφυλάττειν. ἐπεὶ δὲ σωθέντες οἱ ἀναβάντες μετὰ κύρου συνέμιξαν αὐτῷ, ἐκ τούτου ἤδη καὶ ἐν τοῖς πεδίοις ἀντετάττετο τῷ τισσαφέρνει. καὶ πόλεις πέργαμον μὲν ἑκοῦσαν προσέλαβε, καὶ τευθρανίαν, καὶ ἁλισαρνίαν, ὧν εὐρυσθένης τε καὶ προκλῆς ἦρχον, οἱ ἀπὸ δημαράτου τοῦ λακεδαιμονίου. ἐκείνῳ δ' αὕτη ἡ χώρα δῶρον ἐκ βασιλέως ἐδόθη, ἀντὶ τῆς ἐπὶ τὴν ἑλλάδα συστρατείας. προσεχώρησαν δ' αὐτῷ καὶ γοργίων, καὶ γογγύλος, ἀδελφοὶ ὄντες, ἔχοντες ὁ μὲν γάμβρειον καὶ παλαιγάμβρειον, ὁ δὲ μυρίναν καὶ γρύνειον. δῶρον δὲ καὶ αὗται αἱ πόλεις ἦσαν παρὰ βασιλέως γογγύλῳ, ὅτι μόνος ἐρετριέων μηδίσας ἔφυγεν. ἦν δὲ ἃς ἀσθενεῖς οὔσας καὶ κατὰ κράτος ὁ θίμβρων ἐλάμβανε. λάρισάν γε μὴν τὴν αἰγυπτίαν καλουμένην, ἐπεὶ οὐκ ἐπείθετο, περιστρατοπεδευσάμενος ἐπολιόρκει. ἐπεὶ δὲ ἄλλως οὐκ ἐδύνατο ἑλεῖν, φρεατίαν τεμόμενος ὑπόνομον ὤρυττεν, ὡς ἀφαιρησόμενος τὸ ὕδωρ αὐτῶν. ὡς δ' ἐκ τοῦ τείχους ἐκθέοντες πολλάκις ἐνέβαλλον εἰς τὸ ὄρυγμα καὶ ξύλα καὶ λίθους, ποιησάμενος αὖ χελώνην ξυλίνην, ἐπέστησεν ἐπὶ τῇ φρεατίᾳ. καὶ ταύτην μέντοι ἐκδραμόντες οἱ λαρισαῖοι νύκτωρ κατέκαυσαν. δοκοῦντος δ' αὐτοῦ οὐδὲν ποιεῖν, πέμπουσιν οἱ ἔφοροι ἀπολιπόντα λάρισαν στρατεύεσθαι ἐπὶ καρίαν. ἐν ἐφέσῳ δ' ἤδη ὄντος αὐτοῦ, ὡς ἐπὶ καρίαν πορευομένου, δερκυλλίδας ἄρξων ἀφίκετο ἐπὶ τὸ στράτευμα, ἀνὴρ δοκῶν εἶναι μάλα μηχανικός, καὶ ἐπεκαλεῖτο δὲ σίσυφος. ὁ μὲν οὖν θίμβρων ἀπῆλθεν οἴκαδε. καὶ ζημιωθεὶς ἔφυγε. κατηγόρουν γὰρ αὐτοῦ οἱ σύμμαχοι, ὡς ἐφείη ἁρπάζειν τῷ στρατεύματι τοὺς φίλους. ὁ δὲ δερκυλλίδας ἐπεὶ παρέλαβε τὸ στράτευμα, γνοὺς ὑπόπτους ὄντας ἀλλήλοις τὸν τισσαφέρνην καὶ τὸν φαρνάβαζον, κοινολογησάμενος τῷ τισσαφέρνει, ἀπήγαγεν εἰς τὴν φαρναβάζου χώραν τὸ στράτευμα, ἑλόμενος θατέρῳ μᾶλλον, ἢ ἅμα ἀμφοτέροις πολεμεῖν. ἦν δὲ καὶ πρόσθεν ὁ δερκυλλίδας πολέμιος τῷ φαρναβάζῳ, ἁρμοστὴς γενόμενος ἐν ἀβύδῳ ἐπὶ λυσάνδρου ναυαρχοῦντος, διαβληθεὶς ὑπὸ φαρναβάζου, ἐστάθη τὴν ἀσπίδα ἔχων, ὃ δοκεῖ κηλὶς εἶναι τοῖς σπουδαίοις τῶν λακεδαιμονίων. ἀταξίας γὰρ ζημίωμά ἐστι. καὶ διὰ ταῦτα δὴ πολὺ ἥδιον ἐπὶ τὸν φαρνάβαζον ᾔει. καὶ εὐθὺς μὲν τοσοῦτον διέφερεν εἰς τὸ ἄρχειν τοῦ θίμβρωνος, ὥστε παρήγαγε τὸ στράτευμα διὰ τῆς φιλίας χώρας, μέχρι τῆς φαρναβάζου αἰολίδος, μηδὲν βλάψας τοὺς ξυμμάχους. ἡ δὲ αἰολὶς αὕτη ἦν μὲν φαρναβάζου, ἐσατράπευε δὲ αὐτῷ τῆς χώρας ἕως μὲν ἔζη ζῆνις δαρδανεύς. ἐπεὶ δὲ ἐκεῖνος νόσῳ ἀπέθανε, παρασκευαζομένου τοῦ φαρναβάζου ἄλλῳ δοῦναι τὴν σατραπείαν, μανία ἡ τοῦ ζήνιος γυνὴ δαρδανὶς καὶ αὕτη, ἀναζεύξασα στόλον, καὶ χρήματα λαβοῦσα ὥστε καὶ αὐτῷ φαρναβάζῳ δοῦναι, καὶ παλλακίσιν αὐτοῦ χαρίσασθαι, καὶ τοῖς δυναμένοις μάλιστα παρὰ φαρναβάζῳ, ἐπορεύετο. ἐλθοῦσα δ' εἰς τοὺς λόγους, εἶπεν· ὦ φαρνάβαζε, ὁ ἀνὴρ σοὶ ἐμὸς

ἐμός τε τἆλλα φίλος ἦν, καὶ τοὺς φόρους ἀπεδίδου. ὥστε
σὺ ἐπαινῶν αὐτὸν, ἐτίμας. ἢν ἐγώ σοι μηδὲν χεῖρον ἐκεί-
νου ὑπηρετῶ, τί σε δεῖ ἄλλον σατράπην καθιστάναι; ἢν
δέ τι σοι μὴ ἀρέσκω, οὐκ ἐπὶ σοὶ δήπου ἔσται ἀφελομένῳ ἐμὲ,
ἄλλῳ δοῦναι τὴν ἀρχήν. ἀκούσας ταῦτα ὁ φαρνάβαζος,
ἔγνω δεῖν τὴν γυναῖκα σατραπεύειν. ἡ δὲ ἐπεὶ κυρία τῆς
χώρας ἐγένετο, τούς τε φόρους οὐδὲν ἧττον τἀνδρὸς ἀπεδί-
δου· καὶ πρὸς τούτοις ὁπότε ἀφικνοῖτο πρὸς φαρνάβαζον,
ἀεὶ ἦγε δῶρα αὐτῷ. καὶ ὁπότε ἐκεῖνος εἰς τὴν χώραν κα-
ταβαίνοι, πολὺ πάντων τῶν ὑπάρχων κάλλιστα καὶ ἥδιστα
ἐδέχετο αὐτόν. καὶ ἅς τε παρέλαβε πόλεις, διεφύλαττεν
αὐτῷ, καὶ τῶν οὐχ ὑπηκόων προσέλαβεν ἐπιθαλαττιδίας,
λάρισάν τε καὶ ἁμαξιτὸν, καὶ κολωνάς, ξενικῷ μὲν ἑλλη-
νικῷ προσβαλοῦσα τοῖς τείχεσιν, αὐτὴ δ' ἐφ' ἁρμαμά-
ξης θεωμένη. ὃν δ' ἐπαινέσειε, τούτῳ δῶρα ἀμέμπτως
ἐδίδου. ὥστε λαμπρότατον τὸ ξενικὸν κατεσκευάσατο.
συνεστρατεύετο δὲ τῷ φαρναβάζῳ καὶ ὁπότε εἰς μυσοὺς, ἢ
πισίδας ἐμβάλοι, ὅτι τὴν βασιλέως χώραν κακουργοῦσιν.
ὥστε καὶ ἀντετίμα αὐτὴν μεγαλοπρεπῶς ὁ φαρνάβαζος,
καὶ ξύμβουλον ἔστιν ὅτε παρεκάλει. ἤδη δ' οὔσης αὐτῆς ἐ-
τῶν πλέον ἢ τετταράκοντα, μειδίας θυγατρὸς ἀνὴρ αὐ-
τῆς ὢν, ἀναπτερωθεὶς ὑπό τινων, ὡς αἰσχρὸν εἴη γυναῖ-
κα μὲν ἄρχειν, αὐτὸν δ' ἰδιώτην εἶναι, τοὺς μὲν ἄλλους
φυλαττομένης αὐτῆς, ὥσπερ ἐν τυραννίδι προσῆκεν, ἐ-
κείνῳ δὲ πιστευούσης, καὶ ἀσπαζομένης, ὥσπερ ἂν γυνὴ γαμ-
βρὸν ἀσπάζοιτο, εἰσελθὼν, ἀποπνῖξαι αὐτὴν λέγεται. ἀπέ-
κτεινε δὲ καὶ τὸν υἱὸν αὐτῆς, τό, τε εἶδος ὄντα πάγκαλον, καὶ
ἐτῶν ὄντα ὡς ἑπτακαίδεκα. ταῦτα δὲ ποιήσας, σκῆψιν
καὶ γέργιθα, ἐχυρὰς πόλεις κατέσχεν. ἔνθα καὶ τὰ χρή-
ματα μάλιστα ἦν τῇ μανίᾳ. αἱ δὲ ἄλλαι πόλεις οὐκ ἐδέ-
χοντο αὐτὸν, ἀλλὰ φαρναβάζῳ ἔσωζον αὐτὰς οἱ ἐνόντες
φρουροί. ἐκ δὲ τούτου ὁ μειδίας πέμψας δῶρα τῷ φαρ-
ναβάζῳ, ἠξίου ἔχειν τὴν χώραν, ὥσπερ ἡ μανία. ὁ δὲ ἀ-
πεκρίνατο φυλάττειν αὐτὰ, ἕως ἂν αὐτὸς ἐλθὼν, σὺν
αὐτῷ ἐκείνῳ λάβῃ τὰ δῶρα. οὐ γὰρ ἂν ἔφη ζῆν βούλε-
σθαι, μὴ τιμωρήσας μανίᾳ. ὁ δὲ δερκυλλίδας ἐν τούτῳ
τῷ καιρῷ ἀφικνεῖται, καὶ εὐθὺς ἐν μιᾷ ἡμέρᾳ, λάρισ-
σαν, καὶ ἁμαξιτὸν, καὶ κολωνὰς, τὰς ἐπιθαλαττίους πό-
λεις, ἑκούσας παρέλαβε. πέμπων δὲ καὶ πρὸς τὰς αἰολί-
δας πόλεις, ἠξίου ἐλευθεροῦσθαί τε αὐτὰς, καὶ πρὸς τὰ
τείχη δέχεσθαι, καὶ ξυμμάχους γίγνεσθαι. οἱ μὲν οὖν νεαν-
δρεῖς, καὶ ἰνεῖς, καὶ κοκυλῖται ἐπείθοντο. καὶ γὰρ οἱ φρου-
ροῦντες ἕλληνες ἐν αὐταῖς, ἐπεὶ ἡ μανία ἀπέθανεν, οὐ
πάνυ τι καλῶς ἐποίουν. ὁ δ' ἐν κέβρηνι μάλα ἰσχυρῷ χω-
ρίῳ τὴν φυλακὴν ἔχων, νομίσας εἰ διαφυλάξειε φαρνα-
βάζῳ τὴν πόλιν, τιμηθῆναι ἂν ὑπ' ἐκείνου, οὐκ ἐδέχετο
τὸν δερκυλλίδαν. ὁ δὲ ὀργιζόμενος, παρεσκευάζετο
προσβάλλειν. ἐπεὶ δὲ θυομένῳ αὐτῷ οὐκ ἐγίγνετο τὰ ἱε-
ρὰ τῇ πρώτῃ, τῇ ὑστεραίᾳ πάλιν ἐθύετο. ὡς δὲ οὐδὲ ταῦτα
ἐκαλλιερεῖτο, πάλιν τῇ τρίτῃ, καὶ μέχρι τεττάρων ἡμε-
ρῶν ἐκαρτέρει θυόμενος, μάλα χαλεπῶς φέρων. ἔσπευδε
γὰρ πρὶν φαρνάβαζον βοηθῆσαι ἐγκρατὴς γενέσθαι πά-
σης τῆς αἰολίδος. ἀθηνάδας δέ τις σικυώνιος λοχαγὸς,
νομίσας τὸν μὲν δερκυλλίδαν φλυαρεῖν διατρίβοντα, αὐτὸς
δ' ἱκανὸς εἶναι τὸ ὕδωρ ἀφελέσθαι τοὺς κεβρηνίους, προσδρα-
μὼν σὺν τῇ ἑαυτοῦ τάξει, ἐπειρᾶτο τὴν κρήνην συγχοῦν.
οἱ δὲ

in omnibus tibi amicus erat, tributumq; egregie pe
pendit, ita ut illum semper laudare ac honorare con
sueueris. Proinde si ego haud segnius quam maritus
tibi pareo, cur alieno satrapiam tradere necesse erit?
Quod si minus tibi placuero, semper illam à me
auferre, ac digniori tradere poteris. Quæ cum Phar
nabazus audisset, dignam mulierem quæ imperaret,
iudicauit. Illa igitur regionis domina facta, tribu-
tum haud segnius uiro persoluit, ac quotiescunque
10 Pharnabazum accessisset, dona tulit. Cumq; ille ali
quando in regionem descendisset, humanissime ac li
beraliter præter omnes præfectos eum suscepit. Ciui
tates quoque quas capiebat, illi attribuebat: nam ex
urbibus maritimis, quæ imperium detrectabant, La
rissam, Hamaxitum, & Colonas subdiderat. Græco
enim ac peregrino exercitu muros adorta, ipsa in
curru spectatrix aderat: & si quem dignum quid a-
gere uidisset, immensis prædium donis laudabat. I-
taque egregium instruxit exercitum. Militauit &
20 cum Pharnabazo contra Mysos & Pisidas, quo-
tiescunque regis fines incursauerant: quapropter
magnis ab illo affecta est honoribus, ita ut consilijs
secretioribus semper adhiberetur. Cumq; iam qua-
dragesimum supergressa esset annum, Midias ge-
ner à quibusdam persuasus, tanquam turpe esset mu
lierem regnare, ipsum uero priuate degere, cum
socrus sibi ab alijs caueret, ut in tyrannide fieri con-
sueuit, illi uero fideret, & tanquam generum foue-
ret, ingressus ipsam suffocasse fertur. Interfecit quo
30 que filium indolis ac formæ pulcherrimæ, annorum
decem & septem. Hæc cum perpetrasset, Scepsin &
Gergitha ciuitates occupat munitissimas, ubi &
Maniæ reconditæ erant pecuniæ: reliquæ uero ciui-
tates illum minime intra mœnia receperunt, sed mi
lites præsidiarij, qui in illis excubabant, Pharnaba-
zo eas seruabant. Midias Pharnabazo interim mu-
nera mittit, rogans ut ei quemadmodum Maniæ re-
gionem obtinere liceret. At ille dona usque in ad-
uentum suum seruare iussit, ut illa ab eo suscipere
40 posset. Neq; enim se uita uelle frui asserebat, ni Ma
niæ iniuriam uindicasset. Eodem itaque tempore ap
plicuit Dercyllides, statimq; eadem die Larissam,
Hamaxitum, & Colonas uolentes in fidem suscepit.
Inde ad Aeolides quoq; misit ciuitates, rogans ut
se in libertatem uendicarent, ac eum intra muros su
sciperent, socijq; fierent. Paruere igitur Neandres,
Ines, et Cocylitæ: præsidium enim Græcum post Ma
niæ mortem haud modeste illis præfuerat. At Midias
Cebrenam obtinebat regionem munitissimam, spera
50 batq;, si ciuitatem eam Pharnabazo seruaret, undi
ctam euadere posse. Idcirco Dercyllidem repulit. At
ille iratus, ad irruptionem se accingebat: cumq; die
prima litare non posset, sequenti quoque, tertia ac
quarta frustra sacrificabat die. quod quidem ægerri
me ferebat: sperabat etenim antequam Pharnaba-
zus suppetias ferret, totam posse subigere Aeoli-
dem. Interea Athenades quidam Sicyonius manu-
pularis, cum Dercyllidem nugas agere existima-
ret, se uero Cebrenijs aquam auferre posse speraret,
cum manipulo suo procurrit, ut fontem inficeret:

 at qui

et qui in urbe erant, erumpentes, illum uulnerarunt, duobusq; interfectis militibus, reliquos quoq; sagittis incessentes, in fugam uerterunt. Id cum ægerrime tulisset Dercyllides (difficiliorem enim futuram arbitrabatur oppugnationem) aduenerunt ex urbe à Græcis præcones, qui ea quæ præfectus ageret, illis displicere referrent, malleque se Græcis quàm barbaris adhærere. Illis adhuc loquentibus, superuenere à præfecto quoque nuncij, qui ipsum iussa facere paratum esse nunciarent. Dercyllides igitur eadem die qua litare potuit, sumptis armis, ad portas exercitum duxit, quibus apertis in urbem receptus est: ubi relicto præsidio, contra Scepsin & Gergitha mouit. At Midias cum Pharnabazum cunctantem, ciues uero imperium detrectantes uidisset, ad Dercyllidem mittit, ac se in colloquium uenire paratum esse, si obsides sibi darentur, ostendit. At ille ab unaquaque ciuitate socia, obsidem unum misit, iubens ut quot, & quem ex illis uellet, retineret. Ille decem acceptis, egressus est, ac cum Dercyllide congressus interrogauit, quonam pacto societatem cum illo inire posset. Cui respondit, si ciues liberos, ac sui iuris dimitteret. Hæc dicens, simul uersus Scepsin ire cœpit. At Midias cognoscens quod ui ciuibus prohibere nihil posset, ipsum intrare permisit. Ingressus Dercyllides, cum in Scepsiorum arce Palladi sacrificasset, Midiæ præsidium ex urbe eduxit, ac ciuibus urbem tradidit: eosque hortatus est, ut rempublicam, quemadmodum Græcos ac liberos deceret, curam gererent. Inde digressus ad Gergitham perrexit: comitatique sunt cum honoris gratia, Scepsiorum quamplurimi, summopere ob gesta lætantes. Midias quoque illum sequutus, rogabat ut Gergithiorum ciuitatem illi traderet. Cui Dercyllides respondit, iustorum neminem infeliciter agere posse. Hæc cum dixisset, cum Midia ad portas urbis processit: exercitus uero pacifice sequebatur. At qui in turribus erant altißimis, uidentes Midiam cum ipso, sagittas continebant. Dercyllides uero, portas o Midia, inquit, aperire iube, ut tecum urbem ingressus, Palladi sacrum faciam. Midias cum aliquantisper cunctatus esset, timens ne comprehenderetur, aperire iußit. At ille ingressus, cum Midia in arcem ascendit: milites uero arma circa murum deponere iußit, ipseq; cum suis Palladi sacrum fecit. Quo peracto, Midiæ quoque satellites arma ponere iußit, & stipendium, si secum militare uellent, obtulit: Midiam enim amplius nullius esse potentiæ ostendit. At Midias consilij inops, & quid ageret penitus ignarus, ait: Ego ô Dercyllides, tantisper abero, quoad tibi hospitium præparem. Cui ille: Minime per Iouem, inquit: turpe enim esset me à te, & non potius te à me hospitio suscipi. Igitur nobiscum mane. Interim enim dum illi cœnam præparabunt, ego ac tu quæ iusta sunt, inuicem considerabimus, & faciemus. Cùmque consedissent, Dic mihi ô Midia, Dercyllides ait, num pater te principem domus reliquerit? At ille: Maxime, inquit. Et quot tibi

οἱ δὲ ἔνδοθεν ἐπεξελθόντες, αὐτόν τε συνέτρωσαν, καὶ δύο ἀπέκτειναν. καὶ ἄλλους παίοντες, καὶ βάλλοντες ἀπήλασαν. ἀχθομένου δὲ τοῦ δερκυλλίδου, καὶ νομίζοντος ἀθυμοτέραν τὴν προσβολὴν ἔσεσθαι, ἔρχονται ἐκ τοῦ τείχους παρὰ τῶν ἑλλήνων κήρυκες, οἳ καὶ εἶπον, ὅτι ἃ μὲν ὁ ἄρχων ποιοίη, οὐκ ἀρέσκει σφίσιν. αὐτοὶ δὲ βούλοιντο σὺν τοῖς ἕλλησι μᾶλλον, ἢ σὺν τῷ βαρβάρῳ εἶναι. ἔτι δὲ διαλεγομένων αὐτῶν ταῦτα, παρὰ τοῦ ἄρχοντος αὐτῶν ἧκε λέγων, ὅτι ὅσα λέγοιεν οἱ πρόσθεν, καὶ αὐτῷ δοκοῦντα λέγοιεν. ὁ οὖν δερκυλλίδας εὐθὺς ὥσπερ ἔτυχε κεκαλλιερηκὼς, ταύτῃ τῇ ἡμέρᾳ ἀναλαβὼν τὰ ὅπλα ἡγεῖτο πρὸς τὰς πύλας. οἱ δ᾽ ἀναπετάσαντες ἐδέξαντο. καταστήσας δὲ καὶ ἐνταῦθα φρουροὺς, εὐθὺς ᾔει ἐπὶ τὴν σκῆψιν, καὶ τὴν γέργιθα. ὁ δὲ μειδίας, προσδοκῶν μὲν τὸν φαρνάβαζον, ὀκνῶν δ᾽ ἤδη τοὺς πολίτας, πέμψας πρὸς τὸν δερκυλλίδαν, εἶπεν ὅτι ἔλθοι ἂν εἰς λόγους, εἰ ὁμήρους λάβοι. ὁ δὲ πέμψας αὐτῷ ἀφ᾽ πόλεως ἑκάστης τῶν ξυμμάχων ἕνα, ἐκέλευσε λαβεῖν τούτων ὁπόσους τε καὶ ὁποίους βούλοιτο. ὁ δὲ λαβὼν δέκα, ἐξῆλθε. καὶ ξυμμίξας τῷ δερκυλλίδᾳ, ἠρώτα ἐπὶ τίσιν ἂν ξύμμαχος γένοιτο. ὁ δ᾽ ἀπεκρίνατο, ἐφ᾽ ᾧ τε τοὺς πολίτας ἐλευθέρους τε καὶ αὐτονόμους ἐᾶν. καὶ ἅμα ταῦτα λέγων, ᾔει πρὸς τὴν σκῆψιν. γνοὺς δὲ ὁ μειδίας ὅτι οὐκ ἂν δύναιτο κωλύειν βίᾳ τῶν πολιτῶν, εἴασεν αὐτὸν εἰσιέναι. ὁ δὲ δερκυλλίδας θύσας τῇ ἀθηνᾷ ἐν τῇ τῶν σκηψίων ἀκροπόλει, τοὺς μὲν μειδίου φρουροὺς ἐξήγαγε, παραδοὺς τοῖς πολίταις τὴν πόλιν. καὶ παρακελευσάμενος ὥσπερ ἕλληνας καὶ ἐλευθέρους χρὴ, οὕτω πολιτεύειν, ἐξελθὼν, ᾔει ἐπὶ τὴν γέργιθα. ξυμπροὔπεμπον δὲ πολλοὶ αὐτὸν καὶ τῶν σκηψίων, τιμῶντές τε καὶ ἡδόμενοι τοῖς πεπραγμένοις. ὁ δὲ μειδίας παρεπόμενος αὐτῷ, ἠξίου τὴν τῶν γεργιθίων πόλιν παραδοῦναι αὐτῷ. καὶ ὁ δερκυλλίδας μέντοι ἔλεγεν, ὡς τῶν δικαίων οὐδενὸς ἀτυχήσοι. ἅμα δὲ ταῦτα λέγων, ᾔει πρὸς τὰς πύλας σὺν τῷ μειδίᾳ, καὶ τὸ στράτευμα ἠκολούθει αὐτῷ ἐπὶ δύο, εἰρηνικῶς. οἱ δ᾽ ἀπὸ τῶν πύργων καὶ μάλα ὑψηλῶν ὄντων, ὁρῶντες τὸν μειδίαν σὺν αὐτῷ, οὐκ ἔβαλλον. εἰπόντος δὲ τοῦ δερκυλλίδου, κέλευσον, ὦ μειδία, ἀνοῖξαι τὰς πύλας, ἵνα ἡγῇ μὲν σὺ, ἐγὼ δὲ εἰς τὸ ἱερὸν σὺν σοὶ ἔλθω, κἀνταῦθα θύσω τῇ ἀθηνᾷ. ὁ μειδίας ὤκνει μὲν ἀνοίγειν τὰς πύλας. φοβούμενος δὲ μὴ παραχρῆμα συλληφθῇ, ἐκέλευσεν ἀνοῖξαι. ὁ δ᾽ ἐπεὶ εἰσῆλθεν, ἔχων αὐτὸν μειδίαν, ἐπορεύετο πρὸς τὴν ἀκρόπολιν. καὶ τοὺς μὲν ἄλλους στρατιώτας ἐκέλευσε θέσθαι περὶ τὰ τείχη τὰ ὅπλα. αὐτὸς δὲ σὺν τοῖς περὶ αὐτὸν ἔθυε τῇ ἀθηνᾷ. ἐπεὶ δ᾽ ἐτέθυτο, ἀνεῖπε καὶ τοὺς μειδίου δορυφόρους θέσθαι τὰ ὅπλα ἐπὶ τῷ στόματι τοῦ ἑαυτοῦ στρατεύματος, ὡς μισθοφορήσοντας. μειδίᾳ γὰρ οὐδὲν ἔτι δεινὸν εἶναι. ὁ μέντοι μειδίας ἀπορῶν ὅ,τι ποιοίη, εἶπεν· ἐγὼ μέν τοι νῦν ἄπειμι, ἔφη, ξένιά σοι παρασκευάσων. ὁ δὲ, οὐ μὰ Δί᾽, ἔφη, ἐπεὶ αἰσχρὸν ἐμὲ τεθυκότα, ξενίζεσθαι ὑπὸ σοῦ, ἀλλὰ μὴ ξενίζειν σέ. μένε οὖν παρ᾽ ἡμῖν. ἐν ᾧ δ᾽ ἂν τὸ δεῖπνον παρασκευάζηται, ἐγὼ καὶ σὺ τὰ δίκαια πρὸς ἀλλήλους διασκεψόμεθα καὶ ποιήσομεν. ἐπεὶ δ᾽ ἐκαθέζοντο, ἠρώτα ὁ δερκυλλίδας, εἰπέ μοι, ὦ μειδία, ἔφη, ὁ πατήρ σε ἄρχοντα τοῦ οἴκου κατέλιπε; μάλιστα, ἔφη. καὶ πόσαι σοι

σοι οἰκίαι ἦσαν; πόσαι δὲ χῶραι; πόσαι δὲ νομαί; ἀπογράφοντος δ' αὐτοῦ, οἱ παρόντες τῶν σκηψίων εἶπον, ψεύδεταί σε οὗτος, ὦ δερκυλλίδα. ὑμεῖς δέ γ', ἔφη, μὴ λίαν μικρολογεῖσθε. ἐπειδὴ δὲ ἀπεγέγραπτο τὰ πατρῷα, εἰπέ μοι, ἔφη, μανία δὲ τίνος ἦν; οἱ δὲ πάντες εἶπον, ὅτι φαρναβάζου. οὐκοῦν καὶ τὰ ἐκείνης, ἔφη, φαρναβάζου; μάλιστα, ἔφασαν. ἡμέτερ' ἂν εἴη, ἔφη, ἐπεὶ κρατοῦμεν. πολέμιος γὰρ ἡμῖν φαρνάβαζος. ἀλλ' ἡγείσθω τις, ἔφη, ὅπου κεῖται τὰ μανίας, καὶ τὰ φαρναβάζου. ἡγουμένων δὲ τῶν ἄλλων ἐπὶ τὴν μανίας οἴκησιν, ἣν παρειλήφει ὁ μειδίας, ἠκολούθει κἀκεῖνος. ἐπεὶ δ' εἰσῆλθεν ὁ δερκυλλίδας, ἐκάλει τοὺς ταμίας, φράσας τοῖς ὑπηρέταις λαβεῖν αὐτούς, προεῖπεν αὐτοῖς, ὡς εἴ τι κλέπτοντες ἁλώσοιντο τῶν μανίας, παραχρῆμα ἀποσφαγήσοιντο. οἱ δ' ἐδείκνυσαν. ὁ δ', ἐπεὶ εἶδε πάντα, κατέκλεισεν αὐτά, καὶ κατεσημήνατο, καὶ φύλακας κατέστησεν. ἐξιὼν δὲ οὓς εὗρεν ἐπὶ ταῖς θύραις τῶν ταξιάρχων καὶ λοχαγῶν, εἶπεν αὐτοῖς, μισθὸς μὲν ὑμῖν, ὦ ἄνδρες, ἐξείργασται τῇ στρατιᾷ ἐγγὺς ἐνιαυτοῦ ὀκτακισχιλίοις ἀνδράσιν. ἂν δέ τι προσεργασώμεθα, καὶ ταῦτα προσέσται. ταῦτα δ' εἶπε, γιγνώσκων ὅτι ἀκούσαντες πολὺ εὐτακτότεροι, καὶ θεραπευτικώτεροι ἔσοιντο. ἐρομένου δὲ τοῦ μειδίου, ἐμὲ δὲ ποῦ χρὴ οἰκεῖν, ὦ δερκυλλίδα; ἀπεκρίνατο, ἔνθαπερ καὶ δικαιότατον, ἐν τῇ πατρίδι τῇ σαυτοῦ σκήψει, καὶ ἐν τῇ πατρῴᾳ οἰκίᾳ. ὁ μὲν δὴ δερκυλλίδας ταῦτα διαπραξάμενος, καὶ λαβὼν ἐν ὀκτὼ ἡμέραις ἐννέα πόλεις, ἐβουλεύετο ὅπως ἂν μὴ ἐν τῇ φιλίᾳ χειμάζων, βαρὺς εἴη τοῖς ξυμμάχοις, ὥσπερ θίμβρων, μηδ' αὖ φαρνάβαζος καταφρονῶν, τῷ ἱππικῷ κακουργῇ τὰς ἑλληνίδας πόλεις. πέμπει οὖν πρὸς αὐτόν, καὶ ἐρωτᾷ, πότερον εἰρήνην ἢ πόλεμον ἔχειν βούλεται. ὁ μέντοι φαρνάβαζος νομίσας τὴν αἰολίδα ἐπιτετειχίσθαι τῇ ἑαυτοῦ οἰκήσει φρυγίᾳ, σπονδὰς εἵλετο. ὡς δὲ ταῦτ' ἐγένετο, ἐλθὼν ὁ δερκυλλίδας εἰς τὴν βιθυνίαν θρᾴκην, ἐκεῖ διεχείμαζεν, οὐδ' ἐν τοῦ φαρναβάζου πάνυ τι ἀχθομένου. πολλάκις γὰρ οἱ βιθυνοὶ αὐτῷ ἐπολέμουν. καὶ τὰ μὲν ἄλλα ὁ δερκυλλίδας ἀσφαλῶς φέρων, καὶ ἄγων τὴν βιθυνίδα, καὶ ἄφθονα ἔχων τὰ ἐπιτήδεια, διετέλει. ἐπεὶ δὲ ἦλθον πρὸς αὐτὸν παρὰ τοῦ σεύθου πέραθεν ξύμμαχοι τῶν ὀδρυσῶν ἱππεῖς τε ὡς διακόσιοι, καὶ πελτασταὶ ὡς τριακόσιοι, οὗτοι στρατοπεδευσάμενοι, καὶ περισταυρωσάμενοι ἀπὸ τοῦ ἑλληνικοῦ ὡς εἴκοσι στάδια, αἰτοῦντες φύλακας τοῦ στρατοπέδου τὸν δερκυλλίδαν τῶν ὁπλιτῶν, ἐξῄεσαν ἐπὶ λείαν. καὶ πολλὰ ἐλάμβανον, ἀνδράποδά τε καὶ χρήματα. ἤδη δ' ὄντος τοῦ στρατοπέδου αὐτοῖς μεστοῦ πολλῶν αἰχμαλώτων, καταμαθόντες οἱ βιθυνοί, ὅσοι τ' ἐξῄεσαν, καὶ ὅσους κατέλιπον φύλακας ἕλληνας, ξυλλεγέντες παμπληθεῖς πελτασταί, καὶ ἱππεῖς, ἅμ' ἡμέρᾳ προσπίπτουσι τοῖς ὁπλίταις ὡς διακοσίοις οὖσιν. ἐπειδὴ δ' ἐγγὺς ἐγένοντο, οἱ μὲν ἔβαλλον, οἱ δ' ἠκόντιζον εἰς αὐτούς. οἱ δ' ἐπεὶ ἐτιτρώσκοντο μέν, καὶ ἀπέθνησκον, ἐποίουν δ' οὐδέν, κατειργμένοι ἐν τῷ σταυρώματι ὡς ἐν ἀνδρομήκει ὄντι, διασπάσαντες τὸ αὑτῶν ὀχύρωμα, ἐφέροντο εἰς αὐτούς. οἱ δὲ ᾗ μὲν ἐκθέοιεν, ὑπεχώρουν, καὶ ῥᾳδίως ἀπέφυγον πελτασταὶ ὁπλίτας. ἔνθεν δὲ καὶ ἔνθεν ἠκόντιζον, καὶ πολλοὺς αὐτῶν ἐφ' ἑκάστῃ ἐκδρομῇ κατέβαλλον. τέλος

tibi domus, quot regiones, quot deniq; greges fuere? Ille uero de singulis rationem reddente, Scepsci qui aderant, cum clamore eum mentiri indicauerunt. At ille ut quieti agerent, quoad omnia paterna enumerata essent, annuit. Inde ait: Mania uero cui suberat? At omnes dixerunt, Pharnabazo. Nonne igitur, inquit, & ea quæ possidebat, Pharnabazi fuere? Maxime, illi retulere. Nostra igitur sunt, ait: cum iure belli in nostrã uenere po10testatem: Pharnabazus enim nobis hostis est. Sed nouit aliquis, inquit, ubi reconditi iacent Maniæ et Pharnabazi thesauri? Confestim itaq; ad domũ Maniæ, à Midia occupatam, ductus est, quem & ille secutus est. Eam ingressi, Dercyllides cõuocatis thesaurarijs illos comprehendere iussit, mortemq; cõminatus est, si quid furati essent, aut abscondèrent. At hi omnia potulerunt. & ille postquam cũcta inspexit, rursus inclusit ac signauit, custodesq; apposuit, egressusq; tribunis militũ ac 20præfectis, qui ante fores præstolabantur, dixit: Stipendiũ, ô uiri, quasi annuũ exercitui octo millium uirorum nobis partum est: & si quid aliud nacti fuerimus, nostrum quoq; erit. Hæc ideirco loquutus est, quod cognoscebat audientes multum alacriores, & ad omnia obeunda pericula prõptiores futuros. Interrogante autem Midia, Et ubi me Dercyllides habitare oportet? respondit, ibi ubi æquissimum: in patria nempe tua Scepsi, & domo paterna. Hæc cum Dercyllides egisset, ac diebus 30octo, nouem cepisset ciuitates, considerare cœpit, si ibi hyemaret, grauis quemadmodũ Thimbron, socijs foret: si uero regione excederet, ne ciuitates Græcæ à Pharnabazi equitatu male afficerẽtur, uerebatur. Misit itaq; ad illum sciscitatũ, nunquid pacem seu bellum mallet. At Pharnabazus, ne Aeolis contra Phrygiam muniretur timẽs, inducias elegit. His actis Dercyllides exercitum in Bithyniam Thraciæ duxit, ibiq; hyemauit, haud ægre ferente Pharnabazo: nam sæpius Bithyni suos in40uadebant fines, & Dercyllides secure agens ac rapiens Bithyniam, omnibus abundabat necessarijs. Aduenere quoq; à Seuthe, & Odrysijs socijs in auxilium equites ferme ducẽti, pedites uero trecenti: hi castra quasi stadia uiginti seorsum à Græcis locauere, uallocq; circundedere, & custodes castrorũ à Dercyllide petiere: ipsi uero prædatum exierunt, multisq; mancipijs ac pecunijs captis castra repleuerunt. At Bithyni cum explorassent quot exirent, & quot in castris relinquerent cu50stodes, multis collectis peditibus ac equitibus, castra orto iam die aggressi sunt, ac in custodes qui ducenti circiter erant, cum impetu ruunt. Cumq; ad manus uentum esset, illi emissis iaculis & sagittis Græcos feriebant & interficiebant, nihilq; mali ab illis patiebantur, utpote quos tanquam in cauea deprehensos circundederant. At illi diripientes munitionem, in illos ferebantur: qui declinato impetu, faciliter grauis armaturæ milites eludentes, hinc atq; hinc iaculabantur, quamplurimosq; singulis conficiebant excursionibus:

tandem omnibus interfectis, quindecim solùm euasere. Bithyni uero celeriter his gestis, ac Odrysiorum Thracum custodibus quibusdam interfectis, cunctisque abductis captiuis, discessere, ita ut Græci qui opem ferebant, nihil præter cadauera nuda in castris reperirent. Odrysij itaque patrio more suis parentauerunt, ac multo epoto uino, equorum certamen peregerunt: totam inde cum Græcis percurrentes Bithyniam, cuncta ferro ac flamma uastabant. Ineunte 10 te uere, Dercyllides ex Bithynia mouit, Lampsacumque applicuit: ubi cum legati, qui domo ad res Asiaticas considerandas missi erant, Aracus & Nauates & Antisthenes conuenerunt, ac Ephororum iussu rogabant, ut sequenti quoque anno exercitui imperaret: conuocatisque militibus, delicta priora se illis dimittere ostendebant. Quod uero iam neminem iniuria affecerant, laudabant: ac pariter interminati sunt, si posthac alicui iniurij forent, minime id se neglecturos: sin 20 uero iuste se erga socios gererent, summis illos decoraturos laudibus pollicebantur. Hæc cum loquuti essent, quidam è militibus procedens, ita respondit: Viri Lacedæmonij, nos quidem illi ijdem sumus, qui & antea fuimus. Dux uero nobis alius nunc obtigit, alius olim fuit. Causam igitur cur nunc minime delinquimus, à uobisipsis intelligere potestis. Legati uero cum multa de ratione belli cum Dercyllide colloquuti essent, ostenderunt ei legatos Cherronesitarum 30 Lacedæmonijs conquestos esse, terram suam, quoniam à Persis quotidie uastaretur, ac diriperetur, coli posse minime: edocuisse tamen, si à mari ad alterum pelagus duceretur murus, optimam ac latissimam includi posse regionem, quæ non solum ipsis ad colendum sufficeret, sed alijs quamplurimis qui Lacedæmonijs ad id idonei uiderentur. Id uero haud difficile factu ostenderant, si quispiam Lacedæmoniorum cum exercitu illac mitteretur. Dercyllides 40 itaque cum hæc audiuisset, tacuit, nec mentem tum suam aperuit, sed illos ex Epheso per Græcas dimisit ciuitates, exultantes quod Græcos beate ac in pace degentes aspicerent. Digressis illis, Dercyllides cum sibi manendum esse intellexisset, rursus ad Pharnabazum misit sciscitatum, num inducias ut hyeme elapsa, seu bellum mallet. Cumque rursus ille inducias elegisset, socijs illius urbibus intactis relictis, cum exercitu per Hellespontum in Europam transgressus est: inde per Thraciam, quæ socia erat, 50 ducens, à Seuthe hospitio susceptus est: tandem Cherronesum applicuit, quam ciuitates circiter undecim uel duodecim habere edoctus, regionem quoque fertilissimam ac optimam esse conspexit, sed uastatam penitus, ut dictum est, à Thracibus. Cumque Isthmi mensuram septem ac triginta stadiorum reperisset, minime tamen ob operis magnitudinem deterritus est, sed sacris rite peractis, murum inchoauit:

quem

τέλος δέ, ὥσπερ ἐν αὐλίῳ σηκασθέντων, κατηκοντίσθησαν. ἀπέθανον μέντοι αὐτῶν ἀμφὶ τοὺς πεντεκαίδεκα τὸ ἑλληνικόν. καὶ οὗτοι ἐπεὶ εὐθέως ᾔσθοντο τὸ πρᾶγμα, ἀποχωρήσαντες, ἐν τῇ μάχῃ διαπεσόντες, ἀμελησάντων τῶν Βιθυνῶν. ταχὺ δὲ ταῦτα διαπραξάμενοι οἱ Βιθυνοί, καὶ τοὺς σκηνοφύλακας τῶν ὀδρυσῶν θρακῶν ἀποκτείναντες, ἀπολαβόντες πάντα τὰ αἰχμάλωτα, ἀπῆλθον. ὥστε οἱ ἕλληνες ἐπεὶ ᾔσθοντο βοηθοῦντες, οὐδὲν ἄλλο εὗρον ἢ νεκροὺς γυμνοὺς ἐν τῷ στρατοπέδῳ. ἐπεὶ μέντοι ἐπανῆλθον οἱ ὀδρύσαι, θάψαντες τοὺς ἑαυτῶν, καὶ πολὺν οἶνον ἐκπιόντες ἐπ᾽ αὐτοῖς, καὶ ἱπποδρομίαν ποιήσαντες, ὁμοῦ δὴ τὸ λοιπὸν τοῖς ἕλλησι στρατοπεδευσάμενοι ἦγον καὶ ἔκαον τὴν Βιθυνίδα. ἅμα δὲ τῷ ἦρι πορευόμενος ὁ Δερκυλλίδας ἐκ τῶν Βιθυνῶν, ἀφικνεῖται εἰς λάμψακον. ἐνταῦθα δ᾽ ὄντος αὐτοῦ, ἔρχονται ἀπὸ τῶν οἴκοι τελῶν, ἄρακός τε καὶ ναυάτης, καὶ ἀντισθένης. οὗτοι δὲ ἦλθον ἐπισκεψόμενοι τά τε ἄλλα ὅπως ἔχοι τὰ ἐν τῇ ἀσίᾳ, καὶ Δερκυλλίδα ἐροῦντες μένοντι ἄρχειν καὶ τὸν ἐπιόντα ἐνιαυτόν. ἐπεστάλκαι δὲ σφίσιν αὐτοῖς τοὺς ἐφόρους, καὶ ξυγκαλέσαντας τοὺς στρατιώτας, εἰπεῖν, ὡς ἂν τὰ πρόσθεν ἐποίουν, μέμφοιντο αὐτοῖς· ὅτι δὲ νῦν οὐδὲν ἠδίκουν, ἐπαινοῖεν. καὶ περὶ τοῦ λοιποῦ χρόνου εἰπεῖν, ὅτι ἢν μὲν ἀδικῶσιν, οὐκ ἐπιτρέψουσιν· ἢν δὲ δίκαια περὶ τοὺς ξυμμάχους ποιῶσιν, ἐπαινέσονται αὐτούς. ἐπεὶ μέντοι συγκαλέσαντες τοὺς στρατιώτας, ταῦτ᾽ ἔλεγον, ὁ τῶν κυρείων προεστηκὼς ἀπεκρίνατο· ἀλλ᾽, ὦ ἄνδρες λακεδαιμόνιοι, ἡμεῖς μὲν οἱ αὐτοὶ νῦν τε καὶ πέρυσιν. ἄρχων δὲ ἄλλος μὲν νῦν, ἄλλος δὲ τὸ παρελθόν. τὸ οὖν αἴτιον τοῦ νῦν μὲν μὴ ἐξαμαρτάνειν, τότε δέ, αὐτοὶ ἤδη ἱκανοί ἐστε γιγνώσκειν. ξυσκηνούντων δὲ τῶν τε οἴκοθεν πρέσβεων, καὶ τοῦ Δερκυλλίδα, ἐπεμνήσθη τις τῶν περὶ τὸν ἄρακον, ὅτι καταλελοίποιεν πρέσβεις τῶν χερρονησιτῶν ἐν λακεδαίμονι. τούτους δὲ λέγειν ἔφασαν, ὡς νῦν μὲν οὐ δύναιντο τὴν χερρόνησον ἐργάζεσθαι. φέρεσθαι γὰρ καὶ ἄγεσθαι ὑπὸ τῶν θρακῶν. εἰ δ᾽ ἀποτειχισθείη ἐκ θαλάττης εἰς θάλατταν, καὶ σφίσιν ἂν γῆν πολλὴν καὶ ἀγαθὴν εἶναι ἐργάζεσθαι, καὶ ἄλλοις ὁπόσοι βούλοιντο λακεδαιμονίων. ὥστ᾽ ἔφασαν οὐκ ἂν θαυμάζειν, εἰ καὶ πεμφθείη τις λακεδαιμονίων ἀπὸ τῆς πόλεως σὺν δυνάμει ταῦτα πράξων. ὁ οὖν Δερκυλλίδας πρὸς μὲν ἐκείνους οὐκ εἶπεν ἣν εἶχε γνώμην ταῦτ᾽ ἀκούσας, ἀλλ᾽ ἔπεμψεν αὐτοὺς ἐπ᾽ ἐφέσου διὰ τῶν ἑλληνίδων πόλεων, ἡδόμενος ὅτι ἔμελλον ὄψεσθαι τὰς ἑλληνίδας πόλεις ἐν εἰρήνῃ εὐδαιμονικῶς διαγούσας. οἱ μὲν δὴ ἐπορεύοντο. ὁ δὲ Δερκυλλίδας, ἐπειδὴ ἔγνω μενετέον ὄν, πάλιν πέμψας πρὸς τὸν φαρνάβαζον, ἐπήρετο, πότερα βούλοιτο σπονδὰς ἔχειν καθάπερ διὰ τοῦ χειμῶνος, ἢ πόλεμον. ἑλομένου δὲ τοῦ φαρναβάζου καὶ τότε σπονδάς, οὕτω καταλιπὼν καὶ τὰς περὶ ἐκεῖνον πόλεις φιλίας ἐν εἰρήνῃ, διαβαίνει τὸν ἑλλήσποντον σὺν τῷ στρατεύματι εἰς τὴν εὐρώπην. καὶ διὰ φιλίας τῆς θρᾴκης πορευθείς, καὶ ξενισθεὶς ὑπὸ σεύθου, ἀφικνεῖται εἰς χερρόνησον, ἣν καταμαθών, πόλεις μὲν ἕνδεκα ἢ δώδεκα ἔχουσαν, χώραν δὲ παμφορωτάτην καὶ ἀρίστην οὖσαν, κεκακωμένην δὲ ὥσπερ ἔλεγον ὑπὸ τῶν θρακῶν, ἐπεὶ μετρῶν εὗρε τὸν ἰσθμὸν ἑπτὰ καὶ τριάκοντα στάδια, οὐκ ἐμέλλησεν. ἀλλὰ θυσάμενος, ἐτείχιζε

κατὰ μέρη διελὼν τοῖς στρατιώταις τὸ χωρίον. καὶ ἆθλα αὐτοῖς ὑποσχόμενος δώσειν τοῖς πρώτοις ἐκτειχίσασι, καὶ τοῖς ἄλλοις, ὡς ἕκαστοι ἄξιοι, ἀπετέλεσε τὸ τεῖχος, ἀρξάμενος ἀπὸ ἠρινοῦ χρόνου πρὸ ὀπώρας. καὶ ἐποίησεν ἐντὸς τοῦ τείχους ἕνδεκα μὲν πόλεις, πολλοὺς δὲ λιμένας. πολλὴν δὲ καὶ ἀγαθὴν γῆν σπόριμον, πολλὴν δὲ πεφυτευμένην, παμπληθεῖς δὲ καὶ παγκάλους νομὰς παντοδαποῖς κτήνεσι. ταῦτα δὲ πράξας, διέβαινε πάλιν εἰς τὴν ἀσίαν. ἐπισκοπῶν δὲ τὰς πόλεις, ἑώρα τὰ μὲν ἄλλα καλῶς ἐχούσας. χίων δὲ φυγάδας εὗρεν, ἀταρνέα ἔχοντας χωρίον ἰσχυρόν. καὶ ἐκ τούτου ὁρμωμένους, φέροντας καὶ ἄγοντας τὴν ἰωνίαν, καὶ ζῶντας ἐκ τούτου. πυθόμενος δὲ ὅτι πολὺς σῖτος ἐνείη αὐτοῖς, περιστρατοπεδευσάμενος, ἐπολιόρκει. καὶ ἐν ὀκτὼ μησὶ παραστησάμενος αὐτοὺς, καταστήσας ἐν αὐτῷ δράκοντα πελληνέα ἐπιμελητὴν, καὶ κατασκευάσας ἐν τῷ χωρίῳ ἔκπλεα πάντα τὰ ἐπιτήδεια, ἵνα ἂν αὐτῷ καταγωγὴ ὁπότε ἀφικνοῖτο, ἀπῆλθεν εἰς ἔφεσον, ἣ ἀπέχει ἀπὸ σάρδεων τριῶν ἡμερῶν ὁδόν. καὶ μέχρι τούτου τοῦ χρόνου ἐν εἰρήνῃ διῆγον τισσαφέρνης τε καὶ δερκυλλίδας, καὶ οἱ ταύτῃ ἕλληνες, καὶ οἱ βάρβαροι. ἐπεὶ δὲ ἀφικνούμενοι πρέσβεις εἰς λακεδαίμονα ἀπὸ τῶν ἑλληνίδων πόλεων, ἐδίδασκον ὅτι ἐν αὐτῷ εἴη τισσαφέρνει, εἰ βούλοιτο, ἀφιέναι αὐτονόμους τὰς ἑλληνίδας πόλεις. εἰ γὰρ κακῶς πάσχοι καρία, ἔνθαπερ ὁ τισσαφέρνους οἶκος, οὕτως ἂν ἔφασαν τάχιστα νομίζειν αὐτὸν συγχωρήσειν αὐτονόμους σφᾶς ἀφιέναι. ἀκούσαντες ταῦτα οἱ ἔφοροι, ἔπεμψαν πρὸς δερκυλλίδαν, καὶ ἐκέλευον αὐτὸν διαβαίνειν σὺν τῷ στρατεύματι ἐπὶ καρίαν, καὶ φάρακα τὸν ναύαρχον σὺν ταῖς ναυσὶ παραπλεῖν. οἱ μὲν δὴ ταῦτ᾽ ἐποίουν. ἐτύγχανε δὲ περὶ τοῦτον τὸν χρόνον καὶ φαρνάβαζος πρὸς τισσαφέρνην ἀφιγμένος, ἅμα μὲν ὅτι στρατηγὸς τῶν πάντων ἀποδέδεικτο τισσαφέρνης, ἅμα δὲ διαμαρτυρόμενος ὅτι ἕτοιμος εἴη κοινῇ πολεμεῖν καὶ συμμάχεσθαι, καὶ συνεκβάλλειν τοὺς ἕλληνας ἐκ τῆς βασιλέως. ἄλλως τε γὰρ ὑπεφθόνει τῇ στρατηγίᾳ τῷ τισσαφέρνει, καὶ τῆς αἰολίδος χαλεπῶς ἔφερεν ἀπεστερημένος. ὁ δ᾽ ἀκούων, πρῶτον μὲν τοίνυν, ἔφη, διάβηθι σὺν ἐμοὶ ἐπὶ καρίαν, ἔπειτα δὲ καὶ περὶ τούτων βουλευσόμεθα. ἐπεὶ δ᾽ ἐκεῖ ἦσαν, ἔδοξεν αὐτοῖς ἱκανὰς φυλακὰς εἰς τὰ ἐρύματα καταστήσαντας, διαβαίνειν πάλιν ἐπὶ τὴν ἰωνίαν. ὡς δ᾽ ἤκουσεν ὁ δερκυλλίδας, ὅτι πάλιν πεπερακότες εἰσὶ τὸν μαίανδρον, εἰπὼν τῷ φάρακι, ὡς ὅτι ὀκνοίη μὴ ὁ τισσαφέρνης, καὶ ὁ φαρνάβαζος ἔρημον οὖσαν καταθέοντες, φέρωσι, καὶ ἄγωσι τὴν χώραν, διέβαινε καὶ αὐτός. πορευόμενοι δὲ καὶ οὗτοι οὐδέν τι συντεταγμένως τῷ στρατεύματι, ὡς προεληλυθότων τῶν πολεμίων εἰς τὴν ἐφεσίαν, ἐξαίφνης ὁρῶσιν ἐκ τῆς ἀντιπέρας σκοποὺς ἐπὶ τῶν μνημάτων. καὶ ἀνταναβιβάσαντες εἰς τὰ παρ᾽ ἑαυτοῖς μνημεῖα, καὶ πύργους τινὰς, καθορῶσι παρατεταγμένους, ᾗ αὐτοῖς ἦν ἡ ὁδός, κᾶράς τε λευκάσπιδας, καὶ τὸ περσικὸν ὅσον ἐτύγχανε παρὸν στράτευμα, καὶ τὸ ἑλληνικὸν ὅσον εἶχεν ἑκάτερος αὐτῶν, καὶ τὸ ἱππικὸν μάλα πολύ. τὸ μὲν τισσαφέρνους ἐπὶ τῷ δεξιῷ κέρατι, τὸ δὲ φαρναβάζου ἐπὶ τῷ εὐωνύμῳ. ὡς δὲ ταῦτα ᾔσθετο ὁ δερκυλλίδας, τοῖς μὲν ταξιάρχοις καὶ τοῖς λοχαγοῖς εἶπε παρατάττεσθαι τὴν ταχίστην εἰς ὀκτώ, τοὺς δὲ πελταστὰς ἐπὶ τὰ κέρατα,

quem cum exercitui per partes distribuisset, præpositis muneribus qui primi ædificassent, ac cæteris ut quisque meritus esset, appetente autumno absoluit, cum sub initium ueris orsus esset: undecimq; inclusit ciuitates, portus quamplurimos, multam, uberem, ac cultam terram, uarijs consitam arboribus, amœnissimisq; præditam pascuis. Hæc cum peregisset, rursus in Asiam transcendit, ac cunctis consideratis urbibus, alia recte se habere deprehendit: Chiorum uero exules Atarneam regionem occupasse munitissimam inuenit, ex qua prædabundi discurrentes, Ioniam ferebant ac agebant, raptisq; uiuebant. Et quamuis illos frumento ac omni commeatu abundare intellexisset, tamen obsidione cinxit, octauoq; tandem subegit mense: ubi constituto Dracone Pellineo præfecto, ac cunctis ex sententia dispositis, omnibus refertam necessarijs regionem reliquit, ut sibi aliquando refugium esset: sicq; Ephesum, quæ trium dierum itinere à Sardis abest, regressus est. Et ad hoc usque tempus in pace egerunt Tissaphernes & Dercyllides, ac horum socij Græci ac barbari. At cum Lacedæmonem ex ciuitatibus Græcis legati uenissent, edocuissentq;, si à Tissapherne sciscitaretur, num ciuitates Græcas liberas dimittere uellet: & ubi id negasset, Caria, ubi ipsius regia erat, uastaretur: quamprimum arbitrari, Tissaphernem in eam descensurum sententiam, ut ipsas sui iuris ac liberas relinqueret. Quibus auditis, Ephori confestim ad Dercyllidem mittentes, Cariam uniuerso irrumpere iubent exercitu, Pharacemq; classis præfectum nauibus subsequi mandant. Contigit eodem tempore, ut Pharnabazus ad Tissaphernem applicaret, ut illum omnium ducem ostenderet: simul & obtestaretur, se paratum esse, ut cōmuni bello ac periculo Græci ex regijs finibus exterminarentur: quamuis Tissapherni tanquam sibi prælato inuideret, ac Aeolide priuari ægreferret. Quæ cum Tissaphernes audisset, illum secum in Cariam, ubi de rebus communibus consulere possent, descendere iussit. Quò cum peruenissent, considerassentq; ualido munitam præsidio, rursus in Ioniam ascenderunt. Dercyllides autem cum illos rursus Mæandrum transgressos intellexisset, timens si cunctaretur, ne regionem præsidio uacuam discurrentes ferrent ac agerent, ipse quoque illac exercitum duxit. Incedente igitur illo ordine structo, ut in hostico fieri solet, statim per anfractus uiarum, quò sibi transeundum erat, hostes apparuere Cares & Leucaspides, ac Persarum exercitus uniuersus equitatu innumerabili: & Tissaphernes quidem dextrum, Pharnabazus uero sinistrum ducebat cornu. Dercyllides hostes adesse certior factus, tribunis ac centurionibus aciem struere mandat, & clypeatos quidem utrinque in cornua

nus locare: equites uero quotquot habebat, in subsidijs esse iußit: ipse uero sacrificabat. Peloponnenses uero qui aderant, quiete signum pugnæ expectabant. At Priennenses & Achillij, ac alij quicunq; ex insulis & Ioniæ ciuitatib. aduenerant, parum derelictis in frumēto, quod in Mæandri campo tum maturum erat, armis, aufugerunt: alij quamuis ordines seruarent, tamē de fuga iam circūspiciebant. Pharnabazus igitur pugnā capessere suadet: at Tissaphernes 10 considerato exercitu copioso, inluesq; omnes Græcos esse existimās, certamē detrectauit, & ad Dercyllidē misit, dicens, uelle cum eo in colloquium uenire. Dercyllides uero acceptis electißimis tam equitum q̄ peditum, obuiā pergit nuncijs, ac illis ait: Ego quidem, ut cernitis, ad pugnā instructus sum: cum uero ille me ad colloquiū uocet, minime detrecto: sed ut fides seruetur, obsides dandi et accipiendi sunt. Id cum utrinq; placuisset, exercitus diuersi abiere, bar 20 barorum Trallis Phrygiæ, Græcorum Leucophryn, ubi Dianæ erat templum sacratißimū, ac stagnum arenosum perenni riuulo, et aquis scaturiens calidis. Postridie in locum cōuenere cōstitutum, & inuicem quærere cœperunt, quibus conditionib. pacem firmarēt. Dercyllides, si rex liberas ciuitates Græcas relinqueret: Tissaphernes uero & Pharnabazus, si exercitus ex regijs educeretur finibus, ac Lacedæmoniorum harmosiæ ex ciuitatib. abirent, pacem of 30 ferebant. Cum hæc & alia quamplurima inuicē dixissent ac audiuissent, inducias pacti sunt, quousq; Dercyllides Lacedæmonijs, Tissaphernes uero regi, pacis nunciarent conditiones. Cum hæc à Dercyllide in Asia gererentur, Lacedæmonij iampridē Eleis infensi erant, quod cum Atheniensib. Argiuis et Mātineis societatem contraxerāt. Cumq; huius rei rationē reddere iußi essent, Lacedæmonios ab equestri et gymnico prohibuerāt certamine: ac his nō cō 40 tenti, cum Lichas curru uicisset, Thebanos uictores declarauerāt: qui cum uictores pronunciati essent, ingressus Lichas aurigā coronauit: ob id uir senex flagris cæsus, ac eiectus erat. Accedebat, quod cum Agis oraculo quodā Ioui sacrificare iussus esset, ab Eliensib. belli finem scrutari prohibitus est. uetusta lege inhibitū esse asserentib. ne Græci cōtra Græcos bellātes, sortes quærerent: ita ille sacrificio minime perfecto, discedere coactus est. His omnib. ex cau 50 sis Senatus ac Ephori irati, Elienses aliquantisper corripere conabātur. Legatos igitur Elim miserunt, qui dicerent, magistratus Lacedæmoniorū iustum esse censere, ut adiacentes ciuitates liberas dimitterēt. Quib. illi respōderūt, minime se id facturos, cū urbes illas belli iure subactas poßiderēt. Lacedæmonij itaq; delectu habito, exercitum coēgere: quem Agis eduxit, ac per Achaiā iuxta Larissam in Eleorū irrupit fines. Cūq; agrū undiq; ferro ac flāma uastaret,

terra

ἀσπίδα, ἐκ τετράδων μὲν καθίστασθαι. καὶ τοὺς ἱππέας ὅσους γε δὴ, καὶ οἵους ἐτύγχανεν ἔχων. αὐτὸς δὲ ἐθύετο. ὅσον μὲν δὴ ἦν ἐκ πελοποννήσου στράτευμα, ἡσυχίαν εἶχε, καὶ παρεσκευάζετο ὡς μαχούμενοι. ὅσοι δὲ ἦσαν πριηνεῖς τε καὶ ἀχιλλεῖς, καὶ ἐκ νήσων, καὶ τῶν ἰωνικῶν πόλεων, οἱ μέν τινες καταλιπόντες ἐν τῷ σίτῳ τὰ ὅπλα, ἀπεδίδρασκον. καὶ γὰρ ἦν βαθὺς ὁ σῖτος ἐν τῷ μαιάνδρου πεδίῳ. ὅσοι δὲ καὶ ἔμενον, δῆλοι ἦσαν οὐ μενοῦντες. τὸν μὲν οὖν φαρνάβαζον ἐξηγγέλλετο μάχεσθαι κελεύειν. ὁ μέντοι τισσαφέρνης τό, τε κύρειον στράτευμα καταλογιζόμενος ὡς ἐπολέμησεν αὐτοῖς, καὶ τούτῳ πάντας νομίζων ὁμοίους εἶναι τοὺς ἕλληνας, οὐκ ἐβούλετο μάχεσθαι. ἀλλὰ πέμψας πρὸς δερκυλλίδαν, εἶπεν ὅτι εἰς λόγους βούλοιτο αὐτῷ ἀφικέσθαι. καὶ ὁ δερκυλλίδας λαβὼν τοὺς κρατίστους τὰ εἴδη τῶν περὶ αὐτὸν ἱππέων καὶ πεζῶν, προῆλθε πρὸς τοὺς ἀγγέλους, καὶ εἶπεν· ἀλλὰ παρεσκευάσμην μὲν ἔγωγε μάχεσθαι ὡς ὁρᾶτε. ἐπεὶ μέντοι ἐκεῖνος βούλεται εἰς λόγους ἀφικέσθαι, οὐδ' ἐγὼ ἀντιλέγω. ἂν μέντοι ταῦτα δέῃ ποιεῖν, πιστὰ, ὁμήρους δοτέον, καὶ ληπτέον. δοξάντων δὲ ταῦτα, καὶ περανθέντων, τὰ μὲν στρατεύματα ἀπῆλθε. τὸ μὲν βαρβαρικὸν εἰς τράλλεις τῆς φρυγίας· τὸ δ' ἑλληνικὸν εἰς λευκόφρυν. ἔνθα ἦν ἀρτέμιδος ἱερὸν μάλα ἅγιον, καὶ λίμνη, πλέον ἢ σταδίου ὑπόψαμμος, ἀέναος, ποτίμου καὶ θερμοῦ ὕδατος. καὶ τότε μὲν ταῦτα ἐπράχθη. τῇ δ' ὑστεραίᾳ εἰς τὸ συγκείμενον χωρίον ἦλθον. καὶ ἔδοξεν αὐτοῖς πυθέσθαι ἀλλήλων ἐφ' οἷστισιν ἂν τὴν εἰρήνην ποιήσαιντο. ὁ μὲν δὴ δερκυλλίδας εἶπεν, εἰ αὐτονόμους ἐῴη βασιλεὺς τὰς ἑλληνίδας πόλεις. ὁ δὲ τισσαφέρνης καὶ φαρνάβαζος εἶπον, ὅτι εἰ ἐξέλθοι τὸ ἑλληνικὸν στράτευμα ἐκ τῆς βασιλέως χώρας, καὶ οἱ λακεδαιμονίων ἁρμοσταὶ ἐκ τῶν πόλεων. ταῦτα δὲ εἰπόντες ἀλλήλοις, σπονδὰς ἐποιήσαντο, ἕως ἀπαγγελθείη τὰ λεχθέντα, δερκυλλίδᾳ μὲν εἰς λακεδαίμονα, τισσαφέρνει δὲ ἐπὶ βασιλέα. τούτων δὲ πραττομένων ἐν τῇ ἀσίᾳ ὑπὸ δερκυλλίδα, λακεδαιμόνιοι κατὰ τὸν αὐτὸν χρόνον πάλαι ὀργιζόμενοι τοῖς ἠλείοις, καὶ ὅτι ἐποιήσαντο ξυμμαχίαν πρὸς ἀθηναίους, καὶ ἀργείους, καὶ μαντινέας, καὶ ὅτι δίκην φάσκοντες καταδεδικάσθαι αὐτῶν, ἐκώλυον καὶ τοῦ ἱππικοῦ καὶ τοῦ γυμνικοῦ ἀγῶνος. καὶ οὐ μόνον ταῦτ' ἤρκει, ἀλλὰ καὶ λίχα παραδόντος θηβαίοις τὸ ἅρμα, ἐπεὶ ἐκηρύττοντο νικῶντες, ὅτι εἰσῆλθε λίχας στεφανώσων τὸν ἡνίοχον, μαστιγοῦντες αὐτὸν ἄνδρα γέροντα, ἐξήλασαν. τούτων δ' ὕστερον καὶ ἄγιδος πεμφθέντος θῦσαι τῷ διὶ κατὰ μαντείαν τινὰ, ἐκώλυον οἱ ἠλεῖοι μὴ προσεύχεσθαι νίκην πολέμου, λέγοντες ὡς καὶ τὸ ἀρχαῖον εἴη οὕτω νόμιμον, μὴ χρηστηριάζεσθαι τοὺς ἕλληνας ἐφ' ἑλλήνων πολέμῳ. ὥστε ἄθυτος ἀπῆλθεν. ἐκ τούτων οὖν πάντων ὀργιζομένοις ἔδοξε τοῖς ἐφόροις, καὶ τῇ ἐκκλησίᾳ σωφρονίσαι αὐτούς. πέμψαντες οὖν πρέσβεις εἰς ἦλιν, εἶπον, ὅτι τοῖς τέλεσι τῶν λακεδαιμονίων δίκαιον δοκοίη εἶναι ἀφιέναι αὐτοὺς τὰς περιοικίδας πόλεις αὐτονόμους. ἀποκρινομένων δὲ τῶν ἠλείων, ὅτι οὐ ποιήσοιεν ταῦτα, ἐπιλείας γὰρ ἔχειν τὰς πόλεις, φρουρὰν ἔφηναν οἱ ἔφοροι. ἄγων δὲ τὸ στράτευμα ἆγις, ἐνέβαλε διὰ τῆς ἀχαΐας εἰς τὴν ἠλείαν κατὰ λάρισον. ἄρτι δὲ τοῦ στρατεύματος ἐν τῇ πολεμίᾳ ὄντος,

καὶ

καὶ κοπτομένης τῆς χώρας σεισμὸς ἐπιγίγνεται. ὁ δ' ἄγις θεῖον ἡγησάμενος, ἐξελθὼν πάλιν ἐκ τῆς χώρας, διαφῆκε τὸ στράτευμα. ἐκ δὲ τούτου οἱ ἠλεῖοι πολὺ θρασύτεροι ἦσαν, καὶ διεπρεσβεύοντο πρὸς τὰς πόλεις, ὅσας δυσμενεῖς οὔσας τοῖς λακεδαιμονίοις ᾔδεσαν. περιιόντι δὲ τῷ ἐνιαυτῷ, φαίνουσι πάλιν οἱ ἔφοροι φρουρὰν ἐπὶ τὴν ἦλιν. καὶ ξυνεστρατεύοντο τῷ ἄγιδι, πλὴν βοιωτῶν καὶ κορινθίων, οἵ τε ἄλλοι ξύμμαχοι καὶ οἱ ἀθηναῖοι. ἐμβαλόντος δὲ τοῦ ἄγιδος διὰ αὐλῶνος, εὐθὺς μὲν λεπρεᾶται ἀποστάντες τῶν ἠλείων, προσεχώρησαν αὐτῷ. εὐθὺς δὲ μακίστιοι, ἐχόμενοι δὲ ἐπιταλιεῖς. διαβαίνοντι δὲ τὸν ποταμόν, προσεχώρουν λεπρῖνοι, καὶ ἀμφίδολοι, καὶ μαργανεῖς. ἐκ τούτου ἐλθὼν εἰς ὀλυμπίαν, ἔθυε τῷ διῒ τῷ ὀλυμπίῳ. κωλύειν δὲ οὐδεὶς ἔτι ἐπειρᾶτο. θύσας δὲ πρὸς τὸ ἄστυ, ἐπορεύετο κόπτων καὶ κάων τὴν χώραν, καὶ ὑπέρπολλα μὲν κτήνη, ὑπέρπολλα δὲ ἀνδράποδα ἡλίσκετο ἐκ τῆς χώρας. ὥστε ἀκούοντες καὶ ἄλλοι πολλοὶ τῶν ἀρκάδων καὶ ἀχαιῶν, ἑκόντες ᾔεσαν συστρατευσόμενοι. καὶ μετεῖχον τῆς ἁρπαγῆς, καὶ ἐγένετο αὕτη ἡ στρατιὰ ὥσπερ ἐπισιτισμὸς τῇ πελοποννήσῳ. ἐπεὶ δὲ ἀφίκετο πρὸς τὴν πόλιν, τὰ μὲν προάστεια καὶ τὰ γυμνάσια καλὰ ὄντα ἐλυμαίνετο· τὴν δὲ πόλιν, ἀτείχιστος γὰρ ἦν, ἐνόμισαν αὐτὸν μὴ βούλεσθαι μᾶλλον, ἢ μὴ δύνασθαι ἑλεῖν. δῃουμένης δὲ τῆς χώρας, καὶ ὄντος τῆς στρατιᾶς περὶ κυλλήνην, βουλόμενοι οἱ περὶ ξενίαν τὸν λεγόμενον μεδίμνῳ ἀπομετρήσασθαι παρὰ τοῦ πατρὸς ἀργύριον δι' αὐτῶν προσχωρῆσαι τοῖς λακεδαιμονίοις, ἐκπεσόντες ἐξ οἰκίας, ξίφη ἔχοντες, σφαγὰς ποιοῦσι, καὶ ἄλλους τέ τινας ἀποκτείνουσι, καὶ ὅμοιόν τινα θρασυδαίῳ ἀποκτείναντες τῷ τοῦ δήμου προστάτῃ, ᾤοντο θρασυδαῖον ἀπεκτονέναι. ὥστε ὁ μὲν δῆμος παντελῶς κατηθύμησε καὶ ἡσυχίαν εἶχεν. οἱ δὲ σφαγεῖς πάντ' ᾤοντο πεπραγμένα εἶναι. καὶ οἱ ὁμογνώμονες αὐτοῖς ἐξεφέροντο τὰ ὅπλα εἰς τὴν ἀγοράν. ὁ δὲ θρασυδαῖος ἔτι καθεύδων ἐτύγχανεν οὗπερ ἐμεθύσθη. ὡς δὲ ᾔσθετο ὁ δῆμος ὅτι οὐ τέθνηκεν ὁ θρασυδαῖος, περιεπλήσθη ἡ οἰκία ἔνθεν καὶ ἔνθεν, ὥσπερ ὑπὸ ἑσμοῦ μελιττῶν ὁ ἡγεμών. ἐπεὶ δὲ ἡγεῖτο ὁ θρασυδαῖος, ἀναλαβὼν τὸν δῆμον, γενομένης μάχης, ἐκράτησεν ὁ δῆμος. ἐξέπεσον δὲ πρὸς τοὺς λακεδαιμονίους, οἱ ἐγχειρήσαντες ταῖς σφαγαῖς. ἐπεὶ δ' αὖ ὁ ἄγις ἀπιὼν διέβη τὸν ἀλφειόν, φρουροὺς καταλιπὼν ἐν ἐπιταλίῳ πλησίον τοῦ ἀλφειοῦ, καὶ λύσιππον ἁρμοστήν, καὶ τοὺς ἐξ ἤλιδος φυγάδας τὸ μὲν στράτευμα διῆκεν· αὐτὸς δὲ οἴκαδε ἀπῆλθε. καὶ τὸ μὲν λοιπὸν θέρος, καὶ τὸν ἐπιόντα χειμῶνα ὑπὸ τοῦ λυσίππου καὶ τῶν περὶ αὐτὸν ἐφέρετο, καὶ ἤγετο ἡ τῶν ἠλείων χώρα. τοῦ δ' ἐπιόντος θέρους πέμψας θρασυδαῖος εἰς λακεδαίμονα, ξυνεχώρησε σφίας τε τὸ τεῖχος περιελεῖν, καὶ κυλλήνην, καὶ τὰς τριφυλλίδας πόλεις ἀφεῖναι, φείαν, καὶ ἐπιτάλιον, καὶ λεπρίναν, καὶ ἀμφιδόλους, καὶ μαργανεῖς· πρὸς δὲ ταύταις καὶ ἀκρωρείους, καὶ λασίωνα τὸν ὑπ' ἀρκάδων λεγόμενον. ἤπειον μέντοι τὴν μεταξὺ πόλιν ἡραίας, καὶ μακίστου, ἠξίουν οἱ ἠλεῖοι ἔχειν. πρίασθαι γὰρ ἔφασαν τὴν χώραν ἅπασαν παρὰ τῶν τότε ἐχόντων τὴν πόλιν, τριάκοντα ταλάντων, καὶ τὸ ἀργύριον ἀποδεδωκέναι. οἱ δὲ λακεδαιμόνιοι γνόντες, μηδὲν δικαιό-

terræmotus factus est: quo prodigio tanquam diuino Agis territus, exercitum ex hostium finibus reduxit. Elei ob id animo elati, legatos ad omnes circum misere ciuitates, quas Lacedæmonijs infensos norant. Reuoluto anno, Agis ex Ephororum sententia rursus exercitum coëgit, ac cum eo militarunt, præter Bœotios & Corinthios, socij omnes: Athenienses quoque. Cum his igitur per Aulonem ingressus Elidem, statim Lepreates ab Elijs deficientes deditione cepit. Hos sequuti sunt Macistij & Petalij: cumque flumen transgressus esset, Leprini, Amphidoli, & Marganes in fidem uenere. Inde Olympiam progressus nemine prohibente, Ioui Olympio sacrum fecit: ac per totam prouinciam populabundus, cuncta ferro ac igni deuastans, grassari cœpit: infinita quoque abegit iumenta, quamplurimáque cepit mancipia. Quibus auditis, plurimi Arcades & Achæi uoluntarij illum, ut rapinæ participes fierent, sequuti sunt, adeo ut expeditione illa totum commeatu repleret Peloponnesum. Cumq; urbi propinquasset, suburbana, ac gymnasia sumptuoso extructa opere, uastauit: ciuitatem uero cum muro careret, noluisse potius capere, quam nequiuisse, arbitrantur. Cum igitur undique per prouinciam uastitas fieret, exercitúsque circa Cyllenen esset, quidam cum Lacedæmonijs sentientes, seditionem in ciuitate concitarunt: ac cæde per urbem grassantes, quamplurimos, inter quos similem quendam Thrasydæo, qui populo præerat, interfecerunt, arbitrantes Thrasydæum occidisse. Populus itaque territus quiescebat. At seditiosi omnia sibi iam peracta existimantes, cum facinoris conscijs in forum aduolant. Verum Thrasydæus domi dormiebat, nam uino se ingurgitauerat. Id cum populus resciuisset, ut examen apium Thrasydæi domum circumsedit. Thrasydæus igitur populi auxilio seditiosos aggressus superauit: qui expulsi ad Lacedæmonios se contulerunt. Agis interea cum exercitum reducere decreuisset, Alpheum transgressus, in Epitalio iuxta Alpheum præsidium constituit, cui Lysippum harmosten cum Eliensibus exulibus præesse iußit: ipse dissoluto exercitu domum abijt. Aestate uero reliqua ac hyeme, Eleorum fines à Lysippo & præsidio aßidue ferro ac flamma uastabantur.

Ineunte uere, Thrasydæus pro pace impetranda Lacedæmonem mittit, paratum se esse dicens muros subruere uelle: præterea Cyllenen, & ciuitates Triphyllidas, Phrixan, Epitalion, Leprinam, Amphidolos & Marganes liberas dimittere, & ultra illos Acrorios, & quæ ab Arcadibus Lasion appellatur. Epium uero, & adiacentes ciuitates, Ereas & Macipum, Elij ipsis relinqui orabant: nam eam regionem uniuersam triginta argenti talentis ab antiquis possessoribus emisse, pecuniamq; numerasse ostendebant. Lacedæmonij cum arbitrarentur non minus iniustum

iustum esse, ui emere, quàm ui impotentioribus quid extorquere, eam quoq; illos regionem dimittere coëgerunt. Iouis uerò Olympij templo, quãuis antiquitus Eliensium minime fuisset, eos præesse haud prohibuerunt: existimãtes Choritas, qui illud sibi uendicare nitebantur, minime idoneos esse qui id obtinerent. His conditionibus pax ac societas inter Lacedæmonios & Elienses sancita, bellumq; solutum est. Post hæc Agis Delphos profectus est, ac decimam deo obtulit. Inde cum 10 discessisset, morbo (iam enim senex erat) in Heræa correptus, uiuus tamen Lacedæmonem delatus est, ubi paulo post uita excessit, augustioreq; illi quàm humana contigit sepultura. Cumq; iuxta cõsuetudinem dies aduentassent, quib. regem eligere oportebat, Leotychides, qui se Agidis filium ferebat, et Agesilaus frater, ambo ad regnum aspirare cœperunt: cumq; Leotychides dixisset, lex ò Agesilae nõ fratrem regis, sed filium regnare iubet: at si uirilis sexus liberi minime supersunt, tũc 20 demum ad fratrẽ regnum deuoluitur. Respõdit ille: Igitur me regnare oportet. Et quo pacto, inquit Leotychides, cum regis supersim filius? Quoniã, ait, quem patrem appellas, aliquãdo te suum esse negauit natum: et nunc quoq; te patre lõge formosiorẽ esse aiunt. Insuper cõstat patrẽ cum te minime ex se cõceptum intelligeret, matrẽ tuã e thalamo expulisse. Tẽpus quoq;, utpote uerissimũ, huic rei testimoniũ præstat, cum decimo tandẽ post ultimum Agidis cum matre cõgressum, natus sis mẽ 30 se. Et illi his inter se cõtendebant. Diophites uero uates egregius, Leotychidi astipulabatur, dicẽs, Apollinis esse oraculum, ut regnum à claudicatione obseruaretur. Cui Lysander pro Agesilao contradixit: deum nõ iubere asserens, cauẽdum esse à casu claudicantis: sed potius, ne quis alienus à regis stirpe imperaret: omnino. n. regnum claudum fore, si quis ab Heraclidis minime progenitus regnum teneret. Hæc cum utrinq; audita essent, Agesilaus rex creatus est. Cumq; nondum annum 40 regnasset, ac hostiam pro ciuitate sacrificaret, uates inquit, deos sibi ostendere potẽtissimum quendam illi insidias struere. Cumq; rursus sacrificium obtulisset, hostiam maiores portendere insidias ait. Tertio uero cum iterum sacrum fecisset, dixit: ò Agesilaẽ, dij nos in medijs uersari ostẽdunt hostibus. Inde pro malis arcendis, ac salute sacrificantes, cum uix tandem litassent, discessere. Quinta postea die insidiæ & illarum machinator Cinadon, à quodam ad Ephoros delatæ sunt. Erat ille 50 ætate iuuenis, ac super omnes æquales robustus & audax. Quærentibus igitur Ephoris rei seriem, ait index, se à Cinadone per forum deductum esse, iussumq; considerare quotnam Spartani in foro essent: & ego, inquit, numeraui regem & Ephoros, senes, ac alios quasi quadringentos. Cumque quæsiuissem, cur me illos numerare iussisset: respondit, Hos tibi inimicos esse uelim existimes, reliquos omnes amicos. Insuper cunctos, præter solum præfectum, in Spartano/

δικαιότερον εἶναι πριαμένους, ἢ βίᾳ ἀφελομένους παρὰ τῶν ἡττόνων λαμβάνειν, ἀφεῖναι καὶ ταύτην ἠνάγκασαν. τοῦ μέντοι προεστάναι τοῦ διὸς τοῦ ὀλυμπίου ἱεροῦ, καίπερ οὐκ ἀρχαίου ἠλείοις ὄντος, οὐκ ἀπήλασαν αὐτοὺς, νομίζοντες τοὺς ἀντιποιουμένους χωρίτας εἶναι, καὶ οὐχ ἱκανοὺς προεστάναι. τούτων δὲ συγχωρηθέντων, εἰρήνη τε γίγνεται, καὶ ξυμμαχία ἠλείων πρὸς λακεδαιμονίους. καὶ οὕτω μὲν δὴ ὁ λακεδαιμονίων καὶ ἠλείων πόλεμος ἔληξε. μετὰ δὲ τοῦτο ἆγις ἀφικόμενος εἰς δελφοὺς, καὶ τὴν δεκάτην ἀποθύσας, πάλιν ἀπιὼν, ἔκαμεν ἐν ἡραίᾳ γέρων ἤδη ὢν, καὶ ἀπηνέχθη μὲν εἰς λακεδαίμονα ἔτι ζῶν. ἐκεῖ δὲ ταχὺ ἐτελεύτησε, καὶ ἔτυχε σεμνοτέρας, ἢ κατὰ ἄνθρωπον ταφῆς. ἐπεὶ δὲ ὡς ἀώθεσαν αἱ ἡμέραι παρῆλθον, καὶ ἔδει βασιλέα καθίστασθαι, ἀντέλεγε περὶ βασιλείας λεωτυχίδης, υἱὸς φάσκων ἄγιδος εἶναι. ἀγησίλαος δὲ ἦν ἀδελφός. εἰπόντος δὲ τοῦ λεωτυχίδου, ἀλλ' ὁ νόμος, ὦ ἀγησίλαε, οὐκ ἀδελφὸν, ἀλλ' υἱὸν βασιλέως βασιλεύειν κελεύει. εἰ δὲ υἱὸς μὴ τυγχάνοι, ὁ ἀδελφὸς, καὶ ὣ βασιλεύοι, ἐμὲ ἂν δέοι, ἔφη ὁ ἀγησίλαος. πῶς ἐμοῦ γε ὄντος; ὅτι ὅντινα καλεῖς πατέρα, οὐκ ἔφη σε εἶναι ἑαυτοῦ. ἀλλ' ἡ πολὺ κάλλιον ἐκείνου εἰδυῖα μήτηρ καὶ νῦν ἔτι φησίν. ἀλλ' ὁπότε δ' ἂν ὡς μάλα σοι ψευδομένῳ κατεμήνυσεν ἐκ τοῦ θαλάμου ἐξελάσας σεισμῷ εἰς τὸ φανερὸν τὸν σὸν πατέρα, συμμαρτυρεῖ ταῦτ' αὐτῷ καὶ ὁ ἀληθέστατος λεγόμενος χρόνος εἶναι. ἀφ' οὗ γάρ τοι ἔφυσε, ἐξεφάνη ἐν τῷ θαλάμῳ, δεκάτῳ μηνὶ ἐγένου. οἱ μὲν τοιαῦτ' ἔλεγον. διοπείθης δὲ μάλα χρησμολόγος ἀνὴρ, λεωτυχίδῃ ξυναγορεύων εἶπεν, ὡς καὶ ἀπόλλωνος χρησμὸς εἴη φυλάξασθαι τὴν χωλὴν βασιλείαν. λύσανδρος δὲ πρὸς αὐτὸν ὑπὲρ ἀγησιλάου ἀντεῖπεν, ὡς οὐκ οἴοιτο τὸν θεὸν τοῦτο κελεύειν φυλάξασθαι, μὴ προσπταίσας τὶς, χωλεύσει, ἀλλὰ μᾶλλον μὴ οὐκ ὢν τοῦ γένους βασιλεύσῃ. παντάπασι γὰρ ἂν χωλὴν εἶναι τὴν βασιλείαν, ὁπότε μὴ ἀφ' ἡρακλέους τῆς πόλεως ἡγοῖτο. τοιαῦτα δὲ ἀκούσασα ἡ πόλις ἀμφοτέρων, ἀγησίλαον εἵλοντο βασιλέα. οὔπω δ' ἐνιαυτὸν ὄντος ἐν τῇ βασιλείᾳ ἀγησιλάου, θύοντος αὐτοῦ τῶν τεταγμένων τινὰ θυσιῶν ὑπὲρ τῆς πόλεως, εἶπεν ὁ μάντις, ὅτι ἐπιβουλήν τινα τῶν δεινοτάτων φαίνοιεν οἱ θεοί. ἐπεὶ δὲ πάλιν ἔθυσεν, ἔτι δεινότερα ἔφη τὰ ἱερὰ φαίνεσθαι. τὸ τρίτον ἤδη θύοντος, εἶπεν, ὦ ἀγησίλαε, ὥσπερ εἰ ἐν αὐτοῖς εἴημεν τοῖς πολεμίοις, οὕτω σημαίνεται. ἐκ δὲ τούτου θύοντες καὶ τοῖς ἀποτροπαίοις, καὶ τοῖς σωτῆρσι, καὶ μόλις καλλιερήσαντες ἐπαύσαντο. ληγούσης δὲ τῆς θυσίας ἐντὸς πέντε ἡμερῶν, κατηγορεύει τὶς πρὸς τοὺς ἐφόρους ἐπιβουλὴν, καὶ τὸν ἀρχηγὸν τοῦ πράγματος κινάδωνα. οὗτος δ' ἦν καὶ τὸ εἶδος νεανίσκος, καὶ τὴν ψυχὴν εὔρωστος, οὐ μέντοι τῶν ὁμοίων. ἐρωμένων δὲ τῶν ἐφόρων πῶς φαίη τὴν πρᾶξιν ἔσεσθαι, εἶπεν ὁ εἰσαγγείλας, ὅτι ὁ κινάδων ἀγαγὼν αὐτὸν ἐπὶ τὸ ἔσχατον τῆς ἀγορᾶς, ἀριθμῆσαι κελεύει ὁπόσοι εἶεν σπαρτιᾶται ἐν τῇ ἀγορᾷ. καὶ ἐγὼ, ἔφη, ἀριθμήσας βασιλέα τε, καὶ ἐφόρους, καὶ γέροντας, καὶ ἄλλους ὡς τετταράκοντα, ἠρόμην τί δή με τούτους, ὦ κινάδων, ἐκέλευσας ἀριθμῆσαι; ὁ δὲ εἶπε, τούτους, ἔφη, νόμιζε σοι πολεμίους εἶναι, τοὺς δ' ἄλλους πάντας ξυμμάχους. καὶ ὅσοι δὴ ἐν τοῖς χωρίοις σπαρ-

πατῶν

πατῶν τύχοιεν ὄντες, ἕνα μὲν πολέμιον τὸν δεσπότην,
ξυμμάχους δ' ἐν ἑκάστῳ πολλούς. ἐρωτώντων δὲ τῶν ἐφό-
ρων πόσους φαίη καὶ τοὺς ξυνειδότας τὴν πρᾶξιν εἶναι. λέ-
γειν καὶ περὶ τούτου ἔφη αὐτόν, ὡς σφίσι μὲν τοῖς προ-
εστηκόσιν, οὐ πάνυ πολλοί, ἀξιόπιστοι δὲ συνειδεῖεν. αὐ-
τοὶ μέντοι πᾶσιν ἔφασαν συνειδέναι, καὶ εἵλωσι καὶ νεο-
δαμώδεσι, καὶ τοῖς ὑπομείοσι, καὶ τοῖς περιοίκοις. ὅπου γὰρ
ἐν τούτοις τὶς λόγος γένοιτο περὶ Σπαρτιατῶν, οὐδένα δύνα-
σθαι κρύπτειν, τὸ μὴ οὐχ ἡδέως ἂν καὶ ὠμῶν ἐσθίειν αὐτῶν.
πάλιν οὖν ἐρωτώντων, ὅπλα δὲ πόθεν ἔφασαν λήψεσθαι.
τὸν δ' εἰπεῖν, ὅτι οἱ μὲν δή που συντεταγμένοι ἡμῶν, αὐ-
τοὶ ἔφασαν ὅπλα κεκτήμεθα. τοῦ δ' ὄχλου ἀγαγόντα
αὐτὸν τὸν σίδηρον, ἐπιδεῖξαι αὐτὸν ἔφη πολλὰς μὲν μαχαί-
ρας, πολλὰ δὲ ξίφη, πολλοὺς δὲ ὀβελίσκους, πολλοὺς δὲ πελέ-
κεις καὶ ἀξίνας, καὶ πολλὰ δρέπανα. λέγειν δ' αὐτὸν ἔφη,
ὅτι καὶ ταῦτα ὅπλα πάντα εἴη, ὁπόσοις ἄνθρωποι καὶ γῆν
καὶ ξύλα, καὶ λίθους ἐργάζονται. καὶ τῶν ἄλλων δὲ τεχνῶν τὰς
πλείστας, τὰ ὄργανα ὅπλα ἔχειν ἀρκοῦντα. ἄλλως τε καὶ
πρὸς ἀόπλους. πάλιν οὖν ἐρωτώμενος, ἐν τίνι χρόνῳ ταῦ-
τα μέλλει πράττεσθαι, εἶπεν, ὅτι ἐπιδημεῖν οἱ παρηγ-
γελμένοι εἶεν. ἀκούσαντες ταῦτα οἱ ἔφοροι, ἐσκεμμέ-
να τε λέγειν ἡγήσαντο αὐτόν, καὶ ἐξεπλάγησαν. καὶ οὐ-
δὲ τὴν μικρὰν καλουμένην ἐκκλησίαν ξυλλέξαντες,
ἀλλὰ ξυλλεγόμενοι τῶν γερόντων ἄλλος ἄλλοθεν ἐβουλεύ-
σαντο πέμψαι τὸν Κινάδωνα εἰς Αὐλῶνα σὺν ἄλλοις τῶν
νεωτέρων, καὶ κελεῦσαι ἥκειν ἄγοντα τῶν Αὐλωνιτῶν τέ
τινας, καὶ τῶν εἱλωτῶν τοὺς ἐν τῇ σκυτάλῃ γεγραμμένους.
ἀγαγεῖν δὲ ἐκέλευον καὶ τὴν γυναῖκα, ἣ καλλίστη μὲν ἐλέ-
γετο αὐτόθι εἶναι, λυμαίνεσθαι δ' ἐδόκει τοὺς ἀφικνουμένους
Λακεδαιμονίων, καὶ πρεσβυτέρους, καὶ νεωτέρους. ὑπη-
ρετήκει δὲ καὶ ἄλλα ἤδη ὁ Κινάδων τοῖς ἐφόροις τοιαῦτα. καὶ
τότε δὴ ἔδοσαν τὴν σκυτάλην αὐτῷ, ἐν ᾗ γεγραμμένοι
ἦσαν οὓς ἔδει ξυλληφθῆναι. ἐρομένου δὲ τίνας ἄγοι μεθ'
ἑαυτοῦ τῶν νέων, ἴθι εἶπεν, καὶ τὸν πρεσβύτατον τῶν ἱππαγρετῶν
κέλευέ σοι ξυμπέμψαι ἓξ ἢ ἑπτά, οἳ ἂν τύχωσι παρόντες.
ἐμεμελήκει δὲ αὐτοῖς ὅπως ὁ ἱππαγρέτης εἰδείη οὓς δέ-
οι πέμπειν, καὶ οἱ πεμπόμενοι εἰδεῖεν ὅτι Κινάδωνα δέοι
συλλαβεῖν. εἶπον δὲ καὶ τοῦτο τῷ Κινάδωνι, ὅτι πέμ-
ψοιεν τρεῖς ἁμάξας, ἵνα μὴ πεζοὺς ἄγωσι τοὺς ληφθέν-
τας, ἀφανίζοντες ὡς ἐδύναντο μάλιστα, ὅτι ἐφ' ἕνα ἐ-
κεῖνον ἔπεμπον. ἐν δὲ τῇ πόλει οὐ ξυνελάμβανον αὐ-
τόν, ὅτι πρᾶγμα οὐκ ᾔδεσαν ὁπόσον τὸ μέγεθος εἴη. καὶ
ἀκοῦσαι πρῶτον ἐβούλοντο τοῦ Κινάδωνος, οἵτινες
εἶεν οἱ ξυμπράττοντες, πρὶν αἰσθέσθαι αὐτοὺς ὅτι μεμήνυ-
ται, ἵνα μὴ ἀποδρῶσιν. ἔμελλον δὲ οἱ συλλαβόντες αὐτὸν
μὲν κατέχειν. τοὺς δὲ ξυνειδότας πυθόμενοι αὐτοῦ γρά-
ψαντες, ἀποπέμψειν τὴν ταχίστην τοῖς ἐφόροις. οὕτω
δ' εἶχον οἱ ἔφοροι πρὸς τὸ πρᾶγμα, ὥστε καὶ μοῖραν ἱπ-
πέων ἔπεμψαν τοῖς ἐπ' Αὐλῶνος. ἐπεὶ δ' εἰλημμένου τοῦ
ἀνδρός, ἧκεν ἱππεὺς φέρων τὰ ὀνόματα, ὧν ὁ Κινάδων
ἀπέγραψε, παραχρῆμα τόν τε μάντιν Τισάμενον, καὶ τοὺς
ἄλλους τοὺς ἐπικαιριωτάτους ξυνελάμβανον. ὡς δ' ἀνήχθη ὁ Κινά-
δων, καὶ ἠλέγχετο, καὶ ὡμολόγει πάντα, καὶ τοὺς ξυνειδό-
τας ἔλεγε, τέλος αὐτὸν ἤροντο τί καὶ βουλόμενος ταῦ-
τα πράττοι. ὁ δ' ἀπεκρίνατο, μηδενὸς ἥττων εἶναι ἐν Λα-
κεδαίμονι. ἐκ τούτου μέντοι ἤδη δεδεμένος καὶ τὼ χεῖρε
καὶ

tanorū finibus amicos putes. Ephori cū quæ
siuissent, quotnam huius rei conscij essent: in
quit, duces esse haud multos, sed qui singula
ri præstarent fide: cōscios uero seruos ac li-
beros, incolas ac uicinos: cum .n. inter hos,
aut, de Spartanis sermo incidit, gaudiū cela-
re nemo potest, sed oēs lætitia efferūtur. Rur
sus Ephoris quærētib. unde arma sumere cō-
stituissent: respōdit, Cum inter nos cōgrega-
10 ti essemus, ac de armis cogitaremus, ille ostē
dit præsto esse enses uarios, gladios multos,
tum magnā hastarū, bipenniū, dolabrū ac fal
ciū, instrumenta scilicet quib. cū homines ter
ram colerēt, ligna ac lapides inciderent: reli-
quas quoq; artes omnifaria suppeditaturas
arma, præcipue contra inermes. Iterū Epho
ris quærentib. quonam tēpore facinus perpe
trare cōstituissent: Cum oēs conscij cōuenis-
sent, respondit. Ephoris uera ille dicere uisus
20 est: quapropter haud paruo perculsi sunt ti-
more, ac nō solum concilīū, quod paruū ap-
pellant, conuocarūt, sed undiq; senioribus con
gregatis, tandem decreuerūt, Cinadonē cum
quibusdam iunioribus. Aulonē mittere, ut Au-
lonitas quosdā cum hilotis in scytala descri-
ptis comprehenderet, ac Lacedæmonē duce
ret: inter quos mulierē quandā pulcherrimā
adducere iubebant, quæ Lacedæmonios ap
plicātes seniores ac iuniores corrūpere fere-
30 batur. Cinadon in his Ephoris obedire para
tus erat, scytalāq; in qua erāt descripti quos
cōprehendere debebat, accepit. Cūq; interro
gasset, quosnā ex iunioribus secū duceret: illi
responderunt, ut seniorē ex Hippagretis adi
ret, ac sex uel septē qui forte adessent, sibi at
tribuere iuberet: clam uero cōposuerūt, Hip
pagretas nosceret, qui secū mittendi forent:
missi uero non ignorarēt, quod Cinadonem
cōprehendere deberēt. Currus quoq; tres illi
40 addidere, ne captiui pedib. iter facere cogerē
tur: celare se maxime fingētes, quāobrē ille
mitteretur. In ciuitate uero eum cōprehende
re nō audebant: ignorabāt enim, qui modo,
et quot, cōiurationis participes essent. Volue
rūt igitur antequā facinus detegeretur audi-
re, quinā cōscij essent, ne re detecta sontes au
fugerēt. Dederūt itaq; his qui eum capere de
bebāt in mādatis, ut illo detēto, eum nomina
consciorū edere cogerēt, eaq; celerrime ad
50 Ephoros mitterēt: tantiq; momenti rem esse
Ephori ducebāt, ut turmā quoq; equitū Aulo
nam ire iuberēt. Quamprimū igitur nomina
eorū, quos Cinadō prodiderat, allata sunt, sta
tem Tisamenū & alios nocētes cōprehende
re iusserūt. Cumq; Cinadon omnia quēadmo
dū se haberent confessus esset, nomina quoq;
cōsciorū manifestasset, interrogatus cur faci
nus tantū molitus esset, nihil aliud respōdit, q̄
ne postremus Lacedæmone esset: quapropter
ipse ac cōtribuli manib. post tergū reuinctis

per ciuitatem undiq; circumducti, ac flagris cæsi sunt, tandemq; meritas facinoris dedere pœnas. Eodem tempore Herodes quidem Syracusanus cum in Phœnicia negociaretur, uidissetq; naues Phœnissas & alias quãplures undiq; contrahi, nouas quoq; ubiq; instrui, audiuissetq; classem trecentarum nauium numerum expleturam, statim conscenso nauigio in Græciam proficiscitur, Lacedæmonijsq; regis ac Tissaphernis in contrahenda classe apparatum nunciat: cæterũ quid molirentur, se ignorare dicebat. Lacedæmonij rem minime contemnendam arbitrantes, socios conuocant, cum quibus quid agendum foret consultabant. Lysander cum existimaret Græcos re nauali excellere, quemadmodumq; milites qui cum Cyro ascenderant salui redijssent perpenderet, Agesilao persuadet, ut sibi tria millia Spartanorum dari peteret, duo millia iuniorum, ac sex sociorum, expeditioneq; in Asiam sumeret: se quoq; cum illo iturum offert, ut statum in ciuitatibus ab eo institutum, & qui per Ephoros solutus erat, rursus cum Agesilao introduceret. Agesilaus accepto à Lacedæmonijs exercitu, ac semestri frumento, reliquis quoq; præparatis necessarijs, sacrificium pro ritu fecit: cumq; litasset, socijs urbibus militum imperat numerum, conueniendi ostendit tempus, & locũ: ipse Aulidem profectus est, ut ibi, tanquam Agamemnon cum Troiam nauigaturus esset, sacrificaret. At Biotharchi cum ipsum sacrificare audissent, missis equitibus, eum à sacrificio prohibuerunt, hostiasq; ab ara deturbarunt. At ille deos testes inuocans, iratus conscensa naue discessit, ac Gerastum nauigauit: ubi uniuerso collecto exercitu, cum classe Ephesum contendit. Quo cum uenisset, illico ad eum Tissaphernes quæsitum mittit, quam ob causam appulisset. Cui Agesilaus respondit, ut Asiaticas, quemadmodum & Græcas, ciuitates in libertatem uendicaret. Petijt Tissaphernes ut Agesilaus tantisper à rebus gerendis abstineret, quoad ipse in Persas ad regem mitteret, promittens omnia illi ex sententia confecturum: fidei tamen causa, & ut absque dolo cuncta gererentur, induciæq; seruarentur, iuramentum exegit. Iurauere igitur utrinq;, Tissaphernes Erippidæ, Dercyllidi et Megialio, ad hoc missis, absque dolo malo pacem obseruare uelle. Illi uero pro Agesilao iuramentum Tissapherni præstiterunt, ni idem faceret, pro nihilo inducias haberent. Et Tissaphernes omnia quæ iurauerat statim ementitus est. Nam cum pacis autorem se obtulisset, ingentem à rege exercitum, præter copias quas antea secum habebat, sibi depoposcit. Agesilaus etsi non ignoraret quid ille post inita fœdera molirentur, quietem tamen egit, ac Ephesi

καὶ τὸν τράχηλον ἐν κλοιῷ, μαστιγούμενος, καὶ κεντούμενος, αὐτός τε καὶ οἱ μετ' αὐτοῦ, περὶ τὴν πόλιν περιήγοντο. καὶ οὗτοι μὲν δὴ τῆς δίκης ἔτυχον. μετὰ δὲ ταῦτα Ἡρώδας τις Συρακόσιος ἐν Φοινίκῃ ὢν μετὰ ναυκλήρου τινός, καὶ ἰδὼν τριήρεις Φοινίσσας, τὰς μὲν καταπλεούσας ἄλλοθεν, τὰς δὲ καὶ αὐτοῦ πεπληρωμένας, τὰς δὲ καὶ ἔτι κατασκευαζομένας, προσακούσας δὲ καὶ τοῦτο, ὅτι καὶ τριακοσίας δέοι αὐτὰς γενέσθαι, ἐπιβὰς ἐπὶ τὸ πρῶτον ἀναγόμενον πλοῖον εἰς τὴν Ἑλλάδα, ἐξήγγειλε τοῖς Λακεδαιμονίοις, ὡς βασιλέως καὶ Τισσαφέρνους, τὸν στόλον τοῦτον παρασκευαζομένων. ὅποι δὲ οὐδὲν ἔφη εἰδέναι. ἀνεπτερωμένων δὲ τῶν Λακεδαιμονίων, καὶ τοὺς συμμάχους συναγαγόντων, καὶ βουλευομένων τί χρὴ ποιεῖν, Λύσανδρος νομίζων καὶ τῷ ναυτικῷ πολὺ περιέσεσθαι τοὺς Ἕλληνας, καὶ τὸ πεζὸν λογιζόμενος ὡς ἐσώθη τὸ μετὰ Κύρου ἀναβάν, πείθει τὸν Ἀγησίλαον ὑποστῆναι, ἢν αὐτῷ δῶσι τριάκοντα Σπαρτιατῶν, εἰς δισχιλίους δὲ τῶν νεοδαμωδῶν, εἰς ἑξακισχιλίους δὲ τὸ σύνταγμα τῶν συμμάχων, στρατεύεσθαι εἰς τὴν Ἀσίαν. πρὸς δὲ τούτῳ τῷ λογισμῷ καὶ αὐτὸς συνεξελθεῖν αὐτῷ ἐβούλετο, ὅπως τὰς δεκαρχίας τὰς κατασταθείσας ὑπ' ἐκείνου ἐν ταῖς πόλεσιν, ἐκπεπτωκυίας δὲ διὰ τοὺς ἐφόρους, οἳ τὰς πατρίους πολιτείας παρήγγειλαν, πάλιν καταστήσειε μετ' Ἀγησιλάου. ἐπαγγειλαμένου δὲ τοῦ Ἀγησιλάου τὴν στρατείαν, διδόασί τε οἱ Λακεδαιμόνιοι ὅσαπερ ᾔτησε, καὶ ἑξαμήνου σῖτον. ἐπεὶ δὲ θυσάμενος καὶ τἆλλα ὅσα ἔδει, καὶ τὰ διαβατήρια, ἐξῆλθε, ταῖς μὲν πόλεσι διαπέμψας ἀγγέλους, προεῖπεν ὅσους τε δέοι ἑκασταχόθεν πέμπεσθαι, καὶ ὅπου παρεῖναι. αὐτὸς δ' ἐβουλήθη ἐλθὼν θῦσαι ἐν Αὐλίδι, ἔνθαπερ ὁ Ἀγαμέμνων ὅτ' εἰς Τροίαν ἔπλει, ἐθύετο. ὡς δ' ἐκεῖ ἐγένετο, πυθόμενοι οἱ Βοιώταρχοι ὅτι θύοι, πέμψαντες ἱππέας, τοῦ τε λοιποῦ ἐκέλευον μὴ θύειν, καὶ οἷς ἐνέτυχον ἱεροῖς τεθυμένοις, διέρριψαν ἀπὸ τοῦ βωμοῦ. ὁ δὲ ἐπιμαρτυρόμενος τοὺς θεούς, καὶ ὀργιζόμενος, ἀναβὰς ἐπὶ τὴν τριήρη, ἀπέπλει. ἀφικόμενος δ' ἐπὶ Γεραιστόν, καὶ συλλέξας ἐκεῖ ὅσον ἐδύνατο τοῦ στρατεύματος πλεῖστον, εἰς Ἔφεσον τὸν στόλον ἐποιεῖτο. ἐπεὶ δὲ ἐκεῖσε ἀφίκετο, πρῶτον μὲν Τισσαφέρνης πέμψας, ἤρετο αὐτὸν τίνος δεόμενος ἥκοι. ὁ δ' εἶπεν, ὅτι αὐτονόμους καὶ τὰς ἐν τῇ Ἀσίᾳ πόλεις εἶναι, ὥσπερ καὶ τὰς ἐν τῇ παρ' ἡμῖν Ἑλλάδι. πρὸς ταῦτ' εἶπεν ὁ Τισσαφέρνης· εἰ τοίνυν θέλεις σπείσασθαι ἕως ἂν ἐγὼ πρὸς βασιλέα πέμψω, οἶμαι ἄν σε ταῦτα διαπραξάμενον ἀποπλεῖν, εἰ βούλοιο. ἀλλὰ βουλοίμην ἄν, ἔφη, εἰ μὴ οἰοίμην γε ὑπὸ σοῦ ἐξαπατᾶσθαι. ἀλλ' ἔξεστιν, ἔφη, σοὶ τούτων πίστιν λαβεῖν, ἦ μὴν ἀδόλως σοῦ πράττοντος ταῦτα, ἡμᾶς μηδὲν τῆς σῆς ἀρχῆς ἀδικήσειν ἐν ταῖς σπονδαῖς. ἐπὶ τούτοις ῥηθεῖσι Τισσαφέρνης μὲν ὤμοσε τοῖς πεμφθεῖσι πρὸς αὐτόν, Ἡριππίδᾳ, καὶ Δερκυλλίδᾳ, καὶ Μεγιαλλίῳ, ἦ μὴν πράξειν ἀδόλως τὴν εἰρήνην. ἐκεῖνοι δὲ ἀντώμοσαν ὑπὲρ Ἀγησιλάου Τισσαφέρνει, ἦ μὴν ταῦτα πράττοντος αὐτοῦ, ἐμπεδώσειν τὰς σπονδάς. ὁ μὲν δὴ Τισσαφέρνης ἃ ὤμοσεν, εὐθὺς ἐψεύσατο. ἀντὶ γὰρ τοῦ εἰρήνην ἔχειν, στράτευμα πολὺ βασιλέως, πρὸς ᾧ εἶχε πρόσθεν, μετεπέμπετο. Ἀγησίλαος δὲ καίπερ αἰσθανόμενος ταῦτα, ὅμως ἐπέμενε ταῖς σπονδαῖς. ὡς δὲ ἡσυχίαν τε καὶ σχολὴν ἄγων ὁ Ἀγησίλαος διέτριβεν ἐν τῇ Ἐφέσῳ,

ἐφέσου, ἅτε συντεταραγμένων ἐν ταῖς πόλεσι τῶν πολιτειῶν, καὶ οὔτε δημοκρατίας ἔτι οὔσης, ὥσπερ ἐπ' ἀθηναίων, οὔτε δεκαρχίας, ὥσπερ ἐπὶ λυσάνδρου, ἅτε γιγνώσκοντες πάντες τὸν λύσανδρον, προσέκειντο αὐτῷ, ἀξιοῦντες διαπράττεσθαι αὐτὸν παρ' ἀγησιλάου, ὧν ἐδέοντο. καὶ διὰ ταῦτα ἀεὶ παμπληθὴς ὄχλος θεραπεύων αὐτὸν ἠκολούθει. ὥστε ὁ μὲν ἀγησίλαος ἰδιώτης ἐφαίνετο, ὁ δὲ λύσανδρος βασιλεύς. ὅτι μὲν οὖν ἐμήνιε καὶ τὸν ἀγησίλαον ταῦτα, ἐδήλωσεν ὕστερον. οἵ γε μὴν ἄλλοι τριάκοντα ὑπὸ τοῦ φθόνου οὐκ ἐσίγων, ἀλλ' ἔλεγον πρὸς τὸν ἀγησίλαον, ὡς παράνομα ποιοίη λύσανδρος, τῆς βασιλείας ὀγκηρότερον διάγων. ἐπεὶ δὲ καὶ ἤρξατο προσάγειν τινὰς τῷ ἀγησιλάῳ ὁ λύσανδρος, πάντας οἷς γνοίη αὐτὸν συμπράττοντά τι, ἡττωμένους ἀπέπεμπεν. ὡς δ' ἀεὶ τὰ ἐναντία ὧν ἐβούλετο ἀπέβαινε τῷ λυσάνδρῳ, ἔγνω δὴ τὸ γιγνόμενον, καὶ οὔτε ἕπεσθαι ἑαυτῷ ἔτι εἴα ὄχλον, τοῖς τε συμπρᾶξαί τι δεομένοις σαφῶς ἔλεγεν, ὅτι ἔλαττον ἕξοιεν, εἰ αὐτὸς παρείη. βαρέως δὲ φέρων τῇ ἀτιμίᾳ, προσελθὼν εἶπεν· ὦ ἀγησίλαε, μειοῦν μὲν ἄρα σύ γε τοὺς φίλους ἠπίστω; ναὶ μὰ δί', ἔφη, τούς γε βουλομένους ἐμοῦ μείζους φαίνεσθαι· τοὺς δέ γε αὔξοντας, εἰ μὴ ἐπισταίμην ἀντιτιμᾶν, αἰσχυνοίμην ἄν. καὶ ὁ λύσανδρος ἔφη· ἴσως σὺ καὶ μᾶλλον εἰκότα ποιεῖς, ἢ ἐγὼ ἔπραττον. τάδε νῦν μοι ἐκ τοῦ λοιποῦ χάρισαι, ὅπως μήτ' αἰσχύνωμαι ἀδυνατῶν παρὰ σοί, μήτ' ἐμποδών σοι ὦ, ἀπόπεμψόν ποί με. ὅπου γὰρ ἂν ὦ, πειράσομαι ἐν καιρῷ σοι εἶναι. εἰπόντος δὲ ταῦτα, ἔδοξε καὶ τῷ ἀγησιλάῳ οὕτω ποιῆσαι. καὶ πέμπει αὐτὸν ἐφ' ἑλλησπόντου. ἐκεῖ δὲ ὁ λύσανδρος αἰσθόμενος σπιθριδάτην τὸν πέρσην, ἐλαττούμενόν τι ὑπὸ φαρναβάζου, διαλέγεται αὐτῷ, καὶ πείθει ἀποστῆναι, ἔχοντα τούς τε παῖδας, καὶ τὰ περὶ αὐτὸν χρήματα, καὶ ἱππέας ὡς διακοσίους. καὶ τὰ μὲν ἄλλα κατέλιπεν ἐν κυζίκῳ· αὐτὸν δὲ καὶ τὸν υἱὸν ἀναβιβασάμενος, ἧκεν ἄγων πρὸς ἀγησίλαον. ἰδὼν δὲ ὁ ἀγησίλαος, ἥσθη τε τῇ πράξει, καὶ εὐθέως ἀνεπυνθάνετο περὶ τῆς φαρναβάζου χώρας τε καὶ ἀρχῆς. ἐπεὶ δὲ μέγα φρονήσας ὁ τισσαφέρνης ἐπὶ τῷ καταβάντι στρατεύματι παρὰ βασιλέως, προεῖπεν ἀγησιλάῳ πόλεμον, εἰ μὴ ἀπίοι ἐκ τῆς ἀσίας. οἱ μὲν ἄλλοι σύμμαχοι, καὶ λακεδαιμονίων οἱ παρόντες μάλα ἀχθεσθέντες, φανεροὶ ἐγένοντο, νομίζοντες ἐλάττω τῆς παρούσης δύναμιν εἶναι ἀγησιλάῳ, τῆς βασιλέως παρασκευῆς. ἀγησίλαος δὲ μάλα φαιδρῷ τῷ προσώπῳ ἀπαγγέλλειν τισσαφέρνει τοὺς πρέσβεις ἐκέλευσεν, ὡς πολλὴν χάριν αὐτῷ ἔχοι, ὅτι ἐπιορκήσας, αὐτὸς μὲν πολεμίους τοὺς θεοὺς ἐκτήσατο, τοῖς δ' ἕλλησι συμμάχους ἐποίησεν. ἐκ δὲ τούτου εὐθὺς τοῖς μὲν στρατιώταις παρήγγειλε συσκευάζεσθαι, ὡς εἰς στρατείαν. ταῖς δὲ πόλεσιν, εἰς ἃς ἀνάγκη ἦν ἀφικνεῖσθαι στρατευομένῳ ἐπὶ καρίαν, προεῖπεν ἀγορὰν παρασκευάζειν. ἐπέστειλε δὲ καὶ ἴωσι, καὶ αἰολεῦσι, καὶ ἑλλησποντίοις πέμπειν πρὸς ἑαυτὸν εἰς ἔφεσον τοὺς συστρατευσομένους. ὁ δὲ τισσαφέρνης καὶ ὅτι ἱππικὸν οὐκ εἶχεν ὁ ἀγησίλαος, ἡ δὲ καρία ἄφιππος ἦν, καὶ ὅτι ἡγεῖτο αὐτὸν ὀργίζεσθαι αὐτῷ διὰ τὴν ἀπάτην, τῷ ὄντι νομίσας ἐπὶ τὸν αὐτοῦ οἶκον εἰς καρίαν αὐτὸν ὁρμήσειν, τὸ μὲν πεζὸν ἅπαν διεβίβασεν ἐκεῖσε, τὸ δ' ἱππικὸν ἅπαν εἰς τὸ μαιάνδρου περιῆγε πεδίον, νομίζων ἱκανὸν

Ephesi ordinandis ciuitatibus, quæ nec populari statu, quemadmodum sub Athenensibus: nec decarchia, ut sub Lacedæmonijs, iam regebantur, operam impendebat. Cumq; Lysander omnibus notus esset, si quid ab aliquo petebatur, illum accedentes rogabant, ut apud Agesilaum intercederet: quapropter eam ob rem, ac consuetudinem antiquam, ingens turba semper Lysandrũ sectabatur, uadentẽ ita, ut Agesilaus iam in ordinem redactus, Lysander uero rex esse uideretur. Cæterum cum Agesilaus sub initium rem dissimulasset, triginta alij inuidia stimulati minime taciti rem ferebant, sed quotidie Agesilaum instigabant, ostendentes Lysandrum iam regem agere. Agesilaus igitur omnes, quibus Lysandrum fauere intelligebat, infectis remittebat negocijs, ita ut semper contrarium quàm Lysander desideraret, eueniret. Ille re intellecta, turbam se amplius sectari prohibuit: & si quis eum pro intercessione adiret, manifeste ostendit, suum amicis studium obesse: ægre tamen eam ferebat ignominiam, regemq; adiens, inquit: Minores o Agesilaẽ amicos reddere nosti. Et recte per Iouem, ille ait: si me maiores uideri uelint: eos uero qui res meas amplificant, si honore non afficerem, contumeliam mihi inuri arbitrarer. At Lysander: Forsitan rectius tu nunc, inquit, agis, quàm ego tum facere consueueram. Cæterum dehinc, oro, ne ob impotentiam ignominia afficiar, tibi uero impedimento sim, aliquo me ableges: ubicunq; enim fuero, strenuam me tibi operam nauaturum polliceor. Hæc cum dixisset, haud absurdum petere uisus est. Ab Agesilao itaque in Hellespontum missus est, ubi comperto Spithridate Persa Pharnabazi inimico, eum cum liberis, pecunijs, & equitibus quasi ducentis, ad desciscendum induxit: quibus omnibus in Chio derelictis, ipsum cum filio ad Agesilaum perduxit, à quo ille de Pharnabazi reb. certior factus est. Tissaphernes recepto à rege exercitu elatior factus, Agesilao bellum, ni Asia excederet, indixit: quapropter cuncti Lacedæmoniorum socij maxima affecti sunt tristitia: timebant etenim Agesilaum ob copiarum paucitatem, regijs uiribus resistere posse minime. Agesilaus admodum hilari fronte caduceatorem Tissapherni renunciare iubet, ei non paruam se habere gratiã, quod periurio suo deos sibi infensos, Græcis uero propitios reddidisset. Militibus itaq; extemplo ad expeditionem se instruant, præcipit: urbes uero quas in Cariam ducenti adire necesse erat, commeatum comparare iubet: ad Iones, Aeolides, & Hellespontios scribit, ut auxilia ad se Ephesum mittant. Tissaphernes, quia Agesilaus equitibus carebat, Caria uero equitatui permeabilis non sit, tum quia illum propter fraudem sibi iratum esse censebat, ratus eum in Cariam, ubi regia sua erat, impetum facturum, omnes pedestres copias eo transmisit. Equites autem ad Mæandri campum circunduxit, sperans

se Græcos prius equitatu circumuenturum, quàm ad loca equis inuia peruenissent. Sed Agesilaus in contrarium pro Caria in Phrygiam irrupit, cunctaósque in itinere sitas subigebat, ac inexpectatus regionem inuadens, quamplurimas cepit pecunias: toto inde tempore secure exercitum circunduxit. Cumque non longe à Dascyllio abesset, equites qui illum speculatum præcesserant, tumulum quendam, ut inde cuncta speculari possent, occupant. Forte fortuna pari numero equitum ala cum Rhathine & Banæo Pharnabazi fratre notho, in eundem deuenere collem: cumq; uix per quatuor distarent iugera, utrinque in conspectum uenere. Græci in more phalangis in ordinem rediere, haud læta fronte: at Barbari densa incedentes acie, primi in hostes impetum fecerunt: cumq; ad manus uentum esset, quicunq; ex Græcis hostes feriebant, hastas obuertebant: at Persæ quibus cornea erant iacula, celeriter equites duodecim, equos uerò confecere duos, Græcosq; in fugam uertunt. Quibus cum Agesilaus armatura graui opem tulisset, Barbari uno ex suis desiderato, retrocessere. Postridie cum Agesilaus sacrificaret, litare non potuit: quapropter conuersim, mare uersus exercitum ducere cœpit. Cum uero propter equitũ paucitatem per loca campestria incidere posse diffideret, sibi quoque equites comparandos esse duxit, ne tanquam subterfugiens bellare cogeretur. Locupletioribus igitur ex ciuitatibus uniuersis, ut equos alerẽt, imperauit: quicunq; tamen equum, arma & uirum peritum præbuisset, huic à militia uacare licere, edicto præfinitum est. Nec secus singulos ad hoc prompte faciendum induxit, ac si quis pro se alterum moriturum libenti quæreret animo. Postquam autem uer appetebat, uniuersum Ephesum coëgit exercitum: quem cum exerceri uellet, peditibus, si quis egregio corporis robore præstaret, equitibus uero, si quis optime equitaret, præmia proposuit: pariter & clypeatis ac sagittarijs munera constituit, qui se ad debita opera maxime idoneos demonstrassent. Itaque cernere erat gymnasia, uiris se exercentibus plena: & equorum stadia, equitandi studio decertantibus referta, iaculatores uero & sagittarios undique bellica meditantes opera. Totam denique urbem spectaculo dignam reddidit: nam et forum armis omnifarijs ac equis uenalibus refertum erat. Aerarij quoq; fabri, ferrarij, coriarij, pictores, omnes bellica fabricabant instrumenta, ita ut urbs illa recte belli officina uocari posset. Illud quoq; ad bene sperandum cunctos incitabat: nam Agesilaum, deinde reliquos milites à gymnasijs reuertẽtes, intueri erat, coronas quibus coronati fuerant Dianæ offerentes. VBI enim homines deos colunt, bellicaq; exercent opera, principibus obtemperare student, nonne ibi omnia spe bona referta esse consentaneũ est? Ratus

ἱκανὸν εἶναι καταπεπτῶσαι τῷ ἱππικῷ τοὺς Ἕλληνας, πρὶν ἐς τὰ δύσιππα ἀφικέσθαι. ὁ δὲ Ἀγησίλαος ἀντὶ τοῦ ἐπὶ Καρίαν ἰέναι εὐθὺς τἀναντία ἀποστρέψας, ἐπὶ Φρυγίας ἐπορεύετο, καὶ τάς τε ἐν τῇ πορείᾳ πόλεις κατεστρέφετο, καὶ ἐμβαλὼν ἀπροσδοκήτως, παμπληθῆ χρήματα ἐλάμβανε, καὶ τὸν μὲν ἄλλον χρόνον ἀσφαλῶς διεπορεύετο. οὐ πόῤῥω δ' ὄντος Δασκυλείου, προϊόντος αὐτοῦ, οἱ ἱππεῖς ἤλαυνον ἐπὶ λόφον τινὰ, ὡς προΐδοιεν τί τἄμπροσθεν εἴη. κατὰ τύχην δέ τινα καὶ οἱ τοῦ Φαρναβάζου ἱππεῖς, οἱ περὶ Ῥαθίνην καὶ Βαγαῖον τὸν νόθον ἀδελφὸν ὄντα, παρόμοιοι τοῖς Ἕλλησι τὸν ἀριθμὸν, πεμφθέντες ὑπὸ Φαρναβάζου, ἤλαυνον καὶ οὗτοι ἐπὶ τὸν αὐτὸν τοῦτον λόφον. ἰδόντες δὲ ἀλλήλους οὐδὲ τέτταρα πλέθρα ἀπέχοντας, τὸ μὲν πρῶτον ἔστησαν ἀμφότεροι. οἱ μὲν Ἑλλήνων ἱππεῖς ὥσπερ φάλαγξ ἐπὶ τεττάρων ἦσαν τεταγμένοι, οἱ δὲ βάρβαροι τοὺς πρώτους οὐ πλέον ἢ εἰς δώδεκα ποιήσαντες, τὸ βάθος δ' ἐπὶ πολλῶν, ἔπειτα μέντοι πρόσθεν ὥρμησαν οἱ βάρβαροι. ὡς δ' εἰς χεῖρας ἦλθον, ὅσοι μὲν τῶν Ἑλλήνων ἔπαισάν τινας, πάντες ξυνέτριψαν τὰ δόρατα. οἱ δὲ Πέρσαι κρανέϊνα παλτὰ ἔχοντες, ταχὺ δώδεκα μὲν ἱππέας, δύο δ' ἵππους ἀπέκτειναν. ἐκ δὲ τούτου ἐτρέφθησαν οἱ Ἑλλήνων ἱππεῖς. βοηθήσαντος δὲ Ἀγησιλάου σὺν τοῖς ὁπλίταις, πάλιν ἀπεχώρουν οἱ βάρβαροι, καὶ εἷς τῶν Περσῶν εἷς αὐτῶν ἀποθνήσκει. γενομένης δὲ ταύτης τῆς ἱππομαχίας, θυομένῳ τῷ Ἀγησιλάῳ τῇ ὑστεραίᾳ ἐπὶ προόδῳ ἄλοβα γίγνεται τὰ ἱερά. τούτου μέντοι φανέντος, στρέψας ἐπορεύετο ἐπὶ τὴν θάλασσαν. γιγνώσκων δὲ ὅτι εἰ μὴ ἱππικὸν ἱκανὸν κτήσαιτο, οὐ δυνήσοιτο κατὰ τὰ πεδία στρατεύεσθαι, ἔγνω τοῦτο κατασκευαστέον εἶναι, ὡς μὴ δραπετεύοντα πολεμεῖν δέοι. καὶ τοὺς μὲν πλουσιωτάτους ἐκ πασῶν τῶν ἐκεῖ πόλεων, ἱπποτροφεῖν κατέλεξε. προεῖπεν δὲ ὅστις παρέχοιτο ἱππικὸν, καὶ ὅπλα, καὶ ἄνδρα δόκιμον, ὅτι ἐξέσται αὐτῷ μὴ στρατεύεσθαι, ἐποίησεν οὕτω ξυντόμως πράττεσθαι, ὥσπερ ἄν τις τὸν ὑπὲρ αὑτοῦ ἀποθανούμενον προθύμως ζητοίη. ἐκ δὲ τούτου, ἐπεὶ ἔαρ ὑπέφαινε, ξυνήγαγε μὲν ἅπαν τὸ στράτευμα εἰς Ἔφεσον. ἀσκῆσαι δ' αὐτὸ βουλόμενος, ἆθλα προύθηκε, ταῖς δὲ ὁπλιτικαῖς τάξεσιν, ἥτις ἄριστα σωμάτων ἔχοι, καὶ ταῖς ἱππικαῖς, ἥτις κράτιστα ἱππεύοι, καὶ πελτασταῖς δὲ καὶ τοξόταις ἆθλα προύθηκεν, ὅσοι κράτιστοι πρὸς τὰ προσήκοντα ἔργα φανεῖεν. ἐκ δὲ τούτου παρῆν ὁρᾶν τὰ μὲν γυμνάσια πάντα μεστὰ ἀνδρῶν τῶν γυμναζομένων, τὸν δ' ἱππόδρομον τῶν ἱππαζομένων, τοὺς δ' ἀκοντιστὰς, καὶ τοὺς τοξότας, μελετῶντας. ἀξίαν δὲ καὶ ὅλην τὴν πόλιν, ἐν ᾗ ἦν, τὴν Ἔφεσον, θέας ἐποίησεν. ἥ τε γὰρ ἀγορὰ ἦν μεστὴ παντοδαπῶν, καὶ ἵππων καὶ ὅπλων καὶ ὠνίων, οἵ τε χαλκοτύποι, καὶ οἱ τέκτονες, καὶ οἱ χαλκεῖς, καὶ οἱ σκυτοτόμοι, καὶ οἱ ζωγράφοι, πάντες πολεμικὰ ὅπλα κατεσκεύαζον, ὥστε τὴν πόλιν ὄντως οἴεσθαι πολέμου ἐργαστήριον εἶναι. ἐπεῤῥώσθη δ' ἄν τις καὶ ἐκεῖνο ἰδὼν, Ἀγησίλαον μὲν πρῶτον, ἔπειτα δὲ καὶ τοὺς ἄλλους στρατιώτας ἐστεφανωμένους ἀπὸ τῶν γυμνασίων ἀπιόντας, καὶ ἀνατιθέντας τοὺς στεφάνους τῇ Ἀρτέμιδι. ὅπου γὰρ ἄνδρες θεοὺς μὲν σέβοιντο, τὰ δὲ πολεμικὰ ἀσκοῖεν, πειθαρχεῖν δὲ μελετῷεν, πῶς οὐκ εἰκὸς ἐνταῦθα πάντα μεστὰ ἐλπίδων ἀγαθῶν εἶναι;

ἡγούμενος

ἡγούμενος δὲ καὶ τὸ καταφρονεῖν τῶν πολεμίων, ῥώμην τινὰ ἐμβάλλειν πρὸς τὸ μάχεσθαι, προεῖπε τοῖς κήρυξι τοὺς ὑπὸ τῶν λῃστῶν ἁλισκομένους βαρβάρους γυμνοὺς πωλεῖν. ὁρῶντες οὖν οἱ στρατιῶται λευκοὺς μὲν διὰ τὸ μηδέποτε ἐκδύεσθαι, μαλακοὺς δὲ καὶ ἀπόνους, διὰ τὸ ἀεὶ ἐπ' ὀχημάτων εἶναι, ἐνόμισαν οὐδὲν διοίσειν τὸν πόλεμον, ἢ εἰ γυναιξὶ δέοι μάχεσθαι. ἐν δὲ τούτῳ τῷ χρόνῳ, καὶ ὁ ἐνιαυτὸς ἤδη, ἀφ' οὗ ἐξέπλευσεν ὁ Ἀγησίλαος, διεληλύθει. ὥστε οἱ μὲν περὶ Λύσανδρον τριάκοντα οἴκαδε ἀπέπλεον. διάδοχοι δ' αὐτῶν οἱ περὶ Ἡριππίδαν παρῆσαν, τούτων Ξενοκλέα μὲν καὶ ἄλλον ἔταξεν ἐπὶ τοὺς ἱππέας, Σκύθην δὲ ἐπὶ τοὺς νεοδαμώδεις ὁπλίτας, Ἡριππίδαν δ' ἐπὶ τοὺς Κυρείους, Μύγδωνα δὲ ἐπὶ τοὺς ἐκ τῶν πόλεων στρατιώτας. καὶ προεῖπεν αὐτοῖς, ὅτι ὡς εὐθὺς ἡγήσοιτο τὴν συντομωτάτην ἐπὶ τὰ κράτιστα τῆς χώρας, ὅπως αὐτόθεν οὕτω τὰ σώματα, καὶ τὴν γνώμην παρασκευάζοιντο ὡς ἀγωνιούμενοι. ὁ μέντοι Τισσαφέρνης ταῦτα μὲν ἐνόμισε λέγειν αὐτὸν, πάλιν βουλόμενον ἐξαπατῆσαι. εἰς Καρίαν δὲ νῦν τῷ ὄντι ἐμβαλεῖν. καὶ τό, τε πεζὸν καθάπερ τὸ πρόσθεν εἰς Καρίαν διεβίβασε, καὶ τὸ ἱππικὸν εἰς τὸ Μαιάνδρου πεδίον κατέστησεν. ὁ δ' Ἀγησίλαος οὐκ ἐψεύσατο, ἀλλ' ὥσπερ προεῖπεν εὐθὺς εἰς τὸν Σαρδιανὸν τόπον ἐνέβαλε, καὶ τρεῖς μὲν ἡμέρας δι' ἐρημίας πολεμίων πορευόμενος, πολλὰ τὰ ἐπιτήδεια τῇ στρατιᾷ εἶχε. τῇ δὲ τετάρτῃ ἧκον οἱ τῶν πολεμίων ἱππεῖς. καὶ τῷ μὲν ἄρχοντι τῶν σκευοφόρων εἶπε, διαβάντι τὸν Πακτωλὸν ποταμὸν, στρατοπεδεύεσθαι. αὐτοὶ δὲ κατιδόντες τοὺς τῶν Ἑλλήνων ἀκολούθους ἐσπαρμένους εἰς ἁρπαγὴν, πολλοὺς αὐτῶν ἀπέκτειναν. αἰσθόμενος δὲ Ἀγησίλαος, βοηθεῖν ἐκέλευσε τοὺς ἱππέας. οἱ δ' αὖ Πέρσαι ὡς εἶδον τὴν βοήθειαν, ἠθροίσθησαν καὶ ἀντιπαρετάξαντο παμπληθέσι τῶν ἱππέων τάξεσιν. ἔνθα δὴ Ἀγησίλαος γιγνώσκων ὅτι τοῖς μὲν πολεμίοις οὔπω παρείη τὸ πεζόν, αὐτῷ δὲ οὐδὲν ἀπείη τῶν παρεσκευασμένων, καιρὸν ἡγήσατο μάχην συνάψαι εἰ δύναιτο. σφαγιασάμενος οὖν, τὴν μὲν φάλαγγα εὐθὺς ἦγεν ἐπὶ τοὺς παρατεταγμένους ἱππέας, ἐκ δὲ τῶν ἱππέων ἐκέλευσε τοὺς δέκα ἀφ' ἥβης θεῖν ὁμόσε αὐτοῖς. τοῖς δὲ πελτασταῖς εἶπε δρόμῳ ὑφηγεῖσθαι. παρήγγελλε δὲ καὶ τοῖς ἱππεῦσιν ἐμβάλλειν, ὡς αὐτοῦ τε καὶ παντὸς τοῦ στρατεύματος ἑπομένου. τοὺς μὲν δὴ ἱππέας ἐδέξαντο οἱ Πέρσαι. ἐπεὶ δ' ἅμα πάντα τὰ δεινὰ παρῆν, ἐνέκλιναν. καὶ οἱ μὲν αὐτῶν εὐθὺς ἐν τῷ ποταμῷ ἐνέπεσον. οἱ δ' ἄλλοι ἔφυγον. οἱ δὲ Ἕλληνες ἐπακολουθοῦντες αἱροῦσι καὶ τὸ στρατόπεδον αὐτῶν. καὶ οἱ μὲν πελτασταὶ ὥσπερ εἰκὸς, εἰς ἁρπαγὴν ἐτράποντο. ὁ δὲ Ἀγησίλαος κύκλῳ πάντα, καὶ φίλια καὶ πολέμια περιεστρατοπεδεύσατο. καὶ ἄλλα τε πολλὰ χρήματα ἐλήφθη, ἃ εὗρε πλέον ἢ ἑβδομήκοντα τάλαντα. καὶ αἱ κάμηλοι δὲ τότε ἐλήφθησαν, ἃς Ἀγησίλαος εἰς τὴν Ἑλλάδα ἀπήγαγεν. ὅτε δ' αὕτη ἡ μάχη ἐγένετο, Τισσαφέρνης ἐν Σάρδεσιν ἔτυχεν ὤν, ὥστε ᾐτιῶντο οἱ Πέρσαι προδεδόσθαι ὑπ' αὐτοῦ. γνοὺς δὲ καὶ αὐτὸς ὁ Περσῶν βασιλεὺς Τισσαφέρνην αἴτιον εἶναι τοῦ κακῶς φέρεσθαι τὰ αὑτοῦ, Τιθραύστην καταπέμψας, ἀποτέμνει αὐτοῦ τὴν κεφαλήν. τοῦτο δὲ ποιήσας ὁ Τιθραύστης, πρέσβεις πέμπει πρὸς τὸν Ἀγησίλαον, λέγοντας· ὦ Ἀγησίλαε, ὁ μὲν αἴτιος τῶν πραγμάτων καὶ ὑμῖν καὶ ἡμῖν

ἔχει

Ratus praeterea ex hostium contemptu robur quoddam & fiduciam militibus ingenerari posse, per praecones palàm edixit, ut barbari à praedonibus capti, nudi uenderentur. Idcirco milites illos candidos, ut qui nunquam exuerentur, molles quoq;, & ad laborem minime idoneos, quia semper curribus ueherentur, intuentes, nihilo secius bello terrebantur, ac si cum mulieribus pugnandum foret.

Eodem tempore annus, quo Agesilaus in Asiam uenerat, exijt: quapropter consiliarij triginta cum Lysandro domum reuersi sunt. Successores uero illorum cum Erippida aduentarunt: ex quibus Xenocleem equitibus, Scythen uero tyronibus, Erippidem autem reliquis praefecit militibus: Migdonem uero auxiliaribus praeesse iussit copijs. Militibus quoque pollicitus est, statim eos breuissima uia ad munitissimam regionem educturum: corpora proinde ac animum ad futurum pararent certamen.

Tissaphernes haec illum, ut rursus ab eo deciperetur, dicere existimabat, & uere nunc in Cariam irrupturum: copias pedestres, ut prius, omnes in Cariam mittit, equitatum in Maeandri campo consistere iubet. Sed Agesilaus nihil ementitus, sicuti praedixerat, confestim Sardianam regionem ingressus est, triduumq; per deserta hostium incedens, cuncta exercitui suppeditauit necessaria. Quarta luce hostium apparuere equites, qui impedimentorum praefectum Pactolum fluuium traijcere, ac castra metari iusserunt: ipsi uero cum Graecorum pedites aliquot dispersos, ac rapinae intentos cernerent, illos aggressi, quamplures trucidarunt. Quod cum Agesilaus intelligeret, equites illis opem ferre iubet. Persae auxilium conspicati, se in unum colligunt, & uniuersas equitum turmas contrà explicant. Agesilaus cum peditatum hostibus nondum adesse cerneret, sibi uero nihil deesse quo minus cõfligeret, pugna si posset decernere constituit. Facta igitur re diuina, confestim in equites ex aduerso collocatos phalangem ducere pergit, ac puberes cum equitatu secum concurrere, clypeatos quoq; itidem iubet. Equitibus uero ita impressionem facere mandat, ut obiter scirent, se cum uniuerso subsequuturum exercitu. Persae itaq; equitum excepere impetum. sed cum omnia illis aduersa esse contingeret, acies illorum inclinare coepit: eorum aliqui statim in flumen praecipitati sunt, reliqui funduntur, fuganturq;: quos Graeci insequentes, castris quoq; exuerunt. Clypeati, ut par erat, ad praedam discurrũt. Agesilaus amica pariter & hostilia omnia in suam redegit potestatem. Ingens quoq; praeda parta est: pecuniae enim signatae plus quàm septuaginta reperta sunt talenta. Magna quoque camelorum tunc capta est uis, quos Agesilaus in Graeciam secum duxit. Tissaphernes cum pugnatum est, Sardis erat: quapropter à Persis de proditione insimulatus est. Igitur Persarum rex cum Tissaphernem omnium malorum causam esse cognouisset, Tithrausten misit, qui eius detruncaret caput: & Tithraustes re peractis legatos ad Agesilaum nunciatum mittit, Tissaphernem causam omniũ malorum

meri/

meritas luisse pœnas. Regem uero æquum censere, illum domum nauigare: Asiaticas uero ciuitates ueteri soluto tributo liberas esse. Quibus Agesilaus respondit, se id absq; consensu Lacedæmoniorum facturum minime. Cui Persa: Tu interim, inquit, quoad ciuitas tua pacta probauerit, in Pharnabazum exercitum duc, quandoquidem ego de inimico tuo pœnas sumpsi. Agesilaus se id facturum recepit, si exercitui donec illuc perueniret, commeatum præberet. Tithraustes igitur triginta persoluit talenta: quibus ille receptis, in Phrygiam contra Pharnabazum mouit. Cumq; iam in campis Phrygiæ castra locasset, uenere à patria legati, qui illum classi quoque præesse iusserunt, liberamque ducem constituendi dedere potestatem. Id ea ratione fecere Lacedæmonij, ut cum & copijs terrestribus & maritimis præesset, milites inter se fidentes multo redderentur alacriores, & ad omnia pericula obeunda promptiores. His Agesilaus auditis, insulanis & maritimis imperat ciuitatibus, ut naues pro libito struerent: & hi ut rem gratam Agesilao facerent, breui centum uiginti fabricarunt triremes. Ille uxoris fratrem Pisandrum classi præficit, uirum in cæteris egregium, ac in rebus bellicis nulli secundum, maritimæ tamen rei minus expertum. Et Pisander ad classem profectus est, ipse ut cœperat in Phrygiam ducere pergit. Tithraustes cum didicisset Agesilaum res contemnere regias, nec ullo pacto bellum ex Asia expellere posse, sed in dies spe & audacia crescere, quid ageret penitus dubius erat: tandem ut bello domestico Lacedæmonios implicaret, in Græciam Timocraten mittit Rhodium: quem, datis quingentis auri talentis, iubet ciuitatum corrumpere principes, ut eo pacto aliquis contra Lacedæmonios oriretur motus. Ille ut mandatum erat impigre rem exequutus est: nam Thebis Androclidem, Ismeniam & Galaxidorum, Corinthi uero Timolaum & Polyanthen, Argis quoque Cyclonitem & contribules auro demulsit. Athenienses quamuis auri huius nihil ad eos deuenisset, sua tamen sponte ad bellum inclinati erant, sperantes hoc pacto in pristinam libertatem restitui posse. Qui igitur pecuniis capti sunt, Lacedæmonios in urbibus criminari cœperunt: cumque facile omnium studia ab eis alienassent, multæ ac maximæ in illos conspirarunt ciuitates. Thebanorum itaque principes cum Lacedæmonios fœdera sociorum minime soluturos cognoscerent, nisi antea bellum inchoatum esset, Locros Opuntios subornant, ut Phocensibus & socijs circa dubiam regionem negocium inijcerent, rati fore ut Phocenses confestim in Locridem irrumperent, nec eos opinio fefellit. Phocenses ad primos Locrensiũ motus illorum fines ingressi, multo maiora quàm acceperant, intulerunt damna. Eam occasionem Androclides amplexus, facile Thebanos perpulit, ut Locrensibus opem ferrent, ac si non in regionem dubiam, sed sociam ac confœderatam irruissent Locridem. Thebani itaque comparato exercitu

Phoci/

ἔχει τὴν δίκην. βασιλεὺς δὲ ἀξιοῖ σε μὲν ἀποπλεῖν οἴκαδε, τὰς δ' ἐν τῇ ἀσίᾳ πόλεις, αὐτονόμους οὔσας, τὸν ἀρχαῖον δασμὸν αὐτῷ ἀποφέρειν. ἀποκρινομένου δὲ τοῦ ἀγησιλάου, ὅτι οὐκ ἂν ποιήσειε ταῦτα ἄνευ τῶν οἴκοι τελῶν. σὺ δ' ἀλλὰ ἕως ἂν πύθῃ τὰ παρὰ τῆς πόλεως, μεταχώρησον, ἔφη, εἰς τὴν φαρναβάζου, ἐπειδὴ καὶ ἐγὼ τὸν σὸν ἐχθρὸν τετιμώρημαι. ἕως ἂν τοίνυν, ἔφη ὁ ἀγησίλαος, ἐκεῖσε πορεύωμαι, δίδου τῇ στρατιᾷ τὰ ἐπιτήδεια. ἐκείνῳ μὲν δὴ ὁ τιθραύστης δίδωσι τριάκοντα τάλαντα. ὁ δὲ λαβὼν ᾔει ἐπὶ τῆς φαρναβάζου φρυγίας. ὄντι δ' αὐτῷ ἐν τῷ πεδίῳ τῷ ὑπὲρ κύμης, ἔρχεται ἀπὸ τῶν οἴκοι τελῶν, ἄρχειν καὶ τοῦ ναυτικοῦ, ὅπως γιγνώσκοι, καὶ καταστήσασθαι ναύαρχον, ὅντινα αὐτὸς βούλοιτο. τοῦτο δ' ἐποίησαν οἱ λακεδαιμόνιοι τοιῷδε λογισμῷ, ὡς εἰ ὁ αὐτὸς ἀμφοτέρων ἄρχοι, τό, τε πεζὸν πολὺ ἂν ἰσχυρότερον εἶναι, καθ' ἓν οὔσης τῆς ἰσχύος ἀμφοτέροις, τό, τε ναυτικόν, ἐπιφαινομένου τοῦ πεζοῦ ἔνθα δέοι. ἀκούσας δὲ ταῦτα ὁ ἀγησίλαος, πρῶτον μὲν ταῖς πόλεσι παρήγγειλε ταῖς ἐν ταῖς νήσοις, καὶ ταῖς ἐπιθαλαττιδίοις, τριήρεις ποιεῖσθαι, ὁπόσας ἑκάστη βούλοιτο τῶν πόλεων. καὶ ἐγένοντο καιναί, ἐξ ὧν αἵ τε πόλεις ἐπηγγέλλοντο, καὶ οἱ ἰδιῶται ἐποιοῦντο χαρίζεσθαι βουλόμενοι εἰς εἴκοσι καὶ ἑκατόν. πείσανδρον δὲ τὸν τῆς γυναικὸς ἀδελφὸν, ναύαρχον κατέστησε, φιλότιμον μὲν, καὶ ἐρρωμένον τὴν ψυχὴν, ἀπειρότερον δὲ τοῦ παρασκευάζεσθαι ὡς δεῖ. καὶ πείσανδρος μὲν ἀπελθὼν, τὰ ναυτικὰ ἔπραττεν. ὁ δ' ἀγησίλαος ὥσπερ ὥρμησεν, ἐπὶ τὴν φρυγίαν ἐπορεύετο. ὁ μέντοι τιθραύστης καταμαθεῖν δοκῶν τὸν ἀγησίλαον καταφρονοῦντα τῶν βασιλέως πραγμάτων, καὶ οὐδαμῇ διανοούμενον ἀπιέναι ἐκ τῆς ἀσίας, ἀλλὰ μᾶλλον ἐλπίδας ἔχοντα μεγάλας αἱρήσειν βασιλέα, ἀπορῶν τί χρῷτο τοῖς πράγμασι, πέμπει τιμοκράτην τὸν ῥόδιον εἰς τὴν ἑλλάδα, δοὺς χρυσίον εἰς πεντήκοντα τάλαντα ἀργυρίου, καὶ κελεύει πειρᾶσθαι πιστὰ τὰ μέγιστα λαμβάνοντα, διδόναι τοῖς προεστηκόσιν ἐν ταῖς πόλεσιν, ἐφ' ᾧτε πόλεμον ἐξοίσειν πρὸς λακεδαιμονίους. ἐκεῖνος δ' ἐλθὼν, δίδωσιν ἐν θήβαις μὲν ἀνδροκλείδᾳ τε καὶ ἰσμηνίᾳ, καὶ γαλαξιδώρῳ. ἐν κορίνθῳ δὲ τιμολάῳ τε καὶ πολυάνθει. ἐν ἄργει δὲ κύκλωνί τε καὶ τοῖς μετ' αὐτοῦ. ἀθηναῖοι δὲ καὶ οὐ μεταλαβόντες τούτου τοῦ χρυσίου, ὅμως πρόθυμοι ἦσαν εἰς τὸν πόλεμον, νομίζοντές τε αὐτῶν ἄρχεσθαι. οἱ μὲν δὴ δεξάμενοι τὰ χρήματα εἰς τὰς οἰκείας πόλεις, διέβαλλον τοὺς λακεδαιμονίους. ἐπεὶ δὲ ταύτας εἰς μῖσος αὐτῶν προήγαγον, συνίστασαν καὶ τὰς μεγίστας πόλεις πρὸς ἀλλήλας. γιγνώσκοντες δὲ οἱ ἐν ταῖς θήβαις προεστῶτες, ὅτι εἰ μή τις ἄρξει πολέμου, οὐκ ἐθελήσουσιν οἱ λακεδαιμόνιοι λύειν τὰς σπονδὰς πρὸς τοὺς συμμάχους, πείθουσι λοκροὺς τοὺς ὀπουντίους ἐκ τῆς ἀμφισβητησίμου χώρας φωκεῦσί τε καὶ ἑαυτοῖς χρήματα τελέσαι, νομίζοντες τοὺς φωκέας τούτου γενομένου ἐμβαλεῖν εἰς τὴν λοκρίδα, καὶ οὐκ ἐψεύσθησαν. ἀλλ' εὐθὺς οἱ φωκεῖς ἐμβαλόντες εἰς τὴν λοκρίδα, πολλαπλάσια χρήματα ἔλαβον. οἱ οὖν περὶ τὸν ἀνδροκλείδαν, ταχὺ ἔπεισαν τοὺς θηβαίους βοηθεῖν τοῖς λοκροῖς, ὡς οὐκ εἰς τὴν ἀμφισβητήσιμον, ἀλλ' εἰς τὴν ὁμολογουμένην τε καὶ σύμμαχον εἶναι λοκρίδα ἐμβεβληκότων αὐτῶν. ἐπεὶ δὲ οἱ θηβαῖοι ἀντεμβαλόντες εἰς τὴν

φωκίδα,

φωκίδα, ἐδῄουν τὴν χώραν. εὐθὺς οἱ φωκεῖς πέμπουσι πρέσβεις εἰς λακεδαίμονα, καὶ ἠξίουν βοηθεῖν αὐτοῖς, διδάσκοντες ὡς οὐκ ἤρξαντο πολέμου, ἀλλ' ἀμυνόμενοι ἦλθον ἐπὶ τοὺς λοκρούς. οἱ μέντοι λακεδαιμόνιοι ἄσμενοι ἔλαβον πρόφασιν στρατεύειν ἐπὶ τοὺς θηβαίους, πάλαι ὀργιζόμενοι αὐτοῖς τῆς τε ἀντιλήψεως τῆς τοῦ ἀπόλλωνος δεκάτης ἐν δεκελείᾳ, καὶ τοῦ ἐπὶ τὸν πειραιᾶ μὴ ἐθελῆσαι ἀκολουθῆσαι. ᾐτιῶντο δ' αὐτοὺς καὶ κορινθίους πεῖσαι μὴ συστρατεύειν. ἀνεμιμνήσκοντο δὲ καὶ ὡς θύοντ' ἐν αὐλίδι τὸν ἀγησίλαον οὐκ εἴων, καὶ τὰ τεθυμένα ἱερὰ ὡς ἔρριψαν ἀπὸ τοῦ βωμοῦ. καὶ ὅτι οὐδ' εἰς τὴν ἀσίαν ξυνεστράτευον ἀγησιλάῳ. ἐλογίζοντο δὲ καὶ καλὸν καιρὸν εἶναι τοῦ ἐξάγειν στρατιὰν ἐπ' αὐτούς, καὶ παῦσαι τῆς εἰς αὐτοὺς ὕβρεως. τά τε γὰρ ἐν τῇ ἀσίᾳ καλῶς σφίσιν ἔχειν, κρατοῦντος ἀγησιλάου, καὶ ἐν τῇ ἑλλάδι οὐδένα ἄλλον πόλεμον ἐμποδὼν σφίσιν εἶναι. οὕτω δὲ γιγνωσκούσης τῆς πόλεως τῶν λακεδαιμονίων, φρουρὰν μὲν οἱ ἔφοροι ἔφαινον, λύσανδρον δ' ἐξέπεμψαν εἰς φωκέας, καὶ ἐκέλευσαν αὐτούς τε τοὺς φωκέας ἄγοντα παρεῖναι, καὶ οἰταίους, καὶ ἡρακλεώτας, καὶ μηλιέας, καὶ αἰνιᾶνας, εἰς ἁλίαρτον. ἐκεῖσε δὲ καὶ παυσανίας, ὅσπερ ἔμελλεν ἡγεῖσθαι, ξυνετίθετο παρέσεσθαι εἰς ῥητὴν ἡμέραν, ἔχων λακεδαιμονίους τε καὶ τοὺς ἄλλους ξυμμάχους τῶν πελοποννησίων. καὶ ὁ μὲν λύσανδρος τά τε ἄλλα τὰ κελευόμενα ἔπραττε, καὶ προσέτι ὀρχομενίους ἀπέστησε θηβαίων. ὁ δὲ παυσανίας, ἐπεὶ τὰ διαβατήρια ἐγένετο αὐτῷ, καθεζόμενος ἐν τῇ τεγέᾳ, τούς τε ξεναγοὺς διέπεμπε, καὶ τοὺς ἐκ τῶν περιοικίδων πόλεων στρατιώτας περιέμενεν. ἐπεί γε μὴν δῆλον τοῖς θηβαίοις ἐγένετο, ὅτι ἐμβαλοῖεν οἱ λακεδαιμόνιοι εἰς τὴν χώραν αὐτῶν, πρέσβεις ἔπεμψαν ἀθήναζε, λέγοντας τάδε. ὦ ἄνδρες ἀθηναῖοι, ἃ μὲν μέμφεσθε ἡμῖν, ὡς ψηφισαμένοις χαλεπὰ περὶ ὑμῶν ἐν τῇ καταλύσει τοῦ πολέμου, οὐκ ὀρθῶς μέμφεσθε. οὐ γὰρ ἡ πόλις ἐκεῖνα ἐψηφίσατο, ἀλλ' εἷς ἀνὴρ εἶπεν, ὃς ἔτυχε τότε ἐν συμμάχοις καθήμενος. ὅτε δὲ παρεκάλουν ἡμᾶς οἱ λακεδαιμόνιοι ἐπὶ τὸν πειραιᾶ, τότε ἅπασα ἡ πόλις ἀπεψηφίσατο μὴ συστρατεύειν αὐτοῖς. δι' ὑμᾶς οὖν οὐχ ἥκιστα ὀργιζομένων ἡμῖν τῶν λακεδαιμονίων, δίκαιον εἶναι νομίζομεν βοηθεῖν ὑμᾶς τῇ πόλει ἡμῶν. πολὺ δέ τι μᾶλλον ἀξιοῦμεν, ὅσοι τῶν ἐν ἄστει ἐγένεσθε, προθύμως ἐπὶ τοὺς λακεδαιμονίους ἰέναι. ἐκεῖνοι γὰρ καταστήσαντες ὑμᾶς εἰς ὀλιγαρχίαν, καὶ εἰς ἔχθραν τῷ δήμῳ, ἀφικόμενοι πολλῇ δυνάμει, ὡς ὑμῖν σύμμαχοι, παρέδοσαν ὑμᾶς τῷ πλήθει. ὥστε τὸ μὲν ἐπ' ἐκείνοις εἶναι ἀπολώλατε. ὁ δὲ δῆμος οὑτοσὶ ὑμᾶς ἔσωσε. καὶ μὴν ὅτι μέν, ὦ ἄνδρες ἀθηναῖοι, βούλοισθ' ἂν τὴν ἀρχήν, ἣν πρότερον ἐκέκτησθε, ἀναλαβεῖν, πάντες ἐπιστάμεθα. τοῦτο δὲ πῶς μᾶλλον εἰκὸς γενέσθαι, ἢ εἰ αὐτοὶ τοῖς ὑπ' ἐκείνων ἀδικουμένοις βοηθοίητε; ὅτι δὲ πολλῶν ἄρχουσι, μὴ φοβηθῆτε, ἀλλὰ πολὺ μᾶλλον διὰ τοῦτο θαρρεῖτε, ἐνθυμούμενοι ὅτι καὶ ὑμεῖς ὅτε πλείστων ἤρχετε, τότε πλείστους ἐχθροὺς ἐκέκτησθε. ἀλλ' ἕως μὲν οὐκ εἶχον ὅποι ἀποσταῖεν, ἔκρυπτον τὴν πρὸς ὑμᾶς ἔχθραν. ἐπεὶ δέ γε λακεδαιμόνιοι προέστησαν, τότε ἔφηναν οἷα περὶ ὑμῶν ἐγίγνωσκον. καὶ νῦν γε, ἂν φανεροὶ γενώμεθα ἡμεῖς τε καὶ ὑμεῖς ξυνασπιδιοῦντες ἐναντία τοῖς λακεδαιμονίοις,

Phocidem inuadunt, lateq; terram hostiliter populan tur. Phocenses confestim Lacedæmonem de Thebano rum iniuria questum mittunt, auxiliumq; implorant, ostendentes belli initium ab eis ortum non esse, sed ut uim repellerent, cōtra Locrenses mouisse. Lacedæmo nij haud inuiti hanc contra Thebanos bellandi occa sionē amplexi sunt. quibus iampridē ob decimæ Apol linis in Decelea susceptionem, et quod contra Piræum militare noluissent, infensi erant. Incusabant quoque eos tanquam Corinthijs ut militiam detrectarēt, per suasissent. In memoriam præterea reducebant, quod Agesilaum in Aulide sacrificare prohibuissent, visus per sacra ab aris dispersissent, quodq; illum in Asiam sequuti non essent: quapropter tempus uindicandarum aduenisse arbitrabantur iniuriarum. Faciebant insuper animos Agesilai in Asia successus, & quod in terra Græci nullo alio per id tempus implicati essent bello. Ciuitas igitur Lacedæmoniorum cum ita de liberasset, Ephori Lysandrum in Phocidem, ut socijs præsidio esset, mittunt, Phocensesq;, Oetæos, Heracle otas, Melieos, & Aenianos circa Haliartum copias contrahere iubent: illac enim ad diem præscriptū Pau sanias cum Lacedæmonijs & socijs Peloponnensi bus uenturus erat. Et Lysander mandata impigre exe quutus est. Orchomenijs quoq; ut à Thebanis defice rēt, persuadet. Pausanias uero re facta diuina, Tegeæ, quo milites ac socios omnes conuenire iusserat, dese dit. Thebani ubi ad arma rem spectare uident, & La cedæmonios ad fines eorum irrumpendum se accinge re cognoscunt, legatos Athenas mittunt: qui in con cionem producti, ita uerba fecere: Si quis ex uobis, ô Athenienses, nos incusat, tanquam in belli solutione nimis dire in uos inuecti fuerimus, haud recte incu sat, quandoquidem ciuitas uniuersa nihil asperum de creuit: sed uir unicus, quem inter socios tunc adesse contigit, eorum quæ in uos acerbiora dicta sunt, au tor fuit. Cæterum cum Lacedæmonij nos contra Piræ um in auxilium uocassent, uniuersa tunc ciuitas decre uit illis obediendum esse minime. Cum igitur Lacedæ moniacæ indignationis causa non ultima sitis, æquum esse arbitramur, debere uos quoq; dubijs in rebus au xilium nobis non denegare. Præterea multo magis uos ad bellum inclinatum iri existimamus, si diligen ter perpenderitis, quid uobis uestra in urbe contige rit. Illi enim tyrannide in urbe constituta, inde contra populum tanquā socij ui magna aduentantes, iratæ ta men uos obiecere multitudini, ut quantū in ipsis erat, uos perdidissent: quamuis populi beneuolentia pericu lū euaseritis. Scimus præterea, ô uiri Athenienses, oēs uos summo niti studio, ut pristinā recuperare dignita tem ualeatis. Id uero quo pacto magis opportune fie ri poterit, q̄ si ijs qui à Lacedæmonijs affecti sunt iniu ria, opem non denegetis? Proinde quod plurib. illi im perant, minime uos deterreat, sed potius fiduciā præbe at: siquidē reminiscamini, maximis uos obnoxios fuis se inimicitijs, cum multorū possideretis principatum? quāuis odium illud, cum nemo esset ad quē subditi de ficerent, uos latēret: ubi uero Lacedæmoniorū res supe rior esse cœpit, q̄ infensi uobis oēs fuissent, aperte de mōstrarunt. Pariter si inter nos fœdera cōtra Lacedæ monios

monios inita fuerint, multos qui illis clàm inuisi sunt, ad apertam defectionem spectare uidebitis. Si bene considerabitis, per uosmetipsos nos uera loqui intelligere poteritis. Siquidem quosnam ipsis beneuolos existimare poteritis? Nunquid Argiuos, qui semper ipsis infensi extitere? At Eleos, quibus & agros & ciuitates ademerũt, amicos illis esse arbitramini? De Corinthijs uero, Arcadibus et Achæis quid dicamus? Hi enim in bello contra nos gesto, magnis pollicitationib. in partem laborum, periculorũ ac expensarũ acciti, quibusnam à Lacedæmonijs re ex sententia gesta principatibus, honorib. aut præmijs donati sunt? Quid quod seruitia digna quæ præsint, ducũt: socios uero liberos cũ res prospere cessit omnino contẽnunt? Siquidẽ omnes qui à nobis defecere, manifesto decepere dolo: nã pro libertate, duplicẽ illis imposuere seruitutẽ: ab harmostis enim graui premũtur tyrannide: à decẽuiris uero quos Lysander in singulis cõstituit urbibus, turpi subijciũtur seruituti. Quinimo Persarũ quoq; rex, qui assiduum illis ad nos subigendũ tribuit stipendiũ, quã primum nos eis hostes euasisse intelliget, contrarium sentiet. Præterea par est uos in maiorem q̃ unquã fueritis efferri potentiã posse, si iniuria oppreßis auxiliũ non denegetis: etenim cum antea imperiũ teneretis, reb. maritimis tantũ uos præesse cõtigit: nunc uero omniũ nostrorũ, & Peloponnensiũ, & quibus antea dominare cõsueuistis, regis insuper potentißimi duces cõstitueremini: quibus omnibus, ut uosmetipsi nõ ignoratis, societate et honore admodũ digni uisi sumus. Porro nũc multo excellentiores bellicis in reb. nos futuros credendũ est, q̃ cum Lacedæmonios sequebamur: siquidem non insulanis, aut Syracusanis, siue cuipiã alteri, ut tunc, sed nobisipsis maximis affectis iniurijs succurremus. Hoc quoq; cõsiderare oportet, multo facilius Lacedæmoniorũ euerti posse dominationẽ, quàm uos, cum rebus præfueritis, principatu spoliare: cum enim re maritima præcelleretis, etiam inuitis dominari potuistis. At Lacedæmonij cum pauci sint, potentiorib. & haud deterius armatis ut præesse omnino nequeunt. Proinde quæ nobis uisa sunt, eloquuti sumus. Cæterũ nolumus uos ignorare, ad cõmoda multo maiora uestrã ciuitatem, q̃ patriam propriam nos inuitare. Hæc cum legati dixissent, tacuerunt. Athenienses his auditis, Thebanis auxiliũ ferre decreuerũt. Thrasybulus uero decreto contradicere cœpit, ostendens bellandum nõ esse, præcipue cum absq; muro Piræus esset: maiorem præterea Athenienses, si bello se implicarent, gratiã Thebanis relaturos, quàm accepissent. Nam quia illi bellum contra nos, inquit, non gessere, propterea pro illis pugnare nos æquum esse arbitrantur. At Thebani discedentes, se tanquam Lacedæmoniorũ hostes, Athenienses uero ut socij, ad futurum parabant certamen. Nec Lacedæmonij ultra differendũ rati, sed rex Pausanias tumultuose Bœotiã ingressus, ex toto Peloponneso, præterquã ex Corintho, copias secum trahebat. Lysander uero ex Phocide profectus, per Orchomeniorum fines exercitum duxit, Pausaniamq; per literas certiorem reddit, ut circa Haliartum copias secum iungeret. Quò cum uenisset, haud expectato Lacedæmoniorũ exercitu, cum suis ad muros usq; Haliarti

νίοις, εὖ ἴστε ἀναφανήσονται πολλοὶ οἱ μισοῦντες αὐτούς. ὡς δὲ ἀληθῆ λέγομεν, ἐὰν ἀναλογίσησθε, αὐτίκα γνώσεσθε. τίς γὰρ ἤδη καταλείπεται αὐτοῖς εὐμενής; οὐκ Ἀργεῖοι μὲν ἀεί ποτε δυσμενεῖς αὐτοῖς ὑπάρχουσιν; Ἠλεῖοι γε μὴν νῦν ἐστερημένοι χώρας καὶ πόλεων, ἐχθροὶ αὐτοῖς προσγεγένηνται. Κορινθίους δὲ καὶ Ἀρκάδας, καὶ Ἀχαιοὺς τί φῶμεν; οἳ ἐν μὲν τῷ πρὸς ὑμᾶς πολέμῳ μάλα λιπαρούμενοι ὑπ' ἐκείνων πάντων, καὶ πόνων, καὶ κινδύνων, καὶ τῶν δαπανημάτων μετεῖχον. ἐπεὶ δ' ἔπραξαν ἃ ἐβούλοντο οἱ Λακεδαιμόνιοι, ποίας ἢ ἀρχῆς, ἢ τιμῆς, ἢ ποίων χρημάτων μεταδεδώκασιν αὐτοῖς; ἀλλὰ τοὺς μὲν εἵλωτας ἁρμοστὰς καθιστάναι ἀξιοῦσι. τῶν ξυμμάχων ἐλευθέρων ὄντων, ἐπεὶ εὐτύχησαν, δεσπόται ἀναπεφήνασιν. ἀλλὰ μὴν καὶ οὓς ὑμῶν ἀπέστησαν, φανεροί εἰσιν ἐξηπατηκότες. ἀντὶ γὰρ ἐλευθερίας διπλῆν αὐτοῖς δουλείαν παρεσχήκασιν. ὑπό τε γὰρ τῶν ἁρμοστῶν τυραννοῦνται, καὶ ὑπὸ δέκα ἀνδρῶν, οὓς Λύσανδρος κατέστησεν ἐν ἑκάστῃ πόλει. ὅ γε μὴν τῆς Ἀσίας βασιλεύς, καὶ τὰ μέγιστα αὐτοῖς συμβαλλόμενος πρὸς τὸ ἡμῶν κρατῆσαι, νῦν τί διάφορον πάσχει, ἢ εἰ μεθ' ἡμῶν κατεπολέμησεν αὐτούς; πῶς οὖν οὐκ εἰκὸς ἐὰν ὑμεῖς αὖ προστάται τῶν οὕτω φανερῶς ἀδικουμένων, νῦν ὑμᾶς πολὺ ἤδη μεγίστους τῶν πώποτε γενέσθαι; ὅτε μὲν γὰρ ἤρχετε, τῶν κατὰ θάλατταν μόνον δήπου ἡγεῖσθε. νῦν δὲ πάντων καὶ ἡμῶν, καὶ Πελοποννησίων, καὶ ὧν πρόσθεν ἤρχετε, καὶ αὐτοῦ βασιλέως τοῦ μεγίστην δύναμιν ἔχοντος, ἡγεμόνες ἂν γένοισθε. καίτοι ἡμεῖς πολλοῦ ἄξιοι καὶ ἐκείνοις σύμμαχοι ὡς ὑμεῖς ἐπίστασθε. νῦν δέ γε εἰκὸς παντὶ ὑμῖν ἐρρωμενεστέρως ἡμᾶς, ἔσεσθαι, ἢ τότε Λακεδαιμονίοις. οὐδὲ γὰρ ὑπὲρ νησιωτῶν, ἢ Συρακοσίων, οὐδ' ὑπὲρ ἀλλοτρίων, ὥσπερ τότε, ἀλλ' ὑπὲρ ἡμῶν αὐτῶν ἀδικουμένων, βοηθήσομεν. καὶ τοῦτο μέντοι χρὴ εὖ εἰδέναι, ὅτι ἡ Λακεδαιμονίων πλεονεξία πολὺ εὐκαταλυτωτέρα ἐστὶ τῆς ὑμετέρας γενομένης ἀρχῆς. ὑμεῖς γὰρ ἔχοντες ναυτικόν, οὐχ ἐχόντων ἤρχετε. οὗτοι δὲ ὀλίγοι ὄντες, πολλαπλασίων ὄντων, καὶ οὐδὲν χεῖρον ὡπλισμένων, πλεονεκτοῦσι. ταῦτ' οὖν λέγομεν ἡμεῖς. εὖ γε μέντοι ἐπίστασθε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι νομίζομεν ἐπὶ πολὺ μείζω ἀγαθὰ παρακαλεῖν ὑμᾶς τῇ ὑμετέρᾳ πόλει, ἢ τῇ ἡμετέρᾳ. ὁ μὲν ταῦτ' εἰπὼν, ἐπαύσατο. τῶν δ' Ἀθηναίων πάμπολλοι μὲν ξυνηγόρευον. πάντες δ' ἐψηφίσαντο βοηθεῖν αὐτοῖς. Θρασύβουλος δὲ ἀποκρινάμενος τὸ ψήφισμα, καὶ τοῦτο ἐνεδείκνυτο, ὅτι ἀτειχίστου τοῦ Πειραιῶς ὄντος, ὅμως παρακινδυνεύοιεν χάριτα αὐτοῖς ἀποδοῦναι μείζονα, ἢ ἔλαβον. ὑμεῖς μὲν γάρ, ἔφη, οὐ ξυνεστρατεύσατε ἐφ' ἡμᾶς. ἡμεῖς δέ γε μεθ' ὑμῶν μαχούμεθα ἐκείνοις, ἂν ἴωσιν ἐφ' ὑμᾶς. οἱ μὲν δὲ Θηβαῖοι ἀπελθόντες, παρεσκευάζοντο ὡς ἀμυνούμενοι. οἱ δ' Ἀθηναῖοι ὡς βοηθήσοντες. καὶ μὴν οἱ Λακεδαιμόνιοι οὐκ ἔτι ἔμελλον. ἀλλὰ Παυσανίας μὲν ὁ βασιλεὺς ἐπορεύετο εἰς τὴν Βοιωτίαν, τό, τε οἴκοθεν ἔχων στράτευμα, καὶ τὸ Πελοποννήσου, πλὴν Κορίνθιοι οὐκ ἠκολούθουν αὐτοῖς. ὁ δὲ Λύσανδρος ἄγων τὸ ἐκ Φωκέων, καὶ Ὀρχομενοῦ, καὶ τῶν κατ' ἐκεῖνα χωρίων στράτευμα, ἔφθη τὸν Παυσανίαν ἐν τῷ Ἁλιάρτῳ γενόμενος. ἥκων δ' οὐχ ἡσυχίαν ἔχων, ἀναμένει τὸ ἐκ Λακεδαιμονίων στράτευμα, ἀλλὰ σὺν οἷς εἶχεν, ᾔει πρὸς τὸ τεῖχος τῶν Ἁλιαρτίων.

ἀρτίων. καὶ τὸ μὲν πρῶτον [illegible] αὐτοὺς ἀφίστασθαι Θηβαίων καὶ αὐτονόμους γίγνεσθαι. ἐπεὶ δὲ τῶν Θηβαίων τινὲς ὄντες ἐν τῷ τείχει, διεκώλυον, προσέβαλε πρὸς τὸ τεῖχος. ἀκούσαντες δὲ ταῦτα οἱ Θηβαῖοι, δρόμῳ ἐβοήθουν, οἵ τε ὁπλῖται καὶ οἱ ἱππεῖς. ὁπότερα μὲν οὖν εἴτε λαθόντες τὸν Λύσανδρον ἐπέπεσον αὐτῷ, εἴτε καὶ αἰσθόμενος προσιόντας ὡς κρατήσων ὑπέμενεν, ἄδηλον. τοῦτο δ' οὖν σαφές, ὅτι παρὰ τὸ τεῖχος ἡ μάχη ἐγένετο, καὶ τρόπαιον ἕστηκε πρὸς τὰς πύλας τῶν Ἁλιαρτίων. ἐπεὶ δὲ ἀποθανόντος Λυσάνδρου ἔφευγον οἱ ἄλλοι πρὸς τὸ ὄρος, ἐδίωκον ἐρρωμένως οἱ Θηβαῖοι. ὡς δὲ ἄνω ἤδη ἦσαν διώκοντες, καὶ στενοχωρία τε καὶ δυσχωρία ἐλάμβανεν αὐτούς, ὑποστρέψαντες οἱ ὁπλῖται, ἠκόντιζόν τε καὶ ἔβαλλον. ὡς δὲ ἔπεσον αὐτῶν δύο ἢ τρεῖς οἱ πρῶτοι, καὶ τοῖς λοιποῖς ἐπεκυλίνδουν πέτρους εἰς τὸ κατάντες, καὶ πολλῇ προθυμίᾳ ἐνέκειντο, ἐτράπησαν οἱ Θηβαῖοι ἀπὸ τοῦ κατάντους, καὶ ἀποθνήσκουσιν αὐτῶν πλείους ἢ διακόσιοι. ταύτῃ μὲν οὖν τῇ ἡμέρᾳ οἱ Θηβαῖοι ἠθύμουν, νομίζοντες οὐκ ἐλάττω κακὰ πεπονθέναι, ἢ πεποιηκέναι. τῇ δ' ὑστεραίᾳ ἐπεὶ ᾔσθοντο ἀπεληλυθότας ἐν νυκτὶ τούς τε Φωκέας, καὶ τοὺς ἄλλους ἅπαντας οἴκαδε ἑκάστους, ἐκ τούτου δὴ μεῖζον ἐφρόνουν ἐπὶ τῷ γεγενημένῳ. ἐπεὶ δ' αὖ ὁ Παυσανίας ἀνεφαίνετο ἔχων τὸ ἐκ Λακεδαίμονος στράτευμα, πάλιν αὖ ἐν μεγάλῳ κινδύνῳ ἡγοῦντο εἶναι, καὶ πολλὴν ἔφασαν σιωπήν τε καὶ ταπεινότητα ἐν τῷ στρατεύματι εἶναι αὐτῶν. ὡς δὲ τῇ ὑστεραίᾳ οἵ τε Ἀθηναῖοι ἐλθόντες συμπαρετάξαντο, ὅ τε Παυσανίας οὐ προσῆγεν, οὐδὲ ἐμάχετο, ἐκ τούτου τὸ μὲν Θηβαίων πολὺ μεῖζον φρόνημα ἐγίγνετο. ὁ δὲ Παυσανίας συγκαλέσας πολεμάρχους, καὶ πεντηκοντῆρας, ἐβουλεύετο πότερον μάχην συνάπτοι, ἢ ὑπόσπονδον τόν τε Λύσανδρον ἀναιροῖτο, καὶ τοὺς μετ' αὐτοῦ πεσόντας. λογιζόμενος δ' ὁ Παυσανίας καὶ οἱ ἄλλοι ἐν τέλει τῶν Λακεδαιμονίων, ὡς Λύσανδρος τετελευτηκὼς εἴη, καὶ τὸ μετ' αὐτοῦ στράτευμα ἡττημένον ἀποκεχωρήκοι, καὶ Κορίνθιοι μὲν παντάπασιν οὐκ ἠκολούθουν αὐτοῖς, οἱ δὲ παρόντες οὐ προθύμως στρατεύοιντο. ἐλογίζοντο δὲ καὶ τὸ ἱππικόν, ὡς τὸ μὲν ἀντίπαλον πολύ, τὸ δὲ αὐτῶν ὀλίγον εἴη. καὶ ὅτι οἱ νεκροὶ ὑπὸ τῷ τείχει ἔκειντο, ὥστε οὐδὲ κρείττοσιν οὖσι διὰ τοὺς ἀπὸ τῶν πύργων ῥᾴδιον εἴη ἀνελέσθαι. διὰ οὖν πάντα ταῦτα, ἔδοξεν αὐτοῖς τοὺς νεκροὺς ὑποσπόνδους ἀναιρεῖσθαι. οἱ μέντοι Θηβαῖοι εἶπον, ὅτι οὐκ ἀποδοῖεν νεκρούς, εἰ μὴ ἐφ' ᾧ τε ἀπιέναι ἐκ τῆς χώρας. οἱ δὲ ἄσμενοί τε ταῦτα ἤκουσαν, καὶ ἀνελόμενοι τοὺς νεκροὺς, ἀπῇσαν ἐκ τῆς Βοιωτίας. τούτων δὲ πραχθέντων, οἱ μὲν Λακεδαιμόνιοι ἀθύμως ἀπῇσαν, οἱ δὲ Θηβαῖοι μάλ' ὑβριστικῶς, εἰ καὶ μικρόν τις τῶν χωρίων του ἐπιβαίη, παίοντες, ἐδίωκον εἰς τὰς ὁδούς. αὕτη μὲν δὴ οὕτως ἡ στρατιὰ τῶν Λακεδαιμονίων διελύθη. ὁ μέντοι Παυσανίας, ἐπεὶ ἀφίκετο οἴκαδε, ἐκρίνετο περὶ θανάτου, κατηγορουμένου δ' αὐτοῦ καὶ ὅτι ὑστερήσειεν εἰς Ἁλίαρτον τοῦ Λυσάνδρου, συνθέμενος εἰς τὴν αὐτὴν ἡμέραν παρέσεσθαι. καὶ ὅτι ὑποσπόνδους, ἀλλ' οὐ μάχῃ ἐπειρᾶτο τοὺς νεκροὺς ἀναιρεῖσθαι, καὶ ὅτι τὸν δῆμον τῶν Ἀθηναίων λαβὼν ἐν τῷ Πειραιεῖ ἀνῆκε, καὶ πρὸς τούτοις, οὐ παρόντος ἐν τῇ δίκῃ, θάνατος αὐτοῦ κατεγνώσθη, καὶ ἔφυγεν εἰς Τεγέαν. καὶ ἐτελεύτησε μέντοι ἐκεῖ νόσῳ. καὶ τὰ κατὰ τὴν Ἑλλάδα ταῦτ' ἐπράχθη.

ΞΕΝΟ-

arti processit, illisq; ut à Thebanis deficerent, ac se in libertatem uendicarent, suadere coepit. Id cum Thebani quidam, qui in muris stabant, prohibuissent, [illegible] muros impetum facit. Id cum Thebani audissent, [illegible] equitibus uniuersis ac peditibus suppetias ferunt. Vtrum uero latentes Lysandrum inuaserint, siue ille obuiam profectus ceciderit, incertum est. Hoc uero manifestè constat, bellum iuxta muros commissum, ac trophaeum ante Haliartiorum portas erectum esse. Mortuo Lysandro, reliqui in montes fugerunt, quos ad inuia usque persequuti sunt. Cum uero ad aspera peruentum esset loca, conuersi Lacedaemonij illos exceperunt, sagittisq; ac iaculis confestim priores confecere: reliquos lapidibus aggressi, per decliuia praecipites egere, ac in fugam uerterunt, ex quibus ducenti ferme mortem oppetiere. Ea igitur die minime laetitia Thebani elati sunt, arbitrantes haud minora se perpessos esse mala quàm intulissent. Postridie cum Phocenses ac reliquos socios domum noctu remeasse intellexissent, maiori affecti sunt tristitia, ita ut cum Pausanias cum exercitu affuisset, in maximo se constitutos esse periculo arbitrarentur, ac terror non modicus & silentium insuetum castra eorum inuaderet. . Postridie uero cum Athenienses illis iuncti essent, Pausaniásque eos lacessere, seu ad bellum procedere non auderet, rursus depulso timore in spem elati sunt. Pausanias conuocatis polemarchis & tribunis militum, illos consuluit, num per bellum seu inducias Lysandrum, & qui unà ciciderant, repeteret. At cum omnes considerarent Lysandrum mortuum esse, exercitum uero eius solutum, Corinthios quoque omnino sequi nolle, reliquos qui aderant militiam detrectare, hostilem quoque equitatum longe superiorem esse, mortuos uero sub ipsis iacere moenijs, ita ut facile turrium propugnaculis repelli possent: omnibus his moti rationibus, mortuos per inducias recipiendos esse decreuerunt. At Thebani mortuos illis reddere, ni finibus excederent, omnino recusarunt: quapropter illi receptis mortuis, tristes ex Boeotia in pacatum abiere: quos insequentes Thebani, subinde lacessere non desinebant. Et hunc finem Lacedaemoniorũ in Thebanos sortita est expeditio. Pausanias ubi domum uenit, ab Ephoris ad populum iactatus est, datumq; illi crimini, quod ad Haliartum sero uenisset, quae mora acceptae cladis haud dubie causa extitisset: quodq; caesorum corpora per inducias, ac non potius praelio recepisset. Augere praesentem inuidiam Atheniensium alienatio, quibus ipse in Lysandri inuidiam seruitutis iugum ademisset. Cum uero ad iudicium minime uenisset, morte damnatus est, Tegeamq; in exilium concessit, ubi postea fato perijt. Et per Graeciam haec gerebantur.

XENO-

XENOPHONTIS RERVM GRAECARVM LIBER QVARTVS.

Inerunt uere Agesilaus Phrygiã ingressus, eã ferro ac igne latè populatus est, ac plerasq; urbes partim ui, partim uoluntaria deditione Pharnabazo ademit. Inde à Spithridate admonitus, si in Paphlagoniã duceret, Paphlagonũ regẽ Otym Persis alienaturũ et ad societatẽ induci posse, cõfestim illac proficiscitur. Iãpridẽ.n. animo uolutarat, quo pacto gentẽ eam ad defectionẽ allicere posset. Eò cũ uenisset, fœdus cum Oty pepigit: nã ille à rege uocatus minime paruerat. Intercedente quoq; Spithridate, Otys Agesilao mille equites, duo quoq; millia clypeatorũ reliquit. Vt igitur Agesilaus Spithridati gratiã referret, illũ talib. aggressus est uerbis: Dic mihi ò Spithridate, ait: daresne Oty filiam in matrimoniũ? Cui ille respõdit: Et lubẽtissime, si uir ille potẽs ac multarũ regionum dominus, exulis filiã ducere nõ dedignaretur. Cæterũ solùm hæc de nuptijs ille tũc sciscitatus est. At Otys cũ discessurus esset, Agesilaũ ut illi ualediceret accessit. Agesilaus uero ex industria sermonẽ de Spithridate præsentib. triginta cõsiliarijs iniecit: Dic.n. inquit, ô Oty, quanã stirpe ortus est Spithridates? Cui ille respõdit: Ex Persarum nulli secũda. Nũ filiũ ipsius, inquit, q̃ decorus sit uidisti? Quid ni, respõdit, cũ heri secũ cœnauerim? At filiã, inquit, lõge esse pulchriorẽ asserũt. Per Iouẽ, Otys inqt, formosissima est. Et ego, Agesilaus ait, postq̃ nobis amicus factus est, cõsulo ut puellã uxorẽ ducas, uirginẽ formosam ac uiri expertẽ, generosiq; patris filiã, adeoq; potẽtis, ut à Pharnabazo iniuria affectus ita se uindicauerit, ut regionẽ totã, quemadmodũ cernis, desolatã reddiderit. Proinde quemadmodũ inimici iniurias ultus est, sic et amico benefacere potest. Quapropter si puellã despõsaueris, nõ solũ illũ socerũ tibi uelim arbitreris, sed et me, et reliquos Lacedæmonios oẽs: et cum nos Græciæ simus ductores, reliquã deniq; Græciam uniuersam. Porro si mihi obtẽperaueris, quis unquam præter te unũ tã præclare nupsit? Quã.n. sponsam aliquãdo tot equites, pedites et armatu deduxerũt, quot uxorẽ domũ tuã concomitabuntur? Otys ab illo sciscitatus est, nũquid sciẽte Spithridate hæc diceret. Cui respõdit. Per deos, ô Oty, nihil horũ me ille loqui iussit: cæterũ ego quẽadmodũ cum inimicũ ulciscor gaudeo, ita cũ amico benefacio, maiori me lætitia affici sentio. Sed nũquid, ait: illũ assenturi arbitraris? Et Agesilaus: Vade age, inquit, ò Erippida, et sciscitare nũ ea quæ et nos uelit. At ille surgẽs abijt. Cũq; aliquantisper moraretur, Vis, inquit, ô Oty, ut illũ huc accersitũ mittamus? nã potius à te illũ persuasum iri arbitror, q̃ à reliquis omnibus. Confestimq;

ΞΕΝΟΦΩΝΤΟΣ ΕΛΛΗΝΙΚΩΝ ΤΕΤΑΡΤΟΝ.

Ὡς δὲ ἀγησίλαος ἐπεὶ ἀφίκετο ἅμα μετοπώρῳ εἰς τὴν τοῦ φαρναβάζου φρυγίαν, τὴν μὲν χώραν ἔκαε, καὶ ἐπόρθει· πόλεις δὲ, τὰς μὲν βίᾳ, τὰς δ' ἑκούσας προσελάμβανε. λέγοντος δὲ τοῦ σπιθριδάτου, ὡς εἰ ἔλθοι πρὸς τὴν παφλαγονίαν, τὸν τῶν παφλαγόνων βασιλέα καὶ εἰς λόγους ἄξοι, καὶ ξύμμαχον ποιήσοι, προθύμως ἐπορεύετο, πάλαι τούτου ἐπιθυμῶν τοῦ ἀφιστάναι τὸ ἔθνος ἀπὸ βασιλέως. ἐπεὶ δὲ ἀφίκετο εἰς τὴν παφλαγονίαν, ἦλθεν ὄτυς, καὶ ξυμμαχίαν ἐποιήσατο. καὶ γὰρ καλούμενος ὑπὸ βασιλέως οὐκ ἀναβεβήκει. πείσαντος δὲ τοῦ σπιθριδάτου, κατέλιπε τῷ ἀγησιλάῳ ὄτυς χιλίους μὲν ἱππέας, δισχιλίους δὲ πελταστάς. χάριν δὲ τούτων εἰδὼς ἀγησίλαος τῷ σπιθριδάτῃ, εἰπέ μοι, ἔφη, ὦ σπιθριδάτα, οὐκ ἂν δοίης ὄτυϊ τὴν θυγατέρα; πολύ γε, ἔφη, μᾶλλον, ἢ ἐκεῖνος ἂν λάβοι φυγάδος ἀνδρὸς, βασιλεύων πολλῆς χώρας καὶ δυνάμεως. τότε μὲν οὖν ταῦτα μόνον ἐρρήθη περὶ τοῦ γάμου. ἐπεὶ δὲ ὄτυς ἔμελλεν ἀπιέναι, ἦλθε πρὸς τὸν ἀγησίλαον ἀσπασόμενος. λόγου δὲ ἦρξεν ὁ ἀγησίλαος, παρόντων τῶν τριάκοντα, μεταστησάμενος τὸν σπιθριδάτην· λέξον μοι, ἔφη, ὦ ὄτυ, ποίου τινὸς γένους ἐστὶν ὁ σπιθριδάτης; ὁ δ' εἶπεν, ὅτι περσῶν οὐδενὸς ἐνδεέστερος. τὸν δὲ υἱὸν, ἔφη, ἑώρακας αὐτοῦ ὡς καλός ἐστι; τί δ' οὐ μέλλω; καὶ γὰρ ἑσπέρας ξυνεδείπνουν αὐτῷ. τούτου μὲν φασὶ τὴν θυγατέρα αὐτῷ καλλίονα εἶναι. νὴ Δί', ἔφη ὁ ὄτυς. καλὴ γάρ ἐστι. καὶ ἐγὼ μὲν, ἔφη, ἐπεὶ φίλος ἡμῖν γεγένησαι, συμβουλεύσαιμ' ἄν σοι τὴν παῖδα γῆμαι γυναῖκα, καλλίστην μὲν οὖσαν, ὅ τι ἀνδρὶ ἥδιον; πατρὸς δ' εὐγενεστάτου, δύναμιν δ' ἔχοντος τοσαύτην, ὃς ὑπὸ φαρναβάζου ἀδικηθεὶς οὕτω τιμωρεῖται αὐτὸν, ὥστε φυγάδα πάσης τῆς χώρας, ὡς ὁρᾷς, πεποίηκεν. εὖ ἴσθι μέντοι ἔφη, ὥσπερ ἐκεῖνον ἐχθρὸν ὄντα δύναται τιμωρεῖσθαι, οὕτω καὶ φίλον ἄνδρα εὐεργετεῖν δύναιτο. νόμιζε δὲ τούτων πραχθέντων μὴ ἐκεῖνον ἄν σοι μόνον κηδεστὴν εἶναι, ἀλλὰ καὶ ἐμὲ, καὶ τοὺς ἄλλους λακεδαιμονίους, ἡμῶν δ' ἡγουμένων τῆς ἑλλάδος, καὶ τὴν ἄλλην ἑλλάδα. καὶ μὴν μεγαλειοτέρως γε εἰ ταῦτα πράττοις, τίς ἄν ποτε γήμειε; ποίαν γὰρ νύμφην πώποτε τοσοῦτοι ἱππεῖς καὶ πελτασταὶ καὶ ὁπλῖται προὔπεμψαν, ὅσοι τὴν σὴν γυναῖκα εἰς τὸν σὸν οἶκον προπέμψειαν ἄν; καὶ ὁ ὄτυς ἐπήρετο· δοκοῦντα δ', ἔφη, ὦ ἀγησίλαε, καὶ σπιθριδάτῃ ταῦτα λέγεις; μὰ τοὺς θεοὺς, ἔφη, ὦ ὄτυ. ἐκεῖνος μὲν ἐμέ γε οὐκ ἐκέλευσε ταῦτα λέγειν. ἐγὼ μέντοι, καίπερ ὑπερχαίρων ὅταν ἐχθρὸν τιμωρῶμαι, πολὺ μᾶλλόν μοι δοκῶ ἥδεσθαι ὅταν τι τοῖς φίλοις ἀγαθὸν ἐξευρίσκω. τί οὖν, ἔφη, οὐ πυνθάνῃ, εἰ καὶ ἐκείνῳ βουλομένῳ ταῦτ' ἐστί; καὶ ὁ ἀγησίλαος, ἴτ', ἔφη, ὑμεῖς, ὦ ἡριππίδα, καὶ διδάσκετε αὐτὸν βουληθῆναι ἅπερ ἡμεῖς. οἱ μὲν δὴ ἀναστάντες ἐδίδασκον. ἐπεὶ δὲ διέτριβον, βούλει, ἔφη, ὦ ὄτυ, καὶ ἡμεῖς δεῦρο καλέσωμεν αὐτόν; πολύ γ' ἂν οἶμαι μᾶλλον, ἔφη, ὑπὸ σοῦ πεισθῆναι αὐτὸν, ἢ ὑπὸ τῶν ἄλλων ἁπάντων. ἐκ τούτου δὲ

δὲ ἐκάλει ὁ ἀγησίλαος σπιθριδάτην τε καὶ τοὺς ἄλ-
λους. προσιόντων δ' αὐτῶν, εἶπεν ὁ ἡριππίδας· τὰ
μὲν ἄλλα, ὦ ἀγησίλαε, τί ἄν τις μακρολο-
γοίη; τέλος δὲ λέγει σπιθριδάτης πᾶν ποιεῖν ἂν ἡ-
δέως ὅ,τι σοι δοκοίη. ἐμοὶ μὲν τοίνυν, ἔφη, δοκεῖ, ὁ ἀγη-
σίλαος, σὲ μὲν, ὦ σπιθριδάτα, τύχῃ ἀγαθῇ διδόναι
ὄτυι τὴν θυγατέρα, σὲ δὲ λαμβάνειν. τὴν μέντοι
παῖδα πρὸ ἦρος, οὐκ ἂν δυναίμεθα πεζῇ ἀγαγεῖν.
ἀλλὰ ναὶ μὰ δί', ἔφη ὁ ὄτυς, κατὰ θάλατταν ἂν πέμποι-
το, εἰ βούλοιο. ἐκ τούτου δεξιὰς δόντες καὶ λαβόντες
ἐπὶ τούτοις, ἀπέπεμπον τὸν ὄτυν. καὶ εὐθὺς ὁ ἀγησί-
λαος ἐπεὶ ἔγνω αὐτὸν σπεύδοντα, τριήρη πληρώσας,
καὶ καλλίαν λακεδαιμόνιον κελεύσας ἀπαγαγεῖν τὴν
παῖδα, αὐτὸς ἐπὶ δασκυλίου ἐπορεύετο, ἔνθα καὶ τὰ
βασίλεια ἦν φαρναβάζῳ. καὶ κῶμαι περὶ αὐτὰ πολλαὶ,
καὶ μεγάλαι, καὶ ἄφθονα ἔχουσαι τὰ ἐπιτήδεια, καὶ
θῆραι, αἱ μὲν ἐν περιειργασμένοις παραδείσοις. αἱ δὲ
καὶ ἀναπεπταμένοις τόποις πάγκαλαι. περιέρρει δὲ
καὶ ποταμὸς, παντοδαπῶν ἰχθύων πλήρης. ἦν δὲ καὶ
τὰ πτηνὰ ἄφθονα τοῖς ὀρνιθεύσαι δυναμένοις. ἐνταῦ-
θα μὲν δὴ διεχείμαζε, καὶ αὐτόθεν σὺν προνομαῖς τὰ
ἐπιτήδεια τῇ στρατιᾷ λαμβάνων. καταφρονητικῶς δέ
ποτε καὶ ἀφυλάκτως, διὰ τὸ μηδὲν πρότερον ἐσφάλ-
θαι, λαμβανόντων τῶν στρατιωτῶν τὰ ἐπιτήδεια, ἐπι-
τυγχάνει αὐτοῖς ὁ φαρνάβαζος κατὰ τὸ πεδίον ἐσπαρμέ-
νοις, ἅρματα μὲν ἔχων δύο δρεπανηφόρα, ἱππέας δὲ
ὡς τετρακοσίους. οἱ δ' ἕλληνες ὡς εἶδον αὐτὸν προσε-
λαύνοντα, συνέδραμον ὡς εἰς ἑπτακοσίους. ὁ δ' οὐκ ἐμέ-
λησεν, ἀλλὰ προστησάμενος τὰ ἅρματα, αὐτὸς δὲ σὺν
τοῖς ἱππεῦσιν ὄπισθεν γενόμενος, ἐκέλευσεν ἐλαύ-
νειν εἰς αὐτούς. ὡς δὲ τὰ ἅρματα ἐμβαλόντα διεσκέδα-
σε τὸ ἀθρόον, ταχὺ οἱ ἱππεῖς κατέβαλον ὡς εἰς ἑκατὸν
ἀνθρώπους. οἱ δ' ἄλλοι κατέφυγον πρὸς ἀγησίλαον.
ἐγγὺς γὰρ ἔτυχε σὺν τοῖς ὁπλίταις ὤν. ἐκ δὲ τούτου
τρίτῃ ἢ τετάρτῃ ἡμέρᾳ αἰσθάνεται ὁ σπιθριδάτης τὸν
φαρνάβαζον, ἐν καυῇ κώμῃ μεγάλῃ στρατοπεδευόμε-
νον, ἀπέχοντα στάδια ὡς ἑξήκοντα καὶ ἑκατόν. καὶ εὐθὺς
λέγει πρὸς τὸν ἡριππίδαν. καὶ ὁ ἡριππίδας ἐπιθυ-
μῶν ἀεὶ λαμπρόν τι ἐργάζεσθαι, αἰτεῖ τὸν ἀγησίλαον ὁ-
πλίτας τε εἰς δισχιλίους, καὶ πελταστὰς ἄλλους τοσού-
τους, καὶ ἱππέας τούς τε σπιθριδάτου, καὶ τοὺς πα-
φλαγόνας, καὶ τῶν ἑλλήνων ὁπόσους πείσειεν. ἐπεὶ δὲ
ὑπέσχετο αὐτῷ, ἐθύετο. καὶ ἅμα δείλῃ καλλιερησάμε-
νος, κατέλυσε τὴν θυσίαν. ἐκ δὲ τούτου δειπνήσαν-
τας παρήγγειλε παρεῖναι πρόσθεν τοῦ στρατοπέδου. σκό-
τους δὲ γενομένου, οὐδ' οἱ ἡμίσεις ἑκάστων ἐξῆλθον. ὅ-
πως δὲ μὴ εἰ ἀποτρέποιτο καταγελῷεν αὐτοῦ οἱ ἄλλοι τριά-
κοντα, ἐπορεύετο σὺν ᾗ εἶχε δυνάμει. ἅμα δὲ τῇ ἡμέρᾳ
ἐπιπεσὼν τῇ φαρναβάζου στρατοπεδείᾳ, τῶν μὲν προφυ-
λακῶν αὐτοῦ, μυσῶν ὄντων, πολλοὶ ἔπεσον, αὐτοὶ δὲ δια-
φεύγουσι. τὸ δὲ στρατόπεδον ἁλίσκεται καὶ πολλὰ μὲν
ἐκπώματα, καὶ ἄλλα δὴ οἷα φαρναβάζου κτήματα.
πρὸς δὲ τούτοις σκεύη πολλὰ, καὶ ὑποζύγια σκευοφό-
ρα. διὰ γὰρ τὸ φοβεῖσθαι μὴ εἴ που καταστάιη κυκλωθεὶς
πολιορκοῖτο, ἄλλοτε ἄλλῃ τῆς χώρας ἐπῄει, ὥσπερ οἱ νο-
μάδες, καὶ μάλα ἀφανίζων τὰς στρατοπεδεύσεις.

ὑπο-

stimq; Spithridatem uocari iussit. Illo ingres-
so, Erippidas ait: Vt cætera Agesilae omitta-
mus, Spithridates omnia quæcunq; tibi grata
nouerit, se facturum pollicetur. Mihi itaq; Age
silaus inquit, uidetur ò Spithridate, quod felix
faustumq; sit, filiam Otyi in uxorem dare, te ue
ro Oty illam accipere debere: sed puellam an
te uernum tempus terra deducere haud possu
mus. At Otys excipiens: Per Iouem, ait, mari
10 si uobis uidetur mitti poterit. Iunctis igitur de
xtris, ille ut puellã daret, alter ut duceret, spo-
ponderunt. Inde Otys discessit. Cõfestimq; A-
gesilaus cum illum nuptiarum cupidum esse
intellexisset, triremi una Calliam Lacedæmo-
nium transmittere puellam iussit. ipse in Dascy
lium duxit. Erat ibi Pharnabazi regia, ager
urbi circumiectus, ferax, & ingentibus uillis
frequens: feræ præterea tum septis ac hortis in
clusæ cultissimis, tum locis apertis uagabãtur
20 amœnissimis. Circumfluebat & amnis limpi-
dus, omnifario refertus piscium genere: uolati-
liaq; innumera aucupijs erant abunde exposi
ta. Ibi Agesilaus hyemauit, exercitumq; uniuer
sum copioso refersit commeatu. Quo sane tem
pore pabulatores per contemptum & absque
speculatoribus, ob diuturnam hostium fiduci-
am, procul à castris palantes, à Pharnabazo
sunt insidijs excepti. Habebat ille currus falca
tos duos, equites uero quadringentos. At Græ
30 ci quamprimum ipsum ingruentem uidissent,
quasi septingenti in unum collecti sunt. His il-
le contemptis, curribusq; in fronte constitu-
tis, cum equitibus à tergo impetum in illos fa-
cit. Currus disiecta acie ordines turbarũt: equi
tes uero Græcos dispalatos insequuti, quasi cẽ
tum ex eis obtruncarunt: reliqui in castra, quæ
prope erant, refugerunt. Nec multis interiectis
diebus cum Spithridates Pharnabazum in Ca
ue uilla magna, castra locasse intellexisset (di-
40 stabat is locus stadia quasi centum sexaginta)
id Erippidæ renũciat. Erippidas cum rem egre
giam perpetrari posse speraret, Agesilaum ro
gat, ut sibi duo millia peditum, clypeatorũ toti
dem, equitatum uero uniuersum, tam Spithri-
datis & Paphlagonum, quàm Græcorum at-
tribueret. His concessis sacrũ fecit, confestimq;
litauit, milites q; cœnare, & inde ante castra
præsto esse iussit. Ingruentibus uero tenebris,
uix pars dimidia egressa est. Erippidas, ne si in
50 castra rediret reliquis triginta ludibrio esset,
cum præsentibus pergit copijs, ac sub dilucu-
lum Pharnabazi munimenta adortus est: inter
fectisq; magna ex parte custodib. qui Mysij e-
rant, reliquis in fugam uersis, castra omni opu
lentia referta cepit. Ingens parta est præda, iu
menta impedimẽtaq; innumera direpta, Phar-
nabaziq; supellex omnis in ditionẽ hostium ue
nit. Nam quia à Græcis obsideri uerebatur, per
uniuersam regionẽ, tanquam pastores solent,
castra copioso cõmeatu referta circuntulerat.

Erip-

nus locare: equites uero quotquot habebat, in subsidijs esse iußit: ipse uero sacrificabat. Peloponnenses uero qui aderant, quiete signum pugnæ expectabant. At Priennenses & Achillij, ac alij quicunq; ex insulis & Ioniæ ciuitatib. aduenerant, partim derelictis in frumēto, quod in Mæandri campo tum maturum erat, armis, aufugerunt: alij quamuis ordines seruarent, tamē de fuga tam circūspiciebant. Pharnabazus igitur pugnā capessere suadet: at Tissaphernes considerato exercitu copioso, miluesq; omnes Græcos esse existimās, certamē detrectauit, & ad Dercyllidē misit, dicens, uelle cum eo in colloquium uenire. Dercyllides uero acceptis electißimis tam equitum q̃ peditum, obuiā pergit nuncijs, ac illis ait: Ego quidem, ut cernitis, ad pugnā instructus sum: cum uero ille me ad colloquiū uocet, minime detrecto: sed ut fides seruetur, obsides dandi et accipiendi sunt. Id cum utrinq; placuisset, exercitus diuersi abiere, barbarorum Trallis Phrygiæ, Græcorum Leucophryn, ubi Dianæ erat templum sacratißimū, ac stagnum arenosum perenni riuulo, et aquis scaturiens calidis. Postridie in locum cōuenere cōstitutum, & inuicem quærere cœperunt, quibus conditionib. pacem firmarēt. Dercyllides, si rex liberas ciuitates Græcas relinqueret: Tissaphernes uero & Pharnabazus, si exercitus ex regijs educeretur finibus, ac Lacedæmoniorum harmosiæ ex ciuitatib. abirent, pacem offerebant. Cum hæc & alia quamplurima inuicē dixissent ac audiuissent, inducias pacti sunt, quousq; Dercyllides Lacedæmonijs, Tissaphernes uero regi, pacis nunciarent conditiones. Cum hæc à Dercyllide in Asia gererentur, Lacedæmonij iampridē Eleis infensi erant, quod cum Atheniensib. Argiuis et Mātineis societatem contraxerāt. Cumq; huius rei rationē reddere iußi essent, Lacedæmonios ab equestri et gymnico prohibuerāt certamine: ac his nō cōtenti, cum Lichas curru uicisset, Thebanos uictores declarauerāt: qui cum uictores pronunciati essent, ingressus Lichas aurigā coronauit: ob id uir senex flagris cæsus, ac eiectus erat. Accedebat, quod cum Agis oraculo quodā Ioui sacrificare iussus esset, ab Eliensib. belli finem seruari prohibitus est. uetusta lege inhibitū esse asserentib. ne Græci cōtra Græcos bellātes, sortes quærerent: ita ille sacrificio minime perfecto, discedere coactus est. His omnib. ex causis Senatus ac Ephori irati, Elienses aliquantisper corripere conabātur. Legatos igitur Elim miserunt, qui dicerent, magistratus Lacedæmoniorū iustum esse censere, ut adiacentes ciuitates liberas dimitterēt. Quib. illi respōderūt, minime se id facturos, cū urbes illas belli iure subactas poßiderēt. Lacedæmonij itaq; delectu habito, exercitum coēgere: quem Agis eduxit, ac per Achaiā iuxta Larissam in Eleorū irrupit fines. Cūq; agrū undiq; ferro ac flāma uastaret, terra

ἀσπίδα, ἐκατέρωθεν μὲν καθίστασθαι. καὶ τοὺς ἱππέας ὅσους γε δὴ, καὶ οἵους ἐτύγχανεν ἔχων. αὐτὸς δὲ ἐθύετο. ὅσον μὲν δὴ ἦν ἐκ Πελοποννήσου στράτευμα, ἡσυχίαν εἶχε, καὶ παρεσκευάζετο ὡς μαχούμενοι. ὅσοι δὲ ἦσαν ἀπὸ Πριήνης τε καὶ Ἀχιλλείου, καὶ ἀπὸ νήσων, καὶ τῶν Ἰωνικῶν πόλεων, οἱ μέν τινες καταλιπόντες ἐν τῷ σίτῳ τὰ ὅπλα, ἀπεδίδρασκον. καὶ γὰρ ἦν βαθὺς ὁ σῖτος ἐν τῷ Μαιάνδρου πεδίῳ. ὅσοι δὲ καὶ ἔμενον, δῆλοι ἦσαν οὐ μενοῦντες. τὸν μὲν οὖν Φαρνάβαζον ἐξηγγέλλετο μάχεσθαι κελεύειν. ὁ μέντοι Τισσαφέρνης τό, τε Κύρειον στράτευμα καταλογιζόμενος ὡς ἐπολέμησεν αὐτοῖς, καὶ τούτῳ πάντας νομίζων ὁμοίους εἶναι τοὺς Ἕλληνας, οὐκ ἐβούλετο μάχεσθαι. ἀλλὰ πέμψας πρὸς Δερκυλλίδαν, εἶπεν ὅτι εἰς λόγους βούλοιτο αὐτῷ ἀφικέσθαι. καὶ ὁ Δερκυλλίδας λαβὼν τοὺς κρατίστους τὰ εἴδη τῶν περὶ αὐτὸν ἱππέων καὶ πεζῶν, προῆλθε πρὸς τοὺς ἀγγέλους, καὶ εἶπεν· ἀλλὰ παρεσκευάσμην μὲν ἔγωγε μάχεσθαι ὡς ὁρᾶτε. ἐπεὶ μέντοι ἐκεῖνος βούλεται εἰς λόγους ἀφικέσθαι, οὐδ᾽ ἐγὼ ἀντιλέγω. ἂν μέντοι ταῦτα δέῃ ποιεῖν πιστὰ, ὁμήρους δοτέον, καὶ ληπτέον. δόξαντα δὲ ταῦτα, καὶ περανθέντα, τὰ μὲν στρατεύματα ἀπῆλθε. τὸ μὲν βαρβαρικὸν εἰς Τράλλεις τῆς Φρυγίας· τὸ δ᾽ Ἑλληνικὸν εἰς Λευκόφρυν. ἔνθα ἦν Ἀρτέμιδος ἱερὸν μάλα ἅγιον, καὶ λίμνη, πλέον ἢ σταδίου ὑπόψαμμος, ἀέναος, ποτίμου, καὶ θερμοῦ ὕδατος. καὶ τότε μὲν ταῦτα ἐπράχθη. τῇ δ᾽ ὑστεραίᾳ εἰς τὸ συγκείμενον χωρίον ἦλθον. καὶ ἔδοξεν αὐτοῖς πυθέσθαι ἀλλήλων ἐπὶ τίσιν ἂν τὴν εἰρήνην ποιήσαιντο. ὁ μὲν δὴ Δερκυλλίδας εἶπεν, εἰ αὐτονόμους ἐῴη βασιλεὺς τὰς Ἑλληνίδας πόλεις. ὁ δὲ Τισσαφέρνης καὶ Φαρνάβαζος εἶπον, ὅτι εἰ ἐξέλθοι τὸ Ἑλληνικὸν στράτευμα ἐκ τῆς βασιλέως χώρας, καὶ οἱ Λακεδαιμονίων ἁρμοσταὶ ἐκ τῶν πόλεων. ταῦτα δὲ εἰπόντες ἀλλήλοις, σπονδὰς ἐποιήσαντο, ἕως ἀπαγγελθείη τὰ λεχθέντα, Δερκυλλίδας μὲν εἰς Λακεδαίμονα· Τισσαφέρνης δὲ ἐπὶ βασιλέα. τούτων δὲ πραττομένων ἐν τῇ Ἀσίᾳ ὑπὸ Δερκυλλίδα, Λακεδαιμόνιοι κατὰ τὸν αὐτὸν χρόνον πάλαι ὀργιζόμενοι τοῖς Ἠλείοις, καὶ ὅτι ἐποιήσαντο συμμαχίαν πρὸς Ἀθηναίους, καὶ Ἀργείους, καὶ Μαντινέας, καὶ ὅτι δίκην φάσκοντες καταδεδικάσθαι αὐτῶν, ἐκώλυον καὶ τοῦ ἱππικοῦ καὶ τοῦ γυμνικοῦ ἀγῶνος. καὶ οὐ μόνον ταῦτ᾽ ἤρκει, ἀλλὰ καὶ Λίχα παραδόντος Θηβαίοις τὸ ἅρμα, ἐπεὶ ἐκηρύττοντο νικῶντες, ὅτι εἰσῆλθε Λίχας στεφανώσων τὸν ἡνίοχον, μαστιγοῦντες αὐτὸν ἄνδρα γέροντα, ἐξήλασαν. τούτων δ᾽ ὕστερον καὶ Ἄγιδος πεμφθέντος θῦσαι τῷ Διὶ κατὰ μαντείαν τινά, ἐκώλυον οἱ Ἠλεῖοι μὴ προσεύχεσθαι νίκην πολέμου, λέγοντες ὡς καὶ τὸ ἀρχαῖον εἴη οὕτω νόμιμον, μὴ χρηστηριάζεσθαι τοὺς Ἕλληνας ἐφ᾽ Ἑλλήνων πολέμῳ. ὥστε ἄθυτος ἀπῆλθεν. ἐκ τούτων οὖν πάντων ὀργιζομένοις ἔδοξε τοῖς ἐφόροις, καὶ τῇ ἐκκλησίᾳ σωφρονίσαι αὐτούς. πέμψαντες οὖν πρέσβεις εἰς Ἦλιν, εἶπον, ὅτι τοῖς τέλεσι τῶν Λακεδαιμονίων δίκαιον δοκοίη εἶναι ἀφιέναι αὐτοὺς τὰς περιοικίδας πόλεις αὐτονόμους. ἀποκρινομένων δὲ τῶν Ἠλείων, ὅτι οὐ ποιήσοιεν ταῦτα, ἐπικρατίδας γὰρ ἔχειν τὰς πόλεις, φρουρὰν ἔφηναν οἱ ἔφοροι. ἄγων δὲ τὸ στράτευμα Ἆγις, ἐνέβαλε διὰ τῆς Ἀχαΐας εἰς τὴν Ἠλείαν κατὰ Λάρισσαν. ἄρτι δὲ τοῦ στρατεύματος ἐν τῇ πολεμίᾳ ὄντος, καὶ

καὶ κοπτομένης τῆς χώρας σεισμὸς ἐπιγίγνεται. ὁ δ' Ἆγις θεῖον ἡγησάμενος, ἐξελθὼν πάλιν ἐκ τῆς χώρας, διαφῆκε τὸ στράτευμα. ἐκ δὲ τούτου οἱ Ἠλεῖοι πολὺ θρασύτεροι ἦσαν, καὶ διεπρεσβεύοντο πρὸς τὰς πόλεις, ὅσας δυσμενεῖς οὔσας τοῖς Λακεδαιμονίοις ᾔδεσαν. περιιόντι δὲ τῷ ἐνιαυτῷ, φαίνουσι πάλιν οἱ ἔφοροι φρουρὰν ἐπὶ τὴν Ἦλιν. καὶ ξυνεστρατεύοντο τῷ Ἄγιδι, πλὴν Βοιωτῶν καὶ Κορινθίων, οἵ τε ἄλλοι ξύμμαχοι καὶ οἱ Ἀθηναῖοι. ἐμβαλόντος δὲ τοῦ Ἄγιδος δι' Αὐλῶνος, εὐθὺς μὲν Λεπρεᾶται ἀποστάντες τῶν Ἠλείων, προσεχώρησαν αὐτῷ. εὐθὺς δὲ Μακίστιοι, ἐχόμενοι δὲ Ἐπιταλιεῖς. διαβαίνοντι δὲ τὸν ποταμὸν, προσεχώρουν Λετρῖνοι, καὶ Ἀμφίδολοι, καὶ Μαργανεῖς. ἐκ τούτου ἐλθὼν εἰς Ὀλυμπίαν, ἔθυε τῷ Διὶ τῷ Ὀλυμπίῳ. κωλύειν δὲ οὐδεὶς ἔτι ἐπειρᾶτο. θύσας δὲ πρὸς τὸ ἄστυ, ἐπορεύετο κόπτων καὶ κάων τὴν χώραν, καὶ ὑπερπολλὰ μὲν κτήνη, ὑπερπολλὰ δὲ ἀνδράποδα ἡλίσκετο ἐκ τῆς χώρας. ὥστε ἀκούοντες καὶ ἄλλοι πολλοὶ τῶν Ἀρκάδων καὶ Ἀχαιῶν, ἑκόντες ᾔεσαν συστρατευσόμενοι, καὶ μετεῖχον τῆς ἁρπαγῆς, καὶ ἐγένετο αὕτη ἡ στρατιὰ ὥσπερ ἐπισιτισμὸς τῇ Πελοποννήσῳ. ἐπεὶ δὲ ἀφίκετο πρὸς τὴν πόλιν, τὰ μὲν προάστεια καὶ τὰ γυμνάσια καλὰ ὄντα ἐλυμαίνετο· τὴν δὲ πόλιν, ἀτείχιστος γὰρ ἦν, ἐνόμιζον αὐτὸν μὴ βούλεσθαι μᾶλλον, ἢ μὴ δύνασθαι ἑλεῖν. δῃουμένης δὲ τῆς χώρας, καὶ οὔσης τῆς στρατιᾶς περὶ Κυλλήνην, βουλόμενοι οἱ περὶ Ξενίαν τὸν λεγόμενον μεδίμνῳ ἀπομετρήσασθαι παρὰ τοῦ πατρὸς ἀργύριον, δι' αὑτῶν προσχωρῆσαι τοῖς Λακεδαιμονίοις, ἐκπεσόντες ἐξ οἰκίας, ξίφη ἔχοντες, σφαγὰς ποιοῦσι, καὶ ἄλλους τέ τινας ἀποκτείνουσι, καὶ ὅμοιόν τινα Θρασυδαίῳ ἀποκτείναντες τῷ τοῦ δήμου προστάτῃ, ᾤοντο Θρασυδαῖον ἀπεκτονέναι. ὥστε ὁ μὲν δῆμος παντελῶς κατηθυμήκει, καὶ ἡσυχίαν εἶχεν. οἱ δὲ σφαγεῖς πάντ' ᾤοντο πεπραγμένα εἶναι. καὶ οἱ ὁμογνώμονες αὐτοῖς ἐξέφερον τὰ ὅπλα εἰς τὴν ἀγοράν. ὁ δὲ Θρασυδαῖος ἔτι καθεύδων ἐτύγχανεν οὗπερ ἐμεθύσθη. ὡς δὲ ᾔσθετο ὁ δῆμος ὅτι οὐ τέθνηκεν ὁ Θρασυδαῖος, περιεπλήσθη ἡ οἰκία ἔνθεν καὶ ἔνθεν, ὥσπερ ὑπὸ ἑσμοῦ μελιττῶν ὁ ἡγεμών. ἐπεὶ δὲ ἡγεῖτο ὁ Θρασυδαῖος, ἀναλαβὼν τὸν δῆμον, γενομένης μάχης, ἐκράτησεν ὁ δῆμος. ἐξέπεσον δὲ πρὸς τοὺς Λακεδαιμονίους οἱ ἐγχειρήσαντες ταῖς σφαγαῖς. ἐπεὶ δ' αὖ ὁ Ἆγις ἀπιὼν διέβη τὸν Ἀλφειόν, φρουροὺς καταλιπὼν ἐν Ἐπιταλίῳ πλησίον τοῦ Ἀλφειοῦ, καὶ Λύσιππον ἁρμοστήν, καὶ τοὺς ἐξ Ἤλιδος φυγάδας, τὸ μὲν στράτευμα διῆκεν, αὐτὸς δὲ οἴκαδε ἀπῆλθε. καὶ τὸ μὲν λοιπὸν θέρος, καὶ τὸν ἐπιόντα χειμῶνα ὑπὸ τοῦ Λυσίππου καὶ τῶν περὶ αὐτὸν ἐφέρετο καὶ ἤγετο ἡ τῶν Ἠλείων χώρα. τοῦ δ' ἐπιόντος θέρους πέμψας Θρασυδαῖος εἰς Λακεδαίμονα, ξυνεχώρησε σφίσι τό τε τεῖχος περιελεῖν, καὶ Κυλλήνην, καὶ τὰς Τριφυλίδας πόλεις ἀφεῖναι, Φρίξαν, καὶ Ἐπιτάλιον, καὶ Λετρίνους, καὶ Ἀμφιδόλους, καὶ Μαργανεῖς· πρὸς δὲ ταύταις καὶ Ἀκρωρείους, καὶ Λασιῶνα τὸν ὑπ' Ἀρκάδων λεγόμενον. Ἐπειὸν μέντοι τὴν μεταξὺ πόλιν Ἡραίας καὶ Μακίστου, ἠξίουν οἱ Ἠλεῖοι ἔχειν. πρίασθαι γὰρ ἔφασαν τὴν χώραν ἅπασαν παρὰ τῶν τότε ἐχόντων τὴν πόλιν, τριάκοντα ταλάντων, καὶ τὸ ἀργύριον ἀποδεδωκέναι. οἱ δὲ Λακεδαιμόνιοι γνόντες, μηδὲν δικαιό-

terræmotus factus est: quo prodigio tanquam diuino Agis territus, exercitum ex hostium finibus reduxit. Elei ob id animo elati, legatos ad omnes circum misere ciuitates, quas Lacedæmonijs infensos norant. Reuoluto anno, Agis ex Ephororum sententia rursus exercitum coëgit, ac cum eo militarunt, præter Bœotos & Corinthios, socij omnes: Athenienses quoque. Cum his igitur per Aulonem ingressus Elidem, statim Lepreates ab Elijs deficientes deditione cepit. Hos sequuti sunt Macistij & Petalij: cumque flumen transgressus esset, Leprini, Amphidoli, & Marganes in fidem uenere. Inde Olympiam progressus nemine prohibente, Ioui Olympio sacrum fecit: ac per totam prouinciam populabundus, cuncta ferro ac igni deuastans, grassari cœpit: infinita quoque abegit iumenta, quamplurimáque cepit mancipia. Quibus auditis, plurimi Arcades & Achæi uoluntarij illum, ut rapinæ participes fierent, sequuti sunt, adeo ut expeditione illa totum commeatu repleret Peloponnesum. Cumq; urbi propinquasset, suburbana, ac gymnasia sumptuoso extructa opere, uastauit: ciuitatem uero cum muro careret, noluisse potius capere, quàm nequiuisse, arbitrantur. Cum igitur undique per prouinciam uastitas fieret, exercitúsque circa Cyllenen esset, quidam cum Lacedæmonijs sentientes, seditionem in ciuitate concitarunt: ac cæde per urbem grassantes, quamplurimos, inter quos similem quendam Thrasydæo, qui populo præerat, interfecerunt, arbitrantes Thrasydæum occidisse. Populus itaque territus quiescebat. At seditiosi omnia sibi iam peracta existimantes, cum facinoris conscijs in forum aduolant. Verum Thrasydæus domi dormiebat, nam uino se ingurgitauerat. Id cum populus resciuisset, ut examen apium Thrasydæi domum circumsedit. Thrasydæus igitur populi auxilio seditiosos aggressus superauit: qui expulsi ad Lacedæmonios se contulerunt. Agis interea cum exercitum reducere decreuisset, Alpheum transgressus, in Epitalio iuxta Alpheum præsidium constituit, cui Lysippum harmosten cum Eliensibus præesse iussit exulibus: ipse dissoluto exercitu domum abijt. Aestate uero reliqua ac hyeme, Eleorum fines à Lysippo & præsidio assidue ferro ac flammis uastabantur.

Ineunte uere, Thrasydæus pro pace impetranda Lacedæmonem mittit, paratum se esse dicens muros subruere uelle: præterea Cyllenen, & ciuitates Triphyllidas, Phrixan, Epitalion, Leprinam, Amphidolos & Marganes liberas dimittere, & ultra illos Acrorios, & quæ ab Arcadibus Lasion appellatur. Epium uero, & adiacentes ciuitates, Ereas & Macipum, Elij ipsis relinqui orabant: nam eam regionem uniuersam triginta argenti talentis ab antiquis possessoribus emisse, pecuniamq; numerasse ostendebant. Lacedæmonij cum arbitrarentur non minus iniustum

iustum esse, ui emere, quàm ui impotentioribus quid extorquere, eam quoq; illos regionem dimittere coëgerunt. Iouis uerò Olympij templo, quãuis antiquitus Eliensium minime fuisset, eos praeesse haud prohibuerunt: existimãtes Choritas, qui illud sibi uendicare nitebantur, minime idoneos esse qui id obtinerent. His conditionibus pax ac societas inter Lacedaemonios & Elienses sancita, bellumq; solutum est. Post haec Agis Delphos profectus est, ac decimam deo obtulit. Inde cum discessisset, morbo (iam enim senex erat) in Heraea correptus, uiuus tamen Lacedaemonem delatus est, ubi paulo post uita excessit, augustiorq; illi quàm humana contigit sepultura. Cumq; iuxta cõsuetudinem dies aduenissent, quib. regem eligere oportebat, Leotychides, qui se Agidis filium ferebat, et Agesilaus frater, ambo ad regnum aspirare coeperunt: cumq; Leotychides dixisset, lex ô Agesilaë nõ fratrem regis, sed filium regnare iubet: at si uirilis sexus liberi minime supersunt, tũc demum ad fratrẽ regnum deuoluitur. Respõdit ille: Igitur me regnare oportet. Et quo pacto, inquit Leotychides, cum regis supersim filius? Quoniã, ait, quem patrem appellas, aliquãdo te suum esse negauit natum: et nunc quoq; te patre lõge formosiorẽ esse aiunt. Insuper cõstat patrẽ cum te minime ex se cõceptum intelligeret, matrẽ tuã e thalamo expulisse. Tẽpus quoq;, utpote uerissimũ, huic rei testimoniũ praestat, cum decimo tandẽ post ultimum Agidis cum matre cõgressum, natus sis mẽse. Et illi his inter se cõtendebant. Diophites uero uates egregius, Leotychidi astipulabatur, dicẽs, Apollinis esse oraculum, ut regnum à claudicatione obseruaretur. Cui Lysander pro Agesilao contradixit: deum nõ iubere asserens, cauẽdum esse à casu claudicantis: sed potius, ne quis alienus à regis stirpe imperaret: omnino. n. regnum claudum fore, si quis ab Heraclidis minime progenitus regnum teneret. Haec cum utrinq; audita essent, Agesilaus rex creatus est. Cumq; nondum annum regnasset, ac hostiam pro ciuitate sacrificaret, uates inquit, deos sibi ostendere potẽtissimum quendam illi insidias struere. Cumq; rursus sacrificium obtulisset, hostiam maiores portendere insidias ait. Tertio uero cum iterum sacrum fecisset, dixit: O Agesilaë, dij nos in medijs uersari ostẽdunt hostibus. Inde pro malis arcendis, ac salute sacrificantes, cum uix tandem litassent, discessere. Quin & postea die insidiae & illarum machinator Cinadon, à quodam ad Ephoros delatae sunt. Erat ille aetate iuuenis, ac super omnes aequales robustus & audax. Quaerentibus igitur Ephoris rei seriem, ait index, se à Cinadone per forum deductum esse, iussumq; considerare quotnam Spartani in foro essent: & ego, inquit, numeraui regem & Ephoros, senes, ac alios quasi quadringentos. Cumque quaesiuissem, cur me illos numerare iussisset: respondit, Hos tibi inimicos esse uelim existimes, reliquos omnes amicos. Insuper cunctos, praeter solum praefectum, in Spartano/

δικαιότερον εἶναι βίᾳ πριαμένους, ἢ βίᾳ ἀφελομένους παρὰ τῶν ἡττόνων λαμβάνειν, ἀφεῖναι καὶ ταύτην ἠνάγκασαν. τοῦ μέντοι προεστάναι τοῦ Διὸς τοῦ ὀλυμπίου ἱεροῦ, καίπερ οὐκ ἀρχαίου ἠλείοις ὄντος, οὐκ ἀπήλασαν αὐτούς, νομίζοντες τοὺς ἀντιποιουμένους χωρίτας εἶναι, καὶ οὐχ ἱκανοὺς προεστάναι. τούτων δὲ συγχωρηθέντων, εἰρήνη τε γίγνεται, καὶ ξυμμαχία ἠλείων πρὸς λακεδαιμονίους. καὶ οὕτω μὲν δὴ ὁ λακεδαιμονίων καὶ ἠλείων πόλεμος ἔληξε. μετὰ δὲ ταῦτα ἆγις ἀφικόμενος εἰς δελφούς, καὶ τὴν δεκάτην ἀπεθύσας, πάλιν ἀπιών, ἔκαμεν ἐν ἡραίᾳ γέρων ἤδη ὤν, καὶ ἀπηνέχθη μὲν εἰς λακεδαίμονα ἔτι ζῶν. ἐκεῖ δὲ ταχὺ ἐτελεύτησε, καὶ ἔτυχε σεμνοτέρας, ἢ κατ' ἄνθρωπον ταφῆς. ἐπεὶ δὲ ὡς ἐξώσθησαν αἱ ἡμέραι παρῆλθον, καὶ ἔδει βασιλέα καθίστασθαι, ἀντέλεγε περὶ βασιλείας λεωτυχίδης, υἱὸς φάσκων ἄγιδος εἶναι. ἀγησίλαος δὲ ἦν ἀδελφός. εἰπόντος δὲ τοῦ λεωτυχίδου, ἀλλ' ὁ νόμος, ὦ ἀγησίλαε, οὐκ ἀδελφόν, ἀλλ' υἱὸν βασιλέως βασιλεύειν κελεύει. εἰ δὲ υἱὸς μὴ τυγχάνοι, ὁ ἀδελφός, καὶ ὣς βασιλεύοι, ἐμὲ ἂν δέοι, ἔφη ὁ ἀγησίλαος. πῶς ἐμοῦ γε ὄντος; ὅτι ὅντινα καλεῖς πατέρα, οὐκ ἔφη σὲ εἶναι ἑαυτοῦ. ἀλλ' ἡ πολὺ κάλλιον ἐκείνου εἰδυῖα μήτηρ καὶ νῦν ἔτι φησίν. ἀλλ' ὁπότε δ' ἂν ὡς μάλα σοι ψευδομένῳ κατεμήνυσεν ἐκ τοῦ θαλάμου ἐξελάσας σεισμὸς εἰς τὸ φανερὸν τὸν σὸν πατέρα, συμμαρτυρεῖ ταῦτ' αὐτῷ καὶ ὁ ἀληθέστατος λεγόμενος χρόνος εἶναι. ἀφ' οὗ γάρ τοι ἔφυσε, καὶ ἐφάνη ἐν τῷ θαλάμῳ, δεκάτῳ μηνὶ ἐγένου. οἱ μὲν τοιαῦτ' ἔλεγον. διοπείθης δὲ μάλα χρησμολόγος ἀνήρ, λεωτυχίδῃ ξυναγορεύων εἶπεν, ὡς καὶ ἀπόλλωνος χρησμὸς εἴη φυλάξασθαι τὴν χωλὴν βασιλείαν. λύσανδρος δὲ πρὸς αὐτὸν ὑπὲρ ἀγησιλάου ἀντεῖπεν, ὡς οὐκ οἴοιτο τὸν θεὸν τοῦτο κελεύειν φυλάξασθαι, μὴ προσπταίσας τις, χωλεύσει, ἀλλὰ μᾶλλον μὴ οὐκ ὢν τοῦ γένους βασιλεύσῃ. παντάπασι γὰρ ἂν χωλὴν εἶναι τὴν βασιλείαν, ὁπότε μὴ ἀφ' ἡρακλέους τῆς πόλεως ἡγοῖτο. τοιαῦτα δὲ ἀκούσασα ἡ πόλις ἀμφοτέρων, ἀγησίλαον εἵλοντο βασιλέα. οὔπω δ' ἐνιαυτὸν ὄντος ἐν τῇ βασιλείᾳ ἀγησιλάου, θύοντος αὐτοῦ τῶν τεταγμένων τινὰ θυσιῶν ὑπὲρ τῆς πόλεως, εἶπεν ὁ μάντις, ὅτι ἐπιβουλήν τινα τῶν δεινοτάτων φαίνοιεν οἱ θεοί. ἐπεὶ δὲ πάλιν ἔθυσεν, ἔτι δεινότερα ἔφη τὰ ἱερὰ φαίνεσθαι. τὸ τρίτον ἤδη θύοντος, εἶπεν, ὦ ἀγησίλαε, ὥσπερ εἰ ἐν αὐτοῖς εἴημεν τοῖς πολεμίοις, οὕτω σημαίνεται. ἐκ δὲ τούτου θύοντες καὶ τοῖς ἀποτροπαίοις, καὶ τοῖς σωτῆρσι, καὶ μόλις καλλιερήσαντες ἐπαύσαντο. ληγούσης δὲ τῆς θυσίας ἐντὸς πένθ' ἡμερῶν, καταγορεύει τις πρὸς τοὺς ἐφόρους ἐπιβουλήν, καὶ τὸν ἀρχηγὸν τοῦ πράγματος κινάδωνα. οὗτος δ' ἦν καὶ τὸ εἶδος νεανίσκος, καὶ τὴν ψυχὴν εὔρωστος, οὐ μέντοι τῶν ὁμοίων. ἐρωτωμένων δὲ τῶν ἐφόρων πῶς φαίη τὴν πρᾶξιν ἔσεσθαι, εἶπεν ὁ εἰσαγγείλας, ὅτι ὁ κινάδων ἀγαγὼν αὐτὸν ἐπὶ τὸ ἔσχατον τῆς ἀγορᾶς, ἀριθμῆσαι κελεύει ὁπόσοι εἶεν σπαρτιᾶται ἐν τῇ ἀγορᾷ. καὶ ἐγώ, ἔφη, ἀριθμήσας βασιλέα τε, καὶ ἐφόρους, καὶ γέροντας, καὶ ἄλλους ὡς τετταράκοντα, ἠρόμην τί δή με τούτους, ὦ κινάδων, ἐκέλευσας ἀριθμῆσαι; ὁ δὲ εἶπε· τούτους, ἔφη, νόμιζε σοι πολεμίους εἶναι, τοὺς δ' ἄλλους πάντας ξυμμάχους. καὶ ὅσοι δὴ ἐν τοῖς χωρίοις σπαρ-

τιατῶν

τιατῶν τύχοιεν ὄντες, ἕνα μὲν πολέμιον τὸν δεσπότην,
ξυμμάχους δ' ἐν ἑκάστῳ πολλούς. ἐρωτώντων δὲ τῶν ἐφό-
ρων πόσους φαίη καὶ τοὺς ξυνειδότας τὴν πρᾶξιν εἶναι. λέ-
γειν καὶ περὶ τούτου ἔφη αὐτὸν, ὡς σφίσι μὲν τοῖς προ-
εστηκόσιν, οὐ πάνυ πολλοί, ἀξιόπιστοι δὲ συνειδεῖεν. αὐ-
τοὶ μέντοι πᾶσιν ἔφασαν συνειδέναι, καὶ εἵλωσι καὶ νεο-
δαμώδεσι, καὶ τοῖς ὑπομείοσι, καὶ τοῖς περιοίκοις. ὅπου γὰρ
ἐν τούτοις τις λόγος γίγνοιτο περὶ Σπαρτιατῶν, οὐδένα δύνα-
σθαι κρύπτειν, τὸ μὴ οὐχ ἡδέως ἂν καὶ ὠμῶν ἐσθίειν αὐτῶν.
πάλιν οὖν ἐρωτώντων, ὅπλα δὲ πόθεν ἔφασαν λήψεσθαι.
τὸν δ' εἰπεῖν, ὅτι οἱ μὲν δὴ συντεταγμένοι ἡμῶν, αὐ-
τοὶ ἔφασαν τὰ ὅπλα κεκτήμεθα. τῷ δ' ὄχλῳ ἀγαγόντα
αὐτὸν εἰς τὸν σίδηρον, ἐπιδεῖξαι αὐτὸν ἔφη πολλὰς μὲν μαχαί-
ρας, πολλὰ δὲ ξίφη, πολλοὺς δὲ ὀβελίσκους, πολλοὺς δὲ πελέ-
κεις καὶ ἀξίνας, καὶ πολλὰ δρέπανα. λέγειν δ' αὐτὸν ἔφη,
ὅτι καὶ ταῦτα ὅπλα πάντα εἴη, ὁπόσοις ἄνθρωποι καὶ γῆν
καὶ ξύλα, καὶ λίθους ἐργάζονται. καὶ τῶν ἄλλων δὲ τεχνῶν τὰς
πλείστας, τὰ ὄργανα ὅπλα ἔχειν ἀρκοῦντα. ἄλλως τε καὶ
πρὸς ἀόπλους. πάλιν οὖν ἐρωτώμενος, ἐν τίνι χρόνῳ ταῦ-
τα μέλλοι πράττεσθαι, εἶπεν, ὅτι ἐπιδημεῖν οἱ παρηγ-
γελμένοι εἴη. ἀκούσαντες ταῦτα οἱ ἔφοροι, ἐσκεμμέ-
να τε λέγειν ἡγήσαντο αὐτὸν, καὶ ἐξεπλάγησαν. καὶ οὐ-
δὲ τὴν μικρὰν καλουμένην ἐκκλησίαν ξυλλέξαντες,
ἀλλὰ ξυλλεγόμενοι τῶν γερόντων ἄλλος ἄλλοθεν ἐβούλευ-
σαντο πέμψαι τὸν Κινάδωνα εἰς Αὐλῶνα σὺν ἄλλοις τῶν
νεωτέρων, καὶ κελεῦσαι ἥκειν ἄγοντα τῶν Αὐλωνιτῶν τέ
τινας, καὶ τῶν εἱλωτῶν τοὺς ἐν τῇ σκυτάλῃ γεγραμμένους.
ἀγαγεῖν δὲ ἐκέλευον καὶ τὴν γυναῖκα, ἣ καλλίστη μὲν ἐλέ-
γετο αὐτόθι εἶναι, λυμαίνεσθαι δ' ἐδόκει τοὺς ἀφικνουμένους
λακεδαιμονίων, καὶ πρεσβυτέρους καὶ νεωτέρους. ὑπη-
ρετήκει δὲ καὶ ἄλλα ἤδη ὁ κινάδων τοῖς ἐφόροις τοιαῦτα. καὶ
τότε δὴ ἔδοσαν τὴν σκυτάλην αὐτῷ, ἐν ᾗ γεγραμμένοι
ἦσαν οὓς ἔδει ξυλληφθῆναι. ἐρομένου δὲ τίνας ἄγοι μεθ'
ἑαυτοῦ τῶν νέων, ἴθι ἔφασαν, καὶ τὸν πρεσβύτατον τῶν ἱππαγρετῶν
κέλευέ σοι ξυμπέμψαι ἓξ ἢ ἑπτὰ, οἳ ἂν τύχωσι παρόντες.
ἐμεμελήκει δὲ αὐτοῖς ὅπως ὁ ἱππαγρέτης εἰδείη οὓς δέοι
πέμπειν, καὶ οἱ πεμπόμενοι εἰδεῖεν ὅτι κινάδωνα δέοι
συλλαβεῖν. εἶπον δὲ καὶ τῷ κινάδωνι, ὅτι πέμ-
ψοιεν τρεῖς ἁμάξας, ἵνα μὴ πεζοὺς ἄγοιεν τοὺς ληφθέν-
τας, ἀφανίζοντες ὡς ἐδύναντο μάλιστα, ὅτι ἐφ' ἕνα ἐ-
κεῖνον ἔπεμπον. ἐν δὲ τῇ πόλει οὐ ξυνελάμβανον αὐ-
τὸν, ὅτι πρᾶγμα οὐκ ᾔδεσαν ὁπόσον τὸ μέγεθος εἴη. καὶ
ἀκοῦσαι πρῶτον ἐβούλοντο τοῦ κινάδωνος, οἵ τινες
εἶεν οἱ ξυμπράττοντες, πρὶν αἰσθέσθαι αὐτοὺς ὅτι μεμήνυν-
ται, ἵνα μὴ ἀποδρῶσιν. ἔμελλον δὲ οἱ συλλαβόντες αὐτὸν
μὲν κατέχειν. τοὺς δὲ ξυνειδότας πυθόμενοι αὐτοῦ, γρά-
ψαντες, ἀποπέμψειν τὴν ταχίστην τοῖς ἐφόροις. οὕτω
δ' εἶχον οἱ ἔφοροι πρὸς τὸ πρᾶγμα, ὥστε καὶ μόραν ἱπ-
πέων ἔπεμψαν τοῖς ἐπ' αὐλῶνος. ἐπεὶ δ' εἰλημμένου τοῦ
ἀνδρὸς, ἧκεν ἱππεὺς φέρων τὰ ὀνόματα, ὧν ὁ κινάδων
ἀπέγραψε, παραχρῆμα τόν τε μάντιν Τισάμενον, καὶ τοὺς
ἐπικαιριωτάτους ξυνελάμβανον. ὡς δ' ἀνήχθη ὁ κινά-
δων, καὶ ἠλέγχετο, καὶ ὡμολόγει πάντα, καὶ τοὺς ξυνειδό-
τας ἔλεγε, τέλος αὐτὸν ἤροντο τί καὶ βουλόμενος ταῦ-
τα πράττοι. ὁ δ' ἀπεκρίνατο, μηδενὸς ἥττων εἶναι ἐν λα-
κεδαίμονι. ἐκ τούτου μέντοι ἤδη δεδεμένος καὶ τὼ χεῖρε
καὶ

tanorũ finibus amicos putes. Ephori cũ quæ
siuissent, quotnam huius rei conscij essent: in
quit, duces esse haud multos, sed qui singula
ri præstarent fide: cõscios uero seruos ac li-
beros, incolas ac uicinos: cum. n. inter hos,
aut, de Spartanis sermo incidit, gaudiũ cela-
re nemo potest, sed oẽs lætitia efferũtur. Rur
sus Ephoris quærẽtib. unde arma sumere cõ-
stituissent: respõdit, Cum inter nos cõgrega-
10 ti essemus, ac de armis cogitaremus, ille ostẽ
du præsto esse enses uarios, gladios multos,
tum magnã hastarũ, bipenniũ, dolabrũ ac fal
ciũ, instrumenta scilicet quib. cũ homines ter
ram colerẽt, ligna ac lapides inciderent: reli-
quas quoq; artes omnifaria suppeditaturas
arma, præcipue contra inermes. Iterũ Epho
ris quærentib. quonam tẽpore facinus perpe
trare cõstituissent: Cum oẽs conscij cõuenis-
sent, respondit. Ephoris uera ille dicere uisus
20 est: quapropter haud paruo perculsi sunt ti-
more, ac nõ solum conciliũ, quod paruũ ap-
pellant, conuocarũt, sed undiq; senioribus con
gregatis, tandem decreuerũt, Cinadonẽ cum
quibusdam iunioribus. Aulonẽ mittere, ut Au-
lonitas quosdã cum hilotis in scytala descri-
ptis comprehenderet, ac Lacedæmonẽ duce
ret: inter quos mulierẽ quandã pulcherrimã
adducere iubebant, quæ Lacedæmonios ap
plicãtes seniores ac iuniores corrũpere fere-
30 batur. Cinadon in his Ephoris obedire para
tus erat, scytalãq; in qua erãt descripti quos
cõprehendere debebat, accepit. Cũq; interro
gasset, quosnã ex iunioribus secũ duceret: illi
responderunt, ut seniorẽ ex Hippagretis adi
ret, ac sex uel septẽ qui forte adessent, sibi at
tribuere iuberet: clam uero cõposuerũt, Hip
pagretus nosceret, qui secũ mittendi forent:
missi uero non ignorarẽt, quod Cinadonem
cõprehendere deberẽt. Currus quoq; tres illi
40 addidere, ne captiui pedib. iter facere cogerẽ
tur: celare se maxime fingẽtes, quãobrẽ ille
mitteretur. In ciuitate uero eum cõprehende
re nõ audebant: ignorabãt enim, qui modo,
et quot, cõiurationis participes essent. Volue
rũt igitur antequã facinus detegeretur audi-
re, quinã cõscij essent, ne re detecta sontes au
fugerẽt. Dederũt itaq; his qui eum capere de
bebãt in mãdatis, ut illo detẽto, eum nomina
consciorũ edere cogerẽt, eaq; celerrime ad
50 Ephoros mitterẽt: tantiq; momenti rem esse
Ephori ducebãt, ut turmã quoq; equitũ Aulo
nam ire iuberẽt. Quamprimũ igitur nomina
eorũ, quos Cinadõ prodiderat, allata sunt, sta
tim Tisamenũ & alios nocẽtes cõprehende
re iusserũt. Cumq; Cinadon omnia quẽadmo
dũ se haberent confessus esset, nomina quoq;
cõsciorũ manifestasset, interrogatus cur faci
nus tantũ molitus esset, nihil aliud respõdit, q̃
ne postremus Lacedæmone esset: quapropter
ipse ac cõtribuli manib. post tergũ reuinctis

per ciuitatem undiq; circumducti, ac flagris cæsi sunt, tandemq; meritas facinoris dedere pœnas. Eodem tempore Herodes quidem Syracusanus cum in Phœnicia negociaretur, uidissetq; naues Phœnissas & alias quàmplures undiq; contrahi, nouas quoq; ubiq; instrui, audiuissetq; classem trecentarum nauium numerum expleturam, statim conscenso nauigio in Græciam proficiscitur, Lacedæmonijsq; regis ac Tissaphernis in contrahenda classe apparatum nunciat: cæterũ quò moliretur, se ignorare dicebat. Lacedæmonij rem minime contemnendam arbitrantes, socios conuocant, cum quibus quid agendum foret consultabant. Lysander cum existimaret Græcos re nauali excellere, quemadmodumq; milites qui cum Cyro ascenderant salui redijssent perpenderet, Agesilao persuadet, ut sibi tria millia Spartanorum dari peteret, duo millia iuniorum, ac sex sociorum, expeditionemq; in Asiam sumeret: se quoq; cum illo iturum offert, ut statum in ciuitatibus ab eo institutum, & qui per Ephoros solutus erat, rursus cum Agesilao introduceret. Agesilaus accepto à Lacedæmonijs exercitu, ac semestri frumento, reliquis quoq; preparatis necessarijs, sacrificium pro ritu fecit: cumq; litasset, socijs urbibus militum imperat numerum: conueniendi ostendit tempus, & locũ: ipse Aulidem profectus est, ut ibi, tanquam Agamemnon cum Troiam nauigaturus esset, sacrificaret. At Biotharchi cum ipsum sacrificare audissent, missis equitibus, eum à sacrificio prohibuerunt, hostiasq; ab ara deturbarunt. At ille deos testes inuocans, iratus conscensa naue discessit, ac Geræstum nauigauit: ubi uniuerso collecto exercitu, cum classe Ephesum contendit. Quo cum uenisset, illico ad eum Tissaphernes quæsitum mittit, quam ob causam appulisset. Cui Agesilaus respondit, ut Asiaticas, quemadmodum & Græcas, ciuitates in libertatem uendicaret. Petijt Tissaphernes ut Agesilaus tantisper à rebus gerendis abstineret, quoad ipse in Persas ad regem mitteret, promittens omnia illi ex sententia confecturum: fidei tamen causa, & ut absque dolo cuncta agerentur, induciæq; seruarentur, iuramentum exegit. Iurauere igitur utrinq;, Tissaphernes Erippidæ, Dercyllidi et Megialio, ad hoc missis, absque dolo malo pacem obseruare uelle. Illi uero pro Agesilao iuramentum Tissapherni præstiterunt, ni idem faceret, pro nihilo inducias haberent. Et Tissaphernes omnia quæ iurauerat statim ementitus est. Nam cum pacis autorem se obtulisset, ingentem à rege exercitum, præter copias quas antea secum habebat, sibi depoposcit. Agesilaus etsi non ignoraret quid ille post inita fœdera moliretur, quietem tamen egit, ac Ephesi

καὶ τὸν τράχηλον ἐν κλοιῷ, μαστιγούμενος, καὶ κεντούμενος, αὐτός τε καὶ οἱ μετ' αὐτοῦ, περὶ τὴν πόλιν περιηγόμενοι. καὶ οὗτοι μὲν δὴ ταύτης δίκης ἔτυχον. μετὰ δὲ ταῦτα ἡρώδης τις συρακούσιος ἐν φοινίκῃ ὢν μετὰ ναυκλήρου τινός, καὶ ἰδὼν τριήρεις φοινίσσας, τὰς μὲν καταπλεούσας ἄλλοθεν, τὰς δὲ καὶ αὐτοῦ πεπληρωμένας, τὰς δὲ καὶ ἔτι κατασκευαζομένας. προσακούσας δὲ καὶ τοῦτο, ὅτι καὶ τριακοσίας δέοι αὐτὰς γενέσθαι, ἐπιβὰς ἐπὶ τὸ πρῶτον ἀναγόμενον πλοῖον εἰς τὴν ἑλλάδα, ἐξήγγειλε τοῖς λακεδαιμονίοις, ὡς βασιλέως καὶ τισσαφέρνους τὸν στόλον τοῦτον παρασκευαζομένων. ὅποι δὲ οὐδὲν ἔφη εἰδέναι. ἀνεπτερωμένων δὲ τῶν λακεδαιμονίων, καὶ τοὺς συμμάχους συναγαγόντων, καὶ βουλευομένων τί χρὴ ποιεῖν, λύσανδρος νομίζων καὶ τῷ ναυτικῷ πολὺ περιέσεσθαι τοὺς ἕλληνας, καὶ τὸ πεζὸν λογιζόμενος ὡς ἐσώθη τὸ μετὰ κύρου ἀναβάν, πείθει τὸν ἀγησίλαον ὑποστῆναι, ἢν αὐτῷ δῶσι τριάκοντα σπαρτιατῶν, εἰς δισχιλίους δὲ τῶν νεοδαμωδῶν, εἰς ἑξακισχιλίους δὲ τὸ σύνταγμα τῶν συμμάχων, στρατεύεσθαι εἰς τὴν ἀσίαν. πρὸς δὲ τούτῳ τῷ λογισμῷ καὶ αὐτὸς συνεξελθεῖν αὐτῷ ἐβούλετο, ὅπως τὰς δεκαρχίας τὰς κατασταθείσας ὑπ' ἐκείνου ἐν ταῖς πόλεσιν, ἐκπεπτωκυίας δὲ διὰ τοὺς ἐφόρους, οἳ τὰς πατρίους πολιτείας παρήγγειλαν, πάλιν καταστήσειε μετ' ἀγησιλάου. ἐπαγγειλαμένου δὲ τοῦ ἀγησιλάου τὴν στρατιάν, διδόασί τε οἱ λακεδαιμόνιοι ὅσαπερ ᾔτησε, καὶ ἑξαμήνου σῖτον. ἐπεὶ δὲ θυσάμενος καὶ τἆλλα ὅσα ἔδει, καὶ τὰ διαβατήρια, ἐξῆλθε, ταῖς μὲν πόλεσι διαπέμψας ἀγγέλους, προεῖπεν ὅσους τε δέοι ἑκασταχόθεν πέμπεσθαι, καὶ ὅπου παρεῖναι. αὐτὸς δ' ἐβουλήθη ἐλθὼν θῦσαι ἐν αὐλίδι, ἔνθαπερ ὁ ἀγαμέμνων ὅτ' εἰς τροίαν ἔπλει, ἐθύετο. ὡς δ' ἐκεῖ ἐγένετο, πυθόμενοι οἱ βοιώταρχοι ὅτι θύοι, πέμψαντες ἱππέας, τοῦ τε λοιποῦ ἐκέλευον μὴ θύειν, καὶ οἷς ἐνέτυχον ἱεροῖς τεθυμένοις, διέρριψαν ἀπὸ τοῦ βωμοῦ. ὁ δὲ ἐπιμαρτυράμενος τοὺς θεούς, καὶ ὀργιζόμενος, ἀναβὰς ἐπὶ τὴν τριήρη, ἀπέπλει. ἀφικόμενος δ' ἐπὶ γεραιστόν, καὶ συλλέξας ἐκεῖ ὅσον ἐδύνατο τοῦ στρατεύματος πλεῖστον, εἰς ἔφεσον τὸν στόλον ἐποιεῖτο. ἐπεὶ δὲ ἐκεῖσε ἀφίκετο, πρῶτον μὲν τισσαφέρνης πέμψας, ἤρετο αὐτὸν τίνος δεόμενος ἥκοι. ὁ δ' εἶπεν, ὅτι αὐτονόμους καὶ τὰς ἐν τῇ ἀσίᾳ πόλεις εἶναι, ὥσπερ καὶ τὰς ἐν τῇ παρ' ἡμῖν ἑλλάδι. πρὸς ταῦτ' εἶπεν ὁ τισσαφέρνης· εἰ τοίνυν θέλεις σπείσασθαι ἕως ἂν ἐγὼ πρὸς βασιλέα πέμψω, οἶμαί σε ταῦτα διαπραξάμενον ἀποπλεῖν, εἰ βούλοιο. ἀλλὰ βουλοίμην ἄν, ἔφη, εἰ μὴ οἰοίμην γε ὑπὸ σοῦ ἐξαπατᾶσθαι. ἀλλ' ἔξεστιν, ἔφη, σοι τούτων πίστιν λαβεῖν, ἦ μὴν ἀδόλως σοῦ πράττοντος ταῦτα, ἡμᾶς μηδὲν τὴν σὴν ἀρχὴν ἀδικήσειν ἐν ταῖς σπονδαῖς. ἐπὶ τούτοις ῥηθεῖσι τισσαφέρνης μὲν ὤμοσε τοῖς πεμφθεῖσι πρὸς αὐτόν, ἡριππίδᾳ, καὶ δερκυλλίδᾳ, καὶ μεγιλλῳ, ἦ μὴν πράξειν ἀδόλως τὴν εἰρήνην. ἐκεῖνοι δ' αὐτῷ ὤμοσαν ὑπὲρ ἀγησιλάου τισσαφέρνει, ἦ μὴν ταῦτα πράττοντος αὐτοῦ, ἐμπεδώσειν τὰς σπονδάς. ὁ μὲν δὴ τισσαφέρνης ἃ ὤμοσεν, εὐθὺς ἐψεύσατο. ἀντὶ γὰρ τοῦ εἰρήνην ἔχειν, στράτευμα πολὺ βασιλέως, πρὸς ᾧ εἶχε πρόσθεν, μετεπέμπετο. ἀγησίλαος δὲ καίπερ αἰσθανόμενος ταῦτα, ὅμως ἐνέμενε ταῖς σπονδαῖς. ὡς δὲ ἡσυχίαν τε καὶ σχολὴν ἄγων ὁ ἀγησίλαος διέτριβεν ἐν τῇ ἐφέσῳ,

ἐφέσῳ, ἅτε συντεταραγμένων ἐν ταῖς πόλεσι τῶν πο-
λιτειῶν, καὶ οὔτε δημοκρατίας ἔτι οὔσης, ὥσπερ ἐπ' ἀθη-
ναίων, οὔτε δεκαρχίας, ὥσπερ ἐπὶ λυσάνδρου, ἅτε γιγνώ-
σκοντες πάντες τὸν λύσανδρον, προσέκειντο αὐτῷ,
ἀξιοῦντες διαπράξασθαι αὐτὸν παρ' ἀγησιλάου, ὧν ἐ-
δέοντο. καὶ διὰ ταῦτα ἀεὶ παμπληθὴς ὄχλος θεραπεύων
αὐτὸν ἠκολούθει. ὥστε ὁ μὲν ἀγησίλαος ἰδιώτης ἐφαί-
νετο, ὁ δὲ λύσανδρος βασιλεύς. ὅτι μὲν οὖν ἐμήνιε καὶ τὸν
ἀγησίλαον ταῦτα, ἐδήλωσεν ὕστερον. οἵ γε μὴν ἄλλοι
τριάκοντα ὑπὸ τοῦ φθόνου οὐκ ἐσίγων, ἀλλ' ἔλεγον πρὸς
τὸν ἀγησίλαον, ὡς παράνομα ποιοίη λύσανδρος, τῆς
βασιλείας ὀγκηρότερον διάγων. ἐπεὶ δὲ καὶ ἤρξατο προσά-
γειν τινὰς τῷ ἀγησιλάῳ ὁ λύσανδρος, πάντας οἷς γνοίη
αὐτὸν συμπράττοντά τι, ἡττωμένους ἀπέπεμπεν. ὡς δ'
ἀεὶ τὰ ἐναντία ὧν ἐβούλετο ἀπέβαινε τῷ λυσάνδρῳ,
ἔγνω δὴ τὸ γιγνόμενον, καὶ οὔτε ἕπεσθαι ἑαυτῷ ἔτι εἴα ὄ-
χλον, τοῖς τε συμπρᾶξαί τι δεομένοις σαφῶς ἔλεγεν,
ὅτι ἔλαττον ἕξοιεν, εἰ αὐτὸς παρείη. βαρέως δὲ φέρων τῇ
ἀτιμίᾳ, προσελθὼν εἶπεν· ὦ ἀγησίλαε, μειοῦν μὲν ἀεὶ
ἄρα σύ γε τοὺς φίλους ἠπίστω; ναὶ μὰ Δί', ἔφη, τούς γε βου-
λομένους ἐμοῦ μείζους φαίνεσθαι· τοὺς δέ γε αὔξοντας, εἰ μὴ
ἐπισταίμην ἀντιτιμᾶν, αἰσχυνοίμην ἄν. καὶ ὁ λύσανδρος
ἔφη· ἴσως σὺ καὶ μᾶλλον εἰκότα ποιεῖς, ἢ ἐγὼ ἔπραττον.
τάδε νῦν μοι ἐκ τοῦ λοιποῦ χάρισαι, ὅπως μήτ' αἰσχύ-
νωμαι ἀδυνατῶν παρὰ σοί, μήτ' ἐμποδών σοι ὦ, ἀπό-
πεμψόν πῃ με. ὅπου γὰρ ἂν ὦ, πειράσομαι ἐν καιρῷ σοι
εἶναι. εἰπόντος δὲ ταῦτα, ἔδοξε καὶ τῷ ἀγησιλάῳ οὕτω ποιῆ-
σαι. καὶ πέμπει αὐτὸν ἐφ' ἑλλησπόντου. ἐκεῖ δὲ ὁ λύσαν-
δρος αἰσθόμενος σπιθριδάτην τὸν πέρσην, ἐλαττού-
μενόν τι ὑπὸ φαρναβάζου, διαλέγεται αὐτῷ, καὶ πείθει
ἀποστῆναι, ἔχοντα τούς τε παῖδας, καὶ τὰ περὶ αὐτὸν χρή-
ματα, καὶ ἱππέας ὡς διακοσίους. καὶ τὰ μὲν ἄλλα κατέλι-
πεν ἐν κυζίκῳ· αὐτὸν δὲ καὶ τὸν υἱὸν ἀναβιβασάμενος, ἧ-
κεν ἄγων πρὸς ἀγησίλαον. ἰδὼν δὲ ὁ ἀγησίλαος, ἥσθη
τε τῇ πράξει, καὶ εὐθέως ἀνεπυνθάνετο περὶ τῆς φαρ-
ναβάζου χώρας τε καὶ ἀρχῆς. ἐπεὶ δὲ μέγα φρονήσας ὁ τισ-
σαφέρνης ἐπὶ τῷ καταβάντι στρατεύματι παρὰ βασι-
λέως, προεῖπεν ἀγησιλάῳ πόλεμον, εἰ μὴ ἀπίοι ἐκ τῆς ἀ-
σίας. οἱ μὲν ἄλλοι σύμμαχοι, καὶ λακεδαιμονίων οἱ πα-
ρόντες μάλα ἀχθεσθέντες, φανεροὶ ἐγένοντο, νομίζοντες ἐ-
λάττω τὴν παροῦσαν δύναμιν εἶναι ἀγησιλάῳ, τῆς βασι-
λέως παρασκευῆς. ἀγησίλαος δὲ μάλα φαιδρῷ τῷ
προσώπῳ ἀπαγγεῖλαι τισσαφέρνει τοὺς πρέσβεις ἐκέλευ-
σεν, ὡς πολλὴν χάριν αὐτῷ ἔχοι, ὅτι ἐπιορκήσας, αὐτὸς
μὲν πολεμίους τοὺς θεοὺς ἐκτήσατο, τοῖς δ' ἕλλησι συμ-
μάχους ἐποίησεν. ἐκ δὲ τούτου εὐθὺς τοῖς μὲν στρατιώ-
ταις παρήγγειλε συσκευάζεσθαι, ὡς εἰς στρατείαν. ταῖς δὲ
πόλεσιν, εἰς ἃς ἀνάγκη ἦν ἀφικνεῖσθαι στρατευομένῳ ἐπὶ
καρίαν, προεῖπεν ἀγορὰν παρασκευάζειν. ἐπέστειλε δὲ καὶ
ἴωσι, καὶ αἰολεῦσι, καὶ ἑλλησποντίοις πέμπειν πρὸς ἑαυτὸν
εἰς ἔφεσον τοὺς συστρατευσομένους. ὁ δὲ τισσαφέρνης καὶ
ὅτι ἱππικὸν οὐκ εἶχεν ὁ ἀγησίλαος, ἡ δὲ καρία ἄφιπ-
πος ἦν, καὶ ὅτι ἡγεῖτο αὐτὸν ὀργίζεσθαι αὐτῷ διὰ τὴν ἀπά-
την, τῷ ὄντι νομίσας ἐπὶ τὸν αὐτοῦ οἶκον εἰς καρίαν αὐ-
τὸν ὁρμήσειν, τὸ μὲν πεζὸν ἅπαν διεβίβασεν ἐκεῖσε, τὸ δ'
ἱππικὸν ἅπαν εἰς τὸ μαιάνδρου περιῆγε πεδίον, νομίζων
ἱκανὸν

Ephesi ordinandis ciuitatibus, quæ nec popula/
ri statu, quemadmodum sub Atheniensibus: nec
decarchia, ut sub Lacedæmonijs, iam regeban/
tur, operam impendebat. Cumq; Lysander om/
nibus notus esset, si quid ab aliquo petebatur, il/
lum accedentes rogabant, ut apud Agesilaum in
tercederet: quapropter eam ob rem, ac consuetu
dinem antiquam, ingens turba semper Lysandrū
sectabatur, uadentē ita, ut Agesilaus iam in ordi/
nem redactus, Lysander uero rex esse uideretur.
Cæterum cum Agesilaus sub initium rem dissimu
lasset, triginta alij inuidia stimulati minime taci/
ti rem ferebant, sed quotidie Agesilaum instiga/
bant, ostendentes Lysandrum iam regem age/
re. Agesilaus igitur omnes, quibus Lysandrum
fauere intellegebat, infectis remittebat negocijs,
ita ut semper contrarium quàm Lysander desi/
deraret, eueniret. Ille re intellecta, turbam se am
plius sectari prohibuit: & si quis eum pro inter/
cessione adiret, manifeste ostendit, suum amicis
studium obesse: ægre tamen eam ferebat ignomi/
niam, regemq; adiens, inquit: Minores ô Agesi/
laë amicos reddere nosti. Et recte per Iouem, il/
le ait: si me maiores uideri uelint: eos uero qui
res meas amplificant, si honore non afficerem,
contumeliam mihi inuri arbitrarer. At Lysan/
der: Forsitan rectius tu nunc, inquit, agis, quàm
ego tum facere consueueram. Cæterum dehinc,
oro, ne ob impotentiam ignominia afficiar, ubi
uero impedimento sim, aliquo me ableges: ubi/
cunq; enim fuero, strenuam me tibi operam na/
uaturum polliceor. Hæc cum dixisset, haud ab/
surdum petere uisus est. Ab Agesilao itaque in
Hellespontum missus est, ubi comperto Spithri/
date Persa Pharnabazi inimico, eum cum libe/
ris, pecunijs, & equitibus quasi ducentis, ad de
sciscendum induxit: quibus omnibus in Chio de
relictis, ipsum cum filio ad Agesilaum perduxit,
à quo ille de Pharnabazi reb. certior factus est.
Tissaphernes recepto à rege exercitu elatior fa/
ctus, Agesilao bellum, ni Asia excederet, indixit:
quapropter cuncti Lacedæmoniorum socij ma/
xima affecti sunt tristitia: timebant etenim Agesi
laum ob copiarum paucitatem, regijs uiribus re
sistere posse minime. Agesilaus admodum hilari
fronte caduceatorem Tissapherni renunciare iu
bet, ei non paruam se habere gratiā, quod periu/
rio suo deos sibi infensos, Græcis uero propitios
reddidisset. Militibus itaq; extemplo ad expedi/
tionem se instruant, præcipit: urbes uero quas in
Cariam ducenti adire necesse erat, commeatum
comparare iubet: ad Iones, Aeolides, & Helle/
spontios scribit, ut auxilia ad se Ephesum mit/
tant. Tissaphernes, quia Agesilaus equitibus
carebat, Caria uero equitatui permeabilis non
sit, tum quia illum propter fraudem sibi iratum
esse censebat, ratus eum in Cariam, ubi re/
gia sua erat, impetum facturum, omnes pe/
destres copias eo transmisit. Equites autem
ad Mæandri campum circunduxit, sperans,

se Graecos prius equitatu circumuenturum, quàm ad loca equis inuia peruenissent. Sed Agesilaus in contrarium pro Caria in Phrygiam irrupit, ciuitatesque in itinere sitas subigebat, ac inexpectatam regionem inuadens, quamplurimas cepit pecunias: toto inde tempore secure exercitum circunduxit. Cumque non longe à Dascylio abesset, equites qui illum speculatum praecesserant, tumulum quendam, ut inde cuncta speculari possent, occupant. Forte fortuna pari numero equitum ala cum Rhathine & Banzeo Pharnabazi fratre notho, in eundem deuenere collem: cumq; uix per quatuor distarent iugera, utrinque in conspectum uenere. Graeci in more phalangis in ordinem redicre, haud lata fronte: at Barbari densa incedentes acie, primi in hostes impetum fecerunt: cumq; ad manus uentum esset, quicunq; ex Graecis hostes feriebant, hastas obuertebant: at Persae quibus cornea erant iacula, celeriter equites duodecim, equos uerò confecere duos, Graecosq; in fugam uertunt. Quibus cum Agesilaus armatura graui opem tulisset, Barbari uno ex suis desiderato, retrocessere. Postridie cum Agesilaus sacrificaret, litare non potuit: quapropter conuersus, mare uersus exercitum ducere coepit. Cum uero propter equitũ paucitatem per loca campestria incidere posse diffideret, sibi quoque equites comparandos esse duxit, ne tanquam subterfugiens bellare cogeretur. Locupletioribus igitur ex ciuitatibus uniuersis, ut equos alerẽt, imperauit: quicunq; tamen equum, arma & uirum peritum praebuisset, huic à militia uacare licere, edicto praefatus est. Nec secus singulos ad hoc prompte faciendum induxit, ac si quis pro se alterum moriturum libenti quaereret animo. Postquam autem uer appetebat, uniuersum Ephesum coëgit exercitum: quem cum exerceri uellet, peditibus, si quis egregio corporis robore praestaret, equitibus uero, si quis optime equitaret, praemia proposuit: pariter & clypeatis ac sagittarijs munera constituit, qui se ad debita opera maxime idoneos demonstrassent. Itaque cernere erat gymnasia, uiris se exercentibus plena: & equorum stadia, equitandi studio decertantibus referta, iaculatores uero & sagittarios undique bellica meditantes opera. Totam denique urbem spectaculo dignam reddidit: nam et forum armis omnifarijs ac equis uenalibus refertum erat. Aerarij quoq; fabri, ferrarij, coriarij, pictores, omnes bellica fabricabant instrumenta, ita ut urbs illa recte belli officina uocari posset. Illud quoq; ad bene sperandum cunctos incitabat: nam Agesilaum, deinde reliquos milites à gymnasijs reuertẽtes, intueri erat, coronas quibus coronati fuerant Dianae offerentes. VBI enim homines deos colunt, bellicaq; exercent opera, principibus obtemperare student, nonne ibi omnia spe bona referta esse consentaneũ est?

Ratus

ἱκανὸν εἴη καταπολεμῆσαι τῷ ἱππικῷ τοὺς ἕλληνας, πρὶν εἰς τὰ δύσιππα ἀφικέσθαι. ὁ δὲ ἀγησίλαος ἀντὶ τοῦ ἐπὶ καρίαν ἰέναι, εὐθὺς τἀναντία ἀποστρέψας, ἐπὶ φρυγίας ἐπορεύετο, καὶ τάς τε ἐν τῇ πορείᾳ πόλεις κατεστρέφετο, καὶ ἐμβαλὼν ἀπροσδοκήτοις, παμπληθῆ χρήματα ἐλάμβανε, καὶ τὸν μὲν ἄλλον χρόνον ἀσφαλῶς διεπορεύετο. οὐ πόῤῥω δ' ὄντος δασκυλείου, προϊόντος αὐτοῦ, οἱ ἱππεῖς ἤλαυνον ἐπὶ λόφον τινά, ὡς προΐδοιεν τί τἄμπροσθεν εἴη. κατὰ τύχην δέ τινα καὶ οἱ τοῦ φαρναβάζου ἱππεῖς, οἱ περὶ ῥαθίνην καὶ βαγκαῖον τὸν νόθον ἀδελφὸν ὄντες, παρόμοιοι τοῖς ἕλλησι τὸν ἀριθμόν, πεμφθέντες ὑπὸ φαρναβάζου, ἤλαυνον καὶ οὗτοι ἐπὶ τὸν αὐτὸν τοῦτον λόφον. ἰδόντες δὲ ἀλλήλους οὐδὲ τέτταρα πλέθρα ἀπέχοντας, τὸ μὲν πρῶτον ἔστησαν ἀμφότεροι. οἱ μὲν ἑλλήνων ἱππεῖς ὥσπερ φάλαγξ, ἐπὶ τεττάρων παρατεταγμένοι, οἱ δὲ βάρβαροι τοὺς πρώτους οὐ πλέον ἢ εἰς δώδεκα ποιήσαντες, τὸ βάθος δ' ἐπὶ πολλῶν, ἔπειτα μέντοι πρόσθεν ὥρμησαν οἱ βάρβαροι. ὡς δ' εἰς χεῖρας ἦλθον, ὅσοι μὲν τῶν ἑλλήνων ἔπαισάν τινας, πάντες ξυνέτριψαν τὰ δόρατα. οἱ δὲ πέρσαι κρανέϊνα παλτὰ ἔχοντες, ταχὺ δώδεκα μὲν ἱππεῖς, δύο δ' ἵππους ἀπέκτειναν. ἐκ δὲ τούτου ἐτρέφθησαν οἱ ἑλλήνων ἱππεῖς. βοηθήσαντος δὲ ἀγησιλάου σὺν τοῖς ὁπλίταις, πάλιν ἀπεχώρουν οἱ βάρβαροι, καὶ εἷς περσῶν εἷς αὐτῶν ἀποθνήσκει. γενομένης δὲ ταύτης τῆς ἱππομαχίας, θυομένῳ τῷ ἀγησιλάῳ τῇ ὑστεραίᾳ ἐπὶ προόδῳ ἄλοβα γίγνεται τὰ ἱερά. τούτου μέντοι φανέντος, στρέψας ἐπορεύετο ἐπὶ τὴν θάλασσαν. γιγνώσκων δὲ ὅτι εἰ μὴ ἱππικὸν ἱκανὸν κτήσαιτο, οὐ δυνήσοιτο κατὰ τὰ πεδία στρατεύεσθαι, ἔγνω τοῦτο κατασκευαστέον εἶναι, ὡς μὴ δραπετεύοντα πολεμεῖν δέοι. καὶ τοὺς μὲν πλουσιωτάτους ἐκ πασῶν τῶν ἐκεῖ πόλεων, ἱπποτροφεῖν κατέλεξε. προειπὼν δὲ ὅστις παρέχοιτο ἱππικόν, καὶ ὅπλα, καὶ ἄνδρα δόκιμον, ὅτι ἐξέσται αὐτῷ μὴ στρατεύεσθαι, ἐποίησεν οὕτω ξυντόμως πράττεσθαι, ὥσπερ ἄν τις τὸν ὑπὲρ αὐτοῦ ἀποθανούμενον προθύμως ζητοίη. ἐκ δὲ τούτου, ἐπειδὴ ἔαρ ὑπέφαινε, ξυνήγαγε μὲν ἅπαν τὸ στράτευμα εἰς ἔφεσον. ἀσκῆσαι δ' αὐτὸ βουλόμενος, ἆθλα προὔθηκε, ταῖς δὲ ὁπλιτικαῖς τάξεσιν, ἥτις ἄριστα σωμάτων ἔχοι, καὶ ταῖς ἱππικαῖς, ἥτις κράτιστα ἱππεύοι· καὶ πελτασταῖς δὲ καὶ τοξόταις ἆθλα προὔθηκεν, ὅσοι κράτιστοι πρὸς τὰ προσήκοντα ἔργα φανεῖεν. ἐκ δὲ τούτου παρῆν ὁρᾶν τὰ μὲν γυμνάσια πάντα μεστὰ ἀνδρῶν τῶν γυμναζομένων, τὸν δ' ἱππόδρομον τῶν ἱππαζομένων, τοὺς δ' ἀκοντιστάς, καὶ τοὺς τοξότας, μελετῶντας. ἀξίαν δὲ καὶ ὅλην τὴν πόλιν, ἐν ᾗ ἦν, τὴν ἔφεσον, θέας ἐποίησεν. ἥ τε γὰρ ἀγορὰ ἦν μεστὴ παντοδαπῶν, καὶ ἵππων καὶ ὅπλων καὶ ὠνίων, οἵ τε χαλκοτύποι, καὶ οἱ τέκτονες, καὶ οἱ χαλκεῖς, καὶ οἱ σκυτοτόμοι, καὶ οἱ ζωγράφοι, πάντες πολεμικὰ ὅπλα κατεσκεύαζον, ὥστε τὴν πόλιν ὄντως οἴεσθαι πολέμου ἐργαστήριον εἶναι. ἐπεῤῥώσθη δ' αὖ τις καὶ ἐκεῖνο ἰδών, ἀγησίλαον μὲν πρῶτον, ἔπειτα δὲ καὶ τοὺς ἄλλους στρατιώτας ἐστεφανωμένους ἀπὸ τῶν γυμνασίων ἀπιόντας, καὶ ἀνατιθέντας τοὺς στεφάνους τῇ ἀρτέμιδι. ὅπου γὰρ ἄνδρες θεοὺς μὲν σέβοιντο, τὰ δὲ πολεμικὰ ἀσκοῖεν, πειθαρχεῖν δὲ μελετῷεν, πῶς οὐκ εἰκὸς ἐνταῦθα πάντα μεστὰ ἐλπίδων ἀγαθῶν εἶναι;

ἡγούμενος

ἡγούμενος δὲ καὶ τὸ καταφρονεῖν τῶν πολεμίων, ῥώμην τινὰ ἐμβάλλειν πρὸς τὸ μάχεσθαι, προεῖπε τοῖς κήρυξι τοὺς ὑπὸ τῶν λῃστῶν ἁλισκομένους βαρβάρους γυμνοὺς πωλεῖν. ὁρῶντες οὖν οἱ στρατιῶται λευκοὺς μὲν διὰ τὸ μηδέποτε ἐκδύεσθαι, μαλακοὺς δὲ καὶ ἀπόνους, διὰ τὸ ἀεὶ ἐπ᾽ ὀχημάτων εἶναι, ἐνόμισαν οὐδὲν διοίσειν τὸν πόλεμον, ἢ εἰ γυναιξὶ δέοι μάχεσθαι. ἐν δὲ τούτῳ τῷ χρόνῳ, καὶ ὁ ἐνιαυτὸς ἤδη, ἀφ᾽ οὗ ἐξέπλευσεν ὁ Ἀγησίλαος, διεληλύθει. ὥστε οἱ μὲν περὶ Λύσανδρον τριάκοντα οἴκαδε ἀπέπλεον. διάδοχοι δ᾽ αὐτῶν οἱ περὶ Ἡριππίδαν παρῆσαν, τούτων Ξενοκλέα μὲν καὶ ἄλλον ἔταξεν ἐπὶ τοὺς ἱππέας, Σκύθην δὲ ἐπὶ τοὺς νεοδαμώδεις ὁπλίτας, Ἡριππίδαν δ᾽ ἐπὶ τοὺς Κυρείους, Μύγδωνα δὲ ἐπὶ τοὺς ἀπὸ τῶν πόλεων στρατιώτας. καὶ προεῖπεν αὐτοῖς, ὅτι ὡς εὐθὺς ἡγήσοιτο τὴν συντομωτάτην ἐπὶ τὰ κράτιστα τῆς χώρας, ὅπως αὐτόθεν οὕτω τὰ σώματα, καὶ τὴν γνώμην παρασκευάζοιντο ὡς ἀγωνιούμενοι. ὁ μέντοι Τισσαφέρνης ταῦτα μὲν ἐνόμισε λέγειν αὐτὸν, πάλιν βουλόμενον ἐξαπατῆσαι. εἰς Καρίαν δὲ νῦν τῷ ὄντι ἐμβαλεῖν. καὶ τό, τε πεζὸν καθάπερ τὸ πρόσθεν εἰς Καρίαν διεβίβασε, καὶ τὸ ἱππικὸν εἰς τὸ Μαιάνδρου πεδίον κατέστησεν. ὁ δ᾽ Ἀγησίλαος οὐκ ἐψεύσατο, ἀλλ᾽ ὥσπερ προεῖπεν εὐθὺς εἰς τὸν Σαρδιανὸν τόπον ἐνέβαλε, καὶ τρεῖς μὲν ἡμέρας δι᾽ ἐρημίας πολεμίων πορευόμενος, πολλὰ τὰ ἐπιτήδεια τῇ στρατιᾷ εἶχε. τῇ δὲ τετάρτῃ ἧκον οἱ τῶν πολεμίων ἱππεῖς. καὶ τῷ μὲν ἄρχοντι τῶν σκευοφόρων εἶπε, διαβάντι τὸν Πακτωλὸν ποταμὸν, στρατοπεδεύεσθαι. αὐτοὶ δὲ κατιδόντες τοὺς τῶν Ἑλλήνων ἀκολούθους ἐσπαρμένους εἰς ἁρπαγὴν, πολλοὺς αὐτῶν ἀπέκτειναν. αἰσθόμενος δὲ ὁ Ἀγησίλαος, βοηθεῖν ἐκέλευσε τοὺς ἱππέας. οἱ δ᾽ αὖ Πέρσαι ὡς εἶδον τὴν βοήθειαν, ἡθροίσθησαν καὶ ἀντιπαρετάξαντο παμπλήθεσι τῶν ἱππέων τάξεσιν. ἔνθα δὴ ὁ Ἀγησίλαος γιγνώσκων ὅτι τοῖς μὲν πολεμίοις οὔπω παρείη τὸ πεζόν, αὐτῷ δὲ οὐδὲν ἀπείη τῶν παρεσκευασμένων, καιρὸν ἡγήσατο μάχην ξυνάψαι, εἰ δύναιτο. σφαγιασάμενος οὖν, τὴν μὲν φάλαγγα εὐθὺς ἦγεν ἐπὶ τοὺς παρατεταγμένους ἱππέας. ἐκ δὲ τῶν ἱππέων ἐκέλευσε τοὺς δέκα ἀφ᾽ ἥβης θεῖν ὁμόσε αὐτοῖς. τοῖς δὲ πελτασταῖς ἐπὶ δρόμῳ ὑφηγεῖσθαι. παρήγγειλε δὲ καὶ τοῖς ἱππεῦσιν ἐμβάλλειν, ὡς αὐτοῦ τε καὶ παντὸς τοῦ στρατεύματος ἑπομένου. τοὺς μὲν δὴ ἱππέας ἐδέξαντο οἱ Πέρσαι. ἐπεὶ δ᾽ ἅμα πάντα τὰ δεινὰ παρῆν, ἐνέκλιναν. καὶ οἱ μὲν αὐτῶν εὐθὺς ἐν τῷ ποταμῷ ἔπεσον. οἱ δ᾽ ἄλλοι ἔφυγον. οἱ δὲ Ἕλληνες ἑπακολουθοῦντες αἱροῦσι καὶ τὸ στρατόπεδον αὐτῶν. καὶ οἱ μὲν πελτασταὶ ὥσπερ εἰκὸς, εἰς ἁρπαγὴν ἐτράποντο. ὁ δ᾽ Ἀγησίλαος κύκλῳ πάντα, καὶ φίλια καὶ πολέμια περιεστρατοπεδεύσατο. καὶ ἄλλα τε πολλὰ χρήματα ἐλήφθη, ἃ εὗρε πλέον ἢ ἑβδομήκοντα τάλαντα. καὶ αἱ κάμηλοι δὲ τότε ἐλήφθησαν, ἃς Ἀγησίλαος εἰς τὴν Ἑλλάδα ἀπήγαγεν. ὅτε δ᾽ αὕτη ἡ μάχη ἐγένετο, Τισσαφέρνης ἐν Σάρδεσιν ἔτυχεν ὤν, ὥστε ᾐτιῶντο οἱ Πέρσαι προδεδόσθαι ὑπ᾽ αὐτοῦ. γνοὺς δὲ καὶ αὐτὸς ὁ Περσῶν βασιλεὺς Τισσαφέρνην αἴτιον εἶναι τοῦ κακῶς φέρεσθαι τὰ αὑτοῦ, Τιθραύστην καταπέμψας, ἀποτέμνει αὐτοῦ τὴν κεφαλήν. τοῦτο δὲ ποιήσας ὁ Τιθραύστης, πρέσβεις πέμπει πρὸς τὸν Ἀγησίλαον, λέγοντας· ὦ Ἀγησίλαε, ὁ μὲν αἴτιος τῶν πραγμάτων καὶ ὑμῖν καὶ ἡμῖν ἔχει

Ratus praeterea ex hostium contemptu robur quoddam & fiduciam militibus ingenerari posse, per praecones palam edixit, ut barbari à praedonibus capti, nudi uenderentur. Idcirco milites illos candidos, ut qui nunquam exuerentur, molles quoq;, & ad laborem minime idoneos, quia semper curribus ueherentur, intuentes, nihilo secius bello terrebantur, ac si cum mulieribus pugnandum foret. Eodem tempore annus, quo Agesilaus in Asiam uenerat, exijt: quapropter consiliarij triginta cum Lysandro domum reuersi sunt. Successores uero illorum cum Erippida aduentarunt: ex quibus Xenocleem equitibus, Scythen uero tyronibus, Erippidem autem reliquis praefecit militibus: Migdonem uero auxiliaribus praeesse iußit copijs. Militibus quoque pollicitus est, statim eos breuißima uia ad munitißimam regionem educturum: corpora proinde ac animum ad futurum pararent certamen. Tissaphernes haec illum, ut rursus ab eo deciperetur, dicere existimabat, & uere nunc in Cariam irrupturum: copias pedestres, ut prius, omnes in Cariam mittit, equitatum in Maeandri campo consistere iubet. Sed Agesilaus nihil ementitus, sicuti praedixerat, confestim Sardianam regionem ingressus est, triduumq; per deserta hostium incedens, cuncta exercitui suppeditauit necessaria. Quarta luce hostium apparuere equites, qui impedimentorum praefectum Pactolum fluuium traijcere, ac castra metari iusserunt: ipsi uero cum Graecorum pedites aliquot dispersos, ac rapinae intentos cernerent, illos aggreßi, quamplures trucidarunt. Quod cum Agesilaus intelligeret, equites illis opem ferre iubet. Persae auxilium conspicati, se in unum colligunt, & uniuersas equitum turmas contrà explicant. Agesilaus cum peditatum hostibus nondum adesse cerneret, sibi uero nihil deesse quo minus cõfligeret, pugna si posset decernere constituit. Facta igitur re diuina, confestim in equites ex aduerso collocatos phalangem ducere pergit, ac puberes cum equitatu secum concurrere, clypeatos quoq; itidem iubet. Equitibus uero ita impreßionem facere mandat, ut obiter ferrent, se cum uniuerso subsequuturum exercitu. Persae itaq; equitum excepere impetum. sed cum omnia illis aduersa esse contingeret, acies illorum inclinare coepit: eorum aliqui statim in flumen praecipitati sunt, reliqui funduntur, fuganturq;: quos Graeci insequentes, castris quoq; exuerunt. Clypeati, ut par erat, ad praedam discurrũt. Agesilaus amica pariter & hostilia omnia in suam redegit potestatem. Ingens quoq; praeda parta est: pecuniae enim signatae plus quam septuaginta reperta sunt talenta. Magna quoque camelorum tunc capta est uis, quos Agesilaus in Graeciam secum duxit. Tissaphernes cum pugnatum est, Sardis erat: quapropter à Persis de proditione insimulatus est. Igitur Persarum rex cum Tissaphernem omnium malorum causam esse cognouisset, Tithrausten misit, qui eius detruncaret caput: & Tithraustes re peracta legatos ad Agesilaum nunciatum mittit, Tissaphernem causam omniũ malorum meri-

meritas luisse pœnas. Regem uero æquum censere, illum domum nauigare: Asiaticas uero ciuitates ueteri soluto tributo liberas esse. Quibus Agesilaus respondit, se id absq; consensu Lacedæmoniorum facturum minime. Cui Persa: Tu interim, inquit, quoad ciuitas tua pacta probauerit, in Pharnabazum exercitum duc, quandoquidem ego de inimico tuo pœnas sumpsi. Agesilaus se id facturum recipit, si exercitui donec illuc perueniret, commeatum præberet. Tithraustes igitur triginta persoluit talenta: quibus ille receptis, in Phrygiam contra Pharnabazum mouit. Cumq; iam in campis Phrygiæ castra locasset, uenere à patria legati, qui illum classi quoque præesse iusserunt, liberamque ducem constituendi dedere potestatem. Id ea ratione fecere Lacedæmonij, ut cum & copijs terrestribus & maritimis præesset, milites inter se fidentes multo redderentur alacriores, & ad omnia pericula obeunda promptiores. His Agesilaus auditis, insulanis & maritimis imperat ciuitatibus, ut naues pro libito struerent: & hi ut rem gratam Agesilao facerent, breui centum uiginti fabricarunt triremes. Ille uxoris fratrem Pisandrum classi præficit, uirum in cæteris egregium, ac in rebus bellicis nulli secundum, maritimæ tamen rei minus expertum. Et Pisander ad classem profectus est, ipse ut cœperat in Phrygiam ducere pergit. Tithraustes cum didicisset Agesilaum res contemnere regias, nec ullo pacto bellum ex Asia expellere posse, sed in dies spe & audacia crescere, quid ageret penitus dubius erat: tandem ut bello domestico Lacedæmonios implicaret, in Græciam Timocratem mittit Rhodium: quem, datis quingentis auri talentis, iubet ciuitatum corrumpere principes, ut eo pacto aliquis contra Lacedæmonios oriretur motus. Ille ut mandatum erat impigre rem exequutus est: nam Thebis Androclidem, Ismeniam & Galaxidorum, Corinthi uero Timolaum & Polyanthen, Argis quoque Cyclonitem & contribules auro demulsit. Athenienses quamuis auri huius nihil ad eos deuenisset, sua tamen sponte ad bellum inclinati erant, sperantes hoc pacto in pristinam libertatem restitui posse. Qui igitur pecunia capti sunt, Lacedæmonios in urbibus criminari cœperunt: cumque facile omnium studia ab eis alienassent, multæ ac maximæ in illos conspirarunt ciuitates. Thebanorum itaque principes cum Lacedæmonios fœdera sociorum minime soluturos cognoscerent, nisi antea bellum inchoatum esset, Locros Opuntios subornant, ut Phocensibus & socijs circa dubiam regionem negocium inijcerent, rati fore ut Phocenses confestim in Locridem irrumperent, nec eos opinio fefellit. Phocenses ad primos Locrensium motus illorum fines ingressi, multo maiora quàm acceperant, intulerunt damna. Eam occasionem Androclides amplexus, facile Thebanos perpulit, ut Locrensibus opem ferrent, ac si non in regionem dubiam, sed sociam ac confœderatam irruissent Locridem. Thebani itaque comparato exercitu Phoci-

ἔχει τὴν δίκην. βασιλεὺς δὲ ἀξιοῖ σὲ μὲν ἀποπλεῖν οἴκαδε, τὰς δ' ἐν τῇ ἀσίᾳ πόλεις, αὐτονόμους οὔσας, τὸν ἀρχαῖον δασμὸν αὐτῷ ἀποφέρειν. ἀποκρινομένου δὲ τοῦ ἀγησιλάου, ὅτι οὐκ ἂν ποιήσειε ταῦτα ἄνευ τῶν οἴκοι τελῶν. σὺ δ' ἀλλὰ ἕως ἂν πύθῃ τὰ παρὰ τῆς πόλεως, μετάχωρησον, ἔφη, εἰς τὴν φαρναβάζου, ἐπειδὴ μὲν ἐγὼ τὸν σὸν ἐχθρὸν τετιμώρημαι. ἕως ἂν τοίνυν, ἔφη ὁ ἀγησίλαος, ἐκεῖσε πορεύομαι, δίδου τῇ στρατιᾷ τὰ ἐπιτήδεια. ἐκείνῳ μὲν δὴ ὁ τιθραύστης δίδωσι τριάκοντα τάλαντα. ὁ δὲ λαβὼν ᾔει ἐπὶ τὴν φαρναβάζου φρυγίαν. ὄντι δ' αὐτῷ ἐν τῷ πεδίῳ τῷ ὑπὲρ κύμης, ἔρχεται ἀπὸ τῶν οἴκοι τελῶν, ἄρχειν καὶ τοῦ ναυτικοῦ, ὅπως γιγνώσκοι, καὶ καταστήσασθαι ναύαρχον, ὅντινα αὐτὸς βούλοιτο. τοῦτο δ' ἐποίησαν οἱ λακεδαιμόνιοι τοιῷδε λογισμῷ, ὡς εἰ ὁ αὐτὸς ἀμφότερα ἄρχοι, τό, τε πεζὸν πολὺ ἂν ἰσχυρότερον εἶναι, καθ' ἓν οὔσης τῆς ἰσχύος ἀμφοτέροις, τό, τε ναυτικόν, ἐπιφαινομένου τοῦ πεζοῦ ἔνθα δέοι. ἀκούσας δὲ ταῦτα ὁ ἀγησίλαος, πρῶτον μὲν ταῖς πόλεσι παρήγγειλε ταῖς ἐν ταῖς νήσοις, καὶ ταῖς ἐπιθαλαττιδίοις, τριήρεις ποιεῖσθαι, ὁπόσας ἑκάστη βούλοιτο τῶν πόλεων. καὶ ἐγένοντο καιναί, ἐξ ὧν αἵ τε πόλεις ἐπηγγείλαντο, καὶ οἱ ἰδιῶται ἐποιοῦντο χαρίζεσθαι βουλόμενοι, εἰς εἴκοσι καὶ ἑκατόν. πείσανδρον δὲ τὸν τῆς γυναικὸς ἀδελφόν, ναύαρχον κατέστησε, φιλότιμον μέν, καὶ ἐρρωμένον τὴν ψυχήν, ἀπειρότερον δὲ τοῦ παρασκευάζεσθαι ὡς δεῖ. καὶ πείσανδρος μὲν ἀπελθών, τὰ ναυτικὰ ἔπραττεν. ὁ δ' ἀγησίλαος ὥσπερ ὥρμησεν, ἐπὶ τὴν φρυγίαν ἐπορεύετο. ὁ μέντοι τιθραύστης καταμαθεῖν δοκῶν τὸν ἀγησίλαον καταφρονοῦντα τῶν βασιλέως πραγμάτων, καὶ οὐδαμῇ διανοούμενον ἀπιέναι ἐκ τῆς ἀσίας, ἀλλὰ μᾶλλον ἐλπίδας ἔχοντα μεγάλας αἱρήσειν βασιλέα, ἀπορῶν τί χρῷτο τοῖς πράγμασι, πέμπει τιμοκράτην τὸν ῥόδιον εἰς τὴν ἑλλάδα, δοὺς χρυσίον εἰς πεντήκοντα τάλαντα ἀργυρίου, καὶ κελεύει πειρᾶσθαι πιστὰ τὰ μέγιστα λαμβάνοντα, διδόναι τοῖς προεστηκόσιν ἐν ταῖς πόλεσιν, ἐφ' ᾧτε πόλεμον ἐξοίσειν πρὸς λακεδαιμονίους. ἐκεῖνος δ' ἐλθών, δίδωσιν ἐν θήβαις μὲν ἀνδροκλείδᾳ τε καὶ ἰσμηνίᾳ, καὶ γαλαξιδώρῳ. ἐν κορίνθῳ δὲ τιμολάῳ τε καὶ πολυάνθει. ἐν ἄργει δὲ κύκλωνί τε καὶ τοῖς μετ' αὐτοῦ. ἀθηναῖοι δὲ καὶ οὐ μεταλαβόντες τούτου τοῦ χρυσίου, ὅμως πρόθυμοι ἦσαν εἰς τὸν πόλεμον, νομίζοντές τε αὐτῶν ἄρχεσθαι. οἱ μὲν δὴ δεξάμενοι τὰ χρήματα εἰς τὰς οἰκείας πόλεις, διέβαλον τοὺς λακεδαιμονίους. ἐπεὶ δὲ ταύτας εἰς μῖσος αὐτῶν προήγαγον, συνίστασαν καὶ τὰς μεγίστας πόλεις πρὸς ἀλλήλας. γιγνώσκοντες δὲ οἱ ἐν ταῖς θήβαις προεστῶτες, ὅτι εἰ μή τις ἄρξοι πολέμου, οὐκ ἐθελήσουσιν οἱ λακεδαιμόνιοι λύειν τὰς σπονδὰς πρὸς τοὺς συμμάχους, πείθουσι λοκροὺς τοὺς ὀπουντίους ἐκ τῆς ἀμφισβητησίμου χώρας φωκεῦσί τε καὶ ἑαυτοῖς, χρήματα τελέσαι, νομίζοντες τοὺς φωκέας τούτου γενομένου ἐμβαλεῖν εἰς τὴν λοκρίδα, καὶ οὐκ ἐψεύσθησαν. ἀλλ' εὐθὺς οἱ φωκεῖς ἐμβαλόντες εἰς τὴν λοκρίδα, πολλαπλάσια χρήματα ἔλαβον. οἱ οὖν περὶ τὸν ἀνδροκλείδαν, ταχὺ ἔπεισαν τοὺς θηβαίους βοηθεῖν τοῖς λοκροῖς, ὡς οὐκ εἰς τὴν ἀμφισβητήσιμον, ἀλλ' εἰς τὴν ὁμολογουμένην τε καὶ σύμμαχον εἶναι λοκρίδα ἐμβεβληκότων αὐτῶν. ἐπεὶ δὲ οἱ θηβαῖοι ἀντεμβαλόντες εἰς τὴν

φωκίδα,

Φωκίδα, ἐλεηλάτουν τὴν χώραν. εὐθὺς δ' οἱ Φωκεῖς πέμπουσι πρέσβεις εἰς Λακεδαίμονα, καὶ ἠξίουν βοηθεῖν αὐτοῖς, διδάσκοντες ὡς οὐκ ἦρξαντο πολέμου, ἀλλ' ἀμυνόμενοι ἦλθον ἐπὶ τοὺς Λοκρούς. οἱ μέντοι Λακεδαιμόνιοι ἄσμενοι ἔλαβον πρόφασιν στρατεύειν ἐπὶ τοὺς Θηβαίους, πάλαι ὀργιζόμενοι αὐτοῖς τῆς τε ἀντιλήψεως τῆς τοῦ Ἀπόλλωνος δεκάτης ἐν Δεκελείᾳ, καὶ τοῦ ἐπὶ τὸν Πειραιᾶ μὴ ἐθελῆσαι ἀκολουθῆσαι. ᾐτιῶντο δ' αὐτοὺς καὶ Κορινθίους πεῖσαι μὴ συστρατεύειν. ἀνεμιμνῄσκοντο δὲ καὶ ὡς θύοντ' ἐν Αὐλίδι τὸν Ἀγησίλαον οὐκ εἴων, καὶ τὰ τεθυμένα ἱερὰ ὡς ἔρριψαν ἀπὸ τοῦ βωμοῦ. καὶ ὅτι οὐδ' εἰς τὴν Ἀσίαν ξυνεστράτευον Ἀγησιλάῳ. ἐλογίζοντο δὲ καὶ καλὸν εἶναι τοῦ ἐξάγειν στρατιὰν ἐπ' αὐτούς, καὶ παῦσαι τῆς εἰς αὐτοὺς ὕβρεως. τά τε γὰρ ἐν τῇ Ἀσίᾳ καλῶς σφίσιν ἔχειν, κρατοῦντος Ἀγησιλάου, καὶ ἐν τῇ Ἑλλάδι οὐδένα ἄλλον πόλεμον ἐμποδὼν σφίσιν εἶναι. οὕτω δὲ γιγνωσκούσης τῆς πόλεως τῶν Λακεδαιμονίων, φρουρὰν μὲν οἱ ἔφοροι ἔφαινον, Λύσανδρον δ' ἐξέπεμψαν εἰς Φωκέας, καὶ ἐκέλευσαν αὐτούς τε τοὺς Φωκέας ἄγοντα παρεῖναι, καὶ Οἰταίους, καὶ Ἡρακλεώτας, καὶ Μηλιέας, καὶ Αἰνιᾶνας, εἰς Ἁλίαρτον. ἐκεῖσε δὲ καὶ Παυσανίας, ὅσπερ ἔμελλεν ἡγεῖσθαι, ξυνετίθετο παρέσεσθαι εἰς ῥητὴν ἡμέραν, ἔχων Λακεδαιμονίους τε καὶ τοὺς ἄλλους ξυμμάχους τοὺς Πελοποννησίους. καὶ ὁ μὲν Λύσανδρος τά τε ἄλλα τὰ κελευόμενα ἔπραττε, καὶ προσέτι Ὀρχομενίους ἀπέστησε Θηβαίων. ὁ δὲ Παυσανίας, ἐπεὶ τὰ διαβατήρια ἐγένετο αὐτῷ, καθεζόμενος ἐν τῇ Τεγέᾳ, τούς τε ξεναγοὺς διέπεμπε, καὶ τοὺς ἐκ τῶν περιοικίδων πόλεων στρατιώτας περιέμενεν. ἐπεί γε μὴν δῆλον τοῖς Θηβαίοις ἐγένετο, ὅτι ἐμβαλοῖεν οἱ Λακεδαιμόνιοι εἰς τὴν χώραν αὐτῶν, πρέσβεις ἔπεμψαν Ἀθήναζε, λέγοντας τάδε· Ὦ ἄνδρες Ἀθηναῖοι, ἃ μὲν μέμφεσθε ἡμῖν, ὡς ψηφισαμένων χαλεπὰ περὶ ὑμῶν ἐν τῇ καταλύσει τοῦ πολέμου, οὐκ ὀρθῶς μέμφεσθε. οὐ γὰρ ἡ πόλις ἐκεῖνα ἐψηφίσατο, ἀλλ' εἷς ἀνὴρ εἶπεν, ὃς ἔτυχε τότε ἐν συμμάχοις καθήμενος. ὅτε δὲ παρεκάλουν ἡμᾶς οἱ Λακεδαιμόνιοι ἐπὶ τὸν Πειραιᾶ, τότε ἅπασα ἡ πόλις ἀπεψηφίσατο μὴ συστρατεύειν αὐτοῖς. δι' ὑμᾶς οὖν οὐχ ἥκιστα ὀργιζομένων ἡμῖν τῶν Λακεδαιμονίων, δίκαιον εἶναι νομίζομεν βοηθεῖν ὑμᾶς τῇ πόλει ἡμῶν. πολὺ δέ τι μᾶλλον ἀξιοῦμεν, ὅσοι τῶν ἐν ἄστει ἐγένεσθε, προθύμως ἐπὶ τοὺς Λακεδαιμονίους ἰέναι. ἐκεῖνοι γὰρ καταστήσαντες ὑμᾶς εἰς ὀλιγαρχίαν, καὶ εἰς ἔχθραν τῷ δήμῳ, ἀφικόμενοι πολλῇ δυνάμει, ὡς ὑμῖν σύμμαχοι, παρέδοσαν ὑμᾶς τῷ πλήθει. ὥστε τὸ μὲν ἐπ' ἐκείνοις εἶναι ἀπολώλατε, ὁ δὲ δῆμος οὑτοσὶ ὑμᾶς ἔσωσε. καὶ μὴν ὅτι μέν, ὦ ἄνδρες Ἀθηναῖοι, βούλοισθ' ἂν τὴν ἀρχὴν ἣν πρότερον ἐκέκτησθε ἀναλαβεῖν, πάντες ἐπιστάμεθα. τοῦτο δὲ πῶς μᾶλλον εἰκὸς γενέσθαι, ἢ εἰ αὐτοὶ τοῖς ὑπ' ἐκείνων ἀδικουμένοις βοηθοῖτε; ὅτι δὲ πολλῶν ἄρχουσι, μὴ φοβηθῆτε, ἀλλὰ πολὺ μᾶλλον διὰ τοῦτο θαρρεῖτε, ἐνθυμούμενοι ὅτι καὶ ὑμεῖς ὅτε πλείστων ἤρχετε, τότε πλείστους ἐχθροὺς ἐκέκτησθε. ἀλλ' ἕως μὲν οὐκ εἶχον ὅποι ἀποσταῖεν, ἐκρύπτον τὴν πρὸς ὑμᾶς ἔχθραν. ἐπεὶ δὲ Λακεδαιμόνιοι προέστησαν, τότε ἔφηναν οἷα περὶ ὑμῶν ἐγίγνωσκον. καὶ νῦν γε, ἂν φανεροὶ γενώμεθα ἡμεῖς τε καὶ ὑμεῖς ξυνασπιδοῦντες ἐναντία τοῖς Λακεδαιμονίοις,

Phocidem inuadunt, lateq; terram hostiliter populantur. Phocenses confestim Lacedæmonem de Thebanorum iniuria questum mittunt, auxiliumq; implorant, ostendentes belli initium ab eis ortum non esse, sed ut iam repellerent, cõtra Locrenses mouisse. Lacedæmonij haud inuiti hanc contra Thebanos bellandi occasionẽ amplexi sunt. quibus iampridẽ ob decimæ Apollinis in Decelea susceptionem, et quod contra Piræum militare noluissent, infensi erant. Incusabant quoque 10 eos tanquam Corinthijs ut militiam detrectarẽt, persuasissent. In memoriam preterea reducebant, quod Agesilaum in Aulide sacrificare prohibuissent, insuper sacra ab ara dispersissent, quodq; illum in Asiam sequuti non essent: quapropter tempus uindicandarum aduenisse arbitrabantur iniuriarum. Faciebant insuper animos Agesilai in Asia successus, & quod in terra Græci nullo alio per id tempus implicati essent bello. Ciuitas igitur Lacedæmoniorum cum ita deliberasset, Ephori Lysandrum in Phocidem, ut socijs 20 præsidio esset, mittunt. Phocensesq;, Oeteos, Heracleotas, Melieos, & Aenianos circa Haliartum copias contrahere iubent: illac enim ad diem præscriptũ Pausanias cum Lacedæmonijs & socijs Peloponnensibus uenturus erat. Et Lysander mandata impigre exequutus est. Orchomenijs quoq; ut à Thebanis deficerẽt, persuadet. Pausanias uero re facta diuina, Tegeæ, quo milites ac socios omnes conuenire iusserat, desedit. Thebani ubi ad arma rem spectare uident, & Lacedæmonios ad fines eorum irrumpendum se accinge 30 re cognoscunt, legatos Athenas mittunt: qui in concionem producti, ita uerba fecere: Si quis ex uobis, ô Athenienses, nos incusat, tanquam in belli solutione nimis dire in uos inuecti fuerimus, haud recte incusat, quandoquidem ciuitas uniuersa nihil asperum decreuit: sed uir unicus, quem inter socios tunc adesse contigit, eorum quæ in uos acerbiora dicta sunt, autor fuit. Cæterum cum Lacedæmonij nos contra Piræum in auxilium uocassent, uniuersa tunc ciuitas decreuit illis obediendum esse minime. Cum igitur Lacedæ 40 moniacæ indignationis causa non ultima sitis, æquum esse arbitramur, debere uos quoq; dubijs in rebus auxilium nobis non denegare. Præterea multo magis uos ad bellum inclinatum iri existimamus, si diligenter perpenderitis, quid uobis uestra in urbe contigerit. Illi enim tyrannide in urbe constituta, inde contra populum tanquã socij ui magna aduentantes, iratæ tamen uos obiecere multitudini, ut quantũ in ipsis erat, uos perditũ irent: quamuis populi beneuolentia periculũ euaseritis. Scimus præterea, ô uiri Athenienses, oẽs 50 uos summo niti studio, ut pristinã recuperare dignitatem ualeatis. Id uero quo pacto magis opportune fieri poterit, q̃ si ijs qui à Lacedæmonijs affecti sunt iniurij, opem non denegetis? Proinde quod plurib. illi imperant, minime uos deterreat, sed potius fiduciã præbeat: siquidẽ reminiscamini, maximis uos obnoxios fuisse inimicitijs, cum multorũ possideretis principatum: quãuis odium illud, cum nemo esset ad quẽ subditi deficerent, uos latẽret: ubi uero Lacedæmoniorũ res superior esse cœpit, q̃ infensi uobis oẽs fuissent, aperte demõstrarunt. Pariter si inter nos fœdera cõtra Lacedæmonios

monios inita fuerint, multos qui illis clàm inuisi sunt, ad apertam defectionem spectare uidebitis. Si bene considerabitis, per uosmetipsos nos uera loqui intelligere poteritis. Siquidem quosnam ipsis beneuolos existimare poteritis? Nunquid Argiuos, qui semper ipsis infensi extitere? At Eleos, quibus & agros & ciuitates ademerũt, amicos illis esse arbitramini? De Corinthijs uero, Arcadibus et Achæis quid dicamus? Hi enim in bello contra uos gesto, magnis pollicitationib. in partem laborum, periculorũ ac expensarũ acciti, quibusnam à Lacedæmonijs re ex sententia gesta principatibus, honorib. aut præmijs donati sunt? Quid quod seruitia digna quæ præsint, ducũt: socios uero liberos cũ res prospere cessit omnino contẽnunt? Siquidẽ omnes qui à uobis defecere, manifesto decepere dolo: nã pro libertate, duplicẽ illis imposuere seruitutẽ: ab harmostis enim graui premũtur tyrannide: à decẽuiris uero quos Lysander in singulis cõstituit urbibus, turpi subijciũtur seruituti. Quinimo Persarũ quoq; rex, qui assitum illis ad uos subigendũ tribuit stipendiũ, quã primum nos eis hostes euasisse intelliget, contrarium sentiet. Præterea par est uos in maiorem q̃ unquã fueritis efferri potentiã posse, si iniuria oppressis auxiliũ non denegetis: etenim cum antea imperiũ teneretis, reb. maritimis tantũ uos præesse cõtigit: nunc uero omniũ nostrorũ, & Peloponnensiũ, & quibus antea dominare cõsueuistis, regis insuper potentissimi duces cõstitueremini: quibus omnibus, ut uosmetipsi nõ ignoratis, societate et honore admodũ digni uisi sumus. Porro nũc multo excellentiores bellicis in reb. nos futuros credendũ est, q̃ cum Lacedæmonios sequebamur: siquidem non insulanis, aut Syracusanis, siue cuipiã alteri, ut tunc, sed nobisipsis maximis affectis iniurijs succurremus. Hoc quoq; cõsiderare oportet, multo facilius Lacedæmoniorũ euerti posse dominationẽ, quàm uos, cum rebus præfueritis, principatu spoliare: cum enim re maritima præcelleretis, etiam inuitis dominari potuistis. At Lacedæmonij cum pauci sint, potentiorib. & haud deterius armatis ut præesse omnino nequeunt. Proinde quæ nobis uisa sunt, eloquuti sumus. Cæterũ nolumus uos ignorare, ad cõmoda multo maiora uestrã ciuitatem, q̃ patriam propriam nos inuitare. Hæc cum legati dixissent, tacuerunt. Athenienses his auditis, Thebanis auxiliũ ferre decreuerũt. Thrasybulus uero decreto contradicere cœpit, ostendens bellandum nõ esse, præcipue cum absq; muro Piræus esset: maiorem præterea Athenienses, si bello se implicarent, gratiã Thebanis relaturos, quàm accepissent. Nam quia illi bellum contra nos, inquit, non gessere, propterea pro illis pugnare nos æquum esse arbitrantur. At Thebani discedentes, se tanquam Lacedæmoniorũ hostes, Athenienses uero ut socij, ad futurum parabant certamen. Nec Lacedæmonij ultra differendũ rati, sed rex Pausanias tumultuose Bœotiã ingressus, ex toto Peloponneso, præterquã ex Corintho, copias secum trahebat. Lysander uero ex Phocide profectus, per Orchomeniorum fines exercitum duxit, Pausaniamq; per literas certiorem reddit, ut circa Haliartum copias secum iungeret. Quò cum uenisset, haud expectato Lacedæmoniorũ exercitu, cum suis ad muros usq; Hali-

arti

νίοις, εὖ ἴστε ἀναφανήσονται πολλοὶ οἱ μισοῦντες αὐτούς.
ὡς δὲ ἀληθῆ λέγομεν, ἐὰν ἀναλογίσησθε, αὐτίκα γνώσε-
σθε. τίς γὰρ ἤδη καταλείπεται αὐτοῖς εὐμενής; οὐκ ἀργεῖοι
μὲν ἀεί ποτε δυσμενεῖς αὐτοῖς ὑπάρχουσιν; ἠλεῖοι γε
μὴν νῦν ἐστερημένοι χώρας καὶ πόλεων, ἐχθροὶ αὐτοῖς
προσγεγένηνται. κορινθίους δὲ καὶ ἀρκάδας, καὶ ἀχαιούς,
τί φῶμεν; οἳ ἐν μὲν τῷ πρὸς ὑμᾶς πολέμῳ μάλα λιπα-
ρούμενοι ὑπ' ἐκείνων πάντων, καὶ πόνων, καὶ κινδύνων,
καὶ τῶν δαπανημάτων μετεῖχον. ἐπεὶ δ' ἔπραξαν ἃ ἐβού-
λοντο οἱ λακεδαιμόνιοι, ποίας ἢ ἀρχῆς, ἢ τιμῆς, ἢ ποίων
χρημάτων μεταδεδώκασιν αὐτοῖς; ἀλλὰ τοὺς μὲν εἵλω-
τας ἁρμοστὰς καθιστάναι ἀξιοῦσι. τῶν ξυμμάχων ἐλευ-
θέρων ὄντων, ἐπεὶ εὐτύχησαν, δεσπόται ἀναπεφήνα-
σιν. ἀλλὰ μὴν καὶ οὓς ὑμῶν ἀπέστησαν, φανεροί εἰσιν ἐξηπα-
τηκότες. ἀντὶ γὰρ ἐλευθερίας διπλῆν αὐτοῖς δουλείαν
παρεσχήκασιν. ὑπό τε γὰρ τῶν ἁρμοστῶν τυραννοῦνται, καὶ
ὑπὸ δέκα ἀνδρῶν, οὓς λύσανδρος κατέστησεν ἐν ἑκά-
στῃ πόλει. ὅ γε μὴν τῆς ἀσίας βασιλεύς, καὶ τὰ μέγιστα αὐ-
τοῖς συμβαλλόμενος πρὸς τὸ ὑμῶν κρατῆσαι, νῦν τί διά-
φορον πάσχει, ἢ εἰ μεθ' ὑμῶν κατεπολέμησεν αὐτούς;
πῶς οὖν οὐκ εἰκὸς ἐὰν ὑμεῖς αὖ προστῆτε τῶν οὕτω φανε-
ρῶς ἀδικουμένων, νῦν ὑμᾶς πολὺ ἤδη μεγίστους τῶν πώ-
ποτε γενέσθαι; ὅτε μὲν γὰρ ἤρχετε, τῶν ἐπὶ θάλατταν μό-
νον δήπου ἡγεῖσθε. νῦν δὲ πάντων καὶ ἡμῶν, καὶ πελοπον-
νησίων, καὶ ὧν πρόσθεν ἤρχετε, καὶ αὐτοῦ βασιλέως τὴν με-
γίστην δύναμιν ἔχοντος, ἡγεμόνες ἂν γένοισθε. καί τοι
ἡμεῖς πολλοῦ ἄξιοι καὶ ἐκείνοις σύμμαχοι ὡς ὑμεῖς ἐπίστα-
σθε. νῦν δέ γε εἰκὸς παντὶ ὑμῖν ἐρρωμενεστέρους ἡ-
μᾶς, ἔσεσθαι ἢ τότε λακεδαιμονίοις. οὐδὲ γὰρ ὑπὲρ νησιω-
τῶν, ἢ συρακοσίων, οὐδ' ὑπὲρ ἀλλοτρίων, ὥσπερ τότε,
ἀλλ' ὑπὲρ ἡμῶν αὐτῶν ἀδικουμένων, βοηθήσομεν. καὶ
τοῦτο μέντοι χρὴ εὖ εἰδέναι, ὅτι ἡ λακεδαιμονίων πλε-
ονεξία πολὺ εὐκαταλυτωτέρα ἐστὶ τῆς ὑμετέρας γενομέ-
νης ἀρχῆς. ὑμεῖς γὰρ ἔχοντες ναυτικόν, οὐκ ἐχόντων ἤρχε-
τε. οὗτοι δὲ ὀλίγοι ὄντες, πολλαπλασίων ὄντων, καὶ οὐδὲν
χεῖρον ὡπλισμένων, πλεονεκτοῦσι. ταῦτ' οὖν λέγομεν ἡ-
μεῖς. εὖ γε μέν τοι ἐπίστασθε, ὦ ἄνδρες ἀθηναῖοι, ὅτι νο-
μίζομεν ἐπὶ πολὺ μείζω ἀγαθὰ παρακαλεῖν ὑμᾶς τῇ
ὑμετέρᾳ πόλει, ἢ τῇ ἡμετέρᾳ. ὁ μὲν ταῦτ' εἰπών, ἐπαύ-
σατο. τῶν δ' ἀθηναίων πάμπολλοι μὲν ξυνηγόρευον.
πάντες δ' ἐψηφίσαντο βοηθεῖν αὐτοῖς. θρασύβουλος
δὲ ἀποκρινάμενος τὸ ψήφισμα, καὶ τοῦτο ἐνεδείκνυτο,
ὅτι ἀτειχίστου τοῦ πειραιῶς ὄντος, ὅμως παρακινδυνεύσοιεν
χάριτα αὐτοῖς ἀποδοῦναι μείζονα, ἢ ἔλαβον. ὑμεῖς μὲν
γάρ, ἔφη, οὐ ξυνεστρατεύσατε ἐφ' ἡμᾶς. ἡμεῖς δέ γε
μεθ' ὑμῶν μαχούμεθα ἐκείνοις, ἂν ἴωσιν ἐφ' ὑμᾶς. οἱ μὲν
δὴ θηβαῖοι ἀπελθόντες, παρεσκευάζοντο ὡς ἀμυνούμε-
νοι. οἱ δ' ἀθηναῖοι ὡς βοηθήσοντες. καὶ μὴν οἱ λακεδαι-
μόνιοι οὐκ ἔτι ἔμελλον. ἀλλὰ παυσανίας μὲν ὁ βασιλεὺς
ἐπορεύετο εἰς τὴν βοιωτίαν, τό, τε οἴκοθεν ἔχων στράτευ-
μα, καὶ τὸ πελοποννήσου, πλὴν κορίνθιοι οὐκ ἠκολού-
θουν αὐτοῖς. ὁ δὲ λύσανδρος ἄγων τὸ ἀπὸ φωκέων, καὶ
ὀρχομενοῦ, καὶ τῶν κατ' ἐκεῖνα χωρίων στράτευμα, ἔφ-
θη τὸν παυσανίαν ἐν τῷ ἁλιάρτῳ γενόμενος. ἥκων δ',
οὐκ ἡσυχίαν ἦγεν, ἀναμένων τὸ ἀπὸ λακεδαιμονίων στρά-
τευμα, ἀλλὰ σὺν οἷς εἶχεν, ᾔει πρὸς τὸ τεῖχος τῶν ἁλι-

ἀρτίων.

[illegible] καὶ τὸ μὲν πρῶτον [illegible] αὐτοὺς ἀφίστασθαι Θηβαίων, καὶ αὐτονόμους γίγνεσθαι. ἐπεὶ δὲ τῶν Θηβαίων τινὲς ὄντες ἐν τῷ τείχει, διεκώλυον, προσέβαλε πρὸς τὸ τεῖχος. ἀκούσαντες δὲ ταῦτα οἱ Θηβαῖοι, δρόμῳ ἐβοήθουν, οἵ τε ὁπλῖται καὶ οἱ ἱππεῖς. ὁπότερα μὲν οὖν εἴτε λαθόντες τὸν λύσανδρον ἐπέπεσον αὐτῷ, εἴτε καὶ αἰσθόμενος προσιόντας ὡς κρατήσων ὑπέμενεν, ἄδηλον. τοῦτο δ᾽ οὖν σαφές, ὅτι παρὰ τὸ τεῖχος ἡ μάχη ἐγένετο, καὶ τρόπαιον ἕστηκε πρὸς τὰς πύλας τῶν ἁλιαρτίων. ἐπεὶ δὲ ἀποθανόντος λυσάνδρου ἔφευγον οἱ ἄλλοι πρὸς τὸ ὄρος, ἐδίωκον ἐρρωμένως οἱ Θηβαῖοι. ὡς δὲ ἄνω ἤδη ἦσαν διώκοντες, καὶ δυσχωρία τε καὶ δυσπορία ἐλάμβανεν αὐτούς, ὑποστρέψαντες οἱ ὁπλῖται, ἠκόντιζόν τε καὶ ἔβαλλον. ὡς δὲ ἔπεσον αὐτῶν δύο ἢ τρεῖς οἱ πρῶτοι, καὶ ἐπὶ τοὺς λοιποὺς ἐπεκυλίνδουν πέτρους εἰς τὸ κάταντες, καὶ πολλῇ προθυμίᾳ ἐνέκειντο, ἐτράποντο οἱ Θηβαῖοι ἀπὸ τοῦ καταντοῦς, καὶ ἀποθνήσκουσιν αὐτῶν πλείους ἢ διακόσιοι. ταύτῃ μὲν οὖν τῇ ἡμέρᾳ οἱ Θηβαῖοι ἠθύμουν, νομίζοντες οὐκ ἐλάττω κακὰ πεπονθέναι ἢ πεποιηκέναι. τῇ δ᾽ ὑστεραίᾳ ἐπεὶ ᾔσθοντο ἀπεληλυθότας ἐν νυκτὶ τούς τε φωκέας, καὶ τοὺς ἄλλους ἅπαντας οἴκαδε ἑκάστους, ἐκ τούτου δὴ μεῖζον ἐφρόνησαν ἐπὶ τῷ γεγενημένῳ. ἐπεὶ δ᾽ αὖ ὁ παυσανίας ἀνεφαίνετο ἔχων τὸ ἐκ λακεδαίμονος στράτευμα, πάλιν αὖ ἐν μεγάλῳ κινδύνῳ ἡγοῦντο εἶναι, καὶ πολλὴν ἔφασαν σιωπήν τε καὶ ταπεινότητα ἐν τῷ στρατεύματι εἶναι αὐτῶν. ὡς δὲ τῇ ὑστεραίᾳ οἵ τε ἀθηναῖοι ἐλθόντες ξυμπαρετάξαντο, ὅ, τε παυσανίας οὐ προσῆγεν, οὐδὲ ἐμάχετο, ἐκ τούτου τὸ μὲν Θηβαίων πολὺ μεῖζον φρόνημα ἐγίγνετο. ὁ δὲ παυσανίας συγκαλέσας πολεμάρχους, καὶ πεντηκοντῆρας, ἐβουλεύετο πότερον μάχην ξυνάπτοι, ἢ ὑποσπόνδους τόν τε λύσανδρον ἀναιροῖτο, καὶ τοὺς μετ᾽ αὐτοῦ πεσόντας. λογιζόμενος δ᾽ ὁ παυσανίας καὶ οἱ ἄλλοι ἐν τέλει τῶν λακεδαιμονίων, ὡς λύσανδρος τετελευτηκὼς εἴη, καὶ τὸ μετ᾽ αὐτοῦ στράτευμα ἡττημένον ἀποκεχωρηκός, καὶ κορίνθιοι μὲν παντάπασιν οὐκ ἠκολούθουν αὐτοῖς, οἱ δὲ παρόντες οὐ προθύμως στρατεύοιντο. ἐλογίζοντο δὲ καὶ τὸ ἱππικόν, ὡς τὸ μὲν ἀντίπαλον πολύ, τὸ δὲ αὐτῶν ὀλίγον εἴη. καὶ ὅτι οἱ νεκροὶ ὑπὸ τῷ τείχει ἔκειντο, ὥστε οὐδὲ κρείττοσιν οὖσι διὰ τοὺς ἀπὸ τῶν πύργων ῥᾴδιον εἴη ἀνελέσθαι. διὰ οὖν πάντα ταῦτα, ἔδοξεν αὐτοῖς τοὺς νεκροὺς ὑποσπόνδους ἀναιρεῖσθαι. οἱ μέντοι Θηβαῖοι εἶπον, ὅτι οὐκ ἀποδοῖεν νεκρούς, εἰ μὴ ἐφ᾽ ᾧ τε ἀπιέναι ἐκ τῆς χώρας. οἱ δὲ ἄσμενοί τε ταῦτα ἤκουσαν, καὶ ἀνελόμενοι τοὺς νεκρούς, ἀπῇσαν ἐκ τῆς Βοιωτίας. τούτων δὲ πραχθέντων, οἱ μὲν λακεδαιμόνιοι ἀθύμως ἀπῇσαν, οἱ δὲ Θηβαῖοι μάλ᾽ ὑβριστικῶς, εἰ καὶ μικρόν τις τῶν χωρίων του ἐπιβαίη, παίοντες, ἐδίωκον εἰς τὰς ὁδούς. αὕτη μὲν δὴ οὕτως ἡ στρατιὰ τῶν λακεδαιμονίων οὕτω διελύθη. ὁ μέντοι παυσανίας, ἐπεὶ ἀφίκετο οἴκαδε, ἐκρίνετο περὶ θανάτου, κατηγορουμένου δ᾽ αὐτοῦ καὶ ὅτι ὑστερήσειεν εἰς ἁλίαρτον τοῦ λυσάνδρου, ξυνθέμενος εἰς τὴν αὐτὴν ἡμέραν παρέσεσθαι. καὶ ὅτι ὑποσπόνδους, ἀλλ᾽ οὐ μάχῃ ἐπειρᾶτο τοὺς νεκροὺς ἀναιρεῖσθαι, καὶ ὅτι τὸν δῆμον τῶν ἀθηναίων λαβὼν ἐν τῷ πειραιεῖ ἀνῆκε, καὶ πρὸς τούτοις, οὐ παρόντος ἐν τῇ δίκῃ, θάνατος αὐτοῦ κατεγνώσθη, καὶ ἔφυγεν εἰς τεγέαν, καὶ ἐτελεύτησε μέντοι ἐκεῖ νόσῳ. κατὰ μὲν τὴν ἑλλάδα ταῦτ᾽ ἐπράχθη.

ΞΕΝΟ-

arti processit, illisq; ut à Thebanis deficerent, ac se in libertatem uendicarent, suadere coepit. Id cum Thebani quidam, qui in muris stabant, probib[illegible] in muros impetum facit. Id cum Thebani aud[illegible] equitibus uniuersis ac peditibus suppetias ferunt. Vtrum uero latentes Lysandrum inuaserint, siue ille obuiam profectus ceciderit, incertum est. Hoc uero manifestè constat, bellum iuxta muros commissum, ac trophaeum ante Haliartiorum portas erectum esse. Mortuo Lysandro, reliqui in montes fugerunt, quos ad inuia usque persequuti sunt. Cum uero ad aspera peruentum esset loca, conuersi Lacedæmonij illos exceperunt, sagittisq; ac iaculis confestim priores confecere: reliquos lapidibus aggressi, per decliuia praecipites egere, ac in fugam uerterunt, ex quibus ducenti ferme mortem oppetiere. Ea igitur die minime laetitia Thebani elati sunt, arbitrantes haud minora se perpessos esse mala quàm intulissent. Postridie cum Phocenses ac reliquos socios domum noctu remeasse intellexissent, maiori affecti sunt tristitia, ita ut cum Pausanias cum exercitu affuisset, in maximo se constitutos esse periculo arbitrarentur, ac terror non modicus & silentium insuetum castra eorum inuaderet. Postridie uero cum Athenienses illis iuncti essent, Pausaniásque eos lacessere, seu ad bellum procedere non auderet, rursus depulso timore in spem elati sunt. Pausanias conuocatis polemarchis & tribunis militum, illos consuluit, num per bellum seu inducias Lysandrum, & qui unà ceciderant, repeteret. At cum omnes considerarent Lysandrum mortuum esse, exercitum uero eius solutum, Corinthios quoque omnino sequi nolle, reliquos qui aderant militiam detrectare, hostilem quoque equitatum longe superiorem esse, mortuos uero sub ipsis iacere mœnijs, ita ut facile turrium propugnaculis repelli possent: omnibus his moti rationibus, mortuos per inducias recipiendos esse decreuerunt. At Thebani mortuos illis reddere, ni finibus excederent, omnino recusarunt: quapropter illi receptis mortuis, tristes ex Bœotia in pacatum abiere: quos insequentes Thebani, subinde lacessere non desinebant. Et hunc finem Lacedæmoniorũ in Thebanos sortita est expeditio. Pausanias ubi domum uenit, ab Ephoris ad populum iactatus est, datumq; illi crimini, quod ad Haliartum sero uenisset, quae mora acceptae cladis haud dubie causa extitisset: quodq; caesorum corpora per inducias, ac non potius praelio recepisset. Augere praesentem inuidiam Atheniensium alienatio, quibus ipse in Lysandri inuidiam seruitutis iugum ademisset. Cum uero ad iudicium minime uenisset, morte damnatus est, Tegeamq; in exilium concessit, ubi postea fato perijt. Et per Graeciam hec gerebantur.

XENO-

δ' ἐκάλει ὁ ἀγησίλαος σπιθριδάτην τε καὶ τοὺς ἄλλους. προσιόντων δ' αὐτῶν, ἔλεγεν ὁ ἡριππίδας· τὰ μὲν ἄλλα, ὦ ἀγησίλαε, τὰ ῥηθέντα τί ἄν τις μακρολογοίη; τέλος δὲ λέγει σπιθριδάτης πᾶν ποιεῖν ἂν ἡδέως ὅ,τι σοι δοκοίη. ἐμοὶ μὲν τοίνυν, ἔφη, δοκεῖ, ὦ ἀγησίλαε, σὲ μὲν, ὦ σπιθριδάτα, τύχῃ ἀγαθῇ διδόναι κότυι τὴν θυγατέρα, σὲ δὲ λαμβάνειν. τὴν μέντοι παῖδα πρὸ ἦρος οὐκ ἂν δυναίμεθα πεζῇ ἀγαγεῖν. ἀλλὰ καὶ μὰ δί', ἔφη ὁ κότυς, κατὰ θάλατταν ἂν πέμποιτο, εἰ βούλοιο. ἐκ τούτου δεξιὰς δόντες καὶ λαβόντες ἐπὶ τούτοις, ἀπέπεμπον τὸν κότυν. καὶ εὐθὺς ὁ ἀγησίλαος ἐπεὶ ἔγνω αὐτὸν σπεύδοντα, τριήρη πληρώσας, καὶ καλλίαν λακεδαιμόνιον κελεύσας ἀπαγαγεῖν τὴν παῖδα, αὐτὸς ἐπὶ δασκυλείου ἐπορεύετο, ἔνθα καὶ τὰ βασίλεια ἦν φαρναβάζου. καὶ κῶμαι περὶ αὐτὰ πολλαὶ, καὶ μεγάλαι, καὶ ἄφθονα ἔχουσαι τὰ ἐπιτήδεια, καὶ θήρας, αἱ μὲν ἐν περιειργασμένοις παραδείσοις, αἱ δὲ καὶ ἀναπεπταμένοις τόποις πάγκαλαι. περιέρρει δὲ καὶ ποταμὸς, παντοδαπῶν ἰχθύων πλήρης. ἦν δὲ καὶ τὰ πτηνὰ ἄφθονα τοῖς ὀρνιθεῦσαι δυναμένοις. ἐνταῦθα μὲν δὴ διεχείμαζε, καὶ αὐτόθεν σὺν προνομαῖς τὰ ἐπιτήδεια τῇ στρατιᾷ λαμβάνων. καταφρονητικῶς δέ ποτε καὶ ἀφυλάκτως, διὰ τὸ μηδὲν πρότερον ἐσφάλθαι, λαμβανόντων τῶν στρατιωτῶν τὰ ἐπιτήδεια, ἐπιτυγχάνει αὐτοῖς ὁ φαρνάβαζος κατὰ τὸ πεδίον ἐσπαρμένοις, ἅρματα μὲν ἔχων δύο δρεπανηφόρα, ἱππέας δὲ ὡς τετρακοσίους. οἱ δ' ἕλληνες ὡς εἶδον αὐτὸν προσελαύνοντα, συνέδραμον ὡς εἰς ἑπτακοσίους. ὁ δ' οὐκ ἐμέλλησεν, ἀλλὰ προστησάμενος τὰ ἅρματα, αὐτὸς δὲ σὺν τοῖς ἱππεῦσιν ὄπισθεν γενόμενος, ἐκέλευσεν ἐλαύνειν εἰς αὐτούς. ὡς δὲ τὰ ἅρματα ἐμβαλόντα διεσκέδασε τὸ ἀθρόον, ταχὺ οἱ ἱππεῖς κατέβαλον ὡς εἰς ἑκατὸν ἀνθρώπους. οἱ δ' ἄλλοι κατέφυγον πρὸς ἀγησίλαον. ἐγγὺς γὰρ ἔτυχε σὺν τοῖς ὁπλίταις ὤν. ἐκ δὲ τούτου τρίτῃ ἢ τετάρτῃ ἡμέρᾳ αἰσθάνεται ὁ σπιθριδάτης τὸν φαρνάβαζον ἐν καυῇ κώμῃ μεγάλῃ στρατοπεδευόμενον, ἀπέχοντα σταδία ὡς ἑξήκοντα καὶ ἑκατόν. καὶ εὐθὺς λέγει πρὸς τὸν ἡριππίδαν. καὶ ὁ ἡριππίδας ἐπιθυμῶν ἀεὶ λαμπρόν τι ἐργάζεσθαι, αἰτεῖ τὸν ἀγησίλαον ὁπλίτας τε εἰς δισχιλίους, καὶ πελταστὰς ἄλλους τοσούτους, καὶ ἱππέας τούς τε σπιθριδάτου, καὶ τοὺς παφλαγόνας, καὶ τῶν ἑλλήνων ὁπόσους πείσειεν. ἐπεὶ δὲ ὑπέσχετο αὐτῷ, ἐθύετο. καὶ ἅμα δείλῃ καλλιερησάμενος, κατέλυσε τὴν θυσίαν. ἐκ δὲ τούτου δειπνήσαντας παρήγγειλε παρεῖναι πρόσθεν τοῦ στρατοπέδου. σκότους δὲ γενομένου, οὐδ' οἱ ἡμίσεις ἑκάστων ἐξῆλθον. ὅπως δὲ μὴ εἰ ἀποτρέποιτο καταγελῷεν αὐτοῦ οἱ ἄλλοι τριάκοντα, ἐπορεύετο σὺν ᾗ εἶχε δυνάμει. ἅμα δὲ τῇ ἡμέρᾳ ἐπιπεσὼν τῷ φαρναβάζου στρατοπέδῳ, τῶν μὲν προφυλάκων αὐτοῦ, μυσῶν ὄντων, πολλοὶ ἔπεσον, αὐτοὶ δὲ διαφεύγουσι. τὸ δὲ στρατόπεδον ἁλίσκεται, καὶ πολλὰ μὲν ἐκπώματα, καὶ ἄλλα δὴ οἷα φαρναβάζου κτήματα. πρὸς δὲ τούτοις σκεύη πολλὰ, καὶ ὑποζύγια σκευοφόρα. διὰ γὰρ τὸ φοβεῖσθαι μὴ εἴ που κατασταίη κυκλωθεὶς πολιορκοῖτο, ἄλλοτε ἄλλῃ τῆς χώρας ἐπῄει, ὥσπερ οἱ νομάδες, καὶ μάλα ἀφανίζων τὰς στρατοπεδεύσεις. ὑπο-

stimq; Spithridatem uocari iussit. Illo ingresso, Erippidas ait: Vt cætera Agesilae omittamus, Spithridates omnia quæcunq; tibi grata nouerit, se facturum pollicetur. Mihi itaq; Agesilaus inquit, uidetur o Spithridate, quod felix faustumq; sit, filiam Oty in uxorem dare, te uero Oty illam accipere debere: sed puellam ante uernum tempus terra deducere haud possumus. At Otys excipiens: Per Iouem, ait, mari 10 si uobis uidetur mitti poterit. Iunctis igitur dextris, ille ut puellā daret, alter ut duceret, sponderunt. Inde Otys discessit. Cōfestimq; Agesilaus cum illum nuptiarum cupidum esse intellexisset, triremi una Calliam Lacedæmonium transmittere puellam iussit. ipse in Dascylium duxit. Erat ibi Pharnabazi regia, ager urbi circumiectus, ferax, & ingentibus uillis frequens: feræ præterea tum septis ac hortis inclusæ cultissimis, tum locis apertis uagabātur 20 amœnissimis. Circumfluebat & amnis limpidus, omnifario refertus piscium genere: uolatiliaq; innumera aucupijs erant abunde exposita. Ibi Agesilaus hyemauit, exercitumq; uniuersum copioso refersit commeatu. Quo sane tempore pabulatores per contemptum & absque speculatoribus, ob diuturnam hostium fiduciam, procul à castris palantes, à Pharnabazo sunt insidijs excepti. Habebat ille currus falcatos duos, equites uero quadringentos. At Græ 30 ci quamprimum ipsum ingruentem uidissent, quasi septingenti in unum collecti sunt. His ille contemptus, curribusq; in fronte constitutis, cum equitibus à tergo impetum in illos facit. Currus disiecta acie ordines turbarūt: equites uero Græcos dispalatos insequuti, quasi cētum ex eis obtruncarunt: reliqui in castra, quæ prope erant, refugerunt. Nec multis interiectis diebus cum Spithridates Pharnabazum in Caue uilla magna, castra locasse intellexisset (di 40 stabat is locus stadia quasi centum sexaginta) ad Erippidā renūciat. Erippidas cum rem egregiam perpetrari posse speraret, Agesilaum rogat, ut sibi duo millia peditum, clypeatorū totidem, equitatum uero uniuersum, tam Spithridatis & Paphlagonum, quam Græcorum attribueret. His concessis sacrū fecit, confestimq; litauit, milites q; cœnare, & inde ante castra præsto esse iussit. Ingruentibus uero tenebris, uix pars dimidia egressa est. Erippidas, ne si in 50 castra rediret reliquis triginta ludibrio esset, cum præsentibus pergit copijs, ac sub diluculum Pharnabazi munimenta adortus est: interfectisq; magna ex parte custodib. qui Mysij erant, reliquis in fugam uersis, castra omni opulentia referta cepit. Ingens parta est præda, iumenta impedimētaq; innumera direpta, Pharnabaziq; supellex omnis in ditionē hostium uenit. Nam quia à Græcis obsideri uerebatur, per uniuersam regionē, tanquam pastores solent, castra copioso cōmeatu referta circuntulerat. Erip-

Erippides constitutis tribunis & centurioni-
bus, præda omni Spithridatem & Paphlago-
nes fraudauit, ipse ingentibus oneratus spolijs
in castra reuersus est. At illi eam non tulere in
iuriam, uerùm ut decepti, honoreq; ac præda
exuti, nocte sequẽti cõsensu cõmuni Sardis ad
Ariæum abierũt, existimãtes illum quoq; à re-
ge defecisse, eiq; hostẽ esse. Post secessionẽ Spi
thridatis, Megabazi et Paphlagonũ, nil egre-
giũ ab Agesilao actũ est: uerum Apollophanes 10
Cyzicenus qui hospitalitatis iure Pharnabazo
iampridem deuinctus erat, Agesilao promisit
Pharnabazũ pro pace firmanda in colloquiũ
se adducturũ. Id Agesilaus audiẽs cõsensit: &
ille accepta fide, dextraq; data, Pharnabazum
in condictum adduxit locum, ubi Agesilaus et
cõsiliarij triginta, super congeriem herbarũ se
dentes præstolabantur. Pharnabazus precio-
sissima indutus erat stola. Cũq; famuli aulæa,
in quibus molliter Persæ sedere consueuerunt, 20
substernerẽt, Agesilai cultũ uilem cernẽs, tam
delicate agere erubuit: quapropter unde quoq;
ipse in terra cõsedit: & primo accepta inuicẽ
ac reddita salute, Pharnabazus prior dextram
protulit: cui Agesilaus quoq; manum iunxit.
Pharnabazus itaq; (nam senior erat) ita loqui
orsus est: Agesilaẽ, et uos qui adestis Lacedæ
monij, ego cum bellũ aduersus Athenieẽses ge
reretis, semper uobis amicus ac socius fui, rẽq;
uestrã naualẽ pecunijs proprijs egregie iuui: 30
terra uero à uobis steti, hostesq; equestri in ma
re usq; persequutus sum, lõgeq; plus Tissapher
ne uobis cõmodum attuli, nec unquã quid feci
seu dixi, quod à uobis reprehẽdi posset. Et quã
uis talis erga uos fuerim, eã tamẽ à uobis per-
sequutionẽ patior, ut nec in proprijs finib. uni
ca mihi supsit cœna, ni ferarũ more, quæ à uo-
bis derelicta sunt rapiã: quandoquidẽ domus
egregias, hortos arborib. cõsitos ac feris refer
tos, quæ mihi pater reliquit, quibusq; summo- 40
pe delectabar, omnia penitus à uobis desolata
& exusta cerno. Proinde cũ hæc nec fidei nec
iustitiæ cõuenire arbitrer, uos me doceatis oro,
quo pacto talia uiris cõueniant, qui se noscere
iactẽt, quemadmodũ gratias referre, ac ami-
cis benefacere oporteat. His dictis, triginta pu
dore suffusi tacebãt. Agesilaus uero cũ et ipse
aliquantulũ silentiũ tenuisset, ita loqui cœpit:
Nõ te latẽre ô Pharnabaze arbitror, homines
in ciuitatib. Græcis cõsueuisse hospitalitatẽ in 50
ter se cõtrahere: ac cum bellũ inter urbes ortũ
est, illi quoq; pro cõmuni patria etiã cõtra ho
spites pugnare nõ dubitãt: & si ita euenit, etiã
illos obtrũcant. Pariter itaq; nos cũ aduersus
regẽ uestrum bellũ geramus, oĩa illius hostilia
ducere cogimur: tibi uero recõciliari summo-
pere affectamus, quãuis nõ ut excusso iugo re-
gio, nos dominos acceptos suadeamus: cæterũ
si nobis adhærebis, tibi ꝓpositũ erit ut nemini
collũ submittas, nulli parẽre cogaris domino,
sed

ὑποσίωτες δὲ ἡριππίδας ταξιάρχας καὶ λοχαγούς, ἀ-
φεῖλετο ἅπαντα, τόν τε σπιθριδάτην, καὶ τοὺς παφλα-
γόνας, ἵνα δὴ πολλὰ ἐπαγάγοι τὰ αἰχμάλωτα τοῖς λα-
φυροπώλαις. ἐκεῖνοι μέν τοι ταῦτα παθόντες, οὐκ ἤ-
νεγκαν, ἀλλ' ὡς ἀδικηθέντες, καὶ ἀτιμασθέντες, νυ-
κτὸς συσκευασάμενοι, ᾤχοντο ἀπιόντες εἰς σάρδεις
πρὸς ἀριαῖον, πιστεύοντες ὅτι καὶ ὁ ἀριαῖος ἀποστὰς βα-
σιλέως, ἐπολέμησεν αὐτῷ. ἀγησιλάῳ μὲν δὴ ἀπὸ τῆς ἀ-
πολείψεως τοῦ σπιθριδάτου, καὶ τοῦ μεγαβύζου, καὶ
τῶν παφλαγόνων, οὐδὲν ἐγένετο βαρύτερον ἐν τῇ στρα-
τείᾳ. ἦν δέ τις ἀπολλοφάνης κυζικηνός, ὃς καὶ φαρναβά-
ζῳ ἐτύγχανεν ἐκ παλαιοῦ ξένος ὤν, καὶ ἀγησιλάῳ κατ'
ἐκεῖνον τὸν χρόνον ἐξενώθη. οὗτος οὖν εἶπε πρὸς τὸν ἀγη-
σίλαον, ὡς οἴοιτο συναγαγεῖν αὐτῷ εἰς λόγους περὶ φιλί-
ας φαρνάβαζον. ὡς δ' ἤκουσεν αὐτοῦ, σπονδὰς λαβὼν
καὶ δεξιάν, παρῆν ἄγων τὸν φαρνάβαζον εἰς συγκεί-
μενον χωρίον, ἔνθα δὴ ἀγησίλαος, καὶ οἱ περὶ αὐτὸν
τριάκοντα χαμαὶ ἐν πόᾳ τινὶ κατακείμενοι, ἀνέμενον.
ὁ δὲ φαρνάβαζος ἧκεν ἔχων στολὴν πολλοῦ χρυσοῦ ἀξίαν.
ὑποτιθέντων δὲ τῶν θεραπόντων ῥαπτά, ἐφ' ὧν καθί-
ζουσιν οἱ πέρσαι μαλακῶς, ᾐσχύνθη ἐντρυφῆσαι, ὁρῶν
τοῦ ἀγησιλάου τὴν φαυλότητα. κατεκλίνθη οὖν καὶ
αὐτὸς ὥσπερ εἶχε χαμαί. καὶ πρῶτα μὲν ἀλλήλοις χαί-
ρειν προσεῖπον. ἔπειτα τὴν δεξιὰν προτείναντος τοῦ
φαρναβάζου, ἀντιπροὔτεινε καὶ ὁ ἀγησίλαος. μετὰ δὲ
τοῦτο ἤρξατο λόγου ὁ φαρνάβαζος, καὶ γὰρ ἦν πρεσβύ-
τερος· ὦ ἀγησίλαε, καὶ πάντες οἱ παρόντες λακεδαι-
μόνιοι, ἐγὼ ὑμῖν ὅτε τοῖς ἀθηναίοις ἐπολεμεῖτε, φίλος,
καὶ ξύμμαχος ἐγενόμην, καὶ τὸ μὲν ὑμέτερον ναυτικόν,
χρήματα παρέχων, ἰσχυρὸν ἐποίουν. ἐν δὲ τῇ γῇ αὐτὸς
ἀπὸ τοῦ ἵππου μαχόμενος μεθ' ὑμῶν, εἰς τὴν θάλατ-
ταν κατεδίωκον τοὺς πολεμίους. καὶ διπλοῦν ὥσπερ
τισσαφέρνης, οὐδὲν πώποτέ με ποιήσαντος, ὅτι εἰπὸν
τος πρὸς ὑμᾶς, ἔχοιτ' ἂν κατηγορῆσαι. τοιοῦτος δὲ γε-
νόμενος, οὕτω νῦν διάκειμαι ὑφ' ὑμῶν, ὡς οὐδὲ δεῖ-
πνον ἔχω ἐν τῇ ἐμαυτοῦ χώρᾳ, εἰ μή τι ὧν ἂν ὑμεῖς λί-
πητε ξυλλέξομαι, ὥσπερ τὰ θηρία. ἃ δέ μοι ὁ πατὴρ καὶ
οἰκήματα καλά, καὶ παραδείσους, καὶ δένδρων καὶ θηρίων
μεστοὺς κατέλιπεν, ἐφ' οἷς εὐφραινόμην, ταῦτα πάντα
ὁρῶ, τὰ μὲν κατακεκαυμένα, τὰ δὲ κατακεκομμένα.
εἰ οὖν ἐγὼ μὴ γιγνώσκω μήτε τὰ δίκαια, μήτε τὰ ὅ-
σια, ὑμεῖς δὲ διδάξατέ με, ὅπως ταῦτ' ἐστὶν ἀνδρῶν
ἐπισταμένων χάριτας ἀποδιδόναι. ὁ μὲν ταῦτ' εἶπεν. οἱ
δὲ τριάκοντα πάντες μὲν ἐπῃσχύνθησαν αὐτόν, καὶ ἐσιώ-
πησαν. ὁ δὲ ἀγησίλαος χρόνῳ ποτὲ εἶπεν· ἀλλ' οἶμαι μέν
σε, ὦ φαρνάβαζε, εἰδέναι, ὅτι καὶ ἐν ταῖς ἑλληνικαῖς πό-
λεσι ξένοι ἀλλήλοις γίνονται οἱ ἄνθρωποι. οὗτοι δὲ ὅταν αἱ
πόλεις πολέμιαι γένωνται, σὺν ταῖς πατρίσι, καὶ τοῖς ἐξε-
νωμένοις πολεμοῦσι. καὶ ἐὰν οὕτω τύχωσιν, ἔστιν ὅτε καὶ ἀ-
ποκτείνουσιν ἀλλήλους. καὶ ἡμεῖς οὖν νῦν βασιλεῖ τῷ ὑμε-
τέρῳ πολεμοῦντες, πάντα ἠναγκάσμεθα τὰ ἐκεί-
νου πολέμια νομίζειν. σοί γε μέντοι φίλοι γενέσθαι, περὶ
παντὸς ἂν ποιησαίμεθα. καὶ εἰ μὲν ἀλλάξασθαί σοι ἔδει,
ἀντὶ δεσπότου βασιλέως ἡμᾶς δεσπότας, οὐκ ἂν ἔγω-
γέ σοι ξυνεβούλευον. νῦν δὲ ἔξεστί σοι μεθ' ἡμῶν γενο-
μένῳ μηδένα προσκυνοῦντα, μηδὲ δεσπότην ἔχοντα,
ζῆν

ζῆν καρπούμενον τὰ σαυτοῦ. καίτοι ἐλεύθερον εἶν, ἐγὼ μὲν οἶμαι ἀντάξιον εἶναι τῶν πάντων χρημάτων. οὐδὲ μέντοι τοῦτό σε κελεύομεν, πένητα μὲν, ἐλεύθερον δὲ εἶν, ἀλλ' ἡμῖν ξυμμάχοις χρώμενον, αὔξειν μὴ τὴν βασιλέως, ἀλλὰ τὴν σαυτοῦ ἀρχὴν, τοὺς νῦν ὁμοδούλους σοι καταστρεφόμενον, ὥστε σοὺς ὑπηκόους εἶν. καί τοι εἰ ἅμα τ' ἐλεύθερος εἴης, καὶ πλούσιος γένοιο, τίνος ἂν δέοιο, μὴ οὐχὶ πάμπαν εὐδαίμων εἶν; οὐκοῦν, ἔφη ὁ φαρνάβαζος, ἁπλῶς ὑμῖν ἀποκρίνομαι, ἅπερ ποιήσω. πρέπει γοῦν σοι. ἐγὼ τοίνυν, ἔφη, ἐὰν βασιλεὺς ἄλλον μὲν στρατηγὸν πέμπῃ, ἐμὲ δὲ ὑπήκοον ἐκείνου τάττῃ, βουλήσομαι ὑμῖν καὶ φίλος, καὶ σύμμαχος εἶν. ἐὰν μέντοι μοι τὴν ἀρχὴν προστάττῃ, τοιοῦτόν τι ὡς ἔοικε φιλοτιμίας ἐστὶν, εὖ χρὴ εἰδέναι, ὅτι πολεμήσω ὑμῖν ὡς ἂν δύνωμαι ἄριστα. ἀκούσας ταῦτα ὁ ἀγησίλαος, ἐλάβετο τῆς χειρὸς αὐτοῦ, καὶ εἶπεν, εἴθ' ὦ λῷστε, σὺ τοιοῦτος ὢν, φίλος ἡμῖν γένοιο. ἓν δ' οὖν, ἔφη, ἐπίστω, ὅτι νῦν τε ἄπειμι ὡς ἂν δύνωμαι τάχιστα ἐκ τῆς χώρας τῆς σῆς, τοῦ τε λοιποῦ, κἂν πόλεμος ᾖ, ἕως ἂν ἐπ' ἄλλον ἔχωμεν στρατεύεσθαι, σοῦ τε καὶ τῶν σῶν ἀφεξόμεθα. τούτων δὲ λεχθέντων, διέλυσαν τὸν σύλλογον. καὶ ὁ μὲν φαρνάβαζος ἀναβὰς ἐπὶ τὸν ἵππον ἀπῄει. ὁ δὲ ἐκ τῆς παραπίτας υἱὸς αὐτοῦ, καλὸς ἔτι ὤν, ὑπολειφθεὶς καὶ προσδραμὼν, ξένον σε, ἔφη, ὦ ἀγησίλαε, ποιοῦμαι. ἐγὼ δέ γε δέχομαι. μέμνησο νῦν ἔφη. καὶ εὐθὺς τὸ παλτὸν, εἶχε δὲ καλὸν, ἔδωκε τῷ ἀγησιλάῳ. ὁ δὲ δεξάμενος, φάλαρα ἔχων περὶ τῷ ἵππῳ ἰδαίου τοῦ γραφέως πάγκαλα, περιελὼν, ἀντέδωκεν αὐτῷ. τότε μὲν οὖν ὁ παῖς ἀναπηδήσας ἐπὶ τὸν ἵππον, μετεδίωκε τὸν πατέρα. ὡς δ' ἐν τῇ τοῦ φαρναβάζου ἀποδημίᾳ ἀποστερῶν ἀδελφὸς τὴν ἀρχὴν, φυγάδα ἐποίησε τὸν τῆς παραπίτας υἱὸν, τά τ' ἄλλα ὁ ἀγησίλαος ἐπεμελεῖτο αὐτοῦ, καὶ ἐρασθέντος αὐτοῦ τοῦ εὐάλκους υἱέος ἀθηναίου, πάντ' ἐποίησεν, ὅπως ἂν δι' ἐκεῖνον ἐγκριθείη τὸ στάδιον ἐν ὀλυμπίᾳ, μέγιστος ὢν τῶν παίδων. καὶ τότε δὲ ὥσπερ εἶπε πρὸς τὸν φαρνάβαζον, εὐθὺς ἀπεπορεύετο ἐκ τῆς χώρας. σχεδὸν δέ τι καὶ ἔαρ ὑπέφαινεν ἤδη. ἀφικόμενος δὲ εἰς θήβης πεδίον, κατεστρατοπεδεύσατο περὶ τὸ τῆς ἀστυρίνης ἀρτέμιδος ἱερόν. καὶ ἐκεῖ πρὸς ᾧ εἶχε, ξυνέλεγε πανταχόθεν παμπληθὲς στράτευμα. παρεσκευάζετο γὰρ πορευσόμενος ὡς δύναιτο ἀνωτάτω, νομίζων ὁπόσα ὄπισθεν ποιήσαιτο ἔθνη, πάντα ἀποστερήσειν βασιλέως. ἀγησίλαος μὲν δὴ ἐν τούτοις ἦν. οἱ δὲ λακεδαιμόνιοι ἐπεὶ σαφῶς ᾔσθοντο τά τε χρήματα ἐληλυθότα εἰς τὴν ἑλλάδα, καὶ τὰς μεγίστας πόλεις ξυνεστηκυίας ἐπὶ πολέμῳ πρὸς ἑαυτοὺς, ἐν κινδύνῳ τε τὴν πόλιν νομίζοντες, καὶ στρατεύειν ἀναγκαῖον ἡγήσαντο εἶν. καὶ αὐτοὶ μὲν ταῦτα παρεσκευάζοντο. εὐθὺς δὲ καὶ ἐπὶ τὸν ἀγησίλαον πέμπουσιν ἐπικυδίδαν. ὁ δ' ἐπεὶ ἀφίκετο, τά τε ἄλλα διηγεῖτο ὡς ἔχοι, καὶ ὅτι ἡ πόλις ἐπιστέλλοι αὐτῷ βοηθεῖν ὡς τάχιστα τῇ πατρίδι. ὁ δὲ ἀγησίλαος ἐπεὶ ἤκουσε, χαλεπῶς μὲν ἤνεγκεν, ἐνθυμούμενος οἵων τιμῶν, καὶ οἵων ἐλπίδων ἀπεστέρητο. ὅμως δὲ ξυγκαλέσας τοὺς ξυμμάχους, ἐδήλωσε τὰ ὑπὸ τῆς πόλεως παραγγελλόμενα, καὶ εἶπεν ὅτι ἀναγκαῖον εἴη βοηθεῖν τῇ πατρίδι. κἂν τοι ἐκεῖνα καλῶς γένηται, εὖ ἐπίστασθε, ἔφη, ὦ ἄνδρες ξύμμαχοι, ὅτι οὐ μὴ ἐπιλάθωμαι ὑμῶν, ἀλλὰ πάλιν παρέσομαι

sed ubi ipsi fructum colligens, in LIBERTATE uiuere possis suauissima, quam cunctis anteferendam rebus arbitror. Nec te in paupertate liberum esse iubemus, sed nostro auxilio: non iam regis, sed proprium propagare imperium, conseruosq; nunc tuos ut tibi pareant subigere suademus. Si igitur libertatem nactus, diuitijs quoq; auctus fueris, quid deerit, quin omnium felicissimus haberi possis hominum? Ad haec Pharnabazus: Num quid mihi faciendum censeam, aperte proferam? Cui Agesilaus: Recte quidem. Et ille: Cum rex alium cui subsim ducem miserit, uobis me amicum & belli socium futurum promitto: cum uero eam mihi subdiderit prouinciam, ob quam maxima excellere uideor gloria, uos haud ignorare uolo, me uobis quantum potero hostem fore acerrimum. Haec cum Agesilaus audisset, eius prehensa manu, ait: Euge uir generose cum talis sis, cum nobis quoq; in gratiam redi: tibi enim exercitum celerius quam potero e finibus tuis abducturũ promitto: deinde quamuis hostis sis, quandiu alius contra quem bellum geramus superesset, a te tuisq; abstinebimus reb. His dictis colloquiũ diremptũ est, & Pharnabazus cõscenso equo abijt. At filius ipsius ex Parapita, indolis pulcherrimae iuuenis, admisso equo Agesilaũ accessit, dixitq;: Hospitem te o Agesilae facio. Et ille: Accepto, ait. Reminiscaris igitur, inquit: confestimq; iaculum quod habebat pulcherrimũ Agesilao tradidit: quo recepto ille, phaleris egregie elaboratis proprio detractis equo, iuuenem donauit: & adolescens ascenso equo patrẽ insequutus est. Inde cum post Pharnabazi obitũ ab alio fratre regno pulsus, exilij causa solum uerteret, Agesilaus promissorum non immemor, illum hospitio suscepit, auxiliumq; ac operam praestitit ut in Olympia stadio uinceret, clarissimus inter omnes euaderet fratres. Caeterum Agesilaus ut Pharnabazo promiserat nihil commoratus, cum omnibus copijs ex finibus illius excessit. Cũq; sub uernum tempus in Thebes uenisset campũ, iuxta Astyriae templum Dianae castra locat, quo ex omnibus locis copiosum contraxit exercitũ, seq; ut superiorẽ regionem irrumperet accingebat: existimabat enim gentes eas quas a tergo relinquerẽt omnes, a rege alienari posse. Et Agesilaus his incumbebat. At Lacedaemonij cum aperte pecunias Graeciae illatas, maximasq; ciuitates contra eos coniurasse resciuissent, haud mediocri si cunctarentur periculo se expositos arbitrantes, tanquã necessitate coacti exercitum comparabant: Epicydidemq; ad Agesilaum mittunt, qui illi praesentem ostenderet statum, simul & ad patriae opem ferendam reuocaret. Fuit nũcius is Agesilao admodũ molestus: animo enim meditabatur, quam a clarissimo uictoriae cursu ac spe auocaretur. Cõuocatis itaque socijs, patriae illis mandata aperit, & quod illi succurrere necesse esset ostendit. Caeterum, uiri socij, inquit, rebus ex sententia gestis haud uobis deero, sed iterum ad uos proficiscar,

ficiscar, & reliqua quæ uobis agenda supersunt perficiam. Hæc socij obortis audierunt lachrymis, communiq; decreto unà cum Agesilao Lacedemonijs opem ferendam esse censuerunt, ut si res ibi prospere cederent, rursus cum illo in Asiam regrederentur. Itaq; se ad profectionem accingebant. Agesilaus Euxenum harmosten cum præsidio quatuor millium militum in Asia reliquit, ut, si ita res exigeret, ciuitatibus succurrere posset. Cumq; cognouisset milites quamplures manere potius quàm contra Græcos militare uelle: ut optimos quosq; secum duceret, ciuitatibus qui ornatiorē mitterent exercitum, præmia proposuit. Ductoribus quoq; conductitij militis, quicunque cohortem præ cæteris egregie instructam adduceret, seu scutatorum, sagittariorum, uel cetratorum, munera pollicitus est. Preterea equitum præfectis qui agmen splendidißimum ageret præmia promisit. ac hos omnes in Cherronesum conuenire iußit: ibi enim cum ex Asia in Europam transgrederetur, sententiam laturum prædixit. Præmia uero ut plurimum arma erant decora cum pedestria tū equestria, coronæ quoq; aureæ: ita ut præmia cuncta preciū quatuor excederent talentorum. His tam ingentibus propositis præmijs effecit, ut cuncti se splendidißimis instruerēt armis. Cum uero Hellespontum trāsgressus esset, iudices constituit: ex Lacedæmonijs Menascum, Erippidem, et Orsippum: e socijs uero ciuitatibus singulos. Peracto iudicio Agesilaus per eam incessit uiam, per quam Xerxes rex cum Græciam inuaderet, duxerat. Ephori interim delectum edicunt. Et quoniam Agesipolis impubes erat, Aristodemum generis regij ac pueri tutorem exercitum educere iubent. Egreßis Lacedæmonijs, hostes quoq; in unum conuenerant, consultabantq; quonam pacto Lacedæmonios potißimum aggrederentur. Inter hos Timolaus Corinthius surgens, ita uerba fecit: Viri socij, Lacedæmoniorum res mihi fluuiorum instar se habere uidentur. Flumina etenim circa ortum suum tenui labuntur uena, ita ut facile sint permeabiles: at cum longius defluunt, ac cæteros quoq; excipiunt fluuios, iam non placide, sed rapido feruntur gurgite. Pariter & Lacedæmonij cum exercitum educunt soli sunt: procedentes uero, reliquarum quoque ciuitatum sibi uires adiungunt, ita ut illis aucti quodammodo inuicti reddantur. Proinde uidemus, quicunque uespas iam egressas irritare conantur, aculeos illorum experiuntur: cum uero inclusis ignem admouent, iam amplius nihil mali patiuntur, sed quamfacile uespas suffocant. Hæc itaq; considerans, utilißimum iuxta Lacedæmonem ipsam, aut quamprope pugna decertandum esse reor. Porro cum haud inepte consuluisse uideretur, in sententiam ipsius omnes pedibus iuere. Verum cum de duce certarent, ac de instruenda acie, & quo pacto ordines explicarent, ne phalāge contra ab hostibus circūuenirentur, dißiderent, et rem in longum protraherēt, iam

σομαι πράξας, ἂν ὑμεῖς δέησθε. ἀκούσαντες δὲ ταῦτα πολλοὶ μὲν ἐδάκρυσαν, πάντες δ' ἐπεψηφίσαντο βοηθεῖν μετ' ἀγησιλάου τῇ λακεδαίμονι. εἰ δὲ καλῶς τἀκεῖ γένοιτο, λαβόντες αὐτὸν πάλιν ἥκειν εἰς τὴν ἀσίαν. καὶ οἱ μὲν δὴ ξυνεσκευάζοντο, ὡς ἀκολουθήσοντες. ὁ δ' ἀγησίλαος ἐν μὲν τῇ ἀσίᾳ κατέλιπεν εὔξενον ἁρμοστὴν, καὶ φρουροὺς παρ' αὐτῷ οὐκ ἐλάττους τετρακισχιλίων, ἵνα δύναιτο διασώζειν τὰς πόλεις. αὐτὸς δὲ ὁρῶν ὅτι οἱ πολλοὶ τῶν στρατιωτῶν μένειν ἐπεθύμουν μᾶλλον, ἢ ἐφ' ἕλληνας στρατεύεσθαι, βουλόμενος ὡς βελτίστους καὶ πλείστους ἄγειν μεθ' ἑαυτοῦ, ἆθλα προὔθηκε ταῖς πόλεσιν, ἥτις ἄριστον στράτευμα πέμποι. καὶ τῶν μισθοφόρων τοῖς λοχαγοῖς, ὅστις εὐοπλότατον λόχον ἔχων, συστρατεύοιτο, καὶ ὁπλιτῶν, καὶ τοξοτῶν, καὶ πελταστῶν. προεῖπε δὲ καὶ τοῖς ἱππάρχοις, ὅστις εὐιπποτάτην καὶ εὐοπλοτάτην τάξιν παρέχοιτο, ὡς καὶ τούτοις νικητήριον δώσων. τὴν δὲ κρίσιν ἔφη ποιήσειν, ἐπεὶ διαβαῖεν ἐκ τῆς ἀσίας εἰς τὴν εὐρώπην ἐν χερρονήσῳ, ὅπως εὖ εἰδεῖεν ὅτι τοὺς στρατευομένους δεῖ εὐκρινεῖν. ἦν δὲ τὰ ἆθλα τὰ μὲν πλεῖστα, ὅπλα ἐκπεπονημένα εἰς κόσμον, καὶ ὁπλιτικὰ, καὶ ἱππικά. ἦσαν δὲ καὶ στέφανοι χρυσοῖ. τὰ δὲ πάντα ἆθλα οὐκ ἔλαττον ἐγένοντο, ἢ ἀπὸ τεττάρων ταλάντων. τοσούτων μέντοι ἀναλωθέντων παμπόλλων χρημάτων ὅπλα εἰς τὴν στρατιὰν κατεσκευάσθη. ἐπεὶ δὲ διέβη τὸν ἑλλήσποντον, κριταὶ κατέστησαν· λακεδαιμονίων μὲν μνάσκος καὶ ἡριππίδας καὶ ὄρσιππος· τῶν δὲ ξυμμάχων εἷς ἀπὸ πόλεως. καὶ ἀγησίλαος μὲν ἐπεὶ τὴν κρίσιν ἐποίησεν, ἔχων τὸ στράτευμα, ἐπορεύετο τὴν αὐτὴν ὁδὸν, ἥνπερ βασιλεὺς ὅτε ἐπὶ τὴν ἑλλάδα ἐστράτευεν. ἐν δὲ τούτῳ οἱ μὲν ἔφοροι φρουρὰν ἔφαινον· ἡ δὲ πόλις, ἐπεὶ ἀγησίπολις παῖς ἔτι ἦν, ἀριστόδημον τοῦ γένους ὄντα, καὶ πρόδικον τοῦ παιδὸς ἡγεῖσθαι τῇ στρατιᾷ ἐκέλευον. ἐπεὶ δὲ ἐξῄεσαν μὲν οἱ λακεδαιμόνιοι, ξυνειλεγμένοι δ' ἦσαν οἱ ἐναντίοι, ξυνελθόντες, ἐβουλεύοντο πῶς ἂν τὴν μάχην ξυμφορώτατα σφίσιν αὐτοῖς ποιήσαιντο. τιμόλαος μὲν δὴ κορίνθιος ἔλεξεν, ἀλλ' ἐμοὶ δοκεῖ, ἔφη, ὦ ἄνδρες ξύμμαχοι, ὅμοιον εἶναι τὸ τῶν λακεδαιμονίων πρᾶγμα, οἷόνπερ τὸ τῶν ποταμῶν. οἵ τε γὰρ ποταμοὶ πρὸς μὲν ταῖς πηγαῖς οὐ μεγάλοι εἰσὶν, ἀλλ' εὐδιάβατοι. ὅσῳ δ' ἂν πορρωτέρω γίγνωνται, ἐπεμβάλλοντες ἕτεροι ποταμοὶ, ἰσχυρότερον αὐτῶν τὸ ῥεῦμα ποιοῦσι. καὶ οἱ λακεδαιμόνιοι ὡσαύτως. ἔνθεν μὲν ἐξέρχονται αὐτοὶ μόνοι εἰσί· προϊόντες δὲ καὶ παραλαμβάνοντες τὰς πόλεις, πλείονές τε καὶ δυσμαχώτεροι γίγνονται. ὁρῶ δ' ἔγωγ', ἔφη, καὶ ὁπόσοι σφῆκας ἐξαιρεῖν βούλονται, ἐὰν μὲν ἐκθέοντας τοὺς σφῆκας πειρῶνται θηρᾶν, ὑπὸ πολλῶν τιτρωσκομένους· ἐὰν δὲ ἔτι ἔνδον ὄντων, τὸ πῦρ ἐκφέρωσι, πάσχοντας μὲν οὐδὲν, χειρουμένους δὲ τοὺς σφῆκας. ταῦτ' οὖν ἐνθυμούμενος ἡγοῦμαι κράτιστον εἶναι, μάλιστα μὲν ἐν αὐτῇ, εἰ δὲ μὴ, ὅτι ἐγγύτατα τῆς λακεδαίμονος τὴν μάχην ποιεῖσθαι. δόξαντος δ' εὖ λέγειν αὐτοῦ, ἐψηφίσαντο ταῦτα. ἐν ᾧ δὲ περὶ ἡγεμονίας τε διεπράττοντο, καὶ διωμολογοῦντο ὁπόσους δέοι τάττεσθαι πᾶν τὸ στράτευμα, ὅπως μὴ λίαν βαθείας τὰς φάλαγγας ποιούμεναι αἱ πόλεις, κύκλωσιν τοῖς πολεμίοις παρέχοιεν.

ἐν

ἐν τούτῳ οἱ λακεδαιμόνιοι, καὶ δὴ τεγεάτας παρειλη-
φότες, καὶ μαντινέας, ἐξῄεσαν τὴν ἀμφίαλον. καὶ πο-
ρευόμενοι σχεδόν τι ἅμα, οἱ μὲν περὶ τοὺς κορινθίους ἐν
τῇ νεμέᾳ ἦσαν. οἱ δὲ λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι ἐν
τῇ σικυῶνι. ἐμβαλόντων δὲ αὐτῶν διὰ τὴν ἐπιεικεί-
ας, τὸ μὲν πρῶτον ἐκ τῶν ὑπερδεξίων βαλλόντων αὐ-
τοὺς, καὶ τοξευόντων, μάλα ἱκανῶς ἐπίεσαν οἱ γυμνῆ-
τες τῶν ἀντιπάλων. ὡς δὲ κατέβησαν ἐπὶ τὴν θάλατ-
ταν, ταύτῃ προῄεσαν διὰ τοῦ πεδίου τέμνοντες, καὶ
καίοντες τὴν χώραν. καὶ οἱ ἕτεροι μέντοι ἐλθόντες, κα-
τεστρατοπεδεύσαντο, ἔμπροσθεν ποιησάμενοι τὴν χα-
ράδραν. ἐπεὶ δὲ προϊόντες οἱ λακεδαιμόνιοι οὐκέτι δέ-
κα στάδια ἀπεῖχον τῶν πολεμίων, ἐκεῖ καὶ αὐτοὶ στρατο-
πεδευσάμενοι ἡσυχίαν εἶχον. φράσω δὲ καὶ τὸ πλῆθος
ἑκατέρων. ξυνελέγησαν γὰρ ὁπλῖται λακεδαιμονίων
μὲν, εἰς ἑξακισχιλίους· ἠλείων δὲ καὶ τριφυλίων, καὶ ἀκρω-
ρείων, καὶ λασιωνίων, ἐγγὺς τρισχίλιοι· καὶ οἱ σικυω-
νίων, πεντακόσιοι καὶ χίλιοι· ἐπιδαυρίων δὲ καὶ τροι-
ζηνίων, καὶ ἑρμιονέων, καὶ ἁλιέων, ἐγένοντο οὐκ ἐλάττους
τρισχιλίων. πρὸς δὲ τούτοις, ἱππεῖς μὲν λακεδαιμονίων πε-
ρὶ ἑξακοσίους. κρῆτες δὲ τοξόται ἠκολούθουν ὡς τριακόσιοι.
καὶ μὴν σφενδονῆται μαργανέων, καὶ λετρίνων, καὶ ἀμ-
φιδόλων, οὐκ ἐλάττους τετρακοσίων. φλιάσιοι μέντοι οὐκ
ἠκολούθουν. ἐκεχειρίαν γὰρ ἔφασαν ἔχειν. αὕτη μὲν
δὴ μετὰ λακεδαιμονίων δύναμις ἦν. ἥ γε μὴν τῶν πολε-
μίων ἠθροίσθη ἀθηναίων μὲν εἰς ἑξακισχιλίους ὁπλίτας.
ἀργείων δ' ἐλέγοντο περὶ ἑπτακισχιλίους. βοιωτῶν δὲ
ἐπεὶ ὀρχομένιοι οὐ παρῆσαν, περὶ πεντακισχιλίους. κορινθ-
ίων γε μὴν εἰς τρισχιλίους. καὶ μὴν ἐξ εὐβοίας ἁπάσης, οὐκ
ἐλάττους τρισχιλίων. ὁπλιτικὸν μὲν δὴ, τοσοῦτον. ἱππεῖς δὲ
βοιωτῶν μὲν ἐπεὶ ὀρχομένιοι οὐ παρῆσαν, εἰς ὀκτακοσίους.
ἀθηναίων δ' εἰς ἑξακοσίους καὶ χαλκιδέων τῶν ἐξ εὐ-
βοίας εἰς ἑκατόν. λοκρῶν δὲ τῶν ὀπουντίων, εἰς πεντή-
κοντα καὶ ψιλὸν δὲ ξὺν τοῖς τῶν κορινθίων πλέον ἦν.
καὶ γὰρ λοκροὶ οἱ ὀζόλαι, καὶ μηλιεῖς, καὶ ἀκαρνᾶνες παρῆ-
σαν αὐτοῖς. αὕτη μὲν δὴ ἑκατέρων ἡ δύναμις ἐγένετο.
οἱ δὲ βοιωτοὶ, ἕως μὲν τὸ εὐώνυμον εἶχον, οὐδέν τι κατή-
πειγον τὴν μάχην ξυνάπτειν. ἐπεὶ δὲ οἱ μὲν ἀθηναῖοι
κατὰ λακεδαιμονίους ἐγένοντο, αὐτοὶ δὲ τὸ δεξιὸν εἶχον, καὶ
κατ' ἀχαιοὺς αὐτετάχθησαν, εὐθὺς τά τε ἱερὰ καλὰ ἔφα-
σαν εἶναι, καὶ παρήγγειλαν παρασκευάζεσθαι ὡς μάχης
ἐσομένης. καὶ πρῶτον μὲν ἀμελήσαντες τῶν εἰς ἑκκαί-
δεκα, βαθεῖαν παντελῶς ἐποιήσαντο τὴν φάλαγγα. ἔτι
δὲ καὶ ἦγον ἐπὶ τὰ δεξιὰ, ὅπως ὑπερέχοιεν τῷ κέρατι τῶν
πολεμίων. οἱ δὲ ἀθηναῖοι, ἵνα μὴ διασπασθῶσιν, ἐπηκο-
λούθουν, καίπερ γιγνώσκοντες ὅτι κίνδυνος ἂν κυ-
κλωθῆναι. τέως μὲν οὖν οἱ λακεδαιμόνιοι οὐκ ᾐσθάνοντο,
προσιόντων τῶν πολεμίων. καὶ γὰρ ἦν λάσιον τὸ χωρίον. ἐ-
πεὶ δ' ἐπαιάνισαν, τότε δὴ ἔγνωσαν. καὶ εὐθὺς ἀντιπα-
ρήγγειλαν ἅπαντες διασκευάζεσθαι ὡς εἰς μάχην. ἐπεὶ δὲ
ξυνετάχθησαν ὡς ἑκάστους οἱ ξεναγοὶ ἔταξαν, παρηγγύη-
σαν μὲν ἀκολουθεῖν τῷ ἡγουμένῳ. ἦγον δὲ καὶ οἱ λακεδαι-
μόνιοι ἐπὶ τὰ δεξιά. καὶ οὕτω πολὺ ὑπερέτειναν τὸ κέ-
ρας, ὥστε τῶν ἀθηναίων αἱ μὲν ἓξ φυλαὶ κατὰ τοὺς λακε-
δαιμονίους ἐγένοντο. αἱ δὲ τέτταρες κατὰ τεγεάτας. οὐ-
κέτι δὲ στάδιον ἀπεχόντων, σφαγιασάμενοι οἱ λακεδαι-
μόνιοι

iam Lacedæmonij iunctis Tegeatibus & Man-
tinensibus Amphialum superauerant, recteq;
ad hostes qui in Nemea circa Corinthum e-
rant tendebant, castraq; in Sicyone locauerũt:
cumq; absq; iniuria ultro processissent, in eos
à leuis armaturæ militibus impetus factus est,
qui undiq; telis ac iaculis eos impetentes male
afficiebant. At illi cum ad mare declinassent,
iam sine certamine regionem ingressi, cuncta
10 ferro ac flammis uastarunt. His auditis hostes
nihil cunctati, illis obuiã uadunt, ac iuxta tor-
rentẽ castra collocant. Lacedæmonij cũ haud
amplius decem ab illis abessent stadijs, castra
ipsi quoq; ponũt, ac quiete agebant. Cæterum
priusquam ulterius progrediar, populi utriusq;
uires enumerabo. Erant Lacedæmoniorũ pedi-
tes circiter millia sex: Eliensium uero, Triphy-
liorũ, Acroriorũ, & Lasionensiũ quasi millia
tria: Sicyoniorũ mille quingenti: Epidaurensi-
20 um, Trœzeniorum, Hermionensium & Hali-
eorum haud minus millia aderant tria. Habe-
bant præterea Lacedæmonij equites quasi sex
centos, sequebanturq; Cretes sagittarij trecen-
ti, funditoresq; Marganensiũ, Ledrinensium,
ac Amphidolorũ haud pauciores tercentum.
Phliasij uero quoniam inducias prætendebãt,
domi remanserant. Et hæ uires erant Lacedæ-
moniorum. Hostium uero copiæ ita se habe-
bant. Athenienses circiter sex millia adduxerãt
30 peditũ, Argiui millia septem: Bœotij, quia Or-
chomenij non aderant, ad millia quinq;: Corin-
thiorum erant millia tria: ac ex reliqua Eubœa
uniuersa haud pauciores militibus tribus. &
hi pedites. Equites Bœotiorũ absq; Orchome-
nijs, qui aberãt, octingenti erant: Atheniensiũ
sexcenti, ex Eubœa uero Chalcidonensiũ cen-
tum, Locrensiũ Opuntiorum quingenti, cum
quibus Corinthij milites quãplurimi erãt: quos
sequebantur Locrenses, Ozoli, Melienses, &
40 Acarnanes haud pauci. Hæ igitur utrisq; cum
aderant copiæ, Bœotij qui sinistrum tenebant
cornu, penitus à congressu abstinebant. Cum
uero Athenienses cum Achæis cõtra Lacedæ-
monios in dextro constituissent cornu, statim sa-
crificia apparuere pulchra: quapropter cuncti
ad certamen se expedire iussi sunt. Et primo
haud cõsiderate phalangẽ sexdecim uirorum
densam cõstituerunt, ad dextrãq; ferebãtur: ho-
stium enim cornu superare quærebant. Athe-
50 nienses ne segregarẽtur, sequebãtur, quamuis
circũuentionis cernerent periculũ. Cæterũ La-
cedæmonij hostium aduentũ ignorabant: nam
loci conditio conspectũ adimebat. Verùm cum
illos pæana inchoasse audiuissent, extẽplo ipsi
quoq; ad arma conclamant. Cumq; aciem di-
rexissent, duces quenq; sequi præcipiunt, ac de-
xtrorsum longe extẽso uadebant cornu, ita ut
Atheniensium tribus tantummodo sex, illis oc-
currere contingeret, quatuor uero Tegeati-
bus. Cumq; uix per stadium distarent, Lacedæ-

monij, ut fertur, syluestrem immolarunt capellam, sicq; in gyrum flectentes hostes circundare nitebantur. Vix pugna conserta erat, cum omnes Lacedæmoniorũ socij ab hostibus superati sunt: solum Pellenenses Thespiensibus resistebant, acriq; certamine plures utrinq; cadebant. At Lacedæmonij Athenienses, cum quibus conflixere, egregie uincũt, eosq; undiq; circundãtes detrũcant. Structo inde ordine procedentes, reliquas quoq; tribus quatuor, antequã ex persequutione quisquã reuersus esset, superant, nullo ex suis desiderato, præterquam si quis in primo congressu à Tegeatibus interfectus est. Inde Argiuis qui reuertebantur obuiã sunt, cum quibus congreßi magnam eorum cecidere partem. Corinthios quoq; excepere regressos. Thebani etiam quidam ex persequutione reuertentes, in illos incidere, ex quibus omnibus quamplures interfecti sunt. Victi initio ad muros confugerunt: inde Corinthijs in castra antiqua redeuntibus, reliqui quoque illac conuenere. Lacedæmonij in eum reuersi sunt locum, ubi initio pugna cõserta fuerat, trophæumq; statuerunt. Et hic fuit exitus pugnæ tam memorandæ. Agesilaus interim ut patriæ succurreret, ex Asia iter maturat. Cui circa Amphipolim Dercyllides Lacedæmoniorũ nunciat uictoriam, ostenditq; octo solùm ex illis, hostium uero quamplurimos desideratos esse: insuper sociorum manum cecidisse ingentem demonstrat. Cui Agesilaus: Haud inutile esset ò Dercyllides, ait: ciuitatibus qui nobiscum militant, hanc quamcelerrimè nunciari uictoriam. Cui Dercyllides respondit: Nimirũ alacriores ad reliqua pericula obeunda futuros, credendum esset. Cur igitur tu cum præsens sis, ille inquit: nunciũ tam lætum nõ perfers? Et ille libẽter his auditis, nam sua sponte ad id peragendum propensus erat, ait: Si tu iusseris, paratus ero. At ille: Quinimo præcipio. Præterea illis nũcies uelim, rebus nostris, ut speramus, ex sententia gestis, rursus ut promisimus illac reuertemur. Et Dercyllides ab Hellesponto in Asiã, Agesilaus uero per Macedoniã in Thessaliã profectus est: quem Larissæi, Cranonij, Scotenses, & Pharsalij qui Bœotijs cõfœderati erãt, Thessaliq; uniuersi, exceptis exulibus eorum si qui erant, à tergo adorti, nouißimos premere cœperunt. At ille agmine quadrato incessit, dispartitis et à frõte & à tergo equitib. Verũ ubi instantibus à tergo Thessalis ultrà progredi est inhibitus, equitatũ qui in fronte cõstituerat omnem, præter corporis satellites, ad posteriores trãsmittit. Postquã utrinq; structæ acies, Thessali rati haud ex æquo contra pedites equitatu decertandũ esse, sensim retrocessere: quos Græci temere sunt insequuti. Sed Agesilaus cũ utrorunq; intelligeret errorem, equitum acerrimos quos secum retinuerat, emitit, reliquosq; ut quamcelerrime sectẽtur iubet: ipse ne hostibus retro-

μόνιοι τῇ ἀγροτέρᾳ, ὥσπερ νομίζεται, τὴν χίμαιραν ἡγοῦντο ἐπὶ τοὺς ἐναντίους, τὸ ὑπερέχον ἐπικάμψαντες εἰς κύκλωσιν. ἐπεὶ δὲ ξυνέμιξαν, οἱ μὲν ἄλλοι ξύμμαχοι πάντες οἱ τῶν λακεδαιμονίων ἐκρατήθησαν ὑπὸ τῶν ἐναντίων. πελληνεῖς δὲ κατὰ θεσπιέας γενόμενοι, ἐμάχοντό τε καὶ ἐν χώρᾳ ἔπιπτον ἑκατέρων. αὐτοὶ δὲ οἱ λακεδαιμόνιοι ὅσον τε κατέσχον τῶν ἀθηναίων, ἐκράτησαν. καὶ κυκλωσάμενοι τῷ ὑπερέχοντι, πολλοὺς ἀπέκτειναν αὐτῶν. καὶ ἅτε δὴ ἀπαθεῖς ὄντες, ξυντεταγμένοι ἐπορεύοντο. καὶ τὰς μὲν τέτταρας φυλὰς τῶν ἀθηναίων, πρὶν ἐκ τῆς διώξεως ἐπαναχωρῆσαι, παρῆλθον. ὥστε οὐκ ἀπέθανον αὐτῶν, πλὴν εἴ τις ἐν τῇ ξυμβολῇ ὑπὸ τεγεατῶν. τοῖς δὲ ἀργείοις ἐντυγχάνουσιν οἱ λακεδαιμόνιοι ἀναχωροῦσι. καὶ μέλλοντος τοῦ πρώτου πολεμάρχου ἐκ τοῦ ἐναντίου ξυμβάλλειν αὐτοῖς, λέγεται ἄρα τις ἀναβοῆσαι παρεῖναι τοὺς πρώτους. ὡς δὲ τοῦτ' ἐγένετο, παραθεόντων δή, παίοντες εἰς τὰ γυμνά, πολλοὺς ἀπέκτειναν αὐτῶν. ἐπελάβοντο δὲ καὶ κορινθίων ἀναχωρούντων. ἔτι δ' ἐπέτυχον οἱ λακεδαιμόνιοι καὶ τῶν θηβαίων τισὶν ἀναχωροῦσιν ἐκ τῆς διώξεως, καὶ ἀπέκτειναν συχνοὺς αὐτῶν. τούτων δὲ γενομένων, οἱ ἡττώμενοι τὸ μὲν πρῶτον ἔφευγον εἰς τὰ τείχη. ἔπειτα δ' εἰρξάντων κορινθίων, πάλιν κατεσκήνωσαν εἰς τὸ ἀρχαῖον στρατόπεδον. λακεδαιμόνιοι δ' αὖ ἐπαναχωρήσαντες ἔνθα τὸ πρῶτον τοῖς πολεμίοις ξυνέμιξαν, ἐστήσαντο τρόπαιον. καὶ αὕτη μὲν δὴ ἡ μάχη οὕτως ἐγένετο. ὁ δ' ἀγησίλαος σπεύδων μὲν ἐκ τῆς ἀσίας ἐβοήθει. ὄντι δ' αὐτῷ ἐν ἀμφιπόλει, ἀγγέλλει δερκυλλίδας, ὅτι νικῷέν τε αὖ λακεδαιμόνιοι, καὶ αὐτῶν μὲν τεθναίαι ὀκτώ, τῶν δὲ πολεμίων παμπληθεῖς. ἐδήλου δὲ ὅτι καὶ τῶν ξυμμάχων οὐκ ὀλίγοι πεπτωκότες εἶεν. ἐρομένου δὲ τοῦ ἀγησιλάου, ἆρ' ἄν, ὦ δερκυλλίδα, ἐν καιρῷ γένοιτο, εἰ αἱ συμπέμπουσαι πόλεις ἡμῖν τοὺς στρατιώτας τὴν νίκην ὡς τάχιστα πύθοιντο. ἀπεκρίνατο δὴ ὁ δερκυλλίδας· εὐθυμοτέρους γοῦν εἰκὸς ταῦτ' ἀκούσαντας εἶναι. οὐκοῦν σὺ ἐπεὶ παρεγένου, κάλλιστ' ἂν ἀπαγγείλαις. ὁ δὲ ἄσμενος ἀκούσας, καὶ γὰρ ἀεὶ φιλαπόδημος ἦν, εἶπεν· εἰ σὺ τάττοις. ἀλλὰ τάττω, ἔφη. καὶ προσαπαγγέλλειν λέγω, ὅτι ἐὰν καὶ τάδε εὖ γένηται, πάλιν παρεσόμεθα, ὥσπερ καὶ ἔφαμεν. ὁ μὲν δὴ δερκυλλίδας ἀφ' ἑλλησπόντου ἤδη ἐπορεύετο. ὁ δ' ἀγησίλαος διαλλάξας μακεδονίαν, εἰς θετταλίαν ἀφίκετο. λαρισαῖοι μὲν οὖν, καὶ κρανώνιοι, καὶ σκοτουσσαῖοι, καὶ φαρσάλιοι, ξύμμαχοι ὄντες βοιωτοῖς, καὶ πάντες δὲ θετταλοί, πλὴν ὅσοι αὐτῶν φυγάδες τότ' ἐτύγχανον, ἐκακούργουν αὐτὸν, ἐπακολουθοῦντες. ὁ δέ, τέως μὲν ἦγεν ἐν πλαισίῳ τὸ στράτευμα, τοὺς ἡμίσεις μὲν ἔμπροσθεν, τοὺς ἡμίσεις δ' ἐπ' οὐρᾷ ἔχων τῶν ἱππέων. ἐπεὶ δ' ἐκώλυον τῆς πορείας οἱ θετταλοί, ἐπελαύνοντες τοῖς ὄπισθεν, παραπέμπει ἐπ' οὐρὰν καὶ τὸ ἀπὸ τοῦ στόματος ἱππικόν, πλὴν τῶν περὶ αὐτόν. ὡς δὲ παρετάξαντο ἀλλήλοις, οἱ μὲν θετταλοὶ νομίσαντες οὐκ ἐν καλῷ εἶναι πρὸς τοὺς ὁπλίτας ἱππομαχεῖν, στρέψαντες, βάδην ἀπεχώρουν. οἱ δὲ μάλα σωφρόνως ἐπηκολούθουν. γνοὺς δὲ ὁ ἀγησίλαος ἃ ἑκάτεροι ἡμάρτανον, πέμπει τοὺς περὶ αὐτὸν μάλα εὐρώστους ἱππέας, καὶ κελεύει τοῖς τε ἄλλοις παραγγέλλειν, καὶ αὐτοὺς διώκειν ὡς τάχιστα, καὶ μηκέτι δοῦναι αὖθις ἀναστροφήν.

ἀντεστράφη. οἱ δὲ θετταλοὶ ὡς εἶδον παρὰ δόξαν ἐλαύνοντας, οἱ μὲν αὐτῶν ἔφυγον, οἱ δ' ἀνέστρεψαν, οἱ δὲ πειρώμενοι τοῦτο ποιεῖν, πλαγίους ἔχοντες τοὺς ἵππους, ἡλίσκοντο. πολύμαχος μέντοι ὁ φαρσάλιος ἱππαρχῶν, ἀνέστρεψέ τε, καὶ μαχόμενος, ξὺν τοῖς περὶ αὐτὸν, ἀποθνήσκει. ὡς δὲ τοῦτο ἐγένετο, φυγὴ τῶν θετταλῶν ἐξαισία γίγνεται. ὥστε οἱ μὲν ἀπέθνησκον αὐτῶν, οἱ δὲ καὶ ἡλίσκοντο. ἔστησαν δ' οὖν οὐ πρόσθεν, πρὶν ἐν τῷ ὄρει ἐν ναρθακίῳ ἐγένοντο. καὶ τότε μὲν δὴ ὁ ἀγησίλαος τρόπαιόν τ' ἐστήσατο μεταξὺ πραντὸς, καὶ ναρθακίου, καὶ αὐτοῦ ἔμεινε, μάλα ἡδόμενος τῷ ἔργῳ, ὅτι τοὺς μέγιστον φρονοῦντας ἐπὶ ἱππικῇ ἐνενικήκει, ξὺν ᾧ αὐτὸς ξυνέλεξεν ἱππικῷ. τῇ δ' ὑστεραίᾳ ὑπερβάλλων τὰ ἀχαϊκὰ τῆς φθίας ὄρη, τὴν λοιπὴν πᾶσαν διὰ φιλίας ἐπορεύετο, μέχρι πρὸς τὰ βοιωτῶν ὅρια. ὄντος δ' αὐτοῦ ἐπὶ τῇ ἐμβολῇ, ὁ ἥλιος μηνοειδὴς ἔδοξε φανῆναι, καὶ ἠγγέλθη, ὅτι ἡττημένοι εἶεν λακεδαιμόνιοι τῇ ναυμαχίᾳ, καὶ ὁ ναύαρχος πείσανδρος τεθναίη. ἐλέγετο δὲ καὶ ᾧ τρόπῳ ἡ ναυμαχία ἐγένετο. εἶναι μὲν γὰρ περὶ κνίδον τὸν ἐπίπλουν ἀλλήλοις. φαρνάβαζον δὲ ναύαρχον ὄντα ξὺν ταῖς φοινίσσαις εἶναι. κόνωνα δὲ τὸ ἑλληνικὸν ἔχοντα, τετάχθαι ἔμπροσθεν αὐτοῦ. ἀντιπαραταξαμένου δὲ τοῦ πεισάνδρου, καὶ πολὺ ἐλαττόνων αὐτῷ τῶν νεῶν φανεισῶν τῶν αὐτοῦ, τοῦ μετὰ κόνωνος αὐτοῦ ἑλληνικοῦ, τοὺς μὲν ἀπὸ τοῦ εὐωνύμου ξυμμάχους, εὐθὺς αὐτῷ φεύγειν. αὐτὸν δὲ συμμίξαντα τοῖς πολεμίοις, ἐμβολὰς ἐχούσῃ τῇ τριήρει, πρὸς τὴν γῆν ἐξωσθῆναι, καὶ τοὺς μὲν ἄλλους, ὅσοι εἰς τὴν γῆν ἐξεώσθησαν, ἀπολιπόντας τὰς ναῦς, σώζεσθαι ὅποι δύναιντο εἰς τὴν κνίδον. αὐτὸν δὲ ἐπὶ τῇ νηῒ μαχόμενον, ἀποθανεῖν. ὁ μὲν οὖν ἀγησίλαος πυθόμενος ταῦτα, τὸ μὲν πρῶτον χαλεπῶς ἔφερεν. ἐπεὶ μέντοι ἐνεθυμήθη, ὅτι τοῦ στρατεύματος τὸ πλεῖστον εἴη αὐτῷ, οἷον ἀγαθῶν μὲν γιγνομένων, ἡδέως μετέχειν, εἰ δέ τι χαλεπὸν ὁρῷεν, οὐκ ἀνάγκην εἶναι κοινωνεῖν αὐτοῖς, ἐκ τούτου μεταβαλὼν ἔλεγεν, ὡς ἀγγέλλοιτο ὁ μὲν πείσανδρος τετελευτηκὼς, νικῴη δὲ τῇ ναυμαχίᾳ. ἅμα δὲ ταῦτα λέγων, καὶ ἐβουθύτει ὡς εὐαγγέλια, καὶ πολλοῖς διέπεμπε τῶν τεθυμένων. ὥστε ἀκροβολισμοῦ ὄντος πρὸς τοὺς πολεμίους, ἐκράτησαν οἱ τοῦ ἀγησιλάου τῷ λόγῳ, ὡς λακεδαιμονίων νικώντων τῇ ναυμαχίᾳ. ἦσαν δ' οἱ μὲν ἀντιτεταγμένοι τῷ ἀγησιλάῳ, βοιωτοὶ, ἀθηναῖοι, ἀργεῖοι, κορίνθιοι, αἰνιᾶνες, εὐβοεῖς, λοκροὶ ἀμφότεροι. σὺν ἀγησιλάῳ δὲ λακεδαιμονίων μὲν μόρα ἡ ἐκ κορίνθου διαβᾶσα. ἥμισυ δὲ μόρας τῆς ἐξ ὀρχομενοῦ. ἔτι δ' οἱ ἐκ λακεδαίμονος νεοδαμώδεις, συνεστρατευσάμενοι αὐτῷ. πρὸς δὲ τούτοις, οὗ ἡριππίδας ἐξενάγει ξενικοῦ. ἔτι δὲ οἱ ἀπὸ τῶν ἐν τῇ ἀσίᾳ πόλεων ἑλληνίδων, καὶ ἀπὸ τῶν ἐν τῇ εὐρώπῃ πόλεων ἑλληνίδων, ὅσας διιὼν παρέλαβεν. αὐτόθεν δὲ προσεγένοντο ὁπλῖται ὀρχομένιοι, καὶ φωκεῖς. πελτασταί γε μὴν πολλῷ πλείονες οἱ μετ' ἀγησιλάου, ἱππεῖς δ' αὖ παραπλήσιοι ἀμφοτέροις τὸ πλῆθος. ἡ μὲν δὴ δύναμις αὕτη ἀμφοτέρων. διηγήσομαι δὲ καὶ τὴν μάχην, καὶ γὰρ ἐγένετο, οἵα οὐκ ἄλλη τῶν γ' ἐφ' ἡμῶν. συνῆσαν μὲν γὰρ εἰς τὸ περὶ κορώνειαν πεδίον, οἱ μὲν σὺν ἀγησιλάῳ, ἀπὸ τοῦ κηφισοῦ. οἱ δὲ σὺν θηβαίοις ἀπὸ τοῦ ἑλικῶνος. εἶχε δ' ἀγησίλαος μὲν δεξιὸν τὸ μετ' αὐτοῦ. ὀρχομένιοι δ' αὐτῷ ἔσχατοι

ἦσαν

retrouertendi daretur copia, praepropera celeritate cunctis insequutus est uiribus. Thessali hostes ex insperato ingruentes conspicati, partim in fugam uersi: reliqui conuertere se conati, ab eis quibus ex obliquo ingruentibus circumuenti sunt. Equitum uero praefectus Polymachus nomine Pharsalius, & se conuertit, ac fortiter pugnando cum suis interimitur. Quo facto turpis Thessalorum insequuta est fuga, ex quibus plures ceciderunt, multi uiui in hostium uenere potestatem: nec prius à fuga substitere, quàm ad Narthacium peruenissent montem. Agesilaus constituto inter Paprantum & Narthacum tropheo, ibidem mansit, admodum exultans quòd eos qui maxime re equestri gloriari solerent, cum equitibus quos ipse comparauerat, superasset. Postridie superatis Achaeicis Pthiae montibus, inde reliquum iter omne ad Boeotiorum fines usque per pacatum fecit. Ibi Agesilao sedenti sol in cornua flexus apparuit, nunciaturque Lacedaemonios nauali praelio superatos, Pisandrumque classis praefectum occubuisse. Fuerat pugna haec circa Gnidum commissa: Pharnabazus enim hostilis classis praefectus cum Phoenissis nauibus, Conon uero cum Graecis, ad Pisandri stationem certandi studio accesserant. Pisander quamuis nauium numero inferior esset, sociorum tamen urbium naues, quae in cornu sinistro cum Conone steterant, statim sub praelij initium territae, acie cessere. Pisander hostibus congressus, eo quod à principio steterat fortiter praeliuns, multitudine circumuentus occubuit: reliqui omnes proras littoribus impegerunt, derelictisque nauibus Gnidum euaserunt. Tulit aduersae pugnae casum Agesilaus permoleste: ubi uero audiuit maiorem exercitus partem incolumem esse, praesentem cladem leuius ferendam ratus est. Sed ne ob aduersam praelij fortunam exercitum timor inuaderet, Lacedaemonios amisso Pisandro, bello uicisse nauali, omnibus enunciat: quibus dictis, ob rem bene gestam sacrificium instaurat, amicisque partes mittit, efficitque ut omnes pugnam eam auspicum aduersus hostes esse interpretarentur, Agesilaóque crederent Lacedaemonios praelio uicisse nauali. Caeterum contra Agesilaum instructi erant Boeotij, Athenienses, Argiui, Corinthij, Aenianes, Euboici, Locri utrique. Cum Agesilao uero erat legio Laconica, quae ex Corintho aduenerat, ac dimidia alia ex Orchomeno: aderant & iuniores ex Lacedaemonia, peregrinus praeterea exercitus cui Erippidas praeerat: auxilia quoque Asiaticarum, & quae in Europa sunt ciuitatum Graecarum, quos Dion ducebat. Venere quoque ad eum Orchomenij & Phocenses. Praestabat peditum numero Agesilaus, equitatus utrinque par erat. Et haec utrisque tum aderant uires. Caeterum pugnam quoque enarrabo, cui parem aetas nostra nullam uidit. Conuenerant omnes in Coroniae campos: Lacedaemonij à Cephiso in aciem processere, Thebani uero & socij ab Helicone. Agesilaus dextrum tenebat cornu, Orchomenij in sinistro extrema

tuaban

stabātur. Cōtrà Thebani à dextro, Argiui à sinistro
stabāt cornu. Congrediētib. illis, mirū utrinq; silenti
um tantisper fuit, dū ad stadij interuallū abessent: ex
inde Thebani cōcito cursu ac sublato clamore in ho
stes feruntur. Cūq; triū iugerum distarēt spatio, ex ad
uerso ab Agesilai phalāge, quib. Erippides praeerat,
procursum est: et cum his Ionij, Aeolij, et Hellespōtij
eodem feruntur impetu. Vix hi ad teli actū appropin
quarāt, quū qui ex aduerso steterāt, in fugā uertūtur.
Nec Argiui Agesilai excepere milites, sed protinus
in Heliconē confugerunt. Ibi milites prae nimia gesti
entes laetitia, Agesilaū ut uictorē coronāt. Interim ei
nūciatur, Thebanos caesis Orchomenijs circa impe
dimēta uersari: extēplo igitur structa acie ad illos re
pergit. Thebani cum socios in Heliconē pfugisse cer
nerēt, seq; ad illos recipe uellent, in ordines reuersi,
ui magna in colles flexerunt. Hic Agesilaū magnani
mū sine cōtrouersia appellare licet: non. n. qd' tutissi
mū erat, elegit. Nam cū facile terga abeuntiū caedere
posset, à frōte tamē & laterib. Thebanos inuadit. Ibi
Thebani pugnādi necessitate coacti, subito in hostē
cōuersi, fortiter pugnā ciēt: scutis utrinq; propellun
tur, feriūt, pugnāt, interimūt, caedūt. Clamor nullus e
rat, nec tamē silentiū, sed mors qualē ira simul et pu
gna edere solet. Tandē plurimi Thebanorū in Heli
conē euaserūt, multi in media occisione occisi sunt.
Agesilaus uictoria potitus, saucius ad phalangē rela
tus est. Aduenere interim eqtes qdā nūciantes illi, cir
citer octoginta ex hostib. armatos ad templū confu
gisse: quidq; faciendū esset, sciscitabātur. Ille quis sau
cius multa accepisset uulnera, deos tamen minime ne
glexit: ueritus. n. ne miluū temeritate templū pollue
retur, eos quò uellēt dimitti, et ab omni iniuria illaesos
seruari iussit. Iacebāt ubi pugna commissa est promi
scue cadauera sanguine concreta, diffracti clypei, en
ses euaginati, nōnulli in manib. iacentiū, quidam uul
nerib. infixi: solū passim cruore manabat. Cum uerò
iam aduesperasceret, caenarūt, indeq; corpora cura
rūt. Prima deinde luce, Gylū polemarchū instructo
exercitu tropheū statuere iussit, uniuersos in dei ho
norē coronari, ac tibicines oēs modulari. Quae dum
ab illis geruntur, Thebani missis praeconib. mortuos
per inducias ad sepulturā petiūt: illisq; cōcessis, Age
silaus Delphos profectus est, decimamq; deo ex spo
lijs sacrauit, nō minorē talētis cētum. Gylus interim
belli praefectus exercitū in Phoceas deduxit, hinc in
Locridē irrumpit. Postridie milites direptis uillis, in
gētem praedā ex agris abduxere. Locri hostē praeda
onustū sub noctē adorti, nouissimos carpere coepūt,
lapidesq; ac caeca tela in subiectum deuoluebāt ag
men. Lacedaemonij conuerso agmine illos excepere,
nonnullos quoq; interfecerunt: quapropter Locri ho
stes à tergo sequi ueriti, à lateribus illos incessebant:
at Lacedaemonij illos per compendia deturbare nite
bantur. Ingruentibus uero tenebris, partim errore
locorum cadebant, alij qui ab suis aberrarant, occu
buere, magna uerò pars telis oppressa est. Concidit
& Gylus agminis praefectus, ac ex familiaribus Pel
les, magnaq; pars militum desiderata est, partim la
pidibus obruti, partim uerò telis confossi: ac nisi ex
castris

εἶχεν τὸ εὐώνυμον. οἱ δ' αὖ Θηβαῖοι αὐτοὶ μὲν δεξιοὶ ἦσαν,
ἀργεῖοι δ' αὐτοῖς τὸ εὐώνυμον. συνιόντων δὲ, τέως μὲν
σιγὴ πολλὴ ἐπ' ἀμφοτέρων ἦν. ἡνίκα δ' ἀπεῖχον ἀλλή-
λων ὅσον στάδιον, ἀλαλάξαντες οἱ Θηβαῖοι, δρόμῳ ὁμό-
σε ἐφέροντο. ὡς δὲ τριῶν ἔτι πλέθρων ἐν μέσῳ ὄντων, ἀν-
τεξέδραμον ἐκ τῆς ἀγησιλάου φάλαγγος, ὧν ἡριππί-
δας ἐξηγάγε, καὶ σὺν αὐτοῖς, ἴωνες, καὶ αἰολεῖς, καὶ ἑλλη-
σπόντιοι, καὶ πάντες οὗτοι τῶν συνεκδραμόντων τε ἐγένον-
το. καὶ εἰς δόρυ ἀφικόμενοι, ἔτρεψαν τὸ καθ' αὐτούς. ἀρ-
γεῖοι μέντοι οὐκ ἐδέξαντο τοὺς περὶ ἀγησίλαον, ἀλλ' ἔφυ-
γον ἐπὶ τὸν ἑλικῶνα. κἀνταῦθα οἱ μέν τινες τῶν ξένων ἐστε-
φανοῦντο ἤδη τὸν ἀγησίλαον. ἀγγέλλει δέ τις αὐτῷ, ὅτι οἱ
Θηβαῖοι τοὺς ὀρχομενίους διακόψαντες, ἐν τοῖς σκευο-
φόροις εἶησαν. καὶ ὁ μὲν εὐθὺς ἐξελίξας τὴν φάλαγγα,
ἦγεν ἐπ' αὐτούς. οἱ δ' αὖ Θηβαῖοι ὡς εἶδον τοὺς ξυμμάχους
πρὸς ἑλικῶνι πεφευγότας, διαπεσεῖν βουλόμενοι πρὸς
τοὺς ἑαυτῶν συσπειραθέντες, ἐχώρουν ἐρρωμένως. ἐνταῦθα
δὴ ἀγησίλαον ἀνδρεῖον μὲν ἔξεστιν εἰπεῖν ἀναμφισβητή-
τως. οὐ μέντοι εἵλετό γε τὰ ἀσφαλέστατα. ἐξὸν γὰρ αὐτῷ
παρέντι τοὺς διαπίπτοντας, ἀκολουθοῦντι χειροῦσθαι τοὺς ὄπι-
σθεν, οὐκ ἐποίησε τοῦτο, ἀλλ' ἀντιμέτωπος συνέρραξε τοῖς
Θηβαίοις. καὶ συμβαλόντες τὰς ἀσπίδας, ἐωθοῦντο, ἐμά-
χοντο, ἀπέθνησκον, τέλος δὲ τῶν Θηβαίων οἱ μὲν διαπίπτουσι
πρὸς τὸν ἑλικῶνα. πολλοὶ δὲ ἀποχωροῦντες, ἀπέκτανον,
ἀπέθανον. ἐπεὶ δ' ἡ μὲν νίκη ἀγησιλάου ἐγεγένητο, τε-
τρωμένος δ' αὐτὸς προσενήνεκτο πρὸς τὴν φάλαγγα,
προσελάσαντές τινες τῶν ἱππέων, λέγουσιν αὐτῷ, ὅτι τῶν
πολεμίων ὡς ὀγδοήκοντα σὺν ὅπλοις ὑπὸ τῷ ναῷ εἰσι,
καὶ ἠρώτων τί χρὴ ποιεῖν. ὁ δὲ, καίπερ πολλὰ τραύματα
ἔχων, ὅμως οὐκ ἐπελάθετο τοῦ θείου, ἀλλ' ἐᾶν τ' ἀπιέ-
ναι ᾗ βούλοιντο, ἐκέλευσε, καὶ ἀδικεῖν οὐκ εἴα. τότε μὲν
οὖν, καὶ γὰρ ἦν ἤδη ὀψὲ, δειπνοποιησάμενοι, ἐκοιμήθη-
σαν. πρωῒ δὲ γῦλιν τὸν πολέμαρχον παρατάξαι τε ἐκέ-
λευσε τὸ στράτευμα, καὶ τρόπαιον ἵστασθαι, καὶ στεφανοῦσθαι
πάντας τῷ θεῷ, καὶ τοὺς αὐλητὰς πάντας αὐλεῖν. καὶ
οἱ μὲν ταῦτ' ἐποίουν. οἱ δὲ Θηβαῖοι ἔπεμψαν κήρυκας
ὑποσπόνδους τοὺς νεκροὺς αἰτοῦντες θάψαι. καὶ οὕτω δὴ
αἵ τε σπονδαὶ γίγνονται. καὶ ἀγησίλαος μὲν εἰς δελφοὺς
ἀφικόμενος, δεκάτην τῶν ἐκ τῆς λείας τῷ θεῷ ἀπέθυσεν
οὐκ ἐλάττω ἑκατὸν ταλάντων. γῦλις δὲ ὁ πολέμαρχος
ἔχων τὸ στράτευμα, ἀπεχώρησεν εἰς φωκέας. ἐκεῖθεν
δ' εἰς τὴν λοκρίδα ἐμβάλλει. καὶ τὴν μὲν ἄλλην ἡμέ-
ραν οἱ στρατιῶται καὶ σκεύη ἐκ τῶν κωμῶν, καὶ σῖτον ἥρ-
παζον. ἐπεὶ δὲ πρὸς ἑσπέραν ἦν, τελευταίων ἀποχωρούν-
των τῶν λακεδαιμονίων, ἐπηκολούθουν αὐτοῖς οἱ λο-
κροὶ, βάλλοντες, καὶ ἀκοντίζοντες. ὡς δ' αὐτῶν οἱ λακε-
δαιμόνιοι ὑποστρέψαντες, καὶ διώξαντες, κατέβαλόν
τινας, ἐκ τούτου ὄπισθεν μὲν οὐκ ἔτι ἐπηκολούθουν, ἐκ
δὲ τῶν ὑπερδεξίων ἔβαλλον. οἱ δ' ἐπεχείρησαν μὲν καὶ
πρὸς τὸ σιμὸν διώκειν. ἐπεὶ δὲ σκότος ἐγίγνετο, καὶ
ἀποχωροῦντες, οἱ μὲν διὰ τὴν δυσχωρίαν ἔπιπτον, οἱ δὲ καὶ
διὰ τὸ μὴ προορᾶν τοὺς ἔμπροσθεν, οἱ δὲ καὶ ὑπὸ τῶν βε-
λῶν, ἐνταῦθα ἀποθνήσκουσι γῦλίς τε ὁ πολέμαρχος,
καὶ τῶν παραστατῶν πελλῆς, καὶ οἱ πάντες ὡς ὀκτω-
καίδεκα τῶν στρατιωτῶν, οἱ μὲν καταλευσθέντες, οἱ
δὲ καὶ τραυματισθέντες. εἰ δὲ μὴ ἐβοήθησαν αὐτοῖς ἐκ
τοῦ

τοῦ στρατοπέδου διαπνοῦντα, ἐκινδύνευσεν ἂν ἅπαντας ἀπολέσθαι. μετὰ τοῦτο γε μὴν ἀφείθη μὲν κατὰ πόλεις τὸ ἄλλο στράτευμα. ἀπέπλευσε δὲ καὶ ὁ Ἀγησίλαος ἐπ' οἴκου. ἐκ δὲ τούτου ἐπολέμουν Ἀθηναῖοι μὲν, καὶ Βοιωτοί, καὶ Ἀργεῖοι, καὶ οἱ σύμμαχοι αὐτῶν, ἐκ Κορίνθου ὁρμώμενοι. Λακεδαιμόνιοι δὲ καὶ οἱ σύμμαχοι ἐκ Σικυῶνος. ὁρῶντες δ' οἱ Κορίνθιοι ἑαυτῶν μὲν καὶ τὴν χώραν δῃουμένην, καὶ ἀποθνήσκοντας, διὰ τὸ ἀεὶ τῶν πολεμίων ἐγγὺς εἶναι, τοὺς δ' ἄλλους συμμάχους καὶ αὐτοὺς ἐν εἰρήνῃ ὄντας, καὶ τὰς χώρας αὐτῶν ἐνέργους οὔσας, οἱ πλεῖστοι, καὶ βέλτιστοι αὐτῶν, εἰρήνης ἐπεθύμησαν· καὶ συνιστάμενοι, ἐδίδασκον ταῦτα ἀλλήλους. γνόντες δὲ οἱ Ἀργεῖοι, καὶ Βοιωτοί, καὶ Ἀθηναῖοι, καὶ Κορινθίων, οἵ τε τῶν παρὰ βασιλέως χρημάτων μετεσχηκότες, καὶ οἱ τοῦ πολέμου αἰτιώτατοι γεγενημένοι, ὡς εἰ μὴ ἐκποδὼν ποιήσαιντο τοὺς ἐπὶ τὴν εἰρήνην τετραμμένους, κινδυνεύσοι πάλιν ἡ πόλις λακωνίσαι, οὕτω δὴ καὶ σφαγὰς ἐπεχείρουν ποιεῖσθαι, καὶ πρῶτον μὲν τὸ πάντων ἀνοσιώτατον ἐβουλεύσαντο. οἱ μὲν γὰρ ἄλλοι, κἂν νόμῳ τις κατακριθῇ, οὐκ ἀποκτιννύουσιν ἐν ἑορτῇ. ἐκεῖνοι δ' Εὐκλείων τὴν τελευταίαν προείλοντο, ὅτι πλείους ἂν ᾤοντο λαβεῖν ἐν τῇ ἀγορᾷ, ὥστε ἀποκτεῖναι. ὡς δ' ἐσημάνθη οἷς εἴρητο οὓς ἔδει ἀποκτεῖναι, σπασάμενοι τὰ ξίφη, ἔπαιον τὸν μέν τινα συνεστηκότα ἐν κύκλῳ, τὸν δὲ καθήμενον, τὸν δέ τινα ἐν θεάτρῳ. ἔστι δ' ὃν καὶ κριτὴν καθήμενον. ὡς δ' ἐγνώσθη τὸ πρᾶγμα, εὐθὺς ἔφευγον οἱ βέλτιστοι, οἱ μὲν πρὸς τὰ ἀγάλματα τῶν ἐν τῇ ἀγορᾷ θεῶν. οἱ δ' ἐπὶ τοὺς βωμούς, ἔνθα δὴ οἱ ἀνοσιώτατοι, καὶ παντάπασι μηδὲ νόμιμον φρονοῦντες, οἵ τε κελεύοντες, καὶ οἱ πειθόμενοι, ἔσφαττον καὶ πρὸς τοῖς ἱεροῖς, ὥστ' ἐνίους καὶ τῶν οὐ τυπτομένων, νομίμων δ' ὄντων ἀνθρώπων, ἀθυμῆσαι τὰς ψυχάς, ἰδόντας τὴν ἀσέβειαν. ἀποθνήσκουσι δ' οὕτω, τῶν μὲν πρεσβυτέρων πολλοί. μᾶλλον γὰρ ἐτύγχανον ἐν τῇ ἀγορᾷ ὄντες. οἱ δὲ νεώτεροι ὑποπτεύσαντος Πασιμήλου τὸ μέλλον ἔσεσθαι, ἡσυχίαν ἔχον ἐν τῷ Κρανείῳ. ὡς δὲ τῆς κραυγῆς ᾔσθοντο, καὶ φεύγοντές τινες ἐκ τοῦ πράγματος ἀφίκοντο πρὸς αὐτούς, ἐκ τούτου ἀναδραμόντες κατὰ τὸν Ἀκροκόρινθον, προσβαλόντας μὲν Ἀργείους καὶ τοὺς ἄλλους, ἀπεκρούσαντο. βουλευομένων δὲ τί χρὴ ποιεῖν, πίπτει τὸ κιονόκρανον ἀπὸ τοῦ κίονος, οὔτε σεισμοῦ, οὔτε ἀνέμου γενομένου. καὶ θυομένοις δὲ τοιαῦτα ἦν τὰ ἱερά, ὥστε οἱ μάντεις ἔφασαν ἄμεινον εἶναι καταβαίνειν ἐκ τοῦ χωρίου. καὶ τὸ μὲν πρῶτον ὡς φευξούμενοι ἔξω τῆς Κορινθίας, ἀπεχώρησαν. ἐπεὶ δὲ καὶ οἱ φίλοι αὐτοὺς ἔπειθον, καὶ μητέρες ἰοῦσαι, καὶ ἀδελφοί, καὶ αὐτῶν δὲ τῶν ἐν δυνάμει ὄντων, ἔστιν οἱ ὀμνύοντες, ὑπισχνοῦντο μηδὲν χαλεπὸν αὐτοὺς πείσεσθαι, οὕτω δὴ ἀπῆλθόν τινες οἴκαδε αὐτῶν, ὁρῶντες δὲ τοὺς τυραννεύοντας. αἰσθανόμενοι δὲ ἀφανιζομένην τὴν πόλιν, διὰ τὸ καὶ ὅρους ἀνασπᾶσθαι, καὶ Ἄργος ἀντὶ Κορίνθου τὴν πατρίδα αὐτῶν ὀνομάζεσθαι, καί τε πολιτείας μὲν ἀναγκαζόμενοι τῆς ἐν Ἄργει μετέχειν, ἧς οὐδὲν ἐδέοντο, ἐν δὲ τῇ πόλει μετοίκων ἔλαττον δυνάμενοι, ἐγένοντό τινες αὐτῶν, οἳ ἐνόμιζον οὕτω μὲν οὐκ ἀβίωτον εἶναι, πειρωμένους δὲ τὴν πατρίδα, ὥσπερ ἦν καὶ ἐξ ἀρχῆς Κόρινθον ποιῆσαι, καὶ ἐλευθέραν ἀποδεῖξαι, καὶ τῶν μὲν μιαιφόνων καθαράν, εὐνομίᾳ δὲ χρωμένην, ἄξιον εἶναι, εἰ μὲν δύναιντο καταπρά-

ξαι

castris, quò tumultuose nocturni certaminis nuncius est perlatus, auxilia affuissent, ad unum locorum iniquitate periissent. Post hæc Agesilaus dimisso exercitu domum nauigauit, nihilominus tamen bellum durabat. Athenienses enim, Bœotij & Argiui cum socijs ex Corintho, quam belli arcem fecerant, mouebant: Lacedæmonij uero ac socij ex Sicyone procedebant. Corinthij cum fines eorū uastari, ac propter uicinitatē belli quotidie plures ex suis oppetere, reliquos uero socios in pace degentes, agrosq́; colere cernerent, plurimi et optimates cum pacis tenerētur desiderio, inuicē de his sermonē cōferre cœperūt. Quæ cum sensissent Argiui, Bœotij, Athenienses, Corinthij, & alij qui regijs corrupti fuerāt pecunijs, ac potissima belli causa extiterant, timebant si pacis cupidi e medio non tollerentur, periculum fore ne ciuitas rursus Lacedæmoniorū sequeretur partes: quapropter illos iugulare statuerūt, remq́; omnium fœdissimā sub initium perpetrarunt. Nam etsi quis secundum leges morte damnatus est, non tamē festis interficitur diebus: illi uero præcipuā festiuitatem ad cædem delegere: rati quàplurimos quos interficerēt in foro deprehendi posse. Itaq; cum nonnullos elegissent, quibus eos quos morti destinassent, indicarūt, illi eductis ensibus multitudinē adorti, quosdam in circulo confabulantes, alios in theatro sedentes, nonnullos ius quoq; dicentes obtruncarunt. Orto tumultu, confestim optimates partim ad statuas deorum, quæ in foro erant, confugerunt, partim ad aras: ibi sceleratissimi omni religione contempta, ante aras & templa deorum homines iugularunt, ita ut quidam uiri pij, quamuis saucij non essent, tam atroci tamen conspecto facinore, animam efflarint. Ceciderunt tam perfida fraude seniorum multi: nam plurimos in foro esse contigit: iuniores uerò à Pasimelo præmoniti in Cranio uersabantur gymnasio. Cæterum audito clamore, quidam etiam media cæde elapsi, cum ad illos profugissent, omnes in arcem quam Acrocorinthum appellant cursu feruntur, eamq́; expulsis Argiuis ac alijs occupant. Cum uero quid agendum foret consulerent, à columna capitulum decidit, cum neq; terræmotus seu uentus fuisset. Sacrificantibus quoq; talia apparuere exta, ut uates prædicerent, optimum esse penitus è regione discedere. Paulatim itaq; ex Corintho dilabentes clanculum fugiebant. At cum amici, matres, fratres quoq;, præterea primores qui rebus præerant, ipsis sub iuramento promisissent nihil mali eos passuros, quidam promissionibus commoti in patriam tam plane tyrannidi subiectam reuersi sunt. Verùm cum intellexissent agros ciuitatem emungi, et pro Corintho Argos nominari, legibus priuari, & quod maxime abhorrebant, sub Argiuorum uiuendi normam cogi debere, cernerent præterea longe se inquilinis inferiores esse, fuere nonnulli qui existimarent penitus tam indigne uiuendum non esse. Statuerunt itaq; patriam in pristinam dignitatem ac libertatem restituere, cædéq; expiare uelle: et si hæc perfi-

cere

ere possent, tanquam patriæ saluatores æternam se laudem uendicaturos sperabant: sin minus, cum pulcherrimæ ac optimæ rei operam nauarent, honestissimam ac laudatissimam mortem haud defuturam. Hæc duo inter se egerunt uiri Pasimelus & Alcimenes: qui per torrentem egressi, Praxitem Lacedæmoniorum præfectum qui cum præsidio Sicyone erat, conueniunt, ostenderuntque se illi murorum ingressum uersus Lechæum præstare posse. Praxites cum iam pridem uiros fide dignos esse cognouisset, cum illis de occupanda egit ciuitate: necnon peditum turmam quæ ex Sicyone domum reuersura erat, eam ob causam retinuit. Illi re constituta, Corinthum reuersi sunt. Inde cum forte fortuna illis murorum cura ac custodia iuxta portam ubi tropheum erectum erat commissa esset, Praxiten ut conuenerat, de hac re certiorem reddunt: qui confestim turmam peditum, Sicyonios & Corinthiorum exules ad urbem ducit. Cumque ad portum peruenisset, insidias ueritus, fidum quendam uirum qui cuncta specularetur in urbem misit: qui ingressus ac reuertens cuncta sine dolo ac fraude esse renunciat. Illi igitur cum muros occupassent, considerata tamen paucitate sua uallum excitare, illudque fossa munierunt, ut exigente necessitate illic quoad socij opem ferrent, refugium haberent. Erat quoque post ipsos in portu Bœotiorum præsidium. Cum itaque noctu ingressi essent, sequenti die quietem egere. Postridie Argiui populo uniuerso suppetias ferentes aduenere. Qui cum Lacedæmonios cornu dextro iam instructos, ac ad bellum paratos uidissent, Sicyonios quoque cum Corinthiorum exulibus quasi centum quinquaginta progressos, ipsi quoque ad orientalem portum contrastetere. Tenebant muros hos Philocrates cum mercenario milite, Argiui quoque. In læuo uero cornu Corinthij qui in urbe erant, rem curabant. Cumque multum multitudine longe superiores essent, confestim cum hostibus confligunt, ac primo impetu Sicyonios fundunt, ac euulso uallo ad mare usque fugarunt, ibique multos eorum interfecere. Pasimachus interim præfectus equitum, cum Sicyonios in fugam uersos uidisset, assumptis paucis quos secum habebat equitibus, Argiuis fit obuiam: cum quibus congressus pugnam conseruit. Sed cum multitudine hostium superaretur, tandem cum omnibus suis non tamen inultus occubuit. At parte alia Corinthiorum exules, hostes qui ex aduerso steterant, egregiè superant, eosque ad urbem usque persequuntur. Lacedæmonij interim cum Sicyonios uictos audissent, extemplo illis à sinistra ualli parte succurrunt. At Argiui cum Lacedæmonios aduentare cognouissent, celeriter conuersi uallo exciderunt: & qui in parte dextra nouissimi erant, in leuis armaturæ inciderunt milites, à quibus etiam interfecti sunt. Alij iuxta muros collecti ingenti turba ad urbem feruntur, quibus in itinere obuiam fiunt Corin-

ξαι ταῦτα, σωτῆρας γενέσθαι τῆς πατρίδος· εἰ δὲ μὴ δύναιντο, τῶν τε καλλίστων καὶ μεγίστων ἀγαθῶν ὀρεγομένους, ἀξιεπαινετωτάτης τελευτῆς τυχεῖν. οὕτω δὴ ἐπιχειρεῖτον ἄνδρε δύω, Πασίμηλός τε καὶ Ἀλκιμένης, διαδύντε διὰ χαράδρου, συγγενέσθαι Πραξίτᾳ τῷ Λακεδαιμονίων πολεμάρχῳ, ὃς ἐτύγχανε μετὰ τῆς ἑαυτοῦ μόρας φρουρῶν ἐν Σικυῶνι, καὶ εἶπον ὅτι δύναιντ' ἂν αὐτῷ παρασχεῖν εἴσοδον εἰς τὰ κατατείνοντα ἐπὶ Λέχαιον τείχη. ὁ δὲ καὶ πρόσθεν γιγνώσκων τὼ ἄνδρε ἀξιοπίστω ὄντε, ἐπίστευσε, καὶ διαπραξάμενος, ὥστε καὶ τὴν ἀπιέναι μέλλουσαν ἐκ Σικυῶνος μόραν καταμεῖναι, ἔπραττε τὴν εἴσοδον. ἐπεὶ δὲ τὼ ἄνδρε καὶ κατὰ τύχην καὶ κατ' ἐπιμέλειαν ἐγενέσθην φύλακε κατὰ τὰς πύλας ταύτας, ἔνθαπερ τὸ τρόπαιον ἕστηκεν, οὕτω δὴ ἔρχεται ὁ Πραξίτας ἔχων τήν τε μόραν, καὶ Σικυωνίους, καὶ Κορινθίων, ὅσοι φυγάδες ἐτύγχανον ὄντες. ἐπεὶ δ' ἦν πρὸς ταῖς πύλαις, φοβούμενος τὴν εἴσοδον, ἐβουλήθη τῶν πιστῶν ἄνδρα εἰσπέμψαι σκεψόμενον τὰ ἔνδον. τὼ δὲ εἰσηγαγέτην. καὶ οὕτως ἁπλῶς ἀπεδειξάτην, ὥστε ὁ εἰσελθὼν ἐξήγγειλε πάντα εἶναι ἀδόλως, οἷάπερ ἐλεγέτην. ἐκ τούτου δ' εἰσέρχεται. ὡς δ' οὐ πολὺ διεχόντων τῶν τειχῶν ἀπ' ἀλλήλων, παρατεταγμένοι ὀλίγοι ἑαυτοῖς ἔδοξαν εἶναι, σταύρωμά τ' ἐποιήσαντο, καὶ τάφρον, οἵαν ἐδυνάσαντο πρὸ αὐτῶν, ἕως δὴ οἱ σύμμαχοι αὐτοῖς βοηθήσοιεν. ἦν δὲ καὶ ὄπισθεν αὐτῶν ἐν τῷ λιμένι Βοιωτῶν φυλακή. τὴν μὲν οὖν ἐπὶ τῇ νυκτί, ᾗ εἰσῆλθον, ἡμέραν ἄμαχοι διήγαγον. τῇ δ' ὑστεραίᾳ ἧκον οἱ Ἀργεῖοι πασσυδὶ βοηθοῦντες. καὶ εὑρόντες τεταγμένους Λακεδαιμονίους μὲν ἐπὶ τῷ δεξιῷ ἑαυτῶν, Σικυωνίους δὲ ἐχομένους, Κορινθίων δὲ τοὺς φυγάδας ὡς πεντήκοντα καὶ ἑκατὸν, πρὸς τῷ ἑῴῳ τείχει, ἀντετάττοντο. ἐχόμενοι δὲ τοῦ ἑῴου τείχους οἱ περὶ Φιλοκράτην μισθοφόροι, πρὸς δὲ τούτοις Ἀργεῖοι. εὐώνυμον δ' εἶχον αὐτοῖς Κορίνθιοι ἐκ τῆς πόλεως. καταφρονήσαντες δὲ τῷ πλήθει, εὐθὺς ἐχώρουν. καὶ τοὺς μὲν Σικυωνίους ἐκράτησαν. καὶ διασπάσαντες τὸ σταύρωμα, ἐδίωκον ἐπὶ θάλατταν, καὶ ἐκεῖ πολλοὺς αὐτῶν ἀπέκτειναν. Πασίμαχος δὲ ὁ ἱππαρμοστὴς, ἔχων ἱππέας οὐ πολλοὺς, ὡς ἑώρα τοὺς Σικυωνίους πιεζομένους, καταδήσας ἀπὸ δένδρων τοὺς ἵππους, καὶ ἀφελόμενος τὰς ἀσπίδας αὐτῶν, μετὰ τῶν ἐθελοντῶν ᾔει ἐναντίον τοῖς Ἀργείοις. οἱ δὲ Ἀργεῖοι ὁρῶντες τὰ σίγματα ἐπὶ τῶν ἀσπίδων, ὡς Σικυωνίους, οὐδὲν ἐφοβοῦντο. ἔνθα δὴ λέγεται εἰπὼν ὁ Πασίμαχος, ναὶ τὼ σιὼ ὦ Ἀργεῖοι, ψεύσει ὑμᾶς τὰ σίγματα ταῦτα, χωρεῖν ὁμόσε. καὶ οὕτω μαχόμενος μετ' ὀλίγων πρὸς πολλοὺς, ἀποθνήσκει, καὶ ἄλλοι τῶν περὶ αὐτόν. οἱ μέντοι φυγάδες τῶν Κορινθίων, νικῶντες τοὺς καθ' αὑτοὺς, διέδυσαν ἄνω, καὶ ἐγένοντο ἐγγὺς τοῦ περὶ τὸ ἄστυ κύκλου. οἱ δ' αὖ Λακεδαιμόνιοι, ὡς ᾔσθοντο κρατούμενα τὰ κατὰ τοὺς Σικυωνίους, βοηθοῦσιν ἐξελθόντες, ἐν ἀριστερᾷ ἔχοντες τὸ σταύρωμα. οἵ γε μὴν Ἀργεῖοι ἐπεὶ ἤκουσαν ὄπισθεν ὄντας τοὺς Λακεδαιμονίους, στραφέντες δρόμῳ πάλιν ἐκ τοῦ σταυρώματος, ἐξέπιπτον. καὶ οἱ μὲν ἐν δεξιᾷ ἔσχατοι αὐτῶν, παιόμενοι εἰς τὰ γυμνὰ ὑπὸ τῶν Λακεδαιμονίων, ἀπέθνησκον. οἱ δὲ πρὸς τῷ τείχει ἀθρόοι, σὺν πολλῷ ὄχλῳ πρὸς τὴν πόλιν ἀπεχώρουν. ὡς δ' ἐνέτυχον τοῖς φυγάσι τῶν Κορίν-

κορινθίων, καὶ ἔγνωσαν πολεμίους ὄντας, ἀπέκλιναν
πάλιν. ἐνταῦθα μέντοι οἱ μὲν κατὰ τὰς κλίμακας ἀνα-
βαίνοντες, ἥλλοντο κατὰ τοῦ τείχους, καὶ διεφθείροντο· οἱ δὲ
περὶ τὰς κλίμακας ὠθούμενοι, καὶ παιόμενοι, ἀπέθνη-
σκον· οἱ δὲ καὶ καταπατούμενοι ὑπ᾽ ἀλλήλων, ἀπεπνίγον-
το. οἱ δὲ λακεδαιμόνιοι οὐκ ἠπόρουν τίνα ἀποκτείνοιεν.
ἔδωκε γὰρ τότε γε ὁ θεὸς αὐτοῖς ἔργον, οἷον οὐδ᾽ εὔ-
ξαντό ποτ᾽ ἄν. τὸ γὰρ ἐγχειρισθῆναι αὐτοῖς πολεμίων
πλῆθος πεφοβημένον, ἐκπεπληγμένον, τὰ γυμνὰ παρέ-
χον, ἐπὶ τὸ μάχεσθαι οὐδένα τρεπόμενον, εἰς δὲ τὸ ἀπόλλυ-
σθαι πάντας πάντα ὑπηρετοῦντας, πῶς οὐκ ἄν τις θεῖον
ἡγήσαιτο; τότε γοῦν οὕτως ἐν ὀλίγῳ πολλοὶ ἔπεσον, ὥστε
εἰθισμένοι ὁρᾶν οἱ ἄνθρωποι σωροὺς σίτου, ξύλων, λί-
θων, τότε ἐθεάσαντο σωροὺς νεκρῶν. ἀπέθανον δὲ καὶ οἱ
ἐν τῷ λιμένι τῶν βοιωτῶν φύλακες. οἱ μὲν ἐπὶ τῶν τει-
χῶν· οἱ δὲ ἐπὶ τὰ τέγη τῶν νεωσοίκων ἀναβάντες. μετὰ μέν-
τοι τοῦτο, οἱ μὲν κορίνθιοι καὶ ἀργεῖοι τοὺς νεκροὺς ὑπο-
σπόνδους ἀπήγοντο· οἱ δὲ σύμμαχοι τῶν λακεδαιμο-
νίων ἐβοήθουν. ἐπεὶ δὲ ἠθροίσθησαν, ἔγνω πραξίτας πρῶ-
τον μὲν τῶν τειχῶν καθελεῖν, ὥστε δίοδον στρατοπέδῳ
ἱκανὴν εἶναι. ἔπειτα ἀναλαβὼν τὸ στράτευμα, ἦγε τὴν ἐπὶ
μέγαρα. καὶ αἱρεῖ προσβαλὼν πρῶτον μὲν σιδοῦντα· ἔπει-
τα δὲ κρομμυῶνα. καὶ ἐν τούτοις τοῖς τείχεσι καταστήσας
φρουρούς, τὸ πάλιν ἐπορεύετο, καὶ τειχίσας ἐπιείκειαν, ἵνα
φρούριον εἴη πρὸ τῆς φιλίας τοῖς ξυμμάχοις, οὕτω διαφῆ-
κε τὸ στράτευμα, καὶ αὐτὸς τὴν ἐπὶ λακεδαίμονα ἀπεχώ-
ρει. ἐκ δὲ τούτου στρατιαὶ μὲν μεγάλαι ἑκατέρων διεπέ-
παυντο. φρουροὺς δὲ πέμπουσαι αἱ πόλεις, αἱ μὲν εἰς κό-
ρινθον, αἱ δὲ εἰς σικυῶνα, ἐφύλαττον τὰ τείχη. μισθοφό-
ρους γε μὴν ἑκάτεροι ἔχοντες, διὰ τούτων ἐρρωμένως
ἐπολέμουν. ἔνθα δὴ καὶ ἰφικράτης εἰς φλιοῦντα ἐμβα-
λών, καὶ ἐνέδραν ποιησάμενος, ὀλίγοις δὲ λεηλατῶν, βοηθη-
σάντων τῶν ἐκ τῆς πόλεως ἀφυλάκτως, ἀπέκτεινε τοσού-
τους, ὥστε καὶ τοὺς λακεδαιμονίους πρόσθεν οὐ δεχόμενοι εἰς
τὸ τεῖχος οἱ φλιάσιοι, φοβούμενοι μὴ τοὺς φάσκοντας
ἐπὶ λακωνισμῷ φεύγειν κατάγοιεν, τότε οὕτω κατεπλά-
γησαν τοὺς ἐκ κορίνθου, ὥστε μετεπέμψαντό τε τοὺς λακε-
δαιμονίους, καὶ τὴν πόλιν, καὶ τὴν ἄκραν φυλάττειν αὐτοῖς
παρέδωκαν. οἱ μέντοι λακεδαιμόνιοι, καίπερ εὐνοϊ-
κῶς ἔχοντες τοῖς φυγάσιν, ὅσον χρόνον εἶχον αὐτῶν τὴν
πόλιν, οὐδ᾽ ἐμνήσθησαν παντάπασι περὶ καθόδου φυγά-
δων. ἀλλ᾽ ἐπεὶ ἀναθαρρῆσαι ἐδόκει ἡ πόλις, ἐξῆλθον.
καὶ τὴν πόλιν, καὶ τοὺς νόμους παραδόντες, οἷάπερ καὶ παρέ-
λαβον. οἱ δ᾽ αὖ περὶ τὸν ἰφικράτην πολλαχόσε καὶ τῆς ἀρ-
καδίας ἐμβαλόντες, ἐλεηλάτουν τε, καὶ προσέβαλον
πρὸς τὰ τείχη. ἔξω γὰρ οἱ τῶν ἀρκάδων ὁπλῖται παντά-
πασιν οὐκ ἀντεξῄεσαν. οὕτω τοὺς πελταστὰς ἐπεφόβην-
το. τοὺς μέντοι λακεδαιμονίους οὕτως αὖ οἱ πελτασταὶ ἐδε-
δίεσαν, ὡς ἐντὸς ἀκοντίσματος οὐ προσῄεσαν τοῖς ὁ-
πλίταις. ἤδη γάρ ποτε καὶ ἐκ τοσούτου διώξαντες οἱ νεώ-
τεροι τῶν λακεδαιμονίων, ἑλόντες, ἀπέκτειναν τινὰς
αὐτῶν. καταφρονοῦντες δὲ οἱ λακεδαιμόνιοι τῶν πελ-
ταστῶν, ἔτι μᾶλλον τῶν ἑαυτῶν συμμάχων κατεφρόνουν.
καὶ γὰρ οἱ μαντινεῖς βοηθήσαντές ποτε, ἐπεκδραμόντες
πελτασταῖς, ἐκ τοῦ ἐπὶ λέχαιον τείνοντος τείχους ἀκοντιζό-
μενοι, ἐνέκλινάν τε, καὶ ἀπέθανόν τινες αὐτῶν φεύγοντες.

ὥστε

Corinthiorum exules: quos cum illi hostes es-
se intellexissent, rursus declinarunt. Ibi quidā
cum per scalas ascendere niterētur, iuxta mu-
ros ruebant: alij priores urgentes partim à su-
is cōculcati, partim hostiū sunt telis confecti.
Plurimi uero inter se decepti mutua cecidere
strage, ita ut Lacedæmonij dubij essent quē-
nam ferirent. Deus enim talem illis tum con-
cessit uictoriam, qualem nec unquam optare
10 ausi fuissent. Nam hostium superare multitu-
dinem immensam, illos uero timore perculsos
terga uertere, neq; ad pugnam respicere, sed
manifeste in perniciem ruere, nonne id diuinū
potius quàm humanum existimandum est?
Tam multi enim pauco cecidere tempore, ut
quemadmodum frumenti, lignorum ac lapi-
dum, ita mortuorum cernerentur acerui. Oc-
cubuit quoq; Bœotiorum in portu præsidi-
um, partim iuxta muros, partim cum tecta ac
20 domorum ascenderet culmina. His actis Co-
rinthij ac Argiui mortuos per inducias rece-
pere, Lacedæmoniorum uero socij in auxili-
um aduolarunt. Quibus omnibus collectis,
Praxitas murorum partem quantum pro in-
troitu sat erat, diruit, ac Megaram ducit: pri-
moq; impetu Siduntem cepit, inde Crommyo-
nam diruit, munitionem quoq; erexit, ac præ-
sidium, ut socijs illac refugium esset, constitu-
it: ipse soluto exercitu Lacedæmonem abijt.
30 Post hæc nihil utrinq; memoria dignum a-
ctum est, sed solum præsidia utrinq; à ciuita-
tibus Corinthum & Sicyonem mittebantur,
ut muri custodirentur: mercenario uero mili-
te solum rem gerebant. Post hæc Iphicrates in
Phliuntem irruit, ac positis insidijs tot Phli-
sios temere sibi occurrere ausos interimit, ut
cum antea Lacedæmonios de exulū reductio-
ne timentes in ciuitatem suscipere noluissent,
ea tamen affecti clade ultro Lacedæmonios
40 accersirent, ciuitatemq; ac arcem custodien-
das traderent. Lacedæmonij quamuis exules
fouerent, toto tamen tempore quo ciuitatem
obtinuere, nullam unquam de reducendis ex-
ulibus mentionem fecere: sed cum illam in se-
curitate constitutam uidissent, egressi urbem
ac leges quemadmodum acceperant reddide-
re. Cæterum Iphicrates uarijs in locis Arca-
diam ingressus prædas egit, ac ad muros usq;
progressus est: extra illos enim Arcadiorum
50 pedites comparebat nemo: ita enim clypeatos
formidabant, rursus peltati adeo Lacedæmo-
nios timebant, ut ad teli iactum illis appropin-
quare non auderent: intantumq; Lacedæmo-
niorum iuniores illos aliquando prosequuti
sunt, ut quosdam caperent ac interficerent.
Quapropter Lacedæmonij clypeatos cōtem-
nebāt, plus uero proprios despiciebāt socios.
Nam Mantineos quondā cū suis suppetias tu-
lissēt, clypeati ex muro qui ad Lechæū uergit
inuaserāt, nonnullosq; ex illis interfecerant.

At La-

Victoria Lacedæmonijs diui-
nitus concessa.

At Lacedæmonij consistere ausi, socios peltatos tanquam infantes laruas timere considerauit. Lacedæmonij itaq; cum Corinthiorum exulibus ex Lechæo procedentes, undiq; circa Corinthiorũ urbem castra locarũt. Porro Athenienses Lacedæmoniorum ueriti potentiam, pariter timebant ne per longos quos diruerant Corinthiorũ muros, cõtra ipsos exercitũ ducerent, optimũ à Praxite rati dirutum instaurare murum: idcirco cuncto egresso populo cum fabris & opificibus uniuersis, eam partem quæ Sicyonem & hesperum uergit, paucis diebus egregie restaurarunt: aliã quæ orientem spectat dehinc securius ædificarunt. Lacedæmonij interim cum Argiuos fructibus domi frui, eamq; ob causam bello exultare considerassent, exercitum cõtra illos emisere, quem Agesilaus deduxit: ac omni uastata regione confestim per Tegeam Corinthũ transijt, rursusq; muros ab Atheniensib. instauratos cepit. Affuit et mari Teleutias frater cum triremib. duodecim, ita ut mater illarum beata existimãda esset: eadem enim die quos genuerat, hunc terra hostiũ muros, illũ uero mari naualia capere contigit. His gestis Agesilaus dimisso exercitu [illegible]um regressus est. Interim Lacedæmonij cum per exules intellexissent pecoris uim ingentẽ in urbe ac Piræo esse, rursus Agesilao duce exercitũ Corinthũ misere, qui primo ad Isthmũ progressus est: erat enim mensis quo Isthmia celebrari consueuerant. Aderant tum Argiui, Neptunoq; sacra instaurabant, tanquã plane Corinthus sub Argiuis esset. At cum Agesilaum appropinquare cognouissent, derelictis hostijs ac cœna, timore magno in urbẽ per uiam quæ Cẽchreas ducit, se recepere. Et Agesilaus quamuis illos uidisset, minime tamẽ persequutus est, sed castris circa templũ positis, ipse quoq; deo litauit: tandemq; ibi permansit, quoad Corinthiorum quoq; exules Neptuno sacra et certamẽ peragerent. Argiui quoq; digresso Agesilao rursus ex integro Isthmia celebrarũt, ita ut anno eodẽ binos uincere ac coronari contingeret. Quarta inde die Agesilaus ad Piræũ exercitũ admouet. Quod cũ à multis seruari uidisset, sumpto prãdio urbẽ uersus ducere pergit. At Corinthij proditionẽ ueriti, Iphicratẽ cũ clypeatorũ manu maiori in urbẽ mittũt. Agesilaus ubi nocte illos digressos sensit, reducto exercitu luce prima Piræũ aggressus est, et ipse per Thermios duxit, peditũ autem cohortẽ altissima montiũ ascendere iussit, & nocte illa castra circa Thermas locauit: cohors uero occupatis montiũ summitatibus ibi pernoctauit. Hic Agesilaus quãuis leui, tempestiuo tamen claruit stratagemate. Nemo enim qui cõmeatũ ferebat, secum ignẽ tulerat. Cumq; propter immensam montium altitudinem maximũ esset frigus, insuper pluuia quoq; ac grando

ὥστε οἱ μὲν λακεδαιμόνιοι καὶ ἐπισκώπτειν ἐτόλμων ὡς οἱ σύμμαχοι φοβοῖντο τοὺς πελταστὰς, ὥσπερ μορμῶνας παιδάρια. αὐτοὶ δ᾽ ἐκ τοῦ λεχαίου ὁρμώμενοι σὺν μόρᾳ, καὶ τοῖς τῶν κορινθίων φυγάσι, κύκλῳ περὶ τὸ ἄστυ τῶν κορινθίων ἐστρατεύοντο. οἱ δ᾽ αὖ ἀθηναῖοι φοβούμενοι τὴν ῥώμην τῶν λακεδαιμονίων, μὴ ἐπεὶ τὰ μακρὰ τείχη τῶν κορινθίων, ἃ διῄρητο, ἔλθοιεν ἐπὶ σφᾶς, ἡγήσαντο κράτιστον εἶναι ἀνατειχίσαι τὰ διῃρημένα ὑπὸ πραξίτα τείχη. καὶ ἐλθόντες πανδημεὶ μετὰ λιθολόγων, καὶ τεκτόνων, τὸ μὲν πρὸς σικυῶνα, καὶ πρὸς ἑσπέραν, ἐν ὀλίγαις ἡμέραις πάνυ καλὸν ἐξετείχισαν. τὸ δὲ ἑῷον μᾶλλον κατὰ ἡσυχίαν ἐτείχιζον. οἱ δ᾽ αὖ λακεδαιμόνιοι ἐνθυμηθέντες τοὺς ἀργείους, τὰ μὲν οἴκοι καρπουμένους, ἡδομένους δὲ τῷ πολέμῳ, στρατεύουσιν ἐπ᾽ αὐτούς. ἀγησίλαος δὲ ἡγεῖτο, καὶ δῃώσας πᾶσαν αὐτῶν τὴν χώραν, εὐθὺς ἐκεῖθεν ὑπερβαλὼν κατὰ τεγέαν εἰς κόρινθον, αἱρεῖ τὰ ἀνοικοδομηθέντα ὑπὸ τῶν ἀθηναίων τείχη. παρεγένετο δὲ αὐτῷ καὶ ὁ ἀδελφὸς τελευτίας κατὰ θάλατταν, ἔχων τριήρεις περὶ δώδεκα, ὥστε μακαρίζεσθαι αὐτῶν τὴν μητέρα, ὅτι τῇ αὐτῇ ἡμέρᾳ, ὧν ἔτεκεν, ὁ μὲν κατὰ γῆν τὰ τείχη τῶν πολεμίων, ὁ δὲ κατὰ θάλατταν τὰς ναῦς, καὶ τὰ νεώρια ᾕρηκε. καὶ τότε μὲν ταῦτα πράξας ὁ ἀγησίλαος, τό, τε τῶν συμμάχων στράτευμα διῆκε, καὶ τὸ πολιτικὸν οἴκαδε ἀπήγαγεν. ἐκ δὲ τούτου οἱ λακεδαιμόνιοι ἀκούσαντες τῶν φευγόντων, ὅτι ἐν τῇ πόλει πάντα μὲν τὰ βοσκήματα ἔχοιεν, καὶ σῴζοιντο ἐν τῷ πειραίῳ, πολλοὶ δὲ τρέφοιντο αὐτόθι, στρατεύουσι πάλιν εἰς τὴν κόρινθον, ἀγησιλάου καὶ τότε ἡγουμένου. καὶ πρῶτον μὲν ἦλθεν εἰς ἰσθμόν. καὶ γὰρ ἦν ὁ μὴν ἐν ᾧ ἴσθμια γίγνεται. καὶ οἱ ἀργεῖοι αὐτοῦ ἐτύγχανον τότε ποιοῦντες τὴν θυσίαν τῷ ποσειδῶνι, ὡς ἄργους τῆς κορίνθου ὄντος. ὡς δ᾽ ᾔσθοντο προσιόντα τὸν ἀγησίλαον, καταλιπόντες καὶ τὰ τεθυμένα, καὶ τὰ ἀριστοποιούμενα, σὺν πολλῷ φόβῳ ἀπεχώρουν εἰς τὸ ἄστυ, κατὰ τὴν ἐπὶ κεγχρείας ὁδόν. ὁ μέντοι ἀγησίλαος, ἐκείνους μὲν καίπερ ὁρῶν, οὐκ ἐδίωκε. κατασκηνώσας δὲ ἐν τῷ ἱερῷ αὐτός τε τῷ θεῷ ἔθυε, καὶ περιέμενεν, ἕως οἱ φυγάδες τῶν κορινθίων ἐποίησαν τῷ ποσειδῶνι τὴν θυσίαν, καὶ τὸν ἀγῶνα. ἐποίησαν δὲ καὶ οἱ ἀργεῖοι, ἀπελθόντος ἀγησιλάου, ἐξ ἀρχῆς πάλιν ἴσθμια. καὶ ἐκείνῳ τῷ ἔτει ἐστὶ μὲν ἃ τῶν ἄθλων δὶς ἕκαστος ἐνικήθη, ἐστὶ δὲ ἃ δὶς οἱ αὐτοὶ ἐκηρύχθησαν. τῇ δὲ τετάρτῃ ἡμέρᾳ ὁ ἀγησίλαος ἦγε πρὸς τὸ πείραιον τὸ στράτευμα. ἰδὼν δὲ ὑπὸ πολλῶν φυλαττόμενον, ἀπεχώρησε πρὸς τὸ ἄστυ μετ᾽ ἄριστον, ὡς προδιδομένης τῆς πόλεως. ὥστε οἱ κορίνθιοι δείσαντες μὴ προδιδοῖτο ἡ πόλις ὑπό τινων, μετεπέμψαντο τὸν ἰφικράτην σὺν τοῖς πλείστοις τῶν πελταστῶν. αἰσθόμενος δὲ ὁ ἀγησίλαος τῆς νυκτὸς παρεληλυθότας αὐτούς, ὑποστρέψας ἅμα τῇ ἡμέρᾳ, εἰς τὸ πείραιον ἦγε. καὶ αὐτὸς μὲν κατὰ τὰ θερμὰ προῄει, μόραν δὲ κατὰ τὸ ἀκρότατον ἀνεβίβασε. καὶ ταύτην μὲν τὴν νύκτα ὁ μὲν πρὸς τοῖς θερμοῖς ἐστρατοπεδεύετο. ἡ δὲ μόρα τὰ ἄκρα κατέχουσα, ἐνυκτέρευεν. ἔνθα δὴ καὶ ὁ ἀγησίλαος μικρῷ μὲν, καιρίῳ δ᾽ ἐνθυμήματι εὐδοκίμησε. τῶν γὰρ φερόντων τὰ σιτία οὐδενὸς πῦρ εἰσενηνοχότος, ψύχους δὲ ὄντος διά τε τὸ πάνυ ἐφ᾽ ὑψηλοῦ εἶναι, καὶ διὰ τὸ γενέσθαι ὕδωρ, καὶ χάλαζαν

ζειν πρὸς τὴν ἑσπέραν, καὶ ἀναβεβήκεσαν δὲ ἔχοντες, εἶτα
δὴ θέρους ἀπειρία. ῥιγούντων δ' αὐτῶν, καὶ ἐν σκότῳ
ἀθύμως πρὸς τὸ δεῖπνον ἐχόντων, πέμπει ὁ Ἀγησίλαος
οὐκ ἔλαττον δέκα, φέροντας πῦρ ἐν χύτραις. ἐπεὶ δὲ ἀνέ
βησαν ἄλλος ἄλλῃ, καὶ πολλὰ καὶ μεγάλα πυρὰ ἐγένετο,
ἅτε πολλῆς ὕλης παρούσης πάντες μὲν ἠλείφοντο, πολ
λοὶ δὲ καὶ ἐδείπνησαν ἐξ ἀρχῆς. φανερὸς δὲ ἐγένετο καὶ
ὁ νεὼς τοῦ Ποσειδῶνος ταύτῃ τῇ νυκτὶ καιόμενος. ὑφ'
ὅτου δὲ ἐνεπρήσθη, οὐδεὶς οἶδεν. ἐπεὶ δὲ ᾔσθοντο οἱ ἐν τῷ
Πειραίῳ τὰ ἄκρα ἐχόμενα, ἐπὶ μὲν τὸ ἀμύνασθαι οὐκέ
τι ἐτράποντο. εἰς δὲ τὸ Ἡραῖον κατέφυγον καὶ ἄνδρες,
καὶ γυναῖκες, καὶ δοῦλοι, καὶ ἐλεύθεροι, καὶ τῶν βοσκη
μάτων τὰ πλεῖστα. καὶ Ἀγησίλαος μὲν δὴ σὺν τῷ στρα
τεύματι παρὰ θάλατταν ἐπορεύετο. ἡ δὲ μόρα ἅμα κατα
βαίνουσα ἀπὸ τῶν ἄκρων, Οἰνόην τὸ ἐντετειχισμένον τεῖχος
αἱρεῖ, καὶ τὰ ἐνόντα ἔλαβε. καὶ πάντες δὲ οἱ στρατιῶται
ἐν ταύτῃ τῇ ἡμέρᾳ πολλὰ τὰ ἐπιτήδεια ἐκ τῶν χωρίων
ἐλάμβανον. οἱ δ' ἐν τῷ Ἡραίῳ καταπεφευγότες, ἐξῄε
σαν, ἐπιτρέψοντες Ἀγησιλάῳ γνῶναι ὅ,τι βούλοιτο περὶ
σφῶν. ὁ δ' ἔγνω ὅσοι μὲν τῶν σφαγέων ἦσαν, παρα
δοῦναι αὐτοὺς τοῖς φυγάσι. τὰ δ' ἄλλα πάντα πραθῆναι.
ἐκ τούτου δὴ ἐξῄει μὲν ἐκ τοῦ Ἡραίου πάμπολλα τὰ αἰχ
μάλωτα. πρεσβεῖαι δὲ ἄλλοθέν τε παρῆσαν, καὶ ἐκ Βοιω
τῶν ἧκον, ἐρησόμενοι τί ἂν ποιοῦντες εἰρήνης τύχοιεν.
ὁ δὲ Ἀγησίλαος μάλα μεγαλοφρόνως τούτους μὲν οὐδ' ὁρᾶν
ἐδόκει, καίπερ Φάρακος τοῦ προξένου παρεστηκότος αὐ
τοῖς, ὅπως προσαγάγοι. καθήμενος δ' ἐπὶ τοῦ περὶ λί
μνην κυκλοτεροῦς οἰκοδομήματος, ἐθεώρει πολλὰ τὰ
ἐξαγόμενα. τῶν δὲ Λακεδαιμονίων ἀπὸ τῶν ὅπλων σὺν
τοῖς δόρασι παρηκολούθουν φύλακες τῶν αἰχμαλώ
των, μάλα ὑπὸ τῶν παρόντων θεωρούμενοι. οἱ γὰρ εὐτυ
χοῦντες καὶ κρατοῦντες, ἀεί πως ἀξιοθέατοι δοκοῦσιν
εἶναι. ἔτι δὲ καθημένου Ἀγησιλάου, καὶ ἐοικότος ἀγαλλομένῳ
τοῖς πεπραγμένοις, ἱππεύς τις προσήλαυνε, καὶ μάλα
ἰσχυρῶς ἱδροῦντι τῷ ἵππῳ. ὑπὸ πολλῶν δὲ ἐρωτώμε
νος ὅ,τι ἀγγέλλοι, οὐδενὶ ἀπεκρίνατο. ἀλλ' ἐπειδὴ ἐγ
γὺς ἦν Ἀγησιλάου, καθαλόμενος ἀπὸ τοῦ ἵππου, καὶ προσ
δραμὼν αὐτῷ μάλα σκυθρωπὸς ὤν, λέγει τὸ περὶ ἐν Λε
χαίῳ μόρας πάθος. ὅπως ἤκουσεν, εὐθύς τε ἐκ τῆς ἕδρας
ἀνεπήδησε, καὶ τὸ δόρυ ἔλαβε, καὶ πολεμάρχους, καὶ πεν
τηκοντῆρας, καὶ ξεναγοὺς καλεῖν τὸν κήρυκα ἐκέλευεν. ὡς δὲ
συνέδραμον οὗτοι, τοῖς μὲν ἄλλοις εἶπεν, οὐ γάρ πω ἠρί
στοποίηντο, ἐμφαγοῦσιν, ὅτι δύναιντο, ἥκειν τὴν ταχί
στην. αὐτὸς δὲ σὺν τοῖς περὶ δαμοσίαν ὑφηγεῖτο ἀνάρι
στος. καὶ οἱ δορυφόροι τὰ ὅπλα ἔχοντες, παρηκολούθουν
σπουδῇ, τοῦ μὲν ὑφηγουμένου, τῶν δὲ μετιόντων. ἤδη δ' ἐκ
πεπερακότος αὐτοῦ τὰ θερμὰ, εἰς τὸ πλατὺ τοῦ Λεχαίου
προσελάσαντες ἱππεῖς τρεῖς, ἀγγέλλουσιν ὅτι οἱ νε
κροὶ ἀνῃρημένοι εἶεν. ὁ δ' ἐπεὶ τοῦτο ἤκουσε, θέσθαι κε
λεύσας τὰ ὅπλα, καὶ ὀλίγον χρόνον ἀναπαύσας, ἀπῆγε πά
λιν τὸ στράτευμα ἐπὶ τὸ Ἡραῖον. τῇ δ' ὑστεραίᾳ τὰ αἰχ
μάλωτα διετίθετο. οἱ δὲ πρέσβεις τῶν Βοιωτῶν προσκλη
θέντες, ἐρωτώμενοι ὅ,τι ἥκοιεν, περὶ μὲν τῆς εἰρήνης οὐκ
ἔτι ἐμέμνηντο. εἶπον δὲ, ὅτι εἰ μή τι κωλύοι, βούλοιντο ἂν
τὸ ἄστυ πρὸς τοὺς σφετέρους στρατιώτας παρελθεῖν. ὁ δ'
ἐπιγελάσας, ἀλλ' οἶδα μὲν, ἔφη, ὅτι οὐ τοὺς στρατιώτας
ἰδεῖν

do ad uesperum inclinasset, milites uero æstiuis
induti essent uestibus, frigore rigebant, ac in
tenebris tristes & incœnati agebant. Agesila-
us itaque decem circiter qui ignem in olliis fer-
rent in montes submisit: qui cum alius alio ad
fastigia euasisset, ob materiæ abundantiam im
mensos accenderunt ignes, militesq; cibo ac
calore recreati sunt. Constat quoq; nocte ea-
dem Neptuni conflagrasse templum: à quo ue
10 ro incensum sit, nemo est qui norit. At qui in
Piræo erant, postquam montium cacumina
ab hostibus obtineri cognouissent, amplius re-
sistere non ausi, in Iunonis perfugerunt tem-
plum, permixti uiri, mulieres, serui ac liberi, pe
corum quoque pars maxima. Agesilaus iuxta
mare infesto procedit agmine: at peditum co-
hors à montibus ruens Oenoam cepit, ac cun-
cta ibi reperta in prædam uertit: omnes quoq;
milites eadem die spoliis ditati sunt. At qui in
20 Iunonis confugerant templum, ad Agesilaum,
quid ipsos facere uellet, sciscitatum mittunt. At
ille, cædis reos exulibus tradi, ac alia quæ man
darent, facere iussit. Illi itaq; templo egressi, ca
ptiuos plurimos tradidere. Aderant quoq; ex
Bœotiis ac locis aliis legati plures, quærentes
quidnam facturi essent, ut pacem assequi pos-
sent. At Agesilaus ob præsentem successum a-
nimo elatus, illos in conspectum admittere no
luit, quanquam Pharaco hospite ut illos addu
30 ceret intercedente: sed iuxta porticum sedebat,
et spolia inspiciebat. Lacedæmonii uero egregiè
armis instructi ac ordine incedentes, ut ab lega
tis cerni possent, captiuos ac prædam erectis se
quebantur hastis, maxime ob præsentem cõspi
cui felicitatem: siquidem uictores & fortunate
agentes, semper intuitu digni censentur. Agesi
lao interim cum his incumberet, & ob res ge
stas maxime exultaret, anhelans aduenit nũci-
us: qui citato aduectus equo, cum à multis quid
40 nam afferret interrogatus esset, nihil respõdit:
sed postquã in Agesilai conspectum uenit, equo
desiliens tristi uultu, in Lechæo acceptam nun
ciat cladem. Agesilaus extẽplo his auditis sella
exiliit, correptaq; hasta, præconem belli præfe-
ctos, cẽturiones, ac reliquos duces accersiri iu
bet. Quibus collectis, milites festinè prandere,
sicq; celerrime subsequi imperat: ipse impransus
pergit: hastati uero quicunq; armis circundati
erant, illũ sequi festinabãt. Cumq; Thermas su
50 perasset, ac in Lechæi peruenisset cãpestria, fu
erunt illi obuiã equites tres, qui nũciauerũt mor
tuos per inducias receptos esse: id cũ audisset,
milites arma ponere iussit. Cumq; aliquãtisper
respirassent rursus ad Iunonis templũ exercitũ
reduxit, postridie captiuos lustrauit. Bœotiorũ
quoq; legati producti, et quã ob rẽ uenissent, di
cere sunt iussi. Qui tergiuersati pacis nullã fe-
cere mentionẽ: dicebãt uero, si absq; impedimẽ
to posset, uelle suos qui in urbe essent cõuenire
milites. At ille ridẽs, ait: Scio uos milites uestros
specta-

spectare nolle, sed fortunam amicorum uestrorum intelligere uelle. Manete igitur, inquit, ego enim ipse uos deducam: exactius etenim cum mecum sitis, cuncta intelligere poteritis. Nec mentitus est. Sed perendie cum litasset, exercitum ad urbem duxit, trophæumq; minime deiecit: uerum si quæ arbores in circuitu restabant, incidere iussit: demonstrare uolens, hostibus ob metum uictoriam expreßisse. His gestis castra ad Lechæum posuit, & Thebanos legatos urbem intrare haud permisit, uerùm per mare eos Creusim dimisit. Cæterum cum clades illa præter spem incidisset, multus in exercitu Laconico erat luctus: mortuorum uero patres, filij & fratres tanquam uictores, magno animo domesticam tulere calamitatem. At clades ea hoc maxime accepta est pacto. Amyclæi semper cum in militiam exituri forent, siue alio peregrinarentur, ad Hyacinthia & Apollinem accedere consueuerant: tum uero ex uniuerso exercitu Agesilaus præcipue Amyclæos qui Lechæum obtinerent, elegerat, & præsidij præfectus socios muros custodire iussit, ipse cum peditum & equitum turma iuxta Corinthiorum ciuitatem Amyclæos deduxit. Cumq; ab Sicyone uiginti aut triginta abesset stadijs, ipse cum peditibus qui sexcenti circiter erant, rursus Lechæum reuertitur: equitum uero præfectum cum equitum ala Amyclæos quousq; uellent, concomitari iubet. Illi cum haud ignorarent multos esse Corinthi cum clypeatos tum scutatos, eos tamen propter perpetuam contemnebant fortunam, nec quid ausuros putabant. Verùm Callias Hipponici filius Atheniensium peditum dux, & Iphicrates clypeatorum præfectus, cum ex Corinthiorum urbe hostium conspexissent paucitatem, considerassentq; absque præsidio seu pedestri seu equestri illos incedere, leui armatura eos aggredi statuerunt: rati si recta incederent uia, telis obrui posse: sin manum cōserere pararent, facile leuis armaturæ milites impetum armatorum elusuros ac declinaturos: quapropter uniuersos educunt milites, & Callias haud longe ab urbe cum scutatis consedit, Iphicrates uero acceptis clypeatis in hostes impetum facit. Lacedæmonij cum in principio telis obruerentur partim cadebant, alij uulnerabantur: & hos præfectus satellites Lechæum ferre iussit: solique hi ex ea euasere turma. Validiores uero decem excurrere, ac hostes insequi mandat: id cum fecissent, neminem comprehendere ualebant, utpote grauis armaturæ clypeatos. Præterea antequam in pedites incidissent, reuerti iußi erant: at cum reuertebantur, dispersi à persequutione incedebant, rursusq; ab hostibus sagittis lacessebantur ac feriebantur, ad singulasq; excursiones nouem aut decem uulnerabantur: eam ob rem hostes longe audaciores effecti, illis imminebant.

Cumq;

ἰδεῖν βούλεσθε, ἀλλὰ τί τὸ δυστύχημα τῶν φίλων ὑμᾶς θεάσασθαι πόσον τι γεγένηται. περιμείνατε οὖν, ἔφη. ἐγὼ γὰρ αὐτὸς ὑμᾶς ἄξω. καὶ μᾶλλον μετ᾽ ἐμοῦ ὄντες, γνώσεσθε ποῖόν τι τὸ γεγενημένον ἐστί. καὶ οὐκ ἐψεύσατο. ἀλλὰ τῇ ὑστεραίᾳ θυσάμενος, ἦγε πρὸς τὴν πόλιν τὸ στράτευμα. καὶ τὸ μὲν τρόπαιον οὐ κατέβαλεν. εἰ δέ τι ἦν λοιπὸν δένδρον, κόπτων, κυκλῶν, ἀπεδείκνυεν ὡς οὐδεὶς ἀντεξῄει. ταῦτα δὲ ποιήσας, ἐστρατοπεδεύσατο περὶ τὸ Λέχαιον. καὶ τοὺς Θηβαίους μέντοι πρέσβεις, εἰς μὲν τὸ ἄστυ οὐκ ἀνῆγε, κατὰ θάλατταν δὲ εἰς Κρεῦσιν ἀπέπεμψεν. ἅτε δὲ ἀήθους τοῖς Λακεδαιμονίοις γεγενημένης τῆς τοιαύτης συμφορᾶς, πολὺ πένθος ἦν κατὰ τὸ Λακωνικὸν στράτευμα, πλὴν ὅσων ἐτεθνάσαν ἐν χώρᾳ ἢ υἱοί, ἢ πατέρες, ἢ ἀδελφοί. οὗτοι δ᾽ ὥσπερ νικηφόροι λαμπροί, καὶ ἀγαλλόμενοι τῷ οἰκείῳ πάθει, περιῄεσαν. ἐγένετο δὲ τὸ τῆς μόρας πάθος, τρόπῳ τοιῷδε. οἱ Ἀμυκλαῖοι ἀεί ποτε ἀπέρχονται εἰς τὰ Ὑακίνθια ἐπὶ τὸν παιᾶνα, ἐάν τε στρατοπεδευόμενοι τυγχάνωσιν, ἐάν τε ἄλλως πως ἀποδημοῦντες. καὶ τότε δὴ τοὺς ἐκ πάσης τῆς στρατιᾶς Ἀμυκλαιεῖς κατέλιπεν Ἀγησίλαος ἐν Λεχαίῳ. ὁ δ᾽ ἐκεῖ φρουρῶν πολέμαρχος τοὺς μὲν ἀπὸ τῶν συμμάχων φρουροὺς παρέταξε φυλάττειν τὸ τεῖχος. αὐτὸς δὲ σὺν τῇ τῶν ὁπλιτῶν, καὶ τῇ τῶν ἱππέων μόρᾳ, παρὰ τὴν πόλιν τῶν Κορινθίων τοὺς Ἀμυκλαιεῖς παρῆγεν. ἐπεὶ δὲ ἀπεῖχον ὅσον εἴκοσιν ἢ τριάκοντα στάδια τοῦ Σικυῶνος, ὁ μὲν πολέμαρχος σὺν τοῖς ὁπλίταις οὖσιν ὡς ἑξακοσίοις, ἀπῄει πάλιν ἐπὶ τὸ Λέχαιον. τὸν δ᾽ ἱππαρμοστὴν ἐκέλευσε σὺν τῇ τῶν ἱππέων μόρᾳ, ἐπειδὴ προπέμψειαν τοὺς Ἀμυκλαιεῖς, μέχρις ὁπόσου αὐτοὶ κελεύοιεν μεταδιώκειν. καὶ ὅτι μὲν πολλοὶ ἦσαν ἐν τῇ Κορίνθῳ καὶ πελτασταὶ καὶ ὁπλῖται, οὐδὲν ἠγνόουν. κατεφρόνουν δὲ διὰ τὰς ἔμπροσθεν τύχας, μηδένα ἂν ἐπιχειρῆσαι σφίσιν. οἱ δ᾽ ἐκ τῶν Κορινθίων τοῦ ἄστεος, Καλλίας τε ὁ Ἱππονίκου, τῶν Ἀθηναίων ὁπλιτῶν στρατηγῶν, καὶ Ἰφικράτης τῶν πελταστῶν ἄρχων, καθορῶντες αὐτοὺς καὶ οὐ πολλοὺς ὄντας, καὶ ἐρήμους, καὶ πελταστῶν καὶ ἱππέων, ἐνόμισαν ἀσφαλὲς εἶναι ἐπιθέσθαι αὐτοῖς τῷ πελταστικῷ. εἰ μὲν γὰρ πορεύοιντο τῇ ὁδῷ, ἀκοντιζομένους ἂν αὐτοὺς εἰς τὰ γυμνά, ἀπόλλυσθαι. εἰ δ᾽ ἐπιχειροῖεν διώκειν, ῥᾳδίως ἂν ἀποφυγεῖν πελτασταῖς τοῖς ἐλαφροτάτοις τοὺς ὁπλίτας. γνόντες δὲ ταῦτα, ἐξάγουσι. καὶ ὁ μὲν Καλλίας παρέταξε τοὺς ὁπλίτας οὐ πόρρω τῆς πόλεως. ὁ δὲ Ἰφικράτης λαβὼν τοὺς πελταστάς, ἐπέθετο τῇ μόρᾳ. οἱ δὲ Λακεδαιμόνιοι, ἐπεὶ ἠκοντίζοντο, καὶ ὁ μέν τις ἐτέτρωτο, ὁ δὲ καὶ ἐπεπτώκει, τούτους μὲν ἐκέλευον τοὺς ὑπασπιστὰς ἀραμένους, ἀποφέρειν εἰς Λέχαιον, οὗτοι καὶ μόνοι τῆς μόρας τῇ ἀληθείᾳ ἐσώθησαν. ὁ δὲ πολέμαρχος ἐκέλευσε τὰ δέκα ἀφ᾽ ἥβης ἀποδιῶξαι τοὺς προειρημένους. ὡς δὲ ἐδίωκον, ᾕρουν τε οὐδένα ἐξ ἀκοντίου βολῆς, ὁπλῖται ὄντες πελταστάς. καὶ γὰρ ἀναχωρεῖν αὐτοὺς ἐκέλευε πρὶν τοὺς ὁπλίτας ὁμοῦ γίγνεσθαι. ἐπεὶ δὲ ἀνεχώρουν ἐσπαρμένοι, ἅτε διώξαντες ὡς τάχους ἕκαστος εἶχεν, ἀναστρέφοντες οἱ περὶ τὸν Ἰφικράτην, οἵ τ᾽ ἐκ τοῦ ἐναντίου, πάλιν ἠκόντιζον. καὶ ἄλλοι ἐκ πλαγίου παραθέοντες εἰς τὰ γυμνά. καὶ εὐθὺς μὲν ἐπὶ τῇ πρώτῃ διώξει κατηκόντισαν ἐννέα ἢ δέκα αὐτῶν. ὡς δὲ τοῦτ᾽ ἐγένετο, πολὺ ἤδη θρασύτερον ἐπέκειντο.

ἐπεὶ

ἐπεὶ δὲ κακῶς ἔπασχον, πάλιν ἐκέλευσεν ὁ πολέμαρ-
χος διώκειν τὰ πεντεκαίδεκα ἀφ' ἥβης. ἀναχωρούν-
των δὲ ἔτι πλείονες αὐτῶν ἢ τὸ πρόσθεν, ἔπεσον. ἤδη δὲ τῶν
βελτίστων ἀπολωλότων, οἱ ἱππεῖς αὖθις παραγίγνονται,
καὶ σὺν τούτοις αὖ δίωξιν ἐποιήσαντο. ὡς δ' ἐνέκλι-
ναν οἱ πελτασταί, ἐν τούτῳ κακῶς οἱ ἱππεῖς ἐπέθεντο.
οὐ γὰρ ἕως ἀπέκτειναν τινὰς αὐτῶν, ἐδίωξαν, ἀλλὰ ξὺν
τοῖς ἐκδρόμοις ἰσομέτωποι, καὶ ἐδίωκον, καὶ ἐπέστρεφον.
ποιοῦντες δέ, καὶ πάσχοντες τὰ ὅμοια τούτοις καὶ αὖθις,
αὐτοὶ μὲν ἀεὶ ἐλάττους, καὶ μαλακώτεροι ἐγίγνοντο. οἱ δὲ
πολέμιοι θρασύτεροί τε, καὶ ἀεὶ πλείους οἱ ἐγχειροῦν-
τες. ἀποροῦντες δή, συνίστανται ἐπὶ βραχύν τινα γήλο-
φον, ἀπέχοντα τῆς μὲν θαλάττης ὡς δύο στάδια, τοῦ δὲ Λε-
χαίου ὡς ἑξήκοντα ἢ ἑπτακαίδεκα. αἰσθόμενοι δὲ οἱ ἀπὸ τοῦ λε-
χαίου, ἐμβάντες εἰς πλοιάρια, παρέπλεον, ἕως ἐγένον-
το κατὰ τὸν γήλοφον. οἱ δ' ἀποροῦντες ἤδη ὅτι ἔπασχον
μὲν κακῶς, καὶ ἀπέθνησκον, ποιεῖν δὲ οὐδὲν ἐδύναν-
το, πρὸς δὲ τούτοις ὁρῶντες καὶ τοὺς ὁπλίτας ἐπιόντας,
ἐγκλίνουσι. καὶ οἱ μὲν ἐμπίπτουσιν αὐτῶν εἰς τὴν θάλατ-
ταν, ὀλίγοι δέ τινες μετὰ τῶν ἱππέων εἰς λέχαιον διε-
σώθησαν. ἐν πάσαις δὲ ταῖς μάχαις, καὶ τῇ φυγῇ ἀπέ-
θανον περὶ πεντήκοντα καὶ διακοσίους. καὶ ταῦτα μὲν
οὕτως ἐπέπρακτο. ἐκ δὲ τούτου ὁ ἀγησίλαος τὴν μὲν
σφαλεῖσαν μόραν ἔχων, ἀπῄει, ἄλλην δὲ κατέλιπεν ἐν
τῷ λεχαίῳ. διιὼν δὲ ἐπ' οἴκου, ὡς μὲν ἐδύνατο, ὀψιαί-
τατα κατήγετο εἰς τὰς πόλεις. ὡς δ' ἐδύνατο, πρῳαί-
τατα ἐξωρμᾶτο. παρὰ δὲ μαντίνειαν ἐξ ὀρχομενοῦ, ὄρ-
θρου ἀναστάς, ἔτι σκοταῖος παρῆλθεν. οὕτω χαλεπῶς
ἂν ἐδόκουν οἱ στρατιῶται τοὺς μαντινέας ἐφηδομένους
τῷ δυστυχήματι θεάσασθαι. ἐκ τούτου τε μάλα καὶ τἄλλα
ἐπετύγχανεν ἰφικράτης. καθεστηκότων γὰρ φρουρῶν
ἐν σιδοῦντι μὲν καὶ κρομμυῶνι ὑπὸ πραξίτου, ὅτε ἐκεῖ-
νος εἷλε τὰ τείχη ταῦτα, ἐν οἰνόῃ δὲ ὑπὸ ἀγησιλάου, ὅτε
περ τὸ πείραιον ἑάλω, πάνθ' εἷλε ταῦτα τὰ χωρία. τὸ
μέντοι λέχαιον ἐφρούρουν οἱ λακεδαιμόνιοι, καὶ οἱ ξύμ-
μαχοι. οἱ φυγάδες δὲ τῶν κορινθίων οὐκ ἔτι πεζῇ παριόν-
τες ἐκ σικυῶνος διὰ τὴν τῆς μόρας δυστυχίαν, ἀλλὰ πα-
ραπλέοντες, καὶ ἐντεῦθεν ὁρμώμενοι, πράγματα εἶχόν
τε, καὶ παρεῖχον τοῖς ἐν τῷ ἄστει. μετὰ δὲ ταῦτα οἱ ἀχαιοὶ
ἔχοντες καλυδῶνα, ἣ τὸ παλαιὸν αἰτωλίας ἦν, καὶ πολί-
τας πεποιημένοι τοὺς καλυδωνίους, φρουρεῖν ἠναγκάζον-
το ἐν αὐτῇ. οἱ γὰρ ἀκαρνᾶνες ἐπεστράτευον, καὶ τῶν ἀθηναίων
τε καὶ βοιωτῶν ξυμπαρῆσάν τινες αὐτοῖς, διὰ τὸ ξυμμά-
χους εἶναι. πιεζόμενοι οὖν ὑπ' αὐτῶν οἱ ἀχαιοί, πρέσβεις πέμ-
πουσιν εἰς τὴν λακεδαίμονα. οἱ δ' ἐλθόντες ἔλεγον, ὅτι
οὐ δίκαια πάσχοιεν ὑπὸ τῶν λακεδαιμονίων. ἡμεῖς γὰρ
ἔφασαν ὑμῖν, ὦ ἄνδρες, ὅπως ἂν ὑμεῖς παραγγέλλητε,
στρατευόμεθα, καὶ ἑπόμεθα ὅποι ἂν ἡγῆσθε. ὑμεῖς δέ, πολι-
ορκουμένων ἡμῶν ὑπὸ ἀκαρνάνων, καὶ τῶν ξυμμάχων
αὐτοῖς ἀθηναίων, καὶ βοιωτῶν, οὐδεμίαν ἐπιμέλειαν
ποιεῖσθε. οὐκ ἂν οὖν δυναίμεθα ἡμεῖς τούτων οὕτω γιγνο-
μένων, ἀντέχειν. ἀλλ' ἢ ἐάσαντες τὸν ἐν πελοποννήσῳ πό-
λεμον, διαβάντες πολεμήσομεν ἀκαρνᾶσί τε καὶ τοῖς ξυμ-
μάχοις αὐτῶν, ἢ εἰρήνην ποιησόμεθα, ὁποίαν ἄν τινα δυνώ-
μεθα. ταῦτα δ' ἔλεγον, ὑπαπειλοῦντες τοῖς λακε-
δαιμονίοις ἀπαλλαγήσεσθαι τῆς ξυμμαχίας, εἰ μὴ αὐτοῖς

αὐτεπι-

Cũq; male afficeretur, rursus Polemarchus qn/
decim ex minorib. illos persequi iubet. Verũ cũ
reuerterentur, multo plures q̃ antea cadebant.
Cumq; fortißimus quisq; iam periisset, aduenere
equites, cũ quib. rursus hostes persequebantur.
Cũq; peltati ad suos inclinarẽt, interim equites
male accipiebãtur: nõ. n. eousq; quoad aliquos
interfecissent, persequebãtur: sed pariter cũ ex/
cursorib. sequebãtur reuertebanturq;, facientes
ac patientes eadẽ quæ & illi: uerũ semper pau
ciores & languidiores, at hostes alacriores et
fortiores reddebãtur. Tandem quid agerẽt du/
bij erant. Tumulũ itaq; quendã quasi duo à ma
ri distantẽ stadia occupãt, à Lechæo uero quasi
decẽ & septem. At qui Lechæi erãt cum id re/
sciuissent, conscensis nauiculis ad tumulũ usq;
nauigãt. At obseßi quid agerẽt ignorabãt: nam
præterquã quod male afficiebãtur, ac multi ex
eis caderẽt, nihil omnino agere poterãt. Viden
tes tandẽ grauis armaturæ appropinquare mili
tes, collẽ deserũt, partimq; in mare se precipi/
tãt: alij qui pauci erant cũ equitib. Lechæũ eua
serũt: reliqui quasi XVII. in fuga ac pugna oc
cidione occisi sunt. et hæc ita sunt gesta. Agesi/
laus itaq; milites qui euaserãt domũ reduxit, ali
ud uero præsidiũ Lechæi reliquit: quantũq; po
terat summo uesperi cũ illis urbes intrabat, an
telucanis uero horis rursus egrediebatur. Cũq;
diluculo ex Orchomeno mouisset, sub noctem
tamẽ Mantineã prætergressus est: ægerrime. n.
milites ferebãt Mantineos ob acceptã cladẽ in
sultantes luce intueri. Iphicrates interim alia
quoq; loca aggressus obtinuit. Cum. n. præsidiũ
in Sidũte et Crõmyone excubaret, illuc à Praxi/
te cũ muros capet collocatũ, pariter & in Oe/
noa ab Agesilao cũ Piræũ occupasset constitu
tũ, cũcta illa cepit loca. Lacedæmonij uero ac
socij Lechæũ obtinebãt: at Corinthiorũ exules
propter acceptã cladẽ itinere pedestri ex Sicyo
ne ultra progredi minime ausi, sed præternaui/
gantes inde populabũdi discurrebãt, damnaq;
hostib. inferebant et patiebãtur. Achæi interea
cũ Chalydonẽ, quæ olĩ Aetoliæ erat, obtinerẽt:
nam Calydonios in ciuitatẽ receperãt, urbẽ ue
ro præsidio muniebãt: Acarnanes uero cũ Athe
niẽsib. ac Bœotijs quibusdã (nam socij erãt) cõ
tra illos exercitũ duxere. Achæi uero cum uehe
mẽter ab illis urgerẽtur, legatos Lacedæmonẽ
mittũt. Qui cũ in concionẽ pducti essent, indi/
gna se à Lacedæmonijs ppeti ostenderũt, ac ita
uerba fecere: Nos ô uiri quocũq; iubetis uobis
militamus, terraq; et mari quò ducitis sequimur.
Caterũ cum ab Acarnanib. ac socijs eorũ Athe
niensib. & Bœotijs obsidemur, penitus uos nul
lam nostri curã geritis. Proinde cũ illis resistere
minime ualeamus necesse erit ut derelicto Pelo
põnesiaco bello, contra Acarnanes & eorũ so
cios nos defendamus, aut pacem qualem possu
mus faciamus. Hæc dicebant, simul & socie/
tatẽ soluere minabantur, ni ipsis Lacedæmonij

opem tulissent. His auditis Ephori, ac concilium necesse esse rati, cum Achæis contra Acarnanes bellum suscipere. Agesilaum itaque cum legionibus duabus, ac sociorum parte in subsidium illis misere: cui Achæi universo se coniunxere populo. Agesilaus itaque cum hostium fines ingressus esset, Acarnanum fuga in civitates facta est: pecora vero cuncta, ne militibus prædæ essent, longius abegerunt. Agesilaus cum hosti appropinquaret, ad exercitum mittit Acarnanum, illisq; denunciat, ni Bœotiorum & Atheniensium derelinquerent societatem, Lacedæmoniorumq; susciperent amicitiam, se per provinciam grassaturum, nihilq; intactum relicturum. Verùm cum illi nihil sani responderent, Agesilaus universam regionem ferro & igni populatus est: nec ultra stadia duodecim singulis progressus est diebus. Acarnanes itaque cum propter exercitus progressionem lentam, securos se arbitrarentur, pecora ex montibus reducebant, agrósque colebant. At Agesilaus cum illos ob fiduciam nihil timere consideraret, decimasexta die postquam in hosticum agrum venerat, sub crepusculum copias movit; emensisq; die uno centum sexaginta stadijs, ad paludes ubi Acarnanum ferè omnia pascebantur pecora, pervenit, ibiq; ingentem cum boum tum equorum, variáque alia abegit iumenta ac pecora: insuper præda ingens parta, mancipia quoque multa capta sunt. Itaque diem eam ibi permansit, & spolia divendidit. Advenere interim Acarnanum clypeati haud pauci, qui hostes iuxta montes castra metatos securè adorti, iaculis & fundis incessebant, ita ut illos longe à montibus in plano castra locare cogerent. Ingruente nocte dormientibus custodibus Acarnanes discessere. Postridie cum Agesilaus castra moveret (erat vero exitus circa stagnum palustre, regio vero angusta ac undique montibus septa) Acarnanes in illum à dextra impetum faciunt, iaculisq; ac sagittis turbant: montium quoque transgressi cacumina, in illum ruebant, vehementerq; urgebant, ita ut exercitus ultra progredi haud valeret. Cumq; gravis armaturæ milites ac equites hostes insequuti essent, minime cum illis manum conserebant, sed celeriter dilapsi rursus montium petebant crepidines. Agesilaus itaque difficillimum ratus absque periculo angustias evadere, eos qui à sinistra illum manu ingenti vehementer premebant, adoriri statuit: mons enim ea parte peditibus ac equitibus permeabilis erat. Cumq; litaret, passim Acarnanes iaculis ac

ἀντεπικουρήσουσι. τούτων δὲ λεγομένων, ἔδοξε τοῖς ἐφόροις καὶ τῇ ἐκκλησίᾳ, ἀναγκαῖον εἶναι στρατεύεσθαι μετὰ τῶν ἀχαιῶν ἐπὶ τοὺς ἀκαρνᾶνας. καὶ ἐκπέμπουσι τὸν ἀγησίλαον δύο μόρας ἔχοντα, καὶ τῶν συμμάχων τὸ μέρος. οἱ μέντοι ἀχαιοὶ πανδημεὶ συνεστρατεύοντο. ἐπεὶ δὲ διέβη ὁ ἀγησίλαος, πάντες μὲν οἱ ἐκ τῶν ἀγρῶν ἀκαρνᾶνες ἔφυγον εἰς τὰ ἄστη. πάντα δὲ τὰ βοσκήματα ἀπεχώρησε πόῤῥω, ὅπως μὴ ἁλίσκηται ὑπὸ τοῦ στρατεύματος. ὁ δ᾽ ἀγησίλαος, ἐπειδὴ ἐγένετο ἐν τοῖς ὁρίοις τῆς πολεμίας, πέμψας εἰς στρατὸν παρὰ τὸ κοινὸν τῶν ἀκαρνάνων, εἶπεν, ὡς εἰ μὴ παυσάμενοι τῆς πρὸς βοιωτοὺς καὶ ἀθηναίους συμμαχίας, ἑαυτοὺς καὶ τοὺς συμμάχους αἱρήσονται, δῃώσοι πᾶσαν τὴν γῆν αὐτῶν ἐφεξῆς, καὶ παραλείψοι οὐδὲν. ἐπεὶ δὲ οὐκ ἐπείθοντο, οὕτως ἐποίει. καὶ κόπτων συνεχῶς τὴν χώραν, οὐ προῄει πλέον τῆς ἡμέρας, ἢ δώδεκα σταδίων. οἱ μὲν οὖν ἀκαρνᾶνες ἡγησάμενοι ἀσφαλὲς εἶναι διὰ τὴν βραδυτῆτα τοῦ στρατεύματος, τά τε βοσκήματα κατεβίβαζον ἐκ τῶν ὀρῶν, καὶ τῆς χώρας τὰ πλεῖστα εἰργάζοντο. ἐπειδὴ δὲ ἐδόκουν τῷ ἀγησιλάῳ πάνυ ἤδη θαῤῥεῖν ἡμέρᾳ πέμπτῃ ἢ ἕκτῃ καὶ δεκάτῃ, ἀφ᾽ ἧς εἰσέβαλε θυσάμενος πρῲ, διεπορεύθη πρὸ δείλης ἑξήκοντα καὶ ἑκατὸν στάδια ἐπὶ τὴν λίμνην, περὶ ἣν τὰ βοσκήματα τῶν ἀκαρνάνων σχεδὸν πάντα ἦν, καὶ ἔλαβε παμπληθῆ, καὶ βουκόλια, καὶ ἱπποφόρβια, καὶ ἄλλα παντοδαπὰ βοσκήματα, καὶ ἀνδράποδα πολλά. λαβὼν δὲ, καὶ μείνας αὐτοῦ τὴν ἐπιοῦσαν ἡμέραν, διεπώλει τὰ αἰχμάλωτα. τῶν μέντοι ἀκαρνάνων πολλοὶ πελτασταὶ ἦλθον. καὶ πρὸς τῷ ὄρει σκηνοῦντος τοῦ ἀγησιλάου, βάλλοντες, καὶ σφενδονῶντες, ἔπασχον μὲν οὐδὲν, κατεβίβασαν δὲ εἰς τὸ ὁμαλὸν τὸ στράτευμα ἀπὸ τῆς ἀκρωνυχίας τοῦ ὄρους, καίπερ ἤδη περὶ δεῖπνον παρασκευαζομένους. εἰς δὲ τὴν νύκτα οἱ μὲν ἀκαρνᾶνες ἀπῆλθον. οἱ δὲ στρατιῶται φυλακὰς καταστησάμενοι, ἐκάθευδον. τῇ δ᾽ ὑστεραίᾳ ἀπῆγεν ὁ ἀγησίλαος τὸ στράτευμα. καὶ ἦν μὲν ἡ ἔξοδος ἐκ τοῦ περὶ τὴν λίμνην λειμῶνός τε καὶ πεδίου στενὴ, διὰ τὰ κύκλῳ περιέχοντα ὄρη. καταλαβόντες δὲ οἱ ἀκαρνᾶνες ἐκ τῶν ὑπερδεξίων, ἔβαλλόν τε καὶ ἠκόντιζον, καὶ ὑποκαταβαίνοντες εἰς τὰ κράσπεδα τῶν ὀρῶν, προσέκειντο, καὶ πράγματα παρεῖχον. ὥστε οὐκέτι ἐδύνατο τὸ στράτευμα πορεύεσθαι. ἐπιδιώκοντες δὲ ἀπὸ τῆς φάλαγγος οἵ τε ὁπλῖται καὶ οἱ ἱππεῖς, τοὺς ἐπιτιθεμένους οὐδὲν ἔβλαπτον. ταχὺ γὰρ ἦσαν ὁπότε ἀποχωροῖεν πρὸς τοῖς ἰσχυροῖς οἱ ἀκαρνᾶνες. χαλεπὸν δὲ ἡγησάμενος ὁ ἀγησίλαος διὰ τοῦ στενοπόρου ἐξελθεῖν ταῦτα πάσχοντας, ἔγνω διώκειν τοὺς ἐκ τῶν εὐωνύμων προσκειμένους, μάλα πολλοὺς ὄντας. εὐβατώτερον γὰρ ἦν τοῦτο τὸ ὄρος καὶ ὁπλίταις καὶ ἵπποις. καὶ ἐν ᾧ μὲν ἐσφαγιάζετο, μάλα κατεῖχον βάλλοντες καὶ ἀκοντίζοντες οἱ ἀκαρνᾶνες. καὶ οὐκ ἐγγὺς προσιόντες, πολλοὺς ἐτίτρωσκον. ἐπεὶ δὲ παρήγγειλεν, ἔθει μὲν ἐκ τῶν ὁπλιτῶν τὰ πεντεκαίδεκα ἀφ᾽ ἥβης. ἤλαυνον δὲ οἱ ἱππεῖς. αὐτὸς δὲ σὺν τοῖς ἄλλοις ἠκολούθει. οἱ μὲν οὖν ὑποκαταβεβηκότες τῶν ἀκαρνάνων, καὶ ἀκροβολιζόμενοι, ταχὺ ἐνέκλιναν. καὶ ἀπέθνησκον, φεύγοντες πρὸς τὸ ἄναντες. ἐπεὶ μέντοι τοῦ ἀκροτάτου οἱ ὁπλῖται ἦσαν τῶν ἀκαρνάνων παρατεταγμένοι, καὶ τῶν πελτα-

σῶν

τῶν τὸ πολὺ, καὶ ἐντεῦθεν ἐπὶ μὲν ὅσον, καὶ τά τε ἄλλα βέλη
ἀφίεσαν, καὶ τοῖς δόρασιν ἐξακοντίζοντες, ἱππέας τε
κατέτρωσαν, καὶ ἵππους τινὰς ἀπέκτειναν. ἐπεὶ μέντοι μι
κροῦ ἔδεον ἤδη ἐν χερσὶ τῶν λακεδαιμονίων ὁπλιτῶν εἶναι,
ἐνέκλιναν, καὶ ἀπέθανον αὐτῶν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ περὶ
τριακοσίους. τούτων δὲ γενομένων, ὁ ἀγησίλαος τρόπαιον
ἐστήσατο. καὶ τὸ ἀπὸ τούτου περιιὼν περὶ τὴν χώραν, ἔκοπτε,
καὶ ἔκαε. πρὸς ἐνίας δὲ τῶν πόλεων, καὶ προσέβαλεν ὑπὸ
τῶν ἀχαιῶν ἀναγκαζόμενος. οὐ μὴν εἷλέ γε οὐδεμίαν.
ἡνίκα δὲ ἤδη ἐπεγίγνετο τὸ μετόπωρον, ἀπῄει ἐκ τῆς χώ
ρας. οἱ δὲ ἀχαιοὶ οὐ πεποιηκέναι τι οὐδὲν ἐνόμιζον αὐτὸν,
ὅτι πόλιν οὐδεμίαν προσειλήφει οὔτε ἑκοῦσαν, οὔτε ἄκου
σαν. ἐδέοντό τε εἰ μηδὲν ἄλλο, ἀλλὰ τοσοῦτόν γε χρόνον
καταμεῖναι αὐτὸν, ἕως ἂν τὸν σπορητὸν διακωλύσῃ τοῖς
ἀκαρνᾶσιν. ὁ δὲ ἀπεκρίνατο, ὅτι τὰ ἐναντία λέγοιεν τοῦ
συμφέροντος. ἐγὼ μὲν γὰρ, ἔφη, στρατεύσομαι δεῦρο εἰς
τὸ αὖθις θέρος. οὗτοι δὲ ὅσῳ ἂν πλείω σπείρωσι, τοσούτῳ
μᾶλλον τῆς εἰρήνης ἐπιθυμήσουσι. ταῦτα δ' εἰπὼν, ἀπῄει
πεζῇ δι' αἰτωλίας τοιαύτας ὁδοὺς, ἃς οὔτε πολλοὶ, οὔτε ὀ-
λίγοι δύναιντ' ἂν ἀκόντων αἰτωλῶν πορεύεσθαι. ἐκεῖνον
μέντοι εἴασαν διελθεῖν. ἤλπιζον γὰρ ναύπακτον αὐτοῖς
συμπράξειν ὥστε ἀπολαβεῖν. ἐπεὶ δ' ἐγένετο κατὰ τὸ ῥίον,
ταύτῃ διαβὰς, οἴκαδε ἀπῆλθε. καὶ γὰρ τὸν ἐκ καλυδῶ
νος εἰς πελοπόννησον, οἱ ἀθηναῖοι ἐκώλυον
τριήρεσιν, ὁρμώμενοι ἐξ οἰνιαδῶν. παρελθόντος δὲ τοῦ
χειμῶνος, ὥσπερ ὑπέσχετο τοῖς ἀχαιοῖς, εὐθὺς ἀρχομέ
νου τοῦ ἦρος, πάλιν φρουρὰν ἔφαινεν ἐπὶ τοὺς ἀκαρνᾶνας.
οἱ δὲ αἰσθόμενοι, καὶ νομίσαντες διὰ τὸ ἐν μεσογαίᾳ σφί
σι τὰς πόλεις εἶναι, ὁμοίως ἂν πολιορκεῖσθαι ὑπὸ τῶν τὸν σῖ
τον φθειρόντων, ὥσπερ εἰ περιεστρατοπεδευσάμενοι πο
λιορκοῖντο, ἔπεμψαν πρέσβεις εἰς τὴν λακεδαίμονα, καὶ
εἰρήνην μὲν πρὸς τοὺς ἀχαιοὺς, συμμαχίαν δὲ πρὸς τοὺς λα
κεδαιμονίους ἐποιήσαντο. καὶ τὰ μὲν περὶ ἀκαρνᾶνας
οὕτω διεπέπρακτο. ἐκ δὲ τούτου τοῖς λακεδαιμονίοις τὸ
μὲν ἐπ' ἀθηναίους ἢ βοιωτοὺς στρατεύειν οὐκ ἐδόκει ἀσφα-
λὲς εἶναι, ὄπισθεν καταλιπόντας ὅμορον τῇ λακεδαίμονι
πολεμίαν οὕτω, καὶ μεγάλην τὴν τῶν ἀργείων πόλιν.
εἰς δὲ τὸ ἄργος φρουρὰν φαίνουσιν. ὁ δὲ ἀγησίπολις ἐπεὶ
ἔγνω ὅτι εἴη αὐτῷ ἡγητέον τῆς φρουρᾶς, καὶ τὰ διαβατήρια
θυομένῳ ἐγένετο, ἐλθὼν εἰς τὴν ὀλυμπίαν χρηστηριαζόμε
νος, ἐπηρώτα τὸν θεὸν, εἰ ὁσίως ἂν ἔχοι αὐτῷ μὴ δεχομέ
νῳ τὰς σπονδὰς τῶν ἀργείων, ὅτι οὐχ ὁπότε καθήκοι ὁ χρό-
νος, ἀλλ' ὁπότε ἐμβάλλειν μέλλοιεν λακεδαιμόνιοι, τό
τε ὑπέφερον τοὺς μῆνας. ὁ δὲ θεὸς ἐπεσήμαινεν αὐτῷ ὅ-
σιον εἶναι μὴ δεχομένῳ σπονδὰς ἀδίκως ὑποφερομένας.
ἐκεῖθεν δ' εὐθὺς πορευθεὶς εἰς δελφοὺς, ἐπήρετο αὖ
τὸν ἀπόλλω εἰ κἀκείνῳ δοκοίη περὶ τῶν σπονδῶν, κα-
θάπερ τῷ πατρί. ὁ δὲ ἀπεκρίνατο, καὶ μάλα κατὰ ταυτά.
καὶ οὕτω δὴ ἀγησίπολις ἀναλαβὼν ἐκ φλιοῦντος τὸ στρά
τευμα, ἐκεῖσε γὰρ αὐτῷ συνελέγετο, ἕως πρὸς τὰ ἱερὰ
ἀπεδήμει, ἐνέβαλε διὰ νεμέας. οἱ δ' ἀργεῖοι ἐπεὶ ἔγνω-
σαν οὐ δυνησόμενοι κωλύειν, ἔπεμψαν ὥσπερ εἰώθεσαν
ἐστεφανωμένους δύο κήρυκας, ὑποφέροντας σπονδάς.
ὁ δὲ ἀγησίπολις ἀποκρινάμενος, ὅτι οὐ δοκοῖεν τοῖς θεοῖς
δικαίως ὑποφέρειν, οὐκ ἐδέχετο τὰς σπονδὰς, ἀλλ'
ἐνέβαλε, καὶ πολλὴν ἀπορίαν, καὶ ἔκπληξιν κατά τε τοὺς
ἀγροὺς,

lis ac sagittis illum incessebant, nec tamen pro-
pe accedebant, sed à longa multos uulnerabant.
Ille uero cum iuniores cum equitibus excurrere
iußisset, ipse cum toto exercitus robore sequutus
est. Acarnanes emißis sagittis ac iaculis, ad mon
tium refugiebāt summitates, aliqui tamen in fuga
cecidere. Sed cum ad cacumina ubi grauis arma
turæ erāt milites peruenissent, rursus sumptis ha
stis ac iaculis equites feriebāt, et equos quosdam
interfecerūt. Verū cum manū cum grauis arma-
turæ milit. conserendā esse uiderēt, rursus fugā
capessunt: occubuereq; die illa circiter tercentū.
His gestis Agesilaus trophæū erigit, ac incursio-
nē in agros facit, cūctaq; ferro ac flāma uastauit.
Aliquas quoq; cogentib. Achæis aggressus est ci
uitates, uerū nullā cepit. Cumq; iam autūnus in-
staret, è regione discessit. At Achæi quia ciuitatē
nullā ui seu spōte ceperat, nihil illū egisse rati, sal
tem tātisper eum manere rogabāt, ut Acarnani-
bus ne terræ semina mandarēt prohibere posset:
quos ille haud recte sentire ostēdit: ego enim, in-
quit, incūte uere iterū cum copijs adero: illi uero
quāto plus seminarūt, tanto citius pacis tenebun
tur desiderio. His dictis tale per Aetoliā iter face
re instituit, quale inuitis Aetolis nunquā facere
potuisset: uerū illi minime impedimēto fuere, spe
rabāt enim Naupactum recuperare posse. At ille
Rhiū transgressus domū reuertit. Athenienses in-
terea ex Oeniade triremib. progreßi, nauigatio-
nē ex Calydone in Pelopōnesum prohibebāt. A-
gesilaus post exitū hyemis ac sub ueris initiū, rur
sus cum exercitu in Acarnaniā transgressus est.
Acarnanes quia mediterraneam incolebāt regio
nē, ac propter frumēti euastationē et penuriā, ob
sidionē formidabant, timebāt pariter ne ad extre
mā deducerentur egestatē. Legatos itaq; Lacedæ
monē mittūt, pacemq; cum Achæis, societatē ue
ro cum Lacedæmonijs pepigere. Et Acarnanum
res hoc pacto trāsacta est. Inde cū Lacedæmonij
haud tutū esse uiderēt bellum Atheniēsib. et Bœ
otijs inferre, relicta à tergo Argiuorū urbe hosti
li, cōtermina, ac magna, Argos primum aggredi
statuerūt. Agesipolis itaq; cum sibi exercitum de
ducendū esse cerneret, ac pro felici trāsitu sacrifi
casset, Olympiā sortes consulturus profectus, de-
umq; sciscitatus est, nū iuste Argiuorū inducias
aspernari posset. Nā eo tēpore quo Lacedæmo-
nij Argiuos inuadere statuerāt, induciæ nondū fi
nitæ erant: At deus illi ostēdit, iustū esse inducias
nō rite oblatas respuere. Inde cōfestim Delphos
transgressus, Apollinē quoq; interrogauit, nū ip
se eadē quæ & pater de inducijs sentiret. Ille ue
ro in eandē respondit sententiā. Sic tandem Age
sipolis accepto ex Phliunto exercitu, illic enim
dum sortes consuleret collectus erat, per Neme-
am irruit. Argiui cum resistere posse diffiderent,
præcones duos coronatos, uti consueuerāt, indu
cias offerentes obuiam mittunt. At Agesipolis in
ducias quæ deis nō rite offerri uidebantur, haud
suscepit, sed ingressus uastitatem magnam per

provinciam fecit. Cumq; die prima in Argivorum coenasset terra, inducis vero coena iam sub oblatae essent, terra mota est. Lacedaemonij itaque cuncti Neptuno paeana exorsi sunt. Reliqui quoque milites reverti debere censebant: nam cum olim terraemotus factus esset, Agis ex Elide copias abduxerat. At Agesipolis ratus, si ante ingressum terra mota esset, recte incursum inhiberi: cum vero iam in terra esset hostili, eo signo ad bellum se hortari interpretabatur. Postridie itaque cum Neptuno sacrificasset, copijs haud longe progressus est. Cumq; non diu antea Agesilaus in Argivorum fines exercitum duxisset, Agesipolis diligenter quaesiuit, quamprope ad muros accessisset, ac quousque terram vastasset: tanquam enim pentathlos omnino illum superare contendebat. Cumq; undique à muro in illum tela iactarentur, rursus milites reduxit. Tam prope vero urbem accesserat, ut cum portubus incumberet, Boeotiorum equites qui ingredi nitebantur, ab Argiuis exclusi sint: timebant etenim ne Lacedaemonij pariter cum illis irrumperent, ita ut equites tanquam vespertiliones sub murorum propugnaculis delitescere cogerentur. Et nisi Cretenses in Naupliam procurrissent, multi cum viri tum equi in discrimen adducti fuissent. Inde cum castra collocasset, fulmen in exercitum decidit: à quo aliqui afflati, nonnulli vero icti, occubuere. Cum itaque munitionem aedificare vellet, praesidiumq; collocaret, rem sacram peregit. Sed cum dij precationi haud annuissent, exercitum reduxit ac dissoluit, magno detrimento affectis Argiuis: nam imparatos illos invaserat. Et in terra bellum hoc pacto gerebatur.

Quid vero dum haec agerentur, mari, ac à ciuitatibus gestum sit maritimis, deinde explicare conabor: resq; cognitu dignas scribam, minus vero dignas praetermittam. Pharnabazus igitur & Conon cum Lacedaemonios pugna vicissent navali, circumnavigantes Laconum praesidia, harmostas ex insulis ac maritimis eijciebant ciuitatibus: illisq; persuadebant, munitiones nullas in his erigere, sed liberas dimittere velle. Illi his auditis laetabantur ac exultabant, donaq; affatim Pharnabazo mittunt. Ille enim à Conone edoctus, si ita ageret, ciuitates omnes in amicitiam eius venturas. Si vero seruituti illas subijcere quaereret, unamquanque ciuitatem illi haud parum impedimentum praebere posse: periculumq; fore ne Graeci cum haec resciuissent, omnes illi resisterent. Pharnabazus itaque his persuasus rationibus Ephesum descendit: Cononi autem quadraginta navium classem tradidit, ac Sestum contendere iussit: ipse vero itinere pedestri in suam se recepit praefecturam. Erat tum forte cum bello navali pugnatum est, Dercyllides hostis illi vetus Abydi, à quo non ut alij harmostae exciderat, sed Abydum in Lacede-

ἀγρὸς, καὶ ἐν τῇ πόλει ἐποίησε. δειπνοποιουμένου δ' αὐτοῦ ἐν τῇ ἀργείᾳ τῇ πρώτῃ ἡμέρᾳ, καὶ σπονδῶν τῶν μετὰ τὸ δεῖπνον ἤδη γιγνομένων, ἔσεισεν ὁ θεός. καὶ οἱ μὲν λακεδαιμόνιοι ἀρξαμένων αὐτῶν ἀπὸ δημίας, πάντες ὕμνησαν τὸν περὶ τὸν ποσειδῶ παιᾶνα. οἱ δ' ἄλλοι στρατιῶται ᾤοντο ἀπιέναι, ὅτι καὶ ἆγις σεισμοῦ ποτε γενομένου ἀπήγαγεν ἐξ ἤλιδος. ὁ δὲ ἀγησίπολις, εἰ μὲν μέλλοντος αὐτοῦ ἐμβάλλειν, σείσειε, κωλύειν ἂν αὐτὸν ἡγεῖτο. ἐπεὶ δὲ ἐμβεβληκότος ἐπικελεύειν νομίζει. καὶ οὕτω τῇ ὑστεραίᾳ θυσάμενος τῷ ποσειδῶνι, ἡγεῖτο οὐ πόρρω εἰς τὴν χώραν. ἅτε δὲ νεωστὶ τοῦ ἀγησιλάου ἐστρατευμένου εἰς τὸ ἄργος, πυνθανόμενος ὁ ἀγησίπολις τῶν στρατιωτῶν μέχρι μὲν ποῖ πρὸς τὸ τεῖχος ἤγαγεν ὁ ἀγησίλαος, μέχρι δὲ ποῖ τὴν χώραν ἐδῄωσεν, ὥσπερ πένταθλος πάντῃ ἐπὶ τὸ πλέον ὑπερβάλλειν ἐπειρᾶτο. καὶ ἤδη μέν ποτε βαλλόμενος ἀπὸ τῶν πύργων, τὰς περὶ τὸ τεῖχος τάφρους πάλιν διέβη. ἦν δὲ ὅτε οἰχομένων τῶν πλείστων ἀργείων εἰς τὴν λακωνικήν, οὕτως ἐγγὺς πυλῶν προσῆλθεν, ὥστε οἱ πρὸς ταῖς πύλαις ὄντες τῶν ἀργείων, ἀπέκλεισαν τοὺς βοιωτῶν ἱππέας, εἰσελθεῖν βουλομένους, δείσαντες μὴ συνεισπέσοιεν κατὰ τὰς πύλας οἱ λακεδαιμόνιοι, ὥστε ἠναγκάσθησαν οἱ ἱππεῖς, ὥσπερ νυκτερίδες πρὸς τοῖς τείχεσιν ὑπὸ ταῖς ἐπάλξεσι προσαρρῆχαι. καὶ εἰ μὴ ἔτυχον τότε οἱ κρῆτες εἰς ναυπλίαν καταδεδραμηκότες, πολλοὶ ἂν καὶ ἄνδρες, καὶ ἵπποι κατετοξεύθησαν. ἐκ δὲ τούτου περὶ τὰς εἱρκτὰς στρατευομένου αὐτοῦ, πίπτει κεραυνὸς εἰς τὸ στρατόπεδον. καὶ οἱ μέν τινες πληγέντες, οἱ δὲ καὶ ἐμβροντηθέντες ἀπέθανον. ἐκ δὲ τούτου βουλόμενος τειχίσαι φρούριόν τι ἐπὶ ταῖς παρὰ κηλοῦσαν ἐμβολαῖς ἐθύετο. καὶ ἐφάνη αὐτῷ τὰ ἱερὰ ἄλοβα. ὡς δὲ τοῦτ' ἐγένετο, ἀπήγαγε τὸ στράτευμα, καὶ διέλυσε, μάλα πολλὰ βλάψας τοὺς ἀργείους, ἅτε ἀπροσδοκήτως αὐτοῖς ἐμβαλών. καὶ ὁ μὲν δὴ κατὰ γῆν πόλεμος οὕτως ἐπολεμεῖτο. ἐν ᾧ δὲ ταῦτα πάντα ἐπράττετο, τὰ κατὰ θάλατταν αὖ, καὶ τὰς πρὸς θαλάττῃ πόλεις γενόμενα διηγήσομαι, καὶ τῶν πράξεων τὰς μὲν ἀξιομνημονεύτους γράψω· τὰς δὲ μὴ ἀξίας λόγου παρήσω. πρῶτον μὲν τοίνυν φαρνάβαζος καὶ κόνων, ἐπεὶ ἐνίκησαν τοὺς λακεδαιμονίους τῇ ναυμαχίᾳ, περιπλέοντες καὶ τὰς νήσους, καὶ πρὸς τὰς ἐπιθαλαττιδίας πόλεις, τούς τε λακωνικοὺς ἁρμοστὰς ἐξήλαυνον, καὶ παρεμυθοῦντο τὰς πόλεις, ὡς οὔτε ἀκροπόλεις ἐντειχίσαιεν, ἐάσαιέν τε αὐτονόμους. οἱ δὲ ἀκούοντες ταῦτα, ἥδοντό τε καὶ ἐπῄνουν, καὶ ξένια προθύμως ἔπεμπον τῷ φαρναβάζῳ. καὶ γὰρ ὁ κόνων τὸν φαρνάβαζον ἐδίδασκεν, ὡς οὕτω μὲν ποιοῦντι, πᾶσαι αὐτῷ αἱ πόλεις φίλιαι ἔσονται. εἰ δὲ δουλώσασθαι βουλόμενος, φανερὸς ἔσοιτο, ἔλεγεν, ὡς μία ἑκάστη πόλις πολλὰ πράγματα ἱκανὴ εἴη παρέχειν, καὶ κίνδυνος εἴη μὴ καὶ οἱ ἕλληνες, εἰ ταῦτα αἴσθοιντο, συσταῖεν. ταῦτα μὲν οὖν ἐπείθετο ὁ φαρνάβαζος. ἀποβὰς δ' εἰς ἔφεσον, τῷ μὲν κόνωνι δοὺς τετταράκοντα τριήρεις, εἰς σηστὸν ἔφη ἀπαντᾶν. αὐτὸς δὲ πεζῇ παρῄει ἐπὶ τὴν αὐτοῦ ἀρχήν. καὶ γὰρ ὁ δερκυλλίδας ὥσπερ καὶ πάλαι πολέμιος ἦν αὐτῷ, ἔτυχεν ἐν ἀβύδῳ ὢν ὅτε ἡ ναυμαχία ἐγένετο. καὶ οὐχ ὥσπερ οἱ ἄλλοι ἁρμοσταὶ ἐξέλιπεν, ἀλλὰ κατέσχε τὴν ἄβυδον, καὶ διέσωζε φίλην τοῖς λακεδαι-

λακεδαιμονίοις. καὶ γὰρ πρόσθεν συγκαλέσας τοὺς ἀβυδηνούς, ἔλεξε τοιάδε· ὦ ἄνδρες, νῦν ἔξεστιν ὑμῖν καὶ πρόσθεν φίλοις οὖσι τῇ πόλει ἡμῶν, εὐεργέτας φανῆναι τῶν λακεδαιμονίων. τὸ γὰρ ἐν ταῖς εὐπραξίαις πιστοὺς φαίνεσθαι, οὐδὲν θαυμαστόν. ὅταν δέ τινες ἐν συμφοραῖς γενομένων φίλων, βέβαιοι φανῶσι, τοῦτ' εἰς τὸν ἅπαντα χρόνον μνημονεύεται. ἔστι δὲ οὐχ οὕτως ἔχον, εἰ τῇ ναυμαχίᾳ ἐκρατήθημεν, οὐδὲν ἄρα ἔτι ἐσμέν, ἀλλὰ καὶ τὸ πρόσθεν δήπου ἀθηναίων ἀρχόντων τῆς θαλάττης, ἱκανὴ ἦν ἡ ἡμετέρα πόλις, καὶ εὖ φίλους, καὶ κακῶς ἐχθροὺς ποιεῖν. ὅσῳ δὲ μᾶλλον αἱ ἄλλαι πόλεις σὺν τῇ τύχῃ ἀπεστράφησαν ἡμῶν, τοσούτῳ ὄντως ἡ ὑμετέρα πίστις μείζων φανείη ἄν. εἰ δέ τισι τοῦτο φαίνεται μὴ κατὰ γῆν καὶ κατὰ θάλατταν, ἐνθάδε πολιορκώμεθα, ἐννοείτω ὅτι ἑλληνικὸν μὲν οὔπω ναυτικόν ἐστιν ἐν τῇ θαλάττῃ, εἰ δὲ βάρβαροι ἐπιχειρήσουσι τῆς θαλάττης ἄρχειν, οὐκ ἀνέξεται ταῦτα ἡ ἑλλάς. ὥσθ' ἑαυτῇ ἐπικουροῦσα, καὶ ὑμῖν σύμμαχος γενήσεται. οἱ μέντοι ταῦτα ἀκούοντες οὐκ ἀκόντως, ἀλλὰ προθύμως ἐπείσθησαν. καὶ τοὺς μὲν ἰόντας ἁρμοστὰς, φιλίως ἐδέχοντο. τοὺς δὲ ἀπόντας, μετεπέμποντο. ὁ δὲ δερκυλλίδας, ὡς συνελέγησαν πολλοὶ καὶ χρήσιμοι ἄνδρες εἰς τὴν πόλιν, διαβὰς καὶ εἰς σηστὸν καταντικρὺ ὄντα ἀβύδου, καὶ ἀπέχοντα οὐ πλεῖον ὀκτὼ σταδίων, ὅσοι τε διὰ λακεδαιμονίους γῆν εἶχον ἐν χερρονήσῳ ἤθροιζε, καὶ ὅσοι αὖ ἐκ τῶν ἐν τῇ εὐρώπῃ πόλεων ἁρμοσταὶ ἐξέπιπτον, καὶ τούτους ἐδέχετο, λέγων, ὅτι οὐδ' ἐκείνους ἀθυμεῖν δεῖ, ἐννοουμένους ὅτι καὶ ἐν τῇ ἀσίᾳ, ἣ ἐξ ἀρχῆς βασιλέως ἐστί, καὶ τῆμνος οὐ μεγάλη πόλις, καὶ αἰγιεῖς, καὶ ἄλλα γε χωρία δύνανται οἰκεῖν, οὐχ ὑπήκοα ὄντα βασιλέως. καίτοι, ἔφη, ποῖον μὲν ἰσχυρότερον σηστοῦ λάβοιτε χωρίον, ποῖον δὲ δυσπολιορκητότερον; ὃ καὶ νεῶν καὶ πεζῶν δεῖται, εἰ μέλλοι πολιορκηθήσεσθαι. τούτους αὖ τοιαῦτα λέγων, ἔσχε τοῦ μὴ ἐκπεπλῆχθαι. ὁ δὲ φαρνάβαζος ἐπεὶ εὗρε τήν τε ἄβυδον, καὶ τὴν σηστὸν οὕτως ἔχοντα, προηγόρευεν αὐτοῖς, ὡς εἰ μὴ ἐκπέμψοιεν τοὺς λακεδαιμονίους, πόλεμον ἐξοίσει μετ' αὐτῶν. ἐπεὶ δὲ οὐκ ἐπείθοντο, κόνωνι μὲν προσέταξε κωλύειν αὐτοὺς τὴν θάλατταν πλεῖν. αὐτὸς δὲ ἐδῄου τὴν τῶν ἀβυδηνῶν χώραν. ἐπεὶ δὲ οὐδὲν ἐπέραινε πρὸς τὸ καταστρέψασθαι, αὐτὸς μὲν ἐπ' οἴκου ἀπῆλθε. τὸν δὲ κόνωνα ἐκέλευσεν εὐτρεπίζεσθαι τὰς καθ' ἑλλήσποντον πόλεις, ὅπως εἰς τὸ ἔαρ ὅτι πλεῖστον ναυτικὸν ἀθροισθείη. ὀργιζόμενος γὰρ τοῖς λακεδαιμονίοις ἀνθ' ὧν ἐπεπόνθει, περὶ παντὸς ἐποιεῖτο ἐλθεῖν τε εἰς τὴν χώραν αὐτῶν, καὶ τιμωρήσασθαι ὅ,τι δύναιτο. καὶ τὸν μὲν χειμῶνα ἐν τούτοις ὄντες διῆγον. ἅμα δὲ τῷ ἔαρι ναῦς τε πολλὰς συμπληρώσας, καὶ ξενικὸν προσμισθωσάμενος, ἔπλευσεν ὅ τε φαρνάβαζος καὶ ὁ κόνων μετ' αὐτοῦ διὰ νήσων εἰς μῆλον. ἐκεῖθεν δὲ ὁρμώμενοι, εἰς τὴν λακεδαίμονα. καταπλεύσας δὲ πρῶτον εἰς φεράς, ἐδῄωσε ταύτην τὴν χώραν. ἔπειτα καὶ ἄλλοσε ἀποβαίνων τῆς παραθαλαττίας, ἐκακούργει ὅ,τι ἐδύνατο. φοβούμενος δὲ τήν τε ἀλιμενότητα τῆς χώρας, καὶ τὰς τῆς βοηθείας, καὶ τὰς τῆς σπανοσιτείας, ταχύ τε ἀνέστρεψε. καὶ ἀποπλέων, ὡρμίσθη τῆς κυθηρίας εἰς φοινικοῦντα. ἐπεὶ δὲ οἱ ἔχοντες τὴν πόλιν τῶν κυθηρίων, φοβηθέντες μὴ κατὰ κράτος ἁλοῖεν, ἐξέλιπον

Lacedæmoniorum continebat amicitia: hic igitur conuocatis Abydenis ita loquutus est: Nunc uobis, ò uiri, cum ueteri amicitia ciuitati nostræ coniuncti sitis, propositũ est, ut benefactores Lacedæmoniorũ uos ostendere possitis: etenim in felicitate fidem seruare nihil arduũ esse uidetur: uerũ cũ quispiã in amici calamitate constans permanet, id omni æuo memoria retinendũ erit. Proinde nos quauis bello nauali uicti sumus, nõ tamen idcirco omnino perimus. Nam & antea cum Athenienses maris tenerent imperiũ, ciuitas nostra et bene amicis, male uero inimicis facere potens fuit. Porro quanto leuius ciuitates reliquæ cum fortuna à nobis deficiunt, tanto fides uestra maior et cõstantior apparebit. Si uero ne terra mariq; hic obsideamur quidam uerentur, nouerint classem græcã nullam in mari esse. Quod si barbari Ponto imperare quærent, Græciã haud id toleraturã, sed nobis sponte auxiliũ laturam, ac sociã futurã sciãt. Abydeni igitur haud grauate hæc audierũt, alacriterq; illi paruere, harmostasq; applicãtes amicabiliter suscipientes, abeũtes uero omni prosequebãtur humanitate. At Dercyllides collectis in urbem multis ac fortib. uiris, Sestũ transcendit (est oppidum in Asia cõtra Abydum, haud plus octo stadijs ab Europa diremptum) eosq; qui Lacedæmoniorũ causa terrã exilio uertebãt, in Cherroneso cõgregauit. Harmostas quoq; q ciuitatib. Europæ exciderãt suscepit, eosq; haud nimium tristari debere ostendit, si ppenderent, qđ et in Asia, quæ semp regis fuerat, Temnum, Aegios, et alias quoq; regiones incolere possent, quæ regi minime parerent. Sed quã munitiorem, inquit, Sesto inuenietis regionẽ, quãq; magis inexpugnabilem: quæ si obsideri debet, et peditatu et classe indiget. His dictis illos solatus est. At Pharnabazus postq̃ Sestum et Abydum in eo statu offendit, minaciter illis denunciat, ni Lacedæmonios ejicerent, pro hostib. eos habiturum. Sed cum minime parerent, Cononem eos à maris nauigatione prohibere iubet, ipse uero Abydenorum uastabat agrum. Cumq; nihil se proficere cerneret, domum regressus est, Cononem uero Hellespontiacas hortari iubet ciuitates, ut incunte uere classem quammaximã cõpararent: siquidem Lacedæmonijs ob ea quæ passus fuerat subirascebatur, quapropter eorũ fines inuadere, & se de acceptis iniurijs quãtũ posset uindicare nitebatur. Per totã itaq; hyemẽ his incumbebant iuuenes. Vere Pharnabazus collectis nauibus, ac peregrino conducto milite, Conone quoq; secum assumpto, per insulas in Melum nauigauit, ut inde potissimum oram Laconicã inuaderet. Principioq; Pheras delatus, totã regionẽ ferro ac igni populatus est. Inde cum in alijs quoque maritimis descẽdisset locis, fœda populatione quantum poterat omnia uastauit. Verùm cum orã eam importuosam esse cerneret, ueritus prætereà auxilia hostilia, ac cõmeatus penuriã, celeriter inde regressus est, ac in Cytheriã translatus Phœnicuntem adortus est. At coloni qui Cytheriam habitabant ueriti ne ciuitas ui caperetur, urbem dedidere,

didere, quos omnes per inducias in Laconicam dimisit: oppidóque militari opere munito, praesidium ac Nicophebum Atheniensem praefectum ibi reliquit. His actis in Isthmum Corinthiorum transmisit, sociosque ad bellum hortatus est, ac iussit ut utros regi fidos se ostenderent: pecuniasq; omnes quas secum tulerat illis reliquit, exercitum uero in Asiam deportauit. Conon uero illi suasit, ut classem ei attribueret, quam ex insulis alere promittebat: se enim in patriam reuersurum ac longos muros restauraturum, Piraeumq; muniturum obtulit: pro certo enim se scire aiebat, nihil molestius hac re Lacedaemonijs accidere posse. Si enim, inquit, Atheniensibus in his morem gesseris, Lacedaemonios recte ulcisceris. Qua enim in re maxime laborarunt, eam tu omnino uanam ac inutilem reddes. Pharnabazus his auditis mox Cononem cum nauium parte Athenas dimisit, pecuniasq; illi ad opus elargitus est. At ille diligenter rem exequutus, breui muros refecit, ac in pristinum penitus restituit statum, fabris omnibus ac reliquis necessarijs regia solutis pecunia. Iuuerunt Athenienses, Boeotij, & ciuitates reliquae, quae ex professo Laconicum oderant nomen. Corinthij interim pecunijs quas Pharnabazus reliquerat naues instruunt, ac milite complent: Agathinumq; classis constituunt praefectum, planeq; in Achaico ac Lechaeo dominabantur sinu. E contra Lacedaemonij quoque classem comparant, cui Polemarchum praeficiunt. At cum ille in conflictu quodam cecidisset, Erippides classem suscepit: Proaenusq; Corinthius naues, quae cum Agathino erant, accepit, ac Rhium dereliquit: quod quidem Lacedaemonij confestim occuparunt. Inde Teleutias ad Erippidis peruenit naues, & ille sinum rursus in Lacedaemoniorum redegit potestatem. Lacedaemonij interea audientes Cononem muros Athenienses ex regijs instaurare pecunijs, classemq; ex insulis & ciuitatibus maritimis Epiri alere: rati si Tiribazum regis praefectum in suas traducerent partes, Cononem amplius classem sustentare haud posse: quapropter Antalcidem ad Tiribazum qui haec ageret, mittunt: simul aduiti iubent, ut pacem cum rege componere posset. Athenienses ueriti ne res suae renascentes medio cursu regio destituerentur fauore, Cononem, Hermogenem, Dionem, Callisthenem, & Callimedontem legatos in Asiam mittunt. Thebani, Corinthij, & Argiui suos & ipsi misere legatos. Antalcides cum ad Tiribazum uenisset, illi se à ciuitate, ut pacem à rege peteret, missum ostendit esse: conditiones uero esse tales, quales rex ipse olim desiderasset. De Graecis enim quae in Asia erant ciuitatibus, Lacedaemonios regi minime impedimento fore, quò minus illis ex libito uteretur. Insulae uero omnes ac reliquae ciuitates liberi iuris essent. Cúmque ita sentimus, inquit, cur nam Graecos, aut regem contra nos bellum gerere, pecuniasq; dilapidare necesse est? Si enim ciuitates liberae erunt, omnis inter regem, Athen-

πρὶν τὰ τείχη. ἐκείνους μὲν ὑποσπόνδους ἀφῆκεν εἰς τὴν λακωνικήν· αὐτὸς δὲ ἐπισκευάσας τὸ τῶν κυθηρίων τεῖχος, φρουρούς τε καὶ νικόφημον ἀθηναῖον ἁρμοστὴν ἐν τοῖς κυθηρίοις κατέλιπε. ταῦτα δὲ ποιήσας, καὶ εἰς ἰσθμὸν τῆς κορινθίας καταπλεύσας, καὶ παρακελευσάμενος τοῖς συμμάχοις προθύμως τε πολεμεῖν, καὶ ἄνδρας πιστοὺς φαίνεσθαι βασιλεῖ, καταλιπὼν αὐτοῖς χρήματα ὅσα εἶχεν, ᾤχετο ἐπ' οἴκου ἀποπλέων. λέγοντος δὲ τοῦ κόνωνος, εἰ ἐῴη αὐτὸν ἔχειν τὸ ναυτικόν, θρέψειν μὲν ἀπὸ τῶν νήσων, καταπλεύσας δ' εἰς τὴν πατρίδα, συναναστήσειν τά τε μακρὰ τείχη τοῖς ἀθηναίοις, καὶ τὸ περὶ τὸν πειραιᾶ τεῖχος. οὗ εἰδέναι ἔφη ὅτι λακεδαιμονίοις οὐδὲν ἂν βαρύτερον γένοιτο. καὶ τοίνυν, ἔφη, σὺ τοῖς μὲν ἀθηναίοις κεχαρισμένος ἔσῃ. τοὺς δὲ λακεδαιμονίους τετιμωρημένος. ἐφ' ᾧ γὰρ πλεῖστα ἐπόνησαν, ἀτελῆ αὐτοὺς ποιήσεις. ὁ δὲ φαρνάβαζος ἀκούσας ταῦτα, ἀπέστειλεν αὐτὸν προθύμως εἰς τὰς ἀθήνας, καὶ χρήματα προσέθηκεν αὐτῷ εἰς τὸν ἀνατειχισμόν. ὁ δὲ ἀφικόμενος, πολὺ τοῦ τείχους ὤρθωσε, τά τε αὐτοῦ πληρώματα παρέχων, καὶ τέκτοσι, καὶ λιθολόγοις μισθὸν διδούς, καὶ εἴ τι ἄλλο ἀναγκαῖον ἦν δαπανῶν. ἦν μέντοι τοῦ τείχους ἃ καὶ αὐτοὶ ἀθηναῖοι, καὶ βοιωτοί, καὶ ἄλλαι πόλεις ἐθελούσιαι συνετείχισαν. οἱ μέντοι κορίνθιοι ἀφ' ὧν ὁ φαρνάβαζος κατέλιπε χρημάτων, ναῦς πληρώσαντες, καὶ ἀγαθῖνον ναύαρχον ἐπιστήσαντες, ἐθαλαττοκράτουν ἐν τῷ περὶ ἀχαΐαν, καὶ λέχαιον κόλπῳ. ἀντεπλήρωσαν δὲ καὶ οἱ λακεδαιμόνιοι ναῦς, ὧν ἦρχε πολέμαρχος. ἐπεὶ δὲ οὗτος ἐν προσβολῇ τινι γενόμενος ἀπέθανε, καὶ πόλλις αὖ ἐπιστολεὺς ὢν τρωθείς, ἀπῆλθεν, ἡριππίδας ταύτας ἀναλαμβάνει τὰς ναῦς. πρόαινος μέντοι κορίνθιος τὰς παρ' ἀγαθίνου παραλαβὼν ναῦς, ἐξέλιπε τὸ ῥίον. λακεδαιμόνιοι δ' αὐτὸ παρέλαβον. μετὰ δὲ τοῦτο τελευτίας ἐπὶ τὰς ἡριππίδου ναῦς ἦλθε, καὶ οὗτος τοῦ κόλπου πάλιν αὖ ἐκράτει. οἱ δὲ λακεδαιμόνιοι ἀκούσαντες ὅτι κόνων καὶ τὸ τεῖχος τοῖς ἀθηναίοις ἐκ τῶν βασιλέως χρημάτων ἀνορθοίη, καὶ τὸ ναυτικὸν ἀπὸ τῶν ἐκείνου τρέφων τάς νήσους, καὶ τὰς ἐν τῇ ἠπείρῳ παρὰ θάλατταν πόλεις ἀθηναίοις εὐτρεπίζοι, ἐνόμιζον, εἰ ταῦτα διδάσκοιεν τιρίβαζον βασιλέως ὄντα στρατηγόν, ἢ καὶ ἀποστῆναι ἂν πρὸς ἑαυτοὺς πείσειαν τὸν τιρίβαζον, ἢ παῦσαί γ' ἄν, τὸ κόνωνος ναυτικὸν τρέφοντα. γνόντες δὲ οὕτω, πέμπουσιν ἀνταλκίδαν πρὸς τὸν τιρίβαζον, προστάξαντες αὐτὸν ταῦτα διδάσκειν, καὶ πειρᾶσθαι εἰρήνην τῇ πόλει ποιεῖσθαι πρὸς βασιλέα. αἰσθόμενοι δὲ ταῦτα οἱ ἀθηναῖοι, ἀντιπέμπουσι πρέσβεις μετὰ κόνωνος ἑρμογένην, καὶ δίωνα, καὶ καλλισθένην, καὶ καλλιμέδοντα. συμπαρεκάλεσαν δὲ καὶ ἀπὸ τῶν συμμάχων πρέσβεις. καὶ παρεγένοντο ἀπό τε βοιωτῶν καὶ κορίνθου, καὶ ἄργους. ἐπεὶ δ' ἐκεῖ ἦσαν, ὁ μὲν ἀνταλκίδας ἔλεγε πρὸς τὸν τιρίβαζον, ὅτι καὶ εἰρήνης δεόμενος ἥκοι τῇ πόλει πρὸς βασιλέα, καὶ ταύτης, οἵασπερ βασιλεὺς ἐπιθυμεῖ. τῶν τε γὰρ ἐν τῇ ἀσίᾳ ἑλληνίδων πόλεων λακεδαιμονίους βασιλεῖ οὐκ ἀντιποιεῖσθαι, τάς τε νήσους ἁπάσας, καὶ τὰς ἄλλας πόλεις, ἀρκεῖν σφίσιν αὐτονόμους εἶναι. καίτοι, ἔφη, τοιαῦτα ἐθελόντων ἡμῶν, τίνος ἕνεκα πρὸς ἡμᾶς οἱ ἕλληνες, ἢ βασιλεὺς πολεμοίη, ἢ χρήματα δαπανῴη; καὶ γὰρ οὐδὲ βασιλέα στρατεύεσθαι δυνατόν, οὔτε ἀθη-

ἀθηναίοις, μὴ ἡγουμένων ἡμῶν, ὅτι ἡμῖν αὐτονόμων οὐσῶν τῶν πόλεων. τῷ μὲν δὴ τειριβάζῳ ἀκούοντι, ἰσχυρῶς ἤρεσκον οἱ τοῦ ἀνταλκίδου λόγοι. τοῖς δ' ἐναντίοις λόγοις ταῦτ' ἦν. οἵ τε γὰρ ἀθηναῖοι ἐφοβοῦντο συνθέσθαι αὐτονόμους τὰς πόλεις, καὶ τὰς νήσους εἶναι, μὴ λῆμνον, καὶ ἴμβρον, καὶ σκῦρον στερηθεῖεν, οἵ τε θηβαῖοι μὴ ἀναγκασθείησαν ἀφεῖναι τὰς βοιωτίδας πόλεις αὐτονόμους. οἵ τ' ἀργεῖοι, οὗ ἐπεθύμουν, οὐκ ἐνόμιζον ἂν τὴν κόρινθον δύνασθαι ὡς ἄργος ἔχειν, τοιούτων συνθηκῶν καὶ σπονδῶν γενομένων. αὕτη μὲν ἡ εἰρήνη οὕτως ἐγένετο ἀτελὴς, καὶ ἀπῆλθον οἴκαδε ἕκαστος. ὁ μέντοι τειρίβαζος τὸ μὲν αὐτὸς βασιλέως μετὰ λακεδαιμονίων γενέσθαι οὐκ ἀσφαλὲς αὐτῷ ἡγεῖτο εἶναι. λάθρα γε μέντοι ἔδωκε χρήματα ἀνταλκίδᾳ, ὅπως ἂν πληρωθέντος ναυτικοῦ ὑπὸ λακεδαιμονίων, οἵ τε ἀθηναῖοι καὶ οἱ σύμμαχοι αὐτῶν μᾶλλον τῆς εἰρήνης προσδέοιντο. καὶ τὸν κόνωνα ὡς ἀδικοῦντά τε βασιλέα, καὶ ἀληθῆ λεγόντων λακεδαιμονίων εἷρξε. ταῦτα δὲ ποιήσας, ἀναβαίνει πρὸς βασιλέα, φράσων ἅ τε λέγοιεν οἱ λακεδαιμόνιοι, καὶ ὅτι κόνωνα συνειληφὼς εἴη ὡς ἀδικοῦντα, καὶ ἐρωτήσων τί χρὴ ποιεῖν περὶ τούτων ἁπάντων. καὶ βασιλεὺς μὲν ὡς τειρίβαζος ἄνω παρ' αὐτῷ ἦν, στρούθαν καταπέμπει ἐπιμελησόμενον τῶν κατὰ θάλατταν. ὁ μέντοι στρούθας ἰσχυρῶς τοῖς ἀθηναίοις καὶ τοῖς συμμάχοις τὴν γνώμην προσεῖχε, μεμνημένος ὁπόσα κακὰ ἡ τοῦ βασιλέως χώρα ἐπεπόνθει ὑπ' ἀγησιλάου. οἱ δὲ λακεδαιμόνιοι, ἐπεὶ ἑώρων τὸν στρούθαν πρὸς ἑαυτοὺς μὲν πολεμικῶς ἔχοντα, πρὸς ἀθηναίους δὲ φιλικῶς, θίμβρωνα πέμπουσιν ἐπὶ πόλεμον πρὸς αὐτόν. ὁ δὲ διαβάς τε καὶ ὁρμώμενος ἐξ ἐφέσου τε καὶ τῶν ἐν μαιάνδρου πεδίῳ πόλεων, πριήνης τε καὶ λευκόφρυος, καὶ ἀχιλλείου ἔφερε, καὶ ἦγε τὴν βασιλέως. προϊόντος δὲ τοῦ χρόνου, κατανοήσας ὁ στρούθας ὅτι θίμβρων βοηθοίη ἑκάστοτε ἀτάκτως, καὶ καταφρονητικῶς, ἔπεμψεν ἱππέας εἰς τὸ πεδίον. καὶ καταδραμόντας ἐκέλευσε περιβαλλομένους ἐλαύνειν ὅ, τι δύναιντο. ὁ δὲ θίμβρων ἐτύγχανεν ἐξ ἀρίστου διασκηνῶν μετὰ θερσάνδρου τοῦ αὐλητοῦ. ἦν γὰρ ὁ θέρσανδρος οὐ μόνον αὐλητὴς ἀγαθὸς, ἀλλὰ καὶ ἀλκῆς ἰσχύος, ἅτε λακωνίζων αὐτε ποιοῖτο. ὁ δὲ στρούθας ἰδὼν ἀτάκτως τε βοηθοῦντας, καὶ ὀλίγους τοὺς πρώτους, ἐπιφαίνεται πολλούς τε ἔχων ἱππέας συντεταγμένους. καὶ θίμβρωνα μὲν, καὶ θέρσανδρον πρώτους ἀπέκτειναν. ἐπεὶ δ' οὗτοι ἔπεσον, ἐτρέψαντο καὶ τὸ ἄλλο στράτευμα. καὶ διώκοντες, παμπληθεῖς κατέβαλον. ἦσαν δὲ οἳ καὶ διεσώθησαν αὐτῶν εἰς τὰς φιλίας πόλεις, καὶ πλείους διὰ τὸ ὀψὲ αἰσθέσθαι τῆς βοηθείας. πολλάκις γὰρ καὶ τότε οὐδὲ παραγγείλας τὴν βοήθειαν ἐποιήσατο. καὶ ταῦτα μὲν οὕτως ἐγεγένητο. ἐπεὶ δ' ἦλθον εἰς λακεδαίμονα οἱ ἐκπεπτωκότες ῥοδίων ὑπὸ τοῦ δήμου, ἐδίδασκον ὡς οὐκ ἄξιον εἴη περιιδεῖν ἀθηναίους ῥόδον καταστρεψαμένους, καὶ τοσαύτην δύναμιν συνθεμένους. γνόντες οὖν οἱ λακεδαιμόνιοι, ὡς εἰ μὲν κρατήσοι ὁ δῆμος, ἀθηναίων ἔσται ῥόδος ἅπασα, εἰ δὲ οἱ πλουσιώτεροι αὑτῶν, ἐπλήρωσαν αὐτοῖς ναῦς ὀκτώ· ναύαρχον δὲ ἔκδικον ἐπέστησαν. ξυνέπεμψαν δ' ἐπὶ τῶν νεῶν τούτων καὶ διφρίδαν. ἐκέλευσαν δ' αὐτὸν διαβάντα εἰς τὴν ἀσίαν, τάς τε θίμβρωνα ὑποδεξαμένας πόλεις διασώζειν, καὶ στράτευμα δὲ τὸ περιγενόμενον ἀναλαβόντα, καὶ ἄλλο εἴ ποθεν δύναιτο,

Athenienses, ac nos, belli sublata est materia. Placuere uehementer Tiribazo Antalcidæ sermones. Sed Athenienses ueriti, si insulas & urbes in libertatem uendicarent, ne Lemnum, Imbrum & Scyrum dimittere cogerentur: Thebani quoque ne Bœotiæ ciuitates illis adimerentur timebant. Argiui uero, si hæ admitterentur conditiones, formidabant, ne Corinthum quemadmodum & Argos obtinere possent: quapropter pacem turbarunt, ac re infecta singuli domum abiere. Tiribazus aperte absque regis consensu cum Lacedæmonijs sentire haud tutum ratus, clam uero Antalcidæ pecunias dedit, ut eo pacto Lacedæmonij rem naualem instaurare possent, Athenienses(que) ac socij ad pacem propensiores redderentur: Cononem uero tanquam regem iniuria affecisset, immeritoq(ue) Lacedæmonijs contradixisset, in uincula coniecit. Inde ad regem ascendit, illiq(ue) ostendit quæ Lacedæmonij dixissent, ac quemadmodum Cononem iniurium comprehendisset: sciscitatusq(ue) est, quid de his omnibus rex fieri uellet. Cæterum rex dum Tiribazus secum agit, Struthan in maritimam Ioniæ mittit prouinciam. Erat Struthas uehementer Atheniensibus ac socijs affectus, memor quanta mala prouinciæ regiæ ab Agesilao perpessæ essent. Lacedæmonij cum Struthan illis inimicum, Atheniensibus uero amicum esse cognouissent, Thimbronem cum classe in Ioniam contra illum mittunt. Is ex Epheso & ciuitatibus in Mæandri campo sitis, Priene, Leucophryo & Achilleo, regios ingressus fines, cuncta uastando agebat ac ferebat. Procedente tempore cum Struthas Thimbronem omnia inconsulte ac temere agere cognouisset, equitatum uniuersum illac transmisit, equitibusq(ue) mandauit, ut admissis equis, quantum possent in Græcos impetum facerent. Contigit ea die Thimbronem sumpto prandio apud Thersandrum tibicinem agere: erat enim Thersander non solum tibicen egregius, sed & bello uir fortis. At Struthas Græcos dispalatos nactus, in illos improuisus copioso ruit equitatu, Thimbronemq(ue) ac Thersandrum in primis occidit. His cadentibus reliqui omnes in fugam uersi sunt: quos insequuti Persæ ingentem edidere cædem. Fugientes partim in ciuitates amicas dilapsi: reliqui, quia sero de pugna certiores facti sunt, in pacatum abiere. His ita gestis, Rhodij qui à populo eiecti erant, Lacedæmonem uenerunt, ostenderuntq(ue) haud tutum Lacedæmonijs esse, si negligerent, ut Athenienses Rhodum subigerent, in tantamq(ue) euaderent potentiam. Lacedæmonij cum intelligerent, si populus uinceret, Rhodum uniuersam in Atheniensium concessuram potestatem: si uero locupletiores superarent, haud dubie insulam illorum sequuturam partes: naues iis struunt octo, præfectumq(ue) illorum Ecdicum constituunt. Miserunt & cum his Diphridem, quem in Asiam proficisci iubent, ac reliquias Thimbroniani exercitus colligere, socijs ciuitatibus auxilio esse, nouum militem eligere, ac reliqua omnia diligen-

diligenter curare, Struthæ denique bellum inferre, mandant. Diphridas impigrè mandata exequutus, Tigranem quoq; Struthæ generum Sardis proficiscentem cum uxore cepit, cum quo magna quoq; pecuniarum uis in eius redacta est potestatem, ita ut abunde militibus inde stipendium solutum sit. Erat'q; uir ille non minus Thimbrone acceptus, cæterum bellicis in rebus longe cautior: nec uoluptatibus deditus, sed cuncta quæ inchoabat, egregie perficiebat. Ecdicus uero Gnidum processit: ubi cum populum Rhodium omnia in potestatem suam redegisse, terráq; ac mari superiorem esse cognouisset, præterea duplo plures quàm ipse habebat instruxisse triremes, quietem in Gnido egit. Cæterum Lacedæmonij cum resciuissent illum uiribus inferiorem, quàm ut amicis succurrere posset, Teleutiam cum nauibus duodecim, quos in Achaico & Lechæo habebat sinu, ad Ecdicum nauigare iubent: illi uero imperium abrogant, Teleutiæq; amicorum curam gerere, hostes quoq; quammaxime posset damno afficere mandant. Teleutias cum Samum uenisset, acceptis ibi nauibus Gnidum nauigat: ubi domi dimisso Ecdico, ipse Rhodum cum nauibus septem & uiginti proficiscitur: cui in uia obuiam factus Philocrates Ephialti filius, qui cum triremibus decem ab Athenis Cyprum in Euagoræ auxiliũ properabat, cum nauibus ab eo captus est. Agebat populus uterq; sibiipsi maximè contraria. Athenienses enim contra regem amicißimum, Euagoræ, qui illi bellum mouerat, auxilia mittebant. At Teleutias, quamuis Lacedæmonijs bellum cum rege esset, hostes tamen illius pugna superauit nauali. Rursus igitur Gnidum reuertitur, ubi diuendita quam ceperat præda, iterum Rhodum nauigat, ac illis qui secum sentiebant, opem ferebat. Athenienses cognito Lacedæmonios rursus mari imperare, Thrasybulum Styrea cum quadraginta emittunt nauibus. Ille uero ubi Lacedæmoniorum opes circa Rhodum pollere cognouit, ab insula abstinuit. Haud facile enim sibi uidebatur Lacedæmoniorum amicos superare posse, cum muros ac ciuitates obtinerent munitas: præcipue cum Teleutias cum classe illis opem ferret, Atheniensiumq; amici ab aduersarijs superati essent, longéq; hostes superiores essent. Cursum igitur in Hellespontum deflexit: ubi cum nullus esset hostis, rem magnam se peracturum sperabat. Amadocum igitur Odrysiorum regem, & Seuthen, qui maritimis late imperitabat oris, inter se disceptantes suo interuentu pacauit, Atheniensibusq; amicos ac socios reddidit: ratus ciuitates quoque Græcas quæ in Thracia ac illis amicæ erant, propensiores hanc ob rem in Athenienses fore. Cúmque ciuitates Asiaticas ob amicitiam regis rectè sentire intellexisset, Byzantium nauigat, decimamq; ab Ponticis exegit nauibus. paucorumq; ibi potentia sublata, populare regimen induxit, effecitq; ut Byzantinus populus haud grauate Athenienses in ciuitate cerneret. His actis, Chalcedonijs quoque in amici/

δύναιτο, συλλέξαντα, πολεμεῖν πρὸς τὸν στρούθαν. ὁ μὲν δὴ διφρίδας ταῦτ᾽ ἐποίει, καὶ τἄλλα ἐπετύγχανε. καὶ τιγράνην τὸν τὴν στρούθα ἔχοντα θυγατέρα πορευόμενον εἰς σάρδεις, λαμβάνει σὺν τῇ γυναικί. καὶ χρημάτων πολλῶν ἀπέλυσεν, ὥστ᾽ εὐθὺς ἐντεῦθεν εἶχε μισθοδοτεῖν. ἦν δ᾽ οὗτος ὁ ἀνὴρ εὔχαρίς τε, οὐχ ἧττον τοῦ θίμβρωνος, μᾶλλόν τε συντεταγμένος, καὶ ἐγχειρητικώτερος στρατηγός. οὐδὲ γὰρ ἐκράτουν αὐτοῦ αἱ τοῦ σώματος ἡδοναί, ἀλλ᾽ ἀεὶ πρὸς ᾧ εἴη ἔργῳ, τοῦτο ἔπραττεν. ὁ δ᾽ ἔκδικος, ἐπεὶ εἰς τὴν κνίδον ἔπλευσε, καὶ ἐπύθετο τὸν ἐν τῇ ῥόδῳ δῆμον πάντα κατέχοντα, καὶ κρατοῦντα καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, καὶ διπλασίας τριήρεις ἢ αὐτὸς εἶχεν, ἡσυχίαν ἦγεν ἐν τῇ κνίδῳ. οἱ δ᾽ αὖ λακεδαιμόνιοι, ἐπεὶ ᾔσθοντο αὐτὸν ἐλάττω δύναμιν ἔχοντα, ἢ ὥστε τοὺς φίλους ὠφελεῖν, ἐκέλευσαν τὸν τελευτίαν σὺν ταῖς δώδεκα ναυσίν, αἷς εἶχεν ἐν τῷ περὶ ἀχαΐαν, καὶ λέχαιον κόλπον, περιπλεῖν πρὸς τὸν ἔκδικον, κἀκεῖνον μὲν ἀποπέμψαι, αὐτὸν δὲ τῶν τε βουλομένων φίλων εἶναι ἐπιμελεῖσθαι, καὶ τοὺς πολεμίους ὅ,τι δύναιτο κακὸν ποιεῖν. ὁ δὲ τελευτίας, ἐπεὶ ἀφίκετο εἰς τὴν σάμον, προσλαβὼν ἐκεῖθεν ναῦς, ἔπλευσεν εἰς κνίδον. ὁ δὲ ἔκδικος οἴκαδε. ὁ δὲ τελευτίας ἔπλει εἰς τὴν ῥόδον, ἤδη ἔχων ναῦς ἑπτὰ καὶ εἴκοσι. πλέων δὲ περιτυγχάνει φιλοκράτει τῷ ἐφιάλτου πλέοντι μετὰ δέκα τριήρων ἀθήνηθεν, εἰς κύπρον ἐπὶ ξυμμαχίᾳ τοῦ εὐαγόρου, καὶ λαμβάνει πάσας. ὑπεναντιώτατα δὲ ταῦτα ἀμφότεροι ἑαυτοῖς ἔπραττον. οἵ τε γὰρ ἀθηναῖοι φίλῳ χρώμενοι βασιλεῖ, ξυμμαχίαν ἔπεμπον εὐαγόρᾳ τῷ πολεμοῦντι πρὸς βασιλέα. ὅ τε τελευτίας λακεδαιμονίων πολεμούντων βασιλεῖ, τοὺς πλέοντας ἐπὶ τῷ ἐκείνου πολέμῳ διέφθειρεν. ἐπαναπλεύσας δ᾽ εἰς κνίδον, καὶ διαθέμενος ἃ ἔλαβεν, εἰς ῥόδον αὖ ἀφικόμενος, ἐβοήθει τοῖς τὰ αὐτοῦ φρονοῦσιν. οἱ δ᾽ ἀθηναῖοι νομίσαντες τοὺς λακεδαιμονίους πάλιν δύναμιν κτᾶσθαι ἐν τῇ θαλάττῃ, ἀντεκπέμπουσι θρασύβουλον τὸν στειριέα σὺν τετταράκοντα ναυσίν. ὁ δ᾽ ἐκπλεύσας, τῆς μὲν εἰς ῥόδον βοηθείας ἀπέσχε, νομίζων οὔτ᾽ ἂν αὐτὸς ῥᾳδίως τιμωρήσασθαι τοὺς φίλους τῶν λακεδαιμονίων, τεῖχος ἔχοντας, καὶ τελευτίου σὺν ναυσὶ παρόντος, συμμάχου ὄντος αὐτοῖς, οὔτ᾽ ἂν τοὺς σφετέρους φίλους ὑπὸ τοῖς πολεμίοις γενέσθαι, τάς τε πόλεις ἔχοντας, καὶ πολὺ πλείονας ὄντας, καὶ μάχῃ γε κεκρατηκότας. εἰς δὲ τὸν ἑλλήσποντον πλεύσας, καὶ οὐδενὸς ἀντιπάλου παρόντος, ἐνόμιζε καταπρᾶξαι ἄν τι τῇ πόλει ἀγαθόν. καὶ οὕτω δὴ καταμαθὼν, πρῶτον μὲν στασιάζοντας ἀμάδοκόν τε τὸν ὀδρυσῶν βασιλέα, καὶ σεύθην τὸν ἐπὶ θαλάττῃ ἄρχοντα, ἀλλήλοις μὲν διήλλαξεν αὐτοὺς, ἀθηναίοις δὲ φίλους καὶ συμμάχους ἐποίησε, νομίζων καὶ τὰς ὑπὸ τῇ θρᾴκῃ οἰκούσας πόλεις ἑλληνίδας φίλων ὄντων τούτων, μᾶλλον προσέχειν ἂν τοῖς ἀθηναίοις τὸν νοῦν. ἐχόντων δὲ τούτων τε καλῶς, καὶ τῶν ἐν τῇ ἀσίᾳ πόλεων, διὰ τὸ βασιλέα φίλον τοῖς ἀθηναίοις εἶναι, πλεύσας εἰς βυζάντιον, ἀπέδοτο τὴν δεκάτην τῶν ἐκ τοῦ πόντου πλεόντων. μετέστησε δὲ ἐξ ὀλιγαρχίας εἰς τὸ δημοκρατεῖσθαι τοὺς βυζαντίους, ὥστ᾽ οὐκ ἀχθεινῶς ἑώρα ὁ τῶν βυζαντίων δῆμος ἀθηναίους ὅτι πλείστους παρόντας ἐν τῇ πόλει. ταῦτα δὲ πράξας, καὶ χαλκηδονίους φίλους

φίλους προσποιησάμενος, ἀπέπλει ἔξω τοῦ ἑλλησπόντου. ἐπιτυχὼν δ' ἐν τῇ λέσβῳ ταῖς πόλεσι πάσαις, πλὴν μιτυληναίων λακωνιζούσαις, ἐπ' οὐδεμίαν αὐτῶν ᾔει, πρὶν ἐν μιτυλήνῃ συντάξας τούς τε ἀπὸ τῶν αὑτοῦ νεῶν τετρακοσίους, καὶ τοὺς ἐκ τῶν πόλεων φυγάδας, ὅσοι εἰς τὴν μιτυλήνην κατεπεφεύγεσαν. καὶ αὐτῶν δὲ μιτυληναίων τοὺς ἐρρωμενεστάτους προσλαβὼν, καὶ ἐλπίδας ὑποθεὶς, τοῖς μὲν μιτυληναίοις, ὡς ἐὰν λάβῃ τὰς πόλεις, προστάται πάσης τῆς λέσβου ἔσονται, τοῖς δὲ φυγάσιν, ἐὰν ὁμοῦ ὄντες, ἐφ' ἑκάστην τῶν πόλεων ἴωσιν, ἱκανοὶ ἔσονται ἅπαντες εἰς τὰς πατρίδας κατελθεῖν. τοῖς δ' αὖ ἐπιβάταις, ὡς φίλην λέσβον προσποιήσαντες τῇ πόλει, πολλὴν εὐπορίαν χρημάτων διαπεπραγμένοι ἔσονται. ταῦτα δὲ παραμυθησάμενος, καὶ συντάξας, ἦγεν αὐτοὺς ἐπὶ μήθυμναν. θηρίμαχος μέντοι, ὃς ἁρμοστὴς ἐτύγχανεν ὢν τῶν λακεδαιμονίων, ὡς ἤκουσε τὸν θρασύβουλον προσιόντα, τούς τε ἀπὸ τῶν αὑτοῦ νεῶν λαβὼν ἐπιβάτας, καὶ αὐτοὺς τοὺς μηθυμναίους, καὶ ὅσοι μιτυληναίων φυγάδες ἐτύγχανον αὐτόθι, ἀπήντα ἐπὶ τὰ ὅρια. μάχης δὲ γενομένης, ὁ μὲν θηρίμαχος αὐτοῦ ἀποθνήσκει. τῶν δ' ἄλλων φευγόντων, πολλοὶ ἀπέθανον. ἐκ δὲ τούτου τὰς μὲν προσηγάγετο τῶν πόλεων. ἐκ δὲ τῶν οὐ προσχωρουσῶν λεηλατῶν, χρήματα τοῖς στρατιώταις παρέχων ἔσπευσεν εἰς τὴν ῥόδον ἀφικέσθαι, ὅπως αὖ καὶ ἐκεῖ ἐρρωμενέστερον τὸ στράτευμα ποιήσαιτο. ἐξ ἄλλων τε πολλῶν ἠργυρολόγει, καὶ εἰς ἄσπενδον ἀφικόμενος, ὡρμίσατο εἰς τὸν εὐρυμέδοντα ποταμόν. ἤδη δ' ἔχοντος αὐτοῦ χρήματα παρὰ τῶν ἀσπενδίων, ἀδικησάντων τι ἐκ τῶν ἀγρῶν τῶν στρατιωτῶν, ὀργισθέντες οἱ ἀσπένδιοι, τῆς νυκτὸς ἐπεισπεσόντες, κατακόπτουσιν ἐν τῇ σκηνῇ αὐτόν. καὶ θρασύβουλος μὲν δὴ μάλα δοκῶν ἀνὴρ ἀγαθὸς εἶναι, οὕτως ἐτελεύτησεν. οἱ μέντοι ἀθηναῖοι ἑλόμενοι ἀντ' αὐτοῦ ἀργύριον, ἐπὶ τὰς ναῦς ἐξέπεμψαν. αἰσθόμενοι δὲ οἱ λακεδαιμόνιοι, ὅτι ἡ δεκάτη τε τῶν ἐκ τοῦ πόντου πεπραμένη εἴη ἐν βυζαντίῳ ὑπ' ἀθηναίων, καὶ χαλκηδόνα ἔχουσι, καὶ αἱ ἄλλαι ἑλλησποντιακαὶ πόλεις, φίλου ὄντος αὐτοῖς φαρναβάζου, εὖ ἔχοιεν, ἔγνωσαν ἐπιμελητέον εἶναι. τῷ μὲν οὖν δερκυλίδᾳ οὐδὲν ἐμέμφοντο. ἀναξίβιος μέντοι φίλων αὐτῷ γενομένων τῶν ἐφόρων, διεπράξατο ὥστε αὐτὸς ἐκπλεῦσαι ἁρμοστὴς εἰς ἄβυδον. εἰ δὲ λάβοι ἀφορμὴν, καὶ ναῦς, καὶ πολεμήσειν ὑπισχνεῖτο τοῖς ἀθηναίοις, ὥστε μὴ ἔχειν ἐκείνοις καλῶς τὰ ἐν ἑλλησπόντῳ. οἱ μὲν δὴ δόντες αὐτῷ καὶ τρεῖς τριήρεις, καὶ ἀφορμὴν εἰς ξένους χιλίους, ἐξέπεμψαν τὸν ἀναξίβιον. ὁ δὲ, ἐπειδὴ ἀφίκετο, κατὰ γῆν μὲν ἀθροίσας ξενικὸν, τῶν τε αἰολίδων πόλεων παρεσπᾶτό τινας τοῦ φαρναβάζου. καὶ ἐπιστρατευούσαις ταῖς πόλεσιν ἐπὶ τὴν ἄβυδον ἀντεπεστράτευε, καὶ ἐπορεύετο, καὶ ἐδῄου τὴν χώραν αὐτῶν. καὶ ναῦς δὲ πρὸς αἷς εἶχε, ξυμπληρώσας ἐξ ἀβύδου τρεῖς ἄλλας, κατῆγεν, εἴ που λαμβάνοι ἀπ' ἀθηναίων πλοῖον ἢ τῶν ἐκείνων ξυμμάχων. αἰσθόμενοι δὲ ταῦτα οἱ ἀθηναῖοι, καὶ δεδιότες μὴ διαφθαρείη σφίσιν ἃ κατεσκεύασεν ἐν τῷ ἑλλησπόντῳ θρασύβουλος, ἀντεκπέμπουσιν ἰφικράτην ναῦς ὀκτὼ ἔχοντα, καὶ πελταστὰς εἰς

amicitiam receptis, transmisso Hellesponto Lesbi ciuitates omnes, praeter Mitylenem, Lacedaemonijs studere reperit: nullam tamē antea tentare ausus est, priusquam militibus suis quos secum circiter quadringentos adduxerat, ciuitatum exules qui Mitylenem confugerant, adiunxisset. Mitylenaeorū praeterea robustiorib. secum assumptis, primores in spem erexit, si ciuitates subigeret, uniuerso imperaturos Lesbo. Exulibus quoque ostendit, si una sentirent, cunctos in ciuitates reduci posse: militibus uero, si Lesbum ad amicitiam traduceret, fore ut patria multis abundatura esset pecunijs. His dictis illos solatus est, confestimq; ad Methymnam duxit. Therimachus Lacon qui Methymnā praesidio obtinebat, cum Thrasybulum aduentantem audisset, assumptis turmis naualibus, Methymnaeis quoq; ac Mitylenaeorū quotquot aderāt exulibus, illi obuiā pergit, pugnaq; commissa Therimachus cecidit: reliqui multis ex suis amissis, in fugam uersi sunt. Inde caeteras aggressus urbes, in suam redegit potestatē: qui uero minus parebant, illorū agros populatus, militi ex ea praeda stipendiū persoluit. Rhodū inde ire contendit: & ut exercitū copiosum contrahere posset, undiq; ex ciuitatibus argentū non paruum corrasit. Cumq; Aspendum uenisset, ad Eurymedontē progressus est flumen: cumq; pecunias ab Aspendijs quoq; extorquere niteretur, militesq; illorum uastassent agros, irati Aspendij nocte illum aggressi in tabernaculo obtruncant. Et Thrasybulus uir insignis ac probus, hunc exitum sortitus est. In eius locum Argyrius ab Atheniēsib. est missus. At Lacedaemonij cum decimā ex Ponto in Byzantio ab Atheniensib. exactam esse rescuissent, Chalcedonemq; & reliquas ciuitates Hellespontiacas ob Pharnabazi amicitiā cum illis sentire, in haud mediocrē inciderūt curam. Verùm quamuis Dercyllidē nulla in re culpare possent, Anaxibius tamē persuasis Ephoris qui illi amici erāt, egit ut ipse harmostes Abydum mitteretur: pollicitus si milites ac naues sibi traderētur, Atheniensium res in Hellesponto turbaturū, effecturumq; ne illis tam prospere cuncta ibi cederent. Lacedaemonij igitur triremes tres cū mercenarijs militib. mille illi attribuere, cū quib. in Asiā nauigauit: mercenarioq; collecto milite ciuitates nōnullas Aeolidas Pharnabazo ademit, ex Abydoq; procedens, hostilem undiq; uastabat terram: naues quoq; tres alijs addidit, quas ex Abydo suppleuit, quibus ubiq; Atheniensib. ac socijs incūbebat. Athenienses cū de his certiores facti essent, ne cuncta quae Thrasybulus in Hellespōto subegerat, ab eis alienarētur, timebāt. Iphicratē igitur cū nauib. octo, ac clypeatis mille

mille ducentis in prouinciam mittunt, quorum pars maior erat eorum qui Corinthi in præsidio fuerant: siquidem cum Argiui Corinthum in suam redegissent potestatē, Iphicratem cum militibus domum abire coëgerunt. Cum itaq; in Cherronesum peruenisset, sub initium Anaxibius & Iphicrates piratas submittentes, utrinq; se infestabant. At procedente tempore cum Iphicrates Anaxibium cum mercenario milite omni, Lacedæmonijs & Abydenis ducentis Antandrum petijsse resciuisset, audiuissetq; Antandri amice illum receptum esse, suspicatus eum, relicto præsidio, Abydenos rursum domum abducturum, nocte clanculum per Abydenorū transgressus fines, in montibus occulte considet. Triremes uero quæ illum adduxerant, Cherronesum superare iubet, ut eo pacto pro colligenda pecunia, uti cōsueuerat, proficisci uideretur. Hæc cum egisset, haud opinione deceptus est. Anaxibius enim cum die illa minime sacrificasset, regressus est. Nam cum sibi per pacatum, ac ad urbem sociam transeundum esset, Iphicratem uero Proconnesum abisse existimaret, negligenter ac solutiore cura iter agebant. Iphicrates quandiu Anaxibij exercitus in planicie erat, ex insidijs haud surrexit: uerum cum Abydeni iam in Paracremasti essent campo, ubi et aurum effodiunt, ac reliquæ copiæ ex altera incidérent parte, Anaxibiusq; iā prætergressus esset, tum demum Iphicrates ad omnia intentus, ex insidijs insurgens, composito agmine in illum fertur. Anaxibius cum exercitum in insidias præcipitatum, ac spem nullam salutis esse cerneret, hostibus præterea resisti posse diffideret, cunctos insuper timore perculsos animaduerteret, amicos alloquutus ait: Viri, pulchrum erit me hic occūbere: uos uero antea quàm manus cum hostibus conseratis, abite, patriæq; uos seruate. His dictis accepto ab armigero scuto, egregie pugnans, nec inultus cecidit: occubuereq; cum eo Lacedæmoniorum harmostæ, qui illum undiq; ex ciuitatibus sequuti erant, duodecim circiter: reliqui partim fuga cæsi, partim uero elapsi sunt: quos hostes ad urbem usque sunt insequuti. Desiderati sunt pugna ea milites quasi ducenti, Abydenorum uero quinquaginta. His gestis Iphicrates rursus in Cherronesum abijt.

XENO-

εἰς διακοσίους καὶ χιλίους. οἱ δὲ πλεῖστοι αὐτῶν ἦσαν, ὧν ἐν κορίνθῳ ἦρξεν. ἐπεὶ γὰρ οἱ ἀργεῖοι τὴν κόρινθον ἄργος ἐπεποίηντο, οὐδὲν ἔφασαν αὐτῶν δεῖσθαι. καὶ γὰρ ἀπεκτόνει τινὰς τῶν ἀργολογιζόντων. καὶ οὕτως ἀπελθόντων ἀθήναζε, οἴκοι ἐτύγχανεν ὤν. ἐπεὶ δ᾽ ἀφίκετο εἰς χεῤῥόνησον, τὸ μὲν πρῶτον ἀναξίβιος, καὶ ὁ ἰφικράτης λῃστὰς διαπέμποντες, ἐπολέμουν ἀλλήλοις. προϊόντος δὲ τοῦ χρόνου, ὁ ἰφικράτης αἰσθόμενος καὶ ἀναξίβιον οἰχόμενον εἰς ἄντανδρον σύν τε τοῖς μισθοφόροις, καὶ σὺν τοῖς περὶ αὐτὸν λακωνικοῖς, καὶ σὺν ἀβυδηνοῖς, διακοσίοις ὁπλίταις, καὶ ἀκούσας ὅτι τὴν ἄντανδρον φιλίαν προσειληφὼς εἴη, ὑπονοῶν, ὅτι καταστήσας αὖ τὴν ἐκεῖ φρουρὰν, ἀποπορεύσοιτο πάλιν, καὶ ἀπάξοι τοὺς ἀβυδηνοὺς οἴκαδε, διαβὰς τῆς νυκτὸς, ᾗ ἐρημότατον ἦν τῆς ἀβυδηνῆς, καὶ ἐπανελθὼν εἰς τὰ ὄρη, ἐνέδραν ἐποιήσατο. τὰς δὲ τριήρεις, αἳ διήγαγον αὐτὸν, ἐκέλευε παραπλεῖν ἅμα παρὰ τὴν χεῤῥόνησον τὴν ἄνω, ὅπως δοκοίη, ὥσπερ εἰώθει ἐπ᾽ ἀργυρολογίαν ἐπαναπεπλευκέναι. ταῦτα δὲ ποιήσας, οὐκ ἐψεύσθη. ἀλλ᾽ ὁ ἀναξίβιος ἀπεπορεύετο, ὡς μὲν ἐλέγετο, οὐδὲ τῶν ἱερῶν γεγενημένων ἐκείνῃ τῇ ἡμέρᾳ, ἀλλὰ καταφρονήσας ὅτι διὰ φιλίας τε ἐπορεύετο, καὶ εἰς πόλιν φιλίαν, καὶ ὅτι ἤκουε τῶν ἀπαντώντων τὸν ἰφικράτην ἀναπεπλευκέναι τὴν ἐπὶ προικόννησον, ἀμελέστερον ἐπορεύετο. ὅμως δὲ ὁ ἰφικράτης, ἕως μὲν ἐν τῷ ἰσοπέδῳ τὸ στράτευμα τοῦ ἀναξιβίου ἦν, οὐκ ἐξανίστατο. ἐπεὶ δὲ, οἱ μὲν ἀβυδηνοὶ ἀφηγούμενοι ἤδη ἐν τῷ παρακρεμαστῷ ἦσαν πεδίῳ, ἔνθα ὅσα τὰ χρύσεια αὐτοῖς, τὸ δ᾽ ἄλλο στράτευμα ἐν τῷ καταντεῖ ἦν. ὁ δ᾽ ἀναξίβιος ἄρτι κατέβαινε ξὺν τοῖς λακωνικοῖς, ἐν τούτῳ ὁ ἰφικράτης ἐξανίστησι τὴν ἐνέδραν, καὶ δρόμῳ ἐφέρετο πρὸς αὐτόν. καὶ ὁ ἀναξίβιος γνοὺς μὴ εἶναι ἐλπίδα σωτηρίας, ὁρῶν ἐπὶ πολύ τε καὶ στενὸν ἐκτεταμένον τὸ ἑαυτοῦ στράτευμα, καὶ νομίζων πρὸς τὸ ἄναντες οὐκ ἂν δύνασθαι σαφῶς βοηθῆσαι αὐτῷ τοὺς παρεληλυθότας. ὁρῶν δὲ καὶ ἐκπεπληγμένους ἅπαντας, ὡς εἶδον τὴν ἐνέδραν, εἶπε πρὸς τοὺς παρόντας· ἄνδρες, ἐμοὶ μὲν καλὸν ἐνθάδε ἀποθανεῖν. ὑμεῖς δὲ πρὶν συμμίξαι τοῖς πολεμίοις, σπεύδετε εἰς τὴν σωτηρίαν. καὶ ταῦτ᾽ ἔλεγε. καὶ παρὰ τοῦ ὑπασπιστοῦ λαβὼν τὴν ἀσπίδα, ἐν χώρᾳ αὐτοῦ μαχόμενος ἀποθνήσκει. καὶ τὰ παιδικὰ μέντοι αὐτῷ παρέμεινε. καὶ τῶν λακεδαιμονίων δὲ τῶν συνεληλυθότων ἐκ τῶν πόλεων ἁρμοστήρων, ὡς δώδεκα μαχόμενοι, συναπέθανον. οἱ δ᾽ ἄλλοι φεύγοντες, ἔπιπτον. οἱ δ᾽ ἐδίωκον μέχρι τοῦ ἄστεος. καὶ τῶν τε ἄλλων ὡς διακόσιοι ἀπέθανον. καὶ τῶν ἀβυδηνῶν ὁπλιτῶν περὶ πεντήκοντα. ταῦτα δὲ πράξας ὁ ἰφικράτης, ἀνεχώρησε πάλιν ἐπὶ τῆς χεῤῥόνησον.

ΞΕΝΟ-

ΞΕΝΟΦΩΝΤΟΣ ΕΛΛΗΝΙΚΩΝ ΠΕΜΠΤΟΝ.

Καὶ τὰ μὲν δὴ περὶ τὸν ἑλλήσποντον ἀθηναίοις τε καὶ λακεδαιμονίοις τοιαῦτα ἦν. ὢν δὲ πάλιν ὁ ἐτεόνικος ἐν τῇ αἰγίνῃ, καὶ ἐπιμιξίᾳ χρωμένων τὸν πρόσθεν χρόνον τῶν αἰγινητῶν πρὸς τοὺς ἀθηναίους, ἐπεὶ φανερῶς κατὰ θάλατταν ἐπολεμεῖτο ὁ πόλεμος, ξυνδόξαν καὶ τοῖς ἐφόροις, ἐφίησι λῄζεσθαι τὸν βουλόμενον ἐκ τῆς ἀττικῆς. οἱ δ᾽ ἀθηναῖοι πολιορκούμενοι ὑπ᾽ αὐτῶν, πέμψαντες εἰς αἴγιναν καὶ ὁπλίτας καὶ στρατηγὸν αὐτῶν πάμφιλον, ἐπετείχισαν αἰγινήταις, καὶ ἐπολιόρκουν αὐτοὺς καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν δέκα τριήρεσιν. ὁ μέντοι τελευτίας τυχὼν ἐν ταῖς νήσοις ποι ἀμφὶ χρημάτων πόρον, ἀκούσας ταῦτα περὶ τοῦ ἐπιτειχισμοῦ, ἐβοήθει τοῖς αἰγινήταις. καὶ τὸ μὲν ναυτικὸν ἀπήλασε· τὸ δ᾽ ἐπιτείχισμα διεφύλαττεν ὁ πάμφιλος. ἐν δὲ τούτῳ ἐκ λακεδαιμονίων ἱέραξ ναύαρχος ἀφικνεῖται. κἀκεῖνος μὲν παραλαμβάνει τὸ ναυτικόν. ὁ δὲ τελευτίας μακαριώτατα δὴ ἀπέπλευσεν οἴκαδε. ἡνίκα γὰρ ἐπὶ θάλατταν κατέβαινεν, ἐπὶ οἴκου ὁρμώμενος, οὐδεὶς ἐκείνου τῶν στρατιωτῶν, ὃς οὐκ ἐδεξιώσατο. καὶ ὁ μὲν ἐστεφάνωσεν, ὁ δὲ ἐταινίωσεν, οἱ δ᾽ ὑστερήσαντες, ὅμως καὶ ἀναγομένου ἔρριπτον εἰς τὴν θάλατταν στεφάνους, καὶ ηὔχοντο αὐτῷ πολλὰ καὶ ἀγαθά. γιγνώσκω μὲν οὖν, ὅτι ἐν τούτοις οὔτε δαπάνημα, οὔτε κίνδυνον, οὔτε μηχάνημα ἀξιόλογον οὐδὲν διηγοῦμαι. ἀλλὰ ναὶ μὰ δία, τόδε ἄξιόν μοι δοκεῖ εἶναι ἀνδρὶ ἐννοεῖν, τί ποτε ποιῶν ὁ τελευτίας οὕτω διέθηκε τοὺς ἀρχομένους. τοῦτο γὰρ ἤδη πολλῶν καὶ χρημάτων καὶ κινδύνων ἀξιολογώτατον ἀνδρὸς ἔργον ἐστίν. ὁ δ᾽ αὖ ἱέραξ τὰς μὲν ἄλλας ναῦς λαβών, πάλιν ἔπλει εἰς ῥόδον. ἐν αἰγίνῃ δὲ τριήρεις δώδεκα κατέλιπε, καὶ γοργώπαν τὸν αὑτοῦ ἐπιστολέα ἁρμοστήν. καὶ ἐκ τούτου ἐπολιορκοῦντο μᾶλλον οἱ ἐν τῷ ἐπιτειχίσματι τῶν ἀθηναίων, ἢ οἱ ἐν τῇ πόλει. ὥστε ὑπὸ ψηφίσματος ἀθηναῖοι πληρώσαντες ναῦς πολλάς, ἀπεκόμισαν τοὺς ἐξ αἰγίνης πέμπτῳ μηνὶ τοὺς ἐκ τοῦ φρουρίου. τούτων δὲ γενομένων οἱ ἀθηναῖοι πάλιν αὖ πράγματα εἶχον ὑπό τε τῶν λῃστῶν, καὶ τοῦ γοργώπα. καὶ ἀντιπληροῦσι ναῦς τρεῖς καὶ δέκα, καὶ αἱροῦνται εὔνομον ναύαρχον ἐπ᾽ αὐτάς. ὄντος δὲ τοῦ ἱέρακος ἐν τῇ ῥόδῳ, οἱ λακεδαιμόνιοι ἀνταλκίδαν ναύαρχον ἐκπέμπουσι, νομίζοντες καὶ τιριβάζῳ τοῦτο ποιοῦντες, μάλιστ᾽ ἂν χαρίζεσθαι. ὁ δὲ ἀνταλκίδας, ἐπεὶ ἀφίκετο εἰς αἴγιναν, ξυμπαραλαβὼν καὶ τὰς τοῦ γοργώπα ναῦς, ἔπλευσεν εἰς ἔφεσον, καὶ τὸν γοργώπαν πάλιν ἀποπέμπει εἰς αἴγιναν ξὺν ταῖς δώδεκα ναυσίν. ἐπὶ δὲ ταῖς ἄλλαις νικόλοχον ἐπέστησε τὸν ἐπιστολέα. καὶ ὁ μὲν νικόλοχος βοηθῶν ἀβυδηνοῖς, ἔπλει ἐκεῖσε. παρατραπόμενος δὲ εἰς τένεδον, ἐδῄου τὴν χώραν, καὶ χρήματα λαβών, ἀπέπλευσεν εἰς ἄβυδον. οἱ δὲ τῶν ἀθηναίων στρατηγοὶ ἀθροισθέντες ἐκ σαμοθρᾴκης τε καὶ θάσου, καὶ τῶν κατ᾽ ἐκεῖνα τὰ χωρία, ἐβοήθουν τοῖς τενεδίοις. ὡς δ᾽ ᾔσθοντο εἰς ἄβυδον καταπεπλευκότα τὸν νικόλοχον, ὁρμώμενοι ἐκ χερρονήσου, ἐπολιόρκουν αὐτόν, ἔχοντα ναῦς πέντε καὶ εἴκοσι, δύο καὶ τριά-

XENOPHONTIS RERVM GRAECARVM LIBER QVINTVS,

ET CIRCA Hellespontum res Atheniensium ac Lacedæmoniorum in eo erant statu. Eteonicus interim in Aegina agebat, quæ olim Atheniensibus adhæserat: sed postquam bellum aperte exarsit, consentientibus Ephoris, Aeginetis libera latrocinandi ex Attica facultas concessa est. Athenienses itaque cum haud paruo afficerentur damno, triremes decem cum præfecto Pamphilo, ac militibus non paucis in Aeginam mittunt: qui Aeginetas muro clauserunt, terra marique obsederunt. Teleutias cum insulas pro exigendis circumiret pecunijs, ac de obsidione certior factus esset, in auxilium aduolat, classemq; protinus discedere coëgit: at murum Pamphilus præsidio seruabat. Aduenit interim à Lacedæmone Hierax classis præfectus, nauesque suscepit: Teleutias uero felicissimus domum abijt: cum enim discessurus nauem ascenderet, nemo non militum dextram ei iunxit, & ille eum coronabat, alter sertis decorabat: qui uero ob turbam accedere non possent, coronas in mare proijcientes, fausta ac felicia illi imprecabantur. Proinde quamuis non ignorem, rem nec arduam, seu admodum memoria dignam me narrare, per Iouem tamen uiro bono haud indignum esse arbitror, si diligenter perpendat quidnam Teleutias egerit, per quod talem sibi militum conciliauerit beneuolentiam: quandoquidem id opus, diuitijs, periculis, & memorandis rebus, uiro longe præstantius arbitror. Hierax acceptis nauibus iterum Rhodum nauigauit: Gorgopam uero harmosten cum duodecim triremibus in Aegina legatum reliquit: contigitque hoc pacto Athenienses qui in præsidio erant, potius obsideri, quam obsidere. Ea re moti Athenienses, missis nauibus, quinto post quam Aegina obsideri cœpta est mense, præsidium ex insula euexerunt. Soluta obsidione, Athenienses rursus à piratis & Gorgopa infestabantur: quam ob rem coacti rursus tredecim instruxerunt triremes, quibus Eunomum præfecerunt. Lacedæmonij Hieraci cum Rhodi esset Antalcidem dedere, Tribazo rem gratam se facturos arbitrati. Antalcides itaque cum Aeginam uenisset, Gorgopæ secum acceptis nauibus, Ephesum nauigauit: Gorgopam uero rursus cum nauibus decem Aeginam remisit, reliquis Nicolochum præfecit. Et Nicolochus ut Abydenis præsidio esset, illac traiecit, Tenedumque aggressus, agrum igni ac ferro uastauit, accepusq; pecunijs Abydum concessit. Atheniensium uero duces è Samothracia, Thaso, & ora ea collecti, Tenedensibus opem ferebant. Verum cum certiores facti essent Nicolochum cum nauibus Abydum nauigasse, illum ex Cherroneso insequuti triremibus triginta

triginta duabus, obsidione cinxerunt. Gorgopas interim cum ab Epheso discederet, in Eunomū incidit, quem tunc in Aeginam fugit, quò parumper ante sol[illegible] occasum, ubi nauibus egressus milites cœnare [illegible] aliquantisper substitisset, tandem abijt. Nocte uero incedente lumē è naui protulit, ne triremes subsequentes aberrarēt. At Gorgopas cōfestim ascensis nauib. illum occulte insequutus est: et ut hostes præcedētes latēret, gubernatores pro uoce, lapidū crepitu uti iussit. Cūq; Eunomi naues iuxta Zosterē in Attica terræ applicuissent, ille cōcentu urbanum hostes aggressus est. turmæ nauales partim in terrā descēderāt, partim adhuc salo fluctuabāt. Pugna igitur ad lunæ splendorem facta, Gorgopas quatuor captis nauibus Aeginā regressus est: reliquæ uero Atticæ naues in Piræū perfugerūt. Chabrias interim cum in Cyprū nauigaret, ut Euagoræ octingētis clypeatis, triremib. decē opem ferret, acceptis alijs quoq; nauibus ac militib. Atticis, nocte in Aeginam descendit, ac in ualle cōcaua ultra Herculis templum cum militib. occulte cōsedit. Orta die Dimenetes ut cōuenerat, cum graui aderat armatura: qui Herculis prætergressus templū quasi stadijs sedecim, ad eum locum qui Tres turres appellatur, peruenit. Gorgopas cum de hostiū aduentu certior factus esset, cū Aeginetis ac turmis naualibus, Spartanisq; qui tum forte aderant, obuiā pergit: nautas quoq; qui liberi essent, per præconē subsequi iussit: hi uarijs ac quibus poterant circundati armis, sequi festinabant. Cumq; primi insidias præterijssent, milites qui cum Chabria in insidijs latebāt, insurrexere: statimq; undiq; sagittis ac iaculis hostes degrauabāt, inde impreßionē in eos fecerūt. Lacedæmonij cum sparsi ac sine ordine cuncta gererēt, confestim superati sunt, Gorgopasq; in primis cecidit: quo oppresso reliqui in fugam uertuntur: occubuereq; ex Aeginetis centū quinquaginta circiter, peregrini uerò milites, inquilini & nautæ haud pauciores ducentis. Ex hoc tempore Athenienses sine controuersia maris tenebant imperium: nauales enim turmæ, quamuis Eteonico cogente, amplius naues ascendere nolebant, quia stipendiū illis non soluebatur: quapropter Lacedæmonij rursus Teleutiam nauibus præficiunt. Quem cum milites aduentantem uidissent, ualde gauisi sunt: ipse uero concione aduocata ita disseruit:

TELEVTIAE CONCIO.

Viri cōmilitones, ego quāuis pecunijs uacuus huc aduenerim, si dij annuerint, uosq; strenuā præstiteritis operā, cuncta uobis necessaria suppeditare conabor: siquidē non ignoratis quandiu uobis præfuerim, nō minus uestram, q̃ propriā quæsiuisse salutem. Nec mirum alicui uideri debet, si maior mihi cura de uestro q̃ de meo semper fuerit: quādo quidem per immortales deos, mallem potius per biduum absq; cibo agere, quàm diem unam uos ieiunos aspicere. Si igitur unquam antea fores meæ petere quid uolētibus patuere, nūc maxime apertæ erūt: adeo ut cum necessarijs uos abundare intelligam, me

τριάκοντα ναυσὶ μεθ' ἑαυτῶν. ὁ μέντοι γοργώπας ἀποπλέων ἐξ ἐφέσου περιτυγχάνει εὐνόμῳ. καὶ τότε μὲν καταπέφευγεν εἰς αἴγιναν, μικρὸν πρὸ ἡλίου δυσμῶν. ἐκβιβάσας δ' εὐθὺς, ἐδείπνιζε τοὺς στρατιώτας. ὁ δ' εὔνομος, ὀλίγον χρόνον ὑπομείνας, ἀπέπλει. νυκτὸς δ' ἐπιγενομένης φῶς ἔχων, ὥσπερ νομίζεται, ἀφηγεῖτο, ὅπως μὴ πλανῶνται αἱ ἑπόμεναι. ὁ δὲ γοργώπας ἐμβιβάσας, εὐθὺς ἐπηκολούθει κατὰ τὸν λαμπτῆρα ὑπολειπόμενος, ὅπως μὴ φανερὸς εἴη, μηδ' αἴσθησιν παρέχοι, λίθων τε ψόφῳ τῶν κελευστῶν ἀντὶ φωνῆς χρωμένων, καὶ παραγωγῇ τῶν κωπῶν. ἐπεὶ δ' ἦσαν αἱ τοῦ εὐνόμου πρὸς τῇ γῇ, περὶ ζωστῆρα τῆς ἀττικῆς, ἐκέλευσε τῇ σάλπιγγι ἐπιπλεῖν. τῶν δ' εὐνόμου ἐξ ἐνίων μὲν τῶν νεῶν ἄρτι ἐξέβαινον. οἱ δὲ καὶ ἔτι ὡρμίζοντο· οἱ δὲ καὶ ἔτι κατέπλεον. ναυμαχίας δὲ πρὸς τὴν σελήνην γενομένης, τέτταρας τριήρεις λαμβάνει γοργώπας. καὶ ἀναδησάμενος ᾤχετο ἄγων εἰς αἴγιναν. αἱ δ' ἄλλαι νῆες αἱ τῶν ἀθηναίων εἰς τὸν πειραιᾶ κατέφυγον. μετὰ δὲ ταῦτα χαβρίας ἐξέπλει εἰς κύπρον βοηθῶν εὐαγόρᾳ, πελταστάς τ' ἔχων ὀκτακοσίους, καὶ δέκα τριήρεις. προσλαβὼν δὲ καὶ ἀθήνηθεν ἄλλας τε ναῦς, καὶ ὁπλίτας, αὐτὸς δὲ τῆς νυκτὸς ἀποβὰς εἰς τὴν αἴγιναν, πορρωτέρω τοῦ ἡρακλείου ἐν κοίλῳ χωρίῳ ἐνήδρευσεν ἔχων τοὺς πελταστάς. ἅμα δὲ τῇ ἡμέρᾳ ὥσπερ ξυνέκειτο, ἧκον οἱ τῶν ἀθηναίων ὁπλῖται δημαινέτου αὐτῶν ἡγουμένου, καὶ ἀνέβαινον τοῦ ἡρακλείου ἐπέκεινα, ὡς ἑκκαίδεκα σταδίους, ἔνθα ἡ τριπυργία καλεῖται. ἀκούσας δὲ ταῦτα ὁ γοργώπας, ἐβοήθει μετά τε τῶν αἰγινητῶν, καὶ ξὺν τοῖς τῶν νεῶν ἐπιβάταις, καὶ σπαρτιατῶν, οἳ ἔτυχον αὐτόθι παρόντες ὀκτώ. καὶ ἀπὸ τῶν πληρωμάτων δὲ τῶν ἐκ τῶν νεῶν ἐκήρυξε βοηθεῖν, ὅσοι ἐλεύθεροι εἶεν. ὥστ' ἐβοήθουν καὶ τούτων πολλοί, ὅ,τι ἐδύνατο ἕκαστος ὅπλον ἔχων. ἐπεὶ δὲ παρήλλαξαν οἱ πρῶτοι τὴν ἐνέδραν, ἐξανίστανται οἱ περὶ τὸν χαβρίαν, καὶ εὐθὺς ἠκόντιζον, καὶ ἔβαλλον. ἐπῄεσαν δὲ καὶ οἱ ἐκ τῶν νεῶν ἀποβεβηκότες ὁπλῖται. καὶ οἱ μὲν πρῶτοι ἅτε οὐδενὸς ἀθρόου ὄντος, ταχὺ ἀπέθανον. ὧν ἦν γοργώπας τε καὶ οἱ λακεδαιμόνιοι. ἐπεὶ δὲ οὗτοι ἔπεσον, ἐτράποντο δὲ καὶ οἱ ἄλλοι. καὶ ἀπέθανον αἰγινητῶν μὲν ὡς πεντήκοντα καὶ ἑκατόν· ξένοι δὲ καὶ μέτοικοι καὶ ναῦται καταδεδραμηκότες οὐκ ἐλάττους διακοσίων. ἐκ δὲ τούτου οἱ μὲν ἀθηναῖοι ὥσπερ ἐν εἰρήνῃ ἔπλεον τὴν θάλατταν. οὐδὲ γὰρ τῷ ἐτεονίκῳ ἤθελον οἱ ναῦται, καίπερ ἀναγκάζοντι ἐμβάλλειν, ἐπεὶ μισθὸν οὐκ ἐδίδου. ἐκ δὲ τούτου οἱ λακεδαιμόνιοι τελευτίαν αὖ ἐπὶ ταύτας ἐκπέμπουσιν ἐπὶ ταύτας τὰς ναῦς ναύαρχον. ὡς δὲ εἶδον αὐτὸν ἥκοντα οἱ στρατιῶται, ὑπερήσθησαν. ὁ δ' αὐτοὺς ξυγκαλέσας, εἶπε τοιάδε.

ΔΗΜΗΓΟΡΙΑ ΤΕΛΕΥΤΙΟΥ.

Ὦ ἄνδρες στρατιῶται, ἐγὼ χρήματα μὲν οὐκ ἔχων ἥκω. ἐὰν μέντοι θεὸς ἐθέλῃ, καὶ ὑμεῖς συμπροθυμῆσθε, πειράσομαι τὰ ἐπιτήδεια ὑμῖν ὡς πλεῖστα πορίζειν. εὖ δ' ἴστε, ὅταν ὑμῶν ἐγὼ ἄρχω, εὔχομαι οὐδὲν ἧττον ζῆν ὑμᾶς, ἢ καὶ ἐμαυτόν. τά τε ἐπιτήδεια θαυμάσαιτε μὲν ἴσως, εἰ φαίην βούλεσθαι ὑμᾶς μᾶλλον, ἢ ἐμὲ ἔχειν. ἐγὼ δὲ νὴ τοὺς θεοὺς καὶ δεξαίμην ἂν αὐτὸς μᾶλλον δύο ἡμέρας ἄσιτος, ἢ ὑμᾶς μίαν γενέσθαι. ἥ γε μὴν θύρα ἡ ἐμὴ ἀνέῳκτο μὲν δήπου καὶ πρόσθεν εἰσιέναι τῷ δεομένῳ τι ἐμοῦ, ἀνεῴξεται δὲ καὶ νῦν. ὥστε ὅταν ὑμεῖς πλήρη ἔχητε τὰ ἐπιτήδεια, τότε καὶ ἐμὲ

ἐμὲ ὄψεσθε ἀφθονώτερον διαιτώμενον. ἣν δὲ αἰσχόμενόν με ὁρᾶτε καὶ ψῦχος, καὶ θάλπος, καὶ ἀγρυπνίαν, οἴεσθε καὶ ὑμᾶς ταῦτα πάντα καρτερεῖν. οὐδὲν γὰρ τούτων κελεύω ὑμᾶς ποιεῖν, ἵνα ἀνιᾶσθε, ἀλλ' ἵνα ἐκ τούτων ἀγαθόν τι λαμβάνητε. καὶ ἡ πόλις δέ τοι, ὦ ἄνδρες στρατιῶται, ἡ ἡμετέρα, ἣ εὐδαίμων εἶναι δοκεῖ, εὖ ἴστε ὅτι τἀγαθὰ καὶ τὰ καλὰ ἐκτήσατο, οὐ ῥαθυμοῦσα, ἀλλ' ἐθέλουσα καὶ πονεῖν καὶ κινδυνεύειν ὁπότε δέοι. καὶ ὑμεῖς οὖν ἦτε μὲν καὶ πρότερον, ὡς ἐγὼ οἶδα, ἄνδρες ἀγαθοί. νῦν δὲ πειρᾶσθαι χρὴ ἔτι ἀμείνονας γίγνεσθαι, ἵν' ἡδέως μὲν ξυμπονῶμεν, ἡδέως δὲ ξυνευδαιμονῶμεν. τί γὰρ ἥδιον, ἢ μηδένα ἄνθρωπον κολακεύειν, μήτε Ἕλληνα, μήτε βάρβαρον μισθοῦ ἕνεκα, ἀλλ' ἑαυτοῖς ἱκανοὺς εἶναι τἀπιτήδεια πορίζεσθαι, καὶ ταῦτα, ὅθεν περ κάλλιστον; ἡ γάρ τοι ἐν πολέμῳ ἀπὸ τῶν πολεμίων ἀφθονία, εὖ ἴστε ὅτι ἅμα τροφήν τε καὶ εὔκλειαν ἐν πᾶσιν ἀνθρώποις παρέχεται. ὁ μὲν ταῦτα εἶπεν. οἱ δὲ πάντες ἀνεβόησαν παραγγέλλειν ὅ,τι ἂν δέοι, ὡς σφῶν ὑπηρετησόντων. ὁ δὲ τεθυμένος ἐτύγχανεν. εἶπε δέ· ἄγετε, ὦ ἄνδρες, δειπνήσατε μὲν, ἅπερ καὶ ὡς ἐμέλλετε. προπαράσχετε δέ μοι μιᾶς ἡμέρας σῖτον. ἔπειτα δὲ ἥκετε ἐπὶ τὰς ναῦς αὐτίκα μάλα, ὅπως πλεύσωμεν ἔνθα θεὸς ἐθέλει, ἐν καιρῷ ἀφιξόμενοι. ἐπεὶ δὲ ἦλθον, ἐμβιβασάμενος εἰς τὰς ναῦς, ἔπλει νυκτὸς εἰς τὸν λιμένα τῶν Ἀθηναίων, τότε μὲν ἀναπαύων, καὶ παραγγέλλων ἀποκοιμᾶσθαι, τότε δὲ κώπαις προσκομιζόμενος. εἰ δέ τις ὑπολαμβάνει ὡς ἀφρόνως ἔπλει δώδεκα τριήρεις ἔχων ἐπὶ πολλὰς ναῦς κεκτημένους, ἐννοησάτω τὸν ἀναλογισμὸν αὐτοῦ. ἐκεῖνος γὰρ ἐνόμισεν ἀμελέστερον μὲν ἔχειν τοὺς Ἀθηναίους περὶ τὸ ἐν τῷ λιμένι ναυτικὸν, Γοργώπα ἀπολωλότος. εἰ δὲ καὶ εἶεν τριήρεις ὁρμοῦσαι, ἀσφαλέστερον ἡγήσατο ἐπ' εἴκοσι ναῦς Ἀθήνησιν οὔσας πλεῦσαι, ἢ ἄλλοθι δέκα. τῶν μὲν γὰρ ἔξω ᾔδει ὅτι κατὰ ναῦν ἔμελλον οἱ ναῦται σκηνήσειν. τῶν δ' Ἀθήνησιν ἐγίγνωσκεν ὅτι οἱ μὲν τριήραρχοι οἴκοι καθευδήσοιεν, οἱ δὲ ναῦται ἄλλος ἄλλῃ σκηνήσοιεν. ἔπλει μὲν ταῦτα διανοηθείς. ἐπεὶ δὲ ἀπεῖχε πέντε ἢ ἓξ στάδια τοῦ λιμένος, ἡσυχίαν εἶχε, καὶ ἀνέπαυεν. ὡς δὲ ἡμέρα ὑπέφαινεν, ἡγεῖτο. οἱ δ' ὑπηκολούθουν. καὶ καταδύειν μὲν οὐκ εἴα στρογγύλον πλοῖον, οὐδὲ λυμαίνεσθαι ταῖς ἑαυτῶν ναυσίν. εἰ δέ που τριήρη ἴδοιεν ὁρμοῦσαν, ταύτην πειρᾶσθαι ἄπλουν ποιεῖν. τὰ δὲ φορτηγικὰ πλοῖα, καὶ γέμοντα, ἀναδουμένους, ἕλκειν. ἐκ δὲ τῶν μειζόνων ἐμβαίνοντας, ὅπου δύναιντο, τοὺς ἀνθρώπους λαμβάνειν. ἦσαν δέ τινες, οἳ καὶ ἐκπηδήσαντες εἰς τὸ δεῖγμα, ἐμπόρους τέ τινας, καὶ ναυκλήρους ξυναρπάσαντες, εἰς τὰς ναῦς εἰσήνεγκαν. ὁ μὲν δὴ ταῦτα ἐποίει. τῶν δ' Ἀθηναίων οἱ μὲν αἰσθόμενοι ἔνδοθεν, ἔθεον ἔξω, σκεψόμενοι τίς ἡ κραυγή. οἱ δὲ ἔξωθεν, οἴκαδε ἐπὶ τὰ ὅπλα. οἱ δὲ καὶ εἰς ἄστυ ἀγγελοῦντες. πάντες δ' Ἀθηναῖοι τότε ἐβοήθησαν, καὶ ὁπλῖται, καὶ ἱππεῖς, ὡς τοῦ Πειραιῶς ἑαλωκότος. ὁ δὲ τὰ πλοῖα μὲν ἀπέστειλεν εἰς Αἴγιναν, καὶ τῶν τριήρων τρεῖς ἢ τέτταρας ξυναπαγαγεῖν ἐκέλευσε. ταῖς δ' ἄλλαις παραπλέων παρὰ τὴν Ἀττικὴν, ἅτε ἐκ τοῦ λιμένος πλέων, πολλὰ καὶ ἁλιευτικὰ πλοῖα ἔλαβε, καὶ πορθμεῖα ἀνθρώπων μεστὰ, καταπλέοντα ἀπὸ νήσων. ἐπὶ δὲ Σούνιον ἐλθὼν, καὶ ὁλκάδας γεμούσας, τὰς μέν τινας σίτου, τὰς δὲ καὶ ἐμπολῆς ἔλαβε. ταῦτα δὲ

me maxima lætitia affectũ cernatis. Proinde si me frigora, calores, uigilias sustinentẽ uidebitis, existimate uos quoq; similia tolerare posse: quãuis nihil horũ uos facere iubeo ut doleatis, sed ut emolumẽtũ inde accipiatis. Quod.n. ciuitas nostra, ô cõmilitones, ad illud qđ cernitis felicitatis peruenit fastigium, totq; immẽsis ac opulẽtis prædita est bonis, nõ socordia et rerũ accidit desidia, sed laborãdo, periclitãdo, et bene cõsulendo eo dignitatis processit. Agite igitur cũ antea, ut optime noui, uiri fueritis fortissimi, nũc etiã meliores euadere annitamini, ut cũ strenue simul laborauerimus, suauiter quoq; una laboris præmiũ sumere possimus. Quid.n. dulcius, q̃ nulli hominũ, seu Græco, seu barbaro adulari, uerũ unũquẽq; sibiipsi sufficiẽtẽ ad res necessarias suppeditãdas existere: maxime unde et pulcherrimum ẽ. Nã ab hostib. parta abũdãtia nõ solũ, ut nostis, commeatũ, sed et gloriã inter oẽs præbere solet homines. Milites his auditis una uoce clamare cœperũt, qđ eos facere uellet, ostẽderet. At ille: Agite ô uiri, inq̃t, cœnate, frumẽtũq; diei unius mihi exhibete, inde cõfestim naues ascẽdite, ut eò nauigantes quò deus uoluerit, debito perueniamus tẽpore. Cũq; oẽs naues cõscẽdissẽt, nocte uersus Atheniẽsem nauigat portũ: quò cũ peruenisset, substitit, militesq; dormire iussit, ac remos cõpressit. Proinde si q̃s insipiẽter illũ cũ triremib. duodecim rẽ tã arduã aggressũ esse existimat, is qua ratiõe motus fuerit, audiat. Arbitrabatur.n. oppresso Gorgopa, Atheniẽses oĩa solutiore cura in portu agere, naualiaq; oĩ præsidio destituta esse. Quod si aliquæ triremes Athenis instructæ essẽt, existimabat tutius esse aduersus naues xx. Athenis mouere, q̃ alibi cõtra x. nã ibi turmæ nauales in nauib. excubare cogebantur. Athẽis uerò præfectos domi quẽq; dormire: nautas uero hinc inde sparsos q̃escere cognoscebat. Hac ratione motus, rẽ tãtã adoriri ausus fuit. Cũq; iã q̃nq; aut sex à portu abesset stadiis, ut dictũ ẽ, q̃etẽ egit. Orta die primus portũ irrumpit: triremes uerò reliquæ subsequebãtur. Minora igitur nauigia aggredi negligebãt: at cũ triremẽ quãdã erũpe conãtẽ uidissent, cõfestim eã opprimebãt: onerarias uero naues religatas ac plenas abducebãt: ĩ maiora quoq; trãsgressi nauigia, ubicũq; poterãt homines inde rapiebãt. Q̃uidã etiã in terrã desilientes, mercatores quosdã ac gubernatores cõprehẽdebãt, illosq; in suas traducebãt triremes. Et illi his intẽti erant. Atheniẽses uero q̃ ĩ urbe assistebãt, audito tumultu, ut causam clamoris discerẽt, extra urbẽ currebãt: at q̃ extra erãt, intro, p capiẽdis ferebãtur armis: alii p ciuitatẽ discurrẽtes, alii hæc nũciabãt. Athenienses itaq; uniuersi tã pedites q̃ eq̃tes ĩ subsidiũ, tanq̃ Piræo capto aduolãt. Teleutias uerò ĩde digressus, captas naues Aeginã mittit, quas triremes tres uel quatuor præsidii causa cõcomitari iubet: cũ reliq̃s ipse circa Atticã, ac si ex portu moueret nauigãs, multos piscatorios excepit lẽbos: oneraria quoq; nauigia haud pauca hominib. plena, quæ undiq; ex insulis aduentabãt, cepit. In Sunio quoq; holcades q̃sdã cũ frumẽto, tũ mercib. onustas, oppressit. His

actis rursus Aeginam reuehitur, ubi diuēditis spo
liis militibus menstruum persoluit stipendium.
Alia deinde aggressus loca, quaecunque poterat
diripiebat: quapropter plures instructas triremes,
milites\q; ad omnia obeunda pericula alacriores
& promptiores habebat. Antalcides interim per
Tiribazum cum rege societatem iniit: cui & au-
xilium promissum est, ni Athenienses & socii pa
cem quam ipse obtulerat, susciperent. Cum uero
Nicolochum cum nauibus Abydi ab Iphicrate &
Diotimo obsessum esse intellexisset, cum peditatu
Abydum contendit: ibi acceptis nauibus nocte dis-
cessit, sermonem\q; disseminauit, tanquam ab Chal
cedonensibus accersiretur. Cum\q; Percopem per-
uenisset, quietem egit. Quod cum hi qui cum Di-
meneto, Dionysio, Leontichide & Phenia re-
sciuissent, confestim illum in Proconnesum inse-
quuti sunt: quibus praetergressis conuersus ille A-
bydum reuersus est, ibi\q; Polyxenum expectabat,
qui cum uiginti Syracusanis ac Italicis aduenta-
bat nauibus. Interim Thrasybulus Cotaliteus ex
Thracia nauibus aduenit octo, Atticae\q; classi
coniungi quaerebat. At Antalcides cum specula-
tores illi triremes octo praeternauigare significas-
sent, naues duodecim celerrimas milite confestim
implet, reliquas occulte subsequi iubet. Cumque
hostes iam praetergressi essent, illos insequitur: id
cum uidissent, fugam capiunt. Tardiores itaque
cum suis celerioribus confestim assequitur. At pri-
moribus qui cum ipso nauigabant mandat, ne ulti
mas aggrederentur, sed semper anteriores assequi
niterentur: quae cum captae essent, & nouissimi pri
ores comprehensos cernentes, ipsi quoque omni
propter tarditatem deposita spe, tristes capti sunt,
ita ut omnes in hostium uenirent potestatem. Ad-
uenere interim Syracusanae naues uiginti, necnon
aliae ab Ionia & Tiribazo, quae in Ariobarzanis in
structae erant finibus: erat enim pridem hospes A-
riobarzano. Aderant etiam à Pharnabazo naues,
cui iam regis filia nupta erat. Cum igitur classis o-
ctoginta nauium superaret numerū, Antalcides to
tius maris obtinuit imperium, ita ut Athenienses à
nauigatione inhiberet Pontica, illa\q; ad socias di-
uerteret urbes. Athenienses cum hostes nauiū mul
titudine pollere uidissent, uerebātur ne ut antea ob
sidione circundarentur, praecipue cum Lacedaemo
nios regis socios effectos cernerent. Infestabantur
insuper ex Aegina à piratis. His omnibus coacti
causis, pacem quam antea contempserā:, uehemen
ter desiderare coeperunt. Lacedaemonii quo\q; cum
cohortem Lechaei, aliam\q; Orchomenii praesidii
causa alere cogerentur: insuper ciuitates has ne
caperentur, alias ne deficerent, milite munire ne-
cesse haberent: circa Corinthum quo\q; negocium
illis haud paruum iniectum esset, grauiter bellum
ferebant. Argiui quo\q; uidentes quod praesidia ale
re cogerentur, rei\q; pecuniariae augerentur penu-
ria, & ipsi ad pacem inclinati erant: ita ut cum Ti
ribazus nunciasset, qui regium edictum de pace
audire uellent, praesto essent, omnes extemplo
conue-

δὲ ποιήσας, ἀπέπλευσεν εἰς αἴγιναν. καὶ ἀποδόμενος τὰ
λάφυρα, μισθὸν μηνὸς προὔδωκε τοῖς στρατιώταις. καὶ
τὸ λοιπὸν δὴ περιπλέων, ἀπελάμβανεν ὅ,τι ἐδύνα-
το. καὶ ταῦτα ποιῶν, πλήρεις τε τὰς ναῦς ἔτρεφε, καὶ
τοὺς στρατιώτας εἶχεν ἡδέως, καὶ ταχέως ὑπηρετοῦν-
τας. ὁ δὲ ἀνταλκίδας κατέβη μὲν μετὰ τιριβάζου, διὰ
πεπραγμένος ξυμμαχεῖν βασιλέα, εἰ μὴ ἐθέλοιεν ἀθη-
ναῖοι καὶ οἱ ξύμμαχοι χρῆσθαι τῇ εἰρήνῃ, ᾗ αὐτὸς ἔλεγεν.
ὡς δ' ἤκουσε νικόλοχος σὺν ταῖς ναυσὶν πολιορκεῖσθαι
ἐν ἀβύδῳ ὑπὸ ἰφικράτους, καὶ διοτίμου, πεζῇ ᾤχετο
ὡς ἄβυδον. ἐκεῖθεν δὲ λαβὼν τὸ ναυτικὸν, νυκτὸς ἀνήγε-
το, διασπείρας λόγον, ὡς μεταπεμπομένων τῶν χαλκη-
δονίων. ὁρμισάμενος δὲ ἐν περκώτῃ, ἡσυχίαν εἶχεν.
αἰσθόμενοι δὲ οἱ περὶ δημαίνετον καὶ διονύσιον καὶ λεόν-
τιχον, καὶ φανίαν, ἐδίωκον αὐτὸν τὴν ἐπὶ προικοννήσου.
ὁ δ' ἐπεὶ ἐκεῖνοι παρέπλευσαν, ὑποστρέψας, εἰς ἄβυδον
ἀφίκετο. ἠκηκόει γὰρ ὅτι προσπλέοι πολύξενος, ἄγων τὰς
ἀπὸ συρακουσῶν, καὶ ἰταλίας ναῦς εἴκοσιν, ὅπως ἀναλάβοι
καὶ ταύτας. ἐκ δὲ τούτου θρασύβουλος ὁ κοτταλιτεὺς ἔχων
ναῦς ὀκτὼ, ἔπλει ἀπὸ θρᾴκης, βουλόμενος ταῖς ἄλλαις
ἀττικαῖς ναυσὶ ξυμμῖξαι. ὁ δ' ἀνταλκίδας, ἐπεὶ αὐτῷ
οἱ σκοποὶ ἐσήμηναν ὅτι προσπλέοιεν τριήρεις ὀκτὼ, ἐμ-
βιβάσας τινὰς ναύτας εἰς δώδεκα ναῦς, τὰς ἄριστα πλεού-
σας, καὶ προσαναπληρώσασθαι κελεύσας, εἴ τις ἐνδεὴς ἐκ τῶν
καταλειπομένων, ἐνήδρευσεν ὡς ἐδύνατο ἀφανέ-
στατα. ἐπεὶ δὲ παρέπλεον, ἐδίωκεν. οἱ δ' ἰδόντες, ἔφευ-
γον. τὰς μὲν οὖν βραδύτατα πλεούσας, ταῖς ἄριστα πλεού-
σαις ταχύτατα κατειλήφει. παραγγείλας δὲ τοῖς πρω-
τόπλοις τῶν μεθ' ἑαυτοῦ μὴ ἐμβαλεῖν ταῖς ὑστάταις, ἐδίω-
κε τὰς προεχούσας. ἐπεὶ δὲ ταύτας ἔλαβεν, ἰδόντες οἱ
ὕστεροι ἁλισκομένους σφῶν αὐτῶν τοὺς πρόπλους, ὑπ'
ἀθυμίας καὶ τῶν βραδυτέρων ἡλίσκοντο, ὥσθ' ἥλω-
σαν ἅπασαι. ἐπεὶ δ' ἦλθον αὐτοῖς αἵ τε ἐκ συρακουσῶν
νῆες εἴκοσιν, ἦλθον δὲ καὶ αἱ ἀπὸ ἰωνίας, ὅσων ἐγκρα-
τὴς ἦν τιρίβαζος. ξυνεπληρώθησαν δὲ καὶ ἐκ τῆς ἀριοβαρ-
ζάνους. καὶ γὰρ ἦν ξένος ἐκ παλαιοῦ τῷ ἀριοβαρζάνει. ὁ δὲ φαρ-
νάβαζος ἤδη ἄνω μετακεκλημένος ᾤχετο, ὅτε δὴ καὶ
ἔγημε τὴν βασιλέως θυγατέρα. ὁ δὲ ἀνταλκίδας, γενομέ-
ναις ταῖς πάσαις ναυσὶ πλείοσιν ἢ ὀγδοήκοντα, ἐκράτει
πάσης τῆς θαλάττης. ὥστε καὶ τὰς ἐκ τοῦ πόντου ναῦς ἀθήνα-
ζε μὲν ἐκώλυε καταπλεῖν, εἰς δὲ τοὺς ἑαυτῶν ξυμμά-
χους κατῆγεν. οἱ μὲν οὖν ἀθηναῖοι ὁρῶντες μὲν πολλὰς
τὰς πολεμίας ναῦς, φοβούμενοι δὲ μὴ ὡς πρότερον καταπο-
λεμηθείησαν, ξυμμάχου λακεδαιμονίοις βασιλέως γε-
γενημένου, πολιορκούμενοι δ' ἐκ τῆς αἰγίνης ὑπὸ λῃστῶν,
διὰ ταῦτα μὲν ἰσχυρῶς ἐπεθύμουν τῆς εἰρήνης. οἱ δ' αὖ
λακεδαιμόνιοι φρουροῦντες μόρᾳ μὲν ἐν λεχαίῳ, μόρᾳ
δ' ἐν ὀρχομενῷ, φυλάττοντες δὲ τὰς πόλεις, αἷς μὲν ἐ-
πίστευον μὴ ἀπόλοιντο, αἷς δὲ ἠπίστουν μὴ ἀποσταῖεν,
πράγματα δ' ἔχοντες, καὶ παρέχοντες περὶ τὴν κό-
ρινθον, χαλεπῶς ἔφερον τῷ πολέμῳ. οἵ γε μὴν ἀργεῖοι
ἰδόντες φρουράν τε πεφασμένην ἐφ' ἑαυτοὺς, καὶ γινώ-
σκοντες ὅτι ἡ τῶν μηνῶν ὑποφορὰ οὐδὲν ἔτι σφᾶς ὠφε-
λήσει, καὶ οὗτοι εἰς τὴν εἰρήνην πρόθυμοι ἦσαν. ὥστ' ἐπεὶ παρ-
ήγγειλεν ὁ τιρίβαζος παρεῖναι τοὺς βουλομένους ὑπακοῦ-
σαι, ἣν βασιλεὺς εἰρήνην καταπέμποι, ταχέως πάντες
παρ-

παρεγένοντο. ἐπεὶ δὲ ξυνῆλθον, ἐπιδείξας ὁ τιρίβαζος τὰ βασιλέως σημεῖα, ἀνεγίγνωσκε τὰ γεγραμμένα. εἶχε δὲ ὧδε· ἀρταξέρξης βασιλεὺς νομίζει δίκαιον, τὰς μὲν ἐν τῇ ἀσίᾳ πόλεις ἑαυτοῦ εἶναι, καὶ τῶν νήσων, κλαζομενὰς καὶ κύπρον. τὰς δὲ ἄλλας ἑλληνίδας πόλεις καὶ μικρὰς καὶ μεγάλας, αὐτονόμους ἀφεῖναι, πλὴν λήμνου καὶ ἴμβρου καὶ σκύρου. ταύτας δὲ ὥσπερ τὸ ἀρχαῖον, εἶναι ἀθηναίων. ὁπότεροι δὲ ταύτην τὴν εἰρήνην μὴ δέχονται, τούτοις ἐγὼ πολεμήσω μετὰ τῶν ταῦτα βουλομένων, καὶ πεζῇ, καὶ κατὰ θάλατταν, καὶ ναυσί, καὶ χρήμασιν. ἀκούοντες οὖν ταῦτα οἱ ἀπὸ τῶν πόλεων πρέσβεις, ἀπήγγελλον ἐπὶ τὰς ἑαυτῶν ἕκαστοι πόλεις. καὶ οἱ μὲν ἄλλοι πάντες ὤμνυσαν ἐμπεδώσειν ταῦτα. οἱ δὲ θηβαῖοι ἠξίουν ὑπὲρ πάντων βοιωτῶν ὀμνύναι. ὁ δὲ ἀγησίλαος οὐκ ἔφη δέξασθαι τοὺς ὅρκους, ἐὰν μὴ ὀμνύωσιν ὥσπερ τὰ βασιλέως γράμματα ἔλεγεν, αὐτονόμους εἶναι καὶ μικρὰν καὶ μεγάλην πόλιν. οἱ δὲ τῶν θηβαίων πρέσβεις, ἔλεγον ὅτι οὐκ ἐπεσταλμένα σφίσι ταῦτ᾽ εἴη. ἴτε νῦν, ἔφη ὁ ἀγησίλαος, καὶ ἐρωτᾶτε. ἀπαγγέλλετε δ᾽ αὐτοῖς καὶ ταῦτα, ὅτι εἰ μὴ ταῦτα ποιήσοιεν, ἔκσπονδοι ἔσοιντο. οἱ μὲν δὴ ᾤχοντο. ὁ δὲ ἀγησίλαος διὰ τὴν πρὸς θηβαίους ἔχθραν, οὐκ ἔμελλεν, ἀλλὰ πείσας τοὺς ἐφόρους, εὐθὺς ἐθύετο. ἐπεὶ δ᾽ ἐγένετο τὰ διαβατήρια, ἀφικόμενος εἰς τεγέαν, διέπεμπε τῶν μὲν ἱππέων κατὰ τοὺς περιοίκους ἐπισπεύσοντας, διέπεμπε δὲ καὶ ξεναγοὺς εἰς τὰς πόλεις. πρὶν δὲ αὐτὸν ὁρμηθῆναι ἐκ τεγέας, παρῆσαν οἱ θηβαῖοι, λέγοντες ὅτι ἀφιᾶσι τὰς πόλεις αὐτονόμους. καὶ οὕτω λακεδαιμόνιοι μὲν οἴκαδε ἀπῆλθον. θηβαῖοι δ᾽ εἰς τὰς σπονδὰς εἰσελθεῖν ἠναγκάσθησαν, αὐτονόμους ἀφέντες τὰς βοιωτικὰς πόλεις. οἱ δ᾽ αὖ κορίνθιοι οὐκ ἐξέπεμπον τὴν τῶν ἀργείων φρουράν. ἀλλ᾽ ὁ ἀγησίλαος καὶ τούτοις προεῖπε, τοῖς μέν, εἰ μὴ ἐκπέμψοιεν τοὺς ἀργείους, τοῖς δέ, εἰ μὴ ἀπίοιεν ἐκ τῆς κορίνθου, ὅτι πόλεμον ἐξοίσει ἐπ᾽ αὐτούς. ἐπεὶ δὲ φοβηθέντων ἀμφοτέρων, ἐξῆλθον οἱ ἀργεῖοι, καὶ αὐτὴ ἐφ᾽ ἑαυτῆς ἡ τῶν κορινθίων πόλις ἐγένετο, οἱ μὲν σφαγεῖς, καὶ οἱ μεταίτιοι τοῦ ἔργου, αὐτοὶ γνόντες, ἀπῆλθον ἐκ τῆς κορίνθου. οἱ δ᾽ ἄλλοι πολῖται ἑκόντες κατεδέχοντο τοὺς πρόσθεν φεύγοντας. ἐπεὶ δὲ ταῦτ᾽ ἐπράχθη, καὶ ὠμωμόκεσαν αἱ πόλεις ἐμμενεῖν τῇ εἰρήνῃ, ἣν κατέπεμψε βασιλεύς, ἐκ τούτου διελύθη μὲν τὰ πεζικά, διελύθη δὲ καὶ τὰ ναυτικὰ στρατεύματα. λακεδαιμονίοις μὲν δὴ καὶ ἀθηναίοις καὶ τοῖς ξυμμάχοις, οὕτως ἡ μετὰ τὸν ὕστερον πόλεμον τῆς καθαιρέσεως τῶν ἀθήνησι τειχῶν, αὕτη πρώτη εἰρήνη ἐγένετο. ἐν δὲ τῷ πολέμῳ μᾶλλον ἀντιῤῥόπως τοῖς ἐναντίοις πράττοντες οἱ λακεδαιμόνιοι, πολὺ ἐπικυδέστεροι ἐγένοντο ἐκ τῆς ἐπ᾽ ἀνταλκίδου εἰρήνης καλουμένης. προστάται γὰρ γενόμενοι τῆς ὑπὸ βασιλέως καταπεμφθείσης εἰρήνης, καὶ τὴν αὐτονομίαν ταῖς πόλεσι πράττοντες, προσέλαβον μὲν ξύμμαχον κόρινθον, αὐτονόμους δὲ ἀπὸ τῶν θηβαίων τὰς βοιωτίδας πόλεις ἐποίησαν, οὗπερ πάλαι ἐπεθύμουν. ἔπαυσαν δὲ καὶ ἀργείους, κόρινθον σφετεριζομένους, φρουρὰν φήναντες ἐπ᾽ αὐτούς, εἰ μὴ ἐξίοιεν ἐκ κορίνθου. τούτων δὲ προκεχωρηκότων ὡς ἐβούλοντο, ἔδοξεν αὐτοῖς, ὅσοι ἐν τῷ πολέμῳ τῶν ξυμμάχων ἐπέκειντο, καὶ τοῖς πολεμίοις εὐμενέστεροι

conuenere: quibus collectis, Tiribazus regium ostendit signum, literasq; hæc continentes legit: Artaxerxes rex æquum esse censet, ciuitates Asiaticas sibi parere: ex insulis quoq; Clazomenas & Cyprum: reliquas ciuitates græcas cum paruas, tum magnas, liberi iuris esse finit, præter Lemnũ, Imbrum & Scirum: illæ siquidem ut ab initio fuere, Atheniensium sunto. Proinde quicunque pacis conditiones has minus susceperint, his 10 ego cum obtemperantibus terra mariq; nauibus ac pecunijs, cunctis denique uiribus bellum inferam. Hæc cum ciuitatum audissent legati, domum renunciant: & reliqui omnes pacem iuramento firmarunt, exceptis Thebanis, qui omnium Bœotiorum uice iurare uoluerunt: quod iuramen tum Agesilaus haud suscipiendum esse asseruit, ni id quemadmodum regiæ iuberent literæ, præstaretur, nempe ut paruæ ac magnæ ciuitates liberi iuris essent. Thebanorum uero legati, hæc in 20 mandatis non habere, responderunt. Ite igitur, Agesilaus inquit, ac interrogate, uestrisq; hæc nunciate: si non parebunt, extra pacis futuros conditiones. Et illi discessere. Agesilaus uero propter Thebanorum odium nihil cunctatus est, sed Ephoris in suam traductis sententiam, confestim rem sacram fecit: cumq; litasset, Tegeam transijt, equitesq; undique ad circumiacentes misit ciuitates, qui socios festine conuenire iuberent: mercenarios præterea acciuit milites. Sed antea quàm 30 ex Tegea moueret, aderant Thebani, offerentes se ciuitates liberas dimissuros. Sicq; Lacedæmonij domum regressi. Thebani uero pacis conditiones acceptare, Bœotiæq; ciuitates sui iuris relinquere coacti sunt. Cæterum cum nec Corinthij Argiuorum dimisissent præsidium, Agesilaus ijs quoque bellum comminatus est, ni è ciuitate præsidium emitterent: pariter & Argiuis, ni suos abducerent. Qua denunciatione utrique territi, Argiui urbe excessere, Corinthumq; liberam re- 40 liquere. Id cum cædis rei, quique illis adhæserant, didicissent, & ipsi ex Corintho aufugêre: reliqui uerò ciues haud inuiti exules recepere. His actis, ac pace quam rex dederat ab omnibus suscepta ciuitatibus, exercitus utrinque tam terra quàm mari dissoluti sunt: & inter Lacedæmonios, Athenienses ac socios, post ante actum bellum, in quo Atticæ diruti sunt muri, hæc prima subsecuta pax est. Cùmque in eo bello Lacedæmonij hostibus uiriliter restitissent, longe glo- 50 riosiores in hac pace, ~~quàm ea~~ quæ Antalcides appellatur, apparuere: siquidem regij pacis executores constituti, ciuitates in libertatem uendicarunt, Corinthumque in societatem recepere. Thebanos quoque coëgere, ut Bœotiæ ciuitates, quod diu desiderarant, suo permitterent iure uiuere. Argiuos quoque ut à Corintho abstinerent, perpulere: bellum interminati, ni inde præsidium deducerent. His ita ex sententia dispositis, uisum est eis ita cum socijs qui egregiè se in bello gesserant, quiq; in hostes propensiores

ſiores fuiſſe uiderentur, agere, ne aliquo pacto ab illis quãdoq; deficere poſſẽt. Primo igitur ad Mãtineos miſerunt, eosq; muros diruere iuſſerũt, prædicãtes haud aliter illis fidere poſſe, ne ad hoſtes deficerẽt: ſiquidẽ pro cõperto ſe habere aſſerebãt, quod Argiuos hoſtes frumẽto iuuiſſent. Illis præterea crimini dabãt, quod inducias prætendentes, unà militare renuiſſent: et ſi quãdoq; cũ eis in militiã exiuiſſent, data opera ignauiter ſe geſſiſſent. Noſcere præterea aiebãt, illos iniquo ferre animo, ſi quid boni eis accidiſſet: rurſus ſi in calamitatẽ incidiſſent, gaudio non mediocri efferri ferebãtur. hocq; anno fœdera tricennalia, quæ poſt Mantinenſe bellũ facta erãt, exiere. Cæterũ cũ Mãtinei muros diruere nollẽt, bellũ eis inferre decreuerunt. Ageſilaus uero ſummopere expeditionẽ hanc deprecatus eſt, oſtẽdens beneficia à Mantineorũ ciuitate multa ac egregia, tẽpore Meſſenii belli in patrẽ ſuũ collata: quapropter Ageſipolis exercitũ eduxit, quãuis et pater ipſius Pauſanias, Mãtinenſi pplo ſumma beneuolẽtia deuinctus fuiſſet. Primo igitur prædabũdus per agrum diſcurrit, incendioq; cũcta uaſtat. Sed cũ hoſtes intra muros ſe tenere cerneret, foſſam profundã urbẽ circa effodere inſtituit, dimidiãq; exercitus partẽ laborantibus præſidio eſſe, ac qeſcere, aliã uero labori intẽdere iuſſit. Perfecto ope ſecurius iã circa urbẽ ſedebat. Verũ cũ conſideraſſet urbẽ frumẽto copioſo refertã, omnifarioq; cõmeatus genere abũdare (nã fertilitas magna in priorẽ inciderat annũ) ueritus ciuitatẽ ac ſocios ægrè laturos, ſi tãto tẽpore cũ exercitu urbẽ obſideret, fluuij curſum, qui haud exilis urbẽ interſecat, ſiſtere conatus eſt: obſtructo enim illius decurſu, ſupra domorũ ac murorũ fundamẽta ſtagnare coẽgit. Cũq; aſsidua inundatione inferiores allueréntur lateres, ſuperioresq; põdere murũ degrauarent, primo fatiſcere, inde penitus ruinã minari cœpit. At Mãtinenſes, ne turres deciderent, munimentis ac operib. reſiſtebãt ligneis, nec fruſtra p tempus aliquod elaborabãt. Verũ cũ fundamenta uehementi unda premerẽtur ſtagnatione, uerebãtur ne ſi murus p circuitũ rueret, ciuitas dirueretur, ipſi uero in prædã abducerentur: quapropter ſe iuſſa facturos paratos eſſe obtulerunt. At Lacedæmonij illos in deditionẽ amplius recipere noluerũt, ni per uicos habuarẽt: at illi neceſsitate coacti, in id quoq; cõſenſere. Cumq; quæſtores ac populi præſides mortem formidarent, pater ab Ageſipoli de illis ſecuritatẽ impetrauit, ut oẽs (LX. erãt) ſalui ab urbe diſcedere poſſent: et Lacedæmonij iuxta portas ab utroq; uiæ latere cũ haſtis ſtabãt erectis, illos egredi uidẽtes et execrãtes: uix etiã ab Mantineorũ primorib. manus abſtinuere, qđ manifeſtũ tyrãnidis fuit indiciũ. Inde muri diruti ſunt, ac in quatuor partes Mãtinea diſperſa eſt, quẽadmodũ et olim habitabãt. Admodũ igitur ſub initiũ ægrè ferebãt, q domus pprias ſubuertere, ac nouas ædificare cogerẽtur. Verũ cũ locupletiores inter eos qui proxime habitabãt, principatũ gererent, & ab grauiſsimis immunes eſſent oneribus, tandem

ϛεροι ἦσαν, ἢ τῇ λακεδαίμονι, τούτους κολάσαι, καὶ κατασκευάσαι, ὥστε μὴ δύνασθαι ἀπιστεῖν. πρῶτον μὲν οὖν πέμψαντες ὡς τοὺς μαντινέας, ἐκέλευσαν αὐτοὺς τὸ τεῖχος περιαιρεῖν, λέγοντες ὡς οὐκ ἂν πιστεύσειαν ἄλλως αὐτοῖς μὴ ξὺν τοῖς πολεμίοις γενέσθαι. αἰσθάνεσθαι γὰρ ἔφασαν καὶ ὡς σῖτον ἐξέπεμπον τοῖς ἀργείοις, σφῶν αὐτοῖς πολεμούντων, καὶ ὡς ἔστι μὲν ὅτε οὐδὲ συστρατεύοιεν, ἐκεχειρίαν προφασιζόμενοι. ὁπότε δὲ καὶ ἀκολουθοῖεν, ὡς κακῶς συστρατεύοιεν. ἔτι δὲ γιγνώσκειν ἔφασαν φθονοῦντας μὲν αὐτούς, εἴ τι σφίσιν ἀγαθὸν γίγνοιτο, ἐφηδομένους δ᾽, εἴ τις συμφορὰ προσπίπτοι. ἐλέγοντο δὲ καὶ αἱ σπονδαὶ ἐξεληλυθέναι τοῖς μαντινεῦσι τούτῳ τῷ ἔτει, αἱ μετὰ τὴν ἐν μαντινείᾳ μάχην, τριακονταετεῖς γενόμεναι. ἐπεὶ δὲ οὐκ ἤθελον καθαιρεῖν τὰ τείχη, φρουρὰν φαίνουσιν ἐπ᾽ αὐτούς. ἀγησίλαος μὲν οὖν ἐδεήθη τῆς πόλεως ἀφεῖναι αὐτὸν ταύτης τῆς στρατηγίας, λέγων ὅτι τῷ πατρὶ αὐτοῦ πολλὰ ὑπηρετήκει ἡ τῶν μαντινέων πόλις ἐν τοῖς πρὸς μεσσήνην πολέμοις. ἀγησίπολις δὲ ἐξήγαγε τὴν φρουράν, καὶ μάλα παυσανίου τοῦ πατρὸς αὐτοῦ φιλικῶς ἔχοντος πρὸς τοὺς ἐν μαντινείᾳ τοῦ δήμου προστάτας. ὡς δὲ ἐνέβαλε, πρῶτον μὲν τὴν γῆν ἐδῄου. ἐπεὶ δὲ οὐδ᾽ οὕτω καθῄρουν τὰ τείχη, τάφρον ὤρυττε κύκλῳ περὶ τὴν πόλιν, τοῖς μὲν ἡμίσεσι τῶν στρατιωτῶν προκαθημένοις σὺν τοῖς ὅπλοις τῶν ταφρευόντων, τοῖς δ᾽ ἡμίσεσιν ἐργαζομένοις. ἐπεὶ δὲ ἐξείργαστο ἡ τάφρος, ἀσφαλῶς ἤδη κύκλῳ περὶ τὴν πόλιν ᾠκοδόμησεν. αἰσθόμενος δὲ ὅτι ὁ σῖτος ἐν τῇ πόλει πολὺς εἴη, εὐετηρίας γενομένης τῷ πρόσθεν ἔτει, καὶ νομίσας χαλεπὸν ἔσεσθαι, εἰ δεήσοι πολὺν χρόνον τρύχειν στρατείαις τήν τε πόλιν καὶ τοὺς ξυμμάχους, ἀπέχωσε τὸν ῥέοντα ποταμὸν διὰ τῆς πόλεως, μάλ᾽ ὄντα εὐμεγέθη. ἐμφραχθείσης δὲ τῆς ἀπορροίας, ἤρετο τὸ ὕδωρ ὑπέρ τε τῶν ὑπὸ ταῖς οἰκίαις, καὶ ὑπὲρ τῶν ὑπὸ τείχει θεμελίων. βρεχομένων δὲ τῶν κάτω πλίνθων, καὶ προδιδουσῶν τὰς ἄνω, τὸ μὲν πρῶτον ἐρρήγνυτο τὸ τεῖχος. ἔπειτα δὲ καὶ ἐκλίνετο. οἱ δὲ χρόνον μέν τινα ξύλα ἀντήρειδον, καὶ ἀντεμηχανῶντο, ὡς μὴ πίπτοι ὁ πύργος. ἐπεὶ δὲ ἡττῶντο τοῦ ὕδατος, δείσαντες μὴ πεσόντος πῃ τοῦ κύκλῳ τείχους, δοριάλωτοι γένοιντο, ὡμολόγουν περιαιρήσειν. οἱ δὲ λακεδαιμόνιοι οὐκ ἔφασαν σπένδεσθαι, εἰ μὴ καὶ διοικοῖντο κατὰ κώμας. οἱ δ᾽ αὖ νομίσαντες ἀνάγκην εἶναι, ξυνέφασαν καὶ ταῦτα ποιήσειν. οἰομένων δὲ ἀποθανεῖσθαι τῶν ἀργολιζόντων, καὶ τῶν τοῦ δήμου προστατῶν, διεπράξατο ὁ πατὴρ παρὰ τοῦ ἀγησιπόλιδος ἀσφάλειαν αὐτοῖς γενέσθαι, ἀπαλλαττομένοις ἐκ τῆς πόλεως, ἑξήκοντα οὖσι. καὶ ἀμφοτέρωθεν μὲν τῆς ὁδοῦ ἀρξάμενοι ἀπὸ τῶν πυλῶν, ἔχοντες τὰ δόρατα οἱ λακεδαιμόνιοι, ἕστασαν θεώμενοι τοὺς ἐξιόντας, καὶ μισοῦντες αὐτούς. ὅμως ἀπείχοντο αὐτῶν ῥᾷον, ἢ οἱ βέλτιστοι τῶν μαντινέων. καὶ τοῦτο μὲν εἰρήσθω μέγα τεκμήριον πειθαρχίας. ἐκ δὲ τούτου καθῃρέθη μὲν τὸ τεῖχος, διῳκίσθη δὲ ἡ μαντίνεια τετραχῇ, καθάπερ τὸ ἀρχαῖον ᾤκουν. καὶ τὸ μὲν πρῶτον ἤχθοντο, ὅτι τὰς μὲν ὑπαρχούσας οἰκίας ἔδει καθαιρεῖν, ἄλλας δὲ οἰκοδομεῖν. ἐπεὶ δὲ οἱ ἔχοντες τὰς οὐσίας ἐγγύτερον μὲν ᾤκουν τῶν χωρίων, ὄντων αὐτοῖς περὶ τὰς κώμας, ἀριστοκρατίᾳ δ᾽ ἐχρῶντο, ἀπηλλαγμένοι δ᾽ ἦσαν τῶν βαρέων δημαγωγῶν, ἥδοντο

ἥδοντο τοῖς πεπραγμένοις. καὶ ἔπεμπον μὲν αὐτοῖς οἱ Λα-
κεδαιμόνιοι, οὐ καθ᾽ ἕνα, ἀλλὰ κατὰ γνώμην ἑκάστην ξενα-
γόν. ξυνεστρατεύοντο δ᾽ ἐκ τῶν κωμῶν πολὺ προθυμότε-
ρον, ἢ ὅτε ἐδημοκρατοῦντο. καὶ τὰ μὲν δὴ περὶ Μαντινείας
οὕτω διεπέπρακτο, σοφωτέρων γενομένων ταύτῃ γε τῶν
ἀνθρώπων, τοῦ μὴ διὰ τειχῶν ποταμὸν ποιεῖσθαι. οἱ δ᾽ ἐκ
Φλιοῦντος φεύγοντες, αἰσθόμενοι τοὺς Λακεδαιμονίους
ἐπισκοποῦντας τοὺς ξυμμάχους ὁποῖοί τινες ἕκαστοι ἐν τῷ
πολέμῳ αὐτοῖς ἐγεγένηντο, καιρὸν ἡγησάμενοι, ἐπορεύ-
θησαν εἰς Λακεδαίμονα, καὶ ἐδίδασκον ὡς ἕως μὲν σφεῖς
οἴκοι ἦσαν, ἐδέχετό τε ἡ πόλις τοὺς Λακεδαιμονίους εἰς
τὸ τεῖχος, καὶ συνεστρατεύοντο ὅποι ἡγοῖντο. ἐπεὶ δὲ σφᾶς αὐ-
τοὺς ἐξέβαλον, ὡς ἕπεσθαι μὲν οὐδαμῶς ἐθέλοιεν, μόνους δὲ
πάντων ἀνθρώπων Λακεδαιμονίους οὐ δέχοιντο εἴσω τῶν
πυλῶν. ἀκούσασι δὴ ταῦτα τοῖς ἐφόροις, ἄξιον ἔδοξεν ἐπι-
στροφῆς εἶναι. καὶ πέμψαντες πρὸς τὴν τῶν Φλιασίων πόλιν,
ἔλεγον, ὡς φίλοι μὲν οἱ φυγάδες τῇ Λακεδαιμονίων πό-
λει εἶεν, ἀδικοῦντες δ᾽ οὐδὲν φεύγοιεν. ἀξιοῦν δ᾽ ἔφα-
σαν μὴ ὑπ᾽ ἀνάγκης, ἀλλὰ παρ᾽ ἑκόντων διαπράξασθαι κα-
τελθεῖν αὐτούς. ἃ δὴ ἀκούσαντες οἱ Φλιάσιοι, ἔδεισαν
μὴ εἰ στρατεύσαιντο ἐπ᾽ αὐτούς, τῶν ἔνδοθεν παρείησάν τι-
νες εἰς τὴν πόλιν αὐτούς. καὶ γὰρ συγγενεῖς πολλοὶ ἔνδον ἦ-
σαν τῶν φευγόντων, καὶ ἄλλως εὐμενεῖς. καὶ οἷα δὴ ἐν ταῖς
πλείσταις πόλεσι νεωτέρων τινὲς ἐπιθυμοῦντες πραγμά-
των, κατάγειν ἐβούλοντο τὴν φυγήν. τοιαῦτα μὲν δὴ φο-
βηθέντες, ἐψηφίσαντο καταδέχεσθαι τοὺς φυγάδας, καὶ
ἐκείνοις μὲν ἀποδοῦναι τὰ ἐμφανῆ κτήματα, τοὺς δὲ τὰ
ἐκείνων πριαμένους, ἐκ δημοσίου τὴν τιμὴν ἀπολαβεῖν. εἰ
δέ τι ἀμφίλογον πρὸς ἀλλήλους γίγνοιτο, δίκῃ διακρι-
θῆναι. καὶ ταῦτα μὲν αὖ περὶ τῶν Φλιασίων φυγάδων
ἐν ἐκείνῳ τῷ χρόνῳ ἐπέπρακτο. ἐξ Ἀκάνθου δὲ καὶ Ἀπολλω-
νίας, αἵπερ μέγισται τῶν περὶ Ὄλυνθον πόλεων, πρέσβεις
ἀφίκοντο εἰς Λακεδαίμονα. ἀκούσαντες δὲ οἱ ἔφοροι ὧν
ἕνεκα ἧκον, προσήγαγον αὐτοὺς πρός τε τὴν ἐκκλησίαν,
καὶ τοὺς συμμάχους. ἔνθα δὴ Κλειγένης Ἀκάνθιος ἔλεξεν.

ΔΗΜΗΓΟΡΙΑ ΚΛΕΙΓΕΝΟΥΣ.

Ὦ ἄνδρες Λακεδαιμόνιοί τε καὶ οἱ σύμμαχοι, οἰόμεθα
λανθάνειν ὑμᾶς πρᾶγμα φυόμενον ἐν τῇ Ἑλλάδι. ὅτι μὲν
γὰρ τῶν ἐπὶ Θρᾴκης μεγίστη πόλις Ὄλυνθος, σχεδὸν πάν-
τες ἐπίστασθε. οὗτοι τῶν πόλεων προσηγάγοντο ἔστιν ἃς, ἐφ᾽
ᾧ τε τοῖς αὐτοῖς χρῆσθαι νόμοις, καὶ συμπολιτεύειν. ἔπειτα
δὲ καὶ τῶν μειζόνων προσέλαβόν τινας. ἐκ δὲ τούτου ἐπεχείρη-
σαν καὶ τὰς τῆς Μακεδονίας πόλεις ἐλευθεροῦν ἀπὸ Ἀμύν-
του τοῦ βασιλέως Μακεδόνων. ἐπεὶ δὲ εἰσήκουσαν αἱ ἐγγύτα-
τα αὐτῶν, ταχὺ καὶ ἐπὶ τὰς πόρρω, καὶ μείζους ἐπορεύον-
το, καὶ κατελίπομεν ἡμεῖς ἔχοντας ἤδη ἄλλας τε πολλὰς
καὶ Πέλλαν, ἥπερ μεγίστη τῶν ἐν Μακεδονίᾳ πόλεων. καὶ
Ἀμύνταν δὲ αἰσθανόμεθα ἀποχωροῦντά τε ἐκ τῶν πόλεων,
καὶ ὅσον οὐκ ἐκπεπτωκότα ἤδη ἁπάσης Μακεδονίας.
πέμψαντες δὲ καὶ πρὸς ἡμᾶς, καὶ πρὸς Ἀπολλωνιάτας οἱ Ὀλύν-
θιοι, προεῖπον ἡμῖν ὅτι εἰ μὴ παρεσόμεθα συστρατευσόμε-
νοι, ἐκεῖνοι ἐφ᾽ ἡμᾶς ἴοιεν. ἡμεῖς δὲ, ὦ ἄνδρες Λακεδαιμό-
νιοι, βουλόμεθα μὲν τοῖς πατρίοις νόμοις χρῆσθαι, καὶ αὐτοπο-
λῖται εἶναι. εἰ μέντοι μὴ βοηθήσει τις, ἀνάγκη καὶ ἡμᾶς μετ᾽
ἐκείνων γίγνεσθαι. καὶ τοίνυν γε δὲ αὐτοῖς εἰσιν ὁπλῖται
μὲν οὐκ ἐλάττους ὀκτακοσίων· πελτασταὶ δὲ πολὺ
πλείους

tandem lætabantur: & Lacedæmonij illis ex com/
muni sententia præfectos inde miserunt, multoq; ala
crius ex uicis militabant quàm antea, cum in popu/
lari degerent statu. Et quæ circa Mantineam hoc pa
cto gesta sunt, prudentiores reddiderunt homines, ne
per urbes flumina deriuarent. Eodem tempore Phli
asiorum exules cum Lacedæmonios diligenter per/
pendere nouissent, quemadmodum sociorum singu/
li in bello se gessissent, temporis freti opportunitate,
Lacedæmonem uenere, illisq; ostenderunt, quandiu
ipsi urbem inhabitassent, Lacedæmonios in ciuita/
tem receptos esse, in militiamq; ciues quocunq; du/
cti essent, subsequutos fuisse: eis uero expulsis, Lace/
dæmonios amplius in urbem admissos esse solos mi/
nime, uerùm ex omnibus hominibus exclusos. His
auditis, Ephori rem hanc haud contemnendam esse
rati, legatos ad Phliasiorum mittunt ciuitatem, qui
dicerent: Exules Lacedæmonijs amicos esse, eosq;
iniuste urbe pulsos: dignum igitur censere illos spon
te suscipere, ne ui eos reducere cogerentur. Phliasij
his auditis, uerebantur ne bellum eis inferretur. Cum
que à pluribus hortati essent ut exules reducerent
(nam multi exulum consanguinei qui illis fauebant,
in ciuitate remanserant: erant & quidam, qui, ut in
pluribus accidere solet ciuitatibus, res innouari cu/
piebant) partim timore, partim persuasionibus com/
moti, Phliasij de reducendis exulibus decretum fece/
re: & bona quæ comparerent, illis reddi: quæ uen/
dita essent, ex publico persolui statuerunt: & si di/
sceptatio hac de re orta esset, iudicio finiri censue/
runt. Et de Phliasiorum exulibus hoc pacto eo tem/
pore actum est. Aduenere interim ex Acantho &
Apollonia ciuitatibus maximis circa Olynthum, La
cedæmonem legati. Ephori uero cum aduentus cau/
sam didicissent, ad concilium & socios illos produ/
xere: ubi Cligenes Acanthius ita disseruit:

CLIGENSIS CONCIO.

Rem quæ in Græcia pullulare incipit, uos, Lace
dæmonij ac socij, penitus latêre arbitramur. Siquidē
Olynthum Thraciæ ciuitatem esse maximam, fermè
omnibus notum esse credimus. Porrò Olynthij uiri/
bus suis freti, ciuitates quasdam subegêre paruas,
quas & legibus ac institutis suis uiuere coëgerunt.
Inde maiores quoq; nōnullas aggressi, in suam rede
gêre potestatē. Eo successu elati, Macedoniæ quo/
que ciuitates ex Amyntæ Macedoniæ regis seruitu/
te in libertatem uendicare ausi sunt. Proinde postquā
uiciniores in suam traduxêre sententiam, ad remotio
res ac maiores quoq; aspirare cœperunt: soliq; nos,
qui inter reliquas ciuitates Pellam quoq; maximam
Thraciæ possidemus urbem, relicti sumus. Scimus e/
quidem Amyntam non solum ciuitatibus paternis
excidisse, sed & tantum non tota pulsum esse Mace/
donia. Tandem Olynthij ad nos & Apolloniates mi
serunt, bellumq;, ni eos militia sequeremur, inter/
minati sunt. Et quamuis, ô Lacedæmonij, pro/
prijs institutis & patrijs uiuere legibus summope/
re desideramus, ni quis tamen nobis opem ferat, pe/
nitus illis adhærere cogemur. Id si fiet, armatos
haud minus octingentos, clypeatos uero multò his

 plures.

plures, equites uero iunctis nostris mille circiter ad bellum educere poterunt. Reliquimus quoq; ibi cum discederemus, Athenensium ac Bœotiorum legatos: audiuimus preterea Olynthios & suos elegisse legatos, quos ad ciuitates eas de contrahenda mittant societate. Atqui si uis tanta Athenensium ac Thebanorum accedat potentiæ, uidete ne & uobis tandem intoleranda reddatur. Si enim Potidæam occupabunt, cum illa in Palleneo sita sit Isthmo, existimate ciuitates cunctas intra illam sitas, in potestatem eorum uenturas. Quod uero ciuitates maxime Olynthios uereantur, fortißimum hoc est indicium, quod uehementi illos prosequuntur odio, nec tamen ad illud detegendum huc nobiscum legatos mittere ausi fuere. Proinde & hoc considerate: cum uos summopere curam geritis ne Bœotij in unum coëant, quo pacto illos quos supra modum attolli cernitis, negligere uobis tutum sit: præcipue cum uis ea non solum terra, sed & mari augeatur & crescat. Quid enim illis impedimento esse poterit: cum regio ea naualis materiei sit fertilißima: pecuniarum uero redditus ex multis portubus, uarijsq; eueniat emporijs: ac propter soli ubertatem numeroso urbes colantur populo. Præterea Thraces qui sine regibus degunt, illis uicini fiunt, qui nunc quoq; Olynthios colunt. Quod si ipsis subdentur, magna quoq; & hæc eis accedet potentia. Nam & aurifodinæ quæ in Pancea sunt sitæ regione, illis manus porrigent. Quamuis non hoc asseramus, quin multa in Olynthiorum sint populo, quæ iuste reprehendi queant. Quis enim eorum uitia explicare posset? Siquidem deus æqualiter inter homines potentiam & fastum crescere uoluit. Hæc igitur nos, Lacedemonij ac socij, quo pacto se habeant, ueraciter retulimus: uos uero si cura digna uideantur, in tempore consulatis. Nolumus demum uos ignorare, potentiam eam quam tantam esse demonstrauimus, non penitus inexpugnabilem esse. Ciuitates enim quamprimum de communi intelligent societate, extemplo pro amicis inimici euadent, ab illisq; deficiet. Quod si, ut decretum est, connubiis inter se contrahent, ac inuicem coalescent, intelligent præterea uictores sequi lucrosum esse, quemadmodum Arcades cum uobiscum uadunt, sua seruant, aliena uero diripiunt, non tam facile dehinc res dissolui poterit. His dictis, Lacedemonij socijs dicendi dedere facultatem, ac ut in medium consulerent iussere, quid Peloponnensibus ac socijs uniuersis utilißimum esse censerent. Maior itaque pars bellum suscipiendum esse suaserunt, potißimum qui Lacedamonijs assentiri cupiebant: ac præsidium mille militum in utranque ciuitatem mittendum esse censuerunt. Actum quoque est, ut ciuitates militum loco pecunias persoluere possent, triobolum scilicet Agineum pro peditibus singulis, pro equite quadruplum. Quod si quis milites ad expeditionē eam mittere negligeret, staterem mulctæ loco singulis diebus in singulos constituerunt milites. His actis surrexere Acanthij, omnibusq; ostenderunt, recte hæc esse decreta: uerum quoniam exercitus tam celeriter cogi non posset,

optimum

πλείους ἢ τοσοῦτοι. ἱππεῖς γε μέντοι ἐὰν καὶ ἡμεῖς μετ' αὐτῶν γενώμεθα, ἔσονται πλείους ἢ χίλιοι. κατελίπομεν δὲ καὶ Ἀθηναίων καὶ Βοιωτῶν πρέσβεις ἤδη αὐτόθι. ἠκούομεν δὲ ὡς καὶ αὐτοῖς Ὀλυνθίοις ἐψηφισμένον εἴη συμπέμπειν πρέσβεις εἰς ταύτας τὰς πόλεις περὶ συμμαχίας. καίτοι εἰ τοσαύτη δύναμις προσγενήσεται τῇ τε Ἀθηναίων καὶ Θηβαίων ἰσχύϊ, ὁρᾶτε, ἔφη, ὅπως μὴ οὐκέτι εὐμεταχείριστα ἐκεῖνα ἔσται ὑμῖν. ἐπεὶ δὲ καὶ Ποτίδαιαν ἔχουσιν ἐπὶ τῷ ἰσθμῷ τῆς Παλλήνης οὖσαν, νομίζετε καὶ τὰς ἐντὸς ταύτης πόλεις ὑπηκόους ἔσεσθαι αὐτῶν. τεκμήριον δ' ἔτι ἔστω καὶ τοῦτο, ὅτι ἰσχυρῶς αὗται αἱ πόλεις πεφόβηνται, μάλιστα γὰρ μισοῦσαι τοὺς Ὀλυνθίους, ὅμως οὐκ ἐτόλμησαν μεθ' ἡμῶν πρεσβείας πέμπειν διδαξούσας ταῦτα. ἐννοήσατε δὲ καὶ τόδε, πῶς εἰκὸς ὑμᾶς τῆς μὲν Βοιωτίας ἐπιμεληθῆναι, ὅπως μὴ καθ' ἓν εἴη, πολὺ δὲ μείζονος ἀθροιζομένης δυνάμεως ἀμελῆσαι. καὶ ταύτης οὐ κατὰ γῆν μόνον, ἀλλὰ καὶ κατὰ θάλατταν ἰσχυρᾶς γιγνομένης. τί γὰρ δὴ καὶ ἐμποδών, ὅπου ξύλα μὲν ναυπηγήσιμα ἐν αὐτῇ τῇ χώρᾳ ἐστί, χρημάτων δὲ πρόσοδοι ἐκ πολλῶν μὲν λιμένων, πολλῶν δὲ ἐμπορίων; πολυανθρωπία γε μὴν διὰ τὴν πολυσιτίαν ὑπάρχει. ἀλλὰ μὴν καὶ γείτονές εἰσιν αὐτοῖς Θρᾷκες, οἱ ἀβασίλευτοι. οἳ θεραπεύουσι μὲν καὶ νῦν ἤδη τοὺς Ὀλυνθίους. εἰ δὲ ὑπ' ἐκείνους ἔσονται, πολλὴ καὶ αὕτη δύναμις προσγένοιτ' ἂν αὐτοῖς. τούτων γε μὴν ἀκολουθούντων, καὶ τὰ ἐν τῷ Παγγαίῳ χρύσεια, χεῖρα ἂν αὐτοῖς ὀρέγει. καὶ τούτων ἡμεῖς οὐδὲν λέγομεν, ὅτι οὐ καὶ ἐν τῷ τῶν Ὀλυνθίων δήμῳ μυριολεκτῶν ἐστι. τό γε μὴν φρόνημα αὐτῶν, τί ἄν τις λέγοι; καὶ γὰρ ἴσως ὁ θεὸς ἐποίησεν ἅμα τῷ δύνασθαι, καὶ τὰ φρονήματα αὔξεσθαι τῶν ἀνθρώπων. ἡμεῖς μὲν οὖν, ὦ ἄνδρες Λακεδαιμόνιοί τε καὶ ξύμμαχοι, ἐξαγγέλλομεν ὅτι τἀκεῖ οὕτως ἔχει. ὑμεῖς δὲ βουλεύεσθε, εἰ δοκεῖ ἄξια ἐπιμελείας εἶναι. δεῖ γε μὴν ὑμᾶς καὶ τόδε εἰδέναι, ὡς ἣν εἰρήκαμεν δύναμιν, μεγάλην οὖσαν, οὔπω δυσπάλαιστός τις ἐστίν. αἱ γὰρ ἄκουσαι τῶν πόλεων τῆς πολιτείας κοινωνοῦσαι, αὗται ἄν τι ἴδωσιν ἀντίπαλον, ταχὺ ἀποστήσονται. εἰ μέντοι συγκλεισθήσονται ταῖς ἐπιγαμίαις, καὶ ἐγκτήσεσι παρ' ἀλλήλαις, ἃς ἐψηφισμένοι εἰσί, καὶ γνώσονται ὅτι μετὰ τῶν κρατούντων ἕπεσθαι κερδαλέον ἐστίν, ὥσπερ Ἀρκάδες ὅταν μεθ' ὑμῶν ἴωσι, τά τε αὑτῶν σώζουσι, καὶ τὰ ἀλλότρια ἁρπάζουσιν, ἴσως οὐκ ἔθ' ὁμοίως εὔλυτα ἔσται. λεχθέντων δὲ τούτων, ἐδίδοσαν οἱ Λακεδαιμόνιοι τοῖς συμμάχοις λόγον, καὶ ἐκέλευον συμβουλεύειν ὅ,τι γιγνώσκει τις ἄριστον τῇ Πελοποννήσῳ, καὶ τοῖς συμμάχοις. ἐκ τούτου μέντοι πολλοὶ μὲν ξυνηγόρευον στρατιὰν ποιεῖν. μάλιστα δὲ οἱ βουλόμενοι χαρίζεσθαι τοῖς Λακεδαιμονίοις. καὶ ἔδοξε πέμπειν τὸ εἰς τοὺς μυρίους ξύνταγμα τὴν ἑκάστην πόλιν. λόγοι δὲ ἐγένοντο ἀργύριόν τε ἀντ' ἀνδρῶν ἐξεῖναι διδόναι τῇ βουλομένῃ τῶν πόλεων, τριώβολον Αἰγιναῖον κατ' ἄνδρα. ἱππέας τέ εἴ τις παρέχοι, ἀντὶ τεττάρων ὁπλιτῶν, μισθὸν τῷ ἱππεῖ δίδοσθαι. εἰ δέ τις τῶν πόλεων ἐκλίποι τὴν στρατιάν, ἐξεῖναι τοῖς Λακεδαιμονίοις ἐπιζημιοῦν στατῆρι κατὰ τὸν ἄνδρα τῆς ἡμέρας. ἐπεὶ δὲ ταῦτα ἔδοξεν, ἀναστάντες οἱ Ἀκάνθιοι, πάλιν ἐδίδασκον, ὡς ταῦτα καλὰ μὲν εἴη τὰ ψηφίσματα, οὐ μέντοι δυνατὰ ταχὺ περανθῆναι.

βέλτιον

βέλτιον οὖν ἔφασαν εἶναι ἐν ᾧ αὕτη ἡ παρασκευὴ ἀθροίζοιτο, ὡς τάχιστα ἄνδρα ἐξελθεῖν ἄρχοντα, καὶ δύναμιν ἐκ Λακεδαίμονός τε, ὅσην ἂν ταχὺ ἐξέλθοι, καὶ ἐκ τῶν ἄλλων πόλεων. τούτου γὰρ γενομένου, τάς τε οὔπω προσκεχωρηκυίας πόλεις εἶναι ἄν, καὶ τὰς βεβιασμένας ἧττον ἂν συμμαχεῖν. δοξάντων δὲ τούτων, ἐκπέμπουσιν οἱ Λακεδαιμόνιοι Εὐδαμίδαν. καὶ σὺν αὐτῷ νεοδαμώδεις τε καὶ τῶν περιοίκων, καὶ Σκιριτῶν ἄνδρας ὡς δισχιλίους. ὁ μέντοι Εὐδαμίδας ἐξιὼν, Φοιβίδαν τὸν ἀδελφὸν ἐδεήθη τῶν ἐφόρων τοὺς ὑπολειπομένους τῶν ἑαυτῷ προστεταγμένων ἀθροίσαντα μετιέναι. αὐτὸς δὲ ἐπεὶ ἀφίκετο εἰς τὰ ἐπὶ Θρᾴκης χωρία, ταῖς μὲν δεομέναις τῶν πόλεων φρουροὺς ἔπεμπε, Ποτίδαιαν δὲ καὶ προσέλαβεν ἑκοῦσαν, σύμμαχον ἤδη ἐκείνων οὖσαν. καὶ ἐντεῦθεν ὁρμώμενος ἐπολέμει ὥσπερ εἰκὸς τὸν ἐλάττω ἔχοντα δύναμιν. ὁ δὲ Φοιβίδας, ἐπεὶ ἠθροίσθησαν αὐτῷ οἱ ὑπολειφθέντες τοῦ Εὐδαμίδου, λαβὼν αὐτοὺς ἐπορεύετο. ὡς δ' ἐγένοντο ἐν ταῖς Θήβαις, ἐστρατοπεδεύσαντο μὲν ἔξω τῆς πόλεως περὶ τὸ γυμνάσιον. στασιαζόντων δὲ τῶν Θηβαίων, πολεμαρχοῦντες μὲν ἐτύγχανον Ἰσμηνίας τε καὶ Λεοντιάδης, διάφοροι δὲ ὄντες ἀλλήλοις, καὶ ἀρχηγὸς ἑκάτερος τῶν ἑταιριῶν. ὁ μὲν Ἰσμηνίας διὰ τὸ μῖσος τῶν Λακεδαιμονίων οὐδὲ ἐπλησίαζε τῷ Φοιβίδᾳ. ὁ μέντοι Λεοντιάδης ἄλλως τε ἐθεράπευεν αὐτόν, καὶ ἐπεὶ εἰσῳκειώθη, ἔλεγε τοιάδε.

ΛΟΓΟΙ ΛΕΟΝΤΙΑΔΟΥ.

Ἔξεστί σοι, ὦ Φοιβίδα, τῇδε τῇ ἡμέρᾳ μέγιστα ἀγαθὰ τῇ σεαυτοῦ πατρίδι ὑπουργῆσαι. ἐὰν γὰρ ἀκολουθήσῃς ἐμοὶ σὺν τοῖς ὁπλίταις, εἰσάξω σε ἐγὼ εἰς τὴν ἀκρόπολιν. τούτου δὲ γενομένου, νόμιζε τὰς Θήβας παντάπασιν ὑπὸ τοῖς Λακεδαιμονίοις, καὶ ἡμῖν τοῖς ὑμετέροις φίλοις ἔσεσθαι. καὶ τοίνυν μὲν ὡς ὁρᾷς, ἀποκεκήρυκται μηδένα μετὰ σοῦ στρατεύειν Θηβαίων ἐπ' Ὀλυνθίους. ἐὰν δέ γε σὺ ταῦτα μεθ' ἡμῶν πράξῃς, εὐθύς σοι ἡμεῖς πολλοὺς μὲν ὁπλίτας, πολλοὺς δὲ ἱππέας συμπέμψομεν, ὥστε πολλῇ δυνάμει βοηθήσεις τῷ ἀδελφῷ. καὶ ἐν ᾧ μέλλει ἐκεῖνος Ὄλυνθον καταστρέφεσθαι, σὺ κατεστραμμένος ἔσῃ Θήβας, πολὺ μείζω πόλιν Ὀλύνθου. ἀκούσας δὲ ταῦτα ὁ Φοιβίδας, ἀνεκουφίσθη. καὶ γὰρ ἦν τοῦ λαμπρόν τι ποιῆσαι πολὺ μᾶλλον, ἢ τοῦ ζῆν ἐραστής. οὐ μέντοι λογιστικός γε, οὐδὲ φρόνιμος πάνυ ἐδόκει εἶναι. ἐπεὶ δὲ ὡμολόγησε ταῦτα, προορμῆσαι μὲν αὐτὸν ἐκέλευσεν, ὥσπερ συνεσκευασμένος ἦν εἰς τὸ ἀπιέναι. ἡνίκα δ' ἂν ᾖ καιρός, πρὸς σὲ ἥξω ἐγώ, ἔφη ὁ Λεοντιάδης, καὶ αὐτός σοι ἡγήσομαι. ἐν ᾧ δὲ ἡ μὲν βουλὴ ἐκάθητο ἐν τῇ ἀγορᾶς στοᾷ, διὰ τὸ τὰς γυναῖκας ἐν τῇ Καδμείᾳ θεσμοφοριάζειν, θέρους δ' ὄντος καὶ μεσημβρίας, πλείστη ἦν ἐρημία ἐν ταῖς ὁδοῖς, ἐν τούτῳ προσελάσας ἐφ' ἵππου ὁ Λεοντιάδης, ἀποστρέφει τὸν Φοιβίδαν, καὶ ἡγεῖται εὐθὺς εἰς τὴν ἀκρόπολιν. καταστήσας δὲ ἐκεῖ τὸν Φοιβίδαν, καὶ τοὺς μετ' αὐτοῦ, καὶ παραδοὺς αὐτῷ τὴν βαλανάγραν τῶν πυλῶν, καὶ εἰπὼν μηδένα παριέναι εἰς τὴν ἀκρόπολιν, ὅντινα μὴ αὐτὸς κελεύοι, ἐπορεύετο εἰς τὴν βουλήν. ἐλθὼν δέ, εἶπε τάδε· ὅτι μέν, ὦ ἄνδρες, Λακεδαιμόνιοι κατέχουσι τὴν ἀκρόπολιν, μηδὲν ἀθυμεῖτε. οὐδενὶ γάρ φασι πολέμιοι ἥκειν, ὅστις μὴ πολέμου ἐρᾷ. ἐγὼ δὲ τοῦ νόμου κελεύοντος ἐξεῖναι πολεμάρχῳ λαβεῖν, εἴ τις δοκεῖ ἄξια

optimum interim esse, ducem quendam confestim illuc cum praesidio Laconico ac sociorum mitti: id si fieret, ciuitates quae nondum Olynthijs adhaesissent, uacillaturas: quae uero illis subessent, de industria ignauiter acturas. Id cum omnibus placuisset, Lacedaemonij Eudamidem illuc emisere: cui Neodamodum, accolarum & Sciritum circiter millia duo attribuere: & ille confestim abijt. Ephoros uero exorauit, ut fratrem Phoebidam militibus qui illum sequuturi erant, praeficerent. Ipse uero cum in Thraciam peruenisset, socias ciuitates praesidijs muniit: Potidaeam uero iam Olynthiorum sociam uoluntaria deditione cepit: ex qua progressus bello, ut par erat, uiribus inferiorem lacessebat. Phoebidas interim collectis qui Eudamidem sequuturi erant, pergebat: cumque Thebas uenisset, ante urbem iuxta gymnasium castra collocat. Laborabant tum forte Thebanorum polemarchi domestica seditione, Ismenias & Leontiades, corpusque ciuitatis in medio relictum diuersae factiones distrahebant: & Ismenias quia Laconici nominis ex professo inimicus erat, cum Phoebida minime congressus est. Leontiades uero illum omnibus demerebatur officijs, cumque his aggressus est uerbis:

LEONTIADAE ORATIO.

Oblata est tibi, ô Phoebida, occasio hac die rem magnam ac patriae tuae utilissimam per agendi: si enim me cum militibus subsequeris, in arcem te deducam. Id si fiet, existima Thebas penitus Lacedaemonijs ac nobis amicis uestris subiectas esse: quandoquidem nunc, ut cernis, decreto inhibitum est, neminem Thebanorum tecum contra Olynthios militare. Quod si rem hanc nobiscum peregeris, cõfestim multos cum pedites, tum equites tecum missuri sumus, ita ut tu magna fratri tuo auxilium ferre possis: & dum ille Olynthum subiget, tu Thebas multo maiorem Olyntho ciuitatem in tuam rediges potestatem. Haec cum Phoebidas audisset, animo elatus est: magis etenim gloriae, quàm uitae tenebatur desiderio: non enim à natura nimium callidus seu prudens erat. Cum igitur illi assensum praestitisset, eum tanquam abiturum exercitum mouere iussit: cum uero tempus aderit, Leontiades inquit, egomet ad te deducendum ueniam. Cum itaque senatum in fori porticu consedisset (mulieres etenim Cerealia in Cadmia celebrabant, aestasque ac meridies, & ideo solitudo multa in uijs esset) Leontiades conscenso equo, ac ad Phoebidam aduectus, confestim illum in arcem deducit: traditisque illi portarum clauibus, hortatus est, neminem, nisi quem ipse iussisset, in arcem admitteret. Ipse uero senatum ingressus, ita loquutus est: Quod Lacedaemonij, ô uiri, arcem obtinent, nolite aegreferre: nulli enim se bellum illaturos aiunt, nisi qui belli desiderio tenetur. Cum uero lex permittat, polemarchum, qui morte digna

digna commiserit, capere, ego Ismeniã hunc ut hostilia machinatũ cõprehendo: quapropter satellites & ministri hunc accipite, ac quô iussi estis, ducite. Illi uero cõfestim accurẽtes eum cõprehendunt. Qui igitur cõscij erant, illi auxiliũ prębuere, manusq; pariter iniecere: qui uero rei huius ignari erãt, ac cõtra Leontiadẽ sentiebant, partim ex urbe cõfestim aufugerũt, uerentes ne interficerẽtur, partim domum se contulerunt. Cum uero Ismeniã carceri in Cadmia mãcipatũ esse congnouissent, Athenas fuga delati sunt. Erant uerò qui Androclidi ac Ismeniæ adhæserant, CCCC. circiter uiri. His actis, pro Ismenia polemarchum alium elegere. Leontiades uero confestim Lacedæmonẽ profectus est, inuenitq; Ephoros ac uulgus grauiter ferẽtes, Phœbidam rem tam magnã & minus sibi à ciuitate cõmissam aggredi ausum. Verum Agesilaus se interposuit, asserẽs, si dãno Spartã affecisset, dignũ esse qui hãc ob rem pœnã subiret: sin uero cõmodo, spõte ex priscæ legis forma suscipiẽda, quæ proprio peregisset instinctu. Primũ igitur discernendũ esse, nũ quæ egisset, dãnosa seu utilia forẽt. Leontiades uero cum illi senatus datus esset, ita uerba fecit: Viri Lacedæmonij, antequã hæc gesta essent, uosipsi Thebanos hostili animo cõtra uos extitisse nõ obscure professi estis: siquidẽ illos semper aduersarijs uestris amicos, socijs uerò inimicos esse cognouistis: quãdoquidem contra inimicißimũ uobis in Piræo populũ uobiscũ militare noluerũt: Phocẽses uero, quoniã illos propẽso animo in uos esse cernerẽt, bello aggreßi sunt. Præterea quia uos bellũ cõtra Olynthios moliri senserũt, societatẽ cum illis cõtraxere. Proinde semper ueriti estis, ne sibi totã aliquãdo subijcerent Bœotiã. Nunc uero, his actis, haud amplius Thebani uobis timẽdi erũt, sed uobis sufficiet scytale perbreuis, ut in cũctis quæ iusseritis, illi uobis pareãt, si saltẽ ut nos uestri, ita & uos nostri curã gesseritis. Quæ cum Lacedæmonij audiuissent, arcẽ occupatã seruari debere, Ismeniã uero iudicio sisti cẽsuerũt. Miserũt itaq; iudices ex Lacedæmone tres, à socijs uero urbib. tam magnis q̃ paruis unũ. Qui cum ad iudiciũ cõsedissent, Ismenias de plurib. accusatus est, quod barbaris scilicet faueret, quodq; ob nullum Græcię cõmodum Persarũ hospes factus esset: et quod Persicę pecunię particeps factus esset: quodq; ipse et Androclides cunctarũ in Græcia perturbationũ potißima causa extitißẽt. Ad quæ ille respõdit, nec tamẽ male acta, bene gesta esse p̃suasit: quapropter dãnatus morte pœnas luit. Inde Leontiades et qui illi adhærebant, ciuitatẽ obtinuere, lõgeq; plus Lacedæmonijs q̃ iußi essent, obtẽperabant. Lacedæmonij uerò his actis, multo alacrius Olynthiaco intẽti bello erãt. Teleutiã igitur harmostẽ cũ haud cõtemnẽda manu illuc mittũt: cum quo sociorũ auxilijs cũcta ire iubẽt, ac undiq; in confœderatas ciuitates scytalas mittebant, quibus ex fœderis forma

ἄξια θανάτου ποιεῖν, λαμβάνω τουτονὶ Ἰσμηνίαν ὡς πολεμοποιοῦντα. καὶ ὑμεῖς δὲ οἱ λοχαγοί, καὶ οἱ μετὰ τούτων τεταγμένοι, ἀνίστασθε, καὶ λαβόντες, ἀπάγετε τοῦτον ἔνθα εἴρηται. οἱ μὲν δὴ εἰδότες τὸ πρᾶγμα, παρῆσάν τε καὶ ἐπείθοντο, καὶ ξυνελάμβανον. τῶν δὲ μὴ εἰδότων, ἐναντίων δὲ ὄντων τοῖς περὶ Λεοντιάδην, οἱ μὲν ἔφυγον εὐθὺς ἔξω τῆς πόλεως, δείσαντες μὴ ἀποθάνοιεν. οἱ δὲ καὶ οἴκαδε πρῶτον ἀπεχώρησαν. ἐπεὶ δὲ εἰργμένον τὸν Ἰσμηνίαν ᾔσθοντο οἱ ἐν τῇ Καδμείᾳ, τότε δὴ ἀπεχώρησαν εἰς τὰς Ἀθήνας οἱ ταὐτὰ γιγνώσκοντες Ἀνδροκλείδᾳ τε καὶ Ἰσμηνίᾳ, μάλιστα τετρακόσιοι. ὡς δὲ ταῦτ᾽ ἐπέπρακτο, πολέμαρχον μὲν ἀντὶ Ἰσμηνίου ἄλλον εἵλοντο. ὁ δὲ Λεοντιάδης εὐθὺς εἰς Λακεδαίμονα ἐπορεύετο. εὗρε δ᾽ ἐκεῖ τοὺς μὲν ἐφόρους, καὶ τὸ πλῆθος τῆς πόλεως, χαλεπῶς ἔχοντας τῷ Φοιβίδᾳ, ὅτι οὐ προσταχθέντα ὑπὸ τῆς πόλεως ταῦτα ἐπεπράχει. ὁ μέντοι Ἀγησίλαος ἔλεγεν, ὅτι εἰ μὲν βλαβερὰ τῇ Λακεδαίμονι πεπραχὼς εἴη, δίκαιος εἴη ζημιοῦσθαι· εἰ δ᾽ ἀγαθά, ἀρχαῖον εἶναι νόμιμον ἐξεῖναι τὰ τοιαῦτα αὐτοσχεδιάζειν. αὐτὸ οὖν τοῦτ᾽ ἔφη, προσήκειν σκοπεῖν πότερον ἀγαθά, ἢ κακά ἐστι τὰ πεπραγμένα. ἔπειτα μέντοι ὁ Λεοντιάδης ἐλθὼν εἰς ἐκκλήτους, ἔλεγε τοιάδε· ἄνδρες Λακεδαιμόνιοι, ὡς μὲν πολεμικῶς ὑμῖν εἶχον οἱ Θηβαῖοι πρὶν τὰ νῦν πεπραγμένα γενέσθαι, καὶ ὑμεῖς ἐλέγετε. ἑωρᾶτε γὰρ ἀεὶ τούτους, τοῖς μὲν ὑμετέροις δυσμενέσι φιλίως ἔχοντας· τοῖς δ᾽ ὑμετέροις φίλοις ἐχθροὺς ὄντας. οὐκ ἐπὶ μὲν τὸν ἐν Πειραιεῖ δῆμον πολεμιώτατον ὄντα ὑμῖν, οὐκ ἠθέλησαν συστρατεύειν, Φωκεῦσι δέ, ὅτι ὑμᾶς εὐμενεῖς ὄντας ἑώρων, ἐπεστράτευον. ἀλλὰ μὴν καὶ πρὸς Ὀλυνθίους εἰδότες ὑμᾶς πόλεμον ἐκφέροντας, ξυμμαχίαν ἐποιοῦντο. καὶ ὑμεῖς γε τότε μὲν ἀεὶ προσείχετε τὸν νοῦν πότε ἀκούσεσθε βιαζομένους αὐτοὺς τὴν Βοιωτίαν ὑφ᾽ αὐτοῖς εἶναι. νῦν δ᾽ ἐπεὶ τάδε πέπρακται, οὐδὲν ὑμᾶς δεῖ Θηβαίους φοβεῖσθαι, ἀλλ᾽ ἀρκέσει ὑμῖν μικρὰ σκυτάλη, ὥστε ἐκείνους πάντα ὑπηρετεῖσθαι ὅσων ἂν δέησθε, ἐὰν ὥσπερ ἡμεῖς ὑμῶν, οὕτω καὶ ὑμεῖς ἡμῶν ἐπιμελῆσθε. ἀκούσασι ταῦτα τοῖς Λακεδαιμονίοις ἔδοξε τήν τε ἀκρόπολιν ὥσπερ κατείληπτο φυλάττειν, καὶ Ἰσμηνίᾳ κρίσιν ποιῆσαι. ἐκ δὲ τούτου πέμπουσι δικαστὰς Λακεδαιμονίων μὲν τρεῖς· ἀπὸ δὲ τῶν συμμάχων ἕνα ἀφ᾽ ἑκάστης, καὶ μικρᾶς καὶ μεγάλης πόλεως. ἐπεὶ δὲ ξυνεκάθιζον πρὸς δικαστήριον, τότε δὴ κατηγορεῖτο τοῦ Ἰσμηνίου, καὶ ὡς βαρβαρίζοι, καὶ ὡς ξένος τῷ Πέρσῃ ἐπ᾽ οὐδενὶ ἀγαθῷ τῆς Ἑλλάδος γεγενημένος εἴη, καὶ ὡς τῶν παρὰ βασιλέως χρημάτων μετειληφὼς εἴη, καὶ ὅτι τῆς ἐν τῇ Ἑλλάδι ταραχῆς πάσης ἐκεῖνός τε καὶ Ἀνδροκλείδας αἰτιώτατοι εἶεν. ὁ δὲ ἀπελογεῖτο μὲν πρὸς ταῦτα. οὐ μέντοι ἔπειθέ γε τὸ καὶ κακοπράγμων τὸ μὴ οὐ μεγαλοπράγμων εἶναι. καὶ ἐκεῖνος μὲν κατεψηφίσθη, καὶ ἀποθνήσκει. οἱ δὲ περὶ Λεοντιάδην εἶχόν τε τὴν πόλιν, καὶ τοῖς Λακεδαιμονίοις ἔτι πλείω ὑπηρέτουν, ἢ προσετάττετο αὐτοῖς. τούτων δὴ πεπραγμένων· οἱ Λακεδαιμόνιοι πολὺ ἔτι δὴ προθυμότερον τὴν εἰς τὴν Ὄλυνθον στρατιὰν ξυναπέστελλον, καὶ ἐκπέμπουσι Τελευτίαν μὲν ἁρμοστήν. τὴν δ᾽ εἰς τοὺς μυρίους ξύνταξιν, αὐτοί τε ἅπαντες ξυνεξέπεμπον, καὶ εἰς τὰς συμμαχίδας πόλεις σκυτάλας διέπεμπον, κελεύοντες ἀκολουθεῖν Τελευτίᾳ κατὰ τὸ δόγμα

πρόθυμα τῶν συμμάχων. καὶ οὗτοι ἄλλοι προθύμως περὶ τὸν
Τελευτίαν ὑπηρέτουν. καὶ γὰρ οὐκ ἀχάριστος ἐδόκει εἶν τοῖς
ὑπουργοῦσί τι αὐτῷ. καὶ ἡ Θηβαίων δὲ πόλις, ἅτε καὶ
Ἀγησιλάου ὄντος ἀδελφοῦ, προθύμως συνέπεμψε καὶ
ὁπλίτας, καὶ ἱππέας. ὁ δὲ σπεύδων μὲν, οὐ μάλα ἐπο-
ρεύετο. ἐπιμελούμενος δὲ τοῦ μὴ ἀδικῶν τοὺς φίλους,
πορεύεσθαι, καὶ τοῦ ὡς πλείστην δύναμιν ἀθροίζειν. προέ-
πεμπε δὲ καὶ πρὸς ἀμύνταν, καὶ ἠξίου αὐτὸν καὶ ξένους μισθοῦ-
σθαι, καὶ τοῖς πλησίον βασιλεῦσι χρήματα διδόναι, ὡς συμ-
μάχους εἶν, εἴπερ βούλοιτο τὴν ἀρχὴν ἀναλαβεῖν. ἔπεμπε
δὲ καὶ πρὸς δέρδαν τὸν ἐλιμίας ἄρχοντα, διδάσκων
ὅτι οἱ ὀλύνθιοι κατεστραμμένοι τὴν μείζω δύναμιν μα-
κεδονίας εἶεν, καὶ οὐκ ἀνήσουσι τὴν ἐλάττω, εἰ μή τις αὐ-
τοὺς παύσει τῆς ὕβρεως. ταῦτα δὲ ποιῶν, μάλα πολλὴν
ἔχων στρατιὰν ἀφίκετο εἰς τὴν ἑαυτῶν συμμαχίδα. ἐ-
πεὶ δ' ἦλθεν εἰς τὴν ποτίδαιαν, ἐκεῖθεν συνταξάμενος
ἐπορεύετο εἰς τὴν πολεμίαν. καὶ πρὸς μὲν τὴν πόλιν ἰὼν,
οὔτε ἔκαεν, οὔτ' ἔκοπτε, νομίζων εἴ τι ποιήσειε τού-
των, ἐμπόδιον ἂν αὐτῷ πάντα γίγνεσθαι καὶ προσιόντι,
καὶ ἀπιόντι. ὁπότε δὲ ἀναχωροίη ἀπὸ τῆς πόλεως, τότε ὀρ-
θῶς ἔχειν κόπτοντα τὰ δένδρα, ἐμποδὼν καταβάλλειν
εἴ τις ὄπισθεν ἐπίοι. ὡς δὲ ἀπεῖχεν ἀπὸ τῆς πόλεως οὐδὲ
δέκα στάδια, ἔθετο τὰ ὅπλα, εὐώνυμον μὲν αὐτὸς ἔχων.
οὕτω γὰρ συνέβαινεν αὐτῷ κατὰ τὰς πύλας ἰέναι, ᾗ ἐξῇ-
σαν οἱ πολέμιοι. ἡ δὲ ἄλλη φάλαγξ τῶν συμμάχων
ἀπετέτακτο πρὸς τὸ δεξιόν. καὶ τῶν ἱππέων δὲ τοὺς μὲν
λάκωνας, καὶ τοὺς θηβαίους, καὶ ὅσοι τῶν μακεδόνων
παρῆσαν, ἐπὶ τῷ δεξιῷ ἔταξε. παρὰ δὲ αὐτῷ εἶχε δέρ-
δαν τε καὶ τοὺς ἐκείνου ἱππέας, ὡς εἰς τετρακοσίους, διά
τε τὸ ἄγασθαι τοῦτο τὸ ἱππικὸν, καὶ διὰ τὸ θεραπεύειν τὸν
δέρδαν, ὡς ἡδόμενος παρείη. ἐπεὶ δὲ καὶ οἱ πολέμιοι
ἐλθόντες ἀντιπαρετάξαντο ὑπὸ τῷ τείχει, συσπειρα-
θέντες αὐτῶν οἱ ἱππεῖς, ἐμβάλλουσι κατὰ τοὺς λάκωνας
καὶ βοιωτούς. καὶ πολύχαρμόν τε τὸν λακεδαιμόνιον
ἵππαρχον καταβάλλουσιν ἀπὸ τοῦ ἵππου. καὶ κείμενον
πολλὰ κατέτρωσαν, καὶ ἄλλους ἀπέκτειναν, καὶ τέλος
τρέπονται τὸ ἐπὶ τῷ δεξιῷ κέρατι ἱππικόν. φευγόντων
δὲ τῶν ἱππέων, ἐνέκλινε καὶ τὸ ἐχόμενον πεζὸν αὐτῶν,
καὶ ὅλον ἂν ἐκινδύνευσεν ἡττηθῆναι τὸ στράτευμα, εἰ μὴ
δέρδας ἔχων τὸ ἑαυτοῦ ἱππικὸν, εὐθὺς πρὸς τὰς πύλας
τῶν ὀλυνθίων ἤλασεν. ἐπῄει δὲ καὶ ὁ τελευτίας σὺν τοῖς
περὶ αὐτὸν ἐν τάξει. ὡς δὲ ταῦτα ᾔσθοντο οἱ ὀλύνθιοι ἱπ-
πεῖς, δείσαντες μὴ ἀποκλεισθεῖεν τῶν πυλῶν, ἀναστρέ-
ψαντες, ἀπεχώρουν πολλῇ σπουδῇ. ἔνθα δὴ δέρδας
παρελαύνοντας πάμπολλους ἱππέας αὐτῶν ἀπέκτει-
νεν. ἀπεχώρησαν δὲ καὶ οἱ πεζοὶ τῶν ὀλυνθίων εἰς τὴν πόλιν.
οὐ μέντοι πολλοὶ αὐτῶν ἀπέθανον, ἅτε ἐγγὺς τοῦ τείχους ὄν-
τος. ἐπεὶ δὲ τρόπαιόν τε ἐστάθη, καὶ ἡ νίκη αὕτη περὶ τε-
λευτίαν ἐγεγένητο, ἀπιὼν δὴ ἔκοπτε τὰ δένδρα. καὶ τοῦτο
μὲν δὴ στρατευσάμενος τὸ θέρος, διῆκε καὶ τὸ μακεδο-
νικὸν στράτευμα, καὶ τὸ τοῦ δέρδα. πολλάκις μέντοι καὶ οἱ
ὀλύνθιοι καταθέοντες εἰς τὰς τῶν λακεδαιμονίων συμ-
μαχίδας πόλεις, ἐλεηλάτουν, καὶ ἄνδρας ἀπεκτίννυον.
ἅμα δὲ τῷ ἦρι ὑποφαινομένῳ, οἱ μὲν ὀλύνθιοι ἱππεῖς,
ὄντες ὡς ἑξακόσιοι, καταδεδραμήκεσαν εἰς τὴν ἀπολλω-
νίαν ἅμα μεσημβρίᾳ, καὶ διεσπαρμένοι, ἐλεηλάτουν.
ὁ δὲ

formis socios Teleutiam sequi mandabant, qui
omnes alacriter Teleutiæ paruere: nō enim mo
lestum erat seruituti subiectis obedire. Thebana
quoq; ciuitas, tanquam Agesilai fratri prom-
pte pedites ac equites præbuit. Et ille quamuis
festinaret, nō tamen admodum progrediebatur,
ne amicis molestus esset: omnem tamen exercitū
paulisper contrahebat. Ad Amyntā quoq; præ
misit, illumq; ut mercenariū militē conduceret,
10 rogauit: & si principatum recipere uellet, uici
nis regibus ut in societate manerent, pecunias
daret, hortatus est. Ad Derdam quoq; Elemiæ
principem misit, illiq; ostēdit, cum Olynthij ma
iorem Macedoniæ potentiā subegissent, minime
donec minorē quoq; sibi parēre coegissēt, ces
saturos, ni quis illos iniuria abstinere cogeret.
His actis, cum ingēti exercitu, multisq; in socie
tatem accitis, Potidæam uenit, ibi uniuerso colle
cto exercitu, in hosticum profectus est, rectaq;
20 ad urbem tendit: nec tamen agrū ferro seu flam
ma uastauit: ratus si id ageret, & eunti ac rede
unti impedimentum allaturum. At cum ab urbe
regrederetur, tum recte arbores incisurum, ne
quis ipsum à tergo aggredi posset. Cumq; haud
longius q̄ decem ab urbe abesset stadia, agmen
sistit, & cornu sinistrum ipse ducēdum sumpsit,
ut si hostes egressi forent, ipse potissimum cum
his congrederetur. Reliqua sociorum phalanx
in dextro collocata erat cornu: cui & Laconi-
30 ci, Thebani, & Macedonum quotquot aderāt
equites iuncti sunt. Ipse uero Derdam cum equi
tibus illius quadringentis secum retinuit, ut &
equitatui assentiretur, Derdæq; rem gratam fa-
ceret, qui lætus illum sequebatur. Itaq; hostes
urbe egressi, sub muris aciem instruunt. Interim
equitatus illorum in Lacones & Thebanos
impetum faciunt. Polycharmumq; Laconem e-
quitum præfectum equo deturbant, iacentemq;
multis conficiunt uulneribus: quamplurimos
40 quoq; alios interficiunt. Tandem ad dextrū fle
xere cornu, ubi cum equites in fugam uertis-
sent, uniuersus peditatus inclinare cœpit: exerci
tusq; omnis in ultimum deductus fuisset discri-
men, ni Derdas cum equitatu suo ad Olynthio-
rum portas usq; prouectus, Teleutiasq; illum
cum suis subsequutus fuisset. Siquidem id Olyn
thiorum cernentes equites, ac pariter timentes
ne ab urbe intercluderētur, citatis regressi sunt
equis: in quos inuectus Derdas, quāplurimos in
50 terfecit. Peditatus quoq; Olynthiorū paucis desi
deratis in urbē regressus est: ille enim proxime
muros cōstiterat. Teleutias parta uictoriæ tro-
phæū statuit, ac inde digressus arbores incidit.
Et æstate ea hac expeditione peracta, Macedo-
num & Derdæ domum dimisit exercitū. Olyn-
thij uero nihilominus Lacedæmoniorū infesta-
bant socios: nam direptis incensisq; uillis, homi
nes quoq; trucidabant. Ineunte uere, Olynthio
rū equites quasi sexcēti sub meridiē Apolloniē-
sium irrumpentes fines, cuncta populabantur.
Con-

Contigit eadem die Derdam cum equitatu Apolloniam ingressum, ac prandentem excursionem cernere: qui cum equites arma induere, equosque paratos habere iußisset, tantisper quieuit, quoad hostes per contemptum ad suburbana & portas usque progressos esse conspexisset: tum composito agmine undique erumpit. Id cum hostes uidissent, in fugam uertuntur: quos ad nonaginta ferme stadia persequutus, quamplurimos ex illis interfecit, reliquos ad muros Olynthiorum usque palantes egit. Feruntur certamine illo octoginta circiter equites à Derda cæsi esse. Exinde hostes se plurimum muris continebant, nec terram amplius colere poterant. Succedenti tempore Teleutias rursus copias ad Olynthum duxit, ut arbores quæ reliquæ erant, incideret. At Olynthiorum equites urbe egreßi, fluuium iuxta urbem labentem quiete trangreßi, illi obuiam pergunt: quorum audacia indignatus Teleutias, Tlemonidem clypeatorum præfectum cursu eos aggredi iubet. At Olynthij uidentes peltastas irruere, conuersi, ac rursus quiete amnem transgreßi abierunt. Quos discedentes Lacedæmonij fortiter tanquam fugientes insequuti, flumen ipsi quoq; transcendunt. Olynthij conspecta eorum paucitate, & quia se superiores credebãt, conuersi in illos impetum faciunt, Tlemonidéq; inprimis, inde quasi centum interficiunt. Teleutias rei indignitate motus, confestim uniuersam educit phalangem: clypeatos uero ac equitatum subsequi iußit: ex quibus plurimi, quia muris nimium appropinquassent, male accepti sunt: nam à turribus telis impetiti, ignominiose reuerti cogebantur. Interim Olynthij cum clypeatis equitibus opem ferunt, tandem grauis quoq; armatura urbe egressa est. hi omnes phalangem turbatam nacti, primo impetu fundunt, Teleutiamq; impigre bellum cientem obtruncant: quo cæso acies inclinare cœpit, omnesq; in fugam uersi sunt, partim Acanthum, ac Spartolem, alij Apolloniam euasere, plurimi uerò Potideam fuga delati sunt: & quemadmodum diuerse fugiebant, ita diuerse quoq; hostes insequuti sunt, adeò ut magna ex parte cæsi, flos quoq; totius exercitus ea desideratus sit fuga.

salutaris admonitio.

ARBITROR uerò tali calamitate homines, si recte considerauerint, prudentiores reddi debere: nam neq; domesticos ira commotos plectere decet: sæpius enim domini irati maiora perpeßi sunt mala, quàm intulerunt. Proinde hostes nec ratione, sed inconsulte aggredi, delictum existit maximum: ira enim temere omnia fiunt. Ratio uero nihil inconsulti admittit, sed diligenter quo pacto hostes offendere ualeat, perpendit. Lacedæmonij audito pugnæ euentu, maioribus uiribus rem aggredi statuerunt: timebant enim ne uictoribus ob sequundam belli fortunam animus cresceret: præterea cladem inultam relinquere nolebant. Agesipoli

ὁ δὲ δέρδας ἐτύγχανε ταύτῃ τῇ ἡμέρᾳ ἀφιγμένος μετὰ τῶν ἱππέων τῶν ἑαυτοῦ, καὶ ἀριστοποιούμενος ἐν τῇ ἀπολλωνίᾳ. ὡς δ' εἶδε τὴν καταδρομήν, ἡσυχίαν τε ἦγε, τούς θ' ἵππους ἐπεσκευασμένους, καὶ τοὺς ἀναβάτας ὡπλισμένους ἔχων. ἐπειδὴ δὲ καταφρονητικῶς οἱ ὀλύνθιοι καὶ εἰς τὸ προάστειον, καὶ εἰς αὐτὰς τὰς πύλας ἤλαυνον, τότε δὴ συντεταγμένους ἔχων, ἐξελαύνει. οἱ δὲ ὡς εἶδον, εἰς φυγὴν ὥρμησαν. ὁ δ' ὡς ἅπαξ ἐτρέψατο, οὐκ ἀνῆκεν ἐνενήκοντα στάδια διώκων, καὶ ἀποκτιννύς, ἕως πρὸς αὐτὸ κατεδίωξε τῶν ὀλυνθίων τὸ τεῖχος. καὶ ἐλέγετο ὁ δέρδας ἀποκτεῖναι ἐν τούτῳ τῷ ἔργῳ περὶ ὀγδοήκοντα ἱππέας. καὶ ἀπὸ τούτου τειχήρεις τε μᾶλλον ἦσαν οἱ πολέμιοι, καὶ τῆς χώρας ὀλίγην γῆν παντελῶς εἰργάζοντο. προϊόντος δὲ τοῦ χρόνου, καὶ τοῦ τελευτίου ἐστρατευμένου πρὸς τὴν τῶν ὀλυνθίων πόλιν, ὡς εἴ τι δένδρον ὑπόλοιπον εἴη εἰργασμένον τοῖς πολεμίοις φθείροι, ἐξελθόντες οἱ ὀλύνθιοι ἱππεῖς, ἥσυχοι πορευόμενοι, διέβησαν τὸν παρὰ τὴν πόλιν ῥέοντα ποταμόν. καὶ ἐπορεύοντο ἡσυχῇ πρὸς τὸ τῶν ἐναντίων στράτευμα. ὡς δ' εἶδεν ὁ τελευτίας, ἀγανακτήσας τῇ τόλμῃ αὐτῶν, εὐθὺς τλημονίδαν τὸν τῶν πελταστῶν ἄρχοντα δρόμῳ φέρεσθαι εἰς αὐτοὺς ἐκέλευσεν. οἱ δὲ ὀλύνθιοι ὡς εἶδον προθέοντας τοὺς πελταστάς, ἀναστρέψαντες, ἀπεχώρουν ἥσυχοι, καὶ διέβησαν πάλιν τὸν ποταμόν. οἱ δ' ἠκολούθουν μάλα θρασέως, καὶ ὡς φεύγουσι διώξαντες, ἐπιδιέβαινον. ἔνθα δὴ οἱ ὀλύνθιοι ἱππεῖς ἡνίκα ἔτι εὐχείρωτοι αὐτοῖς ἐδόκουν εἶναι οἱ διαβεβηκότες, ἀναστρέψαντες, ἐμβάλλουσιν αὐτοῖς. καὶ αὐτόν τε ἀπέκτειναν τὸν τλημονίδαν, καὶ τῶν ἄλλων πλείους ἢ ἑκατόν. ὁ δὲ τελευτίας ὡς εἶδε τὸ γιγνόμενον, ὀργισθείς, ἀναλαβὼν τὰ ὅπλα, ἦγε μὲν ταχὺ τοὺς ὁπλίτας, διώκειν δὲ ἐκέλευε καὶ τοὺς πελταστάς, καὶ τοὺς ἱππέας, καὶ μὴ ἀνιέναι. πολλοὶ μὲν οὖν δὴ καὶ ἄλλοι τοῦ καιροῦ ἐγγυτέρω τοῦ τείχους διώξαντες, κακῶς ἀπεχώρησαν. καὶ ἐκεῖνοι δ' ἐπεὶ ἀπὸ τῶν πύργων ἐβάλλοντο, ἀποχωρεῖν τε ἠναγκάζοντο τεθορυβημένως, καὶ προφυλάττεσθαι τὰ βέλη. ἐν τούτῳ δὴ οἱ ὀλύνθιοι ἐπεξελαύνουσι μὲν τοὺς ἱππέας, ἐβοήθουν δὲ καὶ οἱ πελτασταί. τέλος δὲ καὶ οἱ ὁπλῖται ἐπεξέθεον, καὶ τεταραγμένοις τῇ φάλαγγι προσπίπτουσι. καὶ ὁ μὲν τελευτίας ἐνταῦθα μαχόμενος, ἀποθνήσκει. τούτου δὲ γενομένου, εὐθὺς καὶ οἱ ἀμφ' αὐτὸν ἐνέκλιναν. καὶ οὐδεὶς ἔτι ἵστατο, ἀλλὰ πάντες ἔφευγον, οἱ μὲν ἐπὶ σπαρτώλου, οἱ δὲ ἐπ' ἀκάνθου, οἱ δὲ εἰς ἀπολλωνίαν, οἱ πλεῖστοι δὲ εἰς ποτίδαιαν. ὡς δ' ἄλλος ἄλλῃ ἔφευγον, οὕτω καὶ οἱ πολέμιοι ἄλλος ἄλλῃ διώκοντες, παμπληθεῖς ἀπέκτειναν ἀνθρώπους, καὶ ὅ,τι περ ὄφελος ἦν τοῦ τοιούτου στρατεύματος. ἐκ μέντοι γε τῶν τοιούτων παθῶν, ὡς ἐγώ φημι, ἀνθρώπους παιδεύεσθαι, μάλιστα μὲν οὐδ' οἰκέτας χρὴ κολάζειν ὀργῇ. πολλάκις γὰρ καὶ δεσπόται ὀργιζόμενοι, μείζω κακὰ ἔπαθον, ἢ ἐποίησαν. ἀτὰρ ἀντιπάλοις τὸ μετ' ὀργῆς, ἀλλὰ μὴ γνώμῃ προσφέρεσθαι, ὅλον ἁμάρτημα. ἡ μὲν γὰρ ὀργὴ ἀπρονόητον, ἡ δὲ γνώμη σκοπεῖ οὐδὲν ἧττον μή τι πάθῃ, ἢ ὅπως βλάψῃ τι τοὺς πολεμίους. τοῖς δ' οὖν λακεδαιμονίοις, ἐπεὶ ἤκουσαν τὸ πρᾶγμα, βουλευομένοις ἐδόκει οὐ φαύλην πεμπτέον δύναμιν εἶναι, ὅπως τό, τε φρόνημα τῶν νενικηκότων κατασβεσθείη, καὶ μὴ μάτην τὰ πεποιημένα γένοιτο. οὕτω δὲ γνόντες, ἡγεμόνα μὲν ἀγησί-

πολιν

πολιν τὸν βασιλέα ἐκπέμπουσι. μετ' αὐτοῦ δὲ ὥσπερ Ἀγησι-
λάῳ ἐν τῇ Ἀσίᾳ τριάκοντα Σπαρτιατῶν. πολλοὶ δὲ αὐτῷ
καὶ τῶν περιοίκων ἐθελονταὶ καλοὶ κἀγαθοὶ ἠκολούθουν,
καὶ ξένοι τῶν τροφίμων καλουμένων, καὶ νόθοι τῶν Σπαρτιατῶν,
μάλα εὐειδεῖς τε, καὶ τῶν ἐν τῇ πόλει καλῶν οὐκ ἄπειροι.
ξυνεστρατεύοντο δὲ καὶ ἐκ τῶν συμμαχίδων πόλεων ἐθε-
λονταί, καὶ Θετταλῶν γε ἱππεῖς γνωσθῆναι τῷ Ἀγησιπό-
λιδι βουλόμενοι. καὶ Ἀμύντας δὲ καὶ Δέρδας ἔτι προθυμό-
τερον ἢ πρόσθεν. Ἀγησίπολις μὲν δὴ ταῦτα πράττων,
ἐπορεύετο ἐπὶ τὴν Ὄλυνθον. ἡ δὲ τῶν Φλιασίων πόλις ἐπαι-
νεθεῖσα μὲν ὑπὸ τοῦ Ἀγησιπόλιδος, ὅτι πολλὰ καὶ τα-
χέως αὐτῷ χρήματα εἰς τὴν στρατιὰν ἔδοσαν, νομίζουσα δ'
ἔξω ὄντος Ἀγησιπόλιδος, οὐκ ἂν ἐξελθεῖν ἐπ' αὐτοὺς
Ἀγησίλαον, οὐδ' ἂν γενέσθαι, ὥστε ἅμα ἀμφοτέρους τοὺς βα-
σιλέας ἔξω Σπάρτης εἶναι, θρασέως οὐδὲν τῶν δικαίων ἐ-
ποίουν τοῖς κατεληλυθόσιν. οἱ μὲν γὰρ φυγάδες ἠξίουν
τὰ ἀμφίλογα ἐν ἴσῳ δικαστηρίῳ κρίνεσθαι. οἱ δὲ ἠνάγκα-
ζον ἐν αὐτῇ τῇ πόλει διαδικάζεσθαι. λεγόντων δὲ τῶν κατεληλυθότων, καὶ τίς αὕτη ἡ δίκη εἴη, ὅπου αὐτοὶ οἱ ἀδικοῦν-
τες δικάζοιεν, οὐδένα ἤκουον. ἐκ τούτου μέντοι ἔρχον-
ται εἰς Λακεδαίμονα οἱ κατελθόντες, κατηγορήσον-
τες τῆς πόλεως. καὶ ἄλλοι δὲ τῶν οἴκοθεν ξυνηκολούθουν,
λέγοντες ὅτι πολλοῖς καὶ τῶν πολιτῶν οὐ δοκοῖεν δίκαια
πάσχειν. ἀγανακτήσασα δὲ τούτοις τῶν Φλιασίων ἡ
πόλις, ἐζημίωσε πάντας, ὅσοι μὴ πεμπούσης τῆς πό-
λεως, ἦλθον εἰς Λακεδαίμονα. οἱ δὲ ζημιωθέντες, ὤκνουν
ἀπιέναι. μένοντες δ' ἐδίδασκον, ὡς οὗτοι μὲν εἶεν οἱ
βιαζόμενοι ταῦτα, οἵπερ σφᾶς τε ἐξέβαλον καὶ Λακε-
δαιμονίους ἀπέκλεισαν. οὗτοι δὲ οἱ πριάμενοί τε τὰ σφέ-
τερα, καὶ βιαζόμενοι μὴ ἀποδιδόναι, οὗτοι δὴ καὶ νῦν
διαπεπραγμένοι εἰσὶ ζημιωθῆναι σφᾶς αὐτούς, εἰς Λα-
κεδαίμονα ἐλθόντας, ὅπως τοῦ λοιποῦ μηδεὶς τολμῴη
ἰέναι, δηλώσων τὰ ἐν τῇ πόλει γιγνόμενα. τῷ δ' ὄντι
ὑβρίζειν δοκούντων τῶν Φλιασίων, φρουρὰν φαίνουσιν
ἐπ' αὐτοὺς οἱ ἔφοροι. ἦν δὲ οὐ τῷ Ἀγησιλάῳ ἀχθομένῳ
ταῦτα. καὶ γὰρ τῷ μὲν πατρὶ αὐτοῦ Ἀρχιδάμῳ ξένοι ἦσαν οἱ
περὶ Ποδάνεμον, καὶ τότε τῶν κατεληλυθότων ἦσαν.
ἑαυτῷ δὲ οἱ ἀμφὶ Προκλέα τὸν Ἱππονίκου. ὡς δὲ τῶν δια-
βατηρίων γενομένων οὐκ ἔμελλεν, ἀλλ' ἐπορεύετο, πολλαὶ
πρεσβεῖαι ἀπήντων, καὶ χρήματα ἐδίδοσαν, ὥστε μὴ ἐμ-
βάλλειν. ὁ δὲ ἀπεκρίνατο, ὅτι οὐχ ἵνα ἀδικοίη στρατεύοι-
το, ἀλλ' ὅπως τοῖς ἀδικουμένοις βοηθήσειεν. οἱ δὲ τε-
λευτῶντες πάντα ἔφασκόν τε ποιήσειν, ἐδέοντό τε
μὴ ἐμβάλλειν. ὁ δὲ πάλιν ἔλεγεν, ὡς οὐκ ἂν πιστεύσειε
λόγοις. καὶ γὰρ τὸ πρότερον ψεύσασθαι αὐτούς, ἀλλ' ἔργου
τινὸς πιστοῦ δεῖν ἔφη. ἐρωτώμενος δὲ καὶ τί τοῦτ' ἂν εἴη,
πάλιν ἀπεκρίνατο, ὅπερ καὶ πρόσθεν ἔφη ποιήσαντες,
οὐδὲν ὑφ' ἡμῶν ἠδικήθητε. τοῦτο δὲ ἦν τὴν ἀκρόπολιν
παραδοῦναι. οὐκ ἐθελόντων δ' αὐτῶν τοῦτο ποιεῖν, ἐνέ-
βαλέ τε, καὶ εἰς τὴν χώραν καὶ ταχὺ περιτειχίσας, ἐπο-
λιόρκει αὐτούς. πολλῶν δὲ λεγόντων Λακεδαιμονίων, ὡς
ὀλίγων ἕνεκεν ἀνθρώπων πόλει ἀπεχθάνοιντο πλέον πεν-
τακισχιλίων ἀνδρῶν. καὶ γὰρ δὴ ὅπως τοῦτ' ἔνδηλον εἴη, οἱ
Φλιάσιοι ἐν τῷ φανερῷ τοῖς ἔξω ἐξεκλησίαζον. ὁ μέν-
τοι Ἀγησίλαος πρὸς τοῦτο ἀντεμηχανήσατο. ὁπότε γὰρ ἐξέλ-
θοιεν ἢ διὰ συγγένειαν, ἢ διὰ φιλίαν τῶν φυγάδων, ἐδί-
δασκε

sipoli igitur regi bellum hoc demandari, trigin
taq; Spartanos quemadmodũ cum Agesilao in
Asiam mitti placuit: quem multi fortes ac stre-
nui sequuti sunt uolũtarij: hospites quoq; alũno
rũ appellati, ac Spartanorũ nothi, uiri egregij,
ac optima præditi indole, rerũq; urbanarũ haud
inexperti. Militarũt & cum eo ex socijs ciuitatib.
quãplurimi spõtanei, inter quos erant Thessalo
rũ equites, qui Agesipoli noti fieri cupiebant:
10 Amyntas quoq; et Derdas, acrius q̃ antea bel-
lo incũbentes. Et Agesipolis cũctis ex sententia
ordinatis, contra Olynthũ duxit. Phliasiorũ in-
terea ciuitas cũ in belli usum multas Agesipoli
pecunias tradidisset, ab illoq; laudata esset, rata
cũ Agesipolis foris militaret, alterũ regẽ Agesi
laũ minime cõtra illos exercitũ educturũ (haud
.n. fieri posse ut reges ambo à Sparta abessent)
temerarie cũcta, ac contra fœdera agere cœpit.
Exules .n. quæ dubia erãt, æquo iudicio finiri ro
20 gabãt: at illi in ciuitate ipsa lites dirimere coge
bãt. Cũq; expulsi interrogassẽt, quodnã iudiciũ
illud futurũ esset, in quo iudices qui illos præci-
pue iniuria affecerãt, iudicaturi essent, nihil re-
spõdebãt. Idcirco extorres acti Lacedæmonẽ p
fecti, ciuitatẽ propriã accusabãt. Hos domestici
plures insequuti sunt, qui et ipsi haud iusta illos
pati ostenderũt. Phliasij hãc ob rẽ indignati, om
nib. q Lacedæmonẽ trãsierant, præterq̃ q publi
co nomine illuc missi erãt, mulctam indixere: at
30 mulctati abire cũctabãtur: manẽtes uero intelle
xere, illos hæc machinari, à qb. antea eiecti erãt,
q̃q; à Lacedæmonijs defecerãt: hi .n. bona exulũ
emerãt, et ne illa reddere cogerentur, timebant:
quapropter q Lacedæmonẽ p exerãt mulctarẽ
tur, effecere, ne posthac qspiã tã facile illac trãsi
re, ac quæ in urbe fierẽt, pdere auderet. Cũ itaq;
Phliasij cõtra pacta fecisse uiderẽtur, bellum ab
Ephoris cõtra illos decretũ ẽ. Nec Agesilao in-
uito ea suscepta est expeditio: hospites .n. patris
40 Archidami fuerãt, q cũ Podanemo extorres a-
cti erãt: suiipsius uero, q cũ Proclea Hipponici
filio effugerãt. Cũ primum itaq; litasset, exerci-
tũ eduxit: cui obuiã facti Phliasiorũ legati, oran
tes ne illis bellũ inferret. Quib. respõdit: nõ ideo
bellũ susceptũ esse ut aliqs iniuria afficeretur,
sed ut iniuria affectis opẽ ferret. Tũc legati oĩa
se facere paratos esse ostẽderũt, solũ ne agrũ in-
cursaret, precabãtur. Quib. ille rursus respõdit:
Verbis eorũ, cũ antea mẽtiti fuissẽt, credere nõ
50 posse, nisi rẽ fide dignã agerẽt. Cũq; illi qd id es-
set, quæsiuissẽt: iterũ intulit, si id qd postulo fece
ritis, minime lædemini. hoc est, si arcẽ nobis tra
dideritis. Id cũ facere negassẽt, infesto agmine fi
nes eorũ irrũpit, cõfestimq; muro illos circũdãs
obsidebat. Verũ cũ plures Lacedæmoniorũ æ-
grè ferrẽt, qd paucorũ hominũ gratia, plures q̃
qnq; millia hominũ occũbere deberẽt (nã Phlia
sij ita disseminabãt) cõtra quæ Agesilaus talẽ in
gressus est uiam: quicũq; propter cognationem
seu amicitiam exulum ad illum transfugissent,
hi

bis commeatum ac necessaria cuncta præbere iussit: arma insuper tradidit, nec pecunijs ullis hac in re pepercit. Breui itaq; effecit, ut plus quàm mille egregios ac fortes uiros sub armis haberet, qui etiā Lacedæmonijs ipsis haud indigni qui una militarent, uiderentur. Et Agesilaus his incumbebat. Agesipolis uero confestim ex Macedonia ad Olynthiorum urbem exercitum duxit, illisq; pugnandi copiam fecit. Cumque nemo contra exiret, ad agros depopulandos transijt, Toronemq; ui cepit. Sed cum torrida æstate laboribus minime parceret, acuta febri correptus est. Cumq; pridem Dionysij in Aphyto uidisset templum, desiderio umbræ, limpidæq; ac frigidæ quæ illic erat captus aquæ, illuc uiuus delatus est, septimaq; die postquam febre correptus esset, extra templum occubuit. melle inde curatus, domum relatus est, regiaq; illi contigit sepultura. Agesilaus his auditis, non, ut quidam existimassent, ob aduersarij casum lætatus est, sed humaniter mortem illius lachrymatus est, & conuersationem desleuit. Reges enim cum domi sunt, unà habitare consueuerunt: nam Agesipolis in iuuenilibus, uenaticis, equestribus, ac iucundis sermonibus, Agesilao semper comes fuerat: præterea illum, ut decebat, in communi habitatione iuuenis seniorem semper ueneratus fuerat. Lacedæmonij Polybiadem in illius locum ad Olynthiacum misere bellum. Agesilaus interim tantū tēpus quo frumentum deficere Phliunti debebat, obsidione cōsumpserat: uerùm TANTVM inter uentris distat abstinentiam, ut cum Phliasij dimidium tantum q̃ antea inter se distribuerent frumentum, duplum quoq; temporis, ut par erat, obsidionem pertulerint. Tantum'q; audacia à pusillanimitate differt, ut Delphion quidam claro ortus genere, cum triginta alijs Phliasijs impedimento esse potuerit, quo minus pax sancita sit: potensq; fuerit & hos comprehendere, illos in uincula conijcere, alios adoriri, ac in suam trahere sententiam: sæpius etiam per eruptionem cum his quos circum se habebat, in stationes irrumpere, & alios alibi aggredi. Tandem cum inopia extrema laborare cœpissent, nec amplius frumentum in urbe superesset, ad Agesilaum miserunt, rogantes ut per inducias illis legatos Lacedæmonem mittere liceret: nam magistratibus urbem ut ea ex libito uterētur, tradere, paratos esse se ostendebant. At ille hanc ob rem iratus, seq; contemni existimans, Lacedæmonem misit, ac per amicos egit, ut Phliasiorum res libere illi permitterentur: & quamuis legatos per inducias suscepisset, custodiam tamen diligentiorem q̃ antea, ne quis urbe effugere posset, adhibebat. Delphion tamen & Stigmatias quidam, quamuis undiq; armis septus esset, nocte aufugerunt. At cum à Lacedæmone aduenissent qui nunciarent, Agesilao concessum esse, ut de Phliasiorum ciuitate quicquid libitum esset, statueret, ita decreuit: Quin-

διασκευάζειν συσσίτιά τε αὐτῶν κατασκευάζειν, καὶ εἰς τὰ ἐπιτήδεια ἱκανὸν διδόναι, ὁπόσοι γυμνάζεσθαι ἐθέλοιεν. καὶ ὅπλα δὲ ἐκπορίζειν ἅπασι τούτοις διεκελεύετο, καὶ μὴ ὀκνεῖν εἰς ταῦτα χρήματα δαπανᾶσθαι. οἱ δὲ ταῦτα ὑπηρετοῦντες, ἀπέδειξαν πλείους χιλίων ἀνδρῶν, ἄριστα μὲν τὰ σώματα ἔχοντας, εὐτάκτους δὲ καὶ εὐοπλοτάτους. ὥστε τελευτῶντες οἱ Λακεδαιμόνιοι, ἔλεγον, ὡς τοιούτων δέοιντο συστρατιωτῶν. καὶ Ἀγησίλαος μὲν δὴ περὶ ταῦτα ἦν. ὁ δὲ Ἀγησίπολις εὐθύς τε ἐκ τῆς Μακεδονίας πορευόμενος, ἔθετο πρὸς τῇ πόλει τῶν Ὀλυνθίων τὰ ὅπλα. ἐπεὶ δὲ οὐδεὶς ἀντεξῄει αὐτῷ, ἔφθειρε τὸν σῖτον. Τορώνην δὲ καὶ προσβαλὼν, εἷλε κατὰ κράτος. ἐν δὲ τούτοις ὄντα κατὰ θέρους ἀκμὴν, καῦμα πυριφλεγὲς λαμβάνει αὐτόν. ὡς δὲ πρόσθεν ἑωρακότα τὸ ἐν Ἀφύτει τοῦ Διονύσου ἱερὸν, ἔρως αὐτὸν τότ᾽ ἔσχε τῶν τε σκιερῶν σκηνωμάτων, καὶ τῶν λαμπρῶν καὶ ψυχρῶν ὑδάτων. ἐκομίσθη μὲν οὖν ἐκεῖσε ἔτι ζῶν, ὅμως μέντοι ἑβδομαῖος, ἀφ᾽ οὗ ἔκαμεν ἔξω τοῦ ἱεροῦ ἐτελεύτησε. καὶ ἐκεῖνος μὲν ἐν μέλιτι τεθεὶς, καὶ κομισθεὶς οἴκαδε, ἔτυχε τῆς βασιλικῆς ταφῆς. Ἀγησίλαος δὲ τοῦτο ἀκούσας, οὐχ ᾗ τις ἂν ᾤετο ἐφήσθη ὡς ἀντιπάλου, ἀλλὰ ἐδάκρυσε καὶ ἐπόθησε τῆς συνουσίας. συσκηνοῦσι μὲν γὰρ δὴ βασιλεῖς ἐν τῷ αὐτῷ, ὅταν οἴκοι ὦσιν. ὁ δὲ Ἀγησίπολις τῷ Ἀγησιλάῳ, ἱκανὸς μὲν ἦν, καὶ ἡβητικῶν, καὶ θηρευτικῶν, καὶ ἱππικῶν, καὶ παιδικῶν λόγων μετέχειν. πρὸς δὲ τούτοις καὶ ὑπῃδεῖτο αὐτὸν ἐν τῇ συσκηνίᾳ ὥσπερ εἰκὸς πρεσβύτερον. καὶ οἱ μὲν Λακεδαιμόνιοι ἀντ᾽ ἐκείνου Πολυβιάδην ἁρμοστὴν ἐπὶ τὴν Ὄλυνθον ἐκπέμπουσιν. ὁ δὲ Ἀγησίλαος, ἤδη μὲν ὑπερέβαλλε τὸν χρόνον, ὅσον ἐλέγετο ἐν τῷ Φλειοῦντι σῖτος εἶναι. τοσοῦτον γὰρ ἐγκράτεια γαστρὸς διαφέρει, ὥστε οἱ Φλιάσιοι τὸ ἥμισυ συμψηφισάμενοι σῖτον τελεῖν, ἢ πρόσθεν, καὶ ποιοῦντες τοῦτο, τὸ διπλάσιον τοῦ εἰκότος χρόνου πολιορκούμενοι διήρκεσαν. καὶ τόλμα δὲ ἀτολμίας ἔσθ᾽ ὅτε τοσοῦτον διαφέρει, ὥστε Δελφίων τις λαμπρὸς δοκῶν εἶναι, λαβὼν μεθ᾽ ἑαυτοῦ τριακοσίους ἄνδρας Φλιασίων, ἱκανὸς μὲν ἦν κωλύειν τοὺς βουλομένους εἰρήνην ποιεῖσθαι, ἱκανὸς δὲ οἷς ἠπίστει, εἵρξας φυλάττειν. ἠδύνατο δὲ εἴς τε τὰς φυλακὰς ἀναγκάζειν τὸ πλῆθος ἰέναι, καὶ τούτους ἐφοδεύων, πιστοὺς παρέχεσθαι. πολλάκις δὲ μεθ᾽ ὧν εἶχε περὶ αὐτὸν, καὶ ἐκθέων, ἀπέκρουε φύλακας ἄλλοτ᾽ ἄλλῃ τοῦ περιτετειχισμένου κύκλου. ἐπεὶ μέντοι οἱ ἐπίλεκτοι οὗτοι πάντα τρόπον ἐπιζητοῦντες οὐχ ηὕρισκον σῖτον ἐπὶ τῇ πόλει, ἐκ τούτου δὴ πέμψαντες πρὸς τὸν Ἀγησίλαον, ἐδέοντο σπείσασθαι πρεσβείαν εἰς Λακεδαίμονα ἰοῦσι. δεδόχθαι γὰρ σφίσιν ἔφασαν ἐπιτρέπειν τοῖς τέλεσι τῶν Λακεδαιμονίων, χρῆσθαι τῇ πόλει ὅ, τι βούλοιντο. ὁ δὲ ὀργισθεὶς ὅτι ἄκυρον αὐτὸν ἐποίουν, πέμψας μὲν πρὸς τοὺς οἴκοι φίλους, διεπράξατο ἑαυτῷ ἐπιτραπῆναι τὰ περὶ Φλειοῦντος. ἐσπείσατο δὲ τῇ πρεσβείᾳ. φυλακὴν δὲ ἔτι ἰσχυροτέραν, ἢ πρότερον ἐφύλαττεν, ἵνα μηδεὶς τῶν ἐκ τῆς πόλεως ἐξίῃ. ὅμως μέντοι ὅ γε Δελφίων, καὶ στιγματίας τις μετ᾽ αὐτοῦ, ὃς πολλὰ ὑφῄρει ὅπλα τῶν πολιορκούντων, ἀπέδρασαν νύκτωρ. ἐπεὶ δὲ ἧκον ἐκ τῆς Λακεδαίμονος, ἀπαγγέλλοντες ὅτι ἡ πόλις ἐπιτρέποι Ἀγησιλάῳ διαγνῶναι τὰ ἐν Φλειοῦντι ὅπως αὐτῷ δοκοίη, Ἀγησίλαος δὴ οὕτως ἔγνω. πεντά-

Reges duo Lacedæmoniorum una habitare solebant.

πεντήκοντα μὲν ἄνδρας τῶν κατεληλυθότων, πεντήκοντα δὲ τῶν οἴκοθεν, πρῶτον μὲν ἀνακρῖναι ὅντινα ζῆν ἐν τῇ πόλει, καὶ ὅντινα ἀποθανεῖν δίκαιος εἴη. ἔπειτα δὲ νόμους θεῖναι, καθ' οὓς πολιτεύσοιντο. ἕως δ' ἂν ταῦτα διαπράξωνται, φυλακὴν, καὶ μισθὸν τοῖς φρουροῖς ἓξ μηνῶν κατέλιπε. ταῦτα δὲ ποιήσας, τοὺς μὲν συμμάχους ἀφῆκε, τὸ δὲ πολιτικὸν οἴκαδε ἀπήγαγε. καὶ τὰ μὲν περὶ Φλειοῦντα οὕτως αὖ ἐπετετέλεστο ἐν ὀκτὼ μησὶ, καὶ ἐνιαυτῷ. καὶ ὁ πολυβιάδης δὲ παντάπασι κακῶς ἔχοντας λιμῷ τοὺς ὀλυνθίους, διὰ τὸ μήτε ἐκ τῆς γῆς λαμβάνειν, μήτε κατὰ θάλατταν εἰσάγεσθαι σῖτον αὐτοῖς, ἠνάγκασε πέμψαι εἰς λακεδαίμονα περὶ εἰρήνης. οἱ δ' ἐλθόντες πρέσβεις αὐτοκράτορες, συνθήκας ἐποιήσαντο τὸν αὐτὸν μὲν ἐχθρὸν καὶ φίλον λακεδαιμονίοις νομίζειν. ἀκολουθεῖν δὲ ὅποι ἂν ἡγῶνται, καὶ σύμμαχοι εἶναι. καὶ ὀμόσαντες ταῦτα ἐμμενεῖν, οὕτως ἀπῆλθον οἴκαδε. προκεχωρηκότων δὲ τοῖς λακεδαιμονίοις, ὥστε θηβαίους μὲν, καὶ τοὺς ἄλλους βοιωτοὺς παντάπασιν ἐπ' ἐκείνοις εἶναι, κορινθίους δὲ πιστοτάτους γεγενῆσθαι, ἀργείους δὲ τεταπεινῶσθαι διὰ τὸ μηδὲν ἔτι ὠφελεῖν αὐτοὺς τῶν μηνῶν τὴν ὑποφορὰν, ἀθηναίους δὲ ἠρημῶσθαι, τῶν δ' αὖ συμμάχων κεκολασμένων, οἳ δυσμενῶς εἶχον αὐτοῖς παντάπασιν ἤδη καλῶς, καὶ ἀσφαλῶς ἡ ἀρχὴ ἐδόκει αὐτοῖς κατεσκευάσθαι. πολλὰ μὲν οὖν ἄν τις ἔχοι καὶ ἄλλα λέγειν καὶ ἑλληνικὰ καὶ βαρβαρικὰ, ὡς θεοὶ οὔτε τῶν ἀσεβούντων, οὔτε τῶν ἀνόσια ποιούντων ἀμελοῦσι. νῦν γε μὴν λέξω τὰ προκείμενα. λακεδαιμόνιοί τε γὰρ οἱ ὀμόσαντες αὐτονόμους ἐάσειν τὰς πόλεις, τὴν ἐν θήβαις ἀκρόπολιν κατασχόντες ὑπ' αὐτῶν μόνων τῶν ἀδικηθέντων ἐκολάσθησαν, πρῶτον οὐδ' ὑφ' ἑνὸς τῶν πώποτε ἀνθρώπων κρατηθέντες. τούς τε τῶν πολιτῶν εἰσαγαγόντας εἰς τὴν ἀκρόπολιν αὐτοὺς, καὶ βουληθέντας λακεδαιμονίοις τὴν πόλιν δουλεύειν, ὥστε αὐτοὶ τυραννεῖν, τὴν τούτων ἀρχὴν, ἑπτὰ μόνον τῶν φυγόντων ἤρκεσαν καταλῦσαι. ὡς δὲ τοῦτ' ἐγένετο, διηγήσομαι. ἦν τις φυλλίδας, ὃς ἐγραμμάτευε τοῖς περὶ ἀρχίαν πολεμάρχοις, καὶ τἆλλα ὑπηρέτει ὡς ἐδόκει ἄριστα. τούτῳ δ' ἀφιγμένῳ ἀθήναζε κατὰ πρᾶξίν τινα, καὶ πρόσθεν γνώριμος ὢν, μέλλων τῶν ἀθήναζε πεφευγότων θηβαίων συγγίγνεται. καὶ διαπυθόμενος μὲν τὰ περὶ ἀρχίαν τε τὸν πολεμαρχοῦντα, καὶ τὰ περὶ φίλιππον τυραννίδα, γνοὺς δὲ ἔτι μᾶλλον μισοῦντα αὐτὸν τὰ οἴκοι αὐτοῦ, πιστὰ δοὺς καὶ λαβὼν, συνέθετο ὡς δεῖ ἕκαστα γίγνεσθαι. ἐκ δὲ τούτου προσλαβὼν ὁ μέλλων ἓξ τοὺς ἐπιτηδειοτάτους τῶν φευγόντων, ξιφίδια ἔχοντας, καὶ ἄλλο ὅπλον οὐδὲν, ἔρχεται πρῶτον μὲν εἰς τὴν χώραν νυκτός. ἔπειτα δὲ ἡμερεύσαντες ἔν τινι τόπῳ ἐρήμῳ πρὸς τὰς πύλας ἦλθον, ὡς δὴ ἐξ ἀγροῦ ἀπιόντες, ἡνίκα περ οἱ ἐκ τῶν ἔργων ὀψιαίτατοι. ἐπεὶ δ' εἰσῆλθον εἰς τὴν πόλιν, διενυκτέρευσαν μὲν ἐκείνην τὴν νύκτα παρὰ χάρωνί τινι. καὶ τὴν ὑστέραν δὲ ἡμέραν διημέρευσαν. ὁ μὲν οὖν φυλλίδας τά τε ἄλλα ἐπεμελεῖτο τοῖς πολεμάρχοις, ὡς ἀφροδίσια ἄγουσιν ἐπ' ἐξόδῳ τῆς ἀρχῆς, καὶ δὴ καὶ γυναῖκας πάλαι ὑπισχνούμενος ἄξειν αὐτοῖς τὰς σεμνοτάτας καὶ καλλίστας τῶν ἐν θήβαις, τότ' ἔφη ἄξειν. οἱ δὲ, ἦσαν γὰρ τοιοῦτοι, μάλα ἡδέως προσεδέχοντο νυκτερεύσειν. ἐπεὶ δὲ ἐδείπνησάν τε καὶ συμπροθυ-

Quinquaginta uiros de exulibus, quinquaginta quoq; Lacedæmonios primò diiudicare debere, quem in urbe uita, quemq; morte dignum censerent. Inde leges statuere, quibus urbs regeretur: & quoad hæc peragi possent, præsidium illis, semestreq; stipendium reliquit. His actis, dissoluto exercitu socios dimisit, ciues uero domum reduxit. Et hæc ita circa Phliuntem, per annum & menses octo gesta sunt. At Polybiades Olynthios fame ac omnium rerum laborantes penuria (nihil enim terra colere, nec mari inferre poterant) legatos de pace petenda Lacedæmonem mittere coëgit. Cumq; illuc liberis uenissent mandatis, bellum his conditionibus diremptum est, ut eosdem hostes ac amicos, quos & Lacedæmonij, haberent, & existimarent: quos & quocunq; ducerent sequerentur, ac socij essent. Cumq; super his iuramentum præstitissent, domum reuersi sunt. Eo successu Lacedæmonij elati, animo uersare cœperunt, quo pacto Thebas ac reliquas Bœotiæ ciuitates penitus suo subijcerēt imperio: Corinthios uero fidißimos redderēt: ac Argiuos ne ob menstruos redditus animos extollerent, deprimere, Athenas uero penitus desolare possent. Arbitrabantur siquidem, depreßis socijs, qui potißimum ipsis resistere ualerent, principatum pulcherrimum ac firmißimum stabilitum iri. Et quamuis multa tam græca quàm barbara in medium deduci possent, QVEMADMODVM DII scelestos, impios, & iniustos minime negligunt, præsentium tamen narratione solùm contentus ero. Lacedæmonij enim quamuis ciuitates liberas dimissuros iurassent, arcem tamen Thebanam retinebant, quam his qui extorres acti fuerant, custodiendam tradidere: quamuis antea nulli hominum subiecta fuisset. Verum statum eorum qui Lacedæmonijs arcem tradiderant, ac ciuitatem seruituti subiecerant, ut ipsi tyrannidem obtinere ualerent, septem solùm exules dissoluere potuere. Id uero quemadmodum acciderit, explicare pergam. Erat quidam Phyllidas, qui scribæ officio sub Polemarchis, qui cum Archia præerant, fungebatur, cæterisq; in rebus egregie se gesserat. Hic cum Athenas priuati negocij causa applicuisset, illic enim notus erat, Mello Thebano qui ibi exulabat conuentus, & de Archiæ præfectura, ac Philippi tyrannide interrogatus est: cui cum rem domesticam displicere sensisset, fide data & accepta, de singulis cum eo conuenit. Inde Mellon assumptis secum fidißimis exulum sex, nihil præter enses ferentes, sub noctis initium in Thebanorum concessit fines: ubi clanculum per diem delitescens, sub uesperum, tanquam ex agris reuersus, cum socijs portas ingressus est. Cumq; urbem intrassent, nocte illa apud quēdam Charonem pernoctarunt, cum quo & sequentem egere diem. Phyllidas interea cū cætera ex sententia ordinasset, polemarchis ut sub exitū magistratus Aphrodisia celebrare poßēt, mulieres omnium in Thebis pulcherrimas ac uenustißimas se adducturū promittit: illi uero, nā tales erāt, audißime concubitum expectabāt. Cum itaq; cœnassent, ac præceden-

cedente potu uino incaluissent, promissa exigunt, fœminasq; produci iubent. Ille egressus Mellonis tribules tres matronali habitu, alios sub famularum adducit specie: illisque parumper expectare iussis, rursus ingressus Archiæ ait, fœminas intrare nolle, nisi ministri ablegarentur. Quibus omnibus confestim exire iussis, Phyllidas illis uinum tribuit, sicq; dimisit. Inde fictas intro/ducit meretrices, ac propè sedere iussit. Erat autem inuasionis signum, cum sedere iuberentur. Illi itaque confestim eductis gladijs, polemarchos petulantes interfecere. Alij ferunt, saltantes ingressos esse, ac polemarchos occidisse. Inde Phyllidas tribus secum assumptis, ad Leontiadis proficiscitur ædes, ostioque pulsato, ob rem arduam annunciandam, à polemarchis se missum esse ait. At ille (seorsum enim post cœnam recumbebat, uxorq; illi lanificio incumbens assidebat) nihil mali suspicans, Phyllidam cum socijs introire iussit. Illi ingressi, eum interfecere. Timentes uero uxorem, ne clamorem tolleret, illam ostium obseruare iusserunt: si uero apertum relinquerent rursus ingredi, ac omnes qui in domo erant occidere uelle, interminati sunt. His gestis, Phyllidas duobus secum assumptis, ad carcerem pergit, ac custodi ait, se uirum quendam præfectorum iussu uinculis mancipandum adducere: & ille reserato carcere protinus interfectus est. Vincti inde omnes soluti sunt: quos celeriter à proxima porticu armis detractis armauit, ac ad Amphium produxit, illicque aciem resistere iubet: inde per præconem Thebanos omnes tam equites quàm pedites progredi iubet, quoniam tyranni morte pœnas dedissent. Ciues uero quandiu nox erat, ob incredulitatem quietem agebant: orta u[illegible] die, req; patefacta, celeriter pedites ac equites armati suppetias ferunt. Missi sunt quoque equites ad exules qui Athenis uersabantur, ut illis rem annunciarent, illosq; in auxilium aduocarent. Interim harmostes qui arcem obtinebat, audito nocturno præconio, confestim ad Platæenses ac Thespienses pro ope petenda mittit. Id Thebanorum suspicati equites, Platæensibus obuiam eunt, ac cum illis congressi, plures quàm uiginti interfecerunt: inde in urbem regressi, & cum Atheniensibus ac exulibus, qui iam aduenerant, in arcem impetum faciunt. At qui arcem obtinebant, paucitati diffisi, cum hostium cernerent audaciam, magna præterea his qui primùm muros transcendissent præmia proponi audirent, uehementer timere cœperunt, seq; abire uelle obtulerunt, si libere cum armis dimitterentur. At illi libenter quæ petebant concessere, induciasq; præstito iuramento pepigere, sicq; illos dimisere. At digredientibus illis, quoscunq; inimicos esse cernebant, illos obtruncabant: quidam tamen ab Atheniensibus auxiliarijs seruati sunt. Thebani insuper liberos interfectorum quoscunque comprehendere poterant, iugularunt. Lacedæmonij his auditis, primò harmosten arcis desertorem, quoniam auxilium haud expectauerat,

προθυμουμένου ἐκείνου ταχὺ ἐμεθύσθησαν. πάλαι δὲ κελευόντων ἄγειν τὰς ἑταίρας, ἐξελθὼν ἤγαγε τοὺς περὶ μέλλωνα, τρεῖς μὲν στείλας ὡς δεσποίνας, τὰς δὲ ἄλλας ὡς θεραπαίνας. ἐκείνας μὲν εἰσήγαγεν εἰς τὸ προταμιεῖον τοῦ πολεμαρχείου. αὐτὸς δ' εἰσελθὼν, εἶπε τοῖς περὶ ἀρχίαν, ὅτι οὐκ ἄν φασιν εἰσελθεῖν αἱ γυναῖκες, εἴ τις τῶν διακόνων ἔνδον ἔσοιτο. ἔνθεν οἱ μὲν ἐκέλευον ταχὺ πάντας ἐξιέναι. ὁ δὲ φυλλίδας δοὺς οἶνον εἰς ἑνὸς τῶν διακόνων, ἐξέπεμψεν αὐτούς. ἐκ δὲ τούτου ἤγαγε τὰς ἑταιρίδας δὴ, καὶ ἐκάθιζε παρ' ἑκάστῳ. ἦν γὰρ σύνθημα, ἐπεὶ καθίζοιντο, παίειν εὐθὺς ἀνακαλυψαμένους. οἱ μὲν δὴ οὕτω λέγουσιν αὐτοὺς ἀποθανεῖν. οἱ δὲ καὶ ὡς κωμαστὰς εἰσελθόντας τοὺς ἀμφὶ μέλλωνα ἀποκτεῖναι τοὺς πολεμάρχους. λαβὼν δὲ ὁ φυλλίδας τρεῖς αὐτῶν, ἐπορεύετο ἐπὶ τὴν τοῦ λεοντιάδου οἰκίαν. κόψας δὲ τὴν θύραν, εἶπεν ὅτι παρὰ τῶν πολεμάρχων ἀπαγγεῖλαί τι βούλοιτο. ὁ δὲ, ἐτύγχανε μὲν χωρὶς κατακείμενος ἔτι μετὰ δεῖπνον. καὶ ἡ γυνὴ ἐριουργοῦσα παρεκάθητο. ἐκέλευσε δὲ τὸν φυλλίδαν πιστὸν νομίζων εἰσιέναι. οἱ δ' ἐπεὶ εἰσῆλθον, τὸν μὲν ἀποκτείναντες, τὴν δὲ γυναῖκα φοβήσαντες, κατεσιώπησαν. ἐξιόντες δὲ εἶπον τὴν θύραν κεκλεῖσθαι· εἰ δὲ λήψονται ἀνεῳγμένην, ἠπείλησαν ἀποκτεῖναι ἅπαντας τοὺς ἐν τῇ οἰκίᾳ. ἐπεὶ δὲ ταῦτ' ἐπέπρακτο, λαβὼν δύο ὁ φυλλίδας τῶν ἀνδρῶν, ἦλθε πρὸς τὸ ἀνάγκαιον, καὶ εἶπε τῷ εἱργμοφύλακι, ὅτι ἄνδρα ἄγει παρὰ πολεμάρχων, ὃν εἷρξαι δέοι. ὡς δὲ ἀνέῳξε, τοῦτον μὲν ἀπέκτειναν εὐθὺς, τοὺς δὲ δεσμώτας ἀπέλυσαν. καὶ τούτους μὲν ταχὺ τῶν ἐκ τῆς στοᾶς ὅπλων καθελόντες, ὥπλισαν. καὶ ἀγαγόντες ἐπὶ τὸ ἀμφεῖον θέσθαι ἐκέλευον τὰ ὅπλα. ἐκ δὲ τούτου εὐθὺς ἐκήρυττον ἐξιέναι πάντας θηβαίους ἱππέας τε καὶ ὁπλίτας, ὡς τῶν τυράννων τεθνεώτων. οἱ δὲ πολῖται, ἕως μὲν νὺξ ἦν, ἀπιστοῦντες, ἡσυχίαν εἶχον. ἐπεὶ δὲ ἡμέρα τ' ἦν, καὶ φανερὸν ἦν τὸ γεγενημένον, ταχὺ δὴ καὶ οἱ ὁπλῖται καὶ οἱ ἱππεῖς σὺν τοῖς ὅπλοις ἐξεβοήθουν. ἔπεμψαν δ' ἱππέας οἱ κατεληλυθότες ἐπὶ τοὺς πρὸς τοῖς ὁρίοις ἀθηναίων, τοὺς δύο τῶν στρατηγῶν. οἱ δ' εἰδότες τὸ πρᾶγμα, ἐφ' ὃ ἀπεστάλκεισαν, ὁ μέντοι ἐν τῇ ἀκροπόλει ἁρμοστὴς ἐπεὶ ᾔσθετο τὸ νυκτερινὸν κήρυγμα, εὐθὺς ἔπεμψεν εἰς πλαταιὰς καὶ θεσπιὰς ἐπὶ βοήθειαν. καὶ τοὺς μὲν πλαταιᾶς αἰσθόμενοι προσιόντας οἱ τῶν θηβαίων ἱππεῖς, ἀπαντήσαντες, ἀπέκτειναν αὐτῶν πλέον ἢ εἴκοσιν. ἐπεὶ δὲ εἰσῆλθον ταῦτα πράξαντες, καὶ οἱ ἀθηναῖοι ἀπὸ τῶν ὁρίων ἤδη παρῆσαν, προσέβαλον πρὸς τὴν ἀκρόπολιν. ὡς δὲ ἔγνωσαν οἱ ἐν τῇ ἀκροπόλει ὀλίγοι ὄντες, τήν τε προθυμίαν τῶν προσιόντων ἁπάντων ἑώρων, καὶ τῶν κηρυγμάτων μεγάλων γιγνομένων τοῖς πρώτοις ἀναβᾶσιν, ἐκ τούτου φοβηθέντες, εἶπον ὅτι ἀπίοιεν ἄν, εἰ σφίσιν ἀσφάλειαν μετὰ τῶν ὅπλων ἀπιοῦσι διδοῖεν. οἱ δὲ ἄσμενοί τε ἔδοσαν ἃ ᾔτουν. καὶ σπεισάμενοι, καὶ ὅρκους ὀμόσαντες ἐπὶ τούτοις, ἐξέπεμπον. ἐξιόντων μέντοι ὅσους ἐπέγνωσαν τῶν ἐχθρῶν ὄντας, συλλαμβάνοντες ἀπέκτειναν. ἦσαν δέ τινες, οἳ καὶ ὑπὸ ἀθηναίων τῶν ἀπὸ τῶν ὁρίων ὑποβοηθησάντων, ἐκλάπησαν, καὶ διεσώθησαν. οἱ μέντοι θηβαῖοι καὶ τοὺς παῖδας τῶν ἀποθανόντων ὅσοις ἦσαν λαβόντες, ἀπέσφαξαν. ἐπεὶ δὲ ταῦτα ἐπύθοντο οἱ λακεδαιμόνιοι, τὸν μὲν ἁρμοστὴν τὸν ἐγκαταλιπόντα τὴν ἀκρόπολιν, καὶ οὐκ ἀναμείναντα

ναντα τὴν βοήθειαν, ἀπέκτειναν. φρουρὰν δὲ φαίνουσιν ἐπὶ τοὺς θηβαίους. καὶ ἀγησίλαος μὲν λέγων, ὅτι ὑπὲρ τετταράκοντα ἔτη ἀφ' ἥβης εἴη, καὶ ὥσπερ τοῖς ἄλλοις τοῖς τηλικούτοις οὐκέτι ἀνάγκη εἴη τῆς ἑαυτῶν ἔξω στρατεύεσθαι, οὕτω δὴ καὶ βασιλεῦσι τὸν αὐτὸν ὄντα ἀπεδείκνυε. κἀκεῖνος μὲν διὰ λέγων ταῦτα, οὐκ ἐστρατεύετο. οὐ μὴν τούτου γε ἕνεκα κατέμεινεν, ἀλλ' εὖ εἰδὼς ὅτι εἰ στρατηγοίη, λέξειαν οἱ πολῖται, ὡς ἀγησίλαος ὅπως βοηθήσειε τοῖς τυράννοις, πράγματα τῇ πόλει παρέχει. εἴα οὖν αὐτοὺς βουλεύσασθαι ὅ,τι βούλοιντο περὶ τούτων. οἱ δ' ἔφοροι διδασκόμενοι ὑπὸ τῶν μετὰ τὰς ἐν θήβαις σφαγὰς ἐκπεπτωκότων, κλεόμβροτον ἐκπέμπουσι τότε πρῶτον ἡγούμενον, μάλα χειμῶνος ὄντος. καὶ τὴν μὲν διὰ ἐλευθερῶν ὁδὸν, χαβρίας ἔχων ἀθηναίων πελταστὰς, ἐφύλαττεν. ὁ δὲ κλεόμβροτος ἀνέβαινε κατὰ τὴν εἰς πλαταιὰς φέρουσαν. προϊόντες δὲ οἱ πελτασταὶ, περιτυγχάνουσιν ἐπὶ τοῖς ἄκροις φυλάττουσι τοῖς ἐκ τοῦ ἀνάγκαίου λελυμένοις ὡς περὶ ἑκατὸν καὶ πεντήκοντα οὖσι. καὶ τούτους μὲν ἅπαντας, εἰ μή τις διέφυγεν, οἱ πελτασταὶ ἀπέκτειναν. αὐτὸς δὲ κατέβαινε πρὸς τὰς πλαταιὰς ἔτι φιλίας οὔσας. ἐπεὶ δὲ εἰς θεσπιὰς ἀφίκετο, ἐκεῖθεν ὁρμηθεὶς, εἰς κυνὸς κεφαλὰς, οὔσας θηβαίων, ἐστρατοπεδεύσατο. μείνας δὲ περὶ ἑκκαίδεκα ἡμέρας, ἀπεχώρησε πάλιν εἰς θεσπιάς. κἀκεῖ μὲν κατέλειπεν ἁρμοστὴν σφοδρίαν, καὶ τῶν συμμάχων τὸ τρίτον μέρος ἑκάστων. παρέδωκε δὲ αὐτῷ καὶ χρήματα, ὅσα ἐτύγχανεν οἴκοθεν ἔχων, καὶ ἐκέλευσε ξενικὸν προσμισθοῦσθαι. καὶ ὁ μὲν σφοδρίας ταῦτ' ἔπραττεν. ὁ δὲ κλεόμβροτος ἀπῆγεν ἐπ' οἴκου τὴν διὰ κρεύσιος τοὺς μεθ' ἑαυτοῦ στρατιώτας, καὶ μάλα ἀποροῦντας, πότερά ποτε πόλεμος πρὸς θηβαίους ἢ εἰρήνη εἴη. ἤγαγε μὲν γὰρ εἰς τὴν τῶν θηβαίων τὸ στράτευμα. ἀπῆλθε δὲ ὡς ἐδύνατο, ἐλάχιστα κακουργήσας. ἀπιόντι γε μὴν ἄνεμος αὐτῷ ἐξαίσιος ἐπεγένετο, ὃν καὶ οἰωνίζοντό τινες σημαίνειν πρὸ τῶν μελλόντων. πολλὰ μὲν γὰρ καὶ ἄλλα βίαια ἐποίησεν. ἀτὰρ καὶ ὑπερβάλλοντος αὐτοῦ μετὰ τῆς στρατιᾶς ἐκ τῆς κρεύσιος τὸ καθῆκον ἐπὶ θάλατταν ὄρος, πολλοὺς μὲν ὄνους κατεκρήμνισεν αὐτοῖς σκεύεσι, πάμπολλα δὲ ὅπλα ἀναρπασθέντα, ἐξέπεσεν εἰς τὴν θάλατταν. τέλος δὲ πολλοὶ οὐ δυνάμενοι σὺν τοῖς ὅπλοις πορεύεσθαι, ἔνθεν καὶ ἔνθεν τοῦ ἄκρου κατέλιπον, λίθων ἐμπλήσαντες ὑπτίας τὰς ἀσπίδας. καὶ τότε μὲν ἐν αἰγοσθένοις τῆς μεγαρικῆς ἐδείπνησαν, ὡς ἐδύναντο. τῇ δ' ὑστεραίᾳ ἐλθόντες, ἐκομίσαντο τὰ ὅπλα. καὶ ἐκ τούτου ἤδη ἕκαστοι οἴκαδε ἀπῆλθον. ἀφῆκε γὰρ αὐτοὺς ὁ κλεόμβροτος. οἱ μὲν οὖν ἀθηναῖοι ὁρῶντες τὴν τῶν λακεδαιμονίων δύναμιν, καὶ ὅτι πόλεμος ἐν κορίνθῳ οὐκ ἔτι ἦν, ἀλλ' ἤδη παριόντες τὴν ἀττικὴν οἱ λακεδαιμόνιοι, εἰς τὰς θήβας ἐνέβαλλον, οὕτως ἐφοβοῦντο, ὥστε καὶ τὼ δύο στρατηγὼ, οἱ συνηπιστάσθην τὴν τοῦ μέλλωνος ἐπὶ τοὺς περὶ λεοντιάδην ἐπανάστασιν, κρίναντες, τὸν μὲν ἀπέκτειναν· τὸν δὲ, ἐπεὶ οὐχ ὑπέμεινεν, ἐφυγάδευσαν. οἱ δ' αὖ θηβαῖοι, καὶ αὐτοὶ φοβούμενοι εἰ μηδένες ἄλλοι, ἢ αὐτοὶ πολεμήσοιεν τοῖς λακεδαιμονίοις, τοιόνδε τι εὑρίσκουσι μηχάνημα. πείθουσι τὸν ἐν ταῖς θεσπιαῖς ἁρμοστὴν σφοδρίαν, χρήματα δόντες, ὡς ὑπωπτεύετο, ἐμβαλεῖν εἰς τὴν ἀττικὴν, ἵν' ἐκπολε-

clauerat, interfecerunt: inde exercitum comparant, quem Agesilaus educere renuit, ostendens se quadraginta ultra pubertatem expleuisse annos: ad quam aetatem cum quis regum peruenit, amplius militare haud cogitur. His dictis, à militia se exonerauit: quamuis haud illius rei gratia remanebat, sed quod optime nouerat, si exiret, ciuium calumniam, tanquam tyrannis opem ferret, ciuitatiq; negocium iniiciat, non euitaturum: quapropter illis hac de re consultandi liberam reliquit facultatem. At Ephori cum de Thebana caede certiores facti essent, Cleombrotum tum primum exercitum educentem, cum maxime hyems urgeret, emittunt: sed uiam quae recta illuc ducit, Chabrias cum Atheniensium clypeatis insederat: quapropter Cleombrotus iuxta Plateas exercitum ducere coactus est. Inde procedens, in eos qui carceribus effractis liberati fuerant, summitatesq; montium custodiebant, incidit: erant hi centum quinquaginta circiter, qui omnes à clypeatis interfecti sunt, exceptis ijs qui fuga sibi consuluere. Inde per Plataeensium ac Thespiensium progressus fines, ad Canis capita, qui lacus Thebanis patebat, castra collocat: ubi sedecim circiter consumptis diebus, rursus Thespias reuersus est, relictoq; ibi Sphodria harmoste, cum tertia sociorum parte pecunias quae supererant illi tradidit, mercenariisq; militè conducere iubet: ipse uero milites reliquos domum per Crasios secum duxit, dubius num bellum seu pax cum Thebanis futura esset: cū enim in Thebanorum irrupisset fines, exercitum tamen illaesis quoad poterat agris reduxit. Digredienti quoq; illi uehementissimus incidit uentus, quem aliqui futura augurari suspicabantur: multa enim damna exercitui intulit: nam ex Crasio per montem mari imminentem ducenti, iumenta quāplura impedimentis onusta, in mare praecipitata sunt: arma quoq; militibus erepta, ac ui uenti in mare deiecta sunt. Multi quoq; cum amplius arma ferre non possent, in montiū summitatibus lapidibus degrauata relinquere coacti sunt. Inde descendentes in Aegosthenis Megarensibus ut potuere coenarūt. Postridie uero regressi, arma relicta abstulere, sicq; singuli domum abiere. Athenienses uero cum Lacedaemoniorum perpenderent uires, belluq; amplius haud Corinthi, sed Thebis futurum esse cernerent, Lacedaemoniosq; quasi non Atticam ingressos, ita timore correpti sunt, ut duos ex ducibus qui cum Mellone contra Leontiadē seditionē concitarant, hunc morte, alium quia rei exitum haud expectauerat, exilio condemnarint. Thebani itaq; maximo terrore perculsi, ac tantae belli molis impares se futuros rati, talem machinantur dolum. Sphodriae harmosti, qui in Thespijs cū copijs agebat, pecunia delinito persuadēt, ut Atticas ingressus fines, Athenieses Lacedaemonijs ho-

stes redderet: & ille eis assensus, Piræum occupare posse ratus, nam portubus carebat, milites sumpta cœna à Thespijs abducit, prædicens ingruente die Piræum se uelle occupare. Verum tempore præuentus, haud occultè rem aggressus est, sed undiq; prædabundus discurrens, pecora abigebat, domosq; diripiebat: ex quibus nonnulli effugientes Athenas nunciant, ingentem aduentare exercitum. Athenienses itaque celeriter correptis armis, tam equites quàm pedites urbem undique seruabant. Contigit eodem tempore Lacedæmoniorum legatos Etymoclen, Aristolochum & Ocellum Athenis apud Calliam hospitem agere, quos Athenienses tanquam huius rei haud ignaros comprehendunt, ac in uincula coniciunt. At hi rei nouitate perculsi, ostenderunt se haud ita stultos esse, ut si de occupando Piræo præsciuissent, seipsos ultro capiendos in urbem inclusissent. Addebant insuper, Atheniensibus manifestum fore, Lacedæmoniorum urbem rei huius penitus ignaram esse, certissimeq; scire, Sphodriam meritas daturum pœnas: quapropter innocentes, ac tumultus huius ignari iudicati, ac dimissi sunt. At Ephori Sphodriam reuocauere, capitisq; reum detulere. At ille timore perculsus minime paruit. uerùm etsi iudicium contempsisset, euasit tamen: quæ res multis Lacedæmone quoq; iniustissima uisa est. Id uero ob talem accidit causam. Erat Sphodriæ filius nuper pubertatem ingressus, Cleonymus nomine, formosissimus, & inter coæquales probitate maxime excellens: hunc Archidamus Agesilai filius deperibat: uerùm amici Cleombroti maxime Sphodriam urgebant, nam iniquè illum egisse existimabant: Agesilaum uerò cum amicis timebant. Cleonymum itaq; Sphodrias aggressus, Poteris, ò fili, inquit, patrem saluare, si Archidamum rogaueris, ut Agesilaum mihi ad iudicium uenienti deliniat. Ille his auditis Archidamum compellare, ac ut patri succurreret, precari ausus est. Archidamus uerò cum Cleonymum plorantem astare uideret, ipsi quoq; collachrymauit: cumq; precibus instaret, illi respondit: Nosti quòd patrem meũ uix aspicere, nedum alloqui audeam: & si quid in urbe peragere quæro, ad omnes potius quàm ad parentem accedo: sed cũcta ita ut iubes certo scias omni me annisurum diligentia, ut rem tibi expeditam reddam. Ac his dictis ex Philitio domum abijt. Orta uero die surrexit, ac patrem exeuntem obseruauit: qui cum egressum uidisset, primo si quis ciuium aderat, illum sibi assistere hortabatur. Inde hospites, denum seruos precibus aggressus est. Tandem cum Agesilaus ab Eurota reuerteretur, domũq; ingressus est, ille haud ultra progressus abijt. Postridie hæc eadẽ egit. At Agesilaus quã ob rẽ ille sequeretur suspicatus, haud tamẽ interrogauit,

sed

πολεμήσειε τοὺς Ἀθηναίους πρὸς τοὺς Λακεδαιμονίους. ἐκεῖνος πειθόμενος αὐτοῖς, προσποιησάμενος τὸν Πειραιᾶ καταλήψεσθαι, ὅτι δὴ ἀπύλωτος ἦν, ἦγεν ἐκ τῶν Θεσπιῶν πρῷ δειπνήσαντας τοὺς στρατιώτας, φάσκων πρὸ ἡμέρας κατανύσειν εἰς τὸν Πειραιᾶ. Θριάσι δ' αὐτῷ ἡμέρα ἐπεγένετο. καὶ οὐδὲ ταῦτ' ἐποίησεν, ὥστε λαθεῖν. ἀλλ' ἐπεὶ ἀπετράπετο, βοσκήματα διήρπασε, καὶ οἰκίας ἐπόρθησε. τῶν δ' ἐντυχόντων τινὲς τῆς νυκτὸς φεύγοντες εἰς τὸ ἄστυ, ἀπήγγελλον τοῖς Ἀθηναίοις, ὅτι στράτευμα πάμπολυ προσίοι. οἱ μὲν δὴ ταχὺ ὁπλισάμενοι, καὶ ἱππεῖς, καὶ ὁπλῖται ἐν φυλακῇ τῆς πόλεως ἦσαν. τῶν δὲ Λακεδαιμονίων καὶ πρέσβεις Ἀθήνησιν ἐτύγχανον ὄντες παρὰ Καλλίᾳ τῷ προξένῳ, Ἐτυμοκλῆς τε καὶ Ἀριστόλοχος, καὶ Ὤκυλλος, οὓς οἱ Ἀθηναῖοι ἐπεὶ τὸ πρᾶγμα ἠγγέλθη, συλλαβόντες, ἐφύλαττον, ὡς καὶ τούτους συνεπιβουλεύοντας. οἱ δὲ ἐκπεπληγμένοι τε ἦσαν τῷ πράγματι, καὶ ἀπελογοῦντο, ὡς οὐκ ἄν ποτε μωροὶ οὕτως ἦσαν, ὥστε εἰ ᾔδεσαν καταλαμβανόμενον τὸν Πειραιᾶ, ἐν τῷ ἄστει ἂν ὑποχειρίους αὑτοὺς παρεῖχον. καὶ ταῦτα παρὰ τῷ προξένῳ, οὗ τάχιστ' ἂν εὑρέθησαν. ἔτι δ' ἔλεγον ὡς δῆλον καὶ τοῖς Ἀθηναίοις ἔσοιτο, ὡς οὐδ' ἡ πόλις τῶν Λακεδαιμονίων ταῦτα συνῄδει. Σφοδρίαν γὰρ εὖ εἰδέναι ἔφασαν, ὅτι ἀπολωλότα πεύσοιντο ὑπὸ τῆς πόλεως. κἀκεῖνοι μὲν κριθέντες μηδὲν συνειδέναι, ἀφείθησαν. οἱ δ' ἔφοροι ἐκάλεσάν τε τὸν Σφοδρίαν, καὶ ἀπῆγον θανάτου. ἐκεῖνος μέντοι φοβούμενος, οὐχ ὑπήκουσεν· ὅμως δὲ καίπερ οὐχ ὑπακούων εἰς τὴν κρίσιν, ἀπέφυγε. καὶ πολλοῖς ἔδοξεν αὕτη δὴ ἐν Λακεδαιμονίοις ἀδικώτατα δίκη κριθῆναι. ἐγένετο δὲ τούτου αἴτιον. ἦν υἱὸς τῷ Σφοδρίᾳ ἡλικίαν τε ἔχων τὴν ἄρτι ἐκ παίδων, Κλεώνυμος ὄνομα, καὶ ἅμα κάλλιστός τε καὶ εὐδοκιμώτατος τῶν ἡλίκων. τούτου δὲ ἐρῶν ἐτύγχανεν Ἀρχίδαμος ὁ Ἀγησιλάου. οἱ μὲν οὖν τοῦ Κλεομβρότου φίλοι, ἅτε ἑταῖροι ὄντες ἀπολυτικῶς αὐτοῦ εἶχον. τὸν δὲ Ἀγησίλαον καὶ τοὺς ἐκείνου φίλους ἐφοβοῦντο, καὶ τοὺς διὰ μέσου δέ. δεινὰ γὰρ ἐδόκει πεποιηκέναι. ἐκ τούτου δὲ ὁ μὲν Σφοδρίας εἶπε πρὸς τὸν Κλεώνυμον· ἔξεστί σοι, ὦ υἱέ, σῶσαι τὸν πατέρα, δεηθέντι Ἀρχιδάμου, Ἀγησίλαον εὐμενῆ ἐμοὶ εἰς τὴν κρίσιν παρασχεῖν. ὁ δὲ ἀκούσας, ἐτόλμησεν ἐλθεῖν πρὸς τὸν Ἀρχίδαμον, καὶ ἐδεῖτο αὐτὸν σωτῆρα τοῦ πατρὸς γενέσθαι. ὁ μέντοι Ἀρχίδαμος ἰδὼν μὲν τὸν Κλεώνυμον κλαίοντα, συνεδάκρυε παρεστώς. ἀκούσας δὲ δεομένου, ἀπεκρίνατο· ἀλλ', ὦ Κλεώνυμε, ἴσθι ὅτι ἐγὼ μὲν τῷ ἐμῷ πατρὶ οὐδ' ἀντιβλέπειν δύναμαι, ἀλλὰ κἄν τι βούλωμαι διαπράξασθαι ἐν τῇ πόλει, πάντων μᾶλλον ἢ τοῦ πατρὸς δέομαι. ὅμως δ' ἐπεὶ σὺ κελεύεις, νόμιζε πᾶσάν με προθυμίαν συνέξειν ταῦτά σοι πραχθῆναι. καὶ τότε μὲν δὴ ἐκ τοῦ φιλιτίου εἰς τὸν οἶκον ἐλθὼν, ἀνεπαύετο. τοῦ δ' ὄρθρου ἀναστὰς, ἐφύλαττε μὴ λάθοι αὐτὸν ὁ πατὴρ ἐξελθών. ἐπεὶ δὲ εἶδεν αὐτὸν ἐξιόντα, πρῶτον μὲν εἴ τις τῶν πολιτῶν παρῆν, παρίει τούτους διαλέγεσθαι αὐτῷ, ἔπειτα δ' εἴ τις ξένος, ἔπειτα δ' εἴ τις καὶ τῶν δεομένων παρεχώρει τῶν θεραπόντων. τέλος δ' ἐπεὶ ἀπὸ τοῦ Εὐρώτα ἀπιὼν ὁ Ἀγησίλαος εἰσῆλθεν οἴκαδε, ἀπιὼν ᾤχετο, οὐδὲ προσελθών. καὶ τῇ ὑστεραίᾳ δὲ ταὐτὰ ταῦτα ἐποίησεν. ὁ δ' Ἀγησίλαος ὑπώπτευε μὲν ὧν ἕνεκα ἐφοίτα, οὐ μέντοι ἠρώτα,

ἀλλ'

ἀλλ᾽ εἴα αὐτόν. ὁ δ᾽ αὖ Ἀρχίδαμος ἐπεθύμει μέν, ὥσπερ
εἰκός, ὁρᾶν τὸν Κλεώνυμον, ὅπως μέντοι ἔλθοι πρὸς αὐτὸν
μὴ διειλεγμένος τῷ πατρὶ περὶ ὧν ἐκεῖνος ἐδεῖτο,
οὐκ εἶχεν. οἱ δὲ ἀμφὶ τὸν Σφοδρίαν οὐχ ὁρῶντες τὸν Ἀρ-
χίδαμον ἰόντα, πρόσθεν δὲ θαμίζοντα, ἐν παντὶ ἦσαν,
μὴ λελοιδορημένος εἴη ὑπ᾽ Ἀγησιλάου. τέλος μέντοι
ὁ Ἀρχίδαμος ἐτόλμησε προσελθεῖν, καὶ εἶπεν· ὦ πά-
τερ, Κλεώνυμός με κελεύει σοῦ δεηθῆναι σῶσαι οἱ τὸν
πατέρα. καὶ ἐγὼ σε ταῦτα δέομαι, εἰ δυνατόν. ὁ δ᾽ ἀπε-
κρίνατο· ἀλλὰ σοὶ μὲν ἔγωγε συγγνώμην ἔχω. αὐτὸς μέν-
τοι ὅπως συγγνώμης τύχοιμι παρὰ τῆς πόλεως, ἄνδρα
μὴ καταγιγνώσκων ἀδικεῖν, οἷς ἐχρηματίσατο ἐπὶ κα-
κῷ τῆς πόλεως, οὐχ ὁρῶ. ὁ δέ, τότε μὲν πρὸς ταῦτα οὐδὲν
εἶπεν, ἀλλ᾽ ἡττηθεὶς τοῦ δικαίου, ἀπῆλθεν. ὕστερον δὲ ἢ
αὐτὸς νοήσας, ἢ διδαχθεὶς ὑπό του εἶπεν ἐλθών, ἀλλ᾽ ὅτι
μέν, ὦ πάτερ, εἰ μηδὲν ἠδίκει Σφοδρίας, ἀπέλυσας ἂν
αὐτόν, οἶδα· νῦν δὲ εἰ ἠδίκηκέ τι, ἡμῶν ἕνεκεν συγγνώ-
μης παρὰ σοῦ τυχέτω. ὁ δὲ εἶπεν, ἂν μέλλῃ καλὰ ταῦθ᾽
ἡμῖν εἶναι, οὕτως ἔσται. ὁ μὲν δὴ ταῦτα ἀκούσας, μάλα δύ-
σελπις ὤν, ἀπῄει. τῶν δὲ τοῦ Σφοδρίου φίλων τις δια-
λεγόμενος Ἐτυμοκλεῖ, εἶπεν· ὑμεῖς μέν, οἶμαι, ἔφη, πάν-
τες οἱ Ἀγησιλάου φίλοι ἀποκτενεῖτε τὸν Σφοδρίαν. καὶ
ὁ Ἐτυμοκλῆς, μὰ Δία οὐκ ἄρα ταῦτα ποιήσομεν Ἀγησι-
λάῳ, ἐπεὶ ἐκεῖνός γε πρὸς πάντας, ὅσοις διείλεκται,
ταῦτα λέγει, μὴ ἀδικεῖν μὲν Σφοδρίαν, ἀδύνατον εἶναι
ἔφη. ὅστις μέντοι παῖς τε ὤν, καὶ παιδίσκος, καὶ ἡβῶν,
πάντα τὰ καλὰ ποιῶν διετέλεσε, χαλεπὸν εἶναι τοιοῦ-
τον ἄνδρα ἀποκτιννύναι· τὴν γὰρ Σπάρτην τοιούτων
δεῖσθαι στρατιωτῶν. ὁ δ᾽ ἀκούσας ταῦτα, ἀπήγγειλε τῷ
Κλεωνύμῳ. ὁ δ᾽ ἡσθείς, εὐθὺς ἐλθών, πρὸς τὸν Ἀρχίδα-
μον εἶπεν, ὅτι μὲν ἡμῶν ἐπιμελῇ, ἤδη ἴσμεν. εὖ δ᾽ ἐπί-
στω Ἀρχίδαμε, ὅτι καὶ ἡμεῖς πειρασόμεθα ἐπιμελεῖσθαι,
ὡς μή ποτε σὺ ἐπὶ τῇ ἡμετέρᾳ φιλίᾳ αἰσχυνθῇς. καὶ οὐκ
ἐψεύσατο, ἀλλὰ καὶ ζῶν, ἅπαντ᾽ ἐποίει, ὅσα καλὰ ἐν τῇ
Σπάρτῃ. καὶ ἐν Λεύκτροις πρὸ τοῦ βασιλέως μαχόμενος
σὺν Δείνωνι τῷ πολεμάρχῳ, προπεσὼν πρῶτος τῶν
πολιτῶν, ἐν μέσοις τοῖς πολεμίοις ἀπέθανε, καὶ λυπήσας μὲν
εἰς τὰ ἔσχατα Ἀρχίδαμον, ὡς δ᾽ ὑπέσχετο, οὐ κατῄσχυνεν,
ἀλλὰ μᾶλλον ἐκόσμησε. τούτῳ μὲν δὴ τῷ τρόπῳ Σφοδρίας
ἀπέφυγε. τῶν μέντοι Ἀθηναίων οἱ βοιωτιάζοντες, ἐδί-
δασκον τὸν δῆμον ὡς οἱ Λακεδαιμόνιοι, οὐχ ὅπως τιμω-
ρήσαιεν, ἀλλὰ καὶ ἐπαινέσαιεν τὸν Σφοδρίαν, ὅτι ἐπε-
βούλευσε ταῖς Ἀθήναις. καὶ ἐκ τούτου οἱ Ἀθηναῖοι ἐπύ-
λωσάν τε τὸν Πειραιᾶ, ναῦς τε ἐναυπηγοῦντο, τοῖς τε Βοιω-
τοῖς ἐβοήθουν πάσῃ προθυμίᾳ. οἱ δ᾽ αὖ Λακεδαιμόνιοι
φρουράν τε ἔφηναν ἐπὶ τοὺς Θηβαίους. καὶ τὸν Ἀγησίλαον
νομίσαντες φρονιμώτερον ἂν σφίσι τοῦ Κλεομβρότου ἡ-
γήσασθαι, ἐδέοντο αὐτοῦ ἄγειν τὴν στρατιάν. ὁ δὲ εἰπὼν ὅτι
οὐδὲν ἂν ὅ τι τῇ πόλει δοκοίη ἀντειπεῖν, παρεσκευάζετο εἰς
τὴν ἔξοδον. γιγνώσκων δ᾽ ὅτι εἰ μή τις προκαταλή-
ψοιτο τὸν Κιθαιρῶνα, οὐ ῥᾴδιον ἔσται εἰς τὰς Θήβας ἐμ-
βαλεῖν, μαθὼν πολεμοῦντας τοὺς Κλητορίους τοῖς Ὀρχο-
μενίοις, καὶ ξενικὸν τρέφοντας, ἐκοινολογήσατο αὐτοῖς,
ὅπως γένοιτο τὸ ξενικὸν αὐτῷ, εἴ τι δεηθείη. ἐπεὶ δὲ τὰ
διαβατήρια ἐγένετο, πέμψας πρὶν ἐν Τεγέᾳ αὐτὸν εἶναι,
πρὸς τὸν ἄρχοντα τῶν παρὰ τοῖς Κλητορίοις ξένων, καὶ
μισθὸν

sed tacitus dißimulauit. At Archidamus quamuis
Cleonymi teneretur desiderio, nihil tamē habebat
quod illi de patre referret. At Sphodriæ amici cum
Archidamū haud amplius e domo procedere cer-
nerēt, quāuis antea Cleonymū frequenter cōcomi-
tari solitus esset, ne ab Agesilao obiurgatus esset,
uerebantur. Tandē Archidamus procedere, sicq;
patrē alloqui ausus est. Cleonymus, ô pater, me ti-
bi supplicare iußit, ut illi parentē serues: & ego si
10 fas est, id quoq; precor. At illi respōdit, Tibi igno
sco: at quo pacto mihi à ciuitate ignoscendū sit, si
uiro iniusto pepercero, qui proprij lucri gratia ma
gna ciuitatē affecit iniuria, haud cerno. Et ille ad
hæc nihil cōtradicere ausus, sed iustitia cōfusus di
scessit. Postridie uero regressus, uel ipse præmedita
tus, seu ab alio edoctus, talem intulit sermonem: Si
Sphodrias, ô pater, nihil iniuste egisset, scio ipsum
absolueres: nūc si qd peccauit, nostri gratia sibi ig-
noscas oro. At ille respōdit: Nū tibi hæc pulchra ui
20 dētur: siccine agis? Quæ cū Archidamus audiuis-
set, omni deposita spe discessit. Post hæc cum Spho
driæ amicus quidā cū Etymocle sermonē habuis-
set: Vos, inqt, oēs, ut arbitror, Agesilai amici Spho
driā morte condēnabitis. Cui Etymocles ait: Mini-
me per Iouē, sed oēs cū Agesilao sentiemus: ille.n.
cūctis, cū hac de re sermo incidit, ait: Impoßibile ē
Sphodriā iniuste quid fecisse, qui et puer, adolescēs
ac uir, semper egregie egerit: crudele siquidē fore
talē interficere uirū, cū præcipue Sparta similium
30 indigeat imperatorū. Ille his auditis euestigio Cleo
nymo nūciat: q protinus ad Archidamū accurrēs,
ait: Quòd nostri curā geris, iam intelleximus: atqui
noueris ô Archidame, nos quoq; enixè operā datu
ros, ne unquā te nostræ pœniteat amicitiæ. Nec mē
titus est, nā uiuēs cūctis illū demeritus est officijs:
et in Leuctris ante regē pugnās cum Dinone pole
marcho, primus ciuiū in medios irruit hostes, ibiq;
egregie pugnās occubuit, Archidamoq; ut promi
serat præstitit, ne ipsius amicitia illi dedecori, sed
40 honori esset. Et Sphodrias hoc maxime effugit pa
cto. Proinde Athenienses quicūq; Bœotijs fauebāt,
populū instigabāt, ostendebātq; Lacedæmonios nō
solū illatas iniurias ultos non esse, sed potius Spho
driā laudib. extulisse, q. Atheniēsib. insidias moli
tus esset: quapropter Athenienses Piræū munire ag
gressi sunt, naualiaq; refecere, Bœotijsq; pro uiri-
bus auxiliū ferre statuerūt. Lacedæmonij rursus ex
ercitū cōtra Thebanos emittere decreuerūt, ac A-
gesilaū, quia illum Cleombroto expertiorē arbitra
50 bantur, ut expeditioni huic præesset, rogauerūt. Il-
le uero nulli rei quam ciuitati acceptā fore cogno
sceret, se contradicturū ostēdit, confestimq; copias
cōparat. Cæterum cum haud ignoraret, ni quis uiā
in Cytherone ferentem præoccuparet haud facile in
Thebanū agrum transgredi posse, Cletorienses ue
ro contra Orchomenios bellum gerere, peregri-
numq; alere militē nosset, cum eis egit, ut si merce
narij indigeret militis, illi non denegaretur. Cū igi
tur rem sacrā fecisset, antequam Tegeam uenisset,
ad præfectum peregrini militis Cletorium mittit,

stipendiumq; menstruum persoluit, ac iußit ut Citheronem occuparet: Orchomenijs uerò ut interim à bello abstinerent, praecepit. Si uerò ciuitas quaedam ciuitati alteri hac durante expeditione bellum intulisset, contra illam iuxta sociorum foedera primò se iturum interminatus est. Citheronem itaque transgressus, Thespias uenit: inde profectus, in Thebanorum fines impetum facit: uerum potiora undique uallo ac fossa munita esse reperit. Cum igitur in uarijs locis castra locasset, regionem omnem extra uallum ac fossam ferro ac igni populatus est: hostes uero quocunque procedebat intra uallum tanquam cum repulsurum aciem dirigunt. Cum uero ad castra regressus esset, Thebanorum equites confestim per latentes egreßi uias, clàm illos sequebantur. Cum uero iam coenam pararent, corporáque curarent, equitesq; equis descendissent, apparuere illi, impetumq; in Lacedaemonios faciunt, clypeatosq; quamplurimos comprehendunt: ex equitibus uerò Cleonem & Epilytidem Spartanos, ex socijs uerò Eudicum, ac nonnullos Atheniensium exules cum nondum equos ascendissent, opprimunt. Agesilaus his uisis celeriter suis opem fert, equitesq; cum leuis armaturae militibus in hostes immittit. At Thebanorum equites declinato parumper illorum impetu, ad meridiem usque certamen protraxere: non tamen comminus congrediebantur, sed eminus emißis iaculis retrocedebant: tandem duodecim ex suis amißis abiere. Agesilaus itaque cum semper hostes post prandium procedere uidisset, orta die rem sacram peregit, inde festinè ad hostes duxit, uallúmque praesidio uacuum sine certamine transgressus, cuncta ad urbem usque ferro ac flamma uastauit. His gestis rursus Thespias regressus urbem muniuit, Phoebidamq; harmosten cum militum manu haud contemnenda ibi reliquit, ipse uerò rursus Megaram regressus socios dimisit: domesticum uerò militem domum reduxit. Phoebidas itaque excursionibus quotidianis Thebanos infestabat, finesq; eorum agebat ac ferebat. Thebani cum iniurias uindicare statuissent, uniuerso populo contra Thespienses arma mouerunt: quibus Phoebidas obuiam progressus, phalangem ab excursione inhibuit, Thebanosq; infecta re Thasum redire compulit: ubi tantus terror eorum castra inuasit, ut abiectis quas collegerant frugibus domum abierint: quapropter Phoebidas cum clypeatis illos uiolentius urgebat, grauem uerò armaturam, Thespiensesq; structo agmine subsequi iubet: in spem enim uenerat hostilem exercitum penitus opprimi posse: quapropter citato agmine illos insequutus est. Cum itaque Thebanorum equites ad saltum quendam inuium peruenissent, quia fugae spes illis erepta erat, primò constitere, inde collecto animo in hostes con-

uersi

μισθὸν δοὺς μηνὸς αὐτοῖς, ἐκέλευσε προκαταλαβεῖν τὸν κιθαιρῶνα. τοῖς δ' ὀρχομενίοις εἶπεν, ἕως στρατιὰ εἴη, παύσασθαι τοῦ πολέμου. εἰ δέ τις πόλις, στρατιᾶς οὔσης ἔξω, ἐπὶ πόλιν στρατεύσοι, ἐπὶ ταύτην ἔφη πρῶτον ἰέναι κατὰ τὸ δόγμα τῶν συμμάχων. ἐπεὶ δὲ ὑπερέβαλεν εἰς τὸν κιθαιρῶνα, ἐλθὼν εἰς θεσπιάς, ἐκεῖθεν ὁρμηθεὶς, ᾔει ἐπὶ τὴν τῶν θηβαίων χώραν. εὑρὼν δὲ ἀποτεταφρευμένον τε καὶ ἀπεσταυρωμένον κύκλῳ τὸ πεδίον, καὶ τὰ πλείστου ἄξια τῆς χώρας, στρατοπεδευόμενος ἄλλοτε ἄλλῃ, καὶ μετ' ἄριστον ἐξάγων, ἐδῄου τῆς χώρας τὰ πρὸς ἑαυτοῦ τῶν σταυρωμάτων, καὶ τῆς τάφρου. οἱ γὰρ πολέμιοι ὅπου ἐπιφαίνοιτο ὁ ἀγησίλαος, ἀντιπαρῇσαν αὐτῷ ἐντὸς τοῦ χαρακώματος, ὡς ἀμυνούμενοι. καί ποτε ἀποχωροῦντος αὐτοῦ ἤδη ἐπὶ τὸ στρατόπεδον, οἱ τῶν θηβαίων ἱππεῖς τέως ἀφανεῖς ὄντες, ἐξαίφνης διὰ τῶν ὁδοποιημένων τοῦ χαρακώματος ἐξόδων, ἐξελαύνουσι, καὶ οἷα δὴ ἀπιόντων πρὸς δεῖπνον, καὶ συσκευαζομένων τῶν πελταστῶν, τῶν δ' ἱππέων τῶν μὲν ἔτι καταβεβηκότων, τῶν δ' ἀναβεβηκότων ἐπελαύνουσι· καὶ τῶν τε πελταστῶν συχνοὺς κατέβαλον, καὶ τῶν ἱππέων κλέωνα καὶ ἐπιλυτίδαν, σπαρτιάτας, καὶ τῶν περιοίκων ἕνα εὔδικον, καὶ τῶν ἀθηναίων τινὰς φυγάδας, οὔπω ἀναβεβηκότας ἐπὶ τοὺς ἵππους. ὡς δὲ ἀναστρέψας σὺν τοῖς ὅπλοις ἐβοήθησεν ὁ ἀγησίλαος, οἵ τε ἱππεῖς ἤλαυνον ἐναντίοι τοῖς ἱππεῦσι, καὶ τὰ δέκα ἀφ' ἥβης ἐκ τῶν ὁπλιτῶν ἔθει σὺν αὐτοῖς. οἱ μέντοι τῶν θηβαίων ἱππεῖς ἐῴκεσαν ὑποπεπωκόσι τὸ ἐν μεσημβρίᾳ. ὑπέμενον μὲν τοῖς ἐπελαύνουσιν, ὡς ἐξακοντίζειν τὰ δόρατα. ἐξικνοῦντο δ' οὔ. καὶ ἀναστρέφοντες δὲ ἐκ τούτου, ἀπέθανον αὐτῶν δώδεκα. ὡς δὲ κατέγνω ὁ ἀγησίλαος, ὅτι ἀεὶ μετ' ἄριστον καὶ οἱ πολέμιοι ἐφαίνοντο, θυσάμενος ἅμα τῇ ἡμέρᾳ ἦγεν ὡς οἷόν τε τάχιστα, καὶ παρῆλθε δι' ἐρημίας εἴσω τῶν χαρακωμάτων. ἐκ δὲ τούτου τὰ ἐντὸς ἔτεμνε, καὶ ἔκαε μέχρι τοῦ ἄστεος. ταῦτα δὲ ποιήσας, καὶ πάλιν ἀποχωρήσας εἰς θεσπιάς, ἐτείχιζε τὸ ἄστυ αὐτοῖς. καὶ ἐκεῖ μὲν φοιβίδαν κατέλιπεν ἁρμοστήν. αὐτὸς δ' ὑπερβαλὼν πάλιν εἰς τὰ μέγαρα, τοὺς μὲν ξυμμάχους διῆκε· τὸ δὲ πολιτικὸν στράτευμα ἐπ' οἴκου ἀπήγαγεν. ἐκ δὲ τούτου ὁ φοιβίδας ἐκπέμπων μὲν λῃστήρια, ἔφερε, καὶ ἦγε τοὺς θηβαίους. καταδρομὰς δὲ ποιούμενος, ἐκακούργει τὴν χώραν. οἱ δ' αὖ θηβαῖοι ἀντιτιμωρεῖσθαι βουλόμενοι, στρατεύουσι πανδημεὶ ἐπὶ τὴν τῶν θεσπιέων χώραν. ἐπεὶ δ' ἦσαν ἐν τῇ χώρᾳ, ὁ φοιβίδας σὺν τοῖς πελτασταῖς προσκείμενος, οὐδαμοῦ εἴα αὐτοὺς ἀποσκεδάννυσθαι τῆς φάλαγγος. ὥστε οἱ θηβαῖοι μάλα ἀχθόμενοι τῇ ἐμβολῇ, θᾶττον τὴν ἀποχώρησιν ἐποιοῦντο. καὶ οἱ ὀρεοκόμοι δὲ ἀποῤῥιψάμενοι ὃν εἰλήφεσαν καρπόν, ἀπήλαυνον οἴκαδε. οὕτω δεινὸς φόβος τοῖς στρατεύμασιν ἐνέπεσεν. ὁ δὲ ἐν τούτῳ θρασέως ἐπέκειτο, περὶ αὑτὸν μὲν ἔχων τὸ πελταστικόν, τὸ δ' ὁπλιτικὸν ἐν τάξει ἕπεσθαι κελεύσας. καὶ ἐγένετο ἐν ἐλπίδι πρὸς τὴν τῶν ἀνδρῶν πονήσασθαι. αὐτός τε γὰρ ἐῤῥωμένως ἡγεῖτο, καὶ τοῖς ἄλλοις ἅπτεσθαι τῶν ἀνδρῶν παρεκελεύετο, καὶ τοὺς τῶν θεσπιέων ὁπλίτας ἀκολουθεῖν ἐκέλευεν. ὡς δὲ ἀποχωροῦντες οἱ τῶν θηβαίων ἱππεῖς, ἐπὶ νάπει ἀδιαβάτῳ ἐγίγνοντο, πρῶτον μὲν ἠθροίσθησαν, ἔπειτα δὲ ἀνεστρέ-

φοντο

ἔτρεψαν, διὰ τὸ ἀπορεῖν ὅποι διαβαῖεν. οἱ μὲν οὖν πελτασταὶ ὀλίγοι ὄντες οἱ πρῶτοι, φοβηθέντες αὐτούς, ἔφυγον. οἱ δ' ἱππεῖς αὖ ὡς τοῦτο εἶδον, ἐδιδάχθησαν ὑπὸ τῶν φευγόντων ταὐτὰ ἰδεῖν αὐτοῖς. καὶ ὁ μὲν δὴ Φοιβίδας, καὶ δύο ἢ τρεῖς μετ' αὐτοῦ μαχόμενοι, ἀπέθανον. οἱ δὲ μισθοφόροι τούτου γενομένου πάντες ἔφυγον. ἐπεὶ δὲ φεύγοντες ἀφίκοντο πρὸς τοὺς ὁπλίτας τῶν Θεσπιέων, κἀκεῖνοι μάλα πρόσθεν μέγα φρονοῦντες μὴ ὑπείξειν τοῖς Θηβαίοις, ἔφυγον, μηδέν τι πάνυ διωκόμενοι. καὶ γὰρ ἦν ἤδη ὀψέ· καὶ ἀπέθνησκον μὲν οὐ πολλοί. ὅμως δ' οὐ πρόσθεν ἔστησαν οἱ Θεσπιεῖς, πρὶν ἐν τῷ τείχει ἐγένοντο. ἐκ δὲ τούτου πάλιν τὰ τῶν Θηβαίων ἀνεζωπυρεῖτο. καὶ ἐστρατεύοντο εἰς Θεσπιάς, καὶ εἰς τὰς ἄλλας τὰς περιοικίδας πόλεις. ὁ μέντοι δῆμος ἐξ αὐτῶν εἰς τὰς Θήβας ἀπεχώρει. ἐν πάσαις γὰρ ταῖς πόλεσι δυναστεῖαι καθειστήκεσαν, ὥσπερ ἐν Θήβαις. ὥστε καὶ οἱ ἐν ταύταις ταῖς πόλεσι φίλοι τῶν Λακεδαιμονίων, βοηθείας ἐδέοντο. μετὰ δὲ τὸν Φοιβίδα θάνατον, πολέμαρχον μὲν καὶ μόραν οἱ Λακεδαιμόνιοι κατὰ θάλατταν πέμψαντες, τὰς Θεσπιὰς ἐφύλαττον. ἐπεὶ δὲ τὸ ἔαρ ἐπέστη, πάλιν ἔφαινον φρουρὰν οἱ Λακεδαιμόνιοι εἰς τὰς Θήβας. καὶ τοῦ Ἀγησιλάου ὥσπερ καὶ πρόσθεν ἐδέοντο ἡγεῖσθαι. ὁ δ' ὑπὲρ τῆς ἐμβολῆς ταὐτὰ γιγνώσκων, πρὶν καὶ τὰ διαβατήρια θύεσθαι, πέμψας πρὸς τὸν ἐν Θεσπιαῖς πολέμαρχον, ἐκέλευε προκαταλαβεῖν τὸ ὑπὲρ τῆς κατὰ τὸν Κιθαιρῶνα ὁδοῦ ἄκρον, καὶ φυλάττειν ἕως ἂν αὐτὸς ἔλθοι. ἐπεὶ δὲ τοῦτο ὑπερβαλὼν ἐν ταῖς Πλαταιαῖς ἐγένετο, πάλιν προσεποιήσατο εἰς τὰς Θεσπιὰς ἰέναι πρῶτον. καὶ πέμπων, ἀγοράν τε ἐκέλευε παρασκευάζειν, καὶ τὰς πρεσβείας ἐκεῖ περιμένειν. ὥστε οἱ Θηβαῖοι ἰσχυρῶς τὴν πρὸς Θεσπιὰς εἰσβολὴν ἐφύλαττον. ὁ δὲ Ἀγησίλαος ἅμα τῇ ἡμέρᾳ θυσάμενος ἐπορεύετο τὴν ἐπ' Ἐρυθράς. καὶ ὡς στρατεύματι δυοῖν ἡμέραιν ὁδὸν ἐν μιᾷ κατανύσας, ἔφθασεν ὑπερβὰς τὸ κατὰ Σκῶλον σταύρωμα, πρὶν ἐλθεῖν τοὺς Θηβαίους ἀπὸ τῆς φυλακῆς, καθ' ἣν τὸ πρόσθεν εἰσῆλθε. τοῦτο δὲ ποιήσας, τὰ πρὸς ἕω τῆς τῶν Θηβαίων πόλεως ἐδῄου, μέχρι τῆς Ταναγραίων. ἔτι γὰρ τότε καὶ τὴν Τάναγραν οἱ περὶ Ὑπατόδωρον φίλοι ὄντες τῶν Λακεδαιμονίων εἶχον. καὶ ἐκ τούτου δὴ ἀπῄει, ἐν ἀριστερᾷ ἔχων τὸ τεῖχος. οἱ δὲ Θηβαῖοι ἐπελθόντες, ἀντετάξαντο ἤδη Γραὸς στήθει, ὄπισθεν ἔχοντες τὴν τάφρον, καὶ τὸ σταύρωμα, νομίζοντες καλὸν εἶναι ἐνταῦθα διακινδυνεύειν. καὶ γὰρ ἦν στενὸν ταύτῃ ἐπιεικῶς, καὶ δύσβατον τὸ χωρίον. ὁ δ' Ἀγησίλαος ἰδὼν ταῦτα, πρὸς ἐκείνους μὲν οὐκ ἦγεν. ἐπικάμψας δὲ πρὸς τὴν πόλιν ᾔει. οἱ δ' αὖ Θηβαῖοι δείσαντες περὶ τῆς πόλεως ὅτι ἐρήμη ἦν, ἀπολιπόντες ἔνθα παρατεταγμένοι ἦσαν, δρόμῳ ἔθεον πρὸς τὴν πόλιν τὴν ἐπὶ Ποτνιὰς ὁδόν. ἦν γὰρ αὕτη ἀσφαλεστέρα. καὶ μέντοι ἐδόκει καλὸν γενέσθαι τὸ ἐνθύμημα τοῦ Ἀγησιλάου, ὅτι πόρρω ἀπαγαγὼν ἀπὸ τῶν πολεμίων, ἀποχωρεῖν δρόμῳ αὐτοὺς ἐποίησεν. ὅμως μέντοι ἐπιπαραθέοντας αὐτοὺς τῶν πολεμάρχων τινές, ἐπέδραμον σὺν ταῖς μόραις. οἱ μέντοι Θηβαῖοι ἀπὸ τῶν λόφων δόρατα ἐξηκόντιζον, ὥστε καὶ ἀπέθανεν Ἀλύπητος εἷς τῶν πολεμάρχων, ἀκοντισθεὶς δόρατι. ὅμως δὲ καὶ ἀπὸ τούτου τοῦ λόφου ἐτράποντο οἱ Θηβαῖοι. ὥστε ἀναβάντες οἱ Σκιρῖται, καὶ τῶν ἱππέων τινές,

ἔπαιον

uersi sunt. Clypeati cum pauci numero essent, timore perculsi in fugam uertuntur. Id hostes cernentes, fugientes insequi decreuere: Phœbidamq; resistere conantem, cum duobus aut tribus trucidauere. Quod cum mercenarij uidissent milites, & ipsi uniuersi fugam arripiunt, cursuq; ad Thespiensium grauem delati armaturam, illos quoque quamuis ferociter paulò ante Thebanos insequerentur, fugere compulere, etsi nemo hostium insequeretur: iam enim sero erat: quapropter pauci desiderati sunt: nec tamen à fuga constitere, priusquam urbem ingressi essent. Rursus itaque Thebani animo elati, Thespienses ac circumiacentes ciuitates inuadere statuerunt: nam illinc frequens populus Thebas migrauerat. In cunctis enim ciuitatibus dynastiæ quemadmodum Thebis constitutæ erant, ita ut Lacedæmoniorum amici admodum auxilij indigerent. Lacedæmonij itaq; post Phœbidæ interitum, polemarchum cum cohorte una, qui Thespiensibus præsidio esset, per mare submittunt. Ingruente uere, rursus Thebanos bello aggredi statuerunt, Agesilaumq; exercitum ut antea educere rogant. Ille itaq; antea quàm transitu rem sacram faceret, Thespidas ad polemarchum mittit, quem montium summitates in Cithærone occupare custodireq;, quoad ipse applicaret, iubet. Inde cum superato illo Plateas peruenisset, Thespias ut antea ire simulauit, illucq; mittens commeatum parare, legatosq; qui undiq; conuenerant, ibi opperiri iubet: quapropter Thebani omnibus uiribus Thespiensem ingressum munierunt. Agesilaus uero cum oriente die litasset, Erythras pergit, & ante solis occasum duorum dierum peracto itinere, priusquam Thebani de hac re certiores facti essent, iuxta Scolum in hosticum descendit: inde progressus cuncta circa Thebas auroram uersus, ac Tanagræum usque concremauit. Tanagran enim qui cum Hypatodoro sentiebant, Lacedæmonijsq; amici erant, adhuc obtinebant. Inde digressus à sinistra urbis parte exercitum deducit. At Thebani egressi iuxta locum qui Vetulæ Pectus appellatur, aciem instruunt, tutum ibi periclitari esse rati: nam præterquam quod à tergo munitionibus ac uallo circunsepti erant, locus ille angustus minimeq; permeabilis erat. At Agesilaus cum id uidisset, haud pugnam conseruit, signo uero dato urbem uersus ire pergit. Thebani uero timentes ne urbs deserta caperetur, relicto quem tenebant loco, celeri cursu per Potniam uiam ad urbem feruntur: nam ea tutissima erat. Pulcherrimum itaq; Agesilaus edidit stratagema. Nam quamuis diuersæ ab hostibus recederet, eos tamen cursu reuerti, ac solutis ordinibus polemarchos cum legionibus currere coëgit: & Thebani à collibus lanceas iaculabantur, ita ut quendam polemarchum Alypetum nomine transfigerent. Tandē etiam his cessere collibus, ita ut Scritæ et equitū nonnulli

nouissi-

nouißimos Thebanorũ adorti, ad urbẽ usq; cæde cõpulerunt. Sed cũ Thebani muris appropinquaßsent, rursus cõuersi hostes excipiebãt. Quod leuis armaturæ milites ac Sciritæ uidentes, antea q̃ manus cõsererent, ad suos nemine desiderato se recepe. Thebani nihilominus trophæũ statuerũt, quoniã hostes à persequutione regreßi essent. Agesilaus uero ad cũ quẽ paulo ante hostes tenuerãt accessu locum, ibiq; castra collocat. Postridie uero, Thespias exercitũ abduxit: quẽ ferociter clypeati qui sub Thebanis merebant insequuti, Chabriam quoq; ut idẽ faceret, hortabantur. In eos itaq; Olynthiorũ eqtes (iam.n.ex fœdere cõmilitabant) impetũ fecerũt, illosq; ad inuia usq; persequuti sunt, quãplurimosq; ex eis interfecere: in plano. n. eos nacti. faciliter eqs pedites assequuti sunt. Cũ uero Agesilaus Thespias uenisset, ciues inter se dißidẽtes reperit. Cũq; hi qui Lacedæmonijs fauebãt, aduersarios, inter quos Menon erat, interficere uellent, ille minime permisit, sed reconciliatis illis inuicẽ de pace seruãda iurare coẽgit: sicq; digressus, rursus per Citheronẽ Megarã trãsgressus est, ubi dimißis socijs, ciuiles copias domum reduxit. Premebãtur interim Thebani frumẽti inopia: biẽnio.n. nullas ex agris colegerãt fruges: quapropter duas triremes cum decẽ talentis Pegasas mitũt, ut ibi frumentũ emerẽt. Id cum Alcetas Lacedæmonius, qui oræ illi præerat, rescuisset, dũ illi frumentũ cõpararent, tres clàm instruxit triremes. Cum'q; naues frumento onustæ abirent, Alcetas eas intercepit, uirosq; omnes haud pauciores tercentum in suam redegit potestatem, quos omnes in arce quam obtinebat in uincula coniecit. Cum uero puerum quendam egregia deperiret forma, ex arceq; ad illum descendisset, captiui conspecta negligentia arcem occupant, ciuitasq; paulò post ad eos defecit, ita ut Thebani abunde debinc frumentum inferre possent. Appetente rursus uere, Agesilaus in lecto decumbebat. Cum enim exercitum ex Thebis Megaras reduceret, ac ex Veneris templo in Archium ascendisset, uenam abrupit, sanguisq; in crus sanum defluxit: cumq; tibia illi intumesceret, at intolerabilis dolor eum uexaret, Syracusanus medicus quidam circa talum illi uenã aperit. At sanguis cum semel erupisset, per noctem ac diem integram absq; intermißione effluxit. Et quamuis omnia pertentassent, sanguinis tamen decursum sistere haud potuere, quoad animus eum reliquisset: tunc enim à seipso fluere cessauit. Et ille Lacedæmonem relatus, reliquum æstatis & hyemem in lecto decubuit. At Lacedæmonij ineunte uere rursus Thebanos bello petere statuere, Cleombrotumq; copias educere iubent: qui collecto exercitu Citheronem uersus ducere pergit, clypeatosq; nonnullos præmittit, quos uiarum angustias occupare iubet. At Thebani & Athenienses cum iam antea montem obtinerent, paulisper eos subire permittunt: cũq; prope accesßissent, cõtra illos insurgentes, præcipites egere, ac quadraginta circiter interfecere. Quo facto

ἔπαιον τοὺς τῶν Θηβαίων τελευταίους, περιελαύνοντας τὴν πόλιν. ὡς μέντοι ἐγγὺς τοῦ τείχους ἐγένοντο, ὑποστρέφουσιν οἱ Θηβαῖοι. οἱ δὲ σκιρῖται ἰδόντες αὐτοὺς θᾶττον, ἢ βάδην, ἀπῆλθον. καὶ ἀπέθανε μὲν οὐδεὶς αὐτῶν. ὅμως δὲ οἱ Θηβαῖοι τρόπαιόν τε ἐστήσαντο, ὅτι ἀπεχώρησαν οἱ ἀναβάντες. ὁ μέντοι ἀγησίλαος, ἐπεὶ ὥρα ἦν, ἀπελθὼν ἐστρατοπεδεύσατο ἔνθαπερ τοὺς πολεμίους εἶδε παρατεταγμένους. τῇ δὲ ὑστεραίᾳ ἀπῆγε τὴν ἐπὶ Θεσπιάς. θρασέως δὲ παρακολουθούντων τῶν πελταστῶν, οἳ ἦσαν μισθοφόροι τοῖς Θηβαίοις, καὶ τὸν χαβρίαν ἀνακαλούντων, ὅτι οὐκ ἠκολούθει, ὑποστρέψαντες οἱ τῶν ὀλυνθίων ἱππεῖς, ἤδη γὰρ κατὰ τοὺς ὅρκους συνεστρατεύοντο, ἐδίωξάν τε αὐτοὺς πρὸς ὄρθιον, καθάπερ ἠκολούθουν, καὶ ἀπέκτειναν αὐτῶν μάλα πολλούς. ταχὺ γὰρ πρὸς ἄναντες εὐήλατον ἁλίσκονται πεζοὶ ὑπὸ ἱππέων. ἐπεὶ δ' ἐγένετο ὁ ἀγησίλαος ἐν ταῖς Θεσπιαῖς, εὑρὼν στασιάζοντας τοὺς πολίτας, καὶ βουλομένων τῶν φασκόντων λακωνίζειν, ἀποκτεῖναι τοὺς ἐναντίους, ὧν καὶ μένων ἦν, ὅπερ μὲν οὐκ ἐπέτρεψε. διαλλάξας δὲ αὐτοὺς, καὶ ὅρκους ὀμόσαι ἀλλήλοις ἀναγκάσας, οὕτως ἀπῆλθε πάλιν διὰ τοῦ κιθαιρῶνος τὴν ἐπὶ μέγαρα. καὶ ἐκεῖθεν τοὺς μὲν συμμάχους ἀφῆκε, τὸ δὲ πολιτικὸν στράτευμα, οἴκαδε ἀπήγαγε. μάλα δὲ πιεζόμενοι οἱ Θηβαῖοι σπάνει σίτου, διὰ τὸ δυοῖν ἐτοῖν μὴ εἰληφέναι καρπὸν ἐκ τῆς γῆς, πέμπουσιν ἐπὶ δυοῖν τριήροιν ἄνδρας εἰς παγασὰς ἐπὶ σῖτον, δέκα τάλαντα δόντες. ἀλκέτας δὲ ὁ λακεδαιμόνιος φυλάττων ὠρεόν, ἐν ᾧ ἐκεῖνοι συνεωνοῦντο τὸν σῖτον, ἐπληρώσατο τρεῖς τριήρεις, ἐπιμεληθεὶς ὅπως μὴ ἐξαγγελθείη. ἐπεὶ δὲ ἀπήγετο ὁ σῖτος, λαμβάνει ὁ ἀλκέτας τόν τε σῖτον καὶ τὰς τριήρεις. καὶ τοὺς ἄνδρας ἐζώγρησεν, οὐκ ἐλάττους ὄντας ἢ τριακοσίους. τούτους δὲ εἷρξεν ἐν τῇ ἀκροπόλει, οὗπερ αὐτὸς ἐσκήνου. ἀκολουθοῦντος δέ τινος τῶν ὠρειτῶν παιδὸς, ὡς ἔφασαν, μάλα καλοῦ τε κἀγαθοῦ, καταβαίνων ἐκ τῆς ἀκροπόλεως περὶ τοῦτον ἦν. καταγνόντες δὲ οἱ αἰχμάλωτοι τὴν ἀμέλειαν, καταλαμβάνουσι τὴν ἀκρόπολιν, καὶ ἡ πόλις ἀφίσταται. ὥστε εὐπόρως ἤδη οἱ Θηβαῖοι σῖτον παρεκομίζοντο. ὑποφαίνοντος δὲ πάλιν τοῦ ἦρος, ὁ μὲν ἀγησίλαος κλινοπετὴς ἦν. ὅτε γὰρ ἀπῆγε τὸ στράτευμα ἐκ τῶν Θηβῶν ἐν τοῖς μεγάροις, ἀναβαίνοντος αὐτοῦ ἐκ τοῦ ἀφροδισίου εἰς τὸ ἀρχεῖον, ῥήγνυταί πως φλέψ, καὶ ἐρρύη ἐκ τοῦ σώματος αἷμα εἰς τὸ ὑγιὲς σκέλος. γενομένης δὲ τῆς κνήμης ὑπερόγκου, καὶ ὀδυνῶν ἀφερήτων, συρακούσιός τις ἰατρὸς σχάζει τὴν παρὰ τῷ σφυρῷ φλέβα αὐτοῦ. ὡς δὲ ἅπαξ ἤρξατο, ἔρρει αὐτῷ νύκτα τε καὶ ἡμέραν τὸ αἷμα. καὶ πάντα ποιοῦντες, οὐκ ἐδύναντο σχεῖν τὸ αἷμα, πρὶν ἐλιποψύχησε. τότε μέντοι γε ἐπαύσατο. καὶ οὕτως ἐκεῖνος μὲν ἀποκομισθεὶς εἰς λακεδαίμονα, ἠρρώστει τό τε λοιπὸν θέρος, καὶ διὰ χειμῶνος. οἱ δὲ λακεδαιμόνιοι, ἐπεὶ ἔαρ ὑπέφαινε, πάλιν φρουράν τε ἔφαινον τοῖς Θηβαίοις, καὶ κλεόμβροτον ἡγεῖσθαι ἐκέλευον. ἐπεὶ δ' ἔχων τὸ στράτευμα πρὸς τῷ κιθαιρῶνι ἐγένετο, προσῄεσαν αὐτῷ οἱ πελτασταὶ ὡς προκαταληψόμενοι τὰ ὑπὲρ τῆς ὁδοῦ. Θηβαίων δὲ, καὶ ἀθηναίων προκατέχοντές τινες τὸ ἄκρον, τέως μὲν εἴων αὐτοὺς ἀναβαίνειν. ἐπεὶ δὲ ἐπ' αὐτοῖς ἦσαν, ἐξαναστάντες ἐδίωκον, καὶ ἀπέκτειναν περὶ τετταράκοντα. τούτου δὲ

γενο

γενόμενος, ὁ Κλεόμβροτος ἀδύνατον νομίσας τὸ ἐμβαλεῖν εἰς τὴν τῶν Θηβαίων, ἀπήγαγέ τε, καὶ διῆκε τὸ στράτευμα. συλλεγέντων δὲ τῶν συμμάχων εἰς Λακεδαίμονα, λόγοι ἐγίγνοντο ἀπὸ τῶν συμμάχων, ὅτι διὰ μαλακίαν κατατριβήσοιντο ὑπὸ τοῦ πολέμου. ἐξεῖναι γὰρ σφίσι ναῦς πληρώσαντας πολὺ πλείονας τῶν Ἀθηναίων, ἑλεῖν λιμῷ τὴν πόλιν αὐτῶν. ἐξεῖναι δὲ ἐν ταύταις ταῖς ναυσὶ καὶ εἰς Θήβας στράτευμα διαβιβάζειν. εἰ μὲν βούλοιντο, ἐπὶ Φωκέων· εἰ δὲ βούλοιντο, ἐπὶ Κρεύσιος. ταῦτα δὲ λογισάμενοι, ἑξήκοντα μὲν τριήρεις ἐπλήρωσαν. Πόλλις δ' αὐτῶν ναύαρχος ἐγένετο. καὶ μέντοι οὐκ ἐψεύσθησαν οἱ ταῦτα γνόντες, ἀλλ' οἱ Ἀθηναῖοι ἐπολιορκοῦντο. τὰ γὰρ σιταγωγὰ αὐτοῖς πλοῖα ἐπὶ μὲν τὸν Γεραιστὸν ἀφικνεῖτο. ἐκεῖθεν δὲ οὐκέτι ἤθελε παραπλεῖν, τοῦ ναυτικοῦ ὄντος τοῦ Λακεδαιμονίων περί τε Αἴγιναν, καὶ Κέω, καὶ Ἄνδρον. γνόντες δὲ οἱ Ἀθηναῖοι τὴν ἀνάγκην, ἐνέβησαν αὐτοὶ εἰς τὰς ναῦς. καὶ ναυμαχήσαντες πρὸς τὸν Πόλλιν, Χαβρίου ἡγουμένου, νικῶσι τῇ ναυμαχίᾳ. καὶ ὁ μὲν σῖτος Ἀθηναίοις οὕτω παρεκομίσθη. παρασκευαζομένων δὲ τῶν Λακεδαιμονίων στράτευμα διαβιβάζειν ἐπὶ Βοιωτούς, ἐδεήθησαν οἱ Θηβαῖοι τῶν Ἀθηναίων περὶ Πελοπόννησον στράτευμα πέμψαι, νομίσαντες, εἰ τοῦτο γένοιτο, οὐ δυνατὸν ἔσεσθαι τοῖς Λακεδαιμονίοις, ἅμα μὲν τὴν ἑαυτῶν χώραν φυλάττειν, ἅμα δὲ τὰς περὶ ἐκεῖνα τὰ χωρία συμμαχίδας πόλεις, ἅμα δὲ στράτευμα διαβιβάζειν ἱκανὸν πρὸς ἑαυτούς. καὶ οἱ Ἀθηναῖοι μέντοι ὀργιζόμενοι τοῖς Λακεδαιμονίοις διὰ τὸ Σφοδρίου ἔργον, προθύμως ἐξέπεμψαν περὶ τὴν Πελοπόννησον, ναῦς ἑξήκοντα πληρώσαντες, καὶ στρατηγὸν αὐτῶν Τιμόθεον ἑλόμενοι. ἅτε δὲ εἰς τὰς Θήβας οὐκ ἐμβεβληκότων τῶν πολεμίων, οὔτ' ἐν ᾧ Κλεόμβροτος ἦγε τὴν στρατιὰν ἔτι, οὔτ' ἐν ᾧ Τιμόθεος περιέπλευσε, θρασέως δὴ ἐστρατεύοντο οἱ Θηβαῖοι ἐπὶ τὰς περιοικίδας πόλεις, καὶ πάλιν αὐτὰς ἀνελάμβανον. ὁ μέντοι Τιμόθεος περιπλεύσας, Κέρκυραν μὲν εὐθὺς ὑφ' ἑαυτῷ ἐποιήσατο. οὐ μέντοι ἠνδραποδίσατο, οὐδὲ ἄνδρας ἐφυγάδευσεν, οὐδὲ νόμους μετέστησεν. ἐξ ὧν τὰς περὶ ἐκεῖνα πόλεις ἁπάσας εὐμενεστέρας ἔσχεν. ἀντεπλήρωσαν δὲ καὶ οἱ Λακεδαιμόνιοι ναυτικόν, καὶ Νικόλοχον ναύαρχον μάλα θρασὺν ἄνδρα ἐξέπεμψαν. ὃς ἐπεὶ εἶδε τὰς μετὰ Τιμοθέου ναῦς, οὐκ ἐμέλλησε, καίπερ ἓξ νεῶν ἀπουσῶν αὐτῷ τῶν Ἀμβρακιωτίδων, ἀλλὰ πεντήκοντα καὶ πέντε ἔχων ναῦς, ἑξήκοντα οὔσαις ταῖς μετὰ Τιμοθέου ἐναυμάχησε. καὶ τότε μὲν ἡττήθη, καὶ τροπαῖον ὁ Τιμόθεος ἔστησεν ἐν Ἀλυζίᾳ. ὁ δὲ ἀνειλκυσμένων τῶν Τιμοθέου νεῶν, καὶ ἐπισκευαζομένων, ἐπεὶ παρεγένοντο αὐτῷ αἱ Ἀμβρακιώτιδες ἓξ τριήρεις, ἐπὶ τὴν Ἀλυζίαν ἔπλευσεν, ἔνθα ἦν ὁ Τιμόθεος. ὡς δὲ οὐκ ἀντανῆγον, τροπαῖον αὖ κἀκεῖνος ἔστησεν ἐν ταῖς ἐγγυτάτω νήσοις. ὁ δὲ Τιμόθεος, ἐπεὶ ἅς τε εἶχεν ἐπεσκεύασε, καὶ ἐκ Κερκύρας ἄλλας προσεπληρώσατο, γενομένων αὐτῷ τῶν πασῶν πλέον ἢ ἑβδομήκοντα, πολὺ δὴ ὑπερεῖχε ναυτικῷ. χρήματα μέντοι μετέπεμπεν Ἀθήνηθεν. πολλῶν γὰρ ἐδεῖτο, ἅτε πολλὰς ναῦς ἔχων.

ΞΕΝΟ-

facto Cleombrotus cum impossibile cerneret in Thebanorum transcendi posse fines, copias reduxit ac dissoluit. Cumq; inde socij frequentes Lacedæmonem conuenissent, sermo inter illos ortus est, tanquam per desidiam bellum protraheretur: multo enim plures quam Athenienses se naues instruere posse, ac fame urbem capere, indeq; Thebas siue per Phocenses, siue iuxta Crasios progredi. Cum itaq; consilium id haud inutile esse uideretur, sexaginta instruunt triremes, quibus Pollen nauarchum præficiunt. Nec illi qui hæc iussere, opinione decepti sunt. Cum enim frumentariæ Atheniensium naues ad Geræstum applicarent, ob Lacedæmoniorum metum qui circa Aeginam, Ceum & Andrum in stationibus agebant, ultra progredi non audebant: sicq; Athenas penitus obsideri ac fame urgeri contigit. Ea igitur Athenienses necessitate coacti, classem ipsi quoque comparant, ac Chobria duce cum hostibus confligunt, egregieq; superant, ita ut libere inde frumentum importari posset. Interim Lacedæmonij pedestres coegere copias, ac in Bœotiam transcendere nitebantur: quapropter Thebani Athenienses rogant, ut hostiliter Peloponnesum aggrederentur: sic enim fore rati, ut domestico Lacedæmonij implicati bello, ab externis tuendis auocarentur ciuitatibus, ipsiq; faciliter inde ijs resistere possent. Et Athenienses quia Lacedæmonijs ob Sphodriæ iniurias infensi erant, impigre exercitum cum nauibus sexaginta, quibus Timotheum præficiunt, in Peloponnesum mittunt, Lacedæmoniosq; ab Thebanorum aggressu prohibent. Interea dum Timotheus naues circumagit, Cleombrotusq; exercitum domi contineret, Thebani fortiter finitimas aggressi ciuitates, rursus eas in suam redigunt potestatem. Timotheusq; circumnauigans Cercyram subigit, nec tamen diripuit, uirosue expulit, aut leges immutauit: quapropter ciuitates cunctas summa sibi deuinxit beneuolentia. Lacedæmonij itaq; & ipsi classem instruunt, Nicolochumq; uirum fortissimum illi præficiunt. Qui cum Timothei conspexisset naues, illas contemptui habuit: ac quamuis sex Ambraciorum abessent triremes, nauibus quinq; & quinquaginta, cum sexaginta Timothei conflixit nauibus, ab illoq; uictus est. Timotheus uero trophæum in Alyzia constituit. Nicolochus autem collectis ex fuga nauibus, assumptisq; sex Ambraciotidis triremibus, Alyziam ubi Timotheus sedebat, nauigat. Qui cum haud contra prodiret, ille quoq; trophæum in proximis statuit insulis. At Timotheus cum & naues suas instruxisset, alias quoque ex Cercyra implesset, plures quam septuaginta comparauit triremes, ita ut longe nautium excelleret numero: sed quia pecunijs haud paucis ob classis magnitudinem indigebat, eas ab Athenienensibus deposcebat.

XENO-

XENOPHONTIS RERVM GRAECARVM LIBER SEXTVS.

Et hic status Atheniensium & Lacedæmoniorum erat. At Thebani cum Bœotias subegissent ciuitates, in Phocidam exercitum ducunt. At Phocenses Lacedæmonem pro auxilio oratum mittunt, ostenderuntq́; , ni eis opem ferrent, non posse Thebanis non consentire. Lacedæmonij igitur per mare Cleombrotum regem cum cohortibus quatuor, & sociorum manu haud contemnenda Phocæam mittunt. Eodem ferme tempore Lacedæmonem ex Thessalia applicuit Polydamas Pharsalius: erat is in uniuersa Thessalia clarus, tantæq; in ciuitate sua cum probitate, tum æquitate existimationis, ut inter se dissidentes Pharsalij, illi arcem commiserint, publicosq; redditus ei assignauerint: iusseruntq́; , ut quantum lege permitteretur, cum ad sacrorum sumptus, tum ad alias expensas sumeret: & ille his pecunijs arcem illis seruauit, ac cuncta necessaria de his per annum expendit: & si quando pecunijs carebat, proprias impendebat: eratq; aliás hospitalis, ac Thessalorum more magnificus. Hic itaq; cum Lacedæmonem uenisset, ac sibi fandi data copia esset, ita disseruit:

POLYDAMANTIS CONCIO.

Ego, ô uiri Lacedæmonij, cum hospitio uobis deuinctus sim, & ab omnibus, quantum reminisci potest, progenitoribus uobis benefacere didicerim, dignum arbitror, si rei cuiusquam indigeam, uos adire: & si quid uobis aduersi in Thessalia accidere didicerim, significare. Audiuistis igitur proculdubio Iasonis nomen: uir etenim ille potentissimus, ac magni exstitit nominis. Ille igitur per inducias me conuenit, itaq; disseruit: Quod ego, ô Polydama, urbem uestram Pharsalum etiam inuitam mihi subijcere ualeam, inde tibi coniecturare licet: siquidem plurimis ac maximis Thessaliæ ciuitatibus pro socijs utor: quas tamen omnes, quamuis uos illis contra me opē præstiteritis, unaq; militaueritis, subegi. Nosti præterea quod peregrinum dam exercitum, sex millibus haud inferiorem, cui ciuitas nulla, ut arbitror, facilè resistere potest. Nam etsi aliunde non minor educitur exercitus, ciuitatum tamen milites partim uiribus sunt effœti, partim uix dum pubertatem attigere: reliqui exercentur uero in ciuitate unaquaq; quā paucissimi. Apud me uero nullus meret, qui non labore mihi æquiparari possit. Ipse siquidē (oportet. n. apud uos uera loqui) corpore est robusto, laborisq; patiētissimus, ac uirtutis quotidie periculū facit: siquidē in gymnasijs ac exercitu assiduè se armis exercitat. Proinde quoscunq; ex peregrino milite molles cernit, illos exterminat: quos uerò laboris patiētes, et in periculis cōtra hostes audaces cognoscit, honorat, ac ho-

ΞΕΝΟΦΩΝΤΟΣ ΕΛΛΗΝΙΚΩΝ ΕΚΤΟΝ.

Οἱ μὲν οὖν ἀθηναῖοι καὶ λακεδαιμόνιοι περὶ ταῦτα ἦσαν· οἱ δὲ θηβαῖοι, ἐπεὶ κατεστρέψαντο τὰς ἐν τῇ Βοιωτίᾳ πόλεις, ἐστράτευον καὶ εἰς τὴν φωκίδα. ὡς δ᾽ αὖ καὶ οἱ φωκεῖς ἐπρέσβευον εἰς τὴν λακεδαίμονα, καὶ ἔλεγον, ὡς εἰ μὴ βοηθήσαιεν, οὐ δυνήσοιντο μὴ πείθεσθαι τοῖς θηβαίοις, ἐκ τούτου οἱ λακεδαιμόνιοι διαβιβάζουσι κατὰ θάλατταν εἰς φωκέας, κλεόμβροτόν τε τὸν βασιλέα, καὶ μετ᾽ αὐτοῦ τέτταρας μόρας, καὶ τῶν συμμάχων τὸ μέρος. σχεδὸν δὲ περὶ τοῦτον τὸν χρόνον, καὶ ἐκ θετταλίας ἀφικνεῖται πρὸς τὸ κοινὸν τῶν λακεδαιμονίων πολυδάμας φαρσάλιος. οὗτος δὲ καὶ ἐν τῇ ἄλλῃ θετταλίᾳ εὐδόκιμος. καὶ ἐν αὐτῇ δὲ τῇ πόλει οὕτως ἐδόκει καλός τε κἀγαθὸς εἶναι, ὥστε καὶ στασιάσαντες οἱ φαρσάλιοι, παρακατέθεντο αὐτῷ μὲν ἀκρόπολιν, καὶ τὰς προσόδους ἐπέτρεψαν, λαμβάνοντα ὅσα ἐγέγραπτο ἐν τοῖς νόμοις, εἴς τε τὰ ἱερὰ ἀναλίσκειν, καὶ εἰς τὴν ἄλλην διοίκησιν. κἀκεῖνος μέντοι ἀπὸ τούτων τῶν χρημάτων τήν τε ἄκραν φυλάττων διέσωζεν αὐτοῖς, καὶ τἆλλα διοικῶν ἀπελογίζετο κατ᾽ ἐνιαυτόν. καὶ ὁπότε μὲν ἐνδεὴς εἴη, παρ᾽ ἑαυτοῦ προσετίθει. ὁπότε δὲ περιγένοιτο, ἀπελάμβανεν. ἦν δὲ καὶ ἄλλως φιλόξενός τε καὶ μεγαλοπρεπὴς, τὸν θετταλικὸν τρόπον. οὗτος οὖν ἐπεὶ ἀφίκετο εἰς τὴν λακεδαίμονα, εἶπε τάδε.

ΔΗΜΗΓΟΡΙΑ ΠΟΛΥΔΑΜΑΝΤΟΣ.

Ἐγὼ μὲν, ὦ ἄνδρες λακεδαιμόνιοι, πρόξενος ὑμῶν ὢν, καὶ εὐεργέτης ἐκ πάντων ὧν μεμνήμεθα προγόνων, ἀξιῶ ἐάν τέ τι ἀπορῶ πρὸς ὑμᾶς ἰέναι· ἐάν τέ τι χαλεπὸν ὑμῖν ἐν τῇ θετταλίᾳ ξυνιστῆται, σημαίνειν. ἀκούετε μὲν δὴ, εὖ οἶδ᾽, ὅτι καὶ ὑμεῖς ἰάσονος ὄνομα. ὁ γὰρ ἀνὴρ καὶ δύναμιν ἔχει μεγάλην, καὶ ὀνομαστός ἐστιν. οὗτος δὲ σπονδὰς ποιησάμενος, συνεγένετό μοι, καὶ εἶπε τοιάδε· ὅτι μὲν, ὦ πολυδάμα, καὶ ἄκουσαν τὴν ὑμετέραν πόλιν φάρσαλον δυναίμην ἂν παραστήσασθαι, ἔξεστί σοι ἐκ τῶνδε λογίζεσθαι. ἐγὼ γὰρ, ἔφη, ἔχω μὲν θετταλίας τὰς πλείστας καὶ μεγίστας πόλεις συμμάχους. κατεστρεψάμην δὲ αὐτὰς ὑμῶν σὺν αὐταῖς τἀναντία ἐμοὶ στρατευομένων. καὶ μὴν οἶσθά γε ὅτι μισθοφόρους ἔχω ξένους ἐς ἑξακισχιλίους, οἷς ὡς ἐγὼ οἶμαι, οὐδεμία πόλις δύναιτ᾽ ἂν ῥᾳδίως μάχεσθαι. ἀριθμὸς μὲν γὰρ, ἔφη, καὶ ἄλλοθεν οὐκ ἂν ἐλάττων ἐξέλθοι, ἀλλὰ τὰ μὲν ἐκ τῶν πόλεων στρατεύματα, τοὺς μὲν προεληλυθότας ἤδη ταῖς ἡλικίαις ἔχει, τοὺς δ᾽ οὔπω ἀκμάζοντας. σωμασκοῦσί γε μὴν μάλα ὀλίγοι τινὲς ἐν ἑκάστῃ πόλει. παρ᾽ ἐμοὶ δὲ οὐδεὶς μισθοφορεῖ, ὅστις μὴ ἱκανός ἐστιν ἴσα πονεῖν ἐμοί. αὐτὸς δ᾽ ἐστὶν, λέγειν γὰρ πρὸς ὑμᾶς χρὴ τἀληθῆ, καὶ τὸ σῶμα μάλα εὔρωστος, καὶ ἄλλως φιλόπονος. καὶ τοίνυν τῶν παρ᾽ αὐτῷ πεῖραν λαμβάνει καθ᾽ ἑκάστην ἡμέραν. ἡγεῖται γὰρ σὺν τοῖς ὅπλοις καὶ ἐν τοῖς γυμνασίοις, καὶ ὅταν που στρατεύηται. καὶ οὓς μὲν ἂν μαλακοὺς τῶν ξένων αἰσθάνηται, ἐκβάλλει· οὓς δ᾽ ἂν ὁρᾷ φιλοπόνους, καὶ φιλοκινδύνως ἔχοντας πρὸς τοὺς πολέμους, τιμᾷ· τοὺς μὲν διμοιρίαις·

τοὺς

τοὺς δὲ τριμοιρίαις· τοὺς δὲ καὶ τετραμοιρίαις, καὶ ἄλλοις δώροις, καὶ νόσων γε θεραπείαις, καὶ περὶ ταφὰς κόσμῳ. ὥστε πάντες ἴσασιν οἱ παρ' ἐκείνῳ ξένοι, ὅτι ἡ πολεμικὴ αὐτοῖς ἀρετὴ, ἐντιμότατόν τε βίον, καὶ ἀφθονώτατον παρέχεται. ἐπεδείκνυε δέ μοι εἰδότι, ὅτι καὶ ὑπήκοοι ἤδη αὐτῷ εἶεν, Μαρακοὶ, καὶ Δόλοπες, καὶ Ἀλκέτας ὁ ἐν τῇ Ἠπείρῳ ὕπαρχος. ὥστε, ἔφη, τί ἂν ἐγὼ φοβούμενος, οὐ ῥᾳδίως ἂν ὑμᾶς οἰοίμην καταστρέψασθαι; τάχα οὖν ὑπολάβοι ἄν τις ἐμοῦ ἄπειρος, τί οὖν μέλλεις, καὶ οὐκ ἤδη στρατεύεις ἐπὶ τοὺς Φαρσαλίους; ὅτι νὴ Δία τῷ παντὶ κρεῖττόν μοι δοκεῖ ἑκόντας ὑμᾶς μᾶλλον, ἢ ἄκοντας προσαγαγέσθαι. βιασθέντων μὲν γὰρ, ὑμεῖς ἂν βουλεύοισθε ὅ,τι δύναισθε κακὸν ἐμοὶ, ἐγώ τ' ἂν ὑμᾶς ὡς ἀσθενεστάτους βουλοίμην εἶναι. εἰ δὲ πεισθέντες μετ' ἐμοῦ γένοισθε, δῆλον ὅτι αὔξοιμεν ἂν ὅ,τι δυναίμεθα ἀλλήλους. γιγνώσκω μὲν οὖν, ὦ Πολυδάμα, ὅτι ἡ σὴ πατρὶς εἰς σὲ ἀποβλέπει. ἐὰν δέ μοι φιλικῶς αὐτὴν ἔχειν παρασκευάσῃς, ὑπισχνοῦμαί σοι, ἔφη ἐγὼ, μέγιστόν σε τῶν ἐν τῇ Ἑλλάδι μετ' ἐμὲ καταστήσειν. οἵων δὲ πραγμάτων ἐγὼ τὰ δευτερεῖά σοι δίδωμι, ἄκουσον, καὶ μηδὲν πίστευέ μοι, ὅ,τι ἂν μὴ λογιζομένῳ σοι ἀληθὲς φαίνηται. οὐκοῦν τοῦτο μὲν δῆλον ὑμῖν, ὅτι Φαρσάλου προσγενομένης, καὶ τῶν ἐξ ὑμῶν ἠρτημένων πόλεων, εὐπετῶς ἂν ἐγὼ ταγὸς Θετταλῶν ἁπάντων κατασταίην· ὥς γε μὴν ὅταν ταγεύηται Θετταλία, εἰς ἑξακισχιλίους μὲν οἱ ἱππεύοντες γίγνονται· ὁπλῖται δὲ πλείους ἢ μύριοι καθίστανται, ὧν ἐγὼ καὶ σώματα καὶ τὴν μεγαλοψυχίαν ὁρῶν, οἶμαι ἂν αὐτῶν, εἰ καλῶς τις ἐπιμελοῖτο, οὐκ εἶναι ἔθνος, ὁποίῳ ἂν ἀξιώσαιεν ὑπήκοοι εἶναι Θετταλοί. πλατυτάτης γε μὴν οὔσης Θετταλίας, πάντα τὰ κύκλῳ ἔθνη ὑπήκοα μέν ἐστιν ὅταν ταγὸς ἐνθάδε καταστῇ. σχεδὸν δὲ πάντες οἱ ταύτῃ ἀκοντισταί εἰσιν. ὥστε καὶ πελταστικῷ εἰκὸς ὑπερέχειν τὴν ὑμετέραν δύναμιν. καὶ μὴν Βοιωτοί γε, καὶ οἱ ἄλλοι πάντες, ὅσοι Λακεδαιμονίοις πολεμοῦσιν, ὑπάρχουσί μοι σύμμαχοι. καὶ ἀκολουθεῖν τοίνυν ἀξιοῦσιν ἐμοὶ, ἂν μόνον ἀπὸ Λακεδαιμονίων ἐλευθερῶ αὐτούς. καὶ Ἀθηναῖοι δὲ, εὖ οἶδ' ὅτι πάντα ποιήσαιεν ἂν, ὥστε σύμμαχοι ὑμῖν γενέσθαι. ἀλλ' ἐγὼ οὐκ ἄν μοι δοκῶ πρὸς αὐτοὺς φιλίαν ποιήσασθαι. νομίζω γὰρ ἔτι ῥᾷον τὴν κατὰ θάλατταν, ἢ τὴν κατὰ γῆν ἀρχὴν παραλαβεῖν ἄν. εἰ δὲ εἰκότα λογίζομαι, σκόπει, ἔφη, καὶ ταῦτα. ἔχοντες μέν γε Μακεδονίαν ἔνθεν καὶ Ἀθηναῖοι τὰ ξύλα ἄγονται, πολὺ δή που πλείονας ἐκείνων ἱκανοὶ ἐσόμεθα ναῦς ποιήσασθαι. ἀνδρῶν γε μὴν ταύτας πληροῦν, πότερον Ἀθηναίους ἢ ἡμᾶς εἰκὸς μᾶλλον δύνασθαι, τοσούτους ἔχοντας πενέστας; τούς γε μὴν ναύτας τρέφειν πότερον ἡμᾶς ἱκανωτέρους εἰκὸς εἶναι τοὺς δι' ἀφθονίαν καὶ ἄλλοσε σῖτον ἐκπέμποντας, ἢ Ἀθηναίους τοὺς μηδ' αὐτοῖς ἱκανὸν ἔχοντας, ἂν μὴ πρίωνται; καὶ χρήμασί γε δή που εἰκὸς ἡμᾶς ἀφθονωτέροις χρῆσθαι, μὴ εἰς νησίδια ἀποβλέποντας, ἀλλ' ἠπειρωτικὰ ἔθνη καρπουμένους. πάντα γὰρ δή που τὰ κύκλῳ φόρον φέρει, ὅταν ταγεύηται τὰ κατὰ Θετταλίαν. οἶσθα δὲ δή που ὅτι καὶ βασιλεὺς ὁ Περσῶν οὐ νήσους, ἀλλ' ἤπειρον καρπούμενος, πλουσιώτατος ἀνθρώπων ἐστὶν, ὃν ἐγὼ ὑπήκοον ποιήσασθαι ἔτι εὐκατεργαστότερον ἡγοῦμαι

ac honestis ordinibus, donisq; decorat largißimis: languentes curat, mortuosq; sepulturis exornat, ita ut omnes milites peregrini qui sub eo militant, plane nouerint bellicam uirtutem honoratißimam ac spectatißimam ipsis conferre uitam. Ostendit mihi praeterea iam Maracos & Dolopes ab eo subactos esse: Alcetem quoq; qui in Epiro dominatur: ideo, inquit, minime uereor ne uos & quamfacilime uincere queam. Verùm rerum inexpertus quispiam dicere posset: Cur ego differs, & non confestim Pharsalios bello aggrederis? Quandoquidem, per Iouem, LONGE MIHI pulchrius esse uidetur, uolentes uos potius quàm inuitos mihi conciliare. Si enim ui à me subacti eritis, semper de fide uestra dubitare cogor: uerum ego uos mihi fidißimos esse cuperem. Si itaq; mihi adhaerebitis, manifeste constat quod utrinq; uiribus admodum crescemus. Noui uerò ô Polydama, quod patria tua in te solum respicit: quam si mihi ut amicabiliter ea uti poßim, conciliaueris, tibi, inquit, promitto, maximum te, secundum me, in uniuersa Graecia constituturum. Et ut manifestius tibi rem ostendam, audi. Nihil enim te credere iubeo, nisi quod certißimis rationibus uerißimum esse comprobauero. Nonne hoc manifeste constat, si Pharsalus cum ciuitatibus adhaerentibus nobiscum sentiet, ego facilime Thessalorum omnium dux cõstituar? Id si fiet, Thessalia equites circiter millia sex, grauis uerò armaturae milites ad millia decem suppeditare poterit. Qui si uiribus nostris accedent, si recte eorum corpora, animiq; magnitudinem considero, nullam esse gentem arbitror, quae uiribus nostris resistere ualeat. Cum enim latißima sit Thessalia, gentes omnes circumiectae, si dux in illa constituetur, colla illi submittent: quae cum ferme omnes sagittis se exerceant, magnam clypeatorum uim afferant necesse est. Praeterea Boeotij & reliqui omnes qui contra Lacedemones bellum gerunt, se mihi socios offerunt, ac me iam quoq; sequi dignum ducunt, si solùm eos à Lacedaemoniorum liberauero iugo. Athenienses praeterea recte noui cuncta machinaturos, ut societatis nostrae compotes fieri poßint: quorum tamen societatem respuendam censeo: quandoquidem facilius mari quàm terra principatum acquiri posse reor. Et si haud absurde ratiocinor, ad haec quoq; intende. Cum nos Macedoniam, unde Athenienses ligna sumunt, poßideamus, longe plures illis naues aedificare poterimus. Viris uero egregie illas instruere, nunquid Athenienses, qui ultima laborant paupertate, aut nos potius posse credendum est? Nautas uerò nonne propter abundantiam, & quia alio quoq; frumentum emittimus, alere aptiores sumus Atheniensibus? quibus nihil superest, nisi quod pecunijs emunt. Proinde nunquid & pecunijs quoque nos superabundare par est, minime ad insulas respicientes, sed à mediterraneis gentibus fructus colligentes? quandoquidem omnia per circuitum nobis tributum persoluent, si in Thessalia ducatus constituetur. Nosti siquidem Persarum regem, cum non ex insulis, sed mediterraneis regionibus fructus colligat, ditißimum omnium esse hominum: quem ego facilius subigendum esse reor,

μεγαλοψυχία

quàm terram Græciæ: quandoquidem omnes ibi homines, excepto uno, potius seruitutis quàm fortitudinis memores esse scio. Noui præterea quibus uiribus Cyrus ascenderit, quaq; potentia Agesilaus in Asia rem gesserit: quibus tamen rex in ultimum penè discrimen incidit. Hæc cum ille dixisset, respondi: Cætera considerata digna esse: sed ab Lacedæmonijs socijs ad hostes deficere, cum eos nulla in re inculpare poßimus, mihi admodum iniquum esse uideri. At ille me hanc ob rem laudans, dixit: Cum talis sis, multò mihi acceptior eris. Sicq; me dimisit, uosq; adire, & ostendere iußit, omnino se Pharsalijs bellum illaturum, ni dictis pareant. Opem insuper à uobis postulare me hortatus est: & si tibi, inquit, auxilium quo mihi resistere poteris cõcesserint, age belli fortunã experiamur. Quod si tibi nõ adeò potẽtes uidebũtur ut auxiliũ ferre poßint, nõ iam amplius erga patriã iuste te geris: quæ cum te honorib. afficit, tu econtra illam periculis obijcis certißimis. quapropter, ô Lacedæmonij, uos acceßi, & omnia quæ illic uidi ac audiui, iam enarraui. Proinde ita rem se habere arbitror, ut si exercitũ illuc mittetis, qui nõ solùm mihi, sed & reliquis Thessalis, Iasonis uirib. resistere posse uideatur, confestim ab eo ciuitates defecturas. Vehementer enim omnes formidant, ne longius uiri potentia serpat. Si uero Neodamodes cum uiro priuato aliquo illic resistere posse existimatis, uobis quiete agere cõsulo. Siquidẽ magnis uiribus res uobis agenda erit, & contra uirum talem, qui adeò dux est prudens, ut si quid clàm & per insidias, uel palàm et ui aperta agere cõstituat, haud multum opinione aberret. Nouit præterea nocte nõ secus ac die uti, & cum res exigit, nec cibi aut somni desiderio tenetur: corpus siquidem nec labore fatigatur, aut animus cura uincitur: ac tũ demũ sibi quiescendũ esse arbitratur, cum eò quò desiderat, peruenerit, rẽq; ex animi sententia absoluerit. Nouit & quemadmodũ militũ desiderio, cum quid egregiũ perpetrauerint, satisfaciendũ sit: ita ut cũcti qui sub eo merẽt, certißime sciãt, LABORES ocium quoq; sequi. Ipse uero inter oẽs quos ego noui homines, præcipuus uoluptatũ est contẽptor, adeò ut nunquam tãtisper animũ remittat, quin id quod decorũ sit, perficiat. Vos igitur re diligẽter cõsiderata, mihi, ut maximè uos decet, aperiatis quid hac in re uel agere poßitis, aut saltẽ uelitis. Et ille ita locutus est. Lacedæmonij uero tum rem in alterã distulere diẽ. Postridie uero & subsequentib. diebus cum diligenter suas examinassent uires, perpendissentq; quantũ copiarũ, nauium, cum domi, tum foris alere cogerẽtur: classis præterea quam contra Athenienses instruere cogerẽtur expensas, tum finitimorũ odia & bellum cõsiderassent, ita respõdere placuit: se in præsentiarũ auxilium sufficiens emittere posse minime, uerùm ut abiret, sibiq; & ciuitati pro uiribus consuleret, monuerunt: & ille laudata ciuitatis ingenuitate discessit, Iasonemq; rogauit, ne illum arcem tradere cogeret, quò fidei suæ commissa custodire posset. Filios uerò suos illi obsides dedit, promisitq; ciuitatem sponte illi conciliaturum, ipsumq; ducem constituturũ. Data igitur & accepta fide, confestim pax Pharsalijs reddita

μαι εἶναι, ἢ τὴν Ἑλλάδα. οἶδα γὰρ πάντας τοὺς ἐκεῖ ἀνθρώπους, πλὴν ἑνὸς μᾶλλον δουλείαν, ἢ ἀλκὴν μεμελετηκότας. οἶδα δὲ ὑφ' οἵας δυνάμεως καὶ τῆς μετὰ Κύρου ἀναβάσεως, καὶ τῆς μετ' Ἀγησιλάου, εἰς πᾶν ἀφίκετο βασιλεύς. ἐπεὶ δὲ ταῦτ' εἰπόντος αὐτοῦ, ἐγὼ ἀπεκρινάμην, ὅτι τὰ μὲν ἄλλα ἀξιόσκεπτα λέγει, τὸ δὲ Λακεδαιμονίους ὄντας φίλους ἀποστῆναι πρὸς τοὺς ἐναντίους μηδὲν ἔχοντας ἐγκαλεῖν, τοῦτ' ἔφην ἄπορόν μοι δοκεῖ εἶναι. ὁ δ' ἐπαινέσας με καὶ εἰπὼν ὅτι μᾶλλον ἑκτέον μοι εἴη ὅτι τοιοῦτος εἴην, ἀφῆκέ μοι ἐλθόντα πρὸς ὑμᾶς λέγειν τἀληθῆ, ὅτι διανοοῖτο στρατεύειν ἐπὶ Φαρσαλίους, εἰ μὴ πεισοίμεθα. αἰτεῖν οὖν ἐκέλευε βοήθειαν παρ' ὑμῶν. καὶ ἐὰν μέν σοι, ἔφη, διδῶσιν ὥστε πείθειν ἱκανὴν πέμπειν συμμαχίαν ὡς ἐμοὶ πολεμεῖν, ἄγ', ἔφη, καὶ τούτῳ χρώμεθα ὅ,τι ἂν ἀποβαίνοι ἐκ τοῦ πολέμου. ἐὰν δέ σοι μὴ δοκῶσιν ἱκανῶς βοηθεῖν, οὐκ ἤδη ἀνέγκλητος ἂν δικαίως εἴης ἐν τῇ πατρίδι, ἥ σε τιμᾷ, καὶ σὺ πράττεις τὰ κράτιστα. περὶ τούτων δὴ ἐγὼ ἥκω πρὸς ὑμᾶς, καὶ λέγω πάντα, ὅσα ἐκεῖ αὐτός τε ὁρῶ, καὶ ἐκείνου ἀκήκοα. καὶ νομίζω οὕτως ἔχειν, ὦ ἄνδρες Λακεδαιμόνιοι, ὡς εἰ μὲν πέμψοιτε ἐκεῖσε δύναμιν μὴ ἐμοὶ μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις Θετταλοῖς ἱκανὴν δοκεῖν εἶναι πρὸς Ἰάσονα πολεμεῖν, ἀποστήσονται αὐτοῦ αἱ πόλεις. πᾶσαι γὰρ φοβοῦνται ὅποι ποτὲ προβήσεται ἡ τοῦ ἀνδρὸς δύναμις. εἰ δὲ νεοδαμώδεις, καὶ ἄνδρα ἰδιώτην οἴεσθε ἀρκέσειν, συμβουλεύω ἡσυχίαν ἔχειν. εὖ γὰρ ἴστε, ὅτι πρός τε μεγάλην ἔσται ῥώμην ὁ πόλεμος, καὶ πρὸς ἄνδρα, ὃς φρόνιμος μὲν οὕτω στρατηγός ἐστιν, ὡς ὅσα τε λανθάνειν, καὶ ὅσα φθάνειν, καὶ ὅσα βιάζεσθαι ἐπιχειρεῖ, οὐ μάλα ἀφαμαρτάνειν. ἱκανὸς γάρ ἐστι καὶ νυκτὶ ὅσαπερ ἡμέρᾳ χρῆσθαι, καὶ ὅταν σπεύδῃ ἄριστον καὶ δεῖπνον ποιησάμενος, ἅμα πονεῖσθαι. οἴεται δὲ καὶ καὶ ἀναπαύεσθαι χρῆναι ὅταν ἀφίκηται ἔνθ' ἂν ὁρμώμενος ᾖ, καὶ διαπράξηται ἃ δεῖ, καὶ τοὺς μετ' αὐτοῦ δὲ ταῦτα εἴθικεν. ἐπίσταται δὲ καὶ ὅταν ἐπιπονήσαντες ἀγαθόν τι πράξωσιν οἱ στρατιῶται, ἐκπλῆσαι τὰς γνώμας αὐτῶν. ὥστε καὶ τοῦτο μεμαθήκασι πάντες οἱ μετ' αὐτοῦ, ὅτι ἐκ τῶν πόνων καὶ τὰ μαλακὰ γίγνεται. καὶ μὴν ἐγκρατέστατός γε ὧν ἐγὼ οἶδα τῶν περὶ τὸ σῶμα ἡδονῶν. ὥστε οὐδὲ διὰ ταῦτα ἀσχολίαν ἔχει εἰς τὸ μὴ πράττειν ἀεὶ τὸ δέον. ὑμεῖς οὖν σκεψάμενοι, εἴπατε πρὸς ἐμὲ ὥσπερ ὑμῖν προσήκει, ὁποῖα δυνήσεσθέ τε καὶ μέλλετε ποιήσειν. ὁ μὲν ταῦτ' εἶπεν. οἱ δὲ Λακεδαιμόνιοι, τότε μὲν ἀνεβάλλοντο τὴν ἀπόκρισιν. τῇ δ' ὑστεραίᾳ καὶ τρίτῃ λογισάμενοι τάς τε ἔξω μόρας, ὅσαι αὐτοῖς εἶεν, καὶ τὰς περὶ Λακεδαίμονα πρὸς τὰς ἔξω τῶν Ἀθηναίων τριήρεις, καὶ τὸν πρὸς τοὺς ὁμόρους πόλεμον, ἀπεκρίναντο, ὅτι ἐν τῷ παρόντι οὐκ ἂν δύναιντο ἱκανὴν αὐτῷ ἐκπέμψαι ἐπικουρίαν, ἀλλ' ἀπιόντα συντίθεσθαι αὐτὸν ἐκέλευον ὅπῃ δύναιτο ἄριστα, τά τε ἑαυτοῦ, καὶ τὰ τῆς πόλεως. κἀκεῖνος μέντοι ἐπαινέσας τὴν ἁπλότητα τῆς πόλεως, ἀπῆλθε. καὶ τὴν μὲν ἀκρόπολιν τῶν Φαρσαλίων ἐδεῖτο τοῦ Ἰάσονος μὴ ἀναγκάσαι αὐτὸν παραδοῦναι, ὅπως τοῖς παρακαταθεμένοις διασώζῃ, τοὺς δὲ ἑαυτοῦ παῖδας ἔδωκεν ὁμήρους, ὑποσχόμενος αὐτῷ τήν τε πόλιν πείσας ἑκοῦσαν σύμμαχον ποιήσειν, καὶ ταγὸν συγκαταστήσειν αὐτόν. ὡς δὲ τὰ πιστὰ ἔδοσαν ἀλλήλοις, εὐθὺς μὲν οἱ Φαρσάλιοι εἰρήνην ἦγον,

ἄγειν, ταχὺ δὲ ὁ Ἰάσων ὁμολογουμένως ταγὸς τῶν Θετταλῶν καθειστήκει. ἐπεί γε μὴν ἐτάγευσε, διέταξεν ἱππικόν τε, ὅσον ἑκάστη πόλις δυνατὴ ἦν παρέχειν, καὶ ὁπλιτικόν. καὶ ἐγένοντο αὐτῷ ἱππεῖς μὲν σὺν τοῖς συμμάχοις πλείους ἢ ὀκτακισχίλιοι, ὁπλῖται δὲ ἐλογίσθησαν οὐκ ἐλάττους δισμυρίων. πελταστικόν γε μὴν ἱκανὸν πρὸς πάντας ἀνθρώπους ἀντιταχθῆναι. ἔργον γὰρ ἐκείνων γε καὶ τὰς πόλεις ἀριθμῆσαι. προεῖπε δὲ καὶ τοῖς περιοίκοις πᾶσι τὸν φόρον, ὥσπερ ἐπὶ Σκόπα τεταγμένος ἦν, φέρειν. καὶ ταῦτα μὲν οὕτως ἐπεραίνετο. ἐγὼ δὲ πάλιν ἐπάνειμι, ὅθεν εἰς τὰς περὶ Ἰάσονος πράξεις ἐξέβην. οἱ μὲν γὰρ Λακεδαιμόνιοι, καὶ οἱ σύμμαχοι συνελέγοντο εἰς τοὺς Φωκέας. οἱ δὲ Θηβαῖοι ἀναχωρήσαντες εἰς τὴν αὑτῶν, ἐφύλαττον τὰς εἰσβολάς. οἱ δ' Ἀθηναῖοι αὐξανομένους μὲν ὁρῶντες διὰ σφᾶς τοὺς Θηβαίους, χρήματά τε οὐ συμβαλλομένους εἰς τὸ ναυτικόν, αὐτοὶ δὲ ἀποκναιόμενοι, καὶ χρημάτων εἰσφοραῖς, καὶ λῃστείαις ἐξ Αἰγίνης, καὶ φυλακαῖς τῆς χώρας, ἐπεθύμησαν παύσασθαι τοῦ πολέμου. καὶ πέμψαντες πρέσβεις εἰς Λακεδαίμονα, εἰρήνην ἐποιήσαντο. εὐθὺς δ' ἐκεῖθεν δύο τῶν πρέσβεων πλεύσαντες κατὰ δόγμα τῆς πόλεως, εἶπον τῷ Τιμοθέῳ ἀποπλεῖν οἴκαδε, ὡς εἰρήνης οὔσης. ὁ δ' ἅμ' ἀποπλέων, τοὺς τῶν Ζακυνθίων φυγάδας ἀπεβίβασεν εἰς τὴν χώραν αὐτῶν. ἐπεὶ δὲ οἱ ἐκ τῆς χώρας Ζακύνθιοι πέμψαντες πρὸς τοὺς Λακεδαιμονίους, ἔλεγον οἷα πεπονθότες εἶεν ὑπὸ τοῦ Τιμοθέου, εὐθὺς οἱ Λακεδαιμόνιοι ἀδικεῖν τε ἡγοῦντο τοὺς Ἀθηναίους, καὶ ναυτικὸν πάλιν κατεσκεύαζον, καὶ συνετάττοντο εἰς ἑξήκοντα ναῦς, ἀπ' αὐτῆς τε τῆς Λακεδαίμονος καὶ Κορίνθου, καὶ Λευκάδος, καὶ Ἀμπρακίας, καὶ Ἤλιδος, καὶ Ζακύνθου, καὶ Ἀχαΐας, καὶ Ἐπιδαύρου, καὶ Τροιζῆνος, καὶ Ἑρμιόνης, καὶ Ἁλιέων. ἐπιστήσαντες δὲ ναύαρχον Μνάσιππον, ἐκέλευον τῶν τε ἄλλων ἐπιμελεῖσθαι τῶν κατ' ἐκείνην τὴν θάλασσαν, καὶ στρατεύειν ἐπὶ Κέρκυραν. ἔπεμψαν δὲ καὶ πρὸς Διονύσιον, διδάσκοντες, ὡς καὶ ἐκείνῳ χρήσιμον εἴη τὴν Κέρκυραν μὴ ὑπ' Ἀθηναίοις εἶναι. καὶ ὁ μὲν δὴ Μνάσιππος, ἐπεὶ συνελέγη αὐτῷ τὸ στράτευμα τὸ ναυτικόν, ἔπλευσεν εἰς τὴν Κέρκυραν. εἶχε δὲ καὶ μισθοφόρους σὺν τοῖς ἐκ Λακεδαίμονος μετ' αὐτοῦ στρατευομένους, οὐκ ἐλάττους χιλίων καὶ πεντακοσίων. ἐπεὶ δὲ ἀπέβη, ἐκράτει τε τῆς γῆς, καὶ ἐδῄου ἐξειργασμένην μὲν παγκάλως, καὶ πεφυτευμένην τὴν χώραν. μεγαλοπρεπεῖς δὲ οἰκήσεις, καὶ οἰνῶνας κατεσκευασμένους ἔχουσαν ἐπὶ τῶν ἀγρῶν. ὥστ' ἔφασαν τοὺς στρατιώτας εἰς τοῦτο τρυφῆς ἐλθεῖν, ὥστ' οὐκ ἐθέλειν πίνειν, εἰ μὴ ἀνθοσμίας εἴη. καὶ ἀνδράποδα δέ, καὶ βοσκήματα πάμπολλα ἡλίσκετο ἐκ τῶν ἀγρῶν. ἔπειτα δὲ κατεστρατοπεδεύσατο τῷ μὲν πεζῷ ἐπὶ λόφῳ ἀπέχοντι τῆς πόλεως ὡς πέντε στάδια, πρὸ τῆς χώρας ὄντι, ὅπως ἀποτέμνοιτο ἐντεῦθεν εἴ τις ἐπὶ τὴν χώραν τῶν Κερκυραίων ἐξίοι. τὸ δὲ ναυτικὸν εἰς τὰ ἐπὶ θάτερα τῆς πόλεως κατεστρατοπέδευσεν. ἔνθεν ᾤετ' ἂν τὰ προσπλέοντα καὶ προαισθάνεσθαι, καὶ διακωλύειν. πρὸς δὲ τούτοις καὶ ἐπὶ τῷ λιμένι, ὁπότε μὴ χειμὼν κωλύοι, ἐφώρμει. ἐπολιόρκει μὲν δὴ οὕτω τὴν πόλιν. ἐπεὶ δὲ οἱ Κερκυραῖοι ἐκ μὲν τῆς γῆς οὐδὲν ἐλάμβανον διὰ τὸ κρατεῖσθαι κατὰ γῆν, κατὰ θάλασσαν δὲ οὐδὲν εἰσήγετο αὐτοῖς, διὰ τὸ ναυκρατεῖσθαι,

ἐν

reddita est, & eorum uoluntate Iason Thessaliæ dux constitutus est. Qui cum ciuitatibus singulis, tum equitum, tum peditum munus fixisset numerum, octo millia equitum, peditum uero millia collegit uiginti, clypeatorum uero infinitus pene erat numerus, adeo ut omnibus resistere possent hominibus: ipse uero tanquam omnium dux, ex omnibus ciuitatibus tributum exegit. Et hæc quidem hoc sunt gesta pacto. 10 Ego uero unde digressus eram, reuertar. Lacedæmonij interea & socij Phocæam conuenere: at Thebani domum reuersi, ingressum obseruabant. Athenienses uerò cum Thebanos eorum opera creuisse cernerent, nec pecunias ab illis ad rem acciperent naualem, quotidianisq; grauarentur collationibus, ex Aegina quoque piratis infestarentur, necnon fines suos tutari cogerentur, ad pacem animum inclinare cœperunt, belloq; finem imponere 20 decreuerunt. Quapropter missis Lacedæmonem legatis pacem fecere, confestimq; inde duo ex legatis ciuitatis decreto ad Timotheum nauigaruee, illumq; de pace certiorem reddidere, domumque redire iusserunt. Et ille abiens Zacynthiorum exules in terram eorum exposuit: quapropter confestim Zacynthij Lacedæmonem miserunt, ostenderuntq; quam insigni à Timotheo iniuria affecti essent. Lacedæmonij itaque contra pacta Athenienses e- 30 gisse rati, rursus classem instruunt, nauesque tam ex Lacedæmone, quàm Corintho, Leucade, Ambracia, Elide, Zacyntho, & Achaia, Epidauro, Trœzene, Hermione ac Halieo, sexaginta circiter collegere. Classi uerò Mnasippum præficiunt, quem maris illius curam gerere, ac Cercyram bello lacessere iusserunt. Ad Dionysium quoque miserunt, cui ostenderunt, quàm utile ipsi esset, si Cercyra Atheniensibus minime pareret. 40 Et Mnasippus uniuerso collecto exercitu, Cercyram contendit, ducens secum præter Lacedæmonios, mercenarios quoque milites mille circiter ac quingentos. Cumque in terram descendisset, regionem illam amœnam egregieq; excultam, uniuersam ferro ac igni uastauit. Magnificæ enim domus cum cellis uinarijs in agris erant extructæ, militésque eò uenere deliciæ, ut uinum nullum præter optimum bibere uellent. Mancipia quoque ac 50 pecora multa abacta sunt. Inde castra in tumulo quasi per quinque stadia ab urbe distanti locauit, ut Cercyrenses penitus ab exitu coërceret. Classis uerò ad alteram urbis partem circumacta est, unde & adnauigantes prospicere, & prohibere posset: indeque nonnunquam cum per uentum licebat, in portum quoque impetum faciebat, ciuitatémque undique hoc circundedit pacto. At Cercyrenses quia & terra ac mari obsessi erant, nihilque inferri poterat,

magna penuria laborare coeperunt: quapropter
Athenas pro auxilio oratū mittūt, pariterq; q̄ ma
gnis priuarentur cōmodis, si Cercyra illis auferre
tur, hostibus uero quantum uirium accederet, o/
stenderunt: cum ex nulla ciuitate, exceptis Athe/
nis, neq; nauium, neq; pecuniarum summā maio/
rem colligere possent. Etenim sita est Cercyra cū
ciuitatibus quae ad eam pertinent, in amoenissimo
Corinthiaco sinu, egregieq; Laconicam terrā of/
fendere potest: commodissime uero ex opposito
continenti à Siciliaq; in Peloponnesum nauigatio
nem praestat. Athenienses igitur his auditis, totis ui
ribus bello incumbendum esse rati, Stesicleū cum
sexcentis clypeatis illuc mittūt, quos Alcetē dedu
cere rogant: & illi nocte applicātes, urbē ingres/
si sunt. Decreuerūt praeterea triremes instruere se
xaginta, quibus Timotheū praeficiūt: qui cum na/
ues domi implere haud posset, insulas circumna
uigans, ex illis remigem parare instituit, eo quoq;
pacto naues exerceri posse existimans. Athenien
ses uerò illum tempus frustra terere rati, ei mini/
mè pepercere, sed abrogato illi imperio, Iphicratē
dedere successorē: qui naues admodum imperiose
impleuit, trierarchis quoq; uim adhibuit, omnes
quoq; naues ex Attica secum sumpsit, neq; para/
lo aut salaminiae pepercit, asserēs si ibi res ex sen/
tentia succederēt, multas illis remissurum naues.
Septuaginta itaq; nauiū classem breuiter colle/
git. Interea Cercyrenses adeo uehementer urge/
bantur, ut ob transfugarū multitudinē Mnasip/
pus per praeconem denunciauerit, se illum hastae
subiecturū, si quis amplius transfugeret. Sed cum
nihilominus transfugerēt, tandem flagris caesos
dimisit. At qui in urbe erāt, seruos amplius intra
moenia haud suscipiebāt, ita ut multi extra fame
perirent. Quae cum Mnasippus cerneret, arbitra/
batur quasi nō urbem cepisset. Insolentius igitur
igitur cum mercenarijs coepit agere militibus, ac
quosdam insolutos abegit: eis uerò qui remane/
bant, bimestre debebatur stipendiū, non ob pecu/
niarū, ut ferebatur, penuriā, quarum summam im
mensam militū loco ciuitates, quia maritima illa
erat expeditio, submiserāt. Interim qui in urbe ex
cubabāt, cum ex turribus cernerent phalangē ne
gligētius agere, militesq; undiq; per agros disper
sos, urbe erūpunt, & quosdam ex hostibus uiuos
in potestatē redegere, nonnullos uero obtrunca/
runt. Mnasippus cum hac de re certior factus es/
set, sumptis armis cum militibus uniuersis quos
circum se habebat, opem ferre pergit: necnō tur/
marum ductores & tribunos mercenariū educe/
re iubet militem. Cumq; ex his nōnulli respōdis/
sent, difficulter eos cum neq; stipendium soluere/
tur, aut necessaria tribuerētur, sequuturos, eos ba
culo, quosdam uero hasta percussit. Illi itaq; egrè
contumeliam ferentes, ducemq; infensissimo per/
sequentes odio, inuiti omnes ac minime ad pu/
gnam animati conuenere. Quibus in ordinē re/
dactis, hostes ad portas urbis usq; persequutus est.
Qui cum muris appropinquassent, conuersi, ia/
culis

ἐν πολλῇ ἀπορίᾳ ἦσαν. καὶ πέμποντες πρὸς τοὺς ἀθηναί-
ους, βοηθεῖν ἐδέοντο, καὶ ἐδίδασκον, ὡς μέγα μὲν ἀπο-
θῶν ἀποβάλλοιεν, εἰ κερκύρας στερηθεῖεν, τοῖς δὲ πολεμίοις
μεγάλην ἂν ἰσχὺν προσβάλλοιεν. ἐξ οὐδεμιᾶς γὰρ πό-
λεως πλήν γε ἀθηναίων οὔτε ναῦς, οὔτε χρήματα πλεῖο-
να ἂν γενέσθαι. ἔτι δὲ κεῖσθαι τὴν κέρκυραν ἐν καλῷ μὲν
τοῦ κορινθιακοῦ κόλπου, καὶ τῶν πόλεων, αἳ ἐπ' αὐτὸν
καθήκουσιν. ἐν καλῷ δὲ τοῦ τὴν λακωνικὴν χώραν βλά-
πτειν. ἐν καλλίστῳ δὲ τῆς τε ἀντιπέραν ἠπείρου, καὶ τοῦ εἰς
πελοπόννησον ἀπὸ σικελίας παράπλου. ἀκούσαντες
δὲ ταῦτα οἱ ἀθηναῖοι, ἐνόμισαν ἰσχυρῶς ἐπιμελητέον εἶναι.
καὶ στρατηγὸν πέμπουσι στησικλέα εἰς ἑξακοσίους ἔχοντα
πελταστάς. ἀλκέτου δὲ ἐδεήθησαν συνδιαβιβάσαι τού-
τους. καὶ οὗτοι μὲν νυκτὸς διακομισθέντες που τῆς χώ-
ρας, εἰσῆλθον εἰς τὴν πόλιν. ἐψηφίσαντο δὲ καὶ ἑξή-
κοντα ναῦς πληροῦν. τιμόθεον δ' αὐτῶν στρατηγὸν ἐχει-
ροτόνησαν. ὁ δ' οὐ δυνάμενος αὐτόθεν τὰς ναῦς πληρῶ-
σαι, ἐπὶ νήσων πλεύσας, ἐκεῖθεν ἐπειρᾶτο συμπληροῦν,
οὐ φαῦλον ἡγούμενος εἶναι ἐπὶ συγκεκροτημένας ναῦς εἰ-
κῇ περιπλεῦσαι. οἱ δ' ἀθηναῖοι, νομίζοντες αὐτὸν ἀνα-
λοῦν τὸν τῆς ὥρας εἰς περίπλουν χρόνον, συγγνώμην οὐκ
ἔσχον αὐτῷ. ἀλλὰ παύσαντες αὐτὸν τῆς στρατηγίας, ἰφι-
κράτην ἀνθαιροῦνται. ὁ δ' ἐπεὶ κατέστη στρατηγός, μά-
λα ὀξέως τὰς ναῦς ἐπληροῦτο, καὶ τοὺς τριηράρχους ἠνάγ-
καζε. προσέλαβε δὲ παρὰ τῶν ἀθηναίων καὶ εἴπου τις
ναῦς περὶ τὴν ἀττικὴν ἔπλει. καὶ τὴν πάραλον, καὶ
τὴν σαλαμινίαν, λέγων, ὡς ἐὰν τἀκεῖ καλῶς γένηται,
πολλὰς αὐτοῖς ναῦς ἀποπέμψοι. καὶ ἐγένοντο αὐτῷ αἱ ἅ-
πασαι περὶ ἑβδομήκοντα. ἐν δὲ τῷ τοιούτῳ χρόνῳ οἱ
κερκυραῖοι οὕτω σφόδρα ἐπείνων, ὥστε διὰ τὸ πλῆθος
τῶν αὐτομολούντων, ἐκήρυξεν ὁ μνάσιππος πεπρᾶσθαι
ὅστις αὐτομολοίη. ἐπεὶ δὲ οὐδὲν ἧττον ηὐτομόλουν, τε-
λευτῶν, καὶ μαστιγῶν, ἀπέπεμπεν. οἱ μέντοι ἔνδοθεν τούς
τε δούλους οὐκ ἐδέχοντο πάλιν εἰς τὸ τεῖχος, ἀλλὰ
πολλοὶ ἔξω ἀπέθνησκον. ὁ δ' αὖ μνάσιππος ὁρῶν ταῦ-
τα, ἐνόμιζέ τε ὅσον οὐκ ἤδη ἔχειν τὴν πόλιν, καὶ περὶ
τοὺς μισθοφόρους ἐκαινούργει. καὶ τοὺς μέν τινας αὐτῶν,
ἀπομίσθους ἐπεποιήκει. τοῖς δ' οὖσι, καὶ δυοῖν ἤδη μηνοῖν
ὤφειλε τὸν μισθόν, οὐκ ἀπορῶν ὡς ἐλέγετο χρημάτων. ἐπεὶ
γὰρ τῶν πόλεων αἱ πολλαί, ἀργύριον ἀντὶ τῶν ἀνδρῶν
αὐτῷ ἔπεμπον, ἅτε καὶ διαποντίου τῆς στρατιᾶς οὔσης. κα-
τιδόντες δὲ ἀπὸ τῶν πύργων οἱ ἐκ τῆς πόλεως, τάς τε φυ-
λακὰς χεῖρον ἢ πρόσθεν φυλαττομένας, ἐσπαρμένους
τε κατὰ τὴν χώραν τοὺς ἀνθρώπους, ἐπεκδραμόντες, τοὺς
μέν τινας αὐτῶν ἔλαβον, τοὺς δὲ κατέκοψαν. αἰσθόμε-
νος δὲ ὁ μνάσιππος αὐτός τε μὲν ὡπλίζετο, καὶ ὅσους
εἶχεν ὁπλίτας, ἅπασιν ἐβοήθει. καὶ τοὺς λοχαγούς, καὶ τοὺς
ταξιάρχας, ἐξάγειν ἐκέλευε τοὺς μισθοφόρους. ἀποκρι-
ναμένων δέ τινων λοχαγῶν, ὅτι οὐ ῥᾴδιον εἴη μὴ διδι-
δόντα τὰ ἐπιτήδεια, πειθομένους παρέχειν, τὸν μέν
τινα, βακτηρίᾳ· τὸν δὲ τῷ σαυρωτῆρι ἐπάταξεν. οὕτω
μὲν δὴ ἀθύμως ἔχοντες, καὶ μισοῦντες αὐτόν, συνεξ-
ῆλθον ἅπαντες, ὅπερ ἥκιστα εἰς μάχην συμφέρει. ὁ δ'
ἐπεὶ παρετάξατο, αὐτὸς μὲν τοὺς κατὰ τὰς πύλας τῶν πο-
λεμίων τρεψάμενος, ἐπεδίωκεν. οἱ δ' ἐπεὶ ἐγγὺς τοῦ
τείχους ἐγένοντο, ἀνεστρέφοντό τε, καὶ ἀπὸ τῶν μνημάτων
ἔβαλλον,

ἔβαλλον καὶ ἠκόντιζον. ἄλλοι δ' ἐκδραμόντες καθ' ἑτέ-
ρας πύλας, ἐπετίθεντο ἀθρόοι τοῖς ἐσχάτοις. οἱ δ' ἐπ' ὀ-
κτὼ τεταγμένοι, ἀσθενὲς νομίσαντες τὸ ἄκρον τῆς φά-
λαγγος ἔχειν, ἀναστρέφειν ἐπειρῶντο. ὡς δ' ἤρξαντο ὑ-
παναχωρεῖν, οἱ μὲν πολέμιοι ὡς φεύγουσιν ἐπέθεντο,
οἱ δ' οὐκέτι ἐπανέστρεψαν. καὶ οἱ ἐχόμενοι δ' αὐτῶν εἰς
φυγὴν ὥρμων. ὁ δὲ Μνάσιππος οὐκ ἐδύνατο βοηθεῖν, διὰ
τοὺς ἐκ τοῦ κατ' ἀντικρὺ προσκειμένους, ἀεὶ δὲ ἐλείπετο
σὺν ἐλάττοσι. τέλος δὲ οἱ πολέμιοι ἀθρόοι γενόμενοι, πάν-
τες ἐπιτίθενται τοῖς περὶ τὸν Μνάσιππον, ἤδη μάλα ὀλί-
γοις οὖσι. καὶ οἱ ὁπλῖται ὁρῶντες τὸ γιγνόμενον, ἐπεξῄε-
σαν. ἐπεὶ δ' ἐκεῖνον ἀπέκτειναν, ἐδίωκον ἤδη ἅπαν-
τες. ἐκινδύνευσαν δ' ἂν καὶ τὸ στρατόπεδον ἑλεῖν σὺν
τῷ χαρακώματι, εἰ μὴ διώκοντες τὸν ἀγοραῖόν τε ὄχλον
ἰδόντες, καὶ τὸν τῶν θεραπόντων, καὶ τὸν τῶν ἀνδραπόδων,
οἰηθέντες ὄφελός τι αὐτῶν εἶναι, ἀπεστρέφοντο. καὶ τότε
μὲν τρόπαιόν τε ἔστησαν οἱ Κερκυραῖοι, καὶ τοὺς νεκροὺς
ὑποσπόνδους ἀπεδίδοσαν. ἐκ δὲ τούτου οἱ μὲν ἐν τῇ πό-
λει ἐρρωμενέστεροι ἐγεγένηντο. οἱ δ' ἔξω ἐν πάσῃ δὴ ἀθυ-
μίᾳ ἦσαν. καὶ γὰρ ἐλέγετο ὅτι Ἰφικράτης τε ὅσον οὐκ ἤδη
παρείη, καὶ οἱ Κερκυραῖοι δὲ τῷ ὄντι ναῦς ἐπλήρουν. Ὑπερ-
μένης δέ, ὃς ἐτύγχανεν ἐπιστολιαφόρος τῷ Μνασίππῳ
ὤν, τό τε ναυτικὸν πᾶν ὅσον ἦν ἐκεῖ, συνεπλήρωσε. καὶ
περιπλεύσας πρὸς τὸ χαράκωμα, τὰ πλοῖα πάντα γε-
μίσας τῶν ἀνδραπόδων, καὶ τῶν χρημάτων, ἀπέστει-
λεν. αὐτὸς δὲ σύν τε τοῖς ἐπιβάταις, καὶ τοῖς περισω-
θεῖσι τῶν στρατιωτῶν, διεφύλαττε τὸ χαράκωμα. τέλος
δὲ καὶ οὗτοι μάλα δὴ τεταραγμένοι ἀναβάντες ἐπὶ τὰς
τριήρεις, ἀπέπλεον, πολὺν μέν τι σῖτον, πολὺν δὲ οἶ-
νον, πολλὰ δὲ ἀνδράποδα, καὶ ἀσθενοῦντας στρατιώτας
καταλιπόντες. δεινῶς γὰρ ἐπεφόβηντο μὴ καταληφ-
θεῖεν ὑπὸ τῶν Ἀθηναίων ἐν τῇ νήσῳ. καὶ ἐκεῖνοι μὲν εἰς
Λευκάδα ἀπεσώθησαν. ὁ δὲ Ἰφικράτης ἐπεὶ ἤρξατο τοῦ
περίπλου, ἅμα μὲν ἔπλει, ἅμα δὲ πάντα ὅσα εἰς ναυ-
μαχίαν παρεσκευάζετο. εὐθὺς μὲν γὰρ τὰ μεγάλα ἱστία αὐτοῦ
κατέλιπεν, ὡς ἐπὶ ναυμαχίαν πλέων. καὶ τοῖς ἀκατίοις δὲ
καὶ εἰ ἔφορον πνεῦμα εἴη, ὀλίγα ἐχρῆτο. τῇ δὲ κώπῃ τὸν
πλοῦν ποιούμενος, ἄμεινόν τε τὰ σώματα ἔχειν τοὺς ἄν-
δρας, καὶ ἄμεινον τὰς ναῦς πλεῖν ἐποίει. πολλάκις δὲ καὶ
ὅποι μέλλοι ἀριστοποιεῖσθαι τὸ στράτευμα, ἢ δειπνοποιεῖ-
σθαι, ἐπανήγαγεν ἂν τὸ κέρας ἀπὸ τῆς γῆς, κατὰ ταῦτα τὰ
χωρία. ἐπεὶ δ' ἀντιστρέψας ἂν, καὶ ἀντιπρῴρους καταστή-
σας τὰς τριήρεις ἀπὸ σημείου, ἀφίει ἀνθαμιλλᾶσθαι εἰς τὴν
γῆν, μέγα δὴ νικητήριον ἦν, τὸ πρώτους καὶ ὕδωρ λα-
βεῖν, καὶ εἴ του ἄλλου ἐδέοντο, καὶ πρώτους ἀριστῆσαι. τοῖς
δ' ὑστάτοις ἀφικνουμένοις, μεγάλη ζημία ἦν, τό τε ἐλατ-
τοῦσθαι πᾶσι τούτοις, καὶ ὅτι ἀνάγεσθαι ἅμα ἔδει ἐπεὶ
σημήνειαν. συνέβαινε γὰρ τοῖς μὲν πρώτοις ἀφικνου-
μένοις, καθ' ἡσυχίαν ἅπαντα ποιεῖν. τοῖς δὲ τελευταί-
οις διὰ σπουδῆς. φυλακάς γε μὴν εἰ τύχοι ἐν τῇ πολε-
μίᾳ ἀριστοποιούμενος, τὰς μὲν ἐν τῇ γῇ ὥσπερ προσή-
κει καθίστη. ἐν δὲ ταῖς ναυσὶν αἰρόμενος αὖ τοὺς ἱστοὺς,
ἀπὸ τούτων ἐσκόπει. πολὺ οὖν ἐπὶ πλεῖον οὗτοι καθεώρων,
ἢ οἱ ἐκ τοῦ ὁμαλοῦ ἀφ' ὑψηλοτέρου καθορῶντες. ὅπου δὲ
δειπνοποιοῖτο, καὶ καθεύδοι, ἐν μὲν τῷ στρατοπέ-
δῳ, πῦρ νύκτωρ οὐκ ἔκαε. πρὸ δὲ τοῦ στρατεύματος,
φῶς

iaculis ac sagittis insequentes ulciscebantur.
Alij uero diuersis excurrentes portis, colle-
ctiq; uehementer nouissimos urgebant. Qui
cum propter loci angustias phalangem exte-
nuassent, inualidamq; reddidissent, abire inte-
bantur: sed cum retrocedere inchoassent, Cer-
cyraei eis tanquam fugientibus instabant: at illi
minime se conuertebant, sed iam fugam circun
spiciebant. Mnasippus uero illis, cum & ab
10 alia parte urgeretur, succurrere haud poterat:
milites quoq; assidue ab eo dilabebantur. Tan
dem hostes collecti omnes, qui pauci erant, cir
ca Mnasippum, opprimunt. Id cum grauis ar
maturae uidissent milites, ipsi quoq; pedem re-
ferunt, & tandem omnes in fugam uertuntur,
parumq; abfuit quin castris quoq; exuerentur.
Verùm Cercyraei cum turbam lixarum, seruo-
rum ac mancipiorum à longe uidissent, illos in
auxilium aduentare rati, receptui cecinere, ere
20 ctoq; trophaeo mortuos per inducias reddide-
re. Inde obsessi animos erigere coeperunt. La-
cedaemonij uero ingenti premebantur tristi-
tia: siquidem Iphicrates non tantum cum clas-
se adesse ferebatur, sed Cercyrenses quoq; naui
bus instruendis operam impendere: quapro-
pter legatus Mnasippi qui euaserat, classem
ad uallum circumegit, inde nauigijs mancipijs
et pecunijs onusta dimisit: ipse uerò cum ascen
soribus & qui euaserant militibus, uallum ser
30 uabat. Tandem hi quoq; timore perculsi, con-
scensis triremibus abierunt, copioso frumento,
multo uino, mancipijs & militibus infirmis
quamplurimis derelictis: uehementer enim ti-
mebant, ne ab Atheniensibus in insula depre-
henderentur. Et illi quidem in Leucadem se re
cepere. Iphicrates uerò cum nauigare coepis-
set, inter nauigandum omnia pugnae naualis ne
cessaria expediebat, assiduéq; maioribus depo
sitis malis, certamini nauali se accingebat.
40 Quod si uentum sequundum nactus fuisset, mi
nime illo utebatur, sed remis tantum agebatur:
eo siquidem pacto militum corpora exercebat,
nauesq; multo agiliores reddebat. Saepius quo
que ubi exercitus prandere seu coenare debe-
ret, cornua à terra obuertebat: cumq; naues cir-
cumegisset, ac dato signo proras ex aduerso con
stituisset, primores aquatum, uel si alterius rei
indigi essent, in terrā dimittebat, prandereq;
et aquam sumere iubebat. Qui uero ultimo ap
50 plicabant loco, tali afficiebantur poena, ut no
uissimi in terram descenderent, ac dato signo
iterum naues conscenderent: eo enim accide-
bat pacto, ut primi cuncta per quietem expedi
rent, ultimi uero omnia cum festinatione agere
cogerentur. Stationes quoq; cum in hosticum
descendebat, non solum, ut decebat, in terra cō
stituebat, sed & ab erectis malis speculari iu-
bebat: siquidē ab his melius quàm à terra pro
spectus patebat. Cum uero coenandi, aut dormi
endi tempus instabat, nullus in castris lucebat

L a ignis

ignis, sed ante illa, ne quis clàm accedere pos/
set, accēsus erat. Sæpius quoq; cū trāquillitas in
cidebat, cōfestim sumpta cœna discedebat: et si
aura spiraret, nautæ per quietē nauigabāt: si ue
ro remis naues impellere cogerentur, dimidia
pars laborabat, altera uero quiescebat. Diur/
na uerò nauigatione dato signo iam in cornua
classem procēdebat, inde phalāge pcedebat, ita
ut pariter nauigaret: simulq; classē exerceret,
ac omniū animos ad futurū certamē præpara/
ret. Frequēterq; in hosticū descēdit, ea solū ra
tione, ut milites nihil sine cura ac ratione face/
re cōsuescerent. De Mnasippi uero morte, pri/
mū cum circa Sphageas in Laconia esset, audi
uit. Verū cum Eleā applicuisset, ad Alphei fau
ces nauigauit, et ad locū q Piscis appellatur, p
cessit, unde postridie Cephaleniā cōtendit, ac
structa acie tanquā pugna nauali decertaturus
ferebatur. Vbi cū nihil de Mnasippi morte au/
diuisset, suspicatus id fallēdi animo ab hostib.
confictū esse, cautius iter agebat. Postq̄ uerò in
Cephaleniā trājmisit, apte quæ gesta erāt, audi
uit, exercitūq; aliquātisper recreauit. Et q̄uis
nō ignorē hæc oīa, hisq; similia, duces cū pu/
gna nauali sint cōflicturi, præmeditari debere:
illud tamē laude dignū cēseo, cum quis ad ho
stes accelerare cogitur, nō tamē inter nauigan
dū aliquid obliuiscatur, qđ ad certamē futurū
ptinere uideatur: aut si minus cōsiderate cūcta
exequitur, tardius quod cōstituerat iter facere
cōpellatur. Cū igitur ciuitates Cephaleniæ sub
egisset, Corcyrā nauigāt: ubi audiuit decem ad
uētare triremes, quæ ab Dionysio Lacedæmo
nijs auxilio mittebātur: quapropter cōsiderato
loco, ex quo quamlongissime prospectus pate/
ret, ibi speculatores cōstituit, quib. iniunxit pri
mū cum naues à lōge cernerēt, signū darent.
Trierarchos uero uiginti elegit, quos ad præ/
conis uocē celeriter subsequi iussit. Si quis mi/
nimè parēret, hunc se impunitū haud derelictu
rū cōminatus est. At cū dato signo hostes ad/
uētare cognitū esset, præcōisq; uox audita, spe
ctatu digna festinatio uisa est: nemo nō. n. eorū
qui naues ascēdebat, cursu ferebatur. Iphicra/
tes igitur hostili classi obuiā pgit: quā uacuam
nactus, nā milites in terrā descenderant, naues
oēs necnon uiros in suā redegit potestatē, præ
ter Melanippū Rhodium, qui alijs quoq; suase
rat ne ibi starent, & sua excesserat naui. Hic
itaq; salutus e manibus Iphicratis euasit. Et Iphi
crates Syracusanorum naues detruncatis pro
ris in Corcyræorū perduxit portum: uiris uerò
cunctis argenti summam, qua se liberare pos/
sent, constituit. Anippum uerò arctius custodi
ebat, ut uel pecuniā ingentē ab eo exigeret, uel
p seruo uēderet. At ille præ mœstitia sibi mor/
tem cōsciuit. Reliquos oēs Iphicrates, cū Cor/
cyrenses se pecuniarū sponsores præstitissent,
liberos dimisit. Inde nautas Corcyrensibus ut
terram colerent reliquit. Cum cetratis uero ac
gra/

φῶς ἐποίει, ἵνα μηδεὶς λάθῃ προσιών. πολλάκις δὲ εἰ εὐ-
δία εἴη, εὐθὺς δειπνήσας, ἀνήγετο. καὶ εἰ μὲν αὔρα φέροι,
θέοντες ἅμα ἀνεπαύοντο. εἰ δὲ ἐλαύνειν δέοι, παρὰ μέρος
τοὺς ναύτας ἀνέπαυεν. ἐν δὲ τοῖς μεθ᾽ ἡμέραν πλοῖς, ἀπὸ ση-
μείων τότε μὲν ἐπὶ κέρως ἦγε, τότε δ᾽ ἐπὶ φάλαγγος.
ὥστε ἅμα μὲν ἔπλεον, ἅμα δὲ πάντα ὅσα εἰς ναυμαχίαν
καὶ ἠσκηκότες, καὶ ἐπιστάμενοι εἰς τὴν τῶν πολεμίων
ὡς ᾤοντο κατεχομένην θάλασσαν ἀφικνοῦντο. καὶ τὰ
μὲν πολλὰ ἐν τῇ πολεμίᾳ καὶ ἠρίστων, καὶ ἐδείπνουν,
διὰ τὸ τἀναγκαῖα μόνον πράσσειν, καὶ τὰς βοηθείας ἔφ-
θασεν ἀναγόμενος, καὶ ταχὺ ἐπέραινε. περὶ δὲ τὸν Μνα-
σίππου θάνατον, ἐτύγχανεν ὢν τῆς Λακωνικῆς περὶ τὰς
Σφαγίας. εἰς τὴν Ἠλείαν δὲ ἀφικόμενος, καὶ παραπλεύ-
σας εἰς τὸ τοῦ Ἀλφειοῦ στόμα, ὑπὸ τὸν Ἰχθῦν καλούμενον ὡρ-
μίσατο. τῇ δ᾽ ὑστεραίᾳ ἐντεῦθεν ἀνήγετο ἐπὶ τῆς Κεφαλ-
ληνίας, οὕτω καὶ τεταγμένος, καὶ τὸν πλοῦν ποιούμενος, ὡς
εἰ δέοι πάντα ὅσα χρὴ παρασκευασάμενος ναυμαχοίη.
καὶ γὰρ τὰ περὶ τοῦ Μνασίππου αὐτόπτου μὲν οὐδενὸς
ἠκηκόει, ὑπώπτευε δὲ μὴ ἀπάτης ἕνεκεν λέγοιτο, καὶ ἐ-
φυλάττετο. ἐπεὶ μέντοι ἀφίκετο εἰς τὴν Κεφαλληνίαν,
ἐνταῦθα δὴ σαφῶς ἐπύθετο, καὶ ἀνέπαυε τὸ στράτευ-
μα. οἶδα μὲν οὖν ὅτι ταῦτα πάντα, ὅταν οἴωνται ναυ-
μαχήσειν ἄνθρωποι, καὶ ἀσκεῖται, καὶ μελετᾶται. ἀλλὰ
τοῦτο ἐπαινῶ, ὅτι ἐπεὶ ἀφικέσθαι ταχὺ ἔδει ἔνθα τοῖς
πολεμίοις ναυμαχήσειν ᾤετο, ηὕρατο ὅπως μήτε διὰ τὸν
πλοῦν ἀνεπιστήμονας εἶναι τῶν εἰς ναυμαχίαν, μήτε διὰ
τὸ ταῦτα μελετᾶν, βραδύτερόν τι ἀφικέσθαι. καταστρε-
ψάμενος δὲ τὰς ἐν τῇ Κεφαλληνίᾳ πόλεις, ἔπλευσεν
εἰς Κέρκυραν. ἐκεῖ δὲ πρῶτον μὲν ἀκούσας ὅτι προσπλέ-
οιεν δέκα τριήρεις παρὰ Διονυσίου βοηθήσουσαι τοῖς Λακε-
δαιμονίοις, αὐτὸς ἐλθὼν, καὶ σκεψάμενος τῆς χώρας, ὅθεν
τούς τε προσπλέοντας δυνατὸν ἦν ὁρᾶν, καὶ τοὺς σημαίνον-
τας εἰς τὴν πόλιν καταφανεῖς εἶναι, ἐνταῦθα κατέστησε
τοὺς σκοπούς. κἀκείνοις μὲν συνέθετο, προσπλεόντων τε,
καὶ ὁρμούντων ὡς δέοι σημαίνειν. αὐτὸς δὲ τῶν τριηράρχων
προσέταξεν εἴκοσιν, οὓς δεήσει, ἐπεὶ κηρύξειεν ἀκολου-
θεῖν. εἰ δέ τις μὴ ἀκολουθήσοι, προεῖπε μὴ μέμψεσθαι τὴν δί-
κην. ἐπεὶ δ᾽ ἐσημάνθη προσπλέουσαι, καὶ ἐκηρύχθη, ἀ-
ξία ἐγένετο θέας ἡ σπουδή. οὐδεὶς γὰρ ὅστις οὐ δρόμῳ τῶν μελ-
λόντων πλεῖν, εἰσέβη εἰς τὰς ναῦς. πλεύσας δὲ ἔνθα ἦσαν
αἱ πολέμιαι τριήρεις, καταλαμβάνει ἀπὸ μὲν τῶν ἄλλων
τριήρεων, εἰς τὴν γῆν τοὺς ἄνδρας ἐκβεβηκότας. Μελά-
νιππος μέντοι ὁ Ῥόδιος τοῖς τε ἄλλοις συνεβούλευε μὴ
μένειν ἐνταῦθα, καὶ αὐτὸς πληρωσάμενος τὴν ναῦν, ἐξέ-
πλει. ἐκεῖνος μὲν οὖν, καίπερ ἀπαντῶν ταῖς Ἰφικράτους
ναυσίν, ὅμως ἀπέφυγεν. αἱ δὲ ἀπὸ Συρακουσῶν νῆες ἅπα-
σαι ἑάλωσαν αὐτοῖς ἀνδράσιν. ὁ μέντοι Ἰφικράτης τὰς
μὲν τριήρεις ἀκρωτηριασάμενος, ἕλκων κατηγάγετο
εἰς τὸν Κερκυραίων λιμένα. τῶν δὲ ἀνδρῶν συνέβη ἑκά-
στῳ τακτὸν ἀργύριον ἀποτῖσαι, πλὴν Ἀνίππου τοῦ ἄρ-
χοντος. τοῦτον δ᾽ ἐφύλαττεν, ὡς ἢ πραξόμενος πάμπολ-
λα χρήματα, ἢ ὡς πωλήσων. κἀκεῖνος μὲν ὑπὸ λύπης
θανάτῳ αὐθαιρέτῳ ἀποθνήσκει. τοὺς δ᾽ ἄλλους ὁ Ἰφι-
κράτης ἀφῆκε, Κερκυραίους ἐγγυητὰς δεξάμενος τῶν
χρημάτων. καὶ τοὺς μὲν ναύτας γεωργοῦντας τοῖς Κερ-
κυραίοις τὸ πλεῖστον διέτρεφε. τοὺς δὲ πελταστάς, καὶ τοὺς
ἀπὸ

ἀπὸ τῶν νεῶν ὁπλίτας ἔχων, διέβαινεν εἰς τὴν Ἀκαρνανίαν. καὶ ἐκεῖ ταῖς μὲν φιλίαις πόλεσιν ἐπεκούρει, εἴ τις τι δέοιτο. Θυρεῦσι δὲ μάλα καὶ ἀνδράσιν ἀλκίμοις, καὶ χωρίον καρτερὸν ἔχουσιν, ἐπολέμει. καὶ τὸ ἀπὸ Κερκύρας ναυτικὸν προσλαβὼν, σχεδὸν περὶ ἐνενήκοντα ναῦς, πρῶτον μὲν εἰς Κεφαλληνίαν πλεύσας, χρήματα ἐπράξατο, τὰ μὲν παρ' ἑκόντων, τὰ δὲ παρ' ἀκόντων. ἔπειτα δὲ παρεσκευάζετο τήν τε τῶν Λακεδαιμονίων χώραν κακῶς ποιεῖν, καὶ τῶν ἄλλων τῶν κατ' ἐκεῖνα πόλεων πολεμίων οὐσῶν, τὰς μὲν ἐθελούσας προσλαμβάνειν, τοῖς δὲ μὴ πειθομένοις, πολεμεῖν. ἐγὼ μὲν δὴ ταύτην τὴν στρατηγίαν τῶν Ἰφικράτους οὐχ ἥκιστα ἐπαινῶ. ἔπειτα καὶ τὸ προσελέσθαι κελεῦσαι ἑαυτῷ Καλλίστρατόν τε τὸν δημηγόρον οὐ μάλα ἐπιτήδειον ὄντα, καὶ Χαβρίαν μάλα στρατηγὸν νομιζόμενον. εἴτε γὰρ φρονίμους αὐτοὺς ἡγούμενος εἶναι συμβούλους λαβεῖν ἐβούλετο, σῶφρόν μοι δοκεῖ διαπράξασθαι, εἴτε ἀντιπάλους νομίζων οὕτω θρασέως, μήτε καταῤῥᾳθυμῶν, μήτε καταμελῶν φαίνεσθαι μηδὲν, μεγαλοφρονοῦντος ἐφ' ἑαυτῷ, τοῦτό μοι δοκῶ ἀνδρὸς εἶναι. κἀκεῖνος μὲν δὴ ταῦτ' ἔπραττεν. οἱ δὲ Ἀθηναῖοι ἐκπεπτωκότας μὲν ὁρῶντες ἐκ τῆς Βοιωτίας Πλαταιέας φίλους ὄντας, καὶ καταπεφευγότας πρὸς αὐτοὺς, ἱκετεύοντας δὲ Θεσπιέας μὴ σφᾶς περιιδεῖν ἀπόλιδας γενομένους, οὐκέτι ἐπῄνουν τοὺς Θηβαίους, ἀλλὰ πολεμεῖν μὲν αὐτοῖς τὰ μὲν ᾐσχύνοντο, τὰ δὲ ἀσύμφορον εἶναι ἐλογίζοντο. κοινωνεῖν γε μὴν αὐτοῖς ὧν ἔπραττον, οὐκέτι ἤθελον, ἐπεὶ ἑώρων στρατεύοντάς τε αὐτοὺς ἐπὶ φίλους ἀρχαίους τῇ πόλει Φωκέας, καὶ πόλεις πιστάς τε ἐν τῷ πρὸς τὸν βάρβαρον πολέμῳ, καὶ φίλας ἑαυτοῖς ἀφανίζοντας. ἐκ δὲ τούτων ψηφισάμενος ὁ δῆμος εἰρήνην ποιήσασθαι, πρῶτον μὲν εἰς Θήβας πρέσβεις ἔπεμψαν παρακαλοῦντας ἀκολουθεῖν, εἰ βούλοιντο, εἰς Λακεδαίμονα περὶ εἰρήνης. ἔπειτα δὲ ἐξέπεμψαν καὶ αὐτοὶ πρέσβεις. ἦν δὲ τῶν αἱρεθέντων Καλλίας Ἱππονίκου, Αὐτοκλῆς Στρομβιχίδου, Δημόστρατος Ἀριστοφῶντος, Ἀριστοκλῆς Κηφισοδότου, Μελάνωπος Λυκάνθου. ἐπεὶ δὲ προσῆλθον ἐπὶ τοὺς ἐκκλήτους τε τῶν Λακεδαιμονίων, καὶ τῶν συμμάχων, Καλλίστρατος δὲ ὁ δημηγόρος παρῆν. ὑποσχόμενος γὰρ Ἰφικράτει, εἰ αὐτὸν ἀφείη, ἢ χρήματα πέμψειν τῷ ναυτικῷ, ἢ εἰρήνην ποιήσειν, οὕτως Ἀθήνησί τε ἦν, καὶ ἔπραττε περὶ εἰρήνης. ἐπεὶ δὲ κατέστησαν ἐπὶ τοὺς ἐκκλήτους τε τῶν Λακεδαιμονίων, καὶ τοὺς συμμάχους, πρῶτος ἔλεξεν αὐτῶν Καλλίας ὁ δᾳδοῦχος. ἦν δ' οὗτος οἷος μηδὲν ἧττον ἥδεσθαι ὑφ' αὑτοῦ, ἢ ὑπ' ἄλλων ἐπαινούμενος. καὶ τότε δὴ ἤρξατο ὧδέ πως.

ΔΗΜΗΓΟΡΙΑ ΚΑΛΛΙΟΥ.

Ὦ ἄνδρες Λακεδαιμόνιοι, τὴν μὲν προξενίαν ὑμῶν οὐκ ἐγὼ μόνος, ἀλλὰ καὶ πατρὸς πατὴρ πατρῴαν ἔχων παρεδίδου τῷ γένει. βούλομαι δὲ ὑμῖν καὶ τοῦτο δηλῶσαι, ὡς ἔχουσα ἡ πόλις διατελεῖ πρὸς ἡμᾶς. ἐκείνη μὲν γὰρ ὅταν πόλεμος ᾖ, στρατηγοὺς ἡμᾶς αἱρεῖται. ὅταν δὲ ἡσυχίας ἐπιθυμήσῃ, εἰρηνοποιοὺς ἡμᾶς ἐκπέμπει. κἀγὼ πρόσθεν δὶς ἤδη ἦλθον περὶ πολέμου καταλύσεως, καὶ ἐν ἀμφοτέραις ταῖς πρεσβείαις, διεπραξάμην καὶ ἡμῖν καὶ ὑμῖν εἰρήνην. νῦν δὲ τρίτον ἥκω, καὶ ἡγοῦμαι πολὺ δικαιότατα νῦν ἂν διαλλαγῆς τυχεῖν. ὁρῶ γ' οὐκ ἄλλα

μὲν

grauis armaturæ militibus in Acarnaniam transgressus est, ac ciuitatibus amicis si quid indigerent præsto erat: Thyrensibusq; uiris fortissimis, ac loci opportunitate fretis, bellum intulit. Inde classem quasi nonaginta nauium ab Cercyra accersiuit, ac in Cephaleniam delatus pecunias tam à uoluntarijs quam ab inuitis exegit. Inde Lacedæmoniorum fines, sociasq; illorum ciuitates aggredi statuit, & uoluntarias in ditionem suscipere, resistentes uero debellare. Proinde hanc Iphicratis expeditionem haud mediocri laude dignam arbitror: plus tamen extollendum quod Callistratum non admodum idoneum, Chabriamq; rei militaris expertissimum, sibi in agendis rebus socios attribui precatus est. Si enim eos quoniam prudentia excellere credebat sibi consiliarios acciuit, sapienter mihi egisse uidetur: sin uero quod aduersarios censebat, rebus tamen agendis præsentes esse desiderabat, ut plane cernere possent eum nihil per contemptum, temeritatem uel superbiam agere, magnanimi mihi uiri officio functus esse uidetur. Et ille siquidem ijs incumbebat. Athenienses interim cum amicos suos Platæenses Bœotia excidisse, ad eosq; confugisse cernerent: Thespienses uero rogantes ne urbe expulsi negligerentur: non amplius Thebanorum placebant acta: uerum ne illis bellum inferrent, partim uerecundia prohibebantur, partim uero quod inuanum se nisuros intelligerent, à bello abstinebant. Verum tamen cum illos ciuitatibus Phocaicis ac ueteribus amicis, quiq; in bello contra barbaros gesto egregiam nauassent operam, arma inferre uiderent, amplius illis consentire noluerunt. Populus igitur pacem faciendam esse decreuit. Primo itaque Thebas legatos mittunt, illisq; denunciarunt, si ita uisum esset, pro pace firmanda se Lacedæmonem sequerentur. Inde Lacedæmonem quoque legati missi sunt, Callias Hipponici, Autocles Strombichidis, Demostratus Aristophontis, Aristocles Cephisodoti, Melanopos Lycanthi filius. Aderat & Callistratus orator: siquidem Iphicrati, si eum dimisisset, promiserat, aut pecunias ad rem naualem se missurum, aut pacem conciliaturum. Cum igitur legati irent, ille Athenis erat, ac sedulò de pace agebat. Vbi uero ad concilium Lacedæmoniorum ac sociorum producti essent, Callias qui inter illos claritate ac gloria excellebat, ita uerba fecit:

CALLIAS ORATIO.

Viri Lacedæmonij, hospitij iure non solùm ego uobis deuinctus sum, sed & patris pater, cum hoc à patre accepisset generi ac posteris per manus tradidit. Sorte quoque euenit quadam, ut in bello à ciuitate duces creentur: cum uero illa pacis tenetur desiderio, ad eam conciliandam potissimum nos legati mittamur. Proinde iam bis pro dissoluendo bello huc concessi, in ambabusq; legationibus inter uos & nos pacem sanciui. Nunc uero tertio adueni, reorq; æquissimã nunc reconciliationẽ me consecuturum. Cerno etenim haud secus

uos

uos quàm nos affectos esse, & æquè captiuitatem Platæensium ac Thespiensium ægerrime ferre. Nõ ne igitur cum ita utrinq; sentiamus, potius amicos quam hostes esse decet? A T Q V I ad sapientes spectat quandoq; bellum soluere, etiamsi non parua intercessserit offensa. Nos uerò cum adeo unanimiter sentiamus, quid mirum si pacem bello præferamus? quamuis iustius fuisset, nos mutuem armis nunquam dimicasse. Nam, ut fertur, Triptolemus progenitor noster, Cereris ac Proserpinæ arcana sacra, ex peregrinis Herculi duci uestro, Castori quoque ac Polluci ciuibus uestris primo ostendit, ac Cereris frugẽ primo in Peloponneso seminandam tradidit. Quo igitur pacto æquum aut iustum esse potest, uos à quib. olim semina accepistis, ad illorũ fruges deuastãdas pergere? seu nos quibus tradidimus eadẽ moliri? maxime cũ ideo à maioribus nostris semina uestris sint cõmissa, ut maxima illius abundantia frui possent. Si itaq; fatis ac deorũ uoluntate bellũ inter homines quandoq; concitatur, decet sub initium illi totis incumbere uiribus: inde eo peracto, si possibile est, quamcelerrime soluere. Post hunc Autocles rhetor acerrimus ita disseruit:

AVTOCLIS ORATIO.

Viri Lacedæmonij, quamuis non ignorem ea quæ dicturus sum uobis haud admodũ iucunda audiu fore, existimo tamen cum amicitia quæ diuturno sit permansura tempore, sit sancienda, ostendẽdum primo esse quæ potissima belli causa extiterit. Proinde uos semper ciuitates liberas esse oportere prædicatis, cum maxime uos libertati illarũ impedimento sitis: siquidem id primum cum amicis agitis urbibus, ut uos quocunq; ducatis sequantur. Nunquid hoc libertati conuenit? Hostes quoq; ex libito, nulla sociorum habita ratione, facitis. Inde euenit, ut illos quos liberos appellatis, sæpius aduersum optime meritos militare cogatis: & quod maxime libertati contrarium est, hic decarchias, alibi uero triacontarchias constituitis: præfectorumq; illorum maximã curam geritis, nõ equidem ut legitime imperent, sed ut per uim ciuitates obtinere queant, adeo ut potius tyrannide q̃ ciuilitate oblectari uideamini. Porro cum Persarũ rex ciuitates liberas esse iussisset, maxime sentire uisi estis, ni Thebani ciuitates singulas sui iuris esse, & proprijs uti permisissent legibus, minime literis paruisse regijs. Verùm cum Cadmiã occupassetis, neq; Thebanis ipsis libertate frui concessistis. P R O I N D E oportet eos qui amici futuri sunt, non ab alijs quod dignũ iustũq; sit exigere, seipsos uerò ut potètia crescant, aliarũ rerum cupidissimos ostẽdere. Quæ cũ dixisset, silentiũ ab omnib. sequutũ est: & qui Lacedæmonijs infensi erãt, sermone hoc maxime oblectati sunt. Post hunc uero Callistratus ita uerba fecit:

CALLISTRATI ORATIO.

Quòd et à uobis q̃ Lacedæmonij summope erratũ nõ sit, minimè affirmare ausim: q̃uis nõ ita sentiã, ut errata aliquãdo utilitatẽ afferre nõ posse existimẽ. Siquidẽ neminẽ ex omni mortaliũ numero crimine carere cerno. Atq uidẽtur mihi erratis homi-

μὴ ὑμῖν, ἀλλὰ καὶ ἡμῖν δοκοῦντα. ἀλλ' ὑμᾶς τε ἀχθομένους, καὶ ἡμᾶς, τῇ πλαταιέων τε καὶ θεσπιέων ἀναιρέσει. πῶς οὖν οὐκ εἰκὸς τὰ αὐτὰ γιγνώσκοντας, φίλους μᾶλλον, ἢ πολεμίους εἶναι; καὶ σωφρόνων μὲν δήπου ἐστὶ μηδ' εἰ μικρὰ τὰ διαφέροντα εἴη, πόλεμον ἀναιρεῖσθαι. εἰ δὲ δὴ καὶ ὁμογνωμονοῖμεν, οὐκ ἂν πάνυ τῶν θαυμαστῶν εἴη μὴ εἰρήνην ποιεῖσθαι. δίκαιον μὲν οὖν ἦν μηδὲ ὅπλα ἐπιφέρειν ἀλλήλοις ἡμᾶς, ἐπεὶ λέγεται μὲν τριπτόλεμος ὁ ἡμέτερος πρόγονος τὰ δήμητρος καὶ κόρης ἄρρητα ἱερὰ πρῶτος ξένοις δεῖξαι, ἡρακλεῖ τε τῷ ὑμετέρῳ ἀρχηγέτῃ, καὶ διοσκούροιν τοῖν ὑμετέροιν πολίταιν. καὶ τοῦ δήμητρος δὲ καρποῦ εἰς πρώτην τὴν πελοπόννησον σπέρμα δωρήσασθαι. πῶς οὖν δίκαιον, ἢ ὑμᾶς παρ' ὧν ἐλάβετε σπέρματα, τὸν τούτων καρπόν ποτε ἐλθεῖν δηώσαντες, ἡμᾶς τε οἷς ἐδώκαμεν, μὴ οὐχὶ βούλεσθαι ὡς πλείστην τούτοις ἀφθονίαν τροφῆς γενέσθαι; εἰ δὲ ἄρα ἐκ θεῶν πεπρωμένον ἐστὶ πολέμους ἐν ἀνθρώποις γίνεσθαι, ἡμᾶς δὲ χρὴ ἄρχεσθαι μὲν αὐτοῦ ὡς σχολαίτατα. ὅταν δὲ γένηται, καταλύεσθαι ᾗ δυνατὸν τάχιστα. μετὰ τοῦτον αὐτοκλῆς μάλα δοκῶν ἐπιστρεφὴς εἶναι ῥήτωρ, ὧδε ἠγόρευεν.

ΔΗΜΗΓΟΡΙΑ ΑΥΤΟΚΛΕΟΥΣ.

Ἄνδρες λακεδαιμόνιοι, ὅτι μὲν ἃ μέλλω λέγειν, οὐ πρὸς χάριν ὑμῖν ῥηθήσεται, οὐκ ἀγνοῶ, ἀλλὰ δοκεῖ μοι οἵτινες βούλονται, ἣν ἂν ποιήσωνται φιλίαν, ταύτην ὡς πλεῖστον χρόνον διαμένειν, διδακτέον εἶναι ἀλλήλους τὰ αἴτια τῶν πολέμων. ὑμεῖς δὲ, ἀεὶ μὲν φατὲ ὡς αὐτονόμους τὰς πόλεις χρὴ εἶναι, αὐτοὶ δ' ἐστὲ μάλιστα ἐμποδὼν τῇ αὐτονομίᾳ. συντίθεσθε μὲν γὰρ πρὸς τὰς συμμαχίδας πόλεις τοῦτο πρῶτον ἀκολουθεῖν ὅποι ἂν ὑμεῖς ἡγῆσθε. καίτοι τί τοῦτο αὐτονομίᾳ προσήκει; ποιεῖσθε δὲ πολεμίους, οὐκ ἀνακοινούμενοι τοῖς συμμάχοις. καὶ ἐπὶ τούτους ἡγεῖσθε, ὥστε πολλάκις ἐπὶ τοὺς εὐμενεστάτους, ἀναγκάζονται στρατεύειν, οἱ λεγόμενοι αὐτόνομοι εἶναι. ἔτι δὲ τὸ πάντων ἐναντιώτατον αὐτονομίᾳ καθιστᾶτε, ἔνθα μὲν δεκαρχίας, ἔνθα δὲ τριακονταρχίας. καὶ τούτων ἀρχόντων ἐπιμελεῖσθε, οὐχ ὅπως νομίμως ἄρχωσιν, ἀλλ' ὅπως δύνωνται βίᾳ κατέχειν τὰς πόλεις. ὥστ' ἐοίκατε τυραννίσι μᾶλλον, ἢ πολιτείαις ἡδόμενοι. καὶ ὅτε μὲν βασιλεὺς προσέταττεν αὐτονόμους τὰς πόλεις εἶναι, μάλα γιγνώσκοντες ἐφαίνεσθε, ὅτι εἰ μὴ ἐάσοιεν οἱ θηβαῖοι ἑκάστην τῶν πόλεων ἄρχειν τε ἑαυτῆς, καὶ οἷς ἂν βούληται νόμοις χρῆσθαι, οὐ ποιήσουσι κατὰ τὰ βασιλέως γράμματα. ἐπεὶ δὲ παρελάβετε τὴν καδμείαν, οὐδ' αὐτοῖς θηβαίοις ἐπετρέπετε αὐτονόμους εἶναι. δεῖ δὲ τοὺς μέλλοντας φίλους ἔσεσθαι, οὐ παρὰ τῶν ἄλλων μὲν ἀξιοῦν τῶν δικαίων τυγχάνειν, αὐτοὺς δὲ ὅπως ἂν πλεῖστα δύνωνται, πλεονεκτοῦντας φαίνεσθαι. ταῦτ' εἰπὼν, σιωπὴν μὲν παρὰ πάντων ἐποίησεν. ἡδομένους δὲ τοὺς ἀχθομένους τοῖς λακεδαιμονίοις ἐποίησε. μετὰ τοῦτον δὲ καλλίστρατος ἔλεξεν.

ΔΗΜΗΓΟΡΙΑ ΚΑΛΛΙΣΤΡΑΤΟΥ.

Ἀλλ' ὅπως μὲν, ὦ ἄνδρες λακεδαιμόνιοι, οὐκ ἐγγεγένηται ἁμαρτήματα καὶ ἀφ' ἡμῶν, καὶ ἀφ' ὑμῶν, ἐγὼ μὲν οὐκ ἂν ἔχειν μοι δοκῶ εἰπεῖν. οὐ μέντοι οὕτω γιγνώσκω, ὡς τοῖς ἁμαρτάνουσιν οὐδέποτε ἔτι χρηστέον. ὁρῶ γὰρ τῶν ἀνθρώπων οὐδένα ἀναμάρτητον διατελοῦντα. δοκοῦσι δέ μοι καὶ εὐπορώτεροι ἐνίοτε γίγνεσθαι ἄνθρω-

ποι ἁμαρτανόντων. ἀλλ᾽ ὅμως τι, καὶ ἐὰν πολλαθῶσιν ὑπὸ τῶν ἁμαρτημάτων ὥσπερ ἡμεῖς. καὶ ὑμῖν δὲ ἔγωγε ὁρῶ διὰ τὰ ἀγνωμόνως πραχθέντα, ἔστιν ὅτε καὶ πολλὰ ἀντίτυπα γιγνόμενα, ὧν ἦν καὶ ἡ καταληφθεῖσα ἐν Θήβαις Καδμεία. νῦν γοῦν ὡς αὐτονόμους ἐσπουδάσατε τὰς πόλεις γενέσθαι, πᾶσαι πάλιν ἐπεὶ ἠδικήθησαν οἱ Θηβαῖοι, ἐπ᾽ ἐκείνοις γεγένηνται. ὥστε πεπαιδευμένους ὑμᾶς ὡς τὸ πλεονεκτεῖν ἀκερδές ἐστι, νῦν ἐλπίζω πάλιν μετρίους ἐν τῇ πρὸς ἀλλήλους φιλίᾳ ἔσεσθαι. ἃ δὲ βουλόμενοί τινες ἀποτρέπειν τὴν εἰρήνην διαβάλλουσιν, ὡς ἡμεῖς οὐ φιλίας δεόμενοι, ἀλλὰ φοβούμενοι μὴ Ἀνταλκίδας ἔλθῃ ἔχων παρὰ βασιλέως χρήματα, διὰ τοῦθ᾽ ἥκομεν, ἐνθυμήθητε ὡς φλυαροῦσι. βασιλεὺς μὲν γὰρ δήπου ἔγραψε πάσας τὰς ἐν τῇ Ἑλλάδι πόλεις αὐτονόμους εἶναι. ἡμεῖς δὲ ταὐτὰ ἐκείνῳ λέγοντές τε καὶ πράττοντες, τί ἂν φοβοίμεθα βασιλέα; ἢ τοῦτο οἴεταί τις, ὡς ἐκεῖνος χρήματα ἀναλώσας, ἄλλους μεγάλους ποιῆσαι μᾶλλον, ἢ ἄνευ δαπάνης ἃ ἔγνω ἄριστα εἶναι, ταῦτα ἑαυτῷ πεπρᾶχθαι; εἶεν. τί μὴν ἥκομεν; ὅτι μὲν οὐκ ἀπορούντων, γνοίητε ἄν, εἰ μὲν βούλεσθε πρὸς τὰ κατὰ θάλατταν ἰδόντων, εἰ δὲ βούλεσθε πρὸς τὰ κατὰ γῆν ἐν τῷ παρόντι. τί μὴν ἔστιν; δῆλον ὅτι εἰ τῶν συμμάχων τινὲς οὐκ ἀρεστὰ πράττουσιν ἡμῖν ἢ ὑμῖν ἀρεστά. ἴσως δὲ καὶ βουλοίμεθ᾽ ἂν ὧν ἕνεκα διεσώσατε ἡμᾶς, ὀρθῶς ἐγνωσμένα ὑμῖν ἐπιδεῖξαι. ἵνα δὲ καὶ τοῦ συμφόρου ἔτι ἐπιμνησθῶ, εἰσὶ μὲν δήπου πασῶν τῶν πόλεων, αἱ μὲν τὰ ὑμέτερα, αἱ δὲ τὰ ἡμέτερα φρονοῦσαι, καὶ ἐν ἑκάστῃ πόλει οἱ μὲν λακωνίζουσιν, οἱ δὲ ἀττικίζουσιν. εἰ οὖν ἡμεῖς φίλοι γενοίμεθα, πόθεν ἂν εἰκότως χαλεπόν τι προσδοκήσαιμεν; καὶ γὰρ δὴ κατὰ γῆν μὲν, τίς ἂν ὑμῶν φίλων ὄντων ἱκανὸς γένοιτο ἡμᾶς λυπῆσαι; κατὰ θάλατταν γε μὴν, τίς ἂν ὑμᾶς βλάψαι τι ἡμῶν ὑμῖν ἐπιτηδείων ὄντων; ἀλλὰ μέντοι πόλεμοι ἀεί ποτε γίγνονται, καὶ ὅτι καταλύονται, πάντες ἐπιστάμεθα, καὶ ὅτι ἡμεῖς ἂν μὴ νῦν, ἀλλ᾽ αὖθίς ποτε εἰρήνης ἐπιθυμήσομεν. τί οὖν δεῖ ἐκεῖνον τὸν χρόνον ἀναμένειν, ἕως ἂν ὑπὸ πλήθους κακῶν ἀπείπωμεν μᾶλλον, ἢ οὐχ ὡς τάχιστα, πρίν τι ἀνήκεστον γενέσθαι, τὴν εἰρήνην ποιήσασθαι; ἀλλὰ μὴν οὐδ᾽ ἐκείνους ἔγωγε ἐπαινῶ, οἵτινες ἀγωνισταὶ γενόμενοι, καὶ νενικηκότες ἤδη πολλάκις καὶ δόξαν ἔχοντες, οὕτω φιλονικοῦσιν, ὥστε οὐ πρότερον παύονται, πρὶν ἂν ἡττηθέντες τὴν ἄσκησιν καταλύσωσιν. οὐδέ γε τῶν κυβευτῶν, οἵτινες ἂν ἕν τι ἐπιτύχωσι, περὶ διπλασίων κυβεύουσιν. ὁρῶ γὰρ καὶ τῶν τοιούτων τοὺς πλείους ἀπόρους παντάπασι γιγνομένους. ἃ χρὴ καὶ ἡμᾶς ὁρῶντας, εἰς μὲν τοιοῦτον ἀγῶνα μηδέποτε καταστῆναι, ὥστε πάντα λαβεῖν, ἢ πάντ᾽ ἀποβαλεῖν. ἕως δὲ ἐρρώμεθα καὶ εὐτυχοῦμεν, φίλους ἀλλήλοις γενέσθαι. οὕτω γὰρ ἡμεῖς τ᾽ ἂν διὰ ὑμᾶς, καὶ ὑμεῖς δι᾽ ἡμᾶς ἔτι μείζους ἢ τὸν παρελθόντα χρόνον ἐν τῇ Ἑλλάδι ἀναστρεφοίμεθα. Δοξάντων δὲ τούτων καλῶς εἰπεῖν, ἐψηφίσαντο καὶ οἱ Λακεδαιμόνιοι δέχεσθαι τὴν εἰρήνην, ἐφ᾽ ᾧ τούς τε ἁρμοστὰς ἐκ τῶν πόλεων ἐξάγειν, τά τε στρατόπεδα διαλύειν, καὶ τὰ ναυτικὰ καὶ τὰ πεζικά, τάς τε πόλεις αὐτονόμους ἐᾶν. εἰ δέ τις παρὰ ταῦτα ποιοίη, τὸν μὲν βουλόμενον βοηθεῖν ταῖς ἀδικουμέναις πόλεσι, τῷ δὲ μὴ βουλομένῳ, μὴ εἶναι ἔνορ-

nes interdũ meliores euadere, praecipue cum illis erudiũtur, ut nos: qđ pariter uobis quoq; propter iniquè acta, et multa quae perperam a uobis gesta sunt, euenisse uideo. Nam cũ Thebis Cadmiã occupassetis, uniuersae ciuitates quas in libertatẽ uendicare studuistis, cum iniuria Thebanos affectos esse cognouissẽt, ultro illorũ sequuti sunt partes. Spero nũc rursus aequiores. Proinde cũ nimiã habẽdi cupiditatẽ uobis noxiã fuisse experti sitis, rursus nũc aequiores in mutua futuros amicitia spero: quã tamẽ quidã dissuadere conãtur, et pacem criminari nõ desistũt, tanquã nos nõ amicitiae gratia, sed timore potius, ne Antalcides breui cum pecunijs à rege applicet, huc cõcesserimus. Verùm quãtis illi nitãtur nugis, cõsiderate. Siquidẽ rex Graeciae ciuitates oẽs liberas esse iussit. Cũ igitur nos quoq; idem sentiamus ac agamus, nihil est cur regẽ timeamus: nisi quis existimet eũ cũ pecuniae iactura alios potius extollere uelle, q̃ absq; impensa quae illi utilissima sunt amplecti. Sed cur nã, quispiã dicet, uenistis? Ideo nẽpe, ut quẽadmodũ res se in terra, quẽadmodũq; in mari habeãt, manifeste uobis ostẽdamus. Si .n. diligẽter praesentia cũcta uolueritis, inuenietis profecto sociorũ quosdã, et quantum ad nos, & quantũ spectat ad uos, minus recte sentire. Volumus praeterea demõstrare q̃ egregie in reb. quarũ gratia à uobis saluati sumus, sentiamus. Et ut à calamitatib. exordiar, in cũctis ciuitatib. homines exstũt q partim nobis, partim uerò faueãt uobis: in singulisq; urbib. hi Spartanorũ, alij Athenensiũ sequuntur partes. Si igitur inter nos amicitia cõciliata fuerit, unde credere par est molesti quippiã nobis euenire? Quis .n. in terra, si uos amici fueritis, offendere nos poterit? In mari uero si uobis auxilio erimus, quisnã uos iniuria afficere poterit? Proinde q. aliquando bella inter homines oriãtur, rursusq; dissoluantur, oẽs nouimus. Nos uero pacis desiderio nõ nũc solũ, sed et olim tenemur. Cur igitur eò rem protrahamus, ut multis incõmodis oppressi, potius q̃ celeriter pace confecta, calamitates euitemus innumeras? NEQVE .n. illos laudandos cẽseo, q in certaminib. saepius uictoriã ac gloriã retulerunt: ita tamen contẽdunt, ut nõ antea desistãt, q̃ uicti laborem ac exercitiũ demum amittãt. Neq; aleae lusores, qui cũ semel lucrãtur, inde duplo plus perdũt, q̃ lucrũ iam antea partum. Videmus .n. tales ut plurimũ ad extremã redigi inopiam. QVARE ET nos cõsiderare decet, nec unquã eò certaminis descendere, ubi aut omnia uincere, aut cũcta perdere necesse sit: sed potius ut & utrib. crescere, ac beate degere possimus, inter nos amicitiã contrahamus: eo .n. pacto et nos propter uos, & uos propter nos, potẽtiores q̃ unquã lapsis temporib. in terra Graeciae euadere poterimus. Lacedaemonij itaq; cum illũ recte loquutũ existimarent, pacẽ suscipiendã esse decreuerunt: in qua cõuenit, ut harmostas è ciuitatib. educerẽt, exercitusq; tam terrestres q̃ maritimos dissoluerẽt, ciuitatesq; liberas dimitterẽt: et si quis cõtra haec uenisset, iniuriũ esse, licereq; omnib. oppressis ciuitatibus opem ferre: & qui id minus fecissent, haud fi-

deles esse socios. & pacem hanc Lacedæmonij eorum ac sociorum nomina iuramento firmauere. Athenienses uero ac socij per singulas iurauere ciuitates. Ascripti quoque sunt fœderibus Thebani. Quorum legati postridie rursus cum processissent, petierunt ut scriberetur, pro Thebanis Bœotios iurasse. Quibus Agesilaus respondit, nihil se immutaturum de his quæ antea iurata ac descripta essent. Si uerò inter fœdera annumerari nollent, eos, si ita iuberent, ex illis se deleturum. sicq; pax cum alijs confecta, cum Thebanis uerò solum disceptatio. Et Athenienses ita sentiebant, ut Thebanos à sententia minime dimoueri posse sperarent: & Thebani affecti tristitia discessere. Athenienses inde præsidia ex urbibus abducere cœperunt, ac Iphicraten cum classe domum reuocauere, & quæcunq; post confectam Lacedæmone pacem ceperat, reddere coëgerunt. Lacedæmonij uerò ex alijs ciuitatibus harmostas & præsidia deducebant. Cleombrotus uerò cum in Phocæa exercitum haberet, & magistratumq; qui domi erant sciscitatus esset, quid ipsum facere uellent: Prothous sententiam dixit, exercitum ex iuramenti forma dissoluendum esse, cunctasq; ciuitates ad Apollinis templum conuocari, & si quis ciuitatibus impedimento foret ne libertate frui possent, rursus collectis socijs illi bellum inferri debere: sic enim se sperare aiebat, & deos propitios fore, & ciuitates nulla maiori affici posse iniuria. Concilium uerò his auditis, illum nugas agere existimabat. Iam enim, ut credere par est, fatis agitabantur. Prohibuere itaque Cleombrotum ne exercitum dissolueret, sed confestim illum in Thebanorum fines, ni Bœotiæ ciuitates liberas dimitterent, irrumpere iussere. Ille uero cum Thebanos minime parere, sed in sententia perstare uidisset, ut iussus erat, in Bœotiam mouit. At Thebani ex Phocæa illum irrupturum arbitrati, ut ingressum prohiberent, montium angustias occupauerant. At ille clam Thisborum superatis montibus, iuxta Creusim descendit: qua capta duodecim quoque Thebanorum intercepit triremes. His actis à mari discedens, in Leuctris Thespiacis consedit. At Thebani in opposito & haud longe distanti castra locauerant tumulo, nullos præter Bœotios secum trahentes socios: ibi Cleombrotum sedentem amici his compellarunt uerbis: Si ò Cleombrote Thebanos absque pugna abire dimiseris, ne ultimum in urbe subeas discrimen, periclitaberis. In memoriam enim reducetur, quòd cum ad Canis capita applicuisses, minime Thebanorum uastaueris agros: quodq; postea illorum fines ingredi prohibitus fueris, cum Agesilaus semper per Cithæronem irruperit. Si igitur propria aut patriæ teneris

τὸν συμμαχεῖν τοῖς ἀδικουμένοις. ἐπὶ τούτοις ὤμοσαν μὲν οἱ Λακεδαιμόνιοι ὑπὲρ αὐτῶν, καὶ τῶν συμμάχων. Ἀθηναῖοι δὲ καὶ οἱ σύμμαχοι κατὰ πόλεις ἕκαστοι. ἀπογραψάμενοι δ' ἐν ταῖς ὀμωμοκυίαις πόλεσι καὶ οἱ Θηβαῖοι, προσελθόντες πάλιν τῇ ὑστεραίᾳ οἱ πρέσβεις αὐτῶν, ἐκέλευον μεταγράφειν ἀντὶ Θηβαίων Βοιωτοὺς ὀμωμοκότας. ὁ δὲ Ἀγησίλαος ἀπεκρίνατο, ὅτι μεταγράψει μὲν οὐδὲν, ὧν τὸ πρῶτον ὤμοσάν τε, καὶ ἀπεγράψαντο. εἰ μέντοι μὴ βούλοιντο ἐν ταῖς σπονδαῖς εἶναι, ἐξαλείφειν ἂν ἔφη, εἰ κελεύοιεν. οὕτω δὲ εἰρήνην τῶν ἄλλων πεποιημένων, πρὸς δὲ Θηβαίους μόνους ἀντιλογίας οὔσης, οἱ μὲν Ἀθηναῖοι οὕτως εἶχον τὴν γνώμην, ὡς νῦν Θηβαίους τὸ λεγόμενον μὴ δεκατευθῆναι ἐλπὶς εἴη. αὐτοί τε οἱ Θηβαῖοι παντελῶς ἀθύμως ἔχοντες, ἀπῆλθον. ἐκ δὲ τούτου οἱ μὲν Ἀθηναῖοι τάς τε φρουρὰς ἐκ τῶν πόλεων ἀπῆγον, καὶ Ἰφικράτην, καὶ τὰς ναῦς μετεπέμποντο, καὶ ὅσα ὕστερον ἔλαβε μετὰ τοὺς ἐν Λακεδαίμονι γενομένους, πάντα ἠνάγκαζον ἀποδοῦναι. Λακεδαιμόνιοι μέντοι ἐκ μὲν τῶν ἄλλων πόλεων τούς τε ἁρμοστὰς, καὶ τοὺς φρουροὺς ἀπήγαγον. Κλεόμβροτον δὲ ἔχοντα τὸ ἐν Φωκεῦσι στράτευμα, καὶ ἐπερωτῶντα τὰ οἴκοι τέλη τί χρὴ ποιεῖν, Προθόου λέξαντος, ὅτι αὐτῷ δοκοίη διαλύσαντας τὸ στράτευμα κατὰ τοὺς ὅρκους, καὶ περιαγγείλαντας ταῖς πόλεσι συμβαλέσθαι εἰς τὸν ναὸν τοῦ Ἀπόλλωνος, ὁπόσον βούλοιτο ἑκάστη πόλις, ἔπειτα εἰ μή τις ἐῴη αὐτονόμους τὰς πόλεις εἶναι, τότε πάλιν παρακαλέσαντας τοὺς συμμάχους ὅσοι τῇ αὐτονομίᾳ βούλοιντο βοηθεῖν, ἄγειν ἐπὶ τοὺς ἐναντιουμένους. οὕτω γὰρ ἂν, ἔφη, οἴεσθαι τούς τε θεοὺς εὐμενεστάτους εἶναι, καὶ τὰς πόλεις ἥκιστ' ἂν ἄχθεσθαι. ἡ δ' ἐκκλησία ἀκούσασα ταῦτα, ἐκεῖνον μὲν φλυαρεῖν ἡγήσατο. ἤδη γὰρ ὡς ἔοικε τὸ δαιμόνιον ἦγεν. ἐπέστειλαν δὲ τῷ Κλεομβρότῳ μὴ διαλύειν τὸ στράτευμα, ἀλλ' εὐθὺς ἄγειν ἐπὶ τοὺς Θηβαίους, εἰ μὴ αὐτονόμους ἀφήσοιεν τὰς πόλεις. ὁ δὲ Κλεόμβροτος ἐπειδὴ ἐπύθετο τὴν εἰρήνην γεγενημένην, πέμψας πρὸς τοὺς ἐφόρους, ἠρώτα τί χρὴ ποιεῖν. οἱ δ' ἐκέλευσαν αὐτὸν στρατεύειν ἐπὶ τοὺς Θηβαίους, εἰ μὴ ἀφήσοιεν τὰς Βοιωτίας πόλεις αὐτονόμους. ἐπεὶ οὖν ᾔσθετο οὐχ ὅπως τὰς πόλεις ἀφιέντας, ἀλλ' οὐδὲ τὸ στράτευμα διαλύοντας, ὡς ἀντιτάττοιντο πρὸς αὐτοὺς, οὕτω δὴ ἄγει τὴν στρατιὰν εἰς τὴν Βοιωτίαν. καὶ ᾗ μὲν οἱ Θηβαῖοι ἐμβάλλειν αὐτὸν ἐκ τῶν Φωκέων προσεδόκων, καὶ ἐπὶ στενῷ τινι ἐφύλαττον, οὐκ ἐμβάλλει. διὰ Θισβῶν δὲ ὀρεινὴν, καὶ ἀπροσδόκητον πορευθεὶς, ἀφικνεῖται εἰς Κρεῦσιν, καὶ τὸ τεῖχος αἱρεῖ, καὶ τριήρεις τῶν Θηβαίων δώδεκα λαμβάνει. ταῦτα δὲ ποιήσας, καὶ ἀναβὰς ἀπὸ τῆς θαλάττης, ἐστρατοπεδεύσατο ἐν Λεύκτροις τῆς Θεσπικῆς. οἱ δὲ Θηβαῖοι ἐστρατοπεδεύσαντο ἐπὶ τῷ ἀπαντικρὺ λόφῳ, οὐ πολὺ διαλείποντες, οὐδένας ἔχοντες συμμάχους, ἀλλ' ἢ τοὺς Βοιωτούς. ἔνθα δὴ τῷ Κλεομβρότῳ οἱ μὲν φίλοι προσιόντες, ἔλεγον· ὦ Κλεόμβροτε, εἰ ἀφήσεις τοὺς Θηβαίους ἄνευ μάχης, κινδυνεύσεις ὑπὸ τῆς πόλεως τὰ ἔσχατα παθεῖν. ἀναμνησθήσονται γάρ σου, καὶ ὅτι εἰς Κυνὸς κεφαλὰς ἀφικόμενος, οὐδὲν τῆς χώρας τῶν Θηβαίων ἐδῄωσας, καὶ ὅτι ὕστερον στρατεύων, ἀπεκρούσθης τῆς ἐμβολῆς, Ἀγησιλάου ἀεὶ ἐμβάλλοντος διὰ τοῦ Κιθαιρῶνος. εἴπερ οὖν ἢ σαυτοῦ κήδῃ, ἢ τῆς πατρίδος

ἐπιθυ-

ἐπιθυμεῖς, ἀκτέον ἡμῖν τοὺς ἄνδρας. οἱ μὲν φίλοι τοιαῦτα ἔλεγον. οἱ δ' ἐναντίοι νῦν δὴ ἔφασαν δηλώσει ὁ ἀνὴρ εἰ τῷ ὄντι κήδεται τῶν Θηβαίων, ὥσπερ λέγεται. ὁ μὲν δὴ Κλεόμβροτος τοιαῦτα ἀκούων, παροξύνετο πρὸς τὸ μάχην συνάπτειν. τῶν δ' αὖ Θηβαίων οἱ προεστῶτες, ἐλογίζοντο ὡς εἰ μὴ μάχοιντο, ἀποστήσοιντο μὲν αἱ περιοικίδες αὐτῶν πόλεις, αὐτοὶ δὲ πολιορκήσοιντο. εἰ δὲ μὴ ἕξοι ὁ δῆμος ὁ Θηβαίων τὰ ἐπιτήδεια, ὅτι κινδυνεύσοι, καὶ ἡ πόλις αὐτοῖς ἐναντία γενέσθαι, ἅτε δὲ καὶ πεφευγότες πρόσθεν πολλοὶ αὐτῶν, ἐλογίζοντο κρεῖττον εἶναι μαχομένους ἀποθνήσκειν, ἢ πάλιν φεύγειν. πρὸς δὲ τούτοις παρεθάρρυνε μέν τι αὐτοὺς καὶ ὁ χρησμὸς ὁ λεγόμενος, ὡς δέοι ἐνταῦθα Λακεδαιμονίους ἡττηθῆναι, ἔνθα τὸ τῶν παρθένων ἦν μνῆμα, αἳ λέγονται διὰ τὸ βιασθῆναι ὑπὸ Λακεδαιμονίων τινῶν, ἀποκτεῖναι ἑαυτάς. καὶ ἐκόσμησαν δὴ τοῦτο τὸ μνῆμα οἱ Θηβαῖοι πρὸ τῆς μάχης. ἀπηγγέλλετο δὲ ἐκ τῆς πόλεως αὐτοῖς, ὡς οἵ τε νεῲ πάντες αὐτόματοι ἀνεῴγοιντο, αἵ τε ἱέρειαι λέγοιεν, ὡς νίκην οἱ θεοὶ φαίνοιεν. ἐκ δὲ τοῦ Ἡρακλείου καὶ τὰ ὅπλα ἔφασαν ἀφανῆ εἶναι, ὡς τοῦ Ἡρακλέους εἰς τὴν μάχην ἐξωρμημένου. οἱ μὲν δή τινες λέγουσιν, ὡς ταῦτα πάντα τεχνάσματα ἦν τῶν προεστηκότων. εἰς δ' οὖν τὴν μάχην πάντα τἀναντία τοῖς Λακεδαιμονίοις ἐγίγνετο. τοῖς δὲ πάντα καὶ ὑπὸ τῆς τύχης κατωρθοῦτο. ἦν μὲν γὰρ μετ' ἄριστον τῷ Κλεομβρότῳ ἡ τελευταία βουλὴ περὶ τῆς μάχης. ἐν δὲ τῇ μεσημβρίᾳ ὑποπινόντων, καὶ τὸν οἶνον παροξῦναί τι αὐτοὺς ἐλέγετο. ἐπεὶ δὲ ὡπλίζοντο ἑκάτεροι, καὶ πρόδηλον ἦν ὅτι ἡ μάχη ἔσοιτο, πρῶτον μὲν ἀπιέναι ὡρμημένων ἐκ τοῦ Βοιωτίου στρατεύματος τῶν τὴν ἀγορὰν παρεσκευακότων, καὶ σκευοφόρων τινῶν, καὶ τῶν οὐ βουλομένων μάχεσθαι, περιιόντες κύκλῳ οἵ τε μετὰ τοῦ Ἱέρωνος μισθοφόροι, καὶ οἱ τῶν Φωκέων πελτασταί, καὶ τῶν ἱππέων Ἡρακλεῶται, καὶ Φλιάσιοι, ἐπιθέμενοι τοῖς ἀπιοῦσιν, ἐπέστρεψάν τε αὐτούς, καὶ κατεδίωξαν πρὸς τὸ στρατόπεδον τὸ τῶν Βοιωτῶν. ὥστε πολὺ μὲν ἐποίησαν μεῖζόν τε, καὶ ἀθροώτερον, ἢ πρόσθεν τὸ τῶν Βοιωτῶν στράτευμα. ἔπειτα δὲ ἅτε καὶ πεδίου ὄντος τοῦ μεταξύ, προετάξαντο μὲν τῆς ἑαυτῶν φάλαγγος οἱ Λακεδαιμόνιοι τοὺς ἱππέας. ἀντετάξαντο δ' αὐτοῖς καὶ οἱ Θηβαῖοι τοὺς ἑαυτῶν. ἦν δὲ τὸ μὲν τῶν Θηβαίων ἱππικὸν μεμελετηκός, διά τε τὸν πρὸς Ὀρχομενίους πόλεμον, καὶ διὰ τὸν πρὸς Θεσπιέας. τοῖς δὲ Λακεδαιμονίοις κατ' ἐκεῖνον τὸν χρόνον, πονηρότατον ἦν τὸ ἱππικόν. ἔτρεφον μὲν γὰρ τοὺς ἵππους οἱ πλουσιώτατοι. ἐπεὶ δὲ φρουρὰ φανθείη, τότε ἧκεν ὁ συντεταγμένος. λαβὼν δ' ἂν τὸν ἵππον, καὶ ὅπλα ὁποῖα δοίη αὐτῷ, ἐκ τοῦ παραχρῆμα ἂν ἐστρατεύετο. τῶν δ' αὖ στρατιωτῶν οἱ τοῖς σώμασιν ἀδυνατώτατοι, καὶ ἥκιστα φιλότιμοι, ἐπὶ τῶν ἵππων ἦσαν. τοιοῦτον μὲν οὖν τὸ ἱππικὸν ἑκατέρων ἦν. τῆς δὲ φάλαγγος τοὺς μὲν Λακεδαιμονίους ἔφασαν τρεῖς τὴν ἐνωμοτίαν ἄγειν. τοῦτο δὲ συμβαίνειν αὐτοῖς οὐ πλέον, ἢ εἰς δώδεκα τὸ βάθος. οἱ δὲ Θηβαῖοι οὐκ ἔλαττον, ἢ ἐπὶ πεντήκοντα ἀσπίδων συνεστραμμένοι ἦσαν, λογιζόμενοι, ὡς εἰ νικήσειαν τὸ περὶ τὸν βασιλέα, τὸ ἄλλο πᾶν εὐχείρωτον ἔσοιτο. ἐπεὶ δὲ ἤρξατο ἄγειν ὁ Κλεόμβροτος πρὸς τοὺς πολεμίους, πρῶτον μὲν πρὶν καὶ αἰσθέσθαι τὸ μετ' αὐτοῦ στράτευμα ὅτι ἡγοῖτο, καὶ δὴ οἱ ἱππεῖς συνεβεβλήκεσαν, καὶ ταχὺ ἥττηντο οἱ τῶν Λακεδαιμονίων.

φεύγοντες·

teneris gloria, uiros te aggredi decet. Et amici talia dicebant: inimici uero iam palam fore aiebant, num, ut ferebatur, Thebanorum ille faueret rebus. Cleombrotus his auditis pugnæ se accingebat. Altera igitur pars Thebanorum primores, ni pugna decernerent, adiacentes defectionem molituras ciuitates, se uero obsidionis periculum subituros considerabant: id si fieret, populum quamprimum inopia premi cœpisset, quemadmodum antea, contra eos insurrecturum: quapropter satius esse rati prælio defungi, impigreq; pugnantes occumbere, quàm rursus ut antea fuga solum uertere. Præterea ad pugnam oraculo quodam impellebantur. Siquidem ferebatur Lacedæmonios ibi quandoque prælio superari debere, ubi uirginum erat monumentum, quæ à Lacedæmonijs uim passæ ac interfectæ esse dicebantur: quapropter Thebani & ante pugnam monumentum hoc decorarant. Nunciatum quoque ex urbe est, templa omnia sua sponte patuisse, sacráque cuncta uictoriam à deis portendere. In Herculis uerò templo arma nusquam comparuisse, tanquam deo ad pugnam egresso, aiebant. Quidam uero hæc omnia potentiorum commenta fuisse referunt. Hoc satis constat, Lacedæmonijs in prælio illo cuncta aduersa, Thebanis uero sequunda accidisse. Cleombrotus denique sumpto prandio de pugna deliberabat: quapropter sub meridie uino impellente in certamen illos ruisse relatum est. Cum uero utrinque arma sumpsissent, tamq; manifeste pugna decertandum esse constaret, ex Bœotiorum castris rerum uenalium institores, & nonnulli qui impedimenta ferebant, quiq; pugnare formidabant, abire cœperunt: quos Hieronis mercenarij milites, ac Phocensium cetrati, necnon Heracleensium & Phliasiorum equites adorti undique circundederunt, in castráque Bœotiorum redire compulerunt, ita ut multo maiorem & fortiorem quàm antea esset Bœotiorum redderent exercitum. Inde cum in subiectum Lacedæmonij descendissent campum, ante phalangem constituunt equites: quibus Thebani suum quoque opposuerunt equitatum, longe animis & ob Orchomenium bellum, & Thespiensem uictoriam præstantem. Erat enim Lacedæmoniorum equitatus ijs temporibus admodum imbecillis. Equos enim locupletiores alebant: cum uerò in expeditionem dux quispiam exiturus esset, equum ac arma ob festinationem qualiacunque sibi traderentur, accipere cogebatur: equis inde milites corporibus imbecilles, animisq; languentes imponebant. Et sic utrinque se equitatus habebat. Phalangem præterea ita Lacedæmonij instruxerant, ut tres tantummodo cohortes in fronte consisterent: quo accidit, ut acies haud densior quàm militum esset duodecim. Econtra Thebani non minus scutis quinquaginta primam firmarunt aciem, ita fore rati, ut si medios regis perrumperent ordines, cætera omnia facile uictoriæ cessura. Cum uerò Cleombrotus exercitum contra hostes direxisset, antequam milites aciem moueri sensissent, iam equites conflixerant: confestimq; sub initium Lacedæmonij uicti terga dedere,

ac in

ac in pedites ruentes ordines turbauere: cum quibus Thebanorum quoque irruperant manipuli. Quod uero illi qui circa Cleombrotum consistere sub initium uicerunt, hinc coniecturare licet: non enim tempore illo regem recipere, minimumque abducere poterant, nisi qui ante eum pugnabant, uicissent. Cum uero Dinon cecidisset, polemarchus ac ex praefectis Sphodrias, & Cleonymus filius eius, equites quoque, & qui polemarchi comites appellantur, necnon alij ab hostibus ferè oppressi, pedem referre coeperunt. Id cum qui in sinistro steterant cornu conspexissent, ipsi quoque deflexerunt. Cadebant interim plurimi, caedesq; passim edebatur. Cum uero fossam quam castris praetenderant superassent, arma in eo unde processerant ponebant loco: castra enim haud in plano, sed in loco aliquantisper deuexo locata erant. Lacedaemoniorum itaque nonnulli cum pugnae huius ignominiam intolerabilem esse arbitrarentur, ne hostes trophaeum erigerent, inhibendos esse, caesos quoque haud per inducias, sed pugna recipi debere asserebant. At polemarchi cum uidissent ex Lacedaemonijs mille circiter occubuisse, ex Spartanis uerò quadringentos, cum omnino septingenti illic fuissent, cecidisse scirent: praeterea socios omnes perquam moleste bellum ferre, nonnullos quoque cladem hanc haud grauiter cernere, collectis primoribus, quid agendum esset deliberare coeperunt. Ac ubi omnibus mortuos per inducias recipi debere uisum est, ad Thebanos hanc ob rem praeconem misere. Illi itaque trophaeum erexere, mortuosq; per inducias reddidere. His actis cladis nuncius Lacedaemonem peruenit. Celebrabatur forte tum puerorum certamen, uirorumq; chorus iam ingressus erat. At Ephori cum de accepta clade certiores facti essent, uehementer, ut par erat, indoluere: chorum uero haud interturbarunt, sed ut ad finem usque certamen perduceretur, permisere. Caesorum uerò nomina domesticis reddidere: mulieribus uero ne clamorem tollerent interdixere, tacitasq; calamitatem hanc ferre iusserunt. Postridie uero cernere erat interfectorum propinquos alacres ac cultos in publico uersari: eorum uero qui uiuere nunciati fuerunt necessarios paucos, & hos moestos ac humiles deambulare uidisses. Ephori inde ex iunioribus quadringentos circiter in subsidium mittere decreuerunt: ab externis quoq; cohortibus eiusdem aetatis milites ad opem ferendam properare iusserunt: paulo enim antea qui trigesimum quintum nondum attigerant annum, contra Phocenses militauerant: hos omnes ueteres sequi iubebant duces. Verum cum Agesilaus nondum ab aegritudine conualuisset, filium eius Archidamum exercitum educere iusserunt: quem alacriter sequuti sunt Tegeatae. Adhuc enim uiuebant qui cum Stasippo laconizabant. Nec parum in urbe poterant Mantinenses quoque qui ex uicis aderant: iam enim ab optimatibus regebantur. Corinthij quoq; ac Sicyonij, necnon Phliasij, Achaei quoq; impigre sequebantur: nonnullae quoq; aliae ciuitates Lacedaemonios milite iuuarunt: triremes praeterea iam ipsi

φεύγοντες δὲ ἐμπεπτώκεισαν τοῖς ἑαυτῶν ὁπλίταις. ἔτι δὲ ἐνέβαλλον οἱ τῶν θηβαίων λόχοι. ὅμως δὲ ὡς οἱ μὲν περὶ τὸν κλεόμβροτον, πρῶτον ἐκράτουν τῇ μάχῃ, σαφεῖ τούτῳ τεκμηρίῳ γνοίη τις ἄν. οὐ γὰρ ἂν ἐδύναντο αὐτὸν ἀνελέσθαι, καὶ ζῶντα ἀπενεγκεῖν, εἰ μὴ πρὸ αὐτοῦ μαχόμενοι, ἐπεκράτουν ἐν ἐκείνῳ τῷ χρόνῳ. ἐπεὶ μέντοι ἀπέθανε δείνων τε ὁ πολέμαρχος, καὶ σφοδρίας τῶν περὶ δαμοσίαν, καὶ κλεώνυμος ὁ υἱὸς αὐτοῦ, καὶ οἱ μὲν ἵπποι, καὶ οἱ συμφορεῖς τοῦ πολεμάρχου καλούμενοι, οἵ τε ἄλλοι ὑπὸ τοῦ ὄχλου ὠθούμενοι, ἀνεχώρουν. οἱ δὲ τοῦ εὐωνύμου ὄντες τῶν λακεδαιμονίων, ὡς ἑώρων τὸ δεξιὸν ὠθούμενον, ἐνέκλιναν. ὅμως δὲ πολλῶν τεθνεώτων, καὶ ἡττημένοι, ἐπεὶ διέβησαν τὴν τάφρον, ἣ πρὸ τοῦ στρατοπέδου ἔτυχεν οὖσα αὐτοῖς, ἔθεντο τὰ ὅπλα κατὰ χώραν ἔνθεν ὡρμῶντο. ἦν μέντοι οὐ πάνυ ἐν ἐπιπέδῳ, ἀλλὰ πρὸς ὀρθίῳ μᾶλλόν τι τὸ στρατόπεδον. ἐκ δὲ τούτου ἦσαν μέν τινες τῶν λακεδαιμονίων, οἳ ἀφόρητον τὴν συμφορὰν ἡγούμενοι, τό, τε τρόπαιον ἔφασαν χρῆναι κωλύειν, ἱστάναι τοὺς πολεμίους, τούς τε νεκροὺς μὴ ὑποσπόνδους, ἀλλὰ διὰ μάχης πειρᾶσθαι ἀναιρεῖσθαι. οἱ δὲ πολέμαρχοι ὁρῶντες μὲν τῶν συμπάντων λακεδαιμονίων τεθνεῶτας ἐγγὺς χιλίους, ὁρῶντες δ' αὐτῶν σπαρτιατῶν ὄντων τῶν ἐκεῖ ὡς ἑπτακοσίων τεθνηκότας περὶ τετρακοσίους, αἰσθόμενοι δὲ τοὺς συμμάχους πάντας μὲν ἀθύμως ἔχοντας πρὸς τὸ μάχεσθαι. ἔστι δὲ οὓς αὐτῶν οὐδὲ ἀχθομένους τῷ γεγενημένῳ, συλλέξαντες τοὺς ἐπικαιριωτάτους, ἐβουλεύοντο τί χρὴ ποιεῖν. ἐπεὶ δὲ πᾶσιν ἐδόκει ὑποσπόνδους τοὺς νεκροὺς ἀναιρεῖσθαι, οὕτω δὴ ἔπεμψαν κήρυκα περὶ σπονδῶν. οἱ μέντοι θηβαῖοι μετὰ ταῦτα καὶ τρόπαιον ἐστήσαντο, καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν. γενομένων δὲ τούτων, ὁ μὲν εἰς τὴν λακεδαίμονα ἀγγελῶν τὸ πάθος ἀφικνεῖται, γυμνοπαιδιῶν τε οὔσης τῆς τελευταίας, καὶ τοῦ ἀνδρικοῦ χοροῦ ἔνδον ὄντος. οἱ δὲ ἔφοροι ἐπεὶ ἤκουσαν τὸ πάθος, ἐλυποῦντο μὲν, ὥσπερ οἶμαι ἀνάγκη, τὸν μέντοι χορὸν οὐκ ἐξήγαγον, ἀλλὰ διαγωνίσασθαι εἴων. καὶ τὰ μὲν ὀνόματα πρὸς τοὺς οἰκείους ἑκάστου τῶν τεθνεώτων ἀπέδοσαν. προεῖπον δὲ ταῖς γυναιξὶ μὴ ποιεῖν κραυγὴν, ἀλλὰ σιγῇ τὸ πάθος φέρειν. τῇ δ' ὑστεραίᾳ ἦν ὁρᾶν ὧν μὲν ἐτέθνασαν οἱ προσήκοντες, λιπαροὺς καὶ φαιδροὺς ἐν τῷ φανερῷ ἀναστρεφομένους. ὧν δὲ ζῶντες ἠγγελμένοι ἦσαν, ὀλίγους ἂν εἶδες, τούτους δὲ σκυθρωποὺς καὶ ταπεινοὺς περιιόντας. ἐκ δὲ τούτου φρουρὰν μὲν ἔφαινον οἱ ἔφοροι ταῖν ὑπολοίποιν μόραιν, μέχρι τῶν τετταράκοντα ἀφ' ἥβης. ἐξέπεμπον δὲ καὶ τῶν ἔξω μορῶν, μέχρι τῆς αὐτῆς ἡλικίας. τὸ γὰρ πρόσθεν εἰς τοὺς φωκέας, μέχρι τῶν πέντε καὶ τριάκοντα ἀφ' ἥβης, ἐστρατεύοντο. καὶ τοὺς ἐπ' ἀρχαῖς δὲ τότε καταλειφθέντας, ἀκολουθεῖν ἐκέλευον. ὁ μὲν οὖν ἀγησίλαος ἐκ τῆς ἀσθενείας οὔπω ἴσχυεν. ἡ δὲ πόλις ἀρχίδαμον τὸν υἱὸν αὐτοῦ ἐκέλευεν ἡγεῖσθαι. προθύμως δ' αὐτῷ συνεστρατεύοντο τεγεᾶται. ἔτι γὰρ ἔζων οἱ περὶ στάσιππον λακωνίζοντες, καὶ οὐκ ἐλάχιστον δυνάμενοι ἐν τῇ πόλει. ἐρρωμένως δὲ καὶ οἱ μαντινεῖς ἐκ τῶν κωμῶν συνεστρατεύοντο. ἀριστοκρατούμενοι γὰρ ἐτύγχανον. καὶ κορίνθιοι δὲ, καὶ σικυώνιοι, καὶ φλιάσιοι, καὶ ἀχαιοὶ, μάλα προθύμως ἠκολούθουν. καὶ ἄλλαι δὲ πόλεις ἐξέπεμπον στρατιώτας. ἐπλήρουν δὲ καὶ τριήρεις αὐτοὶ

αὐτοί τε οἱ Λακεδαιμόνιοι, καὶ οἱ Κορίνθιοι, καὶ ἐδέοντο καὶ τῶν Σικυωνίων συμπληροῦν, ἐφ' ὧν διενοοῦντο στράτευμα διαβιβάζειν. καὶ ὁ μὲν Ἀρχίδαμος ἐθύετο ἐν τῇ διαβάσει. οἱ δὲ Θηβαῖοι εὐθὺς μετὰ τὴν μάχην ἔπεμψαν εἰς Ἀθήνας ἄγγελον ἐστεφανωμένον. καὶ ἅμα μὲν τῆς νίκης τὸ μέγεθος ἔφραζον, ἅμα δὲ βοηθεῖν ἐκέλευον, λέγοντες ὡς νῦν ἐξείη Λακεδαιμονίους πάντων ὧν ἐπεποιήκεσαν αὐτοῖς τιμωρήσασθαι. τῶν δὲ Ἀθηναίων ἡ βουλὴ, ἐτύγχανεν ἐν ἀκροπόλει καθημένη. ἐπεὶ δ' ἤκουσαν τὸ γεγενημένον, ὅτι μὲν σφόδρα ἠνιάθησαν, πᾶσι δῆλον ἐγένετο. οὔτε γὰρ ἐπὶ ξένια τὸν κήρυκα ἐδέξαντο, περί τε τῆς βοηθείας οὐδὲν ἀπεκρίναντο. καὶ Ἀθήνηθεν μὲν οὕτως ἀπῆλθεν ὁ κῆρυξ. πρὸς μέντοι Ἰάσονα σύμμαχον ὄντα, ἔπεμπον σπουδῇ οἱ Θηβαῖοι κελεύοντες βοηθεῖν, διαλογιζόμενοι πῇ τὸ μέλλον ἀποβήσοιτο. ὁ δ' εὐθὺς τριήρεις μὲν ἐπλήρου ὡς βοηθήσων κατὰ θάλατταν. συλλαβὼν δὲ τό, τε ξενικόν, καὶ τοὺς περὶ αὑτὸν ἱππέας, καίπερ ἀκηρύκτῳ πολέμῳ τῶν Φωκέων χρωμένων, πεζῇ διεπορεύθη εἰς τὴν Βοιωτίαν, ἐν πολλαῖς τῶν πόλεων πρότερον ὀφθείς, ἢ ἀγγελθεὶς ὅτι πορεύοιτο. πρὶν δὲ συλλέγεσθαί τι πανταχόθεν, ἔφθανε πόρρω γιγνόμενος, δῆλον ποιῶν, ὅτι πολλαχοῦ τὸ τάχος μᾶλλον τῆς βίας διαπράττεται τὰ δέοντα. ἐπεὶ δὲ ἀφίκετο εἰς τὴν Βοιωτίαν, λεγόντων τῶν Θηβαίων ὡς καιρὸς εἴη ἐπιτίθεσθαι τοῖς Λακεδαιμονίοις, ἄνωθεν μὲν ἐκεῖνον σὺν τῷ ξενικῷ, σφᾶς δὲ ἀντιπροσώπους, ἀπέτρεπεν αὐτοὺς ὁ Ἰάσων, διδάσκων ὡς καλοῦ ἔργου γεγενημένου, οὐκ ἄξιον αὐτοῖς εἴη διακινδυνεῦσαι, ὥστε ἢ ἔτι μεῖζω καταπρᾶξαι, ἢ στερηθῆναι καὶ τῆς γεγενημένης νίκης. οὐχ ὁρᾶτε, ἔφη, ὅτι καὶ ὑμεῖς ἐπεὶ ἐν ἀνάγκῃ ἐγένεσθε, ἐκρατήσατε; οἴεσθαι οὖν χρὴ καὶ Λακεδαιμονίους, εἰ ἀναγκάζοιντο ἐκγενέσθαι τοῦ ζῆν, ἀπονοηθέντας, διαμάχεσθαι. καὶ ὁ θεὸς δὲ ὡς ἔοικε πολλάκις χαίρει τοὺς μὲν μικροὺς, μεγάλους ποιῶν, τοὺς δὲ μεγάλους μικρούς. τοὺς μὲν οὖν Θηβαίους τοιαῦτα λέγων, ἀπέτρεπε τοῦ διακινδυνεύειν. τοὺς δ' αὖ Λακεδαιμονίους ἐδίδασκεν, οἷον μὲν εἴη ἡττημένον στράτευμα, οἷον δὲ νενικηκός. εἰ δ' ἐπιλαθέσθαι, ἔφη, βούλεσθε τὸ γεγενημένον πάθος, συμβουλεύω ἀναπαυσαμένους, καὶ μείζους γενομένους, τοῖς ἀηττήτοις οὕτως εἰς μάχην ἰέναι. νῦν δέ, ἔφη, εὖ ἴστε, ὅτι καὶ τῶν συμμάχων ὑμῖν, εἰσὶν οἳ διαλέγονται περὶ φιλίας τοῖς πολεμίοις. ἀλλὰ ἐκ παντὸς τρόπου σπονδὰς πειρᾶσθε λαβεῖν. ταῦτα δ', ἔφη, ἐγὼ προθυμοῦμαι σῶσαι ὑμᾶς βουλόμενος, διά τε τὴν τοῦ πατρὸς φιλίαν πρὸς ὑμᾶς, καὶ διὰ τὸ προξενεῖν ὑμῶν. ἔλεγε μὲν οὖν τοιαῦτα. ἔπραττε δ' ἴσως, ὅπως διάφοροι καὶ οὗτοι ἀλλήλοις ὄντες, ἀμφότεροι ἐκείνου δέοιντο. οἱ μέντοι Λακεδαιμόνιοι ἀκούσαντες αὐτοῦ, πράττειν περὶ τῶν σπονδῶν ἐκέλευον. ἐπεὶ δ' ἀπηγγέλθη ὅτι εἴησαν αἱ σπονδαί, παρήγγειλαν οἱ πολέμαρχοι δειπνήσαντες, συνεσκευάσθαι πάντας, ὡς τῆς νυκτὸς πορευσομένους, ὅπως ἅμα τῇ ἡμέρᾳ πρὸς τὸν Κιθαιρῶνα ἀναβαίνοιεν. ἐπεὶ δ' ἐδείπνησαν, πρὶν καθεύδειν παρήγγειλαν ἀκολουθεῖν, ἡγοῦντο εὐθὺς ἀφ' ἑσπέρας τὴν διὰ Κρεύσιος, τῷ λαθεῖν πιστεύοντες μᾶλλον, ἢ ταῖς σπονδαῖς. μάλα δὲ χαλεπῶς πορευόμενοι, οἷα δὴ ἐν νυκτί τε καὶ ἐν φόβῳ ἀπιόντες, καὶ χαλεπὴν ὁδὸν εἰς Αἰγόσθενα τῆς Μεγαρικῆς ἀφικνοῦνται. ἐκεῖ δὲ

περι

ipsi quàm Corinthij instruxerunt. Sicyonios quoq; ut idem facerent hortati sunt, nam ad illos exercitũ descensurum nouerant. Et Archidamus pro transitu rem faciebat sacram. At Thebani confestim post pugnam Athenas nuncium mittunt coronatũ, quẽ & magnitudinem uictoriæ nunciare, simulq; opem postulare iusserunt: tempus aduenisse dicentes, quo à Lacedæmonijs omnium quæ contra illos gesserant, uindictam exigere possent. Contigit uero Atheniensem senatum in arce collectũ esse: qui cum hæc audisset, quàm ægrè tulerit, hinc coniecturare licet, quod nec præco hospitio susceptus est, nec ullum de auxilio ferendo responsum tulit, & ita re infecta Athenis discessit. Ad Iasonem quoq; socium Thebani miserunt, quem impigre opem ferre orauerunt, considerantes quonam res euasura esset. Et ille triremes tanquã mari suppetias laturus instruxit: accepto tamen mercenario milite, & equites quos secum habebat, quamuis implacabili bello cum Phocensibus implicitus esset, per terram in Bœotiam transgressus est, ac in plurimis ciuitatibus antea cõspectus est, quàm quò tenderet auditum esset, ita ut priusquam quid contra ipsum moliri potuisset, longe discesserat: ostendens IN REBUS humanis celeritate sæpius multa digna ac egregia trãsigi posse. Cumq; in Bœotiam peruenisset, Thebaniq; dicerent, tempus esset ut undiq; Lacedæmonios adorirentur, illumq; cum milite peregrino a tergo, se uero ex aduerso illos inuadere debere, ostendit Iason eos non recte sentire: MINIME enim tam egregio perpetrato opere fortunam sæpius esse tentandam. Proinde si rem maiorem gerere quærerent, facile etiam iam parta uictoria priuari posse. Nonne uidetis, inquit, uos necessitate coactos uictoriam reportasse? Existimate igitur Lacedæmonios quoq; cum ipsis de anima certamen subeundum erit, pugna superare posse. SIQUIDEM UT cernere licet, deus sæpius homines extollere, potẽtesq; deprimere gaudet. His dictis Thebanos ne temere de rerum periclitarentur summa, auertit. Haud secus Lacedæmonios quoq; admonuit, ut considerarent, quantũ inter uictorem ac uictum interesset exercitũ: & si omnino acceptam referre desideratis cladem, ait: uobis aliquantulũ supersedere consulo, quoad resumptis uirib. maiori ui ad præliũ redire possitis. Haud enim ignoratis, inquit, quosdam ex socijs de amicitia cum hostibus agere: quapropter omnino induciæ uobis quærendæ sunt, quas ego ut tanto uos eripiam periculo, & ob paternam amicitiã & hospitalitatem, confectas uobis reddã. His dictis effecit ut ab utrisq;, quamuis inter se hostibus, de pace conciliandа rogaretur. Cum uero induciæ pactæ essent, polemarchi milites cœnare, ac itineri se accingere iubẽt ut nocte cõfecto itinere, sub lucis ortum Cithæronẽ ascenderẽt. Sumpta igitur cœna, antequã somno indulgerent proficisci iussi, cõfestim ab hespero per Creusios deducti sunt, potius tenebris q̃ inducijs fidentes. Difficulter uero pergebant, quia sub noctẽ ac cũ timore discedebant, asperrimaq; uia ad Aegosthenas Megaricas peruenere, ubi Archidam

obuiam

obuiam habuere exercitum, ibiq; statiua acta sunt quoad cuncti conuenirent socij: quibus collectis uniuersum Archidamus Corinthum duxit exercitũ: dimissis inde socijs, ciues domũ reduxit. Iason uero per Phocidem reuersus est, ubi Hyampolitorum cepit suburbia, nec nõ plurimis interfectis uniuersam regionem ferro ac igni uastauit: reliquã inde Phocidem absq; difficultate emensus est. Cũq; Heracleam peruenisset, Heracleensiũ muros disiecit, non eam ob causam quod timeret ne aliquãdo occupatis his angustijs quispiã illi bellum inferret, sed potius cum Heracleã in montium sitam angustijs cerneret, uerebatur ne aliquando cum in Græciã irrũpere uellet, præoccupata Heraclea id facere, phiberetur. Postquam uero rursus in Thessaliã peruenisset, magni erat nominis, cum quod lege Thessalorũ dux constitutus erat, tum quod mercenariorũ iam equitum q̃ peditum ingentem aleret numerũ, qui omnes ueterani ac fortissimi erant uiri. Augebatur potentia illa propter societatem multorũ, non solum eorum qui iam cum eo amicitiã contraxerant, sed & qui ei cõciliari desiderabant: quapropter eo deuenit potentiæ, ut à nemine uno cõtemni posset. Cum uero Pythia aduentassent, ciuitatib. ut boues, oues, capras, & sues ad sacrificiũ pascerent edixit. Et quamuis singulis ciuitatibus mediocris numerus iniunctus esset, ferebatur tamen boues haud pauciores mille fuisse, reliquorum uero pecorum decem millium excessisse numerũ. Auream quoq; coronam ciuitatib. uictoriæ præmiũ constituit, qui pulchriorem deo bouem pauissent. Thessalis insuper mandauit, ut tanquam circa tempora quibus Pythia celebrãtur militaturi essent, se instruerent: decreuerat enim, ut aiũt, panegyrim deo peragere, certamina uerò sibypsi uindicare. Quemadmodum uero cum sacris egerit pecunijs, nunc quoq; incertũ est. Fertur enim cum Delphis consuluisset oraculum, quid fieri oporteret si sacras abstulisset pecunias, deum respondisse, id sibi curæ fore. Et uir ille quamuis talis tantusq; esset, eoq;, ut dictũ est, potentiæ deuenisset, cũ tamen Pheræorũ inspiceret ac lustraret equitatum, iamq; consedisset, interrogassetq; num quispiã alicuius rei indigus esset, à septem qui accesserant iuuenibus, & litem inter se finxerant, trucidatus ac confectus est. Cumq; satellites qui aderant impigre illi opem tulissent, unus ex eis cũ adhuc Iasonẽ feriret, lãcea traiectus occubuit: alter uero cum equũ ascendere conaretur deprehensus, multisq; confectus uulnerib. cecidit: reliqui ascensis ad id præparatis equis, oẽs euasere, ac in quãcunq; Græciæ uenissent ciuitatẽ, summis accepti sunt honorib. Hinc intelligere licet, in maximo Græcos constitutos fuisse timore, ne in apertã quandoq; erũperet tyrannidem. Interfecto illo, Polydorus frater ipsius & Polyphrõ duces constituti sunt: & Polydorus cum ambo Larissam pergerent dormiens, nocte à Polyphrone fratre, ut cõiecturare licet, interẽptus est. Repentina enim mors, & absq; manifesto indicio, suspicione non caruit. Et Polyphron annum imperauit unum, ducatumq; in tyrãnidem mutauit. Nam Pharsali Polydamantem

περιτυγχάνουσι τῷ μετὰ ἀρχιδάμου στρατεύματι. ἐνταῦθα δὴ ἀναμείνας ἕως καὶ οἱ σύμμαχοι πάντες παρεγένοντο, ἀπῆγε πᾶν ὁμοῦ τὸ στράτευμα μέχρι κορίνθου. ἐκεῖθεν δὲ τοὺς μὲν συμμάχους ἀφῆκε, τοὺς δὲ πολίτας οἴκαδε ἀπήγαγεν. ὁ μέντοι ἰάσων ἀπιὼν διὰ τῆς φωκίδος, ὑαμπολιτῶν μὲν τό, τε προάστειον εἷλε, καὶ τὴν χώραν ἐπόρθησε, καὶ ἀπέκτεινε πολλούς. τὴν δ' ἄλλην φωκίδα διῆλθεν ἀπραγμόνως. ἀφικόμενος δὲ εἰς ἡράκλειαν, κατέβαλε τὸ ἡρακλεωτῶν τεῖχος. δῆλον ὅτι οὐ τοῦτο φοβούμενος μή τινες ἀναπεπταμένης ταύτης τῆς παρόδου, πορεύσοιντο ἐπὶ τὴν ἐκείνου δύναμιν, ἀλλὰ μᾶλλον ἐνθυμούμενος, μή τινες τὴν ἡράκλειαν ἐπὶ στενῷ οὖσαν, καταλαβόντες εἴργοιεν αὐτὸν εἴ ποι βούλοιτο τῆς ἑλλάδος πορεύεσθαι. ἐπεὶ δ' ἀπῆλθε πάλιν εἰς τὴν θετταλίαν, μέγας μὲν ἦν καὶ διὰ τὸ τῷ νόμῳ θετταλῶν ταγὸς καθεστάναι, καὶ διὰ τὸ μισθοφόρους πολλοὺς τρέφειν περὶ αὑτὸν καὶ πεζοὺς καὶ ἱππέας, καὶ τούτους ἐκπεπονημένους, ὡς ἂν κράτιστοι εἶεν. ἔτι δὲ μείζων, καὶ διὰ τὸ συμμάχους πολλούς, τοὺς μὲν ἤδη εἶναι αὐτῷ, τοὺς δὲ καὶ ἔτι βούλεσθαι γίγνεσθαι. μέγιστος δ' ἦν τῶν καθ' αὑτὸν τῷ μηδ' ὑφ' ἑνὸς εὐκαταφρόνητος εἶναι. ἐπιόντων δὲ πυθίων, παρήγγειλε μὲν ταῖς πόλεσι βοῦς καὶ οἶς τρέφειν, καὶ αἶγας, καὶ ὗς, καὶ παρασκευάζεσθαι ὡς εἰς τὴν θυσίαν. καὶ ἔφασαν πάνυ μετρίως ἑκάστῃ πόλει ἀπαγγελλομένων, γενέσθαι βοῦς μὲν οὐκ ἐλάττους χιλίων. τὰ δὲ ἄλλα βοσκήματα πλείω ἢ μύρια. ἐκήρυξε δὲ καὶ νικητήριον χρυσοῦν στέφανον ἔσεσθαι, ἥτις τῶν πόλεων βοῦν ἡγεμόνα κάλλιστον τῷ θεῷ θρέψειε. παρήγγειλε δὲ καὶ ὡς στρατευσομένοις εἰς τὸν περὶ τὰ πύθια χρόνον θετταλοῖς παρασκευάζεσθαι. διενοεῖτο γάρ, ὡς ἔφασαν, καὶ τὴν πανήγυριν τῷ θεῷ, καὶ τοὺς ἀγῶνας αὐτὸς διατιθέναι. περὶ μέντοι τῶν ἱερῶν χρημάτων, ὅπως μὲν διενοεῖτο, ἔτι καὶ νῦν ἄδηλον. λέγεται γὰρ ἐπερομένων τῶν δελφῶν τί χρὴ ποιεῖν, ἐὰν λαμβάνῃ τῶν τοῦ θεοῦ χρημάτων, ἀποκρίνασθαι τὸν θεόν, ὅτι αὐτῷ μελήσει. ὁ δ' οὖν ἀνὴρ τηλικοῦτος ὤν, καὶ τοσαῦτα, καὶ τοιαῦτα διανοούμενος, ἐξέτασιν πεποιηκώς, καὶ δοκιμασίαν τοῦ φεῤῥαίων ἱππικοῦ, καὶ ἤδη καθήμενος, καὶ ἀποκρινόμενος, εἴ τις δεόμενός τι προσίοι, ὑπὸ νεανίσκων ἑπτὰ προσελθόντων, ὡς διαφερομένων τι ἀλλήλοις, ἀποσφάττεται, καὶ κατακόπτεται. βοηθησάντων δὲ ἐῤῥωμένως τῶν παραγενομένων δορυφόρων, εἷς μὲν ἔτι τύπτων τὸν ἰάσονα, λόγχῃ πληγείς, ἀποθνήσκει. ἕτερος δὲ ἀναβαίνων ἐφ' ἵππον, ἐγκαταληφθείς, καὶ πολλὰ τραύματα λαβών, ἀπέθανεν. οἱ δ' ἄλλοι ἀναπηδήσαντες ἐπὶ τοὺς παρεσκευασμένους ἵππους, ἀπέφυγον. ὅποι δ' ἀφίκοιντο τῶν ἑλληνίδων πόλεων, ἐν ταῖς πλείσταις ἐτιμῶντο. ᾧ καὶ δῆλον ἐγένετο, ὅτι ἰσχυρῶς ἔδεισαν οἱ ἕλληνες αὐτόν, μὴ τύραννος γένοιτο. ἀποθανόντος μέντοι ἐκείνου, πολύδωρος ἀδελφὸς αὐτοῦ, καὶ πολύφρων, ταγοὶ κατέστησαν. καὶ ὁ μὲν πολύδωρος, πορευομένων ἀμφοτέρων εἰς τὴν λάρισσαν, νύκτωρ καθεύδων, ἀποθνήσκει ὑπὸ πολύφρονος τοῦ ἀδελφοῦ, ὡς ἐδόκει. ὁ γὰρ θάνατος αὐτοῦ ἐξαπιναῖός τε καὶ οὐκ ἔχων φανερὰν πρόφασιν ἐγένετο. ὁ δ' αὖ πολύφρων ἦρξε μὲν ἕνα ἐνιαυτόν, κατεσκευάσατο δὲ τὴν ταγείαν, τυραννίδι ὁμοίαν. ἔν τε γὰρ φαρσάλῳ τὸν πολυδάμαντα

μαντα, καὶ ἄλλους τῶν πολιτῶν, ὀκτὼ τοὺς κρατίστους ἀπέκτεινεν, ἐκ τε Λαρίσης πολλοὺς φυγάδας ἐποίησε. ταῦτα δὲ ποιῶν, καὶ οὗτος ἀποθνήσκει ὑπ' Ἀλεξάνδρου, ὡς τιμωροῦντος τῷ Πολυδώρῳ, καὶ τὴν τυραννίδα καταλύοντος. ἐπεὶ δ' αὐτὸς παρέλαβε τὴν ἀρχήν, χαλεπὸς μὲν Θετταλοῖς ταγὸς ἐγένετο, χαλεπὸς δὲ Θηβαίοις καὶ Ἀθηναίοις πολέμιος. ἄδικος δὲ λῃστὴς καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. τοιοῦτος δ' ὤν, καὶ αὐτὸς ἀποθνήσκει, αὐτοχειρίᾳ μὲν ὑπὸ τῶν γυναικὸς ἀδελφῶν, βουλῇ δὲ ὑπ' αὐτῆς ἐκείνης. τοῖς τε γὰρ ἀδελφοῖς ἐξήγγειλεν ὡς Ἀλέξανδρος ἐπιβουλεύει αὐτοῖς, καὶ ἔκρυψεν αὐτοὺς ἔνδον ὄντας ὅλην τὴν ἡμέραν. καὶ δεξαμένη μεθύοντα τὸν Ἀλέξανδρον, ἐπεὶ κατεκοίμισεν, ὁ μὲν λύχνος ἔκαιε, τὸ δὲ ξίφος αὐτοῦ ἐξήνεγκεν. ὡς δ' ᾔσθετο ὀκνοῦντας εἰσιέναι ἐπὶ τὸν Ἀλέξανδρον τοὺς ἀδελφούς, εἶπεν, ὡς εἰ μὴ ἤδη πράξοιεν, ἐξεγερεῖ αὐτόν. ὡς δ' εἰσῆλθον, ἐπισπάσασα τὴν θύραν, εἴχετο τοῦ ῥοπάλου, ἕως ἀπέθανεν ὁ ἀνήρ. ἡ δὲ ἔχθρα λέγεται αὐτῇ πρὸς τὸν Ἀλέξανδρον γενέσθαι, ὑπὸ μέν τινων, ὡς ἐπεὶ ἔδησε τὰ ἑαυτοῦ παιδικὰ ὁ Ἀλέξανδρος, νεανίσκον ὄντα καλόν, δεηθείσης αὐτῆς λῦσαι, ἐξαγαγὼν αὐτὸν ἀπέσφαξεν. οἱ δέ τινες, ὡς ἐπεὶ παῖδες αὐτῷ ἐγίγνοντο ἐκ ταύτης, ὅτι πέμπων εἰς Θήβας, ἐμνᾶτο τὴν Ἰάσονος γυναῖκα ἀναλαβεῖν. τὰ μὲν οὖν αἴτια τῆς ἐπιβουλῆς ὑπὸ τῆς γυναικὸς οὕτω λέγεται. τῶν δὲ ταῦτα πραξάντων, ἄχρις οὗ ὅδε ὁ λόγος ἐγράφετο, Τισίφονος πρεσβύτατος ὢν τῶν ἀδελφῶν, τὴν ἀρχὴν εἶχε. καὶ τὰ μὲν Θετταλικά, ὅσα περὶ Ἰάσονα ἐπράχθη, καὶ μετὰ τὸν ἐκείνου θάνατον μέχρι τῆς Τισιφόνου ἀρχῆς, δεδήλωται. νῦν δ' ἐπάνειμι ἔνθεν ἐπὶ ταῦτα ἐξέβην. ἐπεὶ γὰρ Ἀρχίδαμος ἐκ τῆς ἐπὶ Λεῦκτρα Βοιωτίας ἀπήγαγε τὸ στράτευμα, ἐνθυμηθέντες οἱ Ἀθηναῖοι, ὅτι οἱ Πελοποννήσιοι ἔτι οἴονται χρῆναι ἀκολουθεῖν, καὶ οὔπω διακέοιντο οἱ Λακεδαιμόνιοι, ὥσπερ τοὺς Ἀθηναίους διέθεσαν, μεταπέμπονται τὰς πόλεις, ὅσαι βούλοιντο τῆς εἰρήνης μετέχειν, ἣν βασιλεὺς κατέπεμψεν. ἐπεὶ δὲ συνῆλθον, δόγμα ἐποιήσαντο μετὰ τῶν κοινωνεῖν βουλομένων ὀμόσαι τόνδε τὸν ὅρκον, ἐμμενῶ ταῖς σπονδαῖς, ἃς βασιλεὺς κατέπεμψε, καὶ τοῖς ψηφίσμασι τῶν Ἀθηναίων, καὶ τῶν συμμάχων. ἐὰν δέ τις στρατεύῃ ἐπί τινα πόλιν τῶν ὀμοσασῶν τόνδε τὸν ὅρκον, βοηθήσω παντὶ σθένει. οἱ μὲν οὖν ἄλλοι πάντες ἔχαιρον τῷ ὅρκῳ. Ἠλεῖοι δὲ ἀντέλεγον, ὡς οὐ δέοι αὐτονόμους ποιεῖν, οὔτε Μαργανεῖς, οὔτε Σκιλλουντίους, οὔτε Τριφυλίους. σφετέρας γὰρ εἶναι ταύτας τὰς πόλεις. οἱ δ' Ἀθηναῖοι καὶ οἱ ἄλλοι ψηφισάμενοι ὥσπερ βασιλεὺς ἔγραψεν αὐτονόμους εἶναι, ὁμοίως καὶ μικρὰς καὶ μεγάλας πόλεις, ἐξέπεμψαν τοὺς ὁρκωτάς, καὶ ἐκέλευσαν τὰ μέγιστα τέλη ἐν ἑκάστῃ πόλει ὁρκῶσαι. καὶ ὤμοσαν πάντες πλὴν Ἠλείων. ἐξ ὧν δὴ καὶ οἱ Μαντινεῖς ὡς ἤδη αὐτόνομοι παντάπασιν ὄντες, συνῆλθόν τε πάντες, καὶ ἐψηφίσαντο μίαν πόλιν τὴν Μαντίνειαν ποιεῖν, καὶ τειχίζειν τὴν πόλιν. οἱ δ' αὖ Λακεδαιμόνιοι ἡγοῦντο, εἰ τοῦτο ἄνευ τῆς σφετέρας γνώμης ἔσοιτο, χαλεπὸν ἔσεσθαι. πέμπουσι γοῦν Ἀγησίλαον πρεσβευτὴν πρὸς τοὺς Μαντινέας, ὅτι ἐδόκει πατρικὸς φίλος αὐτοῖς εἶναι. ἐπεὶ δὲ ἀφίκετο πρὸς αὐτούς, τὸν μὲν δῆμον τῶν Μαντινέων, οἱ ἄρχοντες οὐκ ἤθελον συλλέξαι αὐτῷ. πρὸς δὲ σφᾶς ἐκέλευον

λέγειν

mantem cum octo alijs praestantissimis interfecit ciuibus, ex Larissa uero quamplurimos in exilium egit. Haec cum ageret, a fratre Alexandro, tanquam Polydorum ulcisceretur, tyrannidemque dissoluere conaretur, interfectus est. Sed cum ille ducatū arripuisset, admodū Thessalis dux molestus fuit, Thebanis uero ac Atheniensibus hostis infestissimus, piraticamque ac latrocinia crudelissime terra ac mari exercuit. Cumque talis esset, ipse quoque ab uxoris fratribus nō sine illius fraude peremptus est. Cum enim Alexandrū insidias fratrib. moliri ostēdisset, clam eos in thalamū induxit, ibique per integrā celauit diem. Alexandrū uero uino somnoque nacta sepultū, cū ad lucernae lumē fidū capiti subduxerat ensem, fratres ut rem aggrederētur hortabatur. Verū cum illos timere ac cunctari cerneret, ni coeptum peragerent, Alexandrū se excitaturū comminata est. Inde inductis illis, obducto pessulo, quoad uir occumberet fores clausit. Huius in Alexandrū odij causam ab aliquibus inde ortum coepisse memoriae proditū est, quod cum uxoris filium egregia indole iuuenem in uincula coniecisset, ipsaque de solutione illius intercessisset, ille proprijs eum iugulasset manib. Alij ferunt, quamuis liberos ex illa procreasset, nihilominus Thebas misisse, Iasonisque uxorem sibi despōsasse. Et uxoris insidiarū causae hae fuisse dicuntur. Tisiphones uero qui senior inter fratres erat arrepto principatu, illū ad haec tēpora quo haec scripsimus obtinuit. Et quae in Thessalia sub Iasone, ac post illius interitū ad Tisiphonis principatum usque gesta sunt, hoc se habuere pacto. Iā uero unde digressus sum reuertar. Archidamus postquam ex Leuctris Boeotiae exercitū abduxerat, Athenienses animo uoluere coeperūt, Peloponnenses arbitrari se ut antea sequi oportere: Lacedaemonios uero cogitare quo pacto Athenienses ad eam rem cōpellerent: quapropter ciuitates omnes quae pacis, quam rex cōstituerat, participes esse desiderabant, conuocare coeperunt: quibus collectis decretū fecere, ut omnes qui una sentire uellent, iuramentū iurarēt idem: Inducias quas rex transmisit, Athenienses uero ac socij confirmarunt, firmiter obseruabo. Quod si quispiā cōtra ciuitatē aliam quae iuramentū hoc praestitit, militauerit, totis uiribus illam iuuabo. Cumque iuramēto hoc reliqui omnes laetati essent, Elij huic contra dicere coeperūt: asserentes neque Marganes aut Scillitios siue Triphyllios liberi iuris esse debere, quoniam ipsorum ciuitates illae essent. Athenienses uero ac reliqui decreuerūt, quemadmodum antea rex scripserat, tam minoresque maiores liberas esse ciuitates: hancque ob rem circum singulas miserunt ciuitates, qui undique a magistratib. iuramenta exigerent: omnesque praeter Elios iurauere. Mantinenses uero cū se penitus liberos cernerēt, conuenere, rursusque ciuitatem condere, ac moenib. circundare decreuere. Id Lacedaemonij molestissimū esse rati, si contra eorum fieret uoluntatē: quapropter Agesilaum, quoniā paternus illis amicus esse uidebatur, ad Mantinēses mittūt legatū. Qui cū ad illos peruenisset, primores populi concilium dare noluerunt, sed si quid

dicere

dic re uellet, id coram ipsis exponeret iusserunt. Et ille eis promisit, si nunc ab opere desisterent, illudq; in aliud differrent tempus, Lacedæmonios absq; illorum expensa mœnia erecturos. Cui illi responderunt, impoßibile esse rem intermittere, cum iam publice decretum esset, ut uniuersa ciuitas munimenta erigeret. quapropter Agesilaus iratus discessit. Bellum uerò illis inferre ob nuper confectam pacem impoßibile sibi uidebatur. At Mantinensibus quamplures Arcadiæ ciuitates adiutores misere: Elei uero tria argenti talenta illis in operis contulere expensas. Et Mantinenses his incumbebant. At Tegeatæ, qui cum Callibio & Proxeno sentiebant, omnes Arcades conuenire debere, & qui publice electus esset, hunc ciuitatum esse dominum censuerunt. Qui uero Stasippo adhærebant, patrijs eos legibus æquum esse diiudicabant. Idcirco cum qui Callibio & Proxeno fauebant, in theatris uicti essent, existimabant si armatum intrò uocarent populum, multitudine superare posse. Id sentientes qui circa Stasippum aderant, ipsi quoq; arma ceperunt, nec numero inferiores erant. Cumque ad manus uentum esset, Proxenum ac nonnullos alios paucos interfecere: reliquos cum in fugam uertissent, haud longe insequuti sunt. Talis enim Stasippus erat, ut plures ex ciuibus interire haud uellet. At qui cum Callibio effugerant, cum ab inimicis amplius non persequerentur, sub muris & portu quà Mantineam itur collecti quietem agebant: siquidem iam antea ad Mantinenses pro auxilio ferendo miserant. Interim uerò cum Stasippo & aduersarijs de reconciliatione agebant. Cum uerò opem sibi ferre conspexissent, alij occupatis muris, ut suppetias eis quamcelerrimè ferrent, orabant Mantinenses, & ut festinarent hortabantur: alij uerò portas illis aperiebant. Stasippus uero & qui cum eo sentiebant, cum hac de re certiores facti essent, per portas quæ Palantium ferunt, exciderunt, & antequam à persequentibus comprehenderentur, in Dianæ confugerunt templum, ubi inclusi quietem agebant. At eorum inimici ac persequutores conscenso templo, ac culmine reuulso, lateribus illos feriebant: qui cognita necessitate illos desistere iusserunt, seq; exire paratos esse ostenderunt. At illorum aduersarij eos tanquam mancipia corripientes, uinctosq; currui impositos Tegeam perduxerunt: ubi cum Mantineis causa cognita fuit, illos interfecere. His actis Tegeatæ qui cum Stasippo senserant, octoginta circiter Lacedæmonem fugere: & Lacedæmonijs ex iuramenti forma quamcelerrime Tegeatensium mortes, tum expulsorum iniuria uindicanda uisa est: quapropter contra Mantinenses bellum suscepere, tanquam illi contra iuramentum Tegeatensibus arma intulissent. Cumq; Ephori ita decreuissent, Agesilaum ciuitas educere copias iußit. Et Arcades alij Aseam conuenere, præter Orchomenios: hi enim ob Mantineorum odium, cum alijs Arcadibus sentire noluerunt. Mantinei quoque ut militibus mercenarijs, quos Polytropus Corinthi congregabat, resistere

λέγειν ὅτου δέοιτο. ὁ δὲ ὑπισχνεῖτο αὐτοῖς, ἐὰν νῦν ἐπισχῶσι τῆς τειχίσεως, ποιήσειν, ὥστε μετὰ τῆς λακεδαιμονίων γνώμης, καὶ μὴ δαπανηρῶς τειχισθῆναι τὸ τεῖχος. ἐπεὶ δὲ ἀπεκρίναντο, ὅτι ἀδύνατον εἴη ἐπισχεῖν, δόγματος γεγενημένου πάσῃ τῇ πόλει ἤδη τειχίζειν, ἐκ τούτου ὁ μὲν ἀγησίλαος ἀπῄει ὀργιζόμενος. στρατεύειν γε μέντοι ἐπ' αὐτοὺς οὐ δυνατὸν ἐδόκει εἶναι, ἐπ' αὐτονομίᾳ τῆς εἰρήνης γεγενημένης. τοῖς δὲ μαντινεῦσι, ἔπεμπον μὲν καὶ τῶν ἀρκαδικῶν πόλεων τινὲς συντειχιοῦντας. οἱ δὲ ἠλεῖοι καὶ ἀργυρίου τρία τάλαντα συνεβάλοντο αὐτοῖς, εἰς τὴν περὶ τὸ τεῖχος δαπάνην. καὶ οἱ μαντινεῖς περὶ ταῦτ' ἦσαν. τῶν δὲ τεγεατῶν οἱ μὲν περὶ τὸν καλλίβιον, καὶ πρόξενον, συνῆγον ἐπὶ τὸ συνιέναι τε πᾶν τὸ ἀρκαδικόν, καὶ ὅ,τι νικῴη ἐν τῷ κοινῷ, τοῦτο κύριον εἶναι καὶ τῶν πόλεων. οἱ δὲ περὶ τὸν στάσιππον ἔπραττον ἐᾶν κατὰ χώραν τὴν πόλιν, καὶ τοῖς πατρίοις νόμοις χρῆσθαι. ἡττώμενοι δὲ οἱ περὶ τὸν πρόξενον καὶ καλλίβιον ἐν τοῖς θεάτροις, νομίσαντες εἰ συνέλθοι ὁ δῆμος, πολὺ ἂν τῷ πλήθει κρατῆσαι, ἐκφέρονται τὰ ὅπλα. ἰδόντες δὲ τοῦτο οἱ περὶ στάσιππον, καὶ αὐτοὶ ἀντεξωπλίσαντο, καὶ ἀριθμῷ μὲν οὐκ ἐλάττους ἐγένοντο. ἐπεὶ μέντοι εἰς μάχην ὥρμησαν, τὸν μὲν πρόξενον, καὶ ἄλλους ὀλίγους μετ' αὐτοῦ ἀποκτείνουσι, τοὺς δ' ἄλλους τρεψάμενοι, οὐκ ἐδίωκον. καὶ γὰρ τοιοῦτος ὁ στάσιππος ἦν, οἷος μὴ βούλεσθαι πολλοὺς ἀποκτιννύναι τῶν πολιτῶν. οἱ δὲ περὶ τὸν καλλίβιον ἀνακεχωρηκότες ὑπὸ τὸ πρὸς μαντίνειαν τεῖχος, καὶ τὰς πύλας, ἐπεὶ οὐκέτι αὐτοῖς οἱ ἐναντίοι ἐπεχείρουν, ἡσυχίαν ἦγον ἠθροισμένοι. καὶ πάλαι μὲν ἐπεπόμφεσαν πρὸς τοὺς μαντινέας, βοηθεῖν κελεύοντες. πρὸς δὲ τοὺς περὶ στάσιππον, διελέγοντο περὶ συναλλαγῶν. ἐπεὶ δὲ καταφανεῖς ἦσαν οἱ μαντινεῖς προσιόντες, οἱ μὲν αὐτῶν ἀναπηδῶντες ἐπὶ τὸ τεῖχος, ἐκέλευον βοηθεῖν τὴν ταχίστην, καὶ βοῶντες σπεύδειν διεκελεύοντο. ἄλλοι δὲ ἀνοίγουσι τὰς πύλας αὐτοῖς. οἱ δὲ περὶ τὸν στάσιππον ὡς ᾔσθοντο τὸ γιγνόμενον, ἐκπίπτουσι κατὰ τὰς ἐπὶ τὸ παλάντιον φερούσας πύλας, καὶ φθάνουσι πρὶν καταληφθῆναι ὑπὸ τῶν διωκόντων, εἰς τὸν τῆς ἀρτέμιδος ναὸν καταφυγόντες. καὶ ἐγκλεισάμενοι, ἡσυχίαν ἦγον. οἱ δὲ μεταδιώξαντες ἐχθροὶ αὐτῶν, ἀναβάντες ἐπὶ τὸν ναόν, καὶ τὴν ὀροφὴν διελόντες, ἔπαιον ταῖς κεραμίσιν. οἱ δ' ἐπεὶ ἔγνωσαν τὴν ἀνάγκην, παύσασθαί τε ἐκέλευον, καὶ ἐξιέναι ἔφασαν. οἱ δ' ἐναντίοι ὡς ὑποχειρίους ἔλαβον αὐτούς, δήσαντες, καὶ ἀναλαβόντες ἐπὶ τὴν ἁρμάμαξαν, ἀπήγαγον εἰς τεγέαν. ἐκεῖ δὲ μετὰ τῶν μαντινέων καταγνόντες, ἀπέκτειναν. τούτων δὲ γιγνομένων, ἔφυγον εἰς λακεδαίμονα τῶν περὶ στάσιππον τεγεατῶν περὶ ὀκτακοσίους. μετὰ δὲ ταῦτα τοῖς λακεδαιμονίοις ἐδόκει βοηθητέον εἶναι τὴν ταχίστην τοῖς τεθνεῶσι τῶν τεγεατῶν κατὰ τοὺς ὅρκους, καὶ ἐκπεπτωκόσι. καὶ οὕτω στρατεύουσιν ἐπὶ τοὺς μαντινέας, ὡς παρὰ τοὺς ὅρκους σὺν ὅπλοις ἐληλυθότων αὐτῶν ἐπὶ τοὺς τεγεάτας. καὶ φρουρὰν μὲν οἱ ἔφοροι ἔφαινον, ἀγησίλαον δ' ἐκέλευεν ἡ πόλις ἡγεῖσθαι. οἱ μὲν οὖν ἄλλοι ἀρκάδες εἰς ἀσέαν συνελέγοντο. ὀρχομενίων δὲ οὐκ ἐθελόντων κοινωνεῖν τοῦ ἀρκαδικοῦ διὰ τὴν πρὸς μαντινέας ἔχθραν, ἀλλὰ καὶ δεδεγμένων εἰς τὴν πόλιν τὸ ἐν κορίνθῳ συνειλεγμένον ξενικόν, οὗ πολύτροπος ἦρχεν,

ἔμενον

ἔμενον οἴκοι οἱ μαντινεῖς, τούτων ἐπιμελούμενοι. ἡραιεῖς δὲ καὶ λεπρεᾶται συνεστρατεύοντο τοῖς λακεδαιμονίοις ἐπὶ τοὺς μαντινέας. ὁ δ' ἀγησίλαος, ἐπεὶ ἐγένετο αὐτῷ τὰ διαβατήρια, εὐθὺς ἐχώρει ἐπὶ τὴν ἀρκαδίαν. καὶ καταλαβὼν πόλιν ὅμορον οὖσαν εὔγαιαν, καὶ εὑρὼν ἐκεῖ τοὺς μὲν πρεσβυτέρους, καὶ τὰς γυναῖκας, καὶ τοὺς παῖδας οἰκοῦντας ἐν ταῖς οἰκίαις, τοὺς δ' ἐν τῇ στρατευσίμῳ ἡλικίᾳ οἰχομένους εἰς τὸ ἀρκαδικόν, ὅμως οὐκ ἠδίκησε τὴν πόλιν, ἀλλ' εἴα τε αὐτοὺς οἰκεῖν. καὶ ὠνούμενοι, ἐλάμβανον ὅσων δέοιντο. εἰ δέ τι καὶ ἥρπαστο, ὅτε εἰσῄει εἰς τὴν πόλιν, ἐξευρὼν ἀπέδωκε. καὶ ἐπῳκοδόμει δὲ τὰ τείχη αὐτῶν ὅσα ἐδεῖτο, ἕως περιέμενε τοὺς μετὰ πολυτρόπου μισθοφόρους. ἐν δὲ τούτῳ οἱ μαντινεῖς στρατεύονται ἐπὶ τοὺς ὀρχομενίους. καὶ ἐκ μὲν τοῦ τείχους μάλα χαλεπῶς ἀπῆλθον, καὶ ἀπέθανόν τινες αὐτῶν. ἐπεὶ δὲ ἀποχωροῦντες ἐν τῇ ἐλυμίᾳ ἐγένοντο, καὶ οἱ μὲν ὀρχομενίων ὁπλῖται οὐκέτι ἠκολούθουν, οἱ δὲ περὶ τὸν πολύτροπον ἐπέκειντο καὶ μάλα θρασέως, ἐνταῦθα γνόντες οἱ μαντινεῖς, ὡς εἰ μὴ ἀποκρούσονται αὐτούς, ὅτι πολλοὶ σφῶν κατακοντισθήσονται, ἀναστρέψαντες, ὁμόσε ἐχώρησαν τοῖς ἐπικειμένοις. καὶ ὁ μὲν πολύτροπος μαχόμενος, αὐτοῦ ἀποθνήσκει. τῶν δ' ἄλλων φυγόντων, πάμπολλοι ἂν ἀπέθανον, εἰ μὴ οἱ φλιάσιοι ἱππεῖς παραγενόμενοι, καὶ εἰς τὰ ὄπισθεν περιελάσαντες τῶν μαντινέων, ἐπέσχον αὐτοὺς τῆς διώξεως. καὶ οἱ μὲν μαντινεῖς ταῦτα πράξαντες, οἴκαδε ἀπῆλθον. ὁ δ' ἀγησίλαος ἀκούσας ταῦτα, καὶ νομίσας οὐκ ἂν ἔτι συμμῖξαι αὐτῷ τοὺς ἐκ τοῦ ὀρχομενοῦ μισθοφόρους, οὕτω προῄει. καὶ τῇ μὲν πρώτῃ, ἐν τῇ τεγεάτιδι χώρᾳ ἐδειπνοποιήσατο. τῇ δ' ὑστεραίᾳ διαβαίνει εἰς τὴν μαντινικήν· καὶ ἐστρατοπεδεύσατο ὑπὸ τοῖς πρὸς ἑσπέραν ὄρεσι τῆς μαντινείας. καὶ ἐκεῖ ἅμα ἐδῄου τὴν χώραν, καὶ ἐπόρθει τοὺς ἀγρούς. τῶν δὲ ἀρκάδων οἱ συλλεγέντες ἐν τῇ ἀσέᾳ, νυκτὸς παρῆλθον εἰς τεγέαν. τῇ δ' ὑστεραίᾳ ὁ μὲν ἀγησίλαος ἀπέχων μαντινείας ὅσον εἴκοσι σταδίους, ἐστρατοπεδεύσατο. οἱ δ' ἐκ τῆς τεγέας ἀρκάδες ἐχόμενοι τῶν μεταξὺ μαντινείας καὶ τεγέας ὀρῶν, παρῆσαν μάλα πολλοὶ ὁπλῖται, συμμῖξαι μάλα βουλόμενοι τοῖς μαντινεῦσι. καὶ γὰρ οἱ ἀργεῖοι οὐ πανδημεὶ ἠκολούθουν αὐτοῖς. καὶ ἦσαν μέν τινες, οἳ τὸν ἀγησίλαον ἔπειθον χωρὶς τούτοις ἐπιτίθεσθαι. ὁ δὲ φοβούμενος μὴ ἐν ᾧ πρὸς ἐκείνους πορεύοιτο, ἐκ τῆς πόλεως οἱ μαντινεῖς ἐξελθόντες, εἰς κέρας τε καὶ ἐκ τῶν ὄπισθεν ἐπιπέσοιεν αὐτῷ, ἔγνω κράτιστον εἶναι ἐᾶσαι συνελθεῖν αὐτούς. καὶ εἰ βούλοιντο μάχεσθαι, ἐκ τοῦ δικαίου, καὶ φανεροῦ τὴν μάχην ποιεῖσθαι. καὶ οἱ μὲν ἀρκάδες ὁμοῦ ἤδη ἐγεγένηντο. οἱ δ' ἐκ τοῦ ὀρχομενοῦ πελτασταί, καὶ οἱ τῶν φλιασίων ἱππεῖς, μετ' αὐτῶν τῆς νυκτὸς διεξελθόντες παρὰ τὴν μαντίνειαν, θυομένῳ τῷ ἀγησιλάῳ πρὸ τοῦ στρατοπέδου ἐπιφαίνονται ἅμα τῇ ἡμέρᾳ. καὶ ἐποίησαν τοὺς μὲν ἄλλους εἰς τάξεις δραμεῖν. ἀγησίλαον δ' ἐπαναχωρῆσαι πρὸς τὰ ὅπλα. ἐπεὶ δ' ἐκεῖνοι μὲν ἐγνώσθησαν φίλοι ὄντες, ἀγησίλαος δὲ ἐκαλλιέρητο, ἐξ ἀρίστου προῆγε τὸ στράτευμα. ἑσπέρας δ' ἐπιγινομένης, ἔλαθε στρατοπεδευσάμενος εἰς τὸν ὄπισθεν κόλπον τῆς μαντινικῆς μάλα σύνεγγυς, καὶ κύκλῳ ὄρη ἔχοντα. τῇ δ' ὑστεραίᾳ ἅμα τῇ ἡμέρᾳ, ἐθύετο μὲν πρὸ

resistere possent, domi manebant. Heræi autem & Lepreates cum Lacedæmonijs contra Mantineos militarũt. Agesilaus uerò cum rem sacram fecisset, confestim in Arcadiam irrupit, & ciuitatem quandam finitimam Eugeam nomine cepit: ubi cum senes, mulieres & pueros solum reperisset, (iuniores enim uniuersi ac militaris ætatis in Arcadiam profecti fuerant) nulla maiori calamitate ciuitatem affecit, sed captiuis illam inhabitare concessit. Rerum uero necessariarum quantum indigebant milites sumere permisit: si uero sub primam irruptionẽ quid raptum esset, idq; compareret, Agesilaus reddi iussit. Muros uero interim cum ibi ageret, ac Polytropum cum mercenario expectaret milite, quantum poterat diruit. Interim Mantinei Orchomenios inuadunt, à quibus male accepti, ac nonnullis desideratis, turpiter à muris expulsi sunt. Cumq; inde digressi, iamq; Elymiam peruenissent, Orchomenij à persecutione illorum reuersi sunt: mercenarij uerò quibus Polytropus præerat illos pertinacius insequebantur: quod Mantinei cernentes, ac cognoscentes ni illos repellerent, cladem se accepturos, conuersi persequentes excepere, Polytropumq; fortiter bellum cientem interficiunt: reliqui in fugam uersi sunt, & ni Phliasiorũ equites in tempore affuissent, ingens clades accepta fuisset. Hi enim Mãtineis ne longius ab ordine uagarentur, impedimento fuere, illosq; à persequutione inhibuere. Et Mantinei his actis domum regressi sunt. Agesilaus uerò cum de his certior factus fuisset, peregrinumq; militem ex Orchomeno sibi coniungi amplius non speraret, exercitum mouit, primaq; die in Tegeatide regione cœnam sumpsit, postridie in Mantineorum descendit fines, castraq; sub Mantineæ montibus, qui hesperum uergunt, posuit: ex quibus excursione facta cuncta ferro ac flamma uastauit. Arcades uero qui Aseæ conuenerant, nocte Tegeam peruenere: postridie Agesilaus progressus, cum haud longius stadijs uiginti à Mantinea abesset, castra collocat. Aderant interim ex Tegea numero ingenti Arcades, ac montes qui inter Mantineam & Tegeam intercedunt occupabant, mire Mantineis coniungi desiderantes: Argiui enim illos uniuerso haud sequebantur populo. Et erant qui Agesilao persuaderent, ut cum illi non adessent, confligeret. Ille enim timebat ne dum cum illis congrederetur, Mantinenses ex urbe eruptione facta, à tergo & lateribus illum adorirentur. Optimum igitur ratus ut eos coniungi pateretur, & si ex æquo ac aperto confligere uellent, illis pugnandi faceret copiam. Arcades itaque se coniunxere. At clypeati ex Orchomeno, & Phliasiorum equites cum illis nocte Mantineam prætergressi, orta die Agesilao rem sacram faciente in conspectum uenere, effeceréq; ut milites in ordines redirent, Agesilaus uero ad illos se reciperet. Cum uero quod amici essent, cogniti fuissent, Agesilaus litauit, sumptoq; prandio, infesto procedit agmine, ac sub uesperũ castra post sinum Mantinensem undiq; montibus circumseptũ collocat. Postridie diluculo ante

ante exercitum litauit, cernénsque ex Mantineorum ciuitate milites undique ad montium summitates confluxisse, quamceleriter exercitum ex sinu abducere decreuit: timens uero ne dum copias reduceret, hostes nouissimos adorirentur ac premerent, signa sistere iubet, aciémque circumegit, ac nouissimos uersis hastis circumflectere, & phalangi se coniungere mandat: sicq; non solum tuti angustias superauit, sed & longè firmiorem phalangem reddidit. Cumq; duplicata sic acie in plana descendisset, rursus eam ad nouem uel decem explicat scuta. Mantinenses uerò haud obuiam fuere, ab Elijs qui unà militabant persuasi, ne ante Thebanorum confligerent aduentum: certissime enim se scire aiebant, breui illos affuturos. Decem enim talenta ob hanc ob rem ab ipsis in Bœotiam missa esse ostenderunt. Quæ cum Arcades audiuissent, in Mantinea quieuere. Agesilaus autem quamuis mire exercitum abducere cuperet, hyems enim media erat, per tres tamen dies statiua haud longe à Mantineorum egit ciuitate, ne timore perculsus, præpropera celeritate copias reduxisse uideretur. Quarta uero luce militibus summo mane prandere iussis, composito agmine processit, tanquam castra illic collocaturus, ubi antea cum ex Eugea moueret posuerat. Cum uero nemo ex Arcadibus compareret, citato agmine Eugeam concessit, eóque multam sub noctem uenit. Milites enim anteaquam hostium conspexissent ignes, abducere uoluit, ne fuga abijsse crederetur. Ciuitatem itaque à priori ignominia aliquantisper subleuasse uidebatur, quod Arcadiam ingressus illam uastasset, nemóque manum cum illo conserere ausus fuisset. Cúmque in Laconicam peruenisset, Spartanos domum reduxit, socios uero ad proprias dimisit ciuitates. Arcades interim cum Agesilaum digressum, exercitumq; solutum esse resciuissent, undique collecti contra Heræos mouerunt, cum quod Arcadibus adhærere nollent, tum quod cum Lacedæmonijs in Arcadiam irruperant. Populabundi igitur domos concremabant, arboresq; incidebant. Cum uero Thebani pro auxilio ferendo Mantineam peruenisse dicerentur, Heræam regressi sunt, ac Thebanis se iunxere. Thebani uero rectè se res habere rati, cum enim suppetias tulissent, hostemq; nullum offendissent, discedere parabant. Arcades uero & Argiui, necnon Elij præpropera celeritate Laconicam illos irrumpere suadent, ostendentes multitudinem suam, necnon Thebanorum exercitum summis tollentes laudibus. Bœotij enim uniuersi Leuctrica elati uictoria, in armis egregiè se exercebant. Sequebantur quoq; eos Phocenses iam illis subiecti, omnesq; Euboiæ ciuitates, necnon Locri utrique, Acarnanes quoque, Heracleotæ, & Maliei aderant, & Thessalorum equites, ac peltati. Hæc omnia enumerantes, ac solitudinem quæ Lacedæmone erat referentes, orabant ne antea discederent, quàm in Lacedæmoniorum irrupissent regionem. Quæ cum Thebani audiuissent, resistere

πρὸ τοῦ στρατεύματος. ἰδὼν δὲ συλλεγομένους ἐκ τῆς τῶν μαντινέων πόλεως ἐπὶ τοῖς ὄρεσι τοῖς ὑπὲρ τῆς οὐρᾶς τοῦ ἑαυτῶν στρατεύματος, ἔγνω ἐξακτέον εἶναι τὴν ταχίστην ἐκ τοῦ κόλπου. εἰ μὲν οὖν αὐτὸς ἀφηγοῖτο, ἐφοβεῖτο μὴ τῇ οὐρᾷ ἐπίθοιντο οἱ πολέμιοι. ἡσυχίαν δὲ ἔχων, καὶ τὰ ὅπλα πρὸς τοὺς πολεμίους φαίνων, ἀναστρέψαντας ἐκέλευε τοὺς ἀπ' οὐρᾶς, εἰς δόρυ ὄπισθεν τῆς φάλαγγος ἄγειν πρὸς αὐτόν. καὶ οὕτως ἅμα ἐκ τοῦ στενοῦ ἐξῆγε, καὶ ἰσχυροτέραν ἀεὶ τὴν φάλαγγα ἐποιοῦντο. ἐπειδὴ δὲ ἐδιπλώθη ἡ φάλαγξ, οὕτως ἔχων τὸ ὁπλιτικόν, προῆλθεν εἰς τὸ πεδίον, ἐξέτεινε πάλιν ἐπ' ἐννέα ἢ δέκα τὸ στράτευμα ἀσπίδων. οἱ μέντοι μαντινεῖς οὐκέτι ἐξῄεσαν. καὶ γὰρ οἱ ἠλεῖοι συστρατευόμενοι αὐτοῖς, ἔπειθον μὴ ποιεῖσθαι μάχην, πρὶν οἱ θηβαῖοι παραγένοιντο. εὖ δὲ εἰδέναι ἔφασαν, ὅτι παρέσοιντο. καὶ γὰρ δέκα τάλαντα δεδανεῖσθαι αὐτοὺς παρὰ σφῶν εἰς τὴν βοήθειαν. οἱ μὲν δὴ ἀρκάδες ταῦτα ἀκούσαντες, ἡσυχίαν εἶχον ἐν τῇ μαντινείᾳ. ὁ δὲ ἀγησίλαος καὶ μάλα βουλόμενος ἀπάγειν τὸ στράτευμα, καὶ γὰρ ἦν μέσος χειμών, ὅμως ἐκεῖ κατέμεινε τρεῖς ἡμέρας, οὐ πολὺ ἀπέχων τῆς τῶν μαντινέων πόλεως, ὅπως μὴ δοκοίη φοβούμενος σπεύδειν τὴν ἄφοδον. τῇ δὲ τετάρτῃ πρῲ ἀριστοποιησάμενος, ἀπῆγεν ὡς στρατοπεδευσόμενος ἔνθαπερ τὸ πρῶτον ἐκ τῆς εὐγαίας ἐξωρμήθη. ἐπεὶ δὲ οὐδεὶς ἐφαίνετο τῶν ἀρκάδων, ἦγε τὴν ταχίστην εἰς τὴν εὐγαίαν, καίπερ μάλα ὀψίζων, βουλόμενος ἀπαγαγεῖν τοὺς ὁπλίτας, πρὶν καὶ τὰ πυρὰ τῶν πολεμίων ἰδεῖν, ἵνα μήτις εἴπῃ, ὡς φεύγων ἀπαγάγοι. ἐκ γὰρ τῆς πρόσθεν ἀθυμίας ἐδόκει τι ἀνειληφέναι τὴν πόλιν, ὅτι καὶ ἐμβεβλήκει εἰς τὴν ἀρκαδίαν, καὶ δῃοῦντι τὴν χώραν οὐδεὶς ἠθελήκει μάχεσθαι. ἐπεὶ δὲ ἐν τῇ λακωνικῇ ἐγένετο, τοὺς μὲν σπαρτιάτας ἀπέλυσεν οἴκαδε, τοὺς δὲ περιοίκους ἀφῆκεν ἐπὶ τὰς ἑαυτῶν πόλεις. οἱ δὲ ἀρκάδες, ἐπεὶ ὁ ἀγησίλαος ἀπεληλύθει, καὶ ᾔσθοντο διαλελυμένον αὐτῷ τὸ στράτευμα, αὐτοὶ δὲ ἠθροισμένοι ἐτύγχανον, στρατεύουσιν ἐπὶ τοὺς ἡραιᾶς, ὅτι οὐκ ἤθελον τοῦ ἀρκαδικοῦ μετέχειν, καὶ ὅτι συνεισεβεβλήκεσαν εἰς τὴν ἀρκαδίαν μετὰ τῶν λακεδαιμονίων. ἐμβαλόντες δὲ ἐνεπίμπρασάν τε τὰς οἰκίας, καὶ ἔκοπτον τὰ δένδρα. ἐπεὶ δὲ οἱ θηβαῖοι βεβοηθηκότες παρεῖναι ἐλέγοντο εἰς τὴν μαντίνειαν, οὕτως ἀπαλλάττονται ἐκ τῆς ἡραίας, καὶ συμμιγνύουσι τοῖς θηβαίοις. ὡς δὲ ὁμοῦ ἐγένοντο, οἱ μὲν θηβαῖοι καλῶς σφίσιν ᾤοντο ἔχειν, ἐπεὶ ἐβεβοηθήκεσαν μέν, πολέμιον δὲ οὐδένα ἔτι ἑώρων ἐν τῇ χώρᾳ, καὶ ἀπιέναι παρεσκευάζοντο. οἱ δὲ ἀρκάδες καὶ ἀργεῖοι καὶ ἠλεῖοι ἔπειθον αὐτοὺς ἡγεῖσθαι ὡς τάχιστα εἰς τὴν λακωνικήν, ἐπιδεικνύντες μὲν τὸ ἑαυτῶν πλῆθος, ὑπερεπαινοῦντες δὲ τὸ τῶν θηβαίων στράτευμα. καὶ γὰρ οἱ μὲν βοιωτοὶ ἐγυμνάζοντο πάντες περὶ τὰ ὅπλα, ἀγαλλόμενοι τῇ ἐν λεύκτροις νίκῃ. ἠκολούθουν δὲ αὐτοῖς καὶ φωκεῖς, ὑπήκοοι γεγενημένοι, καὶ εὐβοεῖς, ἀπὸ πασῶν τῶν πόλεων, καὶ λοκροὶ ἀμφότεροι, καὶ ἀκαρνᾶνες, καὶ ἡρακλεῶται, καὶ μαλιεῖς. ἠκολούθουν δὲ αὐτοῖς καὶ ἐκ θετταλίας ἱππεῖς τε καὶ πελτασταί. ταῦτα συνειδότες, καὶ τὴν ἐν λακεδαίμονι ἐρημίαν λέγοντες, ἐδέοντο μηδαμῶς ἀποστρέφεσθαι, πρὶν ἐμβαλεῖν εἰς τὴν τῶν λακεδαιμονίων χώραν. οἱ δὲ θηβαῖοι ἤκουον μὲν ταῦτα, ἀντιλο-

ἀντελογίζοντο δέ, ὅτι δυσεμβολωτάτη μὲν ἡ Λακωνικὴ ἐλέγετο εἶναι, φρουρὰς δὲ καθεστάναι ἐνόμιζον ἐπὶ τοῖς εὐπροσοδωτάτοις. καὶ γὰρ ἦν Ἰσχόλαος μὲν ἐν Ἰῷ τῆς Σκιρίτιδος, ἔχων νεοδαμώδεις τε φρουρούς, καὶ τῶν Τεγεατῶν φυγάδων τοὺς νεωτάτους, περὶ τετρακοσίους. ἦν δὲ καὶ ἐπὶ Λεύκτρων ὑπὲρ τῆς Μαλεάτιδος ἄλλη φρουρά. ἐλογίζοντο δὲ καὶ τοῦτο οἱ Θηβαῖοι, ὡς καὶ συνελθοῦσαν ἂν ταχέως τὴν τῶν Λακεδαιμονίων δύναμιν, καὶ μάχεσθαι ἂν αὐτοὺς οὐδαμοῦ ἄμεινον, ἢ ἐν τῇ ἑαυτῶν. ἃ δὴ πάντα λογιζόμενοι, οὐ πάνυ προπετεῖς ἦσαν εἰς τὸ ἰέναι εἰς τὴν Λακεδαίμονα. ἐπεὶ μέντοι ἧκον ἐκ Καρύων λέγοντες τὴν ἐρημίαν, καὶ ὑπισχνούμενοι αὐτοὶ ἡγήσεσθαι, καὶ κελεύοντες, ἂν ἐξαπατῶντες φαίνωνται, ἀποσφάττειν σφᾶς· παρῆσαν δέ τινες καὶ τῶν περιοίκων ἐπικαλούμενοι, καὶ φάσκοντες ἀποστήσεσθαι, εἰ μόνον φανείησαν εἰς τὴν χώραν. ἔλεγον δὲ ὡς καὶ νῦν καλούμενοι οἱ περίοικοι ὑπὸ τῶν Σπαρτιατῶν, οὐκ ἐθέλοιεν βοηθεῖν. πάντα οὖν ταῦτα ἀκούοντες καὶ παρὰ πάντων οἱ Θηβαῖοι ἐπείσθησαν. καὶ αὐτοὶ μὲν κατὰ Καρύας ἐνέβαλον. οἱ δὲ Ἀρκάδες κατὰ Ἰὸν τῆς Σκιρίτιδος. καὶ εἰ μὲν ἐπὶ τὰ δύσβατα προελθὼν ὁ Ἰσχόλαος ὑφίστατο, οὐδαμῇ ἂν ταύτῃ γε ἔφασαν ἀναβῆναι. νῦν δὲ βουλόμενος τοῖς Ἰάταις συμμάχοις χρῆσθαι, ἔμενεν ἐν τῇ κώμῃ. οἱ δὲ ἀνέβησαν παμπληθεῖς Ἀρκάδες. ἐνταῦθα δὴ ἀντιπρόσωποι μὲν μαχόμενοι οἱ περὶ τὸν Ἰσχόλαον, ἐπεκράτουν. ἐπεὶ δὲ καὶ ὄπισθεν καὶ ἐκ πλαγίου, καὶ ἀπὸ τῶν οἰκιῶν ἀναβαίνοντες, ἔπαιον καὶ ἔβαλον αὐτούς, ἐνταῦθα ὅ, τε Ἰσχόλαος ἀποθνήσκει, καὶ οἱ ἄλλοι πάντες, εἰ μή τις ἀμφιγνοηθεὶς διέφυγε. διαπραξάμενοι δὲ ταῦτα οἱ Ἀρκάδες, ἐπορεύοντο πρὸς τοὺς Θηβαίους ἐπὶ τὰς Καρύας. οἱ δὲ Θηβαῖοι ἐπεὶ ᾔσθοντο τὰ πεπραγμένα ὑπὸ τῶν Ἀρκάδων, πολὺ θρασύτερον κατέβαινον, καὶ τήν τε Σελασίαν εὐθὺς ἔκαιον, καὶ ἐπόρθουν. ἐπεὶ δὲ ἐν τῷ πεδίῳ ἐγένοντο, ἐν τῷ τεμένει τοῦ Ἀπόλλωνος ἐνταῦθα ἐστρατοπεδεύσαντο. τῇ δ' ὑστεραίᾳ ἐπορεύοντο. καὶ διὰ μὲν τῆς γεφύρας, οὐδ' ἐπεχείρουν διαβαίνειν ἐπὶ τὴν πόλιν. καὶ γὰρ ἐν τῷ ἱερῷ τῆς Ἀλέας ἱερῷ ἐφαίνοντο ἐναντίοι οἱ ὁπλῖται. ἐν δεξιᾷ δ' ἔχοντες τὸν Εὐρώταν, παρῇσαν κάοντες, καὶ πορθοῦντες πολλῶν, κἀγαθῶν μεστὰς οἰκίας. τῶν δ' ἐκ τῆς πόλεως αἱ μὲν γυναῖκες, οὐδὲ τὸν καπνὸν ὁρῶσαι ἠνείχοντο, ἅτε οὐδέποτε ἰδοῦσαι πολεμίους. οἱ δὲ Σπαρτιᾶται ἀτείχιστον ἔχοντες τὴν πόλιν, ἄλλος ἄλλῃ διαταχθέντες, μάλα ὀλίγοι καὶ ὄντες, καὶ φαινόμενοι ἐφύλαττον. ἔδοξε δὲ τοῖς τέλεσι καὶ προειπεῖν τοῖς εἵλωσιν, εἴ τις βούλοιτο ὅπλα λαμβάνειν, καὶ εἰς τάξιν τίθεσθαι, τὰ πιστὰ λαμβάνειν ὡς ἐλευθέρους ἐσομένους, ὅσοι συμπολεμήσαιεν. καὶ τὸ μὲν πρῶτον ἔφασαν ἀπογράψασθαι πλέον, ἢ ἑξακισχιλίους. ὥστε φόβον αὖ οὗτοι παρεῖχον συντεταγμένοι, καὶ λίαν ἐδόκουν πολλοὶ εἶναι. ἐπεὶ μέντοι ἔμενον μὲν οἱ ἐξ Ὀρχομενοῦ μισθοφόροι, ἐβοήθησαν δὲ τοῖς Λακεδαιμονίοις Φλιάσιοί τε καὶ Κορίνθιοι, καὶ Ἐπιδαύριοι, καὶ Πελληνεῖς, καὶ ἄλλαι δέ τινες τῶν πόλεων, ἤδη καὶ τοὺς ἀπογεγραμμένους ἧττον ὠρρώδουν. ὡς δὲ προϊὸν τὸ στράτευμα, ἐγένετο κατ' Ἀμύκλας, ταύτῃ διέβαινον τὸν Εὐρώταν. καὶ οἱ μὲν Θηβαῖοι ὅπῃ στρατοπεδεύοιντο, εὐθὺς ὅσα ἔκοπτον δένδρων, κατέβαλλον πρὸ τῆς τάξεως ὡς ἐδύναντο πλεῖστα. καὶ

resistere cœperunt, prætendentes quòd admodū difficilis ingressu Laconica esse diceretur. Arbitrabātur insuper præsidia in locis opportunis disposita esse: etenim Ischolaus in Io Sciritidos cum iunioribus & Tegeatum exulibus trecentis circiter agebat. Erat præterea in Leuctris super Maleatides præsidium aliud. Considerabant insuper Thebani Lacedæmonios celeriter uniuersas contrahere posse uires: prælio uero decernere nullibi illis opportunius arbitrabantur, quàm in finibus proprijs: quæ omnia perpendentes haud multum ad irruptionem inclinati erant. Cum uero ex Carya quidam aduentassent, solitudinē nunciantes, seq; itineris duces offerentes, & si fraudulenter quid moliri uiderentur, iugulari se iubentes: quidamq; ex conterminis ciuitatibus eos uocassent, promittentes quamprimum illos in finibus uidissent, se defecturos: referebant præterea uicinos à Spartanis in auxilium uocatos parêre noluisse: Thebani præ cæteris his auditis persuasi sunt, & ipsi per Caryas irruperunt, Arcades uero per Ion Sciritidos. Quod si Ischolaus inuia occupasset, nemo illic ingredi potuisset: nunc uero cum Iates socios præstolatur, in uico consedit. Cum itaq; ingenti multitudine Arcades inuia superassent, ab eis qui cum Ischolao aderant ex aduerso excepti, ac egregie sub initium uicti sunt. Cum uero crescente certamine à tergo & ex transuerso ac ab domorum culminibus undiq; iaculis ac sagittis premerentur, Ischolaus cum omnibus qui aderant, præterquam si quis ignotus aufugit, occubuit. His actis Arcades ad Thebanos in Caryas contenderunt: Thebaniq; cum resciuissent quæ ab Arcadibus gesta essent, multo alacriores iam irrumpebant, Selasiamq; confestim incenderunt, ac diripuerunt. Cum uero ad plana peruenissent, castra in Apollinis metati sunt luco: postridie uero progrediebātur. Pontes uero qui ad urbem ducunt transcendere ausi nō sunt: hostes enim armati in Aleæ cōspiciebantur templo. A dextra igitur Eurotam habentes procedunt, regionemq; multis & egregijs excultam domibus, ferro ac igni populabantur. At mulieres quæ nūquam hostes seu fumum conspexerant, tanquam ad spectaculum ex urbe confluebant. Spartani uero cum urbs muro careret, undiq; loca peruia præsidijs firmant. Et quamuis paucissimi & essent & uiderentur, egregie tamen resistere parabant. Proinde magistratibus uisum est per præconem nunciare, ut quicunq; ex seruis arma corriperent, ac ordinibus se immiscere uellent, publicam acciperent fidem, cum debellatum foret libertate donarentur: feruntq; sub eam uocem ad sex millia seruorum nomina dedisse, ita ut haud paruam Spartanis ob multitudinem iniecerint formidinem. Cum uero ex Orchomeno mercenarij aduenissent milites, Phliasij quoq; Lacedæmonijs opem tulissent, nec non Corinthij, Epidaurij & Pellenes, cum alijs nonnullis ciuitatibus, iam minus seruos qui nomina dederant timuere Lacedæmonij. Cum uero hostilis prætergressus esset exercitus, ad Amyclas deuenit, ibiq; Eurotam transgressus est. Et Thebani ubicunq; castra collocabant, confestim detruncatis arboribus castris prætendebant,

eáq; munitiores eo reddidere pacto. Arcades uero nihil tale curabant, sed depositis armis ad rapinam & domorum se conuertebant direptionem. Tertia inde uel quarta die Thebanorũ, necnon Eliorũ, Phocensium, Thessalorũ, ac Locrensiũ equites, cuncti ad Hippodromũ usq; processere: quibus Lacedæmoniorũ equitatus longe numero inferior fit obuiã. Insidias uero iuniores quasi trecenti in Tyndaridorũ posuerãt templo. Vno itaq; impetu equites cõcitant equos, in hostesq; permutũt, peditesq; ex insidijs pariter surrexere. Verũ hostes hunc haud tulere impetũ, sed deflexere. Id cum pedites cernerẽt, quamplures quoq; ex ipsis in fugam uersi sunt. Sed cum Lacedæmonij à persequutione desisterent, Thebanorũ quoq; exercitus hostes excipere paratus esset, rursus castra collocarũt: urbẽ uero aggredi ausi nõ sunt. Iam enim Spartanos uirib. auctos esse cernebãt: quapropter uniuerso inde digressi exercitu, Elos uersus, ac Gythiũ ducere cœperũt, ciuitatesq; mœnib. carẽtes incenderunt: Gythium uerò, ubi Lacedæmoniorũ erant naualia, triduo expugnauerunt. Deficiebant interim nonnulli ex conterminis ciuitatibus, cum Thebanisq; arma iunxere. Athenienses uero cum hæc audissent, dubij erant quid de Lacedæmonijs agerent. Ex senatusitaque decreto concionẽ cõuocauere. Aderant enim Lacedæmoniorũ ac aliorum sociorũ qui nondũ ab illis defecerãt legati. Et Lacedæmonij Aratus, Ocyllus, Pharax, Etymocles & Olontheus, cuncti fermè eadem dicebant. In memoriã enim Atheniensibus reducebãt, quod semper in maximis periculis ad communem utilitatẽ inuicem opem tulissent: se enim tyrannos ex Athenis expulisse: Athenienses uerò cum ipsi à Messenijs obsiderentur, egregie auxilium tulisse. Vtilitates quoq; referebãt ac commodum, quod illis si unà sentirẽt, utrinq; euenire posset. Commemorabãt præterea quemadmodum cõmuni consensu barbarum repulissent, quodq; Athenienses Lacedæmonijs suadentib. classis duces, ac publicarũ pecuniarũ custodes à Græcis electi fuissent: ipsi uerò omnibus Græcis consentientib. terra duces cõstituti essent. Cũ igitur Athenienses hac de re cõsultarent, quidã progressus ita uerba fecit: Si uos & nos ò uiri unà sentiemus, spes erit nos, quod iampridẽ fertur, Thebanos à nobis reijcere posse. Quãuis enim Athenienses parũ de his curant, rumor tamẽ nõ leuis uolat, illos nunc inter se ita uerba serere, ut si eis res quas nũc aggressi sunt, prosperè cedẽt, nobis inde immineãt. Fortissimum uero inter cætera quæ à Lacedæmonijs referũtur, hoc esse uidetur argumentũ, eos Thebanis summis restitisse uiribus, cum deuictis nobis, Athenas desolare conati fuissent. Plurimus igitur sermo erat, tanquam ex iuramenti forma opem ferre tenerentur. Arcades. n. nulla affectos iniuria, cum socijs arma Lacedæmonijs intulisse eam ob causam, quod Tegeatibus auxiliũ contra Mantineos, qui neglecto iuramento illos inuaserãt, præstitissent. Ob hos itaq; sermones tumultus per concionẽ ortus est. Aliqui enim iuste Mãtineos egisse dicebant, quod hospitib. qui exciderant, ac à Stasippo cum tribulib. interfecti fuerãt, opem tulissent. Alij uerò iniuste illos fecisse asserebant, q Te

geati/

καὶ οὕτως ἐφυλάττοντο. οἱ δὲ ἀρκάδες τούτων μὲν οὐδὲν ἐποίουν. καταλιπόντες δὲ τὰ ὅπλα, εἰς ἁρπαγὴν ἐπὶ τὰς οἰκίας ἐτράποντο. ἐκ τούτου δὴ ἡμέρᾳ τρίτῃ ἢ τετάρτῃ προῆλθον οἱ ἱππεῖς εἰς τὸν ἱππόδρομον εἰς γαιαόχου κατὰ τάξεις, οἵ τε θηβαῖοι πάντες, καὶ οἱ ἠλεῖοι, καὶ ὅσοι φωκέων, ἢ θετταλῶν, ἢ λοκρῶν ἱππεῖς παρῆσαν. οἱ δὲ τῶν λακεδαιμονίων ἱππεῖς μάλα ὀλίγοι φαινόμενοι, ἀντιτεταγμένοι αὐτοῖς ἦσαν. ἐνέδραν δὲ ποιήσαντες ὁπλιτῶν τῶν νεωτέρων ὅσον τριακοσίων ἐν τῷ τῶν τυνδαριδῶν, ἅμα οὗτοι μὲν ἐξέθεον. οἱ δ' ἱππεῖς ἤλαυνον. οἱ δὲ πολέμιοι οὐκ ἐδέξαντο, ἀλλ' ἐνέκλιναν. ἰδόντες δὲ ταῦτα, πολλοὶ καὶ τῶν πεζῶν εἰς φυγὴν ὥρμησαν. ἐπεὶ μέντοι οἵ τε διώκοντες ἐπαύσαντο, καὶ τὸ τῶν θηβαίων στράτευμα ἔμενε, πάλιν δὴ κατεστρατοπεδεύσαντο. καὶ τὸ μὲν μὴ πρὸς τὴν πόλιν προσβαλεῖν ἂν ἔτι αὐτοὺς, ἤδη τι ἐδόκει θαρραλεώτερον εἶναι. ἐκεῖθεν μέντοι ἀπῆξαν τὸ στράτευμα, ἐπορεύοντο τὴν ἐφ' ἕλος τε καὶ γύθειον. καὶ τὰς μὲν ἀτειχίστους τῶν πόλεων ἐνεπίμπρασαν. γυθείῳ δὲ, ἔνθα τὰ νεώρια τοῖς λακεδαιμονίοις ἦν, καὶ προσέβαλον τρεῖς ἡμέρας. ἦσαν δέ τινες τῶν περιοίκων, οἳ καὶ ἐπέθεντο, καὶ συνεστρατεύοντο τοῖς μετὰ θηβαίων. ἀκούοντες δὲ ταῦτα οἱ ἀθηναῖοι, ἐν φροντίδι ἦσαν ὅ, τι χρὴ ποιεῖν περὶ λακεδαιμονίων, καὶ ἐκκλησίαν ἐποίησαν κατὰ δόγμα βουλῆς. ἔτυχον δὲ παρόντες πρέσβεις λακεδαιμονίων τε καὶ τῶν ἄλλων συμμάχων, τῶν ἔτι ὑπολοίπων αὐτοῖς. ὅθεν δὴ οἱ λακεδαιμόνιοι, ἄρατος, καὶ ὤκυλλος, καὶ φάραξ, καὶ ἐτυμοκλῆς, καὶ ὀλονθεὺς, σχεδὸν πάντες παραπλήσια ἔλεγον. ἀνεμίμνησκόν τε γὰρ τοὺς ἀθηναίους, ὡς ἀεί ποτε ἀλλήλοις ἐν τοῖς μεγίστοις καιροῖς παρίσταντο ἐπ' ἀγαθοῖς. αὐτοί τε γὰρ ἔφασαν τοὺς τυράννους συνεκβαλεῖν ἀθήνηθεν, καὶ ἀθηναίους, ὅτε αὐτοὶ ἐπολιορκοῦντο ὑπὸ μεσσηνίων, προθύμως βοηθεῖν. ἔλεγον δὲ καὶ ὡς ἀγαθὰ εἴη ὅτε κοινῇ ἀμφότεροι ἔπραττον. ὑπομιμνήσκοντες μὲν ὡς τὸν βάρβαρον κοινῇ ἀπεμαχέσαντο. ἀναμιμνήσκοντες δὲ ὡς ἀθηναῖοί τε ὑπὸ τῶν ἑλλήνων ᾑρέθησαν ἡγεμόνες τοῦ ναυτικοῦ, καὶ τῶν κοινῶν χρημάτων φύλακες. τῶν δὲ λακεδαιμονίων ταῦτα συμβουλευομένων, αὐτοί τε κατὰ γῆν ὁμολογουμένως ὑφ' ἁπάντων τῶν ἑλλήνων ἡγεμόνες προκριθείησαν. συμβουλευομένων αὖ ταῦτα τῶν ἀθηναίων, εἷς δὲ αὐτῶν, καὶ ὧδέ πως εἶπεν· ἐὰν δὲ ὑμεῖς καὶ ἡμεῖς, ὦ ἄνδρες, ὁμονοήσωμεν, νῦν ἐλπὶς τὸ πάλαι λεγόμενον, δεκατευθῆναι θηβαίους. οἱ μέντοι ἀθηναῖοι οὐ πάνυ ἐδέξαντο, ἀλλὰ θροῦς τις τοιοῦτος διῆλθεν, ὡς νῦν ταῦτα λέγουσιν. ὅτε δὲ εὖ ἔπραττον, ἐπέκειντο ἡμῖν. μέγιστον δὲ τῶν λεχθέντων παρὰ λακεδαιμονίων ἐδόκει εἶναι, ὅτι ἡνίκα κατεπολέμησαν αὐτοὺς, θηβαίων βουλομένων ἀναστάτους ποιῆσαι τὰς ἀθήνας, αὐτοὶ ἐμποδὼν γένοιντο. ὁ δὲ πλεῖστος ἦν λόγος, ὡς κατὰ τοὺς ὅρκους βοηθεῖν δέοι. οὐ γὰρ ἀδικησάντων σφῶν ἐπιστρατεύοιεν οἱ ἀρκάδες, καὶ οἱ μετ' αὐτῶν τοῖς λακεδαιμονίοις, ἀλλὰ βοηθησάντων τοῖς τεγεάταις, ὅτι οἱ μαντινεῖς παρὰ τοὺς ὅρκους ἐπεστράτευσαν αὐτοῖς. διῄει οὖν καὶ κατὰ τούτους τοὺς λόγους θόρυβος ἐν τῇ ἐκκλησίᾳ. οἱ μὲν γὰρ δικαίως τοὺς μαντινέας ἔφασαν βοηθῆσαι τοῖς περὶ πρόξενον ἀποθανοῦσιν ὑπὸ τῶν περὶ τὸν στάσιππον· οἱ δὲ ἀδικεῖν, ὅτι ὅπλα ἀπήνεγκαν τεγεάτας.

γράττοις. τούτων δὲ διισειζομένων ὑπ' αὐτῇ τῇ ἐκκλησίας, ἀνέστη κλειτέλης κορίνθιος, καὶ εἶπε τάδε.

ΔΗΜΗΓΟΡΙΑ ΚΛΕΙΤΕΛΟΥΣ.

Ἀλλὰ ταῦτα μὲν, ὦ ἄνδρες ἀθηναῖοι, ἴσως ἀντιλέγεται, τίνες ἦσαν οἱ ἄρξαντες ἀδικεῖν. ἡμῶν δὲ, ἐπεὶ εἰρήνη ἐγένετο, ἔχει τις κατηγορῆσαι, ἢ ὡς ἐπὶ πόλιν τινὰ ἐστρατευσάμεθα, ἢ ὡς χρήματα τινων ἐλάβομεν, ἢ ὡς γῆν ἀλλοτρίαν ἐδῃώσαμεν; ἀλλ' ὅμως οἱ θηβαῖοι εἰς τὴν χώραν ἡμῶν ἐλθόντες, καὶ δένδρα ἐκκεκόφασι, καὶ οἰκίας κατακεκαύκασι, καὶ χρήματα, καὶ πρόβατα διηρπάκασι. πῶς οὖν ἐὰν μὴ βοηθῆτε, οὕτω περιφανῶς ἡμῖν ἀδικουμένοις, οὐ παρὰ τοὺς ὅρκους ποιήσετε; καὶ ταῦτα, ὧν αὐτοὶ ἐπεμελήθητε ὅρκων, ὅπως πᾶσιν ὑμῖν πάντες ἡμεῖς ὀμόσαιμεν. ἐνταῦθα μέντοι οἱ ἀθηναῖοι ἐπεθορύβησαν ὡς ὀρθῶς τε, καὶ δίκαια εἰρηκότος τοῦ κλειτέλους. μετὰ δὲ τοῦτον ἀνέστη πατροκλῆς φλιάσιος, καὶ εἶπεν.

ΔΗΜΗΓΟΡΙΑ ΠΑΤΡΟΚΛΕΟΥΣ.

Ὅτι μὲν, ὦ ἄνδρες ἀθηναῖοι, εἰ ἐκποδὼν γένοιντο λακεδαιμόνιοι, ἐπὶ πρώτους ἂν ὑμᾶς στρατεύσαιεν οἱ θηβαῖοι, πᾶσιν οἶμαι τοῦτο δῆλον εἶναι. τῶν γὰρ ἄλλων μόνους ἂν ὑμᾶς οἴονται ἐμποδὼν γενέσθαι, τοῦ ἄρξαι αὐτοὺς τῶν ἑλλήνων. εἰ δὲ οὕτως ἔχει, ἐγὼ μὲν οὐδὲν μᾶλλον λακεδαιμονίοις ἂν ὑμᾶς ἡγοῦμαι στρατεύσαντας βοηθῆσαι, ἢ καὶ ὑμῖν αὐτοῖς. τὸ γὰρ δυσμενεῖς ὄντας ὑμῖν θηβαίους, καὶ ὁμόρους οἰκοῦντας, ἡγεμόνας γενέσθαι τῶν ἑλλήνων, πολὺ οἶμαι χαλεπώτερον ἂν ὑμῖν φανῆναι, ἢ ὁπότε πόρρω τοὺς ἀντιπάλους εἴχετε. συμφορώτερόν γε μέντ' ἂν ὑμῖν αὐτοῖς βοηθήσαιτε, ἐν ᾧ ἔτι εἰσὶν οἱ σύμμαχοι ἄν, ἢ εἰ ἀπολομένων αὐτῶν, μόνοι ἀναγκάζοισθε διαμάχεσθαι πρὸς τοὺς θηβαίους. εἰ δέ τινες φοβοῦνται μὴ ἐὰν νῦν ἀναφύγωσιν οἱ λακεδαιμόνιοι, ἔτι ποτὲ πράγματα παρέχωσιν ὑμῖν, ἐνθυμήθητε, ὅτι οὐχ οὓς ἂν εὖ, ἀλλ' οὓς ἂν κακῶς τις ποιῇ, φοβεῖσθαι δεῖ, μή ποτε μέγα δυνασθῶσιν. ἐνθυμεῖσθαι δὲ καὶ τάδε χρή, ὅτι κτᾶσθαι μέν τι ἀγαθὸν, καὶ ἰδιώταις, καὶ πόλεσι προσήκει, ὅταν ἐρρωμένοι μάλιστα ὦσιν, ἵνα ἔχωσιν ἐάν ποτε ἀδύνατοι γένωνται, ἐπικουρίαν τῶν προπεπονημένων. ὑμῖν δὲ ἐκ τινος καιρὸς παραγεγένηται, νῦν ἐὰν δεομένοις βοηθήσητε λακεδαιμονίοις, κτήσασθαι τούτους εἰς τὸν ἅπαντα χρόνον φίλους ἀπροφασίστους. καὶ γὰρ δὴ οὐκ ἐπ' ὀλίγων μοι δοκοῦσι μαρτύρων νῦν ἂν εὖ παθεῖν ὑφ' ὑμῶν. ἀλλ' εἴσονται μὲν ταῦτα θεοὶ, οἱ πάντα ὁρῶντες νῦν, καὶ εἰς ἀεί. συνεπίστανται δὲ τὰ γιγνόμενα οἵ τε σύμμαχοι καὶ οἱ πολέμιοι. πρὸς δὲ τούτοις καὶ ἅπαντες ἕλληνές τε καὶ βάρβαροι. οὐδενὶ γὰρ τούτων ἀμελές. ὥστε εἰ κακοὶ φανείησαν περὶ ὑμᾶς, τίς ἄν ποτε πρόθυμος εἰς αὐτοὺς γένοιτο; ἐλπίζειν δὲ χρὴ ὡς ἄνδρας ἀγαθοὺς μᾶλλον, ἢ κακοὺς αὐτοὺς γενήσεσθαι. εἰ γάρ τινες ἄλλοι καὶ οὗτοι δοκοῦσι διατετελεκέναι, ἐπαίνου μὲν ὀρεγόμενοι, αἰσχρῶν δὲ ἔργων ἀπεχόμενοι. πρὸς δὲ τούτοις ἐνθυμήθητε καὶ τάδε, εἴ ποτε πάλιν ἔλθοι ἐν τῇ ἑλλάδι κίνδυνος ὑπὸ βαρβάρων, τίσιν ἂν μᾶλλον πιστεύσαιτε, ἢ λακεδαιμονίοις; τίνας δ' ἂν παραστάτας ἥδιον τούτων ποιήσαισθε, ὧν γε καὶ οἱ ταχθέντες ἐν θερμοπύλαις, ἅπαντες εἵλοντο μαχόμενοι ἀποθανεῖν μᾶλλον, ἢ ζῶντες εἰσπεφρέσθαι τὸν βάρβαρον τῇ ἑλλάδι; πῶς οὖν οὐ δίκαιον, ὧν τε ἕνεκα ἐγένοντο ἄνδρες ἀγαθοὶ μεθ'

geatib. arma intulissent. Cũq; cõcio tam diuerse sentiret, Cliteles Corinthius surrexit, itaq; uerba fecit:

CLITELIS ORATIO.

Perquam facile uiri Athenienses discerni potest, quinã primi iniuriã intulerint. Quis enim post factã pacem nos incusare habet, tanquã contra ciuitatem aliquã militauerimus, pecunias quorundã abstulerimus, terrã alienã uastauerimus? Verũ Thebani regionem nostrã ingressi, arbores detrũcauere, domus incendere, ac demũ pecunias & pecora diripuere. Nobis itaq; cum tam insigni ac manifesta affecti sumus iniuria, si opẽ denegaueritis, nonne cõtra iuramenti formam uenisse uidemini? Proinde qui & uos & nos omnes inuicem iurauerimus, diligenter uos cõsiderare decet. His dictis Atheniensium secutum est murmur, tanquam recte iusteq; Cliteles dissetuisset. Post hunc uero Patrocles Phliasius ita loquutus est:

PATROCLIS ORATIO.

Omnibus ô uiri Athenienses manifestũ esse reor, Thebanos, si Lacedæmonij ex pedib. sublati fuerint, cõfestim uobis præ cæteris bellũ illaturos. Vos. n. solos impedimẽto esse arbitrantur, quò minus Græciæ dominia cõsequi ualeãt. Quæ cum se ita habeat, ego uos nõ magis, si cõtra Thebanos militaueritis, Lacedæmonijs, q̃ uobismetipsis opẽ tulisse reor. Longe. n. uos molestius laturos arbitror, si Thebani uobis inimici ac cõtermini, Græciæ ducatũ assequuti fuerint, q̃ si hostes remotiores habueritis: quapropter facilius donec socij superetũt, defendere uos poteritis, q̃ si deuictis illis soli Thebanis resistere cogamini. Proinde si qui uerentur, ne si Lacedæmonij nunc ope uestra à periculis erepti fuerint, olim uobis molestias sint præbituri: illi sciãt, non eos quibus bene, sed quibus male factum est, ne uiribus crescant, timẽdos esse. Quinimò & hoc quoq; cogitare oportet, NON SOLUM RESPUBLICAS sed & homines priuatos decere, dum maxime uiribus florẽt, ea acquirere, quæ illis quãdoq; usui esse ualeãt, ut cum necessitas ingruerit, paratum quò refugiãt præsidium habeant. Vobis oblatũ est pulcherrimũ: quod si implorantib. Lacedæmonijs opẽ feretis, illos in omne tẽpus amicos fidelissimos reddere potestis. Porrò si præsenti tempore in eos benefici fueritis, nõ paucos huius rei arbitros habebitis: sed dij qui nunc & in sempiternũ cuncta aspiciũt, in primis testes erũt, dein socij pariter ac hostes, præterea Græci uniuersi ac barbari, nihil. n. hos latẽre potest: quapropter si ingrati aliquã do cõtra uos euasuri essent, quis unquã illis fidẽ post hac adhibiturus esset? Verum sperandum est illos bonorũ potius q̃ malorum uirorũ officio functũ iri, maxime cum præ cæteris semper hominib. laude digna peragere, quæ uerò uituperio fuere imputãda, declinare cõsueuerunt. Atqui & hoc quoq; perpendendũ erit: si unquã Græciæ à barbaris periculum imminebit, in quibus nam potius q̃ in Lacedæmonijs spẽ collocare, seu quos socios fideliores reperire poteritis, q̃ eos qui in Thermopylis cõstituti, omnes potius egregiẽ pugnãdo occumbere, quàm uiuentes barbaro in Græciam aditum præstare elegerunt? Nonne igitur dignum esse uidetur, cum tam strenuam operam unà uobiscum

nobiscum præstiterunt, & adhuc præstare possunt, uos pariter & nos meritas illis referre gratias? Aequum præterea existimandum est, ob præsentes socios illis opem non denegare: cum minime ignoratis, illos qui in ultima necessitate eos non derelinquere, & uobis aliquando dignas relaturos gratias. Proinde si ciuitas quæ cum illis periculum subire non formidauit, parui momenti uobis esse uidetur, noueritis si uestra ciuitas accesserit, non amplius contemnendas fore uires. Ego præterea, ô Athenienses, semper audiui hanc ciuitatem uestram consuesse cunctis qui ad illam aut iniuria affecti, seu timore perciti, confugerint, auxilium non denegare. Nunc uerò non solùm audio, sed præsens cerno, Lacedæmonios tam magni nominis uiros, & cum ipsis amicos eorum fidelißimos, ad uos uenisse, subsidium exposcere, opemq; uestram humaniter implorare. Video quoque Thebanos, qui tum minime Lacedæmonijs persuadere potuerunt ut uestram diriperent urbem, nunc rogantes ne impedimento sitis, quò minus qui uos seruarunt perditum eant. Maiores uestri olim bene audierunt, quod Argiuos qui circa Cadmeam occubuerant, insepultos relinquere noluerint: uos uero quanto rectius agetis, si Lacedæmonios uiuentes neq; iniuria affici, aut penitus exterminari sinatis? Egregium hoc quoq;, quòd Eurysthei oppreßi iniurijs, Herculis tamen filios saluare uoluistis. Verum quanto hoc pulchrius, quod non solùm principes, sed integram seruabitis ciuitatem? Omnium uerò pulcherrimum, quod cum suffragijs suis absq; periculo Lacedæmonij uos tutati sunt, nunc uos armati & cum periculo illis subuenire non differatis. Cumq; nos gaudeamus si uerbis saltem uiros tam egregios iuuare ualemus, qua tandem lætitia uos efferri decet, cum re ipsa illis opem præstare poßitis? Quinimo & hoc generosi animi est indicium, quod cum sæpius amici ac hostes Lacedæmoniorum fueritis, non tamen iniuriarum potius, quàm beneficiorum memores eritis: gratiamq; referatis non eorum solum quæ in uos benigne, sed in uniuersam contulerint Græciam, de qua ut uiri boni optime meriti sunt. His dictis Athenienses repulsis contradicere uolentibus, sententiam rogare cœperunt, ac uniuerso populo Lacedæmonijs succurrendum esse decreuerunt, Iphicratemq; ducem elegere: qui cum rem sacram fecisset, omnes in Academia cœnare, sibiq; præsto esse iußit. Verùm quamplures illum exeundo præcessere, & Iphicrates copias mouit, Athenienseśq; rati ad rem egregiam se duci, alacriter sequebantur. Postquam uero Corinthum peruenit, aliquos ibi substitit dies: ob quam moram confestim illis nota inusta est, tanquam impigre sequentes, ad hostes ducere ausus non fuisset. Interim qui in Laconica hostes erant, Arcades & Argiui, Elij quoque cum contermini essent, paulatim dilabebantur, domum quæ ceperant & rapuerant agentes ac ferentes: quapropter Thebani quoq; & reliqui ex hostico abire quærebant: exercitum enim quotidie imminui cernebāt. Iamq; commeatus inopia castra inuaserat, cuncta siquidē depopulata, uastata, direpta, ac cōcremata erant: insuper hyems imminebat, ita ut omnes abeun-

μεθ' ὑμῶν, ὧν ἐλπὶς αὖθις γενέσθαι, πᾶσαν προθυμίαν εἰς αὐτοὺς, καὶ ὑμᾶς, καὶ ἡμᾶς παρέχεσθαι; ἄξιον δὲ καὶ τῶν παρόντων συμμάχων αὐτοῖς ἕνεκεν, προθυμίαν ἐνδείξασθαι. εὖ γὰρ ἴστε ὅτι οἵπερ τούτοις πιστοὶ διαμένουσιν ἐν ταῖς συμφοραῖς, οὗτοι καὶ ὑμῖν αἰσχυνοῖντ' ἂν, μὴ ἀποδιδόναι χάριτας. εἰ δὲ μικραὶ δοκοῦμεν πόλεις εἶναι, αἱ τῶν κινδύνων μετέχειν αὐτοῖς ἐθέλουσαι, ἐνθυμήθητε, ὅτι ἐὰν ἡ ὑμετέρα πόλις προσγένηται, οὐκέτι μικραὶ πόλεις ἐσόμεθα αἱ βοηθοῦσαι αὐτοῖς. ἐγὼ δέ, ὦ ἄνδρες ἀθηναῖοι, πρόσθεν μὲν ἀκούων, ἐζήλουν τήνδε τὴν πόλιν, ὅτι πάντας, καὶ τοὺς ἀδικουμένους, καὶ τοὺς φοβουμένους ἐνθάδε καταφεύγοντας, ἐπικουρίας δεομένους ἤκουον τυγχάνειν. νῦν δ' οὐκέτ' ἀκούω, ἀλλ' αὐτὸς ἤδη παρὼν, ὁρῶ λακεδαιμονίους τε τοὺς ὀνομαστοτάτους, καὶ μετ' αὐτῶν τοὺς φίλους αὐτῶν τοὺς πιστοτάτους, πρὸς ὑμᾶς τε ἥκοντας, καὶ δεομένους αὖ ὑμῶν ἐπικουρῆσαι. ὁρῶ δὲ καὶ θηβαίους, οἳ τότε οὐκ ἔπεισαν λακεδαιμονίους ἐξανδραποδίσασθαι ὑμᾶς, νῦν δεομένους ὑμῶν μὴ περιιδεῖν ἀπολομένους τοὺς σώσαντας ὑμᾶς. τῶν μὲν οὖν ὑμετέρων προγόνων καλὸν λέγεται, ὅτι τοὺς ἀργείων τελευτήσαντας ἐπὶ τῇ καδμείᾳ, οὐκ εἴασαν ἀτάφους γενέσθαι. ὑμῖν δὲ πολὺ κάλλιον ἂν γένοιτο, εἰ τοὺς ἔτι ζῶντας λακεδαιμονίων, μήτε ὑβρισθῆναι, μήτε ἀπολέσθαι ἐάσαιτε. καλοῦ γε μὴν κἀκείνου ὄντος, ὅτι σχόντες τὴν εὐρυσθέως ὕβριν, διεσώσατε τοὺς ἡρακλέους παῖδας, πῶς οὐκ ἐκείνου τόδε κάλλιον, εἰ μὴ μόνον τοὺς ἀρχηγέτας, ἀλλὰ καὶ ὅλην τὴν πόλιν περισώσαιτε; πάντων δὲ κάλλιστον, εἰ ψήφῳ ἀκινδύνῳ σωσάντων ὑμᾶς τότε τῶν λακεδαιμονίων, νῦν ὑμεῖς σὺν ὅπλοις τε, καὶ διὰ κινδύνων ἐπικουρήσετε αὐτοῖς. ὁπότε δὲ καὶ ἡμεῖς ἀγαλλόμεθα οἱ συναγορεύοντες βοηθῆσαι ἀνδράσιν ἀγαθοῖς, ἦ που ὑμῖν γε τοῖς ἔργῳ δυναμένοις βοηθῆσαι, γενναῖα ἂν ταῦτα φανείη, εἰ πολλάκις καὶ φίλοι, καὶ πολέμιοι γενόμενοι λακεδαιμονίοις, μὴ ὧν ἐβλάβητε μᾶλλον, ἢ ὧν εὖ ἐπάθετε, μνησθείητε, καὶ χάριν ἀποδοίητε αὐτοῖς μὴ ὑπὲρ ὑμῶν αὐτῶν μόνον, ἀλλὰ καὶ ὑπὲρ πάσης τῆς ἑλλάδος, ὅτι ἄνδρες ἀγαθοὶ ὑπὲρ αὐτῆς ἐγένοντο. μετὰ ταῦτα ἐβουλεύοντο οἱ ἀθηναῖοι. καὶ τῶν μὲν ἀντιλεγόντων, οὐκ ἠνείχοντο ἀκούοντες. ἐψηφίσαντο δὲ βοηθεῖν πανδημεί, καὶ ἰφικράτην στρατηγὸν εἵλοντο. ἐπεὶ δὲ τὰ ἱερὰ ἐγένετο, καὶ παρήγγειλεν ἐν ἀκαδημίᾳ δειπνοποιεῖσθαι, πολλοὺς ἔφασαν προτέρους αὐτοῦ ἰφικράτους ἐξελθεῖν. ἐκ δὲ τούτου ἡγεῖτο μὲν ὁ ἰφικράτης, οἱ δ' ἠκολούθουν, νομίζοντες ἐπὶ καλόν τι ἔργον ἡγήσεσθαι. ἐπεὶ δὲ ἀφικόμενος εἰς κόρινθον, διέτριβέ τινας ἡμέρας, εὐθὺς μὲν ἐπὶ ταύτῃ τῇ διατριβῇ, πρῶτον μὲν, ἔψεγον αὐτόν. ὡς δ' ἐξήγαγέ ποτε, προθύμως μὲν ἠκολούθουν ὅποι ἡγοῖτο, προθύμως δ', εἰ πρὸς τὸ τεῖχος προσάγοι, προσέβαλλον. τῶν δ' ἐν τῇ λακεδαίμονι πολεμίων, ἀρκάδες μὲν καὶ ἀργεῖοι, καὶ ἠλεῖοι πολλοὶ ἀπεληλύθεσαν, ἅτε ὅμοροι οἰκοῦντες, οἱ μὲν ἄγοντες, οἱ δὲ φέροντες ὅ,τι ἡρπάκεσαν. οἱ δὲ θηβαῖοι, καὶ οἱ ἄλλοι τὰ μὲν καὶ διὰ τοῦτο ἀπιέναι ἐβούλοντο ἐκ τῆς χώρας, ὅτι ἑώρων ἐλάττονα τὴν στρατιὰν καθ' ἡμέραν γιγνομένην, τὰ δέ, ὅτι σπανιώτερα τὰ ἐπιτήδεια ἦν. τὰ μὲν γὰρ ἀνήλωτο, τὰ δὲ διήρπαστο, τὰ δὲ ἐξεκέχυτο, τὰ δὲ κατεκέκαυτο. πρὸς δ' ἔτι, καὶ χειμὼν ἦν. ὥστ' ἤδη πάντες ἀπιέναι

ἀπιέναι ἐβούλοντο. ὡς δ' ἐκεῖνοι ἀπεχώρουν ἐκ τῆς λακεδαίμονος, οὕτω δὴ καὶ ὁ ἰφικράτης τοὺς ἀθηναίους ἀπῆγεν ἐκ τῆς ἀρκαδίας εἰς κόρινθον. ἃ μὲν οὖν ἄλλοθι καλῶς ἐστρατήγησεν, οὐ ψέγω. ἐκεῖνα μέντοι, ἃ ἐν τῷ χρόνῳ ἐκείνῳ ἔπραξε, πάντα εὑρίσκω, τὰ μὲν μάτην, τὰ δὲ καὶ ἀσυμφόρως πεπραγμένα αὐτῷ. ἐπιχειρήσας μὲν γὰρ φυλάττειν ἐπὶ τῷ ὀνείῳ, ὅπως μὴ δύναιντο οἱ βοιωτοὶ ἀπελθεῖν οἴκαδε, παρέλιπεν ἀφύλακτον τὴν καλλίστην παρὰ κεγχρειὰς πάροδον. μαθεῖν δὲ βουλόμενος εἰ παρεληλύθοιεν οἱ θηβαῖοι τὸ ὄνειον, ἔπεμψε σκοποὺς τούς τε ἀθηναίων ἱππέας, καὶ τοὺς κορινθίων ἅπαντας. καίτοι ἰδεῖν μὲν οὐδὲν ἧττον, ὀλίγοι τῶν πολλῶν ἱκανοί. καὶ εἰ δέοι ἀποχωρεῖν, πολὺ ῥᾷον τοῖς ὀλίγοις, ἢ τοῖς πολλοῖς, καὶ ὁδοῦ εὐπόρου τυχεῖν, καὶ καθ' ἡσυχίαν ἀποχωρῆσαι. τὸ δὲ πολλούς τε προσάγειν, καὶ ἥττονας τῶν ἐναντίων, πῶς οὐ πολλὴ ἀφροσύνη; καὶ γὰρ δὴ ἅτε ἐπὶ πολὺ παραταξάμενοι χωρίον οἱ ἱππεῖς, διὰ τὸ πολλοὶ εἶναι, ἐπεὶ ἔδει ἀποχωρεῖν, πολλῶν καὶ χαλεπῶν χωρίων ἐπελάβοντο. ὥστε οὐκ ἔλαττον ἀπώλοντο, ἢ εἴκοσιν ἱππέων. καὶ τότε μὲν οἱ θηβαῖοι ὅπως ἐβούλοντο, ἀπῆλθον.

abeundi tenerētur desiderio. At postquā illi ex Lacedæmoniorū excederent finibus, Iphicrates quoq; Atheniēses ex Arcadia Corinthum reduxit, quem de ante actis si quid egregie gessit, minimè reprehēdo: quæ uerò illo egit tēpore, partim inutilia, partim uerò nullius momenti fuisse inuenio. Cū.n. Onium occupasset montem, ut Bœotijs impedimēto esset, quò minus domū regredi possent, admodū opportunā iuxta Cēchreas immunitā reliquit uiam. Certior deinde fieri cupiēs num Thebani Oniū transgressi essent, Atheniensiū, necnō Corinthiorū equites cunctos illuc speculatū misit: quāuis pauci ad rem illā lōge aptiores multis fuissent: si.n. pedē referre coacti fuissent, multo facilius ac per ociū quodāmodo, cū pauci essent, abire potuissent. Nūc uerò manum magnā, hostib. tamē longe inferiorē emittere, nónne extremæ demētiæ esse uidetur? Equites itaq; cū multi essent, longoq; agmine incedere cogerentur, ubi primum abire cœperunt, turbatis ordinibus ad iniquissimum deuenere locum, ita ut haud pauciores uiginti ex illis caderēt. Hoc acto, Thebani iam libere quò uoluerunt abiere.

ΞΕΝΟΦΩΝΤΟΣ
ΕΛΛΗΝΙΚΩΝ
ΕΒΔΟΜΟΝ.

Τῷ δ' ὑστεραίῳ ἔτει, λακεδαιμονίων, καὶ τῶν συμμάχων, πρέσβεις ἦλθον αὐτοκράτορες ἀθήναζε, βουλευσόμενοι καθ' ὅ, τι ἡ συμμαχία ἔσοιτο λακεδαιμονίοις καὶ ἀθηναίοις. λεγόντων μὲν πολλῶν ξένων, πολλῶν δὲ ἀθηναίων, ὡς δέοι ἐπὶ τοῖς ἴσοις, καὶ ὁμοίοις τὴν συμμαχίαν εἶναι, προκλῆς φλιάσιος εἶπε τὸν λόγον τόνδε·

ΔΗΜΗΓΟΡΙΑ ΠΡΟΚΛΕΟΥΣ ΦΛΙΑΣΙΟΥ.

Ἐπείπερ, ὦ ἄνδρες ἀθηναῖοι, ἀγαθὸν ὑμῖν ἔδοξε λακεδαιμονίους φίλους ποιεῖσθαι, δοκεῖ μοι χρῆναι σκοπεῖν τοῦτο, ὅπως ἡ φιλία ὅτι πλεῖστον χρόνον συμμενεῖ. ἐὰν οὖν ᾗ ἑκατέροις μάλιστα συνοίσει, ταύτῃ καὶ τὰς συνθήκας ποιησώμεθα, οὕτω κατά γε τὸ εἰκὸς μάλιστα συμμένοιμεν ἄν. τὰ μὲν οὖν ἄλλα συνωμολόγηται σχεδόν. περὶ δὲ τῆς ἡγεμονίας νῦν ἡ σκέψις. τῇ μὲν οὖν βουλῇ προβεβούλευται, ὑμετέραν μὲν εἶναι τὴν κατὰ θάλατταν, λακεδαιμονίων δὲ τὴν κατὰ γῆν. ἐμοὶ δὲ καὶ αὐτῷ οὐκ ἀνθρωπίνως δοκεῖ ταῦτα μᾶλλον, ἢ θείᾳ φύσει τε καὶ τύχῃ διωρίσθαι. πρῶτον μὲν γὰρ τόπον ἔχετε κάλλιστα πεφυκότα πρὸς τοῦτο. πλεῖσται γὰρ πόλεις τῶν δεομένων θαλάττης περὶ τὴν ὑμετέραν πόλιν οἰκοῦσι, καὶ αὗται πᾶσαι ἀσθενέστεραι τῆς ὑμετέρας. πρὸς τούτοις δὲ λιμένας ἔχετε, ὧν ἄνευ οὐχ οἷόν τε ναυτικῇ δυνάμει χρῆσθαι. ἔτι δὲ τριήρεις κέκτησθε πολλάς, καὶ πάτριον ὑμῖν ἐστι ναυτικὸν ἐπικτᾶσθαι. ἀλλὰ μὴν τάς γε τέχνας τὰς περὶ ταῦτα πάσας, οἰκείας ἔχετε. καὶ μὴν ἐμπειρίᾳ γε πολὺ τῶν ἄλλων προέχετε περὶ τὰ ναυτικά. ὁ γὰρ βίος τοῖς πλείστοις ὑμῶν ἀπὸ τῆς θαλάττης. ὥστε τῶν ἰδίων ἐπιμελούμενοι, ἅμα καὶ τῶν κατὰ θάλατταν ἀγώνων ἔμπειροι γίγνεσθε. ἔτι δὲ καὶ τόδε, οὐδαμόθεν ἂν τριήρεις πλείους ἀθρόαι ἐκπλεύσειαν, ἢ παρ' ὑμῶν. ἔστι δὲ τοῦτο οὐκ ἐλάχιστον

XENOPHONTIS
RERVM GRAECARVM LIBER SEPTIMVS,

In sequenti anno Lacedæmoniorum ac sociorum legati liberis Athenas uenere mādatis, cōsultantes quonam pacto fœdera inter Lacedæmonios & Athenienses sancienda essent. Cumq; multi tam peregrini, quàm Athenienses, de societatis conditionibus æquis disseruissent, tādem Procles Phliasius talem orsus est sermonem:

PROCLIS PHLIASII ORATIO.

Postquā uobis, ô Atheniēses, Lacedæmonios in amicitiā recipere placuit, mihi in primis cōsiderandū esse uidetur, quo pacto amicitia illa sit perq; diuturne mansura. Id uero fieri posse maxime arbitror, si æqs cōditionib. utrinq; fœdera ineantur. Proinde in reliquis fermè cōsentire uidemini, solū uerò de principatu nūc cōtētio intercedit. Vobis etenim mari, Lacedæmonijs uero terra imperiū tribui, æquū esse cēsetis: quod mihi nō humana potius q̄ diuina prouidētia ac fortuna quadā euenire uidetur. Primo enim locum ad rem naualē admodū idoneū colitis: plurimæ siquidē ciuitates quæ mari sustētantur, ciuitatem uestram circūhabitant, & hæ omnes uestra imbecilliores. Portus præterea habetis egregios, sine quibus potentia nautica uti, est impossibile. Triremes quoq; possidetis plurimas: patriumq; uobis est, rebus pollere maritimis. Præterea artes omnes ad rem illam necessarias, familiares habetis. Vsu uero & experientia inter cunctos excellitis homines. Vita enim ut plurimum uobis ex pelago est, ita ut cum etiā priuatis incūbitis rebus, marinorū tamen certaminum experientiam singularem acquiritis. Adde quod nusquā maior classis q̄ è ciuitate uestra prodire cernitur: quod haud parui ad

ui ad imperium est momenti: nam qui iam uiribus pollet, hunc cuncti lubenti sequuntur animo. Dij quoq; in re nautica hanc uobis tribuere felicitatem, ut quamuis multis ac maximis certaminibus mari defuncti sitis, in paucis tamen succubuistis, pluribus uero egregie superastis: quapropter decet quoq; socios uobiscum periculorum quam suauissime participes fieri. Quod uero necessaria ac attinens rerum maritimarum uobis imminet cura, ita considerate. Lacedæmonij quamuis annis plurimis uobiscum bella gessere, regionemq; uniuersam in suã redegissent potestatem, minime tamen uos subigere ualuere. Cũ uero deus aliquando illis maris quoq; concessisset dominium, cõfestim ab illis penitus sub actu estis. Hinc patet, é mari uniuersam uestrã pendere salutem. Quod cum ita sit, nónne uos Lacedæmonijs in re maritima præferri est conueniens? Siquidem iampridem ipsi quoq; in nauticis rebus se uobis inferiores esse ingenue fassi sunt: quandoquidem in maritimis certaminibus minime periculum utrisq; par est: illis enim de uiris tantummodo quibus triremes instruuntur, cura est: uobis uerò de liberis, uxoribus, et uniuersa demum ciuitate, res agitur. Et sic uestra se habẽt. Lacedæmoniorum uerò hoc pacto. Primo mediterraneam incolunt regionem, it[illegible] terra potiũtur, etsi à maritimis intercludantur [illegible] uiuere possunt. Id cum ipsi præcipue calleant, ab infantia in bellicis se exercere cõsueuerunt certaminibus, rẽq; in primis dignam arbitrantur, magistratibus obedire: quapropter illi terra, uos uero mari præstatis: quemadmodumq; uos pelago, ita illi terra celerrime fortes instruere possunt uiros, ita ut socij recte summatum in illis spem ponere ualeant. Proinde quemadmodum uobis deus mari, ita illis terra multas magnasq; concessit uictorias: plurima siquidem ac maxima terrestria cõfecere certamina, in paucis uero succubuere, pluribus uero egregiam retulere uictoriam. Quod uero illis necessaria & non inferior terra, quàm uobis mari, cura immineat, ex re ipsa dignosci potest. Vos enim quamuis annis plurimis cum illis, sæpiusq; pugna nauali conflixistis, illos tamen debellare potuistis minime: cum uero semel terra uicti sunt, confestim illis de liberis, uxoribus, & uniuersa ciuitate periculum iniectum est. Nónne igitur ijs qui tam egregie in terrestribus excellunt certaminibus, recte copiarum terrestrium cõmittitur imperium? Et ego quæ coràm recensui, utrisq; longe utilissima esse arbitror. Vos uerò quæ maxime in rem sunt, consulere decet. His dictis, Athenienses ac Lacedæmonij qui aderant utrinq; assentiẽtes, uehementer illius laudarunt sermonẽ. Surrexit inde Cephisodon, ac ita uerba fecit: Viri Athenienses, nónne uos decipi sentitis? Si enim mihi mẽtem adhibueritis, cõfestim manifestè uobis errorem demõstrabo. Si enim mari classem ducetis, Lacedæmonij; uobis socij erũt, nónne illi trierarchos mittent Lacedæmonios? pariterq; ascensores. Nautæ uerò nónne erunt hilotæ uel mercenarij? nunquid igitur uos ijs parebitis? Si uerò Lacedæmonij uobis terra militan-

χιστον πρὸς ἡγεμονίαν. πρὸς γὰρ τὸ πρόσθεν ἰσχυρὸν γενόμενον, ἥδιστα πάντες συλλέγονται. ἔτι δὲ καὶ ἐκ τῶν θεῶν δέδοται ὑμῖν εὐτυχεῖν ἐν τούτῳ. πλείστους γὰρ καὶ μεγίστους ἀγῶνας ἠγωνισμένοι κατὰ θάλατταν, ἐλάχιστα μὲν ἀποτετυχήκατε, πλεῖστα δὲ κατωρθώκατε. εἰκὸς οὖν καὶ τοὺς συμμάχους μεθ' ὑμῶν ἂν ἥδιστα τούτου τοῦ κινδύνου μετέχειν. ὡς δὲ καὶ ἀναγκαία, καὶ προσήκουσα ὑμῖν αὕτη ἡ ἐπιμέλεια, ἐκ τῶνδε ἐνθυμήθητε. Λακεδαιμόνιοι ὑμῖν ἐπολέμουν ποτὲ πολλὰ ἔτη, καὶ κρατοῦντες τῆς χώρας, οὐδὲν προὔκοπτον εἰς τὸ ἀπολέσαι ὑμᾶς. ἐπεὶ δ' ὁ θεὸς ἔδωκέ ποτε αὐτοῖς κατὰ θάλατταν ἐπικρατῆσαι, εὐθὺς ὑπ' ἐκείνοις παντελῶς ἐγένεσθε. οὐκοῦν εὔδηλον ἐν τούτοις ἐστὶν, ὅτι ἐκ τῆς θαλάττης ἅπασα ὑμῖν ἤρτηται σωτηρία. οὕτως οὖν πεφυκότων, πῶς ἂν ἔχοι καλῶς ὑμῖν Λακεδαιμονίοις ἐπιτρέψαι κατὰ θάλατταν ἡγεῖσθαι; οἳ πρῶτα μὲν καὶ αὐτοὶ ὁμολογοῦσιν ἀπειρότεροι ὑμῶν τούτου τοῦ ἔργου εἶναι. ἔπειτα δ' οὐ περὶ τοῦ ἴσου ὁ κίνδυνός ἐστιν ἐν τοῖς κατὰ θάλατταν ἀγῶσιν, ἀλλ' ἐκείνοις μὲν περὶ τῶν ἐν ταῖς τριήρεσι μόνον ἀνθρώπων, ὑμῖν δὲ καὶ περὶ παίδων καὶ γυναικῶν, καὶ ὅλης τῆς πόλεως. καὶ τὰ μὲν δὴ ὑμέτερα οὕτως ἔχει. τὰ δὲ τῶν Λακεδαιμονίων ὧδε. πρῶτον μὲν γὰρ οἰκοῦσιν ἐν μεσογαίᾳ, ὥστε τῆς γῆς κρατοῦντες, καὶ ἂν θαλάττης εἴργοιντο, δύναιντ' ἂν καλῶς διαζῆν. ἐγνωκότες καὶ αὐτοὶ ταῦτα ἐκ παίδων εὐθὺς, πρὸς τὸν κατὰ γῆν πόλεμον τὴν ἄσκησιν ποιοῦνται. καὶ τὸ πλείστου δὲ ἄξιον, τὸ πείθεσθαι τοῖς ἄρχουσιν, οὗτοι μὲν κράτιστοι κατὰ γῆν, ὑμεῖς δὲ κατὰ θάλατταν. ἔπειτα δὲ ὥσπερ ὑμεῖς ναυτικῷ, οὕτως αὖ ἐκεῖνοι καὶ κατὰ γῆν πλεῖστοι, καὶ τάχιστ' ἂν ἐξέλθοιεν. ὥστε πρὸς τούτοις αὖ, εἰκὸς τοὺς συμμάχους εὐθαρσεστάτους προσιέναι. ἔτι δὲ καὶ ὁ θεὸς δέδωκεν αὐτοῖς, ὥσπερ ὑμῖν κατὰ θάλατταν εὐτυχεῖν, οὕτως ἐκείνοις κατὰ γῆν. πλείστους γὰρ αὖ οὗτοι ἀγῶνας ἐν τῇ γῇ ἠγωνισμένοι, ἐλάχιστα μὲν ἐσφαλμένοι εἰσὶ, πλεῖστα δὲ κατωρθωκότες. ὡς δὲ καὶ ἀναγκαία οὐδὲν ἧττον αὐτοῖς ἡ κατὰ γῆν ἐπιμέλεια, ἢ ὑμῖν ἡ κατὰ θάλατταν, ἐκ τῶν ἔργων ἔξεστι γινώσκειν. ὑμεῖς γὰρ τούτοις πολλὰ ἔτη πολεμοῦντες, καὶ πολλάκις καταναυμαχοῦντες, οὐδὲν προὔργου ἐποιεῖτε πρὸς τὸ τούτους καταπολεμῆσαι. ἐπεὶ δὲ ἅπαξ ἡττήθησαν ἐν τῇ γῇ, εὐθὺς καὶ περὶ παίδων, καὶ περὶ γυναικῶν, καὶ περὶ ὅλης τῆς πόλεως ὁ κίνδυνος αὐτοῖς ἐγένετο. πῶς οὖν οὐ τούτοις αὖ δεινὸν, ἄλλοις μὲν ἐπιτρέπειν κατὰ γῆν ἡγεῖσθαι αὐτοὺς, καὶ ἄριστα τῶν κατὰ γῆν ἐπιμελεῖσθαι; ἐγὼ μὲν οὖν ὥσπερ ἡ βουλὴ προβεβούλευται, ταῦτα εἴρηκά τε, καὶ συμφορώτατα ἡγοῦμαι ἀμφοῖν εἶναι. ὑμεῖς δὲ εὐτυχοῖτε, τὰ κράτιστα πᾶσιν ὑμῖν βουλευσάμενοι. ὁ μὲν τοιαῦτ' εἶπεν. οἱ δ' Ἀθηναῖοι, καὶ οἱ τῶν Λακεδαιμονίων συμπαρόντες ἐπῄνεσαν ἀμφότεροι ἰσχυρῶς τὸν λόγον αὐτοῦ. Κηφισόδοτος δὲ παρελθὼν, ἄνδρες Ἀθηναῖοι, ἔφη, οὐκ αἰσθάνεσθε ἐξαπατώμενοι; ἀλλ' ἐὰν ἀκούσητέ μου, ἐγὼ ὑμῖν αὐτίκα μάλα ἐπιδείξω. ἤδη γὰρ ἡγήσεσθε κατὰ θάλατταν. Λακεδαιμόνιοι δὲ ὑμῖν ἐὰν συμμαχῶσι, δῆλον ὅτι πέμψουσι τοὺς μὲν τριηράρχους Λακεδαιμονίους, καὶ ἴσως τοὺς ἐπιβάτας. οἱ δὲ ναῦται δηλονότι ἔσονται ἢ εἵλωτες ἢ μισθοφόροι. οὐκοῦν ὑμεῖς μὲν τούτων ἡγήσεσθε. οἱ δὲ Λακεδαιμόνιοι, ὅταν παραγγείλωσιν ὑμῖν κατὰ γῆν στρα-

στρατείαν, δηλονότι ἐκπέμψετε τοὺς ἱππέας καὶ τοὺς ὁπλί-
τας. οὐκοῦν οὕτως ἐκεῖνοι μὲν ὑμῶν γίγνονται ἡγεμόνες,
ὑμᾶς δὲ τῶν ἐκείνων δούλων, καὶ ἐλαχίστου ἀξίων. ἀπο-
κρῖναι δέ μοι, ἔφη, ὦ Λακεδαιμόνιε Τιμόκρατες, οὐκ ἄρ-
τι ἔλεγες ὡς ἐπὶ τοῖς ἴσοις καὶ ὁμοίοις ἥκεις τὴν συμμα-
χίαν ποιούμενος; εἶπον ταῦτα. ἔστιν οὖν, ἔφη ὁ Κηφισό-
δοτος, ἰσαίτερον, ἢ ἐν μέρει μὲν ἑκατέρους ἡγεῖσθαι τοῦ
ναυτικοῦ, ἐν μέρει δὲ τοῦ πεζοῦ; καὶ ὑμᾶς τε εἴ τι ἀγαθόν
ἐστιν ἐν τῇ κατὰ θάλατταν ἀρχῇ, τούτου μετέχειν, καὶ ἡμᾶς
ἐν τῇ κατὰ γῆν; ἀκούσαντες ταῦτα οἱ Ἀθηναῖοι, μετε-
πείσθησαν, καὶ ἐψηφίσαντο κατὰ πενθήμερον ἑκατέρους
ἡγεῖσθαι. στρατευομένων δ' ἀμφοτέρων αὐτῶν, καὶ τῶν
συμμάχων εἰς Κόρινθον, ἔδοξε κοινῇ φυλάττειν τὸ Ὄ-
νειον. καὶ ἐπεὶ ἐπορεύοντο οἱ Θηβαῖοι καὶ οἱ σύμμαχοι,
παρατεταγμένοι, ἐφύλαττον ἄλλος ἄλλοθεν τοῦ Ὀνείου.
Λακεδαιμόνιοι δὲ, καὶ Πελληνεῖς κατὰ τὸ ἐπιμαχώτα-
τον. οἱ δὲ Θηβαῖοι καὶ οἱ σύμμαχοι, ἐπεὶ ἀπεῖχον τῶν φυ-
λαττόντων τριάκοντα στάδια, κατεστρατοπεδεύσαντο
ἐν τῷ πεδίῳ. συντεκμηράμενοι δὲ, ἡνίκ' ἂν ᾤοντο ὁρ-
μηθέντας κατανύσαι, ἅμα κνέφα πρὸς τὴν τῶν Λακεδαι-
μονίων φυλακὴν ἐπορεύοντο. καὶ μέντοι οὐκ ἐψεύσθη-
σαν τῆς ὥρας, ἀλλ' ἐμπίπτουσι τοῖς Λακεδαιμονίοις, καὶ τοῖς
Πελληνεῦσιν, ἡνίκα αἱ μὲν νυκτεριναὶ φυλακαὶ ἤδη
ἔληγον, ἐκ δὲ τῶν στιβάδων ἀνίσταντο ὅποι ἐδεῖτο ἕκαστος.
ἐνταῦθα οἱ Θηβαῖοι προσπεσόντες, ἔπαιον παρεσκευασ-
μένοι ἀπαρασκευάστους, καὶ συντεταγμένοι ἀσυντάκτους.
ὡς δὲ οἱ σωθέντες ἐκ τοῦ πράγματος ἀπέφυγον ἐπὶ τὸν
ἐγγύτατα λόφον, ἐξὸν τῷ Λακεδαιμονίων πολεμάρχῳ
λαβόντι ὁπόσους μὲν ἐβούλετο τῶν συμμάχων ὁπλίτας,
ὁπόσους δὲ πελταστὰς κατέχειν τὸ χωρίον, καὶ γὰρ τὰ
ἐπιτήδεια ἐξῆν ἀσφαλῶς ἐκ Κεγχρειῶν κομίζεσθαι, οὐκ
ἐποίησε ταῦτα. ἀλλὰ μάλα ἀπορούντων τῶν Θηβαίων,
πῶς χρὴ ἐκ τοῦ πρὸς Σικυῶνα βλέποντος καταβῆναι,
ἢ πάλιν ἀπελθεῖν, σπονδὰς ποιησάμενος ὡς τοῖς πλεί-
στοις ἐδόκει πρὸς Θηβαίων μᾶλλον, ἢ πρὸς ἑαυτῶν, οὕτως
ἀπῆλθε, καὶ τοὺς μετ' αὐτοῦ ἀπήγαγεν. οἱ δὲ Θηβαῖοι ἀ-
σφαλῶς καταβάντες, καὶ συμμίξαντες τοῖς ἑαυτῶν
συμμάχοις, Ἀρκάσι τε καὶ Ἀργείοις, καὶ Ἠλείοις, εὐθὺς
μὲν προσέβαλον πρὸς Σικυῶνα καὶ Πελλήνην. στρατευ-
σάμενοι δὲ εἰς Ἐπίδαυρον, ἐδῄωσαν αὐτῶν πᾶσαν τὴν χώ-
ραν. ἀναχωροῦντες δ' ἐκεῖθεν μάλα πάντων ὑπεροπτι-
κῶς τῶν ἐναντίων, ὡς ἐγένοντο ἐγγὺς τοῦ τῶν Κορινθίων ἄστεος,
δρόμῳ ἐφέροντο πρὸς τὰς πύλας τὰς ἐπὶ Φλιοῦντα ἰόν-
τι ὁρώσας, ὡς εἰ ἀνεῳγμέναι τύχοιεν, εἰσπεσούμενοι. ἐκ-
βοηθήσαντες δέ τινες ψιλοὶ ἐκ τῆς πόλεως, ἀπαντῶσι τῶν
Θηβαίων τοῖς ἐπιλέκτοις, οὐδὲ τέτταρα πλέθρα ἀπέχουσι
τοῦ τείχους. καὶ ἀναβάντες ἐπὶ τὰ μνήματα, καὶ τὰ ὑπερέ-
χοντα χωρία, βάλλοντες καὶ ἀκοντίζοντες, ἀποκτείνου-
σι τῶν πρώτων καὶ μάλα συχνούς. καὶ τρεψάμενοι, ἐδίω-
κον ὡς τρία ἢ τέτταρα στάδια. τούτου δὲ γενομένου, οἱ Κο-
ρίνθιοι τοὺς νεκροὺς πρὸς τὸ τεῖχος ἑλκύσαντες, καὶ
ὑποσπόνδους ἀποδόντες, τρόπαιον ἔστησαν. καὶ ταύ-
τῃ μὲν ἀνεψύχθησαν οἱ τῶν Λακεδαιμονίων σύμ-
μαχοι. ἅμα τε δὴ πεπραγμένων τούτων, καταπλεῖ Λα-
κεδαιμονίοις ἡ παρὰ Διονυσίου βοήθεια, τριήρεις πλέον ἢ
εἴκοσιν. ἦγον δὲ Κελτούς τε καὶ Ἴβηρας, καὶ ἱππέας ὡς
πεντή-

militandum esse denunciauerint; nonne nos e/
quites ac pedites mittetis? Nunquid igitur illi du/
ces erunt uestri? uosq; illorum serui, ac penitus
nullius momenti? Responde itaq; mihi ô Lacede/
monie Timocrates, nunquid paulo ante dicebas,
societatem æquis conficiendam esse conditioni/
bus? Est ne igitur quid æquius, quàm alternatim
maritimis ac terrestribus præesse exercitibus? & si
quid boni rebus inest nauticis, uos participes fie/
10 ri, nos uero à terrestribus haud arceri? His auditis,
Athenienses illi assensere, decreueruntq; singulas
ciuitates quinque alternatim præesse diebus. Cum/
que utrinque cum suis ac sociorum copiis Corin/
thum conuenissent, uisum illis est communiter
Onium custodiendum esse montem. Cumq; The/
bani cum sociis aduentassent, obseruabant alii ali/
bi Onium: Lacedæmonii enim ac Pellenenses lo/
ca facillime expugnatu obtinebant. At Thebani
& socii cum à statiuis abessent stadiis circiter tri/
20 ginta, castra in campis collocant, deliberantes qua
parte potissimum perrumperent: simul sub crepu/
sculum ad Lacedæmoniorum ducere cœperunt
præsidium: nec hora aut opinione decepti sunt. La/
cedæmonios enim ac Pellenenses cum è stratis sur/
gerent, ac excubiæ nocturnæ iam mutarentur, na/
cti sunt, illosq; instructi inopinatos, compositiq; di/
spersos inuadunt: at qui ex tumultu illo euasere, in
proximum confugere tumulum. Quibus omnibus
collectis, Lacedæmoniorum polemarchus locum
30 facile obtinere, hostesq; ab ingressu prohibere po/
tuisset: nam & commeatus facile importari potu/
isset. Verùm id minime fecit: sed cum Thebanis ad
modum dubiis ac anxiis quonam pacto Sicyonem
descendere possent, iamq; de reditu cogitantibus,
inducias pepigit, ut quibusdam uidebatur potius
ex Thebanorum quàm suorum sententia, sicq; di/
scessit, & eos qui secum erant abduxit. At
Thebani securè iam discedentes, Arcadibus, E/
liensibus & Argiuis sociis se coniunxere, cum
40 quibus populabundi Sicyonem & Pellenem
contendunt. Cumque in Epidauro castra po/
suissent, uniuersam circumiectam regionem flam/
mis ac ferro uastarunt: inde mirum in modum de/
spectis hostibus abiere. Cumq; haud longe Corin/
tho abessent, celeri cursu ad portas quæ Phliun/
tem eunti respiciunt, feruntur, ut si illas apertas of/
fenderent, irrumperent. Sed cum quidam leuis ar/
maturæ milites urbe egressi essent, in illos incide/
runt, cum uix iugera quatuor à muris distarent:
50 conscensisq; monumentis ac locis editioribus, sa/
gittis ac iaculis illos incessebant, & haud paucos
ex primoribus obtruncant: inde in fugam uersos
tria uel quatuor insequuntur stadia. His actis, Co/
rinthii mortuos muris subduxerunt, illisq; per in/
ducias redditis, trophæum erexere: Lacedæmo/
niorumque socii ob id factum aliquantisper respi/
rauere, ac animum resumpsere. Simulque post
hæc uenere Lacedæmoniis à Dionysio auxi/
lia, triremes circiter uiginti, oneratæ Cel/
tis & Iberis, inter quos erant equites fermè
quin/

quinquaginta. Postridie Thebani ac socij instru-
ctis ordinibus campum, qui mari ac tumulis urbi
imminentib. interiacet, uniuersum milite cōplent,
omniaq; uastant ac diripiunt. Atheniensiū uero ac
Corinthiorū equites ob multitudinē illis appropin
quare haud audebant. At Dionysij equites, quam
uis pauci essent, sparsi, cum alius alio ruūt, iaculis
hostes obequitādo incessunt: cumq; illi eos inuade
re conarētur, terga eis uertebant. Inde abeuntibus
rursus nouißimos premebant: interim uero nonnū
quam equis desilientes quiescebāt: cum uero leuis
armaturæ milites illos persequerentur, rursus faci
le conscensis equis illos eludebant: & si qui lon-
gius persequuti fuissent, eos conuersi premebāt, ia
culisq; male afficiebant, ita ut uniuersum exercitū
procedere seu regredi cogerent ad eorum nutum.
Inde Thebani haud multis mansere diebus, copi-
asq; domum reduxere: reliqui quoq; socij in suam
quisq; dilapsus est ciuitatem. Præsidiarij uerò mili
tes qui Dionysio aduenerant, Sicyonem delati, Si-
cyoniosq; congredi ausos, in cāpo prælio uincūt,
ex quibus septuaginta circiter interfecere: Geras in
de ui capiunt ac diripiunt: & subsidium quod pri
mo à Dionysio in Lacedæmoniorū missum est au
xilium, his actis Syracusas reuersum est. Thebani
quoq; ac cuncti qui à Lacedæmonijs defecerāt, ad
hoc usq; tempus unanimiter res gessere, ducētesq;
Thebanos sequuti sunt. Sed Lycomedes quidam
Mantinēsis nulli genere inferior, opibusq; pollēs,
& admodum liberalis, Arcades grauiter increpa
bat: asserens solummodo Peloponnesum patriam
esse, solumq; illos indigenas illic inhabitare. Pluri
mas præterea gentes græcas ab Arcadibus origi-
nem traxisse: corpora præterea robustißima ac for
tißima habere ea ratione ostendit, quod cum auxi-
lio quispiam indigeret, neminē Arcadibus præfer-
ret: neq; unquam Lacedæmonios absq; Arcadibus
Atticam ingressos, nec nunc quidem Thebanos si
ne ipsis Laconiam irrumpere ausos. Si igitur sapi-
tis, inquit, cum ad expeditionem quandam uocabi
mini, minime parebitis: utpote Lacedæmonios an-
tea cum eos sequuti estis, mirum in modum extuli
stis: nunc uero si Thebanis obtemperaueritis, nec
uos qui ex parte præsteis, dignos ducitis, forsitan
istos alios inuenistis Lacedæmonios. Arcades his
auditis Lycomedi assentiebantur, summisq; illum
extollebant laudibus, solumq; uirum esse arbitra-
bantur. Igitur duces constituerunt quos ille iussis
set, ex rebusq; illis magnum Arcades adepti sunt
nomen: Epidaurum enim Argiuorū ingreßi, redi-
tus ab Chabria qui peregrinis præerat militibus,
Atheniensibus & Corinthijs interclusi sunt: ex
quibus Argiuos ferociter adorti, non solùm militū
multitudine, sed & loci opportunitate longe supe
riores, repulerunt. Inde cum Asinem terræ Laconi
cæ adorti essent, præsidiū uicere Lacedæmoniorū,
ac Geranorē polemarchum Spartanū interfecere,
suburbiaq; Asineorū diripuere. Cumq; in militiam
exire decreuissent, neq; nocte aut hyeme, seu uiæ
longitudine, aut montium deterrebantur iniqui-
tate,

πεντήκοντα. τῇ δ' ὑστεραίᾳ οἱ Θηβαῖοι τε καὶ οἱ ἄλλοι
αὐτῶν σύμμαχοι διαταξάμενοι, καὶ ἐμπλήσαντες τὸ
πεδίον μέχρι τῆς θαλάττης, καὶ μέχρι τῶν ἐχομένων τῆς πό-
λεως γηλόφων, ἔφθειρον εἴ τι χρήσιμον ἦν ἐν τῷ πεδίῳ.
καὶ οἱ μὲν τῶν Ἀθηναίων, καὶ οἱ τῶν Κορινθίων ἱππεῖς,
οὐ μάλα ἐπλησίαζον τῷ στρατεύματι, ὁρῶντες ἰσχυρὰ
καὶ πολλὰ τὰ ἀντίπαλα. οἱ δὲ παρὰ τοῦ Διονυσίου ἱππεῖς
ὅσοιπερ ἦσαν, οὗτοι διεσκεδασμένοι ἄλλος ἄλλῃ παρα-
θέοντες, ἠκόντιζόν τε προσελαύνοντες. καὶ ἐπεὶ ὥρμων,
πρὸς αὐτοὺς ἀνεχώρουν. καὶ πάλιν ἀναστρέφοντες, ἠκόντι-
ζον. καὶ ταῦτα ἅμα ποιοῦντες, κατέβαινον ἀπὸ τῶν ἵπ-
πων, καὶ ἀνεπαύοντο. εἰ δὲ καταβεβηκόσιν ἐλαύνοιέν τι-
νες, εὐπετῶς ἀναπηδῶντες, ἀνεχώρουν. εἰ δ' αὖ τινες
διώξειαν αὐτοὺς πολὺ ἀπὸ τοῦ στρατεύματος, τούτους
ὁπότε ἀποχωροῖεν, ἐπικείμενοι, καὶ ἀκοντίζοντες, δει-
νὰ εἰργάζοντο. καὶ πᾶν τὸ στράτευμα ἠνάγκαζον ἑαυ-
τῶν ἕνεκα καὶ προϊέναι, καὶ ἀναχωρεῖν. μετὰ ταῦτα μέν-
τοι Θηβαῖοι μείναντες οὐ πολλὰς ἡμέρας, ἀπῆλθον οἴ-
καδε. καὶ οἱ ἄλλοι δὲ ἕκαστος οἴκαδε. ἐκ δὲ τούτου ἐμ-
βάλλουσιν οἱ παρὰ Διονυσίου εἰς Σικυῶνα, καὶ μάχῃ μὲν νι-
κῶσι τοὺς Σικυωνίους ἐν τῷ πεδίῳ. καὶ ἀπέκτειναν περὶ
ἑβδομήκοντα. γέρας δὲ τεῖχος κατακράτος αἱροῦσι. καὶ
ἡ μὲν παρὰ Διονυσίου πρώτη βοήθεια, ταῦτα πράξα-
σα, ἀπέπλευσεν εἰς Συρακούσας. Θηβαῖοι δὲ καὶ πάντες
οἱ ἀποστάντες ἀπὸ Λακεδαιμονίων, μέχρι μὲν τούτου τοῦ
χρόνου ὁμοθυμαδὸν καὶ ἔπραττον, καὶ ἐστρατεύοντο, ἡγου-
μένων τῶν Θηβαίων. ἐγγενόμενος δέ τις Λυκομήδης
Μαντινεύς, γένος τε οὐδενὸς ἐνδεής, χρήμασί τε προήκων,
καὶ ἄλλως φιλότιμος, οὗτος ἐνέπλησε φρονήματος τοὺς
Ἀρκάδας, λέγων ὡς μόνοις μὲν αὐτοῖς Πελοπόννησος
πατρὶς εἴη. μόνοι γὰρ αὐτόχθονες ἐν αὐτῇ οἰκοῖεν, πλεῖ-
στον δὲ φῦλον τῶν Ἑλληνικῶν τὸ Ἀρκαδικὸν εἴη, καὶ σώμα-
τα ἐγκρατέστατα ἔχοι. καὶ ἀλκιμωτάτους δὲ αὐτοὺς ἀπε-
δείκνυε, τεκμήρια παρεχόμενος, ὡς ἐπικούρων, ὁπό-
τε δεηθεῖέν τινες, οὐδένας ᾑροῦντο ἀντ' Ἀρκάδων. ἔτι δὲ
ὅτι Λακεδαιμόνιοι ἄνευ σφῶν οὐπώποτε ἐμβαλεῖεν εἰς
τὰς Ἀθήνας, οὔτε νῦν Θηβαῖοι ἔλθοιεν ἄνευ Ἀρκάδων εἰς
Λακεδαίμονα. ἂν οὖν σωφρονῆτε, τοῦ ἀκολουθεῖν ὅποι ἄν
τις παρακαλῇ, φείσεσθε, ὡς πρότερόν τε Λακεδαιμονίοις
ἀκολουθοῦντες, ἐκείνους ηὐξήσατε. νῦν δὲ ἂν Θηβαίοις εἰ-
κῇ ἀκολουθῆτε, καὶ μὴ κατὰ μέρος ἀξιῶτε ἡγεῖσθαι, ἴσως τά-
χα τούτους ἄλλους Λακεδαιμονίους εὑρήσετε. οἱ μὲν δὴ
Ἀρκάδες ταῦτ' ἀκούοντες, ἀνεφυσῶντό τε, καὶ ὑπερ-
εφίλουν τὸν Λυκομήδην, καὶ μόνον ἄνδρα ἡγοῦντο. ὥστε
ἄρχοντας ἔταττον, οὕστινας ἐκεῖνος κελεύοι. καὶ ἐκ τῶν
συμβαινόντων δὲ ἔργων, ἐμεγαλύνοντο οἱ Ἀρκάδες.
ἐμβαλόντων μὲν γὰρ εἰς Ἐπίδαυρον τῶν Ἀργείων, καὶ
ἀποκλεισθέντων τῆς ἐξόδου ὑπό τε τῶν μετὰ Χαβρίου
ξένων, καὶ Ἀθηναίων, καὶ Κορινθίων, βοηθήσαντες μάλα
πολιορκουμένους ἐξελύσαντο Ἀργείους, οὐ μόνον τοῖς
ἀνθρώποις, ἀλλὰ καὶ τοῖς χωρίοις πολεμίοις χρώμενοι. στρα-
τευσάμενοι δὲ καὶ εἰς Ἀσίνην τῆς Λακωνικῆς, ἐνίκησάν τε
τὴν τῶν Λακεδαιμονίων φρουράν, καὶ τὸν Γεράνορα τὸν πο-
λέμαρχον Σπαρτιάτην γεγενημένον ἀπέκτειναν, καὶ
τὸ προάστειον τῶν Ἀσιναίων ἐπόρθησαν. ὅποι δὲ βουληθεῖεν
ἐξελθεῖν, οὐ νύξ, οὐ χειμών, οὐ μῆκος ὁδοῦ, οὐκ ὄρη δύσβα-

τα

τα ἀπεκάλουν αὐτούς. ὥστε ἔν γε τῷ χρόνῳ ἐκείνῳ πολὺ ᾤοντο κράτιστοι εἶναι. οἱ μὲν δὴ Θηβαῖοι διὰ ταῦτα ὑπὸ φθόνου, καὶ οὐκ ἔτι φιλικῶς εἶχον πρὸς τοὺς ἀρκάδας. οἵ γε μὴν ἠλεῖοι, ἐπεὶ ἀπαιτοῦντες τὰς πόλεις τοὺς ἀρκάδας, ἃς ὑπὸ λακεδαιμονίων ἀφῃρέθησαν, ἔγνωσαν αὐτούς, τοὺς μὲν ἑαυτῶν λόγους ἐν οὐδενὶ λόγῳ ποιουμένους· τοὺς δὲ τριφυλίους, καὶ τοὺς ἄλλους τοὺς ἀπὸ σφῶν ἀποστάντας περὶ παντὸς ποιουμένους, ὅτι ἀρκάδες ἔφασαν εἶναι. ἐκ τούτων αὖ καὶ οἱ ἠλεῖοι δυσμενῶς εἶχον πρὸς αὐτούς. οὕτω δ' ἑκάστων ἐφ' ἑαυτοῖς μέγα φρονούντων τῶν συμμάχων, ἔρχεται φιλίσκος ἀβυδηνὸς παρὰ ἀριοβαρζάνους, χρήματα ἔχων πολλά. καὶ πρῶτα μὲν εἰς δελφοὺς συνήγαγε περὶ εἰρήνης Θηβαίους, καὶ τοὺς συμμάχους, καὶ τοὺς λακεδαιμονίους. ἐκεῖ δ' ἐλθόντες, τῷ μὲν θεῷ οὐδὲν ἐκοινώσαντο, ὅπως ἂν ἡ εἰρήνη γένοιτο, αὐτοὶ δ' ἐβουλεύοντο. ἐπεὶ δ' οὐ συνεχώρουν οἱ Θηβαῖοι μεσσήνην ὑπὸ λακεδαιμονίοις εἶναι, ξενικὸν πολὺ συνέλεγεν ὁ φιλίσκος, ὅπως πολεμοίη μετὰ λακεδαιμονίων. τούτων δὲ πραττομένων, ἀφικνεῖται καὶ ἡ παρὰ διονυσίου δευτέρα βοήθεια. λεγόντων δ' ἀθηναίων ὡς χρεὼν μὲν εἴη αὐτοὺς εἰς θετταλίαν τἀναντία Θηβαίους, λακεδαιμονίων δὲ ὡς εἰς τὴν λακωνικήν, ταῦτα ἐν τοῖς συμμάχοις ἐνίκησεν. ἐπεὶ δὲ περιέπλευσαν οἱ παρὰ διονυσίου εἰς λακεδαίμονα, λαβὼν αὐτοὺς ὁ ἀρχίδαμος, μετὰ τῶν πολιτικῶν ἐστρατεύετο. καὶ καρύας μὲν ἐξαιρεῖ κατὰ κράτος καὶ ὅσους ζῶντας ἔλαβεν, ἀπέσφαξεν. ἐκεῖθεν δὲ εὐθὺς στρατευσάμενος, εἰς παρρασίους τῆς ἀρκαδίας μετ' αὐτῶν, ἐδῄου τὴν χώραν. ἐπεὶ δ' ἐβοήθησαν οἱ ἀρκάδες καὶ οἱ ἀργεῖοι, ἐπαναχωρήσας, ἐστρατοπεδεύσατο ἐν τοῖς ὑπὲρ μηλέας γηλόφοις. ἐνταῦθα δ' ὄντος αὐτοῦ, κισσίδας ὁ ἄρχων τῆς παρὰ διονυσίου βοηθείας ἔλεγεν, ὅτι ἐξήκοι αὐτῷ ὁ χρόνος, ὃς ἦν εἰρημένος παραμένειν. καὶ ἅμα ταῦτ' ἔλεγε, καὶ ἀπῄει τὴν ἐπὶ σπάρτης. ἐπεὶ δ' ἀποπορευόμενον ἀπέτεμνον αὐτὸν οἱ μεσσήνιοι ἐπὶ στενὸν τῆς ὁδοῦ, ἐνταῦθα δὴ ἔπεμπεν ἐπὶ τὸν ἀρχίδαμον, καὶ βοηθεῖν ἐκέλευε. κἀκεῖνος μέντοι ἐβοήθει. ὡς δ' ἐγένοντο ἐν τῇ ἐπ' εὐτρησίους ἐκτροπῇ, οἱ μὲν ἀρκάδες καὶ οἱ ἀργεῖοι προσέβαινον εἰς τὴν λάκαιναν, καὶ οὗτοι, ὡς ἀποκλείσοντες αὐτὸν τῆς ἐπ' οἶκον ὁδοῦ. ὁ δέ, ὅπερ ἐστὶ χωρίον ἐπίπεδον, ἐν ταῖς συμβολαῖς τῆς τε ἐπ' εὐτρησίων, καὶ τῆς ὑπὲρ μηλέας ὁδοῦ, ἐνταῦθα ἐκβάς, παρετάξατο ὡς μαχούμενος. ἔφασαν δ' αὐτὸν καὶ πρὸ τῶν λόχων παριόντα τοιάδε παρακελεύσασθαι· ἄνδρες πολῖται, νῦν ἀγαθοὶ γενόμενοι, ἀναβλέψωμεν ὀρθοῖς ὄμμασιν. ἀποδῶμεν τοῖς ἐπιγιγνομένοις τὴν πατρίδα, οἵανπερ παρὰ τῶν πατέρων παρελάβομεν. παυσώμεθα αἰσχυνόμενοι καὶ παῖδας καὶ γυναῖκας, καὶ πρεσβυτέρους, καὶ ξένους, ἐν οἷς πρόσθεν γε πάντων τῶν ἑλλήνων περιβλεπτότατοι ἦμεν. τούτων δὲ ῥηθέντων, ἐξ αἰθρίας ἀστραπάς τε καὶ βροντὰς λέγουσιν αἰσίους αὐτῷ φανῆναι. συνέβη δὲ καὶ πρὸς τῷ δεξιῷ κέρατι τέμενός τε καὶ ἄγαλμα ἡρακλέους, οὗ δὴ καὶ ἀπόγονος λέγεται εἶναι. τοιγαροῦν ἐκ τούτων πάντων οὕτω πολὺ μένος καὶ θάρσος τοῖς στρατιώταις φασὶν ἐμπεσεῖν, ὥστ' ἔργον εἶναι τοῖς ἡγεμόσιν ἀνείργειν τοὺς στρατιώτας ὠθουμένους εἰς τὸ πρόσθεν. ἐπεὶ μέντοι ἡγεῖτο ὁ ἀρχίδαμος, ὀλίγοι μὲν τῶν πολεμίων δεξάμενοι αὐτοὺς εἰς δόρυ, ἀπέθανον. οἱ δ'

tate, ita ut eo tempore longe fortissimi censerentur. At Thebani hanc ob rem Arcadibus subirascebantur, nec ut antea amice illos colebant. Elii quoq; postquam ab Arcadibus ciuitates quæ Lacedæmoniis ereptæ erant, repetere cœperunt, ac cernerent neq; se, neq; sermones eorum alicuius esse momenti: Triphyllios uero & alios qui ab eis defecerant, quoniam Arcades esse dicerent, sibi præferri, ipsi quoq; Arcadibus infensi erant. Cumque sociorum singuli præcipue res suas curarent, aduenit ab Ariobarzane cum pecuniis ingentibus Philiscus Abydenus, confestimq; sub initium Thebanos ac socios, necnon Lacedæmonios, Delphos de pace facienda conuocauit: qui deo num pax futura esset minimè consulto, per se deliberabant. Cumq; Thebani haud consentirent Messenios Lacedæmoniis subiectos esse, Philiscus ut Lacedæmoniis auxilio esset, copiosum comparauit exercitum. Aduenit interim secundum à Dionysio subsidium. Cumq; Athenienses in Thessaliam contra Thebanos ducendum censerent, peruicere Lacedæmonii, ut in Laconicam prius moueretur. Cumq; auxiliares Dionysii milites Lacedæmonem appulissent, Archidamus cum illis & ciuibus ad hostes profectus est, Carnanosq; ui expulit, & quoscunque uiuos in suam redegit potestatem, cunctos iugulauit. Inde digressus ad Parrhasias Arcadiæ infesto procedit agmine, ac uniuersam regionem ferro & igni depopulatus est. Cum uerò Arcades & Argiui in subsidium aduolassent, copias reduxit, castraq; in Epimedeis collocauit tumulis. Cumq; ibi sederet Cissidas auxiliariorum Dionysii militum præfectus, manendi tempus sibi præscriptum exiisse affirmans, Spartam uersus abducere suos cœpit. Cum uero abeuntem Messenii per uiarum angustias adorti essent, ille ad Archidamum pro ope ferenda misit, qui ei impigre suppetias tulit. Cumque ad diuerticulum quod Euctresios ducit, peruenissent, Arcades & Argiui ut illi uiam intercluderent, aduenerant. At Archidamus in loco ubi ex Euctresiis & Epimedeis uiæ concurrunt, in plana digressus, pugnandiq; copiam facturus, aciem instruit, ordinibusque circumuectus, talibus ad pugnam hortatus est milites: Viri ciues, SI NVNC STRENVAM NAVAVERIMVS OPERAM, rursus erectis suspicere poterimus oculis, patriamq; filiis nostris talem reddemus, qualem à patribus nostris olim accepimus. Desinamus igitur aliquando liberis, uxoribus, senioribus, ac hospitibus opprobrio esse, apud quos antea omnium Græcorum eramus spectatissimi. His dictis, ex æthere fulgura ac tonitrua illi sequunda intonuisse aiunt. Contigit quoque dextrum uersus cornu lucum ac statuam Herculis esse, à quo ipse oriundus ferebatur. His signis adeo militum ira & audacia creuit, ut haud parum negocii præfectis de inhibendo ardore iniectum sit. At cum Archidamus aciem direxisset, iamq; ad manus uentum esset, pauci admodum primum tulere impetum, qui pugnantes occubuere:

reliqui uerò in fuga cecidere, ab equitib. ac Celtis interēpti. Finita pugna, trophæoq́; erecto, Archidamus cōfestim Demotelē præconē domū, uictoriæ magnitudinē nunciatū mittit, referreq́; iubet, ex Lacedæmonijs neminē, ex hostib. uero infinitū cecidisse numerū. Fertur cū hæc Spartæ audita essent, ab Agesilao seniores ac Ephoros cūctos lachrymari cœpisse: adeo gaudio & tristitiæ lachrymæ communes sunt. Et Thebani ac Elij cū haud minus Arcadū opes q̄ Lacedæmoniorū fractas rescivissent, eorū indoluere fortunā. Thebani uero cōfestim animo uoluere cœperūt, quonā pacto Græciæ uniuersæ imperiū cōsequi possent. Arbitrabātur itaq; si ad Persarū regē mitterēt, posse ad illum omnia ex sententia cōficere: quapropter cōuocatis socijs, ad regē legatos mittere decreuerūt, sub prætextu, tanquam Eutycles Lacedæmonius ad regē perrexisset. Fuere uero qui ad regē profecti sunt, à Thebanis Pelopidas, ab Arcadib. Antiochus pancratiastes, ex Elijs Archidamus: sequuti quoq; sunt Argiui. Athenięses quoq; his auditis, et ipsi ad regē Timagorā & Leontē ire iusserūt. Qui cū oēs ad regē peruenissēt, multū Pelopidæ præ cæteris rex tribuit, eūq́; summis affecit honorib. Enarrauit ille, solū ex omnibus Græcis regi Thebanos in Platæensi astitisse prælio, nec unquā postea regi bellū intulisse: eosq; Lacedæmoniorū iram eam ob rē incidisse, quoniā cū Agesilao aduersus regē militare noluißēt, neq; illū digredientē in Aulidē Dianæ sacra facere permisissent, ubi Agamēnon quondā cū in Asiā nauigaret sacrificās, Troiā inde ceperat. Multū præterea splendoris Pelopidæ attulit, quòd Thebani eo duce in Leuctris uictores extitissent, & quod inde Lacedæmoniorū fines ferro & igni depopulati essent. Ostēdebat præterea Pelopidas, Argiuos et Arcades à Lacedæmonijs uictos ac fusos esse quando Thebani abfuissent. Astipulatus est illi in omnibus tanquā uera diceret Timagoras Atheniēsis, q. pximus post Pelopidam à rege honorabatur: quapropter cū Pelopidas à rege interrogaretur, qd literis præcipi uellet, respōdit: Vt Messenij à Lacedæmoniorū eximerētur iugo, Athenięses quoq; classem reducerēt. Quod si minus parērēt, illis bellū indiceretur: et si ciuitas quæpiā sequi recusaret in primis cōtra illā moueretur. Hæc cū scripta, legatisq; recitata essent, Leo audiēte rege exclamauit: Per Iouē Atheniēses ut uideo, alius p rege amicus uobis quærēdus est. Scriba uerò cū regi qd Atheniēsis dixisset, interpretatus esset literis: addi iußit, qd' si Atheniēses quæ iustiora illis sint, cognouerint, regē adeant, ac de his edoceant. At legati cū singuli domū regreßi eßēt, Timagoras ab Atheniēsib. necatus ē, à Leōte accusatus, q. illi adhærere noluisset, sed cōsilia cū Pelopida cōtulisset clādestina. Ex alijs uerò legatis Archidamus Elius, quoniā Elij Arcadibus prælati fuerāt, summis laudib. res efferebat regias: ecōtra Antiochus quasi contēptus Arcadib. munera respuerat regis, oībusq; ostēdit, regē pistores, obsonatores, pincernas ac ianitores habere plurimos: uiros uerò q cōtra Græcos pugnare poßēt, cū omnia diligen-

οἱ δ' ἄλλοι φεύγοντες, ἔπιπτον, πολλοὶ μὲν ἱππέων, πολλοὶ δὲ ὑπὸ τῶν Κελτῶν. ὡς δὲ λήξασης τῆς μάχης τρόπαιον ἐστήσατο, εὐθὺς ἔπεμψεν οἴκαδε ἀγγελοῦντα Δημοτέλη τὸν κήρυκα τῆς τε νίκης τὸ μέγεθος, ὅτι Λακεδαιμονίων μὲν οὐδεὶς τεθναίη, τῶν δὲ πολεμίων παμπληθεῖς. τοὺς μέντοι ἐν Σπάρτῃ ἔφασαν ἀκούσαντας, ἀρξαμένους ἀπὸ Ἀγησιλάου, καὶ τῶν γερόντων, καὶ τῶν ἐφόρων, πάντας κλάειν. οὕτω κοινόν τι ἄρα χαρᾷ, καὶ λύπῃ δάκρυά ἐστι. ἐπὶ μέντοι τῇ τῶν Ἀρκάδων τύχῃ, οὐ πολὺ ἧττον Λακεδαιμονίων ἥσθησαν οἱ Θηβαῖοί τε καὶ Ἠλεῖοι. οὕτως ἤδη ἤχθοντο ἐπὶ τῷ φρονήματι αὐτῶν. συνεχῶς δὲ βουλευόμενοι οἱ Θηβαῖοι, ὅπως ἂν τὴν ἡγεμονίαν λάβοιεν τῆς Ἑλλάδος, ἐνόμιζον εἰ πέμψειαν πρὸς τὸν Περσῶν βασιλέα, πλεονεκτῆσαι ἄν τι ἐκείνῳ. καὶ ἐκ τούτου παρακαλέσαντες ἤδη τοὺς συμμάχους ἐπὶ προφάσει, ὅτι καὶ Εὐθυκλῆς ὁ Λακεδαιμόνιος εἴη παρὰ βασιλεῖ, ἀναβαίνουσι Θηβαίων μὲν, Πελοπίδας· Ἀρκάδων δὲ, Ἀντίοχος ὁ παγκρατιαστής· Ἠλείων δὲ, Ἀρχίδαμος. ἠκολούθει δὲ καὶ Ἀργεῖος. καὶ οἱ Ἀθηναῖοι δὲ ἀκούσαντες ταῦτα, ἀνέπεμψαν Τιμαγόραν τε καὶ Λέοντα. ἐπεὶ δ' ἐκεῖ ἐγένοντο, πολὺ ἐπλεονέκτει ὁ Πελοπίδας παρὰ τῷ Πέρσῃ. εἶχε γὰρ λέγειν καὶ ὅτι μόνοι τῶν Ἑλλήνων βασιλεῖ συνεμάχοντο ἐν Πλαταιαῖς, καὶ ὅτι ὕστερον οὐδεπώποτε στρατεύσαιντο ἐπὶ βασιλέα, καὶ ὡς Λακεδαιμόνιοι διὰ τοῦτο πολεμήσειαν αὐτοῖς, ὅτι οὐκ ἐθελήσαιεν μετ' Ἀγησιλάου ἐλθεῖν ἐπ' αὐτὸν, οὐδὲ θῦσαι ἐάσαιεν αὐτὸν ἐν Αὐλίδι τῇ Ἀρτέμιδι, ἔνθα περ ὅτε Ἀγαμέμνων εἰς τὴν Ἀσίαν ἐξέπλει, θυσάμενος εἷλε τὴν Τροίαν. μέγα δὲ συνεβάλλετο τῷ Πελοπίδᾳ εἰς τὸ τιμᾶσθαι, καὶ ὅτι ἐνενικήκεσαν οἱ Θηβαῖοι μάχῃ ἐν Λεύκτροις, καὶ ὅτι πεπορθηκότες τὴν χώραν τῶν Λακεδαιμονίων ἐφαίνοντο. ἔλεγε δὲ ὁ Πελοπίδας, ὅτι Ἀργεῖοι καὶ Ἀρκάδες, μάχῃ ἡττημένοι εἶεν ὑπὸ Λακεδαιμονίων, ἐπεὶ αὐτοὶ οὐ παρεγένοντο. συνεμαρτύρει δ' αὐτῷ ταῦτα πάντα ὡς ἀληθῆ λέγοι, ὁ Τιμαγόρας Ἀθηναῖος, καὶ ἐτιμᾶτο δεύτερα μετὰ τὸν Πελοπίδαν. ἐκ δὲ τούτου ἐρωτώμενος ὑπὸ βασιλέως ὁ Πελοπίδας τί βούλοιτο ἑαυτῷ γραφῆναι, εἶπεν ὅτι Μεσσήνην τε αὐτόνομον εἶναι ἀπὸ Λακεδαιμονίων, καὶ Ἀθηναίους ἀνέλκειν τὰς ναῦς. εἰ δὲ ταῦτα μὴ πείθοιντο, στρατεύειν ἐπ' αὐτούς. εἴ τις δὲ πόλις μὴ ἐθέλοι ἀκολουθεῖν, ἐπὶ ταύτην πρῶτον ἰέναι. γραφέντων δὲ τούτων, καὶ ἀναγνωσθέντων τοῖς πρέσβεσιν, εἶπεν ὁ Λέων ἀκούοντος τοῦ βασιλέως, νὴ Δία, ὦ Ἀθηναῖοι, ὥρα γε μὴν ὑμῖν ὡς ἔοικεν ἄλλον τινὰ φίλον ἀντὶ βασιλέως ζητεῖν. ἐπεὶ δὲ ἀπήγγειλεν ὁ γραμματεὺς ἃ εἶπεν ὁ Ἀθηναῖος, πάλιν ἐξήνεγκε προσγεγραμμένα, εἰ δέ τι δικαιότερα τούτων γιγνώσκουσιν οἱ Ἀθηναῖοι, ἰόντας πρὸς βασιλέα διδάσκειν. ἐπεὶ δὲ ἀφίκοντο οἱ πρέσβεις ἕκαστοι οἴκαδε, τὸν μὲν Τιμαγόραν ἀπέκτειναν οἱ Ἀθηναῖοι κατηγοροῦντος τοῦ Λέοντος, ὡς οὔτε συσκηνοῦν ἐθέλοι ἑαυτῷ, μετά τε Πελοπίδου πάντα βουλεύοιτο. τῶν δὲ ἄλλων πρέσβεων, ὁ μὲν Ἠλεῖος Ἀρχίδαμος, ὅτι προὐτίμησε τὴν Ἦλιν πρὸ τῶν Ἀρκάδων, ἐπῄνει τὰ τοῦ βασιλέως. ὁ δὲ Ἀντίοχος ὅτι ἠλαττοῦτο τὸ Ἀρκαδικὸν, οὔτε τὰ δῶρα ἐδέξατο, ἀπήγγειλε πρὸς τοὺς μυρίους, ὅτι βασιλεὺς ἀρτοκόπους, καὶ ὀψοποιοὺς, καὶ οἰνοχόους, καὶ θυρωροὺς παμπληθεῖς ἔχοι, ἄνδρας δὲ, οἳ μάχοιντ' ἂν Ἕλλησι

πάνυ

πάνυ ζητῶν, οὐκ ἂν ἔφη δύνασθαι ἰδεῖν. πρὸς δὲ τούτοις
καὶ τὸ τῶν χρημάτων πλῆθος, ἀλαζονείαν αὐτῷ δοκεῖν εἶναι,
ἔφη, ἐπεὶ καὶ τὴν ὑμνουμένην ἂν χρυσῆν πλάτανον, οὐχ
ἱκανὴν ἔφη εἶναι τέττιγι σκιὰν παρέχειν. ὡς δὲ οἱ θηβαῖοι
ἐκάλεσαν ἀπὸ τῶν πόλεων ἁπασῶν ἀκουσομένους τῆς πα-
ρὰ βασιλέως ἐπιστολῆς, καὶ ὁ πέρσης ὁ φέρων τὰ γράμ-
ματα, δείξας τὴν βασιλέως σφραγῖδα, ἀνέγνω τὰ γε-
γραμμένα. οἱ μὲν θηβαῖοι ὀμνύναι ταῦτα ἐκέλευον βα-
σιλεῖ, καὶ ἑαυτοῖς τοὺς βουλομένους φίλους εἶναι. οἱ δὲ ἀπὸ τῶν
πόλεων ἀπεκρίναντο, ὅτι οὐκ ὀμούμενοι, ἀλλὰ ἀκουσό-
μενοι πεμφθείησαν. εἰ δέ τι ὅρκων δέοιντο, πρὸς τὰς
πόλεις πέμπειν ἐκέλευον. ὁ μέντοι ἀρκὰς λυκομήδης
καὶ τοῦτο ἔλεγεν, ὅτι οὐδὲ τὸν σύλλογον ἐν θήβαις δέοι
εἶναι, ἀλλ' ἔνθα ἂν ᾖ ὁ πόλεμος. χαλεπαινόντων δὲ αὐτῷ
τῶν θηβαίων, καὶ λεγόντων ὡς διαφθείρει τὸ συμμαχι-
κόν, οὐδὲ εἰς τὸ συνέδριον ἤθελε καθίζειν, ἀλλ' ἀπιὼν, ᾤ-
χετο. καὶ μετ' αὐτοῦ πάντες οἱ ἐξ ἀρκαδίας πρέσβεις. ὡς
δ' ἐν θήβαις οὐκ ἠθέλησαν οἱ συνεληλυθότες ὀμόσαι,
ἔπεμπον οἱ θηβαῖοι πρέσβεις ἐπὶ τὰς πόλεις ὀμνύναι,
κελεύοντες ποιήσειν τὰ βασιλέως γράμματα, νομί-
ζοντες ὀκνήσειν μίαν ἑκάστην τῶν πόλεων ἀπεχθάνε-
σθαι ἅμα ἑαυτοῖς τε, καὶ βασιλεῖ. ἐπεὶ μέντοι εἰς κόριν-
θον πρῶτον αὐτῶν ἀφικομένων, ὑπέστησαν οἱ κορίνθιοι,
καὶ ἀπεκρίναντο, ὅτι οὐδὲν δέοιντο πρὸς βασιλέα κοι-
νῶν ὅρκων, ἐπηκολούθησαν καὶ ἄλλαι πολλαὶ πόλεις,
κατὰ ταὐτὰ ἀποκρινόμεναι. καὶ αὕτη μὲν ἡ πελοπίδου,
καὶ τῶν θηβαίων τῆς ἀρχῆς περιβολὴ, οὕτω διελύθη.
αὖθις δ' ἐπαμινώνδας βουληθεὶς τοὺς ἀχαιοὺς προσ-
αγαγέσθαι, ὅπως μᾶλλον σφίσι καὶ οἱ ἀρκάδες, καὶ
οἱ ἄλλοι σύμμαχοι προσέχοιεν τὸν νοῦν, ἔγνωκε στρατευ-
τέον εἶναι ἐπὶ τὴν ἀχαΐαν. πεισίαν οὖν τὸν ἀργεῖον στρατη-
γοῦντα ἐν τῷ ἄργει, πείθει προκαταλαβεῖν τὸ ὄνειον.
καὶ ὁ πεισίας μέντοι καταμαθὼν ἀμελουμένην τὴν τοῦ
ὀνείου φυλακὴν, ὑπό τε ναυκλέους, ὃς ἦρχε τοῦ ξενικοῦ τῶν
λακεδαιμονίων, καὶ ὑπὸ τιμομάχου τοῦ ἀθηναίου, κατα-
λαμβάνει νύκτωρ μετὰ δισχιλίων ὁπλιτῶν ὑπὲρ κεγ-
χρεῶν λόφον, ἔχων ἑπτὰ ἡμερῶν σιτία. ἐν δὲ ταύ-
ταις οἱ θηβαῖοι ταῖς ἡμέραις ἐλθόντες, ὑπερβαίνουσι τὸ
ὄνειον. καὶ στρατεύουσι πάντες οἱ σύμμαχοι ἐπ' ἀχαΐαν,
ἡγουμένου ἐπαμινώνδου. προσπεσόντων δ' αὐτῷ τῶν βελ-
τίστων ἐκ τῆς ἀχαΐας, ἐνδυναστεύει ὁ ἐπαμινώνδας, ὥστε
μὴ φυγαδεῦσαι τοὺς κρατίστους, μήτε πολιτείαν μετα-
στῆσαι, ἀλλὰ πιστὰ λαβεῖν παρὰ τῶν ἀχαιῶν, ἦ μὴν συμ-
μάχους ἔσεσθαι, καὶ ἀκολουθήσειν ὅποι ἂν θηβαῖοι ἡγῶν-
ται, καὶ οὕτως ἀπῆλθεν οἴκαδε. κατηγορούντων δὲ αὐτοῦ
τῶν τε ἀρκάδων, καὶ τῶν στασιωτῶν, ὡς λακεδαιμονίοις
κατεσκευακὼς τὴν ἀχαΐαν ἀπέλθοι, ἔδοξε θηβαίοις
πέμψαι ἁρμοστὰς εἰς τὰς ἀχαΐδας πόλεις. οἱ δ' ἐλθόντες
τοὺς μὲν βελτίστους σὺν τῷ πλήθει ἐξέβαλον. δημοκρα-
τίας δὲ ἐν τῇ ἀχαΐᾳ κατέστησαν. οἱ μέντοι ἐκπεσόντες,
συστάντες, ταχὺ ἐπὶ μίαν ἑκάστην τῶν πόλεων πορευόμε-
νοι, ὄντες οὐκ ὀλίγοι, κατῆλθόν τε, καὶ κατέσχον τὰς πό-
λεις. ἐπεὶ δὲ κατελθόντες οὐκέτι ἐμέσευον, ἀλλὰ προθύ-
μως συνεμάχουν τοῖς λακεδαιμονίοις, ἐπιέζοντο μὲν οἱ
οἱ ἀρκάδες, ἔνθεν μὲν ὑπὸ λακεδαιμονίων, ἔνθεν δὲ ὑπὸ
ἀχαιῶν. ἐν δὲ τῇ σικυῶνι τὸ μὲν μέχρι τούτου κατὰ τοὺς ἀχαιῶν
νόμους

diligenti perscrutatus fuisset indagine, uidere haud potuisse. Aiebat praeterea, pecuniarum copias superbiam sibi uideri, auream'q; platanum uix cicadae umbram praebere posse. Thebani uero legatos à cunctis conuocarunt ciuitatibus, ut regiam audirent epistolam: Persa'q; qui literas ferebat, regis ostendebat signaculum, dein uerò quae scripta erant, legit: & Thebani cunctos qui regis ac ipsorum expeterent amicitiam, in haec iurare iubebant. Qui uerò à ciuitatibus aderant legati, se non iurandi, sed audiendi gratia illuc missos esse respondebant: si uerò iusiurandum exposcerent, ut ad ciuitates mitterent, iusserunt. Addidit Lycomedes Arcas, congregationem haud Thebis fieri debere, sed ibi ubi bellum gereretur. Id cum Thebani aegreferrent, eum'q; societatis corruptorem esse dicerent, ille in concilio considere noluit, sed discedens abijt, quem omnes ex Arcadia insequuti sunt legati. Cum uero qui in urbe Thebana collecti fuerant, iurare nollent, Thebani legatos ad singulas misere ciuitates qui iuramentum exigerent, regijsque parêre iuberent mandatis: existimantes nullam ciuitatem cum regis, tum ipsorum metu iuramentum detrectaturam Verum cum primo Corinthum legati uenissent, Corinthij iurarre renuerunt, asserentes minime iuramenti cum rege communis indigere: quos aliae quoque multae ciuitates eadem respondentes sequutae sunt. Et Pelopidae ac Thebanorum principatus hoc maxime dissolutus est pacto. At Epaminondas cum Achaeos corripere uellet, ut Arcades ac socij reliqui eo magis Thebanis obedirent, Achaiam bello adoriri statuit. Pisiae itaque Argiuorum praefecto ut Onium occupare persuadet. Et Pisias Onij custodiam ab Naucleo qui peregrinis Lacedamoniorum praeerat militibus, & Timomacho Atheniense negligi edoctus, septem dierum commeatu assumpto, nocte cum duobus millibus peditibus Cenchreorum tumulum occupat. Aduenere interim Thebani qui Onium transgreßi erant, omnesque socij Epaminondae ductu, Achaiam irrupere. Cumque optimates Achaiae illi obuiam facti fuissent, neque optimates expellere, nec reipublicae statum immutare decreuit, sed tantum fide accepta, ut socij forent, ac Thebanos quocunque ducerentur, sequerentur, domum reduxit exercitum. Accusantibus uero illum Arcadibus & factiosis, tanquam Lacedaemonijs suo discessu Achaiam obnoxiam reddidisset, uisum est Thebanis harmostas in Achaicas mitti debere ciuitates: qui ingreßi, optimates cum multitudine expulere, ac popularem statum in Achaiam introduxere. At qui exciderant, haud contemnenda collecti sunt manu, per urbésque celeriter incedentes, illas occupabant: quas cum obtinuissent, non solùm medios se gessere, sed & impigre Lacedemonios iuuere, ita ut Arcades uehementer hinc à Lacedaemonijs, inde uero ab Achais urgerentur. Sicyoni uero ad hoc usq; tempus communibus Achaeorum legibus

legibus respublica regebatur. Inde Euphron cum apud Lacedæmonios lõge maximus ciuiũ esset, apud illorũ aduersarios quoq; clarescere cupiẽs, Argiuos & Arcades edocet, si ditiores palàm Sicyonem obtinerẽt, proculdubio ciuitatẽ rursus Lacedæmoniorũ sequuturã partes: si uerò, inquit, popularis inducetur status, probè nostis ciuitatẽ uobis saluã fore. Si igitur adiumẽto mihi eritis, populum ego cõuocabo, uobisq; fidem meam ostendã, ciuitatemq; in societate multo fideliorẽ reddam. Id uero eam ob causam agã, quod fastum Lacedæmoniorũ quemadmodũ & uos, iampridẽ ægreferam, ciuitatemq; è seruitutis iugo eripere quærã. Arcades & Argiui lætis hæc excepere animis, illiq; impigrè opem præstiterunt. Et ille cõfestim in concione, præsentibus Argiuis & Arcadibus, populum ad libertatem uocat, asserens gubernandi formã æqualem ac communẽ esse debere. Qui cum illi assensi fuissent, duces quicunq; illis idonei uiderentur, eligere iussit. Illi uero ipsum elegere, eiq; adiũxere Euphronem & Hippodamũ, Cleandrũq;, Acrisium et Lysandrum. His actis, peregrino militi Adeam filium ipsius præficiunt, abrogato Lysimenì imperio, qui antea illis præfuerat. Et Euphron cõfestim quosdã ex militib. illis beneficijs sibi conciliabat, ac fidos reddebat, reliquos uero solicitabat: inde neq; priuatis, publicis, seu sacris abstinebat pecunijs, & quoscunq; sub factionis prætextu eijciebat, illos omnib. spoliabat fortunis. Ex collegis quoq; nõnullos dolo aggressus interfecit, alios uerò urbe pepulit, ita ut omnia nutu gubernarentur suo, iamq; in manifestã erũperet tyrannidẽ. Verũ ut socij hæc negligerẽt partim pecunijs transegit, partim uerò peregrino milite quocũq; duceretur impigre sequẽdo illos demerebatur. Argiui interea Phliũti supra Iunonis templum Tricranũ ædificarũt, Sicyonij uero in mõtib. Thyamiã erexerũt: quapropter Phliasij uehemẽter urgeri, summaq; inopia premi cœpere, nihilominus tamẽ in societate perstitere. Proinde si ciuitas magna quid egregiũ peragit, in omnibus celebratur historijs: mihi uero si ciuitas quædã parua multa memoria digna egerit, longe magis laudib. extollẽda esse uidetur. Siquidẽ Phliasij florentib. adhuc Lacedæmoniorũ reb. illis amici facti sunt: eorũ uero uirib. Leuctrica pugna minutis, uicinisq; quàmplurimis, necnõ Ilotis omnib. socijsq; uniuersis, exceptis paucißimis, deficientib. cũctisq; Græcis, ut ita dicã bellum Lacedæmonijs inferentibus, soli tamen pertinacißime in fide perstitere: & quãuis potẽtißimos in Pelopõneso Argiuos & Arcades hostes haberẽt, nihilominus tamẽ illis opem tulere, ultimiq; erãt qui ex socijs in Prasias descenderent: ex quib. fuere Corinthij, Epidaurij, Trœzenij, Hermiones, Halies, Sicyonij, & Pellenei, nec unquã defecere. Neq; cũ Xenagus præsidio abducto ipsis derelictis discessisset, animo conciderunt, sed cõducto mercenario duce ex Prasijs, cũ hostes circa Amyclas essẽt, ut potuere dispersi Spartã uenere: quapropter Lacedæmõij cũ illos uarijs affecissent honorib. bouẽ quoq; eis dono miserũt. Cũ [illegible] hostes

νόμους ἡ πολιτεία ἦν. ἐκ δὲ τούτου βουλόμενος ὁ Εὔφρων, ὥσπερ παρὰ τοῖς Λακεδαιμονίοις ἦν μέγιστος τῶν πολιτῶν, οὕτω καὶ παρὰ τοῖς ἐναντίοις αὐτῶν πρωτεύειν, λέγει πρὸς τοὺς Ἀργείους καὶ τοὺς Ἀρκάδας, ὡς εἰ μὲν οἱ πλουσιώτατοι σαφῶς ἐγκρατεῖς ἔσοιντο τῆς Σικυῶνος, ἀτεχνῶς ὅταν τύχῃ, πάλιν λακωνιεῖ ἡ πόλις. ἐὰν δὲ δημοκρατία γένηται, εὖ ἴστε, ἔφη, ὅτι διαμενεῖ ὑμῖν ἡ πόλις. ἐὰν οὖν μοι παραγένησθε, ἐγὼ ἔσομαι ὁ συγκαλῶν τὸν δῆμον, καὶ ἅμα ἐγὼ ὑμῖν ταύτην τὴν πίστιν ἐμαυτοῦ δώσω, καὶ τὴν πόλιν βέβαιον ἐν τῇ συμμαχίᾳ παρέξω. ταῦτα δ', ἔφη, ἐγὼ πράττω, εὖ ἴστε, ὅτι μάλα μὲν χαλεπῶς φέρων, ὥσπερ ὑμεῖς, τὸ φρόνημα τῶν Λακεδαιμονίων, ἄσμενος δ' ἂν τὴν δουλείαν ἀποφυγών. οἱ οὖν Ἀρκάδες καὶ οἱ Ἀργεῖοι ἡδέως ταῦτα ἀκούοντες, παρεγένοντο αὐτῷ. ὁ δ' εὐθὺς ἐν τῇ ἀγορᾷ παρόντων τῶν Ἀργείων καὶ τῶν Ἀρκάδων, συνεκάλει τὸν δῆμον, ὡς τῆς πολιτείας ἐσομένης ἐν τοῖς ἴσοις, καὶ ὁμοίοις. ἐπεὶ δὲ συνῆλθε, στρατηγοὺς ἐκέλευσεν ἑλέσθαι, οὕστινας αὐτοῖς δοκοίη. οἱ δ' αἱροῦνται αὐτόν τε τὸν Εὔφρονα, καὶ Ἱππόδαμον, καὶ Κλέανδρον, καὶ Ἀκρίσιον, καὶ Λύσανδρον. ὡς δὲ ταῦτα ἐπέπρακτο, καὶ ἐπὶ τὸ ξενικὸν καθίστησιν Ἀδέαν τὸν αὑτοῦ υἱόν, Λυσιμένην τὸν πρόσθεν ἄρχοντα ἀποστήσας. καὶ εὐθὺς μὲν τούτων τῶν ξένων ὁ Εὔφρων πιστούς τινας εὖ ποιῶν ἐποιήσατο, ἄλλους προσελάμβανεν, οὔτε τῶν δημοσίων, οὔτε τῶν ἱερῶν χρημάτων φειδόμενος. καὶ ὅσους δ' ἐξέβαλεν ἐπὶ λακωνισμῷ, καὶ τοῖς τούτων χρήμασιν ἐχρῆτο. καὶ τῶν συναρχόντων δέ, τοὺς μὲν δόλῳ ἀπέκτεινε, τοὺς δὲ ἐξέβαλεν. ὥστε πάντα ὑφ' ἑαυτῷ ἐποιήσατο, καὶ σαφῶς τύραννος ἦν. ὅπως δὲ ταῦτα ἐπιτρέποιεν αὐτῷ οἱ ξύμμαχοι, τὰ μέντοι καὶ χρήσιμα διεπράττετο, τὰ δὲ καὶ εἴ που στρατεύοιντο, πρόθυμος ἔχων τὸ ξενικὸν συνηκολούθει. οὕτω δὲ τούτων προκεχωρηκότων, καὶ τῶν τε Ἀργείων ἐπιτετειχικότων ἐν τῷ Φλιοῦντι τὸ ὑπὲρ τοῦ Ἡραίου Τρικάρανον, καὶ τῶν Σικυωνίων ἐπὶ τοῖς ὁρίοις αὐτῶν τειχιζόντων τὴν Θυαμίαν, μάλα ἐπιέζοντο οἱ Φλιάσιοι, καὶ ἐσπανίζοντο τῶν ἐπιτηδείων. ὅμως δὲ διεκαρτέρουν ἐν τῇ συμμαχίᾳ. ἀλλὰ γὰρ τῶν μὲν μεγάλων πόλεων εἴ τι καλὸν ἔπραξαν, ἅπαντες οἱ συγγραφεῖς μέμνηνται. ἐμοὶ δὲ δοκεῖ, καὶ εἴ τις μικρὰ πόλις οὖσα πολλὰ καὶ καλὰ ἔργα διαπέπρακται, ἔτι μᾶλλον ἄξιον εἶναι ἀποφαίνειν. Φλιάσιοι τοίνυν, φίλοι μὲν ἐγένοντο Λακεδαιμονίοις, ὅτ' ἐκεῖνοι μέγιστοι ἦσαν. σφαλέντων δ' αὐτῶν ἐν τῇ ἐν Λεύκτροις μάχῃ, καὶ ἀποστάντων μὲν πολλῶν περιοίκων, ἀποστάντων δὲ πάντων τῶν Εἱλώτων, ἔτι δὲ τῶν συμμάχων πλὴν πάνυ ὀλίγων, ἐπιστρατευόντων δ' αὐτοῖς ὡς εἰπεῖν, πάντων τῶν Ἑλλήνων, πιστοὶ διέμειναν, καὶ ἔχοντες πολεμίους τοὺς δυνατωτάτους τῶν ἐν Πελοποννήσῳ Ἀργείους καὶ Ἀρκάδας, ὅμως ἐβοήθησαν αὐτοῖς, καὶ διαβαίνειν τελευταῖοι λαχόντες εἰς Πρασιὰς τῶν συμβοηθησάντων. ἦσαν δ' οὗτοι, Κορίνθιοι, Ἐπιδαύριοι, Τροιζήνιοι, Ἑρμιονεῖς, Ἁλιεῖς, Σικυώνιοι, καὶ Πελληνεῖς. οὐ γάρ πω τότε ἀφειστήκεσαν. ἀλλ' οὐδ' ἐπεὶ ὁ ξεναγὸς τοὺς προδιαβεβῶτας λαβὼν, ἀπολιπὼν αὐτούς, ᾤχετο, οὐδ' ὡς ἀπεστράφησαν, ἀλλ' ἡγεμόνα μισθωσάμενοι ἐκ Πρασιῶν, ὄντων τῶν πολεμίων περὶ Ἀμύκλας, ὅπως ἐδύναντο, διαδύντες, εἰς Σπάρτην ἀφίκοντο. καὶ μὴν οἱ Λακεδαιμόνιοι, ἄλλως τε ἐτίμων αὐτούς, καὶ βοῦν ξένια ἔπεμψαν. ἐπεὶ δὲ ἀναχωρησάντων τῶν πολε-

πολεμίων ἐκ τῆς Λακεδαίμονος, οἱ Ἀργεῖοι ὀργιζόμενοι τῇ τῶν Φλιασίων περὶ τοὺς Λακεδαιμονίους προθυμίᾳ, ἐνέβαλον πανδημεὶ εἰς τὸν Φλιοῦντα, καὶ τὴν χώραν αὐτῶν ἐδῄουν, οὐδ᾽ ὡς ὑφίεντο, ἀλλὰ καὶ ἐπεὶ ἀπεχώρουν, φθείραντες ὅσα ἐδύναντο, ἐπεξελθόντες οἱ τῶν Φλιασίων ἱππεῖς, ἐπηκολούθουν αὐτοῖς. καὶ ὀπισθοφυλακούντων τοῖς Ἀργείοις τῶν ἱππέων ἁπάντων, καὶ λόχους τῶν μετ᾽ αὐτοὺς τεταγμένων, ἐπιθέμενοι τούτους ἑξήκοντα ὄντες, ἐτρέψαντο πάντας τοὺς ὄπισθεν φύλακας, καὶ ἀπέκτειναν μὲν ὀλίγους αὐτῶν. τρόπαιον μέντοι ἐστήσαντο, ὁρώντων τῶν Ἀργείων, οὐδὲν διαφέρον, ἢ εἰ πάντας ἀπεκτόνεσαν αὐτούς. αὖθις δὲ Λακεδαιμόνιοι μὲν καὶ οἱ σύμμαχοι ἐφρούρουν τὸ Ὄνειον. Θηβαῖοι δὲ προσῄεσαν ὡς ὑπερβησόμενοι. πορευομένων δὲ διὰ Νεμέας τῶν Ἠλείων καὶ Ἀρκάδων, ὅπως συμμίξαιεν τοῖς Θηβαίοις, προσήνεγκαν μὲν λεγόντων Φλιασίων φυγάδων, ὡς εἰ θελήσειαν ἐπιφανῆναι μόνον σφίσι, λάβοιεν ἂν Φλιοῦντα. ἐπεὶ δὲ ταῦτα συνωμολογήθη, τῆς νυκτὸς ὑπεκαθίζοντο ὑπ᾽ αὐτῷ τῷ τείχει, κλίμακας ἔχοντες οἵ τε φυγάδες, καὶ ἄλλοι μετὰ αὐτῶν, ὡς ἑξακόσιοι. ἐπεὶ δὲ οἱ μὲν σκοποὶ ἐσήμαινον ἀπὸ τοῦ Τρικαράνου ὡς πολεμίων ἐπιόντων, ἡ δὲ πόλις τὸν νοῦν εἶχε πρὸς τούτοις, ἐν δὲ τούτῳ οἱ προδιδόντες ἐσήμαινον τοῖς ὑποκαθημένοις ἀναβαίνειν. οἱ δ᾽ ἀναβάντες καὶ λαβόντες τῶν φρουρῶν τὰ ὅπλα ἐρήμα, ἐδίωκον τοὺς ἡμεροφύλακας, ὄντας δέκα. ἀφ᾽ ἑκάστης δὲ τῆς πεμπάδος, εἷς ἡμεροφύλαξ κατελείπετο. καὶ ἕνα μὲν ἔτι καθεύδοντα, ἀπέκτειναν. ἄλλον δὲ καταφυγόντα πρὸς τὸ Ἡραῖον. φυγῇ δ᾽ ἐξαλλομένων ἀπὸ τοῦ τείχους εἰς τὸ ἄστυ, ὁρώντων τῶν ἡμεροφυλάκων, ἀναμφισβητήτως εἶχον οἱ ἀναβάντες τὴν ἀκρόπολιν. ἐπεὶ δὲ κραυγῆς γενομένης εἰς τὴν πόλιν, ἐβοήθουν οἱ πολῖται, τὸ μὲν πρῶτον ἐξελθόντες ἐκ τῆς ἀκροπόλεως οἱ πολέμιοι, ἐμάχοντο ἐν τῷ προόδῳ τῇ εἰς τὴν πόλιν φερούσῃ πυλῶν. ἔπειτα πολιορκούμενοι ὑπὸ τῶν προσβοηθούντων, ἐχώρουν πάλιν πρὸς τὴν ἀκρόπολιν. οἱ δὲ ὁπλῖται συνεισπίπτουσιν αὐτοῖς. τὸ μὲν οὖν μέσον τῆς ἀκροπόλεως εὐθὺς ἔρημον ἐγένετο. ἐπὶ δὲ τὸ τεῖχος, καὶ τοὺς πύργους ἀναβάντες οἱ πολέμιοι, ἔπαιον καὶ ἔβαλλον τοὺς ἔνδον. οἱ δὲ χαμόθεν ἠμύνοντο, καὶ κατὰ τὰς ἐπὶ τὸ τεῖχος φερούσας κλίμακας προσεμάχοντο. ἐπεὶ δὲ τῶν ἔνθεν καὶ ἔνθεν πύργων ἐκράτησάν τινων οἱ πολῖται, ὁμόσε δὴ ἐχώρουν ἀπονενοημένως τοῖς ἀναβεβηκόσιν. οἱ δὲ ὠθούμενοι ὑπ᾽ αὐτῶν τῇ τόλμῃ τε καὶ τῇ μάχῃ, εἰς ἔλαττον συνειλοῦντο. ἐν δὲ τούτῳ τῷ καιρῷ οἱ μὲν Ἀρκάδες καὶ οἱ Ἀργεῖοι περὶ τὴν πόλιν ἐκυκλοῦντο, καὶ κατὰ κεφαλὴν τὸ τεῖχος τῆς ἀκροπόλεως διώρυττον. τῶν δὲ ἔνδοθεν, οἱ μὲν ἐπὶ τὸ τεῖχος, οἱ δὲ καὶ ἔτι ἔξωθεν ἐπαναβαίνοντας, ἐπὶ ταῖς κλίμαξιν ὄντας ἔπαιον. οἱ δὲ πρὸς τοὺς ἐπαναβεβηκότας αὐτῶν ἐπὶ τοὺς πύργους ἐμάχοντο. καὶ πῦρ εὑρόντες ἐν ταῖς σκηναῖς, ὑφῆπτον αὐτοὺς προσφοροῦντες τῶν δραγμάτων, ἃ ἔτυχον ἐξ αὐτῆς τῆς ἀκροπόλεως τεθερισμένα. ἐνταῦθα δὴ οἱ μὲν ἀπὸ τῶν πύργων τὴν φλόγα φοβούμενοι, ἐξήλλοντο. οἱ δὲ ἐπὶ τῶν τειχῶν ὑπὸ τῶν ἀνδρῶν παιόμενοι, ἐξέπιπτον. ἐπεὶ δὲ ἅπαξ ἤρξαντο ὑπείκειν, ταχὺ δὴ πᾶσα ἡ ἀκρόπολις ἔρημος τῶν πολεμίων ἐγεγένητο. εὐθὺς δὲ καὶ οἱ ἱππεῖς ἐξήλαυνον.

hostes ex Lacedæmoniorum excessissent finibus, Argiui illis ob Lacedæmoniorum studium infensi, uniuerso populo Phliuntem irruperunt, regionémque uniuersam ferro ac igni uastarunt. Cúmque non solum primo ingressu id fecissent, sed & abeuntes cuncta quantum poterant uastassent, egressi Phliasiorum equites illis imminebant. Cúmque Argiui uniuerso equitatu ac manipulis quibusdam nouissima tutarentur, illos adorti sunt: & cum haud plures sexaginta essent, præsidium tamen uniuersum, interfectis haud paucis, in fugam uerterunt: cernentibúsque Argiuis, ac non minus ægreferentibus quàm si omnes animam efflarent, trophæum erexere. Rursúsque cum Lacedæmonij sociíque Onium præsidio obtinerent, Thebaníque illum transcendere pararent, Eliíque & Arcades ut eis se coniungerent, per Nemeas iter facerent, exules Phliasiorum illis promisere, si se duces sequerentur, Phliuntem capere posse. Cúmque illi assensum præbuissent, exules cum sexcentis alijs circiter aduectis, scalis nocte sub muris delituere. Interim cum à Trierano speculatores hostes adesse significassent, ciuitásque illis animum aduertisset, à proditoribus quoque ex insidijs ascendendi signum datum est. Hostes itaque impigrè muro conscenso, custodum arma occupauere derelicta, diurnáque deturbata statione, custodes decem in fugam uerterunt. Nam ex quindena unaquaque custos unus derelictus fuerat: unum uerò dormientem, alium uero ad Iunonis confugientem templum obtruncarunt. Quum itaque fuga è muro desilientium in urbem fieret, qui arcem occupauerant incerti erant quidnam agerent: sed cum clamor in urbem delatus esset, impigre ciues auxilium tulerunt. Et sub initium hostes arce egressi, ante portam quæ in urbem fert, pugnam capessebant: sed cum undique à succurrentibus premerentur, pedem rursus in arcem referre cœperunt: in quos grauis armaturæ milites signa inferunt, confestímque media arcis pars deserta est: hostes inde conscensis turribus ac muro, ingressos telis feriebant. At illi terra reptantes, per muri scalas ascendere cœperunt, turrésque nonnullas hinc atque inde ciues occuparunt, simulque alios ascendentes ad se trahebant: quapropter hostes undique audacia ac ui oppressi, impetum non tulere. Eodem tempore Arcades & Argiui urbem circundantes, per uices arcis muros diruere nitebantur. Qui uero intus erant, partim eos qui in muro erant, alij uerò ab extra per scalas ascendentes, reliqui uero eos qui turres occupauerant, oppugnabant: ignemque in tabernaculis offendentes, facésque quas forte in arce inuenerant incẽdentes turribus subijciebant: quapropter qui turres obtinebant, flamma perterriti, sua sponte turres derelinquebant: qui uero muros ascenderant, uirtute ciuium ab his deiecti ac expulsi sunt. Cúmque semel hostes inclinare cœpissent, confestim uniuersa arx ab hostibus derelicta est, illicóque equites urbe egressi sunt:

ſunt: quos hoſtes cernentes, derelictis ſcalis, mortuisq́; ac uiuis nonnullis qui ſequi nequiuerāt, aufugere: cecideréq́; ex hoſtibus tam intra, q̄ extra, haud pauciores LXXX. Hinc de ſalute ſecuros, cernere erat uiros quidem inuicem cōplectentes, mulieres uero potū ferentes, ac præ gaudio lachrymas effundentes, omnes uero præſentes fletum cū lætitia miſcere. Inſequenti quoq; anno Argiui & Arcades uniuerſi Phliuntem ingreſsi ſunt. Quod uero Phliaſios ita ſemper premebant, cauſa erat, quod illis infenſi erāt, & quia in medio ſiti erant: ſperabāt inſuper cōmeatus penuria illos cogi poſſe, ut tandem à Lacedæmonijs deficerent. In hac quoq; expeditione Phliaſiorū equites ac electi, una cum Athenienſiū equitib. qui tum aderant, hoſtes in tranſitu fluminis aggreſsi uicerūt, hoſtesq́;, quod reliquū diei ſupererat, ad mōtes redire coēgerunt, tanquā ab amicis frugib. uaſtādis abſtinerent: rurſusq; Sicyonis præfectus, cū Thebanis q in præſidio erāt, Sicyonijs ac Pellenenſib. tum. n. Thebanos ſequebantur, Phliaſiorū ingreſsi ſunt fines: necnō Euphrō cum duob. millib. mercenarijs militib. & reliqui, per Tricranū ad Iunonis aſcenderunt templū, ut inde in agros impetū facerent: in montium uero ſummitatibus ac anguſtijs quæ Corinthum ducunt, Sicyonios ac Pellenenſes reliquere, ne illis occupatis Phliaſij ſuper capita eorū ac Iunonis cōſiſterēt templū. At qui in urbe erāt, cum hoſtes adeſſe, eosq; ad agros uaſtandos aduenisſe cognouiſſent. cum equitib. et Phliaſiorum electis urbe egreſsi, manus cū illis conſeruere, nec ut in plana deſcenderēt, pmiſere, ibiq; inuicem laceſſendo magnam partem tranſegere diei. Et qui cum Euphrone erāt, Hippaſimū uſq; proceſſere: Phliaſij uero Iunonis nō prætergrediebantur templum. Cum uero hora iam abeundi eſſe uideretur, hoſtes Tricranum uerſus gradiebantur: ne. n. breuiori uia ad Pellenenſes peruenire poſſent, foſſa ante muros erecta illis impedimento erat: eos uero parūper ante diluculum Phliaſij prætergreſsi, iuxta muros foſſam trāſgreſsi, ad Pellenenſes et qui cum illis erāt, pergebant: quam Phliaſiorū feſtinationem cum Thebani reſciuiſſent, omni ope Pellenenſibus ſuccurrere accelerabant. Phliaſiorū interim equites Pellenenſes aggrediūtur, ab quib. fortiter excepti ſunt: illi uero parumper declinarūt, rurſusq; cum peditibus qui iam aduenerant, in illos irruunt, ac atrociſsimū edebant prælium. Atqui non tulere hoſtes impetum, ſed protinus in fugam uerſi ſunt. Cecidere pugna ea Sicyonij nōnulli, ac Pellenenſiū haud parū multi, uiriq; fortes deſiderati ſunt. His actis, Phliaſij clariſsimū erexere triumphū, ac pæana canētes, ut æquū erat, reuertebātur. Et Thebani, quiq; cū Euphrone erāt, hæc tanquā ſpectaculum quoddā cernere cogebantur: inde Sicyonē abiere, Phliaſij uerò in urbem rediere. Nec minus egregiū id quoq; Phliaſij egere. Viuum. n. in poteſtatē redactum hoſpitem Pellenenſem, quamuis ſumma rerum premerentur inopia, abſq; precio dimiſere. Nónne igitur merito hi qui

talis

νον. οἱ δὲ πολέμιοι ἰδόντες αὐτοὺς, ἀπεχώρουν, καταλιπόντες τάς τε κλίμακας καὶ τοὺς νεκρούς. ἐνίους δὲ καὶ ζῶντας ἀποκεχωλευμένους. ἀπέθανον δὲ τῶν πολεμίων οἵ τε ἔνδον μαχόμενοι, καὶ οἱ ἔξω ἁλλόμενοι, οὐκ ἐλάττους τῶν ὀγδοήκοντα. ἔνθα δὴ θεάσασθαι παρῆν περὶ τῆς σωτηρίας τοὺς μὲν ἄνδρας δεξιουμένους ἀλλήλους, τὰς δὲ γυναῖκας, πιεῖν τε φερούσας, καὶ ἅμα χαρᾷ δακρυούσας. πάντας δὲ τοὺς παρόντας τότε γε τῷ ὄντι κλαυσίγελως εἶχεν. ἐνέβαλον δὲ καὶ τῷ ὑστέρῳ ἔτει εἰς τὴν Φλιοῦντα οἵ τε Ἀργεῖοι, καὶ οἱ Ἀρκάδες ἅπαντες. αἴτιον δ' ἦν τοῦ ἐπικεῖσθαι αὐτοὺς ἀεὶ τοῖς Φλιασίοις, ὅτι ἅμα μὲν ὠργίζοντο αὐτοῖς, ἅμα δὲ ἐν μέσῳ εἶχον, καὶ ἐν ἐλπίδι ἦσαν ἀεὶ διὰ τὴν ἀπορίαν τῶν ἐπιτηδείων παραστήσεσθαι αὐτούς. οἱ δ' ἱππεῖς καὶ οἱ ἐπίλεκτοι τῶν Φλιασίων, καὶ ἐν ταύτῃ τῇ ἐμβολῇ ἐπὶ τῇ διαβάσει τοῦ ποταμοῦ ἐπιτίθενται σὺν τοῖς παροῦσι τῶν Ἀθηναίων ἱππεῦσι καὶ κρατήσαντες, ἐποίησαν τοὺς πολεμίους τὸ λοιπὸν τῆς ἡμέρας ὑπὸ τὰς ἀκρωρείας ὑποχωρεῖν, ὥσπερ ἀπὸ φιλίου καρποῦ τοῦ ἐν τῷ πεδίῳ φυλαττομένους, μὴ καταπατήσειαν. αὖθις δέ ποτε ἐστράτευσεν ἐπὶ Φλιοῦντα ὁ ἐν Σικυῶνι ἄρχων, Θηβαίους ἄγων, οὓς τε αὐτὸς εἶχε φρουρούς, καὶ Σικυωνίους, καὶ Πελληνέας. ἤδη γὰρ τότε ἠκολούθουν τοῖς Θηβαίοις. καὶ Εὔφρων δὲ τοὺς αὑτοῦ ἔχων μισθοφόρους περὶ δισχιλίους, συνεστρατεύετο. οἱ μὲν οὖν ἄλλοι αὐτῶν διὰ τοῦ Τρικαράνου κατέβαινον ἐπὶ τὸ Ἡραῖον, ὡς τὸ πεδίον φθεροῦντες. ἐπὶ δὲ τὰς εἰς Κόρινθον φερούσας πύλας ἐπὶ τῶν ἄκρων, κατέλιπε Σικυωνίους τε, καὶ Πελληνέας, ὅπως μὴ ταύτῃ περιελθόντες οἱ Φλιάσιοι, ἐπὶ κεφαλὴν αὐτῶν γένοιντο ὑπὲρ τοῦ Ἡραίου. ὡς δ' ἔγνωσαν οἱ ἐκ τῆς πόλεως τοὺς πολεμίους ἐπὶ τὸ πεδίον ὡρμημένους, ἀντεξελθόντες οἵ τε ἱππεῖς καὶ οἱ ἐπίλεκτοι τῶν Φλιασίων ἐμάχοντο, καὶ οὐκ εἴασαν εἰς τὸ πεδίον αὐτούς. καὶ τὸ μὲν πλεῖστον τῆς ἡμέρας ἐνταῦθα ἀκροβολιζόμενοι, διῆγον οἱ περὶ τὸν Εὔφρονα, ἐπιδιώκοντες μέχρι τοῦ ἱππασίμου. οἱ δὲ ἔνδοθεν μέχρι τοῦ Ἡραίου. ἐπεὶ δὲ ὥρα ἐδόκει εἶναι, ἀπῇσαν οἱ πολέμιοι κύκλῳ τοῦ Τρικαράνου. ὥστε γὰρ τὴν σύντομον πρὸς τοὺς Πελληνέας ἀφικέσθαι, ἡ πρὸ τοῦ τείχους φάραγξ εἶργε. μικρὸν δ' αὐτοὺς πρὸς τὸ ὄρθιον προπέμψαντες, οἱ Φλιάσιοι ἀποτρεπόμενοι, ἵεντο τὴν παρὰ τὸ τεῖχος ἐπὶ τοὺς Πελληνέας, καὶ τοὺς μετ' αὐτῶν. καὶ οἱ περὶ τὸν Θηβαῖον δὲ αἰσθόμενοι τὴν σπουδὴν τῶν Φλιασίων, ἠμιλλῶντο, ὅπως φθάσειαν τοῖς Πελληνεῦσι βοηθήσοντες. ἀφικόμενοι πρότεροι οἱ ἱππεῖς, ἐμβάλλουσι τοῖς Πελληνεῦσι. δεξαμένων δὲ τὸ πρῶτον, ἐπαναχωρήσαντες, πάλιν σὺν τοῖς παραγεγενημένοις τῶν πεζῶν ἐνέβαλον, καὶ ἐκ χειρὸς ἐμάχοντο. καὶ ἐκ τούτου δὴ ἐγκλίνουσιν οἱ πολέμιοι. καὶ ἀποθνήσκουσι τῶν τε Σικυωνίων τινὲς, καὶ τῶν Πελληνέων μάλα πολλοὶ, καὶ ἄνδρες ἀγαθοί. τούτων δὲ γενομένων, οἱ μὲν Φλιάσιοι τρόπαιον ἵσταντο λαμπρὸν, παιανίζοντες ὥσπερ εἰκός. οἱ δὲ περὶ τὸν Θηβαῖον, καὶ τὸν Εὔφρονα, περιεώρων ταῦτα, ὥσπερ ἐπὶ θέαν περιδεδραμηκότες. τούτων δὲ πραχθέντων, οἱ μὲν ἐπὶ Σικυῶνος ἀπῆλθον, οἱ δ' εἰς τὸ ἄστυ ἀπεχώρησαν. καλὸν δὲ καὶ τοῦτο διεπράξαντο οἱ Φλιάσιοι τὸν γὰρ Πελληνέα πρόξενον ζῶντα λαβόντες, καίπερ πάντων σπανιζόμενοι, ἀφῆκαν αὐτὸν λύτρων. γενναίους μὲν δὴ καὶ ἀλκίμους πῶς οὐκ ἄν τις φαίη εἶναι τοὺς τὰ

τοιαῦτα

τοιαῦτα διαπραττομένους; ὥς γε μὴν καὶ διὰ καρτερίας τοῖς φίλοις τὴν πίστιν διέσωζον, περιφανές. οἳ ἐπεὶ εἴργοιντο τῶν ἐκ τῆς γῆς καρπῶν, ἔζων, τὰ μὲν ἐκ τῆς πολεμίας λαμβανόντων, τὰ δὲ ἐκ Κορίνθου ὠνούμενοι, διὰ πολλῶν κινδύνων ἐπὶ τὴν ἀγορὰν ἰόντων, χαλεπῶς μὲν τιμὴν πορίζοντων, χαλεπῶς δὲ τοὺς πορίζοντας διαπραττόμενοι, γλίσχρως δ' ἐγγυητὰς καθιστάντων τῶν ἀξόντων ὑποζυγίων. ἤδη δὲ παντάπασιν ἀπορούντων, Χάρητα διεπράξαντο σφίσι παραπέμψαι τὴν παραπομπήν. ἐπεὶ δὲ ἐν Φλιοῦντι ἐγένοντο, ἐδεήθησαν αὐτοῦ καὶ τοὺς ἀχρείους συμπροπέμψαι εἰς τὴν Πελλήνην. κἀκείνους μὲν ἐκεῖ κατέλιπον, ἀγοράσαντες δέ, καὶ ἐπισκευασάμενοι ὁπόσα ἐδύναντο ὑποζύγια, νυκτὸς ἀπῇσαν, οὐκ ἀγνοοῦντες ὅτι ἐνεδρεύσοιντο ὑπὸ τῶν πολεμίων, ἀλλὰ νομίζοντες χαλεπώτερον εἶναι τοῦ μάχεσθαι, τὸ μὴ ἔχειν τὰ ἐπιτήδεια. καὶ προῄεσαν μὲν οἱ Φλιάσιοι μετὰ Χάρητος. ἐπεὶ δὲ ἐνέτυχον τοῖς πολεμίοις, εὐθὺς ἔργου τε εἴχοντο, καὶ παρακελευσάμενοι ἀλλήλοις ἐνέκειντο. καὶ ἅμα Χάρητα ἐπιβοηθεῖν ἐβόων. νίκης δὲ γενομένης, καὶ ἐκβληθέντων ἐκ τῆς ὁδοῦ τῶν πολεμίων, οὕτω δὴ οἴκαδε καὶ ἑαυτούς, καὶ ἃ ἦγον ἀπέσωσαν. ὡς δὲ τὴν νύκτα ἠγρύπνησαν, ἐκάθευδον μέχρι πόρρω τῆς ἡμέρας. ἐπεὶ δὲ ἀνέστη ὁ Χάρης, προσελθόντες οἵ τε ἱππεῖς, καὶ οἱ χρησιμώτατοι τῶν πολιτῶν, ἔλεγον· ὦ Χάρης, ἔξεστί σοι τήμερον κάλλιστον ἔργον διαπράξασθαι. χωρίον γὰρ ἐπὶ τοῖς ὁρίοις ἡμῖν οἱ Σικυώνιοι τειχίζουσιν, οἰκοδόμους μὲν πολλοὺς ἔχοντες, ὁπλίτας δὲ οὐ πάνυ πολλούς. ἡγησόμεθα μὲν οὖν ἡμεῖς οἱ ἱππεῖς, καὶ τῶν πολιτῶν οἱ ἐρρωμενέστατοι. σὺ δὲ τὸ ξενικὸν ἔχων, ἐὰν ἀκολουθῇς, ἴσως μὲν διαπεπραγμένα σοι καταλήψῃ. ἴσως δὲ ἐπιφανεὶς σύ, ὥσπερ ἐν Πελλήνῃ τροπὴν ποιήσεις. εἰ δέ τι δυσχερές σοι δοκεῖ ὧν λέγομεν, ἀνακοίνωσαι τοῖς θεοῖς θυόμενος. οἰόμεθα γάρ ἔτι σε μᾶλλον ἡμῶν τοὺς θεοὺς ταῦτα πράττειν κελεύσειν. τοῦτο δὲ χρή, ὦ Χάρης, εὖ εἰδέναι, ὅτι ἐὰν ταῦτα πράξῃς, τοῖς μὲν πολεμίοις ἐπιτετειχικὼς ἔσῃ, φιλίαν δὲ πόλιν διασεσωκώς. εὐκλεέστατος δὲ ἐν τῇ πατρίδι ἔσῃ, ὀνομαστότατος δὲ καὶ ἐν τοῖς συμμάχοις, καὶ πολεμίοις. ὁ μὲν δὴ Χάρης πεισθεὶς, ἐθύετο. τῶν δὲ Φλιασίων εὐθὺς μὲν οἱ ἱππεῖς τοὺς θώρακας ἐνεδύοντο, καὶ τοὺς ἵππους ἐχαλίνουν. οἱ δὲ ὁπλῖται ὅσα εἰς πεζὸν, παρεσκευάζοντο. ἐπεὶ δὲ ἀναλαβόντες τὰ ὅπλα ἐπορεύοντο ἔνθα ἐθύετο, ἀπήντα αὐτοῖς ὁ Χάρης, καὶ ὁ μάντις, καὶ ἔλεγον ὅτι καλὰ εἴη τὰ ἱερά. ἀλλὰ περιμένετε, ἔφασαν. ἤδη γὰρ καὶ ἡμεῖς ἔξιμεν. ὡς δὲ τάχιστα ἐκηρύχθη, θείᾳ τινὶ προθυμίᾳ καὶ οἱ μισθοφόροι ταχὺ ἐξέδραμον. ἐπεὶ δὲ Χάρης ἤρξατο πορεύεσθαι, προῄεσαν αὐτοῦ οἱ τῶν Φλιασίων ἱππεῖς, καὶ πεζοί. καὶ τὸ μὲν πρῶτον ταχέως ἡγοῦντο, ἔπειτα δὲ ἐτρόχαζον. τέλος δέ, οἱ μὲν ἱππεῖς ἤλαυνον· οἱ δὲ πεζοὶ κατὰ κράτος ἔθεον ὡς δυνατὸν ἐν τάξει. οἷς καὶ ὁ Χάρης σπουδῇ ἐπηκολούθει. ἦν μὲν οὖν τῆς ὥρας μικρὸν πρὸ δυομένου ἡλίου. κατελάμβανον δὲ τοὺς ἐν τῷ τείχει πολεμίους, τοὺς μὲν λουομένους, τοὺς δ' ὀψοποιουμένους· τοὺς δὲ φυρῶντας, τοὺς δὲ στιβάδας ποιουμένους. ὡς δ' εἶδον τὴν σφοδρότητα τῆς ἐφόδου, εὐθὺς ἐκπλαγέντες ἔφυγον, καταλιπόντες τοῖς ἀγαθοῖς ἀνδράσι πάντα τὰ ἐπιτήδεια. κἀκεῖνοι μὲν ταῦτα δειπνήσαντες,

talia gessere, generosi ac fortes appellandi sunt? eo quoq; nomine clari, quod tā summa cōstantia amicis fidem seruauerint? Quāuis.n.à colligēdis arcerentur frugib. perdurabāt tamen, quædā ex hostili rapientes terra, nōnulla uero ex Corintho coëmentes, multis periculis illuc contendentes, difficulter quoq; preciū corradentes, difficilius uero à uendētib. necessaria redimentes, iumenta quoq; ad deuehendum cōmeatum summa difficultate à uicinis cō 10 trahentes. Tandem omniū rerū pressi inopia, Chareti persuasere, ut pro deuehendo cōmeatu præsidium cum illis mitteret. Qui cum Phluntē peruenissent, illum exorarūt ut inutilem turbā Pellenē emittere liceret: quam ibi quoq; dimiserūt. Inde digressi necessaria coëmerūt, ac quotquot potuerūt, onerarunt iumenta, nocteq; reuertebātur, haud ignari ab hostib. transitū insideri: satius tamē rati egregiè pugnādo periclitari, q̄ tanta rerū premi indigētia. Igitur cum Charete progressi, cū hostes adesse certio 20 res facti essent, se ad certamen accingūt, ac inuicem hortātur, Charetemq; opē ferre clamāt. Parta itaq; uictoria, hostibusq; repulsis, cum omnib. quæ ferebāt salui domū peruenere. Cumq; totā uigilassent noctem, ad multū dormierunt diei. At cum Chares surrexisset, equites primoresq; ciuiū illum ita alloquuti sunt: Propositum est tibi, ò Chares, pulcherrimā hodie exequi rem. Regionē.n. montanā Sicyonij muro circundare nitūtur ædificatorib. plurimis, uerū haud ita multis cōfisi militib. hos nos equites 30 præstantioresq; ciuiū aggredi in animo habemus: tu uero si peregrino subsequutus fueris milite, cum uictoriæ pulcherrimæ particeps eris, tum haud inferiorē Pellenensi fugam efficies. Si uero quæ narramus tibi factu difficilia uidentur, deos sacrificijs cōsule: arbitramur equidem potius illos q̄ nos, ut hæc peragas iubere. Nec te lateat, si hæc peregeris, hostib. superiorem fore, amicāq; seruaturum ciuitatē: gloriosissimū quoq; in patria, nominatissimū præterea tam inter socios q̄ hostes euasurum. His persua 40 sus Chares sacrificabat. Interim uero Phliasiorum equites arma induebant, equosq; frenabant, pedites quoq; ad certamen se præparabant: inde cōposito agmine ad locum ubi sacra fiebant, unà tendebant. Quibus obuiam factus Chares cum uate, nunciās pulchra apparuisse exta: uerū aliquātisper expectate, inquit, nos.n. unà egrediemur. Cōfestimq; mercenarij milites ingenti alacritate, tanquā numine afflati, ad hostes pgebāt. Præcesserāt hos Phliasiorū tam equites q̄ pedites, quātaq; poterāt celeri 50 tate ad hostes festinabant: tandemq; equites equos concitāt, peditesq; seruatis quantū poterant ordinib. cursu ferebantur: quos Chares præpropera sequebatur celeritate. Dies uero iam præcipitabat, ac in uesperum uergebat. Nacti sunt itaq; hostes partim operi incūbentes, alios se lauantes, nonnullos cœnā præparantes, hos panē pinsentes, illos uero lectos sternētes: qui cum Phliasios cū impetu ac celeritate irruentes cernerēt, metu perculsi, oēs in fugam uersi sunt. Cum necessaria cuncta uiris tam egregijs reliquissent, illi ibidem cœnantes, reliqua

domum retulerunt, pæanizantes, ac ob res feliciter gestas sacra instaurantes: inde excubijs locatis quieti se dederunt. At Corinthij cum de pugnæ euentu certiores facti essent, perhumane contractis iumentis illa cuncta frumento onerarunt, Phluntemq; misere: & antea quàm undique muro circundarentur, quotidie necessaria inferebantur. De Phliasijs itaque quemadmodum amicis fidem seruarint, quámque egregie se in bello gesserint, ac omnium indigi in societate permanserint, sat dictum est. Eodem ferme tempore Aeneas Stymphalius cum Arcadum dux esset, ac quæ Sicyoni fierent intoleranda iudicaret, occupata cum exercitu suo arce, Sicyonios præstantiores qui in urbe erant, necnon illos qui absque decreto exciderant, conuocabat: quapropter Euphron timore perculsus in Sicyoniorum perfugit portum, Pasimelémque ex Corintho accersiuit, ut Lacedæmonijs portum traderet, simulans se id fide ac beneuolentia facere. Siquidem cum deliberatum fuisset, num à Lacedæmonijs ciuitas deficere deberet, ego cum paucis, inquit, restiti. Cum uerò rursus populum in meam traduxissem sententiam, proditorésque supplicio afficere uellem, seditione facta secessere: omnes enim, ait, qui iam fugiunt, hi sunt qui uos prodidere. Proinde si potuissem, cum uniuersa ad uos defecissem ciuitate: sed cum id mihi facere haud liciut, id quod possum faciam, portúmque uobis tradam. Audiebant hæc multi, sed qui crederent admodum pauci erant. Verùm cum Euphronis mentionem fecerim, quæ de eo acta sint, ad calcem usque educam. Cum Sicyoni optimates ac populus seditione certarent, Euphron accepto ex Athenis præsidio, ciuitatem cum populo in suam redegit potestatem. At cum Thebanus harmostes arcem obtineret, illéque cerneret quandiu arx in Thebanorum esset potestate, se ciuitati dominari haud posse, accepta pecunia Thebas profectus est, ut Thebanis persuaderet, ut expulsis optimatibus sibi rursus ciuitatem traderent. At qui antea exciderant, cum ipsius præsensissent consilia, ipsi quoq; Thebas profecti sunt. Verùm cum ipsum familiariter cum primoribus uersari cernerent, timentes ne si rem ex sententia perageret, ipsi rursus periclitarẽtur, illum quum in arce cum primoribus ac senatu sederet aggressi, obtruncant. At primores comprehensis autoribus, in senatum introduxere, itáq; loquuti sunt:

THEBANORVM AD CIVES CONCIO.

Viri ciues, nos Euphronis interfectores hos mortis reos deferimus, uidẽtes probos nihil unquã iniuste aut inique perpetrare: prauos uerò si quid mali agere nitãtur, id ut clanculũ fiat conari. At hi adeo cũctos audacia ac scelere exuperãt homines, ut corã principibus ipsis, uobisq; dominis, qui et uitæ ac necis potestatẽ obtinetis, hominẽ obtruncare haud ueriti sint. Qui si ultimo haud afficiẽtur supplicio, quis

καὶ οἴκοθεν ἄλλα ἐλθόντα, ὡς ἐπ' εὐτυχίᾳ ἐσπείσαντο, καὶ ἐπαιανίσαντο, καὶ φυλακὰς κατασκευασάμενοι, κατέδαρθον. οἱ δὲ Κορίνθιοι, ἀφικομένης τῆς νυκτὸς ἀγγέλου περὶ τῆς θυκμίας, μάλα φιλικῶς κηρύξαντες τὰ ζεύγη, καὶ τὰ ὑποζύγια πάντα, καὶ σίτου γεμίσαντες, εἰς τὴν Φλιοῦντα παρήγαγον. καὶ ἕως περιετειχίζετο τὸ τεῖχος ἑκάστης ἡμέρας, παραπομπαὶ ἐγίνοντο. περὶ μὲν δὴ Φλιασίων, ὡς καὶ πιστοὶ τοῖς φίλοις ἐγένοντο, καὶ ἄλκιμοι διετέλεσαν ἐν τῷ πολέμῳ, καὶ ὡς πάντων σπανίζοντες, ἐν τῇ συμμαχίᾳ διέμενον, εἴρηται. σχεδὸν δέ τοι περὶ τοῦτον τὸν χρόνον, Αἰνέας Στυμφάλιος γεγενημένος στρατηγὸς τῶν Ἀρκάδων, νομίσας οὐκ ἀνεκτῶς ἔχειν τὰ ἐν τῷ Σικυῶνι, ἀναβὰς σὺν τῷ ἑαυτοῦ στρατεύματι εἰς τὴν ἀκρόπολιν, συγκαλεῖ τῶν Σικυωνίων τῶν τε ἔνδον ὄντων τοὺς κρατίστους, καὶ τοὺς ἄνευ δόγματος ἐκπεπτωκότας μετεπέμπετο. φοβηθεὶς δὲ ταῦτα ὁ Εὔφρων καταφεύγει εἰς τὸν λιμένα τῶν Σικυωνίων. καὶ μεταπεμψάμενος Πασίμηλον ἐκ Κορίνθου, διὰ τούτου παραδίδωσι τὸν λιμένα τοῖς Λακεδαιμονίοις. καὶ ἐν ταύτῃ αὖ τῇ συμμαχίᾳ ἀνεστρέφετο, λέγων ὡς Λακεδαιμονίοις διατελοίη πιστὸς ὤν. ὅτε γὰρ ψῆφος ἐδίδοτο ἐν τῇ πόλει, εἰ δοκοίη ἀφίστασθαι, μετ' ὀλίγων ἀποψηφίσασθαι ἔφη. ἔπειτα δὲ τοὺς προδόντας ἑαυτὸν τιμωρήσασθαι, βουλόμενος δῆμον καταστῆσαι, καὶ νῦν, ἔφη, φεύγουσιν ὑπ' ἐμοῦ πάντες οἱ ὑμᾶς προδιδόντες. εἰ μὲν οὖν ἐδυνάσθην ἐγώ, ὅλην ἂν ἔχων τὴν πόλιν, πρὸς ὑμᾶς ἀπέστην. νῦν δ' οὗ ἐγκρατὴς ἐγενόμην, τὸν λιμένα παραδέδωκα ὑμῖν. ἠκροῶντο μὲν δὴ αὐτοῦ πολλοὶ ταῦτα. ὁπόσοι δὲ ἐπύθοντο, οὐ πάνυ κατάδηλον. ἀλλὰ γὰρ ἐπεί τι ἠρξάμην, διατελέσαι βούλομαι τὰ περὶ τοῦ Εὔφρονος. στασιασάντων γὰρ ἐν τῷ Σικυῶνι τῶν τε βελτίστων, καὶ τοῦ δήμου, λαβὼν ὁ Εὔφρων Ἀθήνηθεν ξενικόν, πάλιν κατέρχεται. καὶ τοῦ μὲν ἄστεος ἐκράτει σὺν τῷ δήμῳ. Θηβαίου δὲ ἁρμοστοῦ τὴν ἀκρόπολιν ἔχοντος, ἐπεὶ ἔγνω οὐκ ἂν δυνάμενος, τῶν Θηβαίων ἐχόντων τὴν ἀκρόπολιν, τῆς πόλεως κρατεῖν, συσκευασάμενος χρήματα, ᾤχετο ὡς τούτοις πείσων Θηβαίους, ἐκβάλλειν μὲν τοὺς κρατίστους, παραδοῦναι δ' αὐτῷ πάλιν τὴν πόλιν. αἰσθόμενοι δὲ οἱ πρόσθεν φυγάδες τήν τε ὁδὸν αὐτοῦ, καὶ τὴν παρασκευήν, ἀντεπορεύοντο εἰς τὰς Θήβας. ὡς δ' ἑώρων αὐτὸν οἰκείως τοῖς ἄρχουσι συνόντα, φοβηθέντες μή πως διαπράξαιτο ἃ βούλεται, παρεκινδύνευσάν τινες, καὶ ἀποσφάττουσιν αὐτὸν ἐν τῇ ἀκροπόλει, τῶν τε ἀρχόντων, καὶ τῆς βουλῆς, συγκαθημένων. οἱ μέντοι ἄρχοντες, τοὺς ποιήσαντας εἰσήγαγον εἰς τὴν βουλήν, καὶ ἔλεγον τάδε.

ΔΗΜΗΓΟΡΙΑ ΘΗΒΑΙΩΝ ΠΡΟΣ ΤΗΝ ΠΟΛΙΝ.

Ἄνδρες πολῖται, ἡμεῖς τουτουσὶ τοὺς Εὔφρονα ἀποκτείναντας, διώκομεν περὶ θανάτου, ὁρῶντες ὅτι οἱ μὲν σώφρονες οὐδὲν δή που ἄδικον, οὐδὲ ἀνόσιον ποιοῦσιν. οἱ δὲ πονηροὶ ποιοῦσι μέν, λανθάνειν δὲ ὅμως πειρῶνται. οὗτοι δὲ τοσοῦτον πάντας ἀνθρώπους ὑπερβεβλήκασι τόλμῃ τε καὶ μιαρίᾳ, ὥστε παρ' αὐτάς τε τὰς ἀρχάς, καὶ παρ' ἑαυτοὺς ὑμᾶς τοὺς κυρίους, οὕς τινας δεῖ ἀποθνήσκειν, καὶ οὕς τινας μή, αὐτογνωμονήσαντες, ἀπέκτειναν τὸν ἄνδρα. εἰ οὖν οὗτοι μὴ δώσουσι τὴν ἐσχάτην δίκην, τίς

τίς ποτε πρὸς τὴν πόλιν θαρρῶν πορεύσεται; τί δὲ ἔσται ἡ πόλις, εἰ ἐξέσται τῷ βουλομένῳ ἀποκτεῖναι, πρὶν δηλῶσαι ὅτου ἕνεκα ἥκοι ἕκαστος; ἡμεῖς μὲν τούτους διώκομεν ὡς ἀνοσιωτάτους, καὶ ἀνομωτάτους, καὶ πλεῖστον δὴ ὑπεριδόντας τῆς πόλεως. ὑμεῖς δὲ ἀκηκοότες ὁποίας τινὸς ὑμῖν δοκοῦσιν ἄξιοι εἶναι δίκης, ταύτην αὐτοῖς ἐπίθετε. οἱ μὲν ἄρχοντες τοιαῦτα εἶπον. τῶν δὲ ἀποκτεινάντων, οἱ μὲν ἄλλοι ἠρνοῦντο μὴ αὐτόχειρες γενέσθαι. εἷς δὲ ὁμολογήκει, καὶ τῆς ἀπολογίας ὧδέ πως ἦρχε.

ΑΠΟΛΟΓΙΑ ΕΝΟΣ ΤΩΝ ΑΠΟΚΤΕΙΝΑΝΤΩΝ ΤΟΝ ΕΥΦΡΟΝΑ.

Ἀλλ' ὑπερορᾶν μὲν, ὦ Θηβαῖοι, οὐ δυνατὸν ὑμῶν ἀνδρὶ, ὃς εἰδοίη κυρίους μὲν ὄντας ὅ, τι βούλεσθε αὐτῷ χρῆσθαι, τίνι μέντοι πιστεύων ἐνθάδε ἀπέκτεινα τὸν ἄνδρα, εὖ ἴστε ὅτι πρῶτον μὲν, τῷ νομίζειν δίκαια ποιεῖν. ἔπειτα δὲ τῷ ὑμᾶς ὀρθῶς γνώσεσθαι. ᾔδειν γὰρ ὅτι καὶ ὑμεῖς τοὺς περὶ ἀρχίαν, καὶ ὑπάτην, οὓς ἐλάβετε εὔφρονι ὅμοια πεποιηκότας, οὐ ψῆφον ἀνεμείνατε, ἀλλὰ ὁπότε πρῶτον ἐδυνάσθητε, ἐτιμωρήσασθε, νομίζοντες τῶν τε περιφανῶς ἀνοσίων, καὶ τῶν φανερῶς προδοτῶν, καὶ τυραννεῖν ἐπιχειρούντων, ὑπὸ πάντων ἀνθρώπων θάνατον κατεγνῶσθαι. οὐκοῦν καὶ εὔφρων ἔνοχος πᾶσι τούτοις ἦν. παραλαβὼν μὲν γὰρ τὰ ἱερὰ μεστὰ καὶ χρυσῶν τούτων, καὶ ἀργυρῶν ἀναθημάτων, κενὰ πάντων ἀπέδειξε. προδότης γε μὴν τίς ἂν περιφανέστερος εὔφρονος εἴη; ὃς φιλαίτατος μὲν ὢν λακεδαιμονίοις, ὑμᾶς εἵλετο ἀντ' ἐκείνων. πιστὰ δὲ δοὺς καὶ λαβὼν παρ' ὑμῶν, πάλιν προὔδωκεν ὑμᾶς, καὶ παρέδωκε τοῖς ἐναντίοις τὸν λιμένα. καὶ μὴν, πῶς οὐκ ἀπροφασίστως τύραννος ἦν, ὃς δούλους, οὐ μόνον ἐλευθέρους, ἀλλὰ καὶ πολίτας ἐποίησεν; ἀπεκτίννυε δὲ, καὶ ἐφυγάδευε, καὶ χρήματα ἀφῃρεῖτο, οὐ τοὺς ἀδικοῦντας, ἀλλ' οὓς αὐτῷ ἐδόκει. οὗτοι δ' ἦσαν οἱ βέλτιστοι. αὖθις δὲ μετὰ τῶν ἐναντιωτάτων ὑμῖν ἀθηναίων κατελθὼν, ἐναντία μὲν ἔθετο τῷ παρ' ὑμῶν ἁρμοστῇ τὰ ὅπλα. ἐπεὶ δ' ἐκεῖνον οὐκ ἐδυνάσθη ἐκ τῆς πόλεως ἐκβαλεῖν, συσκευασάμενος χρήματα, δεῦρο ἀφίκετο. καὶ εἰ μὲν ὅπλα ἀθροίσας ἐφάνη ἐφ' ὑμᾶς, καὶ χάριν ἄν μοι εἴχετε, εἰ ἀπέκτεινα αὐτόν. ὃς δὲ χρήματα ἦλθε παρασκευασάμενος ὡς τούτοις ὑμᾶς διαφθερῶν, καὶ πείσων πάλιν κύριον αὐτὸν ποιῆσαι τῆς πόλεως, τούτῳ ἐγὼ τὴν δίκην ἐπιθεὶς, πῶς ἂν δικαίως ὑφ' ὑμῶν ἀποθάνοιμι; καὶ γὰρ οἱ μὲν ὅπλοις βιασθέντες, βλάπτονται μὲν, οὐ μέντοι ἄδικοί γε ἀναφαίνονται. οἱ δὲ χρήμασι παρὰ τὸ δίκαιον διαφθαρέντες, ἅμα μὲν βλάπτονται, ἅμα δὲ αἰσχύνῃ περιπίπτουσιν. εἰ μὲν τοίνυν ἐμοὶ μὲν πολέμιος ἦν, ὑμῖν δὲ φίλος, κἀγὼ ὁμολογῶ μὴ καλῶς ἄν μοι ἔχειν τοῦτον παρ' ὑμῖν ἀποκτεῖναι. ὁ δὲ ὑμᾶς προδιδοὺς, τί ἐμοὶ πολεμιώτερος ἦν, ἢ ὑμῖν; ἀλλὰ νὴ δία, εἴποι τις ἂν, ἑκὼν ἦλθε. κᾆτα εἰ μὲν ἀπεχόμενον τῆς πόλεως ὑμῶν ἀπέκτεινέ τις αὐτὸν, ἐπαίνου ἂν ἐτύγχανε. νῦν δὲ ὅτι πάλιν ἦλθεν, ἄλλα πρὸς τοῖς πρόσθεν κακὰ ποιήσων, οὐ δικαίως φησί τις αὐτὸν τεθνάναι, ποῦ ἔχων ἕλλησι σπονδὰς ἀποδεῖξαι, ἢ προδόταις, ἢ πάλιν

quis poſthac ſecurè ad urbem hãc accedere poterit? Cuius præterea conditionis ciuitas erit, ſi unicuiq; ex libito quenquam, antequam oſtendere poßit cur huc uenerit, interficere permiſſum erit? Nos igitur hos ut ſceleſtißimos ac iniquißimos, quiq; ciuitatis leges admodum transgreßi ſunt, deferimus. Vos uero poſtquam malefacta eorum audiuiſtis, ea pœna qua uobis digni uidentur, illos plectite. Et ciuitatis principes talia ſunt loquuti. At facinoris autores, alij ſe criminis reos eſſe negabant: unus uero qui rem ingenue fatebatur, ita ſe defendere cœpit:

DEFENSIO CVIVSDAM EORVM QVI EVPHRONEM INTEREFECERVNT.

Nemo unquam ut hominem in urbe ueſtra interficere auderet, ô Thebani, eò temeritatis euaderet, cum uos et uitæ ac necis dominos eſſe ſciret, niſi primo recte ſe agere exiſtimaret, dein uos haud iniuſte iudicaturos ſperaret. Atqui non ignoramus cũ Archias ac Hypates olim ſimilia Euphroni audẽtes a uobis deprehenſi eſſent, non ſententia aliqua damnatos eſſe, ſed e ueſtigio ultimo affectos ſupplicio: ſiquidem exiſtimabatis eum qui manifeſti ſceleris, proditionis ac tyrannidis conuictus eſſet, ab omnibus hominib. iam morte damnatum eſſe. Nonne igitur Euphron quoq; criminũ illorum omnium reus fuit? quandoquidem templa cunctis ſtatuis tam aureis quã argenteis ſpoliauit. Quis præterea manifeſtior Euphrone proditor fuit? Nam cum ſumma amicitia Lacedæmonijs deuinctus eſſet, illis tamen relictis ad uos transfugit. Cumq; fidem dediſſet, à uobis'q; accepiſſet, rurſus uobis proditis, portũ hoſtib. tradidit. Atqui nonne apertißime tyrannidem exercebat, cum ſeruos non ſolum in libertatem uendicaret, ſed et ciuitate donaret? Præterea nõ ſolum eos qui iniuſte egerãt, interficiebat, expellebat, fortuniſq; omnib. ſpoliabat, ſed etiã illos qui ſibi ad id maxime idonei uidebantur: hi uerò optimates erant. Inde cum inimicißimis uobis Athenienſib. in urbẽ irrũpens, arma præfecto ueſtro intulit: quem cum urbe pellere haud poſſet, corraſis undiq; pecunijs huc acceßit. Proinde cum uobis arma intulit, merito mihi gratias habebitis, quoniam illum obtruncaui. Quo pacto etenim ad mortem iuſte à uobis dãnari uiderer, ſi illum ſuſtuli qui collectis undiq; pecunijs ideo huc applicuit, ut uos illis corrũperet, perſuaderetq; ut rurſus eum ciuitatis dominũ conſtitueretis? ETENIM QVI VI graſſantur, nocent equidem, ſed in alijs haud iniurij eſſe uidentur. At qui pecunijs iuſtitiam ſupprimere quærunt, pariter & lædunt, in remq; incidunt turpißimam. quapropter ſi ille mihi hoſtis, uobis uero amicus fuiſſet, fateor me haud recte egiſſe, quod illum apud uos interfeciſſem. Cum uero uos prodiderit, num mihi ſeu uobis hoſtilior extiterit, conſiderate. Sed dicet aliquis, ſponte ſua huc uenit. Equidem ſi procul ab urbe noſtra obtruncatus eſſet, laudibus interfectorem decoraremus: nunc uerò cum de ſecuritate certus ad nos peruenerit, iniuſte occubuit, etiam ſi antea in nos iniurius fuit. Verum illi reſpondeo, ut mihi leges Græcorum oſtendat, quæ proditoribus ſeu trans-

transfugis, aut tyrannis securitatē præstent. Mementote præterea uos aliquando publice decreuisse, exules in omnes ciuitates socias communi decreto reduci posse: at qui absq; publico decreto reuersus fuerit, hunc dicere ausim haud iniuste morte pœnas dedisse. Proinde si me interfeceritis, uiro uobis omnium inimicissimo uindictam persoluetis. Quod si me recte egisse iudicabitis, uindictam debitam exegisse non solum nomine uestro, sed & sociorū uniuersorū uidebimini. Quæ cū Thebani audiuissent, meritas Euphronem pœnas luisse decreuerūt. Ciues uero eū tanquā uirū bonū in forū detulerunt, ibiq; sepelierunt, ac tanquam ducem ciuitatis uenerati sunt. Ita enim ut plurimū euenit, ut homines benefactores suos, uiros bonos esse cōtendant. Et quæ circa Euphronē acta sunt, ita se habēt. Ego uero unde digressus sum reuertar. Phliasij cum adhuc Thyamiæ munitioni incūberent, Charete præsente Oropus ab exulib. occupatus est: cūq; contra illos Athenienses uniuersi expeditionem sumpsissent, Charetemq; ex Thyamia accersiuissent, portus Sicyonius rursus à ciuibus & Arcadibus captus est. At cum Atheniensib. nemo è socijs opem ferret, cū Thebanis ita cōuenire coacti sunt, ut Oropus redderetur, quoad iure lis dirimeretur. Lycomedes igitur cum resciuisset Athenienses socios incusare, tāquam multas molestias propter illos paterentur, nemo uero illis auxilium præstaret: quamplurimis persuasit, ut cum eis de societate ageretur: & sub initium magna pars Atheniensium ægrè ferebant, quod cum Lacedæmoniorum essent amici, illorum tamen hostibus societate conciliarentur: sed cum diligenter rem perpenderent, inuenerunt haud minus Lacedæmonijs q̄ ipsis conferre, ut à Thebanis Arcades distraherētur: quapropter cum Arcadibus societatem iniere. Quæ cum Lycomedes ex animi sententia peregisset, ab Athenis profectus est, finemq; beatissimum sortitus est. Cum enim plura adessent nauigia, ipseq; ex illis quodcunq; placuisset eligere ostendere iussus esset, ubinā potissimum se exponere uellet, ibi descendere elegit, ubi quamplurimi essent exules. Et ille hoc occubuit pacto, & societas maxime ita contracta est. Interea Demotion apud populum Atheniensem uerba fecit, ostendens, si illi Arcadum amicitia utilis esse uideretur, iuberent duces eorum operā dare, ut Corinthus salua populo remaneret Atheniensi. Quæ cum Corinthij audiuissent, misso undiq; ubi Athenienses in statiuis erant, præsidio ualido, illos abire iusserunt, ostendentes amplius illorum opera haud indigere: qui confestim paruere. Cumq; ex præsidijs uniuersis milites in urbem confluxissent, Corinthij præconis uoce nunciare iusserunt, si quis ab illis iniuria affectus esset, ostenderet: eos etenim eius rei rationem reddere oportere. Aduenit interim Chares cum classe Cenchreas, qui cum gesta intellexisset, simulabat se cū de insidijs certior factus fuisset, illos auxilij gratia accessisse. Corinthij uero cum eum laudibus extulissent, minime tamē naues intra portum receperunt, uerum illum cum classe abire iusserunt, necnon milites qui nihil iniuste egerant, dimiserunt. Et Athenienses hoc maxime pacto Corintho excidere:

&

πάλιν αὐτομόλοις, ἢ τυράννοις; πρὸς δὲ τούτοις ἀναμνήσθητε ὅτι καὶ ἐψηφίσασθε δήπου τοὺς φυγάδας, ἀγωγίμους εἶναι ἐκ πασῶν τῶν συμμαχίδων. ὅστις δὲ ἄνευ κοινοῦ τῶν συμμαχίδων δόγματος κατέρχεται φυγάς, τοῦτον ἔχοι τις ἂν εἰπεῖν, ὅπως οὐ δίκαιόν ἐστιν ἀποθνήσκειν; ἐγώ φημι, ὦ ἄνδρες, ἀποκτείναντας μὲν ὑμᾶς ἐμέ, τετιμωρηκότας ἔσεσθαι ἀνδρὶ τῷ πάντων ὑμῖν πολεμιωτάτῳ. γνόντας δὲ δίκαια πεποιηκέναι, αὐτοὺς τετιμωρηκότας φανεῖσθαι ὑπέρ τε ὑμῶν αὐτῶν, καὶ ὑπὲρ τῶν συμμάχων ἁπάντων. οἱ μὲν οὖν Θηβαῖοι ταῦτα ἀκούσαντες, ἔγνωσαν δίκαια τὸν Εὔφρονα πεπονθέναι. οἱ μέντοι πολῖται αὐτὸν ὡς ἄνδρα ἀγαθὸν κομισάμενοι, ἔθαψάν τε ἐν τῇ ἀγορᾷ, καὶ ὡς ἀρχηγέτην τῆς πόλεως σέβονται. οὕτως ὡς ἔοικεν, οἱ πλεῖστοι ὁρίζονται τοὺς εὐεργέτας αὐτῶν, ἄνδρας ἀγαθοὺς εἶναι. καὶ τὰ μὲν περὶ Εὔφρονος εἴρηται. ἐγὼ δὲ ἔνθεν εἰς ταῦτα ἐξέβην, ἐπάνειμι. ἔτι γὰρ τειχιζόντων τῶν Φλιασίων τὴν Θυαμίαν, καὶ τοῦ Χάρητος ἔτι παρόντος, ὁ Ὠρωπὸς ὑπὸ τῶν φευγόντων κατελήφθη. στρατευσαμένων δὲ πάντων Ἀθηναίων ἐπ' αὐτόν, καὶ τὸν Χάρητα μεταπεμψαμένων ἐκ τῆς Θυαμίας, ὁ μὲν λιμὴν αὖ ὁ τῶν Σικυωνίων, πάλιν ὑπ' αὐτῶν τε τῶν πολιτῶν, καὶ τῶν Ἀρκάδων ἁλίσκεται. τοῖς δ' Ἀθηναίοις οὐδεὶς τῶν συμμάχων ἐβοήθησεν, ἀλλ' ἀνεχώρησαν Θηβαίοις παρακαταθέμενοι τὸν Ὠρωπὸν μέχρι δίκης. καταμαθὼν δὲ ὁ Λυκομήδης μεμφομένους τοὺς Ἀθηναίους τοῖς συμμάχοις, ὅτι αὐτοὶ μὲν πολλὰ πράγματα ἔχοιεν δι' ἐκείνους, αὐτοῖς δὲ βοηθοῖ αὐτοῖς οὐδείς, πείθει τοὺς μυρίους πράττειν περὶ συμμαχίας πρὸς αὐτούς. τὸ μὲν οὖν πρῶτον, ἐδυσχέραινόν τινες τῶν Ἀθηναίων τὸ Λακεδαιμονίοις ὄντας φίλους, γενέσθαι τοῖς ἐναντίοις αὐτῶν συμμάχους. ἐπεὶ δὲ λογιζόμενοι εὕρισκον οὐδὲν ἐν μέσον Λακεδαιμονίοις, εἶναι σφίσιν ἀγαθόν, τὸ Ἀρκάδας μὴ προσδεῖσθαι Θηβαίων, οὕτω δὴ προσεδέχοντο τὴν τῶν Ἀρκάδων συμμαχίαν. καὶ Λυκομήδης ταῦτα πράττων, ἀπιὼν Ἀθήνηθεν, δαιμονιώτατα ἀποθνήσκει. ὄντων γὰρ παμπόλλων πλοίων, ἐκλεξάμενος τούτων ὃ ἐβούλετο, καὶ συνθέμενος τούτοις ἀποβιβάσαι ὅποι αὐτὸς κελεύοι, εἵλετο ἐνταῦθα ἐκβῆναι, ἔνθα οἱ φυγάδες ἐτύγχανον ὄντες. κἀκεῖνος μὲν οὕτως ἀποθνήσκει. ἡ μέντοι συμμαχία οὕτως ἐπεραίνετο. εἰπόντος δὲ Δημοτίωνος ἐν τῷ δήμῳ τῶν Ἀθηναίων, ὡς ἡ μὲν πρὸς τοὺς Ἀρκάδας φιλία, καλῶς αὐτῷ δοκοίη πράττεσθαι, τοῖς μέντοι στρατηγοῖς προστάξαι ἔφη χρῆναι, ὅπως καὶ ἡ Κόρινθος σῶα ᾖ τῷ δήμῳ τῶν Ἀθηναίων. ἀκούσαντες ταῦτα οἱ Κορίνθιοι, πέμψαντες ταχὺ ἱκανοὺς φρουροὺς ἑαυτῶν πάντοσε, ὅπου ἐφρούρουν Ἀθηναῖοι, εἶπον αὐτοῖς ἀπιέναι, ὡς οὐδὲν ἔτι δεόμενοι φρουρῶν. οἱ δ' ἐπείθοντο. ὡς δὲ συνῆλθον οἱ ἐκ τῶν φρουρῶν Ἀθηναῖοι εἰς τὴν πόλιν, ἐκήρυξαν οἱ Κορίνθιοι εἴ τις ἀδικοῖτο Ἀθηναίων, ἀπογράφεσθαι, ὡς ληψομένους τὰ δίκαια. ὄντων δὲ τούτων, Χάρης ἀφικνεῖται μετὰ τοῦ ναυτικοῦ πρὸς Κεγχρεάς. ἐπεὶ δὲ ἔγνω τὰ πεπραγμένα, ἔλεγεν ὅτι ἀκούσας ἐπιβουλεύεσθαι τῇ πόλει, βοηθῶν παρείη. οἱ δὲ ἐπαινέσαντες αὐτόν, οὐδέν τι μᾶλλον ἐδέχοντο τὰς ναῦς εἰς τὸν λιμένα, ἀλλ' ἀποπλεῖν ἐκέλευον. καὶ τοὺς ὁπλίτας δὲ τὰ δίκαια ποιήσαντες, ἀπέπεμψαν. ἐκ μὲν οὖν τῆς Κορίνθου οἱ Ἀθηναῖοι οὕτως ἀπηλλάγησαν.

τοῖς

τοῖς μὲν οὖν ἀρκάσιν ἠναγκάζοντο πέμπειν τοὺς ἱππέας ἐπικούρους διὰ τὴν συμμαχίαν, εἴ τις στρατεύοιτο ἐπὶ τὴν ἀρκαδίαν. εἰς δὲ λακωνικὴν οὐκ ἐπέβαινον ἐπὶ πολέμῳ. τοῖς δὲ κορινθίοις ἐνθυμουμένοις ὡς χαλεπῶς ἔχοι αὐτοὺς σωθῆναι, κεκρατημένους μὲν καὶ πρόσθεν κατὰ γῆν, προσγεγενημένων δὲ αὐτοῖς ἀθηναίων ἀνεπιτηδείων, ἔδοξεν ἀθροίζειν καὶ πεζοὺς καὶ ἱππέας μισθοφόρους. ἡγούμενοι δὲ τούτων, ἅμα μὲν τὴν πόλιν ἐφύλαττον, ἅμα δὲ τοὺς πολεμίους κακῶς ἐποίουν. εἰς μέντοι θήβας ἔπεμψαν ἐπερησομένους, εἰ τύχοιεν ἂν εἰρήνης ἐλθόντες. ἐπεὶ δὲ οἱ θηβαῖοι ἰέναι ἐκέλευον ὡς ἐσομένης, ἐδεήθησαν οἱ κορίνθιοι ἐᾶσαι σφᾶς ἐλθεῖν καὶ ἐπὶ τοὺς συμμάχους, ὡς μετὰ μὲν τῶν βουλομένων ποιησόμενοι τὴν εἰρήνην, τοὺς δὲ πόλεμον αἱρουμένους ἐάσοντες πολεμεῖν. ἐφέντων δὲ καὶ ταῦτα πρᾶξαι τῶν θηβαίων, ἐλθόντες εἰς λακεδαίμονα οἱ κορίνθιοι, εἶπον· ἡμεῖς, ὦ ἄνδρες λακεδαιμόνιοι, πρὸς ὑμᾶς πάρεσμεν ὑμέτεροι φίλοι. καὶ ἀξιοῦμεν, εἰ μέν τινα ὁρᾶτε σωτηρίαν ὑμῖν, ἐὰν διακαρτερῶμεν πολεμοῦντες, διδάξαι καὶ ἡμᾶς. εἰ δὲ ἀπόρως γιγνώσκετε ἔχοντα τὰ ὑμέτερα, εἰ μὲν καὶ ὑμῖν συμφέρει, ποιήσασθαι μεθ' ἡμῶν τὴν εἰρήνην, ὡς οὐδὲ μετ' οὐδένων ἂν ἥδιον ἢ μεθ' ὑμῶν σωθείημεν. εἰ μέντοι ὑμᾶς λογίζεσθε συμφέρειν ὑμῖν πολεμεῖν, δεόμεθα ὑμῶν ἐᾶσαι ἡμᾶς εἰρήνην ποιήσασθαι. σωθέντες μὲν γὰρ, ἴσως αὖθις ἔτι ποτὲ ἐν καιρῷ ὑμῖν γενοίμεθα. ἐὰν δὲ νῦν ἀπολώμεθα, δηλονότι οὐδέ ποτε ἔτι χρήσιμοι ἐσόμεθα. ἀκούσαντες δὲ ταῦτα οἱ λακεδαιμόνιοι, τοῖς τε κορινθίοις συνεβούλευον τὴν εἰρήνην ποιήσασθαι, καὶ τῶν ἄλλων συμμάχων ἐπέτρεψαν τοῖς μὴ βουλομένοις σὺν ἑαυτοῖς πολεμεῖν ἀναπαύεσθαι. αὐτοὶ δ' ἔφασαν πολεμοῦντες, πράξειν ὅ,τι ἂν τῷ θεῷ φίλον ᾖ, ὑφήσεσθαι δὲ οὐδέ ποτε, ἣν παρὰ τῶν πατέρων παρέλαβον μεσσήνην, ταύτης στερηθῆναι. οἱ οὖν κορίνθιοι ἀκούσαντες ταῦτα, ἐπορεύοντο εἰς τὰς θήβας, ἐπὶ τὴν εἰρήνην. οἱ μέντοι θηβαῖοι ἠξίουν αὐτοὺς καὶ συμμαχίαν ὀμνύναι. οἱ δὲ ἀπεκρίναντο, ὅτι ἡ μὲν συμμαχία, οὐκ εἰρήνη, ἀλλὰ πολέμου μεταλλαγὴ εἴη. εἰ δὲ βούλοιντο παρεῖναι, ἔφασαν τὴν δικαίαν εἰρήνην ποιησόμενοι. ἀγασθέντες δὲ αὐτοὺς οἱ θηβαῖοι, ὅτι καίπερ ἐν κινδύνῳ ὄντες, οὐκ ἤθελον τοῖς εὐεργέταις εἰς πόλεμον καθίστασθαι, συνεχώρησαν αὐτοῖς, καὶ φλιασίοις, καὶ τοῖς ἐλθοῦσι μετ' αὐτῶν εἰς θήβας τὴν εἰρήνην, ἐφ' ᾧ τε ἔχειν τὴν ἑαυτῶν ἑκάστους. καὶ ἐπὶ τούτοις ὠμόσθησαν οἱ ὅρκοι. οἱ μὲν δὴ φλιάσιοι, ἐπεὶ οὕτως ἡ ξύμβασις ἐγεγένητο, εὐθὺς ἀπῆλθον ἐκ τῆς θυαμίας. οἱ δὲ ἀργεῖοι ὀμόσαντες ἐπὶ τοῖς αὐτοῖς τούτοις εἰρήνην ποιήσασθαι, ἐπεὶ οὐκ ἐδύναντο καταπρᾶξαι, ὥστε τοὺς τῶν φλιασίων φυγάδας μένειν ἐν τῷ τρικαράνῳ, ὡς ἐν τῇ ἑαυτῶν πόλει ἔχοντες, παραλαβόντες, ἐφρούρουν, φάσκοντες σφετέραν καὶ τὴν γῆν ταύτην εἶναι, ἣν ὀλίγῳ πρότερον ὡς πολεμίαν οὖσαν, ἐδῄουν. καὶ δίκας τῶν φλιασίων προσκαλουμένων, οὐκ ἐδίδοσαν. σχεδὸν δὲ περὶ τοῦτον τὸν χρόνον τετελευτηκότος ἤδη τοῦ προτέρου διονυσίου, ὁ υἱὸς αὐτοῦ πέμπει βοήθειαν τοῖς λακεδαιμονίοις δώδεκα τριήρεις, καὶ ἄρχοντα αὐτῶν τιμοκράτην. οὗτος δ' οὖν ἀφικόμενος, συνεξαιρεῖ αὐτοῖς σελασίαν. καὶ τοῦτο πράξας, ἀπέπλευσεν οἴκαδε. μετὰ δὲ τοῦτο οὐ πολλῷ ὕστερον καταλαμβάνουσιν οἱ ἠλεῖοι λασιῶνα,

& Arcadibus ob societatem equites in subsidiũ, si quis contra Arcadiam militaret, mittere astricti erant: ad Laconicum tamen bellum haud procedebant. At Corinthij cum animo uoluerent quantis periculis obnoxij forent, cũ iam antea terra uicti essent, noui praeterea hostes Athenienses accederent, milites tam equites quàm pedites conducere coeperunt, quibus & ciuitatem defendebant, hostesq; male afficiebant. Miserunt & Thebas sciscitaturi, num si illuc accederent, pacem consequi ualerent. Cumq; Thebani illos tanquam uoti compotes futuros aduenire iußissent, rursus Corinthij rogarunt, ut socios conuenire permitteretur, ut quos pacis cupidos reperirent, secum adducere possent: quos uero bellum praeferre intelligerent, bellare sinerent. Cumq; id quoq; ab Thebanis illis concessum esset, Lacedæmonem perrexere, itaq; uerba fecerunt. Nos, uiri Lacedæmonij, amici uestri huc ad uos concessimus, postulamusque, ut si quam salutem, si bellare perseueramus, cernatis, nos quoq; certiores reddatis. Si uerò de rebus uestris dubij haeretis, dummodo id uobis conducere existimatis, precamur, ut unà nobiscum pacem faciatis: nobis enim cum nemine alio suauius est, quàm uobiscum saluari. Proinde si bellum magis uobis prodesse existimatis, supplicamus ne nobis impedimento esse uelitis, quo minus pacem componamus. Etenim si à bello aliquantisper respirauerimus in tempore, quandoq; uobis usui esse poterimus. At si nunc perimus, amplius uobis prodesse nequimus. Quae cum Lacedæmonij audiuissent, Corinthijs ut pacem facerent, suasere: nec reliquis socijs impedimento fuere quo minus à bello desisterent: se uero bello periclitaturos asserebant, quoad deo uideretur: nunquam enim concessuros ut Messene, quam à patribus acceperant, è manibus eriperetur. Quae cum Corinthij audiuissent, Thebas pro pace contenderunt, & Thebani ut societatem iurarent, petiere. Quibus responderunt, societatem nõ pacis, sed belli esse permutationem: at si uellent se adesse, ut de pace aequa agerent. Et Thebani cum cognoscerent quamuis Corinthij in summo periculo essent, nolle tamen benefactoribus bellum inferre, eis cum Phliasijs & reliquis quibus cum Thebas accesserant, pacem eisdem concessere conditionibus, iuramentumq; hac de re interpositũ est. Et Phliasij protinus ac ita conuentum est ex Thyamia decessere. Et Argiui quamuis hanc quoq; iurassent pacem, cum tamen obtinere non possent, ut Phliasiorum exules in Tricrano tanquã in eorum urbe permanerent, ipsos in fidem susceperũt, praesidioq; iuuerunt, asserentes eam quoq; terram illorum esse, quam paulo ante ut hostilem uastauerant. Cumq; hanc ob rem à Phliasijs in ius uocati essent, minime paruere. Circiter eadẽ tẽpora defuncto iã Dionysio seniori, filius ipsius Timocratẽ praefectũ cũ triremib. XII. in subsidiũ misit Lacedæmoniorum, cuius auxilio Selasiam ceperunt: qua capta ille domũ abijt. Non lõge inde Bliẽses

Lasiona

Lasionem ceperunt, olim iuris eorum, tunc uerò temporis Arcadum sequentem partes. Nec Arcades eam neglexere iniuriam, sed confestim copijs eductis in auxilium aduolant. Non quieuere ob id Elienses, sed cum septingentis obuiam fiunt uiris, paruoq; interuallo ea die ab hostibus castra Eliorum, Arcades in campestribus locant. Nocte uero conscensis montibus qui Eliensibus à tergo incumbebant, illorum summitates occupant, ac orta die in Elienses ruunt. At illi cernentes à 10 superiore parte, ac ui ingenti hostes imminere, quid agerent dubij erant: terga enim uertere turpe existimabant. Congreßi itaq;, ac quàm primũ ad manus uentum est, in fugam uersi sunt, ac propter loci iniquitatem abiectis armis, complures ex eis cecidere. Arcades uero his actis montanas aggreßi ciuitates, omnes præter Thraustum in suam redegere potestatem. Inde Olympiam descendentes, Saturni munierunt templum: ibiq; occupato Olympiaco monte, in statuis agebãt. Marganeas 20 quoq; nonnullis tradentibus ceperunt, ita ut Eliẽses in ultimam pene redigerentur neceßitatẽ. Progreßi inde ciuitatem uersus Arcades, ad forũ usq; peruenere: ibi Elienses tam equitibus quàm peditibus eruptione facta eos repulere, ac nonnullis interfectis trophæum erexere. Elis uero iampridem in diuersas distracta erat factiones: nam qui cum Charopo, Thrasonide ac Argio sentiebant, ciuitatem ad popularem trahebant statum: at qui Stalcæ, Hippiæ, & Stratolao adhærebant, ad pau 30 corum regimen illam ducere quærebant. Cum uero Arcades ui magna adessent, hi qui popularem inducere quærebant statum, ac Charopo fauebãt, propter illos animos extollere cœperunt, ac cum Arcadibus clàm composita re arcem occupant: qua re minimè equites ac trecenti perterriti, euestigio in arcem ascendunt, illosq; expellunt, ita ut cum Argio ac Charopo quadringenti circiter excidérint ciues. Haud longe inde hi secũ assumptis Arcadibus nõnullis Pylum occuparunt: ad quos 40 multi ex populo ab urbe confluxere, tanquam ad regionem fertilem, ob potentiãq; ingentem, Arcadum confidentes societati. Post hæc iterum Eliensium fines inuasere Arcades, ab exulibus persuasi, tanquam ciuitate ad illos defectura. Verũ cum Achæi Eliensium tum amici essent, urbem illorum tutati sunt, ita ut Arcades re infecta discedere coacti sint: regionem tamen uniuersam ferro ac igni uastarunt. Confestimq; relicto agro Eliensi, cum rescuissent Pellenenses in Elide agere, nocte lon 50 gißimum confecere iter, ac Olurum illis subditũ ceperunt. Iam enim rursus Pellenẽses Lacedæmoniorum sequebantur partes. Pellenẽses itaq; cum hac de re certiores facti essent, domũ ut potuere contendũt, indeq; Arcades qui Olurũ obtinebant uniuerso educto populo, etsi pauci eßẽt, oppugnabant, nec antea destitere, quàm Olurum subegissent. Arcades uero iterum contractis copijs Elim inuaserunt: cũq; inter Cyllenẽ ac urbẽ castra locaßẽt, ab Elijs inuasi sunt: quibus uiriliter resistẽtes, illos uice-

λασιῶνα, τὸ μὲν παλαιὸν, ἑαυτῶν ὄντα. ἐν δὲ τῷ παρόντι, συντελοῦντα εἰς τὸ ἀρκαδικόν. οἱ μέντοι ἀρκάδες οὐ περιωλιγώρησαν, ἀλλ' εὐθὺς παραγγείλαντες ἐβοήθουν. ἀντεβοήθησαν δὲ καὶ οἱ τῶν ἠλείων τετρακόσιοι, καὶ ἔτι τριακόσιοι. ἀντιστρατοπεδευομένων δὲ τὴν ἡμέραν ἐπὶ πεδινοτέρῳ χωρίῳ τῶν ἠλείων, τῆς νυκτὸς οἱ ἀρκάδες ἀναβαίνουσιν ἐπὶ τὴν τοῦ ὑπὲρ τῶν ἠλείων ὄρους κορυφήν. ἅμα δὲ τῇ ἡμέρᾳ κατέβαινον ἐπὶ τοὺς ἠλείους. οἱ δὲ ἰδόντες, ἅμα μὲν ἐξ ὑπερδεξίου προσιόντας, ἅμα δὲ πολλαπλασίους ἐκ πολλοῦ μὲν ἀπελθεῖν, ᾐσχύνθησαν. ὁμόσε δ' ἦλθον, καὶ εἰς χεῖρας δεξάμενοι ἔφυγον. καὶ πολλοὺς μὲν ἄνδρας, πολλὰ δὲ ὅπλα ἀπώλεσαν, κατὰ δυσχωρίας ἀποχωροῦντες. οἱ δὲ ἀρκάδες διαπραξάμενοι ταῦτα, ἐπορεύοντο ἐπὶ τὰς τῶν ἀκρωρείων πόλεις. λαβόντες δὲ ταύτας πλὴν θραύστου, ἀφικνοῦνται εἰς ὀλυμπίαν. καὶ περισταυρώσαντες τὸ κρόνειον, ἐνταῦθα ἐφρούρουν, καὶ ἐκράτουν τοῦ ὀλυμπιακοῦ ὄρους. ἔλαβον δὲ καὶ μαργανέας, ἐνδόντων τινῶν. οὕτω δὲ τούτων προκεχωρηκότων, οἱ μὲν ἠλεῖοι αὖ παντάπασιν ἠθύμησαν. οἱ δὲ ἀρκάδες ἔρχοντες ἐπὶ τὴν πόλιν. καὶ μέχρι μὲν τῆς ἀγορᾶς ἦλθον. ἐκεῖ μέντοι ὑποστάντες οἵ τε ἱππεῖς, καὶ ἄλλοι τινὲς αὐτῶν, ἐκβάλλουσί τε αὐτοὺς, καὶ ἀπέκτειναν τινὰς, καὶ τρόπαιον ἐστήσαντο. ἦν μὲν οὖν καὶ πρότερον διαφορὰ ἐν τῇ ἤλιδι. οἱ μὲν περὶ χάροπόν τε, καὶ θρασωνίδαν, καὶ ἀργεῖον, εἰς δημοκρατίαν ἦγον τὴν πόλιν· οἱ δὲ περὶ στάλκαν τε καὶ ἱππίαν, καὶ στρατόλαν, εἰς ὀλιγαρχίαν. ἐπεὶ δ' οἱ ἀρκάδες μεγάλην δύναμιν ἔχοντες, σύμμαχοι ἐδόκουν εἶναι τοῖς δημοκρατεῖσθαι βουλομένοις, ἐκ τούτου δὴ θρασύτεροι οἱ περὶ τὸν χάροπον ἦσαν. καὶ συνθέμενοι τοῖς ἀρκάσιν ἐπιβοηθεῖν, καταλαμβάνουσι τὴν ἀκρόπολιν. οἱ δ' ἱππεῖς, καὶ οἱ τριακόσιοι οὐκ ἐμέλλησαν, ἀλλ' εὐθὺς ἐχώρουν ἄνω, καὶ ἐκκρούουσιν αὐτούς. ὥστ' ἔφυγον σὺν τῷ ἀργείῳ καὶ χαρόπῳ, τῶν πολιτῶν περὶ τετρακοσίους. οὐ πολὺ δ' ὕστερον οὗτοι παραλαβόντες τῶν ἀρκάδων τινὰς, καταλαμβάνουσι πύλον. καὶ πολλοὶ μέντοι πρὸς αὐτοὺς ἐκ τῆς πόλεως ἀπῄεσαν τοῦ δήμου, ἅτε χωρίον τε καλὸν, καὶ μεγάλην ῥώμην τὴν τῶν ἀρκάδων σύμμαχον ἔχοντες. ἐνέβαλον δὲ ὕστερον καὶ εἰς τὴν χώραν τὴν τῶν ἠλείων οἱ ἀρκάδες, οἱ ὑπὸ τῶν φευγόντων ἀναπειθόμενοι, ὡς ἡ πόλις προσχωρήσοιτο. ἀλλὰ τότε μὲν οἱ ἀχαιοὶ φίλοι τοῖς ἠλείοις γενόμενοι, τὴν πόλιν αὐτῶν διεφύλαξαν. ὥστε οἱ ἀρκάδες οὐδὲν ἄλλο πράξαντες, ἢ δῃώσαντες αὐτῶν τὴν χώραν, ἀπῆλθον. εὐθὺς μέντοι ἐκ τῆς ἠλείας ἐξελθόντες, αἰσθόμενοι τοὺς πελληνεῖς ἐν ἤλιδι ὄντας, νυκτὸς μακροτάτην ὁδὸν ἐλθόντες καταλαμβάνουσιν αὐτῶν ὄλουρον. ἤδη γὰρ πάλιν προσκεχωρήκεσαν οἱ πελληνεῖς τὴν τῶν λακεδαιμονίων συμμαχίαν. ἐπεὶ δ' ᾔσθοντο τὰ περὶ ὀλούρου, περιελθόντες αὖ καὶ οὗτοι ὅποι ἐδύναντο εἰς τὴν αὐτῶν πόλιν πελλήνην εἰσῆλθον. καὶ ἐκ τούτου δὴ ἐπολέμουν τοῖς ἐν ὀλούρῳ ἀρκάσι τε καὶ τῷ ἑαυτῶν παντὶ δήμῳ, καὶ μάλα ὀλίγοι ὄντες. ὅμως δὲ οὐδὲ πρόσθεν ἐπαύσαντο, πρὶν ἐξεπολιόρκησαν τὸν ὄλουρον. οἱ δ' αὖ ἀρκάδες πάλιν ποιοῦνται ἄλλην στρατείαν εἰς τὴν ἦλιν. μεταξὺ δὲ κυλλήνης τε καὶ τῆς πόλεως, στρατοπεδευομένοις αὐτοῖς, ἐπιτίθενται οἱ ἠλεῖοι. ὑποστάντες δὲ οἱ ἀρκάδες,

ἐνίκη-

ἐνίκησαν αὐτούς. καὶ Ἀνδρόμαχος μὲν ὁ Ἠλεῖος ὕπαρχος, ὅσπερ αἴτιος ἐδόκει εἶναι συνάψαι τὴν μάχην, αὐτὸς αὑτὸν διέφθειρεν. οἱ δ' ἄλλοι εἰς τὴν πόλιν ἀπεχώρησαν. ἀπέθανε δὲ ἐν ταύτῃ τῇ μάχῃ παραγενόμενος καὶ Σωκλείδας ὁ Σπαρτιάτης. ἤδη γὰρ τότε οἱ Λακεδαιμόνιοι τοῖς Ἠλείοις σύμμαχοι ἦσαν. πιεζόμενοι δὲ οἱ Ἠλεῖοι ἐν τῇ ἑαυτῶν, ἠξίουν καὶ τοὺς Λακεδαιμονίους πέμποντες πρέσβεις ἐπιστρατεύειν τοῖς Ἀρκάσι, νομίζοντες οὕτως ἂν μάλιστα ἐκβαλεῖν τοὺς Ἀρκάδας, εἰ ἀμφοτέρωθεν πολεμοῖντο. καὶ ἐκ τούτου δὴ Ἀρχίδαμος στρατεύεται μετὰ τῶν πολιτῶν, καὶ καταλαμβάνει Κρῶμνον. καταλιπὼν δ' ἐν αὐτῷ φρουρὰν τῶν δώδεκα λόχων τρεῖς, οὕτως ἐπ' οἴκου ἀπεχώρησεν. οἱ μέντοι Ἀρκάδες ὥσπερ ἔτυχον ἐκ τῆς εἰς Ἦλιν στρατείας συνειλεγμένοι, βοηθήσαντες περιεσταύρωσαν τὸν Κρῶμνον διπλῷ σταυρώματι. καὶ ἐν ἀσφαλεῖ ὄντες, ἐπολιόρκουν τοὺς ἐν τῷ Κρώμνῳ. χαλεπῶς δὲ ἡ τῶν Λακεδαιμονίων πόλις φέρουσα ἐπὶ τῇ πολιορκίᾳ τῶν πολιτῶν, ἐκπέμπει στρατιάν. ἡγεῖτο δὲ καὶ τότε Ἀρχίδαμος. ἐλθὼν δὲ, ἐδῄου καὶ τῆς Ἀρκαδίας ὅσα ἐδύνατο, καὶ τῆς Σκιρίτιδος. καὶ πάντα ἐποίει, ὅπως εἰ δύναιτο ἀπαγάγοι τοὺς πολιορκοῦντας. οἱ δὲ Ἀρκάδες οὐδέν τι μᾶλλον ἐκινοῦντο, ἀλλὰ ταῦτα πάντα περιεώρων. κατιδὼν δέ τινα λόφον ὁ Ἀρχίδαμος, δι' οὗ τὸ ἔξω σταύρωμα περιεβέβληντο οἱ Ἀρκάδες, ἐνόμιζεν ἑλεῖν τοῦτο. καὶ εἰ τούτου κρατήσειεν, οὐκ ἂν δύνασθαι μένειν τοὺς ὑπὸ τοῦτο πολιορκοῦντας. κύκλῳ δὲ περιάγοντος αὐτοῦ ἐπὶ τοῦτο τὸ χωρίον, ὡς εἶδον οἱ προθέοντες πελτασταὶ τοῦ Ἀρχιδάμου τοὺς Ἐπαρίτους ἔξω τοῦ σταυρώματος, ἐπιτίθενται αὐτοῖς, καὶ ἱππεῖς συνεμβάλλειν ἐπειρῶντο. οἱ δ' οὐκ ἀνέκλιναν, ἀλλὰ καὶ ἐπῄεσαν ἤδη οὔσης πολλῆς κραυγῆς. ἐβοήθει δὲ καὶ αὐτὸς Ἀρχίδαμος ἐκτραπόμενος, κατὰ τὴν ἐπὶ Κρῶμνον φέρουσαν ἁμαξιτὸν εἰς δύο ἔχων, ὥσπερ ἐτύγχανεν ἄγων. ὡς δ' ἐπλησίασαν ἀλλήλοις, οἱ μὲν σὺν τῷ Ἀρχιδάμῳ κατὰ κέρας, ἅτε καθ' ὁδὸν πορευόμενοι, οἱ δ' Ἀρκάδες ἁθρόοι συνασπιδοῦντες. ἐν τούτῳ οὐκ ἐπεδύναντο οἱ Λακεδαιμόνιοι ἀντέχειν τῷ τῶν Ἀρκάδων πλήθει, ἀλλὰ ταχὺ μὲν ὁ Ἀρχίδαμος ἐτέτρωτο τὸν μηρὸν διαμπάξ, ταχὺ δὲ οἱ μαχόμενοι πρὸ αὐτοῦ ἀπέθνησκον, Πολυαινίδας τε καὶ Χίλων, ὁ τὴν ἀδελφὴν τὴν Ἀρχιδάμου ἔχων. καὶ οἱ πάντες δὲ αὐτῶν τότε ἀπέθανον, οὐκ ἐλάττους τῶν τριάκοντα. ὡς δὲ κατὰ τὴν ὁδὸν ἀναχωροῦντες, εἰς τὴν εὐρυχωρίαν ἐξῆλθον, ἐνταῦθα δὴ οἱ Λακεδαιμόνιοι ἀντιπαρετάξαντο. καὶ μὴν οἱ Ἀρκάδες ὥσπερ εἶχον, συντεταγμένοι ἔστησαν, καὶ πλήθει μὲν ἐλείποντο, εὐθυμότερον δὲ πολὺ εἶχον. ἐπεληλυθότες δὲ, ἀποχωροῦσι, καὶ ἄνδρας ἀπεκτονότες. οἱ δὲ Λακεδαιμόνιοι μάλα ἀθύμως εἶχον, τετρωμένον μὲν ὁρῶντες τὸν Ἀρχίδαμον, ἀκηκοότες δὲ τὰ ὀνόματα τῶν τεθνηκότων ἀνδρῶν τε ἀγαθῶν, καὶ σχεδὸν τῶν ἐπιφανεστάτων. ὡς δὲ πλησίον ὄντων, ἀναβοήσας τις τῶν πρεσβυτέρων, εἶπε, τί δεῖ ἡμᾶς, ὦ ἄνδρες, μάχεσθαι, ἀλλ' οὐ σπεισαμένους διαλυθῆναι; ἄσμενοι δὴ ἀκούσαντες, ἐσπείσαντο. καὶ οἱ μὲν Λακεδαιμόνιοι τοὺς νεκροὺς ἀνελόμενοι, ἀπῆλθον. οἱ δ' Ἀρκάδες ἐπαναχωρήσαντες, ἔνθα τὸ πρῶτον ἤρξαντο ἐπιέναι, τρόπαιον ἔστησαν. ὡς δ' οἱ Ἀρκάδες περὶ τὸν Κρῶμνον ἦσαν, οἱ ἐκ τῆς πόλεως Ἠλεῖοι πρῶτον μὲν

uicerunt. Eo certamine Andromachus Eliensium præfectus, quiq; huius belli causa ferebatur, sibi mortem consciuit: reliqui uerò in urbem refugerunt. Occubuit quoque pugna ea Soclides Spartanus, tum enim Lacedæmonij Eliensibus socij erant. Cumq; Elij in proprijs uehementer urgerentur finibus, missis Lacedæmonem legatis rogarunt, ut illi Arcadibus bellum inferrent: arbitrabantur enim maxime hoc pacto Arcades repellere posse, si utrinq; lacesserentur. Archidamus itaque urbanis eductis copijs, Cromnum cepit, ac ex cohortib. duodecim, tres ibi præsidio reliquit, reliquas domum reduxit. At Arcades cum ex Eliensi expeditione adhuc collecti essent, cõfestim in auxilium aduolarunt, Cromnumq; duplici circundederunt uallo, ac secure agentes, intra urbem constitutos obsederunt. Lacedæmonij uerò cũ ægre obsidionem eam ferrent, quippe ciuium suorũ, denuò eduxerunt copias, quarum dux erat tum quoque Archidamus: qui profectus igni ac ferro quascunq; poterat Arcadiæ ac Sciritidis oras uastabat, neq; intermittebat quicquam, quo si quidem liceret in se Arcadas prouocaret. At illi cum nihilo mouerentur magis, omnemq; illius conatum spernerent, obseruato quodam tumulo Archidamus, quo uallum exterius cinxerant Arcades, occupare eum instituit, ut quo superato durare amplius in obsidione hostes non possent. Ducto igitur circum eum locum exercitu, ut uiderunt qui præcurrerant Archidami sagittarij Arcadum custodes, quos Eparitos uocant, extra uallum, facto in eos impetu, unà inuadere etiã equites ausi sunt. Qui cum non modo non inclinarent aciem, sed magis etiam urgerẽt, magnus undiq; coortus est clamor. Quo audito Archidamus Cromnum tendente uia regia conuersus, instructo ut erat utrinq; agmine suppetias tulit. Postquam uero congressi sunt propius, Lacedæmonij quidem composito cornu, secundum uiam nempe incedentes, Arcades autem facta scutis testudine stipati, nihil ibi quidem illi resistere horũ multitudini potuere, sed confestim & Archidamus uulnerato utrinq; fœmore concidit, & qui pro eo certabant Polyænidas & Chilon, cui Archidami soror nupta erat, ac pleriq; alij non pauciores triginta occubuere. At uero ubi eadem uia regressi in campi sese spacia cõtulissent Lacedæmonij, cõposita denuò acie hostem operiebantur. Verùm illi copijs ita ut erant instructis constitere: & quanquam numero quidem inferiores essent, longe tamen alacritate præstabant. Lacedæmonij uero animo erant penitus deiecto, & quod uulneratũ cernerent Archidamũ, & quod cæsorum nomina audirent, fortissimorum quidem uirorum maximeq; illustrium. Iamq; conferente manum utroq; exercitu, cum de senioribus quidã exclamasset, Quænam uiri nobis causa est, ita mutuis perire cædibus, quàm pactis utrinq; inducijs cõcedere mallet? uoce ea summo cum gaudio excepta, ac inito protinus fœdere. Spartani quidem sublatis cadaueribus discessere: Arcades autem cò unde primũ eruperant reuersi, trophæum statuerunt. Cumq; iam non longe Cromno abessent, Elij urbe egressi, ac primò

quidem Pylum profecti, militibus illic uixdum thalamo aufsis incidunt: quos minime neglectos facta statim irruptione aggreßi Eliorum equites, plerosque obtruncant, reliqui in tumulum se quendam recipiunt: quos non ita multo post inde depulsos, qui superuenerant pedites partim quidem cædunt, partim uiuos capiunt, circiter c c. quorum ex numero peregrinis quidem diuenditis, reliquos quotquot superant transfugas trucidarunt. Inde uerò & Pylios, cum nemo opē ferret amplius, cum toto simul agro depopulantur, & Marganeas recipiunt. Demum Lacedæmonij nocte quidem Cromnum reuersi, ualloq; potiti, Argiuos, & ex suis quotquot obsidebantur, protinus euocarunt: atq; horum quicunq; in proximo erant, quiq; arrepti celeriter consequebantur, effugerunt: reliqui ab Arcadibus nō parum multis occupati, quanquam mutuam sibi opem sedulo præstantes, intra mœnia occlusi sunt, moxq; comprehensos æquali inter se partitione Argiui, Thebani, Arcades, Messenij distribuerunt. Spartani ac finitimi tum quidem capti plures centum fuere. Porro Arcades relicta Cromni obsidione, rursum circa Elios occupabantur, Olympiamq; maioris aliquanto roboris præsidio muniebant. Iamq; anno instante olympiaco, ad celebranda Olympia sese una cū Pissatis ijsq; primis accinxere, ut quos ei præesse sacro ferunt. Cum igitur mensis iam adesset ac dies, quibus & sacris ijs operari, & solenniter undiq; conuenire solebant, Elij quidem palàm collectis copijs, aduocatisq; Acheis, per olympiacam sese uiam egere: quos cum Arcades minime pergere ad se arbitrarentur, & quia cum Pissatis ipsi sacrorum solennitatem adornarant, equestre quidem cæteraq; quinquertij, & curulia maxime certamina iam absoluissent, hi qui ad palæstram accesserant non solitis iam spacijs, uerum inter metam atq; aram luctæ se committebant: siquidem Elij ad delubrum iam cum armis aderant. Neq; uerò Arcades occurrere illis longius, sed ad Cladaum amnem, qui Altin præterfluens in Alpheum delabitur, in aciem sese compo nere. Neque deerant ipsis etiam socij, grauis armaturæ milites, ex Argiuis quidem duo millia, Atheniensium autem quadringenti. Cæterum Elij ab altera fluuij parte ordines instruebant, peractisq; illico sacris loco mouebantur. Et quanquam hactenus quidem ad res bellicas ab Arcadibus, Argiuisq;, necnon Acheis & Athenensibus, tanquam indonei existimati, contemptiq; fuissent, eo tamen die ita se gessere, ut sociorum omnium fortißimi ducerentur: nam & Arcadas primo statum conflictu in fugam uerterunt, & Arguis suppetias illis ferre conantibus occurrentes, superiores ipsis quoq; euasere: eosq; insecuti in eum usque locum qui inter forum ac Vestæ templum eodemq; pertinens theatrum est, nihilo quidem pugnabant minus, & ad aram usque propulsabant. Verùm & à porticibus ac foro, magnaq; æde in æquum tandem campum egreßi, manus conserebant, adeo ut Eliorum etiam non pauci occumberent, & inter hos dux ipse, qui trecentis præfuerat, Stratolas. Quibus ita gestis, ad ca/

μὲν ἰόντες ἐπὶ τὴν πύλον, ἐπιτυγχάνουσι τοῖς πυλίοις ἀποκεκρουμένοις ἀπὸ τῶν θαλαμῶν. καὶ προσελαύνοντες οἱ ἱππεῖς τῶν ἠλείων, ὡς εἶδον αὐτούς, οὐκ ἐμέλλησαν, ἀλλ' εὐθὺς ἐμβάλλουσι. καὶ τοὺς μὲν ἀποκτιννύασιν· οἱ δέ τινες αὐτῶν καταφεύγουσιν ἐπὶ γήλοφον. ἐπεὶ μέντοι ἦλθον οἱ πεζοί, ἐκκόπτουσι καὶ τοὺς ἐπὶ τῷ γηλόφῳ, καὶ τοὺς μὲν αὐτῶν ἀπέκτειναν· τοὺς δὲ καὶ ζῶντας ἔλαβον, ἐγγὺς διακοσίων. καὶ ὅσοι μὲν ξένοι ἦσαν αὐτῶν, ἀπέδοντο· ὅσοι δὲ φυγάδες, ἀπέσφαξαν. μετὰ δὲ ταῦτα τούς τε πυλίους ὡς οὐδεὶς αὐτοῖς ἐβοήθει, σὺν αὐτῷ τῷ χωρίῳ αἱροῦσι, καὶ τοὺς μαργανέας ἀναλαμβάνουσι. καὶ μὴν οἱ λακεδαιμόνιοι ὕστερον αὖ ἐλθόντες νυκτὸς ἐπὶ τὸν κρῶμνον, ἐπικρατοῦσι τοῦ σταυρώματος. καὶ τούς τε ἀργείους, καὶ τοὺς πολιορκουμένους τῶν λακεδαιμονίων, εὐθὺς ἐξεκάλουν. ὅσοι μὲν οὖν ἐγγύτατά τε ἐτύγχανον ὄντες, καὶ ἐφυλάξαντο, ἐξῆλθον. ὁπόσους δὲ ἔφθασαν πολλοὶ τῶν ἀρκάδων, συμβοηθήσαντες ἀπεκλείσθησαν ἔνδον, καὶ ληφθέντες, διενεμήθησαν. καὶ ἓν μέρος ἔλαβον ἀργεῖοι, ἓν δὲ θηβαῖοι, ἓν δὲ ἀρκάδες, ἓν δὲ μεσσήνιοι. οἱ δὲ σύμπαντες ληφθέντες σπαρτιᾶταί τε, καὶ περίοικοι, πλείονες τῶν ἑκατὸν ἐγένοντο. ἐπεί γε μὴν οἱ ἀρκάδες ἐσχόλασαν ἀπὸ τοῦ κρώμνου, πάλιν δὴ περὶ τοὺς ἠλείους εἶχον, καὶ τήν τε ὀλυμπίαν ἐρρωμενέστερον ἐφρούρουν. καὶ ἐπιόντος ὀλυμπιακοῦ ἔτους, παρεσκευάζοντο ποιεῖν τὰ ὀλύμπια σὺν τοῖς πισάταις τοῖς πρώτοις, φάσκουσι προστῆναι τοῦ ἱεροῦ. ἐπεὶ δὲ ὅ, τε μὴν ἧκεν, ὧ τὰ ὀλύμπια γίγνεται, αἵ, τε ἡμέραι, ἐν αἷς ἡ πανήγυρις ἀθροίζεται, ἐνταῦθα δὲ οἱ ἠλεῖοι ἐκ τοῦ φανεροῦ συσκευασάμενοι, καὶ παρακαλέσαντες τοὺς ἀχαιούς, ἐπορεύοντο τὴν ὀλυμπιακὴν ὁδόν. οἱ δὲ ἀρκάδες ἐκείνους μὲν οὐκ ἄν ποτε ᾤοντο ἐλθεῖν ἐπὶ σφᾶς. αὐτοὶ δὲ σὺν πισάταις διετίθεσαν τὴν πανήγυριν. καὶ τὴν μὲν ἱπποδρομίαν, ἤδη ἐπεποιήκεσαν, καὶ τὰ δρομικὰ τοῦ πεντάθλου. οἱ δ' εἰς πάλην ἀφικόμενοι οὐκ ἔτι ἐν δρόμῳ, ἀλλὰ μεταξὺ τοῦ δρόμου καὶ τοῦ βωμοῦ, ἐπάλαιον. οἱ γὰρ ἠλεῖοι παρῆσαν ἤδη σὺν τοῖς ὅπλοις εἰς τὸ τέμενος. οἱ δὲ ἀρκάδες πορρωτέρω μὲν οὐκ ἀπήντησαν, ἐπὶ δὲ τοῦ κλαδάου ποταμοῦ παρετάξαντο, ὃς παρὰ τὴν ἄλτιν καταρρέων, εἰς τὸν ἀλφειὸν ἐμβάλλει. καὶ σύμμαχοι δὲ ἦσαν αὐτοῖς ὁπλῖται μὲν ἀργείων, εἰς δισχιλίους· ἀθηναίων δὲ περὶ τετρακοσίους. καὶ μὴν οἱ ἠλεῖοι τἀπὶ θάτερα τοῦ ποταμοῦ παρετάξαντο. σφαγιασάμενοι δέ, εὐθὺς ἐχώρουν. καὶ τὸν πρόσθεν χρόνον εἰς τὰ πολεμικὰ καταφρονούμενοι μὲν ὑπ' ἀρκάδων καὶ ἀργείων, καταφρονούμενοι δὲ ὑπὸ ἀχαιῶν καὶ ἀθηναίων, ὅμως ἐκείνῃ τῇ ἡμέρᾳ, τῶν μὲν συμμάχων, ὡς ἀλκιμώτατοι ὄντες, ἡγοῦντο τοὺς δ' ἀρκάδας, τούτοις γὰρ πρώτοις συνέβαλον, καὶ εὐθὺς ἐτρέψαντο. καὶ ἐπιβοηθήσαντας δὲ τοὺς ἀργείους δεξάμενοι, καὶ τούτων ἐκράτησαν. ἐπεὶ μέντοι κατεδίωξαν εἰς τὸ μεταξὺ τοῦ βουλευτηρίου, καὶ τοῦ τῆς ἑστίας ἱεροῦ, καὶ τοῦ πρὸς ταῦτα προσήκοντος θεάτρου, ἐμάχοντο μὲν οὐδὲν ἧττον, καὶ ἐώθουν πρὸς τὸν βωμόν. ἀπὸ μέντοι τῶν στοῶν τε, καὶ τοῦ βουλευτηρίου, καὶ τοῦ μεγάλου ναοῦ βαλλόμενοι, καὶ ἐν τῷ ἰσοπέδῳ μαχόμενοι, ἀποθνήσκουσιν ἄλλοι τε τῶν ἠλείων, καὶ αὐτὸς ὁ τῶν τριακοσίων ἄρχων στρατόλας. τούτων δὲ πραχθέντων, ἀπεχώρησαν

εἰς τὸ

εἰς τὸ αὑτῶν στρατόπεδον. οἱ μέντοι ἀρκάδες καὶ οἱ μετ' αὐτῶν οὕτως ἐπεφόβηντο τὴν ὑστέραν ἡμέραν, ὥστε οὐδὲ ἀνεπαύσαντο τῆς νυκτὸς, ἐκκόπτοντες τὰ διαπεπονημένα σκηνώματα, καὶ ἀποσταυροῦντες. οἱ δ' αὖ ἠλεῖοι, ἐπεὶ τῇ ὑστεραίᾳ προσιόντες, εἶδον καρτερόν τε τὸ τεῖχος, καὶ ἐκεῖ τῶν ναῶν πολλοὺς ἀναβεβηκότας, ἀπῆλθον εἰς τὸ ἄστυ, τοιοῦτοι γενόμενοι, οἵους τὴν ἀρετὴν θεὸς μὲν ἐμπνεύσας, δύναιτο καὶ ἐν ἡμέρᾳ ἀποδεῖξαι. ἄνθρωποι δὲ οὐδ' ἂν ἐν πολλῷ χρόνῳ τοὺς μὴ ὄντας ἀλκίμους ποιήσειαν. χρωμένων δὲ τοῖς ἱεροῖς χρήμασι τῶν ἐν τοῖς ἀρκάσιν ἀρχόντων, καὶ ἀπὸ τούτων τοὺς ἐπαρίτους τρεφόντων, πρῶτοι μαντινεῖς ἐπεψηφίσαντο, τοῖς ἱεροῖς χρήμασι μὴ χρῆσθαι. καὶ αὐτοὶ τὸ γιγνόμενον μέρος εἰς τοὺς ἐπαρίτους ἐκ τῆς πόλεως ἐκπορισάντες, ἀπέπεμψαν τοῖς ἄρχουσιν. οἱ δὲ ἄρχοντες φάσκοντες αὐτοὺς λυμαίνεσθαι τὸ ἀρκαδικόν, ἀνεκαλοῦντο εἰς τοὺς μυρίους τοὺς προστάτας αὐτῶν. καὶ ἐπεὶ οὐχ ὑπήκουον, κατεδίκασαν αὐτῶν, καὶ τοὺς ἐπαρίτους ἔπεμπον ὡς ἄξοντας τοὺς κατακεκριμένους. οἱ μέντοι μαντινεῖς κλείσαντες τὰς πύλας, οὐκ ἐδέχοντο αὐτοὺς εἴσω. ἐκ δὲ τούτου, τάχα δὴ καὶ ἄλλοι τινὲς ἔλεγον ἐν τοῖς μυρίοις· ὡς οὐ χρὴ τοῖς ἱεροῖς χρήμασι χρῆσθαι, οὐδὲ καταλιπεῖν εἰς τὸν ἀεὶ χρόνον τοῖς παισὶν ἔγκλημα τοῦτο εἰς τοὺς θεούς. ὡς δὲ καὶ ἐν τῷ κοινῷ ἀπέδοξε μηκέτι χρῆσθαι τοῖς ἱεροῖς χρήμασι. ταχὺ δὴ οἱ μὲν οὐκ ἂν δυνάμενοι ἄνευ μισθοῦ τῶν ἐπαρίτων εἶναι, διεχέοντο· οἱ δὲ δυνάμενοι, παρακελευσάμενοι αὐτοῖς, καθίσταντο εἰς τοὺς ἐπαρίτους, ὅπως μὴ αὐτοὶ ἐπ' ἐκείνοις, ἀλλ' ἐκεῖνοι ἐπὶ σφίσιν εἶεν. γνόντες δὲ οἱ τῶν ἀρχόντων διακεχειρικότες τὰ ἱερὰ χρήματα, ὅτι εἰ δώσοιεν εὐθύνας, κινδυνεύσοιεν ἀπολέσθαι, πέμπουσιν εἰς θήβας, καὶ διδάσκουσι τοὺς θηβαίους, ὡς εἰ μὴ στρατεύσοιεν, κινδυνεύσοιεν οἱ ἀρκάδες πάλιν λακωνίσαι. καὶ οἱ μὲν παρεσκευάζοντο, ὡς στρα[illegible] τῇ κρατίστῃ τῇ πελοποννήσῳ βουλευόμενοι, ἔπεισαν τὸ κοινὸν τῶν ἀρκάδων [illegible] πρέσβεις, εἰπεῖν τοῖς θηβαίοις μὴ ἰέναι σὺν ὅπλοις εἰς τὴν ἀρκαδίαν, εἰ μή τι καλοῖεν. καὶ ἅμα μὲν ταῦτα πρὸς τοὺς θηβαίους ἔλεγον, ἅμα δὲ ἐλογίζοντο ὅτι πολέμου οὐδὲν δέοιντο. τοῦ τε γὰρ ἱεροῦ τοῦ διὸς προεστάναι, οὐδὲν προσδεῖσθαι ἐνόμιζον. ἀλλ' ἀποδιδόντες ἂν καὶ δικαιότερα, καὶ ὁσιώτερα ποιεῖν, καὶ τῷ θεῷ οἴεσθαι μᾶλλον ἂν οὕτω χαρίζεσθαι. βουλομένων δὲ ταῦτα καὶ τῶν ἠλείων, ἔδοξεν ἀμφοτέροις εἰρήνην ποιήσασθαι, καὶ ἐγένοντο σπονδαί. γενομένων δὲ τῶν ὅρκων, καὶ ὀμοσάντων τῶν τε ἄλλων ἁπάντων, καὶ τῶν τεγεατῶν, καὶ αὐτοῦ τοῦ θηβαίου, ὃς ἐτύγχανεν ἐν τῇ τεγέᾳ, ἔχων ὁπλίτας τριακοσίους τῶν βοιωτῶν, οἱ μὲν ἄλλοι ἀρκάδες ἐν τῇ τεγέᾳ αὐτοῦ καταμένοντες, ἐδειπνοποιοῦντό τε, καὶ εὐθυμοῦντο, καὶ σπονδὰς, καὶ παιᾶνας, ὡς εἰρήνης γεγενημένης, ἐποιοῦντο. ὁ δὲ θηβαῖος, καὶ τῶν ἀρχόντων οἱ φοβούμενοι τὰς εὐθύνας, σύν τε τοῖς βοιωτοῖς καὶ τοῖς ὁμογνώμοσι τῶν ἐπαρίτων, κλείσαντες τὰς πύλας τοῦ τῶν τεγεατῶν τείχους, πέμποντες ἐπὶ τοὺς συσκηνοῦντας, συνελάμβανον τοὺς βελτίστους, ἅτε δὴ ἐκ πασῶν τῶν πόλεων παρόντων τῶν ἀρκάδων, καὶ πάντων εἰρήνην βουλομένων ἔχειν, πολλοὺς ἔδει τοὺς συλλαμβανομένους εἶναι, ὥστε ταχὺ μὲν αὐτοῖς τὸ δεσμωτήριον μεστὸν ἦν, ταχὺ δὲ ἡ δημοσία οἰκία. ὡς δὲ πολλοὶ οἱ

ἀργμί.

ad castra sua reuersi sunt. Arcades porrò, quiq; ipsi aderant, postera die tanta laborarunt formidine, ut nocturno etiam tempore certatim quæ magno labore fixerant tentoria uallumq; demolientes, neutiquam interquiescerent. Cumq; Elij postridie accedentes, munitiora iam etiam mœnia uiderent, & instructiorem quæ recens ascenderat classem, in urbem redire tanta animi fiducia prædiui, ut quod uix longo tempore hominibus possibile sit, raram quandam uirtutem ac fortitudinem ignauis antea inspirasse intra diei spacium præsens aliquod numen uideretur. Iam uero cum sacris pecunijs uterentur Arcadum principes, atq; hinc Eparitos suos nutrirent, primi decreto statuerunt Mantinei, neutiquam uti ijs debere: ratamq; ipsi partem illis ex urbe suppeditantes, à principibus auerterunt. Quibus Arcadicum eos nomen afficere ignominia dictitantibus, ad Myrios, quibus præfectis utebantur, prouocarunt: cumq; illi non parerent, contra eos tulere sententiam, miseruntq; Eparitos, ceu eos qui essent damnati adducturos. Igitur Mantinei clausis portis, non receperunt eos intro. Haud uero ita multo post alij quoque ex Myrijs abstinendum esse sacris facultatibus dicebant, neque culpam illam in deos per omnem ita ætatem posteris relinquendam: itaque publico etiam decreto sacrarū deinceps pecuniarum usu interdictum est: quo facto protinus quicunq; ex Eparitis carere stipendio nequibant, diffundebantur: qui uerò poterant, ipsis hortantibus in Eparitorum ordinem sunt restituti, ita ut ne ipsi contra illos, sed cum ipsis illi essent. Cum uero intelligerent, qui ex principibus sacrarum opum administrationi præfuerant, si ab ipsis reddenda esset ratio, fore ut de salute periclitarentur, misso Thebas nuncio suadent, nisi expeditionem suscipiant, Arcadum rursus ad Spartanos defectionis imminere periculum. Delectu itaque habito, hi ad expeditionem sese pararunt: illi autem quæ maxime Peloponneso conducerent deliberantes, commune Arcadum persuasere, ut [illegible] Thebanos, nisi quid forte postularent, armis Arcadiam [illegible]dere dehortarentur: & simul quidem hæc Thebanis dicebant, [illegible] bello nihil esse opus arbitrabantur. Neque uero præesse Iouis templo ita multum referre putabant, quin diligentius tuendo iura, pietatemq; colendo, uel maxime gratificari deo posse existimarent. Eadem uero censentibus etiam Elijs, pacem facere utrisque uisum est, atque ita fœdus iniere. Cumq; iuramento sese iam obligassent mutuo cæteri omnes ac Tegeatæ, ipseq; Thebanorum dux, qui intra Tegeam Bœotis grauis armaturæ militibus trecentis instructus agebat, alij quidem Acarnanes eodem loci remanentes, conuiuijs ac hilaritati uacabant, fœderáque & pæanas quasi firmata iam pace decantabant. Thebani uero & qui ex principibus repetundarum actionem horrebant, unà cum Bœotis atque eiusdem sententiæ Eparitis, clausis ijs quæ Tegeatarum muri erant portis, ad eosq; mittentes qui illis adhærebant, optimos quosque corripiunt: quippe cum ex omnibus undique urbibus adessent Arcades, omnesq; pacem cuperent, complures etiam qui caperentur esse oportebat, adeò ut ilicò & carcer & publica urbis domus illis compleretur. Cúmque non pauci iam

custodia

custodiæ essent traditi, multi etiam per murũ euasissent, quidā uerò per portas dimitterentur (siquidē nemo cuiquā uehemētius indignabatur, quisquis non perdendos esse prorsus putaret) id uel in primis dubium animi consiliiq; inopem Thebanum, cæterosq; unà cum ipso istuc agitantes reddidit, quod Mantineorũ quos uel maxime cōprehensos cupiuerant, paucos tantum quosdam tenerent. Quia.n. non longe urbs eorum aberat, domum ferme omnes aufugerant. Orto itaq; die, cũ quæ essent gesta Mantinei audirent, missis cōfestim in reliquas Arcadiæ ciuitates legatis, ut arma corriperēt, urbesq; præsidijs firmarēt præmonuere: quibus facile ac statim obtemperatũ est. Simulq; Tegeā missi sunt, qui & quotquot illic Mantinei tenerētur, reposcerent, & cæterorũ Arcadum neminē uel tenere uinculis, uel indicta causa necare æquũ esse affirmarēt. Neq; deerant qui criminarētur etiā palamq; renunciantes dicerent, Mantineorũ ciuitatem etiam stipulatā, ut ad commune Arcadum exhiberentur, quotquot postulasset aliquis. Quib. auditis Thebanus ambigebat, quonā pacto ea in re se gereret, tandemq; omnes dimisit: cōuocatisq; postero die quotquot haud inuiti cōueniebant Arcadibus, factum excusare, erroreq; se deceptum fateri. Audiuisse enim, inquit, Lacedæmonios cum armis fines iam ingressos, Tegeamq; illis per Arcadas quosdam iri proditũ: quæ tametsi qui audiebant de se falso cōficta omnia agnoscerent, abire tamen, legatisq; Thebas missis, illum ut capitali omnino supplicio plectendũ accusarunt. Cæterũ Epaminondā, qui tum exercitui quoq; præerat, dixisse ferũt, multo quidem fecisse Thebanos rectius cum cepere illos, q̃ cum dimiserunt. Etenim quod nobis, ait, propter uos ad bellum iam instructis, præter nostram sententiā uos interim pacem fecistis, quonā pacto proditionē etiam uestrûm aliquis nō iure appellitare possit? Scitote autē, inquit, nos quidem in Arcadiam exercitũ ducturos, atq; his qui nobis consentiunt bello neutiquā defuturos. Quæ quidem ubi ad cōmune Arcadum urbesq; relata sunt, sese deinceps respicere cœperunt Mantinei, A[illegible] alij quibus curæ erat Pelopon[illegible] [illegible] autem & Elij & [illegible] [illegible]quidò Thebani Peloponnesum esse quam infirmissimam cupere uiderentur, quo eam sibi minimo cum negocio subigerent. Quorsum enim, inquiunt, bellum suscipere nos uolunt? an ut mutua ipsi nos clade cōficiamus, & ab ipsorũ inde auxilio pēdeamus utriq;? aut quid, cum eorum ope nihil egere nos in præsentia dicamus, expeditionē ita moliuntur? an nō alere eos monstri aliquid, nobisq; procinctu illo machinari exitiũ abunde apparet? Miserũt autem Athenas etiā, succurri sibi flagitantes: quin & Lacedæmonios missis ex Eparitorum ordine legatis hortabantur, cōmunibus prohibere uirib. uellēt, si qui Peloponnesum subactum inuaderent: quippe de principatu illic transigebant, ut suæ quiq; reipub. imperitarēt. Interea uero dum hæc geruntur, exercitum Epaminondas educit Bœotis uniuersis & Eubœis complurimis Thessalis instructum, misso etiam ab Alexandro & aduersarijs eius auxilio. Phocenses autem quiescebant, suis fœderibus sese excusantes, quibus minime ad lacessendum alios, sed ferendum tãtummodo, si quis Thebas inuaderet, auxilium obstringi se dicebant. Cæterum Epaminondas in Peloponneso etiam superesse sibi

εἰργμένοι ἦσαν, πολλοὶ δὲ καὶ τοῦ τείχους ἐκπεπηδηκότων, ἦσαν δ' οἳ καὶ διὰ τῶν πυλῶν ἀφεῖντο, οὐδεὶς γὰρ οὐδενὶ ὠργίζετο, ὅστις μὴ ᾤετο ἀπολεῖσθαι. ἀπορῆσαι δὴ μάλιστα ἐποίησε τὸν Θηβαῖον, καὶ τοὺς μετ' αὐτοῦ ταῦτα πράττοντας, ὅτι Μαντινέας, οὓς μάλιστα ἐβούλετο λαβεῖν, ὀλίγους τινὰς πάνυ εἶχον. διὰ γὰρ τὸ ἐγγὺς τὴν πόλιν εἶναι, σχεδὸν πάντες ᾤχοντο οἴκαδε. ἐπεὶ δὲ ἡμέρα ἐγένετο, καὶ τὰ πεπραγμένα ἐπύθοντο οἱ Μαντινεῖς, εὐθὺς πέμποντες εἰς τὰς ἄλλας Ἀρκαδικὰς πόλεις, προηγόρευον ἐν τοῖς ὅπλοις εἶναι, καὶ φυλάττειν τὰς πόλεις. καὶ αὐτοὶ δὲ οὕτως ἐποίουν, καὶ ἅμα πέμψαντες εἰς τὴν Τεγέαν ἀπῄτουν ὅσους εἶχον ἄνδρας Μαντινεῖς. καὶ τῶν ἄλλων δὲ Ἀρκάδων οὐδένα ἀξιοῦντες οὔτε δεδέσθαι, οὔτε ἀποθνήσκειν πρὸ δίκης. καί τινων ἐπῃτιῶντο, καὶ ἔλεγον ἀπαγγέλλοντες, ὅτι ἡ τῶν Μαντινέων πόλις ἐγγυῷτο, ἦ μὴν παρέξειν εἰς τὸ κοινὸν τῶν Ἀρκάδων, ὁπόσους τις προσκαλοῖτο. ἀκούων οὖν ὁ Θηβαῖος, ἠπόρει τί ὅ,τι χρήσαιτο τῷ πράγματι, καὶ ἀφίησι πάντας τοὺς ἄνδρας. καὶ τῇ ὑστεραίᾳ συγκαλέσας τῶν Ἀρκάδων ὁπόσοι γε δὴ συνελθεῖν ἠθέλησαν, ἀπελογεῖτο ὡς ἐξαπατηθείη. ἀκοῦσαι γὰρ ἔφη, ὅτι Λακεδαιμόνιοί τε εἶεν σὺν τοῖς ὅπλοις ἐπὶ τοῖς ὁρίοις, προδιδόναι τε αὐτοῖς μέλλοιεν τὴν Τεγέαν τῶν Ἀρκάδων τινές. οἱ δὲ ἀκούσαντες, ἐκεῖνον μὲν, καίπερ γιγνώσκοντες ὅτι ἐψεύδετο περὶ σφῶν, ἀφίεσαν. πέμψαντες δ' εἰς Θήβας πρέσβεις, κατηγόρουν αὐτοῦ, ὡς δέον ἀποθανεῖν. τὸν δ' Ἐπαμεινώνδαν ἔφασαν, καὶ γὰρ στρατηγὸς τότε ἐτύγχανε, λέγειν, ὡς πολὺ ὀρθότερον ποιήσειεν ὅτε συνελάμβανε τοὺς ἄνδρας, ἢ ὅτε ἀφῆκε. τὸ γὰρ ἡμῶν διὰ ὑμᾶς εἰς πόλεμον καταστησάντων, ὑμᾶς ἄνευ τῆς ἡμετέρας γνώμης εἰρήνην ποιεῖσθαι, πῶς οὐκ ἂν δικαίως προδοσίαν τις ὑμῶν τοῦτο κατηγοροίη; εὖ δ' ἴστε, ἔφη, ὅτι ἡμεῖς καὶ στρατευσόμεθα εἰς τὴν Ἀρκαδίαν, καὶ σὺν [illegible] ταῦτα ἀπηγγέλθη πρός τε τὸ κοινὸν τῶν Ἀρκάδων, καὶ τὰς πόλεις, ἐκ τούτου ἀνελογίζοντο Μαντινεῖς τε καὶ τῶν ἄλλων Ἀρκάδων, οἱ κηδόμενοι τῆς Πελοποννήσου, ὡσαύτως δὲ καὶ Ἠλεῖοι, καὶ Ἀχαιοί, ὅτι Θηβαῖοι δῆλοι εἶεν, ὡς ἀσθενεστάτην βουλόμενοι τὴν Πελοπόννησον εἶναι, ὅπως ὡς ῥᾷστα αὐτὴν καταδουλώσαιντο. τί γὰρ δὴ πολεμεῖν ἡμᾶς βούλονται; ἢ ἵνα ἡμεῖς μὲν ἀλλήλους κακῶς ποιῶμεν, ἐκείνων δὲ ἀμφότεροι δεώμεθα; ἢ τί λεγόντων ἡμῶν ὅτι οὐ δεόμεθα αὐτῶν ἐν τῷ παρόντι, παρασκευάζονται ὡς ἐξιόντες, οὐ δῆλον ὡς ἐπὶ τὸ κακόν τι ἡμᾶς ἐργάζεσθαι στρατεύειν παρασκευάζονται; ἔπεμπον δὲ καὶ Ἀθήναζε βοηθεῖν κελεύοντες. ἐπέμψαν δὲ καὶ εἰς Λακεδαίμονα πρέσβεις ἀπὸ τῶν ἐπαρίτων, παρακαλοῦντες Λακεδαιμονίους, εἰ βούλοιντο κοινῇ διακωλύειν, ἄν τινες ἴωσι καταδουλωσόμενοι τὴν Πελοπόννησον. περὶ μέντοι ἡγεμονίας, αὐτόθεν διεπράττοντο, ὅπως ἐν τῇ ἑαυτῶν ἕκαστοι ἡγήσοιντο. ἐν ᾧ δὲ ταῦτ' ἐπράττετο, Ἐπαμεινώνδας ἐξῄει, Βοιωτοὺς ἔχων πάντας, καὶ Εὐβοέας, καὶ Θετταλῶν πολλούς, παρά τε Ἀλεξάνδρου, καὶ τῶν ἐναντίων αὐτῷ. Φωκεῖς μέντοι οὐκ ἠκολούθουν, λέγοντες ὅτι συνθῆκαί σφισιν αὐτοῖς εἶεν, εἴ τις ἐπὶ Θήβας ἴοι βοηθεῖν, ἐπ' ἄλλους δὲ στρατεύειν, οὐκ εἶναι ἐν ταῖς συνθήκαις. ὁ μέντοι Ἐπαμεινώνδας ἐλογίζετο καὶ ἐν Πελοποννήσῳ σφίσιν

σιν ὑπάρχειν ἀργείους τε καὶ μεσσηνίους, καὶ ἀρκάδων τοὺς τὰ σφέτερα φρονοῦντας. ἦσαν δ' οὗτοι τεγεᾶται, καὶ μεγαλοπολῖται, καὶ ἀσεᾶται, καὶ παλαντεῖς, καὶ εἴ τινες δὴ πόλεις διὰ τὸ μικραί τε εἶναι, καὶ ἐν μέσαις ταύταις οἰκεῖν ἠναγκάζοντο. ἐξῆλθε μὲν δὴ ὁ ἐπαμεινώνδας διὰ ταχέων. ἐπεὶ δὲ ἐγένετο ἐν νεμέᾳ, ἐνταῦθα διέτριβε, νομίζων τοὺς ἀθηναίους παριόντας λήψεσθαι, καὶ οἰόμενος μέγα ἂν τοῦτο γενέσθαι, τοῖς μὲν σφετέροις συμμάχοις, εἰς τὸ ἐπιρρῶσαι αὐτούς. τοῖς δ' ἐναντίοις, εἰς τὸ ἀθυμίαν ἐμπεσεῖν. ὡς δὲ συνελόντι εἰπεῖν, πᾶν ἀγαθὸν εἶναι θηβαίοις, ὅτι ἐλαττοῖντο ἀθηναῖοι. ἐν δὲ τῇ διατριβῇ αὐτοῦ ταύτῃ συνῄεσαν πάντες οἱ ὁμοφρονοῦντες εἰς τὴν μαντίνειαν. ἐπεὶ μέντοι ὁ ἐπαμεινώνδας ἤκουσε τοὺς ἀθηναίους τὸ μὲν κατὰ γῆν πορεύεσθαι ἀπεγνωκέναι, κατὰ θάλατταν δὲ παρασκευάζεσθαι, ὡς διὰ λακεδαίμονος βοηθήσοντας τοῖς ἀρκάσιν, οὕτω δὲ ἀφορμήσας ἐκ τῆς νεμέας, ἀφικνεῖται εἰς τὴν τεγέαν. εὐτυχῆ μὲν οὖν ἔγωγε οὐκ ἂν φήσαιμι τὴν στρατείαν αὐτῷ γενέσθαι. ὅσα μέντοι προνοίας ἔργα, καὶ τόλμης ἐστίν, οὐδέν μοι δοκεῖ ἁνὴρ ἐλλείπειν. πρῶτον μὲν γὰρ ἔγωγε ἐπαινῶ αὐτοῦ, ὅτι τὸ στρατόπεδον ἐν τῷ τείχει τῶν τεγεατῶν ἐποιήσατο, ἔνθεν ἀσφαλεστέρῳ τε ἦν, ἢ εἰ ἔξω ἐστρατοπεδεύσατο, καὶ τοῖς πολεμίοις ἐν ἀδηλοτέρῳ ὅ,τι πράττοιτο ἦν· παρασκευάζεσθαι δὲ εἴ του ἐδεῖτο ἐν τῇ πόλει ὄντι εὐπορώτερον. τῶν δ' ἐτέρων ἔξω στρατευομένων, ἐξῆν ὁρᾶν εἴ τέ τι ὀρθῶς ἐπράττετο, εἴ τέ τι ἡμάρτανον. καὶ μὴν οἰόμενος κρείττων τῶν ἀντιπάλων εἶναι, ὁπότε ὁρῴη χωρίοις πλεονεκτοῦντας αὐτούς, οὐκ ἐξήγετο ἐπιτίθεσθαι. ὁρῶν δὲ οὔτε πόλιν προσχωροῦσαν αὐτῷ οὐδεμίαν, τόν τε χρόνον ἐξήκοντα, ἐνόμισε πρακτέον τι εἶναι· εἰ δὲ μή, ἀντὶ τῆς πρόσθεν εὐκλείας πολλὴν ἀδοξίαν προσεδέχετο. ἐπεὶ οὖν κατεμάνθανε περὶ μὲν μαντίνειαν τοὺς ἄλλους πεφυλαγμένους, μεταπεμπομένους δὲ ἀγησίλαόν τε καὶ πάντας τοὺς λακεδαιμονίους, καὶ ᾔσθετο ἐξεστρατευμένον τὸν ἀγησίλαον, καὶ ὄντα ἤδη ἐν πελλήνῃ, δειπνοποιησάμενος, παραγγείλας, ἡγεῖτο τῷ στρατεύματι εὐθὺς ἐπὶ σπάρτην. καὶ εἰ μὴ κρὴς θείᾳ τινὶ μοίρᾳ προσελθών, ἐξήγγειλε τῷ ἀγησιλάῳ, προσιὸν τὸ στράτευμα, ἔλαβεν ἂν τὴν πόλιν, ὥσπερ νεοττιὰν παντάπασιν ἔρημον τῶν ἀμυνουμένων. ἐπεὶ μέντοι προπυθόμενος ταῦτα ἀγησίλαος, ἔφθη εἰς τὴν πόλιν ἀπελθών, διαταξάμενοι οἱ σπαρτιᾶται ἐφύλαττον, καὶ μάλα ὀλίγοι ὄντες. οἵ τε γὰρ ἱππεῖς αὐτοῖς πάντες ἐν ἀρκαδίᾳ ἀπῆσαν, καὶ τὸ ξενικόν, καὶ τῶν λόχων δώδεκα ὄντων οἱ τρεῖς. ἐπεὶ δὲ ἐγένετο ἐπαμεινώνδας ἐν τῇ πόλει τῶν σπαρτιατῶν, ὅπου μὲν ἔμελλον ἔν τε ἰσοπέδῳ μάχεσθαι, καὶ ἀπὸ τῶν οἰκιῶν βληθήσεσθαι, οὐκ εἰσῄει ταύτῃ, οὐδ' ὅπου γε μηδὲν πλείονες μαχεῖσθαι τῶν ὀλίγων, πολλοὶ ὄντες. ἔνθεν δὲ πλεονεκτεῖν ἂν ἐνόμιζε, τοῦτο λαβὼν τὸ χωρίον, κατέβαινε, καὶ οὐκ ἀνέβαινεν εἰς τὴν πόλιν. τό γε μὴν ἐντεῦθεν γενόμενον, ἔξεστι μὲν τὸ θεῖον αἰτιᾶσθαι, ἔξεστι δὲ λέγειν ὡς τοῖς ἀπονενοημένοις οὐδεὶς ἂν ὑποσταίη. ἐπεὶ γὰρ ἡγεῖτο ἀρχίδαμος οὐδὲ ἑκατὸν ἔχων ἄνδρας, καὶ διαβὰς ὅπερ ἐδόκει τι ἔχειν κώλυμα, ἐπορεύετο ἐπὶ τοὺς ἀντιπάλους· ἐνταῦθα δὴ οἱ πῦρ πνέοντες, οἱ νενικηκότες τοὺς λακεδαιμονίους, οἱ τῷ παντὶ πλείονες,

καὶ

bi existimabat Argiuos & Messenios, idemq; secū sta/
tuentes Arcadum quosdā: & erant hi quidem Tegeatæ,
& Megalopolitæ, Astheatæq; ac Palantenses, atq; aliæ
ciuitates quædā, quæ & quia paruæ erant, & quod in il
larum medio sitæ, facile illis obsequi cōpellebantur. Profe
ctus est igitur statim Epaminondas, Nemeāq; ingressus
moram ibi aliquandiu traxit, quod aduenietes illuc se ac
cepturum Athenienses putaret: magni id momenti futurū
ad roboranda auxilia sua, incutiendamq; hostibus despe
10 rationē existimans. Interea ergo dum ita cūctaretur, qui
cunq; pari studio Peloponēsi quærebant salutem ex Ar/
cadibus atq; alijs, Mantineā omnes conuenere. Epaminō
das porrò ubi Atheniēses pedestri quidē itinere proficisci
nolle, mari autem se parasse intellexit, tanquā suppetias
Arcadibus per Spartā laturos, translatis illicò ex Nemea
castris, in Tegeam contendit. Hanc igitur expeditionem
haud quaquam ego in præsentia quidē successisse illi pul
chrè dixerim: quanquā quod ad egregiæ prudentiæ ac fi/
duciæ opera pertinet, nihil adeo ei uiro defuisse uidetur.
20 Nam primū quidem hoc ego facinus eius laudo, quòd Te
geatarū mœnia uallo muniuit, eodemq; exercitū locauit,
unde si mouēda essent castra, quammaximè tutum id fo/
ret, ac hostibus quicquid ageretur minime appareret: in/
struere demq; ac parare, quæcunq; re tandem opus esset,
intra urbem agenti cōmodius liceret: eorum uerò qui ex/
tra muros castra posuerant, inspicere erat si quid uel re/
ctè, uel perperā facerent: & sane quicunq; inter luctātes
superior esse uidebatur, quoties de locorū discrimine eos
dimicare cerneret, ad insidias haud facile exigebatur. Cū
30 autem ciuitatē quidem ad se nullam deficere, nihilo autē
secius interea tempus transigi animaduerteret, saltem ali
quid sibi esse agendū statuit, alioqui partā hactenus glori
am magna se infamia permutaturū existimans. Postquam
igitur ad Mantineā cæteris quidem in statione collocatis,
Agesilaum cum reliquis Lacedæmonijs accersitum intel
lexit, infestoq; exercitu iam profectum ac Pellenē ingres/
sum, peracta ilico cœna, excitusq; edicto militibus, rectà
Spartā contendit, ac nisi diuina quadā sorte Cretēsis qui
spiam accedens Agesilao hostilem adesse exercitum nun
40 ciasset, tantum nō urbem iam ceperat, nihil tum quidem
à deserto uindicibus nido differentē. Cuius rei in ipso ne/
gocij uelut cardine certior factus Agesilaus, e uestigio ur
bem prior occupat: ac Lacedæmonij quidem compositis
ordinibus strenue præsidiō aderant, quanquam essent ad
modum pauci, quippe quorū equitatus omnis in Arcadiā
concesserat, necnon mercenarij milites, & ex decem co/
hortibus tres. Cum uero tandem in urbem peruenisset E/
paminōdas quoq;, ijs quidem locis abstinuit ubi uel pro
pter spacij amplitudinē pugna, uel ob ædium angustiam
50 ruina iactusue incumbebat, aut ubi quanquā plures pau/
cioribus congressos parum effecturos putabat: sed eum si
bi locum occupare, unde nec imminere insidias forte cir
cumuento existimaret, quā ulterius in urbem ascendere
maluit. Ergo quod inde gestum est, numini imputare quis
haud ab re possit, nihilq; sceleratis usquam certi esse sub
sidij dicere. Cum enim ducem ageret Archidamus, neq;
centum habens uiros, quacunq; obstare aliquid uideba/
tur perrumpere gestiret, ad hostes tandem etiam perue/
nit: ibi sane qui ignem spirabant, qui Lacedæmoniorum
paulò ante uictores fuerant, ac prorsum etiam plures,

 ad hæc

legibus respublica regebatur. Inde Euphron cum apud Lacedæmonios lõge maximus ciuiũ esset, apud illorũ aduersarios quoq; clarescere cupiẽs, Argiuos & Arcades edocet, si ditiores palàm Sicyonem obtinerẽt, proculdubio ciuitatẽ rursus Lacedæmoniorũ sequuturã partes: si uerò, inquit, popularis inducetur status, probè noscitis ciuitatẽ nobis saluã fore. Si igitur adiumẽto mihi eritis, populum ego cõuocabo, uobisq; fidem meam ostendã, ciuitatemq; in societate multo fideliorẽ reddam. Id uero eam ob causam agã, quod fastum Lacedæmoniorũ quemadmodũ & uos, iampridẽ ægreferam, ciuitatemq; è seruitutis iugo eripere quærã. Arcades & Argiui lætis hæc excepere animis, illiq; impigrè operam præstiterunt. Et ille cõfestim in concione, præsentibus Argiuis & Arcadibus, populum ad libertatem uocat, asserens gubernandi formã æqualem ac communẽ esse debere. Qui cum illi assensi fuissent, duces quicunq; illis idonei uiderentur, eligere iussit. Illi uero ipsum elegere, eiq; adiũxere Euphronem & Hippodamũ, Cleandrũq;, Acrisium et Lysandrum. His actis, peregrino militi Adeam filium ipsius præficiunt, abrogato Lysimeni imperio, qui antea illis præfuerat. Et Euphron cõfestim quosdã ex milit. illis beneficijs sibi conciliabat, ac fidos reddebat, reliquos uero sollicitabat: inde neq; priuatis, publicis, seu sacris abstinebat pecunijs, & quoscunq; sub factionis prætextu eijciebat, illos omnib. spoliabat fortunis. Ex collegis quoq; nõnullos dolo aggressus interfecit, alios uerò urbe pepulit, ita ut omnia nutu gubernarentur suo, iamq; in manifestã erũperet tyrannidẽ. Verũ ut socij hæc negligerẽt partim pecunijs transegit, partim uerò peregrino milite quocũq; duceretur impigrè sequẽdo illos demerebatur. Argiui interea Phliũti supra Iunonis templum Tricranũ ædificarũt, Sicyonij uero in mõtib. Thyamiã erexerũt: quapropter Phliasij uehemẽter urgeri, summaq; inopia premi cœpere, nihilominus tamẽ in societate perstitere. Proinde si ciuitas magna quid egregiũ peragit, in omnibus celebratur historijs: mihi uero si ciuitas quædã parua multa memoria digna egerit, longe magis laudib. extollẽda esse uidetur. Siquidẽ Phliasij florentib. adhuc Lacedæmoniorũ reb. illis amici facti sunt: eorũ uero uirib. Leuctrica pugna minutis, uicinisq; quàmplurimis, necnõ Ilotis omnib. socijsq; uniuersis, exceptis paucissimis, deficientib. cũctisq; Græcis, ut ita dicã bellum Lacedæmonijs inferentibus, soli tamen pertinacissime in fide perstitere: & quãuis potẽtissimos in Pelopõneso Argiuos & Arcades hostes haberẽt, nihilominus tamẽ illis opem tulere, ultimiq; erãt qui ex socijs in Prasias descenderent: ex quib. fuere Corinthij, Epidaurij, Trœzenij, Hermiones, Halies, Sicyonij, & Pellenei, nec unquã defecere. Neq; cũ Xenagus præsidio abducto ipsis derelictis discessisset, animo conciderunt, sed cõducto mercenario duce ex Prasijs, cũ hostes circa Amyclas essẽt, ut potuere dispersi Spartã uenere: quapp̃ter Lacedæmõij cũ illos uarijs affecissent honorib. bouẽ quoq; eis dono miserũt. Cũ uero hostes

νόμοις ἡ πολιτεία ἦν. ἐκ δὲ τούτου βουλόμενος ὁ Εὔφρων, ὥσπερ παρὰ τοῖς Λακεδαιμονίοις ἦν μέγιστος τῶν πολιτῶν, οὕτω καὶ παρὰ τοῖς ἐναντίοις αὐτῶν πρεσβεύειν, λέγει πρὸς τοὺς Ἀργείους καὶ τοὺς Ἀρκάδας, ὡς εἰ μὲν οἱ πλουσιώτατοι σαφῶς ἐγκρατεῖς ἔσοιντο τῆς Σικυῶνος, ἀτεχνῶς ἔσται τύχῃ πάλιν λακωνιεῖ ἡ πόλις. ἐὰν δὲ δημοκρατία γένηται, εὖ ἴστε, ἔφη, ὅτι διαμενεῖ ὑμῖν ἡ πόλις. ἐὰν οὖν μοι παραγένησθε, ἐγὼ ἔσομαι ὁ συγκαλῶν τὸν δῆμον, καὶ ἅμα ἐγὼ ὑμῖν ταύτην τὴν πίστιν ἐμαυτοῦ δώσω, καὶ τὴν πόλιν βέβαιον ἐν τῇ συμμαχίᾳ παρέξω. ταῦτα δ᾽, ἔφη, ἐγὼ πράττω, εὖ ἴστε, ὅτι μάλα μὲν χαλεπῶς φέρων, ὥσπερ ὑμεῖς, τὸ φρόνημα τῶν Λακεδαιμονίων, ἄσμενος δ᾽ ἂν τὴν δουλείαν ἀποφυγών. οἱ οὖν Ἀρκάδες καὶ οἱ Ἀργεῖοι ἡδέως ταῦτ᾽ ἀκούοντες, παρεγένοντο αὐτῷ. ὁ δ᾽ εὐθὺς ἐν τῇ ἀγορᾷ παρόντων τῶν Ἀργείων καὶ τῶν Ἀρκάδων, συνεκάλει τὸν δῆμον, ὡς τῆς πολιτείας ἐσομένης ἐν τοῖς ἴσοις, καὶ ὁμοίοις. ἐπεὶ δὲ συνῆλθον, στρατηγοὺς ἐκέλευσεν ἑλέσθαι, οὕστινας αὐτοῖς δοκοίη. οἱ δ᾽ αἱροῦνται αὐτόν τε τὸν Εὔφρονα, καὶ Ἱππόδαμον, καὶ Κλέανδρον, καὶ Ἀκρίσιον, καὶ Λύσανδρον. ὡς δὲ ταῦτα ἐπέπρακτο, καὶ ἐπὶ τὸ ξενικὸν καθίστησιν Ἀδέαν τὸν αὑτοῦ υἱόν, Λυσιμένην τὸν πρόσθεν ἄρχοντα ἀποστήσας. καὶ εὐθὺς μὲν τούτων τῶν ξένων ὁ Εὔφρων πιστούς τινας εὖ ποιῶν ἐποιήσατο, ἄλλους προσελάμβανεν, οὔτε τῶν δημοσίων, οὔτε τῶν ἱερῶν χρημάτων φειδόμενος. καὶ ὅσους δ᾽ ἐξέβαλεν ἐπὶ λακωνισμῷ, καὶ τοῖς τούτων χρήμασιν ἐχρῆτο. καὶ τῶν συναρχόντων δέ, τοὺς μὲν δόλῳ ἀπέκτεινε· τοὺς δὲ ἐξέβαλεν. ὥστε πάντα ὑφ᾽ ἑαυτῷ ἐποιήσατο, καὶ σαφῶς τύραννος ἦν. ὅπως δὲ ταῦτα ἐπιτρέποιεν αὐτῷ οἱ ξύμμαχοι, τὰ μέν τοι καὶ χρήμασι διεπράττετο, τὰ δὲ καὶ εἴποι στρατεύοιντο, πρόθυμος ἔχων τὸ ξενικὸν συνηκολούθει. οὕτω δὲ τούτων προκεχωρηκότων, καὶ τῶν τε Ἀργείων ἐπιτετειχικότων ἐν τῷ Φλιοῦντι τὸ ὑπὲρ τοῦ Ἡραίου Τρικάρανον, καὶ τῶν Σικυωνίων ἐπὶ τοῖς ὁρίοις αὐτῶν τειχιζόντων τὴν Θυαμίαν, μάλα ἐπιέζοντο οἱ Φλιάσιοι, καὶ ἐσπανίζοντο τῶν ἐπιτηδείων. ὅμως δὲ διεκαρτέρουν ἐν τῇ συμμαχίᾳ. ἀλλὰ γὰρ τῶν μὲν μεγάλων πόλεων εἴ τι καλὸν ἔπραξαν, ἅπαντες οἱ συγγραφεῖς μέμνηνται. ἐμοὶ δὲ δοκεῖ, καὶ εἴ τις μικρὰ πόλις οὖσα, πολλὰ καὶ καλὰ ἔργα διαπέπρακται, ἔτι μᾶλλον ἄξιον εἶναι ἀποφαίνειν. Φλιάσιοι τοίνυν, φίλοι μὲν ἐγένοντο Λακεδαιμονίοις, ὅτ᾽ ἐκεῖνοι μέγιστοι ἦσαν. σφαλέντων δ᾽ αὐτῶν ἐν τῇ ἐν Λεύκτροις μάχῃ, καὶ ἀποστάντων μὲν πολλῶν περιοίκων, ἀποστάντων δὲ πάντων τῶν εἱλώτων, ἔτι δὲ τῶν συμμάχων πλὴν πάνυ ὀλίγων, ἐπιστρατευόντων δ᾽ αὐτοῖς ὡς εἰπεῖν, πάντων τῶν Ἑλλήνων, πιστοὶ διέμειναν, καὶ ἔχοντες πολεμίους τοὺς δυνατωτάτους τῶν ἐν Πελοποννήσῳ Ἀργείους καὶ Ἀρκάδας, ὅμως ἐβοήθησαν αὐτοῖς, καὶ διαβαίνειν τελευταῖοι λαχόντες εἰς Πρασιὰς τῶν συμβοηθησάντων. ἦσαν δ᾽ οὗτοι, Κορίνθιοι, Ἐπιδαύριοι, Τροιζήνιοι, Ἑρμιονεῖς, Ἁλιεῖς, Σικυώνιοι, καὶ Πελληνεῖς. οὐ γάρ πω τότε ἀφειστήκεσαν. ἀλλ᾽ οὐδ᾽ ἐπεὶ ὁ ξεναγὸς τοὺς προδιαβεβῶτας λαβὼν, ἀπολιπὼν αὐτοὺς ᾤχετο, οὐδ᾽ ὡς ἐπεστράφησαν, ἀλλ᾽ ἡγεμόνα μισθωσάμενοι ἐκ Πρασιῶν, ὄντων τῶν πολεμίων περὶ Ἀμύκλας, ὅπως ἐδύναντο, διαδύντες, εἰς Σπάρτην ἀφίκοντο. καὶ μὴν οἱ Λακεδαιμόνιοι, ἄλλως τε ἐτίμων αὐτούς, καὶ βοῦν ξένια ἔπεμψαν. ἐπεὶ ἀναχωρησάντων τῶν

πολε-

πολεμίων ἐκ τῆς Λακεδαίμονος, οἱ Ἀργεῖοι ὀργιζόμενοι
τῇ τῶν Φλιασίων περὶ τοὺς Λακεδαιμονίους προθυμίᾳ,
ἐνέβαλον πανδημεὶ εἰς τὴν Φλιοῦντα, καὶ τὴν χώραν
αὐτῶν ἐδῄουν, οὐδ' ὡς ὑφίεντο, ἀλλὰ καὶ ἐπεὶ ἀπεχώ-
ρουν, φθείραντες ὅσα ἐδύναντο, ἐπεξελθόντες οἱ τῶν
Φλιασίων ἱππεῖς, ἐπηκολούθουν αὐτοῖς. καὶ ὀπισθοφυ-
λακούντων τοῖς Ἀργείοις τῶν ἱππέων ἁπάντων, καὶ λό-
χους τῶν μετ' αὐτοὺς τεταγμένων, ἐπιθέμενοι τούτους
ἑξήκοντα ὄντες, ἐτρέψαντο πάντας τοὺς ὄπισθεν φύλα-
κας, καὶ ἀπέκτειναν μὲν ὀλίγους αὐτῶν. τρόπαιον μέν-
τοι ἐστήσαντο, ὁρώντων τῶν Ἀργείων, οὐδὲν διαφέρον, ἢ εἰ
πάντας ἀπεκτόνεσαν αὐτούς. αὖθις δὲ Λακεδαιμόνιοι μὲν
καὶ οἱ σύμμαχοι ἐφρούρουν τὸ Ὄνειον. Θηβαῖοι δὲ προσῄε-
σαν ὡς ὑπερβησόμενοι. πορευομένων δὲ διὰ Νεμέας τῶν
Ἠλείων καὶ Ἀρκάδων, ὅπως συμμίξαιεν τοῖς Θηβαίοις,
προσήνεγκαν μὲν λεγόντων Φλιασίων φυγάδων, ὡς εἰ
θελήσειαν ἐπιφανῆναι μόνον σφίσι, λάβοιεν ἂν Φλιοῦν-
τα. ἐπεὶ δὲ ταῦτα συνωμολογήθη, τῆς νυκτὸς ὑπεκαθί-
ζοντο ὑπ' αὐτῷ τῷ τείχει, κλίμακας ἔχοντες οἵ τε φυγά-
δες, καὶ ἄλλοι μετ' αὐτῶν, ὡς ἑξακόσιοι. ἐπεὶ δὲ οἱ μὲν σκο-
ποὶ ἐσήμαινον ἀπὸ τοῦ Τρικαράνου ὡς πολεμίων ἐπιόντων,
ἡ δὲ πόλις τὸν νοῦν εἶχε πρὸς τούτοις, ἐν δὲ τούτῳ οἱ προδι-
δόντες ἐσήμαινον τοῖς ὑποκαθημένοις ἀναβαίνειν. οἱ
δ' ἀναβάντες καὶ λαβόντες τῶν φρουρῶν τὰ ὅπλα ἔρη-
μα, ἐδίωκον τοὺς ἡμεροφύλακας, ὄντας δέκα. ἀφ' ἑκά-
στης δὲ τῆς πεμπάδος, εἷς ἡμεροφύλαξ κατελείπετο. καὶ
ἕνα μὲν ἔτι καθεύδοντα, ἀπέκτειναν. ἄλλον δὲ κατα-
φυγόντα, πρὸς τὸ Ἡραῖον. φυγῇ δ' ἐξαλλομένων ἀπὸ τοῦ
τείχους εἰς τὸ ἄστυ, ὁρώντων τῶν ἡμεροφυλάκων, ἀναμ-
φισβητήτως εἶχον οἱ ἀναβάντες τὴν ἀκρόπολιν. ἐπεὶ δὲ
κραυγῆς γενομένης εἰς τὴν πόλιν, ἐβοήθουν οἱ πολῖται,
τὸ μὲν πρῶτον ἐξελθόντες ἐκ τῆς ἀκροπόλεως οἱ πολέ-
μιοι, ἐμάχοντο ἐν τῷ πρόσθεν τῆς εἰς τὴν πόλιν φερούσης
πύλης. ἔπειτα πολιορκούμενοι ὑπὸ τῶν προσβοηθούν-
των, ἐχώρουν πάλιν πρὸς τὴν ἀκρόπολιν. οἱ δ' ὁπλῖται
συνεισπίπτουσιν αὐτοῖς. τὸ μὲν οὖν μέσον τῆς ἀκροπόλεως εὐ-
θὺς ἔρημον ἐγένετο. ἐπὶ δὲ τὸ τεῖχος, καὶ τοὺς πύργους ἀνα-
βάντες οἱ πολέμιοι, ἔπαιον καὶ ἔβαλλον τοὺς ἔνδον. οἱ δὲ
χαμόθεν ἠμύνοντο, καὶ κατὰ τὰς ἐπὶ τὸ τεῖχος φερούσας
κλίμακας προσεμάχοντο. ἐπεὶ δὲ τῶν ἔνθεν καὶ ἔνθεν
πύργων ἐκράτησάν τινων οἱ πολῖται, ὁμόσε δὴ ἐχώ-
ρουν ἀπονενοημένως τοῖς ἀναβεβηκόσιν. οἱ δὲ ὠθούμενοι
ὑπ' αὐτῶν τῇ τόλμῃ τε καὶ τῇ μάχῃ, εἰς ἔλαττον συνε-
λοῦντο. ἐν δὲ τούτῳ τῷ καιρῷ οἱ μὲν Ἀρκάδες καὶ οἱ
Ἀργεῖοι περὶ τὴν πόλιν ἐκυκλοῦντο, καὶ κατὰ κεφαλὴν
τὸ τεῖχος τῆς ἀκροπόλεως διώρυττον. τῶν δὲ ἔνδοθεν,
οἱ μὲν ἐπὶ τὸ τεῖχος, οἱ δὲ καὶ ἔτι ἔξωθεν ἐπαναβαίνον-
τας, ἐπὶ ταῖς κλίμαξιν ὄντας ἔπαιον. οἱ δὲ πρὸς τοὺς ἐπα-
ναβεβηκότας αὐτῶν ἐπὶ τοὺς πύργους ἐμάχοντο. καὶ πῦρ εὑ-
ρόντες ἐν ταῖς σκηναῖς, ὑφῆπτον αὐτοὺς προσφοροῦν-
τες τῶν δραγμάτων, ἃ ἔτυχον ἐξ αὐτῆς τῆς ἀκροπόλεως
τεθερισμένα. ἐνταῦθα δὴ οἱ μὲν ἀπὸ τῶν πύργων τὴν
φλόγα φοβούμενοι, ἐξήλλοντο· οἱ δὲ ἐπὶ τῶν τειχῶν ὑπὸ
τῶν ἀνδρῶν παιόμενοι, ἐξέπιπτον. ἐπεὶ δ' ἅπαξ ἤρ-
ξαντο ὑπείκειν, ταχὺ δὴ πᾶσα ἡ ἀκρόπολις ἔρημος τῶν
πολεμίων ἐγεγένητο. εὐθὺς δὲ καὶ οἱ ἱππεῖς ἐξήλαυ-
νον.

hostes ex Lacedæmoniorum excessissent finibus,
Argiui illis ob Lacedæmoniorum studium infen-
si, uniuerso populo Phliuntem irruperunt, re-
gionemque uniuersam ferro ac igni uastarunt.
Cumque non solum primo ingressu id fecissent,
sed & abeuntes cuncta quantum poterant uastas-
sent, egressi Phliasiorum equites illis immine-
bant. Cumque Argiui uniuerso equitatu ac ma-
nipulis quibusdam nouissima tutarentur, illos
10 adorti sunt: & cum haud plures sexaginta es-
sent, præsidium tamen uniuersum, interfectis
haud paucis, in fugam uerterunt: cernentibusq;
Argiuis, ac non minus ægreferentibus quàm si
omnes animam efflarent, trophæum erexere.
Rursusq; cum Lacedæmonij socijq; Onium præsi
dio obtinerent, Thebaniq; illum transcendere pa
rarent, Eliiq; & Arcades ut eis se coniungerent,
per Nemeas iter facerent, exules Phliasiorum il-
lis promisere, si se duces sequerentur, Phliun-
20 tem capere posse. Cumque illi assensum prebuis-
sent, exules cum sexcentis alijs circiter aduectis,
scalis nocte sub muris delituere. Interim cum à
Tricrano speculatores hostes adesse significas-
sent, ciuitasq; illis animum aduertisset, à prodi-
toribus quoque ex insidijs ascendendi signum
datum est. Hostes itaque impigré muro conscen-
so, custodum arma occupauere derelicta, diur-
násq; deturbata statione, custodes decem in fugam
uerterunt. Nam ex quindena unaquaque custos
30 unus derelictus fuerat: unum uerò dormentem,
alium uero ad Iunonis confugientem templum
obtruncarunt. Quum itaque fuga è muro desi-
lientium in urbem fieret, qui arcem occupaue-
rant incerti erant quidnam agerent: sed cum cla-
mor in urbem delatus esset, impigre ciues auxi-
lium tulerunt. Et sub initium hostes arce egressi,
ante portam quæ in urbem fert, pugnam capesse-
bant: sed cum undique à succurrentibus premeren
tur, pedem rursus in arcem referre cœperunt: in
40 quos grauis armaturæ milites signa inferunt, con
festimq; media arcis pars deserta est: hostes inde
conscensis turribus ac muro, ingressos telis ferie-
bant. At illi terra reptantes, per muri scalas a-
scendere cœperunt, turresq; nonnullas hinc atq;
inde ciues occuparunt, simulq; alios ascenden-
tes ad se trahebant: quapropter hostes undique
audacia ac ui oppressi, impetum non tulere. Eo-
dem tempore Arcades & Argiui urbem circun-
dantes, per uices arcis muros deruere niteban-
50 tur. Qui uero intus erant, partim eos qui in muro
erant, alij uerò ab extra per scalas ascendentes, re
liqui uero eos qui turres occupauerant, oppugna
bant: ignemq; in tabernaculis offendentes, facesq;
quas forte in arce inuenerant incêdentes turribus
subijciebant: quapropter qui turres obtinebant,
flamma perterriti, sua sponte turres derelinque-
bant: qui uero muros ascenderant, uirtute ciuium
ab his deiecti ac expulsi sunt. Cumq; semel hostes
inclinare cœpissent, confestim uniuersa arx ab ho
stibus derelicta est, illicoq; equites urbe egressi
sunt:

sunt: quos hostes cernentes, derelictis scalis, mor-
tuisq; ac uiuis nonnullis qui sequi nequiuerāt, au-
fugere: cecidereq; ex hostibus tam intra, q̄ extra,
haud pauciores LXXX. Hinc de salute securos,
cernere erat uiros quidem inuicem cōplectentes,
mulieres uero potū ferentes, ac præ gaudio lachry-
mas effundentes, omnes uero præsentes fletum cū
lætitia miscere. Insequenti quoq; anno Argiui &
Arcades uniuersi Phliuntem ingressi sunt. Quod
uero Phliasios ita semper premebant, causa erat,
quod illis infensi erāt, & quia in medio siti erant:
sperabāt insuper cōmeatus penuria illos cogi pos-
se, ut tandem à Lacedæmonijs deficerent. In hac
quoq; expeditione Phliasiorū equites ac electi, u-
nà cum Atheniensiū equitib. qui tum aderant, ho-
stes in transitu fluminis aggressi uicerūt, hostesq;,
quod reliquū diei supererat, ad mōtes redire coē-
gerunt, tanquā ab amicis frugib. uastādis abstine-
rent: rursusq; Sicyonis præfectus, cū Thebanis q
in præsidio erāt, Sicyonijs ac Pellenensib. tum. n.
Thebanos sequebantur, Phliasiorū ingressi sunt fi-
nes: necnō Euphrō cum duob. millib. mercenarijs
militib. & reliqui, per Tricranū ad Iunonis ascen
derunt templū, ut inde in agros impetū facerent:
in montium uero summitatibus ac angustijs quæ
Corinthum ducunt, Sicyonios ac Pellenenses reli
quere, ne illis occupatis Phliasij super capita eorū
ac Iunonis cōsisterēt templū. At qui in urbe erāt,
cum hostes adesse, eosq; ad agros uastandos ad-
uenisse cognouissent, cum equitib. et Phliasiorum
electis urbe egressi, manus cū illis conseruere, nec
ut in plana descenderēt, pmisere, ibiq; inuicem la
cessendo magnam partem transegere diei. Et qui
cum Euphrone erāt, Hippasimū usq; processere:
Phliasij uero Iunonis nō prætergrediebantur tem
plum. Cum uero hora iam abeundi esse uideretur,
hostes Tricranum uersus gradiebantur: ne. n. bre-
uiori uia ad Pellenenses peruenire possent, fossa
ante muros erecta illis impedimento erat: eos ue-
ro parūper ante diluculum Phliasij præteruersi, iu
xta muros fossam trāsgressi, ad Pellenenses et qui
cum illis erāt, pergebant: quam Phliasiorū festina
tionem cum Thebani resciuissent, omni ope Pelle
nensibus succurrere accelerabant. Phliasiorū inte
tum equites Pellenenses aggrediūtur, ab quib. for-
titer excepti sunt: illi uero parumper declinarūt,
rursusq; cum peditibus qui iam aduenerant, in il-
los irruunt, ac atrocissimū edebant prælium. At
qui non tulere hostes impetum, sed protinus in fu
gam uersi sunt. Cecidere pugna ea Sicyonij nōnul
li, ac Pellenensiū haud parū multi, uiriq; fortes de
siderati sunt. His actis, Phliasij clarissimū erexere
triumphū, ac pæana canētes, ut æquū erat, reuer-
tebātur. Et Thebani, quiq; cū Euphrone erāt, hæc
tanquā spectaculum quoddā cernere cogebantur:
inde Sicyonē abiere, Phliasij uerò in urbem redie
re. Nec minus egregiū id quoq; Phliasij egere. Vi
uum. n. in potestatē redactum hospitem Pellenen-
sem, quamuis summa rerum premerentur inopia,
absq; precio dimisere. Nōnne igitur merito hi qui
talia

νον. οἱ δὲ πολέμιοι ἰδόντες αὐτούς, ἀποχωροῦσι, καταλι-
πόντες τάς τε κλίμακας καὶ τοὺς νεκρούς. ἐνίους δὲ καὶ ζῶν-
τας ἀποκεχωλευμένους. ἀπέθανον δὲ τῶν πολεμίων οἵ τε
ἔνδον μαχόμενοι, καὶ οἱ ἔξω ἁλλόμενοι, οὐκ ἐλάττους τῶν
ὀγδοήκοντα. ἔνθα δὴ θεάσασθαι παρῆν ἐπὶ τῆς σωτη-
ρίας τοὺς μὲν ἄνδρας δεξιουμένους ἀλλήλους, τὰς δὲ γυναῖ-
κας, πιεῖν τε φερούσας, καὶ ἅμα χαρᾷ δακρυούσας. πάν-
τας δὲ τοὺς παρόντας τότε γε τῷ ὄντι κλαυσίγελως εἶχε.
ἐνέβαλον δὲ καὶ τῷ ὑστέρῳ ἔτει εἰς τὴν φλιασίαν οἵ τε ἀρ-
γεῖοι, καὶ οἱ ἀρκάδες ἅπαντες. αἴτιον δ' ἦν τοῦ ἐπικεῖσθαι
αὐτοὺς ἀεὶ τοῖς φλιασίοις, ὅτι ἅμα μὲν ὠργίζοντο αὐτοῖς,
ἅμα δὲ ἐν μέσῳ εἶχον, καὶ ἐν ἐλπίδι ἦσαν ἀεὶ διὰ τὴν ἀπο-
ρίαν τῶν ἐπιτηδείων παραστήσεσθαι αὐτούς. οἱ δ' ἱππεῖς,
καὶ οἱ ἐπίλεκτοι τῶν φλιασίων, καὶ ἐν ταύτῃ τῇ ἐμβο-
λῇ ἐπὶ τῇ διαβάσει τοῦ ποταμοῦ ἐπιτίθενται σὺν τοῖς πα-
ροῦσι τῶν ἀθηναίων ἱππεῦσι καὶ κρατήσαντες, ἐποίη-
σαν τοὺς πολεμίους τὸ λοιπὸν τῆς ἡμέρας ὑπὸ τὰς ἀκρω-
ρείας ὑποχωρεῖν, ὥσπερ ἀπὸ φιλίου καρποῦ τοῦ ἐν τῷ πε-
δίῳ φυλαττομένους, μὴ καταπατήσειαν. αὖθις δέ πο-
τε ἐστράτευσεν ἐπὶ φλιοῦντα ὁ ἐν σικυῶνι ἄρχων, θη-
βαίους ἄγων, οὕς τε αὐτὸς εἶχε φρουρούς, καὶ σικυωνίους, καὶ
πελληνέας. ἤδη γὰρ τότε ἠκολούθουν τοῖς θηβαίοις. καὶ
εὔφρων δὲ τοὺς αὐτοῦ ἔχων μισθοφόρους περὶ δισχιλίους,
συνεστρατεύετο. οἱ μὲν οὖν ἄλλοι αὐτῶν διὰ τοῦ τρικαράνου κα-
τέβαινον ἐπὶ τὸ ἡραῖον, ὡς τὸ πεδίον φθεροῦντες. κατὰ
δὲ τὰς εἰς κόρινθον φερούσας πύλας ἐπὶ τοῦ ἄκρου, κατέ-
λιπε σικυωνίους τε, καὶ πελληνέας, ὅπως μὴ ταύτῃ περι-
ελθόντες οἱ φλιάσιοι, κατὰ κεφαλὴν αὐτῶν γένοιντο ὑπὲρ
τοῦ ἡραίου. ὡς δ' ἔγνωσαν οἱ ἐκ τῆς πόλεως τοὺς πολεμίους
ἐπὶ τὸ πεδίον ὡρμημένους, ἀντεξελθόντες οἵ τε ἱππεῖς
καὶ οἱ ἐπίλεκτοι τῶν φλιασίων ἐμάχοντο, καὶ οὐκ εἴασαν
εἰς τὸ πεδίον αὐτούς. καὶ τὸ μὲν πλεῖστον τῆς ἡμέρας ἐνταῦ-
θα ἀκροβολιζόμενοι, διῆγον οἱ περὶ τὸν εὔφρονα, ἐπιδιώ-
κοντες μέχρι τοῦ ἱππασίμου. οἱ δὲ ἔνδοθεν μέχρι τοῦ ἡραίου.
ἐπεὶ δὲ ὥρα ἐδόκει εἶναι, ἀπῇσαν οἱ πολέμιοι κύκλῳ τοῦ
τρικαράνου. ὥστε γὰρ τὴν σύντομον πρὸς τοὺς πελληνέας
ἀφικέσθαι, ἡ πρὸ τοῦ τείχους φάραγξ εἶργε. μικρὸν δ'
αὐτοὺς πρὸς τὸ ὄρθιον προπέμψαντες, οἱ φλιάσιοι ἀπο-
τρεπόμενοι, ἵεντο τὴν παρὰ τὸ τεῖχος ἐπὶ τοὺς πελλη-
νέας, καὶ τοὺς μετ' αὐτῶν. καὶ οἱ περὶ τὸν θηβαῖον δὲ αἰσθόμενοι
τὴν σπουδὴν τῶν φλιασίων, ἡμιλλῶντο, ὅπως φθάσειαν
τοῖς πελληνεῦσι βοηθήσοντες. ἀφικόμενοι πρότεροι
οἱ ἱππεῖς, ἐμβάλλουσι τοῖς πελληνεῦσι. δεξαμένων δὲ
τὸ πρῶτον, ἐπαναχωρήσαντες, πάλιν σὺν τοῖς παρα-
γεγενημένοις τῶν πεζῶν ἐνέβαλον, καὶ ἐκ χειρὸς ἐμάχον-
το. καὶ ἐκ τούτου δὴ ἐγκλίνουσιν οἱ πολέμιοι. καὶ ἀποθνή-
σκουσι τῶν τε σικυωνίων τινές, καὶ τῶν πελληνέων μάλα
πολλοί, καὶ ἄνδρες ἀγαθοί. τούτων δὲ γενομένων, οἱ μὲν
φλιάσιοι τρόπαιον ἵσταντο λαμπρόν, παιανίζοντες ὥσπερ
εἰκός. οἱ δὲ περὶ τὸν θηβαῖον, καὶ τὸν εὔφρονα, περιεώρων
ταῦτα, ὥσπερ ἐπὶ θέαν περιδεδραμηκότες. τούτων δὲ
πραχθέντων, οἱ μὲν ἐπὶ σικυῶνος ἀπῆλθον, οἱ δ' εἰς
τὸ ἄστυ ἀπεχώρησαν. καλὸν δὲ καὶ τοῦτο διεπράξαντο οἱ
φλιάσιοι τὸν γὰρ πελληνέα πρόξενον ζῶντα λαβόντες, καί-
περ πάντων σπανιζόμενοι, ἀφῆκαν αὐτὸν λύτρων. γεν-
ναίους μὲν δὴ καὶ ἀλκίμους πῶς οὐκ ἄν τις φαίη εἶναι τοὺς τὰ
τοιαῦτα

τοιαῦτα διαπραττομένους; ὥς γε μὴν καὶ διὰ καρτερίας τοῖς φίλοις τὴν πίστιν διέσωζον, πῶς περιφανές. οἳ ἐπεὶ εἴργοιντο τῶν ἐκ τῆς γῆς καρπῶν, ἔζων, τὰ μὲν ἐκ τῆς πολεμίας λαμβάνοντες, τὰ δὲ ἐκ Κορίνθου ὠνούμενοι, διὰ πολλῶν κινδύνων ἐπὶ τὴν ἀγορὰν ἰόντες, χαλεπῶς μὲν τιμὴν πορίζοντες, χαλεπῶς δὲ τοὺς πορίζοντας διαπραττόμενοι, γλίσχρως δ᾽ ἐγγυητὰς καθιστάντες τῶν ἀξόντων ὑποζυγίων. ἤδη δὲ παντάπασιν ἀποροῦντες, Χάρητα διεπράξαντο σφίσι παραπέμψαι τὴν παραπομπήν. ἐπεὶ δὲ ἐν Φλιοῦντι ἐγένετο, ἐδεήθησαν αὐτοῦ καὶ τοὺς ἀχρείους συνεκπέμψαι εἰς τὴν Πελλήνην. κἀκείνους μὲν ἐκεῖ κατέλιπον, ἀγοράσαντες δέ, καὶ ἐπισκευασάμενοι ὁπόσα ἐδύναντο ὑποζύγια, νυκτὸς ἀπῄεσαν, οὐκ ἀγνοοῦντες ὅτι ἐνεδρεύσοιντο ὑπὸ τῶν πολεμίων, ἀλλὰ νομίζοντες χαλεπώτερον εἶναι τοῦ μάχεσθαι, τὸ μὴ ἔχειν τὰ ἐπιτήδεια. καὶ προῄεσαν μὲν οἱ Φλιάσιοι μετὰ Χάρητος. ἐπεὶ δὲ ἐνέτυχον τοῖς πολεμίοις, εὐθὺς ἔργου τε εἴχοντο, καὶ παρακελευσάμενοι, ἀλλήλοις ἐνέκειντο. καὶ ἅμα Χάρητα ἐπιβοηθεῖν ἐβόων. νίκης δὲ γενομένης, καὶ ἐκβληθέντων ἐκ τῆς ὁδοῦ τῶν πολεμίων, οὕτω δὴ οἴκαδε καὶ ἑαυτούς, καὶ ἃ ἦγον ἀπέσωσαν. ὡς δὲ τὴν νύκτα ἠγρύπνησαν, ἐκάθευδον μέχρι πόρρω τῆς ἡμέρας. ἐπεὶ δὲ ἀνέστη ὁ Χάρης, προσελθόντες οἱ ἱππεῖς, καὶ οἱ χρησιμώτατοι τῶν πολιτῶν, ἔλεγον· ὦ Χάρης, ἔξεστί σοι τήμερον κάλλιστον ἔργον διαπράξασθαι. χωρίον γὰρ ἐπὶ τοῖς ὁρίοις ἡμῖν οἱ Σικυώνιοι τειχίζουσιν, οἰκοδόμους μὲν πολλοὺς ἔχοντες, ὁπλίτας δὲ οὐ πάνυ πολλούς. ἡγησόμεθα μὲν οὖν ἡμεῖς οἱ ἱππεῖς, καὶ τῶν πολιτῶν οἱ ἐρρωμενέστατοι. σὺ δὲ τὸ ξενικὸν ἔχων, ἐὰν ἀκολουθῇς, ἴσως μὲν διαπεπραγμένα σοι καταλήψῃ. ἴσως δὲ ἐπιφανεὶς σύ, ὥσπερ ἐν Πελλήνῃ, τροπὴν ποιήσεις. εἰ δέ τι δυσχερές σοι δοκεῖ ὧν λέγομεν, ἀνακοίνωσαι τοῖς θεοῖς θυόμενος. οἰόμεθα γάρ ἔτι σε μᾶλλον ἡμῶν τοὺς θεοὺς ταῦτα πράττειν κελεύσειν. τοῦτο δὲ χρή, ὦ Χάρης, εὖ εἰδέναι, ὅτι ἐὰν ταῦτα πράξῃς, τοῖς μὲν πολεμίοις ἐπιτετειχικὼς ἔσῃ, φιλίαν δὲ πόλιν διασεσωκώς. εὐκλεέστατος δὲ ἐν τῇ πατρίδι ἔσῃ, ὀνομαστότατος δὲ καὶ ἐν τοῖς συμμάχοις, καὶ πολεμίοις. ὁ μὲν δὴ Χάρης πεισθείς, ἐθύετο. τῶν δὲ Φλιασίων εὐθὺς μὲν οἱ ἱππεῖς τοὺς θώρακας ἐνεδύοντο, καὶ τοὺς ἵππους ἐχαλίνουν. οἱ δὲ ὁπλῖται ὅσα εἰς πεζόν, παρεσκευάζοντο. ἐπεὶ δὲ ἀναλαβόντες τὰ ὅπλα ἐπορεύοντο ἔνθα ἐθύετο, ἀπήντα αὐτοῖς ὁ Χάρης, καὶ ὁ μάντις, καὶ ἔλεγον ὅτι καλὰ εἴη τὰ ἱερά. ἀλλὰ περιμένετε, ἔφασαν. ἤδη γὰρ καὶ ἡμεῖς ἔξιμεν. ὡς δὲ τάχιστα ἐκηρύχθη, θείᾳ τινὶ προθυμίᾳ καὶ οἱ μισθοφόροι ταχὺ ἐξέδραμον. ἐπεὶ δὲ Χάρης ἤρξατο πορεύεσθαι, προῄεσαν αὐτοῦ οἱ τῶν Φλιασίων ἱππεῖς, καὶ πεζοί. καὶ τὸ μὲν πρῶτον ταχέως ἡγοῦντο, ἔπειτα δὲ ἐτρόχαζον. τέλος δέ, οἱ μὲν ἱππεῖς ἤλαυνον· οἱ δὲ πεζοὶ κατὰ τὸ κράτος ἔθεον ὡς δυνατὸν ἐν τάξει. οἷς καὶ ὁ Χάρης σπουδῇ ἐπηκολούθει. ἦν μὲν οὖν τῆς ὥρας μικρὸν πρὸ δύντος ἡλίου. κατελάμβανον δὲ τοὺς ἐν τῷ τείχει πολεμίους, τοὺς μὲν λουομένους, τοὺς δ᾽ ὀψοποιουμένους· τοὺς δὲ φυρῶντας, τοὺς δὲ στιβάδας ποιουμένους. ὡς δ᾽ εἶδον τὴν σφοδρότητα τῆς ἐφόδου, εὐθὺς ἐκπλαγέντες ἔφυγον, καταλιπόντες τοῖς ἀγαθοῖς ἀνδράσι πάντα τὰ ἐπιτήδεια. κἀκεῖνοι μὲν ταῦτα δειπνήσαντες,

καὶ

talis gessere, generosi ac fortes appellandi sunt? eo quoq; nomine clari, quod tã summa cõstantia amicis fidem seruauerint? Quãuis.n. à colligẽdis arcerentur frugib. perdurabãt tamen, quædã ex hostili rapientes terra, nõnulla uero ex Corintho coẽmentes, multis periculis illuc contendentes, difficulter quoq; preciũ corradentes, difficilius uero à uendẽtib. necessaria redimentes, iumenta quoq; ad deuehendum cõmeatum summa difficultate à uicinis cõtrahentes. Tandem omniũ rerũ pressi inopia, Chareti persuasere, ut pro deuehendo cõmeatu præsidium cum illis mitteret. Qui cum Phliuntẽ peruenissent, illum exorarũt ut inutilem turbã Pellenẽ emittere liceret: quam ibi quoq; dimiserũt. Inde digressi necessariis coẽmerũt, ac quotquot potuerũt, onerarunt iumenta, nocteq́; reuertebãtur, haud ignari ab hostib. transitũ insideri: satius tamẽ rati egregiè pugnãdo periclitari, q̃ tanta rerũ premi indigẽtia. Igitur cum Charete progressi, cũ hostes adesse certiores facti essent, se ad certamen accingũt, ac inuicem hortãtur, Charetemq́; opẽ ferre clamãt. Parta itaq; uictoria, hostibusq́; repulsis, cum omnib. quæ ferebãt salui domũ peruenere. Cumq́; totã uigilassent noctem, ad multũ dormierunt diei. At cum Chares surrexisset, equites primoresq́; ciuiũ illum ita alloquuti sunt: Propositum est tibi, ò Chares, pulcherrimã hodie exequi rem. Regionẽ.n. montanã Sicyonij muro circundare nitũtur ædificatorib. plurimis, uerũ haud ita multis cõfisi militib. hos nos equites præstantioresq́; ciuiũ aggredi in animo habemus: tu uero si peregrino subsequutus fueris milite, cum uictoriæ pulcherrimæ particeps eris, tum haud inferiorẽ Pellenensi fugam efficies. Si uero quæ narramus tibi factu difficilia uidentur, deos sacrificijs cõsule: arbitramur equidem potius illos q̃ nos, ut hæc peragas iubere. Nec te lateat, si hæc peregeris, hostib. superiorem fore, amicãq́; seruaturum ciuitatẽ: gloriosissimũ quoq; in patria, nominatissimũ præterea tam inter socios q̃ hostes euasurum. His persuasus Chares sacrificabat. Interim uero Phliasiorum equites arma induebant, equosq́; frenabant, pedites quoq; ad certamen se præparabant: inde cõposito agmine ad locum ubi sacra fiebant, unà tendebant. Quibus obuiam factus Chares cum uate, nunciãs pulchra apparuisse exta: uerũ aliquãtisper expectate, inquit, nos.n. unà egrediemur. Cõfestimq́; mercenarij milites ingenti alacritate, tanquã numine afflati, ad hostes pgebãt. Præcesserãt hos Phliasiorũ tam equites q̃ pedites, quãtaq; poterãt celeritate ad hostes festinabant: tandemq́; equites equos concitãt, peditesq́; seruatis quantũ poterant ordinib. cursu ferebantur: quos Chares præpropera sequebatur celeritate. Dies uero iam præcipitabat, ac in uesperum uergebat. Nacti sunt itaq; hostes partim operi incũbentes, alios se lauantes, nonnullos cœnã præparantes, hos panẽ pinsentes, illos uero lectos sternẽtes: qui cum Phliasios cũ impetu ac celeritate irruentes cernerẽt, metu perculsi, oẽs in fugam uersi sunt. Cum necessaria cuncta uiris tam egregijs reliquissent, illi ibidem cœnantes, reliqua

domum

domum retulerunt, paeanizantes, ac ob res feliciter gestas sacra instaurantes: inde excubijs locatis quieti se dederunt. At Corinthij cum de pugnae euentu certiores facti essent, perhumane contractis iumentis illa cuncta frumento onerarunt, Phliuntemq; misere: & antea quàm undique muro circundarentur, quotidie necessaria inferebantur. De Phliasijs itaque quemadmodum amicis fidem seruarint, quámque egregie se in bello gesserint, ac omnium indigi in societate permanserint, sat dictum est. Eodem ferme tempore Aeneas Stymphalius cum Arcadum dux esset, ac quae Sicyoni fierent intoleranda iudicaret, occupata cum exercitu suo arce, Sicyonios praestantiores qui in urbe erant, necnon illos qui absque decreto exciderant, conuocabat: quapropter Euphron timore perculsus in Sicyoniorum perfugit portum, Pasimelémque ex Corintho accersiuit, ut Lacedaemonijs portum traderet, simulans se id fide ac beneuolentia facere. Siquidem cum deliberatum fuisset, num à Lacedaemonijs ciuitas deficere deberet, ego cum paucis, inquit, restiti. Cum uerò rursus populum in meam traduxissem sententiam, proditoréisque supplicio afficere uellem, seditione facta secessere: omnes enim, aut, qui iam fugiunt, hi sunt qui uos prodidere. Proinde si potuissem, cum uniuersa ad uos defecissem ciuitate: sed cum id mihi facere haud liceat, id quod possum faciam, portumque uobis tradam. Audiebant haec multi, sed qui crederent admodum pauci erant. Verùm cum Euphronis mentionem fecerim, quae de eo acta sint, ad calcem usque educam. Cum Sicyoni optimates ac populus seditione certarent, Euphron accepto ex Athenis praesidio, ciuitatem cum populo in suam redegit potestatem. At cum Thebanus harmostes arcem obtineret, illéque cerneret quandiu arx in Thebanorum esset potestate, se ciuitati dominari haud posse, accepta pecunia Thebas profectus est, ut Thebanis persuaderet, ut expulsis optimatibus sibi rursus ciuitatem traderent. At qui antea exciderant, cum ipsius praesensissent consilia, ipsi quoq; Thebas profecti sunt. Verùm cum ipsum familiariter cum primoribus uersari cernerent, timentes ne si rem ex sententia perageret, ipsi rursus periclitarêtur, illum quum in arce cum primoribus ac senatu sederet aggressi, obtruncant. At primores comprehensis autoribus, in senatum introduxere, itáq; loquuti sunt:

THEBANORVM AD CIVES CONCIO.

Viri ciues, nos Euphronis interfectores hos mortis reos deferimus, uidêtes probos nihil unquã iniustè aut inique perpetrare: prauos uerò si quid mali agere nitâtur, id ut clanculũ fiat conari. At hi adeo cũctos audacia ac scelere exuperãt homines, ut corã principibus ipsis, uobisq; dominis, qui et uitae ac necis potestatẽ obtinetis, hominẽ obtruncare haud ueriti sint. Qui si ultimo haud afficiẽtur supplicio, quis

καὶ οἴκοθεν ἄλλα ἐλθόντα, ὡς ἐπ' εὐτυχίᾳ ἀνέσπεισάν τε, καὶ ἐπαιάνισαν τε, καὶ φυλακὰς καταστησάμενοι, κατέδαρθον. οἱ δὲ Κορίνθιοι, ἀφικομένου τοῦ νυκτὸς ἀγγέλου περὶ τῆς θυσίας, μάλα φιλικῶς κηρύξαντες τὰ ζεύγη, καὶ τὰ ὑποζύγια πάντα, καὶ σίτου γεμίσαντες, εἰς τὴν Φλειοῦντα παρήγαγον. καὶ ἕως περ ἐτειχίζετο τὸ τεῖχος ἑκάστης ἡμέρας, παραπομπαὶ ἐγίνοντο. περὶ μὲν δὴ Φλιασίων, ὡς καὶ πιστοὶ τοῖς φίλοις ἐγένοντο, καὶ ἄλκιμοι διετέλεσαν ἐν τῷ πολέμῳ, καὶ ὡς πάντων σπανίζοντες, ἐν τῇ συμμαχίᾳ διέμενον, εἴρηται. σχεδὸν δέ τι περὶ τοῦτον τὸν χρόνον, Αἰνέας Στυμφάλιος γεγενημένος στρατηγὸς τῶν Ἀρκάδων, νομίσας οὐκ ἀνεκτῶς ἔχειν τὰ ἐν τῇ Σικυῶνι, ἀναβὰς σὺν τῷ ἑαυτοῦ στρατεύματι εἰς τὴν ἀκρόπολιν, συγκαλεῖ τῶν Σικυωνίων τῶν τε ἔνδον ὄντων τοὺς κρατίστους, καὶ τοὺς ἄνευ δόγματος ἐκπεπτωκότας μετεπέμπετο. φοβηθεὶς δὲ ταῦτα ὁ Εὔφρων καταφεύγει εἰς τὸν λιμένα τῶν Σικυωνίων. καὶ μεταπεμψάμενος Πασίμηλον ἐκ Κορίνθου, διὰ τούτου παραδίδωσι τὸν λιμένα τοῖς Λακεδαιμονίοις. καὶ ἐν ταύτῃ αὖ τῇ συμμαχίᾳ ἀνεστρέφετο, λέγων ὡς Λακεδαιμονίοις διατελοίη πιστὸς ὤν. ὅτε γὰρ ψῆφος ἐδίδοτο ἐν τῇ πόλει, εἰ δοκοίη ἀφίστασθαι, μετ' ὀλίγων ἀποψηφίσασθαι ἔφη. ἔπειτα δὲ τοὺς προδόντας ἑαυτὸν τιμωρήσασθαι, βουλόμενος δῆμον καταστῆσαι. καὶ νῦν, ἔφη, φεύγουσιν ὑπ' ἐμοῦ πάντες οἱ ὑμᾶς προδιδόντες. εἰ μὲν οὖν ἐδυνάσθην ἐγώ, ὅλην ἂν ἔχων τὴν πόλιν, πρὸς ὑμᾶς ἀπέστην. νῦν δὲ οὗ ἐγκρατὴς ἐγενόμην, τὸν λιμένα παραδέδωκα ὑμῖν. ἠκροῶντο μὲν δὴ αὐτοῦ πολλοὶ ταῦτα. ὁπόσοι δὲ ἐπύθοντο, οὐ πάνυ κατάδηλον. ἀλλὰ γὰρ ἐπεί περ ἠρξάμην, διατελέσαι βούλομαι τὰ περὶ τοῦ Εὔφρονος. στασιασάντων γὰρ ἐν τῇ Σικυῶνι τῶν τε βελτίστων, καὶ τοῦ δήμου, λαβὼν ὁ Εὔφρων Ἀθήνηθεν ξενικόν, πάλιν κατέρχεται. καὶ τοῦ μὲν ἄστεος ἐκράτει σὺν τῷ δήμῳ. Θηβαίου δὲ ἁρμοστοῦ τὴν ἀκρόπολιν ἔχοντος, ἐπεὶ ἔγνω οὐκ ἂν δυνάμενος, τῶν Θηβαίων ἐχόντων τὴν ἀκρόπολιν, τῆς πόλεως κρατεῖν, συσκευασάμενος χρήματα, ᾤχετο ὡς τούτοις πείσων Θηβαίους, ἐκβάλλειν μὲν τοὺς κρατίστους, παραδοῦναι δὲ αὐτῷ πάλιν τὴν πόλιν. αἰσθόμενοι δὲ οἱ πρόσθεν φυγάδες τήν ὁδὸν αὐτοῦ, καὶ τὴν παρασκευήν, ἀντεπορεύοντο εἰς τὰς Θήβας. ὡς δ' ἑώρων αὐτὸν οἰκείως τοῖς ἄρχουσι συνόντα, φοβηθέντες μή πως διαπράξαιτο ἃ βούλεται, παρακινδυνεύσαντές τινες, καὶ ἀποσφάττουσιν αὐτὸν ἐν τῇ ἀκροπόλει, τῶν τε ἀρχόντων, καὶ τῆς βουλῆς, συγκαθημένων. οἱ μέντοι ἄρχοντες, τοὺς ποιήσαντας εἰσήγαγον εἰς τὴν βουλήν, καὶ ἔλεγον τάδε.

ΔΗΜΗΓΟΡΙΑ ΘΗΒΑΙΩΝ ΠΡΟΣ ΤΗΝ ΠΟΛΙΝ.

Ἄνδρες πολῖται, ἡμεῖς τουτουσὶ τοὺς Εὔφρονα ἀποκτείναντας, διώκομεν περὶ θανάτου, ὁρῶντες ὅτι οἱ μὲν σώφρονες οὐδὲν δή που ἄδικον, οὐδὲ ἀνόσιον ποιοῦσιν. οἱ δὲ πονηροὶ ποιοῦσι μέν, λανθάνειν δὲ ὅμως πειρῶνται. οὗτοι δὲ τοσοῦτον πάντας ἀνθρώπους ὑπερβεβλήκασι τόλμῃ τε καὶ μιαρίᾳ, ὥστε παρ' αὐτάς τε τὰς ἀρχάς, καὶ παρ' ἑαυτοὺς ὑμᾶς τοὺς κυρίους, οὕς τινας δεῖ ἀποθνήσκειν, καὶ οὕς τινας μή, αὐτογνωμονήσαντες, ἀπέκτειναν τὸν ἄνδρα. εἰ οὖν οὗτοι μὴ δώσουσι τὴν ἐσχάτην δίκην, τίς

τίς ποτε πρὸς τὴν πόλιν θαρρῶν πορεύσεται; τί δὲ ἔσται ἡ πόλις, εἰ ἐξέσται τῷ βουλομένῳ ἀποκτείνειν, πρὶν δηλῶσαι ὅτου ἕνεκα ἥκοι ἕκαστος; ἡμεῖς μὲν τούτους διώκομεν ὡς ἀνοσιωτάτους, καὶ ἀνομωτάτους, καὶ πλεῖστον δὴ ὑπεριδόντας τῆς πόλεως. ὑμεῖς δὲ ἀκηκοότες ὁποίας τινὸς ὑμῖν δοκοῦσιν ἄξιοι εἶναι δίκης, ταύτην αὐτοῖς ἐπίθετε. οἱ μὲν ἄρχοντες τοιαῦτα εἶπον. τῶν δὲ ἀποκτεινάντων, οἱ μὲν ἄλλοι ἠρνοῦντο μὴ αὐτόχειρες γενέσθαι. εἷς δὲ ὁμολογήκει, καὶ τῆς ἀπολογίας ὧδέ πως ἤρχετο.

ΑΠΟΛΟΓΙΑ ΕΝΟΣ ΤΩΝ ΑΠΟΚΤΕΙΝΑΝΤΩΝ ΤΟΝ ΕΥΦΡΟΝΑ.

Ἀλλ' ὑπερορᾶν μὲν, ὦ Θηβαῖοι, οὐ δυνατὸν ὑμῶν ἀνδρὶ, ὃς εἰδείη κυρίους μὲν ὄντας ὅ, τι βούλεσθε αὐτῷ χρῆσθαι, τίνι μέντοι πιστεύων ἐνθάδε ἀπέκτεινα τὸν ἄνδρα, εὖ ἴστε ὅτι πρῶτον μὲν, τῷ νομίζειν δίκαια ποιεῖν. ἔπειτα δὲ τῷ ὑμᾶς ὀρθῶς γνώσεσθαι. ᾔδειν γὰρ ὅτι καὶ ὑμεῖς τοὺς περὶ Ἀρχίαν, καὶ Ὑπάτην, οὓς ἐλάβετε Εὔφρονι ὅμοια πεποιηκότας, οὐ ψῆφον ἀνεμείνατε, ἀλλὰ ὁπότε πρῶτον ἐδυνάσθητε, ἐτιμωρήσασθε, νομίζοντες τῶν τε περιφανῶς ἀνοσίων, καὶ τῶν φανερῶς προδοτῶν, καὶ τυραννεῖν ἐπιχειρούντων, ὑπὸ πάντων ἀνθρώπων θάνατον κατεγνῶσθαι. οὐκοῦν καὶ Εὔφρων ἔνοχος πᾶσι τούτοις ἦν. παραλαβὼν μὲν γὰρ τὰ ἱερὰ μεστὰ καὶ χρυσῶν τούτων, καὶ ἀργυρῶν ἀναθημάτων, κενὰ πάντων ἀπέδειξε. προδότης γε μὴν τίς ἂν περιφανέστερος Εὔφρονος εἴη; ὃς φιλαίτατος μὲν ὢν Λακεδαιμονίοις, ὑμᾶς εἵλετο ἀντ' ἐκείνων. πιστὰ δὲ δοὺς καὶ λαβὼν παρ' ὑμῶν, πάλιν προὔδωκεν ὑμᾶς, καὶ παρέδωκε τοῖς ἐναντίοις τὸν λιμένα. καὶ μὴν, πῶς οὐκ ἀπροφασίστως τύραννος ἦν, ὃς δούλους, οὐ μόνον ἐλευθέρους, ἀλλὰ καὶ πολίτας ἐποίησεν; ἀπεκτίννυε δὲ, καὶ ἐφυγάδευε, καὶ χρήματα ἀφῃρεῖτο, οὐ τοὺς ἀδικοῦντας, ἀλλ' οὓς αὐτῷ ἐδόκει. οὗτοι δὲ ἦσαν οἱ βέλτιστοι. αὖθις δὲ μετὰ τῶν ἐναντιωτάτων ὑμῖν Ἀθηναίων κατελθὼν, ἐναντία μὲν ἔθετο τῷ παρ' ὑμῶν ἁρμοστῇ τὰ ὅπλα. ἐπεὶ δ' ἐκεῖνον οὐκ ἐδυνάσθη ἐκ τῆς πόλεως ἐκβαλεῖν, συσκευασάμενος χρήματα, δεῦρο ἀφίκετο. καὶ εἰ μὲν ὅπλα ἠθροικὼς ἐφάνη ἐφ' ὑμᾶς, καὶ χάριν ἄν μοι εἴχετε, εἰ ἀπέκτεινα αὐτόν. ὃς δὲ χρήματα ἦλθε παρασκευασάμενος ὡς τούτοις ὑμᾶς διαφθερῶν, καὶ πείσων πάλιν κύριον αὐτὸν ποιῆσαι τῆς πόλεως, τούτῳ ἐγὼ τὴν δίκην ἐπιθεὶς, πῶς ἂν δικαίως ὑφ' ὑμῶν ἀποθάνοιμι; καὶ γὰρ οἱ μὲν ὅπλοις βιασθέντες, βλάπτονται μὲν, οὐ μέντοι ἄδικοί γε ἀναφαίνονται. οἱ δὲ χρήμασι παρὰ τὸ δίκαιον διαφθαρέντες, ἅμα μὲν βλάπτονται, ἅμα δὲ αἰσχύνῃ περιπίπτουσιν. εἰ μὲν τοίνυν ἐμοὶ μὲν πολέμιος ἦν, ὑμῖν δὲ φίλος, κἀγὼ ὁμολογῶ μὴ καλῶς ἄν μοι ἔχειν τοῦτον παρ' ἡμῖν ἀποκτεῖναι. ὁ δὲ ὑμᾶς προδιδοὺς, τί ἐμοὶ πολεμιώτερος ἦν, ἢ ὑμῖν; ἀλλὰ νὴ Δία, εἴποι τις ἂν, ἑκὼν ἦλθε. κᾆτα εἰ μὲν ἀπεχόμενον τῆς πόλεως ὑμῶν ἀπέκτεινέ τις αὐτὸν, ἐπαίνου ἂν ἐτύγχανε. νῦν δὲ ὅτι πάλιν ἦλθεν, ἄλλα πρὸς τοῖς πρόσθεν κακὰ ποιήσων, οὐ δικαίως φησί τις αὐτὸν τεθνάναι, ποῦ ἔχων Ἕλλησι σπονδὰς ἀποδεῖξαι, ἢ προδόταις, ἢ πάλιν

quis posthac securè ad urbem hāc accedere poterit? Cuius praeterea conditionis ciuitas erit, si unicuiq; ex libito quenquam, antequam ostendere possit cur huc uenerit, interficere permissum erit? Nos igitur hos ut scelestissimos ac iniquissimos, quiq; ciuitatis leges admodum transgressi sunt, deferimus. Vos uero postquam malefacta eorum audiuistis, ea poena qua uobis digni uidentur, illos plectite. Et ciuitatis principes talia sunt loquuti. At facinoris autores, alij se criminis reos esse negabant: unus uero qui rem ingenue fatebatur, ita se defendere coepit:

DEFENSIO CVIVSDAM EORVM QVI EVPHRONEM INTERFECERVNT.

Nemo unquam ut hominem in urbe uestra interficere auderet, ò Thebani, eo temeritatis euaderet, cum uos et uitae ac necis dominos esse sciret, nisi primo recte se agere existimaret, dein uos haud iniuste iudicaturos speraret. Atqui non ign[illegible] cũ Archias ac Hypates olim similia Euphroni audētes a uobis deprehensi essent, non sententia aliqua damnatos esse, sed e uestigio ultimo affictos supplicio: siquidem existimabatis eum qui manifesti sceleris, proditionis ac tyrannidis conuictus esset, ab omnibus hominib. iam morte damnatum esse. Nonne igitur Euphron quoq; criminū illorum omnium reus fuit? quandoquidem templa cunctis statuis tam aureis quā argenteis spoliauit. Quis praeterea manifestior Euphrone proditor fuit? Nam cum summa amicitia Lacedaemonijs deuinctus esset, illis tamen relictis ad uos transfugit. Cumq; fidem dedisset, à uobis'q; accepisset, rursus uobis proditis, portū hostib. tradidit. Atqui nonne apertissime tyrannidem exercebat, cum seruos non solum in libertatem uendicaret, sed et ciuitate donaret? Praeterea nō solum eos qui iniuste egerāt, interficiebat, expellebat, fortunisq; omnib. spoliabat, sed etiā illos qui sibi ad id maxime idonei uidebantur: hi uerò optimates erant. Inde cum inimicissimis uobis Athenensib. in urbē irrūpens, arma praefecto uestro intulit: quem cum urbe pellere haud posset, corrasis undiq; pecunijs huc accessit. Proinde cum uobis arma intulit, merito mihi gratias habebitis, quoniam illum obtruncaui. Quo pacto etenim ad mortem iuste à uobis dānari uiderer, si illum sustuli qui collectis undiq; pecunijs ideo huc applicuit, ut uos illis corrūperet, persuaderetq; ut rursus eum ciuitatis dominū constitueretis? ETENIM QVI VI grassantur, nocent equidem, sed in alijs haud iniurij esse uidentur. At qui pecunijs iustitiam supprimere quaerunt, pariter & laedunt, in remq; incidunt turpissimam. quapropter si ille mihi hostis, uobis uero amicus fuisset, fateor me haud recte egisse, quod illum apud uos interfecissem. Cum uero uos prodiderit, num mihi seu uobis hostilior extiterit, considerate. Sed dicet aliquis, sponte sua huc uenit. Equidem si procul ab urbe nostra obtruncatus esset, laudibus interfectorem decoraremus: nunc uerò cum de securitate certus ad nos peruenerit, iniuste occubuit, etiam si antea in nos inimicus fuit. Verum illi respondeo, ut mihi leges Graecorum ostendat, quae proditoribus seu trans-

transfugis, aut tyrannis securitatē præstent. Mementote præterea uos aliquando publice decreuisse, exules in omnes ciuitates socias communi decreto reduci posse: at qui absq; publico decreto reuersus fuerit, hunc dicere ausim haud iniuste morte pœnas dedisse. Proinde si me interfeceritis, uiro uobis omnium inimicißimo uindictam persoluetis. Quod si me recte egisse iudicabitis, uindictam debitam exegisse non solum nomine uestro, sed & sociorū uniuersorū uidebimini. Quæ cū Thebani audiuissent, meritas Euphronem pœnas luisse decreuerūt. Ciues uero eū tanquā uirū bonū in forū detulerunt, ibiq; sepelierunt, ac tanquam ducem ciuitatis uenerati sunt. Ita enim ut plurimū euenit, ut homines benefactores suos, uiros bonos esse cōtendant. Et quæ circa Euphronē acta sunt, ita se habēt. Ego uero unde digressus sum reuertar. Phliasij cum adhuc Thyamiæ munitioni incūberent, Charete præsente Oropus ab exulib. occupatus est: cūq; contra illos Athenienses uniuersi expeditionem sumpsissent, Charetemq; ex Thyamia accersiuissent, portus Sicyonius rursus à ciuibus & Arcadibus captus est. At cum Atheniensib. nemo è socijs opem ferret, cū Thebanis ita cōuenire coacti sunt, ut Oropus redderetur, quoad iure lis dirimeretur. Lycomedes igitur cum rescuisset Athenienses socios incusare, tāquam multas molestias propter illos paterentur, nemo uero illis auxilium præstaret: quamplurimis persuasit, ut cum eis de societate ageretur: & sub initium magna pars Atheniensium ægreferebant, quod cum Lacedæmoniorum essent amici, illorum tamen hostibus societate conciliarentur: sed cum diligenter rem perpenderent, inuenerunt haud minus Lacedæmonijs q̃ ipsis conferre, ut à Thebanis Arcades distraherētur: quapropter cum Arcadibus societatem inire. Quæ cum Lycomedes ex animi sententia peregisset, ab Athenis profectus est, finemq; beatißimum sortitus est. Cum enim plura adessent nauigia, ipseq; ex illis quodcunq; placuisset eligere ostendere iussus esset, ubinā potißimum se exponere uellet, ibi descendere elegit, ubi quamplurimi essent exules. Et ille hoc occubuit pacto, & societas maxime ita contracta est. Interea Demotion apud populum Atheniensem uerba fecit, ostendens, si illi Arcadum amicitia utilis esse uideretur, iuberent duces eorum operā dare, ut Corinthus salua populo remaneret Atheniensi. Quæ cum Corinthij audiuissent, misso undiq; ubi Athenienses in statiuis erant, præsidio ualido, illos abire iusserunt, ostendentes amplius illorum opera haud indigere: qui confestim paruere. Cumq; ex præsidijs uniuersis milites in urbem confluxissent, Corinthij præconis uoce nunciare iusserunt, si quis ab illis iniuria affectus esset, ostenderet: eos etenim eius rei rationem reddere oportere. Aduenit interim Chares cum classe Cenchreas, qui cum gesta intellexisset, simulabat se cū de insidijs certior factus fuisset, illos auxilij gratia accessisse. Corinthij uero cum eum laudibus extulissent, minime tamē naues intra portum receperunt, uerum illum cum classe abire iusserunt, necnon milites qui nihil iniuste egerant, dimiserunt. Et Athenienses hoc maxime pacto Corintho excidere:

&

πάλιν αὐτομόλοις, ἢ τυράννοις; πρὸς δὲ τούτοις ἀναμνήσθητε ὅτι καὶ ἐψηφίσασθέ δήπου τοὺς φυγάδας ἀγωγίμους εἶναι ἐκ πασῶν τῶν συμμαχίδων. ὅστις δὲ ἄνευ κοινοῦ τῶν συμμαχίδων δόγματος κατέρχεται φυγάς, τοῦτον ἔχοι τίς ἂν εἰπεῖν, ὅπως οὐ δίκαιόν ἐστιν ἀποθνήσκειν; ἐγώ φημι, ὦ ἄνδρες, ἀποκτείναντας μὲν ὑμᾶς ἐμέ, τετιμωρηκότας ἔσεσθαι ἀνδρὶ τῷ πάντων ὑμῖν πολεμιωτάτῳ, γνόντας δὲ δίκαια πεποιηκέναι, αὐτοὺς τετιμωρηκότας φανεῖσθαι ὑπέρ τε ὑμῶν αὐτῶν, καὶ ὑπὲρ τῶν συμμάχων ἁπάντων. οἱ μὲν οὖν Θηβαῖοι ταῦτα ἀκούσαντες, ἔγνωσαν δίκαια τὸν Εὔφρονα πεπονθέναι. οἱ μέντοι πολῖται αὐτὸν ὡς ἄνδρα ἀγαθὸν κομισάμενοι, ἔθαψάν τε ἐν τῇ ἀγορᾷ, καὶ ὡς ἀρχηγέτην τῆς πόλεως σέβονται. οὕτως ὡς ἔοικεν, οἱ πλεῖστοι ὁρίζονται τοὺς εὐεργέτας αὐτῶν, ἄνδρας ἀγαθοὺς εἶναι. καὶ τὰ μὲν περὶ Εὔφρονος εἴρηται. ἐγὼ δὲ ἔνθεν εἰς ταῦτα ἐξέβην, ἐπάνειμι. ἔτι γὰρ τειχιζόντων τῶν Φλιασίων τὴν Θυαμίαν, καὶ τοῦ Χάρητος ἔτι παρόντος, ὁ Ὠρωπὸς ὑπὸ τῶν φευγόντων κατελήφθη. στρατευσαμένων δὲ πάντων Ἀθηναίων ἐπ' αὐτόν, καὶ τὸν Χάρητα μεταπεμψαμένων ἐκ τῆς Θυαμίας, ὁ μὲν λιμὴν αὖ ὁ τῶν Σικυωνίων, πάλιν ὑπ' αὐτῶν τε τῶν πολιτῶν καὶ τῶν Ἀρκάδων ἁλίσκεται. τοῖς δ' Ἀθηναίοις οὐδεὶς τῶν συμμάχων ἐβοήθησεν, ἀλλ' ἀνεχώρησαν Θηβαίοις παρακαταθέμενοι τὸν Ὠρωπὸν μέχρι δίκης. καταμαθὼν δὲ ὁ Λυκομήδης μεμφομένους τοὺς Ἀθηναίους τοῖς συμμάχοις, ὅτι αὐτοὶ μὲν πολλὰ πράγματα ἔχοιεν δι' ἐκείνους, αὐτοῖς βοηθεῖ δ' αὐτοῖς οὐδείς, πείθει τοὺς μυρίους πρᾶξαι περὶ συμμαχίας πρὸς αὐτούς. τὸ μὲν οὖν πρῶτον, ἐδυσχέραινόν τινες τῶν Ἀθηναίων τὸ Λακεδαιμονίοις ὄντας φίλους, γενέσθαι τοῖς ἐναντίοις αὐτῶν συμμάχους. ἐπεὶ δὲ λογιζόμενοι εὕρισκον οὐδὲν ἐν μεῖον Λακεδαιμονίοις, ἢ σφίσιν ἀγαθόν, τὸ Ἀρκάδας μὴ προσδεῖσθαι Θηβαίων, οὕτω δὴ προσεδέχοντο τὴν τῶν Ἀρκάδων συμμαχίαν. καὶ Λυκομήδης ταῦτα πράττων, ἀπιὼν Ἀθήνηθεν, δαιμονιώτατα ἀποθνήσκει. ὄντων γὰρ παμπόλλων πλοίων, ἐκλεξάμενος τούτων ὃ ἐβούλετο, καὶ συνθέμενος τούτῳ ἀποβιβάσαι ὅποι αὐτὸς κελεύοι, εἵλετο ἐνταῦθα ἐκβῆναι, ἔνθα οἱ φυγάδες ἐτύγχανον ὄντες. ἐκεῖνος μὲν οὕτως ἀποθνήσκει. ἡ μέντοι συμμαχία οὕτως ἐπεραίνετο. εἰπόντος δὲ Δημοτίωνος ἐν τῷ δήμῳ τῶν Ἀθηναίων, ὡς ἡ μὲν πρὸς τοὺς Ἀρκάδας φιλία, καλῶς αὐτῷ δοκοίη πράττεσθαι, τοῖς μέντοι στρατηγοῖς προστάξαι ἔφη χρῆναι, ὅπως καὶ ἡ Κόρινθος σῶα ᾖ τῷ δήμῳ τῶν Ἀθηναίων. ἀκούσαντες ταῦτα οἱ Κορίνθιοι, πέμψαντες ταχὺ ἱκανοὺς φρουροὺς ἑαυτῶν πάντοσε, ὅπου ἐφρούρουν Ἀθηναῖοι, εἶπον αὐτοῖς ἀπιέναι, ὡς οὐδὲν ἔτι δεόμενοι φρουρῶν. οἱ δ' ἐπείθοντο. ὡς δὲ συνῆλθον οἱ ἐκ τῶν φρουρῶν Ἀθηναῖοι εἰς τὴν πόλιν, ἐκήρυξαν οἱ Κορίνθιοι εἴ τις ἀδικοῖτο Ἀθηναίων, ἀπογράφεσθαι, ὡς ληψομένους τὰ δίκαια. οὕτω δὲ τούτων ἐχόντων, Χάρης ἀφικνεῖται μετὰ τοῦ ναυτικοῦ πρὸς Κεγχρεάς. ἐπεὶ δὲ ἔγνω τὰ πεπραγμένα, ἔλεξεν ὅτι ἀκούσας ἐπιβουλεύεσθαι τῇ πόλει βοηθῶν παρείη. οἱ δ' ἐπαινέσαντες αὐτόν, οὐδέν τι μᾶλλον ἐδέχοντο τὰς ναῦς εἰς τὸν λιμένα, ἀλλ' ἀποπλεῖν ἐκέλευον. καὶ τοὺς ὁπλίτας δὲ τὰ δίκαια ποιήσαντες, ἀπέπεμψαν. ἐκ μὲν οὖν τῆς Κορίνθου οἱ Ἀθηναῖοι οὕτως ἀπηλλάγησαν.

τοῖς

τοῖς μὲν δὴ Ἀρκάσιν ἠναγκάζοντο πέμπειν τοὺς ἱππέας ἐπικούρους διὰ τὴν συμμαχίαν, εἴ τις στρατεύοι ἐπὶ τὴν Ἀρκαδίαν. τῆς δὲ Λακωνικῆς οὐκ ἐπέβαινον ἐπὶ πολέμῳ. τοῖς δὲ Κορινθίοις ἐνθυμουμένοις ὡς χαλεπῶς ἔχοι αὐτοὺς σωθῆναι, κεκρατημένους μὲν καὶ πρόσθεν κατὰ γῆν, προσγεγενημένων δὲ αὐτοῖς Ἀθηναίων ἀντιδίκων, ἔδοξεν ἀθροίζειν καὶ πεζοὺς καὶ ἱππέας μισθοφόρους. ἡγούμενοι δὲ τούτων, ἅμα μὲν τὴν πόλιν ἐφύλαττον, ἅμα δὲ τοὺς πολεμίους κακῶς ἐποίουν. εἰς μέντοι Θήβας ἔπεμψαν ἐπερησομένους, εἰ τύχοιεν ἂν εἰρήνης ἐλθόντες. ἐπεὶ δὲ οἱ Θηβαῖοι ἰέναι ἐκέλευον ὡς ἐσομένης, ἐδεήθησαν οἱ Κορίνθιοι ἐᾶσαι σφᾶς ἐλθεῖν καὶ ἐπὶ τοὺς συμμάχους, ὡς μετὰ μὲν τῶν βουλομένων ποιησόμενοι τὴν εἰρήνην, τοὺς δὲ τὸν πόλεμον αἱρησομένους ἐάσοντες πολεμεῖν. ἐ[...]ψάντων δὲ καὶ ταῦτα πράττειν τῶν Θηβαίων, ἐλθόντες εἰς Λακεδαίμονα οἱ Κορίνθιοι εἶπον· ἡμεῖς, ὦ ἄνδρες Λακεδαιμόνιοι, πρὸς ὑμᾶς πάρεσμεν ὑμέτεροι φίλοι. καὶ ἀξιοῦμεν, εἰ μέν τινα ὁρᾶτε σωτηρίαν ὑμῖν, ἐὰν διακαρτερῶμεν πολεμοῦντες, διδάξαι καὶ ἡμᾶς. εἰ δὲ ἀπόρως γιγνώσκετε ἔχοντα τὰ ὑμέτερα, εἰ μὲν καὶ ὑμῖν συμφέρει, ποιήσασθαι μεθ' ἡμῶν τὴν εἰρήνην, ὡς οὐδὲ μετ' οὐδένων ἂν ἥδιον ἢ μεθ' ὑμῶν σωθείημεν. εἰ μέντοι ὑμεῖς λογίζεσθε συμφέρειν ὑμῖν πολεμεῖν, δεόμεθα ὑμῶν ἐᾶσαι ἡμᾶς εἰρήνην ποιήσασθαι. σωθέντες μὲν γὰρ, ἴσως αὖθις ἔτι ποτὲ ἐν καιρῷ ὑμῖν γενοίμεθα· ἐὰν δὲ νῦν ἀπολώμεθα, δῆλον ὅτι οὐδέ ποτε ἔτι χρήσιμοι ἐσόμεθα. ἀκούσαντες δὲ ταῦτα οἱ Λακεδαιμόνιοι, τοῖς τε Κορινθίοις συνεβούλευον τὴν εἰρήνην ποιήσασθαι, καὶ τῶν ἄλλων συμμάχων ἐπέτρεψαν τοῖς μὴ βουλομένοις σὺν ἑαυτοῖς πολεμεῖν ἀναπαύεσθαι. αὐτοὶ δ' ἔφασαν πολεμοῦντες, πράξειν ὅ,τι ἂν τῷ θεῷ φίλον ᾖ, ὑφήσεσθαι δὲ οὐδέ ποτε, ἣν παρὰ τῶν πατέρων παρέλαβον Μεσσήνην, ταύτης στερηθῆναι. οἱ οὖν Κορίνθιοι ἀκούσαντες ταῦτα, ἐπορεύοντο εἰς τὰς Θήβας, ἐπὶ τὴν εἰρήνην. οἱ μέντοι Θηβαῖοι ἠξίουν αὐτοὺς καὶ συμμαχίαν ὀμνύναι. οἱ δὲ ἀπεκρίναντο, ὅτι ἡ μὲν συμμαχία, οὐκ εἰρήνη, ἀλλὰ πολέμου μεταλλαγὴ εἴη. εἰ δὲ βούλοιντο παρεῖναι, ἔφασαν τὴν δικαίαν εἰρήνην ποιησόμενοι. ἀγασθέντες δὲ αὐτοὺς οἱ Θηβαῖοι, ὅτι καίπερ ἐν κινδύνῳ ὄντες, οὐκ ἤθελον τοῖς εὐεργέταις εἰς πόλεμον καθίστασθαι, συνεχώρησαν αὐτοῖς, καὶ Φλιασίοις, καὶ τοῖς ἐλθοῦσι μετ' αὐτῶν εἰς Θήβας τὴν εἰρήνην, ἐφ' ᾧ τε ἔχειν τὴν ἑαυτῶν ἑκάστους. καὶ ἐπὶ τούτοις ὠμόσθησαν οἱ ὅρκοι. οἱ μὲν δὴ Φλιάσιοι, ἐπεὶ οὕτως ἡ ξύμβασις ἐγεγένητο, εὐθὺς ἀπῆλθον ἐκ τῆς Θυαμίας. οἱ δὲ Ἀργεῖοι ὀμόσαντες ἐπὶ τοῖς αὐτοῖς τούτοις εἰρήνην ποιήσασθαι, ἐπεὶ οὐκ ἐδύναντο καταπρᾶξαι, ὥστε τοὺς τῶν Φλιασίων φυγάδας μένειν ἐν τῷ Τρικαράνῳ, ὡς ἐν τῇ ἑαυτῶν πόλει ἔχοντες, παραλαβόντες, ἐφρούρουν, φάσκοντες σφετέραν καὶ τὴν γῆν ταύτην εἶναι, ἣν ὀλίγῳ πρότερον ὡς πολεμίαν οὖσαν, ἐδῄουν. καὶ δίκας τῶν Φλιασίων προσκαλουμένων, οὐκ ἐδίδοσαν. σχεδὸν δὲ περὶ τοῦτον τὸν χρόνον τετελευτηκότος ἤδη τοῦ προτέρου Διονυσίου, ὁ υἱὸς αὐτοῦ πέμπει βοήθειαν τοῖς Λακεδαιμονίοις δώδεκα τριήρεις, καὶ ἄρχοντα αὐτῶν Τιμοκράτην. οὗτος δ' οὖν ἀφικόμενος, συνεξαιρεῖ αὐτοῖς Σελασίαν. καὶ τοῦτο πράξας, ἀπέπλευσεν οἴκαδε. μετὰ δὲ τοῦτο οὐ πολλῷ ὕστερον καταλαμβάνουσιν οἱ Ἠλεῖοι Λασιῶνα,

& Arcadibus ob societatem equites in subsidiũ, si quis contra Arcadiam militaret, mittere astricti erant: ad Laconicum tamen bellum haud procedebant. At Corinthij cum animo uoluerent quantis periculis obnoxij forent, cũ iam antea terra uicti essent, noui præterea hostes Athenienses accederent, milites tam equites quàm pedites conducere cœperunt, quibus & ciuitatem defendebant, hostesq; male afficiebant. Miserunt & Thebas sciscitatum, num si illuc accederent, pacem consequi ualerent. Cumq; Thebani illos tanquam uoti compotes futuros aduenire iussissent, rursus Corinthij rogarunt, ut socios conuenire permitterentur, ut quos pacis cupidos reperirent, secum adducere possent: quos uero bellum præferre intelligerent, bellare sinerent. Cumq; id quoq; ab Thebanis illis concessum esset, Lacedæmonem perrexere, itaq; uerba fecerunt. Nos, uiri Lacedæmonij, amici uestri huc ad uos concessimus, postulamusque, ut si quam salutem, si bellare perseueramus, cernatis, nos quoq; certiores reddatis. Si uerò de rebus uestris dubij hæreus, dummodo id uobis conducere existimatis, precamur ut una nobiscum pacem faciatis: nobis enim cum nemine alio suauius est, quàm uobiscum saluari. Proinde si bellum magis uobis prodesse existimatis, supplicamus ne nobis impedimento esse uelitis, quo minus pacem componamus. Etenim si à bello aliquantisper respirauerimus in tempore, quandoq; uobis usui esse poterimus. At si nunc perimus, amplius uobis prodesse nequimus. Quæ cum Lacedæmonij audiuissent, Corinthijs ut pacem facerent, suasere: nec reliquis socijs impedimento fuere quo minus à bello desisterent: se uero bello periclitaturos asserebant, quoad deo uideretur: nunquam enim concessuros ut Messene, quam à patribus acceperant, e manibus eriperetur. Quæ cum Corinthij audiuissent, Thebas pro pace contenderunt, & Thebani ut societatem iurarent, petiere. Quibus responderunt, societatem nõ pacis, sed belli esse permutationem: at si uellent se adesse, ut de pace æqua agerent. Et Thebani cum cognoscerent quamuis Corinthij in summo periculo essent, nolle tamen benefactoribus bellum inferre, eis cum Phliasijs & reliquis quibus cum Thebas accesserant, pacem eisdem concessere conditionibus, iuramentumq; hac de re interpositũ est. Et Phliasij protinus ac ita conuentum est ex Thyamia decessere. Et Argiui quamuis hanc quoq; iurassent pacem, cum tamen obtinere non possent, ut Phliasiorum exules in Tricarano tanquã in eorum urbe permanerent, ipsos in fidem susceperũt, præsidioq; muniuerunt, asserentes eam quoq; terram illorum esse, quam paulo ante ut hostilem uastauerant. Cumq; hanc ob rem à Phliasijs in ius uocati essent, minime paruere. Circiter eadẽ tẽpora defuncto iã Dionysio seniori, filius ipsius Timocratẽ præfectũ cũ triremib. XII. in subsidiũ misit Lacedæmoniorum, cuius auxilio Selasiam ceperunt: qua capta ille domũ abijt. Non lõge inde Elieses Lasiona

Lasionem ceperunt, olim iuris eorum, tunc verò temporis Arcadum sequentem partes. Nec Arcades eam neglexere iniuriam, sed confestim copijs eductis in auxilium aduolant. Non quieuere ob id Elienses, sed cum septingentis obuiam fiunt uiris, paruoq; interuallo ea die ab hostibus castra Eliorum, Arcades in campestribus locant. Nocte uero conscensis montibus qui Eliensibus à tergo incumbebant, illorum summitates occupant, ac orta die in Elienses ruunt. At illi cernentes à 10 superiore parte, ac ui ingenti hostes imminere, quid agerent dubij erant: terga enim uertere turpe existimabant. Congreßi itaq; ac quàm primũ ad manus uentum est, in fugam uersi sunt, ac propter loci iniquitatem abiectis armis, complures ex eis cecidere. Arcades uero his actis montanas aggreßi ciuitates, omnes præter Thraustum in suam redegere potestatem. Inde Olympiam descendentes, Saturni munierunt templum: ibiq; occupato Olympiaco monte, in statuis agebãt. Marganeas 20 quoq; nonnullis tradentibus ceperunt, ita ut Eliẽses in ultimam pene redigerentur neceßitatẽ. Progreßi inde ciuitatem uersus Arcades, ad forũ usq; peruenere: ibi Elienses tam equitibus quàm peditibus eruptione facta eos repulere, ac nonnullis interfectis trophæum erexere. Elis uero iampridem in diuersas distracta erat factiones: nam qui cum Charopo, Thrasonide ac Argio sentiebant, ciuitatem ad popularem trahebant statum: at qui Stalcæ, Hippiæ, & Stratolao adhærebant, ad pau- 30 corum regimen illam ducere quærebant. Cum uero Arcades ui magna adessent, hi qui popularem inducere quærebant statum, ac Charopo fauebãt, propter illos animos extollere cœperunt, ac cum Arcadibus clàm composita re arcem occupant: qua re minimè equites ac trecenti perterriti, e uestigio in arcem ascendunt, illosq; expellunt, ita ut cum Argio ac Charopo quadringenti circiter excederint ciues. Haud longe inde hi secũ assumptis Arcadibus nõnullis Pylum occuparunt: ad quos 40 multi ex populo ab urbe confluxere, tanquam ad regionem fertilem, ob potentiãq; ingentem, Arcadum confidentes societati. Post hæc iterum Eliensium fines inuasere Arcades, ab exulibus persuasi, tanquam ciuitate ad illos defectura. Verũ cum Achæi Eliensium tum amici essent, urbem illorum tutati sunt, ita ut Arcades re infecta discedere coacti sint: regionem tamen uniuersam ferro ac igni uastarunt. Confestimq; relicto agro Eliensi, cum rescivissent Pellenenses in Elide agere, nocte lon- 50 gißimum confecere iter, ac Olurum illis subditũ ceperunt. Iam enim rursus Pellenẽses Lacedæmoniorum sequebantur partes. Pellenẽses itaq; cum hac de re certiores facti essent, domũ ut posuere contendũt, indéq; Arcades qui Olurũ obtinebant uniuerso educto populo, etsi pauci eßẽt, oppugnabant, nec antea destitere, q̃ Olurum subegissent. Arcades uero iterum contractis copijs Elim inuaserunt: cũq; inter Cyllenẽ ac urbẽ castra locaßẽt, ab Elijs inuasi sunt: quibus uiriliter resistẽtes, illos

uice-

λασιῶνα, τὸ μὲν παλαιὸν, ἑαυτῶν ὄντα. ἐν δὲ τῷ παρόντι, συντελοῦντα εἰς τὸ ἀρκαδικόν. οἱ μέντοι ἀρκάδες οὐ περιωλιγώρησαν, ἀλλ' εὐθὺς παραγγείλαντες ἐβοήθουν. ἀντεβοήθησαν δὲ καὶ οἱ τῶν ἠλείων τετρακόσιοι, καὶ οἱ τριακόσιοι. ἀντιστρατοπεδευομένων δὲ τὴν ἡμέραν ἐπὶ πεδινωτέρῳ χωρίῳ τῶν ἠλείων, τῆς νυκτὸς οἱ ἀρκάδες ἀναβαίνουσιν ἐπὶ τὴν ὑπὲρ τῶν ἠλείων ὄρους κορυφήν. ἅμα δὲ τῇ ἡμέρᾳ κατέβαινον ἐπὶ τοὺς ἠλείους. οἱ δὲ ἰδόντες, ἅμα μὲν ἐξ ὑπερδεξίου προσιόντας, ἅμα δὲ πολλαπλασίους, ἐκ 10 πολλοῦ μὲν ἀπελθεῖν, ᾐσχύνθησαν. ὁμόσε δ' ἦλθον, καὶ εἰς χεῖρας δεξάμενοι ἔφυγον. καὶ πολλοὺς μὲν ἄνδρας, πολλὰ δὲ ὅπλα ἀπώλεσαν, κατὰ δυσχωρίας ἀποχωροῦντες. οἱ δὲ ἀρκάδες διαπραξάμενοι ταῦτα, ἐπορεύοντο ἐπὶ τὰς τῶν ἀκρωρειτῶν πόλεις. λαβόντες δὲ ταύτας πλὴν θραύστου, ἀφικνοῦνται εἰς ὀλυμπίαν. καὶ περισταυρώσαντες τὸ κρόνειον, ἐνταῦθα ἐφρούρουν, καὶ ἐκράτουν τοῦ ὀλυμπιακοῦ ὄρους. ἔλαβον δὲ καὶ μαργανέας, ἐνδόντων τινῶν. οὕτω δὲ τούτων προκεχωρηκότων, οἱ μὲν 20 ἠλεῖοι παντάπασιν ἠθύμησαν. οἱ δὲ ἀρκάδες ἔρχονται ἐπὶ τὴν πόλιν. καὶ μέχρι μὲν τῆς ἀγορᾶς ἦλθον. ἐκεῖ μέντοι ὑποστάντες οἵ τε ἱππεῖς, καὶ ἄλλοι τινὲς αὐτῶν, ἐκβάλλουσί τε αὐτοὺς, καὶ ἀπέκτειναν τινὰς, καὶ τρόπαιον ἐστήσαντο. ἦν μὲν οὖν καὶ πρότερον διαφορὰ ἐν τῇ ἤλιδι. οἱ μὲν περὶ χάροπόν τε, καὶ θρασωνίδαν, καὶ ἀργεῖον, εἰς δημοκρατίαν ἦγον τὴν πόλιν· οἱ δὲ περὶ στάλκαν τε καὶ ἱππίαν, καὶ στρατόλαν, εἰς ὀλιγαρχίαν. ἐπεὶ δ' οἱ ἀρκάδες μεγάλην δύναμιν ἔχοντες, σύμμαχοι ἐδόκουν 30 εἶναι τοῖς δημοκρατεῖσθαι βουλομένοις, ἐκ τούτου δὴ θρασύτεροι οἱ περὶ τὸν χάροπον ἦσαν. καὶ συνθέμενοι τοῖς ἀρκάσιν ἐπιβοηθεῖν, καταλαμβάνουσι τὴν ἀκρόπολιν. οἱ δ' ἱππεῖς, καὶ οἱ τριακόσιοι οὐκ ἐμέλλησαν, ἀλλ' εὐθὺς ἐχώρουν ἄνω, καὶ ἐκκρούουσιν αὐτούς. ὥστε ἔφυγον σὺν τῷ ἀργείῳ καὶ χαρόπῳ, τῶν πολιτῶν περὶ τετρακοσίους. οὐ πολὺ δ' ὕστερον οὗτοι παραλαβόντες τῶν ἀρκάδων τινὰς, καταλαμβάνουσι πύλον. καὶ πολλοὶ μέντοι πρὸς αὐτοὺς ἐκ τῆς πόλεως ἀπῆλθον τοῦ δήμου, ἅτε χωρίον τε 40 καλὸν, καὶ μεγάλην ῥώμην τὴν τῶν ἀρκάδων σύμμαχον ἔχοντες. ἐνέβαλον δὲ ὕστερον καὶ εἰς τὴν χώραν τὴν τῶν ἠλείων οἱ ἀρκάδες, οἱ ὑπὸ τῶν φευγόντων ἀναπειθόμενοι, ὡς ἡ πόλις προσχωρήσοιτο. ἀλλὰ τότε μὲν οἱ ἀχαιοὶ φίλοι τοῖς ἠλείοις γενόμενοι, τὴν πόλιν αὐτῶν διεφύλαξαν. ὥστε οἱ ἀρκάδες οὐδὲν ἄλλο πράξαντες, ἢ δῃώσαντες αὐτῶν τὴν χώραν, ἀπῆλθον. εὐθὺς μέντοι ἐκ τῆς ἠλείας ἐξελθόντες, αἰσθόμενοι τοὺς πελληνεῖς ἐν ἤλιδι ὄντας, νυκτὸς μακροτάτην ὁδὸν ἐλθόντες 50 καταλαμβάνουσιν αὐτῶν ὄλουρον. ἤδη γὰρ πάλιν προσκεχωρήκεσαν οἱ πελληνεῖς τὴν τῶν λακεδαιμονίων συμμαχίαν. ἐπεὶ δ' ᾔσθοντο τὰ περὶ ὀλούρου, περιελθόντες αὖ καὶ οὗτοι ὅποι ἐδύναντο εἰς τὴν αὐτῶν πόλιν πελλήνην εἰσῆλθον. καὶ ἐκ τούτου δὴ ἐπολέμουν τοῖς ἐν ὀλούρῳ ἀρκάσι τε καὶ τῷ ἑαυτῶν παντὶ δήμῳ, καὶ μάλα ὀλίγοι ὄντες. ὅμως δὲ οὐδὲ πρόσθεν ἐπαύσαντο, πρὶν ἐξεπολιόρκησαν τὸν ὄλουρον. οἱ δ' αὖ ἀρκάδες πάλιν ποιοῦνται ἄλλην στρατείαν εἰς τὴν ἦλιν. μεταξὺ δὲ κυλλήνης τε καὶ τῆς πόλεως, στρατοπεδευομένοις αὐτοῖς, ἐπιτίθενται οἱ ἠλεῖοι. ὑποστάντων [?] δὲ οἱ ἀρκάδες,

νίκη-

ἐνίκησαν αὐτούς. καὶ ἀνδρόμαχος μὲν ὁ ἠλεῖος ἵππαρ-
χος, ὅσπερ αἴτιος ἐδόκει εἶναι συνάψαι τὴν μάχην, αὐτὸς
αὑτὸν διέφθειρεν. οἱ δ' ἄλλοι εἰς τὴν πόλιν ἀπεχώρη-
σαν. ἀπέθανε δ' ἐν ταύτῃ τῇ μάχῃ παραγενόμενος καὶ σω-
κλείδας ὁ σπαρτιάτης. ἤδη γὰρ τότε οἱ λακεδαιμόνιοι
τοῖς ἠλείοις σύμμαχοι ἦσαν. πιεζόμενοι δὲ οἱ ἠλεῖοι ἐν
τῇ ἑαυτῶν, ἠξίουν καὶ τοὺς λακεδαιμονίους πέμποντες
πρέσβεις ἐπιστρατεύειν τοῖς ἀρκάσι, νομίζοντες οὕτως ἂν
μάλιστα ἀπολαβεῖν τοὺς ἀρκάδας, εἰ ἀμφοτέρωθεν πολε-
μοῖντο. καὶ ἐκ τούτου δὴ ἀρχίδαμος στρατεύεται μετὰ
τῶν πολιτῶν, καὶ καταλαμβάνει κρῶμνον. καταλιπὼν
δ' ἐν αὐτῷ φρουρὰν τῶν δώδεκα λόχων τρεῖς, οὕτως ἐπ'
οἴκου ἀπεχώρησεν. οἱ μέντοι ἀρκάδες ὥσπερ ἔτυχον ἐκ
τῆς εἰς ἦλιν στρατείας συνειλεγμένοι, βοηθήσαντες πε-
ριεσταύρωσαν τὸν κρῶμνον διπλῷ σταυρώματι. καὶ ἐν ἀσφα-
λεῖ ὄντες, ἐπολιόρκουν τοὺς ἐν τῷ κρώμνῳ. χαλεπῶς δ'
ἡ τῶν λακεδαιμονίων πόλις φέρουσα περὶ τῇ πολιορκίᾳ
τῶν πολιτῶν, ἐκπέμπει στρατιάν. ἡγεῖτο δὲ καὶ τότε ἀρ-
χίδαμος. ἐλθὼν δέ, ἐδῄου καὶ τῆς ἀρκαδίας ὅσα ἐδύνατο,
καὶ τῆς σκιρίτιδος. καὶ πάντα ἐποίει, ὅπως εἰ δύναιτο
ἀπαγάγοι τοὺς πολιορκοῦντας. οἱ δ' ἀρκάδες οὐδέν τι
μᾶλλον ἐκινοῦντο, ἀλλὰ τούτων πάντων ὠλιγώρουν. κατι-
δὼν δέ τινα λόφον ὁ ἀρχίδαμος, δι' οὗ τὸ ἔξω σταύρωμα
περιεβέβληντο οἱ ἀρκάδες, ἐνόμιζεν ἑλεῖν τοῦτον. εἰ δὲ τού-
του ἐκρατήσειεν, οὐκ ἂν δύνασθαι μένειν τοὺς ὑπὸ τοῦτον
πολιορκοῦντας. κύκλῳ δὲ περιάγοντος αὐτοῦ ἐπὶ τοῦτο τὸ
χωρίον, ὡς εἶδον οἱ προθέοντες πελτασταὶ τοῦ ἀρχιδά-
μου τοὺς ἐπαρίτους ἔξω τοῦ σταυρώματος, ἐπιτίθενται
αὐτοῖς, καὶ ἱππεῖς συνεμβάλλειν ἐπειρῶντο. οἱ δ' οὐκ
ἐνέκλιναν, ἀλλὰ καὶ ἐπήεσαν ἤδη οὔσης πολλῆς κραυ-
γῆς. ἐβοήθει δὲ καὶ αὐτὸς ἀρχίδαμος ἐκτραπόμενος,
κατὰ τὴν ἐπὶ κρῶμνον φέρουσαν ἁμαξιτὸν εἰς δύο ἔχων,
ὥσπερ ἐτύγχανεν ἄγων. ὡς δ' ἐπλησίασαν ἀλλήλοις, οἱ
μὲν σὺν τῷ ἀρχιδάμῳ κατὰ κέρας, ἅτε καθ' ὁδὸν πο-
ρευόμενοι, οἱ δ' ἀρκάδες ἀθρόοι συνασπιδοῦντες. ἐν
τούτῳ οὐκ ἐπεδύναντο οἱ λακεδαιμόνιοι ἀντέχειν τῷ
τῶν ἀρκάδων πλήθει, ἀλλὰ ταχὺ μὲν ὁ ἀρχίδαμος ἐτέ-
τρωτο τὸν μηρὸν διαμπάξ, ταχὺ δὲ οἱ μαχόμενοι πρὸ
αὐτοῦ ἀπέθνησκον, πολυαινίδας τε καὶ χίλων, ὁ τὴν ἀ-
δελφὴν τοῦ ἀρχιδάμου ἔχων. καὶ οἱ πάντες δ' αὐτῶν τό-
τε ἀπέθανον, οὐκ ἔλαττον τῶν τριάκοντα. ὡς δὲ κατὰ τὴν
ὁδὸν ἀναχωροῦντες, εἰς τὴν εὐρυχωρίαν ἐξῆλθον, ἐν
τούτῳ δὴ λακεδαιμόνιοι ἀντιπαρετάξαντο. καὶ μὴν
οἱ ἀρκάδες ὥσπερ εἶχον, συντεταγμένοι ἕστασαν, καὶ
πλήθει μὲν ἐλείποντο, εὐθυμότερον δὲ πολὺ εἶχον. ἐπελη-
λυθότες δέ, ἀποχωροῦσι, καὶ ἄνδρας ἀπεκτονότες. οἱ δὲ
λακεδαιμόνιοι μάλα ἀθύμως εἶχον, τετρωμένον μὲν
ὁρῶντες τὸν ἀρχίδαμον, ἀκηκοότες δὲ τὰ ὀνόματα τῶν
τεθνηκότων ἀνδρῶν τε ἀγαθῶν, καὶ σχεδὸν τῶν ἐπιφανε-
στάτων. ὡς δὲ πλησίον ὄντων, ἀναβοήσας τίς τῶν πρεσβυ-
τέρων, εἶπε, τί δεῖ ἡμᾶς, ὦ ἄνδρες, μάχεσθαι, ἀλλ' οὐ σπει-
σαμένους διαλυθῆναι; ἅσμενοι δὴ ἀκούσαντες, ἐσπεί-
σαντο. καὶ οἱ μὲν λακεδαιμόνιοι τοὺς νεκροὺς ἀνελόμενοι,
ἀπῆλθον. οἱ δ' ἀρκάδες ἐπαναχωρήσαντες, ἔνθα τὸ
πρῶτον ἤρξαντο ἐπιέναι, τρόπαιον ἔστησαν. ὡς δ' οἱ ἀρκά-
δες περὶ τὸν κρῶμνον ἦσαν, οἱ ἐκ τῆς πόλεως ἠλεῖοι πρῶτον
μὲν

uicerunt. Eo certamine Andromachus Eliensiũ præ-
fectus, quiq; huius belli causa ferebatur, sibi mortem
consciuit: reliqui uerò in urbem refugerunt. Occu-
buit quoque pugna ea Soclides Spartanus, tum e-
nim Lacedæmonij Eliensibus socij erant. Cumq; E-
lij in proprijs uehementer urgerentur finibus, missis
Lacedæmonem legatis rogarunt, ut illi Arcadibus
bellum inferrent: arbitrabantur enim maxime hoc
pacto Arcades repellere posse, si utrinq; lacesseren-
10 tur. Archidamus itaque urbanis eductis copijs, Cro-
mnum cepit, ac ex cohortib. duodecim, tres ibi præ-
sidio reliquit, reliquas domum reduxit. At Arcades
cum ex Eliensi expeditione adhuc collecti essent, cõ-
festim in auxilium aduolarunt, Cromnumq; duplici
circundederunt uallo, ac secure agentes, intra ur-
bem constitutos obsederunt. Lacedæmonij uerò cũ
ægre obsidionem eam ferrent, quippe ciuium suorũ,
denuò eduxerunt copias, quarum dux erat tum quo-
que Archidamus: qui profectus igni ac ferro qua-
20 scunq; poterat Arcadiæ ac Sciritidis oras uastabat,
neq; intermittebat quicquam, quo si quidem liceret
in se Arcadas prouocaret. At illi cum nihilo moue-
rentur magis, omnemq; illius conatum spernerent,
obseruato quodam tumulo Archidamus, quo ual-
lum exterius cinxerant Arcades, occupare eum in-
stituit, ut quo superato durare amplius in obsidione
hostes non possent. Ducto igitur circum eum lo-
cum exercitu, ut uiderunt qui præcurrerant Archi-
dami sagittarij Arcadum custodes, quos Eparitos
30 uocant, extra uallum, facto in eos impetu, unà inua-
dere etiã equites ausi sunt. Qui cum non modo non
inclinarent aciem, sed magis etiam urgerẽt, magnus
undiq; coortus est clamor. Quo audito Archida-
mus Cromnum tendente uia regia conuersus, instru-
cto ut erat utrinq; agmine suppetias tulit. Postquam
uero congressi sunt propius, Lacedæmonij quidem
composito cornu, secundum uiam nempe inceden-
tes, Arcades autem facta scutis testudine stipati, ni-
hil ibi quidem illi resistere horũ multitudini potue-
40 re, sed confestim & Archidamus uulnerato utrinq;
fœmore concidit, & qui pro eo certabant Polyæni-
das & Chilon, cui Archidami soror nupta erat, ac
pleriq; alij non pauciores triginta occubuere. At
uero ubi eadem uia regressi in campi sese spacia cõ-
tulissent Lacedæmonij, cõposita denuò acie hostem
opperiebantur. Verùm illi copijs ita ut erant instru-
ctis constitere: & quanquam numero quidem infe-
riores essent, longe tamen alacritate præstabant. La-
cedæmonij uero animo erant penitus deiecto, &
50 quod uulneratũ cernerent Archidamũ, & quod cæ-
sorum nomina audirent, fortissimorum quidem uiro-
rum maximeq; illustrium. Iamq; conserente manum
utroq; exercitu, cum de senioribus quidã exclamas-
set, Quænam uiri nobis causa est, ita mutuis perire
cædibus, quàm pactis utrinq; inducijs cõcedere ma-
le? uoce ea summo cum gaudio excepta, ac inito pro-
tinus fœdere, Spartani quidem sublatis cadaueribus
discessere: Arcades autem eò unde primũ eruperant
reuersi, trophæum statuerunt. Cumq; iam non lon-
ge Cromno abessent, Elij urbe egressi, ac primò

quidem

quidem Pylum profecti, militibus illic uixdum thalamo auulsis incidunt: quos minime neglectos facta statim irruptione aggressi Eliorum equites, plerosque obtruncant, reliqui in tumulum se quendam recipiunt: quos non ita multo post inde depulsos, qui superuenerant pedites partim quidem cædunt, partim uiuos capiunt, circiter c c. quorum ex numero peregrinis quidem diuenditis, reliquos quotquot supererant transfugas trucidarunt. Inde uerò & Pylios, cum nemo opē ferret amplius, cum toto simul agro depopulantur, & Margeneas recipiunt. Demum Lacedæmonij nocte quidem Cromnum reuersi, ualloque potiti, Argiuos, & ex suis quotquot obsidebantur, protinus euocarunt: atque horum quicunque in proximo erant, quique arrepti celeriter consequebantur, effugerunt: reliqui ab Arcadibus nō parum multis occupati, quanquam mutuam sibi opem sedulo præstantes, intra mœnia occlusi sunt, moxque comprehensos æquali inter se partitione Argiui, Thebani, Arcades, Messenij distribuerunt. Spartani ac finitimi tum quidem capti plures centum fuere. Porro Arcades relicta Cromni obsidione, rursum circa Elios occupabantur, Olympiamque maioris aliquanto roboris præsidio muniebant. Iamque anno instante olympiaco, ad celebranda Olympia sese unà cū Pissatis ijsque primis accinxere, ut quos ei praeesse sacro ferunt. Cum igitur mensis iam adesset ac dies, quibus & sacris ijs operari, & solenniter undique conuenire solebant, Elij quidem palàm collectis copijs, aduocatisque Acheis, per olympiacam sese uiam egere: quos cum Arcades minime pergere ad se arbitrarentur, & quia cum Pissatis ipsi sacrorum solennitatem adornarant, equestre quidem cæteraque quinquertij, & curulia maxime certamina iam absoluissent, hi qui ad palæstram accesserant non solutis iam spacijs, uerum inter metam atque aram luctæ se committebant: siquidem Elij ad delubrum iam cum armis aderant. Neque uerò Arcades occurrere illis longius, sed ad Cladaum amnem, qui Altin præterfluens in Alpheum delabitur, in aciem sese composuere. Neque deerant ipsis etiam socij, grauis armaturæ milites, ex Argiuis quidem duo millia, Atheniensium autem quadringenti. Cæterum Elij ab altera fluuij parte ordines instruebant, peractisque illico sacris loco mouebantur. Et quanquam hactenus quidem ad res bellicas ab Arcadibus, Argiuisque, necnon Acheis & Atheniensibus, tanquam inidonei existimati, contemptique fuissent, eo tamen die ita se gessere, ut sociorum omnium fortißimi ducerentur: nam & Arcadas primo statim conflictu in fugam uerterunt, & Argiuis suppetias illis ferre conantibus occurrentes, superiores ipsis quoque euasere: eosque insecuti in eum usque locum qui inter forum ac Vestæ templum eodemque pertinens theatrum est, nihilo quidem pugnabant minus, & ad aram usque propulsabant. Verum & à porticibus ac foro, magnaque æde in æquum tandem campum egreßi, manus conserebant, adeo ut Eliorum etiam non pauci occumberent, & inter hos dux ipse, qui trecentis præfuerat, Stratolas. Quibus ita gestis, ad ca/

μὲν ἰόντες ἐπὶ τὴν Πύλον, ἐπιτυγχάνουσι τοῖς Πυλίοις ἀποκεκρουμένοις ἀπὸ τῶν Θαλαμῶν. καὶ προσελαύνοντες οἱ ἱππεῖς τῶν Ἠλείων, ὡς εἶδον αὐτούς, οὐκ ἐμέλλησαν, ἀλλ' εὐθὺς ἐμβάλλουσι. καὶ τοὺς μὲν ἀποκτιννύουσιν· οἱ δέ τινες αὐτῶν καταφεύγουσιν ἐπὶ γήλοφον. ἐπεὶ μέντοι ἦλθον οἱ πεζοί, ἐκκόπτουσι καὶ τοὺς ἐπὶ τῷ γηλόφῳ, καὶ τοὺς μὲν αὐτῶν ἀπέκτειναν· τοὺς δὲ καὶ ζῶντας ἔλαβον, ἐγγὺς διακοσίων. καὶ ὅσοι μὲν ξένοι ἦσαν αὐτῶν, ἀπέδοντο· ὅσοι δὲ φυγάδες, ἀπέσφαξαν. μετὰ δὲ ταῦτα τούς τε Πυλίους ὡς οὐδεὶς αὐτοῖς ἐβοήθει, σὺν αὐτῷ τῷ χωρίῳ αἱροῦσι, καὶ τοὺς Μαργανέας ἀναλαμβάνουσι. καὶ μὴν οἱ Λακεδαιμόνιοι ὕστερον αὖ ἐλθόντες νυκτὸς ἐπὶ τὸν Κρῶμνον, ἐπικρατοῦσι τοῦ σταυρώματος. καὶ τούς τε Ἀργείους, καὶ τοὺς πολιορκουμένους τῶν Λακεδαιμονίων, εὐθὺς ἐξεκάλουν. ὅσοι μὲν οὖν ἐγγύτατά τε ἐτύγχανον ὄντες, καὶ ὀξυλάβησαν, ἐξῆλθον. ὁπόσους δὲ ἔφθασαν πολλοὶ τῶν Ἀρκάδων, συμβοηθήσαντες ἀπεκλείσθησαν ἔνδον, καὶ ληφθέντες, διενεμήθησαν. καὶ ἓν μέρος ἔλαβον Ἀργεῖοι, ἓν δὲ Θηβαῖοι, ἓν δὲ Ἀρκάδες, ἓν δὲ Μεσσήνιοι. οἱ δὲ σύμπαντες ληφθέντες Σπαρτιατῶν τε, καὶ περιοίκων, πλείονες τῶν ἑκατὸν ἐγένοντο. ἐπεί γε μὴν οἱ Ἀρκάδες ἐσχόλασαν ἀπὸ τοῦ Κρώμνου, πάλιν δὴ περὶ τοὺς Ἠλείους εἶχον, καὶ τήν τε Ὀλυμπίαν ἐρρωμενεστέρως ἐφρούρουν. καὶ ἐπιόντος Ὀλυμπιακοῦ ἔτους, παρεσκευάζοντο ποιεῖν τὰ Ὀλύμπια σὺν τοῖς Πισάταις τοῖς πρώτοις, φάσκουσι προστῆναι τοῦ ἱεροῦ. ἐπεὶ δὲ ὅ, τε μὴν ἧκεν, ἐν ᾧ τὰ Ὀλύμπια γίγνεται, αἵ, τε ἡμέραι, ἐν αἷς ἡ πανήγυρις ἀθροίζεται, ἐνταῦθα δὲ οἱ Ἠλεῖοι ἐκ τοῦ φανεροῦ συσκευασάμενοι, καὶ παρακαλέσαντες τοὺς Ἀχαιούς, ἐπορεύοντο τὴν Ὀλυμπιακὴν ὁδόν. οἱ δὲ Ἀρκάδες ἐκείνους μὲν οὐκ ἄν ποτε ᾤοντο ἐλθεῖν ἐπὶ σφᾶς. αὐτοὶ δὲ σὺν Πισάταις διετίθεσαν τὴν πανήγυριν. καὶ τὴν μὲν ἱπποδρομίαν ἤδη ἐπεποιήκεσαν, καὶ τὰ δρομικὰ τοῦ πεντάθλου. οἱ δ' εἰς πάλην ἀφικόμενοι οὐκ ἔτι ἐν δρόμῳ, ἀλλὰ μεταξὺ τοῦ δρόμου καὶ τοῦ βωμοῦ, ἐπάλαιον. οἱ γὰρ Ἠλεῖοι παρῆσαν ἤδη σὺν τοῖς ὅπλοις εἰς τέμενος. οἱ δὲ Ἀρκάδες πορρωτέρω μὲν οὐκ ἀπήντησαν, ἐπὶ δὲ τοῦ Κλαδάου ποταμοῦ παρετάξαντο, ὃς παρὰ τὴν Ἄλτιν καταρρέων, εἰς τὸν Ἀλφειὸν ἐμβάλλει. καὶ σύμμαχοι δὲ παρῆσαν αὐτοῖς ὁπλῖται μὲν Ἀργείων, εἰς δισχιλίους· Ἀθηναίων δὲ περὶ τετρακοσίους. καὶ μὴν οἱ Ἠλεῖοι τἀπὶ θάτερα τοῦ ποταμοῦ παρετάξαντο, σφαγιασάμενοι δέ, εὐθὺς ἐχώρουν. καὶ τὸν πρόσθεν χρόνον εἰς τὰ πολεμικὰ καταφρονούμενοι μὲν ὑπ' Ἀρκάδων καὶ Ἀργείων, καταφρονούμενοι δὲ ὑπὸ Ἀχαιῶν καὶ Ἀθηναίων, ὅμως ἐκείνῃ τῇ ἡμέρᾳ, τῶν μὲν συμμάχων, ὡς ἀλκιμώτατοι ὄντες, ἡγοῦντο· τοὺς δ' Ἀρκάδας, τούτοις γὰρ πρώτοις συνέβαλον, καὶ εὐθὺς ἐτρέψαντο. καὶ ἐπιβοηθήσαντας δὲ τοὺς Ἀργείους δεξάμενοι, καὶ τούτων ἐκράτησαν. ἐπεὶ μέντοι κατεδίωξαν εἰς τὸ μεταξὺ τοῦ βουλευτηρίου, καὶ τοῦ τῆς Ἑστίας ἱεροῦ, καὶ τοῦ πρὸς ταῦτα προσήκοντος θεάτρου, ἐμάχοντο μὲν οὐδὲν ἧττον, καὶ ἐώθουν πρὸς τὸν βωμόν. ἀπὸ μέντοι τῶν στοῶν τε, καὶ τοῦ βουλευτηρίου, καὶ τοῦ μεγάλου ναοῦ βαλλόμενοι, καὶ ἐν τῷ ἰσοπέδῳ μαχόμενοι, ἀποθνήσκουσιν ἄλλοι τε τῶν Ἠλείων, καὶ αὐτὸς ὁ τῶν τριακοσίων ἄρχων Στρατόλας. τούτων δὲ πραχθέντων, ἀπεχώρησαν εἰς τὸ

εἰς τὸ αὑτῶν στρατόπεδον. οἱ μέντοι Ἀρκάδες καὶ οἱ μετ' αὐτῶν οὕτως ἐπεφόβηντο τὴν ὑστεραίαν ἡμέραν, ὥστε οὐδὲ ἀνεπαύσαντο τῆς νυκτὸς, ἐκκόπτοντες τὰ διαπεπονημένα σκηνώματα, καὶ ἀποσταυροῦντες. οἱ δ' αὖ Ἠλεῖοι, ἐπεὶ τῇ ὑστεραίᾳ προσιόντες, εἶδον καρτερὸν τὸ τεῖχος, καὶ ἤδη τῶν ναῶν πολλοὺς ἀναβεβηκότας, ἀπῆλθον εἰς τὸ ἄστυ, τοιοῦτοι γενόμενοι, οἵους τὴν ἀρετὴν θεὸς μὲν ἐμπνεύσας, δύναιτο καὶ ἐν ἡμέρᾳ ἀποδεῖξαι. ἄνθρωποι δὲ οὐδ' ἂν ἐν πολλῷ χρόνῳ τοὺς μὴ ὄντας ἀλκίμους ποιήσειαν. χρωμένων δὲ τοῖς ἱεροῖς χρήμασι τῶν ἐν τοῖς Ἀρκάσιν ἀρχόντων, καὶ ἀπὸ τούτων τοὺς ἐπαρίτους τρεφόντων, πρῶτοι Μαντινεῖς ἐπεψηφίσαντο, τοῖς ἱεροῖς χρήμασι μὴ χρῆσθαι. καὶ αὐτοὶ τὸ γιγνόμενον μέρος εἰς τοὺς ἐπαρίτους ἐκ τῆς πόλεως ἐκπορισάμενοι, ἀπέπεμψαν τοῖς ἄρχουσιν. οἱ δὲ ἄρχοντες φάσκοντες αὐτοὺς λυμαίνεσθαι τὸ Ἀρκαδικὸν, ἀνεκαλοῦντο εἰς τοὺς μυρίους τοὺς προστάτας αὐτῶν. καὶ ἐπεὶ οὐχ ὑπήκουον, κατεδίκασαν αὐτῶν, καὶ τοὺς ἐπαρίτους ἔπεμπον ὡς ἄξοντας τοὺς κατακεκριμένους. οἱ μέντοι Μαντινεῖς κλείσαντες τὰς πύλας, οὐκ ἐδέχοντο αὐτοὺς εἴσω. ἐκ δὲ τούτου, ταχὺ δὴ καὶ ἄλλοι τινὲς ἔλεγον ἐν τοῖς μυρίοις, ὡς οὐ χρὴ τοῖς ἱεροῖς χρήμασι χρῆσθαι, οὐδὲ καταλιπεῖν εἰς τὸν ἀεὶ χρόνον τοῖς παισὶν ἔγκλημα τοῦτο εἰς τοὺς θεούς. ὡς δὲ καὶ ἐν τῷ κοινῷ ἀπέδοξε μηκέτι χρῆσθαι τοῖς ἱεροῖς χρήμασι. ταχὺ δὴ οἱ μὲν οὐκ ἂν δυνάμενοι ἄνευ μισθοῦ τῶν ἐπαρίτων εἶναι, διεχέοντο· οἱ δὲ δυνάμενοι, παρακελευσάμενοι αὐτοῖς, καθίσταντο εἰς τοὺς ἐπαρίτους, ὅπως μὴ αὐτοὶ ὑπ' ἐκείνοις, ἀλλ' ἐκεῖνοι ὑπὸ σφίσιν εἶεν. γνόντες δὲ οἱ τῶν ἀρχόντων διακεχειρικότες τὰ ἱερὰ χρήματα, ὅτι εἰ δώσοιεν εὐθύνας, κινδυνεύσειαν ἀπολέσθαι, πέμπουσιν εἰς Θήβας, καὶ διδάσκουσι τοὺς Θηβαίους, ὡς εἰ μὴ στρατεύσειαν, κινδυνεύσοιεν οἱ Ἀρκάδες πάλιν λακωνίσαι. καὶ οἱ μὲν παρεσκευάζοντο, ὡς στρα- [illegible] δὲ τὰ κράτιστα τῇ Πελοποννήσῳ βουλευόμενοι, ἔπεισαν τὸ κοινὸν τῶν Ἀρκάδων [illegible] πρέσβεις, εἰπεῖν τοῖς Θηβαίοις μὴ ἰέναι σὺν ὅπλοις εἰς τὴν Ἀρκαδίαν, εἰ μή τι καλοῖεν. καὶ ἅμα μὲν ταῦτα πρὸς τοὺς Θηβαίους ἔλεγον, ἅμα δὲ ἐλογίζοντο ὅτι πολέμου οὐδὲν δέοιντο. τοῦ τε γὰρ ἱεροῦ τοῦ Διὸς προεστάναι, οὐδὲν προσδεῖσθαι ἐνόμιζον. ἀλλ' ἀποδιδόντες ἂν καὶ δικαιότερα, καὶ ὁσιώτερα ποιεῖν, καὶ τῷ θεῷ οἴεσθαι μᾶλλον ἂν οὕτω χαρίζεσθαι. βουλομένων δὲ ταῦτα καὶ τῶν Ἠλείων, ἔδοξεν ἀμφοτέροις εἰρήνην ποιήσασθαι, καὶ ἐγένοντο σπονδαί. γενομένων δὲ τῶν ὅρκων, καὶ ὀμοσάντων τῶν τε ἄλλων ἁπάντων, καὶ τῶν Τεγεατῶν, καὶ αὐτοῦ τοῦ Θηβαίου, ὃς ἐτύγχανεν ἐν τῇ Τεγέᾳ, ἔχων ὁπλίτας τριακοσίους τῶν Βοιωτῶν, οἱ μὲν ἄλλοι Ἀκαρνᾶνες ἐν τῇ Τεγέᾳ αὐτοῦ καταμένοντες, εὐωχοῦντό τε, καὶ εὐθυμοῦντο, καὶ σπονδὰς, καὶ παιᾶνας, ὡς εἰρήνης γεγενημένης, ἐποιοῦντο. οἱ δὲ Θηβαῖοι, καὶ τῶν ἀρχόντων οἱ φοβούμενοι τὰς εὐθύνας, σύν τε τοῖς Βοιωτοῖς καὶ τοῖς ὁμογνώμοσι τῶν ἐπαρίτων, κλείσαντες τὰς πύλας τοῦ τῶν Τεγεατῶν τείχους, πέμποντες ἤδη τοὺς συσκηνοῦντας, συνελάμβανον τοὺς βελτίστους, ἅτε δὴ ἐκ πασῶν τῶν πόλεων παρόντων τῶν Ἀρκάδων, καὶ πάντων εἰρήνην βουλομένων ἔχειν, πολλοὺς ἔδει τοὺς συλλαμβανομένους εἶναι, ὥστε ταχὺ μὲν αὐτοῖς τὸ δεσμωτήριον μεστὸν ἦν, ταχὺ δὲ ἡ δημοσία οἰκία. ὡς δὲ πολλοὶ οἱ

ἀργμέ.

ad castra sua reuersi sunt. Arcades porrò, quiq; ipsis aderant, postera die tanta laborarunt formidine, ut nocturno etiam tempore certatim quæ magno labore fixerant tentoria uallumq; demolientes, neutiquam interquiescerent. Cumq; Elij postridie accedentes, munitiora iam etiam mœnia uiderent, & instructorem quæ recens ascenderat classem, in urbem rediere tanta animi fiducia præditi, ut quod uix longo tempore hominibus poßibile sit, raram quandam uirtutem ac fortitudinem ignauis antea inspirasse intra diei spacium præsens aliquod numen uideretur. Iam uero cum sacris pecunijs uterentur Arcadum principes, atq; hinc Eparitos suos nutrirent, primi decreto statuerunt Mantinei, neutiquam uti ijs debere: ratamq; ipsi partem illis ex urbe suppeditantes, à principibus auerterunt. Quibus Arcadicum eos nomen afficere ignominia distitantibus, ad Myrios, quibus præfectis utebantur, prouocarunt: cumq; illi non parêrent, contra eos tulere sententiam, miseruntq; Eparitos, ceu eos qui essent damnati adducturos. Igitur Mantinei clausis portis, non receperunt eos intro. Haud uero ita multo post alij quoque ex Myrijs abstinendum esse sacris facultatibus dicebant, neque culpam illam in deos per omnem ita ætatem posteris relinquendam: itaque publico etiam decreto sacrarũ deinceps pecuniarum usu interdictum est: quo facto protinus quicunq; ex Eparitis carere stipendio nequibant, diffundebantur: qui uerò poterant, ipsis hortantibus in Eparitorum ordinem sunt restituti, ita ut ne ipsi contra illos, sed cum ipsis illi essent. Cum uero intelligerent, qui ex principibus sacrarum opum administrationi præfuerant, si ab ipsis reddenda esset ratio, fore ut de salute periclitarentur, misso Thebas nuncio suadent, nisi expeditionem suscipiant, Arcadum rursus ad Spartanos defectionis imminere periculum. Delectu itaque habito, hi ad expeditionem sese pararunt: illi autem quæ maxime Peloponneso conducerent deliberantes, commune Arcadum persuasere, ut [illegible] Thebanos, nisi quid forte postularent, armis Arcadiam [illegible] dere dehortarentur: & simul quidem hæc Thebanis dicebant, [illegible] bello nihil esse opus arbitrabantur. Neque uero præesse Iouis templo ita multum referre putabant, quin diligentius tuendo iura, pietatemq; colendo, uel maxime gratificari deo posse existumarent. Eadem uero censentibus etiam Elijs, pacem facere utrisque uisum est, atque ita fœdus iniere. Cumq; iuramento sese iam obligassent mutuo cæteri omnes ac Tegeatæ, ipseq; Thebanorum dux, qui intra Tegeam Bœotis grauis armaturæ militibus trecentis instructus agebat, alij quidem Acarnanes eodem loci remanentes, conuiuijs ac hilaritati uacabant, fœderáque & pæanas quasi firmata iam pace decantabant. Thebani uero & qui ex principibus repetundarum actionem horrebant, unà cum Bœotis atque eiusdem sententiæ Eparitis, clausis ijs quæ Tegeatarum muri erant portis, ad eosq; mittentes qui illis adhærebant, optimos quosque corripiunt: quippe cum ex omnibus undique urbibus adessent Arcades, omnesq; pacem cuperent, complures etiam qui caperentur esse oportebat, adeò ut ilicò & carcer & publica urbis domus illis compleretur. Cúmque non pauci iam

O 2 custodia

σιν ὑπάρχειν ἀργείους τε καὶ μεσσηνίους, καὶ ἀρκάδων τοὺς
τὰ σφέτερα φρονοῦντας. ἦσαν δ' οὗτοι τεγεᾶται, καὶ
μεγαλοπολῖται, καὶ ἀσεᾶται, καὶ παλαντεῖς, καὶ εἴ τινες
δὴ πόλεις διὰ τὸ σμικραί τε εἶναι, καὶ ἐν μέσαις ταύταις
οἰκεῖν ἠναγκάζοντο. ἐξῆλθε μὲν δὴ ὁ ἐπαμεινώνδας
διὰ ταχέων. ἐπεὶ δὲ ἐγένετο ἐν νεμέα, ἐνταῦθα διέτρι-
βε, νομίζων τοὺς ἀθηναίους παριόντας λήψεσθαι, καὶ οἰό-
μενος μέγα ἂν τοῦτο γενέσθαι, τοῖς μὲν σφετέροις συμμά-
χοις, εἰς τὸ ἐπιρρῶσαι αὐτούς. τοῖς δὲ ἐναντίοις, εἰς τὸ ἀθυ-
μίαν ἐμπεσεῖν. ὡς δὲ συνελόντι εἰπεῖν, πᾶν ἀγαθὸν εἶναι
θηβαίοις, ὅτι ἐλαττοῖντο ἀθηναῖοι. ἐν δὲ τῇ διατριβῇ αὐ-
τοῦ ταύτῃ συνῆλθον πάντες οἱ ὁμοφρονοῦντες εἰς τὴν
μαντίνειαν. ἐπεὶ μέντοι ὁ ἐπαμεινώνδας ἤκουσε τοὺς ἀ-
θηναίους τὸ μὲν κατὰ γῆν πορεύεσθαι ἀπεγνωκέναι, κατὰ
θάλατταν δὲ παρασκευάζεσθαι, ὡς διὰ λακεδαίμονος
βοηθήσοντας τοῖς ἀρκάσιν, οὕτω δὴ ἀφορμήσας ἐκ τῆς νε-
μέας, ἀφικνεῖται εἰς τὴν τεγέαν. εὐτυχῆ μὲν οὖν ἔγω-
γε οὐκ ἂν φήσαιμι τὴν στρατείαν αὐτῷ γενέσθαι. ὅσα
μέντοι προνοίας ἔργα, καὶ τόλμης ἐστίν, οὐδέν μοι δοκεῖ
ἀνὴρ ἐλλείπειν. πρῶτον μὲν γὰρ ἔγωγε ἐπαινῶ αὐτὸν,
ὅτι τὸ στρατόπεδον ἐν τῷ τείχει τῶν τεγεατῶν ἐποιή-
σατο, ἔνθεν ἀσφαλεστέρῳ τε ἦν, ἢ ἔξω ἐστρατοπεδεύσα-
το, καὶ τοῖς πολεμίοις ἐν ἀδηλοτέρῳ ὅ,τι πράττοιτο. καὶ
παρασκευάζεσθαι δὲ εἴ του ἐδεῖτο ἐν τῇ πόλει ὄντι εὐπο-
ρώτερον. τῶν δ' ἐναντίων ἔξω στρατευομένων, ἐξῆν ὁρᾶν
εἴ τέ τι ὀρθῶς ἐπράττετο, εἴ τέ τι ἡμάρτανον. καὶ μὴν οἰό-
μενος κρείττων τῶν ἀντιπάλων εἶναι, ὁπότε ὁρώη χωρί-
οις πλεονεκτοῦντας αὐτοὺς, οὐκ ἐξήγετο ἐπιτίθεσθαι. ὁ-
ρῶν δὲ οὔτε πόλιν προσχωροῦσαν αὐτῷ οὐδεμίαν, τόν τε
χρόνον ἐξήκοντα, ἐνόμισε πρακτέον τι εἶναι· εἰ δὲ μή, ἀντὶ
τῆς πρόσθεν εὐκλείας πολλὴν ἀδοξίαν προσεδέχετο. ἐ-
πεὶ οὖν κατεμάνθανε περὶ μὲν μαντίνειαν τοὺς ἄλλους
πεφυλαγμένους, μεταπεμπομένους δὲ ἀγησίλαόν τε
καὶ πάντας τοὺς λακεδαιμονίους, καὶ ᾔσθετο ἐξεστρατευ-
μένον τὸν ἀγησίλαον, καὶ ὄντα ἤδη ἐν πελλήνῃ, δει-
πνοποιησάμενος, παραγγείλας, ἡγεῖτο τῷ στρατεύμα-
τι εὐθὺς ἐπὶ σπάρτην. καὶ εἰ μὴ κρὴς θείᾳ τινὶ μοίρᾳ προσ-
ελθὼν, ἐξήγγειλε τῷ ἀγησιλάῳ, προσιὸν τὸ στράτευμα,
ἔλαβεν ἂν τὴν πόλιν, ὥσπερ νεοττιὰν παντάπασιν ἔρη-
μον τῶν ἀμυνουμένων. ἐπεὶ μέντοι προπυθόμενος ταῦτα
ἀγησίλαος, ἔφθη εἰς τὴν πόλιν ἀπελθὼν, διαταξάμε-
νοι οἱ σπαρτιᾶται, ἐφύλαττον, καὶ μάλα ὀλίγοι ὄντες. οἵ
τε γὰρ ἱππεῖς αὐτοῖς πάντες ἐν ἀρκαδίᾳ ἀπῆσαν, καὶ
τὸ ξενικὸν, καὶ τῶν λόχων δέκα ὄντων οἱ τρεῖς. ἐπεὶ δὲ
ἐγένετο ἐπαμεινώνδας ἐν τῇ πόλει τῶν σπαρτιατῶν, ὅ-
που μὲν ἔμελλον ἔν τε ἰσοπέδῳ μαχεῖσθαι, καὶ ἀπὸ τῶν
οἰκιῶν βληθήσεσθαι, οὐκ εἰσῄει ταύτῃ, οὐδ' ὅπου γε μη-
δὲν πλείονες μαχεῖσθαι τῶν ὀλίγων, πολλοὶ ὄντες. ἔν-
θεν δὲ πλεονεκτεῖν ἂν ἐνόμιζε, τοῦτο λαβὼν τὸ χωρίον,
κατέβαινε, καὶ οὐκ ἀνέβαινεν εἰς τὴν πόλιν. τό γε
μὴν ἐντεῦθεν γενόμενον, ἔξεστι μὲν τὸ θεῖον αἰτιᾶσθαι,
ἔξεστι δὲ λέγειν ὡς τοῖς ἀπονενοημένοις οὐδεὶς ἂν ὑπο-
σταίη. ἐπεὶ γὰρ ἡγεῖτο ἀρχίδαμος οὐδὲ ἑκατὸν ἔχων ἄν-
δρας, καὶ διαβὰς ὅπερ ἐδόκει τι ἔχειν κώλυμα, ἐπορεύετο
ἐπὶ τοὺς ἀντιπάλους· ἐνταῦθα δὴ οἱ πῦρ πνέοντες, οἱ νε-
νικηκότες τοὺς λακεδαιμονίους, οἱ τῷ παντὶ πλείονες,
καὶ

bi existimabat Arginos & Messenios, idemq; secū sta-
tuentes Arcadum quosdā: & erant hi quidem Tegeatæ,
& Megalopolitæ, Astheateq; ac Palantenses, atq; aliæ
ciuitates quedā, quæ & quia paruæ erant, & quod in il-
larum medio sitæ, facile illis obsequi cōpellebantur. Profe-
ctus est igitur statim Epaminondas, Nemeāq; ingressus
moram ibi aliquandiu traxit, quod adueniētes illuc se ac
cepturum Athenienses putaret: magni id momenti futurū
ad roboranda auxilia sua, incutiendamq; hostibus despe
10 ratione existimans. Interea ergo dum ita cūctaretur, qui
cunq; pari studio Peloponēsi quærebant salutem ex Ar-
cadibus atq; alijs, Mantineā omnes conuenere. Epaminō
das porrò ubi Atheniēses pedestri quidē itinere proficisci
nolle, mari autem se parasse intellexit, tanquā suppetias
Arcadibus per Spartā laturos, translatis illicò ex Nemea
castris, in Tegeam contendit. Hanc igitur expeditionem
haud quaquam ego in præsentia quidē successisse illi pul
chrè dixerim: quanquā quod ad egregiæ prudentiæ ac fi-
duciæ opera pertinet, nihil adeo ei uiro defuisse uidetur.
20 Nam primū quidem hoc ego facinus eius laudo, quòd Te
geatarū mœnia uallo muniuit, eodemq; exercitū locauit,
unde si mouēda essent castra, quammaximè tutum id fo-
ret, ac hostibus quicquid ageretur minime appareret: in-
struere demq; ac parare, quacunq; re tandem opus esset,
intra urbem agenti cōmodius liceret: eorum uerò qui ex-
tra muros castra posuerant, inspicere erat si quid uel re-
ctè, uel perperā facerent: & sane quicunq; inter luctātes
superior esse uidebatur, quoties de locorū discrimine eos
dimicare cerneret, ad insidias haud facile exigebatur. Cū
30 autem ciuitatē quidem ad se nullam deficere, nihilo autē
secius interea tempus transigi animaduerteret, saltem ali
quid sibi esse agendū statuit, alioqui partā hactenus glori
am magna se infamia permutaturū existimans. Postquam
igitur ad Mantineā cæteris quidem in statione collocatis,
Agesilaum cum reliquis Lacedæmonijs accersitum intel
lexit, infestoq; exercitu iam profectum ac Pellenē ingres-
sum, peracta ilico cœna, excitusq; edicto militibus, rectà
Spartā contendit, ac nisi diuina quadā sorte Cretēsis qui
spiam accedens Agesilao hostilem adesse exercitum nun
40 ciasset, tantum nō urbem iam ceperat, nihil tum quidem
à deserto uindicibus nido differentē. Cuius rei in ipso ne-
gocij uelut cardine certior factus Agesilaus, e uestigio ur
bem prior occupat: ac Lacedæmonij quidem compositis
ordinibus strenue præsidio aderant, quanquam essent ad
modum pauci, quippe quorū equitatus omnis in Arcadiā
concesserat, necnon mercenarij milites, & ex decem co-
hortibus tres. Cum uero tandem in urbem peruenisset E-
paminōdas quoq;, ijs quidem locis abstinuit ubi uel pro
pter spacij amplitudinē pugna, uel ob ædium angustiam
50 ruina iactusue incumbebat, aut ubi quanquā plures pau-
cioribus congressos parum effecturos putabat: sed cum si
bi locum occupare, unde nec imminere insidias forte cir
cumuento existimaret, quā ulterius in urbem ascendere
maluit. Ergo quod inde gestum est, numini imputare quis
haud ab re posit, nihilq; sceleratis usquam certi esse sub
sidij dicere. Cum enim ducem ageret Archidamus, neq;
centum habens uiros, quacunq; obstare aliquid uideba-
tur perrumpere gestiret, ad hostes tandem etiam perue-
nit: ibi sane qui ignem spirabant, qui Lacedæmoniorum
paulò ante uictores fuerant, ac prorsum etiam plures,

ad hæc

θαι, οὐ πάνυ μοι δοκεῖ θαυμαστὸν εἶναι. φιλοτίμων γὰρ ἀνδρῶν τὰ τοιαῦτα διανοήματα. τὸ μέντοι στράτευμα παρεσκευακέναι, ὡς πόνων τε μηδένα ἀποκάμνειν, μήτε νυκτὸς, μήτε ἡμέρας, κινδύνων τε μηδενὸς ἀφίστασθαι, σπάνιά τε τὰ ἐπιτήδεια ἔχοντας, ὅμως πείθεσθαι ἐθέλειν, ταῦτά μοι δοκεῖ θαυμαστότερα εἶναι. καὶ γὰρ ὅτε τὸ τελευταῖον παρήγγειλεν αὐτοῖς παρασκευάζεσθαι ὡς μάχης ἐσομένης, προθύμως μὲν ἐλευκοῦντο οἱ ἱππεῖς τὰ κράνη, κελεύοντος ἐκείνου, ἐπεγράφοντο δὲ καὶ τῶν Ἀρκάδων ὁπλῖται ῥόπαλα ἔχοντες, ὡς Θηβαῖοι ὄντες. πάντες δὲ ἠκονῶντο καὶ λόγχας, καὶ μαχαίρας, καὶ ἐλαμπρύνοντο τὰς ἀσπίδας. ἐπεὶ μέντοι οὕτω παρεσκευασμένους ἀπήγαγεν, ἄξιον αὖ κατανοῆσαι, ἃ ἐποίησε. πρῶτον μὲν γὰρ ὥσπερ εἰκὸς συνετάττετο. τοῦτο δὲ πράττων, σαφηνίζειν ἐδόκει ὡς εἰς μάχην παρεσκευάζετο. ἐπεί γε μὴν ἐτέτακτο αὐτῷ τὸ στράτευμα ὡς ἐβούλετο, τὴν μὲν συντομωτάτην πρὸς τοὺς πολεμίους οὐκ ἦγε. πρὸς δὲ τὰ πρὸς ἑσπέραν ὄρη καὶ ἀντιπέραν τῆς Τεγέας ἡγεῖτο. ὥστε δόξαν παρεῖχε τοῖς πολεμίοις μὴ ποιήσεσθαι μάχην ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. καὶ γὰρ δὴ ὡς πρὸς τῷ ὄρει ἐγένετο, ἐπεὶ ἐξετάθη αὐτῷ ἡ φάλαγξ, ὑπὸ τοῖς ὑψηλοῖς ἔθετο τὰ ὅπλα, ὥστε εἰκάσθη στρατοπεδευομένῳ. τοῦτο δὲ ποιήσας, ἔλυσε μὲν τῶν πλείστων πολεμίων τὴν ἐν ταῖς ψυχαῖς πρὸς μάχην παρασκευήν. ἔλυσε δὲ τὴν ἐν ταῖς συντάξεσιν. ἐπεί γε μὴν παραγαγὼν τοὺς ἐπὶ κέρως πορευομένους λόχους εἰς μέτωπον, ἰσχυρὸν ἐποιήσατο τὸ περὶ αὐτὸν ἔμβολον, τότε δὴ ἀναλαβεῖν παραγγείλας τὰ ὅπλα, ἡγεῖτο. οἱ δ' ἠκολούθουν. οἱ δὲ πολέμιοι ὡς εἶδον παρὰ δόξαν ἐπιόντας, οὐδεὶς αὐτῶν ἡσυχίαν ἔχειν ἠδύναντο. ἀλλ' οἱ μὲν ἔθεον εἰς τὰς τάξεις, οἱ δὲ παρετάττοντο, οἱ δὲ ἵππους ἐχαλίνουν, οἱ δὲ θώρακας ἐνεδύοντο. πάντες δὲ πεισομένοις μᾶλλον, ἢ ποιήσουσιν ἐῴκεσαν. ὁ δὲ τὸ στράτευμα ἀντίπρῳρον ὥσπερ τριήρη προσῆγε, νομίζων ὅπη ἐμβαλὼν διακόψειε, διαφθερεῖν ὅλον τὸ τῶν ἐναντίων στράτευμα. καὶ γὰρ δὴ τῷ μὲν ἰσχυροτάτῳ παρεσκευάζετο ἀγωνίζεσθαι. τὸ δὲ ἀσθενέστατον, πόρρω ἀπέστησεν, εἰδὼς ὅτι ἡττηθὲν, ἀθυμίαν ἂν παράσχοι τοῖς μεθ' αὐτοῦ, ῥώμην δὲ τοῖς πολεμίοις. καὶ μὴν τοὺς ἱππέας, οἱ μὲν πολέμιοι αὐτοὶ παρετάξαντο ὥσπερ ὁπλιτῶν φάλαγγος βάθος ἐξῆς, καὶ ἔρημον πεζῶν ἁμίππων. ὁ δ' Ἐπαμεινώνδας αὖ, καὶ τοῦ ἱππικοῦ ἔμβολον ἰσχυρὸν ἐποιήσατο, καὶ ἁμίππους πεζοὺς συνέταξεν αὐτοῖς, νομίζων τὸ ἱππικὸν ἐπεὶ διακόψειεν, ὅλον τὸ ἀντίπαλον νενικηκὼς ἔσεσθαι. μάλα γὰρ χαλεπὸν εὑρεῖν τοὺς ἐθελήσοντας μένειν, ἐπειδάν τινας φεύγοντας τῶν ἑαυτοῦ ὁρῶσι. καὶ ὅπως μὴ ἐπιβοηθῶσιν οἱ Ἀθηναῖοι ἀπὸ τοῦ εὐωνύμου κέρατος ἐπὶ τὸ ἐχόμενον, κατέστησεν ἐπὶ γηλόφων τινῶν ἐναντίους αὐτοῖς καὶ ἱππέας, καὶ ὁπλίτας, φόβον βουλόμενος καὶ τούτοις παρέχειν, ὡς εἰ βοηθήσαιεν, ὄπισθεν οὗτοι ἐπικείσοιντο αὐτοῖς. τὴν μὲν δὴ συμβολὴν οὕτως ἐποιήσατο. καὶ οὐκ ἐψεύσθη τῆς ἐλπίδος. κρατήσας γὰρ ᾗ προσέβαλεν, ὅλον ἐποίησε φεύγειν τὸ τῶν ἐναντίων. ἐπεί γε μὴν ἐκεῖνος ἔπεσεν, οἱ λοιποὶ οὐδὲ τῇ νίκῃ ὀρθῶς ἔτι ἐδυνάσθησαν χρήσασθαι. ἀλλὰ φυγούσης μὲν αὐτοῖς τῆς ἐναντίας φάλαγγος, οὐδένα ἀπέκτειναν οἱ ὁπλῖται, οὐδὲ προῆλθον ἐκ τοῦ χωρίου, ἔνθα ἡ συμβολὴ ἐγένετο. φυ-

fasse animo uehementer admirandum puto: siquidem tales esse uirorum sublimibus tantum rebus gloriam aucupantium consultationes solent. At parasse ita exercitum, ut neque laboribus quicquam siue noctu siue interdiu defatigaretur, periculumue exhorresceret: & quanquam rerum necessariarum penuria laborarent, morem tamen duci gerere omnes uellent, ea uero longe magis admiranda mihi esse uidentur. Nam cum postremo accingi omnes uelut instante iam pugna edixisset, summa cum alacritate galeas quidem iubente illo extergebant equites: nomina uero dabant etiam Arcadum quidam grauis armaturæ milites, clauas gestantes quasi Thebani essent: omnes uero exacuebant & hastas & gladios, clypeisque splendorem inducebant. Quos ubi hoc pacto expeditos abduxit, scire operæpræcium est quæ deinceps peregerit. Primum enim, quemadmodum par erat, in ordines disposuit: quo facto ad conflictum eos ita parari iussos, declarare omnino uidebatur. Instructa igitur iam ut uolebat acie, contractam magis partem non aduersum hostes, sed ad occasum respicientes Tegeæ montes, & ulteriorem inde regionem abduxit, ut ipsis etiam hostibus minime pugnaturus eo quidem die uideretur. Nam cum ad montana accessisset, ac phalangem sibi iam parasset, à peditibus arma poni curauit, ut castrametandi tantum speciem præberet: quo facto plerorunque sane hostium non solum quem animo iam conceperant ad pugnam, sed & quo ordines instruxerant, apparatum soluit. Postquam uero adductis in conspectum quæ opportune accesserant cohortibus, firmum penes se præsidium reddidit, recipere tum arma iubens præiuit, atque hi quidem sequebantur: quos cum approperare præter expectationem hostes uiderent, relicta omni cessatione hi quidem currebant ad ordines, hi uero exercitu sese instruebant: ac rursum alij frenabant equos, alij thoracibus induebantur, omnesque adeo agitari magis quàm agere uidebantur. Ipse uero acie uelut triremi infesta ad hostem admouit, existimans se quacunque inuadendo perrumperet, uniuersam hostium uim pessundaturum: siquidem firmissima aciei parte ad conflictum disposita, imbecillimam longius collocauerat: quam forte uictam suis desperationem, hostibus uero fiduciam parituram haud ignorabat. Verùm hostes ipsi quoque in longum, sic ut armatorum phalanx solet, equitatum instruxerunt, peditibus nullis intermixtis. Cæterum Epaminondas equitatus præsidium quoque ualidum reddebat, equóque carentes pedites adiungebat, ita se uniuersi hostium exercitus penetrando uictorem euasurum putans: difficillime enim perduraturos ullos, postquam fugere ex suis aliquos cernerent. Ne uero suppetias insuper eis afferrent Athenienses, à sinistro cornu in proximum, aliquot illis in collibus quibusdam equites peditésque armatos obiecit, quo horrorem ipsis quoque incuteret, tanquam si opem ferrent, illos à tergo sibi irruituros. Atque hoc sane pacto congressus, spe sua minime frustratus est: qua enim parte irruperat superior factus, uniuersam hostium uim in fugam conuertit. Ipse uero ubi cecidit, qui supererant, cum neque uictoria recte uti amplius possent, quanquam tergum uertente iam etiam quæ opposita ipsis fuerat phalange, nec armati quenquam trucidarunt, ac ne loco quidem ubi congressum est excesserant:

nec equites, cum obiecti sibi equites fugerent, instando quenquam uel equitem uel peditem sustulerunt, sed tanquam uicti per hostium fugientium medium trepide elapsi sunt. At qui equis carebant, & sagittarij equitibus coniuncti, ad sinistrum sese cornu contulerunt, tanquam rerum iam potiti: ubi tamen ab Athenensibus plerique occisi sunt. Cum enim conuenisset uniuersa ferè Græcia, atque inuicem dij sese alijs obiecissent, nemo non futurum putabat, si ad manus esset uentum, ut qui superiores euasissent, imperio potirentur, uicti autem sese iugo submitterent. Verum ita deus disposuit, ut utriq; tanquam uictores trophæum statuerent, neque statuentibus alteris alteri obstarent. mortuos autem utriq; ceu uictores ad sepulturam postulatos concesserunt, utriq; uero etiam uelut uicti receperunt: & cum utriq; uicisse se dicerent, neutri tamen potiti esse uel regione, uel urbe, uel imperio, siue ulla re alia aucti magis quàm ante pugnam commissam uidebantur. Confusione uero atq; tumultu longe amplius post pugnam quàm antea per totam Græciam laboratum est.

Atq; hæc quidem hactenus mihi descripta sunto:
quæ uero deinceps gesta sunt,
alij forsitan curæ
erunt.

φυγόντων δ' αὐτοῖς καὶ τῶν ἱππέων, ἀπέκτεινον μὲν
οὐδ' οἱ ἱππεῖς διώκοντες, οὔτε ἱππέας, οὔθ' ὁπλίτας,
ὥσπερ δ' ἡττώμενοι, πεφοβημένως διὰ τῶν φευγόντων
πολεμίων διέπεσον. καὶ μὴν οἱ ἅμιπποι, καὶ οἱ πελτασταὶ συννενικηκότες τοῖς ἱππεῦσιν, ἀφίκοντο μὲν ἐπὶ τοῦ
εὐωνύμου, ὡς κρατοῦντες. ἐκεῖ δ' ὑπὸ τῶν Ἀθηναίων οἱ πλεῖστοι αὐτῶν ἀπέθανον. τούτων δὲ πραχθέντων
τοὐναντίον ἐγεγένητο, οὗ ἐνόμιζον πάντες ἄνθρωποι
10 ἔσεσθαι. συνεληλυθυίας δὲ σχεδὸν ἁπάσης τῆς Ἑλλάδος,
καὶ ἀντιτεταγμένων, οὐδ' εἷς ἦν ὅστις οὐκ ᾤετο, εἰ μάχη ἔσοιτο, τοὺς μὲν κρατήσαντας, ἄρξειν· τοὺς δὲ κρατηθέντας, ὑπηκόους ἔσεσθαι. ὁ δὲ θεὸς οὕτως ἐποίησεν, ὥστε ἀμφότεροι μὲν ὡς νενικηκότες τρόπαιον ἐστήσαντο. τοὺς δὲ
ἱσταμένους οὐδέτεροι ἐκώλυον. νεκροὺς δὲ ἀμφότεροι μὲν
ὡς νενικηκότες, ὑποσπόνδους ἀπέδοσαν. ἀμφότεροι
δὲ ὡς ἡττώμενοι, ὑποσπόνδους ἀπελάμβανον. νενικηκέναι δὲ φάσκοντες ἑκάτεροι, οὔτε χώρᾳ, οὔτε πόλει, οὔτ'
ἀρχῇ, οὐδέτεροι οὐδὲν ἔχοντες ἐφάνησαν, ἢ πρὶν τὴν μά-
20 χην γενέσθαι. ἀκρισία δὲ καὶ ταραχὴ ἔτι πλείων μετὰ τὴν
μάχην ἐγένετο, ἢ πρόσθεν ἐν τῇ Ἑλλάδι. Ἐμοὶ μὲν
δὴ μέχρι τούτου γραφέσθω. τὰ δὲ μετὰ ταῦτα, ἴσως ἄλλῳ μελήσει.

BESSARIONIS PRESBYTERI

CARDINALIS NICENI, AD IVLIANVM EPISCOPVM, CARDINALEM TVSCVLANVM, IN XEnophontem de factis & dictis Socratis memoratu dignis, præfatio.

IVCII Crassi apud Ciceronem illam sententiam, qua exercitium uertendi probat, ego quoq; apprime utilem existimans, Xenophontis oratoris suauissimi, philosophiq; nobilissimi, de factis & dictis Socratis memoratu dignis, hos quatuor libros morales e græco in latinum traduxi: eosq; tibi ideo, Iuliane pater optime, dedicaui, ut tum meorum tibi studiorum, quæ summopere a me flagitas, rationem reddam: tum uel maxime, ut te autore, qui operibus omnem in his contentam uirtutem perfecisti, in aures Latinorum perueniant. Si enim quisquam ubi de iustitia, fortitudine, honestate, moderatione, continentia, liberalitate, magnitudine animi, amicitia, officio, itemq; de republica, de imperio, de re militari, cæterisq; uirtutibus Socrates dixerat, ea libentiù ***facilia factu*** putat: uel hæc præcepta audiens, ueluti ficta pro falsis & impossibilib. sperneret, præsertim cum modo Socratē, qui dicta factis exæquabat, admonentem uideat, is abs te, tuisq; causis, qui omnibus his uirtutibus præditus es, hæc audiat necesse est. exemploq; [illegible] spe ductus, in imitationem studium p earum trahatur. Horum sermonum hoc argumentum est. Cum Socrates uir profecto sapientissimus, accusatus Athenis iniuria, morteq; damnatus fuisset, accusationisq; eius duo capita essent, quod scilicet patrios non coleret deos, sed noua dæmonia introduceret: quodq; iuuentutem corrumperet. Ad hæc ambo redarguenda, falsamq; de eo opinionem uulgo habitam refellendam, auditor eius Xenophon in primis celeberrimus, hos libros conscripsit. Et primo probato, quod deos Socrates coleret, tum factis eius, tum alijs argumentis, deuenit secundo ad doctrinam dictaq; eius exponenda, quæ cum suis auditoribus, quiq; ad eum conueniebant adolescentulis, conferebat. Quibus palam ostenditur, non modo eum non corrupisse iuuentutem, sed etiam quammaxime ad omnem uirtutē capessendam ei profuisse. Vbi & modum eius disputandi acerrimum atq; uehementissimum, materiasq; de quibus disputat, iam admirari licet. ut merito putemus illis potius mortem Socratis qui eum damnarunt, q̄ ipsi damno fuisse. Qui cum in iudicio capitis pro seipso oraret, ita dixit, ut non supplex aut reus, sed magister aut dominus iudicum esse uideretur.

Cætera inter suscipiendum tute ipse cognosces. Bene uale.

ΞΕΝΟΦΩΝΤΟΣ ΑΠΟΜΝΗΜΟΝΕΥΜΑΤΩΝ ΠΡΩΤΟΝ.

Πολλάκις ἐθαύμασα, τίσι ποτὲ λόγοις ἀθηναίους ἔπεισαν οἱ γραψάμενοι σωκράτην, ὡς ἄξιος εἴη θανάτου τῇ πόλει. ἡ μὲν γὰρ γραφὴ κατ' αὐτοῦ τοιάδε τις ἦν. ἀδικεῖ σωκράτης, οὓς μὲν ἡ πόλις νομίζει θεούς, οὐ νομίζων, ἕτερα δὲ καινὰ δαιμόνια εἰσφέρων. ἀδικεῖ δὲ καὶ τοὺς νέους διαφθείρων. πρῶτον μὲν οὖν ὡς οὐκ ἐνόμιζεν οὓς ἡ πόλις νομίζει θεούς, ποίῳ ποτ' ἐχρήσαντο τεκμηρίῳ; θύων τε γὰρ φανερὸς ἦν πολλάκις μὲν οἴκοι, πολλάκις δὲ ἐπὶ τῶν κοινῶν τῆς πόλεως βωμῶν· καὶ μαντικῇ χρώμενος, οὐκ ἀφανὴς ἦν. διετεθρύλητο γάρ, ὡς φαίη σωκράτης τὸ δαιμόνιον ἑαυτῷ σημαίνειν. ὅθεν δὴ καὶ μάλιστά μοι δοκοῦσιν αὐτὸν αἰτιάσασθαι, καινὰ δαιμόνια εἰσφέρειν. ὁ δ' οὐδὲν καινότερον εἰσέφερε τῶν ἄλλων, ὅσοι μαντικὴν νομίζοντες, οἰωνοῖς τε χρῶνται, καὶ φήμαις καὶ συμβόλοις, καὶ θυσίαις. οὗτοί τε γὰρ ὑπολαμβάνουσιν, οὐ τοὺς ὄρνιθας, οὐδὲ τοὺς ἀπαντῶντας εἰδέναι τὰ συμφέροντα τοῖς μαντευομένοις, ἀλλὰ τοὺς θεοὺς διὰ τούτων αὐτὰ σημαίνειν. κἀκεῖνος οὕτως ἐνόμιζεν. ἀλλ' οἱ μὲν πλεῖστοί φασιν, ὑπό τε τῶν ὀρνίθων καὶ τῶν ἀπαντώντων, ἀποτρέπεσθαί τε καὶ προτρέπεσθαι. σωκράτης δ' ὥσπερ ἐγίγνωσκεν, οὕτως ἔλεγε, τὸ δαιμόνιον γὰρ ἔφη σημαίνειν, καὶ πολλοῖς τῶν ξυνόντων προηγόρευε, τὰ μὲν ποιεῖν, τὰ δὲ μὴ ποιεῖν, ὡς τοῦ δαιμονίου προσημαίνοντος. καὶ τοῖς μὲν πειθομένοις αὐτῷ συνέφερε· τοῖς δὲ μὴ πειθομένοις μετέμελε. καίτοι τίς οὐκ ἂν ὁμολογήσειεν αὐτὸν μὴ βούλεσθαι μήτ' ἠλίθιον μήτ' ἀλαζόνα φαίνεσθαι τοῖς συνοῦσιν; ἐδόκει δ' ἂν ἀμφότερα ταῦτα, εἰ προαγορεύων ὡς ὑπὸ θεοῦ φαινόμενα καὶ ψευδόμενος ἐφαίνετο. δῆλον οὖν ὅτι οὐκ ἂν προέλεγεν, εἰ μὴ ἐπίστευεν ἀληθεύσειν. ταῦτα δὲ, τίς ἂν ἄλλῳ πιστεύσειεν, ἢ θεῷ; πιστεύων δὲ θεοῖς, πῶς οὐκ εἶναι θεοὺς ἐνόμιζεν; ἀλλὰ μὴν ἐποίει καὶ τάδε, πρὸς τοὺς ἐπιτηδείους. τὰ μὲν γὰρ ἀναγκαῖα συνεβούλευε, καὶ πράττειν ὡς ἐνόμιζεν ἄριστ' ἂν πραχθῆναι. περὶ δὲ τῶν ἀδήλων ὅπως ἀποβήσοιτο μαντευσομένους ἔπεμπεν εἰ ποιητέα. καὶ τοὺς μέλλοντας οἴκους τε καὶ πόλεις καλῶς οἰκήσειν, μαντικῆς ἔφη προσδεῖσθαι. τεκτονικὸν μὲν γάρ, ἢ χαλκευτικόν, ἢ γεωργικόν, ἢ ἀνθρώπων ἀρχικόν, ἢ τῶν τοιούτων ἔργων ἐξεταστικόν, ἢ λογιστικόν, ἢ οἰκονομικόν, ἢ στρατηγικὸν γενέσθαι, πάντα τὰ τοιαῦτα μαθήματα καὶ ἀνθρώπου γνώμῃ αἱρετέα ἐνόμιζεν εἶναι. τὰ δὲ μέγιστα τῶν ἐν τούτοις, ἔφη, τοὺς θεοὺς ἑαυτοῖς καταλείπεσθαι, ὧν οὐδὲν δῆλον εἶναι τοῖς ἀνθρώποις. οὔτε γάρ τοι τῷ καλῶς ἀγρὸν φυτευσαμένῳ, δῆλον ὅστις καρπώσεται. οὔτε τῷ καλῶς οἰκίαν οἰκοδομησαμένῳ, δῆλον ὅστις οἰκήσει. οὔτε τῷ στρατηγικῷ, δῆλον εἰ συμφέρει στρατηγεῖν. οὔτε τῷ πολιτικῷ, δῆλον εἰ συμφέρει τῆς πόλεως προστατεῖν. οὔτε τῷ καλὴν γήμαντι, ἵν' εὐφραίνηται, δῆλον, εἰ διὰ ταύτην ἀνιάσεται. οὔτε τῷ δυνατοὺς ἐν τῇ πόλει κηδεστὰς λαβόντι δῆλον εἰ διὰ τούτους στερήσεται τῆς πόλεως. τοὺς δὲ μηδὲν

XENOPHONTIS DE FACTIS ET DICTIS SOCRATIS MEMORATU DIGNIS LIBER PRIMUS, Bessarione Cardinale Niceno interp.

Cum sepenumero cogitē, quibus de causis Athenienses cōmoti, morte Socratem uirum iustißimū atq; sapientißimū cōdemnarint, satis admirari non queo. Quasi nanq; priscos non coleret deos, noua uerò dæmonia introduceret, ac iuuentutem corrumperet, nomē eius aduersarij detulerunt. Hoc igitur primum, quod non coleret deos, quos etiam ciuitas, quo argumento ostenderunt? cum sepißime tum domi, tum etiam in aris cōmunibus ciuitatis eum constet sacrificasse, cumq; uaticinijs usum fuisse haud esset ignotum. Peruulgatū nanq; erat Socratem prædicare, quendam sibi deum apparere: quam ob rem, ut arbitror, accusatus est noua dæmonia introducere. Atqui nihil noui, quod non etiam alij, qui augurijs, ominibus, signis, ac immolationibus uaticinari solent, introducebat. Quemadmodum enim illi nec aues, nec obuiantes scire aut prædicere opinantur futura, deos autem per illos ea ostendere, sic etiam Socrates arbitrabatur. At uulgus quidem ab auibus, ac obuijs se incitari, aut auerti asserit: Socrates uero, ut certò sciebat, sic etiā aiebat. Deum enim quendā dicebat, quæ facienda, & quæ non, perdocere: quo confisus, necessarios etiam suos admonebat, quæ debeant facere, quæq; expediat eis omittere, tanquā à deo prædicta: et his qui ei parebant, cōducebat: qui uero nō illos, pœnitebat. At quis non cōcedet noluisse Socratem aut stolidū, aut simulatorem uideri necessarijs suis? quorū utrunq; profectò esse uisus fuisset, si cum quædam tanquam à deo monstrata prædiceret, mentitus postea uisus fuisset. Cōstat itaq; nō illa Socratem prædixisse, nisi prius uera dicere credidisset: in quibus cui potius quisquam crederet q̄ deo? Cum uerò dijs crederet, quomodo nō coleret deos? Præterea de rebus agendis, quæ quidem ad hanc uitam agendam necessariæ sunt, ea dicere ac facere suis familiaribus consulebat, quibus quāoptime fieri res ipsas arbitrabatur. De illis uero quorum incertus exitus erat, à dijs an suscipiēdæ sint, petere hortabatur: asserebatq; omnibus, qui aut domū, aut ciuitatem rectè habitaturi sunt, opus esse diuinatione. Aedificādi nanq;, aut fabricandi, aut agros colendi, aut hominib. dominandi, aut cōputandi, aut domi militiæq; præsidēdi artē, huiusmodiq; res sciscitandi, hæc omnia doctrina homines cōsequi, suoq; arbitrio eligere posse. Quod autem in his omnibus maximū est, id sibiipsi deos conseruasse aiebat, incertūq; hominibus esse uoluisse. Nec enim illi qui satis suum colat agrum, constat quis eo fruiturus sit. Nec illi qui optime domum ædificet, notum est quis eam sit habitaturus. Nec duci, profuturum ne sit, an secus, ducere exercitum apparet. Nec reipublicæ gubernatori certum est, an utile ipsi sit, ciuitati præesse. Nec si quispiā uenustam ac pulchrā duxerit uxorem, putans lætitiam hinc sibi futuram, clarum est si propter illā mœstitia sit afficiēdus. Nec si quis potētes in ciuitate affines assequatur, scire potest, si per illos exulabit à ciuitate. Horū itaq; omnium si qui sunt qui nihil

nihil à diuina prouidentia putent, sed à nostro arbitrio omnia pendere, hos insanire quidem asserebat. Nec minus etiam illos insanire aiebat, qui diuinatione exploranda illa esse arbitrantur, de quibus discernendis data est hominibus à dijs facultas. Si enim quisquam interroget, utrum illum aurigā præficere quadrigis melius sit, qui bene teneat artem, an illum qui nō bene sciat: aut utrum gubernādi perito sit nauis commendanda, an imperito: quæq; liceat aut numero, aut mensura, aut pondere scire, si qui sunt qui deos de illis interrogēt, hos nefaria facturos opinabatur, aiebat, Quæ quidem doctrina percipi dij uoluerunt, discere homines oportere: quæ uerò incerta hominibus sunt, illa diuinatione conari à dijs cōsequi: deos nanq; his quibus propitij sunt, ista aperire. Ad hæc, ille semper publicè omnia faciebat. Manè nanq; deambulabat, & ad gymnasia accedebat: frequente uerò populo in platea, ibi conuersabatur, reliquumq; diem illic erat præsens, ubi quāplurimos esset homines cōuenturus: ubi ille quidem ut plurimū loquebatur, omni uero uolenti audire licebat. Nemoq; unquā nec uidit Socratē facientē, nec dicētem audiuit superstitiosum aut impium quicquam. Non enim de rerum omniū natura, ut quam plurimi alij, disputabat: nec quemadmodū qui à sophisticis mundus uocatur, se habeat, ille considerabat: imò uero illos qui in huiuscemodi contemplandis uacant, stolidos esse monstrabat. Primo nanq; id illorum considerabat, utrum quoniā arbitrantur satis res humanas cognoscere, ad illa rimanda ueniant: an humanis dimißis, diuinas res contēplantes, rectè sese agere opinātur. Admirabatur uerò nō cōstare eis, impoßibilia hæc inuenire esse hominibus, cū hi quoq; qui recti & excelsi in hac gloriantur scientia, cōtraria de eisdem opinētur, ac sicut insani alter ad alterū se habeāt. Quemadmodū enim insanientiū quidam, nec illa quæ horrida sunt abhorrent: quidam uero & ea quæ timenda nō sunt, pertimescunt: & his quidem nec publice agere aut facere quodcūq; contigerit, turpe esse uidetur, illis uero nec conuersandū cum hominibus esse: & quidam nec templū, nec aram, nec quicquā adorant diuinum: quidam autem lapides, ligna ac feras colunt: sic etiam eorū qui in rerum omniū natura contemplanda uacant, quibusdam unum solum uidetur esse quod est, quibusdam uerò infinita multitudo: et his quidem omnia semper moueri, illis uerò nihil unquā moueri. Et quibusdam omnia gigni atq; corrumpi, quibusdam autem nihil unquā aut gigni, aut corrūpi posse. Petebat uero hoc etiam de huiuscemodi hominibus: Utrum quemadmodū qui res humanas arte adipiscuntur, & sibiipsis ac cæteris arbitrātur quodcūq; didicerint facere posse: sic etiā hi opinētur, qui res contēplantur diuinas, cum sciant quæ de neceßitate, quibúsue de rationib. singula fiunt, etiam sese posse cum uelint, uētos, pluuias, ac temporū facere mutationes, aliaq; si quando indigeant, similia istis efficere: ánne sperant quidē aliquid huiuscemodi? Satis uero eis uidetur, quæ singula horū fiunt ratione cognoscere. De his igitur qui huiuscemodi res tractāt, hæc aiebat. Ipse uerò de humanis semper disputabat rebus, cōsiderans quid pium, quidue impium sit, quid honestum, quid turpe, quid iustum, quid iniustum, quid sobrietas, quid insania, quid fortitudo, quid formido, quid ciuitas, quid ciuilis, quid hominibus dominari, qua-

μηδὲν τῶν τοιούτων οἰομένους εἶναι δαιμόνιον, ἀλλὰ πάντα τῆς ἀνθρωπίνης γνώμης, δαιμονᾶν ἔφη. δαιμονᾶν δὲ καὶ τοὺς μαντευομένους, ἃ τοῖς ἀνθρώποις ἔδωκαν οἱ θεοὶ μαθοῦσι διακρίνειν. οἷον εἴ τις ἐπερωτώη, πότερον ἐπιστάμενον ἡνιοχεῖν ἐπὶ ζεῦγος λαβεῖν κρεῖττον, ἢ μὴ ἐπιστάμενον· ἢ πότερον ἐπιστάμενον κυβερνᾶν ἐπὶ τὴν ναῦν κρεῖττον λαβεῖν, ἢ μὴ ἐπιστάμενον· ἢ ἃ ἔξεστιν ἀριθμήσαντας ἢ μετρήσαντας, ἢ στήσαντας εἰδέναι, τοὺς τὰ τοιαῦτα παρὰ τῶν θεῶν πυνθανομένους, ἀθέμιστα ποιεῖν ἡγεῖτο. ἔφη δὲ δεῖν, ἃ μὲν μαθόντας ποιεῖν ἔδωκαν οἱ θεοί, μανθάνειν· ἃ δὲ μὴ δῆλα τοῖς ἀνθρώποις ἐστὶ πειρᾶσθαι διὰ μαντικῆς παρὰ τῶν θεῶν πυνθάνεσθαι. τοὺς θεοὺς γὰρ οἷς ἂν ὦσιν ἵλεῳ σημαίνειν. ἀλλὰ μὴν ἐκεῖνός γε ἀεὶ μὲν ἦν ἐν τῷ φανερῷ. πρωΐ τε γὰρ εἰς τοὺς περιπάτους καὶ τὰ γυμνάσια ᾔει. καὶ πληθούσης ἀγορᾶς ἐκεῖ φανερὸς ἦν. καὶ τὸ λοιπὸν ἀεὶ τῆς ἡμέρας ἦν ὅπου πλείστοις μέλλοι συνέσεσθαι. καὶ ἔλεγε μὲν ὡς τὸ πολύ, τοῖς δὲ βουλομένοις ἐξῆν ἀκούειν. οὐδεὶς δὲ πώποτε Σωκράτους οὐδὲν ἀσεβές, οὐδὲ ἀνόσιον, οὔτε πράττοντος εἶδεν, οὔτε λέγοντος ἤκουσεν. οὐδὲ γὰρ περὶ τῆς τῶν πάντων φύσεως ᾗπερ τῶν ἄλλων οἱ πλεῖστοι διελέγετο, σκοπῶν ὅπως ὁ καλούμενος ὑπὸ τῶν σοφιστῶν κόσμος ἔφυ, καὶ τίσιν ἀνάγκαις ἕκαστα γίνεται τῶν οὐρανίων· ἀλλὰ καὶ τοὺς φροντίζοντας τὰ τοιαῦτα, μωραίνοντας ἀπεδείκνυεν. καὶ πρῶτον μὲν αὐτῶν ἐσκόπει, πότερά ποτε νομίσαντες ἱκανῶς ἤδη τἀνθρώπινα εἰδέναι ἔρχονται ἐπὶ τὸ περὶ τῶν τοιούτων φροντίζειν, ἢ τὰ μὲν ἀνθρώπινα παρέντες, τὰ δαιμόνια δὲ σκοποῦντες, ἡγοῦνται τὰ προσήκοντα πράττειν. ἐθαύμαζε δ' εἰ μὴ φανερὸν αὐτοῖς ἐστιν, ὅτι ταῦτα οὐ δυνατόν ἐστιν ἀνθρώποις εὑρεῖν, ἐπεὶ καὶ τοὺς μέγιστον φρονοῦντας ἐπὶ τῷ περὶ τούτων λέγειν οὐ ταὐτὰ δοξάζειν ἀλλήλοις, ἀλλὰ τοῖς μαινομένοις ὁμοίως διακεῖσθαι πρὸς ἀλλήλους. τῶν τε γὰρ μαινομένων, τοὺς μὲν οὐδὲ τὰ δεινὰ δεδιέναι, τοὺς δὲ καὶ τὰ μὴ φοβερὰ φοβεῖσθαι. καὶ τοῖς μὲν οὐδ' ἐν ὄχλῳ δοκεῖν αἰσχρὸν εἶναι λέγειν ἢ ποιεῖν ὁτιοῦν. τοῖς δὲ οὐδ' ἐξιτητέον εἰς ἀνθρώπους εἶναι δοκεῖν. καὶ τοὺς μὲν οὔθ' ἱερῶν, οὔτε βωμῶν, οὔτε ἄλλου τῶν θείων οὐδὲν τιμᾶν. τοὺς δὲ καὶ λίθους, καὶ ξύλα τὰ τυχόντα, καὶ θηρία σέβεσθαι. τῶν τε περὶ τῆς τῶν πάντων φύσεως μεριμνώντων, τοῖς μὲν δοκεῖν ἓν μόνον τὸ ὂν εἶναι· τοῖς δ' ἄπειρα τὸ πλῆθος· καὶ τοῖς μὲν ἀεὶ κινεῖσθαι πάντα· τοῖς δ' οὐδὲν ἄν ποτε κινηθῆναι. καὶ τοῖς μὲν πάντα γίγνεσθαί τε καὶ ἀπόλλυσθαι· τοῖς δὲ οὔτ' ἂν γενέσθαι ποτὲ οὐδέν, οὔτ' ἀπολεῖσθαι. ἐσκόπει δὲ περὶ αὐτῶν καὶ τάδε. ἆρ' ὥσπερ οἱ τἀνθρώπεια μανθάνοντες ἡγοῦνται τοῦθ' ὅ,τι ἂν μάθωσιν ἑαυτοῖς τε καὶ τῶν ἄλλων ὅτῳ ἂν βούλωνται ποιήσειν, οὕτω καὶ οἱ τὰ θεῖα ζητοῦντες νομίζουσιν, ἐπειδὰν γνῶσιν αἷς ἀνάγκαις ἕκαστα γίγνεται, ποιήσειν ὅταν βούλωνται καὶ ἀνέμους, καὶ ὕδατα, καὶ ὥρας, καὶ ὅτου δ' ἂν ἄλλου δέωνται τῶν τοιούτων, ἢ τοιοῦτον μὲν οὐδὲν οὐδ' ἐλπίζουσιν. ἀρκεῖ δ' αὐτοῖς γνῶναι μόνον ᾗ τῶν τοιούτων ἕκαστα γίνεται. περὶ μὲν οὖν τῶν ταῦτα πραγματευομένων, τοιαῦτα ἔλεγεν. αὐτὸς δὲ περὶ τῶν ἀνθρωπείων ἂν ἀεὶ διελέγετο, σκοπῶν, τί εὐσεβές, τί ἀσεβές, τί καλόν, τί αἰσχρόν, τί δίκαιον, τί ἄδικον, τί σωφροσύνη, τί μανία, τί ἀνδρεία, τί δειλία, τί πόλις, τί πολιτικός, τί ἀρχὴ ἀνθρώπων, τί ἀρχι-

τί ἀρχικὸς ἀνθρώπων, καὶ περὶ τῶν ἄλλων, ἃ τοὺς μὲν εἰδότας ἡγεῖτο καλοὺς καὶ ἀγαθοὺς εἶναι· τοὺς δ᾽ ἀγνοοῦντας ἀνδραποδώδεις ἂν δικαίως κεκλῆσθαι. ὅσα μὲν οὖν μὴ φανερὸς ἦν ὅπως ἐγίγνωσκεν, οὐδὲν θαυμαστὸν ὑπὲρ τούτων περὶ αὐτοῦ παραγνῶναι τοὺς δικαστάς. ὅσα δὲ πάντες ᾔδεσαν, οὐ θαυμαστὸν, εἰ μὴ τούτων ἐνεθυμήθησαν; βουλεύσας γάρ ποτε, καὶ τὸν βουλευτικὸν ὅρκον ὀμόσας, ἐν ᾧ ἦν κατὰ τοὺς νόμους βουλεύσειν, ἐπιστάτης ἐν τῷ δήμῳ γενόμενος, ἐπιθυμήσαντος τοῦ δήμου παρὰ τοὺς νόμους, ἐννέα στρατηγοὺς μιᾷ ψήφῳ τοὺς ἀμφὶ Θράσυλον καὶ Ἐρασινίδην ἀποκτεῖναι πάντας, οὐκ ἠθέλησεν ἐπιψηφίσαι. ὀργιζομένου μὲν αὐτῷ τοῦ δήμου, πολλῶν δὲ καὶ δυνατῶν ἀπειλούντων, ἀλλὰ περὶ πλείονος ἐποιήσατο εὐορκεῖν, ἢ χαρίσασθαι τῷ δήμῳ παρὰ τὸ δίκαιον, καὶ φυλάξασθαι τοὺς ἀπειλοῦντας. καὶ γὰρ ἐπιμελεῖσθαι θεοὺς ἐνόμιζεν ἀνθρώπων, οὐχ ὃν τρόπον οἱ πολλοὶ νομίζουσιν. οὗτοι μὲν γὰρ οἴονται τοὺς θεοὺς τὰ μὲν εἰδέναι, τὰ δ᾽ οὐκ εἰδέναι. Σωκράτης δὲ πάντα μὲν ἡγεῖτο θεοὺς εἰδέναι, τά τε λεγόμενα καὶ πραττόμενα, καὶ τὰ σιγῇ βουλευόμενα. πανταχοῦ δὲ παρεῖναι καὶ σημαίνειν τοῖς ἀνθρώποις περὶ τῶν ἀνθρωπείων πάντων. θαυμάζω οὖν, ὅπως ποτὲ ἐπείσθησαν Ἀθηναῖοι, Σωκράτην περὶ τοὺς θεοὺς μὴ σωφρονεῖν, τὸν ἀσεβὲς μὲν οὐδέποτε περὶ τοὺς θεοὺς οὔτ᾽ εἰπόντα οὔτε πράξαντα. τοιαῦτα δὲ καὶ λέγοντα καὶ πράττοντα περὶ θεῶν, οἷά τις ἂν καὶ λέγων καὶ πράττων εἴη τε καὶ νομίζοιτο εὐσεβέστατος. θαυμαστὸν δὲ φαίνεταί μοι καὶ τὸ πεισθῆναί τινας, ὡς Σωκράτης τοὺς νέους διέφθειρεν, ὃς πρὸς τοῖς εἰρημένοις, πρῶτον μὲν ἀφροδισίων καὶ γαστρὸς, πάντων ἀνθρώπων ἐγκρατέστατος ἦν. εἶτα πρὸς χειμῶνα καὶ θέρος καὶ πάντας πόνους καρτερικώτατος. ἔτι δὲ πρὸς τὸ μετρίων δεῖσθαι πεπαιδευμένος, οὕτως, ὥστε πάνυ μικρὰ κεκτημένος, πάνυ ῥᾳδίως ἔχειν ἀρκοῦντα. πῶς οὖν αὐτὸς ὢν τοιοῦτος, ἄλλους ἂν ἢ ἀσεβεῖς, ἢ παρανόμους, ἢ λίχνους, ἢ ἀφροδισίων ἀκρατεῖς, ἢ πρὸς τὸ πονεῖν μαλακοὺς ἐποίησεν. ἀλλ᾽ ἔπαυσε μὲν τούτων πολλοὺς, ἀρετῆς ποιήσας ἐπιθυμεῖν, καὶ ἐλπίδας παρασχὼν ἂν ἑαυτῶν ἐπιμελῶνται, καλοὺς καὶ ἀγαθοὺς ἔσεσθαι. καίτοιγε οὐδέ πω πώποτε ὑπέσχετο διδάσκαλος εἶναι τούτου, ἀλλὰ τῷ φανερὸς εἶναι τοιοῦτος ὢν, ἐλπίζειν ἐποίει τοὺς συνδιατρίβοντας ἑαυτῷ μιμουμένους ἐκεῖνον, τοιούσδε γενήσεσθαι. ἀλλὰ μὴν καὶ τοῦ σώματος αὐτός τε οὐκ ἠμέλει, τούς τε ἀμελοῦντας οὐκ ἐπῄνει. τὸ μὲν οὖν ὑπερεσθίοντα, ὑπερπονεῖν ἀπεδοκίμαζε. τὸ δὲ, ὅσα δ᾽ ἡδέως ἡ ψυχὴ δέχεται, ταῦτα ἱκανῶς ἐκπονεῖν ἐδοκίμαζε. ταύτην γὰρ τὴν ἕξιν ὑγιεινήν τε ἱκανῶς εἶναι, καὶ τὴν τῆς ψυχῆς ἐπιμέλειαν, οὐκ ἐμποδίζειν ἔφη. ἀλλ᾽ οὐ μὴν θρυπτικός γε, οὐδὲ ἀλαζονικὸς ἦν, οὔτ᾽ ἀμπεχόνῃ, οὔθ᾽ ὑποδέσει, οὔτε τῇ ἄλλῃ διαίτῃ. οὐ μὴν οὐδ᾽ ἐρασιχρημάτους γε τοὺς συνόντας ἐποίει. τῶν μὲν γὰρ ἄλλων ἐπιθυμιῶν ἔπαυε. τοὺς δὲ ἑαυτοῦ ἐπιθυμοῦντας, οὐκ ἐπράττετο χρήματα. τούτου δ᾽ ἀπεχομένους, ἐνόμιζεν ἐλευθερίας ἐπιμελεῖσθαι. τοὺς δὲ λαμβάνοντας τῆς ὁμιλίας μισθὸν, ἀνδραποδιστὰς ἑαυτῶν ἀπεκάλει, διὰ τὸ ἀναγκαῖον ἑαυτοῖς εἶναι διαλέγεσθαι, παρ᾽ ὧν ἂν λάβοιεν τὸν μισθόν. ἐθαύμαζε δ᾽ εἴ τις ἀρετὴν ἐπαγγελλόμενος ἀργύριον πράττοιτο, καὶ μὴ νομίζοι μέγιστον κέρδος ἕξειν, φίλον ἀγαθὸν κτησάμενος, ἀλλὰ φοβοῖτο, μὴ ὁ γενόμενος

qualisque debeat esse qui hominibus præsit, ac de cæteris huiuscemodi. Quæ si qui scirent, bonos ac honestos eos esse uiros putabat: mancipia uero iuste appellari debere illos, qui ea ignorarent. Itaque si in his decepti fuerint iudices, in quibus non erat manifestum quid Socrates saperet, nihil mirum profecto. Illud uero mirum uidetur, quod non meminerint illorum quæ omnibus constabant. Cum enim consiliarius aliquando fuisset, cumque populus contra leges uoluisset nouem illos duces, qui cum Thrasylo ac Erasinide fuerant, interimere omnes communi sententia, noluit suum calculum adiungere: nec aut iram populi, aut multorum potentum timuit minas, sed pluris fecit sacramentum seruare, quàm populo placere præter iustitiam, minasq; euitare. Etenim deos credebat curam hominum habere, non quemadmodum uulgus opinatur. Hi enim quædam arbitrantur deos scire, quædam autem ignorare. Socrates uero omnia quæ dicuntur, quæue aguntur eos scire credebat, etiamsi tacite cogitantur: ac ubique adesse, deque omnibus rebus agendis, hominibus consulere. Itaque uehementer admiror, quonam modo Athenienses fuerant persuasi, Socratem circa deos errare, qui nihil unquam superstitiosum de dijs nec dixerit, nec fecerit: imo uero illa dixerat aut gesserat, quæ cum quisque dicat aut agat, merito sit ac simul putetur religiosissimus. Non minus autem mirum mihi uidetur, quosdam credidisse Socratem iuuentutem corrumpere, qui ad hæc quæ dicta sunt, primum quidem à uenereis & gula longe plus hominibus abstinebat. Deinde ad frigus & æstum, omnesq; sustinendos labores patientissimus erat. Præterea ad rerum mediocrium indigentiam exercitatissimus, sic ut cum ualde pauca haberet, satis habere uideretur. Cum itaque talis ipse esset, quo pacto cæteros, impios, aut legum transgressores, aut luxuriosos, aut uenereis uoluptatibus deditos, aut molles, aut eneruatos ad subeundos labores effecisset? Imo uero nonnullos ab istis uitijs reuocauit, cupidosque uirtutis reddidit, sperareq; persuasit, dummodo seipsos curarent, bonos ac honestos se uiros euasuros: non quod se unquam pollicitus sit magistrum fore uirtutis. Sed cum constaret talem ipsum esse, non modicum necessarij eius, quiq; cum illo conuersabantur, sperabant eum imitando similes se illi futuros. Præterea corpus nec ipse contemnebat: & si qui fuissent qui negligerent, eos non commendabat. ITAQVE PLVS QVAM OPORTEAT se cibo onerare, & plus quàm deceat laborare, hæc reprobabat. Tantum uerò laborare, quantum animus libenter suscipiat, illud approbabat: hanc enim exercitationem & ad sanitatem satis esse aiebat, animiq; diligentiæ non esse impedimento. Insuper nec insolens, nec arrogans erat, aut in uestitu, aut in calceatu, aut in reliqua sua conuersatione. Nec eos auaros reddebat qui cum eo conueniebant: ab alijs quoque cupiditatibus eos reuocabat. Si qui uero ipsum audire desiderarent, ab illis non exigebat pecuniam, & hoc facientes libertati putabat operam dare. Nam illos qui mercedem suæ doctrinæ suscipiebant, suiipsius uenditores appellabat: necesse enim eis esse alloqui eos à quibus mercedem susciperent. Admirabatur uerò, si quis cum se profiteatur magistrum esse uirtutis, pecuniam exigat, & non arbitretur maximum habiturus lucrum, si bonum adipiscatur amicum: sed timeat ne is qui bonus atque honestus ab ipso factus est,

est, non maximas gratias illi qui ei benefecerit agat. Socra
tes uero nihil quidē tale alicui unquam pollicitus est. Cre
debat tamē illos qui ad eum conueniebant, quiq; imitaren
tur quæ ipse approbat, ad totam usq; uitam bonos amicos
ipsi, ac inuicē sibi esse futuros. Quo igitur modo uir talis
iuuentutē corrumperet? nisi quis dicat uirtutem corruptio
nem adolescentulorum esse. Attamen accusator aiebat, cau
sam eum fuisse ut leges ciuitatis contēnerentur, dicentem,
stolidum esse magistratus in ciuitate suffragijs eligi, cum
neq; gubernatore, neq; fabricatore, neq; tibicine, neq; alijs
similimus nullus unquam sorte confirmatis utatur, quæ ta/
men multo leuiora detrimenta inferant, quàm illa sint quæ
in ciuitate à præsentibus committuntur. Hos uerò sermo/
nes incitare dicebat adolescentulos ad contemnendā rem
publicam, ac eos reddere uiolentos. Ego uero arbitror il/
los quibus prudentiæ curæ est, quiq; putant posse ciuibus
suis, quæ eis conducunt, admonendo ostendere, minime ui
olentos esse debere, cum sciant ad uim quidem inimicitias
sequuturas atq; pericula, persuadendo autem sine pericu/
lis cum amicitia eadem posse fieri. Qui enim coguntur, tan
quam expoliati oderunt: quibus uero persuasum est, tan/
quam gratum aliquod acceperint, amant. Nequaquam i/
taq; illorum qui prudentiam exercent, proprium est uim
cuiquam inferre, sed illorum qui sine ratione potentiā ha/
bent. Præterea, qui quidem audet uim inferre, non paucis
indiget adiutoribus: qui uerò persuadet, nullo: nam & so
lum se sufficientem esse ad persuadendum putat, quib. &
interficere quenquam minime contingit. Quis nanq; po/
tius interimere ullum uellet, quàm uiuente & persuaso uti
ut uelit? Verùm hoc quoq; aduersarij addiderūt, quod Cri
tias & Alcibiades, cum Socratem audissent, multis incom
modis ciuitatem affecerunt. Critias enim cum ad paucos
peruenisset ciuitatis status, unus ex illis factus, longe omni
um auarissimus ac uiolētissimus fuit. Alcibiades uerò dum
adhuc populus dominabatur, omniū iniustissimus atq; in/
cōtinentissimus erat. Ego uerò si quid illi mali ciuitati attu
lerūt, de hoc non respondebo: quomodo uero conuersatio
illorum & familiaritas cum Socrate facta fuerit, narrabo.
Fuerūt nanq; hi uiri natura longe omnium Atheniensium
ambitiosissimi: omnia nanq; per seipsos agere cupiebant,
& quamcelebe rrimi euadere. Cum itaq; Socratem scirent
minima pecunia abundanter uiuentem, à uoluptatibus om
nibus abstinentissimū, ac ut uolueral, omnibus qui secum
colloquebantur, utentē in sui sermonis: hæc cum uiderent,
ac essent quales paulo ante dictum est, utrum eos quispiā
putet desiderio uitæ, ac moderationis Socratis, eius dilexis/
se doctrinam? an quoniam opinati sunt, quod si Socratem
audirent, sufficientissimi ad dicendum aut agendum quod
cūq; uoluissent, euasuros? Ego nāq; arbitror, quod si quis
deorū eis optionem dedisset, aut totam suam uiuere uitam,
ut Socratem uiuentē uidebant, aut mori, potius mortem e/
legissent, ut ex gestis illorum perspicuum est. Nam ut pri/
mum arbitrati sunt, se in suadendo facundiores cæteris es/
se, confestim dimisso Socrate ad rempub. gubernandam se
se contulerunt, cuius principali de causa Socratē audire de
siderarunt. Verùm ad hæc forsitan quispiam dicat, non o/
portuisse Socratem antea suis adiutoribus reipub. guber/
nandæ scientiam, q̄ sobrietatem & moderantiā tradidisse.
Ego autem nihil ad hoc contradicam. Considero tamē om
nes quicunq; docent, non modo dicendo illos qui discunt,
ad

ος καλὸς κἀγαθὸς τῷ τὰ μέγιστα εὐεργετήσαντι μὴ τὴν
μεγίστην χάριν ἕξοι. σωκράτης δὲ ἐπηγγείλατο μὲν οὐ-
δενὶ πώποτε τοιοῦτον οὐδέν, ἐπίστευε δὲ τῶν ξυνόντων
ἑαυτῷ τοὺς ἀποδεξαμένους, ἅπερ αὐτὸς ἐδοκίμαζεν εἰς τὸν
πάντα βίον, ἑαυτῷ τε καὶ ἀλλήλοις φίλους ἀγαθοὺς ἔσεσθαι.
πῶς ἂν οὖν ὁ τοιοῦτος ἀνὴρ διαφθείροι τοὺς νέους; εἰ μὴ ἄρα
ἡ τῆς ἀρετῆς ἐπιμέλεια διαφθορά ἐστιν; ἀλλὰ νὴ δία ὁ κα-
τήγορος, ἔφη, ὑπερορᾶν ἐποίει τῶν καθεστώτων νόμων
τοὺς συνόντας, λέγων ὡς μωρὸν εἴη τοὺς μὲν τῆς πόλεως ἄρ-
χοντας ἀπὸ κυάμου καθίστασθαι. κυβερνήτῃ δὲ μηδένα θέ-
λειν κεχρῆσθαι κυαμευτῷ, μηδὲ τέκτονι, μηδ' αὐλητῇ,
μηδ' ἐπ' ἄλλα τοιαῦτα, ἃ πολλῷ ἐλάττονας βλάβας ἁμαρ-
τανόμενα ποιεῖ, τῶν περὶ τὴν πόλιν ἁμαρτανο-
μένων. τοὺς δὲ τοιούτους λόγους ἐπαίρειν, ἔφη, τοὺς νέους
καταφρονεῖν τῆς καθεστώσης πολιτείας, καὶ ποιεῖν βι-
αίους. ἐγὼ δ' οἶμαι τοὺς φρόνησιν ἀσκοῦντας καὶ νομίζον-
τας ἱκανοὺς ἔσεσθαι τὰ συμφέροντα διδάσκειν τοὺς πολί-
τας, ἥκιστα γίγνεσθαι βιαίους, εἰδότας, ὅτι τῇ μὲν βίᾳ πρό-
σεισιν ἔχθραι καὶ κίνδυνοι. διὰ δὲ τοῦ πείθειν ἀκινδύνως
τε καὶ μετὰ φιλίας ταῦτα γίγνεται. οἱ μὲν γὰρ βιασθέντες
ὡς ἀφαιρεθέντες μισοῦσιν. οὔκουν τῶν φρόνησιν ἀσκούντων
τὸ βιάζεσθαι, ἀλλὰ τῶν ἰσχὺν ἄνευ γνώμης ἐχόντων, τὰ τοιαῦ-
τα πράττειν ἐστίν. ἀλλὰ μὴν καὶ συμμάχων, ὁ μὲν βιάζεσθαι
τολμῶν, δέοιτ' ἂν οὐκ ὀλίγων· ὁ δὲ πείθειν δυνάμενος,
οὐδενός. καὶ γὰρ μόνος ἡγοῖτ' ἂν δύνασθαι πείθειν, καὶ φο-
νεύειν δὲ τοῖς τοιούτοις ἥκιστα συμβαίνει. τίς γὰρ ἀποκτεῖ-
ναί τινα βούλοιτ' ἂν μᾶλλον, ἢ ζῶντι πειθομένῳ χρῆσθαι; ἀλλ'
ἔφη γε ὁ κατήγορος σωκράτει, καὶ ὁμιλητὰ γενομένω,
κριτίας τε καὶ ἀλκιβιάδης, πλεῖστα κακὰ τὴν πόλιν ἐποιη-
σάτην. κριτίας μὲν γὰρ τῶν ἐν τῇ ὀλιγαρχίᾳ πάντων
πλεονεκτίστατός τε καὶ βιαιότατος ἐγένετο· ἀλκιβιάδης
δὲ αὖ τῶν ἐν τῇ δημοκρατίᾳ πάντων ἀκρατέστατος καὶ
ὑβριστότατος καὶ βιαιότατος. ἐγὼ δ' εἰ μέν τι κακὸν ἐκεί-
νω τὴν πόλιν ἐποιησάτην, οὐκ ἀπολογήσομαι, τὴν δὲ πρὸς
σωκράτην συνουσίαν αὐτοῖν ὡς ἐγένετο, διηγήσομαι. ἐ-
γενέσθην μὲν γὰρ δὴ τὼ ἄνδρε τούτω φύσει φιλοτιμο-
τάτω πάντων ἀθηναίων, βουλομένω τε πάντα δι' ἑαυ-
τῶν πράττεσθαι, καὶ πάντων ὀνομαστοτάτω γενέσθαι. ᾔδεσαν
δὲ σωκράτην ἀπ' ἐλαχίστων μὲν χρημάτων αὐταρκέστα-
τα ζῶντα, τῶν ἡδονῶν δὲ πασῶν ἐγκρατέστατον ὄντα,
τοῖς δὲ διαλεγομένοις αὐτῷ πᾶσι χρώμενον ἐν τοῖς λόγοις
ὅπως βούλοιτο. ταῦτα δὲ ὁρῶντε, καὶ ὄντε οἵω προειρήσθω,
πότερόν τις αὐτὼ φῇ τοῦ βίου τοῦ σωκράτους ἐπιθυμήσαντε,
καὶ τῆς σωφροσύνης, ἣν ἐκεῖνος εἶχεν, ὀρέξασθαι τῆς ὁμιλί-
ας αὐτοῦ; ἢ νομίσαντε, εἰ ὁμιλησαίτην ἐκείνῳ, γενέσθαι
ἂν ἱκανωτάτω λέγειν τε καὶ πράττειν; ἐγὼ μὲν γὰρ ἡγοῦ-
μαι θεοῦ διδόντος αὐτοῖν, ἢ ζῆν, ἢ ὅλον τὸν βίον ὥσπερ ζῶν-
τα σωκράτην ἑώρων, ἢ τεθνάναι, ἑλέσθαι ἂν αὐτὼ μᾶλλον
τεθνάναι. δήλω δ' ἐγενέσθην, ἐξ ὧν ἐπραξάτην. ὥσπερ
γὰρ τάχιστα κρείττονε τῶν συγγιγνομένων ἡγησάσθην
εἶναι, εὐθὺς ἀποπηδήσαντε σωκράτους, ἐπραττέτην τὰ
πολιτικά, ὧνπερ ἕνεκα σωκράτους ὠρεχθήτην. ἴσως
οὖν εἴποι τις ἂν πρὸς ταῦτα, ὅτι ἐχρῆν τὸν σωκράτην μὴ πρό-
τερον τὰ πολιτικὰ διδάσκειν τοὺς συνόντας ἢ σωφρονεῖν.
ἐγὼ δὲ πρὸς τοῦτο μὲν οὐκ ἀντιλέγω. πάντας δὲ τοὺς διδά-
σκοντας ὁρῶ αὐτοὺς δεικνύντας τε οἷς μανθάνουσιν, ᾗπερ
αὐτοὶ

αὐτοὶ ποιοῦσιν ἃ διδάσκουσι, καὶ τῷ λόγῳ προσβιβάζοντας. οἶδα δὲ καὶ Σωκράτην δεικνύντα τοῖς ξυνοῦσιν ἑαυτὸν καλὸν κἀγαθὸν ὄντα, καὶ διαλεγόμενον κάλλιστα περὶ ἀρετῆς καὶ τῶν ἄλλων ἀνθρωπίνων. οἶδα δὲ κἀκείνω σωφρονοῦντε, ἔστε Σωκράτει συνήστην, οὐ φοβουμένω μὴ ζημιοῖντο ἢ παίοιντο ὑπὸ Σωκράτους, ἀλλ᾽ οἰομένω τότε κράτιστον εἶναι τοῦτο πράττειν. ἴσως οὖν εἴποιεν ἂν πολλοὶ τῶν φασκόντων φιλοσοφεῖν, ὅτι οὐκ ἄν ποτε ὁ δίκαιος ἄδικος γένοιτο, οὐδὲ ὁ σώφρων ὑβριστής, οὐδὲ ἄλλο οὐδέν, ὧν μάθησίς ἐστιν, ὁ μαθὼν ἀνεπιστήμων ἄν ποτε γένοιτο. ἐγὼ δὲ περὶ τούτων οὐχ οὕτω γιγνώσκω. ὁρῶ γὰρ ὥσπερ τὰ τοῦ σώματος ἔργα, τοὺς μὴ τὰ σώματα ἀσκοῦντας οὐ δυναμένους ποιεῖν, οὕτω καὶ τὰ τῆς ψυχῆς ἔργα τοὺς μὴ τὴν ψυχὴν ἀσκοῦντας, οὐ δυναμένους. οὔτε γὰρ ἃ δεῖ πράττειν, οὔτε ὧν δεῖ ἀπέχεσθαι δύνανται. διὸ καὶ τοὺς υἱεῖς οἱ πατέρες, κἂν ὦσι σώφρονες, εἴργουσιν ἀπὸ τῶν πονηρῶν ἀνθρώπων, ὡς τὴν μὲν τῶν χρηστῶν ὁμιλίαν ἄσκησιν οὖσαν τῆς ἀρετῆς, τὴν δὲ τῶν πονηρῶν κατάλυσιν. μαρτυρεῖ δὲ καὶ τῶν ποιητῶν ὅ, τε λέγων. ἐσθλῶν μὲν γὰρ ἀπ᾽ ἐσθλὰ διδάξεαι· ἢν δὲ κακοῖσι συμμιγῇς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον. καὶ ὁ λέγων· αὐτὰρ ἀνὴρ ἀγαθός, τοτὲ μὲν κακός, ἄλλοτε δ᾽ ἐσθλός. κἀγὼ μαρτυρῶ τούτοις. ὁρῶ γὰρ ὥσπερ τῶν ἐν μέτρῳ πεποιημένων ἐπῶν, τοὺς μὴ μελετῶντας ἐπιλανθανομένους, οὕτω καὶ τῶν διδασκαλικῶν λόγων τοῖς ἀμελοῦσι, λήθην ἐγγιγνομένην. ὅταν δὲ τῶν νουθετικῶν λόγων ἐπιλάθηταί τις, ἐπιλέλησται καὶ ὧν ἡ ψυχὴ πάσχουσα τῆς σωφροσύνης ἐπεθύμει. τούτων δὲ ἐπιλαθόμενον, οὐδὲν θαυμαστὸν καὶ τῆς σωφροσύνης ἐπιλαθέσθαι. ὁρῶ δὲ καὶ τοὺς εἰς φιλοποσίαν προαχθέντας, καὶ τοὺς εἰς ἔρωτας ἐγκυλισθέντας, ἧττον δυναμένους τῶν τε δεόντων ἐπιμελεῖσθαι, καὶ τῶν μὴ δεόντων ἀπέχεσθαι. πολλοὶ γὰρ καὶ τῶν χρημάτων δυνάμενοι φείδεσθαι πρὶν ἐρᾶν, ἐρασθέντες οὐκέτι δύνανται, καὶ τὰ χρήματα καταναλώσαντες, ὧν πρόσθεν ἀπείχοντο κερδῶν, αἰσχρὰ νομίζοντες εἶναι, τούτων οὐκ ἀπέχονται. πῶς οὖν οὐκ ἐνδέχεται σωφρονήσαντα πρόσθεν αὖθις μὴ σωφρονεῖν; πάντα μὲν οὖν ἔμοιγε δοκεῖ, τὰ καλὰ καὶ τὰ ἀγαθὰ ἀσκητὰ εἶναι, οὐχ ἥκιστα δὲ σωφροσύνη. ἐν τῷ γὰρ αὐτῷ σώματι, συμπεφυτευμέναι τῇ ψυχῇ αἱ ἡδοναί, πείθουσιν αὐτὴν μὴ σωφρονεῖν, ἀλλὰ τὴν ταχίστην ἑαυταῖς τε καὶ σώμασι χαρίζεσθαι. καὶ Κριτίας δὴ καὶ Ἀλκιβιάδης ἕως μὲν Σωκράτει συνήστην, ἐδυνάσθην ἐκείνῳ χρωμένω συμμάχῳ, τῶν μὴ καλῶν ἐπιθυμιῶν κρατεῖν. ἐκείνου δ᾽ ἀπαλλαγέντε, Κριτίας μὲν φυγὼν εἰς Θετταλίαν ἐκεῖ συνῆν ἀνθρώποις ἀνομίᾳ μᾶλλον ἢ δικαιοσύνῃ χρωμένοις. Ἀλκιβιάδης δ᾽ αὖ διὰ μὲν κάλλος ὑπὸ πολλῶν καὶ σεμνῶν γυναικῶν θηρώμενος, διὰ δύναμιν δὲ τὴν ἐν τῇ πόλει καὶ τοῖς συμμάχοις, ὑπὸ πολλῶν καὶ δυνατῶν κολακεύειν ἀνθρώπων διαθρυπτόμενος, ὑπὸ δὲ τοῦ δήμου τιμώμενος, καὶ ῥᾳδίως πρωτεύων. ὥσπερ οἱ τῶν γυμνικῶν ἀγώνων ἀθληταὶ ῥᾳδίως πρωτεύοντες ἀμελοῦσι τῆς ἀσκήσεως, οὕτω κἀκεῖνος ἠμέλησεν αὑτοῦ. τοιούτων δὲ συμβάντων αὐτοῖν, καὶ ὠγκωμένω μὲν ἐπὶ γένει, ἐπηρμένω δ᾽ ἐπὶ πλούτῳ, πεφυσημένω δ᾽ ἐπὶ δυνάμει, διατεθρυμμένω δὲ ὑπὸ πολλῶν ἀνθρώπων, ἐπὶ δὲ πᾶσι τούτοις διεφθαρμένω καὶ πολὺν χρόνον ἀπὸ Σωκράτους γεγονότε, τί θαυμαστόν, εἰ ὑπερη-

ad ea quae docent introducentes, sed etiam operando eis mōstrantes quemadmodū faciant. Scio etiam Socratem suis auditoribus bonum atq; honestum hominem seipsum mōstrantem, ac optime de uirtute omnibusq; aliis rebus humanis disputantem. Illosq; cognosco moderatos & sobrios fuisse, dum cōuersabantur cū Socrate: non quod timerent ne detrimentum aliquod paterentur, aut ne uerberibus uapularent à Socrate, sed quoniam hoc sibi tunc expedire uidebāt. Fortaßis autem nonnulli illorum, qui se appellant philosophos, dicent, nunquam iustum hominem iniustum fore, aut moderatum contumeliatorem, aut doctum in quodam illorū, quorum doctrina est tradita, indoctum in eo quod didicit posse fieri. Ego uero de his aliter sentio. Video nanq; quod quemadmodum ea quae per corpus fiunt, non posse bene facere illos qui non exerceant corpora: sic etiam qui non exerceant animum, minime posse animi opera agere: nec enim quae facienda sunt facere, nec à quibus abstinendum est, abstinere possunt. Quocirca patres etsi sobrios sciant liberos suos, prauorum tamen hominum colloquia eis prohibent, quasi bonorum hominum conuersatio exercitium sit uirtutis, prauorum uero destructio. Testatur autem hoc etiam qui dicit poëta, Bona quidem disces à bonis: quod si te misceas prauis, amittes etiam insitam mentem. Quiq; ait: Vir autem bonus modo fortis, modo ignauus. Quibus ego quoq; assentio. Video nanq; quod sicut carminum facile obliuiscuntur qui meditatione continua non utantur, sic illi qui negligunt, tradunt obliuioni sermones ac admonitiones praeceptorum suorum. Cum uero quispiam istorum obliuiscatur sermonum, obliuiscitur etiam illorum quibus animus ad desideratam sobrietatem mouetur. Hoc autem facto, nihil mirum profecto ipsam quoque sobrietatem obliuioni tradere. Considero etiam illos qui ad uitium bibendi, aut ad amores inciderint, minus quam antea quae deceant facere, & ab his quae non deceant, abstinere posse. Multi nanq; cum in pecuniis expendendis antequam amassent, parci essent, post amorem non possunt: & cum pecuniam consumpsissent, ab eo quaestu à quo propter turpitudinem antea abstinebant, amplius abstinere nō queunt. Cur igitur non uideatur poßibile eum qui antea sobrius erat, in posterum non sobrium effici? & quod iuste antea egerit, non posse similiter agere postea? Mihi nanq; uidetur omnia quidem bona ac honesta exercitatione homines consequi posse, & non minus sobrietatem. Cum enim uoluptates in eodem corpore cum anima insint, persuadent ei non exercere sobrietatem, sed ea quae sibiipsis atq; corpori grata sint agere. Itaq; Critias atque Alcibiades dum Socrate utebantur, potuerunt illius subsidio prauas superare cupiditates. Cum autem discesserint ab eo, Critias quidem fugiens in Thessaliam profectus est, ac ibi cum hominibus conuersabatur pluris iniustitiam quàm iustitiam facientibus: Alcibiades autem propter pulchritudinem quidem à multis ac uenustis mulieribus allectus: propter potentiam uero quam in ciuitate & apud socios habebat, à multis assentatoribus dissolutus, & à populo honoribus affectus, facileq; primas consecutus, sic neglexerit seipsum, quemadmodum illi qui se in certaminibus gymnasiisq; exerceant, cum semel primas occuparint, facile negligunt seipsos. Cum itaque talia illis contingerent, cúmque nobilitate superbirent, diuitijs efferrentur, potentia inflammarentur, à uulgoq; dissoluti essent, & his omnibus corrupti, ac diu à Socrate distracti, quid mirum si

Virtus usu et exercitatione comparatur.

sunt insolentes effecti? Deinde si quid mali commiserint, Socratem huius fuisse causam aduersarii asserunt. Quod autem dum adolescentuli essent, quando impudici ac ingrati uerisimiliter esse debebant, Socrates reddidit sobrios, nulla laude dignum aduersarijs esse uidetur. Verùm non eo modo cætera iudicantur. Quisnam tibicen aut citharista, quisue alius magister, si ubi satis ab illis docti fuerint discipuli sui, ipsis omissis alios adierint, ibiq; peiores effecti fuerint, causa huius fuisse dicetur? Aut quis pater, si filius suus cuiquam conuersatus sobrie uiuat, postea uero adiens alium uitiosus efficiatur, priorem arguet? nec tanto magis laudet illum, quanto magis cum posteriore peior factus sit filius suus? At sicuti patres cum eandem habitarent cum liberis domum, dummodo illi sobrie uiuant, non accusantur delinquentibus filijs: sic etiam de Socrate iudicare oportet. Si enim ipse quicquam egerit mali, meritò prauus esse uideretur: quod si ille uirtuose peregit, quomodo recte pro non insita sibi accusetur improbitate? Ego uero, etiamsi nihil ipse gesserat mali, tamen si cū illos uideret uitijs pollutos laudabat, reprehendendum eum existimarem: à quo tamen longe aberat Socrates. * Critiam enim cum in Euthydemum deperire, huiusq; corpore, quemadmodum ij qui uenereis uoluptatibus sunt dediti, frui conantem animaduerteret, dehortatus est: illiberale & contra boni uiri decorum esse asserens, ab amasio, apud quem summæ existimationis esse uelit, ea maxime quæ nullius sunt precij supplicem petere atq; emendicare. Verum cum Critias nequaquam à proposito declinare uellet, aut ulla re deterreri posset, Socratem multis præsentibus, ipso Euthydemo etiam, dixisse ferunt, Critiam in Euthydemum porcorū more, qui se saxis affricare solent, affici. Vnde etiam tātum in Socratem struxit odium Critias, * ut cum unus è triginta tyrannis factus legumlator cum Charicle fuisset, recordatus illorum uerborum quibus eum pluries arguit, scripserit in legibus: Nulli licere dicendi artem docere, cupiens calumnijs implicare Socratē, cum in nullo eum reprehendere haberet. Idq; quod contra philosophos ab imperito dicitur uulgo, uel Socrati imputabat, & suspectum uulgo reddebat. Nec enim ego audiui unquam Socratem magistrum esse se artis dicendi asserentem, nec alium dicentem memini audiuisse. Quod uero infestus erat Socrati propter reprehensiones suas, patet. Cum enim illi triginta multos interemerunt & meliores ciuium, nonnullis uerò licentiam iniurias inferendi præbebant, dixit Socrates: NONNE MIRUM TIBI ESSE VIDETUR, SI QUISPIAM BUBULCUS PAUCIORES AC PEIORES FACIAT BOVES, DEINDE NON MALUS FATEATUR esse pastor? Hoc multo mirabilius est, si quis cum ciuitati præsit, atque peiores faciat ciues, deinde non erubescat, nec se putet malum esse ciuitatis gubernatorem. His uero ad aures eorum perlatis, Critias atque Charicles ad se Socratem conuocarunt, legemq; sibi ostenderunt, ac interdixerunt cum adolescentibus colloqui. Socrates uerò petijt ab illis, an liceat si quidpiam interdictorum ignoraret, interrogare de illo. Et cum illi consensissent: Ego igitur, inquit, quoniam parêre legibus studeo, ut non per ignorantiam contra leges quicquam committam, hoc à uobis uellem clarius scire: Vtrum cum dicitis abstinendum esse ab arte dicendi, istam artem dicendi unà cum illis quæ recte dicuntur, esse putatis, an cum illis quæ non

* hoc signo inclusa, à Bessarione sunt prætermissa, neque hactenus à quoquā addita.

ὑπερηφάνω ἐγενέσθην. εἶτα εἰ μέν τι ἐπλημμελησάτην, τούτου Σωκράτην ὁ κατήγορος αἰτιᾶται. ὅτι δὲ νέω ὄντε αὐτῷ, ἡνίκα καὶ ἀγνωμονεστάτω καὶ ἀκρατεστάτω εἰκὸς εἶναι, Σωκράτης παρέσχε σώφρονε, οὐδενὸς ἐπαίνου δοκεῖ τῷ κατηγόρῳ ἄξιος εἶναι; οὐ μὴν τά γε ἄλλα οὕτω κρίνεται. τίς μὲν γὰρ αὐλητής, τίς δὲ καὶ κιθαριστής, τίς δὲ ἄλλος διδάσκαλος ἱκανοὺς ποιήσας τοὺς μαθητάς, ἐὰν πρὸς ἄλλους ἐλθόντες χείρους φανῶσιν, αἰτίαν ἔχει τούτου; τίς

10 δὲ πατὴρ ἐὰν ὁ παῖς αὐτοῦ συνδιατρίβων τῳ, σώφρων ᾖ, ὕστερον δὲ ἄλλῳ τῳ συγγενόμενος πονηρὸς γένηται, τὸν πρόσθεν αἰτιᾶται, ἀλλ' οὐχ ὅσῳ ἂν παρὰ τῷ ὑστέρῳ χείρων φαίνηται, τοσούτῳ μᾶλλον ἐπαινεῖ τὸν πρότερον; ἀλλ' οἵ γε πατέρες αὐτοὶ συνόντες τοῖς υἱέσι, τῶν παίδων πλημμελούντων, οὐκ αἰτίαν ἔχουσιν, ἐὰν αὐτοὶ σωφρονῶσιν. οὕτω δὲ καὶ Σωκράτην δίκαιον ἦν κρίνειν. εἰ μὲν αὐτὸς ἐποίει τι φαῦλον, εἰκότως ἂν ἐδόκει πονηρὸς εἶναι. εἰ δ' αὐτὸς σωφρονῶν διετέλει, πῶς ἂν δικαίως τῆς οὐκ ἐνούσης αὐτῷ κακίας αἰτίαν ἔχοι; ἀλλ' εἰ καὶ μηδὲν αὐ-

20 τὸς πονηρὸν ποιῶν, ἐκείνους φαῦλα πράττοντας ὁρῶν ἐπῄνει, δικαίως ἂν ἐπιτιμᾶτο. Κριτίαν μὲν τοίνυν αἰσθανόμενος ἐρῶντα Εὐθυδήμου, καὶ πειρῶντα χρῆσθαι, καθάπερ οἱ πρὸς τἀφροδίσια τῶν σωμάτων ἀπολαύοντες, ἀπέτρεπε· φάσκων ἀνελεύθερόν τε εἶναι καὶ οὐ πρέπον ἀνδρὶ καλῷ κἀγαθῷ, τὸν ἐρώμενον ᾧ βούλεται πολλοῦ ἄξιος φαίνεσθαι, προσαιτεῖν ὥσπερ τοὺς πτωχούς, ἱκετεύοντα καὶ δεόμενον προσδοῦναι, καὶ ταῦτα μηδενὸς ἀγαθοῦ. τοῦ δὲ Κριτίου τοῖς τοιούτοις οὐχ ὑπακούοντος οὐ-

30 δὲ ἀποτρεπομένου, λέγεται τὸν Σωκράτην ἄλλων τε πολλῶν παρόντων καὶ τοῦ Εὐθυδήμου εἰπεῖν, ὅτι ὑικὸν δοκοίη πάσχειν ὁ Κριτίας ἐπιθυμῶν Εὐθυδήμῳ προσκνῆσθαι, ὥσπερ τὰ ὕδια τοῖς λίθοις. ἐξ ὧν δὴ καὶ ἐμίσει τὸν Σωκράτην ὁ Κριτίας. ὥστε καὶ ὅτε τῶν τριάκοντα, ὢν νομοθέτης μετὰ Χαρικλέους ἐγένετο, ἀπεμνημόνευσεν αὐτῷ, καὶ ἐν τοῖς νόμοις ἔγραψε, λόγων τέχνην μὴ διδάσκειν, ἐπηρεάζων ἐκείνῳ, καὶ οὐκ ἔχων ὅπῃ ἐπιλάβοιτο, ἀλλὰ τὸ κοινῇ τοῖς φιλοσόφοις ὑπὸ τῶν πολλῶν ἐπιτιμώμενον ἐπιφέ-

40 ρων αὐτῷ καὶ διαβάλλων πρὸς τοὺς πολλούς. οὔτε γὰρ ἔγωγε οὔτε αὐτὸς τοῦτο πώποτε Σωκράτους ἤκουσα, οὔτ' ἄλλου φάσκοντος ἀκηκοέναι ᾐσθόμην. ἐδήλωσε δέ, ἐπεὶ γὰρ οἱ τριάκοντα πολλοὺς μὲν τῶν πολιτῶν, καὶ οὐ τοὺς χειρίστους ἀπέκτεινον, πολλοὺς δὲ προετρέποντο ἀδικεῖν, εἶπέ που ὁ Σωκράτης, ὅτι θαυμαστόν σοι δοκεῖ εἶναι, εἴ τις γενόμενος βοῶν ἀγέλης νομεύς, καὶ τὰς βοῦς ἐλάττους τε καὶ χείρους ποιῶν, μὴ ὁμολογοίη κακὸς βουκόλος εἶναι. ἔτι δὲ θαυμαστότερον, εἴ τις προστάτης γενόμενος πόλεως, καὶ ποιῶν τοὺς πολίτας ἐλάττους καὶ χείρους μὴ αἰσχύνεται, μὴ δ'

50 οἴεται κακὸς εἶναι προστάτης τῆς πόλεως. ἀπαγγελθέντος δὲ αὐτοῖς τούτου, καλέσαντες, ὅ τε Κριτίας καὶ ὁ Χαρικλῆς τὸν Σωκράτην, τόν τε νόμον ἐδεικνύτην αὐτῷ, καὶ τοῖς νέοις ἀπειπέτην μὴ διαλέγεσθαι. ὁ δὲ Σωκράτης ἐπήρετο αὐτώ, εἰ ἐξείη πυνθάνεσθαι εἴ τι ἀγνοοῖτο τῶν προαγορευομένων. τὼ δ' ἐφάτην. ἐγὼ τοίνυν, ἔφη, παρεσκεύασμαι μὲν πείθεσθαι τοῖς νόμοις. ὅπως δὲ μὴ δι' ἄγνοιαν λάθω τι παρανομήσας, τοῦτο βούλομαι σαφῶς μαθεῖν παρ' ὑμῶν, πότερον τὴν τῶν λόγων τέχνην σὺν τοῖς ὀρθῶς λεγομένοις νομίζοντες, ἢ σὺν τοῖς μὴ

μὴ ὀρθῶς ἀπέχεσθαι κελεύετε αὐτῆς. εἰ μὲν γὰρ σὺν τοῖς
ὀρθῶς, δῆλον ὅτι ἀφεκτέον εἴη τοῦ ὀρθῶς λέγειν· εἰ δὲ
σὺν τοῖς μὴ ὀρθῶς, δῆλον ὅτι πειρατέον ὀρθῶς λέγειν. καὶ
ὁ χαρικλῆς ὀργισθεὶς αὐτῷ, ἐπειδ' ἂν ἔφη, ὦ σώκρατες,
ἀγνοεῖς, τάδε σοι εὐμαθέστερα ὄντα, προαγορεύομεν, τοῖς
νέοις ὅλως μὴ διαλέγεσθαι. καὶ ὁ σωκράτης, ἵνα τοίνυν,
ἔφη, μὴ ἀμφίβολον ᾖ ὡς ἄλλο τι ποιῶ, ἢ τὰ προηγορευ-
μένα, ὁρίσατέ μοι, μέχρι πόσων ἐτῶν δεῖ νομίζειν νέους
εἶναι τοὺς ἀνθρώπους; καὶ ὁ χαρικλῆς, ὅσουπερ, εἶπε, χρό-
νου βουλεύειν οὐκ ἔξεστιν, ὡς οὔπω φρονίμοις οὖσι. μηδὲ
σὺ διαλέγου νεωτέροις τριάκοντα ἐτῶν. μηδὲ ἄν τι ὠ-
νῶμαι, ἔφη, ἢν πωλῇ νεώτερος τριάκοντα ἐτῶν, ἔρω-
μαι ὁπόσου πωλεῖ; ναί τά γε τοιαῦτα, ἔφη χαρικλῆς.
ἀλλά τοί σύ γε, ὦ σώκρατες, εἴωθας, εἰδὼς πῶς ἔχει τὰ
πλεῖστα ἐρωτᾶν, ταῦτα οὖν μὴ ἐρώτα. μηδ' ἀποκρίνωμαι
οὖν, ἔφη, ἄν τίς με ἐρωτᾷ, τάχα ἐξετάσω χαρικλῆς ἢ
ποῦ ἐστι κριτίας; ναί τά γε τοιαῦτα, ἔφη ὁ χαρικλῆς. ὁ δὲ
κριτίας, ἀλλὰ τῶνδέ τοί σε ἀπέχεσθαι, ἔφη, δεήσει, ὦ σώ-
κρατες, τῶν σκυτέων, καὶ τῶν τεκτόνων καὶ τῶν χαλκέων.
καὶ γὰρ οἶμαι αὐτοὺς ἤδη κατατετρῖφθαι διαθρυλλου-
μένους ὑπὸ σοῦ. οὐκοῦν, ἔφη ὁ σωκράτης, καὶ τῶν ἑπομένων
τοῖς τοῦ τε δικαίου καὶ τοῦ ὁσίου, καὶ τῶν ἄλλων τῶν δικαίων.
ναὶ μὰ Δί', ἔφη ὁ χαρικλῆς, καὶ τῶν βουκόλων γε· εἰ δὲ
μή, φυλάττου, ὅπως μὴ καὶ σὺ ἐλάττους τὰς βοῦς ποιή-
σῃς. ἔνθα καὶ δῆλον ἐγένετο, ὅτι ἀπαγγελθέντος αὐτοῖς
τοῦ περὶ τῶν βοῶν λόγου, ὠργίζοντο τῷ σωκράτει. οἵα
μὲν οὖν ἡ συνουσία ἐγεγόνει κριτίᾳ πρὸς σωκράτην, καὶ
ὡς εἶχον πρὸς ἀλλήλους εἴρηται. φαίην δ' ἂν ἔγωγε, μη-
δενὶ μηδεμίαν εἶναι παίδευσιν παρὰ τοῦ μὴ ἀρέσκοντος.
κριτίας δὲ καὶ ἀλκιβιάδης οὐκ ἀρέσκοντος αὐτοῖς σω-
κράτους ὡμιλησάτην ὃν χρόνον ὡμιλείτην αὐτῷ, ἀλλ'
εὐθὺς ἐξ ἀρχῆς ὡρμηκότε προεστάναι τῆς πόλεως. ἔτι γὰρ
σωκράτει συνόντες, οὐκ ἄλλοις τισὶ μᾶλλον ἐπεχείρουν
διαλέγεσθαι, ἢ τοῖς μάλιστα πράττουσι τὰ πολιτικά. λέ-
γεται γὰρ ἀλκιβιάδην πρὶν εἴκοσιν ἐτῶν εἶναι, περικλεῖ ἐπι-
τρόπῳ μὲν ὄντι ἑαυτοῦ, προστάτῃ δὲ τῆς πόλεως, τοιάδε
διαλεχθῆναι περὶ νόμων. εἰπέ μοι φάναι, ὦ περίκλεις,
ἔχοις ἄν με διδάξαι τί ἐστι νόμος; πάντως δήπου φά-
ναι τὸν περικλέα. δίδαξον δὴ πρὸς τῶν θεῶν φάναι τὸν ἀλ-
κιβιάδην, ὡς ἔγωγ' ἀκούων τινῶν ἐπαινουμένων, ὅτι νό-
μιμοι ἄνδρες εἰσί, οἶμαι μὴ ἂν δικαίως τούτου τυχεῖν τοῦ
ἐπαίνου, μὴ εἰδότα τί ἐστι νόμος. ἀλλ' οὐδέν τι χαλεποῦ
πράγματος ἐπιθυμεῖς, ὦ ἀλκιβιάδη, φάναι τὸν περι-
κλέα, βουλόμενος γνῶναι, τί ἐστι νόμος. πάντες γὰρ
οὗτοι νόμοι εἰσίν, οὓς τὸ πλῆθος συνελθὸν καὶ δοκιμάσαν,
ἔγραψε φράζον ἅ τε δεῖ ποιεῖν, καὶ ἃ μή. πότερον δὲ τἀγα-
θὰ νομίσαν δεῖν ποιεῖν ἢ τὰ κακά; τἀγαθὰ νὴ Δία φά-
ναι, ὦ μειράκιον, τὰ δὲ κακά, οὔ. ἐὰν δὲ μὴ τὸ πλῆθος,
ἀλλ' ὥσπερ ὅπου ὀλιγαρχία ἐστίν, ὀλίγοι συνελθόντες
γράψωσιν, ὅ,τι χρὴ ποιεῖν, ταῦτα τί ἐστι; πάντα φάναι,
ὅσα ἂν τὸ κρατοῦν τῆς πόλεως βουλευσάμενον, ἃ χρὴ
ποιεῖν γράψῃ, νόμος καλεῖται. κἂν τύραννος οὖν κρα-
τῶν τῆς πόλεως γράψῃ τοῖς πολίταις ἃ χρὴ ποιεῖν, καὶ ταῦ-
τα νόμος ἐστί; καὶ ὅσα τύραννος ἄρχων φάναι γράφει,
καὶ ταῦτα νόμος καλεῖται; βία δὲ φάναι καὶ ἀνομία
τί ἐστιν, ὦ περίκλεις; ἆρ' οὐχ ὅταν ὁ κρείττων τὸν ἥττω
μὴ

non recte dicuntur? Nam si cum illis quae recte dicuntur,
patet quod abstinendum est a recte dicēdo. Quod si cum
illis quae non recte dicuntur, nempe conandum est recte
dicere. Hic Charicles iratus: Quoniam ô Socrates, in-
quit, ignoras haec tibi faciliora intellectu, iubemus iuuen-
tutem nullo alioqui pacto. Tum Socrates: Vt ius, inquit,
non sit ambiguum, neue praeter praescripta faciam, mihi
determinetis ad quot annos debeant homines iuuenes ar-
bitrari. At Charicles: Quousq;, dixit, in consilium suscipi
10 non possunt, tanquam nondum prudentes: nec tu loquere
eis, dum iuniores triginta annis sint. Hic, si quid emam,
Socrates ait, numne quanti uendat interrogem si trigin-
ta annis sit minor? Interroga huiuscemodi res, inquit Cha-
ricles: tu tamen, ô Socrates, quoniam soles multa, cum
scias quemadmodum se habeant, interrogare, haec non in-
terroges uelim. Nec ergo respondeam dummodo sciam,
Socrates ait, si quis me iuuenis interrogaret, ubi habitat
Charicles? aut ubi Critias est? Haec respondeas licet, Cha-
ricles inquit. Tum Critias: Ab illis tamen, ò Socrates, ab-
20 stinere debes cerdonibus, ac fabris: etenim, ut arbitror, ob-
tusae factae sunt aures eis à tua loquacitate. Ab illis quoq;
igitur quae sequuntur abstinendum est, Socrates ait, à iu-
stitia, pietate, & alijs huiusmodi? Ita per Iouem, Chari-
cles inquit: & non modo ab istis, sed etiam à bubulcis.
Sin uero, caue ne tu etiam pauciores facias boues. Quo
clarum fuit, quod audito illo de bobus sermone Socratis,
irati ei fuerunt. Qualis quidem cum Socrate conuersatio
fuit Critiae, & quemadmodum alter ad alterum se habue-
rit, dictum sit. Ego uero ad haec etiam dicerem, nulli ul-
30 lam utilitatem ab illo fore, qui non ei placeret. Critias au-
tem & Alcibiades non placente eis Socrate, illum audie-
bant quando audiebant, quapropter à principio statim ad
rempublicā gubernandam conati sunt se conferre. Cum
enim adhuc cum Socrate conuersabantur, nullis cum a-
lijs potius quàm cum illis qui praeerant ciuitati sermoci-
nabantur. Alcibiadem nanq; fertur antequam uiginti
annos natus esset, talia cum Pericle de legibus, qui tutor
suus erat, ciuitati praeerat, disputasse: Dic mihi quaeso Pe-
ricles, utrum habeas quid sit lex, explanare? Ita profecto
40 Pericles respondit. Dic ergo per deos, Alcibiades ait, quo-
niam ego audiens quod aliqui ut iurisconsulti laudan-
tur, arbitror non esse hominem hac laude dignum, qui
primo quid sit lex ignoret. Tum Pericles: Non difficilem
flagitas Alcibiades rem, cupiens scire quid sit lex. HAE
ENIM OMNES, QVAS IN VNVM CONVE-
NIENS ET CONSENTIENS VVLGVS CON
SCRIPSIT, EXPLANANS QVAE SVNT
FACIVNDA, quaeue fugienda, sunt leges. Alcibiades
quaerit: Vtrum autem illa faciunda sanxerunt quae bona
50 sunt, an etiam quae mala? Quae bona sunt, inquit Peri-
cles, non ea quae mala. Si uero, inquit Alcibiades, non uul-
gus, sed quemadmodum ubi pauci dominantur, pauci illi
conuenientes, conscribant quid faciundum sit, quid haec
sunt? Omnia, Pericles ait, quaecunque qui ciuitati prae-
sunt, consultatione de agendis inter se habita scribant,
leges appellantur. Si ergo tyrannus etiam scribat quibus
dominatur, quae agenda sunt, & haec leges nuncupari
debent? Ita, inquit, quaecunque tyrannus dum dominatur
scribat, leges appellantur. Violentia uerò & legū trans-
gressio quid sit, ô Pericles, nonne cum fortior debiliorem

non persuadendo, sed cogendo impellat facere quodcunque sibi uideatur? Ita mihi uidetur, ait Pericles. Quaecunque ergo tyrannus etiam non persuadeat, sed impellat ciues facere, & haec legum transgressio sunt? Concessit Pericles. Nego nanq; esse, ait, leges, quaecunq; tyrannus nō persuadendo scribat. Quae uero pauci non persuadendo sed superando scribunt, utrum dicamus uim esse, an non? Omnia, inquit Pericles, quae quispiam non persuasum quempiam, siue in scriptis, siue non scriptis impellat agere, potius uis mihi esse uidetur quàm lex. Quaecunq; ergo uulgus etiam cum superat diuites scribat non persuadendo, uis esset profecto potius quàm lex, ô Pericles. Ita prorsus ô Alcibiades, ait Pericles. Nos quoque cum aequales tibi essemus, periti in huiusmodi fuimus rebus: talia nanque cogitabamus ac arguebamus, qualia tu mihi uideris nunc meditari. Ad haec uero Alcibiades: Utinam ô Pericles, ait, tum tecum fuissem, cum peritior teipso in huiusmodi fueris. Cum primum itaq; se arbitrati superiores ciuium esse, Socratem quidem amplius non adibant: nam neque in alijs eis placebat: et si quando eum adibant, increpati de peccatis quae committebant, aegre ferebant: ad rem uero publicam gubernandam uacabant, cuius rei gratia secum aliquando fuerunt. Verum Crito, Cherephon, Chereacrates, Simmias, Cebes, atque Phaedondes, Socratis auditores fuerunt: caeteri quoque qui cum illo conuersabantur, non ut in concionibus, aut in iudicijs plurimi ualeant, sed ut boni atque honesti effecti, & domo, & domesticis, & propinquis, & amicis, ciuitateque ac ciuibus suis quamoptime uti possint. Horumq; nemo cum iunior, nec cum senior esset, nec aliquid egit mali, nec fuit accusatus fecisse. Attamen aduersarius inquit Socratem iuuentutem docuisse spernere patres, cum eis persuaderet eos sapientiores patribus suis efficere, ac dicere secundum leges licere ut patrem etiam quispiam afficiat uinculis, dummodo ignorantem rerum reperiret: argumentoq; tali uteretur, quod scilicet ignorantem à sapientiore ius esset ligari. Socrates autem qui uinculis afficeret quempiam, propterea quod ignorās esset, illum etiam arbitrabatur oportere ligari ab illis qui sciunt ea quae ipse ignoret. Quapropter nonnunquam considerabat quid intersit inter insaniam & inscitiam. Et insanos quidem pro bono sui atq; suorū arbitratur ligādos esse, inscios uerò illorum quae scire oporteat, oportere a scientibus discere. Verùm aduersarius addidit, quod non modo patres, sed alios etiam propinquos parui existimandos esse, Socrates suis persuadebat auditoribus, cum diceret: Nihil propinquos prodesse, nec illis qui aduersa ualetudine tenentur, nec illis quorum causa in iudicio agitatur: sed illis quidem medicos, his uero qui in iudicijs conuersantur. Asseritq; de amicis etiam Socratē dixisse: Nihil utilitatis esse si beneuoli nobis sint, nisi possint etiam prodesse: solosq; illos honoribus esse dignos, qui quae deceant sciant, & uerbo explanare possint. Cum ergo persuaderet adolescentibus, quod ipse sapientissimus esset, aliosq; posset sapientes efficere, tales faciebat suos auditores, ut nihil alios omnes comparatione sui putent. Ego uero memini eum & de parentibus caeterisq; propinquis haec dixisse: nonnunquam & ad haec, quod ubi & à corpore migrauerit animus, in quo solo prudentia consistit, corpus simulac fieri potest, quamuis familia-

μὴ πείσας, ἀλλὰ βιασάμενος ἀναγκάσῃ ποιεῖν, ὅ,τι ἂν αὐτῷ ποιῇ; ἔμοιγε δοκεῖ φάναι τὸν Περικλέα. καὶ ὅσα ἄρα τύραννος μὴ πείθων τοὺς πολίτας ἀναγκάζει ποιεῖν γράφων, ἀνομία ἐστί; δοκεῖ μοι φάναι τὸν Περικλέα. ἀνατίθεμαι γάρ τοι, ὅσα τύραννος μὴ πείσας γράφει νόμον εἶναι. ὅσα δὲ οἱ ὀλίγοι τοῖς πολλοῖς μὴ πείσαντες, ἀλλὰ κρατοῦντες γράφουσι, πότερον βίαν φῶμεν ἢ μὴ φῶμεν εἶναι; πάντα μοι δοκεῖ φάναι τὸν Περικλέα. ὅσα τις μὴ πείσας ἀναγκάζει τινὰ ποιεῖν, εἴτε γράφων εἴτε μή, βία μᾶλλον ἢ νόμος εἶναι. καὶ ὅσα ἄρα τὸ πᾶν πλῆθος κρατοῦν τῶν τὰ χρήματα ἐχόντων γράφει μὴ πεῖσαν, βία μᾶλλον ἢ νόμος ἂν εἴη. μάλα τοι φάναι τὸν Περικλέα, ὦ Ἀλκιβιάδη. καὶ ἡμεῖς τηλικοῦτοι ὄντες δεινοὶ τὰ τοιαῦτα ἦμεν. τοιαῦτα γὰρ καὶ ἐμελετῶμεν καὶ ἐσοφιζόμεθα, οἷάπερ καὶ σὺ νῦν ἐμοὶ δοκεῖς μελετᾶν. τὸν δὲ Ἀλκιβιάδην φάναι, εἴθε σοι, ὦ Περίκλεις, τότε συνεγενόμην, ὅτε δεινότατος σαυτοῦ ταῦτα ἦσθα. ἐπεὶ τοίνυν τάχιστα τῶν πολιτευομένων ὑπέλαβον κρείττονες εἶναι, Σωκράτει μὲν οὐκ ἔτι προσῄεσαν. οὔτε γὰρ αὐτοῖς ἄλλως ἤρεσκεν, εἴτε προσέλθοιεν, ὑπὲρ ὧν ἡμάρτανον ἐλεγχόμενοι, ἤχθοντο. τὰ δὲ τῆς πόλεως ἔπραττον, ὧνπερ ἕνεκεν καὶ Σωκράτει προσῆλθον. ἀλλὰ Κρίτων τε Σωκράτους ἦν ὁμιλητής, καὶ Χαιρεφῶν, καὶ Χαιρεκράτης, καὶ Σιμμίας, καὶ Κέβης, καὶ Φαιδώνδης, καὶ ἄλλοι, οἳ ἐκείνῳ συνῆσαν, οὐχ ἵνα δημηγορικοὶ ἢ δικανικοὶ γένοιντο, ἀλλ' ἵνα καλοί τε κἀγαθοὶ γενόμενοι, καὶ οἴκῳ, καὶ οἰκέταις, καὶ οἰκείοις, καὶ φίλοις, καὶ πόλει, καὶ πολίταις, δύναιντο καλῶς χρῆσθαι. καὶ τούτων οὐδεὶς οὔτε νεώτερος, οὔτε πρεσβύτερος ὤν, οὔτ' ἐποίησε κακὸν οὐδέν, οὔτ' αἰτίαν ἔσχεν. ἀλλὰ Σωκράτης γ', ἔφη ὁ κατήγορος, τοὺς πατέρας προπηλακίζειν ἐδίδασκε. πείθων μὲν τοὺς συνόντας αὐτῷ σοφωτέρους ποιεῖν τῶν πατέρων. φάσκων δὲ κατὰ νόμον ἐξεῖναι, παρανομίας ἑλόντι, καὶ τὸν πατέρα δῆσαι, τεκμηρίῳ τούτῳ χρώμενος, ὡς τὸν ἀμαθέστερον ὑπὸ τοῦ σοφωτέρου νόμιμον εἴη δεδέσθαι. Σωκράτης δὲ τὸν μὲν ἀμαθίας ἕνεκα δεσμεύοντα, δικαίως ἂν καὶ αὐτὸν ᾤετο δεδέσθαι ὑπὸ τῶν ἐπισταμένων ἃ μὴ αὐτὸς ἐπίσταται. καὶ τῶν τοιούτων ἕνεκα πολλάκις ἐσκόπει, τί διαφέρει μανίας ἀμαθία. καὶ τοὺς μὲν μαινομένους ᾤετο συμφερόντως ἂν δεδέσθαι, καὶ αὐτοῖς, καὶ τοῖς φίλοις. τοὺς δὲ μὴ ἐπισταμένους τὰ δέοντα, δικαίως ἂν μανθάνειν παρὰ τῶν ἐπισταμένων. ἀλλὰ Σωκράτης γε, ἔφη ὁ κατήγορος, οὐ μόνον τοὺς πατέρας, ἀλλὰ καὶ τοὺς ἄλλους συγγενεῖς ἐποίει ἐν ἀτιμίᾳ εἶναι, παρὰ τοῖς αὐτῷ συνοῦσι, λέγων, ὡς οὔτε τοὺς κάμνοντας, οὔτε τοὺς δικαζομένους οἱ συγγενεῖς ὠφελοῦσιν, ἀλλὰ τοὺς μὲν οἱ ἰατροί· τοὺς δὲ οἱ συνδικεῖν ἐπιστάμενοι. ἔφη δὲ καὶ περὶ τῶν φίλων αὐτὸν λέγειν, ὡς οὐδὲν ὄφελος εὔνους εἶναι, εἰ μὴ καὶ ὠφελεῖν δυνήσονται. μόνους δὲ φάσκειν αὐτὸν ἀξίους εἶναι τιμῆς, τοὺς εἰδότας τὰ δέοντα, καὶ ἑρμηνεῦσαι δυναμένους. ἀναπείθοντα οὖν τοὺς νέους αὐτόν, ὡς αὐτὸς εἴη σοφώτατός τε, καὶ ἄλλους ἱκανώτατος ποιῆσαι σοφούς, οὕτω διατιθέναι τοὺς ἑαυτῷ συνόντας, ὥστε μηδαμοῦ παρ' αὐτοῖς τοὺς ἄλλους εἶναι πρὸς ἑαυτόν. ἐγὼ δ' αὐτὸν οἶδα μὲν καὶ περὶ πατέρων τε καὶ τῶν ἄλλων συγγενῶν τε καὶ περὶ φίλων ταῦτα λέγοντα, καὶ πρὸς τούτοις γε δή, ὅτι τῆς ψυχῆς ἐξελθούσης, ἐν ᾗ μόνῃ γίνεται φρόνησις, τὸ σῶμα τοῦ οἰκειο-

ἀκαιοτάτου ἀνθρώπου τὴν ταχίστην ἐξενέγκαντες ἀ-
φανίζουσι. ἔλεγε δ' ὅτι καὶ ζῶν ἕκαστος ἑαυτοῦ ὃ πάν-
των μάλιστα φιλεῖ, τοῦ σώματος, ὅτι ἂν ἀχρεῖον ᾖ καὶ ἀνω-
φελὲς, αὐτός τε ἀφαιρεῖ, καὶ ἄλλῳ παρέχει, αὐτοί τέ γε αὑ-
τῶν ὄνυχάς τε καὶ τρίχας καὶ τύλους ἀφαιροῦσι, καὶ τοῖς ἰα-
τροῖς παρέχουσι, μετὰ πόνων τε καὶ ἀλγηδόνων, καὶ ἀποτέ-
μνειν καὶ ἀποκάειν, καὶ τούτου χάριν οἴονται δεῖν αὐτοῖς καὶ
μισθὸν τίνειν. καὶ τὸ σίαλον ἐκ τοῦ στόματος ἀποπτύουσιν, ὡς
δύνανται πορρωτάτω. διότι ὠφελεῖ μὲν, οὐδὲν αὐτοὺς ἐνὸν,
βλάπτει δὲ πολὺ μᾶλλον. ταῦτα οὖν ἔλεγεν, οὐ τὸν μὲν
πατέρα ζῶντα κατορύττειν διδάσκων, ἑαυτὸν δὲ κατα-
τέμνειν, ἀλλ' ἐπιδεικνύων, ὅτι τὸ ἄφρον ἄτιμόν ἐστι, καὶ
παρεκάλει ἐπιμελεῖσθαι τοῦ ὡς φρονιμώτατον εἶναι καὶ ὠ-
φελιμώτατον, ὅπως ἐάν τε ὑπὸ πατρὸς, ἐάν τε ὑπὸ
ἀδελφοῦ, ἐάν τε ὑπ' ἄλλου τινὸς βούληται τιμᾶσθαι, τού-
τοις ὠφέλιμος εἶναι. ἔφη δ' αὐτὸν ὁ κατήγορος, καὶ τῶν
φιλοσοφωτάτων ποιητῶν ἐκλεγόμενον τὰ πονηρότατα,
καὶ τούτοις μαρτυρίοις χρώμενος, διδάσκειν τοὺς συνόν-
τας, κακούργους εἶναι καὶ τυραννικούς. ἡσιόδου μὲν τὸ, ἔρ-
γον δ' οὐδὲν ὄνειδος, ἀεργίη δέ τ' ὄνειδος. τοῦτο δὴ λέγειν
αὐτὸν ὡς ὁ ποιητὴς κελεύει, μηδενὸς ἔργου, μήτε ἀδίκου
μήτε αἰσχροῦ ἀπέχεσθαι, ἀλλὰ καὶ ταῦτα ποιεῖν ἐπὶ τῷ κέρ-
δει. σωκράτης δ' ἐπειδὴ ὁμολογήσαιτο, τὸ μὲν ἐργάτην
εἶναι ὠφέλιμόν τε εἶναι ἀνθρώπῳ καὶ ἀγαθὸν εἶναι. τὸ δὲ ἀργὸν
βλαβερόν καὶ κακόν. καὶ τὸ μὲν ἐργάζεσθαι ἀγαθὸν, τὸ δὲ
ἀργεῖν κακόν. τοὺς μὲν ἀγαθόν τι ποιοῦντας, ἐργάζεσθαί
τε ἔφη, καὶ ἐργάτας ἀγαθοὺς εἶναι. τοὺς δὲ κυβεύοντας, ἤ τι
ἄλλο πονηρὸν καὶ ἐπιζήμιον ποιοῦντας, ἀργοὺς ἀπεκά-
λει. ἐκ δὲ τούτων ὀρθῶς ἂν ἔχοι, τὸ ἔργον δ' οὐδὲν ὄνειδος,
ἀεργίη δέ τ' ὄνειδος. τὸ δὲ ὁμήρου, ἔφη ὁ κατήγορος,
πολλάκις αὐτὸν λέγειν, ὅτι ὀδυσσεὺς ὅντινα μὲν βασι-
λῆα καὶ ἔξοχον ἄνδρα κιχείη, τὸν δ' ἀγανοῖς ἐπέεσσιν
ἐρητύσασκε παραστάς, δαιμόνι' οὔ σε ἔοικε κακὸν ὡς δει-
δίσσεσθαι, ἀλλ' αὐτός τε κάθησο, καὶ ἄλλους ἵδρυε λαούς.
ὃν δ' αὖ δήμου τ' ἄνδρα ἴδοι βοόωντά τ' ἐφεύροι, τὸν
σκήπτρῳ ἐλάσασκεν, ὁμοκλήσασκέ τε μύθῳ. δαιμόνι'
ἀτρέμας ἧσο καὶ ἄλλων μῦθον ἄκουε, οἳ σέο φέρτεροί εἰ-
σι. σὺ δ' ἀπτόλεμος, καὶ ἄναλκις, οὔτε ποτ' ἐν πολέ-
μῳ ἐναρίθμιος, οὔτ' ἐνὶ βουλῇ. ταῦτα δὴ αὐτὸν ἐξηγεῖ-
σθαι ὡς ὁ ποιητὴς ἐπαινοίη παίεσθαι τοὺς δημότας καὶ πέ-
νητας. σωκράτης δ' οὐ ταῦτ' ἔλεγε. καὶ γὰρ ἑαυτὸν ἂν
ᾤετο γ' οὕτω δεῖν παίεσθαι, ἀλλ' ἔφη δεῖν τοὺς μήτε λό-
γῳ, μήτε ἔργῳ ὠφελίμους ὄντας, μήτε στρατεύματι, μή-
τε πόλει, μήτε αὐτῷ τῷ δήμῳ, εἴ τι δέοι βοηθεῖν ἱκα-
νοὺς, ἄλλως τ' ἐὰν πρὸς τούτῳ καὶ θρασεῖς ὦσι, πάντα
τρόπον κωλύεσθαι, κἂν πάνυ πλούσιοι τυγχάνωσιν ὄν-
τες. ἀλλὰ σωκράτης γε τἀναντία τούτων φανερὸς ἦν καὶ
δημοτικὸς, καὶ φιλάνθρωπος ὤν. ἐκεῖνος γὰρ πολλοὺς
ἐπιθυμητὰς καὶ ἀστοὺς καὶ ξένους λαβὼν, οὐδένα πώποτε μι-
σθὸν τῆς συνουσίας ἐπράξατο, ἀλλὰ πᾶσιν ἀφθόνως ἐπήρ-
κει τῶν ἑαυτοῦ, ὧν τινὲς μικρὰ μέρη παρ' ἐκείνου προῖκα
λαβόντες, πολλοῦ τοῖς ἄλλοις ἐπώλουν· καὶ οὐκ ἦσαν ὥσ-
περ ἐκεῖνος δημοτικοί. τοῖς γὰρ μὴ ἔχουσι χρήματα
διδόναι, οὐκ ἤθελον διαλέγεσθαι, ἀλλὰ σωκράτης γε καὶ
πρὸς τοὺς ἄλλους ἀνθρώπους, κόσμον τῇ πόλει παρεῖ-
χε, πολλῷ μᾶλλον ἢ λίχας τῇ λακεδαιμονίων, ὃς ὀνο-
μαστὸς

familiarißimi hominis sit, conantur abscondere. dumq;
adhuc homines uiuant, quicquid corporis sui, quod lõ
ge plus omnibus amant, inutile esset, ungulas, capil-
los, callos, cæterasq; superflua corporis & ipsi inciden
tes proijciunt, medicisq; cum doloribus & laboribus
abscindendum præbent, atq; amputãt, huiusq; rei gra
tia mercedem etiam eis oportere soluere opinantur: ac
saliuam ab ore quamlongißime possunt, spuunt: quo-
niam nihil insita prodest, sed multo magis nocet. Hæc
10 itaq; Socrates aiebat, non quod parentem etiam quidẽ
dum uiuat obruendum esse doceret, se autem abscindẽ
dum: sed ostendens quod nullo honore dignum cense-
tur quod insipiens est, hortabaturq; ut studeant quam
prudentißimi ac utilißimi effici: ut si quis aut à patre,
aut à fratre, aut à quoquam alio uelit honorari, non
contemnat uirtutes cognatione confisus, sed conetur ã
quib. honorari desideret, etiã poßit eis prodesse. Enim
uero accusator Socratẽ inquit solere à nobilißimis poẽ
tis ea dicta eligere quæ peiora sunt, hisq; ut testimo-
20 nijs usum, docere adolescentes maleficos ac tyrannos
esse. Illud nanq; Hesiodi: Negociũ non est opprobriũ,
ocium autem opprobriũ est: interpretari Socratem so
litum asserunt, quod poëta iubeat scilicet à nullo negõ
cio nec iniusto nec turpi abstinendum esse: sed omnia
quæstus gratia faciunda. Socrates uero cum arbitrare-
tur negocium esse utile ac bonum homini, ocium au-
tem nocuum & malum: & operari bonum, ocio ue-
ro marcescere malum: quos quidem bonum quippiam
facientes uidebat, operari dicebat, ac bonos operarios
30 esse: qui uero taxillis uacabant, aut aliquod prauũ, aut
damnosum agebant, ociosos appellabat. Et ita recte se
habeat dicere, negocium non esse opprobrium, ocium
autem opprobrium esse. Carmina illa etiam Homeri
aduersarius inquit sæpenumero Socratẽ dixisse, quod
Vlysses si quenquam præstantem ac ducem conuenis
ret, hunc suaui sermone cum appropinquaret demul-
cebat: O felix, nõ deceat uti formidolosum pertimescee
re, si tu quoq; maneas, & persuadeas populo permane
re. Cum uero quenquam uideret uirum plebeiũ, ac re-
40 periret clamantem, hunc sceptro cædebat, ac uerbo in
crepabat: Infelix sede immobilis, ac alijs pareas q præ
stantiores te sunt: tu uero effœminatus et eneruatus es,
nec bello nec cõsilio idoneus. Hæc uero cum interpre
tari, quasi uelit poëta ut uerberibus afficiantur plebeij
ac pauperes homines. Socrates uero minime ista aie-
bat: nam isto modo seipsum primo profecto diceret es-
se cædendum. Dicebat autem, illos qui nec uerbo nec
opere prosunt, nec exercitui, nec ciuitati, nec ipsi ple-
bi, si opus fuerit, præsertim si ad hæc audaces ac inso-
50 lentes sint, omnibus modis prohiberi oportere, quãuis
ditißimi sint. Ipse autem in se popularis ac humanus
erat. Multos nanq; tum ciues tũ hospites cupidos sui
habens, nullam unquam mercedem suæ doctrinæ exe-
git, sed omnibus liberaliter ac sine inuidia suam com-
municabat scientiam, cuum cum paruam alij partẽ ac
cepissent, magno uendebãt: nec erãt ut ille populares,
sed cum illis qui pecuniã dare non habebãt, colloqui
denegabant. Socrates autem etiam aduenis hominib.
ornamentum esse uidebatur ciuitatis, multoq; magis
quàm Lichas ciuitati Lacedæmoniorum, qui famo-
sus

sus in hoc genere habitus est. Lichas namq; aduenientib. Lacedæmonis hospitib. gymnasiorum gratia hospitium præbebat: Socrates uero quandiu uiuebat suis cōtentus, maximæ utilitati uolentib. erat. Meliores namq; eos qui secum conuersabantur efficiebat. Cum itaq; huiusmodi Socrates fuisset, honore potius q̃ morte à ciuitate affici, ut mihi uidetur, debebat. Nam & si quis secundū leges consideraret, hoc idem inueniet. Sancitum namq; legib. est, illum affici morte debere, qui aut furabatur, aut latrocinabatur, aut rapiebat, aut in ædes alienas irruebat, aut in seruitutē homines redigebat, aut sacrilegium cōmittebat: à quib. ille longe plus omnib. hominib. aberat. Insuper nec ut bellum, quod multa mala sequutura erāt, nec seditio, aut proditio, aut aliquod malū accederet ciuitati, causa unquam ille fuerat. Nec priuatim quenq̃ aut bonis priuauit, aut ut incōmodum pateretur, procurauit: & non modo non fecit, sed nec suspectum se unquam de eiusmodi reddidit reb. Qua igitur ratione dignus esset accusatione, qui pro illo quod obijciebatur, quod nō coleret deos, colebat illos, ut hominibus patefactū erat, plus alijs hominibus? Pro illo uero quod aduersarius eum accusauerat, quod iuuentutē corrūperet, manifeste eos adolescentulorū qui eo utebātur, quicūq; prauas cupiditates haberēt, ab illis dehortabatur: illā uero uirtutē quæ maxima pulcherrimaq; est, quaq; ciuitates ac domus optime habitātur, cupere hortabatur. Hæc itaq; agens, cur nō esset in ciuitate maximis honoribus dignus? Verùm quod summopere proderat etiā illis quibus cum cōuersabatur, partim opere seipsum qualis esset ostendens, partim disputationib. usus, horū conscribam quæcunq; meminerim. Circa igitur deos eo modo uidebatur dicere ac agere, quo Pythius illis respondet qui interrogant quō oporteat agere, aut de immolationib. aut de maiorū obseruātia, aut de alijs huiusmodi reb. Sicut .n. Pythius de immolationib. iubet, quod recte ageret si quis cōsuetudine ciuitatis uteretur, sic etiā Socrates et ipse faciebat, cæterosq; admonebat: eos uero q aliter agebāt, curiosos et uanes arbitrabatur. Orabat autē deos simpliciter bona præstare, tanquā optime dij quænam sint nobis bona scirent. Qui uero aurū, aut argentum, aut tyrannidē, aut quippiā huiusmodi à dijs orādo petebāt, illos simile quid opinabatur orare, ac si ludum taxillorū, aut prælium, aut aliquid orassent cuius incertus exitus esset. Immolationes autē parui sumptus, cum pauca haberet, offerens dijs, nihil arbitrabatur differre ab illis qui è magnis diuitijs multa ac magna sacrificarent. Nec .n. deos asserebat plus magnis q̃ paruis sacrificijs gaudere: quoniam magis essent eis grata quæ praui homines offerunt, q̃ quæ boni sacrificāt. Nec hominib. uiuendū esse dicebat, si magis malorum q̃ bonorum hominū essent dijs gratæ oblationes. Opinabaturq; deos quàm maxime gaudere à bonis hominib. eis oblatis honoribus, quapropter illud quoq; carmen cōmendabat: Secundum quod potes immortalib. dijs sacrificia offeras. Erga etiam amicos aut hospites, cæteramq; uitam, optimam hanc admonitionē esse aiebat: Secundum quod potes agas. Si quando autem quicquam à dijs sibi ostendi putabat, minus persuasus fuisset præter ostensa facere, quā si quis persuaderet ei, ducem in uia cæcum pro uidente recipere, & uiæ ignarum pro cognoscente.

Quod potes agas.

μαστὸς ἐπὶ τούτῳ γέγονε. Λίχας μὲν γὰρ ταῖς γυμνοπαιδίαις τοὺς ἐπιδημοῦντας ἐν Λακεδαίμονι ξένους ἐδείπνιζε. Σωκράτης δὲ διὰ παντὸς τοῦ βίου τὰ ἑαυτοῦ δαπανῶν τὰ μέγιστα, πάντας τοὺς βουλομένους ὠφέλει. βελτίους γὰρ ποιῶν τοὺς συγγιγνομένους ἀπέπεμπεν. ἐμοὶ δὴ Σωκράτης τοιοῦτος ὢν ἐδόκει τιμῆς ἄξιος εἶναι τῇ πόλει μᾶλλον ἢ θανάτου. καὶ κατὰ τοὺς νόμους δὲ σκοπῶν ἄν τις τοῦθ' εὕροι. κατὰ γὰρ τοὺς νόμους, ἐάν τις φανερὸς γένηται κλέπτων, ἢ λωποδυτῶν, ἢ βαλαντιοτομῶν, ἢ τοιχωρυχῶν, ἢ ἀνδραποδιζόμενος, ἢ ἱεροσυλῶν, τούτοις θάνατός ἐστιν ἡ ζημία, ὧν ἐκεῖνος πάντων ἀνθρώπων πλεῖστον ἀπεῖχεν. ἀλλὰ μὴν τῇ πόλει γε οὔτε πολέμου κακῶς συμβάντος, οὔτε στάσεως, οὔτε προδοσίας, οὔτε ἄλλου κακοῦ οὐδενὸς πώποτε αἴτιος ἐγένετο. οὐδὲ μὴν ἰδίᾳ γε οὐδένα πώποτε ἀνθρώπων, οὔτε ἀγαθῶν ἀπεστέρησεν, οὔτε κακοῖς περιέβαλεν, ἀλλ' οὐδ' αἰτίαν τῶν εἰρημένων οὐδενὸς πώποτ' ἔσχε. πῶς οὖν ἔνοχος ἂν εἴη τῇ γραφῇ; ὃς ἀντὶ μὲν τοῦ μὴ νομίζειν θεούς, ὡς ἐν τῇ γραφῇ ἐγέγραπτο, φανερὸς ἦν θεραπεύων τοὺς θεούς, μάλιστα τῶν ἄλλων ἀνθρώπων; ἀντὶ δὲ τοῦ διαφθείρειν τοὺς νέους, ὃ δὴ ὁ γραψάμενος αὐτὸν ᾐτιᾶτο, φανερὸς ἦν τῶν συνόντων τοὺς πονηρὰς ἐπιθυμίας ἔχοντας, τούτων μὲν παύων, τῆς δὲ καλλίστης καὶ μεγαλοπρεπεστάτης ἀρετῆς, ᾗ πόλεις τε καὶ οἶκοι εὖ οἰκοῦσι, προτρέπων ἐπιθυμεῖν. ταῦτα δὲ πράττων, πῶς οὐ μεγάλης ἄξιος ἦν τιμῆς τῇ πόλει; ὡς δὲ δὴ καὶ ὠφελεῖν ἐδόκει μοι τοὺς ξυνόντας, τὰ μὲν ἔργῳ δεικνύων ἑαυτὸν οἷος ἦν, τὰ δὲ καὶ διαλεγόμενος. τούτων δὴ γράψω, ὁπόσα ἂν διαμνημονεύσω. τὰ μὲν τοίνυν πρὸς τοὺς θεοὺς φανερὸς ἦν καὶ ποιῶν καὶ λέγων ᾗπερ ἡ Πυθία ἀποκρίνεται, τοῖς ἐρωτῶσι πῶς δεῖ ποιεῖν ἢ περὶ θυσίας, ἢ περὶ προγόνων θεραπείας, ἢ περὶ ἄλλου τινὸς τῶν τοιούτων. ἥ τε γὰρ Πυθία νόμῳ πόλεως ἀναιρεῖ ποιοῦντας εὐσεβῶς ἂν ποιεῖν. Σωκράτης τε οὕτως καὶ αὐτὸς ἐποίει, καὶ τοῖς ἄλλοις παρῄνει. τοὺς δὲ ἄλλως πως ποιοῦντας, περιέργους καὶ ματαίους ἐνόμιζεν εἶναι. καὶ ηὔχετο δὲ πρὸς τοὺς θεοὺς ἁπλῶς τἀγαθὰ διδόναι, ὡς τοὺς θεοὺς κάλλιστα εἰδότας, ὁποῖα ἀγαθά ἐστι. τοὺς δὲ εὐχομένους χρυσίον, ἢ ἀργύριον, ἢ τυραννίδα, ἢ ἄλλο τι τῶν τοιούτων, οὐδὲν διάφορον ἐνόμιζεν εὔχεσθαι, ἢ εἰ κυβείαν, ἢ μάχην, ἢ ἄλλο τι εὔχοιντο τῶν φανερῶς ἀδήλων, ὅπως ἀποβήσοιτο. θυσίας δὲ θύων μικρὰς ἐκ μικρῶν, οὐδὲν ἡγεῖτο μειοῦσθαι τῶν ἐκ πολλῶν καὶ μεγάλων, πολλὰ καὶ μεγάλα θυόντων. οὔτε γὰρ τοῖς θεοῖς, ἔφη, καλῶς ἔχειν, εἰ ταῖς μεγάλαις θυσίαις μᾶλλον ἢ ταῖς μικραῖς ἔχαιρον. πολλάκις γὰρ ἂν αὐτοῖς τὰ παρὰ τῶν πονηρῶν μᾶλλον ἢ τὰ παρὰ τῶν χρηστῶν εἶναι κεχαρισμένα. οὔτ' ἂν τοῖς ἀνθρώποις ἄξιον εἶναι ζῆν, εἰ τὰ παρὰ τῶν πονηρῶν μᾶλλον ἦν κεχαρισμένα τοῖς θεοῖς, ἢ τὰ παρὰ τῶν χρηστῶν. ἀλλ' ἐνόμιζε τοὺς θεοὺς ταῖς παρὰ τῶν εὐσεβεστάτων τιμαῖς μάλα χαίρειν. ἐπαινέτης δ' ἦν καὶ τοῦ ἔπους τούτου· καδδύναμιν δ' ἔρδειν ἱέρ' ἀθανάτοισι θεοῖσι. καὶ πρὸς φίλους δὲ καὶ ξένους, καὶ πρὸς τὴν ἄλλην δίαιταν, καλὴν ἔφη παραίνεσιν εἶναι, τὴν καδδύναμιν ἔρδειν. εἰ δέ τι δόξειεν αὐτῷ σημαίνεσθαι παρὰ θεῶν, ἧττον ἂν ἐπείσθη παρὰ τὰ σημαινόμενα ποιῆσαι, ἢ εἴ τις αὐτὸν ἔπειθεν ὁδοῦ λαβεῖν ἡγεμόνα τυφλόν, καὶ μὴ εἰδότα τὴν ὁδόν, ἀντὶ βλέποντος καὶ εἰδότος.

καὶ τῶν ἄλλων δὲ μωρίαν κατηγόρει, οἵτινες τὰ παρὰ τῶν θεῶν σημαινόμενα, πείθοιντί, φυλαττόμενοι τὴν παρὰ τοῖς ἀνθρώποις ἀδοξίαν. αὐτὸς δὲ πάντ' ἀνθρώπινα ὑπερεώρα, πρὸς τὴν παρὰ τῶν θεῶν ξυμβουλίαν. διαίτῃ δὲ τήν τε ψυχὴν ἐπαίδευσε καὶ τὸ σῶμα, ᾗ χρώμενος ἄν τις, εἰ μήτι δαιμόνιον εἴη, θαρραλέως καὶ ἀσφαλῶς διάγοι, καὶ οὐκ ἂν ἀπορήσειε τοσαύτης δαπάνης. οὕτω γὰρ εὐτελὴς ἦν, ὥστ' οὐκ οἶδ' εἴ τις οὕτως ἂν ὀλίγα ἐργάζοιτο, ὥστε μὴ λαμβάνειν τὰ Σωκράτει ἀρκοῦντα. σίτῳ μὲν γὰρ τοσούτῳ ἐχρῆτο, ὅσον ἡδέως ἤσθιε. καὶ ἐπὶ τοῦτο οὕτως παρεσκευασμένος ᾔει, ὥστε τὴν ἐπιθυμίαν τοῦ σίτου ὄψον αὐτῷ εἶναι. ποτὸν δὲ πᾶν ἡδὺ ἦν αὐτῷ, διὰ τὸ μὴ πίνειν, εἰ μὴ διψῴη. εἰ δέ ποτε κληθεὶς ἐθελήσειεν ἐπὶ δεῖπνον ἐλθεῖν, ὃ τοῖς πλείστοις ἐργωδέστατόν ἐστιν, ὥστε φυλάξασθαι τὸ ὑπὲρ τὸν καιρὸν ἐμπίπλασθαι, τοῦτο ῥᾳδίως πάνυ ἐφυλάττετο. τοῖς δὲ μὴ δυναμένοις τοῦτο ποιεῖν, συνεβούλευε φυλάττεσθαι τὰ πείθοντα μὴ πεινῶντας ἐσθίειν, μηδὲ διψῶντας πίνειν. καὶ γὰρ τὰ λυμαινόμενα γαστέρας καὶ κεφαλὰς καὶ ψυχάς, ταῦτ' ἔφη εἶναι. οἴεσθαι δ' ἔφη ἐπισκώπτων καὶ τὴν Κίρκην ὗς ποιεῖν, τοιούτοις πολλοῖς δειπνίζουσαν. τὸν δ' Ὀδυσσέα Ἑρμοῦ τε ὑποθημοσύνῃ καὶ αὐτὸν ἐγκρατεύοντα καὶ ἀρχόμενον τὸ ὑπὲρ τὸν καιρὸν τῶν τοιούτων ἅπτεσθαι, διὰ ταῦτα οὐδὲ γενέσθαι ὗν. τοιαῦτα μὲν περὶ τούτων ἔπαιζεν ἅμα σπουδάζων. ἀφροδισίων δὲ παρῄνει τῶν καλῶν ἰσχυρῶς ἀπέχεσθαι. οὐ γὰρ ἔφη ῥᾴδιον εἶναι τῶν τοιούτων ἁπτόμενον σωφρονεῖν. ἀλλὰ καὶ Κριτόβουλόν ποτε τὸν Κρίτωνος, πυθόμενος ὅτι ἐφίλησε τὸν Ἀλκιβιάδου υἱὸν καλὸν ὄντα, παρόντος τοῦ Κριτοβούλου, ἤρετο Ξενοφῶντα. εἰπέ μοι, ἔφη, ὦ Ξενοφῶν, οὐ σὺ Κριτόβουλον ἐνόμιζες εἶναι τῶν σωφρονικῶν ἀνθρώπων μᾶλλον, ἢ τῶν θρασέων, καὶ τῶν προνοητικῶν μᾶλλον, ἢ τῶν ἀνοήτων τε καὶ ῥιψοκινδύνων; πάνυ μὲν οὖν, ἔφη ὁ Ξενοφῶν. νῦν τοίνυν νόμιζε αὐτὸν θερμουργότατον εἶναι καὶ λεωργότατον. οὗτος κἂν εἰς μαχαίρας κυβιστήσειε, κἂν εἰς πῦρ ἅλοιτο. καὶ τί δή, ἔφη ὁ Ξενοφῶν, ἰδὼν ποιοῦντα, ταῦτα κατέγνωκας αὐτοῦ; οὐ γὰρ οὗτος, ἔφη, ἐτόλμησε τὸν Ἀλκιβιάδου υἱὸν φιλῆσαι, ὄντα εὐπροσωπότατον καὶ ὡραιότατον; ἀλλ' εἰ μέντοι, ἔφη ὁ Ξενοφῶν, τοιοῦτόν ἐστι τὸ ῥιψοκίνδυνον ἔργον, κἂν ἐγὼ δοκῶ μοι τὸν κίνδυνον τοῦτον ὑπομεῖναι. ὦ τλῆμον, ἔφη ὁ Σωκράτης, καὶ τί ἂν οἴει παθεῖν καλὸν φιλήσας; ἆρ' οὐκ ἂν αὐτίκα μάλα δοῦλος αὐτ' ἐλευθέρου; πολλὰ δὲ δαπανᾶν εἰς βλαβερὰς ἡδονάς; πολλὴν δὲ ἀσχολίαν ἔχειν τοῦ ἐπιμεληθῆναί τινος καλοῦ τ' ἀγαθοῦ; σπουδάζειν δ' ἀναγκασθῆναι, ἐφ' οἷς οὐδ' ἂν μαινόμενος σπουδάσειεν; ὦ Ἡράκλεις, ἔφη Ξενοφῶν, ὡς δεινήν τινα λέγεις δύναμιν τοῦ φιλήματος εἶναι. καὶ τοῦτο, ἔφη ὁ Σωκράτης, θαυμάζεις; οὐκ οἶσθα, ἔφη, τὰ φαλάγγια, οὐδ' ἡμιωβολιαῖα τὸ μέγεθος ὄντα, προσαψάμενα μόνον τῷ στόματι, ταῖς τε ὀδύναις ἐπιτρίβει τοὺς ἀνθρώπους, καὶ τοῦ φρονεῖν ἐξίστησιν; ναὶ μὰ Δί', ἔφη ὁ Ξενοφῶν. ἐνίησι γάρ τι τὰ φαλάγγια κατὰ τὸ δῆγμα. ὦ μωρέ, ἔφη ὁ Σωκράτης, τοὺς δὲ καλοὺς οὐκ οἴει φιλοῦντας ἐνιέναι τι, ὅτι σὺ οὐχ ὁρᾷς; οὐκ οἶσθ' ὅτι τοῦτο τὸ θηρίον, ὃ καλοῦσι καλὸν καὶ ὡραῖον, τοσούτῳ δεινότερόν ἐστι τῶν φαλαγγίων, ὅσῳ ἐκεῖνα μὲν ἁψάμενα, τοῦτο δὲ οὐδ' ἁπτόμενον, ἐὰν δέ τις αὐτὸ θεᾶται, ἐνίησί τι καὶ πάνυ πρόσωθεν τοιοῦτον, ὥστε μαί-

νεσθαι

Illos autem qui cauendo hominum opiniones, praeter illa quae dij considerent facerent, stoliditate accusabat. Ipse uero consultationẽ diuinam omnibus anteferebat humanis. Tali autem modo uiuendi corpus ac animam castigauit, quo quispiam usus, nisi quid diuinum impediat, facillime atq; secure degat, tantoq; sumptu nõ careat. Tam enim paucis utebatur, ut nescio quis tam modicũ laboraret, qui non posset lucrari quae Socrati satis essent. Cibo namq; tam parce utebatur, ut iucunde comederet: atq; ad illum ita ibat paratus, ut pro epulis esset sibi cupiditas comedendi. Potus uero omnis erat ei gratus, propterea quod nunquam bibebat nisi sitiret. Si quãdo uero in conuiuium conuocatus uoluisset ire, à quo difficilimum plurimis cauere est, praeterquam deceat saturari, facillime ipse ab illo cauebat. Qui uero hoc facere non poterant, his consulebat abstinere ab illis quae persuadent non famescendo comedere, neq; sitiendo bibere: haec enim esse aiebat quae uentribus, capitibus, atque animis noceant. Arbitrari autem, iocando dicebat, idcirco sues homines effici à Circe, quoniam multis talibus illos nutriebat: Vlyssem autem partim Mercurij consilio, partim abstinentia sua, suem factum non fuisse: huiuscemodi de his serio simul ac ioco dicebat. De rebus uero uenereis superandis, admonebat à pulchris abstinere uehementer. Non enim esse facile aiebat, cum tales homo tangat, modestum esse. *Quinimo cum aliquando Critobulum (qui erat Critonis filius) Alcibiadis filio insigni pulchritudine suauium dare deprehendisset, Xenophontem ipso etiam praesente Critobulo interrogat. Dic mihi, inquit, ô Xenophon, utrum censes Critobulum hominem esse frugi an amatorem? prouidumne an amentem uel temerarium? Prorsus, ait Xenophon. Nunc igitur tibi persuadeas uelim, hunc longe confidentißimum nec non & audacißimum esse hominem, atq; adeo ut etiam capite in enses se praecipitem dare, aut in ignes insilire non dubitaret. Ecquid, inquit Xenophon, cum haec à te patrare sit usus, talem aduersus ipsum fers sententiam? Anne, inquit formosißimum etiam & pulcherrimum Alcibiadis filium ausus est osculari? Verùm, inquit Xenophon, si tam periculosa haec res est, & ego mihi hoc periculum subire uideor. Ad haec Socrates: Ô miserum hominem: & quid effecturum te arbitraris, si formosum osculatus fueris? An non ut statim repulsa libertate in seruitutis iugum te tradas, non exiguos uero sumptus in noxias uoluptates facias, à ueri boni, honestiq; indagatione uaces, in ijs autem rebus, quas nemo sanae mentis, sed furiosus curauerit, omne studium tuũ colloces? Mehercule, inquit Xenophon, magnam osculo uim inesse dicis. Tum Socrates, Hoccine tibi mirũ, inquit, uidetur? An uero tu solus ignoras, quod phalãgia) quae si magnitudinẽ respicias, ne dimidio quidẽ obolo cõferri possunt) ubi ore tantum homines apprehẽderint, dolorib. eos conficiunt, et à sensu mentis abstrahunt? Per Iouẽ, inquit Xenophon, infigunt enim aliquid phalangia morsu. Ô stulte, ait Socrates, censes ne etiam osculantes pulchros immittere quippiam, quod non uideas? An nescis id animal, quod pulchrũ et formosum uocant, eò horribilius esse phalangijs, quod haec tactu solum laedũt: illud uero etsi nõ tangat, sed eminus tãtum uideatur, inferit aliquid quod in-

* Hoc signo inclusa nunc primum uersa.

ſanire faciat? Et hinc eſt fortaßis quod Cupido dicitur pharetratus: quoniã formoſi etiam à longe uulnera infligunt. Quapropter fideliſsimũ tibi ô Xenophõ conſiliũ do, ut quam primũ aliquẽ formoſum cõſpexeris, ita fugias ut ne retro quidem reſpicias. Tibi uero, ò Critobule, conſulo, ut integrũ annũ peregrineris: uix enim intra id ſpacium ab hoc morſu conualueris.* Quapropter illos qui nõ moderati ad res uenereas eſſent, arbitrabatur talibus uti debere, quibus non nimium corpus indigeret, nõ recideret animus: ſi uero corpus indigeret, id non præſtarent occupationes animo. Ipſe autem ita contra hæc armatus erat, ut facilius à pulcherrimis mulieribus abſtineret, quàm à turpiſsimis alij. Circaq; cibum ac potum & venereas res abſtinentiſsimus erat: ac arbitrabatur non minorem abſtinendo uoluptatem habere, q̃ ſi quis magna cura uoluptates acquirat, dolorẽ uero multo minorem. Si uero quidam Socratem opinantur, ut ex coniectura nonnulli de eo ſcripſerunt, hortari quidẽ homines ad uirtutem optimũ, introducere uero in eam minime ſufficientẽ fuiſſe, conſiderent nõ modo quibus cauſa tentamenti interrogationibus uſus, illos qui omnia ſcire opinabantur, redarguebat, ſed ea etiã quæ cũ ſuis auditoribus colloquebatur in dies: ac iſto modo iudicent, utrum poterat illos reddere meliores qui cũ eo conuerſabantur. Dicam uero primùm quæ quondã cum de prouidentia cũ Ariſtodemo, qui Paruus cognominabatur, audieram diſputantẽ. Cum enim eum conſideraret nec dijs ſacrificantem, nec diuinatione uſum, quin in cõtemptu habentem, ac deridentem illos qui ea faciebãt: Dic mihi Ariſtodeme, inquit, ſunt ulli hominum, quos ut ſapientes admiraris? Ita eſſe reſpondit. At ille: Expone nobis nomina, inquit. In uerſuum, ait cõpoſitione Homerũ ego permaxime ſum admiratus. in dithyrãbo, Menalippidem: in tragœdiis, Sophoclẽ: in arte ſtatuaria, Polycletum: in pictura, Zeuxim. Vtrum autem, Socrates aït, illi tibi uidentur magis admirandi eſſe, qui inſipientia et immobilia ſimulacra operãtur, an illi qui animalia ſciẽtia et mobilia? Multo per Iouẽ, inquit, qui animalia faciãt, præſertim ſi nõ ſorte, ſed cogitatione hæc fiunt. Illorum uero quæ incerta ſunt ad quẽ finem tendant, quæq; manifeſte in utilitatẽ cedunt hominib. utra fortunæ, ac utra iudicas rationis et cogitationis opera eſſe? Quæ in utilitatem ſunt, inquit, rationis opera eſſe decet. Quid uero, non ad utilitatẽ tibi uidetur addidiſſe hominib. ſenſus, p quos unumquodq; ſentirẽt, ille qui à principio eos fecerat? oculos ut uiſibilia uideãt, aures ut audibilia audiãt: ſic etiam de ijs quæ odore ſentiũtur, quorum nulla eſſet utilitas, ſi nõ additæ nobis nares fuiſſent. Dulciũ etiam & acutorũ quis nobis eſſet ſenſus, ſi nõ fuiſſet nobis lingua data iudex illorum? Et ad hæc, non uidetur tibi hoc etiam prouidẽtiæ opus fuiſſe, quod cum uiſus imbecillis eſſet, palpebris eum circũuallare, quæ cum opus fuerit ui uiſu, aperiũtur, in ſomno uero clauduntur? Vt uero ne uenti nocere poſsint, pilos palpebrarum quaſi decolatoriũ, ac ſupercilia eminentia ſuper oculos impoſuit, ne qui deſcendit à capite ſudor noceat. Quod autẽ aures ſuſcipiunt quidem omnes uoces, nunquam uero implentur. Dentiumq; anteriores quidem omnibus animalib. tales conſtructi ſunt ut ſecare poſsint, maiores autem ut ab illis cibum inciſum ſuſceptum molere ualeant. Ac

[illegible] compoſitione corporis humani.

μαίνεσθαι ποιεῖν; ἴσως δὲ καὶ οἱ ἔρωτες τοξόται διὰ τοῦτο καλοῦνται, ὅτι καὶ πρόσωθεν οἱ καλοὶ τιτρώσκουσιν. ἀλλὰ συμβουλεύω σοι, ὦ Ξενοφῶν, ὁπόταν ἴδῃς τινὰ καλὸν φεύγειν προτροπάδην. σοὶ δέ, ὦ Κριτόβουλε, συμβουλεύω ἀπενιαυτίσαι. μόλις γὰρ ἴσως ἐν τούτῳ χρόνῳ τὸ δῆγμα ὑγιὴς γένοιο. οὕτω δὴ καὶ ἀφροδισιάζειν τοὺς μὴ ἀσφαλῶς ἔχοντας πρὸς ἀφροδίσια, ᾤετο χρῆναι πρὸς τοιαῦτα, οἷα μὴ πάνυ μὲν δεομένου μὲν τοῦ σώματος, οὐκ ἂν προσδέξαιτο ἡ ψυχή, μὴ δεομένου δέ, οὐκ ἂν πράγματα παρέχοι. αὐτὸς δὲ πρὸς ταῦτα φανερὸς ἦν οὕτω παρεσκευασμένος, ὥστε ῥᾷον ἀπέχεσθαι τῶν καλλίστων καὶ ὡραιοτάτων, ἢ οἱ ἄλλοι τῶν αἰσχίστων καὶ ἀωροτάτων. περὶ μὲν δὴ βρώσεως καὶ πόσεως, καὶ ἀφροδισίων οὕτως κατεσκευασμένος ἦν. καὶ ᾤετο οὐδὲν ἂν ἧττον ἀρκούντως ἥδεσθαι τῶν πολλὰ ἐπὶ τούτοις πραγματευομένων. λυπεῖσθαι δὲ πολὺ ἔλαττον. εἰ δέ τινες Σωκράτην νομίζουσιν, ὡς ἔνιοι γράφουσί τε καὶ λέγουσι περὶ αὐτοῦ τεκμαιρόμενοι, προτρέψασθαι μὲν ἀνθρώπους ἐπ' ἀρετήν, κράτιστον γεγονέναι, προαγαγεῖν δ' ἐπ' αὐτὴν οὐχ ἱκανόν, σκεψάμενοι μὴ μόνον ἃ ἐκεῖνος κολαστηρίου ἕνεκα, τοὺς πάντ' οἰομένους εἰδέναι ἐρωτῶν ἤλεγχεν, ἀλλὰ καὶ ἃ λέγων συνημέρευε τοῖς συνδιατρίβουσι, δοκιμαζόντων ἱκανὸς ἦν, βελτίους ποιεῖν τοὺς συνόντας. λέξω δὲ πρῶτον, ἅ ποτε αὐτοῦ ἤκουσα περὶ τοῦ δαιμονίου διαλεγομένου πρὸς Ἀριστόδημον τὸν μικρὸν ἐπικαλούμενον. καταμαθὼν γὰρ αὐτὸν οὔτε θύοντα τοῖς θεοῖς μηχανώμενον, οὔτε μαντικῇ χρώμενον, ἀλλὰ καὶ τῶν ποιούντων ταῦτα καταγελῶντα. εἰπέ μοι, ἔφη, ὦ Ἀριστόδημε, ἔστιν οὕς τινας ἀνθρώπους τεθαύμακας ἐπὶ σοφίᾳ; ἔγωγ', ἔφη. καὶ ὅς, λέξον ἡμῖν, ἔφη, τὰ ὀνόματα αὐτῶν. ἐπὶ μὲν τοίνυν ἐπῶν ποιήσει, Ὅμηρον ἔγωγε μάλιστα τεθαύμακα· ἐπὶ δὲ διθυράμβῳ, Μελανιππίδην· ἐπὶ δὲ τραγῳδίᾳ, Σοφοκλέα· ἐπὶ δὲ ἀνδριαντοποιΐᾳ, Πολύκλειτον· ἐπὶ δὲ ζωγραφίᾳ, Ζεῦξιν. πότερά σοι δοκοῦσιν οἱ ἀπεργαζόμενοι εἴδωλα, ἄφρονά τε καὶ ἀκίνητα ἀξιοθαυμαστότεροι εἶναι, ἢ οἱ ζῷα ἔμφρονά τε καὶ ἐνεργά; πολὺ νὴ Δία οἱ ζῷα. εἴπερ γε μὴ τύχῃ τινί, ἀλλὰ ὑπὸ γνώμης ταῦτα γίγνεται. τῶν δὲ ἀτεκμάρτως ἐχόντων ὅτου ἕνεκά ἐστι, καὶ τῶν φανερῶς ἐπ' ὠφελείᾳ ὄντων, πότερα τύχης, καὶ πότερα γνώμης ἔργα κρίνεις; πρέπει μὲν τὰ ἐπ' ὠφελείᾳ γιγνόμενα, γνώμης εἶναι ἔργα. οὐκοῦν δοκεῖ σοι ὁ ἐξ ἀρχῆς ποιῶν ἀνθρώπους ἐπ' ὠφελείᾳ, προσθεῖναι αὐτοῖς δι' ὧν αἰσθάνονται ἕκαστα· ὀφθαλμοὺς μέν, ὥσθ' ὁρᾶν τὰ ὁρατά· ὦτα δέ, ὥστ' ἀκούειν τὰ ἀκουστά· ὀσμῶν γε μὴν εἰ μὴ ῥῖνες προσετέθησαν, τί ἂν ἡμῖν ὄφελος ἦν; τίς δ' ἂν αἴσθησις ἦν γλυκέων, καὶ δριμέων, καὶ πάντων τῶν διὰ στόματος ἡδέων, εἰ μὴ γλῶττα τούτων γνώμων ἐνειργάσθη; πρὸς δὲ τούτοις οὐ δοκεῖ σοι καὶ τόδε προνοίας ἔργῳ ἐοικέναι, τὸ ἐπεὶ ἀσθενὴς μέν ἐστιν ἡ ὄψις, βλεφάροις αὐτὴν θυρῶσαι, ἃ ὅταν μὲν αὐτῇ χρῆσθαί τι δέῃ, ἀναπετάννυται, ἐν δὲ τῷ ὕπνῳ συγκλείεται. ὡς δ' ἂν μηδὲ ἄνεμοι βλάπτωσιν, ἠθμὸν βλεφαρίδας ἐμφῦσαι, ὀφρύσι τε ἀπογεισῶσαι τὰ ὑπὲρ τῶν ὀμμάτων, ὡς μηδ' ὁ ἐκ τῆς κεφαλῆς ἱδρὼς κακουργῇ. τὸ δὲ τὴν ἀκοὴν δέχεσθαι μὲν πάσας φωνάς, ἐμπίπλασθαι δὲ μήποτε. καὶ τοὺς μὲν πρόσθεν ὀδόντας πᾶσι ζῴοις, οἵους τέμνειν εἶναι, τοὺς δὲ γομφίους, οἵους παρὰ τούτων δεξαμένους λεαίνειν. καὶ στόμα μέν, δι' οὗ ὧν ἐπιθυ-

ἐπιθυμεῖ τὰ ζῶα εἰσπέμπεται, πλησίον ὀφθαλμῶν καὶ ῥινῶν καταθεῖναι. ἐπεὶ δὲ τὰ ἀποχωροῦντα δυσχερῆ, ἀποστρέψαι τοὺς τούτων ὀχετοὺς, καὶ ἀπενεγκεῖν, ᾗ δυνατὸν προσωτάτω ἀπὸ τῶν αἰσθήσεων. ταῦτα οὕτω προνοητικῶς πεπραγμένα, ἀπορεῖς πότερα τύχης, ἢ ἔργα ἐστίν; οὐ μὰ τὸν Δί᾽, ἔφη. ἀλλ᾽ οὕτω γε σκοπουμένῳ, πάνυ ἔοικε ταῦτα, σοφοῦ τινος δημιουργοῦ καὶ φιλοζώου τεχνήματι. τὸ δὲ ἐμφῦσαι μὲν ἔρωτα τῆς τεκνοποιίας, ἐμφῦσαι δὲ ταῖς γειναμέναις ἔρωτα τοῦ ἐκτρέφειν, τοῖς δὲ τραφεῖσι μέγιστον μὲν πόθον τοῦ ζῆν, μέγιστον δὲ φόβον τοῦ θανάτου, ἀμέλει καὶ ταῦτα ἔοικε μηχανήμασι τινὸς ζῶα εἶναι βουλευσαμένου. σὺ δὲ σαυτὸν φρόνιμόν τι δοκεῖς ἔχειν; ἐρώτα γοῦν καὶ ἀποκρινοῦμαι. ἄλλοθι δὲ οὐδαμοῦ, οὐδὲν οἴει φρόνιμον εἶναι; καὶ ταῦτα εἰδώς, ὅτι γῆς τε μικρὸν μέρος ἐν τῷ σώματι, πολλῆς οὔσης ἔχεις, καὶ ὑγροῦ βραχὺ πολλοῦ ὄντος, καὶ τῶν ἄλλων δήπου μεγάλων ὄντων ἑκάστου μικρὸν μέρος λαβόντι, τὸ σῶμα συνήρμοσταί σοι, νοῦν δὲ μόνον ἄρα οὐδαμοῦ ὄντα σε εὐτυχῶς πως δοκεῖς συναρπάσαι; καὶ τάδε τὰ ὑπερμεγέθη, καὶ πλῆθος ἄπειρα, δι᾽ ἀφροσύνην τινὰ ὡς οἴει εὐτάκτως ἔχειν; μὰ Δί᾽, οὐ γὰρ ὁρῶ τοὺς κυρίους, ὥσπερ τῶν ἐνθάδε γιγνομένων τοὺς δημιουργούς. οὐδὲ γὰρ τὴν ἑαυτοῦ σύ γε ψυχὴν ὁρᾷς, ἣ τοῦ σώματος κυρία ἐστίν. ὥστε κατά γε τοῦτο ἔξεστί σοι λέγειν ὅτι οὐδὲν γνώμῃ, ἀλλὰ τύχῃ πάντα πράττεις; καὶ ὁ Ἀριστόδημος, οὔτοι, ἔφη, ἐγώ, ὦ Σώκρατες, ὑπερορῶ τὸ δαιμόνιον, ἀλλ᾽ ἐκεῖνο μεγαλοπρεπέστερον ἡγοῦμαι, ἢ ὡς τῆς ἐμῆς θεραπείας προσδεῖσθαι. οὐκοῦν, ἔφη, ὅσῳ μεγαλοπρεπέστερον, ἀξιοῖ σε θεραπεύειν, τοσούτῳ μᾶλλον τιμητέον αὐτό. εὖ ἴσθι, ἔφη, ὅτι εἰ νομίζοιμι θεοὺς ἀνθρώπων φροντίζειν, οὐκ ἂν ἀμελοίην αὐτῶν. ἔπειτ᾽ οὐκ οἴει φροντίζειν. οἳ πρῶτον μὲν μόνον τῶν ζῴων ἄνθρωπον ὀρθὸν ἀνέστησαν. ἡ δὲ ὀρθότης καὶ προορᾶν πλέον ποιεῖ δύνασθαι, καὶ τὰ ὕπερθεν μᾶλλον θεᾶσθαι, καὶ ἧττον κακοπαθεῖν, καὶ ὄψιν καὶ ἀκοὴν καὶ τὸ στόμα ἐποίησαν. ἔπειτα τοῖς μὲν ἄλλοις ἑρπετοῖς πόδας ἔδωκαν, οἳ τὸ πορεύεσθαι μόνον παρέχουσιν, ἀνθρώπῳ δὲ καὶ χεῖρας προσέθεσαν, αἳ τὰ πλεῖστα οἷς εὐδαιμονέστεροι ἐκείνων ἐσμὲν, ἐξεργάζονται. καὶ μὴν γλῶτταν γε πάντων τῶν ζῴων ἐχόντων, μόνην τὴν τῶν ἀνθρώπων ἐποίησαν, οἵαν ἄλλοτε ἀλλαχῇ ψαύουσαν τοῦ στόματος, ἀρθροῦν τε τὴν φωνὴν, καὶ σημαίνειν πάντα ἀλλήλοις ἃ βουλόμεθα. τὸ δὲ καὶ τὰς τῶν ἀφροδισίων ἡδονὰς τοῖς μὲν ἄλλοις ζῴοις δοῦναι, περιγράψαντας τοῦ ἔτους χρόνον, ἡμῖν δὲ συνεχῶς μέχρι γήρως ταῦτα παρέχειν. οὐ τοίνυν μόνον ἤρκεσε τῷ θεῷ τοῦ σώματος ἐπιμεληθῆναι, ἀλλ᾽ ὅπερ μέγιστόν ἐστι καὶ τὴν ψυχὴν κρατίστην τῷ ἀνθρώπῳ ἐνέφυσε. τίνος γὰρ ἄλλου ζῴου ψυχὴ πρῶτα μὲν θεῶν τῶν τὰ μέγιστα καὶ κάλλιστα συνταξάντων ᾔσθηται ὅτι εἰσί; τί δὲ φῦλον ἄλλο ἢ ἄνθρωποι θεοὺς θεραπεύουσι; ποία δὲ ψυχὴ τῆς ἀνθρωπίνης ἱκανωτέρα προφυλάττεσθαι, ἢ λιμὸν, ἢ δίψος, ἢ ψύχη, ἢ θάλπη, ἢ νόσοις ἐπικουρῆσαι, ἢ ῥώμην ἀσκῆσαι, ἢ πρὸς μάθησιν ἐκπονῆσαι, ἢ ὅσα ἂν ἀκούσῃ, ἢ ἴδῃ, ἢ μάθῃ ἱκανωτέρα ἐστὶ διαμεμνῆσθαι; οὐ γὰρ πάνυ σοι κατάδηλον, ὅτι παρὰ τὰ ἄλλα ζῷα ὥσπερ θεοὶ ἄνθρωποι βιοτεύουσι, φύσει καὶ τῷ σώματι καὶ τῇ ψυχῇ κρατιστεύοντες; οὔτε γὰρ βοὸς ἂν ἔχων σῶμα, ἀνθρώπου δὲ γνώμην ἐδύνατ᾽ ἂν

Ac os, per quod animalia ea quae capiunt immittunt in uentrem, penes oculos naresq; situm est. Turpium uero ac foetidarum rerum quae proiicienda sunt, illorū inquam conductus retro cōstruxit, ac regionem eis tribuit quam longinquam à sensibus. Haec omnia cum tanta prouidentia facta, dubitas an fortunae, an rationis sint? Non per Iouem, inquit: quin ita consideranti mihi, uidentur haec omnia sapientissimi creatoris, animantibusq; affecti, opus quoddam fuisse. Quod autem cupiditatem procreandae prolis innatam nobis immisit, matribus uero cupiditatem nutriendi, procreatis autem atq; nutritis magnum uiuendi desiderium, maximumq; moriendi timorem, et haec omnia nempe uidentur illius esse, qui consilio & cogitatione esse animantia uoluit. Tu uero teipsum non putas aliquid habere prudentiae? aut cum habeas, nónne alibi etiā arbitraris prudentiam esse? praesertim cum scias paruam te partem à tota terra, quae magna est, in corpore habere: à totaq; quantitate humiditatis, paruam partem: aliorum quoq; quolibet magno existente, à parua parte corpus tibi compositum esse: intellectum autem putas, si nusquam esset, te potuisse feliciter habere? Aut haec omnia tam multa & infinita multitudine, tamq; magna propter ignorātiam bene ordinata esse putas? Ita puto mehercle, Non enim uideo qui ea ordinent, sicuti uideo qui ista fabricantur, quae in hoc mundo fiunt. At nec tuum animum tu uides qui in corpore dominatur, ita ut secundum hoc liceat tibi dicere: non ratione, sed casu omnia facere. Tum Aristodemus: Non negligo ego deos, ô Socrates, inquit, sed arbitror eos maiores esse, quàm ut indigeant meo cultu. Imo, Socrates ait, quanto tibi maiores esse uidentur, tanto magis colendi ac adorandi sunt. Scias, o Socrates, inquit, quod si arbitrarer deos hominū habere curam, non negligerē eos. Et cur, ait, non opinaris eos de nobis curare, cū uideas eos primum quidem solum hominem animalium rectum creasse, quod multa prouidere posse facit, magisq; respicere quae supra se sunt, ac minus laborare, uisumq; & aures, ac os dedisse? Deinde alijs quidem serpentibus pedes solum praestasse, qui ad ambulandum conferunt: solum homini uero manus quoq; addidisse, quibus plura operatur, propter quae feliciores caeteris animalibus sumus? At linguam cum omnia animalia habeant, solam humanam talem fecisse, ut modo hanc, modo illam partem oris tangat, ac uocem articulet, alterq; alteri quaecunq; uelit significet? Voluptates quoq; uenereas cum caeteris animalibus determinasset in aliqua parte anni, nobis continue ad senectutem usq; praestitisse? Non uero satis habuerunt de corpore nostro curasse, sed, quod maius est, animum quoque quamoptimum homini immiserunt. Cuius nanq; alterius animalis animus, primùm quidem cognouerat maximarum optimarumq; rerum creatores deos esse? Quod uero aliud genus, praeter homines, deos colit? aut quae anima ac cōmodatior humana est, uel ad famem praecauendam, uel sitim, uel frigora, uel aestus, aut morbis obuiandum, aut robur exercitatione consequendum, aut ad doctrinam percipiendam laborandum, aut quaecunque audiuerit uel uiderit, perdoctusq; fuerit, memoria retinendum? An non minus tibi perspicuum est, quasi deos inter caetera animalia homines uiuere, ipsa natura omnibus alijs corporeq; animaq; praestantes: Nec enim si bouis corpus haberet, mentem autem hominis, quaecunq; uoluisset agere

Deus colendus.

Deum habere curam hominum.

Cur homo rectus

agere potuisset. Nec illa, quæ cum manus habeant, amentia sint, aliquid plus habent. Tu uero cum utrunque optimum à dijs habeas, non arbitraris eos tui curam habere? Quando ergo, aut cum quid faciant, putabis eos pro te curare, an cum consiliarios tibi mittant, quemadmodum tu dicis eos mittere debere, ac instruant quid agendum, quidúe non agendum sit? Cum uero, ait, Atheniensibus per diuinationem interrogantibus quippiam respondeant, aut cæteris Græcis, aut omnibus hominibus aliqua quibusdam prodigijs futura significent, nónne tibi quoq; putas eos respondere? sed te solum paruifacere atque contemnere arbitraris? An tu putas opionem hominibus à dijs innatam fuisse, sufficientes eos ad bene uel male agendum esse, si non essent sufficientes? ac arbitraris homines perpetuo deceptos, nunquam sensisse? Nónne consideras quod illæ ciuitates ac gentes maxime deos colunt, quæq; uetustissimæ sapientissimæq; sunt? Aetatum quoq; illa pijssima, quæ prudentissima etiam est? Disce, ô optime, ait, quod tua etiam tibi insita mens, quemadmodum uelit, tuum corpus gubernat. Itaq; opinandum est illam etiam, quæ totum continet, sapientiam, quemadmodum sibi placitum est, sic omnia gubernare. Num putas, tuum quidem oculum posse ad multa usq; passuum millia peruenire, diuinum autem oculum impossibile esse simul totum conspicere? Aut tuam quidem animam de his quæ apud diuersas regiones geruntur, aut Athenis, aut in Sicilia, siue apud Aegyptios, posse cogitare, prudentiam uero diuinam omnia simul non posse curare? Nempe si quemadmodum cum gratum hominibus facias, facile eos qui gratum tibi faciunt cognoscere potes: cumq; consilium petas, quinam prudentes sint haud ignoras: sic etiam dijs grata faciens, experiētiam capere uelis, si qui eorum con ulerent quæ incerta hominibus sunt, scies eos profecto tales esse, ut simul omnia uiderent ac audirent, & ubique adessent, simulq; omnium curam haberent. Itaq; mihi uidetur cum hæc diceret, suis auditoribus persuadere, nō modo cum ab hominibus uiderentur, ab iniustis & turpibus & impijs rebus abstinere, sed non minus cum in solitudine essent: cum certo tenerent nihil eorum quæ agerent deos latêre. At si bonum ac honestum hominib. continentia est, consideremus utrum introduxerit ad eam, huiuscemodi dicens: Ò uiri, aiebat, si bello nobis indicto eligere hominem uelimus, per quem nostram salutem, ac aduersariorū conflictum consequuturi sumus, num illum eligemus qui gulæ, qui ueneri, qui uino, qui somno seruit, qui laborem perferre nō possit? At quo pacto cum talis ille sit, aut nos saluos facere, aut hostes nostros conuincere possit? Si autem ab hac uita migraturi, uelimus testamento cuiquā aut filios educandos, aut filias uirgines cōseruandas, aut custodiendā pecuniam relinquere, num hominē incontinentem arbitrabimur aptum ad hæc esse? Seruo uerò non continenti, cōmendabimus aut pecudes, aut ærarium, aut cuiusquam operis curam? ministrum autem talem aut emptorem, gratis etiam nobis datum acceptabimus? Quod si nec seruum incontinentē habere expediat, multo magis de nobisipsis, ne tales efficiamur, contendendū est. Non enim quemadmodū iniusti cum aliorum pecuniā arripiunt, sibijpsis diuitias accumulant, sic etiam incontinens cæteris quidem nocet, sibijpsi prodest: uerùm cæteris etiam, sibijpsi multo plus nocet. Siquidem perniciosissimum

ἂν πρᾶξαι ἃ ἐβούλετο, οὐθ᾽ ὅσα χεῖρας ἔχει, ἄφρονα δ᾽ ἐστὶ, πλέον οὐδὲν ἔχει. σὺ δὲ ἀμφοτέρων τῶν πλείστου ἀξίων τετυχηκὼς οὐκ οἴει σοῦ θεοὺς ἐπιμελεῖσθαι; ἀλλ᾽ ὅταν τί ποιήσωσι, νομιεῖς αὐτοὺς σοῦ φροντίζειν; ὅταν πέμπωσιν ὥσπερ σὺ φὴς πέμπειν αὐτοὺς συμβούλους, ὅ, τι χρὴ ποιεῖν καὶ μὴ ποιεῖν; ὅταν δὲ Ἀθηναίοις, ἔφη, πυνθανομένοις τι διὰ μαντικῆς φράζωσιν, οὐ καὶ σοὶ δοκεῖς φράζειν αὐτούς; οὐδ᾽ ὅταν τοῖς Ἕλλησι τέρατα πέμποντες προσημαίνωσιν; οὐδὲ ὅταν πᾶσιν ἀνθρώποις, ἀλλὰ μόνον σε ἐξαιροῦντες ἐν ἀμελείᾳ κατατίθενται; οἴει δ᾽ ἂν τοὺς θεοὺς τοῖς ἀνθρώποις δόξαν ἐμφῦσαι, ὡς ἱκανοί εἰσιν εὖ καὶ κακῶς ποιεῖν, εἰ μὴ δυνατοὶ ἦσαν, καὶ ἀνθρώπους ἐξαπατωμένους τὸν πάντα χρόνον, οὐδέποτ᾽ ἂν αἰσθέσθαι; οὐχ ὁρᾷς ὅτι τὰ πολυχρονιώτατα καὶ σοφώτατα τῶν ἀνθρωπίνων πόλεις καὶ ἔθνη θεοσεβέστατά ἐστι, καὶ αἱ φρονιμώταται ἡλικίαι θεῶν ἐπιμελέσταται; ὦ 'γαθὲ, ἔφη, κατάμαθε ὅτι καὶ ὁ σὸς νοῦς ἐνὼν τὸ σὸν σῶμα ὅπως βούλεται μεταχειρίζεται. οἴεσθαι οὖν χρὴ καὶ τὴν ἐν παντὶ φρόνησιν τὰ πάντα ὅπως ἂν αὐτῇ ἡδὺ ᾖ, οὕτω τίθεσθαι. καὶ μὴ τὸ σὸν μὲν ὄμμα δύνασθαι ἐπὶ πολλὰ στάδια ἐξικνεῖσθαι, τὸν δὲ τοῦ θεοῦ ὀφθαλμὸν ἀδύνατον εἶναι ἅμα πάντα ὁρᾶν. μὴ δὲ τὴν σὴν μὲν ψυχὴν καὶ περὶ τῶν ἐνθάδε, καὶ περὶ τῶν ἐν Αἰγύπτῳ, καὶ ἐν Σικελίᾳ δύνασθαι φροντίζειν, τὴν δὲ τοῦ θεοῦ φρόνησιν μὴ ἱκανὴν εἶναι ἅμα πάντων ἐπιμελεῖσθαι. ἢν μέντοι ὥσπερ ἀνθρώπους θεραπεύων γιγνώσκεις τοὺς ἀντιθεραπεύειν ἐθέλοντας, καὶ χαριζόμενος τοὺς ἀντιχαριζομένους, καὶ συμβουλευόμενος καταμανθάνεις τοὺς φρονίμους, οὕτω καὶ τῶν θεῶν πεῖραν λαμβάνῃς, θεραπεύων εἴ τοί σοι θελήσουσι περὶ τῶν ἄλλων ἀνθρώποις συμβουλεύειν, γνώσῃ τὸ θεῖον, ὅτι τοσοῦτον καὶ τοιοῦτόν ἐστιν, ὥσθ᾽ ἅμα πάντα ὁρᾶν, καὶ πάντα ἀκούειν, καὶ πανταχοῦ παρεῖναι, καὶ ἅμα πάντων ἐπιμελεῖσθαι αὐτούς. ἐμοὶ μὲν ταῦτα λέγων, οὐ μόνον τοὺς συνόντας ἐδόκει ποιεῖν, ὁπότε ὑπὸ τῶν ἀνθρώπων ὁρῷεν, ἀπέχεσθαι τῶν ἀνοσίων τε καὶ ἀδίκων καὶ αἰσχρῶν, ἀλλὰ καὶ ὁπότε ἐν ἐρημίᾳ εἶεν, ἐπείπερ ἡγήσαιντο μηδὲν ἄν ποτε ὧν πράττοιεν θεοὺς διαλαθεῖν. εἰ δὲ δὴ καὶ ἐγκράτεια καλόν τε κἀγαθὸν ἀνδρὶ κτῆμα ἐστιν, ἐπισκεψώμεθα εἴ τι προεβίβαζε λέγων εἰς ταύτην τοιάδε· ὦ ἄνδρες, εἰ πολέμου ἡμῖν γενομένου βουλοίμεθα ἑλέσθαι ἄνδρα ὑφ᾽ οὗ μάλιστα ἂν αὐτοὶ μὲν σωζοίμεθα, τοὺς δὲ πολεμίους χειροίμεθα, ἆρ᾽ ὅντιν᾽ ἂν αἰσθανοίμεθα ἥττω γαστρὸς, ἢ οἴνου, ἢ ἀφροδισίων, ἢ πόνου, ἢ ὕπνου, τοῦτον αἱροίμεθα; καὶ πῶς ἂν οἰηθείημεν τὸν τοιοῦτον, ἢ ἡμᾶς σῶσαι, ἢ τοὺς πολεμίους κρατῆσαι; εἰ δ᾽ ἐπὶ τελευτῇ τοῦ βίου γενόμενοι, βουλοίμεθά τῳ ἐπιτρέψαι, ἢ παῖδας, ἢ ἄρρενας παιδεῦσαι, ἢ θυγατέρας παρθένους διαφυλάξαι, ἢ χρήματα διασῶσαι, ἆρ᾽ ἀξιόπιστον εἰς ταῦθ᾽ ἡγησόμεθα τὸν ἀκρατῆ; δούλῳ δ᾽ ἀκρατεῖ ἐπιτρέψαιμεν ἂν ἢ βοσκήματα, ἢ ταμιεῖα, ἢ ἔργων ἐπίστασιν; διάκονον δὲ καὶ ἀγοραστὴν τοιοῦτον ἐθελήσαιμεν ἂν προῖκα λαβεῖν; ἀλλὰ μὴν εἴ γε μηδὲ δοῦλον ἀκρατῆ δεξαίμεθ᾽ ἂν, πῶς οὐκ ἄξιον αὐτόν γε φυλάξασθαι, τοιοῦτον γενέσθαι; καὶ γὰρ οὐχ ὥσπερ οἱ πλεονέκται τῶν ἄλλων ἀφαιρούμενοι χρήματα, ἑαυτοὺς δοκοῦσι πλουτίζειν, οὕτως ὁ ἀκρατὴς, τοῖς μὲν ἄλλοις βλαβερὸς, ἑαυτῷ δ᾽ ὠφέλιμος. ἀλλὰ κακοῦργος μὲν τῶν ἄλλων, ἑαυτοῦ δὲ

ἀλλὰ πολὺ κακουργότερος, εἴ γε κακουργότατόν ἐστι μὴ
μόνον τὸν οἶκον τὸν ἑαυτοῦ φθείρειν, ἀλλὰ καὶ τὸ σῶμα,
καὶ τὴν ψυχήν. ἐν συνουσίᾳ δὲ τίς ἂν ἥσθείη τῷ τοιού-
τῳ ὀνείδει, ὃν ἴδοι τῷ ὄψῳ τε καὶ τῷ οἴνῳ χαίροντα μᾶλλον,
ἢ τοῖς φίλοις, καὶ τὰς πόρνας ἀγαπῶντα μᾶλλον, ἢ τοὺς
ἑταίρους; ἆρά γε οὐ χρὴ πάντα ἄνδρα, ἡγησάμενον
τὴν ἐγκράτειαν ἀρετῆς εἶναι κρηπῖδα, ταύτην πρῶτον
ἐν τῇ ψυχῇ κατασκευάσασθαι; τίς γὰρ ἄνευ ταύτης, ἢ
μάθοι τι ἂν ἀγαθὸν, ἢ μελετήσειεν ἀξιολόγως; ἢ τίς οὐκ
ἂν ταῖς ἡδοναῖς δουλεύων αἰσχρῶς διατεθείη καὶ τὸ
σῶμα, καὶ τὴν ψυχήν; ἐμοὶ μὲν δοκεῖ, νὴ τὴν Ἥραν, ἐ-
λευθέρῳ μὲν ἀνδρὶ εὐκτὸν εἶναι μὴ τυχεῖν δούλου τοιού-
του. δουλεύοντα δὲ ταῖς τοιαύταις ἡδοναῖς, ἱκετεύειν
τοὺς θεοὺς δεσποτῶν ἀγαθῶν τυχεῖν. οὕτως γὰρ ἂν μό-
νως ὁ τοιοῦτος σωθείη. τοιαῦτα δὲ λέγων, ἔτι ἐγκρα-
τέστερον τοῖς ἔργοις ἢ τοῖς λόγοις ἑαυτὸν ἐπεδείκνυεν.
οὐ γὰρ μόνον τῶν διὰ τοῦ σώματος ἡδονῶν ἐκράτει,
ἀλλὰ καὶ τῶν διὰ τῶν χρημάτων, νομίζων τὸν παρὰ τοῦ
τυχόντος χρήματα λαμβάνοντα δεσπότην ἑαυτοῦ κα-
θιστάναι, καὶ δουλεύειν δουλείαν, οὐδεμιᾶς ἧττον αἰ-
σχράν. ἄξιον δ' αὐτοῦ καὶ ἃ πρὸς Ἀντιφῶντα τὸν σοφι-
στὴν διελέχθη, μὴ παραλιπεῖν. ὁ γὰρ Ἀντιφῶν ποτὲ βου-
λόμενος τοὺς συνουσιαστὰς αὐτοῦ παρελέσθαι, προσελ-
θὼν τῷ Σωκράτει, παρόντων αὐτῶν, ἔλεξε τάδε· ὦ
Σώκρατες, ἐγὼ μὲν ᾤμην τοὺς φιλοσοφοῦντας εὐδαι-
μονεστέρους χρῆναι γίγνεσθαι. σὺ δέ μοι δοκεῖς τἀναν-
τία τῆς φιλοσοφίας ἀπολελαυκέναι, ζῇς γοῦν οὕτως ὡς οὐδ'
ἂν εἷς δοῦλος ὑπὸ δεσπότῃ διαιτώμενος μείνειε. σι-
τία τε σιτῇ, καὶ ποτὰ πίνεις τὰ φαυλότατα. καὶ ἱμά-
τιον ἠμφίεσαι οὐ μόνον φαῦλον, ἀλλὰ τὸ αὐτὸ θέρους
τε καὶ χειμῶνος, ἀνυπόδητός τε καὶ ἀχίτων διατε-
λεῖς. καὶ μὴν χρήματά γε οὐ λαμβάνεις, ἃ καὶ κτωμέ-
νους εὐφραίνει καὶ κεκτημένους ἐλευθεριώτερόν τε
καὶ ἥδιον ποιεῖ ζῆν. εἰ οὖν ὥσπερ τῶν ἄλλων ἔργων οἱ
διδάσκαλοι τοὺς μαθητὰς μιμητὰς ἑαυτῶν ἀποδεικνύ-
ουσιν, οὕτω καὶ σὺ τοὺς συνόντας διαθήσεις, νόμιζε κα-
κοδαιμονίας διδάσκαλος εἶναι. καὶ ὁ Σωκράτης
πρὸς ταῦτα εἶπε· δοκεῖς μοι, ὦ Ἀντιφῶν, ὑπειληφέναι
με οὕτως ἀνιαρῶς ζῆν, ὥστε πέπεισμαι σὲ μᾶλλον ἀπο-
θανεῖν ἂν ἑλέσθαι, ἢ ζῆν ὥσπερ ἐγώ. ἴθι οὖν ἐπισκεψώ-
μεθα, τί χαλεπὸν ᾔσθησαι τοὐμοῦ βίου. πότερον, ὅτι
τοῖς μὲν λαμβάνουσιν ἀργύριον ἀναγκαῖόν ἐστιν ἀπερ-
γάζεσθαι τοῦτο, ἐφ' ᾧ ἂν μισθὸν λαμβάνωσι. ἐμοὶ δὲ μὴ
λαμβάνοντι, οὐκ ἀνάγκη διαλέγεσθαι, ᾧ ἂν μὴ βού-
λωμαι; ἢ τὴν δίαιτάν μου φαυλίζεις, ὡς ἧττον μὲν ὑγιει-
νὰ ἐσθίοντος ἐμοῦ ἢ σοῦ, ἧττον δὲ ἰσχὺν παρέχοντα, ἢ
ὡς χαλεπώτερα πορίσασθαι τὰ ἐμὰ διαιτήματα τῶν
σῶν, διὰ τὸ σπανιώτερά τε καὶ πολυτελέστερα εἶναι; ἢ
ὡς ἡδίω σοὶ ἃ σὺ παρασκευάζῃ ὄντα, ἢ ἐμοὶ λέγω; οὐκ
οἶσθ' ὅτι ὁ μὲν ἥδιστα ἐσθίων ἥκιστα ὄψου δεῖται. ὁ δὲ ἥ-
διστα πίνων, ἥκιστα τοῦ μὴ παρόντος ἐπιθυμεῖ ποτοῦ;
τά γε μὴν ἱμάτια, οἶσθ' ὅτι οἱ μεταβαλλόμενοι, ψύχους
καὶ θάλπους ἕνεκα μεταβάλλονται, καὶ ὑποδήματα
ὑποδοῦνται, ὅπως μὴ διὰ τὰ λυποῦντα τοὺς πόδας,
κωλύωνται πορεύεσθαι. ἤδη οὖν ποτε ᾔσθου ἐμὲ, ἢ διὰ
ψῦχος μᾶλλόν του ἔνδον μένοντα, ἢ διὰ θάλπος μα-
χόμενόν

simum est non modo suam domum destruere, sed non minus corpus, ac etiam animam propriam. In conuersatione uero quis uolet cum ipso conuersari, qui cibo & potu, ac meretricibus potius, quàm amicis affectus sit? Nonne omnem hominem oportet, cum continentiam sciat uirtutis fundamentum esse, hanc primam in animam deponere? Quis nanque sine ista aut quicquam disceret bonum, aut exercitatione perciperet? Aut quis uoluptatibus seruiens, non omni turpitudine corpusque animamque
10 suam polluat? Mihi enim mehercle uidetur optabile esse libero uiro, nec seruum talem habere. Quod si ipsemet huiuscemodi seruiat uoluptatibus, deprecari deos oportet, ut bonos dominos consequi poßit: hoc enim modo duntaxat talis homo saluus effici poßit. Cum uerò hæc diceret Socrates, multo continentiorem se operibus quàm uerbis monstrabat. Non enim solum has uoluptates, quæ per corpus acquiruntur, superabat, sed illas etiam quæ per pecuniam: non immerito putans eum, qui à quocunque pecuniam recipit, seipsum dominum illum
20 constituere, ac seruitutem subire, nulla quauis alia minus turpem. Dignum autem duco quæque cum Antiphone sophista disputauit, non prætermittere. Quondam enim uolens Antipho auditores Socratis ab illo abducere, adiens eum præsentibus illis, sermonem in hunc modum habuit: Ego quidem, Socrates, arbitrabar eos qui philosophiæ operam dant, feliciores effici oportere. Tu uerò mihi uideris ista tua philosophia in contrarium frui. Talem enim uitam ducis, qualem nullus seruus domino subiectus sustineat: cibumque sumis, atq; potum ui-
30 lißimum bibis: uesteque non modo trita, sed etiam eadem, tam in æstate, quàm in hyeme uestitus es. Insuper nudis pedibus, & absque tunica incedis. Et ad hæc pecuniam, quæ & cum congregatur lætificat, & accumulata quàm uoluptuose uiuere facit, accipere renuis. Si ergo quemadmodum cæterarum artium magistri, discipulos suos imitatores sui efficiunt, sic etiam tu tuos auditores similes tibi reddas, infelicitatis nempe te esse magistrum non dubites. Tum ad hæc Socrates: Mihi uideris, ô Antipho, inquit, tam miserrimam me ducere ui-
40 tam arbitrari, ut citius eligeres mori, quàm quo ego uiuere modo. Age ergo consideremus. Quid uitij in mea uita comprehendisti? Vtrum quoniam accipientibus quidem pecuniam, necesse est illud facere, super quo mercedem acceperunt: mihi uero cum non recipiam, nec neceßitas sit disputandi cum quibus nolim? An modum uiuendi mei paruì existimas, atque opinaris quod minus ego quam tu, salubriora ederem, aut minus nutritiua? An putas fortaßis comparatu ea difficiliora esse, quibus ego utor, quàm quibus tu ipse, eo
50 quod tua sumptuosiora, ac minus usitata sunt? Verùm forsitan delectabiliora tibi, quæ pro te apparantur ducis, quàm mihi quæ ego sumo. Atqui ignoras, eum qui cum auiditate comedit, minime epulis indigere: quiq; cum auiditate bibat, minime potum exquisitum absentem desiderare? At uestibus quicunque diuersis utuntur, frigoris & æstus causa mutant, calceisque pedes induunt, ne propter ea quæ pedes offendunt, ambulare impediantur. Dic igitur, quæso, si quando me comprehendisti aut frigoris causa plus cæteris domi manentem, aut æstus gratia pro umbra cum aliquo contenden-

tendentem, aut propter pedum dolorem nõ prodire quocunq; uellem? Nonne certo tenes, eos ipsos qui natura ipsa corporis imbecilles sunt, per exercitationem tamen multo fortiores ad ea quæ meditantur effici, ac facilius ea sustinere, q̃ illos qui corpore fortißimi, inexercitati tamen sunt? Cur igitur me quoq; non opinaris per exercitationem omnia posse sufferre facilius te nõ exercitato? Enimuero quã tu putas causam esse, ne gulæ, ne somno, ne denique luxuriæ seruiam, quàm quod cætera multo dulciora his habeam, quæ non modo cum habeantur delectant, sed non minus dum adhuc sperantur, prodesse possunt? Insuper hoc quoque fugere te non oportet, quod quicunq; se arbitrantur in his, in quibus agunt, non proficere, delectari non possunt: quicũq; uero siue in agris colendis, siue in nauibus gubernandis, siue in quacunq; alia arte peragenda se proficere uideant, tanquam feliciter degentes oblectantur. Cumq; à nullo istorum omnium talis nobis lætitia nascitur, qualẽ habere quis poßit cum se putet effici meliorem, ac meliores amicos acquirere, quod equidem in dies de me arbitrari non desino: propterea si quid aut amicis, aut ciuitati prodesse oporteat, uiri plus ocij ad hæc procuranda erit? an illi qui quemadmodũ ego affectus sum, an illi qui ut tibi beatum uidetur, sic uiuat? Ad rem autem militarẽ, utrum qui sine sumptuoso uictu uiuere nõ poßit, an ille cui satis omne quod contigit, est, aptior iudicabitur? Aut utrum ille citius expugnabitur qui inusitatis & sumptuosis indigeat, an ille qui mediocriter utatur illis etiã quæ in cõmuni usu sunt? Videris ò Antipho, felicitatẽ delicijs & diuitijs applicare. Ego autem nullis quidem indigere rebus, dijs appropriatũ: minimis uero, illorum esse duco qui quamproximi superis sint: & deos quidem optimos omnibus: qui uero dijs appropinquant, proximos optimo existere. Rursus cum quondam idem Antipho cum Socrate disputaret: Ò Socrates, ait, ego te iustum quidem esse arbitror, sapiẽtem autem minime: quod etiam tibi constat, ut puto. À nullo nanq; propter quod tecum cõuersantur, pecuniam exigis. Atqui si uestem, aut domum, aut quippiã illorũ quæ poßides, precio dignum existimares, non modo gratis non dares, sed nec pro minori pecunia quàm ualeat. Itaq; perspicuum est, mercedem tuæ cõuersationis te petijsse profecto non minorem q̃ oportet, si quam utilitatem posse eam conferre hominibus scires. Iustus igitur non iniuria es, cum nõ decipias homines exigendo pecuniæ: sapiens autem minime, cum nihil laude dignum cognoscas. Ad hæc autem Socrates: Apud nos, ò Antipho, inquit, sancitum est, pulchritudinem ac sapientiã uendere partim honestum, partim turpe existere. Pulchritudinem nanq; si quisquã pecunia prostituat omni uolenti, fornicatorẽ eum appellant. Si quis autem quemcunq; senserit bonum & honestum sui amatorẽ esse, cum illo in amicitiã coniungatur, illum modestum putamus. Sapientiamq; similiter, si quis ut sophistæ solent facere, omni uolenti pecunia uendat, quasi fornicatorem nominant. Qui cunq; autem ingenio præditum hominem docendo quodcunque boni ipse sciat, amicum sibi efficiat, hunc illa arbitramur agere quæ bono honestoq; ciui facienda sunt. Itaq; ô Antipho, sicut alius quidam aut equo bono, aut cane, aut auibus delectatur, sic & multo magis etiam ego bonis amicis delector, ac eos si quid ego boni sciam, doceo: cæteris quoq; eos commendo, quos putem profuturos eis ad uirtutem percipiendam: thesaurosq;

χόμενόν του ποδῶν σκιᾶς, ἢ διὰ τὸ ἀλγεῖν τοὺς πόδας οὐ βαδίζοντα ὅπου ἂν βούλωμαι; οὐκ οἶσθ' ὅτι οἱ φύσει ἀσθενέστατοι τῷ σώματι μελετήσαντες, τῶν ἰσχυροτάτων ἀμελησάντων, κρείττους γε γίγνονται, πρὸς ἃ μελετῶσι, καὶ ῥᾷον αὐτὰ φέρουσιν; ἐμοὶ δὲ ἄρα οὐκ οἴει τῷ σώματι ἀεὶ τὰ συντυγχάνοντα μελετῶντι καρτερεῖν, πάντα ῥᾷον φέρειν σοῦ μὴ μελετῶντος; τοῦ δὲ μὴ δουλεύειν γαστρὶ, μηδ' ὕπνῳ καὶ λαγνείᾳ, οἴει τί ἄλλο αἰτιώτερον εἶναι, ἢ τὸ ἕτερα ἔχειν τούτων ἡδίω, ἃ οὐ μόνον ἐν χρείᾳ ὄντα εὐφραίνει, ἀλλὰ καὶ ἐλπίδας παρέχοντα, ὠφελήσειν ἀεί. καὶ μὴν τοῦτό γε οἶσθα, ὅτι οἱ μὲν οἰόμενοι μηδὲν εὖ πράττειν οὐκ εὐφραίνονται. οἱ δὲ ἡγούμενοι καλῶς προχωρεῖν ἑαυτοῖς, ἢ γεωργίαν ἢ ναυκληρίαν, ἢ ἄλλ' ὅ τι ἂν τυγχάνουσιν ἐργαζόμενοι, ὡς εὖ πράττοντες εὐφραίνονται. οἴει οὖν ἀπὸ πάντων τούτων τοσαύτην ἡδονὴν εἶναι, ὅσην ἀπὸ τοῦ ἑαυτόν τε ἡγεῖσθαι βελτίω γίγνεσθαι, καὶ φίλους ἀμείνους κτᾶσθαι; ἐγὼ τοίνυν διατελῶ ταῦτα νομίζων. ἐὰν δὲ δὴ φίλους, ἢ πόλιν ὠφελεῖν δέῃ, ποτέρῳ ἡ πλείων σχολὴ τούτων ἐπιμελεῖσθαι, τῷ ὡς ἐγὼ νῦν, ἢ τῷ, ὡς σὺ μακαρίζεις, διαιτωμένῳ; στρατεύοιτο δὲ πότερος ἂν ῥᾷον, ὁ μὴ δυνάμενος ἄνευ πολυτελοῦς διαίτης ζῆν, ἢ ᾧ τὸ παρὸν ἀρκοίη; ἐκπολιορκηθείη δὲ πότερος ἂν θᾶττον, ὁ τῶν χαλεπωτάτων εὑρεῖν δεόμενος, ἢ ὁ τοῖς ῥᾴστοις ἐντυγχάνειν ἀρκούντως χρώμενος; ἔοικας, ὦ Ἀντιφῶν, τὴν εὐδαιμονίαν οἰομένῳ τρυφὴν καὶ πολυτέλειαν εἶναι. ἐγὼ δὲ νομίζω τὸ μὲν μηδενὸς δέεσθαι, θεῖον εἶναι, τὸ δ' ὡς ἐλαχίστων, ἐγγυτάτω τοῦ θείου. καὶ τὸ μὲν θεῖον κράτιστον. τὸ δὲ ἐγγυτάτω τοῦ θείου, ἐγγυτάτω τοῦ κρατίστου. πάλιν δέ ποτε ὁ Ἀντιφῶν διαλεγόμενος τῷ Σωκράτει, εἶπεν· ὦ Σώκρατες, ἐγώ τοι σὲ μὲν δίκαιον νομίζω, σοφὸν δὲ οὐδ' ὁπωσοῦν. δοκεῖς δέ μοι καὶ αὐτὸς τοῦτο γιγνώσκειν. οὐδένα γ' οὖν τῆς συνουσίας ἀργύριον πράττῃ. καίτοι τό γε ἱμάτιον, ἢ τὴν οἰκίαν, ἢ ἄλλο τι ὧν κέκτησαι, νομίζων ἀργυρίου ἄξιον εἶναι, οὐδενὶ ἂν μὴ ὅτι προῖκα δοίης, ἀλλ' οὐδ' ἔλαττον τῆς ἀξίας λαβών. δῆλον δὴ ὅτι εἰ καὶ τὴν συνουσίαν ᾤου τινὸς ἀξίαν εἶναι, καὶ ταύτης ἂν οὐκ ἔλαττον τῆς ἀξίας ἀργύριον ἔπραττον. δίκαιος μὲν οὖν ἂν εἴης, ὅτι οὐκ ἐξαπατᾷς ἐπὶ πλεονεξίᾳ. σοφὸς δὲ οὐκ ἂν μηδενός γε ἄξια ἐπιστάμενος. ὁ δὲ Σωκράτης πρὸς ταῦτα εἶπεν· ὦ Ἀντιφῶν, παρ' ἡμῖν νομίζεται τὴν ὥραν καὶ τὴν σοφίαν ὁμοίως μὲν καλὸν, ὁμοίως δὲ αἰσχρὸν διατίθεσθαι εἶναι. τήν τε γὰρ ὥραν ἐὰν μέν τις ἀργυρίου πωλῇ τῷ βουλομένῳ, πόρνον αὐτὸν ἀποκαλοῦσιν. ἐὰν δέ τις ὃν ἂν γνῷ καλόν τε κἀγαθὸν ἐραστὴν ὄντα, τοῦτον φίλον ἑαυτῷ ποιῆται, σώφρονα νομίζομεν. καὶ τὴν σοφίαν ὡσαύτως. τοὺς μὲν ἀργυρίου τῷ βουλομένῳ πωλοῦντας, σοφιστὰς ὥσπερ πόρνους ἀποκαλοῦσι. ὅστις δὲ ὃν ἂν γνῷ εὐφυᾶ ὄντα, διδάσκων, ὅ τι ἂν ἔχῃ ἀγαθὸν φίλον ποιῆται, τοῦτον νομίζομεν, ἃ τῷ καλῷ κἀγαθῷ πολίτῃ προσήκει, ταῦτα ποιεῖν. ἐγὼ δ' οὖν καὶ αὐτὸς, ὦ Ἀντιφῶν, ὥσπερ ἄλλος τις ἢ ἵππῳ ἀγαθῷ, ἢ κυνὶ, ἢ ὄρνιθι ἥδεται, οὕτω καὶ ἔτι μᾶλλον ἥδομαι φίλοις ἀγαθοῖς. καὶ ἐάν τι ἔχω ἀγαθὸν διδάσκω, καὶ ἄλλοις συνίστημι, παρ' ὧν ἂν ἡγῶμαι, ὠφελήσεσθαί τι αὐτοὺς εἰς ἀρετήν. καὶ τοὺς θησαυροὺς

ρούς τῶν πάλαι σοφῶν ἀνδρῶν, οὓς ἐκεῖνοι κατέλιπον ἐν βιβλίοις γράψαντες ἀνελίττων, κοινῇ σὺν τοῖς φίλοις διέρχομαι, καὶ ἄν τι ὁρῶμεν ἀγαθόν, ἐκλεγόμεθα καὶ μέγα νομίζομεν κέρδος, ἐὰν ἀλλήλοις φίλοι γινώμεθα. ἐμοὶ μὲν δὴ ταῦτα ἀκούοντι, ἐδόκει αὐτός τε μακάριος εἶναι, καὶ τοὺς ἀκούοντας ἐπὶ καλοκαγαθίαν ἄγειν. καὶ πάλιν ποτὲ τοῦ Ἀντιφῶντος ἐρομένου αὐτὸν, πῶς ἄλλους μὲν ἡγεῖτο πολιτικοὺς ποιεῖν, αὐτὸς δὲ οὐ πράττει τὰ πολιτικά, εἴπερ ἐπίσταται. ποτέρως δ᾽ ἂν, ἔφη, ὦ Ἀντιφῶν, μᾶλλον τὰ πολιτικὰ πράττοιμι, εἰ μόνος αὐτὰ πράττοιμι, ἢ εἰ ἐπιμελοίμην τοῦ ὡς πλείστους ἱκανοὺς εἶναι πράττειν αὐτά; ἐπισκεψώμεθα δὲ, εἰ καὶ ἀλαζονείας ἀποτρέπων τοὺς συνόντας, ἀρετῆς ἐπιμελεῖσθαι προέτρεπεν. ἀεὶ γὰρ ἔλεγεν, ὡς οὐκ εἴη καλλίων ὁδὸς ἐπ᾽ εὐδοξίαν, ἢ δι᾽ ἧς ἄν τις ἀγαθὸς τοῦτο γένοιτο, καὶ δοκεῖν βούλοιτο. ὅτι δ᾽ ἀληθῆ ἔλεγεν, ὧδε ἐδίδασκεν. ἐνθυμώμεθα γάρ, ἔφη, εἴ τις μὴ ὢν ἀγαθὸς αὐλητής, δοκεῖν βούλοιτο, τί ἂν αὐτῷ ποιητέον εἴη; ἆρ᾽ οὐ τὰ ἔξω τῆς τέχνης μιμητέον τοὺς ἀγαθοὺς αὐλητάς. καὶ πρῶτον μὲν, ὅτι ἐκεῖνοι σκεύη τε καλὰ κέκτηνται, καὶ ἀκολούθους πολλοὺς περιάγονται, καὶ τούτῳ ταῦτα ποιητέον. ἔπειτα ὅτι ἐκείνους πολλοὶ ἐπαινοῦσι, καὶ τούτῳ πολλοὺς ἐπαινέτας παρασκευαστέον. ἀλλὰ μὴν ἔργον γε οὐδαμοῦ ληπτέον, ἢ εὐθὺς ἐλεγχθήσεται γελοῖος ὢν, καὶ οὐ μόνον αὐλητὴς κακός, ἀλλὰ καὶ ἄνθρωπος ἀλαζών. καίτοι πολλὰ μὲν δαπανῶν, μηδὲν ὠφελούμενος, πρὸς δὲ τούτοις κακοδοξῶν, πῶς οὐκ ἐπιπόνως τε καὶ ἀλυσιτελῶς, καὶ καταγελάστως βιώσεται; ὡσαύτως εἴ τις βούλοιτο στρατηγὸς ἀγαθὸς μὴ ὢν, φαίνεσθαι, ἢ κυβερνήτης, ἐννοοῦμεν τί ἂν συμβαίνοι. ἆρ᾽ οὐκ ἂν εἰ μὲν ἐπιθυμῶν τοῦ δοκεῖν ἱκανὸς εἶναι ταῦτα πράττειν, μὴ δύναιτο πείθειν, ταύτῃ λυπηρόν· εἰ δὲ πείσειεν, ἔτι ἀθλιώτερον. δῆλον γὰρ ὅτι κυβερνᾶν τε κατασταθεὶς ὁ μὴ ἐπιστάμενος, ἢ στρατηγεῖν, ἀπολέσειεν ἂν, οὓς ἥκιστα βούλοιτο, καὶ αὐτὸς αἰσχρῶς τε καὶ κακῶς ἀπαλλάξειεν. ὡσαύτως δὲ καὶ τὸ πλούσιον καὶ τὸ ἀνδρεῖον καὶ τὸ ἰσχυρὸν μὴ ὄντα δοκεῖν, ἀλυσιτελὲς ἀπέφαινεν. προστάττεσθαι γὰρ αὐτοὺς ἔφη μείζω ἢ κατὰ δύναμιν, καὶ μὴ δυναμένους ταῦτα ποιεῖν δοκοῦντας, ἱκανοὺς εἶναι, συγγνώμης οὐκ ἂν τυγχάνειν. ἀπατεῶνα δὲ ἐκάλει, οὐ μικρὸν μὲν, οὐδ᾽ εἴ τις ἀργύριον ἢ σκεῦος παρά του πειθοῖ λαβὼν ἀποστεροίη, πολὺ δὲ μέγιστον, ὅστις μηδενὸς ἄξιος ὢν ἐξηπατήκει πείθων ὡς ἱκανὸς εἴη τῆς πόλεως ἡγεῖσθαι. ἐμοὶ μὲν οὖν ἐδόκει καὶ τοῦ ἀλαζονεύεσθαι ἀποτρέπειν τοὺς συνόντας τοιάδε διαλεγόμενος. ἐδόκει δέ μοι καὶ τοιαῦτα λέγων προτρέπειν.

rosq; sapientum priscorum quos illi literis mandantes nobis reliquerunt, unà cum necessarijs meis reuoluens, si quid reperiamus boni, elicimus, magnumq; lucrũ arbitramur si amicitia coniungamur. Cum ergo ipse hoc audirem, et ille mihi uidebatur esse beatus, suosq; auditores ad uirtutem conducere. Cum autem iterum Antipho interrogaret Socratẽ, cur cum alios putet respub. gubernatores efficere, ipse non uacet in ipsa ciuitate gubernãda, si quidẽ hoc facere sciat? Vtrum ò Antipho, inquit, solus rempub. melius gubernarem, an si quãplurimos ad hoc opus sufficientes efficiam? Vtrum autem suos auditores à simulatione dehortabatur, uirtutiq; operam dare hortabatur, hinc consideremus. Semper nanq; dicebat, non esse meliorem uiam ad honores acquirẽdos, nisi per quã bonus quisq; effici, & non uideri uelit. Quod autem hoc uerum esset, sic demonstrabat. Consideremus nanq;, aiebat, si quispiam non bonus tibicen, apparere bonus uelit, quid sibi faciundum esset? nónne in illis bonos tibicines imitari debet, quæ extra artem propositam sunt? Primo nanq; quoniam illi supellectilem ornatam possident, ac multos pedissequos circũducunt, & huic similiter agendum est. Deinde cum illi à multis laudẽtur, & huic multi laudatores præparandi sunt. Verùm opus nullum est faciundum: quod si tentaret, cõfestim ridiculus apparebit, & non modo malus tibicen, sed homo etiam simulator. Atqui si secum pecuniam grandem consumeret, nihil utilitatis acquireret, quam malam de se hominibus existimationem relinqueret, quo pacto non ridiculose & inutiliter uiueret, cumq; dolore atq; mœrore? Similiter si quis cum non bonus sit, aut imperator, aut gubernator, apparere uelit, quid accideret ei perspiciamus. Nempe, si cum desideret apparere sufficiens esse ad hæc peragenda, persuadere non possit, tristissimum est: quod si persuadeat, multo miserabilius. Constat enim, quòd si aut gubernare constituatur, aut exercitum ducere, qui nescius harum artium est, perdet eos profecto quos minime uelit, ipse quoque turpiter ab incœpto cessabit. Eadem etiam ratione inutile monstrabat esse, diuitem, aut fortem, aut robustũ quempiam, cum non sit, apparere uelle. Iuberi enim eis aiebat, maiora quàm possint: quæ cum agere nõ queant, appareant tamen sufficientes ad hæc peragenda, ueniam minime consequuntur. Deceptorem autem non illum appellabat, qui cum parum quippiam aut argentum, aut uasculum quodam persuaso accipiens, eo illum priuaret: illum uerò multo maiorem, qui cum nullius precij sit, seductionibus persuadebat sufficientem se esse ciuitati præesse. Mihi itaq; uidebatur cum hæc Socrates assereret, à simulatione etiam suos auditores abducere.

XENOPHONTIS DE FACTIS ET DICTIS SOCRATIS MEMORATU DIGNIS LIBER SECUNDUS, Bessarione Cardinale Niceno interprete.

CUM uero huiusecemodi diceret, uidebatur mihi ad continentiam cibi, potus, libidinis, somni, frigoris, aestus atque laboris, suos auditores impellere. Sentiens enim quendam eorum qui secum conuersabantur, in his incontinentiorem: Dic mihi ô Aristippe, ait, si oportuerit duos adolescentulos tibi traditos, alterum ut dominari posit, alterum uero ut nunquam desideraret dominium, educare, quo utrunque erudias modo? An approbas ut à nutrimento ipso, tanquam ab elemento incipientes, consideremus? Approbo, Aristippus ait: NUTRIMENTUM NANQUE PRINCIPIUM OMNIUM EST, NEC ULLUS VIVERE POSSIT NISI NUTRIATUR. Velle igitur cum tempus adesset cibum sumere, utrisque uerisimiliter conuenit. Concessit Aristippus. Eligere uero potius illa agere, quae cogunt, quàm uentri seruire, utrum istorum assuefacere debemus? Illum, inquit, mehercle qui dominandi artem discit, ne res ciuitatis propter ocium illius languescant: & cum bibere uelit, posse sitim sufferre, eodem addatur necesse est, ait. Ita prorsus, Aristippus inquit. Continentem uero in somno capiendo esse, ut posit & tarde dormitum ire, & ante diluculum surgere, ac uigilare si opus fuerit, utri addendum est? Hoc etiam, inquit, eidem. Venere autem, inquit, abstinere, ne propterea impediatur agere quaecunque oporteat? Et hoc, respondit Aristippus, eidem addere oportere. Non abhorrere uero à laboribus, sed ultro eos subire? Et hoc, inquit, eidem conuenit. Discere autem si qua doctrina ad aduersarios superandos conferat, cui magis conuenit? Illi per Iouem, inquit, qui ad dominandum intendit. Nihil enim caetera proderunt, ni istis doctrinis sit eruditus. Qui ergo huiusecemodi rebus sit praeditus, nónne tibi quoque uidetur minus quàm caetera animalia ab aduersarijs mancipari? Istorum enim quaedam à uentre seducta, quamuis nonnulla suspicentur futura pericula, cupiditate tamen edendi ad laqueum usq; ducta capiuntur: quaedam autem potu falluntur. Ita est, inquit. Caetera uero propter libidinem, utpute perdices, ad uocem foeminae cupiditate & spe ducta, ita ut non posint pericula praeuidere, incidunt in laqueos. Concessit Aristippus. Num igitur tibi uidetur, Socrates ait, turpe homini esse eadem pati quae etiam ferae insipientes, sicuti adulteri carceribus mancipantur, cum tamen sciant periculum esse adultero, quaecunque leges minantur, pati, ac insidiari & capi, & contumelijs affici? Cum igitur talia imminent, & mala turpissimáque pericula, multáque sint quae à cupiditate uenerea illum liberarent, nónne infelicissimi & insanientis hominis est ad haec pericula impelli? Ita, inquit, mihi quoque uidetur. Cum autem plurimi atque necessarij actus hominum palàm omnibus & in campis agendi sint, utpote

ΞΕΝΟΦΩΝΤΟΣ ΑΠΟΜΝΗΜΟΝΕΥΜΑΤΩΝ ΔΕΥΤΕΡΟΝ.

ΕΔΟΚΕΙ δέ μοι καὶ τοιαῦτα λέγων προτρέπειν τοὺς συνόντας, ἀσκεῖν ἐγκράτειαν πρὸς ἐπιθυμίαν βρωτοῦ, καὶ ποτοῦ, καὶ λαγνείας, καὶ ὕπνου, καὶ ῥίγους, καὶ θάλπους, καὶ πόνου. γνοὺς δέ τινα τῶν συνόντων, ἀκολαστοτέρως ἔχοντα πρὸς τὰ τοιαῦτα, εἰπέ μοι, ἔφη, ὦ Ἀρίστιππε, εἰ δέοι σε παιδεύειν παραλαβόντα δύο τῶν νέων, τὸν μὲν ὅπως ἱκανὸς ἔσται ἄρχειν, τὸν δ' ὅπως μὴ ἀντιποιήσεται ἀρχῆς, πῶς ἂν ἑκάτερον παιδεύοις; βούλει σκοπῶμεν, ἀρξάμενοι ἀπὸ τῆς τροφῆς, ὥσπερ ἀπὸ τῶν στοιχείων; καὶ ὁ Ἀρίστιππος ἔφη· δοκεῖ γοῦν μοι ἡ τροφὴ ἀρχὴ εἶναι. οὐδὲ γὰρ ζώη γ' ἄν τις, εἰ μὴ τρέφοιτο. οὐκοῦν τὸ μὲν βούλεσθαι σίτου ἅπτεσθαι, ὅταν ὥρα ἥκῃ, ἀμφοτέροις εἰκὸς παραγίγνεσθαι; εἰκὸς γάρ, ἔφη. τὸ οὖν προαιρεῖσθαι τὸ κατεπεῖγον μᾶλλον πράττειν, ἢ τῇ γαστρὶ χαρίζεσθαι, πότερον ἂν αὐτῶν ἐθίζοιμεν; τὸν εἰς τὸ ἄρχειν, ἔφη, νὴ Δία παιδευόμενον, ὅπως μὴ τὰ τῆς πόλεως, ἄπρακτα γίγνηται, παρὰ τὴν ἐκείνου ἀρχήν. οὐκοῦν, ἔφη, καὶ ὅταν πιεῖν βούλωνται, τὸ δύνασθαι διψῶντα ἀνέχεσθαι τῷ αὐτῷ προσθετέον; πάνυ μὲν οὖν, ἔφη. τὸ δὲ ὕπνου ἐγκρατῆ εἶναι, ὥστε δύνασθαι καὶ ὀψὲ κοιμηθῆναι καὶ πρωῒ ἀναστῆναι, καὶ ἀγρυπνῆσαι εἴ τι δέοι, ποτέρῳ ἂν προσθείημεν; καὶ τοῦτο, ἔφη, τῷ αὐτῷ. τί δέ, ἔφη, τὸ ἀφροδισίων ἐγκρατῆ εἶναι, ὥστε μὴ διὰ ταῦτα κωλύεσθαι πράττειν εἴ τι δέοι; καὶ τοῦτο, ἔφη, τῷ αὐτῷ. τί δὲ τὸ μὴ φεύγειν τοὺς πόνους, ἀλλὰ ἐθελοντὴς ὑπομένειν, ποτέρῳ ἂν προσθείημεν; καὶ τοῦτο, ἔφη, τῷ ἄρχειν παιδευομένῳ. τί δὲ τὸ μαθεῖν εἴ τι ἐπιτήδειόν ἐστι μάθημα, πρὸς τὸ κρατεῖν τῶν ἀντιπάλων, ποτέρῳ ἂν προσεῖναι μᾶλλον πρέπει; πολὺ νὴ Δί', ἔφη, τῷ ἄρχειν παιδευομένῳ. καὶ γὰρ τῶν ἄλλων οὐδὲν ὄφελος, ἄνευ τῶν τοιούτων μαθημάτων. οὐκοῦν ὁ οὕτω πεπαιδευμένος ἧττον ἂν δοκεῖ σοι, ὑπὸ τῶν ἀντιπάλων, ἢ τὰ λοιπὰ ζῶα ἁλίσκεσθαι; τούτων γὰρ δήπου, τὰ μὲν γαστρὶ δελεαζόμενα, καὶ μάλα ἔνια δυσωπούμενα, ὅμως τῇ ἐπιθυμίᾳ τοῦ φαγεῖν ἀγόμενα, πρὸς τὸ δέλεαρ ἁλίσκεται, τὰ δὲ ποτῷ ἐνεδρεύεται; πάνυ μὲν οὖν, ἔφη. οὐκοῦν καὶ ἄλλα ὑπὸ λαγνείας, οἷον οἵ τε ὄρτυγες καὶ οἱ πέρδικες πρὸς τὴν τῆς θηλείας φωνὴν τῇ ἐπιθυμίᾳ καὶ τῇ ἐλπίδι τῶν ἀφροδισίων φερόμενοι, καὶ ἐξιστάμενοι τοῦ τὰ δεινὰ ἀναλογίζεσθαι τοῖς θηραταῖς ἐμπίπτουσι; συνέφη καὶ ταῦτα. οὐκοῦν δοκεῖ σοι, αἰσχρὸν εἶναι ἀνθρώπῳ ταὐτὰ πάσχειν τοῖς ἀφρονεστάτοις τῶν θηρίων, ὥσπερ οἱ μοιχοὶ εἰσέρχονται εἰς τὰς εἱρκτάς, εἰδότες ὅτι κίνδυνος τῷ μοιχεύοντι, ἅ τε ὁ νόμος ἀπειλεῖ παθεῖν καὶ ἐνεδρευθῆναι, καὶ ληφθέντα ὑβρισθῆναι, καὶ τηλικούτων μὲν ἐπικειμένων τῷ μοιχεύοντι, κακῶν τε καὶ αἰσχρῶν; ὄντων δὲ πολλῶν τῶν ἀπολυσόντων τῆς τῶν ἀφροδισίων ἐπιθυμίας, ἐλαύνεται ὅμως εἰς τὰ ἐπικίνδυνα φέρεσθαι. ἆρ' οὐκ ἤδη τοῦτο παντάπασι κακοδαιμονῶντός ἐστι; ἔμοιγε δοκεῖ, ἔφη. τὸ δὲ εἶναι μὲν τὰς ἀναγκαιοτάτας πλείστας πράξεις τοῖς ἀνθρώποις ἐν ὑπαίθρῳ, οἷον

ὅσον τάς τε πολεμικὰς καὶ τὰς γεωργικὰς καὶ τῶν ἄλλων οὐ
τὰς ἐλαχίστας, τοὺς δὲ πολλοὺς ἀγυμνάστως ἔχειν, πρός τε
ψύχη, καὶ πρὸς θάλπη, οὐ δοκεῖ σοι πολλὴ ἀμέλεια εἶναι;
συνέφη δὲ καὶ τοῦτο. οὐκοῦν δοκεῖ σοι τὸν μέλλοντα ἄρ-
χειν ἀσκεῖν δεῖν καὶ ταῦτα εὐπετῶς φέρειν; πάνυ μὲν
οὖν, ἔφη. οὐκοῦν εἰ τοὺς ἐγκρατεῖς τούτων ἁπάντων εἰς
τοὺς ἀρχικοὺς τάττομεν, τοὺς ἀδυνάτους ταῦτα ποιεῖν,
εἰς τοὺς μηδ' ἀντιποιησομένους, τοῦ ἄρχειν τάξομεν; συνέ-
φη καὶ τοῦτο. τί οὖν ἐπειδὴ καὶ τούτων ἑκατέρου τοῦ φύ-
λου τὴν τάξιν οἶσθα, ἤδη ποτ' ἐπεσκέψω εἰς ποτέραν τῶν
τάξεων τούτων σαυτὸν δικαίως ἂν τάττοις; ἔγωγ', ἔφη
ὁ Ἀρίστιππος, καὶ οὐδαμῶς γε τάττω ἐμαυτὸν εἰς τὴν
τῶν ἄρχειν βουλομένων τάξιν. καὶ γὰρ πάνυ μοι, ἄφρο-
νος ἀνθρώπου εἶναι, τὸ μεγάλου ὄντος τοῦ ἑαυτῷ τὰ
δέοντα παρασκευάζειν, μὴ ἀρκεῖν τοῦτο, ἀλλὰ προσανα-
θέσθαι τὸ καὶ τοῖς ἄλλοις πολίταις, ὧν δέονται πορί-
ζειν, καὶ ἑαυτῷ μὲν πολλὰ ὧν βούλεται ἐλλείπειν, τῆς
δὲ πόλεως προεστῶτα, ἐὰν μὴ πάντα ὅσα ἡ πόλις βού-
λεται καταπράξῃ, τούτου δίκην ὑπέχειν. τοῦτο πῶς
οὐ πολλὴ ἀφροσύνη ἐστί; καὶ γὰρ ἀξιοῦσιν αἱ πόλεις τοῖς
ἄρχουσιν, ὥσπερ ἐγὼ τοῖς οἰκέταις χρῆσθαι. ἐγώ τε γὰρ
ἀξιῶ τοὺς θεράποντας, ἐμοὶ μὲν ἄφθονα τὰ ἐπιτήδεια
παρασκευάζειν, αὐτοὺς δὲ μηδενὸς τούτων ἅπτεσθαι. αἵ
τε πόλεις οἴονται χρῆναι τοὺς ἄρχοντας, ἑαυταῖς μὲν ὡς
πλεῖστα ἀγαθὰ πορίζειν, αὐτοὺς δὲ πάντων τούτων ἀπέ-
χεσθαι. ἐγὼ οὖν τοὺς μὲν βουλομένους πολλὰ πράγμα-
τα ἔχειν αὐτοῖς τε καὶ ἄλλοις παρέχειν, οὕτως ἂν παι-
δεύσας εἰς τοὺς ἀρχικοὺς καταστήσαιμι. ἐμαυτὸν τοίνυν
τάττω εἰς τοὺς βουλομένους ᾗ ῥᾷστά τε καὶ ἥδιστα βιοτεύ-
ειν. καὶ ὁ Σωκράτης ἔφη· βούλει οὖν καὶ τοῦτο σκεψώμεθα,
πότερον ζῶσιν ἥδιον οἱ ἄρχοντες, ἢ οἱ ἀρχόμενοι. πάνυ
μὲν οὖν, ἔφη. πρῶτον μὲν τοίνυν τῶν ἐθνῶν, ὧν ἡμεῖς ἴσμεν
ἐν μὲν τῇ Ἀσίᾳ Πέρσαι μὲν ἄρχουσιν, ἄρχονται δὲ Σύροι καὶ
Φρύγες καὶ Λυδοί. ἐν δὲ τῇ Εὐρώπῃ Σκύθαι μὲν ἄρχου-
σι, Μαιῶται δὲ ἄρχονται. ἐν δὲ τῇ Λιβύῃ, Καρχηδόνιοι μὲν
ἄρχουσι, Λίβυες δὲ ἄρχονται. τούτων οὖν ποτέρους ἥδιον
οἴει ζῆν; ἢ τῶν Ἑλλήνων, ἐν οἷς καὶ αὐτὸς εἶ; πότεροί σοι
δοκοῦσιν ἥδιον οἱ κρατοῦντες, ἢ οἱ κρατούμενοι ζῆν;
ἀλλ' ἐγὼ τοίνυν ἔφη ὁ Ἀρίστιππος, οὐδὲ εἰς τὴν δουλείαν
αὖ ἐμαυτὸν τάττω. ἀλλ' εἶναί τίς μοι δοκεῖ μέση τούτων
ὁδός. ἣν πειρῶμαι βαδίζειν, οὔτε δι' ἀρχῆς, οὔτε διὰ δου-
λείας. ἀλλὰ δι' ἐλευθερίας, ἥπερ μάλιστα πρὸς εὐδαιμο-
νίαν ἄγει. ἀλλ' εἰ μέντοι, ἔφη ὁ Σωκράτης, ὥσπερ οὔτε δι'
ἀρχῆς, οὔτε διὰ δουλείας ἡ ὁδὸς αὕτη φέρει, οὕτως μη-
δὲ δι' ἀνθρώπων, ἴσως ἄν τι λέγοις. εἰ μέντοι ἐν ἀνθρώ-
ποις ὤν, μήτε ἄρχειν ἀξιώσεις, μήτε ἄρχεσθαι, μήτε τοὺς
ἄρχοντας ἑκὼν θεραπεύσεις, οἶμαί σε ὁρᾶν ὡς ἐπίσταν-
ται οἱ κρείττονες τοὺς ἥττονας καὶ κοινῇ καὶ ἰδίᾳ κλαίον-
τας, καθιστάντες δούλοις χρῆσθαι. ἢ λανθάνουσί σε οἱ
ἄλλων σπειράντων καὶ φυτευσάντων τόν τε σῖτον τέ-
μνοντες καὶ δενδροκοποῦντες, καὶ πάντα τρόπον πολιορκοῦν-
τες τοὺς ἥττονας καὶ μὴ θέλοντας θεραπεύειν, ἕως ἂν πείσω-
σιν ἑλέσθαι δουλεύειν ἀντὶ τοῦ πολεμεῖν τοῖς κρείττοσι; καὶ
ἰδίᾳ αὖ οἱ ἀνδρεῖοι καὶ δυνατοὶ τοὺς ἀνάνδρους καὶ ἀδυνά-
τους, οὐκ οἶσθα ὅτι καταδουλωσάμενοι καρποῦνται; ἀλλ' ἐγώ
τοι, ἔφη, ἵνα μὴ πάσχω ταῦτα, οὐδ' εἰς πολιτείαν ἐμαυτὸν
κατα-

utpote belli, agriculturæ, cæteriq; quamplures: nōnullos
hominum exercitatos non esse ad frigus & æstus sufferē
dos, nonne magna desidia est? Magna, inquit, per Iouē.
Cōcedis igitur, ait, in illis quoq; facile ferēdis, eū qui prin
ceps futurus est, oportere exercitatū esse? Prorsus, inquit,
oportet. Si itaq; in his omnibus cōtinentes cum illis con
numerandi sunt, qui dominandi arte erudiantur: qui non
possunt hoc agere, nempe cum illis aggregandi sunt qui
longe absint à spe dominādi. Concessit etiā hoc. Cum igi
10 tur utriusq; horū, inquit, haud ignoras gradum, conside
rasti aliquādo quo cum teipsum aggregare debes? Ita, in
quit Aristippus: nulloq; pacto cum illis esse cōnumeran
dū existimo qui dominari uelint. Valde nanq; insipientis
hominis mihi esse uidetur, non satis habere si sibijpsi quæ
oporteat cōpararit, cum hoc etiam solum maximum sit,
sed obligare se uelit ad ea præstanda cæteris etiam ciuib.
quibus indigeant: ac sibi quidē ipsi non posse satis in om
nibus facere, gubernādo autem ciuitatē, si non opera sua
quæcunq; uelint ciues adipiscātur, supplicijs affici. Hæc
20 quis nō dicat magnam insipientiā esse? Quemadmodū e-
nim ego meis ministris, sic etiā ciuitates uti debere existi
mant magistratibus suis. Ego nanq; dignū duco famulos
meos mihi quidem copiose præparare quibus indigeam, il
los uero nihil illorū tangere. Ciuitates quoq; oportere ar
bitrantur sibi quidem ipsis opera magistratuū quamplu-
rima bona præberi, illos autem ab omnib. illis abstinere.
Ego itaq; illos quidem qui uelint multis negocijs obrui,
ac alijs occupationes præstare, eo quo dictum est modo
erudiēs, cum his aggregabo qui dominandi cupidi sunt.
30 Me autē ipsum cum ipsis cōnumerabo, qui magnifaciant
quamfacilime et suauiter uiuere. Tum Socrates: Placet ni
quam etiā hoc cōsiderare, utrum principes an subditi iu-
cundius uiuāt? Vehementer placet, ait. Gentium itaq;, in
quit, quæ ad nostram usq; peruenerunt notitiam, in Asia
quidem Persæ dominātur: seruiunt autem Syri, Phryges,
& Lydi. In Europa uero Scythæ dominātur, iussa autem
capiunt Mæotæ. In Libya autem Carthaginēses dominā
tur, obtēperant uero Libyes. Vtros igitur horum suauius
uiuere arbitraris? Aut Græcorū cum quibus tu quoq; ha
40 bitas? utrum illi qui ciuitatibus præsunt, an qui subditi
sunt, iucundius tibi uiuere uidētur? Sed ego tamen, inquit
Aristippus, neq; in seruitutem me aggregandum esse du
co, sed in media horum uia, quæ neq; in principatu, ne-
que in seruitute consistit, sed in libertate, quæq; maxime
ad felicitatem conducat. Attamen, Socrates ait, si quem-
admodum neq; in principatum, neq; in seruitutem hæc
uia ducat, sic etiam nec inter homines te duceret, fortas-
sis recte diceres. Quod si cum hominibus conuersatus,
nec dominari, nec seruire uelis, nec illis ultro obedias
50 qui ciuitatibus præsunt, scias uelim, non ignorare superi
ores quibus modis inferiores priuatim & publice seruos
etiam nolentes efficiant, ac ut seruis utātur. Non enim te
fugit quod segetes & arbores nonnulli metunt ac inci-
dunt, quas alij seminarunt atq; plantarunt. Omnibusq;
modis constringunt obsidionibus, quos nouerunt inferio
res esse, quoad persuaserint eis, seruitutem potius quàm
bellum cum fortioribus eligere. Priuatim etiam qui for-
tes & potentes sunt, imbecilles ac impotentes seruituti
mancipant, atq; potiri eis conantur. Sed idcirco, Aristip-
pus ait, ne huiuscemodi patiar, in nullam rempublicam
adscribi

[margin, handwritten:] ...ri iucundius, vi- / uant, qui domin an- / tur an subditi.

edscribi me nolui, sed ubique sum hospes. Hic Socrates: Adbuc hoc, ait, multo mirabilius dicis. Nam posteaquam Sinnes, & Sciron, atque Procrustes obierunt, nemo quidem hospitibus iniuriam facit: ueruntamen omnes quibus quamoptime suas inhabitare ciuitates curæ est, leges ut à nullo patiantur iniuriam, ponunt: amicos unà cum necessarijs alios etiam comparare conantur adiutorij causa, ac ciuitates muniunt mœnibus: & armis, quibus se tutari poßint, utuntur: & ad hæc alios etiam aliunde socios præparant, & tandem cum his omnibus iniurias nõ 10 nunquam patiuntur. Tu uero nihil illorum habens, in uijs autem ubi plurimis iniuriæ inferuntur, multo tempore uersatus: in quancunq; uero ciuitatem adibis, ciuibus omnibus inferior, ac talis existens, quales ut plurimum spernunt quicunq; iniuriam inferre uelint: propterea tamen quod hospes es, putas te non passurum iniurias? An propterea quod ciuitates securitatem tibi & eunti & ab eunti pollicentur, confidis? an fortaßis quoniam seruus etiam talis opinaris esse futurus, qualis nulli proderit domino? QVIS NANQVE HABERE IN DOMO 20 HOMINEM VELIT, QVI LABORARE QVIDEM RENVAT OMNINO, SVMPTVOSO AVTEM APPARATV VTATVR? Consideremus ergo quo pacto talibus seruis domini utantur. Nónne libidinem quidem illorum fame castigant? Furari uero prohibent, cum ab eis auferunt omnem furandi facultatem? Compedibus autem fugiendi amputãt libertatem? Ociositatem uero uerberibus excitant? An quomodo tu facis, cum talem quenquam tuorum ministrorum esse deprehendis? Supplicijs uero omnibus afficio, aut, quoadusque 30 bene seruire coguntur. Sed tamen, ô Socrates, inter illos qui ad dominandi artem erudiantur, quam tu felicitatem esse ducas, ab illis qui coacti ex necesßitate multis laborant incommodis? Nihil interesse mihi uidetur. Siquidem famescent, sitient, & uigilabũt, ac frigoribus alijsq; afficientur laboribus ultro. Ego nanq; nescirem quid differt, eandem pellem aut sponte, aut inuite cædi: aut idem corpus his omnibus siue sponte, siue inuite subijci. Nihil enim aliud nisi insanire mihi uidetur, qui hæc ultro sustinere uelit. Ad hæc uero Socrates: Nónne Aristippe, in- 40 quit, ista ratione tibi uoluntaria à contrarijs differre uidentur? quia qui ultro famescat, edet cum uoluerit: quiq; sponte sitit, bibet, & in alijs similiter. Qui uero ex necesßitate patitur, non licebit ei cum uoluerit ab his liberari. Præterea qui sponte hæc patitur, bona spe ductus lætatur: quemadmodum illi qui feras uenantur, spe capiendi libenter laborant. Atque talia præmia laborum paruifacienda sunt. Qui uero conantur ut quamoptimos amicos habeant, siue ut inimicos expugnent, siuẽ ut fortes corpore animoq; effecti, & suam domum bene ha 50 bitent, suisq; prosint amicis ac patriæ, quis dubitet istos laborare suauiter in huiuscemodi rebus, ac cum lætitia uiuere? cum & seipsos apprime mirentur, & ab alijs laudentur. Ad hæc autem, MOLLITIES QVIDEM ET VOLVPTATES IN PROMPTV POSITAE, NEC CORPORI SANITATEM, VT HI ASSERVNT QVI GYMNASIIS PRAESVNT, nec animo ullam sententiam cuiusquã existimationis præstare possunt. Studium uero & patientia, bonarum atq; honestarum artium causa sunt, ut optimis uiris uidetur.

Dicit

κατακλείω, ἀλλὰ ξένος πανταχοῦ εἰμι. καὶ ὁ σωκράτης ἔφη· τοῦτο μέντοι ἤδη λέγεις δεινὸν πάλαισμα. ἐξ οὗ γὰρ ὅ τε σίνις καὶ ὁ σκείρων καὶ ὁ προκρούστης ἀπέθανον, οὐδεὶς ἔτι ἀδικεῖ. ἀλλὰ νῦν οἱ μὲν πολιτευόμενοι ἐν ταῖς πατρίσι, καὶ νόμους τίθενται, ἵνα μὴ ἀδικῶνται, καὶ φίλους πρὸς τοῖς ἀναγκαίοις καλουμένοις ἄλλους κτῶνται βοηθούς. καὶ ταῖς πόλεσιν ἐρύματα περιβάλλονται. καὶ ὅπλα κτῶνται, οἷς ἀμυνοῦνται τοὺς ἀδικοῦντας. καὶ πρὸς τούτοις ἄλλους ἔξωθεν συμμάχους κατασκευάζονται. καὶ οἱ μὲν πάντα ταῦτα κεκτημένοι, ὅμως ἀδικοῦνται. σὺ δὲ οὐδὲν μὲν τούτων ἔχων, ἐν δὲ ταῖς ὁδοῖς ἔνθα πλεῖστοι ἀδικοῦνται πολὺν χρόνον διατρίβων, εἰς ὁποίαν δ' ἂν πόλιν ἀφίκῃ τῶν πολιτῶν πάντων ἧττον ὢν, καὶ τοιοῦτος, οἵοις μάλιστα ἐπιτίθενται οἱ βουλόμενοι ἀδικεῖν, ὅμως διὰ τὸ ξένος εἶναι οὐκ ἂν οἴει ἀδικηθῆναι; ἢ διότι αἱ πόλεις σοι κηρύττουσιν ἀσφάλειαν, καὶ προσιόντι καὶ ἀπιόντι θαῤῥεῖς; ἢ διότι καὶ δοῦλος ἂν οἴει, οἷος μηδενὶ δεσπότῃ λυσιτελεῖν; τίς γὰρ ἐθέλοι ἄνθρωπον ἐν οἰκίᾳ ἔχειν, πονεῖν μὲν μηδὲν ἐθέλοντα, τῇ δὲ πολυτελεστάτῃ χαίροντα; σκεψώμεθα δὲ καὶ τοῦτο, πῶς οἱ δεσπόται τοῖς τοιούτοις οἰκέταις χρῶνται. ἆρα οὐ τὴν μὲν λαγνείαν αὐτῶν τῷ λιμῷ σωφρονίζουσι; κλέπτειν δὲ κωλύουσιν ἀφαιροῦντες, ὅθεν ἂν ἦ λαβεῖν; τοῦ δὲ δραπετεύειν δεσμοῖς ἀπείργουσι. τὴν ἀργίαν δὲ πληγαῖς ἐξαναγκάζουσιν. ἢ σὺ πῶς ποιεῖς ὅταν τῶν οἰκετῶν τινὰ τοιοῦτον ὄντα καταμανθάνῃς; κολάζω, ἔφη, πᾶσι κακοῖς, ἕως ἂν δουλεύειν ἀναγκάσω. ἀλλὰ γάρ, ὦ σώκρατες, οἱ εἰς τὴν βασιλικὴν τέχνην παιδευόμενοι, ἣν δοκεῖς μοι σὺ νομίζειν εὐδαιμονίαν εἶναι, τί διαφέρουσι τῶν ἐξ ἀνάγκης κακοπαθούντων, εἴγε πεινήσουσι, ἔτι καταδιψήσουσι, καὶ ῥιγώσουσι, καὶ τἄλλα πάντα μοχθήσουσιν ἑκόντες. ἐγὼ μὲν γὰρ οὐκ οἶδ' ὅ, τι διαφέρει τὸ αὐτὸ δέρμα, ἑκόντα ἢ ἄκοντα μαστιγοῦσθαι, ἢ ὅλως τὸ αὐτὸ σῶμα πᾶσι τοῖς τοιούτοις ἑκόντα, ἢ ἄκοντα πολιορκεῖσθαι. ἄλλο γε ἢ ἀφροσύνη πρόσεστι τῷ θέλοντι τὰ λυπηρὰ ὑπομένειν. τί δ', ὦ ἀρίστιππε, ὁ σωκράτης ἔφη, οὐ δοκεῖ σοι τὰ τοιαῦτα διαφέρειν τὰ ἑκούσια τῶν ἀκουσίων; ἢ ὁ μὲν ἑκὼν πεινῶν, φάγοι ἂν ὁπότε βούλοιτο. καὶ ὁ ἑκὼν διψῶν πίοι, καὶ τἄλλα ὡσαύτως. τῷ δ' ἐξ ἀνάγκης ταῦτα πάσχοντι, οὐκ ἔξεστιν ὁπότ' ἂν βούληται παύεσθαι. ἔπειτα ὁ μὲν ἑκουσίως ταλαιπορῶν ἐπ' ἀγαθῇ ἐλπίδι φρονῶν εὐφραίνεται. οἷον τὰ θηρία θηρῶντες ἐλπίδι τοῦ λήψεσθαι ἡδέως μοχθοῦσι. καὶ τὰ μὲν τοιαῦτα ἆθλα τῶν πόνων μικροῦ τινὸς ἄξιά ἐστι. τοὺς δὲ πονοῦντας ἵνα φίλους ἀγαθοὺς κτήσωνται, ἢ ὅπως ἐχθροὺς χειρώσονται, ἢ ἵνα δυνατοὶ γενόμενοι καὶ τοῖς σώμασι καὶ ταῖς ψυχαῖς, καὶ τὸν ἑαυτῶν οἶκον καλῶς οἰκῶσι, καὶ τοὺς φίλους εὖ ποιῶσι, καὶ τὴν πατρίδα εὐεργετῶσι, πῶς οὐκ οἴεσθαι χρὴ τούτους καὶ πονεῖν ἡδέως εἰς τὰ τοιαῦτα, καὶ ζῆν εὐφραινομένους, ἀγαμένους μὲν ἑαυτούς, ἐπαινουμένους δὲ καὶ ζηλουμένους ὑπὸ τῶν ἄλλων; ἔτι δὲ αἱ μὲν ῥᾳδιουργίαι, καὶ ἐκ τοῦ παραχρῆμα ἡδοναί, οὔτε σώματι εὐεξίαν ἱκαναί εἰσιν ἐργάζεσθαι, ὥς φασιν οἱ γυμνασταί, οὔτε ψυχῇ ἐπιστήμην ἀξιόλογον οὐδεμίαν ἐμποιοῦσιν. αἱ δὲ διὰ καρτερίας ἐπιμέλειαι τῶν καλῶν τε κἀγαθῶν ἔργων ἐξικνεῖσθαι ποιοῦσιν, ὥς φασιν οἱ ἀγαθοὶ ἄνδρες.

λέγει

λέγει δέ που καὶ ἡσίοδος. τὴν μὲν γὰρ κακότητα καὶ ἰλαδὸν ἔστιν ἑλέσθαι ῥηϊδίως, λείη μὲν ὁδὸς, μάλα δ' ἐγγύθι ναίει. τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν ἀθάνατοι, μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐπ' αὐτὴν, καὶ τρηχὺς τὸ πρῶτον· ἐπὴν δ' εἰς ἄκρον ἵκηται, ῥηϊδίη δ' ἤπειτα πέλει χαλεπή περ ἐοῦσα. μαρτυρεῖ δὲ καὶ ἐπίχαρμος ἐν τῷδε· τῶν πόνων πωλοῦσιν ἡμῖν πάντα τἀγαθοὶ θεοί. καὶ ἐν ἄλλῳ δὲ τόπῳ φησίν· ὦ πονηρὲ, μὴ τὰ μαλακὰ μῶσο, μὴ τὰ σκλήρ' ἔχῃς. καὶ πρόδικος δὲ ὁ σοφὸς ἐν τῷ συγγράμματι τῷ περὶ τοῦ ἡρακλέους, ὅπερ δὴ καὶ πλείστοις ἐπιδείκνυται, ὡσαύτως περὶ τῆς ἀρετῆς ἀποφαίνεται, ὧδέ πως λέγων, ὅσα ἐγὼ μέμνημαι. φησὶ γὰρ ἡρακλέα, ἐπεὶ ἐκ παίδων εἰς ἥβην ὡρμᾶτο, ἐν ᾗ οἱ νέοι ἤδη αὐτοκράτορες γιγνόμενοι δηλοῦσιν, εἴτε τὴν δι' ἀρετῆς ὁδὸν τρέψονται ἐπὶ τὸν βίον, εἴτε τὴν διὰ κακίας, ἐξελθόντα εἰς ἡσυχίαν καθῆσθαι, ἀποροῦντα ὁποτέραν τῶν ὁδῶν τράπηται, καὶ φανῆναι αὐτῷ δύο γυναῖκας προσϊέναι μεγάλας· τὴν μὲν ἑτέραν εὐπρεπῆ τε ἰδεῖν, καὶ ἐλευθέριον φύσει κεκοσμημένην, τὸ μὲν σῶμα καθαρότητι, τὰ δὲ ὄμματα αἰδοῖ, τὸ δὲ σχῆμα σωφροσύνῃ, ἐσθῆτι δὲ λευκῇ· τὴν δ' ἑτέραν τεθραμμένην μὲν εἰς πολυσαρκίαν τε καὶ ἁπαλότητα, κεκαλλωπισμένην δὲ τὸ μὲν χρῶμα, ὥστε λευκοτέραν τε καὶ ἐρυθροτέραν τοῦ ὄντος δοκεῖν φαίνεσθαι. τὸ δὲ σχῆμα, ὥστε δοκεῖν ὀρθοτέραν τῆς φύσεως εἶναι. τὰ δὲ ὄμματα ἔχειν ἀναπεπταμένα. ἐσθῆτα δὲ ἐξ ἧς ἂν μάλιστα ὥρα διαλάμποι, κατασκοπεῖσθαι δ' ἅμα ἑαυτὴν, ἐπισκοπεῖν δὲ, καὶ εἴ τις ἄλλος αὐτὴν θεᾶται. πολλάκις δὲ καὶ εἰς τὴν ἑαυτῆς σκιὰν ἀποβλέπειν. ὡς δ' ἐγένοντο πλησιαίτερον τοῦ ἡρακλέους, τὴν μὲν πρόσθεν ῥηθεῖσαν ἰέναι τὸν αὐτὸν τρόπον· τὴν δ' ἑτέραν φθάσαι βουλομένην, προσδραμεῖν τῷ ἡρακλεῖ καὶ εἰπεῖν· ὁρῶ σε, ὦ ἡράκλεις, ἀποροῦντα ποίαν ὁδὸν ἐπὶ τὸν βίον τράπῃ. ἐὰν οὖν ἐμὲ φίλην ποιησάμενος, ἐπὶ τὴν ἡδίστην τε καὶ ῥάστην ὁδὸν ἄξω σε. καὶ τῶν μὲν τερπνῶν οὐδενὸς ἄγευστος ἔσει. τῶν δὲ χαλεπῶν ἄπειρος διαβιώσῃ. πρῶτον μὲν γὰρ οὐ πολέμων οὐδὲ πραγμάτων φροντιεῖς, ἀλλὰ σκοπούμενος διέσῃ, τί ἂν κεχαρισμένον, ἢ σιτίον ἢ ποτὸν εὕροις, ἢ τί ἂν ἰδὼν τερφθείης, ἢ τίνων ὀσφραινόμενος, ἢ ἁπτόμενος ἡσθείης. τίσι δὲ παιδικοῖς ὁμιλῶν μάλιστ' ἂν εὐφρανθείης, καὶ πῶς ἂν μαλακώτατα καθεύδοις, καὶ πῶς ἂν ἀπονώτατα τούτων πάντων τυγχάνοις. ἐὰν δέ ποτε γένηταί τις ὑποψία σπάνεως ἀφ' ὧν ἔσται ταῦτα, οὐ φόβος, μή σε ἀγάγω ἐπὶ τὸ πονοῦντα καὶ ταλαιπωροῦντα τῷ σώματι καὶ τῇ ψυχῇ ταῦτα πορίζεσθαι. ἀλλ' οἷς ἂν οἱ ἄλλοι ἐργάζονται, τούτοις σὺ χρήσῃ, οὐδενὸς ἀπεχόμενος, ὅθεν ἂν δυνατὸν ᾖ τι κερδᾶναι. πανταχόθεν γὰρ ὠφελεῖσθαι τοῖς ἐμοὶ ξυνοῦσιν ἐξουσίαν ἔγωγε παρέχω. καὶ ὁ ἡρακλῆς ἀκούσας ταῦτα, ὦ γύναι, ἔφη, ὄνομα δέ σοι τί ἐστιν; ἡ δὲ, οἱ μὲν ἐμοὶ φίλοι, ἔφη, καλοῦσί με εὐδαιμονίαν· οἱ δὲ μισοῦντές με ὑποκοριζόμενοι, ὀνομάζουσί με κακίαν. καὶ ἐν τούτῳ ἡ ἑτέρα γυνὴ προσελθοῦσα εἶπε· καὶ ἐγὼ ἥκω πρὸς σὲ, ὦ ἡράκλεις, εἰδυῖα τοὺς γεννήσαντάς σε καὶ τὴν φύσιν τὴν σὴν ἐν τῇ παιδείᾳ καταμαθοῦσα, ἐξ ὧν ἐλπίζω, εἰ τὴν πρὸς ἐμὲ ὁδὸν τράποιο, σφόδρ' ἄν σε τῶν καλῶν καὶ σεμνῶν ἐργάτην ἀγαθὸν γενέσθαι.

καὶ

Dicit autem & Hesiodus: Prauitatem quidem simul totam licet eligere facile: plana enim ad hanc ducit uia, cum ualde prope habitet. Virtuti uero sudorem præposuerunt dij immortales. Longum enim & arduum iter ad eam: quod cum asperum primum sit, amœnum postea fit, cum ad ultimum quis peruenerit. Epicharmus quoq; his uerbis hoc idem testatur: Laboribus omnia nobis dij uendunt. Necnon sapiens Prodicus in illo quod de Hercule edidit opere, similiter disputat de uirtute, in hunc modum, quantum ego memini, dicens. Ait nanque Herculem cum à puerili ætate ad adolescentiam perueniret, cum adolescentes iam sui arbitrij effecti, ostendunt siue per uiam uirtutis, siue uitiorum uitam suam ducent, egressum à ciuitate in solitudinem, consedisse cogitationibus agitatum, utram uiarum supradictarum præponeret: ubi duas ad eum apparuisse accedere mulieres magnas, alteram honestam et liberalem uisu, ex ipsa natura corpus quidem munditia ornatam, oculos uero uerecundia, effigiem autem totam castitate, alba ueste uestitam: alteram uero ad carnositatem atque mollitiem esse nutritam, ornatam uero colorem quidem ut albior atque rubicundior: effigiem uero ut rectior quàm à natura esset, appareat: oculos autem uagantes atque apertos habentem: tali ueste uestitam, ex qua pulchritudo quammaxima corusceet, sæpeq; seipsam respicere & attendere, si quis etiam alius eam uideret: nonnunquam autem & ad propriam umbram aspicere. Cum autem propius Herculem accesserunt, primam quidem eodem modo ire, alteram uero præuenire uolentem, cucurrisse ad Herculem, atque dixisse: Considero te, ô Hercules, dubitantem quam uiam eligas. Si itaque me diligas, ad uoluptuosissimam facillimámque te ducam uiam, & illa quidem quæ delectant omnia gustabis, laboris expers uiuens. Primum nanque neq; bellorum, neque negociorum curam habebis, sed potius cõsiderabis quem tibi gratum aut cibum, aut potum inuenias, quidue uisu, aut odoratu, aut tactu uoluptuosum percipias, quibusq; cupiditatibus usus, quammaxime delectatione affectus fueris, quáque pacto mollissime dormias, & absque laboribus omnia ista obtineas. Quod si quando deficere illa quibus hæc acquiruntur suspicio sit, non erit tibi necessitas laborare, corpusq; animamq; pro inueniendis istis conterere: sed illis tu uti poteris quæ cæteri operantur, à nulloque abstinebis unde lucrum aliquod subostendatur: undique nanque utilitatem suam acquirere meis necessarijs licet. Hæc cum audisset Hercules: ô mulier, inquit, quod nomen est tibi? At illa: Mei quidem necessarij, ait, Felicitatem me appellant: qui uero oderunt, Prauitatem me nominant. Cumq; hæc dicerentur, altera mulier accessit, & dixit: Ego quoq; ad te uenio Hercules, cum sciam tuos parentes, naturamq; tuam, & ingenium in studijs considerassem, è quibus non modicum spero, dummodo meam eligas uiam atq; doctrinam, & te uirtutis cupidum, bonorumq; ac honestorum operum effici cultorem,

meq;

meq; multo honorabiliorem & in bonis praeclario
rem fore. Non decipiam autem te, à uoluptate exor
diendo, sed qualem rebus dij contulerūt naturam,
tibi cum ueritate narrabo. Nihil enim eorū quae bo/
na atq; honesta sunt, dij hominib. sine labore et stu
dio praestant. Sed siue deos esse tibi propitios uis, co
lendi sunt ipsi dij: siue ab amicis diligi, amicis bene
faciendū: siue à qualibet ciuitate honorari desideras,
ciuitati aliqua utilitas adferēda: siue à tota Graecia
ob uirtutē admiratione dignus existimari, conandū
est toti Graeciae benefacere: siue tibi terram fructus
producere, terra colenda: siue iumētis diuitias acq
rere, iumētorum tibi cura habenda est: siue per bel
lum desideras augeri, ac uis amicos quidē à seruitu
te liberare, inimicos uero in seruitutē redigere, bel/
lica artes et discenda sunt ab illis qui sciunt, & ex
ercendū in eis, quomodo eis debeas uti. Si uero uelis
corpore etiā fortis esse, subijciendū est animo cor/
pus, ac exercendū in laboribus atq; sudoribus. Pra/
uitas uero subridens, ut Prodicus narrat: Intelligis
ô Hercules, inquit, q̄ asperam ac longam uiam ad
delectationes haec mulier narrat? Ego uero perfacili
ac breuissima uia ad felicitatem te ducam. Ad haec
uirtus respōdens: O misera, inquit, quid boni tu ha
bes, aut quid tibi suaue uideri potest, cum nihil ho/
rum gratia agas, nec suauiū desideriū expectes? sed
antequā cupias, omniū istorum implearis? Nam an
tequā famescas, comedis: & antequā sitias, bibis: et
ut cum uoluptate comedas, exquisitorū ciborū uter/
is coquis. Vt uero uoluptuose bibas, uina uaria pre
ciosaq;, ac in aestate circumiens hinc & illinc quae/
ritas niuem. Vt autem q̄ suauiter dormias, non solū
stratum molle supponis, sed lecticas, ac lecticis su/
stentacula praeparas. Nō enim propter laborem, sed
quoniā nihil habes quod agas, somnum desideras.
Res uero uenereas omnibus machinationib. & an/
tequā corpus indigeat, exerces. Ipsis etiam uiris, ut
mulierib. uteris. Sic enim tuos amicos instruis, nocte
quidem in turpitudinib. uacans, quod autē utilissi
mum diei est, in somno cō sumens. Cum uero immor
talis sis, à dijs quidē proiecta es, à bonis uerò homi
nibus ignominia affecta. Nunquā, quod auditu dul
cissimū est, tuam audisti laudem: nec quod suauissi
mū uisu, bonum ullum tuum opus uidisti. Quis igi/
tur cum aliquid dicas crederet tibi? aut cum indige/
as, quicquā tibi praestaret? Aut quis sua cōpos men
tis, uoluerit inter tuos cōnumerari, qui in iuuentute
quidē corporib. debiles, in senio uero amentes effi/
ciūtur? cum adolescentiā cū pigritia in delicijs pera
gant, in senio autē multis laboribus & infirmitati/
bus confringantur: quiq; uerecūdati super his quae
egerunt, non tamen minus super his quae agunt,
grauantur, tanquam qui in iuuentute omnibus uo/
luptatibus affecti, in senectutem sibi omnia molesta
seruarunt. Ego uero sum quidem cum dijs, atsum
uero bonis hominibus: nihilq; operis boni, neq; di/
uini neq; humani, sine me fieri potest: magisq; alijs
omnib et apud deos, & apud homines optimos ho
norib. fruor: etenim desiderata cooperatrix artificibus
sum, fida domorū dominis custos, beneuola famulis.
patro/

καὶ ἐμὲ ἔτι πολὺ ἐντιμοτέραν, καὶ ἐπ' ἀγαθοῖς διαπρεπε-
στέραν φανῆναι. οὐκ ἐξαπατήσω δέ σε προοιμίοις ἡδο-
νῆς. ἀλλ' ᾗπερ οἱ θεοὶ διέθεσαν, τὰ ὄντα διηγήσομαι
μετ' ἀληθείας. τῶν γὰρ ὄντων ἀγαθῶν καὶ καλῶν, οὐδὲν
ἄνευ πόνου καὶ ἐπιμελείας θεοὶ διδόασιν ἀνθρώποις. ἀλλ'
εἴτε τοὺς θεοὺς ἵλεως εἶναί σοι βούλει, θεραπευτέον τοὺς
θεούς. εἴτε ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶσθαι, τοὺς φίλους εὐ-
εργετητέον. εἴτε ὑπό τινος πόλεως ἐπιθυμεῖς τιμᾶσθαι,
τὴν πόλιν ὠφελητέον. εἴτε ὑπὸ τῆς Ἑλλάδος πάσης ἀ-
ξιοῖς ἐπ' ἀρετῇ θαυμάζεσθαι, τὴν Ἑλλάδα πειρατέον εὖ
ποιεῖν. εἴτε τὴν γῆν φέρειν σοι καρποὺς ἀφθόνους, τὴν
γῆν θεραπευτέον. εἴτε ἀπὸ βοσκημάτων οἴει δεῖν πλου-
τίζεσθαι, τῶν βοσκημάτων ἐπιμελητέον. εἴτε διὰ πολέμου
ὁρμᾷς αὔξεσθαι, καὶ βούλει δύνασθαι τούς τε φίλους ἐλευ-
θεροῦν, καὶ τοὺς ἐχθροὺς χειροῦσθαι, τὰς πολεμικὰς τέχ-
νας αὐτάς τε παρὰ τῶν ἐπισταμένων μαθητέον, καὶ ὅπως
αὐταῖς δεῖ χρῆσθαι ἀσκητέον. εἰ δὲ καὶ τῷ σώματι βούλει
δυνατὸς εἶναι, τῇ γνώμῃ ὑπηρετεῖν ἐθιστέον τὸ σῶμα,
καὶ γυμναστέον σὺν πόνοις καὶ ἱδρῶτι. καὶ ἡ κακία ὑπο-
λαβοῦσα εἶπεν, ὥς φησι Πρόδικος, ἐννοεῖς, ὦ Ἡράκλεις,
ὡς χαλεπὴν καὶ μακρὰν ὁδὸν ἐπὶ τὰς εὐφροσύνας ἡ γυ-
νή σοι αὕτη διηγεῖται; ἐγὼ δὲ ῥᾳδίαν καὶ βραχεῖαν ὁδὸν
ἐπὶ τὴν εὐδαιμονίαν ἄξω σε. καὶ ἡ ἀρετὴ εἶπεν, ὦ τλῆμον,
τί δὲ σὺ ἀγαθὸν ἔχεις; ἢ τί ἡδὺ οἶδας, μηδὲν τούτων
ἕνεκα πράττειν ἐθέλουσα; ἥτις οὐδὲ τὴν τῶν ἡδέων ἐπιθυ-
μίαν ἀναμένεις, ἀλλὰ πρὶν ἐπιθυμῆσαι πάντων ἐμ-
πίπλασαι. πρὶν μὲν πεινῆν, ἐσθίουσα· πρὶν δὲ διψῆν,
πίνουσα. ἵνα μὲν ἡδέως φάγοις, ὀψοποιοὺς μηχανωμένη·
ἵνα δὲ ἡδέως πίνῃς οἴνους τε πολυτελεῖς παρασκευάζῃ,
καὶ τοῦ θέρους χιόνα περιθέουσα ζητεῖς. ἵνα δὲ καθυπνώ-
σῃς ἡδέως, οὐ μόνον τὰς στρωμνὰς μαλακὰς, ἀλλὰ καὶ τὰς
κλίνας, καὶ τὰ ὑπόβαθρα ταῖς κλίναις παρασκευάζεις. οὐ
γὰρ διὰ τὸ πονεῖν, ἀλλὰ διὰ τὸ μηδὲν ἔχειν ὅ,τι ποιῇς, ὕπνου
ἐπιθυμεῖς. τὰ δ' ἀφροδίσια πρὸ τοῦ δεῖσθαι ἀναγκάζεις
πάντα μηχανωμένη, καὶ γυναιξὶ καὶ ἀνδράσι χρωμένη.
οὕτω γὰρ παιδεύεις τοὺς ἑαυτῆς φίλους. τῆς μὲν νυκτὸς
ὑβρίζουσα, τῆς δ' ἡμέρας τὸ χρησιμώτατον κατακοιμί-
ζουσα. ἀθάνατος δὲ οὖσα ἐκ θεῶν μὲν ἀπέρριψαι· ὑπὸ
δὲ ἀνθρώπων ἀγαθῶν ἀτιμάζῃ. τοῦ δὲ πάντων ἡδίστου ἀ-
κούσματος, ἐπαίνου ἑαυτῆς, ἀνήκοος εἶ· καὶ τοῦ πάν-
των ἡδίστου θεάματος, ἀθέατος. οὐδὲν γὰρ πώποτε
σεαυτῆς ἔργον καλὸν τεθέασαι. τίς δ' ἄν σοι λεγούσῃ
τι πιστεύσειε; τίς δ' ἂν δεομένῃ τινὸς ἐπαρκέσειεν; ἢ τίς
ἂν εὖ φρονῶν τοῦ σοῦ θιάσου τολμήσειεν εἶναι; οἳ νέοι
μὲν ὄντες, τοῖς σώμασιν ἀδύνατοί εἰσι. πρεσβύτεροι
γενόμενοι, ταῖς ψυχαῖς ἀνόητοι. ἀπόνως μὲν λιπαροὶ
διὰ νεότητος τρεφόμενοι, ἐπιπόνως δὲ αὐχμηροὶ διὰ γή-
ρως περῶντες, τοῖς πεπραγμένοις αἰσχυνόμενοι, τοῖς
δὲ πραττομένοις βαρυνόμενοι. τὰ μὲν ἡδέα ἐν τῇ νεότη-
τι διαδραμόντες, τὰ δὲ χαλεπὰ εἰς τὸ γῆρας ἀποθέ-
μενοι. ἐγὼ δὲ σύνειμι μὲν θεοῖς, σύνειμι δὲ ἀνθρώ-
ποις τοῖς ἀγαθοῖς. ἔργον δὲ καλὸν οὔτε θεῖον, οὔτε ἀν-
θρώπινον χωρὶς ἐμοῦ γίγνεται. τιμῶμαι δὲ μάλιστα πάν-
των καὶ παρὰ θεοῖς καὶ παρὰ ἀνθρώποις οἷς προσήκει.
ἀγαπητὴ μὲν γὰρ συνεργὸς τεχνίταις. πιστὴ δὲ φύλαξ
οἴκων δεσπόταις· εὐμενὴς δὲ παραστάτις οἰκέταις·
ἀγαθὴ

ἀγαθὴ δὲ συλλήπτρια τῶν ἐν εἰρήνῃ πόνων, βεβαία δὲ τῶν ἐν πολέμῳ σύμμαχος ἔργων, ἀρίστη δὲ φιλίας κοινωνός. ἔστι δὲ τοῖς μὲν ἐμοῖς φίλοις ἡδεῖα μὲν καὶ ἀπράγμων σίτων καὶ ποτῶν ἀπόλαυσις. ἀνέχονται γὰρ ἕως ἂν ἐπιθυμήσωσιν αὐτῶν. ὕπνος δ' αὐτοῖς πάρεστιν ἡδίων ἢ τοῖς ἀμόχθοις, καὶ οὔτε ἀπολείποντες αὐτὸν ἄχθονται, οὔτε διὰ τοῦτον μεθιᾶσι τὰ δέοντα πράττειν. καὶ οἱ μὲν νέοι τοῖς τῶν πρεσβυτέρων ἐπαίνοις χαίρουσιν. οἱ δὲ γεραίτεροι ταῖς τῶν νέων τιμαῖς ἀγάλλονται, καὶ ἡδέως μὲν τῶν παλαιῶν πράξεων μέμνηνται. εὖ δὲ τὰς παρούσας ἥδονται πράττοντες. δι' ἐμὲ φίλοι μὲν θεοῖς ὄντες. ἀγαπητοὶ δὲ φίλοις, τίμιοι δὲ πατρίσιν. ὅταν δ' ἔλθῃ τὸ πεπρωμένον τέλος, οὐ μετὰ λήθης ἄτιμοι κεῖνται, ἀλλὰ μετὰ μνήμης τὸν ἀεὶ χρόνον ὑμνούμενοι θάλλουσι. τοιαῦτά σοι, ὦ παῖ, τοκέων ἀγαθῶν Ἡράκλεις ἔξεστι διαπονησαμένῳ, τὴν μακαριστοτάτην εὐδαιμονίαν κεκτῆσθαι. οὕτω πως διώκει Πρόδικος, τὴν ὑπ' ἀρετῆς Ἡρακλέους παίδευσιν. ἐκόσμησε μέντοι τὰς γνώμας ἔτι μεγαλειοτέροις ῥήμασιν, ἢ ἐγὼ νῦν. σοὶ δ' οὖν ἄξιον, ὦ Ἀρίστιππε, τούτων ἐνθυμουμένῳ πειρᾶσθαί τι, καὶ τῶν εἰς τὸν μέλλοντα χρόνον τοῦ βίου φροντίζειν. αἰσθόμενος δέ ποτε Λαμπροκλέα τὸν πρεσβύτατον υἱὸν ἑαυτοῦ πρὸς τὴν μητέρα χαλεπαίνοντα, εἰπέ μοι, ἔφη, ὦ παῖ, οἶσθά τινας ἀνθρώπους ἀχαρίστους καλουμένους; καὶ μάλα, ἔφη ὁ νεανίσκος. καταμεμάθηκας οὖν, τοὺς τί ποιοῦντας τὸ ὄνομα τοῦτο ἀποκαλοῦσιν. ἔγωγ', ἔφη. τοὺς γὰρ εὖ παθόντας, ὅταν δυνάμενοι χάριν ἀποδοῦναι, μὴ ἀποδῶσιν, ἀχαρίστους καλοῦσιν. οὐκοῦν δοκοῦσί σοι ἐν τοῖς ἀδίκοις καταλογίζεσθαι τοὺς ἀχαρίστους; ἔμοιγ', ἔφη. ἤδη δέ ποτε ἐσκέψω. εἰ ἄρα ὥσπερ τὸ ἀνδραποδίζεσθαι, τοὺς μὲν φίλους ἄδικον εἶναι δοκεῖ, τοὺς δὲ πολεμίους δίκαιον εἶναι. καὶ τὸ ἀχαριστεῖν πρὸς μὲν τοὺς φίλους ἄδικόν ἐστι, πρὸς δὲ τοὺς πολεμίους δίκαιον. καὶ μάλα, ἔφη. καὶ δοκεῖ μοι, ὑφ' οὗ ἄν τις εὖ παθὼν, εἴτε φίλου, εἴτε πολεμίου μὴ πειρᾶται χάριν ἀποδιδόναι, ἄδικος εἶναι. οὐκοῦν, εἴγ' οὕτως ἔχει τοῦτο, εἰλικρινής τις ἂν εἴη, ἀδικία ἡ ἀχαριστία; συνωμολόγει. οὐκοῦν ὅσῳ ἄν τις μείζω ἀγαθὰ παθὼν μὴ ἀποδιδῷ χάριν, τοσούτῳ ἀδικώτερος ἂν εἴη; συνέφη καὶ τοῦτο. τίνας οὖν, ἔφη, ὑπό τινων εὕροιμεν ἂν μείζονα εὐεργετημένους, ἢ παῖδας ὑπὸ γονέων; οὓς οἱ γονεῖς ἐκ μὲν οὐκ ὄντων ἐποίησαν εἶναι. τοσαῦτα δὲ καλὰ ἰδεῖν, καὶ τοσούτων ἀγαθῶν μετασχεῖν, ὅσα οἱ θεοὶ παρέχουσι τοῖς ἀνθρώποις. ἃ δὴ καὶ οὕτως ἡμῖν δοκεῖ παντὸς ἄξια εἶναι, ὥστε πάντες τὸ καταλιπεῖν αὐτά, πάντων μάλιστα φεύγομεν. καὶ αἱ πόλεις ἐπὶ τοῖς μεγίστοις ἀδικήμασι ζημίαν, θάνατον πεποιήκασιν, ὡς οὐκ ἂν μείζονος κακοῦ, φόβῳ τὴν ἀδικίαν παύσοντες. καὶ μὴν οὐ τῶν γε ἀφροδισίων ἕνεκα, παιδοποιεῖσθαι τοὺς ἀνθρώπους ὑπολαμβάνεις, ἐπεὶ τούτου γε τῶν ἀπολυσόντων μεσταὶ μὲν αἱ ὁδοί, μεστὰ δὲ τὰ οἰκήματα. φανεροὶ δ' ἐσμὲν καὶ σκοπούμενοι ἐξ ὁποίων ἂν γυναικῶν βέλτιστα ἡμῖν τέκνα γένοιτο, αἷς συνελθόντες τεκνοποιούμεθα. καὶ ὁ μέν γε ἀνὴρ τήν τε συντεκνοποιήσουσαν ἑαυτῷ τρέφει, καὶ τοῖς μέλλουσιν ἔσεσθαι παισὶ προπαρασκευάζει πάντα ὅσα ἂν οἴηται συνοίσειν αὐτοῖς πρὸς τὸν βίον, καὶ ταῦτα ὡς ἂν δύνηται πλεῖστα. ἡ δὲ γυνὴ ὑποδεξαμένη τε φέρει τὸ φορτίον τοῦτο, βαρυνομένη τε καὶ κινδυνεύουσα περὶ τοῦ βίου.

καὶ

patrona operum quae pacis sunt, bona coadiutrix, bellicorum uero firmißima socia, amicitiae optima particeps. Ad haec autem, meis necessarijs suauis atq; prompta cibi potusq; fruitio est: expectant enim quousq; illa desiderent. Somnus autem uoluptuosior illis, quam ociosis euenit: & neq; excitati, molestie ferunt: neq; ab illo detenti, quae agenda sunt, negligunt. Iuniores autem gaudent seniorum laudibus: seniores uero laetantur iuniorum honoribus. Res quoq; gestas à priscis iucundißime memoria repetendo, non minori cum iucunditate res eis praesentes peragunt: quas ob res dijs amati, desiderati amicis, honorabiles patrijs efficiũtur. Cum uero suis datus finis peruenerit, nõ obliuioni traditi sine honoribus iacent, sed memoria hominũ commendati, in aeternum florent. Haec ô Hercules, inquit, bonorum parentum fili, sudoribus licet exercendo beatißimã felicitatem habere. In hunc itaq; modum Prodicus admonitionem Virtutis ad Herculem exposuit, has tamen sententias multo pulchrioribus uerbis quã ego nunc, ornauit. Quapropter ô Aristippe, tibi quoque dignum esse existimo, futuri etiam temporis nonnullam curam habere. Sentiens autem aliquando suum filium Lamprocleum, qui maior natu erat, matri suae iratum: Dic mihi ô fili, ait, cognouistine unquam homines quosdam qui appellantur ingrati? Ita prorsus, inquit. Considerasti igitur quos homines, & cum quid agant, hoc nomine appellantur? Cõsideraui, ait: illos nanq; qui beneficijs acceptis non reddunt gratias, cum poßint, ingratos appellant. Hos uero ingratos cum iniuriosis connumerandos esse putas? Ita, inquit. Quid uero, considerastine unquam, quemadmodum mancipare amicos quidem iniustũ esse, ita inimicos iustum? Sic etiam ingratũ esse erga quidẽ amicos, iniustum esse, erga uero inimicos iustum? Vehemẽter, ait, cõsideraui: ac mihi apparet, à quocunq; quispiam beneficijs affectus, siue amico, siue inimico, non conatur gratias reddere, iniustus esse. Si igitur haec tibi uera uidentur, manifesta iniuria ingratitudo esset profectò. Conceßit. Quanto ergo maioribus quisq; beneficijs acceptis nõ reddit gratias, tanto iniustior esset. Et hoc etiam conceßit. Quos igitur, aut à quibus putas maioribus beneficijs affici, q̃ liberos à parentibus? quib. primo ut sint, & uiuant, deinde ut tot bona uideant, illorumq; participes fiant, quaecũq; dij hominib. praebẽt, parentes causa fuerunt: quae tam magna existimatione digna omnes arbitramur, ut priuationẽ illorũ magis quàm alia fugiamus. Ciuitates quoq; pro maxima poena delictis in maximis mortem sanxerunt, tanquã maioris mali timore non poßint iniurias coërcere. Nam non putes uelim propter uenereas res homines filios procreare, cum ad hunc feruorẽ libidinis soluendum, non parua sine labore muneréq; uxorio facultas existat. Quapropter nõ modicum cogitamus, à quib. mulieribus quàm optimi filij nobis propagari poßint: quibus cum tales inueniantur conuenientes, prolem procreamus: & uir quidem ipsam uxorem ex qua suscepturus est libero: alit, futuris quoque liberis omnia praeparat, quaecunq; conductura eis ad uitam putet, & haec quamplurima poßit. Mulier uero concipiens tolerat hoc onus cum grauamine & periculis uitae,

De ingratitudine.

alimento suo nutriens puerum, magno multoq; cum labore usq; ad partum perueniens. Postea etiam nutrit, atq; pro eo procurat, à quo tamen nunquam antea beneficij quippiam acceperat, quiq; non modo ignorat qui ei benefacit, sed neq; declarare potest quibus indigeat. Mater uero per coniecturam quæ conducant, quæq; grata sint eis, conatur adimplere. Multoq; tempore nutrit die noctuq; laboribus affecta, ignorans quam istorum omnium mercedem habebit. Et nō sufficit solùm nutrire, sed cum uidentur filij posse discere quicquam, quæcunq; ipsimet parentes ad uitam utilia habent, docent. Quæ uero putant alium magis posse docere, pro his ad illum liberos ut doceantur, mittunt cum sumptibus suis, omnibusq; modis procurant, ut quamoptimi liberi eis efficiantur. Ad hæc adolescentulus ait: Etsi hæc omnia, cæteraq; his multo fecerit plura, nullus tamen posset profectò duritiem matris meæ sufferre. Tum Socrates: Vtrum, ait, feræ immanitatem putas difficiliorem ad sufferendum esse, an matris? Ego quidem, inquit, matris puto, quæ talis sit. Nū igitur unquam aut momordit, aut recalcitrauit tibi, quemadmodum multi à feris affecti sunt? Non ista: sed ea dicit, inquit, mehercle, quæ nullus unquam audire uelit. Tu autem quot, Socrates ait, ei molestias tum dicto, tum facto, à prima ætate, die noctuq; præstitisti? aut quantum doloris attulisti ægrotationibus uexatus? Nihil tamen, ait, unquam aut feci, aut dixi, cuius illam puderet. Quid uero, inquit, difficilius tibi putas esse, quæcunque illa dicit audire, an histriones, cum in tragœdijs alter alteri maximas contumelias dicant? Sed tamen, ut arbitror, quoniam non putant nec illum qui redarguit, propterea redarguere ut damnum inferat, nec illum qui minatur propterea minari ut mali quicquam faciat, æquo animo ferunt. Tu autem cum haud ignores, quod quicquid mater dicit, non modo non ut maleuola tibi dicit, sed uolens tot tibi bona fore, quot nulli alij, ægre feres? An opinaris maleuolam tibi matrem esse? Minime, inquit, hoc opinor. Si itaq;, Socrates ait, istam cum beneuola tibi sit, & quammaxime potest pro te procuret ut sanus sis, nulloq; priueris necessario, et ad hæc tibi multa bona fieri deos oret & uota reddat, difficilem esse ais, nec potes talem matrem sufferre? Ego quidem arbitror bona te non posse sufferre. Dic autem mihi, inquit: Vtrum alium quenquam putas oportere colere, an arbitraris te nulli hominum unquam oportere placere, neq; sequi, neque parêre neq; duci, neque alicui principi? Imo quidem, inquit, mehercle. Ergo uicino quoque, Socrates ait, tu uelis placere, ut & ignem tibi accendat, cum opus fuerit, in aliquoq; bono te iuuet? & si fortuitu in aliquam incideris aduersitatem, tanquam & beneuolus & propinquus tibi possit prodesse? Ita equidem, ait. Quid uero comitem siue in terra, siue in mari, aut alium quenquam, non arbitraris interesse, amicum aut inimicum habere? An opportunum esse iudicabis amicitiam potius illorum consequi? Ita, inquit. Si itaq;, Socrates ait, istorum omniū amicitiam magni existimandā esse putas, nónne matrē etiā quæ plus te omnibus istis amat, putas oportere colere? An ignoras quod ciuitas quoq; aliā quidē non nimiū

curat

καὶ μεταδιδοῦσα τῆς τροφῆς ἧς καὶ αὐτὴ τρέφεται. καὶ σὺν πολλῷ πόνῳ διενέγκασα καὶ τεκοῦσα, τρέφει τε καὶ ἐπιμελεῖται, οὔτε προπεπονθυῖα οὐδὲν ἀγαθὸν, οὔτε γινῶσκον τὸ βρέφος ὑφ᾽ ὅτου συμπάσχει, οὐδὲ σημαίνειν δυνάμενον, ὅτου δεῖται. ἀλλ᾽ αὐτὴ στοχαζομένη τά τε συμφέροντα καὶ κεχαρισμένα πειρᾶται ἐκπληροῦν, καὶ τρέφει πολὺν χρόνον, καὶ ἡμέρας καὶ νύκτας ὑπομένουσα πονεῖν, οὐκ εἰδυῖα τίνα τούτων χάριν ἀπολήψεται. καὶ οὐκ ἀρκεῖ θρέψαι μόνον, ἀλλὰ καὶ ἐπειδὰν δόξωσιν ἱκανοὶ εἶναι οἱ παῖδες μανθάνειν τι, ἃ μὲν αὐτοὶ ἔχουσιν οἱ γονεῖς ἀγαθὰ πρὸς τὸν βίον διδάσκουσιν. ἃ δ᾽ ἂν οἴωνται ἄλλον ἱκανώτερον εἶναι διδάξαι, πέμπουσι πρὸς τοῦτον δαπανῶντες, καὶ ἐπιμελοῦνται πάντα ποιοῦντες, ὅπως οἱ παῖδες αὐτοῖς γένωνται ὡς δυνατὸν βέλτιστοι. πρὸς ταῦτα ὁ νεανίσκος ἔφη· ἀλλά τοι εἰ ταῦτα πάντα πεποίηκε, καὶ ἄλλα τούτων πολλαπλάσια, οὐδεὶς ἂν δύναιτο αὐτῆς ἀνασχέσθαι τὴν χαλεπότητα. καὶ ὁ Σωκράτης, πότερα δὲ οἴει, ἔφη, θηρίου ἀγριότητα δυσφορωτέραν εἶναι, ἢ μητρός; ἐγὼ μὲν οἶμαι, ἔφη, τὴν μητρὸς, τήν γε τοιαύτης. ἤδη πώποτε οὖν ἢ δακοῦσα κακόν τι ἐνέδωκεν, ἢ λακτίσασα, οἷα ὑπὸ θηρίων ἤδη πολλοὶ ἔπαθον; ἀλλὰ νὴ Δία ἔφη λέγει ἃ οὐκ ἄν τις ἐπὶ τῷ βίῳ παντὶ βούλοιτο ἀκοῦσαι. σὺ δὲ πόσα, ἔφη ὁ Σωκράτης, οἴει ταύτῃ δυσάνυκτα καὶ τῇ φωνῇ καὶ τοῖς ἔργοις ἐκ παιδίου δυσκολαίνων, καὶ ἡμέρας καὶ νυκτὸς πράγματα παρασχεῖν, πόσα δὲ λυπῆσαι κάμνων. ἀλλ᾽ οὐδὲ πώποτε αὐτὴν, ἔφη, οὔτ᾽ εἶπα οὔτ᾽ ἐποίησα οὐδὲν ἐφ᾽ ᾧ ᾐσχύνθη. τί δ᾽ οἴει, ἔφη, χαλεπώτερον εἶναι σοὶ ἀκούειν ὧν αὕτη λέγει, ἢ τοῖς ὑποκριταῖς, ὅτ᾽ ἂν ἐν ταῖς τραγῳδίαις, ἀλλήλους τὰ ἔσχατα λέγουσιν. ἀλλ᾽ οἶμαι ἐπειδὴ οὐκ οἴονται τῶν λεγόντων, οὔτε τὸν ἐλέγχοντα ἐλέγχειν ἵνα ζημιώσῃ, οὔτε τὸν ἀπειλοῦντα ἀπειλεῖν, ἵνα κακόν τι ποιήσῃ, ῥᾳδίως φέρουσι. σὺ δ᾽ εὖ εἰδὼς, ὅτι λέγει σοὶ ἡ μήτηρ, οὐ μόνον οὐδὲν κακὸν νοοῦσα λέγει, ἀλλ᾽ ἀγαθὰ εἶναι, ὅσα οὐδενὶ χαλεπαίνεις, ἢ νομίζεις κακόνουν τὴν μητέρα σοι εἶναι; οὐ δῆτα ἔφη, τοῦτο δὲ οὐκ οἴομαι. καὶ ὁ Σωκράτης, οὐκοῦν, ἔφη, σὺ ταύτην εὔνουν τε σοὶ οὖσαν καὶ ἐπιμελομένην, ὡς μάλιστα δύναται κάμνοντος, ὅπως ὑγιαίνῃς τε, καὶ ὅπως τῶν ἐπιτηδείων μηδενὸς ἐνδεὴς ἔσῃ, καὶ πρὸς τούτοις πολλὰ τοῖς θεοῖς εὐχομένην ἀγαθὰ ὑπὲρ σοῦ καὶ εὐχὰς ἀποδιδοῦσαν, χαλεπὴν εἶναι φῄς; ἐγὼ μὲν οἶμαι, εἰ τοιαύτην μὴ δύνασαι φέρειν μητέρα, τἀγαθά σε οὐ δύνασθαι φέρειν. εἰπὲ δέ μοι, ἔφη· πότερον ἄλλον τινὰ οἴει δεῖν θεραπεύειν, ἢ παρασκευάσαι μηδ᾽ ἑνὶ ἀνθρώπων πειρᾶσθαι ἀρέσκειν, μὴ δ᾽ ἕπεσθαι, μήτε στρατηγῷ, μήτε ἄλλῳ ἄρχοντι; ναὶ μὰ Δία, ἔγωγε, ἔφη. οὐκοῦν, ἔφη ὁ Σωκράτης καὶ τῷ γείτονι βούλει σὺ ἀρέσκειν, ἵνα σοι καὶ πῦρ ἐναύῃ, ὅταν τούτου δέῃ. καὶ ἀγαθοῦ τέ σοι γίνηται συλλήπτωρ, καὶ ἄν τι σφαλλόμενος τύχῃς, εὐνοϊκῶς ἐγγύθεν βοηθῇ σοι; ἔγωγ᾽, ἔφη. τί δὲ συνοδοιπόρον, ἢ σύμπλουν, ἢ εἴ τῳ ἄλλῳ ἐντυγχάνοις, οὐδὲν ἄν σοι διαφέροι φίλον ἢ ἐχθρὸν γενέσθαι, ἢ καὶ τῆς παρὰ τούτων εὐνοίας οἴει δεῖν ἐπιμελεῖσθαι; ἔγωγ᾽, ἔφη. εἶτα τούτων μὲν ἐπιμελεῖσθαι παρασκευάσαι, τὴν δὲ μητέρα τὴν πάντων μάλιστά σε φιλοῦσαν οὐκ οἴει δεῖν θεραπεύειν; οὐκ οἶσθα ὅτι καὶ ἡ πόλις ἄλλης μὲν ἀχαριστίας οὐδεμιᾶς

ἐπιμε-

ἐπιμελεῖται, οὐδὲ δικάζει, ἀλλὰ περιορᾷ τοὺς εὖ πεπονθότας, χάριν οὐκ ἀποδιδόντας. ἐὰν δέ τις γονέας μὴ θεραπεύῃ, τούτῳ δίκην τε ἐπιτίθησι, καὶ ἀποδοκιμάζουσα οὐκ ἐᾷ ἄρχειν τοῦτον, ὡς οὔτε ἂν τὰ ἱερὰ εὐσεβῶς θυόμενα ὑπὲρ τῆς πόλεως τούτου θύοντος, οὔτε ἄλλο καλῶς καὶ δικαίως οὐδὲν ἂν τούτου πράξαντος. καὶ νὴ Δία, ἐάν τις τῶν γονέων τελευτησάντων τοὺς τάφους μὴ κοσμῇ, καὶ τοῦτο ἐξετάζει ἡ πόλις, ἐν ταῖς τῶν ἀρχόντων δοκιμασίαις. σὺ οὖν, ὦ παῖ, ἂν σωφρονῇς, τοὺς μὲν θεοὺς παραιτήσῃ συγγνώμονάς σοι εἶναι, εἴ τι παρημέληκας τῆς μητρός, μή σε οὗτοι νομίσαντες ἀχάριστον εἶναι, οὐκ ἐθέλωσιν εὖ ποιεῖν. τοὺς δὲ ἀνθρώπους φυλάξῃ, μή σε αἰσθόμενοι τῶν γονέων ἀμελοῦντα πάντες ἀτιμάσωσιν, εἶτα ἐν ἐρημίᾳ φίλων ἀναφανῇς. εἰ γάρ σε ὑπολάβοιεν πρὸς τοὺς γονέας ἀχάριστον εἶναι, οὐδεὶς ἂν νομίσειεν εὖ σε ποιήσας, χάριν ἀπολήψεσθαι. Χαιρεφῶντα δέ ποτε καὶ Χαιρεκράτην ἀδελφὼ μὲν ὄντε ἀλλήλοιν, ἑαυτῷ δὲ γνωρίμω, αἰσθόμενος διαφερομένω, ἰδὼν τὸν Χαιρεκράτην, εἰπέ μοι, ἔφη, ὦ Χαιρέκρατες, οὐ δή που καὶ σὺ εἶ τῶν τοιούτων ἀνθρώπων, οἳ χρησιμώτερον νομίζουσι χρήματα ἢ ἀδελφούς, καὶ ταῦτα τῶν μὲν ἀφρόνων ὄντων, τοῦ δὲ φρονίμου· καὶ τῶν μὲν βοηθείας δεομένων, τοῦ δὲ βοηθεῖν δυναμένου· καὶ πρὸς τούτοις, τῶν μὲν πλειόνων ὑπαρχόντων, τοῦ δ᾽ ἑνός. θαυμαστὸν δὲ καὶ τοῦτο, εἴ τις τοὺς μὲν ἀδελφοὺς, ζημίαν ἡγεῖται, ὅτι οὐ καὶ τὰ τῶν ἀδελφῶν κέκτηται· τοὺς δὲ πολίτας οὐχ ἡγεῖται ζημίαν, ὅτι οὐ καὶ τὰ τῶν πολιτῶν ἔχει. ἀλλ᾽ ἐνταῦθα μὲν δύναται λογίζεσθαι, ὅτι κρεῖττον σὺν πολλοῖς οἰκοῦντα ἀσφαλῶς ἀρκοῦντα ἔχειν, ἢ μόνον διαιτώμενον τὰ τῶν πολιτῶν ἐπικινδύνως πάντα κεκτῆσθαι. ἐπὶ δὲ τῶν ἀδελφῶν τὸ αὐτὸ τοῦτο ἀγνοοῦσι. καὶ οἰκέτας μὲν οἱ δυνάμενοι ὠνοῦνται, ἵνα συνεργοὺς ἔχωσι, καὶ φίλους κτῶνται, ὡς βοηθῶν δεόμενοι, τῶν δ᾽ ἀδελφῶν ἀμελοῦσιν, ὥσπερ ἐκ πολιτῶν μὲν γιγνομένους φίλους, ἐξ ἀδελφῶν δὲ οὐ γιγνομένους. καὶ μὴν πρὸς φιλίαν μέγα μὲν ὑπάρχει τὸ ἐκ τῶν αὐτῶν φῦναι, μέγα δὲ τὸ ὁμοῦ τραφῆναι, ἐπεὶ καὶ τοῖς θηρίοις πόθος τις ἐγγίγνεται τῶν συντρόφων. πρὸς δὲ τούτοις καὶ οἱ ἄλλοι ἄνθρωποι τιμῶσί τε μᾶλλον, τοὺς συναδέλφους ὄντας τῶν ἀναδέλφων, καὶ ἧττον τούτοις ἐπιτίθενται. καὶ ὁ Χαιρεκράτης εἶπεν· ἀλλ᾽ εἰ μὲν ὦ Σώκρατες, μὴ μέγα εἴη τὸ διάφορον, ἴσως ἂν δέοι φέρειν τὸν ἀδελφόν, καὶ μὴ μικρῶν ἕνεκα φεύγειν. ἀγαθὸν γάρ, ὥσπερ καὶ σὺ λέγεις, ἀδελφὸς ὢν οἷον δεῖ. ὁπότε μέντοι παντὸς ἐνδέοι, καὶ πᾶν τὸ ἐναντιώτατον εἴη, ἄν τις ἐπιχειροίη τοῖς ἀδυνάτοις; καὶ ὁ Σωκράτης ἔφη· πότερα δὲ ὦ Χαιρέκρατες, οὐδενὶ ἀρέσαι δύναται Χαιρεφῶν, ὥσπερ οὐδὲ σοί, ἢ ἔστιν, οἷς καὶ πάνυ ἀρέσκει; διὰ τοῦτο γάρ τοι, ἔφη, ὦ Σώκρατες, ἄξιόν ἐστιν ἐμοὶ μισεῖν αὐτόν, ὅτι ἄλλοις μὲν ἀρέσκειν δύναται, ἐμοὶ δὲ ὅπου ἂν παρῇ, πανταχοῦ καὶ ἔργῳ καὶ λόγῳ ζημία μᾶλλον ἢ ὠφέλειά ἐστιν. ἆρ᾽ οὖν, ἔφη ὁ Σωκράτης, ὥσπερ ἵππος τῷ ἀνεπιστήμονι μὲν ἐγχειροῦντι δὲ χρῆσθαι ζημία ἐστίν, οὕτω καὶ ἀδελφός, ὅταν τις αὐτῷ μὴ ἐπιστάμενος ἐγχειρῇ χρῆσθαι, ζημία ἐστί. πῶς δ᾽ ἂν ἐγώ, ἔφη ὁ Χαιρεκράτης, ἀνεπιστήμων εἴην ἀδελφῷ χρῆσθαι, ἐπιστάμενός γε καὶ εὖ λέγειν τὸν εὖ λέγοντα, καὶ εὖ ποιεῖν τὸν εὖ ποιοῦντα. τὸν μέντοι καὶ λόγῳ καὶ ἔργῳ πειρώμενον

curat ingratitudinem, nec in iudicium compellit, sed despicit, si quis beneficijs acceptis non reddat gratias? Si quis uero parentes non obseruet, hunc in iudicium compellit, ac reprobat, magistratibusq; omnibus indignum existimat, tanquam ab illo non possint neq; sacrificia pie sacrificari, nec aliud quicquam bene aut iuste agi? Nec solùm hoc, sed etiam si quis parentum defunctorum sepulchra non ornet, hoc etiam ciuitas inuestigat in electionibus magistratuum. Tu itaque fili, si compos es mentis, & deos ut tibi ignoscant exorabis, si quid matrem neglexisti, ne ingratum te esse existiment, nec benefacere uelint. Ab hominibus quoque cauebis, ne sentientes quod contemnas parentes, pro nihilo te habeant, & priuatus amicis omnibus effectus fueris. Si enim te arbitrabuntur erga parentes ingratum esse, nullus putabit te pro susceptis beneficijs fore in referenda gratia memorem. Cum quondam uero Chærephontem atque Chærecratem inter se germanos, sibi autem familiares, sentiret altercari, cúmque uidisset Chærecratem, Dic mihi ó Chærecrates, inquit, num etiam tu ex illis hominibus es, qui chariorem pecuniam quam fratres esse arbitrantur? præsertim cum illa quidem insipiens sit, is uero sapiens: & illa quidem indigeat adiutorio, is uero iuuare possit: & ad hoc, illa quidem ad multitudinem augeatur, is uero unus sit? Mirum autem hoc quoque profectò, si quis germanos quidem propterea damno sibi esse putabit, quoniam partem illorum non possidet: ciues uero damno sibi esse non putabit, eo quod bonis ciuium priuetur. Sed hic quidem potest iudicare, quod meliùs sit cum multis securè habitare, paucaq; possidere, quàm bona omnium ciuium habere solum cum periculo uiuentem: in fratribus uero hoc idem ignorat. At seruos qui possunt, emunt ut cooperantes habeant, & amicos acquirunt tanquam opus eis adiutorio sit: fratres uero despiciunt, quasi à ciuibus quidem possint effici amici, à fratribus uero minime. Atqui nimis ad amicitiam conducit, ex eisdem parentibus natos esse: nimis etiam simul nutriri. Quapropter & feræ suos socios cupiunt, & ad hæc alij quoque homines magis illos honorant qui germanos habent, minusq; eis molesti efficiuntur. Tum Chærecrates: Si non esset ó Socrates, inquit, magna differentia, fortassis opportunum fuisset sustinere fratris molestias, & non abhorrere ab illo parua de re. Est enim res expetenda, quemadmodum ipse asseris frater, qui sit qualem esse deceat. Cum uero multum ab hoc absit, & totum contrarium sit, cur impossibilia homo tentaret? Tum Socrates: Utrum ò Chærecrates, ait, nulli omnino Chærephon placere potest, sicut nec tibi, an nonnullis alijs placet? Imo, respondit: & ideo magis, ô Socrates, dignum arbitror eum odio haberi, quod alijs quidem placere potest, mihi uero quandocunq; adsit, damno potius q̄ lucro sit, & uerbo & facto. Num igitur, Socrates dixit, quemadmodum equus damno fit ei, qui nesciens tentaret uti eo, sic etiam frater damno fit, cum quisq; uti eo tentet nesciens? Quo pacto, Chærecrates ait, nesciam ego fratre uti, cum bene sciam & benedicere bene dicenti, & benefacere benefacienti: illi autem qui uelit uer/

Deus rogandus ab eo qui deliquit ut sibi ignoscat.

De amore fratrum inter se.

lit uerbo & opere mihi nocere, neq; poßim, neq; ten
tarem aut benedicere aut benefacere? Ad hæc Socra-
tes: Miranda dicis ô Cherecrates, at: si canis nanque
tibi esset ad ouium custodiam aptus, qui pastoribus
quidem afficeretur, tibi uero adeunti exasperaretur,
certum est quod ira atq; indignatione dimissa, omni
conatu aliquibus beneficijs eum mitigares. Fratrem
uero confiteris magno tibi bono fore, si qualis oporte
at tibi efficiatur, non conaris quamoptimum tibi eum
efficere, præsertim cum putes scire benedicere, beneq;
agere? Sed dubito ô Socrates, inquit Cherecrates, ne
non tanta in me uehementia sit, qua poßim erga me
Cherephontem, qualem oporteat, efficere. Atqui, So-
crates ait, mea sententia, nulla tibi astutia opus est ad
hanc rem perficiendam: sed eum facillime puto illis ar-
tibus allectum fore, quibus tu plurimum uales, ut ma-
gni te faciat. Nonne igitur dices quamcitißime, ait, si
quid me tale comprehendisti scientem, quod me la-
tet, cum tamen sciam? Age dic mihi, inquit, si cui-
quam amicorum uelis persuadere ut tecum sacrificet,
ad conuiuium uocet, quid facies? Patet, respondit,
quod ego incipiam hoc idem, cum sacrificem illum
uocare. Quod si uelis quenquam necessariorum ad-
hortari, curam habere tuorum, cum absens sis, quid fa
cies? Patet, inquit, quod primus ego incipiam curam
habere rerum illius cum sit absens. Quod si uelis ho-
spitem tibi quenquam efficere, ut cum adeas patriam
illius te suscipiat, quid tibi faciundum esset? Patet, in-
quit, quod hunc etiam ego primus suscipiam cum A-
thenas aduenerit: & ad hæc, si uelim eum in meis
negocijs illic me iuuare, me primum hic oporteat eum
in suis iuuare. Omnes itaque, ut uidetur, modos
per quos amor in hominibus acquiritur, tu bene sci-
ens celabas. An times, inquit, incipere, ne turpe
appareat si primus fratri tuo bene agas? Atqui plu-
rimi faciundus est homo, quicunque præueniat hosti-
bus nocere, amicis benefacere. Si ad hanc igitur rem
incipiendam Cherephontem putassem aptiorem te, il
li persuasissem primum incipere, te in amicitiam re-
ducere. Nunc uero tu mihi uideris incipiens magis
hoc efficere posse. Cherecrates uero ad hæc: Absurda
dicis ô Socrates, ait, et minime tibi conuenientia, quip
pe qui me incipere præcipis qui iunior sum, cum a-
pud omnes homines contraria esset opinio, hoc est, se
niorem oportere incipere in omni uerbo & opere.
Quomodo, Socrates inquit: nonne etiam ubicunque
in uia iunior seniori obuiaret, cedere ei constitutum
est? & sedentem uenienti assurgere, & meliori lecto
honorare, & oratione cedere? Sed ô optime, non sis
piger, sed tenta hominem mitigare, & facile tibi obe-
diet. Nonne uides cupidum honoris, & liberalem
eum esse? Prauos nanq; homunculos nullo modo, nisi
eis aliquid præstando, allicies. Bonos uero homines
& doctos non nisi amicitia mollies. Tum Cherecra-
tes ait: Si uero ubi ego hæc faciam, ille non efficiatur
melior? Quid aliud, Socrates ait, nisi ostendes te
quidem bonum & amatorem fratris esse, illum ue-
ro prauum & indignum beneficijs? Sed nihil ho-
rum fore puto. Arbitror nanque quòd cum sentiat
te ad hanc eum luctationem prouocantem, ualde
conten-

μένων γ' ἐμὲ ἀνιᾶν οὐκ ἂν δυναίμην, οὔτ' εὖ λέγων, οὔτ' εὖ
ποιῶν, ἀλλ' οὐδὲ πειράσομαι. καὶ ὁ Σωκράτης ἔφη· θαυ-
μαστά γε λέγεις, ὦ Χαιρέκρατες. εἰ κύων μὲν σοὶ ἦν ἐπὶ
προβάτοις ἐπιτήδειος ὤν, καὶ τοὺς μὲν ποιμένας ἠσπάζε-
το, σοὶ δὲ προσιόντι ἐχαλέπαινεν, ἀμελήσας ἂν τοῦ ὀργί-
ζεσθαι, ἐπειρῶ ἂν εὖ ποιήσας πραΰνειν αὐτόν, τὸν δὲ ἀδελφὸν
φὴς μὲν μέγα ἂν ἀγαθὸν εἶναι, ὄντα πρὸς σὲ οἷον δεῖ, ἐπίστα-
σθαι δὲ ὁμολογῶν καὶ εὖ ποιεῖν καὶ εὖ λέγειν, οὐκ ἐπιχειρεῖς
10 μηχανᾶσθαι, ὅπως σοὶ ὡς βέλτιστος ᾖ; καὶ ὁ Χαιρεκράτης,
δέδοικα, ἔφη, ὦ Σώκρατες, μὴ οὐκ ἔχω ἐγὼ τοσαύτην
σοφίαν, ὥστε Χαιρεφῶντα ποιῆσαι πρὸς ἐμὲ οἷον δεῖ. καὶ
μὴν οὐδέν γε ποικίλον, ἔφη ὁ Σωκράτης, οὐδὲ καινὸν δεῖ
ἐπ' αὐτόν, ὡς ἐμοὶ δοκεῖ, μηχανᾶσθαι. οἷς δὲ καὶ σὺ ἐπίστα-
σαι αὐτός, οἶμαι ἂν αὐτὸν ἁλόντα, περὶ πολλοῦ ποιεῖσθαί
σε. οὐκ ἂν φθάνοις, ἔφη, λέγων, εἴ τι ᾔσθησαί με φίλτρον
ἐπιστάμενον, ὃ ἐγὼ εἰδὼς λέληθα ἐμαυτόν; λέγε δή μοι,
ἔφη, εἴ τινα τῶν γνωρίμων βούλοιο κατεργάσασθαι, ὁπό-
τε θύοι καλεῖν σε ἐπὶ δεῖπνον, τί ἂν ποιοίης; δῆλον ὅτι
20 κατάρχοιμι ἂν τοῦ αὐτὸς ὅτε θύοιμι καλεῖν ἐκεῖνον. εἰ δὲ
βούλοιο τῶν φίλων τινὰ προτρέψασθαι, ὁπότε ἀποδη-
μοίης ἐπιμελεῖσθαι τῶν σῶν, τί ἂν ποιοίης; δηλονότι πρό-
τερος ἂν ἐγχειροίην ἐπιμελεῖσθαι τῶν ἐκείνου, ὁπότε ἐκεῖνος ἀπο-
δημοίη. εἰ δὲ βούλοιο ξένον ποιῆσαι ὑποδέχεσθαι σεαυ-
τόν, ὁπότε ἔλθοις εἰς τὴν ἐκείνου, τί ἂν ποιοίης; δηλονό-
τι καὶ τοῦτον πρότερος ὑποδεχοίμην ἂν ὁπότε ἔλθοι
Ἀθήναζε. καὶ εἴ γε βουλοίμην αὐτὸν προθυμεῖσθαι δια-
πράττειν μοι ἐφ' ἃ ἥκοιμι, δηλονότι καὶ τοῦτο δέοι ἂν πρό-
30 τερον αὐτὸν ἐκείνῳ ποιεῖν. πάντα ἄρα σύ γε τὰ ἐν ἀν-
θρώποις φίλτρα ἐπιστάμενος πάλαι ἀπεκρύπτου. ἢ ὀ-
κνεῖς, ἔφη, ἄρξαι, μὴ αἰσχρὸς φανῇς, ἐὰν πρότερος τὸν ἀ-
δελφὸν εὖ ποιῇς; καὶ μὴν πλείστου γε δοκεῖ ἀνὴρ ἐπαίνου
ἄξιος εἶναι, ὃς ἂν φθάνῃ τοὺς μὲν πολεμίους κακῶς ποιῶν,
τοὺς δὲ φίλους εὐεργετῶν. εἰ μὲν οὖν ἐδόκει μοι Χαιρεφῶν
ἡγεμονικώτερος εἶναι σοῦ πρὸς τὴν φύσιν ταύτην, ἐκεῖνον
ἂν ἐπειρώμην πείθειν πρότερον ἐγχειρεῖν τὸν σὲ φίλον
ποιεῖσθαι· νῦν δέ μοι σὺ δοκεῖς ἡγούμενος μᾶλλον ἂν ἐξ-
40 εργάσασθαι τοῦτο. καὶ ὁ Χαιρεκράτης εἶπεν, ἄτοπα λέγεις, ὦ
Σώκρατες, καὶ οὐδαμῶς πρὸς σοῦ, ὅς γε κελεύεις ἐμὲ νεώ-
τερον ὄντα καθηγεῖσθαι. καίτοι τοῦτό γε παρὰ πᾶσιν ἀνθρώ-
ποις τἀναντία νομίζεται, τὸν πρεσβύτερον ἡγεῖσθαι παν-
τὸς καὶ ἔργου καὶ λόγου. πῶς, ἔφη ὁ Σωκράτης, οὐ γὰρ καὶ ὁδοῦ
παραχωρῆσαι τὸν νεώτερον πρεσβυτέρῳ συντυγχάνοντι
πανταχοῦ νομίζεται, καὶ καθήμενον ὑπαναστῆναι καὶ
κοίτῃ μαλακῇ τιμῆσαι, καὶ λόγων ὑπεῖξαι; ὦ ἀγαθέ, μὴ
ὄκνει, ἔφη, ἀλλ' ἐγχείρει τὸν ἄνδρα καταπραΰνειν. καὶ
πάνυ ταχύ σοι ὑπακούσεται, οὐχ ὁρᾷς, φιλότιμός ἐστι καὶ
50 ἐλευθέριος; τὰ μὲν γὰρ πονηρὰ ἀνθρώπια, οὐκ ἂν ἄλλως
μᾶλλον ἕλοις, ἢ εἰ διδοίης τι. τοὺς δὲ καλοὺς κἀγαθοὺς
ἀνθρώπους προσφιλῶς χρώμενος μάλιστ' ἂν κατεργά-
σαιο. καὶ ὁ Χαιρεκράτης εἶπεν· ἐὰν οὖν ἐμοῦ ταῦτα ποιοῦν-
τος, ἐκεῖνος μηδὲν βελτίων γίγνηται; τί γὰρ ἄλλο, ἔ-
φη ὁ Σωκράτης, ἢ κινδυνεύσεις ἐπιδεῖξαι, σὺ μὲν χρη-
στός τε καὶ φιλάδελφος εἶναι, ἐκεῖνος δὲ φαῦλός τε καὶ
οὐκ ἄξιος εὐεργεσίας. ἀλλ' οὐδὲν οἶμαι τούτων ἔσεσθαι.
νομίζω γὰρ αὐτόν, ἐπειδὰν αἴσθηταί σε προκαλούμενον
ἑαυτὸν εἰς τὸν ἀγῶνα τοῦτον, πάνυ φιλονεικήσειν, ὅπως
περι-

προθυμήσεταί σου λόγῳ καὶ ἔργῳ ποιεῖν. νῦν μὲν γὰρ οὕτως ἔφη διάκεισθον, ὥσπερ εἰ τὼ χεῖρε, ἃς ὁ θεὸς ἐπὶ τὸ συλλαμβάνειν ἀλλήλαιν ἐποίησεν, ἀφεμένω τούτου τράποιντο πρὸς τὸ διακωλύειν ἀλλήλω. ἢ εἰ τὼ πόδε θείᾳ μοίρᾳ πεποιημένω πρὸς τὸ συνεργεῖν ἀλλήλοιν, ἀμελήσαντε τούτου ἐμποδίζοιεν ἀλλήλω, οὐκ ἂν πολλὴ ἀμαθία εἴη καὶ κακοδαιμονία τοῖς ἐπ' ὠφελείᾳ ἀλλήλοιν, ἢ χεῖρέ τε καὶ πόδε καὶ ὀφθαλμώ, καὶ τἆλλ' ὅσα ἀδελφὰ ἔφυσεν ἀνθρώποις. χεῖρες μὲν γὰρ εἰ δέοι αὐτὰς τὰ πλέον ὀργυιᾶς διέχοντα ἅμα ποιῆσαι, οὐκ ἂν δύναιντο. πόδες δὲ οὐδ' ἂν ἐπὶ τὰ ὀργυιὰν διέχοντα ἔλθοιεν ἅμα· ὀφθαλμοὶ δὲ οἱ δοκοῦντες ἐπὶ πλεῖστον ἐξικνεῖσθαι, οὐδ' ἂν τῶν ἔτι ἐγγυτέρω ὄντων τὰ ἔμπροσθεν ἅμα, καὶ τὰ ὄπισθεν ἰδεῖν δύναιντο. ἀδελφὼ δὲ φίλω ὄντε, καὶ πολὺ διεστῶτε πράττετον ἅμα καὶ ἐπ' ὠφελείᾳ ἀλλήλοιν. Ἤκουσα δέ ποτε αὐτοῦ καὶ περὶ φίλων διαλεγομένου, ἐξ ὧν ἔμοιγε ἐδόκει μάλιστ' ἄν τις ὠφελεῖσθαι πρὸς φίλων κτῆσίν τε καὶ χρείαν. τοῦτο μὲν γὰρ δὴ πολλῶν, ἔφη, ἀκούειν, ὡς πάντων κτημάτων κράτιστον ἂν εἴη φίλος σαφὴς καὶ ἀγαθός. ἐπιμελουμένους δὲ παντὸς μᾶλλον ὁρᾶν ἔφη τοὺς πολλοὺς ἢ φίλων κτήσεως. καὶ γὰρ οἰκίας καὶ ἀγροὺς καὶ ἀνδράποδα καὶ βοσκήματα καὶ σκεύη κτωμένους τε ἐπιμελῶς ὁρᾶν ἔφη, καὶ τὰ ὄντα σώζειν πειρωμένους. φίλον δὲ ὃ μέγιστον ἀγαθὸν εἶναι φασίν, ὁρᾶν ἔφη τοὺς πολλοὺς οὔτε ὅπως κτήσωνται φροντίζοντας, οὔτε ὅπως οἱ ὄντες ἑαυτοῖς σώζωνται. ἀλλὰ καὶ καμνόντων φίλων τε καὶ οἰκετῶν, ὁρᾶν τινας ἔφη, τοῖς μὲν οἰκέταις καὶ ἰατροὺς εἰσάγοντας καὶ τἆλλα πρὸς ὑγίειαν ἐπιμελῶς παρασκευάζοντας, τῶν δὲ φίλων ὀλιγωροῦντας· ἀποθανόντων τε ἀμφοτέρων, ἐπὶ μὲν τοῖς οἰκέταις ἀχθομένους καὶ ζημίαν ἡγουμένους· ἐπὶ δὲ τοῖς φίλοις οὐδὲν οἰομένους ἐλαττοῦσθαι. καὶ τῶν μὲν ἄλλων κτημάτων οὐδὲν ἐῶντας ἀθεράπευτον, οὐδ' ἀνεπίσκεπτον. τῶν δὲ φίλων ἐπιμελείας δεομένων ἀμελοῦντας. ἔτι δὲ πρὸς τούτοις ὁρᾶν ἔφη τοὺς πολλούς, τῶν μὲν ἄλλων κτημάτων, καὶ πάνυ πολλῶν αὐτοῖς ὄντων, τὸ πλῆθος εἰδότας, τῶν δὲ φίλων ὀλίγων ὄντων, οὐ μόνον τὸ πλῆθος ἀγνοοῦντας, ἀλλὰ καὶ τοῖς πυνθανομένοις τοῦτο καταλέγειν ἐγχειρήσαντας, οὓς ἐν τοῖς φίλοις ἔθεσαν, πάλιν τούτους ἀνατίθεσθαι. τοσοῦτον αὐτοὺς τῶν φίλων φροντίζειν. καίτοι πρὸς ποῖον κτῆμα τῶν ἄλλων παραβαλλόμενος φίλος ἀγαθός, οὐκ ἂν πολλῷ κρείττων φανείη; ποῖος γὰρ ἵππος, ἢ ποῖον ζεῦγος οὕτω χρήσιμον, ὥσπερ ὁ χρηστὸς φίλος; ποῖον δὲ ἀνδράποδον οὕτως εὔνουν καὶ παραμόνιμον, ἢ ποῖον ἄλλο κτῆμα οὕτω πάγχρηστον; ὁ γὰρ ἀγαθὸς φίλος ἑαυτὸν τάττει πρὸς πᾶν τὸ ἐλλεῖπον τῷ φίλῳ, καὶ τῆς τῶν ἰδίων κατασκευῆς, καὶ τῶν κοινῶν πράξεων, κἄν τέ τινα εὖ ποιῆσαι δέῃ, συνεπισχύει· ἄν τέ τις φόβος ταράττῃ, συμβοηθεῖ. τὰ μὲν συναναλίσκων, τὰ δὲ συμπράττων. καὶ τὰ μὲν συμπείθων, τὰ δὲ βιαζόμενος. καὶ εὖ μὲν πράττοντας πλεῖστα εὐφραίνων, σφαλλομένους δὲ, πλεῖστα ἐπανορθῶν. ἃ δὲ αἵ τε χεῖρες ἑκάστῳ ὑπηρετοῦσι, καὶ ὀφθαλμοὶ προορῶσι, καὶ τὰ ὦτα προακούουσι, καὶ οἱ πόδες διανύτουσι, τούτων φίλος εὐεργετῶν οὐδενὸς λείπεται. πολλάκις ἃ πρὸ αὑτοῦ τις ἢ οὐκ ἐξειργάσατο, ἢ οὐκ εἶδεν, ἢ οὐκ ἤκουσεν, ἢ οὐ διήνυσε, ταῦτα ὁ φίλος πρὸς τοὺς φίλους ἐξήρκεσεν. ἀλλ' ὅμως ἔνιοι μὲν δένδρα

πειρῶνται

contenderet te bene faciendo uerbo & opere superare. Nunc uero sic uos habetis, ac si manus quas deus ut una alteram iuuet, creauit, dimisso hoc, conarentur impedimento inuicem fore. Aut si pedes, diuina prouidentia ad coadiuuandum inuicem facti, relicto hoc, unus alterum impediat: nonne tibi uidetur magna ignorantia & calamitas eorum esse, qui manibus, aut pedibus, aut oculis, quae ad utilitatem hominum gemina ac fraterna eis orta sunt, ad malum utuntur. Et manus quidem si oportuerit eas, illa quae plus quam unum passum distent, coniungere, non poterunt. Pedes autem nunquam simul irent ad spacium passus unius. Oculi uero quorum uisiua potentia maxime apparet in longum extendi, nunquam uidere possunt eorum qui propinqui sunt, anteriora simul & posteriora. Fratres uero dum amici sint, quamuis multum unum ab altero distet, agunt tamen ea quae profutura inuicem sunt. Quondam uero audiui eum & de amicis ea disputantem, e quibus mihi uidebatur quam maximam quisque utilitatem ad amicorum usum ac comparationem habere. A multis enim aiebat audire, omnium possessionum praestantissimam esse uerum ac bonum amicum. Videre uero se quamplurimos quiduis potius sectari, quam studium comparandorum amicorum. Etenim domos, agros, & seruos, & uasa quaedam diligenter eos procurare ut habeant uidere dicebat, & adhuc conseruare conari quae habent: amicum uero, quod maximum bonum esse dicunt, nec ut acquirant, nec ut sibi conseruent, curare. Porro aegritudine laborantibus amicis & seruis deprehendere quosdam aiebat, pro seruis quidem & medicis pecuniam soluere, alia quoq; pro sanitate illorum diligenter parare, amicos uero negligere. Mortuis autem utrisque, propter seruos quidem dolere & damnum putare, propter amicos uero minime. Et aliarum quidem possessionum nihil sine cura dimittere, amicos uero indigentes despicere. Et ad haec, inquit, nonnullos uidisse aliarum possessionum suarum quantumuis multae sint totam multitudinem scire, amicos uero etiam si pauci sunt, quot nam qualésue sunt ignorare: tantam habent amicorum curam. Atqui quis te bonus amicus comparatus non multo melior apparet? Quis nanque equus, quódue par iumentorum tam utile est, quam bonus amicus? Aut quis seruus ita affectus & constans, aut quae possessio alia tam utilis erit? Verus nanque amicus seipsum paratum exhibet ad omnem amicorum inopiam subleuandam, siue in rebus priuatis, siue in publicis: ac si quenquam oportuerit afficere beneficiis, suam operam accommodat: si quis metus conturbat, simul adiuuat, illic quidem non parcendo sumptibus, hic uero opere properans partim persuadendo, partim cogendo. Idem secunda fortuna utentibus, multam letitiam confert: calamitatibus uero grauatos subleuat. Quaecunque uero aut manus cuilibet suppeditant, aut oculi praeuident, aut aures praeaudiunt, aut pedes perficiunt, horum omnium nullo beneficus amicus posterior est. Nonnunquam enim quaecunque quisque pro seipso non faceret, aut non uideret, aut non auscultaret, haec utique amicus pro amico perfecerit. Sed tamen nonnulli arborum quidem

De amicitia

curam

curam habent, fructuũ causa: fertilißimũ uerò agrum, qui amicus appellatur, socorditer ac remisse colunt. Aliàs uero alium eius audiui sermonem, qui hortabatur audientes examinare seipsos, quanti existimandus esset amicis. Cum enim quendam uidisset nullã curam habere amici paupertate oppreßi, interrogauit Antisthenem coram illo negligente, & alijs multis: Num ô Antisthenes, ait, sunt quædam amicorum existimationes, sicuti & seruorum sunt? Seruorum enim alius duabus minis existimatur dignus, alius uero nec mediæ minæ, alius uero etiam quinq;, & alius decem. Nicias uerò filius Niccrati dicitur uno talento emisse, qui argentarijs suis præesset. Consideremus itaq;, inquit, utrum sicut istorum, sic etiam amicorum existimationes sint? Ita mehercle sunt, Anthistenes ait: ego nanq; uelim profectò hũc mihi amicum esse potius, quàm duas minas: hunc uero nec mediæ minæ anteponerem, & alium quidem citius quàm decem minas eligerem, alium uero præ omnibus pecunijs atq; laboribus anteponerem esse mihi amicum. Si igitur hæc ita se habent, Socrates ait, oportet ut quilibet se examinet quãti suis amicis existimandus sit, atq; conetur quammaximi esse, ut quamminime eum amici sui prodere uelint. Nõnunquam enim, inquit, audio hunc quidem dicẽtem, quod prodiderit eum uir amicus: hunc uero, quod unam minam potius pro eo elegerit uir, quem sibi putabat amicum esse. Cogito itaq;, ne sicut cum quisquam prauum habeat seruũ, uendit eum cuicũq; obuio, sic etiã in hoc contingat, prauum amicum, cum liceat plus quã ualeat capere, facile uendi. Bonos nanq; & utiles nec seruos uendi uideo, nec amicos proditos. At uero amicos examinare quibus uti debemus, docebat, huiuscemodi dicens: Dic mihi ô Critobule, inquit, si bono nobis amico opus fuerit, quo eum examinabimus pacto? nónne primum quidem inuestigabimus, qui uentri, potui, luxuriæ, somno, atq; inertiæ dominatur? qui enim ab istis detinetur, nec sibijpsi, nec amico poßit prodesse. Nullo pacto, inquit, per Iouem. Qui itaq; huiuscemodi seruiat, contẽnendus tibi uidetur? Imò, Critobulus ait. Qui uero sumptuosus existens, non habet sufficientiam, copias, sed semper indiget ab amicis capere, & aut capiens non potest soluere, aut nõ capiens odio habet eos qui non præstant, nónne etiam ille difficilis amicus est? Vehementer, inquit. Contemnendus ergo & iste est? Contemnendus, ait. Quid uerò, qui cupiditate pecuniæ potest quidem illam omnibus modis congregare, semper autem plura cupiens, ideo non facilis est, & capiendo gaudet, soluere uero non uult? Mihi apparet, ait, multo iste peior illo esse. Qui uero propter cupiditatem accumulandæ pecuniæ ad nihil aliud uacat, nisi ad ea unde lucrabitur? Contemnendus etiam iste est, ut mihi uidetur: inutilis enim, etiam eis profectò qui eo uti uelint. Quid uerò quicunq; seditiosus est, & uelit multos inimicos amicis efficere? Et hunc, ait, mehercle fugere debemus. Quod si quis nullo tali uitio detineatur, acceptis autem beneficijs acquiescit, nec conatur etiã ille benefacere amico? Inutilis utiq; etiã iste esset, respondit. Sed dic tamẽ, ò Socrates, qualem quispiã sibi ipsi adipiscatur amicũ. Illum arbitror, ait, qui cõtraria his omnibus: abstinet quidem à corporis uoluptatibus, seruat

παρόντες θεραπεύειν τοῦ καρποῦ ἕνεκεν, τοῦ δὲ παμφορωτάτου κτήματος, ὃ καλεῖται φίλος, ἀργῶς καὶ ἀνειμένως οἱ πλεῖστοι ἐπιμέλονται. ἤκουσα δέ ποτε καὶ ἄλλον αὐτοῦ λόγον, ὡς ἐδόκει μοι προτρέπειν τὸν ἀκούοντα ἐξετάζειν ἑαυτόν, ὁπόσου τοῖς φίλοις ἄξιος εἴη. ἰδὼν γάρ τινα τῶν ξυνόντων ἀμελοῦντα φίλου, πενίᾳ πιεζομένου, ἤρετο ἀντισθένη ἐναντίον τοῦ ἀμελοῦντος αὐτοῦ, καὶ ἄλλων πολλῶν. ἆρα, ἔφη, ὦ ἀντίσθενες, εἰσί τινες ἀξίαι φίλων ὥσπερ οἰκετῶν; τῶν γὰρ οἰκετῶν, ὁ μέν που δύο μνῶν ἄξιός ἐστιν, ὁ δὲ οὐδ' ἡμιμναίου· ὁ δὲ πέντε μνῶν· ὁ δὲ καὶ δέκα. νικίας δὲ ὁ νικηράτου λέγεται ἐπιστάτην εἰς τἀργυρεῖα πρίασθαι ταλάντου. σκοποῦμαι δὴ τοῦτο, ἔφη, εἰ ἄρα ὥσπερ τῶν οἰκετῶν, οὕτω καὶ τῶν φίλων εἰσὶν ἀξίαι; ναὶ μὰ Δί', ἔφη ὁ ἀντισθένης. ἔγωγ' οὖν βουλοίμην ἂν τὸν μέν τινα φίλον μοι εἶναι μᾶλλον, ἢ δύο μνᾶς, τὸν δ' οὐδ' ἂν ἡμιμναίου, προτιμησαίμην, τὸν δὲ καὶ πρὸ δέκα μνῶν ἑλοίμην, τὸν δὲ πρὸ πάντων χρημάτων καὶ πόνων πριαίμην ἂν φίλον μοι εἶναι. οὐκοῦν, ἔφη ὁ σωκράτης, εἴ γε ταῦτα τοιαῦτά ἐστι, καλῶς ἂν ἔχοι ἐξετάζειν τινὰ ἑαυτόν, πόσου ἄρα τυγχάνει τοῖς φίλοις ἄξιος ὤν, καὶ πειρᾶσθαι ὡς πλείστου ἄξιος εἶναι, ἵνα ἧττον αὐτὸν οἱ φίλοι προδιδῶσιν. ἐγὼ γάρ τοι, ἔφη, πολλάκις ἀκούω, τοῦ μὲν ὅτι προύδωκεν αὐτὸν φίλος ἀνήρ. τοῦ δ' ὅτι μνᾶν ἀνθ' ἑαυτοῦ μᾶλλον εἵλετο ἀνὴρ ὃν ᾤετο φίλον εἶναι. τὰ τοιαῦτα πάντα σκοπῶ, μὴ ὥσπερ ὅταν τις οἰκέτην πονηρὸν πωλῇ, καὶ ἀποδίδοται τοῦ εὑρόντος, οὕτω καὶ τῶν πονηρῶν φίλων ὅταν ἐξῇ τὸ πλεῖον τῆς ἀξίας λαβεῖν ἐπαγωγὸν ᾖ ἀποδίδοσθαι. τοὺς δὲ χρηστούς, οὔτε οἰκέτας πάνυ τι πωλουμένους ὁρῶ, οὔτε φίλους προδιδομένους. ἐδόκει δέ μοι καὶ εἰς τὸ δοκιμάζειν φίλους ὁποίους ἄξιον κτᾶσθαι φρενοῦν, τοιάδε λέγων. εἰπέ μοι, ἔφη, ὦ κριτόβουλε, εἰ δεοίμεθα φίλου ἀγαθοῦ, πῶς ἂν ἐπιχειροίημεν σκοπεῖν; ἆρα πρῶτον μὲν ζητητέον, ὅστις ἄρχει γαστρός τε καὶ φιλοποσίας, καὶ λαγνείας, καὶ ὕπνου καὶ ἀργίας. ὁ γὰρ ὑπὸ τούτων κρατούμενος, οὔτ' αὐτὸς ἑαυτῷ δύναιτ' ἄν, οὔτε φίλῳ τὰ δέοντα, πράττειν; μὰ Δί' οὐ δῆτα, ἔφη. οὐκοῦν τοῦ μὲν ὑπὸ τούτων ἀρχομένου ἀφεκτέον δοκεῖ σοι εἶναι; πάνυ μὲν οὖν, ἔφη. τί γάρ, ἔφη, ὅστις δαπανηρὸς ὢν μὴ αὐτάρκης ἐστίν, ἀλλ' ἀεὶ τῶν πλησίον δεῖται, καὶ λαμβάνων μὲν μὴ δύναται ἀποδιδόναι, μὴ λαμβάνων δὲ τὸν μὴ διδόντα μισεῖ. οὐ δοκεῖ σοι καὶ οὗτος χαλεπὸς φίλος εἶναι; πάνυ, ἔφη. οὐκοῦν ἀφεκτέον καὶ τούτου; ἀφεκτέον μέντοι, ἔφη. τί γὰρ ὅστις χρηματίζεσθαι μὲν δύναται, πολλῶν δὲ χρημάτων ἐπιθυμεῖ, καὶ διὰ τοῦτο δυσξύμβολός ἐστι, καὶ λαμβάνων μὲν ἥδεται, ἀποδιδόναι δὲ οὐ βούλεται; ἐμοὶ μὲν δοκεῖ, ἔφη, οὗτος ἔτι πονηρότερος ἐκείνου εἶναι. τί δ' ὅστις διὰ τὸν ἔρωτα τοῦ χρηματίζεσθαι, μηδὲ πρὸς ἓν ἄλλο σχολὴν ποιεῖται, ἢ ὁπόθεν αὐτὸς κερδανεῖ; ἀφεκτέον καὶ τούτου ὡς ἐμοὶ δοκεῖ. ἀνωφελὴς γὰρ ἂν εἴη τῷ χρωμένῳ. τί δὲ ὅστις στασιώδης τέ ἐστι, καὶ θέλων πολλοὺς τοῖς φίλοις ἐχθροὺς παρέχειν; φευκτέον νὴ Δία καὶ τοῦτον. εἰ δέ τις τούτων μὲν τῶν κακῶν μηδὲν ἔχοι, εὖ δὲ πάσχων ἀνέχεται, μηδὲν φροντίζων τοῦ ἀντευεργετεῖν; ἀνωφελὴς ἂν εἴη καὶ οὗτος. ἀλλὰ ποῖον, ὦ σώκρατες, ἐπιχειρήσομεν φίλον ποιεῖσθαι; οἶμαι μὲν ὡς τἀναντία τούτων, ἐγκρατὴς μὲν εἶναι, τῶν διὰ τοῦ σώματος ἡδονῶν, εὔορκος

εὔορκος δὲ καὶ εὐξύμβολος ὢν τυγχάνει, καὶ φιλόνεικος πρὸς τὸ μὴ ἐλλείπεσθαι εὖ ποιῶν τοὺς εὐεργετοῦντας ἑαυτὸν, ὥστε λυσιτελεῖν τοῖς χρωμένοις. πῶς οὖν ταῦτα δοκιμάσαιμεν, ὦ σώκρατες, πρὸ τοῦ χρῆσθαι; τοὺς μὲν ἀνδριαντοποιοὺς, ἔφη, δοκιμάζομεν, οὐ τοῖς λόγοις αὐτῶν τεκμαιρόμενοι, ἀλλ' ὃν ἂν ὁρῶμεν τοὺς πρόσθεν ἀνδριάντας καλῶς εἰργασμένον, τούτῳ πιστεύομεν καὶ τοὺς λοιποὺς εὖ ποιήσειν. καὶ ἄνδρα δὴ λέγεις, ἔφη, ὃς ἂν τοὺς φίλους τοὺς πρόσθεν εὖ ποιῶν φαίνηται, δῆλον εἶναι, καὶ τοὺς ὑστέρους εὐεργετήσοντα; καὶ γὰρ ἵπποις, ἔφη, ὃν ἂν τοῖς πρόσθεν ὁρῶ καλῶς χρώμενον, τοῦτον καὶ ἄλλοις οἶμαι καλῶς χρῆσθαι. εἶεν, ἔφη. ὃς δ' ἂν ἡμῖν ἄξιος φιλίας δοκῇ εἶναι, πῶς χρὴ φίλον τοῦτον ποιεῖσθαι; πρῶτον μὲν, ἔφη, τὰ παρὰ τῶν θεῶν ἐπισκεπτέον, εἰ συμβουλεύουσιν αὐτὸν φίλον ποιεῖσθαι. τί οὖν, ἔφη, ὃ ἂν ἡμῖν δοκῇ, καὶ οἱ θεοὶ μὴ ἐναντιῶνται, ἔχεις εἰπεῖν ὅπως οὗτος θηρατέος; μὰ Δί', ἔφη, οὐ κατὰ πόδας, ὥσπερ ὁ λαγὼς, οὐδ' ἀπάτῃ ὥσπερ αἱ ὄρνιθες, οὐδὲ βίᾳ, ὥσπερ οἱ ἐχθροί. ἄκοντα γὰρ φίλον ἑλεῖν, ἐργῶδες. χαλεπὸν δὲ καὶ δήσαντα κατέχειν ὥσπερ δοῦλον. ἐχθροὶ γὰρ μᾶλλον ἢ φίλοι γίγνονται ταῦτα πάσχοντες. φίλοι δὲ πῶς, ἔφη; εἶναι μέν τινάς φασιν ἐπῳδὰς, ἃς οἱ ἐπιστάμενοι ἐπᾴδοντες, οὓς ἂν βούλωνται, φίλους ἑαυτοῖς ποιοῦνται. εἶναι δὲ καὶ φίλτρα οἷς οἱ ἐπιστάμενοι πρὸς οὓς ἂν βούλωνται χρώμενοι φιλοῦνται ὑπ' αὐτῶν. πόθεν οὖν, ἔφη, ταῦτα μάθοιμεν ἄν; ἃ μὲν αἱ σειρῆνες ἐπῇδον τῷ ὀδυσσεῖ, ἤκουσας ὁμήρου, ὧν ἐστιν ἀρχὴ τοιάδε τις· δεῦρ' ἄγε δὴ πολύαιν' ὀδυσσεῦ, μέγα κῦδος ἀχαιῶν. ταύτην οὖν, ἔφη, τὴν ἐπῳδὴν, ὦ σώκρατες, καὶ τοῖς ἄλλοις ἀνθρώποις αἱ σειρῆνες ἐπᾴδουσαι κατεῖχον, ὥστε μὴ ἀπιέναι ἀπ' αὐτῶν τοὺς ἐπᾳσθέντας; οὐκ. ἀλλὰ τοῖς ἐπ' ἀρετῇ φιλοτιμουμένοις οὕτως ἐπῇδον. σχεδόν τι λέγεις τοιαῦτα χρῆναι ἑκάστῳ ἐπᾴδειν, οἷα μὴ νομιεῖ ἀκούων, τὸν ἐπαινοῦντα καταγελῶντα λέγειν. οὕτω μὲν γὰρ ἐχθίων τ' ἂν εἴη, καὶ ἀπελαύνοι τοὺς ἀνθρώπους ἀφ' ἑαυτοῦ, εἰ τὸν εἰδότα ὅτι μικρός τε καὶ αἰσχρὸς καὶ ἀσθενής ἐστιν, ἐπαινοίη λέγων, ὅτι καλός τε καὶ μέγας καὶ ἰσχυρός ἐστιν. ἄλλας δέ τινας οἶσθα ἐπῳδάς; οὐκ. ἀλλ' ἤκουσα μὲν ὅτι περικλῆς πολλὰς ἐπίσταιτο, ἃς ἐπᾴδων τῇ πόλει, ἐποίει αὐτὴν φιλεῖν αὐτόν. θεμιστοκλῆς δὲ πῶς ἐποίησε τὴν πόλιν φιλεῖν αὐτόν; μὰ Δί' οὐκ ἐπᾴδων, ἀλλὰ περιάψας τι ἀγαθὸν ἑαυτῇ. δοκεῖς μοι λέγειν, ὦ σώκρατες, ὡς εἰ μέλλοιμεν ἀγαθόν τινα κτήσεσθαι φίλον, αὐτοὺς ἡμᾶς ἀγαθοὺς δεῖ γενέσθαι, λέγειν τε καὶ πράττειν. σὺ δ' ᾤου, ἔφη ὁ σωκράτης, οἷόν τ' εἶναι πονηρὸν ὄντα, χρηστοὺς φίλους κτήσασθαι; ἑώρων γὰρ, ἔφη ὁ κριτόβουλος, ῥήτοράς τε φαύλους ἀγαθοῖς δημηγόροις φίλους ὄντας. καὶ στρατηγεῖν οὐχ ἱκανοὺς, πάνυ στρατηγικοῖς ἀνδράσιν ἑταίρους. ἆρ' οὖν, ἔφη, καὶ περὶ οὗ διαλεγόμεθα, οἶσθά τινας, οἳ ἀνωφελεῖς ὄντες, ὠφελίμους δύνανται φίλους ποιεῖσθαι; μὰ Δί' οὐ δῆτ', ἔφη· ἀλλ' εἰ ἀδύνατόν ἐστι πονηρὸν ὄντα καλοὺς κἀγαθοὺς φίλους κτήσασθαι, ἐκεῖνο ἤδη μέλει μοι, εἰ ἔστιν αὐτὸν καλὸν κἀγαθὸν γενόμενον ἐξ ἑτοίμου, τοῖς καλοῖς κἀγαθοῖς φίλον εἶναι; ὃ ταράττει σε, ὦ κριτόβουλε, ὅτι πολλάκις ἄνδρας καὶ καλὰ πράττοντας, καὶ τῶν αἰσχρῶν ἀπεχομένους, ὁρᾷς ἀντὶ τοῦ φίλους εἶναι, στασιάζοντας ἀλλήλοις, καὶ χαλεπώτερον χρω-

seruat autem iusiurandum, & facilis in conuersando est, quiq; conatur suis benefactoribus non minus ipse benefacere, ita ut utilis eis sit qui eo utantur. Quo autem pacto, ô Socrates, ista examinabimus, antequã eis utamur? Vt statuarios, inquit, examinemus, non uerbis eorũ suasi, sed quemcũq; uideamus primas statuas bene fecisse, eum credimus cæteras quoq; bene facere posse. Hominem etiam ergo putas, inquit, qui primis amicis benefecerit, posteris quoq; fore benefactorem? Etenim equis, inquit, qui cunq; potuit primis bene uti, hunc cæteris etiam arbitror bene uti posse. Sint hæc, ait. Quicunq; uero dignus amicitia nobis esse uideatur, quibus artibus amicus est faciendus? Primum interrogandi, inquit, sunt dij, atq; consyderandum est, an consulant eum amicum efficere. Quicunq; uero & nobis faciendus esse appareat, & dij non contradicant, habes dicere quomodo iste uenandus sit? Mehercle, inquit, non est persequendus ut lupus, neq; decipiendus ut auis, neq; ui ut hostes. Nolentem enim amicum efficere difficile est: difficilius autem ligatum retinere ut seruum. Hostes enim potius quàm amici, huiusce modi artibus efficiuntur. Quo igitur modo amici efficiuntur? Esse quasdam aiunt incantationes, quas quicunque sciant, incantando quoscunque uoluerint, amicos sibijpsis efficiunt. Esse autem etiam quædam ad amorem ueneficia, quibus cum periti utantur aduersus quoscunq; uoluerint, amantur ab eis. À quo igitur, ait, hæc perdiscamus? Illa quidem, inquit, quibus Sirenes incantabant Vlyssem, Homerum audisti referentem, quorum huiusce modi principium est: Age uem Vlysses, magnis laudibus digne, magnum decus Græcorum. Hac igitur, inquit, ô Socrates, incantatione cæteros quoq; homines Sirenes incantando detinebant eos, ne discederent ab eis? Minime: sed illos solummodo huiuscemodi incantabant, qui uirtutibus gloriabantur. Illis igitur, ut apparet, quemlibet incantandum esse dicis, quæ cum audiat, non putet se à laudante irrideri. Sic enim inimicitior potius efficietur, ac repellet à se homines, si, cum ille se sciat pusillum, turpem & debilem esse, laudent, dicentes magnum, pulchrum, atque robustum esse. Alias uero quasdam scis incantationes? Non ego, sed audiui Periclem multas sciuisse, quas incantando ciuitatem in amorem sui pellexit. Themistocles autem quibus artibus effecit, ut eum diligeret ciuitas? Non incantando mehercle, sed nonnulla bona ei præstando. Id mihi uideris dicere, ô Socrates, si quis bonum amicum comparaturus est, ipsum oportere bonum euadere, ac dicendi & agendi peritum. Tu autem putabas, Socrates ait, poßibile esse cum quisquam sit prauus, bonos amicos posse habere? Etenim, Critobulus inquit, uidebam & oratores uiles bonis concionatoribus amicos esse, & optimis exercituum ducibus non sufficientes duces in amicitiam coniunctos. Nunc, inquit, æde quid disputamus: habésne aliquos dicere, qui cum inutiles sint, utiles amicos acquirere poßint? Minime, inquit, mehercle. Et si hoc impoßibile est, cum quisquam prauus sit, bonos amicos posse habere: illud iam mihi responde, an poßibile sit bonũ quenquam, & honestum effectum repente, bonis & honestis amicum fieri? An te, ô Critobule, perturbat, quod nonnunquam inter homines honestos, & ab inhonestis abstinẽtes, uides seditiones pro amicitia uigentes, & peius

eos, quàm illi qui nullius existimationis sunt, inter se affe ctos? Et non modo priuati, Critobulus inquit, ista com mittunt, sed etiam ciuitates quibus potißimum bona cu ræ sint, & turpia minime accepta, sæpenumero hostili/ ter altera ad alteram affectæ sunt. Quæ cum cogitem, quasi despero quenquam amicos posse habere: nec enim prauos amicos esse posse, quippe qui cum inertes & in/ grati, iniusti, perfidi, non abstinentetes homines sint, amici esse non possunt, sed potius, mea sententia, hostes & inimici inuicem efficiantur. Nec, ut tu quoque dicis, praui bonis in amicitiam accepti sunt. Nam impoßibile esset, malorum factores amicos effici his, qui mala odio habent. Quod si etiam illi qui uirtutibus insudant, per ambitionem in ciuitatibus, seditionibus ac inuidijs im/ buti, alter alterum odio habet, qui amplius amici erunt? aut in quibus hominibus erit amor & fides? Ad hæc So/ crates: O Critobule, inquit, uarie ista inter sese habent. NAM HOMINES PARTIM QVIDEM AD A/ MICITIAM NATVRALITER PROPENSI sunt: etenim alter altero eget, ac inuicem miserentur, & utilitatibus inuicem affecti, gratias mutuo agunt. Partim uero ad inimicitiam: cum enim eadem bona at/ que iucunda putant, de his contendunt, & dissentien/ tes contrariantur. HOSTILE NANQVE conten/ tio & ira est. INIMICITIA, ATQVE CVPIDI TAS PLVS HABENDI, ATQVE INVIDIA, odium parit. Non minus tamen inter hæc omnia subin/ gressa amicitia coniungit bonos atque honestos homi/ nes. NAM PROPTER VIRTVTEM ELIGVNT POTIVS MEDIOCRIA POSSIDERE, quàm bello omnibus dominari; ac possunt & in fame & in si ti indolenter potu & cibo frui, à uenereisq; abstinere, quamuis uoluptate ducantur, ne displiceant quibus mi/ nime oportet. Possunt autem etiam de pecunijs, non modo abstinendo ab iniuria, participare in illis quæ lici ta sunt, sed inuicem etiam largiri. Ad hæc possunt con/ tentionem non modo indolenter, sed etiam utiliter inui/ cem moderari: & iram, ne ad pœnitentiam usque proce dat, prohibere. Inuidiam uero omnino euellere, cum quisq; propria bona amicis communia, amicorum uero sua putet. Cur igitur non esset sperandum, honestos & bonos uiros non modo indemnes, sed etiam utiles inui/ cem participes bonorum ciuilium fore? QVI NAN/ QVE CVPIVNT IN REPVBLICA HONO/ RIBVS affici atque dominari, causa intercipiendæ pe/ cuniæ, & uim hominibus inferendi, uoluptatibusq; fru/ endi, iniuriosi atq; praui essent profecto, nulloq; pacto ad amicitiam apti. QVOD SI QVIS IDEO HO/ NORARI VELIT, VT NON PATIATVR IPSE INIVRIAS, AC NECESSARIOS pos/ sit iuuare, ubi iustum sit, beneficijsq; dominando pa/ triam suam afficere conatur, cur talis homo non poßit in amicitiam simili coniungi? Vtrum quoniam minus proderit necessarijs, si cum bonis & honestis habeat amicitiam? an quoniam minus poterit patriam affice/ re beneficijs, si bonos & honestos cooperatores ha/ beat? Atqui patet quod in certaminibus si liceret om/ nibus unà melioribus coniunctis peiores aggredi, in o/ mnibus illis uincerent, & omnia præmia illi accipe/ rent. Cum uero illic hoc fieri non permittitur, in ciui/ libus

χρωμένους, τῶν μηδενὸς ἀξίων ἀνθρώπων. καὶ οὐ μόνον γ', ἔφη ὁ Κριτόβουλος, οἱ ἰδιῶται τοῦτο ποιοῦσιν, ἀλλὰ καὶ πόλεις αἱ τῶν τε καλῶν μάλιστα ἐπιμελούμεναι, πολλάκις πολεμικῶς ἔχουσι πρὸς ἀλλήλας, ἃ λογιζόμενος, πάνυ ἀθύμως ἔχω πρὸς τὴν τῶν φίλων κτῆσιν. οὔτε γὰρ τοὺς πονηροὺς ὁρῶ φίλους ἀλλήλοις δυναμένους εἶναι. πῶς γὰρ ἂν ἢ ἀχάριστοι, ἢ ἀμελεῖς, ἢ πλεονέκται, ἢ ἄπιστοι, ἢ ἀκρατεῖς ἄνθρωποι δύναιντο φίλοι γενέσθαι; οἱ μὲν οὖν πονηροὶ πάντως ἔμοιγε δοκοῦσιν, ἀλλήλοις ἐχθροὶ μᾶλλον, ἢ φίλοι πεφυκέναι. ἀλλὰ μὴν ὥσπερ σὺ λέγεις, οὐδ' ἂν τοῖς χρηστοῖς οἱ πονηροί ποτε συναρμόσειαν εἰς φιλίαν. πῶς γὰρ οἱ τὰ πονηρὰ ποιοῦντες τοῖς τὰ τοιαῦτα μισοῦσι φίλοι γένοιντ' ἄν; εἰ δὲ δὴ καὶ οἱ ἀρετὴν ἀσκοῦντες, στασιάζουσί τε περὶ τοῦ πρωτεύειν ἐν ταῖς πόλεσι, καὶ φθονοῦντες ἑαυτοῖς, μισοῦσιν ἀλλήλους, τίνες ἔτι φίλοι ἔσονται, καὶ ἐν τίσιν ἀνθρώποις εὔνοια καὶ πίστις ἔσται; ἀλλ' ἔχει μὲν, ἔφη ὁ Σωκράτης, ποικίλως πως ταῦτα, ὦ Κριτόβουλε. φύσει γὰρ ἔχουσιν οἱ ἄνθρωποι τὰ μὲν φιλικά, δέονται γὰρ ἀλλήλων, καὶ ἐλεοῦσι, καὶ συνεργοῦντες ὠφελοῦσι, καὶ τοῦτο συνιέντες, χάριν ἔχουσιν ἀλλήλοις· τὰ δὲ πολεμικά, τά τε γὰρ αὐτὰ καλὰ καὶ ἡδέα νομίζοντες, ὑπὲρ τούτων μάχονται, καὶ διχογνωμονοῦντες ἐναντιοῦνται. πολεμικὸν δὲ καὶ ἔρις καὶ ὀργή. καὶ δυσμενὲς μὲν ὁ τοῦ πλεονεκτεῖν ἔρως. μισητὸν δὲ ὁ φθόνος. ἀλλ' ὅμως διὰ τούτων πάντων ἡ φιλία διαδυομένη, συνάπτει τοὺς καλούς τε κἀγαθούς. διὰ γὰρ τὴν ἀρετὴν αἱροῦνται μὲν ἄνευ πόνου τὰ μέτρια κεκτῆσθαι μᾶλλον, ἢ διὰ πολέμου πάντων κυριεύειν. καὶ δύνανται πεινῶντες καὶ διψῶντες ἀλύπως σίτου καὶ ποτοῦ κοινωνεῖν, καὶ τοῖς τῶν ὡραίων ἀφροδισίοις ἡδόμενοι καρτερεῖν, ὥστε μὴ λυπεῖν, οὓς μὴ προσήκει. δύνανται δὲ καὶ χρημάτων οὐ μόνον τοῦ πλεονεκτεῖν ἀπεχόμενοι νομίμως κοινωνεῖν, ἀλλὰ καὶ ἐπαρκεῖν ἀλλήλοις. δύνανται δὲ καὶ τὴν ἔριν, οὐ μόνον ἀλύπως, ἀλλὰ καὶ συμφερόντως ἀλλήλοις διατίθεσθαι. καὶ τὴν ὀργὴν κωλύειν εἰς τὸ μεταμελησόμενον προϊέναι. τὸν δὲ φθόνον παντάπασιν ἀφαιροῦσι. τὰ μὲν ἑαυτῶν ἀγαθὰ τοῖς φίλοις οἰκεῖα παρέχοντες· τὰ δὲ τῶν φίλων, ἑαυτῶν νομίζοντες. πῶς οὖν οὐκ εἰκὸς τοὺς καλούς τε κἀγαθούς, καὶ τῶν πολιτικῶν τιμῶν μὴ μόνον ἀβλαβεῖς, ἀλλὰ καὶ ὠφελίμους ἀλλήλοις κοινωνοὺς εἶναι; οἱ μὲν γὰρ ἐπιθυμοῦντες ἐν ταῖς πόλεσι τιμᾶσθαί τε καὶ ἄρχειν, ἵνα ἐξουσίαν ἔχωσι, χρήματά τε κλέπτειν, καὶ ἀνθρώπους βιάζεσθαι, καὶ ἡδυπαθεῖν, ἄδικοί τε καὶ πονηροὶ ἂν εἶεν, καὶ ἀδύνατοι ἄλλῳ συναρμόσαι. εἰ δέ τις ἐν πόλει τιμᾶσθαι βουλόμενος, ὅπως αὐτός τε μὴ ἀδικῆται, καὶ τοῖς φίλοις τὰ δίκαια βοηθεῖν δύνηται, καὶ ἄρξας ἀγαθόν τι ποιεῖν, τὴν πατρίδα πειρᾶται, διὰ τί ὁ τοιοῦτος, ἄλλῳ τοιούτῳ οὐκ ἂν δύναιτο συναρμόσαι; πότερον τοὺς φίλους ὠφελεῖν μετὰ τῶν καλῶν κἀγαθῶν ἧττον δυνήσεται, ἢ τὴν πόλιν εὐεργετεῖν ἀδυνατώτερος ἔσται καλούς τε κἀγαθοὺς ἔχων συνεργούς; ἀλλὰ καὶ ἐν τοῖς γυμνικοῖς ἀγῶσι δῆλός ἐστιν, ὅτι εἰ ἐξῆν τοῖς κρατίστοις συνθεμένους ἐπὶ τοὺς χείρους ἰέναι, πάντας ἂν τοὺς ἀγῶνας οὗτοι ἐνίκων, καὶ πάντα τὰ ἆθλα οὗτοι ἐλάμβανον. ἐπεὶ μὲν οὐκ ἐῶσι τοῦτο ποιεῖν, ἐν δὲ τοῖς πολιτικοῖς,

πόλεσι, ἐν οἷς οἱ καλοὶ κἀγαθοὶ κρατιστεύουσιν, οὐδεὶς κωλύει μεθ' οὗ ἄν τις βούληται τὴν πόλιν εὐεργετεῖν. πῶς οὖν οὐ λυσιτελεῖ τοὺς βελτίστους φίλους κτησάμενοι πολιτεύεσθαι, τούτοις κοινωνοῖς καὶ συνεργοῖς τῶν πράξεων μᾶλλον ἢ ἀνταγωνισταῖς χρώμενον; ἀλλὰ μὴν κἀκεῖνο δῆλον, ὅτι κἂν πολεμῇ τίς τινι, συμμάχων δεήσεται, καὶ τούτων πλειόνων, καλοῖς κἀγαθοῖς ἀντιτάττηται. καὶ μὴν οἱ συμμαχεῖν ἐθέλοντες εὖ ποιητέοι, ἵνα θέλωσι προθυμεῖσθαι. πολὺ δὲ κρεῖττον τοὺς βελτίστους ἐλάττονας εὖ ποιεῖν, ἢ τοὺς χείρονας πλείονας ὄντας. οἱ γὰρ πονηροὶ πολὺ πλειόνων εὐεργετῶν ἢ οἱ χρηστοὶ δέονται. ἀλλὰ θαρρῶν, ἔφη, ὦ Κριτόβουλε, πειρῶ ἀγαθὸς γίγνεσθαι. καὶ τοιοῦτος γιγνόμενος, θηρᾶν ἐπιχείρει τοὺς καλούς τε κἀγαθούς. ἴσως δ' αὖ τι σοὶ κἀγὼ συλλαβεῖν εἰς τὴν τῶν καλῶν τε κἀγαθῶν θήραν ἔχοιμι, διὰ τὸ ἐρωτικὸς εἶναι. δεινῶς γὰρ ὧν ἂν ἐπιθυμήσω ἀνθρώπων, ὅλος ὥρμημαι ἐπὶ τὸ φιλῶν τε αὐτοὺς ἀντιφιλεῖσθαι ὑπ' αὐτῶν, καὶ ποθῶν, ἀντιποθεῖσθαι, καὶ ἐπιθυμῶν ξυνεῖναι, καὶ ἀντεπιθυμεῖσθαι τῆς ξυνουσίας. ὁρῶ δὲ καὶ σοὶ τούτων δεῆσον, ὅταν ἐπιθυμήσῃς φιλίαν πρός τινας ποιεῖσθαι. διὰ γὰρ τὸ ἐπιμελεῖσθαι τοῦ ἀρέσαι τῷ ἀρέσκοντί μοι οὐκ ἀπείρως οἶμαι ἔχειν θήραν ἀνθρώπων. καὶ ὁ Κριτόβουλος ἔφη· καὶ μήν, ὦ Σώκρατες, τούτων ἐγὼ τῶν μαθημάτων πάλαι ἐπιθυμῶ. ἄλλως τε καὶ εἰ ἐξαρκέσει μοι ἡ αὐτὴ ἐπιστήμη ἐπὶ τοὺς ἀγαθοὺς τὰς ψυχὰς, καὶ ἐπὶ τοὺς καλοὺς τὰ σώματα. καὶ ὁ Σωκράτης ἔφη· ἀλλ', ὦ Κριτόβουλε, οὐκ ἔνεστιν ἐν τῇ ἐμῇ ἐπιστήμῃ τὸ τὰς χεῖρας προσφέροντα ποιεῖν ὑπομένειν τοὺς καλούς. πέπεισμαι δὲ καὶ ἀπὸ τῆς Σκύλλης διὰ τοῦτο φεύγειν τοὺς ἀνθρώπους, ὅτι τὰς χεῖρας αὐτοῖς προσέφερε. τὰς δέ γε Σειρῆνας, ὅτι τὰς χεῖρας οὐδενὶ προσέφερον, ἀλλὰ πᾶσι πόρρωθεν ἐπῇδον, πάντας φασὶν ὑπομένειν καὶ ἀκούοντας αὐτῶν κηλεῖσθαι. καὶ ὁ Κριτόβουλος ἔφη, ὡς οὐ προσοίσοντος τὰς χεῖρας, εἴ τι ἔχεις ἀγαθὸν εἰς φίλων κτῆσιν, δίδασκε. οὐδὲ τὸ στόμα οὖν, ἔφη ὁ Σωκράτης, πρὸς τὸ στόμα προσθήσεις. θάρρει, ἔφη ὁ Κριτόβουλος, οὐδὲ γὰρ τὸ στόμα προσοίσω οὐδενὶ, ἐὰν μὴ καλὸς ᾖ. εὐθὺς ἔφη, σύ γε, ὦ Κριτόβουλε, τοὐναντίον τοῦ συμφέροντος εἴρηκας. οἱ μὲν γὰρ καλοὶ τὰ τοιαῦτα οὐχ ὑπομένουσιν· οἱ δὲ αἰσχροὶ καὶ ἡδέως προσίενται, νομίζοντες διὰ τὴν ψυχὴν καλοὶ καλεῖσθαι. καὶ ὁ Κριτόβουλος ἔφη· ὡς τοὺς μὲν καλοὺς φιλήσοντός μου, τοὺς δ' ἀγαθοὺς καταφιλήσοντος, θαρρῶν δίδασκε τῶν φίλων τὰ θηρατικά. καὶ ὁ Σωκράτης ἔφη· ὅταν οὖν, ὦ Κριτόβουλε, φίλος τινὶ βούλῃ γενέσθαι, ἐάσεις με κατειπεῖν σου πρὸς αὐτὸν, ὅτι ἄγασαί τε αὐτοῦ, καὶ ἐπιθυμεῖς φίλος αὐτοῦ εἶναι; κατηγόρει, ἔφη ὁ Κριτόβουλος· οὐδένα γὰρ οἶδα μισοῦντα τοὺς ἐπαινοῦντας. ἐὰν δέ σου προσκατηγορήσω, ἔφη, ὅτι διὰ τὸ ἀγασθαι αὐτοῦ καὶ εὐνοϊκῶς ἔχεις πρὸς αὐτόν, ἆρα μὴ διαβάλλεσθαι δόξεις ὑπ' ἐμοῦ; ἀλλὰ καὶ αὐτῷ μοι, ἔφη, ἐγγίγνεται εὔνοια πρὸς οὓς ἂν ὑπολάβω εὐνοϊκῶς ἔχειν πρὸς ἐμέ. ταῦτα μὲν δή, ἔφη ὁ Σωκράτης, ἔξεσταί μοι λέγειν περὶ σοῦ, πρὸς οὓς ἂν βούλῃ φίλους ποιήσασθαι. ἐὰν δέ μοι ἔτι ἐξουσίαν δῷς λέγειν περὶ σοῦ, ὅτι ἐπιμελής τε τῶν φίλων εἶ, καὶ οὐδενὶ οὕτω χαίρεις ὡς φίλοις ἀγαθοῖς, καὶ ἐπί τε τοῖς καλοῖς ἔργοις τῶν φίλων ἀγάλλῃ,

οὐχ

libus uero in quibus boni & praeclari praeferuntur, nullus probibet cum quo quisq; uoluerit adunatus benefacere ciuitati: cur non expediat melioribus in amicitiam susceptis, rempub. regere, ac coadiutoribus eis potius q̃ aduersarijs uti? Porro hoc etiam cõstat, quod si quis aduersus quempiam bellum gerat, socijs indigebit, & tanto pluribus quanto meliorib. aduersetur. Socij uero beneficijs afficiendi sunt, ut prompti & beneuoli sint. Multò aũt melius est bonis, cum pauciores sint, se beneficiũ reddere, q̃ prauis, quorum & magna multitudo existit, et quib. multo pluribus beneficijs opus est, q̃ sit uiris bonis. Sed age fidenter conare ô Critobule, bonus effici: & talis effectus, bonos ac honestos amicos adipisci. Fortaßis uero ad hanc rem ego quoq; nõnihil tibi conferam, propterea quod amator hominũ existens, quoscunq; amem totis uirib. diligo et afficior, & conuersationẽ eorum cupio, ac ab eis simili modo meam conuersationẽ cupientib. diligor, et affectos mihi maxime habeo. Quibus artibus tibi quoq; opus fore cõsidero, cum cupias amicitiã cum quibusdam contrahere. Noli itaq; illos mihi celare, quibus cum in amicitiã coniungi desideres. Nam quoniam conor placere illis q mihi placent, nõ sum ignarus, ut arbitror, quo pacto oporteat homines uenari. Atqui Critobulus: Quoniam ô Socrates, ait, antiquũ mihi huius artis desideriũ inest, * praesertim uero cum eadem mihi scientia non solum ad eos qui animi dotibus praestant, uerumetiam ad eos qui corporis pulchritudine excellunt, sufficerit. Ad quae Socrates: Verũ ô Critobule, hoc nõ inest meae scientiae, ut eũ qui iam manus admouerit puchros, remorari queat. Scyllam enim mihi persuasißimũ est eam solũ ob causam hominũ fugere conspectũ, quod manũ illis iniecerit. Sirenas aũt quod nemini se exhibuerint, sed procul incãtauerint, omnes quotquot praeteruehũtur remorari aiũt, et cãtus dulcedine audiẽtes delinire. Nulli manus admoturus sum, Critobulus ait: uerũ si quid habes boni, quod ad amicorũ gratiã emerendã cõferre putaueris, in mediũ profer. Ad haec Socrates: Neq; os tuũ alterius ori admouebis. Bono animo esto, respõdit Critobulus, neq; os etiam alicui, quãuis insigni sit pulchritudine, apponã. Cõfestim, ait, ô Critobule inutilia dixisti. Pulchri.n. huiusmodi nõ sufferũt: deformes uero, existimãtes se propter animũ pulchros uocari, haud grauate admittũt. Ad haec Critobulus ait: Tanquam igitur si pulchros sim amaturus, bonos uero etiam exosculaturus, * doceas uelim si quid habes quod cõducat ad amicos cõciliandos. Cum ergo uolueris ô Critobule, Socrates ait, amicus cuiquam effici, permittesne mihi deferre te apud illum, ac dicere, quod admiratus eum, cupis amicus ei effici? Defer, Critobulus inquit. Nullũ enim reperio qui laudantes eum odio habet. Quod si ad haec etiam, ait, accusem te dicendo quod propter admirationem qua admiraris eum, nimium affectus es illi, utrum putabis iniuria à me affici? Minime, inquit: siquidem ego quoq; afficior illis quos mihi affectos esse credã. Haec itaq;, Socrates ait, licebit mihi de te dicere ad illos quos uolueris tibi amicos efficere? Sed tu si mihi concedas adhuc de te dicere, quod tibi curae essent amici, quodq; nulla tam gaudes re, q̃ bonis amicis,

In omnibus que hactenus impressa sunt, Latinis exẽplaribus haec desiderantur.

ac su-

ac super bonis eorum operibus non minus quam super tuis
leteris: neque defatigaris conando ut omnia eis bona ad
sint: quodque illam precipuam hominis uirtutem esse iudi-
cas, beneficijs amicos, inimicos uero maleficijs uince
re: uehementer puto, aptum me tibi conuenatorem bo
norum amicorum fore. Cur igitur hec me interrogas,
Critobulus ait, ac si non liceret tibi quecunque uolue-
ris de me dicere? Non, inquit, mehercle, quemadmo-
dum ego quondam Aspasiam audiui. Dicebat autem,
bonas pronubas cum ueritate cuiusquam laudes nar
rantes, aptas esse ad nuptias conciliandas, ficte uero
narrando nihil proficere. Qui nanque decepti ab eis
fuerunt, odio habent & ipsas pronubas, & alter al-
terum. Que cum mihi persuadeam recte dici, nihil
arbitror mihi dicere licere in laudem tuam, nisi quod
cunque cum ueritate dicam. Tu igitur mihi uideris ô
Socrates, Critobulus ait, promptus adiutor ad ami-
cos acquirendos fore, dummodo ego quicquam ad
hoc aptum habeam: nihil tu quidem, si minus, uo-
lueris fingendo de me dicere pro mea utilitate? Vtrum
autem, o Critobule, arbitraris magis me tibi pro-
desse, si mentiendo te laudem, an si persuadeam tibi
bonum hominem fieri? Quod si dubitas, ex his que
dicturus sum considera. Si nanque uoluero amicum
te cuiquam domino nauis efficere, ac te laudando bo
num esse gubernatorem dicam non sis, ille uero à me
persuasus nauim tibi gubernandam ignoranti com-
mendet, est'ne tibi aliqua spes non pereundi tui &
nauis? Aut si persuadeam ciuitati, rempublicam to-
tam tibi regendam tanquam sufficienti concedere,
quid putas à te ciuitatem passuram! Aut si quos pri-
uatim cohortarer, ut in iudicando, concionando,
ac ducendo exercitum, tanquam œconomico & di-
ligenti res suas crederent, nonne periculo habito, da
mnosus potius mentiendo ac ridiculosus apparebis?
Velim ô Critobule, scias hanc esse breuissimam, secu
rissimam, optimamque ad hec omnia uiam, IN QVO
CVNQVE uolueris bonus apparere, in eodem effi
ci quoque bonus conari. Considerando autem reperies
omnes quecunque apud homines uirtutes dicuntur,
studio ac disciplina augeri posse. Ego itaque sic esse
faciundum, ô Critobule, arbitror: quod si tibi aliud
uidetur, doceas uelim. Tum Critobulus: Pudet me ô
Socrates, ait, his contradicere. Nec enim honesta nec
uera dicam. Porro Socrates indigentias quoque ne
cessariorum, si que per ignorantiam aliquos oppri-
mebant, conabatur consilijs propellere: que uero
è paupertate proueniebant, hortando alterum alteri
pro uirili subuenire. Cum itaque quondam Aristar-
chum tristem uidisset: Videris ô Aristarche, inquit,
non equo animo esse. Oportet autem huius molestie
nos quoque amicos participes facere, fortassis enim le-
uare te poterimus. At ille: Certe ô Socrates, inquit, in
magna indigentia sum. Cum enim seditiones in hac ci
uitate orte sint, multique in Pyreum confugerint, con-
gregate sunt apud me sorores, neptes, ac tot conso-
brine, ut iam in domo quatuordecim liberi homi-
nes sint: capimus autem nec ab agris nostris quic-
quam, aduersarij nanque eis fruuntur: nec ex do-
mibus, cum in ciuitate hominum magna sit penuria.
Aulas

Virtutes disciplina
et exercitatione augen-
tur.

οὐχ ἧττον, ἢ ἐπὶ τοῖς ἑαυτοῦ, καὶ ἐπὶ τοῖς ἀγαθοῖς τῶν φί-
λων χαίρεις οὐδὲν ἧττον, ἢ ἐπὶ τοῖς ἑαυτοῦ, ὅπως τε ταῦ-
τα γίγνηται τοῖς φίλοις οὐκ ἀποκάμνεις μηχανώμενος,
καὶ ὅτι ἔγνωκας ἀρετὴν εἶναι, νικᾶν, τοὺς μὲν φίλους εὖ ποι-
οῦντα, τοὺς δὲ ἐχθροὺς κακῶς, πάνυ ἂν οἶμαί σοι ἐπιτή-
δειον, εἶναί με συνθηρον τῶν ἀγαθῶν φίλων. τί οὖν, ἔ-
φη ὁ Κριτόβουλος, ἐμοὶ ταῦτα λέγεις, ὥσπερ οὐκ ἐπὶ σοὶ
ὄν, ὅτι ἂν βούλῃ περὶ ἐμοῦ λέγειν. μὰ Δί᾽ οὐχ ὥς ποτε
ἐγὼ Ἀσπασίας ἤκουσα. ἔφη γὰρ τὰς ἀγαθὰς προμνη-
στρίδας, μετὰ μὲν ἀληθείας τἀγαθὰ διαγγελλούσας, δει-
νὰς εἶναι συνάγειν ἀνθρώπους εἰς κηδείαν, ψευδομένας
δ᾽ οὐκ ὠφελεῖν ἐπαινούσας. τοὺς γὰρ ἐξαπατηθέντας,
ἅμα μισεῖν ἀλλήλους τε καὶ τὴν προμνησαμένην. ἃ δὴ
καὶ ἐγὼ πεισθεὶς ὀρθῶς ἔχειν ἡγοῦμαι, οὐκ ἐξεῖναί μοι
περὶ σοῦ λέγειν ἐπαινοῦντι οὐδέν, ὅ,τι ἂν μὴ ἀληθεύω.
σὺ μὲν ἄρα, ἔφη ὁ Κριτόβουλος, τοιοῦτός μοι φίλος εἶ,
ὦ Σώκρατες. οἷος ἂν μέν τι αὐτὸς ἔχω ἐπιτήδειον εἰς
τὸ φίλους κτήσασθαι συλλαμβάνειν μοι· εἰ δὲ μή, οὐκ ἂν
ἐθέλοις πλάσας τι εἰπεῖν ἐπὶ τῇ ἐμῇ ὠφελείᾳ. πότερα
δ᾽ ἄν, ἔφη ὁ Σωκράτης, ὦ Κριτόβουλε, τῶν συντυχόν-
των μᾶλλον ὠφελεῖν σε τὰ ψευδῆ ἐπαινῶν, ἢ πείθων
πειρᾶσθαί σε ἀγαθὸν ἄνδρα γενέσθαι; εἰ δὲ μὴ φανερόν,
οὕτως σοι ἐκ τῶνδε σκέψαι. εἰ γάρ σε βουλόμενος φί-
λον ποιῆσαι ναυκλήρῳ, ψευδόμενος ἐπαινοίην φά-
σκων ἀγαθὸν εἶναι κυβερνήτην, ὁ δέ μοι πεισθεὶς ἐπιτρέ-
ψειέ σοι τὴν ναῦν μὴ ἐπισταμένῳ κυβερνᾶν, ἔχεις τινὰ
ἐλπίδα μὴ ἂν σαυτόν τε καὶ τὴν ναῦν ἀπολέσαι; ἢ εἰ
σοι πείσαιμι κοινῇ τὴν πόλιν ψευδόμενος, ὡς ἂν στρα-
τηγικῷ τε καὶ δικαστικῷ καὶ πολιτικῷ ἑαυτὴν ἐπι-
τρέψαι, τί ἂν οἴει σαυτὸν καὶ τὴν πόλιν ὑπὸ σοῦ πα-
θεῖν; ἢ εἴ τινας ἰδίᾳ τῶν πολιτῶν πείσαιμι ψευδόμε-
νος, ὡς ὄντι οἰκονομικῷ τε καὶ ἐπιμελεῖ τὰ ἑαυτῶν ἐπι-
τρέψαι, ἆρ᾽ οὐκ ἂν πεῖραν διδούς, ἅμα τε βλαβερὸς εἴης
καὶ καταγέλαστος φαίνοιο; ἀλλὰ συντομωτάτη τε καὶ
ἀσφαλεστάτη καὶ καλλίστη ὁδός, ὦ Κριτόβουλε, ὅτι ἂν
βούλῃ δοκεῖν ἀγαθὸς εἶναι, τοῦτο καὶ γενέσθαι ἀγαθόν, πει-
ρᾶσθαι. ὅσαι δ᾽ ἐν ἀνθρώποις ἀρεταὶ λέγονται, σκοπού-
μενος εὑρήσεις πάσας, μαθήσει τε καὶ μελέτῃ αὐξανομέ-
νας. ἐγὼ μὲν οὖν, ὦ Κριτόβουλε, οἶμαι δεῖν ὑμᾶς. εἰ δὲ σύ
πως ἄλλως γιγνώσκεις, δίδασκε. καὶ ὁ Κριτόβουλος·
ἀλλ᾽ αἰσχυνοίμην ἄν, ἔφη, ὦ Σώκρατες, ἀντιλέγων τού-
τοις. οὔτε γὰρ καλά, οὔτε ἀληθῆ λέγοιμ᾽ ἄν. καὶ μὴν
τὰς ἀπορίας γε τῶν φίλων, τὰς μὲν δι᾽ ἄγνοιαν ἐπειρᾶ-
το γνώμῃ ἀκεῖσθαι, τὰς δὲ δι᾽ ἔνδειαν διδάσκων κα-
τὰ δύναμιν ἀλλήλοις ἐπαρκεῖν. ἐρῶ δὲ καὶ ἐν τούτοις ἃ
σύνοιδα αὐτῷ. Ἀρίσταρχον γάρ ποτε ὁρῶν σκυθρωπῶς
ἔχοντα, ἔοικας, ἔφη, ὦ Ἀρίσταρχε, βαρέως φέρειν τι. χρὴ
δὲ τοῦ βάρους μεταδιδόναι τοῖς φίλοις. ἴσως γὰρ ἄν τι σε
καὶ ἡμεῖς κουφίσαιμεν. καὶ ὁ Ἀρίσταρχος· ἀλλὰ μήν, ἔφη, ὦ
Σώκρατες, ἐν πολλῇ γε εἰμὶ ἀπορίᾳ. ἐπεὶ γὰρ ἐστασίασεν
ἡ πόλις, πολλῶν φυγόντων εἰς τὸν Πειραιᾶ, συνεληλύθα-
σιν ὡς ἐμὲ καταλελειμμέναι ἀδελφαί τε καὶ ἀδελφι-
δαῖ καὶ ἀνεψιαὶ τοσαῦται, ὡς εἶναι ἐν τῇ οἰκίᾳ τεσσα-
ρασκαίδεκα τοὺς ἐλευθέρους. λαμβάνομεν δὲ οὔτε
ἐκ τῆς γῆς οὐδέν, οἱ γε ἐναντίοι κρατοῦσιν αὐτῆς, οὔ-
τε ἀπὸ τῶν οἰκιῶν. ὀλιγανθρωπία γὰρ ἐν τῷ ἄστει γέγονε.
τὰ ἔπιπλα

τὰ ἔπιπλα δὲ οὐδεὶς ὠνεῖται, οὐδὲ δανείσασθαι οὐδαμόθεν ἔστιν ἀργύριον. ἀλλὰ πρότερον ἄν τίς μοι δοκεῖ ἐν τῇ ὁδῷ ζητῶν εὑρεῖν, ἢ δανειζόμενος λαβεῖν. χαλεπὸν μὲν οὖν ἐστιν, ὦ σώκρατες, τοὺς οἰκείους περιορᾶν ἀπολλυμένους, ἀδύνατον δὲ τοσούτους τρέφειν ἐν τοιούτοις πράγμασι. ἀκούσας οὖν ταῦτα ὁ σωκράτης, τί ποτέ ἐστιν, ἔφη, ὅτι ὁ κεράμων μὲν πολλοὺς τρέφων, οὐ μόνον ἑαυτῷ τε καὶ τούτοις τὰ ἐπιτήδεια δύναται παρέχειν, ἀλλὰ καὶ περιποιεῖται τοσαῦτα, ὥστε καὶ πλουτεῖν. σὺ δὲ πολλοὺς τρέφων, δέδοικας μὴ δι' ἔνδειαν τῶν ἐπιτηδείων ἅπαντες ἀπόλησθε; ὅτι νὴ δί', ἔφη, ὁ μὲν δούλους τρέφει, ἐγὼ δὲ ἐλευθέρους. καὶ πότερον, ἔφη, τοὺς παρὰ σοὶ ἐλευθέρους οἴει βελτίους εἶναι, ἢ τοὺς παρὰ κεράμωνι δούλους; ἐγὼ μὲν οἶμαι, ἔφη, τοὺς παρὰ ἐμοὶ ἐλευθέρους. οὐκοῦν, ἔφη, αἰσχρὸν τὸν μὲν ἀπὸ τῶν πονηροτέρων εὐπορεῖν, σὲ δὲ πολλῷ βελτίους ἔχοντα, ἐν ἀπορίαις εἶναι. νὴ δί', ἔφη. ὁ μὲν γὰρ τεχνίτας τρέφει, ἐγὼ δὲ ἐλευθερίως πεπαιδευμένους. ἆρ' οὖν, ἔφη, τεχνῖταί εἰσιν, οἱ χρήσιμόν τι ποιεῖν ἐπιστάμενοι; μάλιστά γ', ἔφη. οὐκοῦν χρήσιμά γ' ἄλφιτα; σφόδρα γε. τί δ' ἄρτοι; οὐδὲν ἧττον. τί γάρ, ἔφη, ἱμάτιά τε ἀνδρεῖα, καὶ γυναικεῖα, καὶ χιτωνίσκοι, καὶ χλαμύδες, καὶ ἐξωμίδες; σφόδρα γε. τούτων οὐδὲν ἐπίστανται ποιεῖν; πάντα μὲν οὖν ὡς ἐγᾦμαι. εἶτ' οἶσθα, ὅτι ἀφ' ἑνὸς μὲν τούτων ἀλφιτοποιΐας ναυσικύδης, οὐ μόνον ἑαυτόν τε καὶ τοὺς οἰκέτας τρέφει, ἀλλὰ πρὸς τούτοις, καὶ ὗς πολλὰς καὶ βοῦς, καὶ περιποιεῖται τοσαῦτα, ὥστε καὶ τῇ πόλει πολλάκις λειτουργεῖν. ἀπὸ δὲ ἀρτοποιΐας, κύρηβος τήν τε οἰκίαν πᾶσαν διατρέφει, καὶ ζῇ δαψιλῶς. δημέας δὲ ὁ κολλυτεὺς ἀπὸ χλαμυδουργίας· μένων δ' ἀπὸ χλανιδοποιΐας· μεγαρέων δὲ οἱ πλεῖστοι, ἔφη, ἀπὸ ἐξωμιδοποιΐας διατρέφονται; νὴ δί', ἔφη. οὗτοι μὲν γὰρ ὠνούμενοι βαρβάρους ἀνθρώπους ἔχουσιν, ὥστ' ἀναγκάζειν ἐργάζεσθαι, ἃ καλῶς ἔχει. ἐγὼ δ' ἐλευθέρους τε καὶ συγγενεῖς. ἔπειτ', ἔφη, ὅτι ἐλεύθεροί τ' εἰσὶ καὶ συγγενεῖς σοι, οἴει χρῆναι αὐτούς, μηδὲν ἄλλο ποιεῖν ἢ ἐσθίειν καὶ καθεύδειν; πότερον καὶ τῶν ἄλλων ἐλευθέρων τοὺς οὕτω ζῶντας ἄμεινον διάγοντας ὁρᾷς, καὶ μᾶλλον εὐδαιμονίζεις, ἢ τοὺς ἃ ἐπίστανται χρήσιμα πρὸς τὸν βίον τούτων ἐπιμελομένους; ἢ τὴν μὲν ἀργίαν καὶ τὴν ἀμέλειαν αἰσθάνῃ τοῖς ἀνθρώποις πρός τε τὸ μαθεῖν ἃ προσήκει ἐπίστασθαι, καὶ πρὸς τὸ μνημονεύειν ἃ ἂν μάθωσι, καὶ πρὸς τὸ ὑγιαίνειν τε καὶ ἰσχύειν τοῖς σώμασι, καὶ πρὸς τὸ κτήσασθαί τε καὶ σώζειν τὰ χρήσιμα πρὸς τὸν βίον ὠφέλιμα ὄντα, τὴν δὲ ἐργασίαν καὶ τὴν ἐπιμέλειαν οὐδὲν χρήσιμα; ἔμαθον δὲ ἃς φῂς αὐτὰ ἐπίστασθαι, πότερον ὡς οὔτε χρήσιμα ὄντα πρὸς τὸν βίον, οὔτε ποιήσουσαι αὐτῶν οὐδέν, ἢ τοὐναντίον, ὡς καὶ ἐπιμεληθησόμεναι τούτων καὶ ὠφεληθησόμεναι ἀπ' αὐτῶν; ποτέρως γὰρ ἂν μᾶλλον ἄνθρωποι σωφρονοῖεν ἀργοῦντες, ἢ τῶν χρησίμων ἐπιμελούμενοι; ποτέρως δ' ἂν δικαιότεροι εἶεν εἰ ἐργάζοιντο, ἢ ἀργοῦντες βουλεύοιντο περὶ τῶν ἐπιτηδείων; ἀλλὰ καὶ νῦν μὲν ἐγὼ οἶμαι οὔτε σὺ ἐκείνας φιλεῖς, οὔτε ἐκεῖναί σε. σὺ μὲν ἡγούμενος αὐτὰς ἐπιζημίους εἶναι σεαυτῷ, ἐκεῖναι δὲ σὲ ὁρῶσαι ἀχθόμενον ἐφ' ἑαυταῖς. ἐκ δὲ τούτων κίνδυνος, μείζω τε ἀπέχθειαν γίγνεσθαι, καὶ τὴν προγεγονυῖαν χάριν μειοῦσθαι.

ἐὰν

Aulæa nullus emit, mutuari pecuniam minime possumus, sed citius meo iudicio in uia quisquam querendo inueniat, quàm mutuo sit accepturus. Immane itaque, ô Socrates, mihi uidetur domesticos dimittere perimi: impoßibile autem tot homines in tanta rerum angustia alere. Cum itaque Socrates ista audisset: Quid est, inquit, cur Ceramon quidem multos nutriens, nõ modo sibijpsi satis ac illis facere potest, sed tot etiam superlucratur ut diues sit: tu uero cum alas multos, timeas ne propter indigentiam omnes pereatis? Quoniam, inquit, ille seruos, ego liberos alo. At Socrates: Vtrum istos liberos, ait, qui apud te sunt, meliores esse putas, an Ceramonis seruos? Ego quidem, ait, qui apud me sunt, liberos. Turpe igitur esset, Socrates inquit, illum quidem á prauis hominibus diuitias acquirere, te uero cum multo meliores habeas, penuria laborare. Ille nanque, inquit, mehercle artifices nutrit, ego uero liberaliter eruditos. Num itaque, ait, artifices sunt, qui ea quibus utimur, operantur? Ita est, inquit. Quid uero, nonne utimur farina? Conceßit. Panibus uero? Nihil minus. Vestibus autem tam uirorum quàm mulierum, & tunicis, & chlamydibus, & superhumeralibus? Imo, inquit, & istis omnibus utimur. Deinde, inquit, qui apud te sunt, nihil horum agere sciunt? Mehercle, inquit, omnia ut arbitror. Ignoras igitur, inquit, quod ab uno istorum sola farina Nausicydes non modo seipsum & famulos nutrit, sed multas etiam sues & boues, totq; superlucratur, ut sæpius etiam ciuitati suppeditet? Ceribus autem panem faciendo, totam suam domum alit, & abundanter uiuit. Demeas uero Colytæus uestes, Menon autem tunicas, Megareorum autem plurimi superhumeralia facientes, se suosq; omnes alunt. Non ignoro, inquit, mehercle. Sed hi barbaros homines emptos habent, quos cogunt operari quæcunq; oporteat, ego autem ingenuos & cognatos. Et quoniam, ait, liberi & cognati sunt, ideo putas nihil aliud eos oportere agere, nisi comedere atq; dormire? Vtrum alijs quoq; liberis hominibus illos arbitraris melius uiuere? beatioresq; ducis esse qui languescant in ocio, an illos qui peragũt solicite quæcunq; ad uitam hominum conducentia peragere sciant? An putas ocium & pigritiam conferre hominibus, & ad capessendam disciplinam eorum quæ scire oportet, & ad memoria tenendũ quæcunq; didicerint, & ut sani atq; robusti corporibus sint, & ad poßidendum atq; seruandum quæcunq; ad uitam utilia sint, negocium uero & diligentiam ad nil utilia? Didicerunt autem quæcunq; dicis illas scire, utrum ut nec ad uitam utilia, nec ut quicquam eorum faciant, an totum contrariũ, ut et facturæ illa, et ab eis utilitatem accepturæ? Quo nanq; modo moderatius homines uiuerent, utrum ocio dediti, an curam eorum habentes quæ utilia sunt? Quo autem pacto iustiores essent, utrum si operentur, an si in ocio cogitent unde uiuant? Ad hæc quoq; nunc, ut arbitror, nec tu illas diligis, nec illæ te: cum tu quidẽ eas tibi esse molestiæ putes, illæ uero uideant te ægre ferẽtem præsentiam earum: é quibus timendum est ne maius odiũ inter uos oriatur, & prior gratia minuatur.

hinc constat liberos homines illis temporibus non exercuisse artes manuarias.

Quod

Quod si persuadeas eis ut operentur, et tu illas ut utiles tibi diliges, illæ quoque te amabunt, cum sentiant te illis delectari. Suauius autem beneficiorum iam habitorum recordati, gratiam ab eis partam augebitis, & nimirum magis familiariter ac amice alter ad alterum se habebit. Si turpe igitur quicquam essent operaturæ, mors præ illo potius esset eligenda. Nunc uero cum illæ quidem quæcunque oportuerit mulieres, sciant, ut apparet: omnes autem quæ sciant, facile, optime, suauißime, citoque operentur: non 10 pigeat te adhortari & admonere eas illa facere, quæ tibi profecto & illis proderunt: nam uerisimile est illas facile tibi parêre. Tum Aristarchus: Per deos, inquit, ô Socrates, tam bene dicere mihi uideris, ut cum antea noluissem mutuari pecuniam, ne illa consumpta non habeam unde soluam, nunc uidear mihi ad materiam operum sufferendum hoc esse facturus. Mox deinde reperta pecunia est, lana empta. Illæ post opera ad prandium, post prandium laborando ad cœnam accedebant. Hilares pro tristibus e- 20 rant, ubi prius suspecti & odiosi inuicem erant, sua uiter inter se uiuebant, ac Aristarchum illæ ut protectorem, illas Aristarchus ut utiles amabat. Demum adiens Socratem, & hæc omnia gauisus narrabat, atque his addebat, accusari se ab eis quod solus ociosus unà comederet. Ac Socrates: Cur, ait, non dicis eis canis responsionem? Dicitur nanque, cum animantia essent uocalia, ouem domino suo dixisse: Mirum facis, inquit, profecto, qui cum nobis à quibus lanam, agnos, caseumque habes, nihil 30 des nisi quicquid à terra capiamus: canem qui nihil tibi tale præbet, de quo tu comedis pane participem facis. Canem uero cum hæc audisset: Non immerito per Iouem, dixit: ego nanque sum ille qui & uos ipsas saluas facio, atque custodio, ut nec homines uos furentur, nec lupi rapiant. Quod si ego uos non custodiam, nec ad pascua uobis proficisci licebit, timentibus ne pereatis. His ab eo dictis, oues quoque fertur cani concessisse. Et tu itaque dic illis, Socrates ait, quod tu custos earum ut canis, atque pro- 40 curator es, per quē à nullo iniuriatæ securè atque suauiter operando uiuunt. Quondam uero cum alium amicum antiquum post multum temporis uidisset, Vnde uenis, ô Euthere, ait. Cum bellum cessasset ô Socrates, ait, de peregrinatione qua aberam ueni, nunc uero de ipsamet ciuitate. Ablatis nanque à me possessionibus in alienis finibus positis, Athenis uero nihil à patre mihi relicto, cogor nunc hic præsens manibus laborando, necessaria ad uictum acquirere. Videor uero uidere melius hoc esse mihi, 50 quàm ab alijs petere, præsertim cum non habeam super quo mutuarer. Quanto uero tempore, Socrates ait, sufficientem te fore putas, mercede laborando uiuere? Non multo, inquit, mehercle. Attamen cum senueris, ait, sumptibus quidem patet quod indigebis: mercedem uero nullus tibi pro laboribus tuis præbebit. Verū dicis, ait. Melius igitur esse uidetur, iā nunc illis operib. insudare, quæ tibi cum senueris etiam satisfaciant: et ad quenquā diuitum qui coadiutore indiget accedendo, præfici suis possessionib. et operibus: ac fru-

fabula canis et ouium.

ἐὰν δὲ προστάτης ᾖς, ὅπως ἐνεργοὶ ὦσι, σὺ μὲν ἐκείνας φιλήσεις, ὁρῶν ὠφελίμους σεαυτῷ οὔσας. ἐκεῖναι δέ σε ἀγαπήσουσιν αἰσθόμεναι χαίροντά σε αὐταῖς. τῶν δὲ προγεγονότων εὐεργεσιῶν ἥδιον μεμνημένοι, τὴν ἀπ᾽ ἐκείνων χάριν αὐξήσετε. καὶ ἐκ τούτων φιλικώτερόν τε καὶ οἰκειότερον ἀλλήλοις ἕξετε. εἰ μὲν τοίνυν αἰσχρόν τι ἔμελλον ἐργάζεσθαι, θάνατον ἀντ᾽ αὐτοῦ προαιρετέον ἦν. νῦν δὲ ἃ μὲν δοκεῖ κάλλιστα, καὶ πρεπωδέστατα γυναικὶ εἶναι, ἐπίστανται ὡς ἔοικε. πάντες δὲ ἃ ἐπίστανται ῥᾷστά τε καὶ τάχιστα, καὶ κάλλιστα, καὶ ἥδιστα ἐργάζονται. μὴ οὖν ὄκνει, ἔφη, ταῦτα εἰσηγεῖσθαι αὐταῖς, ἃ σοί τε λυσιτελεῖ, καὶ ἐκείναις. καὶ ὡς εἰκὸς ἡδέως ὑπακούσονται. ἀλλὰ νὴ τοὺς θεούς, ἔφη ὁ ἀρίσταρχος, οὕτως μοι δοκεῖς καλῶς λέγειν, ὦ σώκρατες, ὥστε πρόσθεν μὲν, οὐ προσιέμην δανείσασθαι, εἰδὼς ὅτι ἀναλώσας ὃ ἂν λάβω, οὐχ ἕξω ἀποδοῦναι. νῦν δέ μοι δοκῶ εἰς ἔργων ἀφορμὴν ὑπομένειν αὐτὸ ποιῆσαι. ἐκ τούτων δὲ ἐπορίσθη μὲν ἀφορμή. ἐωνήθη ἔρια. καὶ ἐργαζόμεναι μὲν ἠρίστων, ἐργασάμεναι δὲ ἐδείπνουν. ἱλαραὶ δὲ ἀντὶ σκυθρωπῶν ἦσαν. καὶ ἀντὶ ὑφορωμένων ἑαυτὰς, ἡδέως ἀλλήλας ἑώρων. καὶ αἱ μὲν ὡς κηδεμόνα ἐφίλουν. ὁ δὲ ὡς ὠφελίμους ἠγάπα. τέλος δὲ ἐλθὼν πρὸς τὸν σωκράτην χαίρων, διηγεῖτο ταῦτά τε καὶ ὅτι αἰτιῶνται αὐτὸν μόνον τὸν ἐν τῇ οἰκίᾳ ἀργὸν ἐσθίειν. καὶ ὁ σωκράτης ἔφη· εἶτα οὐ λέγεις αὐταῖς τὸν τοῦ κυνὸς λόγον; φασὶ γὰρ ὅτε φωνήεντα ἦν τὰ ζῷα, τὴν οἶν πρὸς τὸν δεσπότην εἰπεῖν· θαυμαστὸν ποιεῖς, ὃς ἡμῖν μὲν ταῖς καὶ ἔριά σοι καὶ ἄρνας καὶ τυρὸν παρεχούσαις, οὐδὲν δίδως, ὅ τι ἂν μὴ ἐκ τῆς γῆς λάβωμεν. τῷ δὲ κυνί, ὃς οὐδὲν τοιοῦτόν σοι παρέχει, μεταδίδως, οὗπερ αὐτὸς ἔχεις σίτου. τὸν κύνα οὖν ἀκούσαντα εἰπεῖν· ναὶ μὰ δία. ἐγὼ γάρ εἰμι ὁ καὶ ὑμᾶς αὐτὰς σῴζων, ὥστε μήτε ὑπ᾽ ἀνθρώπων κλέπτεσθαι, μήτε ὑπὸ λύκων ἁρπάζεσθαι. ἐπεὶ ὑμεῖς γε, εἰ μὴ ἐγὼ προφυλάττοιμι ὑμᾶς, οὐδ᾽ ἂν νέμεσθαι δύναισθε, φοβούμεναι μὴ ἀπόλησθε. οὕτω δὴ λέγεται καὶ τὰ πρόβατα συγχωρῆσαι, τὸν κύνα προτιμᾶσθαι. καὶ σὺ οὖν ἐκείναις λέγε, ὅτι ἀντὶ κυνὸς εἶ φύλαξ καὶ ἐπιμελητής, καὶ διὰ σὲ οὐδ᾽ ὑφ᾽ ἑνὸς ἀδικούμεναι ἀσφαλῶς τε καὶ ἡδέως ἐργαζόμεναι ζῶσιν. ἄλλον δέ ποτε ἀρχαῖον ἑταῖρον διὰ χρόνου ἰδών, πόθεν, ἔφη, εὔθηρε φαίνῃ; ὑπὸ μὲν τὴν κατάλυσιν τοῦ πολέμου, ἔφη, ὦ σώκρατες, ἐκ τῆς ἀποδημίας. νυνὶ μέντοι αὐτόθεν. ἐπειδὴ γὰρ ἀφῃρέθημεν τὰ ἐν τῇ ὑπερορίᾳ κτήματα, ἐν δὲ τῇ ἀττικῇ ὁ πατήρ μοι οὐδὲν κατέλιπεν, ἀναγκάζομαι νῦν ἐπιδημήσας τῷ σώματι, ἐργαζόμενος τὰ ἐπιτήδεια πορίζεσθαι. δοκεῖ δέ μοι τοῦτο κρεῖττον εἶναι ἢ δεῖσθαί τινος ἀνθρώπων, ἄλλως τε καὶ μηδὲν ἔχοντα, ἐφ᾽ ὅτῳ ἂν δανειζοίμην. καὶ πόσον χρόνον οἴει σοι, ἔφη, τὸ σῶμα ἱκανὸν εἶναι μισθοῦ τὰ ἐπιτήδεια ἐργάζεσθαι; μὰ τὸν δί᾽, ἔφη, οὐ πολὺν χρόνον. καὶ μήν, ἔφη, ὅταν γε πρεσβύτερος γένῃ, δῆλον ὅτι δαπάνης μὲν δεήσῃ, μισθὸν δὲ οὐδείς σοι θελήσει τῶν τοῦ σώματος ἔργων διδόναι. ἀληθῆ λέγεις, ἔφη. οὐκοῦν, ἔφη, κρεῖττόν ἐστιν αὐτόθεν τοῖς τοιούτοις τῶν ἔργων ἐπιτίθεσθαι, ἃ καὶ πρεσβυτέρῳ γενομένῳ ἐπαρκέσει. καὶ προσελθόντα τῳ, τῶν πλείονα χρήματα κεκτημένων, τῷ δεομένῳ τοῦ συνεπιμελησομένου, ἔργων τε ἐπιστατοῦντα

καὶ

καὶ συγκομίζοντα καρπούς, καὶ συμφυλάττοντα τὴν οὐ-
σίαν, ὠφελοῦντα ἀντωφελεῖσθαι. χαλεπῶς ἄν, ἔφη ἐ-
γώ, ὦ σώκρατες, δουλείαν ὑπομείναιμι. καὶ μὴν οἵ
γε ἐν ταῖς πόλεσι προστατεύοντες, καὶ τῶν δημοσίων
ἐπιμελόμενοι, οὐ δουλοπρεπέστεροι ἕνεκα τούτου, ἀλλ'
ἐλευθεριώτεροι νομίζονται. ὅλως μήν, ἔφη, ὦ σώκρα-
τες, τὸ ὑπαίτιον εἶναί τινι, οὐ πάνυ προσίεμαι. καὶ μήν
ἔφη, εὔθηρε, οὐ πάνυ γε ῥᾴδιόν ἐστιν εὑρεῖν ἔργον, ἐφ'
ᾧ οὐκ ἄν τις αἰτίαν ἔχοι. χαλεπὸν γὰρ οὕτω τι ποιῆ-
σαι, ὥστε μηδὲν ἁμαρτεῖν. χαλεπὸν δὲ καὶ ἀναμαρτή-
τως τί ποιήσαντας, μὴ ἀγνώμονι κριτῇ περιτυχεῖν. ἐπεὶ
καὶ οἷς νῦν ἐργάζεσθαι φῂς θαυμάζω εἰ ῥᾴδιόν ἐστιν ἀ-
νέγκλητον διαγίνεσθαι. χρὴ οὖν πειρᾶσθαι τοὺς φιλαι-
τίους φεύγειν, καὶ τοὺς εὐγνώμονας διώκειν. καὶ τῶν πραγ-
μάτων, ὅσα μὲν δύνασαι ποιεῖν, ὑπομένειν· ὅσα δὲ
μὴ δύνασαι, φυλάττεσθαι. ὅ, τι δ' ἂν πράττῃς, τούτου
ὡς κάλλιστα καὶ προθυμότατα ἐπιμελεῖσθαι. οὕτω γὰρ
ἥκιστα μὲν σε οἶμαι ἐν αἰτίᾳ εἶναι, μάλιστα δὲ τῇ ἀπορίᾳ
βοήθειαν εὑρεῖν, ῥᾷστα δὲ καὶ ἀκινδυνότατα ζῆν, καὶ εἰς
τὸ γῆρας διαρκέστατα. οἶδα δέ ποτε αὐτὸν καὶ κρίτω-
νος ἀκούσαντα, ὡς χαλεπὸν ὁ βίος ἀθήνησιν εἴη, ἀν-
δρὶ βουλομένῳ τὰ ἑαυτοῦ πράττειν. νῦν γάρ, ἔφη, ἐμέ
τινες εἰς δίκας ἄγουσιν, οὐχ ὅτι ἀδικοῦνται ὑπ' ἐμοῦ, ἀλλ'
ὅτι νομίζουσιν, ἥδιον ἄν με ἀργύριον τελέσαι, ἢ πράγ-
ματα ἔχειν. καὶ ὁ σωκράτης, εἰπέ μοι, ἔφη, ὦ κρίτων· κύ-
νας δὲ τρέφεις, ἵνα σοι τοὺς λύκους ἀπὸ τῶν προβάτων ἀπ-
ερύκωσιν; καὶ μάλα, ἔφη. μᾶλλον γάρ μοι λυσιτελεῖ τρέ-
φειν, ἢ μή. οὐκ ἂν οὖν θρέψαις καὶ ἄνδρα ὅστις ἐθέλοι τε
καὶ δύναιτό σου ἀπερύκειν τοὺς ἐπιχειροῦντας ἀδικεῖν
σε; ἡδέως γ' ἄν, ἔφη, εἰ μὴ φοβοίμην, ὅπως μὴ ἐπ' αὐτόν
με τράποιτο. τί δ', ἔφη, οὐχ ὁρᾷς ὅτι πολλῷ ἥδιόν ἐστιν
χαριζόμενον οἵῳ σοὶ ἀνδρί, ἢ ἀπεχθόμενον ὠφελεῖσθαι;
εὖ ἴσθ' ὅτι εἰσὶν ἐνθάδε τῶν τοιούτων ἀνδρῶν οἳ πάνυ
ἂν φιλοτιμηθεῖεν φίλῳ σοὶ χρῆσθαι. καὶ ἐκ τούτων ἀνευ-
ρίσκουσιν ἀρχέδημον, πάνυ μὲν ἱκανὸν εἰπεῖν τε καὶ
πρᾶξαι, πένητα δέ. οὐ γὰρ ἦν οἷος ἀπὸ παντὸς κερδαίνειν.
ἀλλὰ φιλόχρηστός τε. καὶ ἔφη ῥᾷστον εἶναι ἀπὸ τῶν συκοφαντῶν
λαμβάνειν. τούτῳ οὖν ὁ κρίτων, ὁπότε συγκομίζοι ἢ
σῖτον, ἢ ἔλαιον, ἢ οἶνον, ἢ ἔρια, ἢ ἄλλο τι τῶν ἐν ἀγρῷ γιγνο-
μένων χρησίμων πρὸς τὸν βίον, ἀφελὼν ἐδίδου. καὶ ὁπό-
τε θύοι, ἐκάλει. καὶ τὰ τοιαῦτα πάντα ἐπεμελεῖτο. νομί-
σας δὲ ὁ ἀρχέδημος ἀποστροφὴν οἱ τὸν κρίτωνος οἶκον,
μάλα περιεῖπεν αὐτόν. καὶ εὐθὺς τῶν συκοφαντούντων τὸν
κρίτωνα ἀνευρίσκει πολλὰ μὲν ἀδικήματα, πολλοὺς δ'
ἐχθρούς, καὶ προσεκαλέσατο εἰς δίκην δημοσίαν, ἐν ᾗ αὐ-
τὸν ἔδει κριθῆναι, ὅ, τι δεῖ παθεῖν, ἢ ἀποτῖσαι. ὁ δὲ συνει-
δὼς αὑτῷ πολλὰ καὶ πονηρά, πάντ' ἐποίει, ὥστε ἀπαλ-
λαγῆναι τοῦ ἀρχεδήμου. ὁ δὲ ἀρχέδημος οὐκ ἀπηλ-
λάττετο, ἕως τόν τε κρίτωνα ἀφῆκε, καὶ αὐτῷ χρήματα
ἔδωκεν. ἐπεὶ δὲ τοῦτό τε καὶ ἄλλα τοιαῦτα ὁ ἀρχέδη-
μος διεπράξατο, ἤδη τότε ὥσπερ ὅταν νομεὺς ἀγαθὸν
κύνα ἔχῃ, καὶ οἱ ἄλλοι νομεῖς βούλονται πλησίον αὐτοῦ
τὰς ἀγέλας ἱστάναι, ἵνα τοῦ κυνὸς ἀπολαύωσιν, οὕτω καὶ
τοῦ κρίτωνος πολλοὶ τῶν φίλων ἐδέοντο, καὶ σφίσιν παρέ-
χειν φύλακα τὸν ἀρχέδημον. ὁ δὲ ἀρχέδημος τῷ κρίτωνι
ἡδέως ἐχαρίζετο· καὶ οὐχ ὅτι μόνος ὁ κρίτων ἐν ἡσυχίᾳ ἦν,
ἀλλὰ

ac fructuum & bonorum illius curam habendo, utilitatem partim illi afferre, partim ab illo habere. Aegre nimirum ô Socrates, ait, ego seruitutem sufficeram. Atqui, Socrates inquit, illi qui reipub. præsunt & eam procurant, non ideo seruiliores, sed magis liberi putantur. Quoquo modo ô Socrates, ait, à quoquam accusari posse nullatenus uelim. Sed uides ô Euthere, inquit, nullū esse opus in quo non accusentur homines. Difficile nanq; est ita quicquam peragere, ut nihil erres. quod si etiam sine errore quisquam aliquid peragat, difficile est non iniquum iudicem reperire. Nam & in illis quæ nunc operari dicis, mirarer profecto si sine accusatione degas. Oportet itaq; conari contentiosos fugere, mites uero persequi. Res uē subire quas possis efficere: quas nō possis, ab illis abstinere. Quicquid autem agas, promptissime, atq; optime, & diligenter agere. Hoc enim modo minime accusaberis, indigentiæ præsenti optime consules, poteris etiam cum senueris facilime ac sine periculo sufficientissime uiuere. Cum autem quondam Crito dixisset, quod difficile esset Athenis uiuere hominem qui sibipsi uiuere uellit. Quidam nanque nunc, inquit, mihi diem dixerūt, non quod à me ulla sint affecti iniuria, sed quod me putant in persoluendo ære futurum promptiorem, quàm cum eis cōtendere. Socrates his auditis: Dic mihi, ô Crito, nutrisne canes, ut lupos ab ouibus propellant? Ita, inquit: utilius est alere illos, quàm non. Nonne igitur nutries etiam hominem, qui & uoluerit & potuerit quicunque tibi iniuriam inferre uelint, propellere? Lubens nutriam, ait, dummodo non timeam eum aduersarium mihi effici. Quid uero, inquit, non uides multo suauius esse à tali uiro, qualis tu es, cum amicitia potius quàm cum inimicitia utilitatem habere? Velum itaque scias, multos hic tales homines esse, qui honori sibi putarent te pro amico habere. Post hæc inuenerunt Archedemum, tam ad agendum quàm ad dicendum nimium quidem sufficientem, pauperem uero. Non enim quoquo modo poterat, uolebat lucrari: sed bonis hominibus affectus, iustius esse ducebat à calumniatoribus potius accipere. Huic itaq; Crito, cum à suis agris frumentum, uinum, oleum, lanas, aut quicquam ad uitam utile colligeret, partem mittebat: & cum sacrificaret, in conuiuium uocabat, ac in huiuscemodi omnibus curam eius habebat. Archedemus igitur reputans domum Critonis sibi nutrimento fore uehemēter, eam tuebatur. Moxq; unius calumniatorū Critonis multa per iniuriam facta, multosq; reperit inimicos, atq; in iudiciū accersit, ubi iudicari oportebat, quid pati aut soluere oporteret. Ille uero cum cōscius sibi esset multorum atq; malorum, conabatur ab Archedemo euadere: qui nullo modo eum dimisit, quousq; & ipsi pecuniam dederit, & Critonem amplius non molestauerit. Cum uero multa huiuscemodi Archedemus peregisset, tunc quemadmodum cum quisquam pastor bonum canem habet, alij quoque prope eum suos greges adducunt, ut cane fruantur: sic etiam multi amicorum Critonem rogabant, ut eis quoque Archedemum custodem præstaret. Archedemus lubens Critoni parebat, & per eum non modo Crito,

sed

Quod si persuadeas eis ut operentur, et tu illas ut utiles tibi diliges, illæ quoq; te amabunt, cum sentiant te illis delectari. Suauius autem beneficiorum iam habitorum recordati, gratiam ab eis partam augebitis, & nimirum magis familiariter ac amice alter ad alterum se habebit. Si turpe igitur quicquam essent operaturæ, mors præ illo potius esset eligenda. Nunc uero cum illæ quidem quæcunque oportuerit mulieres, sciant, ut apparet: omnes autem quæ sciant, facile, optime, suauißime, citoq; operentur: non pigeat te adhortari & admonere eas illa facere, quæ tibi profecto & illis proderunt: nam uerisimile est illas facile tibi parere. Tum Aristarchus: Per deos, inquit, ô Socrates, tam bene dicere mihi uideris, ut cum antea noluissem mutuari pecuniam, ne illa consumpta non habeam unde soluam, nunc uidear mihi ad materiam operum sufferendum hoc esse facturus. Mox deinde reperta pecunia est, lana empta. Illæ post opera ad prandium, post prandium laborando ad cœnam accedebant. Hilares pro tristibus erant, ubi prius suspecti & odiosi inuicem erant, suauiter inter se uiuebant, ac Aristarchum illæ ut protectorem, illas Aristarchus ut utiles amabat. Demum adiens Socratem, & hæc omnia gauisus narrabat, atque his addebat, accusari se ab eis quod solus ociosus una comederet. Ac Socrates: Cur, ait, non dicis eis canis responsionem? Dicitur nanque, cum animantia essent uocalia, ouem domino suo dixisse: Mirum facis, inquit, profecto, qui cum nobis à quibus lanam, agnos, caseumq; habes, nihil des nisi quicquid à terra capiamus: canem qui nihil tibi tale præbet, de quo tu comedis pane participem facis. Canem uero cum hæc audisset: Non immerito per Iouem, dixit: ego nanque sum ille qui & uos ipsas saluas facio, atque custodio, ut nec homines uos furentur, nec lupi rapiant. Quod si ego uos non custodiam, nec ad pascua uobis proficisci licebit, timentibus ne pereatis. His ab eo dictis, oues quoque fertur cani concessisse. Et tu itaque dic illis, Socrates ait, quod tu custos earum ut canis, atque procurator es, per quẽ à nullo iniuriatæ secure atq; suauiter operando uiuunt. Quondam uero cum alium amicum antiquum post multum temporis uidisset, Vnde uenis, ô Euthere, ait. Cum bellum cessasset ô Socrates, ait, de peregrinatione qua aberam ueni, nunc uero de ipsamet ciuitate. Ablatis nanque à me possessionibus in alienis finibus positis, Athenis uero nihil à patre mihi relicto, cogor nunc hic præsens manibus laborando, necessaria ad uictum acquirere. Videor uero uidere melius hoc esse mihi, quàm ab alijs petere, præsertim cum non habeam super quo mutuarer. Quanto uero tempore, Socrates ait, sufficientem te fore putas, mercede laborando uiuere? Non multo, inquit, mehercle. Attamen cum senueris, ait, sumptibus quidem patet quod indigebis: mercedem uero nullus tibi pro laboribus tuis præbebit. Verũ dicis, ait. Melius igitur esse uidetur, tã nunc illis operib. insudare, quæ tibi cum senueris etiam satisfaciant: et ad quenquã diuitum qui coadiutore indiget accedendo, præfici suis possessionib. et operibus: ac fru-

ἐὰν δὲ προστάτης ᾖς, ὅπως ἐνεργοὶ ὦσι, σὺ μὲν ἐκείνας φιλήσεις, ὁρῶν ὠφελίμους σαυτῷ οὔσας. ἐκεῖναι δέ σε ἀγαπήσουσιν αἰσθόμεναι χαίροντά σε αὐταῖς. τῶν δὲ προγεγονότων εὐεργεσιῶν ἥδιον μεμνημένοι, τὴν ἀπ' ἐκείνων χάριν αὐξήσετε. καὶ ἐκ τούτων φιλικώτερόν τε καὶ οἰκειότερον ἀλλήλοις ἕξετε. εἰ μὲν τοίνυν αἰσχρόν τι ἔμελλον ἐργάζεσθαι, θάνατον ἀντ' αὐτοῦ προαιρετέον ἦν. νῦν δὲ ἃ μὲν δοκεῖ κάλλιστα, καὶ πρεπωδέστερα γυναικὶ εἶναι, ἐπίστανται ὡς ἔοικε. πάντες δὲ ἃ ἐπίστανται ῥᾷστά τε καὶ τάχιστα, καὶ κάλλιστα, καὶ ἥδιστα ἐργάζονται. μὴ οὖν ὄκνει, ἔφη, ταῦτα εἰσηγεῖσθαι αὐταῖς, ἃ σοί τε λυσιτελεῖ, ἢ ἐκείναις. καὶ ὡς εἰκὸς ἡδέως ὑπακούσονται. ἀλλὰ νὴ τοὺς θεούς, ἔφη ὁ Ἀρίσταρχος, οὕτως μοι δοκεῖ καλῶς λέγειν, ὦ Σώκρατες, ὥστε πρόσθεν μὲν, οὐ προσιέμην δανείσασθαι, εἰδὼς ὅτι ἀναλώσας ὃ ἂν λάβω, οὐχ ἕξω ἀποδοῦναι. νῦν δέ μοι δοκῶ εἰς ἔργων ἀφορμὴν ὑπομένειν αὐτὸ ποιῆσαι. ἐκ τούτων δὲ ἐπορίσθη μὲν ἀφορμή. ἐωνήθη ἔρια. καὶ ἐργαζόμεναι μὲν ἠρίστων, ἐργασάμεναι δὲ ἐδείπνουν. ἱλαραὶ δὲ ἀντὶ σκυθρωπῶν ἦσαν. καὶ ἀντὶ ὑφορωμένων ἑαυτὰς, ἡδέως ἀλλήλας ἑώρων. καὶ αἱ μὲν ὡς κηδεμόνα ἐφίλουν. ὁ δὲ ὡς ὠφελίμους ἠγάπα. τέλος δὲ ἐλθὼν πρὸς τὸν Σωκράτην χαίρων, διηγεῖτο ταῦτά τε καὶ ὅτι αἰτιῶνται αὐτὸν μόνον τὸν ἐν τῇ οἰκίᾳ ἀργὸν ἐσθίειν. καὶ ὁ Σωκράτης ἔφη· εἶτα οὐ λέγεις αὐταῖς τὸν τοῦ κυνὸς λόγον; φασὶ γὰρ ὅτε φωνήεντα ἦν τὰ ζῶα, τὴν οἶν πρὸς τὸν δεσπότην εἰπεῖν· θαυμαστὸν ποιεῖς, ὃς ἡμῖν μὲν ταῖς καὶ ἔριά σοι καὶ ἄρνας καὶ τυρὸν παρεχούσαις, οὐδὲν δίδως, ὅ τι ἂν μὴ ἐκ τῆς γῆς λάβωμεν. τῷ δὲ κυνὶ, ὃς οὐδὲν τοιοῦτόν σοι παρέχει, μεταδίδως, οὗπερ αὐτὸς ἔχεις σίτου. τὸν κύνα οὖν ἀκούσαντα εἰπεῖν· ναὶ μὰ Δία. ἐγὼ γάρ εἰμι ὁ καὶ ὑμᾶς αὐτὰς σώζων, ὥστε μήτε ὑπ' ἀνθρώπων κλέπτεσθαι, μήτε ὑπὸ λύκων ἁρπάζεσθαι. ἐπεὶ ὑμεῖς γε, εἰ μὴ ἐγὼ προφυλάττοιμι ὑμᾶς, οὐδ' ἂν νέμεσθαι δύναισθε, φοβούμεναι μὴ ἀπόλησθε. οὕτω δὴ λέγεται καὶ τὰ πρόβατα συγχωρῆσαι τὸν κύνα προτιμᾶσθαι. καὶ σὺ οὖν ἐκείναις λέγε, ὅτι ἀντὶ κυνὸς εἶ φύλαξ καὶ ἐπιμελητὴς, καὶ διὰ σὲ οὐδ' ὑφ' ἑνὸς ἀδικούμεναι ἀσφαλῶς τε καὶ ἡδέως ἐργαζόμεναι ζῶσιν. ἄλλον δέ ποτε ἀρχαῖον ἑταῖρον διὰ χρόνου ἰδὼν, πόθεν, ἔφη, Εὔθηρε φαίνῃ; ὑπὸ μὲν τὴν κατάλυσιν τοῦ πολέμου, ἔφη, ὦ Σώκρατες, ἐκ τῆς ἀποδημίας. νυνὶ μέντοι αὐτόθεν. ἐπειδὴ γὰρ ἀφῃρέθημεν τὰ ἐν τῇ ὑπερορίᾳ κτήματα, ἐν δὲ τῇ Ἀττικῇ ὁ πατήρ μοι οὐδὲν κατέλιπεν, ἀναγκάζομαι νῦν ἐπιδημήσας τῷ σώματι, ἐργαζόμενος τὰ ἐπιτήδεια πορίζεσθαι. δοκεῖ δέ μοι τοῦτο κρεῖττον εἶναι ἢ δεῖσθαί τινος ἀνθρώπων, ἄλλως τε καὶ μηδὲν ἔχοντα, ἐφ' ὅτῳ ἂν δανειζοίμην. καὶ πόσον χρόνον οἴει σοι, ἔφη, τὸ σῶμα ἱκανὸν εἶναι μισθοῦ τὰ ἐπιτήδεια ἐργάζεσθαι; μὰ τὸν Δί', ἔφη, οὐ πολὺν χρόνον. καὶ μὴν, ἔφη, ὅταν γε πρεσβύτερος γένῃ, δῆλον ὅτι δαπάνης μὲν δεήσῃ, μισθὸν δὲ οὐδείς σοι θελήσει τῶν τοῦ σώματος ἔργων διδόναι. ἀληθῆ λέγεις, ἔφη. οὐκοῦν, ἔφη, κρεῖττόν ἐστιν αὐτόθεν τοῖς τοιούτοις τῶν ἔργων ἐπιτίθεσθαι, ἃ καὶ πρεσβυτέρῳ γενομένῳ ἐπαρκέσει. καὶ προσελθόντα τῳ, τῶν πλείονα χρήματα κεκτημένων, τῷ δεομένῳ τοῦ συνεπιμελησομένου, ἔργων τε ἐπιστατοῦντα καὶ

καὶ συγκομίζοντα καρπούς, καὶ συμφυλάττοντα τὴν οὐσίαν, ὠφελοῦντα ἀντωφελεῖσθαι. χαλεπῶς ἄν, ἔφη ἐγώ, ὦ σώκρατες, δουλείαν ὑπομείναιμι. καὶ μὴν οἵ γε ἐν ταῖς πόλεσι προστατεύοντες, καὶ τῶν δημοσίων ἐπιμελόμενοι, οὐ δουλοπρεπέστεροι ἕνεκα τούτου, ἀλλ' ἐλευθεριώτεροι νομίζονται. ὅλως μήν, ἔφη, ὦ σώκρατες, τὸ ὑπαίτιον εἶναί τινι οὐ πάνυ προσίεμαι. καὶ μήν, ἔφη, εὔθηρε, οὐ πάνυ γε ῥᾴδιόν ἐστιν εὑρεῖν ἔργον, ἐφ' ᾧ οὐκ ἄν τις αἰτίαν ἔχοι. χαλεπὸν γὰρ οὕτω τι ποιῆσαι, ὥστε μηδὲν ἁμαρτεῖν. χαλεπὸν δὲ καὶ ἀναμαρτήτως τί ποιήσαντας, μὴ ἀγνώμονι κριτῇ περιτυχεῖν· ἐπεὶ καὶ οἷς νῦν ἐργάζεσθαι φὴς θαυμάζω εἰ ῥᾴδιόν ἐστιν ἀνέγκλητον διαγίνεσθαι. χρὴ οὖν πειρᾶσθαι τοὺς φιλαιτίους φεύγειν, καὶ τοὺς εὐγνώμονας διώκειν. καὶ τῶν πραγμάτων, ὅσα μὲν δύνασαι ποιεῖν, ὑπομένειν· ὅσα δὲ μὴ δύνασαι, φυλάττεσθαι. ὅ, τι δ' ἂν πράττῃς, τούτου ὡς κάλλιστα καὶ προθυμότατα ἐπιμελεῖσθαι. οὕτω γὰρ ἥκιστα μὲν σε οἶμαι ἐν αἰτίᾳ εἶναι, μάλιστα δὲ τῇ ἀπορίᾳ βοήθειαν εὑρεῖν, ῥᾷστα δὲ καὶ ἀκινδυνότατα ζῆν, καὶ εἰς τὸ γῆρας διαρκέστατα. οἶδα δέ ποτε αὐτὸν καὶ κρίτωνος ἀκούσαντα, ὡς χαλεπὸς ὁ βίος ἀθήνησιν εἴη, ἀνδρὶ βουλομένῳ τὰ ἑαυτοῦ πράττειν. νῦν γάρ, ἔφη, ἐμέ τινες εἰς δίκας ἄγουσιν, οὐχ ὅτι ἀδικοῦνται ὑπ' ἐμοῦ, ἀλλ' ὅτι νομίζουσιν, ἥδιον ἄν με ἀργύριον τελέσαι, ἢ πράγματα ἔχειν. καὶ ὁ σωκράτης, εἰπέ μοι, ἔφη, ὦ κρίτων· κύνας δὲ τρέφεις, ἵνα σοι τοὺς λύκους ἀπὸ τῶν προβάτων ἀπερύκωσι; καὶ μάλα, ἔφη. μᾶλλον γάρ μοι λυσιτελεῖ τρέφειν, ἢ μή. οὐκ ἂν οὖν θρέψαις καὶ ἄνδρα, ὅστις ἐθέλοι τε καὶ δύναιτό σου ἀπερύκειν τοὺς ἐπιχειροῦντας ἀδικεῖν σε; ἡδέως γ' ἄν, ἔφη, εἰ μὴ φοβοίμην, ὅπως μὴ ἐπ' αὐτόν με τράποιτο. τί δ', ἔφη, οὐχ ὁρᾷς ὅτι πολλῷ ἥδιόν ἐστι χαριζόμενον οἵῳ σοὶ ἀνδρί, ἢ ἀπεχθόμενον ὠφελεῖσθαι; εὖ ἴσθ' ὅτι εἰσὶν ἐνθάδε τῶν τοιούτων ἀνδρῶν οἳ πάνυ ἂν φιλοτιμηθεῖεν φίλῳ σοὶ χρῆσθαι. καὶ ἐκ τούτων ἀνευρίσκουσιν ἀρχέδημον, πάνυ μὲν ἱκανὸν εἰπεῖν τε καὶ πρᾶξαι, πένητα δέ. οὐ γὰρ ἦν οἷος ἀπὸ παντὸς κερδαίνειν, ἀλλὰ φιλόχρηστός τε. ὁ ἔφη ῥᾷστον εἶναι ἀπὸ τῶν συκοφαντῶν λαμβάνειν. τούτῳ οὖν ὁ κρίτων, ὁπότε συγκομίζοι ἢ σῖτον, ἢ ἔλαιον, ἢ οἶνον, ἢ ἔρια, ἢ ἄλλο τι τῶν ἐν ἀγρῷ γιγνομένων χρησίμων πρὸς τὸν βίον, ἀφελὼν ἐδίδου. καὶ ὁπότε θύοι, ἐκάλει. καὶ τὰ τοιαῦτα πάντα ἐπεμελεῖτο. νομίσας δὲ ὁ ἀρχέδημος ἀποστροφὴν οἱ τὸν κρίτωνος οἶκον, μάλα περιεῖπεν αὐτόν. καὶ εὐθὺς τῶν συκοφαντούντων τὸν κρίτωνα ἀνευρίσκει πολλὰ μὲν ἀδικήματα, πολλοὺς δ' ἐχθρούς, καὶ προσεκαλέσατο εἰς δίκην δημοσίαν, ἐν ᾗ αὐτὸν ἔδει κριθῆναι, ὅ, τι δεῖ παθεῖν, ἢ ἀποτίσαι. ὁ δὲ συνειδὼς αὑτῷ πολλὰ καὶ πονηρά, πάντ' ἐποίει, ὥστε ἀπαλλαγῆναι τοῦ ἀρχεδήμου. ὁ δὲ ἀρχέδημος οὐκ ἀπηλλάττετο, ἕως τόν τε κρίτωνα ἀφῆκε, καὶ αὐτῷ χρήματα ἔδωκεν. ἐπεὶ δὲ τοῦτό τε καὶ ἄλλα τοιαῦτα ὁ ἀρχέδημος διεπράξατο, ἤδη τότε, ὥσπερ ὅταν νομεὺς ἀγαθὸν κύνα ἔχῃ, καὶ οἱ ἄλλοι νομεῖς βούλονται πλησίον αὐτοῦ τὰς ἀγέλας ἱστάναι, ἵνα τοῦ κυνὸς ἀπολαύωσιν, οὕτω καὶ τοῦ κρίτωνος πολλοὶ τῶν φίλων ἐδέοντο, καὶ σφίσιν παρέχειν φύλακα τὸν ἀρχέδημον. ὁ δὲ ἀρχέδημος τῷ κρίτωνι ἡδέως ἐχαρίζετο, καὶ οὐχ ὅτι μόνος ὁ κρίτων ἐν ἡσυχίᾳ ἦν, ἀλλὰ

ac fructuum & bonorum illius curam habendo, utilitatem partim illi afferre, partim ab illo habere. Aegre nimirum ô Socrates, ait, ego seruitutem sufferam. Atqui, Socrates inquit, illi qui reipub. præsunt & eam procurant, non ideo seruiliores, sed magis liberi putantur. Quoquo modo ô Socrates, ait, à quoquam accusari posse nullatenus uelim. Sed uides ô Euthere, inquit, nullũ esse opus in quo non accusentur homines. Difficile nanq; est ita quicquam peragere, ut nihil erres. quod si etiam sine errore quisquam aliquid peragat, difficile est non iniquum iudicem reperire. Nam & in illis quæ nunc operari dicis, mirarer profecto si sine accusatione degas. Oportet itaq; conari contentiosos fugere, mites uero persequi. Res uẽ subire quas possis efficere: quas nõ possis, ab illis abstinere. Quicquid autem agas, promptissime, atq; optime, & diligenter agere. Hoc enim modo minime accusaberis, in digentiæ præsenti optime consules, poteris etiam cum senueris facillime ac sine periculo sufficientissime uiuere. Cum autem quondam Crito dixisset, quod difficile esset Athenis uiuere hominem qui sibiipsi uiuere uellit. Quidam nanque nunc, inquit, mihi diem dixerũt, non quod à me ulla sint affecti iniuria, sed quod me putant in persoluendo ære futurum promptiorem, quàm cum eis cõtendere. Socrates his auditis: Dic mihi, ô Crito, nutrisne canes, ut lupos ab ouibus propellant? Ita, inquit: utilius est alere illos, quàm non. Nonne igitur nutrires etiam hominem, qui & uoluerit & potuerit quicunque tibi iniuriam inferre uelint, propellere? Lubens nutriam, ait, dummodo non timeam eum aduersarium mihi effici. Quid uero, inquit, non uides multo suauius esse à tali uiro, qualis tu es, cum amicitia potius quàm cum inimicitia utilitatem habere? Velim itaque scias, multos hic tales homines esse, qui honori sibi putarent te pro amico habere. Post hæc inuenerunt Archedemum, tam ad agendum quàm ad dicendum nimium quidem sufficientem, pauperem uero. Non enim quoquo modo poterat, uolebat lucrari: sed bonis hominibus affectus, iustius esse ducebat à calumniatoribus potius accipere. Huic itaq; Crito, cum à suis agris frumentum, uinum, oleum, lanas, aut quicquam ad uitam utile colligeret, partem mittebat: & cum sacrificaret, in conuiuium uocabat, ac in huiusce modi omnibus curam eius habebat. Archedemus igitur reputans domum Critonis sibi nutrimento fore uehemẽter, eam tuebatur. Moxq; unius calumniatorũ Critonis multa per iniuriam facta, multosq; reperit inimicos, atq; in iudiciũ accersit, ubi iudicari oportebat, quid pati aut soluere oporteret. Ille uero cum cõscius sibi esset multorum atq; malorum, conabatur ab Archedemo euadere: qui nullo modo eum dimisit, quousq; & ipsi pecuniam dederit, & Critonem amplius non molestauerit. Cum uero multa huiuscemodi Archedemus peregisset, tunc quemadmodum cum quisquam pastor bonum canem habet, alij quoque prope eum suos greges adducunt, ut cane fruantur: sic etiam multi amicorum Critonem rogabant, ut eis quoque Archedemum custodem præstaret. Archedemus lubens Critoni parebat, & per eum non modo Crito,

ſed amici etiam fruebantur quiete. Quod ſi quis illo-
rum quibus infeſtus erat, per conuicium appellaret il-
lum adulatorem Critonis, pro utilitate ab eo ſuſcepta:
Vtrum, dicebat Archedemus, turpius eſt à bonis ho-
minibus beneficijs acceptis, eos è conuerſo beneficijs
afficiendo, amicitiam eorum acquirere, prauis autem
inimicus effici: an bonis & optimis iniuriam inferen-
do inimicos, prauos uero iuuando conarj amicos effi-
cere, & pro bonis huiuſcemodi hominibus uti? His de
cauſis itaq; unus amicorum Critonis Archedemus e-
rat, & à cæteris neceſſarijs eius honorabatur. Audi-
ui uero Socratem cum Diodoro quoque ſuo amico in
hunc modum diſputaſſe: Dic mihi ô Diodore, inquit,
ſi quis tuorum ſeruorum abs te aufugiat, conariſne ut
eum recipias? Et alios etiam mehercle cohortor, mer-
cedem inuentionis eius, præconio denuncians. Si ue-
ro quiſquam ſeruorum ægrotet, nónne medicis con-
uocatis procuras ne moriatur? Admodum, inquit.
Quod ſi quis amicorum tuorum multo tibi utilior ſer-
uis, in uitæ periculum ob indigentiam inciderit, nón-
ne putas dignum eſſe curam eius ſuſcipere ne pereat?
Atqui Hermogenem non eſſe ingratum hominem
non ignoras: puderet itaq; eum profecto utilitate à te
ſuſcepta, non utilem eum etiam tibi fore. Habere au-
tem quenquam & ſpontaneum & conſtantem mini-
ſtrum, ſufficientemq; facere quodcunq; imperatum fu-
erit, & non modo illud, ſed ex ſe etiam potentem mul-
ta & cogitare & reperire conſilia, plus, ut arbitror,
quàm multi ſerui ualeret. BONI VERO OECO-
NOMICI, CVM LICEAT MAGNI PRE-
CII REM paruo emere, tunc dicunt eſſe emendam.
Nunc autem propter tempora licet paruo bonos ami-
cos comparare. Ad hæc Diodorus: Bene dicis ô So-
crates, ait: iube itaque Hermogenem ad me accedere.
Non ego, inquit, per Iouem: puto nanque nec tibi me-
lius fore illum te, quàm te illum adire: nec maius bo-
num illi, quàm tibi eſſe, ſi iſta ad hunc modum gera-
tur. His dictis, Diodorus ad Hermogenem acceſſit, &
non magna pecunia præſtita, eum ſibi amicitia con-
iunxit, qui repente ſtudeat dicendo uel cogi-
tando quod utile Diodoro ſit, ac ei
lætitiam afferat.

XENO-

ἀλλὰ καὶ οἱ φίλοι αὐτοῦ. εἰ δέ τις αὐτῷ τούτων οἷς ἀπ-
ήχθετο ὀνειδίζοι, ὡς ὑπὸ κρίτωνος ὠφελούμενος, κο-
λακεύει αὐτόν, πότερον οὖν, ἔφη ὁ ἀρχέδημος, αἰ-
σχρόν ἐστιν εὐεργετούμενον ὑπὸ χρηστῶν ἀνθρώπων καὶ
ἀντευεργετοῦντα τοὺς μὲν τοιούτους φίλους ποιεῖσθαι,
τοῖς δὲ πονηροῖς διαφέρεσθαι, ἢ τοὺς μὲν καλοὺς κἀγα-
θοὺς ἀδικεῖν πειρώμενον ἐχθροὺς ποιεῖσθαι, τοῖς δὲ πο-
νηροῖς συνεργοῦντα πειρᾶσθαι φίλους ποιεῖσθαι, καὶ
χρῆσθαι τούτοις ἀντ᾽ ἐκείνων; ἐκ δὲ τούτου εἷς τε τῶν
κρίτωνος φίλων ἀρχέδημος ἦν, καὶ ὑπὸ τῶν ἄλλων
κρίτωνος φίλων ἐτιμᾶτο. οἶδα δὲ καὶ διοδώρῳ αὐτὸν
ἑταίρῳ ὄντι, τοιάδε διαλεχθέντα· εἰπέ μοι, ἔφη, ὦ
διόδωρε, ἄν τις σοι τῶν οἰκετῶν ἀποδρᾷ, ἐπιμελῇ ὅπως
ἀνακομίσῃ; καὶ ἄλλους γε νὴ δί᾽, ἔφη, παρακαλῶ, σῶ-
στρα τούτου ἀνακηρύσσων. τί γάρ, ἔφη, ἐάν τις σοι κάμνῃ
τῶν οἰκετῶν, τούτου ἐπιμελῇ; καὶ παρακαλεῖς ἰατρούς
ὅπως μὴ ἀποθάνῃ; σφόδρα γ᾽, ἔφη. εἰ δέ τις σοι τῶν γνω-
ρίμων, ἔφη, πολὺ τῶν οἰκετῶν χρησιμώτερος ὤν, κιν-
δυνεύει δι᾽ ἔνδειαν ἀπολέσθαι, οὐκ οἴει σοι ἄξιον εἶναι ἐ-
πιμεληθῆναι, ὅπως διασωθῇ; καὶ μὴν οἶσθά γε, ὅτι οὐκ
ἀγνώμων ἐστὶν ἑρμογένης. αἰσχύνοιτο δ᾽ ἂν εἰ ὠφελούμε-
νος ὑπὸ σοῦ μὴ ἀντωφελοίη σε. καίτοι τὸ ὑπηρέτην ἑ-
κόντα τε καὶ εὔνουν καὶ παράμονον, καὶ τὸ κελευό-
μενον ἱκανὸν ποιεῖν ἔχειν, καὶ μὴ μόνον τὸ κελευό-
μενον ἱκανὸν ὄντα ποιεῖν, ἀλλὰ δυνάμενον καὶ ἀφ᾽ ἑαυ-
τοῦ χρήσιμον εἶναι καὶ προνοεῖν καὶ προβουλεύεσθαι, πολ-
λῶν οἰκετῶν οἶμαι ἀντάξιον εἶναι. οἱ μέντοι ἀγαθοὶ οἰ-
κονόμοι, ὅταν τὸ πολλοῦ ἄξιον μικροῦ ᾖ πρίασθαι, τό-
τε φασὶ δεῖν ὠνεῖσθαι. νῦν δὲ διὰ τὰ πράγματα εὐωνο-
τάτους ἐστὶ φίλους ἀγαθοὺς κτήσασθαι. καὶ ὁ διόδω-
ρος, ἀλλὰ καλῶς γε, ἔφη, λέγεις, ὦ σώκρατες, καὶ κέ-
λευσον ἐλθεῖν ὡς ἐμὲ τὸν ἑρμογένην. μὰ δί᾽, ἔφη, οὐκ ἔ-
γωγε. νομίζω γὰρ οὔτε σοι κάλλιον εἶναι τὸ καλέσαι ἐκεῖ-
νον, τοῦ αὐτὸν ἐλθεῖν πρὸς ἐκεῖνον, οὔτε ἐκείνῳ μεῖζον ἀ-
γαθὸν τὸ πραχθῆναι ταῦτα ἢ σοί. οὕτω δὴ ὁ διόδω-
ρος ᾤχετο πρὸς τὸν ἑρμογένην. καὶ οὐ πολὺ τελέσας,
ἐκτήσατο φίλον, ὃς ἔργον εἶχε σκοπεῖν ὅ, τι
ἂν ἢ λέγων ἢ πράττων ὠφελοίη τε
καὶ εὐφραίνει διό-
δωρον.

ΞΕΝΟ-

ΞΕΝΟΦΩΝΤΟΣ ΑΠΟΜΝΗΜΟΝΕΥΜΑΤΩΝ ΤΡΙΤΟΝ.

Ὅτι δὲ τοὺς ὀρεγομένους τῶν καλῶν ἐπιμελεῖς ὧν ὀρέγοιντο ποιῶν ὠφέλει, νῦν τοῦτο διηγήσομαι. ἀκούσας γάρ ποτε Διονυσόδωρον εἰς τὴν πόλιν ἥκειν, ἐπαγγελλόμενον στρατηγεῖν διδάξειν, ἔλεξε πρός τινα τῶν ξυνόντων, ὃν ᾐσθάνετο βουλόμενον τῆς τιμῆς ταύτης ἐν τῇ πόλει τυγχάνειν. αἰσχρὸν μέντοι, ὦ νεανία, τὸν βουλόμενον ἐν τῇ πόλει στρατηγεῖν, ἐξὸν τοῦτο μαθεῖν, ἀμελῆσαι αὐτοῦ. καὶ δικαίως ἂν οὗτος ὑπὸ τῆς πόλεως ζημιοῖτο πολὺ μᾶλλον, ἢ εἴ τις ἀνδριάντας ἐργολαβοίη, μὴ μεμαθηκὼς ἀνδριαντοποιεῖν. ὅλης γὰρ τῆς πόλεως ἐν τοῖς πολεμικοῖς κινδύνοις ἐπιτρεπομένης τῷ στρατηγῷ, μεγάλα τά τε ἀγαθὰ κατορθοῦντος αὐτοῦ, καὶ τὰ κακὰ διαμαρτάνοντος, εἰκὸς γίγνεσθαι. πῶς οὖν οὐκ ἂν δικαίως, ὁ τοῦ μὲν μανθάνειν τοῦτο ἀμελῶν, τοῦ δὲ αἱρεθῆναι ἐπιμελούμενος ζημιοῖτο; τοιαῦτα μὲν δὴ λέγων, ἔπεισεν αὐτὸν ἐλθόντα μανθάνειν. ἐπεὶ δὲ μεμαθηκὼς ἧκε, προσέπαιζεν αὐτῷ, λέγων· οὐ δοκεῖ ὑμῖν, ὦ ἄνδρες, ὥσπερ Ὅμηρος τὸν Ἀγαμέμνονα γεραρὸν ἔφη εἶναι, καὶ οὕτως ὅδε στρατηγεῖν μαθών, γεραρώτερος φαίνεσθαι. καὶ γὰρ ὥσπερ ὁ κιθαρίζειν μαθών, καὶ ἐὰν μὴ κιθαρίζῃ, κιθαριστής ἐστι, καὶ ὁ μαθὼν ἰᾶσθαι, κἂν μὴ ἰατρεύῃ, ὅμως ἰατρός ἐστιν· οὕτω καὶ ὅδε ἀπὸ τοῦδε τοῦ χρόνου διατελεῖ στρατηγὸς ὤν, κἂν μηδεὶς αὐτὸν ἕληται. ὁ δὲ μὴ ἐπιστάμενος, οὔτε στρατηγός, οὔτε ἰατρός ἐστιν, οὐδὲ ἐὰν ὑπὸ πάντων ἀνθρώπων αἱρεθῇ. ἀτάρ, ἔφη, ἵνα καὶ ἐὰν ἡμῶν τις ταξιαρχῇ ἢ λοχαγῇ, ἐπιστημονέστεροι τῶν πολεμικῶν ὦμεν, λέξον ἡμῖν, πόθεν ἤρξατό σε διδάσκειν τὴν στρατηγίαν· καὶ ὅς, ἐκ τοῦ αὐτοῦ ἔφη εἰς ὅπερ καὶ ἐτελεύτα. τὰ γὰρ τακτικὰ ἐμέ γε καὶ ἄλλο οὐδὲν ἐδίδαξεν. ἀλλὰ μήν, ἔφη ὁ Σωκράτης, τοῦτό γε πολλοστὸν μέρος ἐστὶ στρατηγίας. καὶ γὰρ παρασκευαστικὸν τῶν εἰς τὸν πόλεμον τὸν στρατηγὸν εἶναι χρή, καὶ ποριστικὸν τῶν ἐπιτηδείων τοῖς στρατιώταις, καὶ μηχανικόν, καὶ ἐργαστικόν, καὶ ἐπιμελῆ, καὶ καρτερικόν, καὶ ἀγχίνουν, καὶ φιλόφρονά τε καὶ ὠμόν, καὶ ἁπλοῦν τε καὶ ἐπίβουλον, καὶ φυλακτικόν τε, καὶ κλέπτην, καὶ προετικόν, καὶ ἅρπαγα, καὶ φιλόδωρον, καὶ πλεονέκτην, καὶ ἀσφαλῆ, καὶ ἐπιθετικόν, καὶ ἄλλα πολλὰ καὶ φύσει καὶ ἐπιστήμῃ, ἃ δεῖ τὸν εὖ στρατηγήσοντα ἔχειν. καλὸν δὲ καὶ τὸ τακτικὸν εἶναι. πολὺ γὰρ διαφέρει στράτευμα τεταγμένον ἀτάκτου. ὥσπερ λίθοι τε καὶ πλίνθοι, καὶ ξύλα καὶ κέραμος, ἀτάκτως μὲν ἐρριμμένα, οὐδὲν χρήσιμά ἐστιν. ἐπειδὰν δὲ ταχθῇ, κάτω μὲν καὶ ἐπιπολῆς, τὰ μήτε σηπόμενα μήτε τηκόμενα, οἵ τε λίθοι καὶ ὁ κέραμος, ἐν μέσῳ δὲ αἵ τε πλίνθοι, καὶ τὰ ξύλα, ὥσπερ ἐν οἰκοδομίᾳ συντίθεται, τότε γίγνεται πολλοῦ ἄξιον κτῆμα οἰκία. ἀλλὰ πάνυ, ἔφη ὁ νεανίσκος, ὅμοιον, ὦ Σώκρατες, εἴρηκας. καὶ γὰρ ἐν τῷ πολέμῳ τούς τε πρώτους ἀρίστους δεῖ τάττειν καὶ τοὺς τελευταίους· ἐν δὲ μέσῳ τοὺς χείρους, ἵνα ὑπὸ μὲν τῶν ἄγωνται, ὑπὸ δὲ τῶν ὠθῶνται.

εἰ μὲν

XENOPHONTIS DE FACTIS ET DICTIS SOCRATIS MEMORATU DIGNIS LIBER TERTIUS, Bessarione Cardinale Niceno interp.

QVOD autem honestarum cupidis rerum, hortando eos ad studia earum quae cupiebant, perutilis erat, nunc tempus esset narrandi Cum enim quondam audisset Dionysodorum aduenisse in ciuitatem, qui profitebatur exercitus ductitandi artem se tradere posse, ad quendam é suis auditoribus quem sentiebat huius muneris cupidum esse, sic est locutus: Turpe est ô adolescens, inquit, profecto si quis uolens in ciuitate dux effici, negligat, doceri, cum discere liceat: At ciuitas multo cum maiori iustitia illum condemnaret, quàm si quis ignarus fingere statuas conaretur. CVM TOTA NANQVE ciuitas á duce in re militari pendeat, magnam & utilitatem cum illi res prospere successerint, & è conuerso perniciem cum aduersis inciderint, uerisimiliter fieri necesse est. Qui itaq; ista discere negligit, eligi uero in ducem conetur, cur non iure condemnetur? His igitur uerbis persuasit ei ire ad discendum. Cui cum edoctus redijt, allusit dicens: Nonne uidetur uobis, inquit, quemadmodum Homerus Agamemnonē uenerabilē appellauit, sic etiam iste cum imperare didicerit, uenerabilior apparere? Sicut enim qui pulsare citharam scit, etsi non pulsat, non minus tamen citharista est: quiq; mederi scit, etsi non medetur, medicus tamen est: sic etiam iste iam nunc est imperator, etsi nunquam electus fuerit. Qui uero nescit, nec imperator, nec medicus est, etsi ab omnibus hominibus eligatur. At uero si quis etiam nostrûm aut manipuli aut cohortis praefectus unquam fuerit, magis in rebus bellicis expertus sit. Dic nobis, à quo te incoepit imperandi artem docere? At ille: Indidem, ait, ubi etiam finiuit. Aciem nanq; instruendi artem, & nihil aliud me docuit. Atqui, Socrates ait, minima haec imperandi pars est. Imperatorem nanq; & praeparandi ea quae ad bellum conferant, expertum esse oportet, & ad uictum militibus necessaria reperiendi, machinandi, & operandi. Et ad haec diligentem eum esse necesse est, corpore patientem, prudentem, mitem, durum, simplicem, insidiatorem, cautum, furem, liberalem, rapacem, donandi plus quàm habendi amatorem, tutum, & alios aggredi aptum. Caeteraq; multa sunt, quae tum natura, tum doctrina illum habere oportet, qui bene imperaturus sit. Bonum uero est, inquit, aciem etiam ordinare scire: multo nanq; differt ordinatus ab inordinato exercitu. Quemadmodum enim lapides, lateres, ligna, & tegulae inordinate quidem proiecta, ad nihil utilia sunt: cum uero ordinentur deorsum & sursum quae neque putrescunt neq; fluūt lapides ac testae, in medio autem lateres & ligna, quemadmodum in aedificijs componūtur, tunc domus res pluris existimanda efficitur. Tum adolescēs: Vehementer ô Socrates, inquit, simile quiddā dixisti. Nā et in bello illos primos et ultimos ordinare oportet, q fortitudine excellāt: in medio uero peiores, ut à primis ducātur, ab ultimis uerò impellātur.

Si igi

Si igitur, Socrates ait, & discernere tibi fortes à timidis tradidit artem, bene est: sin minus, quæ utilitas erit huius tuæ disciplinæ? Nec enim si argentũ quoq; te docuisset in primo & ultimo loco optimum ordinare, peius uero in medio, non modo discernere bonum ab adulterato, ulla tibi esset utilitas. Sed mehercle, inquit, nõ docuit: itaq; nos oportet, qui fortes, quiue timidi sunt, iudicare. Quin igitur cõsideremus, ait, quo pacto nos non lateant? Ego profecto uelim: adolescens inquit. Si igitur argentum, inquit, rapere oportet, auaros & amatores argenti primos ponendo bene ordinabimus? Ita mihi uidetur. In periculis uero subeundis, num illos proponamus necesse est, qui amatores honoris sunt? Hi tamen, ait, non sunt obscuri: sed cum ubiq; præclari sint, facile inueniri ac eligi possunt. Sed sint hæc: Vtrum autem ordinare solùm te docuit, an etiam ubi, & quomodo utendum est quolibet illorum qui ordinandi sunt? Minime, inquit. Attamen multa sunt, ait, in quibus nec ordinare, nec ducere eodem modo oportet: nónne hæc tibi declarauerat? Minime, inquit, mehercle. Rursus igitur, inquit, adiens eum interroga si sciat. Nanq; si non impudens sit, pudebit eum cum pecuniam acceperit, ignarũ te linquere. Quondã uero cum casu quendam imperatorem electum cõuenisset: Qua de causa, inquit, arbitraris Homerũ nuncupasse Agamemnonem populorum pastorem? Nónne quoniam quemadmodum pastorem oportet curare ut saluæ sint oues, ac habeant unde uiuant: sic etiam imperatorẽ curare necesse est ut exercitus saluusq; sit, illudq; perficiat cuius rei gratia militat? Militant uero ut hostibus superatis feliciores ipsi sint. Cur nanq; ita laudasset Agamemnonem, atq; utrunq; eum appellasset, regemq; bonum, militemq; robustum, nisi quod probet illum esse militem fortem, qui non solum aduersus hostes fortiter luctetur, sed omni etiam exercitui huius causa sit? Regemq; bonum, qui non se solum bene regeret, sed etiã illis quos regat, felicitatis causa sit? REX nanq; eligitur non ut suiipsius curam habeat, sed ut per ipsum qui eum elegerũt, in felicitate degant. Similiter militant omnes homines ut quamoptima uita fruantur: imperatoresq; præficiunt, ut ad hoc eos conducant. Oportet igitur imperatorem prospicere, ut hoc idem eligentibus conferat. Nec etiam aliud melius isto, facile est reperire, nec contrario turpius. Et ad hunc modum considerans quæ sit boni præfecti uirtus, cætera quidem auferebat. Illud autem solum relinquebat, uidelicet ut felices efficiat illos, quorum quisq; dux effectus est. Cum quodam uero equitum præfecto in hunc modum eum memini disputasse: Habes ô adolescens nobis, inquit, exponere, qua de causa equitibus præesse desiderasti? Non enim ut cæteris equitib. præcurras, cum hoc etiam illis qui ab equo sagittant, liceat: quippe quod etiam illi equitum præfectis præcurrere solent. Vere dicis, ait. Nec ut cognitus omnibus sis: nam furiosi etiam ab omnibus agnoscuntur: Et hoc, inquit, uerum dixisti. Num ergo, quoniam putas opera tua equites meliores effectos, tradere ciuitati, ac dum illis præsis, si ita postulet necessitas, una cum eis aliquo commodo ciuitatem afficere? Vehementer, ait. Perquam optimum esset per Iouem, Socrates inquit, si hæc facere poteris.

Princi-

quod officium boni ducis et boni regis.

εἰ μὲν τοίνυν καὶ διαγιγνώσκειν σε τοὺς ἀγαθοὺς καὶ τοὺς κακοὺς ἐδίδαξεν, εἰ δὲ μή, τί σοι ὄφελος ὧν ἔμαθες; οὐδὲ γὰρ εἴ σε ἀργύριον ἐκέλευσε πρῶτον μὲν καὶ τελευταῖον τὸ κάλλιστον τάττειν, ἐν μέσῳ δὲ τὸ χείριστον, μὴ διδάξας διαγιγνώσκειν τό τε καλὸν καὶ τὸ κίβδηλον, οὐδὲν ἄν σοι ὄφελος ἦν. ἀλλὰ μὰ Δί', ἔφη, οὐκ ἐδίδαξεν, ὥστε αὐτοὺς ἂν ἡμᾶς δέοι τούς τε ἀγαθοὺς καὶ τοὺς κακοὺς κρίνειν. τί οὖν σκοπῶμεν, ἔφη, πῶς ἂν αὐτῶν μὴ διαμαρτάνοιμεν; βούλομαι, ἔφη ὁ νεανίσκος. οὐκοῦν, ἔφη, εἰ μὲν γὰρ ἀργύριον δέοι ἁρπάζειν, τοὺς φιλαργυροτάτους πρώτους καθιστάντες ὀρθῶς ἂν τάττοιμεν; ἔμοιγε δοκεῖ. τί δὲ τοὺς κινδυνεύειν μέλλοντας; ἆρα τοὺς φιλοτιμοτάτους προτακτέον; οὗτοι γοῦν εἰσιν, ἔφη, οἱ ἕνεκα ἐπαίνου κινδυνεύειν ἐθέλοντες. οὐ τοίνυν οὗτοί γε ἄδηλοι, ἀλλ' ἐπιφανεῖς πανταχοῦ ὄντες εὐαίρετοι ἂν εἶεν. ἀτάρ, ἔφη, πότερά σε τάττειν μόνον ἐδίδαξεν, ἢ καὶ ὅποι καὶ ὅπως χρηστέον ἑκάστῳ τῶν ταγμάτων; οὐ πάνυ, ἔφη. καὶ μὴν πολλά γ' ἐστὶ πρὸς ἃ ὅτι τάττειν ὡσαύτως προσήκει. ἀλλὰ μὰ Δί', ἔφη, οὐ διεσαφήνιζε ταῦτα. νὴ Δί', ἔφη, πάλιν τοίνυν ἐλθὼν ἐπανερώτα. ἢν γὰρ ἐπίστηται καὶ μὴ ἀναίσχυντος ᾖ, αἰσχυνεῖται ἀργύριον εἰληφὼς ἐνδεᾶ σε ἀποπέμψασθαι. ἐντυχὼν δέ ποτε στρατηγεῖν ᾑρημένῳ τῳ, τοῦ ἕνεκεν, ἔφη, Ὅμηρον οἴει τὸν Ἀγαμέμνονα προσαγορεῦσαι ποιμένα λαῶν; ἆρά γε ὅτι ὥσπερ αἱ οἶες καὶ τὰ ἐπιτήδεια ἕξουσι καὶ οὗ ἕνεκα στρατεύονται, τοῦτο ἔσται οὕτω καὶ τὸν στρατηγὸν ἐπιμελεῖσθαι δεῖ ὅπως σῶοί τε οἱ στρατιῶται ἔσονται, καὶ τὰ ἐπιτήδεια ἕξουσι. καὶ οὗ ἕνεκα στρατεύονται, τοῦτο ἔσται; στρατεύονται δὲ ἵνα κρατοῦντες τῶν πολεμίων εὐδαιμονέστεροι ὦσιν. ἢ τί δή ποτε οὕτως ἐπῄνεσε τὸν Ἀγαμέμνονα εἰπών, ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς, κρατερός τ' αἰχμητής; ἆρά γε ὅτι αἰχμητής τε καὶ κρατερὸς ἂν εἴη, οὐκ εἰ μόνος αὐτὸς εὖ ἀγωνίζοιτο πρὸς τοὺς πολεμίους, ἀλλ' εἰ καὶ παντὶ τοῦ στρατοπέδου τούτου αἴτιος εἴη. καὶ βασιλεὺς ἀγαθός, οὐκ εἰ μόνον τοῦ ἑαυτοῦ βίου καλῶς προεστήκοι, ἀλλ' εἰ καὶ ὧν βασιλεύοι, τούτοις εὐδαιμονίας αἴτιος εἴη; καὶ γὰρ βασιλεὺς αἱρεῖται, οὐχ ἵνα ἑαυτοῦ καλῶς ἐπιμελῆται, ἀλλ' ἵνα καὶ οἱ ἑλόμενοι δι' αὐτὸν εὖ πράττουσι. καὶ στρατεύονται δὲ πάντες, ἵνα ὁ βίος αὐτοῖς ὡς βέλτιστος ᾖ. καὶ στρατηγοὺς αἱροῦνται τούτου ἕνεκα, ἵνα πρὸς τοῦτο αὐτοῖς ἡγεμόνες ὦσι. δεῖ οὖν τὸν στρατηγοῦντα τοῦτο παρασκευάζειν τοῖς ἑλομένοις αὐτὸν στρατηγόν, καὶ γὰρ οὔτε κάλλιον τούτου ἄλλο ῥᾴδιον εὑρεῖν, οὔτε αἴσχιον τοῦ ἐναντίου. καὶ οὕτως ἐπισκοπῶν, τίς εἴη ἀγαθοῦ ἡγεμόνος ἀρετή, τὰ μὲν ἄλλα περιῄρει, κατέλιπε δὲ τὸ εὐδαίμονας ποιεῖν, ὧν ἂν ἡγῆται. καὶ ἱππαρχεῖν δέ τινι ᾑρημένῳ, οἶδά ποτε αὐτὸν τοιάδε διαλεχθέντα· ἔχοις ἄν, ἔφη, ὦ νεανία, εἰπεῖν ἡμῖν ὅτου ἕνεκα ἐπεθύμησας ἱππαρχεῖν; οὐ γὰρ δὴ τοῦ πρῶτος τῶν ἱππέων ἐλαύνειν. καὶ γὰρ ἱπποτοξόται τούτου γε ἀξιοῦνται. προελαύνουσι γοῦν καὶ τῶν ἱππάρχων. ἀληθῆ λέγεις, ἔφη. ἀλλὰ μὴν οὐδὲ τοῦ γνωσθῆναί γε, ἐπεὶ καὶ οἱ μαινόμενοί γε ὑπὸ πάντων γιγνώσκονται. ἀληθὲς, ἔφη, καὶ τοῦτο λέγεις. ἀλλ' ἆρα ὅτι τὸ ἱππικὸν οἴει τῇ πόλει βέλτιον ἂν ποιήσας παραδοῦναι, καὶ εἴ τις χρεία γίγνοιτο ἱππέων, τούτων ἡγούμενος ἀγαθοῦ τινος αἴτιος γενέσθαι τῇ πόλει; καὶ μάλα, ἔφη. καὶ ἔστι γε νὴ Δί', ἔφη ὁ Σωκράτης καλόν, ἐὰν δύνῃ ταῦτα ποιῆσαι.

ἡ δὲ

ἡ δὲ ἀρχή που ἐφ' ἧς ᾕρησαι ἱππέων τε καὶ ἀμβατῶν ἐστιν;
ἔστι γὰρ οὖν, ἔφη. ἴθι δὴ λέξον ἡμῖν πρῶτον τοῦτο, ὅπως
διανοῇ τοὺς ἵππους βελτίους ποιῆσαι. καὶ ὅς. ἀλλὰ τοῦτο
μὲν, ἔφη, οὐκ ἐμὸν οἶμαι τὸ ἔργον εἶναι· ἀλλὰ ἰδίᾳ ἕκαστον
δεῖν τοῦ ἑαυτοῦ ἔργου ἐπιμελεῖσθαι. ἐὰν οὖν, ἔφη ὁ Σωκρά-
της, παρέχωνταί σοι τοὺς ἵππους, οἱ μὲν οὕτως κακόπο-
δας, ἢ κακοσκελεῖς, ἢ ἀσθενεῖς, οἱ δὲ οὕτως ἀτρόφους, ὥσ-
τε μὴ δύνασθαι ἀκολουθεῖν· οἱ δὲ οὕτως ἀναγώγους, ὥστε
μὴ μένειν ὅπου ἂν σὺ τάξῃς· οἱ δὲ οὕτως λακτιστὰς, ὥστε
μηδὲ μετάξαι δυνατὸν εἶναι; τί σοι τοῦ ἱππικοῦ ὄφελος
ἔσται, ἢ πῶς δυνήσῃ τοιούτων ἡγούμενος, ἀγαθόν τι
ποιῆσαι τὴν πόλιν; καὶ ὅς· ἀλλὰ καλῶς τε λέγεις, ἔφη,
καὶ πειράσομαι τῶν ἵππων εἰς τὸ δυνατὸν ἐπιμελεῖσθαι.
τί δὲ, τοὺς ἱππέας οὐκ ἐπιχειρήσεις βελτίονας ποιῆσαι;
ἔγωγε, ἔφη, καὶ γὰρ εἴ τις αὐτῶν καταπέσοι, μᾶλλον ἂν
οὕτως σώζοιτο. τί γὰρ ἐάν που κινδυνεύειν δέοι, πότε-
ρον ἐπάγειν τοὺς πολεμίους ἐπὶ τὴν ἄμμον κελεύσεις,
ἔνθαπερ εἰώθατε ἱππεύειν, ἢ πειράσῃ τὰς μελέτας
ἐν τοιούτοις ποιεῖσθαι χωρίοις, ἐν οἵοισπερ οἱ πολέμιοι
γίγνονται; βέλτιον γοῦν, ἔφη, καὶ τοῦτο. θήγειν δὲ τὰς
ψυχὰς τῶν ἱππέων καὶ ἐξοργίζειν πρὸς τοὺς πολεμίους,
ἅπερ ἀλκιμωτέρους ποιεῖν διανενόησαι; εἰ δὲ μὴ, ἀλλὰ
νῦν γε πειράσομαι, ἔφη. ὅπως δέ σοι πείθωνται οἱ ἱπ-
πεῖς πεφρόντικάς τι; ἄνευ γὰρ δὴ τούτου οὔτε ἵππων,
οὔτε ἱππέων ἀγαθῶν καὶ ἀλκίμων οὐδὲν ὄφελος. ἀ-
ληθῆ λέγεις, ἔφη. ἀλλὰ πῶς ἄν τις μάλιστα, ὦ Σώκρα-
τες, ἐπὶ τοῦτο αὐτοὺς προτρέψαιτο; ἐκεῖνο μὲν δήπου οἶ-
σθα, ὅτι ἐν παντὶ πράγματι, οἱ ἄνθρωποι τούτοις μάλι-
στα ἐθέλουσι πείθεσθαι, οὓς ἂν ἡγῶνται βελτίους εἶναι. καὶ
γὰρ ἐν νόσῳ ὃν ἂν ἡγῶνται ἰατρικώτατον εἶναι, τούτῳ
μάλιστα πείθονται· καὶ ἐν πλοίῳ οἱ πλέοντες, ὃν ἂν κυ-
βερνητικώτατον· καὶ ἐν γεωργίᾳ, ὃν ἂν γεωργικώτα-
τον. καὶ μάλα, ἔφη. οὐκοῦν εἰκὸς, ἔφη, καὶ ἐν ἱππικῇ,
ὃς ἂν μάλιστα εἰδὼς φαίνηται ἃ δεῖ ποιεῖν, τούτῳ μάλι-
στα ἐθέλειν τοὺς ἄλλους πείθεσθαι. ἐὰν οὖν, ἔφη ἐγὼ, ὦ Σώ-
κρατες, βέλτιστος ὢν αὐτῶν δῆλος ὦ, ἀρκέσει μοι τοῦτο
εἰς τὸ πείθεσθαι αὐτοὺς ἐμοί; ἐάν γε πρὸς τοῦτο, ἔφη, διδά-
ξῃς αὐτοὺς, ὡς τὸ πείθεσθαί σοι, κάλλιόν τε καὶ σωτηριώ-
τερον αὐτοῖς ἔσται. πῶς οὖν, ἔφη, τοῦτο διδάξω; πολὺ νὴ
Δί', ἔφη, ῥᾷον ἢ εἴ σοι δέοι διδάσκειν, ὡς τὰ κακὰ τῶν
ἀγαθῶν καὶ ἀμείνω καὶ λυσιτελέστερά ἐστι. λέγεις, ἔφη, σὺ
τὸν ἵππαρχον πρὸς τοῖς ἄλλοις ἐπιμελεῖσθαι δεῖν, καὶ τοῦ λέ-
γειν δύνασθαι; σὺ δ' ᾤου, ἔφη, χρῆναι σιωπῇ ἱππαρχεῖν;
ἢ οὐκ ἐντεθύμησαι, ὅτι ὅσα τε νόμῳ μεμαθήκαμεν κάλ-
λιστα ὄντα, δι' ὧν γε ζῆν ἐπιστάμεθα, ταῦτα πάντα διὰ
λόγου ἐμάθομεν; καὶ εἴ τι ἄλλο καλὸν μανθάνει τις μά-
θημα, διὰ λόγου μανθάνει. καὶ οἱ ἄριστα διδάσκοντες, μά-
λιστα λόγῳ χρῶνται. καὶ οἱ τὰ σπουδαιότατα μάλιστα ἐπι-
στάμενοι, κάλλιστα διαλέγονται. ἢ τόδε οὐκ ἐντεθύμη-
σαι, ὡς ὅταν γε χορὸς εἷς ἐκ τῆσδε τῆς πόλεως γίγνηται, ὥσ-
περ ὁ εἰς Δῆλον πεμπόμενος, οὐδεὶς ἄλλοθεν οὐδαμόθεν
τούτῳ ἐφάμιλλος γίγνεται, οὐδὲ εὐανδρία ἐν ἄλλῃ πό-
λει ὁμοία τῇ ἐνθάδε συνάγεται. ἀληθῆ λέγεις, ἔφη.
ἀλλὰ μὴν οὔτε εὐφωνίᾳ τοσοῦτον διαφέρουσιν Ἀθηναῖοι
τῶν ἄλλων, οὔτε σωμάτων μεγέθει καὶ ῥώμῃ, ὅσον φιλοτι-
μίᾳ, ἥπερ μάλιστα παροξύνει πρὸς τὰ καλὰ καὶ ἔντιμα.
ἀληθὲς,

Principatus uero hic in quem electus es, equorum & equitum est? Ita est, inquit. Age itaque hoc primum dic nobis: Quibus artibus cogitas equos meliores efficere? At ille: Non meum hoc opus est, sed quilibet officij sui curam habebit. At si tibi, Socrates ait, equos ducent quosdam, tam uitiatis pedibus ac tibijs: quosdam uero ita debiles ac strigosos, ut sequi non poßint: & quosdam ita male educatos, ut non maneant quocunque tu loco ordinaueris: quosdam uero tam calcitrosos, ut non sit poßibile de uno in alium aciei locum eos transferre, quae tibi utilitas erit equitatus? aut quo tandem bono, cum talibus praesis, ciuitatem afficies? At ille: Optime dicis, inquit: & ideo prout possum, conabor equorum curam habere. Quid uero, equites ipsos non conaberis meliores efficere? Vehementer, inquit. Primo itaque, ait, aptiores ad ascendendum equos efficies? Opportunum est, inquit: etenim si quando quisquam eorum ab equo caderet, citius hoc modo saluus erit. Quod si pericula, inquit, oportuerit subire, utrum ad arenam iubebis hostes attrahere, ubi equitare soletis: an in talibus locis exerceri conaberis, quibus bella fieri solent? Hoc esset melius, ait. Acuere uero animos equitum, & aduersus hostes irritare, ac fortiores efficere unquam considerasti? Si non antea, nunc, ait, conabor. Vt uero tibi obediant equites cogitasti? etenim absq; hoc, nec equorum, nec equitum bonorum ac fortium ulla erit utilitas. Verum dicis, ait. Sed quonam modo quisquam ô Socrates, eos ad hoc hortaretur? NON IGNORAS ILLVD, AIT, QVOD IN QVAQVE RE ILLIS OBEDIRE POTISSIMVM HOMINES VOLVNT, QVOS PVTANT OPTIMOS ESSE: NAM ET IN MORBO ILLI *potißimum obediunt, quem putant medicina excellere: & in naui qui nauigant, gubernatori: & in agricultura agricolae. Ita profecto, inquit. Et in equitandi itaque arte, ait, quicunque sciat quae oporteat agere, illi uerisimiliter caeteri obedient. Si ergo ego, ô Socrates, melior illis in hac re sim, sufficiet mihi ad hoc ut illi mihi obediant? Si ad haec, inquit, doceas illos, melius & magis expediens eis fore tibi obedire. Quo autem modo istud docebo? Multo facilius, ait, per Iouem, quàm si oportuerit docere, mala meliora esse bonis atque utiliora. Vt apparet igitur, inquit, tu dicis equitum praesidem oportere etiam artem perorandi habere. Tu autem putabas, ait, tacendo posse equitibus praeesse? An non recordaris, quod quaecunque optima lege didicimus, per quae uiuere possumus, omnia ista per uerba didicimus? Et si quam aliam bonam quisque disciplinam discat, per uerba discit: quique optime docent, sermone utuntur: quiq; honestissima sciant, optima disputant. Vnde fit, quod cum ex hac ciuitate unus coetus efficiatur, ut ille chorus qui in Delum mittitur, nullus alius usquam aequalis isti fieri poßit, nec tam optimorum hominum in ciuitate, ut in ista nostra, congregatur. Ita est, inquit. Atqui, Socrates ait, nec uocis sonoritate tantum Athenienses alijs antecellunt, nec corporum magnitudine & robore, quantum honoris studio, quod potißimum homines ad bene agendū hortatur,*

Et

Et hoc, inquit, uerũ dixisti. Nonne igitur putas, inquat, si quis haberet curam equitũ nostrorũ, quammaxime & in hoc alijs excellerent armorũ & equorũ præparatione ac ordinatione, prõptitudineq; ad exponendũ se periculis hostiũ, dummodo putent si hæc faciant, laude & honore dignos fore? Verisimile est, inquit. Noli igitur negligere, ait, sed conare eos ad ea hortari, à quibus & tibi & cæteris per te ciuib. utilitas erit. Sed mehercle, conabor, inquit. Cum uero quondã uidisset Nicomachidẽ è comitijs domum repetentẽ, interrogauit: Quinam ô Nicomachides, imperatores sunt electi? At ille: Nonne uides ô Socrates, inquit, quales Atheniẽses sunt, quod me quidem nõ elegerũt qui modo ut miles, modo manipuli, modo legionis præfectus, militans me contriui, tot ab hostibus susceptis uulneribus? Et simul cũ hæc diceret, cicatrices uulnerũ nudato corpore ostendebat. Antisthenẽ autẽ elegerunt, qui nec in peditibus, nec in equitib. unquã laude dignũ quicquã militãdo fecerat: quiq; nihil aliud nouit, nisi pecuniã conquirere. Hoc igitur, inquit Socrates, bonũ erit, siquidẽ militib. sufficiens erit necessaria præbere. Nam & negociatores, ait Nicomachides, sufficientes sunt ad pecuniam congregandã, non tamẽ ideo imperare quoq; possint. At Socrates ait: Imo etiã uictoriæ studiosus Antisthenes est, quod oportet imperatori adesse. Nonne uides quoties cõtendit in ludicris certaminib. illum in omnib. uincere? Minime tamẽ mehercle, Nicomachides ait, simile est spectaculis et exercitui præesse. Atqui, Socrates ait, cũ nec cãtus, nec ludicrorũ peritus Antisthenes esset, tamen potuit reperire qui optimi in huiuscemodi essent. Et cũ imperet ergo, inquit Nicomachides alios qui pro eo aciẽ ordinent reperiet, alios uero qui ui oppugnabũt? Si ita in re quoq; militari, Socrates ait, qui optimi sunt, sicut in spectaculis fecit, reperiet, et illos alijs præponet, merito & in hac re uictor euadet. Nam & pecuniã eum impendere magis uerisimile est in hanc uictoriã rei militaris, quæ cõmunis toti ciuitati erit, q̃ in illã quæ in ludicris spectaculis solet tribui, nec cõmunis esse. Putas ô Socrates igitur eiusdem hominis esse, in ludicra pecuniã conferre ac imperare? Puto ego, inquit, in quacũq; re quisquã præsit, si sciat quibus opus erit, & possit illa conquirere, optimus ille præses est, siue spectaculo, siue domui, siue ciuitati, siue exercitui præsit. At mehercle, ait Nicomachides, nunquã putassem me hoc abs te auditurũ, bonos etiã imperatores fore, qui boni patresfamiliás sunt. Age ergo, Socrates inquit, utriusq; eorum officia inuestigemus, ut sciamus utrũ eadem sint, an in aliquo differant. Inuestigemus, ait. Vtrusq; enim hoc unum communè est officium, inquit, subditos sibi obedientes efficere. Vehementer, ait. Illa uero præcipere cuilibet quæ facere sciat, nónne commune utriusque est? Bonos uerò præmijs afficere, malos autem pœnis, nónne utrisq; conuenit? Vtrisque, inquit. Subditos uerò beneuolos sibi facere non est utriq; expediens? Expediens, inquit. Socios autem atq; auxiliares acquirere, uidetur ne tibi utrisque conducere? Videtur, ait. Custodes uerò rerum suarum esse, est opportunum utrisque? Est inquit. Diligentes ergo & industrios utrosque esse oportet in suis officijs? Hæc omnia, inquit, similia utrisque sunt:

bel/

ἀληθές, ἔφη, καὶ τοῦτο. οὐκοῦν οἴει, ἔφη, καὶ τοῦ ἱππικοῦ τοῦ ἐνθάδε, εἴ τις ἐπιμεληθείη, ὡς πολὺ ἂν καὶ τούτῳ διενέγκειεν τῶν ἄλλων, ὅπλων τε καὶ ἵππων παρασκευῇ καὶ εὐταξίᾳ, καὶ τῷ ἑτοίμως κινδυνεύειν πρὸς τοὺς πολεμίους, εἰ νομίσειαν ταῦτα ποιοῦντες, ἐπαίνου καὶ τιμῆς τεύξεσθαι; εἰκός γε, ἔφη. μὴ τοίνυν ὄκνει, ἔφη, ἀλλὰ πειρῶ τοὺς ἄνδρας ἐπὶ ταῦτα προτρέπειν, ἀφ᾽ ὧν αὐτός τε ὠφεληθήσῃ, καὶ οἱ ἄλλοι πολῖται διὰ σέ. ἀλλὰ νὴ Δία πειράσομαι, ἔφη. ἰδὼν δέ ποτε Νικομαχίδην, ἐξ ἀρχαιρεσιῶν ἀπιόντα, ἤρετο. τίνες, ὦ Νικομαχίδη, στρατηγοὶ ᾕρηνται; καὶ ὅς. οὐ γάρ, ἔφη, ὦ Σώκρατες, τοιοῦτοί εἰσιν Ἀθηναῖοι, ὥστε ἐμὲ μὲν οὐχ εἵλοντο, ὃς ἐκ καταλόγου στρατευόμενος κατατέτριμμαι καὶ λοχαγῶν καὶ ταξιαρχῶν, καὶ τραύματα ὑπὸ τῶν πολεμίων τοσαῦτα ἔχων. ἅμα δὲ τὰς οὐλὰς τῶν τραυμάτων ἀπογυμνούμενος ἐπεδείκνυεν. Ἀντισθένην δέ, ἔφη, εἵλοντο, τὸν οὔτε ὁπλίτην που στρατευσάμενον, ἔν τε τοῖς ἱππεῦσιν οὐδὲν περίβλεπτον ποιήσαντα, ἐπιστάμενόν τε ἄλλο οὐδέν, ἢ χρήματα συλλέγειν. οὐκοῦν, ἔφη ὁ Σωκράτης τοῦτο μὲν ἀγαθόν, εἴγε τοῖς στρατιώταις ἱκανὸς ἔσται τὰ ἐπιτήδεια πορίζειν. καὶ γὰρ οἱ ἔμποροι, ἔφη ὁ Νικομαχίδης, χρήματα συλλέγειν, ἱκανοί εἰσιν. ἀλλ᾽ οὐχ ἕνεκα τούτου καὶ στρατηγεῖν δύναιντ᾽ ἄν. καὶ ὁ Σωκράτης, ἔφη. ἀλλὰ καὶ φιλόνεικος Ἀντισθένης ἐστίν, ὃ στρατηγῷ προσεῖναι ἐπιτήδειόν ἐστιν. οὐχ ὁρᾷς ὅτι καὶ ὁσάκις κεχορήγηκε πᾶσι τοῖς χοροῖς νενίκηκε; μὰ Δί᾽, ἔφη ὁ Νικομαχίδης, ἀλλ᾽ οὐδὲν ὅμοιόν ἐστι, χοροῦ τε καὶ στρατεύματος προεστάναι. καὶ μήν, ἔφη ὁ Σωκράτης, οὐδὲ ᾠδῆς γε ὁ Ἀντισθένης, οὐδὲ χορῶν διδασκαλίας ἔμπειρος ὤν, ὅμως ἐγένετο ἱκανὸς εὑρεῖν τοὺς κρατίστους ταῦτα. καὶ ἐν τῇ στρατιᾷ οὖν, ἔφη ὁ Νικομαχίδης, ἄλλους μὲν εὑρήσει τοὺς τάξοντας ἀνθ᾽ ἑαυτοῦ, ἄλλους δὲ τοὺς μαχουμένους. οὐκοῦν, ἔφη ὁ Σωκράτης, ἐάν γε καὶ ἐν τοῖς πολεμικοῖς τοὺς κρατίστους, ὥσπερ ἐν τοῖς χορικοῖς ἐξευρίσκῃ τε καὶ προαιρῆται, εἰκότως ἂν καὶ τούτου νικηφόρος εἴη. καὶ δαπανᾶν δ᾽ αὐτὸν εἰκὸς μᾶλλον ἐθέλειν, εἰς τὴν ξὺν ὅλῃ τῇ πόλει τῶν πολεμικῶν νίκην, ἢ εἰς τὴν ξὺν τῇ φυλακῇ τῶν χορικῶν. λέγεις σύ, ἔφη, ὦ Σώκρατες, ὡς τοῦ αὐτοῦ ἀνδρός ἐστι χορηγεῖν τε καλῶς καὶ στρατηγεῖν; λέγω ἔγωγ᾽, ἔφη, ὡς ὅτου ἄν τις προστατεύῃ, ἐὰν γιγνώσκῃ τε ὧν δεῖ, καὶ ταῦτα πορίζεσθαι δύνηται, ἀγαθὸς ἂν εἴη προστάτης, εἴτε χοροῦ, εἴτε οἴκου, εἴτε πόλεως, εἴτε στρατεύματος προστατεύει. καὶ ὁ Νικομαχίδης, μὰ Δί᾽, ἔφη, ὦ Σώκρατες, οὐκ ἄν ποτε ᾤμην ἐγώ σου ἀκοῦσαι, ὡς ἀγαθοὶ οἰκονόμοι στρατηγοὶ ἂν εἶεν. ἴθι δή, ἔφη, ἐξετάσωμεν τὰ ἔργα ἑκατέρου αὐτῶν, ἵνα εἰδῶμεν, πότερον τὰ αὐτά ἐστιν, ἢ διαφέρει τι. πάνυ γε, ἔφη. τὸ μὲν τοὺς ἀρχομένους κατηκόους τε καὶ εὐπειθεῖς ἑαυτοῖς παρασκευάζειν, ἀμφοτέρων ἐστὶν ἔργον; καὶ μάλα, ἔφη. τί δὲ τὸ προστάττειν ἑκάστους ἐπιτήδεια πράττειν; καὶ τοῦτο, ἔφη. καὶ μὴν τὸ τοὺς κακοὺς κολάζειν, καὶ τοὺς ἀγαθοὺς τιμᾶν ἀμφοτέροις οἶμαι προσήκειν; πάνυ μὲν οὖν, ἔφη. τὸ δὲ τοὺς ὑπηκόους εὐμενεῖς ποιεῖσθαι, πῶς οὐ καλὸν ἀμφοτέροις; καὶ τοῦτ᾽ ἔφη. συμμάχους δὲ καὶ βοηθοὺς προσάγεσθαι δοκεῖ σοι συμφέρειν ἀμφοτέροις, ἢ οὔ; πάνυ μὲν οὖν, ἔφη. ἀλλὰ φυλακτικοὺς τῶν ὄντων οὐκ ἀμφοτέρους εἶναι προσήκει περὶ τὰ αὐτὰ ἔργα; ταῦτα μέν, ἔφη, πάντα ὁμοίως ἀμφοτέρων ἐστίν.

ἀλλὰ

ἀλλὰ τὸ μάχεσθαι οὐκέτι ἀμφοτέρων. ἀλλ' ἐχθροί γέ τοι ἀμφοτέροις γίγνονται; καὶ μάλα, ἔφη, τοῦτό γε. οὐκοῦν τὸ περιγενέσθαι τούτων ἀμφοτέροις συμφέρει; πάνυ γ', ἔφη. ἀλλ' ἐκεῖνο παρελείπεις, ἂν δέῃ μάχεσθαι, τί ὠφελήσει ἡ οἰκονομική. ἐνταῦθα δή που καὶ πλεῖστον, ἔφη. ὁ γὰρ ἀγαθὸς οἰκονόμος, εἰδὼς ὅτι οὐδὲν οὕτω λυσιτελές τι καὶ κερδαλέον ἐστὶν, ὡς τὸ μαχόμενον τοὺς πολεμίους νικᾶν, οὐδὲ οὕτως ἀλυσιτελές τι καὶ ζημιῶδες, ὡς τὸ ἡττᾶσθαι, προθύμως μὲν τὰ πρὸς τὸ νικᾶν συμφέροντα ζητήσει, καὶ παρασκευάσεται. ἐπιμελῶς δὲ τὰ πρὸς τὸ ἡττᾶσθαι φέροντα, σκέψεται καὶ φυλάξεται, ἐνεργῶς δ' ἂν τὴν παρασκευὴν ὁρᾷ νικητικὴν οὖσαν μαχεῖται. οὐχ ἥκιστα δὲ τούτων, ἐὰν ἀπαρασκεύαστος ᾖ, φυλάξεται συνάπτειν μάχην. μὴ καταφρόνει, ἔφη, ὦ Νικομαχίδη, τῶν οἰκονομικῶν ἀνδρῶν. ἡ γὰρ τῶν ἰδίων ἐπιμέλεια πλήθει μόνον διαφέρει τῆς τῶν κοινῶν. τὰ δὲ ἄλλα παραπλήσια ἔχει. τὸ μέγιστον, ὅτι οὔτε ἄνευ ἀνθρώπων οὐδέτερα γίγνεται, οὔτε δι' ἄλλων μὲν ἀνθρώπων, τὰ ἴδια πράττεται, δι' ἄλλων δὲ τὰ κοινά. οὐ γὰρ ἄλλοις τισὶν ἀνθρώποις οἱ τῶν κοινῶν ἐπιμελόμενοι χρῶνται, ἢ οἷσπερ τὰ ἴδια οἰκονομοῦντες, ὅσοι ἐπιστάμενοι χρῆσθαι, καὶ τὰ ἴδια καὶ τὰ κοινὰ καλῶς πράττουσιν. οἱ δὲ μὴ ἐπιστάμενοι, ἀμφοτέρωθι πλημμελοῦσιν. Περικλεῖ δέ ποτε τῷ τοῦ πάνυ Περικλέους υἱῷ διαλεγόμενος, ἐγώ τοι, ἔφη, ὦ Περίκλεις, ἐλπίδα ἔχω σοῦ στρατηγήσαντος, ἀμείνω τε καὶ ἐνδοξοτέραν τὴν πόλιν εἰς τὰ πολεμικὰ ἔσεσθαι, καὶ τῶν πολεμίων κρατήσειν. καὶ ὁ Περικλῆς, βουλοίμην ἂν, ἔφη, ὦ Σώκρατες, ἃ λέγεις, ὅπως δὲ ταῦτα γένοιτ' ἂν οὐ δύναμαι γνῶναι. βούλει οὖν, ἔφη ὁ Σωκράτης, διαλογιζόμενοι περὶ αὐτῶν ἐπισκοπῶμεν, ὅπου ἤδη τὸ δυνατόν ἐστι; βούλομαι, ἔφη. οὐκοῦν οἶσθα, ἔφη, ὅτι πλήθει μὲν οὐδὲν μείους εἰσὶν Ἀθηναῖοι Βοιωτῶν; οἶδα γὰρ, ἔφη. σώματα δὲ ἀγαθὰ καὶ καλὰ, πότερον ἐκ Βοιωτῶν οἴει πλείω ἂν ἐκλεχθῆναι, ἢ ἐξ Ἀθηνῶν; οὐδὲ ταύτῃ μοι δοκοῦσι λείπεσθαι. εὐμενεστέρους δὲ ποτέρους ἑαυτοῖς εἶναι νομίζεις; Ἀθηναίους ἔγωγε. Βοιωτῶν μὲν γὰρ πολλοὶ πλεονεκτούμενοι ὑπὸ Θηβαίων δυσμενῶς αὐτοῖς ἔχουσιν. Ἀθήνησι δὲ οὐδὲν ὁρῶ τοιοῦτον. ἀλλὰ μὴν φιλοτιμότατοί γε καὶ φιλοφρονέστατοι πάντων εἰσὶν, ἅπερ οὐχ ἥκιστα παροξύνει κινδυνεύειν, ὑπὲρ εὐδοξίας τε καὶ πατρίδος, οὐδὲ ἐν τούτοις Ἀθηναῖοι μεμπτοί. καὶ μὴν προγόνων γε καλὰ ἔργα οὐκ ἔστιν, οἷς μείζω καὶ πλείω ὑπάρχει, ἢ Ἀθηναίοις, ᾧ πολλοὶ ἐπαιρόμενοι, προτρέπονταί τε ἀρετῆς ἐπιμελεῖσθαι, καὶ ἄλκιμοι γίγνεσθαι. ταῦτα μὲν ἀληθῆ λέγεις πάντα, ὦ Σώκρατες. ἀλλ' ὁρᾷς ὅτι ἀφ' οὗ ἥ τε σὺν Τολμίδῃ τῶν χιλίων ἐν Λεβαδείᾳ συμφορὰ ἐγένετο, καὶ ἡ μεθ' Ἱπποκράτους ἐπὶ Δηλίῳ, ἐκ τούτων τεταπείνωται μὲν ἡ τῶν Ἀθηναίων δόξα πρὸς τοὺς Βοιωτούς. ἐπῆρται δὲ τὸ τῶν Θηβαίων πρὸς τοὺς Ἀθηναίους. ὥστε Βοιωτοὶ μὲν οἱ πρόσθεν, οὐδὲ ἐν τῇ ἑαυτῶν τολμῶντες Ἀθηναίοις, ἄνευ Λακεδαιμονίων τε καὶ τῶν ἄλλων Πελοποννησίων ἀντιτάττεσθαι, νῦν ἀπειλοῦσιν αὐτοὶ καθ' αὑτοὺς, ἐμβαλεῖν εἰς τὴν Ἀττικήν. Ἀθηναῖοι δὲ οἱ πρότερον, ὅτε Βοιωτοὶ μόνοι ἐγένοντο, πορθοῦντες τὴν Βοιωτίαν, φοβοῦνται μὴ Βοιωτοὶ δῃώσωσι τὴν Ἀττικήν. καὶ ὁ Σωκράτης, ἀλλ' αἰσθάνομαι μὲν, ἔφη, ταῦτα οὕτως ἔχοντα.

bellum uero gerere minime utrisque commune est. Quid uero, num inimici utrisq; esse possunt? Possunt, ait. Superare itaque eos utrisque expedit? Expedit, ait. Sed prætermittis dicere, quid utilitatis afferre œconomica poßit, si ad bellum uenire oportuerit? Multum, Socrates ait: bonus enim paterfamiliás cum sciat nihil ita lucratiuum & profuturum esse ut pugnando hostes uincere, nec tam obfuturum & damnosum ut uinci, diligenter ea quidem quæ ad uictoriam
10 obtinendam conducant, perquiret & præparabit: quæ uero uinci faciunt, considerabit, & ab eis cauebit: & cum bene se sciat paratum, uiriliter pugnabit. Dum autem non sit paratus, abstinebit à bello inducendo. Noli ô Nicomachides, paruipendere homines œconomicos, inquit. Cura nanque rerum priuatarum, multitudine solum à reipublicæ gubernatione differt, in cæteris uero similes sunt. Quod uero magis est, neque absque hominibus ulla istarum regitur, nec per alios quidem priuatæ, per alios
20 uero homines publicæ res gubernantur. Fidis nanq; hominibus utuntur, qui reipublicæ curam habent, quibus etiam illi qui proprias et priuatas gubernant. Qui enim uti hominibus non ignorent, & priuatas & publicas optime regunt: qui uero nesciant, in utrisque errant. Cum disputaret autem quondam cum Pericle, Periclis illius celebratißimi filio: Spero ô Pericles, inquit, te imperatore electo, meliorem honorabilioremque ciuitatem ad res meliores fore, hostesq; superaturam. At Pericles: Velim ô Socrates,
30 ait, ita ut tu dicis fore. Sed quibusnam artibus ista efficiantur, nempe intelligere non queo. Vis itaque, Socrates inquit, de eis consideremus, quonam modo effici poßint? Vehementer, ait. Considerasti igitur, ait, Athenienses multitudine non esse pauciores quàm Bœoti sint? Consideraui, inquit. Corpora uero bona ac pulchra, utrum à Bœotia, an ab Athenis putas plura eligi posse? Nec in hoc mihi uidentur Athenienses minus habere. Magis uero beneuolos inuicem quos? Equidem Athenienses ait. Bœ
40 otiorum nanque multi cum à Thebanis molestentur, maleuoli inuicem sunt, Athenis uero nihil esse uideo. Quod si honoris cupidi magis omnibus, ac amicitiæ cultores Thebani uideantur, quæ multum homines ad pericula subeunda pro patria & honore hortantur, nec in his Athenienses minus illis habent. Atqui nulli sunt quibus præclariora pluráue maiorum suorum facinora suppetant, quàm Athenienses: quibus multi confisi, nituntur uirtute præstantes ac fortes effici. Hæc omnia quidem uera, ô Socrates, sunt.
50 Sed uides, ex quo illa mille militum strages cum Tolmide apud Lebadiam facta est, & apud Delium cum Hippocrate, prostrata quidem Atheniensium fama apud Bœotos: Thebanorum autem aucta est apud Athenienses, ita ut cum antea Bœoti nec in eorum patria auderent sine Lacedæmonijs alijsq; Peloponnesiacis Atheniensibus resistere, modo minantur ipsi per se Atticam aggredi: Athenienses autem qui antea cum soli Bœoti essent, totam Bœotiam expugnabant, pertimescunt ne Bœoti Atticam depopulentur. Tum Socrates: Sentio, inquit, profecto sic se ista

 habere:

habere: uidetur autem mihi modo magis esse ciuitatē dispositam, ad bono uiro optimoq; principi parendū. Fiducia nanq; negligentiam, inertiam, & inobedientiam parit, timor autem circumspectos, obedientes, ac ordinatos homines reddit. Magnum argumentum huius nautas habes, qui quandiu nihil timeāt, nullo ordine cūcta peragūt. Cum uero aut tempestatē, aut bella suspicātur, nō modo facilime quęcūq; eis dicātur perficiunt, sed etiā magno cum silentio attendūt quid eis praecipiatur, sicuti illi qui tripudijs uacāt. Si igitur, ait Pericles, nūc potius obediant, dicere te ô Socrates oportet, quo eos modo hortemur iterū ad pristinā attēdere uirtutē, famam atq; felicitatē. Quemadmodū, Socrates inquit, si pecuniā quae apud alios est, ut ipsi caperent eos hortari uoluissemus, id potißimū fieret si eis ostenderemus illam eis fuisse paternā, ac ideo pertinere ad eos: sic etiam nunc, cum ut primas in uirtutib. exercendis habeāt uelimus, ostendendū est eis iam olim ad eos pertinere, quodq; si in his studeant, omnib. erūt facilime potētiores. Quo autē pacto, ait Pericles, hoc eis persuadebimus? Si, ut puto, inquit, in memoriā eis reduxerimus quaecūq; de antiquorib. maiorum suorū audiuerunt, quantumq; illi optimi fuerūt. Num dicis, ait, de iudicio, quo deos Cecrops & qui secum erant propter suam uirtutē dijudicarunt? Ita inquit. Necnō ortum Erechthei, ac educationē, bellumq; quod sub illo aduersus omnes Epirotas, quodq; sub Herculis prole aduersus Peloponnenses, omniaq; alia quae sub Theseo facta sunt: in quibus omnibus patefactum est, magnopere illos omnibus illius aetatis hominibus praeualuisse. Quod si uis, quae postea illorum quidem nepotes, qui non ita multum ante nos uixere, peregerunt, partim per se contra illos pugnantes qui toti Asiae ac Europae ad Macedoniam usq; dominabantur, amplioremq; potentiam quàm sui maiores habentes, ac magnas res gestas edentes, partim autem & cum Peloponnensibus tum mari, tum terra uincētes, qui quidem dicuntur multo omnibus illius aetatis hominib. praestantiores fuisse. Dicuntur nanq;, ait. Quapropter, inquit, cum in tota Graecia multi amissa patria alibi habitassent, ipsi semper suam coluerunt: cumq; multi inter se discordias habuerunt, illorū arbitrio cōtenti erant, ad illosq; nonnulli alij à potentioribus lacessiti refugiebant. At Pericles: Ideo miror, ô Socrates, cur ciuitas ad peiorem statum prolapsa sit. Puto, Socrates inquit, quod quemadmodum alij quoq; nonnulli quoniam multum praeualuerunt, negligentiae dediti, minus postea quàm aduersarij ualuerunt: sic etiam Athenienses, cum multo superiores essent, neglexisse seipsos, & idcirco peiores effectos fuisse. Nunc autem, inquit, quid facientes pristinam uirtutem recuperent? At Socrates: Nihil occultum, ut puto: nam si cognitis maiorum suorum operibus, non peius quàm illi operentur, non peiores illis efficerentur. Sin minus, illos saltem imitando qui modo primas tenent, & in eisdem quibus et iam illi studendo, si similiter atq; illi eis utantur non illis deteriores. Quod si accuratius, etiam meliores eos euasuros esse credo. Ut ex dictis tuis sentio, inquit, longe uirtutem à ciuitate nostra abesse dicis. Quando enim Athenienses, aut seniores ut Lace/

ἔχοντα. δοκεῖ δέ μοι ἀνδρὶ ἀγαθῷ ἄρχοντι, νῦν δὴ ἀρεσκοτέρως διακεῖσθαι ἡ πόλις. τὸ μὲν γὰρ θάρσος ἀμέλειάν τε καὶ ῥᾳθυμίαν καὶ ἀπείθειαν ἐμβάλλει· ὁ δὲ φόβος προσεκτικωτέρους τε καὶ εὐπειθεστέρους καὶ εὐτακτοτέρους ποιεῖ. τεκμήριον δ' ἂν καὶ τοῦτο λάβοι τις ἐκ τῶν ἐν ταῖς ναυσίν. ὅταν μὲν γάρ δήπου μηδὲν φοβῶνται, μεστοί εἰσιν ἀταξίας. ἔστ' ἂν δὲ ἢ χειμῶνα ἢ πολεμίους δεδίωσιν, οὐ μόνον τὰ κελευόμενα πάντα ποιοῦσιν, ἀλλὰ καὶ σιγῶσι καραδοκοῦντες τὰ προσταχθησόμενα, ὥσπερ χορευταί. ἀλλὰ μήν, ἔφη ὁ Περικλῆς, εἴγε νῦν μάλιστα πείθοιντο, ὥρα ἂν εἴη λέγειν, πῶς ἂν αὐτοὺς προτρεψαίμεθα πάλιν ἀντερασθῆναι τῆς ἀρχαίας ἀρετῆς τε καὶ εὐκλείας καὶ εὐδαιμονίας. οὐκοῦν, ἔφη ὁ Σωκράτης, εἰ μὲν ἐβουλόμεθα χρημάτων αὐτοὺς ὧν οἱ ἄλλοι εἶχον ἀντιποιεῖσθαι, ἀποδεικνύντες αὐτοῖς ταῦτα πατρῷά τε ὄντα καὶ προσήκοντα, μάλιστα οὕτως αὐτοὺς ἐξορμῷμεν, ἀντέχεσθαι τούτων. ἐπεὶ δὲ τοῦ μὲν ἀρετῇ πρωτεύειν αὐτοὺς ἐπιμελεῖσθαι βουλόμεθα, τοῦτ' αὖ δεικτέον ἐκ παλαιοῦ μάλιστα προσῆκον αὐτοῖς, καὶ ὡς τούτου ἐπιμελούμενοι πάντων ἂν εἶεν κράτιστοι. πῶς οὖν ἂν τοῦτο διδάσκοιμεν; οἶμαι μὲν εἰ τούς γε παλαιοτάτους ὧν ἀκούομεν προγόνους αὐτῶν ἀναμιμνήσκοιμεν αὐτοὺς ἀκηκοότας ἀρίστους γεγονέναι. ἆρα λέγεις τὴν τῶν θεῶν κρίσιν, ἣν οἱ περὶ Κέκροπα δι' ἀρετὴν ἔκριναν; λέγω γάρ, καὶ τὴν Ἐρεχθέως γε τροφὴν καὶ γένεσιν, καὶ τὸν πόλεμον τὸν ἐπ' ἐκείνου γενόμενον, πρὸς τοὺς ἐκ τῆς ἐχομένης ἠπείρου πάσης, καὶ τὸν ἐφ' Ἡρακλειδῶν πρὸς τοὺς ἐν Πελοποννήσῳ, καὶ πάντας τοὺς ἐπὶ Θησέως πολεμηθέντας, ἐν οἷς πᾶσιν ἐκεῖνοι δῆλοι γεγόνασι τῶν καθ' ἑαυτοὺς ἀνθρώπων ἀριστεύσαντες. εἰ δὲ βούλει ἃ ὕστερον οἱ, ἐκείνων μὲν ἀπόγονοι, οὐ πολὺ δὲ πρὸ ἡμῶν γεγονότες ἔπραξαν. τὰ μὲν αὐτοὶ καθ' ἑαυτοὺς ἀγωνιζόμενοι πρὸς τοὺς κυριεύοντας, τῆς τε Ἀσίας πάσης καὶ τῆς Εὐρώπης μέχρι Μακεδονίας, καὶ πλείστην τῶν προγεγονότων δύναμιν καὶ ἀφορμὴν κεκτημένους, καὶ μέγιστα ἔργα κατειργασμένους. τὰ δὲ καὶ μετὰ Πελοποννησίων ἀριστεύοντες, καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, οἳ δὴ καὶ λέγονται πολὺ διενεγκεῖν, τῶν καθ' ἑαυτοὺς ἀνθρώπων. λέγονται γάρ, ἔφη. τοιγαροῦν πολλῶν μὲν μεταναστάσεων ἐν τῇ Ἑλλάδι γεγονυιῶν, διέμειναν ἐν τῇ ἑαυτῶν. πολλοὶ δὲ ὑπὲρ δικαίων ἀντιλέγοντες, ἐπέτρεπον ἐκείνοις. πολλοὶ δὲ ὑπὸ κρειττόνων ὑβριζόμενοι, κατέφευγον πρὸς ἐκείνους. καὶ ὁ Περικλῆς, καὶ θαυμάζω γε, ἔφη, ὦ Σώκρατες, ὅπως ἡ πόλις οὕτως ποτ' ἐπὶ χεῖρον ἔκλινεν. ἐγὼ μέν, ἔφη, οἶμαι, ὁ Σωκράτης, ὥσπερ καὶ ἄλλοι τινές, διὰ τὸ πολὺ ὑπερενεγκεῖν καὶ κρατιστεῦσαι καταρραθυμήσαντες ὑστερίζουσι τῶν ἀντιπάλων, οὕτω καὶ Ἀθηναίους πολὺ διενεγκόντας ἀμελῆσαι ἑαυτῶν, καὶ διὰ τοῦτο χείρους γεγονέναι. νῦν οὖν, ἔφη, τί ἂν ποιοῦντες ἀναλάβοιεν τὴν ἀρχαίαν ἀρετήν; καὶ ὁ Σωκράτης, οὐδὲν ἀπόκρυφον δοκεῖ μοι εἶναι. ἀλλ' εἰ μὲν ἐξευρόντες τὰ τῶν προγόνων ἐπιτηδεύματα μηδὲν χεῖρον ἐκείνων ἐπιτηδεύοιεν, οὐδὲν ἂν χείρους ἐκείνων γενέσθαι. εἰ δὲ μή, τούς γε νῦν πρωτεύοντας μιμούμενοι, καὶ τούτοις τὰ αὐτὰ ἐπιτηδεύοντες, ὁμοίως μὲν τοῖς αὐτοῖς χρώμενοι, οὐδὲν ἂν χείρους ἐκείνων εἶεν, εἰ δ' ἐπιμελέστερον, καὶ βελτίους. λέγεις, ἔφη, πόρρω που εἶναι τῇ πόλει τὴν καλοκαγαθίαν. πότε γὰρ οὕτως Ἀθηναῖοι, ὥσπερ

ὥσπερ λακεδαιμόνιοι, ἢ πρεσβυτέρους αἰδέσονται, οἳ
ἀπὸ τῶν πατέρων ἄρχονται καταφρονεῖν τῶν γεραιτέ-
ρων, ἢ σωμασκήσουσιν οὕτως, οἳ οὐ μόνον αὐτοὶ εὐεξίας
ἀμελοῦσιν, ἀλλὰ καὶ τῶν ἐπιμελουμένων καταγελῶσι;
πότε δὲ οὕτοι πείσονται τοῖς ἄρχουσιν, οἳ καὶ ἀγάλλον-
ται ἐπὶ τῷ καταφρονεῖν τῶν ἀρχόντων; ἢ πότε οὕτως
ὁμονοήσουσιν, οἵγε ἀντὶ μὲν τοῦ συνεργεῖν ἑαυτοῖς τὰ
συμφέροντα, ἐπηρεάζουσι ἀλλήλοις, καὶ φθονοῦσιν ἑ-
αυτοῖς μᾶλλον, ἢ τοῖς ἄλλοις ἀνθρώποις. μάλιστα δὲ πάν-
των, ἔν τε ταῖς ἰδίαις συνόδοις καὶ ταῖς κοιναῖς διαφέ-
ρονται, καὶ πλείστας δίκας ἀλλήλοις δικάζονται, καὶ προ-
αιροῦνται μᾶλλον οὕτω κερδαίνειν ἀπ᾽ ἀλλήλων, ἢ συν-
ωφελοῦντες αὐτούς. τοῖς δὲ κοινοῖς ὥσπερ ἀλλοτρίοις
χρώμενοι. περὶ τούτων αὖ μάχονται, καὶ ταῖς εἰς τὰ τοι-
αῦτα δυνάμεσι μάλιστα χαίρουσι. ἐξ ὧν πολλὴ μὲν ἀτε-
ρία καὶ κακία τῇ πόλει ἐμφύεται. πολλὴ δὲ ἔχθρα
καὶ μῖσος ἀλλήλων τοῖς πολίταις ἐγγίγνεται, δι᾽ ἃ ἔ-
γωγε μάλα φοβοῦμαι ἀεὶ μήτι μεῖζον, ἢ ὥστε φέρειν δύ-
νασθαι κακὸν τῇ πόλει συμβῇ. μηδαμῶς, ἔφη ὁ σωκρά-
της, ὦ περίκλεις, οὕτως ἡγοῦ ἀνηκέστῳ πονηρίᾳ νοσεῖν
ἀθηναίους. οὐχ ὁρᾷς εὔτακτοι μέν εἰσιν, ἐν τοῖς ναυτι-
κοῖς, εὐτάκτως δ᾽ ἐν τοῖς γυμνικοῖς ἀγῶσι πείθονται
τοῖς ἐπιστάταις, οὐδένων δὲ καταδεέστερον ἐν τοῖς χοροῖς
ὑπηρετοῦσι τοῖς διδασκάλοις; τοῦτο γάρ τοι, ἔφη, καὶ
θαυμαστόν ἐστι, τὸ τοὺς μὲν τοιούτους πειθαρχεῖν τοῖς ἐφεστῶ-
σι, τοὺς δὲ ὁπλίτας καὶ τοὺς ἱππεῖς, οἳ δοκοῦσι καλοκαγα-
θίᾳ προκεκρίσθαι τῶν πολιτῶν, ἀπειθεστάτους εἶναι πάν-
των. καὶ ὁ σωκράτης ἔφη· ἡ δὲ ἐν ἀρείῳ πάγῳ βουλὴ, ὦ
περίκλεις, οὐκ ἐκ τῶν δεδοκιμασμένων καθίσταται; καὶ
μάλα, ἔφη. οἶσθα οὖν τινας, ἔφη, κάλλιον, ἢ νομιμώτερον,
ἢ σεμνότερον, ἢ δικαιότερον, τάς τε δίκας δικάζοντας
καὶ τἄλλα πάντα πράττοντας; οὐ μέμφομαι, ἔφη, τού-
τοις. οὐ τοίνυν, ἔφη, δεῖ ἀθυμεῖν, ὡς οὐκ εὐτάκτων ὄν-
των ἀθηναίων. καὶ μὴν ἔνγε τοῖς στρατιωτικοῖς, ἔφη,
ἔνθα μάλιστα δεῖ σωφρονεῖν τε καὶ εὐτακτεῖν καὶ πει-
θαρχεῖν, οὐδενὶ τούτων προσέχουσιν. ἴσως γάρ, ἔφη ὁ σω-
κράτης, ἐν τούτοις, οἱ ἥκιστα ἐπιστάμενοι ἄρχουσιν αὐ-
τῶν. οὐχ ὁρᾷς ὅτι κιθαριστῶν μὲν, καὶ χορευτῶν, καὶ ὀρχη-
στῶν, οὐδὲ εἷς ἐπιχειρεῖ ἄρχειν μὴ ἐπιστάμενος, οὐδὲ παλαι-
στῶν οὐδὲ παγκρατιαστῶν, ἀλλὰ πάντες ὅσοι τούτων ἄρ-
χουσιν, ἔχουσι δεῖξαι ὁπόθεν ἔμαθον ταῦτα, ἐφ᾽ οἷς ἐφ-
εστᾶσι. τῶν δὲ στρατηγῶν οἱ πλεῖστοι αὐτοσχεδιάζουσιν.
οὐ μέντοι σέ γε τοιοῦτον ἐγὼ νομίζω εἶναι. ἀλλ᾽ οἶμαί σε
οὐδὲν ἧττον ἔχειν εἰπεῖν, ὁπότε στρατηγεῖν, ἢ ὁπότε πα-
λαίειν ἤρξω μανθάνειν. καὶ πολλὰ μὲν οἶμαί σε τῶν
πατρῴων στρατηγημάτων παρειληφότα διασώζειν.
πολλὰ δὲ πανταχόθεν συνηλοχέναι, ὁπόθεν οἷόν τε ἦν
τι ὠφέλιμον εἰς στρατηγίαν. οἶμαι δέ σε πολλὰ μεριμ-
νᾷν, ὅπως μὴ λάθῃς σεαυτὸν μὴ εἰδότα ζητῶν τοὺς ἐ-
πισταμένους ταῦτα οὔτε δώρων οὔτε χαρίτων φειδό-
μενον, ὅπως μάθῃς παρ᾽ αὐτῶν ἃ μὴ ἐπίστασαι, καὶ συν-
εργοὺς ἀγαθοὺς ἔχῃς. καὶ ὁ περικλῆς· οὐ λανθάνεις με,
ὦ σώκρατες, ἔφη, ὅτι οὐδ᾽ οἰόμενός με τούτων ἐπιμελεῖ-
σθαι, ταῦτα λέγεις, ἀλλ᾽ ἐγχειρῶν με διδάσκειν, ὅτι τὸν
μέλλοντα στρατηγεῖν, τούτων ἁπάντων ἐπιμελεῖσθαι
δεῖ. ὁμολογῶ μέν τοι κἀγώ σοι ταῦτα. τοῦτο δ᾽, ἔφη, ὦ
περίκλεις,

Lacedæmonij uenerabuntur? siquidem ab ipsis pa
tribus incipiunt seniores despicere. Aut gymnasijs
utentur? siquidem non modo ipsi parui bonam ua-
letudinem ducunt, sed si quis est qui curet, deri-
dent eum. Aut quando magistratibus obedient?
siquidem gloriantur etiam despicere magistratus.
Aut quando ita consentient? quippe qui pro eo
quod debebant alter alterum iuuare, conturbent,
& sibijpsis magis quàm cæteris hominibus inui-
10 dent: ac plus omnibus tum in priuatis, tum in pu-
blicis congregationibus dissentiunt, pluresque li-
tes mouent: & malunt isto modo alter ab altero
lucrari, quàm inuicem utiles esse. Publicis uero
rebus ut alienis affecti, nihilominus de istis rur-
sus inuicem pugnant, etenim huiuscemodi posse
maxime gaudent. E quibus magna ignauia atque
prauitas in ciuitate oritur, hostilitas & odium ci-
uibus innascitur. Quas ob res ego pertimesco ne
quod intolerabile malum ciuitati contingat. Noli
20 ô Pericles putare, Socrates ait, tam insanabili pra-
uitate Athenienses laborare. Nónne uides tam in
naualibus certaminibus, quàm in gymnasijs or-
dinem seruare, ac obedire magistratibus, & in tri-
pudijs magistris eorum obtemperare? Hoc nanque
ipsum mirandum est, inquit, ipsos huiuscemodi qui
dem obedire superioribus: milites uero ac equites
effectis, qui uirtute uidentur præstare cæteris ciui-
bus, inobedientissimi sunt. At Socrates ait: Consili-
um uero quod in Ariopago est, nónne à probis
30 consistit? Vehementer, inquit. Scis igitur, ait, alios
quosdam qui melius, iustius, aut honestius litesq;
iudicent, aliaq; omnia peragant? Non possum, in-
quit, reprehendere istos. Non oportet igitur, in-
quit, dolere, tanquam non essent ordinati Athe-
nienses. Atqui, Pericles ait, in militaribus certami
nibus ubi maxime sobrios, ordinatos, ac obedien-
tes esse oportet, nulli horum attendunt. Fortaßis
ideo, Socrates inquit, quoniam in his illi eis præ-
sunt qui minime sciant. Citharistarum enim & tri-
40 pudiantium ac salientium nullus conatur ignarus
præfectus effici, neque luctatorum, neque pancra-
tistarum: sed omnes quicunque his præsunt, pos-
sunt probare à quibus illa didicerunt, in quibus
præsunt. Duces uero plurimi dico efficiuntur: te ta
men minime talem esse arbitror: sed non minus
opinor dicere posse, quando discere incœpisti im-
perandi artem, quàm colluctandi: multaq; res ge
stas paternas memoria tenere, multaq; undiq; con
gregare exempla, è quibus discere poteras quic-
50 quid profuturum ad rem militarem erat. Puto au-
tem te magnam curam habere, ne quicquam igno
res eorum quæ militiæ prosunt, quodq; si quid ta-
le teipsum sentias ignorantem, quæritare illos qui
hæc sciant, nec donis, nec gratijs parcendo, ut ab
eis quæcũq; ignoras discas, ac bonos cooperatores
habeas. At Pericles: Nõ fugit me ô Socrates ait, te
talia dicere, non ignarũ quod nullam eorũ habeo
curã, sed me cõmonendi gratia, si quis uelit exerci
tũ ducere, horũ omniũ habendã ei esse curã. Ac tibi
ego quoq; in his cõsentio. Hoc uerò cõsiderasti ô

 Peri-

Pericles, Socrates ait, ante nostrũ agrum magnos mõtes præpositos esse, Bœotiã usq; descendentes, p quos ad territoriũ nostrũ introitus arcti, arduiq; sunt, & quòd media regio montib. asperis munita sit? Maxime, inquit. Quid uero? illud ne unquã audiuisti, cũ Mysi atq; Pisidæ in medio magni regis Persarũ imperio, munita detineãt loca, leuiter etiã armati, multa quidẽ discurrendo dãna regijs hominib. inferũt, ipsi autẽ in libertate uiuũt? Et hoc, ait, audiui. Athenienses itaq; non putas, inquit, leuioribus armis armatos, dum in ætate teneriori sunt, ac mõtes antepositos habẽtes, damnosos hostibus, ciuib. uero & patriæ, magnæ custodiæ fore? Omnia mihi uideris, ait Pericles, utilia dicere. At Socrates: Cũ ergo hæc tibi placeãt, inquit, aggredere ea uir optime. Quicquid enim istorũ perficias, & tibi honorẽ, et ciuitati utilitatẽ afferet. Quod si quid tuas uires superabit, nec tibi uerecũdiæ, nec ciuitati nocumẽto erit. Glauconẽ uero Aristonis filium cum conaretur cõcionari, cupere.q; rempub. gubernare, nondum uiginti annos natus: cumq; nullus nec amicorũ, nec propinquorũ, qui multi tamẽ ei erãt, uidebantq; sæpe à pulpito tractũ atq; detrusum, & multis ridiculum factum, dissuadere potuisset, solus Socrates ei beneuolẽs propter Charmidẽ atq; Platonẽ, dissuasit. Cum enim ad eum accessisset, primo quidem ut uellet eum audire, huiuscemodi uerbis illum detinuit: Ô Glauco, inquit, rempub. nostrã regere cogitas? Ita, ait, ô Socrates. Si quid in humanis mehercle, & hoc mihi honestum esse uidetur. Planũ enim, si hoc obtinebis, quod poteris ipsemet quæcunq; concupiueris obtinere, amicos iuuare, domũ paternã erigere, patriã augere, atq; preclarus fama efficieris, primo quidem in ciuitate, deinde apud Græciam totã, postea uero fortaßis etiam apud barbaros sicuti Themistocles. Vbicunq; autem fueris, ubiq; celeber eris. Hæc audiens Glauco superbiebat, ac libẽter manebat. Post hæc autẽ Socrates: Patet autẽ hoc Glauco, inquit, si honorari uelis, utilitatẽ aliquam ciuitati reperire debes. Vehementer, ait. Per deos igitur immortales, inquit, noli me celare, sed dic nobis, à quo incipies ciuitati benefacere? Cum aũt Glauco tacuisset, quasi tũc cogitaret unde inciperet: Nũ, Socrates inquit, quẽadmodũ si amici domũ augere uelis, ditiorẽ eam conaberis efficere, ita etiam ciuitatẽ tentabis ditiorẽ efficere? Ita, inquit. Ditior autem, Socrates ait, effecta fuerit, si ei multiplicentur prouẽtus. Verisimile est, ait. Dic igitur nobis, Socrates inquit, in quibus nunc diuitiæ ciuitatis consistunt quotquot sunt? patet enim te super his supputasse supplendi causa, si quid deficiat. Mehercle, Glauco inquit, super his non consideraui. Sed si hæc, Socrates inquit, præterijsti, sumptus quos ciuitas subijt, enumera nobis: palàm nanque est te cogitasse auferre illos, qui superflui sunt. Mehercle nondum nec ad ista uacaui. Quo itaque pacto ditior ciuitas efficietur? Supersedebimus, Socrates ait: nec enim est possibile ignorantibus sumptus ac redditus, horũ curã habere. Sed ô Socrates, Glauco inquit, poßibile

est

περίκλεις, κατανενόηκας, ὅτι πρόκειται τῆς χώρας ἡμῶν ὄρη καθήκοντα ἐπὶ τὴν Βοιωτίαν, δι' ὧν εἰς τὴν χώραν εἴσοδοι στεναί τε καὶ πρόσαντες εἰσί, καὶ ὅτι μέση διέζωσται ὄρεσιν ἐρυμνοῖς; καὶ μάλα, ἔφη. τί δὲ, ἐκεῖνο ἀκήκοας, ὅτι Μυσοί τε καὶ Πισίδαι ἐν τῇ βασιλέως χώρᾳ κατέχοντες, ἐρυμνὰ πάνυ χωρία καὶ κούφως ὡπλισμένοι δύνανται πολλὰ μὲν, τὴν βασιλέως χώραν καταθέοντες κακοποιεῖν, αὐτοὶ δὲ ζῆν ἐλεύθεροι; καὶ τοῦτό γε, ἔφη, ἀκούω. Ἀθηναίους δ' οὐκ ἂν οἴει, ἔφη, μέχρι τῆς ἐλαφρᾶς ἡλικίας ὡπλισμένους κουφοτέροις ὅπλοις, καὶ τὰ προκείμενα τῆς χώρας ὄρη κατέχοντας, βλαβερούς μὲν τοῖς πολεμίοις εἶναι, μεγάλην δὲ προβολὴν τοῖς πολίταις τῆς χώρας κατεσκευάσθαι; καὶ ὁ περικλῆς πάντ' οἶμαι, ἔφη, ὦ σώκρατες, καὶ ταῦτα χρήσιμα εἶναι. εἰ τοίνυν, ἔφη ὁ σωκράτης, ἀρέσκει σοι ταῦτα, ἐπιχείρει αὐτοῖς, ὦ ἄριστε. ὅ, τι μὲν γὰρ ἂν τούτων καταπράξῃς, καὶ σοὶ καλὸν ἔσται, καὶ τῇ πόλει ἀγαθόν. ἐὰν δέ τι ἀδυνατῇς, οὔτε τὴν πόλιν βλάψεις, οὔτε σαυτὸν καταισχυνεῖς. γλαύκωνα δὲ τὸν ἀρίστωνος, ὅτ' ἐπεχείρει δημηγορεῖν, ἐπιθυμῶν προστατεύειν τῆς πόλεως, οὐδέπω εἴκοσιν ἔτη γεγονώς, ὄντων ἄλλων οἰκείων καὶ φίλων, οὐδεὶς ἐδύνατο παῦσαι ἑλκόμενόν τε ἀπὸ τοῦ βήματος, καὶ καταγέλαστον ὄντα, σωκράτης δὲ εὔνους ὢν αὐτῷ, διά τε χαρμίδην τὸν γλαύκωνος, καὶ διὰ πλάτωνα μόνος ἔπαυσεν. ἐντυχὼν γὰρ αὐτῷ, πρῶτον μὲν εἰς τὸ ἐθελῆσαι ἀκούειν, τοιάδε λέξας κατέσχεν· ὦ γλαύκων, ἔφη, προστατεύειν ἡμῖν διανενόησαι τῆς πόλεως; ἔγωγ', ἔφη, ὦ σώκρατες. νὴ Δί', ἔφη, καλὸν γὰρ, εἴπερ τι καὶ ἄλλο τῶν ἐν ἀνθρώποις. δῆλον γὰρ ὅτι ἐάν τι διαπράξῃ, δυνατὸς μὲν ἔσῃ τοὺς φίλους ὠφελεῖν, ἐπαρεῖς δὲ τοὺς πατρῴους οἴκους, αὐξήσεις δὲ τὴν πατρίδα, ὀνομαστὸς δ' ἔσῃ πρῶτον μὲν ἐν τῇ πόλει, ἔπειτα ἐν τῇ ἑλλάδι, ἴσως δ' ὥσπερ θεμιστοκλῆς καὶ ἐν τοῖς βαρβάροις, ὅπου δ' ἂν ᾖς, πανταχοῦ περίβλεπτος ἔσῃ. ταῦτ' οὖν ἀκούων ὁ γλαύκων, ἐμεγαλύνετο, καὶ ἡδέως παρέμενε. μετὰ δὲ ταῦτα ὁ σωκράτης· οὐκοῦν, ἔφη, τοῦτο μὲν, ὦ γλαύκων, δῆλον, ὅτι εἴπερ τιμᾶσθαι βούλει, ὠφελητέα σοι ἡ πόλις ἐστίν. πάνυ μὲν οὖν, ἔφη. πρὸς θεῶν, ἔφη, μὴ τοίνυν ἀποκρύψῃ, ἀλλ' εἰπὸν ἡμῖν ἐκ τίνος ἄρξῃ τὴν πόλιν εὐεργετεῖν; ἐπεὶ δὲ ὁ γλαύκων διεσιώπησεν, ὡς ἂν τότε σκοπῶν ὁπόθεν ἄρχοιτο. ἆρ', ἔφη ὁ σωκράτης, ὥσπερ φίλου οἶκον, εἰ αὐξῆσαι βούλοιο, πλουσιώτερον αὐτὸν ἐπιχειροίης ἂν ποιεῖν, οὕτω καὶ τὴν πόλιν πειράσῃ πλουσιωτέραν ποιῆσαι; πάνυ μὲν οὖν, ἔφη. οὐκοῦν πλουσιωτέρα γ' ἂν εἴη προσόδων αὐτῇ πλειόνων γενομένων; εἰκὸς γοῦν, ἔφη. λέξον δή, ἔφη, ἐκ τίνων νῦν αἱ πρόσοδοι τῇ πόλει, καὶ πόσαι τινές εἰσι; δῆλον γὰρ ὅτι ἔσκεψαι, ἵνα εἰ μέν τινες αὐτῶν ἐνδεῶς ἔχουσιν, ἐκπληρώσῃς, εἰ δὲ παραλείπονται, προσπορίσῃς. ἀλλὰ μὰ Δί', ἔφη ὁ γλαύκων, ταῦτά γε οὐκ ἐπέσκεμμαι. ἀλλ' εἰ τοῦτο, ἔφη, παρέλιπες, τάς γε δαπάνας τῆς πόλεως ἡμῖν εἰπέ. δῆλον γὰρ ὅτι καὶ τούτων τὰς περιττὰς ἀφαιρεῖν διανοεῖ. ἀλλὰ μὰ τὸν Δί', ἔφη, οὐδὲ πρὸς ταῦτά πω ἐσχόλασα. οὐκοῦν τὸ μὲν πλουσιωτέραν τὴν πόλιν ποιεῖν, ἀναβαλούμεθα. πῶς γὰρ οἷόν τε μὴ εἰδότα γε τὰ ἀναλώματα καὶ τὰς προσόδους, ἐπιμεληθῆναι τούτων. ἀλλ', ὦ σώκρατες, ἔφη ὁ γλαύκων, δυνατόν

ἐστι

ἐστι καὶ ἀπὸ τῶν πολεμίων τὴν πόλιν πλουτίζειν. νὴ δία σφόδρα γ', ἔφη ὁ σωκράτης, ἐάν τις αὐτῶν κρείττων ᾖ. ἥττων δὲ ὤν, καὶ τὰ προσόντα ἐκβάλλοιτο ἄν. ἀληθῆ λέγεις, ἔφη. οὐκοῦν, ἔφη, τόν γε βουλευσόμενον, πρὸς οὕς τινας δεῖ πολεμεῖν, τήν τε τῆς πόλεως δύναμιν, καὶ τὴν τῶν ἐναντίων εἰδέναι δεῖ, ἵνα ἐὰν μὲν ἡ τῆς πόλεως κρείττων ᾖ, συμβουλεύῃ ἐπιχειρεῖν τῷ πολέμῳ, ἐὰν δὲ ἥττων τῶν ἐναντίων, εὐλαβεῖσθαι πείθῃ. ὀρθῶς λέγεις, ἔφη. πρῶτον μὲν τοίνυν, ἔφη, λέξον ἡμῖν τῆς πόλεως, τήν τε πεζικὴν καὶ τὴν ναυτικὴν δύναμιν, εἶτα τὴν τῶν ἐναντίων. ἀλλὰ μὰ τὸν δί', ἔφη, οὐκ ἂν ἔχοιμί σοι οὕτως γε ἀπὸ στόματος εἰπεῖν. ἀλλ' εἰ γέγραπταί σοι ἔνεγκαι, ἔφη, πάνυ γὰρ ἡδέως ἂν τοῦτο ἀκούσαιμι. ἀλλὰ μὰ τὸν δί', ἔφη, οὐδὲ γέγραπταί μοί πω. οὐκοῦν, ἔφη, καὶ περὶ πολέμου συμβουλεύειν τήν γε πρώτην ἐπισχήσομεν. ἴσως γὰρ καὶ διὰ τὸ μέγεθος αὐτῶν ἄρτι ἀρχόμενος τῆς προστατείας οὔπω ἐξήτακας. ἀλλά τοι περί γε φυλακῆς τῆς χώρας οἶδ' ὅτι σοι μεμέληκεν, καὶ οἶσθα ὁπόσαι τέ φυλακαὶ ἐπίκαιροί εἰσι, καὶ ὁπόσαι μή· καὶ ὁπόσοι τέ φρουροὶ ἱκανοί εἰσι, καὶ ὁπόσοι μή εἰσι· καὶ τὰς μὲν ἐπικαίρους φυλακὰς συμβουλεύειν μείζονας ποιεῖν, τὰς δὲ περιττὰς ἀφαιρεῖν. νὴ δί', ἔφη ὁ γλαύκων, ἁπάσας μὲν οὖν ἔγωγε, ἕνεκά γε τοῦ οὕτως αὐτὰς φυλάττεσθαι, ὥστε καὶ κλέπτεσθαι τὰ ἐκ τῆς χώρας. ἐὰν δέ τις ἀφέλῃ γ', ἔφη, τὰς φυλακάς, οὐκ οἴει καὶ ἁρπάζειν ἐξουσίαν ἔσεσθαι τῷ βουλομένῳ; ἀτὰρ πότερον ἐλθὼν αὐτὸς ἐξήτακας τοῦτο ἢ πῶς οἶσθα ὅτι κακῶς φυλάττονται; εἰκάζω, ἔφη. οὐκοῦν, ἔφη, καὶ περὶ τούτων, ὅταν μηκέτι εἰκάζωμεν, ἀλλ' ἤδη εἰδῶμεν, τότε συμβουλεύσομεν; ἴσως, ἔφη ὁ γλαύκων, βέλτιον. εἴς γε μήν, ἔφη, τἀργύρεια, οἶδ' ὅτι οὐκ ἀφῖξαι, ὥστ' ἔχειν εἰπεῖν διότι νῦν ἐλάττω ἢ πρόσθεν προσέρχεται αὐτόθεν. οὐ γὰρ οὖν ἐλήλυθα, ἔφη. καὶ γὰρ νὴ δί', ἔφη ὁ σωκράτης, λέγεται βαρὺ τὸ χωρίον εἶναι, ὥστε ὅταν περὶ τούτου δέῃ συμβουλεύειν, αὕτη σοι ἡ πρόφασις ἀρκέσει. σκώπτομαι, ἔφη ὁ γλαύκων. ἀλλ' ἐκείνου γέ τοι, ἔφη, οἶδ' ὅτι οὐκ ἠμέληκας, ἀλλ' ἔσκεψαι, πόσον ἱκανός ἐστιν ὁ ἐκ τῆς χώρας γιγνόμενος σῖτος διατρέφειν τὴν πόλιν, καὶ πόσου εἰς τὸν ἐνιαυτὸν προσδεῖται, ἵνα μὴ τοῦτο λάθῃ σέ, ποτὲ ἡ πόλις ἐνδεὴς γενομένη, ἀλλ' εἰδὼς ἔχῃς ὑπὲρ τῶν ἀναγκαίων συμβουλεύων τῇ πόλει, βοηθεῖν καὶ σώζειν αὐτήν. λέγεις, ἔφη ὁ γλαύκων, παμμέγεθες πρᾶγμα, εἴ γε καὶ τῶν τοιούτων ἐπιμελεῖσθαι δεήσει. ἀλλὰ μέντοι, ἔφη σωκράτης, οὐδ' ἂν τὸν ἑαυτοῦ ποτε οἶκον καλῶς τις οἰκήσειεν, εἰ μὴ πάντα μὲν εἴσεται ὧν προσδεῖται, πάντων δὲ ἐπιμελόμενος ἐκπληρώσει. ἀλλ' ἐπεὶ ἡ μὲν πόλις ἐκ πλειόνων ἢ μυρίων οἰκιῶν συνέστηκε, χαλεπὸν δέ ἐστιν ἅμα τοσούτων οἴκων ἐπιμελεῖσθαι, πῶς οὐχ ἕνα τὸν θείου πρῶτον ἐπειράθης αὐξῆσαι; δεῖται δέ. κἂν μὲν τοῦτον δύνῃ, καὶ πλείοσιν ἐπιχειρήσεις. ἕνα δὲ μὴ δυνάμενος ὠφελῆσαι, πῶς ἂν πολλούς γε δυνηθείης; ὥσπερ εἴ τις ἓν τάλαντον μὴ δύναιτο φέρειν, πῶς οὐ φανερὸν ὅτι πλείω γε φέρειν οὐδ' ἐπιχειρητέον αὐτῷ. ἀλλ' ἔγωγ', ἔφη γλαύκων, ὠφελοίην ἂν τὸν τοῦ θείου οἶκον, εἴ μοι ἐθέλοι πείθεσθαι. εἶτα, ἔφη ὁ σωκράτης, τὸν θεῖον οὐ δυνάμενος πείθειν ἀθηναίους πάντας μετὰ τοῦ θείου νομίζεις δυνήσεσθαι ποιῆσαι πείθεσθαί σοι; φυλάττου, ἔφη ὁ γλαύκων,

est ab hostibus etiam ciuitatem ditare? Vehementer, ait, mehercle, dummodo quis hostes superaret: quod si uinceretur, etiam sua amittet. Verum dicis, inquit. Illum igitur, ait, cuius consilio bellum aliquibus inferatur, & ciuitatis potentiam & hostiū scire oportet, ut si maior est potentia ciuitatis, suadeat bellum: si minor, abstinere consulat. Recte ais, inquit, profecto. Primo itaq; , ait, nobis expone tam terrestrem, quàm naualem ciuitatis potentiam, deinde hostium. Mehercle, ait, non possem ita ex tempore tibi exponere. Sed profer, inquit, in medium si quid tibi de ista re conscriptum existit: ualde nanque libenter audiam. Mehercle, ait, nec quicquam mihi conscriptum extat. De bello etiam igitur, inquit, non esset à principio consulendum: fortaßis enim propter eorum magnitudinem, præsertim cum nuper incœpisti militare, nondum inuestigasti. De custodiis uero ciuitatis scio te curam habuisse, ac scire quot opportunæ, quótue superfluæ custodiæ sunt, & quot custodes sufficiunt, quisque numerus eorum non sufficiens sit, ac opportunas quidem custodias consulere augere, superfluas uero auferre. Mehercle, Glauco ait, omnes ego dicerem esse tollendas, cum ita custodiant ut agro noceant nostro. At Socrates: Nonne putas, inquit, si quis custodias auferret, potestatem arripiendi omnibus fore uolentibus? Verum autem tuipse abiens examinasti hoc, an quomodo scis quod male custodiantur? Coniicio, inquit. Num igitur, ait, cum non coniiciamus, sed certo sciamus, tum de his etiam consulemus? Fortaßis, Glauco inquit, hoc melius sit. Ad argentarios uero, inquit, certo teneo te non abiisse, ut habeas dicere cur pauciora nunc illinc quàm antea aduenia nt. Minime, inquit. Etenim mehercle, Socrates ait, locus ille dicitur esse morbosus: quapropter cum hac de re consulere oporteat, hæc excusatio tibi sufficiet. Cōsidero, Glauco inquit. Hoc tamen, ait, certe non neglexisti, sed considerasti, quanto tempore ad alendam ciuitatem, quod in agro nostro nascitur, triticum sufficiat, quantoq; alieno in annum indigeat, ne te aliquando lateat ciuitas indigentiam perpessa, sed cognoscens poßis cōsulendo ciuitati quæ ei necessaria sunt prospicere, saluamq; eam facere. Grauißimam rem ais, Glauco inquit, si quidem horum quoq; curā habere oportet. Atqui, Socrates ait, nec suam priuatam quisq; bene domum habuet, nisi omnia sciat quibus opus ei fuerit, omniaq; diligenter acquirat. Sed cum ciuitas, inquit, ex pluribus quàm decem millibus domibus constituta sit, difficile uero sit tot domorum simul curam habere, cur non tentasti unam primo aui tui domum augere? etenim indiget. Nam si hanc potueris maiorem efficere, conaberis postea etiam ciuitatem augere. Quod si uni prodesse nō poteris, multo minus pluribus. Sicut si quis unum talentum ferre non poßit, quomodo non planum plura ferre non esse ei conandū? Ad hæc Glauco: Possim ego, inquit, domui aui prodesse, dummodo mihi suadenti pareat. Cum igitur, Socrates ait, uni tuo auo suadere nō poßis, cunctos Athenienses unà cū auo tuo putas posse inducere ad tibi parendum? Caue

S 3 ô Glau/

ô Glauco, inquit, ne cupiditate honoris assequaris
contrarium. An non uides quàm periculosum sit
ea dicere aut agere, quæ quisquam ignorat? Consi/
dera autem quales appareant, quoscunque cogno/
scis dicentes aut agentes quæ minime sciunt, utrum
uideantur tibi in huiuscemodi laudari, an potius ui/
tuperari? & utrum honorari ab hominibus uel ne/
gligi: Considera uero etiam illos, qui sciunt quæcun
que dicant, quæcunque ue agant. Vt ego nanque
puto, in omnibus inuenias illos quidem honoribus
& admiratione dignos, qui maxime sciant. qui ue/
ro ignorant, illos ignominijs ac contemptu affectos.
Si itaque cupis honoribus ac admiratione in ciuita/
te affici, conare quammaxime potes, ut scias quæ/
cunque agere uelis. Si enim in his præstantior alijs
effectus incipias rempub. regere, non mirarer, si ual
de facile quæcunque cupis obtineas. Charmidem au
tem Glauconis cum uideret magnæ autoritatis ho/
minem esse, ac multo potentiorem illis qui rempub.
gubernabant, formidantem autem ad rempub. gu/
bernandam accedere: Dic mihi ô Charmides, ait,
si quis cum sufficiens in certaminibus uincere sit, ac
ideo ut ipse honoretur, & patriam apud totam Græ
ciam honorabiliorem efficere possit, nollet certare,
qualem hunc uirum putas esse? Profecto, inquit,
mollem ac formidolosum. Quid si quis, ait, cum
possit rempub. gubernando ciuitatem augere, ac ip/
se honorari, non faciat, nónne merito pro formi/
doloso habeatur? Fortassis, inquit. Sed ad quid me
hæc interrogas? Quoniam, ait, puto te, cum pos/
sis, nolle curam habere præsertim illorum, quorum
participare te necesse est ciuem existentem. Quo ue
ro argumento, inquit Charmides, meam uirtutem
comprehendens, de his me accusas? In disputatio/
nibus, ait, quas cum rempub. gubernantibus aliquan
do habes. Etenim quando quicquam tecum commu
nicant, uideo te recte consulentem: & cum pec/
cant, recte increpantem. Non est simile ô Socrates,
inquit, priuatim disputare, & in uulgo certare. At/
qui, ait, qui numerare possit, non minus apud uul/
gum quàm solus numerat. Quiq; per se optime ci/
tharæ canere sciant, ijdem etiam apud uulgum pri/
mas obtinent. Verecundiam autem & timorem non
uides, inquit, insita est hominibus, & multo magis
apud uulgus quàm cum soli simus, nobis molesta?
Scio, ait: teq; admonere uolo, cum neq; prudentio/
res uerearis, neq; potentiores timeas, coram insi/
pientioribus ac debilioribus ne ratiocinari desistas.
Vtrum enim coriarios, aut cerdones, aut ædifica/
tores, aut fabros, aut agricolas, aut negociatores,
aut illos qui in foro uersantur, ac cogitant quid par
uo emptum magno uendant, uereberis? Ex hu/
iuscemodi nanque concio consistit. Quod uero tu
nunc facis, quid putas differre ab illis, qui cum
sint meliores exercitatis, ignauos homines timeant?
Cum itaque disputando tum illos qui primas in ciui/
tate tenent, qui facile te disputantem despiciunt, tum
illos qui conantur apud uulgus concionari, multo
superas: coram illis qui nec unquam te despexe/
runt, nec de republica curarunt, te dicere pigebit,
timen/

ὦ γλαύκων, ὅπως μὴ τοῦ εὐδοξεῖν ἐπιθυμῶν, εἰς τοὐναν-
τίον ἔλθῃς. ἢ οὐχ ὁρᾷς ὡς σφαλερόν ἐστι, τὸ ἃ μὴ οἶδέ τις
ταῦτα λέγειν ἢ πράττειν; ἐνθυμοῦ δὲ τῶν ἄλλων ὅσους
οἶσθα τοιούτους, οἷοι φαίνονται καὶ λέγοντες ἃ μὴ ἴσα-
σι καὶ πράττοντες, πότερά σοι δοκοῦσιν ἐπὶ τοῖς τοι-
ούτοις ἐπαίνου μᾶλλον, ἢ ψόγου τυγχάνειν, καὶ πότε-
ρον θαυμάζεσθαι μᾶλλον, ἢ καταφρονεῖσθαι; ἐνθυμοῦ δὲ
καὶ τῶν εἰδότων ὅ, τι τε λέγουσι, καὶ ὅ, τι ποιοῦσι, καὶ ὡς
ἐγὼ νομίζω, εὑρήσεις ἐν πᾶσι ἔργοις τοὺς μὲν εὐδοκι-
μοῦντας τε καὶ θαυμαζομένους ἐκ τῶν μάλιστα ἐπιστα-
μένους ὄντας, τοὺς δὲ κακοδοξοῦντάς τε καὶ καταφρο-
νουμένους ἐκ τῶν ἀμαθεστάτων. εἰ οὖν ἐπιθυμεῖς εὐδο-
κιμεῖν τε καὶ θαυμάζεσθαι ἐν τῇ πόλει, πειρῶ κατερ-
γάσασθαι, ὡς μάλιστα τὸ εἰδέναι, ἃ βούλει πράττειν.
ἐὰν γὰρ τούτῳ διενέγκας τῶν ἄλλων, ἐπιχειρῇς τὰ τῆς πό-
λεως πράττειν, οὐκ ἂν θαυμάσαιμι, εἰ πάνυ ῥᾳδίως
τύχοις ὧν ἐπιθυμεῖς. χαρμίδην δὲ τὸν γλαύκωνος,
ὁρῶν ἀξιόλογον μὲν ἄνδρα ὄντα, καὶ πολλῷ δυνατώ-
τερον τῶν τὰ πολιτικὰ τότε πραττόντων, ὀκνοῦντα δὲ
προσιέναι τῷ δήμῳ, καὶ τῶν τῆς πόλεως πραγμάτων ἐπι-
μελεῖσθαι, εἰπέ μοι, ἔφη, ὦ χαρμίδη, εἴ τις ἱκανὸς ὢν τοὺς
στεφανίτας ἀγῶνας νικᾶν, καὶ διὰ τοῦτο αὐτός τε τιμᾶσθαι,
καὶ τὴν πατρίδα ἐν τῇ ἑλλάδι εὐδοκιμωτέραν ποι-
εῖν, μὴ θέλοι ἀγωνίζεσθαι, ποῖόν τινα τοῦτον, νομίζοις ἂν
τὸν ἄνδρα εἶναι; δῆλον ὅτι, ἔφη, μαλακόν τε καὶ δειλόν.
εἰ δέ τις, ἔφη, δυνατὸς ὢν τῶν τῆς πόλεως πραγμάτων
ἐπιμελόμενος, τήν τε πόλιν αὔξειν, καὶ αὐτὸς διὰ τοῦτο τι-
μᾶσθαι, ὀκνεῖ δὴ τοῦτο πράττειν, οὐκ ἂν εἰκότως δειλὸς νο-
μίζοιτο; ἴσως, ἔφη. ἀτὰρ πρός τι με ταῦτα ἐρωτᾷς; ὅτι,
ἔφη, οἶμαί σε δυνατὸν ὄντα ὀκνεῖν ἐπιμελεῖσθαι, καὶ ταῦ-
τα ὧν ἀνάγκη σοι μετέχειν πολίτῃ γε ὄντι. τὴν δὲ ἐμὴν
δύναμιν, ἔφη ὁ χαρμίδης, ἐν ποίῳ ἔργῳ καταμαθὼν,
ταῦτά μου καταμανθάνεις; ἐν ταῖς συνουσίαις, ἔφη, αἷς
σύνει τοῖς τὰ τῆς πόλεως πράττουσι. καὶ γὰρ ὅταν τι
ἀνακοινῶνταί σοι, ὁρῶ σε καλῶς συμβουλεύοντα, καὶ
ὅταν τι ἁμαρτάνωσιν, ὀρθῶς ἐπιτιμῶντα. οὐ ταὐτόν ἐστιν
ἔφη, ὦ σώκρατες, ἰδίᾳ τε διαλέγεσθαι, καὶ ἐν τῷ πλή-
θει ἀγωνίζεσθαι. καὶ μὴν, ἔφη, ὅ γε ἀριθμεῖν δυνάμενος,
οὐδὲν ἧττον ἐν τῷ πλήθει, ἢ μόνος ἀριθμεῖ. καὶ οἱ κατὰ
μόνας ἄριστα κιθαρίζοντες, οὗτοι καὶ ἐν τῷ πλήθει κρα-
τιστεύουσιν. αἰδῶ δὲ καὶ φόβον, ἔφη, οὐχ ὁρᾷς ἔμφυτά τε
ἀνθρώποις ὄντα, καὶ πολλῷ μᾶλλον ἐν τοῖς ὄχλοις ἢ ἐν ταῖς
ἰδίαις ὁμιλίαις παρισταμένα; καὶ σέ γε διδάξων, ἔφη, ὥρ-
μημαι, ὅτι τοὺς φρονιμωτάτους αἰδούμενος, ὅτε τοὺς ἰ-
σχυροτάτους φοβούμενος. ἐν τοῖς ἀφρονεστάτοις τε καὶ ἀσθε-
νεστάτοις αἰσχύνει λέγειν. πότερον γὰρ τοὺς γναφεῖς αὐτῶν, ἢ
τοὺς σκυτεῖς, ἢ τοὺς τέκτονας, ἢ τοὺς χαλκεῖς, ἢ τοὺς γεωρ-
γοὺς, ἢ τοὺς ἐμπόρους, ἢ τοὺς ἐν τῇ ἀγορᾷ μεταβαλλομένους,
καὶ φροντίζοντας, ὅτι ἔλαττον πριάμενοι, πλείονος ἀ-
ποδῶνται αἰσχύνει; ἐκ γὰρ τούτων ἁπάντων ἡ ἐκκλη-
σία συνίσταται. τί δὲ οἴει διαφέρειν, ὃ σὺ ποιεῖς ἢ τὸν ἀσκητὴν
ὄντα κρείττω, τοὺς ἰδιώτας φοβεῖσθαι; σὺ γὰρ τοῖς πρωτεύουσιν
ἐν τῇ πόλει, ὧν ἔνιοι καταφρονοῦσί σου ῥᾳδίως διαλεγό-
μενος, καὶ τῶν ἐπιμελομένων τοῦ τῇ πόλει διαλέγεσθαι
πολὺ, περιὼν, ἐν τοῖς μηδεπώποτε φροντίσασι τῶν
πολιτικῶν, μηδὲ σοῦ καταπεφρονηκόσιν, ὀκνεῖς λέγειν,
δεδιὼς

ἀνδρῶν μὴ καταγελασθῇς. τί δ', ἔφη, οὐ δοκοῦσί σοι πολλάκις οἱ ἐν τῇ ἐκκλησίᾳ τῶν ὀρθῶς λεγόντων καταγελᾶν; καὶ γὰρ οἱ ἕτεροι, ἔφη. διὸ καὶ θαυμάζω σου, ἢ ἐκείνους ὅταν τοῦτο ποιῶσι ῥᾳδίως χειρούμενος, τούτοις δὲ μηδένα τρόπον οἴει δυνήσεσθαι προσφέρεσθαι. ὦ ἀγαθέ, μὴ ἀγνόει σεαυτόν, μὴ δὲ ἁμάρτανε, ἃ οἱ πλεῖστοι ἁμαρτάνουσιν. οἱ γὰρ πολλοὶ ὡρμηκότες, ἐπὶ τὸ σκοπεῖν τὰ τῶν ἄλλων πράγματα, οὐ τρέπονται ἐπὶ τὸ ἑαυτοὺς ἐξετάζειν. μὴ οὖν ἀπορραθύμει τούτου, ἀλλὰ διατείνου μᾶλλον πρὸς τὸ σαυτῷ προσέχειν, καὶ μὴ ἀμέλει τῶν τῆς πόλεως, εἴ τι δυνατόν ἐστι διὰ σὲ βέλτιον ἔχειν. τούτων γὰρ καλῶς ἐχόντων, οὐ μόνον οἱ ἄλλοι πολῖται, ἀλλὰ καὶ οἱ σοὶ φίλοι, καὶ αὐτὸς σὺ οὐκ ἐλάχιστα ὠφελήσῃ. ἀριστίππου δ' ἐπιχειροῦντος ἐλέγχειν τὸν σωκράτη, ὥσπερ αὐτὸς ἐπ' ἐκείνου τὸ πρότερον ἠλέγχετο, βουλόμενος τοὺς συνόντας ὠφελεῖν, ὁ σωκράτης ἀπεκρίνατο, οὐχ ὥσπερ οἱ φυλαττόμενοι, μή πῃ ὁ λόγος ἐπαλλαχθῇ, ἀλλ' ὡς ἂν πεπεισμένοι μάλιστα πράττειν τὰ δέοντα. ὁ μὲν γὰρ αὐτὸν ἤρετο, εἴ τι εἰδείη ἀγαθόν, ἵνα εἴ τι εἴποι τῶν τοιούτων, οἷον, ἢ σῖτον, ἢ ποτόν, ἢ χρήματα, ἢ ὑγίειαν, ἢ ῥώμην, ἢ τόλμαν, δεικνύοι δὴ τοῦτο κακὸν γινόμενον. ὁ δὲ εἰδώς, ὅτι ἐάν τι ἐνοχλῇ ἡμᾶς, δεόμεθα τοῦ παύσοντος, ἀπεκρίνατο ᾗπερ καὶ ποιεῖν κράτιστον. ἆρα γάρ, ἔφη, ἐρωτᾷς με, εἴ τι οἶδα πυρετοῦ ἀγαθόν; οὐκ ἔγωγ', ἔφη. ἀλλὰ ὀφθαλμίας; οὐδὲ τοῦτο. ἀλλὰ λιμοῦ; οὐδὲ λιμοῦ. ἀλλὰ μήν, ἔφη, εἴ γ' ἐρωτᾷς με, εἴ τι ἀγαθὸν οἶδα, ὃ μηδενὸς ἀγαθόν ἐστιν, οὔτ' οἶδα, ἔφη, οὔτε δέομαι. πάλιν δὲ τοῦ ἀριστίππου ἐρωτῶντος αὐτόν, εἴ τι εἰδείη καλόν· καὶ πολλά, ἔφη. ἆρ' οὖν, ἔφη, πάντα ὅμοια ἀλλήλοις; ὡς οἷόν τε μὲν οὖν, ἔφη, ἀνομοιότατα ἔνια. πῶς οὖν, ἔφη, τὸ τῷ καλῷ ἀνόμοιον καλὸν ἂν εἴη; ὅτι νὴ Δί', ἔφη, ἔστι μὲν τῷ καλῷ πρὸς δρόμον ἀνθρώπῳ ἄλλος ἀνόμοιος, καὶ ἄλλος πρὸς πάλην. ἔστι δὲ ἀσπὶς καλὴ πρὸς τὸ προβάλλεσθαι, ὡς ἔνι ἀνομοιοτάτη τῷ ἀκοντίῳ καλῷ πρὸς τὸ σφόδρα τε καὶ ταχὺ φέρεσθαι. οὐδὲν διαφερόντως ἔφη ἀποκρίνῃ μοι, ἢ ὅτε σε ἠρώτησα εἴ τι ἀγαθὸν εἰδείης. σὺ δ' οἴει, ἔφη, ἄλλο μὲν ἀγαθόν, ἄλλο δὲ καλὸν εἶναι. οὐκ οἶσθ' ὅτι πρὸς ταῦτα πάντα, καλά τε καὶ ἀγαθά ἐστιν; πρῶτον μὲν γὰρ ἡ ἀρετὴ οὐ πρὸς ἄλλα μὲν ἀγαθόν, πρὸς ἄλλα δὲ καλόν ἐστιν· ἔπειτα οἱ ἄνθρωποι τὸ αὐτό τε καὶ πρὸς τὰ αὐτά, καλοί τε κἀγαθοὶ λέγονται. πρὸς τὰ αὐτὰ δὲ καὶ τὰ σώματα τῶν ἀνθρώπων καλά τε κἀγαθὰ φαίνεται. πρὸς ταῦτα δὲ καὶ τἆλλα πάντα, οἷς ἄνθρωποι χρῶνται, καλά τε καὶ ἀγαθὰ νομίζεται, πρὸς ἅπερ ἂν εὔχρηστα ᾖ. ἆρ' οὖν, ἔφη, καὶ κόφινος κοπροφόρος καλόν ἐστιν; νὴ Δί', ἔφη. καὶ χρυσῆ γε ἀσπὶς αἰσχρόν, ἐὰν πρὸς τὰ ἑαυτῶν ἔργα, ὁ μὲν καλῶς πεποιημένος ᾖ, ἡ δὲ κακῶς. λέγεις σύ, ἔφη, καλά τε καὶ αἰσχρὰ τὰ αὐτὰ εἶναι; νὴ Δία, ἔγωγ', ἔφη, ἀγαθά τε καὶ κακά. πολλάκις γὰρ τό γε λιμοῦ ἀγαθόν, λιμοῦ κακόν ἐστι. πολλάκις δὲ τὸ μὲν πρὸς δρόμον καλόν, πρὸς πάλην αἰσχρόν· τὸ δὲ πρὸς πάλην καλόν, πρὸς δρόμον αἰσχρόν. πάντα γὰρ ἀγαθὰ καὶ καλά ἐστι, πρὸς ἃ ἂν εὖ ἔχῃ. κακὰ δὲ καὶ αἰσχρὰ πρὸς ἃ ἂν κακῶς. καὶ οἰκίας δὲ λέγων, τὰς αὐτὰς καλάς τε εἶναι καὶ χρησίμους παιδεύειν, ἔμοιγε ἐδόκει,

οἵας

timentē ne derisui eis fias? Quid uero, Charmides ait, nonne tibi uidetur cōciononnunquā eos deridere qui recte dicūt? Nā et cæteri, inquit. Quapropter admiror te, si illos cū hoc faciat, facile arguēs, cū istis nullo modo putas posse cōuersari. Noli te ô optime ignorare, nec illa peccare quæ plurimi. Multi etenim res alienas curiosius inuestigātes, se ipsos examinare negligunt: noli itaq; contemnere, istud, sed conare ad teipsum attēdere, neq; rēpub. negligere, si quid utilitatis per te adipisci posset. His .n. bene habētibus, non solum cæteri ciues, sed tui etiā amici, & tu ipse non parū utilitatis acquiras. Aristippo aūt uolenti Socratē redarguere, quēadmodū ille prius ab ipso redarguebatur, uolēs iis qui intererāt Socrates aliquā utilitatē afferre, respondit, nō quemadmodū illi qui cauēt ne sermo in aliquo mutetur, sed quēadmodū potuisset audientib. persuadere ut bene agāt. Ille nāq; cū interrogauit, an quid bonū esse sciat: ut si quid tale dixerit, ut pote cibū, aut potū, aut pecuniā, aut sanitatē, aut robur, aut audaciā: ostēdat hoc idē quādoq; malum esse. Socrates uero sciēs, quod si quid nos grauet, optimus ut aliquis nos eo liberet, respōdit quēadmodū oportebat: Vtrū, inquit, interrogas me, num quid febriū bonū sciā? Minime, ait. Sed oculorū doloris? Nec istud. Sed famis? Nec famis, ait. Atqui, inquit, si me interrogas si quid bonū esse cognoscā, quod nullius sit bonū, nec scio tale, nec opus est mihi. Rursus Aristippo interrogāti eū, si qd probum sciat, Et multa, inquit. Vtrū aūt, ait, omnia similia inuicē? Nōnulla, inquit, quantū possibile sit, dissimilia inuicē. Quomodo igitur, ait, quod pbo dissimile est, probū esset? Quoniā, inquit, probo ad cursum homini alius dissimilis est, et alius ad palæstrā. nec nō etiā scuto quod ad protegendū probū decensq; sit, ualde dissimile est telū bonū, quod in hoc factū est ut cito et uehemēter feratur. Nō aliter mihi respōdes, ait, nisi quēadmodū cū te interrogauerā si qd bonū scias. Tu uero putas, inquit, aliud bonū, aliud probū esse? Nōnne cognoscis quod ad eadē, omnia bona ac proba sunt? Primo nāq; uirtus non ad alia bonū, ad alia probū est. Deinde homines secundū idem, & ad eadē boni atq; probi dicuntur. Ad eadem etiā & corpora hominū bona atq; proba apparēt. Cæteraq; omnia quibus homines utūtur, ad eadem cōparata, bona et proba putātur, ad ea scilicet quorū gratia facta sunt. Nū igitur is cor bis quo stercora efferūtur, probū est? Mehercle, inquit: ac scutū aureum improbū & turpe, dūmodo illud quidē bene, istud uero male, ad suū opus factū sit. Dicis igitur, ait, eadem esse proba & improba. Non solum mehercle, inquit, sed etiā bona & mala. Plureis enim quod fami bonū, febribus malū est: & quod febribus bonum, fami malum est. Non raro etiā quod ad cursum probū, ad palæstrā improbū: quod uero ad palæstrā probum, ad cursum improbum. Omnia nanq; ad illa cōparata, ad quæ bene se habēt, proba ac bona sunt: ad illa autem quæ male, mala ac improba. Domos quoq; cū diceret easdē esse bonas atq; utiles, docere mihi uidebatur

quales oportet ædificare. Vtrum enim aiebat, illum qui habiturus sit qualem deceat domum, hoc considerare oportet, ut quàm delectabilis & utilis habitantibus sit? Cum uero hoc concederetur, delectabile itaque dicebat est, in æstate frigidam illam habere, in hyeme autem calidam. Cum autem etiam in hoc consentiret, In domos igitur, aiebat, respicientes meridiem, in hyeme solares radij ingrediuntur: tempore uero æstiuo cum sol supra nos & per tecta est, umbram reddit. Si itaque bonum est sic ista fieri, oportet altiora quidem quæ meridiem respiciunt ædificare, ut sol hyemalis non excludatur: humiliora uero, quæ aquilonem, ut frigidi non incidant uenti. Et, ut uno uerbo dicam, ubi omnibus horis ipse libenter refugiat, suamq; supellectilem secure deponere possit, ista profecto maxime delectabilis, ac optima domus esset. Picturæ autem ac uarietates plures delectationes auferunt, quàm afferunt. Templis uero atque aris locum esse aiebat conuenientem, qui cum emi nentissimus sit, non facillimum aditum habeat: confert etenim hoc tum ut aspicientes orent, tum ut casti adeant. Rursus interrogatus, utrum fortitudinem natura, an doctrina assequamur: Puto equidem, inquit, quod quemadmodum corpus alio corpore robustius ad labores subeundos nascitur: sic etiam animam alia anima fortiorem ad pericula sustinenda fieri. Multos namque in eisdem moribus ac legibus nutritos, uideo multum alios alijs audacia excellere. Arbitror tamen omnem naturam doctrina ac exercitatione ad fortitudinem crescere. Patet namque quod Scythæ & Thraces non auderent scutis ac hastis aduersus Lacedæmonios pugnare. E conuerso uero Lacedæmonij nec aduersus Thracas, peltis ac telis, nec contra Scythas arcubus uelint certare. Præterea eodem modo in alijs quoq; omnibus uideo & natura homines inuicem differre, & studio multum augeri. E quibus patet, omnes homines oportere, siue boni, siue mali ingenij sint, discere atque studere in eis in quibus uelint excellere. Sapientiam uero & moderationem non distinguebat. Qui enim bona atq; honesta sciat, ut eis utatur: ac turpia cognoscat, ut ab eis abstineat, sapientem ac moderatum esse iudicabat. Interrogatus uero, si illos qui sciunt quæ agere oporteret, contra uero faciunt, sapientes & abstinentes esse arbitretur: Imò, inquit, insipientes potius atq; ignaros: omnes enim, ut opinor eligendo quammaxime possunt quæcunq; eis conducere uideantur, illa agunt. Quicunque ergo non recte agant, neque sapientes nec moderatos eos esse. Aiebat autem, iustitiam etiam, omnemq; aliam uirtutem, sapientiam esse. Omnia siue iusta, siue quæcunque cum uirtute aguntur, bona atq; honesta sunt: quæ si quis sciat, nec eligere, nec alia agere præter hæc potest: quod si conaretur, aberrat. E conuerso uero qui nesciat, nec agere illa potest, etsi conaretur, aberrat. Cum igitur tum iusta, tum etiam alia bona atque honesta, uirtute perficiantur, patet iustitiam

οἵας χρὴ οἰκοδομεῖσθαι, ὧδε ἐσκόπει. ἆρά γε τὸν μέλλοντα οἰκίαν οἵαν χρὴ ἔχειν, τοῦτο δεῖ μηχανᾶσθαι, ὅπως ἡδίστη τε ἐνδιαιτᾶσθαι καὶ χρησιμωτάτη ἔσται; τούτου δὲ ὁμολογουμένου, οὐκοῦν ἡδὺ μὲν θέρους ψυχεινὴν ἔχειν, ἡδὺ δὲ χειμῶνος ἀλεεινήν. ἐπειδὴ δὲ καὶ τοῦτο συμφαίησαν, οὐκοῦν ἐν ταῖς πρὸς μεσημβρίαν βλεπούσαις οἰκίαις, τοῦ μὲν χειμῶνος ὁ ἥλιος εἰς τὰς παστάδας ὑπολάμπει, τοῦ δὲ θέρους ὑπὲρ ἡμῶν αὐτῶν καὶ τῶν στεγῶν πορευόμενος, σκιὰν παρέχει. οὐκοῦν εἴ γε καλῶς ἔχει ταῦτα οὕτω γίγνεσθαι, οἰκοδομεῖν δεῖ, ὑψηλότερα μὲν τὰ πρὸς μεσημβρίαν, ἵνα ὁ χειμερινὸς ἥλιος μὴ ἀποκλείηται. χθαμαλώτερα δὲ τὰ πρὸς ἄρκτον, ἵνα οἱ ψυχροὶ μὴ ἐμπίπτωσιν ἄνεμοι. ὡς δὲ συνελόντι εἰπεῖν ὅποι πάσας ὥρας αὐτός τε ἂν ἥδιστα καταφεύγοι, καὶ τὰ ὄντα ἀσφαλέστατα τιθοῖτο, αὕτη ἂν εἰκότως ἡδίστη τε καὶ καλλίστη οἴκησις εἴη. γραφαὶ δὲ καὶ ποικιλίαι πλείονας εὐφροσύνας ἀποστεροῦσιν ἢ παρέχουσι. ναοῖς γε μὴν καὶ βωμοῖς χώραν ἔφη εἶναι πρεπωδεστάτην, ἥτις ἐμφανεστάτη οὖσα ἀστιβεστάτη εἴη. ἡδὺ μὲν γὰρ ἰδόντας προσεύξασθαι, ἡδὺ δὲ ἁγνῶς ἔχοντας προσιέναι. πάλιν δὲ ἐρωτώμενος, εἰ ἡ ἀνδρεία εἴη διδακτὸν ἢ φυσικόν, οἶμαι μὲν, ἔφη, ὥσπερ σῶμα σώματος ἰσχυρότερον πρὸς τοὺς πόνους φύεται, οὕτω καὶ ψυχὴν ψυχῆς ἐρρωμενεστέραν πρὸς τὰ δεινὰ φύσει γίγνεσθαι. ὁρῶ γὰρ ἐν τοῖς αὐτοῖς νόμοις τε καὶ ἔθεσι τρεφομένους, πολὺ διαφέροντας ἀλλήλων τόλμῃ. νομίζω μέντοι πᾶσαν φύσιν μαθήσει καὶ μελέτῃ πρὸς ἀνδρείαν αὔξεσθαι. δῆλον μὲν γὰρ, ὅτι Σκύθαι καὶ Θρᾷκες οὐκ ἂν τολμήσειαν ἀσπίδας καὶ δόρατα λαβόντες, Λακεδαιμονίοις διαμάχεσθαι. φανερὸν δὲ, ὅτι Λακεδαιμόνιοι οὔτ᾽ ἂν Θρᾳξὶν ἐν πέλταις καὶ ἀκοντίοις, οὔτε Σκύθαις ἐν τόξοις ἐθέλοιεν ἂν διαγωνίζεσθαι. ὁρῶ δ᾽ ἔγωγε καὶ ἐπὶ τῶν ἄλλων πάντων ὁμοίως καὶ φύσει διαφέροντας ἀλλήλων τοὺς ἀνθρώπους, καὶ ἐπιμελείᾳ πολὺ ἐπιδιδόντας. ἐκ δὲ τούτων δῆλόν ἐστιν, ὅτι πάντας χρὴ καὶ τοὺς εὐφυεστέρους καὶ τοὺς ἀμβλυτέρους τὴν φύσιν, ἐν οἷς ἂν ἀξιόλογοι βούλωνται γενέσθαι, ταῦτα καὶ μανθάνειν, καὶ μελετᾶν. σοφίαν δὲ καὶ σωφροσύνην οὐ διώριζεν, ἀλλὰ τὸν τὰ μὲν καλά τε καὶ ἀγαθὰ γιγνώσκοντα χρῆσθαι αὐτοῖς, καὶ τὸν τὰ αἰσχρὰ εἰδότα, εὐλαβεῖσθαι, σοφόν τε καὶ σώφρονα ἔκρινε. προσερωτώμενος δὲ εἰ τοὺς ἐπισταμένους μὲν ἃ δεῖ πράττειν, ποιοῦντας δὲ τἀναντία, σοφούς τε καὶ ἀκρατεῖς εἶναι νομίζοι, οὐδέν γε μᾶλλον, ἔφη, ἢ ἀσόφους τε καὶ ἀμαθεῖς. πάντας γὰρ οἶμαι προαιρουμένους ἐκ τῶν ἐνδεχομένων, ἃ οἴονται συμφορώτατα αὐτοῖς εἶναι, ταῦτα πράττειν. νομίζω οὖν τοὺς μὴ ὀρθῶς πράττοντας, οὔτε σοφοὺς οὔτε σώφρονας εἶναι. ἔφη δὲ καὶ τὴν δικαιοσύνην καὶ τὴν ἄλλην πᾶσαν ἀρετὴν σοφίαν εἶναι. τά τε γὰρ δίκαια καὶ πάντα ὅσα ἀρετῇ πράττεται, καλά τε καὶ ἀγαθὰ εἶναι. καὶ οὔτ᾽ ἂν τοὺς ταῦτα εἰδότας, ἄλλο τι τούτων οὐδὲν προελέσθαι, οὔτε τοὺς μὴ ἐπισταμένους δύνασθαι πράττειν, ἀλλὰ καὶ ἐὰν ἐγχειρῶσιν, ἁμαρτάνειν. οὕτω καὶ τὰ καλά γε καὶ ἀγαθὰ, τοὺς μὲν σοφοὺς πράττειν, τοὺς δὲ μὴ σοφοὺς οὐ δύνασθαι, ἀλλὰ καὶ ἐὰν ἐγχειρῶσιν, ἁμαρτάνειν. ἐπεὶ οὖν τά τε δίκαια καὶ τὰ ἄλλα καλά τε καὶ ἀγαθὰ πάντα ἀρετῇ πράττεται, δῆλον εἶναι ὅτι καὶ δικαιοσύνη

an fortitudo insit a natura, an vero discatur.

Socrates non distinguit sapientiam a moderatione.

dicebat etiam Socrates omnem virtutem esse sapientiam

σύνη καὶ ἡ ἄλλη πᾶσα ἀρετὴ σοφία ἐστί. μανίαν γε μὴν ἐναντίον μὲν ἔφη εἶναι σοφίᾳ. οὐ μέντοι γε τὴν ἀνεπιστημοσύνην μανίαν ἐνόμιζεν. τὸ δὲ ἀγνοεῖν ἑαυτὸν, καὶ μὴ ἃ οἶδε δοξάζειν τε καὶ οἴεσθαι, καὶ γιγνώσκειν, ἐγγυτάτω μανίας ἐλογίζετο εἶναι. τοὺς μέντοι πολλούς, ἔφη, ἃ μὲν οἱ πλεῖστοι ἀγνοοῦσι, τοὺς διημαρτηκότας τούτων, οὐ φάσκειν μαίνεσθαι, τοὺς δὲ διημαρτηκότας, ὧν οἱ πολλοὶ γιγνώσκουσι, μαινομένους καλεῖν. ἐάν τε γάρ τις μέγας οὕτως οἴηται εἶναι, ὥστε κύπτειν τὰς πύλας τοῦ τείχους διεξιών. ἐάν τε οὕτως ἰσχυρὸς, ὥστ' ἐπιχειρεῖν οἰκίας αἴρεσθαι, ἢ ἄλλῳ τῳ ἐπιτίθεσθαι τῶν πᾶσι δήλων, ὅτι ἀδύνατά ἐστι, τοῦτον μαίνεσθαι φάσκειν. τοὺς δὲ μικρὸν διαμαρτάνοντας, οὐ δοκεῖν τοῖς πολλοῖς μαίνεσθαι. ἀλλ' ὥσπερ τὴν ἰσχυρὰν ἐπιθυμίαν ἔρωτα καλοῦσιν, οὕτω καὶ τὴν μεγάλην παράνοιαν, μανίαν αὐτοὺς καλεῖν. φθόνον δὲ σκοπῶν ὅτι εἴη, λύπην μέν τινα ἐξηύρισκεν αὐτὸν ὄντα, οὔτε μέντοι τὴν ἐπὶ φίλων ἀτυχίαις, οὔτε τὴν ἐπ' ἐχθρῶν εὐτυχίαις γιγνομένην, ἀλλὰ μόνους ἔφη φθονεῖν, τοὺς ἐπὶ ταῖς τῶν φίλων εὐπραξίαις ἀνιωμένους. θαυμαζόντων δέ τινων εἴ τις φιλῶν τινα ἐπὶ τῇ εὐπραξίᾳ αὐτοῦ λυποῖτο, ὑπεμίμνησκεν ὅτι πολλοὶ οὕτως πρός τινας ἔχουσιν, ὥστε κακῶς μὲν πράττοντας μὴ δύνασθαι περιορᾶν, ἀλλὰ βοηθεῖν ἀτυχοῦσι. εὐτυχούντων δὲ λυπεῖσθαι. τοῦτο δὲ φρονίμῳ μὲν ἀνδρὶ οὐκ ἂν συμβῆναι, τοὺς ἠλιθίους δὲ ἀεὶ πάσχειν αὐτό. σχολὴν δὲ σκοπῶν τίς εἴη, ποιοῦντας μέντοι τοὺς πλείστους ἔφη εὑρίσκειν. καὶ γὰρ τοὺς πεττεύοντας, καὶ τοὺς γελωτοποιοῦντας, ποιεῖν τι. πάντας δὲ τούτους ἔφη σχολάζειν. ἐξεῖναι γὰρ αὐτοῖς, ἰέναι πράξοντας τὰ βελτίω τούτων. ἀπὸ μέντοι τῶν βελτιόνων ἐπὶ τὰ χείρω ἰέναι, οὐδένα σχολάζειν. εἰ δέ τις ἴοι, τοῦτον ἀσχολίας αὐτῷ οὔσης, κακῶς ἔφη τοῦτο πράττειν. βασιλεῖς δὲ καὶ ἄρχοντας, οὐ τοὺς τὰ σκῆπτρα ἔχοντας ἔφη εἶναι, οὐδὲ τοὺς ὑπὸ τῶν τυχόντων αἱρεθέντας, οὐδὲ τοὺς κλήρῳ λαχόντας, οὐδὲ τοὺς βιασαμένους, οὐδὲ τοὺς ἐξαπατήσαντας, ἀλλὰ τοὺς ἐπισταμένους ἄρχειν. ὁπότε γάρ τις ὁμολογήσειεν, τοῦ μὲν ἄρχοντος εἶναι τὸ προστάττειν ὅ, τι χρὴ ποιεῖν, τοῦ δὲ ἀρχομένου τὸ πείθεσθαι, ἐπεδείκνυεν, ἔν τε νηΐ, τὸν μὲν ἐπιστάμενον ἄρχοντα, τὸν δὲ ναύκληρον, καὶ τοὺς ἄλλους τοὺς ἐν τῇ νηῒ πάντας, πειθομένους τῷ ἐπισταμένῳ. καὶ ἐν γεωργίᾳ τοὺς κεκτημένους ἀγρούς, καὶ ἐν νόσῳ τοὺς νοσοῦντας, καὶ ἐν σωμασκίᾳ τοὺς σωμασκοῦντας, καὶ τοὺς ἄλλους πάντας, οἷς ὑπάρχει τι ἐπιμελείας δεόμενον, ἂν μὲν αὐτοὶ ἡγῶνται ἐπίστασθαι, ἐπιμελεῖσθαι· εἰ δὲ μή, τοῖς ἐπισταμένοις οὐ μόνον παροῦσι πειθομένους, ἀλλὰ καὶ ἀπόντας μεταπεμπομένους, ὅπως ἐκείνοις πειθόμενοι, τὰ δέοντα πράττωσι. ἐν δὲ ταλασίᾳ καὶ τὰς γυναῖκας ἐπεδείκνυεν ἀρχούσας τῶν ἀνδρῶν, διὰ τὸ τὰς μὲν εἰδέναι ὅπως χρὴ ταλασιουργεῖν, τοὺς δὲ μὴ εἰδέναι. εἰ δέ τις πρὸς ταῦτα λέγοι, ὅτι τῷ τυράννῳ ἔξεστι μὴ πείθεσθαι τοῖς ὀρθῶς λέγουσι. καὶ πῶς ἄν, ἔφη, ἐξείη μὴ πείθεσθαι, ἐπικειμένης γε ζημίας; ἐάν τις τῷ εὖ λέγοντι ἁμαρτήσεται δή που. ἁμαρτάνων δὲ ζημιωθήσεται. εἰ δὲ φαίη τις τῷ τυράννῳ ἐξεῖναι καὶ ἀποκτεῖναι τὸν εὖ φρονοῦντα. τὸν δὲ ἀποκτείνοντα ἔφη, τοὺς κρατίστους τῶν συμμάχων, οἴει ἀζήμιον γίγνεσθαι, ἢ ὡς ἔτυχε ζημιοῦσθαι; πότερον γὰρ ἂν μᾶλλον

tiam ac omnẽ aliam uirtutẽ sapientiã esse. Insipientiã aũt contrariũ esse sapientiæ ponebat, nõ tamen inscitiam insaniã appellabat: sed ignorare seipsum, ac illa quæ nesciret, opinari cognoscere, hoc prope insaniam esse aiebat. Quamuis uulgus nõ illos qui nesciant quæ plures ignorant, putent insanire: sed illos potius qui ignorãt, quæ plures cognoscãt. Nam siue tam longum quisquã se esse putet, ut cũ portas exeat ciuitatis, oporteat inclinare: siue tam
10 robustum, ut conetur domos supra humeros tollere, aut aliquid aliud facere quod omnes impossibile esse sciant, illum insanire dicũt. Qui uero in paruo quodã aberrat, ille nõ uidetur uulgo insanire: sed sicut uehemens desideriũ cupidinem appellant, sic magnã inscitiam insaniã nominant. Considerãs autem quid inuidia sit, dolorẽ quendã reperiebat eam esse, non tamen nec in aduersa amicorum, nec in sequunda fortuna inimicorum: sed illos inuidere aiebat, qui in amicorum prosperitate doleant. Cum
20 uero quidam mirarẽtur, si quis cum quendã amaret, doleret in eius prosperitate: ostendebat multos esse ita ad quosdam affectos, ut eos aduersitate laborantes non poßint negligere, sed in quantũ possunt succurrant, in prosperitate uero eorum doleant. Hoc autem prudenti uiro minime, sed stolidis contingere asserebat. Cum uero de ocio quidnam sit consideraret, ut plurimũ dicebat se deprehendere omnes aliquid facere: etenim qui taxillis, quiq; risui excitando uacant, aliquid faciũt, nihilominus
30 huiuscemodi omnes ociosos dicebat. Liceret nãq; eis, istis dimißis meliora agere: à melioribus uero ad peiora cadere, nulli ocium esse deberet. quod si quis faciat, male facit. Reges autem & principes non illos esse qui sceptra ferunt dicebat, nec illos qui aut à quocunq; contingit electi, aut sorte, aut uiolentia, aut deceptione assumpti fuerunt, sed qui regere sciant. Cum enim quisq; fateatur, principis quidem proprium esse, iubere quid oporteat facere, subditi uero parẽre: ostendebat & in naui il-
40 lum principem esse, qui sciat: patronum uero nauis & alios nautas omnes obedientes scienti. Ac in agricultura quicunq; habent agros, & in aegritudine aegrotos, & in corporum exercitatione qui se exercẽt, caeterosq; omnes qui poßideãt aliquid, quod indigeat cura, si illi quidem scire putent, de eis curam habent: sin minus, scientibus non modo curam adsint, parent, sed etiam absentes inuocant, ut illorum consilio, quæ oporteat, agant. In texendo uero mulieres quoq; mõstrabat maritis do-
50 minari, propterea quod illæ quidem artem texendi sciant, illi autem ignorent. Quod si quis ad hæc opponeret, tyranno licere non parẽre illis qui recte dicant: Et quomodo liceret non parẽre, inquit, cum damnum peccantibus impositum sit? Si quisquam enim non illi parẽret qui recte dicat, peccet necesse est: qui uero peccat, necessario damnatur. Quod si quis diceret, tyranno licere etiam interficere illum qui recte sapit. Eum itaq;, aiebat, qui ualentiores suos socios interimat, putásne inde immunem fore, aut in minimis damnari? Vtrum enim arbitra-

quid intersit inter εὐτυχίαν et εὐπραγίαν

arbitraris saluum manere illum qui huiuscemodi agat, an hoc modo citius perimi? Cum quidam uero cum interrogasset, quid ei uideatur optimum homini: Studium, respondit, bene agendi. Cum autem rursus petijsset, si etiam secundum fortunam studium putet esse: Totum, inquit, contrarium ego fortunam & actionem esse puto. Cum enim non quaeritanti quicquam boni cuiquam occurrat, secundum fortunam hoc esse. Cum uero doctrina ac exercitatione bene quis agat, hanc bonam actionem esse arbitror: quiq; hoc meditantur, hi mihi bene agere uidentur. Optimos quoque ac deo amabiles illos esse aiebat, qui in agricultura quidem, quae agriculturae sunt: in medicina, quae medicinalia sunt: in republica quae ciuilia sunt, bene agant. Illum uero qui nihil horum bene agat, nec deo amabilem, nec in aliquo utilem esse aiebat. Atqui si quando etiam cum artificibus disputasset, & his perutilis erat. Cum quondam enim ad Parrhasium pictorem intrasset, atque cum illo disputaret: Num ô Parrhasi, inquit, pictura est eorum quae uidentur, imitatio? Nam concaua & eminentia, tenebrosa ac lucida, dura & mollia, aspera & leuia, ac noua & uetera corpora per colores imitamini. Verum dicis, inquit. Venustas itaque species cum similes reddere uelitis, ait, cumque non sit facile ad unum hominem omnia irreprehensibilia habentem, respiciendo imitari, á multis colligentes quicquid optimum quilibet habeat, sic facitis corpora uenusta apparere? Sic facimus, inquit. Quid igitur animi effigiem illam suauissimam, amantissimam, atque charissimam non imitamini? an non est imitabilis ista? Quo nanque pacto, inquit, ò Socrates, imitabile hoc esset, quod neque proportionem, neque colorem, neque quicquam illorum quae tu paulo antea dixisti, habeat, nec simpliciter uisibile sit? Vtrum, ait, hoc fit in homine, quod modo amice, modo inimice quosdam intueatur? Ita, inquit. Atqui, ait, magnificum ac liberale, humile ac illiberale, moderatum ac prudens, contumeliosum ac honesti ignarum, tam per faciem, quàm etiam per gestus, tam stantium, quàm illorum qui mouentur hominum, patescit. Ita, inquit, profecto. Quaedam ergo imitationes eae etiam sunt? Vehementer, ait. Vtrum itaque, inquit, illa libentius putas homines uidere, per quae honesti, boni, amabilesq; mores apparent, an illa per quae turpes, ac praui, ac odiosi? Multum interest mehercle, inquit, ô Socrates. Quondam uero Clitonem statuarium adiens, habito cum eo sermone: O Clito, ait, certe quidem teneo ac uideo, quod dissimiles facis cursores, luctatores, pugiles, ac pancratiastas: illud uero quod per usum maxime delectat, uiuum scilicet apparere, quomodo statuis immittis? Cum uero haesitans Clito respondere differebat, Vtrum, inquit, quàm maxime uiuentium formis assimilans opera tua, uiuaciores facis

μᾶλλον οἴει σώζεσθαι τὸν ταῦτα ποιοῦντα, ἢ οὕτω καὶ τάχιστ' ἂν ἀπολέσθαι; ἐρομένου δέ τινος αὐτῷ, τί δοκοίη αὐτῷ κράτιστον ἀνδρὶ ἐπιτήδευμα εἶναι, ἀπεκρίνατο, εὐπραξίαν. ἐρομένου δὲ πάλιν, εἰ καὶ τὴν εὐτυχίαν ἐπιτήδευμα νομίζοι εἶναι. πᾶν μὲν οὖν τοὐναντίον ἔγωγ', ἔφη, τύχην καὶ πρᾶξιν ἡγοῦμαι. τὸ μὴ γὰρ μὴ ζητοῦντα ἐπιτυχεῖν τινι τῶν δεόντων, εὐτυχίαν εἶναι. τὸ δὲ μαθόντα τι εὖ ποιεῖν, εὐπραξίαν νομίζω. καὶ οἱ τοῦτο ἐπιτηδεύοντες, δοκοῦσί μοι εὖ πράττειν. καὶ ἀρίστους καὶ θεοφιλεστάτους ἔφη εἶναι, ἐν μὲν γεωργίᾳ, τοὺς τὰ γεωργικὰ εὖ πράττοντας· ἐν δ' ἰατρείᾳ, τοὺς τὰ ἰατρικά· ἐν δὲ πολιτείᾳ, τοὺς τὰ πολιτικά. τὸν δὲ μηδὲν εὖ πράττοντα, οὔτε χρήσιμον οὐδὲν ἔφη εἶναι, οὔτε θεοφιλῆ. ἀλλὰ μὴν καὶ εἴποτε τῶν τὰς τέχνας ἐχόντων, καὶ ἐργασίας ἕνεκα χρωμένων αὐτοῖς διαλέγοιτό τινι, καὶ τούτοις ὠφέλιμος ἦν. εἰσελθὼν μὲν γάρ ποτε πρὸς Παῤῥάσιον τὸν ζωγράφον, καὶ διαλεγόμενος αὐτῷ. ἆρα, ἔφη, ὦ Παῤῥάσιε, γραφική ἐστιν ἡ εἰκασία τῶν ὁρωμένων; τὰ γοῦν κοῖλα, καὶ τὰ ὑψηλά, καὶ τὰ σκοτεινά, καὶ τὰ φωτεινά, καὶ τὰ σκληρά, καὶ τὰ μαλακά, καὶ τὰ τραχέα, καὶ τὰ λεῖα, καὶ τὰ νέα, καὶ τὰ παλαιὰ σώματα διὰ τῶν χρωμάτων ἀπεικάζοντες ἐκμιμεῖσθε. ἀληθῆ λέγεις, ἔφη. καὶ μὴν τά γε καλὰ εἴδη ἀφομοιοῦντες, ἐπειδὴ οὐ ῥᾴδιον ἑνὶ ἀνθρώπῳ περιτυχεῖν ἄμεμπτα πάντα ἔχοντι, ἐκ πολλῶν συνάγοντες, τὰ ἐξ ἑκάστου κάλλιστα, οὕτως ὅλα τὰ σώματα καλὰ ποιεῖτε φαίνεσθαι. ποιοῦμεν γάρ, ἔφη, οὕτως. τί γάρ, ἔφη, τὸ πιθανώτατόν τε, καὶ ἥδιστον, καὶ φιλικώτατον, καὶ ποθεινότατον, καὶ ἐρασμιώτατον ἀπομιμεῖσθαι τὸ τῆς ψυχῆς ἦθος, ἢ οὐδὲ μιμητόν ἐστι τοῦτο; πῶς γὰρ ἄν, ἔφη, μιμητὸν εἴη, ὦ Σώκρατες, ὃ μήτε συμμετρίαν, μήτε χρῶμα, μήτε ὧν σὺ εἶπας ἄρτι μηδὲν ἔχει, μηδὲ ὅλως ὁρατόν ἐστιν; ἆρ' οὖν, ἔφη, γίγνεται ἐν ἀνθρώπῳ τό, τε φιλοφρόνως, καὶ τὸ ἐχθρῶς βλέπειν πρός τινας; ἔμοιγε δοκεῖ, ἔφη. οὐκοῦν τοῦτό γε μιμητὸν ἐν τοῖς ὄμμασιν; καὶ μάλα, ἔφη. ἐπὶ δὲ τοῖς τῶν φίλων ἀγαθοῖς καὶ τοῖς κακοῖς, ὁμοίως σοι δοκοῦσιν ἔχειν τὰ πρόσωπα οἵ τε φροντίζοντες καὶ οἱ μή; μὰ δί' οὐ δῆτα, ἔφη. ἐπὶ μὲν γὰρ τοῖς ἀγαθοῖς, φαιδροί· ἐπὶ δὲ τοῖς κακοῖς, σκυθρωποὶ γίγνονται. οὐκοῦν, ἔφη, καὶ ταῦτα δυνατὸν ἀπεικάζειν; καὶ μάλα, ἔφη. ἀλλὰ μὴν καὶ τὸ μεγαλοπρεπές τε καὶ ἐλευθέριον, καὶ τὸ ταπεινόν τε καὶ ἀνελεύθερον, καὶ τὸ σωφρονητικόν τε καὶ φρόνιμον, καὶ τὸ ὑβριστικόν τε καὶ ἀπειρόκαλον, καὶ διὰ τοῦ προσώπου καὶ διὰ τῶν σχημάτων, καὶ ἑστώτων, καὶ κινουμένων ἀνθρώπων διαφαίνει. ἀληθῆ λέγεις, ἔφη. οὐκοῦν καὶ ταῦτα μιμητά; καὶ μάλα, ἔφη. πότερον οὖν, ἔφη, νομίζεις ἥδιον ὁρᾶν τοὺς ἀνθρώπους, δι' ὧν τὰ καλά τε κἀγαθὰ καὶ ἀγαπητὰ ἤθη φαίνεται, ἢ δι' ὧν τὰ αἰσχρά τε καὶ πονηρὰ καὶ μισητά; πολὺ νὴ δί', ἔφη, διαφέρει, ὦ Σώκρατες. πρὸς δὲ Κλείτωνα τὸν ἀνδριαντοποιὸν εἰσελθών ποτε καὶ διαλεγόμενος αὐτῷ, ὅτι μέν, ἔφη, ὦ Κλείτων, ἀλλοίους ποιεῖς δρομεῖς τε καὶ παλαιστάς, καὶ πύκτας, καὶ παγκρατιαστάς, ὁρῶ τε καὶ οἶδα. ὃ δὲ μάλιστα ψυχαγωγεῖ διὰ τῆς ὄψεως τοὺς ἀνθρώπους, τὸ ζωτικὸν φαίνεσθαι, πῶς τοῦτο ἐργάζῃ τοῖς ἀνδριᾶσιν; ἐπεὶ δὲ ἀπορῶν ὁ Κλείτων, οὐ ταχὺ ἀπεκρίνατο. ἆρ', ἔφη, τοῖς τῶν ζώντων εἴδεσιν ἀπεικάζων τὸ ἔργον, ζωτικωτέρους ποιεῖς

ποιεῖς φαίνεσθαι τοὺς ἀνδριάντας; καὶ μάλα, ἔφη. οὐκ οὖν τά τε ὑπὸ τῶν σχημάτων κατασπώμενα, καὶ τὰ ἀνασπώμενα ἐν τοῖς σώμασι, καὶ τὰ συμπιεζόμενα, καὶ τὰ διελκόμενα, καὶ ἐντεινόμενα, καὶ τὰ ἀνιέμενα ἀπεικάζων, ὁμοιότερά τε τοῖς ἀληθινοῖς, καὶ πιθανώτερα ποιεῖς φαίνεσθαι; πάνυ μὲν οὖν, ἔφη. τὸ δὲ καὶ τὰ πάθη τῶν ποιούντων τι σωμάτων ἀπομιμεῖσθαι, οὐ ποιεῖν τινὰ τέρψιν τοῖς θεωμένοις; εἰκός γ' οὖν, ἔφη. οὐκ οὖν καὶ τῶν μὲν μαχομένων ἀπειλητικὰ τὰ ὄμματα ἀπεικαστέον, τῶν δὲ νενικηκότων εὐφραινομένων ἡ ὄψις μιμητέα; σφόδρα γε, ἔφη. δεῖ ἄρα, ἔφη, τὸν ἀνδριαντοποιὸν τὰ τῆς ψυχῆς ἔργα, τῷ εἴδει προσεικάζειν. πρὸς δὲ πιστίαν τὸν θωρακοποιὸν εἰσελθὼν, ἐπιδείξαντος αὐτοῦ τῷ σωκράτει θώρακας εὖ εἰργασμένους, νὴ τὴν ἥραν, ἔφη, καλόν γε, ὦ πιστία, τὸ εὕρημα, τὸ τὰ μὲν δεόμενα σκέπης τοῦ ἀνθρώπου σκεπάζειν τὸν θώρακα, ταῖς δὲ χερσὶ μὴ κωλύειν χρῆσθαι. ἀτὰρ, ἔφη, λέξον μοι, ὦ πιστία, διὰ τί οὔτε ἰσχυροτέρους, οὔτε πολυτελεστέρους τῶν ἄλλων ποιῶν τοὺς θώρακας, πλείονος πωλεῖς; ὅτι, ἔφη, ὦ σώκρατες, εὐρυθμοτέρους ποιῶ. τὸν ῥυθμὸν, ἔφη, πότερα μέτρῳ ἢ σταθμῷ ἀποδεικνύων πλείονος τιμᾷ; οὐ γὰρ δὴ ἴσους γε πάντας, οὐδὲ ὁμοίους οἶμαί σε ποιεῖν, εἴγε ἁρμόττοντας ποιεῖς. ἀλλὰ νὴ δί', ἔφη, ποιῶ· οὐδὲν γὰρ ὄφελός ἐστι θώρακος ἄνευ τούτου. οὐκ οὖν, ἔφη, σώματά γε ἀνθρώπων, τὰ μὲν εὔρυθμά ἐστι, τὰ δὲ ἄρρυθμα. πάνυ μὲν οὖν, ἔφη. πῶς οὖν, ἔφη, τῷ ἀρρύθμῳ σώματι ἁρμόττοντα τὸν θώρακα, εὔρυθμον ποιεῖς; ὥσπερ καὶ ἁρμόττοντα, ἔφη. ὁ ἁρμόττων γάρ ἐστιν εὔρυθμος. δοκεῖς μοι, ἔφη ὁ σωκράτης, τὸ εὔρυθμον οὐ καθ' ἑαυτὸ λέγειν, ἀλλὰ πρὸς τὸν χρώμενον, ὥσπερ ἂν εἰ φαίης ἀσπίδα, ᾧ ἂν ἁρμόττῃ, τούτῳ εὔρυθμον εἶναι, καὶ χλαμύδα, καὶ τἆλλα ὡσαύτως ἔοικεν ἔχειν τῷ λόγῳ. ἴσως δὲ καὶ ἄλλο τι οὐ μικρὸν ἀγαθὸν τῷ ἁρμόττειν πρόσεστι. δίδαξον, ἔφη, ὦ σώκρατες, εἴ τι ἔχεις. ἧττον, ἔφη, τῷ βάρει πιέζουσιν οἱ ἁρμόττοντες τῶν ἀναρμόστων, τὸν αὐτὸν σταθμὸν ἔχοντες. οἱ μὲν γὰρ ἀνάρμοστοι, ἢ ὅλοι ἐκ τῶν ὤμων κρεμάμενοι, ἢ καὶ ἄλλο τι τοῦ σώματος σφόδρα πιέζοντες, δύσφοροι καὶ χαλεποὶ γίγνονται. οἱ δὲ ἁρμόττοντες διειλημμένοι τὸ βάρος, τὸ μὲν ὑπὸ τῶν κλειδῶν καὶ ἐπωμίδων, τὸ δ' ὑπὸ τῶν ὤμων, τὸ δὲ ὑπὸ τοῦ στήθους, τὸ δὲ ὑπὸ τοῦ νώτου, τὸ δὲ ὑπὸ τῆς γαστρὸς, ὀλίγου δεῖν, οὐ φορήματι, ἀλλὰ προσθήματι ἐοίκασιν. εἴρηκας, ἔφη, αὐτὸ, δι' ὅπερ ἔγωγε τὰ ἐμὰ ἔργα πλείστου ἄξια νομίζω εἶναι. ἔνιοι μέντοι τοὺς ποικίλους καὶ τοὺς ἐπιχρύσους θώρακας μᾶλλον ὠνοῦνται. ἀλλὰ μὴν, ἔφη, εἴγε διὰ ταῦτα μὴ ἁρμόττοντας ὠνοῦνται, κακόν ἔμοιγε δοκοῦσι ποικίλον τε καὶ ἐπίχρυσον ὠνεῖσθαι. ἀτὰρ, ἔφη, τοῦ σώματος μὴ μένοντος, ἀλλὰ τότε μὲν κυρτουμένου, τότε δὲ ὀρθουμένου, πῶς ἂν ἀκριβεῖς θώρακες ἁρμόττοιεν; οὐδαμῶς, ἔφη. λέγεις, ἔφη, ἁρμόττειν οὐ τοὺς ἀκριβεῖς, ἀλλὰ τοὺς μὴ λυποῦντας ἐν τῇ χρείᾳ. αὐτὸς, ἔφη, τοῦτο λέγεις, ὦ σώκρατες, καὶ πάνυ ὀρθῶς ἀποδέχῃ. γυναικὸς δέ ποτε οὔσης ἐν τῇ πόλει καλῆς, ᾗ ὄνομα ἦν θεοδότη, καὶ οἵας συνεῖναι τῷ πείθοντι, μνησθέντος αὐτῆς τῶν παρόντων τινὸς, καὶ εἰπόντος, ὅτι κρεῖττον εἴη λόγου τὸ κάλλος τῆς γυναικός, καὶ ζωγράφους φήσαντος εἰσιέναι πρὸς αὐτὴν

facis statuas apparere? Vehementer, inquit. Affectiones uero etiam corporum, quae in quoquam laborant, imitari, nonne quandam delectationem uidentibus affert? Cui non? inquit. Illorum itaque oculi, ait, qui pugnant, comminacesne, uictorum autem frontes late ostendendae sunt? Vehementer, inquit. Oportet igitur, ait, statuarium animi affectus per corporis effigiem exprimere. Ad Pistiam autem armorum fabrum, cum ille thoraces ostēderet Socrati bene elaboratos: Per Iunonem ô Pistia, inquit, bona haec inuentio est, propterea quod thorax illas quidem quae indigent cooperiri hominis partes operit, non autem prohibet manibus uti. Porro dic mihi ô Pistia, cur cum nec fortiores, neq; sumptuosiores facias thoraces, plurimo precio uendis? Quoniam ait, ô Socrates concinniores eos facio. Concinnum autem, inquit, utrum mensura, aut pondere ostendens, pluris existimas? Non enim equales omnes, nec similes puto te facere, si quidem decentes eos facis. Ita, inquit, mehercle. Nā absq; hoc nulla esset thoracis utilitas. Sed tamē, Socrates ait, corpora quoq; hominum alia quidem concinna, alia uero inconcinna sunt. Vehementer, inquit. Quo igitur, ait, modo corpori inconcinno decentem thoracem concinnum facis? Quemadmodum, inquit, decentem: quicunq; enim decens est, ille etiam concinnus est. Puto te, Socrates ait, non per se, sed ad illum qui utitur, hoc inconcinnum statuere, ac si diceres, scutum cuicunq; decens sit, illi concinnum esse: similiter uestem: & caetera eodem modo uidentur tua opinione habere. Attamē fortaßis aliud quoque non paruum bonum decenti adest. Doceas, inquit, ô Socrates si quid habeas. Minus, ait, grauitate opprimunt qui decentes, quàm qui nō decentes sunt, quanquam aequale pondus habeant. Qui nanque non sunt decentes, aut toti ab humeris pendentes, aut aliud membrum ualde opprimentes, graues & intolerabiles efficiuntur: qui uero congrui sunt & decentes, & partim nodis scapularum, partim ab humeris, tum à pectore, tum à tergo & uentre subleuati leuißime feruntur. Bene, inquit, dixisti: ob has enim causas mea opera ego magni esse existimo: non nulli autem signis uarios & deauratos thoraces potius emunt. At Socrates: Si propterea incongruos emunt, ait, malum mihi uidetur uarium & deauratum emere. Cum uero, ait, corpus non maneat in eodem, sed modo curuetur, modo erigatur, quomodo exquisiti conueniant eis thoraces? Nullo modo, inquit. Hoc dicis, ait, non illos decentes ac concinnos esse qui exquisiti sunt, sed qui non molestant, dum quis eis utatur? Tu ipse ô Socrates etiam dixisti, & modo recte iudicas. Cum autem mulieris cuiusdam formosae nomine Theodotae, quidam eorum qui tūc aderāt Socrati, meminisset, dixissetq; omnē de illius laudib. differentiū sermonē à pulchritudine mulieris superari, asseruissetq; pictores etiā eam adu-

Fēina cum Theodota formosissima femina [illegible] Socrates

adiuisse imitandi causa, & illam ostendere quæcunq; honeste posset. Eamus & nos uisum eam, Socrates ait: non enim magis auditu quàm uisu de ea discemus. Itaq; illo ductore qui eam laudauit, Theodoten adeuntes, inuenerunt eam adstantem pictori. Cum autem pictor cessasset: Vtrum nos, inquit, ô uiri optimi gratias agere Theodotæ oportet, quoniam nobis suam pulchritudinem ostendit, an potius eam nobis, quoniam uidimus? An si utilior huic est ostentatio ista, hanc nobis: si nobis spectatio, nos huic gratiam agere oportet? Et cum quidam dixisset, iusta eum dicere: Hæc itaque, ait, iam nunc laudem à nobis lucrifacit, cum uero pluribus prædicabimus, plus utilitatis habebit. Nos autem & ea quæ uidimus tangere cupimus, & abibimus amore dolentes, & absentes desiderabimus: è quibus omnibus fiet, ut nos quidem seruiamus, huic uero seruiatur. At Theodota: Mehercle, inquit, si hæc sic se habent, me oportet uobis gratias agere. Post hæc cum Socrates uideret ipsam magnifice uestitam, ac matrem præsentem non uulgari ueste indutam, & famulatum curiose adstantem, ancillasq; multas atq; formosas, & has quidem non neglectas, cæterisq; omnibus abundanter domum eius instructam: Dic mihi, ait, ô Theodota, est tibi ager? Minime, ait. Sed domus redditus habens? Nec domus, ait. Nunquid autem artifices quidem manibus tibi laborantes? Nec artifices, ait. Vnde igitur, inquit, necessaria habes? Si quis ait, amator mihi affectus benefacere uelit, hic mihi uita & redditus est. Valde bona ecastor, inquit, possessio est: multoq; melius est amicorum quàm ouium, boum, ac hœdorũ gregem possidere. Sed utrum, inquit, fortunæ permittis, si quis ad te ut musca uolet, aut tu etiã aliquid machinationis confers? Et quo, ait, pacto huius rei machinationẽ ego ullam inueniã? Multo magis, inquit, mehercle quàm araneæ: scis enim quod illæ cum uenentur illa quæ ad uictum eius necessaria sunt, telis subtilibus contextis, quodcunq; in his incidat, hoc uescuntur. Cõsulis ergo, ait, mihi etiam aliquem contexere laqueũ? Non enim, inquit, sic imperite credere oportet: magni existimandum est, uenatu amicos capere. Nonne uides quod etiam lepores parui existimandã rem sectantes, multa machinantur? Dum enim noctu pascendo aberrant, sagacibus canib. eos captãt: at alios interdiũ habent canes, quibus nocturna quæ liquerint cubilia cõperiant. Tum et si quos offenderint lepores, eos habent alipedes canes, quibus aduolantes queãt intercipere. Necnõ & retia per insidias disposita sunt, quibus qui canũ ora effugiunt, decipiantur. At ipsa: Quonam horum, inquit, utar ad meos captandos amatores? Si per Iouem, inquit ille, pro cane quempiam apud te habebis inuestigatorem huiuscemodi amatorum, atq; fortunatorum hominum, qui quidem ut primum eos compererit, doctus arte, efficiet ut tua in retia concidant. At illa: Et quæ/

αὐτὴν ἀπεικασομένους, οἷς ἐκείνην ἐπιδεικνύειν ἑαυτῆς ὅσα καλῶς ἔχοι. ἰτέον ἂν εἴη θεασομένους, ἔφη ὁ Σωκράτης. οὐ γὰρ δὴ ἀκούσασί γε τὸ λόγου κρεῖττόν ἐστι καταμαθεῖν. καὶ ὁ διηγησάμενος, οὐκ ἂν φθάνοιτ', ἔφη, ἀκολουθοῦντες. οὕτω μὲν δὴ πορευθέντες πρὸς τὴν Θεοδότην καὶ καταλαβόντες ζωγράφῳ τινὶ παρεστηκυῖαν ἐθεάσαντο. παυσαμένου δὲ τοῦ ζωγράφου, ὦ ἄνδρες, ἔφη ὁ Σωκράτης, πότερον ἡμᾶς δεῖ μᾶλλον Θεοδότῃ χάριν ἔχειν, ὅτι ἡμῖν τὸ κάλλος ἑαυτῆς ἐπέδειξεν, ἢ ταύτην ἡμῖν, ὅτι ἐθεασάμεθα; ἆρ' εἰ μὲν ταύτῃ ὠφελιμωτέρα ἐστὶν ἡ ἐπίδειξις, ταύτην ἡμῖν χάριν ἐκτέον. εἰ δ' ἡμῖν ἡ θέα, ἡμᾶς ταύτῃ. εἰπόντος δέ τινος ὅτι δίκαια λέγοι. οὐκοῦν, ἔφη, αὕτη μὲν ἤδη τε παρ' ἡμῶν ἔπαινον κερδαίνει. καὶ ἐπειδὰν εἰς πλείους διαγγέλωμεν, πλείω ὠφελήσεται. ἡμεῖς δὲ ἤδη τε ὧν ἐθεασάμεθα ἐπιθυμοῦμεν ἅψασθαι, καὶ ἄπιμεν ὑποκνιζόμενοι, καὶ ἀπελθόντες ποθήσομεν. ἐκ δὲ τούτων εἰκὸς, ἡμᾶς μὲν θεραπεύειν, ταύτην δὲ θεραπεύεσθαι. καὶ ἡ Θεοδότη, νὴ Δί', ἔφη, εἰ τοίνυν ταῦθ' οὕτως ἔχει, ἐμὲ ἂν δέοι ὑμῖν τῆς θέας χάριν ἔχειν. ἐκ δὲ τούτου ὁ Σωκράτης ὁρῶν αὐτήν τε πολυτελῶς κεκοσμημένην, καὶ μητέρα παροῦσαν αὐτῇ ἐν ἐσθῆτι καὶ θεραπείᾳ οὐ τῇ τυχούσῃ, καὶ θεραπαίνας πολλὰς καὶ εὐειδεῖς, καὶ οὐδὲ ταύτας ἠμελημένως ἐχούσας, καὶ τοῖς ἄλλοις τὴν οἰκίαν ἀφθόνως κατεσκευασμένην, εἰπέ μοι, ἔφη, ὦ Θεοδότη, ἔστι σοι ἀγρός; οὐκ ἔμοιγ', ἔφη. ἀλλ' ἆρα οἰκία προσόδους ἔχουσα; οὐδὲ οἰκία, ἔφη. ἀλλὰ μὴ χειροτέχναι τινές; οὐδὲ χειροτέχναι, ἔφη. πόθεν οὖν, ἔφη, τὰ ἐπιτήδεια ἔχεις; ἐάν τις, ἔφη, φίλος μοι γενόμενος, εὖ ποιεῖν ἐθέλῃ, οὗτός μοι βίος ἐστί. νὴ τὴν Ἥραν, ἔφη, ὦ Θεοδότη, καλόν γε τὸ κτῆμα, καὶ πολλῷ κρεῖττον οἰῶν τε καὶ βοῶν καὶ αἰγῶν, φίλων ἀγέλην κεκτῆσθαι. ἀτάρ, ἔφη, πότερον τῇ τύχῃ ἐπιτρέπεις, ἐάν τίς σοι φίλος ὥσπερ μυῖα προσπέτηται, ἢ καὶ αὐτή τι μηχανᾷ; πῶς δ' ἄν, ἔφη, ἐγὼ τούτου μηχανὴν εὕροιμι; πολὺ νὴ Δί', ἔφη, προσηκόντως μᾶλλον ἢ καὶ φάλαγγες. οἶσθα γὰρ ὡς ἐκεῖναι θηρῶσι τὰ πρὸς τὸν βίον. ἀράχνια γὰρ δήπου λεπτὰ ὑφηνάμεναι, ὅ,τι ἂν ἐνταῦθα ἐμπίπτῃ, τούτῳ τροφῇ χρῶνται. καὶ ἐμοὶ οὖν, ἔφη, συμβουλεύεις ὑφήνασθαί τι θήρατρον; οὐ γὰρ δὴ οὕτως γε ἀτέχνως οἴεσθαι χρή, τὸ πλείστου ἄξιον ἄγρευμα φίλους θηράσειν. οὐχ ὁρᾷς ὅτι καὶ τὸ μικροῦ ἄξιον τοὺς λαγὼς θηρῶντες, πολλὰ τεχνάζουσιν; ὅτι μὲν γὰρ τῆς νυκτὸς νέμονται, κύνας νυκτερευτικὰς πορισάμενοι, ταύτας αὐτοὺς θηρῶσιν. ὅτι δὲ μεθ' ἡμέραν ἀποδιδράσκουσιν, ἄλλας κτῶνται κύνας, αἵτινες ᾗ ἂν ἐκ τῆς νομῆς εἰς τὴν εὐνὴν ἀπέλθωσι, τῇ ὀσμῇ αἰσθανόμεναι, εὑρίσκουσιν αὐτούς. ὅτι δὲ ποδώκεις εἰσίν, ὥστε καὶ ἐκ τοῦ φανεροῦ τρέχοντες ἀποφεύγειν, ἄλλας αὖ κύνας ταχείας παρασκευάζονται, ἵνα κατὰ πόδας ἁλίσκωνται. ὅτι δὲ καὶ ταύτας αὐτῶν τινες ἀποφεύγουσι, δίκτυα ἱστᾶσιν εἰς τὰς ἀτραπούς, ᾗ φεύγουσιν, ἵν' εἰς ταῦτα ἐμπίπτοντες συμποδίζωνται. τί οὖν, ἔφη, τοιούτῳ φίλους ἂν ἐγὼ θηρῴην; ἐὰν δὲ νὴ Δί', ἔφη, ἀντὶ κυνὸς κτήσῃ ὅστις σοι ἰχνεύων μὲν τοὺς φιλοκάλους καὶ πλουσίους εὑρήσει, εὑρὼν δὲ μηχανήσεται, ὅπως ἐμβάλῃ αὐτοὺς εἰς τὰ σὰ δίκτυα. καὶ ποῖα

ποῖα, ἔφη ἐγώ, δίκτυα ἔχω; ἓν μὲν δή που, ἔφη, καὶ μά-
λα εὖ περιπλεκόμενον τὸ σῶμα. ἐν δὲ τούτῳ ψυχήν, ᾗ
καταμανθάνεις, καὶ ὡς ἂν ἐμβλέπουσα χαρίζοιο, καὶ ὅτι
ἂν λέγουσα εὐφραίνοις, καὶ ὅτι δεῖ τὸν ἐπιμελόμενον
ἀσμένως ὑποδέχεσθαι, τὸν δὲ τρυφῶντα ἀποκλείειν,
καὶ ἀρρωστήσαντός γε φίλου, φροντιστικῶς ἐπισκέψα-
σθαι, καὶ καλόν τι πράξαντος σφόδρα συνησθῆναι. καὶ
τῷ σφόδρα σου φροντίζοντι, ὅλῃ τῇ ψυχῇ κεχαρίσθαι.
φιλεῖν γε μὴν εὖ οἶδ' ὅτι ἐπίστασαι, οὐ μόνον μαλακῶς,
ἀλλὰ καὶ εὐνοϊκῶς. καὶ ὅτι ἀρεστοί σοι εἰσὶν οἱ φίλοι, οἶδ'
ὅτι οὐ λόγῳ, ἀλλ' ἔργῳ ἀναπείθεις. μὰ τὸν Δί', ἔφη ἡ
Θεοδότη, ἐγὼ τούτων οὐδὲν μηχανῶμαι. καὶ μήν, ἔφη,
πολὺ διαφέρει τὸ κατὰ φύσιν τε καὶ ὀρθῶς ἀνθρώπῳ
προσφέρεσθαι. καὶ γὰρ βίᾳ μέν, οὔτ' ἂν ἕλοις, οὔτε κα-
τάσχοις φίλον. εὐεργεσίᾳ δὲ καὶ ἡδονῇ τὸ θηρίον τοῦτο ἁ-
λώσιμόν τε καὶ παραμόνιμόν ἐστιν. ἀληθῆ λέγεις, ἔφη.
δεῖ τοίνυν, ἔφη, πρῶτον μὲν τοὺς φροντίζοντάς σου τοι-
αῦτα ἀξιοῦν, οἷα ποιοῦσιν αὐτοῖς σμικρότατα μελήσει·
ἔπειτα δὲ αὐτὴν ἀμείβεσθαι, χαριζομένην τὸν αὐτὸν τρό-
πον. οὕτω γὰρ ἂν μάλιστα φίλοι γίγνονται, καὶ πλεῖστον
χρόνον φιλοῖεν, καὶ μέγιστα εὐεργετοῖεν. χαρίζοιο δ' ἂν
μάλιστα εἰ δεομένοις δωροῖο τὰ παρὰ σαυτῆς. ὁρᾷς γὰρ
ὅτι καὶ τῶν βρωμάτων τὰ ἥδιστα ἐὰν μέν τις προσφέρῃ
πρὶν ἐπιθυμεῖν, ἀηδῆ φαίνεται, κεκορεσμένοις δὲ καὶ
βδελυγμίαν παρέχει. ἐὰν δέ τις προσφέρῃ λιμὸν ἐμ-
ποιήσας, κἂν φαυλότερα ᾖ, πάνυ ἡδέα φαίνεται. πῶς
οὖν ἄν, ἔφη ἐγώ, λιμὸν ἐμποιεῖν τῶν παρ' ἐμοὶ δυναί-
μην; εἰ νὴ Δί', ἔφη, πρῶτον μὲν τοῖς κεκορεσμένοις, μή-
τε προσφέροις, μήτε ὑπομιμνήσκοις, ἕως ἂν τῆς πλησμο-
νῆς παυσάμενοι, πάλιν δέωνται· ἔπειτα τοὺς δεομένους,
ὑπομιμνήσκοις ὡς κοσμιωτάτῃ τε ὁμιλίᾳ, καὶ τῷ φαί-
νεσθαι βουλομένη χαρίζεσθαι. καὶ διαφεύγουσα, ἕως ἂν ὡς μά-
λιστα δεηθῶσι. τηνικαῦτα γὰρ πολὺ διαφέρει τὰ αὐτὰ δῶ-
ρα, ἢ πρὶν ἐπιθυμῆσαι διδόναι. καὶ ἡ Θεοδότη· τί οὖν οὐ σύ
μοι, ἔφη, ὦ Σώκρατες, ἐγένου συνθηρατὴς τῶν φίλων; ἐάν
γε νὴ Δί', ἔφη, πείθῃς σύ. πῶς οὖν ἄν, ἔφη, πείσαιμί σε; ζη-
τήσεις, ἔφη, τοῦτο αὐτὴ καὶ μηχανήσῃ ἐάν τι μου δέῃ. εἴσι-
θι τοίνυν, ἔφη, θαμινά. καὶ ὁ Σωκράτης ἐπισκώπτων τὴν
αὑτοῦ ἀπραγμοσύνην, ἀλλ' ὦ Θεοδότη, ἔφη, οὐ πάνυ μοι
ῥᾴδιόν ἐστι σχολάσαι. καὶ γὰρ ἴδια πράγματα πολλὰ καὶ δη-
μόσια παρέχει μοι ἀσχολίαν. εἰσὶ δὲ καὶ φίλαι μοι, αἳ οὔτε
ἡμέρας οὔτε νυκτὸς ἀφ' αὑτῶν ἐάσουσί με ἀπιέναι, φίλτρα
τε μανθάνουσαι παρ' ἐμοῦ καὶ ἐπῳδάς. ἐπίστασαι γάρ, ἔφη, καὶ
ταῦτα, ὦ Σώκρατες; ἀλλὰ διὰ τί οἴει, ἔφη, Ἀπολλόδωρόν
τε τόνδε καὶ Ἀντισθένην οὐδέποτέ μου ἀπολείπεσθαι; διὰ τί
δὲ καὶ Κέβητα καὶ Σιμμίαν Θήβηθεν παραγίγνεσθαι; εὖ ἴσθι,
ὅτι ταῦτα οὐκ ἄνευ πολλῶν φίλτρων τε καὶ ἐπῳδῶν
καὶ ἰύγγων ἐστί. χρῆσον τοίνυν μοι, ἔφη, τὴν ἴυγγα, ἵνα
ἐπὶ σοὶ πρῶτον ἕλκω αὐτήν. ἀλλὰ μὰ Δί', ἔφη, οὐκ αὐ-
τὸς ἕλκεσθαι πρὸς σὲ βούλομαι, ἀλλά σε πρὸς ἐμὲ πο-
ρεύεσθαι. ἀλλὰ πορεύσομαι, ἔφη, μόνον ὑποδέχου.
ἀλλ' ὑποδέξομαί σε, ἔφη, ἐὰν μή τις φιλωτέρα σου ἔν-
δον ᾖ. ἐπιγένην δὲ τῶν ξυνόντων τινά, νέον τε ὄντα καὶ τὸ
σῶμα κακῶς ἔχοντα ἰδών, ὡς ἰδιωτικῶς ἔφη, τὸ σῶμα
ἔχεις, ὦ Ἐπίγενες. καὶ ὅς, ἰδιώτης μέν, ἔφη, εἰμί, ὦ Σώκρα-
τες. οὐδέν γε μᾶλλον ἔφη τῶν Ὀλυμπίασι μελλόντων ἀγω-
νίζεσθαι.

quenam sunt apud me retia? inquit. Tum ille: Sunt & perquãoptima, inquit. Forma enim istæc tua, atque ingeniũ, quo calleas amicos uerbis gestuq; tibi affectißimos reddere: eos item qui te ament, perhumaniter suscipere, dißimulatores uero amoris excludere: bene de te promerentib. bene gratias referre: eos itẽ qui in aduersam aliquã sortem, inciderint, tua ope leuare: qui uero sequũda fortuna utantur, illis cõgratulari: deniq; qui te ardeant, eos omni gratia prosequi. Et nosti quidẽ non molliter modo amorib. inseruire, uerũ & ipso flagrare amore, & ut adsint tibi optimi aliqui amatores re ipsa nõ uerbo efficis. Tum illa: Mehercle hæc ego nõ molior. At ille: Atqui permaximi interest, prout fert natura, cum homine uersari. Nanq; ui amicos neq; capies, neq; tenebis: beneficio enim & uoluptate fera hæc capitur. Verũ tu inquis, ait. Oportet quidẽ, inquit, ab amicis ea petere, quæ facile atq; non inuiti faciãt: tum de te benemeritis, bene referre gratiã opus est. Nãq; sic maximus perẽnibusq; beneuolẽtiæ uinculis mutuo sese intercipiẽt: omniũq; erit in primis gratißimũ, si tua tum dederis amãti dono, cũ egeat. Vides ut cibũ etiã dum nõ appetẽtib. porrigas, iniucũdus sit, quin & saturis fastidiũ afferat: appetentib. uero & famescentib. etiã minus apparatiores cœnæ sunt iucũdæ. Et quonã, illa inquit, pacto ipsam hanc famẽ in quoquã excitabo? Si mehercle, inquit, nõ ultro saturis ipsam te offeras, usque dum rursus appetant: illis uero qui te appetãt talem te exhibueris, ut nõ per lasciuiam te, sed per beneuolentiã deputent sibi à te quale poscant munus dari. Etenim interest ita exposcentib. atq; saturis ipsam te præstare. Tum illa: Et quid nõ fuisti ô Socrates amicorum conuenator mea causa? Id, inquit, mehercle si persuaseris. Tum illa: Et quomodo, inquit, tibi persuadebo? Ac ille: Tu istuc uideto, si quid tibi nostra futura est usui opera. Et illa: Modo ad me sæpius redeas. Tum Socrates suũ hæc in re ociũ carpens, inquit: Nõ id per res meas et publicas & priuatas possum. Sunt etiã & apud me nõnullæ amicæ, quæ qdẽ me die noctuq; aßiduũ detentẽt, ueneniaq; à me amatoria cãtionesq; ediscãt. Scin' tu, inquit illa, & huiuscemodi hæc? Quidnã, inquit, putas rei esse, quod Apollodorus & Antisthenes hic à me nusquã discedant? quid item et Cebes Simmiasq; è Thebis ad me proficiscantur? Velim hoc scias, non sine cantionibus atq; ueneficijs hæc fieri. Et peto abs te, inquit, ut ea mutuo nobis des, quo ipsum te ad nos cõmodius trahã. Nõ istuc inquit, abs te uelim trahi ut ad te ueniã, sed ipsam te ad me trahere, ut ad me uenias. Veniã, inquat illa, modo suscipias. Suscipiam, ait, ni modo intus apud me te amantior fiet. Epigenẽ [illegible] quẽdam inter eos qui aderant familiarem uidens, quod adolescẽs adhuc inualido esset corpore: Ecquid, inquit, ita te corpore, ut ita loquar, priuato adesse intueor? At ille: Etiã rebus, inquit, publicis ipse nũ aptus ingenio sum ô Socrates. Tum Socrates: Nescis, inquit, multa in ciuitate certamine esse cõstituta, in quibus se nõ minus q̃ in Olympicis ciues oporteat ex

 ercere?

exercere? At tibi parum uidetur, apud hostes pro patria de uita certare, ut sæpe ciues Attici consueuere? Num propter imbecillitatem corporis euenit, ut nonnulli in bellorum periculis aut pereant, aut turpiter euadant? Multi item capti, aut in seruitute dura uitam degant, aut perpessis maximis cruciatibus tandem sese omnibus suis facultatibus expositis redimant: quo fiat ut reliquam omnem uitam per summam egestatem ducant, de seq; apud multos opinionem subeant formidolosi, ob corporis imbecillitatem. Num tu idcirco hoc imbecillitatis precium minimi ducis, putásue ferendum facile? Multo quidem faciliora uoluptuosioraq; ea depuio quæ ferenda sunt, ut corporis robore & uiribus probe ualeas. Quid tum? putásne malam habitudinem corporis magis ad firmitatem, & ad reliquas res agendas conferre, quàm bonam habitudinem? an ea negligis, quæ per bonam habitudinem corporis fiant? Contra quidem euenit his qui bona habitudine corporis fruantur, atque his qui mala. Etenim hi rectius ualent, qui corpore sunt uiribus ualido, quo in bellorum certamine se suósque seruare, patriámque tueri, periculaq; superare possint: quo item gratiam gloriamq; nancisci, & reliquam omnem uitam lætam, & plenam autoritatis ducant, suisq; liberis optimos posteritatis fructus relinquunt: neque enim oportet, etsi patria nullas publicas expeditiones exerceat, eo etiam priuatam de his rebus curam non habere. Velim scias, nullam ad rem exequendam tibi corpus futurum impedimento, si uiribus recte ualeas. Ad quæuis enim peragenda, corpus huiusmodi peruule est: in omnibusq; corporis usibus multò differt roboré ne ualeas, an imbecillitate interpelleris. Quæ quidem ad ingenium spectant, etsi minime putas commercium habere cum corpore, fit tamen ut à corporis imbecillitate impediantur. Nam obliuio, mœror, furor, duritiesq; animi nonnunquam à corporis mala ualetudine oboriuntur. Quibus uero corpora recte ualeant, nullum inde ad mentem periculum redundat. Itaq; ualetudinem integram ad omne quod ab imbecillitate manat tollendum incommodum ualere constat. Pro his igitur tollendis quæ, ut diximus, aduersa sunt, quis mentis compos non etiam maximos labores sustinet? Turpe etiam est per socordiam senescere, antequam compertum habeat quid uiribus udeat. At comperisse hæc poterit nemo, nisi experiatur: non enim sponte sese ostentat. Cum autem quidam stomacharetur quod salutanti sibi quispiam non respondisset: Ridiculum, inquit: si corpore aliquem deterius se habentem quàm ipse te habeas, offendisses, nulla inde molestia suscepta abiuisses: quod autem hunc animo agresti, & minus bene morato quàm ipse sis, offenderis, doles.

Apophthegmata.

Cuidam uero dicenti se insuauiter cibum sumere: Acumenus, inquit, huic rei bonam medicinam edocet. Et quænam, inquit, ea est? Cessare, inquit, iubet à cibo: nam & uoluptuosius, & parcius,

νικᾶσθαι. ἢ δοκεῖ σοι μικρὸς εἶναι ὁ περὶ τῆς ψυχῆς πρὸς τοὺς πολεμίους ἀγών, ὃν Ἀθηναῖοι θήσουσιν ὅταν τύχωσιν; καὶ μὴν οὐκ ὀλίγοι διὰ τὴν τοῦ σώματος καχεξίαν, ἀποθνήσκουσί τε ἐν τοῖς πολεμικοῖς κινδύνοις, καὶ αἰσχρῶς σώζονται. πολλοὶ δὲ δι' αὐτὸ τοῦτο ζῶντες ἁλίσκονται. καὶ ἁλόντες ἤτοι δουλεύουσι τὸν λοιπὸν βίον, ἢ εἰς τὰς ἀνάγκας τὰς ἀλγεινοτάτας ἐμπεσόντες, καὶ ἐκτίσαντες ἐνίοτε τῶν ὑπαρχόντων αὐτοῖς, τὸν λοιπὸν βίον ἐνδεεῖς τῶν ἀναγκαίων ὄντες καὶ κακοπαθοῦντες διαζῶσι. πολλοὶ δὲ δόξαν αἰσχρὰν κτῶνται διὰ τὴν τοῦ σώματος ἀδυναμίαν δοκοῦντες ἀποδειλιᾶν. ἢ καταφρονεῖς τῶν ἐπιτιμίων τῆς καχεξίας τούτων, καὶ ῥᾳδίως ἂν οἴει φέρειν τὰ τοιαῦτα; καὶ μὴν οἶμαί γε πολλῷ ῥᾴω καὶ ἡδίω τούτων εἶναι, ἃ δεῖ ὑπομένειν τὸν ἐπιμελόμενον τῆς τοῦ σώματος εὐεξίας. ἢ ὑγιεινότερόν τε καὶ εἰς τἆλλα χρησιμώτερον νομίζεις εἶναι, τὴν καχεξίαν; ἢ τῶν διὰ τὴν εὐεξίαν γιγνομένων καταφρονεῖς; καὶ μὴν πάντα γε τἀναντία συμβαίνει, τοῖς εὖ τὰ σώματα ἔχουσιν, ἢ τοῖς κακῶς. καὶ γὰρ ὑγιαίνουσιν, οἱ τὰ σώματα εὖ ἔχοντες καὶ ἰσχύουσι. καὶ πολλοὶ μὲν διὰ τοῦτο ἐκ τῶν πολεμικῶν ἀγώνων σώζονταί τε εὐσχημόνως, καὶ τὰ δεινὰ πάντα διαφεύγουσι. πολλοὶ δὲ φίλοις τε βοηθοῦσι καὶ τὴν πατρίδα εὐεργετοῦσι. καὶ διὰ ταῦτα χάριτός τε ἀξιοῦνται, καὶ δόξαν μεγάλην κτῶνται, καὶ τιμῶν καλλίστων τυγχάνουσι. καὶ διὰ ταῦτα τόν τε λοιπὸν βίον ἥδιον καὶ κάλλιον διαζῶσι. καὶ τοῖς ἑαυτῶν παισὶ καλλίους ἀφορμὰς εἰς τὸν βίον καταλείπουσιν. οὔτοι χρή, ὅτι ἡ πόλις οὐκ ἀσκεῖ δημοσίᾳ τὰ πρὸς τὸν πόλεμον, διὰ τοῦτο καὶ ἰδίᾳ ἀμελεῖν, ἀλλὰ μηδὲν ἧττον ἐπιμελεῖσθαι. εὖ γὰρ ἴσθι ὅτι οὐδὲ ἐν ἄλλῳ οὐδενὶ ἀγῶνι, οὐδὲ ἐν πράξει οὐδεμιᾷ μεῖον ἕξεις, διὰ τὸ βέλτιον τὸ σῶμα παρεσκευάσθαι. πρὸς πάντα γὰρ ὅσα πράττουσιν ἄνθρωποι, χρήσιμον τὸ σῶμά ἐστιν. ἐν πάσαις δὲ ταῖς τοῦ σώματος χρείαις πολὺ διαφέρει ὡς βέλτιστα τὸ σῶμα ἔχειν. ἐπεὶ καὶ ἐν ᾧ δοκεῖς ἐλαχίστην σώματος χρείαν εἶναι ἐν τῷ διανοεῖσθαι, τίς οὐκ οἶδεν ὅτι καὶ ἐν τούτῳ πολλοὶ μεγάλα σφάλλονται, διὰ τὸ μὴ ὑγιαίνειν τὸ σῶμα. καὶ λήθη δὲ καὶ ἀθυμία καὶ δυσκολία καὶ μανία, πολλάκις πολλοῖς διὰ τὴν τοῦ σώματος καχεξίαν, εἰς τὴν διάνοιαν ἐμπίπτουσιν οὕτως, ὥστε καὶ τὰς ἐπιστήμας ἐκβάλλειν. τοῖς δὲ τὰ σώματα εὖ ἔχουσι, πολλὴ ἀσφάλεια, καὶ οὐδεὶς κίνδυνος, διά γε τὴν τοῦ σώματος καχεξίαν τοιοῦτόν τι παθεῖν. εἰκὸς δὲ μᾶλλον πρὸς τὰ ἐναντία τῶν διὰ τὴν καχεξίαν γιγνομένων, καὶ τὴν εὐεξίαν, χρήσιμον εἶναι. καίτοι τῶν γε τοῖς εἰρημένοις ἐναντίων ἕνεκά τι οὐκ ἄν τις νοῦν ἔχων ὑπομείνειεν; αἰσχρὸν δὲ καὶ τὸ διὰ τὴν ἀμέλειαν γηράσαι, πρὶν ἰδεῖν ἑαυτόν, ποῖος ἂν κάλλιστος καὶ κράτιστος τῷ σώματι γένοιτο. ταῦτα δὲ οὐκ ἔστιν ἰδεῖν ἀμελοῦντα. οὐ γὰρ ἐθέλει αὐτόματα γίγνεσθαι. ὀργιζομένου δέ ποτέ τινος, ὅτι προσειπὼν τινὰ χαίρειν, οὐκ ἀντιπροσερρήθη. γελοῖον, ἔφη, τὸ εἰ μὲν τὸ σῶμα κάκιον ἔχοντι ἀπηντήσας, μὴ ἂν ὀργίζεσθαι. ὅτι δὲ τὴν ψυχὴν ἀγροικοτέρως διακειμένῳ περιέτυχες, τοῦτό σε λυπεῖ. ἄλλου δὲ λέγοντος ὅτι ἀηδῶς ἐσθίοι. Ἀκουμενός, ἔφη, τούτου φάρμακον ἀγαθὸν διδάσκει. ἐρομένου δέ, ποῖον. παύσασθαι ἐσθίοντα, ἔφη, καὶ ἥδιόν τι, καὶ εὐτελέστερον

ρον καὶ ὑγιεινότερον φησὶν διάξειν παυσάμενον. ἄλλου δ' αὖ λέγοντος, ὅτι θερμὸν εἴη παρ' ἑαυτῷ τὸ ὕδωρ ὃ πίνοι. ὅταν ἄρ', ἔφη, βούλῃ θερμῷ λούσασθαι, ἕτοιμον ἔσται σοί. ἀλλὰ ψυχρόν, ἔφη, ὥστε λούσασθαί ἐστιν. ἆρ' οὖν, ἔφη, καὶ οἱ οἰκέται σου ἄχθονται πίνοντές τε αὐτὸ καὶ λουόμενοι αὐτῷ; μὰ τὸν Δί', ἔφη. ἀλλὰ καὶ πολλάκις τε θαύμακα, ὡς ἡδέως αὐτῷ πρὸς ἀμφότερα ταῦτα χρῶνται. πότερον δὲ, ἔφη, τὸ παρὰ σοὶ ὕδωρ θερμότερον πιεῖν ἐστιν, ἢ τὸ ἐν Ἀσκληπιοῦ; τὸ ἐν Ἀσκληπιοῦ, ἔφη. ἐνθυμοῦ οὖν, ἔφη, ὅτι κινδυνεύεις δυσαρεστότερος εἶναι, τῶν τε οἰκετῶν καὶ τῶν ἀρρωστούντων. κολάσαντος δέ τινος ἰσχυρῶς ἀκόλουθον, ἤρετο τί χαλεπαίνοι τῷ θεράποντι. ὅτι, ἔφη, ὀψοφαγίστατός τε ὤν, βλακώτατός ἐστι, καὶ φιλαργυρότατος ὤν, ἀργότατος. ἤδη ποτὲ οὖν ἐπεσκέψω, πότερος πλειόνων πληγῶν δεῖται, σὺ ἢ ὁ θεράπων; φοβουμένου δέ τινος τὴν εἰς Ὀλυμπίαν ὁδόν, τί, ἔφη, φοβεῖται τὴν πορείαν, οὐ καὶ οἴκοι σχεδὸν ὅλην τὴν ἡμέραν περιπατεῖς; καὶ ἐκεῖσε πορευόμενος, περιπατήσας ἀριστήσεις, περιπατήσας δειπνήσεις καὶ ἀναπαύσῃ. οὐκ οἶσθα ὅτι εἰ ἐκτείναις τοὺς περιπάτους, οὓς ἐν πέντε ἢ ἓξ ἡμέραις περιπατεῖς, ῥᾳδίως ἂν Ἀθήνηθεν εἰς Ὀλυμπίαν ἀφίκοιο; χαριέστερον δὲ καὶ προεξορμᾶν ἡμέρᾳ μιᾷ μᾶλλον, ἢ ὑστερίζειν. τὸ μὲν γὰρ ἀναγκάζεσθαι περαιτέρω τοῦ μετρίου μηκύνειν τὰς ὁδούς, χαλεπόν. τὸ δὲ μιᾷ ἡμέρᾳ πλείονας πορευθῆναι, πολλὴν ῥᾳστώνην παρέχει. κρεῖττον οὖν ἐν τῇ ὁρμῇ σπεύδειν, ἢ ἐν τῇ ὁδῷ. ἄλλου δὲ λέγοντος, ὡς παρετάθη μακρὰν ὁδὸν πορευθείς, ἤρετο αὐτὸν εἰ καὶ φορτίον ἔφερε. μὰ Δί' οὐκ ἔγωγ', ἔφη, ἀλλὰ τὸ ἱμάτιον. μόνος δ' ἐπορεύου, ἔφη, ἢ καὶ ἀκόλουθός σοι ἠκολούθει; ἠκολούθει, ἔφη. κενός, ἢ φέρων τι; φέρων νὴ Δί', ἔφη, τά τε στρώματα, καὶ τἆλλα σκεύη. καὶ πῶς τι, ἔφη, ἀπήλλαχεν ἐκ τῆς ὁδοῦ; ἐμοὶ μὲν δοκεῖ, ἔφη, βέλτιον ἐμοῦ. τί οὖν, ἔφη, εἰ τὸ ἐκείνου φορτίον ἔδει σε φέρειν, πῶς ἂν οἴει διατεθῆναι; κακῶς νὴ Δί', ἔφη, μᾶλλον δ' οὐδ' ἂν ἠδυνήθην κομίσαι. τὸ οὖν τοσοῦτον ἧττον τοῦ παιδὸς δύνασθαι πονεῖν, πῶς ἠσκημένου δοκεῖ σοι ἀνδρὸς εἶναι; ὁπότε δὲ τῶν συνιόντων ἐπὶ τὸ δεῖπνον, οἱ μὲν μικρὸν ὄψον, οἱ δὲ πολὺ φέροιεν, ἐκέλευεν ὁ Σωκράτης τὸν παῖδα τὸ μικρὸν, ἢ εἰς τὸ κοινὸν τιθέναι, ἢ διανέμειν ἑκάστῳ τὸ μέρος. οἱ οὖν τὸ πολὺ φέροντες, ᾐσχύνοντό τε μὴ κοινωνεῖν τοῦ εἰς τὸ κοινὸν τιθεμένου, καὶ τὸ μὴ ἀντιτιθέναι τὸ ἑαυτῶν. ἐτίθεσαν οὖν τὸ ἑαυτῶν εἰς τὸ κοινόν. καὶ ἐπεὶ οὐδὲν πλέον εἶχον τῶν μικρὸν φερομένων, ἐπαύοντο πολλοῦ ὀψωνοῦντες. καταμαθὼν δέ τινα συνδειπνούντων, τοῦ μὲν σίτου πεπαυμένον, τὸ δὲ ὄψον αὐτὸ καθ' αὑτὸ ἐσθίοντα, λόγου ὄντος περὶ ὀνομάτων, ἐφ' οἵῳ ἔργῳ ἕκαστον εἴη. ἔχοιμεν ἄν, ἔφη, ὦ ἄνδρες, εἰπεῖν, ἐπὶ ποίῳ ποτὲ ἔργῳ μὲν ἄνθρωπος ὀψοφάγος καλεῖται; ἐσθίουσι μὲν γὰρ δὴ πάντες ἐπὶ τῷ σίτῳ ὄψον, ὅταν παρῇ. ἀλλ' οἴομαι οὔπω ἐπὶ τούτῳ ὀψοφάγοι καλοῦνται. οὐ γὰρ οὖν, ἔφη τις τῶν παρόντων. τί γάρ, ἔφη, ἐάν τις ἄνευ τοῦ σίτου τὸ ὄψον αὐτὸ ἐσθίῃ, μὴ ἀσκήσεως ἀλλ' ἡδονῆς ἕνεκα, πότερον ὀψοφάγος εἶναι δοκεῖ, ἢ οὔ; σχολῇ γ' ἄν, ἔφη, ἄλλος τις ὀψοφάγος εἴη. καί τις ἄλλος τῶν παρόντων, ὁ δὲ μικρῷ σίτῳ, ἔφη, πολὺ σῖτον ἐπεσθίων. ἐμοὶ μέν, ἔφη ὁ Σωκράτης, καὶ

οὗτος

cius, & ualetudini conuenientius comedes. Cuidā autem dicenti, calidam esse aquam quam biberet: Calida, inquit, igitur tibi erit ubi lauari uoles. At ille: Minime, nam ut lauer frigida est. Nunquid ne & pueris tuis eadem est sententia, ut neq; ad bibendum eam aptam putent? Non, inquit ille: uerum pluries admirari soleo, quidnam ita uoluptuose ad horum utrūq; utantur. Vtrum, inquit, aqua istaec tua calidior est, quàm que in Aesculapij templo est? Illa, inquit, que apud Aesculapium. Recordare igitur, ait, quam sis & pueris tuis, & sacram aquam adeuntib. fastidiosior. Quēdam autem qui acrius uerberasset seruū, rogauit quid ita excandesceret. Ille, inquit, cum offarum sit omniū uoracißimus, idem est mollißimus: cumq; sit auarißimus, idem & perquam segnis est. Tum Socrates: Cōsiderasti, inquit, pluribusne tu uerberibus, an seruus indigeat tuus? Quodā uero timente inire uiam que ad Olympiā ducit: Cur, inquit, itineris laborē extimescis? Num & domi integrū fere diem ambulas? illic itē eque & proficiscēdo prandebis, cœnabis, atq; obdormies. Num perpendis, si in unum extenderis dierum quinq; aut sex domesticas ambulationes, facile ab Athenis usq; Olympiā attinges? gratiorq; tibi erit uia, si unum ante diem iter preripies, q̄ si supersederis. Cogi enim maiora q̄ par sit facere itinera, difficile. At confert quidem laborē diei unius in plures diminuere, prestatq; in arripiendo itinere festinare quā in uia. Quendā autem, quod se longa uia fatigatū diceret, rogauit num & quippiā ferret oneris. Nō me inquit hercle ille, sed solam uestem. Solúsne pergebas, an te puer quispiam sectabatur? Sequebatur, ait. Vtrum, inquit, ille uacuus, an aliquid ferens? Ferens, inquit, instrumenta uasáq; nōnulla. Et quonā, inquit, pacto ille se habuit, fessusne? Mihi, inquit, uidetur indefessus magis q̄ ipse. Et quid, inquit ille, quonā te pacto habuisses, si illius onera tulisses? Male, inquit, mehercle: nequiuissem ferre. Quod igitur tantū sis puero tuo ad laborē imbecillior, quid putas? exercitatine uiri tibi hoc esse uidetur? Cum autē ex familiarib. qui unà concœnatū conuenissent, alij lautius, alij parcius obsonium contulissent, precipiebat Socrates ut que minora adessent obsonia, in medium omnib. apponerētur, aut partirētur in singulos. Hinc illi qui maiora & lautiora sibi portassent, ducebant illiberale, & non ex cōmuni sumere, & sua quoq; nō itidem obsonia esse cum ceteris cōmunia: quo factum est, ut cum nihil se precipui habere in cœna uiderēt, tum ab intemperanti sumptu obsoniorū desisterēt. Cum uero intueretur quendā ex familiarib. uoracius nō cum pane, sed merum obsonium assumere, & sermo haberetur de ui nominū impositorum rebus: Habemúsne, inquit, dicere, quidnam nobis opsophagus significet? comedunt enim omnes opsoma pro condimento panis, cum adsit. Sed non est, ut putem eos opsophagos nūcupandos. Tum ex familiaribus quidam: Non, inquit. Quid, inquit ille, utrum qui non exercitandi gratia merum obsonium assumat, sed uoluptatis, opsophagúsne, an non nuncupabitur? Vt ni hic sit, minime alius sit. Et cum alius rogasset qualis foret appellandus is qui modico pane, multo obsonio uteretur. Mihi quidem, ait Socrates, ut me

is merito osophagus appellatur. Et cum cæteri homines à dijs orent fructuum copiam, merito is obsonij orabit copiam. Cum hæc adolescens in se esse dicta intelligeret, moderatior fuit, panemq; addidit. Id intuens Socrates: Consideretis, inquit, uos qui propius estis, pane pro condimento obsonij, an obsonio pro panis condimento utatur? Alium uero quendam ex familiaribus in cœna intuens, multa obsonia intincto pane degustantem: Vtrum ne fieri, inquit, pulpamentum sumptuosius potest, quodq; minus ex arte factum sit, quàm quod is facit qui multa simul uaria desumit? Cum enim plura quàm pulmentores ipse misceat, sumptuosiora quidem facit: cum autem illa misceat quæ harum rerum artifices non immiscent, dum illi ex arte fecerint, is non recte facit. Atqui quomodo non esset ridiculum comparare prædictos obsoniorum artifices, ipsum autem artis non ignarum solum, sed nec opinantem quidem in ea re se quippiam nosse, confundere quæ docti artis composuere? Et ad hæc, huic qui multa assueuit comedere, multa alia eueniunt, quæ non assueto. Nam cum non adsint multa, minus se putat habere quàm par sit, ob consuetudinis uitium. Qui uero panem unum consueuerit uno obsonio sumere, si non aderunt multa, facile sine molestia illo utetur. Dicebat etiam ipsum id quod apud Athenienses comedere nuncupatur, apud alios εὐωχεῖσθαι dici. Quod si eius uerbi uim consideras, dictum intelliges, quia bene: & ea comedantur quæ neq; difficilia comparatu sunt, neq; animo corporiue noceant. Itaq; illos putandos Euochistas qui sobrie uiuerent.

ὗτος δοκεῖ, δικαίως ἂν ὀψοφάγος καλεῖσθαι. καὶ ὅταν γε οἱ ἄλλοι ἄνθρωποι τοῖς θεοῖς εὔχονται πολυκαρπίαν, εἰκότως ἂν οὗτος πολυοψίαν εὔχοιτο. ταῦτα δὲ τοῦ Σωκράτους εἰπόντος, νομίσας ὁ νεανίσκος εἰς αὐτὸν εἰρῆσθαι τὰ λεχθέντα, τὸ μὲν ὄψον οὐκ ἐπαύσατο ἐσθίων, ἄρτον δὲ προσέλαβεν. καὶ ὁ Σωκράτης καταμαθών, παρατηρεῖτ', ἔφη, ὅσοι οἱ πλησίον, ὁπότερα τῷ σίτῳ ὄψῳ, ἢ τῷ ὄψῳ σίτῳ χρήσεται. ἄλλον δέ ποτε τῶν συνδείπνων ἰδὼν ἐπὶ τῷ ἑνὶ ψωμῷ πλειόνων ὄψων γευόμενον, ἆρα γένοιτ' ἄν, ἔφη, πολυτελεστέρα ὀψοποιΐα ἢ μᾶλλον τὰ ὄψα λυμαινομένη, ἢ ἣν ὀψοποιεῖται, ὁ ἅμα πολλὰ ἐσθίων, καὶ ἅμα παντοδαπὰ ἡδύσματα εἰς τὸ στόμα λαμβάνων; πλείω μέν γε τῶν ὀψοποιῶν συμμιγνύων, πολυτελέστερα ποιεῖ. ἃ δὲ ἐκεῖνοι μὴ συμμιγνύουσιν, ὡς οὐχ ἁρμόττοντα, ὁ συμμιγνύων, εἴπερ ἐκεῖνοι ὀρθῶς ποιοῦσιν ἁμαρτάνει τε καὶ καταλύει τὴν τέχνην αὐτῶν. καίτοι πῶς οὐ γελοῖόν ἐστι παρασκευάζεσθαι μὲν ὀψοποιοὺς τοὺς ἄριστα ἐπισταμένους, αὐτὸν δὲ μηδ' ἀντιποιούμενον τῆς τέχνης ταύτης, τὰ ὑπ' ἐκείνων ποιούμενα, μετατιθέναι; καὶ ἄλλο δέ τι προσγίγνεται τῷ ἅμα πολλὰ ἐσθίειν ἐθισθέντι. ἂν μὴ παρόντων γὰρ πολλῶν μειονεκτεῖν ἄν τι δοκοίη ποθῶν τὸ σύνηθες. ὁ δὲ συνεθισθεὶς τὸν ἕνα ψωμὸν ἑνὶ ὄψῳ προπέμπειν, ὅτε μὴ παρείη πολλά, δύναιτ' ἂν ἀλύπως τῷ ἑνὶ χρῆσθαι. ἔλεγε δὲ καὶ ὡς τὸ εὐωχεῖσθαι ἐν τῇ Ἀθηναίων γλώττῃ ἐσθίειν καλοῖτο. τὸ δὲ εὖ προσκεῖσθαι, ἔφη, ἐπὶ τῷ ταῦτα ἐσθίειν, ἃ μήτε τὴν ψυχήν, μήτε τὸ σῶμα λυποίη, μήτε δυσεύρετα εἴη, ὥστε καὶ τὸ εὐωχεῖσθαι τοῖς κοσμίως διαιτωμένοις ἀνετίθει.

XENOPHONTIS DE FACTIS ET DICTIS SOCRATIS MEMORATU DIGNIS LIBER QUARTUS, Bessarione Cardinale Niceno interprete.

Iam uero utilis Socrates cunctis erat in rebus, ut homini considerare uolenti, etiam minus sentienti, palàm pateat nihil utilius fuisse, quàm cū Socrate quocunq; locorum, de quacunq; re conuersari. Nam & absentis meminisse non parum utilitatis familiaribus eius, quiq; cum eo uersabantur, afferre solebat. Non enim minus ioco quàm serio loquens, suis necessarijs proderat. Pluries itaq; dixerat quosdā amare: palam uero patebat non eos qui pulchritudine corporis præstabant, sed illos, quorum animus aptus ad capessendam erat uirtutem, amare. ACUTA uero ingenia illorum esse putabat, qui celeriter ea discerent quibus studebant, & memoria retinerent quæcunq; discerent, ac illas doceri cuperent disciplinas quæ utiq; prodessent & ad domum ac ciuitatem quamoptime habitandam, & simpliciter hominibus rebusq; humanis bene utendum. Huiuscemodi nanq; adolescentes opinabatur, si docerentur, non solum ipsos domosq; eorum fœlices fore, uerumetiam cæteros homines atque ciuita/

ΞΕΝΟΦΩΝΤΟΣ ἈΠΟΜΝΗΜΟΝΕΥΜΑΤΩΝ ΤΕΤΑΡΤΟΝ.

Οὕτω δὲ Σωκράτης ἦν ἐν παντὶ πράγματι καὶ πάντα τρόπον ὠφέλιμος, ὥστε τῷ σκοπουμένῳ τοῦτο, καὶ εἰ μετρίως αἰσθανομένῳ φανερὸν εἶναι, διότι οὐδὲν ὠφελιμώτερον ἦν τοῦ Σωκράτει συνεῖναι, καὶ μετ' ἐκείνου διατρίβειν, ὅπου οὖν καὶ ἐν ὁτῳοῦν πράγματι. ἐπεὶ καὶ τὸ ἐκείνου μεμνῆσθαι, μὴ παρόντος οὐ μικρὰ ὠφέλει τοὺς εἰωθότας τε αὐτῷ συνεῖναι καὶ ἀποδεχομένους ἐκεῖνον, καὶ γὰρ παίζων οὐδὲν ἧττον, ἢ σπουδάζων ἐλυσιτέλει τοῖς συνδιατρίβουσι. πολλάκις γὰρ ἔφη μὲν ἄν τινος ἐρᾶν, φανερὸς δ' ἦν, οὐ τῶν τὰ σώματα πρὸς ὥραν, ἀλλὰ τῶν τὰς ψυχὰς πρὸς ἀρετὴν εὖ πεφυκότων ἐφιέμενος. ἐτεκμαίρετο δὲ τὰς ἀγαθὰς φύσεις, ἐκ τοῦ ταχύ τε μανθάνειν, οἷς προσέχοιεν, καὶ μνημονεύειν ἃ ἂν μάθοιεν, καὶ ἐπιθυμεῖν τῶν μαθημάτων πάντων, δι' ὧν ἔστιν οἰκίαν τε καλῶς οἰκεῖν καὶ πόλιν, καὶ τὸ ὅλον ἀνθρώποις καὶ ἀνθρωπίνοις πράγμασιν εὖ χρῆσθαι. τοὺς γὰρ τοιούτους ἡγεῖτο παιδευθέντας, οὐκ ἂν μόνον αὐτούς τε εὐδαίμονας εἶναι, καὶ τοὺς ἑαυτῶν οἴκους καλῶς οἰκεῖν, ἀλλὰ καὶ ἄλλους ἀνθρώπους καὶ πόλεις

πόλεις δύνασθαι εὐδαίμονας ποιεῖν. οὐ τὸν αὐτὸν δὲ τρόπον ἐπὶ πάντας ᾔει. ἀλλὰ τοὺς μὲν οἰομένους φύσει ἀγαθοὺς εἶναι, μαθήσεως δὲ καταφρονοῦντας ἐδίδασκεν, ὅτι αἱ ἄρισται δοκοῦσαι εἶναι φύσεις μάλιστα παιδείας δέονται. ἐπιδεικνύων τῶν τε ἵππων τοὺς εὐφυεστάτους θυμοειδεῖς τε καὶ σφοδροὺς ὄντας, εἰ μὲν ἐκ νέων δαμασθεῖεν, εὐχρηστοτάτους καὶ ἀρίστους γιγνομένους· εἰ δὲ ἀδάμαστοι γένοιντο, δυσκαθεκτοτάτους καὶ φαυλοτάτους. καὶ τῶν κυνῶν τῶν εὐφυεστάτων φιλοπόνων τε οὐσῶν, καὶ ἐπιθετικῶν τοῖς θηρίοις, τὰς μὲν καλῶς ἀναχθείσας ἀρίστας γίγνεσθαι πρὸς τὰς θήρας καὶ χρησιμωτάτας, ἀναγώγους δὲ γιγνομένας ματαίους τε καὶ μανιώδεις καὶ δυσπειθεστάτας. ὁμοίως δὲ καὶ τῶν ἀνθρώπων, τοὺς εὐφυεστάτους, ἐρρωμενεστάτους τε ταῖς ψυχαῖς ὄντας, καὶ ἐξεργαστικωτάτους ὧν ἂν ἐγχειρῶσι, παιδευθέντας δὲ καὶ μαθόντας ἃ δεῖ πράττειν, ἀρίστους τε καὶ ὠφελιμωτάτους γίγνεσθαι. ἐκείνων γὰρ οὐκ ἐπισταμένους, ἃ δεῖ πράττειν, πολλάκις πονηροῖς ἐπιχειρεῖν πράγμασι, μεγαλείους δὲ καὶ σφοδροὺς ὄντας, δυσκαθέκτους τε καὶ δυσαποτρέπτους εἶναι, διὸ πλεῖστα καὶ μέγιστα κακὰ ἐργάζονται. τοὺς δ' ἐπὶ πλούτῳ μεγαφρονοῦντας, καὶ νομίζοντας οὐδὲν προσδεῖν παιδείας, ἐξαρκέσειν δὲ σφίσιν τὸν πλοῦτον οἰομένους, πρὸς τὸ διαπράττεσθαί τε ὅ,τι ἂν βούλωνται, καὶ τιμᾶσθαι ὑπὸ τῶν ἀνθρώπων, ἐφρένου λέγων, ὅτι μωρὸς μὲν εἴη, εἴ τις οἴεται μὴ μαθὼν τά τε ὠφέλιμα καὶ τὰ βλαβερὰ τῶν πραγμάτων διαγνώσεσθαι. μωρὸς δ' εἴ τις μὴ διαγιγνώσκων μὲν ταῦτα, διὰ δὲ τὸν πλοῦτον ὅ,τι ἂν βούληται ποριζόμενος, οἴεται δυνήσεσθαι τὰ συμφέροντα πράττειν. ἠλίθιος δ' εἴ τις μὴ δυνάμενος τὰ συμφέροντα πράττειν, εὖ πράττειν οἴεται, καὶ τὰ πρὸς τὸν βίον αὐτῷ ἢ καλῶς ἢ ἱκανῶς παρεσκευάσθαι. ἠλίθιος δὲ καὶ εἴ τις οἴεται διὰ τὸν πλοῦτον μηδὲν ἐπιστάμενος δόξειν τι ἀγαθὸς εἶναι, ἢ μηδὲν ἀγαθὸς εἶναι δοκῶν εὐδοκιμήσειν. τοῖς δὲ νομίζουσι παιδείας τε τῆς ἀρίστης τετυχηκέναι, καὶ μεγαφρονοῦσιν ἐπὶ σοφίᾳ ὡς προσεφέρετο νῦν διηγήσομαι. καταμαθὼν γὰρ Εὐθύδημον τὸν καλὸν γράμματα πολλὰ συνειλεγμένον, ποιητῶν τε καὶ σοφιστῶν τῶν εὐδοκιμωτάτων, καὶ ἐκ τούτων ἤδη τε νομίζοντα διαφέρειν τῶν ἡλικιωτῶν ἐπὶ σοφίᾳ, καὶ μεγάλας ἐλπίδας ἔχοντα πάντων διοίσειν τῷ δύνασθαι λέγειν τε καὶ πράττειν. πρῶτον μὲν αἰσθανόμενος αὐτὸν διὰ νεότητα οὔπω εἰς τὴν ἀγορὰν εἰσιόντα, εἰ δέ τι βούλοιτο διαπράξασθαι, καθίζοντα εἰς ἡνιοποιεῖόν τι, τῶν ἐγγὺς τῆς ἀγορᾶς, εἰς τοῦτο καὶ αὐτὸς ᾔει τῶν μεθ' αὐτοῦ τινὰς ἔχων. καὶ πρῶτον μὲν πυνθανομένου τινός, πότερον Θεμιστοκλῆς διὰ συνουσίαν τινὸς τῶν σοφῶν, ἢ φύσει τοσοῦτον διήνεγκε τῶν πολιτῶν, ὥστε πρὸς ἐκεῖνον ἀποβλέπειν τὴν πόλιν, ὁπότε σπουδαίου ἀνδρὸς δεηθείη, ὁ Σωκράτης βουλόμενος κινεῖν τὸν Εὐθύδημον, εὔηθες, ἔφη, εἶναι τὸ οἴεσθαι τὰς μὲν ὀλίγου ἀξίας τέχνας μὴ γίγνεσθαι σπουδαίους ἄνευ διδασκάλων ἱκανῶν. τὸ δὲ προεστάναι πόλεως, πάντων ἔργων μέγιστον ὄν, ἀπὸ ταὐτομάτου παραγίγνεσθαι τοῖς ἀνθρώποις. πάλιν δέ ποτε παρόντος τοῦ Εὐθυδήμου, ὁρῶν αὐτὸν ἀποχωροῦντα τῆς συνέδρας, καὶ φυλαττόμενον μὴ δόξῃ τὸν Σωκράτην θαυμάζειν ἐπὶ σοφίᾳ, ὅτι μέν, ἔφη, ὦ ἄνδρες

ciuitates posse beatas efficere. Non aūt eodē modo oēs côueniebat, sed docebat illa ingenia indigere doctrina, quæ quàm optima sint. Nā & equorū quicūq; fortes, animosi, ac dociles sunt, si ab ineūte ætate domentur, optimos ac utiles: si uero indomiti maneāt, effrænatos ac pessimos euadere. Canesq; quęcunq; ingeniosæ, sagaces, laboriosæ, feris importunæ, bene quidē eruditas, optimas, ac perutiles uenationibus: è conuerso uerò, uanas, furiosas, ac inobedientes effici. Similiter etiam hominū quotquot ingeniosi, animo fortes, reb. agendis idonei sint, eruditi quidem ac rerū illarū docti quæ agēdæ sunt, optimi atq; utiles fiunt. Plura nanq; ac maxima bona operātur. Rudes autē atq; indocti, pessimi noxijq; efficiūtur. Cum. n. discernere nō queant quæ agenda, quæue omittenda sint, sæpe prauis operibus uacant. Quod si etiam elati animi uehemētesq; sunt, effrænati propterea pertinacesq; redduntur: quocirca plurimorū magnorūq; malorū causæ fiūt. Illos aūt q ob diuitias gloriosi nihil indigere doctrina putabāt, sed pecuniarū copiā satis eis esse arbitrabātur ad honores acquirendos, omniaq; alia quęcūq; uelint peragenda, admonebat, dicens: Stolidū esse eum, qui cū non discat quæ utilia quæue noxia sunt, putat ea posse discernere: stolidumq; qui cum nō potest ea discernere, propter diuitias arbitretur posse quæ sibi conducat peragere. Item qui nō potest quæ conducāt agere, illaq; agere putet, & sufficienter ad bene uiuendum paratū. Stolidū quoq; illum esse aiebat, qui cum nihil borū sciat, putet propter diuitias bonus posse apparere: aut cum nō possit bonus apparere, nihilominus arbitretur posse honores adipisci. Narrandū autem nunc est, quonā modo etiam illos emendabat, qui se putabant eruditos, doctos, atq; sapientissimos. Cum. n. Euthydemum consideraret multa multorū poëtarū, rhetorum, ac philosophorū, quorū maior habebatur opinio, scripta cōgregasse, quam ob causam multum iam suos æquales sapiētia præcellere putabat, atq; sperabat tam in agendo, quàm in dicendo omnibus fore præstantior: cumq; eum intueretur forum nondum propter adolescentiā ingredi, sed si quid uellet agere, apud fabrū frænarium penes forum sedere: eodē & Socrates cum suis nonnullis familiaribus accedebat, ac primo quidem quodam interrogante, Vtrumne Themistocles natura et innato ingenio, an eruditione talis esset, ut omnium in se ciuium suorū oculos coniectos haberet, & in eo suas omnes esse fortunas sitas putarent, dum præsertim sibi esse frugi homine opus intelligerent? Socrates ut Euthydemum cōmoueret: Stultum, inquit, est putare artes eas quæ minores sint, nō posse absolutas reddi sine instructore: ciuitati uero præesse cū sit id omniū maximū, posse quęquā ex se satis nosse. Rursus quondā Euthydemo præsente, uidens eū Socrates recedentē à familiariū cōsessu, et cauentē ne uideretur admirari Socratis sapientiā: ô uiri,

uiri, ait, Athenienses, Euthydemus hic cum ætate fiet maturior: cumq; rogabitur sententia ex his quæ iam facit, in promptu est eum patriæ suum non negaturum consilium. Videtur enim mihi quamoptimum sibi ad conciones exordium parere, cum caueat ne uideatur quicquam á quoquam discere. Sic enim ut uidere licet exordietur: À nullo quidem ô uiri Athenienses, unquam quippiam didici: & cum audiui quosdam esse perquam aptos ad agendum atq; dicendum, non ex studio eos conueni, neq; studui quenquam eorum qui docti essent, mihi magistrum habere, sed contrà toto studio refugiebam non discere solùm quicquam á quoquam, sed etiam uideri didicisse: Nihilominus tamen ea consulam, quæ mihi in mentem incidant. Conueniret id ipsum & his exordij captare, qui quidem publice medendi potestatem poscerent. À nullo quidem ô uiri Athenienses, unquam medendi artem didici, neque quæsiui quenquam doctorum artis huius mihi magistrum, omniq; studio cauebam non solum quippiam à peritis discere, sed etiam uideri quicquam in ea re nosse: Nihilominus peto ut concedatis mihi medendi licentiam, conabor enim eam uestro cum periculo discere. Omnes itaque qui aderant arrisere. Cum autem iam uideretur Euthydemus in Socratem dicentem esse intentior, sed caueret quicquam proloqui, putaretq; taciturnitate assequi ut maturior uideretur, hunc Socrates uolens prouocare, inquit: Mirum quod qui citharizandi aut equitandi uelint artem discere, aut in aliquo similium instructiores reddi, non per se conantur id assequi, sed peritiores adeunt, eorumq; admonitionibus acquiescunt, ac nihil præter illorum sententiam exequuntur, illud putantes sese sine præceptorum opera non satis posse perdiscere. Illorum autem qui se uelint aptos ad dicendũ atq; ad rempublicam gerendam effici, nonnulli sunt qui sine ratione & studio, repentino quodam casu se aptos fieri posse existimant. Atqui tanto ista sunt illis difficiliora, quanto circa hæc longe plures studeant, quàm qui proficiant. Itaq; hinc patet, quàm maiori opus sit studio his qui ista desiderent, quàm qui illa. À principio igitur audiente Euthydemo sic alloquebatur eum Socrates. Cum uero sensit eum attentius promptiusq; suas disputationes audientem, solus ad fabri tabernam accessit, ac Euthydemo considente: Dic, inquit, Euthydeme, ueré ne sicut audio, multa collegisti eorum scripta, quos fuisse uiros sapientes senseris? Ita mehercle, inquit, ô Socrates, & in dies colligam quàm queam plurima. Per Iunonem, inquit Socrates, admiror quod non in primis thesauros colligere, quàm sapientiam elaborasti. PATET HINC TE NON PUTARE AURO ARGENTOQUE HOMINES REDDI MELIORES, SED VIRTUTE FIERI DITIORES SAPIENTUM *dictis.*

Cum

ἄνδρες, εὐθύδημος οὑτοσὶ ἐν ἡλικίᾳ γενόμενος, τῆς πόλεως λόγον περί τινος προτιθείσης, οὐκ ἀφέξεται τοῦ συμβουλεύειν, ὡς δῆλόν ἐστιν, ἐξ ὧν ἐπιτηδεύει. δοκεῖ δέ μοι καλὸν προοίμιον τῶν δημηγορικῶν παρασκευάσασθαι, φυλαττόμενος μὴ δόξῃ μανθάνειν τι παρά του. δῆλον γὰρ ὅτι λέγειν ἀρχόμενος, ὧδε προοιμιάσεται. παρ' οὐδενὸς μὲν πώποτε, ὦ ἄνδρες ἀθηναῖοι, οὐδὲν ἔμαθον, οὐδ' ἀκούων τινὰς εἶναι λέγειν τε καὶ πράττειν ἱκανοὺς, ἐζήτησα τούτοις ἐντυχεῖν, οὐδ' ἐπεμελήθην τοῦ διδάσκαλόν τινά μοι γενέσθαι τῶν ἐπισταμένων, ἀλλὰ καὶ τἀναντία. διατετέλεκα γὰρ φεύγων οὐ μόνον τὸ μανθάνειν τι παρά τινος, ἀλλὰ καὶ τὸ δόξαι. ὅμως δὲ ὅ,τι ἂν ἀπ' αὐτομάτου ἐπίῃ μοι, συμβουλεύσω ὑμῖν. ἁρμόσειε δ' ἂν οὕτω προοιμιάζεσθαι, καὶ τοῖς βουλομένοις παρὰ τῆς πόλεως, ἰατρικὸν ἔργον λαβεῖν, ἐπιτήδειόν γ' ἂν αὐτοῖς, ἐπὶ τοῦ λόγου ἄρχεσθαι ἐντεῦθεν. παρ' οὐδενὸς μὲν πώποτε, ὦ ἄνδρες ἀθηναῖοι, τὴν ἰατρικὴν τέχνην ἔμαθον. οὐδ' ἐζήτησα διδάσκαλον ἐμαυτῷ γενέσθαι τῶν ἰατρῶν οὐδένα. διατετέλεκα γὰρ φυλαττόμενος, οὐ μόνον τὸ μαθεῖν τι παρὰ τῶν ἰατρῶν, ἀλλὰ καὶ τὸ δόξαι μεμαθηκέναι τὴν τέχνην ταύτην. ὅμως δέ μοι τὸ ἰατρικὸν ἔργον δότε. πειράσομαι γὰρ ἐν ὑμῖν ἀποκινδυνεύων μανθάνειν. πάντες οὖν οἱ παρόντες ἐγέλασαν ἐπὶ τῷ προοιμίῳ. ἐπεὶ δὲ φανερὸς ἦν ὁ εὐθύδημος, ἤδη μὲν οἷς ὁ σωκράτης λέγοι προσέχων, ἔτι δὲ φυλαττόμενος αὐτός τι φθέγγεσθαι, καὶ νομίζων τῇ σιωπῇ σωφροσύνης δόξαν περιβάλλεσθαι, τότε ὁ σωκράτης βουλόμενος αὐτὸν παῦσαι τούτου, θαυμαστὸν γὰρ, ἔφη, τί ποτε οἱ βουλόμενοι κιθαρίζειν, ἢ αὐλεῖν, ἢ ἱππεύειν, ἢ ἄλλο τι τῶν τοιούτων ἱκανοὶ γενέσθαι, πειρῶνται ὡς συνεχέστατα ποιεῖν ὅτι ἂν βούλωνται δυνατοὶ γενέσθαι, καὶ καθ' ἑαυτοὺς, ἀλλὰ παρὰ τοῖς ἀρίστοις δοκοῦσιν εἶναι, πάντα ποιοῦντες καὶ ὑπομένοντες, ἕνεκα τοῦ μηδὲν ἄνευ τῆς ἐκείνων γνώμης ποιεῖν. ὡς οὐκ ἂν ἄλλως ἀξιόλογοι γενόμενοι. τῶν δὲ βουλομένων δυνατῶν γενέσθαι, λέγειν τε καὶ πράττειν τὰ πολιτικὰ, νομίζουσί τινες, ἄνευ παρασκευῆς καὶ ἐπιμελείας αὐτόματοι ἐξαίφνης δυνατοὶ, ταῦτα ποιεῖν ἔσεσθαι. καίτοι γε τοσούτῳ ταῦτα ἐκείνων δυσκατεργαστότερα φαίνεται, ὅσῳ περ πλειόνων περὶ ταῦτα πραγματευομένων, ἐλάττους οἱ κατεργαζόμενοι γίγνονται. δῆλον οὖν, ὅτι καὶ ἐπιμελείας δέονται πλείονος καὶ ἰσχυροτέρας οἱ τούτων ἐφιέμενοι, ἢ οἱ ἐκείνων. κατ' ἀρχὰς μὲν οὖν ἀκούοντος εὐθυδήμου τοιούτους λόγους, ἔλεγε σωκράτης. ὡς δ' ᾔσθετο αὐτὸν ἑτοιμότερον ὑπομένοντα, ὅτε διαλέγοιτο, καὶ προθυμότερον ἀκούοντα, μόνος ἦλθεν εἰς τὸ ἡνιοποιεῖον, παρακαθεζομένου δ' αὐτῷ τοῦ εὐθυδήμου, εἰπέ μοι, ἔφη, ὦ εὐθύδημε, τῷ ὄντι ὥσπερ ἐγὼ ἀκούω, πολλὰ γράμματα συνῆχας τῶν λεγομένων σοφῶν ἀνδρῶν γεγονέναι; νὴ τὸν δί', ἔφη, ὦ σώκρατες, καὶ ἔτι γε συνάγω, ἕως ἂν κτήσωμαι, ὡς ἂν δύνωμαι πλεῖστα. νὴ τὴν ἥραν, ἔφη ὁ σωκράτης, ἄγαμαί σου, διότι οὐκ ἀργυρίου καὶ χρυσίου προείλου θησαυροὺς κεκτῆσθαι μᾶλλον, ἢ σοφίας. δῆλον γὰρ ὅτι νομίζεις ἀργύριον καὶ χρυσίον οὐδὲν βελτίους ποιεῖν τοὺς ἀνθρώπους, τὰς δὲ τῶν σοφῶν ἀνδρῶν γνώμας ἀρετῇ πλουτίζειν τοὺς κεκτημένους.

καὶ

καὶ ὁ Εὐθύδημος ἔχαιρεν ἀκούων ταῦτα, νομίζων δοκεῖν τῷ Σωκράτει ὀρθῶς μετιέναι τὴν σοφίαν. ὁ δὲ καταμαθὼν αὐτὸν ἡσθέντα τῷ ἐπαίνῳ τούτῳ, τί δὲ δὴ βουλόμενος ἀγαθὸς γενέσθαι, ἔφη, ὦ Εὐθύδημε, συλλέγεις τὰ γράμματα; ἐπεὶ δὲ διεσιώπησεν ὁ Εὐθύδημος, σκοπῶν ὅ, τι ἀποκρίναιτο, πάλιν ὁ Σωκράτης, ἆρα μὴ ἰατρός, ἔφη; πολλὰ γὰρ καὶ ἰατρῶν ἐστι συγγράμματα. καὶ ὁ Εὐθύδημος, μὰ Δί', ἔφη, οὐκ ἔγωγε. ἀλλὰ μὴ ἀρχιτέκτων βούλει γενέσθαι; γνωμονικοῦ γὰρ ἀνδρὸς καὶ τοῦτο δεῖ. οὔκουν ἔγωγ', ἔφη. ἀλλὰ μὴ γεωμέτρης ἐπιθυμεῖς, ἔφη, γενέσθαι ἀγαθός, ὥσπερ ὁ Θεόδωρος; οὐδὲ γεωμέτρης, ἔφη. ἀλλὰ μὴ ἀστρολόγος, ἔφη, βούλει γενέσθαι; ὡς δὲ καὶ τοῦτο ἠρνεῖτο, ἀλλὰ μὴ ῥαψῳδός, ἔφη; καὶ γὰρ τὰ Ὁμήρου σε φασὶν ἔπη κεκτῆσθαι. μὰ Δί' οὐκ ἔγωγ', ἔφη. τοὺς γάρ τοι ῥαψῳδοὺς οἶδα, τὰ μὲν ἔπη ἀκριβοῦντας, αὐτοὺς δὲ πάνυ ἠλιθίους ὄντας. καὶ ὁ Σωκράτης ἔφη· οὐ δή που, ὦ Εὐθύδημε, ταύτης τῆς ἀρετῆς ἐφίεσαι, δι' ἣν ἄνθρωποι πολιτικοὶ γίγνονται καὶ οἰκονομικοί, καὶ ἄρχειν ἱκανοί, καὶ ὠφέλιμοι τοῖς τε ἄλλοις ἀνθρώποις καὶ ἑαυτοῖς; καὶ ὁ Εὐθύδημος, σφόδρα γ', ἔφη, ὦ Σώκρατες, ταύτης τῆς ἀρετῆς δέομαι. νὴ Δία, ἔφη ὁ Σωκράτης, τῆς καλλίστης ἀρετῆς, καὶ μεγίστης ἐφίεσαι τέχνης. ἔστι γὰρ τῶν βασιλέων αὕτη, καὶ καλεῖται βασιλική. ἀτάρ, ἔφη, κατανενόηκας εἰ οἷόν τ' ἐστὶ, μὴ ὄντα δίκαιον ἀγαθὸν ταῦτα γενέσθαι; καὶ μάλα, ἔφη. καὶ οὐχ οἷόν τέ γε ἄνευ δικαιοσύνης ἀγαθὸν πολίτην γενέσθαι. τί οὖν, ἔφη, σὺ δὴ τοῦτο κατείργασαι; οἶμαί γ', ἔφη, ὦ Σώκρατες, οὐδενὸς ἂν ἧττον φανῆναι δίκαιος. ἆρ' οὖν, ἔφη, τῶν δικαίων ἐστὶν ἔργα ὥσπερ τῶν τεκτόνων; ἔστι μέντοι, ἔφη. ἆρ' οὖν ὥσπερ οἱ τέκτονες ἔχουσι τὰ ἑαυτῶν ἔργα ἐπιδεῖξαι, οὕτως οἱ δίκαιοι τὰ ἑαυτῶν ἔχοιεν διεξηγήσασθαι; μὴ οὖν, ἔφη ὁ Εὐθύδημος, οὐ δύναμαι ἐγὼ τὰ τῆς δικαιοσύνης ἔργα ἐξηγήσασθαι. καὶ νὴ Δί' ἔγωγε τὰ τῆς ἀδικίας, ἐπεὶ οὐκ ὀλίγα ἐστὶ καθ' ἑκάστην ἡμέραν τοιαῦτα ὁρᾶν τε καὶ ἀκούειν. βούλει οὖν, ἔφη ὁ Σωκράτης, γράψωμεν ἐνταυθοῖ μὲν δέλτα, ἐνταυθοῖ δὲ ἄλφα. εἶτα ὅ, τι μὲν δοκῇ ἡμῖν τῆς δικαιοσύνης ἔργον εἶναι, πρὸς τὸ δέλτα τιθῶμεν· ὅ, τι δ' ἂν τῆς ἀδικίας, πρὸς τὸ ἄλφα. εἴ τί σοι δοκεῖ, ἔφη, προσδεῖν τούτων, ποίει ταῦτα. καὶ ὁ Σωκράτης γράψας ὥσπερ εἶπεν, οὐκοῦν, ἔφη, ἔστιν ἐν ἀνθρώποις ψεύδεσθαι; ἔστι μέντοι, ἔφη. ποτέρωσε οὖν, ἔφη, θῶμεν τοῦτο; δῆλον, ἔφη, ὅτι πρὸς τὴν ἀδικίαν. τί δὲ τὸ κακουργεῖν; καὶ τοῦτο, ἔφη. τὸ μὲν ἀνδραποδίζεσθαι; καὶ τοῦτο. πρὸς δὲ τῇ δικαιοσύνῃ οὐδὲν ἡμῖν τούτων κείσεται, ὦ Εὐθύδημε; δεινὸν γὰρ ἂν εἴη, ἔφη. τί δέ, ἐάν τις στρατηγὸς αἱρεθεὶς, ἄδικόν τε καὶ ἐχθρὰν πόλιν ἐξανδραποδίσηται, φήσομεν τοῦτον ἀδικεῖν; οὐ δῆτα, ἔφη. δίκαια δὲ ποιεῖν οὐ φήσομεν; καὶ μάλα. τί δ' ἂν ἐξαπατᾷ πολεμῶν αὐτοῖς; δίκαιον, ἔφη, καὶ τοῦτο. ἐὰν δὲ κλέπτῃ τε καὶ ἁρπάζῃ τὰ τούτων, οὐ δίκαια ποιήσει; καὶ μάλα, ἔφη. ἀλλ' ἐγώ σε τὸ πρῶτον ὑπελάμβανον, πρὸς τοὺς φίλους μόνον ταῦτ' ἐρωτᾶν. οὐκοῦν, ἔφη, ὅσα πρὸς τῇ ἀδικίᾳ ἐθήκαμεν, πάντα ταῦτα πρὸς τῇ δικαιοσύνῃ θετέον ἂν εἴη; ἔοικεν, ἔφη. βούλει οὖν, ἔφη, ταῦτα οὕτω θέντες διορισώμεθα πάλιν, πρὸς μὲν τοὺς πολεμίους δίκαιον εἶναι τὰ τοιαῦτα ποιεῖν, πρὸς δὲ τοὺς φίλους ἄδικον, ἀλλὰ δεῖν πρός γε τούτους ὡς ἁπλού-

Cum hinc Euthydemus se à Socrate putaret studiosum haberi sapientiæ, gaudebat. Socrates uero ut sensit eum factum alacriorem hac laude: Quanam in re, inquit, ô Euthydeme uolens fieri sapientior, hæc colligis scripta? Cumq; obticuisset Euthydemus, considerans quid responsi daret, rursus Socrates: Nunquid in medendi arte? multa etenim medicorum scripta extant. Tum Euthydemus: Minime istuc, inquit. Sed nunquid architectus effici uis? nam & is sententijs esse refertus debet. Non ego, inquit. Sed geometrá ne effici cupis uti Theodorus? Nec geometra, inquit. Sed num astrologus? Cum id quoque negaret: Nunquid te uatem cupis? nam te omnia habere Homeri carmina dicunt. Minime, inquit. Nanq; uates quidem noui, in carminibus edendis diligentes, at ipsos ualde esse stultos. At Socrates: Nunquid igitur ô Euthydeme, inquit, uirtutem quæris, ob quam homines ciuiles, & patresfamiliás, & principatu digni, utiles, sibiq; suisq; efficiantur? Tum Euthydemus: Vehementer quidem, ô Socrates, artem perquàm opto uirtutē. Per Iouem, inquit Socrates, artem perquā optimam, uirtutemque maximam desideras. Est etenim hæc regum uirtus, regalisq; nuncupatur. Verùm, inquit, considerasti ne unquam, an sine iustitia possis in huiuscemodi bonus fieri? Vehementer inquit. Neque enim est poßibile sine iustitia bonum fieri ciuem. Quid igitur, tú ne de te hoc perfecisti? Puto, inquit, ô Socrates, præ alijs me nihilominus uideri iustum. Vtrum, inquit, sunt & iustorum, uti & fabrorum, quædam opera? Sunt, inquit. Num igitur, inquit, uti & fabri sua possunt monstrare opera, ita & iusti sua possunt exponere? Tunc Euthydemus: Non facile possum iustitiæ opera exponere. Et ego per Iouem, inquit Socrates, iniustitiæ. Non enim pauca istiusmodi indies uidere atque audire licet. Si itaque uelis, Socrates ait, scribamus hic sub D, quæ esse nobis iustitiæ opera uidebuntur: istic uero deinceps sub A, quæ iniustitiæ. Si tibi, inquit, uidetur his esse opus, facito. Tunc Socrates uti dixerat, adscripserat. Ac utrum ne, inquit, est in hominibus mentiri? Est, inquit. Vbi igitur hoc collocabimus? Patet, inquit, ad iniustitiam esse referendum. Quid & malignari? Et hoc itidem. Tum & furari? Et hoc. Sub iustitia uero, ô Euthydeme, harum nihil nobis ponemus? Malum, inquit, esset istud. Quid uero, si quis dux electus iniustam inimicamq; ciuitatem prædaretur, iniustè ne hunc diceremus facere? Minime, inquit. Iustè ne igitur eum facere asseremus? Maxime. Quod si cum eis bellum gerens eos deceperit? Et id quoque iustum. At si furetur illorum ipsorum res atq; arripiat, iustè ne fecerit? Maxime. Sed ego à principio putabam, quantum ad amicos solum te ista interrogare. Quæcunq; igitur, inquit, sub iustitia collocauimus, omnia et sub iniustitia erunt æque collocanda? Vt uidetur, ait. Vis idcirco hæc ita componentes, definiamus iterum, hæc eadem aduersus hostes facta iusta esse, aduersus amicos iniusta? Sed fortassis aduersus amicos opus sit animo perquàm sim-

plici. Valde, inquit Euthydemus. Quid uero, inquit Socrates, si quis dux uiderit exercitum perterritū, & mentitus dicat illico socios affuturos, istoq; mē dacio animos commilitonum leuet, sub quonam id collocabimus? Sub iustitia, inquit, uti uidetur. At si quis filio pharmacum quo maxime indigeat respu enti, in cibarij locum dedat, et hoc mendacio illum liberarit, deceptionem hanc ubi collocabimus? Et hanc, inquit, sub eodem, ut mihi uidetur. Quod si quis timens ne se amicus uitæ desperatione interimat, furetur aut arripiat siue gladium, siue quicquā aliud simile, hunc actum rursus ubi collocabimus? Mehercle sub iustitia, inquit. Nec igitur aduersus amicos, ut tibi uidebatur, opus est cunctis in rebus animo simplici? Minime, inquit, medius fidius. Sed si liceat? Reuoco quæ ante concessi. Multo magis hoc licet, Socrates ait, quàm non recte concedere. Sed, ne hoc etiam inuestigabile omittamus: Vter illorum, qui nocendi causa amicos seducunt, magis iniuriosus tibi uideatur, qui sponte, an qui inuitus decipit? Iam, ô Socrates, ait, non possum responsionibus credere meis: quæcunq; nanq; hucusq; asserebamus, aliter nunc quàm antea mihi uidentur: nihilominus magis illum esse dicam iniuriosum, qui spōte amicos decipiat. Videtur autem ne tibi doctrina atq; scientia esse iustitiæ seu literarum? Ita, inquit. Vtrum autem illum esse magis grammaticum iudicas, qui sponte nō recte scribat ac legat, an illū qui inuitus? Qui spōte, inquit: cum enim uoluerit, posset recte quoq; eadē facere. Quicūq; igitur sponte nō recte scribat, grāmaticus esset profecto: qui uero inuitus, literarū ignarus? Quid ni? Iusta uerò quæ nō sunt, utrū ille scit qui spōte mentiatur atq; decipiat, an qui inuitus? Ille qui sponte. Magis itaq; grammaticum qui literas sciat, q̄ qui nesciat, esse putas? Ita. Magis etiā iustū qui sciat quæ iusta sunt, q̄ qui nesciat? Ignoro quonā pacto ista etiā sic se mihi apparēt habere. Quid uero, Socrates ait, quicunq; uera dicere uolens, nunquā eadem de eisdem dicat? Sed siue uiam quandam monstrare oporteat, modo ad orientem, modo ad occidentē eam esse dicat? siue rationē reddere de eadem re, modo maiorem, modo minorem eam ostendat, quid tibi de illo homine uidetur? Patet, inquit, mehercle ignarum illorum esse, quæ scire putabat. Scis autem quosdam seruiles homines appellatos? Ita, inquit. Vtrum propter sapientiam, an propter ignorantiā? Manifestum est quod propter ignorantiā. Vtrum autem propter ignorantiā fabricandi, aut domos ædificandi, aut coria conficiendi, hoc nomine uocari merentur? Ob nullum, inquit, istorū, sed è conuerso potius, illi ut plurimū seruiles sunt, qui huiusce modi sciant. An igitur illis hoc cōuenit nomē, qui quæ bona et honesta, quæq; iusta sunt, ignorant? Ita mihi uidetur, inquit. Oportet itaq; omnibus modis, Socrates ait, conari ne simus seruiles. Per deos immortales, inquit, ô Socrates, ualde putabam in philosophia esse progressus, per quā arbitrabar eruditus in illis effici, quæ cōueniant homini cupido uirtutis. Nunc uero quantum me putas dolere, cum uideā studia iam mihi habita,

σκετον ἐστίν; πάνυ μὲν οὖν, ἔφη ὁ εὐθύδημος. τί οὖν, ἔφη ὁ σωκράτης, ἐάν τις στρατηγὸς ὁρῶν ἀθύμως ἔχον τὸ στράτευμα, ψευσάμενος φήσῃ συμμάχους προσιέναι, καὶ τῷ ψεύδει τούτῳ παύσῃ τὰς ἀθυμίας τῶν στρατιωτῶν, ποτέρωθι τὴν ἀπάτην ταύτην θήσομεν; δοκεῖ μοι, ἔφη, πρὸς τὴν δικαιοσύνην. ἐὰν δέ τις υἱὸν ἑαυτοῦ δεόμενον φαρμακείας, καὶ μὴ προσιέμενον φάρμακον ἐξαπατήσας ὡς σιτίον τὸ φάρμακον δῷ, καὶ τῷ ψεύδει χρησάμενος οὕτως ὑγιᾶ ποιήσῃ, ταύτην αὖ τὴν ἀπάτην ποῖ θετέον; δοκεῖ μοι, ἔφη, καὶ ταύτην εἰς τὸ αὐτό. τί δὲ αὖ τις ἐν ἀθυμίᾳ ὄντος φίλου, δείσας μὴ διαχρήσηται ἑαυτόν, κλέψῃ ἢ ἁρπάσῃ, ἢ ξίφος, ἢ ἄλλο τι τοιοῦτον, τοῦτο αὖ ποτέρωσε θετέον; καὶ τοῦτο νὴ δί', ἔφη, πρὸς τὴν δικαιοσύνην. λέγεις, ἔφη, σὺ, οὐδὲ πρὸς τοὺς φίλους ἅπαντα δεῖν ἁπλοΐζεσθαι; μὰ δί', οὐ δῆτα, ἔφη, ἀλλὰ μετατίθεμαι τὰ εἰρημένα, εἴπερ ἔξεστι. δεῖ γέ τοι, ἔφη ὁ σωκράτης, ἐξεῖναι πολὺ μᾶλλον, ἢ μὴ ὀρθῶς τιθέναι. τῶν δὲ δὴ τοὺς φίλους ἐξαπατώντων ἐπὶ βλάβῃ, ἵνα μηδὲ τοῦτο παραλίπωμεν ἀσκεπτὸν, πότερος ἀδικώτερός ἐστιν ὁ ἑκὼν, ἢ ὁ ἄκων; ἀλλ' ὦ σώκρατες, οὐκ ἔτι μὲν ἔγωγε πιστεύω οἷς ἀποκρίνομαι· καὶ τὰ πρόσθεν πάντα, νῦν ἄλλως ἔχειν δοκεῖ μοι, ἢ ὡς ἐγὼ τότε ᾤμην. ὅμως δὲ εἰρήσθω μοι, ἀδικώτερον εἶναι τὸν ἑκόντα ψευδόμενον, τοῦ ἄκοντος. δοκεῖ δέ σοι μάθησις καὶ ἐπιστήμη τοῦ δικαίου εἶναι ὥσπερ τῶν γραμμάτων; ἔμοιγε. πότερον δὲ γραμματικώτερον κρίνεις, ὃς ἂν ἑκὼν μὴ ὀρθῶς γράφῃ καὶ ἀναγινώσκῃ, ἢ ὃς ἂν ἄκων; ὃς ἂν ἑκὼν ἔγωγε. δύναιτο γὰρ ἂν ὁπότε βούλοιτο, καὶ ὀρθῶς αὐτὰ ποιεῖν. οὐκοῦν ὁ μὲν ἑκὼν μὴ ὀρθῶς γράφων, γραμματικὸς ἂν εἴη, ὁ δὲ ἄκων ἀγράμματος; πῶς γὰρ οὔ. τὰ δίκαια δὲ πότερον ὁ ἑκὼν ψευδόμενος καὶ ἐξαπατῶν οἶδεν, ἢ ὁ ἄκων; δῆλον ὅτι ὁ ἑκών. οὐκοῦν γραμματικώτερον μὲν τὸν ἐπιστάμενον γράμματα τοῦ μὴ ἐπισταμένου φῂς εἶναι; ναί. δικαιότερον ἢ τὸν μὴ ἐπιστάμενον τὰ δίκαια τοῦ μὴ ἐπισταμένου; φαίνομαι. δοκῶ δέ μοι καὶ ταῦτα οὐκ οἶδ' ὅπως λέγειν. τί δὲ δὴ ὃς ἂν βουλόμενος τἀληθῆ λέγειν, μηδέποτε τὰ αὐτὰ περὶ τῶν αὐτῶν λέγῃ, ἀλλ' ὁδόν τε φράζων τὴν αὐτὴν τότε μὲν πρὸς ἕω, τότε δὲ πρὸς ἑσπέραν φράζῃ, καὶ λογισμὸν ἀποφαινόμενος τὸν αὐτὸν, τότε μὲν πλείω, τότε δ' ἐλάττω ἀποφαίνηται, τί σοι δοκεῖ ὁ τοιοῦτος; δῆλος νὴ δί' εἶναι, ὅτι ἃ ᾤετο εἰδέναι, οὐκ οἶδεν. οἶσθα δέ τινας ἀνδραποδώδεις καλουμένους; ἔγωγε. πότερον διὰ σοφίαν, ἢ δι' ἀμαθίαν; δῆλον ὅτι δι' ἀμαθίαν. ἆρ' οὖν διὰ τὴν τοῦ χαλκεύειν ἀμαθίαν τοῦ ὀνόματος τούτου τυγχάνουσιν; οὐ δῆτα. ἀλλ' ἆρα διὰ τὴν τοῦ τεκταίνεσθαι; οὐδὲ διὰ ταύτην. ἀλλὰ διὰ τὴν τοῦ σκυτεύειν; οὐδὲ δι' ἓν τούτων, ἔφη, ἀλλὰ καὶ τοὐναντίον. οἱ γὰρ πλεῖστοι τῶν γε τὰ τοιαῦτα ἐπισταμένων ἀνδραποδώδεις εἰσίν. ἆρ' οὖν τῶν τὰ καλὰ καὶ ἀγαθὰ καὶ δίκαια μὴ εἰδότων, τὸ ὄνομα τοῦτ' ἐστίν; ἔμοιγε δοκεῖ, ἔφη. οὐκοῦν δεῖ παντὶ τρόπῳ διατεινομένους φεύγειν, ὅπως μὴ ἀνδράποδα ὦμεν. ἀλλὰ νὴ τοὺς θεοὺς, ἔφη, ὦ σώκρατες, πάνυ ᾤμην φιλοσοφεῖν φιλοσοφίαν, δι' ἧς ἂν μάλιστα ἐνόμιζον παιδευθῆναι τὰ προσήκοντα ἀνδρὶ καλοκαγαθίας ὀρεγομένῳ. νῦν δὲ πῶς οἴει με ἀθύμως ἔχειν, ὁρῶντα ἐμαυτὸν διὰ μὲν τὰ προπεπονημένα,

οὐδὲ τὸ ἐρωτώμενον ἀποκρίνασθαι δυνάμενον, ὑπὲρ ὧν μάλιστα χρὴ εἰδέναι, ἄλλην δὲ ὁδὸν οὐδεμίαν ἔχοντα, ἣν ἂν πορευόμενος, βελτίων γενοίμην. καὶ ὁ Σωκράτης· εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, εἰς Δελφοὺς ἤδη πώποτε ἀφίκου; καὶ δίς γε νὴ Δί', ἔφη. κατέμαθες οὖν πρὸς τῷ ναῷ που γεγραμμένον τὸ γνῶθι σαυτόν; ἔγωγε. πότερον οὖν οὐδέν σοι τοῦ γράμματος ἐμέλησεν, ἢ προσέσχες τε καὶ ἐπεχείρησας σαυτὸν ἐπισκοπεῖν, ὅστις εἴης; μὰ Δί' οὐ δῆτα, ἔφη. καὶ γὰρ δὴ πάνυ τοῦτό γε ᾤμην εἰδέναι. σχολῇ γὰρ ἂν ἄλλο τι ᾔδειν, εἴ γε μηδ' ἐμαυτὸν ἐγίγνωσκον. πότερα δέ σοι δοκεῖ γιγνώσκειν ἑαυτόν, ὅστις τοὔνομα τὸ ἑαυτοῦ μόνον οἶδεν, ἢ ὅστις ὥσπερ οἱ τοὺς ἵππους ὠνούμενοι, οὐ πρότερον οἴονται γιγνώσκειν ἑαυτόν, ὃν ἂν βούλωνται γνῶναι, πρὶν ἂν ἐπισκέψωνται, πότερον εὐπειθής ἐστιν, ἢ δυσπειθής, ἢ πότερον ἰσχυρός ἐστιν, ἢ ἀσθενής, καὶ πότερον ταχὺς ἢ βραδύς, καὶ τἆλλα τὰ πρὸς τὴν τοῦ ἵππου χρείαν ἐπιτήδειά τε καὶ ἀνεπιτήδεια, ὅπως ἔχει, οὕτως ἑαυτὸν ἐπισκεψάμενος, ὁποῖός ἐστι πρὸς τὴν ἀνθρωπίνην χρείαν, ἔγνωκε τὴν αὐτοῦ δύναμιν ἀγνοεῖν ἑαυτόν. ἐκεῖνο δὲ οὐ φανερόν, ἔφη, ὅτι διὰ μὲν τὸ εἰδέναι ἑαυτοὺς πλεῖστα ἀγαθὰ πάσχουσιν οἱ ἄνθρωποι, διὰ δὲ τὸ ἐψεῦσθαι ἑαυτῶν πλεῖστα κακά; οἱ μὲν εἰδότες ἑαυτούς, τά τε ἐπιτήδεια ἑαυτοῖς ἴσασι, καὶ διαγιγνώσκουσιν ἅ τε δύνανται καὶ ἃ μή. καὶ ἃ μὲν ἐπίστανται πράττοντες, πορίζονταί τε ὧν δέονται, καὶ εὖ πράττουσιν. ὧν δὲ μὴ ἐπίστανται ἀπεχόμενοι, ἀναμάρτητοι γίγνονται. καὶ διαφεύγουσι τὸ κακῶς πράττειν. διὰ τοῦτο δὲ καὶ τοὺς ἄλλους ἀνθρώπους δυνάμενοι δοκιμάζειν. καὶ διὰ τῆς τῶν ἄλλων χρείας, τά τε ἀγαθὰ πορίζονται, καὶ τὰ κακὰ φυλάττονται. οἱ δὲ μὴ εἰδότες, ἀλλὰ διεψευσμένοι τῆς ἑαυτῶν δυνάμεως, πρός τε τοὺς ἄλλους ἀνθρώπους, καὶ τἆλλα ἀνθρώπινα πράγματα ὁμοίως διάκεινται, καὶ οὔτε ὧν δέονται ἴσασιν, οὔτε ὅ,τι πράττουσιν, οὔτε οἷς χρῶνται, ἀλλὰ πάντων τούτων διαμαρτάνοντες, τῶν τε ἀγαθῶν ἀποτυγχάνουσι, καὶ τοῖς κακοῖς περιπίπτουσι. καὶ οἱ μὲν εἰδότες ὅ,τι ποιοῦσιν, ἐπιτυγχάνοντες ὧν πράττουσιν, εὔδοξοί τε καὶ τίμιοι γίγνονται, καὶ οἵ τε ὅμοιοι τούτοις ἡδέως χρῶνται, οἵ τε ἀποτυγχάνοντες τῶν πραγμάτων, ἐπιθυμοῦσι τούτων ὑπὲρ αὐτῶν βουλεύεσθαι, καὶ προΐστασθαί τε ἑαυτῶν τούτους, καὶ τὰς ἐλπίδας τῶν ἀγαθῶν ἐν τούτοις ἔχουσι, καὶ διὰ πάντα ταῦτα πάντων μάλιστα τούτους ἀγαπῶσιν. οἱ δὲ μὴ εἰδότες ὅ,τι ποιοῦσι, κακῶς δὲ αἱρούμενοι, καὶ οἷς ἂν ἐπιχειρήσωσιν ἀποτυγχάνοντες, οὐ μόνον ἐν αὐτοῖς τούτοις ζημιοῦνταί τε καὶ κολάζονται, ἀλλὰ καὶ ἀδοξοῦσι διὰ ταῦτα, καὶ καταγέλαστοι γίγνονται, καὶ καταφρονούμενοι, καὶ ἀτιμαζόμενοι ζῶσιν. ὁρᾷς δὲ καὶ τῶν πόλεων, ὅτι ὅσαι ἂν ἀγνοήσασαι τὴν ἑαυτῶν δύναμιν κρείττοσι πολεμήσωσιν, αἱ μὲν ἀνάστατοι γίγνονται, αἱ δὲ ἐξ ἐλευθέρων δοῦλαι. καὶ ὁ Εὐθύδημος, ὡς πάνυ μοι δοκεῖς, ὦ Σώκρατες, ἔφη, περὶ πολλοῦ ποιητέον εἶναι τὸ ἑαυτὸν γιγνώσκειν, οὕτως σοι ὁπόθεν δεῖ ἄρξασθαι ἐπισκοπεῖν ἑαυτόν, τοῦτο πρὸς σὲ ἀποβλέπω, εἴ μοι ἐθελήσαις ἂν ἐξηγήσασθαι. οὐκοῦν, ἔφη, ὁ Σωκράτης, τὰ μὲν ἀγαθὰ καὶ τὰ κακὰ ὁποῖά ἐστι, πάντως που γιγνώσκεις. νὴ Δί', ἔφη. εἰ γὰρ μηδὲ ταῦτα οἶδα, καὶ τῶν ἀνδραπόδων φαυλό-

τερος

nec ad hoc utilis facta, ut possim de interrogatis, ut decet, respondere, nullamque aliam doctrinæ uiam habeam, per quam melior efficiar? Tum Socrates: Dic mihi, o Euthydeme, ait, fuistine unquam apud Delphos? Et bis, inquit, mehercle. Considerasti itaque, ait, in templo scriptam illam diuinam sententiam, COGNOSCE TEIPSVM? Ita, inquit. Vtrum, ait, nihili illam fecisti, an conatus fuisti teipsum qualisnam sis, considerare? Non, inquit, mehercle. Putabam enim bene hoc scire. Nam si meipsum ignorarem, quid aliud scirem? Vtrum autem seipsum ille cognoscere tibi uideatur, qui nomen suum solum sciat, an ille qui seipsum considerat, qualis nam sit, quantumque in rebus humanis, ac usu earum ualeat? Quemadmodum illi qui equos emunt, non antea putant scire quæcunque cognoscere uelint, quàm considerent, utrum bene domitus, an effrænatus, & fortis an debilis, & citus an tardus sit, ac in aliis quonam modo se habeat, in quibus equum ualere oporteat. Sic mihi uidetur, inquit, ut tibi. Qui nanque se, quantum ualeat, nesciat, seipsum ignorat. At Socrates: Hoc quoque manifestum est, inquit, quod propter sui scientiam homines multorum bonorum, sicut propter ignorantiam multorum malorum causa fiunt. Qui nanque se cognoscunt, quæ sibi conueniant sciunt, ac discernunt quæ possunt, quæ uero non possunt efficere: & cum agant quæ sciunt, perficiunt ea quibus indigent, & feliciter uiuunt: cumque ab illis abstineant quæ ignorant, nec in aliquo peccant, nec male agunt. Quapropter cæteris hominibus possunt bene consulere, bona quidem eis adferendo, mala uero repellendo. Qui uero se quantum ualeant ignorant, inepte se habent, & aduersus cæteros homines, & ad res humanas: nec quibus indigeant sciunt, neque quid agant, neque quibus utantur: sed his omnibus frustrati, bonis priuantur, atque in mala incidunt: & illi quidem qui sciunt quid agant, cum res quas uelint obtineant, honoribus afficiuntur. Itaque tum illi, qui eis similes sunt, libenter eis utuntur, tum illi qui frustrantur à rebus propositis, cupiunt eos consulere, ac sibi eos præficiunt, spemque totam suam in eis collocant, maximeque eos propterea diligunt. Qui uero ignorant quid agant, frustrati à re proposita non solum damnantur, & pœnis afficiuntur, sed etiam in ignominiam incidunt atque derisum, neglectique uiuunt atque contempti. Vides autem etiam ciuitates quæcunque suæ conditionis ignaræ, fortioribus inferant bellum, alias depopulari, alias ubi liberæ erant, ad seruitutem redigi? Tunc Euthydemus: Velim, inquit, ô Socrates scias, ualde mihi uideri magni faciundum esse, seipsum cognoscere. Sed unde nam incipere deceat hominem seipsum considerare, hoc mihi exponas. Illa quidem, Socrates ait, quæ bona, quæue mala sunt, utique scis. Ita, inquit, mehercle. Si enim nec ista cognoscerem, mancipiis etiam profecto dete-

rior

rior essem. Age igitur, ait, mihi quoq; ea exponas. Nō difficilē rē quaeris, inquit. Primū nāq; ipsum sanū esse, bonū: ægrū aūt, malū puto. Deinde causas utriusq; eorū, siue cibus siue potus sit, omniaq; alia quæcūq; ad sanitatē cōducant, bona: quæ uero ad ægritudinē, mala. Ipsum quoq; igitur, ait, sanū & ægrū esse, cum eiusdā boni causa fiunt, bona: cum uero mali, mala sint necesse est. Et quādo, Euthydemus inquit, aut sanum esse causa mali, aut ægrotū boni effici potest? Cum, inquit, mehercle turpis exercitus nauigationis noxiæ, cæterorūq; multorū similiū, hi quidē participes facti ob bonam ualetudinē corporis, pereāt: alij uero abstinendo ab eis, propter infirmitatem salui maneant. Ita ais, inquit, atq; est. Sed uides quod etiam utilium rerū hi quidem ob ualetudinē corporis participes sunt, hi uero non, propter infirmitatē. Hæc itaq;, ait, cū modo prosint, modo obsint, nō magis bona quàm mala sunt. Non, inquit Euthydemus, mehercle. Sed sapientia tamen ô Socrates, absq; dubio bonum est. Quid nanq; nō melius agat sapiens, quā indoctus? Quid uero? ait, nō audisti Dædalum à Minoē propter sapientiā captum, coactū fuisse illi seruire, patriaq; simul atq; libertate priuatū? conatumq; unà cum filio aufugere, illū quidē amisisse, se uero ipsum non liberasse? nam ad quosdā barbaros aberrauit, ac eis ipsis seruiebat. Dicuntur hæc, inquit, mehercle. Calamitates autem Palamedis ignoras? hūc enim propter sapientiā prædicāt omnes inuidia Vlyßis interemptum fuisse. Et hoc, inquit, dici audio. Quot uero alios arbitreris propter sapientiam ad regē Persarū ui ductos ibi seruire? Apparet igitur, ô Socrates, ait, felicitatē bonum proculdubio esse. Si quis, ait, ô Euthydeme, non illam ex dubijs bonis cōponat. Et quid eorū, inquit, quæ ad felicitatē conducunt, dubiū esset? Nihil, ait: dum non addamus ei pulchritudinē, potentiā, diuitias, honores, aut aliud quicquā simile istis. Sed mehercle addemus, inquit, quonā pacto sine his felix quisquā esse poßit? Illa addemus itaq;, Socrates ait, è quibus multa hominibus atq; periculosa eueniēt? Multi nanq; propter pulchritudinē ab illis perimūtur, qui pulchros uenātur. Multi uero cōfisi potentiæ, maiora q̄ poßunt facere conati, in multa incidūt pericula. Multi etiā propter diuitias molles effecti et pigri, insidijs pereūt. Nōnulli autem propter honores ac ciuilem potentiā multa paßi sunt. Tunc Euthydemus: Si neq; cum felicitatē laudo, inquit, recte existimo, fateor nec id scire quid à dijs petendum sit. At hæc nimirū, Socrates inquit, propterea quod ualde putabas scire, non considerasti. Cum uero ciuitati præesse, in qua populus dominatur, cupis, certo scis quidnā populi dominiū sit. Ita, inquit, profecto. Apparet aūt tibi posse eū scire quidnam populi dominiū sit, qui populū ignoret? Minime, inquit. Et quid arbitraris populū esse? Illos ciuiū, inquit, qui pauperes sunt. Scis ergo, ait, quinā pauperes sunt? Cur nō? inquit. Nū etiā diuites, ait, cognoscis? Non minus q̄ pauperes, inquit. Et quos pauperes, ait, quósue diuites appellas? Illos qui nō habeant

an felicitas sit in [illegible] totum bonum, si aliunde habeat bona dubia.

τερος ἂν ἦν. ἴθι δή, ἔφη, καὶ ἐμοὶ ἐξήγησαι αὐτά. ἀλλ' οὐ χαλεπόν, ἔφη. πρῶτον μὲν γὰρ αὐτὸ ὑγιαίνειν ἀγαθὸν εἶναι νομίζω, τὸ δὲ νοσεῖν κακόν. ἔπειτα τὰ αἴτια ἑκατέρου αὐτῶν, καὶ ποτὰ καὶ βρωτά, καὶ ἐπιτηδεύματα τὰ μὲν πρὸς τὸ ὑγιαίνειν φέροντα ἀγαθά, τὰ δὲ πρὸς τὸ νοσεῖν κακά. οὐκοῦν, ἔφη, καὶ τὸ ὑγιαίνειν, καὶ τὸ νοσεῖν, ὅταν μὲν ἀγαθοῦ τινος αἴτια γίγνηται, ἀγαθὰ ἂν εἴη· ὅταν δὲ κακοῦ, κακά. πότε δ' ἄν, ἔφη, τὸ μὲν ὑγιαίνειν κακοῦ αἴτιον γένοιτο, τὸ δὲ νοσεῖν ἀγαθοῦ; ὅταν νὴ Δί', ἔφη, στρατείας τε αἰσχρᾶς, καὶ ναυτιλίας βλαβερᾶς, καὶ ἄλλων πολλῶν τοιούτων, οἱ μὲν διὰ ῥώμην μεταχόντες ἀπόλλωνται, οἱ δὲ δι' ἀσθένειαν ἀπολειφθέντες σωθῶσιν. ἀληθῆ λέγεις. ἀλλ' ὁρᾷς, ἔφη, ὅτι καὶ τῶν ὠφελίμων, οἱ μὲν διὰ ῥώμην μετέχουσιν, οἱ δὲ δι' ἀσθένειαν ἀπολείπονται. ταῦτα οὖν, ἔφη, ποτὲ μὲν ὠφελοῦντα, ποτὲ δὲ βλάπτοντα, μᾶλλον ἀγαθά, ἢ κακά ἐστιν. οὐδὲν μὰ Δία φαίνεται κατά γε τοῦτον τὸν τρόπον. ἀλλ' ἥ γε σοφία, ὦ Σώκρατες, ἀναμφισβητήτως ἀγαθόν ἐστιν. ποῖον γὰρ ἄν τις πρᾶγμα οὐ βέλτιον πράττοι, σοφὸς ὤν, ἢ ἀμαθής; τί δὲ τὸν Δαίδαλον, ἔφη, οὐκ ἀκήκοας, ὅτι ληφθεὶς ὑπὸ Μίνω, διὰ τὴν σοφίαν ἠναγκάζετο ἐκείνῳ δουλεύειν, καὶ τῆς πατρίδος ἅμα καὶ τῆς ἐλευθερίας ἐστερήθη, καὶ ἐπιχειρῶν ἀποδιδράσκειν μετὰ τοῦ υἱοῦ, τόν τε παῖδα ἀπώλεσε, καὶ αὐτὸς οὐκ ἠδυνήθη σωθῆναι, ἀλλ' ἀπενεχθεὶς εἰς τοὺς βαρβάρους, πάλιν ἐκεῖ ἐδούλευεν; λέγεται νὴ Δί', ἔφη, ταῦτα. τὰ δὲ Παλαμήδους οὐκ ἀκήκοας πάθη; τοῦτον γὰρ δὴ πάντες ὑμνοῦσιν, ὡς διὰ σοφίαν φθονηθεὶς ὑπὸ τοῦ Ὀδυσσέως ἀπόλλυται; λέγεται καὶ ταῦτα, ἔφη. ἄλλους δὲ πόσους οἴει διὰ σοφίαν ἀναρπάστους πρὸς βασιλέα γεγονέναι καὶ ἐκεῖ δουλεύειν; κινδυνεύει, ἔφη, ὦ Σώκρατες, ἀναμφιλογώτατον ἀγαθὸν εἶναι τὸ εὐδαιμονεῖν. εἴ γε μή τις αὐτό, ἔφη, ὦ Εὐθύδημε, ἐξ ἀμφιλόγων ἀγαθῶν συντιθείη. τί δ' ἄν, ἔφη, τῶν εὐδαιμονικῶν ἀμφίλογον εἴη; οὐδέν, ἔφη, ἄν γε μὴ προσθῶμεν αὐτῷ κάλλος, ἢ ἰσχύν, ἢ πλοῦτον, ἢ δόξαν, ἢ καί τι ἄλλο τῶν τοιούτων. ἀλλὰ νὴ Δία προσθήσομεν, ἔφη. πῶς γὰρ ἄν τις ἄνευ τούτων εὐδαιμονοίη; νὴ Δί', ἔφη, προσθήσομεν ἄρα ἐξ ὧν πολλὰ καὶ χαλεπὰ συμβαίνει τοῖς ἀνθρώποις. πολλοὶ μὲν γὰρ διὰ τὸ κάλλος ὑπὸ τῶν ἐπὶ τοῖς ὡραίοις παρακεκινηκότων διαφθείρονται, πολλοὶ δὲ διὰ τὴν ἰσχὺν μείζοσιν ἔργοις ἐπιχειροῦντες, οὐ μικροῖς κακοῖς περιπίπτουσι. πολλοὶ δὲ διὰ τὸν πλοῦτον διαθρυπτόμενοί τε καὶ ἐπιβουλευόμενοι ἀπόλλυνται. πολλοὶ δὲ διὰ δόξαν καὶ πολιτικὴν δύναμιν μεγάλα κακὰ πεπόνθασιν. ἀλλὰ μήν, ἔφη, εἴ γε μηδὲ τὸ εὐδαιμονεῖν ἐπαινῶν ὀρθῶς λέγω, ὁμολογῶ μηδ' ὅ,τι πρὸς τοὺς θεοὺς εὔχεσθαι χρὴ εἰδέναι. ἀλλὰ ταῦτα μέν, ἔφη ὁ Σωκράτης, ἴσως διὰ τὸ σφόδρα πιστεύειν εἰδέναι, οὐδ' ἔσκεψαι. ἐπεὶ δὲ πόλεως δημοκρατουμένης παρασκευάζῃ προεστάναι, δῆλον ὅτι δημοκρατίαν γε οἶσθα τί ἐστιν; πάντως δήπου, ἔφη. δοκεῖ οὖν σοι δυνατὸν εἶναι, δημοκρατίαν εἰδέναι, μὴ εἰδότα δῆμον; μὰ Δί' οὐκ ἔμοιγε. καὶ τί νομίζεις δῆμον εἶναι; τοὺς πένητας τῶν πολιτῶν ἔγωγε. καὶ τοὺς πένητας ἄρα οἶσθα; πῶς γὰρ οὔ; ἆρ' οὖν καὶ τοὺς πλουσίους οἶσθα; οὐδέν γε ἧττον, ἢ καὶ τοὺς πένητας. ποίους δὲ πένητας καὶ ποίους πλουσίους καλεῖς; τοὺς μὲν οἶμαι μὴ ἱκανὰ ἔχοντας

ἔχοντας εἰς ἃ δεῖ τελεῖν, πένητας· τοὺς δὲ πλείω τῶν ἱκανῶν, πλουσίους. κατανενόηκας οὖν, ὅτι ἐνίοις μὲν πάνυ ὀλίγα ἔχουσιν, οὐ μόνον ἀρκεῖ ταῦτα, ἀλλὰ καὶ περιποιοῦνται ἀπ' αὐτῶν, ἐνίοις δὲ πάνυ πολλὰ οὐχ ἱκανά ἐστι; καὶ νὴ Δί', ἔφη ὁ Εὐθύδημος. ὀρθῶς γάρ με ἀναμιμνήσκεις. οἶδα γὰρ καὶ τυράννους τινάς, οἳ δι' ἔνδειαν, ὥσπερ οἱ ἀπορώτατοι ἀναγκάζονται ἀδικεῖν. οὐκοῦν, ἔφη ὁ Σωκράτης, εἴγε ταῦτα οὕτως ἔχει, τοὺς μὲν τυράννους εἰς τὸν δῆμον θήσομεν, τοὺς δὲ ὀλίγα κεκτημένους, ἐὰν οἰκονομικοὶ ὦσιν, εἰς τοὺς πλουσίους. καὶ ὁ Εὐθύδημος ἔφη· ἀναγκάζει με καὶ ταῦτα ὁμολογεῖν, δηλονότι ἡ ἐμὴ φαυλότης, καὶ φροντίζω μὴ κράτιστον ᾖ μοι σιγᾶν. κινδυνεύω γὰρ ἁπλῶς οὐδὲν εἰδέναι. καὶ πάνυ ἀθύμως ἔχων ἀπῆλθε, καὶ καταφρονήσας ἑαυτοῦ, καὶ νομίσας τῷ ὄντι ἀνδράποδον εἶναι. πολλοὶ μὲν οὖν τῶν οὕτω διατεθέντων ὑπὸ Σωκράτους οὐκέτι αὐτῷ προσῄεσαν, οὓς καὶ βλακωτέρους ἐνόμιζεν. ὁ δὲ Εὐθύδημος ὑπέλαβεν οὐκ ἂν ἄλλως ἀνὴρ ἀξιόλογος γενέσθαι, εἰ μὴ ὅτι μάλιστα Σωκράτει συνείη. καὶ οὐκ ἀπελείπετο ἔτι αὐτοῦ, εἰ μή τι ἀναγκαῖον εἴη. ἔνια δὲ καὶ ἐμιμεῖτο ὧν ἐκεῖνος ἐπετήδευεν. ὁ δ' ὡς ἔγνω αὐτὸν οὕτως ἔχοντα, ἥκιστα μὲν διετάραττεν, ἁπλούστατα δὲ καὶ σαφέστατα ἐξηγεῖτο, ἅ τε ἐνόμιζεν εἰδέναι δεῖν, καὶ ἐπιτηδεύειν κράτιστα εἶναι. τὸ μὲν οὖν λεκτικοὺς καὶ πρακτικοὺς καὶ μηχανικοὺς γίγνεσθαι τοὺς συνόντας οὐκ ἔσπευδεν, ἀλλὰ πρότερον τούτων ᾤετο χρῆναι σωφροσύνην αὐτοῖς ἐγγενέσθαι. τοὺς γὰρ ἄνευ τοῦ σωφρονεῖν ταῦτα δυναμένους, ἀδικωτέρους τε καὶ δυνατωτέρους κακουργεῖν ἐνόμιζεν εἶναι. πρῶτον μὲν δὴ περὶ θεοὺς ἐπειρᾶτο σώφρονας ποιεῖν τοὺς συνόντας. ἄλλοι μὲν οὖν αὐτῷ πρὸς ἄλλους οὕτως ὁμιλοῦντι παραγενόμενοι διηγοῦντο· ἐγὼ δὲ ὅτε πρὸς Εὐθύδημον τοιάδε διελέγετο παρεγενόμην. εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, ἤδη ποτέ σοι ἐπῆλθεν ἐνθυμηθῆναι, ὡς ἐπιμελῶς οἱ θεοὶ ὧν οἱ ἄνθρωποι δέονται, κατεσκευάκασι; καὶ ὅς, μὰ τὸν Δί', ἔφη, οὐκ ἔμοιγε. ἀλλ' οἶσθά γ', ἔφη, ὅτι πρῶτον μὲν φωτὸς δεόμεθα, ὃ ἡμῖν οἱ θεοὶ παρέχουσι; νὴ Δί', ἔφη, ὅ γ' εἰ μὴ εἴχομεν, ὅμοιοι τοῖς τυφλοῖς ἂν ἦμεν, ἕνεκά γε τῶν ἡμετέρων ὀφθαλμῶν. ἀλλὰ μὴν καὶ ἀναπαύσεώς γε δεομένοις ἡμῖν νύκτα παρέχουσι κάλλιστον ἀναπαυτήριον. πάνυ γ', ἔφη, καὶ τοῦτο χάριτος ἄξιον. οὐκοῦν καὶ ἐπειδὴ ὁ μὲν ἥλιος φωτεινὸς ὢν τάς τε ὥρας τῆς ἡμέρας ἡμῖν, καὶ τἆλλα πάντα σαφηνίζει, ἡ δὲ νὺξ διὰ τὸ σκοτεινὴ εἶναι ἀσαφεστέρα ἐστίν, ἄστρα ἐν τῇ νυκτὶ ἀνέφηναν, ἃ ἡμῖν τὰς ὥρας τῆς νυκτὸς ἐμφανίζει, καὶ διὰ τοῦτο πολλὰ ὧν δεόμεθα πράττομεν. ἔστι ταῦτα, ἔφη. ἀλλὰ μὴν ἥ γε σελήνη, οὐ μόνον τῆς νυκτός, ἀλλὰ καὶ τοῦ μηνὸς τὰ μέρη φανερὰ ἡμῖν ποιεῖ. πάνυ μὲν οὖν, ἔφη. τὸ δ' ἐπεὶ τροφῆς δεόμεθα, ταύτην ἡμῖν ἐκ τῆς γῆς ἀναδιδόναι, καὶ ὥρας ἁρμοττούσας πρὸς τοῦτο παρέχειν, αἳ ἡμῖν οὐ μόνον ὧν δεόμεθα πολλὰ καὶ παντοῖα παρασκευάζουσιν, ἀλλὰ καὶ οἷς εὐφραινόμεθα. πάνυ, ἔφη, καὶ ταῦτα φιλάνθρωπα. τὸ δὲ καὶ ὕδωρ ἡμῖν παρέχειν, οὕτω πολλοῦ ἄξιον, ὥστε καὶ φύειν τε καὶ συναύξειν τῇ γῇ καὶ ταῖς ὥραις πάντα τὰ χρήσιμα ἡμῖν, συντρέφειν δὲ καὶ αὐτοὺς ἡμᾶς, καὶ μιγνύμενον πᾶσι τοῖς τρέφουσιν ἡμᾶς, εὐκατεργαστότερά τε καὶ ὠφελιμώτερα, καὶ ἡδίω ποιεῖν αὐτά, καὶ ἐπειδὴ πλείστου

habeant quaecũq; eis ad illa sufficiat, in quib. cõtribuendũ sit, pauperes: qui uero plus q̃ sufficiat habeãt, diuites. Cogitasti ne unquã, ait, ô Euthydeme, quosdã cum ualde pauca habeãt, nõ solũ satis habere, sed etiã superabũdare? quibusdã uero nec ualde multa sufficere? Valde, mehercle, inquit: recte nãque ad memoriã mihi reduxisti. Quosdã namq; tyrãnos scio, qui propter indigentiã tanquã egeni, iniuriã inferre alijs cogũtur. Si igitur haec sic se habent, Socrates ait, tyrannos quidem cum populo, qui uero pauca habent, dũmodo boni dispẽsatores sint, cum diuitibus collocabimus. Ac Euthydemus: Mea, ut uidetur, cogit me utilitas haec etiã fateri, et cõsidero ne melius mihi sit silere. Et sic ualde cõdolens abijt, seq; ipsum contempsit, ac certe putabat hominẽ se esse mancipiũ, ac prope seruilẽ. Multi itaq; eorũ, qui sic à Socrate redarguebãtur, nõ amplius eum adibãt, quos ideo molliores putabat: Euthydemus uero cum non aliter arbitratus se posse laude dignũ euadere, nisi quamsaepe uersetur cum Socrate, nunquã amplius aberat ab eo, nisi aliquid urgẽs cogeret: nõnulla etiam imitabatur illorũ, in quib. Socrates studebat. Qui cum sic eum uideret affectũ, minime turbabat argutijs, clarissime uero ac simplicissime omnia ei exponebat, quaecũq; opinabatur oportere hominem scire, ac in eis studere. Practicos itaq;, aut mechanicos, ac horũ receptatores efficere suos auditores nõ festinabat, sed ante ista putabat oportere moderatos eos facere, cũ eos qui absq; moderatione in huiuscemodi ualeãt, magis iniuriosos arbitraretur, ac procliuiores ad male faciendũ fore. Quas ob res primo quidem circa deos conabatur necessarios suos moderatos efficere. Alij ita cum alios de huiuscemodi re alloqueretur, adfuerũt: ego aũt de similib. cum Euthydemo disputanti adfui. Dic mihi ô Euthydeme, inquit, uenitne tibi unquã in mentẽ, quomodo diligenter omnia dij immortales, quibus indigeãt homines, crearunt? Ac ille: Nõ edepol, ait. Nõ scis, inquit, quod cũ luce egeamus, hãc dij nobis praebuerũt? Ita, ait, mehercle: quae si nõ esset, nihil inter nos & caecos interesset, nec profuisset oculos habere. Atqui, cũ quiete etiã indigeamus, noctẽ nobis quietis optimũ tẽpus fecerũt. Valde etiã hoc, ait, dignũ admirari fuit. At sol, inquit, cum lucidus sit, horas diei, caeteraq; omnia nobis patefacit. In nocte uero cum ipsa tenebrosa sit, stellas in caelo fixerũt, per quas horis noctis nobis notificatis, multa quae oportet, agimus. Ita est, ait. Ac luna, inquit, non modo noctis, sed etiã mẽsis partes nobis patefacit. Vehementer, ait. Quod aũt cũ nutrimẽto nobis opus esset, inqt, hoc e terra nobis dij produxere, ac tẽpora ad istud cõgrua praebuere, quae non solũ quibus indigemus multa atq; diuersa, sed etiã quib. delectaremur, afferrẽt, quid tibi uidetur? Magnae, ait, esse clemẽtiae. Quod autem aquam quoq; nobis rem preciosam praebuerunt, plantis ad augmentũ unã cũ terra aptissimã, nobis cum alijs simul cibarijs nutrimentum: quae cum miscetur nutrientibus nos, parabiliora, utiliora, ac delectabiliora ea facit: quoq; pluri/

Socrates primo omnium moderationem docebat suos auditores.

Deus omnia paravit quibus homo indiget unde constat habere hominum curam.

pluribus indigeamus, eò abundantius suppeditant? Et hoc, ait, magnæ prouidentiæ est. Quod autem ignem, inquit, nobis dederunt, frigus arcentem, tenebras dissoluentem, ad omnem artem, omniaq; utilitatis gratia hominum facienda cooperantem? Nihil enim illorum, ut uno uerbo dicam, quæ ad uitam humanam utilia sunt, homines absq; igne faciunt. Nimiæ bonitatis est, ait, atq; clementiæ. Quod autem sol cum hyemale solstitium attingat, ad nos rursus accedit, fructuum hos quidem maturans, hos desiccans, quorum uidelicet tempus præteriit: & cum hæc agat nō propius uenit, sed cauens ne si plus quàm oporteat nos calefaciat, nobis afferat nocumentum, regreditur: cumq; iterum ibi fuerit ubi nobis etiam manifestum est, si longius aberraret, frigore congelaremur, rursus mutatus nobis appropinquat, in eaq; parte cœli uersatur, ubi quammaxime nobis profit? Aedepol, ait, & hæc omnia uidentur hominum gratia facta fuisse. Quod autem cum manifestum sit non potuisse nos sufferre nec æstum, nec frigora, si repente uenerint, tam paulatim ad nos accedit sol, tamq; paulatim à nobis recedit, ut lateat nos ad utraque contraria iam existentes? Ego quidem, ait Euthydemus, hoc nunc cogito, ne non sit aliquod iis opus, præterquam ut de hominibus curam habeant. Hoc autem solum me impedit, quod etiam cætera animantia participant his. Ad hæc Socrates: Nonne manifestum est, inquit, hæc etiam pro hominibus gigni atq; educari? Quod enim aliud animal tot fruitur bonis, à capris, porcis, bobus, equis, asinis, cæteris animantibus, quot homines? Mihi quidem uidetur quod pluribus bonis ab istis, quàm à plantis fruuntur. Nutriuntur nanq; atq; pecuniam exigunt non minus ab istis, quàm ab illis. Multiq; hominum his quidem quæ à terra germinant, non utuntur in cibum. À pecudum uero lacte, caseo, ac carnibus nutriti uiuunt. Omnes autem domantes & utilia animantia, utuntur eis ut cooperatoribus, & in bello, & in aliis multis. Concedo tibi hoc etiam, ait. Video nanq; illa quoque quæ nobis sunt fortiora, tam subiecta hominibus effici, ut eis, ut uolunt, utantur. Quod autem quum multa diuersaq; sunt bona atque utilia, sensus hominibus crearunt ad singula congruos, per quos omnia sentiamus: quodq; rationem nobis largiti sunt, qua cogitaremus ac memoria teneremus quæ sentimus, quidq; nobis conducat, reperiremus, multos modos inueniremus quibus bonis quidem frueremur, mala uero depelleremus: & ad hæc linguam nobis præbuerunt, per quam omnia bona alter alteri communicaremus, docendo, leges ferendo, rempublicam gubernando? Videntur profecto, ô Socrates, magnam hominum curam dii habere. Quod autem, inquit, quando nobis impossibilis est futurorum prouidentia, ipsi nos in hoc iuuant, per diuinationem exitum rerum interrogantibus, manifestantes atque docentes quonam pacto quamoptime fiant? Magni, ait, amoris hoc est. Te tamen, ô Socrates, magis quàm alios

πλείστου δεόμεθα τούτου, ἀφθονέστατον αὐτὸ παρέχειν ἡμῖν. καὶ τοῦτ', ἔφη, προνοητικόν. τὸ δὲ καὶ τὸ πῦρ πορίσαι ἡμῖν, ἐπίκουρον μὲν ψύχους, ἐπίκουρον δὲ σκότους, συνεργὸν δὲ πρὸς πᾶσαν τέχνην, καὶ πάντα ὅσα ὠφελείας ἕνεκα ἄνθρωποι κατασκευάζονται. ὡς γὰρ συνελόντι εἰπεῖν, οὐδὲν ἀξιόλογον ἄνευ πυρὸς ἄνθρωποι, τῶν πρὸς τὸν βίον χρησίμων, κατασκευάζονται. ὑπερβάλλει καὶ τοῦτο φιλανθρωπίᾳ. τὸ δὲ τὸν ἥλιον, ἐπειδὰν ἐν χειμῶνι τράπηται, προσιέναι, τὰ μὲν ἁδρύνοντα, τὰ δὲ ξηραίνοντα, ὧν καιρὸς διελήλυθεν, καὶ ταῦτα διαπραξάμενον μηκέτι ἐγγυτέρω προσιέναι, ἀλλ' ἀποτρέπεσθαι φυλαττόμενον, μή τι ἡμᾶς μᾶλλον τοῦ δέοντος θερμαίνων βλάψῃ. καὶ ὅταν αὖ πάλιν ἀπιὼν γένηται, ἔνθα καὶ ἡμῖν δῆλόν ἐστιν, ὅτι εἰ προσωτέρω ἄπεισιν, ἀποπαγησόμεθα ὑπὸ τοῦ ψύχους, πάλιν τρέπεσθαι καὶ προσχωρεῖν, καὶ ἐνταῦθα τοῦ οὐρανοῦ ἀναστρέφεσθαι, ἔνθα ἂν μάλιστα ἡμᾶς ὠφελοίη. νὴ τὸν Δί', ἔφη, καὶ ταῦτα παντάπασιν ἔοικεν ἀνθρώπων ἕνεκα γιγνομένοις. τὸ δ' ἐπειδὴ καὶ τοῦτο φανερόν, ὅτι οὐκ ἂν ὑπενέγκαιμεν, οὔτε τὸ καῦμα, οὔτε τὸ ψῦχος, εἰ ἐξαπίνης γίγνοιτο, οὕτω μὲν κατὰ μικρὸν προσιέναι, ὥστε λανθάνειν ἡμᾶς εἰς ἑκάτερα τὰ ἰσχυρότατα καθισταμένους. ἐγὼ μέν, ἔφη ὁ Εὐθύδημος, ἤδη τοῦτο σκοπῶ, εἰ ἄρα τί ἐστι τοῖς θεοῖς ἔργον, ἢ ἀνθρώπους θεραπεύειν, ἐκεῖνο δὲ μόνον ἐμποδίζει με, ὅτι καὶ τἆλλα ζῷα τούτων μετέχει. οὐ γὰρ καὶ τοῦτ', ἔφη ὁ Σωκράτης, φανερόν, ὅτι καὶ ταῦτα ἀνθρώπων ἕνεκα γίγνεταί τε καὶ ἀνατρέφεται; τί γὰρ ἄλλο ζῷον αἰγῶν τε καὶ οἰῶν, καὶ ἵππων, καὶ βοῶν, καὶ ὄνων, καὶ τῶν ἄλλων ζῴων τοσαῦτα ἀγαθὰ ἀπολαύει, ὅσα ἄνθρωποι; ἐμοὶ μὲν γὰρ δοκεῖ πλείω τῶν φυτῶν. τρέφονται γοῦν καὶ χρηματίζονται οὐδὲν ἧττον ἀπὸ τούτων ἢ ἀπ' ἐκείνων. πολὺ δὲ γένος ἀνθρώπων τοῖς μὲν ἐκ τῆς γῆς φυομένοις εἰς τροφὴν οὐ χρῶνται, ἀπὸ δὲ βοσκημάτων, γάλακτι καὶ τυρῷ καὶ κρέασι τρεφόμενοι ζῶσι, πάντες δὲ τιθασεύοντες, καὶ δαμάζοντες τὰ χρήσιμα τῶν ζῴων εἴς τε πόλεμον καὶ εἰς ἄλλα πολλὰ συνεργοῖς χρῶνται. ὁμογνωμονῶ σοὶ καὶ τοῦτ', ἔφη. ὁρῶ γὰρ αὐτῶν καὶ τὰ πολὺ ἰσχυρότερα ἡμῶν, οὕτως ὑποχείρια γιγνόμενα τοῖς ἀνθρώποις, ὥστε χρῆσθαι αὐτοῖς ὅτι ἂν βούλωνται. τὸ δ' ἐπειδὴ πολλὰ μὲν καλὰ καὶ ὠφέλιμα, διαφέροντα δὲ ἀλλήλων ἐστί, προσθεῖναι τοῖς ἀνθρώποις αἰσθήσεις ἁρμοττούσας πρὸς ἕκαστα, δι' ὧν ἀπολαύομεν πάντων τῶν ἀγαθῶν. τὸ δὲ καὶ λογισμὸν ἡμῖν ἐμφῦσαι, οἷς περὶ ὧν αἰσθανόμεθα, λογιζόμενοί τε καὶ μνημονεύοντες καταμανθάνομεν ὅπῃ ἕκαστα συμφέρει, καὶ πολλὰ μηχανώμεθα, δι' ὧν τῶν τε ἀγαθῶν ἀπολαύομεν, καὶ τὰ κακὰ ἀλεξόμεθα. τὸ δὲ καὶ ἑρμηνείαν δοῦναι, δι' ἧς πάντων τῶν ἀγαθῶν μεταδίδομέν τε ἀλλήλοις διδάσκοντες, καὶ κοινωνοῦμεν, καὶ νόμους τιθέμεθα, καὶ πολιτευόμεθα. παντάπασιν ἐοίκασιν, ὦ Σώκρατες, οἱ θεοί, πολλὴν τῶν ἀνθρώπων ἐπιμέλειαν ποιεῖσθαι. τὸ δὲ καὶ εἰ ἀδυνατοῦμεν τὰ συμφέροντα προνοεῖσθαι ὑπὲρ τῶν μελλόντων, ταύτῃ αὐτοὺς ἡμῖν συνεργεῖν διὰ μαντικῆς τοῖς πυνθανομένοις, φράζοντας τὰ ἀποβησόμενα, καὶ διδάσκοντας ᾗ ἂν ἄριστα γίγνοιτο. σοὶ δ', ἔφη, ὦ Σώκρατες, ἐοίκασιν, ἔτι φιλικώτερον ἢ τοῖς ἄλλοις

ἄλλοις χρῆσθαι, εἴγε μηδὲ ἐπερωτώμενοι ὑπὸ σοῦ προσημαίνουσί σοι ἅτε χρὴ ποιεῖν καὶ ἃ μή. ὅτι δέ γε ἀληθῆ λέγω, καὶ σὺ γνώσῃ, ἂν μὴ ἀναμένῃς, ἕως ἂν τὰς μορφὰς τῶν θεῶν ἴδῃς, ἀλλ' ἐξαρκῇ σοι τὰ ἔργα αὐτῶν ὁρῶντι σέβεσθαι, καὶ τιμᾶν τοὺς θεούς. ἐννόει δ' ὅτι καὶ αὐτοὶ οἱ θεοὶ οὕτως ὑποδεικνύουσιν. οἵ τε γὰρ ἄλλοι ἡμῖν τὰ ἀγαθὰ διδόντες, οὐδὲν τούτων εἰς τὸ ἐμφανὲς ἰόντες διδόασιν. καὶ ὁ τὸν ὅλον κόσμον συντάττων τε καὶ συνέχων, ἐν ᾧ πάντα καλὰ καὶ ἀγαθά ἐστι, καὶ ἀεὶ μὲν χρωμένοις ἀτριβῆ τε καὶ ὑγιῆ καὶ ἀγήρατα παρέχων, θᾶττον δὲ νοήματος ἀναμαρτήτως ὑπηρετοῦντα, οὗτος τὰ μέγιστα μὲν πράττων ὁρᾶται, τάδε δὲ οἰκονομῶν, ἀόρατος ἡμῖν ἐστιν. ἐννόει δ' ὅτι καὶ ὁ πᾶσι φανερὸς δοκῶν εἶναι ἥλιος, οὐκ ἐπιτρέπει τοῖς ἀνθρώποις ἑαυτὸν ἀκριβῶς ὁρᾶν. ἀλλ' ἐάν τις αὐτὸν ἀναιδῶς ἐγχειρῇ θεᾶσθαι, τὴν ὄψιν ἀφαιρεῖται. καὶ τοὺς ὑπηρέτας δὲ τῶν θεῶν εὑρήσεις ἀφανεῖς ὄντας. κεραυνός τε γὰρ ὅτι μὲν ἄνωθεν ἀφίεται δῆλον, καὶ ὅτι οἷς ἂν ἐντύχῃ πάντων κρατεῖ. ὁρᾶται δ' οὔτ' ἐπιών, οὔτε κατασκήψας, οὔτε ἀπιών. καὶ ἄνεμοι αὐτοὶ μὲν οὐχ ὁρῶνται, ἃ δὲ ποιοῦσι, φανερὰ ἡμῖν ἐστι, καὶ προσιόντων αὐτῶν αἰσθανόμεθα. ἀλλὰ μὴν καὶ ἀνθρώπου γε ψυχή, ἥπερ εἴ τι καὶ ἄλλο τῶν ἀνθρωπίνων τοῦ θείου μετέχει, ὅτι μὲν βασιλεύει ἐν ἡμῖν, φανερόν, ὁρᾶται δὲ οὐδ' αὐτή. ἃ χρὴ κατανοοῦντα, μὴ καταφρονεῖν τῶν ἀοράτων, ἀλλ' ἐκ τῶν γινομένων τὴν δύναμιν αὐτῶν καταμανθάνοντα, τιμᾶν τὸ δαιμόνιον. ἐγὼ μέν, ὦ σώκρατες, ἔφη ὁ εὐθύδημος, ὅτι μὲν οὐδὲ μικρὸν ἀμελήσω τοῦ δαιμονίου, σαφῶς οἶδα. ἐκεῖνο δὲ ἀθυμῶ, ὅτι μοι δοκεῖ τὰς τῶν θεῶν εὐεργεσίας, οὐδ' ἂν εἷς ποτε ἀνθρώπων ἀξίαις χάρισιν ἀμείβεσθαι. ἀλλὰ μὴ τοῦτο ἀθύμει, ἔφη, ὦ εὐθύδημε. ὁρᾷς γὰρ ὅτι ὁ ἐν δελφοῖς θεὸς ὅταν τις αὐτὸν ἐπερωτᾷ, πῶς ἂν τοῖς θεοῖς χαρίζοιτο, ἀποκρίνεται, νόμῳ πόλεως. νόμος δὲ δήπου πανταχοῦ ἐστι κατὰ δύναμιν ἱεροῖς θεοὺς ἀρέσκεσθαι. πῶς οὖν ἄν τις κάλλιον καὶ εὐσεβέστερον τιμῴη θεούς, ἢ ὡς αὐτοὶ κελεύουσιν, οὕτω ποιῶν; ἀλλὰ χρὴ τῆς μὲν δυνάμεως μηδὲν ὑφίεσθαι. ὅταν γάρ τις τοῦτο ποιῇ, φανερὸς δήπου ἐστὶ τότε, οὐ τιμῶν θεούς. χρὴ οὖν μηδὲν ἐλλείποντα, κατὰ δύναμιν τιμᾶν τοὺς θεούς, θαρρεῖν τε καὶ ἐλπίζειν τὰ μέγιστα ἀγαθά. οὐ γὰρ παρ' ἄλλων γ' ἄν τις μείζω ἐλπίζων σωφρονοίη, ἢ παρὰ τῶν τὰ μέγιστα ὠφελεῖν δυναμένων. οὐδ' ἂν ἄλλως μᾶλλον, ἢ εἰ τούτοις ἀρέσκοι. ἀρέσκοι δὲ πῶς ἂν μᾶλλον, ἢ εἰ ὡς μάλιστα πείθοιτο αὐτοῖς. τοιαῦτα μέντοι λέγων τε καὶ αὐτὸς ποιῶν, εὐσεβεστέρους τε καὶ σωφρονεστέρους, τοὺς συνόντας παρεσκεύαζεν. ἀλλὰ μὴν καὶ περὶ δικαίου γε, οὐκ ἀπεκρύπτετο, ἣν εἶχε γνώμην. ἀλλὰ καὶ ἔργῳ ἀπεδείκνυτο, ἰδίᾳ τε πᾶσι νομίμως τε καὶ ὠφελίμως χρώμενος. καὶ κοινῇ ἄρχουσί τε ἃ οἱ νόμοι προστάττοιεν πειθόμενος, καὶ κατὰ πόλιν καὶ ἐν ταῖς στρατείαις οὕτως, ὥστε διάδηλος εἶναι παρὰ τοὺς ἄλλους εὐτακτῶν. καὶ ὅτε ἐν ταῖς ἐκκλησίαις ἐπιστάτης γενόμενος, οὐκ ἐπέτρεψε τῷ δήμῳ παρὰ τοὺς νόμους ψηφίσασθαι. ἀλλὰ σὺν τοῖς νόμοις ἠναντιώθη τοιαύτῃ ὁρμῇ τοῦ δήμου, ἣν οὐκ ἂν οἶμαι ἄλλον οὐδένα ἄνθρωπον ὑπομεῖναι. καὶ ὅτε οἱ τριάκοντα προσέταττον αὐτῷ παρὰ τοὺς νόμους τι, οὐκ ἐπείθετο. τοῖς τε γὰρ νέοις

alios amare uidentur: quippe qui nec interrogati abs te, antea tibi patefaciūt quæ faciūda, quæue nō faciunda sunt. Quod igitur dij sint, hominūq; habeant curā, tu quoq;, ô Euthydeme, cognosces, si non expectes quousq; deorū uideris formas. Satis nanq; erit opera eorum cōsiderando, colere ac honorare eos. Cogita aūt quod ipsimet etiā dij eo modo se nobis ostendunt. Nam et cæteri dij cum omnia nobis bona præbeant, nihil horū tamen nobis palàm nisi largiūtur. Ille quoq; qui totū orbē ordinat atq; continet, in quo omnia honesta bonaq; sunt, quiq; cum semper eis utamur, semper nihilominus recētia, sana, & immortalia ea nobis dat citius, q̄ homo cogitet, & absq; defectu nobis administrat, hic maxima quidem intelligitur operans, hoc uero totū gubernans inuisibilis nobis est. Considera etiā solem, qui cum omnib. manifestus esse appareat, nō tamen concedit hominib. plene ipsum intueri: quod si quis impudenter eum uidere conetur, uisum ei aufert. Ministros quoq; deorū inuisibiles esse reperies: fulmē.n. de superiori loco proijci patet, quodq; omnia quib. obuiaret, superat, non tamen neq; cum ueniat, neq; cum feriat, neq; cum abeat uidetur. Venti quoq; ipsi inuisibiles: quæ uero faciūt, nobis clara sunt, eūq; aduenientem sentimus. ATQUI hominis etiam anima, si quid aliud mirum, natura diuina participat. Nam illam in nobis dominari manifestum est, uidetur autē minime. Quæ cum quisq; cōsideret, non negligat inuisibilia necesse est, sed ex illis quæ fiunt, potentia eorum cognita, honorare deos oportet. Ad hæc Euthydemus: Quod equidē ô Socrates, ait, nec parum negligam deos, hoc certe scio: doleo uero, quod mihi uidetur, nullum hominū unquam beneficijs deorū condignas retribuere gratias posse. Non est propterea dolendum, ait, ô Euthydeme. Vides nanq; Delphicū deum interrogantibus, quonā modo quisquā dijs gratū faciat, respōdentem, lege ciuitatis. Lex uero ubiq; talis est profecto, ut iuxta facultates quisq; deos sacrificijs placet. Quo itaq; pacto aut melius, aut magis pie deos quisquam honorare posset, q̄ eo modo quo ipsi præcipiunt? Oportet igitur non prætermisso quoquā possibili (quicunq;.n. hoc faciat, is negligit deos) hoc modo deos honorare, sperareq; maxima bona ab eis. Quis nanq; compos mentis à quoquam alio maiora speraret, quàm à dijs, qui maxime nobis prodesse possunt? Hæc uero sperare ab eis illum oportet, qui eis placet: ille uero eis placebit, qui quàmaxime illis obediat. Hæc itaq; cum & diceret, & ipse faceret, magis pios ac moderatos suos auditores efficiebat. De iustitia uero quid sentiebat, palàm omnib. erat, cum re ipsa & opere et priuatim singulis utiliter ac secundū leges cōuersaretur, et publice, in quibuscūq; magistratus præciperent, siue in ciuitate, siue in exercitu, ita obediret, ut magis quàm cæteri uideretur obtemperās. Cumq; tribunus existens, nō permisit populo cōtra leges enūciare sententiā, sed tantum obstitit impetui uulgi, quantū nullus hominū unquam sustinuisset. Cumq; triginta illis tyrannis non obediuit, quando ei aliquid contra leges præcipiebant. Nam & cum

prohibuissent eum iuuentutem instruere, & cum praecepissent ei ac alijs ciuibus quendam ut mortuurum ad eos duceret, solus non obeduit, quod contra leges praeceperint. Et cum Melitus nomen eius detulisset, caeteris hominibus solitis iudices adulationibus mollire, ac orare quae contra leges sunt, atque proinde multis in iudicio absolutis, is unus horum nihil sua in causa uoluit efficere: quin cum facile potuisset absolui, modo ea quae caeteri assolent, effecisset, maluit subire mortem, quàm contra leges quippiam adire. Caeterum tum ad alios, tum ad Hippiam memini eum sic de iustitia disputantem. Nam cum post multa quibus abfuerat tempora, Athenas appulisset, adfuit dum Socrates ad quosdam diceret: Mirum esse profecto, si quis uelit cerdonem, aut fabrum, aut equitem instruere, is certa habeat loca, quo eum mittat ut fiat doctior. Nonnulli etiam dicunt plena esse eorum omnia, qui aut boues, aut equos bene instructos reddant. Si quis uero aut ipse instituerit uelle ediscere quidnam sit iustum, aut suos uelit liberos in ea re fieri eruditiores, non inueniat quo id assequatur. Haec cum audisset Hippias, quasi irridens: Adhuc, ait, ô Socrates eadem dictitas, quae dudum te audiui praedicantem? At Socrates: Et quod, ait, hoc peius est, ô Hippias, ne eadem quidem semper dico, uerum & de eisdem: tu fortassis, quod multa sapias, nunquam eadem iterato dicis. Nempe, inquit ille, quod semper aliquid enitor noui dicere. Vtrum ne de his quae certo scias, puta si quis roget quot & quales sint literae Socratis, alia tum primum, alia & nunc conaris dicere? Aut si quis de numeris roget, bis ne quinque, decem sint, utrum aliàs alia respondes? De his, ait, ô Socrates eadem uti & tu, semper dico. De iusto uero ea puto habere nunc me quae dicam, ut possit nemo contradicere. Per Iunonem, ait, magnum te bonum adinuenisse dicis, sic cessabunt ipsi iudices in proferenda sententia discrepare. Cessabunt quidem inter se ciues litigijs contendere, cessabunt & ciuitates armis de iusto disceptare. Ea de re non satis scio quonam pacto abs te discedam, ni prius audiam de tam grandi à te inuento bono differentem. At per Iouem, inquit, non audies, ni prius proferas quid statuas esse iustum. Sat sit te alios omnes irridere, semper rogare, arguere, dum nolis cuiquam respondere, & nusquam sententiam tuam explicare. Quidnam, inquit, nonne & tu perpendisti, quae ipse quoque sentiam iusta esse, eadem haudquaquam cesso facere? Et quid hic ais? Tum Socrates: Id si non uerbis, sed opere ostendo, num tibi probatior ratio ea uidetur, quàm quae uerbis fit? Multò per Iouem, inquit. MVLTI ENIM DVM IVSTA DICANT, INIVSTA FACIVNT: QVI VERO IVSTA FECERIT, nunquam iniustus est. Perpendistine tu me unquam, aut falsum testimonium exhibentem, aut calum-

ἀπαγορευόντων αὐτῷ μὴ διαλέγεσθαι, καὶ προσταξάντων ἐκείνῳ τε καὶ ἄλλοις τισὶ τῶν πολιτῶν ἀγαγεῖν τινα ἐπὶ θανάτῳ, μόνος οὐκ ἐπείσθη, διὰ τὸ παρὰ τοὺς νόμους αὐτῷ προστάττεσθαι. καὶ ὅτε τὴν ὑπὸ μελήτου γραφὴν ἔφευγε, τῶν ἄλλων εἰωθότων ἐν τοῖς δικαστηρίοις πρὸς χάριν τε τοῖς δικασταῖς διαλέγεσθαι, καὶ κολακεύειν καὶ δεῖσθαι παρὰ τοὺς νόμους, καὶ διὰ τὰ τοιαῦτα πολλῶν πολλάκις ὑπὸ τῶν δικαστῶν ἀφιεμένων, ἐκεῖνος οὐδὲν ἠθέλησε τῶν εἰωθότων ἐν τῷ δικαστηρίῳ παρὰ τοὺς νόμους ποιῆσαι. ἀλλὰ ῥᾳδίως ἂν ἀφεθεὶς ὑπὸ τῶν δικαστῶν, εἰ καὶ μετρίως τι τούτων ἐποίησε, προείλετο μᾶλλον τοῖς νόμοις ἐμμένων ἀποθανεῖν, ἢ παρανομῶν ζῆν. καὶ ἔλεγε δὲ οὕτως, καὶ πρὸς ἄλλους πολλάκις. οἶδα δέ ποτε αὐτὸν καὶ πρὸς ἱππίαν τὸν ἠλεῖον περὶ τοῦ δικαίου, τοιάδε διαλεχθέντα. διὰ χρόνου γὰρ ἀφικόμενος ὁ ἱππίας ἀθήναζε, παρεγένετο τῷ σωκράτει λέγοντι πρός τινας, ὡς θαυμαστὸν εἴη, τὸ εἰ μέν τις βούλοιτο σκυτέα διδάξασθαί τινα, ἢ τέκτονα, ἢ χαλκέα, ἢ ἱππέα, μὴ ἀπορεῖν ὅποι ἂν πέμψας τούτου τύχοι. φασὶ δέ τινες καὶ ἵππον καὶ βοῦν τῷ βουλομένῳ δικαίους ποιήσασθαι, πάντα μεστὰ εἶναι τῶν διδαξόντων. ἐὰν δέ τις βούληται, ἢ αὐτὸς μαθεῖν τὸ δίκαιον, ἢ υἱὸν, ἢ οἰκέτην διδάξασθαι μὴ εἰδέναι ὅποι ἂν ἐλθὼν τύχοι τούτου. καὶ ὁ μὲν ἱππίας ἀκούσας ταῦτα, ὥσπερ ἐπισκώπτων αὐτὸν, ἔτι γὰρ σὺ, ἔφη, ὦ σώκρατες, ἐκεῖνα τὰ αὐτὰ λέγεις, ἃ ἐγὼ πάλαι ποτέ σου ἤκουσα. καὶ ὁ σωκράτης, ὃ δέ γε τούτου δεινότερον, ἔφη, ὦ ἱππία, οὐ μόνον ἀεὶ τὰ αὐτὰ λέγω, ἀλλὰ καὶ περὶ τῶν αὐτῶν. σὺ δ' ἴσως διὰ τὸ πολυμαθὴς εἶναι, περὶ τῶν αὐτῶν οὐδέποτε τὰ αὐτὰ λέγεις. ἀμέλει, ἔφη, πειρῶμαι καινόν τι λέγειν ἀεί. πότερον, ἔφη, καὶ περὶ ὧν ἐπίστασαι, οἷον περὶ γραμμάτων, ἐάν τις ἔρηταί σε, πόσα καὶ ποῖα σωκράτους ἐστὶν, ἄλλα μὲν πρότερον, ἄλλα δὲ νῦν πειρᾷ λέγειν; ἢ περὶ ἀριθμῶν τοῖς ἐρωτῶσιν, εἰ τὰ δὶς πέντε, δέκα ἐστὶν, οὐ τὰ αὐτὰ νῦν ἃ καὶ πρότερον ἀποκρίνῃ; περὶ μὲν τούτων, ἔφη, ὦ σώκρατες, ὥσπερ σὺ καὶ ἐγὼ ἀεὶ τὰ αὐτὰ λέγω. περὶ μέντοι τοῦ δικαίου πάνυ οἶμαι νῦν ἔχειν εἰπεῖν, πρὸς ἃ οὔτε σὺ, οὔτ' ἂν ἄλλος δύναιτ' ἂν ἀντειπεῖν. νὴ τὴν ἥραν, ἔφη, μέγα λέγεις ἀγαθὸν εὑρηκέναι, εἰ παύσονται μὲν οἱ δικασταὶ δίχα ψηφιζόμενοι, παύσονται δὲ οἱ πολῖται περὶ τῶν δικαίων ἀντιλέγοντές, καὶ ἀντιδικοῦντες, καὶ στασιάζοντες, παύσονται δὲ αἱ πόλεις διαφερόμεναι περὶ τῶν δικαίων καὶ πολεμοῦσαι. καὶ ἐγὼ μὲν οὐκ οἶδ' ὅπως ἀπολειφθείην σου, πρὸ τοῦ ἀκοῦσαι τηλικοῦτον ἀγαθὸν εὑρηκότος. ἀλλὰ μὰ Δί', ἔφη, οὐκ ἀκούσει, πρίν γ' ἂν αὐτὸς ἀποφήνῃ, ὅ, τι νομίζεις τὸ δίκαιον εἶναι. ἀρκεῖ γὰρ ὅτι τῶν ἄλλων καταγελᾷς ἐρωτῶν καὶ ἐλέγχων πάντας, αὐτὸς δὲ οὐδενὶ θέλων ὑπέχειν λόγον, οὐδὲ γνώμην ἀποφαίνεσθαι περὶ οὐδενός. τί δὲ, ὦ ἱππία, ἔφη, οὐκ ᾔσθησαι, ὅτι ἐγὼ ἃ δοκεῖ μοι δίκαια εἶναι, οὐδὲν παύομαι ἀποδεικνύμενος; καὶ ποῖος δή σοι, ἔφη, οὗτος ὁ λόγος ἐστίν; εἰ δὲ μὴ λόγῳ, ἔφη, ἀλλ' ἔργῳ ἀποδείκνυμαι, ἢ οὐ δοκεῖ σοι ἀξιοτεκμαρτότερον τοῦ λόγου τὸ ἔργον εἶναι; πολύ γε νὴ Δί', ἔφη. δίκαια μὲν γὰρ λέγοντες πολλοὶ, ἄδικα ποιοῦσι, δίκαια δὲ πράττων, οὐδὲ εἷς ἄδικος εἴη. ᾔσθησαι οὖν πώποτέ μου ἢ ψευδομαρτυροῦντος, ἢ συκοφαν-

κοφαντοῦντος, ἢ φίλους, ἢ πόλιν εἰς στάσιν ἐμβάλλοντ-
τος, ἢ ἄλλο τι ἄδικον πράττοντος; οὐκ ἔγωγ᾽, ἔφη. τὸ
δὲ τῶν ἀδίκων ἀπέχεσθαι, οὐ δίκαιον ἡγῇ; δῆλος εἶ, ἔ-
φη, ὦ σώκρατες, καὶ νῦν διαφεύγειν ἐγχειρῶν τὸ ἀπο-
δείκνυσθαι γνώμην, ὅτι νομίζεις τὸ δίκαιον. οὐ γὰρ ἃ πράτ-
τουσιν οἱ δίκαιοι, ἀλλὰ ἃ μὴ πράττουσι ταῦτα λέγεις.
ἀλλ᾽ ᾤμην ἔγωγ᾽, ἔφη ὁ σωκράτης, τὸ μὴ θέλειν ἀδι-
κεῖν, ἱκανὸν δικαιοσύνης ἐπίδειγμα εἶναι. εἰ δὲ σοὶ μὴ δο-
κεῖ, σκέψαι ἐὰν τόδε σοι μᾶλλον ἀρέσκῃ. φημὶ γὰρ ἐγὼ
τὸ νόμιμον δίκαιον εἶναι. ἆρα τὸ αὐτὸ λέγεις, ὦ σώκρατες,
νόμιμόν τε καὶ δίκαιον εἶναι; ἔγωγ᾽, ἔφη. οὐ γὰρ αἰσθάνομαί
σου ὁποῖον νόμιμον ἢ ποῖον δίκαιον λέγεις. νόμους δὲ πό-
λεως, ἔφη, γιγνώσκεις; ἔγωγ᾽, ἔφη. καὶ τίνας τούτους νομί-
ζεις; ἃ οἱ πολῖται, ἔφη, συνθέμενοι, ἅ τε δεῖ ποιεῖν καὶ ὧν
ἀπέχεσθαι ἐγράψαντο. οὐκοῦν, ἔφη, νόμιμος μὲν ἂν εἴη ὁ
κατὰ ταῦτα πολιτευόμενος. ἄνομος δὲ ὁ ταῦτα παρα-
βαίνων; πάνυ μὲν οὖν, ἔφη. οὐκοῦν καὶ δίκαια μὲν
πράττοι, ὁ τούτοις πειθόμενος, ἄδικα δ᾽ ὁ τούτοις ἀπει-
θῶν. πάνυ μὲν οὖν. οὐκοῦν ὁ μὲν τὰ δίκαια πράττων δί-
καιος. ὁ δὲ τὰ ἄδικα, ἄδικός ἐστιν, ὁ δὲ ἄνομος ἄδικος;
καὶ ἱππίας, νόμους δὲ, ἔφη, ὦ σώκρατες, πῶς ἄν τις ἡγή-
σαιτο σπουδαῖον πρᾶγμα εἶναι, ἢ τὸ πείθεσθαι αὐτοῖς, οὕς
γε πολλάκις αὐτοὶ οἱ θέμενοι ἀποδοκιμάσαντες μετα-
τίθενται; καὶ γὰρ πόλεμον, ἔφη ὁ σωκράτης, πολλάκις αἱρού-
μεναι αἱ πόλεις, πάλιν εἰρήνην ποιοῦνται. καὶ μάλα, ἔφη.
διάφορον οὖν τί ποιεῖν, ἔφη, τοὺς τοῖς νόμοις πειθομένους,
φαυλίζων, ὅτι καταλύσειεν οἱ νόμοι. ἢ εἰ τοὺς πολεμίους
εὐτακτοῦντας ψέγοις, ὅτι γένοιτ᾽ ἂν εἰρήνη, ἢ καὶ τοὺς
ἐν τοῖς πολέμοις ταῖς πατρίσι προθύμως βοηθοῦντας
μέμφῃ; μὰ δί᾽ οὐκ ἔγωγ᾽, ἔφη. λυκοῦργον δὲ τὸν λακεδαι-
μόνιον, ἔφη ὁ σωκράτης, καταμεμάθηκας, ὅτι οὐδὲν ἂν
διάφορον τῶν ἄλλων πόλεων τὴν σπάρτην ἐποίησεν, εἰ
μὴ τὸ πείθεσθαι τοῖς νόμοις, μάλιστα οὖς ἐνειργάσατο αὐ-
τῇ. τῶν δὲ ἀρχόντων ἐν ταῖς πόλεσιν, οὐκ οἶσθα οἵ τινες ἂν
τοῖς πολίταις αἰτιώτατοι ὦσι τοῦ τοῖς νόμοις πείθεσθαι, οὗ-
τοι ἄριστοί εἰσι; καὶ πόλις ἐν ᾗ μάλιστα οἱ πολῖται τοῖς νό-
μοις πείθονται, ἐν εἰρήνῃ τε ἄριστα διάγει, καὶ ἐν πολέ-
μῳ ἀνυπόστατός ἐστιν. ἀλλὰ μὴν καὶ ὁμόνοιά γε μέγιστόν
τε ἀγαθὸν δοκεῖ ταῖς πόλεσιν εἶναι, καὶ πλειστάκις ἐν αὐ-
ταῖς, αἵ τε γερουσίαι, καὶ οἱ ἄριστοι ἄνδρες παρακε-
λεύονται τοῖς πολίταις ὁμονοεῖν. καὶ πανταχοῦ ἐν τῇ ἑλ-
λάδι νόμος κεῖται, τοὺς πολίτας ὀμνύναι ὁμονοήσειν. καὶ
πανταχοῦ ὀμνύουσι τὸν ὅρκον τοῦτον. οἶμαι δ᾽ ἐγὼ ταῦ-
τα γίγνεσθαι, οὐχ ὅπως τοὺς αὐτοὺς χοροὺς κρίνωσιν οἱ πολῖ-
ται, οὐδ᾽ ὅπως τοὺς αὐτοὺς αὐλητὰς ἐπαινῶσιν, οὐδ᾽ ὅπως
τοὺς αὐτοὺς ποιητὰς αἱρῶνται, οὐδὲ ἵνα τοῖς αὐτοῖς ἥδων-
ται, ἀλλ᾽ ἵνα τοῖς νόμοις πείθωνται. τούτοις γὰρ τῶν πολι-
τῶν ἐμμενόντων, αἱ πόλεις ἰσχυρόταταί τε καὶ εὐδαι-
μονέσταται γίγνονται. ἄνευ δὲ ὁμονοίας, οὔτ᾽ ἂν πόλις εὖ
πολιτευθείη, οὔτε οἶκος καλῶς οἰκηθείη. ἰδίᾳ δὲ πῶς
μὲν ἄν τις ἧττον ὑπὸ πόλεως ζημιοῖτο; πολὺ πῶς δ᾽ ἂν
μᾶλλον ἄν τις εὐεργετήσειεν, ἢ παρ᾽ οὗ χάριν ἀπολήψε-
σθαι νομίζει; τῷ δ᾽ ἄν τις βούλοιτο μᾶλλον φίλος εἶ-
ναι, ἢ τῷ τοιούτῳ, ἢ τῷ ἧττον ἐχθρός; τῷ δ᾽ ἄν τις
ἧττον πολεμήσειεν, ἢ ᾧ ἂν μάλιστα μὲν φίλος εἶναι
βούλοιτο, ἥκιστα δ᾽ ἐχθρός; καὶ ᾧ πλεῖστοι μὲν φίλοι καὶ
σύμμαχοι

lumniantē, aut amicos, aut ciuitates ad seditiones exci-
tantē, aut quicquā iniusti agentē? Minime, inquit. Absti
nere idcirco ab iniustis, ait, ne tu putas esse quid iustū?
Vt uidere licet, & nūc enteris effugere tuam in mediū
proferre sententiā, ac dicere quid putas esse iustum: non
enim quæ agūt iusti, sed quæ nō agunt dicis. Ego puta-
bam, inquit Socrates, nolle iniuriā in quempiā inferre,
satis cōstans esse iustitiæ signū. Id si tibi nō uidetur, cōsi
dera si hoc tibi magis accōmodatū uidetur. Illū.n.ego
dico iustū, qui pareat legib. Vtrum eundē dicis ô Socra
tes esse legib. obtemperantē, & iustū? Ita, inquit. Nō sa
tis teneo, ait, quē legib obtemperantē, quēmue iustū es-
se dicas. Nonne, inquit Socrates, quæ sint urbis leges
nosti? Nosco, ait. Et quas illas putas esse? Quas ciues,
ait, cōscripserunt, statuētes quid facere, et a quib. absti-
nere oporteat. Legib. idcirco obtēperans, ait Socrates,
nū is erit, qui secundū eas uiuat? nō obtēperans erit, qui
eas trāsgrediatur? Vehemēter, inquit. Quicūq; igitur eis
pareat, faciet iusta: qui secus, iniusta. Ita, inqt, profecto.
Qui igitur iusta facit, iustus: qui iniusta, iniustus est. In
iustus uero, qui præter leges uiuat. Tūc Hippias: Quo-
nā pacto ô Socrates, ait, aut leges, aut eis parēre, qsquā
magni existimaret, cū ipsimet legūlatores plures eas im
probātes mutēt? Etenim, Socrates ait, ciuitates bellū su-
scipiētes, rursus pacē suscipiūt. Maxime. Putásne inter-
esse, si quis eū uituperet qui legib. otēperat, quod sæpius
mutētur? an eū, qui bello fortiter pugnet, quod sæpius fi
at pax? An et hos qui in bello prōpte patriā iuuēt, uitu-
peras? Nō hercle. Lycurgū aūt Lacedæmoniū sensistine
unquā, nulla re alia fecisse Spartā ab alijs ciuitatib. dif-
ferre, q̄ quod instituerit suos ciues recte parēre legibus?
In ciuitatib. quoq; nonne meministi eos primates fore
optimos, qui populo causa sint ut pareāt legibus? Tū ci
uitas in qua maxime ciues legib. pareāt, & in pace bea
ta, & bello inuicta est. Necnō ē cōcordia maximū esse
ciuitatib. bonū uidetur, pluriesq; et senatus, et uiri opti
mi ad eā ipsam hortātur, totáq; in Græcia lex posita est,
ut ciues ad concordiā iureiurādo cōueniant, atq; ubiq;
id inter se præstēt. Hæc, ni fallor, faciūt, nō ut semp eos-
dē saltatores, nec ut eosdē tibicines, nec ut eosdē poë-
tas habeāt, nec ut eisdē delectētur, sed ut legib. pareāt.
Nā cū bene cū legib. ciues cōuenerint, feliciores, ac mul
to erūt ciuitates potentiores. Sine cōcordia neq; ciuitas
bene gubernabitur, neq; domus bene habitabitur. Priua
tim uero quō aut minus à ciuitate condēnabitur, aut ma
gis honorabitur, aut magis litigijs uincet, aut minus uin
catur, q̄ si legib. paruerit? Apud quē magis quispiā aut
pecuniā, aut filios aut filias suas deponat? aut quē ciui-
tas digniorē putet magis q̄ q legib. pareat? Tum à quo
magis parētes, ꝓpinqui, familiares, noti, ciues, aduenæ,
assequentur quæ officij sunt? Cui hostes magis credent,
aut inducijs, aut pace componēdis? Cui magis, q̄ legib.
parēti, fieri socij mallēt? aut cui socij magis credāt aut
principatū, aut ciuitatis custodiā? Aut à quo quisquā cū
bene faciat, putet sibi gratias reddi maiores, q̄ ab hoc q
legib. pareat? Quisue magis cuiquā bene fecerit, q̄ huic
à quo nō dubitet se gratias recepturū? Cui aut uelit ma-
gis esse amicus, aut minus, q̄ huic esse inimicus? Cui bellū
qspiā minus inferat, q̄ huic cui maxime uelit qspiā se ami
cum esse, & minimè inimicū? Cui plures esse amici atq;

 socij

socij uolent, magis'ne uicißim inimici & hostes? Itaq; ego, ô Hippias, idem dico esse iustũ, atq; legibus obtemperare. Quod si tu aliter sentias, profer. At Hippias: Recte: neq; mihi secus de iusto est, ut sentiam. Nõ scriptas autem quasdam, ô Hippias, cognosti esse leges? Has, inquit, quae quidem ubiuis locorum similiter habentur. Habes igitur eas tu dicere esse ab hominibus latas? At id quonam pacto, inquit, cum neq; in unum omnes conuenire poßint, neque unius sint linguae? Quos igitur tu putas leges istas tulisse? Ego quidem deos putem istas hominib. leges dedisse. NAM LEX QVIDEM IN PRIMIS APVD OMNES homines una est, ut deos colas: & ut parentes item honores, ubiq; iubet lex, ait. Et hoc, inquit: Neq; parentibus licere misceri cum liberis, neq; liberis cum parẽtibus. Num mihi ista uidetur ô Socrates, esse diuina lex? Quid ni? quoniam sentio, inquit, quosdam esse transgredientes. Etenim caetera permulta, inquit, trãsgrediuntur, sed supplicijs afficiuntur qui à dijs impositas leges transgrediuntur, quas quidem nullo modo est homini poßibile aufugere: ueluti qui ab hominibus positas quasdam transgredientes, tum quod lateant, poenam effugiunt, tum quod ui superant. Et quam poenam, inquit, o Socrates, tandem non possunt aufugere, cum aut parentes liberis, aut liberi parentibus misceantur? Maximam, inquit, per Iouem. Quid enim malorum maius in procreando filios homines patiantur, quàm si male procreent? Quo igitur, ait, pacto male illi procrearent, quos nihil prohibet, cum boni sint, ex bonis prolem procreare? Quoniam, inquit, mehercle non solùm bonos esse oportet qui prolem procreant, uerum & aetate firma & ualida. An tibi uidetur similia semina esse illorum qui uirili aetate, an qui decliui, an qui immatura sunt? At per Iouem, inquit, non fit mihi uerisimile. Vtra, inquit, igitur meliora? Patet, ait, quae uirilis. Num qui immaturae aetatis sunt integrum possunt? Minime. Isto igitur modo prolem non oportet procreare? Minime. Quicunq; igitur prolem procreãt istorum, prolem non ut oportet procreant. Vti uidetur, ait. Qui igitur, ait, male procreant nisi isti? Fateor. Quid tum benefactoribus? nónne ubiq; contra benefacere, legibus sancitum est? Est, inquit. Verum & id homines interdum transgrediuntur. Et hi igitur qui hoc transgrediuntur poenas luunt. Nam bonis amicis priuati, alios quibus sint odio quaeritant. QVICVNQVE ENIM BENE SVIS FECERIT NECESSARIIS, HVIC BONI SVNT AMICI: qui cunq; non afficerit huiusmodi homines beneficiis, propter ingratitudinem ab his odio habebitur. Quem uero adeo ijs maxime conducat uti, hos maxime quaeritant. Per Iouem, inquit, ô Socrates, deorum ea esse leges uidentur. Nam quod qui transgrediuntur, dant poenas, eo mihi melioris esse conditoris uidentur, quàm hominis. Vtrum ô Hippias, deos putes quae iusta sint legibus mandare, an alia? Non hercle. Minime enim alius iusta legibus mandaret. Dijs quoque, ô Hippias, idem iustum esse atque legibus obtemperare placet. Huiuscemodi ergo dicens, atque faciens auditores suos reddebat auditores. Quod autem eos in usu uirtutis assuefactiores faciebat,

σύμμαχοι βούλοιντο εἶναι, ἐλάχιστοι δ᾽ ἐχθροὶ καὶ πολέμιοι; ἐγὼ μὲν οὖν, ὦ ἱππία, τὸ αὐτὸ ἀποδείκνυμι νόμιμόν τε καὶ δίκαιον εἶναι. σὺ δ᾽ εἰ τἀναντία γιγνώσκεις, δίδασκε. καὶ ὁ ἱππίας· ἀλλὰ μὰ τὸν δί᾽, ἔφη, ὦ σώκρατες, οὔ μοι δοκῶ τἀναντία γιγνώσκειν, οἷς εἴρηκας περὶ τοῦ δικαίου. ἀγράφους δέ τινας οἶσθα, ὦ ἱππία, νόμους; τούς γ᾽ ἐν πάσῃ, ἔφη, χώρᾳ κατὰ ταὐτὰ νομιζομένους. ἔχοις ἂν οὖν εἰπεῖν, ἔφη, ὅτι οἱ ἄνθρωποι αὐτοὺς ἔθεντο; καὶ πῶς ἄν, ἔφη, οἵ γε οὔτε συνελθεῖν ἅπαντες ἂν δυνηθεῖεν, οὔτε ὁμόφωνοί εἰσι; τίνας οὖν, ἔφη, νομίζεις τεθεικέναι τοὺς νόμους τούτους; ἐγὼ μέν, ἔφη, θεοὺς οἶμαι τοὺς νόμους τούτους τοῖς ἀνθρώποις θεῖναι. καὶ γὰρ παρὰ πᾶσιν ἀνθρώποις πρῶτον νομίζεται θεοὺς σέβειν. οὐκοῦν καὶ γονέας τιμᾶν, πανταχοῦ νομίζεται; καὶ τοῦτο, ἔφη. οὐκοῦν καὶ μήτε γονέας παισὶ μίγνυσθαι, μήτε παῖδας γονεῦσιν; οὐκ ἔτι μοι δοκεῖ, ἔφη, ὦ σώκρατες, οὗτος θεοῦ νόμος εἶναι. τί δή, ἔφη; ὅτι αἰσθάνομαί τινας, ἔφη, παραβαίνοντας αὐτόν. καὶ γὰρ ἄλλα πολλά, ἔφη, παρανομοῦσιν. ἀλλ᾽ οὖν δίκην γέ τοι διδόασιν οἱ παραβαίνοντες τοὺς ὑπὸ τῶν θεῶν κειμένους νόμους, ἣν οὐδενὶ τρόπῳ δυνατὸν ἀνθρώπῳ διαφυγεῖν, ὥσπερ τοὺς ὑπ᾽ ἀνθρώπων κειμένους νόμους ἔνιοι παραβαίνοντες διαφεύγουσι τὸ δίκην διδόναι, οἱ μὲν λανθάνοντες, οἱ δὲ βιαζόμενοι. καὶ ποίαν, ἔφη, δίκην, ὦ σώκρατες, οὐ δύνανται διαφεύγειν γονεῖς τε παισί, καὶ παῖδες γονεῦσι μιγνύμενοι; τὴν μεγίστην νὴ δί᾽, ἔφη. τί γὰρ ἂν μεῖζον πάθοιεν ἄνθρωποι τεκνοποιούμενοι τοῦ κακῶς τεκνοποιεῖσθαι; πῶς οὖν, ἔφη, κακῶς οὗτοι τεκνοποιοῦνται, οὕς γε οὐδὲν κωλύει ἀγαθοὺς αὐτοὺς ὄντας, ἐξ ἀγαθῶν παιδοποιεῖσθαι; ὅτι νὴ δί᾽, ἔφη, οὐ μόνον ἀγαθοὺς δεῖ τοὺς ἐξ ἀλλήλων παιδοποιουμένους εἶναι, ἀλλὰ καὶ ἀκμάζοντας τοῖς σώμασιν. ἢ δοκεῖ σοι ὅμοια τὰ σπέρματα εἶναι, τὰ τῶν ἀκμαζόντων, ἢ τῶν παρηκμακότων. ἀλλὰ μὰ δί᾽, ἔφη, οὐκ εἰκὸς ὅμοια εἶναι. πότερα οὖν, ἔφη, βελτίω; δηλονότι τὰ τῶν ἀκμαζόντων. τὰ τῶν μὴ ἀκμαζόντων ἄρα οὐ σπουδαῖα; οὐκ εἰκὸς μὰ δί᾽, ἔφη. οὐκοῦν οὕτω γε οὐ δεῖ παιδοποιεῖσθαι; οὐ γὰρ οὖν, ἔφη. οὐκοῦν οἵ γε παιδοποιούμενοι, ὡς οὐ δεῖ παιδοποιοῦνται; ἔμοιγε δοκεῖ, ἔφη. τίνες οὖν ἄλλοι, ἔφη, κακῶς παιδοποιοῖντο, εἴγε μὴ οὗτοι; ὁμογνωμονῶ σοι, ἔφη, καὶ τοῦτο. τί δὲ τοὺς εὖ ποιοῦντας ἀντευεργετεῖν, οὐ πανταχοῦ νόμιμόν ἐστιν; νόμιμον, ἔφη. παραβαίνεται δὲ καὶ τοῦτο. οὐκοῦν καὶ οἱ τοῦτο παραβαίνοντες, δίκην διδόασι. φίλων μὲν ἀγαθῶν ἔρημοι γιγνόμενοι, τοὺς δὲ μισοῦντας ἑαυτοὺς ἀναγκαζόμενοι διώκειν. ἢ οὐχ οἱ μὲν εὖ ποιοῦντες τοὺς χρωμένους ἑαυτοῖς, ἀγαθοὶ φίλοι εἰσίν, οἱ δὲ μὴ ἀντευεργετοῦντες τοὺς τοιούτους, διὰ μὲν ἀχαριστίαν μισοῦνται ὑπ᾽ αὐτῶν. διὰ δὲ τὸ μάλιστα λυσιτελεῖν τοῖς τοιούτοις χρῆσθαι, τούτους μάλιστα διώκουσι. νὴ τὸν δία ὦ σώκρατες, ἔφη, θεοῖς ταῦτα πάντα ἔοικε. τὸ γὰρ τοὺς νόμους αὐτοὺς τοῖς παραβαίνουσι, τὰς τιμωρίας ἔχειν, βελτίονος, ἢ κατ᾽ ἄνθρωπον, νομοθέτου δοκεῖ μοι εἶναι. πότερον οὖν, ἱππία, τοὺς θεοὺς ἡγῇ τὰ δίκαια νομοθετεῖν, ἢ ἄλλα τῶν δικαίων; οὐκ ἄλλα μὰ δί᾽, ἔφη. σχολῇ γὰρ ἂν ἄλλος γέ τις τὰ δίκαια νομοθετήσειεν, εἰ μὴ θεός. καὶ τοῖς θεοῖς ἄρα, ὦ ἱππία, τὸ αὐτό, δίκαιόν τε καὶ νόμιμον εἶναι ἀρέσκει. τοιαῦτα λέγων τε καὶ πράττων, δικαιοτέρους ἐποίει τοὺς πλησιάζοντας. ὡς δὲ καὶ πρακτικωτέρους ἐποίει

lex naturalis a deo est data hominibus.

qui legem dei transgrediuntur poenas dant ipsi deo.

ἐποίει τοὺς συνόντας ἑαυτῷ, νῦν αὖ τοῦτο λέξω. νομίζων γὰρ ἐγκράτειαν ὑπάρχειν ἀγαθὸν εἶν, τῷ μέλλοντι καλόν τι πράξειν. πρῶτον μὲν αὐτὸς φανερὸς ἦν τοῖς συνοῦσιν ἠσκηκὼς, αὐτὸν μάλιστα πάντων ἀνθρώπων· ἔπειτα διαλεγόμενος, προετρέπετο, πάντων μάλιστα τοὺς συνόντας πρὸς ἐγκράτειαν. ἀεὶ μὲν οὖν τῶν πρὸς ἀρετὴν χρησίμων, αὐτός τε διετέλει μεμνημένος, καὶ τοὺς συνόντας πάντας ὑπομιμνήσκων. οἶδα δέ ποτε αὐτὸν καὶ πρὸς Εὐθύδημον περὶ ἐγκρατείας τοιάδε διαλεχθέντα· εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, ἆρα καλὸν καὶ μεγαλεῖον νομίζεις εἶναι καὶ ἀνδρὶ καὶ πόλει κτῆμα ἐλευθερίαν, ὡς οἷόν τέ γε; μάλιστα, ἔφη. ὅστις οὖν ἄρχεται ὑπὸ τῶν διὰ τοῦ σώματος ἡδονῶν, καὶ διὰ ταύτας μὴ δύναται πράττειν τὰ βέλτιστα, νομίζεις τοῦτον ἐλεύθερον εἶναι; ἥκιστα, ἔφη. ἴσως γὰρ ἐλεύθερον φαίνεταί σοι τὸ πράττειν τὰ βέλτιστα· εἶτα τὸ ἔχειν τοὺς κωλύσοντας τὰ τοιαῦτα ποιεῖν, ἀνελεύθερον νομίζεις; παντάπασί γε, ἔφη. παντάπασιν ἄρα σοι δοκοῦσιν οἱ ἀκρατεῖς, ἀνελεύθεροι εἶναι; νὴ τὸν Δί' εἰκότως. πότερον δέ σοι δοκοῦσιν οἱ ἀκρατεῖς κωλύεσθαι μόνον τὰ κάλλιστα πράττειν, ἢ καὶ ἀναγκάζεσθαι τὰ αἴσχιστα ποιεῖν; οὐδὲν ἧττον ἔμοιγ', ἔφη, δοκοῦσι ταῦτα ἀναγκάζεσθαι, ἢ ἐκεῖνα κωλύεσθαι. ποίους δέ τινας δεσπότας ἡγῇ, τοὺς τὰ μὲν ἄριστα κωλύοντας, τὰ δὲ κάκιστα ἀναγκάζοντας; ὡς δυνατὸν νὴ Δί', ἔφη, κακίστους. δουλείαν δὲ ποίαν κακίστην νομίζεις εἶναι; ἐγὼ μὲν, ἔφη, τὴν παρὰ τοῖς κακίστοις δεσπόταις. τὴν κακίστην ἄρα δουλείαν οἱ ἀκρατεῖς δουλεύουσιν; ἔμοιγε δοκεῖ, ἔφη. σοφίαν δὲ τὸ μέγιστον ἀγαθὸν, οὐ δοκεῖ σοι ἀπείργουσα τῶν ἀνθρώπων ἡ ἀκρατία, εἰς τοὐναντίον αὐτοὺς ἐμβαλεῖν; ἢ οὐ δοκεῖ σοι προσέχειν τε τοῖς ὠφελοῦσι καὶ καταμανθάνειν αὐτὰ κωλύειν, ἀφέλκουσα ἐπὶ τὰ ἡδέα. καὶ πολλάκις αἰσθανομένους, τῶν ἀγαθῶν τε καὶ τῶν κακῶν, ἐκπλήξασα, ποιεῖν τὸ χεῖρον ἀντὶ τοῦ βελτίονος αἱρεῖσθαι. γίνεται τοῦτ', ἔφη. σωφροσύνης δὲ, ὦ Εὐθύδημε, τίνι ἂν φαίημεν ἧττον, ἢ τῷ ἀκρατεῖ προσήκειν; αὐτὰ γὰρ δήπου τὰ ἐναντία, σωφροσύνης καὶ ἀκρασίας ἔργα ἐστίν. ὁμολογῶ καὶ τοῦτ', ἔφη. τοῦ δ' ἐπιμελεῖσθαι ὧν προσήκει, οἴει τι κωλυτικώτερον ἀκρασίας εἶναι; οὔκουν ἔγωγ', ἔφη. τοῦ δὲ ἀντὶ τῶν ὠφελούντων τὰ βλάπτοντα προαιρεῖσθαι ποιοῦντος, καὶ τούτων μὲν ἐπιμελεῖσθαι, ἐκείνων δὲ ἀμελεῖν πείθοντος, καὶ τοῖς σωφρονοῦσι τὰ ἐναντία ποιεῖν ἀναγκάζοντος, οἴει τι ἀνθρώπῳ κάκιον εἶναι; οὐδὲν, ἔφη. οὐκοῦν τὴν ἐγκράτειαν τῶν ἐναντίων, ἢ τὴν ἀκρασίαν, εἰκὸς τοῖς ἀνθρώποις αἰτίαν εἶναι; πάνυ μὲν οὖν, ἔφη. οὐκοῦν καὶ τὸ τῶν ἐναντίων τὸ αἴτιον εἰκὸς ἄριστον εἶναι; εἰκὸς γὰρ, ἔφη. ἔοικεν ἄρ', ἔφη, ὦ Εὐθύδημε, ἄριστον ἀνθρώπῳ ἡ ἐγκράτεια εἶναι; εἰκότως γὰρ, ἔφη, ὦ Σώκρατες. ἐκεῖνο δὲ, ὦ Εὐθύδημε, ἤδη πώποτε ἐνεθυμήθης; ποῖον, ἔφη; ὅτι καὶ ἐπὶ τὰ ἡδέα, ἐφ' ἅπερ μόνα δοκεῖ ἡ ἀκρασία τοὺς ἀνθρώπους ἄγειν, αὐτὴ μὲν οὐ δύναται ἄγειν, ἡ δ' ἐγκράτεια πάντων μάλιστα ἥδεσθαι ποιεῖ. πῶς, ἔφη; ὥσπερ ἡ μὲν ἀκρασία οὐκ ἐῶσα καρτερεῖν, οὔτε λιμὸν, οὔτε δίψαν, οὔτε ἀφροδισίων ἐπιθυμίαν, οὔτε ἀγρυπνίαν, δι' ὧν μόνων ἐστὶν, ἡδέως μὲν φαγεῖν τε καὶ πιεῖν, καὶ ἀφροδισιάσαι, ἡδέως δ' ἀναπαύσασθαί τε καὶ κοιμηθῆναι, καὶ

faciebat, nunc est ut referam. Putans enim abstinentiam his prodesse qui facturi sint aliquid boni, primo sese proferebat, ut in ea re exercitatus videretur his quibus cum versabatur: subinde disputando maxime hortabatur suos auditores, ut in abstinentia assuescerent, semperq; & ipse repetebat quaecunq; ad virtutem sint, & suis ea auditoribus in memoriam adducebat. Memini & apud Euthydemum de continentia huiuscemodi sermonem habuisse: Dic mihi, inquit, ô Euthydeme, putásne bonam magnamq; possessionem homini atq; ciuitati libertatem esse? Maximam, inquit. Quicunq; igitur corporeis seruit libidinibus, & ob eas nequit quae sint optima exequi, putásne tu hunc esse liberum? Minime, inquit. Fortaßis homine libero dignum uidetur tibi, posse agere quaecunq; bona sint: deinde habere, qui interpellant istiusmodi facere, seruile quidpiam deputas? Omnino, inquit, puto. Omnino igitur tibi uidentur incontinentes etiam non liberi esse? Per Iouem, inquit, & merito. Vtrum incontinentes uidentur tibi prohiberi ea facere quae honesta sint, an & cogi ea facere quae turpia? Non minus haec mihi uidentur cogi agere, quam & illa prohiberi. Quales tu dominos putes, qui bona prohibent, & turpia cogant? Hercle quam peßimos. Seruitutem quam tu esse putas peßimam? Ego, inquit ille, hanc quae apud peßimos dominos fe ratur. Peßimam igitur seruitutem incontinentes seruiunt? Mihi, ait, uidetur. Sapientiam uero maximum bonum, nonne tibi uidetur ab hominibus auferendo, contrariam in partem eos concitare incontinentia? Nanq; prohibens attendere, & ea discere quae profutura sint, eos attrahit ad uoluptates, & quum plures bona malaq; discernat, illa absterritis peiora pro melioribus eligunt. Fit quidem, inquit. Castitatem atque moderantiam, cuinam dicemus minus conuenire, quam incontinenti? Ipsa enim moderantia, atq; incontinentia, opera contraria sunt. Fateor, inquit. Putásne, inquit, aliquo magis tolli incontinentiam, quam studijs rerum earum quae maxime oporteant? Nullo prorsus. Qui uero pro utilibus, quae laedant, efficit ut eligas: quique ut in horum studio perseueres, illa negligas suadeat, cogatq; ea facere quae immodesta sint, putásne homini hoc dari peius posse? Nihil. Continentiam igitur contrariorum uerisimile est causam hominibus esse, quàm incontinentiam? Vehementer, inquit. Causam, inquit, contrariorum uerisimile est optimam esse? Est quidem, inquit. Videtur igitur, ô Euthydeme, ait, optimum omnium esse continentia. Merito, ô Socrates. Illud autem, ô Euthydeme, considerastine unquam? Quidnam, inquit. QVONIAM, AIT, ET AD VOLVPTATES, AD QVAS SOLA HOMINES VIDETVR DVCERE INCONTINENTIA, IPSA QVIDEM NON POTEST PERDVCERE, CONTINENTIA VERO MAIORES EFFICIT VOLVPTATES. Quid ita? inquit. Quemadmodum, inquit, incontinentia non famem, non sitim aduentare permittens, neq; Veneris desiderium, neq; uigilias, per quae sola uoluptuose edere, bibere, Venere uti, quiescere, atque dormire possit,

posSit, prohibet necessarijs & continuis uoluptatibus perfrui: sic contra, cum sola continentia desiderari ista faciat, sola etiam perfrui recte uoluptatibus sinit. Vera profecto narras, inquit. Atqui, ait dicere quæ honesta & bona sunt, inq; studijs rerum earum uersari, per quæ suum quisq; corpus bene regat, & propriam domum bene gubernet, amicisq; atq; patriæ fiat utilis, & inimicos superet, à quibus non solum utilitates, sed & uoluptates quoq; maxime capiantur, his omnibus continentes perfruuntur, cum quæ diximus faciant: incontinentes uero in nullo participant. Cui nanq; minus hæc dicemus conuenire, quam illi cui minime licet hæc agere, dum propinquis tenetur uoluptatibus? Atqui Euthydemus: Videris mihi, ô Socrates dicere, homini uoluptatib. seruienti nullam unquam uirtutē cōuenire. Quid enim interest, ait, ô Euthydeme, inter hominem incōtinentem, & belluam? Nam quicunq; ea quæ optima non sint, cogitat, uoluptuosa uero omnibus quærit modis exequi, quid à pecudibus differt? Solis igitur continētibus liceat ea cogitare quæ optima sunt, & dicere, & facere, ac rerum quidem discrimina, & secundū genera disgregare, bona eligere, mala secludere, quo optimi atq; felicissimi reddantur, & bonorum docti ratiocinatores. Nam & dicebat recte ratiocinatores dici, quod in unum cōsulentes cōuenirent, rerū genera segregātes. Oportere itaq; conari, ut ad hoc sit paratissimus, aut in hoc maxime curiosus. Ex hoc. n. effici homines dignos principatu, bonosq; bonorū atq; malorū ratiocinatores. Quod aūt bonos quoq; ratiocinatores suos efficere studuerit, conabimur explicare. Illos. n. qui scirent quid unaquæq; res esset, putabat & alijs posse exponere: qui uero nescirēt, aiebat nō mirandum esse, si & ipsi fallerētur, & alijs erroris causa fierēt. Quas ob res nunquā cessabat cū suis auditorib. cōsiderare, quid unaquæq; res esset. At singula quomodo definiret, longum foret explicare. Quæq; igitur ad eius cōsiderandi rei modū explicandum pertinere putē, iam dicā. Principio de pietate in hunc modū cōsiderabat: Dic mihi, ait, ô Euthydeme, qualē tu putas pietatē esse? At ille: Optimū quidpiā mehercle, ait. Habésne et qualē pium hominē esse dicas? Mihi, inquit ille, is pius esse uidetur, qui deos ueneratione prosequatur. Licét ne quo quisq; uoluerit modo deos honorare? Nō, inquit sed lege qua expositum sit, quid facere cōueniat. Quicūq; igitur secundum leges faciet, scit ne quo pacto deos oporteat uenerari? Puto, inquit. Qui igitur norit deos honorare, nō aliter putat hoc oportere facere, q̄ quemadmodū nouit? Minime, inquit. Est ne quisquā qui deos honoret aliter, quàm putet oportere? Non puto equidem. Qui igitur teneat leges circa diuinū cultum positas, is profecto deos secundum leges honorat? Vehementer, inquit. Qui igitur deos secūdum leges honorat, is uti oportet honorat? Quid ni? Qui uti oportet honorat, piúsne est? Maxime. Qui ergo circa diuinū cultum leges positas sciat, recte à nobis pius definiatur? Ita, inquit, uidetur. Hominib. autem utrum licet, quo quisq; uoluerit modo uti? Nō, ait: sed apud hos etiam quicūq; sciat quæ legib. cōueniantur, quibus oporteat

mutuo

καὶ περιμένοντας τε καὶ ἀνασχομένους, ἕως ἂν ταῦτα ὡς ἔνι ἥδιστα γένηται, κωλύει τοῖς ἀναγκαιοτάτοις τε καὶ συνεχεστάτοις ἀξιολόγως ἥδεσθαι. ἡ δ' ἐγκράτεια μόνη ποιοῦσα καρτερεῖν τὰ εἰρημένα, μόνη καὶ ἥδεσθαι ποιεῖ. ἀξίως μνήμης ἐπὶ τοῖς εἰρημένοις παντάπασιν ἔφη ἀληθῆ λέγεις. ἀλλὰ μὴν τοῦ μαθεῖν τι καλὸν καὶ ἀγαθὸν, καὶ τοῦ ἐπιμεληθῆναι τῶν τοιούτων τινὸς, δι' ὧν ἄν τις καὶ τὸ ἑαυτοῦ σῶμα καλῶς διοικήσειε, καὶ τὸν ἑαυτοῦ οἶκον καλῶς οἰκονομήσειε, καὶ φίλοις καὶ πόλει ὠφέλιμος γένοιτο καὶ ἐχθροὺς κρατήσειεν, ἀφ' ὧν οὐ μόνον ὠφέλειαι, ἀλλὰ καὶ ἡδοναὶ μέγισται γίγνονται. οἱ μὲν γὰρ ἐγκρατεῖς ἀπολαύουσι πράττοντες αὐτά. οἱ δ' ἀκρατεῖς οὐδενὸς μετέχουσι. τῷ γὰρ ἂν ἧττον φήσαιμεν τῶν τοιούτων προσήκειν, ἢ ᾧ ἥκιστα ἔξεστι ταῦτα πράττειν κατεχομένῳ ἐπὶ τῷ σπουδάζειν περὶ τὰς ἐγγυτάτω ἡδονάς; καὶ ὁ Εὐθύδημος· δοκεῖς μοι ἔφη, ὦ σώκρατες, λέγειν, ὡς ἀνδρὶ ἥττονι τῶν διὰ τοῦ σώματος ἡδονῶν πάμπαν, οὐδεμιᾶς ἀρετῆς προσήκει. τί γὰρ διαφέρει, ἔφη, ὦ Εὐθύδημε, ἄνθρωπος ἀκρατὴς, θηρίου τοῦ ἀμαθεστάτου; ὅστις γὰρ τὰ μὲν κράτιστα μὴ σκοπεῖ, τὰ ἥδιστα δ' ἐκ παντὸς τρόπου ζητεῖ ποιεῖν, τί ἂν διαφέροι τῶν ἀφρονεστάτων βοσκημάτων; ἀλλὰ τοῖς ἐγκρατέσι μόνοις ἔξεστι σκοπεῖν τὰ κράτιστα τῶν πραγμάτων, καὶ ἔργῳ καὶ λόγῳ διαλέγοντας, κατὰ γένη τὰ μὲν ἀγαθὰ προαιρεῖσθαι, τῶν δὲ κακῶν ἀπέχεσθαι. καὶ οὕτως ἔφη ἀρίστους τε καὶ εὐδαιμονεστάτους ἄνδρας γίγνεσθαι, καὶ διαλέγεσθαι δυνατωτάτους. ἔφη δὲ καὶ τὸ διαλέγεσθαι ὀνομασθῆναι, ἐκ τοῦ συνιόντας κοινῇ βουλεύεσθαι διαλέγοντας κατὰ γένη τὰ πράγματα. δεῖν οὖν πειρᾶσθαι, ὅτι μάλιστα πρὸς τοῦτο ἑαυτὸν ἕτοιμον παρασκευάζειν, καὶ τούτου μάλιστα ἐπιμελεῖσθαι. ἐκ τούτου γὰρ γίνεσθαι ἄνδρας ἀρίστους τε καὶ ἡγεμονικωτάτους καὶ διαλεκτικωτάτους. ὡς δὲ καὶ διαλεκτικωτέρους ἐποίει τοὺς συνόντας, πειράσομαι καὶ τοῦτο λέγειν. σωκράτης γὰρ τοὺς μὲν εἰδότας τί ἕκαστον εἴη τῶν ὄντων, ἐνόμιζε καὶ τοῖς ἄλλοις ἂν ἐξηγεῖσθαι δύνασθαι. τοὺς δὲ μὴ εἰδότας, οὐδὲν ἔφη θαυμαστὸν εἶναι, αὐτούς τε σφάλλεσθαι, καὶ ἄλλους σφάλλειν. ὧν ἕνεκα σκοπῶν, σὺν τοῖς συνοῦσι, τί ἕκαστον εἴη τῶν ὄντων, οὐδέποτ' ἔληγε. πάντα μὲν οὖν ᾗ διωρίζετο, πολὺ ἔργον ἂν εἴη διεξελθεῖν. ἐν ὅσοις δὲ τὸν τρόπον τῆς ἐπισκέψεως δηλώσειν οἶμαι, τοσαῦτα λέξω. πρῶτον δὲ περὶ εὐσεβείας ὧδέ πως ἐσκόπει. εἰπέ μοι, ὦ Εὐθύδημε, ποῖόν τι νομίζεις εὐσέβειαν εἶναι; καὶ ὅς κάλλιστον νὴ Δί', ἔφη. ἔχεις οὖν εἰπεῖν ὁποῖός τις ὁ εὐσεβής ἐστιν; ἐμοὶ μὲν δοκεῖ, ἔφη, ὁ τοὺς θεοὺς τιμῶν. ἔξεστι δὲ ὃν ἄν τις βούληται τρόπον τοὺς θεοὺς τιμᾶν; οὐκ, ἀλλὰ νόμοι εἰσὶ καθ' οὓς δεῖ τοῦτο ποιεῖν. οὐκοῦν ὁ τοὺς νόμους τούτους ποιῶν, εἰδείη ἂν ὡς δεῖ τοὺς θεοὺς τιμᾶν; οἶμαι ἔγωγ', ἔφη. ἆρ' οὖν ὁ εἰδὼς τοὺς θεοὺς τιμᾶν, οὐκ ἄλλως οἴεται δεῖν τοῦτο ποιεῖν, ἢ ὡς οἶδεν; οὐ γὰρ οὖν, ἔφη. ἄλλως δέ τις θεοὺς τιμᾷ, ἢ ὡς οἴεται δεῖν; οὐκ οἶμαι, ἔφη. ὁ ἄρα τὰ περὶ τοὺς θεοὺς νόμιμα εἰδὼς, νομίμως ἂν τοὺς θεοὺς τιμῴη; πάνυ μὲν οὖν. οὐκοῦν ὅ γε νομίμως τιμῶν ὡς δεῖ τιμᾷ; πῶς γὰρ οὔ. ὁ δέ γε ὡς δεῖ τιμῶν εὐσεβής ἐστι; πάνυ μὲν οὖν, ἔφη. ὁ ἄρα περὶ τοὺς θεοὺς νόμιμα εἰδὼς, ὀρθῶς ἂν ἡμῖν εὐσεβὴς ὡρισμένος εἴη; ἐμοὶ γοῦν, ἔφη, δοκεῖ. ἀνθρώποις δὲ ἄρα ἔξεστιν ὃν ἄν τις τρόπον βούληται χρῆσθαι; οὔκ, ἀλλὰ καὶ περὶ τούτους ὁ εἰδὼς ἃ ἐστι νόμιμα, καθ' ἃ δεῖ πρὸς

ἀλλήλους

ἀλλήλους χρῆσθαι, νόμιμος ἂν εἴη. οὐκοῦν οἱ κατὰ ταῦ-
τα χρώμενοι ἀλλήλοις ὡς δεῖ χρῶνται; πῶς γὰρ οὔ. οὐ-
κοῦν οἵ γε ὡς δεῖ χρώμενοι, καλῶς χρῶνται; πάνυ μὲν οὖν,
ἔφη. οὐκοῦν οἵ γε τοῖς ἀνθρώποις καλῶς χρώμενοι, κα-
λῶς πράττουσι τἀνθρώπεια πράγματα; εἰκός γ', ἔφη.
οὐκοῦν οἱ τοῖς νόμοις πειθόμενοι δίκαια οὗτοι ποιοῦ-
σι; πάνυ μὲν οὖν, ἔφη. δίκαια δὲ οἶσθα, ἔφη, ὁποῖα κα-
λεῖται; ἃ οἱ νόμοι κελεύουσιν; οἱ ἄρα ποιοῦντες ἃ οἱ νό-
μοι κελεύουσι, δίκαιά τε ποιοῦσι, καὶ ἃ δεῖ; πῶς οὔ.
οὐκοῦν οἵ γε τὰ δίκαια ποιοῦντες, δίκαιοί εἰσιν; οἶμαι
ἔγωγ', ἔφη. οἴει οὖν τινας πείθεσθαι τοῖς νόμοις, μὴ εἰδό-
τας ἃ οἱ νόμοι κελεύουσι; οὐκ ἔγωγ', ἔφη. εἰδότας δὲ ἃ
ποιεῖν, οἴει τινὰς οἴεσθαι δεῖν μὴ ποιεῖν ταῦτα; οὐκ οἴο-
μαι, ἔφη. οἶδας δέ τινας ἄλλα ποιοῦντας, ἃ οἴονται
δεῖν; οὐκ ἔγωγ', ἔφη. οἱ ἄρα τὰ περὶ ἀνθρώπους νόμι-
μα εἰδότες, τὰ δίκαια ποιοῦσιν; πάνυ μὲν οὖν, ἔφη.
οὐκοῦν οἵ γε τὰ δίκαια ποιοῦντες, δίκαιοί εἰσι; τίνες
γὰρ ἄλλοι, ἔφη. ὀρθῶς ἄν ποτε ὁριζοίμεθα, ὁριζόμενοι
δικαίους εἶναι, τοὺς εἰδότας τὰ περὶ ἀνθρώπους νόμι-
μα; ἔμοιγε δοκεῖ, ἔφη. σοφίαν δὲ τί ἂν φήσαιμεν εἶναι,
εἰπέ μοι; πότερά σοι δοκοῦσιν οἱ σοφοί, ἃ ἐπίστανται ταῦ-
τα σοφοὶ εἶναι, ἢ εἰσί τινες, ἃ μὴ ἐπίστανται σοφοί; ἃ ἐπί-
στανται δῆλον ὅτι ἔφη. πῶς γὰρ ἄν τις ἅ γε μὴ ἐπίσταιτο
ταῦτα σοφὸς εἴη; ἆρ' οὖν οἱ σοφοὶ ἐπιστήμῃ σοφοί εἰσι;
τίνι γάρ, ἔφη, ἄλλῳ τις ἂν εἴη σοφός, εἴ γε μὴ ἐπιστήμῃ; ἄλ-
λο δέ τι σοφίαν οἴει εἶναι, ἢ ᾧ σοφοί εἰσιν; οὐκ ἔγωγε. ἐπι-
στήμη ἄρα σοφία ἐστίν; ἔμοιγε δοκεῖ. ἆρ' οὖν δοκεῖ σοι ἀν-
θρώπῳ δυνατὸν εἶναι, τὰ ὄντα πάντα ἐπίστασθαι; οὐδὲ
μὰ Δί' ἔμοιγε πολλοστὸν μέρος αὐτῶν. πάντα μὲν ἄρα
σοφόν, οὐχ οἷόν τε ἄνθρωπον εἶναι; μὰ Δί' οὐ δῆτα, ἔ-
φη. ὃ ἄρα ἐπίσταται ἕκαστος, τοῦτο καὶ σοφός ἐστιν; ἔμοιγε
δοκεῖ. ἆρ' οὖν, ὦ Εὐθύδημε, καὶ τἀγαθὸν οὕτω ζητη-
τέον ἐστί; πῶς; ἔφη. δοκεῖ σοι τὸ αὐτὸ πᾶσιν ὠφέλιμον εἶ-
ναι; οὐκ ἔμοιγε. τί δὲ τὸ ἄλλῳ ὠφέλιμον, οὐ δοκεῖ σοι ἐνίο-
τε ἄλλῳ βλαβερὸν εἶναι; καὶ μάλα, ἔφη. ἄλλο δ' ἄν τι φαί-
ης ἀγαθὸν εἶναι, ἢ τὸ ὠφέλιμον; οὐκ ἔγωγ', ἔφη. τὸ ἄρα
ὠφέλιμον ἀγαθόν ἐστιν, ὅτῳ ἂν ὠφέλιμον ᾖ; δοκεῖ μοι,
ἔφη. τὸ δὲ καλὸν ἔχοιμεν ἂν πως ἄλλως εἰπεῖν, ἢ εἰ ἔστιν
ὀνομάζεις καλόν, ἢ σῶμα, ἢ σκεῦος, ἢ ἄλλο τι ὄν, ὃ οἶ-
σθα πρὸς πάντα καλὸν ὄν; μὰ Δί' οὐκ ἔγωγ', ἔφη. ἆρ'
οὖν πρὸς ὃ ἂν ἕκαστον χρήσιμον ᾖ, πρὸς τοῦτο ἑκάστῳ καλῶς
ἔχει χρῆσθαι; πάνυ μὲν οὖν, ἔφη. καλὸν δὲ πρὸς ἄλλο τί
ἐστιν ἕκαστον, ἢ πρὸς ὃ ἑκάστῳ καλῶς ἔχει χρῆσθαι; οὐδὲ πρὸς
ἓν ἄλλο, ἔφη. τὸ χρήσιμον ἄρα καλόν ἐστι, πρὸς ὃ ἂν ᾖ χρή-
σιμον; ἔμοιγε δοκεῖ, ἔφη. ἀνδρείαν, ὦ Εὐθύδημε, ἆρα τῶν
καλῶν νομίζεις εἶναι; κάλλιστον μὲν οὖν ἔγωγ', ἔφη. χρή-
σιμον ἄρα οὐ πρὸς τὰ ἐλάχιστα νομίζεις τὴν ἀνδρείαν; μὰ
Δί', ἔφη, πρὸς τὰ μέγιστα μὲν οὖν. ἆρ' οὖν δοκεῖ σοι πρὸς
τὰ δεινὰ καὶ ἐπικίνδυνα χρήσιμον εἶναι τὸ ἀγνοεῖν αὐ-
τά; ἥκιστά γ', ἔφη. οἱ ἄρα μὴ φοβούμενοι τὰ τοιαῦτα,
διὰ τὸ μὴ εἰδέναι τί ἐστιν, οὐκ ἀνδρεῖοί εἰσιν; νὴ Δί', ἔ-
φη. πολλοὶ γὰρ ἂν οὕτω γε τῶν γε μαινομένων καὶ τῶν
δειλῶν ἀνδρεῖοι εἶεν. τί δὲ οἱ καὶ τὰ μὴ δεινὰ δεδιό-
τες; ἔτι γε νὴ Δί' ἧττον, ἔφη. ἆρ' οὖν τοὺς μὲν ἀγαθοὺς
πρὸς τὰ δεινὰ καὶ ἐπικίνδυνα ὄντας ἀνδρείους ἡγῇ εἶ-
ναι, τοὺς δὲ κακοὺς δειλούς; πάνυ μὲν οὖν, ἔφη. ἀγαθοὺς δὲ
πρὸς

mutuo uersari, ille profecto legibus erit obtemperans.
Quicunq; igitur lege conueniunt, ut decet utuntur
hominibus? Et quid ni? inquit. Qui uero ut decet utū
tur, recte utuntur? Ita, inquit. Qui recte hominibus u-
tuntur, recte res humanas agunt? Verisimile istuc, in
quit. Qui legibus obtemperant, num hi & iusta faci-
unt? Maxime. Scis tu & quae iusta appellantur? Quae,
inquit, leges imperant. Quicunq; igitur ea fecerit quae
leges praeceperint, iusta, et quae decet faciet? Quid ni?
Qui, inquit, iusta fecerint, iusti ne sunt? Iusti, ut puto.
Arbitrarisne igitur quosdam obtemperare posse legi
bus, ignaros eorū quae leges praecipiant? Minime. Pu
tásne esse aliquos, qui cum sciant quae oporteat face-
re, putent tamen sibi ea nō esse facienda? Neminē, in-
quit. Scin' & quosdā alia facientes quàm putēt opor
tere? Non, inquit. Qui igitur illas quae circa conuictū
hominū leges positae sint, nō ignorent, hi iusta faciēt?
Istuc, inquit. Qui uero iusta faciunt, iusti sunt? Quinā
alij, inquit, sint? Recte igitur eos definiemus iustos es-
se, qui sciunt quae legibus posita sint, circa hominum
conuictū & societatē? Ita & mihi, inquit, uidetur. Sa
pientiā uero quid esse dicemus? Vtrū tibi sapientes in
his rebus sapientes esse uidentur quas sciūt, an in his
quas nesciant? Vt uidere licet, in quibus sciant: quo
enim modo quispiā in his foret sapiens, quae nesciret?
Vtrum sapientes ipsi sint scientia sapientes? At ille:
Quonam, inquit, alio quisquā esset sapiens, nisi esset
scientia? Aliud ne putas quidpiā esse sapientiam, nisi
quo sapientes reddamur? Non inquit. Scientia igitur
num sapientia est? Ita mihi, ait, uidetur. Vtrū tibi, ait?
uidetur hominē posse rerū habere omniū scientiam?
Non, inquit, mehercle, ne minima quidē ex parte. In
omnib. igitur hominē esse sapientē, non est possibile?
Minime. Sapiénsne igitur quisque est ea in re quam
sciat? Est, inquit. Vtrum bonum quoq; eodem disqui
rendū est? Quomodo? inquit. Videtur ne tibi idem o-
mnib. esse profuturū? Non, inquit. Quid, nū & quod
alteri interdum noxium uidetur esse? Maxime. Aliud
igitur quidpiam dices profuturum, quàm id quod bo
num est? Non, inquit. Profuturū igitur huic bonum
erit, cui profuturū fiet? Istuc mihi, ut inquis, uidetur.
At de his quae deceant, num aliter habemus quàm de
bono dicere? An si tu cum dicas condecens aut cor-
pus, aut uas, aut aliquid eiusmodi, dabisne quod sit
ad omnia condecens? Non mehercle, inquit. Num et
ad quod quidpiam utile sit, ad id eo oportet uti? Ad
nihil, inquit, aliud. Vtile autem condecénsne illi est,
ad quod sit utile? Ad hoc idem, ait. Vtile ergo illi con
decens est, cui utile est? Est, inquit. Fortitudinē ô Eu
thydeme, utrum putas esse condecens? Puto quidem.
Vtile igitur non ad minima, putas esse fortitudinem?
Hercle, inquit, ad maxima. Num tibi ad aspera et pe
riculosa uidetur utile, ignorare quaenam ea sint? Mi-
nime, inquit. Quicunq; ergo non timeant huiuscemo
di, quia ignorent quidnā sint, hi non sunt fortes? Nō,
inquit. Multi enim hoc pacto insani ac formidolosi
fortes essent. Quid ergo nūc, & quicunq; non aspe-
ra timeant? Minus, inquit, mehercle. Quicunq; igitur
ad aspera & periculosa boni sint, fortes sunt: &
qui mali, iidem & formidolosi? Maxime. Bonósne

ad hæc alios tu putas esse, quã hos qui his bene possint uti? Non, inquit. Sed istos malos uero qui nõ possint bene uti eis? Quos alios putem? aĩt. Singuli ne eis utuntur ut putant oportere? Qui 1 mi? Qui uero non possint bene illis uti, sciunt ne bene illis uti? Minime. Qui ergo sciunt quo illis debeant uti, illi & possunt? Soli, inquit. Quid tum qui non id peccant, malè ne illis utuntur? Non puto, inquit. Qui ergo male utetur peccat? Verisimile istuc. Qui ergo sciant asperis & periculosis bene uti, fortes sunt: qui uero in hoc peccant, formidolosi? Mihi istuc uidetur, inquit. Regnum autem & tyrannidem, principatum quidem utrunq; esse putabat: at inter eos multum putabat interesse. Illum enim qui uolentibus & non repugnantibus hominibus, ac secundum leges ciuitatũ imperat principatum, regnum putabat: qui uero inuitis, & non secundum leges ad principis uoluntatẽ ageretur, tyrannidem. Et ubi quidem principatus ab optimatibus, legumq; obseruatoribus haberetur, hunc regendi modum Aristocratiam putabat: ubi uero à ditissimis, principatum ex censu: ubi autem ex omnibus, popularem. Quod si quis illi sese dicendo opponeret, nihilq; afferret, quod clarum atq; probabile esset: aut si quidem fortiorem, sapientiorem, magis ue ciuilem diceret, omnem is sermonem à principio adducebat, ita ordiens? Tu ne hunc quem laudas ciuem, dicis esse probiorem illo, quem ipse laudo? Dico, aiebat. Cur igitur illud principio non considerabimus, quodnam boni ciuis officium sit? Istuc agamus, inquit. Qui pecuniis ciuitatem faciet ditiorem, is in pecuniaria disceptatione superior fiet? Fiet, inquit. At in bello, nunquid qui urbem superiorem esse faciet? Quid ni? Si idem legatus aliquo proficiscatur, num is qui ex hoste amicum reddet? Fit id mihi uerisimile, inquit. At in concione, qui sedat ortam seditionem, concordiamq; restituit? Ita est, ait. Cum itaque per hunc modum sermo deduceretur, illis contradicentibus, ueritas elucescebat. Cum autem idse quicquam pro se exponeret, inde ordiebatur quæ maxime apud quosque essent cognita: hoc sermonis genus putans habere in progressu dicendi firmitatem atq; securitatem. Ea de re cum diceret, omnium quos uiderim unus reddebat auditores, ut nihil dicenti sibi negandum ducerent. Dicebat Homerum idcirco Vlyssem securum appellasse oratorem, quod per ea quæ uulgo nota sint, poterat animos eorum qui audirent, quo instituisset, adducere. Ex his igitur quæ usq; recensui, patère arbitror, quàm simplicibus quidem argumentis Socrates cum suis auditoribus disputando uteretur. Quod autem etiam eos in rebus agendis aptos dicendo redderet, consequens est ut referamus. Præ omnibus enim quos uiderim curabat, qua quisque in re suorum auditorum esset doctus, & ea quæ uirum bonum non ignorasse statueret, quæ ipse sciret, promptissime edocebat: quæ uero fortassis non satis tenebat, ad peritiores adducebat suos, ut ediscerent. Admonebat etiam quousq; illum progredi oporteret in quauis re, qui rectam eruditionẽ expeteret. Nam geometriã didicisse eousq; oportere, quoad recte diuidendo agro aut ædificio describendo conferat.

Hocq;

πρὸς τὰ τοιαῦτα νομίζεις ἄλλους τινὰς ἢ τοὺς δυναμένους αὐτοῖς καλῶς χρῆσθαι; οὐκ, ἀλλὰ τούτους ἔφη. κακοὺς δὲ ἄρα τοὺς οἵους τούτοις κακῶς χρῆσθαι, τίνας γὰρ ἄλλους, ἔφη. ἆρ' οὖν ἕκαστοι χρῶνται, ὡς οἴονται δεῖν; πῶς γὰρ ἄλλως, ἔφη. ἆρ' οὖν οἱ μὴ δυνάμενοι καλῶς χρῆσθαι, ἴσασιν ὡς δεῖ χρῆσθαι; οὐ δήπου γε, ἔφη. οἱ ἄρα εἰδότες ὡς δεῖ χρῆσθαι, οὗτοι καὶ δύνανται; μόνοι γε, ἔφη. τί δὲ οἱ μὴ διημαρτηκότες ἆρα κακῶς χρῶνται τοῖς τοιούτοις; οὐκ οἴομαι, ἔφη. οἱ ἄρα κακῶς χρώμενοι διημαρτήκασιν; εἰκός γ', ἔφη. οἱ μὲν ἄρα ἐπιστάμενοι τοῖς δεινοῖς τε καὶ ἐπικινδύνοις καλῶς χρῆσθαι ἀνδρεῖοί εἰσιν· οἱ δὲ διαμαρτάνοντες, δειλοί; ἔμοιγε δοκοῦσιν, ἔφη. Βασιλείαν δὲ καὶ τυραννίδα ἀρχὰς μὲν ἀμφοτέρας ἡγεῖτο εἶναι, διαφέρειν δὲ ἀλλήλων ἐνόμιζε. τὴν μὲν γὰρ ἑκόντων τε τῶν ἀνθρώπων, καὶ κατὰ νόμους τῶν πόλεων ἀρχὴν, βασιλείαν ἡγεῖτο· τὴν δὲ ἀκόντων τε, καὶ μὴ κατὰ νόμους, ἀλλ' ὅπως ὁ ἄρχων βούλοιτο, τυραννίδα. καὶ ὅπου μὲν ἐκ τῶν τὰ νόμιμα ἐπιτελούντων αἱ ἀρχαὶ καθίστανται, ταύτην τὴν πολιτείαν ἀριστοκρατίαν ἐνόμιζεν εἶναι. ὅπου δ' ἐκ τιμημάτων, πλουτοκρατίαν· ὅπου δ' ἐκ πάντων, δημοκρατίαν. εἰ δέ τις αὐτῷ περί του ἀντιλέγοι μηδὲν ἔχων σαφὲς λέγειν, ἀλλ' ἄνευ ἀποδείξεως, ἤτοι σοφώτερον φάσκων εἶναι, ὃν αὐτὸς λέγοι, ἢ πολιτικώτερον, ἢ ἀνδρειότερον, ἢ ἄλλο τι τῶν τοιούτων, ἐπὶ τὴν ὑπόθεσιν ἐπανῆγεν ἂν πάντα τὸν λόγον ὧδέ πως. φὴς σὺ ἀμείνω πολίτην εἶναι ὃν σὺ ἐπαινεῖς, ἢ ὃν ἐγώ; φημὶ γὰρ οὖν. τί οὖν οὐκ ἐκεῖνο πρῶτον ἐπεσκεψάμεθα, τί ἐστιν ἔργον ἀγαθοῦ πολίτου. ποιῶμεν τοῦτο. οὐκοῦν ἐν μὲν χρημάτων διοικήσει κρατοίη ἂν, ὁ χρήμασιν εὐπορωτέραν τὴν πόλιν ποιῶν; πάνυ μὲν οὖν. ἐν δέ γε πολέμῳ, ὁ καθυπερτέραν τῶν ἀντιπάλων; πῶς γὰρ οὔ. ἐν δὲ πρεσβείᾳ ἆρα ὃς ἂν φίλους ἀντὶ πολεμίων παρασκευάζῃ; εἰκότως γε. οὐκοῦν καὶ ἐν δημηγορίᾳ ὁ στάσεις τε παύων, καὶ ὁμόνοιαν ἐμποιῶν; ἔμοιγε. οὕτω δὲ τῶν λόγων ἐπαναγομένων, καὶ τοῖς ἀντιλέγουσιν αὐτοῖς φανερὸν ἐγίγνετο τἀληθές. ὁπότε δὲ αὐτός τι τῷ λόγῳ διεξίοι, διὰ τῶν μάλιστα ὁμολογουμένων ἐπορεύετο, νομίζων ταύτην τὴν ἀσφάλειαν εἶναι λόγου. τοιγαροῦν πολὺ μάλιστα ὧν ἐγὼ οἶδα, ὅτε λέγοι τοὺς ἀκούοντας ὁμολογοῦντας παρεῖχε. ἔφη δὲ καὶ Ὅμηρον τῷ Ὀδυσσεῖ ἀναθεῖναι, τὸ ἀσφαλῆ ῥήτορα εἶναι, ὡς ἱκανὸν ὄντα διὰ τῶν δοκούντων τοῖς ἀνθρώποις ἄγειν τοὺς λόγους. ὅτι μὲν οὖν ἁπλῶς τὴν ἑαυτοῦ γνώμην ἀπεφαίνετο Σωκράτης, πρὸς τοὺς ὁμιλοῦντας αὐτῷ, δοκεῖ μοι δῆλον ἐκ τῶν εἰρημένων εἶναι. ὅτι δὲ καὶ αὐτάρκεις ἐν ταῖς προσηκούσαις πράξεσιν αὐτοὺς εἶναι ἐπεμελεῖτο, νῦν τοῦτο λέξω. πάντων μὲν γὰρ ὧν ἐγὼ οἶδα μάλιστα, ἔμελε δ' οἱ εἰδέναι, ὅτου τις ἐπιστήμων εἴη τῶν συνόντων αὐτῷ, ὧν δὲ προσήκει ἀνδρὶ καλῷ κἀγαθῷ εἰδέναι, ὅτι μὲν αὐτὸς εἰδείη, πάντων προθυμότατα ἐδίδασκεν. ὅτου δὲ αὐτὸς ἀπειρότερος εἴη, πρὸς τοὺς ἐπισταμένους ἦγεν αὐτούς. ἐδίδασκε δὲ καὶ μέχρι ὅτου δέοι ἔμπειρον εἶναι ἑκάστου πράγματος, τὸν ὀρθῶς πεπαιδευμένον. αὐτίκα γεωμετρίαν, μέχρι μὲν τούτου, ἔφη, δεῖν μανθάνειν, ἕως ἱκανός τις γένοιτο, εἴ ποτε δεήσειε γῆν μέτρῳ ὀρθῶς ἢ παραλαβεῖν, ἢ παραδοῦναι, ἢ διανεῖμαι, ἢ ἔργον ἀποδείξασθαι.

οὕτω

εἶναι δὲ τοῦτο ῥᾴδιον ἔφη μαθεῖν, ὥστε τὸν προσέχοντα τὸν νοῦν τῇ μετρήσει, ἅμα τήν τε γῆν ὁπόση ἐστὶν εἰδέναι, καὶ ὡς μετρεῖται ἐπιστάμενον ἀπιέναι. τὸ δὲ μέχρι τῶν δυσξυνέτων διαγραμμάτων, γεωμετρίαν μανθάνειν ἀπεδοκίμαζεν. ὅτι μὲν γὰρ ὠφελοίη ταῦτα, οὐκ ἔφη ὁρᾶν. καίτοι οὐκ ἄπειρός γε αὐτῶν ἦν. ἔφη δὲ ταῦτα ἱκανὰ εἶναι ἀνθρώπου βίον κατατρίβειν καὶ ἄλλων πολλῶν τε καὶ ὠφελίμων μαθημάτων ἀποκωλύειν. ἐκέλευε δὲ καὶ ἀστρολογίας ἐμπείρους γίγνεσθαι, καὶ ταύτης μέντοι μέχρι τοῦ νυκτός τε ὥραν, καὶ μηνὸς καὶ ἐνιαυτοῦ δύνασθαι γιγνώσκειν, ἕνεκα τοῦ πορείας τε καὶ πλοῦ, καὶ φυλακῆς, καὶ ὅσα ἄλλα ἢ νυκτὸς, ἢ μηνὸς, ἢ ἐνιαυτοῦ πράττεται, πρὸς ταῦτ᾽ ἔχειν τεκμηρίοις χρῆσθαι τὰς ὥρας τῶν εἰρημένων διαγιγνώσκοντα. καὶ ταῦτα δὲ ῥᾴδια εἶναι μαθεῖν, παρά τε νυκτοθηρῶν, καὶ κυβερνητῶν, καὶ ἄλλων πολλῶν, οἷς ἐπιμελὲς ταῦτα εἰδέναι. τὸ δὲ μέχρι τούτου ἀστρονομίαν μανθάνειν, μέχρι τοῦ καὶ τὰ μὴ ἐν τῇ αὐτῇ περιφορᾷ ὄντα καὶ τοὺς πλανήτας τε καὶ ἀσταθμήτους ἀστέρας γνῶναι, καὶ τὰς ἀποστάσεις αὐτῶν ἀπὸ τῆς γῆς, καὶ τὰς περιόδους, καὶ τὰς αἰτίας αὐτῶν ζητοῦντας κατατρίβεσθαι, ἰσχυρῶς ἀπέτρεπεν. ὠφέλειαν μὲν γὰρ οὐδεμίαν, οὐδ᾽ ἐν τούτοις ἔφη ὁρᾶν. καίτοι οὐδὲ τούτων γε ἀνήκοος ἦν. ἔφη δὲ καὶ ταῦτα ἱκανὰ εἶναι κατατρίβειν ἀνθρώπου βίον καὶ πολλῶν καὶ ὠφελίμων ἀποκωλύειν. ὅλως δὲ τῶν οὐρανίων ᾗ ἕκαστα ὁ θεὸς μηχανᾶται, φροντιστὴν γίγνεσθαι ἀπέτρεπεν. οὔτε γὰρ εὑρετὰ ἀνθρώποις αὐτὰ ἐνόμιζεν εἶναι, οὔτε χαρίζεσθαι θεοῖς ἂν ἡγεῖτο τὸν ζητοῦντα, ἃ ἐκεῖνοι σαφηνίσαι οὐκ ἐβουλήθησαν. κινδυνεῦσαι δ᾽ ἂν ἔφη, καὶ παραφρονῆσαι τὸν ταῦτα μεριμνῶντα, οὐδὲν ἧττον ἢ Ἀναξαγόρας παρεφρόνησεν, ὁ μέγιστον φρονήσας ἐπὶ τῷ τὰς τῶν θεῶν μηχανὰς ἐξηγεῖσθαι. ἐκεῖνος γὰρ λέγων μὲν τὸν αὐτὸν εἶναι πῦρ τε καὶ ἥλιον, ἠγνόει, ὡς τὸ μὲν πῦρ οἱ ἄνθρωποι ῥᾳδίως καθορῶσιν, εἰς δὲ τὸν ἥλιον οὐ δύνανται ἀντιβλέπειν, καὶ ὑπὸ μὲν τοῦ ἡλίου καταλαμπόμενοι, τὰ χρώματα μελάντερα ἔχουσιν, ὑπὸ δὲ τοῦ πυρὸς οὔ. ἠγνόει δὲ, ὅτι καὶ τῶν ἐκ τῆς γῆς φυομένων, ἄνευ μὲν ἡλίου αὐγῆς, οὐδὲν δύναται καλῶς αὔξεσθαι, ὑπὸ δὲ τοῦ πυρὸς θερμαινόμενα πάντα ἀπόλλυται. φάσκων δὲ τὸν ἥλιον λίθον διάπυρον εἶναι, καὶ τοῦτο ἠγνόει, ὅτι λίθος μὲν ἐν πυρὶ ὢν, οὔτε λάμπει, οὔτε πολὺν χρόνον ἀντέχει. ὁ δὲ ἥλιος τὸν πάντα χρόνον πάντων λαμπρότατος ὢν διαμένει. ἐκέλευε δὲ καὶ λογισμοὺς μανθάνειν. καὶ τούτων δὲ ὁμοίως τοῖς ἄλλοις ἐκέλευε φυλάττεσθαι τὴν μάταιον πραγματείαν. μέχρι δὲ τοῦ ὠφελίμου πάντα καὶ αὐτὸς συνεσκόπει, καὶ συνδιεξῄει τοῖς συνοῦσι. προέτρεπε δὲ σφόδρα, καὶ ὑγιείας ἐπιμελεῖσθαι τοὺς συνόντας, παρά τε τῶν εἰδότων μανθάνοντας, ὅσα ἐνδέχοιτο, καὶ ἑαυτῷ ἕκαστον προσέχοντα. διὰ παντὸς τοῦ βίου τί βρῶμα, ἢ τί πόμα, ἢ ποῖος πόνος συμφέροι αὐτῷ, καὶ πῶς τούτοις χρώμενος ὑγιεινότατα διάγοι. τοῦ γὰρ οὕτω προσέχοντος ἑαυτῷ, ἔργον ἔφη εἶναι εὑρεῖν ἰατρὸν, τὰ πρὸς ὑγίειαν συμφέροντα αὐτῷ μᾶλλον διαγιγνώσκοντα ἑαυτοῦ. εἰ δέ τις μᾶλλον, ἢ κατὰ τὴν ἀνθρωπίνην σοφίαν ὠφελεῖσθαι βούλοιτο, συνεβούλευε μαντικῆς ἐπιμελεῖσθαι. τὸν γὰρ εἰδότα δι᾽ ὧν οἱ θεοὶ τοῖς ἀνθρώποις περὶ τῶν πραγμάτων σημαίνου-

Hocq; tam esse facile cognitu, ut qui mentem intenderit, facile queat ex se assequi omnem agri dimetiendi rationem. Discere autem geometricas omnes illas difficiliores descriptiones improbabat. Quid enim ea prodessent, non se satis, etsi non esset earum ignarus, dicebat intelligere. Nanque haec & eiusmodi dicebat ad conterendam hominis uitam, atque ab alijs utilioribus rebus agendis, interpellandam ualere. Hortabatur etiam ut in astrologia peritiores fierent, quoad noctis, & mensis, & anni uolutiones satis dignoscerent: itinerum nauigationis, ac excubiarum gratia, ad eáue quae noctu, aut menstruis, aut annuis diebus fiant, discernendum. Atqui haec facile quidem addisci ab his, qui noctu feras aucupantur, aut nauigant, aut quoquam noctu exeunt. Ob id uero astronomiam discere, quo uagas errantésque stellas, earúmque à terra distantiam teneas: in earúmque progressibus & cursibus cognoscendis occupari dehortabatur. Nullam enim ex his existere hominibus utilitatem affirmabat, in quibus dignoscendis uita hominis inutiliter occupetur, à multisq; optimis alijs rebus distrahatur: atq; ut uno omnia complectar, coelestia omnia, & quae dij machinentur, scrutari dehortabatur. NEQVE ENIM HOMINIBVS FACILE EST EA ADINVENIRE: NEQVE DIIS EOS FACERE grata arbitrabatur, qui ea quaerant, quae ipsi dij in promptu & manifesta esse noluerunt. Quod si quis esset qui ea studiosius sectaretur, hunc non minus quàm Anaxagoram fore in periculo insaniendi, qui quidem quod nimium efferretur in orbis machinae dispositione explicanda, insaniuit. Ille enim asserens idem esse ignem atq; solem, ignorabat quàm ignem homines facile spectent, solem uero non facile queant intueri: & solis radijs homines colore fieri fusco, igne autem minime. Ignorabat & illud, quod quae ex terra oriantur, eorum nihil nisi à sole foueatur, queat adolescere: igne uero concalefacta omnia corrumpi. Asserens etiam solem lapidem ignitum esse, ignorabat lapidem quum in igne sit, neque collucere, neq; diu durare: Sol autem totis annis lucidior extat. Connumerandi quoq; artem hortabatur discere. Atqui cum in caeteris, tum & in hac admonebat, ne futilia ac non prorsus utilia prosequerentur. Omnia denique & disputabat, & cum familiaribus disquirebat, non ultra quàm ad uitae utilitatem. ADMONEBAT ITEM SVOS AVDITORES, VT MAGNAM HABERENT VALETVDINIS CVRAM, TVM A PERITIS DISCENDO QVAE COMMODA SINT, TVM ET TOTAM PER VITAM DE SE OBSERVANDO, QVIS POTVS, QVIS CIBVS, QVISVE labor conferat, quoque modo eis utendo syncere uiuat. Qui enim ipsum se ita obseruaret, difficile medicum quempiam reperturum, cui ea sint magis cognita. Si quis uero uelit maiora assequi, quam per hominis ingenium liceat, suadebat diuinationi sese dederet. Nã qui ea norit, per quae superi de reb. agẽdis homines certiores faciunt,

βέλτιστοι γίγνεσθαι. εἰ δὲ βιώσομαι πλείω χρόνον, ἴσως ἀναγκαῖον ἔσται τὰ τοῦ γήρως ἐπιτελεῖσθαι, καὶ ὁρᾶν τε καὶ ἀκούειν ἧττον, καὶ διανοεῖσθαι χεῖρον, καὶ δυσμαθέστερον καὶ ἐπιλησμονέστερον ἀποβαίνειν, καὶ ὧν πρότερον βελτίων ἦν, τούτων χείρω γίγνεσθαι. ἀλλὰ μὴν ταῦτά γε μὴ αἰσθανομένῳ μὲν, ἀβίωτος ἂν εἴη ὁ βίος, αἰσθανόμενον δὲ πῶς οὐκ ἀνάγκη χεῖρόν τε καὶ ἀηδέστερον ζῆν; ἀλλὰ μὴν εἴ γε ἀδίκως ἀποθανοῦμαι, τοῖς μὲν ἀδίκως ἐμὲ ἀποκτείνασιν, αἰσχρὸν ἂν εἴη τοῦτο. εἰ γὰρ τὸ ἀδικεῖν αἰσχρόν ἐστι, πῶς οὐκ αἰσχρὸν καὶ τὸ ἀδίκως ὁτιοῦν ποιεῖν; ἐμοὶ δὲ τί αἰσχρὸν τὸ ἑτέρους μὴ δύνασθαι περὶ ἐμοῦ τὰ δίκαια μήτε γνῶναι μήτε ποιῆσαι. ὁρῶ δ' ἔγωγε καὶ τὴν δόξαν τῶν προγεγονότων ἀνθρώπων, ἐν τοῖς ἐπιγινομένοις, οὐχ ὁμοίαν καταλειπομένην τῶν τε ἀδικησάντων καὶ τῶν ἀδικηθέντων. οἶδα δ' ὅτι καὶ ἐγὼ ἐπιμελείας τεύξομαι ὑπ' ἀνθρώπων. καὶ ἐὰν νῦν ἀποθάνω, οὐχ ὁμοίως τοῖς ἐμὲ ἀποκτείνασιν. οἶδα γὰρ ἀεὶ μαρτυρήσεσθαί μοι, ὅτι ἐγὼ ἠδίκησα μὲν οὐδένα πώποτε ἀνθρώπων, οὐδὲ χείρω ἐποίησα, βελτίους δὲ ποιεῖν ἐπειρώμην ἀεὶ τοὺς ἐμοὶ συνόντας. τοιαῦτα μὲν πρὸς Ἑρμογένην τε διελέχθη, καὶ πρὸς τοὺς ἄλλους. τῶν δὲ Σωκράτην γιγνωσκόντων οἷος ἦν, οἱ ἀρετῆς ἐφιέμενοι, πάντες ἔτι καὶ νῦν διατελοῦσι, πάντων μάλιστα ποθοῦντες ἐκεῖνον, ὡς ὠφελιμώτατον ὄντα πρὸς ἀρετῆς ἐπιμέλειαν. ἐμοὶ μὲν δὴ τοιοῦτος ὤν, οἷον ἐγὼ διήγημαι, εὐσεβὴς μὲν οὕτως, ὥστε μηδὲν ἄνευ τῆς τῶν θεῶν γνώμης ποιεῖν· δίκαιος δὲ, ὥστε βλάπτειν μὲν μηδὲ μικρὸν μηδένα, ὠφελεῖν δὲ τὰ μέγιστα τοὺς χρωμένους ἑαυτῷ· ἐγκρατὴς γὰρ, ὥστε μηδέποτε προαιρεῖσθαι τὸ ἥδιον ἀντὶ τοῦ βελτίονος· φρόνιμος δὲ ὥστε μὴ διαμαρτάνειν κρίνων τὰ βελτίω καὶ τὰ χείρω, μηδὲ ἄλλου προσδεῖσθαι, ἀλλὰ αὐτάρκης εἶναι, πρὸς τὴν τούτων γνῶσιν· ἱκανὸς δὲ καὶ λόγῳ εἰπεῖν τε καὶ διορίσασθαι τὰ τοιαῦτα· ἱκανὸς δὲ καὶ ἄλλους δοκιμάσαι τε καὶ ἁμαρτάνοντα ἐξελέγξαι, καὶ προτρέψασθαι ἐπ' ἀρετὴν καὶ καλοκαγαθίαν. ἐδόκει δὲ τοιοῦτος εἶναι, οἷος ἂν εἴη ἄριστός γε ἀνὴρ καὶ εὐδαιμονέστατος. εἰ δέ τῳ μὴ ἀρέσκει ταῦτα, παραβάλλων τὸ ἄλλων ἦθος πρὸς ταῦτα οὕτω κρινέτω.

quamoptimos fieri deputant. Quod si plus temporis uiuā, fortaßis et ea subeā necesse erit, quæ senū sunt, ut minus uideā, minus audiā, peiusq; intelligā, fiāq; ad discendū tardior & obliuiosior, & quib. erā melior, fiam deterior. Quæ omnia si nō sentiam, nō esset mihi uiuēdum: si sentiā, necesse est ut peius insuauiusq; uiuam. Præterea si iniuste moriar, illis qui me iniuste interemerint, erit facinus hoc turpitudini. Si enim cuiquā afferri iniuriā turpe est, quid ni erit 10 turpe etiam iniuste quicquā facere? Mihi uero quid turpe esset, dum alij de me neq; cognoscere, neq; facere ea uelint, quæ quidē iusta sint? Video etiam nō eandē apud maiores habitā, neq; eandē ad posteros deductā opinionē, de his qui iniusta fecerūt, atq; his qui iniusta paßi sunt. Tū & scio, quod etsi ipse nūc moriar, de me futura sit non eadem cura, atq; de his que me iniuste interemerint. Scio, de me illud attestabuntur: Socrates nulli unquam iniuriā intulit, nullū reddidit deteriorē, sed suos semper conatus est audi- 20 tores reddere meliores. Talia quidē cum Hermogene, cumq; alijs disputauit. Illi autem, qui Socratem qualis esset, cognoscebant, mirirū omnes qui uirtutem amplectebantur, ad hunc usq; diem illum egregie desiderant, tanquam ad uirtutis cultum utilißimum. Itaq; mihi quidem cum esset eiusmodi Socrates, qualem eum fuisse narraui, tam quidem pius, ut nihil non consultis dijs aggrederetur: tam iustus, ut ne minima quidem in re cuiquam esset noxius, ac prodesset multo his qui se uterentur: continens, ut 30 nunquā uoluptatem honestis anteferret: prudens, ut dijudicando melioraq; à peioribus secernendo nunquam aberraret, neq; alio extrinsecus adiumento ad horum cognitionē definitionemq; indigeret, sed sibi per se ad id satis sufficeret: cumq; plurimū posset in cæteris examinandis, peccantibusq; redarguendis, ac ad uirtutem & honestum hortandis, uisus talis quidem est, quem omnium optimum & felicißimum statuam. Quod si cui nostra hæc non satis probentur, Socratis ad cæteros 40 homines cōparatione rem ipsam dijudicet.

RAPHAEL VOLATERRANVS TITAE MINVTIAE SALVTEM.

Economicum Xenophontis olim à Cicerone conuersum, uti plane Columella & noster Hieronymus indicant, si ab iniuria [illegible] uindicasset, meo rursus labori cōsuluisset. in quo cum ego uelut ignobilia resqua campo feracißimo successerim, ita sum conatus in eo uertendo, ut le[illegible]torum potius utilitati, q̃ propriæ studerem ambitioni. Nam cum res tota in dialogo sit, ac more Platonis ambagibus & periodis distrahatur, sic me accommodaui, ut cum nihil ex eo sententiarum desideretur, uerborum haudquaquam magnopere pertinentium nonnihil præterirem: inter quæ illa sunt, inquam, & inquit, mulier te; etiam, Ciceroni etiam, ut palam est, uitata: quæ ut nostris fastidium, sic Atticis gratiam pariunt & leporē. Hunc igitur, mea Minutia, tibi dedi[illegible], quæ nunc in Thuscis rem curas communem: ut mulierem fortem, quam sacræ concinnant literæ, ex hoc libello diligentius agas. Et quanquam ætas tam fera farcinulas colligere, tum ex tumultu receptui canere, ad excolendam maximam nostri partem expostulat, matronæ tamen prudentis officium ex huius etiā præceptis philosophi ab re nō fuerit, non tam tibi q̃ alijs [illegible] nostræ præterium [illegible], ut & ipsa si generum nobis, qualem optare fas est, deus obtulerit, possit ex æquo cum uiro [illegible] reliqua [illegible] autem diuinior et uia cœlitus ostendatur, hæc nihilominus nosse inter animi bona collocare.

XENOPHONTIS OECONOMICVS, RAPHAELE VOLATERRANO INTERPRETE.

SOCRATES, CRITOBVLVS, ISCHOMACHVS.

AVDIVI Socratem de œconomia quandoq; talia disserentem: Dic, inquit, ô Critobule, œconomiáne scientiæ nomen sit, ueluti medicina, aut æraria, seu etiam architectura? CRI. Mihi profecto uidetur. SOC. An ne ut harum artium, sic œconomiæ officium esse aliquod dicere possumus? CRI. Sane. Nam & œconomi boni esse puto, bene regere propriam domum. SOC. Quid si alienam curet, an non uti suam curabit recte? & quemadmodum architecturæ sciens æque alijs atq; sibi artem exercebit, eadem ratione & œconomus? CRITOB. Mihi quoque uidetur. SOCRAT. Igitur huiuscemodi artis peritus, si nequaquam contingat eum esse diuitem, haud aliter alienam poterit regere domum, quàm qui mercede ædificat? CRITO. Vt ais. Et mercedem profecto feret admodum magnam, qui circa id omnia diligenter administret, rem augendo alienam. SOCRAT. Sed quæso, domum quidnam putas esse? an quæ tantum intra sint, seu etiam extra illam, quæcunque usquam possidemus, eius erunt rationis? CRITOB. Nempe ita est: & si nihil in eadem ciuitate habuerit, quæuis, aut ubiuis possessa ad domum pertinebunt. SOCRAT. Ergo & inimicos possidebunt aliqui. CRITOB. Certe, & plurimos nonnulli. SOCRAT. An inimici inter possessiones computandi? CRITOB. Ridiculum si quis auxerit inimicos, insuper ea de causa mercedem ferat. SOCRATES. Neque mirum: nam & nobis ab initio uidebatur haud aliud esse domus, quàm possessio. CRITOBVLVS. Sane. Sed bonum si quis non malum possederit. SOCRATES. Videris ergo possessionem, quod cuique sit utile appellare. CRITOBVLVS. Equidem. Nanque damnum potius quàm opes, quod officit existimo. SOCRATES. Num qui equum mercabitur utilitatis gratia, qui forte exciderit, inter opes equum putabit? CRITOBVLVS. Minime. Si bonum est, opes. SOCRATES. Neque terra cultori hoc modo inter utilia, qui damnum in ea fecerit. CRITOBVLVS. Profecto sic est: cum terra, quæ alere debuerat, affligit. SOCRATES. Neque item oues, si quis uti nesciat, opes erunt. CRITOBVLVS. Sane. SOCRATES. Vt uideris, quæ tantum iuuant, non quæ nocent, opes esse asseueras. CRITOBVLVS. Nempe. SOCRATES. Omnia igitur hæc, si quis uti sciuerit, opes erunt: nescientibus nequaquàm: haud aliter quàm tibiæ earum usus ignaro, quæ ueluti lapides inutiles possidenti fuerint, nisi eas inflauerit. CRITOB. Ego quoq; idem sentio, tibias

ΞΕΝΟΦΩΝΤΟΣ ΡΗΤΟΡΟΣ ΟΙΚΟΝΟΜΙΚΟΣ ΛΟΓΟΣ.

ΗΚΟΥΣΑ δὲ αὐτοῦ καὶ περὶ οἰκονομίας τοιάδε διαλεγομένου· εἰπέ μοι, ἔφη, ὦ Κριτόβουλε, ἆρά γε ἡ οἰκονομία ἐπιστήμης τινὸς ὄνομά ἐστιν, ὥσπερ ἡ ἰατρικὴ, καὶ χαλκευτικὴ, καὶ ἡ τεκτονική; ἔμοιγε δοκεῖ, ἔφη ὁ Κριτόβουλος. ἦ καὶ ὥσπερ τούτων τῶν τεχνῶν ἔχοιμεν ἂν εἰπεῖν ὅτι ἔργον ἑκάστης, οὕτω καὶ τῆς οἰκονομίας δυναίμεθ' ἂν εἰπεῖν ὅτι ἔργον αὐτῆς ἐστι; δοκεῖ γοῦν, ἔφη ὁ Κριτόβουλος, οἰκονόμου ἀγαθοῦ εἶναι εὖ οἰκεῖν τὸν ἑαυτοῦ οἶκον. ἦ καὶ τὸν ἄλλου δὲ οἶκον, ἔφη ὁ Σωκράτης, εἰ ἐπιτρέποι τις αὐτῷ, οὐκ ἂν δύναιτο εἰ βούλοιτο εὖ οἰκεῖν, ὥσπερ καὶ τὸν ἑαυτοῦ; ὁ μὲν γὰρ τεκτονικὴν ἐπιστάμενος, ὁμοίως ἂν καὶ ἄλλῳ δύναιτο ἐργάζεσθαι, ὅ,τι περ καὶ ἑαυτῷ, καὶ οἰκονομικός γ' ἂν ὡσαύτως; ἔμοιγε δοκεῖ, ὦ Σώκρατες. ἔστιν ἄρα, ἔφη ὁ Σωκράτης, τὴν τέχνην ταύτην ἐπισταμένῳ, καὶ εἰ μὴ αὐτὸς τύχοι χρήματα ἔχων, τὸν ἄλλου οἶκον οἰκονομοῦντα, ὥσπερ καὶ οἰκοδομοῦντα μισθοφορεῖν; νὴ Δία καὶ πολύν γε μισθὸν, ἔφη ὁ Κριτόβουλος, φέροιτ' ἂν εἰ δύναιτο οἶκον παραλαβὼν τελεῖν τε ὅσα δεῖ, καὶ περιουσίαν ποιῶν αὔξειν τὸν οἶκον. οἶκος δέ τι δοκεῖ ἡμῖν εἶναι; ἆρα ὅπερ οἰκία, ἢ καὶ ὅσα τις ἔξω τῆς οἰκίας ἐκέκτητο, πάντα τοῦ οἴκου ταῦτά ἐστιν; ἔμοιγ' οὖν, ἔφη ὁ Κριτόβουλος, δοκεῖ, καὶ εἰ μηδ' ἐν τῇ αὐτῇ πόλει εἴη τῷ κεκτημένῳ, πάντα τοῦ οἴκου εἶναι, ὅσα τις κέκτηται. οὐκοῦν καὶ ἐχθροὺς κέκτηνταί τινες; νὴ Δία καὶ πολλούς γε ἔνιοι. ἦ καὶ κτήματα αὐτῶν φήσομεν εἶναι τοὺς ἐχθρούς; γελοῖον μέντ' ἂν εἴη, ἔφη ὁ Κριτόβουλος, εἰ ὁ τοὺς ἐχθροὺς αὔξων, προσέτι καὶ μισθὸν τούτου φέροι. ὅτι δὲ ἡμῖν ἐδόκει οἶκος ἀνδρὸς εἶναι ὅπερ κτῆσις. νὴ Δί', ἔφη ὁ Κριτόβουλος· ὅ,τι γέ τις ἀγαθὸν κέκτηται. οὐ μὰ Δί' οὐκ εἴ τι κακὸν, κτῆμα ἐγὼ τοῦτο καλῶ. σὺ ἔοικας τὰ ἑκάστῳ ὠφέλιμα, κτήματα καλεῖν. πάνυ μὲν οὖν ἔφη. τὰ δέ γε βλάπτοντα, ζημίαν ἔγωγε μᾶλλον νομίζω ἢ χρήματα. κἂν ἄρα γέ τις ἵππον πριάμενος, μὴ ἐπίσταιτο αὐτῷ χρῆσθαι, ἀλλὰ καταπίπτων ἀπ' αὐτοῦ κακὰ λαμβάνῃ, οὐ χρήματα αὐτῷ ἐστιν ὁ ἵππος; οὐκ εἴπερ τὰ χρήματά ἐστιν ἀγαθόν. οὐδ' ἄρα γε ἡ γῆ ἀνθρώπῳ ἐστὶ χρήματα, ὅστις οὕτως ἐργάζεται αὐτὴν, ὥστε ζημιοῦσθαι ἐργαζόμενος; οὐδὲ ἡ γῆ μέντοι χρήματά ἐστιν, εἴπερ ἀντὶ τοῦ τρέφειν πεινῆν παρασκευάζει. οὐκοῦν καὶ τὰ πρόβατα ὡσαύτως, εἴ τις διὰ τὸ μὴ ἐπίστασθαι προβάτοις χρῆσθαι ζημιοῖτο, οὐδὲ τὰ πρόβατα χρήματα τούτῳ εἴη ἄν. οὐκοῦν ἔμοιγε δοκεῖ. σὺ ἄρα ὡς ἔοικε μὲν ὠφελοῦντα χρήματα ἡγῇ, τὰ δὲ βλάπτοντα οὐ χρήματα. οὕτως. ταῦτα ἄρα ὄντα τῷ μὲν ἐπισταμένῳ χρῆσθαι αὐτῶν ἑκάστοις χρήματά ἐστι· τῷ δὲ μὴ ἐπισταμένῳ, οὐ χρήματα. ὥσπερ γε αὐλοὶ τῷ μὲν ἐπισταμένῳ ἀξίως λόγου αὐλεῖν, χρήματά εἰσι· τῷ δὲ μὴ ἐπισταμένῳ οὐδὲν μᾶλλον ἢ ἄχρηστοι λίθοι, εἰ μὴ ἀποδιδοῖτό γε αὐτούς. τοῦτ' οὖν φαίνεται ἡμῖν ἀποδιδομένοις μὲν οἱ αὐλοὶ, χρήματα· μὴ ἀποδιδομένοις δὲ, ἀλλὰ κεκτημένοις οὐ, τοῖς ἐπισταμένοις αὐτοῖς χρῆσθαι. καὶ ὁμολογουμένως γε, ὦ Σώκρατες, ὁ λόγος

λόγος ἡμῖν χωρεῖ, ἐπείπερ ἄρχεται τὰ ὠφελοῦντα χρήματα εἶναι. μὴ πωλούμενοι γὰρ, οὐ χρήματά εἰσιν οἱ αὐλοί. οὐδὲ γὰρ χρήσιμοί εἰσι· πωλούμενοι δὲ, χρήματα. πρὸς ταῦτα δ' ὁ σωκράτης εἶπεν, ἢν ἐπίστηταί γε πωλεῖν. εἰ δὲ πωλοίη αὖ πρὸς τοῦτο, ὃ μὴ ἐπίσταται χρῆσθαι, οὐδὲ πωλούμενοι εἰσὶ χρήματα κατά γε τὸν σὸν λόγον. λέγειν ἔοικας, ὦ σώκρατες, ὅτι οὐδὲ τὸ ἀργύριόν ἐστι χρήματα, εἰ μή τις ἐπίσταιτο χρῆσθαι αὐτῷ. καὶ σὺ δέ μοι δοκεῖς οὕτω συνωμολογεῖν, ἀφ' ὧν τις ὠφελεῖσθαι δύναται, χρήματα εἶναι. εἰ γοῦν τις χρῷτο τῷ ἀργυρίῳ, ὥστε πριάμενος οἷον ἑταίραν, διὰ ταύτην κάκιον μὲν τὸ σῶμα ἔχοι, κάκιον δὲ τὴν ψυχήν, κάκιον δὲ τὸν οἶκον, πῶς ἂν ἔτι τὸ ἀργύριον αὐτῷ ὠφέλιμον εἴη; οὐδαμῶς. εἰ μήπερ γε καὶ τὸν ὑοσκύαμον καλούμενον χρήματα εἶναι φήσομεν, ὑφ' οὗ οἱ φαγόντες παραπλῆγες γίνονται. τὸ μὲν δὴ ἀργύριον, εἰ μή τις ἐπίσταιτο αὐτῷ χρῆσθαι, οὕτω πόρρω ἀπωθείσθω, ὦ κριτόβουλε, ὥστε μηδὲ χρήματα εἶναι. οἱ δὲ φίλοι, ἤν τις ἐπίσταιτο αὐτοῖς χρῆσθαι, ὥστε ὠφελεῖσθαι ἀπ' αὐτῶν, τί φήσομεν αὐτοὺς εἶναι; χρήματα νὴ δί', ἔφη ὁ κριτόβουλος, καὶ πολύ γε μᾶλλον ἢ τοὺς βοῦς, ἢν ὠφελιμώτεροί γε ὦσι τῶν βοῶν. καὶ οἱ ἐχθροί ἄρα κατά γε τὸν σὸν λόγον χρήματά εἰσι τῷ δυναμένῳ ἀπὸ τῶν ἐχθρῶν ὠφελεῖσθαι. ἐμοὶ γοῦν δοκεῖ. οἰκονόμου ἄρα ἐστὶν ἀγαθοῦ, καὶ τοῖς ἐχθροῖς ἐπίστασθαι χρῆσθαι, ὥστε ὠφελεῖσθαι ἀπὸ τῶν ἐχθρῶν; ἰσχυρότατά γε. καὶ γὰρ δὴ ὁρᾷς, ἔφη, ὦ κριτόβουλε, ὅσοι μὲν δὴ οἶκοι ἰδιωτῶν εἰσιν ηὐξημένοι ἀπὸ πολέμου, ὅσοι δὲ ἀπὸ τυραννιδῶν. ἀλλὰ τὰ μὲν καλῶς ἔμοιγε δοκεῖ λέγεσθαι, ὦ σώκρατες, ἔφη ὁ κριτόβουλος. ἐκεῖνο δ' ἡμῖν τί φαίνεται, ὁπόταν ὁρῶμεν τινὰς ἐπιστήμας μὲν ἔχοντας καὶ ἀφορμὰς, ἀφ' ὧν δύνανται ἐργαζόμενοι αὔξειν τοὺς οἴκους, αἰσθανώμεθα δὲ αὐτοὺς ταῦτα μὴ θέλοντας ποιεῖν, καὶ διὰ τοῦτο ὁρῶμεν ἀνωφελεῖς οὔσας αὐτοῖς τὰς ἐπιστήμας. ἄλλο τι ἢ τούτοις αὖ, οὔτε αἱ ἐπιστῆμαι χρήματά εἰσιν οὔτε τὰ κτήματα. περὶ δούλων μοι, ἔφη ὁ σωκράτης, ἐπιχειρεῖς, ὦ κριτόβουλε, διαλέγεσθαι; οὐ μὰ δί', ἔφη, οὐκ ἔγωγε. ἀλλὰ καὶ πάνυ εὐπατριδῶν ἐνίων γε δοκούντων εἶναι, οὓς ἐγὼ ὁρῶ τοὺς μὲν πολεμικὰς, τοὺς δὲ καὶ εἰρηνικὰς ἐπιστήμας ἔχοντας, ταύτας δ' οὐκ ἐθέλοντας ἐργάζεσθαι, ὡς μὲν ἐγὼ οἶμαι, δι' αὐτὸ τοῦτο ὅτι δεσπότας οὐκ ἔχουσιν. καὶ πῶς ἂν, ἔφη ὁ σωκράτης, δεσπότας οὐκ ἔχοιεν, εἰ εὐχόμενοι εὐδαιμονεῖν καὶ ποιεῖν βουλόμενοι, ἀφ' ὧν ἔχοιεν ἀγαθὰ, ἔπειτα κωλύονται ποιεῖν ταῦτα ὑπὸ τῶν ἀρχόντων; καὶ τίνες δὴ, ἔφη, εἰσὶν οὗτοι, ὦ κριτόβουλε, οἱ ἀφανεῖς ὄντες ἄρχουσιν αὐτῶν; ἀλλὰ μὰ δί', ἔφη ὁ σωκράτης, οὐκ ἀφανεῖς εἰσιν, ἀλλὰ καὶ πάνυ φανεροί. καὶ ὅτι πονηρότατοί γε εἰσὶν, οὐδὲ σὲ λανθάνουσιν, εἴπερ πονηρίαν γε νομίζεις ἀργίαν τ' εἶναι καὶ μαλακίαν ψυχῆς καὶ ἀμέλειαν. καὶ ἄλλαι δ' εἰσὶν ἀπατηλαί τινες δέσποιναι προσποιούμεναι ἡδοναὶ εἶναι, κυβεῖαί τε καὶ ἀνωφελεῖς ἀνθρώπων ὁμιλίαι, αἳ προϊόντος τοῦ χρόνου καὶ αὐτοῖς τοῖς ἐξαπατηθεῖσι καταφανεῖς γίνονται, ὅτι λῦπαι ἄρα εἰσὶν ἡδοναῖς περιπεπλεγμέναι, αἳ διακωλύουσιν αὐτοὺς ἀπὸ τῶν ὠφελίμων ἔργων κρατοῦσαι. ἀλλὰ καὶ ἄλλο, ἔφη ὁ σωκράτης, ἐργάζεσθαι μὲν οὐ κωλύονται ὑπὸ τούτων, ἀλλὰ καὶ πάνυ σφοδρῶς πρὸς τὸ ἐργάζεσθαι ἔχουσι, καὶ μηχανᾶσθαι προσόδους. ὅμως

δὲ

tibias tantum poßidentibus, neq; inflantibus, aut eas uenundantibus, non esse inter opes: ex inflatis uero, & diuenditis, secus euenire. SOCRATES. Si quis tamen uendere sciuerit: si autem ignorauerit, neq; uenditæ inter utilia, ut paulo ante dicebas, censeri debent? CRITOBVLVS. Plane id uideris insinuare, ut neque argentum utile sit nescientibus uti. SOCRAT. Nempe secundum tuam rationem, opes hæ tantum, unde quis proficit, existimandæ. Si quis igitur argento hoc modo utatur, ut scortum emat, cuius gratia corpus pariter & animũ, domũ quoq; ipsam pessundet, quonam modo huic argentum fuerit utile? CRI. Nequaquam. Nisi forte hyoscyamum utile putauerimus, quo uescentes attoniti fiunt. SOCRATES. Pecunia ergo, nisi bene utamur, procul habenda est. De amicis uero quid sentis? Inter præcipua eos censeo commemorandos, uel bubus potiora, quippe cum utiliores sint, modo his etiam utamur recte. CRITOBVLVS. Et inimici quoque ista ratione, si quis ex his utilitatem ceperit, inter opes adnumerandi. SOCR. Ita prorsus uidetur. CRI. Putásne legitime fieri posse, ut ita cum inimicis agatur, ut ex eis aliquid iuuari poßimus? SOCRAT. Omnino. Etenim Critobule uidere licet multas priuatorum domus ob bellum auctas, multas ob tyrannidem. CRI. Hæc mihi pulchre narrari uidentur Sed et illud sæpius apparet, quod uidere licet nonnullos quibusdam præditos artibus, unde domus augendæ facile occasionem habere possent, si uelint, in eisdem se minime exercere. Quare neq; possesionẽ, neque utile quicquam eos obtinere opinabimur. SO. De seruis nunc adeo mihi uideris dicere. CRI. Nequiquam: sed de quibusdã qui orti bono genere uidentur, quos ego & bellicis et ciuilibus uirtutib. idoneos animaduerto, quas tamen exercere nolint, haud alia puto de causa, q̃ ut dominos non habeant. SO. Quonam modo non habeãt dominos, si & ipsi felicitatem, eaq; scelerati cupientes, unde sperent eis bona prouenire, a dominantibus tamen prohibentur? CRI. Quosdam forsasse dicis, qui suis ignoti dominis sunt. SO. At profecto magnopere clari, ydemq; flagitiosi, qui te minime latẽt, si flagitium putas ocium: mollitiem animi, negligentiam: adde his aleã, inutiles sodalitates, aliaq; huiuscemodi, quæ tanquã domini specie uoluptatis decipiunt. Temporis spacio demũ deceptis, non quidem uoluptates esse, sed dolores apparent, quæ prohibent illos in actionibus utilibus uersari. Alij uero nonnulli minime ab his prohibentur, quin potius solertes in agendo sunt, operamq; dant res parandæ, ac ut reddit9 plures consequantur. Verum

cupiditã

Voluptates domini sunt hostibus peiores

cupiditatibus ac libidinibus deditis domos labefactant. Horum igitur alij quidem serui sunt gulæ, alij luxuriæ, nonnulli temulentiæ, quidam etiam stultæ cuiusdam ambitionis: aut impensè ita ijs addicti, ita tenentur ab eis, donec florente ætate sint, uti lésque rebus agendis: cum uero non amplius utiles, statim ab eis deseruntur, séq; deceptos esse sentiunt, cum ad senectutem tristem ac miseram perueniunt imbecilli. 10 Quare aduersus ea, ô Critobule, non minus quàm contra inimicos in bello pro libertate pugnandum: quippe cum illi quandoque iustiores inueniantur, captos à se & modeste sæpe uiuere cogunt, & libertate sinunt uti. At huiuscemodi desinere nesciunt: unáque corpus, animúmque, ac domum eorum quos possident, usque ad extremum inquinant. CRITOBVLVS. Iandudum satis de 20 his à te audio Socrates, quorum memet uestigans abstinentem adeo comperio, ut si me quoduis honeste augendæ rei gratia præcipias agere, nihilo secius ab his quos tu dominos uocitas impediar. Sed age, consule quod optimum censes, uidemur ne ambo tibi satis diuites nihilo præterea egere? SOCRATES. Minime. Ego quidem, si de me loquaris, minime, inquam, uideor egere, dum 30 mihi quod habeo sat est. Tu uero contra uisus Critobule: quapropter ualde me miseret tui. Ridens Critobulus: Dic, inquit, ô Socrates, quanti nam putas tua uenirent? SOCRATES. Ego quidem existimauerim, bonum nactus emptorem, mea omnia cum ipsa domo quinque tantùm minas. Tua uero mihi satis exploratum plus centies illis uenire posse. CRITOBVLVS. Cum 40 hoc noueris, te non ais egere? mei autem te miseret? SOCRATES. Quid mirum? cum hæc tantula mihi sint satis: tuæ uero dignitati, uiuendíq; instituto, uel si ter tantum adieceris, minime sufficientia concesserim. CRITOBVLVS. Quonam modo? SOCRATES. Primum quidem puto te multa ac magna dijs sacrificare oportere, qui partes tuas tueantur. Deinde hospites plurimos magnifice exci- 50 pere: tum ciues ad prandium inuitare, hosq; beneficijs demereri, si te suffragijs & fautoribus uacuum esse non cupis. Audio quoque ciuitatem iandudum tibi equorum, ludorum, præterea gymnasiarcharum & præfecturarum, & si bellum ingruerit Trierarcharum sumptus uix tibi tolerabiles imperantem, quibus si paulo minus suppeditabis, haud aliter ab Atheniensibus quàm publica expilasse

δὲ καὶ τοὺς οἴκους κατατρίβουσι καὶ ἀμηχανίᾳ συνέχονται. δοῦλοι γάρ εἰσι καὶ οὗτοι, ἔφη ὁ σωκράτης, καὶ πάνυ χαλεπῶν δεσποτῶν· οἱ μὲν λιχνειῶν· οἱ δὲ λαγνειῶν· οἱ δὲ οἰνοφλυγιῶν· οἱ δὲ φιλοτιμιῶν τινων μωρῶν καὶ δαπανηρῶν, ἃ οὕτω χαλεπῶς ἄρχει τῶν ἀνθρώπων ὧν ἂν ἐπικρατήσωσιν, ὥσθ' ἕως μὲν ἂν ὁρῶσιν ἡβῶντας αὐτοὺς καὶ δυναμένους ἐργάζεσθαι, ἀναγκάζουσι φέρειν, ἃ ἂν αὐτοὶ ἐργάσωνται, καὶ τελεῖν εἰς τὰς αὐτῶν ἐπιθυμίας. ἐπειδὰν 10 δὲ αὐτοὺς ἀδυνάτους αἴσθωνται ὄντας ἐργάζεσθαι διὰ τὸ γῆρας, ἀπολείπουσι τούτους κακῶς γηράσκειν. ἄλλοις δὲ αὖ πειρῶνται δούλοις χρῆσθαι. ἀλλὰ δεῖ, ὦ κριτόβουλε, πρὸς ταῦτα οὐχ ἧσσον διαμάχεσθαι περὶ τῆς ἐλευθερίας, ἢ πρὸς τοὺς σὺν ὅπλοις πειρωμένους καταδουλοῦσθαι. πολέμιοι μὲν οὖν ἤδη ὅταν πολλοὶ καλοὶ κἀγαθοὶ ὄντες καταδουλώσωνταί τινας, πολλοὺς δὴ βελτίους ἠνάγκασαν εἶναι σωφρονίσαντας, καὶ ῥᾷον βιοτεύειν τὸν λοιπὸν χρόνον ἐποίησαν. αἱ δὲ τοιαῦται δέσποιναι αἰκιζόμεναι τὰ σώματα τῶν ἀνθρώπων, καὶ τὰς ψυχὰς καὶ τοὺς οἴκους, οὔποτε 20 λήγουσιν, ἔστ' ἂν ἄρχωσιν αὐτῶν. ὁ οὖν κριτόβουλος ἐκ τούτων, ὧδέ πως εἶπεν· ἀλλὰ περὶ μὲν τῶν τοιούτων ἀρκούντως πάνυ μοι δοκῶ τὰ λεγόμενα ὑπὸ σοῦ ἀκηκοέναι. αὐτὸς δ' ἐμαυτὸν ἐχετάζων, δοκῶ μοι εὑρίσκειν ἐπιεικῶς τῶν τοιούτων ἐγκρατῆ ὄντα, ὥστ' εἴ μοι συμβουλεύοις ὅ, τι ἂν ποιῶν αὔξοιμι τὸν οἶκον, οὐκ ἄν μοι δοκῶ ὑπό γε τούτων ὧν σὺ δεσποινῶν καλεῖς κωλύεσθαι. ἀλλὰ θαρρῶν συμβούλευε ὅ, τι ἔχεις ἀγαθόν. ἢ κατέγνωκας ἡμῶν, ὦ σώκρατες, ἱκανῶς πλουτεῖν, καὶ οὐδὲν δοκοῦμεν σοι προσδεῖσθαι χρημάτων; οὔκουν ἔγωγ', ἔφη ὁ 30 σωκράτης, εἰ καὶ περὶ ἐμοῦ λέγεις, οὐδέν μοι δοκῶ προσδεῖσθαι χρημάτων, ἀλλ' ἱκανῶς πλουτεῖν. σὺ μέντοι μοι, ὦ κριτόβουλε, πάνυ μοι δοκεῖς πένεσθαι. καὶ ναὶ μὰ δί' ἔστιν ὅτε καὶ πάνυ οἰκτείρω σε ἐγώ. καὶ ὁ κριτόβουλος γελάσας εἶπε· καὶ πόσον ἂν πρὸς τῶν θεῶν οἴει, ὦ σώκρατες, ἔφη, εὑρεῖν τὰ σὰ κτήματα πωλούμενα, πόσον δὲ τὰ ἐμά; ἐγὼ μὲν οἶμαι, ἔφη ὁ σωκράτης, εἰ ἀγαθοῦ ὠνητοῦ ἐπιτύχοιμι, εὑρεῖν ἄν μοι σὺν τῇ οἰκίᾳ καὶ τὰ ὄντα πάνυ 40 ῥᾳδίως πέντε μνᾶς. τὰ μέντοι σὰ ἀκριβῶς οἶδα, ὅτι πλέον ἂν εὕροι ἢ ἑκατονταπλασίονα τούτου. κἄτα οὕτως ἐγνωκὼς, σὺ μὲν οὐχ ἡγῇ προσδεῖσθαι χρημάτων, ἐμὲ δὲ οἰκτείρεις ἐπὶ τῇ πενίᾳ; τὰ μὲν γὰρ ἐμά, ἔφη, ἱκανά ἐστιν ἐμοὶ παρέχειν, τὰ ἐμοὶ ἀρκοῦντα. εἰς δὲ τὸ σὸν σχῆμα ὃ σὺ περιβέβλησαι καὶ τὴν σὴν δόξαν, οὐδ' εἰ τρὶς ὅσα νῦν κέκτησαι προσγένοιτό σοι, οὐδ' ὡς ἱκανά μοι δοκεῖ εἶναί σοι. πῶς δὴ τοῦτ', ἔφη ὁ κριτόβουλος. ἀπεφήνατο ὁ σωκράτης, ὅτι πρῶτον μὲν ὁρῶ σοι ἀνάγκην οὖσαν, θύειν πολλά τε καὶ μεγάλα, ἢ οὔτε θεοὺς οὔτε ἀνθρώπους οἶμαί σε 50 ἂν ἀνασχέσθαι. ἔπειτα ξένους προσήκει σοι πολλοὺς δέχεσθαι, καὶ τούτους μεγαλοπρεπῶς. ἔπειτα δὲ πολίτας δειπνίζειν καὶ εὖ ποιεῖν, ἢ ἔρημον συμμάχων εἶναι. ἔτι δὲ καὶ τὴν πόλιν αἰσθάνομαι, τὰ μὲν ἤδη σοι προστάττουσαν μεγάλα τελεῖν. ἱπποτροφίας τε καὶ χορηγίας, καὶ γυμνασιαρχίας καὶ προστατείας. ἢν δὲ δὴ πόλεμος γένηται, οἶδα ὅτι καὶ τριηραρχίας μισθοὺς καὶ εἰσφορὰς τοσαύτας σοι προστάξουσιν, ὅσας σὺ οὐ ῥᾳδίως ὑποίσεις. ὅπου δ' ἂν ἐνδεῶς δόξῃς τι τούτων ποιεῖν, οἶδ' ὅτι σε τιμωρήσονται ἀθηναῖοι οὐδὲν ἧττον, ἢ εἰ τὰ αὐτῶν λάβοιεν κλέπτοντα.

πλοῦντα. πρὸς δὲ τούτοις ὁρῶ σε οἰόμενον πλουτεῖν, καὶ
ἀμελῶς μὲν ἔχοντα πρὸς τὸ μηχανᾶσθαι χρήματα, παι-
δικοῖς δὲ πράγμασι προσέχοντα τὸν νοῦν, ὥσπερ ἐξόν
σοι. ὧν ἕνεκα οἰκτείρω σε, μή τι ἀνήκεστον κακὸν πάθῃς,
καὶ εἰς πολλὴν ἀπορίαν καταστῇς. καὶ ἐμοὶ μὲν εἴ τι καὶ
προσδεηθείην, οἶδ' ὅτι καὶ σὺ γιγνώσκεις ὡς εἰσὶν οἳ καὶ
ἐπαρκέσειαν ὥστε πάνυ μικρὰ πορίσαντες, κατακλύ-
σειαν ἂν ἀφθονίᾳ τὴν ἐμὴν δίαιταν. οἱ δὲ σοὶ φίλοι πο-
λὺ ἀρκοῦντα σοῦ μᾶλλον ἔχοντες τῇ ἑαυτῶν κατασκευῇ,
ἢ σὺ τῇ σῇ, ὅμως παρὰ σοῦ ὠφελησόμενοι ἀποβλέπουσι.
καὶ ὁ Κριτόβουλος εἶπεν· ἐγὼ τούτοις, ὦ Σώκρατες, οὐκ
ἔχω ἀντιλέγειν. ἀλλ' ὥρα σοι προστατεύειν ἐμοῦ, ὅπως
μὴ τῷ ὄντι οἰκτρὸς γένωμαι. ἀκούσας οὖν ὁ Σωκράτης,
εἶπε· καὶ οὐ θαυμαστὸν δοκεῖς, ὦ Κριτόβουλε, σαυ-
τῷ ποιεῖν; ὅτι ὀλίγον μὲν πρόσθεν ὅτε ἐγὼ ἔφην πλου-
τεῖν, ἐγέλασας ἐπ' ἐμοί, καὶ οὐδὲ εἰδότι ὅ, τι εἴη πλοῦ-
τος, καὶ πρότερον οὐκ ἐπαύσω πρὶν ἐξήλεγξάς με, καὶ
ὁμολογεῖν ἐποίησας, μὴ δὲ ἑκατοστὸν μέρος τῶν σῶν κε-
κτῆσθαι. νῦν δὲ κελεύεις με προστατεύειν σοῦ, καὶ ἐπιμε-
λεῖσθαι ὅπως ἂν μὴ παντάπασιν ἀληθῶς πένης γένοιο.
ὁρῶ γάρ σε, ἔφη, ὦ Σώκρατες, ἕν τι πλουτηρὸν ἔργον ἐπι-
στάμενον περιουσίαν ποιεῖν. τὸν οὖν ἀπ' ὀλίγων περι-
ποιοῦντα ἐλπίζω ἀπὸ πολλῶν γ' ἂν πάνυ ῥᾳδίως πολ-
λὴν περιουσίαν ποιῆσαι. οὐκοῦν μέμνησαι ἀρτίως ἐν τῷ
λόγῳ, ὅτε οὐδ' ἀναγρύζειν μοι ἐξουσίαν ἐποίησας, λέ-
γων, ὅτι τῷ μὴ ἐπισταμένῳ ἵπποις χρῆσθαι, οὐκ εἴη χρήμα-
τα οἱ ἵπποι, οὐδὲ ἡ γῆ, οὐδὲ τὰ πρόβατα, οὐδὲ ἀργύριον,
οὐδὲ ἄλλο οὐδὲν, ὅτῳ τις μὴ ἐπίσταιτο χρῆσθαι. εἰσὶ μὲν
οὖν αἱ πρόσοδοι ἀπὸ τῶν τοιούτων. ἐμὲ δὲ πῶς τινι τού-
των οἴει ἂν ἐπιστηθῆναι χρῆσθαι, ᾧ τὴν ἀρχὴν οὐδεπώ-
ποτ' ἐγένετο τούτων; ἀλλ' ἐδόκει ἡμῖν, καὶ εἰ μὴ χρήμα-
τά τις τύχοι ἔχων, ὅμως εἶναί τις ἐπιστήμη οἰκονομίας.
τί οὖν κωλύει καί σε ἐπίστασθαι; ὅπερ νὴ Δία καὶ αὐ-
λεῖν κωλύσειεν ἄνθρωπον ἐπίστασθαι, εἰ μήτε αὐτὸς
πώποτε κτήσαιτο αὐλούς, μήτε ἄλλος αὐτῷ παράσχοιεν
τοῖς αὐτοῦ μανθάνειν. οὕτω καὶ ἐμοὶ ἔχει περὶ τῆς οἰκο-
νομίας. οὔτε γὰρ αὐτὸς ὄργανα χρήματα ἐκεκτήμην ὥσ-
τε μανθάνειν, οὔτε ἄλλος πώποτέ μοι παρεῖχε τὰ ἑαυ-
τοῦ διοικεῖν, ἀλλ' ἢ σὺ νυνὶ ἐθέλεις παρέχειν. οἱ δὲ δή-
που τὸ πρῶτον μανθάνοντες κιθαρίζειν, καὶ τὰς λύ-
ρας λυμαίνονται. καὶ γὰρ δὴ εἰ ἐν τῷ σῷ οἴκῳ ἐπιχειρή-
σαιμι μανθάνειν οἰκονομεῖν, ἴσως ἂν καταλυμηναίμην
ἄν σου τὸν οἶκον. πρὸς ταῦτα ὁ Κριτόβουλος εἶπε· προ-
θύμως γε, ὦ Σώκρατες, ἀποφεύγειν μοι πειρᾷ, μηδέν με
συνωφελῆσαι εἰς τὸ ῥᾷον ὑποφέρειν τὰ ἐμοὶ ἀναγκαῖα
πράγματα. οὐ μὰ Δί', ἔφη ὁ Σωκράτης, οὐκ ἔγωγε. ἀλλ' ὅ-
σα ἔχω καὶ πάνυ προθύμως ἐξηγήσομαί σοι. οἶμαι δ' ἂν καὶ
εἰ ἐπὶ πῦρ ἐλθόντος σου, καὶ μὴ ὄντος παρ' ἐμοί, εἰ ἄλ-
λοσε ἡγησάμην, ὁπόθεν σοι εἴη λαβεῖν, οὐκ ἂν ἐμέμφου
μοι. καὶ εἰ ὕδωρ παρ' ἐμοῦ αἰτοῦντί σοι αὐτὸς μὴ ἔχων, ἄλ-
λοσε καὶ ἐπὶ τοῦτο ἤγαγον, οἶδ' ὅτι οὐδ' ἂν τοῦτό μοι ἐμέμ-
φου. καὶ εἰ βουλομένου μουσικὴν μαθεῖν σου παρ' ἐμοῦ
δείξαιμί σοι πολὺ δεινοτέρους ἐμοῦ περὶ μουσικήν, καὶ χά-
ριν εἰδότας σοι εἰ ἐθέλοις παρ' αὐτῶν μανθάνειν, τί ἂν ἔ-
τι μοι ταῦτα ποιοῦντι μέμφοιο; οὐδ' ἐν ἂν δικαίως γε, ὦ
Σώκρατες. ἐγὼ τοίνυν δείξω, ὦ Κριτόβουλε, ὅσα νῦν
λιπα-

lasse putaberis. Ad hæc quoq; animad
uerto te facultatib. abundare putantẽ,
luxuriæ deditũ, ac in re paranda minι-
me diligentẽ: quæ causa est, ut tibi time
am ne quid indignũ patiaris, aut in e-
gestatẽ peruenias. Mihi autem si quid
opus fuerit, scio te nõ latere adfuturos
qui uel tantulũ ministrantes meum lau
tissime uictum efficient. Tu uero quos
10 amicos esse putas, etsi plura in ordine
suo lautioraq; tua supellectile domi re
tineant, sectabũtur tamen ut aliquid à
te recepturi. CR. Ego Socrates quæ ad
fers nõ ausim ullo modo refellere: quin
potius mõstra uiam, qua maxime miser
non fiam. SOC. Ne tu mirum nunc lo
queris, qui me paulo ante paupertatẽ
iactantem tanquàm insanum ridebas,
nec prius destiteris q̃ fateri coẽgeris
20 centuplo te minus possidere: nunc præ
cipere iubes, atq; ostendere, quanã in-
gressurus non egeas. CR. Video nẽpe,
ut tu plane docuisti, uiam unam crescẽ
dæ rei ex tenuitate proficisci: multo spe
ro magis ex copia in diuitias etiã potio
res te mõstrante peruenire. SOC. Non
equidem reminiscere quæ nuper disse-
ruisti, cum mihi nec refellẽdi potestatẽ
fecisti, affirmans neq; equos, aut oues,
30 aut argentum (sunt. n. ab huiuscemodi
rebus prouẽtus) inter utilia minime fo-
re his qui nescirent illis uti. Me igitur
quõ putas illorũ usus præcepta tenere
quibus ab initio carui? CR. At mihi ui
debatur, q̃uis pecunia qs careret, posse
tamẽ œconomiæ scientiã retinere: qd
ergo te ꝓhibet quo minus hæc præstes?
SO. Sane q ꝓhiberet tibias inflare ne
scientẽ, q nec ipse tibias haberet, nec a-
40 lius mõstraret: eadẽ ratione circa œco
nomiã me habeo, ut neq; ipse pecuniã
tanquã instrumẽta possideã, neq; quis-
quã unquã eã regere docuerit. Me ta-
men mõstrare cogis. Vide quæso, ne id
tuo periculo fiat: atq; uti solent primũ
discẽtes musici citharã obterere, ita et
ego nũc potissime œconomiã discens,
tuã obterã domũ. CR. Palàm Socrates
iandudũ uideo te subterfugere, ne tuã
50 ad hãc rem necessariã mihi disciplinã
conferas. SOC. Non equidem Critobu
le, quin omnia libenter enarrauerim:
sed accidit, ut si à me ignẽ aut aquam
nõ habente forte poposceris, locũq; un
de haurias ostendã, sicut etiã pro musi-
ca ediscẽda nos adeuntẽ ad peritiores
te mittam, iure id quidẽ facere uidear.
Nũc uero idem imitari cupientẽ, quid
est quod queri possis? CRIT. Nihil u-
re, ô Socrates. SOC. Quæ igitur à me

 requi-

requiris, procul dubio ab aliis quos tibi monstrauero praestantioribus assequeris. Etenim fateor semper mihi curae fuisse, qui in quaque re uiri in ciuitate florerent, inuestigare. Cumque uiderē ex eisdem actionibus alios diuites, alios quidem pauperes, profecto sum admiratus, nec temere factū putaui, eamque rem dignam perscrutatione duxi: cumque indagarem, reperi hos negligentius oeconomiam tractantes, socordiae suae poenas dare: illis uero qui essent diligentiores, felicius omnia succedere: per quorum praecepta proficere poteris, ac, nisi deus obsistat, rem familiarē magnopere augere. CR. Non profecto effugies hodie prius quam quod receperis praestes. SOC. Quid si ostendam multa pecunia inutiles domos exaedificasse, alios uero longe minore maxime cōmodas, uidear ne tibi unū oeconomiae opus haud contemnendum afferre? CR. Sane. SO. Quid si deinde subiiciam multos copiosiorem supellectilem, quod eam non ordine disponant, in promptu non habere, proptereaque & domos & seruos affici saepe tristitia: quosdam uero longe minorē, eamque usui paratissimam obtinere? CRI. Quid esse in causa putas? quod forte hi quodlibet nō animaduertendo quolibet proiiciunt, illi uero ordine collocant? SO. Istbuc profecto. CRI. Nunc primum aliquid oeconomiae paulatim attingis. SO. Quid si mōstrauero item alibi seruos quanq. ut ita dicā, uinctos effugere, alios solutos spōte omnia exequentes, non'ne & hoc egregiū huius disciplinae? CRI. Magnopere. SOC. Sed & circa agriculturā quosdā excidere fructibus, nonnullos mire proficere? CRI. Erogant fortasse non solū in his quae nō oportet, sed quae dāno sunt ipsis et domui. SOC. Sunt profecto quidā, ut ais, huiusmodi. At ego de his loquor, qui quanquam se rei intentos esse, ac agrum colere dicant, in uictus angustia uersantur. CR. Quid dices hoc esse? SO. Ego te ad hos ducam, tu tantum spectando disces. CR. Equidem si possim. SO. Oportet te spectantem periclitari si didiceris. CRIT. Ego enim te quandoque animaduerti bene mane adspectandas comoedias properantem, meque simul ire adhortantem: ad huiuscemodi uero spectaculum nunquam uocasti. Itaque uideor tibi ridiculus Socrates. SOCRATES. Ego sane tibi multo magis uideor, si possim eos monstrare, qui ex arte equestri male rem

λιπαρεῖς παρ' ἐμοῦ μανθάνειν, πολὺ ἄλλους δεινοτέρους ἐμοῦ τοὺς περὶ ταῦτα. ὁμολογῶ δὲ μεμεληκέναι μοι, οἵτινες ἕκαστα ἐπιστημονέστατοί εἰσι τῶν ἐν τῇ πόλει. καταμαθὼν γάρ ποτε ἀπὸ τῶν αὐτῶν ἔργων, τοὺς μὲν πάνυ ἀπόρους ὄντας, τοὺς δὲ πάνυ πλουσίους, ἀπεθαύμασα. καὶ ἔδοξέ μοι ἄξιον εἶναι ἐπισκέψεως, ὅ,τι εἴη τοῦτο. καὶ εὗρον ἐπισκοπῶν, πάνυ οἰκείως ταῦτα γιγνόμενα. τοὺς μὲν γὰρ εἰκῇ ταῦτα πράττοντας, ζημιουμένους ἑώρων. τοὺς δὲ γνώμῃ συντεταγμένῃ ἐπιμελουμένους, καὶ θᾶττον καὶ ῥᾷον καὶ κερδαλεώτερον κατέγνων πράττοντας παρ' ὧν ἂν καὶ σὲ οἶμαι εἰ βούλοιο μαθόντα, εἴ σοι ὁ θεὸς μὴ ἐναντιοῖτο, πάνυ ἂν δεινὸν χρηματιστὴν γενέσθαι. ἀκούσας ταῦτα ὁ κριτόβουλος, εἶπεν· οὐκέτι ἀφήσω, ὦ σώκρατες, πρὶν ἄν μοι ἃ ὑπέσχησαι ἐναντίον τῶν φίλων τουτωνὶ ἀποδείξῃς. τί οὖν, ἔφη ὁ σωκράτης, ὦ κριτόβουλε, ἢν σοι ἀποδεικνύω πρῶτον μὲν οἰκίας τοὺς μὲν ἀπὸ πολλοῦ ἀργυρίου ἀχρήστους οἰκοδομοῦντας, τοὺς δὲ ἀπὸ πολὺ ἐλάττονος πάντα ἐχούσας ὅσα δεῖ, ἦ δόξω ἕν τί σοι τοῦτο τῶν οἰκονομικῶν ἔργων ἐπιδεικνύναι; καὶ πάνυ γ', ἔφη ὁ κριτόβουλος. τί δ', ἢν τὸ τούτου ἀκόλουθον μετὰ τοῦτό σοι ἐπιδεικνύω, τοὺς μὲν πάνυ πολλὰ καὶ παντοῖα κεκτημένους ἔπιπλα, καὶ τούτοις ὅταν δέωνται μὴ ἔχοντας χρῆσθαι, μηδὲ εἰδότας εἰ σῶα ἐστὶν αὐτοῖς, καὶ διὰ ταῦτα πολλὰ μὲν αὐτοὺς ἀνιωμένους, πολλὰ δ' ἀνιῶντας τοὺς οἰκέτας. τοὺς δὲ οὐδὲν πλέον, ἀλλὰ καὶ μείονα τούτων κεκτημένους ἔχοντας εὐθὺς ἕτοιμα, ὅταν ὧν δέωνται χρῆσθαι. ἀλλὰ τί οὖν τούτων ἐστίν, ὦ σώκρατες, αἴτιον, ἢ ὅτι τοῖς μὲν ὅπου ἔτυχεν ἕκαστον καταβέβληται, τοῖς δὲ ἐν χώρᾳ ἕκαστα τεταγμένα κεῖται; ναὶ μὰ Δί', ἔφη ὁ σωκράτης. καὶ οὐδ' ἐν χώρᾳ γ' ἐν ᾗ ἔτυχεν, ἀλλ' ἔνθα προσήκει ἕκαστα διατέτακται. λέγειν τί μοι δοκεῖς, ἔφη, καὶ τοῦτο ὁ κριτόβουλος τῶν οἰκονομικῶν. τί οὖν ἢν σοι, ἔφη, καὶ οἰκέτας αὖ ἐπιδεικνύω ἔνθα μὲν πάντας ὡς εἰπεῖν δεδεμένους, καὶ τούτους θαμινὰ ἀποδιδράσκοντας, ἔνθα δὲ λελυμένους καὶ ἐθέλοντάς τε ἐργάζεσθαι καὶ παραμένειν. οὐ καὶ τοῦτό σοι δόξω ἀξιοθέατον τῆς οἰκονομίας ἔργον ἐπιδεικνύναι; ναὶ μὰ Δί', ἔφη ὁ κριτόβουλος, καὶ σφόδρα γε. ἢν δὲ καὶ παραπλησίας γεωργίας γεωργοῦντας, τοὺς μὲν ἀπολωλέναι φάσκοντας ὑπὸ γεωργίας καὶ ἀποροῦντας, τοὺς δὲ ἀφθόνως καὶ καλῶς πάντα ἔχοντας, ὅσων δέονται ἀπὸ τῆς γεωργίας; ναὶ μὰ Δί', ἔφη ὁ κριτόβουλος. ἴσως γὰρ ἀναλίσκουσιν οὐκ εἰς ἃ δεῖ μόνον, ἀλλὰ καὶ εἰς ἃ βλάβην φέρει αὐτῷ καὶ τῷ οἴκῳ. εἰσὶ μὲν ἴσως, ἔφη ὁ σωκράτης, καὶ τοιοῦτοι. ἀλλ' ἐγὼ οὐ τούτους λέγω, ἀλλ' οἳ οὐδ' εἰς τἀναγκαῖα ἔχουσι δαπανᾶν, γεωργεῖν φάσκοντες. καὶ τί ἂν εἴη τούτου αἴτιον, ἔφη, ὦ σώκρατες; ἐγώ σε ἄξω καὶ ἐπὶ τούτους, ἔφη ὁ σωκράτης. σὺ δὲ θεώμενος δήπου καταμαθήσῃ. νὴ Δί', ἔφη, ἢν δύνωμαί γε. οὐκοῦν χρὴ θεώμενον, σαυτοῦ ἀποπειρᾶσθαι εἰ γνώσῃ. νῦν δ' ἐγώ σοι σύνοιδα, ἐπὶ μὲν κωμῳδῶν θέαν, καὶ πάνυ πρωῒ ἀνιστάμενος, καὶ πάνυ μακρὰν ὁδὸν βαδίζοντα, καὶ ἐμὲ ἀναπείθοντα προθύμως συνθεᾶσθαι. ἐπὶ δὲ τοιοῦτον οὐδέν με πώποτε ἔργον παρεκάλεσας. οὐκοῦν γελοῖός σοι φαίνομαι εἶναι, ὦ σώκρατες; σαυτῷ δὲ πολὺ νὴ Δί', ἔφη, γελοιότερος. ἢν δὲ καὶ ἀφ' ἱππικῆς σοι ἐπιδεικνύω, τοὺς μὲν εἰς ἀπορίαν τῶν ἐπιτηδείων

δέας ἐληλυθότας, τοὺς δὲ διὰ τὴν ἱππικὴν καὶ πάνυ εὐπόρους ὄντας, καὶ ἅμα ἀγαλλομένους ἐπὶ τῷ κέρδει; οὐκοῦν τούτους μὲν καὶ ἐγὼ ὁρῶ, καὶ οἶδα ἑκατέρους, καὶ οὐδέν τι μᾶλλον τῶν κερδαινόντων γίγνομαι. θεᾷ γὰρ αὐτοὺς ἧπερ τοὺς τραγῳδούς τε καὶ κωμῳδούς, οὐχ ὅπως ποιητὴς οἴομαι γένῃ, ἀλλ' ὅπως ἡσθῇς, ἰδών τι ἢ ἀκούσας. καὶ ταῦτα μὲν ἴσως οὕτως ὀρθῶς ἔχει. οὐ γὰρ ποιητὴς βούλει γενέσθαι. ἱππικῇ δ' ἀναγκαζόμενος χρῆσθαι, οὐ μωρὸς οἴει εἶναι, εἰ μὴ σκοπεῖς ὅπως μὴ ἰδιώτης ἔσῃ τούτου τοῦ ἔργου, ἄλλως τε καὶ τῶν αὐτῶν ὄντων ἀγαθῶν εἴς τε τὴν χρῆσιν, καὶ κερδαλέων εἰς πώλησιν ὄντων. πωλοδαμνεῖν με κελεύεις, ὦ Σώκρατες. οὐ μὰ Δί' οὐδέν τι μᾶλλον, ἢ καὶ γεωργοὺς ἐκ παιδίων ὠνούμενον, κατασκευάζειν. ἀλλ' εἶναί τινές μοι δοκοῦσιν ἡλικίαι καὶ ἵππων καὶ ἀνθρώπων, αἳ εὐθύς τε χρήσιμαί εἰσι, καὶ ἐπὶ τὸ βέλτιον ἐπιδιδόασιν. ἔχω δ' ἐπιδεῖξαι καὶ γυναιξὶ ταῖς γαμεταῖς τοὺς μὲν οὕτω χρωμένους, ὥστε συνεργοὺς ἔχειν αὐτὰς εἰς τὸ συναύξειν τοὺς οἴκους· τοὺς δὲ ᾗ οἱ πλεῖστοι λυμαίνονται. καὶ τούτου πότερον χρή, ὦ Σώκρατες, τὸν ἄνδρα αἰτιᾶσθαι, ἢ τὴν γυναῖκα; πρόβατον μέν, ἔφη ὁ Σωκράτης, ὡς ἐπὶ τὸ πολὺ ἂν κακῶς ἔχῃ, τὸν νομέα αἰτιώμεθα. καὶ ἵππος ὡς ἐπὶ τὸ πολὺ ἂν κακουργῇ, τὸν ἱππέα κακίζομεν. τῆς δὲ γυναικὸς εἰ μὲν διδασκομένη ὑπὸ τοῦ ἀνδρὸς τἀγαθὰ κακοποιεῖ, ἴσως δικαίως ἂν ἡ γυνὴ τὴν αἰτίαν ἔχοι. εἰ δὲ μὴ διδάσκων τὰ καλὰ κἀγαθά, ἀνεπιστήμονι τούτων χρῷτο, ἆρ' οὐ δικαίως ἂν ὁ ἀνὴρ τὴν αἰτίαν ἔχοι; πάντως δ', ἔφη, ὦ Κριτόβουλε, φίλοι γάρ ἐσμεν οἱ παρόντες, ἀπαληθεῦσαι πρὸς ἡμᾶς. ἔστιν ὅτῳ ἄλλῳ τῶν σπουδαίων πλείω ἐπιτρέπεις ἢ τῇ γυναικί; οὐδενί, ἔφη. ἔστι δὲ ὅτῳ ἐλάσσονα διαλέγῃ, ἢ τῇ γυναικί; εἰ δὲ μή, οὐ πολλοῖς γε, ἔφη. ἔγημας δὲ αὐτὴν παῖδα νέαν μάλιστα, καὶ ὡς ἠδύνατο ἐλάχιστα ἑωρακυῖαν καὶ ἀκηκουῖαν; μάλιστα. οὐκοῦν πολὺ θαυμαστότερον, εἴ τι ὧν δεῖ λέγειν ἢ πράττειν ἐπίσταιτο, ἢ εἰ ἐξαμαρτάνοι. οὓς δὲ σὺ λέγεις ἀγαθὰς εἶναι γυναῖκας, ὦ Σώκρατες, ἦ αὐτοὶ ταύτας ἐπαίδευσαν; οὐδὲν οἷόν τε ἐπισκέψασθαι. συστήσω δέ σοι ἐγὼ καὶ Ἀσπασίαν, ἣ ἐπιστημονέστερον ἐμοῦ σοι ταῦτα πάντα ἐπιδείξει. νομίζω δὲ γυναῖκα κοινωνὸν ἀγαθὴν οἴκου οὖσαν, πάνυ ἀντίρροπον εἶναι τῷ ἀνδρὶ ἐπὶ τὸ ἀγαθόν. ἔρχεται μὲν γὰρ εἰς τὴν οἰκίαν διὰ τῶν τοῦ ἀνδρὸς πράξεων τὰ κτήματα ὡς ἐπὶ τὸ πολύ· δαπανᾶται δὲ διὰ τῶν τῆς γυναικὸς ταμιευμάτων τὰ πλεῖστα. καὶ εὖ μὲν τούτων γιγνομένων αὔξονται οἱ οἶκοι· κακῶς δὲ τούτων πραττομένων, οἱ οἶκοι μειοῦνται. οἶμαι δέ σοι καὶ τῶν ἄλλων ἐπιστημῶν, τοὺς ἀξίως λόγου ἑκάστην ἐργαζομένους, ἔχειν ἂν ἐπιδεῖξαί σοι, εἴ τι προσδεῖσθαι νομίζεις. ἀλλὰ πάσας μὲν τί σε δεῖ ἐπιδεικνύναι, ὦ Σώκρατες, ἔφη ὁ Κριτόβουλος. οὔτε γὰρ κτήσασθαι πασῶν τῶν τεχνῶν ἐργάτας ῥᾴδιον οἷος δεῖ, οὔτε ἔμπειρον γενέσθαι αὐτῶν οἷόν τε. ἀλλ' αἳ δοκοῦσι κάλλισται τῶν ἐπιστημῶν, καὶ ἐμοὶ πρέπειν ἂν μάλιστα ἐπιμελομένῳ, ταύτας μοι καὶ αὐτὸς ἐπιδείκνυε, καὶ τοὺς πράττοντας αὐτάς, καὶ αὐτὸς δέ, ὅτι τι δύνασαι, συνωφέλει εἰς ταῦτα διδάσκων. ἀλλὰ καλῶς, ἔφη, λέγεις, ὦ Κριτόβουλε. καὶ γὰρ αἵ γε βαναυσικαὶ καλούμεναι, καὶ ἐπίρρητοί εἰσι, καὶ εἰκότως μέντοι πάνυ ἀδοξοῦνται πρὸς τῶν πόλεων. καταλυμαίνονται γὰρ τὰ σώματα τῶν τε ἐργαζο-

rem gerant, qui item quæstum haud modicum faciunt. CRITOBVLVS. Hos ego ambos cum uideam, nihilo tamen auctior fio. SOCRAT. Spectas igitur eos quemadmodum tragœdos & comœdos, non uti poëta fias, sed ut aliquid audias, quod tibi uoluptatem afferat. Verum hæc recte fortasse habent, ubi poëta minime uis fieri. At coactus equestrem facere artem, non stultus 10 fortasse uidebere, si des operam, ut artis eius non sis ignarus, quæ præsertim & ad mercaturam faciat. CRITOBVL. Equos domare me iubes? SOCRAT. Haud aliter profecto, quàm agri causa colonos à pueris emere. Sunt enim quædam cum equorum, tum hominum gentes statim utiles ab infantia, quæ se continuo meliores reddunt. Sed & habeo maritas monstrare, quæ adeo uiris obsequentes sunt, ut communis 20 domus utilitatem respiciant, plures uero agendo perperam obterant. CRITOBVLVS. In hoc genere quæso Socrates utros accusabimus, uirum, an uxorem? SOCRATES. Ouis nanque morbidæ ad opilionem, & equi strigosioris culpam ad equitem referemus. Matrona si à coniuge admonita improbe egerit, haud extra causam erit. Si uero per uiri indulgentiam peccauerit, non tam ipsa quàm uir accusabitur. Omnino 30 qui simul in una uiuimus domo, chari inuicem & monitores esse debemus. Est ne inter officia cui plus adhibeas curæ quàm uxori? CRITOB. Nulli profecto. SOC. Est quo cum minus sæpe disseras? CRI. Nemo, uel pauci admodum. SOCRAT. Duxisti teneram, & quæ minimum quoad fieri potuit & uiderit & audiuerit. CR. Maxime. SOC. Igitur mirabilius uideri debet eam aliquid eorum, quæ aut agere, aut dicere sit 40 fas, scire, quàm ignorare. CRITOB. Quibus bonas ais esse uxores, ipsas puto uiri erudiere. SOCRAT. Nihil enim considerare ualent. Neque tibi pono Aspasiam alteram quæ sapientius, quàm ego, cuncta præcipiat. Existimo enim probam coniugem sociam domus esse, magnumque momentum ad uiri felicitatem. Ipsam porro substantiam uirorum opera uidemus augeri, absumi plerunque sumptibus mulierum. Bene igitur huiuscemodi habenti- 50 bus, res crescit: male autem secus euenit. Sed et alias artes, earumque factores possem nunc in medium afferre, ac declarare, si necesse putaueris. CR. Quid cunctarum opus reminiscis neque puto licet eas omnis attingere, aut perfectos in eis uiros reperire: sed quæ tantum optime mihique potissime conuenire uideantur, has nunc, earumque professores ostende. SO. Pulchre tu quidem Critobule. Nam quæ uocantur mechanicæ, abiectæ omnino sunt, ac iure à plerisque improbantur, quippe quæ corpora

ἰδιώτης ignarus.

Cives non exercant artes mechanicas.

agriculturam et militares artes liberales.

exercentium alterant, tum assistere homines atq; umbratiles esse cogant: nonnullæ uero ex eis totos dies igni incubare compellant. Eneruatis deinde labore membris, necesse & animos debilitari, ac quodāmodo ægrotare. Præterea huiuscemodi uiri uix satis commode cum amicis, tum reip. uacare possunt: uidenturq; quodāmodo patriæ desertores, cum in singulis ciuitatibus, maxime ubi bellum uiget, eos errare contingat. Quapropter ciuium nemini fas illa attingere. CR. Mihi sis autor, quam potissimam sequar, ô Socrates. SO. Regem Persarum in hoc genere nō dedignabimur imitari. Is n. inter pulcherrima ac necessaria studia, agriculturā & militiā duxit, ambasq; mire absoluit. CRI. Mirū. Sed putas tantumne ei à bellis ociū fuisse, ut agro quoq; intenderet. SO. Facile considerabimus quas animo curas gesserit: si quæ solerter et impigre administrauerit, palàm fiant. Primū circa res bellicas fatemur hæc illi curæ fuisse, ut ex omnib. quas recepisset gentib. præfectos cōstitueret, hisq; imperaret alimēta distribui, equitib. sagittarijs. funditorib. scutigeris. Ex his q idonei forent imperio, cæteris præficeret: et si in bello inimici ingruerēt, loco adesse: præterq; in arcib. custodes nutrire solebat: præsidijs cibū præbebat præfectus illis dicatus. Rex ipse quotānnis lustrabat exercitū stipendiariorū, aliorūq; quib. arma sumere iusserat: eosq; simul omnis, præter illos qui arcib. præessent, ubi colloquiū cogeretur uocabat. Propinquos ipse regebat populos: remotiores per fidos administrabat præsides. E suis uero centurionib. satrapisue, aut præfectis, si quos uidisset numerū eis militū imperatū implesse, equisq; præterea et armis florētib. præparasse, hos magistratib. et muneribus euehebat. Quos uero aut imperata negligere, aut turpes facere quæstus reperisset, acriter castigatos abrogabat imperio, alios idoneos subrogabat. Hæc igitur opera eius bellica, quæ mihi diligēter custodire uisus est. Regionū deinde nō minor ei cura. Quas adire poterat, ipse pbabat. Ad cæteras exploratum certos mittebat. Inter quas ubi forte comperisset hominib. frequentē, agros in ea cultos, arboribusq; cōsitos, ac fructib. uberes, pmouere præfectos eorū locorū, eisq; alias terras insup curādas tradere, tū donis et alijs monumētis ornare. Qui uero per secordiā infrequentē colonis prouinciā traditā habuissent, eos grauiter mulctatos magistratu abrogare solebat. Hac aetū nō minus interea studiū aderat, ut à ciuib. agriculturæ, cæterarumq; artium industria exerceretur, quàm à præsidijs custodia teneretur. Quibus duo magistratus ab eo mittebantur: quorum alter ciuibus

ἐργαζομένων, καὶ τῶν ἐπιμελομένων, ἀναγκάζουσι καθῆσθαι καὶ σκιατραφεῖσθαι. ἔνιαι δὲ καὶ πρὸς πῦρ ἡμερεύειν. τῶν δὲ σωμάτων θηλυνομένων, καὶ αἱ ψυχαὶ πολὺ ἀρρωστότεραι γίγνονται. καὶ ἀσχολίας δὲ μάλιστα ἔχουσι, καὶ φίλων καὶ πόλεως συνεπιμελεῖσθαι, αἱ βαναυσικαὶ καλούμεναι, ὥστε οἱ τοιοῦτοι δοκοῦσι κακοὶ καὶ φίλοις χρῆσθαι, καὶ ταῖς πατρίσιν ἀλεξητῆρες εἶναι. καὶ ἐν ἐνίαις μὲν τῶν πόλεων, μάλιστα δ' ἐν ταῖς ἐν πολέμοις δοκούσαις εἶναι, οὐδ' ἔξεστι τῶν πολιτῶν οὐδενὶ, βαναυσικὰς τέχνας ἐργάζεσθαι. ἡμῖν δὲ δὴ, ποίαις συμβουλεύεις, ὦ Σώκρατες, χρῆσθαι; ἆρα, ἔφη ὁ Σωκράτης, μὴ αἰσχυνθῶμεν τὸν Περσῶν βασιλέα μιμήσασθαι; ἐκεῖνον γάρ φασιν ἐν τοῖς καλλίστοις τε καὶ ἀναγκαιοτάτοις ἡγούμενον εἶναι ἐπιμελήμασι γεωργίαν τε καὶ τὴν πολεμικὴν τέχνην, τούτων ἀμφοτέρων ἰσχυρῶς ἐπιμελεῖσθαι. καὶ ὁ Κριτόβουλος ἀκούσας ταῦτα, εἶπε· καὶ τοῦτο πιστεύεις, ὦ Σώκρατες, βασιλέα τὸν Περσῶν γεωργίας τι συνεπιμελεῖσθαι; ὧδ' ἂν, ἔφη ὁ Σωκράτης, ἐπισκοποῦντες, ὦ Κριτόβουλε, ἴσως ἂν καταμάθοιμεν, εἴ τι συνεπιμελεῖται. τῶν μὲν γὰρ πολεμικῶν ἔργων ὁμολογοῦμεν αὐτὸν ἰσχυρῶς ἐπιμελεῖσθαι. ὅτι δὴ ὁποίων περ ἐθνῶν λαμβάνειν τέτακται τῷ ἄρχοντι ἑκάστῳ, εἰς ὁπόσους δεῖ διδόναι τροφὴν, ἱππέας καὶ τοξότας καὶ σφενδονήτας καὶ γερροφόρους, οἵτινες τῶν τε ὑπ' αὐτοῦ ἀρχομένων ἱκανοὶ ἔσονται κρατεῖν, καὶ ἢν πολέμιοι ἐπίωσιν, ἀρήξουσι τῇ χώρᾳ. χωρὶς δὲ τούτων φύλακας ἐν ταῖς ἀκροπόλεσι τρέφειν. καὶ τὴν μὲν τροφὴν, τοῖς φρουροῖς δίδωσιν ὁ ἄρχων ᾧ τοῦτο προστέτακται. Βασιλεὺς δὲ κατ' ἐνιαυτὸν ἐξέτασιν ποιεῖται τῶν μισθοφόρων καὶ τῶν ἄλλων οἷς ὡπλίσθαι προστέτακται. καὶ πάντας ἅμα συνάγων, πλὴν τοὺς ἐν ταῖς ἀκροπόλεσιν, ἔνθα δὴ ὁ σύλλογος καλεῖται. καὶ τοὺς μὲν ἀμφὶ τὴν αὐτοῦ οἴκησιν αὐτὸς ἐφορᾷ. τοὺς δὲ πρόσω ἀποικοῦντας πιστοὺς πέμπει ἐπισκοπεῖν. καὶ οἱ μὲν ἂν φαίνωνται τῶν φρουράρχων καὶ τῶν χιλιάρχων, καὶ τῶν σατραπῶν, τὸν ἀριθμὸν τὸν τεταγμένον ἔκπλεων ἔχοντες, καὶ τούτους δοκίμοις ἵπποις τε καὶ ὅπλοις κατεσκευασμένους παρέχωσι, τούτους μὲν τοὺς ἄρχοντας, καὶ ταῖς τιμαῖς αὔξει. καὶ δώροις μεγάλοις καταπλουτίζει. οὓς δ' ἂν εὕροι τῶν ἀρχόντων ἢ καταμελοῦντας τῶν φρουράρχων, ἢ κατακερδαίνοντας, τούτους χαλεπῶς κολάζει. καὶ παύων τῆς ἀρχῆς, ἄλλους ἐπιμελητὰς καθίστησι. τῶν μὲν δὴ πολεμικῶν ἔργων ταῦτα ποιῶν, δοκεῖ ἡμῖν ἀναμφιλόγως ἐπιμελεῖσθαι. ἔτι δὲ ὁπόσην μὲν τῆς χώρας διελαύνων ἐφορᾷ αὐτὸς, καὶ δοκιμάζει. ὁπόσην δὲ μὴ αὐτὸς ἐφορᾷ, πέμπων πιστοὺς ἐπισκοπεῖται. καὶ οὓς μὲν ἂν αἰσθάνηται τῶν ἀρχόντων συνοικουμένην γε τὴν χώραν παρεχομένους, καὶ ἐνεργὸν οὖσαν τὴν γῆν, καὶ πλήρη δένδρων τε ὧν ἑκάστη φέρει καὶ καρπῶν, τούτοις μὲν χώραν τε ἄλλην προστίθησι, καὶ δώροις κοσμεῖ, καὶ ἕδραις ἐντίμοις γεραίρει. οἷς δ' ἂν ὁρᾷ ἀργόν τε τὴν χώραν οὖσαν καὶ ὀλιγάνθρωπον, ἢ διὰ χαλεπότητα, ἢ δι' ὕβριν, ἢ δι' ἀμέλειαν, τούτους δὲ κολάζων καὶ παύων τῆς ἀρχῆς, ἄρχοντας ἄλλους καθίστησι. ταῦτα ποιῶν δοκεῖ ἧττον ἐπιμελεῖσθαι, ὅπως ἡ γῆ ἐνεργὸς ἔσται ὑπὸ τῶν κατοικούντων, ἢ ὅπως εὖ φυλάξεται ὑπὸ τῶν φρουρούντων. καὶ εἰσὶ δ' αὐτῷ οἱ ἄρχοντες διατεταγμένοι ἐφ' ἑκάτερον οὐχ οἱ αὐτοί. ἀλλ' οἱ μὲν ἄρχουσι τῶν

κατοι-

κατοικούντων τι καὶ τῶν ἐργατῶν, καὶ δασμοὺς ἐκ τούτων ἐκλέγουσιν. οἱ δ' ἄρχουσι τῶν ὡπλισμένων φρουρῶν, κἂν μὲν ὁ φρούραρχος μὴ ἱκανῶς τῇ χώρᾳ ἀρήγῃ, ὁ τῶν ἐνοικούντων ἄρχων καὶ τῶν ἔργων ἐπιμελούμενος, κατηγορεῖ τοῦ φρουράρχου, ὅτι οὐ δύνανται ἐργάζεσθαι διὰ τὴν ἀφυλαξίαν. ἢν δὲ παρέχοντος τοῦ φρουράρχου εἰρήνην τοῖς ἔργοις, ὁ ἄρχων ὀλιγάνθρωπόν τε παρέχηται καὶ ἀργὸν τὴν χώραν, τούτου αὖ κατηγορεῖ ὁ φρούραρχος. καὶ σχεδόν τι οἱ κακῶς τὴν χώραν ἐργαζόμενοι, οὔτε τοὺς φρουροὺς τρέφουσιν, οὔτε δασμοὺς δύνανται ἀποδιδόναι. ὅπου δ' ἂν σατράπης καθιστῆται, οὗτος ἀμφοτέρων τούτων ἐπιμελεῖται. ἐκ τούτων ὁ κριτόβουλος εἶπεν· οὐκοῦν εἰ μὲν δὴ ταῦτα ποιεῖ βασιλεύς, ὦ σώκρατες, οὐδὲν ἔμοιγε δοκεῖ ἧττον τῶν γεωργικῶν ἔργων ἐπιμελεῖσθαι, ἢ τῶν πολεμικῶν. ἔτι δὲ πρὸς τούτοις ἔφη ὁ σωκράτης, ἐν ὁπόσαις τε χώραις ἐνοικεῖ, καὶ εἰς ὁπόσας ἐπιστρέφεται, ἐπιμελεῖσθαι τούτων, ὅπως κῆποί τε ἔσονται οἱ παράδεισοι καλούμενοι, πάντων καλῶν τε καὶ ἀγαθῶν μεστοί, ὅσα ἡ γῆ φύειν θέλει. καὶ ἐν τούτοις αὐτὸς τὰ πλεῖστα διατρίβει, ὅταν μὴ ὥρα τοῦ ἔτους ἐξείργῃ. νὴ δί', ἔφη ὁ κριτόβουλος, ἀνάγκη τοίνυν, ὦ σώκρατες, ἔνθα γε διατρίβει αὐτός, καὶ ὅπως ὡς κάλλιστοι κατεσκευασμένοι ἔσονται οἱ παράδεισοι, ἐπιμελεῖσθαι δένδρεσι καὶ τοῖς ἄλλοις ἅπασι καλοῖς, ὅσα ἡ γῆ φύει. φασὶ δέ τινες, ἔφη ὁ σωκράτης, ὦ κριτόβουλε, καὶ ὅταν δῶρα διδῷ ὁ βασιλεύς, πρῶτον μὲν εἰσκαλεῖν τοὺς πολέμῳ ἀγαθοὺς γεγονότας. ὅτι οὐδὲν ὄφελος πολλὰ ἀροῦν, εἰ μὴ εἶεν οἱ ἀρήξοντες. δεύτερον δὲ τοὺς κατασκευάζοντας τὰς χώρας ἄριστα καὶ ἐνεργοὺς ποιοῦντας, λέγοντα, ὅτι οὐδ' ἂν οἱ ἄλκιμοι δύναιντο ζῆν, εἰ μὴ εἶεν οἱ ἐργαζόμενοι. λέγεται δὲ καὶ κῦρός ποτε ὅσπερ εὐδοκιμώτατος δὴ βασιλεὺς γεγένηται, εἰπεῖν τοῖς ἐπὶ τὰ δῶρα κεκλημένοις, ὅτι αὐτὸς ἂν δικαίως τὰ ἀμφοτέρων δῶρα λαμβάνοι. κατασκευάζειν τε γὰρ ἄριστος εἶναι ἔφη χώραν, καὶ ἀρήγειν τοῖς κατεσκευασμένοις. κῦρος μὲν τοίνυν, ἔφη ὁ κριτόβουλος, ὦ σώκρατες, καὶ ἐπηγάλλετο οὐδὲν ἧττον εἰ ταῦτα ἔλεγεν ἐπὶ τῷ χώρας ἐνεργοὺς ποιεῖν καὶ κατασκευάζειν, ἢ ἐπὶ τῷ πολεμικὸς εἶναι. καὶ ναὶ μὰ δί', ἔφη ὁ σωκράτης, κῦρός γε εἰ ἐβίωσεν, ἄριστος ἂν δοκεῖ ἄρχων γενέσθαι. καὶ τούτου τεκμήρια ἄλλα τε πολλὰ παρέσχηται, καὶ ὁπότε περὶ τῆς βασιλείας τῷ ἀδελφῷ ἐπορεύετο μαχούμενος, παρὰ μὲν κύρου οὐδεὶς λέγεται αὐτομολῆσαι πρὸς τὸν βασιλέα· παρὰ δὲ τοῦ βασιλέως πολλαὶ μυριάδες πρὸς κῦρον. ἐγὼ δὲ καὶ τοῦτο ἡγοῦμαι μέγα τεκμήριον, ἄρχοντος ἀρετῆς εἶναι, ᾧ ἂν ἑκόντες πείθωνται, καὶ ἐν τοῖς δεινοῖς παραμένειν ἐθέλωσιν. ἐκείνῳ δὲ καὶ οἱ φίλοι, ζῶντί τε συνεμάχοντο, καὶ ἀποθανόντι, συναπέθανον πάντες περὶ τὸν νεκρὸν μαχόμενοι, πλήν γε ἀριαίου. ἀριαῖος δ' ἔτυχεν ἐπὶ τῷ εὐωνύμῳ κέρατι τεταγμένος. οὗτος τοίνυν ὁ κῦρος λέγεται λυσάνδρῳ, ὅτε ἦλθεν ἄγων αὐτῷ τὰ παρὰ τῶν συμμάχων δῶρα, ἄλλα τε φιλοφρονεῖσθαι, ὡς αὐτὸς ἔφη ὁ λύσανδρος ξένῳ ποτέ τινι ἐν μεγάροις διηγούμενος. καὶ τὸν ἐν σάρδεσι παράδεισον ἐπιδεικνύναι αὐτὸν ἔφη. ἐπεὶ δὲ ἐθαύμαζεν αὐτὸν ὁ λύσανδρος, ὡς καλὰ μὲν τὰ δένδρα εἴη, δι' ἴσου δὲ τὰ πεφυτευμένα, ὄρθοι δὲ οἱ στίχοι τῶν δένδρων, εὐγώνια δὲ τὰ πάντα καλῶς εἴη,

bus atque artibus, à quibus censum duplicem exegit: alter uero militib. præest: qui si forte per ignauiam minime det operam ut in ciuitatibus studia pacis exerceri possint, ab altero ad iudicium accersitur. Qui & idem ipse, si præter officium populos desidere, quo minus artes exerceantur permiserit, à præfecto militum accusatur. Et certo dum opifices aut agricolæ uacant, neq; præsidia in populis nutrire, neq; rursus exigere queunt. Vbi uero satrapa mittitur, is utrisq; magistratibus imperat. CRITOBVLVS. Si rex hæc obibat, mirum non minus agricolationis eum, quàm rei militaris curam teneri. SOCR. Sed & ubicunq; eum agere, quocunque ue diuertere contingeret, hortos paradisosq; constituebat, rebus omnibus quæ terra ferret, ornatos ac refertos: in quibus ipse, dum per anni tempus liceret, plurimum morari solitus erat. CRI. Necesse nempe fuerat eum in his potissimum agere locis, quæ eius maxime curam expeterent, arbores, aliaq; terræ nascentia serendo. SOCRAT. Dicunt præterea, quando munera largiretur, primùm ad se uocatos milites monere solitum, parū prodesse multa arare, nisi ea qui tuerentur adessent. Deinde colonis qui agris inuigilarent, ut frustra uiribus uti et fortes esse liceret, sine horum auxilio, qui militibus alimenta tribuerent, ostendere: professus utrosq; donatos esse oportere, quod & fortibus solum præparare, et præparantibus suppetias ferre sit necessarium. Dicitur & olim ipse rex, uti probatissimus, cum ad dona utrosq; conuocaret, monstrare solitus, se ab illis potius munera iure accipere oportere, quod & regionem posset optime ad colendum præparare, & præparantibus opem ad uictum præstare. CRI. Vti uideo haud minoris faciebat eos qui agrum colerent, quàm qui bello deligerentur. SO. Prorsus. Sed et eum dum uixit æqui seruantissimum fuisse, cum multa sint argumento, tum illa præcipue: dum aduersus fratrem pro regno certaret, ab eo nullum, à fratre uero plures ad eum transfugisse constat. Illud demum regiæ uirtutis uel maximum signum, quod ad eum uoluntarij properarent, in periculisq; cum eo persisterēt: quod mortuo uero mortem oppetere non dubitarent, circa cadauer eius pertinacissime dimicando, præter unum Ariæum, qui in sinistro cornu constiterit. Ad eundem dicitur quondam Lysander cum donis missus à socijs belli, ut ipse postea cuidam hospiti suo apud Megara retulit: deductusq; ab eo in paradisum, quem Sardibus habebat, cum uidisset ordinem, elegantiamq; arborum in quincuncem positarū, angulorumq; symmetriam,

Cyrus suis manibus arbo[res] plantauit in horto.

& ambulationum subsequentium odorem sensisset, admiratus dixisse: Hæc me suspici entem Cyre, multo magis magistri admira tio capit, quicunq; is fuerit, qui talia disposu erit. Cyrũ autem animo lætatum respõdis se: Hæc egomet Lysander, ordine quo uides disposui, ut facile cernere est, quæ mea serui dextra. Tunc cũ Lysander, ut erat ornatus respiciens, uestiũq; fragrantiã, ac sumptus & armillarũ decorum cõtemplatus, dixis se: Quid est quod ais Cyre? Tuæ ne hæc o mnia manus plantauerunt? Ad hæc Cyrus: Admiraris Lysander? Iuro per Methrẽ, me nunquã cũ per ualetudinẽ licet, prius pran dere solitum, q̃ aut bellicũ aliquod, aut ru sticum, siue actionum aliquid honestarum, quod me magis moueat, absoluam. Ille de inde hoc cæteris laudib. addidisse: Iure mi hi uideris Cyre beatus, qui bonus cum sis, es etiam felix. Hæc tantum narraui, ô Crito bule, ut plane intelligas agriculturã uel ab honestioribus, magnopereq; potentib. posse recipi. Habet enim hæc diligentiã quandã, & animi uoluptatẽ: insuper domus augmẽ tum, exercitationẽq; corporis, quantũ ho mini libero fas est: ac fructibus quoq; ipsius partim uictitamus, partim deorum aras ex truimus, partim quoq; ob coronamentorũ, odorumq; oblectationẽ, iucunditatem exci pimus, socios alios nutriendo, alios produ cendo. Sed & pecuariam agriculturæ an nexã nemo dubitat: unde præsertim copia sacrificij ad deos placandos suppeditatur. Hæc cum late præbeat, citra tamen mollitu em, aut segnitiem præbet, operarios multa patientia, & algoris, & æstus, uel nudos operi assuefaciendo. Quapropter corpora uegetiora, ac firmiora uiribus reddit, præ terq; impigros facit, & matutino surgere, properareq; ad opus suadet. Enimuero ru ri, sicut in ciuitate, actiones suis quæq; tem poribus ingruunt. Deinde si patriæ usibus cum equo presto esse cupis, hunc ager ale re poterit. Si pedibus, robur ad hoc corpo ris præstat. Tum uenationib. insudare hor tatur. Canibus tibi copiã, ac cæteris anima libus ministrat: quæ pasta, non minus & ip sa rus iuuant. Equo dominus mane in aruũ festinans contendit aliquid nunciaturus, se roq; redeundi facultatẽ habet. Canes à fru ctuum, tum pecudum uastatione prohibent feras. In solitudine ac deserta regione secu ritatem præstant, unaq; cum armis ad feren dum dominis auxiliũ excitant. Colonos ea dem in medio fructus carpere, ac certantes currere, subsilire, iaculari inuitant. Quænã ars ualidiores homines præbet? quæ colen tibus maiores gratias reddit, aut auidos ma gis exaturat, aut hospites lautius excipit? V bi p brumã caminus luculentior, & calida laua/

ὀσμαὶ δὲ πολλαὶ καὶ ἡδεῖαι συμπαρομαρτοῖεν αὐτοῖς περιπατοῦσι, καὶ ταῦτα θαυμάζων, εἶπεν· ἀλλ' ἐγώ τοι, ὦ Κῦρε, πάντα μὲν θαυμάζω ἐπὶ τῷ κάλλει, πολὺ δὲ μᾶλλον ἄγαμαι τοῦ καταμετρήσαντός σοι καὶ διατάξαντος ἕκαστα τούτων. ἀκούσαντα δὲ ταῦτα τὸν Κῦρον ἡσθῆναί τε καὶ εἰπεῖν· ταῦτα τοίνυν, ὦ Λύσανδρε, ἐγὼ πάντα καὶ διεμέτρησα καὶ διέταξα. ἔστι δ' αὐτῶν φάναι ἃ καὶ ἐφύτευσα αὐτός. καὶ ὁ Λύσανδρος ἔφη, ἀποβλέψας εἰς αὐτὸν, καὶ ἰδὼν τῶν τε ἱματίων τὸ κάλλος ὧν εἶχε, καὶ τῆς ὀσμῆς αἰσθόμενος καὶ τῶν στρεπτῶν, καὶ τῶν ψελλίων τὸ κάλλος, καὶ τοῦ ἄλλου κόσμου οὗ εἶχεν, εἰπεῖν· τί λέγεις φάναι, ὦ Κῦρε; ἦ γὰρ σὺ ταῖς χερσὶ τούτων τι ἐφύτευσας; καὶ τὸν Κῦρον ἀποκρίνασθαι· θαυμάζεις τοῦτο, ἔφη, ὦ Λύσανδρε, ὄμνυμί σοι τὸν Μίθρην, ὅταν περ ὑγιαίνω, μὴ πώποτε δειπνῆσαι, πρὶν ἱδρῶσαι, ἢ τῶν πολεμικῶν τι, ἢ τῶν γεωργικῶν ἔργων μελετῶν, ἢ ἀεὶ ἕν γέ τι φιλοτιμούμενος. καὶ αὐτὸς μέντοι, ἔφη ὁ Λύσανδρος, ἀκούσας ταῦτα, δεξιώσασθαί τε καὶ εἰπεῖν· δικαίως μοι δοκεῖς, ὦ Κῦρε, εὐδαίμων εἶναι. ἀγαθὸς γὰρ ὢν ἀνὴρ εὐδαιμονεῖς. ταῦτα δὲ, ὦ Κριτόβουλε, ἐγὼ διηγοῦμαι, ἔφη ὁ Σωκράτης, ὅτι τῆς γεωργίας οὐδ' οἱ πάνυ μακάριοι δύνανται ἀπέχεσθαι. ἔοικε γὰρ ἡ ἐπιμέλεια αὐτῆς εἶναι, ἅμα τε ἡδυπάθειά τις καὶ οἴκου αὔξησις, καὶ σωμάτων ἄσκησις, εἰς τὸ δύνασθαι ὅσα ἀνδρὶ ἐλευθέρῳ προσήκει. πρῶτον μὲν γὰρ ἀφ' ὧν ζῶσιν οἱ ἄνθρωποι, ταῦτα ἡ γῆ φέρει ἐργαζομένοις. καὶ ἀφ' ὧν τοίνυν ἡδυπαθοῦσι, προσεπιφέρει. ἔπειτα δὲ ὅσα κοσμοῦσι βωμοὺς καὶ ἀγάλματα, καὶ οἷς αὐτοὶ κοσμοῦνται, καὶ ταῦτα μετὰ ἡδίστων ὀσμῶν καὶ θεαμάτων παρέχει. ἔπειτα δὲ ὄψα πολλὰ τὰ μὲν φύει, τὰ δὲ τρέφει. καὶ γὰρ ἡ προβατευτικὴ τέχνη, συνῆπται τῇ γεωργίᾳ, ὥστε ἔχειν καὶ θεοὺς ἐξαρέσκεσθαι θύοντας, καὶ αὐτοὺς χρῆσθαι. παρέχουσα δ' ἀφθονώτατ' ἀγαθὰ οὐκ ἐᾷ ταῦτα μετὰ μαλακίας λαμβάνειν, ἀλλὰ ψύχη τε χειμῶνος καὶ θάλπη θέρους ἐθίζει καρτερεῖν. καὶ τοὺς μὲν αὐτουργοὺς διὰ τῶν χειρῶν γυμνάζουσα, ἰσχὺν αὐτοῖς προστίθησι. τοὺς δὲ τῇ ἐπιμελείᾳ γεωργοῦντας, ἀνδρίζεσθαι πρωῒ ἐγείρουσα, καὶ πορεύεσθαι σφοδρῶς ἀναγκάζουσα. καὶ γὰρ ἐν τῷ χώρῳ καὶ ἐν τῷ ἄστει, ἀεὶ ἐν ὥρᾳ, αἱ ἐπικαιριώταται πράξεις εἰσίν. ἔπειτα ἤν τε σὺν ἵππῳ ἀρήγειν τις τῇ πόλει βούληται, τὸν ἵππον ἱκανωτάτη ἡ γεωργία συντρέφειν. ἤν τε πεζῇ, σφοδρὸν τὸ σῶμα παρέχει. θήρας τε ἐπιφιλοπονεῖσθαι συνεπαίρει τι ἡ γῆ. καὶ κυσὶν εὐπέτειαν τροφῆς παρέχουσα, καὶ θηρία συμπαρατρέφουσα. ὠφελούμενοι δὲ καὶ αἱ ἵπποι καὶ αἱ κύνες ἀπὸ τῆς γεωργίας, ἀντωφελοῦσι τὸν χῶρον. ὁ μὲν ἵππος, πρωΐ τε κομίζων τὸν κηδόμενον εἰς τὴν ἐπιμέλειαν, καὶ ἐξουσίαν παρέχων ὀψὲ ἀπιέναι. αἱ δὲ κύνες, τά τε θηρία ἀπερύκουσαι ἀπὸ λύμης καρπῶν καὶ προβάτων, καὶ τῇ τε ἐρημίᾳ τὴν ἀσφάλειαν συμπαρέχουσαι. παρορμᾷ δέ τι καὶ εἰς τὸ ἀρήγειν σὺν ὅπλοις τῇ χώρᾳ, καὶ ἡ γῆ τοὺς γεωργοὺς ἐν τῷ μέσῳ τοὺς καρποὺς τρέφουσα, τῷ κρατοῦντι λαμβάνειν. καὶ δραμεῖν δὲ καὶ βαλεῖν καὶ πηδῆσαι τίς ἱκανωτέρους τέχνη γεωργίας παρέχεται; τίς δὲ τοῖς ἐργαζομένοις πλείω τέχνη ἀντιχαρίζεται; τίς ἥδιον τὸν ἐπιμελόμενον δέχεται, προτείνουσα προσιόντι λαβεῖν ὅ,τι χρήζει; τίς δὲ ξένους ἀφθονώτερον δέχεται; χειμάσαι δὲ πυρὶ ἀφθόνῳ καὶ θερμοῖς λουτροῖς

λουτροῖς, ποῦ πολὺ πλείων θυμάρεια ἐν χώρῳ τῳ; ποῦ
δὲ ἥλιον θέλσαι, ὕδασί τε καὶ πνεύμασι καὶ σκιαῖς,
ἢ κατ' ἀγρόν; τίς δὲ ἄλλη θεοῖς ἀπαρχὰς πρεπωδεστέ-
ρας παρέχει, ἢ ἑορτὰς πληρεστέρας ἀποδείκνυσι; τίς δὲ οἰ-
κέταις προσφιλεστέρα, ἢ γυναικὶ ἡδίων, ἢ τέκνοις ποθει-
νοτέρα, ἢ φίλοις εὐχαριστοτέρα; ἐμοὶ μὲν θαυμαστὸν δο-
κεῖ εἶναι εἴ τις ἐλεύθερος ἄνθρωπος, ἢ κτῆμά τι τούτου
ἥδιον κέκτηται, ἢ ἐπιμέλειαν ἡδίω τινὰ ταύτης εὕρη-
κεν, ἢ ὠφελιμωτέραν εἰς τὸν βίον. ἔτι δὲ ἡ γῆ θέλουσα τοὺς
δυναμένους καταμανθάνειν, καὶ δικαιοσύνην διδά-
σκει. τοὺς γὰρ ἄριστα θεραπεύοντας αὐτὴν, πλεῖστα ἀγα-
θὰ ἀντιποιεῖ. ἐὰν δ' ἄρα καὶ ὑπὸ πλήθους ποτὲ στρατευ-
μάτων τῶν ἔργων στερηθῶσιν οἱ ἐν τῇ γεωργίᾳ ἀναστρεφό-
μενοι, καὶ σφοδρῶς καὶ ἀνδρικῶς παιδευόμενοι, ὅτι εὖ
παρεσκευασμένοι καὶ τὰς ψυχὰς καὶ τὰ σώματα, ἂν μὴ
θεὸς ἀποκωλύῃ, δύνανται ἰόντες εἰς τὰς τῶν ἀποκωλυόν-
των, λαμβάνειν ἀφ' ὧν θρέψονται. πολλάκις δ' ἐν τῷ πο-
λέμῳ καὶ ἀσφαλέστερόν ἐστι σὺν τοῖς ὅπλοις τὴν τροφὴν
ματεύειν, ἢ σὺν τοῖς γεωργικοῖς ὀργάνοις. συμπαιδεύει
δὲ καὶ εἰς τὸ ἐπαρκεῖν ἀλλήλοις ἡ γεωργία. ἐπί τε γὰρ τοὺς
πολεμίους, σὺν ἀνθρώποις δεῖ ἰέναι, τῆς τε γῆς σὺν ἀνθρώ-
ποις ἐστὶν ἡ ἐργασία. τὸν οὖν μέλλοντα εὖ γεωργήσειν, δεῖ
τοὺς ἐργαστῆρας καὶ προθύμους παρασκευάζειν, καὶ πείθε-
σθαι θέλοντας. τόν τε ἐπὶ πολεμίους ἄγοντα, ταῦτα δεῖ
μηχανᾶσθαι, δωρούμενόν τε τοῖς ποιοῦσιν ἃ δεῖ ποιεῖν τοὺς
ἀγαθοὺς, καὶ κολάζοντα τοὺς ἀτακτοῦντας. καὶ παρακελεύε-
σθαι δὲ πολλάκις οὐδὲν ἧττον δεῖ τοῖς ἐργάταις τὸν γεωργὸν
ἢ τὸν στρατηγὸν τοῖς στρατιώταις. καὶ ἐλπίδων δὲ ἀγαθῶν
οὐδὲν ἧττον οἱ δοῦλοι τῶν ἐλευθέρων δέονται· ἀλλὰ καὶ μᾶλ-
λον ὅπως μένειν θέλωσι. καλῶς δὲ κἀκεῖνος εἶπεν, ὃς
ἔφη τὴν γεωργίαν τῶν ἄλλων τεχνῶν μητέρα καὶ τρο-
φὸν εἶναι. εὖ μὲν γὰρ φερομένης τῆς γεωργίας, ἔρρωνται καὶ
αἱ ἄλλαι τέχναι ἅπασαι. ὅπου δ' ἂν ἀναγκασθῇ ἡ γῆ χερ-
σεύειν, ἀποσβέννυνται καὶ αἱ ἄλλαι τέχναι, σχεδὸν καὶ αἱ κατὰ
γῆν καὶ κατὰ θάλατταν. ἀκούσας δὲ ταῦτα ὁ Κριτόβου-
λος, ἀλλὰ ταῦτα μὲν ἔμοιγε, ὦ Σώκρατες, καλῶς
δοκεῖς λέγειν. ὅτι δὲ τῆς γεωργικῆς τὰ πλεῖστά ἐστιν ἀν-
θρώπῳ ἀδύνατα προνοῆσαι. καὶ γὰρ χάλαζαι καὶ πάχ-
ναι ἐνίοτε καὶ αὐχμοὶ, καὶ ὄμβροι ἐξαίσιοι καὶ ἐρυσίβαι,
καὶ ἄλλα πολλάκις τὰ καλῶς ἐγνωσμένα καὶ πεποιη-
μένα ἀφαιροῦνται. καὶ πρόβατα δ' ἐνίοτε κάλλιστα τε-
θραμμένα νόσος ἐλθοῦσα, κάκιστα ἀπώλεσεν. ἀκούσας
δὲ ταῦτα ὁ Σωκράτης, ἔφη· ἀλλ' ᾤμην ἔγωγέ σε, ὦ Κρι-
τόβουλε, εἰδέναι, ὅτι οἱ θεοὶ οὐδὲν ἧττόν εἰσι κύριοι τῶν
ἐν τῇ γεωργίᾳ ἔργων, ἢ τῶν ἐν τῷ πολέμῳ. καὶ τοὺς μὲν
ἐν τῷ πολέμῳ ὁρᾷς οἶμαι πρὸ τῶν πολεμικῶν πράξεων
ἐξαρεσκομένους τοῖς θεοῖς, καὶ ἐπερωτῶντας θυ-
σίαις καὶ οἰωνοῖς, ὅ,τι τε χρὴ ποιεῖν, καὶ ὅ,τι μή. περὶ δὲ τῶν
γεωργικῶν πράξεων, ἧττον οἴει δεῖν τοὺς θεοὺς ἱλάσκε-
σθαι; εὖ γὰρ ἴσθι, ἔφη, ὅτι οἱ σώφρονες καὶ ὑπὲρ ὑγρῶν καὶ
ξηρῶν καρπῶν, καὶ βοῶν, καὶ ἵππων, καὶ προβάτων, καὶ ὑπὲρ
πάντων γε δὴ τῶν κτημάτων τοὺς θεοὺς θεραπεύουσιν. ἀλλὰ
ταῦτα μὲν, ἔφη, ὦ Σώκρατες, καλῶς μοι δοκεῖς λέγειν,
κελεύων πειρᾶσθαι σὺν τοῖς θεοῖς ἄρχεσθαι παντὸς ἔργου, ὡς
τῶν θεῶν κυρίων ὄντων, οὐδὲν ἧττον τῶν εἰρηνικῶν ἢ τῶν πο-
λεμικῶν ἔργων. ταῦτα μὲν οὖν πειρασόμεθα οὕτω ποιεῖν.

σὺ δ'

lauacra cõmodiora? per æstum uero umbris aurisq; moræ dulciores? Vbi dijs litaturis primitiæ decentiores, aut dies festi lætiores? Quæ amantior seruis, dulcior uxori, optatior filijs, gratior amicis? Mihi profecto mirum uideatur, si liber homo hac dulcius diligentia, aut lætius possessione, & ad uitam commo-
10 dius inuenerit. Cæterum hæc colonos ad iustitiam officiumq; acuit, cum belli tempore ab operis uacantes, animo atq; corpore ualentes per hosticum, nisi deus prohibeat, ruunt, prædasq; agunt, quæ operum loco uictum præbeant. Nam tutius eo tempore armis quàm rustico instrumento cibum quærere. Instruit quoq; uti mutuam præstemus utilitatem. Quip-
20 pe cum ad bellum conficiendum, tum ad agrum colendum hominibus est opus: alteraq; harum artium alteram iuuat, ac similitudine quadam inter se conueniunt. Bonus agricola operas parère promptas, ut dux milites, comparabit. Ille in bello fortiter agentes munerabit, cedentesq; de loco plectet. Nec minus hic pecunijs, castigationibus, ad-
30 hortationibus utetur. Enimuero spè bona non minus serui quàm liberi mouentur, multóque interdum magis, ut sponte permaneant. Quam ob rem pulchre ille quidem, qui agriculturam aliarum artium parentem atque nutricem appellauit: qua bene habente, cætera ualeant: neglecta uero, terra mariq; iacent omnia. CRITOBVLVS. Hæc
40 quidem omnia probe, ô Socrates. Sed circa agriculturam, haud facile cuncta cauere est. Nam & grandines, & glacies, & imbres intempestiui, rubigo, & alia complura sæpe eueniunt, ut quæ summa sint elaborata & arte & diligentia, euertant: tum armenta tentata quandoq; intereant. SO. Puto tè non ignorare deos rei rusticæ nõ mi-
50 nus quàm militari præsidere. At in bello uides pugnam inituros antea dijs litare, sciscitantes sacrificijs augurijsq; quid opus. Itidem et in agrò seruandum: nosti enim sapientes uiros pro fructibus pecoreq; omni placare solitos deos. CR. Recte tu quidẽ mones, omnem à dijs actionem potissimum auspicari oportere, tanquam pacis ac belli studijs imperantibus. Hoc igitur deinceps seruabimus.

Tú

Tu perge uti cœpisti, reliqua huiusce modi disciplinæ enarrare. Nam & ego iandudū audiens uideor aliquid magis q̃ antea prospicere, quid uiuentis potissime faciendū. SO. Quin potius repetamus quæ supra disseruimus, ut deinceps reliqua eodē quoad possumus ordine narrāda pariter pbemus. CR. Vt ais, nos mutuo sermone unà adsentiēdo procedere decet, haud aliter q̃ q claria ratione pecuniā inter se tractāt. SO. Igitur sciētiæ cuiusdā œconomia nobis uisa est, eaq; in augēda domo cōsistere. Domum autē quod possidebatur appellari: possessionē esse quancūq; uictui utilē diximus: utilia uero tantū metiri, ut illis uti quis sciret. Cunctas aūt artes neq; posse quenquā scire, neq; sane à rep. pbari, quas uocant mechanicas; quæ corpora pariter et animū corrūpunt. argumentū eius rei manifestū enarrauimus: Si quis hostib. regionē inuadētib. ex opificibus & colonis separatim experiatur, utri magis præsto adsint reip. an hi subtracti agris mœnia tuendo (sic n. huiuscemodi genus hominū bello utiles esse putamus) an illi minime pugnātes, operi quod quisq; edoctus fuerit adsidēdo. Ceterū homini honesto ac bono culturā maxime conuenire affirmauimus, unde ad uictū necessaria nobis affatim suppeterēt. Ipsius aūt opus haud cognitu difficile, factu delectabile, corporib salubre, iucundū amicis, minime negociū creās, quin et amicis et patriæ uacare pariter queat. Videbatur insuper & extra munimēta munitos reddere, uictū suppeditādo, et colonos nutriendo: ob quā rē hæc priuata industria, et honestos homines, et reip. redderet amātissimos. CRI. Iandudū Socrates p te intelligo dulcissimū, atq; pulcherrimū uitæ genus uideri. Quod aūt te docere receperas, ex ea multos proficere, plurimos dāna facere, hoc potissimum rogo: quippe qui cupiā quæ ad hanc rem faciunt ediscere, ut inde incommoda possim euitare. SOC. Quid si enarrē ab initio, quēadmodū sum olim congressus cū uiro qui mihi unus uisus est ex his qui iure nomen hoc honesti atq; boni uiri adsequuntur? CR. Libenter equidē audiuerim. Nā et ego quoq; tali nomine dignari exopto. SO. Dicā nempe quonā modo in ipsius uenerim meditationem. Bonos enim architectos, bonos item fabros ærarios, pictores, statuarios, aliosq;

σὺ δ' ἡμῖν φράζων λέγων περὶ τῆς οἰκονομίας ἃ ἀπέλειπες, πειρῶ τὰ τούτων ἐχόμενα διαπεραίνειν. ὡς καὶ νῦν μοι δοκῶ ἀκηκοὼς ὅσα εἶπας, μᾶλλόν τι ἤδη διορᾶν ἢ πρόσθεν, ὅ,τι χρὴ ποιοῦντα βιοτεύειν. τί οὖν, ἔφη ὁ σωκράτης· ἆρα εἰ πρῶτον μὲν ἐπανέλθοιμεν, ὅσα μὲν ὁμολογοῦντες διεληλύθαμεν, ἵν' ἤν πως δυνώμεθα παραβῶμεν, οὕτω καὶ τὰ λοιπὰ διεξιέναι συνομολογοῦντες; ἡδύ γ' οὖν ἐστιν, ἔφη ὁ κριτόβουλος, ὥσπερ καὶ χρημάτων κοινωνήσαντας, ἀναμφιλόγως διελθεῖν, οὕτω καὶ λόγων κοινωνοῦντας περὶ ὧν ἂν διαλεγώμεθα, συνομολογοῦντας διεξιέναι. οὐκοῦν, ἔφη ὁ σωκράτης, ἐπιστήμης μέν τινος ἔδοξεν ἡμῖν ὄνομα εἶναι ἡ οἰκονομία. ἡ δὲ ἐπιστήμη αὕτη ἐφαίνετο, ᾗ οἴκους δύνανται αὔξειν ἄνθρωποι. οἶκος δ' ἡμῖν ἐφαίνετο, ὅπερ κτῆσις ἡ σύμπασα. κτῆσιν δὲ τοῦτο ἔφαμεν εἶναι, ὅ,τι ἑκάστῳ ὠφέλιμον εἴη εἰς τὸν βίον. ὠφέλιμα δὲ ὄντα εὑρίσκετο πάντα, ὁπόσοις τις ἐπίσταιτο χρῆσθαι. πάσας μὲν οὖν τὰς ἐπιστήμας οὔτε μαθεῖν οἷόν τε ἡμῖν ἐδόκει, συναποδοκιμάζειν τε ταῖς πόλεσι, τὰς βαναυσικὰς καλουμένας τέχνας, ὅτι καὶ τὰ σώματα καταλυμαίνεσθαι δοκοῦσι, καὶ τὰς ψυχὰς καταγνύουσι. τεκμήριον δὲ σαφέστατον γενέσθαι ἂν τούτου ἔφαμεν, εἰ πολεμίων εἰς τὴν χώραν ἰόντων, διακαθίσας τις τοὺς γεωργοὺς καὶ τοὺς τεχνίτας χωρὶς ἑκατέρους ἐπερωτῴη, πότερα δοκεῖ ἀρήγειν τῇ χώρᾳ, ἢ ὑφεμένους τῆς γῆς τὰ τείχη διαφυλάττειν. οὕτω γὰρ ἂν τοὺς μὲν ἀμφὶ γῆν ἔχοντας, ᾠόμεθ' ἂν ψηφίζεσθαι ἀρήγειν. τοὺς δὲ τεχνίτας μὴ μάχεσθαι, ἀλλ' ὅπερ πεπαίδευνται καθῆσθαι, μήτε πονοῦντας, μήτε κινδυνεύοντας. ἐδοκιμάσαμεν ἀνδρὶ καλῷ τε κἀγαθῷ ἐργασίαν εἶναι καὶ ἐπιστήμην κρατίστην γεωργίαν, ἀφ' ἧς τὰ ἐπιτήδεια ἄνθρωποι πορίζονται. αὕτη γὰρ ἡ ἐργασία, μαθεῖν τε ῥᾴστη ἐδόκει εἶναι, καὶ ἡδίστη ἐργάζεσθαι, καὶ τὰ σώματα κάλλιστά τε καὶ εὐρωστότατα παρέχεσθαι, καὶ ταῖς ψυχαῖς ἥκιστα ἀσχολίαν παρέχειν, φίλων τε καὶ πόλεων συνεπιμελεῖσθαι. συμπαροξύνειν δέ τι ἐδόκει ἡμῖν καὶ εἰς τὸ ἀλκίμους εἶναι ἡ γεωργία, ἔξω τῶν ἐρυμάτων, τὰ ἐπιτήδεια φύουσά τε καὶ τρέφουσα τοὺς ἐργαζομένους. διὰ ταῦτα δὲ καὶ εὐδοξοτάτη εἶναι πρὸς τῶν πόλεων, αὕτη ἡ βιοτεία, ὅτι καὶ πολίτας ἀρίστους καὶ εὐνουστάτους παρέχεσθαι δοκεῖ τῷ κοινῷ. καὶ ὁ κριτόβουλος, ὅτι μὲν, ὦ σώκρατες, κάλλιστόν τε καὶ ἄριστον καὶ ἥδιστον ἀπὸ γεωργίας τὸν βίον ποιεῖσθαι, πάνυ μοι δοκῶ πεπεῖσθαι ἱκανῶς. ὅτι δὲ ἔφησθα καταμαθεῖν τὰ αἴτια, τῶν τε οὕτω γεωργούντων, ὥστε ἀπὸ τῆς γεωργίας ἀφθόνως ἔχειν ὧν δέονται, καὶ τῶν οὕτως ἐργαζομένων ὡς μὴ λυσιτελεῖν αὐτοῖς τὴν γεωργίαν, καὶ ταῦτά μοι δοκῶ ἡδέως ἑκάτερα ἀκούειν σου, ὅπως ἃ μὲν ἀγαθά ἐστι ποιῶμεν, ἃ δὲ βλαβερὰ μὴ ποιῶμεν. τί οὖν, ἔφη ὁ σωκράτης, ὦ κριτόβουλε, ἤν σοι ἐξ ἀρχῆς διηγήσωμαι, ὡς συνεγενόμην ποτὲ ἀνδρί, ὃς ἐμοὶ ἐδόκει εἶναι τῷ ὄντι τῶν ἀνδρῶν, ἐφ' οἷς τοῦτο τὸ ὄνομα δικαίως ἐστὶν, ὃ καλεῖται καλός τε κἀγαθὸς ἀνήρ. πάνυ ἄν, ἔφη ὁ κριτόβουλος, βουλοίμην ἂν οὕτως ἀκούειν, ὡς καὶ ἔγωγε ἐρῶ τούτου τοῦ ὀνόματος ἄξιος γενέσθαι. λέξω τοίνυν σοι, ἔφη ὁ σωκράτης, ὡς καὶ ἦλθον ἐπὶ τὴν σκέψιν αὐτοῦ. τοὺς μὲν γὰρ ἀγαθοὺς τέκτονας, χαλκέας ἀγαθοὺς, ζωγράφους ἀγαθοὺς, ἀνδριαντοποιοὺς, καὶ

καὶ τὰ ἄλλα τὰ τοιαῦτα, πάνυ ὀλίγος μοι χρόνος ἐ-
γένετο, ἱκανῶς προσελθεῖν τε καὶ θεάσασθαι τὰ δεδο-
κιμασμένα καλὰ ἔργα αὐτοῖς εἶναι. ὅπως δὲ δὴ καὶ τοὺς
ἔχοντας τὸ σεμνὸν ὄνομα τοῦτο τὸ καλόν τε κἀγαθὸν ἐπι-
σκεψαίμην, τί ποτ' ἐργαζόμενοι τοῦτ' ἀξιοῖντο καλεῖ-
σθαι, πάνυ μου ἡ ψυχὴ ἐπεθύμει αὐτῶν τινι συγγενέσθαι.
καὶ πρῶτον μὲν ὅτι προσέκειτο τὸ καλὸς τῷ ἀγαθῷ, ὅν-
τινα ἴδοιμι καλὸν, τούτῳ προσῄειν, καὶ ἐπειρώμην κα-
ταμανθάνειν, εἴ που ἴδοιμι προσηρτημένον τῷ καλῷ
τὸ ἀγαθόν. ἀλλ' οὐκ ἄρα εἶχεν οὕτως. ἀλλ' ἐνίους ἐδόκουν
καταμανθάνειν τῶν καλῶν τὰς μορφὰς, πάνυ μοχθη-
ροὺς ὄντας τὰς ψυχάς. ἔδοξεν οὖν μοι ἀφέμενον τῆς κα-
λῆς ὄψεως, ἐπ' αὐτῶν τινα ἐλθεῖν, τῶν καλουμένων κα-
λῶν τε κἀγαθῶν. ἐπεὶ οὖν τὸν ἰσχόμαχον ἤκουον πρὸς πάν-
των καὶ ἀνδρῶν τε καὶ γυναικῶν, καὶ ξένων καὶ ἀστῶν, κα-
λόν τε κἀγαθὸν ἐπονομαζόμενον, ἔδοξέ μοι τούτῳ πει-
ραθῆναι συγγενέσθαι. ἰδὼν οὖν ποτε αὐτὸν, ἐν τῇ τοῦ
διὸς τοῦ ἐλευθερίου στοᾷ καθήμενον, ἐπεί μοι ἔδοξε σχολά-
ζειν, προσῆλθον αὐτῷ, καὶ παρακαθιζόμενος, εἶπον· τί,
ὦ ἰσχόμαχε, οὐ μάλα εἰωθὼς σχολάζειν κάθησαι; ἐπεὶ τά
γε πλεῖστα, ἢ πράττοντά τι ὁρῶ σε, ἢ οὐ πάνυ σχολάζοντα
ἐν τῇ ἀγορᾷ. οὐδὲ ἂν γε νῦν, ἔφη ὁ ἰσχόμαχος, ὦ σώκρα-
τες, ἑώρας, εἰ μὴ ξένους τινὰς συνεθέμην ἀναμένειν ἐν-
θάδε. ὅταν δὲ μὴ πράττῃς τι τοιοῦτον, πρὸς τῶν θεῶν, ἔφην
ἐγὼ, ποῦ διατρίβεις, καὶ τί ποιεῖς; ἐγὼ γάρ τοι πάνυ βού-
λομαί σου πυθέσθαι, τί ποτε πράττων, καλὸς κἀγαθὸς
κέκλησαι, ἐπεὶ οὐκ ἔνδον διατρίβεις, οὐδὲ τοιαύτη σου ἡ
ἕξις τοῦ σώματος καταφαίνεται. καὶ ὁ ἰσχόμαχος γελά-
σας ἐπὶ τῷ τί ποιῶν καλὸς κἀγαθὸς κέκλησαι, καὶ ἡσθεὶς
ὥς γέ μοι ἔδοξεν, εἶπεν· ἀλλ' εἰ μὲν ὅταν σοὶ διαλέγον-
ται περὶ ἐμοῦ τινες, καλοῦσί με τοῦτο τὸ ὄνομα, οὐκ οἶδα.
οὐ γὰρ δὴ ὅταν γέ με εἰς ἀντίδοσιν καλῶνται τριηραρ-
χίας ἢ χορηγίας, οὐδείς ἔφη, ζητεῖ τὸν καλόν τε κἀγαθὸν,
ἀλλὰ σαφῶς ἔφη ὀνομάζοντές με ἰσχόμαχον πατρόθεν
προσκαλοῦνται. ἐγὼ μὲν τοίνυν, ἔφη, ὦ σώκρατες, ὅ με
ἐπήρου, οὐδαμῶς ἔνδον κατατρίβω. καὶ γὰρ δὴ, ἔφη, τά
γε ἐν τῇ οἰκίᾳ μου, πάνυ καὶ αὐτὴ ἡ γυνὴ ἱκανή ἐστι διοι-
κεῖν. ἀλλὰ καὶ τοῦτο, ἔφην ἔγωγε, ὦ ἰσχόμαχε, πάνυ ἂν ἡ-
δέως σου πυθοίμην, πότερα αὐτὸς σὺ ἐπαίδευσας τὴν
γυναῖκα, ὥστε εἶναι οἵαν δεῖ, ἢ ἐπισταμένην ἔλαβες παρὰ
τοῦ πατρὸς καὶ τῆς μητρὸς, διοικεῖν τὰ προσήκοντα αὐτῇ.
καὶ τί ἂν, ἔφη, ὦ σώκρατες, ἐπισταμένην αὐτὴν παρέλα-
βον, ἣ ἔτη μὲν οὔπω πεντεκαίδεκα γεγονυῖα, ἦλθε πρὸς ἐ-
μέ, τὸν δ' ἔμπροσθεν χρόνον ἔζη ὑπὸ πολλῆς ἐπιμελείας,
ὅπως ὡς ἐλάχιστα μὲν ὄψοιτο, ἐλάχιστα δ' ἀκούσοιτο, ἐλά-
χιστα δ' ἔροιτο. οὐ γὰρ ἀγαπητόν σοι δοκεῖ εἶναι, εἰ μὴ μό-
νον ἦλθεν ἐπισταμένη, ἔρια παραλαβοῦσα, ἱμάτιον ἀποδεῖ-
ξαι, καὶ ἑωρακυῖα, ὡς ἔργα ταλάσια, θεραπαίναις δίδο-
ται. ἐπεὶ τά γε ἀμφὶ γαστέρα, ἔφη, πάνυ καλῶς, ὦ σώ-
κρατες, ἦλθε πεπαιδευμένη, ὅπερ μέγιστον ἔμοιγε δο-
κεῖ παίδευμα εἶναι καὶ ἀνδρὶ καὶ γυναικί. τὰ δ' ἄλλα, ἔ-
φην ἐγὼ, ὦ ἰσχόμαχε, αὐτὸς ἐπαίδευσας τὴν γυναῖκα
ὥστε ἱκανὴν εἶναι ὧν προσήκει ἐπιμελεῖσθαι; οὐ μὰ Δί',
ἔφη ὁ ἰσχόμαχος, οὐ πρίν γε καὶ ἔθυσα καὶ ηὐξάμην, ἐμέ τε
τυγχάνειν διδάσκοντα, καὶ ἐκείνην μανθάνουσαν τὰ
βέλτιστα ἀμφοτέροις ἡμῖν. οὐκοῦν, ἔφην ἐγὼ, καὶ ἡ γυνή
σοι

diosq; huiuscemodi ex eorum operi/
bus breui tempore perspexi ac proba/
ri. Vir autem qui honestus atq; bonus
uocaretur, perscrutatus sum quidnam
potissimū ageret, quam ob rem hoc si/
bi merito nomen usurparet: ac primum
sum periclitatus, si quem adspicerē ho
nestum, hunc & bonum etiam inueni
rem: quæ me ratio longe fefellit. Nam
10 & quosdam specie honestos, impro/
bos tamen animo aduerti. Atque his
missis cum audirem Ischomachum
præter omnis hoc nomine insignem es/
se, statui mecum ipse hunc omnino a/
dire. Cumq; illum in Iouis Eleutherij
porticu sedentem conspicerem, quan/
do mihi uacare uisus est, propius ac/
cedens, Quid, inquam, Ischomache
hic desides, minime solitus cessare?
20 Nam te sæpe in foro uideo, aut agen/
tem plurima, aut certe minimum ua/
cantem. ISCHOMACHVS. Non
profecto nunc quoque uideres, nisi hic
hospites expectarem. SOCRATES.
Quando igitur nihil huiusmodi agis,
per deos, ubi moram trahis? quid re/
rum geris? cupio prorsus audire quid/
nam potissimum agendo honestus ac
bonus uociteris, præsertim cum do/
30 mi non maneas, nec talis habitu cor/
poris uidearis. At ille ridere, atq; in ea
appellatione lætari uisus est. IS C. An
uocent me hoc nomine qui tecum lo/
quuntur, haud satis scio: hoc tantum
scio, ad collationem Trierarchæ uel lu
dorum, nomenclator me tantum Ischo
machum ex patre uocat. Ego autem
Socrates ut ais, nequaquam intus mo/
ror, quod rei familiaris curam uxor est
40 idonea suscipere. SOCRATES. Hoc
à te libenter audierim, tu ne erudieris
eam, an à parentibus edoctam acce/
peris, ut quæ ad eam pertinent, regere
sciret. ISCHOMACHVS. Quomo/
do doctam accepissem, quam quinque
& decem uix natam annos duxerim,
ætatemq; præteritam omnem sub cu/
ra maxima egerit, ut quamminimum
uideret, quamminimum audiret, aut lo
50 queretur, satisq; habuerim si tantum
lanam columq; accipiat, uestem com/
monstret, ancillis opera diuidere sciat.
Tum circa uentrem pulchre instituta,
quæ res magnum Socrates mulieris or
namentum uidetur. SOCRATES. Re
liqua tu monstrasti? ISCHOMACH.
Minime. Sed dijs sacrificaui ac Ioui,
ut me quecunque optima utrique fo/
rent, edocere contingeret, illam uero
discere. SOCRATES. Et cōuenit hac
tecum

tecum uouit? SO. Profecto. Nam multa illis per uota promisisse, ut qualem esse oporteret euaderet, illud in primis est argumento, quod praecepta minime neglexerit. SO. Eloquere quaeso Ischomache, quid prius coeperis edocere. Nãq; ego te huiusmodi narrantem libentius audiuerim, quàm si gymnicum aut equestre aliquod pulcherrimũ certamen recenseres. IS. Cum primum mihi potestas cum ea colloquẽdi fuit, hoc modo sum eam percontatus: Dic uxor, nosti quã ob rẽ te ceperim, tuiq; te mihi parẽtes locarint: puto scias ut simul cubaremus, societatemq; mutuã, optimamq;, et domus, et liberorũ iniremus. Cũ ego te probauerim, meq; parentes tui, quantũ deprehendi licuit: liberos si deus dederit, in medium consulemus, quo pacto erudire debeamus: quippe q cõmunem nobis felicitatẽ allaturi sunt, ac emeritis iam & senescentib. alimenta praebituri. Interea domus haec utriq; cõmunis erit. Ego tibi quaecunque sunt intus prodidi. Tu item tecũ allata in eãdem collocasti: illud nequaquã cõputari oportet, uter plura in mediũ contulerit: sed uter potius socius melior, is demũ plura attulerit. Ad haec, ô Socrates, quid respõderit, ego tecũ disserã. Quaenã meae uires? inquit. Tuae istae sunt partes: meae tantum, ut mater olim mõstrauit, seruare modestiam. At me pater itidem docuit: uerũ modestiorum & uiri & foeminae fuerit rem familiarem continuo reddere meliorẽ, ac alijs iustis partis facultatibus augere. Tunc illa: Putásne, inquit, me adeo quoduis agendo domum augere oportere? Ea duntaxat, inquam, quae dij te iubent, et leges collaudãt agere, tandem optima esse censeo. Quaenã sunt huiusmodi? inquit illa. Haud, ego inquã, paruo existimanda, si nõ paruo existimas apis officium, quae caeterarũ operi praesidet in aluearib. Mihi profecto uidetur deos ipsos multa quidem sapientissime, tum praesertim iugum hoc instituisse. Primũ quidémne animantiũ genera deficerẽt: deinde, ut haberemus à quib. nostra senectus aleretur. Cumq; mortalium uita non ut caeterorum animalium sub dio, sed sub tecto ducatur, oportet sub dio procurare quorum adminiculo futurorũ hominũ usui sub tecto cõsulatur: huiusmodi sunt noualis, arbores, sementes, pascua. Ex his necessaria uictus proueniunt: quibus in domũ relatis seruatorẽ adhibere fas est: qui maxime is fuerit, quẽ sub tecto res agere decet. Tecto indi-

σοὶ συνέθυε καὶ συνηύχετο αὐτῇ ταῦτα. καὶ μάλα γ᾽, ἔφη ὁ Ἰσχόμαχος, πολλὰ ὑποσχομένους μὲν πρὸς τοὺς θεοὺς γενέσθαι οἵαν δεῖ. καὶ εὔδηλος ἦν, ὅτι οὐκ ἀμελήσει τῶν διδασκομένων. πρὸς θεῶν, ἔφην ἐγώ, ὦ Ἰσχόμαχε, πρῶτον διδάσκειν ἤρχου αὐτήν, διηγοῦ μοι, ὡς ταῦτ᾽ ἂν ἥδιόν σου διηγουμένου ἀκούοιμι, ἢ εἰ μοι γυμνικὸν ἢ ἱππικὸν ἀγῶνα τὸν κάλλιστον διηγοῖο. καὶ ὁ Ἰσχόμαχος ἀπεκρίνατο. τί δ᾽, ἔφη, ὦ Σώκρατες, ἐπεὶ ἤδη μοι χειροήθης ἦν καὶ ἐτετιθάσευτο, ὥστε διαλέγεσθαι, ἠρόμην αὐτήν, ἔφη, ὧδέ πως· εἰπέ μοι, ὦ γύναι. ἆρα ἤδη κατενόησας, τίνος ποτὲ ἕνεκα, ἐγώ τέ σε ἔλαβον, καὶ οἱ σοὶ γονεῖς ἔδοσάν σε ἐμοί; ὅτι μὲν γὰρ οὐκ ἀπορία ἦν μεθ᾽ ὅτου ἄλλου ἐκαθεύδομεν ἄν, οἶδ᾽ ὅτι καὶ σοὶ καταφανὲς τοῦτ᾽ ἐστί. βουλευόμενος δ᾽ ἔγωγε ὑπὲρ ἐμοῦ, καὶ οἱ σοὶ γονεῖς ὑπὲρ σοῦ, τίν᾽ ἂν κοινωνὸν βέλτιστον οἴκου τε καὶ τέκνων λαβοίμεθα, ἐγώ τε σὲ ἐξελεξάμην, καὶ οἱ σοὶ γονεῖς ὡς ἐοίκασιν ἐκ τῶν δυνατῶν ἐμέ. τέκνα μὲν οὖν ἂν θεός ποτε διδῷ ἡμῖν γενέσθαι, τότε βουλευσόμεθα περὶ αὐτῶν, ὅπως ὅτι βέλτιστα παιδεύσομεν αὐτά. κοινὸν γὰρ ἡμῖν καὶ τοῦτο τἀγαθόν, συμμάχων καὶ γηροβοσκῶν ὅτι βελτίστων τυγχάνειν. νῦν δὲ δὴ οἶκος ἡμῖν ὅδε κοινός ἐστιν. ἐγώ τε γὰρ ὅσα μοι ἔστιν ἅπαντα εἰς τὸ κοινὸν ἀποφαίνω. σύ τε ὅσα ἠνέγκω, πάντα εἰς τὸ κοινὸν κατέθηκας. καὶ οὐ τοῦτο δεῖ λογίζεσθαι, πότερος ἄρα ἀριθμῷ πλείω συμβέβληται ἡμῶν. ἀλλ᾽ ἐκεῖνο δεῖ εὖ εἰδέναι, ὅτι ὁπότερος ἂν ἡμῶν βελτίων κοινωνὸς ᾖ, οὗτος τὰ πλείονος ἄξια συμβάλλεται. ἀπεκρίνατο δέ μοι, ὦ Σώκρατες, πρὸς ταῦτα ἡ γυνή· τί δ᾽ ἂν ἐγώ σοι, ἔφη, δυναίμην συμπρᾶξαι; τίς δὲ ἡ ἐμὴ δύναμις; ἀλλ᾽ ἐν σοὶ πάντα ἐστίν. ἐμὸν δ᾽ ἔργον ἔφησεν ἡ μήτηρ εἶναι σωφρονεῖν. ναὶ μὰ Δί᾽, ἔφην ἐγώ, ὦ γύναι. καὶ γὰρ ἐμοὶ ὁ πατήρ. ἀλλὰ σωφρόνων τοί ἐστι καὶ ἀνδρὸς καὶ γυναικὸς οὕτω ποιεῖν, ὅπως τά τε ὄντα ὡς βέλτιστα ἕξει, καὶ ἄλλα ὅτι πλεῖστα ἐκ τοῦ καλοῦ τε καὶ δικαίου προσγενήσεται. καὶ τί δή, ἔφη, ὁρᾷς, ἡ γυνή, ὅ, τι ἂν ἐγὼ ποιοῦσα συναύξοιμι τὸν οἶκον. ναὶ μὰ Δί᾽, ἔφην ἐγώ, ἅ τε οἱ θεοὶ ἔφυσάν σε δύνασθαι καὶ ὁ νόμος συνεπαινεῖ, ταῦτα πειρῶ ὡς βέλτιστα ποιεῖν. καὶ τί δὴ ταῦτά ἐστιν, ἔφη ἐκείνη; οἶμαι μὲν ἔγωγε, ἔφην, οὐ τὰ ἐλαχίστου ἄξια, εἰ μὴ πέρ γε καὶ ἡ ἐν τῷ σμήνει ἡγεμὼν μέλιττα ἐπ᾽ ἐλαχίστου ἀξίοις ἔργοις ἐφέστηκεν. ἐμοὶ γάρ τοι, ἔφη, φαίνονται καὶ οἱ θεοί, ὦ γύναι, δοκοῦσι, πολὺ διεσκεμμένως μάλιστα τὸ ζεῦγος τοῦτο συντεθεικέναι, ὃ καλεῖται θῆλυ καὶ ἄρρεν, ὅπως ὅτι ὠφελιμώτατον ᾖ αὑτῷ εἰς τὴν κοινωνίαν. πρῶτον μὲν γὰρ τὸ μὴ ἐκλιπεῖν ζῴων γένη, τοῦτο τὸ ζεῦγος κεῖται μετ᾽ ἀλλήλων τεκνοποιούμενον· ἔπειτα τὸ γηροβοσκοὺς κεκτῆσθαι ἑαυτοῖς, ἐκ τούτου τοῦ ζεύγους τοῖς γοῦν ἀνθρώποις πορίζεται. ἔπειτα δὲ καὶ ἡ δίαιτα τοῖς ἀνθρώποις, οὐχ ὥσπερ τοῖς κτήνεσίν ἐστιν ἐν ὑπαίθρῳ, ἀλλὰ στεγῶν δεῖται δηλονότι. δεῖ μέντοι τοῖς μέλλουσιν ἀνθρώποις ἕξειν ὅ τι εἰσφέρωσιν, εἰς τὸ στεγνὸν τοὺς ἐργαζομένους τὰς ἐν τῷ ὑπαίθρῳ ἐργασίας. καὶ γὰρ νεατὸς καὶ σπόρος καὶ φυτεία καὶ νομαί, ὑπαίθρια ταῦτα πάντα ἔργα ἐστίν. ἐκ τούτων δὲ τὰ ἐπιτήδεια γίγνεται. δεῖ δ᾽ αὖ, ἐπειδὰν ταῦτα εἰσενεχθῇ εἰς τὸ στεγνόν, καὶ τοῦ σώσοντος ταῦτα καὶ τοῦ ἐργαζομένου τὰ τῶν στεγνῶν ἔργα δεόμενά ἐστι. στεγνῶν δὲ δεῖται καὶ ἡ τῶν νεογνῶν τέκνων παιδοτροφία. στεγνῶν δὲ καὶ

Iugum matrimonij a Deo institutum.

καὶ αὖ ἡ ἐκ τοῦ καρποῦ σιτοποιία δέονται. ὡσαύτως δὲ
καὶ ἡ τῆς ἐσθῆτος ἐκ τῶν ἐρίων ἐργασία. ἐπεὶ δὲ ἀμφό-
τερα ταῦτα καὶ ἔργων καὶ ἐπιμελείας δεῖται, τά τε ἔνδον
καὶ τὰ ἔξω, καὶ τὴν φύσιν φάναι εὐθὺς παρεσκεύασεν
ὁ θεὸς ὡς ἐμοὶ δοκεῖ, τὴν μὲν τῆς γυναικὸς ἐπὶ τὰ ἔνδον
ἔργα καὶ ἐπιμελήματα. ῥίγη μὲν γὰρ καὶ θάλπη καὶ ὁδοι-
πορίας καὶ στρατείας, τοῦ ἀνδρὸς τὸ σῶμα καὶ τὴν ψυχὴν
μᾶλλον δύνασθαι καρτερεῖν κατεσκεύασεν. ὥστε τὰ ἔξω
ἐπέταξεν αὐτῷ ἔργα. τῇ δὲ γυναικὶ ἧττον τὸ σῶμα δυ-
νατὸν πρὸς ταῦτα φύσας, τὰ ἔνδον ἔργα αὐτῇ φάναι
ἔφη προστάξαι μοι δοκεῖ ὁ θεός. εἰδὼς δὲ ὅτι τῇ γυναικὶ
καὶ ἐνέφυσε καὶ προσέταξε τὴν τῶν νεογνῶν τέκνων τρο-
φήν, καὶ τοῦ στέργειν τὰ νεογνὰ βρέφη, πλεῖον ἐδάσα-
το αὐτῇ ἢ τῷ ἀνδρί. ἐπεὶ δὲ καὶ τὸ φυλάττειν τὰ εἰσ-
ενεχθέντα τῇ γυναικὶ προσέταξε, γινώσκων ὁ θεὸς, ὅτι
πρὸς τὸ φυλάττειν οὐ κάκιόν ἐστι φοβερὰν εἶναι τὴν ψυ-
χήν, πλεῖον μέρος καὶ τοῦ φόβου ἐδάσατο τῇ γυναικὶ ἢ
τῷ ἀνδρί. εἰδὼς δὲ ὅτι καὶ ἀρήγειν αὖ δεήσει, ἐάν τις
ἀδικῇ τὸν τὰ ἔξω ἔργα ἔχοντα, τούτῳ αὖ πλεῖον μέρος
τοῦ θράσους ἐδάσατο. ὅτι δὲ ἀμφοτέρους δεῖ καὶ διδό-
ναι καὶ λαμβάνειν, τὴν μνήμην καὶ τὴν ἐπιμέλειαν εἰς
τὸ μέσον ἀμφοτέροις κατέθηκεν. ὥστε οὐκ ἂν ἔχοις διε-
λεῖν, πότερα τὸ ἔθνος τὸ θῆλυ ἢ τὸ ἄρρεν τούτων πλεο-
νεκτεῖ. καὶ τὸ ἐγκρατεῖς δὲ εἶναι ὧν δεῖ, εἰς τὸ μέσον ἀμφο-
τέροις κατέθηκε. καὶ ἐξουσίαν ἐποίησεν ὁ θεὸς, ὁπότε-
ρος ἂν ᾖ βελτίων, εἴθ᾽ ὁ ἀνὴρ, εἴθ᾽ ἡ γυνή, τοῦτον καὶ
πλεῖον φέρεσθαι τούτου τοῦ ἀγαθοῦ. διὰ δὲ τὴν φύσιν μὴ
πρὸς πάντα ταῦτα ἀμφοτέρων εὖ πεφυκέναι, διὰ τοῦτο
καὶ δέονται μᾶλλον ἀλλήλων, καὶ τὸ ζεῦγος ὠφελιμώτε-
ρον ἑαυτῷ γεγένηται, ἃ τὸ ἕτερον ἐλλείπεται, τὸ ἕτε-
ρον δυνάμενον. ταῦτα δέ, ἔφην, δεῖ ἡμᾶς, ὦ γύναι, εἰδό-
τας, ἃ ἑκατέρῳ ἡμῶν προστέτακται ὑπὸ τοῦ θεοῦ, πειρᾶ-
σθαι ὅπως ὡς βέλτιστα τὰ προσήκοντα ἑκάτερον ἡμῶν
διαπράττεσθαι. συνεπαινεῖ δέ, ἔφη, φάναι καὶ ὁ νόμος
αὐτά, συζευγνὺς ἄνδρα καὶ γυναῖκα. καὶ κοινωνοὺς
ὥσπερ τῶν τέκνων ὁ θεὸς ἐποίησεν, οὕτω καὶ ὁ νόμος κοι-
νωνοὺς καθίστησι. καὶ καλὰ δὲ εἶναι ὁ νόμος ἀποδείκνυσι,
καὶ ὁ θεὸς ἔφυσεν ἑκάτερον μᾶλλον ἂν δύνασθαι. τῇ μὲν
γὰρ γυναικὶ κάλλιον μένειν ἔνδον, ἢ θυραυλεῖν. τῷ δὲ
ἀνδρὶ αἴσχιον ἔνδον μένειν, ἢ τῶν ἔξω ἐπιμελεῖσθαι. εἰ δέ
τις παρ᾽ ἃ ὁ θεὸς ἔφυσε ποιεῖ, ἴσως τι καὶ ἀτακτῶν τοὺς
θεοὺς οὐ λήθει. καὶ δίκην δίδωσιν ἀμελῶν τῶν ἔργων
τῶν ἑαυτοῦ, ἢ πράττων τὰ τῆς γυναικὸς ἔργα. δοκεῖ δέ
μοι, ἔφην, καὶ ἡ τῶν μελισσῶν ἡγεμὼν, τοιαῦτα ἔργα
ὑπὸ τοῦ θεοῦ προστεταγμένα διαπονεῖσθαι. καὶ ποῖα δ᾽
ἔφη, ἐκείνη ἔργα ἔχουσα ἡ τῶν μελισσῶν ἡγεμὼν, ἐξο-
μοιοῦται τοῖς ἔργοις, οἷς ἐμὲ δεῖ πράττειν; ὅτι, ἔφην ἐ-
γώ, ἐκείνη τε ἐν τῷ σμήνει μένουσα, οὐκ ἐᾷ ἀργοὺς τὰς
μελίσσας εἶναι. ἀλλ᾽ ἃς μὲν δεῖ ἔξω ἐργάζεσθαι, ἐκπέμπει
ἐπὶ τὸ ἔργον. καὶ ἃ ἂν αὐτῶν ἑκάστη εἰσφέρῃ, οἶδέ τε καὶ
δέχεται. καὶ σώζει ταῦτα ἔστ᾽ ἂν δέῃ χρῆσθαι. ἐπειδὰν δὲ
ἡ ὥρα τοῦ χρῆσθαι ἥκῃ, διανέμει τὸ δίκαιον ἑκάστῃ. καὶ
ἐπὶ τοῖς ἔνδον δ᾽ ἐξυφαινομένοις κηρίοις ἐφέστηκεν, ὡς
καλῶς καὶ ταχέως ὑφαίνηται. καὶ τὸν γιγνόμενον τό-
κον ἐπιμελεῖται, ὡς ἐκτρέφηται. ἐπειδὰν δὲ ἐκτραφῇ,
καὶ ἀξιοεργοὶ οἱ νεοσσοὶ γένωνται, ἀποικίζει αὐτούς, σὺν
τῶν ἐπι-

indigent infantium nutritio, fructuum
segetes, uestiumq; è lana contextus.
Quoniam uero utraq; haec & extra
& intra domum diligentiam expe-
tunt, mihi uidetur deus naturam mu-
lieris ad curam intus suscipiendam in
lucem protulisse: molliore q; corpore,
ut intra parietes officium obiret. At
uiri corpus animumq;, frigora, ae-
10 stus, itinera, expeditiones facile tole-
rare constituisse: quapropter illi fo-
ris res agendas delegasse. Rursus il-
las ob infantium curam maiore erga
liberos charitate, tum ad custodien-
da quae à uiris parta essent metu ue-
hementiore, qui rebus asseruandis u-
tilis foret, praeditas esse uoluit. Vi-
ro insuper cui tueri extranea facta in-
cumbit, ac oppugnanti resistere, ma-
20 iorem addidit audaciam, memoriam
uero ac diligentiam parem: atque in
medio posuit, qua pro suo quisque
officio cum dando, tum accipiendo
usurus esset. Eadem ratione & absti-
nendi ab his quae oporteat rebus u-
trisque facultatem aeque concessit: qui
uero probatior, hic longe meliora
ad coniugem afferet. Quae igitur
ob res cum hominum natura utrique
30 non sufficiat officio, ea potissimum
causa inter se matrimonio deuincti
sunt, sibi inuicem hoc pacto utiles,
ut quod alteri deesset, alter suppedi-
taret. Haec nos uxor decet conside-
rare, ut suas quisque partes quamo-
ptime absoluamus. Deus item uxo-
rem pulchriorem condidit, ut for-
mam cum pudicitia se domi conti-
nendo tueretur. Virum torosiorem,
40 ut extra magis ageret, addidit. Si quis
autem huiusmodi ordini aduersus ie-
rit, aut uiri partes uxor, seu uir u-
xoris peregerit, ultorem se sentiet
habiturum deum: qui apum exem-
plum nobis ante oculos posuit, qua-
rum dux haud absimile huiuscemo-
di officio, quod subituri sumus, ex-
equi uidetur. Nam quod illa
in aluear exercet, nobis munus in-
50 cumbit. Illa quidem in ocio esse a-
pes non finit, sed quas oportet ad
opus extra mittit, importatáque ab
eis excipit ac seruat, donec tem-
pus usus ueniat, quae aeque om-
nibus diuidit. Intus fauis incu-
bantibus ipsa praesidet, ut pulchre
ac celeriter conficiantur. Partus
ut nutriantur, curat: quos iam ad-
ultos, operiq; aptos uident, alio trans-
mutat, ac tanquam colonias cum

duce mittit. Me quoq;, inquit uxor, talia p agere necesse? Necesse prorsus, inq̃ ego, te domi manentem seruis officia distribuere, ac eos q opus extra facturi sunt, emittere: alijs uero intus ipsam praesidere, ac illata recipere, quaeq; ex his esu absumi oportet, partiri: quae autẽ obseruãda, condere: ac p uidere, ne quae annũ durare debẽt, uno mẽse absumantur. Cum lana domũ refertur, curandũ uti uestes seruitijs cõficiantur: ut 10 triticũ, caeteraeq; segetes ac legumina, proba sint usui, ac facile mandi poßint. Sed unum praeter caetera tibi seruandum, quod plus gratiae sit habiturum: seruos uidelicet cum in morbos inciderint, curare uti curẽtur recte. Per Iouẽ, inquit uxor, uera mones, si illi gratiam habituri sint, ac propterea magis beneuolẽtes. At pfecto, inquam ego, apũ dux quẽ modo diximus, haud alia de causa, q̃ ob hanc curã, à suis tanto 20 pere diligitur, ut quocunq; abscedat, cum omnes subsequantur, minimeq; deserendũ putent. Miror, illa inquit, si non magis ad te pertinet exemplũ apũ q̃ ad me. Nam & mea domi custodia, operũq; distributio ridicula prorsus uideatur, nisi tu cures uti domũ aliquid importetur. Ridicula, ego inquam, & mea fuerit importatio, nisi fuerit qui eam conseruet. An ignoras, qui fractis dolijs dicũtur haurire, q̃ frustra laborent, 30 inquãtũue sint miseria? Mis[illegible] profecto, inquit illa, si hoc agũt. Sed & alia, inquã ego, sunt tibi in hoc genere ediscẽda praecepta. Quoties lanae ac telae nescientẽ famulam acceperis, si eam erudieris, altero tanto facies ualentiorẽ. Si item ministerij nescientẽ, artem ministrandi docueris, pluris existimatam poßidebis. Quoties modestos atq; utiles nacta fueris, his benigne facies, cõtra uero ignauos plectes. Omnino illud 40 mihi iucundißimũ fuerit, si meipso melior apparebis, ac me ministrũ [illegible] um facies. Nec id uerebere, ut per aetatẽ uilior domi habearis: sed ita tibi persuade, q modo fida mihi liberisq; nostris appareas, quãto senior, tanto honoratior domi fueris. Enimuero pulchra, ueraq; bona non ex ipsa tantũ specie aut forma, quantũ ex uirtute metiri ac spectare licet. Haec et his similia Socrates meminisse me, cum primũ licuit, cum uxore disseruisse. SO. Nosti ut diligentiorem propterea reddideris? IS. Per Iouẽ animaduerti uerecundia quadam ex ore adfectã, ubi eam pupugi accusando importata domũ male custodire. Cumq; moestam aliquantulum conspicerẽ, nec habere satis quod respõderet: Quid, inquã, subtristis es uxor, quod forte te accuso? Sed scito multo tristiorẽ esse paupertatẽ, quae quorũ indiget usus, nõ habet: praesertim si quae-

rat

τῇ ἑπομένῃ τινὶ ἡγεμόνι. ἦ καὶ ἐμὲ οὖν, ἔφη ἡ γυνή, δεήσει ταῦτα ποιεῖν; δεήσει μέντοι σε, ἔφην ἐγώ, ἔνδον τε μένειν. καὶ οἷς μὲν ἂν ἔξω τὸ ἔργον ᾖ τῶν οἰκετῶν, τούτους συνεκπέμπειν. οἷς δ' ἂν ἔργον ἔνδον ἐργαστέον, τούτων σοι ἐπιστατέον. καὶ τά γε εἰσφερόμενα ἀποδεκτέον. καὶ ἃ μὲν ἂν αὐτῶν δέῃ δαπανᾶν, σοὶ διανεμητέον. ἃ δ' ἂν περιττεύειν δέῃ, προνοητέον καὶ φυλακτέον, ὅπως μὴ ἡ εἰς τὸν ἐνιαυτὸν κειμένους δαπάνη, εἰς τὸ μνῆμα δαπανᾶται. καὶ ὅταν ἔρια εἰσενεχθῇ, σοὶ ἐπιμελητέον ὅπως οἷς δεῖ, ἱμάτια γίγνηται. καὶ ὅ γε ξηρὸς σῖτος, ὅπως καλῶς ἐδώδιμος γίγνηται ἐπιμελητέον. ἓν μέντοι τῶν σοι προσηκόντων, ἔφην ἐγώ, ἐπιμελημάτων, ἴσως ἀχαριστότερον δόξει εἶναι, ὅτι ὃς ἂν κάμνῃ τῶν οἰκετῶν, τούτων σοι ἐπιμελητέον πάντων ὅπως θεραπεύηται. νὴ Δί', ἔφη ἡ γυνή, ἐπιχαριτώτατον μὲν οὖν, ἢν μέλλωσί γε οἱ καλῶς θεραπευθέντες χάριν εἴσεσθαι, καὶ εὐνούστεροι ἢ πρόσθεν ἔσεσθαι. καὶ ἐγώ, ἔφη ὁ Ἰσχόμαχος, ἀγασθεὶς αὐτῆς τὴν ἀπόκρισιν εἶπον· ἆρά γε, ὦ γύναι, διὰ τοιαύτας τινὰς προνοίας καὶ τὰς ἐν τῷ σμήνει ἡγεμόνος αἱ μέλιτται οὕτω διατίθενται πρὸς αὐτήν, ὥστε ὅταν ἐκείνη ἐκλίπῃ, οὐδεμία οἴεται τῶν μελιττῶν ἀπολειπτέον εἶναι, ἀλλ' ἕπονται πᾶσαι; καὶ ἡ γυνή μοι ἀπεκρίνατο· θαυμάζοιμ' ἄν, ἔφη, εἰ μὴ πρός σε μᾶλλον τείνει τὰ τοῦ ἡγεμόνος ἔργα ἢ πρὸς ἐμέ. ἡ γὰρ ἐμὴ φυλακὴ τῶν ἔνδον καὶ διανομὴ γελοία τις ἂν οἶμαι φαίνοιτο, εἰ μὴ σύ γε ἐπιμελοῖο, ὅπως ἔξωθέν τι εἰσφέροιτο. γελοία δ' αὖ, ἔφην ἐγώ, ἡ ἐμὴ εἰσφορὰ φαίνοιτ' ἄν, εἰ μὴ εἴη ὅστις τὰ εἰσενεχθέντα σώζοι. οὐχ ὁρᾷς, ἔφην ἐγώ, οἱ εἰς τὸν τετρημμένον πίθον ἀντλεῖν λεγόμενοι, ὡς οἰκτείρονται ὅτι μάτην πονεῖν δοκοῦσι; νὴ Δί', ἔφη ἡ γυνή. καὶ γὰρ τλήμονές εἰσιν εἰ τοῦτό γε ποιοῦσιν. ἄλλαι δέ τοι, ἔφην ἐγώ, ἴδιαι ἐπιμέλειαι, ὦ γύναι, ἡδεῖαί σοι γίγνονται, ὁπόταν ἀνεπιστήμονα ταλασίας λαβοῦσα, ἐπιστήμονα ποιήσῃς, καὶ διπλασίου σοι ἀξία γένηται. καὶ ὁπόταν ἀνεπιστήμονα ταμιείας καὶ διακονίας παραλαβοῦσα, ἐπιστήμονα, καὶ πιστήν, καὶ διακονικὴν ποιησαμένη, παντὸς ἀξίαν ἔχῃς. καὶ ὁπόταν τοὺς μὲν σώφρονάς τε καὶ ὠφελίμους τῷ σῷ οἴκῳ ἐξῇ σοι εὖ ποιῆσαι. ἐὰν δέ τις πονηρὸς φαίνηται, ἐξῇ σοι κολάσαι. τὸ δὲ πάντων ἥδιστον, ἐὰν βελτίων ἐμοῦ φανῇς, καὶ ἐμὲ σὸν θεράποντα ποιήσῃς. καὶ μὴ δέῃ σε φοβεῖσθαι, μὴ προϊούσης τῆς ἡλικίας, ἀτιμοτέρα ἐν τῷ οἴκῳ γένῃ. ἀλλὰ πιστεύῃς ὅτι πρεσβυτέρα γιγνομένη, ὅσῳ ἂν καὶ ἐμοὶ κοινωνὸς καὶ παισὶν οἴκου φυλακωτέρα γίγνῃ, τοσούτῳ καὶ τιμιωτέρα ἐν τῷ οἴκῳ ἔσῃ. τὰ γὰρ καλά τε κἀγαθά, ἐγὼ ἔφην, οὐ διὰ τὰς ὡραιότητας, ἀλλὰ διὰ τὰς ἀρετὰς εἰς τὸν βίον τοῖς ἀνθρώποις ἐπαύξεται. τοιαῦτα μέν, 50 ὦ Σώκρατες, δοκῶ μεμνῆσθαι αὐτῇ τὰ πρῶτα διαλεχθείς. ἦ καὶ ἐπέγνως τι, ὦ Ἰσχόμαχε, ἔφην ἐγώ, ἐκ τούτων κεκινημένην αὐτὴν μᾶλλον πρὸς τὴν ἐπιμέλειαν; ναὶ μὰ Δί', ἔφη ὁ Ἰσχόμαχος, καὶ δηχθεῖσάν γε αὐτὴν οἶδα, καὶ ἐρυθριάσασαν σφόδρα, ὅτι τι τῶν εἰσενεχθέντων ᾐτήσαντος ἐμοῦ, οὐκ εἶχέ μοι δοῦναι. καὶ ἐγὼ μέντοι ἰδὼν ἀχθεσθεῖσαν αὐτήν, εἶπον· μηδέν τι, ἔφην, ἀθυμήσῃς, ὦ γύναι, ὅτι οὐκ ἔχεις δοῦναι, ὅ, τι σε αἰτῶν τυγχάνω. ἔστι μὲν γὰρ πενία αὕτη σαφής, τὸ δεόμενόν τινος μὴ ἔχειν χρῆσθαι. ἀλυποτέρα δὲ αὕτη ἡ ἔνδεια, τὸ μὴ δύνασθαι ζητοῦντά τι

τὰ τι

τὸν μῆνα

dolium pertusum

τι λαβεῖν, ἢ τὴν ἀρχὴν μὴ δὲ ζητεῖν, εἰδότα ὅτι οὐκ ἔστιν. ἀλλὰ γάρ, ἔφην ἐγώ, τούτων οὐ σὺ αἰτία. ἀλλ' ἐγὼ ὃς τάξας σοι παρέδωκα, ὅπου χρὴ ἕκαστα κεῖσθαι, ὅπως αὖ εἰδῇς, ὅπου γε δεῖ τιθέναι καὶ ὅποι λαμβάνειν. ἔστι δ' οὐδὲν οὕτως, ὦ γύναι, οὔτ' εὔχρηστον, οὔτε καλὸν ἀνθρώποις ὡς ἡ τάξις. καὶ γὰρ χορὸς ἐξ ἀνθρώπων συγκείμενός ἐστιν. ἀλλ' ὅταν μὲν ποιῶσιν ὅ,τι ἂν τύχῃ ἕκαστος, ταραχή τις φαίνεται, καὶ θεᾶσθαι ἀτερπές. ὅταν δὲ τεταγμένως ποιῶσι καὶ φθέγγωνται, ἅμα οἱ αὐτοὶ οὗτοι καὶ ἀξιοθέατοι δοκοῦσιν εἶναι καὶ ἀξιάκουστοι. καὶ στρατιά γε, ἔφην ἐγώ, ὦ γύναι, ἄτακτος μὲν οὖσα, ταραχωδέστατον, καὶ τοῖς μὲν πολεμίοις εὐχειρωτότατον, τοῖς δὲ φίλοις ἀκλεέστατον ὁρᾶν καὶ ἀχρηστότατον, ὄνος ὁμοῦ, ὁπλίτης, σκευοφόρος, ψιλός, ἱππεύς, ἅμαξα. πῶς γὰρ ἂν πορευθείησαν ἔχοντες οὕτως ἐπικωλύσουσιν ἀλλήλους; ὁ μὲν βαδίζων, τὸν τρέχοντα· ὁ δὲ τρέχων, τὸν ἑστηκότα· ἡ δὲ ἅμαξα, τὸν ἱππέα· ὁ δὲ ὄνος, τὴν ἅμαξαν· ὁ δὲ σκευοφόρος, τὸν ὁπλίτην. εἰ δὲ καὶ μάχεσθαι δέοι, πῶς ἂν οὕτως ἔχοντες μαχέσαιντο; οἷς γὰρ ἀνάγκη αὐτῶν τοὺς ἐπιόντας φεύγειν, οὗτοι ἱκανοί εἰσι φεύγοντες, καταπατῆσαι τοὺς ὅπλα ἔχοντας. τεταγμένη δὲ ἡ στρατιά, κάλλιστον μὲν ἰδεῖν τοῖς φίλοις, δυσχερέστατον δὲ τοῖς πολεμίοις. τίς μὲν γὰρ οὐκ ἂν φίλος ἡδέως θεάσαιτο ὁπλίτας πολλοὺς ἐν τάξει πορευομένους; τίς δ' οὐκ ἂν θαυμάσειεν, ἱππέας κατὰ τάξεις ἐλαύνοντας; τίς δ' οὐκ ἂν πολέμιος φοβηθείη, ἰδὼν διευκρινημένους, ὁπλίτας, ἱππέας, πελταστάς, τοξότας, σφενδονήτας, καὶ τοῖς ἄρχουσι τεταγμένως ἑπομένους. ἀλλὰ καὶ πορευομένων ἐν τάξει, κἂν πολλαὶ μυριάδες ὦσιν, ὁμοίως ὥσπερ εἷς ἕκαστος καθ' ἡσυχίαν πάντες πορεύονται. εἰς γὰρ τὸ κενούμενον ἀεὶ, ὄπισθεν ἐπέρχονται. καὶ τριήρης δέ τοι ἡ σεσαγμένη ἀνθρώπων διὰ τί ἄλλο φοβερόν ἐστι πολεμίοις, ἢ φίλοις ἀξιοθέατον, ἢ ὅτι ταχὺ πλεῖ. διὰ τί δὲ ἄλλο ἄλυποι ἀλλήλοις εἰσὶν οἱ ἐμπλέοντες, ἢ διότι ἐν τάξει μὲν κάθηνται, ἐν τάξει δὲ προνεύουσιν, ἐν τάξει δὲ ἀναπίπτουσιν, ἐν τάξει δ' ἐμβαίνουσι καὶ ἐκβαίνουσιν. ἡ δ' ἀταξία ὅμοιόν τί μοι δοκεῖ εἶναι, οἷόνπερ εἰ γεωργὸς ὁμοῦ ἐμβάλοι κριθὰς καὶ πυροὺς καὶ ὄσπρια, κἄπειτα ὁπότε δέοι ἢ μάζης, ἢ ἄρτου, ἢ ὄψου, διαλέγειν δέοι αὐτῷ, ἀντὶ τοῦ λαβόντα διευκρινημένοις χρῆσθαι. καὶ σὺ οὖν, ὦ γύναι, τοῦ μὲν ταράχου τούτου μὴ δέοιο. βούλοιο δ' ἀκριβῶς διοικεῖν τὰ ὄντα εἰδέναι, καὶ τῶν ὄντων εὐπόρως λαμβάνουσα, ὅτου ἂν δέῃ χρῆσθαι, καὶ ἐμοὶ ἐάν τι αἰτῶ ἐν χάριτι διδόναι, χώραν δοκιμασώμεθα τὴν προσήκουσαν ἑκάστοις ἔχειν. καὶ ἐν ταύτῃ θέντες διδάξωμεν τὴν διάκονον λαμβάνειν τε ἐντεῦθεν, καὶ κατατιθέναι πάλιν εἰς ταύτην, καὶ οὕτως εἰσόμεθα, τά τε σῶα ὄντα, καὶ τὰ μή. ἡ γὰρ χώρα αὐτὴ τὸ μὴ ὂν ποθήσει. καὶ δεόμενον θεραπείας ἐξετάσει ἡ ὄψις. καὶ εἰδέναι ὅπου ἕκαστόν ἐστι, ταχὺ ἐγχειριεῖ, ὥστε μὴ ἀπορεῖν χρῆσθαι. καλλίστην δέ ποτε καὶ ἀκριβεστάτην ᾠήθην κενῶν τάξιν ἰδεῖν, ὦ Σώκρατες, εἰσβὰς ἐπὶ θέαν εἰς τὸ μέγα πλοῖον τὸ φοινικόν. πλεῖστα γὰρ σκεύη ἐν μικροτάτῳ ἀγγείῳ διακεχωρισμένα ἐθεασάμην. διὰ πολλῶν μὲν γὰρ δήπου ἔφη ξυλίνων σκευῶν καὶ πλεκτῶν ὁρμίζεται ναῦς καὶ ἀνάγεται. διὰ πολλῶν δὲ τῶν κρεμαστῶν καλουμένων πλεῖ. πολλοῖς δὲ μηχανή-

rat quod olim habueris, magis quàm si ab initio nunquam cōsueueris quaerere quod non habeas. Sed huius me mali causam esse fateor, qui non ordinem semel constitui, quo singula condi oporteret, ut uideas ubi quaeque locanda, unde promenda sint. Nihil, o coniunx, in rebus humanis est ordine praestantius, nihil utilius: quod in choro maxime cernitur, qui cum ex hominib. cōstet, si temere implicetur atq; consistat, turbationē uideas iniucundam, nec numeq; spectatione dignam. Cum uero & loquentium concentus, & consistentium ordo respondeant, digna res uideri spectatuq; Eadem et exercitus ratio, cum confuse incedunt iumentum, armiger, grauis armatura: qui tarde progreditur currentem, stantem currens, iumenta equitem, grauis armatura leuem, adficient incommodo. Quomodo autem pugnam inibunt, si quibus necesse fugere prosequentes, hi potissimum terga dantes, opprimant subsequentium arma? ex quo laetitiam hostibus, suis uero tristitiam pariant. At ordinata militia quem non oblectat? uniuersos armatos ordine uenientes aspicere equites parte alia, peltatos, sagittarios, funditores, suis quosque locis, unaq; omnes suum sequentes ducem: qui etsi multi numero, unus tamen & ordine & silentio uideantur. Triremis item hominibus & armis munita, quantam uictoribus praebet alacritatem atque audaciam, inimicis uero terrorem? cum uno cuncti spiritu remis insurgunt, uno incumbunt, uno inuicem adhortantur. Enimuero rerum perturbatio haud aliter fuerit, quàm si colonus uno aceruo hordea, triticum, legumina, confundat: deinde cum usus uenerit tempus, singula sit opus discernere, cum iam discretis uti liceret. Haec tu coniunx facile uitabis, si ordine res condas, ordine promas: ut quae tibi sint opus, abunde facileq; capias, & mihi gratanter exhibeas. Locum constituemus rebus quibuslibet opportunum, ministrumq; ponemus ac docebimus, quae hinc promere oporteat, quae ibidem locare. Hoc enim modo facile sciemus, quae salua sunt, & quae minime. Locus enim ipse quod non exstitit, desiderat. Quod autem cura indiget, aspectus inquiret. Pulcherrimum quandoq;, ô Socrates, ac diligentissimum ordinem sum mihi uisus uidere, descendens in spectaculum cuiusdam nauigij Phoenicum: plurimam enim supellectilem in paruo uase animaduerti. Per multa etiam instrumenta lignea & contexta, è littore soluitur, & ad littus deducitur nauis. Per multa suspensa pēsilìaq; nauigat. Multis etiam ma-

chinis contra inimica nauigia armatur. Multa item arma hominibus administrat. Omnem supellectilem, qua mortales domi ad uictum mensamque utuntur, fert secum. Insuper & onusta reb. omnibus, quas nauclerus gratia quaestus asportat, & quantas, inquam, maior locus alius non caperet, si rursus reponerentur: haec tamen omnia ita collocata, ut minime inter se impedimento sint, minime indagatore indigeant. Neque rursum incomposita, neque dissolute se habentia, ut minime moram faciant ad usus eorum cum opus festinare. Ministrum quoque gubernatoris, qui Proreus nauis uocatur, ita scienter omnis loci, ut absens nosset ubi quaelibet sita essent, tam quanta essent, non minus quam literarum sciens. Dicat enim Socrates literas, & ubi quaelibet sita sunt. Vidi praeterea hunc quandoque secum tacite uestigantem, ac ociose omnia quae in naui essent circunspicientem. Admiratus ego interrogaui quidnam ageret: Considero, inquit ille, hospes si quid usu contingat, quo haec sita sunt in naui, si quid abest a loco suo, aut in commune situm fuerit. Non enim postea deus concesserit in maris tempestate, quid sit opus inquirere, neque si quid inconditae consistat reperire. Plectit enim deus inconsideratos. Si enim minime errantes non perdit, hoc maxime expetibile. Si item recte administrantes conseruet, multas dijs gratias. Ego autem respiciens hanc supellectilis diligentiam, dixi uxori: Magna nempe nostra est ignauia, si in nauigio, locoque tam paruo ac mobili, res quae uehuntur aeque seruant ordinem, tum in metu maximo uersantes reperiunt quod opus accipere: nos autem qui magnis distincta muris, firmoque in solo domi singula possidemus, nisi bonum ac promptum inueniamus locum, quonam modo magna non sit imprudentia nostra? Vt igitur ordinare supellectilem, & locis quibuslibet condita reperire, utile quidem omnibus sit, iam dictum. Sed & pulchrum quammaxime apparet calciamenta qualiacunque suo ordine disponere, pulchrum & uestimenta, stromataque: praeterea quae ad mensam pertinent, ahena, ollasque, pulchrum disposita qualiacunque uidere: quae forte quis riserit, non ornatus homo quidem, sed ineptus. Ordinata enim supellex chorus qui iam uidetur rotundus, qui non tam ipse quam eius media, pulcherrima eminus apparent. Horum uxor licet periculum facere, paruo quidem negocio. Non enim in labore aliquo positum, aut difficile loca quaelibet addiscere, singulaque distinguere. Nam et ciuitatem nouimus millecuplo quam nos plura possidere. At si quis seruum ex foro

Quid si uaoιοιr legas.

μασιν αὖθ᾽ ὥπλισται πρὸς τὰ πολέμια πλοῖα. πολλὰ δὲ ὅπλα τοῖς ἀνθρώποις συμπεριάγει. πάντα δὲ σκεύη, ὅσοιπερ ἐν οἰκίᾳ χρῶνται ἄνθρωποι, τῇ συσσιτίᾳ ἑκάστῃ περιάγει. γέμει δὲ παρὰ πάντα φορτίων, ὅσα ναύκληρος κέρδους ἕνεκα ἄγεται, καὶ ὅσα λέγω, ἔφη, πάντα οὐκ ἐν πολλῷ τινι μείζονι χώρᾳ ἔκειτο ἢ ἐν δεκακλίνῳ στέγῃ συμμέτρῳ. καὶ οὕτω κατακείμενα ἕκαστα κατενόησα, ὡς οὔτε ἄλληλα ἐμποδίζει, οὔτε μαστευτοῦ δεῖται, οὔτε ἀσυσκεύαστά ἐστι, οὔτε δυσλύτως ἔχει, ὥστε διατριβὴν παρέχειν, ὅταν τῳ ταχὺ δέῃ χρῆσθαι. τὸν δὲ τοῦ κυβερνήτου διάκονον, ὃς πρῳρεὺς τῆς νεὼς καλεῖται, οὕτως εὗρον ἐπιστάμενον ἑκάστου τὴν χώραν, ὡς καὶ ἀπὼν ἂν εἴποι, ὅπου ἕκαστα κεῖται, καὶ ὁπόσα ἐστὶν, οὐδὲν ἧττον, ἢ ὁ γράμματα ἐπιστάμενος εἴποι ἂν Σωκράτους καὶ ὁπόσα γράμματα, καὶ ὅπου ἕκαστον τέτακται. εἶδον δὲ, ἔφη ὁ Ἰσχόμαχος, καὶ ἐξετάζοντα τοῦτον αὐτὸν ἐν τῇ σχολῇ πάντα, ὁπόσοις ἄρα δεῖ ἐν τῷ πλοίῳ χρῆσθαι. θαυμάσας δὲ, ἔφη, τὴν ἐπίσκεψιν αὐτοῦ, ἠρόμην τί πράττοι. ὁ δ᾽ εἶπεν· ἐπισκοπῶ, ἔφη, ὦ ξένε, εἴ τι συμβαίνει γίγνεσθαι, πῶς κεῖται, ἔφη, τὰ ἐν τῇ νηΐ, ἢ εἴ τι ἀποστατεῖ, ἢ δυστραπέλως τι σύγκειται. οὐ γὰρ, ἔφη, ἐγχωρεῖ, ὅταν χειμάζῃ ὁ θεὸς ἐν τῇ θαλάσσῃ, οὔτε μαστεύειν ὅτου ἂν δέῃ, οὔτε δυστραπέλως ἔχον διδόναι. ἀπειλεῖ γὰρ ὁ θεὸς, καὶ κολάζει τοὺς βλᾶκας. ἐὰν δὲ μόνον μὴ ἀπολέσῃ τοὺς μὴ ἁμαρτάνοντας, πάνυ ἀγαπητὸν, ἐὰν δὲ καὶ πάνυ καλῶς ὑπηρετοῦντας σώζῃ, πολλὴ χάρις, ἔφη, τοῖς θεοῖς. ἐγὼ οὖν κατιδὼν ταύτην τὴν ἀκρίβειαν τῆς κατασκευῆς, ἔλεγον τῇ γυναικί· ὅτι πάνυ ἂν ἡμῶν εἴη βλακικὸν, εἰ οἱ μὲν ἐν τοῖς * πλοίοις καὶ μικροῖς οὖσι χώρας εὑρίσκουσι, καὶ σαλεύοντες ἰσχυρῶς, ὅμως σώζουσι τὴν τάξιν, καὶ ὑπερφοβούμενοι, ὅμως εὑρίσκουσι τὸ δέον λαμβάνειν. ἡμεῖς δὲ καὶ διῃρημένων ἑκάστοις θηκῶν ἐν τῇ οἰκίᾳ μεγάλων, καὶ βεβηκυίας τῆς οἰκίας ἐν δαπέδῳ, εἰ μὴ εὑρήσομεν καλὴν καὶ εὐεύρετον χώραν ἑκάστοις αὐτῶν, πῶς οὐκ ἂν πολλὴ ἡμῶν ἀσυνεσία εἴη; ὡς μὲν δὴ ἀγαθὸν τετάχθαι σκευῶν κατασκευὴν, καὶ ὡς ῥᾴδιον χώραν ἑκάστοις αὐτῶν εὑρεῖν, ἐν οἰκίᾳ θεῖναι, ὡς ἑκάστοις συμφέρει, εἴρηται. ὡς δὲ καλὸν φαίνεται ἐπειδὰν ὑποδήματα ἐφεξῆς κέηται, κἂν ὁποῖα ᾖ, καλὸν δὲ ἱμάτια κεχωρισμένα ἰδεῖν, κἂν ὁποῖα ᾖ, καλὸν δὲ στρώματα, καλὸν δὲ χαλκία, καλὸν δὲ ἀμφὶ τραπέζας, καλὸν δὲ καὶ ὃ πάντων καταγελάσειεν ἂν μάλιστα οὐχ ὁ σεμνὸς, ἀλλ᾽ ὁ σεμνὸς κομψὸς, ὅτι καὶ χύτρας φησὶν εὔρυθμον φαίνεσθαι εὐκρινῶς κειμένας. τὰ δὲ ἄλλα ἤδη που ἅπαντα καλλίω φαίνεται κατὰ κόσμον κείμενα. χορὸς γὰρ σκευῶν ἅπαντα ἕκαστα φαίνεται. καὶ τὸ μέσον δὲ τούτων, καλὸν φαίνεται, ἐκποδὼν ἑκάστου κειμένου. ὥσπερ κύκλιος χορὸς οὐ μόνον αὐτὸς καλὸν θέαμά ἐστιν, ἀλλὰ καὶ τὸ μέσον αὐτοῦ καλὸν καὶ καθαρὸν φαίνεται. εἰ δ᾽ ἀληθῆ ταῦτα λέγω, ἐξέστιν, ἔφην, ὦ γύναι, καὶ πεῖραν λαμβάνειν αὐτῶν, οὔτε τι ζημιωθέντας, οὔτε τι πολλὰ πονήσαντας. ἀλλὰ μὴν οὐδὲ τοῦτο δεῖ ἀθυμῆσαι, ὦ γύναι, ἔφην ἐγὼ, ὡς χαλεπὸν εὑρεῖν τὸν μαθησόμενόν τε τὰς χώρας καὶ μεμνησόμενον καταχωρίζειν ἕκαστα. ἴσμεν γὰρ δήπου ὅτι μυριοπλάσια ἡμῶν ἅπαντα ἔχει ἡ πᾶσα πόλις. ἀλλ᾽ ὅμως ὁποῖον ἂν οἰκετῶν κελεύσῃς πριάμενόν τί σοι ἐξ ἀγορᾶς

ἀγορᾶς ἐν ἐγκεῖν οὐδεὶς ἀπορήσει, ἀλλὰ πᾶς εἰδὼς φανεῖται ὅποι χρὴ ἐλθόντα λαβεῖν ἕκαστα. τούτου μέντοι, ἔφην ἐγώ, οὐδὲ ἄλλο αἴτιόν ἐστιν, ἢ ὅτι ἐν χώρᾳ κεῖται τεταγμένῃ. ἄνθρωπον δέ γε ζητῶν, καὶ ταῦτα ἐνίοτε ἀντιζητοῦντα, πολλάκις ἄν τις πρότερον πρὶν εὑρεῖν ἀπείποι. καὶ τούτου αὖ οὐδὲν ἄλλο αἴτιόν ἐστιν, ἢ τὸ μὴ εἶναι τεταγμένον ὅπου ἕκαστον δεῖ ἀναμένειν. περὶ μὲν γὰρ δὴ τάξεως σκευῶν καὶ χρήσεως τοιαῦτα αὐτῇ διαλεχθεὶς δοκῶ μεμνῆσθαι. καὶ τί δὴ ἡ γυνὴ ἐδόκει σοι, ἔφην ἐγώ, ὦ Ἰσχόμαχε; πῶς τι ἐπακούειν ὧν σὺ ἐσπούδαζες διδάσκων; τί δέ, εἰ μὴ ὑπισχνεῖτό γε ἐπιμελήσεσθαι. καὶ φανερὰ ἦν ἡδομένη ἰσχυρῶς, ὥσπερ ἐξ ἀμηχανίας εὐπορίαν τινὰ εὑρηκυῖα, καὶ ἐδεῖτό μου ὡς τάχιστα ᾗπερ ἔλεγον διατάξαι. καὶ πῶς δή, ἔφην ἐγώ, ὦ Ἰσχόμαχε, διέταξας αὐτῇ; τί δέ, εἰ μὴ τῆς οἰκίας τὴν δύναμιν ἔδοξέ μοι πρῶτον ἐπιδεῖξαι αὐτῇ. οὐ γὰρ ποικίλμασι κεκόσμηται, ὦ Σώκρατες, ἀλλὰ τὰ οἰκήματα ᾠκοδόμηται, πρὸς αὐτὸ τοῦτο ἐσκεμμένα, ὅπως ἀγγεῖα ὡς συμφορώτατα ᾖ τοῖς μέλλουσιν ἐν αὐτοῖς ἔσεσθαι. ὥστε αὐτὰ ἐκάλει τὰ πρέποντα εἶναι ἑκάστῳ. ὁ μὲν γὰρ θάλαμος ἐν ὀχυρῷ ὢν, τὰ πλείστου ἄξια καὶ στρώματα καὶ σκεύη παρεκάλει. τὰ δὲ ξηρὰ τῶν στεγῶν, τὸν σῖτον· τὰ δὲ ψυχεινά, τὸν οἶνον. τὰ δὲ φανὰ ὅσα φάους δεόμενα ἔργα τε καὶ σκεύη ἐστί. καὶ διαιτητήρια δὲ τοῖς ἀνθρώποις ἐπεδείκνυον αὐτῇ κεκαλλωπισμένα. τοῦ μὲν θέρους ψυχεινά, τοῦ δὲ χειμῶνος ἀλεεινά. καὶ σύμπασαν δὲ τὴν οἰκίαν ἐπέδειξα αὐτῇ, ὅτι πρὸς μεσημβρίαν ἀναπέπταται. ὥστε εὔδηλον εἶναι, ὅτι χειμῶνος μὲν εὐήλιός ἐστι, τοῦ δὲ θέρους εὔσκιος. ἔδειξα δὲ καὶ τὴν γυναικωνῖτιν αὐτῇ θύραν, βαλανείῳ ὡρισμένην ἀπὸ τῆς ἀνδρωνίτιδος, ἵνα μήτε ἐκφέρηται ἔνδοθεν ὅτι μὴ δεῖ, μήτε τεκνοποιῶνται οἱ οἰκέται ἄνευ τῆς ἡμετέρας γνώμης. οἱ μὲν γὰρ χρηστοὶ παιδοποιησάμενοι, εὐνούστεροι ὡς ἐπὶ τὸ πολύ. οἱ δὲ πονηροὶ συζυγέντες, εὐπορώτεροι πρὸς τὸ κακουργεῖν γίγνονται. ἐπεὶ δὲ ταῦτα διήλθομεν, ἔφη· οὕτως ἤδη κατὰ φυλὰς διεκρίνομεν τὰ ἔπιπλα. ἠρχόμεθα δὲ πρῶτον, ἔφη, ἀθροίζοντες, οἷς ἀμφὶ θυσίας χρώμεθα. μετὰ ταῦτα κόσμον γυναικὸς τὸν εἰς ἑορτὰς διῃροῦμεν. ἐσθῆτα ἀνδρὸς τὴν εἰς ἑορτὰς καὶ πόλεμον. καὶ στρώματα ἐν γυναικωνίτιδι· στρώματα ἐν ἀνδρωνίτιδι. ὑποδήματα γυναικεῖα, ὑποδήματα ἀνδρεῖα. ὅπλων ἄλλη φυλή, ἄλλη ταλασιουργικῶν ὀργάνων· ἄλλη σιτοποιικῶν· ἄλλη ὀψοποιικῶν, ἄλλη τῶν ἀμφὶ λουτρόν, ἄλλη ἀμφὶ μάκτρας, ἄλλη ἀμφὶ τραπέζας. καὶ ταῦτα πάντα διεχωρίσαμεν εἴς τε ἀεὶ δεῖ χρῆσθαι, καὶ τὰ θοινητικά. χωρὶς δὲ καὶ τὰ κατὰ μῆνα δαπανώμενα ἀφείλομεν. δίχα δὲ καὶ τὰ εἰς ἐνιαυτὸν ἀπολελογισμένα κατέθεμεν. οὕτω γὰρ ἧττον λανθάνει, ὅπως πρὸς τὸ τέλος ἐκβήσεται. ἐπεὶ δὲ ἐχωρίσαμεν πάντα κατὰ φυλὰς τὰ ἔπιπλα, εἰς τὰς χώρας τὰς προσηκούσας ἕκαστα διηνέγκαμεν. μετὰ δὲ τοῦτο, ὅσοις μὲν τῶν σκευῶν καθ' ἡμέραν χρῶνται οἱ οἰκέται, οἷον σιτοποιικοῖς, ὀψοποιικοῖς, ταλασιουργικοῖς, καὶ εἴ τι ἄλλο τοιοῦτο, ταῦτα μὲν αὐτοῖς τοῖς χρωμένοις δείξαντες ὅπου δεῖ τιθέναι, παρεδώκαμεν, καὶ ἐπετάξαμεν σῶα παρέχειν. ὅσοις δ' εἰς ἑορτὰς ἢ ξενοδοχίας χρώμεθα, ἢ εἰς τὰς διὰ χρόνου πράξεις, ταῦτα δὲ τῇ ταμίᾳ παρεδώκαμεν, καὶ δείξαντες τὰς χώρας αὐτῶν, καὶ ἀπαριθ-

foro cupit emere, statim ei quemcunque oportet quilibet afferet: reliquaque item omnibus capiendi prompta. Huius igitur causa rei nihil aliud, quam locus singulis rebus ordinatus: quo prætermisso nihil prorsus præsto paratum est: quin tanta plerunque oritur difficultas, ut si duo citra constitutum sese inuicem quærerent, prius deficiant quam conueniant. Et hæc quoque de usu supellectilis eam monuisse recordor. SOC. Ecquid hæc illa te monstrantem audyt? IS C. Quin se omnia seruaturam promisit, ex eoque significauit, quod animo magnopere læta est, tanquam si ex angustia in rerum copiam uenisset: ac me ultro rogauit, ut formulam qua domus foret disponenda præberem. SO. Quanam, quæso, ratione disposuisti? IS C. Partes ac uim domus omnem in primis enarraui: quæ non tam uarietate ædificiorum atque ornatu illustratur, quàm utili suppellectili ac habitantibus necessaria, cuius gratia facta est, qualibet eius parte res ei conuenientes adseruante. In primisque thalamus cum sit in penetrali ac loco munitiore, peristromata, uasaque nobilia, & alia preciosiora tuetur. Granaria, siccaque loca frumenta: apothecæ frigidæ uina exposcant. Perspicua uero quæ maxime lucis egeant, & uasa & opera dicantur. Tum diæteteria utrorum illi monstraui pulcherrima, æstate frigida, hyeme calida. Domum quoque omnem quemadmodum ad meridiem spectaret, ut esset aprica per brumam, per æstus umbrosa. Deinde Gynæconitem ab Andronitide balneo disiunctam. Demum ne domo exportetur quod nō oportet, neu serui iniussu nostro liberos procreent. Nam boni ex eo plerunque fideliores atque amantiores fiunt: improbi uero cum uxore coniuncti proniores ad dolum euadunt. His enarratis ad instrumenta domestica deuenimus, eaque secundum genera distinximus: ac primum sacrificijs apta constituimus: post hæc ornatum omnem muliebrem festis profestisque diebus diuisum. Virilem item per festa & belli tempus. Stromata in Gynæconitide, stromata item in Andronitide. Calceamenta alia uxoris, alia uiri. Instrumenta præterea alia textrinæ, alia pistoriæ, alia coquinæ, alia circa lauacrum, alia circa mactras, alia circa mensas. Et hæc quidem distinximus quibus quotidie uti oportet, quibusue per celebritates & conuiuia. Mox rationem in singulos menses erogatorum subduximus, separatim subducta conscripsimus. Hoc pacto minus latet, quid in annū sumptus exigat. His constitutis loca prespsimus, quib. ea cōdi oporteret, promeque

* hæc latine non sunt versa.

enumerauimus, atque conscripta tradidimus: eiq; praecepimus, ut quae opus essent cuique prometeret, ac meminisset recepta rursus in locum suum condere. Promam fecimus, quae in primis nobis uisa sit frugi: ac Veneris, uini, somniq; luxu abstinens, tum procul à uiri complexibus. Ad haec eo ingenio praedita, ut facile circunspiceret sese per negligentiam incommodum, per diligentiam uero gratiam à nobis & munera consecuturam. Monuimus insuper ut beneuolente erga nos animo esset: quando gauderemus, laetitiae, tristitiaeq; item si quid accideret consortem fecimus. Instruximus deinde uti in augenda domo prompta foret. Tum iustitiae ei seruandae exempla prodidimus, quenque promeritum munerando, ac probos seruos longe liberius ac locupletius improbis apud nos agere monstrando. Ipsam postremo in loco & officio statuimus. Post haec uxorem monuimus, praeceptorum omnium frustra esse diligentiam, nisi ipsamet curet, ut ordo cuiq; suus seruetur: exemplum reipublicae seruando, in qua ciues non solum bonas conscribunt leges, sed & illarum eligunt custodes, qui uestigando aduersus agentes plectunt, seruantes uero collaudant. Pari ratione eius esse officium domesticis praesidere legibus, supellectilem tanquam custodes arcis explorare: ac si quid bene habeat, sicuti & senatus equos atque equites, probare: moreq; reginae qua praesenti utitur potestate, dignum collaudare, ignauum autem castigare. Insuper addidi, ne forte grauaretur si plura quae ad oeconomiam pertinerent ei quàm famulis mandarem, cum illi tantum rerum dominicarum participes essent, quantum ad custodiae ministrandiq; officium attineret: licere uero illis praeterea nihil, nisi cui potestatem herus utendi faceret. Domini autem alia ratio, in cuius facultate sunt omnia constituta, hisq; pro arbitrio utitur: ad quem item & seruatorum utilitas, & amissorum peruenit incommodum. Huic maxime diligentiam praeter caeteros conuenire docuimus. SOCRAT. Quid ergo illa, quomodo auscultauit? ISCH. Quid, nisi quod recte sentirem respondit. Si putarem dura illi praecepisse, ut rei necessariae curam susciperet: duriora sane uideri, si potius negligere, quae ex re fuissent eius, mandassem: quod innatum sit homini sapienti, quemadmodum filiorum, sic possessionum amore teneri, earumq; cura oblectari. SOCRATES. Mentem profecto mulieris uirilem praedicas. ISCHOMA. Sed & alia sunt, in quibus magnanimitatem

ἀπαριθμησάμενοι καὶ γραψάμενοι ἕκαστα, ἔπειτα αὐτῇ, διδόναι τούτων ὅτῳ δέοι ἕκαστα, καὶ μεμνῆσθαι ὅ,τι αὐτῷ δίδῳ, καὶ ἀπολαμβάνουσαν καταθεῖναι πάλιν ὅθενπερ ἂν ἕκαστα λαμβάνῃ. τὴν δὲ ταμίαν ἐποιησάμεθα, ἐπισκεψάμενοι, ἥτις ἡμῖν ἐδόκει εἶναι ἐγκρατεστάτη καὶ γαστρὸς καὶ οἴνου καὶ ὕπνου, καὶ ἀνδρῶν συνουσίας. πρὸς τούτοις δὲ ἣ τὸ μνημονικὸν μάλιστα ἐδόκει ἔχειν, καὶ τὸ προνοεῖν, μήτι κακὸν λάβῃ παρ' ἡμῶν, ἀμελοῦσα, καὶ σκοπεῖν ὅπως χαριζομένη τι ἡμῖν, ὑφ' ἡμῶν ἀντιτιμήσεται. ἐδιδάσκομεν δὲ αὐτὴν καὶ εὐνοϊκῶς ἔχειν πρὸς ἡμᾶς. ὅτ' εὐφραινοίμεθα τῶν εὐφροσυνῶν μεταδιδόντες, καὶ εἴ τι λυπηρὸν εἴη, εἰς ταῦτα παρακαλοῦντες. καὶ τὸ προθυμεῖσθαι δὲ συναύξειν τὸν οἶκον ἐπαιδεύομεν αὐτήν. ἐπιγιγνώσκειν αὐτὴν ποιοῦντες, καὶ τῆς εὐπραγίας αὐτῇ μεταδιδόντες. καὶ δικαιοσύνην αὐτῇ ἐνεποιοῦμεν, τιμιωτέρους τιθέντες τοὺς δικαίους τῶν ἀδίκων, καὶ ἐπιδεικνύντες, πλουσιώτερον καὶ ἐλευθεριώτερον βιοτεύοντας τῶν ἀδίκων. καὶ αὐτὴν δὲ ἐν αὐτῇ τῇ χώρᾳ κατετάττομεν. ἐπὶ δὲ τούτοις πᾶσιν εἶπον, ἔφη, ὦ Σώκρατες, ἐγὼ τῇ γυναικί, ὅτι πάντων τούτων οὐδὲν ὄφελος, εἰ μὴ αὐτὴ ἐπιμελήσεται, ὅπως διαμένῃ ἑκάστῳ ἡ τάξις. ἐδίδασκον δὲ αὐτήν, ὅτι καὶ ἐν ταῖς εὐνομουμέναις πόλεσιν οὐκ ἀρκεῖν δοκεῖ τοῖς πολίταις, ἢν νόμους καλοὺς γράψωνται, ἀλλὰ καὶ νομοφύλακας προσαιροῦνται, οἵτινες ἐπισκοποῦντες τὸν μὲν ποιοῦντα τὰ νόμιμα ἐπαινοῦσιν. ἢν δέ τις παρὰ τοὺς νόμους ποιῇ ζημιοῦσι. νομίσαι οὖν ἐκέλευον ἔφη τὴν γυναῖκα, καὶ αὐτὴν νομοφύλακα τῶν ἐν τῇ οἰκίᾳ εἶναι. καὶ ἐξετάζειν δὲ ὅταν δόξῃ αὐτῇ τὰ σκεύη, ὥσπερ ὁ φρούραρχος τὰς φυλακὰς ἐξετάζει, καὶ δοκιμάζειν εἰ καλῶς ἕκαστον ἔχει. ὥσπερ ἡ βουλὴ ἵππους καὶ ἱππέας δοκιμάζει. καὶ ἐπαινεῖν τε καὶ τιμᾶν ὥσπερ βασίλισσαν τὸν ἄξιον ἀπὸ τῆς παρούσης δυνάμεως. καὶ λοιδορεῖν καὶ κολάζειν τὸν τούτων δεόμενον. πρὸς δὲ τούτοις ἐδίδασκον αὐτὴν ἔφη, ὡς οὐκ ἂν ἄχθοιτο δικαίως, εἰ πλείω αὐτῇ πράγματα προστάττω ἢ τοῖς οἰκέταις περὶ τὰ κτήματα ἐπιδεικνύων. ὅτι τοῖς μὲν οἰκέταις μέτεστι τῶν δεσποσύνων χρημάτων τοσοῦτον, ὅσον φέρειν ἢ θεραπεύειν ἢ φυλάττειν, χρῆσθαι δὲ οὐδενὶ αὐτῶν ἔξεστι, ὅτῳ ἂν μὴ δῷ ὁ κύριος. δεσπότου δὲ ἅπαντά ἐστιν ᾧ ἂν βούληται ἕκαστα χρῆσθαι. ὅτῳ οὖν καὶ σωζομένων μεγίστη ὄνησις, καὶ φθειρομένων μεγίστη βλάβη, τούτῳ καὶ τὴν ἐπιμέλειαν μάλιστα προσήκουσαν ἀπέφαινον. τί οὖν, ἔφην ἐγώ, ὦ Ἰσχόμαχε, ταῦτα ἀκούσασα ἡ γυνή, πῶς σοι ὑπήκουε; τί δέ, ἔφη, εἰ μὴ εἶπέ μοι, ὦ Σώκρατες, ὅτι οὐκ ὀρθῶς γιγνώσκοιμι, εἰ οἰοίμην χαλεπὰ ἐπιτάττειν, διδάσκων ὅτι ἐπιμελεῖσθαι δεῖ τῶν ὄντων. χαλεπώτερον γὰρ ἂν ἔφη φάναι, εἰ αὐτῇ ἐπέταττον ἀμελεῖν τῶν ἑαυτῆς, ἢ εἰ ἐπιμελεῖσθαι δεήσει τῶν οἰκείων ἀγαθῶν. πεφυκέναι γὰρ δοκεῖ ὥσπερ καὶ τῶν τέκνων, τὸ ἐπιμελεῖσθαι τῇ σώφρονι τῶν ἑαυτῆς ἢ ἀμελεῖν, οὕτω καὶ τῶν κτημάτων ὅσα ἴδια ὄντα εὐφραίνει, ἥδιον τὸ ἐπιμελεῖσθαι νομίζειν ἔφη τῇ σώφρονι τῶν ἑαυτοῦ ἀμελεῖν. καὶ ἐγὼ ἀκούσας, ἔφη ὁ Σωκράτης, ἀποκρίνασθαι τὴν γυναῖκα αὐτῷ ταῦτα, εἶπον. νὴ τὴν Ἥραν, ἔφη, ὦ Ἰσχόμαχε, ἀνδρικήν γε ἐπιδεικνύεις τὴν διάνοιαν τῆς γυναικός. καὶ ἄλλα τοίνυν, ἔφη ὁ Ἰσχόμαχος, θέλω σοι πάνυ μεγαλόφρονα

φρονεῖν αὐτῆς διηγήσασθαι, ἅ μου ἅπαξ ἀκούσασα, τα-
χὺ ἐπείθετο. τὰ ποῖα; ἔφην ἐγώ, λέγε, ὡς ἐμοὶ πολὺ ἥ-
διον ζώσης ἀρετὴν γυναικὸς καταμανθάνειν, ἢ εἰ Ζεῦ-
ξίς μοι καλὴν εἰκάσας γραφῇ γυναῖκα ἐπεδείκνυεν. ἐν-
τεῦθεν δὴ λέγει ὁ Ἰσχόμαχος· ἐγὼ τοίνυν, ἔφη, ἰδὼν
ποτὲ αὐτήν, ὦ Σώκρατες, ἐντετριμμένην πολλῷ μὲν ψιμ-
μυθίῳ, ὅπως λευκοτέρα ἔτι δοκοίη εἶναι ἢ ἦν, πολλῇ δ' ἐγχού-
σῃ, ὅπως ἐρυθροτέρα φαίνοιτο τῆς ἀληθείας, ὑποδήμα-
τα δ' ἔχουσαν ὑψηλά, ὅπως μείζων δοκοίη εἶναι ἢ ἐπεφύ-
κει, εἰπέ μοι, ἔφην, ὦ γύναι, ποτέρως ἄν με κρίναις ἀξιο-
φιλητότερον μᾶλλον εἶναι χρημάτων κοινωνόν, εἴ σοι αὐτὰ τὰ
ὄντα ἀποδεικνύοιμι, καὶ μήτε κομπάζοιμι ὡς πλείω τῶν
ὄντων ἐστί μοι, μήτε ἀποκρυπτοίμην τι τῶν ὄντων μηδέν,
ἢ εἰ ἐπιχειροίην σε ἐξαπατᾶν, λέγων τε ὡς πλείω τῶν ὄν-
των ἐστί μοι, ἐπιδεικνύς τε ἀργύριον κίβδηλον δηλοί-
ην σε καὶ ὅρμους ὑποξύλους, καὶ πορφυρίδας ἐξιτήλους
φαίην ἀληθινὰς εἶναι. καὶ ὑπολαβοῦσα εὐθύς, εὐφήμει, ἔφη.
μὴ γένοιο σὺ τοιοῦτος. οὐ γὰρ ἂν ἔγωγέ σε δυναίμην, εἰ
τοιοῦτος εἴης, ἀσπάσασθαι ἐκ τῆς ψυχῆς. οὐκοῦν, ἔφην
ἐγώ, συνεληλύθαμεν, ὦ γύναι, ὡς καὶ τῶν σωμάτων κοινω-
νήσοντες ἀλλήλοις; φασὶ γοῦν, ἔφη, οἱ ἄνθρωποι. πότερος
ἂν οὖν, ἔφην ἐγώ, τοῦ σώματος αὖ δοκοίην εἶναι ἀξιοφίλη-
τος μᾶλλον κοινωνός, εἴ σοι τὸ σῶμα πειρῴμην παρέχειν
τὸ ἐμαυτοῦ ἐπιμελόμενος, ὅπως ὑγιαῖνόν τε καὶ ἐρρωμένον
ἔσται, καὶ διὰ ταῦτα τῷ ὄντι εὔχρως σοι ἔσομαι, ἢ εἴ σοι μίλ-
τῳ ἀλειφόμενος, καὶ τοὺς ὀφθαλμοὺς ὑπαλειφόμενος
ἀνδρεικέλῳ, ἐπιδεικνύμί τε ἐμαυτόν, καὶ συνείην ἐξα-
πατῶν σε, καὶ παρέχων ὁρᾶν καὶ ἅπτεσθαι μίλτου, ἀντὶ τοῦ ἐμαυ-
τοῦ χρωτός. ἐγὼ μέν, ἔφη ἐκείνη, οὔτ' ἂν μίλτου ἁπτοίμην
ἥδιον ἢ σοῦ, οὔτ' ἂν ἀνδρεικέλου χρῶμα ὁρῴην ἥδιον ἢ τὸ
σόν, οὔτ' ἂν τοὺς ὀφθαλμοὺς ὑπαληλιμμένους ἥδιον ὁρῴ-
ην τοὺς σοὺς ἢ ὑγιαίνοντας. καὶ ἐμὲ τοίνυν νόμιζε, εἰπεῖν,
ἔφη ὁ Ἰσχόμαχος, ὦ γύναι, μήτε ψιμμυθίου, μήτε ἐγχού-
σης χρώματι ἥδιον μᾶλλον ἢ τῷ σῷ. ἀλλ' ὥσπερ οἱ θεοὶ
ἐποίησαν, ἵπποις μὲν ἵππους, βουσὶ δὲ βοῦς ἥδιστον, προ-
βάτοις δὲ πρόβατα, οὕτω καὶ ἄνθρωποι ἀνθρώπου σῶμα
καθαρὸν οἴονται ἥδιστον εἶναι. αἱ δ' ἀπάται αὗται τοὺς μὲν
ἔξω πως δύναιντ' ἂν ἀνεξελέγκτως ἐξαπατᾶν, συνόν-
τας δ' ἀεὶ ἀνάγκη ἁλίσκεσθαι, ἂν ἐπιχειρῶσιν ἐξαπα-
τᾶν ἀλλήλους. ἢ γὰρ ἐξ εὐνῆς ἁλίσκονται ἐξανιστάμενοι
πρὶν παρασκευάσασθαι, ἢ ὑπὸ ἱδρῶτος ἐλέγχονται,
ἢ ὑπὸ δακρύων βασανίζονται, ἢ ὑπὸ λουτροῦ ἀληθι-
νῶς κατωπτεύθησαν. τί οὖν πρὸς θεῶν, ἔφην ἐγώ, πρὸς
ταῦτα ἀπεκρίνατο; τί δέ, ἔφη, ἢ τὸ λοιποῦ τοιοῦ-
τον μὲν οὐδὲν πώποτε ἐπραγματεύσατο, καθαρὰν δὲ
καὶ πρεπόντως ἔχουσαν ἐπειρᾶτο ἑαυτὴν ἐπιδεικνύ-
ναι. καὶ ἐμὲ μέντοι ἠρώτα εἴ τι ἔχοιμι συμβουλεῦσαι,
ὡς ἂν τῷ ὄντι καλὴ φαίνοιτο, ἀλλὰ μὴ μόνον δοκοίη. καὶ
ἐγὼ μέντοι, ὦ Σώκρατες, ἔφη, συνεβούλευον αὐτῇ, μὴ
δουλικῶς ἀεὶ καθῆσθαι, ἀλλὰ σὺν τοῖς θεοῖς πειρᾶσθαι δε-
σποτικῶς πρὸς μὲν τὸν ἱστὸν προσστᾶσαν, ὅ τι μὲν βέλτιον
ἄλλου ἐπίσταιτο ἐπιδιδάξαι, ὅ τι δὲ χεῖρον ἐπιμαθεῖν.
ἐπισκέψασθαι δὲ καὶ σιτοποιόν. παραστῆναι δὲ καὶ ἀπομε-
τρούσῃ τῇ ταμίᾳ. περιελθεῖν δ' ἐπισκοπουμένην καὶ
εἰ κατὰ χώραν ἔχει ἣν δεῖ ἕκαστα. ταῦτα γὰρ ἐδόκει μοι
ἅμα ἐπιμέλεια εἶναι καὶ περίπατος. ἀγαθὸν δὲ ἔφην εἶναι
γυμνά-

mitatem eius deprehendas. SOCRAT. Qualis, audire cupio: maiore profe-
cto uoluptate mulieris uiuentis uirtu-
tem spectauerim, quàm si mihi Zeusis
pictam in tabella nūc referas. ISCHO-
MACHVS. Ego cum illam quando-
que colore oblitam externo ut pul-
chrior uideretur, aspicerem, uisu-
per calciamentis paulo altioribus, u-
10 ti maior appareret: Dic, inquam,
coniunx, putásne me magis tibi diui-
tias communicaturum esse, si tibi
præsentis tantum nullo mendacio pa-
tefaciam, an te decipiendo, ac
plura iactando pro ueris falsa, argen-
tum adulterinum, monilia sublignea,
aliáque huius generis ostentarem?
At illa statim excipiens: Recte, in-
quit, mones: caue mihi sis talis: fate-
20 ar, te ex animo diligere nequeam.
Igitur, inquam ego, conuenimus ut
corporibus communicaremus. Ita fe-
runt, inquit illa. Vtrum, inquam,
amantior sim tibi, si corpus ualens
integrúmque uiribus nullo adhibito fu-
co, an os oculósque minio infectos ti-
bi attingendos præberem? At ego,
inquit uxor, minium nunquam atti-
gerim, neque fucatos oculos gratius
30 quàm tuos puros aspexerim. Et me pu-
ta, inquam, non tam cerussa ac men-
tito delectari colore, quàm tuo. Neque
sane alia est in hominibus ratio quàm
bubus, equis, cæterísque animalibus,
quibus deus inter sese puri sexus sim-
plicitate deuinci dulcissimum esse uo-
luit. Quod si in hoc genere decipi-
endum, alienos decipere magis tole-
rabile. Nam coniuges, & qui simul
40 semper uersantur, inter sese fallaciam
facile deprehendunt, uel mane cum
surgunt incompti, uel ex sudore, aut
ex lachrymis, siue etiam ex balneo
decidente colore. SOCRATES.
Quid per deos respondit? ISCHO-
MACHVS. Quid, nisi reliquo tem-
pore nihil huiuscemodi facturam se re-
cepit: rogauitq; insuper, ut si qua ha-
berem alia, quibus pulchra non tam
50 uideri, quàm esse posset, in medium
afferrem. Igitur admonui, ne more ser-
uorum totos dies assideret, sed cum im-
perio diuersa obiret. Illam quæ telæ præ-
esset, doceret, si quid melius nosset: si mi-
nus, disceret: obseruaret pistorem, ad-
esset promæ metienti. Domum circum-
iret, si suo quæque loco sint condi-
ta prospiceret. Hæc & his similia
mihi & diligentia & ambulatione di-
gna sunt uisa. Adieci, optimam ei fore

corpo-

corpora exercitationũ lauando, pinsendo, uestes & stragula excutiẽdo, deinde cõponendo. His modis demũ & cibus ei suauior, et ualetudo firmior, & color roseus, tũ splẽdor oris uerior affuturus, præsertim si hæc spõte fecerit & nõ coacta. Oscitãtes uero aut desidẽtes se tantũ muliercuulis eas ornantib. iudicãdas ac decipiẽdas tradunt. Post hæc Socrates scito illã adeo secundum officiũ uiuere, uti mõstraui. SO. Hic ego satis mihi uideor Ischomache audiuisse opera mulieris, quæ maxime amborũ digna sunt laude. Nũc aueo tua magnopere facta intelligere, ex quibus potissimũ sit, quã ob rẽ honestus, ac bonus dicaris: hinc ego maximã tibi habebo gratiã. IS. Dicã equidẽ libenter quæ facio, ut si qua tibi in re uidear ab honesto discedere, ipse interpoles. SO. Tene hominẽ honestũ, ac bonũ uocitatũ interpolẽ ego, qui nugas sectari et aẽra metiri uideor, & quod omniũ stultissimũ putatur, paup appellor? Quod sane nomen ægre quondã ferebã, donec equũ Niciæ forte obuiũ habui: quẽ cũ uulgus certatim spectatũ properaret, deq; eo sermonẽ plurimũ haberet, accessi ad equisonẽ percontans si quas equus obtineret diuitias, quẽ tantopere laudarent. At ille me tanquã insanum suspiciẽs: Quid, inquit, uidisti ne unquã equo diuitias? Ex illo satis ego deprehendi, etiã equo & pauperi & bono esse licere, qui animum natura possideat bonũ. Nunc age quæso enarra, ut ego abs te discã quicquid in hoc genere audire possum, crastina die te omnino imitaturus, quæ quidem optima fuerit, utpote à uirtute auspicaturus. ISCH. Facetias facis, attamen quoad possum operã dabo omnẽ nunc uitæ meæ rationẽ percurrere. Ego postquam didici deos hominibus citra intelligentiã earum rerũ, quas nos agere, & quomodo agere oporteat, bene rem gerere minime concessisse, prudentibus uero ac diligentibus felicitatem tribuisse: illos ego colere ante omnia constitui, conorq; quantum mihi fas est supplicanti, ualetudinem in primis, uiresq; corporis, deinde honores in ciuitate, beneuolentiamq; apud ciues, & in bello salutẽ, postremo reifamiliaris honestã amplificationẽ ab eis impetrare. SO. Curæ ne tibi est Ischomache quõ diuitias assequaris: unde tibi plura oriantur negocia, quæ sis curaturus? IS. Curæ pfecto. Iucundũ mihi apprime uidetur magnifice deos honorare: amicis deinde si qd opus, subuenire: rem-

Explicat officia viri in administranda domo.

γυμνάσιον, καὶ τὸ δεῦσαι καὶ μάξαι, καὶ ἱμάτια καὶ στρώματα ἀνασεῖσαι καὶ συνθεῖναι. γυμναζομένην δ' ἔφην οὕτως ἂν καὶ ἐσθίειν ἥδιον, καὶ ὑγιαίνειν μᾶλλον, καὶ εὐχροωτέραν φαίνεσθαι τῇ ἀληθείᾳ. καὶ ὄψις δὲ ὁπόταν ἀνταγωνίζηται διακόνῳ καθαρωτέρα οὖσα, πρεπόντως τε μᾶλλον ἠμφιεσμένη, κινητικὸν γίνεται. ἄλλως τε καὶ ὁπόταν τὸ ἑκοῦσαν χαρίζεσθαι προσῇ ἀντὶ τοῦ ἀναγκαζομένην ὑπηρετεῖν. αἱ δ' ἀεὶ καθήμεναι σεμνῶς, πρὸς τὰς κεκοσμημένας καὶ ἐξαπατώσας κρίνεσθαι παρέχουσιν ἑαυτάς. καὶ νῦν, ἔφη, ὦ Σώκρατες, οὕτως εὖ ἴσθι ἡ γυνή μου κατεσκευασμένη βιοτεύει, ὥσπερ ἐγὼ ἐδίδασκον αὐτὴν, καὶ ὥσπερ νῦν σοι λέγω. ἐγὼ δ' εἶπον, ὦ Ἰσχόμαχε· τὰ μὲν δὴ περὶ τῶν τῆς γυναικὸς ἔργων, ἱκανῶς μοι δοκῶ ἀκηκοέναι τὴν πρώτην. καὶ ἄξιά γε πάνυ ἐπαίνου ἀμφοτέρων ὑμῶν. τὰ δ' αὖ σὰ ἔργα ἔφην ἐγὼ, ἤδη μοι λέγε, ἵνα σύ τε ἐφ' οἷς εὐδοκιμεῖς διηγησάμενος ἡσθῇς, κἀγὼ τὰ τοῦ καλοῦ κἀγαθοῦ ἀνδρὸς ἔργα τελέως διακούσας καὶ καταμαθὼν, ἂν δύνωμαι, πολλήν σοι χάριν εἰδῶ. ἀλλὰ νὴ Δί', ἔφη ὁ Ἰσχόμαχος, καὶ πάνυ ἡδέως σοι, ὦ Σώκρατες, διηγήσομαι ἃ ἐγὼ ποιῶν διατελῶ, ἵνα καὶ μεταρρυθμίσῃς με, ἐάν τί σοι μὴ δοκῶ καλῶς ποιεῖν. ἀλλ' ἐγὼ μὲν δὴ ἔφην, πῶς ἂν δικαίως μεταρρυθμίσαιμι ἄνδρα ἀπειργασμένον καλόν τε κἀγαθὸν, καὶ ταῦτα ὢν ἀνὴρ, ὃς ἀδολεσχεῖν τε δοκῶ καὶ ἀερομετρεῖν, καὶ τὸ πάντων δὴ ἀνοητότατον δοκοῦν εἶναι ἔγκλημα, πένης καλοῦμαι. καὶ πάνυ μέντ' ἂν, ὦ Ἰσχόμαχε, ἦν ἐν πολλῇ ἀθυμίᾳ τῷ ἐγκλήματι τούτῳ, εἰ μὴ πρῴην ἀπαντήσας τῷ Νικίου τοῦ ἐπηλύτου ἵππῳ, εἶδον πολλοὺς ἀκολουθοῦντας αὐτῷ θεατάς. πολλὴν δὲ λόγον ἐχόντων τινῶν περὶ αὐτοῦ ἤκουον. καὶ δῆτα ἠρόμην προσελθὼν τὸν ἱπποκόμον, εἰ πολλὰ εἴη χρήματα τῷ ἵππῳ. ὁ δὲ προσβλέψας με ὡς οὐδὲ ὑγιαίνοντα τῷ ἐρωτήματι, εἶπε· πῶς δ' ἂν ἵππῳ χρήματα γένοιτο; οὕτω δὴ ἐγὼ ἀνέκυψα ἀκούσας, ὅτι ἔστιν ἄρα θεμιτὸν καὶ πένητι ἵππῳ ἀγαθῷ γενέσθαι, εἰ τὴν ψυχὴν φύσει ἀγαθὴν ἔχοι. ὡς οὖν θεμιτὸν καὶ ἐμοὶ ἀγαθῷ ἀνδρὶ γενέσθαι, διηγοῦ τελέως τὰ σὰ ἔργα, ἵνα ὅ τι ἂν δύνωμαι ἀκούων, καταμαθεῖν πειρῶμαι, καὶ ἐγώ σε ἐκ τῆς αὔριον ἡμέρας ἀρξάμενος μιμεῖσθαι. καὶ γὰρ ἀγαθὴ δὴ, ἔφην ἐγὼ, ἡμέρα ἀρετῆς ἄρχεσθαι. σὺ μὲν παίζεις, ἔφη ὁ Ἰσχόμαχος, ὦ Σώκρατες. ἐγὼ δὲ ὅμως σοι διηγήσομαι ἃ ἐγὼ ὅσον δύναμαι πειρῶμαι ἐπιτηδεύων διαπεραίνειν τὸν βίον. ἐπεὶ γὰρ καταμεμαθηκέναι δοκῶ, ὅτι οἱ θεοὶ τοῖς ἀνθρώποις ἄνευ μὲν τοῦ γιγνώσκειν τε ἃ δεῖ ποιεῖν, καὶ ἐπιμελεῖσθαι ὅπως ταῦτα περαίνηται, οὐ θεμιτὸν ἐποίησαν εὖ πράττειν, φρονίμοις δ' οὖσι καὶ ἐπιμελέσι, τοῖς μὲν διδόασιν εὐδαιμονεῖν, τοῖς δ' οὔ. οὕτω δὴ ἐγὼ ἄρχομαι μὲν τοὺς θεοὺς θεραπεύειν, πειρῶμαι δὲ ποιεῖν ὡς ἂν θέμις ᾖ μοι εὐχομένῳ, καὶ ὑγιείας τυγχάνειν, καὶ ῥώμης σώματος, καὶ τιμῆς ἐν πόλει, καὶ εὐνοίας ἐν φίλοις, καὶ ἐν πολέμῳ καλῆς σωτηρίας, καὶ πλούτου καλῶς αὐξομένου. καὶ ἐγὼ ἀκούσας ταῦτα, μέλει γὰρ δή σοι, ὦ Ἰσχόμαχε, ὅπως πλουτῇς, καὶ πολλὰ χρήματα ἔχων, πολλὰ ἔχῃς πράγματα τούτων ἐπιμελόμενος; καὶ πάνυ γε, ἔφη ὁ Ἰσχόμαχος, μέλει μοι τούτων ὧν ἐρωτᾷς. ἡδὺ γάρ μοι δοκεῖ, ὦ Σώκρατες, καὶ θεοὺς μεγαλείως τιμᾶν, καὶ φίλους ἤν τινος δέωνται ἐπωφελεῖν, καὶ

ἀερομετρεῖν.

καὶ τὴν πόλιν μηδὲν κατ' ἐμὲ χρήμασιν ἀκόσμητον εἶναι. καὶ γὰρ καλά, ἔφην ἐγώ, ὦ ἰσχόμαχε, ταῦτα ἃ σὺ λέγεις, καὶ δυνατοῦ γε ἰσχυρῶς ἀνδρός. πῶς γὰρ οὔ. ὅτι πολλοὶ μὲν εἰσιν ἄνθρωποι, οἱ οὐ δύνανται ζῆν ἄνευ τοῦ ἄλλων δεῖσθαι. πολλοὶ δὲ ἀγαπῶσιν ἢν δύνωνται τὰ ἑαυτοῖς ἀρκοῦντα πορίζεσθαι. οἱ δὲ δυνάμενοι μὴ μόνον τὸν ἑαυτῶν οἶκον διοικεῖν, ἀλλὰ καὶ περιποιεῖν, ὥστε καὶ τὴν πόλιν κοσμεῖν, καὶ τοὺς φίλους ἐπικουφίζειν, πῶς τούτους οὐχὶ βαθύς τε καὶ ἐρρωμένους ἄνδρας χρὴ νομίσαι. ἀλλὰ γὰρ ἐπαινεῖν μὲν, ἔφην ἐγώ, τοὺς τοιούτους, πολλοὶ δυνάμεθα. σὺ δέ μοι λέξον, ὦ ἰσχόμαχε, ἀφ' ὧνπερ ἤρξω. πῶς ὑγιείας ἐπιμελῇ. πῶς περὶ τοῦ σώματος ῥώμης. πῶς θέμις εἶναί σοι καὶ ἐκ πολέμου καλῶς σώζεσθαι, περὶ δὲ χρηματίσεως, καὶ μετὰ ταῦτα, ἔφην ἐγώ, ἀρκέσει ἀκούειν. ἀλλ' ἔστι μὲν, ἔφη ὁ ἰσχόμαχος, ὥς γε ἐμοὶ δοκεῖ, ὦ σώκρατες, ἀκόλουθα ταῦτα πάντα ἀλλήλων. ἐπεὶ γὰρ ἐσθίειν τις τὰ ἱκανὰ ἔχοι, ἐκπονοῦντι μὲν ὀρθῶς, μᾶλλον δοκεῖ μοι ἡ ὑγίεια παραμένειν. ἐκπονοῦντι δὲ, μᾶλλον ἡ ῥώμη προσγίγνεσθαι. ἀσκοῦντι δὲ τὰ τοῦ πολέμου, κάλλιον σώζεσθαι. ὀρθῶς δὲ ἐπιμελομένῳ, καὶ μὴ καταμαλακιζομένῳ, μᾶλλον εἰκὸς τὸν οἶκον αὔξεσθαι. ἀλλὰ μέχρι μὲν τούτου ἕπομαι, ἔφην ἐγώ, ὦ ἰσχόμαχε, ὅτι ἐκπονοῦντα φῂς καὶ ἐπιμελούμενον, καὶ ἀσκοῦντα ἄνθρωπον, μᾶλλον τυγχάνειν τῶν ἀγαθῶν. ὁποίῳ δὲ πόνῳ χρῇ πρὸς τὴν εὐεξίαν καὶ ῥώμην, καὶ ὅπως ἀσκεῖς τὰ τοῦ πολέμου, καὶ ὅπως ἐπιμελῇ τοῦ περιουσίαν ποιεῖν, ὡς καὶ φίλους ἐπωφελεῖν, καὶ πόλιν ἐπισχύειν, ταῦτα ἂν ἡδέως, ἔφην ἐγώ, πυθοίμην. ἐγὼ τοίνυν, ἔφη, ὦ σώκρατες, ὁ ἰσχόμαχος, ἀνίστασθαι μὲν ἐξ εὐνῆς εἴθισμαι, ἡνίκα ἔτι ἔνδον καταλαμβάνοιμι, εἴ τινα δεόμενος ἰδεῖν τυγχάνοιμι. κἂν μέν τι περὶ πόλιν δέῃ πράττειν, ταῦτα πραγματευόμενος, περιπάτῳ τούτῳ χρῶμαι. ἢν δὲ μηδὲν ἀναγκαῖον περὶ πόλιν, τὸν μὲν ἵππον ὁ παῖς προάγει εἰς ἀγρόν. ἐγὼ δὲ περιπάτῳ χρῶμαι, τῇ εἰς ἀγρὸν ὁδῷ. ἴσως ἄμεινον, ὦ σώκρατες, ἢ εἰ ἐν τῷ ξυστῷ περιπατοίην. ἐπειδὰν δὲ ἔλθω εἰς ἀγρόν, ἤν τέ μοι φυτεύοντες τυγχάνωσιν, ἤν τε νεοποιοῦντες, ἤν τε σπείροντες, ἤν τε καρπὸν προσκομίζοντες, ταῦτα ἐπισκεψάμενος, ὅπως ἕκαστα γίγνεται, μεταρρυθμίζω ἐὰν ἔχω τι βέλτιον τοῦ παρόντος. μετὰ δὲ ταῦτα ὡς τὰ πολλὰ ἀναβὰς ἐπὶ τὸν ἵππον, ἱππασάμην ἱππασίαν ὡς ἂν ἐγὼ δύνωμαι, ὁμοιοτάτην ταῖς ἐν τῷ πολέμῳ ἀναγκαίαις ἱππασίαις, οὔτε πλαγίου, οὔτε πρανοῦς, οὔτε τάφρου, οὔτε ὀχετοῦ ἀπεχόμενος. ὡς μέντοι δυνατὸν ταῦτα ποιοῦντα, ἐπιμέλομαι μὴ ἀποχωλεῦσαι τὸν ἵππον. ἐπειδὰν δὲ ταῦτα γένηται, ὁ παῖς ἐξαλίσας τὸν ἵππον, οἴκαδε ἀπάγει, ἅμα φέρων ἀπὸ τοῦ χωρίου ἤν τι δεώμεθα εἰς ἄστυ. ἐγὼ δὲ τὰ μὲν βάδην, τὰ δὲ ἀποδραμὼν οἴκαδε, ἀπεστλεγγισάμην. εἶτα δὲ ἀριστῶ, ὦ σώκρατες, ὅσα μήτε κενὸς, μήτε ἄγαν πλήρης διημερεύειν. νὴ τὴν ἥραν, ἔφην ἐγώ, ὦ ἰσχόμαχε, ἀρεσκόντως γέ μοι ταῦτα ποιεῖς. τὸ γὰρ ἐν τῷ αὐτῷ χρόνῳ συνεσκευασμένοις χρῆσθαι, τοῖς τε πρὸς τὴν ὑγίειαν καὶ πρὸς τὴν ῥώμην παρασκευάσμασι, καὶ τοῖς εἰς τὸν πόλεμον ἀσκήμασι, καὶ ταῖς τοῦ πλούτου ἐπιμελείαις, ταῦτα πάντα ἀγαστά μοι δοκεῖ εἶναι. καὶ γὰρ ὅτι ὀρθῶς ἑκάστου τούτων ἐπιμελῇ, ἱκανὰ τεκμήρια παρέχῃ. ὑγιαίνοντά

τε

rempublicam quoq; per me nihil egere permittere. SOCRAT. Pulchra nimirum quæ loqueris, eaq; potentis sane uiri. ISCHOMACHVS. Quid nisi cum multi homines sine hominum auxilio uiuere nequeant: non nulli in primis ament, ut suo sint contenti: plures quoque non solum suæ domui sufficiunt, sed adeo copijs abundant, ut ciuitatem ornent, amicis opulentur: quos non uideo cur tu non alto ingenio præditos ac præpotentes putes. SOCRATES. Quin ego præsertim cum multis alijs, huiuscemodi uiros uehementer habeo commendare. Tu uero perge ut cœpisti, quomodo ualetudinem roburq; corporis, quomodo ex bello, quomodo ue ex augenda re salubritatem assequaris. Hæc audisse sat fuerit. ISCHOMACHVS. Hæc nempe omnia inter se ordine consequuntur, ut quis ex cibo idoneo ac labore assumpto ualetudinem recte consequatur. Nam & sese exercenti magis succrescit robur, & in his quæ ad bellum pertinent, ornamentum prouenit. Tum res familiaris augetur. SOCRATES. Ego quoque adstipulor, quod & exercentem sese, & in re diligentem, necesse sit bonorum quoq; compotem fieri: sed quali exercitatione, laboréue circa bellum, & rem augendam diligentia utaris, ut etiam amicis & patriæ possis subuenire, maxime optauerim audire. ISCHOMACHVS. Ego enim mane surgere consueui, cumprimum deprehendo tempus esse in forum ire, si quo mihi conuento est opus, ac urbem si quid aliud sim facturus ambulatione obire: si uero nullum in urbe negocium, tum puerum cum equo præcedere in agrum iubeo, ipse pedibus subsequor, meliore fortasse exercitatione, quàm si in Xysto ambularem. Vbi rus uem, si obuios habeam colonos, quonam modo seruerint cum arbores, tum fruges, percontor: singulaq; quo facta sint ordine, perscrutor: rationem quoque subduco, si res melior atq; auctior quàm antea fuerat, facta sit. Post hæc plerunque equum conscendo, equitatione bellica simul memet exercendo, nunc à fronte appetendo, nunc à latere flectendo, tum fossas, tum aquæ riuos transmittendo, incolumi quoad fieri potest uestigio. His actis equum puero domum ducendum trado, simulq; ex agro ferendum quæcunque opus in urbe: ego modo pedetentim, modo cursim reuerto. Deinde prandeo quantum nec uacuus, nec omnino satur ualeam per diem ferre. SOCRATES. Lepide tu quidem Iscomache uno tempore & ualetudini & bellicæ exercitationi, tum rei familiari consulis: atque his omnibus te recte uti, idonea præbes argumenta, quod te & ualentem, & fu-

& firmis uiribus, & cũ dijs sæpe uidemus, tũ inter ditissimos uiros & equis maxime abundãtes adnumeratis. IS. Hæc cũ omnia faciam, calumniã tamen plurimorũ euitare nõ ualeo. Tu forte putabas me dicturũ ut à pluribus honestus & bonus propterea uocarer. SOC. At hoc prius percõtari malebam, si quid forte res hæc tibi curæ est: Quonã modo calũniantibus respõdes? quám ue rationẽ cum oporteat, reddis aut accipis? ISCH. Nonne tibi uideor & hãc quoq; partẽ absoluere, si memet factis bonis cogito defendere, nemini nocẽdo, quos autem possum iuuando? Nonne item uideor accusare, si homines improbos nosco, plurimus priuatum, publice uero ciuitati iniuriã facere, præterea iuuare neminẽ? SO. Illud insuper doce, si cogitationes huiuscemodi ullo unquam profers sermone. ISC. In hoc genere exercitationis me nunq̃ scito desinere, uel seruorũ lites utrinq; inter se accusantiũ castigatione dirimere, uel apud amicos aliquẽ uituperare, seu collaudare, uel discordias necessariorũ componere, mõstrando q̃ præstet amicos esse: apud magistratũ aliquẽ cõmendare, iniuriaq; accersitũ defendere, uel in senatu accusare, si quẽ uideã immerito honoratũ: aut quæ consulti uolumus fieri, laudare, quæ uero nolumus, eadẽ uituperare. Sed & iam, ô Socrates, ad id sæpe sum iudicium deductus, ut me oporteat pati, aut puniri. SO. A quo quæso Ischomache? me nãq; hoc latet. IS. Ab uxore. SO. Et quõ litigas? ISC. Quandò uera dicere cõtingat, ualde humaniter. Quãdo aũt mentita fuerit, in uerbis errantẽ nequeo, ô Socrates, meliorẽ reddere. SO. Fortasse mendaciũ uerũ facere nõ uales. At forte diutiũ te moror Ischomache. Ego uero minime prohibeo quo minus si cupis hinc abeas. IS. Per Iouẽ nequaquã hoc agam, ut ante hinc discedam, quàm forũ sit missum. SOCRAT. Video te nempe magnopere obseruare, ne nomẽ hoc honesti & boni amittas: quippe cum multa tibi priuatim negocia sint, quæ tuã requirãt diligentiã, quando cum hospitibus semel cõuenisti, eos nefallas expectas. ISCH. At illa quæ dicis negocia Socrates, nequaquã negligo, cum uillicos ruri habeã. SOC. Quando in hũc sermonẽ incidisti, quæso Ischomache, an sicuti architectum architecturæ, ita & uillicũ curãdi res domesticas peritum tibi paraueris, an ipse eũ instruxeris? IS. Ipse profecto instruere conor. Enimuero qui rebus meis substitutus est, quãdo ego absum quid aliud curare habet, quã quæ egomet? qui si semel præesse scio, & illũ in his quæ noui erudire facile potero. SO. Igitur beneuolentia in primis puto sit opus huic hominum generi, qua erga te tuasq; afficiatur, si recte in locũ tuũ substitui uelint, citra quã haud scio quid utilitatis eius tibi ars poterit afferre. ISC. Nihil prorsus, sed beneuolentiã in primis, quam erga me habiturus est, cum

τε γοῦν καὶ ἐῤῥωμένον ὡς ἐπὶ τὸ πολὺ σὺν τοῖς θεοῖς σε ὁρῶμεν. καὶ ἐν τοῖς ἱππικωτάτοις τε καὶ πλουσιωτάτοις λεγομένοις σε ἐπιστάμεθα. ταῦτα τοίνυν ἐγὼ ποιῶν, ἔφη, ὦ σώκρατες, ὑπὸ πολλῶν πάνυ συκοφαντοῦμαι. σὺ δ' ἴσως ᾤου με ἐρεῖν, ὡς ὑπὸ πολλῶν καλὸς κἀγαθὸς κέκλημαι. ἀλλὰ καὶ ἔμελλον δὲ, ἐγὼ ἔφην, ὦ ἰσχόμαχε, τοῦτο ἐρήσεσθαι, εἴ τινα καὶ τούτου ἐπιμέλειαν ποιεῖ, ὅπως δύνῃ λόγον διδόναι καὶ λαμβάνειν, ἤν τινι ποτὲ δέῃ. οὐ γὰρ δοκῶ σοι, ἔφη, ὦ σώκρατες, αὐτὰ ταῦτα διατελεῖν μελετῶν, ἀπολογεῖσθαι μὲν, ὅτι οὐδένα ἀδικῶ, εὖ δὲ ποιῶ πολλοὺς ὅσον ἂν δύνωμαι. κατηγορεῖν δὲ οὐ δοκῶ σοι μελετᾶν ἀνθρώπων, ἀδικοῦντας μὲν καὶ ἰδίᾳ πολλοὺς καὶ τὴν πόλιν καταμανθάνων τινὰς, εὖ δὲ ποιοῦντας οὐδένα; ἀλλ' εἰ καὶ ἑρμηνεύειν τοιαῦτα μελετᾷς, τοῦτό μοι, ἔφην ἐγὼ, ἔτι, ὦ ἰσχόμαχε, δήλωσον. οὐδὲν μὲν οὖν, ὦ σώκρατες, παύομαι, ἔφη, λέγειν μελετῶν. ἢ γὰρ κατηγοροῦντός τινος τῶν οἰκετῶν ἢ ἀπολογουμένου ἀκούσας, ἐλέγχειν πειρῶμαι, ἢ μέμφομαί τινα πρὸς τοὺς φίλους, ἢ ἐπαινῶ, ἢ διαλλάττω τινὰς τῶν ἐπιτηδείων πειρώμενος διδάσκειν, ὡς συμφέρει αὐτοῖς φίλους εἶναι μᾶλλον ἢ πολεμίους. ἐπιτιμῶμεν τινὶ στρατηγῷ συμπαρόντες, ἢ ἀπολογούμεθα ὑπέρ του, εἴ τις ἀδίκως αἰτίαν ἔχει, ἢ κατηγοροῦμεν πρὸς ἀλλήλους, εἴ τις ἀδίκως τιμᾶται. πολλάκις δὲ καὶ βουλευόμενοι, ἃ μὲν ἂν ἐπιθυμῶμεν πράττειν, ταῦτα ἐπαινοῦμεν· ἃ δ' ἂν μὴ βουλόμεθα πράττειν, ταῦτα μεμφόμεθα. ἤδη δ', ἔφη, ὦ σώκρατες, καὶ διειλημμένως πολλάκις ἐκρίθην ὅ, τι χρὴ παθεῖν ἢ ἀποτίσαι. ὑπὸ τοῦ, ἔφην ἐγὼ, ὦ ἰσχόμαχε; ἐμὲ γὰρ δὴ τοῦτο ἐλάνθανεν. ὑπὸ τῆς γυναικὸς, ἔφη. καὶ πῶς δὴ, ἔφην ἐγὼ, ἀγωνίζῃ; ὅταν μὲν ἀληθῆ λέγειν συμφέρῃ, πάνυ ἐπιεικῶς. ὅταν δὲ ψευδῆ, τὸν ἥττω λόγον, ὦ σώκρατες, οὐ μὰ τὸν δία οὐ δύναμαι κρείττω ποιεῖν. καὶ ἐγὼ εἶπον. ἴσως γὰρ, ὦ ἰσχόμαχε, τὸ ψεῦδος οὐ δύνασαι ἀληθὲς ποιεῖν. ἀλλὰ γὰρ, ἔφην ἐγὼ, μή σε κατακωλύω, ὦ ἰσχόμαχε, ἀπιέναι ἤδη βουλόμενον; μὰ δί', ἔφη, ὦ σώκρατες. ἐπεὶ οὐκ ἂν ἀπέλθοιμι, πρὶν παντάπασιν ἡ ἀγορὰ λυθῇ. νὴ δί', ἔφην ἐγὼ· φυλάττῃ γὰρ ἰσχυρῶς μὴ ἀποβάλῃς τὴν ἐπωνυμίαν, τὸ ἀνὴρ καλὸς κἀγαθὸς κεκλῆσθαι. νῦν γὰρ πολλῶν σοι ἴσως ὄντων ἐπιμελείας δεομένων, ἐπεὶ συνέθου τοῖς ξένοις ἀναμένειν αὐτοὺς, ἵνα μὴ ψεύσῃ. ἀλλά τοι, ἔφη, ὦ σώκρατες, οὐδ' ἐκεῖνά μοι ἀμελεῖται ἃ σὺ λέγεις. ἔχω γὰρ ἐπιτρόπους ἐν τοῖς ἀγροῖς. πότερα δὲ, ἐγὼ ἔφην, ὦ ἰσχόμαχε, ὅταν δεηθῇς ἐπιτρόπου, καταμαθὼν ἤν πού ἐστιν ἐπιτροπευτικὸς ἀνὴρ, τοῦτον πειρᾷ ὠνεῖσθαι, ὥσπερ ὅταν τέκτονος δεηθῇς, καταμαθὼν, εὖ οἶδ' ὅτι ἤν που ἴδῃς τεκτονικὸν, τοῦτον πειρᾷ κτᾶσθαι, ἢ αὐτὸς παιδεύεις τοὺς ἐπιτρόπους; αὐτὸς νὴ δί', ὦ σώκρατες, πειρῶμαι παιδεύειν. καὶ γὰρ ὅστις μέλλει ἀρκέσειν, ὅταν ἐγὼ ἀπῶ, ἀντ' ἐμοῦ ἐπιμελόμενος, τί αὐτὸν καὶ δεῖ ἄλλο ἐπίστασθαι, ἢ ἅπερ ἐγώ; εἴπερ γὰρ ἱκανός εἰμι τῶν ἔργων προστατεύειν, κἂν ἄλλον δή που δυναίμην διδάξαι ἅπερ αὐτὸς ἐπίσταμαι. οὐκοῦν εὔνοιαν πρῶτον, ἔφην ἐγὼ, δεήσει αὐτὸν ἔχειν σοὶ καὶ τοῖς σοῖς, εἰ μέλλοι ἀρκέσειν ἀντὶ σοῦ παρών. ἄνευ γὰρ εὐνοίας τί ὄφελος καὶ ὁποιασοῦν ἐπιτρόπου ἐπιστήμης γίγνεται; οὐδὲν μὰ δί', ἔφη ὁ ἰσχόμαχος. ἀλλά τοι τὸ εὐνοεῖν ἐμοὶ καὶ τοῖς ἐμοῖς ἐγὼ

ἐγὼ πρῶτον πειρῶμαι παιδεύειν. καὶ πῶς, ἐγὼ ἔφην, πρὸς τῶν θεῶν, εὔνοιαν ἔχειν σοὶ καὶ τοῖς σοῖς διδάσκειν ὅντινα ἂν βούλῃ; εὐεργετῶν νὴ Δί', ἔφη ὁ Ἰσχόμαχος, ὅταν τινὸς ἀγαθοῦ οἱ θεοὶ ἀφθονίαν διδῶσιν ἡμῖν. τοῦτο οὖν λέγεις, ἔφην ἐγώ, ὅτι οἱ ἀπολαύοντες τῶν σῶν ἀγαθῶν εὖνοί σοι γίγνονται, καὶ ἀγαθόν τι σε βούλονται πράττειν; τοῦτο γὰρ ὄργανον, ὦ Σώκρατες, εὐνοίας ἄριστον ὁρῶ ὄν. ἢν δὲ δὴ εὔνους σοι γένηται, ἔφην, ὦ Ἰσχόμαχε, ἦ τούτου ἕνεκα ἱκανὸς ἔσται ἐπιτροπεύειν; οὐχ ὁρᾷς ὅτι καὶ ἑαυτοῖς εὖνοι πάντες ὡς εἰπεῖν ἄνθρωποι, πολλοὶ αὐτῶν εἰσιν οἳ οὐκ ἐθέλουσιν ἐπιμελεῖσθαι, ὅπως αὐτοῖς ἔσται ταῦτα ἃ βούλονται εἶναι σφίσι τὰ ἀγαθά; ἀλλὰ ναὶ μὰ Δί', ἔφη ὁ Ἰσχόμαχος, τοιούτους ὅταν ἐπιτρόπους βούλωμαι καθιστάναι, καὶ ἐπιμελεῖσθαι διδάσκω. πῶς, ἔφην ἐγώ, πρὸς τῶν θεῶν; τοῦτο γὰρ δὴ ἐγὼ παντάπασιν οὐ διδακτὸν ᾤμην εἶναι τὸ ἐπιμελῆ ποιῆσαι. οὐδὲ γὰρ ἔστιν, ὦ Σώκρατες, ἔφη, ἑξῆς γε οὕτως οἷόν τε πάντας διδάξαι ἐπιμελεῖς εἶναι. ποίους μὲν δή, ἐγὼ ἔφην, οἷόν τε; πάντως μοι σαφῶς τούτους διασήμηνον. πρῶτον μέν, ἔφη, ὦ Σώκρατες, τούς γε οἴνου ἀκρατεῖς οὐκ ἂν δύναιο ἐπιμελεῖς ποιῆσαι· τὸ γὰρ μεθύειν λήθην ἐμποιεῖ πάντων τῶν πράττειν δεομένων. οἱ οὖν τούτου ἀκρατεῖς μόνοι, ἐγὼ ἔφην, ἀδύνατοί εἰσιν ἐπιμελεῖσθαι, ἢ καὶ ἄλλοι τινές; ναὶ μὰ Δί', ἔφη ὁ Ἰσχόμαχος, καὶ οἵ γε τοῦ ὕπνου. οὔτε γὰρ ἂν αὐτὸς δύναιτο καθεύδων τὰ δέοντα ποιεῖν, οὔτε ἄλλους παρέχεσθαι. τί οὖν, ἐγὼ ἔφην, οὗτοι αὖ μόνοι ἀδύνατοι ἡμῖν ἔσονται ταύτην τὴν ἐπιμέλειαν διδαχθῆναι, ἢ καὶ ἄλλοι τινὲς πρὸς τούτοις; ἔμοιγέ τοι δοκοῦσιν, ἔφη ὁ Ἰσχόμαχος, καὶ οἱ τῶν ἀφροδισίων δυσέρωτες, ἀδύνατοι εἶναι διδαχθῆναι, ἄλλου τινὸς μᾶλλον ἐπιμελεῖσθαι, ἢ τούτου. οὔτε γὰρ ἐλπίδα οὔτ' ἐπιμέλειαν ἡδίονα ῥᾴδιον εὑρεῖν, τῆς τῶν παιδικῶν ἐπιμελείας. οὐδὲ μὴν ὅταν παρῇ τὸ πρακτέον, τιμωρίαν χαλεπωτέραν εὐπετές ἐστι τοῦ ἀπὸ τῶν ἐρωμένων κωλύεσθαι. ὑφίεμαι οὖν, καὶ οὓς ἂν τοιούτους γνῶ ὄντας, μηδ' ἐπιχειρεῖν ἐπιμελητὰς τούτων τινὰς καθιστάναι. τί δέ, ἔφην ἐγώ, οἵτινες αὖ ἐρωτικῶς ἔχουσι τοῦ κερδαίνειν, ἦ καὶ οὗτοι ἀδύνατοί εἰσιν εἰς ἐπιμέλειαν τῶν κατ' ἀγρὸν ἔργων παιδεύεσθαι; οὐ μὰ Δί', ἔφη ὁ Ἰσχόμαχος, οὐδαμῶς γε, ἀλλὰ καὶ πάνυ εὐάγωγοί εἰσιν εἰς τὴν τούτων ἐπιμέλειαν. οὐδὲν γὰρ ἄλλο δεῖ, ἢ δεῖξαι μόνον αὐτοῖς, ὅτι κερδαλέον ἐστὶν ἡ ἐπιμέλεια. τοὺς δὲ ἄλλους, ἔφην ἐγώ, εἰ ἐγκρατεῖς τέ εἰσιν ὧν σὺ κελεύεις, καὶ πρὸς τὸ φιλοκερδεῖς εἶναι μετρίως ἔχουσι, πῶς ἐκδιδάσκεις, ὡς σὺ βούλει ἐπιμελεῖς γίγνεσθαι; ἁπλῶς, ἔφη, πάνυ, ὦ Σώκρατες. ὅταν μὲν γὰρ ἐπιμελομένους ἴδω, καὶ ἐπαινῶ καὶ τιμᾶν πειρῶμαι αὐτούς· ὅταν δὲ ἀμελοῦντας, λέγειν τε πειρῶμαι, καὶ ποιεῖν ὁποῖα δήξεται αὐτούς. ἴθι, ἐγὼ ἔφην, ὦ Ἰσχόμαχε, καὶ τόδε μοι παρατραπόμενος τοῦ λόγου, περὶ τῶν παιδευομένων εἰς τὴν ἐπιμέλειαν δήλωσον περὶ τοῦ παιδεύεσθαι, εἰ οἷόν τε ἐστὶν ἀμελῆ αὐτὸν ὄντα ἄλλους ποιεῖν ἐπιμελεῖς; οὐ μὰ Δί', ἔφη ὁ Ἰσχόμαχος, οὐδέν γε μᾶλλον ἢ ἄμουσον ὄντα αὐτόν, ἄλλους μουσικοὺς ποιεῖν. χαλεπὸν γὰρ τοῦ διδασκάλου πονηρῶς τι ὑποδεικνύοντος, καλῶς τοῦτο ποιεῖν μαθεῖν. καὶ ἀμελεῖν γε ὑποδεικνύοντος τοῦ δεσπότου, χαλεπὸν ἐπιμελῆ θεράποντα γενέσθαι. ὡς δὲ συντόμως εἰπεῖν, πονηροῦ μὲν δεσπότου

cum conabor edocere. SOC. Ecquid per eos beneuolentem cum quem legeris, eruditione aliqua queas facere? ISCHOMACHUS. Et benigne faciendo, si quas mihi copias dij dederunt. SOCRATES. Plane hoc asseveras, ut qui ex parte aliqua tuo fruantur, ad te diligendum, tibiq; bene exoptandum propensiores sint. ISCH. Hoc profecto Socrates instrumentum uel maximum ad amorem prouocandum. SO. Dicám ne hoc ei satis fore ad res tuas administrãdas? Num uides omnes homines seipsos amantes, ea tamen facere per ignauiam negligentes, quæ ex magna parte sibi cupiant bene euenire? ISCH. At ego quos rebus meis præficere statui, quo modo præesse debeant moneo. SOC. Potin' hoc efficere? Mihi sane uerisimile non fit, ut quisquam recte rem alienam edoceri possit. IS. Sane non omnes idonei. SO. Quos quæso idoneos edoceri putas? Nam hoc expeto magnopere nosse. ISC. Primum quidem nimium meri appetentes ab hac cura excluduntur, quod per temulentiam facile obliuiscuntur officij. SO. Aliud ne expetitur? ISC. Sed & uigilijs assuetum esse oportet, breuisq; somni, qui ualde rebus agendis est impedimento. SO. Adhuc alia desideranda? ISCHO. Mihi uidetur & à uenereis procul esse debere, quibus dediti rem aliam magis curant. Enimuero nulla uoluptuosior in rebus humanis diligentia, quàm illa quæ amoribus impenditur? Nihilq; ubi intermisso maiori pœna plectatur, cum amans fore excluditur. Hos itaq; censeo nullo pacto rebus adhibeas tuis. SOCRATES. Quid si lucri auidi fuerint, satis apti ad hanc curam? ISCHOM. Quin nullum genus hominum magis docile reperiri poterit: quippe quibus hanc curam ostenditur nihil esse aliud quàm lucrum: quare huiuscemodi nactus hominem magnopere collaudo. SOCRA. Hactenus Ischomache de ijs qui ad agri curã leguntur, quomodo debeant erudiri. Nunc perge quæso declarare, si quis fuerit indiligens natura, an alios queat ulla ratione reddere diligentes. ISCHO. Nihilo secus quam si expers musicæ, alios musicos facere conetur. Difficile id sane, male monstrante magistro probe discipulum edoceri, ac torpente domino seruum esse diligentem: &, ut breuiter dicam, sub

hero

bero ignauo, famulos uel natura bonos nũquam putauerim aliquid posse comprehẽdere: sub solerti uero, uel ignauos alioquin, castigatos facile posse erudiri. Attẽtos igitur operi qui cupiat alios reddere, ipsum in primis circumspectũ rebusq; instantẽ esse oportebit: tum gratiã recte curanti habere, secus uero agentẽ plectere. Pulchre nimirũ barbarum illũ interrogatũ à rege, quonã modo equum quem optimũ nactus fuerat tam celeriter saginaret, oculis dominicis ferunt respondisse. Eadem ratione & mihi Socrates uidetur alia quæcunq; oculum ipsum domini posse reddere meliora. SOCRATES. Vbi feceris diligentem, est ne idoneus. ISCHOMA. Minime, sed admonendus etiam quando, quá ue ratione singula. Quod si non præstabit, nihilo secius uillico erit opus quàm medico, qui curet aliquem ægrotum, deinde mane uel tarde ueniens, quod remedium adhibendum fuerit, insuper non uideat. SOCRATES. Tum si didicerit quæ sit facturus, erit ne absolutus? ISCHOMA. Dominari eum adhuc operis oportebit ediscere. SOCRATES. Tu ne quæso monstras, quomodo is domineturs? IS. Conor quidem. SOCRA. Dic, oro, quomodo aptos imperio doces esse homines? ISCHOMACH. Inepte quidem, ridebis si audies. SOCRATES. Non ego profecto ridiculum puto, sed maxime collaudandum, qui eo ingenio sit, ut queat docere quonam modo ualeant homines imperare. Nam & hoc pacto reges facere potest. ISCHOMACHVS. Reliqua enim animalia Socrates duabus de causis ad obtemperandum mouentur, quando uidelicet audientia munerantur, minime uero obtemperantia plectuntur. Equorum sobolem domitores hoc ferme modo erudiunt, ut obsequentem delinimento aliquo demulceant, reluctantem uero uirga compellant. Canes item simili ratione cum currere, tum flecti instruuntur: hominum autem natura ob rationem & orationẽ præstantior, sane docilior ad parendũ uidetur, suadentibus ea præsertim quæ ad eius faciant rem: quanquam alij alis de causa mouentur. Quorum sané natura ferarum more uentri indulget, hos tantum gulæ illecebris multa facere compelles. Quorum uero ambitiosior ac magis ingenua, non minus laudibus

δεσπότου οἰκέτας, οὐ δοκῶ χρηστοὺς μεμαθηκέναι. χρηστοῦ μέντοι πονηροὺς ἤδη εἶδον, οὐ μέντοι ἀζημίους γε. τὸν δὲ ἐπιμελητικοὺς βουλόμενον ποιήσασθαί τινας, καὶ ἐφορατικὸν δεῖ εἶναι τῶν ἔργων καὶ ἐξεταστικόν, καὶ χάριν θέλοντι τῶν καλῶς τελουμένων ἀποδιδόναι τῷ αἰτίῳ, καὶ δίκην μὴ ὀκνοῦντι τὴν ἀξίαν ἐπιθεῖναι τῷ ἀμελοῦντι. καλῶς δέ μοι δοκεῖ ἔχειν, ἔφη ὁ Ἰσχόμαχος, καὶ ἡ τοῦ βαρβάρου λεγομένη ἀπόκρισις, ὅτε βασιλεὺς ἄρα ἵππου ἐπιτυχὼν ἀγαθοῦ, παχῦναι αὐτὸν ὡς τάχιστα βουλόμενος, ἤρετο τῶν δεινῶν τινα ἀμφ᾽ ἵππους δοκούντων εἶναι, τί τάχιστα παχύνει ἵππον. τὸν δ᾽ εἰπεῖν ὅτι δεσπότου ὀφθαλμός. οὕτω δ᾽, ἔφη, ὦ Σώκρατες, καὶ τἆλλα μοι δοκεῖ δεσπότου ὀφθαλμὸς τὰ καλά τε κἀγαθὰ μάλιστα ἐργάζεσθαι. ὅταν παραστήσῃς τινί, ἔφην ἐγώ, τοῦτο καὶ πάνυ ἰσχυρῶς, ὅτι δεῖ ἐπιμελεῖσθαι ὧν ἂν σὺ βούλῃ, ἦ ἱκανὸς ἤδη ἔσται ὁ τοιοῦτος ἐπιτροπεύειν, ἤ τι καὶ ἄλλο προσμαθητέον αὐτῷ ἔσται, εἰ μέλλει ἐπίτροπος ἱκανὸς ἔσεσθαι; ναὶ μὰ Δί᾽, ἔφη ὁ Ἰσχόμαχος. ἔτι μέντοι λοιπὸν αὐτῷ ἐστι γνῶναι ὅ, τι τε ποιητέον, καὶ ὁπότε καὶ ὅπως· εἰ δὲ μή, τί μᾶλλον ἐπιτρόπου ἄνευ τούτων ὄφελος, ἢ ἰατροῦ, ὃς ἐπιμελοῖτο μὲν κάμνοντός τινος πρῴ τε ἰὼν καὶ ὀψέ, ὅ τι δὲ συμφέρον τῷ κάμνοντι ποιεῖν εἴη, τοῦτο μὴ εἰδείη. ἐὰν δὲ μὴ καὶ τὰ ἔργα μάθῃ, ὡς ἔστιν ἐργαστέα, ἔτι τινός, ἔφην ἐγώ, προσδεήσεται, ἢ ἀποτετελεσμένος ἤδη οὗτος σοι ἔσται ἐπίτροπος; ἄρχειν γε, ἔφη, οἶμαι δεῖν αὐτὸν μαθεῖν τῶν ἐργαζομένων. ἦ οὖν, ἔφην ἐγώ, καὶ σὺ ἄρχειν ἱκανοὺς εἶναι παιδεύεις τοὺς ἐπιτρόπους; πειρῶμαί γε δή, ἔφη ὁ Ἰσχόμαχος. καὶ πῶς δή, ἔφην ἐγώ, πρὸς τῶν θεῶν, τὸ ἀρχικοὺς εἶναι ἀνθρώπων παιδεύεις; φαύλως πάνυ, ὦ Σώκρατες, ὥστε ἴσως ἂν καὶ καταγελάσαις ἀκούων. οὐ μὴν δὴ ἄξιόν γ᾽, ἔφην ἐγώ, τὸ πρᾶγμα καταγέλωτος, ὦ Ἰσχόμαχε. ὅστις γάρ τοι ἀρχικοὺς ἀνθρώπων δύναται ποιεῖν, δῆλον ὅτι οὗτος καὶ δεσποτικοὺς ἀνθρώπων δύναται διδάσκειν. ὅστις δὲ δεσποτικοὺς δύναται ποιεῖν, καὶ βασιλικούς, ὥστε οὐ καταγέλωτός μοι δοκεῖ ἄξιος εἶναι, ἀλλ᾽ ἐπαίνου μεγάλου ὁ τοῦτο δυνάμενος ποιεῖν. οὐκοῦν, ἔφη, ὦ Σώκρατες, τὰ μὲν ἄλλα ζῷα ἐκ δυοῖν τούτοιν τὸ πείθεσθαι μανθάνουσιν, ἔκ τε τοῦ ὅταν ἀπειθεῖν ἐπιχειρῶσι κολάζεσθαι, καὶ ἐκ τοῦ ὅταν προθύμως ὑπηρετῶσιν εὖ πάσχειν. οἵ τε γοῦν πῶλοι καταμανθάνουσιν ὑπακούειν τοῖς πωλοδάμναις, τὸ ὅταν μὲν πείθωνται, τῶν ἡδέων τι αὐτοῖς γίγνεσθαι, ὅταν δὲ ἀπειθῶσι, πράγματα ἔχειν, ἔστ᾽ ἂν ὑπηρετήσωσι κατὰ γνώμην τῷ πωλοδάμνῃ. καὶ τὰ κυνίδια δὲ πολὺ τῶν ἀνθρώπων καὶ τῇ γνώμῃ καὶ τῇ γλώσσῃ ὑποδεέστερα ὄντα, καὶ ὅμως περιτρέχειν καὶ κυβιστᾶν, καὶ ἄλλα πολλὰ μανθάνει τῷ αὐτῷ τούτῳ τρόπῳ. ὅταν μὲν γὰρ πείθηται, λαμβάνει τι ὧν δεῖται. ὅταν δὲ ἀμελῇ, κολάζεται. ἀνθρώπους δ᾽ ἔστι πιθανωτέρους ποιεῖν, καὶ λόγῳ ἐπιδεικνύοντα, ὡς συμφέρει αὐτοῖς πείθεσθαι. τοῖς δὲ δούλοις καὶ ἡ δοκοῦσα θηριώδης παιδεία εἶναι, πάνυ ἐστὶν ἐπαγωγός, πρὸς τὸ πείθεσθαι διδάσκειν. τῇ γὰρ γαστρὶ αὐτῶν κατὰ ταῖς ἐπιθυμίαις προσχαριζόμενος ἂν πολλὰ ἀνύτοις παρ᾽ αὐτῶν. αἱ δὲ φιλότιμοι τῶν φύσεων, καὶ τῷ ἐπαίνῳ παροξύνονται. πεινῶσι γὰρ τοῦ ἐπαί-

νου οὐχ ἧττον ἔνιαι τῶν φύσεων, ἢ ἄλλαι τῶν σίτων τε
καὶ ποτῶν. ταῦτά τε οὖν ὅσα περ αὐτὸς ποιῶν οἶμαι
πιθανωτέροις ἀνθρώποις χρῆσθαι διδάσκων, οὓς ἂν ἐπι-
τρόπους βούλωμαι κατασκευάσαι, καὶ τάδε συλλαμβά-
νω αὐτοῖς. ἱμάτιά τε γὰρ ὅσα δεῖ παρέχειν ἐμὲ τοῖς ἐρ-
γαστῆρσι καὶ ὑποδήματα, οὐχ ὅμοια πάντα ποιῶ. ἀλ-
λὰ τὰ μὲν χείρω, τὰ δὲ βελτίω, ἵνα ᾖ τὸν κρείσσω, τοῖς
βελτίοσι τιμᾶν. τῷ δὲ χείρονι τὰ ἥττω διδόναι. πάνυ
γάρ μοι, ἔφη, δοκεῖ, ὦ Σώκρατες, ἀθυμία ἐγγίγνεσθαι
τοῖς ἀγαθοῖς, ὅταν ὁρῶσι τὰ μὲν ἔργα δι' αὐτῶν κατα-
πραττόμενα, τῶν δὲ ὁμοίων τυγχάνοντας ἑαυτοῖς, τοὺς
μήτε πονεῖν μήτε κινδυνεύειν ἐθέλοντας, ὅταν δέῃ. αὐ-
τός τε οὖν οὐδ' ὅπως τιοῦν τῶν ἴσων ἀξιῶ τοὺς ἀμείνους
τοῖς κακίοσι τυγχάνειν. τούς τε ἐπιτρόπους ὅταν μὲν
εἰδῶ διαδεδωκότας τοῖς πλείστου ἀξίοις τὰ κράτιστα,
ἐπαινῶ. ἢν δὲ ἴδω, ἢ κολακεύμασί τινα προτιμώμενον,
ἢ καὶ ἄλλῃ τινὶ ἀνωφελεῖ χάριτι, οὐκ ἀμελῶ, ἀλλ' ἐπι-
πλήττω, καὶ πειρῶμαι διδάσκειν, ὦ Σώκρατες, ὅτι οὐδ'
αὐτῷ σύμφορα ταῦτα ποιεῖ. ὅταν δέ, ὦ Ἰσχόμαχε, ἔφην
ἐγώ, καὶ ἄρχειν ἤδη ἱκανός σοι γένηται, ὥστε πειθομέ-
νους παρέχεσθαι, ἦ ἄρα τελειωμένον τοῦτον ἡγῇ ἐπίτρο-
πον, ἢ ἔτι τινὸς προσδεῖται ὁ ταῦτα ἔχων, ἃ σὺ εἴρη-
κας; ναὶ μὰ Δί', ἔφη ὁ Ἰσχόμαχος, τοῦ τε ἀπέχεσθαι τῶν
δεσποσυνῶν, καὶ μὴ κλέπτειν. εἰ γὰρ ὁ τοὺς καρποὺς με-
ταχειριζόμενος τολμώη ἀφανίζειν, ὥστε μὴ λείπειν λυ-
σιτελοῦντας τοῖς ἔργοις, τί ἂν ὄφελος εἴη, τὸ διὰ τού-
του ἐπιμελείας γεωργεῖν; ἦ καὶ ταύτην οὖν, ἔφην ἐγώ,
τὴν δικαιοσύνην, σὺ ὑπολύεις διδάσκειν; πάνυ
ἔφη ὁ Ἰσχόμαχος. οὐ μέντοι γε πάντας ἐξ ἑτοίμου εὑρί-
σκω ὑπακούοντας τῆς διδασκαλίας ταύτης. καίτοι τὰ
μὲν καὶ ἐκ τῶν Δράκοντος νόμων, τὰ δὲ καὶ ἐκ τῶν Σό-
λωνος πειρῶμαι, ἔφη, λαμβάνων, ἐμβιβάζειν εἰς τὴν δι-
καιοσύνην τοὺς οἰκέτας. δοκοῦσι γάρ μοι, ἔφη, καὶ οὗ-
τοι οἱ ἄνδρες, θεῖναι πολλοὺς τῶν νόμων, ἐπὶ δικαιο-
σύνης τῆς τοιαύτης διδασκαλίας. γέγραπται γὰρ ζημιοῦ-
σθαι ἐπὶ τοῖς κλέμμασι, καὶ δεδέσθαι ἤν τις ἁλῷ ποι-
ῶν, καὶ θανατοῦσθαι τοὺς ἐγχειροῦντας. δῆλον οὖν, ἔφη, ὅτι
ἔγραφον αὐτά, βουλόμενοι ἀλυσιτελῆ ποιῆσαι τοῖς ἀδί-
κοις τὴν αἰσχροκερδίαν. ἐγὼ οὖν, ἔφη, καὶ τούτων προσφέ-
ρων ἔνια, καὶ ἄλλα τῶν βασιλικῶν νόμων προσφερόμενος,
πειρῶμαι δικαίους περὶ τὰ διαχειριζόμενα ἀπεργάζε-
σθαι τοὺς οἰκέτας. ἐκεῖνοι μὲν γὰρ οἱ νόμοι, ζημίαι μόνον
εἰσὶ τοῖς ἁμαρτάνουσιν. οἱ δὲ βασιλικοὶ νόμοι οὐ μόνον ζη-
μιοῦσι τοὺς ἀδικοῦντας, ἀλλὰ καὶ ὠφελοῦσι τοὺς δικαίους,
ὥστε ὁρῶντες πλουσιωτέρους γιγνομένους τοὺς δικαίους τῶν
ἀδίκων, πολλοὶ καὶ φιλοκερδεῖς ὄντες, εὖ μάλα ἐπιμέ-
νουσι τῷ μὴ ἀδικεῖν. οὓς δ' ἂν αἰσθάνωμαι, ἔφη, ὅμως καὶ
εὖ πάσχοντας ἔτι ἀδικεῖν πειρωμένους, τούτους ὡς ἀνη-
κέστους πλεονέκτας ὄντας ἤδη καὶ τῆς χρήσεως ἀπαύω.
οὓς δ' ἂν αὖ καταμάθω μὴ τῷ πλέον ἔχειν μόνον διὰ τὴν
δικαιοσύνην ἐπαιρομένους δικαίους εἶναι, ἀλλὰ καὶ τοῦ
ἐπαινεῖσθαι ἐπιθυμοῦντας ὑπ' ἐμοῦ, τούτοις ὥσπερ ἐ-
λευθέροις ἤδη χρῶμαι οὐ μόνον πλουτίζων, ἀλλὰ καὶ τι-
μῶν ὡς καλούς τε κἀγαθούς. τούτῳ γάρ μοι δοκῶ, ἔφη,
ὦ Σώκρατες, διαφέρειν ἀνὴρ φιλότιμος ἀνδρὸς φιλο-
κερδοῦς, τῷ ἐθέλειν ἐπαίνου καὶ τιμῆς ἕνεκα, καὶ πονεῖν ὅπου
δέῃ

dibus q̃ alios cibis excitabis. Hęc
igitur et his similia quę ipse factu
rus sis, uillicũ seruare doceas, ut
obsequẽtiores habeat operas. Tũ
uestes nõ ęque omnibus distribu
endę: nõ item calceamẽta, sed a/
lij alijs pro meritis prębere. Ma/
gna Socrates immiņet bonis de/
speratio, cum ab ignauis se prę/
10 mijs discretos nõ aspiciũt, & qui
se periculis atq; laboribus obyci
ũt, cũ subterfugiẽtib. pari ratione
haberi. Meũ itaq; uillicũ cum hu
iusmodi bonos cęteris prępone/
re uideo, magnopere collaudo:
eũdem obiurgo, si inani assenta/
tione utẽdo, indignos illis promo
uere cõtẽdit, atq; ostẽdo minime
ad rẽ pertinere. S O. Vbi igitur et
20 imperare, et operas, ut mõstrasti,
obtẽperãtes habere didicerit, pfe
ctũ habebis, an aliud in eo prête
rea exoptes? I S. Maximũ adhuc
Socrates, ut rei herilis sit absti/
nẽs: si. n. fructus interuerterit aut
abscõderit, quid eius referet in a/
gricultura diligẽtia? S O. Tu quo
que iustitiã eum seruare doces?
I S. Nẽpe enim omnes in hac prę
30 ceptione dicto audientes inuenio:
ego tamen eos partim Draconis,
partim Solonis legibus ad iustiti
am reuoco. Hi sane mihi uidẽtur
tali formula uera cõscripsisse, ut
fures deprehẽsi uincirẽtur, gras/
satores uero capite plecterentur.
Ob hęc palàm est eos tantũ uo/
luisse improborũ hominũ turpe
lucrum irritum facere. Ego uero
40 huiuscemodi tum regias leges u/
surpando, conor ad officium ser/
uos reducere: illę nanq; peccãti
bus poenas infligũt: regię uero le
ges etiã bonos munerare conten
dunt. Quo sane exemplo pleriq;
etsi lucri appetẽtes permoti, mis/
sa nocẽdi arte, bona uia ingredi/
untur. Quos uero uideã mea se/
mel benignitate affectos perperã
50 agere, hos tanquã inutiles peni/
tus abdico. Quos uero quanquã
probos, magnoq; dignos, non
tam studere auaritię quam glo/
rię, à me tantum laudes expecta
re, his ego tanquam liberis utor,
eos insuper diuitijs atq; honori/
bus cumulo. Et profecto mihi ui/
detur hoc cupidus honoris, aua/
ro prestare, quod laudis gra/
tia labores ac pericula subit ubi

 oporteat,

oporteat, praeterea à turpi quaestu procul habeatur. SOCRATES. At ego satis uideor didicisse quemadmodum instruendus sit uillicus. Nam beneuolum in primis dixisti tibi esse oportere, deinde diligentem, postea imperio aptum, postremo iustum. Nunc quaeso ne praetereas, quid illud est quod ab initio cursim attigisti. ISCHOMACHVS. Quidnam? SOCRATES. Dixeras enim, quod horum maximum erat, quemadmodum singula sint exercenda, ut ex his utiles nobis aliqua proueniat, citra quam artem nec ulla ualeret diligentia. Nam cum recte curatis opus, esse agriculturam sciam: quando aut quomodo, seu qua ratione curari oporteat, haud satis scio: non aliter quàm si literas oportere discere tantum audiuissem, nihilo propterea magis literas scirem. Quod si non progrediar, ero comparandus oberranti medico ac aegrotos quaeritanti, medicinae alioquin ignaro. ISCHOMACHVS. Hic plane me inducis, ut rei rusticae paulatim explicem tibi rationem: cuius peritè diuites fiunt, ignari angustia saepe uictus laborant. Huius [illegible] humanitatem degustabis, quae utilis prouentu, iucunda opere, & hominibus grata, tum quod facilis cognitu, exercitio quoque generosa uideatur: quippe cum generosa uocemus animalia, quae cum pulchra sint & utilia, tum & hominibus mãsueta. Quin Socrates, non ut reliquae scientiae multum temporis in ea antequam ad usum necessaria paras, consumere oportebit: sed eius erit facilitatis, ut eam exercens partim uidendo, partim audiendo, statim ipse tantum ex ea percipias, ut & alios si uelis possis edocere. Enimuero cum caeterarum artium professores multa quae ad eorum disciplinas occultiora pertineant, haud

δεῖ καὶ κινδυνεύειν, καὶ αἰσχρῶν κερδῶν ἀπέχεσθαι. ἀλλὰ μέντοι ἐπειδάν γε ἐμποιήσῃς τινὶ, τὸ βούλεσθαί σοι εἶναι τἀγαθὰ, ἐμποιήσῃς δὲ καὶ αὐτῷ τούτων ἐπιμελεῖσθαι ὅπως ταῦτά σοι ἐπιτελῆται. ἔτι δὲ πρὸς τούτοις ἐπιστήμην κτήσῃ αὐτῷ, ὡς ἂν ποιούμενα ἕκαστα τῶν ἔργων ὠφελιμώτερα γίγνοιτο. πρὸς δὲ τούτοις ἄρχειν ἱκανὸν αὐτὸν ποιήσῃς. ἐπὶ δὲ τούτοις πᾶσιν ἥδη τί σοι τὰ ἐκ τῆς γῆς ὡραῖα ἀποδεικνύων ὅτι πλεῖστα, ὥσπερ σὺ σαυτῷ οὐκέτι ἐρήσομαι περὶ τούτου, εἰ ἔτι τινὸς ὁ τοιοῦτος προσδεῖται. πάνυ γάρ μοι δοκεῖ ἤδη πολλοῦ ἂν ἄξιος εἶναι ἐπίτροπος ὢν τοιοῦτος. ἐκεῖνο μέντοι, ἔφην ἐγὼ, ὦ ἰσχόμαχε, μὴ ἀπολίπῃς, ὃ ἡμῖν ἀργότατα ἐπιδεδράμηται τοῦ λόγου. τὸ ποῖον, ἔφη ὁ ἰσχόμαχος; ἔλεξας δήπου, ἔφην ἐγὼ, ὅτι μέγιστον εἴη μαθεῖν ὅπως δεῖ ἐξεργάζεσθαι ἕκαστα· εἰ δὲ μὴ, οὐδὲ τῆς ἐπιμελείας ἔφησθα ὄφελος οὐδὲν γίγνεσθαι, εἰ μή τις ἐπίσταιτο ἃ δεῖ καὶ ὡς δεῖ ποιεῖν. ἐνταῦθα δὴ εἶπεν ὁ ἰσχόμαχος· τὴν τέχνην με ἤδη, ὦ σώκρατες, κελεύεις αὐτὴν διδάσκειν τῆς γεωργίας; αὕτη γὰρ ὡς ἔφην ἐγὼ, ἥδε ἐστὶν ἡ ποιοῦσα τοὺς μὲν ἐπισταμένους αὐτὴν πλουσίους, τοὺς δὲ μὴ ἐπισταμένους, πολλὰ πονοῦντας, ἀπόρως βιοτεύειν. νῦν τοίνυν, ἔφη, ὦ σώκρατες, καὶ τὴν φιλανθρωπίαν ταύτης τῆς τέχνης ἀκούσῃ. τὸ γὰρ ὠφελιμωτάτην οὖσαν καὶ ἡδίστην ἐργάζεσθαι, καὶ καλλίστην καὶ προσφιλεστάτην θεοῖς τε καὶ ἀνθρώποις, ἔτι πρὸς τούτοις καὶ ῥᾴστην εἶναι μαθεῖν, πῶς οὐχὶ γενναῖόν ἐστι; γενναῖα δὲ δήπου καλοῦμεν καὶ τῶν ζώων, ὁπόσα καλὰ καὶ μεγάλα καὶ ὠφέλιμα ὄντα, πρᾶα ἐστὶ πρὸς τοὺς ἀνθρώπους. ἀλλὰ ταῦτα μὲν, ἐγὼ ἔφην, ὦ ἰσχόμαχε, ἱκανῶς δοκῶ καταμεμαθηκέναι ἃ εἶπας, καθὰ δεῖ διδάσκειν τὸν ἐπίτροπον. καὶ γὰρ ἣ ἔφησθα δύνασθαι σοὶ ποιεῖν αὐτὸν μαθεῖν δοκῶ, καὶ ἢ ἐπιμελῆ καὶ ἀρχικὸν, καὶ δίκαιον· ὃ δὲ εἶπας ὡς δεῖ μαθεῖν τὸν μέλλοντα ὀρθῶς γεωργίας ἐπιμελεῖσθαι, καὶ ἃ δεῖ ποιεῖν, καὶ ὡς δεῖ, καὶ ὁπότε ἕκαστα, ταῦτά μοι δοκῶ, ἔφην ἐγὼ, ἀργότερόν πως ἐπιδεδραμηκέναι τῷ λόγῳ, ὥσπερ εἰ εἴποις, ὅτι δεῖ γράμματα ἐπίστασθαι, τὸν μέλλοντα δυνήσεσθαι τὰ ὑπαγορευόμενα γράφειν, καὶ τὰ γεγραμμένα ἀναγιγνώσκειν. ταῦτα γὰρ ἐγὼ ἀκούσας, ὅτι μὲν δεῖ γράμματα ἐπίστασθαι, ἀκηκόειν ἄν. τοῦτο δὲ εἰδὼς, οὐδέν τι οἶμαι μᾶλλον ἂν ἐπισταίμην γράμματα. οὕτω δὲ καὶ νῦν, ὅτι μὲν δεῖ ἐπίστασθαι γεωργίαν τὸν μέλλοντα ὀρθῶς ἐπιμελεῖσθαι αὐτῆς, ῥᾳδίως πέπεισμαι. τοῦτο μέντοι εἰδὼς, οὐδέν τι μᾶλλον ἐπίσταμαι ὅπως δεῖ γεωργεῖν. ἀλλ᾽ εἴ μοι αὐτίκα μάλα δόξειε γεωργεῖν, ὅμοιος ἄν μοι δοκῶ τῷ περιιόντι ἰατρῷ καὶ ἐπισκοποῦντι τοὺς κάμνοντας, εἰδότι δὲ οὐδὲν ὅ,τι συμφέρει τοῖς κάμνουσιν. ἢν οὖν μὴ τοιοῦτος ὦ, ἔφην ἐγὼ, δίδασκέ με αὐτὰ τὰ ἔργα τῆς γεωργίας. ἀλλὰ μὴν, ἔφη, ὦ σώκρατες, οὐχ ὥσπερ γε τὰς ἄλλας τέχνας κατατριβῆναι δεῖ μανθάνοντας, πρὶν ἄξια τῆς τροφῆς ἐργάζεσθαι τὸν διδασκόμενον, οὐχ οὕτω καὶ ἡ γεωργία δύσκολός ἐστι μαθεῖν. ἀλλὰ τὰ μὲν ἰδὼν ἂν ἐργαζομένους, τὰ δὲ ἀκούσας, εὐθὺς ἂν ἐπίσταιο, ὥστε καὶ ἄλλον εἰ βούλοιο διδάσκειν. οἶμαι δ᾽, ἔφη, πάνυ καὶ λεληθέναι πολλὰ σεαυτὸν ἐπιστάμενον αὐτῆς. καὶ γὰρ δὴ οἱ μὲν ἄλλοι τεχνῖται ἀποκρύπτονταί πως τὰ ἐπικαιριώτατα,

ὧν

ἢ· ἕκαστος ἔχει τέχνης. τῶν δὲ γεωργῶν ὁ κάλλιστα μὲν φυτεύων, μάλιστ' ἂν ἥδοιτο εἴ τις αὐτὸν θεῷτο. ὁ κάλλιστα δὲ σπείρων ὡσαύτως. ὅ, τι δὲ ἔροιο τῶν καλῶς πεποιημένων, οὐδὲν ὅ, τι ἄν σε ἀποκρύψαιτο ὅπως ἐποίησεν. οὕτω καὶ τὰ ἤθη, ὦ σώκρατες, ἔφη, γενναιοτάτους τοὺς αὐτῇ συνόντας ἡ γεωργία ἔοικε παρέχεσθαι. ἀλλὰ τὸ μὲν προοίμιον, ἔφην ἐγὼ, καλὸν, καὶ οὐχ οἷον ἀκούσαντα ἀποτρέπεσθαι τοῦ ἐρωτήματος. σὺ δὲ ὅτι εὐπετές ἐστι μαθεῖν, διὰ τοῦτο πολύ μοι μᾶλλον διέξιθι αὐτήν. οὐ γὰρ σοι αἰσχρὸν τὰ ῥᾴδια διδάσκειν ἐστὶν, ἀλλ' ἐμοὶ πολὺ αἴσχιον μὴ ἐπίστασθαι, ἄλλως τε καὶ εἰ χρήσιμα ὄντα τυγχάνει. πρῶτον μὲν τοίνυν, ἔφη, ὦ σώκρατες, τοῦτο ἀποδεῖξαι βούλομαί σοι, ὡς οὐ χαλεπόν ἐστιν ὃ λέγουσιν, ποικιλώτατον τῆς γεωργίας εἶναι, οἱ λόγῳ μὲν ἀκριβέστατα αὐτὴν διεξιόντες, ἥκιστα δὲ ἐργαζόμενοι. φασὶ γὰρ τὸν μέλλοντα ὀρθῶς γεωργήσειν, τὴν φύσιν χρῆναι πρῶτον τῆς γῆς εἰδέναι. ὀρθῶς γε, ἔφην ἐγὼ, ταῦτα λέγοντες. ὁ γὰρ μὴ εἰδὼς ὅ, τι δύναται ἡ γῆ φέρειν, οὐδ' ὅ, τι σπείρειν οἶμαι, οὐδ' ὅ, τι φυτεύειν δεῖ εἰδείη ἄν. οὐκοῦν, ἔφη ὁ ἰσχόμαχος, καὶ ἀλλοτρίας γῆς τοῦτό ἐστι γνῶναι, ὅ, τι τε δύναται φέρειν, καὶ ὅ, τι μὴ δύναται, ὁρῶντα τοὺς καρποὺς καὶ τὰ δένδρα. ἐπειδὰν μέντοι γνῷ τις, οὐκ ἔτι συμφέρει θεομαχεῖν. οὐ γὰρ ἂν ὅτου δέοιτο αὐτὸς τοῦτο σπείρων καὶ φυτεύων, μᾶλλον ἂν ἔχοι τὰ ἐπιτήδεια, ἢ ὅτι ἡ γῆ ἥδοιτο φύουσα καὶ τρέφουσα. ἢν δ' ἄρα δι' ἀργίαν τῶν ἐχόντων αὐτὴν μὴ ἔχῃ τὴν ἑαυτῆς δύναμιν ἐπιδεικνύναι, ἔστι καὶ παρὰ γείτονος τόπου πολλάκις, ἀληθέστερα περὶ αὐτῆς γνῶναι, ἢ παρὰ γείτονος ἀνθρώπου πυθέσθαι. καὶ χερσεύουσα δὲ ὅμως, ἐπιδείκνυσι τὴν αὐτῆς φύσιν. ἡ γὰρ τὰ ἄγρια καλὰ φύουσα, δύναται θεραπευομένη καὶ τὰ ἥμερα καλὰ ἐκφέρειν. φύσιν μὲν δὴ γῆς οὕτως καὶ οἱ μὴ πάνυ ἔμπειροι γεωργίας, ὅμως δύνανται διαγιγνώσκειν. ἀλλὰ τοῦτο μὲν, ἔφην ἐγὼ, ὦ ἰσχόμαχε, ἱκανῶς ἤδη μοι δοκῶ ἀποτεθαρρηκέναι, ὡς οὐ δεῖ φοβούμενον μὴ οὐ γνῶ τῆς γῆς φύσιν, ἀπέχεσθαι γεωργίας. καὶ γὰρ δὴ, ἔφην, ἀνεμνήσθην τὸ τῶν ἁλιέων, ὅτι θαλασσουργοὶ ὄντες, καὶ οὔτε καταστήσαντες ἐπὶ θέαν, οὔθ' ἡσυχῇ βαδίζοντες, ἀλλὰ παρατρέχοντες, ἅμα τοὺς ἀγροὺς, ὅταν ὁρῶσι τοὺς καρποὺς ἐν τῇ γῇ, ὅμως οὐκ ὀκνοῦσιν ἀποφαίνεσθαι περὶ τῆς γῆς, ὁποία τε ἀγαθή ἐστι, καὶ ὁποία κακή. ἀλλὰ τὴν μὲν ψέγουσι· τὴν δ' ἐπαινοῦσι. καὶ πάνυ τοίνυν τοῖς ἐμπείροις γεωργίας ὁρῶ αὐτοὺς τὰ πλεῖστα κατὰ ταὐτὰ ἀποφαινομένους περὶ τῆς ἀγαθῆς γῆς. πόθεν οὖν βούλει, ὦ σώκρατες, ἄρξωμαί σε τῆς γεωργίας ὑπομιμνήσκειν. οἶδα γὰρ πάνυ ἐπισταμένῳ σοι πολλὰ, φράσω ὡς δεῖ γεωργεῖν. ἐκεῖνό μοι δοκῶ, ἔφην ἐγὼ, ὦ ἰσχόμαχε, πρῶτον ἂν ἡδέως μανθάνειν. φιλοσόφου γὰρ μάλιστά ἐστιν ἀνδρὸς, ὅπως ἂν ἐγὼ εἰ βουλοίμην γῆν ἐργαζόμενος, πλείστας κριθὰς καὶ πλείστους πυροὺς λαμβάνοιμι. οὐκοῦν τοῦτο μὲν οἶσθα ὅτι τῷ σπόρῳ νεὸν δεῖ ὑπεργάζεσθαι; οἶδα γὰρ, ἔφην ἐγώ. εἰ οὖν ἀρχοίμεθα, ἔφη, ἀροῦν τὴν γῆν χειμῶνος; ἀλλὰ πηλὸς ἂν εἴη, ἐγὼ ἔφην. ἀλλὰ τοῦ θέρους σοι δοκεῖ; σκληρὰ, ἔφην ἐγὼ, ἔσται ἡ γῆ κινεῖν τῷ ζεύγει. κινδυνεύει ἔαρος, ἔφη, εἶναι τούτου τοῦ ἔργου ἀρκτέον. εἰκὸς γὰρ, ἔφην ἐγὼ, ἐστὶ μάλιστα χεῖσθαι τὴν γῆν τηνικαῦτα κινουμένην, καὶ τὴν πόαν γε ἀναστρεφομένην, ἔφη, ὦ σώκρατες.

τηνικαῦ-

haud omnibus patefaciant: agricola bonus magnopere gaudet opus suum ab omnibus cerni, rogatusq; quonam modo id egerit, libenter explicabit: adeo ingenuos haec ars, adeoq; liberales homines reddit. SO. Prooemiũ nempe optimũ, ut difficile sit audientem non ulterius percontari. Igitur quando ais rem esse tam facilẽ, quaeso edoce. Nam tibi turpe nõ fuerit facilia monstrare. Turpius mihi potius ea ignorare praesertim si inde nobis utilitas prouenit. ISC. In primis eos qui tradunt illam cognitu laboriosam, prorsus asseuero, quippe qui rationibus tantum muniti uideantur, experientia uero colendi minimum. Dicunt enim primum terrae ingeniũ indagare oportere. SOC. Recte hi quidem sentire uidentur, cũ ignorãtes quid quaeq; ferat tellus, neq; serere, neq; colere scite poterunt quicquam. IS. Igitur si hoc in aliena terra dignoscere cupis, hoc erit praeceptũ, ut fructus arboresq; illius aspicias: nec culturus quicquam contra illius contendas ingenium, nisi forte spe decidere, aut cum dijs pugnare malis. Si uero per domini negligentiam uim suam tellus non experiatur, id saepenumero non tam à uicino homine, quam loco, melius inuestigando deprehendes: qui quanquã neglectus ac rudis, ostendet aliqua ex parte potestatem eius. Si enim agrestis pulchre produxerit, multo fertilius mansuefacta fructus uberes reddet. In summa, facile uel cuiuis nõ magnopere perito terrae naturã hoc pacto deprehendere licet. SO. Satis igitur in hac re rustica uideor cõfidere, ut ab ea minime tanquã imperitus abstineã. Nam & quod ais uerũ esse uel illud inter caetera persuadet, quod memini cõsuetudinis piscatorũ, eorũq; qui in mari uersantur, cũ ad litus applicãt, neq; cõsiderantes, neq; tarde incedẽtes, statim in agros exiliũt, eosq; ubi maxime fructus esse cõspexerint, extẽplo quenã sit bona tellus iudicãt, quae mala: et hanc uituperãt, illã uero collaudant. Igitur nobis eodem modo de agricultura & tellure bona iudicandum. ISC. Unde nus tandem aliquid de ea narraturi exordiamur, ne quid scienti subijciã, nempe te uideo plurima in ea nosse. SO. Primum quidem (quod iucundum utileq; puto, & ad philosophiam huiusmodi maxime pertinere) quid potissimũ agam ut plurimũ hordei tum tritici metam? IS. Nouale ante omnia sementibus praeparandũ. SO. Noui. ISC. Per brumã arare incipiemus? SO. Minime. Nam terra tunc limo obducta erit. IS. Per aestatẽ. SO. Dura nimis, & aratro intractabilis. IS. Vere quid? SOC. Aequius sane. ISCHOM. Herba tunc maxime uertitur,

ἀσθενεστέρᾳ, τῇ δὲ παχυτέρᾳ ὥσπερ ἰσχυροτέρᾳ; τοῦτ᾽ ἔφην λέγω, καὶ ἐρωτῶ γέ σε, πότερον ἴσον ἂν ἑκατέρᾳ τῇ γῇ σπέρμα διδοίης, ἢ ποτέρᾳ ἂν πλεῖον. τῷ μὲν οἴνῳ, ἔφην ἔγωγε, νομίζω τῷ ἰσχυροτέρῳ πλεῖον ἐπιχεῖν ὕδωρ, καὶ ἀνθρώπῳ τῷ ἰσχυροτέρῳ πλεῖον βάρος, ἐὰν δέῃ τι φέρειν, ἐπιτιθέναι. κἂν δέῃ τρέφεσθαί τινας, τοῖς δυνατωτέροις τρέφειν ἂν τοὺς πλείους προστάξαιμι. εἰ δὲ ἡ ἀσθενὴς γῆ ἰσχυροτέρα, ἔφην ἐγώ, γίγνεται, ἤν τις πλείονα καρπὸν αὐτῇ ἐμβάλῃ, ὥσπερ τὰ ὑποζύγια, τοῦτο σύ με δίδασκε. καὶ ὁ Ἰσχόμαχος γελάσας, ἔφη. ἀλλὰ παίζεις μὲν σύ γε, ἔφη, ὦ Σώκρατες, εὖ γε μέντοι, ἴσθι, ἔφη. εἰ μὲν ἐμβαλὼν τὸ σπέρμα τῇ γῇ, ἔπειτα ἐν ᾧ πολλὴν ἔχει τροφὴν ἡ γῆ ἀπὸ τοῦ οὐρανοῦ, χλόης γενομένης ἀπὸ τοῦ σπέρματος καταστρέψεις αὐτὸ πάλιν, τοῦτο γίγνεται σῖτος τῇ γῇ. καὶ ὥσπερ ὑπὸ κόπρου, ἰσχὺς αὐτῇ ἐγγίγνεται. ἢν μέντοι ἐκτρέφειν ἐᾷς τὴν γῆν διὰ τέλους τὸ σπέρμα εἰς καρπόν, χαλεπὸν τῇ ἀσθενεῖ γῇ ἐς τέλος πολὺν καρπὸν ἐκφέρειν. καὶ συὶ δὲ ἀσθενεῖ, χαλεπὸν πολλοὺς ἁδροὺς χοίρους ἐκτρέφειν. λέγεις σύ, ἔφην ἐγώ, ὦ Ἰσχόμαχε, τῇ ἀσθενεστέρᾳ γῇ, μεῖον δεῖν τὸ σπέρμα ἐμβάλλειν; ναὶ μὰ Δί᾽, ἔφη, ὦ Σώκρατες, καὶ σύ γε συνομολογεῖς λέγων, ὅτι νομίζεις τοῖς ἀσθενεστέροις πᾶσι, μείω προστάττειν πράγματα. τοὺς δὲ δὴ σκαλέας, ἔφην ἐγώ, ὦ Ἰσχόμαχε, τίνος ἕνεκα ἐμβάλλετε τῷ σίτῳ; οἶσθα δήπου, ἔφη, ὅτι ἐν τῷ χειμῶνι πολλὰ ὕδατα γίγνεται. τί γὰρ οὔκ, ἔφην ἐγώ. οὐκοῦν θῶμεν τοῦ σίτου καὶ κατακρυφθῆναί τινα ὑπ᾽ αὐτῶν, ἰλύος ἐπιχυθείσης, καὶ ψιλωθῆναί τινας ῥίζας ὑπὸ ῥεύματος. καὶ ὕλη δὲ πολλάκις ὑπὸ τῶν ὑδάτων δήπου συνεξορμᾷ τῷ σίτῳ, καὶ παρέχει πνιγμὸν αὐτῷ. πάντα, ἔφην ἐγώ, εἰκὸς ταῦτα γίγνεσθαι. οὐκοῦν δοκεῖ σοι, ἔφη, ἐνταῦθα ἤδη ἐπικουρίας τινὸς δεῖσθαι ὁ σῖτος; πάνυ μὲν οὖν, ἔφην ἐγώ. τῷ οὖν κατιλυθέντι, τί ἂν ποιοῦντες δοκοῦσιν ἄν σοι ἐπικουρῆσαι; ἐπικουφίσαντες, ἔφην ἐγώ, τὴν γῆν. τί δέ, ἔφη, τῷ ἐψιλωμένῳ τὰς ῥίζας; ἀντιπροσαμησάμενοι τὴν γῆν ἄν, ἔφην ἐγώ. τί γάρ, ἔφη, ἢν ὕλη πνίγῃ, συνεξορμῶσα τῷ σίτῳ, καὶ διαρπάζουσα τοῦ σίτου τὴν τροφήν, ὥσπερ οἱ κηφῆνες διαρπάζουσιν ἄχρηστοι ὄντες τῶν μελιττῶν, ἃ ἂν ἐκεῖναι ἐργασάμεναι τροφὴν καταθῶνται; ἐκκόπτειν ἂν νὴ Δία τὴν τροφήν, ἔφην, δέοι τὴν ὕλην ἐγώ, ὥσπερ τοὺς κηφῆνας ἐκ τῶν σμηνῶν ἀφαιρεῖν. οὐκοῦν, ἔφη, εἰκότως σοι δοκοῦμεν ἐμβάλλειν τοὺς σκαλέας; πάνυ γε. ἀτὰρ ἐνθυμοῦμαι, ἔφην ἐγώ, ὦ Ἰσχόμαχε, οἷόν ἐστι τὸ εὖ τὰς εἰκόνας ἐπάγεσθαι. πάνυ γὰρ σύ με ἐξώργισας πρὸς τὴν ὕλην, τοὺς κηφῆνας εἰπὼν πολὺ μᾶλλον, ἢ ὅτε περὶ αὐτῆς τῆς ὕλης ἔλεγες. ἀτὰρ οὖν, ἔφην ἐγώ, ἐκ τούτου ἄρα θερίζειν εἰκός. δίδασκε οὖν εἴ τι ἔχεις με καὶ εἰς τοῦτο. ἢν μή γε φανῇς, ἔφη, καὶ εἰς τοῦτο ταὐτὰ ἐμοὶ ἐπιστάμενος. ὅτι μὲν οὖν τέμνειν τὸν σῖτον δεῖ οἶσθα; τί δ᾽ οὐ μέλλω, ἔφην ἐγώ. πότερα οὖν τέμνεις, ἔφη, στὰς ἔνθα πνεῖ ἄνεμος, ἢ ἀντίος; οὐκ ἀντίος, ἔφην ἔγωγε. χαλεπὸν γὰρ οἶμαι καὶ τοῖς ὄμμασι καὶ ταῖς χερσὶ γίγνεται, ἀντίον ἀχύρων καὶ ἀθέρων θερίζειν. καὶ ἀκροτομοίης δ᾽ ἄν, ἔφη, ἢ παρὰ γῆν τέμνοις; ἢν μὲν βραχὺς ὁ κάλαμος τοῦ σίτου, ἔγωγ᾽ ἔφην, κάτωθεν ἂν τέμνοιμι, ἵνα ἱκανὰ τὰ ἄχυρα μᾶλλον γίγνηται· ἐὰν δὲ ὑψηλὸς ᾖ, νομίζω

infirmiorem, crassam uero robustiorem. IS. Isthuc prorsus. SOC. Sed rogo putas utrique par semen dandum, aut alteri magis? ISCHOM. Nam & ego censuerim sicut & uino uehementi plus aquæ, & homini robustiori plus oneris cum erit usus, addendum, & quidam infirmiore cibo aluntur, sic in hoc genere seruandum. SOC. Putásne ut ueterina copiosiore segete oblata pinguescunt, ita & terra gracilis pinguior fiat? ISCH. Iocaris. Scito tamen ubi iacto semine herba rore coelesti excitata exurgere coepit, si eam ex parte aliqua euertas, haud aliter in triticum abierit, quàm si fimũ addideris. Quod si totam segetem usque ad maturitatẽ crescere sines, durũ profecto fuerit gracili telluri multũ seminis aut fructuum nutrire, nõ secus q̃ sui plures alere foetus iam adultos. SO. Plane infirmas, ut debiliori solo minus dandũ sit seminis. IS. Sane. Nam & paulo ante tu idem fateberis, cum putabas debiliori minus esse imponendũ negocij. SO. Præterea sarculo ne opus sementibus? IS. Nosti hyemẽ plures imbres? SOC. Quid tum postea? ISCH. Tria ex his proueniunt incõmoda: cum luto inducto gramen operitur: tum radices quædam ab inundatione tenuantur: postremo sæpe tanta surgit materia aquis excitata, ut segetes opprimat. SO. Hæc omnia uerisimile euenire. IS. Igitur uidetur ne tibi ullo remedio occurrendum? SO. Mihi quidem. ISC. Quid in primis si luto obducitur? SOC. Humo sementem leuabis. ISCH. Quid si radicibus tenuatur? SO. Humũ superaddes. IS. Quid demũ si materia exurgẽs humorem frugib. auferat, quemadmodum fucus apibus cibum? SO. Extirpanda à satis, sicuti fucus ab aluearib. IS. Igitur nõ ab re sarculis utemur. SOC. Profecto: sed ualde rem ante oculos posuisti cum auenam fuco cõparasti, magis q̃ antea, cum eam sine comparatione memorauerās. Ex quo uidere licet, quantum ualeat recte similitudines introducere. Sed cum deinceps tẽpus metendi sit, dic oro si quid & in hac parte mõstrare habes. IS. Puto te scire segetem incidere oportere. SO. Quid ni? IS. Incidis uento aduersus, an auersus? SO Ego uero auersus, ac secundũ uentum: durũ uidetur & oculis et manib. aduersas uẽto aristas metere. IS. Aliéne, an ima tellure metis? SO. Si calamus breuis fuerit, ima, ut aptiores sint manipuli. Si uero oblongus, commodum

puto me lum incidere, ne terentibus in area excutiendo, neq; uentilantibus labor superuacuus addatur, & stipula remanens combusta fimum additum magnificet, agrumq; laetificet. ISCH. De metendi ergo modo nosti ea quae egomet. SO. Cupio uestigare an terere sciam. ISCHO. Nosti puto quod messes à ueterinis terantur. SOCRATES. Veterina ne boues, mulos, equos, & reliqua huius generis appellas? ISC. Haec tantum puta huiuscemodi apta esse officio. SOC. Quid deinde? ISC. Terunt, manipuliq; complanantur. SOCRAT. Certo sic est. Noui à terentibus eos uerti, ac sub iumentorũ pedibus iniici, ut non satis concussi melius excutiantur, citiusq; aream absoluãt. IS. Haec igitur aeque atq; egomet intelligis. SOC. Quid deinceps, uentilabimus? ISC. Nosti, quod si ex parte quae uento est obuersa incipias uentilare, per totam aream palea diffunditur. SO. Necesse. IS. Tum etiam necesse, ut supra fruges cadant. SO. Nimis profecto fuerit, ut frugibus superferatur in loco areae uacuo. ISC. Quid si quis uentilabit ex ea parte incipiens, quae uento obuersa est? SOC. Manifestum quin palea in loco statim suo ubi aggeratur, fuerit. ISC. Vbi fruges purgaueris usq; ad areae medietatem, utrum statim sic effuso frumẽto uentilabis ceteras paleas, an cumulabis iam purgatum in medium ueluti locum angustũ? SO. Nempe cumulabo iam purgatum, ut superferatur palea in locum uacuũ areae, & non bis eandem paleam uentilare cogar. IS. Tu uero, ut mihi uideris, ita probe tenes quomodo sit uentilandũ, ut alios docere queas. SO. Haec equidem oblitus eram me scire, ac dudum cogito, si hoc modo sciuerim, & item oblitus fuerim aurificinã, choraulicam, picturam, quanq̃ nullus mõstrauerit, sicuti nec agriculturã. Video nẽpe, ut hanc, sic & alias artes homines exercere. IS. Nequaq̃ Nam dudũ dixi, quod agricultura ex eo generosa esset, quod maxime facilis cognitu. SO. Sed age Ischomache, res rustica sationem continet arborum? IS. Profecto. SOC. Cum igitur multa circa sementes intelligam, in serendis arboribus ignoro. ISC. Profecto ignoras. SOC. Quippe qui nesciam in qua tellure sit serendũ, quàm alte semen demittendũ, quomodoue collocandum. ISC. Disce igitur quod ignoras. Scrobes quales fodiunt puto saepe uidisti. SO. Saepe. ISCH. Vidisti

νομίζω ὀρθῶς ἂν ποιεῖν μεσοτομᾶν, ἵνα μήτε οἱ ἀλοῶντες μοχθῶσι περιττὸν πόνον μήτε οἱ λικμῶντες ὧν οὐδὲν προσδέονται, τό, τε ἐν τῇ γῇ λειφθὲν ἡγοῦμαι καὶ κατακαυθὲν, συνωφελεῖν ἂν τὴν γῆν, καὶ εἰς κόπρον ἐμβληθὲν, τὴν κόπρον συμπληθύνειν. ὁρᾷς, ἔφη, ὦ σώκρατες ὡς ἁλίσκῃ ἐπ' αὐτοφώρῳ, καὶ περὶ θερισμοῦ εἰδὼς ἅπερ ἐγώ; κινδυνεύω, ἔφην ἐγὼ, καὶ βούλομαί γε σκέψασθαι, εἰ καὶ ἀλοᾶν ἐπίσταμαι. οὐκοῦν, ἔφη, τοῦτο μὲν οἶσθα, ὅτι ὑποζυγίῳ ἀλοῶσι τὸν σῖτον. τί δ' οὐκ, ἔφην ἐγὼ, οἶδα, καὶ ὑποζύγιά γε πάντα καλοῦμεν ὁμοίως, βοῦς, ἡμιόνους, ἵππους. οὐκοῦν, ἔφη, ταῦτα μὲν ἡγῇ τοσοῦτον μόνον εἰδέναι πατεῖν τὸν σῖτον ἐλαυνόμενα; τί γὰρ ἂν ἄλλο, ἔφην ἐγώ, ὑποζύγια εἰδείη. ὅπως δὲ τὸ δεόμενον κόψουσι, καὶ ὁμαλιεῖται ὁ ἀλοητὸς, τίνι τούτῳ, ὦ σώκρατες, ἔφη. δῆλον ὅτι, ἔφην ἐγὼ, τοῖς ἐπαλωσταῖς. στρέφοντες γὰρ καὶ ὑπὸ τοὺς πόδας ὑποβάλλοντες τὰ ἄτριπτα, ἀεὶ δηλονότι μάλιστα, ὁμαλίζοιεν ἂν τὸν δεινὸν, καὶ τάχιστα ἀνύτοιεν. ταῦτα μὲν τοίνυν, ἔφη, οὐδὲν ἐμοῦ λείπῃ γιγνώσκων. οὐκοῦν, ἔφην ἐγὼ, ὦ ἰσχόμαχε, ἐκ τούτου δὴ καθαροῦμεν τὸν σῖτον λικμῶντες. καὶ λέξον γέ μοι, ὦ σώκρατες, ἔφη ὁ ἰσχόμαχος, ἦ οἶσθα ὅτι ἢν ἐκ τοῦ προσηνέμου μέρους τῆς ἅλω ἄρχῃ, διὰ ὅλης τῆς ἅλω οἴσεταί σοι τὰ ἄχυρα. ἀνάγκη γὰρ, ἔφην ἐγώ. οὐκοῦν εἰκὸς καὶ ἐπιπίπτειν, ἔφη, αὐτὰ ἐπὶ τὸν σῖτον. πολὺ γάρ ἐστιν, ἔφην ἐγὼ, τὸ ὑπερενεχθῆναι τὰ ἄχυρα ὑπὲρ τὸν σῖτον, εἰς τὸ κενὸν τῆς ἅλω. ἢν δέ τις, ἔφη, λικμᾷ ἐκ τοῦ ὑπηνέμου ἀρχόμενος, δῆλον, ἔφην ἐγὼ, ὅτι εὐθὺς ἐν τῇ ἀχυροδόκῃ ἔσται τὰ ἄχυρα. ἐπειδὰν δὲ καθάρῃς, ἔφη, τὸν σῖτον μέχρι τοῦ ἡμίσεως τῆς ἅλω, πότερον εὐθὺς οὕτω κεχυμένου τοῦ σίτου λικμήσεις τὰ ἄχυρα τὰ λοιπὰ, ἢ συνώσας τὸν καθαρὸν πρὸς τὸν πόλον ὡς εἰς στενώτατον συνώσας; νὴ Δί', ἔφην ἐγὼ, τὸν καθαρὸν σῖτον, ἵν' ὑπερφέρηταί μοι τὰ ἄχυρα, εἰς τὸ κενὸν τῆς ἅλω, καὶ μὴ δὶς ταὐτὰ ἄχυρα δέῃ λικμᾶν. σὺ μὲν δὴ ἄρα, ἔφη, ὦ σώκρατες, σῖτόν γε ὡς ἂν τάχιστα καθαρὸς γένοιτο, κἂν ἄλλον δύναιο διδάσκειν. ταῦτα τοίνυν, ἔφην ἐγὼ, ἐλελήθειν ἐμαυτὸν ἐπιστάμενος καὶ πάλαι. ἐννοῶ ἄρα, εἰ λέληθα, καὶ χρυσοχοεῖν καὶ αὐλεῖν καὶ ζωγραφεῖν ἐπιστάμενος. ἐδίδαξε γὰρ οὔτε ταῦτά με οὐδεὶς οὔτε γεωργεῖν. ὁρῶ δ' ὥσπερ γεωργοῦντας, καὶ τὰς ἄλλας τέχνας ἐργαζομένους ἀνθρώπους. οὐκοῦν, ἔφη ὁ ἰσχόμαχος, ἔλεγον ἐγώ σοι πάλαι, ὅτι καὶ ταύτῃ εἴη γενναιοτάτη ἡ γεωργικὴ τέχνη, ὅτι καὶ ῥάστη ἐστὶ μαθεῖν; ἄγε δὴ, ἔφην ἐγὼ, οἶδα ἰσχόμαχε. τὰ μὲν δὴ ἀμφὶ σπόρον ἐπιστάμενος ἄρα, ἐλελήθειν ἐμαυτὸν ἐπιστάμενος. ἔστιν οὖν, ἔφην ἐγώ, τῆς γεωργικῆς τέχνης καὶ ἡ τῶν δένδρων φυτεία; ἔστι γὰρ οὖν, ἔφη ὁ ἰσχόμαχος. πῶς ἂν οὖν, ἔφην ἐγὼ, τὰ μὲν ἀμφὶ τὸν σπόρον ἐπισταίμην, τὰ δ' ἀμφὶ τὴν φυτείαν οὐκ ἐπίσταμαι; οὐ γὰρ σὺ, ἔφη ὁ ἰσχόμαχος, ἐπίστασαι. πῶς, ἐγὼ ἔφην, ὅστις μήτ' ἐν ὁποίᾳ τῇ γῇ φυτεύειν οἶδα, μήτε ὁπόσον βάθος ὀρύττειν τὸ φυτὸν, μήτε ὁπόσον πλάτος, μήτε ὁπόσον μῆκος τὸ φυτὸν ἐμβαλεῖν. μήτε ὅπως ἂν ἐν τῇ γῇ κείμενον τὸ φυτὸν, μάλιστ' ἂν βλαστάνοι. ἴθι δὴ, ἔφη ὁ ἰσχόμαχος, μάνθανε, ὅ, τι μὴ ἐπίστασαι. βοθύνους μὲν γὰρ οἵους ὀρύττουσι τοῖς φυτοῖς, οἶδ' ὅτι ἑώρακας, ἔφη. καὶ πολλάκις, ἔγωγε ἔφην. ἤδη τινὰ οὖν αὐτῶν

docet rationem plantandi arbores.

δοίης βαθύτερον τριπόδου; οὐδὲ μὰ Δί', ἔγωγ', ἔφην, πέντε ἡμιποδίων. τί δὲ τὸ πλάτος; ἤδη τινὰ τριπόδου πλέον εἶδες; οὐδὲ μὰ Δί', ἔφην ἐγώ, διπόδου. ἴθι δή, ἔφη, καὶ τόδε ἀπόκριναί μοι. ἤδη τινὰ εἶδες τὸ βάθος ἐλάττονα ποδιαίου; οὐδὲ μὰ Δί', ἔφην ἔγωγε, τριημιποδίου. καὶ γὰρ ἐξορύττοιτο ἂν σκαπτόμενα, ἔφην ἐγώ, τὰ φυτά, εἰ λίαν γε οὕτως ἐπιπολῆς πεφυτευμένα εἴη. οὐκοῦν τοῦτο μέν, ἔφη, ὦ Σώκρατες, ἱκανῶς οἶσθα ὅτι οὔτε βαθύτερον πέντε ἡμιποδίων ὀρύττουσιν, οὔτε βραχύτερον τριημιποδίου; ἀνάγκη γάρ, ἔφην, τοῦτο ὁρᾶσθαι καταφανὲς ὄν. τί δέ, ἔφη, ξηροτέραν καὶ ὑγροτέραν γῆν γιγνώσκεις ὁρῶν; ξηρὰ μὲν γοῦν μοι δοκεῖ, ἔφην ἐγώ, εἶναι ἡ περὶ τὸν Λυκαβηττὸν καὶ ἡ ταύτῃ ὁμοία. ὑγρὰ δὲ ἡ ἐν τῷ Φαληρικῷ ἕλει, καὶ ἡ ταύτῃ ὁμοία. πότερα οὖν, ἔφη, ἐν τῇ ξηρᾷ ἂν βαθὺν ὀρύττοις βόθρον τῷ φυτῷ, ἢ ἐν τῇ ὑγρᾷ; ἐν τῇ ξηρᾷ νὴ Δί', ἔφην ἐγώ. ἐπεὶ ἔν γε ὑγρᾷ ὀρύττων βαθύν, ὕδωρ ἂν εὑρίσκοις, καὶ οὐκ ἂν δύναιο ἔτι ἐν ὕδατι φυτεύειν. καλῶς μοι δοκεῖς, ἔφη, λέγειν. οὐκοῦν ἐπειδὰν ὀρωρυγμένοι ὦσιν οἱ βόθροι, ὁπηνίκα δεῖ τιθέναι ἑκάτερα τὰ φυτά, ἤδη εἶδες; μάλιστα, ἔφην ἐγώ. σὺ οὖν βουλόμενος ὡς τάχιστα φῦναι αὐτά, πότερον ὑποβαλὼν ἂν τῆς γῆς τῆς εἰργασμένης, οἴει τὸν βλαστὸν τοῦ κλήματος θᾶττον χωρεῖν διὰ τῆς μαλακῆς ἢ διὰ τῆς ἀργοῦ, εἰς τὸ σκληρόν; δῆλον, ἔφην ἐγώ, ὅτι διὰ τῆς εἰργασμένης θᾶττον ἄν, ἢ διὰ τῆς ἀργοῦ βλαστάνοι. οὐκοῦν ὑποβλητέα ἂν εἴη τῷ φυτῷ γῆ; τί δ' οὐ μέλλει, ἔφην ἐγώ. πότερα δὲ ὅλον τὸ κλῆμα ὀρθὸν τιθεὶς πρὸς τὸν οὐρανὸν βλέπον ἡγῇ μᾶλλον ἂν ῥιζοῦσθαι αὐτό, ἢ καὶ πλάγιόν τι ὑπὸ τῇ ὑποβεβλημένῃ θείης ἄν, ὥστε κεῖσθαι ὥσπερ γάμμα ὕπτιον; οὕτω νὴ Δία. πλείονες γὰρ ἂν οἱ ὀφθαλμοὶ κατὰ γῆς εἶεν. ἐκ δὲ τῶν ὀφθαλμῶν καὶ ἄνω ὁρῶ βλαστάνοντα τὰ φυτά, καὶ τοὺς κατὰ τῆς γῆς οὖν ὀφθαλμοὺς ἡγοῦμαι τὸ αὐτὸ τοῦτο ποιεῖν, πολλῶν γε φυομένων βλαστῶν τῆς γῆς, ταχὺ ἂν καὶ ἰσχυρὸν τὸ φυτὸν ἡγοῦμαι βλαστάνειν. κατὰ ταῦτα τοίνυν ἔφη καὶ περὶ τούτων γιγνώσκων ἐμοὶ τυγχάνεις. ἐπαμήσαιο δ' ἂν μόνον, ἔφη, τὴν γῆν, ἢ καὶ σάξαις ἂν εὖ μάλα περὶ τὸ φυτόν; σάττοιμ' ἄν, ἔφη, νὴ Δί', ἐγώ. εἰ μὲν γὰρ μὴ σεσαγμένον εἴη, ὑπὸ μὲν τοῦ ὕδατος, εὖ οἶδ', ὅτι πηλὸς ἂν γίγνοιτο ἡ ἄσακτος γῆ, ὑπὸ δὲ τοῦ ἡλίου ξηρὰ μέχρι βυθοῦ. ὥστε τὰ φυτὰ κίνδυνος ὑπὸ μὲν τοῦ ὕδατος σήπεσθαι μὲν δι' ὑγρότητα, αὐαίνεσθαι δὲ διὰ ξηρότητα. ἤγουν χαυνότητα τῆς γῆς θερμαινομένων τῶν ῥιζῶν. καὶ περὶ ἀμπέλων ἄρα σύ γε, ἔφη, φυτείας, ὦ Σώκρατες, τὰ αὐτὰ ἐμοὶ πάντα γιγνώσκων τυγχάνεις; ἦ καὶ συκῆν, ἔφην ἐγώ, οὕτω δεῖ φυτεύειν; οἶμαι δ', ἔφη ὁ Ἰσχόμαχος, καὶ τἆλλα ἀκρόδρυα πάντα. τῶν γὰρ ἐν τῇ τῆς ἀμπέλου φυτείᾳ καλῶς ἐχόντων, τί ἂν ἀποδοκιμάσαις εἰς τὰς ἄλλας φυτείας. ἐλαίαν δὲ πῶς, ἔφην ἐγώ, φυτεύσομεν, ὦ Ἰσχόμαχε; ἀποπειρᾷ μου καὶ τοῦτο, ἔφη, μάλιστα πάντων ἐπιστάμενος. ὁρᾷς μὲν γὰρ δὴ ὅτι βαθύτερος ὀρύττεται τῇ ἐλαίᾳ βόθρος. καὶ γὰρ παρὰ τὰς ὁδοὺς μάλιστα ὀρύττεται. ὁρᾷς δ' ὅτι πρέμνα πᾶσι τοῖς φυτευτηρίοις πρόσεστιν. ὁρᾷς δ', ἔφη, τῶν φυτῶν πηλὸν ταῖς κεφαλαῖς πάσαις ἐπικείμενον. καὶ πάντων τῶν φυτῶν ἐστεγασμένον τὸ ἄνω; ὁρῶ, ἔφην ἐγώ, ταῦτα πάντα. καὶ ὁρῶν δή, ἔφη, τί αὐτῶν οὐ

disti ne altiorem tripedanea? SOCR. Quin & quadrupedaneam & semis. ISC. Latiorém ne tripedanea? SOCR. Per Iouem bipedanea & semis non uidi latiorem. ISCHOMACHUS. An altitudine minorem bipedanea? SOC. Non equidem bipedanea & semipede minus altam. Nam facile plantaria euelluntur, si adeo summa tellure fodiantur. ISCH. Igitur satis tibi patet, ut neq; altiorem quatuor pedibus & semipede, neq; breuiorem duobus & semipede scrobes fodi oporteat. SOCR. Necessarium istbuc in primis scire. IS. Noscisne aridam aut uliginosam terram? SOC. Arida mihi quidem uidetur circa Lycabectum, huic similis. Vliginosa circa Phalericam paludem, & huic item similis. ISCHOMACH. Vtrum deinde in arida saturus, altius quàm in uliginosa effodies? SOCRATES. Nēpe in arida: quippe cum in uliginosa altius penetraueris aqua manabit, quæ serere prohibet. ISCHOMACHUS. Pulchre mones: sed facta scrobe scis quonam modo planta sit locanda? SOCRATES. Maxime. ISCHO. Tum si cupis cito coalescere, in subactum fodies solum, an rude? SOCRATES. Manifestum quod in subacto ocyus prouenient. ISCHOM. Summouenda igitur terra semini. SOCRATES. Quid ni? ISCHOMACHUS. An semen rectum locabis, seu iacentem ut gamma supinum? SOC. Sane isto modo plures oculi ac radices in terræ uiscera penetrabunt, ex quo planta firmius radicabitur, & totidem germina supra terram pullulabunt. ISCHOMACHUS. Idem atque ego sentis: sed oro leuiter tellurem superinijcis, an calcatam? SOC. Calcatam profecto, alioquin periculum quin leuem aqua usque ad imum penetrando patefaciat, aut sol per æstus exiccando radices adurat. ISCH. De uitibus autem sentis mecum eadem bis omnibus conuenire? SOCRATES. Profecto, & de ficu. ISCHOMACHUS. Tum ego putauerim & de cæteris arboribus fructiferis. Nam uitis cum in satione sit potissima, hac probata, facile omnia eodem modo semina probantur. SOCRATES. Oleam quomodo seris? ISCHOMACH. Disce hoc à me præterea. Scrobes huic altior paulo ac iuxta uias fodietur. Trunci quoq; in hoc genere seruntur, quibus summum caput luto contegitur. SO. Noui. IS. At puto hoc saltem

 igno-

interrogatio doctrina quaedam est.

ignoras, testam luto superimponendã. SO. Nempe noui omnia. Sed rursus aliquid intelligo magis, quam cum ab initio cõprehensim interrogasti, an scirem serere: quippe cũ interrogatio praeceptio sit, olim tum disco, cum a me singula sciscitatus es: ducẽs namq; me per ea quae his similia noui, ostendes plane quae me non putabam scire. Edoctus iam haec intelligere mihi persuadeo. ISCH. Profecto sic res habet, ut si te interrogarẽ de argento, bonum ne esset an non, persuadere possem, ut bonũ ab adulterino facile dignosceres. De tibicinibus aũt tibi persuadere non possem, quod inflare tibias scires: similiter de pictoribus ac alijs huiusmodi. SO. Fortasse quoniã colendi agrum me scientem esse persuasisti, quãuis mihi conscius quod nullus unquam monstrauerit hanc artem. IS. Nõ hoc est, sed iamdudum tibi dixi, quod agricultura ita humana, facilisq; ars est, ut eam audiẽtes seu uidẽtes e uestigio intelligãt. Multa namq; alia nos edocet quomodo eis pulcherrime utamur: Vitem si prope sit arborẽ cõsuefacere rectã cõsurgere, & luxuriantib. pampinis aestatis tẽpore umbram porrigere: deinde ubi paulatim uua maturescit, pãpinare, ut solibus excocta ocyus per autumnũ uindemiam praebeat. In qua saepenumero ob foetus abundãtes, sicut in ficu, alios maturos, alios acerbos conspicimus racemos. SO. His missis rogo Ischomache, cur est quod cũ ars haec sit facilis, omnesq; pariter nouerint quod circa eã faciendũ, nõ omnes idem faciant: sed alij quidem in magna copia degunt, alijs uero etiam necessaria desunt, aut in aere potius sunt alieno? IS. Dicam equidem. Neq; enim huius rei scientiae uel ignorationi hoc dederis, ut aliqui in ea minime proficiant, aliqui uero abundent. Non profecto audies domũ decoxisse ob hanc causam seu famam, q; agricola ignorauerit aequa manu semẽ iacere, aut arbores serere, aut in loco sterili, seu fimũ agro q̃ maxime prodesse, uel nouale sementibus praeparare. Non hoc, inquam, audies: sed potius audire licebit segetes non recepisse, quod terrã nõ arauerit, aut nõ stercorauerit: uindemias item non collegisse q; uites non seruerit, satasq; minime curauerit. Non oleum, non ficus, quod haec & his similia nequaq̃ operam dederit uti cõsequeretur. Haec demũ causa est Socrates, quod maxima sit inter colonos differentia, magis q̃ si quis egre-

gium

οὐ γιγνώσκεις; ἢ τὸ ὄστρακον ἀγνοεῖς, ἔφη, ὦ Σώκρατες, ὡς ἂν ἐπὶ τοῦ πηλοῦ ἄνω καταθείης; μὰ τὸν Δί', ἔφην ἐγώ, οὐδὲν ὧν εἴπας, ὦ Ἰσχόμαχε, ἀγνοῶ. ἀλλὰ πάλιν ἐννοῶ τί ποτε ὅτε πάλιν ἤρου με συλλήβδην εἰ ἐπίσταμαι φυτεύειν, οὐκ ἔφην. οὐ γὰρ ἐδόκουν ἔχειν ἂν εἰπεῖν, οὐδὲ ὅπῃ δεῖ φυτεύειν. ἐπεὶ δέ με καθ' ἓν ἕκαστον ἐπεχείρησας ἐρωτᾶν, ἀποκρίνομαί σοι ὡς σὺ φής, ἅπερ σὺ γιγνώσκεις ὁ δεινὸς λεγόμενος γεωργός. ἆρα, ἔφην, ὦ Ἰσχόμαχε, ἡ ἐρώτησις διδασκαλία ἐστίν; ἄρτι γὰρ δή, ἔφην ἐγώ, καταμανθάνω ᾗ με ἐπηρώτησας ἕκαστα. ἄγων γάρ με δι' ὧν ἐγὼ ἐπίσταμαι, ὅμοια τούτοις ἐπιδεικνὺς ἃ οὐκ ἐνόμιζον ἐπίστασθαι, ἀναπείθεις οἶμαι ὡς καὶ ταῦτα ἐπίσταμαι. ἆρ' οὖν, ἔφη ὁ Ἰσχόμαχος, καὶ περὶ ἀργυρίου ἐρωτῶν ἄν σε, πότερον καλὸν ἢ οὔ, δυναίμην ἄν σε πεῖσαι, ὡς ἐπίστασαι διαδοκιμάζειν τὰ καλὰ καὶ τὰ κίβδηλα ἀργύρια; καὶ περὶ αὐλητῶν μὴ δυναίμην ἀναπεῖσαι ὡς ἐπίστασαι αὐλεῖν, καὶ περὶ ζωγράφων καὶ τῶν ἄλλων τοιούτων; ἴσως ἄν, ἔφην ἐγώ. ἐπειδὴ καὶ γεωργεῖν ἀνέπεισάς με ὡς ἐπιστήμων εἴην, καίπερ εἰδότα, ὅτι οὐδεὶς πώποτέ με ἐδίδαξε ταύτην τὴν τέχνην. οὐκ ἔστι ταῦτ', ἔφην, ὦ Σώκρατες. ἀλλ' ἐγὼ καὶ πάλαι σοι ἔλεγον, ὅτι ἡ γεωργία οὕτω φιλάνθρωπός ἐστι καὶ πραεῖα τέχνη, ὥστε καὶ ὁρῶντας καὶ ἀκούοντας, ἐπιστήμονας εὐθὺς ἑαυτῆς ποιεῖν. πολλὰ δ', ἔφη, καὶ αὐτὴ διδάσκει, ὡς ἂν κάλλιστά τις αὐτῇ χρῷτο. αὐτίκα ἄμπελος ἀναβαίνουσα μὲν τὰ δένδρα, ὅταν ἔχῃ πλησίον δένδρον, διδάσκει ἱστάναι αὐτήν. περιπεταννύουσα δὲ τὰ οἴναρα, ὅταν ἔτι αὐτῇ ἁπαλοὶ οἱ βότρυες ὦσι, διδάσκει σκιάζειν τὰ ἡλιούμενα ταύτην τὴν ὥραν. ὅταν δὲ καιρὸς ᾖ ὑπὸ τοῦ ἡλίου ἤδη γλυκαίνεσθαι τὰς σταφυλάς, φυλλοῤῥοοῦσα, διδάσκει ἑαυτὴν ψιλοῦν, καὶ πεπαίνειν τὴν ὀπώραν. τοὺς μὲν πέπονας δεικνύουσα βότρυς, τοὺς δὲ ἔτι ὠμοτέρους φέρουσα, διδάσκει τρυγᾶν ἑαυτήν, ὥσπερ τὰ σῦκα σκιάζουσι τὸ ὀργῶν ἀεί. ἐνταῦθα δὴ ἐγὼ εἶπον· πῶς οὖν, ὦ Ἰσχόμαχε, εἰ οὕτω γε ῥᾴδιά ἐστι μαθεῖν τὰ περὶ τὴν γεωργίαν, καὶ πάντες ὁμοίως ἴσασιν ἃ δεῖ ποιεῖν, οὐχὶ καὶ πάντες πράττουσιν ὁμοίως. ἀλλ' οἱ μὲν αὐτῶν ἀφθόνως τε ζῶσι καὶ περιουσίαν ἔχουσιν, οἱ δ' οὐδὲ τὰ ἀναγκαῖα δύνανται πορίζεσθαι, ἀλλὰ καὶ προσοφείλουσιν. ἐγὼ δή σοι λέξω, ὦ Σώκρατες, ἔφη ὁ Ἰσχόμαχος. οὐ γὰρ ἡ ἐπιστήμη οὐδ' ἡ ἀνεπιστημοσύνη τῶν γεωργῶν ἐστιν, ἡ ποιοῦσα τοὺς μὲν εὐπορεῖν, τοὺς δὲ ἀπόρους εἶναι. οὐδ' ἂν ἀκούσαις, ἔφη, λόγου οὕτω διαθέοντος, ὅτι διέφθαρται ὁ οἶκος, διότι οὐχ ὁμαλῶς ὁ σπορεὺς ἔσπειρεν. οὐδ' ὅτι οὐκ ὀρθῶς τοὺς ὄρχους ἐφύτευσεν. οὐδ' ὅτι ἀγνοήσας τις τὴν γῆν φέρουσαν ἀμπέλους ἐν ἀφόρῳ ἐφύτευσεν. οὐδ' ὅτι ἠγνόησέ τις ὅτι ἀγαθόν ἐστι τῷ σπόρῳ νεὸν προεργάζεσθαι. οὐδ' ὅτι ἠγνόησέ τις ὡς ἀγαθόν ἐστι τῇ γῇ κόπρον μιγνύναι. ἀλλὰ πολὺ μᾶλλόν ἐστιν ἀκοῦσαι, ἀνὴρ οὐ λαμβάνει σῖτον ἐκ τοῦ ἀγροῦ. οὐ γὰρ ἐπιμελεῖται ὡς αὐτῷ σπείρηται, ἢ ὡς κόπρος γίγνηται. οὐδ' οἶνον ἔχει ἀνήρ. οὐ γὰρ ἐπιμελεῖται ὡς φυτεύσῃ ἀμπέλους. οὐδ' αἱ οὖσαι ὅπως φέρωσιν αὐτῷ. οὐδὲ ἔλαιον, οὐδὲ σῦκα ἔχει ἀνήρ. οὐκ ἐπιμελεῖται, οὐδὲ ποιεῖ ὅπως ταῦτα ἔχῃ. τοιαῦτ', ἔφη, ἐστίν, ὦ Σώκρατες, ἃ διαφέροντες ἀλλήλων οἱ γεωργοὶ διαφερόντως καὶ πράττουσι, πολὺ μᾶλλον ἢ οἱ δοκοῦντες σο-

φόρ

φύτευσιν εὑρηκότας εἰς τὰ ἔργα. καὶ οἱ στρατηγοί εἰσιν ἐν οἷς τῶν στρατηγικῶν ἔργων, οὐ γνώμῃ διαφέροντες ἀλλήλων, οἱ μὲν βελτίονές, οἱ δὲ χείρονές εἰσιν, ἀλλὰ σαφῶς ἐπιμελείᾳ. ἃ γὰρ καὶ οἱ στρατηγοὶ γιγνώσκουσι πάντες, καὶ τῶν ἰδιωτῶν οἱ πλεῖστοι, ταῦτα οἱ μὲν ποιοῦσι τῶν ἀρχόντων, οἱ δ᾽ οὔ. οἷον καὶ τόδε γιγνώσκουσιν ἅπαντες, ὅτι διὰ πολεμίας πορευομένους, βέλτιόν ἐστι τεταγμένους πορεύεσθαι, οὕτως ὡς ἂν ἄριστα μάχοιντο εἰ δέοι. τοῦτο τοίνυν γιγνώσκοντες, οἱ μὲν ποιοῦσιν οὕτως· οἱ δ᾽ οὐ ποιοῦσι. φυλακὰς ἅπαντες ἴσασιν ὅτι βέλτιόν ἐστι καθιστάναι καὶ ἡμερινὰς καὶ νυκτερινὰς πρὸ τοῦ στρατοπέδου. ἀλλὰ καὶ τούτου οἱ μὲν ἐπιμελοῦνται ὡς ἔχει οὕτως· οἱ δ᾽ οὐκ ἐπιμελοῦνται. ὅταν τε αὖ διὰ στενοπόρων ἴωσιν, οὐ πάνυ χαλεπὸν εὑρεῖν, ὅστις οὐ γιγνώσκει ὅτι προκαταλαμβάνειν τὰ ἐπίκαιρα κρεῖσσον ἢ μή. ἀλλὰ καὶ τούτου οἱ μὲν ἐπιμελοῦνται οὕτω ποιεῖν· οἱ δ᾽ οὔ. ἀλλὰ καὶ κόπρον λέγουσι μὲν πάντες, ὅτι ἄριστον εἰς γεωργίαν ἐστί. καὶ ὁρῶσι δὲ αὐτομάτην γιγνομένην. ὅμως δὲ καὶ ἀκριβοῦντες ὡς γίγνεται, καὶ ῥᾴδιον ὂν πολλὴν ποιεῖν, οἱ μὲν καὶ τούτου ἐπιμελοῦνται, ὅπως ἀθροίζηται. οἱ δὲ παραμελοῦσι. καίτοι ὕδωρ μὲν ὁ ἄνω θεὸς παρέχει, τὰ δὲ κοῖλα πάντα, τέλματα γίγνεται. ἡ γῆ δὲ ὕλην παντοίαν παρέχει. καθαίρειν δὲ δεῖ τὴν γῆν, τὸν μέλλοντα σπείρειν. ἃ δ᾽ ἐκποδὼν ἀναιρεῖται, ταῦτα εἴ τις ἐμβάλλοι εἰς τὸ ὕδωρ, ὁ χρόνος ἤδη αὐτὸς ἂν ποιοίη, οἷς ἡ γῆ ἥδεται. ποία μὲν γὰρ ὕλη, ποία δὲ γῆ ἐν ὕδατι στασίμῳ οὐ κόπρος γίγνεται. καὶ ὁπόσα δὲ θεραπείας δεῖται ἡ γῆ, ὑγροτέρα τε οὖσα πρὸς τὸν σπόρον, ἢ ἁλμωδεστέρα πρὸς φυτείαν, καὶ ταῦτα γιγνώσκουσι μὲν πάντες. καὶ ὡς τὸ ὕδωρ ἐξάγεται τάφροις, καὶ ὡς ἡ ἅλμη κολάζεται, μιγνυμένη πᾶσι τοῖς ἀνάλμοις τε καὶ ὑγροῖς καὶ ξηροῖς. ἀλλὰ καὶ τούτων ἐπιμελοῦνται οἱ μέν, οἱ δ᾽ οὔ. εἰ δέ τις παντάπασιν ἀγνὼς εἴη, τί δύναται φέρειν ἡ γῆ, καὶ μήτε ἰδεῖν ἔχοι καρπόν, μηδὲ φυτὸν αὐτῆς, μήτε ὅτου ἀκούσαι τὴν ἀλήθειαν περὶ αὐτῆς ἔχοι, οὐ πολὺ μὲν ῥᾷον γῆς πεῖραν λαμβάνειν παντὶ ἀνθρώπῳ ἢ ἵππου; πολὺ δὲ ῥᾷον ἢ ἀνθρώπου. οὐ γάρ ἐστιν ὅ τι ἐπὶ ἀπάτῃ δείκνυσιν. ἀλλ᾽ ἁπλῶς ἅ τε δύναται καὶ ἃ μή, σαφηνίζει τε καὶ ἀληθεύει. δοκεῖ δέ μοι ἡ γῆ καὶ τοὺς κακούς τε κἀγαθοὺς τῷ εὔγνωστα καὶ εὐμαθῆ πάντα παρέχειν, ἄριστα ἐξετάζειν. οὐ γὰρ ὥσπερ τὰς ἄλλας τέχνας τοῖς μὴ ἐργαζομένοις ἔστι προφασίζεσθαι, ὅτι οὐκ ἐπίστανται, γῆν δὲ πάντες οἴδασιν, ὅτι εὖ πάσχουσα, εὖ ποιεῖ. ἀλλ᾽ ἡ ἐν γεωργίᾳ ἐστὶ σαφὴς ψυχῆς κατήγορος κακῆς. ὡς μὲν γὰρ ἂν δύναιτο ἄνθρωπος ζῆν ἄνευ τῶν ἐπιτηδείων, οὐδεὶς τοῦτο αὐτὸς αὑτὸν πείθει. ὁ δὲ μήτε ἄλλην τέχνην χρηματοποιὸν ἐπιστάμενος, μήτε γεωργεῖν ἐθέλων, φανερὸν ὅτι κλέπτων ἢ ἁρπάζων ἢ προσαιτῶν διανοεῖται βιοτεύειν, ἢ παντάπασιν ἀλόγιστός ἐστι. μέγα δὲ διαφέρειν εἰς τὸ λυσιτελεῖν γεωργίαν ἔφη καὶ μὴ λυσιτελεῖν, ὅταν ὄντων ἐργαστήρων καὶ πλειόνων, ὁ μὲν ἔχῃ τινὰ ἐπιμέλειαν, ὡς τὴν ὥραν ἐν τῷ ἔργῳ οἱ ἐργάται ὦσιν. ὁ δὲ μὴ ἐπιμελῆται τούτου. ῥᾳδίως γὰρ ἀνὴρ εἷς παρὰ τοὺς δέκα διαφέρει, τῷ ἐν ὥρᾳ ἐργάζεσθαι. καὶ ἄλλος γε ἀνὴρ διαφέρει, τῷ πρὸ τῆς ὥρας ἀπιέναι. τὸ δὲ δὴ ἐᾶν ῥᾳδιουργεῖν δι᾽ ὅλης τῆς ἡμέρας

gium aliquid in colendo reperiret aut sentiret. Eadem & de belli ducibus ratio, cum rei militaris scientia saepe minime causa sit, ut alijs alij praestent, cum in bello quid agendum sit quãdoq; uel priuati sciant: sed nõnulli hoc exequuntur, quidã uero negligũt: Quemadmodum praecipuur, per hosticum transiturum exercitũ ordine incedere, ut siquid acciderit, ad pugnã sint paratiores: custodes quoq; interdiu, noctu uero excubias pro castris ponere: aut si per loca iniqua iter faciundũ, opportuniora semper occupare, cum omnes uideant esse necessariũ, non omnes tamen efficiũt. Vt igitur ad agrum reuertamur, cum nullus ignoret stercoratione esse utilẽ, fimumq; cumulare aut magnificare, negligũt tamen, quanquã coelestib. aquis à deo inuenitur, quae in loca fluentes incurua, limũ laetamini aptum efficiunt. Praeterea materia omnis quae campis seminandis aratro subuertitur, in aquas coniecta palustres, tempore inueterata ꝑ fimo utilis agro existat. Deinde quã cura tellus egeat: quod uliginosior frugibus, sterilior arboribus aptior: quemadmodũ aqua fossis educitur, ac sterilia tum arentia uliginosis admixta castigãtur, omnes fere sciunt, sed quidam curant, alij nequaquã. Si quis autem quid quisq; ferat locus penitus nescire se dicat, neq; uidendi ex eo fructũ aliquem facultatem habuerit, neu uerum quicquã de eo percõtando acceperit, nonne facilius multo terrae ingeniũ, quàm hominis aut equi experitur: quae sane culta non mentitur. Enimuero mihi uidetur illa in promptu esse, facilemq; se ad agnoscendum omnibus praebere. Neq; ut in caeteris artibus, à quibus exercendis sese ignarus excusat, ita & in hac euenit, cum omnes ferme intelligant quod bene culta bene respondeant. Est illa praeterea indagatrix, & quasi accusatrix hominũ uitae: quippe cum nullus ignoret citra uictus necessaria neminem posse degere, quae maxime ex re rustica proueniunt: hac neglecta, nisi quis forte ex alia uiuat arte, necesse ut in furandi aut rapiendi suspicionem ueniat, aut certe procul à ratione habeatur. Contingit etiam saepe, ut aliis alios ea reddat utilitate potiores, quoties nõ tam non curatur, quàm lente curatur: ut si alter tempore adhibeat operas atque urgeat, alter hoc studiũ negligat: nã opera una inter decẽ pollet, quae sit solicitior: altera uero ignauior, quae abeat ante tempus. Sinere autem totum dum

diem segniter agere, totius operis dimidium refert: haud aliter quàm in itinere ducentorum stadiorum, si ex duobus iuuenibus ætate roboréque paribus, alter centum stadijs diligentius fretus præcesserit, alter spirantes auras captando, ac fontibus umbrisq; commorando longe relinquatur. Sic & operis in agro contingit, si studium remittunt, si oscitantur, si sæpe causantur, si heres non instet, longe posthabentur his, qui seduli cernuntur. Bene autem aut male opus facere, id referet, ut recte facere, aut omnino non facere, æque censeatur. Licet enim fossores aspicere, qui plus in uineis materiæ reliquerunt, quàm rastro abstulerint, quo modo ociosum ac superuacuum opus huiusmodi non putabis? Hoc igitur pacto ocyus absumetur domus, cum magis impensa supra operis fuerit utilitatem. Nec profecto mirum, si pro diuitijs egestas postea subrepsit. Sed præceptum ante omnia pulcherrimum, uolentibus rem rusticam sequi, unde ocyus res auctior proueniat, pater meus olim monstrauit, me quoque edocuit, nunquam agrum cultum, sed eum qui ob domini sui negligentiam siue tenuitatem incultus uideatur, iussit emi: quod bene cultus ager magno ueniret, ac minimi esset redditus. Qui uero prouentus non haberet, nullo modo similem præberet uoluptatem, atque ille in quo spes sit, ut cultus melior effici possit. Nihil enim plus utilitatis, quàm locus ex inculto bene cultus tribuit. Sic igitur plures fundos plurima ferentes, ac antiqua dignos ueneratione, ipse meus pater parauit, hac tantum commutatione, quam nec ipse didicit, aut alia cogitatione adsecutus est, quàm erga rem rusticam amore pariter & labore, ut haberet quod ageret, & unà cum uoluptate caperet utilitatem. Erat enim præter omnes Athenienses agri studiosissimus. SOCRAT. Dic præterea, istos agros quos tantopere diligebat pater tuus, uendidißetne si magno potuisset? ISCHOMACHVS. Sane: sed alium e uestigio incultum emisset, ob colendi item uoluptatem.

SOCRATES. Mirum prædicas eius agriculturæ amorem, haud secus quàm mercatorum frumenti, cuius gratia nauigant quocunque, ubi audierint esse plurimum, Aegeum, Euxinum simul transfretantes pelagus, inde exportantes naui quæ ipsi aduehuntur, imponunt. Deinde cum egent pecu-

ἡμέρας τοὺς ἀνθρώπους, ῥᾳδίως τὸ ἥμισυ διαφέρει τοῦ ἔργου παντός. ὥσπερ καὶ ἐν ταῖς ὁδοιπορίαις παρὰ στάδια διακόσια ἔστιν, ὅτε τοῖς ἑκατὸν σταδίοις διήνεγκαν ἀλλήλων ἄνθρωποι τῷ τάχει ἀμφότεροι καὶ νέοι ὄντες καὶ ὑγιαίνοντες. ὅταν ὁ μὲν πράττῃ, ἐφ' ᾧπερ ὥρμηται βαδίζων. ὁ δὲ ῥᾳστωνεύῃ τῇ ψυχῇ, καὶ παρὰ κρήναις καὶ ὑπὸ σκιαῖς ἀναπαυόμενός τε καὶ θεώμενος, καὶ αὔρας θηρεύων μαλακάς. οὕτω δὲ καὶ ἐν τοῖς ἔργοις πολὺ διαφέρουσιν εἰς τὸ ἀνύτειν οἱ πράττοντες, ἐφ' ᾧπερ τεταγμένοι εἰσί, καὶ οἱ μὴ πράττοντες, ἀλλ' εὑρίσκοντες προφάσεις τοῦ μὴ ἐργάζεσθαι, καὶ ἐώμενοι ῥᾳδιουργεῖν. τὸ δὲ δὴ καὶ τὸ καλῶς ἐργάζεσθαι ἢ κακῶς ἐπιμελεῖσθαι, τοῦτο δὴ τοσοῦτον διαφέρει, ὅσον ἢ ὅλως ἐργάζεσθαι, ἢ ὅλως ἀργὸν εἶναι. ὅταν σκαπτόντων ἵνα ὕλης καθαραὶ αἱ ἄμπελοι γένωνται, οὕτω σκάπτωσιν, ὥστε πλείω καὶ καλλίω τὴν ὕλην γίγνεσθαι, πῶς οὕτως οὐκ ἀργὸν ἂν φήσαις εἶναι; τὰ οὖν συντρίβοντα τοὺς οἴκους πολὺ μᾶλλον ταῦτά ἐστιν, ἢ αἱ λίαν ἀνεπιστημοσύναι. τὸ γὰρ τὰς μὲν δαπάνας χωρεῖν ἐντελεῖς ἐκ τῶν οἴκων, τὰ δὲ ἔργα μὴ τελεῖσθαι λυσιτελούντως πρὸς τὴν δαπάνην, ταῦτα οὐκέτι δεῖ θαυμάζειν, ἐὰν ἀντὶ τῆς περιουσίας ἔνδειαν παρέχηται. τοῖς γε μέντοι ἐπιμελεῖσθαι δυναμένοις καὶ συντεταγμένοις γεωργοῦσιν, ἀνυτικωτάτην χρημάτισιν ἀπὸ γεωργίας καὶ αὐτὸς ἐπετήδευσε, καὶ ἐμὲ ἐδίδαξεν ὁ πατήρ. οὐδέποτε γὰρ εἴα χῶρον ἐξειργασμένον ὠνεῖσθαι. ἀλλ' ὅστις ἢ δι' ἀμέλειαν, ἢ δι' ἀδυναμίαν τῶν κεκτημένων καὶ ἀργὸς καὶ ἀφύτευτος εἴη, τοῦτον ὠνεῖσθαι παρῄνει. τοὺς μὲν γὰρ ἐξειργασμένους ἔφη καὶ πολλοῦ ἀργυρίου γίγνεσθαι, καὶ ἐπίδοσιν οὐκ ἔχειν. τοὺς δὲ μὴ ἔχοντας ἐπίδοσιν, οὐδὲ ἡδονὰς ὁμοίας ἐνόμιζε παρέχειν. ἀλλὰ πᾶν κτῆμα καὶ θρέμμα τὸ ἐπὶ τὸ βέλτιον ἰόν, τοῦτο καὶ εὐφραίνειν μάλιστα ᾤετο. οὐδὲν οὖν ἔχει πλείονα ἐπίδοσιν, ἢ χῶρος ἐξ ἀργοῦ πάμφορος γιγνόμενος. εὖ γὰρ ἴσθι, ἔφη, ὦ Σώκρατες, ὅτι τῆς ἀρχαίας τιμῆς πολλαπλασίου χώρους ἀξίους ἡμεῖς ἤδη ἐποιήσαμεν. καὶ τοῦτο, ὦ Σώκρατες, ἔφη, οὕτω μὲν πολλοῦ ἄξιον τὸ ἐνθύμημα, οὕτω δὲ καὶ μαθεῖν ῥᾴδιον, ὥστε νυνὶ ἀκούσας, σὺ τοῦτο ἐμοὶ ὁμοίως ἐπιστάμενος ἄπει, καὶ ἄλλον διδάξεις ἐὰν βούλῃ. καὶ ὁ ἐμὸς δὲ πατὴρ οὔτε ἔμαθε παρ' ἄλλου τοῦτο, οὔτε μεριμνῶν εὗρεν. ἀλλὰ διὰ τὴν φιλογεωργίαν καὶ φιλοπονίαν, ἐπιθυμῆσαι ἔφη τοιούτου χωρίου, ὅπως ἔχοι ὅτι ποιεῖν ἅμα καὶ ὠφελούμενος ἥδοιτο. ἦν γάρ τοι, ἔφη, ὦ Σώκρατες, φύσει ὡς ἐμοὶ δοκεῖ φιλογεωργότατος Ἀθηναίων ὁ ἐμὸς πατήρ. καὶ ἐγὼ μέντοι ἀκούσας τοῦτο, ἠρόμην αὐτόν· πότερα δέ, ὦ Ἰσχόμαχε, ὁπόσους ἐξειργάσατο χώρους ὁ πατὴρ πάντας ἐκέκτητο, ἢ καὶ ἀπεδίδοτο, εἰ πολὺ ἀργύριον εὑρίσκοι; καὶ ἀπεδίδοτο νὴ Δί', ἔφη ὁ Ἰσχόμαχος, ἀλλὰ ἄλλον τοι εὐθὺς ἀντεωνεῖτο ἀργόν, διὰ τὴν φιλεργίαν. λέγεις, ἔφην ἐγώ, ὦ Ἰσχόμαχε, τῷ ὄντι φύσει τὸν πατέρα φιλογεωργὸν εἶναι, οὐδὲν ἧσσον ἢ οἱ ἔμποροι φιλόσιτοί εἰσι. καὶ γὰρ οἱ ἔμποροι διὰ τὸ σφόδρα φιλεῖν τὸν σῖτον, ὅπου ἂν ἀκούσωσι πλεῖστον εἶναι, ἐκεῖσε πλέουσιν ἐπ' αὐτόν, καὶ Αἰγαῖον καὶ Εὔξεινον καὶ Σικελικὸν πόντον περῶντες. ἔπειτα δὲ λαβόντες ὁπόσον δύνανται πλεῖστον, ἄγουσιν αὐτὸν διὰ τῆς θαλάττης, καὶ ταῦτα εἰς τὸ πλοῖον ἐνθέμενοι, ἐν ᾧπερ αὐτοὶ πλέουσι. καὶ ὅταν δεηθῶσιν ἀργυρίου

Qui ager emendus.

ἀργυρίου, οὐκ εἰκῇ αὐτὸν ὅπου ἂν τύχωσιν ἀπέβαλον,
ἀλλ᾽ ὅπου ἂν ἀκούσωσι τιμᾶσθαί τε μάλιστα τὸν σῖτον,
καὶ περὶ πλείστου αὐτὸν ποιῶνται οἱ ἄνθρωποι, τούτοις
αὐτὸν ἄγοντες παραδιδόασι. καὶ ὁ σὸς δὲ πατὴρ, οὕτω
πως ἔοικε φιλογεωργὸς εἶναι. πρὸς ταῦτα δὲ εἶπεν ὁ ἰσχό-
μαχος· σὺ μὲν παίζεις, ἔφη, ὦ σώκρατες. ἐγὼ δὲ καὶ
φιλοικοδόμους νομίζω οὐδὲν ἧττον, οἵτινες ἂν ἀποδι-
δῶνται ἐξοικοδομοῦντες τὰς οἰκίας, εἶτ᾽ ἄλλας οἰκο-
δομῶσι. νὴ δία ἐγὼ δέ γε σοὶ ἔφην, ὦ ἰσχόμαχε, ἐπομό-
σας λέγω, ἦ μὴν πιστεύειν σοι φύσει νομίζειν φιλεῖν ταῦ-
τα πάντα, ἀφ᾽ ὧν ἂν ὠφελεῖσθαι νομίζωσιν. ἀτὰρ ἐννοῶ
γε, ἔφην, ὦ ἰσχόμαχε, ὡς εὖ τῇ ὑποθέσει ὅλον τὸν λόγον
βοηθοῦντα παρέσχηται. ὑπέθου γὰρ τὴν γεωργικὴν τέχ-
νην πασῶν εἶναι εὐμαθεστάτην. καὶ νῦν ἐγὼ ἐκ πάντων
ὧν εἴρηκας, τοῦτο οὕτως ἔχειν παντάπασιν ὑπὸ σοῦ ἀνα-
πέπεισμαι. νὴ δί᾽, ἔφη ὁ ἰσχόμαχος· ἀλλὰ τὸ δέ τοι, ὦ
σώκρατες, τὸ πάσαις κοιναῖς ταῖς πράξεσι, καὶ γεωρ-
γικῇ καὶ πολιτικῇ, καὶ οἰκονομικῇ, καὶ πολεμικῇ, τὸ
ἀρχικὸν εἶναι. τοῦτο δὴ συνομολογῶ σοι ἐγὼ, πολὺ διαφέ-
ρειν γνώμῃ τοὺς ἑτέρους τῶν ἑτέρων. οἷον καὶ ἐν τριήρει
ἔφη ὅταν πελαγίζωσι καὶ δέῃ περᾶν ἡμερινοὺς πλοῦς
ἐλαύνοντας. οἱ μὲν τῶν κελευστῶν δύνανται τοιαῦτα λέ-
γειν καὶ ποιεῖν, ὥστε ἀκονᾶν τὰς ψυχὰς τῶν ἀνθρώπων,
ἐπὶ τὸ ἐθελοντὰς πονεῖν. οἱ δὲ οὕτως ἀγνώμονές εἰσιν, ὥσ-
τε πλέον ἢ ἐν διπλασίῳ χρόνῳ τὸν αὐτὸν ἀνύτουσι πλοῦν,
καὶ οἱ μὲν ἱδροῦντες καὶ ἐπαινοῦντες ἀλλήλους, ὅ τε κε-
λεύων, καὶ οἱ πειθόμενοι ἐκβαίνουσιν, οἱ δὲ ἀνιδρωτὶ
ἥκουσι, μισοῦντες τὸν ἐπιστάτην καὶ μισούμενοι. καὶ τῶν
στρατηγῶν ταύτῃ διαφέρουσιν, ἔφη, οἱ ἕτεροι τῶν ἑτέ-
ρων. οἱ μὲν γὰρ οὔτε πονεῖν ἐθέλοντας οὔτε κινδυνεύειν
παρέχονται πείθεσθαί τε οὐκ ἀξιοῦντας οὐδ᾽ ἐθέλοντας,
τὸ μὴ ἀνάγκη ἦ. ἀλλὰ καὶ μεγαλυνομένους ἐπὶ τῷ ἐν-
αντιοῦσθαι τῷ ἄρχοντι. οἱ δὲ αὐτοὶ οὔτε ἐπαισχύνεσθαι
ἐπισταμένους παρέχουσιν, ἤν τι τῶν αἰσχρῶν συμβαίνῃ.
οἱ δ᾽ αὖ θεῖοι καὶ ἀγαθοὶ ἐπιστήμονες ἄρχοντες τοὺς αὐτοὺς
τούτους, πολλάκις δὲ καὶ ἄλλους παραλαμβάνοντες, αἰσχυνο-
μένους τε ἔχουσιν, αἰσχρόν τι ποιεῖν, καὶ πείθεσθαι οἰο-
μένους βέλτιον εἶναι, καὶ ἀγαλλομένους τῷ πείθεσθαι ἕνα
ἕκαστον, καὶ σύμπαντας πονεῖν ὅταν δεήσῃ, οὐκ ἀθύμως
πονοῦντες. ἀλλ᾽ ὥσπερ ἰδιώταις ἔστιν, οἷς ἐγγίγνεταί φι-
λοπονία τις, οὕτω καὶ ὅλῳ τῷ στρατεύματι ὑπὸ τῶν ἀγα-
θῶν ἀρχόντων ἐγγίγνεται, καὶ τὸ φιλοπονεῖν καὶ τὸ φιλοτι-
μεῖσθαι ὀφθῆναι, καλόν τι ποιοῦντας ὑπὸ τοῦ ἄρχοντος.
πρὸς ὅντινα δ᾽ ἂν ἄρχοντα διατεθῶσιν οὕτως οἱ ἑπόμενοι,
οὗτοι δὴ ἐρρωμένοι γε ἄρχοντες γίγνονται, οὐ μὰ δί᾽ οὐχ
οἳ ἂν αὐτῶν ἄριστα τὸ σῶμα τῶν στρατιωτῶν ἔχωσι καὶ
ἀκοντίζωσι καὶ τοξεύωσιν ἄριστα, καὶ ἵππον ἔχοντες
ἄριστον, ὡς ἱππικώτατα ἢ πελταστικώτατα προκινδυ-
νεύουσιν, ἀλλ᾽ οἳ ἂν δύνωνται ἐμποιῆσαι τοῖς στρατιώ-
ταις ἀκολουθητέον εἶναι, καὶ διὰ πυρὸς καὶ διὰ παντὸς κιν-
δύνου, τούτους δὴ δικαίως ἄν τις καλοίη μεγαλογνώ-
μονας, ᾧ ἂν ταῦτα γιγνώσκοντες πολλοὶ ἕπωνται, καὶ με-
γάλῃ χειρὶ εἰκότως οὗτος λέγοιτο πορεύεσθαι, ὃ ἂν τῇ
γνώμῃ, πολλαὶ χεῖρες ὑπηρετεῖν ἐθέλωσι. καὶ μέγας τῷ
ὄντι οὗτος ἀνὴρ, ὃς ἂν μεγάλα δύνηται, γνώμῃ διαπρά-
ξασθαι μᾶλλον ἢ ῥώμῃ. οὕτω δὲ καὶ ἐν τοῖς ἰδίοις ἔργοις. αὖ
τι

pecunia, uendunt ubi putauerint maximo uenire. ISCHOMACHVS. Iocaris. Ego autem existimo domus amantem non minus censeri qui domum aedificat, deinde uendit, ac rursus alias exaedificat. SOCRA. In istam etiam sententiam Ischomache penitus adducor, ut arbitrer natura quenq; id potissimũ diligere, unde utilitatem speret. Deniq; considero quantum ueritatis ex argumento tuo professor praestiuisti. Proposueras enim rei rusticae artem facile omnibus patere, quod ego à te nunc persuasus atq; edoctus plane animaduerti. IS. Est adhuc aliud Socrates difficilius, quod sane commune uidetur cunctis mortalium actionibus, & agricultura & politicae & oeconomicae, scire uidelicet hominibus imperare. In huius artis cognitione maxime dixerim homines inter se differre, ac alteri alterũ praestare. Quemadmodum uidemus in triremi, cuius remiges gubernator ita uerbis animabit, ut alacres ac ludibundi quocunq; ille iusserit celeriter perueniãt. Alij uero ignauum nacti magistrum altero tanto uix temporis spacio segniter ac summo eius odio eundem cursum absoluerint. Similis item est belli ducibus ratio. Nam ut priuatim cuiq; innatus quidam agendi amor, ita & toti exercitui sub strenuo Imperatore alacritas quaedam ad eas res nauandas, quae ab ipso spectante probari ac laudem referre possint, erga quem ipsi afficiuntur. Sic igitur fortem, sic magnanimum appellamus ducem, etiam si corporis uiribus deficiat, aut arcum tendere, uel hastã intorquere ignorauerit, seu etiam equo insidens bellatore, aut peltatus sese periculis obijcere supersederit, si tantum praesentis animo ac eloquentiae uiribus utatur ad excitandam militum audaciam, ut obtemperare, ac se per medios hostium ignes offerre uelint: hoc pacto magna militum manus esse sub eodem dicitur, non tam numero quàm animo praesenti. Eodem ferme modo & in priuatis negocijs, si ue cu

ne curator, siue præfectus, seu uillicus, q ad opus queat prōptos ac animo destinato deducere homines, is maxime mihi uidetur rē præclarā præstare, tū facultates dominis augere, præsertim si ex operarijs quenq; ignauū plectat, impigrū uero extollat. Ego uero illū cuius præsentiā subditi nō uerētur, nunq̄ admirabor: sed quo uiso moueātur, terreātur, ad laudē se inuicē exhortētur, hūc regiæ indolis aliqd habere putauerim. Est igitur hoc opus, ut supra diximus, in primis magnū atque arduū, cū in cūctis rebus quas homines acturi sunt, tū in ipsa agricultura: neq; ad cōsequendū semel uidisse, neq; audiuisse sat fuerit, sed disciplina opus erit et pfecta natura: qppe cū diuinū potius q̄ humanū esse sit putandū uolūtarijs imperare. Nā ijs oēs manifesto parēt, q uera atq; pfecta sint præditi modestia: apud inuitos uero tyrannidē exercere his tantū tribuūt, ut mihi uidetur, q Tātali uitā uiuere sunt digni apud inferos, in lucē ne iterum [illegible] redire formidātis.

τι ἐπίτροπος ἢ ὁ ἐπιστάτης, ἄν τε καὶ ὁ ἐπιστάτης δὲ δύνηται, προθύμους καὶ ἐντεταγμένους παρέχεσθαι εἰς τὸ ἔργον καὶ συνεχεῖς, οὗτοι δὴ οἱ ἀνύτοντές εἰσιν ἐπὶ τἀγαθὰ, καὶ πολλὴν τὴν περιουσίαν ποιοῦντες. τὸν γε δεσπότην ἐπιφανέντα, ὦ Σώκρατες, ἔφη, ἐπὶ τὸ ἔργον, ὅστις δύναται, καὶ μέγιστα βλάψαι τὸν κακὸν τῶν ἐργατῶν, καὶ μέγιστα τιμῆσαι τὸν πρόθυμον, εἰ μηδὲν ἐπίδηλον ποιήσουσιν οἱ ἐργάται, ἐγὼ μὲν αὐτὸν οὐκ ἂν ἀγαίμην, ἀλλ᾽ ὃν ἂν ἰδόντες κινηθῶσι, καὶ μένος ἑκάστῳ ἐμπέσῃ τῶν ἐργατῶν καὶ φιλονεικία πρὸς ἀλλήλους, καὶ φιλοτιμία κρατίστη οὖσα ἑκάστῳ, τοῦτον ἐγὼ φαίην ἂν ἔχειν τι ἤθους βασιλικοῦ. καὶ ἔστι τοῦτο μέγιστον ὡς ἐμοὶ δοκεῖ, ἐν παντὶ ἔργῳ, ὅπου τί δι᾽ ἀνθρώπων πράττεται. καὶ ἐν γεωργίᾳ δὲ οὐ μέντοι μὰ Δία τοῦτό γε ὅτι ἐγὼ λέγω ἰδόντα μαθεῖν εἶναι, οὐδ᾽ ἅπαξ ἀκούσαντα. ἀλλὰ καὶ παιδείας δεῖν φημι, τῷ ταῦτα μέλλοντι δυνήσεσθαι. καὶ φύσεως ἀγαθῆς ὑπάρξαι, καὶ τὸ μέγιστον δὴ θεῖον γενέσθαι. οὐ γὰρ πάνυ μοι δοκεῖ, ὅλον τουτὶ τὸ ἀγαθὸν ἀνθρώπινον εἶναι, ἀλλὰ θεῖον τὸ ἐθελόντων ἄρχειν σαφῶς. φείδονται τοῖς ἀληθινῶς σωφροσύνῃ τετελεσμένοις. τὸ δὲ ἀκόντων τυραννεῖν, διδόασιν ὡς ἐμοὶ δοκεῖ, οὓς ἂν ἡγῶνται ἀξίους εἶναι βιοτεύειν, ὥσπερ ὁ Τάνταλος ἐν ᾅδου λέγεται τὸν ἀεὶ χρόνον διατρίβειν, φοβούμενος μὴ δὶς ἀποθάνῃ.

AD SAPIENTISSIMVM AC SANCTVM VIRVM D. NICOLAVM S. R. ECCLESIAE CARDINALEM, FRANCISCI PHILELPHI præfatio, in Xenophontis orationem de regis Agesilai Lacedæmoniorum laudibus.

ADMONVIT me superior Lacedæmoniorum respublica, quam à sapientissimo Lycurgo illo constitutam Socraticus Xenophon immortalitati literarum cōmendarat, ut & Agesilai laudationem, quam idem disertissime ac pene diuine scriptitasset, ad latinos traducerem. Idq; quum ob alias item rationes factum est, humanissime pater, tum ob eam potissimum, ut quod ipse per se scire noscis, cæteri non ignorent, solere ex bonis & institutis & legibus uiros etiam effici meliores clarioresq;. Itaq; Agesilaus ipse Spartiatarum rex cum Lycurgi instituta die noctéq; animo uolutaret, atq; singula eius non facta modo, uerumetiam dicta crebra meditatione studioq; tractaret, id est pro singulari sua tum sapientia, tum animi magnitudine consequutus, ut & patriæ maximopere prodesset, & generositatis nomen suo nomini uendicaret. Accedit ad rem, quod rebus te priscis delectari, illisq; clarissimis, non me præterit. Etenim ingenuus animus & excelsus, magnarum item illustriumq; rerum suauitate perfunditur. Maiorum quidem laudationes sunt præmia uirtutis, & recte faciundi propo sita posteris exempla quædam. Quis enim omnium est, qui cum summam iustitiam, insignem prudentiam, sapientiam singularem, egregiam præterea animi grauitatem, constantiam, modestiam, continentiam, humanitatem, magnificentiam, comitatem, gratitudinem, pietatem, ac omnis denique uirtutum cœtus in Agesilao floruisse perspexerit, non & illum uel mortuum mirifice diligat, eamq; mente uoluptatem percipiat, qua nulla sit prope iucundior, nulla maior? Quod cum omnibus audire pergratum sit, longe his tamen & gratius arbitror & suauius, qui uelut tu, Pater modestissime, immortales uirtutes tuas in aliorū uirtutibus memorari simul & laudari cognouerint. Nos uero qui probitatis nomē atq; splendorem quasi tyrones appetimus, perinde ac si ideā aliquam intuemur uos tales uiros, & imitari cogimur. Sed in hac traductione id mihi molestum fuit, quod non huiusmodi hæc oratio diuina apud nostros appareat, qualis apud Græcos effulget, & tanquam sol aliquis irradiat. Quis enim musam Atticam (ita nāq; Xenophontem prisci cognominarunt) dicendo apud nostros expresserit? Quis talem hanc Agesilai laudationem, quam ipse etiam eloquentiæ deus Cicero, pluribus in locis & unice laudauit, & maiorem in modum admiratus est, ulla dicendi arte, ullo ingenio, ulla demum exercitatione, pro dignitate interpretari se posse uel crediderit, uel sperarit? Et si quis fortasse id se posse dixerit, hoc certe de me fateri facinus esse dixerim. Proinde omnes norint, fendi modo, si quid aliud limatius politiusue apparuerit, Xenophontis illius esse, dictionem autem nostram: & ingeniū & peritiā interpreti potius, q̄ fidem & diligentiā defuisse. Vale.

ΞΕΝΟΦΩΝΤΟΣ ΡΗΤΟΡΟΣ ΛΟΓΟΣ ΕΙΣ ΑΓΗΣΙΛΑΟΝ ΤΟΝ Βασιλέα.

Οἶδα μὲν ὅτι τῆς ἀγησιλάου ἀρετῆς τε καὶ δόξης, οὐ ῥᾴδιον ἄξιον ἔπαινον γράψαι, ὅμως δ' ἐγχειρητέον. οὐ γὰρ ἂν καλῶς ἔχοι, εἰ ὅτι τέλεος ἀνὴρ ἀγαθὸς ἐγένετο, διὰ τοῦτον οὐδὲ μειόνων ἂν τυγχάνοι ἐπαίνων. περὶ μὲν οὖν εὐγενείας αὐτοῦ, τί ἄν τις μεῖζον καὶ κάλλιον εἰπεῖν ἔχοι, ἢ ὅτι ἔτι καὶ νῦν τοῖς προγόνοις ὀνομαζομένοις ἀπομνημονεύεται ὁπόστος ἀφ' ἡρακλέους ἐγένετο. καὶ τούτοις οὐκ ἰδιώταις, ἀλλ' ἐκ βασιλέων βασιλεῦσιν. ἀλλὰ μὴν οὐδὲ ταύτῃ γ' ἄν τις ἔχοι καταμέμψασθαι αὐτούς, ὡς βασιλεύουσι μὲν, πόλεως δὲ τῆς ἐπιτυχούσης. ἀλλ' ὥσπερ τὸ γένος αὐτῶν τῆς πατρίδος ἐντιμότατον, οὕτω καὶ ἡ πόλις ἐν τῇ ἑλλάδι ἐνδοξοτάτη. ὥστε οὐ δευτέρων πρωτεύουσιν, ἀλλ' ἡγεμόνων ἡγεμονεύουσι. τῇδέ γε μὴν καὶ κοινῇ ἄξιον ἐπαινέσαι τήν τε πατρίδα καὶ τὸ γένος αὐτοῦ. οὔτε γὰρ πόλις οὐδεπώποτε φθονήσασα τοῦ προτετιμῆσθαι αὐτοὺς ἐπεχείρησε καταλῦσαι τὴν ἀρχὴν αὐτῶν, οἵ τε βασιλεῖς οὐδεπώποτε μειζόνων ὠρέχθησαν ἢ ἐφ' οἷσπερ ἐξ ἀρχῆς τὴν βασιλείαν παρέλαβον. τοιγαροῦν ἄλλη μὲν οὐδεμία ἀρχὴ φανερά ἐστι διαγεγενημένη ἀδιάσπαστος, οὔτε δημοκρατία, οὔτε ὀλιγαρχία, οὔτε τυραννίς, οὔτε βασιλεία. αὕτη δὲ μόνη διαμένει συνεχὴς βασιλεία. ὥς γε μὴν καὶ πρὶν ἄρξαι ἄξιος τῆς βασιλείας ἐδόκει εἶναι ἀγησίλαος, τάδε τὰ σημεῖα. ἐπεὶ γὰρ ἆγις βασιλεὺς ὢν ἐτελεύτησεν, ἐρισάντων περὶ τῆς ἀρχῆς λεωτυχίδα μὲν, ὡς ἄγιδος ὄντος υἱοῦ, ἀγησιλάου δὲ ὡς ἀρχιδάμου, κρίνασα ἡ πόλις ἀνεπικλητότερον εἶναι ἀγησίλαον καὶ τῷ γένει καὶ τῇ ἀρετῇ, τοῦτον ἐστήσατο βασιλέα. καίτοι τὸ ἐν τῇ κρατίστῃ πόλει ὑπὸ τῶν ἀρίστων κριθέντα τοῦ καλλίστου γέρως ἀξιωθῆναι, ποίων ἔτι τεκμηρίων προσδεῖται τῆς γε πρὶν ἄρξαι αὐτοῦ ἀρετῆς; ὅσα γε μὴν ἐν τῇ βασιλείᾳ διεπράξατο, νῦν διηγήσομαι. ἀπὸ γὰρ τῶν ἔργων καὶ τοὺς τρόπους αὐτοῦ κάλλιστα νομίζω καταδήλους ἔσεσθαι. ἀγησίλαος τοίνυν ἔτι μὲν νέος ὢν ἔτυχε τῆς βασιλείας. ἄρτι δὲ ὄντος αὐτοῦ ἐν τῇ ἀρχῇ, ἐξηγγέλθη βασιλεὺς ὁ περσῶν ἀθροίζων καὶ ναυτικὸν καὶ πεζὸν πολὺ στράτευμα, ὡς ἐπὶ τοὺς ἕλληνας. βουλευομένων δὲ περὶ τούτων λακεδαιμονίων καὶ τῶν συμμάχων, ἀγησίλαος ὑπέστη, ἐὰν δῶσιν αὐτῷ πεντήκοντα μὲν σπαρτιατῶν, δισχιλίους δὲ νεοδαμώδεις, εἰς ἑξακισχιλίους δὲ τὸ σύνταγμα τῶν συμμάχων, διαβήσεσθαι εἰς τὴν ἀσίαν, καὶ πειράσεσθαι εἰρήνην ποιῆσαι, ἢ ἂν πολεμεῖν βούληται ὁ βάρβαρος, ἀσχολίαν αὐτῷ παρέξειν στρατεύειν ἐπὶ τοὺς ἕλληνας. εὐθὺς μὲν οὖν πολλοὶ πάνυ ἠγάσθησαν, αὐτὸ τοῦτο ἐπιθυμῆσαι, ἐπειδὴ ὁ πέρσης πρόσθεν ἐπὶ τὴν ἑλλάδα διέβη, ἀντιδιαβῆναι ἐπ' αὐτόν. τό τε αἱρεῖσθαι ἐπιόντα μᾶλλον ἢ ὑπομένοντα μάχεσθαι αὐτῷ. καὶ τὸ τἀκείνου δαπανῶντα βούλεσθαι μᾶλλον ἢ τὰ τῶν ἑλλήνων πολεμεῖν. κάλλιστον δὲ πάντων ἐκρίνετο

μὴ

XENOPHONTIS DE AGESILAI REGIS LACEDAEMONIORUM LAUDIB. oratio, Franc. Phil. interp.

QVANQVAM nescius certe nō sum Agesilai tum uirtutem, tum gloriā, non facile scribēdo laudari pro dignitate posse, nihilo tamen minus id mihi muneris aggrediendū existimaui. Nō enim recte se res habeat, si quoniā ad summū usq; uir probus fuerit, eo non nisi summis cū laudib. prosequi liceat. De ipsius igitur generis claritudine, quid aut maius aut pulchrius dicere quisquā queat, q̄, quod etiā & hoc tēpore celebratur, quotus maxime inter illustres maiores suos ab ipso usq; Hercule extiterit: neq; illos quidē priuatos homines, sed ex regib. natos, et ipsos reges? Atqui neq; hoc eos quisquā uituperarit, quod imperāt illi quidē, sed obscuræ cuiq; uulgariq; urbi imperant. Quin ueluti ipsorū genus cæteros suæ patriæ antecit, ita et urbs ipsa in Græcia in primis floret: quare nō in secundis principatū seruāt, sed ipsis in ducib. plane præsunt. Sic igitur ipsius unà et patria et genus laudetur oportet. Nā neq; ciuitas illorū unquā honori inuidēs, suū rescindere regnū molita est: neq; reges maiora q̄ ab imperādi acceperāt initijs, unquā cupierunt. At neq; ullus unquā alius principatus neq; in populari, neq; in paucorū, neq; in tyrannico, neq; in regio dominatu firmus omnino incōcussusq; pdurauit, hoc uero solum imperiū perpetuū permanet. Quod aūt Agesilaus antequam regnare occœpisset, dignus esse regno uidebatur, hæc sunt argumēta. Nā posteaq̄ Agis rex diē obijt, Leotychida Agesilaoq; de imperio cōtendentib. altero quidē ut Agidis, hoc uero ut Archidami filio: ubi Agesilaū ciuitas tū genere, tū uirtute illustriorē esse dijudicasset, hūc regē decreuit, atq; potentissima in urbe honore pulcherrimo à uiris optimatib. insignitū: qb. etiā cōiecturis apparet, quāta is cū adhuc priuatus esset, uirtute claruerit. Quæ uero gesta in impio ab illo sunt, iā eloquar omnia. Ex ipsis etenim reb. gestis, puto etiā eius mores pulcherrime declaratū iri. Agesilaus cū iuuenis adhuc esset, rex creatur. Qui cū modo regnare cœpisset, nunciatur Persarū regē pmagnas cogere aduersus Græcos nauales ac pedestres copias: qb. de reb. Lacedæmonijs simul et socijs cōsultantib. suggerit Agesilaus, pollicetur q; , si ex Spartiatis dederint sibi quinquaginta uiros, et ex reliquo libero pplo tria millia, ex socijs aūt ad sex millia, se in Asiā traiecturū, periculūq; facturū cōstituendæ pacis: uel si bellū Barbarus maluerit, negociū ei præbiturū quo minus in Græcos expeditiones agat. Itaq; pmulti cōtinuo illū admirabantur, q, hoc ipsum cōcupierit, antequā Perses in Græciā trāsmiserit, aduersus eū traijcere, et eligeret potius ut occurrēs, q̄ ut sustinens ei repugnaret, malletq; ut illius q̄ Græcorum cōsumendo belligeraret. Id autem omnium pulcherrimū iudicabatur, quod

non

non de Græcis certamen, sed de Asia constitueret. Itaq; posteaquam assumptis copijs enauigasset, qui clarius ostendere quisquam posßit, an rem militarem prudenter & scite gesserit, quam si eius res gestas enarrarit? Hæc ergo prima eius in Asia gesta sunt. Tissaphernes quidem Agesilao iuratus est, si inducias secum fecerit ad nunciorum usq; reditum, quos ad regem mitteret, sane efficeret quo Græciæ in Asia urbes muterentur. Agesilaus uero contra iuratus est, fœdera sese sine dolo ad tris usq; menses obseruaturum. Sed Tissaphernes quæ iurarat ementitur. Nam pro faciunda pace, magnum præter eum quem prius habebat exercitum aduocauit à rege. quæ Agesilaus tametsi accepisset, in fœderibus tamen perstitit. Atq; hoc primum recte gestum ab illo existimo, quod & Tissaphernem periurum ostendens, reddidit infidum omnibus: & se contra primum iusiurandi obseruatorem, tamen nihil contra fœdera mentientem demonstrans, efficit ut & Græci & barbari audacter secum si quid ipse uellet conuenirent. Cum uero Tissaphernes ob deductum exercitum plurimum elatus, animo bellum Agesilao indixisset, ubi minus ex Asia abiret, cum alij socij, tum ipsi qui aderant Lacedæmonij, & uehementer manifesteq; angebantur, utpote qui putarent præsentes Agesilai utres regis apparatu minoris esse. Sed Agesilaus læta admodum fronte nunciare Tissapherni oratores iußit, se illi permultas habere gratias, quod usus periurio sibi quidem immortalis deos hostes reddidisset, Græcis autem socios effecisset. Deinde uero extemplo milites ut se ad bellandum parent monet, exhortaturq;: & urbibus Cariæ, quas aduersus barbaros bellaturus petere cogebatur, commeatum iubet. Scripsit præterea & Ionibus & Aeolijs et Hellespontijs, ut ad se Ephesum auxilia mitterent. Tissaphernes autem, tum quoniam Agesilaus equitem non haberet, Caria uero est equitatu difficilis: tum quia eum contra sese propter fraudem iratum opinabatur, non absurde ratus contra suam domum facturum illum in Cariam impetum, omnes pedestres copias illuc transportauit, equites uero ad campos Mæandri circumduxit. Censebat enim se satis posse Græcos equite obruere, priusquam ad difficiles locos illos peruenirent. At Agesilaus non in Cariam, sed illico inde uersus in Phrygiam pergit: & qui in itinere exercitus occurrebant assumens, omnium dux & urbes diruit, & insperato adorsus pergrandes pecunias capit. Dignum & hoc quoq; disciplina rei militaris usum est, quod posteaquam bellum indictum est, ac decipere fasq; & ius ex illis fuit, puerum Tissaphernem decipiendo demonstrauit, amicos autem prudenter locupletare usus est. Nam cum ob multarum prædam rerum omnia pariter uili precio uenirent, admonuit amicos ut emerent, inquiens se propediem ad mare cum exercitu descensurum. His uero qui prædam uenundarent, iußit ut scribentes quanti quid emerint, res illis traderent: quare neque quicquam eius amici prius persoluentes, neq; rempublicam detrimento afficientes, cuncti quam

μὴ περὶ τῆς Ἑλλάδος, ἀλλὰ περὶ τῆς Ἀσίας τὸν ἀγῶνα καθιστάναι. ἐπεί γε μὴν λαβὼν τὸ στράτευμα ἐξέπλευσε, πῶς ἄν τις σαφέστερον ἐπιδείξειεν ὡς ἐστρατήγησεν, ἢ εἰ αὐτὰ διηγήσαιτο ἃ ἔπραξεν. ἐν τοίνυν τῇ Ἀσίᾳ ἥδε πρώτη πρᾶξις ἐγένετο. Τισσαφέρνης μὲν ὤμοσεν Ἀγησιλάῳ, εἰ σπείσαιτο ἕως ἔλθοιεν οὓς πέμψειε πρὸς βασιλέα ἀγγέλους, διαπράξεσθαι αὐτῷ ἀφεθῆναι αὐτονόμους τὰς ἐν τῇ Ἀσίᾳ πόλεις Ἑλληνίδας. Ἀγησίλαος δὲ ἀντώμοσε σπονδὰς ἄξειν ἀδόλως, ὁρισάμενος τῆς πράξεως τρεῖς μῆνας. ὁ μὲν δὴ Τισσαφέρνης ἃ ὤμοσεν εὐθὺς ἐψεύσατο. ἀντὶ γὰρ τοῦ εἰρήνην πράσσειν, στράτευμα πολὺ παρὰ βασιλέως πρὸς ᾧ πρόσθεν εἶχε, μετεπέμπετο. Ἀγησίλαος δὲ καίπερ αἰσθόμενος ταῦτα, ὅμως ἐνέμεινε ταῖς σπονδαῖς. ἐμοὶ οὖν τοῦτο πρῶτον καλὸν δοκεῖ διαπράξασθαι, ὅτι Τισσαφέρνην μὲν ἐμφανίσας ἐπίορκον ἄπιστον πᾶσιν ἐποίησεν, ἑαυτὸν δ' ἀντεπιδείξας πρῶτον μὲν ὅρκους ἐμπεδοῦντα, ἔπειτα συνθήκας μὴ ψευδόμενον, πάντας ἐποίησε καὶ Ἕλληνας καὶ βαρβάρους συντίθεσθαι αὐτῷ εἴ τι βούλοιτο. ἐπεὶ δὲ μέγα φρονήσας ὁ Τισσαφέρνης ἐπὶ τῷ καταβάντι στρατεύματι, προεῖπεν Ἀγησιλάῳ πόλεμον, εἰ μὴ ἀπίοι ἐκ τῆς Ἀσίας, οἱ μὲν ἄλλοι σύμμαχοι καὶ Λακεδαιμονίων οἱ παρόντες μάλα ἀχθεσθέντες φανεροὶ ἐγένοντο, νομίζοντες μείονα τὴν παροῦσαν δύναμιν Ἀγησιλάῳ τῆς βασιλέως παρασκευῆς εἶναι. Ἀγησίλαος δὲ μάλα φαιδρῷ τῷ προσώπῳ ἀπαγγεῖλαι τῷ Τισσαφέρνει τοὺς πρέσβεις ἐκέλευσεν, ὡς πολλὴν χάριν αὐτῷ ἔχοι ὅτι ἐπιορκήσας αὐτὸς μὲν πολεμίους τοὺς θεοὺς ἐκτήσατο, τοῖς δὲ Ἕλλησι συμμάχους ἐποίησεν. ἐκ δὲ τούτου εὐθὺς τοῖς μὲν στρατιώταις παρήγγειλε συσκευάζεσθαι ὡς εἰς στρατείαν· ταῖς δὲ πόλεσιν εἰς ἃς ἀνάγκη ἦν ἀφικνεῖσθαι στρατευομένῳ ἐπὶ Καρίαν προεῖπεν ἀγορὰν παρασκευάζειν. ἐπέστειλε δὲ καὶ Ἴωσι, καὶ Αἰολεῦσι, καὶ Ἑλλησποντίοις πέμπειν πρὸς αὐτὸν εἰς Ἔφεσον τοὺς συστρατευσομένους. ὁ μὲν οὖν Τισσαφέρνης καὶ ὅτι ἱππικὸν οὐκ εἶχεν ὁ Ἀγησίλαος, ἡ δὲ Καρία ἄφιππος ἦν, καὶ ὅτι ἡγεῖτο αὐτὸν ὀργίζεσθαι αὐτῷ διὰ τὴν ἀπάτην, τῷ ὄντι νομίσας ἐπὶ τὸν αὐτοῦ οἶκον εἰς Καρίαν ὁρμήσειν αὐτόν, τὸ μὲν πεζὸν ἅπαν διεβίβασεν ἐκεῖσε, τὸ δὲ ἱππικὸν εἰς τὸ Μαιάνδρου πεδίον περιήγαγε, νομίζων ἱκανὸς εἶναι καταπατῆσαι τῷ ἱππικῷ τοὺς Ἕλληνας, πρὶν εἰς τὰ δύσιππα ἀφικέσθαι. ὁ δὲ Ἀγησίλαος ἀντὶ τοῦ ἐπὶ Καρίαν ἰέναι, εὐθὺς ἀντιστρέψας ἐπὶ Φρυγίαν ἐπορεύετο. καὶ τάς τε ἐν τῇ πορείᾳ ἀπαντώσας δυνάμεις ἀναλαμβάνων ἦγε, καὶ τὰς πόλεις κατεστρέφετο, καὶ ἐμβαλὼν ἀπροσδοκήτως, παμπληθῆ χρήματα ἔλαβε. στρατηγικὸν οὖν καὶ τοῦτο ἐδόκει διαπράξασθαι, ὅτι ἐπεὶ πόλεμος προερρήθη, καὶ τὸ ἐξαπατᾶν ὅσιόν τε καὶ δίκαιον ἐξ ἐκείνου ἐγένετο, παῖδα ἀπέδειξε τὸν Τισσαφέρνην τῇ ἀπάτῃ. φρονίμως δὲ καὶ τοὺς φίλους ἐνταῦθα ἔδοξε πλουτίσαι. ἐπεὶ γὰρ διὰ τὸ πολλὰ χρήματα εἰλῆφθαι ἀντίπροικα τὰ πάντα ἐπωλεῖτο, τοῖς μὲν φίλοις προεῖπεν ὠνεῖσθαι, εἰπών, ὅτι καταβήσοιτο ἐπὶ θάλασσαν ἐν τάχει τὸ στράτευμα κατάγων. τοὺς δὲ λαφυροπώλας ἐκέλευσε γραφομένους ὁπόσου τι πρίαιντο, προΐεσθαι τὰ χρήματα. ὥστε οὐδὲν προτελέσαντες οἱ φίλοι αὐτοῦ, οὐδὲ τὸ δημόσιον βλάψαντες, πάντες

παμπληθῆ

παμπληθῆ χρήματα ἔλαβον. ἔτι δὲ ὁπότε αὐτόμολοι ὡς ἐπὶ τὸν βασιλέα ἰόντων, χρήματα ἐθέλειν ὑφηγεῖσθαι, καὶ ταῦτα ἐπεμέλετο ὡς διὰ τῶν φίλων ἁλίσκοιεν, ὅπως ἅμα μὲν χρηματίζοιντο, ἅμα δ' ἐνδοξότεροι γίγνοιντο. διὰ μὲν δὴ ταῦτα εὐθὺς πολλοὺς ἐραστὰς τῆς αὐτοῦ φιλίας ἐποιήσατο. γιγνώσκων δ' ὅτι ἡ μὲν πορθουμένη καὶ ἐρημουμένη χώρα οὐκ ἂν δύναιτο πολὺν χρόνον στράτευμα φέρειν, ἡ δ' οἰκουμένη μὲν, σπειρομένη δὲ ἀένναον ἂν τὴν τροφὴν παρέχοι, ἐπεμέλετο οὐ μόνον τοῦ βίᾳ χειροῦσθαι τοὺς ἐναντίους, ἀλλὰ καὶ τοῦ πρᾳότητι προσάγεσθαι. καὶ πολλάκις μὲν προηγόρευε τοῖς στρατιώταις, τοὺς ἁλισκομένους μὴ ὡς ἀδίκους τιμωρεῖσθαι, ἀλλ' ὡς ἀνθρώπους ὄντας φυλάττειν. πολλάκις δὲ ὁπότε μεταστρατοπεδεύοιτο, εἰ αἴσθοιτο καταλελειμμένα παιδάρια μικρὰ ἐμπόρων, ἃ πολλοὶ ἐπώλουν διὰ τὸ νομίζειν μὴ δύνασθαι ἂν φέρειν αὐτὰ καὶ τρέφειν, ἐπεμέλετο καὶ τούτων ὅπως συγκομίζοιντό ποι. τοῖς δ' αὖ διὰ γῆρας καταλειπομένοις αἰχμαλώτοις προσέταττεν ἐπιμελεῖσθαι αὐτῶν, ὡς μήτε ὑπὸ κυνῶν, μήθ' ὑπὸ λύκων διαφθείροιντο. ὥστε οὐ μόνον οἱ πυνθανόμενοι ταῦτα, ἀλλὰ καὶ αὐτοὶ οἱ ἁλισκόμενοι εὐμενεῖς αὐτῷ ἐγίγνοντο. ὁπόσας δὲ πόλεις προσαγάγοιτο, ἀφαιρῶν αὐτῶν ὅσα δοῦλοι δεσπόταις ὑπηρετοῦσι, προσέταττεν ὅσα ἐλεύθεροι ἄρχουσι πείθονται. καὶ τῶν κατακράτος ἀναλώτων τειχέων, τῇ φιλανθρωπίᾳ ὑπὸ χεῖρας ἐποιεῖτο. ἐπεὶ μέντοι οὐδὲ τὰ πεδία οὐδὲ ἐν τῇ Φρυγίᾳ ἐδύνατο στρατεύεσθαι διὰ τὴν Φαρναβάζου ἱππείαν, ἔδοξεν αὐτῷ ἱππικὸν κατασκευαστέον εἶναι, ὡς μὴ δραπετεύοντα πολεμεῖν δέοι αὐτόν. τοὺς μὲν οὖν πλουσιωτάτους τῶν ἐκεῖ πόλεων ἱπποτροφεῖν κατέλεξε. προεῖπε δὲ, ὅστις παρέχοι ἵππον καὶ ὅπλα, καὶ ἄνδρα δόκιμον, ὡς ἐξέσοιτο αὐτῷ μὴ στρατεύεσθαι. καὶ ἐποίησεν οὕτως ἕκαστον προθύμως μαστεύειν. ἔταξε δὲ καὶ πόλεις ἐξ ὧν δέοι τοὺς ἱππέας παρασκευάζειν, νομίζων ἐκ τῶν ἱπποτρόφων πόλεων, εὐθὺς καὶ φρονηματίας μάλιστα ἂν εἶναι τῇ ἱππικῇ γενέσθαι. καὶ τοῦτ' οὖν ἀγαστῶς ἔδοξε πρᾶξαι, ὅτι κατεσκεύαστο τὸ ἱππικὸν αὐτῷ, καὶ εὐθὺς ἐρρωμένον ἦν καὶ ἐνεργόν. ἐπειδὴ δὲ ἔαρ ὑπέφαινε, συνήγαγε πᾶν τὸ στράτευμα εἰς Ἔφεσον. ἀσκῆσαι δὲ αὐτὸ βουλόμενος, ἆθλα προύθηκε καὶ ταῖς ἱππικαῖς τάξεσιν, ἥτις κράτιστα ἂν ἱππεύοι, καὶ ταῖς ὁπλιτικαῖς, ἥτις ἄριστα σωμάτων ἔχοι. καὶ πελτασταῖς δὲ καὶ τοξόταις, ἆθλα προύθηκεν, οἵτινες κράτιστοι τὰ προσήκοντα ἔργα φαίνοιντο. ἐκ τούτου δὲ παρῆν ὁρᾶν τὰ μὲν γυμνάσια μεστὰ τῶν ἀνδρῶν γυμναζομένων. τὸν δὲ ἱππόδρομον ἱππέων ἱππαζομένων. τοὺς δὲ ἀκοντιστὰς καὶ τοὺς τοξότας ἐπὶ στόχον ἱέντας. ἀξίαν δὲ καὶ ὅλην τὴν πόλιν ἐν ᾗ ἦν θέας ἐποίησεν. ἥ τε γὰρ ἀγορὰ παντοδαπῶν ἦν μεστὴ καὶ ὅπλων καὶ ἵππων ὠνίων. οἵ τε χαλκοτύποι, καὶ οἱ τέκτονες, καὶ οἱ σιδηρεῖς, καὶ σκυτεῖς, καὶ κναφεῖς, πάντες πολεμικὰ ὅπλα κατεσκεύαζον. ὥστε τὴν πόλιν ὄντως ἡγήσω πολέμου ἐργαστήριον εἶναι. ἐπερρώσθη δ' αὖ τις κἀκεῖνο ἰδὼν, Ἀγησίλαον μὲν πρῶτον, ἔπειτα δὲ καὶ τοὺς ἄλλους στρατιώτας ἐστεφανωμένους τε ὅπου ἀπὸ τῶν γυμνασίων ἴοιεν, καὶ ἀνατιθέντας τοὺς στεφάνους τῇ Ἀρτέμιδι. ὅπου γὰρ ἄνδρες θεοὺς μὲν σέβοιεν, πολεμικὰ δὲ ἀσκοῖεν, πειθαρ-

quamopulentissimi effecti sunt. Item cum transfugæ, ut fit, ad regē irent, uellentq; aliquas res subducere, diligentiam adhibebat ut ab ipsis amicis hæ caperentur, quo & una locupletarentur, clarioresq; fierent: quas quidem ob res statim multos suæ amicitiæ cupidos reddidit. Noscens autem eam regionem quæ in prædam uersa desertaq; esset, non posse ad multum temporis exercitum ferre: quæ uero habitaretur sereturq;, perpetuum præbere alimentum: studuit ut nō
10 solum ui hostes caperet, uerum & humanitate pelliceret. Quare milites sæpenumero monebat ut captiuos non ut iniustos cruciarent, sed ut homines seruarent. Persæpe etiam quando castra mutaret, si paruos negociatorum pueros relictos acciperet, quos co multi uēdebant, quia putarent non eos posse & ferre & nutrire, curauit quo & hi quendam in locum conueherentur: atq; illorum item captiuorum qui ob senium & ipsi relinquerentur, imperabat curam habendam esse, ne siue à canibus siue à lupis perderen
20 tur: quapropter non hi solùm qui hæc audirent, quin etiā captiui ipsi beneuoli in eum reddebantur. Quot autem urbes in deditionem accepisset, auferens his quæ serui ministeria heris præstant, ea imperabat quibus liberi principibus parent: quorum autem mœnia nulla ui potuisset, humanitate & clementia capiebat. Cum ergo neq; in campis Phrygiæ propter Pharnabazi equitatum militare posset, uisum est Agesilao equitem parari oportere, ne fugiens bellare cogeretur. Itaq; ditissimos ex illius regionis urbibus
30 qui equos alerent delegit: prædixitq; eum militiæ nō fore obnoxium, qui equos & arma, probumq; uirum præbuisset. Effecitq; hoc pacto ut omnes hæc animo promptissimo gererent, ceu si quis hominem pro se moriturum studiose perquisierit. Statuit item ex quibus urbibus equites præparandi forent, ratus is quidem e uestigio ex illis urbibus quibus ad alendos equos cura demandata fuerat, permultos sane strenuos ac animosos circa equestrem fore. Hoc etiam mirifice & preclare facere uisus est, quod & equita
40 tus paratus est sibi & robustus illico, atq; ad res gerendas acer factus. Sed posteaquam uernum illuxit tempus, exercitum omnē ad Ephesum coēgit: quem uolens exercere, præmia proposuit, tum equestribus ordinibus si quis optime equitaru, tum pedestribus si quis egregie sese corpore habuerit: atq; scutatis etiam sagittarijsq; qui optime suo functi officio uiderentur, præmia proposuit. Itaq; intueri licebat tum gymnasia referta uiris certantibus, tum circum equitibus equestrem agentibus, tum denīq; iaculatores et
50 sagittarios ad lineam euntes: sicq; totam urbem in qua erat, spectaculo dignam fecit. Nam & forū completum erat omnifariam & armis & equis uenalibus: ærarij quoq; & lignarij & ferrarij & coriarij & fullones omnia bellica arma construebant: quare urbem illam plane censuisses belli officinam. Perbelle autem quisq; robur accepisset, qui illud conspexisset, Agesilaum primò, deinde alios milites, & coronis insignes cum à gymnasijs redirent, & Dianæ ipsi coronas offerentes. ENIMVERO ubi homines deos uenerentur, bellicas res exerceant, principibus

obtemperent, qui non hic conuenit statim omnia bene sperare? Ratus praeterea robustiores quodammodo milites ex contemptu hostium ad pugnandũ reddi, praedixit praeconibus ut barbari à latronibus capti, nudi uenundarentur: quos milites illi intuentes tum albos, quia nunquam exuerentur, tum pingues & molles, propterea quod in uehiculis semper existerent, putarunt nihilo esse magis bellum formidandum, quã si cum mulieribus praeliari oporteret. Praedixit etiam militibus, sese aduersus munitißima et optima regionis illius loca ducturum exercitum, quo iam inde corpora illi atq; animum quasi pugnaturi ei praepararent. Tissaphernes autem haec eo ab Agesilao dici arbitratus est, quo rursus eum falleret: uelle autem indubitato in Cariam irrumpere: quare per id temporis peditem ueluti antea in Cariam transtulit, equitem uero ad Maeandri campũ constituit. Sed Agesilaus nihil ementitus, in Sardianum solum, sicuti dixerat, perrexit: profectusq; dies tris nusquam obuiam factus hostibus, uberum rebus necessarijs refersit exercitum. Quarta autem luce uenerunt hostium equites, quorum imperator dixit impedimentorũ praefecto, ut transiecto Pactolo fluuio castrametaretur. Ipsi uero Graecos eos intuentes qui sequerentur ad praedam intentos, multos enecarunt. Quod ubi sensisset Agesilaus, equitibus iußit illis auxilium ferrent. At Persae ubi auxilium uiderunt, in unum conuenere, ac se contra ad pugnam struxerunt per quam multis equitum ordinibus. Hic igitur cum sciret Agesilaus peditem nondum adesse hostibus, sibi uero abesse ex apparatu nihil, tempus idoneum uisum est, quo si per hostem liceat, praelio decernat. Itaq; caesis hostijs, e uestigio in aduersum equitem phalangem duxit. Adolescentes secum unà currere, scutatis autem dixit cursu subsequerentur: equites autem ut irrumperẽt, monuit. Sic igitur ipso omniq; exercitu insequente, equites ipsi à fortißimis Persarum excepti sunt: sed posteaquam barbari cunctis unà difficultatibus premerentur, inclinata est acies, & alij illico in fluuium delapsi, alij in fugam cõuersi sunt. At Graeci eorum castra insequentes capiunt, ac ueluti fieri solet, scutati in rapinam uertuntur. Agesilaus autem inter amicos hostesq; medius constitutus, castra circumlocauit. Cum uero hostes tumultuari audisset, quoniam male actam rem sibi inuicem crimini darent, confestim aduersus Sardos exercitum duxit, ubi omnes circum urbem locos & incendit simul & populatus est: simulq; per praeconem nunciauit, ut hi qui liberi esse uellent, ad se tanquam ad socium irent. Quod si qui Asiam suam facerent, aduersus liberatores armis decernerent. Sed posteaquam nemo contra egressus est, secure posthac militabat: uidebatq; Graecos illos qui antea barbaros adorare cogebantur, ab his honorari, à quibus contumeliam suscipiebant. Illos autem qui uel deorum immortalium honoribus sese frui dignabãtur, effecit ut neq; intueri aduersus Graecos auderẽt. atq; amicorũ solum ab omni praeda tutum praestitit: hostium uero ita perfunctus agro est, ut duobus annis centũ talenta et amplius deo apud Delphos decimã dedicarit. At rex

παιδαρχίαν δὲ μελετῶεν, πῶς οὐκ εἰκὸς ἐνταῦθα πάντα μεστὰ ἐλπίδων ἀγαθῶν εἶναι; ἡγούμενος δὲ καὶ τὸ καταφρονεῖν τῶν πολεμίων, ῥώμην τινὰ ἐμβαλεῖν πρὸς τὸ μάχεσθαι, προεῖπε τοῖς κήρυξι τοὺς ὑπὸ τῶν λῃστῶν ἁλισκομένους βαρβάρους, γυμνοὺς πωλεῖν. ὁρῶντες οὖν οἱ στρατιῶται λευκοὺς μὲν διὰ τὸ μηδέποτε ἐκδύεσθαι, πίονας δὲ καὶ ἀπόνους διὰ τὸ ἀεὶ ἐπ' ὀχημάτων εἶναι, ἐνόμισαν μηδὲν διοίσειν τὸν πόλεμον, ἢ εἰ γυναιξὶ δέοι μάχεσθαι. προεῖπε δὲ καὶ τοῦτο τοῖς στρατιώταις, ὡς εὐθὺς ἡγήσοιτο τὴν συντομωτάτην ἐπὶ τὰ κράτιστα τῆς χώρας, ὅπως αὐτόθεν αὐτῷ τὰ σώματα καὶ τὴν γνώμην παρασκευάζοιντο ὡς ἀγωνιούμενοι. ὁ μέντοι Τισαφέρνης ταῦτα μὲν ἐνόμισε λέγειν αὐτὸν πάλιν βουλόμενον ἐξαπατῆσαι, εἰς Καρίαν δὲ νῦν τῷ ὄντι ἐμβαλεῖν. τό τε οὖν πεζὸν καθάπερ τὸ πρόσθεν εἰς Καρίαν διεβίβασε, καὶ τὸ ἱππικὸν εἰς τὸ Μαιάνδρου πεδίον κατέστησεν. ὁ δὲ Ἀγησίλαος οὐκ ἐψεύσατο. ἀλλ' ὥσπερ προεῖπεν, εὐθὺς ἐπὶ τὸν Σαρδιανὸν τόπον ἐχώρησε. καὶ τρεῖς μὲν ἡμέρας δι' ἐρημίας πολεμίων πορευόμενος, πολλὰ τὰ ἐπιτήδεια τῇ στρατιᾷ παρεῖχε. τῇ δὲ τετάρτῃ ἡμέρᾳ ἧκον οἱ τῶν πολεμίων ἱππεῖς. καὶ τῷ μὲν ἄρχοντι τῶν σκευοφόρων εἶπεν ὁ ἡγεμὼν, διαβάντι τὸν Πακτωλὸν ποταμὸν στρατοπεδεύεσθαι· αὐτοὶ δὲ κατιδόντες τοὺς τῶν Ἑλλήνων ἀκολούθους ἐσπαρμένους καθ' ἁρπαγὴν, πολλοὺς αὐτῶν ἀπέκτειναν. αἰσθόμενος δὲ ὁ Ἀγησίλαος, βοηθεῖν ἐκέλευσε τοὺς ἱππέας. οἱ δ' αὖ Πέρσαι ὡς εἶδον τὴν βοήθειαν, ἠθροίσθησαν, καὶ ἀντιπαρετάξαντο παμπλήθεσι τῶν ἱππέων τάξεσιν. ἔνθα δὴ ὁ Ἀγησίλαος γιγνώσκων ὅτι τοῖς μὲν πολεμίοις οὔπω παρείη τὸ πεζὸν, αὐτῷ δὲ οὐδὲν ἀπείη τῶν παρεσκευασμένων, καιρὸν ἡγήσατο μάχην συνάψαι, εἰ δύναιτο. σφαγιασάμενος οὖν, τὴν μὲν φάλαγγα εὐθὺς ἦγεν ἐπὶ τοὺς ἀντιτεταγμένους ἱππέας. ἐκ δὲ τῶν ὁπλιτῶν ἐκέλευσε τινὰς ἀφ' ἥβης θεῖν ὁμόσε αὐτῷ. τοῖς δὲ πελτασταῖς, εἶπε δρόμῳ ὑφηγεῖσθαι. παρήγγειλε δὲ καὶ τοῖς ἱππεῦσιν ἐμβαλεῖν ὡς αὐτοῦ τε καὶ παντὸς τοῦ στρατεύματος ἑπομένου. τοὺς μὲν δὴ ἱππέας ἐδέξαντο οἱ ἀγαθοὶ τῶν Περσῶν. ἐπειδὴ δὲ ἅμα πάντα δεινὰ παρῆν ἐπ' αὐτοὺς, ἐνέκλιναν. καὶ οἱ μὲν αὐτῶν εὐθὺς ἐν τῷ ποταμῷ ἔπεσον· οἱ δὲ ἄλλοι ἔφευγον. οἱ δὲ Ἕλληνες ἑπόμενοι, αἱροῦσι καὶ τὸ στρατόπεδον αὐτῶν. καὶ οἱ μὲν πελτασταὶ ὥσπερ εἰκὸς, ἐφ' ἁρπαγὴν ἐτρέποντο. ὁ δὲ Ἀγησίλαος ἔχων κύκλῳ πάντα καὶ φίλια καὶ πολέμια, περιεστρατοπεδεύσατο. ὡς δ' ἤκουσε τοὺς πολεμίους ταράττεσθαι, διὰ τὸ αἰτιᾶσθαι ἀλλήλους τοῦ γεγενημένου, εὐθὺς ἦγεν ἐπὶ Σάρδεις. κἀκεῖ ἅμα μὲν ἔκαε καὶ ἐπόρθει τὰ περὶ τὸ ἄστυ· ἅμα δὲ καὶ κήρυγμα τι ἐδίδου, τοὺς μὲν ἐλευθερίας δεομένους, ὡς πρὸς σύμμαχον αὐτὸν παρεῖναι. εἰ δέ τινες τὴν Ἀσίαν ἑαυτῶν ποιοῦνται, πρὸς τοὺς ἐλευθεροῦντας διακρινουμένους ἐν ὅπλοις παρεῖναι. ἐπεὶ μέντοι οὐδεὶς ἀντεξῄει, ἀδεῶς δὴ τὸ ἀπὸ τούτου ἐστρατεύετο. τοὺς μὲν πρόσθεν προσκυνεῖν Ἕλληνας ἀναγκαζομένους, ὁρῶν τιμωμένους ὑφ' ὧν ὑβρίζοντο· τοὺς δὲ ἀξιοῦντας, καὶ τὰς τῶν θεῶν τιμὰς καρποῦσθαι, τούτους ποιήσας μηδ' ἀντιβλέπειν τοῖς Ἕλλησι δύνασθαι. καὶ τὴν μὲν τῶν φίλων χώραν ἀδῄωτον παρέχων, τὴν δὲ τῶν πολεμίων οὕτω καρπούμενος, ὥστε ἐν δυοῖν ἐτοῖν πλέον τῶν ἑκατὸν ταλάντων τῷ θεῷ ἐν Δελφοῖς δεκάτην ἀποθῦσαι. ὁ μέντοι Περσῶν Βασι-

βασιλεὺς νομίσας Τισσαφέρνην αἴτιον εἶναι τοῦ κακῶς φέ-
ρεσθαι τὰ ἑαυτοῦ, Τιθραύστην καταπέμψας, ἀπέτεμεν αὐ-
τοῦ τὴν κεφαλήν. μετὰ δὲ τοῦτο τὰ μὲν τῶν βαρβάρων ἔτι
ἀθυμότερα ἐγένετο· τὰ δὲ ἀγησιλάου πολὺ ἐρρωμενέ-
στερα. ἀπὸ πάντων γὰρ τῶν ἐθνῶν ἐπρεσβεύοντο περὶ φι-
λίας. πολλοὶ δὲ καὶ ἀφίσταντο πρὸς αὐτὸν ὀρεγόμενοι τῆς
ἐλευθερίας. ὥστε οὐκέτι ἑλλήνων μόνον, ἀλλὰ καὶ βαρ-
βάρων πολλῶν ἡγεμὼν ἦν ὁ ἀγησίλαος. ἄξιόν γε μὴν
καὶ ἐντεῦθεν ὑπερβαλλόντως ἀγασθῆναι αὐτοῦ, ὅστις ἄρχων
μὲν παμπόλλων ἐν τῇ ἠπείρῳ πόλεων, ἄρχων δὲ καὶ νή-
σων, ἐπεὶ καὶ τὸ ναυτικὸν προσέθηκεν αὐτῷ ἡ πόλις, αὐ-
ξανόμενος καὶ εὐκλείᾳ καὶ δυνάμει. παρὸν δ' αὐτῷ
πολλοῖς καὶ ἀγαθοῖς χρῆσθαι ὅτι ἐβούλετο. πρὸς δὲ τού-
τοις τὸ μέγιστον ἐπινοῶν, καὶ ἐλπίζων καταλύσειν τὴν
ἐπὶ τὴν ἑλλάδα στρατευσαμένην πρότερον ἀρχήν, ὅμως ὑπ'
οὐδενὸς τούτων ἐκρατήθη. ἀλλ' ἐπεὶ ἦλθεν αὐτῷ ἀπὸ
τῶν οἴκοι τελῶν βοηθεῖν τῇ πατρίδι, ἐπείθετο τῇ πόλει
οὐδὲν διαφερόντως, ἢ εἰ ἐν τῷ ἐφορείῳ ἔτυχεν ἑστηκὼς
μόνος παρὰ τοὺς πέντε, μάλα ἔνδηλον ποιῶν, ὡς οὔτε
ἂν πᾶσαν τὴν γῆν δέξαιτο ἀντὶ πατρίδος, οὔτε τοὺς
ἐπικτήτους ἀντὶ τῶν ἀρχαίων φίλων. οὔτε αἰσχρὰ, καὶ
ἀκίνδυνα κέρδη μᾶλλον, ἢ μετὰ κινδύνων τὰ καλὰ καὶ
δίκαια. ὅσον γε μὴν χρόνον ἐπὶ τῆς ἀρχῆς ἔμεινε, πῶς οὐκ
ἐξεπαίνου βασιλέως καὶ τοῦτ' ἔργον ἐπεδείξατο; ὅστις
παραλαβὼν πάσας πόλεις ἐφ' ἃς ἄρχων ἐξέπλευσε στα-
σιαζούσας, διὰ τὸ τὰς πολιτείας κινηθῆναι, ἐπεὶ οἱ ἀθη-
ναῖοι τῆς ἀρχῆς ἔληξαν, ἐποίησεν ὥστ' ἄνευ φυγῆς καὶ θα-
νάτων ἕως αὐτὸς παρῆν ὁμονόως πολιτευομένας καὶ εὐ-
δαίμονας τὰς πόλεις διατελέσαι. τοιγαροῦν οἱ ἐν τῇ
ἀσίᾳ ἕλληνες οὐχ ὡς ἄρχοντος μόνον, ἀλλὰ καὶ ὡς πα-
τρὸς καὶ ἑταίρου ἀπιόντος αὐτοῦ ἐλυποῦντο. καὶ τέλος
ἐδήλωσαν, ὅτι οὐ πλαστὴν τὴν φιλίαν παρείχοντο. ἐθε-
λούσιοι γοῦν αὐτῷ συνεβοήθησαν τῇ λακεδαίμονι. καὶ
ταῦτα εἰδότες, ὅτι οὐ χείροσιν ἑαυτῶν δεήσοι μάχεσθαι.
τῶν μὲν δὴ ἐν τῇ ἀσίᾳ πράξεων τοῦτο τέλος ἐγένετο. διαβὰς
δὲ τὸν ἑλλήσποντον, ἐπορεύετο διὰ τῶν αὐτῶν ἐθνῶν, ὧνπερ ὁ
πέρσης τῷ παμπληθεῖ στόλῳ, καὶ ἣν ἐνιαυσίαν ὁδὸν ὁ
βάρβαρος ἐποιήσατο, ταύτην μεῖον ἢ ἐν μηνὶ κατήνυ-
σεν ὁ ἀγησίλαος. οὐ γὰρ ὡς ὑστερήσειε τῆς πατρίδος προ-
εθυμεῖτο. ἐπεὶ δὲ διαμείψας μακεδονίαν, εἰς θετταλίαν
ἀφίκετο, λαρισαῖοι μὲν, καὶ κρανώνιοι, καὶ σκοτουσαῖοι,
καὶ φαρσάλιοι, σύμμαχοι ὄντες βοιωτοῖς, καὶ πάντες δὲ
θετταλοί, πλὴν ὅσοι αὐτῶν φυγάδες τότε ὄντες ἐτύγχα-
νον, ἐκακούργουν αὐτὸν ἐφεπόμενοι. ὁ δὲ τέως μὲν ἦγεν
ἐν πλαισίῳ τὸ στράτευμα. τοὺς ἡμίσεις μὲν ἔμπροσθεν,
τοὺς ἡμίσεις δὲ ἐπ' οὐρὰν ἔχων τῶν ἱππέων. ἐπεὶ δ' ἐκώ-
λυον τῆς πορείας αὐτὸν οἱ θετταλοί, ἐπιτιθέμενοι τοῖς ὄ-
πισθεν, παραπέμπει ἐπ' οὐρὰν, καὶ τὸ ἀπὸ τοῦ προηγου-
μένου στρατεύματος καὶ τῶν περὶ αὐτόν. ὡς δὲ παρετάξαν-
το ἀλλήλοις, οἱ μὲν θετταλοὶ νομίσαντες οὐκ ἐν καλῷ εἶ-
ναι πρὸς τοὺς ὁπλίτας ἱππομαχεῖν, στρέψαντες βάδην
ἀπεχώρουν. οἱ δὲ μάλ' ἀφρόνως ἐφέποντο. γνοὺς δὲ ὁ
ἀγησίλαος ἃ ἑκάτεροι ἡμάρτανον, παραπέμπει τοὺς ἀμφ'
αὐτὸν μάλα εὐρώστους ἱππέας, καὶ κελεύει τοῖς τε ἄλλοις πα-
ραγγέλλειν, καὶ αὐτοὺς διώκειν κατακράτος, καὶ μηκέτι δοῦ-
ναι αὐτοῖς ἀναστροφήν. οἱ δὲ θετταλοὶ ὡς εἶδον παρὰ δόξαν
ἐλαύ-

rex Persarum Tissaphernem aduersarum sibi rerum au-
torem esse ratus, misso Tithrauste, eum capite obtrun-
cat. Deinde uero barbarorum res ignauius se habere,
Agesilai autem longe robustius: ab omnibus enim gen-
tibus ad eius amicitiam comparandam legati mitteban-
tur. Multi etiam ad eum defecere, libertatis desiderio
agitati. Itaq; non iam Graecorum solum, uerum & ma-
gnae barbarorum multitudinis dux erat Agesilaus. Pro-
fecto & hinc Agesilaum inaudita quadam cum admi-
10 ratione laudandum existimo, qui multarum in conti-
nente urbium principatum possidens, & insulis non-
nullis imperitans (nam & classem sibi ciuitas addidit)
auctus praeterea & gloria & uiribus, cum ei in manu
esset pro uoluntate plurima facinora optimaq; confice-
re: ac praeter omnia, quod maximum fuerat, animo uo-
lutans sperans q; eam rescindere ditionem, quae prius in
Graeciã meruerat, re tamẽ nulla teneri potuit, sed cum
ab ciuitatis principib. nuncius uenisset ut patriae succur-
reret, nihilo minus reipub. paruit, q̃ si solus praeter illos
20 quinq; patrio more in Ephorio stetisset: sicq; perspicu-
um fecit, ut neq; totum orbem terrarũ patriae, neq; no-
uos ueteribus amicis, neq; turpis ac tutos quaestus his
anteponeret, qui cum periculis honesti & iusti essent.
Quanto autem tempore cum imperio mansit, nonne
& hoc laudatissimi regis esse opus ostendit? Qui cum
omnes ciuitates ad quas regendas nauigarat, dissiden-
tes propter rerumpublicarum motum ex amisso Athe-
niensium principatu accepisset, efficit ut sine uel auxi-
lio uel nece, quandiu affuit, inter se concordia uteren-
30 tur, & ipsas urbes opulentas atq; tranquillas redde-
ret. Itaq; hi Graeci qui Asiam incolunt, eius discessum
non ut principis modo, uerumetiam ut patris, ut socij
sodalisq; dolebant, atq; adultimum ostenderunt non
ficta illum beneuolentia coluisse. Deniq; ultro secum
in Lacedaemonis auxilium iere: ne hi quidem ignari,
ut non sibi aduersus imbecilliores pugnandum foret.
Rerum igitur gestarum in Asia hic fuit finis. Traijci-
ens autem Hellespontum, per easdem nationes profe-
ctus est, per quas antea Perses fuerat classe permaxi-
40 ma: & quod barbarus annuum iter fecerat, id mensem
& minus Agesilaus confecit. Non enim ut patriis or-
baretur decernebat, sed posteaquam itinere per Mace-
doniam facto Thessaliam attigit, Larissei & Cranonij
& Scotussij & Pharsalij Boeotiorum socij, & om-
nes praeterea Thessali, nisi quod transfugae per id tem-
poris erant, insequentes hi turbas inferebant. Veruntã-
men quadrato agmine Agesilaus exercitum duxit, ha-
bens equitum dimidium ante, dimidium uero post exer-
citum. Sed ubi Thessali ab itinere arcerent, utpote qui
50 postremos inuaderent, transmittit ad postremos par-
tem ex his qui praecedebant, & ex his partem qui cir-
cum se erant. Vt autem inuicem contra instructi sunt,
rati Thessali sibi difficile futurum equites aduersus
grauius armatos pedites pugnare, retrouersi abibant
sensim, Graeci uero quàm temere insequebantur. At
noscens utrorunque errata Agesilaus, transmittit quo-
modo circa sese habebat robustum equitem, ut-
betq; tum alios moneant, tum & ipsi uehementer in-
sectentur, neque amplius illos reditum facere sinant.
Sed Thessali ut uiderunt secus atque opinarentur

 Graecos

Græcos fugare, impellere, insequi. alij neq; reuerte/
runt, alij uero cum reuersionem tentassent, ab equiti/
bus quos transuersos habebant, capti sunt. Polychar/
mus autem Pharsalius equitum præfectus reuertitur,
& fortiter præliando cum suis occubuit. Quo facto, in
credibilis hostium fit fuga, adeo ut alij interierint, alij
uiui caperentur: neq; prius substiterunt quàm ad An/
thraciorum montem peruenissent: quo loci Agesilaus
trophæum inter Antracem Narthecumq; statuit, ibiq;
mansit, non mediocriter gesta re delectatus, quod 10
eos equestri calliditate uicisset, qui ea re maxime ex/
ultarent. Postridie uero superatis Achaicis Pythiæ
montibus, reliquum iter omne iam per amicam regi/
onem est profectus ad montes usque Bœotiorum. Hic
igitur instructa acie, Thebanos contrà nitentes offen/
dens cum Atheniensibus, Corinthijs, Aenianis, Eu/
bœis, Locrisq; utrisque, nihil cunctatus est, quini/
mo extemplo se ad pugnam accinxit, habens Lacedæ
moniorum tribum unam & semis, ex socijs autem per
id temporis Phocenses & Orchomenios solum. Reli/ 20
quum uero exercitum quem ipse ducebat, neque hoc
dicturus uenio, quod & multo pauciores ac longe in
formiores copias habens congressus sit: tamen etenim
si hæc dixerim, uidear certe & Agesilaum amentiæ,
& meipsum stultitiæ denotare, si eum laudem, qui
maximarum rerum periculum temere subijsset: quin po
tius hæc eum in re admiror, quod copias nihilo paucio
res quàm hostium essent, comparauerit, quas ita in/
struxit armis, ut omnia ærea, punicea omnia uideren/
tur. Curauit etiam commilitones perferre labores qui/ 30
rent: ipsorumq; animos adeo erexit, ut aduersos quos
cunque pugnare oporteret satis haberent roboris: eám
que suis certatim æmulationem & contentionem inie
cit, ut singuli fortissimi uiderentur. Spe nanq; repleuit
omnes qui probe sese ac strenue gererent, multarum re
rum bonarumque assequendarum. Existimabat enim
huiusmodi se munitum hominibus promptissimis, ad/
uersus hostis dimicaturum: neque certe se sua fefellit
opinio. Narrabo autem pugnam ipsam: etenim hu/
iusmodi fuit qualis nostra tempestate alia prorsus nul/ 40
la. Conuenerant in Coroniæ campum alij cum Agesi/
lao ex Cephiso, alij cum Thebanis ex Helicone: conspi
ciebanturq; inuicem phalanges ipsæ pari admodum ap
paratu, & equites utrinq; pari aderant fere numero.
Tenebat Agesilaus dextrum exercitus sui cornu, cui
ad leuam Orchomenij postremi aderant: ex altera item
parte Athenienses dextrum, Argiui autem habebant
leuum, ac interim temporis magnum erat utrinq; si/
lentium. Cum uero circiter stadium inter se distarent,
Thebani contra clamore sublato cursim una fereban/ 50
tur. At posteaquam trium ferme iugerùm interuallo ab
se dirimerentur, ex Agesilai phalange aduersi cucur/
rerunt, quibus Eripides præerat. Erant autem hi corũ
partim qui ab initio secuti fuerant, partim Cyricorũ ali
qui, & Iones & Aeoles & Hellespontij, qui simul om
nes, cum impetu facto in hastam uenientes uertissent ad
uersum cornu, Argiui quidem Agesilai aciem nequaq̃
sustinuere, quin fuga in Heliconẽ se recepere. Atq; hoc
loci quidam ex peregrino milite Agesilaũ iam corona
runt. Interea autem nunciabatur sibi Thebanos Orcho
meniorum

ἐλαύνοντες, οἱ μὲν αὐτῶν οὐδ᾽ ἀνέστρεψαν· οἱ δὲ καὶ
ἀναστρέφειν πειρώμενοι, πλαγίους ἔχοντες τοὺς ἵπ-
πους ἡλίσκοντο. Πολύχαρμος μέντοι ὁ Φαρσάλιος ἱπ
παρχῶν, ἀνέστρεψέ τε καὶ μαχόμενος σὺν τοῖς ἀμφ᾽ αὐ-
τὸν ἀποθνήσκει. ὡς δὲ τοῦτο ἐγένετο, φυγὴ γίγνεται ἐξαι-
σία. ὥσθ᾽ οἱ μὲν ἀπέθνησκον αὐτῶν, οἱ δὲ καὶ ζῶντες ἡ-
λίσκοντο. ἔστησαν δ᾽ οὖν οὐ πρόσθεν, πρὶν ἢ ἐπὶ τῷ ὄρει
τῶν Ἀνθρακίων ἐγένοντο. καὶ τότε μὲν δὴ ὁ Ἀγησίλαος
τρόπαιόν τε ἐστήσατο μεταξὺ Πραντὸς καὶ Ναρθακίου, 10
καὶ αὐτοῦ κατέμεινε μάλα ἡδόμενος τῷ ἔργῳ, ὅτι τοὺς
μέγιστον φρονοῦντας ἐφ᾽ ἱππικῇ ἐνενικήκει, σὺν ᾧ αὐ-
τὸς ἐμηχανήσατο ἱππικῷ. τῇ δ᾽ ὑστεραίᾳ ὑπερβάλλων
τὰ Ἀχαϊκὰ τῆς Φθίας ὄρη, τὴν λοιπὴν ἤδη πᾶσαν διὰ φι-
λίας ἐπορεύθη εἰς τὰ Βοιωτῶν ὅρια. ἐνταῦθα δὴ ἀντι-
τεταγμένους εὑρὼν Θηβαίους, Ἀθηναίους, Κορινθίους,
Αἰνιᾶνας, Εὐβοέας, καὶ Λοκροὺς ἀμφοτέρους, οὐδὲν ἐ-
μέλλησεν, ἀλλ᾽ ἐκ τοῦ φανεροῦ ἀντιπαρετάττετο. Λακεδαι
μονίων μὲν ἔχων μόραν καὶ ἥμισυ, τῶν δ᾽ αὐτόθεν συμ
μάχων Φωκέας καὶ Ὀρχομενίους μόνους. τὸ δ᾽ ἄλλο στρά/ 20
τευμα ὅπερ ἡγάγετο αὐτός. καὶ οὐ τοῦτο λέξων ἔρχομαι,
ὡς πολὺ μὲν ἐλάττους, πολὺ δὲ χείρονας ἔχων, ὅμως
συνέβαλλεν. εἰ γὰρ ταῦτα λέγοιμι, Ἀγησίλαόν τ᾽ ἂν μοι
δοκῶ ἄφρονα ἀποφαίνειν, καὶ ἐμαυτὸν μωρόν, εἰ ἐπαι-
νοίην τὸν περὶ τῶν μεγίστων εἰκῇ κινδυνεύοντα. ἀλλὰ
μᾶλλον τάδ᾽ αὐτοῦ ἄγαμαι, ὅτι πλῆθός τε οὐδὲν μεῖον
ἢ τὸ τῶν πολεμίων παρεσκευάσατο, ὥπλισέ τε οὕτως
ὡς ἅπαντα μὲν χαλκόν, ἅπαντα δὲ φοινικᾶ φαίνεσθαι.
ἐπεμελήθη δ᾽ ὅπως οἱ στρατιῶται τοὺς πόνους δυνήσοιν 30
το ὑποφέρειν. ἐνέπλησε δὲ καὶ φρονήματος τὰς ψυ-
χὰς αὐτῶν, ὡς ἱκανοὶ εἶεν πρὸς οὕστινας δέοι μάχεσθαι. ἔτι δὲ
φιλονεικίαν ἐνέβαλε πρὸς ἀλλήλους τοῖς μετ᾽ αὐτοῦ, ὅ-
πως ἕκαστοι αὐτῶν ἄριστοι φαίνοιντο. ἐλπίδων γε μὴν
πάντας ἐνέπλησεν, ὡς πᾶσι πολλὰ κἀγαθὰ ἔσοιτο εἰ ἄν-
δρες ἀγαθοὶ γίγνοιντο. νομίζων ἐκ τῶν τοιούτων ἀν-
θρώπων προθυμότατα τοῖς πολεμίοις μάχεσθαι. καὶ μέν-
τοι οὐκ ἐψεύσθη. διηγήσομαι δὲ καὶ τὴν μάχην. καὶ γὰρ
ἐγένετο οἵαπερ οὐκ ἄλλη τῶν ἐφ᾽ ἡμῶν. συνῆσαν μὲν γὰρ 40
εἰς τὸ κατὰ Κορώνειαν πεδίον, οἱ μὲν σὺν Ἀγησιλάῳ ἀπὸ τοῦ
Κηφισοῦ. οἱ δὲ σὺν τοῖς Θηβαίοις ἀπὸ τοῦ Ἑλικῶνος. ἑώ/
ρων δὲ τάς τε φάλαγγας ἀλλήλων μάλα ἰσομάλους. σχε
δὸν δὲ καὶ οἱ ἱππεῖς ἦσαν ἑκατέρων ἰσοπληθεῖς. εἶχε δὲ ὁ
Ἀγησίλαος μὲν τὸ δεξιὸν τὸ μεθ᾽ ἑαυτοῦ. Ὀρχομένιοι δὲ
ἔσχατοι ἦσαν αὐτῷ τοῦ εὐωνύμου· οἱ δ᾽ αὖ Θηβαῖοι αὐτοὶ
μὲν δεξιοὶ ἦσαν· Ἀργεῖοι δ᾽ αὐτοῖς τὸ εὐώνυμον εἶχον.
συνιόντων δέ, τέως μὲν σιγὴ πολλὴ ἦν ἀπ᾽ ἀμφοτέρων.
ἡνίκα δὲ ἀπεῖχον ἀλλήλων ὅσον στάδιον, ἀλαλάξαντες
οἱ Θηβαῖοι, δρόμῳ ὁμόσε ἐφέροντο. ὡς δὲ τριῶν ἔτι πλέ- 50
θρων ἐν μέσῳ ὄντων, ἀντεξέδραμον ἀπὸ τῆς Ἀγησιλάου
φάλαγγος ὧν Ἡριππίδας ἐξενάγει. ἦσαν δ᾽ αὐτοὶ τῶν τε ἐξ
οἴκου αὐτῷ συστρατευσαμένων καὶ τῶν Κυρειείων τινές. καὶ
Ἴωνες δὲ καὶ Αἰολεῖς καὶ Ἑλλησπόντιοι ἐχόμενοι, καὶ πάν-
τες οὗτοι τῶν συνεκδραμόντων τε ἐγένοντο, καὶ εἰς δόρυ ἀ-
φικόμενοι ἐτρέψαντο τὸ καθ᾽ ἑαυτούς. Ἀργεῖοι μὲν οὐκ ἐ-
δέξαντο τοὺς ἀμφ᾽ Ἀγησίλαον, ἀλλ᾽ ἔφυγον ἐπὶ τὸν Ἑλικῶ
να. κἀνταῦθα οἱ μέν τινες τῶν ξένων ἐστεφάνουν ἤδη τὸν
Ἀγησίλαον. ἀγγέλλει δέ τις αὐτῷ ὅτι Θηβαῖοι τοὺς Ὀρχο/
μενίους

μένιος διακόψαντες ἐν τοῖς σκευοφόροις εἰσί. καὶ ὁ μὲν εὐθὺς ἐξελίξας τὴν φάλαγγα, ἦγεν ἐπ᾽ αὐτούς. οἱ δ᾽ αὖ Θηβαῖοι ὡς εἶδον τοὺς συμμάχους πρὸς τῷ Ἑλικῶνι πεφευγότας, διαπεσεῖν βουλόμενοι πρὸς τοὺς ἑαυτῶν, ἐχώρουν ἐρρωμένως. ἐνταῦθα δὴ Ἀγησίλαον ἀνδρεῖον μὲν ἔξεστιν εἰπεῖν ἀναμφιλόγως. οὐ μέντοι εἵλετό γε τὰ ἀσφαλέστατα. ἐξὸν γὰρ αὐτῷ παρέντι τοὺς διαπίπτοντας, ἑπομένῳ χειροῦσθαι τοὺς ὄπισθεν, οὐκ ἐποίησε τοῦτο, ἀλλ᾽ ἀντιμέτωπος συνέρραξε τοῖς Θηβαίοις. καὶ συμβαλόντες τὰς ἀσπίδας ἐωθοῦντο, ἐμάχοντο, ἀπέκτεινον, ἀπέθνησκον, καὶ κραυγὴ μὲν οὐδεμία παρῆν, οὐ μὴν οὐδὲ σιγή. φωνὴ δέ τις ἦν τοιαύτη οἵαν ὀργή τε καὶ μάχη παράσχοιτ᾽ ἄν. τέλος δὲ τῶν Θηβαίων οἱ μὲν διαπίπτουσι πρὸς τὸν Ἑλικῶνα, πολλοὶ δ᾽ ἀποχωροῦντες ἀπέθανον. ἐπειδὴ δὲ ἡ μὲν νίκη σὺν Ἀγησιλάῳ ἐγένετο, τετρωμένος δ᾽ αὐτὸς προσηνέχθη πρὸς τὴν φάλαγγα, προσελάσαντές τινες τῶν ἱππέων, λέγουσιν αὐτῷ, ὅτι τῶν πολεμίων ὀγδοήκοντα σὺν τοῖς ὅπλοις ὑπὸ τῷ ναῷ εἰσι, καὶ ἠρώτων τί χρὴ ποιεῖν. ὁ δέ, καίπερ πολλὰ τραύματα ἔχων πάντοσε καὶ παντοίοις ὅπλοις, ὅμως οὐκ ἐπελάθετο τοῦ θείου, ἀλλ᾽ ἐᾶν τε ἀπιέναι ὅποι βούλοιντο ἐκέλευε, καὶ ἀδικεῖν οὐκ εἴα. καὶ προπέμψαι ἐπέταξε τοὺς ἀμφ᾽ αὐτὸν ἱππεῖς ἔς τε ἐν τῷ ἀσφαλεῖ ἐγένοντο. ἐπεί γε μὴν ἔληξεν ἡ μάχη, παρῆν δὴ θεάσασθαι ἔνθα συνέπεσον ἀλλήλοις, τὴν μὲν γῆν αἵματι πεφυρμένην, νεκροὺς δὲ κειμένους φιλίους καὶ πολεμίους μετ᾽ ἀλλήλων. ἀσπίδας δὲ διατεθρυμμένας, δόρατα συντεθραυσμένα, ἐγχειρίδια γυμνὰ κολεῶν, τὰ μὲν χαμαί, τὰ δ᾽ ἐν σώματι, τὰ δ᾽ ἔτι μετὰ χεῖρας. τότε μὲν οὖν, καὶ γὰρ ἦν ἤδη ὀψέ, συνελκύσαντες τοὺς τῶν πολεμίων νεκροὺς εἴσω φάλαγγος, ἐδειπνοποιήσαντο καὶ ἐκοιμήθησαν. πρωῒ δὲ Γῦλιν τὸν πολέμαρχον παρατάξαι τε ἐκέλευσε τὸ στράτευμα, καὶ τρόπαιον ἵστασθαι, καὶ στεφανοῦσθαι πάντας τῷ θεῷ, καὶ τοὺς αὐλητὰς πάντας αὐλεῖν. καὶ οἱ μὲν ταῦτ᾽ ἐποίουν. οἱ δὲ Θηβαῖοι ἔπεμψαν κήρυκα ὑποσπόνδους τοὺς νεκροὺς αἰτοῦντες θάψαι, καὶ οὕτω δὴ αἵ τε σπονδαὶ γίγνονται. καὶ ὁ Ἀγησίλαος οἴκαδε ἀπεχώρει, ἑλόμενος ἀντὶ τοῦ μέγιστος εἶναι ἐν τῇ Ἀσίᾳ, οἴκοι τὰ νόμιμα μὲν ἄρχειν, τὰ νόμιμα δὲ ἄρχεσθαι. ἐκ δὲ τούτου κατανοήσας τοὺς Ἀργείους τὰ μὲν οἴκοι καρπουμένους, Κόρινθον δὲ προσειληφότας, ἡδομένους δὲ τῷ πολέμῳ, στρατεύει ἐπ᾽ αὐτούς, καὶ δῃώσας πᾶσαν αὐτῶν τὴν χώραν, εὐθὺς ἐκεῖθεν ὑπερβαλὼν κατὰ τὰ στενὰ εἰς Κόρινθον, αἱρεῖ τὰ ἐπὶ τὸ Λέχαιον τείνοντα τείχη. καὶ ἀναπετάσας τῆς Πελοποννήσου τὰς πύλας, οὕτως οἴκαδε ἀπελθὼν, εἰς τὰ Ὑακίνθια ὅπου ἐτάχθη ὑπὸ τοῦ χοροποιοῦ, τὸν παιᾶνα τῷ θεῷ συνεπετέλει. ἐκ τούτου δὲ αἰσθανόμενος τοὺς Κορινθίους, πάντα μὲν τὰ κτήνη ἐν τῷ Πειραίῳ σῳζομένους, μέγιστον δὲ ἡγησάμενος ὅτι Βοιωτοὶ ταύτῃ ἐκ Κρεύσιος ὁρμώμενοι εὐπετῶς τοῖς Κορινθίοις συνεγίγνοντο, στρατεύει ἐπὶ τὸ Πείραιον. ἰδὼν δὲ ὑπὸ πολλῶν φυλαττόμενον, ὡς ἐνδιδομένης τῆς πόλεως, ἐξ ἀρίστου μετεστρατοπεδεύσατο πρὸς τὸ ἄστυ. αἰσθόμενος δὲ ὑπὸ νύκτα βεβοηθηκότας ἐκ τοῦ Πειραίου εἰς τὴν πόλιν πανσυδί, ὑποστρέψας ἅμα τῇ ἡμέρᾳ, αἱρεῖ τὸ Πείραιον, ἔρημον εὑρὼν φυλακῆς. καὶ τά τε ἄλλα τὰ ἐνόντα λαμβάνει, καὶ τὰ τείχη αὐτετείχιστο.

ταῦτα

meniorum perrupta acie inter impedimenta uersari: quare phalange subito conuersa in Thebanos ferebatur. Sed hi ubi socios ad Heliconem fugisse intuerentur, elabi uolentes, sese ad suos magna ui receperunt. Iam hinc Agesilaum fortem profecto uirum appellare licet indubitato: non enim tutissima eligebat. Nam licebat ei sinenti hostes abire, ubi insequi uoluisset postremos capere: quod facere certe noluit, sed aduersa fronte cum Thebanis acerrime dimicauit. Itaq; summa ui congressi feriebant, pugnabant, necabant, moriebantur: neque clamor quisquam aderat, neque silentium item, sed quaedam erat eiusmodi res, qualem ira ac praelium praebuerat. Tandem uero Thebani alij ad Heliconem se recipiunt, multi autem fugientes caesi sunt. Vt uero uictoria cessit Agesilao, & ipse saucius ad phalangem delatus est, accelerantes equitum aliqui, sibi nunciant octoginta ex hostium numero, eosq; armatos sub templum esse, quidq; faciundum sit, rogant. Is autem quanquam multis ubique corpus ex omni telorum genere confossus esset, non tamen diuinae rei oblitus est, sed quò uellent eos abire ut sinerent iussit, & afficere iniuria non permisit: mandauitq; eousq; sui equites illos deducerent, quoad in tuto ponerentur. Finito quidē praelio spectare iam licebat quo in loco duo exercitus congressi essent, terram sanguine rubefactā, cadaueraq; tum amicorum, tum hostium inuicem iacentia, clypeos perforatos, confractas hastas, districtos gladios, alios humi, alios in corpore, alios adhuc in manibus. Tunc igitur, etenim iam uesper aduenerat, trahentes hostium cadauera intra phalangem, cum coenati essent obdormiere. Mane autem iussit Gylo tribuno militum, ut & ordines instrueret, trophaeumq; statueret, ut omnes in dei uenerationem coronarentur, cunctiq; tibicines tibijs canerent: qui iussis paruere. At Thebani per caduceatorem sub foederibus ad sepulturam cadauera petierunt. Itaque isto foedere Agesilaus abijt domum, eligens domi potius pro legibus imperare, ac legitime imperium pati, quàm esse in Asia maximus. Postea uero Argiuos animaduertens, qui non modo domestico fruerentur imperio, uerùm & Corinthum quoque adiecissent, bellum etiam gliscere, in eos expeditiones educit: populatúsque omnem ipsorum agrum, confestim inde Corinthum superatis angustijs petens, muros ad Lechaeum tendentes capit: ac patefactis Peloponnesi ianuis, ita domum rediens ad Hyacinthia, ubi à chori principe constitutum fuerat, paeanem Apollini simul perfecit. Deinde autem Corinthios accipiens pecora omnia in Pyraeum tuto contulisse, & ipsum Pyraeum omne serere, ac fruges ex eo capere: maximum praeterea ratus quod Boeotij hanc ob rem exercitum adorsi, tempestiue Corinthijs succurrerunt, aduersum Pyraeum cum exercitu processit. Quod cum non mediocri praesidio custodiri aduertisset, sumpto prandio, ad urbem perinde atque in deditionem eam recepturus traduxit exercitum. Sed cum apud eum increbuisset, eos qui in Pyraeo essent, cunctis copijs noctu in urbem auxilium uenisse, retrouersus quamprimum illuxisset Pyraeum quod praesidio uacuum offendebat, capit, & cum alia intus inuenta sumit, tum muros euertit:

quibus

quibus gestis domum repetit. Posthæc autem alacri animo Achiuis in societatem sese præstantibus, deprecantibusq; ut se in Acarnaniam secum militaturos duceret, ipsisq; Acarnanibus ad angustias insidentibus, superiores locos Agesilaus uelitibus occupans, pugnam conserit, & eorum multis interfectis, trophæum statuit: neq; prius quieuit quàm Acarnanes & Aetolos & Argiuos Achiuis amicos, sibi uero socios effecisset. Sed posteaquam pacis cupidi legationes miserunt hostes, Agesilaus paci cõtradixit, quousq; eos qui Lacedæmoniorum gratia ex Corinthijs Thebanisq; extorres agebantur, adegit urbes ut domum redeuntes acciperent. Ad postremũ rursus & illos qui ex Phliasijs ob Lacedæmonios exulabant, reduxit ipse, expeditionẽ aduersus Phliuntẽ agens. Quod si quis hæc alia quadam ratione carpit, ea profecto societatis amicitiæq; gratia gesta cõstat. Etenim postquam hi qui Thebas Lacedæmoniorũ incolebant, ab hostibus cæsi sunt, rursus his auxilium ferens, aduersus Thebas copias egit: ubi fossis omnia uallisq; munita comperiens, superatis Canis capitibus (ita enim locum nominant) agrum omnem ad oppidum usq; deuastauit, facultatem Thebanis dimicandi faciens & in campo & in montibus, si uoluerint. Profectus est & in proximum annum aduersus Thebas, superatisq; Scoli et munimentis & fossis, reliquam Bœotiam in prædam uertit. Quæ igitur ad hunc usq; locum contigere, pari secundaq; fortuna & ab ipso Agesilao urbeq; gesta sunt: quæ autem deinde enarrata secuta sunt, nemo certe dixerit ea ductu Agesilai accidisse. Rursum cum suscepta in Leuctris clade, Tegeatas ipsius & amicos & hospites, Thebani cũ Mantinensibus iam & Bœotijs omnibus, Arcadibusq; et Eliensibus insurgentibus, nouo bello lacessserent, solis fretus urib. obuiam cum exercitu fit, existimantibus multis neq; suum egredi solum ad multum temporis Lacedæmonios ausuros: populatusq; hostium agrum ita rursus domũ abijt. Deinde uero adorsis Lacedæmonẽ Arcadibus omnibus, & Argiuis & Eliensibus & Bœotijs, item & Phocensibus & utrisq; Locris & Thessalis & Aenianis & Acarnanibus Eubœisq;: defectione præterea facta seruorum, multis etiam municipijs, ac Spartiatis ipsis in Leuctris ad id redactis, ut plures prælio interierint quàm relicti sint, urbem tamen tutatus est, eamq; sine muro. Qui quidem ubi omnino hostes præualerẽt, haud eo copias educebat, sed quo in loco ciues præualituri erant, cunctis sane uiribus dimicabat: quippe qui putaret, ubi in latiorem locum exisset, undiq; circumueniri posse, sed in angustis locis & commodis subsistendo, quire omnino uincere. Cum igitur exercitus abijsset, qui non dixerit quispiam eum indulgere sibi oportere? Vt enim à militia & pedestri & equestri ob ætatem ingrauescentẽ prohibebatur, uideretq; rempub. pecunijs indigere, si quem uellet sibi socium asciscere, se ad eas quærendas parandasq; cõstituit: & quemcunq; poterat domi manens ingenio atq; industria moliebatur, & quæ tempus hortaretur in his se exercere non uerebatur: neq; erubescebat, modo reipub. profuturus esset, pro imperatore legatus ire. Veruntamen & in ipsa legatione, magni imperatoris munera obibat. Nam & Autophradates in Asso obsidens Ariobar-

ταῦτα δὲ ποιήσας, οἴκαδε ἀπεχώρησε. μετὰ δὲ ταῦτα προθύμων ὄντων τῶν Ἀχαιῶν εἰς τὴν συμμαχίαν, καὶ δεομένων συστρατεύειν αὐτοῖς εἰς Ἀκαρνανίαν, καὶ ἐπιθεμένων ἐν στενοῖς τῶν Ἀκαρνάνων, καταλαβὼν τοῖς ψιλοῖς τὰ ὑπὲρ κεφαλῆς αὐτῶν, μάχην συνάπτει. καὶ πολλοὺς ἀποκτείνας αὐτῶν, τρόπαιον ἐστήσατο, καὶ οὐ πρότερον ἔληξε πρὶν μὲν Ἀχαιοῖς φίλους ἐποίησεν Ἀκαρνᾶνας καὶ Αἰτωλοὺς καὶ Ἀργείους, ἑαυτῷ δὲ καὶ συμμάχους. ἐπειδὴ δὲ εἰρήνης ἐπιθυμήσαντες οἱ πολέμιοι ἐπρεσβεύοντο, Ἀγησίλαος ἀντεῖπε τῇ εἰρήνῃ, ἕως τοὺς διὰ Λακεδαιμονίους φυγόντας Κορινθίων καὶ Θηβαίων ἠνάγκασε τὰς πόλεις οἴκαδε καταδέξασθαι. ὕστερον δ' αὖ καὶ Φλιασίων τοὺς διὰ Λακεδαιμονίους φυγόντας, κατήγαγεν αὐτὸς στρατευσάμενος ἐπὶ Φλιοῦντα. εἰ δέ τις ἄλλῃ πῃ ταῦτα μέμφεται, ἀλλ' οὖν φιλεταιρείᾳ γε πραχθέντα φανερά ἐστι. καὶ γὰρ ἐπεὶ τοὺς ἐν Θήβαις τῶν Λακεδαιμονίων κατέκτανον οἱ ἐναντίοι, βοηθῶν αὖ τούτοις στρατεύει ἐπὶ τὰς Θήβας. εὑρὼν δὲ ἀποτεταφρευμένα καὶ ἀπεσταυρωμένα ἅπαντα, ὑπερβὰς τὰς Κυνὸς κεφαλὰς ἐδῄου τὴν χώραν μέχρι τοῦ ἄστεος, παρέχων καὶ ἐν πεδίῳ καὶ ἀνὰ τὰ ὄρη μάχεσθαι Θηβαίοις εἰ βούλοιντο. ἐστράτευσε δὲ καὶ τῷ ὑπιόντι ἔτει πάλιν ἐπὶ Θήβας, καὶ ὑπερβὰς τὰ κατὰ Σκῶλον σταυρώματα καὶ τάφρους, ἐδῄωσε τὰ λοιπὰ τῆς Βοιωτίας. τὰ μὲν δὴ μέχρι τούτου, κοινῇ αὐτός τε καὶ ἡ πόλις εὐτύχει. ὅσα γε μὴν μετὰ τοῦτο σφάλματα ἐγένοντο, οὐδεὶς ἂν εἴποι, ὡς Ἀγησιλάου ἡγουμένου ἐπράχθη. ἐπεὶ δ' αὐτοῖς ἐν Λεύκτροις συμφορᾶς γεγενημένης κατακαίνουσι τοὺς ἐν Τεγέᾳ φίλους καὶ ξένους αὐτοῦ οἱ ἀντίπαλοι σὺν Μαντινεῦσι, συνεστηκότων ἤδη Βοιωτῶν τε πάντων, καὶ Ἀρκάδων, καὶ Ἠλείων, στρατεύει σὺν μόρᾳ, πολλῶν νομιζόντων, οὐδ' ἂν ἐξελθεῖν Λακεδαιμονίους πολὺν χρόνον ἐκ τῆς αὐτῶν. δῃώσας δὲ τὴν χώραν τῶν κατακανόντων τοὺς φίλους, οὕτως αὖ οἴκαδε ἀπεχώρησεν. ἀπό γε μὴν τούτου ἐπὶ τὴν Λακεδαίμονα στρατευσαμένων Ἀρκάδων τε πάντων, καὶ Ἀργείων, καὶ Ἠλείων, καὶ Βοιωτῶν, καὶ σὺν αὐτοῖς Φωκέων, καὶ Λοκρῶν ἀμφοτέρων, καὶ Θετταλῶν, καὶ Αἰνιάνων, καὶ Ἀκαρνάνων, καὶ Εὐβοέων. πρὸς δὲ τούτοις ἀφεστηκότων μὲν τῶν δούλων, πολλῶν δὲ περιοικίδων πόλεων, καὶ αὐτῶν Σπαρτιατῶν οὐ μειόνων ἀπολωλότων ἐν τῇ ἐν Λεύκτροις μάχῃ ἢ λειπομένων, ὅμως διεφύλαξε τὴν πόλιν, καὶ ταῦτα ἀτείχιστον οὖσαν. ὅπου μὲν παντὶ πλεῖον ἂν εἶχον οἱ πολέμιοι, οὐκ ἐξάγων ἐνταῦθα. ὅπου δὲ οἱ πολῖται πλέον ἕξειν ἔμελλον, εὐρώστως παρατεταγμένους, νομίζων εἰς μὲν τὸ πλατὺ ἐξιὼν, πάντοθεν ἂν περιέχεσθαι. ἐν δὲ τοῖς στενοῖς καὶ ὑπερδεξίοις τόποις ὑπομένων, τῷ παντὶ κρατεῖν ἄν. ἐπεί γε μὴν ἀπεχώρησε τὸ στράτευμα, πῶς οὐκ ἂν φαίη τις αὐτὸν χρῆσθαι εὐγνωμόνως ἑαυτῷ; ὡς γὰρ τοῦ στρατεύεσθαι καὶ πεζῇ ἐφ' ἵππων ἀπεῖργεν ἤδη τὸ γῆρας, χρημάτων δὲ ἑώρα τὴν πόλιν δεομένην, εἰ μέλλοι σύμμαχόν τινα ἕξειν, ἐπὶ τὸ πορίζειν ταῦτα, ἑαυτὸν ἔταξε. καὶ ὅσα μὲν ἐδύνατο, οἴκοι μένων ἐμηχανᾶτο. ἃ δὲ καιρὸς ἦν, οὐκ ὤκνει μετιέναι. οὐδ' ᾐσχύνετο εἰ μέλλοι τὴν πόλιν ὠφελήσειν, πρεσβευτὴς ἐκπορευόμενος ἀντὶ στρατηγοῦ. ὅμως δὲ καὶ ἐν τῇ πρεσβείᾳ, μεγάλου στρατηγοῦ ἔργα διεπράξατο. Αὐτοφραδάτης γάρ τι πολιορκῶν ἐν Ἄσσῳ, Ἀριοβαρζάνην

ζαίνην σύμμαχον ὄντα, δείσας Ἀγησίλαον, φυγὼν ᾤχετο. Κότυς δ' αὖ Σηστὸν πολιορκῶν, Ἀριοβαρζάνου ἔτι οὖσαν, λύσας καὶ οὗτος τὴν πολιορκίαν ἀπηλλάγη. ὥστ' οὐκ ἀλόγως καὶ ἀπὸ τῆς πρεσβείας τρόπαιον τῶν πολεμίων ἑστήκει αὐτῷ. Μαύσωλός γε μὴν κατὰ θάλασσαν ἑκατὸν ναυσὶ πολιορκῶν ἀμφότερα τὰ χωρία ταῦτα, οὐκέτι δείσας, ἀλλὰ πεισθεὶς ἀπέπλευσεν οἴκαδε. ἄξια θαύματος διεπράξατο. οἵ τε γὰρ εὖ πεπονθέναι νομίζοντες ὑπ' αὐτοῦ, καὶ οἱ φεύγοντες αὐτὸν, χρήματα ἀμφότεροι ἔδοσαν. ταχέως γε μὴν καὶ Μαύσωλος διὰ τὴν πρόσθεν Ἀγησιλάου ξενίαν συμβαλόμενος καὶ οὗτος χρήματα τῇ Λακεδαίμονι, ἀπέπεμψαν αὐτὸν οἴκαδε προπομπὴν δόντες μεγαλοπρεπῆ. ἐκ δὲ τούτου ἤδη μὲν ἐγεγόνει ἔτη ἀμφὶ τὰ ὀγδοήκοντα. κατανενοηκὼς δὲ τὸν Αἰγυπτίων βασιλέα ἐπιθυμοῦντα τοῦ Πέρσῃ πολεμεῖν, καὶ πολλοὺς μὲν πεζοὺς, πολλοὺς δ' ἱππέας, πολλὰ δὲ χρήματα ἔχοντα, ἄσμενος ἤκουσεν ὅτι μετεπέμπετο αὐτὸν καὶ ταῦτα ἡγεμονίαν ὑπισχνούμενος. ἐνόμιζε γὰρ τῇ αὐτῇ ὁρμῇ τῷ μὲν Αἰγυπτίῳ χάριν ἀποδώσειν, ἀνθ' ὧν εὐεργετήκει τὴν Λακεδαίμονα. τοὺς δ' ἐν τῇ Ἀσίᾳ Ἕλληνας πάλιν ἐλευθερώσειν. τῷ δὲ Πέρσῃ δίκην ἐπιθήσειν καὶ τῆς πρόσθεν, καὶ ὅτι νῦν σύμμαχος εἶναι φάσκων, ἐπέταττε Μεσσήνην ἀφιέναι. ἐπεὶ μέντοι ὁ μεταπεμψάμενος οὐκ ἀπεδίδου τὴν ἡγεμονίαν αὐτῷ, ὁ μὲν Ἀγησίλαος ὡς τὸ μέγιστον ἐξηπατημένος, ἐφρόντιζε τί δεῖ ποιεῖν. ἐκ τούτου δὲ πρῶτον μὲν οἱ δίχα στρατευόμενοι τῶν Αἰγυπτίων ἀφίστανται τοῦ βασιλέως. ἔπειτα δὲ καὶ οἱ ἄλλοι πάντες ἀπέλιπον αὐτὸν, καὶ αὐτὸς μὲν δείσας ἀπεχώρησε φυγῇ εἰς Σιδῶνα τῆς Φοινίκης. οἱ δ' Αἰγύπτιοι στασιάσαντες, διττοὺς βασιλέας αἱροῦνται. ἐνταῦθα δὴ Ἀγησίλαος γνοὺς ὅτι εἰ μὲν μηδετέρῳ συλλήψοιτο, μισθὸν οὐδέτερος λύσει τοῖς Ἕλλησιν, ἀγορὰν δὲ οὐδέτερος παρέξει, ὁπότερός τ' ἂν κρατήσῃ, οὗτος ἐχθρὸς ἔσται. εἰ δὲ τῷ ἑτέρῳ συλλήψοιτο, οὗτός γε εὖ παθὼν, ὡς τὸ εἰκὸς, φίλος ἔσοιτο. οὕτω δὴ κρίνας, ὁπότερος φιλέλλην μᾶλλον ἐδόκει εἶναι, στρατευσάμενος μετὰ τούτου, τὸν μὲν μισέλληνα μάχῃ νικήσας χειροῦται· τὸν δ' ἕτερον συγκαθίστησι. καὶ φίλον ποιήσας τῇ Λακεδαίμονι, καὶ χρήματα πολλὰ προσλαβὼν, οὕτως ἀποπλεῖ οἴκαδε, καίπερ μέσου χειμῶνος ὄντος, σπεύδων ὡς μὴ ἀργὸς ἡ πόλις εἰς τὸ ἐπιὸν θέρος πρὸς τοὺς πολεμίους γένοιτο. καὶ ταῦτα μὲν δὴ εἴρηται, ὅσα τῶν ἐκείνου ἔργων μετὰ πλείστων μαρτύρων ἐπράχθη. τὰ γὰρ τοιαῦτα οὐ τεκμηρίων προσδεῖται, ἀλλ' ἀναμνῆσαι μόνον ἀρκεῖ, καὶ εὐθὺς πιστεύεται. νῦν δὲ τὴν ἐν τῇ ψυχῇ αὐτοῦ ἀρετὴν πειράσομαι δηλοῦν, δι' ἣν ταῦτα ἔπραττε, καὶ πάντων τῶν καλῶν ἤρα, καὶ πάντα τὰ αἰσχρὰ ἐδίωκεν. Ἀγησίλαος γὰρ τὰ μὲν θεῖα οὕτως ἐσέβετο, ὡς καὶ οἱ πολέμιοι τοὺς ἐκείνου ὅρκους καὶ τὰς ἐκείνου σπονδὰς πιστοτέρας ἐνόμιζον, ἢ τὴν ἑαυτῶν φιλίαν

μὲν ὤκνουν εἰς ταὐτὸν ἰέναι. Ἀγησιλάῳ δὲ αὑτοὺς ἐνεχείριζον. ὅπως δὲ μή τις ἀπιστῇ, καὶ ὀνομάσαι βούλομαι τοὺς ἐπιφανεστάτους αὐτῶν. Σπιθριδάτης μέν γε ὁ Πέρσης εἰδὼς ὅτι Φαρνάβαζος γῆμαι μὲν τὴν βασιλέως ἔπραττε θυγατέρα, τὴν δ' αὐτοῦ ἄνευ γάμου λαβεῖν ἐβούλετο, ὕβριν νομίσας

zanem socium, cum Agesilaum formidasset, fugam petijt. Cotys autem Sestum quam adhuc Ariobarzanes tenebat obsidens, item & ipse soluta obsidione abijt. Itaq; haud absurde etiam legatus trophæum sibi ex hostibus statuit. Mausolus uero marte maritimo nauibus centum ambo hæc oppida obsidione premens, iam nõ formidine, sed persuasione domum rediens nauigauit. Dignas certe admiratione res gessit. Nam & hi qui beneficium ex eo suscepisse censerent, et qui eum fugissent, uterq; sibi pecunias dederunt. Atqui propere & Mausolus ob pristinum sibi cum Agesilao hospitium, cum & ipse pecunias Lacedemona detulisset, magnifica eum pompa domum deduxerunt. Sed cum iam annum circiter octogesimum attigisset, comperissetq; Aegyptiorum regem aduersum Persen belligerare cupientem, magnoq; & peditum & equitum numero fretũ, & grandi quoq; pecunia abundantem, nõ iniucunde audiuit quod ab illo accerseretur, et eo potissimũ quod imperiũ ille sibi polliceretur. Putabat namq; sese eadẽ profectione, tum Aegyptio gratias relaturum pro his quibus Lacedemonem beneficijs affecisset, & eos qui Asiam incolerent Græcos rursum in libertatem redacturum: tum deniq; ipsi Persæ rerum præteritarum poenam adiecturum, & quod se nunc consociũ diceret, ut Mesenam dimitteret imperabat. At postea quam is qui accersierat imperium sibi haud traderet, Agesilaus quidem tanquam maximopere deceptus, quid faciendum esset animo uolutabat. Dehinc uero Aegyptiorũ exercitus bifariam partiti, primum quidem a rege deficiũt, deinde reliqui omnes eum deserunt. Ipse autẽ rex rem formidans, Sydonem Phœnicis petijt fuga. At Aegyptij orta inter eos seditione, reges duos creant. Tunc igitur Agesilaus intelligens si neutri cohæsisset, neuter Græcis stipendiũ soluet, commeatum quoq; præbebit nemo, & uter uicerit hic hostis ijs fiet. Quod si alteri fauerit, is beneficio affectus cõsentaneé amicus futurus sit. Proinde sic iudicans, uter magis Græcis affici uisus est, hunc militia secutus: alterum qui Græcos exosus esset, uictum prælio capit, alterum regem confirmauit. Quem cum & Lacedemoni amicũ fecisset, multasq; pecunias accepisset, ita uel medio hyemis tempore domum nauigat, eo festinans ne ad proximã æstatem debilis aduersus hostes urbs fieret. Atq; hæc etiam enarrata à nobis sunt, quæ plurimorũ testimonio de illius rebus gestis comprobantur: huiusmodi enim res cõiecturis non indigent, sed satis est admonuisse duntaxat, cõtinuoq; creduntur. Nunc autem enitar ostendere eam animi sui uirtutem, qua & hæc gesta ab eo sunt, & honesta is omnia assequutus, & turpia quæq; insectatus est. Agesilaus enim ita diuina uenerabatur, colebat, obseruabat, ut & hostes ipsi illius & iusiurandum & fœdera certioris fidei, quàm suam inter se amicitiam ducerent. * Nam in contrahendis inter se rebus plerunq; ad eundem ire uerebantur: Agesilao autem sese credebant. Sed ne quis falsa hæc existimet esse, illorum nominum in medium referam qui essent inter eos illustrissimi, in primisq; spectati. Spithridates quidem Perses cum scisset Pharnabazum operam dare ut regis filiam uxorem haberet, eius uero filiam absque matrimonio sumere uellet, hoc sibi futurum contumeliæ ratus,

Agesilai religio.

ratus, & seipsum & uxorem & natos atq; uires omnes Agesilao dedidit. Cotys uero Paphlagonum princeps regi mittenti dexteram audire noluit, ueritusne captus uel grandes pecunias solueret, uel etiam letum daret. Agesilai autem fœderibus idem fisus & in castra uenit, & societate facta elegit cum Agesilao militare, equites duo millia, & scutatos quatuor millia secum habens. Venit & Pharnabazus in Agesilai colloquium, eiq; fassus, ni totius ipse Persarum exercitus imperator constituatur, à rege se defecturum: siquidem ego, inquit, imperator belligerabo tecum Agesilaë pro uiribus quam acerrime. Quæ inquiens facile credebat se nihil præter fœdera pati posse: usqueadeo magna & perpulchra res est cū alijs omnibus, tum uero imperatori, fas fidemq; seruare, & se talem esse cognosci. Ac de pietate quidem hæc dicta sint. De ipsius autem in re pecuniaria iustitia, cuiusmodi qui quā maiora hisce argumenta habuerit? Nam nemo unquā de Agesilao questus est, quod quicquā sibi abstulisset: eius uero erga se beneficia multi multa confessi sunt. Cui uero uoluptati est, rem suam ad hominum commoda usumq; conferre, quo hic pacto aliena uoluerit auferre quo ipse infamis fuit? Nam si pecuniarū libidine tangeretur, longe quietius foret sua tueri, q̄ aliena iniuste capere. Qui autem gratias hisce in rebus auferre nolit, quarum nullæ sunt mulctæ in eum qui nihil retribuerit constitutæ, quo pacto ea quæ lege prohibentur auferre uoluerit? At Agesilaus nō modo gratias nō referre, iniustum esse iudicauit, quin potius non multo maiores reddere qui posset iniquū arbitratus est. Atqui ea furto surripuisse quæ ciuitatis essent, ubi eum quisquā iure crimínetur, qui etiam eas quæ sibi gratiæ deberētur, fruendas patriæ permiserit, tradiderit, cesserit? Quod autem cum uellet uel remp. uel amicis pecunijs benefacere posset, ab alijs accipiendo prodesse, nonne & hoc magnum est argumētum suæ circa pecunias cōtinentiæ? Nam si gratias uendidisset, mercedéue benefacere consuesset, nemo certe quicquā ei debere censuisset. Sed qui gratis beneficium suscepere, hi iucunde semper beneficio inseruiunt, obtemperant, obsequuntur, tum quia beneficio sunt affecti, tum quia prius crediti sunt digni esse qui grauarū depositum tuerentur. Qui uero malit aut cum ipso iusto minorē consequi, aut cum iniusto ipso maiorem habere portionē, qui non eodem modo ut turpe lucrum longe is magis euitarit atq; aufugerit? Ille igitur cum à ciuitate omnis Agidis substantiæ adiudicata esset, dimidium eius germanis tradidit, quoniā inopes illos intueretur. Hæc autem uera esse omnis Lacedæmoniorū ciuitas testis est. Præterea permulta sibi munera Tithrausta offerente si ex Asia decederet, respondit Agesilaus: Ò Tithrausta, EXISTIMATVR apud nos pulchrius esse princip., exercitum q̄ seipsum locupletare, & ab hostibus prædam magis quàm dona capere eniti. Atqui quot uoluptatibus homines superantur, quib. nunquam quis uiderit superatum Agesilaum? qui ebrietate ac edacitate non secus atq; ab ingenti flagitio alienari decere duceret, intempestiuo autem cibo tanquā & impudentia? Ac duplicem portionem in conuiuijs ex constituto accipiens, nec sic quidem tota utebatur, uerum simplici ipse nec integra ea cōtentus, reliquum distri/

Agesilai iustitia

νομίσας τοῦτο, Ἀγησιλάῳ ἑαυτὸν καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα καὶ τὴν δύναμιν ἐνεχείρισε. Κότυς δὲ ὁ τῶν Παφλαγόνων ἄρχων, βασιλεῖ μὲν οὐχ ὑπήκουσε δεξιὰν πέμποντι, φοβούμενος μὴ ληφθεὶς ἢ χρήματα πολλὰ ἀποτίσειεν, ἢ καὶ ἀποθάνοι. Ἀγησιλάου δὲ οὗτος ταῖς σπονδαῖς πιστεύσας, εἰς τὸ στρατόπεδόν τε ἦλθε, καὶ συμμαχίαν ποιησάμενος, εἵλετο σὺν Ἀγησιλάῳ στρατεύεσθαι, δισχιλίους μὲν ἱππέας, τετρακισχιλίους δὲ πελτοφόρους ἔχων. ἀφίκετο δὲ καὶ Φαρνάβαζος Ἀγησιλάῳ εἰς λόγους, καὶ διωμολόγησεν, εἰ μὴ αὐτὸς πάσης τῆς στρατιᾶς στρατηγὸς κατασταθείη, ἀποστήσεσθαι βασιλέως. ἢν μέντοι ἐγὼ γένωμαι στρατηγός, ἔφη, πολεμήσω σοι, ὦ Ἀγησίλαε, ἕως ἂν ἐγὼ δύνωμαι κράτιστα. καὶ ταῦτα λέγων ἐπίστευε μηδὲν ἂν παράσπονδον παθεῖν. οὕτω μέγα καὶ καλὸν κτῆμα τοῖς τε ἄλλοις ἅπασι, καὶ ἀνδρὶ δὴ στρατηγῷ, τὸ ὅσιόν τε καὶ πιστὸν εἶναί τε καὶ ὄντα ἐγνῶσθαι. καὶ περὶ μὲν εὐσεβείας ταῦτα. περί γε μὴν τῆς εἰς χρήματα δικαιοσύνης, ποῖα ἄν τις μείζω τεκμήρια ἔχοι τῶνδε; ὑπὸ γὰρ Ἀγησιλάου στέρεσθαι μὲν οὐδεὶς, οὐδὲν πώποτε ἐνεκάλεσεν. εὖ δὲ πεπονθέναι πολλοὶ πολλὰ ὡμολόγουν. ὅτῳ δὲ τὰ αὑτοῦ διδόναι ἐπ᾽ ὠφελείᾳ ἀνθρώπων, πῶς ἂν οὗτος ἐθέλοι τὰ ἀλλότρια ἀποστερεῖν, ἐφ᾽ ᾧ κακόδοξος εἶναι; εἰ γὰρ χρημάτων ἐπιθυμοίη, πολὺ ἀπραγμονέστερον τὰ αὑτοῦ φυλάττειν, ἢ τὰ μὴ προσήκοντα λαμβάνειν. ὃς δὲ δὴ καὶ χάριτας ἀποστερεῖν μὴ ἐθέλοι, ὧν οὐκ εἰσὶ δίκαι πρὸς τὸν μὴ ἀποδιδόντα, πῶς ἅ γε καὶ νόμος κωλύει, ἐθέλοι ἂν ἀποστερεῖν; Ἀγησίλαος δὲ οὐ μόνον τὸ μὴ ἀποδιδόναι χάριτας ἄδικον ἔκρινεν, ἀλλὰ καὶ τὸ μὴ πολὺ μείζους, τὸν μείζω δυνάμενον. τά γε μὴν τῆς πόλεως κλέπτειν, πῶς ἄν τις αὐτὸν εἰκότως αἰτιάσαιτο, ὃς καὶ τὰς αὑτῷ χάριτας ὀφειλομένας, τῇ πατρίδι καρποῦσθαι παρεδίδου. τὸ δ᾽ ὁπότε βούλοιτο εὖ ποιεῖν, ἢ πόλιν, ἢ φίλους χρήμασι, δύνασθαι παρ᾽ ἑτέρων λαμβάνοντα ὠφελεῖν, οὐ τοῦτο καὶ μέγα τεκμήριον ἐγκρατείας χρημάτων; εἰ γὰρ ἐπώλει τὰς χάριτας, ἢ μισθοῦ εὐεργέτει, οὐδεὶς ἂν οὐδὲν ὀφείλειν αὐτῷ ἐνόμισεν. ἀλλ᾽ οἱ προῖκα εὖ πεπονθότες, οὗτοι ἀεὶ ἡδέως ὑπηρετοῦσι τῷ εὐεργέτῃ, καὶ διότι εὖ ἔπαθον, καὶ διότι προεπιστεύθησαν ἄξιοι εἶναι παρακαταθήκην χάριτος φυλάττειν. ὅστις δ᾽ ᾑρεῖτο καὶ σὺν τῷ γενναίῳ μειονεκτεῖν, ἢ σὺν τῷ ἀδίκῳ πλέον ἔχειν, πῶς οὗτος οὐκ ἂν πολὺ τὴν αἰσχροκέρδειαν ἀποφεύγοι; ἐκεῖνος τοίνυν κριθεὶς ὑπὸ τῆς πόλεως ἅπαντα ἔχειν τὰ Ἄγιδος, τὰ ἡμίσεα τοῖς ἀπὸ μητρὸς αὐτῷ ὁμογόνοις μετέδωκεν, ὅτι πενομένους αὐτοὺς ἑώρα. ὡς δὲ ταῦτα ἀληθῆ, πᾶσα μαρτυρεῖ ἡ τῶν Λακεδαιμονίων πόλις. διδόντος δ᾽ αὐτῷ πάμπολλα δῶρα Τιθραύστου, εἰ ἀπέλθοι ἐκ τῆς χώρας, ἀπεκρίνατο ὁ Ἀγησίλαος· ὦ Τιθραῦστα, νομίζεται παρ᾽ ἡμῖν, τῷ ἄρχοντι κάλλιον εἶναι, τὴν στρατιὰν ἢ ἑαυτὸν πλουτίζειν, καὶ παρὰ τῶν πολεμίων λάφυρα μᾶλλον ἢ δῶρα πειρᾶσθαι λαμβάνειν. ἀλλὰ μὴν καὶ ὅσαι γε ἡδοναὶ πολλῶν κρατοῦσιν ἀνθρώπων, ποίας οἶδέ τις Ἀγησίλαον ἡττηθέντα; ὃς μέθης μὲν ἀπέχεσθαι ὁμοίως ᾤετο χρῆναι καὶ λαιμαργίας. σίτων δ᾽ ὑπὲρ καιρὸν ὁμοίως ὡς καὶ ἁμαρτίας. διμοιρίαν γε μὴν λαμβάνων ἐν ταῖς θοίναις, οὐχ οὕτως ἀμφοτέραις ἐχρῆτο, ἀλλὰ διαπέμπων οὐδετέραν αὑτῷ

αὐτῷ κατέλιπε, νομίζων βασιλεῖ τοῦτο διπλασιασθῆναι,
οὐχὶ πλησμονῆς ἕνεκα, ἀλλ' ὅπως ἔχοι καὶ τούτῳ τιμᾶν
εἴ τινα βούλοιτο. οὐ μὴν ὕπνῳ γε δεσπότῃ, ἀλλ' ἀρχομέ-
νῳ ὑπὸ τῶν πράξεων ἐχρῆτο. καὶ εὐνήν γε εἰ μὴ τῶν συνόν-
των φαυλοτάτην ἔχοι, αἰδούμενος οὐκ ἄδηλος ἦν. ἡ-
γεῖτο γὰρ ἄρχοντι προσήκειν οὐ μαλακίᾳ, ἀλλὰ καρτε-
ρίᾳ τῶν ἰδιωτῶν περιεῖναι. τάδε μέντοι πλεονεκτῶν
οὐκ ᾐσχύνετο. ἐν μὲν τῷ θέρει, τοῦ ἡλίου· ἐν δὲ τῷ χειμῶ-
νι, τοῦ ψύχους. καὶ μὴν εἴ ποτε μοχθῆσαι στρατιᾷ συμ-
βαίη, ἑκὼν ἐπόνει παρὰ τοὺς ἄλλους· νομίζων πάντα τὰ
τοιαῦτα παραμυθίαν εἶναι τοῖς στρατιώταις. ὡς δὲ συνε-
λόντι εἰπεῖν, ἀγησίλαος πονῶν μὲν ἠγάλλετο, ῥᾳστώ-
νην δὲ πάμπαν οὐ προσίετο. περί γε μὴν ἀφροδισίων
ἐγκρατείας αὐτοῦ, ἆρ' οὐχὶ εἰ μή του ἄλλου, ἀλλὰ θαύμα-
τος ἕνεκα ἄξιον μνησθῆναι; τὸ μὲν γὰρ ὧν μὴ ἐπεθύμη-
σεν ἀπέχεσθαι, ἀνθρώπινον ἄν τις φαίη εἶναι. τὸ δὲ μεγα-
βάτου τοῦ σπιθριδάτου παιδὸς ἐρασθέντα, ὥσπερ ἂν
τοῦ καλλίστου ἡ σφοδροτάτη φύσις ἐρασθείη. ἔπειτα ἡνί-
κα ἐπιχωρίου ὄντος τοῖς πέρσαις φιλεῖν οὓς ἂν τιμῶσιν,
ἐπεχείρησε καὶ ὁ μεγαβάτης φιλῆσαι τὸν ἀγησίλαον,
διαμάχεσθαι ἀνὰ κράτος τὸ μὴ φιληθῆναι. ἆρ' οὐ τοῦτό
γε ἤδη τὸ σωφρόνημα καὶ λίαν μανικόν; ἐπεὶ δὲ ὥσπερ
ἀτιμασθῆναι νομίσας ὁ μεγαβάτης, τοῦ λοιποῦ οὐκ ἔτι
φιλεῖν ἐπειρᾶτο, προσφέρει τινὶ λόγον τῶν ἑταίρων ὁ
ἀγησίλαος, πείθειν τὸν μεγαβάτην πάλιν τιμᾶν ἑαυ-
τόν. ἐρομένου δὲ τοῦ ἑταίρου, εἰ πεισθῇ ὁ μεγαβάτης εἰ
φιλήσει. ἐνταῦθα διασιωπήσας ὁ ἀγησίλαος εἶπεν οὐ
τοσέ, οὐδ' εἰ μέλλοιμί γε αὐτίκα μάλα, κάλλιστός τε καὶ
ἰσχυρότατος καὶ τάχιστος ἀνθρώπων ἔσεσθαι. μάχε-
σθαί γε μέντοι πάλιν τὴν αὐτὴν μάχην, ὄμνυμι πάν-
τας τοὺς θεοὺς μᾶλλον βούλεσθαι, ἢ πάντα μοι ὅσα ὁρῶ
χρυσᾶ γενέσθαι. καὶ ὅτι μὲν δὴ ὑπολαμβάνουσί τινες
ταῦτα, οὐκ ἀγνοῶ. ἐγὼ μέντοι δοκῶ εἰδέναι ὅτι πολὺ
πλείονες τῶν πολεμίων ἢ τῶν τοιούτων δύνανται κρατεῖν. ἀλλὰ
ταῦτα μὲν ὀλίγων εἰδότων, πολλοῖς ἔξεστιν ἀπιστεῖν. τὰ δὲ
πάντες ἐπιστάμεθα, ὅτι ἥκιστα μὲν οἱ ἐπιφανέστατοι τῶν ἀν-
θρώπων λανθάνουσιν ὅτι ἂν ποιῶσιν. ἀγησίλαον δέ τι
πράξαντα μὲν τοιοῦτον, οὔτε ἰδὼν πώποτε οὐδεὶς ἀ-
νήγγειλεν, οὔτε εἰκάζων πιστὰ ἂν ἔδοξε λέγειν. καὶ γὰρ
εἰς οἰκίαν οὐδεμίαν ἰδίᾳ ἐν ἀποδημίᾳ κατήγετο. ἀεὶ δὲ
ἐν ἱερῷ, ἔνθα δὴ ἀδύνατον τὰ τοιαῦτα πράττειν, ἢ ἐν φα-
νερῷ μάρτυρας τοὺς πάντων ὀφθαλμοὺς τῆς σωφροσύ-
νης ποιούμενος. εἰ δ' ἐγὼ ταῦτα ψεύδομαι ἀντία τῆς
ἑλλάδος ἐπισταμένης, ἐκεῖνον μὲν οὐδὲν ἐπαινῶ, ἐμαυ-
τὸν δὲ ψέγω. ἀνδρείας γε μὴν οὐκ ἀφανῆ τεκμήρια μοι
δοκεῖ παρασχέσθαι. ὑφιστάμενος μὲν ἀεὶ πολεμεῖν πρὸς
τοὺς ἰσχυροτάτους τῶν ἐχθρῶν τῇ τε πόλει καὶ τῇ ἑλλά-
δι. ἐν δὲ τοῖς πρὸς τούτους ἀγῶσι πρῶτον μὲν ἑαυτὸν
τάττων. ἔνθα γε μὴν ἠθέλησαν αὐτῷ οἱ πολέμιοι μάχην
συνάψαι, οὐ φόβῳ τρεψάμενος νίκης ἔτυχεν, ἀλλὰ μά-
χῃ ἀντιτύπῳ κρατήσας, τρόπαιον ἐστήσατο. ἀθάνατα
μὲν τῆς ἑαυτοῦ ἀρετῆς μνημεῖα καταλιπών. σαφῆ δὲ καὶ
αὐτὸς σημεῖα ἀπενεγκάμενος τοῦ θυμῷ μάχεσθαι. ὥστ'
οὐκ ἀκούοντας, ἀλλ' ὁρῶντας ἐξῆν αὐτοῦ τὴν ψυχὴν δο-
κιμάζειν. τρόπαια μὲν οὖν ἀγησιλάου οὐχ ὅσα ἐστήσα-
το, ἀλλ' ὅσα ἐστρατεύσατο δίκαιον νομίζειν. μεῖον μὲν γὰρ
οὐδὲν

distribuebat, ratus geminam regi portionem dari nō so
cietatis gratia, sed quo poßit quē uelit honorare. Nec
somno quidem ut hero, sed cui à rerum maximarū cu
ra imperaretur, utebatur. Ac ne quidem obscurū erat
eum pudore affici, ni ex præsentib. lectus eum habuisset
qui esset uilißimus. Arbitrabatur enim decere principē
non mollitie, sed tolerantia priuatis hominib. præstare.
Hisce aūt rebus, se locupletiorem esse haud pudebat: in
æstate quidē sole, in hyeme uero frigore. Quod si quā
10 do nimio labore defatigari exercitū contingeret, elabo
bat et ultro ipse præter cæteros, putās quæq; talia leua
mento esse militib. Vt aūt breuiter dixerim, Agesilaus
labore quidē exultabat, ocio uero omnino tristabatur.
Sed de ipsius circa res uenereas pudicitia, nónne si ob
nullā rem aliā, at admirationis gratia dignū sit memi
nisse? Nam quod ab rebus nō concupitis sese abstinue
rit, humanū quis esse dixerit. Sed quod Megabatē Spi
thridatis filiū adamarit, sicuti uehementißimū effrena
tißimūq; hominis ingeniū rem pulcherrimā adamare
20 poßit: deinde cum patrius mos sit Persis, eos osculari
quos honorib. prosequi uelint, aggressus est Megaba
tes ut Agesilaū oscularetur: isq; pro uirili parte repu
gnarit ne se oscularetur, nonne hoc igitur permaximū
quoddā est, & incredibilis cōtinentiæ argumentū? Sed
postquā Megabates nō amplius deinde eū osculari ten
tabat, utpote qui se inhonoratū existimaret, quendā ex
socijs Agesilaus alloquitur, qui Megabatæ suadeat ut
denuo se honoret. Rogāte aūt socio an si Megabates as
sentiatur osculabitur: hic cū Agesilaus tacuisset, inquit
30 ita: Nō si quidē statim unus omniū hominū sim futurus
& pulcherrimus & fortißimus et celerrimus: quin tan
dem rursus certare pugnā deos omnes & obtestor &
iuro: ueruntamen id potius uellem q̃ omnia mihi quæ
cunq; uideo aurea fieri. Et quidē plurimis hæc suspecta
fore, neq; credibilia uisum iri nequaquā ignoro: equidē
scire tamē uideor ualde plures eos esse qui hostium, q̃
tali uictoria potiri queāt. Sed hæc paucis nota, multis
nō abs re incredibilia sunt. Id autē omnes profecto no
uimus, quicquid clarißimi uiri egerint, occultū esse nō
40 posse: ab Agesilao nemo uero unquā huiusmodi quic
quā patratū uidisse nunciauit, neq; ex coniecturis suspi
catus aliquid utiq; probabile dicere uisus est. Etenim
neq; in domū seorsum peregrinādo diuertit unquā, sem
per autem uel in templo, ubi talia perpetrari minime
possent, aut in publico residebat, oculos omniū suæ pu
dicitiæ atq; continentiæ testes faciens. Quæ si ego men
tior, hisce Græcis contraria sentiente, nec illum laudo
equidē, et me certe uitupero. Atqui fortitudinis quoq;
non mediocres præbere cōiecturas uidetur mihi, quod
50 cum ab urbe, tum à Græcia decretus sit semper qui ad
uersus hostium potentißimos bellum gereret, aduersus
quos primus in certaminibus prodibat: & ubi secum
hostes congredi uellent, nō metu aliquo cūctatus uicto
riam nactus est, sed aduersa et acri pugna superatis ho
stib. trophæū posuit, linquēs is quidem immortalia uir
tutis suæ monumenta: signa autē certa afferens quod
omnino pugnaret, adeo ut non audiendo, sed intuendo
liceret eius animum probare. Atq; trophea quidem A
gesilai non ea solum quot statuit iure habenda sunt,
sed quot potius bellando promeruit. Neque enim mi
nus

nus uincebat quod nollent hostes pugnare secum, uerũ id tutius cõducibiliusq; erat reip. & socijs: ac in certaminib. quoq; nõ minus hi coronantur qui absq; sudore, q̃ qui pugnãdo sunt uictoriã consecuti. Quãta uero sapientia is claruerit, quæ illius res gestæ non demonstrant? qui ita patria utebatur ut alacri animo socijs obsequendo, obsequentißimos nihilq; recusantes amicos cõpararit, milites autẽ & obedientes simul & amantißimos sui reddiderit. Et quonã modo acrior phalanx fieri queat, q̃ quæ obtẽperando bene instructa sit, & suum amando principẽ fideliter adsit? Nẽpe habebat hostes qui uituperare nõ possent, odisse autem cogerentur: socios nanq; semper potiores ut illis essent moliebatur, & tempestiue decipiens, & celeritate opportune preueniẽs, & ubi conduceret delitescens, et omnia deniq; secus aduersus hostes q̃ in amicos curans: etenim nocte ueluti die, ac luce ueluti nocte utebatur, ignorabaturq; nõnunquã ubi esset, quò iret, quid rerũ facere institueret: quare quæ tuta erãt, dubia reddebat hostibus, hæc prateriẽs, illa superãs, alia surripiens ac fallens. Atqui quãdo proficisceretur, sciens eo consilio se egressum, ut cum hostib. manus cõsereret si uoluerint, eo ordine ducebat exercitũ, ut maxime subsidium sibi afferri posset: ea uero taciturnitate quieteq;, ut pudicißima aliqua uirgo antecedere uideretur. Putabat.n. hoc pacto neq; tremore, neq; formidine, neq; tumultu, neq; impudentia, neq; insidijs occupari exercitũ posse. Itaq; huiusmodi rebus & acriter hostibus imminebat, & audentiã amicis roburq; inijciebat. Itaq; neq; inimicis contemnendum, neq; ciuibus mulctandum, neq; amicis uituperandum se præstitit, quoad uixit. Fuit autem & omnibus admodum charißimus, & à cunctis mortalibus apprime laudatus. Quod uero fuerit reip. studiosus, si singulatim quæq; literis mandare uoluero, longißimum certe fuerit. Arbitror enim nihil ab eo gestum, quod minus ad hoc unum referatur. Verũ ut paucis dixerim, nostrùm neminẽ fugit Agesilaũ ubi existimasset patriæ profuturum, neq; labores fugisse, neq; à periculis abductum esse, neq; pecunijs pepercisse, neq; corporis, neq; senectutis imbecillitatẽ obtendisse: quimmo boni regis officiũ esse ducebat, ut plurimis eos bonis cumularet, qui sub imperio constituti essent. Sed inter maximas patriæ utilitates, uel hoc eius ego facinus posuerim: qui cum in urbe potẽtißimus esset, perspicue ostendebat se nihil malle q̃ legib. inseruire. Quis nãq; refragari his uoluisset, cum regem obtẽperare intueretur? quis etiam deteriori se cõditione futurũ ratus, noui quicquã facere attentasset? præsertim cum regẽ animaduerteret tolerare ut legitime etiã sibi imperaretur? qui & cum dissentientib. in rep. tanquam pater cum filijs disceptabat: obiurgabat nãq; si quid errassent, honorabat si quid honesti egissent: aßistebat si qua calamitas contigisset, ciuem nullum ducebat inimicũ, laudare uolebat oẽs, seruare oẽs lucrũ existimabat. Iacturæ sibi ascribebat, si quis etiã minus præstantißimus perijsset. Quod si pacate in legib. permanserint, patriã usq; beatam fore plane arbitrabatur: tum uero robustã ac ualentem, quãdocunq; Græci frugi fuerint. Atq; si quidẽ honestũ est Græcũ Græcis affici, quem aliũ quisquã norit imperatorem, qui aut urbem capere noluerit cum uastandam

οὐδὲν ἐκράτει ὅτι οὐκ ἤθελον αὐτῷ οἱ πολέμιοι μάχεσθαι, ἀκινδυνοτέρως δὲ καὶ συμφορωτέρως τῇ τε πόλει καὶ τοῖς συμμάχοις. καὶ ἐν τοῖς ἀγῶσι δὲ οὐδὲν ἧττον τοὺς ἀκονιτὶ ἢ τοὺς διὰ μάχης νικῶντας στεφανοῦσι. τήν γε μὴν σοφίαν αὐτοῦ ποῖαι τῶν ἐκείνου πράξεων οὐκ ἐπιδεικνύουσιν; ὃς τῇ μὲν πατρίδι οὕτως ἐχρῆτο, ὥστε μάλιστα πειθόμενος. τοῖς ἑταίροις δὲ πρόθυμος ὤν, ἀπροφασίστους τοὺς φίλους ἐκέκτητο. τοὺς δέ γε στρατιώτας ἅμα πειθομένους καὶ φιλοῦντας αὐτὸν παρεῖχε. καίτοι πῶς ἂν ἰσχυροτέρα γένοιτο φάλαγξ, ἢ διὰ τὸ μὲν πείθεσθαι εὔτακτος οὖσα, διὰ δὲ τὸ φιλεῖν τὸν ἄρχοντα πιστῶς παροῦσα; τούς γε μὴν πολεμίους εἶχε ψέγειν μὲν οὐ δυναμένους, μισεῖν δὲ ἀναγκαζομένους. τοὺς συμμάχους ἀεὶ πλέον ἔχειν αὐτῶν ἐμηχανᾶτο. ἐξαπατῶν μὲν ὅπου καιρὸς εἴη, φθάνων δὲ ὅπου τάχους δέοι. λανθάνων δὲ ὅπου τοῦτο συμφέροι. πάντα δὲ τἀναντία πρὸς τοὺς πολεμίους ἢ πρὸς τοὺς φίλους ἐπιτηδεύων. καὶ γὰρ νυκτὶ μὲν ὅσαπερ ἡμέρᾳ ἐχρῆτο, ἡμέρᾳ δὲ ὅσαπερ νυκτί, πολλάκις ἄδηλος γιγνόμενος ὅπου τε εἴη, καὶ ὅπου ἴοι, καὶ ὅ, τι ποιήσοι. ὥστε καὶ τὰ ἐχυρὰ ἀνόχυρα τοῖς ἐχθροῖς καθίστη, τὰ μὲν παριών, τὰ δὲ ὑπερβαίνων, τὰ δὲ κλέπτων. ὁπότε γε μὴν πορεύοιτο, εἰδὼς ὅτι ἐξείη τοῖς πολεμίοις μάχεσθαι εἰ βούλοιντο, συντεταγμένον μὲν οὕτως ἦγε τὸ στράτευμα, ὡς ἂν ἐπικουρεῖν μάλιστα ἑαυτῷ δύναιτο. ἡσύχως δ' ὥσπερ ἂν παρθένος ἡ σωφρονεστάτη προβαίνοι. νομίζων ἐν τῷ τοιούτῳ τό τε ἀτρεμὲς, καὶ ἀνεκπληκτότατον, καὶ ἀθορυβητότατον, καὶ ἀναμαρτητότατον, καὶ δυσεπιβουλευτότατον εἶναι. τοιγαροῦν τοιαῦτα ποιῶν τοῖς μὲν πολεμίοις δεινὸς ἦν, τοῖς δὲ φίλοις θάρσος καὶ ῥώμην ἐνεποίει. ὥστε ἀκαταφρόνητος μὲν ὑπὸ τῶν ἐχθρῶν διετέλεσεν, ἀζήμιος δὲ ὑπὸ τῶν πολιτῶν, ἄμεμπτος δὲ ὑπὸ τῶν φίλων, πολυεραστότατος δὲ καὶ πολυεπαινετώτατος ὑπὸ πάντων ἀνθρώπων. ὡς γε μὴν φιλόπολις ἦν, καθ' ἓν μὲν ἕκαστον, μακρὸν ἂν εἴη γράφειν. οἴομαι γὰρ οὐδὲν εἶναι τῶν πεπραγμένων αὐτῷ, ὅ τι οὐκ εἰς τοῦτο συντείνει. ὡς δ' ἐν βραχεῖ εἰπεῖν, ἅπαντες ἐπιστάμεθα, ὅτι Ἀγησίλαος ὅπου ᾤετο τὴν πατρίδα ὠφελήσειν, οὐ πόνων ὑφίετο, οὐ κινδύνων ἀφίστατο, οὐ χρημάτων ἐφείδετο, οὐ σῶμα, οὐ γῆρας προὐφασίζετο. ἀλλὰ καὶ βασιλέως ἀγαθοῦ τοῦτο ἔργον ἐνόμιζε, τὸ τοὺς ἀρχομένους ὡς πλεῖστα ἀγαθὰ ποιεῖν. ἐν τοῖς μεγίστοις δὲ ὠφελήμασι τῆς πατρίδος καὶ τόδε ἐγὼ τίθημι αὐτοῦ, ὅτι δυνατώτατος ὢν ἐν τῇ πόλει, φανερὸς ἦν μάλιστα τοῖς νόμοις λατρεύων. τίς γὰρ ἂν ἠθέλησεν ἀπειθεῖν, ὁρῶν τὸν βασιλέα πειθόμενον; τίς δ' ἂν ἡγούμενος μειονεκτεῖν, νεώτερόν τι ἐπεχείρησε ποιεῖν, εἰδὼς τὸν βασιλέα νομίμως καὶ τὸ κρατεῖσθαι φέροντα. ὃς καὶ πρὸς τοὺς διαφόρους ἐν τῇ πόλει ὥσπερ πατὴρ πρὸς παῖδας προσεφέρετο. ἐλοιδορεῖτο μὲν γὰρ ἐπὶ τοῖς ἁμαρτήμασιν. ἐτίμα δ' εἴ τι καλὸν πράττοιεν. παρίστατο δ' εἴ τις συμφορὰ συμβαίνοι. ἐχθρὸν μὲν οὐδένα ἡγούμενος πολίτην. ἐπαινεῖν δὲ πάντας ἐθέλων, σώζεσθαι δὲ πάντας κέρδος νομίζων, ζημίαν δὲ τιθείς, εἰ καὶ ὁ μικροῦ ἄξιος ἀπόλοιτο. εἰ δ' ἐν τοῖς νόμοις ἠρεμοῦντες διαμένοιεν, δῆλος ἦν, εὐδαίμονα μὲν ἀεὶ ἔσεσθαι τὴν πατρίδα λογιζόμενος, ἰσχυρὰν δὲ τότε, ὅταν οἱ Ἕλληνες σωφρονῶσιν. εἴ γε μὴν τὸ καλὸν Ἕλληνα ὄντα, φιλέλληνα εἶναι, τίνα τις οἶδεν ἄλλον στρατηγὸν ἢ πόλιν οὐκ ἐθέλοντα αἱρεῖν, ὅταν οἴηται πορθήσειν,

ἴδοιεν, ἢ συμφορὰν νομίζοντα τὸ νικᾶν ἐν τῷ πρὸς Ἕλληνας πολέμῳ; ἐκεῖνος τοίνυν ἀγγελίας μὲν ἐλθούσης αὐτῷ, ὡς ἐν τῇ ἐν Κορίνθῳ μάχῃ, ὀκτὼ μὲν Λακεδαιμονίων, ἐγγὺς δὲ μύριοι τεθναῖεν, οὐκ ἐφησθεὶς φανερὸς ἐγένετο. ἀλλ᾽ εἶπεν ἄρα, φεῦ, ὦ Ἑλλὰς, ὁπότε οἱ νῦν τεθνηκότες ἱκανοὶ ἦσαν ζῶντες νικᾶν μαχόμενοι πάντας βαρβάρους. Κορινθίων γε μὴν τῶν φευγόντων λεγόντων, ὅτι ἐνδοῖτο αὐτοῖς ἡ πόλις, καὶ μηχανὰς ἐπιδεικνύντων αἷς πάντες ἤλπιζον ἑλεῖν τὰ τείχη, οὐκ ἤθελε προσβάλλειν, λέγων ὅτι οὐκ ἀνδραποδίζεσθαι δέοι Ἑλληνίδας πόλεις, ἀλλὰ σωφρονίζειν. εἰ δὲ τοὺς ἁμαρτάνοντας ἔφη ἡμῶν αὐτῶν ἀφανιοῦμεν, ὁρᾶν χρὴ μὴ οὐδ᾽ ἕξομεν μεθ᾽ ὅτου τῶν βαρβάρων κρατήσομεν. εἰ δ᾽ αὖ καλὸν καὶ μισοπέρσην εἶναι, ὅτι καὶ ὁ πάλαι ἐξεστράτευσεν ὡς δουλωσόμενος τὴν Ἑλλάδα, καὶ ὁ νῦν συμμαχεῖ μὲν τούτοις μεθ᾽ ὁποτέρων ἂν οἴηται μείζω βλάψειν, δωρεῖται δ᾽ ἐκείνοις οὓς ἂν νομίζῃ λαβόντας πλεῖστα κακὰ τοὺς Ἕλληνας ποιήσειν, εἰρήνην δὲ συμπράττει ἐξ ἧς ἂν ἡγῆται μάλιστ᾽ ἂν ἡμᾶς ἀλλήλοις πολεμήσειν, ὁρῶσι μὲν οὖν ἅπαντες ταῦτα. ἐπεμελήθη δὲ τίς ἄλλος πώποτε πλὴν Ἀγησίλαος, ἢ ὅπως τι φῦλον ἀποστήσεται τοῦ Πέρσου, ἢ ὅπως τὸ ἀποστὰν μὴ ἀπόληται, ἢ τὸ παράπαν ὡς καὶ βασιλεὺς κακὰ ἔχων, μὴ δυνήσεται τοῖς Ἕλλησι πράγματα παρέχειν; ὃς καὶ πολεμούσης τῆς πατρίδος πρὸς Ἕλληνας, ὅμως τοῦ κοινοῦ ἀγαθοῦ τῇ Ἑλλάδι οὐκ ἠμέλησεν, ἀλλ᾽ ἐξέπλευσεν ὅτι δύναιτο κακὸν ποιήσων τὸν βάρβαρον. ἀλλὰ μὴν ἄξιόν γε αὐτοῦ καὶ τὸ εὔχαρι μὴ σιωπᾶσθαι, ᾧ γε ὑπαρχούσης μὲν τιμῆς, παρούσης δὲ δυνάμεως, πρὸς δὲ τούτοις βασιλείας, καὶ ταύτης οὐκ ἐπιβουλευομένης, ἀλλ᾽ ἀγαπωμένης, τὸ μὲν μεγάλαυχον οὐκ ἄν τις εἶδε, τὸ δὲ φιλόστοργον καὶ θεραπευτικὸν τῶν φίλων, καὶ μὴ ζητῶν, κατενόησεν ἄν. καὶ μὴν μετεῖχε μὲν ἥδιστα παιδικῶν λόγων. συνεσπούδαζε δὲ πᾶν ὅτι δέοι φίλοις. διὰ δὲ τὸ εὔελπις, καὶ εὔθυμος, καὶ ἀεὶ ἱλαρὸς εἶναι, πολλοὺς ἐποίει μὴ τοῦ διαπράξασθαί τι μόνον ἕνεκα πλησιάζειν, ἀλλὰ καὶ τοῦ ἥδιον διημερεύειν. ἥκιστα δ᾽ ὢν οἷος μεγαληγορεῖν, ὅμως τῶν ἐπαινούντων αὑτὸν, ὑπισχνεῖσθαι δὲ ἄνδρας ἀγαθοὺς ἔσεσθαι. ἀλλὰ μὴν καὶ τῇ μεγαλογνωμοσύνῃ γε ὡς εὐκαίρως ἐχρῆτο οὐ παραλειπτέον. ἐκεῖνος γὰρ ὅτ᾽ ἦλθεν αὐτῷ ἐπιστολὴ παρὰ βασιλέως, ἣν ὁ μετὰ Καλλίου τοῦ Λακεδαιμονίου Πέρσης ἤνεγκε, περὶ ξενίας τε καὶ φιλίας αὐτῷ, ταύτην μὲν οὐκ ἐδέξατο, τῷ δὲ φέροντι εἶπεν ἀπαγγεῖλαι βασιλεῖ, ὡς ἰδίᾳ μὲν πρὸς αὐτὸν οὐδὲν δέοι ἐπιστολὰς πέμπειν. ἢν δὲ φίλος τῇ Λακεδαίμονι καὶ τῇ Ἑλλάδι εὔνους ὢν φαίνηται, ὅτι καὶ αὐτὸς φίλος ἀνὰ κράτος αὐτῷ ἔσοιτο. ἢν μέντοι, ἔφη, ἐπιβουλεύων ἁλίσκηται, μηδ᾽ ἂν πάνυ πολλὰς ἐπιστολὰς δέχωμαι, φίλον ἕξειν με οἰέσθω. ἐγὼ οὖν καὶ τοῦτο ἐπαινῶ Ἀγησιλάου, τὸ πρὸς τὸ ἀρέσκειν τοῖς Ἕλλησιν, ὑπεριδεῖν τὴν βασιλέως ξενίαν, ἄγαμαι δὲ κἀκεῖνο, ὅτι οὐχ ὁπότερος πλείω τε χρήματα ἔχοι, καὶ πλειόνων ἄρχοι, τούτῳ ἡγήσατο μεῖζον φρονητέον εἶναι. ἀλλ᾽ ὁπότερος αὐτός τε ἀμείνων εἴη, καὶ ἀμεινόνων ἡγοῖτο. ἐπαινῶ δὲ κἀκεῖνο τῆς προνοίας αὐτοῦ, ὅτι νομίζων ἀγαθὸν τῇ Ἑλλάδι, ἀφίστασθαι τοῦ βασιλέως ὡς πλείστους σατράπας, οὐκ ἐκρατήθη οὔθ᾽ ὑπὸ δώρων, οὔθ᾽ ὑπὸ τῆς βασιλέως ῥώμης,

ἐθελῆσαι

standam suspicaretur, aut belli aduersus Græcos uictoriam cladem putaret? Ille igitur cum nuncium accepisset Lacedæmonios octo, hostium uero circiter decem millia in prælio aduersus Corinthios interijsse, haud obscure significauit eam sibi rem minimū uoluptatis attulisse, inquiens: Heu tibi Græcia, quandoquidem hi qui nunc oppetiere, satis fuerant qui uiui omnes pugnando barbaros superassent. Corinthijs uero exulibus dicentib. urbem illis cessurā, ac machinas ostentantibus quibus muros capere cuncti sperabant, apponere eas noluit, inquiens haud decere in seruitutem urbes Græcas redigi, sed castigare potius. Quod si delinquentes, inquit, nobisipsis perdemus, cauendum est ne quo pacto barbaros uincere possimus, habeamus. Sin rursus pulchrū est odisse Persas, quoniam superior Perses copias eduxit ad Græciam subiugandam, & is qui nunc regnat asciscitur socius, quibuscunque se maius detrimentū allaturum crediderit, illis elargitur quoscunque putarit in acceptis munerib. plurima Græcis mala illaturos: pacem uero eam agit ex qua cēsuerit maxime nos inuicem aduersus bellaturos: & quidem hæc uident omnes. At quis alius præter Agesilaum curauit unquam, aut ut natio aliqua à Persa desceret, aut ut quæ defecerit nō periret, uel saltē ut rex male affectus nequiret Græcis negocia præbere? Qui quidem Agesilaus patria cōtra Græcos belligerante, tamē publicum Græciæ bonum nō est oblitus, nō neglexit, nō omisit: qui traiecit in Asiam male barbarū pro uiribus affecturus. Atqui dignum est, ne ipsius quidem comitatē affabilitatemque naturæ taceamus, qui cū honore, potentia, ad hæc etiam regno, eoque sine insidijs, & cum amore omniū polleretur, iactantiæ tamen obnoxius à nemine unquam notari potuit: obsequentē autem, colentemque amicos nullo etiam adhibito studio animaduertisset quilibet: doctis uero eruditisque sermonibus iucundißime utebatur: quibuscunque in rebus opus esset amicis, curarū socius accedebat. Et quoniā bonæ spei plenus, bonoque animo & hilaris semper esset, efficiebat ut multi se adirent, non solùm alicuius conficiendæ rei gratia, uerumetiam quo diem suauißime consumerent. Præterea cum minime de sese unus omnium magnē quicquam loqueretur, nō eos tamen moleste audiebat qui seipsos laudarent: quippe qui nihil id illis obesse duceret; sed eos polliceri potius uiros se probos fore. Nec omittendum quidem reor, quàm tempestiue animi quadam magnificentia singulari uteretur. Ille nanque cum epistola sibi à rege reddita esset, quam Perses cum Callia Lacedæmonio detulerat, de hospitij iure amicitiaque perscriptam, hanc ne suscepit quidem: tabellario uero dixit, regi nunciaret, priuatim ad se epistolas dare nequaquam oportere. Quod si amicum Lacedæmoni, atque Græciæ beneuolum se palàm præstiterit, futurum & ipsum sibi uehementißime amicum: quare, inquit, si quidem insidias nectere deprehensus fuerit, neque si infinitas epistolas suscipiam, me sibi fore amicum putet. Ego igitur tum hoc Agesilai plurimum laudo, quod ut Græcis placeret, regis despexit hospitium. Tum & illud uehementer admiror, quod non uter ditior esset, ac plurimis imperaret, id pluris faciendum ratus est, sed quo pacto & ipse melior esset, imperaretque melioribus. Præterea & illud suæ prudentiæ summis laudibus prosequendum existimo, quod usui esse ducens ut quàm plurimi satrapæ ad Græcos à rege deficerent, nunquam uinci potuit neque muneribus, neque uiribus regis,

quo sibi hospitio iungeretur: sed obseruauit magis, ne deficere à rege uolentibus, infidus fieret. Ac id eius factũ quis nõ iure mirandum censeat? Nam Perses quidem ratus si grandes pecunias habuisset, se omnia sub eius acturum imperium: propterea quicquid inter homines auri, quicquid argenti esset, omnes denique preciosissimas res ad sese cogere studebat. At hic contrà ita suam pararat domum, ut horum nihilo indigeret. Quæ si cui minus creduntur, intueatur cuiusmodi ei domus satis erat, aspiciat eius ianuas: putabit profecto has etiam illas esse, quas Aristodemus Herculis filius, quando descendit, sumptas statuit: & nitatur item inspicere intimum ornatum, atq; suppellectilem cogitet, quo pacto epularetur in sacrificiis: audiat ut ciuili iumento Amyclas petierit. Sic igitur sumptus æquabat censibus, ut nihil iniustum agere cogeretur pecuniarum gratia. Atq; perpulchrum equidem uidetur esse muros parare inexpugnabiles hostibus: sed ego longe pulchrius iudico suum parare animum, & pecuniis & uoluptatibus et metu inexpugnabilem & inuictum. Equidem referam quàm Persicæ superbiæ cõtrarium seruauerit morem. Perses quidem in eo maxime exultabat, ut quamrarissime uideretur: Agesilaus uero ut semper spectaretur gaudio exiliebat: existumabat enim turpiter degenti tenebras conuenire, sed honestæ uitæ plus ornamenti lucem afferre. Deinde difficilem ad se præbendo accessum ille gloriabatur: hic omnibus patère ad se aditum lætabatur. At ille rursus cunctatione honestari se putabat hic autem tunc maxime gaudebat, cum celerrime petitores rerum quibus indigerent adeuntes se, dimitteret. Atqui uoluptatem ipsam quanto faciliorem promptioremq; diligentia, cura, studioq; reddiderit, considerandum censeo. Reges enim Persarum circumeunt orbem terrarum omnem, quæritantes suaues potus: innumeri autem student quo uoluptuosis uescantur cibis: ut autem sopore capiantur, ne facile quisquam dixerit quanta & arte & industria moliantur. At Agesilaus quoniam patiens laboris esset, & æquo animo quæq; ferret quicquid offerretur, bibebat quamiucundissime, quicquid apponeretur suauissime comedebat: porro ad somni suauitatem omnis ei locus aptus erat. Quæ agens non lætabatur solùm, uerumetiam recordatione gestiebat, quod ipse in mediis uoluptatibus uersaretur, Barbarum uero intueretur, si uellet absque dolore uiuere oportere, è terræ finibus uoluptatis illecebras aduocare atque attrahere. Hæc etiam Agesilao iucunditati erant, quod se intueretur deorum apparatu absque ægritudine uti posse, Barbarum uero tum calores, tum frigora fugere conspiciabatur: imitariq; illum quidem propter animi imbecillitatem non uirorum fortium, sed debilissimarum bestiarum uitam. Illud quoque qui non perpulchrum ac maxime insigne animi dicendum sit, quod & ipse præstantis uiri facinoribus atque rebus partis domum suam exornarit, uenationiq; canes multos ac bello equos enutrierit, & Cyniscam sororem iumenta iungendis curribus nutrire persuaserit? ipsaq; uincente demonstrarit, ut hoc pecoris genus non probitatis, sed opulentiæ indicium esset. Nempe & hac in re generosa mihi eius plane sententia uisa est, qui si curru priuatos homines uicisset, haudquaquam se clariorem fore existimabat: sin patriam amicissimam habuisset, amicos uero & plurimos & optimos per omnem terrarum orbem sibi comparasset,

patriam

ἐθελήσοντας ξυγγενέσθαι αὐτῷ, ἀλλ' ἐφυλάξατο μὴ ἄπιστος γενέσθαι τοῖς ἀφίστασθαι βουλομένοις. ἐκεῖνό γε μὴν αὐτοῦ τίς οὐκ ἂν ἀγασθείη; ὁ μὲν γὰρ πέρσης νομίζων ἢν χρήματα πλεῖστα ἔχῃ, πάνθ' ὑφ' ἑαυτῷ ποιήσεσθαι, διὰ τοῦτο πᾶν μὲν τὸ ἐν ἀνθρώποις χρυσίον, πᾶν δὲ τὸ ἀργύριον, πάντα δὲ τὰ πολυτελέστατα ἐπειρᾶτο πρὸς ἑαυτὸν ἀθροίζειν. ὁ δὲ οὕτως αὐτοῦ κατεσκευάζετο τὸν οἶκον, ὥστε τούτων μηδενὸς προσδεῖσθαι. εἰ δέ τις ταῦτα ἀπιστεῖ, ἰδέτω μὲν οἵα οἰκία ἤρκει αὐτῷ. θεάσθω δὲ τὰς θύρας αὐτοῦ. εἰκάσειε γὰρ ἄν τις ἔτι ταύτας ἐκείνας εἶναι, ἅς περ Ἀριστόδημος ὁ ἡρακλέους ὅτε κατῆλθε λαβὼν ἐπεστήσατο. πειράσθω δὲ θεάσασθαι τὴν ἔνδον κατασκευήν, ἐννοησάτω δὲ ὡς ἐθοίναζεν ἐν ταῖς θυσίαις· ἀκουσάτω δὲ ὡς ἐπὶ πολιτικοῦ κανάθρου κατῄει εἰς ἀμύκλας. τοιγαροῦν οὕτως ἐφαρμόζων τὰς δαπάνας ταῖς προσόδοις, οὐδὲν ἠναγκάζετο χρημάτων ἕνεκα ἄδικον πράττειν. καίτοι καλὸν μὲν δοκεῖ εἶναι, τείχη ἀνάλωτα κτᾶσθαι ὑπὸ πολεμίων, πολὺ μέντοι ἔγωγε κάλλιον κρίνω τὸ τὴν αὑτοῦ ψυχὴν ἀνάλωτον κατασκευάσαι, καὶ ὑπὸ χρημάτων, καὶ ὑπὸ ἡδονῶν, καὶ ὑπὸ φόβου. ἀλλὰ μὴν ἐρῶ γε ὡς καὶ τὸν τρόπον ὑπεστήσατο τῇ τοῦ πέρσου ἀλαζονείᾳ. πρῶτον μὲν γὰρ ὁ μὲν τῷ σπανίως ὁρᾶσθαι ἐσεμνύνετο, ἀγησίλαος δὲ τῷ ἀεὶ ἐμφανὴς εἶναι ἠγάλλετο, νομίζων αἰσχρουργίᾳ μὲν, τὸ ἀφανίζεσθαι πρέπειν. τῷ δ' εἰς κάλλος βίῳ, τὸ φῶς μᾶλλον κόσμον παρέχειν. ἔπειτα δὲ ὁ μὲν τῷ δυσπρόσοδος εἶναι ἐσεμνύνετο· ὁ δὲ τῷ πᾶσιν εὐπρόσοδος εἶναι ἔχαιρε. καὶ ὁ μὲν ἡβρύνετο τῷ βραδέως διαπράττειν. ὁ δὲ τότε μάλιστα ἔχαιρεν, ὁπόταν τάχιστα τυχόντας ὧν δέοιντο ἀποπέμποι. ἀλλὰ μὴν καὶ τὴν εὐπάθειαν ὅσῳ ῥάονα καὶ εὐπορωτέραν ἀγησίλαος ἐπετήδευσεν ἄξιον κατανοῆσαι. τῷ μὲν γὰρ πέρσῃ πᾶσαν γῆν περιέρχονται μαστεύοντες, τί ἂν ἡδέως πίοι, μύριοι δὲ τεχνῶνται, τί ἂν ἡδέως φάγοι. ὅπως γε μὴν καταδάρθοι, οὐδ' ἂν εἴποι τις ὅσα πραγματεύονται. ἀγησίλαος δὲ διὰ τὸ φιλόπονος εἶναι, πᾶν μὲν τὸ παρὸν ἡδέως ἔπινε, πᾶν δὲ τὸ συντυχὸν ἡδέως ἤσθιεν. εἰς δὲ τὸ ἀσμένως κοιμηθῆναι πᾶς τόπος ἱκανὸς ἦν αὐτῷ. καὶ ταῦτα οὐ μόνον πράττων ἔχαιρεν, ἀλλὰ καὶ ἐνθυμούμενος ἠγάλλετο, ὅτι αὐτὸς μὲν ἐν μέσαις ταῖς εὐφροσύναις ἀναστρέφοιτο. τὸν δὲ βάρβαρον ἑώρα εἰ μέλλοι ἀλύπως βιώσεσθαι, συνελκυστέον αὐτῷ ἀπὸ περάτων τῆς γῆς τὰ τέρψοντα. εὔφραινον δὲ καὶ τάδε, ὅτι αὐτὸς μὲν ᾔδει τῇ τῶν θεῶν κατασκευῇ δυνάμενος ἀλύπως χρῆσθαι. τὸν δὲ ἑώρα φεύγοντα μὲν θάλπη, φεύγοντα δὲ ψύχη, δι' ἀσθένειαν ψυχῆς, οὐκ ἀνδρῶν ἀγαθῶν, ἀλλὰ θηρίων τῶν ἀσθενεστάτων βίον μιμούμενον. ἐκεῖνό γε μὴν πῶς οὐ καλὸν καὶ μεγαλόγνωμον, τὸ αὐτὸν μὲν ἀνδρὸς ἔργοις καὶ κτήμασι κοσμεῖν τὸν ἑαυτοῦ οἶκον, κύνας τε πολλοὺς θηρευτὰς καὶ ἵππους πολεμιστηρίους τρέφοντα. κυνίσκαν δὲ ἀδελφὴν οὖσαν, πεῖσαι ἁρματοτροφεῖν. καὶ ἀποδεῖξαι νικώσης αὐτῆς, ὅτι τὸ θρέμμα τοῦτο οὐκ ἀνδραγαθίας, ἀλλὰ πλούτου ἐπίδειγμά ἐστι. τὸ δέ γε μὴν πῶς οὐ σαφῶς πρὸς τὸ γενναῖον ἔγνω; ὅτι ἅρματι μὲν νικήσας τοὺς ἰδιώτας, οὐδὲν ὀνομαστότερος ἂν εἴη γενόμενος. εἰ δὲ φιλίαν μὲν πάντων μάλιστα τὴν πόλιν ἔχοι. πλείστους δὲ φίλους καὶ ἀρίστους ἀνὰ πᾶσαν τὴν γῆν κέκτητο, νικῴη δὲ τὴν μὲν

πατρίδα

πατρίδα, καὶ τοὺς ἑταίρους εὐεργετῶν, τοὺς δὲ ἀντιπάλους τιμωρούμενος, ὅτι ὄντως ἂν εἴη νικηφόρος τῶν καλλίστων καὶ μεγαλοπρεπεστάτων ἀγωνισμάτων, καὶ ὀνομαστότατος καὶ ζῶν καὶ τελευτήσας γένοιτ' ἄν. ἐγὼ μὲν οὖν τὰ τοιαῦτα ἐπαινῶ Ἀγησίλαον. ταῦτα γὰρ οὐχ ὥσπερ εἰ θησαυρῷ τις ἐντύχοι, πλουσιώτερος μὲν ἂν εἴη, οἰκονομικώτερος δ' οὐδὲν ἄν. καὶ εἰ νόσου δὲ πολεμίοις ἐμπεσούσης κρατήσειεν, εὐτυχέστερος μὲν ἂν εἴη, στρατηγικώτερος δ' οὐδὲν ἄν. ὁ δὲ καρτερίᾳ μὲν πρωτεύων ἔνθα πονεῖν καιρός, ἀλκῇ δὲ ὅπου ἀνδρείας ἀγών, γνώμῃ δὲ ὅπου βουλῆς ἔργον, οὗτος ἔμοιγε δοκεῖ δικαίως ἀνὴρ ἀγαθὸς παντελῶς ἂν νομίζεσθαι. εἰ δὲ καλὸν εὕρημα ἀνθρώποις σταθμὴ καὶ κανὼν πρὸς τὸ ἀγαθὰ ἐργάζεσθαι, καλὸν ἄν μοι δοκεῖ εἶναι ἡ Ἀγησιλάου ἀρετὴ παράδειγμα γενέσθαι τοῖς ἀνδραγαθίαν ἀσκεῖν βουλομένοις. τίς γὰρ ἂν ἢ θεοσεβῆ μιμούμενος ἀνόσιος γένοιτο, ἢ δίκαιον ἄδικος, ἢ σώφρονα ὑβριστής, ἢ ἐγκρατῆ ἀκρατής; καὶ γὰρ δὴ οὐχ οὕτως ἐπὶ τῷ ἄλλων βασιλεύειν, ὡς ἐπὶ τῷ ἑαυτοῦ ἄρχειν ἐμεγαλύνετο. οὐδ' ἐπὶ τῷ πρὸς τοὺς πολεμίους, ἀλλ' ἐπὶ τῷ πρὸς πᾶσαν ἀρετὴν ἡγεῖσθαι τοῖς πολίταις. ἀλλὰ γὰρ μὴ ὅτι τετελευτηκὼς ἐπαινεῖται, τούτου ἕνεκα θρῆνον τις τοῦτον τὸν λόγον νομισάτω, ἀλλὰ πολὺ μᾶλλον ἐγκώμιον. πρῶτον μὲν γὰρ ἅπερ ζῶν ἤκουε, ταῦτα καὶ νῦν λέγεται περὶ αὐτοῦ. ἔπειτα δὲ, τί καὶ πλέον θρήνου ἄπεστιν, ἢ βίος τε εὐκλεὴς, καὶ θάνατος ὡραῖος; ἐγκωμίων δ' ἔτι ἀξιώτερον, ἢ νῖκαι τε αἱ κάλλισται, καὶ ἔργα τὰ πλείστου ἄξια; δικαίως δ' ἂν ἐκεῖνός γε μακαρίζοιτο, ὃς εὐθὺς μὲν ἐκ παιδὸς ἐρασθεὶς τοῦ εὐκλεὴς γενέσθαι, ἔτυχε τούτου μάλιστα τῶν καθ' ἑαυτόν. φιλοτιμότατος δὲ πεφυκὼς, ἀήττητος διετέλεσεν ἐπεὶ βασιλεὺς ἐγένετο. ἀφικόμενος δὲ ἐπὶ τὸ μήκιστον ἀνθρωπίνου αἰῶνος, ἀναμάρτητος ἐτελεύτησε, καὶ περὶ τούτους ὧν ἡγεῖτο, καὶ πρὸς ἐκείνους οἷς ἐπολέμει. Βούλομαι δὲ καὶ ἐν κεφαλαίοις ἐπανελθεῖν τὴν ἀρετὴν αὐτοῦ, ὡς ἂν ὁ ἔπαινος εὐμνημονευτότερος ἔχοι. Ἀγησίλαος μὲν ἱερὰ καὶ τὰ ἐν τοῖς πολεμίοις ἐσέβετο· ἡγούμενος τοὺς θεοὺς οὐχ ἧττον ἐν τῇ πολεμίᾳ χρῆναι, ἢ ἐν τῇ φιλίᾳ συμμάχους ποιεῖσθαι. ἱκέτας δὲ θεῶν οὐδὲ ἐχθροὺς ἐβιάζετο· νομίζων ἄλογον εἶναι, τοὺς μὲν ἐξ ἱερῶν κλέπτοντας ἱεροσύλους καλεῖν, τοὺς δὲ βωμῶν ἱκέτας ἀποσπῶντας, εὐσεβεῖς ἡγεῖσθαι. ἐκεῖνός γε μὴν ὑμνῶν οὔποτ' ἐλήγεν, ὡς τοὺς θεοὺς οἴοιτο οὐδὲν ἧττον ὁσίοις ἔργοις ἢ ἁγνοῖς ἱεροῖς ἥδεσθαι. ἀλλὰ μὴν καὶ ὁπότε εὐτυχοίη, οὐκ ἀνθρώπων ὑπερεφρόνει, ἀλλὰ θεοῖς χάριν ᾔδει. καὶ θαρρῶν πλείονα ἔθυσεν ἢ ὀκνῶν ηὔχετο. εἴθιστο δὲ φοβούμενος μὲν ἱλαρὸς φαίνεσθαι, εὐτυχῶν δὲ πρᾶος εἶναι. τῶν γε μὴν φίλων οὐ τοὺς δυνατωτάτους, ἀλλὰ τοὺς προθυμοτάτους μάλιστα ἠσπάζετο. ἐμίσει δὲ οὐκ εἴ τις κακῶς πάσχων ἠμύνετο, ἀλλ' εἴ τις εὐεργετούμενος ἀχάριστος φαίνοιτο. ἔχαιρε δὲ τοὺς μὲν αἰσχροκερδεῖς πένητας ὁρῶν, τοὺς δὲ δικαίους πλουσίους ποιῶν, βουλόμενος τὴν δικαιοσύνην τῆς ἀδικίας κερδαλεωτέραν καθιστάναι. ἤσκει δὲ ὁμιλεῖν μὲν παντοδαποῖς, χρῆσθαι δὲ τοῖς ἀγαθοῖς. ὁπότε δὲ ψεγόντων ἢ ἐπαινούντων τινὰς ἀκούοι, οὐχ ἧττον ᾤετο καταμανθάνειν τοὺς τῶν λεγόντων τρόπους, ἢ περὶ ὧν λέγοιεν. καὶ τοὺς μὲν ὑπὸ φίλων ἐξαπατωμένους οὐκ ἔψεγε. τοὺς δὲ ὑπὸ πολεμίων, πάμπαν κατεμέμφετο. καὶ τὸ μὲν ἀπιστοῦν/

patriam uero ipsam ac socios beneficijs superasset, hostes autem supplicio affecisset, se certo reportaturũ arbitrabatur pulcherrimorũ magnificentißimorũq; certaminũ uictoriam, futurumq; & uiuũ et post mortem celeberrimũ. Ego igitur ob huiuscemodi res Agesilaũ laudandum puto. Hæc enim non ita sunt, uelut si quis thesaurum reperiat, ditior quidem fuerit, non autem ad gubernandũ prudentior: & si morbo affectis hostibus uictoria potiatur, non eo tamen quia fortunatior sit, disciplina rei militaris instructior dici queat. At qui tolerantia antecellit, ubi laborandi sit tempus: & robore, ubi fortitudinis sit propositum: & mente, ubi consilij opus adsit, hic profecto uidetur mihi uire optimo uir bonus apprime putandus. Quod si ad structuræ conuenientiã, hominibus pulchrũ inuentũ est perpendiculũ & regula: pulchrũ, mea sententia, Agesilai uirtus exemplum his fuerit, qui probitati uoluerint dare operã: Quis enim aut pium imitatus nefarius fuerit, aut iustum iniustus, aut sobrium petulans, aut temperantẽ intemperans? Etenim non tam quod alijs imperaret, quàm quod sibimet dominaretur gloriabatur: neq; quod aduersus hostes: sed quod ad omnem uirtutem ciuibus dux esset magnificabat. Enimuero quoniã mortuus laudatur, eo lamentationem hanc quisquam orationem, sed multo magis preconiũ existimet. Nam primum quidẽ quæ uiuus ille audiebat, hæc etiam hoc tempore de illo narrantur. Dein uero quid à lamentatione longius abest, q̃ & æuum gloriosum, & speciosa mors? Quod deniq; dignius præconium, quàm & pulcherrimæ uictoriæ, laudatißimaq; facinora? Recte is quidẽ beatus habendus fuerit, qui cõtinuo à puero cum celebritatẽ nominis adamasset, eam unus omniũ ætatis suæ assecutus est: qui cum appetentißimus honoris atq; dignitatis natura esset, rex creatus inuictum sese perturbationib. usq; præstitit. Ad summum uero ætatis spacium perueniens, diem obijt sine labe, & ergà hosce quibus imperabat, & erga illos quibus cum bellabat. Volo autem & eius uirtutẽ summatim repetere, quo facilius hæc laudatio memoriæ cõmendetur. Agesilaus quidem templa etiam quæ inter hostes erant uenerabatur: existimans oportere deos immortales nõ inter hostes minus q̃ inter amicos propitios ac socios facere. Deorũ autem supplices neq; inimicos quidem uiolabat: absurdum esse ducens, eos qui ex templis quicquã furarentur, sacrilegos appellare: qui uero ab aris supplices auellerẽt, pios arbitrari. Atq; ille certe deos cantibus celebrare cessabat nunquã, quasi deos suspicaretur nequaquam minus religiosis operibus, quàm sacrificijs castis delectari. Atqui cum & secundis rebus uteretur, non homines despiciebat, sed gratias superis habebat, ac fidens tutusq; plures hostias persoluebat quàm anceps uouerat. Præterea sese assuefecerat ut metuens hilaris uideretur, secundisq; in rebus mitis esset, & amicos quidem non potẽtißimos, sed promptißimos maxime & amabat, & iucunde excipiebat. Insequebatur autem odio, non si quis male affectus ultionem capiebat, sed si quis beneficijs prouocatus, ingratus apparuisset: ac lætabatur non mediocriter, cum turpem quæstũ quæritantes pauperes uideret, iustos uero locupletes faciebat: ut pote qui iustitiam uellet iniustitia uel lucro utiliorem, emolumentiq; plenißimam reddere. Consuescebat cum omnis generis hominibus colloqui, uti autem bonis solùm. Cum eos qui aliquos uituperarent, laudarent ue audiret, arbitrabatur non minus eorum qui dicerent, quàm de quibus dicerent, mores perdiscere. Qui ab amicis decepti essent, haud uituperabat: qui uero ab hostibus, maximopere accusabat. Atq;

nihil credentes decipere, sapientiæ esse iudicabat: credentes uero fallere, impietatis. Ab his laudatus qui etiam turpia uituperare uellent, mirificè gaudebat: ac in simplices quidem & apertos homines nullas inimicitias exercebat. Versutos autem, occultiq; ingenij habebat odio: quippe qui maiorem iacturam duceret amicis quàm pecunijs nudari. Et priuatorum quidem hominum errata modeste ferebat, principum uero magna censebat: indicabat enim ab illis pauca, sed ab hisce multa mala disponi atq; constitui. Regiam autem potestatem non uersutia insignem esse, sed probitate decere opinabatur. Corporis imaginem sibi statui refragabatur, cum hoc sibi gratificari nonnulli uellent, sed animi monumenta elaborare nunquam desistebat: putans statuariorum illud, & hoc suum esse ipsius opus: ac rursum locupletum illud, sed hoc bonorum esse. Pecunijs certe non iuste modo, uerumetiam liberaliter utebatur: censebat enim iusto quidem homini satis esse, ab alienis abstinere: liberalem autem decere, sua etiam ad utilitatem hominum conferre. Præterea pius semper ac religiosus in deos erat, ratus honeste uiuentes nondum felices esse: sed qui diem præclare obijssent, eos iam beatitudinem assecutos. Maiorem quoque calamitatem indicabat scientem quàm inscium bona negligere. Gloriæ uero nullius dulcedine tangebatur, quam non suis sibi laboribus comparasset. Ac inter paucos mihi homines unus est uisus, qui tolerantiam non uirtutem, sed uoluptatem esse duceret. Itaque magis laudibus, quàm pecunijs lætabatur. Atqui fortitudinem consilio magis, quàm periculis ostendebat: & sapientiam re magis, quàm uerbo exercebat. Amicis mitissimum, inimicis penitus terribilem se præstabat: & cum esset laborum patientissimus, amicis tamen iucundissime cedebat: pulchrisque operibus magis, quàm pulchris corporibus delectabatur. Secundis quidem in rebus continentem sese, in aduersis autem fiduciæ bonæq; spei plenum facile seruabat. Atque comitatem non iocosis obiurgationibus, sed moribus assequi studebat: animi quoque elationem ac magnitudinem non contumelia, sed grauitate sententiarum metiebatur. Itaque iactabundos despiciens, erat moderatis hominibus moderatior: etenim cultus corporis uili, ac ornato exercitus apparatu exultabat: & se minimis indigere, & amicis plurimum prodesse lætabatur. Ad hæc bellator erat acerrimus, sed potitus uictori clementissimus: inimicis credebat nihil, amicorum fidem nunquam uerebatur. Id operæ sibi aderat, ut & amicorum res semper in tuto collocaret, & hostium usque obscurando dissiparet. Illum cognati studiosum necessitudinis, familiares obsequentissimum: qui officij quicquam exhibuissent, memorem: iniuria pressi, auxiliatorem, periclitantes uero, seruatorem post deos appellabant. Videtur & & hoc mihi Agesilaus solus ex hominibus demonstrasse, uires corporis consenescere, sed animi robur probis in uiris senectutem pati non posse. Ille nanque non est defatigatus quandiu ipsius animi uires corpus perferre potuit, magnam uirtutem præclarámque acquirere. Ergo qua iuuentute illius senectus melior non apparuit? Quis enim in ætatis flore formidabilis æque fuit ac Agesilaus, cum extremum senectutis ageret? Cuius obitu magis hostes gauisi sunt, quam Agesilai.

ἀπιστοῦντας ἐξαπατᾶν, σοφὸν ἐνόμιζε. τὸ δὲ πιστεύοντας, ἀνόσιον. ἐπαινούμενος δ' ἔχαιρεν ὑπὸ τῶν καὶ ψέγειν ἐθελόντων, τὰ μὴ ἀρεστά· καὶ τῶν παρρησιαζομένων οὐδένα ἤχθραινε, τοὺς δὲ κρυψίνοους, ὥσπερ ἐνέδρας ἐφυλάττετο. τούς γε μὴν διαβόλους μᾶλλον ἢ τοὺς κλέπτας ἐμίσει. μείζω ζημίαν ἡγούμενος φίλων ἢ χρημάτων στερίσκεσθαι. καὶ τὰς μὲν τῶν ἰδιωτῶν ἁμαρτίας, πρᾴως ἔφερε, τὰς δὲ τῶν ἀρχόντων μεγάλας ἦγε, κρίνων τοὺς μὲν ὀλίγα, τοὺς δὲ πολλὰ κακῶς διατιθέναι. τῇ δὲ βασιλείᾳ προσήκειν ἐνόμιζεν οὐ ῥᾳδιουργίαν, ἀλλὰ καλοκαγαθίαν. καὶ τοῦ μὲν σώματος εἰκόνα στήσασθαι, ἀπέσχετο, πολλῶν αὐτῷ τοῦτο δωρεῖσθαι θελόντων. τῆς δὲ ψυχῆς οὐδέποτε ἐπαύετο μνημεῖα διαπονούμενος. ἡγούμενος τὸ μὲν ἀνδριαντοποιῶν, τὸ δὲ αὑτοῦ ἔργον εἶναι. καὶ τὸ μὲν πλουσίων, τὸ δὲ τῶν ἀγαθῶν. χρήμασί γε μὴν οὐ μόνον δικαίως, ἀλλὰ καὶ ἐλευθερίως ἐχρῆτο. τῷ μὲν δικαίῳ ἀρκεῖν ἡγούμενος τὸ ἐᾶν τὰ ἀλλότρια, τῷ δὲ ἐλευθερίῳ καὶ τῶν ἑαυτοῦ προσωφελητέον εἶναι. αἰεὶ δὲ δεισιδαίμων ἦν, νομίζων τοὺς μὲν καλῶς ζῶντας, οὔπω εὐδαίμονας· τοὺς δὲ εὐκλεῶς τετελευτηκότας, ἤδη μακαρίους. μείζω δὲ συμφορὰν ἔκρινε, τὸ γιγνώσκοντα, ἢ ἀγνοοῦντα ἀμελεῖν τῶν ἀγαθῶν. δόξης δὲ οὐδεμιᾶς ἤρα, ἧς οὐκ ἐξεπόνει τὰ ἴδια. μετ' ὀλίγων δέ μοι ἐδόκει ἀνθρώπων οὐ καρτερίαν τὴν ἀρετήν, ἀλλ' εὐπάθειαν νομίζειν. ἐπαινούμενος γοῦν ἔχαιρε μᾶλλον ἢ χρήματα κτώμενος. ἀλλὰ μὴν ἀνδρείαν γε τὸ πλεῖστον μετ' εὐβουλίας, ἢ μετὰ κινδύνων ἐπεδείκνυτο. καὶ σοφίαν ἔργῳ μᾶλλον ἢ λόγῳ ἤσκει. πρᾳότατός γε μὴν φίλοις ὤν, ἐχθροῖς φοβερώτατος ἦν. καὶ πόνοις μάλιστα ἀντέχων, ἑταίροις ἥδιστα ὑπεῖκε. καλῶν ἔργων μᾶλλον ἢ τῶν καλῶν σωμάτων ἐπιθυμῶν. ἐν γε μὴν ταῖς εὐπραξίαις σωφρονεῖν ἐπιστάμενος, ἐν τοῖς δεινοῖς εὐθαρσὴς ἐδύνατο εἶναι. καὶ τὸ εὔχαρι οὐ σκώμμασιν, ἀλλὰ τρόπῳ ἐπετήδευε. καὶ τὸ μεγαλόφρον οὐ σὺν ὕβρει, ἀλλὰ σὺν γνώμῃ ἐχρῆτο. τῶν γοῦν ὑπεραύχων καταφρονῶν, τῶν μετρίων ταπεινότερος ἦν. καὶ γὰρ ἐκαλλωπίζετο τῇ μὲν ἀμφὶ τὸ σῶμα φαυλότητι, τῷ δ' ἀμφὶ τὸ στράτευμα κόσμῳ· τῷ δ' αὐτὸς ὡς ἐλαχίστων δεῖσθαι, τῷ δὲ τοὺς φίλους ὡς πλεῖστα ὠφελεῖν. πρὸς δὲ τούτοις βαρύτατος μὲν ἀνταγωνιστὴς ἦν, κουφότατος δὲ κρατήσας, ἐχθροῖς μὲν δυσεξαπατητότατος, φίλοις δὲ εὐπαραπειστότατος. αἰεὶ δὲ τιθεὶς τὰ τῶν φίλων ἀσφαλῶς, αἰεὶ ἀμαυροῦν τὰ τῶν πολεμίων ἔργον εἶχεν. ἐκεῖνον οἱ μὲν συγγενεῖς φιλοκηδεμόνα ἐκάλουν, οἱ δὲ χρώμενοι, ἀπροφάσιστον. οἱ δ' ὑπουργήσαντές τι, μνήμονα· οἱ δ' ἀδικούμενοι, ἐπίκουρον. οἵ γε μὴν συγκινδυνεύοντες, μετὰ θεοὺς σωτῆρα. δοκεῖ δ' ἔμοιγε καὶ τόδε μόνος ἀνθρώπων ἐπιδεῖξαι, ὅτι ἡ μὲν τοῦ σώματος ἰσχὺς γηράσκει· ἡ δὲ ψυχῆς ῥώμη τῶν ἀγαθῶν ἀνδρῶν ἀγήρατός ἐστιν. ἐκεῖνος γοῦν οὐκ ἀπεῖπε μεγάλην καὶ καλὴν ἐφιέμενος

τὸ σῶμα φέρειν ἠδύνατο τὴν τῆς ψυχῆς αὐτοῦ ῥώμην. τοιγαροῦν ποίας οὐ νεότητος κρεῖττον τὸ ἐκείνου γῆρας ἐφάνη; τίς μὲν γὰρ τοῖς ἐχθροῖς ἀκμάζων οὕτω φοβερὸς ἦν ὡς Ἀγησίλαος, τὸ μήκιστον τοῦ αἰῶνος ἔχων; τίνος δὲ ἐκποδὼν γενομένου μᾶλλον ἥσθησαν οἱ πολέμιοι ἢ Ἀγησιλάου

λάου, καίπερ γηραιοῦ τελευτήσαντος; τίς δὲ συμμάχοις θάρσος παρέσχεν ὅσον Ἀγησίλαος; καίπερ ἤδη πρὸς τῷ τέρματι τοῦ βίου ὤν. τί δὲ νέοι φίλοι πλέον ἐπόθησαν ἢ Ἀγησίλαον γηραιὸν ἀποθανόντα; οὕτω δὲ τελέως ὁ ἀνὴρ τῇ πατρίδι ὠφέλιμος ὢν διεγένετο, ὡς καὶ τετελευτηκὼς ἤδη ἔτι μεγαλείως ὠφελῶν τὴν πόλιν, εἰς τὴν ἀΐδιον οἴκησιν κατηγάγετο. μνημεῖα μὲν τῆς ἑαυτοῦ ἀρετῆς ἀνὰ πᾶσαν τὴν γῆν κτησάμενος, τῆς δὲ βασιλικῆς ταφῆς ἐν τῇ πατρίδι τυχών.

lai, tametsi senior obijsset? Quis socijs tantum audentiæ præbuit quantũ Agesilaus, etsi ad ostium uitæ iam aduentasset? Quid noui amici magis desiderarunt, quàm Agesilaum cum senior ex hac luce migrasset? Adeo autem absoluta uirtute utilis patriæ fuerat quoad uixit, ut etiã mortuus in æternam habitationem diuerterit, itidem ciuitati & conducat & prosit. Monumenta is quidem uirtutis suæ per totum terrarum orbem assecutus, ac regiam in patria sepulturam nactus.

ΑΠΟΛΟΓΙΑ ΣΩΚΡΑΤΟΥΣ ΠΡΟΣ ΤΟΥΣ ΔΙΚΑΣΤΑΣ.

ΣΩΚΡΑΤΟΥΣ δὲ ἄξιόν μοι δοκεῖ εἶναι μεμνῆσθαι, καὶ ὡς ἐπειδὴ ἐκλήθη εἰς τὴν δίκην, ἐβουλεύσατο περί τε τῆς ἀπολογίας καὶ τῆς τελευτῆς τοῦ βίου. γεγράφασι μὲν περὶ τούτου καὶ ἄλλοι, καὶ πάντες ἔτυχον τῆς μεγαληγορίας αὐτοῦ, ᾧ καὶ δῆλον, ὅτι τῷ ὄντι οὕτως ἐρρήθη ὑπὸ Σωκράτους. ἀλλ' ὅτι ἤδη ἑαυτῷ ἡγεῖτο αἱρετώτερον εἶναι τοῦ βίου θάνατον, τοῦτο οὐ διεσαφήνισαν. ὥστε ἀφρονεστέρα αὐτοῦ φαίνεται εἶναι ἡ μεγαληγορία. Ἑρμογένης μέντοι ὁ Ἱππονίκου ἑταῖρός τε ἦν αὐτῷ, καὶ ἐξήγγειλε περὶ αὐτοῦ τοιαῦτα, ὥστε πρέπουσαν φαίνεσθαι τὴν μεγαληγορίαν αὐτοῦ τῇ διανοίᾳ. ἐκεῖνος γὰρ ἔφη ὁρῶν αὐτὸν περὶ πάντων μᾶλλον διαλεγόμενον, ἢ περὶ τῆς δίκης, εἰπεῖν· οὐκ ἐχρῆν μέντοι σκοπεῖν, ὦ Σώκρατες, καὶ ὅ, τι ἀπολογήσῃ; τὸν δὲ τὸ πρῶτον ἀποκρίνασθαι, οὐ δοκῶ σοι ἀπολογεῖσθαι μελετῶν διαβεβιωκέναι; ἔπειτα δ' αὐτὸν ἐρέσθαι, πῶς; ὅτι οὐδὲν ἄδικον διαγεγένημαι ποιῶν, ἥνπερ νομίζω μελέτην εἶναι καλλίστην ἀπολογίας. ἐπεὶ δὲ αὐτὸν πάλιν λέγειν, οὐχ ὁρᾷς τὰ Ἀθηναίων δικαστήρια, ὡς πολλάκις μὲν οὐδὲν ἀδικοῦντας λόγῳ παραχθέντες ἀπέκτειναν; πολλάκις δὲ ἀδικοῦντας, ἢ ἐκ τοῦ λόγου οἰκτίσαντες, ἢ ἐπιχαρίτως εἰπόντας ἀπέλυσαν; ἀλλὰ ναὶ μὰ Δία φάναι αὐτὸν, καὶ δὶς ἤδη ἐπιχειρήσαντός μου σκοπεῖν περὶ τῆς ἀπολογίας, ἐναντιοῦταί μοι τὸ δαιμόνιον. ὡς δὲ αὐτὸν εἰπεῖν θαυμαστὰ λέγεις, τὸν δ' αὖ ἀποκρίνασθαι, ἢ θαυμαστὸν νομίζεις, εἰ καὶ τῷ θεῷ δοκεῖ ἐμὲ βέλτιον εἶναι ἤδη τελευτᾶν; οὐκ οἶσθα ὅτι μέχρι μὲν τοῦδε οὐδενὶ ἀνθρώπων ὑφείμην βέλτιον ἐμοῦ βεβιωκέναι; ὅπερ γὰρ ἥδιστόν ἐστιν, ᾔδειν, ὁσίως μοι καὶ δικαίως ἅπαντα τὸν βίον βεβιωμένον, ὥστε ἰσχυρῶς ἀγάμενος ἐμαυτὸν, ταὐτὰ ηὕρισκον καὶ τοὺς ἐμοὶ συγγιγνομένους γιγνώσκοντας περὶ ἐμοῦ. νῦν δὲ εἰ ἔτι προβήσεται ἡ ἡλικία, οἶδ' ὅτι ἀνάγκη ἔσται τὰ τοῦ γήρως ἐπιτελεῖσθαι, καὶ ὁρᾶν τε χεῖρον καὶ ἀκούειν ἧττον, καὶ δυσμαθέστερον εἶναι, καὶ ὧν ἔμαθον ἐπιλησμονέστερον. ἂν δὲ αἰσθάνωμαι χείρων γιγνόμενος, καὶ καταμέμφωμαι ἐμαυτὸν, πῶς ἂν ἐγὼ ἔτι ἂν ἡδέως βιοτεύοιμι; ἴσως δέ τοι φάναι αὐτὸν, καὶ ὁ θεὸς δι' εὐμένειαν προξενεῖ μοι

XENOPHONTIS APOLOGIA PRO SOCRATE, LEONARDO ARETINO INTERPRETE.

SOCRATIS quoq; mihi uidetur dignum meminisse, cum in iudicio uocatus fuit, quemadmodũ de sua defensione morteq; cogitauit. Scripserunt nanq; super hoc & alij, omnesq; in magniloquentia eius conuenerunt. Ex quo manifestum est Socratem reuera sic fuisse loquutũ. Sed ut iam mortem uitæ sibi putaret præferendam, de hoc iam satis aperte dixerũt. Vnde fit ut magnificentia illa uerborũ minus prudẽtiæ habere uideatur. Nobis uero Hermogenes Hipponici filius, Socratis amicus ac familiaris, talia de eo retulit, ut magniloquẽtia illa recte cõuenire eius cõsilio uideatur. Dixit nãq; Hermogenes Hipponici filius, cũ de cũctis rebus magis q̃ de se defendẽdo cogitantẽ ipsum animaduerteret, dixisse: Atqui par erat, o Socrates, te de tua defensione curam habere. Illũ uero primũ respõdisse: Nonne tibi uideor hoc facere, ô Hermogenes, dum quẽadmodũ uixerim meditor? Et cũ rursus interrogaretur, subiunxisse, quod nihil in uita fecisset iniuste, quam defensionis optimã meditationẽ putaret. Cum uero Hermogenes dixisset: At nõ uides in Atheniensiũ iudicijs sæpe illos qui nihil patrati essent, irritatis iudicũ animis fuisse dãnatos: sæpe etiã criminosos, aut oratione ad commiserationẽ traductos, aut gratia fuisse absolutos? Ad hæc respõdisse Socratẽ ait: Enimuero bis iam defensionẽ meditãti mihi, dæmoniũ aduersatur. Et cum Hermogenes miraretur, adiunxisse: An tibi mirũ uidetur Hermogenes, si permelius uidetur iam me è uita migrare: Nescis me usq; ad hanc diem nemini cõcessisse in uita? Quod quidẽ dulcissimũ est scire, se ætatẽ totam pie, iusteq; trãsegisse. Itaq; magnæ uoluptati est hæc reputare mecũ, et familiares meos ita sentire. Nũc aũt si lõgius pcesserit ætas, scio necessariũ fore ut senectutis subeã onera: peiusq; uidere, et minus audire, hebetariq; ingeniũ ad discendũ, et quæ iã didicerã, facilius obliterari. q̃ si me in deterius ferri sentiã, grauiterq; id ferã, quẽadmodũ mihi uita potest esse iucũda? fortassis. n.

mibi benignitas Dei præstat non solum oppor/
tunitatem. Nam si nunc condemner, con/
stat mibi licere mori, ita ut maxime fieri po/
test facilime, & sine incommodatione ami/
corum, ac per eum modum qui uicta deside/
rium suum relinquit. Nam quando nibil te/
trum neque durum in mentibus superstitum
remanet, estq; sanum corpus, mensq; ad co/
gnitionem amicorum ualida, quomodo fieri
potest, ut is qui migrat è uita sui desiderium
non relinquat? Recte autem cogitationibus
nostris tunc dij aduersantur, cum illa quæ
fugienda sint, expetenda nobis uidentur: si
enim hoc fecissem, euenisset mibi pro uita
nunc relinquenda, aut morbis anxium mori,
aut senectute, in qua omnia dura confluunt,
nimiumque gaudijs spoliata est. Atqui ego i/
sta non sequor quidem, sed quantum arbi/
tror me bona suscepisse ab dijs & ab homini/
bus, tantam de meipso opinionem babeo, o/
stendens iudicibus quod eligam potius mori,
quàm ingenerose uitam producere. Sic dixisse
Socratem inquit. Deinde acusantibus aduersa/
rijs, quod quos ciuitas deos putabat, ipse non
putaret, adeuntem iudices sic dixisse: Equidem
iudices boc primum admiror, qua ratione Me/
litus accusator dicat, quos ciuitas deos pu/
tat, me non putare. Nam in communibus
quidem sacris, publicisq; altaribus sacrifican/
tem me & alij multi uiderunt, & ipse Meli/
tus si uoluit uidere potuit. Noua autem dæmo/
nia quomodo ob id introduco, quod mibi Dei
uocem fieri asseram, quid facto opus sit signifi/
cantem? Nam & qui garritu auium, & qui o/
minibus utuntur uocibus, utiq; coniectant. To/
nitrua uero dubitabit quispiam aut non uoca/
re, aut non magnam significationem babere?
Ipsa quidem in tripode Pythia sacerdos, nón/
ne Dei uoce prænunciat? Atqui Deum quidem
futura prænoscere, & cui ipse uelit nunciare,
quemadmodum ego dico, sic ab omnibus dici/
tur & putatur: sed alij auguria, omina, porten/
ta appellant eos qui ista significant. Ego uero
dæmonium appello multo rectius quàm hi,
qui deorum uim, potestatémque auibus attri/
buunt, quod adeo non fallor, bumanarumq;
rerum babeo coniecturam. Nam multis ex a/
micis consilia Dei aperui, in quibus nunquam
mentitus sum. Hoc dum iudices audirent,
turbarenturque alij propter incredulitatem,
alij propter inuidiam, indigne ferentes si ille
pluris fuit apud eos quàm ipsi, maioribusque
potiatur, rursus Socratem sic dixisse: Age
uero audite cætera, ut etiam magis fidem aufe/
ram illis, qui me à dæmonio bonorari non cre/
dunt. Petenti quondam de me in Delphis
Chærephonti, cum multi adessent, respondit
oraculum, nullum aut liberaliorem, aut iu/
stiorem, aut sapientiorem esse quàm me. Quæ
cum audissent iudices, ac magis irritati essent,
Socra/

hic incipit Socratis de/fensio.

μοι, οὐ μόνον τὸ ἐν καιρῷ τῆς ἡλικίας καταλῦσαι τὸν βί-
ον, ἀλλὰ καὶ ᾗ ῥᾷστα. ἢν γὰρ νῦν κατακριθῇ μοι, δῆ-
λον ὅτι ἐξέσται μοι τῇ τελευτῇ χρῆσθαι, ἣ ῥάστη μὲν ὑπὸ
τῶν τούτου ἐπιμεληθέντων κέκριται, ἀπραγμονεστάτη
δὲ τοῖς φίλοις, πλεῖστον δὲ πόθον ἐμποιοῦσα τοῦ τελευ-
τῶντι. ὅταν γὰρ ἄσχημον μὲν μηδὲν, μηδὲ δυσχερὲς ἐν
ταῖς γνώμαις τῶν παρόντων καταλίπηται, ὑγιὲς δὲ τὸ σῶ-
μα ἔχων καὶ τὴν ψυχὴν δυναμένην φιλοφρονεῖσθαι ἀπο-
μαραίνηται, πῶς οὐκ ἀνάγκη τοῦτον ποθεινὸν εἶναι; ὀρθῶς δὲ
οἱ θεοὶ τότε μου ἠναντιοῦντο φάναι αὐτὸν τῇ τοῦ λόγου
ἐπισκέψει, ὅτε ἐδόκει ἡμῖν ζητητέα εἶναι ἐκ παντὸς τρό-
που τὰ ἀποφευκτικά. εἰ γὰρ τοῦτο διεπραξάμην, δῆλον
ὅτι ἡτοιμασάμην ἂν ἀντὶ τοῦ ἤδη λῆξαι τοῦ βίου, ἢ νόσοις
ἀλγυνόμενος τελευτῆσαι, ἢ γήρᾳ, εἰς ὃ πάντα τὰ χα-
λεπὰ συρρεῖ, καὶ μάλα ἔρημα τῶν εὐφροσυνῶν. μὰ δί᾽ ἐ-
πῶν αὐτ᾽, ὦ ἑρμόγενες, ἐγὼ ταῦτα οὐδὲ προθυμήσομαι.
ἀλλ᾽ ὅσων νομίζω τετυχηκέναι καλῶν καὶ παρὰ θεῶν καὶ
παρ᾽ ἀνθρώπων, καὶ ἣν ἐγὼ δόξαν ἔχω περὶ ἐμαυτοῦ, ταύ-
την ἀναφαίνων, εἰ βαρυνῶ τοὺς δικαστὰς, αἱρήσομαι τε-
λευτᾶν μᾶλλον, ἢ ἀνελευθέρως τὸ ζῆν ἔτι προσαιτῶν,
κερδᾶναι τὸν πολὺ χείρω βίον ἀντὶ θανάτου. οὕτως δὲ
γνόντα αὐτὸν ἔφη εἰπεῖν. ἐπειδὴ κατηγόρησαν αὐτοῦ οἱ
ἀντίδικοι, ὡς οὓς μὲν ἡ πόλις νομίζει θεοὺς, οὐ νομίζοι, ἕ-
τερα δὲ καινὰ δαιμόνια εἰσφέροι, καὶ τοὺς νέους διαφθεί-
ροι, παρελθόντα εἰπεῖν. ἀλλ᾽ ἐγὼ, ὦ ἄνδρες, τοῦτο μὲν πρῶ-
τον θαυμάζω μελήτου, ὅτῳ ποτὲ γνοὺς λέγει, ὡς ἐγὼ οὓς
ἡ πόλις νομίζει θεοὺς οὐ νομίζω, ἐπεὶ θύοντά γέ με ἐν ταῖς
κοιναῖς ἑορταῖς, καὶ ἐπὶ τῶν δημοσίων βωμῶν, καὶ οἱ ἄλ-
λοι οἱ παρατυγχάνοντες ἑώρων, καὶ αὐτὸς μέλητος εἰ ἐβού-
λετο. καινά γε μὴν δαιμόνια, πῶς ἂν ἐγὼ εἰσφέροιμι,
λέγων, ὅτι θεοῦ μοι φωνὴ φαίνεται, σημαίνουσα ὅ, τι χρὴ ποι-
εῖν; καὶ γὰρ οἱ φθόγγοις οἰωνῶν, καὶ οἱ φήμαις ἀνθρώπων
χρώμενοι, φωναῖς δήπου τεκμαίρονται. βροντὰς δὲ ἀμ-
φιλέξει τις, ἢ μὴ φωνεῖν, ἢ μὴ μέγιστον οἰωνιστήριον εἶναι.
ἡ δὲ πυθοῖ ἐν τῷ τρίποδι ἱέρεια οὐ, καὶ αὐτὴ φωνῇ τὰ πα-
ρὰ τοῦ θεοῦ διαγγέλλει; ἀλλὰ μέντοι καὶ τὸ προειδέναι γε
τὸν θεὸν τὸ μέλλον, καὶ τὸ προσημαίνειν ᾧ βούλεται, καὶ
τοῦτο ὥσπερ ἐγώ φημι, οὕτω πάντες καὶ λέγουσι καὶ νο-
μίζουσιν. ἀλλ᾽ οἱ μὲν οἰωνούς τε καὶ φήμας καὶ συμβό-
λους τε καὶ μάντεις ὀνομάζουσι τοὺς προσημαίνοντας εἶ-
ναι. ἐγὼ δὲ τοῦτο δαιμόνιον καλῶ. καὶ οἶμαι οὕτως ὀνο-
μάζων, καὶ ἀληθέστερα, καὶ ὁσιώτερα λέγειν τῶν τοῖς
ὄρνισιν ἀνατιθέντων τὴν τῶν θεῶν δύναμιν. ὥς γε μὴν
οὐ ψεύδομαι κατὰ τοῦ θεοῦ, καὶ τοῦτ᾽ ἔχω τεκμήριον. καὶ
γὰρ τῶν φίλων πολλοῖς δὴ ἐξαγγείλας τὰ τοῦ θεοῦ συμβου-
λεύματα, οὐδεπώποτε ψευσάμενος ἐφάνην. ἐπεὶ δὲ
ταῦτα ἀκούοντες οἱ δικασταὶ, ἐθορύβουν. οἱ μὲν ἀπι-
στοῦντες τοῖς λεγομένοις, οἱ δὲ καὶ φθονοῦντες, εἰ καὶ
παρὰ θεῶν μειζόνων ἢ αὐτοὶ τυγχάνοι. πάλιν εἰπεῖν τὸν
σωκράτην· ἄγε δὴ ἀκούσατε καὶ ἄλλα, ἵνα ἔτι μᾶλλον
οἱ βουλόμενοι ὑμῶν ἀπιστῶσι, τῷ ἐμὲ τετιμῆσθαι ὑπὸ δαι-
μόνων. χαιρεφῶντος γάρ ποτε ἐπερωτῶντος ἐν δελ-
φοῖς περὶ ἐμοῦ, πολλῶν παρόντων, ἀνεῖλεν ὁ ἀπόλλων,
μηδένα εἶναι ἀνθρώπων ἐμοῦ μήτε ἐλευθεριώτερον, μή-
τε δικαιότερον, μήτε σωφρονέστερον. ὡς δ᾽ αὖ ταῦτ᾽
ἀκούσαντες οἱ δικασταὶ, ἔτι μᾶλλον ἐθορύβουν εἰκότως
αὖθις

αὖθις ἀπεῖν τὸν σωκράτην· ἀλλὰ μείζω μὲν, ὦ ἄνδρες,
εἶπεν ὁ θεὸς ἐν χρησμοῖς περὶ λυκούργου τοῦ λακεδαιμο-
νίοις νομοθετήσαντος, ἢ περὶ ἐμοῦ. λέγεται γὰρ εἰς τὸν
ναὸν εἰσιόντα προσειπεῖν αὐτὸν, φροντίζω πότερα θεόν
σε εἴπω, ἢ ἄνθρωπον. ἐμὲ δὲ θεῷ μὲν οὐκ εἴκασεν, ἀνθρώ-
πων δὲ πολλῷ προέκρινεν ὑπερφέρειν. ὅμως δὲ ὑμεῖς μη-
δὲ ταῦτα εἰκῆ πιστεύσητε τῷ θεῷ, ἀλλὰ καθ' ἓν ἕκαστον
ἐπισκοπεῖτε, ὧν εἶπεν ὁ θεός. τίνα μὲν γὰρ ἐπίστασθε ἧτ-
τον ἐμοῦ δουλεύοντα ταῖς τοῦ σώματος ἐπιθυμίαις; τί-
να δὲ ἀνθρώπων ἐλευθεριώτερον, ὃς παρ' οὐδενὸς οὔτε δῶ-
ρα, οὔτε μισθὸν δέχομαι. δικαιότερον δὲ, τίνα ἂν εἰκό-
τως νομίσαιτε τοῦ πρὸς τὰ παρόντα συνηρμοσμένου, ὡς τῶν
ἀλλοτρίων μηδενὸς προσδεῖσθαι; σοφὸν δὲ πῶς οὐκ ἄν τις
εἰκότως ἄνδρα φήσειεν εἶναι, ὃς ἐξ ὅτου περ ξυνιέναι τὰ λε-
γόμενα ἠρξάμην, οὐ πώποτε διέλιπον καὶ ζητῶν καὶ μανθά-
νων ὅ, τι ἐδυνάμην ἀγαθόν; ὡς δὲ οὐ μάτην ἐπόνουν, οὐ δο-
κεῖ ὑμῖν καὶ τάδε τεκμήρια εἶναι, τὸ πολλοὺς μὲν πολίτας
τῶν ἀρετῆς ἐφιεμένων, πολλοὺς δὲ ξένων, ἐκ πάντων προαι-
ρεῖσθαι ἐμοὶ ξυνεῖναι; ἐκείνου δὲ τί φήσομεν αἴτιον εἶναι, τὸ
πάντας εἰδέναι, ὅτι ἐγὼ ἥκιστα ἔχοιμ' ἂν χρήματα ἀντιδι-
δόναι, ὅμως πολλοὺς ἐπιθυμεῖν ἐμοί τι δωρεῖσθαι; τὸ δ' ἐμὲ
μὲν μηδ' ὑφ' ἑνὸς ἀπαιτεῖσθαι εὐεργεσίας, ἐμοὶ δὲ πολ-
λοὺς ὁμολογεῖν χάριτας ὀφείλειν; τὸ δ' ἐν τῇ πολιορκίᾳ
τοὺς μὲν ἄλλους οἰκτείρειν ἑαυτοὺς, ἐμὲ δὲ μηδὲν ἀπορώτε-
ρον διάγειν, ἢ ὅτε τὰ μάλιστα ἡ πόλις εὐδαιμόνει; τὸ δὲ
τοὺς ἄλλους μὲν τὰς εὐπαθείας ἐκ τῆς ἀγορᾶς πολυτελεῖς
πορίζεσθαι, ἐμὲ δὲ ἐκ τῆς ψυχῆς ἄνευ δαπάνης ἡδίους
ἐκείνων μηχανᾶσθαι; εἴ γε μὴν ὅσα εἴρηκα περὶ ἐμαυτοῦ,
μηδεὶς δύναιτ' ἂν ἐξελέγξαι με, ὡς ψεύδομαι, πῶς οὐκ
ἂν ἤδη δικαίως καὶ ὑπὸ θεῶν καὶ ὑπὸ ἀνθρώπων ἐ-
παινοίμην; ἀλλ' ὅμως σύ με φῄς, ὦ μέλητε, τοιαῦτα ἐπι-
τηδεύοντα τοὺς νέους διαφθείρειν; καίτοι ἐπιστάμεθα μὲν
δή που τίνες εἰσὶ νέων διαφθοραί. σὺ δ' εἰπὲ, εἴ τινα
οἶσθα ὑπ' ἐμοῦ γεγενημένον, ἢ ἐξ εὐσεβοῦς ἀνόσιον, ἢ
ἐκ σώφρονος ὑβριστὴν, ἢ ἐξ εὐδιαίτου πολυδάπανον,
ἢ ὡς ἐκ μετριοπότου οἰνόφλυγα, ἢ ἐκ φιλοπόνου μαλα-
κὸν, ἢ ἄλλης πονηρᾶς ἡδονῆς ἡττημένον. ἀλλὰ ναὶ μὰ
Δί' ἔφη ὁ μέλητος, ἐκείνους οἶδα, οὓς σὺ πέπεικας σοὶ
πείθεσθαι μᾶλλον, ἢ τοῖς γειναμένοις. ὁμολογῶ φάναι τὸν
σωκράτην, περί γε παιδείας. τοῦτο γὰρ ἴσασιν ἐμοὶ με-
μεληκός. περὶ δὲ ὑγιείας τοῖς ἰατροῖς μᾶλλον οἱ ἄνθρω-
ποι πείθονται, ἢ τοῖς γονεῦσι. καὶ ἐν ταῖς ἐκκλησίαις γε
πάντες οἱ ἀθηναῖοι πάντως δή που τοῖς φρονιμώτα-
τα λέγουσι πείθονται μᾶλλον, ἢ τοῖς προσήκουσιν. οὐ
γὰρ δὴ καὶ στρατηγοὺς αἱρεῖσθε καὶ πρὸ πατέρων καὶ
ἀδελφῶν, καὶ ναὶ μὰ Δία γε ὑμεῖς πρὸ ὑμῶν αὐτῶν, οὓς
ἂν ἡγῆσθε περὶ τῶν πολεμικῶν φρονιμωτάτους εἶναι. οὕτω
γὰρ φάναι τὸν μέλητον, ὦ σώκρατες, καὶ συμφέρει καὶ
νομίζεται. οὔκουν εἰπεῖν τὸν σωκράτην, θαυμαστὸν καὶ
τοῦτό σοι δοκεῖ εἶναι, τὸ ἐν μὲν ταῖς ἄλλαις πράξεσι, μὴ μό-
νον ἰσομοιρίας τυγχάνειν τοὺς κρατίστους, ἀλλὰ καὶ προ-
τετιμῆσθαι. ἐμὲ δὲ περὶ τοῦ μεγίστου ἀγαθοῦ ἀνθρώποις, περὶ
παιδείας βέλτιστος εἶναι ὑπό τινων προκρινόμενος, τούτου
ἕνεκα θανάτου ὑπὸ σοῦ διώκεσθαι; ἐρρήθη μὲν δηλονότι
τούτων πλείονα, ὑπό τε αὐτοῦ, καὶ τῶν συναγορευόντων
φίλων αὐτῷ. ἀλλ' ἐγὼ οὐ τὰ πάντα εἰπεῖν τὰ ἐκ τῆς
δίκης

Socrates inquit: Atqui magis de Lycurgo Lacedæmoniorum legumlatore quàm de me oraculum respondit. Dicitur enim templum intrantis Lycurgo dixisse, Ambigo utrum te deum, an hominem appellem. Me uero nequaquam deo comparauit, hominibus tamen censuit antecellere. Vos tamen iudices ne deo quidem ista temere credatis, sed uosipsi diligenter ista in singulis eorum quæ de me Deus ait, inspicite. Quem scitis minus quàm me corporis uoluptatibus deseruisse? quem liberaliorem, qui à nullo unquam neq; dona, neq; mercedem recepi? Iustiorē uero quem existimare merito potestis, quàm eum qui ad præsentia sic se accommodat, ut alio non indigeat? Sapientiorem uero quomodo quis non dicat eum, qui ex quo intelligere cœpit, nunquam destitit perquirere & quicquid potuit boni? Et quia frustra non suscepim laborem, hinc coniectari licet, quod multi ciues uirtutis amatores, multiq; peregrini familiaritatē meā concupiuerint. Illius uero quid dicemus esse causam, omnes uidelicet intelligere me nequaquam habere pecunias ad remunerandum, tamen complures cupere mihi aliquid elargiri? À me nihil ob beneficium repeti, mihi multas gratias deberi. In obsidione alios quidē seipsos affligere, me uero nihil difficilius uitam agere, quàm cum maxime ciuitas tranquilla esset. Alios uoluptates magno sumptu ex foro mercari, me uero ex animo, sine ullo sumptu, maiores et suauiores quàm illos reperisse. Si ergo ea quæ de me dixi nullus redarguere potest, nec falsa ostendere, quomodo non iustè à dijs et hominibus lauder? Tu aūt Melitus me talia agētem iuuenes corrumpere. Atqui scimus quales sunt iuuenum corruptelæ. Tu ergo dicas, si quē scis ex pio impium, aut ex temperato intemperatum, aut ex frugi prodigum, aut ex sobrio uinosum, aut ex strenuo ignauum à me factum, aut in alteram prauam uoluptatem traductum. At uero, noui equidem, ait Melitus, quibus tibi magis quàm genitoribus suis credendum fore suasisti. Fateor, inquit Socrates, in doctrina. Hoc enim sciunt me fuisse meditatum: & de medicina quidem medicis plus credunt homines quā parentibus: & in concionibus omnes Athenienses, ijs qui maxime sapiunt assentiuntur potius quàm propinquis. Nam neq; in prætoribus deligendis parentes præfertis, sed parentibus germanisq;, & mehercule uobisipsis illos præponitis, quos existimatis rei militaris esse peritißimos. Tunc Melitus inquit: Conducunt ista Socrates. Nonne igitur mirabile tibi uidetur, in alijs quidem rebus non solum pares esse qui optimi sint, sed præponi etiam: me uero in maximo hominum bono, doctrina scilicet, si quibusdam præferar, huius gratia à te in iudicium capitale uocari? Dicta autem alia uidelicet plura fuerunt & ab ipso Socrate, et ab his qui aderāt sibi amicis: sed ego non omnia referre studui in

iudicio dicta, sed sat sit mihi ostendere Socratē, quod neq; tūc circa deos impius, neq; circa homines iniustus haberetur, plurimi existimasse: uerū ne moreretur id sibi deprecandū minime cēsuisse, sed tēpus arbitratū sibi iā tū moriēdi: quod qdē sic fuisse manifestum factū est, iam cōtra cū lata sententia. Nā cū moreretur, ut uestem mutaret, neq; facere uoluit ipse, neq; amicis ac familiarib permisit, asserēs ipsam sordidationē admissi facinoris esse confeßionē. Deinde familiarib. ipsum eximere uolentibus, assentire noluit, quærens etiā an extra Atticā locū scirēt quo mors aspirare nequiret. Sed cū finē habuisset iudicium, talia loquutus est: Qui testes cōtra me peierare docuerūt, & qui docentib. paruerūt, necesse est ut magnæ impietatis iniustitiæq; sibiipsis sint cōsocij. Ego aūt qd debeo minus de me sentire, q̃ ante damnationē meā, cū in nullo eorū cōuictus sim de quib. me accusauerunt, neq; pro Ioue, Iunone, alijsq; dijs alijs, quibusdam malis dæmonib. sacrificasse, neq; iurasse, aut nominasse deos alios apparuit. Iuuenes etiam qua ratione corrūpo, ad tolerantiā & modestiā assuefaciēs? Atqui quib. in reb. mortis pœna sub est, sacrilegio uidelicet, furto, plagio, ciuitatisq; proditione, nec ipsi quidē accusatores, nec aliquis huiusmodi fecisse accusauit. Vnde mirandū mihi uidetur, qua ratione dignus morte uobis sim uisus. Nec tamē quod iniuste moriar ob hoc minus de me sentiendū est: non. n. mihi, sed cōdemnantib. hoc turpe. Solatur q. Palamedes ille nō absimiliter cōdemnatus, q etiā nūc maiores et pulchriores laudes reportat q̃ Vlysses, q p iniuriā ipsum interfecit. Scio aūt, mihi testimonium phibebitis in præsenti et in præterito tempore, me nulli unquā iniuriā intulisse, neq; deteriorē fecisse quenquā, sed multis profuisse qui mecū disputauerūt, gratisq; docuisse quicquid potuerim boni. Quæ cū dixisset, maxime cōsentaneus uerbis suis abibat, et oculis, et gestu, et gradu lætus. Vt aūt animaduertit illos qui sequebātur lugere, Quid hoc est? inquit nonne tandudū sciebatis me, ex quo genitus erā, ab ipsa natura morti fuisse dānatum? Atqui bonis aduentantib. præripi è uita, mihi nimirū meisq; beneuolis lugendū foret. Si uero malis impendentib. diē obeo, arbitror tanquā pro felicitate quadā à uobis omnib. esse lætandū. Aderat quidā Apollodorus erga Socratē quidē affectus, cæterū simplex & ignarus, qui tunc inquit: At ipse, ô Socrates, hoc grauißime fero, quod te iniuste damnatū uideo. Socrates autē dicitur caput eius detestatum, dixisse: An tu amicißime Apollodore, malles me iuste q̃ iniuste damnatū? simulq; risisse dicitur. Etiam cum Anytum aspiceret, dixisse: Hic uir lætus abit, quasi magnum aliquid ac præclarum operatus si me interficit, quod ipsum plurimi à ciuibus extimatum aspiciens, non oportere dixi filium eius circa coria instruere: q̃ stultus est, inquit, ne scire uideatur qui-

δίκης [illegible] [illegible] [illegible] [illegible]. ἀλλ' ἤρκεσέ μοι δηλῶσαι ὅτι Σωκράτης τὸ μὲν μήτε περὶ θεοὺς ἀσεβῆσαι, μήτε περὶ ἀνθρώπους ἄδικος φανῆναι, περὶ παντὸς ἐποιεῖτο. τὸ δὲ μὴ ἀποθανεῖν οὐκ ᾤετο λιπαρητέον εἶναι, ἀλλὰ καὶ καιρὸν ἤδη ἐνόμιζεν ἑαυτῷ τελευτᾶν. ὅτι δ' οὕτως ἐγίγνωσκε, καταδηλότερον ἐγένετο, ἐπεὶ καὶ ἡ δίκη κατεψηφίσθη. πρῶτον μὲν γὰρ κελευόμενος ὑποτιμᾶσθαι, οὔτε αὐτὸς ὑπετιμήσατο, οὔτε τοὺς φίλους εἴασεν. ἀλλὰ καὶ ἔλεγεν, ὅτι τὸ ὑποτιμᾶσθαι, ὁμολογοῦντος εἴη ἀδικεῖν. ἔπειτα τῶν ἑταίρων ἐκκλέψαι βουλομένων αὐτὸν, οὐκ ἐφείπετο, ἀλλὰ καὶ ἐπισκῶψαι ἐδόκει, ἐρόμενος εἴπου εἰδεῖέν τι χωρίον ἔξω τῆς Ἀττικῆς, ἔνθα οὐ προσβατὸν θανάτῳ. ὡς δὲ τέλος εἶχεν ἡ δίκη, εἰπεῖν αὐτόν· ἀλλ', ὦ ἄνδρες, τοὺς μὲν διδάσκοντας τοὺς μάρτυρας, ὡς χρὴ ἐπιορκοῦντας καταψευδομαρτυρεῖν ἐμοῦ, καὶ τοὺς πειθομένους τούτοις, ἀνάγκη ἐστὶ πολλὴν ἑαυτοῖς συνειδέναι ἀσέβειαν καὶ ἀδικίαν. ἐμοὶ δὲ τί προσήκει νῦν μεῖον φρονεῖν, ἢ πρὶν κατακριθῆναι, μηδὲν ἐλεγχθέντι, ὡς πεποίηκά τι, ὧν ἐγράψατό με. οὔτε γὰρ ἔγωγε ἀντὶ Διὸς καὶ Ἥρας, καὶ τῶν σὺν τούτοις θεῶν, οὔτε θύων τισὶ καινοῖς δαίμοσιν, οὔτε ὀμνὺς, οὔτε ὀνομάζων ἄλλους θεοὺς ἀναπέφηνα. τούς γε μὴν νέους πῶς ἂν διαφθείροιμι, καρτερίαν καὶ εὐτέλειαν προσεθίζων; ἐφ' οἷς γε μὴν ἔργοις κεῖται θάνατος ἡ ζημία, ἱεροσυλίας, τοιχωρυχίας, ἀνδραποδίσεως, πόλεως προδοσίας, οὐδ' αὐτοὶ οἱ ἀντίδικοι τούτων πρᾶξαί τι κατ' ἐμοῦ φασιν. ὥστε θαυμαστὸν ἔμοιγε δοκεῖ εἶναι, ὅπως ποτὲ ἐφάνη ὑμῖν τὸ τοῦ θανάτου ἔργον ἐμοὶ ἄξιον. ἀλλ' οὐδὲ μέντοι ὅτι ἀδίκως ἀποθνήσκω, διὰ τοῦτο μεῖον φροντιστέον. οὐ γὰρ ἐμοὶ, ἀλλὰ τοῖς καταγνοῦσι τοῦτο αἰσχρόν ἐστι. παραμυθεῖται δ' ἔτι με καὶ Παλαμήδης, ὁ παραπλησίως ἐμοὶ τελευτήσας. ἔτι γὰρ καὶ νῦν πολὺ καλλίους ὕμνους παρέχεται Ὀδυσσέως τοῦ ἀδίκως ἀποκτείναντος αὐτόν. οἶδ' ὅτι καὶ ἐμοὶ μαρτυρήσεται ὑπό τε τοῦ ἐπιόντος, καὶ ὑπὸ τοῦ παρεληλυθότος χρόνου, ὅτι ἠδίκησα μὲν οὐδένα πώποτε, οὐδὲ πονηρότερον ἐποίησα. εὐεργέτουν δὲ τοὺς ἐμοὶ διαλεγομένους, προῖκα διδάσκων ὅ, τι ἐδυνάμην ἀγαθόν. εἰπὼν δὲ ταῦτα μάλα ὁμολογουμένως δὴ τοῖς εἰρημένοις ἀπῄει, καὶ ὄμμασι καὶ σχήμασι καὶ βαδίσματι φαιδρός. ὡς δὲ ᾔσθετο ἄρα τοὺς παρεπομένους δακρύοντας, τί τοῦτο, εἰπεῖν αὐτὸν, ἢ ἄρτι δακρύετε; οὐ γὰρ πάλαι ἴστε ὅτι ἐξ ὅτουπερ ἐγενόμην, κατεψηφισμένος ἦν μου ὑπὸ τῆς φύσεως ὁ θάνατος; ἀλλὰ μέντοι εἰ μὲν ἀγαθῶν ἐπιρρεόντων προαπόλλυμαι, δῆλον ὅτι ἐμοὶ καὶ τοῖς ἐμοῖς εὔνοις λυπητέον. εἰ δὲ χαλεπῶν προσδοκωμένων καταλύω τὸν βίον, ἐγὼ μὲν οἶμαι ὡς εὐπραγοῦντος ἐμοῦ, πᾶσιν ὑμῖν εὐθυμητέον εἶναι. παρὼν δέ τις Ἀπολλόδωρος, ἐπιθυμητὴς μὲν ἰσχυρῶς αὐτοῦ, ἄλλως δ' εὐήθης, εἶπεν ἄρα· ἀλλ' ἔγωγε, ὦ Σώκρατες, χαλεπώτατα φέρω, ὅτι ὁρῶ σε ἀδίκως ἀποθνήσκοντα. τὸν δὲ λέγεται καταψήσαντα αὐτοῦ τὴν κεφαλὴν εἰπεῖν· σὺ δὲ, ὦ φίλτατε Ἀπολλόδωρε, μᾶλλον ἂν ἐβούλου με ὁρᾶν δικαίως ἢ ἀδίκως ἀποθνήσκοντα; καὶ ἅμα ἐπιγελάσαι. λέγεται δὲ καὶ Ἄνυτον παριόντα ἰδὼν εἰπεῖν· ἀλλ' ὁ μὲν ἀνὴρ ὅδε κυδρὸς, ὡς μέγα τι καὶ καλὸν διαπεπραγμένος, εἰ ἀπέκτονέ με, ὅτι αὐτὸν τῶν μεγίστων ὑπὸ τῆς πόλεως ὁρῶν ἀξιούμενον, οὐκ ἔφην χρῆναι τὸν υἱὸν περὶ βύρσας παιδεύειν. ὡς μοχθηρὸς οὗτος, ἔφη, ὡς οὐκ ἔοικεν εἰδέναι, ὅτι ὁπότερος

ὁπότερος ἡμῶν, καὶ συμφορώτερα καὶ καλλίω εἰς τὸν ἀεὶ χρόνον διαπέπρακται, οὗτός ἐστι καὶ ὁ νικῶν. ἀλλὰ μέντοι φάναι αὐτὸν, ἀνέθηκε μὲν καὶ ὅμηρος ἔστιν οἷς τῶν ἐν καταλύσει τοῦ βίου, προγιγνώσκειν τὰ μέλλοντα. βούλομαι δὲ καὶ ἐγὼ χρησμῳδῆσαί τι. συνεγενόμην γάρ ποτε βραχέα τῷ ἀνύτου υἱῷ, καὶ ἔδοξέ μοι οὐκ ἄρρωστος τὴν ψυχὴν εἶναι. ὥστε φημὶ αὐτὸν ἐπὶ τῇ δουλοπρεπεῖ διατριβῇ, ἣν ὁ πατὴρ αὐτῷ παρεσκεύακεν, οὐ διαμενεῖν. διὰ δὲ τὸ μηδένα ἔχειν σπουδαῖον ἐπιμελητὴν, προσπεσεῖσθαί τινι αἰσχρᾷ ἐπιθυμίᾳ, καὶ προβήσεσθαί γε μέντοι πόρρω μοχθηρίας. ταῦτα δ' εἰπὼν οὐκ ἐψεύσατο. ἀλλ' ὁ νεανίσκος ἡσθεὶς οἴνῳ, οὔτε νυκτὸς, οὔτε ἡμέρας ἐπαύετο πίνων. καὶ τέλος, οὔτε τῇ ἑαυτοῦ πόλει, οὔτε τοῖς φίλοις, οὔτε αὐτῷ ἄξιος οὐδενὸς ἐγένετο. ἄνυτος μὲν δὴ διὰ τὴν τοῦ υἱοῦ πονηρὰν παιδείαν, καὶ διὰ τὴν αὑτοῦ ἀγνωμοσύνην ἔτι καὶ τετελευτηκὼς τυγχάνει κακοδοξίας. σωκράτης δὲ διὰ τὸ μεγαλύνειν ἑαυτὸν ἐν τῷ δικαστηρίῳ, φθόνον ἐπαγόμενος, μᾶλλον καταψηφίσασθαι ἑαυτοῦ ἐποίησε τοὺς δικαστάς. ἐμοὶ μὲν οὖν δοκεῖ θεοφιλοῦς μοίρας τετυχηκέναι. τοῦ μὲν γὰρ βίου τὸ χαλεπώτατον ἀπέλιπε. τῶν δὲ θανάτων τοῦ ῥάστου ἔτυχεν. ἐπεδείξατο δὲ τῆς ψυχῆς τὴν ῥώμην. ἐπεὶ γὰρ ἔγνω τὸ τεθνάναι αὐτῷ τοῦ ἔτι ζῆν κρεῖσσον εἶναι, ὥσπερ οὐδὲ πρὸς τἆλλα τἀγαθὰ προσάντης ἦν, οὐδὲ πρὸς τὸν θάνατον ἐμαλακίσατο. ἀλλ' ἱλαρῶς καὶ προσεδέχετο αὐτὸν, καὶ ἐτελέσατο. ἐγὼ μὲν δὴ κατανοῶν τοῦ ἀνδρὸς τήν τε σοφίαν καὶ τὴν γενναιότητα, οὔτε μὴ μεμνῆσθαι δύναμαι αὐτοῦ, οὔτε μεμνημένος μὴ οὐκ ἐπαινεῖν. εἰ δέ τις τῶν ἀρετῆς ἐφιεμένων ὠφελιμωτέρῳ τινὶ σωκράτους συνεγένετο, ἐκεῖνον ἐγὼ τὸν ἄνδρα ἀξιομακαριστότατον νομίζω.

quicunque nostrum & utiliora & honestiora per omne tempus effecerit, eum esse uictorem. Attamen, inquit, cum Homerus quibusdam in locis faciat eos qui moriuntur futura praenoscere, uolo & ego iam aliquid diuinare. Fui autem aliquando cum huius Anyti filio, uisusq; est mihi non inrobusti animi existere. Itaque dico ipsum in similis exercitio quod sibi pater parauit, non esse permansurum: & quia neminem studiosum habebit curatorem suum, in aliquam prauam cupiditatem elapsum, usque 10 ad extremam sortem uenturum. Haec dicens nequaquam mentitus est. Nam adolescens uino delectatus, neque nocte, neque die a potu cessauit: tandemq; nec reipublicae, nec amicis, nec sibiipsi utilis fuit. Anytus ergo propter filij inertiam, propriamque ipsius ingratitudinem mortuus etiam infamiam contrahit. Socrates uero se in iudicio magnificando inuidia contracta, magis ac magis in damnationem suam iudices irritauit. Mihi igitur quidem uidetur diuina sorte potius quàm humana perijsse: nam grauissimam uitae partem difficilimámque dimisit, 20 morte uero quae facilima est omnium interijt, ostenditq; robur animi. Nam cum intelligeret sibi melius esse mori quàm ulterius uiuere, ut neque ad alia aduersabatur, sic nec contra mortem refragatus est, sed hilariter illam suscepit finiuitq;. Ego quidem & sapientiam & generositatem uiri mecum reputans, neque possum non meminisse, nec cum meminerim, non laudare. Si quis autem ex his qui uirtutem sectantur, utiliori aliquo sermone quàm Socrates usus est, illum ego uirum felicissimum iudico.

DES. ERASMVS ROTERODAMVS CLARISSIMO VIRO D. ANTONIO FVGGERO S. D.

NON sine causa, uir amicissime, ueterem de fortuna querelam in tuis ad me literis renouas. Nullo enim unquam seculo illa magis tuo nomini respondit, quàm hoc: nec latius per omnium mortalium capita diuagata est: cui praeter innumeras calamitates hoc quoque mali iam ferimus acceptum, quod nos animorum beneuolentia coniunctissimi, consuetudine distracti uiuimus. In huius tanti incommodi solatium, nonnihil remedij uideor mihi repperisse. Nam hisce diebus cum inquirens nescio quid, chartarum mearum aceruos excuterem, ultro, & ut arbitror, deo quopiam ita uolente, uenit in manus, quod ante annos aliquot uertere tentaram ex Xenophontis tyranno. Id quo minus tum absoluerim, praeter alia fuit & illud in causa, quod graecus codex uideretur mihi parum sincerus. Ad hoc laboris nunc integer reuersus, perpetuo cursu citraque respirationem ad umbilicum deduxi. Apud priscos nihil inter erat inter nomen regis ac tyranni, cum postea tyranni uocabulum coeperit esse inuisissimum apud omnes: regis etiam apud eas duntaxat respublicas, in quibus uigebat democratia. Alioqui quod Simonides subinde Hieronem appellat tyrannum, nihilo ciuilius esset, quàm si quis cum pyrata familiariter & amice confabulans, identidem appellaret illum piratam. Fateor hoc argumentum non per omnia temporum horum statui congruere, in quibus sub monarchis praepotentibus tranquillissime degunt, non ut tum singulae ciuitates, sed amplissimae ditiones: multa tamen insunt, quae nostris quoque principibus non inutilia cognitu futura sint. In hoc libello tibi dicato quoties uersaberis, Antoni charissime, putato te cum Erasmo tuo colloqui. Ornatissimo uiro Ioanni Cholero salutem ex me plurimam, quo uno nec inter amicos habeo quenquam candidiorem, nec inter patronos magis [illegible]. Ex eius literis nil nisi meros amores spirantibus, tantum capio, mihi crede, uoluptatis ac solatij, ut uix alia quapiam ex re tantundem. Bene uale. Datum apud Friburgum Brisgoiae, Idibus Februarij, anno à Christo nato M. D. XXX.

XENOPHONTIS HIERON SIVE TYRANNVS, DES. ERASMO ROTEROD. INTERP.

SIMONIDES poëta die quodã acceßit ad Hieronẽ tyrannũ, cumq; ocium forte eſſet utriſq;, Simonides hũc in modũ locutus eſt: Velleſne mihi explicare Hierõ, ea quæ probabile est te melius noſſe q̃ ego noui? Et quænã, inquit Hierõ, ſunt iſta quæ mihi notiora poßint eſſe q̃ tibi, uiro tã erudito, tãtaq; ſapiẽtia prædito? Noui, inquit, te cũ eſſes priuatus, et nunc regno potientẽ noui. Cũ igitur utrũq; uitæ genus ſis expertus, ueriſimile eſt hunc te noſſe melius me, qd diſcriminis ſit inter uitã regiã & inter priuatã, quantũ attinet ad ea quæ uel uoluptatẽ, uel moleſtiã afferunt hominib. Quin tu igitur, inquit Hierõ, quoniã nũc adhuc ſane priuatã agis uitã, cõmonefacis me cõmodorum & incommodorum quæ in priuata accidunt uita? Sic.n. tibi, ut arbitror, maxime potero, quid inter hãc & illam interſit, explicare. Ad quæ hunc in modũ Simonides reſpondit: Equidem mihi uideor hoc animaduertiſſe, ô Hierõ, homines priuatã agentes uitam, uel uoluptate uel dolore affici: per oculos quidẽ, ijs rebus quæ cernũtur: per aures aũt, ijs quæ audiũtur: per nares itẽ, ijs quæ olfacta ſentiuntur: per os uero, tum eſculentis tum poculis. Ea porro quæ ſpectant ad rem uenereã, his corporis partibus ſentiuntur, quas nouimus omnes. Tum frigida calidaq;, dura & mollia, leuia & grauia, toto corpore uidemur, inquit, dijudicare, atq; ex illorũ ſenſu uel delectationẽ, uel moleſtiã percipere. Porro malis ac bonis interdum per ipſum animũ, ut mihi uidetur, delectamur, interdũ etiã offendimur: nonnunq̃ per utrunq; cõmuniter, hoc eſt, per animã ſimul & per corpus. Iam mihi uideor utcunq; intelligere, quod ſomno delectamur: uerùm id quo pacto, aut per quid, aut quando fiat, hæc mihi uideor neſcire potius q̃ ſcire, quomodo ſeſe habeant. Nec id forte mirandũ, ſi quæ nobis uigilantibus accidunt, ſenſum ſui præbent euidentiorem, q̃ ea quæ in ſomnis obueniunt. Ad hæc Hieron hunc in modum reſpondit: Ego ſane, ô Simonides, haudquaquam dicere poßim, quomodo rex ſentire quicq̃ aliud poſſet, præter hæc quæ cõmemoraſti. Itaq; hactenus ſane nõ intelligo, qua re uita regia differt à priuata. Tum Simonides: Atqui in his tamen, inquit, diſcrimen eſt. Nam ex horũ unoquoq; rex ut multis partibus maiorem capit uoluptatẽ, ſic ex ijſdem minus habet moleſtiarum. Ad hæc Hierõ: Non, ita, inquit, ut dicis res habet, ô Simonides. Quin potius illud ſcito regẽ ex hiſce rebus longe minorem capere uoluptatẽ, q̃ priuati capiunt qui mediocri fortuna ſunt, et longe plus auferre moleſtiarũ. Incredibilia narras, ait Simonides. Nam ſi ita eſſet ut narras, qui factum eſt ut multi regnũ affectarint, præſertim ex eorũ numero, qui uidebãtur eſſe uiri ea conditione, ut maxime ſua ſorte debuerint eſſe contenti? Rurſus qui fieret, ut oẽs eijciãt, ſi queant, tyrãnos? Tum Hieron: Quoniam, inquit, per Iouem uitam utranq; nõ ſunt experti, ideo ſic iudicãt de negocio. At ego conabor tibi declarare me uera loqui, orſus à uiſu: quandoquidẽ tu quoq;, ut meminiſſe mihi uideor, ab hoc ipſo ſermonẽ ordiebaris. Primum igitur cũ reputo qd adferãt uoluptatis quæ cernũtur oculis, cõperio tyrãnos deterius habere, q̃ priuatos homines. In alijs quidem atq; alijs regionibus alia atq; alia ſunt ſpectatu digna. Ad hæc uero ſpectacula omnia proficiſcũtur priuati, inq; ciuitates quaſcũq; uoluerint, ſe conferũt ſpectandi gratia, quod in quaq; uiſendum eſt. Tum ad ſolennes celebritates populiq; [illegible] tus frequẽtißimos, in quibus uulgus putãt eſſe res maxime ſpe

Hæc

ΞΕΝΟΦΩΝΤΟΣ ΡΗΤΟΡΟΣ ΙΕΡΩΝ, Η ΤΥΡΑΝΝΙΚΟΣ.

ΣΙΜΩΝΙΔΗΣ ὁ ποιητὴς ἀφίκετό ποτε πρὸς Ἱέρωνα τὸν τύραννον. σχολῆς δὲ γενομένης ἀμφοῖν, εἶπεν ὁ Σιμωνίδης· ἆρ' ἄν μοι ἐθελήσαις ὦ Ἱέρων διηγήσασθαι, ἃ εἰκὸς εἰδέναι σε βέλτιον ἐμοῦ; καὶ ποῖα ταῦτ' ἐστὶν, ἔφη ὁ Ἱέρων, ὁποῖα δὴ ἐγὼ βέλτιον ἂν εἰδείην σοῦ, οὕτως ὄντος σοφοῦ ἀνδρός; οἶδά σε, ἔφη, ἐγὼ καὶ ἰδιώτην γεγενημένον, καὶ νῦν τύραννον ὄντα. εἰκὸς οὖν ἀμφοτέρων πεπειραμένον, καὶ εἰδέναι σε μᾶλλον ἐμοῦ, πῇ διαφέρει ὅ τε τυραννικός τε καὶ ὁ ἰδιωτικὸς βίος, εἰς εὐφροσύνας τε καὶ λύπας ἀνθρώποις. τί οὖν, ἔφη ὁ Ἱέρων, οὐχὶ καὶ σὺ, ἐπεὶ νῦν γε ἔτι ἰδιώτης εἶ, ὑπεμνήσας με τὰ ἐν τῷ ἰδιωτικῷ βίῳ. οὕτω γὰρ ἄν σοι οἶμαι μάλιστα ἐγὼ δύνασθαι δηλοῦν, τὰ διαφέροντα ἐν ἑκατέρῳ. οὕτω δὴ ὁ Σιμωνίδης εἶπε· τοὺς μὲν δὴ ἰδιώτας ἔγωγε, ὦ Ἱέρων, δοκῶ μοι καταμεμαθηκέναι, διὰ μὲν τῶν ὀφθαλμῶν ὁράμασιν ἡδομένους τε καὶ ἀχθομένους· διὰ δὲ τῶν ὤτων, ἀκούσμασι· διὰ δὲ τῶν ῥινῶν, ὀσμαῖς· διὰ δὲ τοῦ στόματος, σίτοις τε καὶ ποτοῖς. τὰ δ' ἀφροδίσια, δι' ὧν δὴ πάντες ἐπιστάμεθα. τὰ δὲ ψύχη καὶ θάλπη, καὶ σκληρὰ καὶ μαλακὰ, καὶ κοῦφα καὶ βαρέα, ὅλῳ τῷ σώματί μοι δοκοῦμεν ἔφη κρίνοντες, ἥδεσθαί τε καὶ λυπεῖσθαι ἐπ' αὐτοῖς. ἀγαθοῖς δὲ καὶ κακοῖς, ἔστι μὲν ὅτε δι' αὐτῆς τῆς ψυχῆς μοι δοκοῦμεν ἥδεσθαι, ὅτε δ' αὖ λυπεῖσθαι. ἔστι δ' ὅτε κοινῇ, καὶ διά τε τῆς ψυχῆς καὶ διὰ τοῦ σώματος. τῷ δ' ὕπνῳ ὅτι μὲν ἡδόμεθα, δοκῶ μοι αἰσθάνεσθαι. ὅπως δὲ καὶ ᾧ τινι, καὶ ὁπότε ταῦτα μᾶλλον πῶς ἔφη δοκῶ μοι ἀγνοεῖν. καὶ οὐδὲν ἴσως τοῦτο θαυμαστὸν, εἰ τὰ ἐν τῷ ἐγρηγορέναι σαφεστέρας ἡμῖν τὰς αἰσθήσεις παρέχεται, ἢ τὰ ἐν τῷ ὕπνῳ. πρὸς ταῦτα δὴ ὁ Ἱέρων ἀπεκρίνατο· ἐγὼ μὲν τοίνυν, ἔφη, ὦ Σιμωνίδη, ἔξω τούτων ὧν εἴρηκας σύ γε, οὐδ' ὅπως αἴσθοιτό τινος ἄλλου ὁ τύραννος ἔχοιμ' ἂν εἰπεῖν. ὥστε μέχρι γε τούτου, οὐκ οἶδ' εἴ τινι διαφέρει ὁ τυραννικὸς βίος, τοῦ ἰδιωτικοῦ βίου. καὶ ὁ Σιμωνίδης εἶπεν· ἀλλ' ἐν τοῖσδε, ἔφη, διαφέρει. πολλαπλάσια μὲν δι' ἑκάστου τούτων εὐφραίνεται. πολὺ δὲ μείω τὰ λυπηρὰ ἔχει. καὶ ὁ Ἱέρων εἶπεν· οὐχ οὕτως ἔχει, ὦ Σιμωνίδη, ταῦτα. ἀλλ' εὖ ἴσθι, ὅτι πολὺ μείω εὐφραίνονται οἱ τύραννοι, τῶν μετρίως διαγόντων ἰδιωτῶν, πολὺ δὲ πλείω καὶ μείζω λυποῦνται. ἄπιστα λέγεις, ἔφη ὁ Σιμωνίδης. εἰ γὰρ οὕτω ταῦτα ἔχει, πῶς ἂν πολλοὶ μὲν ἐπεθύμουν τυραννεῖν, καὶ ταῦτα τῶν δοκούντων ἱκανωτάτων ἀνδρῶν εἶναι; πῶς δὲ πάντες ἐζήλουν ἂν τοὺς τυράννους; ὅτι ναὶ μὰ τὸν Δί', ἔφη ὁ Ἱέρων, ἄπειροι ὄντες ἀμφοτέρων τῶν ἔργων, σκοποῦνται περὶ αὐτοῦ. ἐγὼ δὲ πειράσομαί σε διδάσκειν ὅτι ἀληθῆ λέγω, ἀρξάμενος ἀπὸ τῆς ὄψεως. ἐντεῦθεν γὰρ καὶ σὲ δοκῶ μεμνῆσθαι ἀρξάμενον λέγειν. πρῶτον μὲν γὰρ ἐν τοῖς διὰ τῆς ὄψεως θεάμασι λογιζόμενος, εὑρίσκω μειονεκτοῦντας τοὺς τυράννους. ἄλλα μέν γε ἐν ἄλλῃ χώρᾳ ἐστὶν ἀξιοθέατα. ἐπὶ δὲ τούτων ἕκαστα οἱ μὲν ἰδιῶται ἔρχονται καὶ εἰς πόλεις ἃς ἂν βούλωνται θεαμάτων ἕνεκα, καὶ εἰς τὰς κοινὰς πανηγύρεις, ἔνθα τὰ ἀξιοθεώτατα

ἀξιοθεατότατα δοκεῖ εἶναι ἀνθρώποις συναγείρεσθαι. οἱ δὲ τύ-
ραννοι οὐ μάλα ἀμφὶ θεωρίας ἔχουσιν. οὔτε γὰρ ἰέναι αὐ-
τοῖς ἀσφαλὲς, ὅπου μὴ κρείττονες τῶν παρόντων μέλ-
λουσιν ἔσεσθαι. οὔτε τὰ οἴκοι κέκτηνται ἐχυρὰ, ὥστε ἄλλοις
παρακαταθεμένους ἀποδημεῖν. φοβερὸν γὰρ μὴ ἅμα στε-
ρηθῶσι τῆς ἀρχῆς, καὶ ἀδύνατοι γένωνται τιμωρήσασθαι τοὺς
ἀδικήσαντας. εἴποις οὖν ἂν ἴσως σύ. ἀλλ' ἄρα ἔρχεται αὐ-
τοῖς τὰ τοιαῦτα, καὶ οἴκοι μένουσι. ναὶ μὰ Δία, ὦ Σιμωνί-
δη, ὀλίγα γε τῶν πολλῶν, καὶ ταῦτα τοιαῦτα ὄντα, οὕτω
τίμια πωλεῖται τοῖς τυράννοις, ὥστε οἱ ἐπιδεικνύμενοι
καὶ ὁτιοῦν ἀξιοῦσι πολλαπλάσια λαβόντες ἐν ὀλίγῳ χρόνῳ
ἀπιέναι παρὰ τοῦ τυράννου, ἢ ὅσα ἐν παντὶ τῷ βίῳ, παρὰ
πάντων τῶν ἄλλων ἀνθρώπων κτῶνται. καὶ ὁ Σιμωνίδης εἶ-
πεν· ἀλλ' εἰ τοῖς θεάμασι μειονεκτεῖτε, διά γε τῆς ἀκοῆς
πλεονεκτεῖτε. ἐπεὶ τοῦ μὲν ἡδίστου ἀκροάματος ἐπαίνου, οὔπο-
τε σπανίζετε. πάντες γὰρ οἱ παρόντες ὑμῖν πάντα καὶ ὅσα ἂν
λέγητε, καὶ ὅσα ἂν ποιῆτε, ἐπαινοῦσι. τοῦ δ' αὖ χαλεπωτά-
του ἀκροάματος λοιδορίας, ἀνήκοοί ἐστε. οὐδεὶς γὰρ ἐθέλει
τυράννου κατ' ὀφθαλμοὺς κατηγορεῖν. καὶ ὁ Ἱέρων εἶπε· καὶ
τί οἴει, ἔφη, τοὺς μὴ λέγοντας κακῶς εὐφραίνειν, ὅταν εἰ-
δῇ τις σαφῶς, ὅτι οἱ σιωπῶντες οὗτοι πάντες κακὰ νοοῦ-
σι τῷ τυράννῳ, ἢ τοὺς ἐπαινοῦντας; τί δοκεῖς εὐφραί-
νειν, ὅταν ὕποπτοι ὦσιν, ἕνεκα τοῦ κολακεύειν τοὺς ἐπαί-
νους ποιεῖσθαι. καὶ ὁ Σιμωνίδης εἶπε· τοῦτο μὲν δὴ, ναὶ μὰ
τὸν Δία ἔγωγέ σοι Ἱέρων πάνυ συγχωρῶ, τοὺς ἐπαίνους
παρὰ τῶν ἐλευθερωτάτων ἡδίστους εἶναι. ἀλλ' ὁρᾷς ἐκεῖνό γε
οὐκ ἂν ἔτι πείσαις ἀνθρώπων οὐδένα, ὡς οὐ δι' ὧν τρεφόμε-
θα οἱ ἄνθρωποι, πολὺ πλείω ὑμεῖς ἐν αὐτοῖς εὐφραίνε-
σθε. καὶ οἶδα γ', ἔφη, ὦ Σιμωνίδη, ὅτι τούτῳ κρίνουσιν οἱ
πλεῖστοι ἥδιον ἡμᾶς καὶ πίνειν καὶ ἐσθίειν τῶν ἰδιωτῶν, ὅτι
δοκοῦσι καὶ αὐτοὶ ἥδιον ἂν δειπνῆσαι τὸ ἡμῖν παρατι-
θέμενον δεῖπνον, ἢ τὸ ἑαυτοῖς. τὸ γὰρ τὰ εἰωθότα ὑπερ-
βάλλον, τοῦτο παρέχει τὰς ἡδονάς, διὸ καὶ πάντες ἄνθρω-
ποι ἡδέως προσδέχονται τὰς ἑορτάς, πλὴν οἱ τύραννοι.
ἔκπλεω γὰρ αὐτοῖς ἀεὶ παρεσκευασμέναι, οὐδεμίαν ἐν ταῖς
ἑορταῖς ἔχουσιν αἱ τράπεζαι αὐτῶν ἐπίδοσιν. ὥστε ταύτῃ πρῶ-
τον τῇ εὐφροσύνῃ τῆς ἐλπίδος μειονεκτοῦσι τῶν ἰδιωτῶν.
ἔπειτα δ', ἔφη, ἐκεῖνο εὖ οἶδ', ὅτι καὶ σὺ ἔμπειρος εἶ, ὅτι
ὅσῳ ἂν πλείω τις παραθῆται τὰ περιττὰ τῶν ἱκανῶν, τοσούτῳ
θᾶττον κόρος ἐμπίπτει τῆς ἐδωδῆς. ὥστε καὶ τῷ χρόνῳ τῆς ἡδο-
νῆς μειονεκτεῖ ὁ παρατιθέμενος πολλὰ τῶν μετρίως διαιτω-
μένων. ἀλλὰ ναὶ μὰ Δί', ἔφη ὁ Σιμωνίδης, ὅσον χρόνον ἡ
ψυχὴ προσίεται, τοῦτον πολὺ μᾶλλον ἥδονται οἱ ταῖς πολυτε-
λεστέραις παρασκευαῖς τρεφόμενοι, τῶν τὰ εὐτελέστερα παρα-
τιθεμένων. οὐκοῦν, ἔφη ὁ Ἱέρων, ὦ Σιμωνίδη, τὸν ἑκάστῳ
ἡδόμενον, μάλιστα τοῦτον οἴει καὶ ἐρωτικώτατα ἔχειν τοῦ ἔρ-
γου τούτου; πάνυ μὲν οὖν, ἔφη. ἦ οὖν ὁρᾷς τι τοὺς τυράννους
ἥδιον ἐπὶ τὴν ἑαυτῶν παρασκευὴν ἰόντας, ἢ τοὺς ἰδιώτας
ἐπὶ τὴν ἑαυτῶν; οὐ μὰ τὸν Δί', ἔφη, οὐ μὲν οὖν, ἀλλὰ καὶ ἀγλευ-
κέστερον ὡς πολλοῖς ἂν δόξειε. τί γάρ, ἔφη ὁ Ἱέρων, τὰ πολ-
λὰ ταῦτα μηχανήματα κατανενόηκας ἃ παρατίθεται τοῖς
τυράννοις, ὀξέα καὶ δριμέα καὶ στρυφνά, καὶ τὰ τούτων ἀ-
δελφά; πάνυ μὲν οὖν, ἔφη ὁ Σιμωνίδης. καὶ πάνυ γέ μοι
δοκοῦντα παρὰ φύσιν εἶναι ταῦτα ἀνθρώποις. ἄλλο τι
οὖν οἴει, ἔφη ὁ Ἱέρων, ταῦτα τὰ ἐδέσματα εἶναι, μαλακῆς
καὶ ἀσθενούσης τρυφῆς, ψυχῆς ἐπιθυμήματα. ἐπεὶ εὖ οἶδ'
ἔγωγε

ctatu dignas, iisdem licet accedere. Tyrãni porro nõ multum
indulgent spectaculis, raroq; intersunt, eo quod ipsis eo profici
sci tutũ nõ est, ubi nõ sint futuri superiores iis qui adsunt. Nec
pro his quæ domi possident acceperunt pignora, ut his apud
alios depositis, liceat abesse peregre. Metuendũ enim est, ne si
mul & principatu excutiãtur, & facultatẽ amittant ulciscen
di eos à quibus læsi sunt. Proinde forsitã dices tu quidem: Ista
nimirũ spectacula ueniũt ad tyrãnos, etiam si domi maneant.
Veniunt per Iouẽ, ô Simonides, at non solum pauca è multis,
10 uerumetiã cum eiusmodi sint, adeo care emenda tyrannis, ut
qui uel qualecunq; spectaculum ediderint, postulẽt longe ma
ioribus præmiis breui tempore acceptis, à rege discedere, quã
quæ per omnem uitam à cæteris omnibus parant. Tum Simo-
nides: Verùm, inquit, quanq̃ inferiores estis in spectaculis, ta-
men potiores estis in his quæ delectant aureis: quandoquidẽ
laudum, quibus nihil est auditu iucundius, nulla unquam uo-
bis est penuria. Quotquot enim sunt qui uobiscum agunt con
suetudinem, omnia quæcunq; uel dictis uel factis, laudant. Cæ
terum à conuiciis, quibus nihil est auditu insuauius, liberæ sunt
20 aures uestræ. Nullus enim audet tyrannum coràm & in os uitu
perare. Tum Hieron: Et quid, inquit, uoluptatis existimas af-
ferre eos, qui nõ maledicunt, ubi quis euidenter perspicit, quod
hi omnes dum tacent male uolunt tyranno? At quid uolupta-
tis afferre putas eos, qui laudant, cum suspecti sint quod assen
tandi gratia laudent, nõ ex animo? At Simonides: In hoc qui-
dem per Iouẽ, inquit, tibi prorsus assentior Hieron, laudes illa
tas ab his qui quàm maxime liberi sunt, esse multo iucundissi-
mas. Veruntamẽ illud plane uides quod nequaquã ulli morta
lium persuasurus es, quin in his quib. aluntur homines, uos lon
30 ge plus uoluptatis capiatis. Nec istud, inquit, me fugit, ô Simo
nides, ita plerisq; uideri, nos tum edere, tum bibere suauius pri
uatis, eo quod ipsi quoq; sibi uidẽtur iucundius cœnaturi cœ-
nam quæ nobis apponitur, q̃ eam quæ ipsis apponitur. Nõ.n.
ipsa res uoluptatẽ affert. Sed hoc illos delectat, quod appara-
tus superat ea quibus assueuerũt. Eoq; cuncti mortales cupide
expectãt dies festos, exceptis tyrãnis. semper enim his splendi
dus est apparatus, nec ullam illorũ mensæ dieb. festis accipiũt
accessionẽ. Primum igitur quod ad hanc uoluptatẽ, quam ad-
fert spes, attinet, deteriore conditione sunt reges q̃ priuati. Præ
40 terea, inquit, illud sat scio, tu quoq; uel experiẽtia compertum
habes, quo cuiq; plura supra quàm sat est, ac redundantia ap
ponuntur, tanto citius edendi satietatem oboriri. Ita fit ut ipso
quoq; tempore, quo cibũ capis, si multa apponantur, deterius
habeas, q̃ iam qui moderato sunt uictu. Atqui per Iouẽ, inquit
Simonides, tantisper dum appetit animus, multo plus habẽt uo
luptatis qui splendido uiuunt apparatu, q̃ hi quibus tenuis ui
ctus apponitur. Ad hæc Hieron: Itá ne, inquit, o Simonides, pu
tas eum qui re quapiã delectatur, hunc protinus maxime affi-
ci, ac uehemẽtissimo amore teneri eius negocii? Equidem pror
50 sus arbitror, inquit. Nónne igitur uides reges aliquãto liben-
tius ad suos apparatus ire, an homines priuatos ad suos? Ne-
quaquam per Iouem, inquit, non sane uideo, sed illubentius, ut
uulgo quidem uideri possit. Tum Hieron: Quid, inquit, num
ista multo studio arteq; confecta considerasti, quæ regibus
apponuntur, acria, amara, austeraq;, & his germana? Pror-
sus, inquit Simonides, consideraui, planeq; mihi quidem ista
uidentur esse præter hominum naturam. Quid igitur, inquit
Hieron, aliud existimas hoc genus epulas esse, nisi mollium
& effœminatarum deliciarum animi concupiscentias? Si-
quidem ego sane probe noui, quin nosti tu quoq; forsitan,
quod

quod qui cupide uescuntur, nihil opus habent istis arte additis condituris. Quinetiam uobis ex odoribus, inquit Simonides, istis preciosis quibus ungimini, arbitror eos plus boni capere qui sunt familiares, quàm uosipsos: quandoquidem & ingratos odores non sentit is qui se illis expleuit, sed hi potius qui ad eum qui deuorauit accedunt. Itidem, inquit Hieron, usu uenit in cibis: cui perpetuo suppetit omne genus epularum, nihil illorum sumit cum appetentia. Verum cui quid raro contigit, is demum est qui cum uoluptate saciatur, si quid illi obijciatur. Solæ igitur, inquit Simonides, ueneree rei delectationes ueniunt in periculum, ne uideantur regni cupiditatem afferre. Hic enim solis uobis licet, ut quidque uisum fuerit pulcherrimum, cum eo congredi. Nunc demum, inquit Hieron, commemorasti, in quo citra controuersiam inferiores sumus hominibus priuatis. Principio nanque pulcherrimum esse uidetur uxorem ducere ex his qui tum opibus, tum potentia praecellunt, eaq; res putatur adiungere cum uoluptate dignitatis nonnihil ei qui duxit. Proximum autem est, ex paribus uxorem asciscere. Ceterum qui ex inferioribus ducit, prorsus contemptus & inutilis habetur. At regi, nisi peregrinam ducat, ex inferioribus ducat necesse est. Vnde fit, ut non admodum ad illum perueniat illud amabile, uigorq; charitatis, quæ inter eiusdem ciuitatis coniuges intercedit. Iam uero & coli, captariq; à fœminis splendidis, ac summopere magnificis, plurimum habet uoluptatis. Cæterum quæ ueniunt ab ancillis culturæ, cum adsunt, nihil explent animum. Sin desint alicubi, graues tum iras, tum molestias gignunt in nobis. Porro in puellarum amoribus, multo etiam minus habet uoluptatum tyrannus, quàm in uxoribus quæ ducuntur gignendæ proli. Nam quod uenerei congressus, si adsit amor, plurimum afferant uoluptatis, profecto perspicuum est nobis omnibus. At amor nulli minus insinuat sese quàm tyranno. Neque enim amor appetere gaudet ea quæ in promptu sunt, sed ea quæ sperantur. Proinde non aliter quàm si qui nunquam expertus est sitim, potum nanciscatur, itidem qui est expers amoris, expers est iucundissimæ Veneris. Hunc igitur in modum locutus est Hieron. Simonides uero arridens: Quid ais, inquit, Hieron? Negas puellarum amores inseri regum animis? Quomodo igitur, inquis, amas Dailocham, cui cognomen est pulcherrima? Quoniam per Iouem, inquit, ô Simonides, non hoc amo quod ab ea consequi uidetur esse procliue, uerum ideo uiuat quod minime regem deceat hoc facere: Nam ego quidem diligo Dailocham, ob quecunque sunt illa, quæ fortassis natura hominis cogit à formosis petere. Cæterum his potiri quæ amo, ut cum mutua beneuolentia & à uolente contingat, uehementer opto. Vt autem ui ab illa sumam, minus mihi uideor concupiscere, quàm mihiipsi mali quippiam facere. Nam ab inuitis hostibus aliquid sumere, rem equidem arbitror omnium iucundissimam. Sed à puellis uolentibus, gratia, ut opinor, iucundissima uenit. Protinus enim ipse mutuus redamantis aspectus iucundus est, iucundæ percontationes, iucundæ responsiones: iucundissimæ uero, & in primis ueneree tum lites, tum contentiones. At inuitis puellis frui, latrocinio, inquit, mihi similius uidetur, quàm uoluptati uenereæ. Quanquàm prædoni nonnihil affert uoluptatis, partim lucrum, partim quod urit inimicum. At quam quis amat, eius cruciatu gaudere, & amantem odisse, & attingere moleste ferentem, an non hoc graue ac miserandum est malum? Etenim

ἔγωγε, ὅτι οἱ ἡδέως ἐσθίοντες, καὶ σύ που οἶσθα, ὅτι οὐδὲν προσδέονται τούτων τῶν σοφισμάτων. ἀλλὰ μέντοι, ἔφη ὁ Σιμωνίδης, τῶν γε πολυτελῶν ὀσμῶν τούτων αἷς χρίεσθε, τοὺς πλησιάζοντας οἶμαι μᾶλλον ἀπολαύειν, ἢ αὐτοὺς ὑμᾶς. ὥσπερ γε καὶ τῶν ἀχαρίτων ὀσμῶν, οὐκ αὐτὸς ὁ βεβρωκὼς αἰσθάνεται, ἀλλὰ μᾶλλον οἱ πλησιάζοντες. οὕτω μέντοι, ἔφη ὁ Ἱέρων, καὶ τῶν σίτων. ὁ μὲν ἔχων παντοδαπὰ ἀεὶ, οὐδὲν μετὰ πόθου αὐτῶν λαμβάνει. ὁ δὲ σπανίσας τινὸς, οὗτός ἐστιν ὁ μετὰ χαρᾶς πιμπλάμενος, ὅταν αὐτῷ προφανῇ τι. κινδυνεύουσιν, ἔφη ὁ Σιμωνίδης, αἱ τῶν ἀφροδισίων μόνον ὑμῖν ἀπολαύσεις, τοῦ τυραννεῖν τὰς ἐπιθυμίας παρέχειν. ἐν γὰρ τούτῳ ἔξεστιν ὑμῖν ὅ, τι ἂν κάλλιστον ἴδητε, τούτῳ συνεῖναι. νῦν δὴ, ἔφη ὁ Ἱέρων, εἴρηκας, ἐν ᾧ σαφ' ἴσθι μειονεκτοῦμεν τῶν ἰδιωτῶν. πρῶτον μὲν γὰρ γάμος, ὁ μὲν ἐκ μειζόνων δή που καὶ πλούτῳ καὶ δυνάμει, κάλλιστος δοκεῖ εἶναι, καὶ παρέχειν τινὰ τῷ γήμαντι φιλοτιμίαν μεθ' ἡδονῆς. δεύτερον δ' ὁ ἐκ τῶν ὁμοίων. ὁ δ' ἐκ τῶν φαυλοτέρων πάνυ ἄτιμός τε καὶ ἄχρηστος νομίζεται. τῷ τοίνυν τυράννῳ ἂν μὴ μὲν ξένην γήμῃ, ἀνάγκη ἐκ μειόνων γαμεῖν. ὥστε τὸ ἀγαπητὸν οὐ πάνυ αὐτῷ παραγίγνεται. πολὺ δὲ καὶ αἱ θεραπεῖαι, αἱ ἀπὸ τῶν μέγιστον φρονουσῶν γυναικῶν εὐφραίνουσι μάλιστα· αἱ δ' ὑπὸ δούλων παροῦσαι μὲν, οὐδέν τι ἀγαπῶνται. ἐὰν δέ τι ἐλλείπωσι, δεινὰς ὀργὰς καὶ λύπας ἐμποιοῦσιν. ἐν δὲ τοῖς παιδικοῖς ἀφροδισίοις, ἔτι αὖ πολὺ μᾶλλον ἢ ἐν τοῖς τεκνοποιοῖς μειονεκτεῖ τῶν εὐφροσυνῶν ὁ τύραννος. ὅτι γὰρ τὰ μετ' ἔρωτος ἀφροδίσια πολὺ διαφερόντως εὐφραίνει, πάντες δή που ἐπιστάμεθα. ὁ δὲ ἔρως πολὺ αὖ ἐθέλει ἥκιστα τῷ τυράννῳ ἐγγίγνεσθαι. οὐ γὰρ τῶν ἑτοίμων ἥδεται ἔρως ἐφιέμενος, ἀλλὰ τῶν ἐλπιζομένων. ὥσπερ οὖν εἴ τις ἄπειρος ὢν δίψους, τοῦ πιεῖν ἀπολαύοι, οὕτω καὶ ὁ ἄπειρος ὢν ἔρωτος, ἄπειρός ἐστι τῶν ἡδίστων ἀφροδισίων. ὁ μὲν οὖν Ἱέρων οὕτως εἶπεν. ὁ δὲ Σιμωνίδης ἐπιγελάσας, πῶς λέγεις, ἔφη, ὦ Ἱέρων; τυράννῳ οὐ φῂς παιδικῶν ἔρωτας ἐμφύεσθαι; πῶς μὴν σὺ, ἔφη, ἐρᾷς Δαϊλόχου τοῦ καλλίστου ἐπικαλουμένου; ὅτι μὰ τὸν Δί' ἔφη, ὦ Σιμωνίδη, οὐ τοῦ ἑτοίμου παρ' αὐτοῦ δοκοῦντος εἶναι τυχεῖν, τούτου μάλιστα ἐπιθυμῶ, ἀλλὰ τοῦ ἥκιστα τυράννῳ προσήκοντος κατεργάσασθαι. ἐγὼ γὰρ δὴ ἐρῶ μὲν Δαϊλόχου, ὧνπερ ἴσως ἀναγκάζει ἡ φύσις ἀνθρώπου δεῖσθαι παρὰ τῶν καλῶν. τούτων δὲ ὧν ἐρῶ τυχεῖν, μετὰ μὲν φιλίας καὶ παρὰ βουλομένου, πάνυ ἰσχυρῶς ἐπιθυμῶ τυγχάνειν. βίᾳ δὲ λαμβάνειν παρ' αὐτοῦ, ἧττον ἄν μοι δοκῶ ἐπιθυμεῖν, ἢ ἐμαυτὸν κακόν τι ποιεῖν. παρὰ μὲν γὰρ πολεμίων ἀκόντων λαμβάνειν, πάντων ἥδιστον ἔγωγε νομίζω εἶναι. παρὰ δὲ παιδικῶν βουλομένων, ἥδισται οἶμαι αἱ χάριτές εἰσιν. εὐθὺς γὰρ παρὰ τοῦ ἀντιφιλοῦντος ἡδεῖαι μὲν αἱ ἀντιβλέψεις, ἡδεῖαι δὲ αἱ ἐρωτήσεις, ἡδεῖαι δὲ αἱ ἀποκρίσεις· ἥδισται δὲ καὶ ἐπαφροδιτόταται αἱ μάχαι τε καὶ ἔριδες. τὸ δὲ ἀκόντων παιδικῶν ἀπολαύειν, τῇ λεηλασίᾳ, ἔφη, ἔμοιγε δοκεῖ ἐοικέναι μᾶλλον, ἢ ἀφροδισίοις. καίτοι τῷ μὲν λῃστῇ παρέχει τινὰς ὅμως ἡδονὰς, τό, τε κέρδος, καὶ τὸ ἀνιᾶν τὸν ἐχθρόν. τὸ δὲ οὗ ἂν ἐρᾷ τις, τούτου ἥδεσθαι ἀνιωμένου, καὶ φιλοῦντα μισεῖσθαι, καὶ ἅπτεσθαι ἀχθομένου, πῶς οὐχὶ τοῦτο ἤδη δυσχερὲς τὸ πάθημα καὶ οἰκτρόν. καὶ γὰρ

γὰρ δὴ τῷ μὲν ἰδιώτῃ εὐθὺς τεκμήριόν ἐστιν, ὅταν ὁ ἐρώμενός τι ὑπουργῇ, ὅτι ὡς φιλῶν χαρίζεται, διὰ τὸ εἰδέναι ὅτι οὐδεμιᾶς ἀνάγκης οὔσης ὑπηρετεῖ. τῷ δὲ τυράννῳ οὔποτ' ἔστι πιστεῦσαι ὡς φιλεῖται. ἐπιστάμεθα γὰρ αὐτοὺς διὰ φόβον ὑπηρετοῦντας, ὡς ᾗ μάλιστ' ἂν δύνωνται ἐξεικάζουσιν αὑτοὺς ταῖς τῶν φιλούντων ὑπουργίαις. καὶ τοίνυν αἱ ἐπιβουλαὶ ἐξ οὐδένων πλέονες τοῖς τυράννοις εἰσίν, ἢ ἀπὸ τῶν μάλιστα φιλεῖν αὐτοὺς προσποιησαμένων. πρὸς ταῦτα εἶπεν ὁ Σιμωνίδης· ἀλλὰ ταῦτα μὲν πάνυ ἔμοιγε μικρὰ δοκεῖ εἶναι, ἃ σὺ λέγεις. πολλοὺς γάρ, ἔφη, ἔγωγε ὁρῶ τῶν δοκούντων ἀνδρῶν εἶναι, ἑκόντας μειονεκτοῦντας, καὶ σίτων, καὶ ποτῶν, καὶ ὄψων, καὶ ἀφροδισίων γε ἀπεχομένους. ἀλλ' ἐν ἐκείνοις γε πολὺ διαφέρετε τῶν ἰδιωτῶν, ὅτι μεγάλα μὲν ἐπινοεῖτε, ταχὺ δὲ κατεργάζεσθε. πλεῖστα δὲ τὰ περιττὰ ἔχετε. κέκτησθε δὲ διαφέροντας μὲν ἀρετῇ ἵππους. διαφέροντα δὲ κάλλει ὅπλα· ὑπερέχοντα δὲ κόσμον γυναιξί· μεγαλοπρεπεστάτας δ' οἰκίας, καὶ ταύτας κατεσκευασμένας τοῖς πλείστου ἀξίοις. ἔτι δὲ πλήθει καὶ ἐπιστήμαις θεράποντας ἀρίστους κέκτησθε. ἱκανώτατοι δέ ἐστε, κακῶσαι μὲν ἐχθρούς, ὀνῆσαι δὲ φίλους. πρὸς ταῦτα δὲ ὁ Ἱέρων εἶπεν· ἀλλὰ τὸ μὲν πλῆθος τῶν ἀνθρώπων, ὦ Σιμωνίδη, ἐξαπατᾶσθαι ὑπὸ τῆς τυραννίδος, οὐδέν τι θαυμάζω. μάλα γὰρ ὁ ὄχλος μοι δοκεῖ δοξάζειν ὁρῶν καὶ εὐδαίμονάς τινας εἶναι καὶ ἀθλίους. ἡ δὲ τυραννὶς τὰ μὲν δοκοῦντα πολλοῦ ἄξια κτήματα εἶναι, ἀνεπτυγμένα θεᾶσθαι φανερὰ πᾶσι παρέχεται, τὰ δὲ χαλεπὰ ἐν ταῖς ψυχαῖς τῶν τυράννων κέκτηται ἀποκεκρυμμένα, ἔνθαπερ καὶ τὸ εὐδαιμονεῖν καὶ τὸ κακοδαιμονεῖν τοῖς ἀνθρώποις ἀπόκειται. τὸ μὲν οὖν τὸ πλῆθος περὶ τούτου λεληθέναι, ὥσπερ εἶπον, οὐ θαυμάζω. τὸ δὲ καὶ ὑμᾶς ταῦτ' ἀγνοεῖν, οἳ διὰ τῆς γνώμης δοκεῖτε θεᾶσθαι κάλλιον, ἢ διὰ τῶν ὀφθαλμῶν τὰ πλεῖστα τῶν πραγμάτων, τοῦτό μοι δοκεῖ θαυμαστὸν εἶναι. ἐγὼ δὲ πεπειραμένος σαφῶς οἶδα, ὦ Σιμωνίδη, καὶ λέγω σοι ὅτι οἱ τύραννοι τῶν μεγίστων ἀγαθῶν ἐλάχιστα μετέχουσι, τῶν δὲ μεγίστων κακῶν, πλεῖστα κέκτηνται. αὐτίκα γὰρ εἰ ἡ εἰρήνη δοκεῖ μέγα ἀγαθὸν τοῖς ἀνθρώποις εἶναι, ταύτης ἐλάχιστον τοῖς τυράννοις μέτεστιν. εἰ δὲ πόλεμος μέγα κακόν, τούτου πλεῖστον μέρος οἱ τύραννοι μετέχουσιν. εὐθὺς γὰρ τοῖς μὲν ἰδιώταις, ἂν μὴ ἡ πόλις αὐτῶν κοινὸν πόλεμον πολεμῇ, ἔξεστιν ὅποι ἂν βούλωνται πορεύεσθαι, μηδὲν φοβουμένους, μή τις αὐτοὺς ἀποκτείνῃ. οἱ δὲ τύραννοι πάντες πανταχῇ ὡς διὰ πολεμίας πορεύονται. αὐτοί τε γοῦν ὡπλισμένοι οἴονται ἀνάγκην εἶναι διάγειν, καὶ ἄλλους ὁπλοφόρους ἀεὶ συμπεριάγεσθαι. ἔπειτα δὲ οἱ μὲν ἰδιῶται, ἐὰν καὶ στρατεύωνταί που εἰς πολεμίαν, ἀλλ' οὖν ἐπειδάν γε ἔλθωσιν οἴκαδ', ἐν ἀσφαλείᾳ σφίσιν ἡγοῦνται εἶναι. οἱ δὲ τύραννοι, ἐπειδὰν εἰς τὴν ἑαυτῶν πόλιν ἀφίκωνται, τότε ἐν πλείστοις πολεμίοις ἴσασιν ὄντες. ἐὰν δὲ δὴ καὶ ἄλλοι στρατεύωσιν εἰς τὴν πόλιν κρείττονες, ἐὰν ἔξω τοῦ τείχους ὄντες οἱ ἥττονες, ἐν κινδύνῳ δοκοῦσιν εἶναι. ἀλλ' ἐπειδάν γε ἔσω τοῦ ἐρύματος ἔλθωσιν, ἐν ἀσφαλείᾳ πάντες νομίζουσι καθεστάναι. ὁ δὲ τύραννος, οὐδ' ἐπειδὰν εἴσω τῆς οἰκίας παρέλθῃ, ἐν ἀκινδύνῳ ἐστίν· ἀλλ' ἐνταῦθα δὴ καὶ μάλιστα φυλακτέον οἴεται εἶναι. ἔπειτα τοῖς μὲν ἰδιώταις

enim homini priuato protinus argumentum est mutui amoris, ubi quæ diligitur præstat officij quippiam, eo quod ueluti diligens gratificatur, eo quod nouit illam, cum nulla sit necessitas, ultro inseruire. Tyranno uerò nihil est quod fidem faciat animi mutui. Nouimus enim eos qui nobis ob metum inseruiunt, quàm possunt maxime assimulare amantium obsequia. Atqui à nullis plus insidiarum regibus tenditur, quàm ab his qui se simulant amare maxime. Ad hæc ita respondit Simonides: Ista uero quæ hactenus narras mihi, uidentur admodum exigui momenti. Multos enim uideo graues, probatosq; uiros esse, qui in hisce rebus sponte sunt alijs inferiores: quippe tum à cibis, tum à potu, tum ab obsonijs, ac rebus adeo uenereis abstinentes. Ceterum in hoc longe præcellitis homines plebeios, quod ut res magnificas excogitatis, ita quod excogitatum est, celeriter perficitis. Ad hæc, facultates habetis multas & opimas, possidetis equos uirtute præstantes, tum arma insigniter pulchra, mundum eximium uxoribus, ædes magnificentissimas, easq; rebus preciosissimis instructas. Adde his, quod famulos tum multitudine, tum artibus præcellentissimos possidetis. Præterea maxima uobis suppetit facultas, uel hostibus nocendi, uel amicos iuuandi. His ita respondit Hieron: Multitudinē popularem in iudicio de regno hallucinari, nihil admiror. Nam uulgus uidetur maiorem in modum suspicere, si quos conspicatur fortunæ bonis splendidos, cum sint miseri. Regnum autem, possessiones, quæ uidentur plurimi esse precij, explicatas expositasq; spectaculo palàm omnibus exhibet. Contrà, quæ molesta sunt, in animis regum tenentur abdita: ubi situm est demū hominibus, ut aut felices sint, aut infelices. His igitur in rebus falli quidem plebeiam multitudinē, haud admiror: uos autem hæc ignorare, qui & mente uidemini perspicere melius, quàm res plerasq; cernitis oculis, id uero mihi uidetur admiratione dignum. At ipse, ô Simonides, & experimentis certò cognitum habeo, et tibi confirmo, tyrannos maximorū bonorum minime participes esse: contrà maximorū malorum illis summam adesse copiam. Protinus enim si pax hominibus uidetur ingens bonum, huius minima pars redit ad reges. Sin pro magno bellum habetur, huius multo maxima pars ad reges pertinet. Contrà priuatis, nisi ciuitas bellum commune susceperit, protinus liberum est quocūq; uoluerint proficisci, nihil formidantibus, ne quis ipsos interficiant. Tyranni autem omnes quoquo se conferāt, quasi per hostilis castra proficiscuntur: eoq; necesse putant, ut & ipsi semper sint armati, & alios armigeros iugiter secum circunferant. Præterea priuati etiam si quando proficiscantur in expeditionem, tamen simulatq; domum se receperint, existimant sibi res esse tutas. Contrà tyranni cum in suam peruenerint ciuitatem, tum intelligunt sese inter hostes esse plurimos. Quod si qui potentiores alij ducant exercitum aduersus ciuitatem, licet qui sunt extra mœnia, quoniam sunt inferiores, in periculo uideantur esse: tamen simulac intra munitiones se receperint, omnes se credunt esse in tuto. At tyrannus ne tum quidem liber est à periculo, cum in domus suæ penetralia peruenerit: quin potius tum maxime putat esse cauendum. Insuper priuatis,

interim per fœdera, interim per pacem datur a bello re
quies: tyrannis autem nunquam pax est cum his quos
imperio premunt, neq; quisquam tyrãnus unquam fœ
deribus posit fidere. Iam bella partim sunt quæ gerunt
ciuitates, partim quæ tyranni cum his quos oppresse/
runt. Ex his sane bellis quicquid est malorum, ea tyrã
nus cum ciuitatibus habet communia, eo quod necesse
sit & tyrannũ & ciuitatem tum in armis esse, tum ex/
cubias agere, tum periclitari: et si quid triste acciderit
uictis, utriq; super hoc discruciãtur. Atq; hactenus qui
dem par est illis bellorum conditio. Cæterum quæ iu/
cunda accidunt ciuitatibus, cum ciuitatibus bellum ge
rentibus, ea tyranni non habent. Nam ciuitates profe/
cto si quando deuicerint hostes, haud dictu facile sit
quantã capiant uoluptatem, dum inimicos cogunt ter
ga uertere, quantam dum fugientes insequuntur, quan
tam dum trucidant hostes: quàm uero exultant ac gesti
ant de re præclare gesta, q̃ illustrem referunt gloriam,
quàm gaudent, arbitrantes rempub. cõmodis auctam
esse. Tum illorum quisq; iactat se & consilij fuisse par
ticipem, & quamplurimos dedisse neci. Difficile uero
reperias, ubi non etiam affingant aliquid, narrantes se
plures occidisse, quàm reuera perierint: usqueadeo res
istis uidetur speciosa, quod ciuitas uicerit. At tyrannus
ubi suspicatur, aut etiam re compertum habet esse qui
ipsi reluctentur, postquam occiderit illos, nouit non to
tam ciuitatem in ipsius parteis accessuram, neq; nescit
quod iam paucioribus sit imperaturus: eoq; nõ potest
hilaris esse, neque se iactat de facinore, sed rem eleuat
quantum potest, excusatq; sese simul hoc agens, ut ne
per iniuriam fecisse uideatur. Adeo nec ipsi quod geri
tur, honestũ esse uidetur. Deinde occisis quos metue/
bat, nihilo magis ob id securus est, quin potius iam ma
gis sibi cauet quàm antea. Ac tyrannus quidem tale
bellum habet perpetuo, quod ipse in me perspicuum fa
cio. Nunc porro considera amicitias, quarum particu/
pes sunt tyranni. Primum enim quoniam magnum bo
num hominib. est amicitia, hoc consideremus. Etenim
quicunq; uidelicet diligitur ab aliquibus, amãtes liben
ter hunc intuentur præsentem, libenter benefaciunt: &
si quo discesserit, eius tenentur desiderio, ac reuersum
summa cum uoluptate excipiunt, commodis amici gra
tulantur: & si quid secus euenerit, opitulantur. Nec
hoc fallit ciuitates, amicitiam maximum esse bonum
ciuitatibus, remq; iucundißimam mortalibus. Itaq; mul
tæ respub. legem habent ac morem, ut solos adulteros
liceat impune occidere: idq; eo quod existiment illos
esse corruptores amicitiæ, quæ uiris intercedit cum u/
xoribus. Nam quoties uxor per calamitatem aliquam
coitum admittit, ob id nihilominus eas habent in pre/
cio uiri, si modo appareat amicitiam inuiolatam synce
ramq; manere. Ego sane tam ingẽs bonum iudico ama
ri, ut existimem reuera ei qui diligitur ultro bona afflu
ere tum à dijs, tum ab hominibus. Atq; huius possessio
nis tam præclaræ minus habent tyranni, quàm aliorũ
quisquam. Quod si scire cupis, ô Simonides, me uerã
loqui, hoc modo considera. Firmißimæ uidentur amici
tiæ, quas parentes habent erga liberos, ac liberi uicis/
sim erga parentes: item quas fratres erga fratres, uxo/
res erga maritos, denique sodales erga sodales. Quod
si iam

καὶ διὰ σπονδῶν καὶ δι᾽ εἰρήνης γίγνεται πολέμου ἀνά-
παυσις. τοῖς δὲ τυράννοις οὔτε εἰρήνη ποτὲ πρὸς τοὺς τυ
ραννευομένους γίγνεται, οὔτε σπονδαῖς ἄν ποτε πισεύ
σας ὁ τύραννος, θαρρήσειε. καὶ πόλεμοι μὲν δή εἰσιν,
οὕς τε αἱ πόλεις πολεμοῦσι, καὶ οὓς οἱ τύραννοι πρὸς τοὺς
βεβιασμένους. τούτων δὴ τῶν πολέμων ὅσα μὲν ἔχει
χαλεπὰ σὺν ταῖς πόλεσι, ταῦτα καὶ ὁ τύραννος ἔχει.
καὶ γὰρ ἐν ὅπλοις δεῖ εἶναι ἀμφοτέρους, καὶ φυλάττεσθαι
καὶ κινδυνεύειν, καὶ ἄν τι πάθωσι κακὸν ἡττηθέντες,
λυποῦνται ἐπὶ τούτοις ἑκάτεροι. μέχρι μὲν δὴ τούτου
ἴσοι οἱ πόλεμοι· ἃ δὲ ἔχουσιν ἡδέα οἱ συνόντες πόλεσι
πρὸς τὰς πόλεις, ταῦτα οὐκέτι ἔχουσιν οἱ τύραννοι. αἱ
μὲν γὰρ πόλεις δήπου ὅταν κρατήσωσι μάχῃ τῶν ἐν/
αντίων, οὐ ῥᾴδιον εἰπεῖν, ὅσην μὲν ἡδονὴν ἔχουσιν ἐν
τῷ τρέψασθαι τοὺς πολεμίους, ὅσην δ᾽ ἐν τῷ διώκειν, ὅ-
σην δ᾽ ἐν τῷ ἀποκτείνειν τοὺς πολεμίους. ὡς δὲ γαυροῦνται
ἐπὶ τῷ ἔργῳ· ὡς δὲ δόξαν λαμπρὰν ἀναλαμβάνουσιν·
ὡς δ᾽ εὐφραίνονται τὴν πόλιν νομίζοντες ηὐξηκέναι.
ἕκαστος δέ τις προσποιεῖται, καὶ τῆς βουλῆς μετεσχηκέ
ναι, καὶ πλείστους ἀπεκτονέναι. χαλεπὸν δὲ εὑρεῖν ὅπου
οὐχὶ καὶ ἐπιψεύδονται, πλείονας φάσκοντες ἀπεκτο-
νέναι, ἢ ὅσοι ἂν τῷ ὄντι ἀποθάνωσιν. οὕτω καλόν τι αὐ
τοῖς δοκεῖ εἶναι τὸ πολὺ νικᾶν. ὁ δὲ τύραννος ὅταν ὑπο-
πτεύσῃ, καὶ αἰσθανόμενος τῷ ὄντι ἀντιπραττομένους τι
νὰς ἀποκτείνῃ, οἶδεν ὅτι οὐκ αὔξει ὅλην τὴν πόλιν, ἐπί-
σταταί τε ὅτι μειόνων ἄρξει, φαιδρός τε οὐ δύναται εἶναι,
οὐδὲ μεγαλύνεται ἐπὶ τῷ ἔργῳ, ἀλλὰ καὶ μειοῖ καθ᾽ ὅσον
ἂν δύνηται τὸ γεγενημένον, καὶ ἀπολογεῖται ἅμα πράτ/
των, ὡς οὐκ ἀδικῶν πεποίηκεν. οὕτως οὐδ᾽ αὐτῷ δοκεῖ
καλὰ τὰ ποιούμενα εἶναι. καὶ ὅταν ἀποθάνωσιν οὓς ἐφο
βεῖτο, οὐδέν τι μᾶλλον τοῦτο θαρρεῖ, ἀλλὰ φυλάττεται
ἔτι μᾶλλον ἢ τὸ πρόσθεν. καὶ πόλεμον μὲν δὴ τοιοῦτον ἔ-
χων διατελεῖ ὁ τύραννος, ὃν ἐγὼ δηλῶ. φιλίας δ᾽ αὖ
καταθέασαι, ὡς κοινωνοῦσιν οἱ τύραννοι. πρῶτον μὲν,
εἰ μέγα ἀγαθὸν ἀνθρώποις ἡ φιλία, τοῦτο ἐπισκεψώμε-
θα. ὃς γὰρ ἂν φιλῆται δήπου ὑπό τινων, ἡδέως μὲν τοῦτον
οἱ φιλοῦντες παρόντα ὁρῶσιν, ἡδέως δ᾽ εὖ ποιοῦσι, πο/
θοῦσι δὲ ἄν που ἀπίῃ, ἥδιστα δὲ πάλιν προσιόντα δέχον/
ται, συνήδονται δ᾽ ἐπὶ τοῖς ἑαυτοῦ ἀγαθοῖς, συνεπικου
ροῦσι δὲ ἐάν τι σφαλλόμενον ὁρῶσιν. οὐ μὲν δὴ λέληθεν οὐ
δὲ τὰς πόλεις, ὅτι ἡ φιλία μέγιστον ἀγαθὸν καὶ ἥδιστον ἀν
θρώποις ἐστί. μόνους γοῦν τοὺς μοιχοὺς νομίζουσι πολλαὶ
τῶν πόλεων, νηποινεὶ ἀποκτείνειν, δηλονότι διὰ ταῦτα,
ὅτι λυμαντῆρας αὐτοὺς νομίζουσι τῆς τῶν γυναικῶν φιλί
ας πρὸς τοὺς ἄνδρας εἶναι. ἐπεὶ ὅταν γε ἀφροδισιασθῇ κατὰ
συμφοράν τινα ἡ γυνή, οὐδὲν ἧττον τούτου ἕνεκεν τιμῶ
σιν αὐτὰς οἱ ἄνδρες, ἐάν περ ἡ φιλία δοκῇ αὐτοῖς ἀκή
ρατος διαμένειν. τοσοῦτον δέ τι ἀγαθὸν κρίνω ἔγωγε τὸ
φιλεῖσθαι εἶναι, ὥστε νομίζω τῷ ὄντι, αὐτόματα ἀγαθὰ τῷ
φιλουμένῳ γίγνεσθαι καὶ παρὰ θεῶν καὶ παρὰ ἀνθρώπων.
καὶ τούτου τοίνυν τοῦ κτήματος τοιούτου ὄντος, μειονε
κτοῦσιν οἱ τύραννοι πάντων μάλιστα. εἰ δὲ βούλει, ὦ Σιμω
νίδη, εἰδέναι ὅτι ἀληθῆ λέγω, ὧδε ἐπίσκεψαι. βεβαιό-
ταται μὲν δήπου δοκοῦσι φιλίαι εἶναι γονεῦσι πρὸς παῖ
δας, καὶ παισὶ πρὸς γονέας, καὶ ἀδελφοῖς πρὸς ἀδελφοὺς,
καὶ γυναιξὶ πρὸς ἄνδρας, καὶ ἑταίροις πρὸς ἑταίρους. εἰ τοί
νυν

ἂν ἐθέλοις κατανοεῖν, εὑρήσεις μὲν τοὺς ἰδιώτας ὑπὸ τούτων μάλιστα φιλουμένους. τοὺς δὲ τυράννους πολλοὺς μὲν παῖδας ἑαυτῶν ἀπεκτονηκότας· πολλοὺς δ' ὑπὸ παίδων ἀπολωλότας· πολλοὺς δὲ ἀδελφοὺς ἐν τυραννίσιν ἀλληλοφόνους γεγενημένους. πολλοὺς δὲ καὶ ὑπὸ γυναικῶν τῶν ἑαυτῶν τυράννους διεφθαρμένους, καὶ ὑπὸ ἑταίρων γε τῶν μάλιστα δοκούντων φίλων εἶναι. οἵτινες οὖν ὑπὸ τῶν φύσει πεφυκότων μάλιστα φιλεῖσθαι καὶ νόμῳ συνηναγκασμένων οὕτω μισοῦνται, πῶς ὑπ' ἄλλου γέ τινος οἴεσθαι χρὴ αὐτοὺς φιλεῖσθαι, ἀλλὰ μὴν καὶ πίστεως ὅστις ἐλάχιστον μετέχει, πῶς οὐχὶ μεγάλου ἀγαθοῦ μειονεκτεῖ; ποία μὲν γὰρ ξυνουσία ἡδεῖα ἄνευ πίστεως τῆς πρὸς ἀλλήλους; ποία δ' ἂν ἀνδρὶ καὶ γυναικὶ τερπνὴ ἄνευ πίστεως ὁμιλία; ποῖος δὲ θεράπων ἡδὺς ἀπιστούμενος; καὶ τούτου τοίνυν τοῦ πιστῶς πρός τινας ἔχειν, ἐλάχιστον μέτεστι τυράννῳ, ὁπότε γε οὐδὲ σιτίοις καὶ ποτοῖς πιστεύων διάγει. ἀλλὰ καὶ τούτων πρὶν ἀπάρχεσθαι τοῖς θεοῖς, τοὺς διακόνους πρῶτον κελεύουσιν ἀπογεύεσθαι διὰ τὸ ἀπιστεῖν, μὴ καὶ ἐν τούτοις κακόν τι φάγωσιν ἢ πίωσιν. ἀλλὰ μὴν καὶ αἱ πατρίδες τοῖς μὲν ἄλλοις ἀνθρώποις, πλείστου ἄξιαι. πολῖται γὰρ δορυφοροῦσι μὲν ἀλλήλους ἄνευ μισθοῦ ἐπὶ τοὺς δούλους, δορυφοροῦσι δ' ἐπὶ τοὺς κακούργους, ὑπὲρ τοῦ μηδένα τῶν πολιτῶν βιαίῳ θανάτῳ ἀποθνήσκειν. οὕτω δὲ πόρρω προεληλύθασι φυλακῆς, ὥστε πεποίηνται πολλοὶ νόμον τῷ μιαιφόνῳ, μηδὲ τὸν συνόντα καθαρεύειν. ὥστε διὰ τὰς πατρίδας ἀσφαλῶς ἕκαστος βιοτεύει τῶν πολιτῶν. τοῖς δὲ τυράννοις καὶ τοῦτο ἔμπαλιν ἀνέστραπται. ἀντὶ γὰρ τοῦ τιμωρεῖν, αἱ πόλεις αὐτοῖς μεγάλως τιμῶσι τὸν ἀποκτείναντα τὸν τύραννον. καὶ ἀντί γε τοῦ εἴργειν ἐκ τῶν ἱερῶν, ὥσπερ τοὺς τῶν ἰδιωτῶν φονέας, ἀντὶ τούτου καὶ εἰκόνας ἐν τοῖς ἱεροῖς ἱστᾶσιν αἱ πόλεις τῶν τοιοῦτο ποιησάντων. εἰ δὲ σὺ οἴει ὡς πλείω ἔχων τῶν ἰδιωτῶν κτήματα ὁ τύραννος, διὰ τοῦτο καὶ πλεῖον ἀπ' αὐτῶν εὐφραίνεται, οὐδὲ τοῦτο οὕτως ἔχει, ὦ Σιμωνίδη. ἀλλ' ὥσπερ οἱ ἀθληταὶ οὐχ ὅταν ἰδιωτῶν γένωνται κρείττονες, τοῦτ' αὐτοὺς εὐφραίνει, ἀλλ' ὅταν τῶν ἀνταγωνιστῶν ἥττους, τοῦτ' αὐτοὺς ἀνιᾷ. οὕτω καὶ ὁ τύραννος οὐχ ὅταν τῶν ἰδιωτῶν πλείω φαίνηται ἔχων, τότ' εὐφραίνεται. ἀλλ' ὅταν ἑτέρων τυράννων ἐλάττω ἔχῃ, τούτῳ λυπεῖται. τούτους γὰρ ἀνταγωνιστὰς ἡγεῖται αὐτῷ τοῦ πλούτου εἶναι. οὐδέ γε θᾶττον γίγνεται τῷ τυράννῳ ἢ τῷ ἰδιώτῃ ὧν ἐπιθυμεῖ. ὁ μὲν γὰρ ἰδιώτης, οἰκίας ἢ ἀγροῦ ἢ οἰκέτου ἐπιθυμεῖ. ὁ δὲ τύραννος ἢ πόλεων, ἢ χώρας πολλῆς, ἢ λιμένων, ἢ ἀκροπόλεων ἰσχυρῶν, ἅ ἐστι πολὺ χαλεπώτερα καὶ ἐπικινδυνότερα κατεργάσασθαι τῶν ἰδιωτικῶν ἐπιθυμημάτων. ἀλλὰ μέντοι καὶ πένητας ὄψει, οὐχ οὕτως ὀλίγους τῶν ἰδιωτῶν, ὡς πολλοὺς τῶν τυράννων. οὐ γὰρ τῷ ἀριθμῷ, οὔτε τὰ πολλὰ κρίνεται, οὔτε τὰ ὀλίγα, ἀλλὰ πρὸς τὰς χρήσεις. ὥστε τὰ μὲν ὑπερβάλλοντα τὰ ἱκανά, πολλά ἐστι· τὰ δὲ τῶν ἱκανῶν ἐλλείποντα, ὀλίγα. τῷ οὖν τυράννῳ, τὰ πολλαπλάσια ἧττον ἱκανά ἐστιν εἰς τὰ ἀναγκαῖα δαπανήματα, ἢ τῷ ἰδιώτῃ. τοῖς μὲν γὰρ ἰδιώταις ἔξεστι τὰς δαπάνας συντέμνειν εἰς τὰ καθ' ἡμέραν ὅπῃ βούλονται· τοῖς δὲ τυράννοις οὐκ ἐνδέχεται. αἱ γὰρ μέγισται αὐτοῖς δαπάναι καὶ ἀναγκαιόταται εἰς τὰς τῆς ψυχῆς φυλακάς εἰσι. τὸ δὲ τούτων συντέ-

si uis animum aduertere, comperies priuatos ab his quos memoraui, potißimum amari, cum tyranni complures liberos suos occiderint, multi à liberis interfecti sint, cum multi fratres regnum ambientes, mutuo parricidio sese confecerint. Multos autem tyrannos comperies & ab uxoribus suis extinctos, & à sodalibus qui maxime uidebantur amici. Ergo qui ab his quos naturæ uis maximè propellit ad amandum, quos etiam huc compellit lex, usqueadeo habentur odio, qui fieri posse credis, ut ab alio quoquam cõsentaneum sit illos amari? Ad hæc, cui minimũ habetur fidei, qui fieri potest ut non in magno bono cæteris sit inferior? Nã quæ tandem consuetudo iucunda est, si desit fides mutua? Aut quis conuictus uiro cum uxore poßit esse iucundus, si neuter alteri fidat? Imo quis famulus hero iucundus, si illi diffidat? At huius boni, quo quis habet quib. fidat, minima portio redit ad tyrannos: quandoquidem ita uitam agunt, ut ne cibis quidem optimis fidant, sed hos priusquam hinc dijs libent, iubent prægustare ministros, haud dubium quin ob diffidentiam, ne quid uel in his etiam edant bibantúe mali. Adde his, quòd cæteris hominibus patria sua cuiq; charißima est, eò quod ciues absque stipendio sese mutuo satellitio protegunt aduersus seruos: protegunt etiam et aduersus facinorosos, ne quis ciuium per uim occidatur. In tantum autẽ occuparunt ne sit opus satellitio, ut multis legibus sancitum sit, nec eum esse purum, qui cum homicida commercium habeat. Vnde fit ut patriæ debeatur, quod unusquisq; ciuium tuto uiuat. Contrà tyrannis hoc quoque uertitur in diuersum. Ciuitates enim non solum non afficiunt supplicio, sed magnifica præmia decreuerunt tyrannicidis. Cumq; eos e templis eijciant qui priuatos homines occiderunt, his qui tale quid patrarũt, respublica statuas ponit in templis. Iam si putes, quia tyranni plus habent opum, ob hoc illis magis delectari, ne id quidem uerum est, ô Simonides. Imo quemadmodum athletæ cum plebeios superant, non ideo sibi placent, uerùm cum à plebeis superantur, hoc illos angit: itidem tyrannus non inde gaudet, quod plura poßidere uidetur priuatis, sed cum minus habet alijs tyrannis, tum discruciatur: eo quod hos arbitratur sibi in diuitijs æmulos esse & concertatores. Ac ne contingunt quidem citius tyranno quàm priuato quæ concupiscit, propterea quod priuatus domum, aut agrum, aut famulum desiderat: tyrannus autem uel ciuitates, uel amplam regionem, uel portus, uel munitas arces concupiscit, quæ difficilius maioreq; cum periculo parantur, quàm ea quæ concupiscunt priuati. Quin inter plebeios, uix paucos inuenias tam egenos, quàm plerique sunt tyranni: neque enim multum & satis numero discernuntur, sed usu. Ita fit, ut multa sint quæ superant sufficientiam, pauca uero quæ desint usui. Tyranno itaque quæ multis partibus superant aliorum facultates, ea minus sufficiunt ad necessarias impensas, quàm homini priuato: propterea quod priuatis liberum sit in dies impendia quomodocunque uelint contrahere, quod tyranno concessum non est. Nam maxima pars impendiorum, maxime necessariorum, illis in corporis custodes insumuntur. At quod illis datur,

decurtare periculosum uidetur. Iam qui quib. opus est iuste sibi parare possunt, quis eos commiseretur ut egenos? Sed qui per egestatem huc compelluntur, ut malis ac turpibus artibus sibi comparent uictum, an nō hos quis miseros & egenos optimo iure deputet? Tyranni uero multa prędari cogūtur, & à templis sacrilegio, & ab hominib. rapina, eo quod nunquam illis sufficit pecunia ad sumptus necessarios. Perinde enim ac si bellum semper esset, coguntur aut exercitum alere, aut perire. Sed & aliam tyrannorum calamitatem tibi dicam Simonides. Nouerunt non minus quàm priuati, probos, sapientes, & iustos uiros: hos cum diligere debeant, metuunt: fortes quidem, ne quid audeant libertatis amore: sapientes, ne quid machinentur: iustos uero, ne multitudo cupiat ab illis gubernari: quos postea quam ob metum clàm sustulerunt, quinā sunt illis reliqui, quibus utantur, nisi uel iniusti, uel intemperantes, uel seruiles? Iniusti quidem habentur, quoniā metuunt quemadmodum & tyranni, ne quando ciuitates libertati redditę ipsos opprimant. Intemperātes, ob pręsentem ac temporariam potentiam. Porro qui seruili sunt ingenio, ob id, quod ipsi ne cupiunt quidem esse liberi. Quapropter mihi quidem uidetur et hęc esse magna calamitas, cùm alios ducamus bonos uiros, cogi ut alijs utamur. Accedit his, quod tyrannum quoq; necesse est esse ciuitatis studiosum: siquidem absq; republica nec incolumis esse poßit, nec felix. Contrà tyrannis ipsa compellit, ut propriam criminentur patriam. Neq; enim fortes, neq; bellaces ciues sibi parare gaudent potius hospites ac peregrinos ciuibus potentiores reddere, atq; horum adhibent satellitium. Quinetiam cum annonę benignior prouentus affert rerum ubertatem, ne tum quidem tyrannus quicquam remittit: arbitrans quod illos hoc abiectiores sit habiturus, quāto fuerint pauperiores. Sed uisne Simonides & illas uoluptates tibi commemorē, quibus usus sum cum essem priuatus, quibusq; me nunc spoliatū sentio posteaquam regnū adeptus sum? Ego quidē tum cum ęqualibus agebam consuetudinem, gaudens illorum familiaritate, sicut & illi uicißim mea. Mecum etiam uiuebā, si quando quietem & otium desiderabam. Versabar autem in conuiuijs, frequenter eo, ut omnium obliuionem caperem, si quid molestiarum afferret humana uita, frequenter eousq;, ut & cantilenis, & hilaritatib. & choreis animum perungerem, frequenter ad communem quoq; satietatē tum meam, tum eorum qui aderant. Nunc uero nudatus sum his, quibus mea iucunda est consuetudo, eo quod sodales habeo, pro amicis assentatores. Quin & mihi facultas adempta est cum illis iucunde uiuendi, propterea quod nullam illorum erga me perspiciam beneuolentiam. Vinolentiam uero & somnum non aliter quàm insidias habeo suspecta. Iam uero metuere turbam, metuere solitudinem, metuere satellitij absentiam, metuere ipsos etiam custodes, ac nec inermes illos uelle habere apud sese, nec armatos uidere libenter, an non res est misera? Tum autem & peregrinis potius quàm ciuibus fidere, ac barbaris potius quàm Gręcis? Postremo huc compelli, ut pro liberis habere cupias seruos, & ex seruis cogaris facere liberos? An non hęc tibi uidentur ar/

συντέμνειν, ὄλεθρος δοκεῖ εἶναι. ἔπειτα δὲ ὅσοι μὲν δύνανται ἔχειν ἀπὸ τοῦ δικαίου ὅσων δέονται, τί τούτους οἰκτείροι τις ὡς πένητας; ὅσοι δ' ἀναγκάζονται δι' ἔνδειαν κακόν τι καὶ αἰσχρὸν μηχανώμενοι ζῆν, πῶς οὐ τούτους ἀθλίους ἄν τις καὶ πένητας δικαίως νομίζοι; οἱ τύραννοι τοίνυν ἀναγκάζονται πλεῖστα συλᾶν ἀδίκως, καὶ ἱερὰ καὶ ἀνθρώπους, διὰ τὸ εἰς τὰς ἀναγκαίας δαπάνας ἀεὶ προσδεῖσθαι χρημάτων. ὥσπερ γὰρ πολέμου ὄντος ἀεὶ ἀναγκάζονται στράτευμα τρέφειν ἢ ἀπολωλέναι. χαλεπὸν δ' ὁρῶ σοι καὶ ἄλλο πάθημα, ὦ Σιμωνίδη, τῶν τυράννων. γιγνώσκουσι μὲν γὰρ οὐδὲν ἧττον τῶν ἰδιωτῶν, τοὺς κοσμίους γε, καὶ σοφούς, καὶ δικαίους. τούτους δ' ἀντὶ τοῦ ἀγᾶσθαι φοβοῦνται. τοὺς μὲν ἀνδρείους μή τι τολμήσωσι τῆς ἐλευθερίας ἕνεκεν· τοὺς δὲ σοφούς, μή τι μηχανήσωνται· τοὺς δὲ δικαίους, μὴ ἐπιθυμήσῃ τὸ πλῆθος ὑπ' αὐτῶν προστατεῖσθαι. ὅταν δὲ τοὺς τοιούτους διὰ τὸν φόβον ὑπεξαιρῶνται, τίνες ἄλλοι αὐτοῖς καταλείπονται χρῆσθαι, ἀλλ' ἢ οἱ ἄδικοί τε καὶ ἀκρατεῖς καὶ ἀνδραποδώδεις; οἱ μὲν ἄδικοι πιστευόμενοι, διότι φοβοῦνται ὥσπερ οἱ τύραννοι τὰς πόλεις, μή ποτε ἐλεύθεραι γενόμεναι, ἐγκρατεῖς αὐτῶν γένωνται. οἱ δ' ἀκρατεῖς, τῆς εἰς τὸ παρὸν ἐξουσίας ἕνεκα. οἱ δ' ἀνδραποδώδεις, διότι οὐδ' αὐτοὶ ἀξιοῦσιν ἐλεύθεροι εἶναι. χαλεπὸν οὖν καὶ τοῦτο τὸ πάθημα ἔμοιγε δοκεῖ εἶναι, καὶ τὸ ἄλλους μὲν ἡγεῖσθαι ἀγαθοὺς ἄνδρας, ἄλλοις δὲ χρῆσθαι ἀναγκάζεσθαι. ἔτι δὲ φιλόπολιν μὲν ἀνάγκη καὶ τὸν τύραννον εἶναι. ἄνευ γὰρ τῆς πόλεως οὔτ' ἂν σώζεσθαι δύναιτο, οὔτ' ἂν εὐδαιμονεῖν. ἡ δὲ τυραννὶς ἀναγκάζει καὶ ταῖς ἑαυτῶν πατρίσιν ἐγκαλεῖν. οὔτε γὰρ ἀλκίμους, οὔτ' εὐόπλους χαίρουσι τοὺς πολίτας παρασκευάζοντες, ἀλλὰ τοὺς ξένους δυνατωτέρους τῶν πολιτῶν ποιοῦντες, ἥδονται μᾶλλον, καὶ τούτοις χρῶνται δορυφόροις. ἀλλὰ μὴν οὐδ' ἂν εὐετηριῶν γενομένων, ἀφθονία τῶν ἀγαθῶν γίγνηται, οὐδὲ τότε συγχαίρει ὁ τύραννος. ἐνδεεστέροις γὰρ οὖσι, ταπεινοτέροις αὐτοῖς οἴονται χρῆσθαι. Βούλομαι δέ σοι, ἔφη, ὦ Σιμωνίδη, κἀκείνας τὰς εὐφροσύνας δηλῶσαι, ὅσαις ἐγὼ χρώμενος ὅτ' ἦν ἰδιώτης, νῦν ἐπειδὴ τύραννος ἐγενόμην, αἰσθάνομαι στερόμενος αὐτῶν. ἐγὼ γὰρ ξυνῆν μὲν ἡλικιώταις ἡδόμενος, ἡδομένοις ἐμοί, συνῆν δὲ ἐμαυτῷ, ὁπότε ἡσυχίας ἐπιθυμήσαιμι. διῆγον δ' ἐν συμποσίοις, πολλάκις μὲν μέχρι τοῦ ἐπιλαθέσθαι πάντων, εἴ τι χαλεπὸν ἐν ἀνθρωπίνῳ βίῳ ἦν. πολλάκις δὲ μέχρι τοῦ ᾠδαῖς τε καὶ θαλίαις καὶ χοροῖς τὴν ψυχὴν συγκαταμιγνύναι, πολλάκις δὲ μέχρι κοίτης ἐπιθυμίας ἐμῆς τε καὶ τῶν παρόντων. νῦν δὲ ἀπεστέρημαι μὲν τῶν ἡδομένων ἐμοί, διὰ τὸ δούλους ἀντὶ φίλων ἔχειν τοὺς ἑταίρους. ἀπεστέρημαι δ' αὐτὸς τοῦ ἡδέως ἐκείνοις ὁμιλεῖν, διὰ τὸ μηδεμίαν ἐνορᾶν εὔνοιαν ἐμοὶ παρ' αὐτῶν. μέθην δὲ καὶ ὕπνον, ὁμοίως ἐνέδρᾳ φυλάττομαι. τὸ δὲ φοβεῖσθαι μὲν ὄχλον, φοβεῖσθαι δ' ἐρημίαν, φοβεῖσθαι δὲ ἀφυλαξίαν, φοβεῖσθαι δὲ καὶ αὐτοὺς τοὺς φυλάσσοντας, καὶ μήτ' ἀνόπλους ἐθέλειν ἔχειν περὶ αὑτόν, μήθ' ὡπλισμένους ἡδέως θεᾶσθαι, πῶς οὐκ ἀργαλέον ἐστὶ πρᾶγμα; ἔτι δὲ ξένοις μᾶλλον μὲν ἢ πολίταις πιστεύειν, βαρβάροις δὲ μᾶλλον ἢ Ἕλλησιν; ἐπιθυμεῖν δὲ τοὺς μὲν ἐλευθέρους, δούλους ἔχειν· τοὺς δὲ δούλους ἀναγκάζεσθαι ποιεῖν ἐλευθέρους. οὐ πάντα σοι ταῦτα δοκεῖ

καὶ ψυχῆς ὑπὸ φόβων καταπεπληγμένης τεκμήρια ἂν εἶναι· ὁ γέ τοι φόβος οὐ μόνον αὐτὸς ἐνὼν ταῖς ψυχαῖς λυπηρός ἐστιν, ἀλλὰ καὶ πάντων τῶν ἡδέων συμπαρακολουθῶν λυμεὼν γίγνεται. εἰ δὲ καὶ σὺ πολεμικῶν ἔμπειρος εἶ, ὦ σιμωνίδη, καὶ ἤδη ποτὲ πολεμίᾳ φάλαγγι πλησίον ἀντετάξω, ἀναμνήσθητι, ποῖον μέν τινα σῖτον ᾑροῦ ἐν ἐκείνῳ τῷ χρόνῳ, ποῖον δέ τινα ὕπνον ἐκοιμῶ. οἷα μέντοι σοὶ τότ' ἦν τὰ λυπηρὰ, τοιαῦτά εἰσι τὰ τῶν τυράννων καὶ ἔτι δεινότερα. οὐ γὰρ ἐξ ἐναντίας μόνον, ἀλλὰ καὶ πανταχόθεν πολεμίους ὁρᾶν νομίζουσιν οἱ τύραννοι. ταῦτα δ' ἀκούσας ὁ σιμωνίδης, ὑπολαβὼν εἶπεν· ὑπέρευ μοι δοκεῖς ἔνια λέγειν. ὁ γὰρ πόλεμος φοβερὸν μέν. ἀλλ' ὅμως, ὦ ἱέρων, ἡμεῖς γε ὅταν ὦμεν ἐν στρατιᾷ, φύλακας προκαθιστάμενοι, θαρραλέως δείπνου καὶ ὕπνου λαγχάνομεν. καὶ ὁ ἱέρων ἔφη· ναὶ μὰ Δία, ὦ σιμωνίδη. αὐτῶν μὲν γὰρ προφυλάττουσιν οἱ νόμοι. ὥστε περὶ ἑαυτῶν φοβοῦνται καὶ ὑπὲρ ὑμῶν. οἱ δὲ τύραννοι μισθοῦ φύλακας ἔχουσιν ὥσπερ θεριστάς. καὶ δεῖ μὲν δήπου τοὺς φύλακας, μηδὲν οὕτω ποιεῖν δύνασθαι ὡς πιστοὺς εἶναι. πιστὸν δὲ ἕνα πολὺ χαλεπώτερον εὑρεῖν, ἢ πάνυ πολλοὺς ἐργάτας ὁποίου βούλει ἔργου. ἄλλως τε καὶ ὁπόταν χρημάτων μὲν ἕνεκα παρῶσιν οἱ φυλάττοντες, ἐξῇ δ' αὐτοῖς ἐν ὀλίγῳ χρόνῳ πολὺ πλείω λαβεῖν, ἀποκτείνασι τὸν τύραννον, ἢ ὅσα πολὺν χρόνον φυλάττοντες παρὰ τοῦ τυράννου λαμβάνουσιν. ὃ δ' ἐζήλωσας ἡμᾶς, ὡς τοὺς μὲν φίλους μάλιστα εὖ ποιεῖν δυνάμεθα, τοὺς δ' ἐχθροὺς πάντων μάλιστα χειρούμεθα, οὐδὲ ταῦθ' οὕτως ἔχει. φίλους μὲν γὰρ πῶς ἂν νομίσαις ποτὲ εὖ ποιεῖν, ὅταν εὖ εἰδῇς, ὅτι ὁ τὰ πλεῖστα λαμβάνων παρὰ σοῦ, ἥδιστ' ἂν ὡς τάχιστα ἐξ ὀφθαλμῶν σου γένοιτο; ὅ, τι γὰρ ἄν τις λάβῃ παρὰ τοῦ τυράννου, οὐδεὶς οὐδὲν ἑαυτοῦ νομίζει, πρὶν ἂν ἔξω τῆς τούτου ἐπικρατείας γένηται. ἐχθροὺς δ' αὖ πῶς ἂν φαίης μάλιστα τοῖς τυράννοις ἐξεῖναι χειροῦσθαι, ὅταν εὖ εἰδῶσιν ὅτι ἐχθροὶ αὐτῶν εἰσι πάντες οἱ τυραννούμενοι; τούτους δὲ μήτε κατακτείνειν ἅπαντας, μήτε δεσμεύειν οἷόν τε. ἢ τίνων γὰρ ἔτι ἄρξει; ἀλλ' εἰδότα ὅτι ἐχθροί εἰσι, τούτους ἅμα μὲν φυλάττεσθαί τε δεῖ, καὶ χρῆσθαι δ' αὐτοῖς ἀναγκάζεσθαι. εὖ δ' ἴσθι καὶ τοῦτο, ὦ σιμωνίδη, ὅτι καὶ οὓς τῶν πολιτῶν δεδίασι, χαλεπῶς μὲν αὐτοὺς ζῶντας ὁρῶσι, χαλεπῶς δ' ἀποκτείνουσιν. ὥσπερ γὰρ καὶ ἵππος, εἰ ἀγαθὸς μὲν εἴη, φοβερὸς δὲ μὴ ἀνήκεστόν τι ποιήσῃ, χαλεπῶς μὲν ἄν τις αὐτὸν ἀποκτείναι διὰ τὴν ἀρετήν, χαλεπῶς δὲ ζῶντι χρῷτο εὐλαβούμενος μή τι ἀνήκεστον ἐν τοῖς κινδύνοις ἐργάσηται. καὶ τἄλλα γε κτήματα ὅσα χαλεπὰ μὲν, χρήσιμα δ' ἐστὶν ὁμοίως ἅπαντα, λυπεῖ μὲν τοὺς κεκτημένους, λυπεῖ δὲ ἀπαλλαττομένους. ἐπεὶ δὲ ταῦτα αὐτοῦ ἤκουσεν ὁ σιμωνίδης, εἶπεν· ἔοικεν, ἔφη, ὦ ἱέρων, μέγα τι εἶναι ἡ τιμὴ, ἧς ὀρεγόμενοι οἱ ἄνθρωποι, πάντα μὲν πόνον ὑποδύονται, πάντα δὲ κίνδυνον ὑπομένουσι. καὶ ὑμεῖς ὡς ἔοικε, τοσαῦτα πράγματα ἐχούσης, ὁπόσα λέγεις τῆς τυραννίδος, ὅμως προπετῶς φέρεσθε εἰς αὐτήν, ὅπως τιμᾶσθε. καὶ ὑπηρετοῦσι μὲν ὑμῖν πάντες πάντα τὰ προσταττόμενα ἀπροφασίστως. περιβλέπουσι δὲ πάντες. ὑπανίστανται δ' ἀπὸ τῶν θάκων, ὁδῶν τε παραχωροῦσι, γεραίρουσι δὲ καὶ λόγοις καὶ ἔργοις πάντες οἱ παρόντες ἀεὶ ὑμᾶς.

τοιαῦτα

tur argumenta animi terroribus attoniti perculsiq;? Porrò non solum ipse metus cum insedit animo, molesta res est: sed dum nusquam non adest ac circumfertur, fit omnium iucundarũ rerum corruptela. Quoniam autem Simonides tu quoq; non inexpertus es rei bellicæ, nam aliquando aduersus hostilem phalangem in acie stetisti, recordare qualem cibum optaueris id temporis, aut quem somnum dormieris. Quales igitur tum tibi erant molestiæ, tales sunt tyrannorum, & his etiam grauiores. Nõ enim ex aduerso tantum, sed undiquaq; se putant hostes aspicere tyranni. Hæc cum audisset Simonides, excipiẽs sermonem ita loquutus est: Nonnulla mihi uideris optime dicere. Nam bellum sane formidabilis res est. Attamen nos, Hieron, cum essemus in militia, prius delectis qui excubias agerent, secure tum cœnam, tum somnum capiebamus. Ad hæc Hieron: Sic habet per Iouem, ô Simonides. Nam illorum protectrices sunt leges, itaq; & pro sese metuunt & pro uobis. Tyranni uero mercedẽ conductos habent satellites, non aliter quã messores. At opus quidem esset, ut custodes nihil æque præstare ualeant, quàm ut sint fideles. Cæterum multo difficilius est unum fidelem inuenire corporis custodem, quàm uehementer multos operarios cuiuscunq; uelis opificij. Quãquam & alioqui cum pecuniæ causa adsint satellites, si liceat illis exiguo temporis spacio multo maius accipere præmiũ occiso tyranno, q̃ accipiunt ab ipso ob diutinã custodiam, decipiunt. Alius uero nos suspicit hoc nomine, quasi summa nobis facultas sit bene merendi de amicis, cõtrà omniũ maxime ualeamus inimicos lædere. At qui ne id quidẽ uerum est. Qui namq; possis inducere animũ, ut amicis benefacias, cũ certo scias, quod ubi quis plurimũ beneficiorum abs te receperit, libentissime sese ut primum licuerit, subducet ab oculis tuis? Siquidem ex his quæ data sunt à tyranno, nemo quicquam suum esse putat, priusquam illius potestatẽ exierit. Quo pacto autem dicere possis tyranno summam esse potestatẽ inimicis nocendi, cũ certo sciat omnes sibi hostes esse, quoscunq; tyrannide subditos habet, quos omnes nec interficere, nec in uincula conijcere potest, alioqui quib. deinde imperaturus sit? Verũ cũ sciat illos esse hostes, simul & ab illis sibi caueat oportet, et eosdem familiares habere cogitur. Quin et illud probe nosti Simonides, quod tyranni ciues quos metuũt ægre conspiciunt uiuentes, rursus ægre interficiunt. Quemadmodum si quis equum habeat egregium quidem, sed tamen formidabilem, et undẽ periculũ sit ne quod malum det immedicabile, ut grauate occidit illũ ob uirtutem, ita ægre potest illo uti, obseruãs ac solicitus ne quod in periculis afferat exitiale malum. Itidem & reliquæ possessiones quæ sic periculosæ sunt ut sint utiles, molestiã afferũt possidẽti, rursum molestiã afferũt abycienti. Hæc ubi ex eo audisset Simonides, Videtur, inqt, Hierõ præclara quædã esse res honor, cuius amore mortales et laboris quiduis subeũt, et quoduis adeũt periculũ. At cum ista tam multa coniuncta sint tyrãnidi mala quæ tu commemoras, tamẽ uos, ut apparet, propẽsis animis tenditis ad illam obtinendã, quo sitis in honore: atq; inseruiũt uobis omnes citra excusationẽ ad imperata quælibet. Quin et suspiciũt uos cũcti, assurgũt oẽs è sedibus, cedunt uobis de uia, denicq; uenerantur uos qui uobis semper adsunt, omnes, tum dictis, tum factis.

 Hæc

Solus homo inter animalia honorem cupit.

Hæc sane faciunt tyrannis qui sunt sub illius ditione, aut
si quem alium forte semper honore prosequuntur. Nam
mihi quidem Hieron, hoc distare uidetur homo à bru-
tis, quod honoris est appetens: cum cibo, potu, somno
& Venere, cunctis animantia similiter gaudere uidean-
tur. Honorum uero cupiditas nec brutis animantibus in
sita est, nec omnibus inest hominibus. At quibuscunq;
insita est honoris & laudis auiditas, hi demum sunt
qui plurimum absunt à pecudibus, pro uiris, ac iam
non pro hominibus solum habendi. Quapropter mihi
quidem non abs re ista omnia sustinere uidemini, quæ
fertis in tyrannide, propterea quod supra cæteros homi
nes honoramini. Nec enim ulla uoluptas humana pro
pius ad dei naturam uidetur accedere, quàm honore
gaudere. Ad hæc Hieron: Atqui honores, inquit, ô
Simonides tyrannorum tales mihi uidentur esse, quales
ego tibi uenereas illorum uoluptates esse iam exposui.
Neque enim obsequia ab his qui non amant mutuo, be-
neficia nobis esse uidebantur, neq; iucunda Venus quæ
ui extorqueretur apparebat: consimiliter igitur obse-
quia quæ deferuntur ab his qui nos metuunt, honores
non sunt. Quonam enim pacto dixerimus, uel eos qui
coacti assurgunt de sedibus, hoc animo assurgere, ut ho
norent eos a quibus afficiuntur iniuris? uel eos qui dece
dunt de uia potentioribus, eo decedere, ut honorent læ-
dentes? Ac plerîq; sane munera quoq; dant his quos o-
derunt, idq; tum cum metuunt maxime, ne quid mali ab
illis patiantur. At ista magis arbitror seruilia facta esse
iudicanda, cum honores, mea quidem sententia, ex his
rebus oriantur, quæ cum odio metuq; seruili pugnant.
Etenim cum homines sic affecti sunt ut existiment ui-
rum idoneum qui possit benefacere, rati se illius frui bo
nis, postea hunc in ore habent uehentes laudibus, eum-
que spectant non aliter quàm si suum quisq; bonum in-
tueretur, ac sponte decedunt de uia, sponte assurgunt,
amantes, non metuentes, coronantq; ob uirtutem ac be-
nefacta erga rempub. muneribusq; honorare cupiunt,
hi demum, hi mihi uidentur eum & honorare uere, qui-
cunq; talia præstant officia, & qui his se dignum reddi
dit, reuera uidetur honorari. Equidem eum qui sic hono
ratur, felicem arbitror: sciens illum non insidijs appeti,
sed alijs potius esse curæ, ne quid illi secus accidat: eoq;
sine metu, sine inuidia, sine periculis, ac plane feliciter
uitam agere. Contrà tyrannus, uelut ab omnibus ob in-
iurias condemnatus, ac morte dignus habeatur, ita mi-
hi crede Simonides, noctesq; diesq; uitã degit. Hæc om-
nia cum Simonides audisset illum commemorantem, Et
quî fit, inquit, Hieron ut si adeo misera res est tyranni-
dem gerere, idq; te non fugit, non abijcias tam ingens
malum? Neq; tu, neq; alius quisquã unquam lubens ty-
rannidẽ deposuit, ubi semel nactus est. Quoniã, inquit, ô
Simonides, isto nomine miserrima est tyrannis, quod ab
ea nõ licet discedere. Quomodo enim quisquã tyrannus
unquam suffecerit ad pecuniã rependendã ijs quos spo
liauit? aut quomodo uincula repenset his quos detrusit
in uincula? aut quomodo restituet tot animas extinctas
his quos occidit? Sed si cuiquam alteri ô Simonides, ex-
pedit laqueo finire uitam, scito, inquit, me compertũ ha
bere, ut id faciat nulli magis expedire q̃ tyrãno, quãdo-
quidẽ huic uni mala nec retinere nec deponere expedit.
Ad

τοιαῦτα γὰρ δὴ ποιοῦσι τοῖς τυράννοις οἱ ἀρχόμενοι,
καὶ ἄλλον ὅντινα ἀεὶ τιμῶντες τυγχάνουσι. καὶ γάρ
μοι δοκεῖ, ὦ ἱέρων, τούτῳ διαφέρειν ἀνὴρ τῶν ἄλλων
ζώων, τῷ τιμῆς ὀρέγεσθαι. ἐπεὶ σιτίοις τε καὶ ποτοῖς, καὶ
ὕπνοις, καὶ ἀφροδισίοις, πάντα ὁμοίως ἥδεσθαι ἔοικε
τὰ ζῶα. ἡ δὲ φιλοτιμία οὔτ' ἐν τοῖς ἀλόγοις ζώοις ἐμφύε
ται, οὔτ' ἐν ἅπασιν ἀνθρώποις. οἷς δ' ἂν ἐμφυῇ τιμῆς τε
καὶ ἐπαίνου ἔρως, οὗτοι εἰσὶν ἤδη οἱ πλεῖστον μὲν τῶν βο
σκημάτων διαφέροντες, ἄνδρες δὲ καὶ οὐκέτι ἄνθρω
ποι μόνον νομιζόμενοι. ὥστε ἐμοὶ μὲν εἰκότως δοκεῖτε
ταῦτα πάντα ὑπομένειν, ἃ φέρετε ἐν τυραννίδι, ἐπεί
περ τιμᾶσθε διαφερόντως τῶν ἄλλων ἀνθρώπων. καὶ
γὰρ οὐδεμία ἀνθρωπίνη ἡδονὴ τοῦ θείου ἐγγυτέρω δοκεῖ
εἶναι, ἢ ἡ περὶ τὰς τιμὰς εὐφροσύνη. πρὸς ταῦτα δὴ εἶπεν
ὁ ἱέρων· ἀλλ', ὦ σιμωνίδη, καὶ αἱ τιμαὶ τῶν τυράννων ὅ
μοιαι ἐμοὶ δοκοῦσιν εἶναι, οἵαπερ ἐγώ σοι τὰ ἀφροδίσια ὄν
τα αὐτῶν ἀπέδειξα. οὔτε γὰρ αἱ μὴ ἐξ ἀντιφιλούντων ὑπουρ
γίαι, χάριτες ἡμῖν ἐδόκουν εἶναι, οὔτε τὰ ἀφροδίσια τὰ
βίαια ἡδέα ἐφαίνετο. ὡσαύτως τοίνυν οὐδ' αἱ ὑπουρ-
γίαι ὑπὸ τῶν φοβουμένων τιμαί εἰσι. πῶς γὰρ ἂν φαῖμεν,
ἢ τοὺς βίᾳ ἐξανισταμένους θάκων, διὰ τὸ τιμᾶν τοὺς ἀδι
κοῦντας ἐξανίστασθαι; ἢ τοὺς ὁδὸν παραχωροῦντας τοῖς
κρείττοσι, διὰ τὸ τιμᾶν τοὺς ἀδικοῦντας παραχωρεῖν; καὶ
δῶρά γε διδόασιν οἱ πολλοὶ τούτοις οὓς μισοῦσι, καὶ ταῦ
τα ὅταν μάλιστα φοβῶνται, μή τι κακὸν ὑπ' αὐτῶν πά
θωσιν. ἀλλὰ ταῦτα μὲν οἶμαι δουλείας ἔργα εἰκότως ἂν
νομίζοιτο. αἱ δὲ τιμαὶ ἔμοιγε δοκοῦσιν ἐκ τῶν ἐναντίων
τούτοις γίγνεσθαι. ὅταν γὰρ ἄνθρωποι, ἄνδρα ἡγησάμε
νοι εὐεργετεῖν ἱκανὸν εἶναι, καὶ ἀπολαύειν αὐτοῦ ἀγαθὰ νο
μίσαντες, ἔπειτα τοῦτον ἀνὰ στόμα τε ἔχουσιν ἐπαινοῦν
τες, θεῶνται τ' αὐτὸν ὡς οἰκεῖον ἕκαστος ἀγαθόν, ἑκόν
τες τε παραχωρῶσι τούτῳ ὁδῶν, καὶ θάκων ὑπανι-
στῶνται, φιλοῦντές τε καὶ μὴ φοβούμενοι, καὶ στεφανοῦ
σι κοινῆς ἀρετῆς καὶ εὐεργεσίας ἕνεκα, καὶ δωρεῖσθαι ἐθέ
λουσιν, οἱ αὐτοὶ οὗτοι ἔμοιγε δοκοῦσι, τιμᾶν τε τοῦτον
ἀληθῶς, οἳ ἂν τοιαῦτα ὑπουργήσωσι, καὶ ὁ τούτων ἀξιού
μενος, τιμᾶσθαι τῷ ὄντι. καὶ ἔγωγε τὸν μὲν οὕτω τιμώ
μενον μακαρίζω. αἰσθάνομαι γὰρ αὐτὸν, οὐκ ἐπιβουλευό
μενον, ἀλλὰ φροντιζόμενον, μή τι πάθῃ, καὶ ἀφόβως, καὶ
ἀνεπιφθόνως, καὶ ἀκινδύνως, καὶ εὐδαιμόνως τὸν βίον διά
γοντα. ὁ δὲ τύραννος ὡς ὑπὸ πάντων ἀνθρώπων κα-
τακεκριμένος δι' ἀδικίαν ἀποθνήσκειν, οὕτως, ὦ σιμω-
νίδη, εὖ ἴσθι, καὶ νύκτα καὶ ἡμέραν διάγει. ἐπεὶ δὲ ταῦτα
πάντα διήκουσεν ὁ σιμωνίδης, καὶ πῶς, ἔφη, ὦ ἱέρων, εἰ
οὕτω πονηρόν ἐστι τὸ τυραννεῖν, καὶ τοῦτο σὺ ἔγνωκας, οὐκ ἀ
παλλάττῃ οὕτως μεγάλου κακοῦ; ὅτι σὺ, ὅτι ἄλλος μὲν
δὴ οὐδεὶς πώποτε ἑκὼν εἶναι τυραννίδος ἀφεῖτο, ὅσπερ
ἂν ἅπαξ κτήσαιτο. ὅτι, ἔφη, ὦ σιμωνίδη, ἐν ταύτῃ ἀθλιώ
τατόν ἐστιν ἡ τυραννίς. οὐδὲ γὰρ ἀπαλλαγῆναι δυνατὸν αὐτῆς
ἐστι. πῶς γὰρ ἄν τίς ποτε ἐξαρκέσειε τύραννος, ἢ χρήματα
ἐκτίνων ὅσους ἀφείλετο, ἢ δεσμοὺς ἀντιπάσχοι, ὅσους δὴ
ἐδέσμευσεν, ἢ ὅσους κατέκτανε, πῶς ἂν ἱκανὰς ψυχὰς ἀν
τιπάσχοιτο ἀποθανουμένας; ἀλλ' εἴπερ τῳ ἄλλῳ, ὦ σιμω-
νίδη, λυσιτελεῖ ἀπάγξασθαι, ἴσθι, ἔφη, ὅτι τυράννῳ ἔγω
γε εὑρίσκω μάλιστα τοῦτο λυσιτελοῦν ποιῆσαι. μόνῳ
γὰρ αὐτῷ οὔτε ἔχειν οὔτε καταθέσθαι τὰ κακὰ λυσιτελεῖ.
καὶ

καὶ ὁ Σιμωνίδης ὑπολαβὼν εἶπεν· ἀλλὰ τὸ μὲν νῦν, ὦ ἱέρων, ἀθύμως ἔχειν σε πρὸς τὴν τυραννίδα, οὐ θαυμάζω, ἐπείπερ ἐπιθυμῶν φιλεῖσθαι ὑπ᾽ ἀνθρώπων, ἐμποδών σοι τούτου νομίζεις αὐτὴν εἶναι. ἐγὼ μέντοι μοι ἔχειν δοκῶ διδάξαι σε, ὡς τὸ ἄρχειν οὐδὲν ἀποκωλύει τοῦ φιλεῖσθαι, ἀλλὰ καὶ πλεονεκτεῖν γε τῆς ἰδιωτείας. ἐπισκοποῦντες δὲ αὐτό, εἰ οὕτως ἔχει, μήπω ἐκεῖνο σκοπῶμεν, εἰ διὰ τὸ μεῖζον δύνασθαι ὁ ἄρχων, καὶ χαρίζεσθαι πλείω δύναιτ᾽ ἄν. ἀλλ᾽ ἂν τὰ ὅμοια ποιῶσιν, ὅ, τε ἰδιώτης καὶ ὁ τύραννος, ἐννόει πότερος μείζω ἀπὸ τῶν ἴσων κτᾶσθαι χάριν. ἄρξομαι δέ σοι ἀπὸ τῶν μικροτάτων παραδειγμάτων. ἰδὼν γὰρ πρῶτον, προσειπάτω τινὰ φιλικῶς, ὅ, τε ἄρχων καὶ ὁ ἰδιώτης. ἐν τούτῳ τὴν ποτέρου πρόσρησιν μᾶλλον εὐφραίνειν τὸν ἀκούσαντα νομίζεις; ἴθι δὴ ἐπαινεσάντων ἀμφοτέρων τὸν αὐτόν, τὸν ποτέρου δοκεῖς ἔπαινον, ἐξικνεῖσθαι μᾶλλον εἰς εὐφροσύνην; θύσας δὲ τιμησάτω ἑκάτερος, τὴν παρ᾽ ὁποτέρου τιμὴν, μείζονος ἂν χάριτος δοκεῖς ἐντυγχάνειν; κάμνοντα θεραπευσάτωσαν ὁμοίως. οὐκοῦν τοῦτο σαφές, ὅτι αἱ ἀπὸ τῶν δυνατωτάτων θεραπεῖαι καὶ χαρὰν ἐμποιοῦσι μεγίστην. δότωσαν δὴ τὰ ἴσα, οὐ καὶ ἐν τούτῳ σαφές, ὅτι αἱ ἀπὸ τῶν δυνατωτάτων ἡμίσειαι χάριτες, πλέον ἢ ὅλον τὸ παρὰ τοῦ ἰδιώτου δώρημα δύνανται; ἀλλ᾽ ἔμοιγε δοκεῖ καὶ ἐκ θεῶν τιμή τις καὶ χάρις συμπαρέπεσθαι ἀνδρὶ ἄρχοντι. μὴ γὰρ ὅτι καλλίονα ποιεῖ ἄνδρα, ἀλλὰ καὶ τὸν αὐτὸν τοῦτον ἥδιον θεώμεθά τε ὅταν ἄρχῃ, ἢ ὅταν ἰδιωτεύῃ. διαλεγόμενοί τε ἀγαλλόμεθα, τοῖς προτετιμημένοις μᾶλλον, ἢ τοῖς ἐκ τοῦ ἴσου ἡμῖν οὖσι. καὶ μὴν παιδικά γε, ἐν οἷς δὴ καὶ σὺ μάλιστα κατεμέμψω τὴν τυραννίδα, ἥκιστα μὲν γῆρας ἄρχοντος δυσχεραίνει, ἥκιστα δ᾽ αὖ αἶσχος πρὸς ὃν ἂν τυγχάνῃ ὁμιλῶν τοῦτο ὑπολογίζεται. αὐτὸ γὰρ τὸ τετιμῆσθαι μάλιστα συνεπικοσμεῖ. ὥστε τὰ μὲν δυσχερῆ ἀφανίζειν, τὰ δὲ καλὰ λαμπρότερα ἀναφαίνειν. ὁπότε γε μὴν ἐκ τῶν ἴσων ὑπουργημάτων, μειζόνων χαρίτων ὑμεῖς τυγχάνετε, πῶς οὐκ ἐπειδάν γε ὑμεῖς, πολλαπλάσια μὲν διαπράττοντας ὠφελεῖν δύνησθε, πολλαπλάσια δὲ δωρεῖσθαι ἔχετε, ὑμᾶς καὶ πολὺ μᾶλλον φιλεῖσθαι τῶν ἰδιωτῶν προσήκει; καὶ ὁ ἱέρων εὐθὺς ὑπολαβών, ὅτι νὴ δί᾽, ἔφη, ὦ σιμωνίδη, καὶ ἐξ ὧν ἀπεχθάνονται οἱ ἄνθρωποι ἡμᾶς, πολὺ πλείω τῶν ἰδιωτῶν ἀνάγκη ἐστὶ πραγματεύεσθαι. πρακτέον μέν γε χρήματα, εἰ μέλλοιμεν ἕξειν δαπανᾶν εἰς τὰ δέοντα. ἀναγκαστέον δὲ φυλάσσειν, ὅσα δεῖται φυλακῆς. κολαστέον δὲ τοὺς ἀδίκους, κωλυτέον δὲ τοὺς ὑβρίζειν βουλομένους. καὶ ὅταν γε τάχους καιρὸς παρῇ, ἢ πεζῇ ἢ κατὰ θάλασσαν ἐξορμᾶσθαι, οὐκέτι τρεπτέον τοῖς ῥᾳδιουργοῦσιν. ἔτι δὲ μισθοφόρων μὲν ἀνδρὶ τυράννῳ δεῖ. τούτου δὲ βαρύτερον φόρημα οὐδέν ἐστι τοῖς πολίταις. οὐ γὰρ τυράννοις ἰσοτίμους, ἀλλὰ πλεονεξίας ἕνεκα νομίζουσι τούτους τρέφεσθαι. πρὸς ταῦτα δὴ πάλιν ὁ σιμωνίδης· ἀλλ᾽ ὅπως μὲν οὐ πάντων τούτων ἐπιμελητέον, ὦ ἱέρων, οὐ λέγω. αἱ ἐπιμέλειαι μέντοι μοι δοκοῦσιν, αἱ μὲν πάνυ πρὸς ἔχθραν ἄγειν, αἱ δὲ πάνυ διὰ χαρίτων εἶναι. τὸ μὲν γὰρ διδάσκειν ἃ ἐστὶ βέλτιστα, καὶ τὸν κάλλιστα ταῦτα ἐξεργαζόμενον ἐπαινεῖν καὶ τιμᾶν, αὕτη μὲν ἡ ἐπιμέλεια διὰ χαρίτων γίγνεται. τὸ δὲ τὸν ἐνδεῶς τι ποιοῦντα, λοιδορεῖν τε καὶ ἀναγκάζειν,

Ad haec Simonides: At nunc, ô Hierō, te male animatum esse erga tyrannidem nihil miror. Nam cum amari cupias ab hominibus, tyrannidem tibi putas obstare quò minus hoc assequaris. Ego tamen uideor mihi posse docere te rationem, qua fiat ut non solum imperium nihil officiat quo minus ameris, uerumetiam hic superes statum uitae priuatum. Hoc autem considerantes an ita res habeat, nondum illud consideremus, an quod princeps potentior sit, ob id etiam plura largiri poßit: sed si in largiendo paria faciant princeps ac priuatus, hic expende uter paribus beneficijs plus initurus sit gratiae. Ordiar autem ab exemplis infimis. Primum conspectum salutat obuium amice, hinc princeps, hinc priuatus: hic utrius appellationem iucundiorem fore putas salutato? Iam nosti, si ambo laudarint eundem, utrius laudem existimes plus attulisse uoluptatis? Sacrificio peracto de uictima honoret eundem uterque, scis ab utro honor habitus uideatur gratior? Itidem laborantem aequè curent ambo. An non igitur perspicuum est, officia quae praestantur à potentissimis, maximam item afferre uoluptatem? Iam ponatur officiorum aequalitas, an non hic perspicuum est, quod dimidium beneficentiae à potentißimis profectum plus ualeat, quàm totum à priuato profectum? Ad haec mihi quidem uidetur, etiam à dijs honos quidam & gratia comes addita uero principi. Non solum enim formosiorem reddit uirum principatus, uerumetiam eundem hunc pulchriorem uidemus cum principatum gerit, quàm cum agit priuatum. Quin & colloqui gaudemus cum his qui honore praecellunt, magis quam cum aequalibus nobis. Iam & iuuenum amicitia, quo nomine tu quoq; maxime tyrannidem incusabas, minime molesta est principis senectuti, minimeq; uenit in suspicionem, si cum quocunq; habeat familiaritatem. Quin potius hoc maximo est ornamento à principe magnifieri. Ita fit ut regnum et quae molesta sunt auferat, & quae honesta magis illustret. Itaque cum paribus officijs uos plus ineatis gratiae, cumq; uos longe plura praestare ualeatis iuuandis alijs, multoq; plura donandi facultatem habeatis, quomodo non consentaneum est uos magis etiam amari q̃ nos priuatos? Ad haec protinus Hieron ita respondit: Quoniam, ô Simonides, cogimur etiam magis quàm homines priuati ad negocia ob quae nos inuisos habent homines, exigendae sunt pecuniae si uolumus habere quae suppetant nobis in sumptus necessarios. Necesse est etiam seruare quaecunq; requirit corporis custodia. Ad haec plectendi sunt qui laedūt, prohibendi qui uim parant. Deinde si quando subito tempus urgens postulat, ut uel terra, uel mari sit expeditio facienda, res non est committenda temerarijs. Adde his, quod homini principatum gerenti, etiam conductitio milite opus est: qua quidem re non alia est sarcina ciuibus grauior. Non enim hos solum putant aequari tyrannis honore, uerumetiam rapinae causa credunt ali. His ita respōdit Simonides: Atenim non dico, ô Hieron, harum omnium rerum curam non esse habendam, attamen functiones mihi uidentur aliae prorsus in odium adducere, aliae rursus cum gratia beneuolentiaq; peragi. Itaq; docere quae sunt optima, & eos qui ea pulcherrime praestant, laudibus & honoribus afficere, haec quidem functio cum beneuolentia coniuncta est. Caeterum qui secus quàm oportet agit quippiam, hunc conuicijs afficere, cogere, mul-

multam dicere, punireq;: nam & hæc facere necesſitas est, cum odio maleuolentiaq; coniunctũ est. Censeo itaq; uiro principi sic agendũ, ut si quis eget coactione, hunc alijs puniendum tradat: cæterum cum præmia reddenda sunt his qui rem bene gesſerunt, id per seipsum faciat. Quod autẽ hæc recte habent, testatur publica cõsuetudo. Quoties uolumus nobis musicũ certamen exhiberi, præmia quidem proponit princeps. Cæterũ eos congregandi negociũ datur choragis: quemadmodũ alijs iniũgitur, & docẽdi itemq; adhibendi eis qui munus recte se gerũt, partes delegantur. Ita fit protinus, ut in his quod gratiosum est per principẽ sit factũ: quod uero cõtra, p alios. Quid igitur uetat et alias functiones, quæ ad prohibẽdos homines pertinẽt, simili modo peragi? Nam resp. omnes diuisæ sunt, aliæ per tribus, aliæ per classes, aliæ per manipulos: principes aũt singulis partib. præsident. Itaq; si quis quemadmodũ fit in choris, ita his quoq; proponat præmia, tum ob egregiã armaturã, tum ob pulchre seruatum ordinẽ, tum ob equitãdi peritiã, tum ob uirtutem in bello præstantẽ, tum ob iustitiã in cõuentus, uerisimile est hæc quoq; cũcta actiuus exercenda si adsit cõtentio, uincẽdiq; studium. Ac per Iouẽ citius impellũtur quocũq; opus est, qui honoris sunt auidi: citiusq; conferent pecuniã, si quãdo pecuniã exigat occasio. Et quod est omniũ utilisſimũ, id minime tamen usitatũ est, ut per contentionẽ agatur. Hæc nimirũ est agricultura, cui multum accesſerit, si quis per agros ac uicos præmia constituat his qui quãoptime terrã excoluerint, ijsq; qui ex ciuib. maxime in hanc rem incubuerint, is multa bona Reip. præstiterit: quandoquidem & crescent reip. prouentus, & sobrietas occupatos magis comitabitur, & operi intentis minus orietur scelerum. Quod si quid etiã negociatio conducit reip. bonos habitus ei qui hanc potisſimum exercuerit, efficiet ut plures affluant qui merces importent. Iam si et illi honos habeatur, qui Reipub. utilitatẽ quampiam citra cuiusquam dolorem excogitarit, ne hæc quidẽ cura cesſaret. Atq; ut sermonẽ in pauca conferã, si cunctis esſet perspicuũ, non cariturũ præmio, quisquis boni quippiã inuexerit Reipublicæ, plurimos ea res excitaret ad studiũ inueniendi quippiam boni. Sane cum multis curæ est ciuitatis utilitas, fieri nõ potest quin & plura reperiantur ingenio, & obeãtur functione. Quod si metuis, ò Hierõ, ne si multorũ nomine præmia proponantur, multi sumptus existant: cogita nullam mercem esſe magis uilem, q̃ quæ ab hominibus præmijs emitur. Vides in equestribus ac gymnicis certaminibus, ut exigua præmia ad magnos sumptus, ad magnos labores, multumq; studium prolectent homines. Tum Hieron: Ista quidem, inquit, ò Simonides, mihi uideris recte dicere. Cæterum habesne quicquã quod dicas de stipẽdiatis, quo minus habeamur ob illos odio: an dices, principi qui parauit ciuium beneuolentiã, nihil iam opus fore satellitio? Ita per Iouem, inquit Simonides: opus tamen fuerit. Nosti siquidem, quod in equis accidere solet, idem usu uenire in quibusdã hominib. ut quò copiosius ipsis suppetunt necesſaria, hoc euadant ferociores. Tales igitur magis reddit sobrios metus, quẽ adferũt satellites. Cæterum honestis ac bonis, nulla ex re mihi uideris tantum utilitatum præstare, quantum præstas ex satellitio. Nam alis haud dubie tu quidem illos tibiipsi custodes. At iam heri complures à seruis suis interempti sunt.

Quod

καὶ ζημιοῦν, καὶ κολάζειν, ταῦτα δὲ ἀνάγκη, διὰ ἀπεχθείας μᾶλλον γίγνεσθαι. ἐγὼ οὖν φημι, ἀνδρὶ ἄρχοντι τὸ μὲν ἀνάγκης δεόμενον, ἄλλοις προστακτέον εἶναι κολάζειν. τὸ δὲ τὰ ἆθλα ἀποδιδόναι, δι' αὐτοῦ ποιητέον. ὡς δὲ ταῦτα καλῶς ἔχει, μαρτυρεῖ τὰ γιγνόμενα. καὶ γὰρ ὅταν χορούς ἡμῖν βουλώμεθα ἀγωνίζεσθαι, ἆθλα μὲν ὁ ἄρχων προτίθησιν, ἀθροίζειν δὲ αὐτοὺς προστέτακται χορηγοῖς. καὶ ἄλλοις διδάσκειν, καὶ ἀνάγκην προστιθέναι τοῖς ἐνδεῶς τι ποιοῦσιν. οὐκοῦν εὐθὺς ἐν τούτοις τὸ μὲν ἐπίχαρι, διὰ τοῦ ἄρχοντος ἐγένετο. τὰ δ' ἀντίτυπα διὰ ἄλλων. τί οὖν κωλύει καὶ τἄλλα τὰ πολιτικὰ οὕτω περαίνεσθαι; διῄρηνται μὲν γὰρ ἅπασαι αἱ πόλεις, αἱ μὲν κατὰ φυλὰς, αἱ δὲ κατὰ μοίρας, αἱ δὲ κατὰ λόχους, καὶ ἄρχοντες ἐφ' ἑκάστῳ μέρει ἐφεστήκασιν. οὐκοῦν εἴ τις καὶ τούτοις ὥσπερ τοῖς χοροῖς ἆθλα προτιθείη καὶ εὐοπλίας, καὶ εὐταξίας, καὶ ἱππικῆς, καὶ ἀλκῆς τῆς ἐν πολέμῳ, καὶ δικαιοσύνης τῆς ἐν συμβολαίοις, εἰκὸς καὶ ταῦτα πάντα, διὰ φιλονεικίαν εὐτόνως ἀσκεῖσθαι. καὶ ναὶ μὰ δία ὁρμῷντό γε θᾶττον ὅποι δέοι, τιμῆς ὀρεγόμενοι, καὶ χρήματα θᾶσσον εἰσφέροιεν, ὁπότε τούτου καιρὸς εἴη. καὶ τὸ πάντων γε χρησιμώτατον, ἥκιστα δὲ ἐθισμένον διὰ φιλονεικίας πράττεσθαι, ἡ γεωργία αὐτὴ, ἂν πολὺ ἐπιδοίη, εἴ τις ἆθλα προτιθείη κατ' ἀγροὺς ἢ κατὰ κώμας, τοῖς κάλλιστα τὴν γῆν ἐξεργαζομένοις, καὶ τοῖς εἰς τοῦτο τῶν πολιτῶν ἐρρωμένως τρεπομένοις, πολλὰ ἂν ἀγαθὰ περαίνοιτο. καὶ γὰρ αἱ πρόσοδοι αὔξοιντ' ἄν, καὶ ἡ σωφροσύνη πολὺ μᾶλλον σὺν τῇ ἀσχολίᾳ συμπαρομαρτεῖ. καὶ μὴν κακουργίαι γε ἧττον τοῖς ἐνεργοῖς ἐμφύονται. εἰ δὲ καὶ ἐμπορεία ὠφελεῖ τι πόλιν, τιμώμενος ἂν ὁ πλεῖστα τοῦτο ποιῶν, καὶ ἐμπόρους ἂν πλείους ἀγείροι. εἰ δὲ φανερὸν γένοιτο, ὅτι καὶ ὁ πρόσοδόν τινα ἄλυπον ἐξευρίσκων τῇ πόλει τιμήσεται, οὐδ' αὕτη ἂν ἡ σκέψις ἀργοῖτο. ὡς δὲ συνελόντι εἰπεῖν, εἰ καὶ κατὰ πάντων ἐμφανὲς εἴη, ὅτι ὁ ἀγαθόν τι εἰσηγούμενος, οὐκ ἀτίμητος ἔσται, πολλοὺς ἂν καὶ τοῦτο ἐξορμήσειεν ἔργον ποιεῖσθαι, τὸ σκοπεῖν τί ἀγαθόν. καὶ ὅταν γε πολλοῖς περὶ τῶν ὠφελίμων μέλῃ, ἀνάγκη εὑρίσκεσθαί τε μᾶλλον καὶ ἐπιμελεῖσθαι. εἰ δὲ φοβῇ, ὦ Ἱέρων, μὴ ἐν πολλοῖς ἄθλων προτιθεμένων, πολλαὶ δαπάναι γίγνωνται, ἐννόησον ὅτι οὐκ ἔστιν ἐμπορεύματα λυσιτελέστερα, ἢ ὅσα ἄνθρωποι ἄθλων ὠνοῦνται. ὁρᾷς ἐν ἱππικοῖς καὶ γυμνικοῖς καὶ χορηγικοῖς ἀγῶσιν, ὡς μικρὰ ἆθλα μεγάλας δαπάνας καὶ πολλοὺς πόνους, καὶ πολλὰς ἐπιμελείας ἐξάγεται ἀνθρώπων; καὶ ὁ Ἱέρων εἶπεν· ἀλλὰ ταῦτα μὲν, ὦ Σιμωνίδη, καλῶς μοι δοκεῖς λέγειν. περὶ δὲ τῶν μισθοφόρων ἔχεις τι εἰπεῖν, ὡς μὴ μισεῖσθαι δι' αὐτούς, ἢ λέγεις ὡς φιλίαν κτησάμενος ἄρχων, οὐδὲν ἔτι δεήσεται δορυφόρων; ναὶ μὰ δία, εἶπεν ὁ Σιμωνίδης, δεήσεται μὲν οὖν. οἶδα γὰρ ὅτι ὥσπερ ἐν ἵπποις, οὕτω καὶ ἐν ἀνθρώποις τισὶν ἐγγίγνεται, ὅσῳ ἂν ἔκπλεω τὰ δέοντα ἔχωσι, τοσούτῳ ὑβριστοτέροις εἶναι. τοὺς μὲν οὖν τοιούτους μᾶλλον ἂν σωφρονίζοι ὁ ἀπὸ τῶν δορυφόρων φόβος. τοῖς δὲ καλοῖς κἀγαθοῖς ἀπ' οὐδενὸς ἄν μοι δοκεῖς τοσαῦτα ὠφελήματα παρέχειν, ὅσα ἀπὸ τῶν μισθοφόρων. τρέφεις μὲν γὰρ δήπου καὶ σὺ αὐτοὺς σαυτῷ φύλακας. ἤδη δὲ πολλοὶ καὶ δεσπόται βίᾳ ὑπὸ τῶν δούλων ἀπέθανον.

ἀ

εἰ οὖν ἐν πρώτοις τοῦτ' ἂν τῶν προστεταγμένων τοῖς μισθοφόροις, ὡς πάντων ὄντας δορυφόρους τῶν πολιτῶν βοηθεῖν πᾶσιν, ἄν τι τοιοῦτον αἰσθάνωνται, γίγνονται δέ που ὡς πάντες ἐπιστάμεθα κακοῦργοι ἐν πόλεσιν. εἰ οὖν καὶ τούτους φυλάττειν εἶεν τεταγμένοι, καὶ τοῦτ' ἂν εἰδεῖεν ὑπ' αὐτῶν ὠφελούμενοι. πρὸς δὲ τούτοις, καὶ τοῖς ἐν τῇ χώρᾳ ἐργάταις καὶ κτήνεσιν, οὗτοι ἂν εἰκότως καὶ θάρσος καὶ ἀσφάλειαν δύναιντο μάλιστα παρέχειν, ὁμοίως μὲν τοῖς σοῖς ἰδίοις, ὁμοίως δὲ τοῖς ἀνὰ τὴν χώραν. ἱκανοί γε μὴν εἰσι καὶ σχολὴν παρέχειν τοῖς πολίταις τῶν ἰδίων ἐπιμελεῖσθαι τὰ ἐπίκαιρα φυλάσσοντες. πρὸς δὲ τούτοις καὶ πολεμίων ἐφόδους κρυφαίας καὶ ἐξαπιναίας, τίνες ἑτοιμότεροι, ἢ προαισθέσθαι, ἢ κωλῦσαι, τῶν ἀεὶ ἐν ὅπλοις τε ὄντων καὶ συντεταγμένων; ἀλλὰ μὴν καὶ ἐν τῇ στρατιᾷ τί ἐστιν ὠφελιμώτερον πολίταις μισθοφόρων; τούτους γὰρ προπονεῖν καὶ προκινδυνεύειν, καὶ προφυλάττειν εἰκὸς ἑτοιμοτάτους εἶναι. τὰς δὲ ἀγχιτέρμονας πόλεις, οὐκ ἀνάγκη, διὰ τοὺς ἀεὶ ἐν ὅπλοις ὄντας, καὶ εἰρήνης μάλιστα ἐπιθυμεῖν. οἱ γὰρ συντεταγμένοι, καὶ σώζειν τὰ τῶν φίλων μάλιστα, καὶ σφάλλειν τὰ τῶν πολεμίων δύναιντ' ἄν. ὅταν γε μὴν γνῶσιν οἱ πολῖται, ὅτι οὗτοι κακὸν μὲν οὐδὲν ποιοῦσι, τὸν μηδὲν ἀδικοῦντα, τοὺς δὲ κακουργεῖν βουλομένους, κωλύουσι, βοηθοῦσι δὲ τοῖς ἀδικουμένοις, προνοοῦσι δὲ καὶ προκινδυνεύουσι τῶν πολιτῶν, πῶς οὐκ ἀνάγκη καὶ δαπανᾶν εἰς τούτους ἥδιστα; τρέφουσι γοῦν καὶ ἰδίᾳ ἐπὶ μείοσι τούτων φύλακας. χρὴ δὲ, ὦ Ἱέρων, οὐδ' ἀπὸ τῶν ἰδίων κτημάτων ὀκνεῖν δαπανᾶν εἰς τὸ κοινὸν ἀγαθόν. καὶ γὰρ ἔμοιγε δοκεῖ τὰ εἰς τὴν πόλιν ἀναλούμενα, μᾶλλον εἰς τὸ δέον τελεῖσθαι, ἢ τὰ εἰς τὸ ἴδιον ἀνδρὶ τυράννῳ. καθ' ἓν δ' ἕκαστον σκοπῶμεν. οἰκίαν πρῶτον ὑπερβαλλούσῃ δαπάνῃ κεκαλλωπισμένην, μᾶλλον ἡγῇ κόσμον ἄν σοι παρέχειν, ἢ πᾶσαν τὴν πόλιν τείχεσί τε καὶ ναοῖς, καὶ παραστάσι, καὶ ἀγοραῖς, καὶ λιμέσι κατεσκευασμένην; ὅπλοις δὲ πότερον τοῖς ἐκπαγλοτάτοις αὐτὸς κατακεκοσμημένος, δεινότερος ἂν φαίνοιο τοῖς πολεμίοις, ἢ τῆς πόλεως ὅλης εὐόπλου σοι οὔσης; προσόδους δὲ, ποτέρως ἂν δοκεῖς πλείονας γίγνεσθαι, εἰ τὰ σὰ ἴδια μόνον ἐνεργὰ ἔχοις, ἢ εἰ τὰ πάντων τῶν πολιτῶν μεμηχανημένος εἴης ἐνεργὰ εἶναι; τὸ δὲ πάντων κάλλιστον καὶ μεγαλοπρεπέστατον νομιζόμενον εἶναι ἐπιτήδευμα ἁρματοτροφίαν, ποτέρως ἂν δοκεῖς μάλιστα κοσμεῖν, εἰ αὐτὸς πλεῖστα τῶν Ἑλλήνων ἅρματα τρέφοις τε καὶ πέμποις εἰς τὰς πανηγύρεις, ἢ εἰ ἐκ τῆς πόλεως, πλεῖστοι μὲν ἱπποτρόφοι εἶεν, πλεῖστοι δ' ἀγωνίζοιντο. νικᾶν δὲ πότερα δοκεῖς κάλλιον εἶναι, ἅρματος ἀρετῇ, ἢ πόλεως ἧς προστατεύεις εὐδαιμονίᾳ; ἐγὼ μὲν γὰρ, οὐδὲ προσήκειν φημὶ ἀνδρὶ τυράννῳ, πρὸς ἰδιώτας ἀγωνίζεσθαι. νικῶν μὲν γὰρ οὐκ ἂν θαυμάζοιο, ἀλλὰ φθονοῖο, ὡς ἀπὸ πολλῶν οἴκων τὰς δαπάνας ποιούμενος. νικώμενος δ' ἂν πάντων μάλιστα καταγελῷο. ἀλλ' ἐγώ σοι φημὶ, ὦ Ἱέρων, πρὸς ἄλλους προστάτας πόλεων τὸν ἀγῶνα εἶναι, ὧν ἐὰν σὺ εὐδαιμονεστάτην

Quod si unum illud in primis praeceptum fuerit satellitibus, ut perinde quasi essent omnium satellites ciuium, ita omnibus essent auxilio, si quid tale senserint ciues. Sunt autem quemadmodum scimus omnes, aliqui facinorosi in ciuitatibus: itaque si fuerit imperatum, ut satellites & illos obseruent, & in hoc ciues intelligerent illos sibi esse utiles. Praeterea & his qui in agris operantur, & iumentis, hi nimirum, ut est probabile, tum securitatem, tum fiduciam praestare possent, simul & tuis, & ijs qui in ditione tua sunt operarijs. Nimirum sufficiunt & ad ocium praestandum priuatis ciuibus, & illorum curandis negocijs, si ad omnem occasionem aduigilarint. Ad haec, ad hostium occultas subuitasque insidias uel praesentiendas, uel arcendas, qui paratiores esse possint ijs qui semper armati sunt, & in acie compositi? Iam & in militia quid est ciuibus utilius mercenario milite? Siquidem uerisimile est, hos esse promptissimos ad finitimas ciuitates, tum labore, tum periculis, tum custodia sua tuendas. An non est necesse, ut propter eos qui semper in armis sunt, pacem maxime exoptent? Nam qui ad pugnam instructi sunt, & amicorum tueri fortunas, & hostium res atterere possunt maxime. Ergo simulatque ciues perspexerint satellites neminem laedere innocentem, sed eos qui male facere conantur cohibere: insuper & his qui per iniuriam laesi sunt opitulari: demum prospicere, ut suo periculo ciues protegant: qui fieri poterit, ut in hos non etiam pecuniam impendant libentissime, cum adhibeant ad ea quae minoris quàm haec sunt momenti custodes? Oportet autem, ô Hieron, ne de tuis quidem priuatis facultatibus grauatim impendere commodis reipublicae. Nam mihi quidem uidentur ea quae impenduntur Republicae, rectius collocari, quàm quae priuatum insumuntur homini principatum gerenti. Hoc per singulas res consideremus. Vtrum existimas domum immenso sumptu magnifice extructā tibi plus addere ornamenti, an totam ciuitatem, muris, templis, porticibus, foris, portubus instructam? Vtrum autem ipse armis maxime formidabilib. exornatus, terribilior uidereris hostibus, an si tota ciuitas tibi sit pulchre armata? Porro census utro modo credis uberiores fieri, si tuos duntaxat in opere detineas, an si studio effeceris ut omnes ciues sint in opere? Quandoquidem uero exercitium omnium pulcherrimum existimamus, studium equos alendi, currusque parandi, utrum putas tibi maiori futurum ornamento, si ipse quamplurimos currus alas, mittasque ad publica certamina, an si inter ciues tuos plurimi fuerint qui equos alāt, plurimi qui in certamē eant? Vtram porro uictoriam pulchriorem esse iudicas, eāmne quam ex laude currus, an quam à reipub. cui praesides felicitate? Nam ego sane ne conuenire quidem arbitror uiro principi, cum priuatis decertare: qui si uicerit, tantum abest ut sit admirationi, ut magis sibi conflet inuidiam, ut qui ex multorum domibus faciat impendia. Caeterum si uictus fuerit, omnium maxime deridetur. Verùm haec mea est, ô Hieron, sententia, tibi cum alijs ciuitatum praefectis certamen esse: quos si superaris, tuam ciuitatem cui praesides, quamfelicissimam

simam reddendo, illud certum scias, te in longe pulcherrimo inter homines magnificentissimoq; certamine uictorem fore. Atq; in primis quidem illud effeceris, ut ameris ab his quibus imperas: cuius sane rei tu percupidus es: tum uero uictoriae tuae non unum habiturus es praeconem, sed omnes homines laudib. uehent uirtutem tuam. Insuper omnibus suspiciendus, non tantum a priuatis, uerumetiam à multis ciuitatibus diligeris: nec priuatim modo futurus es admirabilis, sed & publice apud omnes. Ac tutum tibi erit 10 si quo uoles ad spectaculum proficisci: licebit & hac ipsa in urbe manenti spectaculis frui: semper enim apud te fuerit conuentus eorum qui cupiunt ostentare, si quis quid pulchri boni ue habeat, & id desiderantibus inseruire. Praeterea quisquis adfuerit tibi, tuarum partium erit: rursus qui abest, te uidere concupiscet, ut non solum diligaris ab omnibus, uerumetiã ameris. Porro formas eximias non oportet abs te tentari, sed cum ambiêris à formosis ipse, ferendum erit. Metum autem adeo nullum habiturus es, ut alijs potius metum ac solicitudinem iniecturus sis, ne quid ti- 20 bi accidat quod nolint. Quin & habituros es tuos ultro parentes imperatis, uidebisq; illos ex animo tui curam gerere. Quod si quid inciderit periculi, non solum uidebis illos pugnae socios, uerumetiam propugnatores. Multis quidem muneribus honoraberis, non tamen egebis cuicunq; tibi beneuolenti haec impertieris, cum omnes habiturus sis tibi de tuis bonis gratulantes, omnes item non aliter pro tuis priuatis commodis, quàm pro suis proprijs decertantes. In ipsis 30 itaq; thesauris habes quicquid est opum penes amicos. Age Hieron dita fidenter amicos, sic enim ditas teipsum. Auge rempublicam, sic enim tibijpsi potentiam adiunges. Para reipublicae belli socios, puta patriam esse domum tuam, ciues uero sodales, amicos tuos ipsius liberos, filios uero non aliter habeas quàm animam tuam, huc interim adnitens, ut hos omnes beneficentia superes. Etenim si amicos feceris tuos benefaciendo, haudquaquam tibi poterunt obsistere inimici. Haec omnia si praestiteris, illud certum 40 habeto, te tibi paraturum, quo non alia inter homines possessio uel pulchrior, uel beatior: quandoquidem cum felix sis, tamen tibi nullus inuidebit.

στάτην τὴν πόλιν, ἧς προστατεύεις παρέχοις, εὖ ἴσθι νικῶν τῷ καλλίστῳ καὶ μεγαλοπρεπεστάτῳ ἐν ἀνθρώποις ἀγωνίσματι. καὶ πρῶτον μὲν εὐθὺς κατειργασμένος ἂν εἴης τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων, οὗ δὴ σὺ ἐπιθυμῶν τυγχάνεις. ἔπειτα δὲ τὴν σὴν νίκην οὐκ ἂν εἷς εἴη ὁ ἀνακηρύττων, ἀλλὰ πάντες ἄνθρωποι ὑμνοῖεν ἂν τὴν σὴν ἀρετήν. περίβλεπτος δὲ ὤν, οὐχὶ ὑπὸ ἰδιωτῶν μόνον, ἀλλὰ καὶ ὑπὸ πολλῶν πόλεων ἀγαπῷο ἄν. καὶ θαυμαστὸς οὐκ ἰδίᾳ μόνον, 10 ἀλλὰ καὶ δημοσίᾳ παρὰ πᾶσιν ἂν εἴης. καὶ ἐξείη μὲν ἄν σοι ἕνεκα ἀσφαλείας, ὅποι βούλοιο θεωρήσοντι πορεύεσθαι. ἐξείη δ' ἂν αὐτοῦ μένοντι τοῦτο πράττειν. ἀεὶ γὰρ ἂν παρὰ σοὶ πανήγυρις εἴη τῶν βουλομένων ἐπιδεικνύναι, εἴ τίς τι σοφόν, ἢ καλόν, ἢ ἀγαθὸν ἔχοι, τῶν δὲ καὶ ἐπιθυμούντων ὑπηρετεῖν. πᾶς δὲ ὁ μὲν παρὼν σύμμαχος ἂν εἴη σοι. ὁ δὲ ἀπών, ἐπιθυμοίη ἂν ἰδεῖν σε, ὥστε οὐ μόνον φιλοῖο ἄν, ἀλλὰ καὶ ἐρῷο ὑπ' ἀνθρώπων. καὶ τοὺς καλοὺς οὐ πειρᾶν, ἀλ- 20 λὰ πειρώμενον ὑπ' αὐτῶν, ἀνέχεσθαι ἄν σε δέοι. φόβον δὲ οὐκ ἂν ἔχοις, ἀλλ' ἄλλοις παρέχοις, μή τι πάθῃς. ἑκόντας δὲ τοὺς πειθομένους ἔχοις ἄν, καὶ ἐθελουσίως σου προνοοῦντας θεῷο ἄν. εἰ δέ τις κίνδυνος εἴη, οὐ συμμάχους μόνον, ἀλλὰ καὶ προμάχους καὶ προθύμους ὁρῴης ἄν. πολλῶν μὲν δωρεῶν ἀξιούμενος, οὐκ ἀπορῶν δὲ ὅτῳ τούτων εὐμενεῖ μεταδώσεις. πάντας μὲν συγχαίροντας ἔχων ἐπὶ τοῖς σοῖς ἀγαθοῖς· πάντας δὲ πρὸ τῶν σῶν ἰδίων, ὥσπερ 30 τῶν ἰδίων μαχομένους. θησαυροὺς γε μὴν ἔχοις πάντας τοὺς παρὰ τοῖς φίλοις πλούτους. ἀλλὰ θαρρῶν, ὦ Ἱέρων, πλούτιζε μὲν τοὺς φίλους· σαυτὸν γὰρ πλουτιεῖς. αὖξε δὲ τὴν πόλιν· σαυτῷ γὰρ δύναμιν περιάψεις. κτῶ δὲ αὐτῇ συμμάχους. νόμιζε δὲ τὴν μὲν πατρίδα, οἶκον· τοὺς δὲ πολίτας, ἑταίρους· τοὺς δὲ φίλους, τέκνα σαυτοῦ· τοὺς δὲ παῖδας, ὅτι περ τὴν σὴν ψυχήν. καὶ τούτους πάντας πειρῶ νικᾶν, εὖ ποιῶν. ἐὰν γὰρ τοὺς φίλους κρατῇς, εὖ ποιῶν, οὐ μή σοι δύνωνται ἀντέχειν οἱ πολέμιοι. κἂν ταῦτα πάντα 40 ποιῇς, εὖ ἴσθι πάντων τῶν ἐν ἀνθρώποις κάλλιστον καὶ μακαριώτατον κτῆμα κεκτῆσθαι. εὐδαιμονῶν γὰρ οὐ φθονήσῃ.

ΞΕΝΟΦΩΝΤΟΣ ΡΗΤΟΡΟΣ ΠΟΡΟΙ, Η ΠΕΡΙ ΠΡΟΣΟΔΩΝ.

ΕΓΩ τοῦτο μὲν ἀεί ποτε νομίζω, ὁποῖοί τινες ἂν οἱ προστάται ὦσι, τοιαύτας καὶ τὰς πολιτείας γίγνεσθαι. ἐπεὶ δὲ τῶν ἀθήνησι προεστηκότων ἔλεγόν τινες, ὡς γιγνώσκουσι μὲν τὸ δίκαιον οὐδενὸς ἧττον τῶν ἄλλων ἀνθρώπων, διὰ δὲ τὴν τοῦ πλήθους πενίαν ἀναγκάζεσθαι ἔφασαν ἀδικώτεροι εἶναι περὶ τὰς πόλεις, ἐκ τούτου ἐπεχείρησα σκοπεῖν εἴ πῃ δύναιντ' ἂν οἱ πολῖται διατρέφεσθαι ἐκ τῆς ἑαυτῶν, ὅθεν περ καὶ δικαιότατον· νομίζων εἰ τοῦτο γένοιτο, ἅμα τῇ τε πενίᾳ αὐτῶν ἐπικεκουρῆσθαι ἂν, καὶ τὸ ὑπόπτους τοῖς Ἕλλησιν εἶναι. σκοπῶν δὴ ἃ ἐπενόησα, τοῦτο μὲν εὐθὺς ἀνεφαίνετο, ὅτι ἡ χώρα πέφυκεν οἵα πλείστας προσόδους παρέχεσθαι. ὅπως δὲ γνωσθῇ, ὅτι ἀληθὲς τοῦτο πρῶτον λέγω, διηγήσομαι τὴν φύσιν τῆς ἀττικῆς. οὐκοῦν τὸ μὲν τὰς ὥρας ἐνθάδε πρᾳοτάτας εἶναι, καὶ αὐτὰ τὰ γιγνόμενα μαρτυρεῖ. ἃ γοῦν πολλαχοῦ οὐδὲ βλαστάνειν δύναιντ' ἂν, ἐνθάδε καρποφορεῖ. ὥσπερ δὲ ἡ γῆ, οὕτω καὶ ἡ περὶ τὴν χώραν θάλαττα παμφορωτάτη ἐστί. καὶ μὴν ὅσα περ οἱ θεοὶ ἐν ταῖς ὥραις ἀγαθὰ παρέχουσι, καὶ ταῦτα ἐνταῦθα πρῳαίτατα μὲν ἄρχεται, ὀψιαίτατα δὲ λήγει. οὐ μόνον δὲ κρατεῖ τοῖς ἐπ' ἐνιαυτὸν θάλλουσί τε καὶ γηράσκουσιν, ἀλλὰ καὶ ἀΐδια ἀγαθὰ ἔχει ἡ χώρα. πέφυκε μὲν γὰρ λίθος ἐν αὐτῇ ἄφθονος, ἐξ οὗ κάλλιστοι μὲν ναοί, κάλλιστοι δὲ βωμοὶ γίγνονται, εὐπρεπέστατα δὲ θεοῖς ἀγάλματα. πολλοὶ δ' αὐτοῦ καὶ ἕλληνες καὶ βάρβαροι προσδέονται. ἔστι δὲ καὶ γῆ, ἣ σπειρομένη μὲν οὐ φέρει καρπόν, ὀρυττομένη δὲ πολλαπλασίους τρέφει, ἢ εἰ σῖτον ἔφερε. καὶ μὴν ὑπάργυρός ἐστι θείᾳ μοίρᾳ. πολλῶν γοῦν πόλεων παροικουσῶν καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, εἰς οὐδεμίαν τούτων οὐδὲ μικρὰ φλὲψ ἀργυρίτιδος διήκει. οὐκ ἂν ἀλόγως δέ τις οἰηθείη τῆς ἑλλάδος, καὶ πάσης δὲ τῆς οἰκουμένης ἀμφὶ τὰ μέσα οἰκεῖσθαι τὴν πόλιν. ὅσῳ γὰρ ἄν τινες πλεῖον ἀπέχωσιν αὐτῆς, τοσούτῳ χαλεπωτέροις ἢ ψύχεσιν ἢ θάλπεσιν ἐντυγχάνουσιν. ὁπόσοι τ' ἂν αὖ βουληθῶσιν ἀπ' ἐσχάτων τῆς ἑλλάδος ἐπ' ἔσχατα ἀφικέσθαι, πάντες οὗτοι ὥσπερ κύκλου τόρνον τὰς ἀθήνας ἢ παραπλέουσιν ἢ παρέρχονται. καὶ μὴν οὐ περίρρυτός γε οὖσα, ὅμως ὥσπερ νῆσος πᾶσιν ἀνέμοις προσάγεταί τε ὧν δεῖται, καὶ ἐκπέμπεται ἃ βούλεται. ἀμφιθάλαττος γάρ ἐστι. καὶ κατὰ γῆν δὲ πολλὰ δέχεται ἐμπόρια· ἤπειρος γάρ ἐστιν. ἔτι δὲ ταῖς μὲν πλείσταις πόλεσι βάρβαροι προσοικοῦντες πράγματα παρέχουσιν. ἀθηναίοις δὲ γειτονεύουσιν, αἳ καὶ αὐταὶ πλεῖστον ἀπέχουσι τῶν βαρβάρων. τούτων μὲν οὖν ἁπάντων, ὥσπερ εἶπον, νομίζω αὐτὴν τὴν χώραν αἰτίαν εἶναι. εἰ δὲ πρὸς τοῖς αὐτοφυέσιν ἀγαθοῖς, πρῶτον μὲν τῶν μετοίκων ἐπιμέλεια γένοιτο. αὕτη γὰρ ἡ πρόσοδος τῶν καλλίστων ἔμοιγε δοκεῖ εἶναι, ἐπείπερ αὑτοὺς τρέφοντες, καὶ πολλὰ ὠφελοῦντες τὰς πόλεις,

ὡς

XENOPHONTIS PORI, SEV DE VECTIGALIBUS,

EGO semper illud uerum esse putaui, quales essent gubernatores, tales respublicas existere solere. Quoniam autem ex iis qui præsunt reipublicæ Atheniensium, nonnulli esse dicerentur qui iusti essent, ita ut in ea re nullis postponendi uiderentur, sed propter multitudinis paupertatem se in ciuitates iniuriosos esse cogi dicerent, deinceps deliberare cœperunt, an ciues aliqua ratione suis rebus cõtenti uitam possent degere. Quocirca illud æquissimum existimabant, si id accideret, ut & cum penuria satis præsidij in se haberent, & reliquis Græcis in suspicionem non uenirent. Mihi igitur consideranti quæ in mentem uenerant, statim uisa est ipsa regio talis esse, quæ plurimos fructus suppeditare, ac maximũ ærarium habere possit. Atq; ut omnes intelligãt hoc primũ à me uere dici, ipsius Atticæ naturã explicabo. Hic igitur anni tempora tẽperatissima esse, uel ea ipsa quæ gignuntur in hac terra, testimonio sunt: cum præsertim quæ multis in locis ne germinare quidem possunt, hic fructificent optime. Ac ut ipsa terra, sic mare uicinum omnium rerum feracissimũ est. Iam quæ dij suis temporib. bona largiuntur, ea omnia et tempestiuissime nascuntur, et tardissime deficiunt. Nec uero solum ea quæ in annum et florent et senescunt, uerumetiam bona habet æterna. In ea enim nascitur lapis copiosissime, è quo templa aræq; pulcherrima fiunt, et dijs maxime digna simulachra: quod genus lapidis tum Græci, tum Barbari expetunt. Est etiam terra, quæ si seratur, nullum edit fructũ: sin fodiatur, multo plures alit, quã si triticũ ferret. Nec dubiũ est, quin diuino quodã fato subargentosa sit: nam cum multa sint terra mariq; oppida uicina, in nullum tamen horũ ne exigua quidẽ argenti uena peruenit: ut nõ sine ratione credi possit, in Græciæ, orbisq; totius medio hanc urbem ædificatam esse. Quo.n. quiq; ab ea lõgius absunt, hoc in molestiorib. uel frigorib. uel calorib. uersantur: omnesq; qui ab ultimis Græciæ in ultimas orbis partes cõmeare statuerint, hi Athenas tanquã circuli tornũ uel prænauigãt, uel prætergradiũtur. quæ etsi aquis circũfusa nõ est, tamen quibuslibet uentis quæ requirit, importat, eaq; quæ uult exportat, cum inter duo maria posita sit: cumq; continens sit, in ipsa ora multos capit mercatus. Iam uero plurimæ sunt ciuitates, quæ à uicinis Barbaris, molestijs afficiuntur: at Athenienses eas habent uicinas, quæ & ipsæ plurimum absunt à barbaris: atq; horum quidem omnium, ut dixi, terram hanc procreatricem esse puto. Quod si præter illa bona quæ ex seipsa gignit inquilinorum cura geratur in primis, hoc de pulcherrimis uectigalibus mihi unum esse uidetur. Nam cum præsidia uitæ necessaria præbeant, multisq; partibus reipublicæ prosint,

tantum

XENOPHONTIS HIERON SIVE TYRANNVS, DES. ERASMO ROTEROD. INTERP.

SIMONIDES poëta die quodã accessit ad Hieronẽ tyrannũ, cumq; ocium forte esset utrisq;, Simonides hũc in modũ locutus est: Vellesne mihi explicare Hierõ, ea quæ probabilius est te melius nosse q̃ ego noui? Et quænã, inquit Hierõ, sunt ista quæ mihi notiora poßint esse q̃ tibi, uiro tã erudito, tãtaq; sapiẽtia prædito? Noui, inquit, te cũ esses priuatus, et nunc regno potientẽ noui. Cũ igitur utrũq; uitæ genus sis expertus, uerisimile est hinc te nosse melius me, qd discriminis sit inter uitã regiã & inter priuatã, quantũ attinet ad ea quæ uel uoluptatẽ, uel molestiã afferunt hominib. Quin tu igitur, inquit Hierõ, quoniã nũc adhuc sane priuatã agis uitã, cõmonefacis me cõmodorum & incommodorum quæ in priuata accidunt uita? Sic. n. tibi, ut arbitror, maxime potero, quid inter hãc & illam intersit, explicare. Ad quæ hunc in modũ Simonides respondit: Equidem mihi uideor hoc animaduertisse, ô Hierõ, homines priuatã agentes uitam, uel uoluptate uel dolore affici: per oculos quidẽ, ijs rebus quæ cernũtur: per aures aũt, ijs quæ audiũtur: per nares itẽ, ijs quæ olfactu sentiuntur: per os uero, tum esculentis tum poculis. Ea porro quæ spectant ad rem uenereã, his corporis partibus sentiuntur, quas nouimus omnes. Tum frigida calidaq;, dura & mollia, leuia & grauia, toto corpore uidemur, inquit, diiudicare, atq; ex illorũ sensu uel delectationẽ, uel molestiã percipere. Porro malis ac bonis interdum per ipsum animũ, ut mihi uidetur, delectamur, interdũ etiã offendimur: nonnunq̃ per utrunq; cõmuniter, hoc est, per animã simul & per corpus. Iam mihi uideor utcunq; intelligere, quod somno delectamur: uerùm id quo pacto, aut per quid, aut quando fiat, hæc mihi uideor nescire potius q̃ scire, quomodo sese habeant. Nec id forte mirandũ, si quæ nobis uigilantibus accidunt, sensum sui præbent euidentiorem, q̃ ea quæ in somnis obueniunt. Ad hæc Hieron hunc in modum respondit: Ego sane, ô Simonides, haudquaquam dicere poßim, quomodo rex sentire quicq̃ aliud posset, præter hæc quæ cõmemorasti. Itaq; hactenus sane nõ intelligo, qua re uita regia differt à priuata. Tum Simonides: Atqui in his tamen, inquit, discrimen est. Nam ex horũ unoquoq; rex ut multis partibus maiorem capit uoluptatẽ, sic ex ijsdem minus habet molestiarum. Ad hæc Hierõ: Non, ita, inquit, ut dicis res habet, ô Simonides. Quin potius illud scito regẽ ex hisce rebus longe minorem capere uoluptatẽ, q̃ priuati capiunt qui mediocri fortuna sunt, et longe plus auferre molestiarũ. Incredibilia narras, ait Simonides. Nam si ita esset ut narras, qui factum est ut multi regnũ affectarint, præsertim ex eorũ numero, qui uidebãtur esse uiri ea conditione, ut maxime sua sorte debuerint esse contenti? Rursus [illegible] fieret, ut oẽs eijciãt, si queant, tyrãnos? Tum Hieron: Quoniã, inquit, per Iouem uitam utranq; nõ sunt experti, ideo sic iudicãt de negocio. At ego conabor tibi declarare me uera loqui, orsus à uisu: quandoquidẽ tu quoq;, ut meminisse mihi uideor, ab hoc ipso sermonẽ ordiebaris. Primum igitur cũ reputo qd adferãt uoluptatis quæ cernũtur oculis, cõperio tyrãnos deterius habere, q̃ priuatos homines. In alijs quidem atq; alijs regionibus alia atq; alia sunt spectatu digna. Ad hæc uero spectacula omnia proficiscũtur priuati, inq; ciuitates quascũq; uoluerint, se conferũt spectandi gratia, quod in quaq; uisendum est. Tum ad solennes celebritates populiq; conuentus frequẽtißimos, in quibus uulgus putat esse res maxime spectatu

ΞΕΝΟΦΩΝΤΟΣ ΡΗΤΟΡΟΣ ΙΕΡΩΝ, Η ΤΥΡΑΝΝΙΚΟΣ.

ΣΙΜΩΝΙΔΗΣ ὁ ποιητὴς ἀφίκετό ποτε πρὸς Ἱέρωνα τὸν τύραννον. σχολῆς δὲ γενομένης ἀμφοῖν, εἶπεν ὁ Σιμωνίδης· ἆρ' ἄν μοι ἐθελήσαις ὁ Ἱέρων διηγήσασθαι, ἃ εἰκὸς εἰδέναι σε βέλτιον ἐμοῦ; καὶ ποῖα ταῦτ' ἐστίν, ἔφη ὁ Ἱέρων, ὁποῖα δὴ ἐγὼ βέλτιον ἂν εἰδείην σοῦ, οὕτως ὄντος σοφοῦ ἀνδρός; οἶδά σε, ἔφη, ἐγὼ καὶ ἰδιώτην γεγενημένον, καὶ νῦν τύραννον ὄντα. εἰκὸς οὖν ἀμφοτέρων πεπειραμένον, καὶ εἰδέναι σε μᾶλλον ἐμοῦ, πῇ διαφέρει ὁ τυραννικός τε καὶ ὁ ἰδιωτικὸς βίος, εἰς εὐφροσύνας τε καὶ λύπας ἀνθρώποις. τί οὖν, ἔφη ὁ Ἱέρων, οὐχὶ καὶ σύ, ἐπεὶ νῦν γε ἔτι ἰδιώτης εἶ, ὑπέμνησάς με τὰ ἐν τῷ ἰδιωτικῷ βίῳ; οὕτω γὰρ ἄν σοι οἶμαι μάλιστα ἐγὼ δύνασθαι δηλοῦν, τὰ διαφέροντα ἐν ἑκατέρῳ. οὕτω δὴ ὁ Σιμωνίδης εἶπε· τοὺς μὲν δὴ ἰδιώτας ἔγωγε, ὦ Ἱέρων, δοκῶ μοι καταμεμαθηκέναι, διὰ μὲν τῶν ὀφθαλμῶν ὁράμασιν ἡδομένους τε καὶ ἀχθομένους· διὰ δὲ τῶν ὤτων, ἀκούσμασι· διὰ δὲ τῶν ῥινῶν, ὀσμαῖς· διὰ δὲ τοῦ στόματος, σίτοις τε καὶ ποτοῖς. τὰ δ' ἀφροδίσια, δι' ὧν δὴ πάντες ἐπιστάμεθα. τὰ δὲ ψύχη καὶ θάλπη, καὶ σκληρὰ καὶ μαλακά, καὶ κοῦφα καὶ βαρέα, ὅλῳ τῷ σώματί μοι δοκοῦμεν ἔφη κρίνοντες, ἥδεσθαί τε καὶ λυπεῖσθαι ἐπ' αὐτοῖς. ἀγαθοῖς δὲ καὶ κακοῖς, ἔστι μὲν ὅτε δι' αὐτῆς τῆς ψυχῆς μοι δοκοῦμεν ἥδεσθαι. ὅτε δ' αὖ λυπεῖσθαι. ἔστι δ' ὅτε κοινῇ, καὶ διά τε τῆς ψυχῆς καὶ διὰ τοῦ σώματος. τοῦ δ' ὕπνου ὅτι μὲν ἡδόμεθα, δοκῶ μοι ἐπαισθάνεσθαι. ὅπως δὲ καὶ ᾧ τινι, καὶ ὁπότε, ταῦτα μᾶλλόν πως ἔφη δοκῶ μοι ἀγνοεῖν. καὶ οὐδὲν ἴσως τοῦτο θαυμαστόν, εἰ τὰ ἐν τῷ ἐγρηγορέναι σαφεστέρας ἡμῖν τὰς αἰσθήσεις παρέχεται, ἢ τὰ ἐν τῷ ὕπνῳ. πρὸς ταῦτα δὴ ὁ Ἱέρων ἀπεκρίνατο· ἐγὼ μὲν τοίνυν, ἔφη, ὦ Σιμωνίδη, ἔξω τούτων ὧν εἴρηκας σύ γε, οὐδ' ὅπως αἴσθοιτό τινος ἄλλου ὁ τύραννος ἔχοιμ' ἂν εἰπεῖν. ὥστε μέχρι γε τούτου, οὐκ οἶδ' εἴ τινι διαφέρει ὁ τυραννικὸς βίος, τοῦ ἰδιωτικοῦ βίου. καὶ ὁ Σιμωνίδης εἶπεν· ἀλλ' ἐν τοῖσδε, ἔφη, διαφέρει. πολλαπλάσια μὲν δι' ἑκάστου τούτων εὐφραίνεται. πολὺ δὲ μείω τὰ λυπηρὰ ἔχει. καὶ ὁ Ἱέρων εἶπεν· οὐχ οὕτως ἔχει, ὦ Σιμωνίδη, ταῦτα. ἀλλ' εὖ ἴσθι, ὅτι πολὺ μείω εὐφραίνονται οἱ τύραννοι, τῶν μετρίως διαγόντων ἰδιωτῶν, πολὺ δὲ πλείω καὶ μείζω λυποῦνται. ἄπιστα λέγεις, ἔφη ὁ Σιμωνίδης. εἰ γὰρ οὕτω ταῦτα εἶχε, πῶς ἂν πολλοὶ μὲν ἐπεθύμουν τυραννεῖν, καὶ ταῦτα τῶν δοκούντων ἱκανωτάτων ἀνδρῶν εἶναι; πῶς δὲ πάντες ἐζήλουν ἂν τοὺς τυράννους; ὅτι ναὶ μὰ τὸν Δί', ἔφη ὁ Ἱέρων, ἄπειροι ὄντες ἀμφοτέρων τῶν ἔργων, σκοποῦνται περὶ αὐτοῦ. ἐγὼ δὲ πειράσομαί σε διδάσκειν ὅτι ἀληθῆ λέγω, ἀρξάμενος ἀπὸ τῆς ὄψεως. ἐντεῦθεν γὰρ καὶ σὲ δοκῶ μεμνῆσθαι ἀρξάμενον λέγειν. πρῶτον μὲν γὰρ ἐν τοῖς διὰ τῆς ὄψεως θεάμασι λογιζόμενος, εὑρίσκω μειονεκτοῦντας τοὺς τυράννους. ἄλλα μέν γε ἐν ἄλλῃ χώρᾳ ἐστὶν ἀξιοθέατα. ἐπὶ δὲ τούτων ἕκαστα οἱ μὲν ἰδιῶται ἔρχονται, καὶ εἰς πόλεις ἃς ἂν βούλωνται θεαμάτων ἕνεκα, καὶ εἰς τὰς κοινὰς πανηγύρεις, ἔνθα τὰ ἀξιοθεατότατα

θεώτατα δοκεῖ εἶναι ἀνθρώποις συναγείρεσθαι. οἱ δὲ τύ-
ραννοι οὐ μάλα ἀμφὶ θεωρίας ἔχουσιν. οὔτε γὰρ ἰέναι αὐ-
τοῖς ἀσφαλὲς, ὅπου μὴ κρείττονες τῶν παρόντων μέλ-
λουσιν ἔσεσθαι. οὔτε τὰ οἴκοι κέκτηνται ἐχυρὰ, ὥστε ἄλλοις
παρακαταθεμένους ἀποδημεῖν. φοβερὸν γὰρ μὴ ἅμα στε-
ρηθῶσι τῆς ἀρχῆς, καὶ ἀδύνατοι γένωνται τιμωρήσασθαι τοὺς
ἀδικήσαντας. εἴποις οὖν ἂν ἴσως σύ. ἀλλ' ἄρα ἔρχεται αὐ-
τοῖς τὰ τοιαῦτα, καὶ οἴκοι μένουσι. ναὶ μὰ Δία, ὦ σιμωνί-
δη, ὀλίγα γε τῶν πολλῶν. καὶ ταῦτα τοιαῦτα ὄντα, οὕτω
τίμια πωλεῖται τοῖς τυράννοις, ὥστε οἱ ἐπιδεικνύμενοι
καὶ ὁτιοῦν, ἀξιοῦσι πολλαπλάσια λαβόντες ἐν ὀλίγῳ χρόνῳ
ἀπιέναι παρὰ τοῦ τυράννου, ἢ ὅσα ἐν παντὶ τῷ βίῳ, παρὰ
πάντων τῶν ἄλλων ἀνθρώπων κτῶνται. καὶ ὁ σιμωνίδης εἶ-
πεν· ἀλλ' εἰ τοῖς θεάμασι μειονεκτεῖτε, διά γε τῆς ἀκοῆς
πλεονεκτεῖτε. ἐπεὶ τοῦ μὲν ἡδίστου ἀκροάματος ἐπαίνου, οὔπο-
τε σπανίζετε. πάντες γὰρ οἱ παρόντες ὑμῖν πάντα καὶ ὅσα ἂν
λέγητε, καὶ ὅσα ἂν ποιῆτε, ἐπαινοῦσι. τοῦ δ' αὖ χαλεπωτά-
του ἀκροάματος λοιδορίας, ἀνήκοοί ἐστε. οὐδεὶς γὰρ ἐθέλει
τυράννου κατ' ὀφθαλμοὺς κατηγορεῖν. καὶ ὁ ἱέρων εἶπε· καὶ
τί οἴει, ἔφη, τοὺς μὴ λέγοντας κακῶς εὐφραίνειν, ὅταν εἰ-
δῇ τις σαφῶς, ὅτι οἱ σιωπῶντες οὗτοι πάντες, κακὰ νοοῦ-
σι τῷ τυράννῳ, ἢ τοὺς ἐπαινοῦντας; τί δοκεῖς εὐφραί-
νειν, ὅταν ὕποπτοι ὦσιν, ἕνεκα τοῦ κολακεύειν, τοὺς ἐπαί-
νους ποιεῖσθαι. καὶ ὁ σιμωνίδης εἶπε· τοῦτο μὲν δὴ, ναὶ μὰ
τὸν Δία ἔγωγέ σοι ἱέρων πάνυ συγχωρῶ. τοὺς ἐπαίνους
παρὰ τῶν ἐλευθερωτάτων ἡδίστους εἶναι. ἀλλ' ὁρᾷς ἐκεῖνό γε
οὐκ ἂν ἔτι πείσαις ἀνθρώπων οὐδένα, ὡς οὐ δι' ὧν τρεφόμε-
θα οἱ ἄνθρωποι, πολὺ πλείω ὑμεῖς ἐν αὐτοῖς εὐφραίνε-
σθε. καὶ οἶδά γ', ἔφη, ὦ σιμωνίδη, ὅτι τούτῳ κρίνουσιν οἱ
πλεῖστοι ἥδιον ἡμᾶς καὶ πίνειν καὶ ἐσθίειν τῶν ἰδιωτῶν, ὅτι
δοκοῦσι καὶ αὐτοὶ ἥδιον ἂν δειπνῆσαι τὸ ἡμῖν παρατι-
θέμενον δεῖπνον, ἢ τὸ ἑαυτοῖς. τὸ γὰρ τὰ εἰωθότα ὑπερ-
βάλλον, τοῦτο παρέχει τὰς ἡδονὰς, διὸ καὶ πάντες ἄνθρω-
ποι ἡδέως προσδέχονται τὰς ἑορτὰς, πλὴν οἱ τύραννοι.
ἔκπλεω γὰρ αὐτοῖς ἀεὶ παρεσκευασμέναι, οὐδεμίαν ἐν ταῖς
ἑορταῖς ἔχουσιν αἱ τράπεζαι αὐτῶν ἐπίδοσιν. ὥστε ταύτῃ πρῶ-
τον τῇ εὐφροσύνῃ τῆς ἐλπίδος, μειονεκτοῦσι τῶν ἰδιωτῶν.
ἔπειτα δ', ἔφη, ἐκεῖνο εὖ οἶδ', ὅτι καὶ σὺ ἔμπειρος εἶ, ὅτι
ὅσῳ ἂν πλείω τις παραθῆται τὰ περιττὰ τῶν ἱκανῶν, τοσούτῳ
θᾶττον κόρος ἐμπίπτει τῆς ἐδωδῆς. ὥστε καὶ τῷ χρόνῳ τῆς ἡδο-
νῆς μειονεκτεῖ ὁ παρατιθέμενος, πολλὰ τῶν μετρίως διαιτω-
μένων. ἀλλὰ ναὶ μὰ Δί', ἔφη ὁ σιμωνίδης, ὅσον χρόνον ἡ
ψυχὴ προσίεται, τοῦτον πολὺ μᾶλλον ἥδονται οἱ ταῖς πολυτε-
λεστέραις παρασκευαῖς τρεφόμενοι, τῶν τὰ εὐτελέστερα παρα-
τιθεμένων. οὐκοῦν, ἔφη ὁ ἱέρων, ὦ σιμωνίδη, τὸν ἑκάστῳ
ἡδόμενον, μάλιστα τοῦτον οἴει, καὶ ἐρωτικώτατα ἔχειν τοῦ ἔρ-
γου τούτου; πάνυ μὲν οὖν, ἔφη. ἦ οὖν ὁρᾷς τι τοὺς τυράννους
ἥδιον ἐπὶ τὴν ἑαυτῶν παρασκευὴν ἰόντας, ἢ τοὺς ἰδιώτας
ἐπὶ τὴν ἑαυτῶν; οὐ μὰ τὸν Δί', ἔφη, οὐ μὲν οὖν, ἀλλὰ καὶ ἀγλυ-
κέστερον ὡς πολλοῖς ἂν δόξειε. τί γὰρ, ἔφη ὁ ἱέρων, τὰ πολ-
λὰ ταῦτα μηχανήματα κατανενόηκας ἃ παρατίθεται τοῖς
τυράννοις, ὀξέα καὶ δριμέα καὶ στρυφνὰ, καὶ τὰ τούτων ἀ-
δελφά; πάνυ μὲν οὖν, ἔφη ὁ σιμωνίδης. καὶ πάνυ γέ μοι
δοκοῦντα παρὰ φύσιν εἶναι ταῦτα ἀνθρώποις. ἄλλο τι
οὖν οἴει, ἔφη ὁ ἱέρων, ταῦτα τὰ ἐδέσματα εἶναι, μαλακῆς
καὶ ἀσθενούσης τρυφῆς, ψυχῆς ἐπιθυμήματα. ἐπεὶ εὖ οἶδ'
ἔγωγε

ctatu dignas, iisdem licet accedere. Tyrãni porro nõ multum
indulgent spectaculis, raroq; intersunt, eo quod ipsis eo profici
sci tutũ nõ est, ubi nõ sint futuri superiores iis qui adsunt. Nec
pro his quæ domi possident acceperunt pignora, ut his apud
alios depositis, liceat abesse peregre. Metuendũ enim est, ne si
mul & principatu excutiãtur, & facultatẽ amittant ulciscen
di eos à quibus læsi sunt. Proinde forsitã dices tu quidem: Ista
nimirũ spectacula ueniũt ad tyrãnos, etiam si domi maneant.
Veniunt per Ioue, ô Simonides, at non solum pauca è multis,
10 uerumetiã cum eiusmodi sint, adeo care emenda tyrannis, ut
qui uel qualecunq; spectaculum ediderint, postulẽt longe ma
ioribus præmiis breui tempore acceptis, à rege discedere, quã
quæ per omnem uitam à cæteris omnibus parant. Tum Simo-
nides: Verùm, inquit, quanq̃ inferiores estis in spectaculis, ta-
men potiores fertis in his quæ delectant aureis: quandoquidẽ
laudum, quibus nihil est auditu iucundius, nulla unquam uo-
bis est penuria. Quotquot enim sunt qui uobiscum agunt con
suetudinem, omnia quæcunq; uel dictis uel factis, laudant. Cæ
terum à cõuiciis, quibus nihil est auditu insuauius, liberæ sunt
20 aures uestræ. Nullus enim uult tyrannum coràm & in os uitu
perare. Tum Hieron: Et quid, inquit, uoluptatis existimas af-
ferre eos, qui nõ maledicunt, ubi quis euidenter perspicit, quod
hi omnes dum tacent male uolunt tyranno? At quid uolupta-
tis afferre putas eos, qui laudant, cum suspecti sint quod assen
tandi gratia laudent, nõ ex animo? At Simonides: In hoc qui-
dem per Iouẽ, inquit, tibi prorsus assentior Hieron, laudes alla
tas ab his qui quàm maxime liberi sunt, esse multo iucundissi-
mas. Verumtamẽ illud plane uides quod nequaquã ulli morta
lium persuasurus es, quin in his quib. alũtur homines, uos lon
30 ge plus uoluptatis capiatis. Nec istud, inquit, me fugit, ô Simo
nides, ita plerisq; uideri, nos tum edere, tum bibere suauius pri
uatis, eo quod ipsi quoq; sibi uidẽtur iucundius cœnaturi cœ-
nam quæ nobis apponitur, q̃ eam quæ ipsis apponitur. Nõ.n.
ipsa res uoluptatẽ affert. Sed hoc illos delectat, quod appara-
tus superat ea quibus assueuerũt. Eoq; cuncti mortales cupide
expectãt dies festos, exceptis tyrãnis. semper enim his splendi
dus est apparatus, nec ullam illorũ mensæ dieb. festis accipiũt
accessionẽ. Primum igitur quod ad hanc uoluptatẽ, quam ad-
fert spes, attinet, deteriore conditione sunt reges q̃ priuati. Præ
40 terea, inquit, illud sat scio, tu quoq; uel experiẽtia compertum
habes, quo cuiq; plura supra quàm sat est, ac redundantia ap
ponuntur, tanto citius edendi satietatem oboriri. Ita fit ut ipso
quoq; tempore, quo cibũ capis, si multa apponantur, deterius
habeas, q̃ iàm qui moderato sunt uictu. Atqui per Iouẽ, inquit
Simonides, tantisper dum appetit animus, multo plus habẽt uo
luptatis qui splendido uiuunt apparatu, q̃ hi quibus tenuis ui
ctus apponitur. Ad hæc Hieron: Itáne, inquit, o Simonides, pu
tas eum qui re quapiã delectatur, hunc protinus maxime affi-
ci, ac uehemẽtissimo amore teneri eius negocii? Equidem pror
50 sus arbitror, inquit. Nónne igitur uides reges aliquãto liben-
tius ad suos apparatus ire, an homines priuatos ad suos? Ne-
quaquam per Iouem, inquit, non sane uideo, sed illubentius, ut
uulgo quidem uideri possit. Tum Hieron: Quid, inquit, num
ista multo studio arteq; confecta considerasti, quæ regibus
apponuntur, acria, amara, austeraq́;, & his germana? Pror-
sus, inquit Simonides, consideraui, planeq; mihi quidem ista
uidentur esse præter hominum naturam. Quid igitur, inquit
Hieron, aliud existimas hoc genus epulas esse, nisi mollium
& effœminatarum deliciarum animi concupiscentias? Si-
quidem ego sane probe noui, quin nosti tu quoq; forsitan;
quod

quod qui cupide uefcuntur, nihil opus habent iſtis arte additis conduturis. Quinetiam uobis ex odoribus, inquit Simonides, iſtis precioſis quibus ungimini, arbitror eos plus boni capere qui ſunt familiares, quam uoſipſos: quandoquidem & ingratos odores non ſentit is qui ſe illis expleuit, ſed hi potius qui ad eum qui deuorauit accedunt. Itidem, inquit Hieron, uſu uenit in cibis: cui perpetuo ſuppetit omne genus epularum, nihil illorum ſumit cum appetentia. Verum cui quid raro contigit, is demum eſt qui cum uoluptate ſatiatur, ſi quid illi obijciatur. Solæ igitur, inquit Simonides, ueneree rei delectationes ueniunt in periculum, ne uideantur regni cupiditatem afferre. Hic enim ſolis uobis licet, ut quidque uiſum fuerit pulcherrimum, cum eo congredi. Nunc demum, inquit Hieron, commemoraſti, in quo citra controuerſiam inferiores ſumus hominibus priuatis. Principio nanque pulcherrimum eſſe uidetur uxorem ducere ex his qui tum opibus, tum potentia præcellunt, eaq; res putatur adiungere cum uoluptate dignitatis nonnihil ei qui duxit. Proximum autem eſt, ex paribus uxorem aſciſcere. Cæterum qui ex inferioribus ducit, prorſus contemptus & inutilis habetur. At regi, niſi peregrinam ducat, ex inferioribus ducat neceſſe eſt. Vnde fit, ut non admodum ad illum perueniat illud amabile, uigorq; charitatis, quæ inter eiuſdem ciuitatis coniuges intercedit. Iam uero & coli, captariq; à fœminis ſplendidis, ac ſummopere magnificis, plurimum habet uoluptatis. Cæterum quæ ueniunt ab ancillis culturæ, cum adſunt, nihil explent animum. Sin deſint alicubi, graues tum iras, tum moleſtias gignunt in nobis. Porro in puellarum amoribus, multo etiam minus habet uoluptatum tyrannus, quàm in uxoribus quæ ducuntur gignendæ proli. Nam quod uenerei congreſſus, ſi adſit amor, plurimum afferant uoluptatis, profecto perſpicuum eſt nobis omnibus. At amor nulli minus inſinuat ſeſe quàm tyranno. Neque enim amor appetere gaudet ea quæ in promptu ſunt, ſed ea quæ ſperantur. Proinde non aliter quàm ſi qui nunquam expertus eſt ſitim, potum nanciſcatur, itidem qui eſt expers amoris, expers eſt iucundiſſimæ Veneris. Hunc igitur in modum locutus eſt Hieron. Simonides uero arridens: Quid ais, inquit, Hieron? Negas puellarum amores inſeri regum animis? Quomodo igitur, inquis, amas Dailocham, cui cognomen eſt pulcherrima? Quoniam per Iouem, inquit, ô Simonides, non hoc amo quod ab ea conſequi uidetur eſſe procliue, uerum ideo iuuat quod minime regem deceat hoc facere: Nam ego quidem diligo Dailocham, ob quæcunque ſunt illa, quæ fortaſſis natura hominis cogit à formoſis petere. Cæterum his potiri quæ amo, ut cum mutua beneuolentia & à uolente contingat, uehementer opto. Vt autem ui ab illa ſumam, minus mihi uideor concupiſcere, quàm mihi ipſi mali quippiam facere. Nam ab inuitis hoſtibus aliquid ſumere, rem equidem arbitror omnium iucundiſſimam. Sed à puellis uolentibus, gratia, ut opinor, iucundiſſima uenit. Protinus enim ipſe mutuus redamantis aſpectus iucundus eſt, iucundæ percontationes, iucundæ reſponſiones: iucundiſſimæ uero, & in primis uenereæ tum lites, tum contentiones. At inuitis puellis frui, latrocinio, inquit, mihi ſimilius uidetur, quàm uoluptati ueneree. Quanquàm prædoni nonnihil affert uoluptatis, partim lucrum, partim quod urit inimicum. At quam quis amat, eius cruciatu gaudere, & amantem odiſſe, & attingere moleſte ferentem, an non hoc graue ac miſerandum eſt malum? Etenim

ἔγωγε, ὅτι οἱ ἡδέως ἐσθίοντες, καὶ σύ που εἶδες, ὅτι οὐδὲν προσδέονται τούτων τῶν σοφισμάτων. ἀλλὰ μέντοι, ἔφη ὁ Σιμωνίδης, τῶν γε πολυτελῶν ὀσμῶν τούτων αἷς χρίεσθε, τοὺς πλησιάζοντας οἶμαι μᾶλλον ἀπολαύειν, ἢ αὐτοὺς ὑμᾶς. ὥσπερ γε καὶ τῶν ἀχαρίτων ὀσμῶν, οὐκ αὐτὸς ὁ βεβρωκὼς αἰσθάνεται, ἀλλὰ μᾶλλον οἱ πλησιάζοντες. οὕτω μέντοι, ἔφη ὁ Ἱέρων, καὶ τῶν σίτων. ὁ μὲν ἔχων παντοδαπὰ ἀεὶ, οὐδὲν μετὰ πόθου αὐτῶν λαμβάνει. ὁ δὲ σπανίσας τινὸς, οὗτός ἐστιν ὁ μετὰ χαρᾶς πιμπλάμενος, ὅταν αὐτῷ προφανῇ τι. κινδυνεύουσιν, ἔφη ὁ Σιμωνίδης, αἱ τῶν ἀφροδισίων μόνον ὑμῖν ἀπολαύσεις, τοῦ τυραννεῖν τὰς ἐπιθυμίας παρέχειν. ἐν γὰρ τούτῳ ἔξεστιν ὑμῖν ὅ, τι ἂν κάλλιστον ἴδητε, τούτῳ συνεῖναι. νῦν δὴ, ἔφη ὁ Ἱέρων, εἴρηκας, ἐν ᾧ σάφ' ἴσθι μειονεκτοῦμεν τῶν ἰδιωτῶν. πρῶτον μὲν γὰρ γάμος, ὁ μὲν ἐκ μειζόνων δή που καὶ πλούτῳ καὶ δυνάμει, κάλλιστος δοκεῖ εἶναι, καὶ παρέχειν τινὰ τῷ γήμαντι φιλοτιμίαν μεθ' ἡδονῆς. δεύτερον δ' ὁ ἐκ τῶν ὁμοίων. ὁ δ' ἐκ τῶν φαυλοτέρων πάνυ ἄτιμός τε καὶ ἄχρηστος νομίζεται. τῷ τοίνυν τυράννῳ ἂν μὴ μὲν ξένην γήμῃ, ἀνάγκη ἐκ μειόνων γαμεῖν. ὥστε τὸ ἀγαπητὸν οὐ πάνυ αὐτῷ παραγίνεται. πολὺ δὲ καὶ αἱ θεραπεῖαι, αἱ ἀπὸ τῶν μέγιστον φρονουσῶν γυναικῶν εὐφραίνουσι μάλιστα· αἱ δ' ὑπὸ δούλων παροῦσαι μὲν, οὐδέν τι ἀγαπῶνται. ἐὰν δέ τι ἐλλείπωσι, δεινὰς ὀργὰς καὶ λύπας ἐμποιοῦσιν. ἐν δὲ τοῖς παιδικοῖς ἀφροδισίοις, ἔτι αὖ πολὺ μᾶλλον ἢ ἐν τοῖς τεκνοποιοῖς μειονεκτεῖ τῶν εὐφροσυνῶν ὁ τύραννος. ὅτι γὰρ τὰ μετ' ἔρωτος ἀφροδίσια πολὺ διαφερόντως εὐφραίνει, πάντες δή που ἐπιστάμεθα. ὁ δὲ ἔρως πολὺ αὖ ἐθέλει ἥκιστα τῷ τυράννῳ ἐγγίγνεσθαι. οὐ γὰρ τῶν ἑτοίμων ἥδεται ἔρως ἐφιέμενος, ἀλλὰ τῶν ἐλπιζομένων. ὥσπερ οὖν εἴ τις ἄπειρος ὢν δίψους, τοῦ πιεῖν οὐκ ἀπολαύοι, οὕτω καὶ ὁ ἄπειρος ὢν ἔρωτος, ἄπειρός ἐστι τῶν ἡδίστων ἀφροδισίων. ὁ μὲν οὖν Ἱέρων οὕτως εἶπεν. ὁ δὲ Σιμωνίδης ἐπιγελάσας, πῶς λέγεις, ἔφη, ὦ Ἱέρων; τυράννῳ οὐ φῂς παιδικῶν ἔρωτας ἐμφύεσθαι; πῶς μὴν σὺ, ἔφη, ἐρᾷς Δαϊλόχου τοῦ καλλίστου ἐπικαλουμένου; ὅτι μὰ τὸν Δί', ἔφη, ὦ Σιμωνίδη, οὐ τοῦ ἑτοίμου παρ' αὐτοῦ δοκοῦντος εἶναι τυχεῖν, τούτου μάλιστα ἐπιθυμῶ, ἀλλὰ τοῦ ἥκιστα τυράννῳ προσήκοντος κατεργάσασθαι. ἐγὼ γὰρ δὴ ἐρῶ μὲν Δαϊλόχου, ὧν περ ἴσως ἀναγκάζει ἡ φύσις ἀνθρώπου δεῖσθαι παρὰ τῶν καλῶν. τούτων δὲ ὧν ἐρῶ τυχεῖν, μετὰ μὲν φιλίας καὶ παρὰ βουλομένου, πάνυ ἰσχυρῶς ἐπιθυμῶ τυγχάνειν. βίᾳ δὲ λαμβάνειν παρ' αὐτοῦ, ἧττον ἄν μοι δοκῶ ἐπιθυμεῖν, ἢ ἐμαυτὸν κακόν τι ποιεῖν. παρὰ μὲν γὰρ πολεμίων ἀκόντων λαμβάνειν, πάντων ἥδιστον ἔγωγε νομίζω εἶναι. παρὰ δὲ παιδικῶν βουλομένων, ἥδισται οἶμαι αἱ χάριτές εἰσιν. εὐθὺς γὰρ παρὰ τοῦ ἀντιφιλοῦντος ἡδεῖαι μὲν αἱ ἀντιβλέψεις, ἡδεῖαι δὲ αἱ ἐρωτήσεις, ἡδεῖαι δὲ αἱ ἀποκρίσεις· ἥδισται δὲ καὶ ἐπαφροδιτόταται αἱ μάχαι τε καὶ ἔριδες. τὸ δὲ ἀκόντων παιδικῶν ἀπολαύειν, τῇ λεηλασίᾳ, ἔφη, ἔμοιγε δοκεῖ ἐοικέναι μᾶλλον, ἢ ἀφροδισίοις. καίτοι τῷ μὲν λῃστῇ παρέχει τινὰς ὅμως ἡδονὰς, τό, τε κέρδος, καὶ τὸ ἀνιᾶν τὸν ἐχθρόν. τὸ δὲ οὗ ἂν ἐρᾷ τις, τούτῳ ἥδεσθαι ἀνιωμένῳ, καὶ φιλοῦντα μισεῖσθαι, καὶ ἅπτεσθαι ἀχθομένου, πῶς οὐχὶ τοῦτο ἤδη δυσχερὲς τὸ πάθημα καὶ οἰκτρόν. ἐν

γάρ

γὰρ δὴ τῷ μὲν ἰδιώτῃ εὐθὺς τεκμήριόν ἐστιν, ὅταν ὁ ἐ-
ρώμενός τι ὑπουργῇ, ὅτι ὡς φιλῶν χαρίζεται, διὰ τὸ εἰ-
δέναι ὅτι οὐδεμιᾶς ἀνάγκης οὔσης ὑπηρετεῖ. τῷ δὲ
τυράννῳ οὔ ποτ᾽ ἔστι πιστεῦσαι ὡς φιλεῖται. ἐπιστάμεθα
γὰρ αὖ τοὺς διὰ φόβον ὑπηρετοῦντας, ὡς ἦ μάλιστ᾽ ἂν δύ-
νωνται, ἐξεικάζοντας αὑτοὺς ταῖς τῶν φιλούντων ὑπουρ-
γίαις. καὶ τοίνυν αἱ ἐπιβουλαὶ ἐξ οὐδένων πλείονες τοῖς
τυράννοις εἰσὶν, ἢ ἀπὸ τῶν μάλιστα φιλεῖν αὐτοὺς προσ-
ποιησαμένων. πρὸς ταῦτα εἶπεν ὁ Σιμωνίδης· ἀλλὰ ταῦ-
τα μὲν πάνυ ἔμοιγε μικρὰ δοκεῖ εἶναι ἃ σὺ λέγεις. πολ-
λοὺς γὰρ, ἔφη, ἔγωγε ὁρῶ τῶν δοκούντων ἀνδρῶν εἶναι,
ἑκόντας μειονεκτοῦντας, καὶ σίτων, καὶ ποτῶν, καὶ ὄψων,
καὶ ἀφροδισίων γε ἀπεχομένους. ἀλλ᾽ ἐν ἐκείνοις γε πο-
λὺ διαφέρετε τῶν ἰδιωτῶν, ὅτι μεγάλα μὲν ἐπινοεῖτε,
ταχὺ δὲ κατεργάζεσθε. πλεῖστα δὲ τὰ περιττὰ ἔχετε. κέ-
κτησθε δὲ διαφέροντας μὲν ἀρετῇ ἵππους. διαφέροντα
δὲ κάλλει ὅπλα· ὑπερέχοντα δὲ κόσμον γυναιξί· μεγα-
λοπρεπεστάτας δ᾽ οἰκίας, καὶ ταύτας κατεσκευασμένας
τοῖς πλείστου ἀξίοις. ἔτι δὲ πλήθει καὶ ἐπιστήμαις θερα-
πόντας ἀρίστους κέκτησθε. ἱκανώτατοι δέ ἐστε, κακῶσαι
μὲν ἐχθροὺς, ὀνῆσαι δὲ φίλους. πρὸς ταῦτα δὲ ὁ Ἱέρων
εἶπεν· ἀλλὰ τὸ μὲν πλῆθος τῶν ἀνθρώπων, ὦ Σιμωνίδη,
ἐξαπατᾶσθαι ὑπὸ τῆς τυραννίδος, οὐδέν τι θαυμά-
ζω. μάλα γὰρ ὁ ὄχλος μοι δοκεῖ δοξάζειν ὁρῶν καὶ εὐ-
δαίμονάς τινας εἶναι καὶ ἀθλίους. ἡ δὲ τυραννὶς τὰ μὲν δο-
κοῦντα πολλοῦ ἄξια κτήματα εἶναι, ἀνεπτυγμένα θεᾶσθαι,
φανερὰ πᾶσι παρέχεται, τὰ δὲ χαλεπὰ ἐν ταῖς ψυχαῖς
τῶν τυράννων κέκτηται ἀποκεκρυμμένα, ἔνθαπερ καὶ
τὸ εὐδαιμονεῖν καὶ τὸ κακοδαιμονεῖν, τοῖς ἀνθρώποις
ἀπόκειται. τὸ μὲν οὖν τὸ πλῆθος περὶ τούτου λεληθέ-
ναι, ὥσπερ εἶπον, οὐ θαυμάζω. τὸ δὲ καὶ ὑμᾶς ταῦτ᾽ ἀ-
γνοεῖν, οἳ διὰ τῆς γνώμης δοκεῖτε θεᾶσθαι κάλλιον, ἢ διὰ
τῶν ὀφθαλμῶν τὰ πλεῖστα τῶν πραγμάτων, τοῦτό μοι δο-
κεῖ θαυμαστὸν εἶναι. ἐγὼ δὲ πεπειραμένος σαφῶς οἶδα,
ὦ Σιμωνίδη, καὶ λέγω σοὶ ὅτι οἱ τύραννοι τῶν μεγίστων
ἀγαθῶν, ἐλάχιστα μετέχουσι, τῶν δὲ μεγίστων κακῶν, πλεῖ-
στα κέκτηνται. αὐτίκα γὰρ εἰ ἡ εἰρήνη δοκεῖ μέγα ἀγαθὸν
τοῖς ἀνθρώποις εἶναι, ταύτης ἐλάχιστον τοῖς τυράννοις μέτε-
στιν. εἰ δὲ πόλεμος μέγα κακὸν, τούτου πλεῖστον μέρος
οἱ τύραννοι μετέχουσιν. εὐθὺς γὰρ τοῖς μὲν ἰδιώταις,
ἂν μὴ ἡ πόλις αὐτῶν κοινὸν πόλεμον πολεμῇ, ἔξεστιν ὅ-
ποι ἂν βούλωνται πορεύεσθαι, μηδένα φοβουμένους, μή
τις αὐτοὺς ἀποκτείνῃ. οἱ δὲ τύραννοι πάντες πανταχῆ,
ὡς διὰ πολεμίας πορεύονται. αὐτοί τε γοῦν ὡπλισμένοι
οἴονται ἀνάγκην εἶναι διάγειν, καὶ ἄλλους ὁπλοφόρους ἀεὶ
συμπεριάγεσθαι. ἔπειτα δὲ οἱ μὲν ἰδιῶται, ἐὰν καὶ στρα-
τεύωνταί ποι εἰς πολεμίαν, ἀλλ᾽ οὖν ἐπειδάν γε ἔλθω-
σιν οἴκαδε, ἀσφάλειαν σφίσιν ἡγοῦνται εἶναι. οἱ δὲ τύραν-
νοι, ἐπειδὰν εἰς τὴν ἑαυτῶν πόλιν ἀφίκωνται, τότε ἐν πλεί-
στοις πολεμίοις ἴσασιν ὄντες. ἐὰν δὲ δὴ καὶ ἄλλοι στρατεύω-
σιν εἰς τὴν πόλιν κρείττονες, ἐὰν ἔξω τοῦ τείχους ὄντες
οἱ ἥττονες, ἐν κινδύνῳ δοκοῦσιν εἶναι. ἀλλ᾽ ἐπειδάν γε
εἴσω τοῦ ἐρύματος ἔλθωσιν, ἐν ἀσφαλείᾳ πάντες νομί-
ζουσι καθεστάναι. ὁ δὲ τύραννος, οὐδ᾽ ἐπειδὰν εἴσω τῆς
οἰκίας παρέλθῃ ἐν ἀκινδύνῳ ἐστίν· ἀλλ᾽ ἐνταῦθα δὴ καὶ
μάλιστα φυλακτέον οἴεται εἶναι. ἔπειτα τοῖς μὲν ἰδιώταις
καὶ

enim homini priuato protinus argumentum est mutui amoris, ubi quæ diligitur præstat officij quippiam, eo quod ueluti diligens gratificatur, eo quod nouit illam, cum nulla sit necessitas, ultrò inseruire. Tyranno uerò nihil est quod fidem faciat animi mutui. Nouimus enim eos qui nobis ob metum inseruiunt, quàm possunt maxime assimulare amantium obsequia. Atqui à nullis plus insidiarum regibus tenditur, quàm ab his qui se simulant amare maxime. Ad hæc ita respondit Simonides: Ista uero quæ hactenus narras mihi, uidentur admodum exigui momenti. Multos enim uideo graues, probatosq; uiros esse, qui in hisce rebus sponte sunt alijs inferiores: quippe tum à cibis, tum à potu, tum ab obsonijs, ac rebus adeo ueneréis abstinentes. Cæterum in hoc longe præcellitis homines plebeios, quod ut res magnificas excogitatis, ita quod excogitatum est, celeriter perficitis. Ad hæc, facultates habetis multas & opimas, possidetis equos uirtute præstantes, tum arma insigniter pulchra, mundum eximium uxoribus, ædes magnificentissimas, easq; rebus preciosissimis instructas. Adde his, quod famulos tum multitudine, tum artibus præcellentissimos possidetis. Præterea maxima uobis suppetit facultas, uel hostibus nocendi, uel amicos iuuandi. His ita respondit Hieron: Multitudinē popularem in iudicio de regno hallucinari, nihil admiror. Nam uulgus uidetur maiorem in modum suspicere, si quos conspicatur fortunæ bonis splendidos, cum sint miseri. Regnum autem, possessiones, quæ uidentur plurimi esse precij, explicatas expositasq; spectaculo palàm omnibus exhibet. Contrà, quæ molesta sunt, in animis regum tenentur abdita: ubi situm est demū hominibus, ut aut fœlices sint, aut infelices. His igitur in rebus falli quidem plebeiam multitudinē, haud admiror: uos autem hæc ignorare, qui & mente uidemini perspicere melius, quàm res plerasq; cernitis oculis, id uero mihi uidetur admiratione dignum. At ipse, ô Simonides, & experimentis certò cognitum habeo, et tibi confirmo, tyrannos maximorū bonorum minime participes esse: contrà maximorū malorum illis summam adesse copiam. Protinus enim si pax hominibus uidetur ingens bonum, huius minima pars redit ad reges. Sin pro magno bellum habetur, huius multo maxima pars ad reges pertinet. Contrà priuatis, nisi ciuitas bellum commune susceperit, protinus liberum est quocūq; uoluerint proficisci, nihil formidantibus, ne quis ipsos interficiant. Tyranni autem omnes quoquo se conferāt, quasi per hostilia castra proficiscuntur: eoq; necesse putant, ut & ipsi semper sint armati, & alios armigeros iugiter secum circunferant. Præterea priuati etiam si quando proficiscantur in expeditionem, tamen simulatq; domum se receperint, existimant sibi res esse tutas. Contrà tyranni cum in suam peruenerint ciuitatem, tum intelligunt sese inter hostes esse plurimos. Quod si qui potentiores alij ducant exercitum aduersus ciuitatem, licet qui sunt extra mœnia, quoniam sunt inferiores, in periculo uideantur esse: tamen simulac intra munitiones se receperint, omnes se credunt esse in tuto. At tyrannus ne tum quidem liber est à periculo, cum in domus suæ penetralia peruenerit: quin potius tum maxime putat esse cauendum. Insuper priuatis,

inte-

interim per fœdera, interim per pacem datur a bello requies: tyrannis autem nunquam pax est cum his quos imperio premunt, neq; quisquam tyrãnus unquam fœderibus poßit fidere. Iam bella partim sunt quæ gerunt ciuitates, partim quæ tyranni cum his quos oppresserunt. Ex his sane bellis quecquid est malorum, ea tyrãnus cum ciuitatibus habet communia, eo quod necesse sit & tyrannũ & ciuitatem tum in armis esse, tum excubias agere, tum periclitari: et si quid triste acciderit uictis, utriq; super hoc discruciãtur. Atq; hactenus quidem par est illis bellorum conditio. Cæterum quæ iucunda accidunt ciuitatibus, cum ciuitatibus bellum gerentibus, ea tyranni non habent. Nam ciuitates profecto si quando deuicerint hostes, haud dictu facile sit quantã capiant uoluptatem, dum inimicos cogunt terga uertere, quantam dum fugientes insequuntur, quantam dum trucidant hostes: quàm uero exultant ac gestiunt de re præclare gesta, q̃ illustrem referunt gloriam, quàm gaudent, arbitrantes rempub. cõmodis auctam esse. Tum illorum quisq; iactat se & consilij fuisse participem, & quamplurimos dedisse neci. Difficile uero reperias, ubi non etiam affingant aliquid, narrantes se plures occidisse, quàm reuera perierint: usqueadeo res istis uidetur speciosa, quod ciuitas uicerit. At tyrannus ubi suspicatur, aut etiam re compertum habet esse qui ipsi reluctentur, postquam occiderit illos, nouit non totam ciuitatem in ipsius parteis accessuram, neq; nescit quod iam paucioribus sit imperaturus: eoq; nõ potest hilaris esse, neque se iactat de facinore, sed rem eleuat quantum potest, excusatq; sese simul hoc agens, ut ne per iniuriam fecisse uideatur. Adeo nec ipsi quod geritur, honestũ esse uidetur. Deinde occisis quos metuebat, nihilo magis ob id securus est, quin potius iam magis sibi cauet quàm antea. Ac tyrannus quidem tale bellum habet perpetuo, quod ipse in me perspicuum facio. Nunc porro considera amicitias, quarum participes sunt tyranni. Primum enim quoniam magnum bonum hominib. est amicitia, hoc consideremus. Etenim quicunq; uidelicet diligitur ab aliquibus, amãtes libenter hunc intuentur præsentem, libenter benefaciunt: & si quo discesserit, eius tenentur desiderio, ac reuersum summa cum uoluptate excipiunt, commodis amici gratulantur: & si quid secus euenerit, opitulantur. Nec hoc fallit ciuitates, amicitiam maximum esse bonum ciuitatibus, remq; iucundißimam mortalibus. Itaq; multæ respub. legem habent ac morem, ut solos adulteros liceat impune occidere: idq; eo quod existiment illos esse corruptores amicitiæ, quæ uiris intercedit cum uxoribus. Nam quoties uxor per calamitatem aliquam coitum admittit, ob id nihilominus eas habent in precio uiri, si modo appareat amicitiam inuiolatam synceramq; manere. Ego sane tam ingẽs bonum iudico amari, ut existimem reuera ei qui diligitur ultro bona affluere tum à dijs, tum ab hominibus. Atq; huius poßeßionis tam præclaræ minus habent tyranni, quàm aliorũ quisquam. Quod si scire cupis, ò Simonides, me uerã loqui, hoc modo considera. Firmißimæ uidentur amicitiæ, quas parentes habent erga liberos, ac liberi uicißim erga parentes: item quas fratres erga fratres, uxores erga maritos, deniq; sodales erga sodales. Quod

si uti

καὶ διὰ σπονδῶν καὶ δι' εἰρήνης γίγνεται πολέμου ἀνάπαυσις. τοῖς δὲ τυράννοις οὔτε εἰρήνη ποτὲ πρὸς τοὺς τυραννευομένους γίγνεται, οὔτε σπονδαῖς ἄν ποτε πιστεύσας ὁ τύραννος θαῤῥήσειε. καὶ πόλεμοι μὲν δή εἰσιν, οὕς τε αἱ πόλεις πολεμοῦσι, καὶ οὓς οἱ τύραννοι πρὸς τοὺς βεβιασμένους. τούτων δὴ τῶν πολέμων ὅσα μὲν ἔχει χαλεπὰ σὺν ταῖς πόλεσι, ταῦτα καὶ ὁ τύραννος ἔχει. καὶ γὰρ ἐν ὅπλοις δεῖ εἶναι ἀμφοτέρους, καὶ φυλάττεσθαι καὶ κινδυνεύειν, καὶ ἄν τι πάθωσι κακὸν ἡττηθέντες, λυποῦνται ἐπὶ τούτοις ἑκάτεροι. μέχρι μὲν δὴ τούτου ἴσοι οἱ πόλεμοι· ἃ δὲ ἔχουσιν ἡδέα οἱ συνόντες πόλεσι πρὸς τὰς πόλεις, ταῦτα οὐκέτι ἔχουσιν οἱ τύραννοι. αἱ μὲν γὰρ πόλεις δήπου ὅταν κρατήσωσι μάχῃ τῶν ἐναντίων, οὐ ῥᾴδιον εἰπεῖν, ὅσην μὲν ἡδονὴν ἔχουσιν ἐν τῷ τρέψασθαι τοὺς πολεμίους, ὅσην δ' ἐν τῷ διώκειν, ὅσην δ' ἐν τῷ ἀποκτείνειν τοὺς πολεμίους. ὡς δὲ γαυροῦνται ἐπὶ τῷ ἔργῳ· ὡς δὲ δόξαν λαμπρὰν ἀναλαμβάνουσιν· ὡς δ' εὐφραίνονται τὴν πόλιν νομίζοντες ηὐξηκέναι. ἕκαστος δέ τις προσποιεῖται καὶ τῆς βουλῆς μετεσχηκέναι, καὶ πλείστους ἀπεκτονέναι. χαλεπὸν δὲ εὑρεῖν ὅπου οὐχὶ καὶ ἐπιψεύδονται, πλέονας φάσκοντες ἀπεκτονέναι, ἢ ὅσοι ἂν τῷ ὄντι ἀποθάνωσιν. οὕτω καλόν τι αὐτοῖς δοκεῖ εἶναι τὸ πολὺ νικᾶν. ὁ δὲ τύραννος ὅταν ὑποπτεύσῃ, καὶ αἰσθανόμενος τῷ ὄντι ἀντιπραττομένους τινὰς ἀποκτείνῃ, οἶδεν ὅτι οὐκ αὔξει ὅλην τὴν πόλιν, ἐπίσταταί τε ὅτι μειόνων ἄρξει, φαιδρός τε οὐ δύναται εἶναι, οὐδὲ μεγαλύνεται ἐπὶ τῷ ἔργῳ, ἀλλὰ καὶ μειοῖ καθ' ὅσον ἂν δύνηται τὸ γεγενημένον, καὶ ἀπολογεῖται ἅμα πράττων, ὡς οὐκ ἀδικῶν πεποίηκεν. οὕτως οὐδ' αὐτῷ δοκεῖ καλὰ τὰ ποιούμενα εἶναι. καὶ ὅταν ἀποθάνωσιν οὓς ἐφοβεῖτο, οὐδέν τι μᾶλλον τούτου θαῤῥεῖ, ἀλλὰ φυλάττεται ἔτι μᾶλλον ἢ πρόσθεν. καὶ πόλεμον μὲν δὴ τοιοῦτον ἔχων διατελεῖ ὁ τύραννος, ὃν ἐγὼ δηλῶ. Φιλίας δὲ αὖ καταθέασαι, ὡς κοινωνοῦσιν οἱ τύραννοι. πρῶτον μὲν, εἰ μέγα ἀγαθὸν ἀνθρώποις ἡ φιλία, τοῦτο ἐπισκεψώμεθα. ὃς γὰρ ἂν φιλῆται δήπου ὑπό τινων, ἡδέως μὲν τοῦτον οἱ φιλοῦντες παρόντα ὁρῶσιν, ἡδέως δ' εὖ ποιοῦσι, ποθοῦσι δὲ ἄν που ἀπίῃ, ἥδιστα δὲ πάλιν προσιόντα δέχονται, συνήδονται δ' ἐπὶ τοῖς ἑαυτοῦ ἀγαθοῖς, συνεπικουροῦσι δὲ ἐάν τι σφαλλόμενον ὁρῶσιν. οὐ μὲν δὴ λέληθεν οὐδὲ τὰς πόλεις, ὅτι ἡ φιλία μέγιστον ἀγαθὸν καὶ ἥδιστον ἀνθρώποις ἐστί. μόνους γοῦν τοὺς μοιχοὺς νομίζουσι πολλαὶ τῶν πόλεων νηποινεὶ ἀποκτείνειν, δηλονότι διὰ ταῦτα, ὅτι λυμαντῆρας αὐτοὺς νομίζουσι τῆς τῶν γυναικῶν φιλίας πρὸς τοὺς ἄνδρας εἶναι. ἐπεὶ ὅταν γε ἀφροδισιασθῇ κατὰ συμφοράν τινα ἡ γυνὴ, οὐδὲν ἧττον τούτου ἕνεκεν τιμῶσιν αὐτὰς οἱ ἄνδρες, ἐάνπερ ἡ φιλία δοκῇ αὐτοῖς ἀκήρατος διαμένειν. τοσοῦτον δέ τι ἀγαθὸν κρίνω ἔγωγε τὸ φιλεῖσθαι εἶναι, ὥστε νομίζω τῷ ὄντι αὐτόματα ἀγαθὰ τῷ φιλουμένῳ γίγνεσθαι καὶ παρὰ θεῶν καὶ παρὰ ἀνθρώπων. καὶ τούτου τοίνυν τοῦ κτήματος τοιούτου ὄντος μειονεκτοῦσιν οἱ τύραννοι πάντων μάλιστα. εἰ δὲ βούλει, ὦ Σιμωνίδη, εἰδέναι ὅτι ἀληθῆ λέγω, ὧδε ἐπίσκεψαι. βεβαιόταται μὲν δήπου δοκοῦσι φιλίαι εἶναι γονεῦσι πρὸς παῖδας, καὶ παισὶ πρὸς γονεῖς, καὶ ἀδελφοῖς πρὸς ἀδελφοὺς, καὶ γυναιξὶ πρὸς ἄνδρας, καὶ ἑταίροις πρὸς ἑταίρους. εἰ τοί-

νυν

νυν ἐθέλεις κατανοεῖν, εὑρήσεις μὲν τοὺς ἰδιώτας ὑπὸ τούτων μάλιστα φιλουμένους. τοὺς δὲ τυράννους πολλοὺς μὲν παῖδας ἑαυτῶν ἀπεκτονηκότας· πολλοὺς δ' ὑπὸ παίδων ἀπολωλότας· πολλοὺς δὲ ἀδελφοὺς ἐν τυραννίσιν ἀλληλοφόνους γεγενημένους. πολλοὺς δὲ καὶ ὑπὸ γυναικῶν τῶν ἑαυτῶν τυράννους διεφθαρμένους, καὶ ὑπὸ ἑταίρων γε τῶν μάλιστα δοκούντων φίλων εἶναι. οἵτινες οὖν ὑπὸ τῶν φύσει πεφυκότων μάλιστα φιλεῖσθαι καὶ νόμῳ συνηναγκασμένων οὕτω μισοῦνται, πῶς ὑπ' ἄλλου γέ τινος οἴεσθαι χρὴ αὐτοὺς φιλεῖσθαι; ἀλλὰ μὴν καὶ πίστεως ὅστις ἐλάχιστον μετέχει, πῶς οὐχὶ μεγάλου ἀγαθοῦ μειονεκτεῖ; ποία μὲν γὰρ ξυνουσία ἡδεῖα ἄνευ πίστεως τῆς πρὸς ἀλλήλους; ποία δ' ἂν ἀνδρὶ καὶ γυναικὶ τερπνὴ ἄνευ πίστεως ὁμιλία; ποῖος δὲ θεράπων ἡδὺς ἀπιστούμενος; καὶ τούτου τοίνυν τοῦ πιστῶς πρός τινας ἔχειν, ἐλάχιστον μέτεστι τυράννῳ, ὁπότε γε οὔτε σιτίοις κρατίστοις πιστεύων διάγει. ἀλλὰ καὶ τούτων πρὶν ἀπάρχεσθαι τοῖς θεοῖς, τοὺς διακόνους πρῶτον κελεύουσιν ἀπογεύεσθαι διὰ τὸ ἀπιστεῖν, μὴ καὶ ἐν τούτοις κακόν τι φάγωσιν ἢ πίωσιν. ἀλλὰ μὴν καὶ αἱ πατρίδες τοῖς μὲν ἄλλοις ἀνθρώποις, πλείστου ἄξιαι. πολῖται γὰρ δορυφοροῦσι μὲν ἀλλήλους ἄνευ μισθοῦ ἐπὶ τοὺς δούλους. δορυφοροῦσι δ' ἐπὶ τοὺς κακούργους, ὑπὲρ τοῦ μηδένα τῶν πολιτῶν βιαίῳ θανάτῳ ἀποθνήσκειν. οὕτω δὲ πόρρω προεληλύθασι φυλακῆς, ὥστε πεποίηνται πολλοὶ νόμον τῷ μιαιφόνῳ, μηδὲ τὸν συνόντα καθαρεύειν. ὥστε διὰ τὰς πατρίδας ἀσφαλῶς ἕκαστος βιοτεύει τῶν πολιτῶν. τοῖς δὲ τυράννοις καὶ τοῦτο ἔμπαλιν ἀνέστραπται. ἀντὶ γὰρ τοῦ τιμωρεῖν, αἱ πόλεις αὐτοῖς μεγάλως τιμῶσι τὸν ἀποκτείναντα τὸν τύραννον. καὶ ἀντί γε τοῦ εἴργειν ἐκ τῶν ἱερῶν, ὥσπερ τοὺς τῶν ἰδιωτῶν φονέας, ἀντὶ τούτου καὶ εἰκόνας ἐν τοῖς ἱεροῖς ἱστᾶσιν αἱ πόλεις τῶν τοιοῦτο ποιησάντων. εἰ δὲ σὺ οἴει ὡς πλείω ἔχων τῶν ἰδιωτῶν κτήματα ὁ τύραννος, διὰ τοῦτο καὶ πλείω ἀπ' αὐτῶν εὐφραίνεται, οὐδὲ τοῦτο οὕτως ἔχει, ὦ Σιμωνίδη. ἀλλ' ὥσπερ οἱ ἀθληταὶ οὐχ ὅταν ἰδιωτῶν γένωνται κρείττονες, τοῦτ' αὐτοὺς εὐφραίνει, ἀλλ' ὅταν τῶν ἀνταγωνιστῶν ἥττους, τοῦτ' αὐτοὺς ἀνιᾷ. οὕτω καὶ ὁ τύραννος οὐχ ὅταν τῶν ἰδιωτῶν πλείω φαίνηται ἔχων, τότ' εὐφραίνεται. ἀλλ' ὅταν ἑτέρων τυράννων ἐλάττω ἔχῃ, τούτῳ λυπεῖται. τούτους γὰρ ἀνταγωνιστὰς ἡγεῖται αὐτῷ τοῦ πλούτου εἶναι. οὐδέ γε θᾶττόν τι γίγνεται τῷ τυράννῳ ἢ τῷ ἰδιώτῃ ὧν ἐπιθυμεῖ. ὁ μὲν γὰρ ἰδιώτης, οἰκίας ἢ ἀγροῦ ἢ οἰκέτου ἐπιθυμεῖ. ὁ δὲ τύραννος ἢ πόλεων, ἢ χώρας πολλῆς, ἢ λιμένων, ἢ ἀκροπόλεων ἰσχυρῶν, ἅ ἐστι πολὺ χαλεπώτερα καὶ ἐπικινδυνότερα κατεργάσασθαι τῶν ἰδιωτικῶν ἐπιθυμημάτων. ἀλλὰ μέντοι καὶ πένητας ὄψει, οὐχ οὕτως ὀλίγους τῶν ἰδιωτῶν, ὡς πολλοὺς τῶν τυράννων. οὐ γὰρ τῷ ἀριθμῷ, οὔτε τὰ πολλὰ κρίνεται, οὔτε τὰ ἱκανά, ἀλλὰ πρὸς τὰς χρήσεις. ὥστε τὰ μὲν ὑπερβάλλοντα τὰ ἱκανά, πολλά ἐστι· τὰ δὲ τῶν ἱκανῶν ἐλλείποντα, ὀλίγα. τῷ οὖν τυράννῳ, τὰ πολλαπλάσια ἧσσον ἱκανά ἐστιν εἰς τὰ ἀναγκαῖα δαπανήματα, ἢ τῷ ἰδιώτῃ. τοῖς μὲν γὰρ ἰδιώταις ἔξεστι τὰς δαπάνας συντέμνειν εἰς τὰ καθ' ἡμέραν ὅπῃ βούλονται· τοῖς δὲ τυράννοις οὐκ ἐνδέχεται. αἱ γὰρ μέγισται αὐτοῖς δαπάναι καὶ ἀναγκαιόταται εἰς τὰς τῆς ψυχῆς φυλακάς εἰσι. τὸ δὲ τούτων συντέ-

si uis animum aduertere, comperies priuatos ab his quos memoraui, potissimum amari, cum tyranni complures liberos suos occiderint, multi à liberis interfecti sint, cum multi fratres regnum ambientes, mutuo parricidio sese confecerint. Multos autem tyrannos comperies & ab uxoribus suis extinctos, & à sodalibus qui maxime uidebantur amici. Ergo qui ab his quos naturæ uis maximè propellit ad amandum, quos etiam huc compellit lex, usqueadeo habentur odio, qui fieri posse credis, ut ab alio quoquam cōsentaneum sit illos amari? Ad hæc, cum minimū habetur fidei, qui fieri potest ut non in magno bono cæteris sit inferior? Nā quæ tandem consuetudo iucunda est, si desit fides mutua? Aut quis conuictus uiro cum uxore possit esse iucundus, si neuter alteri fidat? Imo quis famulus hero iucundus, si illi diffidat? At huius boni, quo quis habet quibus fidat, minima portio redit ad tyrannos: quandoquidem ita uitam agunt, ut ne cibis quidem optimis fidant, sed hos priusquam hinc dijs libent, iubent prægustare ministros, haud dubium quin ob diffidentiam, ne quid uel in his etiam edant bibantúe mali. Adde his, quód cæteris hominibus patria sua cuiq; charissima est, eò quod ciues absque stipendio sese mutuo satellitio protegunt aduersus seruos: protegunt etiam et aduersus facinorosos, ne quis ciuium per uim occidatur. In tantum autē occuparunt ne sit opus satellitio, ut multis legibus sancitum sit, nec eum esse purum, qui cum homicida commercium habeat. Vnde fit ut patriæ debeatur, quod unusquisq; ciuium tuto uiuat. Contrà tyrannis hoc quoque uertitur in diuersum. Ciuitates enim non solum non afficiunt supplicio, sed magnifica præmia decreuerunt tyrannicidis. Cumq; eos e templis eijciant qui priuatos homines occiderunt, his qui tale quid patrarūt, respublica statuas ponit in templis. Iam si putes, quia tyranni plus habent opum, ob hoc illis magis delectari, ne id quidem uerum est, ô Simonides. Imo quemadmodum athletæ cum plebeios superant, non ideo sibi placent, uerùm cum à plebeis superantur, hoc illos angit: itidem tyrannus non inde gaudet, quod plura possidere uidetur priuatis, sed cum minus habet alijs tyrannis, tum discruciatur: eo quod hos arbitratur sibi in diuitijs æmulos esse & concertatores. Ac ne contingunt quidem citiùs tyranno quàm priuato quæ concupiscit, propterea quod priuatus domum, aut agrum, aut famulum desiderat: tyrannus autem uel ciuitates, uel amplam regionem, uel portus, uel munitas arces concupiscit, quæ difficilius maioréq; cum periculo parantur, quàm ea quæ concupiscunt priuati. Quin inter plebeios, uix paucos inuenias tam egenos, quàm plerique sunt tyranni: neque enim multum & satis numero discernuntur, sed usu. Ita fit, ut multa sint quæ superant sufficientiam, pauca uero quæ desint usui. Tyranno itaque quæ multis partibus superant aliorum facultates, ea minus sufficiunt ad necessarias impensas, quàm homini priuato: propterea quod priuatis liberum sit in dies impendia quomodocunque uelint contrahere, quod tyranno concessum non est. Nam maxima pars impendiorum, maxime necessariorum, illis in corporis custodes insumuntur. At quod illis datur,

Qui versabatur cum homicida impurus habebatur

homicidæ a templis arcebantur.

decurtare periculosum uidetur. Iam qui quib. opus est iuste sibi parare possunt, quis eos commiseretur ut egenos? Sed qui per egestatem huc compelluntur, ut malis ac turpibus artibus sibi comparent uictum, an nō hos quis miseros & egenos optimo iure deputet? Tyranni uero multa prædari coguntur, & à templis sacrilegio, & ab hominib. rapina, eo quod nunquam illis sufficit pecunia ad sumptus necessarios. Perinde enim ac si bellum semper esset, coguntur aut exercitum alere, aut perire. Sed & aliam tyrannorum calamitatem tibi dicam Simonides. Nouerunt non minus quàm priuati, probos, sapientes, & iustos uiros: hos cum diligere debeant, metuunt: fortes quidem, ne quid audeant libertatis amore. sapientes, ne quid machinentur: iustos uero, ne multitudo cupiat ab illis gubernari: quos postea quam ob metum clàm sustulerunt, quinā sunt illis reliqui, quibus utantur, nisi uel iniusti, uel intemperantes, uel seruiles? Iniusti quidem habentur, quoniā metuunt quemadmodum & tyranni, ne quando ciuitates libertati redditæ ipsos opprimant. Intemperātes, ob præsentem ac temporariam potentiam. Porro qui seruili sunt ingenio, ob id, quod ipsi ne cupiunt quidem esse liberi. Quapropter mihi quidem uidetur et hæc esse magna calamitas, cùm alios ducamus bonos uiros, cogi ut alijs utamur. Accedit his, quod tyrannum quoq; necesse est esse ciuitatis studiosum: siquidem absq; republica nec incolumis esse potest, nec felix. Contra tyrannis ipsa compellit, ut propriam criminentur patriam. Neq; enim fortes, neq; bellaces ciues sibi parare gaudent potius hospites ac peregrinos ciuibus potentiores reddere, atq; horum adhibent satellitum. Quinetiam cum annonæ benignior prouentus affert rerum ubertatem, ne tum quidem tyrannus quicquam remittit: arbitrans quod illos hoc abiectiores sit habiturus, quāto fuerint pauperiores. Sed uisne Simonides & illas uoluptates tibi commemorē, quibus usus sum cum essem priuatus, quibusq; me nunc spoliatū sentio posteaquam regnū adeptus sum? Ego quidè tum cum æqualibus agebam consuetudinem, gaudens illorum familiaritate, sicut & illi uicissim mea. Mecum etiam uiuebā, si quando quietem & otium desiderabam. Versabar autem in conuiuijs, frequenter eo, ut omnium obliuionem caperem, si quid molestiarum afferret humana uita, frequenter eousq;, ut & cantilenis, & hilaritatib. & choreis animum perungerem, frequenter ad commune quoq; satietatē tum meam, tum eorum qui aderant. Nunc uero nudatus sum his, quibus mea iucunda est consuetudo, eo quod sodales habeo, pro amicis assentatores. Quin & mihi facultas adempta est cum illis iucunde uiuendi, propterea quod nullam illorum erga me perspiciam beneuolentiam. Vinolentiam uero & somnum non aliter quàm insidias habeo suspecta. Iam uero metuere turbam, metuere solitudinem, metuere satellitij absentiam, metuere ipsos etiam custodes, ac nec inermes illos uelle habere apud sese, nec armatos uidere libenter, an non res est misera? Tum autem & peregrinis potius quàm ciuibus fidere, ac barbaris potius quàm Græcis? Postremo huc compelli, ut pro liberis habere cupias seruos, & ex seruis cogaris facere liberos? An non hæc tibi uidentur

συντέμνειν, ἐλεύθερος δοκεῖ εἶναι. ἔπειτα δὲ ὅσοι μὲν δύνανται ἔχειν ἀπὸ τοῦ δικαίου ὅσων δέονται, τί τούτους οἰκτείρει τις ὡς πένητας; ὅσοι δ' ἀναγκάζονται δι' ἔνδειαν κακόν τι καὶ αἰσχρὸν μηχανώμενοι ζῆν, πῶς οὐ τούτους ἀθλίους ἄν τις καὶ πένητας δικαίως νομίζοι; οἱ τύραννοι τοίνυν ἀναγκάζονται πλεῖστα συλᾶν ἀδίκως, καὶ ἱερὰ καὶ ἀνθρώπους, διὰ τὸ εἰς τὰς ἀναγκαίας δαπάνας ἀεὶ προσδεῖσθαι χρημάτων. ὥσπερ γὰρ πολέμου ὄντος ἀεὶ ἀναγκάζονται στράτευμα τρέφειν ἢ ἀπολωλέναι. χαλεπὸν δ' ἐρῶ σοι καὶ ἄλλο πάθημα, ὦ Σιμωνίδη, τῶν τυράννων. γιγνώσκουσι μὲν γὰρ οὐδὲν ἧττον τῶν ἰδιωτῶν, τοὺς κοσμίους γε, καὶ σοφοὺς, καὶ δικαίους. τούτους δ' ἀντὶ τοῦ ἀγᾶσθαι φοβοῦνται. τοὺς μὲν ἀνδρείους μή τι τολμήσωσι τῆς ἐλευθερίας ἕνεκεν· τοὺς δὲ σοφοὺς, μή τι μηχανήσωνται· τοὺς δὲ δικαίους, μὴ ἐπιθυμήσῃ τὸ πλῆθος ὑπ' αὐτῶν προστατεῖσθαι. ὅταν δὲ τοὺς τοιούτους διὰ τὸν φόβον ὑπεξαιρῶνται, τίνες ἄλλοι αὐτοῖς καταλείπονται χρῆσθαι, ἀλλ' ἢ οἱ ἄδικοί τε καὶ ἀκρατεῖς καὶ ἀνδραποδώδεις; οἱ μὲν ἄδικοι πιστευόμενοι, διότι φοβοῦνται ὥσπερ οἱ τύραννοι τὰς πόλεις, μή ποτε ἐλεύθεραι γενόμεναι, ἐγκρατεῖς αὐτῶν γένωνται. οἱ δ' ἀκρατεῖς, τῆς εἰς τὸ παρὸν ἐξουσίας ἕνεκα. οἱ δ' ἀνδραποδώδεις, διότι οὐδ' αὐτοὶ ἀξιοῦσιν ἐλεύθεροι εἶναι. χαλεπὸν οὖν καὶ τοῦτο τὸ πάθημα ἔμοιγε δοκεῖ εἶναι, καὶ τὸ ἄλλους μὲν ἡγεῖσθαι ἀγαθοὺς ἄνδρας, ἄλλοις δὲ χρῆσθαι ἀναγκάζεσθαι. ἔτι δὲ φιλόπολιν μὲν ἀνάγκη καὶ τὸν τύραννον εἶναι. ἄνευ γὰρ τῆς πόλεως οὔτ' ἂν σώζεσθαι δύναιτο, οὔτ' ἂν εὐδαιμονεῖν. ἡ δὲ τυραννὶς ἀναγκάζει καὶ ταῖς ἑαυτῶν πατρίσιν ἐγκαλεῖν. οὔτε γὰρ ἀλκίμους, οὔτ' εὐόπλους χαίρουσι τοὺς πολίτας παρασκευάζοντες, ἀλλὰ τοὺς ξένους δυνατωτέρους τῶν πολιτῶν ποιοῦντες, ἥδονται μᾶλλον. καὶ τούτοις χρῶνται δορυφόροις. ἀλλὰ μὴν οὐδ' ἂν εὐετηριῶν γενομένων, ἀφθονία τῶν ἀγαθῶν γίγνηται, οὐδὲ τότε συγχαίρει ὁ τύραννος. ἐνδεεστέροις γὰρ οὖσι, ταπεινοτέροις αὐτοῖς οἴονται χρῆσθαι. Βούλομαι δέ σοι, ἔφη, ὦ Σιμωνίδη, κἀκείνας τὰς εὐφροσύνας δηλῶσαι, ὅσαις ἐγὼ χρώμενος ὅτ' ἦν ἰδιώτης, νῦν ἐπειδὴ τύραννος ἐγενόμην, αἰσθάνομαι στερόμενος αὐτῶν. ἐγὼ γὰρ ξυνῆν μὲν ἡλικιώταις ἡδόμενος, ἡδομένοις ἐμοί. συνῆν δὲ ἐμαυτῷ, ὁπότε ἡσυχίας ἐπιθυμήσαιμι. διῆγον δ' ἐν συμποσίοις. πολλάκις μὲν μέχρι τοῦ ἐπιλαθέσθαι πάντων, εἴ τι χαλεπὸν ἐν ἀνθρωπίνῳ βίῳ ἦν. πολλάκις δὲ μέχρι τοῦ ᾠδαῖς τε καὶ θαλίαις καὶ χοροῖς τὴν ψυχὴν συγκαταμιγνύναι, πολλάκις δὲ μέχρι κοινῆς ἐπιθυμίας ἐμῆς τε καὶ τῶν παρόντων. νῦν δὲ ἀπεστέρημαι μὲν τῶν ἡδομένων ἐμοί, διὰ τὸ δούλους ἀντὶ φίλων ἔχειν τοὺς ἑταίρους. ἀπεστέρημαι δ' αὖ τοῦ ἡδέως ἐκείνοις ὁμιλεῖν, διὰ τὸ μηδεμίαν ἐνορᾶν εὔνοιαν ἐμοὶ παρ' αὐτῶν. μέθην δὲ καὶ ὕπνον, ὁμοίως ἐνέδρᾳ φυλάττομαι. τὸ δὲ φοβεῖσθαι μὲν ὄχλον, φοβεῖσθαι δ' ἐρημίαν, φοβεῖσθαι δὲ ἀφυλαξίαν, φοβεῖσθαι δὲ καὶ αὐτοὺς τοὺς φυλάττοντας, καὶ μήτ' ἀνόπλους ἐθέλειν ἔχειν περὶ αὑτὸν, μήθ' ὡπλισμένους ἡδέως θεᾶσθαι, πῶς οὐκ ἀργαλέον ἐστὶ πρᾶγμα; ἔτι δὲ ξένοις μᾶλλον μὲν ἢ πολίταις πιστεύειν, βαρβάροις τε μᾶλλον ἢ Ἕλλησιν; ἐπιθυμεῖν δὲ τοὺς μὲν ἐλευθέρους, δούλους ἔχειν· τοὺς δὲ δούλους ἀναγκάζεσθαι ποιεῖν ἐλευθέρους. οὐ πάντα σοι ταῦτα δο-

κεῖ

τῆς ψυχῆς ὑπὸ φόβων καταπεπληγμένης τεκμήρια εἶναι; ὅ γέ τοι φόβος οὐ μόνον αὐτὸς ἐνὼν ταῖς ψυχαῖς λυπηρός ἐστιν, ἀλλὰ καὶ πάντων τῶν ἡδέων συμπαρακολουθῶν λυμεὼν γίγνεται. εἰ δὲ καὶ σὺ πολεμικῶν ἔμπειρος εἶ, ὦ Σιμωνίδη, καὶ ἤδη ποτὲ πολεμίᾳ φάλαγγι πλησίον ἀντετάξω, ἀναμνήσθητι, ποῖον μέν τινα σῖτον ᾑροῦ ἐν ἐκείνῳ τῷ χρόνῳ, ποῖον δέ τινα ὕπνον ἐκοιμῶ. οἷα μέντοι σοὶ τότ' ἦν τὰ λυπηρά, τοιαῦτά εἰσι τὰ τῶν τυράννων καὶ ἔτι δεινότερα. οὐ γὰρ ἐξ ἐναντίας μόνον, ἀλλὰ καὶ πάντοθεν πολεμίους ὁρᾶν νομίζουσιν οἱ τύραννοι. ταῦτα δ' ἀκούσας ὁ Σιμωνίδης, ὑπολαβὼν εἶπεν· ὑπέρευ μοι δοκεῖς ἔνια λέγειν. ὁ γὰρ πόλεμος φοβερὸν μέν. ἀλλ' ὅμως, ὦ Ἱέρων, ἡμεῖς γε ὅταν ὦμεν ἐν στρατιᾷ, φύλακας προκαθιστάμενοι, θαῤῥαλέως δείπνου καὶ ὕπνου λαγχάνομεν. καὶ ὁ Ἱέρων ἔφη· ναὶ μὰ Δία, ὦ Σιμωνίδη. αὐτῶν μὲν γὰρ προφυλάττουσιν οἱ νόμοι. ὥστε περὶ ἑαυτῶν φοβοῦνται καὶ ὑπὲρ ὑμῶν. οἱ δὲ τύραννοι μισθοῦ φύλακας ἔχουσιν ὥσπερ θεριστάς. καὶ δεῖ μὲν δήπου τοὺς φύλακας μηδὲν οὕτω ποιεῖν δύνασθαι ὡς πιστοὺς εἶναι. πιστὸν δὲ ἕνα πολὺ χαλεπώτερον εὑρεῖν, ἢ πάνυ πολλοὺς ἐργάτας ὁποίου βούλει ἔργου. ἄλλως τε καὶ ὁπόταν χρημάτων μὲν ἕνεκα παρῶσιν οἱ φύλακες ὄντες, ἐξῇ δ' αὐτοῖς ἐν ὀλίγῳ χρόνῳ πολὺ πλείω λαβεῖν, ἀποκτείνασι τὸν τύραννον, ἢ ὅσα πολὺν χρόνον φυλάττοντες παρὰ τοῦ τυράννου λαμβάνουσιν. ὃ δ' ἐζήλωσας ἡμᾶς, ὡς τοὺς μὲν φίλους μάλιστα εὖ ποιεῖν δυνάμεθα, τοὺς δ' ἐχθροὺς πάντων μάλιστα χειρούμεθα, οὐδὲ ταῦθ' οὕτως ἔχει. φίλους μὲν γὰρ πῶς ἂν νομίσαις ποτὲ εὖ ποιεῖν, ὅταν εὖ εἰδῇς, ὅτι ὁ τὰ πλεῖστα λαμβάνων παρὰ σοῦ, ἥδιστ' ἂν ὡς τάχιστα ἐξ ὀφθαλμῶν σου γένοιτο; ὅ, τι γὰρ ἄν τις λάβῃ παρὰ τοῦ τυράννου, οὐδεὶς οὐδὲν ἑαυτοῦ νομίζει, πρὶν ἂν ἔξω τῆς τούτου ἐπικρατείας γένηται. ἐχθροὺς δ' αὖ πῶς ἂν φαίης μάλιστα τοῖς τυράννοις ἐξεῖναι χειροῦσθαι, ὅταν εὖ εἰδῶσιν ὅτι ἐχθροὶ αὐτῶν εἰσι πάντες οἱ τυραννούμενοι; τούτους δὲ μήτε κατακτείνειν ἅπαντας, μήτε δεσμεύειν οἷόν τε. ἢ τίνων γὰρ ἔτι ἄρξει; ἀλλ' εἰδότα ὅτι ἐχθροί εἰσι, τούτους ἅμα μὲν φυλάττεσθαί τε δεῖ, καὶ χρῆσθαι δ' αὐτοῖς ἀναγκάζεσθαι. εὖ δ' ἴσθι καὶ τοῦτο, ὦ Σιμωνίδη, ὅτι καὶ οὓς τῶν πολιτῶν δεδίασι, χαλεπῶς μὲν αὐτοὺς ζῶντας ὁρῶσι, χαλεπῶς δ' ἀποκτείνουσιν. ὥσπερ γὰρ καὶ ἵππος, εἰ ἀγαθὸς μὲν εἴη, φοβερὸς δὲ μὴ ἀνήκεστόν τι ποιήσῃ, χαλεπῶς μὲν ἄν τις αὐτὸν ἀποκτείναι διὰ τὴν ἀρετήν, χαλεπῶς δὲ ζῶντι χρῷτο, εὐλαβούμενος μή τι ἀνήκεστον ἐν τοῖς κινδύνοις ἐργάσηται. καὶ τἆλλα γε κτήματα ὅσα χαλεπὰ μέν, χρήσιμα δ' ἐστὶν, ὁμοίως ἅπαντα, λυπεῖ μὲν τοὺς κεκτημένους, λυπεῖ δὲ ἀπαλλαττομένους. ἐπεὶ δὲ ταῦτα αὐτοῦ ἤκουσεν ὁ Σιμωνίδης, εἶπεν· ἔοικεν, ἔφη, ὦ Ἱέρων, μέγα τι εἶναι ἡ τιμή, ἧς ὀρεγόμενοι οἱ ἄνθρωποι, πάντα μὲν πόνον ὑποδύονται, πάντα δὲ κίνδυνον ὑπομένουσι. καὶ ὑμεῖς ὡς ἔοικε, τοσαῦτα πράγματα ἐχούσης, ὁπόσα λέγεις τῆς τυραννίδος, ὅμως προπετῶς φέρεσθε εἰς αὐτήν, ὅπως τιμᾶσθε. καὶ ὑπηρετοῦσι μὲν ὑμῖν πάντες πάντα τὰ προσταττόμενα ἀπροφασίστως. περιβλέπουσι δὲ πάντες. ὑπανιστάνται δ' ἀπὸ τῶν θάκων, ὁδῶν τε παραχωροῦσι, γεραίρουσι δὲ καὶ λόγοις καὶ ἔργοις πάντες οἱ παρόντες ἀεὶ ὑμᾶς.

tur argumenta animi terroribus attoniti perculsiq;? Porrò non solùm ipse metus cum insedit animo, molesta res est: sed dum nusquam non adest ac circumfertur, fit omnium iucundarũ rerum corruptela. Quoniam autem Simonides tu quoq; non inexpertus es rei bellicæ, nam aliquando aduersus hostilem phalangem in acie stetisti, recordare qualem cibum optaueris id temporis, aut quem somnum dormieris. Quales igitur tum tibi erant molestiæ, tales sunt tyrannorum, & his etiam grauiores. Nõ 10 enim ex aduerso tantum, sed undiquaq; se putant hostes aspicere tyranni. Hæc cum audisset Simonides, excipiẽs sermonem ita loquutus est: Nonnulla mihi uideris optime dicere. Nam bellum sane formidabilis rès est. Attamen nos, Hieron, cum essemus in militia, prius delectis qui excubias agerent, secure tum cœnam, tum somnum capiebamus. Ad hæc Hieron: Sic habet per Iouem, ô Simonides. Nam illorum protectrices sunt leges, itaq; & pro sese metuunt & pro uobis. Tyranni uero mercede conductos habent satellites, non aliter quã messores. At 20 opus quidem esset, ut custodes nihil æque præstare ualeant, quàm ut sint fideles. Cæterum multo difficilius est unum fidelem inuenire corporis custodem, quàm uehementer multos operarios cuiuscunq; uelis opificij. Quanquam & alioqui cum pecuniæ causa adsint satellites, si liceat illis exiguo temporis spacio multo maius accipere præmiũ occiso tyranno, quàm accipiunt ab ipso ob diutinã custodiam, accipiunt. Alius uero nos suspicit hoc nomine, quasi summa nobis facultas sit bene merendi de amicis, cõtrà omniũ maxime ualeamus inimicos lædere. At 30 qui ne id quidẽ uerum est. Qui nanq; possis inducere animũ, ut amicis benefacias, cũ certo scias, quod ubi quis plurimũ beneficiorum abs te receperit, libentissime sese ut primum licuerit, subducet ab oculis tuis? Siquidem ex his quæ data sunt à tyranno, nemo quicquam suum esse putat, priusquam illius potestatẽ exierit. Quo pacto autem dicere possis tyranno summam esse potestatẽ inimicis nocendi, cũ certo sciat omnes sibi hostes esse, quoscunq; tyrannide subditos habet, quos omnes nec interficere, nec in uincula conijcere potest, alioqui quib. deinde imperaturus sit? Verũ cũ sciat illos esse hostes, simul 40 & ab illis sibi caueat oportet, et eosdem familiares habere cogitur. Quin et illud probe nosti Simonides, quod tyranni ciues quos metuũt ægre conspiciunt uiuentes, rursus ægre interficiunt. Quemadmodum si quis equum habeat egregium quidem, sed tamen formidabilem, et unde periculũ sit ne quod malum det immedicabile, ut grauate occidit illũ ob uirtutem, ita ægre potest illo uti, obseruãs ac solicitus ne quod in periculis afferat exitiale malum. Itidem & reliquæ possessiones quæ sic periculosæ 50 sunt ut sint utiles, molestiã afferũt possidẽti, rursum molestiã afferũt abijcienti. Hæc ubi ex eo audisset Simonides, Videtur, inqt, Hierõ præclara quædã esse res honor, cuius amore mortales et laboris quiduis subeũt, et quoduis adeũt periculũ. At cum ista tam multa coniuncta sint tyrãnidi mala quæ tu commemoras, tamẽ uos, ut apparet, propẽsis animis tenditis ad illam obtinendã, quo sitis in honore: atq; inseruiũt uobis omnes citra excusationẽ ad imperata quælibet. Quin et suspiciũt uos cũcti, assurgũt oẽs è sedibus, cedunt uobis de uia, deniq; uenerantur uos qui uobis semper adsunt, omnes, tum dictis, tum factis.

Solus homo inter animalia honorem cupit.

Hæc sane faciunt tyrannis qui sunt sub illius ditione, aut
si quem alium forte semper honore prosequuntur. Nam
mihi quidem Hieron, hoc distare uidetur homo à bru-
tis, quod honoris est appetens: cum cibo, potu, somno
& Venere, cuncta animantia similiter gaudere uidean-
tur. Honorum uero cupiditas nec brutis animantibus in
sita est, nec omnibus inest hominibus. At quibuscunq;
insita est honoris & laudis auiditas, hi demum sunt
qui plurimum absunt à pecudibus, pro uiris, ac iam
non pro hominibus solum habendi. Quapropter mihi 10
quidem non abs re ista omnia sustinere uidemini, quæ
fertis in tyrannide, propterea quod supra cæteros homi
nes honoramini. Nec enim ulla uoluptas humana pro
pius ad dei naturam uidetur accedere, quàm honore
gaudere. Ad hæc Hieron: Atqui honores, inquit, ô
Simonides tyrannorum tales mihi uidentur esse, quales
ego tibi uenereas illorum uoluptates esse iam exposui.
Neque enim obsequia ab his qui non amant mutuo, be-
neficia nobis esse uidebantur, neq; iucunda Venus quæ
ui extorqueretur apparebat: consimiliter igitur obse- 20
quia quæ deferuntur ab his qui nos metuunt, honores
non sunt. Quonam enim pacto dixerimus, uel eos qui
coacti assurgunt de sedibus, hoc animo assurgere, ut ho
norent eos à quibus afficiuntur iniuris? uel eos qui dece
dunt de uia potentioribus, eo decedere, ut honorent læ-
dentes? Ac plerique sane munera quoq; dant his quos o-
derunt, idq; tum cum metuunt maxime, ne quid mali ab
illis patiantur. At ista magis arbitror seruilia facta esse
iudicanda, cum honores, mea quidem sententia, ex his
rebus oriantur, quæ cum odio metuq; seruili pugnant. 30
Etenim cum homines sic affecti sunt ut existiment ui-
rum idoneum qui poßit benefacere, rati se illum frui bo
nis, postea hunc in ore habent uehentes laudibus, eum-
que spectant non aliter quàm si suum quisq; bonum in-
tueretur, ac sponte decedunt de uia, sponte assurgunt,
amantes, non metuentes, coronantq; ob uirtutem ac be-
nefacta erga rempub. muneribusq; honorare cupiunt,
hi demum, hi mihi uidentur eum & honorare uere, qui-
cunq; talia præstant officia, & qui his se dignum reddi
dit, reuera uidetur honorari. Equidem eum qui sic hono 40
ratur, felicem arbitror: sciens illum non insidijs appeti,
sed alijs potius esse curæ, ne quid illi secus accidat: eoq;
sine metu, sine inuidia, sine periculis, ac plane feliciter
uitam agere. Contrà tyrannus, uelut ab omnibus ob in-
iurias condemnatus, ac morte dignus habeatur, ita mi-
hi crede Simonides, noctesq; diesq; uitã degit. Hæc om-
nia cum Simonides audisset illum commemorantem, Et
qui fit, inquit, Hieron ut si adeo misera res est tyranni-
dem gerere, idq; te non fugit, non abijcias tam ingens
malum? Neq; tu, neq; alius quisquã unquam lubens ty- 50
rannidẽ deposuit, ubi semel nactus est. Quoniã, inquit, ô
Simonides, isto nomine miserrima est tyrannis, quod ab
ea nõ licet discedere. Quomodo enim quisquã tyrannus
unquam suffecerit ad pecuniã rependendã ijs quos spo
liauit? aut quomodo uincula repenset his quos detrusit
in uincula? aut quomodo restituet tot animas extinctas
his quos occidit? Sed si cuiquam alteri ô Simonides, ex-
pedit laqueo finire uitam, scito, inquit, me compertũ ha
bere, ut id faciat nulli magis expedire quàm tyrãno, quãdo-
quidẽ huic uni mala nec retinere nec deponere expedit.

τοιαῦτα γὰρ δὴ ποιοῦσι τοῖς τυράννοις οἱ ἀρχόμενοι,
καὶ ἄλλον ὅντινα ἀεὶ τιμῶντες τυγχάνουσι. καὶ γάρ
μοι δοκεῖ, ὦ ἱέρων, τούτῳ διαφέρειν ἀνὴρ τῶν ἄλλων
ζώων, τῷ τιμῆς ὀρέγεσθαι. ἐπεὶ σιτίοις τε καὶ ποτοῖς, καὶ
ὕπνοις, καὶ ἀφροδισίοις, πάντα ὁμοίως ἥδεσθαι ἔοικε
τὰ ζῶα. ἡ δὲ φιλοτιμία οὔτ' ἐν τοῖς ἀλόγοις ζώοις ἐμφύε-
ται, οὔτ' ἐν ἅπασιν ἀνθρώποις. οἷς δ' ἂν ἐμφυῇ τιμῆς τε
καὶ ἐπαίνου ἔρως, οὗτοί εἰσιν ἤδη οἱ πλεῖστον μὲν τῶν βο-
σκημάτων διαφέροντες, ἄνδρες δὲ καὶ οὐκέτι ἄνθρω-
ποι μόνον νομιζόμενοι. ὥστε ἐμοὶ μὲν εἰκότως δοκεῖτε
ταῦτα πάντα ὑπομένειν, ἃ φέρετε ἐν τυραννίδι, ἐπεί-
περ τιμᾶσθε διαφερόντως τῶν ἄλλων ἀνθρώπων. καὶ
γὰρ οὐδεμία ἀνθρωπίνη ἡδονὴ τοῦ θείου ἐγγυτέρω δοκεῖ
εἶν, ἢ ἡ περὶ τὰς τιμὰς εὐφροσύνη. πρὸς ταῦτα δὴ εἶπεν
ὁ ἱέρων· ἀλλ', ὦ σιμωνίδη, καὶ αἱ τιμαὶ τῶν τυράννων ὅ-
μοιαι ἐμοὶ δοκοῦσιν εἶν, οἵαπερ ἐγώ σοι τὰ ἀφροδίσια ὄν-
τα αὐτῶν ἀπέδειξα. οὔτε γὰρ αἱ μὴ ἐξ ἀντιφιλούντων ὑπουρ-
γίαι, χάριτες ἡμῖν ἐδόκουν εἶν, οὔτε τὰ ἀφροδίσια τὰ
βίαια ἡδέα ἐφαίνετο. ὡσαύτως τοίνυν οὐδὲ αἱ ὑπουρ-
γίαι ὑπὸ τῶν φοβουμένων τιμαί εἰσι. πῶς γὰρ ἂν φαῖμεν,
ἢ τοὺς βίᾳ ἐξανισταμένους θάκων, διὰ τὸ τιμᾶν τοὺς ἀδι-
κοῦντας ἐξανίστασθαι; ἢ τοὺς ὁδὸν παραχωροῦντας τοῖς
κρείττοσι, διὰ τὸ τιμᾶν τοὺς ἀδικοῦντας παραχωρεῖν; καὶ
δῶρά γε διδόασιν οἱ πολλοὶ τούτοις οὓς μισοῦσι, καὶ τοῦ-
τα ὅταν μάλιστα φοβῶνται, μή τι κακὸν ὑπ' αὐτῶν πά-
θωσιν. ἀλλὰ ταῦτα μὲν οἶμαι δουλείας ἔργα εἰκότως ἂν
νομίζοιτο. αἱ δὲ τιμαὶ ἔμοιγε δοκοῦσιν ἐκ τῶν ἐναντίων
τούτοις γίγνεσθαι. ὅταν γὰρ ἄνθρωποι, ἄνδρα ἡγησάμε-
νοι εὐεργετεῖν ἱκανὸν εἶν, καὶ ἀπολαύειν αὐτοῦ ἀγαθὰ νο-
μίσαντες, ἔπειτα τοῦτον ἀνὰ στόμα τε ἔχουσιν ἐπαινοῦν-
τες, θεῶνταί τ' αὐτὸν ὡς οἰκεῖον ἕκαστος ἀγαθόν, ἑκόν-
τες τε παραχωρῶσι τούτῳ ὁδῶν, καὶ θάκων ὑπανι-
στῶνται, φιλοῦντές τε καὶ μὴ φοβούμενοι, καὶ στεφανοῦ-
σι κοινῆς ἀρετῆς καὶ εὐεργεσίας ἕνεκα, καὶ δωρεῖσθαι ἐθέ-
λωσιν, οἱ αὐτοὶ οὗτοι ἔμοιγε δοκοῦσι, τιμᾶν τε τοῦτον
ἀληθῶς, οἳ ἂν τοιαῦτα ὑπουργήσωσι, καὶ ὁ τούτων ἀξιού-
μενος, τιμᾶσθαι τῷ ὄντι. καὶ ἔγωγε τὸν μὲν οὕτω τιμώ-
μενον μακαρίζω. αἰσθάνομαι γὰρ αὐτὸν, οὐκ ἐπιβουλευό-
μενον, ἀλλὰ φροντιζόμενον, μή τι πάθῃ, καὶ ἀφόβως, καὶ
ἀνεπιφθόνως, καὶ ἀκινδύνως, καὶ εὐδαιμόνως τὸν βίον διά-
γοντα. ὁ δὲ τύραννος ὡς ὑπὸ πάντων ἀνθρώπων κα-
τακεκριμένος δι' ἀδικίαν ἀποθνήσκειν, οὕτως, ὦ σιμω-
νίδη, εὖ ἴσθι, καὶ νύκτα καὶ ἡμέραν διάγει. ἐπεὶ δὲ ταῦτα
πάντα διήκουσεν ὁ σιμωνίδης, καὶ πῶς, ἔφη, ὦ ἱέρων, εἰ
οὕτω πονηρόν ἐστι τὸ τυραννεῖν, καὶ τοῦτο σὺ ἔγνωκας, οὐκ ἀ-
παλλάττῃ οὕτως μεγάλου κακοῦ; οὔτε σύ, οὔτε ἄλλος μὲν
δὴ οὐδεὶς πώποτε ἑκὼν εἶναι τυραννίδος ἀφεῖτο, ὅσπερ
ἂν ἅπαξ κτήσαιτο. ὅτι, ἔφη, ὦ σιμωνίδη, ἐν ταύτῃ ἀθλιώ-
τατόν ἐστιν ἡ τυραννίς. οὐδὲ γὰρ ἀπαλλαγῆναι δυνατὸν αὐτῆς
ἐστι. πῶς γὰρ ἄν τις ποτὲ ἐξαρκέσειε τύραννος, ἢ χρήματα
ἐκτίνων ὅσους ἀφείλετο, ἢ δεσμοὺς ἀντιπάσχοι, ὅσους δὴ
ἐδέσμευσεν, ἢ ὅσους κατέκτανε, πῶς ἂν ἱκανὰς ψυχὰς ἀπο-
θάνοιτο ἀποθανουμένας; ἀλλ' εἴπερ τῳ ἄλλῳ, ὦ σιμω-
νίδη, λυσιτελεῖ ἀπάγξασθαι, ἴσθι, ἔφη, ὅτι τυράννῳ ἔγω-
γε εὑρίσκω μάλιστα τοῦτο λυσιτελοῦν ποιῆσαι. μόνῳ
γὰρ αὐτῷ οὔτε ἔχειν οὔτε καταθέσθαι τὰ κακὰ λυσιτελεῖ.

Καὶ ὁ Σιμωνίδης ὑπολαβὼν εἶπεν· ἀλλὰ τὸ μὲν νῦν, ὦ ἱέρων, ἀθύμως ἔχειν σε πρὸς τὴν τυραννίδα, οὐ θαυμάζω, ἐπείπερ ἐπιθυμῶν φιλεῖσθαι ὑπ᾽ ἀνθρώπων, ἐμποδών σοι τούτου νομίζεις αὐτὴν εἶναι. ἐγὼ μέντοι μοι ἔχειν δοκῶ διδάξαι σε, ὡς τὸ ἄρχειν οὐδὲν ἀποκωλύει τοῦ φιλεῖσθαι, ἀλλὰ καὶ πλεονεκτεῖ γε τῆς ἰδιωτείας. ἐπισκοποῦντες δὲ αὐτὸ, εἰ οὕτως ἔχει, μήπω ἐκεῖνο σκοπῶμεν, εἰ διὰ τὸ μεῖζον δύνασθαι ὁ ἄρχων, καὶ χαρίζεσθαι πλείω δύναιτ᾽ ἄν. ἀλλ᾽ ἂν τὰ ὅμοια ποιῶσιν, ὅ, τε ἰδιώτης καὶ ὁ τύραννος, γνῶθι πότερος μείζω ἀπὸ τῶν ἴσων κτᾶσθαι χάριν. ἄρξομαι δέ σοι ἀπὸ τῶν μικροτάτων παραδειγμάτων. ἰδὼν γὰρ πρῶτον, προσειπάτω τινὰ φιλικῶς, ὅ, τε ἄρχων καὶ ὁ ἰδιώτης. ἐν τούτῳ τὴν ποτέρου πρόσρησιν μᾶλλον εὐφραίνειν τὸν ἀκούσαντα νομίζεις; ἴθι δὴ ἐπαινεσάντων ἀμφοτέρων τὸν αὐτὸν, τὸν ποτέρου δοκεῖς ἔπαινον, ἐξικνεῖσθαι μᾶλλον εἰς εὐφροσύνην; θύσας δὲ τιμησάτω ἑκάτερος, τὴν παρὰ ποτέρου τιμὴν, μείζονος ἂν χάριτος δοκεῖς τυγχάνειν; κάμνοντα θεραπευσάτωσαν ὁμοίως. οὐκοῦν τοῦτο σαφὲς, ὅτι αἱ ἀπὸ τῶν δυνατωτάτων θεραπεῖαι καὶ χαρὰν ἐμποιοῦσι μεγίστην. δότωσαν δὴ τὰ ἴσα, οὐ καὶ ἐν τούτῳ σαφὲς, ὅτι αἱ ἀπὸ τῶν δυνατωτάτων ἡμίσειαι χάριτες, πλέον ἢ ὅλον τὸ παρὰ τοῦ ἰδιώτου δώρημα δύνανται; ἀλλ᾽ ἔμοιγε δοκεῖ καὶ ἐκ θεῶν τιμή τις καὶ χάρις συμπαρέπεσθαι ἀνδρὶ ἄρχοντι. μὴ γὰρ ὅτι καλλίονα ποιεῖ ἄνδρα, ἀλλὰ καὶ τὸν αὐτὸν τοῦτον ἥδιον θεώμεθά τε ὅταν ἄρχῃ, ἢ ὅταν ἰδιωτεύῃ. διαλεγόμενοί τε ἀγαλλόμεθα, τοῖς προτετιμημένοις μᾶλλον, ἢ τοῖς ἐκ τοῦ ἴσου ἡμῖν οὖσι. καὶ μὴν παιδικά γε, ἐν οἷς δὴ καὶ σὺ μάλιστα κατεμέμψω τὴν τυραννίδα, ἥκιστα μὲν γῆρας ἄρχοντος δυσχεραίνει, ἥκιστα δ᾽ ἂν αἶσχος πρὸς ὃν ἂν τυγχάνοι ὁμιλῶν, τοῦτο ὑπολογίζεται. αὐτὸ γὰρ τὸ τετιμῆσθαι μάλιστα συνεπικοσμεῖ, ὥστε τὰ μὲν δυσχερῆ ἀφανίζειν, τὰ δὲ καλὰ λαμπρότερα ἀναφαίνειν. ὁπότε γε μὴν ἐκ τῶν ἴσων ὑπουργημάτων, μειζόνων χαρίτων ὑμεῖς τυγχάνετε, πῶς οὐκ ἐπειδάν γε ὑμεῖς, πολλαπλάσια μὲν διαπράττοντες ὠφελεῖν δύνησθε, πολλαπλάσια δὲ δωρεῖσθαι ἔχετε, ὑμᾶς καὶ πολὺ μᾶλλον φιλεῖσθαι τῶν ἰδιωτῶν προσήκει; καὶ ὁ ἱέρων εὐθὺς ὑπολαβὼν, ὅτι νὴ Δί᾽, ἔφη, ὦ Σιμωνίδη, καὶ ἐξ ὧν ἀπεχθάνονται οἱ ἄνθρωποι ἡμᾶς, πολὺ πλείω τῶν ἰδιωτῶν ἀνάγκη ἐστὶ πραγματεύεσθαι. πρακτέον μέν γε χρήματα, εἰ μέλλομεν ἕξειν δαπανᾶν εἰς τὰ δέοντα. ἀναγκαστέον δὲ φυλάττειν, ὅσα δεῖται φυλακῆς. κολαστέον δὲ τοὺς ἀδίκους, κωλυτέον δὲ τοὺς ὑβρίζειν βουλομένους. καὶ ὅταν γε τάχους καιρὸς παραστῇ, ἢ πεζῇ ἢ κατὰ θάλατταν ἐξορμᾶσθαι, οὐκέτι ἐπιτρεπτέον τοῖς ῥᾳδιουργοῦσιν. ἔτι δὲ μισθοφόρων μὲν ἀνδρὶ τυράννῳ δεῖ. τούτου δὲ βαρύτερον φόρημα οὐδέν ἐστι τοῖς πολίταις. οὐ γὰρ τυράννοις ἰσοτιμίας, ἀλλὰ πλεονεξίας ἕνεκα νομίζουσι τούτους τρέφεσθαι. πρὸς ταῦτα δὴ πάλιν ὁ Σιμωνίδης, ἀλλ᾽ ὅπως μὲν πάντων τούτων ἐπιμελητέον, ὦ ἱέρων, οὐ λέγω. ἐπιμέλειαι μέντοι μοι δοκοῦσιν, αἱ μὲν πάνυ πρὸς ἔχθραν ἄγειν, αἱ δὲ πάνυ διὰ χαρίτων εἶναι. τὸ μὲν γὰρ διδάσκειν ἃ ἐστι βέλτιστα, καὶ τὸν κάλλιστα ταῦτα ἐξεργαζόμενον ἐπαινεῖν καὶ τιμᾶν, αὕτη μὲν ἡ ἐπιμέλεια διὰ χαρίτων γίγνεται. τὸν δὲ ἐν τοῖς ἐνδεῶς τι ποιοῦντα, λοιδορεῖν τε καὶ ἀναγκάζειν,

καὶ

Ad hæc Simonides: At nunc, ô Hierô, te male animatum esse erga tyrannidem nihil miror. Nam cum amari cu/pias ab hominibus, tyrannidem tibi putas obstare quò minus hoc assequaris. Ego tamen uideor mihi posse do/cere te rationem, qua fiat ut non solum imperium nihil officiat quo minus ameris, uerumetiam hic superes sta/tum uitæ priuatum. Hoc autem considerantes an ita res habeat, nondum illud consideremus, an quod princeps potentior sit, ob id etiam plura largiri poßit: sed si in lar/

10 giendo paria faciant princeps ac priuatus, hic expende uter paribus beneficijs plus initurus sit gratiæ. Ordiar au/tem ab exemplis infimis. Primum conspectum salutat ob/uium amice, hinc princeps, hinc priuatus: hic utrius ap/pellationem iucundiorem fore putas salutato? Iam nosti, si ambo laudarint eundem, utrius laudem existimes plus attulisse uoluptatis? Sacrificio peracto de uictima hono/ret eundem uterque, scis ab utro honor habitus uideatur gratior? Itidem laborantem æquè curent ambo. An non igitur perspicuum est, officia quæ præstantur à poten/

20 tißimis, maximam item afferre uoluptatem? Iam ponatur officiorum æqualitas, an non hic perspicuum est, quod dimidium beneficentiæ à potentißimis profectum plus ua/leat, quàm totum à priuato profectum? Ad hæc mihi qui/dem uidetur, etiam à dijs honos quidam & gratia co/mes addita uero principi. Non solum enim formosiorem reddit uirum principatus, uerumetiam eundem hunc pul/chriorem uidemus cum principatum gerit, quàm cum a/git priuatum. Quin & colloqui gaudemus cum his qui honore præcellunt, magis quàm cum æqualibus nobis.

30 Iam & iuuenum amicitiis, quo nomine tu quoq; maxime tyrannidem incusabas, minime molesta est principis sene/ctus, minimeq; uenit in suspicionem, si cum quocũq; ha/beat familiaritatem. Quin potius hoc maximo est orna/mento à principe magnifieri. Ita fit ut regnum et quæ mo/lesta sunt auferat, & quæ honesta magis illustret. Itaque cum paribus officijs uos plus ineatis gratiæ, cumq; uos longe plura præstare ualeatis iuuandis alijs, multoq; plu/ra donandi facultatem habeatis, quomodo non consenta/neum est uos magis etiam amari q̃ nos priuatos? Ad hæc

40 protinus Hieron ita respondit: Quoniam, ô Simonides, cogimur etiam magis quàm homines priuati ad negocia ob quæ nos inuisos habent homines, exigendæ sunt pecu/niæ si uolumus habere quæ suppetant nobis in sumptus necessarios. Necesse est etiam seruare quæcunq; requirit corporis custodia. Ad hæc plectendi sunt qui lædũt, pro/hibendi qui uim parant. Deinde si quando subito tempus urgens postulat, ut uel terra, uel mari sit expeditio facien/da, res non est committenda temerarijs. Adde his, quod homini principatum gerenti, etiam conductitio milite o/

50 pus est: qua quidem re non alia est sarcina ciuibus gra/uior. Non enim hos solum putant æquari tyrannis hono/re, uerumetiam rapinæ causa credunt ali. His ita respõdit Simonides: Atenim non dico, ô Hieron, harum omnium rerum curam non esse habendam, attamen functiones mihi uidentur aliæ prorsus in odium adducere, aliæ rur/sus cum gratia beneuolentiaq; peragi. Itaq; docere quæ sunt optima, & eos qui ea pulcherrime præstant, laudi/bus & honoribus afficere, hæc quidem functio cum be/neuolentia coniuncta est. Cæterum qui secus quàm o/portet agit quippiam, hunc conuicijs afficere, cogere,

mul/

mulctam dicere, punireq́;: nam & hæc facere necessitas est, cum odio maleuolentiaq́; coniunctū est. Censeo itaq; uiro principi sic agendū, ut si quis eget coactione, hunc alijs puniendum tradat: cæterum cùm præmia reddenda sunt his qui rem bene gesserunt, id per seipsum faciat. Quod autē hæc rectè habent, testatur publica cōsuetudo. Quoties uolumus nobis musicū certamen exhiberi, præmia quidem proponit princeps. Cæterū eos congregandi negocium datur choragis: quemadmodū alijs iniūgitur, & docēdi itemq; adhibendi eis qui minus rectè se gerūt, partes delegantur. Ita fit protinus, ut in his quod gratiosum est per principē sit factū: quod uero cōtra, p alios. Quid igitur uetat et alias functiones, quæ ad prohibēdos homines pertinēt, simili modo peragi? Nam resp. omnes diuisæ sunt, aliæ per tribus, aliæ per classes, aliæ per manipulos: principes aūt singulis partib. præsident. Itaq; si quis quemadmodū fit in choris, ita his quoq; proponat præmia, tum ob egregiā armaturā, tum ob pulchre seruatum ordinē, tum ob equitādi peritiā, tum ob uirtutem in bello præstantē, tum ob iustitiā in cōuentus, uerisimile est hæc quoq; cūcta acrius exercenda si adsit cōtentio, uincēdiq; studium. Ac per Iouē citius impellūtur quocūq; opus est, qui honoris sunt auidi: citiusq; conferent pecuniā, si quādo pecuniā exigat occasio. Et quod est omniū utilissimū, id minime tamen usitatū est, ut per contentionē agatur. Hæc nimirū est agricultura, cui multum accesserit, si quis per agros ac uicos præmia constituat his qui quāoptime terrā excoluerint, iisq; qui ex ciuib. maxime in hanc rem incubuerint, is multa bona Reip. præstiterit: quandoquidem & crescent reip. prouentus, & sobrietas occupatos magis comitabitur, & operi intentis minus orietur scelerum. Quod si quid etiā negociatio conducit reip. bonos habitus ei qui hanc potissimum exercuerit, efficiet ut plures affluant qui merces importent. Iam si et illi honos habeatur, qui Reipub. utilitatē quampiam citra cuiusquam dolorem excogitarit, ne hæc quidē cura cessaret. Atq; ut sermonē in pauca conferā, si cunctis esset perspicuū, non cariturū præmio, quisquis boni quippiā inuenerit Reipublicæ, plurimos ea res excitaret ad studiū inueniendi quippiam boni. Sane cum multis curæ est ciuitatis utilitas, fieri nō potest quin & plura reperiantur ingenio, & obeantur functione. Quod si metuis, ô Hierō, ne si multorū nomine præmia proponantur, multi sumptus existant: COGITA nullam mercem esse magis uilem, q̄ quæ ab hominibus præmijs emitur. Vides in equestribus ac gymnicis certaminibus, ut exigua præmia ad magnos sumptus, ad magnos labores, multumq́; studium prolectent homines. Tum Hieron: Ista quidem, inquit, ô Simonides, mihi uideris rectè dicere. Cæterum habésne quicquā quod dicas de stipēdiatis, quo minus habeamur ob illos odio: an dices, principi qui parauit ciuium beneuolentiā, nihil iam opus fore satellitio? Ita per Iouem, inquit Simonides: opus tamen fuerit. Nosti siquidem, quod in equis accidere solet, idem usu uenire in quibusdā hominib. ut quò copiosius ipsis suppetunt necessaria, hoc euadant ferociores. Tales igitur magis reddat sobrios metus, quē adferūt satellites. Cæterum honestis ac bonis, nulla ex re mihi uideris tantum utilitatem præstare, quantum præstas ex satellitio. Nam alis haud dubie tu quidem illos tibiipsi custodes. At iam heri complures à seruis suis interempti sunt.

Quod

καὶ ζημιοῦν, καὶ κολάζειν, ταῦτα δὲ ἀνάγκη δι' ἀπεχθείας μᾶλλον γίγνεσθαι. ἐγὼ οὖν φημι, ἀνδρὶ ἄρχοντι τὸ μὲν ἀνάγκης δεόμενον, ἄλλοις προστακτέον εἶναι κολάζειν. τὸ δὲ τὰ ἆθλα ἀποδιδόναι, δι' αὑτοῦ ποιητέον. ὡς δὲ ταῦτα καλῶς ἔχει, μαρτυρεῖ τὰ γιγνόμενα. καὶ γὰρ ὅταν χοροὺς ἡμῖν βουλώμεθα ἀγωνίζεσθαι, ἆθλα μὲν ὁ ἄρχων προτίθησιν, ἁθροίζειν δὲ αὐτοὺς προστέτακται χορηγοῖς. καὶ ἄλλοις διδάσκειν, καὶ ἀνάγκην προστιθέναι τοῖς ἐνδεῶς τι ποιοῦσιν. οὐκοῦν εὐθὺς ἐν τούτοις τὸ μὲν ἐπίχαρι, διὰ τοῦ ἄρχοντος ἐγένετο. τὰ δ' ἀντίτυπα δι' ἄλλων. τί οὖν κωλύει καὶ τἆλλα τὰ πολιτικὰ οὕτω περαίνεσθαι; διῄρηνται μὲν γὰρ ἅπασαι αἱ πόλεις, αἱ μὲν κατὰ φυλάς, αἱ δὲ κατὰ μόρας, αἱ δὲ κατὰ λόχους, καὶ ἄρχοντες ἐφ' ἑκάστῳ μέρει ἐφεστήκασιν. οὐκοῦν εἴ τις καὶ τούτοις ὥσπερ τοῖς χοροῖς ἆθλα προτιθείη καὶ εὐοπλίας, καὶ εὐταξίας, καὶ ἱππικῆς, καὶ ἀλκῆς τῆς ἐν πολέμῳ, καὶ δικαιοσύνης τῆς ἐν συμβολαίοις, εἰκὸς καὶ ταῦτα πάντα διὰ φιλονικίαν εὐτόνως ἀσκεῖσθαι. καὶ ναὶ μὰ Δία ὁρμῷντό γε θᾶττον ὅποι δέοι, τιμῆς ὀρεγόμενοι, καὶ χρήματα θᾶσσον ἂν εἰσφέροιεν, ὁπότε τούτου καιρὸς εἴη. καὶ τὸ πάντων γε χρησιμώτατον, ἥκιστα δὲ ἐθισμένον διὰ φιλονικίας πράττεσθαι, ἡ γεωργία αὐτὴ ἂν πολὺ ἐπιδοίη, εἴ τις ἆθλα προτιθείη κατ' ἀγροὺς ἢ κατὰ κώμας, τοῖς κάλλιστα τὴν γῆν ἐξεργαζομένοις, καὶ τοῖς εἰς τοῦτο τῶν πολιτῶν ἐρρωμένως τρεπομένοις, πολλὰ ἂν ἀγαθὰ περαίνοιτο. καὶ γὰρ αἱ πρόσοδοι αὔξοιντ' ἄν, καὶ ἡ σωφροσύνη πολὺ μᾶλλον σὺν τῇ ἀσχολίᾳ συμπαρομαρτεῖ. καὶ μὴν κακουργίαι γε ἧττον τοῖς ἐνεργοῖς ἐμφύονται. εἰ δὲ καὶ ἐμπορία ὠφελεῖ τι πόλιν, τιμώμενος ἂν ὁ πλεῖστα τοῦτο ποιῶν, καὶ ἐμπόρους ἂν πλείους ἀγείροι. εἰ δὲ φανερὸν γένοιτο, ὅτι καὶ ὁ πρόσοδόν τινα ἄλυπον ἐξευρίσκων τῇ πόλει τιμήσεται, οὐδ' αὕτη ἂν ἡ σκέψις ἀργοῖτο. ὡς δὲ συνελόντι εἰπεῖν, εἰ καὶ κατὰ πάντων ἐμφανὲς εἴη, ὅτι ὁ ἀγαθόν τι εἰσηγούμενος, οὐκ ἀτίμητος ἔσται, πολλοὺς ἂν καὶ τοῦτο ἐξορμήσειεν ἔργον ποιεῖσθαι, τὸ σκοπεῖν τι ἀγαθόν. καὶ ὅταν γε πολλοῖς περὶ τῶν ὠφελίμων μέλῃ, ἀνάγκη εὑρίσκεσθαί τε μᾶλλον καὶ ἐπιτελεῖσθαι. εἰ δὲ φοβῇ, ὦ Ἱέρων, μὴ ἐν πολλοῖς ἄθλων προτιθεμένων, πολλαὶ δαπάναι γίγνωνται, ἐννόησον ὅτι οὐκ ἔστιν ἐμπορεύματα λυσιτελέστερα, ἢ ὅσα ἄνθρωποι ἄθλων ὠνοῦνται. ὁρᾷς ἐν ἱππικοῖς καὶ γυμνικοῖς καὶ χορηγικοῖς ἀγῶσιν, ὡς μικρὰ ἆθλα μεγάλας δαπάνας καὶ πολλοὺς πόνους, καὶ πολλὰς ἐπιμελείας ἐξάγεται ἀνθρώπων; καὶ ὁ Ἱέρων εἶπεν· ἀλλὰ ταῦτα μέν, ὦ Σιμωνίδη, καλῶς μοι δοκεῖς λέγειν. περὶ δὲ τῶν μισθοφόρων ἔχεις τι εἰπεῖν, ὡς μὴ μισεῖσθαι δι' αὐτούς; ἢ λέγεις ὡς φιλίαν κτησάμενος ἄρχων, οὐδὲν ἔτι δεήσεται δορυφόρων; ναὶ μὰ Δία, εἶπεν ὁ Σιμωνίδης, δεήσεται μὲν οὖν. οἶδα γὰρ ὅτι ὥσπερ ἐν ἵπποις, οὕτω καὶ ἐν ἀνθρώποις τισὶν ἐγγίγνεται, ὅσῳ ἂν ἔκπλεω τὰ δέοντα ἔχωσι, τοσούτῳ ὑβριστοτέροις εἶναι. τοὺς μὲν οὖν τοιούτους μᾶλλον ἂν σωφρονίζοι ὁ ἀπὸ τῶν δορυφόρων φόβος. τοῖς δὲ καλοῖς κἀγαθοῖς ἀπ' οὐδενὸς ἄν μοι δοκεῖς τοσαῦτα ὠφελήματα παρασχεῖν, ὅσα ἀπὸ τῶν μισθοφόρων. τρέφεις μὲν γὰρ δήπου καὶ σὺ αὐτοὺς σαυτῷ φύλακας. ἤδη δὲ πολλοὶ καὶ δεσπόται βίᾳ ὑπὸ τῶν δούλων ἀπέθανον.

εἰ

εἰ οὖν ἐν πρώτοις τοῦτ' εἴη τῶν προστεταγμένων τοῖς μισθοφόροις, ὡς πάντων ὄντας δορυφόρους τῶν πολιτῶν βοηθεῖν πᾶσιν, ἄν τι τοιοῦτον αἰσθάνωνται, γίγνονται δέ που ὡς πάντες ἐπιστάμεθα κακοῦργοι ἐν πόλεσιν. εἰ οὖν καὶ τούτους φυλάττειν εἶεν τεταγμένοι, καὶ τοῦτ' ἂν εἰδεῖεν ὑπ' αὐτῶν ὠφελούμενοι. πρὸς δὲ τούτοις, καὶ τοῖς ἐν τῇ χώρᾳ ἐργάταις καὶ κτήνεσιν, οὗτοι ἂν εἰκότως καὶ θάρσος καὶ ἀσφάλειαν δύναιντο μάλιστα παρέχειν, ὁμοίως μὲν τοῖς σοῖς ἰδίοις, ὁμοίως δὲ τοῖς ἀνὰ τὴν χώραν. ἱκανοί γε μὴν εἰσὶ καὶ σχολὴν παρέχειν τοῖς πολίταις τῶν ἰδίων ἐπιμελεῖσθαι, τὰ ἐπίκαιρα φυλάσσοντες. πρὸς δὲ τούτοις καὶ πολεμίων ἐφόδους κρυφαίας καὶ ἐξαπιναίας τίνες ἑτοιμότεροι, ἢ προαισθέσθαι, ἢ κωλῦσαι, τῶν ἀεὶ ἐν ὅπλοις τε ὄντων καὶ συντεταγμένων; ἀλλὰ μὴν καὶ ἐν τῇ στρατιᾷ τί ἐστιν ὠφελιμώτερον πολίταις μισθοφόρων; τούτους γὰρ προπονεῖν καὶ προκινδυνεύειν, καὶ προφυλάττειν εἰκὸς ἑτοιμοτάτους εἶναι. τὰς δ' ἀγχιτέρμονας πόλεις, οὐκ ἀνάγκη, διὰ τοὺς ἀεὶ ἐν ὅπλοις ὄντας, καὶ εἰρήνης μάλιστα ἐπιθυμεῖν. οἱ γὰρ συντεταγμένοι, καὶ σώζειν τῶν φίλων μάλιστα, καὶ σφάλλειν τὰ τῶν πολεμίων δύναιντ' ἄν. ὅταν γε μὴν γνῶσιν οἱ πολῖται, ὅτι οὗτοι κακὸν μὲν οὐδὲν ποιοῦσι, τὸν μηδὲν ἀδικοῦντα, τοὺς δὲ κακουργεῖν βουλομένους, κωλύουσι, βοηθοῦσι δὲ τοῖς ἀδικουμένοις, προνοοῦσι δὲ καὶ προκινδυνεύουσι τῶν πολιτῶν, πῶς οὐκ ἀνάγκη καὶ δαπανᾶν εἰς τούτους ἥδιστα; τρέφουσι γοῦν καὶ ἰδίᾳ ἐπὶ μείοσι τούτων φύλακας. χρὴ δέ, ὦ Ἱέρων, οὐδ' ἀπὸ τῶν ἰδίων κτημάτων ὀκνεῖν δαπανᾶν εἰς τὸ κοινὸν ἀγαθόν. καὶ γὰρ ἔμοιγε δοκεῖ τὰ εἰς τὴν πόλιν ἀναλούμενα, μᾶλλον εἰς τὸ δέον τελεῖσθαι, ἢ τὰ εἰς τὸ ἴδιον, ἀνδρὶ τυράννῳ. καθ' ἓν δ' ἕκαστον σκοπῶμεν. οἰκίαν πρῶτον ὑπερβαλλούσῃ δαπάνῃ κεκαλλωπισμένην μᾶλλον ἡγῇ κόσμον ἄν σοι παρέχειν, ἢ πᾶσαν τὴν πόλιν τείχεσί τε καὶ ναοῖς, καὶ παραστάσι, καὶ ἀγοραῖς, καὶ λιμέσι κατεσκευασμένην; ὅπλοις δὲ πότερον τοῖς ἐκπαγλοτάτοις αὐτὸς κατακεκοσμημένος, δεινότερος ἂν φαίνοιο τοῖς πολεμίοις, ἢ τῆς πόλεως ὅλης εὐόπλου σοι οὔσης; προσόδους δέ, ποτέρως ἂν δοκεῖς πλείονας γίγνεσθαι, εἰ τὰ σὰ ἴδια μόνον ἐνεργὰ ἔχεις, ἢ εἰ τὰ πάντων τῶν πολιτῶν μεμηχανημένος εἴης ἐνεργὰ εἶναι; τὸ δὲ πάντων κάλλιστον καὶ μεγαλοπρεπέστατον νομιζόμενον εἶναι ἐπιτήδευμα ἁρματοτροφίαν, ποτέρως ἂν δοκεῖς μάλιστα κοσμεῖν, εἰ αὐτὸς πλεῖστα τῶν Ἑλλήνων ἅρματα τρέφοις τε καὶ πέμποις εἰς τὰς πανηγύρεις, ἢ εἰ ἐκ τῆς πόλεως, πλεῖστοι μὲν ἱπποτρόφοι εἶεν, πλεῖστοι δ' ἀγωνίζοιντο. νικᾶν δὲ πότερα δοκεῖς κάλλιον εἶναι, ἅρματος ἀρετῇ, ἢ πόλεως ἧς προστατεύεις εὐδαιμονίᾳ; ἐγὼ μὲν γάρ, οὐδὲ προσήκειν φημὶ ἀνδρὶ τυράννῳ, πρὸς ἰδιώτας ἀγωνίζεσθαι. νικῶν μὲν γὰρ οὐκ ἂν θαυμάζοιο, ἀλλὰ φθονοῖο, ὡς ἀπὸ πολλῶν οἴκων τὰς δαπάνας ποιούμενος. νικώμενος δ' ἂν πάντων μάλιστα καταγελῷο. ἀλλ' ἐγώ σοί φημι, ὦ Ἱέρων, πρὸς ἄλλους προστάτας πόλεων τὸν ἀγῶνα εἶναι. ὧν ἐὰν σὺ εὐδαιμονεστάτην

Quod si unum illud in primis praeceptum fuerit satellitibus, ut perinde quasi essent omnium satellites ciuium, ita omnibus essent auxilio, si quid tale senserint ciues. Sunt autem quemadmodum scimus omnes, aliqui facinorosi in ciuitatibus: itaque si fuerit imperatum, ut satellites & illos obseruent, & in hoc ciues intelligerent illos sibi esse utiles. Praeterea & his qui in agris operantur, & iumentis, hi nimirum, ut est probabile, tum securitatem, tum fiduciam praestare possent, simul & tuis, & ijs qui in ditione tua sunt operarijs. Nimirum sufficiunt & ad ocium praestandum priuatis ciuibus, & illorum curandis negocijs, si ad omnem occasionem aduigilarint. Ad haec, ad hostium occultas subitasque insidias uel praesentiendas, uel arcendas, qui paratiores esse possint ijs qui semper armati sunt, & in acie compositi? Iam & in militia quid est ciuibus utilius mercenario milite? Siquidem uerisimile est, hos esse promptissimos ad finitimas ciuitates, tum labore, tum periculis, tum custodia sua tuendas. An non est necesse, ut propter eos qui semper in armis sunt, pacem maxime exoptent? Nam qui ad pugnam instructi sunt, & amicorum tueri fortunas, & hostium res atterere possunt maxime. Ergo simulatque ciues perspexerint satellites neminem laedere innocentem, sed eos qui male facere conantur cohibere: insuper & his qui per iniuriam laesi sunt opitulari: demum prospicere, ut suo periculo ciues protegant: qui fieri poterit, ut in hos non etiam pecuniam impendant libentissime, cum adhibeant ad ea quae minoris quàm haec sunt momenti custodes? Oportet autem, ô Hieron, ne de tuis quidem priuatis facultatibus grauatim impendere commodis reipublicae. Nam mihi quidem uidentur ea quae impenduntur Reipublicae, rectius collocari, quàm quae priuatim insumuntur homini principatum gerenti. Hoc per singulas res consideremus. Vtrum existimas domum immenso sumptu magnifice extructã tibi plus addere ornamenti, an totam ciuitatem, muris, templis, porticibus, foris, portibus instructam? Vtrum autem ipse armis maxime formidabilib. exornatus, terribilior uidereris hostibus, an si tota ciuitas tibi sit pulchre armata? Porro census utro modo credis uberiores fieri, si tuos duntaxat in opere detineas, an si studio effeceris ut omnes ciues sint in opere? Quãdoquidem uero exercitium omnium pulcherrimum existimamus, studium equos alendi, currusque parandi, utrum putas tibi maiori futurum ornamento, si ipse quamplurimos currus alas, mittasque ad publica certamina, an si inter ciues tuos plurimi fuerint qui equos alãt, plurimi qui in certamẽ eant? Vtram porro uictoriam pulchriorem esse iudicas, cùm ne quam ex laude currus, an quam à reipub. cui praesides felicitate? Nam ego sane ne conuenire quidem arbitror uiro principi, cum priuatis decertare: qui si uicerit, tantum abest ut sit admirationi, ut magis sibi conflet inuidiam, ut qui ex multorum domibus faciat impendia. Caeterum si uictus fuerit, omnium maxime deridetur. Verùm haec mea est, ô Hieron, sententia, tibi cum alijs ciuitatum praefectis certamen esse: quos si superaris, tuam ciuitatem cui praesides, quamfelicissimam

simam reddendo, illud certum scias, te in longe pulcherrimo inter homines magnificentissimoq́; certamine uictorem fore. Atq; in primis quidem illud effeceris, ut ameris ab his quibus imperas: cuius sane rei tu percupidus es: tum uero uictoriæ tuæ non unum habiturus es præconem, sed omnes homines laudib. uehent uirtutem tuam. Insuper omnibus suspiciendus, non tantum a priuatis, uerumetiam à multis ciuitatibus diligeris: nec priuatim modo futurus es admirabilis, sed & publice apud omnes. Ac tutum tibi erit si quo uoles ad spectaculum proficisci: licebit & hac ipsa in urbe manenti spectaculis frui: semper enim apud te fuerit conuentus eorum qui cupiunt ostentare, si quis quid pulchri boni ue habeat, & id desiderantibus inseruire. Præterea quisquis adfuerit tibi, tuarum partium erit: rursus qui abest, te uidere concupiscet, ut non solum diligaris ab omnibus, uerumetiā ameris. Porro formas eximias non oportet abs te tentari, sed cum ambiëris à formosis ipse, ferendum erit. Metum autem adeo nullum habiturus es, ut alijs potius metum ac solicitudinem iniecturus sis, ne quid tibi accidat quod nolint. Quin & habiturus es tuos ultro parentes imperatis, uidebisq; illos ex animo tui curam gerere. Quod si quid inciderit periculi, non solum uidebis illos pugnæ socios, uerumetiam propugnatores. Multis quidem muneribus honoraberis, non tamen egebis cuicunq; tibi beneuolenti hæc impertieris, cum omnes habiturus sis tibi de tuis bonis gratulantes, omnes item non aliter pro tuis priuatis commodis, quàm pro suis proprijs decertantes. In suis itaq; thesauris habes quicquid est opum penes amicos. Age Hieron dita fidenter amicos, sic enim ditas teipsum. Auge rempublicam, sic enim tibiipsi potentiam adiunges. Para reipublicæ belli socios, puta patriam esse domum tuam, ciues uero sodales, amicos tuos ipsius liberos, filios uero non aliter habeas quàm animam tuam, hæc interim admitens, ut hos omnes beneficentia superes. Etenim si amicos feceris tuos benefaciendo, haudquaquam tibi poterunt obsistere inimici. Hæc omnia si præstiteris, illud certum habeto, te tibi paraturum, quo non alia inter homines possessio uel pulchrior, uel beatior: quandoquidem cum felix sis, tamen tibi nullus inuidebit.

στάτην τὴν πόλιν, ἧς προστατεύεις παρέχοις, εὖ ἴσθι νικῶν τῷ καλλίστῳ καὶ μεγαλοπρεπεστάτῳ ἐν ἀνθρώποις ἀγωνίσματι. καὶ πρῶτον μὲν εὐθὺς κατειργασμένος ἂν εἴης τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων, οὗ δὴ σὺ ἐπιθυμῶν τυγχάνεις. ἔπειτα δὲ τὴν σὴν νίκην οὐκ ἂν εἷς εἴη ὁ ἀνακηρύττων, ἀλλὰ πάντες ἂν ἄνθρωποι ὑμνοῖεν ἂν τὴν σὴν ἀρετήν. περίβλεπτος δὲ ὤν, οὐχὶ ὑπὸ ἰδιωτῶν μόνον, ἀλλὰ καὶ ὑπὸ πολλῶν πόλεων ἀγαπῷο ἄν. καὶ θαυμαστὸς οὐκ ἰδίᾳ μόνον, ἀλλὰ καὶ δημοσίᾳ παρὰ πᾶσιν ἂν εἴης. καὶ ἐξείη μὲν ἄν σοι ἕνεκεν ἀσφαλείας, εἴ που βούλοιο θεωρήσοντι πορεύεσθαι. ἐξείη δ' ἂν αὐτοῦ μένοντι τοῦτο πράττειν. ἀεὶ γὰρ ἂν παρὰ σοὶ πανήγυρις εἴη τῶν βουλομένων ἐπιδεικνύναι, εἴ τις τι σοφὸν, ἢ καλὸν, ἢ ἀγαθὸν ἔχοι, τῶν δὲ καὶ ἐπιθυμούντων ὑπηρετεῖν. πᾶς δὲ ὁ μὲν παρὼν σύμμαχος ἂν εἴη σοι. ὁ δὲ ἀπὼν, ἐπιθυμοίη ἂν ἰδεῖν σε, ὥστε οὐ μόνον φιλοῖο ἂν, ἀλλὰ καὶ ἐρῷο ὑπ' ἀνθρώπων. καὶ τοὺς καλοὺς οὐ πειρᾶν, ἀλλὰ πειρώμενον ὑπ' αὐτῶν, ἀνέχεσθαι ἄν σε δέοι. φόβον δὲ οὐκ ἂν ἔχοις, ἀλλ' ἄλλοις παρέχοις, μή τι πάθῃς. ἑκόντας δὲ τοὺς πειθομένους ἔχοις ἂν, καὶ ἐθελουσίως σου προνοοῦντας θεῷο ἄν. εἰ δέ τις κίνδυνος εἴη, οὐ συμμάχους μόνον, ἀλλὰ καὶ προμάχους καὶ προθύμους ὁρῴης ἄν. πολλῶν μὲν δωρεῶν ἀξιούμενος, οὐκ ἀπορῶν δὲ ὅτῳ τούτων εὐμενεῖ μεταδώσεις. πάντας μὲν συγχαίροντας ἔχων ἐπὶ τοῖς σοῖς ἀγαθοῖς· πάντας δὲ πρὸ τῶν σῶν ἰδίων, ὥσπερ τῶν ἰδίων μαχομένους. θησαυρούς γε μὴν ἔχοις πάντας τοὺς παρὰ τοῖς φίλοις πλούτους. ἀλλὰ θαρρῶν, ὦ Ἱέρων, πλούτιζε μὲν τοὺς φίλους· σαυτὸν γὰρ πλουτιεῖς. αὖξε δὲ τὴν πόλιν· σαυτῷ γὰρ δύναμιν περιάψεις. κτῶ δὲ αὐτῇ συμμάχους. νόμιζε δὲ τὴν μὲν πατρίδα, οἶκον· τοὺς δὲ πολίτας, ἑταίρους· τοὺς δὲ φίλους, τέκνα σαυτοῦ· τοὺς δὲ παῖδας, ὅτι περ τὴν σὴν ψυχήν. καὶ τούτους πάντας πειρῶ νικᾶν, εὖ ποιῶν. ἐὰν γὰρ τοὺς φίλους κρατῇς, εὖ ποιῶν, οὐ μή σοι δύνωνται ἀντέχειν οἱ πολέμιοι. κἂν ταῦτα πάντα ποιῇς, εὖ ἴσθι πάντων τῶν ἐν ἀνθρώποις κάλλιστον καὶ μακαριώτατον κτῆμα κεκτήσῃ. εὐδαιμονῶν γὰρ οὐ φθονήσῃ.

ΞΕΝΟΦΩΝΤΟΣ ΡΗΤΟΡΟΣ ΠΟΡΟΙ, Η ΠΕΡΙ ΠΡΟΣΟΔΩΝ.

Ἐγὼ μὲν ἀεί ποτε νομίζω, ὁποῖοί τινες οἱ προστάται ὦσι, τοιαύτας καὶ τὰς πολιτείας γίγνεσθαι. ἐπεὶ δὲ τῶν Ἀθήνησι προεστηκότων ἐλέγοντό τινες, ὡς γιγνώσκουσι μὲν τὸ δίκαιον οὐδενὸς ἧττον τῶν ἄλλων ἀνθρώπων, διὰ δὲ τὴν τοῦ πλήθους πενίαν ἀναγκάζεσθαι ἔφασαν ἀδικώτεροι εἶναι περὶ τὰς πόλεις, ἐκ τούτου ἐπιχείρησα σκοπεῖν εἴ πῃ δύναιντ' ἂν οἱ πολῖται διατρέφεσθαι ἐκ τῆς ἑαυτῶν, ὅθεν περ καὶ δικαιότατον, νομίζων εἰ τοῦτο γένοιτο, ἅμα τῇ τε πενίᾳ αὐτῶν ἐπικεκουρῆσθαι ἄν, καὶ τὸ ὑπόπτους τοῖς Ἕλλησιν εἶναι. σκοποῦντι δή μοι ἃ ἐνενόησα, τοῦτο μὲν εὐθὺς ἀνεφαίνετο, ὅτι ἡ χώρα πέφυκεν οἵα πλείστας προσόδους παρέχεσθαι. ὅπως δὲ γνωσθῇ, ὅτι ἀληθὲς τοῦτο πρῶτον λέγω, διηγήσομαι τὴν φύσιν τῆς Ἀττικῆς. οὐκοῦν τὸ μὲν τὰς ὥρας ἐνθάδε πρᾳοτάτας εἶναι, καὶ αὐτὰ τὰ γιγνόμενα μαρτυρεῖ. ἃ γοῦν πολλαχοῦ οὐδὲ βλαστάνειν δύναιντ' ἄν, ἐνθάδε καρποφορεῖ. ὥσπερ δὲ ἡ γῆ, οὕτω καὶ ἡ περὶ τὴν χώραν θάλαττα παμφορωτάτη ἐστί. καὶ μὴν ὅσα περ οἱ θεοὶ ἐν ταῖς ὥραις ἀγαθὰ παρέχουσι, καὶ ταῦτα πάντα ἐνταῦθα πρωιαίτατα μὲν ἄρχεται, ὀψιαίτατα δὲ λήγει. οὐ μόνον δὲ κρατεῖ τοῖς ἐπ' ἐνιαυτὸν θάλλουσί τε καὶ γηράσκουσιν, ἀλλὰ καὶ ἀΐδια ἀγαθὰ ἔχει ἡ χώρα. πέφυκε μὲν γὰρ λίθος ἐν αὐτῇ ἄφθονος, ἐξ οὗ κάλλιστοι μὲν ναοί, κάλλιστοι δὲ βωμοὶ γίγνονται, εὐπρεπέστατα δὲ θεοῖς ἀγάλματα. πολλοὶ δ' αὐτοῦ καὶ Ἕλληνες καὶ βάρβαροι προσδέονται. ἔστι δὲ καὶ γῆ ἣ σπειρομένη μὲν οὐ φέρει καρπόν, ὀρυσσομένη δὲ πολλαπλασίους τρέφει ἢ εἰ σῖτον ἔφερε. καὶ μὴν ὑπάργυρός ἐστι σαφῶς θείᾳ μοίρᾳ. πολλῶν γοῦν πόλεων παροικουσῶν καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, εἰς οὐδεμίαν τούτων οὐδὲ μικρὰ φλὲψ ἀργυρίτιδος διήκει. οὐκ ἂν ἀλόγως δέ τις οἰηθείη τῆς Ἑλλάδος, καὶ πάσης δὲ τῆς οἰκουμένης ἀμφὶ τὰ μέσα οἰκεῖσθαι τὴν πόλιν. ὅσῳ γὰρ ἄν τινες πλεῖον ἀπέχωσιν αὐτῆς, τοσούτῳ χαλεπωτέροις ἢ ψύχεσιν ἢ θάλπεσιν ἐντυγχάνουσιν. ὁπόσοι τ' ἂν αὖ βουληθῶσιν ἀπ' ἐσχάτων τῆς Ἑλλάδος ἐπ' ἔσχατα ἀφικέσθαι, πάντες οὗτοι ὥσπερ κύκλου τόρνον τὰς Ἀθήνας ἢ παραπλέουσιν ἢ παρέρχονται. καὶ μὴν οὐ περίρρυτός γε οὖσα, ὅμως ὥσπερ νῆσος πᾶσιν ἀνέμοις προσάγεταί τε ὧν δεῖται, καὶ ἐκπέμπεται ἃ βούλεται. ἀμφιθάλαττος γάρ ἐστι. καὶ κατὰ γῆν δὲ πολλὰ δέχεται ἐμπόρια. ἤπειρος γάρ ἐστιν. ἔτι δὲ ταῖς μὲν πλείσταις πόλεσι βάρβαροι προσοικοῦντες πράγματα παρέχουσιν. Ἀθηναίοις δὲ γειτονεύουσιν αἳ καὶ αὐταὶ πλεῖστον ἀπέχουσι τῶν βαρβάρων. τούτων μὲν οὖν ἁπάντων, ὥσπερ εἶπον, νομίζω αὐτὴν τὴν χώραν αἰτίαν εἶναι. εἰ δὲ πρὸς τοῖς αὐτοφυέσιν ἀγαθοῖς πρῶτον μὲν τῶν μετοίκων ἐπιμέλεια γένοιτο. αὕτη γὰρ ἡ πρόσοδος τῶν καλλίστων ἔμοιγε δοκεῖ εἶναι, ἐπείπερ αὑτοὺς τρέφοντες, καὶ πολλὰ ὠφελοῦντες τὰς πόλεις, οὐ

XENOPHONTIS PORI, SEV DE VECTIGALIBVS,

Ego semper illud uerum esse putaui, quales essent gubernatores, tales respublicas existere solere. Quoniam autem ex iis qui præsunt reipublicæ Athenienſium, nonnulli esse dicerentur qui ius nossent, ita ut in ea re nullis postponendi uiderentur, sed propter multitudinis paupertatem se in ciuitates iniuriosos esse cogi dicerent, deinceps deliberare cœperunt, an ciues aliqua ratione suis rebus cōtenti uitam possent degere. Quocirca illud æquißimum existimabant, si id accideret, ut & cum penuria satis præsidij in se haberent, & reliquis Græcis in suspicionem non uenirent. Mihi igitur consideranti quæ in mentem uenerant, statim uisa est ipsa regio talis esse, quæ plurimos fructus suppeditare, ac maximū ærarium habere posset. Atq; ut omnes intelligāt hoc primū à me uere dici, ipsius Atticæ naturā explicabo. Hic igitur anni tempora tēperatißima esse, uel ea ipsa quæ gignuntur in hac terra, testimonio sunt: cum præsertim quæ multis in locis ne germinare quidem possunt, hic fructificent optime. Ac ut ipsa terra, sic mare uicinum omnium rerum feracißimū est. Iam quæ dij suis temporib. bona largiuntur, ea omnia et tempestiuißime nascuntur, et tardißime deficiunt. Nec uero solum ea quæ in annum et florent et senescunt, uerumetiam bona habet æterna. Ibi enim nascitur lapis copiosißime, è quo templa aræq; pulcherrimæ fiunt, et dijs maxime digna simulachra: quod genus lapidis tum Græci, tum Barbari expetunt. Est etiam terra, quæ si seratur, nullum edit fructū: sin fodiatur, multo plures alit, q̄ si triticū ferret. Nec dubiū est, quin diuino quodā fato subargentosa sit: nam cum multa sint terra mariq; oppida uicina, in nullum tamen horū ne exigua quidē argenti uena peruenit: ut nō sine ratione credi poßit, in Græciæ, orbisq; totius medio hanc urbem ædificatam esse. Quo.n. quæq; ab ea lōgius absunt, hoc in molestiorib. uel frigorib. uel calorib. uersantur: omnesq; qui ab ultimis Græcia in ultimas orbis partes cōmeare statuerint, hi Athenas tanquā circuli tornū uel præternaugāt, uel prætergradiūtur. quæ etsi aquis circūfusa nō est, tamen quibuslibet uentis quæ requirit, importat, eaq; quæ uult exportat, cum inter duo maria posita sit: cumq; continens sit, in ipsa ora multos capit mercatus. Iam uero plurimæ sunt ciuitates, quæ à uicinis Barbaris, molestijs afficiuntur: at Athenienses eas habent uicinas, quæ & ipsæ plurimum absunt à barbaris: atq; horum quidem omnium, ut dixi, terram hanc procreatricem esse puto. Quod si præter illa bona quæ ex sespsa gigni, inquilinorum cura geratur in primis, hoc de pulcherrimis uectigalibus mihi unum esse uidetur. Nam cum præsidia uitæ necessaria præbeant, multisq; partibus reipublicæ prosint, tantum

tantum abest ut præmium ullum accipiant, ut contra stipendium etiam suo nomine pensitent. Ac cura quidem, quæ mihi satis magna esse uidetur, hæc est, si quæ temp. [illegible] ominiam incolis inurere uidentur, detraxerim[illegible] eo leuauerimus onere, ne armati cũ ciuib. militare cogantur. Magnũ est n. periculũ, absens: magnũ etiam est ab artib. & ædibus discedere. Quinetiã utile erit ciuitati, si ciues cum ciuib. cõiuncti militent, magis q̃ si cum illis instruãtur: quemadmodũ hoc tempore Lydi, Phryges, Syri, et alij cuiuscũq; generis populi barbari: magna enim ex parte ex incolis constant: ac præter utilitatem, quæ ex eo quod ordinari desierint, cum illis consequetur, ciuitati etiam ornamento erit, si in prælijs Athenienses magis sibi q̃ alienigenis fidem habere uidebuntur. Et incolis cum alia, tum equitatũ, sicut æquitas postulat, impertiendo, & beneuolentiores illos habituri uidemur, & ciuitatem potentiorẽ, maioremq; efficiemus. Deinde quoniam multa sunt intra muros urbis domicilia deserta, uacentiq; areæ, si ciuitas concedat eos qui ædificauerint possidere, si modo digni uidebũtur qui id petierint, hisce rebus spero multo plures et probiores incolendi causa Athenas uenturos. Quod si magistratum creauerimus, qui sit & dicatur incolarũ custos, quemadmodũ à principio fuerunt pupillorum custodes: ijq; aliquo afficiantur præmio qui quamplurimos in urbem incolas adduxerint, id & beneuolentiores reddet incolas, &, ut par est, omnes qui ciuitate carebunt, Athenas expetent incolendi causa, atq; ita uectigalia maiora & auctiora reddent. Iam qua ratione mercaturam ciuitas factitare & iucundissime & quæstuosissime possit, deinceps exponam. Primum enim naues ornatissimas, et stationes tutissimas habet: ubi quidem in portum appulsis, licet per tempestates iucunde conquiescere et refici. Cum uero plurimæ sint urbes, in quibus mercatores uicissim onus accipere, et exportare cogantur, quod nummis inutilibus extra suã ditionẽ ciuitas illa utatur: at Athenis plurima quidem quib. homines indigẽt, exportare licet uicissim: sed si nolint mercib. illorũ suas naues uicissim onerare, sed argentũ acceperint, quæstuosissimã mercaturã fecerint: ubicũq; enim illud uendiderint, omnino amplius sorte recipient. Quod si mercatus præfectis, qui summa æquitate et cõsilij celeritate res ambiguas distinguant, præmiũ aliquod proponeretur, nec quisquã inuitus quo uellet nauigare prohiberetur, fieret hoc pacto ut & plures & libentius mercaturã factitarent. Utile & honestũ est, ut mercatores et nauicularij honoribus afficiantur. Nonnunquã etiam ad hospitium inuitandi sunt, qui magnis & copiosis naub. et mercibus ciuitatẽ iuuare uideantur: talibus enim honoribus affecti, nõ solum lucri, uerumetiam honoris causa ad amicos festinabunt. Quanto autem plures ad habitandum uenerint, tanto plura & importabũtur & exportabũtur, emittẽtur et uendẽtur, et plus mercedis ac stipendij auferetur. Atq; ut hæc augeãtur uectigalia, nullis omnino opus erit impensis, sed decretis humanitatis et curæ plenis. Nã alia uectigalia quæcũq; comparari possunt, sumptus requirere arbitror. Nec dubito, quin ciues sint ad hæc alacriter contributuri:

memo-

οὐ λαμβάνουσι μισθόν, ἀλλὰ μετοίκιον προσφέρουσιν. ἐπιμέλειά γε μὴν ἥδ' ἂν ἀρκεῖν μοι δοκεῖ, εἰ ἀφέλοιμεν μὲν ὅσα μηδὲν ὠφελοῦντα τὴν πόλιν ἀτιμίας δοκεῖ τοῖς μετοίκοις παρέχειν. ἀφέλοιμεν δὲ καὶ τὸ συστρατεύεσθαι ὁπλίτας μετοίκους τοῖς ἀστοῖς. μέγας μὲν γὰρ ὁ κίνδυνος ἀπών. μέγα δὲ καὶ τὸ ἀπὸ τῶν τεχνῶν καὶ τῶν οἰκιῶν ἀπιέναι. ἀλλὰ μὴν καὶ ἡ πόλις γ' ἂν ὠφεληθείη, εἰ οἱ πολῖται μετ' ἀλλήλων στρατεύοιντο μᾶλλον ἢ εἰ συντάττοιντο αὐτοῖς, ὥσπερ νῦν Λυδοί, καὶ Φρύγες, καὶ Σύροι, καὶ ἄλλοι παντοδαποὶ βάρβαροι. πολλοὶ γὰρ τοιοῦτοι τῶν μετοίκων. πρὸς δὲ τῷ ἀγαθῷ τῷ τούτους ἐκ τοῦ συντάττεσθαι ἀφεθῆναι, καὶ κόσμος ἂν τῇ πόλει εἴη, εἰ δοκοῖεν Ἀθηναῖοι εἰς τὰς μάχας αὐτοῖς μᾶλλον πιστεύειν ἢ ἀλλοδαποῖς. καὶ μεταδιδόντες δ' ἄν μοι δοκοῦμεν τοῖς μετοίκοις τῶν ἄλλων ὧν καλὸν μεταδιδόναι καὶ τοῦ ἱππικοῦ, εὐνουστέρους ἂν ποιεῖσθαι, καὶ ἅμα ἰσχυροτέραν ἂν καὶ μείζω τὴν πόλιν ἀποδεικνύναι. εἶτα ἐπειδὴ καὶ πολλὰ οἰκιῶν ἐρήμαιά ἐστιν ἐντὸς τῶν τειχῶν, καὶ οἰκόπεδα, καὶ ἡ πόλις διδοίη οἰκοδομησαμένοις ἐγκεκτῆσθαι, οἳ ἂν αἰτούμενοι ἄξιοι δοκῶσιν εἶναι, πολὺ ἂν οἴομαι καὶ διὰ ταῦτα πλείους τε καὶ βελτίους ὀρέγεσθαι τῆς Ἀθήνησιν οἰκήσεως. καὶ εἰ μετοικοφύλακάς γε ὥσπερ ὀρφανοφύλακας ἀρχὴν καθισταῖμεν, καὶ τούτοις τιμή τις ἐπείη, οἵτινες πλείους μετοίκους ἀποδείξειαν, καὶ τοῦτο εὐνουστέρους ἂν τοὺς μετοίκους ποιοίη, καὶ ὡς τὸ εἰκὸς πάντες ἂν οἱ ἀπόλιδες τῆς Ἀθήνησι μετοικίας ὀρέγοιντο, καὶ τὰς προσόδους ἂν αὔξοιεν. ὡς γε μὴν ἐμπορεύεσθαι ἡδίστη τε καὶ κερδαλεωτάτη ἡ πόλις, νῦν ταῦτα λέξω. πρῶτον μὲν γὰρ δήπου ναυσὶ καλλίστας καὶ ἀσφαλεστάτας ὑποδοχὰς ἔχει, ὅπου γε ἔστιν, εἰς ὅρμον καταχθέντας ἀδεῶς ἕνεκα χειμῶνος ἀναπαύεσθαι. ἀλλὰ μὴν καὶ τοῖς ἐμπόροις ἐν μὲν ταῖς πλείσταις τῶν πόλεων ἀντιφορτίζεσθαί τι ἀνάγκη. νομίσμασι γὰρ οὐ χρησίμοις ἔξω χρῶνται. ἐν δὲ ταῖς Ἀθήναις πλεῖστα μὲν ἔστιν ἀντεξάγειν, ὧν ἂν δέωνται ἄνθρωποι. ἢν δὲ μὴ βούλωνται ἀντιφορτίζεσθαι, καὶ οἱ ἀργύριον ἐξάγοντες, καλὴν ἐμπορίαν ἐξάγουσιν. ὅπου γὰρ ἂν πωλῶσιν αὐτό, πανταχοῦ πλεῖον τοῦ ἀρχαίου λαμβάνουσιν. εἰ δὲ καὶ τῇ τοῦ ἐμπορίου ἀρχῇ ἆθλα προτιθείη τις, ὅστις δικαιότατα καὶ τάχιστα διαιροίη τὰ ἀμφίλογα, ὡς μὴ ἀποκωλύεσθαι ἀποπλεῖν τὸν βουλόμενον, πολὺ ἂν καὶ διὰ ταῦτα πλείους τε καὶ ἥδιον ἐμπορεύοιντο. ἀγαθὸν δὲ καὶ καλὸν καὶ προεδρίαις τιμᾶσθαι ἐμπόρους καὶ ναυκλήρους, καὶ ἐπὶ ξένιά γ' ἔστιν ὅτε καλεῖσθαι, οἳ ἂν δοκῶσιν ἀξιολόγοις καὶ πλοίοις καὶ ἐμπορεύμασιν ὠφελεῖν τὴν πόλιν. ταῦτα γὰρ τιμώμενοι, οὐ μόνον τοῦ κέρδους, ἀλλὰ καὶ τῆς τιμῆς ἕνεκεν πρὸς φίλους ἐπισπεύδοιεν ἄν. ὅσῳ γε μὴν πλείονες εἰσοικίζοιντό τε καὶ ἀφικνοῖντο, δῆλον ὅτι τοσούτῳ ἂν πλεῖον καὶ εἰσάγοιτο καὶ ἐξάγοιτο, καὶ ἐκπέμποιτο, καὶ πωλοῖτο, καὶ μισθοφοροῖτο, καὶ τελεσφοροίη. εἰς μὲν οὖν τὰς τοιαύτας αὐξήσεις τῶν προσόδων, οὐδὲ πῶς δαπανῆσαι δεῖ οὐδέν. ἀλλὰ ψηφίσματά τε φιλάνθρωπα καὶ ἐπιμελείας. ὅσαι δ' ἂν ἄλλαι δοκοῦσί μοι πρόσοδοι γίγνεσθαι, γιγνώσκω ὅτι ἀφορμῆς δεήσει εἰς αὐτάς. οὐ μέντοι δύσελπίς εἰμι τὸ μὴ οὐχὶ προθύμως ἂν τοὺς πολίτας εἰς τὰ τοιαῦτα εἰσφέρειν.

ἐνθυ-

ἐνθυμούμενος ὡς πολλὰ μὲν εἰσήνεγκεν ἡ πόλις, ὅτε Ἀρκάσιν ἐβοήθει ἐπὶ Λυσιστράτου ἡγουμένου, πολλὰ δὲ ἐπὶ Ἡγησίλεω. ἐπίσταμαι δὲ καὶ τριήρεις πολλάκις ἐκπεμπομένας σὺν πολλῇ δαπάνῃ, καὶ ταύτας γιγνομένας, τούτου μὲν ἀδήλου ὄντος εἴτε βέλτιον εἴτε κάκιον ἔσται, τούτου δὲ δήλου ὅτι οὐδέποτε ἀπολήψονται ἃ ἂν εἰσενέγκωσιν, οὐδὲ μεθέξουσιν ὧν ἂν εἰσενέγκωσιν. κτῆσιν δὲ ἀπ' οὐδενὸς ἂν οὕτω καλὴν κτήσαιντο, ὡς ἔπορ ἀφ' οὗ ἂν προτελέσωσιν εἰς τὴν ἀφορμήν. ᾧ μὲν γὰρ ἂν δέκα μναῖ εἰσφορὰ γένηται, ὥσπερ ναυτικὸν σχεδὸν ἐπίπεμπτον αὐτῷ γίγνεται, τριώβολον τῆς ἡμέρας λαμβάνοντι. ᾧ δέ γ' ἂν πέντε μναῖ, πλεῖον ἢ ἐπίτριτον. οἱ δέ γε πλεῖστοι Ἀθηναίων πλείονα λήψονται κατ' ἐνιαυτόν, ἢ ὅσα ἂν εἰσενέγκωσιν. οἱ γὰρ μνᾶν προτελέσαντες ἐγγὺς δυοῖν μναῖν πρόσοδον ἕξουσι· καὶ ταῦτα ἐν τῇ πόλει, ὃ δοκεῖ τῶν ἀνθρωπίνων ἀσφαλέστατόν τε καὶ πολυχρονιώτατον εἶναι. οἶμαι δὲ ἔγωγε, εἰ μέλλοιεν ἀναγραφήσεσθαι εὐεργέται εἰς τὸν ἅπαντα χρόνον, καὶ ξένους ἂν πολλοὺς εἰσενεγκεῖν. ἔστι δ' ἃς ἂν καὶ πόλεις τῆς ἀναγραφῆς ὀριγνωμένας. ἐλπίζω δὲ καὶ βασιλέας ἄν τινας καὶ τυράννους καὶ σατράπας ἐπιθυμῆσαι μετασχεῖν ταύτης τῆς χάριτος. ὁπότε γε μὴν ἀφορμὴ ὑπάρχοι, καλὸν μὲν καὶ ἀγαθὸν ναυκλήροις οἰκοδομεῖν καταγώγια περὶ λιμένας πρὸς τοῖς ὑπάρχουσι, καλὸν δὲ καὶ ἐμπόροις ἐπὶ προσήκοντας τόπους ὠνῇ τε καὶ πράσει, καὶ τοῖς ἀφικνουμένοις δὲ δημόσια καταγώγια. εἰ δὲ καὶ τοῖς ἀγοραίοις οἰκήσεις τε καὶ πωλητήρια κατασκευασθείη καὶ ἐν Πειραιεῖ καὶ ἐν τῷ ἄστει, ἅμα τ' ἂν κόσμος εἴη τῇ πόλει, καὶ πολλαὶ ἂν ἀπὸ τούτων πρόσοδοι γίγνοιντο. ἀγαθὸν δέ μοι δοκεῖ εἶναι πειραθῆναι, εἰ καὶ ὥσπερ τριήρεις δημοσίας ἡ πόλις κέκτηται, οὕτω καὶ ὁλκάδας δημοσίας δυνατὸν ἂν γένοιτο κτήσασθαι, καὶ ταύτας ἐκμισθοῦν ἐπ' ἐγγυητῶν, ὥσπερ καὶ τἆλλα δημόσια. εἰ γὰρ καὶ τοῦτο οἷόν τε ὂν φανείη, πολλὴ ἂν καὶ ἀπὸ τούτων πρόσοδος γίγνοιτο. τά γε μὴν ἀργύρεια εἰ κατασκευασθείη ὡς δεῖ, πάμπολλα ἂν νομίζω χρήματα ἐξ αὐτῶν καὶ ἄνευ τῶν ἄλλων προσόδων προσιέναι. βούλομαι δὲ καὶ τοῖς μὴ εἰδόσι τὴν τούτων δύναμιν δηλῶσαι. ταύτην γὰρ γνόντες καὶ ὅπως χρῆσθαι δεῖ αὐτοῖς, ἄμεινον ἂν βουλεύοισθε. οὐκοῦν ὅτι μὲν πάλαι ἐνεργά ἐστι, πᾶσι σαφές. οὐδεὶς γοῦν οὐδὲ πειρᾶται λέγειν ἀπὸ ποίου χρόνου ἐπεχειρήθη. οὕτω δὲ πάλαι ὀρυττομένων τε καὶ ἐκφορουμένων τῆς ἀργυρίτιδος, κατανοήσατε τί μέρος οἱ ἐκβεβλημένοι σωροὶ τῶν αὐτοφυῶν τε καὶ ὑπαργύρων λόφων. οὐδὲ μὴν ὁ ἀργυρώδης τόπος εἰς μεῖόν τι συστελλόμενος, ἀλλ' ἀεὶ ἐπὶ πλεῖον ἐκτεινόμενος φανερός ἐστιν. ἐν ᾧ γε μὴν χρόνῳ οἱ πλεῖστοι ἄνθρωποι ἐγένοντο ἐν αὐτοῖς, οὐδεὶς πώποτε ἔργου ἠπορήθη, ἀλλ' ἀεὶ τὰ ἔργα τῶν ἐργαζομένων περιῆν. καὶ νῦν δὲ οἱ κεκτημένοι ἐν τοῖς μετάλλοις ἀνδράποδα, οὐδεὶς τοῦ πλήθους ἀφαιρεῖ, ἀλλ' ἀεὶ προσκτᾶται ὁπόσα ἂν πλεῖστα δύνηται. καὶ γὰρ δὴ ὅταν μὲν ὀλίγοι ὀρύττωσι καὶ ζητῶσιν, ὀλίγα οἶμαι καὶ τὰ χρήματα εὑρίσκεται. ὅταν δὲ πολλοί, πολλαπλασία ἡ ἀργυρῖτις ἀναφαίνεται, ὥστε ἐν μόνῳ τούτῳ ὧν ἐγὼ οἶδα ἔργων οὐδὲ φθονεῖ οὐδεὶς τοῖς ἐπικατασκευαζομένοις. ἔτι δὲ οἱ μὲν ἀγροὺς κεκτημένοι πάντες ἔχοιεν ἂν εἰπεῖν ὁπόσα ζεύγη ἀρκεῖ εἰς τὸ χωρίον, καὶ ὁπόσοι ἐργάται. ἢν δ' ἐπὶ πλέον τῶν ἱκανῶν ἐμβάλλῃ τις, ζημίαν λογίζονται.

ἐν

memoria repetens, q̃ multa nostra ciuitas, cum auxilium ferret Arcadibus, imperatore Lysistrato, cōtulerit: q̃ multa item duce Agesilao. Nec ignoro, multas sæpe triremes sumptuosissimas emissas esse, easq; ædificatas, cū adhuc esset incertum, utrum plus utilitatis an calamitatis ea res esset allatura. Illud uero satis perspicuū esset, ea nunquā se recuperaturos, ac ne participes quidem eorū futuros, quæ ipsi cōtribuissent. Possessionē autē nulla alia re tam honestā cōparare licet, q̃ si ad reipub. tempora & opportunitates contribuatur. Qui enim decem minarū tributū pependerint, quale est nauticū, ei exigenti triobolū prope in die mutuatur. Qui autē quinq; minarū, plusquam sesquitertiū. Plurimi autē Atheniensiū plus in singulos annos recipiunt, q̃ contulerint. Qui enim repræsentarint, duas prope minas uectigalis nomine recepturi sunt: & id quidem in urbe, quod uidetur in rebus humanis & tutissimū & diuturnissimum esse. Equidem existimo, si in beneficorū numerum ac benemeritorū in omne tempus perscriberentur peregrini, multos etiā ex illis collaturos esse. Sūt & ciuitates, quæ hoc beneficiū appetituræ sunt, cum in hunc ordinē ascribi cupiant. Spero & nonnullos etiam reges, & tyrannos, & satrapas fore, qui hoc beneficium cupide appetituri sint. Cumq; occasio se offeret, honestū & utile foret, nauicularijs in portub. ad merces exponēdas & copias, naualia ædificare. Vtile etiā erit, mercatoribus in locis uenditioni & emptioni opportunis, diuersoria & tabernas esse publicas, & omnibus illuc commeantibus. Quod si mercatum frequentantibus domus & tabernæ in quibus merces exponant uenales ædificarentur, tum in Piræo, tum in ipsa urbe, hæc simul & essent ciuitati ornamento, et multum uectigalia augerent. Illud quoq; mihi uidetur esse commodum, ut tentemus, an ut ciuitas triremes publicas cōparauit, sic etiam naues onerarias comparare possit: easq; prædibus acceptis, quemadmodum in cæteris publicis, locare. Si enim id etiam fieri posse uideatur, multum ex hac re uectigalis accedet. Iam ex argētifodinis, si, ut res postulat, instituantur, permultū pecuniæ, etiāsi nulla alia essent uectigalia, in ærarium inuectum iri arbitror. Sed ijs qui illarum commoditates ignorant, explanare decreui: hac enim facultate cognita, facilius qua ratione illis ipsis utendū sit, cōsulēdo uidere possitis. Quondā igitur fuisse in illis operarios, nemini ignotū est: cū præsertim nemo sit, qui quo tēpore cœptæ sint, se scire profiteri audeat. Cum autē sic olim fossa sit, & egesta materia argenti, considerate nec aliquā partem eiecti aceruia spōte nascentiū glebarum & argentosarū, nec ipsum argentosum locum quicquam diminutū et contractū esse, sed magis ac magis protēdi ac dilatari uidetur. Quo autē tempore plurimi homines uersati sunt, nullus unquā opus sibi deesse dixit, sed semper opera ipsa operariorū numerū uincebāt. Et nunc quoq; qui ad metalla habent sua mācipia, nullus eorū multitudine fatigatur, sed semper q̃ potest plurima cōparat mancipia. Etenim cum pauci fodiunt & quærūt, paucæ etiā, ut opinor, pecuniæ reperiūtur: cum autē multi, multiplex argenti spuma, quæ ἀργυρῖτις dicitur, existit. Itaq; in hoc solo opere, quod quidem sciam, magnifice apparatis inuidet nemo. Iam uero agrorū domini, quot iuga satis sint agro colendo, et quot opus sit operarijs, possunt dicere: ac si quis plures, quam par sit, immiserit, in dāno ponūt.

At in argentarijs operibus operarijs opus esse fatentur omnes: etenim non ut cum multi ærarij fabri, quos χαλκοτύπους Græci uocant, iam perfectis æreis operibus cessant, i emq; ferrarij: & cum abundanter frumentum aut uinum prouenerit, cum satis multi sint fructus, inutilis existit agricultura, adeo ut multi relictis agris, ad mercaturam & cauponariam & fœnora se conuertant. At argyritis quanto copiosior extiterit, et argenti plus cusum fuerit, tanto plures ad illud opus se conferre solent. Etenim supellectili familiæ necessaria comparata, non multum ultra coëmi solet: at argenti nemo adhuc tam multum habuit, ut nihil amplius requireret: sed si qui permultum habuerint, id quod redundat defodiunt, quo non minus delectantur, quàm si eo uterentur. Quinetiam ciuitates cum secunda utuntur fortuna, tum ciuibus maxime argento opus est: uiri enim in arma splendida, & generosos equos, in ædes & substructiones magnificas pecuniam profundunt: mulieres uero ad cultum preciosum, & mundum aureum conuertuntur. Rursus cum ciuitates caritate annonæ laborant, aut bello ingruente, quia terra nullo cultu adhibito ignaua fit, tum ad necessaria comparanda, tum ad auxiliares retinendos multo magis opus est. Quod si quis dixerit, & aurum nihilo minus utile esse quàm argentum, huic non magnopere repugnabo: illud tamen scio, cum aurum copiosum esse uel mediocriter uisum fuerit, ipsum illud uilius effici solere, argentum uero preciosius. Atque hæc idcirco à me explicata sunt, ut fidenter quamplurimos homines in argentaria opera mittamus, atque illic substruamus non dubitanter: cum neque argentifodina ipsa defectura sit, neque futurum sit ut argentum ullo unquam tempore uilescat, ac nullo in precio habeatur. Videtur autem mihi & ciuitas ipsa prior me hæc decreuisse: concedit enim idem ius quod ciuibus, peregrinis, qui in metallis opus facere uoluerint. Vt autem etiam apertius de cibarijs dicam, nunc exponam qua ratione instituta argentifodinæ ciuitati possint esse utilissimæ: nec ex ijs quæ dicturus sum illam quæro gloriam admirabilem, quasi aliquid inuenerim difficile inuentu: nam ea quæ dicturus sum, partim etiam nunc omnes uidemus: partim uero præterita, ut est rerum omnium conditio, audire possumus. Illud tamen dignum admiratione est, quod ciuitas cum uideat & sentiat multos priuatos ex ea esse locupletatos, tales non imitetur: iampridem enim de his, quibus ea res curæ fuit, audiuimus, Niciam Nicerati filium in argentifodinis mille homines emisse, quos Sosiæ Thraci locarit, qui obolum immunem pro singulis in die persolueret: numerum autem semper æqualiter exhibebat. Fuerunt & Hipponico sexcenta mancipia eodem isto modo dedita, quæ in die minam afferebant immunem, & Philemonidi trecentas semiminas, & alijs ut cuique facultates suppetebant. Sed quid necesse est uetera commemorare, cum & hoc tempore multi sint homines in argentarijs ista ratione addicti? Perfectis autem ijs, quæ à me dicuntur, illud tantum noui fiat, si ut priuati comparatis mancipijs uectigalia sibi instituêre perpetua: sic ciuitas publice

ἐν δὲ τοῖς ἀργυρείοις ἔργοις πάντας δή φασιν ἐνδεῖν ἐργατῶν. καὶ γὰρ οὐδ' ὥσπερ ὅταν οἱ πολλοὶ χαλκοτύποι γένωνται ἀξίων γενομένων τῶν χαλκευτικῶν ἔργων, καταλύονται οἱ χαλκοτύποι, καὶ οἱ σιδηρεῖς γε ὡσαύτως. καὶ ὅταν γε πολὺς σῖτος καὶ οἶνος γένηται ἀξίων ὄντων τῶν καρπῶν, ἀλυσιτελεῖς αἱ γεωργίαι γίγνονται, ὥστε πολλοὶ ἀφιέμενοι τὴν γῆν ἐργάζεσθαι, ἐπ' ἐμπορίας καὶ καπηλείας καὶ τοκισμοὺς τρέπονται. ἀργυρῖτις δὲ ὅσῳ ἂν πλείων φαίνηται, καὶ ἀργύριον πλεῖον γίγνηται, τοσούτῳ πλείονες ἐπὶ τὸ ἔργον τοῦτο ἔρχονται. καὶ γὰρ δὴ ἔπιπλα μὲν ἐπειδὰν ἱκανά τις κτήσηται τῇ οἰκίᾳ, οὐ μάλα ἔτι προσωνοῦνται. ἀργύριον δὲ οὐδείς πω οὕτω πολὺ ἐκτήσατο ὥστε μὴ ἔτι προσδεῖσθαι. ἀλλ' ἤν τισι γένηται παμπληθές, τὸ περιττεῦον κατορύττοντες, οὐδὲν ἧττον ἥδονται ἢ χρώμενοι αὐτῷ. καὶ μὴν ὅταν γε εὖ πράττωσιν αἱ πόλεις, ἰσχυρῶς οἱ ἄνθρωποι ἀργυρίου δέονται. οἱ μὲν γὰρ ἄνδρες ἀμφὶ ὅπλα τε καλὰ καὶ ἵππους ἀγαθούς τε καὶ οἰκίας καὶ κατασκευὰς μεγαλοπρεπῶς βούλονται δαπανᾶν. αἱ δὲ γυναῖκες εἰς ἐσθῆτα πολυτελῆ καὶ χρυσοῦν κόσμον τρέπονται. ὅταν τε αὖ νοσήσωσι πόλεις ἢ ἀφορίαις καρπῶν ἢ πολέμῳ, ἔτι καὶ πολὺ μᾶλλον ἀργοῦ τῆς γῆς γιγνομένης, καὶ εἰς ἐπιτήδεια καὶ εἰς ἐπικούρους νομίσματος δέονται. εἰ δέ τις φήσει καὶ χρυσίον μηδὲν ἧσσον χρήσιμον εἶναι, ἢ ἀργύριον, τοῦτο μὲν οὐκ ἀντιλέγω. ἐκεῖνο μέντοι οἶδα ὅτι καὶ χρυσίον ὅταν πολὺ παραφανῇ, αὐτὸ μὲν ἀτιμότερον γίγνεται, τὸ δὲ ἀργύριον τιμιώτερον ποιεῖ. ταῦτα μὲν οὖν ἐδήλωσα τούτου ἕνεκα, ὅπως θαρροῦντες μὲν ὅτι πλείστους ἀνθρώπους ἐπὶ τὰ ἀργύρεια ἄγωμεν. θαρροῦντες δὲ κατασκευαζώμεθα ἐν αὐτοῖς, ὡς οὔτε ἐπιλειψούσης ποτὲ ἀργυρίτιδος, οὔτε τοῦ ἀργυρίου ἀτίμου ποτὲ ἐσομένου. δοκεῖ δέ μοι καὶ ἡ πόλις πρότερα ἐμοῦ ταῦτα ἐγνωκυῖα παρέχει γοῦν ἐπὶ ἰσοτελείᾳ καὶ τῶν ξένων βουλομένων ἐργάζεσθαι ἐν τοῖς μετάλλοις. ἵνα δὲ καὶ σαφέστερον περὶ τῆς τροφῆς εἴπω, νῦν διηγήσομαι ὡς κατασκευασθέντα τὰ ἀργύρεια ὠφελιμώτατ' ἂν εἴη τῇ πόλει. ἀπ' αὐτῶν μὲν οὖν ἔγωγε, ἀφ' ὧν μέλλω λέγειν, οὐδὲν τι ἀξιῶ θαυμάζεσθαι ὡς δυσεύρετόν τι ἐξευρηκώς. τὰ μὲν γὰρ ὧν λέξω, καὶ νῦν ἔτι πάντες ὁρῶμεν· τὰ δὲ παρεληλυθότα πραγμάτων κατὰ ταῦτα ἂν ἀκούομεν. τῆς μέντοι πόλεως πάνυ ἄξιον θαυμάσαι, τὸ αἰσθανομένην πολλοὺς πλουτιζομένους ἐξ αὐτῆς ἰδιώτας μὴ μιμεῖσθαι τούτους. πάλαι μὲν γὰρ δή που οἷς μεμέληκεν ἀκηκόαμεν ὅτι Νικίας ποτὲ ὁ Νικηράτου ἐκτήσατο ἐν τοῖς ἀργυρείοις χιλίους ἀνθρώπους, οὓς ἐκεῖνος Σωσίᾳ τῷ Θρᾳκὶ ἐξεμίσθωσεν, ἐφ' ᾧ ὀβολὸν μὲν ἀτελῆ ἑκάστου τῆς ἡμέρας ἀποδιδόναι, τὸν δ' ἀριθμὸν ἴσους ἀεὶ παρεῖχεν. ἐγένετο δὲ καὶ Ἱππονίκῳ ἑξακόσια ἀνδράποδα κατὰ τὸν αὐτὸν τρόπον τοῦτον ἐκδεδομένα, ἃ προσέφερε μνᾶν ἀτελῆ τῆς ἡμέρας· Φιλημονίδῃ δὲ τριακόσια ἡμιμναῖα· ἄλλοις δέ γε ὡς οἴομαι δυνάμεις ἑκάστοις ὑπῆρχεν. ἀτὰρ τί τὰ παλαιὰ δεῖ λέγειν. καὶ γὰρ νῦν πολλοί εἰσιν ἐν τοῖς ἀργυρείοις ἄνθρωποι οὕτως ἐκδεδομένοι. περαινομένων γε μὴν ὧν λέγω, τοῦτ' ἂν μόνον καινὸν γένοιτο, εἰ ὥσπερ οἱ ἰδιῶται κτησάμενοι ἀνδράποδα πρόσοδον ἀένναον κατασκευασμένοι εἰσίν, οὕτω καὶ ἡ πόλις κτῷτο δημοσίᾳ

σία ἀνδράποδα, ἕως γίγνοιτο τρία ἑκάστῳ Ἀθηναίων.
εἰ δὲ δυνατὰ λεγόμενα, καθ' ἓν ἕκαστον αὐτῶν σκοπῶν ὁ
βουλόμενος κρινέτω. οὐκοῦν τιμὴν μὲν ἀνθρώπων δῆ-
λον ὅτι μᾶλλον ἂν τὸ δημόσιον δύναιτο, ἢ οἱ ἰδιῶται
παρασκευάσασθαι; τῇ γε μὴν βουλῇ ῥάδιον καὶ κηρύ-
ξαι ἄγειν τὸν βουλόμενον ἀνδράποδα, καὶ τὰ προσε-
χθέντα πρίασθαι. ἐπειδὰν δὲ ὠνηθῇ, τί ἂν ἧττον μισθοῖτό
τις παρὰ τοῦ δημοσίου ἢ παρὰ τοῦ ἰδιώτου ἐπὶ τοῖς αὐ-
τοῖς μέλλων ἕξειν; μισθοῦνται γοῦν καὶ τεμένη, καὶ ἱερὰ,
καὶ οἰκίας, καὶ τέλη ὠνοῦνται παρὰ τῆς πόλεως. ὅπως γε
μὴν τὰ ὠνηθέντα σώζηται, τῷ δημοσίῳ ἔξεστι λαμβάνειν
ἐγγύους παρὰ τῶν μισθουμένων. ὥσπερ καὶ παρὰ τῶν ὠνουμέ-
νων τὰ τέλη. ἀλλὰ μὴν καὶ ἀδικῆσαί γε ῥᾷον τῷ τέλος
πριαμένῳ ἢ τῷ ἀνδράποδα μισθουμένῳ. ἀργύριον μὲν
γὰρ πῶς καὶ φωράσειεν ἄν τις τὸ δημόσιον ἐξαγόμενον,
ὁμοίου τοῦ ἰδίου ὄντος αὐτῷ. ἀνδράποδα δὲ σεσημασμέ-
να τῷ δημοσίῳ σημάντρῳ, καὶ προσκειμένης ζημίας
τῷ τε πωλοῦντι καὶ ἐξάγοντι, πῶς ἄν τις ταῦτα κλέ-
ψειεν; οὐκοῦν μέχρι μὲν τούτου δυνατὸν φανεῖται τῇ πό-
λει ἀνεῖναι ἀνθρώπους καὶ κτήσασθαι καὶ φυλάξαι. εἰ δ' αὖ τις
τοῦτ' ἐνθυμεῖται, ὡς ἐπειδὰν πολλοὶ ἐργάται γένωνται,
πολλοὶ φανοῦνται καὶ οἱ μισθωσόμενοι, ἐκεῖνο κατανοή-
σας θαῤῥείτω, ὅτι πολλοὶ μὲν τῶν κατεσκευασμένων
προσμισθώσονται τοὺς δημοσίους. πολλὰ γάρ ἐστι τὰ ὑπάρ-
χοντα. πολλοὶ δ' εἰσὶ καὶ αὐτῶν τῶν ἐν τοῖς ἔργοις γηρα-
σκόντων. πολλοὶ δὲ καὶ ἄλλοι Ἀθηναῖοί τε καὶ ξένοι, οἳ τῷ
σώματι μὲν οὔτε βούλοιντ' ἂν, οὔτε δύναιντ' ἂν ἐργάζεσθαι.
τῇ δὲ γνώμῃ ἐπιμελούμενοι, ἡδέως ἂν τὰ ἐπιτήδεια πο-
ρίζοιντο. ἦν γε μέντοι τὸ πρῶτον συστῇ διακόσια καὶ χί-
λια ἀνδράποδα, εἰκὸς ἤδη ἀπ' αὐτῆς τῆς προσόδου ἐν ἔ-
τεσι πέντε, ἢ ἓξ μὴ μεῖον αὐτῇ ἑξακισχιλίων γενέσθαι. ἀ-
πό γε μὴν τούτου τοῦ ἀριθμοῦ ἢν ὀβολὸν ἕκαστος ἀτελῆ τῆς
ἡμέρας φέρῃ, ἡ μὲν πρόσοδος ἑξήκοντα τάλαντα τοῦ ἐνι-
αυτοῦ. ἀπὸ δὲ τούτων ἢν εἰς ἄλλα ἀνδράποδα τίθηται
εἴκοσι, τοῖς τεσσαράκοντα ἤδη ἐξέσται τῇ πόλει χρῆσθαι
εἰς ἄλλο τι ἂν δέῃ. ὅταν δέ γε μύρια ἀναπληρωθῇ, ἑκα-
τὸν τάλαντα ἡ πρόσοδος ἔσται. ὅτι δὲ δέξεται πολλα-
πλάσια τούτων, μαρτυρήσαιεν ἄν μοι εἴ τινες ἔτι εἰσὶ
τῶν μεμνημένων ὅσον τὸ τέλος ηὕρισκε τῶν ἀνδραπό-
δων πρὸ τῶν ἐν Δεκελείᾳ. μαρτυρεῖ δὲ κἀκεῖνο, ὅτι εἰρ-
γασμένων ἀνθρώπων ἐν τοῖς ἀργυρείοις ἐν τῷ παντὶ
χρόνῳ ἀναριθμήτων, νῦν οὐδὲν διαφέρει τὰ ἀργύρεια, ἢ
ἃ οἱ πρόγονοι ἡμῶν ὄντα ἐμνημόνευον αὐτά. καὶ τὰ νῦν
δὲ γιγνόμενα πάντα μαρτυρεῖ, ὅτι οὐκ ἄν ποτε πλείω
ἀνδράποδα ἐκεῖ γένοιτο, ἢ ὅσον ἂν τὰ ἔργα δέηται. οὔ-
τε γὰρ βάθους πέρας, οὔτε ὑπονόμων οἱ ὀρύσσοντες εὑ-
ρίσκουσι. καὶ μὴν καινοτομεῖν γε οὐδὲν ἔξεστι νῦν ἢ πρό-
τερον. οὐ τοίνυν οὐδ' εἰπεῖν ἂν ἔχοι εἰδὼς οὐδεὶς πότε-
ρον ἐν τοῖς κατατετμημένοις πλείων ἀργυρῖτις, ἢ ἐν
τοῖς ἀτμήτοις ἐστί. τί δῆτα φαίη ἄν τις, οὐ καὶ νῦν ὥσ-
περ ἔμπροσθεν πολλοὶ καινοτομοῦσιν; ὅτι πενέστεροι
μέν εἰσιν οἱ περὶ τὰ μέταλλα, νεωστὶ γὰρ πάλιν κατα-
σκευάζονται, κίνδυνος δὲ μέγας τῷ καινοτομοῦντι.
ὁ μὲν γὰρ εὑρὼν ἀγαθὴν ἐργασίαν πλούσιος γίγνεται· ὁ
δὲ μὴ εὑρὼν, πάντα ἀπόλλυσιν ὅσα ἂν δαπανήσῃ. εἰς
τοῦτον οὖν τὸν κίνδυνον οὐ μάλα πως ἐθέλουσιν οἱ νῦν ἰέναι.

ἐγὼ

blica coëmpta mancipia, donec unusquisq; Athenien/
sium terna possidere uideatur. An hæc autem quæ à me
dicuntur fieri possint, secum quisq; reputans iudicabit.
An non plane perspicuum est, rempublicā facilius pos/
se, quàm priuatos, precium hominum statuere? Senatui
quidem certè facile est, ut uoce præconis proclamari iu
beat, ut qui uolet, sua proferat mancipia, atq; ita quæ
oblata fuerint, precio comparare. Posteaquam autem
habuerit, quid est cur quis coëmpta minus uelit a pu/
10 blico cōducere, quàm à priuato, cum ijsdem conditio/
nibus obtenturus sit? conducunt enim de repub. lucos,
templa, domos, ac ab eadem uectigalia redimūt. Atq; ut
empta tueri, seruareq; possitis, reip. licet prædes à cōdu/
ctoribus accipere, quemadmodū & à uendentib. corpo
ra. Imo uero publicano facilius est fraudare, q̄ ei qui mā
cipia conduxerit: pecuniā enim potest quis aliquo modo
publicam furari & auertere, cum priuatā aliquam simi
lem publicæ habeat. Qui autem fieri potest, ut quis mā
cipia nota publica notata, cùm mulcta & ei qui emerit,
20 et ei qui eduxerit, cōstituta sit, furetur? Atq; hactenus de
eo, an ciuitas & cōparare homines, et tueri posse uidea
tur. Si quis rursus cogitet, existentib. multis operarijs, ex
tituros etiā multos qui mancipia locare uelint: illud ani
maduertat & confidat fore, ut multi ex ijs qui opus faci
endū locant, publicos homines cōducant, præsertim cū
multæ sint opū facultates: multi item ex ijs qui in opere
uersantur, senescāt: multi præterea et alij tum Athenien
ses tum peregrini, qui corpore quidē opus facere neq;
uelint neq; possint, sed cum cōsilio res suas gerāt et cu/
30 rent, libēter necessaria suppeditabūt. Itaq; si primū con
stituantur mille & ducenta mācipia, iam conijci potest
intra quinq; annos aut sex, ex ipso hoc uectigali nō mi/
nus sex millibus rempublicā habituram. Iam ex hoc nu
mero si obolum unusquisq; in die immunē afferat, sexa
ginta talentorum uectigal in anno ciuitas auferet. Ex ijs
autem si uiginti in alia mancipia impendantur, reliqua
quadraginta, ut res postulabit, in alium aliquem usum
licebit transferre. Cumq; decem millia confecta erunt,
iam centum talentorū exstet uectigal. Testes mihi esse
40 possunt, si qui sunt adhuc qui quantum uectigal seruo/
rum ante res apud Deceleam gestas inuentum sit, memi
nerint. Illud quoq; testimonio est, quod cum innumera/
biles omni tempore in argentifodinis opera fecerint, ni/
hil tamen ab illis hoc tempore differant, quas maiores
nostri descripserūt. Et ea quidem quæ nunc fiunt omnia
testantur, nunquā plura mancipia illic fuisse, quàm ipsa
requirerēt opera: cum præsertim neq; profunditatis fun
dum, neq; cuniculos ullos fossores inueniāt. Atqui hoc
tempore nihil licet cædere & eruere, quod non antea cæ
50 cuerit. neq; tamen quisquam certo possit dicere, utrum
antea in cæsis partibus quàm in non cæsis, argenti ma/
teria quæ ἀργυρῖτις dicitur, copiosior sit. Cur ita tan/
dem? dicat aliquis: an non nunc etiam sicut antea mul/
ti cædunt, quod pauperiores sunt, qui in metallis uersan
tur, cum recens opus faciendum iterum locarint, sed
cum magno cædentis & ex terra eruentis periculo?
nam qui inuenerit materiam operi commodam, copio/
sus & diues efficitur: qui autem minus inuenerit, ea o/
mnia quæ impenderit, perdit. Itaq; in istud periculi hu/
ius ætatis homines non ita multum cupiunt uenire.

Mihi

Atheniensium decem tribus.

Mihi tamen uideor, quod dem consilium, habere super hoc in negocio, quoque modo eruendi ratio tutissima esse possit. Athenis enim decem sunt tribus, quarum cuique si ciuitas pareni mancipiorum numerum daret, ipsæ autem coniunctis fortunis ex terra eruendum curarent, hoc pacto, si aliqua inueniret, omnibus indicaret utilitatem: sin duæ, aut tres, aut quatuor, aut etiam pars tribuum dimidia inueniret, profectò ex illis operibus maiores caperentur utilitates: nam uniuersas falli nulla rerum præteritarum coniectura uerisimile uideri possit. Possent etiam & priuati eadem ratione coniuncti & consociati, tutius periculum adire. Neque uero metuendum est, ut respublica ita constituta in priuatorum currat offensionem, aut contra priuati in Republica, sed ut armorum ac belli socij, quo plures coniuncti fuerint, hoc se mutuo firmiores & potentiores reddunt, sic in argentifodinis quanto plures erunt qui faciant opera, tanto plus bonorum & reperient & reportabunt. Explicaui igitur, qua ratione constituta Republica Athenensibus omnibus de publico necessaria ad uictum suppeditari posse arbitrer. Quod si qui sunt, qui existiment ad hæc conficienda permultos sumptus esse necessarios, nec unquam satis magnam pecuniam colligi posse, ne sic quidem animum despondere debent. Non enim res ita habet, ut aut simul omnia fieri, aut ex ipsis nullam utilitatem capi necesse sit, sed simul ut quæque primum ædificata fuerint uel ædes, uel naues, uel empta mancipia, ea ipsa utilitatem præbebunt. Quinetiam utilius erit hæc uicissim, quàm simul omnia fieri. Nam si simul multi ædificabunt, sumptuosius & ornatius quàm si diuisi faciendum suscepissent, absoluent. Mancipiorum autem permagnum quærentes numerum, tum deterrima tum nobilissima emere cogemur. Sin uero quoad fieri potest recte decreta perfecerimus, rursus alios nobis comparare licebit. Sin autem quid peccatum fuerit, ab eo abstineamus. Iam uero si omnia simul fierent, omnia simul à nobis suppeditari opus esset. At si alia perficientur, alia pendeant & differantur, superius iam confectum uectigal, quæ erunt necessaria suppeditabit. Illud fortasse uideri possit ualde metuendum, ut si ciuitas nimium multa compararit mancipia, nimium multis opera ipsa compleantur: sed hoc metu liberati erimus, si non plures quàm ipsa requirunt opera, in singulos annos mittemus. Quæ res mihi quidem ut facillima, sic optima factu uidetur. Quod si rursus propter tributa hoc bello exacta existimatis ne tantulum quidem cõtribui posse, pecunias aũt omnes quas ante pacem inuenistis, præfecti ex his tam multus & annum proximum * quascunq; autem inuenerit, tum quia pax sit, tum quia incolæ mercatores coluntur, & multis commeantibus plurima & importantur & exportantur, & ad portũ mercatus sunt frequentiores, hæc recipientes ut quammaxima sint uectigalia efficere debetis. At si quis est, qui uereatur, quia bellum ingruat, ut hoc sit inane institutum: is cogitare debebit, rebus nostris ita cõstitutis, bellum fore formidolosius hostibus ipsis qui inferent, quàm nostræ ciuitati. Quid enim ad belli usum hominum multitudine utilius? multi enim naues implere publicas, multi terrestri prælio infestare poterunt hostes, si quis eos obsequio retinere uelit.

Equidem

ἐγὼ μέντοι ἔχειν μοι δοκῶ καὶ περὶ τούτου συμβουλεῦσαι, ὡς ἂν ἀσφαλέστατα καινοτομοῖτο. εἰσὶ μὲν γὰρ δήπου Ἀθηναίων δέκα φυλαί, εἰ δ᾽ ἡ πόλις δοίη ἑκάστῃ αὐτῶν ἴσα ἀνδράποδα, αἱ δὲ κοινωσάμεναι τὴν τύχην καινοτομοῖεν, οὕτως ἄν, εἰ μία εὕροι πάσαις ἂν λυσιτελὲς τοῦτο δείξειεν, εἰ δὲ δύο, ἢ τρεῖς, ἢ τέτταρες, ἢ αἱ ἡμίσειαι εὕροιεν, δῆλον ὅτι λυσιτελέστερα ἂν τὰ ἔργα ταῦτα γίγνοιτο. τό γε μὴν πάσας ἀτυχεῖν, οὐδενὶ τῶν παρεληλυθότων ἐοικός. οἷόν τε δὴ οὕτως καὶ ἰδιώτας συνισταμένους καὶ κοινουμένους τὴν τύχην ἀσφαλέστερον κινδυνεύειν. μηδὲν μέντοι τοῦτο φοβεῖσθε ὡς ἢ τὸ δημόσιον οὕτω κατασκευαζόμενον παραλυπήσει τοὺς ἰδιώτας, ἢ οἱ ἰδιῶται τὸ δημόσιον. ἀλλ᾽ ὥσπερ σύμμαχοι ὅσῳ ἂν πλείους συνιῶσιν ἰσχυροτέρους ἀλλήλους ποιοῦσιν, οὕτω καὶ ἐν τοῖς ἀργυρείοις ὅσῳ περ ἂν πλείους ἐργάζωνται, τοσούτῳ πλείω τἀγαθὰ εὑρήσουσί τε καὶ φορήσουσι. καὶ ἐμοὶ μὲν δὴ εἴρηται ὡς ἂν ἡγοῦμαι κατασκευασθείσης τῆς πόλεως ἱκανὴν ἂν πᾶσιν Ἀθηναίοις τροφὴν ἀπὸ κοινοῦ γενέσθαι. εἰ δέ τινες λογιζόμενοι παμπόλλης ἂν δεῖν ἀφορμῆς εἰς ταῦτα πάντα οὐχ ἡγοῦνται ἱκανὰ ἄν ποτε χρήματα εἰσενεχθῆναι, μηδ᾽ οὕτως ἀθυμούντων. οὐ γὰρ οὕτως ἔχει ὡς ἀνάγκη ἅμα πάντα ταῦτα γίγνεσθαι, ἢ μηδὲν ὄφελος αὐτῶν εἶναι. ἀλλ᾽ ὁπόσα ἂν ἢ οἰκοδομηθῇ, ἢ ναυπηγηθῇ, ἢ ἀνδράποδα ὠνηθῇ, εὐθὺς ταῦτα ἐν ὠφελείᾳ ἔσται. ἀλλὰ μὴν καὶ τῇδέ γε συμφορώτερον τὸ κατὰ μέρος, ἢ τὸ ἅμα πάντα πράττεσθαι. οἰκοδομοῦντές τε γὰρ ἀθρόοι, πολυτελέστερον ἂν καὶ κάκιον ἢ κατὰ μέρος ἀποτελοῖμεν. ἀνδράποδα δὲ παμπληθῆ ζητοῦντες, ἀναγκαζοίμεθ᾽ ἂν καὶ χείρω, καὶ τιμιώτερα ὠνεῖσθαι. κατά γε μὴν τὸ δυνατὸν περαίνοντες τὰ μὲν καλῶς γνωσθέντα καὶ αὖθις ἂν ποιεῖν οἰόμεθα. εἰ δέ τι ἁμαρτηθείη, ἀπεχοίμεθα ἂν αὐτοῦ. ἔτι δὲ πάντων ἅμα γιγνομένων ἡμᾶς ἂν ἅπαντα δέοι ἐκπορίζεσθαι. εἰ δὲ τὰ μὲν περαίνοιτο, τὰ δὲ μέλλοι, ἡ ὑπάρξασα πρόσοδος τὸ ἐπιτήδειον συγκατασκευάζοι ἄν. ὃ δὲ ἴσως φοβερώτατον δοκεῖ πᾶσιν εἶναι, μὴ εἰ ἄγαν πολλὰ κτήσαιτο ἡ πόλις ἀνδράποδα ὑπερπλησθείη ἂν τὰ ἔργα, καὶ τούτου τοῦ φόβου ἀπηλλαγμένοι εἶμεν, εἰ μὴ πλείονας ἀνθρώπους ἢ ὅσους αὐτὰ τὰ ἔργα προσαιτοίη κατ᾽ ἐνιαυτὸν ἐμβάλοιμεν. οὕτως ἔμοιγε δοκεῖ ᾗπερ ῥᾷστον ταύτῃ καὶ ἄριστον εἶναι ταῦτα πράττειν. εἰ δ᾽ αὖ διὰ τὰς ἐν τῷ νῦν πολέμῳ γεγενημένας εἰσφορὰς νομίζετ᾽ ἂν μηδ᾽ ὁτιοῦν δύνασθαι εἰσενεγκεῖν, ὑμεῖς δὲ ὅσα μὲν πρὸ τῆς εἰρήνης χρήματα εὑρίσκετε, τὰ τέλη ἀπὸ τοσούτων καὶ τὸ λοιπὸν ἔτος διοικεῖτε τὴν πόλιν. ὅσα δ᾽ ἂν ἐφευρίσκῃ διὰ τὸ εἰρήνην τε εἶναι, καὶ διὰ τὸ θεραπεύεσθαι μετοίκους καὶ ἐμπόρους, καὶ διὰ τὸ πλειόνων συναγερομένων ἀνθρώπων, πλείω εἰσάγεσθαι καὶ ἐξάγεσθαι, καὶ διὰ τὸ ἐν λιμένι καὶ τὰς ἀγορὰς αὐξάνεσθαι, ταῦτα λαμβάνοντες κατασκευάζεσθε ὡς ἂν πλεῖστοι πρόσοδοι γίγνοιντο. εἰ δέ τινες αὖ φοβοῦνται μὴ ματαία ἂν γένοιτο αὕτη ἡ κατασκευὴ εἰ πόλεμος ἐγερθείη, ἐννοησάτωσαν ὅτι τούτων γιγνομένων πολὺ φοβερώτερος ὁ πόλεμος τοῖς ἐπιφέρουσιν ἢ τῇ πόλει. τί γὰρ δὴ εἰς πόλεμον κτῆμα χρησιμώτερον ἀνθρώπων; πολλὰς μὲν γὰρ ναῦς πληροῦν ἱκανοὶ ἂν εἶεν δημοσίᾳ. πολλοὶ δ᾽ ἂν καὶ πεζοὶ δημοσίᾳ δύναιντ᾽ ἂν βαρεῖς εἶναι τοῖς πολεμίοις, εἴ τις αὐτοὺς θεραπεύοι.

λογί-

λογίζομαι δ' ἔγωγε καὶ πολέμου γιγνομένου οἷόν τ' εἶναι μὴ ἐκλείπεσθαι τὰ ἀργύρεια. ἔστι μὲν γὰρ δήπου περὶ τὰ μέταλλα ἐν τῇ πρὸς μεσημβρίαν θαλάττῃ τεῖχος ἐν ἀναφλύστῳ. ἔστι δ' ἐν τῇ πρὸς ἄρκτον τεῖχος ἐν θορικῷ. ἀπέχει δὲ ταῦτα ἀπ' ἀλλήλων ἀμφὶ τὰ ἑξήκοντα στάδια. εἰ οὖν καὶ ἐν μέσῳ τούτων γένοιτο ἐπὶ τῷ ὑψηλοτάτῳ βήσης τρίτον ἔρυμα, συνήκοι τ' ἂν τὰ ἔργα εἰς ἓν ἐξ ἁπάντων τῶν τειχῶν, καὶ εἴ τι αἰσθάνοιτο πολεμικόν, βραχὺ ἂν εἴη ἑκάστῳ εἰς τὸ ἀσφαλὲς ἀποχωρῆσαι. εἰ δὲ καὶ ἔλθοιεν πλείους πολέμιοι, δῆλον ὅτι εἰ μὲν σῖτον, ἢ οἶνον, ἢ πρόβατα ἔξω εὕροιεν, ἀφέλοιντ' ἂν ταῦτα. ἀργυρείου δὲ κρατήσαντες, τί ἂν μᾶλλον ἢ λίθοις ἔχοιεν χρῆσθαι; πῶς δὲ καὶ ὁρμήσειαν ποτὲ πολέμιοι πρὸς τὰ μέταλλα; ἀπέχει μὲν γὰρ δήπου τῶν ἀργυρείων ἐγγύτατα πόλις μέγαρα, πολὺ πλεῖον τῶν πεντακοσίων σταδίων. ἀπέχει δ' ἡ μετὰ ταῦτα πλησιαιτάτη θῆβαι, πολὺ πλεῖον τῶν ἑξακοσίων. ἢν οὖν πορεύωνται ἐντεῦθέν ποθεν ἐπὶ τὰ ἀργύρεια, ἀνάγκη αὐτοὺς διιέναι τὴν πόλιν, κἂν μὲν ὦσιν ὀλίγοι, εἰκὸς αὐτοὺς ἀπόλλυσθαι καὶ ὑπὸ ἱππέων, καὶ ὑπὸ περιπόλων. πολλῇ γε μὴν δυνάμει πορεύεσθαι ἐξερημοῦντας τὰ ἑαυτῶν χαλεπόν. πολὺ γὰρ ἐγγύτερον ἂν εἴη ταῖς πόλεσιν αὐτῶν τὸ τῶν ἀθηναίων ἄστυ, ἢ αὐτοὶ οἱ πρὸς τοῖς μετάλλοις ὄντες. εἰ δὲ καὶ ἔλθοιεν, πῶς ἂν καὶ δύναιντο μένειν μὴ ἔχοντες τὰ ἐπιτήδεια; ἐπισιτίζεσθαί γε μὴν, μέρει μὲν κίνδυνος, καὶ περὶ τῶν μετιόντων καὶ περὶ ὧν ἀγωνίζονται. πάντες δὲ ἀεὶ μετιόντες πολιορκοῖντ' ἂν μᾶλλον ἢ πολιορκοῖεν. οὐ τοίνυν μόνον ἡ ἀπὸ τῶν ἀνδραπόδων ἀποφορὰ τὴν ἀφθονίαν τῇ πόλει αὔξοι ἄν, ἀλλὰ πολυανθρωπίας περὶ τὰ μέταλλα ἀθροιζομένης καὶ ἀπ' ἀγορᾶς τῆς ἐκεῖ οὔσης καὶ ἀπ' οἰκιῶν περὶ τἀργύρεια δημοσίων καὶ ἀπὸ καμίνων, καὶ ἀπὸ τῶν ἄλλων ἁπάντων, πρόσοδοι ἂν πολλαὶ γίγνοιντο. ἰσχυρῶς γὰρ καὶ αὕτη πολυάνθρωπος γένοιτο πόλις, εἰ οὕτω κατασκευάζοιτο. καὶ οἵ γε χῶροι οὐδὲν ἂν εἶεν μείονος ἄξιοι τοῖς κεκτημένοις ἐνταῦθα ἢ τοῖς περὶ τὸ ἄστυ. πραχθέντων γε μὴν ὧν εἴρηκα, σύμφημι ἐγὼ οὐ μόνον ἂν χρήμασιν εὐπορωτέραν τὴν πόλιν εἶναι, ἀλλὰ καὶ εὐπειθεστέραν καὶ εὐτακτοτέραν, καὶ εὐπολεμωτέραν γενέσθαι. οἵ τε γὰρ ταχθέντες γυμνάζεσθαι, πολὺ ἂν ἐπιμελέστερον πράττοιεν ἐν τοῖς γυμνασίοις τὴν τροφὴν ἀπολαμβάνοντες πλείω ἢ ἐν ταῖς λαμπάσι γυμνασιαρχούμενοι. οἵ τε φρουρεῖν ἐν τοῖς φρουρίοις, οἵ τε πελτάζειν καὶ περιπολεῖν τὴν χώραν, πάντα ταῦτα μᾶλλον ἂν πράττοιεν ἐφ' ἑκάστοις τῶν ἔργων τῆς τροφῆς ἀποδιδομένης. εἰ δὲ σαφὲς δοκεῖ εἶναι, ὡς εἰ μέλλουσι πᾶσαι αἱ πρόσοδοι ἐκ τῆς πόλεως προσιέναι, ὅτι εἰρήνην δεῖ ὑπάρχειν, ἆρ' οὐκ ἄξιον καὶ εἰρηνοφύλακας καθιστάναι; πολὺ γὰρ ἂν καὶ αὕτη αἱρεθεῖσα ἡ ἀρχὴ προσφιλεστέραν καὶ πυκνοτέραν ἀφικνεῖσθαι πᾶσιν ἀνθρώποις ποιήσειε τὴν πόλιν. εἰ δέ τινες οὕτω γιγνώσκουσιν, ὡς ἐὰν ἡ πόλις εἰρήνην ἄγουσα διατελῇ, ἀδυνατωτέρα τε καὶ ἀδοξοτέρα τε καὶ ἧττον ὀνομαστὴ ἐν τῇ ἑλλάδι ἔσται, καὶ οὗτοί γε, ὡς ἐμὴ δόξα, παρὰ λόγον σκοποῦσιν. εὐδαιμονέσταται μὲν γὰρ δήπου πόλεις λέγονται, αἳ ἂν πλεῖστον χρόνον ἐν εἰρήνῃ διατελῶσι. πασῶν δὲ πόλεων ἀθῆναι μάλιστα πεφύκασιν ἐν εἰρήνῃ αὔξεσθαι. τίνες γὰρ ἡσυχίαν ἀγούσης

τῆς

Equidem existimo belli etiam tempore fieri posse ut metallariorum opera non intermittantur, praesertim cum ad mare quod meridiem uersus extenditur, una sit munitio, qui locus Anaphastus dicitur, altera uero in loco qui Thoricos uocatur ad mare Aquilonare: quae loca ab alter altero stadia circiter sexaginta distant. Si igitur inter haec duo tertiũ aliquod propugnaculũ in editissimo montis loco excitetur, in unũ locũ ex uniuersis munitionibus ad opera facienda licebit uenire: ac si quid tumultus bellici senserint, cito in munitum & tutum secedere & confugere licebit. Sin plurimi hostes uenerint, si frumentum, aut uinum, aut pecudes inuenerint extra munitiones, ea rursum secum auferent. At si argentarijs metallis potiti fuerint, quid aliud habituri sunt quo utãtur, nisi saxa? Sed quo tandem modo in metalla hostes irruptionẽ facere possint? abest enim à metallis proxime urbs Megara paulo amplius quinquaginta stadijs: absunt etiam proxime Thebae multo amplius sexaginta. Itaq; si illinc discunde ad argentaria metalla uenerint, ut ipsam urbem praetereant necesse est. Quod si pauci fuerint, ab equitibus & circunstantibus peditibus conciduntur. Nec uero facile est ut desertis suis, cum magnis copijs è suis finibus exeant, propterea quod Athenae ipsae propiores essent oppidis istorum, quàm ipsi illi, quandiu quidem in metallis haererent. Quod si uenirent, quî possint illic durare, commeatu & cibarijs carentes? Frumentari autem periculum habet, tum de ijs qui inuadunt, tum de ijs de quibus certamen suscipiunt: qui enim praetereunt, magis semper obsidentur, quàm obsident. Nec uero solum quod ex mancipijs exigitur tributum annonam augebit, uerumetiam ea hominum multitudo quae in metallis uersatur, & mercatus qui illic institutus fuerit, aedificia publica argentariorum, causa metallorum facta, fornaces item & caetera omnia, auctiora reddent uectigalia: erit enim haec ciuitas admodum celebris, si isto pacto fuerit instituta: nec loca minoris erunt dominis suis, quàm ea quae sunt ad urbem. Itaque si quae dixi facta fuerint, non solum pecuniae abundantiorem, uerumetiam & parentiorem legum, & moderatiorem, & bellicosiorem ciuitatem nostram fore confirmo: siquidem praefecti gymnasiorum maiorem adhibebunt diligentiam & curam, si stipendium acceperint maius, quàm qui ad lampades praesunt gymnasijs: similiterq; praesidiorum praefecti lancearij, quibus incumbit obire regionem, haec omnia, si in suo quisq; officio dimensum acceperit, accuratius diligentiusq; curabunt. Quod si perspicuum est fore ut summa pace fruamur, si cuncta uectigalia è republica constituantur, an non aequum ut pacis custodes creentur? cum praesertim talis magistratus ciuitatem multo gratiorem & frequentiorem, ut omnes in eam undiq; confluere uelint, effecturus esse uideatur. Si qui autem sunt qui nostram ciuitatem, si pace fruatur, imbecilliorem, ignobilioremq; in Graecia, atq; minus celebrẽ fore arbitrentur, eos hortor quid ipse sentiam in hac re considerent. Hae enim dicuntur beatissimae respub. quae plurimo tempore in pace uixerunt. Athenae autem omnium ciuitatum maxime uidentur in pace augeri posse: quis est enim omnium qui bene

urbem,

urbem si quieta fuerit, non desideret? Atq; ut à nauicularijs & mercatoribus ordiamur, an non frumento, uino, oleo pecudibus abundantes, item qui consilio & re, sua possunt augere? Iam uero opifices, Sophistæ, Philosophi, Poëtæ, quiq; istorum opera tractant, itémque sacrorum publicorumque spectatu & auditu dignorum cupidi, præterea si qui multa cito uendere aut emere uelint, ubi facilius quod cupiunt assequentur, quàm Athenis? Quod si contra hæc nihil dicitur, sed nonnulli principatum ciuitati recuperare dum cupiunt, bello magis quàm pace id effici posse arbitrantur, recordari debent primùm Medicum bellum, utrum tandem uiolentia, an nostra erga Græcos beneficentia maris principatum & Græciæ quæsturam adepti sumus. Iam uero cum crudeliter nimium uideretur ciuitas imperare, imperioq; esset priuata, nónne tum quoque cum ab iniurijs abstinuimus, ultro ab insulanis classi maritimæ iterum præpositi sumus? Quid? an non & Thebani beneficijs nostris prouocati, imperium suum Atheniensibus concesserunt? Præterea Lacedæmonij non uiolati à nobis, sed beneficijs affecti, Atheniensibus quod uellent de imperio ut constituerent, permiserunt. Nunc uero propter Græciæ perturbationem illud ciuitati nostræ accidisse uidetur, ut nullo negocio, sine periculo, sine sumptibus, Græcos sibi conciliare possit. Ciuitates enim quæ inter se bella gerunt, nisi licet ut reconciliemus: licet etiam, si qui in illis seditionibus dissideant, consociare, & in gratiam ut redeant efficere. Si conspicuum erit nos procurasse ut Delphi suis legibus, sicut antea, utantur, idque effeceritis non bellando, sed per Græcas ciuitates legationes dimittendo, nihil erit mirum, si omnes Græcos concordes, coniuratos, sociosque receperitis, aduersus illos qui Delphicum templum à Phocensibus desertum occupare conabantur. Itémque si intelligent nos dare operam ut terra marique omnia pacificentur, equidem existimo cunctos uotis expetituros Athenas secundum suam patriam maxime saluas esse. Quod si rursus quisquam est qui existimet, bellum quàm pacem utilius esse ad rem, pecuniámque augendam, non uideo qua ratione iudicari possint, quàm si quis res antea gestas consideret, earumque euentus qui fuerint nostræ ciuitati, secum reputet: reperiet enim quondam in pace permultum pecuniæ in ærarium inuectum, quæ omnis pecunia bello consumpta est. Intelligi poterit, si considerare uelimus, & hoc quoque tempore, bello multa uectigalia defecisse, & ea quæ superessent, in res admodum uarias exhausta esse: at iam pacato mari, eadem & aucta esse, & ijs uti licere ciuibus suo arbitratu. Quod si quis me roget, an etiam si quis in ciuitatem iniuriosus fuerit, censeam cum eo pacem conciliandam? equidem illud nolim: sed hoc affirmo, nos hostes facilius ulcisci posse, si nostra ciuitas iniuriosum habuerit neminem: illi enim nullos habebunt armorum belliq; socios. Atqui si nihil est eorum quæ à me dicta sunt, quod non fieri possit, & quidem facile, quibúsque factis gratiores futuri sumus Græ-

τῆς πόλεως οὐ προσδέοιντ' ἂν αὐτῆς; ἀρξάμενοι ἀπὸ ναυκλήρων καὶ ἐμπόρων, οὐχ οἱ πολύσιτοι, οὐχ οἱ πολύοινοι, οὐχ οἱ ἡδύοινοι; τί δὲ οἱ πολυέλαιοι. τί δὲ οἱ πολυπρόβατοι. οἱ δὲ γνώμῃ καὶ ἀργυρίῳ δυνάμενοι χρηματίζεσθαι. καὶ μὴν χειροτέχναι γε καὶ σοφισταὶ καὶ φιλόσοφοι· οἱ δὲ ποιηταί· οἱ δὲ τὰ τούτων μεταχειριζόμενοι· οἱ δὲ ἀξιοθεάτων ἢ ἀξιακούστων ἱερῶν ἢ ὁσίων ἐπιθυμοῦντες. ἀλλὰ μὴν καὶ οἱ δεόμενοι πολλὰ, ταχὺ ἀποδίδοσθαι, ἢ πρίασθαι, ἢ οὐ τούτων μᾶλλον ἂν τύχοιεν ἀθήνησιν; εἰ δὲ πρὸς ταῦτα μὲν οὐδεὶς ἀντιλέγει. τὴν δὲ ἡγεμονίαν, βουλόμενοί τινες ἀναλαβεῖν τῇ πόλει, ταύτην διὰ πολέμου μᾶλλον ἢ δι' εἰρήνης ἡγοῦνται ἂν καταπραχθῆναι, ἐννοησάτωσαν. πρῶτον μὲν τὰ μηδικὰ, πότερον βιαζόμενοι ἢ εὐεργετοῦντες τοὺς ἕλληνας ἡγεμονίας τε τοῦ ναυτικοῦ, καὶ ἑλληνοταμίας ἐτύχομεν; ἔτι δ' ἐπεὶ ὠμῶς ἄγαν δόξασα προστατεύειν ἡ πόλις, ἐστερήθη τῆς ἀρχῆς, οὐ καὶ τότ' ἐπεὶ τοῦ ἀδικεῖν ἀπειχόμεθα, πάλιν ὑπὸ τῶν νησιωτῶν ἑκόντων προστάται τοῦ ναυτικοῦ ἐγενόμεθα; οὐκοῦν καὶ θηβαῖοι εὐεργετούμενοι, ἡγεμονεύειν αὐτῶν ἔδωκαν ἀθηναίοις; ἀλλὰ μὴν καὶ λακεδαιμόνιοι οὐ βιασθέντες ὑφ' ἡμῶν, ἀλλ' εὖ πάσχοντες, ἐπέτρεψαν ἀθηναίοις περὶ τῆς ἡγεμονίας θέσθαι ὅπως βούλοιντο. νῦν δέ γε διὰ τὴν ἐν τῇ ἑλλάδι ταραχὴν, παραπεπτωκέναι μοι δοκεῖ τῇ πόλει, ὥστε καὶ ἄνευ πόνων καὶ ἄνευ κινδύνων καὶ ἄνευ δαπάνης ἀνακτᾶσθαι τοὺς ἕλληνας. ἔστι μὲν γὰρ πειρᾶσθαι διαλλάττειν τὰς πολεμούσας πρὸς ἀλλήλας πόλεις. ἔστι δὲ συναλλάττειν, εἴ τινες ἐν αὐταῖς στασιάζουσιν. εἰ καὶ ὅπως τὸ ἐν δελφοῖς ἱερὸν αὐτόνομον ὥσπερ πρόσθεν γένοιτο, φανεροὶ εἴητε ἐπιμελούμενοι, μὴ συμπολεμοῦντες, ἀλλὰ πρεσβεύοντες ἀνὰ τὴν ἑλλάδα. ἐγὼ μὲν οὐδὲν ἂν οἶμαι θαυμαστὸν εἶναι, εἰ καὶ πάντας τοὺς ἕλληνας ὁμογνώμονάς τε καὶ συνόρκους καὶ συμμάχους λάβοιτε ἐπ' ἐκείνους, οἵτινες ἐκλειπόντων φωκέων τὸ ἱερὸν καταλαμβάνειν ἐπειρῶντο. εἰ δὲ καὶ ὅπως ἀνὰ πᾶσαν γῆν καὶ θάλατταν εἰρήνη ἔσται, φανεροὶ εἴητε ἐπιμελόμενοι. ἐγὼ μὲν οἶμαι πάντας ἂν εὔχεσθαι μετὰ τὰς ἑαυτῶν πατρίδας ἀθήνας μάλιστα σώζεσθαι. εἰ δέ τις αὖ εἰς χρήματα κερδαλεώτερον νομίζει εἶναι τῇ πόλει πόλεμον ἢ εἰρήνην, ἐγὼ μὲν οὐκ οἶδα πῶς ἂν ἄμεινον ταῦτα κριθείη, ἢ εἴ τις τὰ προγεγενημένα ἔτι ἀνασκοποίη τῇ πόλει πῶς ἀποβέβηκεν. εὑρήσει γὰρ τό τε παλαιὸν ἐν εἰρήνῃ μὲν πάνυ πολλὰ χρήματα εἰς τὴν πόλιν ἀνενεχθέντα, ἐν πολέμῳ δὲ ταῦτα πάντα καταδαπανηθέντα. γνώσεται δὲ ἂν σκοπῇ καὶ ἐν τῷ νῦν χρόνῳ. διὰ μὲν τὸν πόλεμον, καὶ τῶν προσόδων πολλὰς ἐκλιπούσας, καὶ τὰς εἰσελθούσας εἰς παντοδαπὰ πολλὰ καταδαπανηθείσας. ἐπεὶ δὲ εἰρήνη κατὰ θάλατταν γεγένηται, ηὐξημένας τε προσόδους, καὶ ταύτας ἐξὸν τοῖς πολίταις χρῆσθαι, ὅτι βούλοιντο. εἰ δέ τις ἐπερωτώη με, εἰ καὶ ἄν τις ἀδικῇ τὴν πόλιν, λέγεις ὡς χρὴ καὶ πρὸς τοῦτον εἰρήνην ἄγειν, οὐκ ἂν φαίην, ἀλλὰ μᾶλλον λέγω, ὅτι πολὺ θᾶττον ἂν τιμωροίμεθα αὐτοὺς, εἰ μηδένα παρέχοιμεν ἀδικοῦντες. οὐδένα γὰρ ἂν ἔχοιεν σύμμαχον. ἀλλ' εἰ γε μὴν τῶν εἰρημένων ἀδύνατον μὲν μηδὲν ἐστι, μηδὲ χαλεπὸν, πραττομένων δὲ αὐτῶν, προσφιλέστεροι μὲν τοῖς ἕλλησι

ἕλλησι γενησόμεθα, ἀσφαλέστερον δὲ οἰκήσομεν, εὐκλεέστεροι δὲ ἐσόμεθα. καὶ ὁ μὲν δῆμος τροφῆς εὐπορήσει. οἱ δὲ πλούσιοι τῆς εἰς τὸν πόλεμον δαπάνης ἀπαλλαγήσονται. περιουσίας δὲ πολλῆς γενομένης, μεγαλοπρεπέστερον μὲν ἔτι ἢ νῦν ἑορτὰς ἄξομεν, ἱερὰ δ' ἐπισκευάσομεν. τείχη δὲ καὶ νεώρια ἀνορθώσομεν. ἱερεῦσι δὲ καὶ βουλῇ καὶ ἀρχαῖς καὶ ἱππεῦσι τὰ πάτρια ἀποδώσομεν, πῶς οὐκ ἄξιον ὡς τάχιστα τούτοις ἐγχειρεῖν, ἵνα ἔτι ἐφ' ἡμῶν ἐπίδωμεν τὴν πόλιν μετ' ἀσφαλείας εὐδαιμονοῦσαν; εἴγε μὴν ταῦτα δόξειεν ὑμῖν πράττειν, συμβουλεύσαιμ' ἂν ἔγωγε πέμψαντας καὶ εἰς Δωδώνην, καὶ εἰς Δελφοὺς ἐπερέσθαι τοὺς θεούς, εἰ λῷον καὶ ἄμεινον εἴη ἂν τῇ πόλει οὕτω κατασκευαζομένῃ, καὶ αὐτίκα καὶ εἰς τὸν ἔπειτα χρόνον. εἰ δὲ ταῦτα συναινοῖεν, τότ' ἂν αὖ φαίην χρῆναι ἐπερωτᾶν, τίνας θεῶν προσποιούμενοι, ταῦτα κάλλιστα καὶ ἄριστα πράττοιμεν ἄν. οὓς δ' ἂν ἕλοιεν θεούς, τούτους εἰκὸς καλλιερήσαντας ἄρχεσθαι τοῦ ἔργου. σὺν γὰρ θεῷ πραττομένων, εἰκὸς καὶ τὰς πράξεις προϊέναι ἐπὶ τὸ λῷον καὶ ἄμεινον ἀεὶ τῇ πόλει.

ΞΕΝΟΦΩΝΤΟΣ

ΡΗΤΟΡΟΣ ΠΕΡΙ ΙΠΠΙΚΗΣ.

Ἐπειδὴ διὰ τὸ συμβῆναι ἡμῖν πολὺν χρόνον ἱππεύειν, οἰόμεθα ἔμπειροι ἱππικῆς γεγενῆσθαι, βουλόμεθα καὶ τοῖς νεωτέροις τῶν φίλων δηλῶσαι, ᾗ ἂν νομίζομεν αὐτοὺς ὀρθότατα ἵπποις προσφέρεσθαι. συνέγραψε μὲν οὖν καὶ σίμων περὶ ἱππικῆς, ὃς καὶ τὸν κατὰ τὸ ἐλευσίνιον Ἀθήνησιν ἵππον χαλκοῦν ἀνέθηκε, καὶ ἐν τῷ βάθρῳ τὰ ἑαυτοῦ ἔργα ἐξετύπωσεν. ἡμεῖς γε μέντοι ὅσοις συνετύχομεν ταὐτὰ γνόντες ἐκείνῳ, οὐκ ἐξαλείφομεν ἐκ τῶν ἡμετέρων, ἀλλὰ πολὺ ἥδιον παραδώσομεν αὐτὰ τοῖς φίλοις, νομίζοντες ἀξιοπιστότερα εἶναι, ὅτι κἀκεῖνος κατὰ ταὐτὰ ἡμῖν ἔγνω ἱππικὸς ὤν, καὶ ὅσα δὴ παρέλιπεν, ἡμεῖς πειρασόμεθα δηλῶσαι. πρῶτον δὲ γράψομεν, ὡς ἂν ἥκιστα ἐξαπατῷτο ἐν ἱππωνείᾳ. τοῦ μὲν τοίνυν ἔτι ἀδαμάστου πώλου, δῆλον ὅτι τὸ σῶμα δεῖ δοκιμάζειν. τῆς γὰρ ψυχῆς οὐ πάνυ σαφῆ τεκμήρια παρέχεται, ὁ μήπω ἀναβαινόμενος. τοῦ γε μὴν σώματος πρῶτον φαμὲν χρῆναι τοὺς πόδας σκοπεῖν. ὥσπερ γὰρ οἰκίας οὐδὲν ὄφελος ἂν εἴη, εἰ τὰ ἄνω πάνυ καλὰ ἔχοι, μὴ ὑποκειμένων, οἵων δεῖ θεμελίων, οὕτω καὶ ἵππου πολεμιστηρίου οὐδὲν ἂν ὄφελος εἴη, οὐδ' εἰ τ' ἄλλα πάντα ἀγαθὰ ἔχοι, κακόπους δ' εἴη. οὐδενὶ γὰρ ἂν δύναιτο τῶν ἀγαθῶν χρῆσθαι. πόδας δ' ἄν τις δοκιμάζοι, πρῶτον μὲν τοὺς ὄνυχας σκοπῶν. οἱ γὰρ παχεῖς πολὺ τῶν λεπτῶν διαφέρουσιν εἰς εὐποδίαν. ἔπειτα οὐδὲ τοῦτο δεῖ λανθάνειν, πότερον αἱ ὁπλαί εἰσιν ὑψηλαὶ ἢ ταπειναὶ καὶ ἔμπροσθεν καὶ ὄπισθεν ἢ χαμηλαί. αἱ μὲν γὰρ ὑψηλαὶ πόρρω ἀπὸ τοῦ δαπέδου ἔχουσι τὴν χελιδόνα καλουμένην. αἱ δὲ ταπειναὶ ὁμοίως βαίνουσι

τῷτε

Græcis, urbem tutius incolemus, celebrius erit nomen nostrum, populus omnibus rebus ad uictum necessarijs abundabit, locupletes impensis bellicis liberabuntur, cumq; futura sit maior omniū rerum copia, magnificentius etiam quàm nunc festos dies celebrabimus, & templa instaurabimus, itemq; muros & naualia reficiemus: sacerdotibus autem, magistratibus & equitibus quæ præberi solebant more institutoq; patrio, restituemus. Quid est quamobrem quamprimū hæc non aggrediamur, ut etiam nobis uiuentibus remp. tutam et beatam uideamus? Quod si à uobis hæc decreta fuerint, illud consilium do, ut Dodonam Delphosq; legati mittantur, qui à dijs oracula petant, sitne hæc reipublicæ constitutio & nunc & in reliquū tempus huic ciuitati fausta & felix futura. Si annuerint, censebo interrogandos quibus dijs in urbem acitis, hæc pulcherrima & optima efficere possimus. Quoscunq; autem designarint deos, primum ijs ut litemus æquum est, deinde ut rem ipsam aggrediamur. Quæ enim dei uoluntate suscipiuntur, ea par est meliores feliciores q; euentus habere.

XENOPHONTIS

DE RE EQVESTRI LIBELLVS.

Quia, cum ita acciderit longo ut tempore in re equestri uersaremur, aliquem usum nos illius habere existimamus, uisum est adolescentibus amicis nostris rationem exponere, quā secutos illos in optimos equites euasuros esse arbitramur. Extant quidē Simonis quoq; de re equestri scripta, à quo etiā æneus equus Athenis in Eleusinio positus est, & in basi cælata opera & facta ipsius. Cuius cum sentētia quod quibusdam in rebus nostrā fortè cōuenire animaduertissemus, non ideo omittere neq; inducere hac in parte scripturā uoluimus, ac potius eo studiosius persecuti sumus, quod speraremus maiorē fidē inuentura ea esse, quæ tradidisset similiter et ille rei equestris peritus habitus. Si qua uero hic prætermisit, nos explicare conabimur. Ac primū ostendemus, quid contra uenditorum imposturas sit obseruandum. Nam equi nondum domiti corpus modo diligenter explorandum est, quod animi haud satis claras significationes dare soleat equus, qui nondum conscenditur. Sed in corpore prima erit pedum consideratio. Vt enim, quamuis bene superioribus sui partibus ædificata domus, si non subiecta sint conuenientia fundamenta, nulli usui fuerit, ita & bellator equus nulli usui fuerit, si maxime omnibus alijs dotibus, cum malis tamen pedibus, abūdet: talis enim nullis suis dotibus uti possit. In explorandis igitur pedibus primùm ungula consideranda. Spissa enim ad pedum bonitatem longe differt à tenui. Deinde cognoscendum, utrum ungulæ sint arduæ, an tam priore parte quam posteriore depressæ siue humiles. Nam arduæ supra altius à solo testudinem, quam uocant, elatam habent: at depressæ sic gradiuntur.

pedis

pedis ut molliores & duriores partes aequabiliter fulciant incessum: ut fit in hominibus quoque, quorum crura distorta sunt, qui ualgi uocantur. Recte etiam Simon scripsit, sonitu deprehendi pedum bonitatem. Non secus enim ardua ungula quàm cymbalum resonat. Ac nos hinc orsi, nunc deinde ad reliquas partes superiores corporis ueniamus. Ossa quae sunt supra ungulam infra talos, qua parte ut in caninis pedibus callus subest, κυνήποδας dixere, neque erunt procera, ut caprarum: cum enim succussatione equitem affligunt, tum ipsa facile crura huiusmodi inflammantur. neque uero depressa, sic enim deglubi ista & exulcerari calli solent, seu per glebas siue per lapides agatur equus. Crurum ossa sint spissa: haec enim sunt corporis totius stabilimenta: sed spissitudo non erit uenarum neque carnium, nam hoc pacto cum per aspera agitur equus, impleri haec sanguine necesse est, & exsistere nodos, inflarique crura, & cutem rescindi: qua laxata saepe commissurae discedunt, & equus claudicat. Genua si pullus lubrico flexu moueat ingrediens, coniecturam ex hoc facere poßis in equitatione crura similiter lubricum motum habitura esse: lubricitas enim in flectendis genibus, & procedente tempore maior, [illegible] minus & offendit equus & lab[illegible]m in rigiditate. Femur sub armis si crassum sit, habet, ut in uirili corpore, non solum robur, sed etiam uenustatem. Pectus autem amplum idoneum est & ad formam & ad robur, & ad longiores gressus, ubi non implicentur crura. Iam de pectore non oriatur ceruix tanquam hirci prona, sed eminens pertineat ad uerticem ut gallinacei, cureuetur autem in flexu. At caput osseum sit, cum paruis maxillis: ita collum fuerit ante equitem, oculi autem spectabunt ante pedes. Atque huiusmodi equus minime uiolentus in summa animositate esse poterit. Violentiam enim usurpant equi non inflectentes collum & caput, sed extendentes. Considerandum & hoc, utrum bucca sint tenerae an asperae, an uero inaequales. Nam imparitas harum facit plerunque duri & contumaces ut oris equi reddantur. Extantes oculi uigilantiores putandi, quàm profundi: horum etiam prospectus longius penetrauerit. Nares patulae multo quàm conniuentes, & apertiores meatus habent animae, & faciunt uideri equum terribiliorem. Nam & irascens equus equo, & inter agitandum ferociens, diducere uehementius nares consueuit. Ipse uertex si fuerit grandior, aures uero minutae, magis ita caput equinum uidebitur. Spina dorsi supra armos paulo elatior, praebet opportunius sedile equiti: & armi ac reliquum corpus firmius compinguntur, si illa duplex fuerit: tum etiam & eques residebit mollius, & forma delectabilior erit. Latera demißiora supráque aluum turgidiuscula, & residendi melius, & maioris roboris, & melioris de pastu succi commoditatem ferè habent. Lumbi quo erunt latiores, & minus prolixi, hoc facilius attollet priores pedes equus, & posterioribus subsequetur: ita

τῷ τε ἰσχυροτάτῳ καὶ τῷ μαλακωτάτῳ τοῦ ποδὸς, ὥσπερ οἱ βλαισοὶ τῶν ἀνθρώπων. καὶ τῷ ψόφῳ δέ φησι Σίμων δήλους εἶναι τοὺς εὔποδας, καλῶς λέγων. ὥσπερ γὰρ κύμβαλον ψοφεῖ πρὸς τῷ δαπέδῳ ἡ κοίλη ὁπλή. ἐπεὶ δὲ ἠρξάμεθα ἐντεῦθεν, ταύτῃ καὶ ἀναβησόμεθα πρὸς τὸ ἄλλο σῶμα. δεῖ τοίνυν καὶ τὰ ἀνωτέρω μὲν τῆς ὁπλῆς, κατωτέρω δὲ τῶν κυνηπόδων ὀστᾶ, μήτε ἄγαν ὀρθὰ εἶναι, ὥσπερ αἰγὸς, ἀντιτυπώτερα γὰρ ὄντα κόπτει τε τὸν ἀναβάτην, καὶ παραπίμπραται μᾶλλον τὰ τοιαῦτα σκέλη. οὐδὲ μὴν ἄγαν ταπεινὰ τὰ ὀστᾶ δεῖ εἶναι. ψιλοῖντο γὰρ ἂν καὶ ἑλκοῖντο οἱ κυνήποδες εἴτ' ἐν βώλοις εἴτ' ἐν λίθοις ἐλαύνοιτο ὁ ἵππος. τῶν γε μὴν κνημῶν τὰ ὀστᾶ παχέα χρὴ εἶναι. ταῦτα γάρ ἐστι στηρίγματα τοῦ σώματος, οὐ μέντοι φλεψί γε οὐδὲ σαρξὶ παχέα. εἰ δὲ μὴ, ὅταν ἐν σκληροῖς ἐλαύνηται, ἀνάγκη αἵματος ταῦτα πληροῦσθαι, καὶ κρίσσους γίγνεσθαι, καὶ παχύνεσθαι μὲν τὰ σκέλη, ἀφίστασθαι δὲ τὸ δέρμα. χαλῶντος δὲ τούτου πολλάκις, καὶ ἡ περόνη ἀποστᾶσα, χωλὸν ἀπέδειξε τὸν ἵππον. τά γε μὴν γόνατα ἢν βαδίζων ὁ πῶλος ὑγρῶς κάμπτῃ, εἰκάζοις ἂν καὶ ἱππεύοντα ὑγρὰ ἕξειν τὰ σκέλη. πάντες γὰρ προϊόντος τοῦ χρόνου, ὑγρότερως κάμπτουσιν ἐν τοῖς γόνασι, τὰ δὲ ὑγρὰ δικαίως εὐδοκιμεῖ. ἀπταιστότερον γὰρ καὶ ἀκοπώτερον τὸν ἵππον τῶν σκληρῶν σκελῶν παρέχει. μηροί γε μέντοι οἱ ὑπὸ ταῖς ὠμοπλάταις, ἢν παχεῖς ὦσιν, ἰσχυρότεροί τε καὶ εὐπρεπέστεροι ὥσπερ ἀνδρὸς φαίνονται. καὶ μὴν στέρνα πλατύτερα ὄντα, καὶ πρὸς κάλλος, καὶ πρὸς ἰσχὺν, καὶ πρὸς τὸ μὴ ἐπαλλὰξ, ἀλλὰ διὰ πολλοῦ τὰ σκέλη φέρειν εὐφυέστερα. ἀπό γε μὴν τοῦ στέρνου ὁ μὲν αὐχὴν αὐτοῦ, μὴ ὥσπερ κάπρου προπετὴς πεφύκοι, ἀλλ' ὥσπερ ἀλεκτρυόνος ὀρθὸς πρὸς τὴν κορυφὴν ἥκοι. λαγαρὸς δὲ εἴη τὰ κατὰ τὴν συγκαμπήν. ἡ δὲ κεφαλὴ ὀστώδης οὖσα μικρὰν σιαγόνα ἔχοι. οὕτως ὁ μὲν τράχηλος πρὸ τοῦ ἀναβάτου ἂν εἴη, τὸ ὄμμα πρὸ τῶν ποδῶν ὁρῴη. καὶ βιάζεσθαι δὲ ἥκιστ' ἂν δύναιτο, ὁ τοιοῦτον σχῆμα ἔχων, καὶ εἰ πάνυ θυμοειδὴς εἴη. οὐ γὰρ ἐγκάμπτοντες, ἀλλ' ἐκτείνοντες τὸν τράχηλον καὶ τὴν κεφαλὴν βιάζεσθαι οἱ ἵπποι ἐπιχειροῦσι. σκοπεῖν δὲ χρὴ καὶ εἰ ἀμφότεραι μαλακαὶ αἱ γνάθοι, ἢ σκληραὶ ἢ ἑτέρα. ἑτερόγναθοι γὰρ ὡς τὰ πολλὰ, οἱ μὴ ὁμοίας τὰς γνάθους ἔχοντες γίγνονται. καὶ μὴν τὸ ἐξόφθαλμον εἶναι ἐγρήγορος μᾶλλον φαίνεται τοῦ κοιλοφθάλμου. καὶ ἐπὶ πλεῖον δ' ἂν ὁ τοιοῦτος ὁρῴη. καὶ μυκτῆρές γε οἱ ἀναπεπταμένοι τῶν συμπεπτωκότων, εὐπνοώτεροί τε ἅμα εἰσὶ, καὶ γοργότερον τὸν ἵππον ἀποδεικνύουσι. καὶ γὰρ ὅταν ὀργίζηται ἵππος ἵππῳ, ἢ ἐν ἱππασίᾳ θυμῶται, εὐρύνει μᾶλλον τοὺς μυκτῆρας. καὶ μὴν κορυφὴ μὲν μείζων, ὦτα δὲ μικρότερα, ἱπποειδεστέραν τὴν κεφαλὴν ἀποφαίνει. ἡ δ' αὖ ὑψηλὴ ἀκρωμία, τῷ τε ἀναβάτῃ ἀσφαλεστέραν τὴν ἕδραν καὶ τοῖς ὤμοις, καὶ τῷ σώματι ἰσχυροτέραν τὴν πρόσφυσιν παρέχεται. ἡ διπλῆ τῆς ἁπλῆς, καὶ ἐγκαθῆσθαι μαλακωτέρα, καὶ ἰδεῖν ἡδίων. καὶ πλευρὰ δὲ ἡ βαθυτέρα καὶ πρὸς τὴν γαστέρα ὀγκωδεστέρα, ἅμα εὐεδρότερόν τε, καὶ ἰσχυρότερον, καὶ εὐχιλότερον, ὡς ἐπὶ τὸ πολὺ τὸν ἵππον παρέχεται. ὀσφύς γε μὴν, ὅσῳ ἂν πλατυτέρα καὶ βραχυτέρα ᾖ, τοσούτῳ ῥᾷον μὲν ὁ ἵππος τὰ πρόσθεν αἴρεται, ῥᾷον δὲ τὰ ὄπισθεν προσάγεται.

καὶ

καὶ ὁ λαγὼν δὲ ὅσῳ μικρότατος φαίνεται, ὥσπερ μέγας ὤν, μέρος μέν τι καὶ αἰσχύνει, μέρος δέ τι καὶ ἀσθενέστερον καὶ δυσφορώτερον αὐτὸν τὸν ἵππον παρέχει. τά γε μὴν ἰσχία πλατέα εἶναι μὲν χρὴ καὶ εὔσαρκα, ἵνα ἀκόλουθα ᾖ ταῖς πλευραῖς καὶ τοῖς στέρνοις. ἢν δὲ πάντα στερεὰ ᾖ, κουφότερα ἂν τὰ πρὸς τὸν δρόμον εἴη, καὶ ὀξύτερον μᾶλλον ἂν τὸν ἵππον παρέχοιτο. μηρούς γε μὴν εἰ ὑπὸ τῇ οὐρᾷ ἣν ἅμα πλατέᾳ τῇ γραμμῇ διειργομένους ἔχει, οὕτω καὶ τὰ ὄπισθεν σκέλη διὰ πολλοῦ ὑποθήσει. τοῦτο δὲ ποιῶν ἅμα γοργοτέραν τε καὶ ἰσχυροτέραν ἕξει τὴν ὑπόβασίν τε καὶ ἱππασίαν, καὶ ἅπαντα βελτίων ἔσται ἑαυτοῦ. τεκμαίροιο δ' ἂν καὶ ἀπ' ἀνθρώπων. ὅταν γάρ τι ἀπὸ τῆς γῆς ἄρασθαι βούλωνται, διαβαίνοντες πάντες μᾶλλον, ἢ συμμεμυκότες ἐγχειροῦσιν αἴρεσθαι. τούς γε μὴν ὄρχεις δεῖ μὴ μεγάλους τὸν ἵππον ἔχειν, ὃ οὐκ ἔστι πώλου κατιδεῖν. περί γε μὴν τῶν κάτωθεν ἀστραγάλων, ἢ κνημῶν καὶ κυνηπόδων καὶ ὁπλῶν, τὰ αὐτὰ λέγομεν, ἅπερ περὶ τῶν ἔμπροσθεν. γράψαι δὲ βούλομαι καὶ ἐξ ὧν ἂν περὶ μεγέθους ἥκιστα ἀποτυγχάνοι τις. ὅτου γὰρ ἂν ὦσιν αἱ κνῆμαι εὐθὺς γιγνομένου ὑψηλόταται, οὗτος μέγιστος γίγνεται. προϊόντος γὰρ τοῦ χρόνου πάντων τῶν τετραπόδων, αἱ μὲν κνῆμαι εἰς μέγεθος οὐ μάλα αὔξονται. πρὸς δὲ ταύτας ὡς ἂν συμμέτρως ἔχῃ συναύξεται, καὶ τὸ ἄλλο σῶμα. εἶδος μὲν δὴ πώλου οὕτω δοκιμάζοντες, μάλιστ' ἂν ἡμῖν δοκοῦσι τυγχάνειν εὔποδος καὶ ἰσχυροῦ, καὶ εὐσάρκου, καὶ εὐσχήμονος, καὶ εὐμεγέθους. εἰ δέ τινες αὐξανόμενοι μεταβάλλουσιν, ὅμως οὕτω θαρροῦντες δοκιμάζοιμεν. πολὺ γὰρ πλέονες εὔχρηστοι ἐξ αἰσχρῶν, ἢ ἐκ τοιούτων αἰσχροὶ γίγνονται.

ὅπως γε μὴν δεῖ πωλεύειν, δοκεῖ ἡμῖν γραπτέον εἶναι. τάττονται μὲν γὰρ δὴ ἐν ταῖς πόλεσιν ἱππεύειν, οἱ τοῖς χρήμασί τε ἱκανώτατοι, καὶ τῆς πόλεως οὐκ ἐλάχιστον μετέχοντες. πολὺ δὲ κρεῖττον τοῦ πωλοδαμνεῖν εἶναι, καὶ τῷ μὲν νέῳ, εὐεξίας τε ἐπιμελεῖσθαι τῆς ἑαυτοῦ καὶ ἱππικῆς, ἢ ἐπισταμένῳ ἤδη ἱππάζεσθαι μελετᾶν. τῷ τε πρεσβυτέρῳ τοῦ τε οἴκου καὶ τῶν φίλων, καὶ τῶν πολιτικῶν, καὶ τῶν πολεμικῶν μᾶλλον, ἢ ἀμφὶ πωλείαν διατρίβειν. ὁ μὲν δὴ ὥσπερ ἐγὼ γιγνώσκω περὶ πωλείας, δῆλον ὅτι ἐκδώσει τὸν πῶλον. χρὴ μέντοι ὥσπερ τὸν παῖδα ὅταν ἐπὶ τέχνην ἐκδῷ, συγγραψάμενον ἃ δεήσει ἐπιστάμενον ἀποδοῦναι, οὕτως ἐκδιδόναι. ταῦτα γὰρ ὑπομνήματα ἔσται τῷ πωλοδάμνῃ, ὧν δεῖ ἐπιμεληθῆναι, εἰ μέλλει τὸν μισθὸν ἀπολήψεσθαι. ὅπως μέντοι πρᾶός τε καὶ χειροήθης καὶ φιλάνθρωπος ὁ πῶλος ἐκδίδοται τῷ πωλοδάμνῃ ἐπιμελητέον. τὸ γὰρ τοιοῦτον οἴκοι τε τὰ πλεῖστα καὶ διὰ τοῦ ἱπποκόμου ἀποτελεῖται, ἢν ἐπίστηται τὸ μὲν πεινῆν καὶ διψῆν, καὶ μὴ ὀργίζεσθαι παρασκευάζειν, μετ' ἐρημίας γίγνεσθαι τῷ πώλῳ. τὸ δὲ φαγεῖν καὶ πιεῖν καὶ τῶν λυπούντων ἀπαλλάττεσθαι δι' ἀνθρώπων. τούτων γὰρ γιγνομένων, ἀνάγκη μὴ μόνον φιλεῖσθαι, ἀλλὰ καὶ ποθεῖσθαι ὑπὸ πώλων ἀνθρώπους. καὶ ἅπτεσθαι δὲ χρὴ ὧν ψηλαφωμένων ὁ ἵππος μάλιστα ἥδεται. ταῦτα δ' ἐστὶ τά τε λασιώτατα, καὶ οἷς αὐτὸς ἥκιστα δύναται ὁ ἵππος, ἤν τι λυπῇ αὐτὸν ἐπικουρεῖν. προστετάχθω δὲ τῷ ἱπποκόμῳ καὶ τὸ δι' ὄχλου διάγειν, καὶ παντοδαπαῖς μὲν ὄψεσι, παντοδαποῖς δὲ ψόφοις πλησιάζειν.

τούτων

ita etiam ilia esse minima uidebuntur, quæ usitate sua partim deformant, partim etiam debilitant & grauant equos. Coxas esse & latas & carnosas oportet, ut consentaneæ sint cum pectore & lateribus. Soliditas membrorum omnium, ea uero cum ad cursum celeriorem, tum acriorem equum reddit. Femina quidem sub cauda si latioris interualli linea distinxerit, hoc pacto, quia crura posteriora spaciosius attrahentur, ideo & successio ac equitatio erit terribilior & firmior, & quàm aliter essent, meliora omnia. Hoc de homine potest intelligi. Nam sublaturi aliquid de terra, in eo diuaricatis, non cõpressis cruribus anituntur. Testiculi equini grandes esse non debent: sed in pullo hoc notari non potest. De posteriorum pedum talis seu tibijs, deq; ijs, quos κυνήποδας uocari diximus, et de ungulis, eadẽ quæ de prioribus pedibus tradita sunt, perhibemus. Nunc scribam, quid secutus in æstimanda magnitudine futura minime decipiaris. Nam pullus cuius à primo statim ortu altiores tibiæ fuerint, is maximus futurus est. Omnium enim quadrupedum tibiæ processu temporis minime crescunt altitudine, secundum has uero consentiente magnitudine corpus reliquum augetur. Atque hæc in pullis eligendis qui obseruare uoluerint, eos adepturos puto optimis pedibus & robore ac carne bona, tum uero pulchritudine & magnitudine præditos equos. Sin adolescentes aliqui mutati fuerint, nos tamen audacter in electionibus ea, quæ præcepimus, sequemur: multo enim certe plures laudabiles de turpibus, quàm de huiusmodi turpes extiterunt. Nunc deinceps de educendis pullis præcipiendum duximus. Ac in urbibus quidem equestris ordo constitui solet eorum, qui & satis opulenti sint, & in reipublicæ parte nequaquàm postrema uersentur. Lõge autem satius, cum adolescenti corporis & uirium suarum & equitationum curam gerere, aut perito iam equitandi sese exercere, quàm occupari in pullis domandis, tum seniori ius familiam, amicos, rempublicam in pace & bello complecti studio & respectu suo, quàm educendis pullis incumbere. Quare ille equester, ut mea fert de pullis educendis ratio, tradet pullum suum domitori, sic tamen, ut non secus, ac si filium magistro erudiendum traderet, conscribat quomodo instructum reddi uelit. Hinc enim quasi indicem accipiet domitor eorum, quibus pullum, si mercedẽ auferre uoluerit, instituendum esse sibi sciat. Prouidebitur autẽ, ut accipiat domitor pullum mansuetum, & manuum patientem, atq; amantem hominum, quæ pleraq; domi à curatoribus illorum efficiuntur, qui norint, cum famem atq; sitim, tum irascentiam pulli ad silentia & solitudines relegare, contrà uero cibum & potum & depulsiones offensarum per homines procurare. His enim custodiis non solum diligi à pullis homines, sed requiri etiam necesse est. Contrectandæ etiam eæ partes corporis, quas maxime tangi equus gaudet. Hæ sunt densissimæ pilis, et a quib. molesta depellere ipse nequit. Iubeatur et curator pullũ eum traducere per turbã, tũ uarias ad species et uoces admouere.

Ex

Ex his, si quid forte illum perculerit, ostendere oportebit placando, non saeuiendo, terribile non esse. De pullorum igitur institutione hactenus praecipere imperitioribus satis futurum statui. Post haec subijciemus ea, quae tenere debeat, si quis equum iam uectorem parare cogitat, ne circumueniatur à uenditore. Ac primum aetas ignoranda non est. Cui enim dens, qui aetatem notat, graeci γνώμονα uocant, excidit, neque delectat spe, neque reuendibilis est. Sed perspecta aetate, tum uidebimus & lupos quo pacto ore, & uerticale lorum quo pacto ad aures admittat. Haec minime erunt obscura, si coram emptore & applicatum frenum & detractum fuerit. Mox animaduertendum, quo pacto suscipiat dorso conscensorem: multi enim equi refutant ea, quae laborem sibi allatura esse intelligunt. Obseruabitur & hoc, utrum cum equite non recuset ab alijs equis digredi: aut, si forte prope assint, an ad hos sese efferre soleat. Reperiuntur etiam qui de mala educatione ex equitationibus recurrunt ad domesticos secessus. Duri quidem oris equos prodit non solum equitatio illa quasi catenata, quae πέδη dicitur, sed euidentius etiam mutata subito equitatio. Nam plerique nolunt excurrere, nisi ita flexus eueniat, ut improbior maxilla domum, & ad reditum conuertatur. Neque fugere nos par fuerit, an etiam instigatus ad celeritatem equus cito sustineri, & libenter reuerti soleat. Prodest etiam hoc scire, utrum extimulatus etiam obtemperet equus. Nam inutilis profecto & famulus & exercitus immorigerus: at equus immorigerus non est inutilis tantummodo, sed saepenumero proditoris uicem obtinet. Quoniam uero proposuimus bellatoris equi comparationem, faciendum periculum omnium, quae in bello obijci consueuere, quae sunt, fossam transilire, superare uallum, in collem erumpere, de colle desilire. Tentabimus & in cliuos sursum, & per decliua, & in obliquum agitare equum: ex his enim omnibus deprehenditur & animi fortitudo, & corporis sanitas. Non tamen, si quis forte in his minus placeat, ideo repudiari debebit: multi enim quia inexercitati sint, non quia parum ualeant, in illis deficiunt: quos si quis instituat, & assuefaciat atque exerceat, iam & ipsi haec praestiterint, si quidem sani, & non ignaui fuerint. Suspecti igitur praetereantur: qui enim formidolosi sunt, non sinunt à se malum dari hostibus, quin etiam equitem saepe frustrati in maximas difficultates conijciunt. Saeuitiam etiam equi nouisse debemus, si qua illius uel erga homines, uel alios equos, itemq; num implacabilis sit: omnia enim haec dominis aduersantur. Detrectationes autem frenationum, & conscensionum, & si qua alia renuat equus, multo melius comperiet, qui post defatigationem iterum illa experiri uoluerit, quae ante equitationem fecerat. Sane qui post exhaustum laborem non recusant laborare, certum argumentum hi dant praeclari animi. Atq; ut dicam breuiter, equus cum bonis pedibus, mansuetus, satisq; uelox, qui

τούτων δὲ ὅσα ἂν ὁ πῶλος φοβῆται, οὐ χαλεπαίνοντα δεῖ, ἀλλὰ πραΰνοντα διδάσκειν, ὅτι οὐ δεινά ἐστι. περὶ μὲν πωλείας ἀρκεῖν μοι δοκεῖ τῷ ἰδιώτῃ εἰπεῖν τοσαῦτα πράττειν. ὅταν γε μὴν ἱππαζόμενον ὠνῆταί τις, ὑπομνήματα γράψομεν, ἃ δεῖ καταμανθάνειν τὸν μέλλοντα μὴ ἐξαπατᾶσθαι ἐν ἱππωνείᾳ. πρῶτον μὲν τοίνυν μὴ λαθέτω αὐτόν τις ἡλικία. ὁ γὰρ μηκέτι ἔχων γνώμονας, οὔτ' ἐλπίσιν εὐφραίνει, οὔτε ὁμοίως εὐαπάλλακτος γίγνεται. ὁπότε δὲ ἡ νεότης σαφής, δεῖ αὖ μὴ λαθεῖν, πῶς μὲν εἰς τὸ στόμα δέχεται τὸν χαλινόν, πῶς δὲ περὶ τὰ ὦτα τὴν κορυφαίαν. ταῦτα δ' ἥκιστ' ἂν λανθάνοι, εἰ ὁρῶντος μὲν τοῦ ὠνουμένου ἐμβάλλοιτο ὁ χαλινός, ὁρῶντος δ' ἐξαιροῖτο. ἔπειτα δὲ προσέχειν δεῖ τὸν νοῦν, πῶς ἐπὶ τὸν νῶτον δέχεται τὸν ἀναβάτην. πολλοὶ γὰρ ἵπποι χαλεπῶς προσίενται, ἃ πρόδηλα αὐτοῖς ἐστιν, ὅτι προσιέμενοι πονεῖν ἀναγκασθήσονται. σκεπτέον δὲ καὶ τόδε, εἰ ἀναβαθεὶς ἐθέλει ἀφ' ἵππων ἀποχωρεῖν, ἢ εἰ παρεστηκότας ἱππεύων μὴ ἐκφέροι πρὸς τούτους. εἰσὶ δὲ οἳ διὰ κακὴν ἀγωγὴν καὶ πρὸς τὰς οἴκαδε ἀφόδους φεύγουσιν ἐκ τῶν ἱππασιῶν. τούς γε μὴν ἑτερογνάθους μηνύει μὲν καὶ ἡ πέδη καλουμένη ἱππασία, πολὺ δὲ μᾶλλον καὶ τὸ μεταβάλλεσθαι τὴν ἱππασίαν. πολλοὶ γὰρ οὐκ ἐγχειροῦσιν ἐκφέρειν, ἂν μὴ ἅμα συμβῇ, ὅτε ἄδικος γνάθος καὶ ἡ πρὸς οἶκον ἐκφορά. δεῖ γε μὴν εἰδέναι καὶ εἰ ἀφεθεὶς εἰς τάχος ἀναλαμβάνεται ἐν βραχεῖ, καὶ εἰ ἀποστρέφεσθαι ἐθέλει. ἀγαθὸν δὲ μὴ ἄπειρον εἶναι, εἰ καὶ πληγῇ ἐγερθεὶς ἐθέλει ὁμοίως πείθεσθαι. ἄχρηστον μὲν γὰρ δήπου καὶ οἰκέτης καὶ στράτευμα ἀπειθές. ἵππος δὲ ἀπειθὴς, οὐ μόνον ἄχρηστος, ἀλλὰ πολλάκις καὶ ὅσαπερ προδότης διαπράττεται. ἐπεὶ δὲ πολεμιστήριον ἵππον ὑπεθέμεθα ὠνεῖσθαι, ληπτέον πεῖραν ἁπάντων, ὅσωνπερ καὶ ὁ πόλεμος πεῖραν λαμβάνει. ἔστι δὲ ταῦτα, τάφρους διαπηδᾶν, τειχία ὑπερβαίνειν, ἐπ' ὄχθους ἀνορούειν, ἀπ' ὄχθων καθάλλεσθαι, καὶ πρὸς ἀνάντη δὲ καὶ κατὰ πρανοῦς καὶ πλάγια ἐλαύνοντα, πεῖραν λαμβάνειν. πάντα γὰρ ταῦτα καὶ τὴν ψυχὴν εἰ καρτερὰ, καὶ τὸ σῶμα εἰ ὑγιές, βασανίζει. οὐ μέντοι τὸν μὴ καλῶς ταῦτα ποιοῦντα ἀποδοκιμαστέον. πολλοὶ γὰρ οὐ διὰ τὸ μὴ δύνασθαι, ἀλλὰ διὰ τὸ ἄπειροι εἶναι τούτων ἐλλείπονται. μαθόντες δὲ καὶ ἐθισθέντες καὶ μελετήσαντες καλῶς ἂν ταῦτα πάντα ποιοῖεν. εἰ δ' ἄλλως ὑγιεῖς καὶ μὴ κακοὶ εἶεν, τούς γε μέντοι ὑπόπτας φυλακτέον. οἱ γὰρ ὑπέρφοβοι βλάπτειν μὲν τοὺς πολεμίους ἀφ' ἑαυτῶν οὐκ ἐῶσι, τὸν δὲ ἀναβάτην ἔσφηλάν τε πολλάκις, καὶ εἰς τὰ χαλεπώτατα ἐνέβαλον. δεῖ δὲ καὶ εἴ τινα χαλεπότητα ἔχοι ὁ ἵππος, καταμανθάνειν, εἴτε πρὸς ἵππους, εἴτε πρὸς ἀνθρώπους, καὶ εἰ δυσγάργαλίς γε εἴη. πάντα γὰρ ταῦτα χαλεπὰ τοῖς κεκτημένοις γίγνεται. τὰς δέ γε τῶν χαλινώσεων καὶ ἀναβάσεων ἀποκωλύσεις, καὶ τἆλλα δὲ δινεύματα, πολὺ ἂν ἔτι μᾶλλον καταμάθοι τις, εἰ πεπονηκότος ἤδη τοῦ ἵππου πάλιν πειρῷτο ποιεῖν ταῦτα, ὅσαπερ πρὶν ἄρξασθαι ἱππεύειν. ὅσοι δ' ἂν πεπονηκότες ἐθέλωσι πάλιν πόνους ὑποδύεσθαι, ἱκανὰ τεκμήρια παρέχονται ταῦτα ψυχῆς καθαρᾶς. ὡς δὲ συνελόντι εἰπεῖν, ὅστις εὔπους μὲν ἐν, πρᾷος δὲ, ἀρκούντως δὲ ποδώκης,

θέλοι δὲ καὶ δύναιτο πόνους ὑποφέρειν, πείθοιτο δὲ μάλιστα, οὗτος ἂν εἰκότως ἀλυπότατός τ' εἴη, καὶ σωτηριώτατος τῷ ἀναβάτῃ ἐν τοῖς πολεμικοῖς. οἱ δὲ ἢ διὰ βλακείαν ἐλάσεως πολλῆς δεόμενοι, ἢ διὰ τὸ ὑπέρθυμοι εἶναι πολλῆς θωπείας τε καὶ πραγματείας, ἀσχολίαν μὲν ταῖς χερσὶ τοῦ ἀναβάτου παρέχουσιν, ἀθυμίαν δ' ἐν τοῖς κινδύνοις. ὅταν γε μὴν ἀγασθεὶς ἵππον πρίηταί τις, καὶ οἴκαδε ἀγάγηται, καλὸν μὲν ἐν τοιούτῳ τῆς οἰκίας τὸν σταθμὸν εἶναι, ὅπου πλειστάκις ὁ δεσπότης ὄψεται τὸν ἵππον. ἀγαθὸν δὲ οὕτω κατασκευάσθαι τὸν ἱππῶνα, ὥστε μηδὲν μᾶλλον οἷόν τ' εἶναι τὸν τοῦ ἵππου σῖτον κλαπῆναι ἐκ τῆς φάτνης, ἢ τὸν τοῦ δεσπότου ἐκ τοῦ ταμιείου. ὁ δὲ τοῦτο ἀμελῶν, ἐμοὶ μὲν ἑαυτοῦ δοκεῖ ἀμελεῖν. δῆλον γὰρ ὅτι ἐν τοῖς κινδύνοις τὸ αὑτοῦ σῶμα τῷ ἵππῳ ὁ δεσπότης παρακατατίθεται. ἔστι δὲ οὐ μόνον τοῦ μὴ κλέπτεσθαι ἕνεκα τὸν σῖτον ἀγαθὸς ὁ ἐχυρὸς ἱππών, ἀλλ' ὅτι καὶ ὅταν μὴ ἐκκομίζῃ τὸν σῖτον ὁ ἵππος, φανερὸν γίγνεται. τοῦτο δ' αὖ τις αἰσθανόμενος γιγνώσκοι, ὅτι ἢ τὸ σῶμα ὑπεργεμοῦν δεῖται θεραπείας, ἢ κόπου ἐνόντος δεῖται ἀναπαύσεως, ἢ κριθίασις, ἢ ἄλλη τις ἀρρωστία ὑποδύεται. ἔστι δ' ὥσπερ ἀνθρώπῳ, οὕτω καὶ ἵππῳ ἀρχόμενα πάντα εὐιατότερα, ἢ ἐπειδὰν ἐνσκιρωθῇ τε καὶ ἐξαμαρτηθῇ τὰ νοσήματα. ὥσπερ δὲ τῷ ἵππῳ σίτου τε καὶ γυμνασίων ἐπιμελητέον, ὅπως ἂν τὸ σῶμα ἰσχύῃ, οὕτω καὶ τοὺς πόδας ἀσκητέον. τὰ μὲν τοίνυν ὑγρά τε καὶ λεῖα τῶν σταθμῶν λυμαίνεται καὶ ταῖς εὐφυέσιν ὁπλαῖς. τὰ δὲ ὡς μὲν μὴ ὑγρὰ εἶναι, ἀπόρρυτα. ὡς δὲ μὴ λεῖα, λίθους ἔχοντα κατορωρυγμένους πρὸς ἀλλήλους παραπλησίους ὁπλαῖς τὸ μέγεθος. τὰ γὰρ τοιαῦτα σταθμὰ, καὶ ἀφεστηκότων ἅμα στερεοῖ τοὺς πόδας. ἔπειτά γε μὴν τῷ ἱπποκόμῳ ἐξακτέον μὲν τὸν ἵππον ὅπου ψήξει. μεταλυτέον δὲ μετὰ τὸ ἄριστον ἀπὸ τῆς φάτνης, ἵν' ἥδιον ἐπὶ τὸ δεῖπνον ἴῃ. ὡς δ' ἂν αὖ ὁ ἔξω σταθμὸς βέλτιστος εἴη, καὶ τοὺς πόδας κατευρωννύοι, εἰ λίθων στρογγύλων ἀμφιδετῶν ὅσον μναιαίους ἁμάξας τέτταρας καὶ πέντε χύδην καταβάλλοι περιχειλώσας σιδήρῳ, ὡς ἂν μὴ σκεδαννύωνται. ἐπὶ γὰρ τούτων ἑστηκὼς ὥσπερ ἐν ὁδῷ λιθώδει ἀεὶ μέρος τι τῆς ἡμέρας πορεύοιτο. ἀνάγκη δὲ καὶ ψηχόμενον ἢ μυωπιζόμενον κεχρῆσθαι ταῖς ὁπλαῖς, καθάπερ ὅταν βαδίζῃ. καὶ τὰς χελιδόνας δὲ τῶν ποδῶν οἱ οὕτω κεχυμένοι λίθοι στερεοῦσιν. ὡς δὲ περὶ τῶν ὁπλῶν ὅπως κρατεραὶ ἔσονται, οὕτω καὶ περὶ τῶν στομάτων ὅπως μαλακὰ ἔσται, ἐπιμελεῖσθαι δεῖ. τὰ δ' αὐτὰ ἀνθρώπου τε σάρκα καὶ ἵππου στόμα ἁπαλύνει. ἱππικοῦ δὲ ἀνδρὸς ἡμῖν δοκεῖ εἶναι καὶ τὸν ἱπποκόμον πεπαιδεῦσθαι ἃ δεῖ περὶ τὸν ἵππον πράττειν. πρῶτον μὲν τοίνυν τῆς ἐπιφατνιδίας φορβειᾶς ἐπίστασθαι αὐτὸν δεῖ, μήποτε τὸ ἅμμα ποιεῖσθαι, ἔνθαπερ ἡ κορυφαία περιτίθεται. πολλάκις γὰρ κινῶν ὁ ἵππος ἐπὶ τῇ φάτνῃ τὴν κεφαλὴν, εἰ μὴ ἀσινὴς ἡ φορβειὰ περὶ τὰ ὦτα ἔσται, πολλάκις ἂν ἕλκη ποιοίη. ἑλκουμένων γε μὴν τούτων, ἀνάγκη τὸν ἵππον καὶ περὶ τὸ χαλινοῦσθαι, καὶ περὶ τὸ ψήχεσθαι δυσκολώτερον εἶναι. ἀγαθὸν δὲ καὶ τὸ τετάχθαι τῷ ἱπποκόμῳ καθ' ἡμέραν τὴν κόπρον, καὶ τὰ ὑποστρώματα τοῦ ἵππου ἐκφέρειν εἰς ἓν χωρίον. τοῦτο γὰρ ποιῶν, αὐτός τ' ἂν ῥᾷστα ἀπαλλάττοι, καὶ ἅμα τὸν ἵππον ὠφελοίη. εἰδέναι δὲ χρὴ τὸν ἱππο-

qui laborare & poßit, neq; nolit, in primis quidem morigerus, is scilicet & minime tristitiæ, & maxime saluus autor in bello equiti futurus est. Verum quibus aut propter ignauiam crebra agitatione, aut propter animositatem blandimentis multis atq; cura opus est, hi primum equitis manibus aßiduum negocium faciunt, deinde in periculis animum perturbant. Cum uero probatum equū emerit aliquis, domumq; deduxerit, eo loci stabulum ædificatum habere expedit, ut quamfrequentißime ob oculos domini equus uersetur. Ipsius equi ueluti conclaue ita construi optimū, ut non magis pabulum de præsepi, quā cibus domini de penu furto subduci poßit. Qui quidem in hoc negligens est, is seipsum, ut ego opinor, negligit: manifestum enim est, in periculis equum corpus domini accipere tanquam depositum. Neq; ille locus ideo solum communiendus est, ne furto pabulum diminuatur, sed quia etiam, si forte effundatur ab equo, ita cognoscitur. Quod ubi fuerit deprehensum, intelligi potest uel curatione indigere corpus propter humoris abundātiam, aut quietem desessa membra, uel surrepere crithiasin, aut alium quempiam morbum. SUNT autem initio omnia similiter in equo, ut in homine sanabiliora, quàm cum induruere, atq; exorbitarunt mala. Sed quemadmodum in equis, ualetudinis causa, cibi & exercitiorum diligens habenda est ratio, ita & pedes confirmandi sunt. Stabula quidem humida et leuia etiam præclaras ungulas corrumpunt. Illa igitur defluxum habebunt, ne humida sint. leuitas autem emendabitur defoßis lapidibus, quorū inter se magnitudo sit ungulis par. Nam inter standū quoq; talia stabula pedes equorū consolidant. Post hæc curator equum educet, ubi destringat. Resoluetur autem de præsepi post matutinū pabulū equus, ut sit uespertinū illi iucundius. Exteriore quidē parte sui stabulum ita rectißime se habebit, & pedes equi amplabit, si rotunda saxa palmari magnitudine, pondere libræ, quàm multa quatuor aut quinq; plaustra uehere poßint, effuse deijciantur, & ferro includantur, ne à se discedant. Ac super hæc inductus equus quasi in lapidosa uia singulis diebus aliquamsper gradiatur. Nā siue destringatur, seu à muscis pūgatur, uti ungulis illum non secus, q̄ si uadat necesse est. Etiam testudinem pedis hoc modo effusi lapides solidant. Sicuti uero firmitatis ungularum, ita & teneritatis oris ratio habenda est. Eædem autem res & hominis carnem & equorū ora molliunt. Mihi etiam hoc uidetur equestris uiri esse officiū, docere curatorē, quomodo equū tractari oporteat. Primū igitur debebit scire, nunquā esse lori eius, quo ad præsepe alligatur equus, astringendū nodum, ea parte capitis, in quā uerticale freni applicatur. Cū.n. crebro ad præsepe caput equus moueat, nisi fuerit circa aures uerticale innoxiū, sæpenumero ulceris causa existit. his igitur exulceratis, & destrictioni et frenationi equus refragabitur. Vtile etiā imperari curatori, ut quotidie stercus equinū, et stramēta in unum locum exportet: hoc enim facto et ipse minus laborabit, et equo consulet. Sciet etiam cura-

curator accommodare equo capistrum, quoties uel ad destrictionem, uel uolutabrum educere uolet. Denique quocunq; sine freno ducendus erit, capistrum inducatur. Nam hoc respirationem non impedit, & morsibus tamen obstat, atq; subitas inuasiones equorum coheret. Alligari equum à capite superne rectum est: quicquid enim os illius offendit, declinare solet elato capite equus. Id cum facit ita alligatus, magis laxantur, quàm dirumpuntur uincula. In destringendo ordiemur à capite & iuba. Nam frustra inferiora nitemur repurgare, si superiora immunda fuerint. Atq; ita deinceps per totum corpus, cunctis ijs, quæ ad repurgandos equos comparata sunt, utemur, ad pilos erigendos, & expellendum puluerem secundum pilorum situm. Sed curator spinæ pilos ne quo attingito, nisi manu, qua illos premat et mulceat sequens situm eorum, quo enati sunt: sic enim quasi sedili in equo minime nocuerit. Caput aqua eluito. Nam cum osseum sit, si ferro aut ligno perstringat, molestiam equo obiecerit. Iubam uerticalē & ipsam humectare debet. Prolixitas enim horum pilorum non prohibent aspicere equum, ac repellunt ea ab oculis, quæ molestiam equis afferrent. Deos quoque immortales uerisimile fit hos pilos esse equis largitos longarum aurium loco, quas ad defensionem oculorum contulere asinis & mulis. Deinde incrementa caudæ & colli pilis procurabuntur, quo longius pertingere cauda, & molesta sibi repellere, quoq; plenius adminiculum conscensor habere possit. Contulere autem dij uenustatis quoque gratia equis colli & & uerticis iubas, itemq; caudam: cuius hoc est argumentum, quod gregales equæ non facile sustinent congressum asinorum dum coma adest. Itaq; omnes hi, quib. asinos his admouere cura est, comā equarum detondent. Crura lauari nobis nō placet: nam cum nullam habeat utilitatē, damnosa interim est ungulis quotidiana humectatio. Minus etiam sæpe inferius aluū repurgari oportet, quod & in primis hoc sit molestum equo: & quo fuerit illa pars mundior, eò plura quæ molestiam exhibeant equo ipsa colligat. Præterea quāuis in hoc elabores, uix eduxeris equum, et mox similis est ijs futurus, quos repurgauerit nemo: quapropter hæc omittētur. Crura autem manibus destringi satis fuerit. Hoc demōstrabimus, quemadmodum cum minimo aliquis discrimine suo, & equi præcipuo commodo, facturus esse uideatur. Nam si quis detergere uelit tali situ, ut oculos habeat uersos in eam partem, in quam spectat equus, in periculo uersabitur ne in faciem sibi equi cùm genu tum ungula incutiatur. Sin contra equum propter crus exterius iuxta scapulā procumbens defricauerit, neq; ipse affligi, & sic cauum pedis, id est, testudinem ungula explicata, repurgare poterit. Atq; similiter & posteriora crura repurgantor. Hoc meminerit equi curator, et hæc et alia quibus opus fuerit, nequaquā ita fieri debere, ut uel cōtra faciem, uel cōtra caudam equi accedatur, ideo quod equus, si uim facere conetur, utraq; illarum partium suis hominis uires uincit. Ad latera uero

ἱπποκόμον, καὶ τὸν κημὸν περιτιθέναι τῷ ἵππῳ, καὶ ὅταν ἐπὶ ψῆξιν, καὶ ὅταν ἐπὶ καλίστραν ἐξάγῃ. καὶ ἀεὶ δὲ ὅποι ἂν ἀχαλίνωτον ἄγῃ, κημοῦν δεῖ. ὁ γὰρ κημὸς ἀναπνεῖν μὲν οὐ κωλύει, δάκνειν δὲ οὐκ ἐᾷ. καὶ τὸ ἐπιβουλεύειν δὲ περικείμενος, μᾶλλον ἐξαιρεῖ τῶν ἵππων. καὶ μὴν δεσμεύειν τὸν ἵππον ἄνωθεν τῆς κεφαλῆς δεῖ. πάντα γὰρ ὁπόσα ἂν δυσκολαίνῃ περὶ τὸ πρόσωπον, ἵπποις ἐκνεύειν πέφυκεν ἄνω. ἐκνεύων γε μὴν οὕτω δεδεμένος, χαλᾷ μᾶλλον ἢ διασπᾷ τὰ δεσμά. ἐπειδὰν δὲ ψήχῃ, ἄρχεσθαι μὲν ἀπὸ τῆς κεφαλῆς καὶ τῆς χαίτης. μὴ γὰρ καθαρῶν τῶν ἄνω ὄντων, μάταιον τὰ κάτω καθαίρειν. ἔπειτα δὲ κατὰ μὲν τὸ ἄλλο σῶμα, πᾶσι τοῖς τῆς καθάρσεως ὀργάνοις ἀνιστάντα δεῖ τὴν τρίχα, σοβεῖν τὴν κόνιν κατὰ φύσιν τῆς τριχός. τῶν δ' ἐν τῇ ῥάχει τριχῶν, ἄλλῳ μὲν ὀργάνῳ οὐδενὶ δεῖ ἅπτεσθαι. ταῖς δὲ χερσὶ τρίβειν καὶ ἀπαλύνειν, ᾗπερ φύσει κέκλινται. ἥκιστα γὰρ ἂν βλάπτοις τὴν ἕδραν τοῦ ἵππου. ὕδατι δὲ καταπλύνειν τὴν κεφαλὴν χρή. ὀστώδης γὰρ οὖσα, εἰ σιδήρῳ ἢ ξύλῳ καθαίροιτο, λυποίη ἂν τὸν ἵππον. καὶ τὸ προκόμιον δὲ χρὴ βρέχειν. καὶ γὰρ αὗται ἐπιμήκεις οὖσαι αἱ τρίχες, ὁρᾶν μὲν οὐ κωλύουσι τὸν ἵππον. ἀποσοβοῦσι δὲ ἀπὸ τῶν ὀφθαλμῶν τὰ λυποῦντα. καὶ τὸν θεὸν δὲ οἴεσθαι χρὴ δεδωκέναι ταύτας τὰς τρίχας ἵππῳ, ἀντὶ τῶν μεγάλων ὤτων. ἃ ὄνοις τε καὶ ἡμιόνοις ἔδοσαν ἀλεξητήρια πρὸ τῶν ὀμμάτων. καὶ οὐρὰν δὲ καὶ χαίτην πλύνειν χρή. ἐπαύξειν δεῖ τὰς τρίχας, τὰς μὲν ἐν τῇ οὐρᾷ, ὅπως ἐπὶ πλεῖστον ἐξικνούμενος ἀποσοβῇ ὁ ἵππος τὰ λυποῦντα. τὰς δὲ ἐν τῷ τραχήλῳ, ὅπως τῷ ἀναβάτῃ ὡς ἀφθονωτάτη ἀντίληψις ᾖ. δέδοται δὲ παρὰ θεῶν καὶ ἀγλαΐας ἕνεκα ἵππῳ χαίτη, καὶ προκόμιόν τε καὶ οὐρά. τεκμήριον δέ. αἱ γὰρ ἀγελαῖαι τῶν ἵππων, οὐχ ὁμοίως ὑπομένουσι τοὺς ὄνους ἐπὶ τῇ ὀχείᾳ, ἕως ἂν κομῶσιν. οὗ ἕνεκα καὶ ἀποκείρουσι πρὸς τὴν ὀχείαν τὰς ἵππους ἅπαντες οἱ ὀνοβατοῦντες. τήν γε μὴν τῶν σκελῶν κατάπλυσιν ἀφαιροῦμεν. ὠφελεῖ μὲν γὰρ οὐδέν. βλάπτει δὲ τὰς ὁπλάς, ἡ καθ' ἑκάστην ἡμέραν βρέξις. καὶ τὴν ὑπὸ γαστέρα δὲ ἄγαν κάθαρσιν μειοῦν χρή. αὕτη γὰρ λυπεῖ μὲν μάλιστα τὸν ἵππον. ὅσῳ δ' ἂν καθαρώτερα ταῦτα γένηται, τοσούτῳ πλείονα τὰ λυποῦντα ἀθροίζει ὑπὸ τὴν γαστέρα. ἢν δὲ καὶ πάνυ διαπονήσεταί τις ταῦτα, οὐ φθάνει ἐξαγόμενος ὁ ἵππος, καὶ εὐθὺς ὅμοιός ἐστι τοῖς ἀκαθάρτοις. ταῦτα μὲν οὖν ἐᾶν χρή. ἀρκεῖ δὲ καὶ ἡ τῶν σκελῶν ψῆξις, αὐταῖς ταῖς χερσὶ γιγνομένη. δηλώσομεν δὲ καὶ τοῦτο, ὡς ἂν ἀβλαβέστατα μέν τις ἑαυτῷ, τῷ δ' ἵππῳ ὠφελιμώτατα ψήχοι. ἢν μὲν γὰρ εἰς τὸ αὐτὸ βλέπων τῷ ἵππῳ καθαίρῃ, κίνδυνος καὶ τῷ γόνατι καὶ τῇ ὁπλῇ εἰς τὸ πρόσωπον πληγῆναι. ἢν δὲ ἀντία τῷ ἵππῳ ὁρῶν καὶ ἔξω τοῦ σκέλους ὅταν καθαίρῃ, κατὰ τὴν ὠμοπλάτην καθίζων ἀποτρίβῃ, οὕτω πάθοι μὲν ἂν οὐδέν. δύναιτο δ' ἂν καὶ τὴν χελιδόνα τοῦ ἵππου θεραπεύειν ἀναπτύσσων τὴν ὁπλήν. ὡς δ' αὔτως καὶ τὰ ὄπισθεν σκέλη καθαιρέτω, εἰδέναι δὲ χρὴ τὸν περὶ τὸν ἵππον, ὅτι καὶ ταῦτα καὶ τἆλλα πάντα ὅσα πράττειν δεῖ, ὡς ἥκιστα χρὴ κατὰ τὸ πρόσωπόν τε καὶ οὐρὰν προσιόντα ποιεῖσθαι. ἢν γὰρ ἐπιχειρῇ ἀδικεῖν κατ' ἀμφότερα ταῦτα, κρείττων ὁ ἵππος ἀνθρώπου. ἐκ πλαγίου

δ'

δ' ἄν τις προσιὼν ἀβλαβέστατα μὲν ἑαυτῷ, πλεῖστα δ' ἂν ἵππῳ δύναιτο χρῆσθαι. ἐπειδάν γε ἄγειν δέῃ τὸν ἵππον, τὴν μὲν ὄπισθεν ἀγωγὴν διὰ τάδε οὐκ ἐπαινοῦμεν, ὅτι τῷ μὲν ἄγοντι οὕτως ἥκιστά ἐστι φυλάξασθαι, τῷ δὲ ἵππῳ οὕτως μάλιστα ἔξεστι ποιῆσαι, ὅ,τι ἂν βούληται. τὸ δ' αὖ ἔμπροσθεν μακρῷ τῷ ἀγωγεῖ προϊόντα διδάσκειν ὑφηγεῖσθαι τὸν ἵππον διὰ τάδε αὖ ψέγομεν. ἔξεστι μὲν γὰρ τῷ ἵππῳ καθ' ὁπότερ' ἂν βούληται τῶν πλαγίων κακουργεῖν. ἔξεστι δὲ ἀναστρεφόμενον, ἀντίον γίγνεσθαι τῷ ἄγοντι. ἀθρόοι δὲ δὴ ἵπποι πῶς ἄν ποτε ἀλλήλων δύναιντο ἀπέχεσθαι οὕτως ἀγόμενοι; ἐκ πλαγίου δὲ ἵππος ἐθισθεὶς ἡγεῖσθαι, ἥκιστα μὲν ἂν τοὺς ἵππους καὶ ἀνθρώπους δύναιτ' ἂν κακουργεῖν. κάλλιστα δ' ἂν παρεσκευασμένος τῷ ἀναβάτῃ εἴη, καὶ εἴποτε ἐν τάχει ἀναβῆναι δεήσειεν. ἵνα δὲ ὁ ἱπποκόμος καὶ τὸν χαλινὸν ὀρθῶς ἐμβάλλῃ, πρῶτον μὲν προσίτω κατὰ τὰ ἀριστερὰ τοῦ ἵππου. ἔπειτα τὰς μὲν ἡνίας περιβαλὼν περὶ τὴν κεφαλὴν καταθέσθω ἐπὶ τῇ ἀκρωμίᾳ. τὴν δὲ κορυφαίαν τῇ δεξιᾷ αἰρέτω. τὸ δὲ στόμιον τῇ ἀριστερᾷ προσφερέτω. κἂν μὲν δέχηται, δηλονότι περιθεῖναι δεῖ τὸν κεκρύφαλον. ἐὰν δὲ μὴ ὑποχάσκῃ, ἔχοντα δεῖ πρὸς τοῖς ὀδοῦσι τὸν χαλινὸν, τὸν μέγαν δάκτυλον τῆς ἀριστερᾶς χειρὸς εἴσω τῆς γνάθου τοῦ ἵππου ποιῆσαι. οἱ γὰρ πολλοὶ τούτου γιγνομένου χάσκουσι τὸ στόμα. ἢν δὲ μηδ' οὕτω δέχηται, πιεσάτω τὸ χεῖλος περὶ τῷ κυνόδοντι. καὶ πάνυ τινὲς ὀλίγοι οὐ δέχονται τοῦτο πάσχοντες. δεδιδάχθω δὲ καὶ τάδε ὁ ἱπποκόμος. πρῶτον μὲν μήποτε ἄγειν τῆς ἡνίας τὸν ἵππον. τοῦτο γὰρ ἑτερογνάθους ποιεῖ. ἔπειτα δὲ ὅσον δεῖ ἀπέχειν τὸν χαλινὸν τῶν γνάθων. ὁ μὲν γὰρ ἄγαν πρὸς αὐταῖς τυλοῖ τὸ στόμα, ὥστε μὴ ἀναίσθητον εἶναι. ὁ δὲ ἄγαν εἰς ἄκρον τὸ στόμα καθιέμενος ἐξουσίαν παρέχει συνδάκνοντι τὸ στόμιον μὴ πείθεσθαι. χρὴ δὲ τὸν ἱπποκόμον καὶ τὰ τοιάδε παροξύνειν, εἴ τι δεῖ πονεῖν. οὕτω γὰρ δὴ μέγα ἐστὶ τὸ λαμβάνειν ἐθέλειν τὸν ἵππον τὸν χαλινὸν, ὡς ὁ μὴ δεχόμενος παντάπασιν ἄχρηστος. ἢν δὲ μὴ μόνον ὅταν πονεῖν μέλλῃ χαλινῶται, ἀλλὰ καὶ ὅταν ἐπὶ τὸν σῖτον, καὶ ὅταν ἐξ ἱππασίας εἰς οἶκον ἀπάγηται, οὐδὲν ἂν εἴη θαυμαστὸν εἰ ἁρπάζοι τὸν χαλινὸν αὐτόματος προτεινόμενον. ἀγαθὸν δὲ τὸν ἱπποκόμον καὶ ἀναβάλλειν ἐπίστασθαι τὸν Περσικὸν τρόπον, ὅπως αὐτός τε ὁ δεσπότης ἤν ποτε ἀρρωστήσῃ ἢ πρεσβύτερος γίγνηται, ἔχῃ τὸν εὐπετῶς ἀναβιβάζοντα, καὶ ἄλλῳ ἤν τινι βούληται, τὸν ἀναβαλοῦντα χαρίσηται. τὸ δὲ μήποτε σὺν ὀργῇ τῷ ἵππῳ προσφέρεσθαι, ἓν τοῦτο καὶ δίδαγμα καὶ ἔθισμα πρὸς ἵππον ἄριστον. ἀπρονόητον γὰρ ἡ ὀργή, ὥστε πολλάκις ἐξεργάζεται ὧν μεταμελεῖν ἀνάγκη. καὶ ὅταν δὲ ὑποπτεύσας τι ὁ ἵππος μὴ θέλῃ πρὸς τοῦτο προσιέναι, διδάσκειν δεῖ ὅτι οὐ δεινόν ἐστι, μάλιστα μὲν σὺν ἵππῳ εὐκαρδίῳ. εἰ δὲ μὴ, ἁπτόμενον αὐτὸν τοῦ δεινοῦ δοκοῦντος εἶναι, καὶ τὸν ἵππον πρᾴως προσάγοντα. οἱ δὲ πληγαῖς ἀναγκάζοντες, ἔτι πλείω φόβον παρέχουσιν. οἴονται γὰρ οἱ ἵπποι, ὅταν τι χαλεπὸν πάσχωσιν ἐν τῷ τοιούτῳ, καὶ τούτου τὰ ὑποπτευόμενα αἴτια εἶναι. ἐπειδάν γε μὴν ὁ ἱπποκόμος τὸν ἵππον παραδιδῷ τῷ ἀναβάτῃ, τὸ μὲν ἐπίστασθαι ὑποβιβάζεσθαι τὸν ἵππον, ὥστε εὐπετὲς εἶναι ἀναβῆναι, οὐ μεμφόμεθα.

τόγ

uero adiens maxime & sibi cauerit, & equum pro lexe tractare poterit. Cum produci equum oportebit, sic duci illum, ut sequatur, hac de causa improbatur nobis, quod hoc pacto ductor sibi minime prospicere, equus autem omnia patrare possit, quæ uoluerit. Neque ita placet duci, ut longo loro alligatum sibi illum succedere ductor assuefaciat, propterea quod equus in utramcunque latus obuertere queat improbitatem suam, & conuertere se aduersus ductorem suum. Iam plures si una ducantur hoc modo equi, quomodo abstineant mutuis iniurijs? A latere uero duci assuefactus equus, neque homines, neque alios equos facile læserit, & rectissime præparatus fuerit ad conscendendum, si quando hoc celeriter fieri oportuerit. Vt autem recte etiam infrenetur equus, accedito curator primum ad læuum latus illius, deinde habenas ob caput in summis armis deponat, uerticale autem attollens in dextra teneat, ac lupos sinistra admoueat: quos si equus admiserit, applicanda scilicet erunt freni lora. Sin equus os non aperiat, tenens frenum propinquum dentibus, maximum digitum manus inserito maxillis, quo facto plerique os pandunt. Sed ne sic quidem si frenum receperit equus, tum labrum ille urgeat ante dentem qui caninus appellatur, ac paucissimi, cum hoc fit, non admittunt frenum. Præcipiatur & hoc curatori, primum, ne unquam habenis attrahat equum, ita enim durum os redditur. Deinde ut à buccis conueniente spacio distet frenum. Nam cum illas premit, callum solet obducere, ita sensus retunditur. Cum autem longius dependet usque ad summum os, potestas tum fit equo, si frenum momorderit, minus parendi domino. In his acrem esse curatorem non minus quàm ulla in alia re elaborare conuenit. Tantum enim momenti in hoc est situm, libenter ut equus frenum admittat, ut si quis omnino reijciat, is nulli usui esse censendus sit. Quod si curator non solum cum ad laborem equus, sed etiam cum ad pabulum ducetur, & de agitatione domum reducetur, frenum illi induerit, nimirum iam ultro appetet statim ubi hoc offerri sibi uiderit. Bonum & hoc, tenere curatorem imponendi in equum sessoris Persicum morem, ut cum ipse dominus in morbo & senecta habeat à quo in equum facile imponatur, tum alteri, cui gratificari uoluerit, copiam illius facere possit. Ne autem iracunde tractetur equus, utilissima est doctrina atq; institutio in re equestri. NAM IRA NIHIL PROVIDET. Itaq; ea designat plerunq;, quorum pœnitentia necessario est comes. Equus si quid forte suspicatus accedere aliquopiam nolet, demonstrãdum illi, quod ea, quæ auersetur, fugienda non sint: hoc quidem plane equo animoso. Sin erit timidior, contrectabimus id, quod ei horribile apparet, & leniter eodem ipsum abducemus. Qui uero uerberibus adigunt, plus timoris incutiũt equis. Nam quia tum male multantur, huius etiam ea, quæ suspicione sua refugiunt, causam esse arbitrantur. Postquam curator ad sessorem adduxerit equum, ita illum scire summittere, ut facilis sit cõscensio haud reprehendimus:

Ec ipsi

ipsi tamen equitis hoc agendum esse censemus, etiam nemine subministrante, ut possit conscendere. Sæpe enim alienus equus obijcitur, & idem minister sæpenumero diuersis inseruit. Vbi uero equum conscendendum acceperit eques, nunc deinceps perscribemus, quid facere ille debeat, ut maxime tam sibi, quàm equo in re equestri consulat. Primum de freni parte inferiore, seu etiã de annulo bullaue huius religatũ lorũ ductorium, ῥυταγωγεὺς uno uerbo Græcis est, apte sinistra manu prehendet, ea laxitate, ut neq; si insurgens, pilisq; auribus uicinis inhærens, neq; si de hasta saltu conscensurus est, conuellat equum. Dextra capiet habenas depositas in summis armis unà cum iuba, ne scilicet ullo pacto conuellat habenis os equi. Postquam se alleuarit ad conscensionẽ, tum igitur sinistra quidem librato corpus, dextra uero intensa subleuet ipse sese. Huiusmodi conscensio etiam à tergo omnem deformitatis aspectum excluserit. Conscendet autem crure incuruato, neque genu dorso equi impinget, sed in latus dextrum tibiã trajiciet. Vbi uero iam circumactũ pedẽ applicuerit, tum deinde & natibus resideat super equo. Quod si forte eques sinistra manu ducet equum cum gestet dextra hastam, equidem censeo utile esse usum ille sibi ut paret etiam à dextro latere conscendendi. Neque ulla alia ad hoc scientia opus, quàm quæ dextra paulo ante exequebatur, ea ut sinistra agat: & contrà, quæ sinistra, ut tum dextra. Hæc ideo laudatur à nobis cõscendendi ratio. Nam simulac cõscenderit eques, paratus mox est ad omnia, si quod forte ingruat subitum certamen hostib. irruentibus. Verum ubi iam resederit, siue super nudo equo, seu etiã in ephippio, non laudatur quasi curulis quædam sessio, sed ut crurib. diuaricatis maxime rectitudo custodiatur: sic enim & feminib. firmius adhæserit æquo, ac erectus ualidius & coniecerit iaculum, et ictum, si res poscat, intulerit ab equo. Hoc etiam studendum, tibiæ unà cum pedibus ut remissæ sub genibus dependeant: in rigiditate enim si crus aliquopiam impegerit, non abfuturum sit periculum ne frangatur: fluxa uero tibia facile cesserit offendentibus, neque femur tamen demutauerit. Curabit & hoc eques, ut truncus quoq;, id est, ea corporis pars, quæ est supra coxas, quasi ad fluxum quendam agilitatis composita sit: hoc enim modo & efficacior fuerit, & minus, si quis detrahere aut impellere conetur, subsultarit. Cum iam resederit, ut tum consistat placide equus, institutus esse debet, dũ attrahat eques, si quid forte oportet, & habenas coæquet, & hastam adaptet. Tum deinde brachium læuum lateri adponito, qui habitus equitis est elegantissimus, & robur manui addit. Habenæ laudantur æquales, non fragiles, neq; lubricæ, neq; crassæ: etiam hasta illa manu, si opus sit, cõprehendi ut queat. Signo dato ut equus progrediatur, fiat hoc initio pedetentim, ita minime turbabitur. Habenæ, si flexibilior fuerit equus, attolluntor manibus paulo altius: sin caput protendet, premuntor: sic enim forma reddetur uenustissima. Post hæc si suo proprio gressu perget, absque minima molestia corpus quasi lenescet, & equus

liben/

τοῦτό γε μέντοι ἱππικὸν νομίζομεν γνῶναι μελετᾶν, καὶ μὴ παρέχοντος ἵππου δύνασθαι ἀναβαίνειν. ἄλλοτε μὲν γὰρ ἄλλοις ἵπποις παραπίπτει, ἄλλοτε δὲ ἄλλῳ ὁ αὐτὸς ὑπηρετεῖ. ὅταν γε μὴν παραδέξηται τὸν ἱππέα ὡς ἀναβησόμενον, νῦν αὖ γράψομεν ὅσα ποιῶν ὁ ἱππεὺς καὶ ἑαυτῷ καὶ τῷ ἵππῳ ὠφελιμώτατος ἂν ἐν τῇ ἱππικῇ εἴη. πρῶτον μὲν τοίνυν τὸν ῥυταγωγέα χρὴ ἐκ τῆς ὑποχαλινιδίας, ἢ ἐκ τοῦ ψαλίου ἠρτημένον, εὐτρεπῆ εἰς τὴν ἀριστερὰν χεῖρα λαβεῖν. καὶ οὕτω χαλαρόν, ὡς μήτ᾽ ἂν ἀνιὼν τῶν τριχῶν παρὰ τὰ ὦτα λαβόμενος μέλλῃ ἀναβήσεσθαι, μήτ᾽ ἂν ἀπὸ δόρατος ἀναπηδᾷ, σπᾶν τὸν ἵππον. τῇ δεξιᾷ δὲ τὰς ἡνίας παρὰ τὴν ἀκρωμίαν λαμβανέτω ὁμοῦ τῇ χαίτῃ, ὅπως μηδὲ καθ᾽ ἕνα τρόπον ἀναβαίνων σπάσῃ τῷ χαλινῷ τὸ στόμα τοῦ ἵππου. ἐπειδὰν δὲ ἀνακουφίσῃ ἑαυτὸν εἰς τὴν ἀνάβασιν, τῇ μὲν ἀριστερᾷ ἀνιμάτω τὸ σῶμα, τὴν δὲ δεξιὰν ἐκτείνων, συνεπαιρέτω ἑαυτόν. οὕτω γὰρ ἀναβαίνων, οὐδὲ ὄπισθεν αἰσχρὰν θέαν παρέξει. συγκεκαμμένῳ δὲ τῷ σκέλει, καὶ μήτε τὸ γόνυ ἐπὶ τὴν ῥάχιν τοῦ ἵππου τιθέτω. ἀλλ᾽ ὑπερβιβασάτω ἐπὶ τὰς δεξιὰς πλευρὰς τὴν κνήμην. ὅταν δὲ περιενέγκῃ τὸν πόδα, τότε καὶ τοὺς γλουτοὺς καθιέτω ἐπὶ τὸν ἵππον. ἢν δὲ τύχῃ ὁ ἱππεὺς, τῇ μὲν ἀριστερᾷ ἄγων τὸν ἵππον, τῇ δὲ δεξιᾷ τὸ δόρυ ἔχων, ἀγαθὸν μὲν ἡμῖν δοκεῖ εἶναι τὸ καὶ ἐκ τῶν δεξιῶν μελετῆσαι ἀναπηδᾶν. μαθεῖν δ᾽ οὐδὲν δεῖ ἄλλο, ἢ ἃ μὲν τότε τοῖς δεξιοῖς τοῦ σώματος ἐποίει, τοῖς ἀριστεροῖς ποιεῖν. ἃ δὲ τότε τοῖς ἀριστεροῖς, τοῖς δεξιοῖς. τούτου δ᾽ ἕνεκα καὶ ταύτην ἐπαινοῦμεν τὴν ἀνάβασιν, ὅτι ἅμα τε ἀναβεβηκὼς ἂν εἴη, καὶ κατεσκευασμένος πάντα εἴ τι δέοι, ἐξαίφνης πρὸς πολεμίους ἀγωνίζεσθαι. ἐπειδάν γε μὴν καθέζηται, ἐάν τε ἐπὶ ψιλοῦ, ἐάν τε ἐπὶ τοῦ ἐφιππίου, οὐ τὴν ὥσπερ ἐπὶ τοῦ δίφρου ἕδραν ἐπαινοῦμεν, ἀλλὰ τὴν ὥσπερ ὀρθὸς ἂν διαβεβηκὼς εἴη τοῖν σκελοῖν. τοῖν τε γὰρ μηροῖν οὕτως ἂν ἔχοιτο μᾶλλον τοῦ ἵππου. καὶ ὀρθὸς ὢν, ἐρρωμενέστερον ἂν δύναιτο καὶ ἀκοντίσαι καὶ πατάξαι ἀπὸ τοῦ ἵππου εἰ δέοι. χρὴ δὲ καὶ χαλαρὰν ἀπὸ τοῦ γόνατος ἀφεῖσθαι τὴν κνήμην σὺν τῷ ποδί. σκληρὸν μὲν γὰρ ἔχων τὸ σκέλος, εἰ προσκόψειέ τῳ, προσκεκλασμένος ἂν εἴη. ὑγρὰ δὲ οὖσα ἡ κνήμη, εἴ τι καὶ προσπίπτοι αὐτῇ, ὑπείκοι ἂν καὶ τὸν μηρὸν οὐδὲν μετακινοίη. δεῖ δὲ τὸν ἱππέα καὶ τὸ ἄνωθεν τῶν ἑαυτοῦ ἰσχίων σῶμα, ὡς ὑγρότατον ἐθίζειν εἶναι. οὕτω γὰρ ἂν πονεῖν ἔτι μᾶλλον δύναιτο. καὶ εἰ ἕλκοι τις αὐτὸν ἢ ὠθοίη, ἧττον ἂν σφάλλοιτο. ἐπειδάν γε μὴν καθίζηται, πρῶτον μὲν ἠρεμεῖν δεῖ διδάσκειν τὸν ἵππον, ἕως ἂν καὶ ὑποσπάσηται, ἤν τι δέηται, καὶ ἡνίας ἰσώσηται, καὶ δόρυ λάβῃ ὡς ἂν εὐφορώτατον εἴη. ἔπειτα δὲ ἐχέτω τὸν ἀριστερὸν βραχίονα πρὸς ταῖς πλευραῖς. οὕτω γὰρ εὐσταλέστατός τε ὁ ἱππεὺς ἔσται, καὶ ἡ χεὶρ ἐγκρατεστάτη. ἡνίας γε μὴν ἐπαινοῦμεν, ὁποῖαι ἴσαι τέ εἰσι, καὶ μὴ ἀσθενεῖς, μηδὲ ὀλισθηραί, μηδὲ παχεῖαι, ἵνα καὶ τὸ δόρυ ὅταν δέῃ δέχεσθαι ἡ χεὶρ δύνηται. ὅταν δὲ προχωρεῖν σημαίνῃ τῷ ἵππῳ, βάδην μὲν ἀρχέσθω. τοῦτο γὰρ ἀταρακτότατον. ἡνιοχείτω δὲ ἢν μὲν κυφαγωγότερος ᾖ ὁ ἵππος ἀνωτέρω ταῖς χερσίν. ἢν δὲ μᾶλλον ἀνακεκυφὼς κατωτέρω. οὕτω γὰρ ἂν μάλιστα κοσμοίη τὸ σχῆμα. μετὰ δὲ ταῦτα τὸν αὐτοφυῆ διατροχάζων, διαχαλῴη τ᾽ ἂν ἀλυπότατα τὸ σῶμα, καὶ εἰς τὸ ἐπὶ ῥᾳδιοφορεῖν

ἀφίκ

ἥδιστ' ἂν ἀφικνοῖτο. ἐπεὶ δέ γε πρὸς καὶ ἐκ τῶν ἀριστερῶν ἄρ-
χεσθαι εὐδοκιμώτερον, ὧδ' ἂν μάλιστα ἐκ τούτων ἄρ-
χοιτο, εἰ διαπροχάζοντος μὲν ὁπότε ἀναβαίνοι τοῦ δε-
ξιοῦ, τότε σημαίνοι τῷ ἵππῳ ἵνα ῥαβδοφορεῖν. τὸ γὰρ
ἀριστερὸν μέλλων αἴρειν, ἐκ τούτου ἂν ἄρχοιτο. καὶ ὁπότε
ἵνα τὰ εὐώνυμα ἀναστρέφοι, τότε καὶ τῆς ἐπικλίσεως ἂν
ἄρχοιτο. καὶ γὰρ πέφυκεν ὁ ἵππος, εἰς μὲν τὰ δεξιὰ στρε-
φόμενος, τοῖς δεξιοῖς ἀφηγεῖσθαι, εἰς εὐώνυμα δὲ τοῖς
ἀριστεροῖς. ἱππασίαν δ' ἐπαινοῦμεν τὴν πέδην καλου-
μένην· ἐπ' ἀμφοτέρας γὰρ τὰς γνάθους στρέφεσθαι ἐθί-
ζει. καὶ τὸ μεταβάλλεσθαι δὲ τὴν ἱππασίαν, ἀγαθόν, ἵνα
ἀμφότεραι αἱ γνάθοι καθ' ἑκάτερον τῆς ἱππασίας ἰσά-
ζωνται. ἐπαινοῦμεν δὲ καὶ τὴν ἑτερομήκη πέδην μᾶλ-
λον τῆς κυκλοτεροῦς. ἥδιον μὲν γὰρ οὕτως ἀναστρέφοιτο
ὁ ἵππος, ἤδη πλήρης ὢν τοῦ εὐθέος, καὶ τό τε ὀρθοδρο-
μεῖν καὶ τὸ ἀνακάμπτειν ἅμα μελετῴη ἄν. δεῖ δὲ καὶ ὑπο-
λαμβάνειν ἐν ταῖς στροφαῖς. οὐ γὰρ ῥᾴδιον τῷ ἵππῳ
οὐδ' ἀσφαλὲς ἐν τῷ τάχει ὄντα κάμπτειν ἐν μικρῷ, ἄλ-
λως τε κἂν ἀπόκροτον ἢ ὀλισθηρὸν ᾖ τὸ χωρίον. ὅταν
γε μὴν ὑπολαμβάνῃ, ὡς ἥκιστα μὲν χρὴ τὸν ἵππον πλα-
γιοῦν τῷ χαλινῷ, ὡς ἥκιστα δ' αὐτὸν πλαγιοῦσθαι. εἰ δὲ
μή, εὖ χρὴ εἰδέναι, ὅτι μικρὰ πρόφασις ἀρκέσει κεῖσθαι καὶ
αὐτὸν καὶ τὸν ἵππον. ἐπειδάν γε μὴν ἐκ τῆς στροφῆς εἰς
τὸ εὐθὺς βλέπῃ ὁ ἵππος, ἐν τούτῳ πρὸς τὸ θᾶττον αὐ-
τὸν ὁρμάτω. δῆλον γὰρ ὅτι καὶ ἐν τοῖς πολεμίοις αἱ στρο-
φαί εἰσιν αἱ τοῦ διώκειν καὶ ἀποχωρεῖν ἕνεκα. ἀγαθὸν
οὖν τὸ στραφέντα ταχύνειν μελετᾶν. ὅταν δὲ ἱκανῶς ἤ-
δη δοκῇ τὸ γυμνάσιον τῷ ἵππῳ ἔχειν, ἀγαθὸν καὶ δια-
παύσαντα ὁρμῆσαι ἐξαίφνης εἰς τὸ τάχιστον. καὶ ἀφ' ἵπ-
πων μέντοι μὴ πρὸς ἵππους, καὶ ἐκ τοῦ ταχέως αὖ ὡς ἐγγυ-
τάτω ἠρεμίζειν, καὶ ἐκ τοῦ ἑστάναι δὲ στρέψαντα δεῖ πάλιν
ὁρμᾶν. πρόδηλον γὰρ ὅτι ἔσται ποτὲ ὅτε ἑκατέρου τού-
των δεήσει. ὅταν γε μὴν καταβαίνειν ἤδη καιρὸς ᾖ, μή-
τε ἐν ἵπποις ποτὲ καταβαίνειν, μήτε παρὰ σύστασιν
ἀνθρώπων, μήτε ἔξω τῆς ἱππασίας, ἀλλ' ὅπου πέρ καὶ πο-
νεῖν ἀναγκάζεται ὁ ἵππος, ἐνταῦθα καὶ τῆς ῥᾳστώνης τυγ-
χανέτω. ἐπειδὴ πέρ ἐστιν, ὅπου τρέχειν δεήσει τὸν ἵππον
καὶ πρανῆ καὶ ὄρεια καὶ πλάγια. ἔστι δ' ὅπου διαπηδᾶν,
ἔστι δ' ὅπου καὶ ἐκπηδᾶν. ἔνθα δὲ καὶ καθάλλεσθαι, καὶ ταῦ-
τα πάντα διδάσκειν τε δεῖ καὶ μελετᾶν, καὶ αὐτὸν κα-
θόλου καὶ τὸν ἵππον. οὕτω γὰρ ἂν καὶ σωτήριοί τε εἶεν ἀλλή-
λοις καὶ χρησιμώτεροι ἂν δοκοῖεν εἶναι. εἰ δέ τις διλογεῖν
ἡμᾶς οἴεται, ὅτι περὶ τῶν αὐτῶν λέγομεν νῦν τε καὶ πρό-
σθεν, οὐ διλογία ταῦτά ἐστιν. ὅτε μὲν γὰρ ὠνεῖσθαι παρῃνοῦ-
μεν, σκεψόμενοι εἰ δύναιτο ὁ ἵππος ταῦτα ποιεῖν. νῦν δὲ δι-
δάσκειν φαμὲν χρῆναι τὸν ἑαυτοῦ, καὶ γράφομεν ὡς δεῖ
διδάσκειν. τὸν μὲν οὖν παντάπασιν ἄπειρον τοῦ διαπηδᾶν,
λαβόντα δεῖ τοῦ ἀγωγέως καταβεβλημένον προδιαβῆναι
αὐτὸν τὴν τάφρον. ἔπειτα δὲ ἐντείνειν δεῖ τῷ ἀγωγεῖ ὡς
διαλλῆται. ἢν δὲ μὴ ἐθέλῃ, ἔχων τις μάστιγα ἢ ῥάβδον, ἐμ-
βαλέτω ὡς ἰσχυρότατα, καὶ οὕτως ὑπεραλεῖται οὐ τὸ μέτρον,
ἀλλὰ πολὺ πλεῖον τοῦ καιροῦ, καὶ τὸ λοιπὸν οὐδὲν δεήσει
παίειν, ἀλλ' ἢν μόνον ἴδῃ ὄπισθεν τινὰ ἐπελθόντα ἁλεῖ-
ται. ἐπειδὰν δὲ οὕτω διαπηδᾶν ἐθισθῇ, καὶ ἀναβεβηκὼς
ἐπαγέτω, τὸ μὲν πρῶτον μικράς, ἔπειτα δὲ καὶ μείζους.
ὅταν δὲ μέλλῃ πηδᾶν, παισάτω αὐτὸν τῷ μύωπι.
ὡσαύτως

libentißimè ad cursuram cõuertetur atq; incitabitur.
Hic cum opinio sit à leua parte initium facere pul-
chrius esse, ita hinc potißimum incipietur, si gressum
post conscensionem dextrum mouente equo: tunc si-
gnum detur ad cursuram: ita enim ille sublaturus le-
uum, ab eo principium fecerit cursus. Cumq; ad sini-
stram conuertetur, sic etiam flexuram incipiet. Fit e-
nim ut equus si conuertatur in dextrã, dextris etiam
partibus procedat, in sinistram uero leuis. Agitatio-
nem autem in primis probamus eam, quæ πέδη appel
latur, quoniam ambas buccas ad conuersionem as-
suefacit. Est & hoc bonum, agitationem ipsam muta
re, ut equi buccæ in utrisq; exæquentur. Nos etiam ex
tensiorem illam catenam agitationis, gyratæ præferi-
mus: nam in hac libentius & conuerti se equus satur
iam procursionis, et simul ad directum cursum, simul
ad flexus assuefieri patietur. Sed in flexibus sistendi e-
qui sunt: neq; enim facilè est, neq; periculo caret, e-
quum concitatum statim circumagere, præsertim loco
salebroso aut lubrico. Si equum sistere non placuerit,
tum quammaximè poterit tam se eques, quàm equũ
frenis obliquabit: sin aliter fecerit, sciat leuißima de
causa fieri posse, ut unà cum equo corruat. Verùm u-
bi iam post flexum directè prospiciet equus, ibi ad ce
leritatem instigandus erit. Nam obscurum non est, in
prælijs quoq; flexus usurpari, cum insequendi hostẽ,
tum se recipiendi gratia: quare expedit ad celeritatem
post flexum assuefacere equos. Iam uero posteaquã
satis esse exercitij uidebitur, profuerit tum & post
quietem repente incitare equum, cum auersum ab a-
lijs equis, tum ad illos conuersum: itemq; de celerita
te statim reprimere, necnon consistere cum pati, &
mox flectere ac incitare: non enim dubium, qui uentu
rum tempus sit, quo ambobus illis opus fuerit. Cum
descendendum erit, cauebitur ne hoc fiat uel inter e-
quos, uel in hominum cœtu, uel extra agitationis spa
cia: sed quo in loco desudare cogitur, eo scilicet in lo
co & requies equo contingat. Quoniam autem ac-
cidit, ut interdum equo currendum sit per loca decli-
uia, & montana atq; deuexa, alicubi etiam transili-
re, alicunde exilire, aliquo desilire equum ut oporte-
at, ideo ad illa prorsus omnia cum se eques, tum equũ
instituet ac assuefaciet: hoc enim pacto alter alteri &
saluti et usui fuerit. Quod si quis eadem iterum cõme
morare nos arbitratur, qui ante dicta repetamus, is in
telligat non esse in his, ut ita appellem, biloquium: su
prà enim in emptione præcepimus de periculo facien
do, utrum hæc facere equus sciret: nũc dicimus, quod
suum quisq; equum illa docere debeat, & quæ in eo
ipso sequenda sint perscribimus. Qui igitur nactus est
equum omnino imperitum saltuum, is uacuum illum
prehenso loro ductorio transgressus fossam prior at-
trahito ad saltum. Quod ille si renitatur, à tergo ali-
quis flagrum aut uirgam summis uiribus incutiat, ita
transiliet non solum illud spacium, sed longius etiam
quàm debuisset, & in posterum non expectabit uerbe
ra, sed ubi senserit modo ponè accedere aliquẽ, statim
saliet. Cum uacuũ assuefeceris, ita etiam agitabis con
scensum, primum quidem trans minores fossas, mox
etiã latiores. In conatu autem saliẽdi subdes calcaria,

itidemq; & cum subsilire & cum desilire uolueris,
calcaria subdito: toto enim corpore in omnibus his
enitens equus, faciet illa ita, magis ut cum ipse, tum
eques in tuto sint, quàm si posteriore parte sui quasi
deficeret, uel in transiliendo, uel in erumpendo, uel in
desiliendo. Ad decliuia primum leuiori in solo equos
assuefieri conuenit. Ita tandem assuefacti libentius
per decliuia, quàm recto cursu ferentur. Nam quod
quidam uerentur, ne si per decliuia incitentur equi,
armos rumpant, neminem debet terrere, qui cogno/
uerit & Persas & uniuersos Odryssas cursu per de/
cliuia certantes, nihilo minus habere sanos equos,
quàm Graecos. Neq; omittemus perscribere, quem se
ad haec omnia sessor praebere debeat. Ad primum e/
nim ille equi impetum proclinator, ita minime equus
tergiuersabitur, aut eques succutietur: statimq; re/
primens equum, resupinator, ita minime ipse iacta/
bitur. In traiectu fossae, & cliui ascensu, non fuerit
incongruum iubam tenere, ne simul & loco & fre/
no grauetur equus. Sin per decliue agetur, & resupi/
nator eques, & equum sustineto freno, ne praeceps
uterque deorsum feratur. Praeterea danda opera, ut
alijs atque alijs in locis, itemq; modo longae, modo
breues equitationes ut fiant, minus enim hae odiosae
equis sunt, quam si semper ijsdem locis, & eodem
modo agerentur. Sed quia & diuersa per loca equi/
tem incitato cursu ruentem, continere equum, & ex
equo armis commode uti posse decet, sicubi idonea
regio & ferarum copia fuerit, non reprehenditur
exercitatio uenationum. Sed ubi haec desiderantur, u/
tile exercitium & hoc, si duo equites ex conuento
inter se per diuersa loca fugiant ac persequantur, i/
ta ut fugiens auersam hastam teneat, persequens ue/
ro rotundatis iaculis & similis modi hasta instet:
& de spacio, quod iaculo satis, iaculum in illum
conijciat: deque eo, quod hastae satis sit, hasta feri/
at. In conflictibus prodest attractum aduersari/
um derepente protrudere: haec enim ratio prostér/
nendi. Sed & hoc recte fit, equum contra at/
trahentem instigare: hoc enim pacto is, quem ali/
us diripere conatur, illum citius deiecerit, quàm ip/
se deciderit. Iam si accidat ut collatis castris cum ho/
stibus, alteri alteros quidem usque ad hostium sta/
tiones insequantur, refugiant autem inde usque ad
suas: hic igitur scire atque meminisse proderit, cùm
hostes fugiant, & inter suos aliquis insequitur,
tum ut conuerso equo praecipitem in cursum in pri/
mis suorum urgeat hostes, & laudari & periculo
carere. Vbi uero ad ipsos uentum fuerit, ibi ut in
potestate equum habeat: nam hoc pacto, id quod
res docet, maximis damnis hostes quisque suos af/
fecerit, ipse ab illis cùm minimè laedi possit. Ac dij qui/
dem hoc concessere hominibus, alios ut doceant o/
ratione, quo facto opus sit: at equum oratione quidem
instruxerit nemo: sin cum ille sese ex animi tui senten/
tia gesserit, uicissim ei gratificere, in detrectantem ue/
ro imperium animaduertes, facile didicerit, facere quae
debeat, ea facere ad arbitrium tuum. Atque hoc qui/
dem dicitur paucis uerbis, sed tota in re equestri prae/
stari oportet. Nam & frena libentius admit/
tet is,

ὡσαύτως δὲ καὶ τὸ ἀναπηδᾶν καὶ τὸ καταπηδᾶν δι/
δάσκειν πειράσθω ὑπὸ μύωπι. ἀθρόῳ γὰρ τῷ σώματι
ταῦτα πάντα ποιῶν, καὶ ἑαυτῷ ὁ ἵππος, καὶ τῷ ἀνα/
βάτῃ ἀσφαλέστερον ποιήσει μᾶλλον, ἢ ἂν ἐλλείπῃ τὰ ὄπι/
σθεν, ἢ διαπηδῶν ἢ ἀνορούων ἢ καθαλλόμενος. ἄγε
μὴν τὸ κάταντες πρῶτον χρὴ ἐν μαλακῷ χωρίῳ διδά/
σκειν, καὶ τέλος, ἐπειδὰν τοῦτο ἐθισθῇ, πολὺ ἥδιον
τὸ πρανὲς τοῦ ὀρθίου δραμεῖται. ἃ δὲ φοβοῦνταί τινες
μὴ ἀπορρηγνύωνται τοὺς ὤμους ἐπὶ τὰ πρανῆ ἐλαυνόμε/
νοι, θαρρούντων, μαθόντες ὅτι Πέρσαι καὶ Ὀδρύσαι,
ἅπαντες τὰ κατάντη ἁμιλλώμενοι, οὐδὲν ἧττον τῶν
Ἑλλήνων ὑγιεῖς τοὺς ἵππους ἔχουσι. παρήσομεν δὲ οὐδὲ
ὅπως τὸν ἀναβάτην ὑπηρετεῖν δεῖ πρὸς ἕκαστα τούτων.
χρὴ γὰρ ὁρμῶντος μὲν ἐξαίφνης ἵππου προνεύειν. ἧτ/
τον γὰρ καὶ ὑποδύοι ὁ ἵππος, καὶ ἀναβάλλοι τὸν ἀνα/
βάτην. ἐν μικρῷ δὲ ἀναλαμβανομένου ἀναπίπτειν. ἧσ/
σον γὰρ ἂν αὐτὸς κόπτοιτο. τάφρον δὲ διαλλομένου, καὶ
πρὸς ὄρθιον ἱεμένου, καλὸν χαίτης ἐπιλαμβάνεσθαι, ὡς
μὴ ὁ ἵππος τῷ τε χωρίῳ ἅμα καὶ τῷ χαλινῷ βαρύνη/
ται. εἰς γε μὴν τὸ πρανὲς καὶ ἑαυτὸν ὑπτιώτερον, καὶ τὸν
ἵππον ἀντιληπτέον τῷ χαλινῷ, ὡς μὴ προπετῶς εἰς τὸ
κάταντες, μήτε αὐτὸς, μήτε ὁ ἵππος φέρηται. ὀρθῶς
δ' ἔχει καὶ τὸ ἄλλοτε μὲν ἐν ἄλλοις τόποις, ἄλλοτε δὲ μα/
κρὰς, ἄλλοτε δὲ βραχείας τὰς ἱππασίας ποιεῖσθαι. ἀμι/
σέστερα γὰρ καὶ ταῦτα τῷ ἵππῳ, τοῦ ἀεὶ ἐν τοῖς αὐτοῖς
τόποις καὶ ὁμοίας τὰς ἱππασίας ποιεῖσθαι. ἐπεὶ δὲ δεῖ ἐν
παντοίοις τε χωρίοις τὸν ἵππον ἀνακράτος ἐλαύνον/
τα ἔποχον εἶναι, καὶ ἀπὸ τοῦ ἵππου τοῖς ὅπλοις καλῶς δύνα/
σθαι χρῆσθαι. ὅπου μὲν οὖν χωρία ἐπιτήδεια καὶ θηρία, ἄμεμ/
πτος ἡ ἐν θήραις μελέτη τῆς ἱππικῆς. ὅπου δὲ ταῦτα μὴ
ὑπάρχει, ἀγαθὴ ἄσκησις, καὶ ἢν δύο ἱππόται συνθέ/
μενοι, ὁ μὲν φεύγῃ ἐπὶ τοῦ ἵππου παντοῖα χωρία, καὶ τὸ δό/
ρυ εἰς τοὔπισθεν μεταβαλλόμενος ὑποχωρῇ, ὁ δὲ διώ/
κῃ ἐσφαιρωμένα τε ἔχων ἀκόντια, καὶ δόρυ ὡσαύτως πε/
πραγματευμένον. καὶ ὅπου μὲν ἂν εἰς ἀκόντιον ἀφικνῆ/
ται, ἀκοντίζῃ τὸν φεύγοντα τοῖς σφαιρωτοῖς. ὅπου δ' ἂν εἰς
δόρατος πληγὴν, παίῃ τὸν ἁλισκόμενον. ἀγαθὸν δὲ, ἐάν
ποτε συμπέσωσιν, ἑλκύσαντες ἐφ' ἑαυτὸν τὸν πολέμιον,
ἐξαίφνης ἀπῶσαι. τοῦτο γὰρ καταβλητικόν. ὀρθῶς δὲ ἔχει
καὶ τῷ ἑλκομένῳ ἐπελαύνειν τὸν ἵππον. τοῦτο γὰρ ποιῶν
ὁ ἑλκόμενος καταβάλλοι ἂν μᾶλλον τὸν ἕλκοντα, ἢ κα/
ταπέσοι. ἢν δέ ποτε καὶ στρατοπέδου ἀντικαθημένου
ἀνθιππεύωσιν ἀλλήλοις, καὶ διώκωσι μὲν μέχρι τῆς πο/
λεμίας φάλαγγος τοὺς ἀντίους, φεύγωσι δὲ μέχρι τῆς φι/
λίας, ἀγαθὸν καὶ ἐνταῦθα ἐπίστασθαι, ὅτι ἕως μὲν ἂν πα/
ρὰ τοὺς φίλους τις ᾖ, καλὸν καὶ ἀσφαλὲς τὸ ἐν πρώτοις
ἐπιστρέψαντα ἀνακράτος ἐπικεῖσθαι. ὅταν δ' ἐγγὺς
τῶν ἐναντίων γίγνηται, ὑποχείριον τὸν ἵππον ἔχειν. οὕ/
τω γὰρ ἂν, ὡς τὸ εἰκὸς μάλιστα δύναιτο βλάπτειν τοὺς ἐν/
αντίους, μὴ βλάπτεσθαι ὑπ' αὐτῶν. ἀνθρώποις μὲν οὖν
ἄνθρωπον θεοὶ ἔδοσαν λόγῳ διδάσκειν ἃ δεῖ ποιεῖν.
ἵππον δὲ δῆλον ὅτι λόγῳ μὲν οὐδὲν ἂν διδάξαις. ἢν δὲ ὅ/
ταν μὲν πείσῃ ὡς ἂν βούλῃ, ἀντιχαρίσῃ αὐτῷ, ὅταν
δὲ ἀπειθῇ κολάζοις, οὕτω μάλιστα μάθοι τὸ δέον ὑπηρε/
τεῖν. καὶ ἔστι μὲν τοῦτο ἐν βραχεῖ εἰπεῖν, δι' ὅλης δὲ τῆς
ἱππικῆς παρακολουθεῖ. καὶ γὰρ χαλινὸν μᾶλλον ἂν λαμ/
βάνοι,

βαίνοι, εἰ ὁπότε δέξοιτο ἀγαθόν τι αὐτῷ ἐκβαίνοι, καὶ δια-
πηδῴη δ' ἂν καὶ ἐξάλλοιτο, καὶ τἄλλα πάντα ὑπηρε-
τοίη ἄν, εἰ προσδοκῴη ὁπότε τὰ σημαινόμενα πράξει-
ε ῥᾳστώνην τινά. καὶ τὰ μὲν δὴ εἰρημένα ταῦτά ἐστιν, ὡς
ἥκιστα μὲν ἐξαπατῷτο καὶ πῶλον καὶ ἵππον ὠνούμενος.
ἥκιστα δ' ἂν διαφθείραι χρώμενος. μάλιστα δ' ἂν ἵππον
ἀποδεικνύειν δέοι ἔχοντα, ὧν ἱππεὺς δεῖται εἰς πόλε-
μον. καιρὸς δ' ἴσως γράψαι καὶ εἴ ποτε συμβαίνῃ θυ-
μοειδεστέρῳ ἵππῳ τοῦ καιροῦ χρῆσθαι, ἢ βλακωδεστέρῳ, ὡς
ἂν ὀρθότατα ἑκατέρῳ χρῷτο. πρῶτον τοίνυν χρὴ τοῦτο
γνῶναι, ὅτι ἐστὶ θυμὸς ἵππῳ, ὅπερ ὀργὴ ἀνθρώπῳ. ὥσπερ
οὖν ἄνθρωπον ἥκιστ' ἂν ὀργίζοι τις, ὁ μήτε λέγων χαλε-
πὸν μηδὲν, μήτε ποιῶν, οὕτω καὶ ἵππον θυμοειδῆ ὁ μὴ
ἀνιῶν, ἥκιστ' ἂν ἐξοργίζοιτο. εὐθὺς μὲν οὖν χρὴ ἐν τῇ ἀνα-
βάσει ἐπιμελεῖσθαι, ὡς ἂν ἥκιστ' ἀναβαίνων λυποίη. ἐπει-
δὰν δ' ἀναβῇ, ἠρεμήσαντα πλείω χρόνον, ἢ τὸν ἐπιτυχόν-
τα οὕτω προκινεῖν αὐτὸν ὡς πραοτάτοις σημείοις. ἔπει-
τα δ' ἐκ τοῦ βραχυτάτου ἀρχόμενον, οὕτως ἂν εἰς τὸ θᾶτ-
τον προάγειν, ὡς ἂν μάλιστα λανθάνοι αὐτὸν ὁ ἵππος
εἰς τὸ ταχὺ ἀφικνούμενος. ὅτι δ' ἂν ἐξαίφνης σημήνῃ,
θυμοειδῆ ἵππον, ὥσπερ ἄνθρωπον ταράττει τὰ ἐξαπί-
ναια καὶ ὁράματα καὶ ἀκούσματα καὶ παθήματα. εἰδέ-
ναι δὲ χρή, ὅτι ἐν ἵππῳ τὰ ἐξαπίναια ταραχὴν ἐξεργάζε-
ται. ἢν δὲ καὶ εἰς τὸ θᾶττον ὁρμώμενον, καὶ τοῦ ῥοῦ ὑπολαμ-
βάνειν βούλῃ τὸν θυμοειδῆ, οὐ δεῖ ἐξαπιναίως σπᾶν,
ἀλλ' ἠρεμαίως προσάγεσθαι τῷ χαλινῷ πραΰνοντα οὐ βια-
ζόμενον ἠρεμεῖν. καὶ αἵ τε μακραὶ ἐλάσεις μᾶλλον, ἢ αἱ
πυκναὶ ἀποστροφαὶ πραΰνουσι τοὺς ἵππους. καὶ αἱ ἡσυ-
χαῖαι μετὰ πολὺν χρόνον καθιψοῦσι, καὶ πραΰνουσι, καὶ οὐκ
ἀνεγείρουσι τὸ θυμοειδές. εἰ δέ τις οἴεται, ἢν ταχὺ καὶ πολ-
λὰ ἐλαύνῃ, ἀπειπεῖν ποιήσας τὸν ἵππον πραΰνειν, τἀν-
αντία γιγνώσκει τοῦ γιγνομένου. ἐν γὰρ τοῖς τοιούτοις ὁ θυ-
μοειδὴς, καὶ ἄγειν βίᾳ μάλιστα ἐπιχειρεῖ, καὶ σὺν τῇ ὀρ-
γῇ, ὥσπερ ἄνθρωπος ὀργίλος πολλάκις καὶ ἑαυτὸν, καὶ
ἀναβάτην, πολλὰ ἀνήκεστα ἐποίησεν. ἐπιλαμβάνειν δὲ
χρὴ ἵππον θυμοειδῆ, καὶ τοῦ εἰς τὸ τάχιστα ὁρμᾶν. τοῦ
δὲ ἢ παραβάλλειν ἵππῳ καὶ παντάπασιν ἀπέχεσθαι.
σχεδὸν γὰρ οἱ φιλονικότατοι καὶ θυμοειδέστατοι τῶν
ἵππων γίγνονται. καὶ χαλινοὶ δὲ οἱ λεῖοι ἐπιτηδειότε-
ροι τῶν τραχέων. ἐὰν δὲ καὶ τραχὺς ἐμβληθῇ, τῇ χαλα-
ρότητι λείῳ δεῖ αὐτὸν ἀφομοιοῦν. ἀγαθὸν δὲ ἐθίζειν αὐ-
τὸν, καὶ τὸ ἠρεμεῖν, μάλιστα ἐπὶ θυμοειδοῦς ἵππου. καὶ
τὸ ὡς ἥκιστα ἄλλῳ τινὶ ἅπτεσθαι, ἢ οἷς τοῦ καθῆσθαι ἀσφα-
λῶς ἕνεκα ἁπτόμεθα. εἰδέναι δὲ χρή, ὅτι δίδαγμά ἐστι
καὶ τὸ ποππυσμῷ μὲν πραΰνεσθαι, κλωγμῷ δὲ ἐγεί-
ρεσθαι. καὶ εἴ τις ἐξ ἀρχῆς ἐπὶ μὲν κλωγμῷ τὰ πρᾶα, ἐ-
πὶ δὲ ποππυσμῷ τὰ χαλεπὰ προσφέροι, μάθοι ἂν ὁ
ἵππος, ποππυσμῷ μὲν ἐγείρεσθαι, κλωγμῷ δὲ πραΰ-
νεσθαι. οὕτως οὖν δεῖ καὶ παρὰ κραυγὴν καὶ παρὰ σάλ-
πιγγα μήτ' αὐτὸν φαίνεσθαι τεθορυβημένον τῷ ἵππῳ,
μήτε μὴν ἐκείνῳ θορυβῶδες μηδὲν προσφέρειν, ἀλλ'
εἰς τὸ δυνατὸν ἐπαναπαύειν ἐν τῷ τοιούτῳ, καὶ ἄριστα καὶ
δεῖπνα εἰ συγχωροίη προσφέρειν. κάλλιστον δὲ συμβού-
λευμα τὸ ἄγαν θυμοειδῆ ἵππον μὴ κτᾶσθαι εἰς πόλεμον. βλα-
κί γε μὴν ἵππῳ, ἀρκεῖν μοι δοκεῖ γράψαι πάντα τἀν-
αντία ποιεῖν, ὅσα τῷ θυμοειδεῖ χρῆσθαι συμβουλεύομεν.
ἢν

tet is, cui post frenationem bene aliquid feceris, et tran
siliet & exultabit, inq; alijs omnib. obsequetur, si post
quam fecerit imperata, sperabit requietem. Atq; hacte-
nus quidē ea exposuimus, quibus obseruatis non facilè
decipiatur, neq; pulli neq; equi emptor: itēq; in usu nō
corrūpatur equus: tum si producēdus ille sit, ita ut pro
ducatur, ne desit quicquā, quo in bello opus equiti esse
uideatur. Nunc uero tempus, ut opinor, fuerit demon-
strare, si cui fortè oblatus sit ferocior aut ignauior iusto
10 equus, quo pacto utroq; rectè uti queat. Primum igitur
sciendum, ferociā in equo similem esse iracundiæ homi
num. Vt igitur non irritantur facile, quibus nihil neq;
dicitur neq; fit, quo offendantur: ita & ferociorem e-
quum minime cōmouerit is, qui non læserit. Quapro-
pter statim in conscendendo prouidendū, ne cōscensor
molestus sit equo. Cùm autem in equo consessum fue-
rit, acquiescendū plusculum temporis, uel quandiu li-
cuerit, atq; ita agendus equus quamblandissimo impe-
rio: ac mox lenissimis à gradibus initio facto, ad celeri
20 tatem adigetur: inter quæ uix sentiet ille incitationem.
Imperio autē repentino equus ferocior, itidem ut homo
perturbatur animo, siue quid tum aspexit subito, seu au
diuit, seu etiam patitur. Quare hoc nō ignorabimus, re
pētina omnia in equis perturbationes efficere. Verū si
incitatū ad celeritatē continere ferociorē in cursu uolu
eris, nō attrahes derepente, sed placide adduces frenū,
ut inuites, non cogas ad consistendū. Placantur etiam
equi longioribus spacijs magis, quàm si crebro con-
uertantur: atq; lenta diu mites et placidos præstāt, neq;
30 ferociam equorū suscitant. Quod si quis sperat, si diu
et celeriter aguet equum, fore defatigatū deinde man-
suetiorē, diuersum fentu atq; accidere consueuit. Nam
hæc inter, feroces magis uiolentiam usurpare, inq; ira,
quemadmodū homines iracundi, sæpe et se et sessorem
indignis modis tractare solent. Proinde ad celeritatem
summā equos feroces non facilè incitabimus. Nequa-
quam aūt adigemus ad alios equos: nam ferme impro
bissimi quiq;, ferocissimi sunt. His aptiores freni quoq;
leues quàm asperi. Si quando tamen asperos indideri-
40 mus, laxando ut leues uideantur efficiemus. Prodest e-
tiam ut sessor assuefaciat sese ad talem in equo potissi-
mum feroce collocationem, qua & ipse minime cōmo
ueatur, & nulla ferè alia parte equum contingat, quā
ubi sessionis firmæ causa contingi illum necesse fuerit.
Neq; hoc ignorandum, præcipi ποππυσμῷ, id est, cùm
labris compressis acutior quidam sonus oris editur,
tum igitur doceri sciendum, equos mitigari: κλωγμῷ ue
ro, qui sonitus fuerit palati & gutturis, incitari. At si
quis initio equo offerat gratiora cum clogmo, contra-
50 ria autem cum poppysmo, citò ille didicerit, poppys-
mo iam incitari, mitigari uero clogmo. Atque simili-
ter inter clamores ac tubas cauendum, ne equo formi-
do aliqua nostra appareat, néue illi hoc tempore tur-
bulentum aliquid obijciatur: sed quantum fieri pote-
rit, quietem tum conciliare equo studebimus, & si ad-
mittat, matutina aut uespertina pabula præbebimus.
Hoc autem consilium præclarissimum fuerit, ne quis
sibi equum ferocem ad bellum parare uelit. Verum de
ignauis tantum scripsisse satis fuerit, in his omnia
contraria exercenda, quàm de ferocibus dicta sint.

 Lon

Iam si quando lubeat idoneo bellis equo uti ad agitationem magnificam & speciosam, omnino ab eo, quod plerique faciunt in opinione preclarae equitationis, abstinendum, os ut frenis laceremus, itemq; calcaria ut subdamus, & incutiamus scuticas. Nam ita diuersa omnia accident ab iis, quae expetuntur, cum & figuram quandam arduam equi habenis arreptis efficientes, qui debuerat prospicere, cum occaecant, & calcaribus atq; flagris equum territant, ut non sine periculo perturbetur. Haec autem sunt quae faciunt hi equis, quibus agitatio molesta est maxime, atque in turpitudine quidem, non cum honestate. Sed equus si didicerit agitari frenis laxioribus, et ceruicem attollere, eademq; a capite recuruare, ita facile praestabit ea, quibus ipse potissimum delectatur et sibi placet. Haec autem esse quae diximus, uel hoc argumento intelligi poterit, quod equus quoties festinat ad alios equos, sed ad equas in primis, tum & attollit ceruicem quamaltissime, & caput maxime proclinat truci cum specie, tum crurum mollitudinem fert sublimem, & caudam sursum intendit. Qui igitur ad talem formam composuerit equum, qualem ipse effingit quoties pulcherrimus uideri cupit, is hoc consequetur, ut & de agitatione uoluptatem equus capiat, & magnificus atque terribilis ac spectabilis sit. Quae quidem qua ratione obtineri posse credamus, nunc deinceps conabimur exponere. Primum igitur non pauciora frena duobus parabimus, quorum unum leuius orbes habeat grandiores, alterum eosdem cum graues tum depressos. Echini autem, id est, clausurae, erunt acutiores, ut cum istud prebenderit offensus equus asperitate mox dimittat: cum autem lenius illi inditum fuerit, tum gaudens huius quidem lenitate, alia nihilominus ad quae asperiore freno instructus fuerat, sub leni quoque exequatur. Sin lenitate contempta in hoc penitus incumbere uolet, coget scilicet illum, hanc ob causam subiecti grandiores orbes, os pandere, atque ita admittere lupos. Poterit autem asperius frenum uariari cum implicatione quadam, tum extensione. Caeterum cuiuscunque modi fuerint frena, sunto mollia omnia. Nam rigidum quauis parte sui prehensum retinet equus totum inter maxillas, perinde ac ueru ubilibet prehendas totum sustuleris. Alterum uero non aliter quam catena, ea parte tantummodo qua tenetur, non flectitur. Aliae pendent, quas elabentes dum captat equus, lupos interea omittit de maxillis. Hanc ob causam & inseruntur mediis axibus annuli, ut hos lingua atque dentibus prensans, omittat correptionem inter maxillas freni. Perscribemus autem & quae frena mollia, & quae rigida sint, si quis hoc forte ignoret. Molle enim est, cum axes commissuras habent leues atque latas. Itemque omnia quae axibus accommodantur, cum sunt ampla & minus densa, mollius frenum existimandum. In quo uero omnes particulae freni grauiter discurrunt atq; collidantur, illud frenum rigidum erit. Sed qualecunq; contigerit frenum, cum hoc, cuncta ea quae subiicientur, praestabit is qui uoluerit formam equi efficere eam, quam supra diximus. Os igitur equi concutiendum, neq; ita uehementer equus ut refugiat, neq; ita placide ut non persentiscat. Atque iam post concussionem ubi

ἢν δέ τις ποτὲ βουληθῇ χρῆσθαι καὶ χρησίμῳ εἰς πόλεμον ἵππῳ μεγαλοπρεπεστέρῳ τε καὶ περιβλεπτοτέρῳ ἱππάζεσθαι, τοῦ μὲν ἕλκειν τε τὸ στόμα τῷ χαλινῷ καὶ μυωπίζειν τε καὶ μαστιγοῦν τὸν ἵππον, ἃ οἱ πολλοὶ ποιοῦντες λαμπρύνειν οἴονται, ἀπέχεσθαι δεῖ. πάντα γὰρ τἀναντία οὗτοί γε ποιοῦσιν ὧν βούλονται. τῷ γε γὰρ σχήματι ἕλκοντες ἄνω αὐτὶ τοῦ προορᾶν, ἐκτυφλοῦσι τοὺς ἵππους, καὶ μυωπίζοντες καὶ παίοντες ἐκπλήττουσιν, ὥστε ταράττεσθαι καὶ κινδυνεύειν. ταῦτα δ' ἐστὶν ἵππων ἔργα τῶν μάλιστα ἀχθομένων ἱππασίᾳ, καὶ αἰσχρὰ καὶ οὐ καλὰ ποιούντων. εἰ δέ τις διδάξειε τὸν ἵππον ἐν χαλινῷ ἱππεύειν, ἄνω δὲ τὸν αὐχένα διαίρειν, ἀπὸ δὲ τῆς κεφαλῆς κυρτοῦσθαι, οὕτως ἂν ἀπεργάζοιτο ποιεῖν τὸν ἵππον, οἷοίσπερ καὶ αὐτὸς ἥδεταί τε καὶ ἀγάλλεται. τεκμήριον δέ, ὅτι τούτοις ἥδεται. ὅταν γὰρ αὖθις θέῃ πρὸς ἵππους, μάλιστα δὲ ὅταν παρὰ θηλείας. τότε αἴρεται τὸν αὐχένα ἀνωτάτω καὶ κυρτοῖ μάλιστα τὴν κεφαλὴν γοργούμενος. καὶ τὰ μὲν σκέλη ὑγρὰ μετεωρίζει, τὴν δὲ οὐρὰν ἄνω ἀνατείνει. ὅταν οὖν τις αὐτὸν εἰς ταῦτα προάγῃ, ἅπερ αὐτὸς σχηματοποιεῖται, ὅταν μάλιστα καλλωπίζηται, οὕτως ἡδόμενόν τε τῇ ἱππασίᾳ καὶ μεγαλοπρεπῆ καὶ γοργὸν καὶ περίβλεπτον ἀποφαίνει τὸν ἵππον. ὡς οὖν ἡγούμεθα ταῦτ' ἂν ἀπεργασθῆναι, νῦν αὖ πειρασόμεθα διηγεῖσθαι. πρῶτον μὲν τοίνυν χρὴ μὴ μεῖον δυοῖν χαλινοῖν κεκτῆσθαι. τούτων δὲ ἔστω ὁ μὲν λεῖος τοὺς τροχοὺς εὐμεγέθεις ἔχων, ὁ δὲ ἕτερος τοὺς μὲν τροχοὺς καὶ βαρεῖς καὶ ταπεινούς, τοὺς δ' ἐχίνους ὀξεῖς, ἵνα ὁπόταν μὲν τοῦτον λάβῃ, ἀγάλλων τῇ τραχύτητι διὰ τοῦτο ἀφέῃ. ὅταν δὲ τὸν λεῖον μεταλάβῃ, τῇ μὲν λειότητι αὐτοῦ ἥδηται. ἃ δὲ ὑπὸ τοῦ τραχέος πεπαίδευται, ταῦτα καὶ ἐν τῷ λείῳ ποιῇ. ἢν δ' αὖ καταφρονήσας τῆς λειότητος θαμινὰ ἀπερείδηται ἐν αὐτῷ, τούτου ἕνεκα τοὺς τροχοὺς μεγάλους τῷ λείῳ προστίθεμεν, ἵνα χάσκειν ἀναγκαζόμενος ὑπ' αὐτῶν ἀφιῇ τὸ στόμιον. οἷόν τε δὲ καὶ τὸν τραχὺν παντοδαπὸν ποιεῖν καὶ καταλαμβάνοντα καὶ κατατείνοντα. ὁπόσοι δ' ἂν ὦσι χαλινοί, πάντες ὑγροὶ ἔστωσαν. τὸν μὲν γὰρ σκληρὸν ὅπῃ ἂν ὁ ἵππος λάβῃ, ὅλον ἔχει πρὸς ταῖς γνάθοις, ὥσπερ καὶ ὀβελίσκον ὁπόθεν ἄν τις λάβῃ, ὅλον αἴρει. ὁ δὲ ἕτερος ὥσπερ ἡ ἅλυσις ποιεῖ. ὃ γὰρ ἂν ἔχῃ τις αὐτοῦ, τοῦτο μόνον ἄκαμπτον μένει, τὸ δὲ ἄλλο ἀπήρτηται. τὸ δὲ φεῦγον ἐν τῷ στόματι ἀεὶ θηρεύων, ἀφίησιν ἀπὸ τῶν γνάθων τὸ στόμιον, τούτου ἕνεκα καὶ οἱ ἐπὶ μέσον ἐκ τῶν ἀξόνων δακτύλιοι κρεμάννυνται, ὅπως τούτους διώκων, τῇ τε γλώττῃ καὶ τοῖς ὀδοῦσιν ἀμελῇ τοῦ ἀναλαμβάνειν πρὸς τὰς γνάθους τὸν χαλινόν. εἰ δέ τις ἀγνοεῖ τί τὸ ὑγρὸν τοῦ χαλινοῦ καὶ τί τὸ σκληρόν, γράψομεν καὶ τοῦτο. ὑγρὸν μὲν γάρ ἐστιν, ὅταν οἱ ἄξονες εὐρείας καὶ λείας ἔχωσι τὰς συμβολάς, ὥσπερ ῥᾳδίως κάμπτεσθαι. καὶ πάντα δὲ ὁπόσα περιτίθεσθαι περὶ τοὺς ἄξονας, ἢν εὐρύστομα ᾖ, καὶ μὴ σύμπυκνα, ὑγρότερά ἐστιν. ἢν δὲ χαλεπῶς ἕκαστα τοῦ χαλινοῦ διατρέχῃ καὶ συνθῇ, τοῦτ' ἐστι σκληρὸν εἶναι. ὁποῖος δ' ἂν τις ᾖ, τούτῳ τά δέ γε πάντα ταῦτα ποιητέον, ἤνπερ γε βούληται ἀποδείξασθαι τὸν ἵππον, οἷόνπερ εἴρηται. ἀνακρουστέον μὲν τὸ στόμα τοῦ ἵππου, οὔτε ἄγαν χαλεπῶς, ὥστε ἐκνεύειν, οὔτε ἄγαν ἡσύχως, ὡς μὴ αἰσθάνεσθαι. ἐπειδὰν δὲ ἀνακρουόμενος

αἴρῃ

ἄνω τὸν αὐχένα, διδόναι εὐθὺς τὸν χαλινόν, καὶ τἆλλα
δὲ δεῖ ὥσπερ οὐ παυόμεθα λέγοντες, ἐν ᾧ ἂν καλῶς ὑ-
πηρετῇ, χαρίζεσθαι τῷ ἵππῳ. καὶ ὅταν δ᾽ αἴσθηται ἡδόμενον
τὸν ἵππον τῇ τε ὑψαυχενίᾳ καὶ τῇ χαλαρότητι, ἐν τού-
τῳ οὐδὲν δεῖ χαλεπὸν προσφέρειν ὡς πονεῖν ἀναγκά-
ζοντα, ἀλλὰ θωπεύειν ὡς παύσασθαι βουλόμενον. οὕτω
γὰρ μάλιστα θαρρῶν πρόεισιν εἰς τὴν ταχεῖαν ἱππασί-
αν. ὡς δὲ καὶ τῷ ταχὺ θεῖν ἵππος ἥδεται, τεκμήριον.
ἐκφυγὼν γὰρ οὐδεὶς βάδην προέρχεται, ἀλλὰ θεῖ. τού-
τῳ γὰρ πέφυκεν ἥδεσθαι, ἢν μή τις πλείω τοῦ καιροῦ θεῖν
ἀναγκάζῃ. ὑπερβάλλον δὲ τὸν καιρὸν, οὐδὲ τὸ παντὸς
ἡδὺ, οὔτε ἵππῳ, οὔτε ἀνθρώπῳ. ὅταν γε μὴν εἰς τὸ
ἱππάζεσθαι μετὰ τοῦ κυδροῦ ἀφιγμένος ᾖ, εἰθισμένος μὲν
δέ που ἡμῖν, ἦν ἐν τῇ πρώτῃ ἱππασίᾳ ἐκ τῶν στροφῶν εἰς
τὸ θᾶττον ὁρμᾶσθαι. ἢν δέ τις τοῦτο μὲν μεμαθηκότος αὐ-
τοῦ ἅμα αὖ τι λαμβάνηταί τε τῷ χαλινῷ, καὶ σημαίνῃ τῶν
ὁρμητηρίων τι τούτῳ, ὑπὸ μὲν τοῦ χαλινοῦ πιεσθεὶς,
ὑπὸ δὲ τοῦ ὁρμᾶν σημανθεῖσαι ἐγείρεται, καὶ προβάλλει
τε μὲν τὰ στέρνα, αἴρει δὲ ἀνωτέρω τὰ σκέλη ὀργιζόμε-
νος. οὐ μέντοι ὑγρά, οὐ γὰρ μᾶλλον ὅταν λυπῶνται ὑγροῖς
τοῖς σκέλεσιν ἵπποι χρῶνται. ἢν δέ τις οὕτως ἀνεζωπυ-
ρημένῳ αὐτῷ δῷ χαλινὸν, ἐνταῦθ᾽ ὑφ᾽ ἡδονῆς τῷ διὰ
τὴν χαλαρότητα τοῦ στομίου λελύσθαι νομίζειν, κυδρῷ μὲν
τῷ σχήματι, ὑγροῖν δὲ τοῖν σκελοῖν γαυρούμενος, φέ-
ρεται παντάπασιν ἐκμιμούμενος τὸν πρὸς ἵππους
καλλωπισμὸν, καὶ οἱ θεώμενοι τὸν ἵππον τοιοῦτον, ἀποκα-
λοῦσιν ἐλευθέριόν τε καὶ ἐθελουργὸν, καὶ ἱππαστὴν, καὶ
θυμοειδῆ, καὶ σοβαρὸν, καὶ ἅμα ἡδύν τε καὶ ἅμα γοργὸν ἰ-
δεῖν. καὶ ταῦτα μὲν δὴ ἤν τούτων τις ἐπιθυμήσῃ, μέχρι τού-
των ἡμῖν γεγράφθω. ἢν δέ τις ἄρα βουληθῇ καὶ πομπικῷ
καὶ μετεώρῳ καὶ λαμπρῷ ἵππῳ χρήσασθαι, οὐ μάλα μὲν τὰ
τοιαῦτα ἐκ παντὸς ἵππου γίγνεται, ἀλλὰ δεῖ ὑπάρ-
ξαι αὐτῷ καὶ τὴν ψυχὴν μεγαλόφρονα, καὶ τὸ σῶμα εὔρω-
στον. οὐ μέντοι ὅ γε οἴονταί τινες τὸν τὰ σκέλη ὑγρὰ ἔχον-
τα καὶ τὸ σῶμα αἴρειν δυνήσεσθαι, οὐχ οὕτως ἔχει. ἀλλὰ μᾶλ-
λον ὃς ἂν τὴν ὀσφὺν ὑγράν τε καὶ βραχεῖαν καὶ ἰσχυ-
ρὸν ἔχῃ, καὶ οὐ τὴν κατ᾽ οὐρὰν λέγομεν, ἀλλ᾽ ἣ πέφυκε
μεταξὺ τῶν τε πλευρῶν καὶ τῶν ἰσχίων παρὰ τὸν κενεῶνα,
οὗτος δυνήσεται πόρρω ὑποτιθέναι τὰ ὄπισθεν σκέ-
λη ὑπὸ τὰ ἔμπροσθεν. ἢν οὖν τις ὑποτιθέντος αὐτοῦ ἀ-
νακρούῃ τῷ χαλινῷ, ὀκλάζειν μὲν τὰ ὄπισθεν ἐν τοῖς ἀ-
στραγάλοις, αἴρειν δὲ τὸ πρόσθεν σῶμα, ὥστε τοῖς ἐξεναν-
τίας φαίνεσθαι τὴν γαστέρα καὶ τὰ αἰδοῖα. δεῖ δὲ καὶ ὅ-
ταν ταῦτα ποιῇ, διδόναι αὐτῷ τὸν χαλινὸν, ὅπως τὰ κάλ-
λιστα ἵππου ἑκών τε ποιῇ καὶ δοκῇ τοῖς ὁρῶσιν. εἰσὶ μέν-
τοι οἳ καὶ ταῦτα διδάσκουσιν. οἱ μὲν ῥάβδῳ ὑπὸ τοὺς
ἀστραγάλους κρούοντες. οἱ δὲ καὶ βακτηρίᾳ παρατρέχοντά
τινα κελεύοντες ὑπὸ τὰς μηριαίας παίειν. ἡμεῖς γε μέν-
τοι τὸ κράτιστον τῶν διδασκαλιῶν νομίζομεν, ὥσπερ ἀεὶ
λέγομεν, ἢν ἐν παντὶ παρέπηται τὸ ἐπὰν ποιήσῃ τῷ ἀνα-
βάτῃ κατὰ γνώμην τυγχάνειν ῥᾳστώνης παρ᾽ αὐτοῦ. ἃ μὲν γὰρ
ὁ ἵππος ἀναγκαζόμενος ποιεῖ, ὥσπερ καὶ Σίμων λέγει,
οὔτ᾽ ἐπίσταται, οὔτε καλά ἐστιν οὐδὲν μᾶλλον, ἢ εἴ τις ὀρχη-
στὴν μαστιγῶν καὶ κεντρίζων. πολὺ γὰρ ἂν πλείω ἀσχημονοίη,
ἢ καλὰ ποιοίη ὁ τοιαῦτα πάσχων, καὶ ἵππος καὶ ἄνθρω-
πος. ἀλλὰ δεῖ ἀπὸ σημείων ἔχοντα πάντα τὰ κάλλιστα

ubi equus ceruicem attollet, statim freno indulgendū,
itemq; alia oportebit: id quod monere non cessamus,
dum scite obsecundarit, uicissim illi gratificari. Cumq;
animaduersum fuerit delectari equum elatione ceruī-
cis, & habenarum laxitate, tum cauebitur, ne quid il-
lo tempore huic molestiæ obijciatur, quasi ad laborem
equum adigere uelimus, sed blandimentis tum equum
demerebimur, ut speret requietem: ita enim magis prō-
pto animo ad celeritatem agitationis deueniet. Iam ue-
ro celeritate etiam gaudere equos, satis argumenti est,
quod liberatus pedetentim nullus abit, sed aufugit:
hæc enim certè est uoluptas equorum, nisi fortè ad cur-
suram importunius fuerint incitati. VNDE QVI-
DEM OPPORTVNITAS ABEST, ID IV-
CVNDVM ESSE NEQVIT tam homini quàm
equo. Sed cum inter agitādum equus exultabit, scilicet
edoctus iam priore agitatione fuit de flexibus ad cele-
ritatem incitari: quod cum facere sciuerit, si quis tum il-
lum adductis habenis retineat, & signum aliquod
det concussionum, coërcitus hic frenis, imperio conci-
tationis commouetur, & pectus effert, & iratus pro-
tollit crura altius, nō mollia tamen hæc, quippe in of-
fensis iam non magis mollibus cruribus utuntur equi.
Sic igitur exardescente equo, si frenis indulgeas, ibi
præ gaudio, quòd in laxitate se freno liberatum putet,
exultabundo habitu, mollibusq; cruribus elatè sese in-
feret, planè repræsentans pulchritudinem qua compo-
nere se equi solent festinantes ad alios equos. Quiq;
hoc cernunt, talem equum appellant liberalem, & uo-
luntarium, & equitatorem, & ferocem, et superbum,
simulq; & iucundum & terribilem aspectu. Atque
hæc quidem, ijs qui talia fortè ambierint, hactenus
nos perscripsisse satis esto. De equis autem ad pompam
idoneis, quiq; sese erigere, & præclari uideri soleant,
si quis tales requirit, is sciat non cuiusuis equi hæc es-
se opera, sed eorum qui sint animis uigentibus, & ua-
lidis corporibus præditi. Quod autem nonnulli arbi-
trantur, cum mollitudine crurum coniunctam esse e-
rigendi facultatem, id uerum non est: sed lumbi, (lum-
bos nunc appello non quà caudam uersus, sed quà in-
fra latera & coxas ad ilia tendunt) quibus sunt mol-
les & succincti atque robusti, poterunt spaciose prio-
ribus cruribus subijcere posteriora. Hoc cum accide-
rit, tum si quis freno concutiat os equi, fit ut posterio-
res in talos ille reflectatur atq; subsidat, erigat autem
superiores corporis partes, sic aspicientibus contrà al-
uus & inguen ut appareat. Ibi igitur frenis indulgen-
dum, uti equus, quod pulcherrimum est in hoc gene-
re, faciat libens, itaq; hoc spectatoribus facere uidea-
tur. Ad hæc etiam aliqui erudiunt equos, quorum hi
uirga tales pulsant, illi baculo iubent accurrere, qui
coxas uerberet. Nobis uero hæc uidetur institutio o-
ptima, si, id quod semper dicimus, non omittatur un-
quam, equo ut quies contingat, postquam uoluntati
agitatoris obtemperauerit. Quicquid enim necessitate
equus, quemadmodū & Simō ait, neq; scit facere, neq;
decet, nō magis profectò, q̄ si histrio ad actionē flagris
atq; stimulis incitetur. Nam multo plura turpiter quā
laudabiliter designauerit inter hæc tam equus quā ho-
mo: proinde cōpositum undiq; equum ad uenustatem

& splendorem maximum, signis quibusdam ad ostentationes excitabimus. Quod si post equitationem, & copiosum sudorem, necnon cum se scitè erexerit, statim sessore ac frenis releuetur equus, nō dubitandum quin sua uoluntate postea ad erectiones peruenturus sit. Super huiusmodi iam quidem agitationi idoneis equis residentes, & dij pinguntur, & heroës: hominesq; in usu horum decente, magnifici uidētur. Usqueadeo uero equus qui sese erigit, uel pulchra uel admirabilis, uel etiam expetenda res est, ut omniū oculos spectantium in se conuersos teneat, tam iuuenum q̃ seniorū. Nemo quippe est qui uel discedat, uel defatigetur omni illo spectaculo praeclarae ostentationis. Verumenimuero si forte contingat, ut talis equi domino, aut turma, aut agmen ducendum sit, non par fuerit hoc eum studere, solus ut ipse clarus, sed potius ut uniuersi sequentes conspicui sint. Si igitur praecesserit eo habitu, qui talium equorum in primis praedicatur, aliquis erigens in soliditate corpus altissime, & ipse scilicet progredietur lentius, & pedetentim alij equi sequentur, id quod aspectu praeclarum esse nequit. Sin ductor equum excitatū agitarit, neq; celerrime, neq; segnissime, atq; ita ut sequentes equi reddantur ex hoc animosi ac truces maxime, & in labore minime turpi forma appareant, tum uero & fremitus, & spiritus equorū consequetur, atq; non ipse modò, sed uniuersus comitatus cōspicuus erit. Quicunq; sane feliciter equum, sicq; illum eduxerit sufferre laborem ut ualeat, siq; utatur hoc recte cùm in bellicis exercitationibus, tum in ostentāda equitatione, tum uero & in praelijs certaminum, quid obsecro huic obstiterit, quo minus reddat preciosiorem equum quàm ad se peruenit, & quin probatos equos possideat, ac ipse equitationis gloriam obtineat, nisi diuina uis prohibuerit? Libet etiam perscribere quibus armis instructum esse oporteat eum, qui in equo periculum adire uoluerit. Primum igitur moneo, ut talis induatur thorax siue lorica, quae corpori accommodata sit: atq; thoracem cōuenientem quidem hunc corpus gestat, illum uero nimis laxum humeri soli sustinent. Iam angustior, uinculum est, non armatura. Quia uero ceruix uitalium partium & ipsa est, ideo censemus de ipso thorace educendum ad hanc comparatum tegmen: hoc enim & equitem exornare, & si debito modo fabricatum sit, illius totam faciem, si uidebitur, usq; ad nasum includere poterit. Galeā maxime laudamus Boeotij operis, huiusmodi enim & quicquid extra thoracem de corpore eminet, rectissimè protexerit, nec impedierit prospectum. Ipse thorax ita esto elaboratus, ne uel sessioni uel reclinationi obstet. Ad inguen & uerenda, circúmque haec, pinnae applicentur tot & tales, quae illas partes obtegant. Verum cum sinistra quoq; manu afflicta, inutilis eques reddatur, ideo ad hanc muniendam repertam armaturam probamus, quam uocant Manum: ea enim cùm humerum quoq; obducit, & lacertum ac cubitum, ipsosq; digitos, quibus habenae tenentur, tum extenditur & comprimitur, tum uerò partem sub alis thorace minus defensam ipsa protegit. Dextram necesse est attolli, siue iaculum conijcere, siue plagam inferre eques uoluerit. Ab hac igitur remouebitur quicquid in thorace impedire illam posset,

&

καὶ λαμπρότατα ἐπιδείκνυσθαι. ἢν δὲ καὶ ὅταν μὲν ἱππάζηται, μέχρι πολλοῦ ἱδρῶτος ἐλαύνηται, ὅταν δὲ καλῶς μετεωρίζει ἑαυτὸν, ταχύ τε καταβαίνηται, καὶ ἀποχαλινῶται, εὖ χρὴ εἰδέναι, ὅτι ἑκὼν εἶσιν εἰς τὸ μετεωρίζειν ἑαυτόν. ἐπὶ τῶν τοιούτων ἤδη δὲ ἱππαζομένων ἵππων καὶ θεοὶ καὶ ἥρωες γράφονται, καὶ ἄνδρες οἱ καλῶς χρώμενοι αὐτοῖς, μεγαλοπρεπεῖς φαίνονται. οὕτω δὲ καὶ ἔστιν ὁ μετεωρίζων ἑαυτὸν ἵππος σφόδρα, ἢ καλὸν ἢ θαυμαστὸν ἢ ἀγαθὸν, ὡς πάντων ὁρώντων καὶ νέων καὶ γεραιτέρων τὰ ὄμματα κατέχει. οὐδεὶς γοῦν οὔτε ἀπολείπει αὐτὸν, οὔτε ἀπαγορεύει θεώμενος, ἔστ᾽ ἂν περ ἐπιδεικνύηται τὴν λαμπρότητα. ἤν γε μήν ποτε συμβῇ τινι τῶν τοιοῦτον ἵππον κεκτημένων, ἢ φυλαρχῆσαι ἢ ἱππαρχῆσαι, οὐ δεῖ αὐτὸν τοῦτο σπουδάζειν, ὅπως αὐτὸς μόνος λαμπρὸς ἔσται, ἀλλὰ πολὺ μᾶλλον, ὅπως ὅλον τὸ ἑπόμενον ἀξιοθέατον φανεῖται. ἢν μὲν οὖν ἡγῆται, ὡς μάλιστα ἐπαινοῦσι τοὺς τοιούτους ἵππους, ὃς ἂν ἀνωτάτω αἰρόμενος καὶ πυκνότατα τὸ σῶμα βραχύτατον προβαίνῃ, δηλονότι καὶ βάδην ἕποιντ᾽ ἂν οἱ ἄλλοι ἵπποι αὐτῷ. ἐκ δὲ ταύτης τῆς ὄψεως τί ἂν καὶ λαμπρὸν γένοιτ᾽ ἄν; ἢν δὲ ἐξεγείρας τὸν ἵππον ἡγῆται, μήτε τῷ ἄγαν τάχει, μήτε τῷ ἄγαν βραδεῖ. ὡς δ᾽ εὐθυμότατοι ἵπποι καὶ γοργότατοι, καὶ πονεῖν εὐσχημονέστατοι γίγνονται, ἐὰν ἄγῃ αὐτοῖς, οὕτως ἀθρόος δὲ τὸ φρύαγμα καὶ τὸ φρύσαμα τῶν ἵππων συμπρέποιτο, ὥστε οὐ μόνον αὐτὸς, ἀλλὰ πάντες οἱ συμπρεπόμενοι ἀξιοθέατοι ἂν φαίνοιντο. ἤν γε μέντοι τις καλῶς ἱππωνήσῃ, τρέφῃ δὲ ὡς πόνους δύνασθαι ὑποφέρειν, ὀρθῶς δὲ χρῆται καὶ ἐν τοῖς πρὸς πόλεμον μελετήμασι, καὶ ἐν ταῖς πρὸς ἐπίδειξιν ἱππασίαις, καὶ ἐν τοῖς πολεμικοῖς ἀγωνίσμασι, τί ἔτι ἐμποδὼν τοῦτο μὴ οὐχὶ πλείονός τε ἀξίους ἵππους ποιεῖν, ἢ οὓς ἂν παραλαμβάνῃ, καὶ εὐδοκίμους μὲν ἵππους ἔχειν, εὐδοκιμεῖν δὲ αὐτὸν ἐν τῇ ἱππικῇ, ἢν μή τι δαιμόνιον κωλύῃ. γράφειν δὲ βουλόμεθα καὶ ὡς δεῖ ὡπλίσθαι τὸν μέλλοντα ἐφ᾽ ἵππου κινδυνεύειν. πρῶτον μὲν τοίνυν φαμὲν χρῆναι τὸν θώρακα πρὸς τὸ σῶμα πεποιῆσθαι. τὸν μὲν καλῶς ἁρμόζοντα, ἐκεῖνον φέρειν τὸ σῶμα. τὸν δὲ ἄγαν χαλαρὸν, οἱ ὦμοι μόνοι φέρουσιν. ὅ γε μὴν λίαν στενὸς δεσμὸς, οὐχ ὅπλον ἐστίν. ἐπεὶ δὲ καὶ ὁ αὐχὴν ἐστὶ τῶν καιρίων, φαμὲν χρῆναι καὶ τούτῳ ἐξ αὐτοῦ θώρακος ὅμοιον τῷ αὐχένι στέγασμα πεποιῆσθαι. τοῦτο γὰρ ἅμα κόσμον τε παρέξει, καὶ ἢν οἷον δεῖ εἰργασμένον ᾖ, δέξεται ὅταν βούληται τοῦ ἀναβάτου τὸ πρόσωπον μέχρι τῆς ῥινός. κράνος γε μὴν κράτιστον εἶναι νομίζομεν, τὸ Βοιωτουργές. τοῦτο γὰρ αὖ στεγάζει μάλιστα πάντα τὰ ὑπερέχοντα τοῦ θώρακος. ὁρᾶν δὲ οὐ κωλύει. ὁ δ᾽ αὖ θώραξ οὕτως εἰργάσθω, ὡς μὴ κωλύῃ, μήτε καθίζειν μήτ᾽ ἐπικύπτειν. περὶ δὲ τὸ ἦτρον καὶ τὰ αἰδοῖα καὶ τὰ κύκλῳ, αἱ πτέρυγες τοιαῦται καὶ τοσαῦται ἔστωσαν, ὥστε ἄγειν τὰ μέλη. ἐπεὶ δὲ καὶ ἀριστερὰ χεὶρ ἤν τι πάθῃ καταλύει τὸν ἱππέα, καὶ ταύτῃ ἐπαινοῦμεν τὸ εὑρημένον ὅπλον τὴν χεῖρα καλουμένην. τόν τε γὰρ ὦμον σκεπάζει, καὶ τὸν βραχίονα καὶ τὸν πῆχυν, καὶ τὸ ἐχόμενον τῶν ἡνιῶν, καὶ ἐκτείνεται δὲ καὶ συγκάμπτεται. πρὸς δὲ τούτοις καὶ τὸ διαλεῖπον τοῦ θώρακος ὑπὸ τῇ μασχάλῃ καλύπτει. τήν γε μὴν δεξιὰν ἐπαίρειν δεῖ ἤν τε ἀκοντίσαι ἤν τε πατάξαι βούληται. τοῦ μὲν θώρακος τὸ κωλῦον ταύτῃ ἀφαιρετέον.

αὐτὸ

ἀντὶ δὲ τούτου πτέρυγας ὥσπερ ἐν τοῖς γιγγλύμοις προσθεταί. ὅταν μὲν διαίρηται, ὁμοίως ἀναπτύσσονται· ὅταν δὲ καθαίρηται, συγκλείονται. τῷ γε μὴν βραχίονι, τὸ ὥσπερ κνημὶς παρατιθέμενον, ἀρκεῖν βέλτιον ἡμῖν δοκεῖ εἶναι, ἢ συνδεδεμένον ὅπλῳ. τό γε μὴν ψιλούμενον, αἰρομένης τῆς δεξιᾶς, στεγαστέον ἐγγὺς τοῦ θώρακος, ἢ μοσχείῳ, ἢ χαλκείῳ. εἰ δὲ μή, ἐν τῷ ἐπικαιροτάτῳ ἀφυλακτέον ἔσται. ἐπείπερ ἤν τι πάσχῃ ὁ ἵππος, ἐν παντὶ κινδύνῳ καὶ ὁ ἀναβάτης γίγνεται, ὁπλίζειν δεῖ, καὶ τὸν ἵππον προμετωπιδίῳ, καὶ προστερνιδίῳ, καὶ παραπλευριδίοις. ταῦτα γὰρ ἅμα καὶ τῷ ἀναβάτῃ παραμηρίδια γίγνεται. πάντων δὲ μάλιστα τοῦ ἵππου, τὸν κενεῶνα δεῖ σκεπάζειν. καιριώτατον γὰρ ὂν καὶ ἀφαυρότατόν ἐστιν. δυνατὸν δὲ σὺν τῷ ἐφιππίῳ αὐτὸν σκεπάσαι. χρὴ δὲ καὶ τὸ ἔποχον τοιοῦτον ἐρράφθαι, ὡς ἀσφαλέστερόν τε τὸν ἱππέα καθῆσθαι, καὶ τὴν ἕδραν τοῦ ἵππου μὴ σίνεσθαι. καὶ τὰ μὲν δὴ ἄλλα τοῦ ἵππου, οὕτω καὶ ὁ ἵππος καὶ ὁ ἱππεὺς ὡπλισμένοι ἂν εἶεν. κνῆμαι δὲ καὶ πόδες, ὑπερέχοιεν μὲν ἂν εἰκότως τῶν παραμηριδίων. ὁπλισθείη δὲ καὶ ταῦτα, εἰ ἐμβάται γένοιντο σκύτους, ἐξ οἵουπερ αἱ κρηπῖδες ποιοῦνται. οὕτω γὰρ ἂν ἅμα ὅπλον τε κνήμαις, καὶ ποσὶν ὑποδήματ' ἂν εἴη. ὡς μὲν δὴ μὴ βλάπτεσθαι θεῶν ἱλέων ὄντων, ταῦτα ὅπλα, ὡς δὲ τοὺς ἐναντίους βλάπτειν μάχαιραν μὲν μᾶλλον, ἢ ξίφος ἐπαινοῦμεν. ἐφ' ὑψηλοῦ γὰρ ὄντι τῷ ἱππεῖ, κοπίδος μᾶλλον ἡ πληγή, ἢ ξίφους ἀρκέσει. ἀντί γε μὴν δόρατος καμακίνου, ἐπειδὴ καὶ ἀσθενὲς καὶ δύσφορόν ἐστι, τὰ κρανέϊνα δύο παλτὰ μᾶλλον ἐπαινοῦμεν. καὶ γὰρ ἐξαφεῖναι τὸ ἕτερον δυνατὸν τῷ ἐπισταμένῳ. καὶ τῷ λειπομένῳ οἷόν τε χρῆσθαι, καὶ εἰς τὸ ἀντίον, καὶ εἰς τὰ πλάγια, καὶ εἰς τοὔμπροσθεν. καὶ ἅμα ἰσχυρότερά τε τοῦ δόρατος, καὶ εὐφορώτερά ἐστιν. ἀκόντισμά γε μὴν τὸ μακρότατον ἐπαινοῦμεν. καὶ γὰρ ἀποστρέψαι καὶ μεταβαλεῖν παλτόν, οὕτω μᾶλλον ὁ χρόνος ἐγχωρεῖ. γράψομεν δὲ ἐν βραχεῖ, καὶ ὡς ἄν τις κράτιστα ἀκοντίζοι. ἢν γὰρ προβαλλόμενος μὲν τὰ ἀριστερά, ἐπανάγων δὲ τὰ δεξιά, ἐξανιστάμενος δ' ἐκ τῶν μηρῶν, μικρὸν ἐπανακύπτουσαν τὴν λόγχην ἀφῇ, οὕτω σφοδρότατόν τε καὶ μακρότατον οἴσεται τὸ ἀκόντιον. εὐστοχώτατον μέντοι ἐὰν ἐπὶ τὸν σκοπὸν ἀφιέμενον, ἀεὶ ὁρᾷ ἡ λόγχη. καὶ ταῦτα μὲν δὴ ἰδιώτῃ καὶ ὑπομνήματα, καὶ μαθήματα, καὶ μελετήματα γεγράφθω ἡμῖν. ἃ δὲ ἱππάρχῳ προσήκειν εἰδέναι τε καὶ πράσσειν, ἐν ἑτέρῳ λόγῳ δεδήλωται.

& huius loco in nex[illegible] applicatiles erunt pinnae, quae intensa cum manu quasi excurrant, reductaq; cum illa rursum iungantur. Lacerto veluti ocrea quaedam ut apponatur satius fuerit, quàm de armatura ut religetur. Quam partē sublata dextra nudat, eam iuxta thoracem munire studebimus, aut loreo aut aereo integumēto, aliter maximè uitalem partem, ne lexerimus. Caeterū laeso equo cum in discrimine s[illegible]mo uersetur eques, exarmabitur & equus frontali, & pectorali, & lateralibus, quae iam equiti femoralia futura sint. In primis uero ilia equi communientur, horum enim & letalia maxime uulnera, & ipsa tenerrima sunt. Poterunt autē cum ephippio muniri, quod ea parte sui, qua equo insternitur, ita consutum esse debebit, ut & firmius eques resideat, nec ipsum equi ueluti sedile uitietur. Aliorum quidem membrorum tam equi quàm equitis haec armatura fuerit. At tibiae ac pedes propendebunt scilicet infra femoralia, communiri autem & ipsi ambo poterunt, si calcei fuerint facti de corio, quod soleis aptum habetur: ita enim simul armatae tibiae, simul calceati pedes erunt. Atq; haec arma equestria sunt, quibus à corpore, dijs propitijs, propulsari uis omnis posse uideatur. Sed ad hanc hostibus inferendam, nostra sentētia melior erit machaera quàm ensis, quod de sublimi uiolentior sit plaga κοπίδος, quod genus est gladij ad ictus caesim inferendos idonei, quàm ensis. Camacinae hastae, hoc est, hastatae perticae loco, quae & fragiles & graues, probatur nobis si gestentur corneae, quae uibratiles magis sunt: nam alteram harum conijcere simul peritus poterit, utiq; reliqua tam sursum quā latera uersus, atq; etiam prorsus: simul hae sunt hastarū robustiores atq; expeditiores. Iaculum autē eijci longissimo spacio optimum putamus, ita enim cum auertere, tum mutare telum tempus magis permittet. Breuiter quidem & hoc perscribemus, quae iaculandi ratio praestantissima uideatur. Si enim protensis sinistris partib[illegible]et reductis dextris de femore insurgens, paulisper prominen[illegible]ques, hoc pacto longissimo spacio iaculum feretur, ictu cum uehementissimo atq; etiam certissimo, si cuspis semper id spectet, quo contenditur: id est quasi signum, graecis σκοπὸς est. Atq; haec tradita à nobis praecepta, & ista doctrina praescripta, demonstrataq; usus esto equitū priuato. Quae autem tenere atq; exequi ductorem conueniat, alio libro expositum est.

NOBILI

XENOPHONTIS HIPPARCHICUS, SEU DE MAGISTRI EQUITUM OFFICIO.

PRIMUM precandum est à dijs, faciendis sacrificijs, ut illud tibi largiantur, ea ut sentias, loquaris et agas, quæ gratißima ipsis sint: tibi autem, amicis ac reipub. minime molesta, summeq; gloriosa ac utilia 10 aggrediaris. Placatis uero dijs curandū tibi est, ut equites producas et recenseas, tū ut numerus legitimus expleatur, tum ne quid de equitatus superioris numero detrahatur. Quod si non producti fuerint equites, semper pauciores erunt, quod alios senio defatigari, alios etiā dejicere necesse sit. Ac expleto quidem equitatu diligentia adhibenda est, ut equi qui labores perferre poßint alantur: qui enim laborib. succumbunt, hi neq; contra hostes ire, neq; refugere omnino poßunt. Danda est etiam opera ut cōmodos et faciles ha 20 beas equos, quod cōtumaces hostibus magis q̃ nostris sunt auxilio. Calcitrosi item qui sunt cùm cōscensi fuerint, ab usu belli remouēdi, cùm præsertim tales sæpe nobis plus calamitatis, q̃ ipsi hostes inferant. Curandi uero pedes sunt, ut per loca etiam aspera ingredi poßint, cùm illud notum sit, equos incitatos inutiles

ΞΕΝΟΦΩΝΤΟΣ ΙΠΠΑΡΧΙΚΟΣ.

ΠΡΩΤΟΝ μὲν θύοντα χρὴ αἰτεῖσθαι θεοὺς ταῦτα διδόναι, καὶ νοεῖν καὶ λέγειν καὶ πράττειν, ἀφ' ὧν θεοῖς μὲν κεχαρισμενώτατα ἄρξειας ἄν, σαυτῷ δὲ καὶ φίλοις καὶ τῇ πό- 10 λει προσφιλέστατα καὶ εὐκλεέστατα, καὶ πολυωφελέστατα. θεῶν δὲ ἵλεων ὄντων ἀναβιβαστέον μέν σοι ἱππέας, καὶ ὅπως ἀναπληρῶται ὁ κατὰ τὸν νόμον ἀριθμὸς, καὶ ὅπως τὸ ὂν ἱππικὸν μὴ μειῶται. εἰ δὲ μὴ προσαναβήσονται ἱππεῖς, μείονες ἀεὶ ἔσονται. ἀνάγκη γὰρ τοὺς μὲν γήρα ἀπαγορεύειν, τοὺς δὲ καὶ ἄλλους ἐκλείπειν. πληρουμένου γε μὴν τοῦ ἱππικοῦ, ἐπιμελητέον μὲν ὅπως τρέφονται οἱ ἵπποι, ὡς ἂν δύνωνται πόνους ὑποφέρειν. οἱ γὰρ ἥττους τῶν πόνων, οὔτε αἱρεῖν, οὔτε ἀποφεύγειν δύναιντο ἄν. ἐπιμελητέον δὲ ὅπως εὐήνιοι ὦσιν. οἱ γὰρ αὖ ἀ- 20 πειθεῖς τοῖς πολεμίοις μᾶλλον, ἢ τοῖς φίλοις συμμαχοῦσι. καὶ οἱ λακτίζοντες δὲ ἀναβεβαμμένοι ἵπποι ἐκποδὼν ποιητέοι. οἱ γὰρ τοιοῦτοι πολλάκις πλείω κακὰ, ἢ οἱ πολέμιοι ποιοῦσιν. δεῖ δὲ καὶ τῶν ποδῶν ἐπιμελεῖσθαι, ὅπως δύνωνται καὶ ἐν τραχείᾳ χώρᾳ ἱππεύειν, εἰδότα ὅτι ὅπου ἂν ἀλγῶσιν ἐλαυνόμενοι, ἐνταῦθα οὐ χρήσιμοί

σιμοὶ ὦσιν. τῶν γε μὴν ἵππων ὑπαρχόντων οἵων δεῖ, τοὺς ἱππέας αὖ ἀσκητέον. πρῶτον μὲν ὅπως ἐπὶ τοὺς ἵππους ἀναπηδᾶν δύνωνται. πολλοῖς γὰρ ἡ σωτηρία παρὰ τοῦτ' ἐγένετο· δεύτερον δέ, ὅπως ἐν παντοίοις χωρίοις ἱππάζεσθαι δυνήσονται. καὶ γὰρ οἱ πολέμιοι ἄλλοτε ἐν ἄλλοις τόποις γίγνονται. ὅταν δὲ ἤδη ἔποχοι ὦσιν, δεῖ αὖ σκοπεῖσθαι, ὅπως ἀκοντιοῦσί τε ὡς πλεῖστοι ἀπὸ τῶν ἵππων, καὶ τἆλλα δυνήσονται ποιεῖν ἃ δεῖ τοὺς ἱππικούς. μετὰ τοῦτο ὁπλιστέον καὶ ἵππους καὶ ἱππέας, ὡς αὐτοὶ μὲν ἥκιστα τιτρώσκοιντ' ἄν, βλάπτειν δὲ τοὺς πολεμίους μάλιστα δύναιντ' ἄν. ἐκ τούτου παρασκευαστέον, ὅπως εὐπειθεῖς οἱ ἄνδρες ὦσιν. ἄνευ γὰρ τούτου οὔθ' ἵππων ἀγαθῶν, οὔτε ἱππέων ἐπόχων, οὔτε ὅπλων καλῶν ὄφελος οὐδέν. προστατεῖν μὲν οὖν τούτων πάντων, ὅπως καλῶς γίγνηται, τὸν ἵππαρχον εἰκός. ἐπεὶ δὲ καὶ ἡ πόλις, χαλεπὸν ἡγουμένη, ταῦτα πάντα, τὸν ἵππαρχον μόνον ὄντα ἀπεργάζεσθαι, προαιρεῖται μὲν αὐτῷ συνεργοὺς φυλάρχους, προστάττει δὲ τῇ βουλῇ συνεπιμελεῖσθαι τοῦ ἱππικοῦ, ἀγαθόν μοι δοκεῖ εἶναι τοὺς μὲν φυλάρχους παρασκευάζειν, συνεπιθυμεῖν σοι τῶν καλῶν τῷ ἱππικῷ. ἐν δὲ τῇ βουλῇ ἔχειν ῥήτορας ἐπιτηδείους, ὅπως λέγοντες, φοβῶσί τε τοὺς ἱππέας, βελτίους γὰρ ἂν εἶεν φοβούμενοι, καταπραΰνουσί τε τὴν βουλήν, ἤν τι παρὰ καιρὸν χαλεπαίνῃ. ταῦτα μὲν οὖν ὑπομνήματα ὧν δεῖ σε ἐπιμελεῖσθαι. ὡς δ' ἂν ἕκαστα τούτων βέλτιστα περαίνοιτο, τοῦτο δὴ πειράσομαι λέγειν. τοὺς μὲν τοίνυν ἱππέας δῆλον ὅτι καθιστάναι δεῖ κατὰ τὸν νόμον, τοὺς δυνατωτάτους καὶ χρήμασι καὶ σώμασιν, ἢ εἰσάγοντα εἰς δικαστήριον, ἢ πείθοντα. ἐγὼ δὲ οἶμαι εἰς μὲν τὸ δικαστήριον τούτους εἰσακτέον εἶναι, οὓς μὴ εἰσάγων διὰ κέρδος ἄν τις δοκοίη τοῦτο ποιεῖν. καὶ γὰρ τοῖς ἧττον δυναμένοις εὐθὺς ἂν εἴη ἀποστροφή, εἰ τοὺς δυνατωτάτους πρώτους ἀναγκάζοις. ἔστι δὲ καὶ ὡς ἄν μοι δοκεῖ τις νέους μὲν τὰ ἐν ἱππικῇ λαμπρὰ λέγων εἰς ἐπιθυμίαν καθιστάναι τοῦ ἱππεύειν, τοὺς δὲ κυρίους αὐτῶν ἧττον ἀντιτείνοντας ἔχειν, τὸ διδάσκων ὡς ἂν ἀναγκασθήσονται μὲν ἱπποτροφεῖν, ἢν μὴ ὑπὸ σοῦ, ὑπ' ἄλλου διὰ τὰ χρήματα. ἢν δὲ ἐπὶ σοῦ καταστῶσιν, ὡς ἀποστρέψεις μὲν τοὺς παῖδας αὐτῶν τῶν πολυτελῶν γε καὶ μανικῶν ἱππωνιῶν. ἐπιμελήσει δὲ ὡς ἂν ταχὺ ἱππικοὶ γίγνοιντο. λέγοντα δὲ [illegible] καὶ ποιεῖν ταῦτα πειρατέον. τούς γε μὴν ὄντας ἱππέας, ἡ βουλὴ ἄν μοι δοκεῖ προειποῦσα, ὡς τὸ λοιπὸν δεήσει διπλάσια ἱππάζεσθαι, ὡς τὸν μὴ δυνάμενον ἵππον ἀκολουθεῖν ἀποδοκιμάσει, ἐπιτεῖναι ἄν, τρέφειν τε ἄμεινον καὶ ἐπιμελεῖσθαι μᾶλλον τῶν ἵππων. καὶ τοὺς βιαίους δ' ἵππους ἀγαθόν μοι δοκεῖ εἶναι προρρηθῆναι, ὅτι ἀποδοκιμασθήσονται. αὕτη γὰρ ἡ ἀπειλὴ πωλεῖν ἂν τοὺς τοιούτους μᾶλλον παρορμήσειε, καὶ ἱππωνεῖν σωφρονέστερον. ἀγαθὸν δὲ καὶ τοὺς ἐν ταῖς ἱππασίαις λακτίζοντας ἵππους προρρηθῆναι, ὅτι ἀποδοκιμασθήσονται. οὐδὲ γὰρ συντάττειν τοὺς τοιούτους δυνατόν. ἀλλ' ἀνάγκη, ἄν ποι ἐπὶ πολεμίους δέῃ ἐλαύνειν, ὑστάτους αὐτοὺς ἕπεσθαι. ὥστε διὰ τὴν τοῦ ἵππου κακουργίαν, ἄχρηστος καὶ ὁ ἱππεὺς καθίσταται. ὡς δ' ἂν καὶ οἱ πόδες εἶεν τῶν ἵππων κράτιστοι, εἰ μέν τις ἔχει ῥάω καὶ εὐτελεστέραν ἄσκησιν, ἐκείνη ἔστω. εἰ δὲ μή, ἐγώ φημι χρῆναι πεῖραν ἔχων χύδην καταβαλόντα

tales esse ubicunq; cum dolore ingredi coguntur. Equis igitur sicuti decet constitutis, rursus equites exercendi sunt, ac primum ut in equos insilire poßint: multi enim iam hac ratione salutem consecuti esse dicuntur. Deinde illud curandum, ut in omni genere locorum uehere equitem poßint: etenim hostes alias in alijs consistunt locis. Cumq; iam satis exercitati fuerint, rursus uidendum est ut ex equis scientißime iaculari poßint, & alia exequi, quæ peritos equites scire decet. Post armandi sunt tum equites tum equi, ut quàmminimũ ipsi uulnerentur, hostes autem quammaximis afficiantur incõmodis. Postea præparandũ efficiendumq; est, ut milites dicto sint audientes, cùm præsertim sine his neq; equi boni, neq; equites exercitati, neq; arma cõcinna, quicquã prodesse poßint. Atq; his quidem uniuersis magister equitũ præesse debere uidetur, ut pulchre cuncta cõponantur. Quoniã autem nostra ciuitas difficile esse iudicauit, ut hæc uniuersa unus cùm esset Magister equitum exequeretur, delectos ei tribunos adiutores addendos putauit: senatui autem mandauit, ut unà cum illis equitatus curam susciperet. Illud mihi uidetur utile esse, ut Tribunos sic tractes & prepares, ut tecum, quæ sint equitatui honesta & decentia, conquirant. In Senatu autem commodos habeas oratores, qui equites oratione perterrefaciant: quia territi meliores euadent, et Senatum, si quid importune succenseat, mitigent. Atq; hæc quidem eorum quæ tibi curanda sunt, commentaria sunto. Quemadmodum autem singula quamoptime perficiantur, id iam dicere aggrediar. Equites igitur ex lege conficiendi sunt, qui re & corporis uiribus plurimum possunt: quos uel in iudicium uocabis, uel oratione persuadendo [illegible] nebis. Equidem illos in iudicium adducendos arbitror, quos si non adduxeris, quæstus causa id fecisse uideri poßis: minus enim potentes statim se uerterint persuasi, si prius potentißimos coëgeris. Iam uero quoscunque iuuenes ad cupiditatem equitandi dicendo & equitatus splendorem commemorando allici posse iudicabis, eosq; in quorum sunt potestate minus resistentes futuros esse, hac apud illos uteris oratione, fore ut cogantur equos alere, si nõ sub te, at sub alio, propter eas quæ ipsis suppetunt facultates. Quod si sub te cõscenderint, dices te abducturum pueros illorum à magni precij & insanis equorum emptionibus, curaturumq; ut quàmprimum periti euadant equites. Atq; is qui hæc dicat, ea etiam præstare & efficere conetur. Senatus si prædicat qui iam habeant equos, in posterum duplo magis coactum iri equitare, equũq; qui sequi nõ poßit, repudiatum iri: illud effecturus esse uidetur, ut equi augeãtur, melius alãtur, & in posterũ diligentius curentur. Illud quoq; utile est, ut uoce præconis significetur, equos ferociores repudiatum iri: hæ enim minæ et ad tales uendendũ magis incitabunt, & ad emendũ moderatius. Utile est etiã, ut qui in decursione equestri calcitrant, repudiatum iri prædicetur, cùm præsertim qui tales sunt, nunquã in acie instrui et consistere poßint: sed si quo in hostes irruptio facienda est, postremos omnium sequi necesse est: itaq; propter equi uitium inutilis quoq; reddetur eques. Quemadmodum autem fiant pedes equorum robustißimi, si quis habet faciliorẽ et promptiorem exercitationem, eam sequatur: sin minus, illud usu doctus faciendum suadeo, ut cõiectis

ctis confuse ex uis lapidibus plus minus unius libræ, hic collocetur equus interim dum fricatur à præsepi solutus. ingredi enim per lapides illos equus non desistet, neque cùm detergetur, neque cum calcaribus additis incitabitur. Qui autem periculum fecerit, iis quæ à me dicuntur fidem habebit, equique pedes rotundos effectos animaduertent. Cum autē equi tales fuerint, quales maxime requirimus, iam quemadmodum præstantissimi fiant equites, nobis est explicandum. Ac iuuenes quidem, ut in equos assilire discant, persuadendi sunt. si magistrum qui eos instituat adhibueris, iure optimo laudem consequère non uulgarem. Maiores autem natu si Persarum more assuefeceris, ut alij alios uicissim in equos imponant, hos quoque multum iuueris. Vt autem in omni locorum genere periti & idonei sint equites, crebro educere, nullo imminente bello, fortasse molestum sit: sed reprehensa equitū negligentia, ut se exerceant, & in agrum aliquo excurrant, celeri utentes incitatione per omne locorum genus, consulere debebis: hoc enim æque utile est ac si educas, non tamen æquè molestum. Nec uero intempestiuum est ut equites admoneantur, ciuitatem nostram equitatus nomine sumptus magnos, talentorum circiter quadraginta, in annos singulos tolerare, ne tum demum equitatum requirat, cum bellum ingruerit, sed in procinctu habeat, & parato utatur: hæc enim si secum reputabunt, illud accidet, ut magis ac magis in re & disciplina equestri se se exerceant, ut si bellum excitatū fuerit, pro patria, pro gloria, & denique pro salute uti liceat non inexercitatis. Etiam illud utile est, ut equitibus præsignifices, te tandem & per omne locorum genus ducturum: ac in exercitationibus decursionum militarium in alium atque alium locum educere non inutile est, & ipsis equis longe utilissimum, iaculari ex equis. Sic rursus quàmplurimi uidētur mihi militaturi esse, si tribunis præsignificabis futurum esse necesse, ut suæ tribus iaculatores ad iaculationem educant: pro se enim quisque quamplurimos reipub. iaculatores exhibere contendet. Quinetiam ut honeste armati sint equites, tribuni ipsi uidentur plurimum adiumenti afferre posse. Itaque in eam opinionem adducendi sunt, ut in conspectu totius ciuitatis tribus splendore ornari multo gloriosius esse ducant, quàm si solùm suo ipsorum uestitu cōspicerentur induti. Credibile autem est non difficulter credituros hæc ita habere eos quidem, qui gloriæ & honoris cupiditate impulsi concupierint Tribunatum. Possunt etiam ex legis præscriptione se armare, ita ut nullum de suo stipendio sumptum facientes, cogant etiam alios ex eodem legis præscripto armari. Porro autem ut dicto sint audientes equites utile est quæ in recte parendo commoda insint, oratione explicare. Re ipsa etiam, ut lex præscribit, declarandum est, ut qui se composite & obedienter gerunt, augeantur, & meliore sint conditione: qui autem non paruerint, deiiciantur, deterioreque sint conditione in rebus omnibus. Vehementissima illa mihi uidetur esse Tribunorum ad honoris cupiditatem incitatio, ut ex iis qui bene sunt instituti & præparati, dux suæ quisque tribui præficiatur: ac præcursores qui tibi adsitant, armis decorabis quamornatissimis: utque quamdiligentissime iaculando se exerceant coges, eosque optime exercitatos ad iaculationem ipse educes. Quod si quis præmia proponere

λόντα λίθους τῶν ἐκ τῆς ὁδοῦ, ὅσον μναιαίους καὶ πλεῖον καὶ μεῖον, ἐν τούτοις τὸν ἵππον καὶ ψήχειν ἐνιστάναι ὅταν ἀπὸ τῆς φάτνης ἀπαχθῇ. βαδίζων γὰρ ἐν τοῖς λίθοις οὔποτε ἵππος παύσεται, οὔθ' ὅταν ψήχηται, οὔθ' ὅταν μυωπίζηται. ὁ δὲ πειραθεὶς ταῦτα ἄλλα ἃ λέγω πιστεύσει, καὶ στρογγύλους τοὺς πόδας τοῦ ἵππου ὄψεται. ὁπότε γε μὴν οἱ ἵπποι εἰσὶν οἵους δεῖ, ὡς ἂν αὐτοὶ οἱ ἱππεῖς ἄριστοι γίγνοιντο, τοῦτο διηγήσομαι. τοὺς μὲν τοίνυν τοὺς νέους αὐτῶν ἀναπηδᾶν ἐπὶ τοὺς ἵππους, πείθοιμεν ἂν αὐτοὺς μανθάνειν. τὸν δ' ἰδάξαντα δὲ παρασχὼν, ἐπαίνου δικαίως ἂν τυγχάνοις. τούς γε μὴν πρεσβυτέρους τὸν περσικὸν τρόπον ἀναβάλλεσθαι ὑπ' ἀλλήλων προσεθίσας, καὶ τούτους ὠφελήσαις ἄν, ὅπως γε μὴν ἐν παντοδαποῖς χωρίοις ἔποχοι οἱ ἱππεῖς δυνήσωνται εἶναι. τὸ μὲν πυκνὰ ἐξάγειν μὴ πολέμου ὄντος ἴσως ὀχληρόν· ἐγκαλέσαντα δὲ χρὴ τοὺς ἱππέας συμβουλεῦσαι αὐτοῖς μελετᾶν, καὶ ὅταν εἰς χώραν ἐλαύνωσι, καὶ ὅταν ἄλλοσέ ποι, ἐκβιβάζοντας τῶν ὁδῶν καὶ ταχὺ ἐλαύνοντας ἐν τόποις παντοδαποῖς. τοῦτο γὰρ ὠφελεῖ μὲν παραπλησίως τῷ ἐξάγειν, ὄχλον δ' οὐχ ὅμοιον παρέχει. ὑπὲρ τὸ δέον δὲ ὑπομιμνήσκειν, ὅτι καὶ ἡ πόλις ἀνέχεται δαπανῶσα εἰς τὸ ἱππικὸν ἐγγύς τι τετταράκοντα τάλαντα τοῦ ἐνιαυτοῦ, ὡς ἢν πόλεμος γίγνηται, μὴ ζητεῖν δεῖ ἱππικόν, ἀλλ' ἐξ ἑτοίμου ἔχῃ παρασκευασμένῳ χρῆσθαι. ταῦτα γὰρ ἐνθυμουμένους, εἰκὸς καὶ τοὺς ἱππέας μᾶλλον ἀσκεῖν τὴν ἱππικήν, ὅπως ἢν πόλεμος ἐγείρηται, μὴ ἀμελετήτους ὄντας, ἀγωνίζεσθαι δέῃ περί τε τῆς πόλεως, καὶ περὶ εὐκλείας, καὶ περὶ τῆς ψυχῆς. ἀγαθὸν μὲν καὶ τοῦτο προειπεῖν τοῖς ἱππεῦσιν, ὅτι ἐξάξεις ποτὲ καὶ σὺ αὐτοὺς καὶ διὰ παντοίων χωρίων ἡγήσῃ. καὶ ἐν ταῖς μελέταις δὲ ταῖς πρὸς τὰς ἀνθιππασίας καλὸν ἐξάγειν ἄλλοτε εἰς ἀλλοῖον τόπον. καὶ γὰρ τοῖς ἵπποις βέλτιον. ἀκοντίζειν γε μὴν ἀπὸ τῶν ἵππων, ὧδ' ἂν πλεῖστοι μοι δοκοῦσιν μελετᾶν. εἰς τοῦτ' αὖ προείποις τοῖς φυλάρχοις, ὅτι αὐτοὺς δεήσει ἡγουμένους τοὺς τῆς φυλῆς ἀκοντιστὰς ἐλαύνειν ἐπὶ τὸ ἀκόντιον. φιλοτιμοῖντο γὰρ ἂν εἰκὸς ὡς πλείστους ἕκαστος ἀποδεῖξαι ἀκοντιστὰς τῇ πόλει. ἀλλὰ μὴν τοῦ καλῶς γε ὁπλίσθαι τοὺς ἱππέας οἱ φύλαρχοι αὖ μοι δοκοῦσιν μέγιστον συλλαμβάνειν, πεισθέντες, ὅτι πολὺ εὐδοξότερον πρὸς τῆς πόλεως, τῇ τῆς φυλῆς λαμπρότητι κεκοσμῆσθαι, ἢ μόνον τῇ ἑαυτῶν στολῇ. εἰκὸς δὲ μὴ δυσπείστους εἶναι αὐτοὺς τὰ τοιαῦτα, οἵ γε φυλαρχεῖν ἐπεθύμησαν δόξης καὶ τιμῆς ὀρεγόμενοι. δυνατοὶ δ' εἰσὶν καὶ τὰ ἐν τῷ νόμῳ ὁπλίσαι, καὶ ἄνευ τοῦ αὐτοὶ δαπανᾶν ὑπὸ μισθοῦ, ἐπαναγκάζοντες κατὰ τὸν νόμον ὁπλίζεσθαι. εἴς γε μὴν τὸ εὐπειθεῖς εἶναι τοὺς ἀρχομένους μέγα μὲν τὸ καὶ λόγῳ διδάσκειν, ὅσα ἀγαθὰ ἔνι ἐν τῷ πειθαρχεῖν. μέγα δὲ καὶ τὸ ἔργῳ κατὰ τὸν νόμον, πλεονεκτεῖν μὲν ποιεῖν τοὺς εὐτάκτους, μειονεκτεῖν δὲ ἐν πᾶσι τοὺς ἀτακτοῦντας. ἰσχυροτάτη δέ μοι δοκεῖ εἶναι παρόρμησις τῶν φυλάρχων εἰς τὸ φιλοτιμεῖσθαι τοὺς καλῶς παρασκευασμένους ἕκαστον τῆς φυλῆς ἡγεῖσθαι. τοὺς ἀμφὶ σὲ προδρόμους κοσμήσαις μὲν ὅπλοις, ὡς μάλιστα. ἀκοντίζειν δὲ μελετᾶν ἐξαναγκάσαις ὡς μάλιστα. εἰσηγοῖτο δὲ αὐτοῖς ὑπὲρ τὸ ἀκόντιον, αὐτὸς δὲ εὖ μάλα μεμελετηκώς. εἰ δὲ καὶ ἆθλα τις δύναιτο προθεῖναι

βεῖα ταῖς φυλαῖς, πάντων ὁπόσα ἀγαθὰ νομίζουσιν ἀσκεῖσθαι ἐν ταῖς θέαις ὑπὸ τοῦ ἱππικοῦ, τοῦτο πάντας οἶμαι Ἀθηναίους γε μάλιστα προτρέπειν εἰς φιλονεικίαν. δῆλον δὲ τοῦτο καὶ ἐν τοῖς χοροῖς, ὡς μικρῶν ἄθλων ἕνεκα, πολλοὶ μὲν πόνοι, μεγάλαι δὲ δαπάναι τελοῦνται. τοὺς μέντοι κριτὰς τοιούτους δεῖ εὑρίσκειν, παρ' οἷς νικῶντες, μάλιστ' ἂν ἀγάλλοιντο. ἢν δὲ δή σοι ταῦτα πάντα ἐξησκημένοι ὦσιν οἱ ἱππεῖς, δεῖ δήπου καὶ τάξιν τινὰ ἐπίστασθαι αὐτούς. ἐξ ἧς κάλλιστα μὲν θεοῖς πομπὰς πέμψουσι, καὶ μάλιστα δὲ ἱππάσονται, ἄριστα δὲ μαχοῦνται ἂν δέῃ. ῥᾷστα δὲ καὶ ἀταρακτότατα ὁδοὺς πορεύσονται, καὶ διαβάσεις περάσουσιν. ᾗ τοίνυν χρώμενοι τάξει, δοκοῦσιν ἄν μοι ταῦτα κάλλιστα διαπράττεσθαι. ταύτην νῦν ἤδη πειράσομαι δηλοῦν. οὐκοῦν ὑπὸ μὲν τῆς πόλεως ὑπάρχουσι διῃρημέναι φυλαί. τούτων δὲ ἐγώ φημι χρῆναι. πρῶτον μὲν δεκαδάρχους σὺν τῇ τῶν φυλάρχων ἑκάστου γνώμῃ καταστῆσαι, ἐκ τῶν ἀκμαζόντων τε καὶ φιλοτιμοτάτων καλόν τι ποιεῖν, καὶ ἀκούειν. καὶ τούτους μὲν πρωτοστάτας δεῖ εἶναι. μετὰ δὲ τούτους ἴσους χρὴ τούτοις ἀριθμὸν ἐκ τῶν πρεσβυτάτων τε καὶ φρονιμωτάτων ἑλέσθαι, οἳ ἔσονται τελευταῖοι τῶν δεκάδων ἔσονται. εἰ γὰρ δεῖ καὶ ἀπεικάσαι, οὕτω καὶ σίδηρος μάλιστα διατέμνει σίδηρον, ὅταν τό, τε ἡγούμενον τοῦ δὲ μέσου ἐρρωμένον ᾖ, καὶ τὸ ἐπελαυνόμενον ἱκανόν. τούς γε μὴν ἐν μέσῳ τῶν πρώτων καὶ τῶν τελευταίων, ἐπεὶ οἱ δεκάδαρχοι ἐπιστάτας ἕλοιντο, καὶ οἱ ἄλλοι ἐφέποιντο, οὕτως εἰκὸς ἑκάστῳ πιστότατον τὸν ἐπιστάτην εἶναι. τὸν μέντοι ἀφηγούμενον ἐκ παντὸς τρόπου, δεῖ ἱκανὸν ἄνδρα καθιστάναι. ἀγαθὸς γὰρ ὢν εἴτε ποτὲ δέοι ἐπὶ πολεμίους ἐλαύνειν ἐγκελεύων, ῥώμην ἂν ἐμβάλλοι τοῖς ἔμπροσθεν. εἴτ' αὖ καὶ ἀποχωρεῖν καιρὸς συμβαίνοι, φρονίμως ἀφηγούμενος, μᾶλλον ἂν ὡς τὸ εἰκὸς σώζοι τοὺς φυλέτας. οἱ μέντοι δεκάδαρχοι ἄρτιοι ὄντες πλείω ἰσομερῆ παρέχοιεν ἂν διαιρεῖν, ἢ εἰ περιττοὶ εἶεν. αὕτη δέ μοι ἡ τάξις ἀρέσκει διὰ τάδε, ὅτι πρῶτον μὲν οἱ πρωτοστάται πάντες ἄρχοντες γίγνονται. οἱ δ' αὐτοὶ ἄνδρες ὅταν ἄρχωσι, μᾶλλόν πως οἴονται ἑαυτοῖς προσήκειν τι καλὸν ποιεῖν, ἢ ὅταν ἰδιῶται ὦσιν. ἔπειτα δὲ καὶ ὅταν πρακτέον τι ᾖ, τὸ παραγγέλλειν μὴ ἰδιώταις, ἀλλὰ ἄρχουσι, πολὺ ἀνυτικώτερον. τεταγμένων γε μὴν οὕτως, χρὴ ὥσπερ καὶ τοῖς φυλάρχοις προαγορεύεται ἡ χώρα ὑπὸ τοῦ ἱππάρχου ἐν ᾗ ἑκάστῳ ἐλατέον, οὕτω καὶ τοῖς δεκαδάρχοις παρηγγέλθαι ὑπὸ τῶν φυλάρχων, ὅπως πορευτέον ἑκάστῳ. οὕτω γὰρ προειρημένων πολὺ εὐτακτότερον ἂν ἔχοι, ἢ ὥσπερ ἐκ θεάτρου ὡς ἂν τύχωσι ἀπιόντων, λυποῖεν ἀλλήλους. καὶ μάχεσθαι δὲ μᾶλλον ἐθέλουσιν οἵ τε πρῶτοι, ἤν τι ἐκ τοῦ πρόσθεν προσπίπτῃ, οἳ ἂν εἰδῶσιν ὅτι αὕτη ἡ χώρα αὐτῶν, καὶ οἱ τελευταῖοι ἤν τι ὄπισθεν ἐπιφαίνηται, ἐπιστάμενοι ὅτι αἰσχρὸν λιπεῖν τὴν τάξιν. ἄτακτοι δ' ὄντες, ἀλλήλους μὲν ταράττουσι, καὶ ἐν στεναῖς ὁδοῖς καὶ ἐν διαβάσεσι. τοῖς δὲ πολεμίοις οὐδεὶς ἑκὼν αὑτὸν τάττει μάχεσθαι. καὶ ταῦτα μὲν δὴ πάντα ὑπάρχειν δεῖ ἐκπεπονημένα πᾶσι τοῖς ἱππεῦσιν, εἰ μέλλουσιν ἀπροφασίστως ἔσεσθαι συνεργοὶ τῷ ἡγεμόνι. τῶν δέ γε μὴν αὐτῷ ἤδη μέλειν δεῖ τῷ ἱππάρχῳ. πρῶτον μὲν ὅπως καλλιερήσει τοῖς θεοῖς ὑπὲρ τοῦ ἱππικοῦ, ἔπειτα, ὅπως τὰς πομπὰς ἐν ταῖς ἑορταῖς ἀξιο-

proponere poßit eorum omnium, quæ honestè solent ab equitatu in spectaculis exerceri, hoc ipso omnes Athenienses ad contentionem & exercitationis laborem incitatum iri crediderim. Perspicuũ est enim hoc in choris, q̃ multi labores multiq; sumptus suscipiũtur præmiorũ causa exiguorũ. Tales autem quærendi sunt certaminũ iudices, ut uictores maxima afficiant lætitia & gloria. Iam igitur equites, si in his omnibus probè exercitati fuerint, ordinem profectò quendã scire necesse est: ac deinceps magnificè sacrorum pompas dijs exhibebunt, scientißime uehẽtur equis: fortißimeq;, si erit opus, præliabuntur: facillimeq; & sine ulla perturbatione progredientes ordinem in uia tenebunt: ac si quod flumen fuerit traijciendũ, traijcient. Quo autẽ ordine utentes hæc optime effici poßint, deinceps explanare tentabo. Cùm igitur tribus sint in nostra ciuitate distinctæ, earũ decuriones primũ existimo quosq; ex tribunorũ sententia, ex iuuenibus & ætate uigentibus, & rerũ honestarum cupidis creari oportere, eosq; in prima acie collocari. Post parem his maximorũ natu & prudentißimorum numerũ eligere cõuenit, qui sint in decurijs nouißimi. Si enim licet cõparare, sic ferrum maxime secat ferrum, si & illud quod primũ est, & hoc quod est in medio positum, robustum fuerit, et quod impellit fuerit idoneum. Eos autem qui sunt inter primos et postremos, posteaq̃ decuriones epistatas delegerint qui proxime à tergo sequantur, aliiq; idem fecerint, uerisimile est singulis singulos epistatas fidelißimos fore. Ducẽ uero omni ex parte perfectum maximeq; idoneum cõstituere debemus. Idoneus autem si erit, siue irruptio faciẽda est in hostes, hortatu eos qui sunt in prima acie animabit: siue cõtrà retro cedendum esse tempus postulabit, prudenter ducens facilius arbitror tribules suos conseruabit. Decuriones uero si pares fuerint, plures exhibebunt partes æquales distinguendas, q̃ si essent impares. Atq; hæc instruendæ aciei ratio mihi probatur & placet, propter eas quas explicaturus sum causas. Ac primum, quod omnes qui in prima stant acie, principes sunt, & magistratu funguntur. omnes autem cum magistratũ gerunt, magis se decere putant ut aliquid honeste gerant, quàm si priuati forent. Deinde, si quid agendum sit, mãdatum quod datur non priuatis, sed magistratibus, efficacius esse consueuit. Atq; illis in hunc modum instructis, ut magister equitum tribunis stationem in qua cuique sequendum sit, prædicet & aßignabit. Sic tribuni decurionibus, quemadmodum cuiq; sit proficiscendum, mandabunt. Nam his ita præmonstratis multò melior conseruabitur ordo, quam in theatro, ubi qui exeunt quoties libet, sibi alij alijs molestias exhibent. Et cupidius solent pugnare primi, si quid a fronte ingruat, quod sciant eam stationem esse suam. Itemq; nouißimi, si quid à tergo inferatur, quod ordinem deserere turpe esse non ignorent. Inordinati autem se ipsi impediunt & perturbant, tum in angustis uijs, tum in fluminum traiectionibus: & aduersus hostes nemo se sua sponte ac sine ductore instruit ad præliãdum. Atq; hæc quidem sunt quæ meditata & èxercitata habere decet equites, si modo uelint nihil detrectantes et prætexentes imperatori adiutores esse. Iam illa curare debet equitũ magister, primùm ut pro equitatu dijs litet: deinde, ut pompas in festis spe-

ſtatu dignas exhibeat: preterea alia que ciuib. edenda ſunt, ea quàm magnificentiſſima efficiat & preſtet, tum que in Academia, tum que in Lycio, tũ que Phaleris, tum que in curriculo edi cõſueuerunt. Atq; hec ſint altera cõmentaria. Quemadmodũ autẽ ſingula ornatiſſimè perficiantur, ea iam deinceps explicabo. Ac pompas quidem & dijs ſpectatoribus fore gratiſſimas arbitror, ſi ab ijs initio ducto, quorum templa & ſimulachra ſunt in foro, à Mercurij ſtatuis in orbem circum forum perequitabunt & templa, deos uenerantes: ac praeterea ſi Liberalibus chori qui cùm alijs dijs, tum illis duodecim tripudient, exhibebuntur. Rurſus poſtquam ad ſtatuas Mercurij obequitarint, illud mihi ſpectatu iucundum uidetur, ut tributim ad celerem decurſionem laxent equis habenas Eleuſinen uſque. Ne illud quidem pretermittendum ex ſtimo, ut haſtas ita teneant, ne aliae alijs incumbant, ſed ſuam quiſque haſtam inter aures equi geſtet, ſi terribiles & ordinatas, ac in ſpeciem multas uideri uelit haſtas. Poſtquam celeris decurſionis finem fecerint, honeſtum eſt & aliam rurſus decurſionem compoſito gradu & tardo inſtaurare, ac in templa eadem uia qua paulò ante decurrerant, reuerti: uidenduniq; eſt, ut que ſunt in equo ſeſſorem uehere aſſueto, & dijs & hominibus omnia oſtententur. Scio noſtros equites iſtis non eſſe aſſuefactos, ea tamen utilia & honeſta eſſe iudico, & ſpectatoribus non iniucunda. Audio etiam & alia quaedam certamina recens equites inſtituiſſe, poſtquam magiſtri equitum quicquid liberet perſuadere potuerunt. Verùm cùm priuſquam iaculentur, in Lycio decurrant, iucundum eſt ſpectatu utraſq; quinq; tribus quaſi ad prœlium in fronte decurrere, ductore magiſtro equitum & tribunis, eo ordine ſeruato, ut curriculi latitudo compleatur: cumq; caput ex aduerſa fronte poſiti theatri ſuperauerint, decorum arbitror uiſum iri, ſi aliquot equites per locum leniter decliuem celeriter poſſe decurrere oſtentes: nec dubito, ſi credant ſe poſſe celeriter decurrere, quin id ſint facturi perlibenter. Sin autem inexercitati fuerint, uidendum ne ab hoſtibus iſtud ipſum facere cogantur. Ac in probatione quidem qui ſit ad pulcherrime equitandum ordo ſeruandus, explicatum eſt hactenus. Sed ſi fortem equum habebit imperator, extra ordinem ſemper obequitabit, ſemperq; celeritate equitandi utetur. Idem plane facturi ſunt, qui cum illo fuerint: itaq; Senatus ſemper celerem decurſionem ſpectabit, nec equi per uices quieſcendo fatigabuntur. Cum autem in curriculo exercitatio fuerit, tum utile eſt ſic primum inſtrui, ut in fronte completo equis curriculo, in eos qui erunt in medio infeſto curſu ferantur. Illud etiam iucundum eſt ſpectaculum, cùm in contraria equitatione & decurſione tribus aliae alias fugiunt, & celeriter perſequuntur: cumq; magiſtri equitum quinq; tribus ducant, utraeq; tribuũ partes tranſeunt & perrumpunt alteras: in hoc enim ſpectaculo illud terribile eſt, cùm hi qui ex aduerſa fronte ſtant, alij in alios faciunt incurſiones: & maieſtatis plenum, cùm per medium curriculum perrumpunt, & rurſus ex aduerſo alij alijs reſiſtunt, & ad tubae cantũ cùm celeriter iterum decurrunt: id uerò ſpectatu iucundum eſt, cumq; conſtiterint, iam rurſus tertium ad tubae ſignum ſumma celeritate infeſto curſu alij in alios inuehi

θεατοὺς ποιήσῃ. ἔτι δὲ καὶ τἆλλα ὅσα ὑποδεικνύναι δεῖ τῇ πόλει, ὅπως ᾗ δυνατὸν κάλλιστα ὑποδείξῃ. ταῦτ' ἐν ἀκαδημείᾳ καὶ τὰ ἐν λυκείῳ καὶ τὰ φαληροῖ, καὶ τὰ ἐν τῷ ἱπποδρόμῳ, καὶ ταῦτα μὲν ἄλλα ὑπομνήματα. ὡς δὲ τούτων ἕκαστα κάλλιστα ἂν πράττοιτο, νῦν αὖ τὰ λέξω. τὰς μὲν οὖν πομπὰς οἴομαι ἂν καὶ τοῖς θεοῖς κεχαρισμενωτάτας, καὶ τοῖς θεαταῖς εἶναι, εἰ ὅσων ἱερὰ καὶ ἀγάλματα ἐν τῇ ἀγορᾷ ἐστί, ταῦτα ἀρξάμενοι ἀπὸ τῶν ἑρμῶν κύκλῳ περὶ τὴν ἀγορὰν, καὶ τὰ ἱερὰ περιελαύνοιεν, τιμῶντες τοὺς θεούς. καὶ ἐν τοῖς διονυσίοις δὲ οἱ χοροὶ προσεπιχαρίζονται, ἄλλοις τε θεοῖς καὶ τοῖς δώδεκα χορεύοντες. ἐπειδὰν δὲ πάλιν πρὸς τοῖς ἑρμαῖς γένωνται περιεληλακότες, ἐντεῦθεν καλόν μοι δοκεῖ εἶναι κατὰ φυλὰς εἰς τάχος ἀνιέναι τοὺς ἵππους μέχρι τοῦ ἐλευσινίου. οὐδὲ δόρατα μὴν παραλείψω ὡς ἥκιστα ἂν ἀλλήλοις ἐπαλλάττοιτο. δεῖ γὰρ μεταξὺ τοῖν ὤτοιν τοῦ ἵππου ἕκαστον ἔχειν, εἰ μέλλει φοβερά τε καὶ εὐκρινῆ ἔσεσθαι, καὶ ἅμα πολλὰ φανεῖσθαι. ἐπειδὰν δὲ τὴν εἰς τάχος διαλάσιως λήξωσι, τὴν ἄλλην ἤδη καλὸν ἐν ἴδῃ εἰς τὰ ἱερὰ, ἥπερ καὶ πρόσθε διελαύνειν. καὶ ὅπως ὅσα ἐστὶν ἤδη ἐν ἵππῳ ἀναβεβασμένῳ πάντα ὑποδεδειγμένα ἔσται καὶ τοῖς θεοῖς καὶ τοῖς ἀνθρώποις. καὶ ὅτι μὲν ταῦτα οὐκ εἰθισμένοι ποιεῖν οἱ ἱππεῖς εἰσιν, οἶδα. γιγνώσκω δὲ ὅτι ἀγαθὰ καὶ καλὰ, καὶ τοῖς θεαταῖς ἡδέα. αἰσθάνομαι δὲ καὶ ἄλλα ἀγωνίσματα τοὺς ἱππέας κεκαινουργηκότας, ἐπειδὴ οἱ ἵππαρχοι ἱκανοὶ ἐγένοντο πεῖσαι ἃ ἠβουλήθησαν. ὅταν γε μὴν πρὸ τοῦ ἀκοντισμοῦ διελαύνωσιν ἐν λυκείῳ, καλὸν ἑκατέρας τὰς πέντε φυλὰς ἐπὶ τοῦ μετώπου ἐλαύνειν ὥσπερ εἰς μάχην ἡγουμένου τοῦ ἱππάρχου, καὶ τῶν φυλάρχων ἐν τοιαύτῃ τάξει, ἀφ' ἧς πληρώσεται τοῦ δρόμου τὸ πλάτος, ἐπειδὰν ὑπερβάλλωσι τὸ κεφάλαιον τοῦ ἀντιπροσώπου θεάτρου, χρήσιμον ἂν οἴομαι φανῆναι, καὶ εἰ καθ' ὁπόσους μέτριον εἰς τὸ κατάντες δυναμένους ταχὺ ἐλαύνειν ἐπιδεῖξαι τοὺς ἱππέας. οὐ μέντοι ἀγνοῶ, ὅτι ἂν μὲν πιστεύωσιν δυνήσεσθαι ταχὺ ἐλαύνειν, πάνυ ἂν ἡδέως ἐπιδείξαιντο. ἂν δὲ ἀμελέτητοι ὦσιν, ὁρᾶν χρὴ ὅπως μὴ οἱ πολέμιοι αὐτοὺς τοῦτο δρᾶν ἀναγκάσουσιν. ἐν γε μὴν ταῖς δοκιμασίαις ἡ μὲν τάξις εἴρηται, μεθ' ἧς ἂν κάλλιστα ἱππάζοιντο. ἂν δ' ὁ ἡγούμενος, κἂν περ ἔχῃ δυνατὸν ἵππον, ἐν τῷ ἔξωθεν ἀεὶ στίχῳ περιφέρηται, αὐτός μὲν ἀεὶ ταχὺ ἐλᾷ, καὶ οἱ σὺν αὐτῷ ἔξωθεν γιγνόμενοι, πάλιν αὖ ταχὺ ἐλῶσιν. ὥστε ἡ μὲν βουλὴ ἀεὶ τὸ ταχὺ ἐλαυνόμενον θεάσεται. οἱ δὲ ἵπποι οὐκ ἀπαίρουσιν ἐν μέρει ἀναπαυόμενοι. ὅταν γε μὴν ἐν τῷ ἱπποδρόμῳ ἡ ἐπίδειξις ᾖ, καλὸν μὲν οὕτω πρῶτον τάξασθαι, ὡς ἂν ἐπὶ μετώπου ἐμπλήσαντας ἵππων τὸν ἱππόδρομον, ἐξελαύνειν τοὺς ἐκ τοῦ μέσου ἀνθρώπους. καλὸν δ' ἐπεὶ αἱ φυλαὶ ἐν τῇ ἀνθιππασίᾳ, φεύγουσί τε ἀλλήλους, καὶ διώκουσι ταχέως ὅταν οἱ ἵππαρχοι ἡγῶνται ταῖς πέντε φυλαῖς, ἑκατέρας διελαύνειν τὰς φυλὰς δι' ἀλλήλων. ταύτης γὰρ τῆς θέας τὸ τε ἀντιμετώπους προσελαύνειν ἀλλήλοις γοργὸν, τό τε διελάσαντας τὸν ἱππόδρομον ἀντίους πάλιν εἶναι ἀλλήλοις σεμνόν, καὶ τὸ ἀπὸ σάλπιγγος αὐτὸ δεύτερον θᾶττον ἐπελαύνειν καλόν. στάντας δὲ ἤδη τὸ τρίτον αὖ ἀπὸ τῆς σάλπιγγος, χρὴ τάχιστα ἀλλήλοις ἐπελαύ-

ταγ, καὶ διελαύσαντας ὁμοῦ κατάλυσιν ἤδη ἐπὶ φάλαγγος ἅπαντας καταστάντας, ὥσπερ εἰώθατε, πρὸς τὴν βουλὴν προσελαύνειν. ταῦτά μοι δοκεῖ πολεμικώτερα φαίνεσθαι ἂν καὶ καινότερα. τὸ δὲ βραδύτερον μὲν τῶν φυλάρχων ἐλαύνειν, τὸν δ' αὐτὸν τρόπον ἐκείνοις ἱππεύειν, οὐκ ἄξιον ἱππαρχίας. ὅταν γε μὴν ἐν τῷ ἐπικρότῳ ἐν Ἀκαδημίᾳ ἱππεύειν δέῃ, ἔχω τάδε παραινέσαι. ὡς μὲν τὸ μὴ ἀποκρούεσθαί ποτε τῶν ἵππων, ὑπτίους ἀνακεκλικότας ἐλαύνειν. ὡς δὲ τὸ μὴ πίπτειν τοὺς ἵππους ὑπολαμβάνειν ἐν ταῖς ἀναστροφαῖς. τὰ μέντοι ὀρθὰ ταχὺ ἐλαύνειν χρή. οὕτω γὰρ τὸ ἀσφαλὲς καὶ τὸ καλὸν θεάσεται ἡ βουλή. ἔν γε μὴν ταῖς πορείαις ἀεὶ δεῖ τὸν ἵππαρχον προνοεῖν, ὅπως ἀναπαύῃ μὲν τῶν ἵππων τὰς ἕδρας, ἀναπαύῃ δὲ τοὺς ἱππέας τῷ βαδίζειν, μέτριον μὲν ὀχοῦντας, μέτριον δὲ πεζοποροῦντας. τοῦ δὲ μετρίου ἐννοῶν οὐκ ἂν ἁμαρτάνοις. αὐτὸ γὰρ μέτρον ἕκαστος τοῦ μὴ λαθεῖν ὑπερπονοῦντας. ὅταν μέντοι ἀδήλου ὄντος εἰ πολεμίοις ἐντεύξῃ πορεύῃ που, κατὰ μέρος χρὴ τὰς φυλὰς ἀναπαύειν. χαλεπὸν γὰρ εἰ πᾶσι καταβεβηκόσι πλησιάσειαν οἱ πολέμιοι. καὶ ἢν μέν γε διὰ στενῶν ὁδῶν ἐλαύνῃς, ἀπὸ παραγγέλσεως εἰς κέρας ἡγητέον. ἢν δὲ πλατείαις ἐπιτυγχάνῃς ὁδοῖς, ἀπὸ παραγγέλσεως χρὴ πλατυντέον τῆς φυλῆς ἑκάστης τὸ μέτωπον. ὅταν γε μὴν εἰς πεδίον ἀφικνῆσθε, ἐπὶ φάλαγγος πάσας τὰς φυλάς. ἀγαθὸν γὰρ καὶ μελέτης ἕνεκα ταῦτα ποιεῖν, καὶ τοῦ ἥδιον διαπεραίνειν τὰς ὁδοὺς, ποικίλλοντας ἱππικαῖς τάξεσι τὰς πορείας. ὅταν μέντοι ἔξω τῶν ὁδῶν διὰ δυσχωρίων ἐλαύνητε, μάλα χρήσιμον καὶ ἐν πολεμίᾳ καὶ ἐν φιλίᾳ προελαύνειν τῆς φυλῆς ἑκάστης τῶν ὑπηρετῶν, οἵτινες ἂν ἀπόροις νάπαις ἐντυγχάνουσι, παριόντες ἐπὶ τὰ εὔπορα δηλώσουσι τοῖς ἱππεῦσιν ᾗ χρὴ τὴν ἐλασίαν ποιεῖσθαι, ὡς μὴ ὅλαι αἱ τάξεις πλανῶνται. ἢν δὲ ἐπικινδύνως ἐλαύνητε, φρονίμου ἱππάρχου τὸ τῶν προδρόμων ἄλλους προδρόμους διερευνωμένους προηγεῖσθαι τῶν πολεμίων. χρήσιμον καὶ πρὸς τὸ ἐπιθέσθαι, καὶ πρὸς τὸ φυλάξασθαι, καὶ τὸ ἀναμένειν δὲ ἐπὶ ταῖς διαβάσεσιν, ὡς μὴ κατακόπτωσι τοὺς ἵππους οἱ τελευταῖοι τὸν ἡγεμόνα διώκοντες. ἴσασι μὲν οὖν ταῦτα σχεδὸν πάντες. καρτερεῖν δ' ἐπιμελόμενοι οὐ πολλοὶ ἐθέλουσι. προσήκει δὲ ἱππάρχῳ ἔτι ἐν εἰρήνῃ ἐπιμελεῖσθαι ὅπως ἔμπειρος ἔσται, τῆς τε πολεμίας καὶ τῆς φιλίας χώρας. ἢν δ' ἄρα αὐτὸς ἀπείρως ἔχῃ, τῶν ἄλλων γε δὴ τοὺς ἐπιστημονεστάτους ἑκάστων τόπων παραλαμβάνειν. πάνυ γὰρ διαφέρει ὁ ἡγούμενος, ἀδὼς τὰς ὁδοὺς τοῦ μὴ εἰδότος. καὶ ἐπιβουλεύειν δὲ πολεμίοις, ὁ εἰδὼς τοὺς τόπους τοῦ μὴ εἰδότος πολὺ διαφέρει. καὶ κατασκόπους δὲ πρὶν πόλεμον εἶναι, δεῖ μεμελετηκέναι ὅπως ἔσονται, καὶ ἐκ πόλεων ἀμφοτέροις φιλίων, καὶ ἐξ ἐμπόρων. πᾶσαι γὰρ αἱ πόλεις τοὺς εἰσάγοντάς τι, ἀεὶ ὡς εὐμενεῖς δέχονται. καὶ ψευδαυτόμολοι δ' ἔστιν ὅτε χρήσιμοι. οὐ μέντοι τοῖς γε κατασκόποις δεῖ πιστεύοντα φυλακῆς ἀμελεῖν. ἀλλ' ἀεὶ οὕτως κατεσκευάσθαι χρή, ὥσπερ ἂν εἰ ἥξειν ἠγγελμένοι ὦσιν οἱ πολέμιοι. καὶ γὰρ ἂν πάνυ πιστοὶ ὦσιν οἱ κατάσκοποι, χαλεπὸν ἐν καιρῷ ἀπαγγέλλειν. πολλὰ γὰρ ἐν πολέμῳ τὰ ἐμπόδια συμπίπτει. τάς γε μὴν ἐξαγωγὰς τοῦ ἱππικοῦ, ἧττον ἂν οἱ πολέμιοι αἰσθάνοιντο

uebi debetis, ac cùm per.. peritis, usq; ad eum finem dum fessi sitis, iam phalange instructa uniuersi, quemadmodum consueuistis, in curiam decurretis. Hæc mihi quidem et bellicosiora, & nouitate ipsa iucundiora fore uidentur. Tardius autem quàm tribuni decurrant, decurrere, & eodem cum illis modo equitare, id equitũ præfectura uidetur indignum. Cum autem in Academiæ circo equitandum erit, ne excutiantur ab equis, ut supinantes sese & reflectentes cursum ineant, admonitos uelim. Ne autem ipsi cadant equi, in flexu frenũ attrahendum est, in recto autem cursu laxis habenis semper celeriter decurrendum: isto enim pacto tutam & iucundam rem spectabit Senatus. Illud semper curare debebit magister equitum, in itineribus ne uel equi uel equites fatigentur. Non fatigabuntur autem equi, si sessores aliquando descendant, & nonnullam itinerum partem pedibus conficiant: quæ ratio mediocritatis, ipsos quoq; equites defatigari nõ sinet: NAM MEDIOCRITATEM sequens nũquam erraueris. Vtriusq; autem modus est (quod facilè singuli iudicare poterunt) qui citra fatigationem consistit. Cum autem per huiusmodi loca progrederis, ubi metuendum sit ne in hostes incidas, tum uicissim & per partes exercitum reficiendũ curabis: nimis enim periculosum foret, si hostes accederent ubi omnes ab equis descendissent. Ac si per angustas uias agmen ducendum erit, cum imperio per manus tradito, in cornu ducere oportebit. Sin autem in latas uias incideris, rursus edicto occulto frons cuiusq; tribus erit dilatanda. Quod si in planitiem uentum erit, in phalangem singulæ tribus erunt instruendæ: hoc enim uel exercitationis causa utile est: iucundumq; est, confectis itineribus, progrediendi rationem equitum ordinibus uariare. At cum extra uiam in locis difficilibus ducetur agmen, perutile est tum in hostico, tum in pacato, ut ante signa euehantur cohortis cuiusq; ministri aliquot: qui si in locos transitu difficiles inciderint, ad trãsitu faciles accedent, equitibusq; qua progredi possint, ne uniuersi fallantur ordines, indicabũt. Sin in periculis uersetur equitatus, prudentis est hipparchi ut antecursoribus alij antecursores res hostium inspecturi uiam præeant, hostesq; anteuertant. Vtile est etiam tum ad impetum faciendum, tum ad uitandũ, tum uerò ad expectandum in traiectionibus, ne in extremo agmine ducem persequentes, equi concidant. Atq; hæc quidem omnes ferè norũt, sed non ita multi adhibita diligentia perferre uolunt. Est etiam equitum præfecti, in pace dare operã, ut & pacatorum & hostium loca regionesq; non ignoret. Sin autem ipse imperitus fuerit, alios saltem locorum peritissimos singulorũ adhibere debebit: multũ enim interest inter ducem locorũ peritum et imperitũ. Ac qui insidias hostibus struit, si gnarus uiarum sit, multis partibus uincit ignarum. Videndum etiam est antequam bellum ingruat, ut speculatores paratos & exercitatos habeat, tum ex ciuitatibus, quæ utrisq; sint amicæ, tum ex mercatoribus: semper enim ciuitates, qui aliquid ad se important, eos tanquam sibi beneuolos excipiũt humaniter. Falsi item transfugæ interdũ magnas præbent utilitates. Nec eousq; fidendum exploratoribus, ut uigiliæ & præsidia negligantur: sed semper ita nos paratos esse oportebit, ac si hostes uenturos esse nunciatũ esset. Nam tametsi sunt fideles exploratores, tamen in tempore renũciare perdifficile est, cùm præsertim multa soleant in bellis impedimenta interuenire. Hostes autem minus

sentient, cùm educetur equitatus, si istud clandestino potius fiat imperio, quàm uel per praeconem, uel per praescriptionem. Atq; ut hac imperandi ratione educatur equitatus, utile erit decuriones constitui, & cum decurionibus quincuriones, ut quampaucißimis enuncient singuli: & ut frontem efficiant longiorem sine tumultu & confusione ipsi quincuriones, qui ab altitudine in longitudinem ordines porro agant, occasione id postulante. Quod si cauendum erit & metuendum, praesidium adhibendum est. Equidem clandestinas explorationes & praesidia laudo: sic enim isto modo ut simul & amicis nostris praesidium imponatur, simul & hostibus insidiae comparentur: atq; nostri cùm sint occulti, minus sint insidijs opportuni, & hostibus ipsis magis formidolosi: nam alicubi esse praesidia scire, sed ubi et quàm numerosa sint nescire, idipsum hostes non sinit cõfidere, & omnia loca suspecta habere cogit. Praesidia autem non occulta, aperte aut timiditatem aut audaciam arguunt. Licebit etiam in occulto collocatis insidijs, paucos ante insidias praemittere, qui hostes tentent, & in insidias alliciant & attrahant. Illud etiam ad capiandos hostes ualet, ut post occultas insidias alij non occulte uigilias interdùm agere uideantur: hoc enim ipsum aequè fallit hostes, ac illa quae prius commemoraui. Verum illud est prudentis imperatoris, ut periculis nunquàm se ultro offerat, nisi cùm satis exploratum habebit se fore superiorem, & aliquid hostibus detracturum: nam subseruire uoluptatibus hostium, id magis sociorum proditio iudicari debet, quàm fortitudo. Prudentis etiam est in eam partem hostium impetum facere, quae sit infirmißima, etiamsi fuerit nouißima. Sin hostes aliquousq; intra munitiones pacatorum et amicorum ingreßi fuerint, quamuis sint multò praestantiores, utile erit illinc maxime inuadere hostes unde illi minime sperabant. Nec uero inutile fuerit simul utrinque: cum enim alteri retrocedunt, qui deinde subsequentes in alteram partem impetum facient, & hostes perturbabunt, et suos conseruabunt. Ac prodesse quidem, per speculatores hostium res, et statum cognoscere, iamdiu opinio inualuit. Ego uero illud omnino optimum arbitror esse, ut idem tentemus, sicunde ex tuto res hostium spectari & considerari, ac si quid illi peccarint, cognosci poßit. Quod si quid surripi potest, mittendi qui ad surripiendum sint apti: eosq; ubi rapere conceditur, qui rapiant erunt mittendi. Quòd si dum aliquò proficiscuntur hostes, aliquid propter imbecillitatem uirium relictum ab eis sit, aut aliqui confidentia freti dispalati fuerint, ne haec quidem ignorare debemus. Semper autem robustiori, id quod imbecillius est insidiatur. Facile uero haec intelligere potest qui modo animaduerterit: nam & animantia quae minus quàm homines consilio & intelligentia ualent, ut milui, poßunt, si quid non custoditum fuerit, & rapere: & cùm rapuerint, in tutum aliquem locum secedere, priusquam deprehendantur. Similiter lupi, quae custode carent, praedantur, & uel ea quae sunt in occultis locis, rapiunt: ac si quis accurrat canis, si inferior uideatur, lupus in eum impetum facit: sin superior, pecude, quamcunque tandem tulerit, interfecta recedit. At certe si praesidium custodiamq; contempserint, ita se ipsi instruunt, ut alij custodes depellant, alij pecudes rapiant, sicq; sibi illi necessaria parant. Cum igitur animantia & ferae tam prudenter poßint ista praedari, quid est quamobrem credamus homi-

αἰσθάνοιντο, εἰ ἀπὸ παραγγέλσεως γίγνοιτο μᾶλλον, ἢ ἀπὸ κήρυκος, ἢ ἀπὸ προγραφῆς. ἀγαθὸν οὖν καὶ τὸ πρὸς τὸ διαπαραγγέλσεως ἐξάγειν, τὸ δεκαδάρχους καθιστάναι, καὶ τοῖς τε δεκαδάρχοις πεμπαδάρχους, ἵν' ὡς ἐλαχίστοις ἕκαστος παραγγέλλῃ, καὶ τὸ μέτωπον δὲ ὅπως μηκύνοιεν ἂν τῆς τάξεως ἀταράκτως, οἱ πεμπάδαρχοι παράγοντες ὁπότε τούτου καιρὸς εἴη. ὅταν γε μὴν προφυλάττειν δέῃ, ἐγὼ μὲν ἀεὶ ἐπαινῶ τὰς κρυπτὰς σκοπιάς τε καὶ φυλακάς. οὕτω γὰρ ἅμα μὲν τῶν φίλων φυλακαὶ γίγνονται, ἅμα δὲ τοῖς πολεμίοις ἐνέδραι κατασκευάζονται, καὶ αὐτοὶ μὲν δυσεπιβουλευτότεροί εἰσιν ἀφανεῖς ὄντες, τοῖς δὲ πολεμίοις φοβερώτεροι. τὸ γ' εἰδέναι μὲν ὅτι εἰσί που φυλακαί, ὅπου δ' εἰσί, καὶ ὁπόσαι μὴ εἰδέναι, τοῦτο θαρρεῖν μὲν κωλύει τοὺς πολεμίους, ὑποπτεύειν δὲ ἀναγκάζει πάντα τὰ χωρία. αἱ δὲ φανεραὶ φυλακαὶ δῆλα ἔχουσι καὶ τὰ δεινὰ καὶ τὰ εὐθαρσῆ. ἔτι δὲ τῷ μὲν κρυπτὰς ἔχοντι φυλακάς, ἐξέσται μὲν φανεροῖς ὀλίγοις ἔμπροσθε τῶν κρυπτῶν φυλάττοντα, πειρᾶσθαι τοὺς πολεμίους εἰς ἐνέδρας ὑπάγειν. ἀγρευτικὸν δὲ καὶ ὄπισθεν τῶν κρυπτῶν, ἄλλοις φανεροῖς ἔστιν ὅτε φυλάττειν. καὶ τοῦτο γὰρ ἐξαπατητικὸν τῶν πολεμίων, ὁμοίως τῷ πρόσθεν εἰρημένῳ. ἀλλὰ μὴν φρονίμου γε ἄρχοντος καὶ τὸ μή ποτε κινδυνεύειν ἑκόντα, πλὴν ὅπου ἂν πρόδηλον ᾖ, ὅτι πλέον ἕξει τῶν πολεμίων. τὸ δὲ ὑπηρετεῖν τὰ ἥδιστα τοῖς πολεμίοις, προδοσία τῶν ξυμμάχων, δικαίως ἂν μᾶλλον, ἢ ἀνδρεία κρίνοιτο. σῶφρον δὲ καὶ τὸ ἐκεῖσε ὁρμᾶν, ὅπου ἂν ἀσθενῆ τὰ τῶν πολεμίων ᾖ, κἂν πρόσω ὄντα τυγχάνῃ. τὸ γὰρ σφόδρα πονῆσαι ἀκινδυνότερον ἢ πρὸς τοὺς κρείττους ἀγωνίζεσθαι. ἢν δέ ποι εἰς μέσον φιλίων τειχέων εἰσίωσιν οἱ πολέμιοι, κἂν πολὺ κρείττους ὄντες, καλὸν μὲν ἐντεῦθεν ἐπιχειρεῖν, ὁποτέρωθεν ἂν λελήθῃς παρών. καλὸν δὲ καὶ ἅμα ἀμφοτέρωθεν. ὅταν γὰρ οἱ ἕτεροι ἀποχωρῶσιν, οἱ ἐκ τοῦ ἐπὶ θάτερα ἐλαύνοντες, ταράττοιεν μὲν ἂν τοὺς πολεμίους, σώζοιεν δ' ἂν τοὺς φιλίους. καὶ τὸ μὲν διὰ κατασκόπων πειρᾶσθαι, εἰδέναι τὰ τῶν πολεμίων, πάλαι εἴρηται ὡς ἀγαθόν ἐστιν. ἐγὼ δὲ πάντων ἄριστον νομίζω εἶναι, τὸ αὐτὸν πειρᾶσθαι, ἤν πόθεν ἐξ ἀσφαλοῦς θεώμενον τοὺς πολεμίους ἀθρεῖν, ἤν τι ἁμαρτάνωσιν. καὶ τὸ μὲν κλαπῆναι δυνατόν, πέμπειν χρὴ τοὺς ἐπιτηδείους κλέψοντας. τὸ δ' ἁρπασθῆναι ἐγχωροῦν, ἐφιέναι τοὺς ἁρπάσοντας. ἢν δὲ πορευομένων ποι τῶν πολεμίων ἀπαρτᾶταί τι ἀσθενέστερον τῆς αὐτοῦ δυνάμεως, ἢ θαρροῦν ἀποσκεδάννυται, οὐδὲ ταῦτα χρὴ λανθάνειν, ἀεὶ μέντοι ἰσχυροτέρῳ, τὸ ἀσθενέστερον θηρᾶν. δυνατὸν δὲ προσέχοντι τὸν νοῦν, ταῦτα καταμανθάνειν. ἐπεὶ καὶ βραχυγνωμονέστερα ἀνθρώπου θηρία. οἵ τε ἰκτῖνοι δύνανται ὃ ἂν ἀφύλακτον ᾖ, ἀφαρπάσαντες εἰς τὸ ἀσφαλὲς ἀποχωρεῖν πρὶν ληφθῆναι. καὶ οἱ λύκοι δὲ τά τε ἐρημούμενα φυλακῆς ἀγρεύουσι, καὶ τὰ ἐν τοῖς δυσοράτοις κλέπτουσι. κἂν μεταθέων γέ τις ἐπιγίγνηται κύων, ἢν μὲν ἥττων ᾖ, τούτῳ ἐπιτίθεται· ἢν δὲ κρείττων, ἀποσφάξας, ὅ τι ἂν ἔχῃ ἀποχωρεῖ. ὅταν δέ γε φυλακῆς καταφρονήσωσι λύκοι, τάξαντες ἑαυτῶν, τοὺς μὲν ἀπελαύνειν τὴν φυλακήν, τοὺς δὲ ἁρπάζειν, οὕτω τὰ ἐπιτήδεια πορίζονται. θηρίων γε μὴν δυναμένων τὰ τοιαῦτα φρονίμως λῄζεσθαι, πῶς οὐκ ἄνθρω-

ἀνθρώπων γε ὄντα εἰκὸς σοφώτερον τούτων φαίνεσθαι, ἃ καὶ αὐτὰ τέχνῃ ὑπ' ἀνθρώπων ἁλίσκεται; κἀκεῖνό γε μὴν εἰδέναι ἱππικοῦ ἀνδρός, ἐκ πόσου ἂν ἵππος πεζὸν ἕλοι, καὶ ἐξ ὁπόσου βραδεῖς ἂν ἵπποι ταχεῖς ἀποφύγοιεν. ἱππαρχικὸν δὲ καὶ χωρία γιγνώσκειν, ἔνθα πεζοὶ κρείττους ἱππέων, καὶ ἔνθα πεζῶν κρείττους ἱππεῖς. χρὴ δὲ μηχανητικὸν εἶναι, καὶ τὸ πολλοὺς μὲν φαίνεσθαι τοὺς ὀλίγους ἱππέας, πάλιν δ' ὀλίγους τοὺς πολλούς, καὶ τὸ δοκεῖν παρόντα μὲν ἀπεῖναι, ἀπόντα δὲ παρεῖναι. καὶ τὸ μὴ τὰ τῶν πολεμίων μόνον κλέπτειν ἐπίστασθαι, ἀλλὰ καὶ τοὺς ἑαυτοῦ ἱππέας ἅμα κλέπτοντα, ἐξ ἀπροσδοκήτου τοῖς πολεμίοις ἐπιτίθεσθαι. ἀγαθὸν δὲ μηχάνημα καὶ τὸ δύνασθαι ὅταν μὲν τὰ ἑαυτοῦ ἀσθενῶς ἔχῃ, φόβον παρασκευάζειν τοῖς πολεμίοις, ὡς μὴ ἐπιτίθωνται. ὅταν δ' ἐρρωμένα, θάρρος αὐτοῖς ἐμποιεῖν ὡς ἐγχειρῶσιν. οὕτω γὰρ αὐτὸς μὲν ἂν ἥκιστα κακῶς πάσχοις, τοὺς δὲ πολεμίους μάλιστ' ἂν ἁμαρτάνοντας λαμβάνοις. ὅπως δὲ μὴ προστάττειν δοκῶ ἀδύνατα, καὶ γράψω ὡς ἂν γίγνοιτο τὰ δοκοῦντα αὐτῶν χαλεπώτατα εἶναι. τὸ μὲν τοίνυν μὴ σφάλλεσθαι ἐγχειροῦντα διώκειν, ἢ ἀποχωρεῖν ἐμπειρία ποιεῖ ἵππων δυνάμεως. πῶς δ' ἂν ἐμπειρίαν ἔχοι, εἰ προσέχοι τὸν νοῦν ἐν ταῖς μετὰ φιλίας ἀνθιππασίαις, οἷαι ἀποβαίνουσιν ἐκ τῶν διώξεών τε καὶ φυγῶν, ὅταν μέντοι βούλῃ τοὺς ἱππέας πολλοὺς φαίνεσθαι, ἓν μὲν πρῶτον ὑπαρχέτω, ἢν ὑπὲρ ἐγχωρῇ, μὴ ἐγγὺς τῶν πολεμίων ἐγχειρεῖν ἐξαπατᾶν. καὶ γὰρ ἀσφαλέστερον τὸ πρόσω, καὶ ἀπατητικώτερον. ἔπειτα δὲ χρὴ εἰδέναι, ὅτι ἀθρόοι μὲν πολλοὶ ἵπποι φαίνονται διὰ τὸ μέγεθος τοῦ ζώου, διασπειρόμενοι δ' εὐαρίθμητοι γίνονται. ἔτι δ' ἂν πλεῖον σοι τὸ ἱππικὸν τοῦ ὄντος φαίνοιτο, εἰ τοὺς ἱπποκόμους εἰς τοὺς ἱππέας ἐνισταίης, μάλιστα μὲν δόρατα, εἰ δὲ μὴ ὅμοια δόρασιν ἔχοντας, ἤν τε ἑστηκὸς ὑποδεικνύῃς τὸ ἱππικόν, ἤν τε παράγῃς. ἀνάγκη γὰρ τὸν ὄγκον τῆς τάξεως οὕτω μείζω τε καὶ πυκνότερον φαίνεσθαι. ἢν δ' αὖ τοὺς πολλοὺς ὀλίγους δοκεῖν εἶναι, ἢν μὲν σοι χωρία ὑπάρχῃ οἷα συγκρύπτειν, δηλονότι τοὺς μὲν ἐν τῷ φανερῷ ἔχων, τοὺς δ' εἰς τὸ ἄδηλον ἀποκρύπτων κλέπτοις ἂν τοὺς ἱππέας. ἢν δὲ πᾶν καταφανὲς ᾖ τὸ χωρίον, δεκάδας χρὴ στοιχούσας ποιήσαντα διαλειπούσας παράγειν. καὶ τοὺς μὲν πρὸς τῶν πολεμίων ἱππέας ἑκάστης δεκάδος ὀρθὰ τὰ δόρατα ἔχειν, τοὺς δ' ἄλλους ταπεινά, καὶ μὴ ὑπερφανῆ. φοβεῖν γε μὴν τοὺς πολεμίους, καὶ ψευδενέδρας, οἷόν τε καὶ ψευδοβοηθείας, καὶ ψευδαγγελίας ποιοῦντα. θαρροῦσι δὲ μάλιστα πολέμιοι, ὅταν τοῖς ἐναντίοις πράγματα καὶ ἀσχολίας πυνθάνωνται. τούτων δὲ γεγραμμένων, μηχανᾶσθαι αὐτὸν χρὴ πρὸς τὸ παρὸν ἀεὶ ἀπατᾶν. ὄντως γὰρ οὐδὲν κερδαλεώτερον ἐν πολέμῳ ἀπάτης. ὁπότε καὶ οἱ παῖδες ὅταν παίζωσι ποσίνδα, δύνανται ἀπατᾶν προϊσχόμενοι, ὥστε ὀλίγους γ' ἔχοντας πολλοὺς δοκεῖν ἔχειν, καὶ πολλοὺς προϊσχόμενοι ὀλίγους φαίνεσθαι ἔχειν, πῶς οὐκ ἄνδρες γε ἐπὶ τὸ ἐξαπατᾶν προσέχοντες τὸν νοῦν δύναιντ' ἂν τοιαῦτα μηχανᾶσθαι. καὶ ἐνθυμούμενος δ' ἂν τὰ ἐν τοῖς πολέμοις πλεονεκτήματα, εὕροι ἄν τις τὰ πλεῖστα καὶ μέγιστα σὺν ἀπάτῃ γεγενημένα, ὧν ἕνεκα ἢ οὐκ ἐγχειρητέον ἄρχειν, ἢ τοῦτο σὺν τῇ ἄλλῃ παρασκευῇ καὶ παρὰ θεῶν αἰτητέον δύνασθαι ποιεῖν, καὶ αὐτὸν μηχανητέον. οἷς δὲ θάλαττα πρόσεστιν, ἀπατητικὸν καὶ τὸ πλοῖα παρασκευαζό-

μενον

hominem non posse uideri sapientiorem ijsipsis animalibus, quæ arte humana capiuntur? Illud uerò scire debet equestris disciplinæ studiosus, e quāto spacio eques peditē assequatur, item ex q̄ longinquo spacio tardi à celeriorib. distātes equi, eos effugere possint. Est etiā illud equestris disciplinæ, ut loca cognoscātur, ubi à pedib. facile superētur equites, & cōtrà ab equitib. facile pedites uincantur. Oportet etiā ut talis sit artifex, qui, cū multi fuerint equites, in speciē paucos ostentare possit: cōtraq; si pauci fuerint, multi esse uideātur: item ut præsens cùm sit, abesse, et absens adesse uideatur. Nec uero solum hostes sciet fallere, sed etiā equites quib præsit fallens, præter expectationē in hostes impetū faciet. Illud quoq; est artis non uulgaris, cùm se hostib. imparē & infirmiorē sentiet, ut à prælio abstineant terrorē inferre: Cùm uerò fortiorē exercitū se habere putabit, fiduciā illis ingenerare, ut manus cōserant: sic enim ipse in calamitates & offensiones minimè incides, & hostess imparatos maxime & errātes opprimes. sed ne quæ fieri nō possunt, præcipere uidear: quēadmodū fieri possint quæ ex illis uideātur difficilima, hinc scribere incipiā Itaq; ut nō fallatur q persequi aut retrocedere aggreditur, id præstat exercitatio, et uirtus eq. Quo aūt modo peritiā & usum habeat: si in decursionib. amicis et belli simulachris animū aduertat, quæ ipsæ fiunt tum persequendo, tum refugiēdo. Cum aūt efficere uoles ut multi equites esse uideātur, unum illud primū ponatur, si liceat, ut procul ab hostib. fallacia cōparetur: nam tutius est procul, & aptius ad fallendū. Deinde aūt illud intelligendum est, equos cōfertos in speciem multos uideri propter animantis magnitudinē, dispersos autem facile numerari posse. Præterea maior uidebitur q̄ sit equitatus, si inter equites equisones interijciantur, maximè si hastas aut aliquid hastis simile tenebūt: atq; id siue stantem equitatū, siue incedentē ostentes: ordinis enim speciem ista ratione & maiorē & densiorem uideri necesse est. Sin uerò multos paucorū speciem gerere uideri uolemus, si talia erunt loca ut equitatū occultare possint, numerū alijs in aperto loco, alijs in occulto collocatis, equites furtim habere et occulte poteris. At si totus locus erit apertus & patens, illud faciendum est, ut decuriæ ordine incedentes inter se disiunctæ interiecto internallo progrediantur, ac cuiusq; decuriæ equites qui in cōspectu hostium fuerint rectas teneāt hastas: alij aūt humi abiectas, nec cōspicuas, ac ita ut ab illis uideri nequeant. Porrò aūt falsis insidijs, auxilijs falsis, falsisq; rumorib. terrere hostes licebit. Tū aūt maximè fiduciā sument hostes, cùm res aduersariorū laborare audiunt & impeditas esse. His autē ita descriptis, equitū præfectus conabitur ut in præsens semper fallat hostes. profectò fallendi arte nihil utilius est in bello: quādo enim uel pueri in suis lusib. quæ possunt ad fallendū prætendāt ut cùm pauca habeāt, multa habere uideātur, & contrà cùm multa prætendāt, pauca uideātur habere, cur tandē uiri, si in fraudibus & fallacijs studium ponant, non possint ista eadem machinari? Nam si uictorias quæ bellis obtinentur consideremus, plurimas & maximas arte & fallacijs partas esse reperiemus. Quas ob res aut ab initio magistratus appetendus non est, aut à dijs petendum, ut huic officio satis faciamus omni apparatu instructi, ac ipsi etiam, quantum in nobis est, moliamur. Quibus autem mare est aptum ad insidias struendas, hi naues ∴ ara

tas hac

tes habebunt, sed rem prælio terrestri gerent, ac simulantes se terra insidiari uelle, prælio naualı hostes aggredientur. Nec uero illud alienum est ab equestri disciplina, ut magister equitum ciuitatem doceat imbellem esse, equitatum nullo peditatu comitatum. Est etiam præfecti equitum, pedites sibi adiungere, eisq; uti posse. Licet etiam pedites non solùm inter equites, sed etiam post equitatum occultare, cùm præsertim pedite longe maior sit eques. Atque hæc omnia ego, & quæcunq; præterea quis machinabitur ut uel ui uel arte capiantur hostes, uolens Deo fauente fieri consulo, ut fortunam etiam collaudet, dijs propitijs. Interdum uerò & illud ad fallendum ualet, si simulaƲit se diligenter cauere, minimeq; se periculis obtecerit: hoc enim sæpe hostes inuitat, et efficit ut incautiores peccent. Quod si uel semel quis periculorum contemptor uisus fuerit, licet ei uel in ocio, si modo aliquid se facturum simulet, molestias hostibus exhibere. At enim nullus quicquàm simulare possit, quale uult, nisi eorum quæ simulantur adhibita sit præparatio talis, ut artificis cõsilio obtemperetur: neq; enim ex militibus ulli sic parati erũt ut præfectum suum amore prosequantur, & doctis prudentiorem ipsum existiment in certaminibus et prælijs quæ cum hostibus committuntur, nisi id deo uolente contingat. Ac eorum quibus præsit, sibi hisce rebus beneuolentiam, ut opinor, conciliabit præfectus equitum, si humaniter cum illis agere, illisq; prospicere & consulere uideatur, ut frumento abundent, & in tutum aliquẽ locum facilem receptum habeant, positis & collocatis uigilijs, ut reficiantur, & quieti se tradant. In præsidijs autem dare debet operam præfectus, ut necessariarũ rerum, ut pabuli, ut tabernaculorum, ut aquæ ut excubiarũ curam gerere uideatur: prouidere item, & ad eorum utilitatem quibus præsit uigilare, ac si re quapiam abũdabit, impertire honestum est. Atq; ut summatim dicam, minime contemnetur præfectus, si quæ alios facere uelit, ipse eadem melius q̃ illi facere uideatur. Initium igitur capiet à conscensu equi, ac omnia quæ ad disciplinam equestrem pertinent, meditata habere debet præfectus, ut uideant ipsum principem sedentem in equo posse et fossas trãsilire, & munitiones superare, & ex locis difficilib. euadere, & scienter iaculari: singula enim hæc aliquid proficiũt, ut magister equitũ ne contemnatur. Quod si etiam intellexerint, eum & scire & posse efficere ut hostes uincãtur: ad hæc si illud animo cõceperint, eum neq; temerè, neq; contra deorum uoluntatẽ, neq; repugnantib. auspicijs, in hostes proficisci, et bellum mouere: hæc omnia milites duci parẽtiores, dictoq; magis audientes reddũt. Ac principem quidem omnẽ decet maxime prudentia. Athenensis autem equitũ præfectus cæteris debet antecellere tum cultu deorũ, tum scientia rei militaris: cui quidẽ sunt finitimi aduersarij, & equites multitudine suppares, et grauis armaturæ milites permulti: ac si conetur in hostilẽ agrũ irruptionẽ facere, sine cæteris ciuib. aduersus utrosq; istos cum solis equitib. periculisq; obiecturus est. At si hostes in agrum Atticum impetũ fecerint, nõ aliter uenturi sunt q̃ cum alijs equitibus sibi coniunctis, & præterea cũ grauis armaturæ militibus tam numerosis, ut uniuersos Athenienses ipsorum impetum sustinere non posse putent. Atqui aduersus tam multos hostes si modo ciuitas uniuersa copias eduxerit, ut regioni Atticæ succurrat, spes opti-

ma est:

μενον, πεζῇ τι πρᾶξαι, καὶ τὸ πεζῇ προσποιούμενον ἐπιβουλεύειν κατὰ θάλατταν ἐπιχειρῆσαι. ἱππαρχικὸν δὲ καὶ τὸ διδάσκειν τὴν πόλιν ὡς ἀσθενές τὸ πεζῶν ἔρημον ἱππικὸν πρὸς τὸ ἅμ' ἵπποις πεζοὺς ἔχειν. ἱππαρχικὸν δὲ καὶ τὸ λαβόντα πεζοὺς αὐτοῖς χρῆσθαι. ἔστι δὲ πεζοὺς οὐ μόνον ἐν τούτοις, ἀλλὰ καὶ ὄπισθεν ἵππων ἀποκρύψασθαι. πολὺ γὰρ μείζων ὁ ἱππεὺς τοῦ πεζοῦ. ταῦτα δὲ πάντα ἐγὼ καὶ ὅσα πρὸς τούτοις τις μηχανᾶται, ἢ βίᾳ ἢ τέχνῃ αἱρεῖν τοὺς ἐναντίους, βουλόμενος σὺν τῷ θεῷ πράττειν συμβουλεύω, ἵνα καὶ τὴν τύχην συνεπαινῇ, θεῶν ἵλεων ὄντων. ἔστι δ' ὅτε πάνυ ἀπατητικὸν καὶ τὸ λίαν φυλακτικὸν προσποιήσασθαι εἶναι, καὶ μηδαμῶς φιλοκίνδυνον. τοῦτο γὰρ τοὺς πολεμίους πολλάκις προάγεται, ἀφυλακτοῦντας μᾶλλον ἁμαρτάνειν. ἢν δ' ἅπαξ δόξῃ τις φιλοκίνδυνος εἶναι, ἔξεστι καὶ ἡσυχίαν ἔχοντα, προσποιούμενον δὲ πράξειν τι πράγματα τοῖς πολεμίοις παρέχειν. ἀλλὰ γὰρ οὐδεὶς ἂν τις δύναιτο πλάσαι οἷον βούλεται, εἰ μὴ δὲ ὧν γε πλάττοιτο παρεσκευασμένα εἴη ὡς πείθεσθαι τῇ τοῦ χειροτέχνου γνώμῃ. οὐδὲ γὰρ ἂν δὲ ἀνδρῶν, εἰ μὴ σὺν θεῷ οὕτω παρεσκευασμένοι ἔσονται, ὡς φιλικῶς τε ἔχειν πρὸς τὸν ἄρχοντα, καὶ φρονιμώτερον σοφῶν αὐτὸν ἡγήσονται περὶ τῶν πρὸς τοὺς πολεμίους ἀγώνων. εὐνοϊκῶς μὲν οὖν ἔχειν καὶ ἐκ τῶνδε εἰκὸς τοὺς ἀρχομένους, ὅταν φιλοφρόνως τε ἔχῃ πρὸς αὐτοὺς καὶ προνοῶν φαίνηται, ὅπως τε σῖτον ἕξουσι, καὶ ὅπως ἀσφαλῶς μὲν ἀποχωρήσουσι, πεφυλαγμένως δὲ ἀναπαύσονται. ἐν δὲ ταῖς φρουραῖς χρὴ καὶ χιλοῦ καὶ σκηνῶν, καὶ ὑδάτων, καὶ φυλακῶν, καὶ τῶν ἄλλων ἐπιτηδείων φανερὸν εἶναι ἐπιμελούμενον καὶ προνοοῦντά γε καὶ ἀγρυπνοῦντα ἕνεκα τῶν ἀρχομένων. καὶ ὅταν γε πλέον ἔχῃ τι, τὸ μεταδοῦναι κερδαλέον τῷ προεστηκότι. ἥκιστα δ' ἂν καταφρονοῖεν ἄρχοντος, ὡς μὲν συνελόντι εἰπεῖν, εἰ ὁπόσα ἐκείνοις παραινοίη αὐτὸς, ταῦτα βέλτιον ἐκείνων φαίνοιτο ποιῶν. ἀρξάμενον οὖν δεῖ ἀπὸ τοῦ ἀναβαίνειν ἐπὶ τοὺς ἵππους πάντα τὰ ἐν ἱππικῇ μελετᾶν, ὅπως ὁρῶσι τὸν ἄρχοντα δυνάμενον ἐπὶ τοῦ ἵππου καὶ τάφρους ἀσφαλῶς περᾶν, καὶ τείχη ὑπεραίρειν, καὶ ἀπὸ χέων καταίρειν, καὶ ἀκοντίζειν ἱκανῶς. πάντα γὰρ ταῦτα προκόπτει τι εἰς τὸ καταφρονεῖσθαι. ἢν δὲ δὴ καὶ πράττειν γνῶσιν ἐπιστάμενόν τε καὶ δυνάμενον παρασκευάζειν, ὡς ἂν πλέον ἔχοιεν τῶν πολεμίων. πρὸς δὲ τούτοις, κἂν ἐκεῖνο λάβωσιν εἰς τὴν γνώμην, ὡς οὔτ' ἂν εἰκῇ, οὔτ' ἄνευ θεῶν, οὔτε παρὰ τὰ ἱερὰ ἀγάγοιτ' ἂν ἐπὶ πολεμίους, πάντα ταῦτα πιθανωτέρους τῷ ἄρχοντι τοὺς ἀρχομένους ποιεῖ. παντὶ μὲν οὖν προσήκει ἄρχοντι φρονίμῳ εἶναι. πολὺ μέντοι τὸν Ἀθηναίων ἵππαρχον διαφέρειν δεῖ, καὶ τῷ τοὺς θεοὺς θεραπεύειν, καὶ τῷ πολεμικὸν εἶναι. ᾧ γε ὑπάρχουσι μὲν ὅμοροι ἀντίπαλοι, ἱππεῖς τε παραπλήσιοι τὸ πλῆθος καὶ ὁπλῖται πολλοί. κἂν μὲν εἰς τὴν πολεμίαν ἐμβάλλειν ἐπιχειρῇ ἄνευ τῆς ἄλλης πόλεως, πρὸς ἀμφοτέρους τούτους μόνοις ἂν τοῖς ἱππεῦσι διακινδυνεύοι. ἢν δ' οἱ πολέμιοι εἰς τὴν Ἀθηναίων χώραν ἐμβάλλωσι, πρῶτον μὲν οὐκ ἂν ἄλλως ἔλθοιεν, εἰ μὴ σὺν ἄλλοις τε ἱππεῦσι πρὸς τοῖς ἑαυτῶν, καὶ πρὸς τούτοις ὁπλίταις ὁπόσοις ἂν οἴωνται πάντας Ἀθηναίους μὴ ἱκανοὺς εἶναι μάχεσθαι. πρὸς οὖν τοσούτους πολεμίους, ἢν μὲν ἡ πόλις πᾶσα ἐπεξίῃ ἀρήξουσα τῇ χώρᾳ, ἐλπίδες κα-

λαί·

καὶ ἱππεῖς τε γὰρ σὺν θεῷ ἀμείνους ἤν τις αὐτῶν ἐπι-
μελῆται ὡς δεῖ, ὁπλῖται τε οὐ μείους ἔσονται, καὶ τὰ σώ-
ματα τοίνυν οὐ χείρω ἔχοντες, καὶ τὰς ψυχὰς φιλοτι-
μότεροι, ἢν ὀρθῶς ἀσκηθῶσι σὺν θεῷ. καὶ μὴν ἐπί γε τοῖς
προγόνοις οὐ μεῖον ἀθηναῖοι ἢ Βοιωτοὶ φρονοῦσιν. ἢν δὲ
ἡ μὲν πόλις τράπηται ἐπὶ τὰ ναυτικὰ, καὶ ἀρκῇ αὐτῇ τὰ
τείχη διασώζειν, ὥσπερ καὶ ὁπότε λακεδαιμόνιοι σὺν
ἅπασι τοῖς ἕλλησιν ἐνέβαλον, τοὺς δὲ ἱππέας ἀξιώσειεν
τά τε ἐκτὸς τοῦ τείχους διασώζειν, καὶ αὐτοὺς μόνους δια-
κινδυνεύειν πρὸς πάντας τοὺς ἐναντίους. ἐνταῦθα δὴ
θεῶν μὲν οἶμαι πρῶτον συμμάχων ἰσχυρῶν δεῖ. ἔπει-
τα δὲ καὶ τὸν ἵππαρχον προσήκει ἀρτιτελούμενον ἄν-
δρα εἶναι. καὶ γὰρ φρονήσεως δεῖ πολλῆς πρὸς τοὺς πολὺ
πλείους καὶ τόλμης, ὁπότε καιρὸς παραπέσοι. δεῖ δὲ ὡς
ἐμοὶ δοκεῖ καὶ πονεῖν αὐτὸν ἱκανὸν εἶναι. πρὸς μὲν γὰρ τὸ
παρὸν στράτευμα διακινδυνεύειν, ᾧ μηδὲ ὅλη ἡ πόλις θέ-
λοι ἀντικαθίστασθαι, δηλονότι πάσχοιεν ἂν ὅτι οἱ κρείττους
βούλοιντο, ποιεῖν δὲ οὐδὲν ἂν ἱκανὸς εἴη. εἰ δὲ φυλάττοι
μὲν τὰ ἔξω τείχους, τοσούτους ὅσοι σκοπεύειν τε τοὺς πο-
λεμίους ἱκανοὶ ἔσονται, καὶ ἀναχωρεῖν εἰς τὸ ἀσφαλὲς τὰ
δεόμενα ὡς ἐκ πλείστου. ἱκανοὶ δὲ καὶ προορᾶν οὐδὲν ἧττον
οἱ ὀλίγοι τῶν πολλῶν, καὶ φυλάττειν τοίνυν καὶ ἀναχωρίζειν
τὰ φίλια οὐκ ἀκαιρότεροι, οἱ μήτε αὑτοῖς, μήτε τοῖς ἵπποις
πιστεύοντες. ὁ γὰρ φόβος δεινὸς δοκεῖ συμφύλαξ εἶναι.
τοὺς μὲν φύλακας ἐκ τούτων ἄν τις ποιῶν, ἴσως ὀρθῶς
βουλεύοιτο. τοὺς δὲ περιττοὺς τῆς φυλακῆς, εἰ μέν τις στρα-
τιὰν ἔχειν ἡγήσεται, ὀλίγη αὐτῷ φανεῖται. τοῦ παντὸς γὰρ
ἐνδεήσεται, ὥστε ἐκ τοῦ ἐμφανοῦς διακινδυνεύειν. ἢν δὲ
ὡς λῃσταῖς αὐτοῖς χρῆται, πάνυ ἂν ὡς τὸ εἰκὸς ἱκανὴν
τοῦτο πράττειν ἔχοι δύναμιν. δεῖ δὲ, ὡς ἐμοὶ δοκεῖ, τοὺς
παρεσκευασμένους ἀεὶ ἔχοντα ὡς ποιεῖν τι μὴ καταφα-
νῆ ὄντα φυλάττειν, ἤν τι ἁμαρτάνῃ τὸ τῶν πολεμίων
στράτευμα. φιλοῦσι δέ πως στρατιῶται, ὅσῳ ἂν πλείους
ὦσι, τοσούτῳ πλείω ἁμαρτάνειν. ἢ γὰρ ἐπὶ τὰ ἐπιτή-
δεια ἐπιμελείᾳ σκεδάννυνται, ἢ πορευομένων ἀτα-
ξίᾳ, οἱ μὲν προέρχονται, οἱ δὲ ὑπολείπονται πλέον τοῦ
καιροῦ. τὰ οὖν τοιαῦτα ἁμαρτήματα οὐ χρὴ παριέναι
ἀκόλαστα. εἰ δὲ μὴ, ὅλη ἡ χώρα στρατόπεδον ἔσται, ἐκεῖνο
καλῶς προνοοῦντα, ἢν ποιήσαντά τι φθάσαι ἀποχωρή-
σαντα πρὶν τὸ πολὺ βοηθοῦν ἐπιγενέσθαι. πολλάκις δὲ
πορευόμενον στράτευμα, καὶ εἰς ὁδοὺς ἔρχεται ἐν αἷς οὐ-
δὲν πλέον οἱ πολλοὶ τῶν ὀλίγων δύνανται. καὶ ἐν δια-
βάσεσί γε ἔστι τῷ προσέχοντι τὸν νοῦν ἀσφαλῶς ἐφεπό-
μενον ταμιεύεσθαι, ὥστε ὁπόσοις ἂν βούληται τῶν πο-
λεμίων ἐπιτίθεσθαι. ἔστι δ' ὅτε καλὸν καὶ στρατοπεδευο-
μένοις, καὶ ἀριστῶσι, καὶ δειπνοποιουμένοις ἐπιχειρεῖν,
καὶ ἐκ κοίτης γε ἀνισταμένοις. ἐν πᾶσι γὰρ τούτοις ἄο-
πλοι στρατιῶται γίγνονται, μείονα μὲν χρόνον οἱ ὁπλῖ-
ται, πλείονα δὲ οἱ ἱππεῖς. σκοποῖς μέντοι καὶ προφυ-
λακαῖς, οὐδέποτε δὴ παύεσθαι ἐπιβουλεύοντα. οὗτοι
γὰρ αὖ ὀλίγοι μὲν ἀεὶ καθίστανται. πολὺ δὲ τοῦ ἰσχυροῦ
ἐνίοτε ἀπέχουσιν. ὅταν δὲ τὰ τοιαῦτα ἤδη καλῶς φυ-
λάττωνται οἱ πολέμιοι, καλὸν ἔστι σὺν θεῷ λαθόντα
ἐλθεῖν εἰς τὴν πολεμίαν μεμελετηκότως, οἵ τε ἑκα-
σταχοῦ καὶ ποῦ τῆς χώρας προφυλάττουσιν. οὐδεμία
γὰρ οὕτω καλὴ λεία ὡς αἱ φυλακαὶ ἢν κρατηθῶσι καὶ
εὐεξα-

ma est: nam & equites meliores erunt, Deo iuuante, si quis
eorum talem curam gerat, qualem decet: & grauis arma-
turæ milites non erunt inferiores, aut pauciores, nec corpo
ribus deterioribus, & animis honorum appetentioribus, si
modo recta exercitatione fuerint instituti. Nec uerò Athe-
nienses minorem causam de maioribus gloriandi quàm Bœ
oti habent. Sin ciuitas ad nauales copias se cōuertat, eiq; sa
tis sit hostem mœnibus prohibere: ut cùm Lacedæmonij cū
uniuersis Græcis irruptionem fecerunt: equites autē dignos
10 censeat, qui, quæ sunt extra munitiones, omnia tueantur, so
liq; illi periculis se offerant contra hostes, tum demum pro
socijs fortißimis primum dij sunt optandi. deinde hippar-
chum decet uirum esse perfectum, & usum militarem habe
re: magna enim opus est prudentia aduersus eos qui longe
numero uincunt, & audacia, si occasio inciderit hāc requi
rens. Debet etiam, ut mea quidem fert opinio, idoneus esse
ad perferendos labores. Nam aduersus talem exercitū peri
culum adiens, cui ne tota quidē ciuitas poßit resistere, pro
fectò patietur quicquid illi a superioribus impositū fuerit,
20 nihil autem in illos statuere poßit. Quod si ea quæ sunt ex-
tra munitiones tuebitur, id eo numero effici poßit, qui &
hostes obseruare, & in tutum, quoties res postulabit, se re-
cipere tempestiuißime poßit. Poßunt etiam nihilo minus
prouidere pauci, q̄ multi, ac custodire, rebusq; amicorū re-
ceptum dare non intempestiue, qui neq; sibi, neq; equis fi-
dunt: optimus enim est custos metus. Qui igitur ex his cu-
stodes effecerit, fortaßis rectè consulat. Ex his autē qui cu-
stodiæ adhibiti non fuerint, si quis exercitum se habere pu
tabit, exiguus ipsi uidebitur: integro enim & perfecto desti
30 tutus exercitu, aperte se in periculum coniecturus est: At si
quasi latronibus uti uelit, satis magnam ad id efficiendum
manum, ut uerisimile est, habebit. Debet etiam, ut mihi qui
dem uidetur, equitum magister paratos semper milites ha-
bere, quasi aliquid faciat, & in occulto se tenere, ut si quid
exercitus hostilis peccet, obseruare poßit. Solent enim mili
tes, quanto plures fuerint, tanto plura peccare & errare:
aut enim ad necessaria quærenda studio disperguntur mili-
tes, aut dū progrediuntur inordinata sunt omnia, alijs præ
cedentibus, alijs a tergo diutius quàm conuenit subsistenti
40 bus. Atq; huiusmodi delicta impunè non sunt prætermitten
da. Sin secus, tota regio complebitur exercitu militum. Il-
lud summè prouidendum est, ut si quid facere anteoccupa-
rit, in tutum prius se recipiat, quam aliquod superueniat ma
ius auxilium. Sæpe autem cùm progreditur exercitus, acci-
dit ut in eius generis uias incidat, ubi non plus poßint
plurimi quàm paucißimi. Cùm autem hostes traducunt flu
mina, si diligenter obserues, & caute sequaris, id conse-
qui poßis, ut cum quantolibet hostium numero confligas.
Est etiam aliquoties utile adoriri & castrametantes, pran
50 dentes, cœnantes, cubitu surgentes, quod in his omnibus
milites arma ponere soleant, pedites quidem ad breue
tempus, equites ad longius spacium. Exploratoribus qui-
dem & primis excubitoribus continenter insidias struen-
dæ sunt, cùm & pauci esse soleant, & aliquoties à mu-
nitionibus procul abesse. Cum uero hæc hostes diligenter
custodiunt, utile est Deo placato & approbante, clàm in
hosticum proficisci: sed summa adhibita diligentia, ut
qui ubicunque, & in qua regionis parte primi excubias
agunt, cognoscas. Nulla est enim tam gloriosa præda, at-
que excubiarum & uigiliarum, si deprehensæ teneantur.

Et sanè opportuni sunt fallacijs custodes: persequuntur enim minima quæq;, quod id sibi imperatũ esse arbitrantur. Considerare tamen debemus, quo possimus receptum habere, ne sit è regione eorum, qui nobis succurrere debebunt. Porrò qui fortissimũ exercitum tutò & sine calamitate sua maleficio aliquo afficere possunt, eos necesse est sic excellere, ut exercitati in rebus bellicis, hostes autem cum his comparati, idiotæ omninoq; imperiti esse uideantur. Primũ autem illud adesse debet, ut prædaturi sint exercitati in trãsuectionib. & decursionib. quò labores possint perferre militares: nam harum rerũ imperiti seu equi seu milites, iure optimo quasi mulieres cum uiris decertare uidebũtur. At instituti & assuefacti transiliendis fossis, & munitionib. superãdis, locis præruptis scandendis, quiq; ex altis & præruptis se demittere & librare assuefacti sunt, & per decliuia celeriter uectari, hi uero tanto præstant inexercitatis, & horũ imperitis, quantum aëria & pennigera animantia terrestribus. Rursus autem qui pedibus sunt exercitatis, tantum eis antecellunt qui sunt ad asperitates uiarum inexercitati, quãtum claudis integri. Ac locorum periti tantum in progressione & regressione præstant imperitis, quantum cæcis, qui aspectu utuntur commode. Ne illud quidem equestris disciplinæ peritum fugere debet, equos bene habitos, non autem saginatos ad suffocationem usq;, laboribus sustinendis utilissimos esse. Et quoniam frena & ephippia è loro suspensa utilia sunt, magistro equitum curandum est, ut illis nunquam careat, cum præsertim parila impensa eos qui illis careant, utiles & ad prælium habiles efficere possit. Si quis autem est qui multum inesse negocij existimet, si ista ratione ars equestris sit exercenda, is cogitare debebit, qui ad gymnicos ludos exercentur, eos multo pluribus & molestioribus urgeri molestijs, quàm qui summa diligentia equestrem exercent disciplinam: illi enim se plurimũ cum sudore ad gymnasticen exercent. In equestri autem exercitatione plurima sunt plena uoluptatis. Nã si quis optaret uolucer fieri, nullum est ex humanis operibus, quod uolatui magis, q̃ equitatus, simile esse uideatur. Iam uero potiri uictoria in bello, gloriosius est multo q̃ in pugilatu: quod istius gloriæ respub. particeps fieri soleat. Vt autẽ multa sunt in belli uictoria, sic et dij beatitate respub. coronãt: ut haud sciam an quicquã aliud utilius sit, q̃ rei militaris disciplinã artemq; exerceri. Etiam cogitare debemus, piratas laboribus exercitatos, posse uel à multo superioribus & præstantioribus uictum sibi parare. Conuenit & ijs qui in terra sua ipsi percipiũt, sed cibarijs carent, prædari: aut enim opus faciendum, aut ab elaboratis & opere confectis alimenta sumenda: aliter uerò nõ facile est neq; uitam ducere, neq; pacem habere. Illud etiam meminisse debet, ut nunq̃ in eos impetum faciendum putet, quos superiores euasuros arbitretur, maximè si erit à tergo locus equis transitu difficilis, cũ non sit idem erratum fugientis & persequentis. Iam uero illud monendum puto, ut illud quoq; caueatur: sunt enim quidam qui cùm in eos impetum facturi sint, quibus se superiores fore putant omnino, paruà manu inuadunt, ut sæpe illis acciderint, quæ ipsi in alios se illaturos confidebãt. Cum uero in eos quibus se certo sciunt inferiores esse, quicquid copiarum habuerint, educunt. Ego uerò contrà omnino fieri oportere arbitror: ac cum te uictoria potiturum existimabis, copijs quas habeas parcere non debes: nam multis partibus uicisse, neminem unquam pœnituit.

Cum

ἐξαπατητικοὶ δ' εἰσὶν οἱ φύλακες. διώκουσι γὰρ ὅτι ἂν ὀλίγον ἴδωσι, νομίζοντες σφίσι τοῦτο προστετάχθαι. τὰς μέντοι ἀποχωρήσεις σκοπεῖν δεῖ, ὅπως μὴ ἐναντίαι τοῖς βοηθοῦσιν ἔσονται. τοὺς μέντοι μέλλοντας δυνήσεσθαι ἀσφαλῶς τὸ πολὺ κρεῖττον στράτευμα κακουργεῖν, σαφὲς δεῖ τοσοῦτον διαφέρειν, ὥστε τοὺς μὲν ἀσκητὰς φαίνεσθαι τῶν πολεμικῶν ἐν ἱππικῇ ἔργων, τοὺς δὲ πολεμίους ἰδιώτας. τοῦτο δ' ἂν εἴη πρῶτον μὲν ληΐζεσθαι μέλλοντες ἐκπεπονημένοι εἶεν τῇ ἐλάσει, ὥστε δύνασθαι στρατιωτικοὺς πόνους ὑποφέρειν. οἱ γὰρ πρὸς ταῦτα ἀμελῶς ἔχοντες, καὶ ἵπποι καὶ ἄνδρες, εἰκότως ἂν ὥσπερ γυναῖκες πρὸς ἄνδρας ἀγωνίζοιντο. οἱ δέ γε δεδιδαγμένοι τε καὶ εἰθισμένοι, τάφρους τε διαπηδᾶν καὶ τειχία ὑπεραίρειν, καὶ ἐπ' ὄχθους ἀνάλλεσθαι, καὶ ἀφ' ὑψηλῶν ἀσφαλῶς καθιέναι, καὶ τὰ κατάντη ταχὺ ἐλαύνεσθαι, οὗτοι δ' αὖ τοσοῦτο διαφέροιεν ἂν τῶν ἀμελετήτων ταῦτα, ὅσονπερ πτηνοὶ πεζῶν. οἱ δέ γε αὖ τοὺς πόδας ἐκπεπονημένοι, τῶν ἀτριβάτων πρὸς τραχέα, ὅσονπερ ὑγιεῖς χωλῶν. καὶ οἵ γε τῶν τόπων ἔμπειροι πρὸς τοὺς ἀπείρους, τοσοῦτον ἐν ταῖς προελάσεσι καὶ ἀποχωρήσεσι διαφέροιεν ἄν, ὅσονπερ οἱ ὁρῶντες τῶν τυφλῶν. καὶ τοῦτο δὲ χρὴ εἰδέναι, ὅτι οἱ εὐοχούμενοι ἵπποι μὴ ἐκπεπονημένοι δὲ ὥστε ἀποπνίγεσθαι, ἐν τοῖς πόνοις εὐπαρασκευασμένοι εἰσί. χρὴ δὲ ἐπείπερ χαλινοὶ καὶ ἐφίππια ἐξ ἱμάντων ἠρτημένα ἐστὶ χρήσιμα, μή ποτε τὸν ἵππαρχον τούτων ἔρημον εἶναι. μικρᾶς γὰρ δαπάνης τοὺς ἀποροῦντας χρησίμους ἂν παρέχοιτο. εἰ δέ τις νομίζοι, πολλὰ ἕξειν πράγματα, εἰ οὕτω δεήσει ἀσκεῖν τὴν ἱππικήν, ἐνθυμηθήτω ὅτι οἱ εἰς τοὺς γυμνικοὺς ἀγῶνας ἀσκοῦντες, πολὺ πλείω πράγματα καὶ χαλεπώτερα ἔχουσιν, ἢ οἱ τὴν ἱππικὴν τὰ μάλιστα μελετῶντες. καὶ γὰρ τῶν μὲν γυμνικῶν ἀσκημάτων τὰ πολλὰ σὺν ἱδρῶτι ἐκπονοῦνται. τῆς δὲ ἱππικῆς τὰ πλεῖστα μεθ' ἡδονῆς. ὅπερ γὰρ εὔξαιτ' ἄν τις πτηνὸς γενέσθαι, οὐκ ἔστιν ὅτι μᾶλλον τῶν ἀνθρωπίνων ἔργων ἔοικεν αὐτῷ. καὶ μὴν τό γ' ἐν πολέμῳ νικᾶν, πολλῷ ἐνδοξότερον, ἢ πυγμῇ. μετέχει μὲν γάρ τι καὶ ἡ πόλις ταύτης τῆς δόξης. ὡς δὲ τὰ πολλὰ ἐπὶ τῇ τοῦ πολέμου νίκῃ, καὶ εὐδαιμονίᾳ οἱ θεοὶ τὰς πόλεις στεφανοῦσιν. ὥστ' οὐκ οἶδ' ἔγωγε τίνα προσήκει, ἄλλα μᾶλλον ἀσκεῖσθαι, ἢ τὰ πολεμικά. ἐννοεῖν δὲ χρή, ὅτι καὶ οἱ κατὰ θάλατταν λῃσταί, διὰ τὸ πονεῖν ἀσκηκέναι, δύνανται ζῆν καὶ ἀπὸ τῶν πολὺ κρειττόνων. προσήκει γε μὴν καὶ κατὰ γῆν οὐ τοῖς καρπουμένοις τὰ ἑαυτῶν, ἀλλὰ τοῖς στερισκομένοις τῆς τροφῆς λῄζεσθαι. ἢ γὰρ ἐργαστέον ἢ ἀπὸ τῶν εἰργασμένων θρεπτέον. ἄλλως δ' οὐ ῥᾴδιον οὔτε βιοτεύειν, οὔτε εἰρήνης τυχεῖν. μεμνῆσθαι δὲ κἀκεῖνο χρὴ μή ποτε ἐπὶ τοὺς κρείττους ἐλαύνειν, ὄπισθεν ἵππῳ δύσβατον ποιούμενον. οὐ γὰρ ὅμοιον φεύγοντι καὶ διώκοντι σφαλῆναι. ἔτι δὲ βούλομαι ὑπομνῆσαι καὶ τόδε φυλάττεσθαι. εἰσὶ γάρ τινες οἳ ὅταν μὲν ἴωσιν ἐπὶ τούτους, ὧν ἂν οἴωνται κρείττους εἶναι, παντάπασιν ἀσθενεῖ δυνάμει ἔρχονται, ὥστε πολλάκις ἔπαθον ἃ ᾤοντο ποιήσειν. ὅταν δ' ἐπὶ τούτους ὧν ἂν σαφῶς ἐπίστωνται ἥττους ὄντες, πᾶσαν ὅσην ἂν ἔχωσι δύναμιν ἄγουσιν. ἐγὼ δέ φημι χρῆναι τἀναντία τούτων ποιεῖν. ὅταν μὲν κρατήσειν οἰόμενος ἄγῃ, μὴ φείδεσθαι τῆς δυνάμεως ὅσην ἂν ἔχῃ·

τὸ

τὸ γὰρ πολὺ νικᾶν, οὐδενὶ πώποτε μεταμέλειαν παρέ-
σχεν. ὅταν δὲ τοῖς πολὺ κρείττοσιν ἐπιχειρῇ καὶ προγι-
νώσκῃ ὅτι ποιήσαντα ὅτι ἂν δύνηται φευκτέον εἶναι, ἐς
τὰ τοιαῦτά φημι, πολὺ κρεῖττον εἶναι ὀλίγους ἢ πάντας
προσάγειν. τοὺς μέντοι ἀπειλεγμένους καὶ ἵππους καὶ ἄν-
δρας τοὺς κρατίστους. τοιοῦτοι γὰρ ὄντες καὶ ποιῆσαι ἄν τι
καὶ ἀποχωρῆσαι, ἀσφαλέστερον ἂν δύναιντο. ὅταν δὲ
πρὸς τοὺς κρείττους πάντας προσαγαγὼν ἀποχωρεῖν βού-
ληται, ἀνάγκη τοὺς μὲν ἐπὶ τῶν βραδυτάτων ἵππων ἁ-
λίσκεσθαι. τοὺς δὲ καὶ διὰ ἀφιππείαν πίπτειν. τοὺς δὲ καὶ διὰ
δυσχωρίας ἀπολαμβάνεσθαι. καὶ γὰρ πολὺν τόπον χαλε-
πὸν εὑρεῖν, οἷον ἄν τις εὔξαιτο. ὑπό γε μὴν τοῦ πλήθους
καὶ συμπίπτοιεν ἄν, καὶ ἐμποδίζοντες, πολλὰ ἂν ἀλλή-
λους κακουργοῖεν. οἱ δ' ἀγαθοὶ ἵπποι καὶ ἱππεῖς δυνα-
τοὶ καὶ ἐξ αὐτῶν διαφεύγειν. ἄλλως τε ἂν καὶ μηχανᾶ-
ταί τις τοῖς διώκουσι φόβον, ἀπὸ τῶν περιττῶν ἱππέων.
σύμφορον δ' ἐς τοῦτο καὶ αἱ ψευδενέδραι. χρήσιμον δὲ
κἀκεῖνο τὸ εὑρίσκειν πόθεν ἂν οἱ φίλοι ἐξ ἀσφαλοῦς ἐπι-
φαινόμενοι, βραδυτέρους τοὺς διώκοντας παρέχοιεν.
ἀλλὰ μὴν καὶ τόγε δῆλον ὡς πόνοις, καὶ τάχει οἱ ὀλί-
γοι τῶν πολλῶν πολὺ μᾶλλον, ἢ οἱ πολλοὶ τῶν ὀλίγων περι-
γίγνοιντ' ἄν, καὶ οὐ λέγω ὡς διὰ τὸ ὀλίγοι εἶναι καὶ πονεῖν
μᾶλλον δυνήσονται καὶ θάττους ἔσονται. ἀλλ' ὅτι ῥᾷον εὑ-
ρεῖν ὀλίγους ἢ πολλοὺς τοὺς καὶ τῶν ἵππων ἐπιμελησομέ-
νους ὡς δεῖ, καὶ αὐτοὺς φρονίμως μελετήσοντας τὴν ἱππι-
κήν. ἢν δέ ποτε συμβαίνῃ ἀγωνίζεσθαι πρὸς παραπλη-
σίους ἱππέας, ἐγὼ μὲν οἶμαι οὐκ ἂν χεῖρον εἶναι ἀπὸ δύο
τάξεις ἐκ τῆς φυλῆς ποιήσαντα. καὶ τῆς μὲν ὁ φύλαρχος
ἡγεῖτο, τῆς δὲ ἄλλος ὅστις ἄριστος δοκοίη εἶναι. οὗτος δὲ τέως
μὲν ἕποιτο κατ' οὐρὰν τῆς μετὰ τοῦ φυλάρχου τάξεως.
ἐπεὶ δ' ἐγγὺς ἤδη εἶεν οἱ ἀντίπαλοι, ἀπὸ παραγγέλσεως
παρελαύνοι ἐπὶ τοὺς πολεμίους. οὕτω γὰρ οἶμαι καὶ ἐκπλη-
κτικωτέρους τοῖς ἐχθροῖς ἂν εἶναι, καὶ δυσμαχωτέρους.
εἰ δὲ πεζοὺς ἔχοιεν ἑκάτεροι, καὶ οὗτοι ἀποκεκρυμμένοι
ὄπισθεν τῶν ἱππέων, ἐξαπίνης δὲ παραφαινόμενοι καὶ
ὁμόσε ἰόντες, δοκοῦσιν ἄν μοι τὴν νίκην πολὺ μᾶλλον
κατεργάζεσθαι. ὁρῶ γὰρ τὰ παράδοξα, ἢν μὲν ἀγαθὰ ᾖ,
μᾶλλον εὐφραίνοντα τοὺς ἀνθρώπους. ἢν δὲ δεινά, μᾶλ-
λον ἐκπλήττοντα. ταῦτα δὲ γνοίη ἄν τις μάλιστα ἐνθυ-
μούμενος. ὡς οἵ τε ἐνέδραις ἐμπίπτοντες ἐκπλήττονται,
καὶ ἐὰν πολὺ πλείους ὦσι. καὶ ὅταν πολέμιοι ἀλλήλοις
ἀντικάθωνται, ὡς πολὺ ταῖς πρώταις ἡμέραις φοβερώ-
τατα ἔχουσιν. ἀλλὰ τὸ μὲν διατάξαι ταῦτα οὐ χαλε-
πόν. τὸ δ' εὑρεῖν τοὺς φρονίμως καὶ πιστῶς καὶ προθύμως
καὶ εὐψύχως παρελῶντας ἐπὶ τοὺς πολεμίους, τοῦτο ἤδη
ἀγαθοῦ ἱππάρχου. δεῖ γὰρ καὶ λέγειν αὐτὸν ἱκανὸν εἶναι,
καὶ ποιεῖν τοιαῦτα ἀφ' ὧν οἱ ἀρχόμενοι γνώσονται ἀγαθὸν
εἶναι, τό, τε πείθεσθαι καὶ τὸ ἕπεσθαι, καὶ τὸ ὁμόσε ἐλαύνειν
τοῖς πολεμίοις, καὶ ἐπιθυμήσουσι τοῦ καλόν τι ἀκούειν,
καὶ δυνήσονται ἃ ἂν γνῶσιν ἐγκαρτερεῖν. ἐὰν δέ ποτε
ἢ φαλάγγων ἀντιτεταγμένων, ἢ χωρίων ἑκατέροις
ὑπαρχόντων ἐν τῷ μέσῳ, τοῖς ἱππεῦσιν ἀναστροφαί τε
καὶ διώξεις καὶ ἀποχωρήσεις γίγνονται, εἰώθασι μὲν ὡς
τὰ πολλὰ ἐκ τῶν τοιούτων, ὁρμᾶν μὲν ἐκ τῶν ἀναστρο-
φῶν βραδέως ἀμφότεροι. τὸ δ' ἐν μέσῳ τάχιστα ἐλαύ-
νειν. ἢν δέ τις οὕτω προδείξας. ἔπειτα δ' ἐκ τῆς ἀναστροφῆς
ταχέως

Cum uero cum multo superioribus congrediendum
est, & præsentias, etiam si omnia quæ possis feceris,
tamen fugiendum esse, in his melius esse paucos,
quam omnes educi iudico: strenuißimis tamen tum
uiris, tum equis ad id exequendum delectis: qui si ta
les erunt, & inuadere et retrocedere tutius poterũt.
Quod si in fortiorẽ & superiorẽ exercitum omnes
copias eduxerit hipparchus, & retrocedere uolue
rit, qui in tardißimis equis sederint, ut capiantur ne
10 cesse est: alij quod ephippijs careãt, de equis cadent,
alij propter locorũ angustias intercipientur: nõ enim
facile est ex animi uoto satis locorum reperire: præ
multitudine autem & concident, & inuicem impe
dientes alij alios lædent multis modis. At generosi
equi equitesq; possunt ex illis aufugere, præsertim si
quis persequentib. moliatur terrorẽ inferre equitũ si
mulatorũ multitudine. Prosunt hic etiam simulatæ
insidiæ. Vtile & illud inuenire, unde amici & socij
ex tuto & munito se proferẽtes, efficiant ut qui no
20 stros insequẽtur, tardiores reddãtur. Quinetiã illud
perspicuum est, facilius à paucis multos, quàm à multis
paucos tum laboribus, tum celeritatib. superatũ iri.
Nec illud dico, quia pauci sint, ideo posse tum ma
gis laborare, tum celeriores esse: sed quia facilius est
inuenire paucos, quàm multos, qui & equos ut decet cu
rẽt, & se in arte equestri prudenter gerant. Sin inter
dum cõtingat ut cum equitib. comminus decertandũ
sit, equidẽ arbitror optimũ fore, si ex una tribu cõsti
tuãtur ordines duo, quorũ alteri præsit tribunus, al
30 teri uero ut quisq; ei muneri uisus fuerit aptißimus:
qui quidem interea à tergo eius agminis, cui præsit
tribunus, sequetur. Cum uerò hostes appropinqua
rint, ex imperio occulto irruet in illos: sic enim arbi
tror nostros hostibus uisum iri & terribiliores, &
debellatu difficiliores. Quod si pedites utriq; habue
rint, hiq; qui post equites occultati fuerint si de im
prouiso sese ostendant, et simul adoriantur, uidentur
facile uictoriã obtinere posse: uideo enim homines re
bus inexpectatis, si bonæ & iucũdæ fuerint, uehemẽ
40 tius delectari: sin malæ & incõmodæ, multo magis
perterreri. Hæc autem cognoscere licebit ei, qui secũ
reputarit, quàm obstupescant & perterreãtur qui in insi
dias incidũt, etiam si numero insidiatores longe uin
cant: & cùm hostes sibi ex aduerso cõsident, quan
to magis à primo alijs terrori sint. Sed hæc describe
re nõ est admodũ difficile: inuenire aũt qui pruden
ter, fideliter, alacriter, & animose in hostes irruptio
nẽ faciant, hoc demũ est optimi equitũ præfecti offi
cium: oportet enim eum dicendi facultate ualere, ac
50 ea agere, ex quib. hi quibus præsit, intelligant sibi ip
sis utile esse, & parẽre, & comitari, & simul in ho
stes impetũ facere, concupiscantq; aliquid honestum
audire, quæq; cognorint, ea ut patiẽter perferre pos
sint. Si quando autem uel phalangib. instructis, uel
agris inter utrosq; equites intermißis, equitib. pote
stas fit ut leuibus prælijs inter se confligant, tum per
sequentes, tum se receptui dantes solent plurimũ in
tali rerum statu tardè incitari utrinq;, locum autem
medium celerrimè decurrere. Si quis autem cùm sic
præmonstrarit et facturum significarit, postea tamen
celeri

celeriter persequatur, simulq; in tutum se recipiat le
ui prælio facto, maxima hostibus inferet detrimenta:
& ut opinor, istud tutißimè consequetur, cum cele-
ritate persequens, interea dum propè munitionē fue
rit: ac eadem utens celeritate, dum hostium munitio
nem uitat. Quod si fieri posset ut clàm cuiusq; agmi
nis strenuißimi uiri, & equi uel quatuor uel quinq;
relinquerentur, cupidißimè in hostes reuertentes in-
uerent. Hæc autem uel rarò legere satis est, faciendū
autem semper ut se illi occasio obtulerit: & conside
ratis ijs, quæ sunt ante oculos, in utili elaborandum.
Nam mandare literis, quæ facienda sunt omnia, non
magis facilè est, q̄ omnia futura scire. Omniū autem
præceptorum illud mihi quidem uidetur præclarißi
mum, ut quæ noris utilia esse, ea cures etiam confici
enda. Quæ autem rectè iudicantur, neq; in agricul-
tura, neq; in arte nauicularia, neq; in magistratu ge
rendo fructū afferunt ullum, nisi quis ut ea perficiā
tur curet. Existimo autem hæc dijs iuuantibus, et to
tum equitatū citius expletū iri ad mille equites: mul
toq; ciuibus fore facilius, si ex peregrinis ducētos ad
equū rescribant, equitesq; conficiant. Videtur enim
illi adiuncti & fideliorem equitatū omnem effectu-
ri, & laudis uirtutis bellicæ inter se cupidiorem. Ac
apud Lacedæmonios quidem equitatū tum demū ce
lebrari cœpisse scio, cum peregrinos equites adiun-
xissent. Et in alijs ciuitatibus ubiq; peregrinos uideo
probari, magnāq; laudem consequi: necessitas enim
maximam affert alacritatem. Ad coëmendos equos
pecunias suppeditatum iri arbitror ab ijs qui magno
pere ab equitando abstinent: quando & hi quibus
equitandi munus conuenit & aßignatur, pecuniam
solent pendere ut eo munere liberentur. A diuitibus
quidem illis, sed corpore imbecillis, suppeditabūtur:
à pupillis etiam, opinor, qui potentes habent famili-
as. Extituros præterea puto incolas, qui in ordinem
equestrem cooptari expetant. Video enim & alia-
rum rerum magnarum & honestarum, quas imper
tiunt illis ciues, cupidè nonnullos curationem admi
nistrare solere, imperataq; facere. Peditatum uerò cū
equis coniunctus uidetur multa efficere posse, si ex
ijs cōstituatur, qui hostibus maximè sint infensi. At-
que hæc omnia dijs approbantibus fieri debebunt.
Quòd si quis miratur sæpe à me illud scriptum esse,
fauente Deo agendum: is sciat, si in periculis sæpe
uersabitur, se minus miraturum: ac si secum reputa-
bit, hostes tempore belli sibi alios alijs insidias pone
re, rarò autem ubi lateant & abstrusæ sint, sciri pos-
se. Atqui in istis nemo sic consilio ualet, ut rationem
deprehendendi ostendere poßit, præter deos, qui om
nia sciunt, & præsignificant tum hostijs, tum augu-
rijs, tum rumorib. tum somnijs. Credibile est aūt de-
os hac in re magis cōsulturos iis, qui nō solum cùm
ipsi egēt, oracula petunt, ut quid sit faciendū sciant,
sed etiam rebus prosperis eos uenerantur
& colunt.

ταχέως τε διώκοι καὶ ταχέως ἀποχωροίη, βλάπτειν τ' ἂν
μάλιστα τοὺς πολεμίους δύναιτο, καὶ ὡς τὸ εἰκὸς ἀσφαλέ-
στατ' ἂν διάγοι. ταχὺ μὲν διώκων, ἐν ᾧ ἂν ἐγγὺς ᾖ τοῦ
ἑαυτοῦ ἰσχυροῦ. ταχὺ δὲ ἀποχωρῶν ἀπὸ τοῦ τοῖς πολεμίοις
ἰσχυροῦ. εἰ δὲ καὶ λαθεῖν δύναιτο ἀπὸ τῆς τάξεως ἑκάστης κατα-
λιπὼν ἢ τέτταρας ἢ πέντε τῶν κρατίστων ἵππων τε καὶ ἀν-
δρῶν, πολὺ ἂν προέχοιεν εἰς τὸ ἐπαναστρεφομένοις τοῖς
πολεμίοις ἐμπίπτειν. ταῦτα δὲ ἀναγιγνώσκειν μὲν καὶ
ὀλιγάκις ἀρκεῖ. ποιεῖν δὲ τὸ παρατυγχάνον αὐτῷ ἀεὶ
δεῖ, καὶ πρὸς τὸ παριστάμενον σκοποῦντα, τὸ συμφέρον ἐκ-
πονεῖν. γράψαι δὲ πάντα ὁπόσα δεῖ ποιεῖν, οὐδὲν μᾶλ-
λον οἷόν τέ ἐστιν, ἢ τὰ μέλλοντα πάντα εἰδέναι. πάντων
δὲ τῶν ὑπομνημάτων ἔμοιγε δοκεῖ κράτιστον εἶναι, τὸ ὅσα
ἂν γνῷ ἀγαθὰ εἶναι, ἐπιμελεῖσθαι ὡς ἂν πραχθῇ. ὀρθῶς δὲ γι-
γνωσκόμενα οὐ φέρει καρπόν, οὔτε ἐν γεωργίᾳ, οὔτ' ἐν ναυ-
κληρίᾳ, οὔτε ἐν ἀρχῇ, ἢν μή τις ἐπιμελῆται, ὡς ἂν ταῦτα
περαίνηται. φημὶ δ' ἐγὼ ταῦτα σὺν τοῖς θεοῖς καὶ τὸ πᾶν
ἱππικὸν οὕτως ἂν πολὺ θᾶσσον ἐκπληρωθῆναι εἰς τοὺς χι-
λίους ἱππέας, καὶ πολὺ ῥᾷον τοῖς πολίταις εἰ διακοσίους
ἱππέας ξένους καταστήσαιντο. δοκοῦσι γὰρ ἄν μοι οὗτοι προσ-
γενόμενοι, καὶ εὐπειστότερον ἂν πᾶν τὸ ἱππικὸν ποιῆσαι
καὶ φιλοτιμότερον πρὸς ἀλλήλους περὶ ἀνδραγαθίας. οἶ-
δα δ' ἔγωγε καὶ Λακεδαιμονίοις ἱππικὸν ἀρξάμενον εὐ-
δοκιμεῖν, ἐπεὶ ξένους ἱππέας προσέλαβον. καὶ ἐν ταῖς ἄλ-
λαις δὲ πόλεσι πανταχοῦ τὰ ξενικὰ ὁρῶ εὐδοκιμοῦν-
τα. ἡ γὰρ χρεία μεγάλην προθυμίαν συμβάλλεται. εἰς δὲ τι-
μὴν τῶν ἵππων νομίζω ἂν αὐτοῖς χρήματα ὑπάρξαι, καὶ
παρὰ τῶν σφόδρα ἀπεχομένων μὴ ἱππεύειν, ὅτι καὶ οἷς
καθίστησι τὸ ἱππικόν, ἐθέλουσι τελεῖν ἀργύριον ὡς μὴ
ἱππεύειν παρὰ πλουσίων γε, ἀδυνάτων δὲ τοῖς σώμασι.
οἴομαι δὲ καὶ παρ' ὀρφανῶν τῶν δυνατοὺς οἴκους ἐχόντων.
νομίζω δὲ καὶ μετοίκων φιλοτιμεῖσθαι ἄν τινας εἰς ἱππι-
κὴν καθισταμένους. ὁρῶ γὰρ καὶ τῶν ἄλλων ὁπόσων ἂν καλῶν
ὄντων μεταδιδῶσιν αὐτοῖς οἱ πολῖται, φιλοτίμως ἐνίους
ἐθέλοντας τὸ προσταχθὲν διαπράττεσθαι. δοκεῖ δ' ἄν μοι
καὶ πεζὸν σὺν τοῖς ἵπποις ἐνεργότατον εἶναι, εἰ συσταθείη ἐξ
ἀνδρῶν τῶν ἐναντιωτάτων τοῖς πολεμίοις. ταῦτα δὴ πάν-
τα θεῶν συνεθελόντων γένοιτ' ἄν. εἰ δέ τις τοῦτο θαυμά-
ζει ὅτι πολλάκις γέγραπται τὸ σὺν θεῷ πράττειν, εὖ ἴστω
ὅτι ἢν πολλάκις κινδυνεύῃ, ἧττον τοῦτο θαυμάσεται. καὶ ἤν
γε κατανοῇ, ὅτι ὅταν πόλεμος ᾖ, ἐπιβουλεύουσι μὲν ἀλλή-
λοις οἱ ἐναντίοι. ὀλιγάκις δὲ ἴσασι, πῶς ἔχει τὰ ἐπιβου-
λευόμενα. τὰ οὖν τοιαῦτα οὐδ' ὅτῳ συμβουλεύσαιτό τις
οἷόν τε εὑρεῖν, πλὴν θεῶν. οὗτοι δὲ πάντα ἴσασι. καὶ προση-
μαίνουσιν ᾧ ἂν ἐθέλωσι, καὶ ἐν ἱεροῖς καὶ ἐν οἰωνοῖς, καὶ ἐν
φήμαις, καὶ ἐν ὀνείρασιν. εἰκὸς δὲ μᾶλλον ἐθέλειν αὐτοὺς
συμβουλεύειν τούτοις, οἳ ἂν μὴ μόνον ὅταν δέωνται ἐπε-
ρωτῶσι τί χρὴ ποιεῖν, ἀλλὰ καὶ ἐν ταῖς εὐτυ-
χίαις θεραπεύωσιν, ὅτι ἂν δύνω-
νται τοὺς θεούς.

ILLVSTRISSIMO PRINCIPI AC DOMINO, D. IOANNI VVOCESTRE, COMITI VICORNIENSI, OMNIBONVS LEONICENUS S. P. D.

NVPER legebam, princeps illustris, Xenophontis de Venatione libellum, in quo magnus ille tum rhetor, tum philosophus, probare contendit uenandi studium plus ad uirtutem habere momenti, quam cuiuis credibile uideatur. Quam ad rem multis rationibus utitur, sed illa nimirum potissima, quod apud Chironem huius instituti magistrum, heroës fere omnes cum alias artes ingenijs maioribus dignas, tum uero præ cæteris uenationem meditati, facile omnibus quos ætas illa me-lior tulit non laude solum, sed admiratione etiam præstiterunt, cum fortissimi ijdem fuerint, ac religiosissimi uiri. Id ex eo cognosci potest, quod sibi patriæque suæ præsidio & ornamento fuerunt, quod dijs charissimi omnes, deorum etiam honores plerique meruerunt. Itaque magna me libelli cupido cepit latinæ linguæ tradendi. Hæc enim eludant cæteri licet, quæ de talibus uiris memoriæ produntur, & ea dicant fabulis similiora esse quam ueris. Ego cum te, uitæque institutionem considero, dubitare non possum id optima ratione factum, ut hanc uenandi meditationem, quæ te in primis delectat, magni uiri nihil ab honestioribus studijs alienam esse putauerint. Nihil enim tibi deest ad laudis & gloriæ cumulum, quem non ut cæteros uirtutibus præditos uidemus singulis fere singulos, fide Fabritium, pietate Regulum, continentia Catonem, iustitia Camillum, magnificentia Lucullum, humanitate Marcellum: sed omnibus pariter bonis ornatum uidemus, quæ hominibus uel natura tribuere potest, uel industria comparare. Quocirca libellum hunc latinum facto tuo, ipsum nomini, Princeps illustris, deuouere constitui: opus, ut arbitror, aggressus, nec tibi iniucundum. Cuius enim rei exercitatione lætaris, eiusdem profecto lectione gaudebis. Nec cæteris inutile. Nam quæ Xenophon docet, tu cum ea facias, hinc autoritate ducti iuuenes, hinc exemplo, hinc denique uerum laborem uanis uoluptatibus anteponere incipient. Vale.

ΞΕΝΟΦΩΝΤΟΣ ΡΗΤΟΡΟΣ ΚΥΝΗΓΕΤΙΚΟΣ.

Τὸ μὲν εὕρημα θεῶν καὶ ἀπόλλωνος καὶ ἀρτέμιδος, ἄγραι καὶ κύνες. ἔδοσαν δὲ καὶ ἐτίμησαν τούτῳ χείρωνα διὰ δικαιότητα. ὁ δὲ λαβὼν ἐχάρη τῷ δώρῳ, καὶ ἐχρῆτο. καὶ ἐγένοντο αὐτῷ μαθηταὶ κυνηγεσίων τε καὶ ἑτέρων καλῶν, κέφαλος, ἀσκληπιός, μελανίων, νέστωρ, ἀμφιάραος, πηλεύς, τελαμών, μελέαγρος, θησεύς, ἱππόλυτος, παλαμήδης, ὀδυσσεύς, μενεσθεύς, διομήδης, κάστωρ, πολυδεύκης, μαχάων, ποδαλείριος, ἀντίλοχος, αἰνείας, ἀχιλλεύς, ὧν κατὰ χρόνον ἕκαστος ὑπὸ θεῶν ἐτιμήθη. θαυμαζέτω δὲ μηδείς, ὅτι οἱ πολλοὶ αὐτῶν ἀρέσκοντες θεοῖς, ὅμως ἐτελεύτησαν. ὥσπερ μὲν γὰρ ἡ φύσις. ἀλλ' οἱ ἔπαινοι αὐτῶν μεγάλοι ἐγένοντο. μηδὲ ὅτι οὐ καὶ αἱ αὐταὶ ἡλικίαι. ὁ γὰρ χείρωνος βίος πᾶσιν ἐξήρκει. ζεὺς γὰρ καὶ χείρων ἀδελφοί, πατρὸς μὲν τοῦ αὐτοῦ, μητρὸς δέ, ὁ μὲν ῥέας, ὁ δὲ ναΐδος νύμφης. ὥστε ἐγεγόνει μὲν πρότερος τούτων, ἐτελεύτησε δὲ ὕστερον, ἡνίκα ἀχιλλέα ἐπαίδευσεν. ἐκ δὲ τῆς ἐπιμελείας τῆς ἐκ τῶν κυνῶν, καὶ κυνηγεσιῶν, καὶ τῆς ἄλλης παιδείας πολὺ διενέγκοντες, κατὰ τὴν ἀρετὴν ἐθαυμάσθησαν. κέφαλος μὲν καὶ ὑπὸ θεᾶς ἡρπάσθη. ἀσκληπιὸς δὲ μειζόνων ἔτυχεν. ἀνιστάναι μὲν τεθνεῶτας, νοσοῦντας δὲ ἰᾶσθαι. διὰ δὲ ταῦτα θεὸς ὤν, παρ' ἀνθρώποις ἀεὶ μνηστὸν κλέος ἔχει. μελανίων δὲ τοσοῦτον ὑπερέσχε φιλοπονίας, ὥστε ὧν αὐτῷ ἀντερασταὶ ἐγένοντο, οἱ τότε ἄριστοι τῶν τότε μεγίστων γάμων, μόνος ἔτυχεν ἀταλάντης. νέστορος δὲ προδιελήλυθεν ἡ ἀρετὴ τῶν ἑλλήνων τὰς ἀκοάς, ὥστε εἰδόσιν ἂν λέγοιμι. ἀμφιάραος δὲ ὅτε ἐπὶ θήβας ἐστρατεύετο, πλεῖστον κτησάμενος ἔπαινον, ἔτυχε παρὰ θεῶν ἀεὶ ζῶν τιμᾶσθαι. πηλεὺς δ' ἐπιθυμίαν παρέσχε καὶ θεοῖς δοῦναί τε θέτιν αὐτῷ, καὶ τὸν γάμον παρὰ χείρωνι ὑμνῆσαι. τελαμὼν δὲ τοσοῦτος ἐγένετο, ὥστε ἐκ μὲν πόλεως τῆς μεγίστης, ἣν αὐτὸς ἐβούλετο γῆμαι περίβοιαν τὴν ἀλκάθου. ὅτε δ' ὁ πρῶτος τῶν ἑλλήνων ἐδίδου τὰ ἀριστεῖα ἡρακλῆς ὁ διὸς ἑλὼν τροίαν,

XENOPHONTIS DE VENATIONE LIBELLVS OMNIBONO LEONICENO INTERPRETE.

VENATIO & canes, deorum inuentio fuit Apollinis atque Dianæ. Hæc uero propter iustitiam donarunt, ornaruntque Chironem: quo ille accepto dono lætus utebatur. Hinc & uenationis & bonarum aliusmodi artium discipuli fuere Cephalus, Aesculapius, Melanion, Nestor, Theseus, Hippolytus, Palamedes, Vlysses, Menestheus, Diomedes, Castor, Pollux, Machaon, Podalirius, Antilochus, Aeneas, Achilles, qui per id tempus dijs chari fuere. Nemo autem miretur quod plerique eorum, tametsi dijs placerent, tamen mortui sunt: hoc enim naturæ est: sed laudes ipsorum ætate magnæ fuerunt: omnibus enim Chironis uita suffecit. Iupiter enim, Chironque fratres ex eodem patre, sed ille Rhea, hic Naiade nympha matre: itaque natus est ante illos, mortuus uero postquam erudijt Achillem: sed canum uenationisque, & aliarum artium studio, cum multum uirtute præstarent, admirabiles fuerunt. Et Cephalus quidem à dea raptus est. Aesculapius maiora consecutus, ut mortuos suscitaret, ægrotos sanaret: quapropter deus cum sit, perpetuam gloriam obtinet. Melanion tantum studio laboris excelluit, ut ex riualibus suis qui ad maxima connubia digniores erant, Atalantæ nuptias solus consequutus fuerit, quarum spectatissimos ætatis illius uiros æmulos habuit. Nestoris uirtus Græcorum aures ita occupauit, ut non apud ignaros loquar. Amphiaraus cum aduersus Thebas militasset, plurimam laudem adeptus, deorum honores immortalis obtinuit. Peleus effecit ut sibi Thetim dij desponsare cuperent, & nuptias apud Chironem celebrarent. Telamon tantus euasit, ut ex urbe maxima sibi quam uolebat Alcathoi filiam Peribœam uxorem duxerit: & cum Græcorum princeps capta Troia

Trois [illegible] Hercules militaria dona tribueret, Hesionem ipsi habendam tradiderit. Meleager quos honores cepit, planum est: patris [illegible] oblitus est, in senectute deam infortunium habuit. Theseus Graeciae totius hostes solus perdidit, auctaque patria nunc etiam admirandus perhibetur. Hippolytus Dianae charus, modestia & pietate inter beatos habitus oppetijt. Palamedes, dum uixit, omnes aetatis suae uiros plurimum sapientia praestitit: post iniustam uero 10 mortem uindicatus à dijs quantum alius nemo. Occisus est autem non unde arbitrantur nonnulli: neque enim fuisset hic prope optimus ille bono similis, sed improbi facinus perpetrarunt. Menestheus prae industria uenandi tantum laborando praeualuit, ut huic bellicis rebus Graecorum primi cedere fateantur, excepto Nestore, qui nec ipse quidem superior, sed par esse censetur. Vlysses & Diomedes per singula clari, ad summam causa fuerunt ut Troia caperetur. 20 Castor & Pollux his quae à Chirone didicerant, tantum in Graecia claruerunt, ut propter eorum opinionem immortales fuerint. Machaon & Podalirius his itidem omnibus eruditi, & arte, & oratione, & bello praestantes euasere. Antiochus pro patre moriens tantum gloriae consequutus est, ut apud Graecos solus praedicetur patris amator. Aeneas dijs penatibus seruatis, seruato & ipso patre, gloriam pietatis emeruit: huic & hostes uni ex omnibus quos ad Troiam ce- 30 perant, uti belli abstinuere. Achilles in hac disciplina educatus, documenta de se adeo pulchra & magna dedit, ut de illo nec dicendo quisquam, nec audiendo satietur. Hi tales Chironis diligentia fuerunt, quam nunc etiam & boni admirantur, & mali detrectant. Itaque in Graecia si cui uel ciuitati, uel regi calamitates uenere, liberatores ipsi fuerunt. Si uero uniuersae Graeciae cum barbaris certamen uel bellum fuit, per eos Graeci uictoriam obtinuerunt. Eo 40 factum est ut Graeciam ipsi inuictam reddiderint. Quocirca iuuenes admoneo, ut uenationis disciplinam, si quam aliam, minimè contemnant: hinc etenim bello strenui, caeterisque rebus euadunt, ut bene & dicere & facere cogantur. Cum igitur è pueris excesserint, primum uenandi studium obire oportet. Deinde aliarum artium (si quis usus fuerit habere facultatem) quae quidem alijs idonea est, ut inde non parum iuuentur, alijs [illegible] secus: ac propterea omnem diligentiam adhi- 50 bebit, ut nihil quantum in se erit, omittat. At [illegible] quot quibusq; rebus instructus ad hoc se conferre debeat, expediam, & res ipsas, & rerum cuiusq; scientiam: ut cum eas perceperit, opus aggrediatur. Nec sit qui haec contemnenda putet: nam sine his agi nihil posset. Oportet rei uenatoriae studiosum lingua Graecum esse, aetate annorum circiter uiginti, statura sane agilem & ualidum, animo uero patientem, ut laboris uictor re ipsa laetetur. Sagenae uero tenuissimo lino Phasiano uel Carthaginensi, necnon casses, &

De persona uenatoris.

Τροίαν, ἐκόμισεν αὐτῷ ἐκ τῆς ἀσίας. μελέαγρος δὲ τὰς μὲν τιμὰς ἃς ἔλαβεν φανεραί. τῷ πατρὶ δὲ ἐν γήρᾳ ἐπιλαθομένῳ τῆς θεοῦ, οὐχ αὐτὸς αἰτίαις ἐδυστύχησε. θησεὺς δὲ τοὺς μὲν τῆς ἑλλάδος ἐχθροὺς πάσης μόνος ἀπώλεσε. τὴν δὲ αὑτοῦ πατρίδα πολλῷ μείζω ποιήσας, ἔτι καὶ νῦν θαυμάζεται. ἱππόλυτος δὲ ὑπὸ μὲν τῆς ἀρτέμιδος ἐτιμᾶτο καὶ ἐν λόγοις ἦν, σωφροσύνῃ δὲ καὶ ὁσιότητι μακαρισθεὶς ἐτελεύτησε. παλαμήδης δὲ ἕως μὲν ἦν πολὺ τῶν ἐφ' ἑαυτοῦ ὑπερέσχε σοφίᾳ, ἀποθανὼν δὲ ἀδίκως, τοσαύτης ἔτυχε τιμωρίας ὑπὸ θεῶν, ὅσης οὐδεὶς ἄλλος ἀνθρώπων. ἐτελεύτησε δὲ οὐχ ὑφ' ὧν οἴονταί τινες. οὐ γὰρ ἂν ἦν, ὁ μὲν σχεδὸν ἄριστος, ὁ δὲ ὅμοιος ἀγαθοῖς, κακοὶ δ' ἐπράξαντο τὸ ἔργον. μενεσθεὺς δὲ ἐκ τῆς ἐπιμελείας τῆς ἐκ τῶν κυνηγεσίων τοσοῦτον ὑπερέβαλε φιλοπονίᾳ, ὥστε ὁμολογεῖν, τοὺς τῶν ἑλλήνων πρώτους, ὑστέρους εἶν, τὰ εἰς τὸν πόλεμον ἐκείνου, πλὴν νέστορος, καὶ οὗτος οὐ προέχειν λέγεται, ἀλλὰ ἐρίζειν. ὀδυσσεὺς δὲ καὶ διομήδης, λαμπροὶ μὲν καὶ καθ' ἓν ἕκαστον, τὸ δὲ ὅλον αἴτιοι τροίαν ἁλῶναι. κάστωρ δὲ καὶ πολυδεύκης, ὅσα ἐπεδείξαντο ἐν τῇ ἑλλάδι τῶν παρὰ χείρωνος διὰ τὸ ἀξίωμα, ἐκ τούτων ἀθάνατοί εἰσι. μαχάων δὲ καὶ ποδαλείριος παιδευθέντες τὰ αὐτὰ πάντα, ἐγένοντο καὶ τέχνας καὶ λόγους καὶ πολέμους ἀγαθοί. ἀντίλοχος δὲ τοῦ πατρὸς ὑπεραποθανὼν τοσαύτης ἔτυχεν εὐκλείας, ὥστε μόνος φιλοπάτωρ παρὰ τοῖς ἕλλησιν ἀναγορευθῆναι. αἰνείας δὲ σώσας μὲν τοὺς πατρῴους καὶ μητρῴους θεούς, σώσας δὲ καὶ αὐτὸν τὸν πατέρα, δόξαν εὐσεβείας ἐξηνέγκατο, ὥστε καὶ οἱ πολέμιοι μόνῳ ἐκείνῳ ὧν ἐκράτησαν ἐν τροίᾳ, ἔδοσαν μὴ συληθῆναι. ἀχιλλεὺς δ' ἐν ταύτῃ τῇ παιδείᾳ τραφείς, οὕτω καλὰ καὶ μεγάλα μνημεῖα παρέδωκεν, ὥστε οὔτε λέγων, οὔτε ἀκούων περὶ ἐκείνου οὐδεὶς ἀπαγορεύει. οὗτοι τοιοῦτοι ἐγένοντο ἐκ τῆς ἐπιμελείας τῆς παρὰ χείρωνος, ὧν οἱ μὲν ἀγαθοί, ἔτι καὶ νῦν ἐρῶσιν, οἱ δὲ κακοὶ φθονοῦσιν. ὥστε ἐν μὲν τῇ ἑλλάδι, εἴ τῳ συμφοραὶ ἐγίγνοντο, ἢ πόλει, ἢ βασιλεῖ, ἐλύοντο δι' αὐτούς. εἰ δὲ πρὸς τοὺς βαρβάρους πάντας, πάσῃ τῇ ἑλλάδι νεῖκος, ἢ πόλεμος, διὰ τούτους οἱ ἕλληνες ἐκράτουν, ὥστε ἀνίκητον τὴν ἑλλάδα παρέχειν. ἐγὼ μὲν οὖν παραινῶ τοῖς νέοις, μὴ καταφρονεῖν κυνηγεσίων, μηδὲ τῆς ἄλλης παιδείας. ἐκ τούτων γὰρ γίγνονται τὰ εἰς τὸν πόλεμον ἀγαθοί, εἴς τε τὰ ἄλλα ἐξ ὧν ἀνάγκη καλῶς νοεῖν καὶ λέγειν καὶ πράττειν. πρῶτον μὲν οὖν χρὴ ἐλθεῖν ἐπὶ τὸ ἐπιτήδευμα τὸ τῶν κυνηγεσίων, τὸν ἤδη ἐκ παιδὸς ἀλλάττοντα τὴν ἡλικίαν. ἔπειτα δὲ καὶ ἐπὶ τὰ ἄλλα παιδεύματα, τὸν μὲν ἔχοντα σκεψάμενον τὴν οὐσίαν, ὃν μὲν ἔστιν ἱκανὴ ἀξίως τῆς αὐτοῦ ὠφελείας, ὃν δὲ μὴ ἔστιν, ἀλλ' οὖν τήν γε προθυμίαν παρεχέσθω, μηδὲν ἐλλείπων τῆς ἑαυτοῦ δυνάμεως. ὅσα δὲ καὶ οἷα δεῖ παρεσκευασμένον ἐλθεῖν ἐπ' αὐτό, φράσω, καὶ αὐτὰ καὶ τὴν ἐπιστήμην ἑκάστου, ἵνα προειδὼς ἐγχειρῇ τῷ ἔργῳ, καὶ μηδεὶς αὐτὰ φαῦλα νομισάτω εἶν. ἄνευ γὰρ δὴ τούτων, οὐκ ἂν εἴη πρᾶξις. χρὴ δὲ τὸν μὲν ἀρκυωρὸν ἐπιθυμοῦντα τοῦ ἔργου εἶναι, καὶ τὴν φωνὴν ἕλληνα. τὴν δὲ ἡλικίαν περὶ ἔτη εἴκοσι. τὸ δὲ εἶδος ἐλαφρόν, ἰσχυρόν. ψυχὴν δὲ ἱκανόν, ἵνα τῶν πόνων τούτοις κρατῶν, χαίρῃ τῷ ἔργῳ. τὰς δὲ ἄρκυς, φασιανοῦ ἢ καρχηδονίου, λεπτοῦ λίνου, καὶ τὰ ἐνόδια

διὰ τὰ δίκτυα. ἔστωσαν δὲ αἱ μὲν ἄρκυς ἐννεάλινοι. τὸ δὲ μέγεθος πεντασπίθαμοι, διπάλαιστοι δὲ τοὺς βρόχους. ὑφέστωσαν δὲ τοὺς περιδρόμους ἀνάμματα, ἵνα εὔτροχοι ὦσι. τὰ δὲ ἐνόδια δωδεκάλινα, τὸ δὲ μέγεθος τὰ μὲν ἐνόδια δίωρυγα, τετράωρυγα, πεντώρυγα. τὰ δὲ δίκτυα δεκώρυγα, εἰκοσώρυγα, τριακοντώρυγα. ἐὰν δὲ ᾖ μείζω δυσμεταχείριστα ἔσται. ἀμφότερα δὲ τριακονθάμματα, καὶ τῶν βρόχων τὸ διάστημα ἴσον ταῖς ἄρκυσιν. ἐν δὲ τοῖς ἀκρολινίοις τὰ μὲν ἐνόδια ἐχέτω μαστούς, τὰ δὲ δίκτυα, δακτυλίους. τοὺς δὲ περιδρόμους ἐκ στροφείων. αἱ δὲ σχαλίδες μὲν τῶν ἀρκύων, τὸ μῆκος δεκαπάλαιστοι. ἔστωσαν δὲ καὶ ἐλάττους. αἱ μὲν ἄνισοι αὐτῶν, ἐν τοῖς ἐπικλινέσι τῶν χωρίων, ἵνα τὰ ὕψη ἐξαιρῶσιν. ἐν δὲ ὁμαλέσιν αἱ ἴσαι. αὗται δ᾽ εὐαποσπάστοι τὰ ἄκρα καὶ αὐταὶ λεῖαι. τῶν δὲ ἀρκύων διπλάσιαι. αἱ δὲ τῶν δικτύων, τὸ μὲν μέγεθος πεντασπίθαμοι, δικρᾶ ἔχουσαι μικρά, τὰ ἐντμήματα μὴ βαθέα, εὐπαγεῖς δὲ πᾶσαι, καὶ μὴ ἀσύμμετροι τὰ πάχη πρὸς τὰ μήκη. τῷ δὲ πλήθει τῶν σχαλίδων οἷόν τε ἐστι χρῆσθαι πρὸς τὰ δίκτυα πολλῶν καὶ ὀλίγων. ἐλάττονα μέν, ἂν σφόδρα τείνηται ἐν τῇ στάσει, πλείονι δ᾽ ἂν ἡσυχῇ. ἔστω δὲ καὶ ἐν ὅτῳ ἔσονται αἱ ἄρκυς καὶ τὰ δίκτυα ἐν ἑκατέροις, κυνοῦχος μόσχειος, καὶ τὰ δρέπανα, ἵνα ᾖ τῆς ὕλης τέμνοντα φράττειν τὰ δεόμενα. τὰ δὲ γένη τῶν κυνῶν ἐστι διττά. αἱ μὲν καστόριαι. αἱ δὲ ἀλωπεκίδες. ἔχουσι δ᾽ αἱ μὲν καστόριαι τὴν ἐπωνυμίαν ταύτην, ὅτι Κάστωρ ἡσθεὶς τῷ ἔργῳ, μάλιστα αὐτὰς διεφύλαξεν. αἱ δ᾽ ἀλωπεκίδες, διότι ἐκ κυνῶν τε καὶ ἀλωπέκων ἐγένοντο. ἐν πολλῷ δὲ χρόνῳ συγκέκραται αὐτῶν ἡ φύσις. χείρους δὲ καὶ πλείους αἱ τοιαίδε, μικραί, γρυπαί, χαροποί, μυωποί, αἰσχραί, σκληραί, ἀσθενεῖς, ψιλαί, ὑψηλαί, ἀσύμμετροι, ἄψυχοι, ἄρρινες, οὐκ εὔποδες. αἱ μὲν οὖν μικραὶ πολλάκις ἐκ τῶν κυνηγεσίων ἀποστεροῦνται τῆς ἐργασίας, διὰ τὸ μικρόν. αἱ δὲ γρυπαί, ἄστομοι, καὶ διὰ τοῦτο οὐ κατέχουσι τὸν λαγῶ. μυωποὶ δὲ καὶ χαροποί, χείρω τὰ ὄμματα ἔχουσιν. ἄμορφοι δὲ καὶ αἰσχραὶ ὁρᾶσθαι. αἱ δὲ σκληραὶ τὰ εἴδη χαλεπῶς ἐκ τῶν κυνηγεσίων ἀπαλλάττουσι. πονεῖν δὲ ἀδύνατοι αἱ ἀσθενεῖς καὶ αἱ ψιλαί. αἱ ὑψηλαὶ δὲ καὶ ἀσύμμετροι ἀσύμπηκτα ἔχουσαι τὰ ὄμματα βαρέως διαφοιτῶσιν. αἱ ἄψυχοι δὲ λείπουσι τὰ ἔργα, καὶ ἀφίστανται τὸν ἥλιον ὑπὸ τὰς σκιάς, καὶ κατακλίνονται. αἱ δὲ ἄρρινοι, μόλις καὶ ὀλιγάκις αἰσθάνονται τοῦ λαγῶ. αἱ δὲ ἄποδες οὐδ᾽ ἐὰν ὦσιν εὔψυχοι, τοὺς πόνους δύνανται ὑπέχεσθαι, ἀλλ᾽ ἀπαγορεύουσι διὰ τὸ ἄλγος τῶν ποδῶν. εἰσὶ δὲ καὶ τῆς ἰχνεύσεως πολλοὶ τρόποι ἐκ τῶν κυνῶν. αἱ μὲν γὰρ ἐπειδὰν λάβωσι τὰ ἴχνη, πορεύονται ἀσήμως, ὥστε μὴ γιγνώσκεσθαι ὅτι ἰχνεύουσιν. αἱ δὲ τὰ ὦτα μόνον διακινοῦσι, τὴν δὲ οὐρὰν ἡσυχῇ ἔχουσιν. αἱ δὲ τὰ ὦτα μὲν ἀκίνητα ἔχουσιν, ἄκρᾳ δὲ τῇ οὐρᾷ σείουσιν. ἄλλαι δὲ συνάγουσι τὰ ὦτα, καὶ ἐπισκυθρωπάσασαι διὰ τοῦ ἴχνους, καταβαλοῦσαι τὴν οὐράν, καὶ περιφράξασαι διατρέχουσι. πολλαὶ δὲ τούτων μὲν οὐδὲν ποιοῦσι, μανικῶς δὲ περιφερόμεναι, ὑλακτοῦσι περὶ τὰ ἴχνη, ὅταν ἐμπίπτωσιν εἰς αὐτά, ἀφρόνως καταπατοῦσαι τὰς αἰσθήσεις. εἰσὶ δ᾽ αἳ κύκλους πολλοὺς ποιούμεναι καὶ πλάνους ὑπολαμβάνουσαι ἐκ τοῦ πρόσθεν τὰ ἴχνη παραλείπουσι τὸν λαγῶ. ὁσάκις

ses, & retia: et sagenæ quidem filis nouem, magnitudo quinq; spithamarum: laquei ulnis undecim: plagas uero subijciant enodes, ut labi facile poßint. Casses uero filis duodecim: magnitudo uallos capiat binos, ternos, quaternos, quinos. Retia uero denos, uigenos, trigenos: nam si maiora fuerint, fient intractabilia: utraq; uero sint macularum triginta. Laqueorum spaciū sit sagenis æquale. In fastigio casses trochiscos ha-
10 beant, retia annulos, plagas autem à spirulas. Et sagenarum quidem bacilla longa sint denas ulnas, & eo breuiores. Et ex his alia in decliuib. locis inæqualia æqualiter surgant, alia in planis. Aequalia uero supremum circumflexibilia sint, ipsaq; leuia. Caßium uero bis tantum. Retium quinos spithamas pedes modice bifurcata, nec profunde incisa: ualida omnia, ut nihil à longitudine craßitudo dissentiat. Numero bacilli- um ad retia maiore uti minoréue licet. Sed stat-
20 endo pauciora, laboriosius tenduntur, plura ociosius. Vbicunque uero sagena & retia fuerint, utrobique sit copula canum: tarma sint & falces, ut saltus (sicubi oportet) cæsa sylua claudatur. Iam uero canum duo sunt genera: hæ castoriæ sunt, illæ uerò uulpinæ. Et castoriæ quidem cognomen habent, quod eas Castor re ipsa delectatus, præcipue obseruauit. Vulpinæ, quod ex canibus natæ sint et uulpibus, quarum natura spacio temporis confusa est. Et hæ plu-
30 res deterioresq; sunt, ut pusillæ & grypæ, ut hilares, ac murinis oculis deformes, strigosæ, infirmæ, tenues, proceræ, inhabiles, pusillanimes, non sagaces, mollipedes. Pusillæ igitur sæpe inter uenandum propter breuitatem operam perdunt. Grypæ sine rostro sunt, & propterea leporem tenere non possunt. Hilares ac murinis oculis hebetiori sunt acie. Deformes uero sunt ipso uisu turpes. Strigosæ à saltu non facile absistunt, sed laboris impatientes sunt. Infir-
40 mæ ac tenues & proceræ, itémque inhabiles, magis oculis grauiter incedunt. Pusillanimes opera destituunt, & se sub umbras à sole recipiunt ac recubant. Quæ uero sagaces non sunt, ægré raróque sentiunt leporem. Mollipedes nec si magnanimæ fuerint, labores pati possunt, sed præ pedum dolore deficiunt. Horum autem ipsorum canum diuersæ sunt etiam indagines. Hæ nanque ubi uestigia deprehenderint, nihil significantes ambulant, ut cogno-
50 scere non poßes an inuestigent: illæ auribus tantummodo micant, caudæ immotæ manent. Aliæ auribus immotis, summum caudæ uibrant: nonnullæ demittunt aures, & contractis fronte per uestigium continentes prementésque caudam discurrunt. Multæ nihil horum faciunt, sed insanientes obambulant, & uestigia circumlatrantes, cum in ea inciderint, temere signa prætereunt. Sunt quæ ambagibus multis ac erroribus utentes, cum de proximo uestigia concipiant, leporem derelinquunt:

De uario genere canū.

& quoties uestigiis incurrunt, coniecturam faciunt: sed ubi leporem uident, trepidant: nec inuadunt prius quam illam moueri conspexerint. Quae uero indagando & transcurrendo aliorum canum inuenta praeoccupant, hae iugiter intentae, sibypsae non credunt, & audaces sunt: quae peritas laboris consocias progredi non sinunt, sed perturbantes impediunt. Aliae falsa amplectuntur, & quicquid nactae fuerint plaudentes procedunt, suae sibi fraudis consciae. Quaedam hoc idem faciunt insciae. Sunt & ignauae, quae nusquam á tramite declinant, uestigia recta ignorantes. At quaecunque canes uestigia, si cubilium fuerint, ignorant, si pedum, celeriter discurrunt, non sunt illae quidem ingenuae: sed pars ab initio uehementes, prae languore deinde molestiam afferunt: pars non subeunt, & continuo declinant. Quaedam in uias stulte incidunt, & ut plurimum contumaces aberrant. Multae ferarum odio, pleraeque hominum desiderio, agitatione omissa, recurrunt. Nonnullae á uestigiis clangentes fallere tentant, pro ueris falsa simulantes. Sunt quae hoc non faciunt, sed intercurrunt: & sicunde clangorem audierint, ad hunc relicto opere feruntur: hae nanque transcurrunt incertum. Quam ob rem illae quod ualde suspicantur, aliae quod opinantur, quaedam quod simulant, sed inuidia laborant: nonnullae cum semper una temere ferantur, per uestigium se interosculantur: his igitur uitijs quorum plurima naturaliter habent, quaedam etiam quod inscite ducientur, inutiles euadunt, & hae quod canes studiosos etiam uenationis deterrere possunt. Quales autem eiusdem generis esse oporteat, et formas, et alia eiusmodi, dicam. Primum igitur magnas esse oportet, leuia deinde capita, simas, articulosas, sub fronte neruosas, elatos oculos, nigros, praefulgidos, magnas frõtes ac latas: caua discrimina, breues aures ac tenues, posteriora gracilia. Ceruices longas, molles, ac teretes: pectora lata, & ab humeris nõ macilenta: humerorũ interualla parũ distantia. Anteriora crura breuia, recta, teretia, solida: articulos rectos: latera non ualde caua, sed coëuntia in obliquum: spinam carnosam magnitudine mediocrem. Ilia nec mollia ualde, nec dura, inter magna & parua. Clunes obesas, posterius carnosas, superius uerso aptas, interius contractas. Inferiora uentris cum ipso uentre inania. Caudas lõgas, rectas, acutas, posteriora crura prioribus multo longiora, sed tamen idonea: pedes rotundos. Et canes si eiusmodi fuerint, fortes erunt, specie agiles, habiles, celeres, alacres, rostroque ualidae. Sed ita uestigent, ut tramitibus celeriter excedant, capita terrae admouentes: ad uestigia subrideant, aures que demittant, faciles oculos per singula uoluant, & caudis blandientes multis in latera orbibus, per uestigia simul omnes progrediantur. Sed ubi ad leporem ipsum aderunt, tum uero uenatori planum faciant tendendo celerius,

De uestigatione.

ὁσάκις δ' ἂν περιτρέχουσι, τὰ ἴχνη εἰκάζουσι. προορώμεναι δὲ τὸν λαγῶ, τρέμουσι, καὶ οὐκ ἐπέρχονται, πρὶν ἴδωσιν ὑποκινοῦντα. ὅσαι δὲ τὰ τῶν ἄλλων κυνῶν εὑρήματα ἐν ταῖς ἰχνείαις καὶ μεταδρομαῖς προθέουσαι, θαμινὰ σκοποῦσαι ἑαυταῖς ἀπίστως ἔχουσι. θρασεῖαι δ' αἳ οὐκ ἐῶσι τῶν συνεργῶν τὰς σοφὰς εἰς τὸ πρόσθεν προϊέναι, ἀλλ' ἀνείργουσι θορυβοῦσαι. αἱ δὲ ἀσπαζόμεναι τὰ ψευδῆ, καὶ ὑπερλαμπρυνόμεναι ἐφ' ὅτῳ ἂν τύχωσι, προάγουσι συνειδυῖαι ἑαυταῖς, ὅτι ἐξαπατῶσιν. αἱ δ' οὐκ εἰδυῖαι τὸ αὐτὸ ποιοῦσι ταύταις. φαῦλαι δέ, αἱ οὐκ ἀπαλλαττόμεναι ἐκ τῶν τριμμῶν, τὰ ὀρθὰ οὐ γινώσκουσαι. ὅσαι δὲ τῶν κυνῶν τὰ ἴχνη, τὰ μὲν εὐναῖα ἀγνοοῦσι, τὰ δὲ δρομαῖα ταχὺ διατρέχουσιν, οὐκ εἰσὶ γνήσιαι. διώκουσι δὲ αἱ μὲν ἀρχόμεναι σφόδρα, διὰ δὲ μαλακίαν ἀνιᾶσιν. αἱ δὲ ὑποθέουσιν, εἶτα ἁμαρτάνουσιν. ἕτεραι δὲ ἀνοήτως ἐμπίπτουσαι εἰς τὰς ὁδοὺς ἁμαρτάνουσι, τὸ ἀνήκουστον πολὺ ἔχουσαι. πολλαὶ δὲ τὰ διώγματα ἀφιεῖσαι ἐπανέρχονται διὰ τὸ μισόθηρον. πολλαὶ δὲ τὸ φιλάνθρωπον. αἱ δ' ἐκ τῶν ἰχνῶν κεκραγυῖαι, ἐξαπατᾶν πειρῶνται, ἀληθῆ τὰ ψευδῆ ποιούμεναι. εἰσὶ δ' αἳ τοῦτο μὲν οὐ ποιοῦσι, μεταξὺ δὲ θέουσι, ἄν ποθεν ἀκούσωσι κραυγῆς, καταλείπουσαι τὰ αὑτῶν ἔργα, ἀπρονοήτως ἐπὶ τοῦτο φέρονται. μεταθέουσι γὰρ αἱ μὲν ἀσαφῶς, αἱ δὲ πολὺ ὑπολαμβάνουσαι. δοξάζουσι δὲ ἕτεραι. αἱ δὲ πεπλασμένως. φθονερῶς δὲ ἄλλαι ἐκκυνοῦσι παρὰ τὸ ἴχνος διὰ τέλους συμπαραφερόμεναι. τὰ μὲν οὖν πλεῖστα τούτων, φύσει ἔχουσι. τὰ δὲ ἠγμέναι ἀνεπιστημόνως, δύσχρηστοί εἰσιν. αἱ τοιαῦται μὲν οὖν κύνες ἀποστρέψειαν ἂν τοὺς ἐπιθυμοῦντας κυνηγεσίων. οἵας δὲ δεῖ εἶναι τοῦ αὐτοῦ γένους, τό τε εἶδος, καὶ τὰ ἄλλα φράσω. πρῶτον μὲν οὖν χρὴ εἶναι μεγάλας, εἶτα ἐχούσας τὰς κεφαλὰς ἐλαφράς, σιμάς, ἀρθρώδεις, ἰνώδη τὰ κάτωθεν τῶν μετώπων, ὄμματα μετέωρα, μέλανα, λαμπρά, μέτωπα μεγάλα καὶ πλατέα, τὰς διακρίσεις βαθείας, ὦτα μικρά, λεπτά, ψιλὰ ὄπισθεν, τραχήλους μακρούς, ὑγρούς, περιφερεῖς, στήθη πλατέα, μὴ ἄσαρκα, ἀπὸ τῶν ὤμων τὰς ὠμοπλάτας ἀφεστώσας μικρόν, σκέλη τὰ πρόσθια μικρά, ὀρθά, στρογγύλα, στιφρά, τοὺς ἀγκῶνας ὀρθούς, πλευρὰς μὴ ἐπίπαν βαθείας, ἀλλ' εἰς τὸ πλάγιον παρηκούσας, ὀσφῦν σαρκώδη, τὰ μεγέθη μεταξὺ μακρῶν βραχειῶν, μήτε ὑγρὰς λίαν, μήτε σκληράς, λαγόνας μεταξὺ μεγάλων μικρῶν, ἰσχία στρογγύλα ὄπισθεν σαρκώδη. ἄνωθεν δὲ μὴ συνδεδεμένα, ἔνδοθεν δὲ προσεσταλμένα, τὰ κάτωθεν τῶν κενεώνων λαγαρά, καὶ αὐτοὺς τοὺς κενεῶνας, οὐρὰς μακράς, ὀρθάς, λιγυράς, μηρίας, μὴ σκληράς, ὑποκώλια μακρά, περιφερῆ, εὐπαγῆ, σκέλη πολὺ μείζω τὰ ὄπισθεν τῶν ἔμπροσθεν καὶ ἐπίρρικνα, πόδας περιφερεῖς. ἐὰν δὲ ὦσιν τοιαῦται αἱ κύνες, ἔσονται ἰσχυραὶ τὰ εἴδη, ἐλαφραί, σύμμετροι, ποδώκεις, καὶ ἀπὸ τῶν προσώπων φαιδραὶ καὶ εὔστομοι. ἰχνευέτωσαν δὲ ἐκ τῶν τριμμῶν ταχὺ ἀπαλλαττόμεναι, τιθεῖσαι τὰς κεφαλὰς ἐπὶ γῆν ἐγκαρσίας, ἐμμειδιῶσαι μὲν πρὸς τὰ ἴχνη, καταβάλλουσαι δὲ τὰ ὦτα, τὰ μὲν ὄμματα πυκνὰ διακινοῦσαι, ταῖς δὲ οὐραῖς διασαίνουσαι, κύκλους πολλοὺς περὶ τὰς πλευρὰς προϊοῦσαι ὁμοῦ, διὰ τοῦ ἴχνους ἅπασαι. ὅταν δὲ περὶ αὐτὸν ὦσι τὸν λαγῶ, δῆλον ποιείτωσαν τῷ κυνηγέτῃ θᾶττον

πυ

τὸν φοιτῶσαι μᾶλλον γνωρίζουσαι, ἀπὸ τοῦ θυμοῦ, ἀπὸ τῆς κεφαλῆς, ἀπὸ τῶν ὀμμάτων, ἀπὸ τῆς μεταλλάξεως τῶν σωμάτων, καὶ ἀπὸ τῶν ἀναβλεμμάτων καὶ ἐμβλεμμάτων τῶν ἐπὶ τὰς καθέδρας τοῦ λαγῶ, καὶ ἀπὸ τῶν εἰς τὸ πρόσθεν καὶ ὄπισθεν, καὶ εἰς τὸ πλάγιον διαρριμμάτων, καὶ ἀπὸ τῶν ἀληθῶς ἤδη αἰωρεῖσθαι τῇ ψυχῇ, καὶ ὑπερχαίρειν, ὅτι τοῦ λαγῶ ἐγγύς εἰσι. διωκέτωσαν δὲ ἐρρωμένως καὶ μὴ ἐπανιεῖσαι σὺν πολλῇ κλαγγῇ, καὶ ὑλαγμῷ, συνεκπίπτουσαι μετὰ τοῦ λαγῶ πάντη. μεταθείτωσαν δὲ ταχὺ, καὶ λαμπρῶς πυκνὰ μεταφερόμεναι καὶ ἐπανακλαγγάνουσαι δικαίως. πρὸς δὲ τὸν κυνηγέτην μὴ ἐπανίτωσαν λιποῦσαι τὰ ἴχνη. μετὰ δὲ τοῦ εἴδους τοῦ ἔργου τούτου εὔψυχοι ἔστωσαν, καὶ εὔποδες, καὶ εὔρινες. εὔψυχοι μὲν οὖν ἔσονται, ἐὰν μὴ λίπωσι τὰ κυνηγέσια, ὅταν ᾖ πνῖγη. εὔρινες δὲ, ἐὰν τοῦ λαγῶ ὀσφραίνωνται ἐν τόποις ψιλοῖς, ξηροῖς, προσηλίοις τοῦ ἄστρου ἀνιόντος. εὔποδες δὲ, ἐὰν τῇ αὐτῇ ὥρᾳ μὴ καταρρηγνύωνται αὐτῶν οἱ πόδες τὰ ὄρη θεουσῶν. εὔτριχες δὲ ἐὰν ἔχωσι λεπτὴν καὶ πυκνὴν καὶ μαλακὴν τὴν τρίχα. τὰ δὲ χρώματα οὐ χρὴ εἶναι τῶν κυνῶν οὔτε πυρρὰ, οὔτε μέλανα, οὔτε λευκὰ παντελῶς. ἔστι γὰρ οὐ γενναῖον τοῦτο. ἀλλ' ἁπλοῦν καὶ θηριῶδες. αἱ μὲν οὖν πυρραὶ ἔχουσαι, ἔστωσαν, λευκὴν τρίχα ἐπανθοῦσαν περὶ τὰ πρόσωπα, καὶ αἱ μέλαιναι, αἱ δὲ λευκαὶ πυρράν. ἐπὶ δὲ τοῖς μηροῖς ἄκρας τρίχας ὀρθὰς βαθείας, καὶ ἐπὶ ταῖς ὀσφῦσι καὶ ταῖς οὐραῖς κάτω, ἄνωθεν δὲ μετρίας. ἄγειν δὲ ἄμεινον τὰς κύνας τὰ ὄρη πολλάκις. τὰ δὲ ἔργα ἧττον. τὰ μὲν γὰρ ὄρη, οἷόν τε καὶ ἰχνεύειν καὶ μεταθεῖν καθαρῶς· τὰ δὲ ἔργα οὐδέτερα διὰ τοὺς τριμμούς. ἔστι δὲ καὶ ἄνευ τοῦ εὑρίσκειν τὸν λαγῶ, ἀγαθὸν ἄγειν τὰς κύνας τὰ τραχέα. καὶ γὰρ εὔποδες γίγνονται καὶ τὰ σώματα διαπονοῦσαι ἐν τόποις τοιούτοις ὠφελοῦνται. ἀγέσθωσαν δὲ, θέρους μὲν μέχρι μεσημβρίας, χειμῶνος δὲ δι' ἡμέρας. μετοπώρου δ' ἔξω μεσημβρίας. ἐντὸς δ' ἑσπέρας τὸ ἔαρ. ταῦτα γὰρ μέτρια. τὰ δὲ ἴχνη τοῦ λαγῶ, τοῦ μὲν χειμῶνος μακρά ἐστι, διὰ τὸ μῆκος τῶν νυκτῶν· τοῦ δὲ θέρους βραχέα, διὰ τὸ ἐναντίον. χειμῶνος μὲν οὖν πρωῒ οὐκ ὄζει αὐτῶν, ὅταν πάχνη ᾖ ἢ παγετός. ἡ μὲν γὰρ πάχνη τῇ αὐτῆς ἰσχύι ἀντισπάσασα τὸ θερμὸν ἔχει ἐν αὐτῇ. ὁ δὲ παγετὸς ἐπιπήξας. καὶ αἱ κύνες μαλακιῶσαι τὰς ῥῖνας οὐ δύνανται αἰσθάνεσθαι ὅταν ᾖ τοιαῦτα, πρὶν ἂν ὁ ἥλιος διαλύσῃ αὐτὰ, ἢ προϊοῦσα ἡ ἡμέρα. τότε δὲ καὶ αἱ κύνες ὀσφραίνονται, καὶ αὐτὰ ἐπαναφερόμενα ὄζει. ἀφανίζει δὲ καὶ ἡ πολλὴ δρόσος καταφέρουσα αὐτά· καὶ οἱ ὄμβροι οἱ γιγνόμενοι διὰ χρόνου ὀσμὰς ἄγοντες τῆς γῆς, ποιοῦσι δύσοσμον ἕως ἂν ψυχθῇ, χείρω δὲ καὶ τὰ νότια ποιεῖ. ὑγραίνοντα γὰρ διαχεῖ. τὰ δὲ βόρεια ἐὰν ᾖ ἄλυτα συνίστησι καὶ σώζει. οἱ δὲ ὑετοὶ κατακλύζουσι καὶ αἱ ψακάδες, καὶ ἡ σελήνη ἀμαυροῖ τῷ θερμῷ. μάλιστα δὲ ὅταν ᾖ πανσέληνος, καὶ μανότατα τότε. χαίροντες γὰρ τῷ φέγγει, ἐπαναιρούμενοι μακρὰ διαιροῦσιν ἀντιπαίζοντες. ταραχώδη δὲ ὅταν ἀλώπεκες προδιεξέλθωσι. γίνεται τὸ δὲ ἔαρ κεκραμένον τῇ ὥρᾳ καλῶς παρέχει τὰ ἴχνη λαμπρὰ, πλὴν εἴ τι ἡ γῆ ἐξανθοῦσα βλάπτει τὰς κύνας, εἰς τὸ αὐτὸ συμμιγνύουσα τῶν ἀνθῶν τὰς ὀσμάς, λεπτὰ δὲ καὶ ἀσαφῆ τοῦ θέρους. διάπυρος γὰρ οὖσα ἡ γῆ ἀφανίζει τὸ θερμὸν ὃ ἔχουσιν. ἔστι γὰρ λεπτὸν, καὶ αἱ κύνες ἧττον

rius, significando uehementiam animo, capite, oculis, gestu corporis, acie tam reflexa, tamq; directa in leporis cubilia, diuerso impetu, in rectum, in aduersum, in obliquum, & uere iam arrigendo animum ac gestiendo, quod iuxta leporem sunt. Intensius uerò premant, nec remittant, ingenti clamore atq; latratu cũ lepore quaslibet euadentes, sed uelociter alacriterq; transmittant, sine modo transcurrẽtes, nec iniuria clãgentes: nec uero ad uenatorẽ omissis uestigijs redeant. Tales forma, talesq; labore magnanimæ sunt, & durıpedes, et sagaces, et nitidæ. Magnanimæ erunt, si saltus æstu incũbente non deserũt. Sagaces, si leporẽ nudis in locis, aridis, apricis, austro imminẽte præsentiunt. Duripedes, si non euestigio dum montes superant pedibus fatiscũt. Nitidæ, si tenui ac denso molliq; pilo uestiũtur. At colore canes esse oportet, nec penitus fului, nec nigro, neq; candido: neq; tum generosus hic fuerit, sed ignobilis atq; ferinus. Canes igitur uillos, si fuluæ & nigræ fuerint, candidos: si candidæ, fuluos habeant, circũ ora florentes. In summo autem femine, rectos ac densos. In spina item extremaq; cauda: sed in suprema mediocres. Et satius fuerit per iuga sæpe, per rura minus agitare canes. Nam iuga uestigari possunt, & expeditè transcurri: rura neutrum possunt, impedita tramitibus. Est autem utile, etiam si non inueniatur lepus, agitare per aspera canes: nam duripedes fiunt, & corpora in his locis exercentes meliores euadunt. Agitentur autem æstate usq; ad meridiem, hyeme per solidum diem, autumno ultra meridiem, Vere circa uesperã: hæc enim opportuna sunt tẽpora. Atqui leporis uestigia multum hyeme procedunt, quia longæ sunt noctes: parũ autem æstate, quia è contrario sunt breues. Nec uero subolent hyeme, cum primũ calorem suũ contrahens, geluq; claudens in se contineat: & cum hoc fuerit, torpescentes narib. canes sentire non possunt, prius quàm sol diésue procedens omnia resoluat: tunc & canes odorãt, & ipsa dum percurruntur uestigia redolent. Ea uero delet & ros multus superincumbens. Imbres etiam qui per anni tempora gignuntur, odorem ab humo rapientes, olfactũ donec exiccetur difficilem reddunt. Sed australis tempestas deterior est: nam humectans diffundit. Septentrionalis uero si serena fuerit, contrahit & seruat. Ac uero pluuiæ & rores inundant. Luna etiam halitum extenuat, præcipuè cum plenilunium fuerit, & uestigia tunc quidem incertissima sunt. Nam exultantes ad lunam lepores inter se colludunt, & ea longè dissipantes dirimunt: sed perturbatissima fiunt cum ea uulpes antea pertransierint. Ver propter anni temperiem ualde clara præbet uestigia: quanquam terra sicubi floret, canibus nocet, dum in unum spirantes confundit odores: sed exilia æstate sunt ambigua. Nam terra feruens abolet quicquid halitus habens. Est enim tenuis, & canes tunc

minus odorant, quia resoluta sunt corpora. Verum autumno pura sunt uestigia. Quæcunq; enim terra producit, & domestica iam reposita sunt, & agrestia situ labefactata, ut fructuū odores non superent quibus occupentur. Et hyeme, & æstate, & autumno recta sunt ut plurimū uestigia, Vere autem confusa. Nam fera hæc sociabilis est, cum alias semper, tum hoc tempore, ut propterea simul errantes hoc necessario faciant. Subolent autem uestigia cubilium diutius quàm pedum: illa enim occupat lepus, hæc celeriter obambulat. Itaq; illis refercitur humus, his uero imbuitur. Syluosa autem loca redolēt magis quàm nuda. Siquidem modo percurrens lepus, modò procumbens, multa contingit. Procūbit autem ad ea quæ terra gignit, uel ipsius superficies habet, sub omnibus, super ipsis, in ipsis, propius, lōgius: nunc diu, nūc parum, nunc mediocriter: et in mari nonnunq̄ ad id quod potest exiliens: in aqua etiam si quid extās innatumue fuerit. Itaq; qui procumbere amat, cubile ut plurimum facit, si frigus fuerit, in apricis: si æstus, in umbrosis: si Ver & autumnus, in clementioribus locis. At uerò qui currere solent, non ita: nam trepidi canibus facti sunt. Procumbit autem femine sub ilibus posito, cruribus anterioribus ut plurimum iunctis atq; porrectis, mento prioribus pedibus subnixo, auribus super utroq; humero demissis, posthinc molliora supertegit. Habet autem uillos impenetrabiles: sunt enim densi & molles: & palpebris quidem clausis uigilat, apertis dormit & immotis: oculos etiam tenet immotos. Sannam dormiens frequenter mouet, uigilans uerò minus. Cum terra pullulat, rura magis quā iuga tenet: ubiq; subsistit, ubi inuestigatur: prætérquam si noctu exterritus fuerit. Id ubi acciderit, subtrepidat. Adeò autem fœcundus est, ut modo pepererit, iam parturiat, nunc prægnans sit. Et catuli magis subolent quàm adulti: quorum membra cum adhuc mollia sint, per terram uniuersa trahuntur. Tenellos igitur studiosi uenatores dimittunt, gratificantes deæ: qui uerò iam iuuenes sunt, primo cursu uelocissimè feruntur: deinceps non ita: agiles enim sunt, sed imbecilles. Venator leporis uestigia captat ex agris superne subducēdo canes: sed qui culta nō adeunt, prata, saltus, fluenta, lapidosa, syluosaq; petunt. Et cum mouetur lepus, clamorē minimè tollat, ne pauidæ uestigia malè significent. Sed ubi iam inuenti agitantur, nunc flumina tranant, nūc uiam flectūt, modo cauernas subeunt ac penetrāt: neq; tum canes solùm metuūt, uerū & aquilas: ab his enim quoties edita & aperta loca superant, rapiūtur, quādiu per anniculi sunt: nam maiores incursu canū auferuntur. Igitur uelocissimi sunt mōtani, cāpestres minus, tardissimi palustres. Sed qui loca omnia pererrāt, in cursu molesti sunt: etenim sciunt cōpendiosa uiarū, & currūt per aduersa, uel plana maxime, per diuersa uarie, per decliuia minime. At inter agitandū perspi/

ἧττον ὀσφραίνονται τότε, διὰ τὸ ἐκλελύσθαι τὰ σώματα. τοῦ δὲ μετοπώρου καθαρά. ὅσα γὰρ γῆ φέρει, τὰ μὲν ἥμερα συγκεκόμισται, τὰ δὲ ἄγρια, γήρᾳ διαλέλυται. ὥστε οὐ παραλυποῦσι τῶν καρπῶν αἱ ὀσμαὶ εἰς ταῦτα φερόμεναι. ἔστι δὲ τοῦ χειμῶνος, καὶ τοῦ θέρους, καὶ τοῦ μετοπώρου τὰ ἴχνη ὀρθὰ ἐπὶ τὸ πολύ, τοῦ δ' ἦρος συμπεπλεγμένα. τὸ γὰρ θηρίον συνδυάζεται μὲν ἀεί, μάλιστα δὲ ταύτην τὴν ὥραν. ὥστε διὰ τοῦτο ἐξ ἀνάγκης μετ' ἀλλήλων πλανώμενοι τοιαῦτα ποιοῦσιν. ὄζει δὲ τῶν μὲν ἰχνῶν ἐπὶ πλείω χρόνον τῶν εὐναίων ἢ τῶν δρομαίων. τὰ μὲν εὐναῖα ὁ λαγὼς πορεύεται ἐφιστάμενος, τὰ δὲ δρομαῖα ταχύ. ἡ γῆ οὖν τῶν μὲν πυκνοῦται, τῶν δὲ οὐ πίμπλαται. ἐν δὲ τοῖς ὑλώδεσι μᾶλλον, ἢ ἐν τοῖς ψιλοῖς ὄζει. διατρέχων γὰρ καὶ ἀνακαθίζων ἅπτεται πολλῶν. κατακλίνονται δ' εἰς ἃ ἡ γῆ φύει ἢ ἔχει ἐφ' ἑαυτῆς, ὑπὸ παντὶ ἐπ' αὐτῶν, ἐν αὐτοῖς παρ' αὐτά, ἄποθεν, πολὺ μικρὸν μεταξὺ τούτων. ὅτι καὶ ἐν τῇ θαλάττῃ διαρρίπτων ἐπὶ τὸ δυνατὸν καὶ ἐν ὕδατι ἐάν τις ἢ ὑπερέχῃ ἢ ἐμπεφυκὸς ἐν τούτῳ. ὁ μὲν οὖν εὐναῖος ποιούμενος εὐνήν, ἐπὶ τὸ πολὺ ὅταν μὲν ᾖ ψύχη, ἐν εὐδιεινοῖς· ὅταν δὲ καύματα, ἐν παλισκίοις. τὸ δὲ ἔαρ καὶ τὸ φθινόπωρον ἐν προσηλίοις. οἱ δὲ δρομαῖοι οὐχ οὕτω διὰ τὸ ὑπὸ τῶν κυνῶν ἐκπληκτοι γίνεσθαι. κατακλίνεται δὲ ὑποθεὶς τὰ ὑποκώλια, ὑπὸ τὰς λαγόνας. τὰ δὲ πρόσθεν σκέλη τὰ πλεῖστα συνθεὶς καὶ ἐκτείνας, ἐπ' ἄκρους δὲ τοὺς πόδας τὴν γένυν καταθείς. τὰ δὲ ὦτα ἐπιπετάσας ἐπὶ τὰς ὠμοπλάτας. εἶτα δὲ ὑποστέγει τὰ ὑγρά. ἔχει δὲ καὶ τὴν τρίχα στεγανήν. πυκνὴ γὰρ καὶ μαλακή. καὶ ὅταν μὲν ἐγρηγορῇ, καταμύει τὰ βλέφαρα. ὅταν δὲ καθεύδῃ, τὰ μὲν βλέφαρα ἀναπέπταται ἀκίνητα. οἱ δὲ ὀφθαλμοὶ ἀτρέμας ἔχουσι. τοὺς δὲ μυκτῆρας ὅταν εὕδῃ κινεῖ πυκνά. ὅταν δὲ μή, ἧττον. ὅταν ἡ γῆ βρύῃ μᾶλλον τὰ ἔργα, ἢ τὰ ὄρη ἔχουσιν. ὑπομένει δὲ πανταχοῦ ἰχνευόμενος, ἐὰν μή τι περίφοβος τῆς νυκτὸς γένηται. παθὼν δὲ τοῦτο ὑποκινεῖ. πολύγονον δ' ἐστὶν οὕτως, ὥστε τὰ μὲν τέτοκε, τὰ δὲ τίκτει, τὰ δὲ κύει. τῶν δὲ μικρῶν λαγίων ὄζει μᾶλλον ἢ τῶν μεγάλων. ἔτι γὰρ ὑγρομελῆ ὄντα ἐπισύρεται ὅλα ἐπὶ τῆς γῆς. τὰ μὲν οὖν λίαν νεογνὰ οἱ φιλοκυνηγέται ἀφιᾶσι τῇ θεῷ. οἱ δὲ ἤδη ἔτειοι τάχιστα θέουσι τὸν πρῶτον δρόμον, τοὺς δ' ἄλλους οὐκ ἔτι. εἰσὶ γὰρ ἐλαφροί, ἀδύνατοι δέ. λαμβάνειν δὲ τοῦ λαγὼ τὰ ἴχνη, ὑπάγοντα τὰς κύνας ἐκ τῶν ἔργων ἄνωθεν. ὅσοι δὲ μὴ ἔρχονται αὐτῶν εἰς τὰ ἐργάσιμα, τοὺς λειμῶνας, τὰς νάπας, τὰ ῥεῖθρα, τοὺς λίθους, τὰ ὑλώδη. καὶ ἐὰν ὑποκινῇ μὴ ἀναβοᾶν, ἵνα μὴ αἱ κύνες ἔκφρονες γιγνόμεναι, χαλεπῶς τὰ ἴχνη γνωρίζωσιν. εὑρισκόμενοι δὲ ὑπ' αὐτῶν καὶ διωκόμενοι, ἔστιν ὅτε διαβαίνουσι τὰ ῥεύματα, καὶ ὑποκάμπτουσι, καὶ καταδύονται εἰς φάραγγας, καὶ εἰσειλοῦσι. πεφόβηνται γὰρ οὐ μόνον τὰς κύνας, ἀλλὰ καὶ τοὺς ἀετούς. ὑπερβάλλοντες γὰρ τὰ σιμὰ καὶ ψιλά, ἀναρπάζονται ἕως ἂν ὦσιν ἔτειοι. τοὺς δὲ μείζους ἐπιτρέχουσαι αἱ κύνες ἀφαιροῦνται. ποδωκέστατοι μὲν οὖν εἰσιν οἱ ὄρειοι. οἱ πεδινοὶ δὲ ἧττον. βραδύτατοι δὲ οἱ ἕλειοι. οἱ δ' ἐπὶ πάντας τοὺς τόπους πλανᾶται, χαλεποὶ πρὸς τοὺς δρόμους. τὰ γὰρ σύντομα ἴσασι. θέουσι γάρ. μάλιστα μὲν τὰ ἀνάντη, ἢ τὰ ὁμαλά. τὰ δὲ ἀνώμαλα, ἀνομοίως· τὰ δὲ κατάντη, ἥκιστα. διωκόμενοι δὲ εἰσὶ κατάδηλοι

κατάδηλοι, μάλιστα μὲν διὰ γῆς κεκινημένης, ἐὰν ἔχωσιν ἔνιοι ἐρύθημα, καὶ διὰ καλάμης διὰ τὴν ἀνταύγειαν. κατάδηλοι δὲ καὶ ἐν τοῖς τριμμοῖς καὶ ἐν ταῖς ὁδοῖς, ἐὰν ὦσιν ἰσόπεδοι. τὸ γὰρ φανὸν τὸ ἐν αὐτοῖς ἐνὸν ἀντιλάμπει. ἄδηλοι δὲ ὅταν εἰς λίθους, τὰ ὄρη, τὰ φελλέα, τὰ δασέα ἀποχωρῶσι, διὰ τὴν ὁμόχροιαν. προλαμβάνοντες δὲ τὰς κύνας, ἐφίστανται. καὶ ἀνακαθίζοντες, ἐπαίρουσιν αὐτοὺς καὶ ἐπακούουσιν, εἴπου πλησίον κλαγγὴ, ἢ ψόφος τῶν κυνῶν, καὶ ὅθεν ἂν ἀκούσωσιν, ἀποτρέπονται. ἔτι δὲ καὶ οὐκ ἀκούσαντες, ἀλλὰ δόξαντες, ἢ πεισθέντες ὑπ' αὐτῶν, παρὰ τὰ αὐτὰ διὰ τῶν αὐτῶν ἐπαλλάττοντες, ἅλματα ἐμποιοῦντες, ἴχνεσιν ἴχνη ἀποχωροῦσι. καὶ εἰσὶ μακροδρομώτατοι μὲν οἱ ἐκ τῶν ψιλῶν εὑρισκόμενοι, διὰ τὸ καταφανὲς, βραχυδρομώτατοι δὲ οἱ ἐκ τῶν δασέων. ἐμποδὼν γὰρ τὸ σκοτεινόν. δύο δὲ καὶ τὰ γένη ἐστὶν αὐτῶν. οἱ μὲν γὰρ μεγάλοι ἐπίπερκοι, καὶ τὸ λευκὸν τὸ ἐν τῷ μετώπῳ μέγα ἔχουσιν, οἱ δ' ἐλάττους, ἐπίξανθοι μικρὸν τὸ λευκὸν ἔχοντες. τὴν δ' οὐρὰν οἱ μὲν κύκλῳ περιποίκιλον, οἱ δὲ παράσειρον. καὶ τὰ ὄμματα οἱ μὲν ὑποχαροποὶ, οἱ δ' ὑπόγλαυκοι. καὶ τὰ μέλανα τὰ περὶ τὰ ὦτα ἄκρα, οἱ μὲν ἐπὶ πολὺ οἱ δὲ ἐπὶ μικρόν. ἔχουσι δὲ αὐτῶν αἱ πολλαὶ τῶν νήσων τοὺς ἐλάττους, αἵ τ' ἔρημοι καὶ οἰκούμεναι. τὸ δὲ πλῆθος πλείους ἐν αὐταῖς ἢ ἐν ταῖς ἠπείροις. οὐ γάρ εἰσιν οὔτ' ἀλώπεκες ἐν ταῖς πολλαῖς αὐτῶν, αἵτινες καὶ αὐτοὺς καὶ τὰ τέκνα ἐπιοῦσαι ἀναιροῦνται, ὅτι ἀετοί, τὰ μεγάλα δ' ὄρη ἔχουσι μᾶλλον, ἢ τὰ μικρά. ἐλάττω δ' ἐπὶ τὸ πολὺ, τὰ ἐν ταῖς νήσοις. κυνηγέται δὲ, εἰς μὲν τὰς ἐρήμους ὀλιγάκις ἀφικνοῦνται. ἐν δὲ ταῖς οἰκουμέναις ὀλίγοι ὄντες καὶ οὐ φιλόθηροι οἱ πολλοί. εἰς δὲ τὰς ἱερὰς τῶν νήσων οὐδὲ διαβιβάζειν οἷόν τε κύνας. ὅταν οὖν τῶν τε ὑπαρχόντων ὀλίγους ἐκθηρῶνται, καὶ τῶν ἐπιγιγνομένων, ἀνάγκη ἀφθόνους εἶναι. Βλέπει δὲ οὐκ ὀξὺ διὰ πολλά. τά τε γὰρ ὄμματα ἔχει ἔξω, καὶ τὰ βλέφαρα ἐλλείποντα, καὶ οὐκ ἔχοντα προβολὴν ταῖς αὐγαῖς. ἡ ὄψις οὖν διὰ ταῦτα ἀμαυρὰ ἐσκεδασμένη. ἅμα δὲ τούτοις καὶ ἐν ὕπνῳ ὂν τὰ πολλὰ τὸ θηρίον, οὐκ ὠφελεῖται πρὸς τὸ ὁρᾶν. καὶ ἡ ποδωκία πρὸς τὸ ἀμβλυωπεῖν αὐτῷ πολὺ συμβάλλεται. ταχὺ γὰρ ἑκάστου παραφέρει τὴν ὄψιν, πρὶν νοῆσαι ὅτι ἐστί. καὶ οἱ φόβοι τῶν κυνῶν ὅταν διώκωνται, ἑπόμενοι μετὰ τούτων, συνεξαιροῦνται τὸ προνοεῖσθαι. ὥστε διὰ ταῦτα προσπίπτων, λανθάνει πρὸς πολλὰ καὶ εἰς τὰς ἄρκυς ἐμπίπτων. εἰ δ' ἔφυγεν ὀρθίαν, ὀλιγάκις ἂν ἔπασχε τὸ τοιοῦτον. νῦν δὲ περιβάλλων καὶ ἀγαπῶν τοὺς τόπους, ἐν οἷς ἐγένετο καὶ ἐτράφη, ἁλίσκεται. κατὰ πόδας δὲ οὐ πολλάκις ὑπὸ τῶν κυνῶν διὰ τάχος κρατεῖται. ὅσοι δὲ ἁλίσκονται παρὰ φύσιν τοῦ σώματος, τύχῃ δὲ χρώμενοι. οὐδὲν γὰρ τῶν ὄντων ἰσομεγεθῶν τούτῳ ὅμοιόν ἐστι πρὸς δρόμον. σύγκειται γὰρ ἐκ τοιούτων τὸ σῶμα. ἔχει γὰρ κεφαλὴν κούφην, μικρὰν, κατωφερῆ, οὐ σκληρὸν, μῆκος ἱκανὸν, ὠμοπλάτας ὀρθὰς, ἀσυνδέτους ἄνωθεν, σκέλη τὰ ἐπ' αὐτῶν ἐλαφρὰ, σύγκωλα. στῆθος οὐ βαρύτονον, πλευρὰς ἐλαφρὰς, συμμέτρους. ὀσφὺν περιφερῆ, κωλῆν σαρκώδη, λαγόνας ὑγρὰς, λαπάρας ἱκανῶς, ἰσχία στρογγύλα, πλήρη κύκλῳ. ἄνωθεν δὲ ὡς χρὴ διεστῶτα, μηρούς

perspicui sunt, per subactam humum præcipuè nonnulli, quibus inest rubor: per arundines etiam, quia ex aduerso refulgent. Perspicui sunt quoque in tramitibus & uijs, si planæ fuerint: fulgor enim qui in ipsis est repercutit oculos. Incerti uerò sunt si ad saxa, ad montes, ad rupes, ad opaca secesserint, propter coloris similitudinem. Quòd si canes præsenserint, sistunt pedem, & residentes seipsos erigunt, & canum, sicubi prope est, clamorem strepitumq; captant, & unde audierint auertuntur. Est etiam cum nihil audierint, sed audisse opinantes, uel sibi persuadentes, huc illuc trepidantes, uestigijs insilientes, in uestigia secedunt, & longissime currunt: qui nudis ex locis excutiuntur, quia in aperto sunt. Breuissime uero qui ex opacis: nam tenebræ impediunt. Sed eorum duo sunt genera, pars magni, subnigri, multum in fronte nitescunt: alij minores, flaui, parum candoris ostendunt. Caudam gerunt illi uariam, hi tersam: oculis uerò sunt, hi sublucidis, illi subglaucis. Circa summam autem illi ualde nigescunt, hi perexiguum. Sed ex his minores incolunt plerunque insulas desertas, uel celebres: & in his turba maior quàm in continente uersatur, quod ibi ut plurimum nec uulpes sunt, quorum impetu ipsi cum catulis occiduntur: nec aquilæ, quæ montes magnos sæpius quàm paruos frequentant: nam parui plerunque in insulis sunt. Venatores etiam raro desertas insulas adeunt: in his quæ habitantur pauci sunt, nec hi ferarum studiosi: in sacras autem nec transire canibus quidem licet Necesse est igitur innumeros esse, quando nec eos uenantur qui iam sunt, nec eos qui deinceps nascuntur. Acie uero sunt multis de causis minimè acuta. Oculos enim habent exporrectos, palpebras autem præcisas, & quæ pupillis munimenta non præbeant: quapropter hebes uisus est atque diffusus. Ad hæc somno etiam multum deditur animal: quæ res nihil ad uidendum prodest. Et uelocitas ad obtundendam aciem plurimum confert: quolibet enim oculos celerius intendit, quàm quid sibi prouiderit. Et cum his canum quoque terrores prouidentiam auferunt, cum instantes prosequuntur. Quo fit, ut irruens ad multa improuidus, in sagenas etiam præcipitet: quòd si rectum fugeret, raro hoc pateretur. Nunc uerò quia locos complectitur & amat, ubi natus & enutritus est, capitur: nec directo sæpe à canibus uincitur celeritate, sed plerique omnes præter corporis naturam sorte quadam capiuntur: nihil enim quod proportione conueniat, ab huius compositione dissentit. Siquidem corpus eius constat ex his: Caput agile habet, breue, rotundum, non rigidum, longitudinem idoneam, scapulas rectas, desuper non aptas. Crura in ipsis gracilia, solida, pectus non angustum, latera tenuia, habilia, spinam teretem, aluum carnosam. Ilia tenera, caua laterum idonea, clunes obesas undiq; plenas, congruo desuper interstitio. Femina

sentient, cùm educetur equitatus, si istud clandestino potius fiat imperio, quàm uel per præconem, uel per præscriptionem. Atq; ut hac imperandi ratione educatur equitatus, utile erit decuriones constitui, & cum decurionibus quincuriones, ut quampaucissimis enuncient singuli: & ut frõtem efficiant longiorem sine tumultu & confusione ipsi quincuriones, qui ab altitudine in longitudinem ordines porro agant, occasione id postulante. Quod si cauendum erit & metuendum, præsidium adhibendum est. Equidem clandestinas explorationes & præsidia laudo: fit enim isto modo ut simul & amicis nostris præsidium imponatur, simul & hostibus insidiæ comparentur: atq; nostri cùm sint occulti, minus sint insidijs opportuni, & hostibus ipsis magis formidolosi: nam alicubi esse præsidia scire, sed ubi et quàm numerosa sint nescire, id ipsum hostes non sinit cõfidere, & omnia loca suspecta habere cogit. Præsidia autem non occulta, aperte aut timiditatem aut audaciam arguunt. Licebit etiam in occulto collocatis insidijs, paucos ante insidias præmittere, qui hostes tentent, & in insidias alliciant & attrahant. Illud etiam ad captandos hostes ualet, ut post occultas insidias alij non occulte uigilias interdum agere uideantur: hoc enim ipsum æque fallit hostes, ac illa quæ prius commemoraui. Verum illud est prudentis imperatoris, ut periculis nunquàm se ultro offerat, nisi cum satis exploratum habebit se fore superiorem, & aliquid hostibus detracturum: nam subseruire uoluptatibus hostium, id magis sociorum proditio iudicari debet, quàm fortitudo. Prudentis etiam est in eam partem hostium impetum facere, quæ sit infirmissima, etiamsi fuerit nouissima. Sin hostes aliquousq; intra munitiones pacatorum et amicorum ingressi fuerint, quamuis sint multò præstantiores, utile erit illinc maxime inuadere hostes unde illi minime sperabant. Nec uero inutile fuerit simul utrinque: cum enim alteri retrocedunt, qui deinde subsequentes in alteram partem impetum facient, & hostes perturbabunt, et suos conseruabunt. Ac prodesse quidem, per speculatores hostium res, et statum cognoscere, iamdiu opinio inualuit. Ego uero illud omnino optimum arbitror esse, ut idem tentemus, sicunde ex tuto res hostium spectari & considerari, ac si quid illi peccarint, cognosci possit. Quod si quid surripi potest, mittendi qui ad surripiendum sint apti: eosq; ubi rapere conceditur, qui rapiant erunt mittendi. Quod si dum aliquò proficiscuntur hostes, aliquid propter imbecillitatem uirium relictum ab eis sit, aut aliqui confidentia freti dispalati fuerint, ne hæc quidem ignorare debemus. Semper autem robustiori, id quod imbecillius est insidiatur. Facile uero hæc intelligere potest qui modo animaduerterit: nam & animantia quæ minus quàm homines consilio & intelligentia ualent, ut milui, possunt, si quid non custoditum fuerit, & rapere: & cum rapuerint, in tutum aliquem locum secedere, priusquam deprehendantur. Similiter lupi, quæ custode carent, prædantur, & uel ea quæ sunt in occultis locis, rapiunt: ac si quis accurrat canis, si inferior uideatur, lupus in eum impetum facit: sin superior, pecude, quamcunque tandem tulerit, interfecta recedit. At certe si præsidium custodiamq; contempserint, ita se ipsi instruunt, ut alij custodes depellant, alij pecudes rapiant, sicq; sibi illi necessaria parant. Cum igitur animantia & feræ tam prudenter possunt ista prædari, quid est quamobrem credamus homi-

αἰσθάνοιντο, εἰ ἀπὸ παραγγέλσεως γίγνοιτο μᾶλλον, ἢ ἀπὸ κήρυκος, ἢ ἀπὸ προγραφῆς. ἀγαθὸν οὖν καὶ τὸ πρὸς τὸ διὰ παραγγέλσεως ἐξάγειν, τὸ δεκαδάρχους καθιστάναι, καὶ τοῖς τε δεκαδάρχοις πεμπαδάρχους, ἵν' ὡς ἐλαχίστοις ἕκαστος παραγγέλλῃ, καὶ τὸ μέτωπον δὲ ὅπως μηκύνοιεν ἂν τῆς τάξεως ἀταράκτως, οἱ πεμπάδαρχοι παράγοντες ὁπότε τούτου καιρὸς εἴη. ὅταν γε μὴν προφυλάττειν δέῃ, ἐγὼ μὲν ἀεὶ ἐπαινῶ τὰς κρυπτὰς σκοπιάς τε καὶ φυλακάς. οὕτω γὰρ ἅμα μὲν τῶν φίλων φυλακαὶ γίγνονται, ἅμα δὲ τοῖς πολεμίοις ἐνέδραι κατασκευάζονται καὶ αὐτοὶ μὲν δυσεπιβουλευτότεροί εἰσιν ἀφανεῖς ὄντες, τοῖς δὲ πολεμίοις φοβερώτεροι. τὸ γὰρ εἰδέναι μὲν ὅτι εἰσί που φυλακαί, ὅπου δ' εἰσί, καὶ ὁπόσαι μὴ εἰδέναι, τοῦ θαρρεῖν μὲν κωλύει τοὺς πολεμίους, ὑποπτεύειν δὲ ἀναγκάζει πάντα τὰ χωρία. αἱ δὲ φανεραὶ φυλακαὶ δῆλα ἔχουσι καὶ τὰ δεινὰ καὶ τὰ εὐθαρσῆ. ἔτι δὲ τῷ μὲν κρυπτὰς ἔχοντι φυλακάς, ἐξέσται μὲν φανεροῖς ὀλίγοις ἔμπροσθε τῶν κρυπτῶν φυλάττοντα, πειρᾶσθαι τοὺς πολεμίους εἰς ἐνέδρας ὑπάγειν. ἀγρευτικὸν δὲ καὶ ὄπισθεν τῶν κρυπτῶν ἄλλοις φανερῶς ἔστιν ὅτε φυλάττειν. καὶ τοῦτο γὰρ ἐξαπατητικὸν τῶν πολεμίων, ὁμοίως τῷ πρόσθεν εἰρημένῳ. ἀλλὰ μὴν φρονίμου γε ἄρχοντος καὶ τὸ μήποτε κινδυνεύειν ἑκόντα, πλὴν ὅπου ἂν πρόδηλον ᾖ, ὅτι πλεῖον ἕξει τῶν πολεμίων. τὸ δὲ ὑπηρετεῖν τὰ ἥδιστα τοῖς πολεμίοις, προδοσία τῶν ξυμμάχων, δικαίως ἂν μᾶλλον, ἢ ἀνδρεία κρίνοιτο. σῶφρον δὲ καὶ τὸ ἐκεῖσε ὁρμᾶν, ὅπου ἂν ἀσθενῆ τὰ τῶν πολεμίων ᾖ, κἂν πρόσω ὄντα τυγχάνῃ. τὸ γὰρ σφόδρα πονῆσαι ἀκινδυνότερον ἢ πρὸς τοὺς κρείττους ἀγωνίζεσθαι. ἢν δέ ποι εἰς μέσον φιλίων τειχέων εἰσίωσιν οἱ πολέμιοι, κἂν πολὺ κρείττους ὄντες, καλὸν μὲν ἐντεῦθεν ἐπιχειρεῖν, ὁποτέρωθεν ἂν λελήθῃς παρών. καλὸν δὲ καὶ ἅμα ἀμφοτέρωθεν. ὅταν γὰρ οἱ ἕτεροι ἀποχωρῶσιν, οἱ ἐκ τοῦ ἐπὶ θάτερα ἐλαύνοντες, ταράττοιεν μὲν ἂν τοὺς πολεμίους, σώζοιεν δ' ἂν τοὺς φιλίους. καὶ τὸ μὲν διὰ κατασκόπων πειρᾶσθαι, εἰδέναι τὰ τῶν πολεμίων, πάλαι εἴρηται ὡς ἀγαθόν ἐστιν. ἐγὼ δὲ πάντων ἄριστον νομίζω εἶναι, τὸ αὐτὸν πειρᾶσθαι, ἤν ποθεν ἐξ ἀσφαλοῦς θεώμενον τοὺς πολεμίους ἀθρεῖν, ἤν τι ἁμαρτάνωσιν. καὶ τι μὲν κλαπῆναι δυνατόν, πέμπειν χρὴ τοὺς ἐπιτηδείους κλέψοντας. τὸ δ' ἁρπασθῆναι ἐγχωροῦν, ἐφιέναι τοὺς ἁρπάσοντας. ἢν δὲ πορευομένων ποι τῶν πολεμίων ἀπαρτᾶταί τι ἀσθενέστερον τῆς αὐτοῦ δυνάμεως, ἢ θαρροῦν ἀποσκεδάννυται, οὐδὲ ταῦτα χρὴ λανθάνειν, ἀεὶ μέντοι ἰσχυροτέρῳ τὸ ἀσθενέστερον θηρᾶν. δυνατὸν δὲ προσέχοντι τὸν νοῦν, ταῦτα καταμανθάνειν. ἐπεὶ καὶ βραχυγνωμονέστερα ἀνθρώπου θηρία, οἵ τε ἴκτινοι δύνανται ὃ ἂν ἀφύλακτον ᾖ, ἀφαρπάσαντες εἰς τὸ ἀσφαλὲς ἀποχωρεῖν πρὶν ληφθῆναι. καὶ οἱ λύκοι δὲ τά τε ἐρημούμενα φυλακῆς ἀγρεύουσι, καὶ τὰ ἐν τοῖς δυσοράτοις κλέπτουσι. κἂν μεταθέων γέ τις ἐπιγίγνηται κύων, ἢν μὲν ἥττων ᾖ, τούτῳ ἐπιτίθεται· ἢν δὲ κρείττων, ἀποσφάξας, ὅ,τι ἂν ἔχῃ ἀποχωρεῖ. ὅταν δέ γε φυλακῆς καταφρονήσωσι λύκοι, τάξαντες ἑαυτῶν, τοὺς μὲν ἀπελαύνειν τὴν φυλακήν, τοὺς δὲ ἁρπάζειν, οὕτω τὰ ἐπιτήδεια πορίζονται. θηρίων γε μὴν δυναμένων τὰ τοιαῦτα φρονίμως λῄζεσθαι, πῶς οὐκ ἄνθρω-

ἀνθρωπικόν γε ὄντα εἰκὸς σοφώτερον τούτων φαίνεσθαι, ἃ καὶ αὐτὰ τέχνῃ ὑπ' ἀνθρώπου ἁλίσκεται; κἀκεῖνό γε μὴν εἰδέναι ἱππικοῦ ἀνδρός, ἐκ πόσου ἂν ἵππος πεζὸν ἕλοι, καὶ ἐξ ὁπόσου βραδεῖς ἂν ἵπποι ταχεῖς ἀποφύγοιεν. ἱππαρχικὸν δὲ καὶ χωρία γιγνώσκειν, ἔνθα πεζοὶ κρείττους ἱππέων, καὶ ἔνθα πεζῶν κρείττους ἱππεῖς. χρὴ δὲ μηχανητικὸν εἶναι, καὶ τοῦ πολλοὺς μὲν φαίνεσθαι τοὺς ὀλίγους ἱππέας, πάλιν δ' ὀλίγους τοὺς πολλούς, καὶ τοῦ δοκεῖν παρόντα μὴ ἀπεῖναι, ἀπόντα δὲ παρεῖναι. καὶ τοῦ μὴ τὰ τῶν πολεμίων μόνον κλέπτειν ἐπίστασθαι, ἀλλὰ καὶ τοὺς ἑαυτοῦ ἱππέας ἅμα κλέπτοντα, ἐξ ἀπροσδοκήτου τοῖς πολεμίοις ἐπιτίθεσθαι. ἀγαθὸν δὲ μηχάνημα καὶ τὸ δύνασθαι ὅταν μὲν τὰ ἑαυτοῦ ἀσθενῶς ἔχῃ, φόβον παρασκευάζειν τοῖς πολεμίοις, ὡς μὴ ἐπιτίθοιντο. ὅταν δ' ἐρρωμένα, θάρσος αὐτοῖς ἐμποιεῖν, ὡς ἐγχειρῶσιν. οὕτω γὰρ αὐτὸς μὲν ἂν ἥκιστα κακῶς πάσχοις, τοὺς δὲ πολεμίους μάλιστ' ἂν ἁμαρτάνοντας λαμβάνοις. ὅπως δὲ μὴ προστάττειν δοκῶ ἀδύνατα, καὶ γράψω ὡς ἂν γίγνοιτο τὰ δοκοῦντα αὐτῶν χαλεπώτατα εἶναι. τὸ μὲν τοίνυν μὴ σφάλλεσθαι ἐγχειροῦντα διώκειν ἢ ἀποχωρεῖν ἐμπειρία ποιεῖ ἵππων δυνάμεως. πῶς δ' ἂν ἔμπειρος ἔχοι, εἰ προσέχοι τὸν νοῦν ἐν ταῖς μετὰ φιλίας ἀνθιππασίαις, οἷοι ἀποβαίνουσιν ἐκ τῶν διώξεών τε καὶ φυγῶν. ὅταν μέντοι βούλῃ τοὺς ἱππέας πολλοὺς φαίνεσθαι, ἓν μὲν πρῶτον ὑπαρχέτω, ἢν πρὸ ἐγχωρῇ μὴ ἐγγὺς τῶν πολεμίων ἐγχειρεῖν ἐξαπατᾶν. καὶ γὰρ ἀσφαλέστερον τὸ πρόσω, καὶ ἀπατητικώτερον. ἔπειτα δὲ χρὴ εἰδέναι, ὅτι ἀθρόοι μὲν πολλοὶ ἵπποι φαίνονται διὰ τὸ μέγεθος τοῦ ζῴου, διασπειρόμενοι δ' εὐαρίθμητοι γίνονται. ἔτι δ' ἂν πλέον σοι τὸ ἱππικὸν τοῦ ὄντος φαίνοιτο, εἰ τοὺς ἱπποκόμους εἰς τοὺς ἱππέας ἐνισταίης, μάλιστα μὲν δόρατα, εἰ δὲ μὴ ὅμοια δόρασιν ἔχοντας, ἤν τε ἑστηκὸς ἐπιδεικνύῃς τὸ ἱππικόν, ἤν τε παράγῃς. ἀνάγκη γὰρ τὸν ὄγκον τῆς τάξεως οὕτω μείζω τε καὶ πυκνότερον φαίνεσθαι. ἢν δ' αὖ τοὺς πολλοὺς ὀλίγους δοκεῖν εἶναι, ἢν μὲν σοι χωρία ὑπάρχῃ οἷα συγκρύπτειν, δηλονότι τοὺς μὲν ἐν τῷ φανερῷ ἔχων, τοὺς δ' εἰς τὸ ἄδηλον ἀποκρύπτων κλέπτοις ἂν τοὺς ἱππέας. ἢν δὲ πᾶν καταφανὲς ᾖ τὸ χωρίον, δεκάδας χρὴ στοιχούσας ποιήσαντα διαλειπούσας παράγειν. καὶ τοὺς μὲν πρὸς τῶν πολεμίων ἱππέας ἑκάστης δεκάδος ὀρθὰ τὰ δόρατα ἔχειν, τοὺς δ' ἄλλους ταπεινά, καὶ μὴ ὑπερφανῆ. φοβεῖν γε μὴν τοὺς πολεμίους, καὶ ψευδενέδρας, οἷόν τε καὶ ψευδοβοηθείας, καὶ ψευδαγγελίας ποιοῦντα. θαρροῦσι δὲ μάλιστα πολέμιοι, ὅταν τοῖς ἐναντίοις πράγματα καὶ ἀσχολίας πυνθάνωνται. τούτων δὲ γεγραμμένων, μηχανᾶσθαι αὐτὸν χρὴ πρὸς τὸ παρὸν ἀεὶ ἀπατᾶν. ὄντως γὰρ οὐδὲν κερδαλεώτερον ἐν πολέμῳ ἀπάτης. ὁπότε καὶ οἱ παῖδες ὅταν παίζωσι ποσίνδα δύνανται ἀπατᾶν προΐσχοντες, ὥστε ὀλίγους γ' ἔχοντες πολλοὺς δοκεῖν ἔχειν, καὶ πολλοὺς προΐσχοντες ὀλίγους φαίνεσθαι ἔχειν, πῶς οὐκ ἄνδρες γε ἐξαπατᾶν προσέχοντες τὸν νοῦν δύναιντ' ἂν τοιαῦτα μηχανᾶσθαι. καὶ ἐνθυμούμενος δ' ἂν τὰ ἐν τοῖς πολέμοις πλεονεκτήματα, εὕροι ἄν τις τὰ πλεῖστα καὶ μέγιστα σὺν ἀπάτῃ γεγενημένα, ὧν ἕνεκα ἢ οὐκ ἐγχειρητέον ἄρχειν, ἢ σὺν τῇ ἄλλῃ παρασκευῇ καὶ παρὰ θεῶν αἰτητέον δύνασθαι ποιεῖν, καὶ αὐτῷ μηχανητέον. οἷς δὲ θάλαττα πρόσεστιν ἀπατητικὸν καὶ τὸ πλοῖα παρασκευαζόμενον

hominem non posse uideri sapientiorem ijsipsis animalibus, quæ arte humana capiuntur? Illud uerò scire debet equestris disciplinæ studiosus, e quāto spacio eques peditē assequatur, item ex q̃ longinquo spacio tardi à celerioribus distātes equi, eos effugere poßint. Est etiā illud equestris disciplinæ, ut loca cognoscātur, ubi à pedib. facile superētur equites, & cōtrà ab equitib. facile pedites uincantur. Oportet etiā ut talis sit artifex, qui, cū multi fuerint equites, in speciē paucos ostentare poßit: cōtràq; si pauci fuerint, multi esse uideātur: item ut præsens cùm sit, abesse, et absens adesse uideatur. Nec uero solum hostes sciet fallere, sed etiā equites quib. præsit fallens, præter expectationē in hostes impetū faciet. Illud quoq; est artis non uulgaris, cùm se hostib. imparē & infirmiorē sentiet, ut à prælio abstineant terrorē inferre: Cùm uerò fortiorē exercitū se habere putabit, fiduciā illis ingenerare, ut manus cōferant: sic enim ipse in calamitates & offensiones minimè incides, & hosteis imparatos maxime & errātes opprimes. sed ne quæ fieri nō possunt, præcipere uidear: quēadmodū fieri poßint quæ ex illis uideātur difficilima, hinc scribere incipiā. Itaq; ut nō fallatur qui persequi aut retrocedere aggreditur, id præstat exercitatio, et uirtus eq. Quo aūt modo peritiā & usum habeat: si in decursionib. amicis et belli simulachris animū aduertat, quæ ipsæ fiunt tum persequendo, tum refugiēdo. Cum aūt efficere uoles ut multi equites esse uideātur, unum illud primū ponatur, si liceat, ut procul ab hostib. fallacia cōparetur: nam tutius est procul, & aptius ad fallendū. Deinde aūt illud intelligendum est, equos cōfertos in speciem multos uideri propter animantis magnitudinē, dispersos autem facile numerari posse. Præterea maior uidebitur q̃ sit equitatus, si inter equites equisones interijciantur, maxime si hastas aut aliquid hastis simile tenebūt: atq; id siue stantem equitatū, siue incedentē ostentes: ordinis enim speciem ista ratione & maiorē & densiorem uideri necesse est. Sin uerò multos paucorū speciem gerere uideri uolemus, si talia erunt loca ut equitatū occultare poßint, nimirū alijs in aperto loco, alijs in occulto collocatis, equites furtim habere et occulte poteris. At si totus locus erit apertus & patens, illud faciendum est, ut decuriæ ordine incedentes inter se disiunctæ interiecto interuallo progrediantur, ac cuiusq; decuriæ equites qui in cōspectu hostium fuerint rectas teneāt hastas: alij aūt humi abiectas, nec cōspicuas, ac ita ut ab illis uideri nequeant. Porrò aūt falsis insidijs, auxilijs falsis, falsisq; rumorib. terrere hostes licebit. Tū aūt maximè fiduciā sument hostes, cùm res aduersariorū laborare audiunt & impeditas esse. His autē ita descriptis, equitū præfectus conabitur ut in præsens semper fallat hostes. profectò fallendi arte nihil utilius est in bello: quādo enim uel pueri in suis lusib. quæ possunt ad fallendū prætendāt ut cùm pauca habeāt, multa habere uideātur, & contrà cùm multa prætendāt, pauca uideātur habere, cur tandē uiri, si in fraudibus & fallacijs studium ponant, non possint ista eadem machinari? Nam si uictorias quæ bellis obtinentur consideremus, plurimas & maximas arte & fallacijs partas esse reperiemus. Quas ob res aut ab initio magistratus appetendus non est, aut à dijs petendum, ut huic officio satis faciamus omni apparatu instructi, ac ipsi etiam, quantum in nobis est, moliamur. Quibus autem mare est aptum ad insidias struendas, hi naues ; sta

tas habebunt, sed rem prælio terrestri gerent, ac simulantes se terra insidiari uelle, prælio nauali hostes aggredientur. Nec uero illud alienum est ab equestri disciplina, ut magister equitum ciuitatem doceat imbellem esse, equitatum nullo peditatu comitatum. Est etiam præfecti equitum, pedites sibi adiungere, eisq; uti posse. Licet etiam pedites non solùm inter equites, sed etiam post equitatum occultare, cùm præsertim pedite longe maior sit eques. Atque hæc omnia ego, & quæcunq; præterea quis machinabitur ut uel ui uel arte capiantur hostes, uolens Deo fauente fieri consulo, ut fortunam etiam collaudet, dijs propitijs. Interdum uerò & illud ad fallendum ualet, si simularit se diligenter cauere, minimeq; se periculis obiecerit: hoc enim sæpe hostes inuitat, et efficit ut incautiores peccent. Quod si uel semel quis periculorum contemptor uisus fuerit, licet ei uel in ocio, si modo aliquid se facturum simulet, molestias hostibus exhibere. At enim nullus quicquam simulare possit, quale uult, nisi eorum quæ simulantur adhibita sit præparatio talis, ut artificis cõsilio obtemperetur: neq; enim ex militibus ulli sic parati erunt ut præfectum suum amore prosequantur, & doctis prudentiorem ipsum existiment in certaminibus et prælijs quæ cum hostibus committuntur, nisi id deo uolente contingat. Ac eorum quibus præsit, sibi hi ce rebus beneuolentiam, ut opinor, conciliabit præfectus equitum, si humaniter cum illis agere, illisq; prospicere & consulere uideatur, ut frumento abundent, & in tutum aliquẽ locum facilem receptum habeant, positis & collocatis uigilijs, ut reficiantur, & quieti se tradant. In præsidijs autem dare debet operam præfectus, ut necessariarũ rerum, ut pabuli, ut tabernaculorum, ut aquæ ut excubiarũ curam gerere uideatur: prouidere item, & ad eorum utilitatem quibus præsit uigilare, ac si re quapiam abũdabit, impertire honestum est. Atq; ut summatim dicam, minime contemnetur præfectus, si quæ alios facere uelit, ipse eadem melius q̃ illi facere uideatur. Initium igitur capiet à conscensu equi, ac omnia quæ ad disciplinam equestrem pertinent, meditata habere debet præfectus, ut uideant ipsum principem sedentem in equo posse et fossas trãsilire, & munitiones superare, & ex locis difficilib. euadere, & scienter iaculari: singula enim hæc aliquid proficiũt, ut magister equitũ ne contemnatur. Quod si etiam intellexerint, eum & scire & posse efficere ut hostes uincãtur: ad hæc si illud animo cõceperint, eum neq; temerè, neq; contra deorum uoluntatẽ, neq; repugnantib. auspicijs, in hostes proficisci, et bellum mouere: hæc omnia milites duci parẽtiores, dictoq; magis audientes reddũt. Ac principem quidem omnẽ decet maxime prudentia. Atheniensis autem equitũ præfectus cæteris debet antecellere tum cultu deorũ, tum scientia rei militaris: cui quidẽ sunt finitimi aduersarij, & equites multitudine suppares, et grauis armaturæ milites permulti: ac si conetur in hostilẽ agrũ irruptionẽ facere, sine cæteris ciuib. aduersus utrosq; istos cum solis equitib. periculisq; obiecturus est. At si hostes in agrum Atticum impetũ fecerint, nõ aliter uenturi sunt q̃ cum alijs equitibus sibi coniunctis, & præterea cũ grauis armaturæ militibus tam numerosis, ut uniuersos Athenienses ipsorum impetum sustinere non posse putent. Atqui aduersus tam multos hostes si modo ciuitas uniuersa copias eduxerit, ut regioni Atticæ succurrat, spes optima est:

μένον, πεζῇ τι πρᾶξαι, καὶ τὸ πεζῇ προσποιούμενον ἐπιβουλεύειν κατὰ θάλατταν ἐπιχειρῆσαι. ἱππαρχικὸν δὲ καὶ τὸ διδάσκειν τὴν πόλιν ὡς ἀσθενὲς τὸ πεζῶν ἔρημον ἱππικὸν πρὸς τὸ ἅμ' ἵπποις πεζοὺς ἔχον. ἱππαρχικὸν δὲ καὶ τὸ λαβόντα πεζοὺς αὐτοῖς χρῆσθαι. ἔστι δὲ πεζοὺς οὐ μόνον ἐν τούτοις, ἀλλὰ καὶ ὄπισθεν ἵππων ἀποκρύψασθαι. πολὺ γὰρ μείζων ὁ ἱππεὺς τοῦ πεζοῦ. ταῦτα δὲ πάντα ἐγὼ καὶ ὅσα πρὸς τούτοις τὶς μηχανήσεται ἢ βίᾳ ἢ τέχνῃ αἱρεῖν τοὺς ἐναντίους, βουλόμενος σὺν τῷ θεῷ πράττειν συμβουλεύω, ἵνα καὶ τὴν τύχην συνεπαινῇ, θεῶν ἱλέων ὄντων. ἔστι δ' ὅτι πάνυ ἀπατητικὸν καὶ τὸ λίαν φυλακτικὸν προσποιήσασθαι εἶναι, καὶ μηδαμῶς φιλοκίνδυνον. τοῦτο γὰρ τοὺς πολεμίους πολλάκις προάγεται, ἀφυλακτοῦντας μᾶλλον ἁμαρτάνειν. ἢν δ' ἅπαξ δόξῃ τὶς φιλοκίνδυνος εἶναι, ἔξεστι καὶ ἡσυχίαν ἔχοντα, προσποιούμενον δὲ πράξειν τι πράγματα τοῖς πολεμίοις παρέχειν. ἀλλὰ γὰρ οὐδὲν ἄν τις δύναιτο πλάσαι οἷον βούλεται, εἰ μὴ ἐξ ὧν γε πλάττοιτο παρεσκευασμένα εἴη ὡς πείθεσθαι τῇ τοῦ χειροτέχνου γνώμῃ. οὐδὲ γὰρ αὖ ἐξ ἀνδρῶν, εἰ μὴ σὺν θεῷ οὕτω παρεσκευασμένοι ἔσονται, ὡς φιλικῶς τε ἔχειν πρὸς τὸν ἄρχοντα, καὶ φρονιμώτερον σφῶν αὐτὸν ἡγήσονται περὶ τῶν πρὸς τοὺς πολεμίους ἀγώνων. εὐνοικῶς μὲν οὖν ἔχειν καὶ ἐκ τῶνδε εἰκὸς τοὺς ἀρχομένους, ὅταν φιλοφρόνως τε ἔχῃ πρὸς αὐτοὺς καὶ προνοῶν φαίνηται, ὅπως τε σῖτον ἕξουσι, καὶ ὅπως ἀσφαλῶς μὲν ἀποχωρήσουσι, πεφυλαγμένως δὲ ἀναπαύσονται. ἐν δὲ ταῖς φρουραῖς χρὴ καὶ χιλοῦ καὶ σκηνῶν, καὶ ὑδάτων, καὶ φυλακῶν, καὶ τῶν ἄλλων ἐπιτηδείων φανερὸν εἶναι ἐπιμελούμενον καὶ προνοοῦντά γε καὶ ἀγρυπνοῦντα ἕνεκα τῶν ἀρχομένων. καὶ ὅταν γε πλέον ἔχῃ τι, τὸ μεταδοῦναι κερδαλέον τῷ προεστηκότι. ἥκιστα δ' ἂν καταφρονοῖεν ἄρχοντος, ὡς μὲν συνελόντι εἰπεῖν, εἰ ὁπόσα ἐκείνοις παραινοίη αὐτὸς, ταῦτα βέλτιον ἐκείνων φαίνοιτο ποιῶν. ἀρξάμενον οὖν δεῖ ἀπὸ τοῦ ἀναβαίνειν ἐπὶ τοὺς ἵππους πάντα τὰ ἐν ἱππικῇ μελετᾶν, ὅπως ὁρῶσι τὸν ἄρχοντα δυνάμενον ἐπὶ τοῦ ἵππου καὶ τάφρους ἀσφαλῶς περᾶν, καὶ τείχη ὑπερακρίζειν, καὶ ἀπὸ χέων καταίρειν, καὶ ἀκοντίζειν ἱκανῶς. πάντα γὰρ ταῦτα προκόπτει εἰς τὸ καταφρονεῖσθαι. ἢν δὲ δὴ καὶ πράττειν γνῶσιν ἐπιστάμενόν τε καὶ δυνάμενον παρασκευάζειν, ὡς ἂν πλέον ἔχοιεν τῶν πολεμίων. πρὸς δὲ τούτοις, κἂν ἐκεῖνο λάβωσιν εἰς τὴν γνώμην, ὡς οὔτ' ἂν εἰκῇ, οὔτ' ἄνευ θεῶν, οὔτε παρὰ τὰ ἱερὰ ἀγάγοι ἂν ἐπὶ πολεμίους, πάντα ταῦτα πιθανωτέρους τῷ ἄρχοντι τοὺς ἀρχομένους ποιεῖ. πανταχοῦ μὲν οὖν προσήκει ἄρχοντα φρόνιμον εἶναι. πολὺ μέντοι τὸν Ἀθηναίων ἵππαρχον διαφέρειν δεῖ, καὶ τῷ τοὺς θεοὺς θεραπεύειν, καὶ τῷ πολεμικὸν εἶναι. ᾧ γε ὑπάρχουσι μὲν ὅμοροι ἀντίπαλοι, ἱππεῖς τε παραπλήσιοι τὸ πλῆθος καὶ ὁπλῖται πολλοί. κἂν μὲν εἰς τὴν πολεμίαν ἐμβάλλειν ἐπιχειρῇ ἄνευ τῆς ἄλλης πόλεως, πρὸς ἀμφοτέρους τούτους μόνοις ἂν τοῖς ἱππεῦσι διακινδυνεύοι. ἢν δ' οἱ πολέμιοι εἰς τὴν Ἀθηναίων χώραν ἐμβάλλωσι, πρῶτον μὲν οὐκ ἂν ἄλλως ἔλθοιεν, εἰ μὴ σὺν ἄλλοις τε ἱππεῦσι πρὸς τοῖς ἑαυτῶν, καὶ πρὸς τούτοις ὁπλίταις ὁπόσοις ἂν οἴωνται πάντας Ἀθηναίους μὴ ἱκανοὺς εἶναι μάχεσθαι. πρὸς οὖν τοσούτους πολεμίους, ἢν μὲν ἡ πόλις πᾶσα ἐπεξίῃ ἀρήξουσα τῇ χώρᾳ, ἐλπίδες καλαί.

λαί ἱππεῖς τε γὰρ σὺν θεῷ ἀμείνους ἤν τις αὐτῶν ἐπιμελῆται ὡς δεῖ, ὁπλῖταί τε οὐ μείους ἔσονται, καὶ τὰ σώματα τοίνυν οὐ χείρω ἔχοντες, καὶ τὰς ψυχὰς φιλοτιμοτέρας, ἢν ὀρθῶς ἀσκηθῶσι σὺν θεῷ. καὶ μὴν ἐπί γε τοῖς προγόνοις οὐ μεῖον Ἀθηναῖοι ἢ Βοιωτοὶ φρονοῦσιν. ἢν δὲ ἡ μὲν πόλις τράπηται ἐπὶ τὰ ναυτικὰ, καὶ ἀρκῇ αὐτῇ τὰ τείχη διασῴζειν, ὥσπερ καὶ ὁπότε Λακεδαιμόνιοι σὺν ἅπασι τοῖς Ἕλλησιν ἐνέβαλον, τοὺς δὲ ἱππέας ἀξιώσειε καὶ τὰ ἐκτὸς τοῦ τείχους διασῴζειν, καὶ αὐτοὺς μόνους διακινδυνεύειν πρὸς πάντας τοὺς ἐναντίους. ἐνταῦθα δὴ θεῶν μὲν οἶμαι πρῶτον συμμάχων ἰσχυρῶν δεῖ. ἔπειτα δὲ καὶ τὸν ἵππαρχον προσήκει ἀρτιτελῆ μόνον ἄνδρα εἶναι. καὶ γὰρ φρονήσεως δεῖ πολλῆς πρὸς τοὺς πολὺ πλείους καὶ τόλμης, ὁπότε καιρὸς παραπέσοι. δεῖ δὲ ὡς ἐμοὶ δοκεῖ καὶ πονεῖν αὐτὸν ἱκανὸν εἶναι. πρὸς μὲν γὰρ τὸ παρὸν στράτευμα διακινδυνεύειν, ᾧ μηδὲ ὅλη ἡ πόλις θέλοι ἀντικαθίστασθαι, δῆλον ὅτι πάσχοιεν ἂν ὅτι οἱ κρείττους βούλοιντο ποιεῖν δὲ οὐδὲν ἂν ἱκανὸς εἴη. εἰ δὲ φυλάττειν μὲν τὰ ἔξω τείχους, τοσούτους ὅσοι σκοπεύειν τε τοὺς πολεμίους ἱκανοὶ ἔσονται, καὶ ἀναχωρεῖν εἰς τὸ ἀσφαλὲς τὰ δεόμενα ὡς ἐκ πλείστου. ἱκανοὶ δὲ καὶ προορᾶν οὐδὲν ἧττον οἱ ὀλίγοι τῶν πολλῶν, καὶ φυλάττειν τοίνυν καὶ ἀναχωρίζειν τὰ φίλια οὐκ ἀκαιρότεροι, οἱ μήτε αὑτοῖς, μήτε τοῖς ἵπποις πιστεύοντες. ὁ γὰρ φόβος δεινὸς δοκεῖ συμφύλαξ εἶναι. τοὺς μὲν φύλακας ἐκ τούτων ἄν τις ποιῶν, ἴσως ὀρθῶς βουλεύοιτο. τοὺς δὲ περιττοὺς τῆς φυλακῆς, εἰ μέν τις στρατιὰν ἔχειν ἡγήσεται ὀλίγη αὐτῷ φανεῖται. τοῦ παντὸς γὰρ ἐνδεήσεται, ὥστε ἐκ τοῦ ἐμφανοῦς διακινδυνεύειν. ἢν δὲ ὡς λῃσταῖς αὐτοῖς χρῆται, πάνυ ἂν ὡς τὸ εἰκὸς ἱκανὴν τοῦ πράττειν ἔχοι δύναμιν. δεῖ δὲ, ὡς ἐμοὶ δοκεῖ, τοὺς παρεσκευασμένους ἀεὶ ἔχοντα ὡς ποιεῖν τι μὴ καταφανῆ ὄντα φυλάττειν, ἤν τι ἁμαρτάνῃ τὸ τῶν πολεμίων στράτευμα. φιλοῦσι δέ πως στρατιῶται, ὅσῳ ἂν πλείους ὦσι, τοσούτῳ πλείω ἁμαρτάνειν. ἢ γὰρ ἐπὶ τὰ ἐπιτήδεια ἐπιμελείᾳ σκεδάννυνται, ἢ πορευομένων ἀταξίᾳ, οἱ μὲν προέρχονται, οἱ δὲ ὑπολείπονται πλεῖον τοῦ καιροῦ. τὰ οὖν τοιαῦτα ἁμαρτήματα οὐ χρὴ παριέναι ἀκόλαστα. εἰ δὲ μή, ὅλη ἡ χώρα στρατόπεδον ἔσται, ἐκεῖνο καλῶς προνοοῦντα, ἢν ποιήσαντά τι φθάσαι ἀποχωρήσαντα πρὶν τὸ πολὺ βοήθημα ἐπιγενέσθαι. πολλάκις δὲ πορευόμενον στράτευμα, καὶ εἰς ὁδοὺς ἔρχεται ἐν αἷς οὐδὲν πλέον οἱ πολλοὶ τῶν ὀλίγων δύνανται. καὶ ἐν διαβάσεσί γε ἔστι τῷ προσέχοντι τὸν νοῦν ἀσφαλῶς ἐφεπομένῳ ταμιεύεσθαι, ὥστε ὁπόσοις ἂν βούληται τῶν πολεμίων ἐπιτίθεσθαι. ἔστι δ᾽ ὅτε καλὸν καὶ στρατοπεδευομένοις, καὶ ἀριστῶσι, καὶ δεῖπνον ποιουμένοις ἐπιχειρεῖν, καὶ ἐκ κοίτης γε ἀνισταμένοις. ἐν πᾶσι γὰρ τούτοις ἄοπλοι στρατιῶται γίγνονται, μείονα μὲν χρόνον οἱ ὁπλῖται, πλείονα δὲ οἱ ἱππεῖς. σκοποῖς μέντοι καὶ προφυλακαῖς, οὐδέποτε δεῖ παύεσθαι ἐπιβουλεύοντα. οὗτοι γὰρ αὖ ὀλίγοι μὲν ἀεὶ καθίστανται. πολὺ δὲ τοῦ ἰσχυροῦ ἐνίοτε ἀφεστᾶσιν. ὅταν δὲ τὰ τοιαῦτα ἤδη καλῶς φυλάττωνται οἱ πολέμιοι, καλὸν δὴ σὺν θεῷ λαθόντα ἐλθεῖν εἰς τὴν πολεμίαν μεμελετηκότα, οἵ τε ἑκασταχοῦ καὶ πόσοι τῆς χώρας προφυλάττουσιν. οὐδεμία γὰρ οὕτω καλὴ λεία ὡς αἱ φυλακαὶ ἢν κρατηθῶσι καὶ ὑπα-

ma est: nam & equites meliores erunt, Deo iuuante, si quis eorum talem curam gerat, qualem decet: & grauis armaturæ milites non erunt inferiores, aut pauciores, nec corporibus deterioribus, & animis honorum appetentioribus, si modo recta exercitatione fuerint instituti. Nec uerò Athenienses minorem causam de maioribus gloriandi quàm Bœoti habent. Sin ciuitas ad nauales copias se cōuertat, eiq; satis sit hostem mœnibus prohibere: ut cùm Lacedæmonij cū uniuersis Græcis irruptionem fecerunt: equites autē dignos censeat, qui, quæ sunt extra munitiones, omnia tueantur, soliq; illi periculis se offerant contra hostes, tum demum pro socijs fortißimis primum dij sunt optandi. deinde hipparchum decet uirum esse perfectum, & usum militarem habere: magna enim opus est prudentia aduersus eos qui longe numero uincunt, & audacia, si occasio inciderit hāc requirens. Debet etiam, ut mea quidem fert opinio, idoneus esse ad perferendos labores. Nam aduersus talem exercitū periculum adiens, cui ne tota quidē ciuitas poßit resistere, profectò patietur quicquid illi a superioribus impositū fuerit, nihil autem in illos statuere poßit. Quod si ea quæ sunt extra munitiones tuebitur, id eo numero effici poßit, qui & hostes obseruare, & in tutum, quoties res postulabit, se recipere tempestiuißime poßit. Possunt etiam nihilo minus prouidere pauci, q̄ multi, ac custodire, rebusq; amicorū receptum dare non intempestiue, qui neq; sibi, neq; equis fidunt: optimus enim est custos metus. Qui igitur ex his custodes effecerit, fortaßis rectè consulat. Ex his autē qui custodiæ adhibiti non fuerint, si quis exercitum se habere putabit, exiguus ipsi uidebitur: integro enim & perfecto destitutus exercitu, aperte se in periculum coniecturus est: At si quasi latronibus uti uelit, satis magnam ad id efficiendum manum, ut uerisimile est, habebit. Debet etiam, ut mihi quidem uidetur, equitum magister paratos semper milites habere, quasi aliquid faciat, & in occulto se tenere, ut si quid exercitus hostilis peccet, obseruare poßit. Solent enim milites, quanto plures fuerint, tanto plura peccare & errare: aut enim ad necessaria quærenda studio disperguntur milites, aut dū progrediuntur inordinata sunt omnia, alijs præcedentibus, alijs à tergo diutius quàm conuenit subsistentibus. Atq; huiusmodi delicta impune non sunt prætermittenda. Sin secus, tota regio complebitur exercitu militum. Illud summè prouidendum est, ut si quid facere anteoccuparit, in tutum prius se recipiat, quàm aliquod superueniat manus auxilium. Sæpe autem cùm progreditur exercitus, accidit ut in eius generis uias incidat, ubi non plus poßint plurimi quàm paucißimi. Cum autem hostes traducunt flumina, si diligenter obserues, & caute sequaris, id consequi poßis, ut cum quantolibet hostium numero confligas. Est etiam aliquoties utile adoriri & castrametantes, prandentes, cœnantes, cubitu surgentes, quod in his omnibus milites arma ponere soleant, pedites quidem ad breue tempus, equites ad longius spacium. Exploratoribus quidem & primis excubitoribus continenter insidiæ struendæ sunt, cùm & pauci esse soleant, & aliquoties à munitionibus procul abesse. Cum uero hæc hostes diligenter custodiunt, utile est Deo placato & approbante, clàm in hosticum proficisci: sed summa adhibita diligentia, ut qui ubicunque, & in qua regionis parte primi excubias agunt, cognoscas. Nulla est enim tam gloriosa præda, atque excubiarum & uigiliarum, si deprehensæ teneantur.

Et sanè opportuni sunt falli acijs custodes: persequuntur e-
nim minima quæq; quod id sibi imperatū esse arbitrantur.
Considerare tamen debemus, quo possimus receptum habe
re, ne sit è regione eorum, qui nobis succurrere debebunt.
Porrò qui fortißimū exercitum tutò & sine calamitate sua
maleficio aliquo afficere possunt, eos necesse est sic excelle
re, ut exercitati in rebus bellicis, hostes autem cum his com
parati, idiotæ omninoq; imperiti esse uideantur. Primū au-
tem illud adesse debet, ut prædaturi sint exercitati in trāsue
ctionib. & decursionib. quò labores possint perferre milita
res: nam harum rerū imperiti seu equi seu milites, iure opti
mo quasi mulieres cum uiris decertare uidebūtur. At insti
tuti & assuefacti transiliendis fossis, & munitionib. superā
dis, locis præruptis scandendis, quiq; ex altis & præruptis
se demittere & librare assuefacti sunt, & per decliuia cele
riter uectari, hi uero tanto præstant inexercitatis, & horū
imperitis, quantum aëria & pennigera animantia terrestri
bus. Rursus autem qui pedibus sunt exercitatis, tantum eis
antecellunt qui sunt ad asperitates uiarum inexercitati, quā
tum claudis integri. Ac locorum periti tantum in progres-
sione & regreßione præstant imperitis, quantum cæcis,
qui aspectu utuntur commode. Ne illud quidem equestris
disciplinæ peritum fugere debet, equos bene habitos, non
autem saginatos ad suffocationem usq; laboribus sustinen-
dis utilißimos esse. Et quoniam frena & ephippia è loro
suspensa utilia sunt, magistro equitum curandum est, ut il-
lis nunquam careat, cum præsertim parila impensa eos qui
illis careant, utiles & ad prælium habiles efficere poßit. Si
quis autem est qui multum inesse negocij existimet, si ista
ratione ars equestris sit exercenda, is cogitare debebit, qui
ad gymnicos ludos exercentur, eos multo pluribus & mo
lestioribus urgeri molestijs, quàm qui summa diligentia e-
questrem exercent disciplinam: illi enim se plurimū cum su
dore ad gymnasticen exercent. In equestri autem exercita-
tione plurima sunt plena uoluptatis. Nā si quis optaret uo-
lucer fieri, nullum est ex humanis operibus, quod uolatui
magis, q̄ equitatus, simile esse uideatur. Iam uero potiri ui-
ctoria in bello, gloriosius est multo q̄ in pugilatu: quod istiu
us gloriæ respub. particeps fieri solent. Vt autē multa sunt
in belli uictoria, sic et dij beatitate respub. coronāt: ut haud
sciam an quicquā aliud utilius sit, q̄ rei militaris disciplinā
artemq; exerceri. Etiam cogitare debemus, piratas labori-
bus exercitatos, posse uel à multo superioribus & præstan
tioribus uictum sibi parare. Cōuenit & ijs qui in terra sua
ipsi percipiūt, sed cibarijs carent, prædari: aut enim opus fa
ciendum, aut ab elaboratis & opere confectis alimenta su
menda: aliter uerò nō facile est neq; uitam ducere, neq; pa
cem habere. Illud etiam meminisse debet, ut nunq̄ in eos im
petum faciendum putet, quos superiores euasuros arbitre-
tur, maxime si erit à tergo locus equis transitu difficilis, cū
non sit idem erratum fugientis & persequentis. Iam uero
illud monendum puto, ut illud quoq; caueatur: sunt enim
quidam qui cùm in eos impetum facturi sint, quibus se su-
periores fore putant omnino, parua manu inuadunt, ut sæ-
pe illis acciderint, quæ ipsi in alios se illaturos confidebāt.
Cum uero in eos quibus se certo sciunt inferiores esse, quic
quid copiarum habuerint, educunt. Ego uerò contrà om-
nino fieri oportere arbitror: ac cum te uictoria potiturum
existimabis, copijs quas habeas parcere non debes:
nam multis partibus uicisse, neminem unquam pœnituit.

Cum

ἐξαπάτητοι δ' εἰσὶν οἱ φύλακες. διώκουσι γὰρ ὅτι ἂν
ὀλίγον ἴδωσι, νομίζοντες σφίσι τοῦτο προστετάχθαι.
τὰς μέντοι ἀποχωρήσεις σκοπεῖν δεῖ, ὅπως μὴ ἐναντίαι
τοῖς βοηθοῦσιν ἔσονται. τοὺς μέντοι μέλλοντας δυνήσε-
σθαι ἀσφαλῶς τὸ πολὺ κρεῖττον στράτευμα κακουργεῖν,
σαφῶς δεῖ τοσοῦτον διαφέρειν, ὥστε τοὺς μὲν ἀσκητὰς
φαίνεσθαι τῶν πολεμικῶν ἐν ἱππικῇ ἔργων, τοὺς δὲ πο-
λεμίους ἰδιώτας. τοῦτο δ' ἂν εἴη πρῶτον μὲν λῃίζεσθαι
μέλλοντες ἐκπεπονημένοι εἶεν τῇ ἐλάσει, ὥστε δύνασθαι
στρατιωτικοὺς πόνους ὑποφέρειν. οἱ γὰρ πρὸς ταῦτα ἀμε-
λῶς ἔχοντες, καὶ ἵπποι καὶ ἄνδρες, εἰκότως ἂν ὥσπερ
γυναῖκες πρὸς ἄνδρας ἀγωνίζοιντο. οἱ δέ γε δεδιδαγμέ-
νοι τε καὶ εἰθισμένοι, τάφρους τε διαπηδᾶν καὶ τειχία ὑ-
περαίρειν, καὶ ἐπ' ὄχθους ἀνάλλεσθαι, καὶ ἀφ' ὑψηλῶν ἀ-
σφαλῶς καθιέναι, καὶ τὰ κατάντη ταχὺ ἐλαύνεσθαι,
οὗτοι δ' αὖ τοσοῦτον διαφέροιεν ἂν τῶν ἀμελετήτων ταῦ-
τα, ὅσονπερ πτηνοὶ πεζῶν. οἱ δέ γε αὖ τοὺς πόδας ἐκ-
πεπονημένοι, τῶν ἀτριβάτων πρὸς τραχέα, ὅσονπερ
ὑγιεῖς χωλῶν. καὶ οἵ γε τῶν τόπων ἔμπειροι πρὸς τοὺς ἀ-
πείρους, τοσοῦτον ἐν ταῖς προελάσεσι καὶ ἀποχωρήσεσι δια-
φέροιεν ἄν, ὅσονπερ οἱ ὁρῶντες τῶν τυφλῶν. καὶ τοῦτο δὲ
χρὴ εἰδέναι, ὅτι οἱ εὐοχούμενοι ἵπποι μὴ ἐκπεπονημέ-
νοι δὲ ὥστε ἀποπνίγεσθαι, ἐν τοῖς πόνοις εὐπαρασκευασ-
μένοι εἰσί. χρὴ δὲ ἐπείπερ χαλινοὶ καὶ ἐφίππια ἐξ ἱμάν-
των ἠρτημένα ἐστὶ χρήσιμα, μή ποτε τὸν ἵππαρχον τού-
των ἔρημον εἶναι. μικρᾷ γὰρ δαπάνῃ τοὺς ἀπορουμένους χρη-
σίμους ἂν παρέχοιτο. εἰ δέ τις νομίζοι, πολλὰ ἕξειν πράγ-
ματα, εἰ οὕτω δεήσει ἀσκεῖν τὴν ἱππικήν, ἐνθυμηθή-
τω ὅτι οἱ εἰς τοὺς γυμνικοὺς ἀγῶνας ἀσκοῦντες, πολὺ
πλείω πράγματα καὶ χαλεπώτερα ἔχουσιν, ἢ οἱ τὴν
ἱππικὴν τὰ μάλιστα μελετῶντες. καὶ γὰρ τῶν μὲν γυ-
μνικῶν ἀσκημάτων τὰ πολλὰ σὺν ἱδρῶτι ἐκπονοῦν-
ται. τῆς δὲ ἱππικῆς τὰ πλεῖστα μεθ' ἡδονῆς. ὅπερ γὰρ εὔ-
ξαιτ' ἄν τις πτηνὸς γενέσθαι, οὐκ ἔστιν ὅτι μᾶλλον τῶν ἀν-
θρωπίνων ἔργων ἔοικεν αὐτῷ. καὶ μὴν τό γ' ἐν πολέμῳ
νικᾶν, πολὺ ἐνδοξότερον, ἢ πυγμῇ. μετέχει μὲν γάρ
τι καὶ ἡ πόλις ταύτης τῆς δόξης. ὡς δὲ τὰ πολλὰ ἐπὶ τῇ τοῦ
πολέμου νίκῃ, καὶ εὐδαιμονίᾳ οἱ θεοὶ τὰς πόλεις στεφα-
νοῦσιν. ὥστ' οὐκ οἶδ' ἔγωγε τίνα προσήκει, ἄλλ' ἄττα μᾶλ-
λον ἀσκεῖσθαι, ἢ τὰ πολεμικά. ἐννοεῖν δὲ χρή, ὅτι καὶ οἱ
περὶ θάλατταν λῃσταί, διὰ τὸ πονεῖν ἀσκηκέναι, δύναν-
ται ζῆν καὶ ἀπὸ τῶν πολὺ κρειττόνων. προσήκει γε μὴν
καὶ κατὰ γῆν οὐ τοῖς καρπουμένοις τὰ ἑαυτῶν, ἀλλὰ τοῖς
στερισκομένοις τῆς τροφῆς λῃίζεσθαι. ἢ γὰρ ἐργαστέον ἢ ἀπὸ
τῶν εἰργασμένων θρεπτέον. ἄλλως δ' οὐ ῥᾴδιον οὔτε
βιοτεύειν, οὔτε εἰρήνης τυχεῖν. μεμνῆσθαι δὲ κἀκεῖνο χρὴ
μή ποτε ἐπὶ τοὺς κρείττους ἐλαύνειν, ὄπισθεν ἵπποις δυσ-
βατα ποιούμενον. οὐ γὰρ ὅμοιον φεύγοντι καὶ διώκον-
τι σφαλῆναι. ἔτι δὲ βούλομαι ὑπομνῆσαι καὶ τόδε φυ-
λάττεσθαι. εἰσὶ γάρ τινες οἳ ὅταν μὲν ἴωσιν ἐπὶ τούτους,
ὧν ἂν οἴονται κρείττους εἶναι, παντάπασιν ἀσθενεῖ δυνά-
μει ἔρχονται, ὥστε πολλάκις ἔπαθον ἃ ᾤοντο ποιήσειν.
ὅταν δ' ἐπὶ τούτους ὧν ἂν σαφῶς ἐπίστωνται ἥττους ὄν-
τες, πᾶσαν ὅσην ἂν ἔχωσι δύναμιν ἄγουσιν. ἐγὼ δὲ
φημὶ χρῆναι τἀναντία τούτων ποιεῖν. ὅταν μὲν κρατή-
σειν οἰόμενος ἄγῃ, μὴ φείδεσθαι τῆς δυνάμεως ὅσην ἂν ἔχῃ.

τὸ

τὸ γὰρ πολὺ νικᾶν, οὐδέποτε μεταμέλειαν παρέ-
χει. ὅταν δὲ τοῖς πολὺ κρείττοσιν ἐγχειρῇ καὶ προγι-
νώσκῃ ὅτι ποιήσαντα ὅτι ἂν δύνηται φευκτέον εἴη, εἰς
τὰ τοιαῦτά φημι, πολὺ κρεῖττον εἶναι ὀλίγους ἢ πάντας
προσάγειν. τοὺς μέντοι ἀπειλεγμένους καὶ ἵππους καὶ ἄν-
δρας τοὺς κρατίστους. τοιοῦτοι γὰρ ὄντες καὶ ποιῆσαι ἄν τι
καὶ ἀποχωρῆσαι, ἀσφαλέστερον ἂν δύναιντο. ὅταν δὲ
πρὸς τοὺς κρείττους πάντας προσαγαγὼν ἀποχωρεῖν βού-
ληται, ἀνάγκη τοὺς μὲν ἐπὶ τῶν βραδυτάτων ἵππων ἁ-
λίσκεσθαι. τοὺς δὲ καὶ δι' ἀφιππασίαν πίπτειν. τοὺς δὲ καὶ διὰ
δυσχωρίας ἀπολαμβάνεσθαι. τὸ γὰρ πολὺν τόπον χαλε-
πὸν εὑρεῖν, οἷον ἄν τις εὔξαιτο. ὑπό γε μὴν τοῦ πλήθους
καὶ συμπίπτοιεν ἄν, καὶ ἐμποδίζοντες, πολλὰ ἂν ἀλλή-
λους κακουργοῖεν. οἱ δ' ἀγαθοὶ ἵπποι καὶ ἱππεῖς δυνα-
τοὶ καὶ ἐξ αὐτῶν διαφεύγειν. ἄλλως τε ἂν καὶ μηχανᾶ-
ταί τις τοῖς διώκουσι φόβον, ἀπὸ τῶν περιττῶν ἱππέων.
σύμφορον δ' εἰς τοῦτο καὶ αἱ ψευδενέδραι. χρήσιμον δὲ
κἀκεῖνο τὸ εὑρίσκειν πόθεν ἂν οἱ φίλοι ἐξ ἀσφαλοῦς ἐπι-
φαινόμενοι, βραδυτέρους τοὺς διώκοντας παρέχοιεν.
ἀλλὰ μὴν καὶ τόγε δῆλον ὡς πόνοις, καὶ τάχει οἱ ὀλί-
γοι τῶν πολλῶν πολὺ μᾶλλον, ἢ οἱ πολλοὶ τῶν ὀλίγων περι-
γίγνοιντ' ἄν, καὶ οὐ λέγω ὡς διὰ τὸ ὀλίγοι εἶναι καὶ πονεῖν
μᾶλλον δυνήσονται καὶ θάττους ἔσονται. ἀλλ' ὅτι ῥᾷον εὑ-
ρεῖν ὀλίγους ἢ πολλοὺς τοὺς καὶ τῶν ἵππων ἐπιμελησομέ-
νους ὡς δεῖ, καὶ αὐτοὺς φρονίμως μελετήσοντας τὴν ἱππι-
κήν. ἢν δέ ποτε συμβαίνῃ ἀγωνίζεσθαι πρὸς παραπλη-
σίους ἱππέας, ἐγὼ μὲν οἶμαι οὐκ ἂν χεῖρον εἶναι ἐπὶ δύο
τάξεις ἐκ τῆς φυλῆς ποιήσειεν. καὶ τῆς μὲν ὁ φύλαρχος
ἡγεῖτο, τῆς δὲ ἄλλος ὅστις ἄριστος δοκοίη εἶναι. οὗτος δὲ τέως
μὲν ἕποιτο κατ' οὐρὰν τῆς μετὰ τοῦ φυλάρχου τάξεως.
ἐπεὶ δ' ἐγγὺς ἤδη εἶεν οἱ ἀντίπαλοι, ἀπὸ παραγγέλσεως
παρελαύνοι ἐπὶ τοὺς πολεμίους. οὕτω γὰρ οἶμαι καὶ ἐκπλη-
κτικωτέρους τοῖς ἐχθροῖς ἂν εἶναι, καὶ δυσμαχωτέρους.
εἰ δὲ πεζοὺς ἔχοιεν ἑκάτεροι, καὶ οὗτοι ἀποκεκρυμμένοι
ὄπισθεν τῶν ἱππέων, ἐξαπίνης δὲ παραφαινόμενοι καὶ
ὁμόσε ἰόντες, δοκοῦσι ἄν μοι τὴν νίκην πολὺ μᾶλλον
κατεργάζεσθαι. ὁρῶ γὰρ τὰ παράδοξα, ἢν μὲν ἀγαθὰ ᾖ,
μᾶλλον εὐφραίνοντα τοὺς ἀνθρώπους. ἢν δὲ δεινά, μᾶλ-
λον ἐκπλήττοντα. ταῦτα δὲ γνοίη ἄν τις μάλιστα ἐνθυ-
μούμενος. ὡς οἵ τε ἐνέδραις ἐμπίπτοντες ἐκπλήττονται,
καὶ ἐὰν πολὺ πλείους ὦσι. καὶ ὅταν πολέμιοι ἀλλήλοις
ἀντικάθωνται ὡς πολὺ ταῖς πρώταις ἡμέραις φοβερώ-
τατα ἔχουσιν. ἀλλὰ τὸ μὲν διατάξαι ταῦτα οὐ χαλε-
πόν. τὸ δ' εὑρεῖν τοὺς φρονίμως καὶ πιστῶς καὶ προθύμως
καὶ εὐψύχως παρελῶντας ἐπὶ τοὺς πολεμίους, τοῦτο ἤδη
ἀγαθοῦ ἱππάρχου. δεῖ γὰρ καὶ λέγειν αὐτὸν ἱκανὸν εἶναι,
καὶ ποιεῖν τοιαῦτα ἀφ' ὧν οἱ ἀρχόμενοι γνώσονται ἀγαθὸν
εἶναι, τό, τε πείθεσθαι καὶ τὸ ἕπεσθαι, καὶ τὸ ὁμόσε ἐλαύνειν
τοῖς πολεμίοις, καὶ ἐπιθυμήσουσι τοῦ καλόν τι ἀκούειν,
καὶ δυνήσονται ἃ ἂν γνῶσιν ἐγκαρτερεῖν. ἐὰν δέ ποτε
αὖ ἢ φαλάγγων ἀντιτεταγμένων, ἢ χωρίων ἑκατέροις
ὑπαρχόντων ἐν τῷ μέσῳ, τοῖς ἱππεῦσιν ἀναστροφαί τε
καὶ διώξεις καὶ ἀποχωρήσεις γίγνονται, εἰώθασι μὲν ὡς
τὰ πολλὰ ἐκ τῶν τοιούτων, ὁρμᾶν μὲν ἐκ τῶν ἀναστρο-
φῶν βραδέως ἀμφότεροι. τὸ δ' ἐν μέσῳ τάχιστα ἐλαύ-
νειν. ἢν δέ τις οὕτω προδείξας, ἔπειτα δ' ἐκ τῆς ἀναστροφῆς
ταχέως

Cum uero cum multo superioribus congrediendum est, & præsentias, etiam si omnia quæ possis feceris, tamen fugiendum esse, in his melius esse paucos, quàm omnes educi iudico: strenuissimus tamen tum uiris, tum equis ad id exequendum delectis: qui si tales erunt, & inuadere et retrocedere tutius poterūt. Quod si in fortiorē & superiorē exercitum omnes copias eduxerit hipparchus, & retrocedere uoluerit, qui in tardissimis equis sederint, ut capiantur necesse est: alij quod ephippijs careāt, de equis cadent, alij propter locorū angustias intercipientur: nō enim facilè est ex animi uoto satis locorum reperire: præ multitudine autem & concident, & inuicem impedientes alij alios lædent multis modis. At generosi equi equitesq; possunt ex illis aufugere, præsertim si quis persequentib. moliatur terrorē inferre equitū simulatorū multitudine. Prosunt hic etiam simulatæ insidiæ. Vtile & illud inuenire, unde amici & socij ex tuto & munito se proferētes, efficiant ut qui nostros insequētur, tardiores reddātur. Quinetiā illud perspicuum est, facilius à paucis multos, q̄ à multis paucos tum laboribus, tum celeritatib. superatū iri. Nec illud dico, quia pauci sint, ideo posse tum magis laborare, tum celeriores esse: sed quia facilius est inuenire paucos, q̄ multos, qui & equos ut decet curēt, & se in arte equestri prudenter gerant. Sin interdum cōtingat ut cum equitib. comminus decertandū sit, equidē arbitror optimū fore, si ex una tribu cōstituātur ordines duo, quorū alteri præsit tribunus, alteri uero ut quisq; ei muneri uisus fuerit aptissimus: qui quidem interea à tergo eius agminis, cui præsit tribunus, sequetur. Cum uerò hostes appropinquarint, ex imperio occulto irruet in illos: sic enim arbitror nostros hostibus uisum iri & terribiliores, & debellatu difficiliores. Quod si pedites utriq; habuerint, hiq; qui post equites occultati fuerint si de improuiso sese ostendant, et simul adoriantur, uidentur facilè uictoriā obtinere posse: uideo enim homines rebus inexpectatis, si bonæ & iucūdæ fuerint, uehementius delectari: sin malæ & incōmodæ, multo magis perterreri. Hæc autem cognoscere licebit ei, qui secū reputant, q̄ obstupescant & perterreātur qui in insidias incidūt, etiam si numero insidiatores longe uincant: & cùm hostes sibi ex aduerso cōsident, quanto magis à primo alijs terrori sint. Sed hæc describere nō est admodū difficile: inuenire aūt qui prudenter, fideliter, alacriter, & animose in hostes irruptionē faciant, hoc demū est optimi equitū præfecti officium: oportet enim cum dicendi facultate ualere, ac ea agere, ex quib. hi quibus præsit, intelligant sibiipsis utile esse, & parère, & comitari, & simul in hostes impetū facere, concupiscantq; aliquid honestum audire, quæq; cognorint ea ut patiēter perferre possint. Si quando autem uel phalangib. instructis, uel agris inter utrosq; equites intermissis, equitib. potestas fit ut leuibus prælijs inter se confligant, tum persequentes, tum se receptui dantes solent plurimū in tali rerum statu tardè incitari utrinq;, locum autem medium celerrime decurrere. Si quis autem cùm sic præmonstrarit et facturum significarit, postea tamen celeri-

celeriter persequatur, simulq́; in tutum se recipiat, ut prælio facto, maxima hostibus inferet detrimenta: & ut opinor, istud tutissimè consequetur, cum celeritate persequens, interea dum propè munitionẽ fuerit: ac eadem utens celeritate, dum hostium munitionem uitat. Quod si fieri posset ut clàm cuiusq; agminis strenuissimi uiri, & equi uel quatuor uel quinq; relinquerentur, cupidissimè in hostes reuertentes irruerent. Hæc autem uel raro legere satis est, faciendũ autem semper ut se illi occasio obtulerit: & considerans ijs, quæ sunt ante oculos, in utili elaborandum. Nam mandare literis, quæ facienda sunt omnia, non magis facile est, q̃ omnia futura scire. Omniũ autem præceptorum illud mihi quidem uidetur præclarissimum, ut quæ noris utilia esse, ea cures etiam conficienda. Quæ autem rectè iudicantur, neq; in agricultura, neq; in arte nauicularia, neq; in magistratu gerendo fructũ afferunt ullum, nisi quis ut ea perficiãtur curet. Existimo autem hæc dijs iuuantibus, et totum equitatũ citius expletũ iri ad mille equites: multoq́; ciuibus fore facilius, si ex peregrinis ducẽtos ad equũ rescribant, equitesq́; conficiant. Vidẽtur enim illi adiuncti & fideliorem equitatũ omnem effecturi, & laudis uirtutis bellicæ inter se cupidiorem. Ac apud Lacedæmonios quidem equitatũ tum demũ celebrari cœpisse scio, cum peregrinos equites adiunxissent. Et in alijs ciuitatibus ubiq; peregrinos uideo probari, magnãq; laudem consequi: necessitas enim maximam affert alacritatem. Ad coẽmendos equos pecunias suppeditatum iri arbitror ab ijs qui magnopere ab equitando abstinent: quando & hi quibus equitandi munus conuenit & assignatur, pecuniam solent pendere ut eo munere liberentur. À diuitibus quidem illis, sed corpore imbecillis, suppeditabũtur: à pupillis etiam, opinor, qui potentes habent familias. Extituros præterea puto incolas, qui in ordinem equestrem cooptari expetant. Video enim & aliarum rerum magnarum & honestarum, quas impertiunt illis ciues, cupidè nonnullos curationem administrare solere, imperatasq; facere. Peditatus uerò cũ equis coniunctus uidetur multa efficere posse, si ex ijs cõstituatur, qui hostibus maximè sint infensi. Atque hæc omnia dijs approbantibus fieri debebunt. Quòd si quis miratur sæpe à me illud scriptum esse, fauente Deo agendum: is sciat, si in periculis sæpe uersabitur, se minus miraturum: ac si secum reputabit, hostes tempore belli sibi alios alijs insidias ponere, rarò autem ubi lateant & abstrusæ sint, sciri posse. Atqui in istis nemo sic consilio ualet, ut rationem deprehendendi ostendere possit, præter deos, qui omnia sciunt, & præsignificant tum hostijs, tum augurijs, tum rumorib. tum somnijs. Credibile est aũt deos hac in re magis cõsulturos ijs, qui nõ solum cùm ipsi egẽt, oracula petunt, ut quid sit faciendũ sciant, sed etiam rebus prosperis eos uenerantur & colunt.

ταχέως τε διώκει καὶ ταχέως ἀποχωρεῖ, βλάπτειν τ' ἂν μάλιστα τοὺς πολεμίους δύναιτο, καὶ ὡς τὸ εἰκὸς ἀσφαλέστατ' ἂν διάγοι. ταχὺ μὲν διώκων, ἐν ᾧ ἂν ἐγγὺς ᾖ τοῦ ἑαυτοῦ ἰσχυροῦ. ταχὺ δὲ ἀποχωρῶν ἀπὸ τῶν τοῖς πολεμίοις ἰσχυρῶν. εἰ δὲ καὶ λαθεῖν δύναιτο ἀπὸ τῆς τάξεως ἑκάστης καταλιπὼν ἢ τέτταρας ἢ πέντε τῶν κρατίστων ἵππων τε καὶ ἀνδρῶν, πολὺ ἂν προέχοιεν εἰς τὸ ἐπαναστρεφομένοις τοῖς πολεμίοις ἐμπίπτειν. ταῦτα δὲ ἀναγιγνώσκειν μὲν καὶ ὀλιγάκις ἀρκεῖ. ποιεῖν δὲ τὸ παρατυγχάνον αὐτῷ ἀεὶ δεῖ, καὶ πρὸς τὸ παριστάμενον σκοποῦντα, τὸ συμφέρον ἐκπονεῖν. γράψαι δὲ πάντα ὁπόσα δεῖ ποιεῖν, οὐδὲν μᾶλλον οἷόν τέ ἐστιν, ἢ τὰ μέλλοντα πάντα εἰδέναι. πάντων δὲ τῶν ὑπομνημάτων ἔμοιγε δοκεῖ κράτιστον εἶναι, τὸ ὅσα ἂν γνῷ ἀγαθὰ εἶναι, ἐπιμελεῖσθαι ὡς ἂν πραχθῇ. ὀρθῶς δέ γε γιγνωσκόμενα οὐ φέρει καρπόν, οὔτε ἐν γεωργίᾳ, οὔτ' ἐν ναυκληρίᾳ, οὔτε ἐν ἀρχῇ, ἢν μή τις ἐπιμελῆται, ὡς ἂν ταῦτα περαίνηται. φημὶ δ' ἐγὼ ταῦτα σὺν τοῖς θεοῖς καὶ τὸ πᾶν ἱππικὸν ὧδ' ἂν πολὺ θᾶσσον ἐκπληρωθῆναι εἰς τοὺς χιλίους ἱππέας, καὶ πολὺ ῥᾷον τοῖς πολίταις, εἰ διακοσίους ἱππεῖς ξένους καταστήσαιντο. δοκοῦσι γὰρ ἄν μοι οὗτοι προσγενόμενοι, καὶ εὐπειστότερον ἂν πᾶν τὸ ἱππικὸν ποιῆσαι καὶ φιλοτιμότερον πρὸς ἀλλήλους περὶ ἀνδραγαθίας. οἶδα δ' ἔγωγε καὶ Λακεδαιμονίοις ἱππικὸν ἀρξάμενον εὐδοκιμεῖν, ἐπεὶ ξένους ἱππέας προσέλαβον. καὶ ἐν ταῖς ἄλλαις δὲ πόλεσι πανταχοῦ τὰ ξενικὰ ὁρῶ εὐδοκιμοῦντα. ἡ γὰρ χρεία μεγάλην προθυμίαν συμβάλλεται. εἰς δὲ τιμὴν τῶν ἵππων νομίζω ἂν αὐτοῖς χρήματα ὑπάρξαι, καὶ παρὰ τῶν σφόδρα ἀπεχομένων μὴ ἱππεύειν, ὅτι καὶ οἷς καθίστησι τὸ ἱππικόν, ἐθέλουσι τελεῖν ἀργύριον ὡς μὴ ἱππεύειν, παρὰ πλουσίων γε, ἀδυνάτων δὲ τοῖς σώμασι. οἴομαι δὲ καὶ παρ' ὀρφανῶν τῶν δυνατοὺς οἴκους ἐχόντων. νομίζω δὲ καὶ μετ' οἴκων φιλοτιμεῖσθαι ἄν τινας εἰς ἱππικὴν καθισταμένους. ὁρῶ γὰρ καὶ τῶν ἄλλων ὁπόσων ἂν καλῶν ὄντων μεταδιδῶσιν αὐτοῖς οἱ πολῖται φιλοτίμως ἐνίους ἐθέλοντας τὸ προσταχθὲν διαπράττεσθαι. δοκεῖ δ' ἄν μοι καὶ πεζὸν σὺν τοῖς ἵπποις ἐνεργότατον εἶναι, εἰ συσταθείη ἐξ ἀνδρῶν τῶν ἐναντιωτάτων τοῖς πολεμίοις. ταῦτα δὲ πάντα θεῶν συνεθελόντων γένοιτ' ἄν. εἰ δέ τις τοῦτο θαυμάζει ὅτι πολλάκις γέγραπται τὸ σὺν θεῷ πράττειν, εὖ ἴστω ὅτι ἢν πολλάκις κινδυνεύῃ, ἧττον τοῦτο θαυμάσεται. καὶ ἤν γε κατανοῇ, ὅτι ὅταν πόλεμος ᾖ, ἐπιβουλεύουσι μὲν ἀλλήλοις οἱ ἐναντίοι, ὀλιγάκις δὲ ἴσασι, πῶς ἔχει τὰ ἐπιβουλευόμενα. τὰ οὖν τοιαῦτα οὐδ' ὅτῳ συμβουλεύσαιτό τις οἷόν τε εὑρεῖν, πλὴν θεῶν. οὗτοι δὲ πάντα ἴσασι. καὶ προσημαίνουσιν ᾧ ἂν ἐθέλωσι, καὶ ἐν ἱεροῖς καὶ ἐν οἰωνοῖς, καὶ ἐν φήμαις, καὶ ἐν ὀνείρασιν. εἰκὸς δὲ μᾶλλον ἐθέλειν αὐτοὺς συμβουλεύειν τούτοις, οἳ ἂν μὴ μόνον ὅταν δέωνται ἐπερωτῶσι τί χρὴ ποιεῖν, ἀλλὰ καὶ ἐν ταῖς εὐτυχίαις θεραπεύωσιν, ὅ τι ἂν δύνωνται τοὺς θεούς.

ILLV/

ILLVSTRISSIMO PRINCIPI AC DOMINO, D. IOANNI VVOCESTRE, COMITI VICORNIENSI, OMNIBONVS LEONICENUS S. P. D.

NVPER legebam, princeps illustris, Xenophontis de Venatione libellum, in quo magnus ille tum rhetor, tum philosophus, probare contendit uenandi studium plus ad uirtutem habere momenti, quam cuiuis credibile uideatur. Quam ad rem multis rationibus utitur, sed illa nimirum potissima, quod apud Chironem huius instituti magistrum, heroës ferme omnes cum alias artes ingenijs maioribus dignas, tum uero præ cæteris uenationem meditati, facile omnibus quos ætas illa melior tulit non laude solum, sed admiratione etiam præstiterunt, cum fortissimi ijdem fuerint ac religiosissimi uiri. Id ex eo cognosci potest, quod sibi patriæque suæ præsidio & ornamento fuerunt, quod dijs charissimi omnes, deorum etiam honores plerique meruerunt. Itaque magna me libelli cupido cepit latinæ linguæ tradendi. Hæc enim eludant cæteri licet, quæ de talibus uiris memoriæ produntur, & ea dicant fabulis similiora esse quam ueris. Ego cum te, uitæque institutionem considero, dubitare non possum id optima ratione factum, ut hanc uenandi meditationem, quæ te in primis delectat, magni uiri nihil ab honestioribus studijs alienam esse putauerint. Nihil enim tibi deest ad laudis & gloriæ cumulum, quem non ut cæteros uirtutibus præditos uidemus singulis fere singulos, fide Fabritium, pietate Regulum, continentia Catonem, iustitia Camillum, magnificentia Lucullum, humanitate Marcellum: sed omnibus pariter bonis ornatum uidemus, quæ hominibus uel natura tribuere potest, uel industria comparare. Quocirca libellum hunc latinum factum tuo ipsum nomini, Princeps illustris, deuouere constitui: opus, ut arbitror, aggressus, nec tibi iniucundum. Cuius enim rei exercitatione lætaris, eiusdem profecto lectione gaudebis. Nec cæteris inutile. Nam quæ Xenophon docet, tu cum ea facias, hinc autoritate ducti iuuenes, hinc exemplo, hinc denique uerum laborem uanis uoluptatibus anteponere incipient. Vale.

ΞΕΝΟΦΩΝΤΟΣ ῬΗΤΟΡΟΣ ΚΥΝΗΓΕΤΙΚΟΣ.

ΤΟ ΜΕΝ εὕρημα θεῶν, ἀπόλλωνος καὶ ἀρτέμιδος, ἄγραι καὶ κύνες. ἔδοσαν δὲ καὶ ἐτίμησαν τούτῳ χείρωνα διὰ δικαιότητα. ὁ δὲ λαβὼν ἐχάρη τῷ δώρῳ, καὶ ἐχρῆτο. καὶ ἐγένοντο αὐτῷ μαθηταὶ κυνηγεσιῶν τε καὶ ἑτέρων καλῶν, κέφαλος, ἀσκληπιὸς, μελανίων, νέστωρ, ἀμφιάραος, πηλεὺς, τελαμὼν, μελέαγρος, θησεὺς, ἱππόλυτος, παλαμήδης, ὀδυσσεὺς, μενεσθεὺς, διομήδης, κάστωρ, πολυδεύκης, μαχάων, ποδαλείριος, ἀντίλοχος, αἰνείας, ἀχιλλεὺς, ὧν κατὰ χρόνον ἕκαστος ὑπὸ θεῶν ἐτιμήθη. θαυμαζέτω δὲ μηδεὶς, ὅτι οἱ πολλοὶ αὐτῶν ἀρέσκοντες θεοῖς, ὅμως ἐτελεύτησαν. τοῦτο μὲν γὰρ ἡ φύσις. ἀλλ' οἱ ἔπαινοι αὐτῶν μεγάλοι ἐγένοντο. μηδὲ ὅτι οὐ καὶ αἱ αὐταὶ ἡλικίαι. ὁ γὰρ χείρωνος βίος πᾶσιν ἐξήρκει. ζεὺς γὰρ καὶ χείρων ἀδελφοὶ, πατρὸς μὲν τοῦ αὐτοῦ, μητρὸς δὲ, ὁ μὲν ῥέας, ὁ δὲ ναΐδος νύμφης. ὥστε ἐγεγόνει μὲν πρότερος τούτων, ἐτελεύτησε δὲ ὕστερον, ἢ ὡς ἀχιλλέα ἐπαίδευσεν. ἐκ δὲ τῆς ἐπιμελείας τῆς ἐκ τῶν κυνῶν, καὶ κυνηγεσιῶν, καὶ τῆς ἄλλης παιδείας πολὺ διενεγκόντες, κατὰ τὴν ἀρετὴν ἐθαυμάσθησαν. κέφαλος μὲν καὶ ὑπὸ θεᾶς ἡρπάσθη. ἀσκληπιὸς δὲ μειζόνων ἔτυχεν. ἀνιστάναι μὲν τεθνεῶτας, νοσοῦντας δὲ ἰᾶσθαι. διὰ δὲ ταῦτα θεὸς ὢν, παρ' ἀνθρώποις ἀείμνηστον κλέος ἔχει. μελανίων δὲ τοσοῦτον ὑπερέσχε φιλοπονίας, ὥστε ὧν αὐτῷ ἀντερασταὶ ἐγένοντο, οἱ τότε ἄριστοι τῶν τότε μεγίστων γάμων, μόνος ἔτυχεν ἀταλάντης. νέστορος δὲ προδιελήλυθεν ἡ ἀρετὴ τῶν ἑλλήνων τὰς ἀκοὰς, ὥστε εἰδόσιν ἂν λέγοιμι. ἀμφιάραος δὲ ὅτε ἐπὶ θήβας ἐστρατεύετο, πλεῖστον κτησάμενος ἔπαινον, ἔτυχε παρὰ θεῶν ἀεὶ ζῶν τιμᾶσθαι. πηλεὺς δ' ἐπιθυμίαν παρέσχε καὶ θεοῖς δοῦναί τε θέτιν αὐτῷ, καὶ τὸν γάμον παρὰ χείρωνι ὑμνῆσαι. τελαμὼν δὲ τοσοῦτος ἐγένετο, ὥστε ἐκ μὲν πόλεως τῆς μεγίστης, ἣν αὐτὸς ἐβούλετο γῆμαι περίβοιαν τὴν ἀλκάθου. ὅτε δὲ ὁ πρῶτος τῶν ἑλλήνων ἐδίδου τὰ ἀριστεῖα ἡρακλῆς ὁ διὸς ἑλὼν τροίαν,

XENOPHONTIS DE VENATIONE LIBELLVS OMNIBONO Leoniceno interprete.

VENATIO & canes, deorum inuentio fuit Apollinis atque Dianæ. Hæc uero propter iustitiam donarunt, ornaruntque Chironem: quo ille accepto dono lætus utebatur. Hinc & uenationis & bonarum aliusmodi artium discipuli fuere Cephalus, Aesculapius, Melanion, Nestor, Theseus, Hippolytus, Palamedes, Vlysses, Menestheus, Diomedes, Castor, Pollux, Machaon, Podalirius, Antilochus, Aeneas, Achilles, qui per id tempus dijs chari fuere. Nemo autem miretur quod plerique eorum, tametsi dijs placerent, tamen mortui sunt: hoc enim naturæ est: sed laudes ipsorum ætate magnæ fuerunt: omnibus enim Chironis uita suffecit. Iupiter enim, Chironque fratres ex eodem patre, sed ille Rhea, hic Naiade nympha matre: itaque natus est ante illos, mortuus uero postquam erudijt Achillem: sed canum uenationisque, & aliarum artium studio, cum multum uirtute præstarent, admirabiles fuerunt. Et Cephalus quidem à dea raptus est. Aesculapius maiora consecutus, ut mortuos suscitaret, ægrotos sanaret: quapropter deus cum sit, perpetuam gloriam obtinet. Melanion tantum studio laboris excelluit, ut ex riualibus suis qui ad maxima connubia digniores erant, Atalantæ nuptias solus consequutus fuerit, quarum spectatissimos ætatis illius uiros æmulos habuit. Nestoris uirtus Græcorum aures ita occupauit, ut non apud ignaros loquar. Amphiaraus cum aduersus Thebas militasset, plurimam laudem adeptus, deorum honores immortalis obtinuit. Peleus effecit ut sibi Thetim dij desponsare cuperent, & nuptias apud Chironem celebrarent. Telamon tantus euasit, ut ex urbe maxima sibi quam uolebat Alcathoi filiam Peribœam uxorem duxerit: & cum Græcorum princeps capta Troia

Trois Iouis Hercules militaris dona tribueret, He/
sionem ipsi habendam tradiderit. Meleager
quos honores cepit, planum est: patris autem
qui oblitus est, in senectute deam infortunium
habuit. Theseus Græciæ totius hostes solus
perdidit, auctáque patria nunc etiam admiran/
dus perhibetur. Hippolytus Dianæ charus,
modestia & pietate inter beatos habitus oppetijt.
Palamedes, dum uixit, omnes ætatis suæ uiros
plurimum sapientia præstitit: post iniustam uero 10
mortem uindicatus à dijs quantum alius nemo.
Occisus est autem non unde arbitrantur nonnul/
li: neque enim fuisset hic prope optimus ille bo/
no similis, sed improbi facinus perpetrarunt.
Menestheus præ industria uenandi tantum laboran
do præualuit, ut huic bellicis rebus Græcorum
primi cedere fateantur, excepto Nestore, qui
nec ipse quidem superior, sed par esse cense/
tur. Vlysses & Diomedes per singula cla/
ri, ad summam causa fuerunt ut Troia caperetur. 20
Castor & Pollux his quæ à Chirone didicerant,
tantum in Græcis claruerunt, ut propter eorum
opinionem immortales fuerint. Machaon &
Podalirius his itidem omnibus eruditi, & arte,
& oratione, & bello præstantes extitere. An/
tiochus pro patre moriens tantum gloriæ conse/
quutus est, ut apud Græcos solus prædicetur pa/
tris amator. Aeneas dijs penatibus seruatis, ser/
uato & ipso patre, gloriam pietatis emeruit: hu/
ic & hostes uni ex omnibus quos ad Troiam ce/ 30
perant, ui belli abstinuere. Achilles in hac
disciplina educatus, documenta de se adeo pul/
chra & magna dedit, ut de illo nec dicendo
quisquam, nec audiendo satietur. Hi tales
Chironis diligentia fuerunt, quam nunc etiam &
boni admirantur, & mali detrectant. Itaque
in Græcia sicubi uel ciuitati, uel regi calamitates
uenere, liberatores ipsi fuerunt. Si uero uni/
uersæ Græciæ cum barbaris certamen uel bellum
fuit, per eos Græci uictoriam obtinuerunt. Eo 40
factum est ut Græciam ipsi inuictam reddiderint.
Quocirca iuuenes admoneo, ut uenationis disci/
plinam, si quam aliam, minimè contemnant. hinc
etenim bello strenui, cæterisque rebus euadunt, ut
bene & dicere & facere cogantur. Cum igi/
tur è pueris excesserint, primum uenandi studi/
um obire oportet. Deinde aliarum artium (si
quis usus fuerit habere facultatem) quæ quidem
alijs idonea est, ut inde non parum iuuentur, alijs
uero secus: ac propterea omnem diligentiam adhi/ 50
bebit, ut nihil quantum in se erit, omittat. At uero
quot quibusq; rebus instructus ad hoc se conferre de
beat, expediam, & res ipsas, & rerum cuiusq; scien
tiam: ut cum eas perceperit, opus aggrediatur. Nec
sit qui hæc contemnenda putet: nam sine his agi ni/
hil posset. Oportet rei uenatoriæ studiosum lingua
Græcum esse, ætate annorum circiter uiginti, statura
sane agilem & ualidum, animo uero patientem, ut
laboris uictor re ipsa lætetur. Sagenæ uero tenuis/
simo lino Phasiano uel Carthaginensi, necnon cas/
ses, &

De persona uenatoris.

τροίαν, ἠσιόνην αὐτῷ ἔδωκεν. μελέαγρος δὲ τὰς μὲν τι-
μὰς ἃς ἔλαβεν φανεραί. πατρὸς δ' ἐν γήρᾳ ἐπιλαθομέ-
νου τῆς θεοῦ, οὐχ αὐτοῦ αἰτίαις ἐδυστύχησε. θησεὺς δὲ
τοὺς μὲν τῆς ἑλλάδος ἐχθροὺς πάσης μόνος ἀπώλεσε.
τὴν δ' αὐτοῦ πατρίδα πολλῷ μείζω ποιήσας, ἔτι καὶ
νῦν θαυμάζεται. ἱππόλυτος δὲ ὑπὸ μὲν τῆς ἀρτέμι-
δος ἐτιμᾶτο, ἐν λόγοις ἦν, σωφροσύνῃ δὲ καὶ ὁσιότη-
τι μακαρισθεὶς ἐτελεύτησε. παλαμήδης δὲ ἕως μὲν ἦν
πολὺ τῶν ἐφ' ἑαυτοῦ ὑπερεῖχε σοφίᾳ. ἀποθανὼν δὲ ἀδί-
κως, τοσαύτης ἔτυχε τιμωρίας ὑπὸ θεῶν, ὅσης οὐδεὶς
ἄλλος ἀνθρώπων. ἐτελεύτησε δὲ οὐχ ὑφ' ὧν οἴονταί
τινες. οὐ γὰρ ἂν ἦν, ὁ μὲν σχεδὸν ἄριστος, ὁ δὲ ὅμοιος
ἀγαθοῖς, κακοὶ δ' ἐπράξαντο τὸ ἔργον. μενεσθεὺς δὲ ἐκ
τῆς ἐπιμελείας τῆς ἐκ τῶν κυνηγεσίων τοσοῦτον ὑπερέ-
βαλε φιλοπονίᾳ, ὥστε ὁμολογεῖν, τοὺς τῶν ἑλλήνων πρώ-
τους, ὑστέρους εἶναι, τὰ εἰς τὸν πόλεμον ἐκείνου, πλὴν νέ-
στορος, καὶ οὗτος οὐ προέχειν λέγεται, ἀλλὰ ἐρίζειν. ὀ-
δυσσεὺς δὲ καὶ διομήδης, λαμπροὶ μὲν καὶ καθ' ἓν ἕ-
καστον, τὸ δὲ ὅλον αἴτιοι τροίαν ἁλῶναι. κάστωρ δὲ καὶ πο-
λυδεύκης, ὅσα ἐπεδείξαντο ἐν τῇ ἑλλάδι τῶν παρὰ χεί-
ρωνος διὰ τὸ ἀξίωμα, τὸ ἐκ τούτων ἀθάνατοί εἰσι. μα-
χάων δὲ καὶ ποδαλείριος παιδευθέντες τὰ αὐτὰ πάν-
τα, ἐγένοντο καὶ τέχνας καὶ λόγους καὶ πολέμους ἀγα-
θοί. ἀντίλοχος δὲ τοῦ πατρὸς ὑπεραποθανὼν τοσαύτης
ἔτυχεν εὐκλείας, ὥστε μόνος φιλοπάτωρ παρὰ τοῖς ἕλλη-
σιν ἀναγορευθῆναι. αἰνείας δὲ σώσας μὲν τοὺς πατρῴους
καὶ μητρῴους θεούς, σώσας δὲ καὶ αὐτὸν τὸν πατέρα, δό-
ξαν εὐσεβείας ἐξηνέγκατο, ὥστε καὶ οἱ πολέμιοι μόνῳ ἐ-
κείνῳ ὧν ἐκράτησαν ἐν τροίᾳ, ἔδοσαν μὴ συληθῆναι.
ἀχιλλεὺς δ' ἐν ταύτῃ τῇ παιδείᾳ τραφείς, οὕτω καλὰ
καὶ μεγάλα μνημεῖα παρέδωκεν, ὥστε οὔτε λέγων, οὔτε
ἀκούων περὶ ἐκείνου οὐδεὶς ἀπαγορεύει. οὗτοι τοιοῦτοι ἐ-
γένοντο ἐκ τῆς ἐπιμελείας τῆς παρὰ χείρωνος, ἧς οἱ μὲν
ἀγαθοί, ἔτι καὶ νῦν ἐρῶσιν, οἱ δὲ κακοὶ φθονοῦσιν. ὥστ' ἐν
μὲν τῇ ἑλλάδι, εἴτῳ συμφοραὶ ἐγίγνοντο, ἢ πόλει, ἢ βα-
σιλεῖ, ἐλύοντο αὐτοὺς. εἰ δὲ πρὸς τοὺς βαρβάρους πάντας,
πάσῃ τῇ ἑλλάδι νεῖκος, ἢ πόλεμος, διὰ τούτους οἱ ἕλ-
ληνες ἐκράτουν, ὥστε ἀνίκητον τὴν ἑλλάδα παρέχειν.
ἐγὼ μὲν οὖν παραινῶ τοῖς νέοις, μὴ καταφρονεῖν κυνηγε-
σίων, μηδὲ τῆς ἄλλης παιδείας. ἐκ τούτων γὰρ γίγνονται
τὰ εἰς τὸν πόλεμον ἀγαθοί, εἴς τε τὰ ἄλλα ἐξ ὧν ἀνάγκη
καλῶς νοεῖν καὶ λέγειν καὶ πράττειν. πρῶτον μὲν οὖν χρὴ
ἐλθεῖν ἐπὶ τὸ ἐπιτήδευμα τὸ τῶν κυνηγεσίων, τὸν ἤδη ἐκ
παιδὸς ἀλλάττοντα τὴν ἡλικίαν. εἶτα δὲ καὶ ἐπὶ τὰ ἄλλα
παιδεύματα, τὸν μὲν ἔχοντα σκεψάμενον τὴν οὐσίαν,
ᾧ μὲν ἔστιν ἱκανὴ ἀξίως τῆς αὐτοῦ ὠφελείας, ᾧ δὲ μὴ ἔστιν,
ἀλλ' οὖν τήν γε προθυμίαν παρεχέσθω, μηδὲν ἐλλείπων
τῆς ἑαυτοῦ δυνάμεως. ὅσα δὲ καὶ οἷα δεῖ παρεσκευασ-
μένον ἐλθεῖν ἐπ' αὐτὸ φράσω, καὶ αὐτὰ καὶ τὴν ἐπιστή-
μην ἑκάστου, ἵνα προειδὼς ἐγχειρῇ τῷ ἔργῳ, καὶ μηδεὶς
αὐτὰ φαῦλα νομιζέτω εἶναι. ἄνευ γὰρ δὴ τούτων, οὐκ ἂν
εἴη πρᾶξις. χρὴ δὲ τὸν μὲν ἀρκύων ἐπιθυμοῦντα τοῦ ἔρ-
γου εἶναι τὴν φωνὴν ἕλληνα. τὴν δὲ ἡλικίαν περὶ ἔτη εἴκοσι.
τὸ δὲ εἶδος ἐλαφρόν, ἰσχυρόν. ψυχὴν δὲ ἱκανὸν ἵνα τῶν
πόνων τούτοις κρατῶν, χαίρῃ τῷ ἔργῳ. τὰς δὲ ἄρκυς,
φασιανοῦ ἢ καρχηδονίου, λεπτοῦ λίνου, καὶ τὰ ἐνό-
δια

διὰ τὰ δίκτυα. ἔστωσαν δὲ αἱ μὲν ἄρκυες ἐννεάλινοι. τὸ δὲ μέγεθος πεντασπίθαμοι, διπάλαιστοι δὲ τοὺς βρόχους. ὑφέστωσαν δὲ τοὺς περιδρόμους ἀναμμάτους, ἵνα εὔτροχοι ὦσι. τὰ δὲ ἐνόδια δωδεκάλινα, τὸ δὲ μέγεθος τὰ μὲν ἐνόδια διώρυγα, τετρώρυγα, πεντώρυγα. τὰ δὲ δίκτυα δεκώρυγα, εἰκοσώρυγα, τριακοντώρυγα. ἐὰν δὲ ᾖ μείζω δυσμεταχείριστα ἔσται. ἀμφότερα δὲ τριακονθάμματα, καὶ τῶν βρόχων τὸ διάστημα ἴσον ταῖς ἄρκυσιν. ἐν δὲ τοῖς ἀκρολινίοις τὰ μὲν ἐνόδια ἐχέτω μαστούς, τὰ δὲ δίκτυα δακτυλίους. τοὺς δὲ περιδρόμους ἐκ στροφείων. αἱ δὲ σχαλίδες μὲν τῶν ἀρκύων, τὸ μῆκος δεκαπαλαιστῶν. ἔστωσαν δὲ καὶ ἐλάττους. αἱ μὲν ἄνισοι αὐτῶν, ἐν τοῖς ἐπικλινέσι τῶν χωρίων, ἵνα τὰ ὕψη ἐξαίρωσιν. ἐν δὲ ὁμαλέσιν αἱ ἴσαι. αὗται δ' εὐπερίσπαστοι τὰ ἄκρα καὶ αὐταὶ λεῖαι. τῶν δὲ ἀρκύων διπλάσιαι. αἱ δὲ τῶν δικτύων, τὸ μὲν μέγεθος πεντασπίθαμον, δικρᾶ ἔχουσαι μικρά, τὰ ἐντμήματα μὴ βαθέα, εὐπαγεῖς δὲ πᾶσαι, καὶ μὴ ἀσύμμετροι τὰ πάχη πρὸς τὰ μήκη. τῷ δὲ πλήθει τῶν σχαλίδων οἷόν τε δεῖ χρῆσθαι πρὸς τὰ δίκτυα πολλῶν καὶ ὀλίγων. ἐλάττονα μὲν, ἂν σφόδρα τείνηται ἐν τῇ στάσει, πλείονι δ' ἂν ἡσυχῇ. ἔστω δὲ καὶ ἐν ὅτῳ ἔσονται αἱ ἄρκυς καὶ τὰ δίκτυα ἐν ἑκατέροις, κυνοῦχος μόσχειος, καὶ τὰ δρέπανα, ἵνα ᾖ τῆς ὕλης τέμνοντα φράττειν τὰ δεόμενα. τὰ δὲ γένη τῶν κυνῶν ἐστὶ διττά. αἱ μὲν καστόριαι, αἱ δὲ ἀλωπεκίδες. ἔχουσι δ' αἱ μὲν καστόριαι τὴν ἐπωνυμίαν ταύτην, ὅτι Κάστωρ ἡσθεὶς τῷ ἔργῳ, μάλιστα αὐτὰς διεφύλαξεν. αἱ δ' ἀλωπεκίδες, διότι ἐκ κυνῶν τε καὶ ἀλωπέκων ἐγένοντο. ἐν πολλῷ δὲ χρόνῳ συγκέκραται αὐτῶν ἡ φύσις. χείρους δὲ καὶ πλείους αἱ τοιαίδε, μικραί, γρυπαί, χαροποί, μυωποί, αἰσχραί, σκληραί, ἀσθενεῖς, ψιλαί, ὑψηλαί, ἀσύμμετροι, ἄψυχοι, ἄρρινες, οὐκ εὔποδες. αἱ μὲν οὖν μικραὶ πολλάκις ἐκ τῶν κυνηγεσίων ἀποστεροῦνται τῆς ἐργασίας, διὰ τὸ μικρόν. αἱ δὲ γρυπαί, ἄστομοι, καὶ διὰ τοῦτο οὐ κατέχουσι τὸν λαγῶ. μυωποὶ δὲ καὶ χαροποί, χείρω τὰ ὄμματα ἔχουσιν. ἄμορφοι δὲ καὶ αἰσχραὶ ὁρᾶσθαι. αἱ δὲ σκληραὶ τὰ εἴδη χαλεπῶς ἀπὸ τῶν κυνηγεσίων ἀπαλλάττουσι. πονεῖν δὲ ἀδύνατοι αἱ ἀσθενεῖς καὶ αἱ ψιλαί. αἱ δ' ὑψηλαὶ καὶ ἀσύμμετροι ἀσύμπηκτα ἔχουσαι τὰ σώματα βαρέως διαφοιτῶσιν. αἱ ἄψυχοι δὲ λείπουσι τὰ ἔργα, καὶ ἀφίστανται τὸν ἥλιον ὑπὸ τὰς σκιάς, καὶ κατακλίνονται. αἱ δὲ ἄρρινοι, μόλις καὶ ὀλιγάκις αἰσθάνονται τοῦ λαγῶ. αἱ δὲ ἄποδες οὐδ' ἐὰν ὦσιν εὔψυχοι, τοὺς πόνους δύνανται ὑπέχεσθαι, ἀλλ' ἀπαγορεύουσι διὰ τὸ ἄλγος τῶν ποδῶν. εἰσὶ δὲ καὶ τῆς ἰχνεύσεως πολλοὶ τρόποι ἐκ τῶν κυνῶν. αἱ μὲν γὰρ ἐπειδὰν λάβωσι τὰ ἴχνη, πορεύονται ἀσήμως, ὥστε μὴ γιγνώσκεσθαι ὅτι ἰχνεύουσιν. αἱ δὲ τὰ ὦτα μόνον διακινοῦσι, τὴν δὲ οὐρὰν ἡσυχῇ ἔχουσιν. αἱ δὲ τὰ ὦτα μὲν ἀκίνητα ἔχουσιν, ἄκρα δὲ τῇ οὐρᾷ σείουσιν. ἄλλαι δὲ συνάγουσι τὰ ὦτα, καὶ ἐπισκυθρωπάσασαι διὰ τοῦ ἴχνους, χαλάσασαι τὴν οὐρὰν καὶ φράξασαι διατρέχουσι. πολλαὶ δὲ τούτων μὲν οὐδὲν ποιοῦσι, μανικῶς δὲ περιφερόμεναι, ὑλακτοῦσι περὶ τὰ ἴχνη, ὅταν ἐμπίπτωσιν ἐς αὐτὰ ἀφρόνως καταπατοῦσαι τὰς αἰσθήσεις. εἰσὶ δ' αἳ κύκλους πολλοὺς ποιούμεναι καὶ πλάνους ὑπολαμβάνουσαι ἐκ τοῦ πρόσθεν τὰ ἴχνη παραλείπουσι τὸν λαγῶ.

ses, & retia: et sagenæ quidem filis nouem, magnitudo quinq; spithamarum: laquei ulnis undecim: plagas uero subijciant enodes, ut labi facile possint. Casses uero filis duodecim: magnitudo uallos capiat binos, ternos, quaternos, quinos. Retia uero denos, uigenos, trigenos: nam si maiora fuerint, fient intractabilia: utraq; uero sint macularum triginta. Laqueorum spaciũ sit sagenis æquale. In fastigio casses trochiscos habeant, retia annulos, plagas autem à spirulis. Et sagenarum quidem bastulia longa sint denas ulnas, & eo breuiores. Et ex his alia in decliuib. locis inequalis æqualiter surgant, alia in planis. Aequalia uero supremum circumflexibilia sint, ipsaq; leuia. Caßium uero bis tantum. Retium quinos spithamas pedes modice bifurcata, nec profunde incisa: ualida omnia, ut nihil à longitudine craßitudo dissentiat. Numero bastilium ad retia maiore uti minoréue licet. Sed statuendo pauciora, laboriosius tenduntur, plura ociosius. Vbicunque uero sagena & retia fuerint, utrobique sit copula canum: turma sint & falces, ut saltus (sicubi oportet) cæsa sylua claudatur. Iam uero canum duo sunt genera: hæ castoriæ sunt, illæ uerò uulpinæ. Et castoriæ quidem cognomen habent, quod eas Castor re ipsa delectatus, præcipue obseruauit. Vulpinæ, quod ex canibus natæ sint et uulpibus, quarum natura spacio temporis confusa est. Et hæ plures deterioresq; sunt, ut pusillæ & grypæ, ut hilares, ac murinus oculis deformes, strigosæ, infirmæ, tenues, proceræ, inhabiles, pusillanimes, non sagaces, mollipedes. Pusillæ igitur sæpe inter uenandum propter breuitatem operam perdunt. Grypæ sine rostro sunt, & propterea leporem tenere non possunt. Hilares ac murinus oculis hebetiori sunt acie. Deformes uero sunt ipso usu turpes. Strigosæ à saltu non facile absistunt, sed laboris impatientes sunt. Infirmæ ac tenues & proceræ, itémque inhabiles, magis oculis grauiter incedunt. Pusillanimes opera destruunt, & se sub umbras à sole recipiunt ac recubant. Quæ uero sagaces non sunt, ægrè raróque sentiunt leporem. Mollipedes nec si magnanimæ fuerint, labores pati possunt, sed præ pedum dolore deficiunt. Horum autem ipsorum canum diuersæ sunt etiam indagines. Hæ nanque ubi uestigia deprehenderint, nihil significantes ambulant, ut cognoscere non poßis an inuestigent: illæ auribus tantummodo micant, caudæ immotæ manent. Aliæ auribus immotis, summum caudæ uibrant: nonnullæ demittunt aures, & contracta fronte per uestigium continentes premenésque caudam discurrunt. Multæ nihil horum faciunt, sed insanientes obambulant, & uestigia circumlatrantes, cum in ea inciderint, temere signa prætereunt. Sunt quæ ambagibus multis ac erroribus utentes, cum de proximo uestigia concipiant, leporem derelinquant:

De uario genere canũ.

& quoties uestigia incurrunt, coniecturam faciunt: sed ubi leporem uident, trepidant: nec inuadunt prius quam illum moueri conspexerint. Quæ uero indagando & transcurrendo aliorum canum inuenta præoccupant, hæ iugiter intentæ, sibiipsæ non credunt, & audaces sunt: quæ peritas laboris consocias progredi non sinunt, sed perturbantes impediunt. Aliæ falsa amplectuntur, & quicquid nactæ fuerint plaudentes procedunt, suæ sibi fraudis consciæ. Quædam hoc idem faciunt insciæ. Sunt & ignauæ, quæ nusquam à tramite declinant, uestigia recta ignorantes. At quæcunque canes uestigia, si cubilium fuerint, ignorant, si pedum, celeriter discurrunt, non sunt illæ quidem ingenuæ: sed pars ab initio uehementes, præ languore deinde molestiam afferunt: pars non subeunt, & cõtinuo declinant. Quædam in uias stulte incidũt, & ut plurimum contumaces aberrant. Multæ ferarum odio, pleræque hominum desiderio, agitatione omissa, recurrunt. Nonnullæ à uestigijs clangentes fallere tentant, pro ueris falsa simulãtes. Sunt quæ hoc non faciunt, sed intercurrunt: & sicunde clangorem audierint, ad hunc relicto opere feruntur: hæ namque transcurrunt incertum. Quam ob rem illæ quod ualde suspicãtur, aliæ quod opinantur, quædam quod simulant, sed inuidia laborant: nonnullæ cum semper unà temerè ferantur, per uestigium se interosculantur: hos igitur uitijs quorum plurima naturaliter habent, quædam etiam quod inscite ducuntur, inutiles euadunt, & hæ quod canes studiosos etiam uenationis deterrere possunt. Quales autem eiusdem generis esse oporteat, et formas, et alia eiusmodi, dicam. Primum igitur magnas esse oportet, leuia deinde capita, simas, articulosas, sub fronte uenosas, elatos oculos, nigros, præfulgidos, magnas frõtes ac latas: caua discrimina, breues aures ac tenues, posteriora gracilia. Ceruices longas, molles, ac teretes: pectora lata, & ab humeris nõ macilenta: humerorũ interualla parũ distantia. Anteriora crura breuia, recta, teretia, solida: articulos rectos: latera non ualde caua, sed coëuntia in obliquum: spinam carnosam magnitudine mediocrem. Ilia nec mollia ualde, nec dura, inter magna & parua. Clunes obesas, posterius carnosas, superius uero aptas, interius contractas. Inferiora uentris cum ipso uentre inania. Caudas lõgas, rectas, acutas, posteriora crura prioribus multo longiora, sed tamen idonea: pedes rotundos. Et canes si eiusmodi fuerint, fortes erunt, specie agiles, habiles, celeres, alacres, rostroque ualidæ.

De uestigatione.

Sed ita uestigent, ut tramitibus celeriter excedant, capita terræ admouentes: ad uestigia subrideant, aures demittant, frequenter oculos per singula uoluant, & caudis blandientes multis in latera orbibus, per uestigia simul omnes progrediantur. Sed ubi ad leporem ipsum aderint, tum uero uenatori planum faciant tendendo celerium,

δοσάκις δ' ἂν περιτρέχουσι, τὰ ἴχνη εἰκάζουσι. προορώμεναι δὲ τὸν λαγῶ, τρέμουσι, καὶ οὐκ ἐπέρχονται, πρὶν ἴδωσιν ὑποκινοῦντα. ὅσαι δὲ τὰ τῶν ἄλλων κυνῶν εὑρήματα ἐν ταῖς ἰχνείαις καὶ μεταδρομαῖς προθέουσαι, θαμινὰ σκοποῦσαι ἑαυταῖς ἀπίστως ἔχουσι. θρασεῖαι δ' αἱ οὐκ ἐῶσι τῶν συνεργῶν τὰς σοφὰς, εἰς τὸ πρόσθεν προϊέναι, ἀλλ' ἀνείργουσι θορυβοῦσαι. αἱ δὲ ἀσπαζόμεναι τὰ ψευδῆ, καὶ ὑπερλαμπρυνόμεναι ἐφ' ὅτῳ ἂν τύχωσι, προάγουσι συνειδυῖαι ἑαυταῖς, ὅτι ἐξαπατῶσιν. αἱ δ' οὐκ εἰδυῖαι τὸ αὐτὸ ποιοῦσι ταύταις. φαῦλαι δὲ, αἱ οὐκ ἀπαλλαττόμεναι ἐκ τῶν κρημνῶν, τὰ ὀρθὰ οὐ γινώσκουσαι. ὅσαι δὲ τῶν κυνῶν τὰ ἴχνη, τὰ μὲν εὐναῖα ἀγνοοῦσι, τὰ δὲ δρομαῖα ταχὺ διατρέχουσιν, οὐκ εἰσὶ γνήσιαι. διώκουσι δὲ αἱ μὲν ἀρχόμεναι σφόδρα, διὰ δὲ μαλακίαν ἀνιᾶσιν. αἱ δὲ ὑποθέουσιν, εἶτα ἁμαρτάνουσιν. ἕτεραι δὲ ἀνοήτως ἐμπίπτουσαι εἰς τὰς ὁδοὺς ἁμαρτάνουσι, τὸ ἀνήκουστον πολὺ ἔχουσαι. πολλαὶ δὲ τὰ διώγματα ἀφεῖσαι ἐπανέρχονται διὰ τὸ μισόθηρον. πολλαὶ δὲ τὸ φιλάνθρωπον. αἱ δ' ἐκ τῶν ἰχνῶν κεκραγυῖαι, ἐξαπατᾶν πειρῶνται, ἀληθῆ τὰ ψευδῆ ποιούμεναι. εἰσὶ δ' αἳ τοῦτο μὲν οὐ ποιοῦσι, μεταξὺ δὲ θέουσι, ἄν ποθεν ἀκούσωσι κραυγῆς, καταλείπουσαι τὰ αὑτῶν ἔργα, ἀπρονοήτως ἐπὶ τοῦτο φέρονται. μεταθέουσι γὰρ αἱ μὲν ἀσαφῶς, αἱ δὲ πολὺ ὑπολαμβάνουσαι. δοξάζουσι δὲ ἕτεραι. αἱ δὲ πεπλασμένως. φθονερῶς δὲ ἄλλαι ἐκκυνοῦσι παρὰ τὸ ἴχνος διὰ τέλους συμπαραφερόμεναι. τὰ μὲν οὖν πλεῖστα τούτων, φύσει ἔχουσι. τὰ δὲ ἠγμέναι ἀνεπιστημόνως, δύσχρηστοί εἰσιν. αἱ τοιαῦται μὲν οὖν κύνες ἀποστρέψειαν ἂν τοὺς ἐπιθυμοῦντας κυνηγεσιῶν. οἵας δὲ δεῖ εἶναι τοῦ αὐτοῦ γένους, τά τε εἴδη, καὶ τὰ ἄλλα φράσω. πρῶτον μὲν οὖν χρὴ εἶναι μεγάλας, εἶτα ἐχούσας τὰς κεφαλὰς ἐλαφρὰς, σιμὰς, ἀρθρώδεις, ἰνώδη τὰ κάτωθεν τῶν μετώπων, ὄμματα μετέωρα, μέλανα, λαμπρὰ, μέτωπα μεγάλα καὶ πλατέα, τὰς διακρίσεις βαθείας, ὦτα μικρὰ, λεπτὰ, ψιλὰ ὄπισθεν, τραχήλους μακροὺς, ὑγροὺς περιφερεῖς, στήθη πλατέα, μὴ ἄσαρκα ἀπὸ τῶν ὤμων τὰς ὠμοπλάτας διεστώσας μικρὸν, σκέλη τὰ πρόσθια μικρὰ, ὀρθὰ, στρογγύλα, στιβαρὰ, τοὺς ἀγκῶνας ὀρθοὺς, πλευρὰς μὴ ἐπίπαν βαθείας, ἀλλ' εἰς τὸ πλάγιον παρηκούσας, ὀσφῦν σαρκώδη, τὰ μεγέθη μεταξὺ μακρῶν βραχέων, μήτε ὑγρὰς λίαν, μήτε σκληρὰς, λαγόνας μεταξὺ μεγάλων μικρῶν, ἰσχία στρογγύλα ὄπισθεν σαρκώδη. ἄνωθεν δὲ μὴ συνδεδεμένα, ἔνδοθεν δὲ προσεσταλμένα, τὰ κάτωθεν τῶν κενεώνων λαγαρὰ, καὶ αὐτοὺς τοὺς κενεῶνας, οὐρὰς μακρὰς ὀρθὰς, λιγυρὰς, μηρίας, μὴ σκληρὰς, ὑποκώλια μακρὰ, περιφερῆ, εὐπαγῆ, σκέλη πολὺ μείζω τὰ ὄπισθεν τῶν ἔμπροσθεν καὶ ἐπίρρικνα, πόδας περιφερεῖς. ἐὰν δὲ ὦσι τοιαῦται αἱ κύνες, ἔσονται ἰσχυραὶ τά τε εἴδη ἐλαφραὶ, σύμμετροι, ποδώκεις, καὶ ἀπὸ τῶν προσώπων φαιδραὶ καὶ εὔστομοι. ἰχνευέτωσαν δὲ ἐκ τῶν τριμμῶν ταχὺ ἀπαλλαττόμεναι, τιθεῖσαι τὰς κεφαλὰς ἐπὶ γῆν πλαγίας, ἐμμειδιῶσαι μὲν πρὸς τὰ ἴχνη, καταβάλλουσαι δὲ τὰ ὦτα, τὰ μὲν ὄμματα πυκνὰ διακινοῦσαι, ταῖς δὲ οὐραῖς διασαίνουσαι, κύκλους πολλοὺς πρὸς τὰς πλευρὰς προϊοῦσαι ὁμοῦ, διὰ τοῦ ἴχνους ἅπασαι. ὅταν δὲ περὶ αὐτὸν ὦσι τὸν λαγῶ, δῆλον ποιείτωσαν τῷ κυνηγέτῃ θᾶτ-

τον

τὴν φοιτῶσαι μᾶλλον γνωρίζουσαι, ἀπὸ τοῦ θυμοῦ, ἀπὸ τῆς
κεφαλῆς, ἀπὸ τῶν ὀμμάτων, ἀπὸ τῆς μεταλλάξεως τοῦ σώμα-
τος, καὶ ἀπὸ τῶν ἀναβλεμμάτων καὶ ἐμβλεμμάτων τῶν ἐπὶ
τὰς καθέδρας τοῦ λαγὼ, καὶ ἀπὸ τῶν εἰς τὸ πρόσθεν καὶ ὄπι-
σθεν, καὶ εἰς τὸ πλάγιον διαῤῥιμμάτων, καὶ ἀπὸ τοῦ ἀληθῶς
ἤδη αἰωρεῖσθαι τῇ ψυχῇ, καὶ ὑπερχαίρειν, ὅτι τοῦ λαγὼ
ἐγγύς εἰσι. διωκέτωσαν δὲ ἐῤῥωμένως καὶ μὴ ἐπανιεῖσαι
σὺν πολλῇ κλαγγῇ, καὶ ὑλαγμῷ, συνεκπίπτουσαι μετὰ τοῦ
λαγὼ πάντῃ. μεταθείτωσαν δὲ ταχὺ, καὶ λαμπρῶς πυ-
κνὰ μεταφερόμεναι καὶ ἐπαναπλαγγάνουσαι δικαίως.
πρὸς δὲ τὸν κυνηγέτην μὴ ἐπανίτωσαν λιποῦσαι τὰ ἴχ-
νη. μετὰ δὲ τοῦ εἴδους τοῦ ἔργου τούτου εὔψυχοι ἔστωσαν,
καὶ εὔποδες, καὶ εὔρινες. εὔψυχοι μὲν οὖν ἔσονται, ἐὰν μὴ
λείπωσι τὰ κυνηγέσια, ὅταν ᾖ πνῖγος. εὔρινες δὲ, ἐὰν τοῦ
λαγὼ ὀσφραίνωνται ἐν τόποις ψιλοῖς, ξηροῖς, προσειλέσιν
τοῦ ἄστρου ἀνιόντος. εὔποδες δὲ, ἐὰν τῇ αὐτῇ ὥρᾳ μὴ κα-
ταῤῥηγνύωνται αὐτῶν οἱ πόδες τὰ ὄρη θεουσῶν. εὔτρι-
χες δὲ ἐὰν ἔχωσι λεπτὴν καὶ πυκνὴν καὶ μαλακὴν τὴν
τρίχα. τὰ δὲ χρώματα οὐ χρὴ εἶναι τῶν κυνῶν οὔτε πυῤῥὰ,
οὔτε μέλανα, οὔτε λευκὰ παντελῶς. ἔστι γὰρ οὐ γενναῖον
τοῦτο, ἀλλ᾽ ἁπλοῦν καὶ θηριῶδες. αἱ μὲν οὖν πυῤῥαὶ ἐχοῦ-
σαι, ἔστωσαν λευκὴν τρίχα ἐπανθοῦσαν περὶ τὰ πρόσω-
πα, καὶ αἱ μέλαιναι, αἱ δὲ λευκαὶ πυῤῥάν. ἐπὶ δὲ τοῖς
μηροῖς ἄκρας τρίχας ὀρθὰς βαθείας, καὶ ἐπὶ ταῖς ὀσφύ-
σι καὶ ταῖς οὐραῖς κάτω, ἄνωθεν δὲ μετρίας. ἄγειν δὲ ἄμει-
νον τὰς κύνας τὰ ὄρη πολλάκις. τὰ δὲ ἔργα ἧττον. τὰ μὲν
γὰρ ὄρη, οἷόν τε καὶ ἰχνεύειν καὶ μεταθεῖν καθαρῶς· τὰ δὲ
ἔργα οὐδέτερα διὰ τοὺς τριμμούς. ἔστι δὲ καὶ ἄνευ τοῦ
εὑρίσκειν τὸν λαγὼ, ἀγαθὸν ἄγειν τὰς κύνας τὰ τρα-
χέα. καὶ γὰρ εὔποδες γίγνονται καὶ τὰ σώματα δια-
πονοῦσαι ἐν τόποις τοιούτοις ὠφελοῦνται. ἀγέσθωσαν
δὲ, θέρους μὲν μέχρι μεσημβρίας, χειμῶνος δὲ δι᾽ ἡμέ-
ρας. μετοπώρου δ᾽ ἔξω μεσημβρίας. εἴσω δ᾽ ἑσπέρας τὸ
ἔαρ. ταῦτα γὰρ μέτρια. τὰ δὲ ἴχνη τοῦ λαγὼ, τοῦ μὲν χει-
μῶνος μακρά ἐστι, διὰ τὸ μῆκος τῶν νυκτῶν· τοῦ δὲ θέρους
βραχέα, διὰ τὸ ἐναντίον. χειμῶνος μὲν οὖν πρωῒ οὐκ ὄζει
αὐτῶν, ὅταν πάχνη ᾖ ἢ παγετός. ἡ μὲν γὰρ πάχνη τῇ
αὑτῆς ἰσχύι ἀντισπάσασα τὸ θερμὸν ἔχει ἐν αὐτῇ. ὁ δὲ πα-
γετὸς ἐπιπήξας. καὶ αἱ κύνες μαλακισθεῖσαι τὰς ῥῖνας οὐ
δύνανται αἰσθάνεσθαι ὅταν ᾖ τοιαῦτα, πρὶν ἂν ὁ ἥλιος
διαλύσῃ αὐτὰ, ἢ προϊοῦσα ἡ ἡμέρα. τότε δὲ καὶ αἱ κύ-
νες ὀσφραίνονται, καὶ αὐτὰ ἐπαναφερόμενα ὄζει. ἀφα-
νίζει δὲ καὶ ἡ πολλὴ δρόσος καταφέρουσα αὐτὰ, καὶ
οἱ ὄμβροι οἱ γιγνόμενοι διὰ χρόνου ὀσμὰς ἄγοντες τῆς γῆς,
ποιοῦσι δύσοσμον ἕως ἂν ψυχθῇ, χείρω δὲ καὶ τὰ νότια
ποιεῖ. ὑγραίνοντα γὰρ διαχεῖ. τὰ δὲ βόρεια ἐὰν ᾖ ἄλυτα
συνίστησι καὶ σώζει. οἱ δὲ ὑετοὶ κατακλύζουσι καὶ αἱ ψε-
κάδες, καὶ ἡ σελήνη ἀμαυροῖ τῷ θερμῷ, μάλιστα δὲ ὅταν
ᾖ πανσέληνος, καὶ μανότατα τότε. χαίροντες γὰρ τῷ
φέγγει, ἐπαναιρούμενοι μακρὰ διαιροῦσιν ἀντιπαί-
ζοντες. ταραχώδη δὲ ὅταν ἀλώπεκες προδιέλθωσι.
γίνεται τὸ δὲ ἔαρ κεκραμένον τῇ ὥρᾳ καλῶς παρέχει τὰ
ἴχνη λαμπρὰ, πλὴν εἴ τι ἡ γῆ ἐξανθοῦσα βλάπτει τὰς
κύνας, εἰς τὸ αὐτὸ συμμιγνύουσα τῶν ἀνθῶν τὰς ὀσ-
μάς, λεπτὰ δὲ καὶ ἀσαφῆ τοῦ θέρους. διάπυρος γὰρ οὖσα ἡ γῆ
ἀφανίζει τὸ θερμὸν ὃ ἔχουσιν. ἔστι γὰρ λεπτόν, καὶ αἱ κύνες
ἧττον

rius, significando uehementius animo, capite, oculis, gestu corporis, acie tam reflexa, tamq; directa in leporis cubilia, diuerso impetu, in rectum, in aduersum, in obliquum, & uerè iam arrigendo animum ac gestiendo, quod iuxta leporem sunt. Intensius uerò premant, nec remittant, ingenti clamore atq; latratu cũ lepore quaelibet euadentes, sed uelociter alacriterq; transmittant, sine modo transcurrẽtes, nec iniuria clãgentes: nec uero ad uenatorẽ omissis uestigijs redeant. Tales forma, talesq; labore magnanimae sunt, & duripedes, et sagaces, et nitidae. Magnanimae erunt, si saltus aestu incũbente non deserũt. Sagaces, si leporẽ nudis in locis, aridis, apricis, austro imminẽte praesentiunt. Duripedes, si non euestigio dum montes superant pedibus fatiscũt. Nitidae, si tenui ac denso molliq; pilo uestiũtur. At colore canes esse oportet, nec penitus fuluo, nec nigro, neq; candido: neq; tum generosum hic fuerit, sed ignobilis atq; ferinus. Canes igitur uillos, si fuluae & nigrae fuerint, candidos: si candidae, fuluos habeant, circũ ora florentes. In summo autem femine, rectos ac densos. In spina item extremaq; cauda: sed in suprema mediocres. Et satius fuerit per iuga saepe, per rura minus agitare canes. Nam iuga uestigari possunt, & expeditè transcurri: rura neutrum possunt, impedita tramitibus. Est autem utile, etiam si non inueniatur lepus, agitare per aspera canes: nam duripedes fiunt, & corpora in his locis exercentes meliores euadunt. Agitentur autem aestate usq; ad meridiem, hyeme per solidum diem, autumno ultra meridiem, Vere circa uesperã: haec enim opportuna sunt tẽpora. Atqui leporis uestigia multum hyeme procedunt, quia longae sunt noctes: parũ autem aestate, quia è contrario sunt breues. Nec uero subolent hyeme, cum primũ calorem sua ui contrahens, geluq; claudens in se contineat: & cum hoc fuerit, torpescentes narib. canes sentire non possunt, prius quàm sol diésue procedens omnia resoluat: tunc & canes odorãt, & ipsa dum percurruntur uestigia redolent. Ea uero delet & ros multus superincumbens. Imbres etiam qui per anni tempora gignuntur, odorem ab humo rapientes, olfactũ donec exiccetur difficilem reddunt. Sed australis tempestas deterior est: nam humectans diffundit. Septentrionalis uero si serena fuerit, contrahit & seruat. Ac uero pluuiae & rores inundant. Luna etiam halitum extenuat, praecipuè cum plenilunium fuerit, & uestigia tunc quidem incertissima sunt. Nam exultantes ad lunam lepores inter se colludunt, & ea longè dissipantes dirimunt: sed perturbatissima fiunt cum ea uulpes antea pertransierint. Ver propter anni temperiem ualde clara praebet uestigia: quanquam terra sicubi floret, canibus nocet, dum in unum spirantes confundit odores: sed exilia aestate sunt ambigua. Nam terra feruens abolet quicquid halitus habens. Est enim tenuis, & canes tunc

 minus

κατάδηλοι, μάλιστα μὲν διὰ γῆς κεκινημένης, ἐὰν ἔχωσιν ἐνίοι ἐρύθημα, καὶ διὰ καλάμης διὰ τὴν ἀνταύγειαν. κατάδηλοι δὲ καὶ ἐν τοῖς τριμμοῖς καὶ ἐν ταῖς ὁδοῖς, ἐὰν ὦσιν ἰσόπεδοι. τὸ γὰρ φανὸν τὸ ἐν αὐτοῖς ἐνὸν ἀντιλάμπει. ἄδηλοι δὲ ὅταν εἰς λίθους, τὰ ὄρη, τὰ φελλία, τὰ δασέα ἀποχωρῶσι, διὰ τὴν ὁμόχροιαν. προλαμβάνοντες δὲ τὰς κύνας, ἐφίστανται καὶ ἀνακαθίζοντες, ἐπαίρουσιν αὑτοὺς καὶ ἐπακούουσιν, εἴ που πλησίον κλαγγὴ ἢ ψόφος τῶν κυνῶν, καὶ ὅθεν ἂν ἀκούσωσιν, ἀποτρέπονται. ὅτε δὲ καὶ οὐκ ἀκούσαντες, ἀλλὰ δόξαντες, ἢ πεισθέντες ὑπ' αὑτῶν, παρὰ τὰ αὐτὰ διὰ τῶν αὐτῶν ἐπαλλάττοντες, ἅλματα ἐμποιοῦντες, ἴχνεσιν ἴχνη ἀποχωροῦσι. καὶ εἰσὶ μακροδρομώτατοι μὲν οἱ ἐκ τῶν ψιλῶν εὑρισκόμενοι, διὰ τὸ καταφανὲς, βραχυδρομώτατοι δὲ οἱ ἐκ τῶν δασέων. ἐμποδὼν γὰρ τὸ σκοτεινόν. δύο δὲ καὶ τὰ γένη ἐστὶν αὐτῶν. οἱ μὲν γὰρ μεγάλοι ἐπίπερκνοι, καὶ τὸ λευκὸν τὸ ἐν τῷ μετώπῳ μέγα ἔχουσιν, οἱ δ' ἐλάττους, ἐπίξανθοι μικρὸν τὸ λευκὸν ἔχοντες. τὴν δὲ οὐρὰν οἱ μὲν κύκλῳ περιποίκιλον, οἱ δὲ παράσειρον. καὶ τὰ ὄμματα οἱ μὲν ὑποχάροποι, οἱ δ' ὑπόγλαυκοι. καὶ τὰ μέλανα τὰ περὶ τὰ ὦτα ἄκρα, οἱ μὲν ἐπὶ πολὺ οἱ δὲ ἐπὶ μικρόν. ἔχουσι δὲ αὐτῶν αἱ πολλαὶ τῶν νήσων τοὺς ἐλάττους, αἵ τ' ἔρημοι καὶ οἰκούμεναι. τὸ δὲ πλῆθος πλείους ἐν αὐταῖς ἢ ἐν ταῖς ἠπείροις. οὐ γάρ εἰσιν οὔτ' ἀλώπεκες ἐν ταῖς πολλαῖς αὐτῶν αἵτινες καὶ αὐτοὺς καὶ τὰ τέκνα ἐπιοῦσαι ἀναιροῦνται, οὔτε ἀετοί, τὰ μεγάλα γὰρ ὄρη ἔχουσι μᾶλλον, ἢ τὰ μικρά. ἐλάττω δὲ ἐπὶ τὸ πολὺ, τὰ ἐν ταῖς νήσοις. κυνηγέται δὲ, ὡς μὲν τὰς ἐρήμους ὀλιγάκις ἀφικνοῦνται, ἐν δὲ ταῖς οἰκουμέναις ὀλίγοι ὄντες καὶ οὐ φιλόθηροι οἱ πολλοί. εἰς δὲ τὰς ἱερὰς τῶν νήσων οὐδὲ διαβιβάζειν οἷόν τε κύνας. ὅταν οὖν τῶν τε ὑπαρχόντων ὀλίγους ἐκθηρῶνται, καὶ τῶν ἐπιγιγνομένων, ἀνάγκη ἀφθόνους εἶναι. βλέπει δὲ οὐκ ὀξὺ διὰ πολλά. τά τε γὰρ ὄμματα ἔχει ἔξω, καὶ τὰ βλέφαρα ἐλλείποντα, καὶ οὐκ ἔχοντα προβολὴν ταῖς αὐγαῖς. ἡ ὄψις οὖν διὰ ταῦτα ἀμαυρὰ ἐσκεδασμένη. ἅμα δὲ τούτοις καὶ ἐν ὕπνῳ ὂν τὰ πολλὰ τὸ θηρίον, οὐκ ὠφελεῖται πρὸς τὸ ὁρᾶν. καὶ ἡ ποδωκία πρὸς τὸ ἀμβλυωπεῖν αὐτῷ πολὺ συμβάλλεται. ταχὺ γὰρ ἑκάστου παραφέρει τὴν ὄψιν, πρὶν νοῆσαι ὅτι ἐστί. καὶ οἱ φόβοι τῶν κυνῶν ὅταν διώκωνται ἑπόμενοι μετὰ τούτων, συνεξαιροῦνται τὸ προνοεῖσθαι. ὥστε διὰ ταῦτα προσπίπτων, λανθάνει πρὸς πολλὰ καὶ εἰς τὰς ἄρκυς ἐμπίπτων. εἰ δ' ἔφυγεν ὄρθιον, ὀλιγάκις ἂν ἔπασχε τὸ τοιοῦτον. νῦν δὲ περιβάλλων καὶ ἀγαπῶν τοὺς τόπους, ἐν οἷς ἐγένετο καὶ ἐτράφη, ἁλίσκεται. κατὰ πόδας δὲ οὐ πολλάκις ὑπὸ τῶν κυνῶν διὰ τάχος κρατεῖται. ὅσοι δὲ ἁλίσκονται παρὰ φύσιν τοῦ σώματος, τύχῃ δὲ χρώμενοι. οὐδὲν γὰρ τῶν ὄντων ἰσομεγέθες τούτῳ ἀνόμοιόν ἐστι πρὸς δρόμον. σύγκειται γὰρ ἐκ τοιούτων τὸ σῶμα. ἔχει γὰρ κεφαλὴν κούφην, μικρὰν, κατωφερῆ, οὐ σκληρὸν μῆκος ἱκανὸν, ὠμοπλάτας ὀρθὰς, ἀσυνδέτους ἄνωθεν, σκέλη τὰ ἐπ' αὐτῶν ἐλαφρὰ σύγκωλα. στῆθος οὐ βαρύτονον, πλευρὰς ἐλαφρὰς συμμέτρους. ὀσφῦν περιφερῆ, κοιλίαν σαρκώδη, λαγόνας ὑγρὰς, λαπάρας ἱκανῶς, ἰσχία στρογγύλα πλήρη κύκλῳ. ἄνωθεν δὲ ὡς χρὴ διεστῶτα, μηροὺς

perspicui sunt, per subactam humum præcipue nonnulli, quibus inest rubor: per arundines etiam, quia ex aduerso refulgent. Perspicui sunt quoque in tramitibus & uijs, si planæ fuerint: fulgor enim qui in ipsis est repercutit oculos. Incerti uerò sunt si ad saxa, ad montes, ad rupes, ad opaca secesserint, propter coloris similitudinem. Quòd si canes præsenserint, sistunt pedem, & residentes seipsos erigunt, & canum, sicubi prope est, clamorem strepitumq; captant, & unde audierint auertuntur. Est etiam cum nihil audierint, sed audisse opinantes, uel sibi persuadentes, huc illuc trepidantes, uestigijs insilientes, in uestigia secedunt, & longissime currunt: qui nudis ex locis excutiuntur, quia in aperto sunt. Breuissime uero qui ex opacis: nam tenebræ impediunt. Sed eorum duo sunt genera, pars magni, subnigri, multum in fronte nitescunt: alij minores, flaui, parum candoris ostendunt. Caudam gerunt illi uariam, hi tersam: oculis uerò sunt, hi sublucidis, illi subglaucis. Circa summam autem illi ualde nigrescunt, hi perexiguum. Sed ex his minores incolunt plerunque insulas desertas, uel celebres: & in his turba maior quàm in continente uersatur, quod ibi ut plurimum nec uulpes sunt, quorum impetu ipsi cum catulis occiduntur: nec aquilæ, quæ montes magnos sæpius quàm paruos frequentant: nam parui plerunque in insulis sunt. Venatores etiam raro desertas insulas adeunt: in his quæ habitantur pauci sunt, nec hi ferarum studiosi: in sacras autem nec transire canibus quidem licet. Necesse est igitur innumeros esse, quando nec eos uenantur qui iam sunt, nec eos qui deinceps nascuntur. Acie uero sunt multis de causis minime acuta. Oculos enim habent exporrectos, palpebras autem præcisas, & quæ pupillis munimenta non præbeant: quapropter hebes uisus est atque diffusus. Ad hæc somno etiam multum deditur animal: quæ res nihil ad uidendum prodest. Et uelocitas ad obtundendam aciem plurimum confert: quolibet enim oculos celerius intendit, quàm quid sibi prouiderit. Et cum his canum quoque terrores prouidentiam auferunt, cum instantes prosequuntur. Quo fit, ut irruens ad multa improuidus, in sagenas etiam præcipitet: quòd si rectum fugeret, rarò hoc pateretur. Nunc uerò quia locos complectitur & amat, ubi natus & enutritus est, capitur: nec directo sæpe à canibus uincitur celeritate, sed plerique omnes præter corporis naturam sorte quadam capiuntur: nihil enim quod proportione conueniat, ab huius compositione dissentit. Siquidem corpus eius consistit ex his: Caput agile habet, breue, rotundum, non rigidum, longitudinem idoneam, scapulas rectas, desuper non aptas. Crura in ipsis gracilia, solida, pectus non angustum, latera tenuia, habilia, spinam teretem, aluum carnosam. Ilia tenera, caua laterum idonea, clunes obesas undiq; plenas, congruo desuper interstitio. Femina

mina longa, densa: musculos exterius intensos, interius non tuberosos: internodia longa, neruosa: pedes anteriores summe flexiles, angustos, rectos: posteriores rigidos, latos, nullius utroq; non contemptores asperitatis. Posteriora crura prioribus multum longiora, parumq; procurua: uillos breues & exiles. Non potest igitur quod ex his compositum est, non ualidum esse, mobile plus quàm agile. Agilem autem esse res illa indicat, quòd ociose deambulando lasciuat: gradientem, nec uidit quisquam, nec uidebit, quia posterioribus pedibus priores transit exterius: quem in modum etiã currit. Nam quod ad colorem attinet, in promptu est. Caudam habent ad currendum incommodam: neque enim propter breuitatem idonea est quæ corpus regat, sed hoc utraq; facit aure: & cum in eo est ut capiatur à canibus, alteram uidelicet aurem deducit ac traducit obliquam, illorsum nitens ubicunq; laborat. Idcirco in hanc circumagitur ocyus, in angusto ualde relinquens id quod insequitur. ADEO AVTEM GRATIOSVM EST ANIMAL, VT NEMO SIT QVI SI..EVM VIDEAT DVM uestigatur, dum inuenitur, dum currit, dum capitur, quicquid amarit non obliuiscatur. At inter uenandum uenator fructibus abstineat, riuos & fluenta prætereat: hæc enim tangere turpe est & indecorum. Quinetiam si feræ in ea præcipitent, id qui uiderint, ne legis præuaricatores sint, uniuersam uenationem soluere oportet.

De ornamẽtis canum.

Iam uerò canum ornatus sunt collaria, lori, fasciæ. Collaria quidẽ mollia sint et lata, ne colla canum exulcerẽt. Lori manibus ansas habeant, præterea nihil: neq; enim bene seruãt canes si collaria ex ipsis cõtexta fuerint. Fasciæ loros habeant latiores, ne canũ latera terant. clauatæ sint etiã, ut ab angustijs defendãt. Ipsas uerò canes uenatum educere nõ conuenit, nec si obiectũ cibũ negligentius admiserint (id enim eas nõ bene ualere significat) nec si uẽtus ingẽs flauerit: nam uestigia rapit, nec canes odorare, nec sagenas retiaue stare permittit. Quod si horũ neutrum impediat, triduũ eductio. Nec uulpes agitare assuescant canes (id enim nõ mediocre uitiũ, & cum oportet, nũquam præsto adsunt) sed in diuersos saltus eductio, ut & canes uenandi, & ipse regionis peritus euadat. Exeundum est autẽ diluculo, ne uestigatione priuetis: sicut tardiusculi dupliciter damnũ faciunt, ut neq; canes leporem inueniant, neq; ipsi fructũ capiant: neq; enim manet natura uestigij, quæ singulis horis euanescit. Stolam custos retiũ tenuem induius uenatum exeat: retibus diuortia claudat fragosa, decliuia, caua, obscura, fluuios, riuulos, aquasq; perennes. Hæc illis præcipua sunt refugia: nam omnia dicere infinitum esset, diuerticula, binis lata uel angusta. Id orto iam sole faciat, non in diluculo, ne si prope indaginem statuenda sint retia, strepitum simul audiens lepus refugiat. Quod si procul statuantur, nihil magnopere prohibet in aurora securũ statuere, ubi nihil obstiterit. Hastulas figito supinas, ut cum adducuntur cõtendi possint.

In sum-

ροὺς μακρούς, εὐπαχεῖς ἔξωθεν, μῦς ἐπιτεταμένους, ἔνδοθεν δὲ οὐκ ὀγκώδεις. ὑποκώλια μικρὰ στιφρά, πόδας τοὺς πρόσθεν, ἄκρως ὑγροὺς στενούς, ὀρθούς. τοὺς δὲ ὄπισθεν στερεοὺς πλατεῖς, πάντας δὲ οὐδενὸς τραχέος φροντίζοντας, σκέλη τὰ ὄπισθεν μείζω πολὺ τῶν ἔμπροσθεν, καὶ ἐγκεκλιμένα μικρὸν ἔξω. τρίχωμα, βραχὺ κοῦφον. ἔστιν οὖν ἀδύνατον, μὴ οὐκ εἶναι ἐκ τοιούτων συνηρμοσμένον ἰσχυρόν, ὑγρόν, ὑπερέλαφρον. τεκμήριον δ᾽ ὡς ἐλαφρόν ἐστιν, ὅταν ἀτρέμα διαπορεύηται, πηδᾷ. βαδίζοντα δ᾽ οὐδεὶς ἑώρακεν, οὐδ᾽ ὄψεται, τιθεὶς εἰς τὸ ἐπέκεινα, τῶν ἔμπροσθεν ποδῶν, τοὺς ὄπισθεν καὶ ἔξω, καὶ θεῖ οὕτως. δῆλον δὲ τοῦτο ἐν χιόνι. οὐρὰν δὲ οὐκ ἐπιτηδείαν ἔχει πρὸς δρόμον. ἐπευθύνειν γὰρ οὐχ ἱκανὴ τὸ σῶμα, διὰ τὴν βραχύτητα, ἀλλὰ ὑπ᾽ ὠτὶ ἑκατέρῳ τοῦτο ποιεῖ. καὶ ὅταν ἁλίσκηται ὑπὸ τῶν κυνῶν, καταβάλλων γὰρ καὶ παραβάλλων τὸ ἕτερον οὖς πλάγιον, ὁποτέρᾳ ἂν λυπῆται ἀπερειδόμενος. διὸ δὴ εἰς τοῦτο ὑποστρέφεται ταχύ, ἐν μικρῷ πολὺ καταλιπὼν τὸ ἐπιφερόμενον. οὕτω δὲ ἐπίχαρί ἐστι τὸ θηρίον, ὥστε οὐδεὶς ὅστις οὐκ ἂν ἰδὼν ἰχνευόμενον, εὑρισκόμενον, μεταθεόμενον, ἁλισκόμενον ἐπιλάθοιτ᾽ ἂν εἴ του ἐρῴη. ἐν δὲ τοῖς ἔργοις κυνηγέτα ἀπέχεσθαι, ὧν ὧραι φέρουσι, καὶ τὰ νάματα, καὶ τὰ ῥεῖθρα ἐᾶν. τὸ γὰρ ἅπτεσθαι τούτων, αἰσχρὸν καὶ κακόν. καὶ ἵνα μὴ τῷ νόμῳ ἐναντίοι ὦσιν οἱ ἰδόντες, καὶ ὅταν ἀναγρία ἐμπίπτῃ, ἀναλύειν χρὴ τὰ περὶ κυνηγέσιον πάντα. κυνῶν δὲ κόσμος δέραια, ἱμάντες, στελμονίαι. ἔστω δὲ τὰ μὲν δέραια, μαλακά, πλατέα, ἵνα μὴ θραύῃ τὰς τρίχας τῶν κυνῶν. οἱ δὲ ἱμάντες ἔχοντες ἀγκύλας τῇ χειρί. ἄλλο δὲ μηδέν. οὐ γὰρ καλῶς τηροῦσι τὰς κύνας, οἱ ἐξ αὐτῶν εἰργασμένοι τὰ δέραια. αἱ δὲ στελμονίαι πλατεῖς τοὺς ἱμάντας, ἵνα μὴ τρίβωσι τὰς λαγόνας αὐτῶν. ἐγκατερραμμέναι δὲ ἐγκεντρίδες, ἵνα τὰ γένη φυλάττωσι. ἐξάγειν δὲ αὐτὰς οὐ χρὴ ἐπὶ τὰ κυνηγέσια, ὅταν μὴ τὰ προσφερόμενα δέχωνται ἡδέως. τεκμήριον δὲ τοῦτο ὅτι οὐκ ἐρρωνται μηδὲ ὅταν ἄνεμος πνέῃ μέγας. διαρπάζει γὰρ τὰ ἴχνη, καὶ οὐ δύνανται ὀσφραίνεσθαι. οὐδὲ αἱ ἄρκυς ἑστάναι, οὐδὲ τὰ δίκτυα. ὅταν δὲ τούτων μηδέτερον κωλύῃ, ἄγειν διὰ τρίτης τῆς ἡμέρας. τὰς δὲ ἀλώπεκας μὴ ἐθίζειν τὰς κύνας διώκειν. διαφθορὰ γὰρ μεγίστη, καὶ ἐν τῷ δέοντι οὔποτε πάρεισιν. εἰς δὲ τὰ κυνηγέσια μεταβάλλοντα ἄγειν, ἵνα ὦσιν ἔμπειροι τῶν κυνηγεσίων, αὐτὸς δὲ τῆς χώρας. ἐξιέναι δὲ πρωΐ, ἵνα τῆς ἰχνεύσεως μὴ ἀποστερῶνται, ὡς οἱ ὀψιζόμενοι ἀφαιροῦνται, τὰς μὲν κύνας τοῦ εὑρεῖν τὸν λαγῶ, αὑτοὺς δὲ τῆς ὠφελείας. οὐ γὰρ ἐπιμένει τοῦ ἴχνους ἡ φύσις, λεπτὴ οὖσα πᾶσαν ὥραν. τὴν δὲ στολὴν ὁ ἀρκυωρὸς ἐξίτω ἔχων ἐπὶ θήραν, μὴ ἔχουσαν βάρος. τὰς δὲ ἄρκυς ἱστάτω ἀμφιδρόμους, τραχείας, σιμάς, λαγαράς, σκοτεινάς, ῥοῦς, χαράδρας, χειμάρρους, ἀενάους. εἰς ταῦτα γὰρ μάλιστα φεύγει. ὅσα δὲ ἄλλα εἰς ἄπειρον εἰπεῖν. τούτων παρόδους, διόδους, καταφανεῖς, λεπτάς, εἰς ὄρθρον καὶ μὴ πρωΐ. ἵνα ἐὰν ᾖ πλησίον τὸ ἀρκυστάσιον τῶν ζητησίμων, μὴ φοβῆται ἀκούων ὁμοῦ τὸν ψόφον, ἐὰν δὲ ᾖ ἀπ᾽ ἀλλήλων πολύ, ἧττον κωλύει πρωΐ καθαρὰς ποιούμενος τὰς ἀρκυστασίας. ἵνα δ᾽ αὐτῶν μηδὲν ἀντέχηται, πηγνύειν τὰς σχαλίδας ὑπτίας, ὅπως ἂν ἐπαγόμεναι, ἔχωσι τὸ σύντονον.

ἐπὶ

ἐπὶ δὲ ἄκρας ἴσους τοὺς βρόχους ἐπιβαλλέτω, καὶ ὁμοίως αὐτὰς διαδείτω, ἐπαίρων εἰς μέσον τὸν κεκρύφαλον. εἰς δὲ τὸν περίδρομον ἐναπτέτω λίθον μακρὸν καὶ μέγαν, ἵνα ἡ ἄρκυς, ὅταν ἔχῃ τὸν λαγώ, μὴ ἀντιτείνῃ. στοιχιζέτω δὲ μακρὰ ὑψηλά, ὅπως ἂν μὴ ὑπερπηδᾷ. ἐν δὲ ταῖς ἰχνείαις μὴ ὑπερβάλλεσθαι. ἔστι γὰρ θηρατικὸν μέν, φιλόπονον δὲ τὸ ἐκ παντὸς τρόπου ἑλεῖν ταχύ. τὰ δὲ δίκτυα τεινέτω ἐν ἀπέδοις. ἐμβαλλέτω δὲ τὰ ἐνόδια εἰς τὰς ὁδούς, καὶ ἐκ τῶν τριμμῶν εἰς τὰ συμφέροντα καθάπτων τοὺς περιδρόμους ἐπὶ τὴν γῆν, τὰ ἀκρολένια συνάγων, πηγνύων τὰς σχαλίδας, μεταξὺ τῶν σαρδονίων, ἐπὶ ἄκρας ἐπιβάλλων τοὺς ἐπιδρόμους, καὶ παράδρομα συμφράττων. φυλαττέτω δὲ ἐκ περιόδων, ἐὰν δὲ ἐκκλίνῃ στοῖχος, ἡ ἄρκυς ἀνιστάτω. διωκόμενον δὲ τὸν λαγώ, εἰς τὰς ἄρκυς εἰς τὸ πρόσθεν προϊέσθω, καὶ ἐπιθέων μὲν ἐκβοάτω. ἐμπεπτωκότος δὲ τὴν ὀργὴν τῶν κυνῶν παυέτω, μὴ ἁπτόμενος, ἀλλὰ παραμυθούμενος, καὶ δηλούτω τῷ κυνηγέτῃ, ὅτι ἑάλωκεν ἀναβοήσας, ἢ ὅτι παραδεδράμηκεν παρὰ τάδε, ἢ τάδε, ἢ ὅτι οὐχ ἑώρακεν, ἢ οὗ κατεῖδε. τὸν δὲ κυνηγέτην ἔχοντα ἐξιέναι ἠμελημένην ἐλαφρὰν ἐσθῆτα ἐπὶ τὸ κυνηγέσιον, καὶ ὑπόδεσιν, ἔν τε τῇ χειρὶ ῥόπαλον, τὸν δὲ ἀρκυωρὸν ἕπεσθαι. πρὸς δὲ τὸ κυνηγέσιον σιγῇ προσιέναι, ἵνα μὴ ὁ λαγώς, ἐάν που ᾖ πλησίον, ὑποκινῇ ἀκούων τῆς φωνῆς. δήσαντα δ' ἐκ τῆς ὕλης τὰς κύνας ἑκάστην χωρίς, ὅπως ἂν εὔλυτοι ὦσι, στῆσαι τὰς ἄρκυς καὶ τὰ δίκτυα, ὡς εἴρηται. μετὰ δὲ τοῦτο τὸν μὲν ἀρκυωρὸν εἶναι ἐν φυλακῇ, αὐτὸν δὲ τὰς κύνας λαβόντα, ἰέναι πρὸς τὴν ὑπαγωγὴν τοῦ κυνηγεσίου, καὶ εὐξάμενον τῷ Ἀπόλλωνι καὶ τῇ Ἀρτέμιδι τῇ Ἀγροτέρᾳ μεταδοῦναι τῆς θήρας, λῦσαι μίαν κύνα, ἥτις ἂν ᾖ σοφωτάτη ἰχνεύειν. ἐὰν μὲν ᾖ χειμών, ἅμ' ἡλίῳ ἀνίσχοντι· ἐὰν δὲ θέρος, πρὸ ἡμέρας, τὰς δὲ ἄλλας ὥρας μεταξὺ τούτου. ἐπειδὰν δὲ ἡ κύων λάβῃ τὸ ἴχνος ὄρθιον ἐκ τῶν ἐπηλλαγμένων, παραλῦσαι καὶ ἑτέραν, περαινομένου τοῦ ἴχνους, διαλείποντα μὴ πολύ, καὶ τὰς ἄλλας ἀφιέναι κατὰ μίαν, καὶ ἕπεσθαι μὴ ἐγκείμενον, ὀνομαστὶ ἑκάστην προσαγορεύοντα, μὴ πολλά, ἵνα μὴ παροξύνωνται πρὸ τοῦ καιροῦ. αἱ δ' ὑπὸ χαρᾶς καὶ μένους προΐασιν ἐξειλοῦσαι τὰ ἴχνη, ὡς πέφυκε διπλᾶ, τριπλᾶ, προφορούμεναι διὰ τὰ αὐτὰ διὰ τῶν αὐτῶν, ἐπηλλαγμένα, περιφερῆ, ὄρθια, πυκνά, καμπύλα, μακρά, γνώριμα, ἄγνωστα, ἑαυτὰς παραθέουσαι, ταχὺ ταῖς οὐραῖς διασείουσαι, καὶ ἐπικλίνουσαι τὰ ὦτα, καὶ ἀστράπτουσαι τοῖς ὄμμασιν. ἐπειδὰν δὲ περὶ τὸν λαγὼ ὦσι, δῆλον ποιήσουσι τῷ κυνηγέτῃ σὺν ταῖς οὐραῖς τὰ σώματα ὅλα συνεπικραδαίνουσαι, πολεμικῶς ἐπιφερόμεναι, φιλονείκως παραθέουσαι, συντρέχουσαι φιλοπόνως, συνιστάμεναι ταχύ, διιστάμεναι, πάλιν ἐπιφερόμεναι. τελευτῶσαι δέ, ἀφίξονται πρὸς τὴν εὐνὴν τοῦ λαγώ, καὶ ἐπιδραμοῦνται ἐπ' αὐτόν. ὁ δ' ἐξαίφνης ἀναΐξας, ἐφ' αὑτὸν ὑλαγμὸν ποιήσει τῶν κυνῶν, καὶ κλαγγὴν φεύγων. ἐμβοώντων δὲ αὐτῷ διωκομένῳ, ἰὼ κύνες, ἰὼ καλῶς. σοφῶς γε ὦ κύνες, καλῶς γε ὦ κύνες. καὶ κυνοδρομεῖν περιελίξαντα ὃ ἀμπέχεται περὶ τὴν χεῖρα, καὶ τὸ ῥόπαλον ἀναλαβόντα κατὰ τὸν λαγώ, καὶ μὴ ὑπαντᾶν. ἄπορον γὰρ δὴ ὑποχωρῶν ταχὺ ἐκλείπων τὴν ὄψιν, πάλιν περιβάλλει,

ὅθεν

In summo laqueos aequales subiicito, pariterque fulcito, attollens in medio reticulum: sed a plaga oblongum lapidem magnumque suspendito, ne rete cum leporem tenuerit, recellere possit. Iuga longa ordine cingito, ne forte lepus transiliat: sed inter uestigandum ne intermittito: est enim uenatoris, sed gnaui, quamlibet uno momento feram capere. Retia in arduis tendat, casses in uiis obiiciat opportunis procul a tramitibus, plagas ad humum religans, fastigia contrahens, intra sardonios hastilia figens, funiculos in summo tensiles superponat, ductiles coerceat, abiensque cautius obseruet. Quod si limes decliuius fuerit, sagena tollatur. Leporem uero dum agitatur ultro ad retia cum clamore premat. Cum in rete inciderit, canum iram non pulsando, sed leniendo refrenet, et uenatori clamando significet aut captum esse, aut hac uel illac transcurrisse, aut non uidere, uel non uidisse. Venator autem cum neglecta tenuique ueste et calceo uenatum exeat, manu baculum gestans. Retium uero custos sequatur: sed cum silentio saltum adeat, ne lepus si forte propius fuerit, audita uoce promoueatur. Casses et retia, ut dictum est, expediat, religatis ad syluam canibus, unoquoque seorsum, ut facile solui possint. Post haec autem custos retia seruet, ipse uero sumptis canibus ad saltus indaginem subeat, et implorato Apolline et uenatrice Diana, ut uenationis participes faciat, unam ex canibus soluat quae uestigandi peritissima sit, si frigus fuerit, oriente sole: si calor, ante diem. Aliis autem anni temporibus inter auroram et solis ortum. Ast ubi uestigium ex his quae antecesserunt rectum deprehenderit, soluat et alteram. Et dum uestigium transigitur, haud multum moratus singulatim dimittat et alias: et ipse pedetentim sequatur, unamquamque nominatim appellans: nec id nimium, ne ante tempus irritentur: hae uero prae gaudio et ardore procedunt, uestigia ut sunt duplicia, triplicia, euoluentes, hac illac progrediuntur uarie, in orbem, in rectum, in curuum, per densa, per rara, per nota, per ignota seipsas transmittunt, luminibusque coruscant. Vbi uero ad leporem accesserint, uenatori significabunt. Nam toto cum caudis corpore micant, hostiliter insultant, certatim praetereunt, studiose concurrunt, repente consistunt, diuulse rursus inuadunt: postremo ad leporis cubile peruenient, et in ipsum incurrent. Ille subito exortus, canum in se latratum, et clamorem fugiendo conuertet: ipsi uero agitantes clament, Io canes, io segnis: clare autem, o canes. Et uenator cum canibus currat, manuum tegmina rotans, et in leporem baculum intendens. Nec obuius eat: periculosum est enim: ille uero se ab oculis proripiens refugit,

et

& loca unde excitus fuerat, ut plurimum obambulat: sed uulgo clament ipsi, puer hic, puer illic, puer iam, puer iam. Hic uero significet captus sit nec ne. Et si primo cursu captus fuerit, reuocatis canibus alium quærat: sin autem, quamcelerrimè potest cum canibus currat, nec desistat, sed assiduo transmittat. Et si rursus agitantes occurrerint, clamet, Euge, euge, ô canes, instate canes. Quod si longius processerint, ut eas pariter currens subsequi non possit, quinetiam ab ipso cursu deerrauerit, ut eas propius nec usquam tendentes, neque clamantes, neq; à uestigijs redeuntes uidere possit, inter currendum cuicunq; appropinquauerit cum clamore interroget: Vidistin' hos canes? Vbi iam audierit, tum uero si in uestigio fuerint, præsides hortetur omnes, modo has, modo illas nomine compellet, sonum uocis quam poterit multipliciter uarians, acutum, grauem, paruũ, magnũ: & præter alias hortationes si cursus in monte fuerit, sic etiã hortetur: Belle canes, belle ô canes. Sin autem ad ipsa non fuerint uestigia, sed excesserint, tũc eas in hunc modum reuocet: Non retro, non retro, heus canes. Sed postquam uestigijs astiterint, circumagat eas, orbes multos crebrosq; faciens. Et ubicunq; incertum ipsis uestigium fuerit, signum statuat limitem sibi, & ab hoc eas hortando, blandiendo coërceat, donec uestigium manifeste cognouerint. Illæ uero simulac certa erunt uestigia, irruendo, lasciuiendo, capita conferendo, suspicando, significãdo, fines sibi notos statuendo, cito transcurrent. Sed dum illæ ita per uestigium crebro dissiliunt, uenator se reprimens cum canibus minime currat, ne studio certandi uestigia prætereant. At cũ iuxta leporẽ fuerint, idq; uenatori plane significauerint, obseruet ne metu canum promoueatur. Illæ uerò dum caudam crispant, dum in se recidũt, dum insultant, & clangẽtes insurgunt, dum prosiliunt, dum uenatorem spectant, & hæc iam uera esse demonstrant, leporem ultro excitabũt, & latrantes inuadent: sed siue in retia præcipuet, siue exterius, siue interius prætereat, ad unũquodque horum custos retium proclamet: et si captus fuerit, alium inquirat: sin autem, hisdem ut antè hortationibus transcurrat. Sed cum iam serum diei fuerit, canibus propemodum currendo defatigatis, tunc leporem uenator fessum exquirat, nihil relinquens eorum quæ terra gignit, uel ipsius superficies habet, sed crebrò eadem relegat, ne præteritus fallat. Procumbit enim in angusto, nec resurgit præ labore & metu. Superinducat & canes hortando, blandiendo, si qua est humana multum: si audax, parum: si mediocris, mediocriter, donec ipsum uel e uestigio occiderit, uel in retia propulerit. Post hæc autem sagenis retibusq; sublatis, canes auertat, & è saltu digrediatur. Et si meridies æstiuus fuerit, resideat, ne canes in itinere pedib. urãtur.

De procreãdis canibus.

Ipsas uerò hyeme submittat labore solutas, ut Vere generosam prolẽ procreare sufficiant. Nam hoc anni tempus alendis

ὅθεν εὑρίσκεται ὡς τὸ πολύ. ἀναβοᾶν δὲ κοινὴν μὲν ἂν τῷ παῖς, ἄπτου παῖς. παῖ δή, παῖ δή. ὁ δὲ ἐάν τε ἑαλωκὼς ᾖ, ἐάν τε μή, δηλούτω. καὶ ἐὰν μὲν ἑαλωκὼς ᾖ ἐν τῷ πρώτῳ δρόμῳ, ἀνακαλεσάμενος τὰς κύνας ζητεῖν ἄλλον. ἐὰν δὲ μή, κυνοδρομεῖν, ὡς τάχιστα καὶ μὴ ἀφιέναι, ἀλλ' ἐκπορᾶν φιλοπόνως, καὶ ἐὰν πάλιν ἀπαντῶσι διώκουσαι αὐτόν, ἀναβοᾶν, εὖγε, εὖγε, ὦ κύνες, ἕπεσθε ὦ κύνες. ἐὰν δὲ πολὺ προειληφυῖαι ὦσι, καὶ μὴ οἷός τ' ᾖ κυνοδρομῶν ἐπιγίγνεσθαι αὐταῖς, ἀλλὰ διημαρτηκὼς ᾖ τῶν δρόμων, ἢ καὶ πλησίον που φοιτώσας, ἢ ἐπιβοώσας, ἢ ἐχομένας τῶν ἰχνῶν μὴ δύνηται ἰδεῖν, πυνθάνεσθαι παραθέοντα ἅμα, ὅτῳ ἂν προσπελάζῃ ἀναβοῶντα ἢ κατιδὼν ἐᾶν τὰς κύνας. ἐπειδὰν δ' ἐπύθηται ἤδη, ἐὰν μὲν ἐν τοῖς ἴχνεσι ὦσι, προσαύτα ἐγκελεύειν τοὔνομα, μεταβάλλοντα ἑκάστης τῆς κυνός, ὁπόσα χρὴ οἷόν τ' ἂν ᾖ τοὺς τόνους τῆς φωνῆς ποιούμενον, ὀξύ, βαρύ, μικρόν, μέγα. πρὸς δὲ τοῖς ἄλλοις κελεύμασιν, ἐὰν ὦσιν ἐν ὄρει αἱ μεταδρομαί, ἐπικελεύειν τόδε, εὖ κύνες, εὖ ὦ κύνες. ἐὰν δὲ μὴ πρὸς αὐτοῖς ὦσι τοῖς ἴχνεσι, ἀλλ' ὑπερβάλλωσι, καλεῖν αὐτάς, οὐ πάλιν, οὐ πάλιν ὦ κύνες. ἐπειδὰν δὲ προσῶσι τοῖς ἴχνεσι, περιάγειν αὐτάς, κύκλους πολλοὺς πυκνοὺς ποιούμενον, ὅπου δ' ἂν ᾖ αὐταῖς, ἀμαυρὸν τὸ ἴχνος σημεῖον θέσθαι στοῖχον ἑαυτῷ, καὶ ἀπὸ τούτου συνέρειν, μέχρι ἂν σαφῶς γνωρίσωσιν ἐγκελεύοντα καὶ θωπεύοντα. αἱ δ' ἐπειδὰν λαμπρὰ ᾖ τὰ ἴχνη, ἐπιρρίπτουσαι παραπηδῶσαι, κοινωνοῦσαι, ὑπολαμβάνουσαι, ἐνσημαινόμεναι, ὅρους τιθέμεναι ἑαυταῖς γνωρίμους ταχὺ μεταθεύσονται. ὅταν δὲ οὕτως διὰ τοῦ ἴχνους πυκνῶς διάττωσι, μὴ κατέχοντα κυνοδρομεῖν. ἵνα μὴ ὑπὸ φιλοτιμίας ὑπερβάλλωσι τὰ ἴχνη. ἐπειδὰν δὲ περὶ τὸν λαγὼ ὦσι, καὶ τοῦτο ἐπιδεικνύωνται σαφῶς τῷ κυνηγέτῃ, προσέχειν ὅπως ἂν μὴ ὑποκινῇ εἰς τὸ πρόσθεν πεφοβημένος τὰς κύνας. αἱ δὲ διαρριπτοῦσαι ταῖς οὐραῖς, καὶ ἑαυταῖς ἐμπίπτουσαι, καὶ πολλὰ ὑπερπηδῶσαι, καὶ ἐπανακλαγγάνουσαι, ἐπαναίρουσαι, ὑπερπηδῶσαι, εἰσβλέπουσαι εἰς τὸν κυνηγέτην, ἐπιγνωρίζουσαι ἀληθῆ εἶναι, ἤδη ταῦτα ὑφ' αὑτῶν ἀναστήσουσι τὸν λαγὼ, καὶ ἐπίασι κεκραγυῖαι. ἐὰν δὲ εἰς τὰς ἄρκυς ἐμπίπτῃ, ἢ ἔξω ἢ ἐντὸς παρενεχθῇ καθ' ἓν ἕκαστον τούτων, ὁ ἀρκυωρὸς γεγωνείτω. καὶ ἐὰν μὲν ᾖ ἑαλωκώς, ἕτερον ἐπιζητεῖν. ἐὰν δὲ μή, μεταθεῖν χρώμενον, τοῖς αὐτοῖς ἐγκελεύμασιν. ἐπειδὰν δὲ μεταθέουσαι αἱ κύνες ἤδη ὑποκοπιῶσι, καὶ ᾖ ὀψὲ ἤδη τῆς ἡμέρας, τότε δεῖ τὸν κυνηγέτην, τὸν λαγὼ ἀπειρηκότα ζητεῖν, μὴ παραλείποντα μηδὲν ὧν ἡ γῆ ἀνίησιν, ἢ ἔχει ἐφ' ἑαυτῆς, τὰς ἀναστροφὰς ποιούμενον πυκνάς, ὅπως ἂν μὴ παραλειφθῇ. κατακλίνεται γὰρ ἐν μικρῷ τὸ θηρίον, καὶ οὐκ ἀνίσταται ὑπὸ κόπου καὶ φόβου, τὰς κύνας ἐπαγόμενον, ἐγκελεύοντα παραμυθούμενον τὴν φιλάνθρωπον πολλά, τὴν αὐθάδη ὀλίγα, τὴν μέσην μέτρια, ἕως ἂν ἢ κατακτείνῃ αὐτὸν ἐπὶ πόδας, ἢ εἰς τὰς ἄρκυς ἐμβάλῃ. μετὰ δὲ ταῦτα ἀνελόντες τὰς ἄρκυς καὶ τὰ δίκτυα ἀνατρίψαντα τὰς κύνας ἀπιέναι ἐκ τοῦ κυνηγεσίου. ἐπιμείναντα ἐὰν ᾖ θερινὴ μεσημβρία, ὅπως ἂν τῶν κυνῶν οἱ πόδες μὴ καίωνται ἐν τῇ πορείᾳ. σκυλακεύειν δὲ αὐτάς, ἐπανιέντα τὸν πόνον τοῦ χειμῶνος, ἵνα ἔχουσαι τὴν ἡσυχίαν, πρὸς τὸ ἔαρ ἐπάγωνται τὴν φύσιν γενναίαν. ἡ γὰρ ὥρα πρὸς τὰς αὐξήσεις

τῶν κυνῶν κρατίστη αὕτη ἐστί. δεκατέτταρες δὲ ἡμέραι αὗται, ἐν αἷς ἡ ἀνάγκη αὕτη ἔχει. ἄγειν δὲ καταπαυομένας, ἵνα θᾶττον ἐγκύμονες γίγνωνται, πρὸς κύνας ἀγαθούς. ἐπειδὰν δὲ ὦσιν ἐπίφοροι, μὴ ἐξάγειν ἐπὶ κυνηγέσιον συνεχῶς, ἀλλὰ διαλείπειν, ἵνα μὴ φιλοπονίᾳ διαφθείρωσι. κύουσι ἑξήκοντ᾽ ἡμέρας. ἐπειδὰν δὲ γένηται, τὰ σκυλάκια ὑπὸ τῇ τεκούσῃ ἐᾶν, καὶ μὴ ὑποβάλλειν ὑφ᾽ ἑτέραν κύνα. αἱ γὰρ θεραπεῖαι αἱ ἀλλότριαι οὐκ ἀεὶ εὐαύξιμοι, τὸ δὲ τῶν μητέρων καὶ τὸ γάλα ἀγαθὸν, καὶ τὸ πνεῦμα καὶ αἱ περιβολαὶ φίλαι. ἐπειδὰν δὲ ἤδη πλανᾶται τὰ σκυλάκια, διδόναι γάλα μέχρι ἐνιαυτοῦ, καὶ οἷς μέλλει τὸν ἅπαντα χρόνον βιώσεσθαι, ἄλλο δὲ μηδέν. αἱ γὰρ βαρεῖαι πλησμοναὶ τῶν σκυλακίων διαστρέφουσι σκέλη, σώμασι νόσους ἐμποιοῦσι, καὶ τὰ ἐντὸς ἄδικα γίγνεται. τὰ δ᾽ ὀνόματα αὐταῖς τίθεσθαι βραχέα, ἵνα εὐανάκλητα ᾖ. εἶναι δὲ χρὴ τοιάδε, ψυχή, θυμός, πόρπαξ, στύραξ, λόγχη, λόχος, φρουρά, φύλαξ, τάξις, ξίφων, φόναξ, φλέγων, ἀλκή, τεύχων, ὑλεύς, μήδας, πόρθων, σπέρχων, ὀργή, βρέμων, ὕβρις, θάλλων, ῥώμη, ἀνθεύς, ἥβα, γηθεύς, χαρά, λεύσων, αὐγώ, πολύς, βία, στίχων, σπουδή, βρύας, οἰνάς, στερρός, κραυγή, καίνων, τύρβας, σθένων, αἰθήρ, ἀκτίς, αἰχμή, νόης, γνώμη, στίβων, ὁρμή. ἄγειν δὲ τὰς σκύλακας εἰς τὸ κυνηγέσιον, τὰς μὲν θηλείας ὀκταμήνους, τοὺς δὲ ἄρρενας δεκαμήνους. πρὸς δὲ τὰ ἴχνη τὰ εὐναῖα μὴ λύειν, ἀλλ᾽ ἔχοντα ὑφημμένας μακροῖς ἱμᾶσιν ἀκολουθεῖν ταῖς κυσὶν ἰχνευούσαις, ἐῶντα αὐτὰς διατρέχειν τὰ ἴχνη. καὶ ἐπειδὰν ὁ λαγὼς εὑρίσκηται, ἐὰν μὲν καλοὶ ὦσι πρὸς τὸν δρόμον, τὰ ἴχνη μὴ ἀνιέναι εὐθύς. ἐπειδὰν δὲ προλάβῃ ὁ λαγὼς τῷ δρόμῳ, ὥστε μὴ ἐφορᾶν ἔτι αὐτὸν, τὰς σκύλακας ἱέναι. ἐὰν γὰρ ὁμόθεν καλὰς τὰ εἴδη οὔσας καὶ εὐψύχους πρὸς τὸν δρόμον ἐπιλύῃ ὁρώσας τὸν λαγῶ, ἐντεινόμεναι ῥήγνυνται, οὔπω ἔχουσαι συνεστῶτα τὰ σώματα. διαφυλάττειν οὖν δεῖ τοῦτο τὸν κυνηγέτην. ἐὰν δὲ αἰσχίους ὦσι πρὸς τὸν δρόμον, οὐδὲν κωλύει ἱέναι. εὐθὺς γὰρ ἀνέλπιστοι οὖσαι τοῦ ἑλεῖν, οὐ πείσονται τοῦτο. τὰ δὲ δρομαῖα ἕως ἂν ἕλωσι τοῖς ἴχνεσι μεταθεῖν ἐᾶν. ἁλισκομένου δὲ τοῦ λαγῶ, διδόναι αὐταῖς ἀναρρηγνύναι. ἐπειδὰν δὲ μηκέτι θέλωσι προσμένειν ταῖς ἄρκυσιν, ἀλλὰ διασκεδάννυνται, ἀναλαμβάνειν ἕως ἂν ἐθισθῶσιν, εὑρίσκειν προσθέουσαι τὸν λαγῶ, μὴ ἐν κόσμῳ ἀεὶ τοῦτο ζητοῦσαι, τελευτῶσαι γίγνονται ἔκκυνοι, πονηρὸν μάθημα. πρὸς δὲ ταῖς ἄρκυσι διδόναι τὰ σιτία αὐταῖς, ἕως ἂν νέαι ὦσιν, ὅταν ἀναιρῶνται, ἵν᾽ ἐὰν πλανηθῶσιν ἐν τῷ κυνηγεσίῳ δι᾽ ἀπειρίαν, πρὸς τοῦτο ἐπανιοῦσαι σῴζωνται. ἀφεθήσονται δὲ τούτου, ὅταν ἤδη τῷ θηρίῳ ἔχωσι πολεμίως. ἐπιμελείαν δὲ ποιήσονται τούτου μᾶλλον, ἢ ἐκείνου φροντίζειν. χρὴ δὲ καὶ εἰς τὰ πολλὰ διδόναι τὰ ἐπιτήδεια ταῖς κυσὶν αὐτόν. ὅταν μὲν γὰρ ἐνδεεῖς ὦσι, τοῦτον τὸν αἴτιον οὐκ ἴσασιν. ὅταν δὲ ἐπιθυμοῦσαι λάβωσι, τὸν διδόντα στέργουσι. ἰχνεύεσθαι δὲ τοὺς λαγῶς, ὅταν νίφῃ ὁ θεός, ὥστε ἠφανίσθαι τὴν γῆν. εἰ δ᾽ ἐνέσται μελάγχειμα, δυσζήτητος ἔσται. ἔστι δὲ ὅταν μὲν ἐπινίφῃ, καὶ ᾖ βόρειον, τὰ ἴχνη ἔξω πολὺν χρόνον δῆλα. οὐ γὰρ ταχὺ συντήκεται. ἐὰν δὲ νότιός τε ᾖ, καὶ ἥλιος ἐπιλάμπῃ, ὀλίγον χρόνον. ταχὺ γὰρ διαχεῖται. ὅταν δὲ ἐπινίφῃ συνεχῶς, οὐδὲν δεῖ.

ἐπικα-

dis canibus maximè conuenit. Sunt autem dies quatuordecim in quib. hæc necessitas tenet. Mittat autem ad strenuos canes quo tempore cessant, ut celerius concipiant: nec uerò cum uentrem gestant. In saltus iugiter, sed cum intermissione ducat. Fœtæ sunt sexaginta dies. Catulos cum nati fuerint, sub genitrice relinquat, nec alienæ cani subijciat: MINISTERIA scilicet aliena nihil ad alendum prosunt: matrum lac & halitus bonus est, & fomenta iucũda sunt. Cum iam errant catuli, lac ad annum usq; præbeat, et ea quibus omnem ætatem uicturi sunt, præterea nihil: graues enim repletiones canum crura præuertunt, morbos corporib. ingenerant, interiora improba reddunt. atq; breuia ipsis nomina imponat, ut uocari facilè possint. Sunt autem eiusmodi: Psyche, thymus, porpax, styrax, lõche, lochos, phrura, phylax, taxis, xiphon, phonax, phlegon, alce, teuchon, hyleus, medas, porthon, sperchon, lorge, bremon, thybris, thallon, rhome, antheus, getheus, actis, aron, leuson, augo, polysibia, stichon, spude, bryas, heba, sterros, crauge, canon, thyrbas, sthenon, æter, noës, gnomon, stibon, horme. Iam uerò canes agat in saltum, fœminas mensium octo, mares decem: nec ad cubilia, uestigia soluat, sed submissas longis detinens loris uestigantes subsequatur, & eas per uestigia currere sinat. Sed cum inuentus fuerit lepus, si pulchra indole ad cursum alacres fuerint, nõ continuò dimittat: sed ubi præcurrendo lepus è cõspectu abierit, tum canes emittat: nam si comminus specie pulchras, & ad cursum magnanimas soluerit, nondũ firmatis corporibus, nitentes rumpũtur. Hoc igitur uenatori obseruãdum est, quod si forma fuerint ad currendum segniores, nihil eas emitti prohibet. Neq; enim illud patientur, cum ab initio non sine spe sint capiendi, sed ad pedum uestigia transcurrere sinat, quoad ea inuenerint. Leporem captum ipsis lacerandũ tradat. Cum iam ad retia subsistere noluerint, sed palantes auersæ fuerint, recolligat eas donec leporem procursantes inuenire consueuerint, ne si hoc agmine semper inquirant, in teroscelari denique discant, quæ pessima consuetudo est. Sed cibaria illis obijciat ad retia, dum iuuenes sunt: tunc enim suscipiunt: ut si propter imperitiam in saltu deerrauerint, ad locum redeuntes saluentur. Nam cibaria tunc respuent, cum iam feram hostiliter oderint: & hanc magis appetent quàm illa. Multis uerò de causis necessaria canibus exhibenda sunt. Nam cum inopiam patiuntur, autorem eius non agnoscunt: at cum auide accipiunt, exhibitorem diligunt. Vestigent autem leporem, cum nix ita ceciderit, ut terram operiat: nam hyems absq; niue uestigabilis non est. At cum ningit, si Boreas spirarit, uestigia diu manifesta eminent: neq; enim citò liquuntur. Sin & Notus flauerit, & sol superfulserit, breui apparẽt: nam statim dilabuntur. Sed neq; cũ nix iugiter cadit:

De nominibus canum.

uesti-

uestigia enim obducit: neq; cum uentus acriter incumbit, niuem enim conuoluens incerta facit. Ad huiusmodi uenationem cum canibus exeundum non est: siquidem nix canum nares adurit, & pedes, leporis odorem gelu nimio tollit: sed sumptis retibus cum alio ueniens, ab agris ad montes euadat: & cum uestigia deprehenderit, per ea incedat. Sed si uaria fuerint, ex eisdem eodem rediens factis orbibus exeat, his unde exierit similia requirens: multum enim lepus oberrat, incertus ubi procumbat: & simul incessu perplexo fallere didicit, quia semper talibus uestigiis agitatur. Vbi uero uestigium apparuerit, procedat ultro: adhærebit autem loco uel umbroso, uel abrupto, quod inde uenti niuem trãsmittunt: quo fit ut opportuna cubilib. loca multa prætermittat, & eiusmodi quærat. Huc igitur cum uestigia duxerint, non accedat propius, ne promoueatur lepus, sed corona circundet: nam ibi esse speratur. Argumento erit, si nusquam inde uestigia deduxerint. Sed cum ibi esse certum fuerit, illum relinquat: manebit enim: & alium quærat antequam uestigia deleantur, rationem temporis habens, ut si etiam alios inuenerit, reliquum diei ad circumueniendum sufficiat. Quod ubi acciderit, retia unicuiq; eorum circumtendat, non aliter quàm cum hyems sine niue fuerit, uel locum ubicunq; astiterit complectatur. Sed si elapsus fuerit è retibus, per uestigia sequatur: ille ad alia eiusmodi loca perueniet, nisi si in ipsa niue oppressus fuerit. Obseruans igitur ubicunq; fuerit, circumuenire debet: quod si non expectet, cursu insistere: nam & sine retibus capietur, quia profunda niue lassatur, & in extremis pedibus ubi uillosus est, moles niuis haud modica succrescit.

De uenatione binnulorum & ceruorum.

Nam aduersus binnulos & ceruos canes Indicas esse oportet: sunt autem ualidæ, magnæ, ueloces, nec pusillanimes: & cum tales sint, ad laborem sufficiunt. Tenellos igitur binnulos uerno tempore uenetur: tunc enim nascuntur. Sed primum lucos ingressus contempletur in quibus ceruæ plurimum conuersantur: & ad locum in quo fuerint, uenator cum canibus et iaculis ante lucem ueniens, canes e sylua procul religet, ne si ceruã uiderint, latratus emittant. Ipse uero de specula prospiciet, & ceruas simul cum luce binnulos ad locum ducere uidebit, in quo suum queq; fotura est. Sed recubuerint, & lac præbuerint, intentæ ne ab ullo uideantur, suum queq; in opposita statione seruabit. Hæc ubi uiderit, canes soluat: ipse uero summotis iaculis ad primũ binnulum procedat, locorũ memor ubi iacentẽ uidit, ne quo errore decipiatur. Nam cominus aliquãdo est, qui eminus esse uidetur: sed cum eum uiderit, accedat propius. Ille immotus manebit, uelut terræ affixus, & se opprimi sinet ualde rugiens, nisi quum fuerit imbre perfusus: tunc enim haudquaquam manebit: siquidem humor in ipso rigebit frigore, quod tum fugere cogit. Capie-

ὑποκαλύπτει γάρ. οὐδ' ἂν πνεῦμα ᾖ μέγα. συμφοροῦν γὰρ τὴν χιόνα ἀφανίζει. κύνας μὲν οὖν οὐδὲν δεῖ ἔχοντας ἐξιέναι ἐπὶ τὴν θήραν ταύτην. ἡ γὰρ χιὼν καίει τῶν κυνῶν τὰς ῥῖνας, καὶ τοὺς πόδας, τήν τε ὀσμὴν τοῦ λαγὼ ἀφανίζει διὰ τὸ ὑπερπαγές. λαβόντα δὲ τὰ δίκτυα μετ' ἄλλου ἐλθόντα πρὸς τὰ ὄρη παριέναι ἀπὸ τῶν ἔργων. καὶ ἐπειδὰν λάβῃ τὰ ἴχνη πορεύεσθαι κατὰ ταῦτα. ἐὰν δ' ἐπηλλαγμένα ᾖ ἐκ τῶν αὐτῶν πάλιν, εἰς τὸ αὐτὸ ἥκοντα κύκλους ποιούμενον, ἐκπεριιέναι τὰ τοιαῦτα ζητοῦντα, ὅποι ἔξεισι. πολλὰ δὲ πλανᾶται ὁ λαγώς, ἀπορούμενος ὅπου κατακλιθῇ. ἅμα δὲ καὶ εἴθισται τεχνάζειν τῇ βαδίσει, διὰ τὸ διώκεσθαι ἀεὶ ὑπὸ τῶν τοιούτων. ἐπειδὰν φανῇ τὸ ἴχνος προϊέναι εἰς τὸ πρόσθεν. ἄξει δὲ ἢ πρὸς σύσκιον τόπον, ἢ πρὸς ἀπόκρημνον. τὰ γὰρ πνεύματα ὑπερφέρει τὴν χιόνα ὑπὲρ τῶν τοιούτων. παραλείπεται οὖν εὐναστήρια πολλά. ζητεῖ δὲ τοῦτο. ἐπειδὰν δὲ τὰ ἴχνη πρὸς τὰ τοιαῦτα φέρῃ, μὴ προσιέναι ἐγγύς, ἵνα μὴ ὑποκινῇ, ἀλλὰ κύκλῳ ἐκπεριιέναι. ἐλπὶς γὰρ αὐτοῦ ἐνταῦθα εἶναι. δῆλον δ' ἔσται. τὰ γὰρ ἴχνη ἀπὸ τῶν τοιούτων οὐδαμοῦ περάσει. ἐπειδὰν δὲ ᾖ σαφὲς, ὅτι αὐτοῦ ἐστιν, ἐᾶν. μένει γάρ. ἕτερον δὲ ζητεῖν, πρὶν τὰ ἴχνη ἄδηλα γίγνεσθαι τῆς ὥρας ἐνθυμούμενον. ὅπως ἂν καὶ ἑτέρους εὑρίσκῃ, ἔσται ἡ λειπομένη, ἱκανὴ περιστήσασθαι. ἥκοντος δὲ τούτου, περιτείνειν αὐτῶν ἑκάστῳ τὰ δίκτυα, τὸν αὐτὸν τρόπον ὅνπερ ἐν τοῖς μελαγχίμοις περιλαμβάνοντα ἐντὸς περὶ ὅτῳ ἂν ᾖ, καὶ ἐπειδὰν ἑστήκῃ, προσελθόντα κινεῖν. ἐὰν δὲ ἐκκυλισθῇ ἐκ τῶν δικτύων, μεταθεῖν κατὰ τὰ ἴχνη. ὁ δὲ ἀφίξεται πρὸς ἕτερα τοιαῦτα χωρία, ἐὰν μὴ ἄρα ἐν αὐτῇ τῇ χιόνι πιέσῃ ἑαυτόν. σκεψάμενον οὖν δεῖ ὅπου ἂν ᾖ περιίστασθαι. ἐὰν δὲ μὴ ὑπομένῃ μεταθεῖν, ἁλώσεται γὰρ καὶ ἄνευ τῶν δικτύων. ταχὺ γὰρ ἀπαγορεύει διὰ τὸ βάθος τῆς χιόνος, καὶ διὰ τὸ κάτωθεν τῶν ποδῶν δασέων ὄντων προσέχεσθαι αὐτῷ ὄγκον πολύν. ἐπὶ δὲ τοὺς νεβροὺς καὶ τὰς ἐλάφους, κύνας εἶναι ἰνδικάς. εἰσὶ γὰρ ἰσχυραί, μεγάλαι, ποδώκεις, οὐκ ἄψυχοι. ἔχουσαι δὲ ταῦτα, ἱκαναὶ γίγνονται πονεῖν. τοὺς μὲν οὖν νεογνοὺς τῶν νεβρῶν, τὸ ἦρος θηρᾶν. ταύτην γὰρ τὴν ὥραν γίγνονται. κατασκέψασθαι δὲ πρότερον προελθόντα εἰς τὰς ὀργάδας, οὗ εἰσιν ἔλαφοι πλεῖσται. ὅπου δ' ἂν ὦσιν, ἔχοντα τὸν κυναγωγὸν τὰς κύνας καὶ ἀκόντια, πρὸ ἡμέρας ἐλθόντα εἰς τὸν τόπον τοῦτον, τὰς μὲν κύνας δῆσαι ἄποθεν ἐκ τῆς ὕλης, ὅπως μὴ ἂν ἴδωσι τὰς ἐλάφους, ὑλακτῶσιν. αὐτὸν δὲ σκοπιωρεῖσθαι. ἅμα δὲ τῇ ἡμέρᾳ ὄψεται ἀγούσας τοὺς νεβροὺς πρὸς τὸν τόπον, οὗ ἂν μέλλῃ ἑκάστη τὸν ἑαυτῆς εὐνάσειν. κατακλίνασαι δὲ καὶ γάλα δοῦσαι, καὶ διασκεψάμεναι, μὴ ὁρῶνται ὑπό τινος, φυλάττει τὸν αὐτῆς ἑκάστη, ἀπελθοῦσα εἰς τὸ ἀντιπέρας. ἰδόντα δὲ ταῦτα, τὰς μὲν κύνας λῦσαι. αὐτὸν δὲ λαβόντα ἀκόντια προϊέναι ἐπὶ τὸν νεβρὸν τὸν πρῶτον, ὅπου εἶδεν εὐνασθέντα τῶν τόπων, ἐνθυμούμενον ὅπως μὴ διαμαρτήσεται. πολὺ γὰρ ἀλλοιοῦνται τῇ ὄψει, ἐγγὺς προσιόντι, ἢ οἱ πόρρωθεν ἔδοξαν εἶναι. ἐπειδὰν δὲ ἴδῃ αὐτὸν προσιέναι ἐγγύς. ὁ δὲ ἕξει ἀτρέμα, πιέσας ὡς ἐπὶ γῆν, καὶ ἐάσει ἀνελέσθαι, ἐὰν μὴ ἐφυσμένος ᾖ βαθυμένα. τοῦτο δὲ γιγνόμενος οὐ μένει. ταχὺ γὰρ τὸ ὑγρὸν ὃ ἔχει ἐν ἑαυτῷ ὑπὸ τοῦ ψύχους συνιστάμενον, ποιεῖ ἀποχωρεῖν αὐτόν.

ἁλώσεται

ἁλώσεται δὲ ὑπὸ τῶν κυνῶν, σὺν πόνῳ διωκόμενος.
λαβόντα δὲ δοῦναι τῷ ἀρκυωρῷ· ὁ δὲ βοήσεται. ἡ δ᾽
ἔλαφος τὰ μὲν ἰδοῦσα, τὰ δ᾽ ἀκούσασα, ἐπιδραμεῖ-
ται τῷ ἔχοντι αὐτὸν ζητοῦσα ἀφελέσθαι. ἐν δὲ τούτῳ
τῷ καιρῷ ἐγκελεύειν ταῖς κυσὶ καὶ χρῆσθαι τοῖς ἀκον-
τίοις. κρατήσαντα δὲ τούτου προσθέσθαι, καὶ ἤδη τοὺς ἄλ-
λους καὶ σὺν τῷ αὐτῷ εἴδει, πρὸς τοὺς αὐτοὺς χρῆσθαι τῆς θή-
ρας. καὶ οἱ μὲν νέοι τῶν νεβρῶν οὕτως ἁλίσκονται· οἱ δὲ ἤδη με-
γάλοι χαλεπῶς. νέμονται γὰρ μετὰ τῶν μητέρων καὶ ἑτέ-
ρων ἐλάφων. καὶ ἀποχωροῦσιν ὅταν διώκωνται ἐν μέ-
σαις. ὅτε δὲ πρόσθεν. ἐν δὲ τῷ ὄπισθεν, ὀλιγάκις. αἱ δ᾽ ἔλα-
φοι τὰς κύνας ὑπὲρ αὐτῶν ἀμυνόμεναι καταπατοῦ-
σιν, ὥστ᾽ οὐκ εὐάλωτοί εἰσιν, ἐὰν μὴ προσμίξας τις, εὐ-
θὺς διασκεδάσῃ αὐτὰς ἀπ᾽ ἀλλήλων, ὥστε μονωθῆναι
τινὰ αὐτῶν. βιασθεῖσαι δὲ τοῦτο, τὸν μὲν πρῶτον δρόμον αἱ
κύνες ἀπολείπονται. ἥ τε γὰρ ἀπουσία τῶν ἐλάφων ποιεῖ αὐ-
τὸν περίφοβον, τό τε τάχος οὐδενὶ εἰκὸς εἶναι τῶν τηλικού-
των νεβρῶν. δευτέρῳ δὲ καὶ τρίτῳ δρόμῳ ταχὺ ἁλίσκον-
ται. τὰ γὰρ σώματα αὐτῶν, διὰ τὸ ἔτι νεαρὰ εἶναι, τῷ πό-
νῳ οὐ δύνανται ἀντέχειν. ἱστᾶσι δὲ καὶ ποδοστράβας ταῖς
ἐλάφοις ἐν τοῖς ὄρεσι περὶ τοὺς λειμῶνας καὶ τὰ ῥεῖθρα,
καὶ τὰς νάπας ἐν ταῖς διόδοις καὶ τοῖς ἔργοις πρὸς ὅπ-
ἂν προσίῃ. χρὴ δὲ εἶναι τὰς ποδοστράβας, σμίλακος πε-
πλεγμένας μὴ περιφλοίους, ἵνα μὴ σήπωνται· τὰς δὲ στε-
φάνας εὐκύκλους ἐχούσας, καὶ τοὺς ἥλους ἐναλλὰξ σιδη-
ροῦς τε καὶ ξυλίνους ἐγκαταπεπλεγμένους ἐν τῷ πλο-
κάμῳ. μείζους δὲ τοὺς σιδηροῦς, ὅπως ἂν οἱ μὲν ξύλινοι
ὑπείκωσι τῷ ποδί· οἱ δὲ πιέζωσι. τὸν δὲ βρόχον τῆς σειρί-
δος, τὸν ἐπὶ τὴν στεφάνην ἐπιτεθησόμενον πεπλεγμέ-
νον σπάρτου, καὶ αὐτὴν τὴν σειρίδα. ἔστι γὰρ ἀσηπτότατον
τοῦτο. ὁ δὲ βρόχος αὐτὸς ἔστω στιφρὸς καὶ ἡ σειρίς· τὸ δὲ ξύ-
λον τὸ ἐξαπτόμενον ἔστω μὲν δρυὸς ἢ πρίνου, μέγεθος τρι-
σπίθαμον περίφλοιον, πάχος παλαιστῆς. κατορύττειν δὲ τὰς
ποδοστράβας διελόντα τῆς γῆς, βάθος πεντεπάλαι-
στον. περιφερὲς δὲ τοῦτο καὶ ἄνωθεν ἴσον ταῖς στεφάναις τῶν
ποδοστραβῶν. εἰς δὲ τὸ κάτω ἀμβλυνόμενον στενότητι. διε-
λεῖν δὲ καὶ τῇ σειρίδι καὶ τῷ ξύλῳ τῆς γῆς ὅσον ἐξαρκεῖν ἀμ-
φοῖν. ποιήσαντα δὲ ταῦτα ἐπὶ μὲν τὸ βάθος τῆς ποδο-
στράβης ἐπιθεῖναι κατωτέρω ἰσόπεδον. περὶ δὲ τὴν στεφά-
νην τὸν βρόχον τῆς σειρίδος, καὶ αὐτὴν καὶ τὸ ξύλον καθέν-
τα εἰς τὴν χώραν τὴν ἑκατέρου, τῇ στεφάνῃ ἐπιθεῖναι δο-
κίδας ἀτρακτυλλίδας μὴ ὑπερτεινούσας εἰς τὸ ἔξω. ἐπὶ
δὲ τούτων πέταλα λεπτά, ὧν ἂν ἡ ὥρα ᾖ. μετὰ δὲ τοῦτο τῆς
γῆς ἐπιβαλεῖν ἐπ᾽ αὐτά, πρῶτον μὲν τὴν ἐπιπολῆς ἐξαι-
ρεθεῖσαν ἐκ τῶν ὀρυγμάτων. ἄνωθεν δὲ ταύτης γῆς στερεᾶς
τῆς ἄποθεν. ἵνα ᾖ τῇ ἐλάφῳ ὅτι μάλιστα ἄδηλος ἡ στά-
σις, τήν τε περιοῦσαν τῆς γῆς ἀποφέρειν πόῤῥω ἀπὸ τῆς πο-
δοστράβης. ἐὰν γὰρ ὀσφραίνηται, νεωστὶ κεκινημένης δυσω-
πεῖται. ταχὺ δὲ ποιεῖ τοῦτο. ἐπισκοπεῖν δὲ ἔχοντα τὰς κύ-
νας, τὰς μὲν ἐν τοῖς ὄρεσιν ἑστώσας. μάλιστα μὲν ἕωθεν.
χρὴ δὲ καὶ τὰς ἄλλας ἡμέρας ἐν τοῖς ἔργοις πρωΐ. ἐν μὲν γὰρ
τοῖς ὄρεσιν οὐ μόνον τῆς νυκτὸς ἁλίσκονται, ἀλλὰ καὶ
μεθ᾽ ἡμέραν, διὰ τὴν ἐρημίαν. ἐν δὲ τοῖς ἔργοις τῆς νυκτὸς
διὰ τὸ μεθ᾽ ἡμέραν περιφοβεῖσθαι τοὺς ἀνθρώπους. ἐπειδὰν
δὲ εὕρῃ ἀνεστραμμένην τὴν ποδοστράβην, μεταθεῖν ἐπιλύ-
σαντα τὰς κύνας, καὶ ἐπικελεύσαντα κατὰ τὸν ὁλκὸν τοῦ
ξύλου

Capietur autem à canibus cum labore insequentibus: captum custodi retium tradat. rugiet ille: ceruα partim uidens, partim audiens, tenentem inuadet, ut ipsum eripiat. Tum uero canes hortetur, & iaculis utatur. Hunc ubi obtinuerit, ad alios tendat, in quos simili uenatione utetur. Et iuniores quidem hinnuli hoc modo capientur. At uero iamiam granduscμli difficilius: nam cum matribus aliisque ceruis pascuntur: quibus in mediis cum agitantur, fugiunt sæpe inter primos, raro inter postremos, & pro illis pugnantes ceruæ canes proterunt. Itaque non facile capi possunt, nisi quis perturbatas dissipet, ut ex ipsis quispiam unus destituatur: quod ubi coactæ fuerint, primo cursu canes superantur. Sed quia trepidum illum facit absentia ceruarum & hinnulorum, id ætatis celeritas nulli procedit, secundo tertióue cursu statim capietur. Corpora enim illorum cum adhuc tenera sint, labori superesse non possunt.

De tendiculis.

Quin etiam tendiculæ ceruis ponuntur, in montibus circa prata, secus fluenta, prope saltus, in biuiis, in agris, quocunque adierint. Tendiculas autem oportet fruticeas plicari, delibratas ne putrescant, & spiras habere annulares, & insertos plicationi ferreos alternis, ligneosque clauos, sed robustiores ferreos, ut si lignei cesserint, hi pedem premāt. Laqueum uero funiculi superponendum spiræ, funiculumque ipsum ex sparto plicatū esse: hoc enim inuiolabile est. Laqueus ipse firmeusque ualidi sint: lignum quod pēdet quernum sit uel illigneū, longitudine triū spithamarū, crassitudine unius ulnæ cum cortice. Tendiculas uero ponat aperta scrobe quinquepedum in orbem desuper spiris tendicularū æqualem, ita ut inferiori angustiæ respōdeat: similiter funiculo & ligno scrobem aperiat quanta utrique conueniat. Hæc ubi fecerit, summam tendiculæ scrobem substernat, laqueum uero funiculi spiræ circumponat: et cum ipsam & lignum in suo utrunque loco posuerit, uirgulas enodes superponat nō prominentes, & eas minutis foliis sternat, quæ tunc anni tempus habebit. Postea uero primam in superficiem terra iniiciatur, & scrobibus defossis, & super eam solida terra procul inde sumpta, ut ceruæ quammaxime occultus sit locus: quod supererit terræ asportetur longe à tendicula, quia si recenter motam ceruα (id quod subito facit) odorem senserit, auertetur. Venator cum canibus montana in aurora potissimum, quanquam & in reliquo diei, campestres diluculo obseruet: nam in montibus non noctu solum capiuntur, sed interdiu propter solitudinem. In agris autem nocte tantum: nam in die homines metuunt. Sed ubi tendiculam resupinatam inuenerit, solutis canibus transcurrat ligni

celeriter persequatur, simulq́; in tutum se recipiat le ui prælio facto, maxima hostibus inferet detrimenta: & ut opinor, istud tutiss. mè consequetur, cum celeritate persequens, interea dum prope munitionẽ fuerit: ac eadem utens celeritate, dum hostium munitionem uitat. Quod si fieri posset ut clàm cuiusq; agminis strenuißimi uiri, & equi uel quatuor uel quinq; relinquerentur, cupidißime in hostes reuertentes irruerent. Hæc autem uel rarò legere satis est, faciendũ autem semper ut se illi occasio obtulerit: & consideratis ijs, quæ sunt ante oculos, in utili elaborandum. Nam mandare literis, quæ facienda sunt omnia, non magis facile est, q̃ omnia futura scire. Omniũ autem præceptorum illud mihi quidem uidetur præclarißimum, ut quæ noris utilia esse, ea cures etiam conficienda. Quæ autem rectè iudicantur, neq; in agricultura, neq; in arte nauicularia, neq; in magistratu gerendo fructũ afferunt ullum, nisi quis ut ea perficiãtur curet. Existimo autem hæc dijs iuuantibus, et totum equitatũ citius expletũ iri ad mille equites: multoq́; ciuibus fore facilius, si ex peregrinis ducẽtos ad equitũ referibant, equitesq́; conficiant. Videtur enim illi adiuncti & fideliorem equitatũ omnem effecturi, & laudis uirtutis bellicæ inter se cupidiorem. Ac apud Lacedæmonios quidem equitatũ tum demũ celebrari cœpisse scio, cum peregrinos equites adiunxissent. Et in alijs ciuitatibus ubiq; peregrinos uideo probari, magnãq; laudem consequi: necessitas enim maximam affert alacritatem. Ad coëmendos equos pecunias suppeditatum iri arbitror ab ijs qui magnopere ab equitando abstinent: quando & hi quibus equitandi munus conuenit & aßignatur, pecuniam solent pendere ut eo munere liberentur. À diuitibus quidem illis, sed corpore imbecillis, suppeditabũtur: à pupillis etiam, opinor, qui potentes habent familias. Extituros præterea puto incolas, qui in ordinem equestrem cooptari expetant. Video enim & aliarum rerum magnarum & honestarum, quas impertiunt illis ciues, cupidè nonnullos curationem administrare solere, imperataq́; facere. Peditatus uerò cũ equis coniunctus uidetur multa efficere posse, si ex ijs cõstituatur, qui hostibus maxime sint infensi. Atque hæc omnia dijs approbantibus fieri debebunt. Quòd si quis miratur sæpe à me illud scriptum esse, fauente Deo agendum: is sciat, si in periculis sæpe uersabitur, se minus miraturum: ac si secum reputabit, hostes tempore belli sibi alios alijs insidias ponere, rarò autem ubi lateant & abstrusæ sint, sciri posse. Atqui in istis nemo sic consilio ualet, ut rationem deprehendendi ostendere poßit, præter deos, qui omnia sciunt, & præsignificant tum hostijs, tum augurijs, tum rumorib. tum somnijs. Credibile est aũt deos hac in re magis cõsulturos ijs, qui nõ solum cùm ipsi egẽt, oracula petunt, ut quid sit faciendũ sciant, sed etiam rebus prosperis eos uenerantur & colunt.

ταχέως τε διώκῃ καὶ ταχέως ἀποχωρῇ, βλάπτειν τ᾽ ἂν μάλιστα τοὺς πολεμίους δύναιτο, καὶ ὡς τὸ εἰκὸς ἀσφαλέστατ᾽ ἂν διάγοι. ταχὺ μὲν διώκων, ἐν ᾧ ἂν ἐγγὺς ᾖ τοῦ ἑαυτοῦ ἰσχυροῦ. ταχὺ δὲ ἀποχωρῶν ἀπὸ τῶν τοῖς πολεμίοις ἰσχυρῶν. εἰ δὲ καὶ λαθεῖν δύναιτο ἀπὸ τῆς τάξεως ἑκάστης καταλιπὼν ἢ τέτταρας ἢ πέντε τῶν κρατίστων ἵππων τε καὶ ἀνδρῶν, πολὺ ἂν προέχοιεν εἰς τὸ ἐπαναστρεφομένοις τοῖς πολεμίοις ἐμπίπτειν. ταῦτα δὲ ἀναγιγνώσκειν μὲν καὶ ὀλιγάκις ἀρκεῖ. ποιεῖν δὲ τὸ παρατυγχάνον αὐτῷ ἀεὶ δεῖ, καὶ πρὸς τὸ παριστάμενον σκοποῦντα, τὸ συμφέρον ἐκπονεῖν. γράψαι δὲ πάντα ὁπόσα δεῖ ποιεῖν, οὐδὲν μᾶλλον οἷόν τέ ἐστιν, ἢ τὰ μέλλοντα πάντα εἰδέναι. πάντων δὲ τῶν ὑπομνημάτων ἔμοιγε δοκεῖ κράτιστον εἶναι, τὸ ὅσα ἂν γνῷ ἀγαθὰ εἶναι, ἐπιμεληθῆναι ὡς ἂν πραχθῇ. ὀρθῶς δὲ γιγνωσκόμενα οὐ φέρει καρπὸν, οὔτε ἐν γεωργίᾳ, οὔτ᾽ ἐν ναυκληρίᾳ, οὔτε ἐν ἀρχῇ, ἢν μή τις ἐπιμελῆται, ὡς ἂν ταῦτα περαίνηται. φημὶ δ᾽ ἐγὼ ταῦτα σὺν τοῖς θεοῖς καὶ τὸ πᾶν ἱππικὸν ὧδ᾽ ἂν πολὺ θᾶσσον ἐκπληρωθῆναι εἰς τοὺς χιλίους ἱππέας, καὶ πολὺ ῥᾷον τοῖς πολίταις, εἰ διακοσίους ἱππέας ξένους καταστήσαιντο. δοκοῦσι δὲ ἄν μοι οὗτοι προσγενόμενοι, καὶ εὐπειστότερον ἂν πᾶν τὸ ἱππικὸν ποιῆσαι καὶ φιλοτιμότερον πρὸς ἀλλήλους περὶ ἀνδραγαθίας. οἶδα δ᾽ ἔγωγε καὶ Λακεδαιμονίοις ἱππικὸν ἀρξάμενον εὐδοκιμεῖν, ἐπεὶ ξένους ἱππέας προσέλαβον. καὶ ἐν ταῖς ἄλλαις δὲ πόλεσι πανταχοῦ τὰ ξενικὰ ὁρῶ εὐδοκιμοῦντα. ἡ γὰρ χρεία μεγάλην προθυμίαν συμβάλλεται. εἰς δὲ τιμὴν τῶν ἵππων νομίζω ἂν αὐτοῖς χρήματα ὑπάρξαι, καὶ παρὰ τῶν σφόδρα ἀπεχομένων μὴ ἱππεύειν, ὅτι καὶ οἷς καθίστησι τὸ ἱππικὸν, ἐθέλουσι τελεῖν ἀργύριον ὡς μὴ ἱππεύειν παρὰ πλουσίων γε, ἀδυνάτων δὲ τοῖς σώμασιν, οἴομαι δὲ καὶ παρ᾽ ὀρφανῶν τῶν δυνατοὺς οἴκους ἐχόντων. νομίζω δὲ καὶ μετ᾽ οἴκων φιλοτιμεῖσθαι ἄν τινας εἰς ἱππικὴν καθισταμένους. ὁρῶ γὰρ καὶ τῶν ἄλλων ὁπόσων ἂν καλῶν ὄντων μεταδιδῶσιν αὐτοῖς οἱ πολῖται, φιλοτίμως ἐνίους ἐθέλοντας τὸ προσταχθὲν διαπράττεσθαι. δοκεῖ δ᾽ ἄν μοι καὶ πεζὸν σὺν τοῖς ἵπποις ἐνεργότατον εἶναι, εἰ συσταθείη ἐξ ἀνδρῶν τῶν ἐναντιωτάτων τοῖς πολεμίοις. ταῦτα δὲ πάντα θεῶν συνεθελόντων γένοιτ᾽ ἄν. εἰ δέ τις τοῦτο θαυμάζει ὅτι πολλάκις γέγραπται τὸ σὺν θεῷ πράττειν, εὖ ἴστω ὅτι ἢν πολλάκις κινδυνεύῃ, ἧττον τοῦτο θαυμάσεται. καὶ ἤν γε κατανοῇ, ὅτι ὅταν πόλεμος ᾖ, ἐπιβουλεύουσι μὲν ἀλλήλοις οἱ ἐναντίοι, ὀλιγάκις δὲ ἴσασι, πῶς ἔχει τὰ ἐπιβουλευόμενα. τὰ οὖν τοιαῦτα οὐδ᾽ ὅτῳ συμβουλεύσαι τις οἷόν τε εὑρεῖν, πλὴν θεῶν. οὗτοι δὲ πάντα ἴσασι. καὶ προσημαίνουσιν ᾧ ἂν ἐθέλωσι, καὶ ἐν ἱεροῖς καὶ ἐν οἰωνοῖς, καὶ ἐν φήμαις, καὶ ἐν ὀνείρασιν. εἰκὸς δὲ μᾶλλον ἐθέλειν αὐτοὺς συμβουλεύειν τούτοις, οἳ ἂν μὴ μόνον ὅταν δέωνται ἐπερωτῶσι τί χρὴ ποιεῖν, ἀλλὰ καὶ ἐν ταῖς εὐτυχίαις θεραπεύωσιν, ὅτι ἂν δύνωνται τοὺς θεούς.

ILLVSTRISSIMO PRINCIPI AC DOMINO, D. IOANNI VVOCESTRE, COMITI VIGORNIENSI, OMNIBONVS LEOnicenus S. P. D.

NVPER legebam, princeps illustris, Xenophontis de Venatione libellum, in quo magnus ille tum rhetor, tum philosophus, probare contendit uenandi studium plus ad uirtutem habere momenti, quam cuiuis credibile uideatur. Quam ad rem multis rationibus utitur, sed illa nimirum potissima, quod apud Chironem huius instituti magistrum, heroës ferme omnes cum alias artes ingenijs maioribus dignas, tum uero præ cæteris uenationem meditati, facile omnibus quos ætas illa melior tulit non laude solum, sed admiratione etiam præstiterunt, cum fortissimi ijdem fuerint ac religiosissimi uiri. Id ex eo cognosci potest, quod sibi patriæq; suæ præsidio & ornamento fuerunt, quod dijs charissimi omnes, deorum etiam honores pieteq; meruerunt. Itaq; magna me libelli cupido cepit latinæ linguæ tradendi. Hæc enim eludant cæteri licet, quæ de talibus uiris memoriæ produntur, & ea dicant fabulis similiora esse quam ueris. Ego cum te, uitæq; institutionem considero, dubitare non possum id optima ratione factum, ut hanc uenandi meditationem, quæ te in primis delectat, magni uiri nihil ab honestioribus studijs alienam esse putauerint. Nihil enim tibi deest ad laudis & gloriæ cumulum, quem non ut cæteros uirtutibus præditos uidemus singulis fere singulos, fide Fabricium, pietate Regulum, continentia Catonem, iustitia Camillum, magnificentia Lucullum, humanitate Marcellum: sed omnibus pariter bonis ornatum uidemus, quæ hominibus uel natura tribuere potest, uel industria comparare. Quocirca libellum hunc latinum factum tuo, & ipsum nomini, Princeps illustris, deuouere constitui: opus, ut arbitror, aggressus, nec tibi iniucundum. Cuius enim rei exercitatione lætaris, eiusdem profecto lectione gaudebis. Nec cæteris inutile. Nam quæ Xenophon docet, tu cum ea facias, hinc autoritate ducti iuuenes, hinc exemplo, hinc denique uerum laborem uanis uoluptatibus anteponere incipient. Vale.

ΞΕΝΟΦΩΝΤΟΣ ῬΗΤΟΡΟΣ ΚΥΝΗΓΕΤΙΚΟΣ.

ΤΟ ΜΕΝ εὕρημα θεῶν, ἀπόλλωνος καὶ ἀρτέμιδος, ἄγραι καὶ κύνες. ἔδοσαν δὲ καὶ ἐτίμησαν τούτῳ χείρωνα διὰ δικαιότητα. ὁ δὲ λαβὼν ἐχάρη τῷ δώρῳ, καὶ ἐχρῆτο. καὶ ἐγένοντο αὐτῷ μαθηταὶ κυνηγεσίων τε καὶ ἑτέρων καλῶν, κέφαλος, ἀσκληπιὸς, μελανίων, νέστωρ, ἀμφιάραος, πηλεὺς, τελαμὼν, μελέαγρος, θησεὺς, ἱππόλυτος, παλαμήδης, ὀδυσσεὺς, μενεσθεὺς, διομήδης, κάστωρ, πολυδεύκης, μαχάων, ποδαλείριος, ἀντίλοχος, αἰνέας, ἀχιλλεὺς, ὧν κατὰ χρόνον ἕκαστος ὑπὸ θεῶν ἐτιμήθη. θαυμαζέτω δὲ μηδεὶς, ὅτι οἱ πολλοὶ αὐτῶν ἀρέσκοντες θεοῖς, ὅμως ἐτελεύτησαν. τοῦτο μὲν γὰρ ἡ φύσις. ἀλλ' οἱ ἔπαινοι αὐτῶν μεγάλοι ἐγένοντο. μηδὲ ὅτι οὐ καὶ αἱ αὐταὶ ἡλικίαι. ὁ γὰρ χείρωνος βίος πᾶσιν ἐξήρκει. ζεὺς γὰρ καὶ χείρων ἀδελφοὶ, πατρὸς μὲν τοῦ αὐτοῦ, μητρὸς δὲ, ὁ μὲν ῥέας, ὁ δὲ ναΐδος νύμφης. ὥστε ἐγεγόνει μὲν πρότερος τούτων, ἐτελεύτησε δὲ ὕστερον, ἢ ὡς ἀχιλλέα ἐπαίδευσεν. ἐκ δὲ τῆς ἐπιμελείας τῆς ἐκ τῶν κυνῶν, καὶ κυνηγεσιῶν, καὶ τῆς ἄλλης παιδείας πολὺ διενέγκοντες, κατὰ τὴν ἀρετὴν ἐθαυμάσθησαν. κέφαλος μὲν καὶ ὑπὸ θεᾶς ἡρπάσθη. ἀσκληπιὸς δὲ μειζόνων ἔτυχεν. ἀνιστάναι μὲν τεθνεῶτας, νοσοῦντας δὲ ἰᾶσθαι. διὰ δὲ ταῦτα θεὸς ὢν, παρ' ἀνθρώποις ἀεὶ μνηστὸν κλέος ἔχει. μελανίων δὲ τοσοῦτον ὑπερέσχε φιλοπονίας, ὥστε ὧν αὐτῷ ἀντερασταὶ ἐγένοντο, οἱ τότε ἄριστοι τῶν τότε μεγίστων γάμων, μόνος ἔτυχεν ἀταλάντης. νέστορος δὲ προδιελήλυθεν ἡ ἀρετὴ τῶν ἑλλήνων τὰς ἀκοὰς, ὥστε εἰδόσιν ἂν λέγοιμι. ἀμφιάραος δὲ ὅτε ἐπὶ θήβας ἐστρατεύσατο, πλεῖστον κτησάμενος ἔπαινον, ἔτυχε παρὰ θεῶν ἀεὶ ζῶν τιμᾶσθαι. πηλεὺς δὲ ἐπιθυμίαν παρέσχε καὶ θεοῖς δοῦναί τε θέτιν αὐτῷ, καὶ τὸν γάμον παρὰ χείρωνι ὑμνῆσαι. τελαμὼν δὲ τοσοῦτος ἐγένετο, ὥστε ἐκ μὲν πόλεως τῆς μεγίστης, ἣν αὐτὸς ἐβούλετο γῆμαι περίβοιαν τὴν ἀλκάθου. ὅτε δὲ ὁ πρῶτος τῶν ἑλλήνων ἐδίδου τὰ ἀριστεῖα ἡρακλῆς ὁ διὸς ἑλὼν τροίαν,

XENOPHONTIS DE VENATIONE LIBELLVS OMNIBONO Leoniceno interprete.

VENATIO & canes, deorum inuentio fuit Apollinis atque Dianæ. Hæc uero propter iustitiam donarunt, ornaruntq; Chironem: quo ille accepto dono lætus utebatur. Hinc & uenationis & bonarum aliusmodi artium discipuli fuere Cephalus, Aesculapius, Melanion, Nestor, Theseus, Hippolytus, Palamedes, Vlysses, Menestheus, Diomedes, Castor, Pollux, Machaon, Podalirius, Antilochus, Aeneas, Achilles, qui per id tempus dijs chari fuere. Nemo autem miretur quod plerique eorum, tametsi dijs placerent, tamen mortui sunt: hoc enim naturæ est: sed laudes ipsorum ætate magnæ fuerunt: omnibus enim Chironis uita sufficit. Iupiter enim, Chironq; fratres ex eodem patre, sed ille Rhea, hic Naiade nympha matre: itaque natus est ante illos, mortuus uero postquam erudijt Achillem: sed canum uenationisq;, & aliarum artium studio, cum multum uirtute præstarent, admirabiles fuerunt. Et Cephalus quidem à dea raptus est. Aesculapius maiora consecutus, ut mortuos suscitaret, ægrotos sanaret: quapropter deus cum sit, perpetuam gloriam obtinet. Melanion tantum studio laboris excelluit, ut ex riualibus suis qui ad maxima connubia digniores erant, Atalantæ nuptias solus consequutus fuerit, quarum spectatissimos ætatis illius uiros æmulos habuit. Nestoris uirtus Græcorum aures ita occupauit, ut non apud ignaros loquar. Amphiaraus cum aduersus Thebas militasset, plurimam laudem adeptus, deorum honores immortalis obtinuit. Peleus effecit ut sibi Thetim dij desponsare cuperent, & nuptias apud Chironem celebrarent. Telamon tantus euasit, ut ex urbe maxima sibi quam uolebat Alcathoi filiam Periboeam uxorem duxerit: & cum Græcorum princeps capta Troia

Troia Iouis Herculis militaria dona tribueret, Hesionem ipsi habendam tradiderit. Meleager quos honores cepit, planum est: patris autem qui oblitus est, in senectute deam infortunium habuit. Theseus Graeciae totius hostes solus perdidit, auctaque patria nunc etiam admirandus perhibetur. Hippolytus Dianae charus, modestia & pietate inter beatos habitus oppetijt. Palamedes, dum uixit, omnes aetatis suae uiros plurimum sapientia praestitit: post iniustam uero mortem uindicatus à dijs quantum alius nemo. Occisus est autem non unde arbitrantur nonnulli: neque enim fuisset hic prope optimus ille bono similis, sed improbi facinus perpetrarunt. Menestheus prae industria uenandi tantum laborando praeualuit, ut huic bellicis rebus Graecorum primi cedere fateantur, excepto Nestore, qui nec ipse quidem superior, sed par esse censetur. Vlysses & Diomedes per singula clari, ad summam causa fuerunt ut Troia caperetur. Castor & Pollux his quae à Chirone didicerant, tantum in Graecis claruerunt, ut propter eorum opinionem immortales fuerint. Machaon & Podalirius his itidem omnibus eruditi, & arte, & oratione, & bello praestantes euasere. Antiochus pro patre moriens tantum gloriae consequutus est, ut apud Graecos solus praedicetur patris amator. Aeneas dijs penatibus seruatis, seruato & ipso patre, gloriam pietatis emeruit: huic & hostes uni ex omnibus quos ad Troiam ceperant, uim belli abstinuere. Achilles in hac disciplina educatus, documenta de se adeo pulchra & magna dedit, ut de illo nec dicendo quisquam, nec audiendo satietur. Hi tales Chironis diligentia fuerunt, quam nunc etiam & boni admirantur, & mali detrectant. Itaque in Graecis si cui uel ciuitati, uel regi calamitates uenere, liberatores ipsi fuerunt. Si uero uniuersae Graeciae cum barbaris certamen uel bellum fuit, per eos Graeci uictoriam obtinuerunt. Eo factum est ut Graeciam ipsi inuictam reddiderint.

Quocirca iuuenes admoneo, ut uenationis disciplinam, si quam aliam, minimè contemnant. hinc etenim bello strenui, caeterisque rebus euadunt, ut bene & dicere & facere cogantur.

De persona uenatoris.

Cum igitur è pueris excesserint, primum uenandi studium obire oportet. Deinde aliarum artium (si quis uisus fuerit habere facultatem) quae quidem alijs idonea est, ut inde non parum iuuentur, alijs uero secus: ac propterea omnem diligentiam adhibebit, ut nihil quantum in se erit, omittat. At uero quot quibusq; rebus instructus ad hoc se conferre debeat, expediam, & res ipsas, & rerum cuiusq; scientiam: ut cum eas perceperit, opus aggrediatur. Nec sit qui haec contemnenda putet: nam sine his agi nihil posset. Oportet rei uenatoriae studiosum lingua Graecum esse, aetate annorum circiter uiginti, statura sane agilem & ualidum, animo uero patientem, ut laboris uictor re ipsa laetetur. Sagenae uero tenuissimo lino Phasiano uel Carthaginensi, necnon casses, &

Τροίαν, ἡσιόνην αὐτῷ ἔδωκεν. μελέαγρος δὲ τὰς μὲν τιμὰς ἃς ἔλαβεν φανεραί. πατρὸς δ' ἐν γήρᾳ ἐπιλαθομένου τῆς θεοῦ, οὐχ αὐτοῦ αἰτίαις ἐδυστύχησε. θησεὺς δὲ τοὺς μὲν τῆς ἑλλάδος ἐχθροὺς πάσης μόνος ἀπώλεσε. τὴν δ' αὐτοῦ πατρίδα πολλῷ μείζω ποιήσας, ἔτι καὶ νῦν θαυμάζεται. ἱππόλυτος δὲ ὑπὸ μὲν τῆς ἀρτέμιδος ἐτιμᾶτο τε ἐν λόγοις ἦν, σωφροσύνῃ δὲ καὶ ὁσιότητι μακαρισθεὶς ἐτελεύτησε. παλαμήδης δὲ ἕως μὲν ἦν πολὺ τῶν ἐφ' ἑαυτοῦ ὑπερεῖχε σοφίᾳ. ἀποθανὼν δὲ ἀδίκως, τοσαύτης ἔτυχε τιμωρείας ὑπὸ θεῶν, ὅσης οὐδεὶς ἄλλος ἀνθρώπων. ἐτελεύτησε δὲ οὐχ ὑφ' ὧν οἴονταί τινες. οὐ γὰρ ἂν ἦν, ὁ μὲν σχεδὸν ὁ ἄριστος. ὁ δὲ ὅμοιος ἀγαθοῖς, κακοὶ δ' ἐπράξαντο τὸ ἔργον. μενεσθεὺς δὲ ἐκ τῆς ἐπιμελείας τῆς ἐκ τῶν κυνηγεσίων τοσοῦτον ὑπερέβαλε φιλοπονίᾳ, ὥστε ὁμολογεῖν, τοὺς τῶν ἑλλήνων πρώτους, ὑστέρους εἶναι, τὰ εἰς τὸν πόλεμον ἐκείνου, πλὴν νέστορος, καὶ οὗτος οὐ προέχειν λέγεται, ἀλλὰ ἐρίζειν. ὀδυσσεὺς δὲ καὶ διομήδης, λαμπροὶ μὲν καὶ καθ' ἓν ἕκαστον, τὸ δὲ ὅλον αἴτιοι τροίαν ἁλῶναι. κάστωρ δὲ καὶ πολυδεύκης, ὅσα ἐπεδείξαντο ἐν τῇ ἑλλάδι τῶν παρὰ χείρωνος διὰ τὸ ἀξίωμα, τὸ ἐκ τούτων ἀθάνατοί εἰσι. μαχάων δὲ καὶ ποδαλείριος παιδευθέντες τὰ αὐτὰ πάντα, ἐγένοντο καὶ τέχνας καὶ λόγους καὶ πολέμους ἀγαθοί. ἀντίλοχος δὲ τοῦ πατρὸς ὑπεραποθανὼν τοσαύτης ἔτυχεν εὐκλείας, ὥστε μόνος φιλοπάτωρ παρὰ τοῖς ἕλλησιν ἀναγορευθῆναι. αἰνέας δὲ σώσας μὲν τοὺς πατρῴους καὶ μητρῴους θεούς, σώσας δὲ καὶ αὐτὸν τὸν πατέρα, δόξαν εὐσεβείας ἐξηνέγκατο, ὥστε καὶ οἱ πολέμιοι μόνῳ ἐκείνῳ ὧν ἐκράτησαν ἐν τροίᾳ, ἔδοσαν μὴ συληθῆναι. ἀχιλλεὺς δ' ἐν ταύτῃ τῇ παιδείᾳ τραφείς, οὕτω καλὰ καὶ μεγάλα μνημεῖα παρέδωκεν, ὥστε οὔτε λέγων, οὔτε ἀκούων περὶ ἐκείνου οὐδεὶς ἀπαγορεύει. οὗτοι τοιοῦτοι ἐγένοντο ἐκ τῆς ἐπιμελείας τῆς παρὰ χείρωνος, ἧς οἱ μὲν ἀγαθοί, ἔτι καὶ νῦν ἐρῶσιν, οἱ δὲ κακοὶ φθονοῦσιν. ὥστε ἐν μὲν τῇ ἑλλάδι, εἴτῳ συμφοραὶ ἐγίγνοντο, ἢ πόλει, ἢ βασιλεῖ, ἐλύοντο αὐτοὺς. εἰ δὲ πρὸς τοὺς βαρβάρους πάντας, πάσῃ τῇ ἑλλάδι νεῖκος, ἢ πόλεμος, διὰ τούτους οἱ ἕλληνες ἐκράτουν, ὥστε ἀνίκητον τὴν ἑλλάδα παρέχειν.

ἐγὼ μὲν οὖν παραινῶ τοῖς νέοις, μὴ καταφρονεῖν κυνηγεσίων, μηδὲ τῆς ἄλλης παιδείας. ἐκ τούτων γὰρ γίγνονται τὰ εἰς τὸν πόλεμον ἀγαθοί, εἴς τε τὰ ἄλλα ἐξ ὧν ἀνάγκη καλῶς νοεῖν καὶ λέγειν καὶ πράττειν. πρῶτον μὲν οὖν χρὴ ἐλθεῖν ἐπὶ τὸ ἐπιτήδευμα τὸ τῶν κυνηγεσίων, τὸν ἤδη ἐκ παιδὸς ἀλλάττοντα τὴν ἡλικίαν. εἶτα δὲ καὶ ἐπὶ τὰ ἄλλα παιδεύματα, τὸν μὲν ἔχοντα σκεψάμενον τὴν οὐσίαν, ᾧ μὲν ἔστιν ἱκανὴ ἀξίως τῆς αὐτοῦ ὠφελείας, ᾧ δὲ μὴ ἔστιν, ἀλλ' οὖν τήν γε προθυμίαν παρεχέσθω, μηδὲν ἐλλείπων τῆς ἑαυτοῦ δυνάμεως. ὅσα δὲ καὶ οἷα δεῖ παρεσκευασμένον ἐλθεῖν ἐπ' αὐτὸ φράσω, καὶ αὐτὰ καὶ τὴν ἐπιστήμην ἑκάστου, ἵνα προειδὼς ἐγχειρῇ τῷ ἔργῳ, καὶ μηδεὶς αὐτὰ φαῦλα νομισάτω εἶναι. ἄνευ γὰρ δὴ τούτων, οὐκ ἂν εἴη πρᾶξις. χρὴ δὲ τὸν μὲν ἀρκύωρον ἐπιθυμοῦντα τοῦ ἔργου εἶναι, τὴν φωνὴν ἕλληνα. τὴν δὲ ἡλικίαν περὶ ἔτη εἴκοσι. τὸ δὲ εἶδος ἐλαφρόν, ἰσχυρόν. ψυχὴν δὲ ἱκανὸν ἵνα τῶν πόνων τούτοις κρατῶν, χαίρῃ τῷ ἔργῳ. τὰς δὲ ἄρκυς, φασιανοῦ ἢ καρχηδονίου, λεπτοῦ λίνου, καὶ τὰ ἐνόδια

δὲ τὰ δίκτυα. ἔστωσαν δὲ αἱ μὲν ἄρκυες ἐννεάλινοι. τὸ δὲ μέγεθος πεντασπίθαμοι, διπάλαιστοι δὲ τοὺς βρόχους. ὑφείσθωσαν δὲ τοὺς περιδρόμους ἀνάμματος, ἵνα εὔτροχοι ὦσι. τὰ δὲ ἐνόδια δωδεκάλινα, τὸ δὲ μέγεθος τὰ μὲν ἐνόδια διώρυγα, τετρώρυγα, πεντώρυγα. τὰ δὲ δίκτυα δεκώρυγα, εἰκοσώρυγα, τριακοντώρυγα. ἐὰν δὲ ᾖ μείζω δυσμεταχείριστα ἔσται. ἀμφότερα δὲ τριακονθάμματα, καὶ τῶν βρόχων τὸ διάστημα ἴσον ταῖς ἄρκυσιν. ἐν δὲ τοῖς ἀκρολινίοις τὰ μὲν ἐνόδια ἐχέτω μαστούς, τὰ δὲ δίκτυα, δακτυλίους. τοὺς δὲ περιδρόμους ἐκ στροφείων. αἱ δὲ χαλίδες μὲν τῶν ἀρκύων, τὸ μῆκος δεκαπάλαστοι. ἔστωσαν δὲ καὶ ἐλάττους. αἱ μὲν ἄνισοι αὐτῶν, ἐν τοῖς ἐπικλινέσι τῶν χωρίων, ἵνα τὰ ὕψη ἐξαιρῶσιν. ἐν δὲ ὁμαλέσιν αἱ ἴσαι. αὗται δ' εὐπερίσπαστοι τὰ ἄκρα καὶ αὐταὶ λεῖαι. τῶν δὲ ἀρκύων διπλάσιαι. αἱ δὲ τῶν δικτύων, τὸ μὲν μέγεθος πεντασπίθαμον, δικρᾶ ἔχουσαι μικρά, τὰ ἐντμήματα μὴ βαθέα, εὐπαγεῖς δὲ πᾶσαι, καὶ μὴ ἀσύμμετροι τὰ πάχη πρὸς τὰ μήκη. τῷ δὲ πλήθει τῶν σχαλίδων οἷόν τε ἐστι χρῆσθαι πρὸς τὰ δίκτυα πολλῶν καὶ ὀλίγων. ἐλάττονα μὲν, ἂν σφόδρα τείνηται ἐν τῇ στάσει, πλείοσι δ' ἂν ἡσυχῇ. ἔστω δὲ καὶ ἐν ὅτῳ ἔσονται αἱ ἄρκυς καὶ τὰ δίκτυα ἐν ἑκατέροις, κυνοῦχος μόσχειος, καὶ τὰ δρέπανα, ἵνα ᾖ τῆς ὕλης τέμνοντα φράττειν τὰ δεόμενα. τὰ δὲ γένη τῶν κυνῶν ἐστὶ διττά. αἱ μὲν καστόριαι, αἱ δὲ ἀλωπεκίδες. ἔχουσι δ' αἱ μὲν καστόριαι ταύτην ἐπωνυμίαν ταύτην, ὅτι Κάστωρ ἡσθεὶς τῷ ἔργῳ, μάλιστα αὐτὰς διεφύλαξεν. αἱ δ' ἀλωπεκίδες, διότι ἐκ κυνῶν τε καὶ ἀλωπέκων ἐγένοντο. ἐν πολλῷ δὲ χρόνῳ συγκέκραται αὐτῶν ἡ φύσις. χείρους δὲ καὶ πλείους αἱ τοιαίδε, μικραί, γρυπαί, χαροποί, μυωποί, αἰσχραί, σκληραί, ἀσθενεῖς, ψιλαί, ὑψηλαί, ἀσύμμετροι, ἄψυχοι, ἄρινες, οὐκ εὔποδες. αἱ μὲν οὖν μικραὶ πολλάκις ἐκ τῶν κυνηγεσίων ἀποστεροῦνται τῆς ἐργασίας, διὰ τὸ μικρόν. αἱ δὲ γρυπαί, ἄστομοι, καὶ διὰ τοῦτο οὐ κατέχουσι τὸν λαγῶ. μυωποὶ δὲ καὶ χαροποί, χείρω τὰ ὄμματα ἔχουσιν. ἄμορφοι δὲ καὶ αἰσχραὶ ὁρᾶσθαι. αἱ δὲ σκληραὶ τὰ εἴδη χαλεπῶς ἀπὸ τῶν κυνηγεσίων ἀπαλλάττουσι. πονεῖν δὲ ἀδύνατοι αἱ ἀσθενεῖς καὶ αἱ ψιλαί. αἱ δ' ὑψηλαὶ καὶ ἀσύμμετροι ἀσύντακτα ἔχουσαι τὰ σώματα βαρέως διαφοιτῶσιν. αἱ δὲ ἄψυχοι λείπουσι τὰ ἔργα, καὶ ἀφίστανται τὸν ἥλιον ὑπὸ τὰς σκιάς, καὶ κατακλίνονται. αἱ δὲ ἄρινες, μόλις καὶ ὀλιγάκις αἰσθάνονται τοῦ λαγῶ. αἱ δὲ ἄποδες οὐδ' ἐὰν ὦσιν εὔψυχοι, τοὺς πόνους οὐ δύνανται ὑπέχεσθαι, ἀλλ' ἀπαγορεύουσι διὰ τὸ ἄλγος τῶν ποδῶν. εἰσὶ δὲ καὶ τῆς ἰχνεύσεως πολλοὶ τρόποι ἐκ τῶν κυνῶν. αἱ μὲν γὰρ ἐπειδὰν λάβωσι τὰ ἴχνη, πορεύονται ἀσήμως, ὥστε μὴ γιγνώσκεσθαι ὅτι ἰχνεύουσιν. αἱ δὲ τὰ ὦτα μόνον διακινοῦσι, τὴν δὲ οὐρὰν ἡσυχῇ ἔχουσιν. αἱ δὲ τὰ ὦτα μὲν ἀκίνητα ἔχουσιν, ἄκρᾳ δὲ τῇ οὐρᾷ σείουσιν. ἄλλαι δὲ συνάγουσι τὰ ὦτα, καὶ ἐπισκυθρωπάσασαι διὰ τοῦ ἴχνους, χαλάσασαι τὴν οὐράν, καὶ περιφράξασαι διατρέχουσι. πολλαὶ δὲ τούτων μὲν οὐδὲν ποιοῦσι, μανικῶς δὲ περιφερόμεναι, ὑλακτοῦσι περὶ τὰ ἴχνη, ὅταν ἐμπίπτωσιν εἰς αὐτά, ἀφρόνως καταπατοῦσαι τὰς αἰσθήσεις. εἰσὶ δ' αἳ κύκλους πολλοὺς ποιούμεναι καὶ πλάνους, ὑπολαμβάνουσαι ἐκ τοῦ πρόσθεν τὰ ἴχνη, παραλείπουσι τὸν λαγῶ. ὁσάκις

ses, & retia: et sagenæ quidem filis nouem, magnitudo quinq; spithamarum: laquei ulnis undecim: plagas uero subyciant enodes, ut labi facile possint. Casses uero filis duodecim: magnitudo uallos capiat binos, ternos, quaternos, quinos. Retia uero denos, uigenos, trigenos: nam si maiora fuerint, fient intractabilia: utraq; uero sint macularum triginta. Laqueorum spaciũ sit sagenis æquale. In fastigio casses trochiscos habeant, retia annulos, plagas autem à sperulis. Et sagenarum quidem bastilia longa sint denas ulnas, & eo breuiores. Et ex his alia in decliuib. locis inæqualis æqualiter surgant, alia in planis. Aequalia uero supremum circumflexibilia sint, ipsaq; leuia. Cassium uero bis tantum. Retium quinos spithamas pedes modice bifurcata, nec profunde incisa: ualida omnia, ut nihil à longitudine crassitudo dissentiat. Numero bastilium ad retia maiore uti minoréue licet. Sed statuendo pauciora, laboriosius tenduntur, plura ociosius. Vbicunque uero sagena & retia fuerint, utrobeque sit copula canum: turma sint & falces, ut saltus (sicubi oportet) cæsa sylua claudatur. Iam uero canum duo sunt genera: hæ castoriæ sunt, illæ uerò uulpinæ. Et castoriæ quidem cognomen habent, quod eas Castor re ipsa delectatus, præcipue obseruauit. Vulpinæ, quod ex canibus natæ sint et uulpibus, quarum natura spacio temporis confusa est. Et hæ plures deterioresq; sunt, ut pusillæ & grypæ, ut hilares, ac murinis oculis deformes, strigosæ, infirmæ, tenues, proceræ, inhabiles, pusillanimes, non sagaces, mollipedes. Pusillæ igitur sæpe inter uenandum propter breuitatem operam perdunt. Grypæ sine rostro sunt, & propterea leporem tenere non possunt. Hilares ac murinis oculis hebetiori sunt acie. Deformes uero sunt ipso uisu turpes. Strigosæ à saltu non facile absistunt, sed laboris impatientes sunt. Infirmæ ac tenues & proceræ, itémque inhabiles, magis oculis grauiter incedunt. Pusillanimes opera destruunt, & se sub umbras à sole recipiunt ac recubant. Quæ uero sagaces non sunt, ægrè raróque sentiunt leporem. Mollipedes nec si magnanimæ fuerint, labores pati possunt, sed præ pedum dolore deficiunt. Horum autem ipsorum canum diuersæ sunt etiam indagines. Hæ nanque ubi uestigia deprehenderint, nihil significantes ambulant, ut cognoscere non posses an inuestigent: illæ auribus tantummodo micant, caudæ immotæ manent. Aliæ auribus immotis, summum caudæ uibrant: nonnullæ demittunt aures, & contracta fronte per uestigium continentes prementésque caudam discurrunt. Multæ nihil horum faciunt, sed insanientes obambulant, & uestigia circumlatrantes, cum in ea inciderint, temere signa prætereunt. Sunt quæ ambagibus multis ac erroribus utentes, cum de proximo uestigia concipiant, leporem derelinquunt:

De uario genere canũ.

& quoties uestigiis incurrunt, coniecturam faciunt: sed ubi leporem uident, trepidant: nec inuadunt prius quam illum moueri conspexerint. Quę uero indagando & transcurrendo aliorum canum inuenta prępoccupant, hę iugiter intentę, sibipsę non credunt, & audaces sunt: quę peritas laboris consocias progredi non sinunt, sed perturbantes impediunt. Alię falsa amplectuntur, & quicquid nactę fuerint plaudentes procedunt, suę sibi fraudis conscię. Quędam hoc idem faciunt inscię. Sunt & ignauę, quę nusquam á tramite declinant, uestigia recta ignorantes. At quęcunq; canes uestigia, si cubilium fuerint, ignorant, si pedum, celeriter discurrunt, non sunt illę quidem ingenuę: sed pars ab initio uehementes, prę languore deinde molestiam afferunt: pars non subeunt, & cõtinuo declinant. Quędam in uias stulte incidũt, & ut plurimum contumaces aberrant. Multę ferarum odio, pleręq; hominum desiderio, agitatione omissa, recurrunt. Nonnullę á uestigijs clangentes fallere tentant, pro ueris falsa simulãtes. Sunt quę hoc non faciunt, sed intercurrunt: & sicunde clangorem audierint, ad hunc relicto opere feruntur: hę nanq; transcurrunt incertum. Quam ob rem illę quod ualde suspicãtur, alię quod opinantur, quędam quod simulant, sed inuidia laborant: nonnullę cum semper uná temeré ferantur, per uestigium se interosculantur: his igitur uitijs quorum plurima naturaliter habent, quędam etiam quod inscite ducentur, inutiles euadunt, & hę quod canes studiosos etiam uenationis deterrere possunt. Quales autem eiusdem generis esse oporteat, et formas, et alia eiusmodi, dicam. Primum igitur magnas esse oportet, leuia deinde capita, simas, articulosas, sub fronte uenosas, elatos oculos, nigros, pręfulgidos, magnas frõtes ac latas: caua discrimina, breues aures ac tenues, posteriora gracilia. Ceruices longas, molles, ac teretes: pectora lata, & ab humeris nõ macilenta: humerorũ interualla parũ distantia. Anteriora crura breuia, recta, teretia, solida: articulos rectos: latera non ualde caua, sed coëuntia in obliquum: spinam carnosam magnitudine mediocrem. Ilia nec mollia ualde, nec dura, inter magna & parua. Clunes obesas, posterius carnosas, superius uero aptas, interius contractas. Inferiora uentris cum ipso uentre inania. Caudas lõgas, rectas, acutas, posteriora crura prioribus multo longiora, sed tamen idonea: pedes rotundos. Et canes si eiusmodi fuerint, fortes erunt, specie agiles, habiles, celeres, alacres, rostroq; ualidę.

De uestigatione.

Sed ita uestigent, ut tramitibus celeriter excedant, capita terrę admouentes: ad uestigia subrideant, auresq; demittant, faciles oculos per singula uoluant, & caudis blandientes multis in latere orbibus, per uestigia simul omnes progrediantur. Sed ubi ad leporem ipsum aderint, tum uero uenatori planum faciant tendendo celerius,

δοκεῖν δ' ἀληθῆ ἔχουσι, τὰ ἴχνη ἐπάζουσι. προορώμεναι δὲ τὸν λαγῶ, τρέμουσι, καὶ οὐκ ἐπέρχονται, πρὶν ἴδωσιν ὑποκινοῦντα. ὅσαι δὲ τὰ τῶν ἄλλων κυνῶν εὑρήματα ἐν ταῖς ἰχνεύσεσι καὶ μεταδρομαῖς προθέουσαι, θαμινὰ σκοποῦσαι ἑαυταῖς ἀπίστως ἔχουσι. θρασεῖαι δ' αἳ οὐκ ἐῶσι τῶν συνεργῶν τὰς σοφὰς εἰς τὸ πρόσθεν προϊέναι, ἀλλ' ἀνείργουσι θορυβοῦσαι. αἱ δὲ ἀσπαζόμεναι τὰ ψευδῆ, καὶ ὑπερλαμπρυνόμεναι ἐφ' ὅτῳ ἂν τύχωσι, προάγουσι συνειδυῖαι ἑαυταῖς, ὅτι ἐξαπατῶσιν. αἱ δ' οὐκ εἰδυῖαι τὸ αὐτὸ ποιοῦσι ταύταις. φαῦλαι δὲ, αἱ οὐκ ἀπαλλαττόμεναι ἐκ τῶν κειμένων, τὰ ὀρθὰ οὐ γινώσκουσαι. ὅσαι δὲ τῶν κυνῶν τὰ ἴχνη, τὰ μὲν εὐναῖα ἀγνοοῦσι, τὰ δὲ δρομαῖα ταχὺ διατρέχουσιν, οὐκ εἰσὶ γνήσιαι. διώκουσι δὲ αἱ μὲν ἀρχόμεναι σφόδρα. διὰ δὲ μαλακίαν ἀνιᾶσιν. αἱ δὲ ὑποθέουσιν, εἶτα ἁμαρτάνουσιν. ἕτεραι δὲ ἀνοήτως ἐμπίπτουσαι εἰς τὰς ὁδοὺς ἁμαρτάνουσι, τὸ ἀνήκουστον πολὺ ἔχουσαι. πολλαὶ δὲ τὰ διώγματα ἀφιεῖσαι ἐπανέρχονται διὰ τὸ μισόθηρον. πολλαὶ δὲ τὸ φιλάνθρωπον. αἱ δ' ἐκ τῶν ἰχνῶν κεκραγυῖαι, ἐξαπατᾶν τῶν περῶντες, ἀληθῆ τὰ ψευδῆ ποιούμεναι. εἰσὶ δ' αἳ τοῦτο μὲν οὐ ποιοῦσι, μεταξὺ δὲ θέουσι, ἄν ποθεν ἀκούσωσι κραυγῆς, καταλείπουσαι τὰ αὑτῶν ἔργα, ἀπρονοήτως ἐπὶ τοῦτο φέρονται. μεταθέουσι γὰρ αἱ μὲν ἀσαφῶς, αἱ δὲ πολὺ ὑπολαμβάνουσαι. δοξάζουσι δὲ ἕτεραι. αἱ δὲ πεπλασμένως. φθονερῶς δ' ἄλλαι ἐκκυνοῦσι παρὰ τὸ ἴχνος διὰ τέλους συμπαραφερόμεναι. τὰ μὲν οὖν πλεῖστα τούτων φύσει ἔχουσι. τὰ δ' ἠγμέναι ἀνεπιστημόνως, δύσχρηστοί εἰσιν. αἱ τοιαῦται μὲν οὖν κύνες ἀποτρέψειαν ἂν τοὺς ἐπιθυμοῦντας κυνηγεσίων. οἵας δὲ δεῖ εἶναι τοῦ αὐτοῦ γένους, τά τε εἴδη, καὶ τὰ ἄλλα φράσω. πρῶτον μὲν οὖν χρὴ εἶναι μεγάλας, εἶτα ἐχούσας τὰς κεφαλὰς ἐλαφράς, σιμάς, ἀρθρώδεις, ἰνώδη τὰ κάτωθεν τῶν μετώπων, ὄμματα μετέωρα, μέλανα, λαμπρά, μέτωπα μεγάλα καὶ πλατέα, τὰς διακρίσεις βαθείας, ὦτα μικρά, λεπτά, ψιλὰ ὄπισθεν, τραχήλους μακρούς, ὑγρούς, περιφερεῖς, στήθη πλατέα, μὴ ἄσαρκα, ἀπὸ τῶν ὤμων τὰς ὠμοπλάτας διεστώσας μικρόν, σκέλη τὰ πρόσθια μικρά, ὀρθά, στρογγύλα, στιβαρά, τοὺς ἀγκῶνας ὀρθούς, πλευρὰς μὴ ἐπὶ γῆν βαθείας, ἀλλ' εἰς τὸ πλάγιον παρηκούσας, ὀσφῦς σαρκώδεις, τὰ μεγέθη μεταξὺ μακρῶν καὶ βραχέων, μήτε ὑγρὰς λίαν, μήτε σκληράς, λαγόνας μεταξὺ μεγάλων καὶ μικρῶν, ἰσχία στρογγύλα, ὄπισθεν σαρκώδη, ἄνωθεν δὲ μὴ συνδεδεμένα, ἔνδοθεν δὲ προσεσταλμένα, τὰ κάτωθεν τῶν κενεώνων λαγαρά, καὶ αὐτοὺς τοὺς κενεῶνας, οὐρὰς μακράς, ὀρθάς, λιγυράς, μηρίας μὴ σκληράς, ὑποκώλια μακρά, περιφερῆ, εὐπαγῆ, σκέλη πολὺ μείζω τὰ ὄπισθεν τῶν ἔμπροσθεν καὶ ἐπίρρικνα, πόδας περιφερεῖς. καὶ ἐὰν ὦσιν τοιαῦται αἱ κύνες, ἔσονται ἰσχυραὶ τὰ εἴδη, ἐλαφραί, σύμμετροι, ποδώκεις, καὶ ἀπὸ τῶν προσώπων φαιδραί, καὶ εὔστομοι. ἰχνευέτωσαν δὲ ἐκ τῶν τριμμῶν ταχὺ ἀπαλλαττόμεναι, τιθεῖσαι τὰς κεφαλὰς ἐπὶ γῆν πλαγίας, ἐπιμειδιῶσαι μὲν πρὸς τὰ ἴχνη, καταβάλλουσαι δὲ τὰ ὦτα, τὰ μὲν ὄμματα πυκνὰ διακινοῦσαι, ταῖς δὲ οὐραῖς διασαίνουσαι, κύκλους πολλοὺς περὶ τὰς πλευρὰς προΐτωσαν ὁμοῦ, διὰ τοῦ ἴχνους ἅπασαι. ὅταν δὲ περὶ αὐτὸν ὦσι τὸν λαγῶ, δῆλον ποιείτωσαν τῷ κυνηγέτῃ θᾶτ-

τὸν φοιτῶσαι μᾶλλον γνωρίζουσαι, ἀπὸ τοῦ θυμοῦ, ἀπὸ τῆς κεφαλῆς, ἀπὸ τῶν ὀμμάτων, ἀπὸ τῆς μεταλλάξεως τῶν σωμάτων, καὶ ἀπὸ τῶν ἀναβλεμμάτων καὶ ἐμβλεμμάτων τῶν ἐπὶ τὰς καθέδρας τοῦ λαγὼ, καὶ ἀπὸ τῶν εἰς τὸ πρόσθεν καὶ ὄπισθεν, καὶ εἰς τὸ πλάγιον διαρριμμάτων, καὶ ἀπὸ τῶν ἀληθῶς ἤδη αἰωρεῖσθαι τῇ ψυχῇ, καὶ ὑπερχαίρειν, ὅτι τοῦ λαγὼ ἐγγύς ἐστι. διωκέτωσαν δὲ ἐρρωμένως καὶ μὴ ἐπανιεῖσαι σὺν πολλῇ κλαγγῇ, καὶ ὑλαγμῷ, συνεκπίπτουσαι μετὰ τοῦ λαγὼ πάντῃ. μεταθείτωσαν δὲ ταχὺ, καὶ λαμπρῶς πυκνὰ μεταφερόμεναι καὶ ἐπαναλαγγάνουσαι δικαίως. πρὸς δὲ τὸν κυνηγέτην μὴ ἐπανίτωσαν λείπουσαι τὰ ἴχνη. μετὰ δὲ τοῦ εἴδους καὶ τοῦ ἔργου τούτου εὔψυχοι ἔστωσαν, καὶ εὔποδες, καὶ εὔρινες. εὔψυχοι μὲν οὖν ἔσονται, ἐὰν μὴ λείπωσι τὰ κυνηγέσια, ὅταν ᾖ πνῖγος. εὔρινες δὲ, ἐὰν τοῦ λαγὼ ὀσφραίνονται ἐν τόποις ψιλοῖς, ξηροῖς, προσηλίοις τοῦ ἄστρου ἀνιόντος. εὔποδες δὲ, ἐὰν τῇ αὐτῇ ὥρᾳ μὴ καταρρηγνύωνται αὐτῶν οἱ πόδες τὰ ὄρη θεουσῶν. εὔτριχες δὲ ἐὰν ἔχωσι λεπτὴν καὶ πυκνὴν καὶ μαλακὴν τὴν τρίχα. τὰ δὲ χρώματα οὐ χρὴ εἶναι τῶν κυνῶν οὔτε πυρρὰ, οὔτε μέλανα, οὔτε λευκὰ παντελῶς. ἔστι γὰρ οὐ γενναῖον τοῦτο, ἀλλ' ἁπλοῦν καὶ θηριῶδες. αἱ μὲν οὖν πυρραὶ ἔχουσαι, ἔστωσαν, λευκὴν τρίχα ἐπανθοῦσαν περὶ τὰ πρόσωπα, καὶ αἱ μέλαιναι, αἱ δὲ λευκαὶ πυρράν. ἐπὶ δὲ ταῖς μηρίοις ἄκρας τρίχας ὀρθὰς βαθείας, καὶ ἐπὶ ταῖς ὀσφῦσι καὶ ταῖς οὐραῖς κάτω, ἄνωθεν δὲ μετρίας. ἄγειν δὲ ἄμεινον τὰς κύνας τὰ ὄρη πολλάκις. τὰ δὲ ἔργα ἧττον. τὰ μὲν γὰρ ὄρη, οἷόν τε καὶ ἰχνεύειν καὶ μεταθεῖν καθαρῶς, τὰ δὲ ἔργα οὐδέτερα διὰ τοὺς τριμμούς. ἔστι δὲ καὶ ἄνευ τοῦ εὑρίσκειν τὸν λαγὼ, ἀγαθὸν ἄγειν τὰς κύνας τὰ τραχέα. καὶ γὰρ εὔποδες γίγνονται καὶ τὰ σώματα διαπονοῦσαι ἐν τόποις τοιούτοις ὠφελοῦνται. ἀγέσθωσαν δὲ, θέρους μὲν μέχρι μεσημβρίας, χειμῶνος δὲ δι' ἡμέρας. μετοπώρου δ' ἔξω μεσημβρίας. ἐντὸς δ' ἑσπέρας τὸ ἔαρ. ταῦτα γὰρ μέτρια. τὰ δὲ ἴχνη τοῦ λαγὼ, τοῦ μὲν χειμῶνος μακρά ἐστι, διὰ τὸ μῆκος τῶν νυκτῶν· τοῦ δὲ θέρους βραχέα, διὰ τὸ ἐναντίον. χειμῶνος μὲν οὖν πρωὶ οὐκ ὄζει αὐτῶν, ὅταν πάχνη ᾖ ἢ παγετός. ἡ μὲν γὰρ πάχνη τῇ αὐτῆς ἰσχύϊ ἀντισπάσασα τὸ θερμὸν ἔχει ἐν αὐτῇ. ὁ δὲ παγετὸς ἐπιπήξας. καὶ αἱ κύνες μαλακιῶσαι τὰς ῥῖνας οὐ δύνανται αἰσθάνεσθαι ὅταν ᾖ τοιαῦτα, πρὶν ἂν ὁ ἥλιος διαλύσῃ αὐτὰ, ἢ προϊοῦσα ἡ ἡμέρα. τότε δὲ καὶ αἱ κύνες ὀσφραίνονται, καὶ αὐτὰ ἐπαναφερόμενα ὄζει. ἀφανίζει δὲ καὶ ἡ πολλὴ δρόσος καταφέρουσα αὐτὰ, καὶ οἱ ὄμβροι οἱ γιγνόμενοι διὰ χρόνου ὀσμὰς ἄγοντες τῆς γῆς, ποιοῦσι δύσοσμον ἕως ἂν ψυχθῇ. χείρω δὲ καὶ τὰ νότια ποιεῖ. ὑγραίνοντα γὰρ διαχεῖ. τὰ δὲ βόρεια ἐὰν ᾖ ἄλυτα συνίστησι καὶ σώζει. οἱ δὲ ὑετοὶ κατακλύζουσι καὶ αἱ ψακάδες, καὶ ἡ σελήνη ἀμαυροῖ τῷ θερμῷ· μάλιστα δὲ ὅταν ᾖ πανσέληνος, καὶ μανότατα τότε. χαίροντες γὰρ τῷ φέγγει, ἐπαναιπλοῦντες μακρὰ διαιροῦσιν ἀντιπαίζοντες. ταραχώδη δὲ ὅταν ἀλώπεκες προδιεξέλθωσι. γίνεται τὸ δὲ ἔαρ κεκραμένον τῇ ὥρᾳ καλῶς παρέχει τὰ ἴχνη λαμπρὰ, πλὴν εἴ τι ἡ γῆ ἐξανθοῦσα βλάπτει τὰς κύνας, εἰς τὸ αὐτὸ συμμιγνύουσα τῶν ἀνθῶν τὰς ὀσμάς. λεπτὰ δὲ καὶ ἀσαφῆ τοῦ θέρους. διάπυρος γὰρ οὖσα ἡ γῆ ἀφανίζει τὸ θερμὸν ὃ ἔχουσιν. ἔστι γὰρ λεπτὸν, καὶ αἱ κύνες

ἧττον

rius, significando uehementius animo, capite, oculis, gestu corporis, acie tam reflexa, tamq; directa in leporis cubilia, diuerso impetu, in rectum, in aduersum, in obliquum, & uere iam arrigendo animum ac gestiendo, quod iuxta leporem sunt. Intensius uerò premant, nec remittant, ingenti clamore atq; latratu cũ lepore quaelibet euadentes, sed uelociter alacriterq; transmittant, sine modo transcurrẽtes, nec iniuria clãgentes: nec uero ad uenatorẽ omißis uestigijs redeant. Tales forma, talesq; labore magnanimae sunt, & duripedes, et sagaces, et nitidae. Magnanimae erunt, si saltim aestu incũbente non deserũt. Sagaces, si leporẽ nudis in locis, aridis, apricis, austro imminẽte praesentiunt. Duripedes, si non euestigio dum montes superant pedibus fatiscũt. Nitidae, si tenui ac denso molliq; pilo uestiũtur. At colore canes esse oportet, nec penitus fuluo, nec nigro, neq; candido: neq; tum generosum hoc fuerit, sed ignobilis atq; ferinus. Canes igitur uillos, si fuluae & nigrae fuerint, candidos: si candidae, fuluos habeant, circũ ora florentes. In summo autem femine, rectos ac densos. In spina item extremaq; cauda: sed in suprema mediocres. Et satius fuerit per iuga saepe, per rura minus agitare canes. Nam iuga uestigari possunt, & expeditè transcurri: rura neutrum possunt, impedita tramitibus. Est autem utile, etiam si non inueniatur lepus, agitare per aspera canes: nam duripedes fiunt, & corpora in his locis exercentes meliores euadunt. Agitentur autem aestate usq; ad meridiem, hyeme per solidum diem, autumno ultra meridiem, Vere circa uesperã: haec enim opportuna sunt tẽpora. Atqui leporis uestigia multum hyeme procedunt, quia longae sunt noctes: parũ autem aestate, quia è contrario sunt breues. Nec uero subolent hyeme, cum primũ calorem sua ui contrahens, geluq; claudens in se contineat: & cum hoc fuerit, torpescentes narib. canes sentire non possunt, prius quàm sol diésue procedens omnia resoluat: tunc & canes odorãt, & ipsa dum percurruntur uestigia redolent. Ea uero delet & ros multus superincumbens. Imbres etiam qui per anni tempora gignuntur, odorem ab humo rapientes, olfactũ donec exiccetur difficilem reddunt. Sed australis tempestas deterior est: nam humectans diffundit. Septentrionalis uero si serena fuerit, contrahit & seruat. Ac uero pluuiae & rores inundant. Luna etiam halitum extenuat, praecipuè cum plenilunium fuerit, & uestigia tunc quidem incertißima sunt. Nam exultantes ad lunam lepores inter se colludunt, & ea longè dißipantes dirimunt: sed perturbatißima fiunt cum ea uulpes antea pertransierint. Ver propter anni temperiem ualde clara praebet uestigia: quanquam terra sicubi floret, canibus nocet, dum in unum spirantes confundit odores: sed exilia aestate sunt ambigua. Nam terra feruens abolet quicquid halitus habens. Est enim tenuis, & canes tunc

minus

κατάδηλοι, μάλιστα μὲν διὰ γῆς κεκινημένης, ἐὰν ἔχωσιν ἐν αὑτοῖς βρύθημα, καὶ διὰ καλάμης τὴν ἀνταύγειαν. κατάδηλοι δὲ καὶ ἐν τοῖς τριμμοῖς καὶ ἐν ταῖς ὁδοῖς, ἐὰν ὦσιν ἰσόπεδοι. τὸ γὰρ φανὸν τὸ ἐν αὐτοῖς ἐνὸν ἀντιλάμπει. ἄδηλοι δὲ ὅταν ἀπὸ λίθους, τὰ ὄρη, τὰ φελλέα, τὰ δάσεα ἀποχωρῶσι, διὰ τὴν ὁμόχροιαν. προλαμβανόντων δὲ τὰς κύνας, ἐφίστανται καὶ ἀνακαθίζοντες ἐπαίρουσιν αὑτοὺς καὶ ἐπακούουσιν, εἴ που πλησίον κλαγγὴ, ἢ ψόφος τῶν κυνῶν, καὶ ὅθεν ἂν ἀκούσωσιν, ἀποτρέπονται. ὅτε δὲ καὶ οὐκ ἀκούσαντες, ἀλλὰ δόξαντες, ἢ πεισθέντες ὑπ' αὐτῶν, παρὰ τὰ αὐτὰ διὰ τῶν αὐτῶν ἐπαλλαττόντες, ἅλματα ἐμποιοῦντες, ἴχνεσιν ἴχνη ἀποχωροῦσι. καὶ εἰσὶ μακροδρομώτατοι μὲν οἱ ἐκ τῶν ψιλῶν εὑρισκόμενοι, διὰ τὸ καταφανὲς, βραχυδρομώτατοι δὲ οἱ ἐκ τῶν δασέων. ἐμποδὼν γὰρ τὸ σκοτεινόν. δύο δὲ καὶ τὰ γένη ἐστὶν αὐτῶν. οἱ μὲν γὰρ μεγάλοι ἐπίπερκοι, καὶ τὸ λευκὸν τὸ ἐν τῷ μετώπῳ μέγα ἔχουσιν, οἱ δ' ἐλάττους, ἐπίξανθοι, μικρὸν τὸ λευκὸν ἔχοντες. τὴν δὲ οὐρὰν οἱ μὲν κύκλῳ περιποίκιλον, οἱ δὲ παράσειρον. καὶ τὰ ὄμματα οἱ μὲν ὑποχάροποι, οἱ δ' ὑπόγλαυκοι. καὶ τὰ μέλανα τὰ περὶ τὰ ὦτα ἄκρα, οἱ μὲν ἐπὶ πολὺ οἱ δὲ ἐπὶ μικρόν. ἔχουσι δὲ αὐτῶν αἱ πολλαὶ τῶν νήσων τοὺς ἐλάττους, αἵ τ' ἔρημοι καὶ οἰκούμεναι. τὸ δὲ πλῆθος πλείους ἐν αὐταῖς ἢ ἐν ταῖς ἠπείροις. οὐ γάρ εἰσιν οὔτ' ἀλώπεκες ἐν ταῖς πολλαῖς αὐτῶν, αἵ τινες καὶ αὐτοὺς καὶ τὰ τέκνα ἐπιοῦσαι ἀναιροῦνται, οὔτε ἀετοί, τὰ μεγάλα γὰρ ὄρη ἔχουσι μᾶλλον ἢ τὰ μικρά. ἐλάττω δὲ ἐπὶ τὸ πολὺ τὰ ἐν ταῖς νήσοις. κυνηγέται δὲ εἰς μὲν τὰς ἐρήμους ὀλιγάκις ἀφικνοῦνται, ἐν δὲ ταῖς οἰκουμέναις ὀλίγοι ὄντες καὶ οὐ φιλόθηροι οἱ πολλοί. εἰς δὲ τὰς ἱερὰς τῶν νήσων οὐδὲ διαβιβάζειν οἷόν τε κύνας. ὅταν οὖν τῶν τε ὑπαρχόντων ὀλίγους ἐκθηρῶνται, καὶ τῶν ἐπιγιγνομένων, ἀνάγκη ἀφθόνους εἶναι. βλέπει δὲ οὐκ ὀξὺ διὰ πολλά. τά τε γὰρ ὄμματα ἔχει ἔξω, καὶ τὰ βλέφαρα ἐλλείποντα, καὶ οὐκ ἔχοντα προβολὴν ταῖς αὐγαῖς. ἡ ὄψις οὖν διὰ ταῦτα ἀμαυρὰ ἐσκεδασμένη. ἅμα δὲ τούτοις καὶ ἐν ὕπνῳ ὂν τὰ πολλὰ τὸ θηρίον, οὐκ ὠφελεῖται πρὸς τὸ ὁρᾶν. καὶ ἡ ποδωκία πρὸς τὸ ἀμβλυωπεῖν αὐτῷ πολὺ συμβάλλεται. ταχὺ γὰρ ἑκάστου παραφέρει τὴν ὄψιν, πρὶν νοῆσαι ὅτι ἐστί. καὶ οἱ φόβοι τῶν κυνῶν ὅταν διώκωνται ἑπόμενοι μετὰ τούτων, συνεξαιροῦνται τὸ προνοεῖσθαι. ὥστε διὰ ταῦτα προσπίπτων λανθάνει πρὸς πολλὰ καὶ εἰς τὰς ἄρκυς ἐμπίπτων. εἰ δ' ἔφευγεν ὀρθόν, ὀλιγάκις ἂν ἔπασχε τὸ τοιοῦτον. νῦν δὲ περιβάλλων καὶ ἀγαπῶν τοὺς τόπους, ἐν οἷς ἐγένετο καὶ ἐτράφη, ἁλίσκεται. κατὰ πόδας δὲ οὐ πολλάκις ὑπὸ τῶν κυνῶν διὰ τὸ τάχος κρατεῖται. ὅσοι δὲ ἁλίσκονται, παρὰ φύσιν τοῦ σώματος, τύχῃ δὲ χρώμενοι. οὐδὲν γὰρ τῶν ὄντων ἴσον μεγέθει τούτῳ ἀνόμοιόν ἐστι πρὸς ἁρμόν. σύγκειται γὰρ ἐκ τοιούτων τὸ σῶμα. ἔχει γὰρ κεφαλὴν κούφην μικρὰν, καταφερῆ, οὐ σκληρὰν, μῆκος ἱκανὸν, ὠμοπλάτας ὀρθὰς, ἀσυνδέτους ἄνωθεν, σκέλη τὰ ἐπ' αὐτῶν ἐλαφρὰ σύγκωλα. στῆθος οὐ βαρύτονον, πλευρὰς ἐλαφρὰς συμμέτρους. ὀσφὺν περιφερῆ, κοιλίαν σαρκώδη, λαγόνας ὑγρὰς, λαμπάδας ἱκανὰς, ἰσχία στρόγγυλα πλήρη κύκλῳ. ἄνωθεν δὲ ὡς χρὴ διεστῶτα, μηρούς

perspicui sunt, per subactam humum praecipuè nonnulli, quibus inest rubor: per arundines etiam, quia ex aduerso refulgent. Perspicui sunt quoque in tramitibus & uijs, si planae fuerint: fulgor enim qui in ipsis est repercutit oculos. Incerti uerò sunt si ad saxa, ad montes, ad rupes, ad opaca secesserint, propter coloris similitudinem. Quòd si canes praesenserint, sistunt pedem, & residentes seipsos erigunt, & canum, sicubi prope est, clamorem strepitumque captant, & unde audierint auertuntur. Est etiam cum nihil audierint, sed audisse opinantes, uel sibi persuadentes, huc illuc trepidantes, uestigijs insilientes, in uestigia secedunt, & longissime currunt: qui nudis ex locis excutiuntur, quia in aperto sunt. Breuissime uero qui ex opacis: nam tenebrae impediunt. Sed eorum duo sunt genera, pars magni, subnigri, multum in fronte nitescunt: alij minores, flaui, parum candoris ostendunt. Caudam gerunt illi uariam, hi tersam: oculis uerò sunt, hi sublucidis, illi subglaucis. Circa summam autem illi ualde nigrescunt, hi perexiguum. Sed ex his minores incolunt plerunque insulas desertas, uel celebres: & in his turba maior quàm in continente uersatur, quod ibi ut plurimum nec uulpes sunt, quorum impetu ipsi cum catulis occiduntur: nec aquilae, quae montes magnos saepius quàm paruos frequentant: nam parui plerunque in insulis sunt. Venatores etiam raro desertas insulas adeunt: in his quae habitantur pauci sunt, nec hi se rarum studiosi: in sacras autem nec transire canibus quidem licet. Necesse est igitur innumeros esse, quando nec eos uenantur qui iam sunt, nec eos qui deinceps nascuntur. Acie uero sunt multis de causis minime acuta. Oculos enim habent exporrectos, palpebras autem praecisas, & quae pupillis munimenta non praebeant: quapropter hebes uisus est atque diffusus. Ad haec somno etiam multum deditur animal: quae res nihil ad uidendum prodest. Et uelocitas ad obtundendam aciem plurimum confert: quodlibet enim oculos celerius intendit, quàm quid sibi prouiderit. Et cum his canum quoque terrores prouidentiam auferunt, cum instantes prosequuntur. Quo fit, ut irruens ad multa improuidus, in sagenas etiam praecipitet: quòd si rectum fugeret, raro hoc pateretur. Nunc uero quia locos complectitur & amat, ubi natus & enutritus est, capitur: nec directo saepe à canibus uincitur celeritate, sed plerique omnes praeter corporis naturam sorte quadam capiuntur: nihil enim quod proportione conueniat, ab huius compositione dissentit. Siquidem corpus eius consistit ex his: Caput agile habet, breue, rotundum, non rigidum, longitudinem idoneam, scapulas rectas, desuper non aptas. Crura in ipsis gracilia, solida, pectus non angustum, latera tenuia, habilia, spinam teretem, aluum carnosam. Ilia tenera, caua laterum idonea, clunes obesas undique plenas, congruo desuper interstitio. Fe-

mina longa, densa: musculos exterius intensos, interius non tuberosos: internodia longa, neruosa: pedes anteriores summe flexiles, angustos, rectos: posteriores rigidos, latos, nullius utrosq; non contemptores asperitatis. Posteriora crura prioribus multum longiora, parumq; procurua: uillos breues & exiles. Non potest igitur quod ex his compositum est, non ualidum esse, mobile plus quàm agile. Agilem autem esse res illa indicat, quòd ocyùs deambulando lasciuit: gradientem, nec uidit quisquam, nec uidebit, quia posterioribus pedibus priores transit exterius: quem in modum etiã currit. Nam quod ad colorem attinet, in promptu est. Caudam habent ad currendum incommodam: neque enim propter breuitatem idonea est quæ corpus regat, sed hoc utraq; facit aure: & cum in eo est ut capiatur à canibus, alteram uidelicet aurem deducit ac traducit obliquam, illorsum nitens ubicunq; laborat. Idcirco in hanc circumagitur ocyus, in angusto ualde relinquens id quod insequitur. ADEO AVTEM GRATIOSVM EST ANIMAL, VT NEMO SIT QVI SI.. S/VM VIDEAT DVM uestigatur, dum inuenitur, dum currit, dum capitur, quicquid amarit non obliuiscatur. At inter uenandum uenator fructibus abstineat, riuos & fluenta prætereat: hæc etenim tangere turpe est & indecorum. Quinetiam si feræ in ea prociputent, id qui uiderint, ne legis præuaricatores sint, uniuersam uenationem soluere oportet.

De ornamentis canum.

Iam uerò canum ornatus sunt collaria, lori, fasciæ. Collaria quidẽ mollia sint et lata, ne colla canum exulcerẽt. Lori manibus ansas habeant, præterea nihil: neq; enim bene seruãt canes si collaria ex ipsis cõtexta fuerint. Fasciæ loros habeant latiores, ne canũ latera terant. clauatæ sint etiã, ut ab angustijs defendãt. Ipsas uerò canes uenatum educere nõ conuenit, nec si obiectũ cibũ negligentius admiserint (id enim eas nõ bene ualere significat) nec si uẽtus ingẽs flauerit: nam uestigia rapit, nec canes odorare, nec sagenas retiáue stare permittit. Quod si horũ neutrum impediat, triduũ educito. Nec uulpes agitare assuescant canes (id enim nõ mediocre uitiũ, & cum oportet, nũquam præsto adsunt) sed in diuersos saltus educito, ut & canes uenandi, & ipse regionis peritus euadas. Exeundum est autẽ diluculo, ne uestigatione priuẽris: sicut tarduscculi dupliciter damnũ faciunt, ut neq; canes leporem inueniant, neq; ipsi fructũ capiant: neq; enim manet natura uestigij, quæ singulis horis euanescit. Stolam custos retiũ tenuem indutus uenatum exeat: retibus diuortia claudat fragosa, decliuia, caua, obscura, fluuios, riuulos, aquasq; perennes. Hæc illis præcipua sunt refugia: nam omnia dicere infinitum esset, diuerticula, biuia lata uel angusta. Id orto iam sole faciat, non in diluculo, ne si prope indaginem statuenda sint retia, strepitum simul audiens lepus refugiat. Quod si procul statuantur, nihil magnopere prohibet in aurora securũ statuere, ubi nihil obstiterit. Hastilia figito supina, ut cum adducuntur cõtendi poßint.

In sum/

μηροὺς μακρούς, εὐπαχεῖς ἔξωθεν, μῦς ἐπιτεταμένους, ἔνδοθεν δὲ οὐκ ὀγκώδεις. ὑποκώλια μακρὰ στιφρά, πόδας τοὺς πρόσθεν, ἄκρως ὑγροὺς στενοὺς, ὀρθούς. τοὺς δὲ ὄπισθεν στερεοὺς πλατεῖς, πάντας δὲ οὐδενὸς τραχέος φροντίζοντας, σκέλη τὰ ὄπισθεν μείζω πολὺ τῶν ἔμπροσθεν, καὶ ἐγκεκλιμένα μικρὸν ἔξω· τρίχωμα, βραχὺ κοῦφον. ἔστιν οὖν ἀδύνατον, μὴ οὐκ εἶναι ἐκ τοιούτων συνηρμοσμένον ἰσχυρὸν, ὑγρὸν, ὑπερέλαφρον. τεκμήριον δὲ ὡς ἐλαφρόν ἐστιν, ὅταν ἀτρέμα διαπορεύηται, πηδᾷ. βαδίζοντα δὲ οὐδεὶς ἑώρακεν, οὐδ' ὄψεται, τιθεὶς εἰς τὸ ἐπέκεινα τῶν ἔμπροσθεν ποδῶν, τοὺς ὄπισθεν καὶ ἔξω, καὶ θεῖ οὕτως. δῆλον δὲ τούτου τὸ ἴχνος. οὐρὰν δὲ οὐκ ἐπιτηδείαν ἔχει πρὸς δρόμον. ἐπευθύνειν γὰρ οὐχ ἱκανὴ τὸ σῶμα, διὰ τὴν βραχύτητα, ἀλλὰ ὑπὸ ὠτὶ ἑκατέρῳ τοῦτο ποιεῖ. καὶ ὅταν ἁλίσκηται ὑπὸ τῶν κυνῶν, καταβάλλων γὰρ καὶ παραβάλλων τὸ ἕτερον οὖς πλάγιον, ὁποτέρᾳ ἂν λυπῆται, ἀπερειδόμενος. διὸ δὴ εἰς τοῦτο ὑποστρέφεται ταχὺ, ἐν μικρῷ πολὺ καταλιπὼν τὸ ἐπιφερόμενον. οὕτω δὲ ἐπίχαρί ἐστι τὸ θηρίον, ὥστε οὐδεὶς ὅστις οὐκ ἂν ἰδὼν ἰχνευόμενον, εὑρισκόμενον, μεταθεόμενον, ἁλισκόμενον ἐπιλάθοιτ' ἂν εἴ του ἐρῴη. ἐν δὲ τοῖς ἔργοις κυνηγετοῦντα ἀπέχεσθαι, ὧν ὧραι φέρουσι, καὶ τὰ νάματα, καὶ τὰ ῥεῖθρα ἐᾶν. τὸ γὰρ ἅπτεσθαι τούτων, αἰσχρὸν καὶ κακόν. καὶ ἵνα μὴ τῷ νόμῳ ἐναντίοι ὦσιν οἱ ἰδόντες, καὶ ὅταν ἀναγρία ἐμπίπτῃ, ἀναλύειν χρὴ τὰ περὶ κυνηγέσιον πάντα. κυνῶν δὲ κόσμος δέραια, ἱμάντες, στελμονίαι. ἔστω δὲ τὰ μὲν δέραια, μαλακὰ, πλατέα, ἵνα μὴ θραύῃ τὰς τρίχας τῶν κυνῶν. οἱ δὲ ἱμάντες ἔχοντες ἀγκύλας τῇ χειρί. ἄλλο δὲ μηδέν. οὐ γὰρ καλῶς τηροῦσι τὰς κύνας, οἱ ἐξ αὐτῶν ἐργαζόμενοι τὰ δέραια. αἱ δὲ στελμονίαι πλατεῖς τοὺς ἱμάντας, ἵνα μὴ τρίβωσι τὰς λαγόνας αὐτῶν. ἐγκατερραμμέναι δὲ ἐγκεντρίδες, ἵνα τὰ γένη φυλάττωσι. ἐξάγειν δὲ αὐτὰς οὐ χρὴ ἐπὶ τὰ κυνηγέσια, ὅταν μὴ τὰ προσφερόμενα δέχωνται ἡδέως. τεκμήριον δὲ τοῦτο ὅτι οὐκ ἔρρωνται, μηδὲ ὅταν ἄνεμος πνέῃ μέγας. διαρπάζει γὰρ τὰ ἴχνη, καὶ οὐ δύνανται ὀσφραίνεσθαι. οὐδὲ αἱ ἄρκυς ἑστάναι, οὐδὲ τὰ δίκτυα. ὅταν δὲ τούτων μηδέτερον κωλύῃ, ἄγειν διὰ τρίτης τῆς ἡμέρας. τὰς δὲ ἀλώπεκας μὴ ἐθίζειν τὰς κύνας διώκειν. διαφθορὰ γὰρ μεγίστη, καὶ ἐν τῷ δέοντι οὔποτε πάρεισιν. εἰς δὲ τὰ κυνηγέσια μεταβάλλοντα ἄγειν, ἵνα ὦσιν ἔμπειροι τῶν κυνηγεσίων, αὐτὸς δὲ τῆς χώρας. ἐξιέναι δὲ πρῳὶ, ἵνα τῆς ἰχνεύσεως μὴ ἀποστερῶνται, ὡς οἱ ὀψιζόμενοι ἀφαιροῦνται, τὰς μὲν κύνας τοῦ εὑρεῖν τὸν λαγὼ, αὑτοὺς δὲ τῆς ὠφελείας. οὐ γὰρ ἐπιμένει τοῦ ἴχνους ἡ φύσις, λεπτὴ οὖσα πᾶσαν ὥραν. τὴν δὲ στολὴν ὁ ἀρκυωρὸς ἐξίτω ἔχων ἐπὶ θήραν, μὴ ἔχουσαν βάρος. τὰς δὲ ἄρκυς ἱστάτω ἀμφιδρόμους, τραχέας, σιμὰς, λαγαρὰς, σκοτεινὰς, ῥοῦς, χαράδρας, χειμάρρους, ἀενάους. εἰς ταῦτα γὰρ μάλιστα φεύγει. ὅσα δὲ ἄλλα εἰς ἄπειρον εἰπεῖν. τούτων παρόδους, διόδους, καταφανεῖς, λεπτὰς, εἰς ὄρθρον καὶ μὴ πρῳί. ἵνα ἐὰν ᾖ πλησίον τὸ ἀρκυστάσιον τῶν ζητησίμων, μὴ φοβῆται ἀκούων ὁμοῦ τὸν ψόφον, ἐὰν δὲ ᾖ ἀπ' ἀλλήλων πολὺ, ἧττον κωλύει πρῳὶ καθαρὰς ποιούμενος τὰς ἀρκυστασίας. ἵνα δ' αὐτῶν μηδὲν ἀντέχηται, πηγνύναι τὰς σχαλίδας ὑπτίας, ὅπως ἂν ἐπαγόμεναι, ἔχωσι τὸ σύντονον.

ἐπὶ

ἐπὶ δὲ ἄκρας ἴσους τοὺς βρόχους ἐπιβαλλέτω, καὶ ὁμοίως ἀντερειδέτω, ἐπαίρων εἰς μέσον τὸν κεκρύφαλον. εἰς δὲ τὸν περίδρομον ἐναπτέτω λίθον μακρὸν καὶ μέγαν, ἵνα ἡ ἄρκυς, ὅταν ἔχῃ τὸν λαγῶ, μὴ ἀντιτείνῃ. στοιχιζέτω δὲ μακρὰ ὑψηλά, ὅπως ἂν μὴ ὑπερπηδᾷ. ἐν δὲ ταῖς ἰχνείαις μὴ ὑπερβάλλεσθαι. ἔστι γὰρ θηρατικὸν μὲν, φιλόπονον δὲ τὸ ἐκ παντὸς τρόπου ἑλεῖν ταχύ. τὰ δὲ δίκτυα τεινέτω ἐν ἀπέδοις. ἐμβαλλέτω δὲ τὰ ἐνόδια εἰς τὰς ὁδοὺς, καὶ ἐκ τῶν τριμμῶν εἰς τὰ συμφέροντα καθάπτων τοὺς περιδρόμους ἐπὶ τὴν γῆν, τὰ ἀκρωλένια συνάγων, πηγνύων τὰς σκαλίδας, μεταξὺ τῶν σαρδονίων, ἐπὶ ἄκρας ἐπιβάλλων τοὺς ἐπιδρόμους, καὶ τὰ παράδρομα συμφράττων. φυλαττέτω δὲ ἐκ περιόδου. ἐὰν δὲ ἐκκλίνῃ τοῦ χώρου, ἡ ἄρκυς ἀνιστάτω. διωκόμενον δὲ τὸν λαγῶ εἰς τὰς ἄρκυς εἰς τὸ πρόσθεν προϊέσθω, καὶ ἐπιθέων μὲν ἐκβοάτω. ἐμπεπτωκότος δὲ τὴν ὀργὴν τῶν κυνῶν παυέτω, μὴ ἁπτόμενος, ἀλλὰ παραμυθούμενος, καὶ δηλούτω τῷ κυνηγέτῃ, ὅτι ἑάλωκεν ἀναβοήσας, ἢ ὅτι παραδεδράμηκε τῇδε, ἢ τῇδε, ἢ ὅτι οὐχ ἑώρακεν, ἢ ὅτι κατεῖδε. τὸν δὲ κυνηγέτην ἔχοντα ἐξιέναι ἠμελημένην ἐλαφρὰν ἐσθῆτα ἐπὶ τὸ κυνηγέσιον, καὶ ὑπόδεσιν, ἐν δὲ τῇ χειρὶ ῥόπαλον, τὸν δὲ ἀρκυωρὸν ἕπεσθαι. πρὸς δὲ τὸ κυνηγέσιον σιγῇ προσιέναι, ἵνα μὴ ὁ λαγὼς, ἐάν που ᾖ πλησίον, ὑποκινῇ ἀκούων τῆς φωνῆς. δήσαντα δ' ἐκ τῆς ὕλης τὰς κύνας ἑκάστην χωρὶς, ὅπως ἂν εὔλυτοι ὦσι, συστῆσαι τὰς ἄρκυς καὶ τὰ δίκτυα, ὡς εἴρηται. μετὰ δὲ τοῦτο τὸν μὲν ἀρκυωρὸν εἶναι ἐν φυλακῇ, αὐτὸν δὲ τὰς κύνας λαβόντα ἰέναι πρὸς τὴν ὑπαγωγὴν τοῦ κυνηγεσίου, καὶ εὐξάμενον τῷ Ἀπόλλωνι καὶ τῇ Ἀρτέμιδι τῇ Ἀγροτέρᾳ μεταδοῦναι τῆς θήρας, λῦσαι μίαν κύνα, ἥτις ἂν ᾖ σοφωτάτη ἰχνεύειν. ἐὰν μὲν ᾖ χειμὼν, ἅμ' ἡλίῳ ἀνέχοντι, ἐὰν δὲ θέρος, πρὸ ἡμέρας, τὰς δὲ ἄλλας ὥρας μεταξὺ τούτου. ἐπειδὰν δὲ ἡ κύων λάβῃ τὸ ἴχνος ὀρθὸν ἐκ τῶν ἐπηλλαγμένων, παραλῦσαι καὶ ἑτέραν, περαινομένου τοῦ ἴχνους, διαλείποντα μὴ πολὺ, καὶ τὰς ἄλλας ἀφιέναι κατὰ μίαν, καὶ ἕπεσθαι μὴ ἐγκείμενον, ὀνομαστὶ ἑκάστην προσαγορεύοντα, μὴ πολλὰ, ἵνα μὴ παροξύνωνται πρὸ τοῦ καιροῦ. αἱ δ' ὑπὸ χαρᾶς καὶ μένους προϊᾶσιν ἐξειλοῦσαι τὰ ἴχνη, ὡς πέφυκε, διπλᾶ, τριπλᾶ, προφορούμεναι διὰ τῶν αὐτῶν, ἐπηλλαγμένα, περιφερῆ, ὀρθά, πυκνά, καμπύλα, μακρά, γνώριμα, ἄγνωστα, ἑαυτὰς παραθέουσαι, ταχὺ ταῖς οὐραῖς διασείουσαι, καὶ ἐπικλίνουσαι τὰ ὦτα, καὶ ἀστράπτουσαι τοῖς ὄμμασιν. ἐπειδὰν δὲ περὶ τὸν λαγῶ ὦσι, δῆλον ποιήσουσι τῷ κυνηγέτῃ σὺν ταῖς οὐραῖς τὰ σώματα ὅλα συνεπικραδαίνουσαι, πολεμικῶς ἐπιφερόμεναι, φιλονείκως παραθέουσαι, συντρέχουσαι φιλοπόνως, συνιστάμεναι ταχὺ, διιστάμεναι, πάλιν ἐπιφερόμεναι. τελευτῶσαι δὲ, ἀφίξονται πρὸς τὴν εὐνὴν τοῦ λαγῶ, καὶ ἐπιδραμοῦνται ἐπ' αὐτόν. ὁ δ' ἐξαίφνης ἀναΐξας, ἐφ' αὑτὸν ὑλαγμὸν ποιήσει τῶν κυνῶν, καὶ κλαγγὴν φεύγων. ἐμβοώντων δὲ αὐτῷ διωκομένῳ, ἰὼ κύνες, ἰὼ κακός. σοφῶς γε ὦ κύνες, καλῶς γε ὦ κύνες. καὶ κυνοδρομεῖν περιειλίξαντα ὃ ἀμπέχεται περὶ τὴν χεῖρα, καὶ τὸ ῥόπαλον ἀναλαβόντα κατὰ τὸν λαγῶ, καὶ μὴ ὑπαντᾶν. ἄπορον δέ. ὁ δὲ ὑποχωρῶν ταχὺ ἐκλείπων τὴν ὄψιν, πάλιν περιβάλλει,

ὅθεν

In summo laqueos æquales subiicito, pariterque fulcito, attollens in medio reticulum: sed á plaga oblongum lapidem magnumque suspendito, ne rete cum leporem tenuerit, recellere possit. Iuga longa ordine cingito, ne fortè lepus transiliat: sed inter uestigandum ne intermittito: est enim uenatoris, sed gnaui, quamlibet uno momento feram capere. Retia in arduis tendat, casses in uijs obijciat opportunis procul á tramitibus, plagas ad humum religans, fastigia contrahens, intra sardonios hastilia figens, funiculos in summo tensiles superponat, ductiles coerceat, abiénsque cautius obseruet. Quod si limes decliuius fuerit, sagena tollatur. Leporem uerò dum agitatur ultro ad retia cum clamore premat. Cum in rete inciderit, canum iram non pulsando, sed leniendo refrenet, & uenatori clamando significet aut captum esse, aut hac uel illac transcurrisse, aut non uidere, uel non uidisse. Venator autem cum neglecta tenuique ueste & calceo uenatum exeat, manu baculum gestans. Retium uerò custos sequatur: sed cum silentio saltum adeat, ne lepus si fortè propius fuerit, audita uoce promoueatur. Casses & retia, ut dictum est, expediat, religatis ad syluam canibus, unoquoque seorsum, ut facilè solui possint. Post hæc autem custos retia seruet, ipse uero sumpteis canibus ad saltus indaginem subeat, & implorato Apolline & uenatrice Diana, ut uenationis participes faciat, unam ex canibus soluat quæ uestigandi peritissima sit, si frigus fuerit, oriente sole: si calor, ante diem. Alijs autem anni temporibus inter auroram & solis ortum. Ast ubi uestigium ex his quæ antecesserunt rectum deprehenderit, soluat & alteram. Et dum uestigium transigitur, haud multum moratus singulatim dimittat & alias: & ipse pedetentim sequatur, unamquanque nominatim appellans: nec id nimium, ne ante tempus irritentur: hæ uerò præ gaudio & ardore procedunt, uestigia ut sunt duplicia, triplicia, euoluentes, hac illac progrediuntur uarie, in orbem, in rectum, in curuum, per densa, per rara, per nota, per ignota seipsas transmittunt, luminibúsque coruscant. Vbi uero ad leporem accesserint, uenatori significabunt. Nam toto cum caudis corpore micant, hostiliter insultant, certatim prætereunt, studiose concurrunt, repente consistunt, diuulse rursus inuadunt: postremo ad leporis cubile peruenient, & in ipsum incurrent. Ille subito exortus, canum in se latratum, & clamorem fugiendo conuertet: ipsi uero agitantes clament, io canes, io segnis: clarè autem, ô canes. Et uenator cum canibus currat, manuum tegmina rotans, & in leporem baculum intendens. Nec obuius eat: periculosum est enim: ille uerò se ab oculis proripiens refugit,

& loca unde excitus fuerat, ut plurimum obambulat: sed uulgo clament ipsi, puer ha, puer illi, puer iam, puer iam. Hic uero significet captus sit nec ne. Et si primo cursu captus fuerit, reuocatis canibus alium quaerat: sin autem, quamcelerrimè potest cum canibus currat, nec desistat, sed assiduo transmittat. Et si rursus agitantes occurrerint, clamet, Euge, euge, ô canes, instate canes. Quod si longius processerint, ut eas pariter currens subsequi non possit, quinetiam ab ipso cursu deerrauerit, ut eas propius nec usquam tendentes, neque clamantes, neq; à uestigijs redeuntes uidere possit, inter currendum cuicunq; appropinquauerit cum clamore interroget: Vidistin' hos canes? Vbi iam audierit, tum uero si in uestigio fuerint, praesides hortetur omnes, modo has, modo illas nomine compellet, sonum uocis quam poterit multipliciter narians, acutum, grauem, paruū, magnū: & praeter alias hortationes si cursus in monte fuerit, sic etiā hortetur: Belle canes, belle ô canes. Sin autem ad ipsa non fuerint uestigia, sed excesserint, tūc eas in hunc modum reuocet: Non retro, non retro, heus canes. Sed postquam uestigijs astiterint, circumagat eas, orbes multos crebrosq; faciens. Et ubicunq; incertum ipsis uestigium fuerit, signum statuat limitem sibi, & ab hoc eas hortando, blandiendo coërceat, donec uestigium manifeste cognouerint. Illae uero simulac certa erunt uestigia, irruendo, lasciuiendo, capita conferendo, suspicando, significādo, fines sibi notos statuendo, cito transcurrunt. Sed dum illae ita per uestigium crebro dissiliunt, uenator se reprimens cum canibus minime currat, ne studio certandi uestigia praetereant. At cū iuxta leporē fuerint, idq; uenatori plane significauerint, obseruet ne metu canum promoueatur. Illae uerò dum caudam crispant, dum in se recidūt, dum insultant, & clangētes insurgunt, dum prosiliunt, dum uenatorem spectant, & haec iam uera esse demonstrant, leporem ultro excitabūt, & latrantes inuadent: sed siue in retia praecipuet, siue exterius, siue interius praetereat, ad unūquodque horum custos retium proclamet: et si captus fuerit, alium inquirat: sin autem, hisdem ut antè hortationibus transcurrat. Sed [illegible] serum dies fuerit, canibus propemodum currendo defatigatis, tunc leporem uenator fessum exquirat, nihil relinquens eorum quae terra gignit, uel ipsius superficies habet, sed crebrò eadem relegat, ne praeteritus fallat. Procumbit enim in angusto, nec resurgit prae labore & metu. Superinducat & canes hortando, blandiendo, si qua est humana multum: si audax, parum: si mediocris, mediocriter, donec ipsum uel e uestigio occiderit, uel in retia propulerit. Post haec autem sagenis retibusq; sublatis, canes auertat, & è saltu digrediatur. Et si meridies aestiuus fuerit, resideat, ne canes in itinere pedib urātur.

De procreā dis canibus.

Ipsas uerò hyeme submittat labore solutas, ut Vere generosam prolē procreare sufficiant. Nam hoc enim tempus adendis

ὅθεν εὖ εἰσῄει ὡς τὸ πολύ. ἀναβοᾶν δὲ κοινὸν μὲν αὐτῷ παῖς, ἄστω παῖς. παῖ δή, παῖ δή. ὁ δὲ ἐάν τε ἑαλωκὼς ᾖ, ἐάν τε μή, δηλούτω. καὶ ἐὰν μὲν ἑαλωκὼς ᾖ ἐν τῷ πρώτῳ δρόμῳ, ἀνακαλεσάμενος τὰς κύνας ζητεῖν ἄλλον. ἐὰν δὲ μὴ κυνοδρομεῖν, ὡς τάχιστα καὶ μὴ ἀφιέναι, ἀλλ᾽ ἐκπερᾶν φιλοπόνως, καὶ ἐὰν πάλιν ἀπαντῶσι διώκουσαι αὐτόν, ἀναβοᾶν, εὖγε, εὖγε, ὦ κύνες, ἕπεσθε ὦ κύνες. ἐὰν δὲ πολὺ προειληφυῖαι ὦσι, καὶ μὴ οἷός τ᾽ ᾖ κυνοδρομῶν ἐπιγίγνεσθαι αὐταῖς, ἀλλὰ διημαρτηκὼς ᾖ τῶν δρόμων, ἢ καὶ πλησίον που φοιτώσας, ἢ ἐπιβοώσας, ἢ ἐχομένας τῶν ἰχνῶν μὴ δύνηται ἰδεῖν, πυνθάνεσθαι παρελθόντα ἅμα, ὅτῳ ἂν προσπελάζῃ ἀναβοῶντα, ἦ κατεῖδες ὦ τὰς κύνας. ἐπειδὰν δὲ πύθηται ἤδη, ἐὰν μὲν ἐν τοῖς ἴχνεσιν ὦσι, προσστάντα ἐγκελεύειν τοὔνομα μεταβάλλοντα ἑκάστης τῆς κυνός, ὁποσαχῆ οἷόν τ᾽ ἂν ᾖ τοὺς τόνους τῆς φωνῆς ποιούμενον, ὀξύ, βαρύ, μικρόν, μέγα. πρὸς δὲ τοῖς ἄλλοις κελεύμασιν, ἐὰν ὦσιν ἐν ὄρει αἱ μεταδρομαί, ἐπικελεύειν τόδε, εὖ κύνες, εὖ ὦ κύνες. ἐὰν δὲ μὴ πρὸς αὐτοῖς ὦσι τοῖς ἴχνεσιν, ἀλλ᾽ ὑπερβάλλωσι, καλεῖν αὐτάς, οὐ πάλιν, οὐ πάλιν ὦ κύνες. ἐπειδὰν δὲ προσῶσι τοῖς ἴχνεσι, περιάγειν αὐτάς, κύκλους πολλοὺς πυκνοὺς ποιούμενον, ὅπου δ᾽ ἂν ᾖ αὐταῖς ἀμαυρὸν τὸ ἴχνος, σημεῖον θέσθαι στοῖχον ἑαυτῷ, καὶ ἀπὸ τούτου συνείρειν, μέχρι ἂν σαφῶς γνωρίσωσιν ἐγκελεύοντα, καὶ θωπεύοντα. αἱ δ᾽ ἐπειδὰν λαμπρὰ ᾖ τὰ ἴχνη, ἐπιρριπτοῦσαι, παραπηδῶσαι, κοινωνοῦσαι, ὑπολαμβάνουσαι, ἐνσημαινόμεναι, ὅρους τιθέμεναι ἑαυταῖς γνωρίμους ταχὺ μεταθεύσονται. ὅταν δὲ οὕτως διὰ τοῦ ἴχνους πυκνῶς διάττωσι, μὴ κατέχοντα κυνοδρομεῖν, ἵνα μὴ ὑπὸ φιλοτιμίας ὑπερβάλλωσι τὰ ἴχνη. ἐπειδὰν δὲ περὶ τὸν λαγὼ ὦσι, καὶ τοῦτο ἐπιδεικνύωνται σαφῶς τῷ κυνηγέτῃ, προσέχειν ὅπως ἂν μὴ ὑποκινῇ εἰς τὸ πρόσθεν πεφοβημένος τὰς κύνας. αἱ δὲ διαρριπτοῦσαι ταῖς οὐραῖς, καὶ ἑαυταῖς ἐμπίπτουσαι, καὶ πολλὰ ὑπερπηδῶσαι, καὶ ἐπανακλαγγάνουσαι, ἐπαναίρουσαι, ὑποβλέπουσαι εἰς τὸν κυνηγέτην, ἐπιγνωρίζουσαι ἀληθῆ εἶναι ἤδη ταῦτα, ὑφ᾽ αὑτῶν ἀναστήσουσι τὸν λαγὼ, καὶ ἐπιλάσι κεκραγυῖαι. ἐὰν δὲ εἰς τὰς ἄρκυς ἐμπίπτῃ, ἢ ἔξω ἢ ἐντὸς παρενεχθῇ, καθ᾽ ἓν ἕκαστον τούτων ὁ ἀρκυωρὸς γεγωνείτω. καὶ ἐὰν μὲν ᾖ ἑαλωκώς, ἕτερον ἐπιζητεῖν. ἐὰν δὲ μή, μεταθεῖν χρώμενον τοῖς αὐτοῖς ἐγκελεύμασιν. ἐπειδὰν δὲ μεταθέουσαι αἱ κύνες ἤδη ὑποκοπῶσι, καὶ ᾖ ὀψὲ ἤδη τῆς ἡμέρας, τότε δεῖ τὸν κυνηγέτην τὸν λαγὼ ἀπειρηκότα ζητεῖν, μὴ παραλείποντα μηδὲν ὧν ἡ γῆ ἀνίησιν, ἢ ἔχει ἐφ᾽ ἑαυτῆς, τὰς ἀναστροφὰς ποιούμενον πυκνάς, ὅπως ἂν μὴ παραλειφθῇ. κατακλίνεται γὰρ ἐν μικρῷ τὸ θηρίον, καὶ οὐκ ἀνίσταται ὑπὸ κόπου καὶ φόβου, τὰς κύνας ἐπαγόμενον, ἐγκελεύοντα, παραμυθούμενον τὴν φιλάνθρωπον πολλά, τὴν αὐθάδη ὀλίγα, τὴν μέσην, μέτρια, ἕως ἂν ἢ ἀποκτείνῃ αὐτὸν κατὰ πόδας, ἢ εἰς τὰς ἄρκυς ἐμβάλῃ. μετὰ δὲ ταῦτα ἀνελόντα τὰς ἄρκυς καὶ τὰ δίκτυα, ἀνατρίψαντα τὰς κύνας ἀπιέναι ἐκ τοῦ κυνηγεσίου, ἐπιμείναντα ἐὰν ᾖ θερινὴ μεσημβρία, ὅπως ἂν τῶν κυνῶν οἱ πόδες μὴ καίωνται ἐν τῇ πορείᾳ. σκυλακεύειν δὲ αὐτάς, ἐπανιέντα τῶν πόνων τοῦ χειμῶνος, ἵνα ἔχουσαι τὴν ἡσυχίαν, πρὸς τὸ ἔαρ ἐπάγωνται τὴν φύσιν γενναίαν. ἡ γὰρ ὥρα πρὸς τὰς αὐξή

σεις

σις τῶν κυνῶν κρατίστη αὕτη· εἰσὶ δὲ τέτταρες καὶ δέκα αὗται, ἐν αἷς ἡ ἀνάγκη αὕτη ἔχει. ἄγειν δὲ καταπαυομένας, ἵνα θᾶττον ἐγκύμονες γίνωνται, πρὸς κύνας ἀγαθούς. ἐπειδὰν δὲ ὦσιν ἐπίφοροι, μὴ ἐξάγειν ἐπὶ κυνηγέσιον ἐνδελεχῶς, ἀλλὰ διαλείπειν, ἵνα μὴ φιλοπονίᾳ διαφθείρωσι. κύουσι ἑξήκοντ' ἡμέρας. ἐπειδὰν δὲ γένωνται, τὰ σκυλάκια ὑπὸ τῇ τεκούσῃ ἐᾶν, καὶ μὴ ὑποβάλλειν ὑφ' ἑτέραν κύνα. αἱ γὰρ θεραπεῖαι αἱ ἀλλότριαι οὐκ εἰσὶν αὔξιμοι, τὸ δὲ τῶν μητέρων καὶ τὸ γάλα ἀγαθόν, καὶ τὸ πνεῦμα καὶ αἱ περιβολαὶ φίλαι. ἐπειδὰν δὲ ἤδη πλανᾶται τὰ σκυλάκια, διδόναι γάλα μέχρι ἐνιαυτοῦ, καὶ οἷς μέλλει τὸν ἅπαντα χρόνον βιώσεσθαι, ἄλλο δὲ μηδέν. αἱ γὰρ βαρεῖαι πλησμοναὶ τῶν σκυλακίων διαστρέφουσι σκέλη, σώμασι νόσους ἐμποιοῦσι, καὶ τὰ ἐντὸς ἄδικα γίνεται. τὰ δ' ὀνόματα αὐταῖς τίθεσθαι βραχέα, ἵνα εὐανάκλητα ᾖ. εἶναι δὲ χρὴ τοιάδε, ψυχή, θυμός, πόρπαξ, στύραξ, λόγχη, λόχος, φρουρά, φύλαξ, τάξις, ξίφων, φόναξ, φλέγων, ἀλκή, τεύχων, ὑλεύς, μήδας, πόρθων, σπέρχων, ὀργή, βρέμων, ὕβρις, θάλλων, ῥώμη, ἀνθεύς, ἥβα, γηθεύς, χαρά, λεύσων, αὐγώ, πολεύς, βία, στίχων, σπουδή, βρύας, οἰνάς, στέρρος, κραυγή, καίνων, τύρβας, σθένων, αἰθήρ, ἀκτίς, αἰχμή, νόης, γνώμης, στίβων, ὁρμή. ἄγειν δὲ τὰς σκύλακας ἐπὶ τὸ κυνηγέσιον, τὰς μὲν θηλείας ὀκταμήνους, τοὺς δὲ ἄρρενας δεκαμήνους. πρὸς δὲ τὰ ἴχνη τὰ εὐναῖα μὴ λύειν, ἀλλ' ἔχοντα ὑφειμένας μακροῖς ἱμᾶσιν, ἀκολουθεῖν ταῖς κυσὶν ἰχνευούσαις, ἐῶντα αὐτὰς διατρέχειν τὰ ἴχνη. καὶ ἐπειδὰν ὁ λαγὼς εὑρίσκηται, ἐὰν μὲν καλαὶ ὦσι πρὸς τὸν δρόμον τὰ εἴδη, μὴ ἀνιέναι εὐθύς· ἐπειδὰν δὲ προλάβῃ ὁ λαγὼς τῷ δρόμῳ, ὥστε μὴ ἐφορᾶν ἔτι αὐτόν, τὰς σκύλακας ἱέναι. ἐὰν γὰρ ὁμόθεν καλὰς τὰ εἴδη οὔσας καὶ εὐψύχους πρὸς τὸν δρόμον ἐπιλύῃ ὁρώσας τὸν λαγών, ἐντεινόμεναι ῥήγνυνται, οὔπω ἔχουσαι συνεστῶτα τὰ σώματα. διαφυλάττειν οὖν δεῖ τοῦτο τὸν κυνηγέτην. ἐὰν δὲ αἰσχίους ὦσι πρὸς τὸν δρόμον, οὐδὲν κωλύει ἱέναι. εὐθὺς γὰρ δὴ ἀνέλπιστοι οὖσαι τοῦ ἑλεῖν, οὐ πείσονται τοῦτο. τὰ δὲ δρομαῖα ἕως ἂν ἔλθωσι τὰ ἴχνη μεταθεῖν ἐᾶν. ἁλισκομένου δὲ τοῦ λαγῶ, διδόναι αὐταῖς ἀναρρηγνύναι. ἐπειδὰν δὲ μηκέτι θέλωσι προσμένειν ταῖς ἄρκυσιν, ἀλλ' ἀποσκεδάννυνται, ἀναλαμβάνειν ἕως ἂν ἐθισθῶσιν, εὑρίσκειν προσθέουσαι τὸν λαγών, μὴ ἐν κόσμῳ ἀεὶ τοῦτο ζητοῦσαι τελευτῶσαι γίγνονται ἔκκυνοι, πονηρὸν μάθημα. πρὸς δὲ ταῖς ἄρκυσι διδόναι τὰ σιτία αὐταῖς, ἕως ἂν νέαι ὦσιν ὅταν ἀναιρῶνται, ἵν' ἐὰν πλανηθῶσιν ἐν τῷ κυνηγεσίῳ δι' ἀπειρίαν, πρὸς τοῦτο ἐπανιοῦσαι σώζωνται. ἀφεθήσονται δὲ τούτου, ὅταν ἤδη τῷ θηρίῳ ἔχωσι πολεμίως. ἐπιμέλειαν δὲ ποιήσονται τούτου μᾶλλον, ἢ ἐκείνου φροντίζειν. χρὴ δὲ καὶ εἰς τὰ πολλὰ διδόναι τὰ ἐπιτήδεια ταῖς κυσὶν αὐτόν. ὅταν μὲν γὰρ ἐνδεεῖς ὦσι, τούτου τὸν αἴτιον οὐκ ἴσασιν. ὅταν δὲ ἐπιθυμοῦσαι λάβωσι, τὸν διδόντα στέργουσι. ἰχνεύεσθαι δὲ τοὺς λαγὼς, ὅταν νίφῃ ὁ θεός, ὥστε ἠφανίσθαι τὴν γῆν. εἰ δ' ἐνέσται μελάγχειμα, δυσζήτητος ἔσται. ἔστι δὲ ὅταν μὲν ἐπινίφῃ, καὶ ᾖ βόρειον, τὰ ἴχνη ἔξω πολὺν χρόνον δῆλα. οὐ γὰρ ταχὺ συντήκεται. ἐὰν δὲ νότιός τε ᾖ, καὶ ἥλιος ἐπιλάμπῃ, ὀλίγον χρόνον. ταχὺ γὰρ διαχεῖται. ὅταν δὲ ἐπινίφῃ συνεχῶς, οὐδὲν δεῖ. ἐπικα-

dis canibus maximè conuenit. Sunt autem dies quatuordecim in quib. haec necessitas tenet. Mittat autem ad strenuos canes quo tempore cessant, ut celerius concipiant: nec uerò cum uentrem gestant. In saltus iugiter, sed cum intermissione ducat. Foetae sunt sexaginta dies. Catulos cum nati fuerint, sub genitrice relinquat, nec alienae cani subijciat: MINISTERIA scilicet aliena nihil ad alendum prosunt: matrum lac & halitus bonus est, & fomenta iucũda sunt. Cum iam errant catuli, lac ad annum usq; praebeat, et ea quibus omnem aetatem uicturi sunt, praeterea nihil: graues enim repletiones canum crura praeuertunt, morbos corporib. ingenerant, interiora improba reddunt. atq; breuia ipsis nomina imponat, ut uocari facilè poßint. Sunt autem eiusmodi: Psyche, thymus, porpax, styrax, lõche, lochos, phrura, phylax, taxis, xiphon, phonax, phlegon, alce, teuchon, hyleus, medas, porthon, sperchon, lorge, bremon, thybris, thallon, rhome, antheus, getheus, actis, aron, leuson, augo, polysibia, stichon, spude, bryas, heba, sterros, crauge, canon, thyrbas, sthenon, ater, noẽs, gnomon, stibon, horme. Iam uerò canes agat in saltus, foeminas mensium octo, mares decem: nec ad cubilia, uestigia soluat, sed submissas longis detinens loris uestigantes subsequatur, & eas per uestigia currere sinat. Sed cum inuentus fuerit lepus, si pulchra indole ad cursum alacres fuerint, nõ continuò dimittat: sed ubi praecurrendo lepus è cõspectu abierit, tum canes emittat: nam si comminus specie pulchras, & ad cursum magnanimas soluerit, nondũ firmatis corporibus, nitentes rumpũtur. Hoc igitur uenatori obseruãdum est, quod si forma fuerint ad currendum segniores, nihil eas emitti prohibet. Neq; enim illud patientur, cum ab initio non sine spe sint capiendi, sed ad pedum uestigia transcurrere sinat, quoad ea inuenerint. Leporem captum ipsis lacerandũ tradat. Cum iam ad retia subsistere noluerint, sed palantes auersae fuerint, recolligat eas donec leporem procursantes inuenire consueuerint, ne si hoc agmine semper inquirant, intero'culari denique discant, quae peßima consuetudo est. Sed cibaria illis obijciat ad retia, dum iuuenes sunt: tunc enim suscipiunt: ut si propter imperitiam in saltu deerrauerint, ad locum redeuntes saluentur. Nam cibaria tunc respuent, cum iam feram hostiliter oderint: & hanc magis appetent quàm illa. Multis uerò de causis necessaria canibus exhibenda sunt. Nam cum inopiam patiuntur, autorem eius non agno'cunt: at cum auide accipiunt, exhibitorem diligunt. Vestigent autem leporem, cum nix ita ceciderit, ut terram operiat: nam hyems absq; niue uestigabilis non est. At cum ningit, si Boreas spirarit, uestigia diu manifesta emineut: neq; enim citò liquuntur. Sin & Notus flauerit, & sol superfulserit, breui apparẽt: nam statim dilabuntur. Sed neq; cũ nix iugiter cadit:

De nominibus canum.

uesti-

ἁλώσεται δὲ ὑπὸ τῶν κυνῶν, σὺν πόνῳ διωκόμενος. λαβόντα δὲ δοῦναι τῷ ἀρκυωρῷ· ὁ δὲ βοήσεται. ἡ δ' ἔλαφος τὰ μὲν ἰδοῦσα, τὰ δ' ἀκούσασα, ἐπιδραμεῖται τῷ ἔχοντι αὐτὸν ζητοῦσα ἀφελέσθαι. ἐν δὲ τούτῳ τῷ καιρῷ ἐγκελεύειν ταῖς κυσὶ καὶ χρῆσθαι τοῖς ἀκοντίοις. κρατήσαντα δὲ τούτου προσιέναι, καὶ ἐπὶ τοὺς ἄλλους καὶ σὺν τῷ αὐτῷ εἴδει, πρὸς τοὺς αὐτοὺς χρῆσθαι τῆς θήρας. καὶ οἱ μὲν νέοι τῶν νεβρῶν οὕτως ἁλίσκονται· οἱ δὲ ἤδη μεγάλοι χαλεπῶς. νέμονται γὰρ μετὰ τῶν μητέρων καὶ ἑτέρων ἐλάφων, καὶ ἀποχωροῦσιν ὅταν διώκωνται ἐν μέσαις, ὅτε δὲ πρόσθεν, ἐν δὲ τῷ ὄπισθεν, ὀλιγάκις. αἱ δ' ἔλαφοι τὰς κύνας ὑπὲρ αὐτῶν ἀμυνόμεναι καταπατοῦσιν, ὥστε οὐκ εὐάλωτοί εἰσιν, ἐὰν μὴ προσμίξας τις, εὐθὺς διασκεδάσῃ αὐτὰς ἀπ' ἀλλήλων, ὥστε μονωθῆναι τινὰ αὐτῶν. βιασθεῖται δὲ τοῦτο, τὸν μὲν πρῶτον δρόμον αἱ κύνες ἀπολείπονται. ἥ τε γὰρ ἐρημία τῶν ἐλάφων ποιεῖ αὐτὸν περίφοβον, τότε τάχος οὐδενὶ εἰκὸς εἶναι τῶν τηλικούτων νεβρῶν. δευτέρῳ δὲ καὶ τρίτῳ δρόμῳ ταχὺ ἁλίσκονται. τὰ γὰρ σώματα αὐτῶν, διὰ τὸ ἔτι νεαρὰ εἶναι, τῷ πόνῳ οὐ δύνανται ἀντέχειν. ἵστανται δὲ καὶ ποδοστράβαι ταῖς ἐλάφοις ἐν τοῖς ὄρεσι περὶ τοὺς λειμῶνας καὶ τὰ ῥεῖθρα, καὶ τὰς νάπας ἐν ταῖς διόδοις καὶ τοῖς ἔργοις πρὸς ὅτι ἂν προσίῃ. χρὴ δὲ εἶναι τὰς ποδοστράβας, σμίλακος πεπλεγμένας μὴ περιφλοίους, ἵνα μὴ σήπωνται· τὰς δὲ στεφάνας εὐκύκλους ἐχούσας, καὶ τοὺς ἥλους ἐναλλὰξ σιδηροῦς τε καὶ ξυλίνους ἐγκαταπεπλεγμένους ἐν τῷ πλοκάμῳ. μείζους δὲ τοὺς σιδηροῦς, ὅπως ἂν οἱ μὲν ξύλινοι ὑπείκωσι τῷ ποδί· οἱ δὲ πιέζωσι. τὸν δὲ βρόχον τῆς σειρίδος, τὸν ἐπὶ τὴν στεφάνην ἐπιτεθησόμενον πεπλεγμένον σπάρτου, καὶ αὐτὴν τὴν σειρίδα. ἔστι γὰρ ἀσηπτότατον τοῦτο. ὁ δὲ βρόχος αὐτὸς ἔστω στιφρὸς καὶ ἡ σειρίς· τὸ δὲ ξύλον τὸ ἐξαπτόμενον ἔστω μὲν δρυὸς ἢ πρίνου, μέγεθος τρισπίθαμον περίφλοιον, πάχος παλαιστῆς. ἱστάναι δὲ τὰς ποδοστράβας διελόντα τῆς γῆς, βάθος πεντεπάλαιστον, περιφερὲς δὲ τοῦτο καὶ ἄνωθεν ἴσον ταῖς στεφάναις τῶν ποδοστραβῶν. εἰς δὲ τὸ κάτω ἀμειβόμενον ἐνδοτέρω. διελεῖν δὲ καὶ τῇ σειρίδι καὶ τῷ ξύλῳ τῆς γῆς ὅσον ἐξαρκέσει ἀμφοῖν. ποιήσαντα δὲ ταῦτα ἐπὶ μὲν τὸ βάθος τῆς ποδοστράβης, ἐπιθεῖναι κατωτέρω ἰσόπεδον. περὶ δὲ τῆς στεφάνης τὸν βρόχον τῆς σειρίδος, καὶ αὐτὴν καὶ τὸ ξύλον καθέντα εἰς τὴν χώραν τὴν ἑκατέρου, τῇ στεφάνῃ ἐπιθεῖναι δοκίδας ἀτρακτυλλίδας μὴ ὑπερτεινούσας εἰς τὸ ἔξω. ἐπὶ δὲ τούτων πέταλα λεπτά, ὧν ἂν ἡ ὥρα ᾖ. μετὰ δὲ τοῦτο τῆς γῆς ἐπιβαλεῖν ἐπ' αὐτά, πρῶτον μὲν τῆς ἐπιπολῆς ἐξαιρεθείσης ἐκ τῶν ὀρυγμάτων. ἄνωθεν δὲ ταύτης γῆς στερεᾶς τῆς ἄποθεν, ἵνα ᾖ τῇ ἐλάφῳ ὅτι μάλιστα ἄδηλος ἡ στάσις. τήν τε περιοῦσαν τῆς γῆς ἀποφέρειν πόρρω ἀπὸ τῆς ποδοστράβης. ἐὰν γὰρ ὀσφραίνηται νεωστὶ κεκινημένης, δυσωπεῖται· ταχὺ δὲ ποιεῖ τοῦτο. ἐπισκοπεῖν δὲ ἔχοντα τὰς κύνας, τὰς μὲν ἐν τοῖς ὄρεσιν ἑστώσας, μάλιστα μὲν ἕωθεν. χρὴ δὲ καὶ τὰς ἄλλας ἡμέρας, ἐν τοῖς ἔργοις πρωΐ. ἐν μὲν γὰρ τοῖς ὄρεσιν οὐ μόνον τῆς νυκτὸς ἁλίσκονται, ἀλλὰ καὶ μεθ' ἡμέραν, διὰ τὴν ἐρημίαν. ἐν δὲ τοῖς ἔργοις τῆς νυκτὸς διὰ τὸ μεθ' ἡμέραν περιφοβεῖσθαι τοὺς ἀνθρώπους. ἐπειδὰν δὲ εὕρῃ ἀνεστραμμένην τὴν ποδοστράβην, μεταθεῖν ἐπιλύσαντα τὰς κύνας, καὶ ἐπικελεύοντα κατὰ τὸ ὁλκὸν τοῦ ξύλου

Capietur autem à canibus cum labore insequentibus: captum custodi retium tradat. rugiet ille: cerua partim uidens, partim audiens, tenentem inuadet, ut ipsum eripiat. Tum uero canes hortetur, & iaculis utatur. Hunc ubi obtinuerit, ad alios tendat, in quos simili uenatione utetur. Et iuniores quidem hinnuli hoc modo capientur. At uero iamiam grandusculi difficilius: nam cum matribus alijsque ceruis pascuntur: quibus in medijs cum agitantur, fugiunt sæpe inter primos, raro inter postremos, & pro illis pugnantes ceruæ canes proterunt. Itaque non facile capi possunt, nisi quis perturbatas dissipet, ut ex ipsis quispiam unus destituatur: quod ubi coactæ fuerint, primo cursu canes superantur. Sed quia trepidum illum facit absentia ceruarum & hinnulorum, id ætatis celeritas nulli procedit, secundo tertióue cursu statim capietur. Corpora enim illorum cum adhuc tenera sint, labori superesse non possunt.

De tendiculis.

Quin etiam tendiculæ ceruis ponuntur, in montibus circa prata, secus fluenta, prope saltus, in biuijs, in agris, quocunque adierint. Tendiculas autem oportet fruticeas plicari, delibratas ne putrescant, & spiras habere annulares, & insertos plicationi ferreos alternis, ligneosque clauos, sed robustiores ferreos, ut si lignei cesserint, hi pedem premāt. Laqueum uero funiculi superponendam spiræ, funiculumque ipsum ex sparto plicatū esse: hoc enim inuiolabile est. Laqueus ipse funiculusque ualidi sint: lignum quod pēdet quernum sit uel illigneū, longitudine triū spithamarū, crassitudine unius ulnæ cum cortice. Tendiculas uero ponat aperta scrobe quinque pedum in orbem desuper spiris tendiculatarū æqualem, ita ut inferiori angustiæ respōdeat: similiter funiculo & ligno scrobem aperiat quanta utrique conueniat. Hæc ubi fecerit, summam tendiculæ scrobem substernat, laqueum uero funiculi spiræ circumponat: et cum ipsam & lignum in suo utrunque loco posuerit, uirgulas enodes superponat nō prominentes, & eas minutis folijs sternat, quæ tunc anni tempus habebit. Postea uero primam in superficiem terra inijciatur, & scrobibus defossis, & super eam solida terra procul inde sumpta, ut ceruæ quammaxime occultus sit locus: quod supererit terræ asportetur longe à tendicula, quia si recenter mota ceruus (id quod subito facit) odorem senserit, auertetur. Venator cum canibus montana in aurora potissimum, quanquam & in reliquo diei, campestres diluculo obseruet: nam in montibus non noctu solùm capiuntur, sed interdiu propter solitudinem. In agris autem nocte tantum: nam in die homines metuunt. Sed ubi tendiculam resupinatam inuenerit, solutis canibus transcurrat

ligni

ligni sulcum, quocunq; ferat obseruans. Erit enim per multum spacij non incertus: quippe motis lapidibus & in agris limes ductus manifestus erit. Quod si asperiora superet, raptus de ligno cortex rupibus hærebit, & uideo transcursus faciliores erũt: sed si pede uinctus fuerit anteriore, cito capietur. Nam lignum inter currendum, corpus totum & ora flagellat: sed si posteriore, lignũ quod trahitur uniuersum corpus impediet: plerunq; etiam in bicornes ramos tractum incidit, & nisi funiculum abruperit, illic deprehẽditur. Sed si mas fuerit siue ita captus, siue labore uictus, nõn est comminus adeundum: nam cornibus ferit & pedibus: eminus igitur iaculis utendum. Capiuntur uero etiam sine tendiculis cum agitantur æstate. Nam ualde fatiscũt, ut stantes iaculis confodiantur. In mare etiã si obstiterit, & undas se trepide conijciunt: nonnunquam deficiente spiritu labuntur.

De apris. At in apros canes comparet Indicas, Cretẽses, Locrenses, Lacænas: sagenas, iacula, uenabula, tẽdiculas. Primum igitur canes hoc ex genere esse oportet minimẽ uulgares, ut paratæ sint cum fera pugnare. Sagenas autẽ eodem lino quo retia, filis quinq; & quadraginta, et chordulis tribus, et unaquæq; chordula filis quindecim, à fastigio macularũ decem longitudo. Laqueorũ autem altitudo cubitalis. Plagæ dimidio craßiores sagenis, in fastigijs annulos habeãt laqueis suppositos, extremaq; earũ per annulos exeãt: sufficiẽt uero quindecim. Iacula uaria sint, quæ lãceas habeãt satis amplas et leuigatas, hastulasq; ualida. At uenabula primũ lanceas habeant longitudine ulnarũ quinq;, in medio fistulæ dentalia solida fabricata, & hastulas cornea craßitudine hasta. Tẽdicula uero qualia ceruorũ. Sed uenationis comites adsint: fera.n. à multis uix capi potest. Quomodo autẽ singulis quibuscunq; uti conueniat, ostendam.

De uenatione aprorũ. Primum igitur cum ad locum uenerint ubi eum esse conijciũt, canum gregem subducere oportet, & soluta una ex lacænis, reprimẽs alias cum cane circumeat: cum uestigia deprehẽderint indagãdo, sequatur deinceps quo tenor duxerit. Et aprum multa uenatoribus indicabunt, in mollibus locis uestigia, in syluosis ramorũ fragmenta, ubi arbores fuerint dentiũ uulnera. Canis uero ut plurimum ad syluosa indagando perueniet, quod in his locis fera plerunq; recũbit: nam hyeme calidiora sunt, æstate recentiora. Cum ad cubile peruenerint, latrat, ille autem surgere non solet. Sumat igitur canẽ, et ipsam cum alijs omnino procul à cubili religet, & sagenas ad diuortia tendat, laqueos inijciens ad syluæ truncos bicipites. Ipsius autem sagenæ lõgo producto sinu tibicines intrinsecus faciat, subiectis utrinq; ramis: et in sinũ per laqueos splen/

ξύλου σκοπούμενον, ὅπου ἂν φέρηται. ἔσται δὲ οὐκ ἄδηλον ἐπὶ τὸ πολύ. οἵ τε γὰρ λίθοι ἔσονται κεκινημένοι, τά τε ἐπισύρματα τοῦ ξύλου καταφανῆ ἐν τοῖς ἔργοις. ἐὰν δὲ τραχέας τόπους διαπερᾷ, αἱ πέτραι ἕξουσι τὸν φλοιὸν τοῦ ξύλου ἀφηρπασμένον, καὶ ἐπὶ τούτων ῥᾷους αἱ μεταδρομαὶ ἔσονται. ἐὰν μὲν οὖν τοῦ προσθίου ποδὸς ἁλῷ, ταχὺ ληφθήσεται. ἐν γὰρ τῷ δρόμῳ πᾶν τὸ σῶμα τύπτεται καὶ τὸ πρόσωπον. ἐὰν δὲ τοῦ ὄπισθεν, ἐφελκόμενον τὸ ξύλον, ἐμπόδιον ὅλῳ ἐστὶ τῷ σώματι. ἐνίοτε δὲ καὶ εἰς δικρόας τῆς ὕλης ἐμπίπτει φερόμενον, καὶ ἐὰν μὴ ἀπορρήξῃ τὴν σειρίδα, καταλαμβάνεται αὐτοῦ. χρὴ δ᾽ ἐὰν οὕτως ἁλῷ ἢ πεπονημένος πέσῃ, ἐὰν μὲν ᾖ ἄρρην, μὴ προσιέναι ἐγγύς. τοῖς γὰρ κέρασι παίει καὶ τοῖς ποσίν. ἄποθεν οὖν ἀκοντίζειν. ἁλίσκονται δὲ καὶ ἄνευ ποδοστράβης διωκόμεναι, ὅταν ᾖ ἡ ὥρα θερινή. ἀπαγορεύουσι γὰρ σφόδρα, ὥστε ἑστῶσαι ἀκοντίζονται. ῥιπτοῦσι δὲ καὶ εἰς τὴν θάλατταν ἐὰν κατέχωνται, καὶ εἰς τὰ ὕδατα ἀπορούμεναι, ὅτε δὲ διὰ δύσπνοιαν πίπτουσι. πρὸς δὲ τὸν ὗν τὸν ἄγριον κεκτῆσθαι κύνας ἰνδικάς, κρητικάς, λοκρίδας, λακαίνας, ἄρκυς, ἀκόντια, προβόλια, ποδοστράβας. πρῶτον μὲν οὖν χρὴ εἶναι τὰς κύνας ἐκ τούτου τοῦ γένους, μὴ τὰς ἐπιτυχούσας, ἵνα ἕτοιμαι ὦσι πολεμεῖν τῷ θηρίῳ. αἱ δὲ ἄρκυς λίνων μὲν τῶν αὐτῶν ὧνπερ αἱ τῶν λαγῳῶν, ἔστω δὲ πεντεκαιτετταρακοντάλινοι ἐκ τριῶν τόνων, ἕκαστος δὲ τόνος ἐκ πεντεκαίδεκα λίνων. ἀπὸ δὲ τοῦ κορυφαίου τὸ μέγεθος δεκάμματοι· τὸ δὲ βάθος τοῦ βρόχου πυγόνος· οἱ δὲ περίδρομοι ἡμιόλιοι τοῦ τῶν ἀρκύων πάχους. ἐπ᾽ ἄκροις δὲ δακτυλίους ἐχέτωσαν. ὑφείσθωσαν δ᾽ ὑπὸ τοὺς βρόχους. τὸ δὲ ἄκρον αὐτῶν ἐκπεράτω ἔξω διὰ τῶν δακτυλίων. ἱκαναὶ δὲ πεντεκαίδεκα. τὰ δὲ ἀκόντια ἔστω παντοδαπά, ἔχοντα τὰς λόγχας εὐπλατεῖς, καὶ ξυρήκεις. ῥάβδους δὲ στιφράς. τὰ δὲ προβόλια πρῶτον μὲν λόγχας ἔχοντα. τὸ μὲν μέγεθος πεντεπαλαίστους. κατὰ δὲ μέσον τὸν αὐλὸν κνώδοντας ἀποκεχαλκευμένους στιφρούς, καὶ τὰς ῥάβδους κρανέας δορατοπαχεῖς. αἱ δὲ ποδοστράβαι ὅμοιαι ταῖς τῶν ἐλάφων. συγκυνηγέται δ᾽ ἔστωσαν. τὸ γὰρ θηρίον μόλις καὶ ὑπὸ πολλῶν ἁλίσκεται. ὅπως δὲ δεῖ τούτων ἑκάστῳ χρῆσθαι πρὸς θήραν, διδάξω. πρῶτον μὲν οὖν χρὴ ἐλθόντας, οὗ ἂν οἴωνται εἶναι, ὑπάγειν τὸ κυνηγέσιον, λύσαντας μίαν τῶν κυνῶν τῶν λακαινῶν. τὰς δ᾽ ἄλλας ἔχοντας δεδεμένας, συμπεριιέναι τῇ κυνί. ἐπειδὰν δὲ λάβῃ αὐτοῦ τὰ ἴχνη, ἕπεσθαι ἑξῆς τῇ ἰχνευούσῃ, ἑπομένους ἀκολουθίᾳ. ἔσται δὲ καὶ τοῖς κυνηγέταις πολλὰ δῆλα αὐτοῦ, ἐν μὲν τοῖς μαλακοῖς τῶν χωρίων τὰ ἴχνη. ἐν δὲ τοῖς λασίοις τῆς ὕλης κλάσματα. ὅπου δ᾽ ἂν δένδρα ᾖ, πληγαὶ τῶν ὀδόντων. ἡ δὲ κύων ἐπὶ τὸ πολὺ ἀφίξεται τόπον ὑλώδη ἰχνεύουσα. κατακλίνεται γὰρ τὸ θηρίον ὡς ἐπὶ τὸ πολὺ εἰς τοιαῦτα. τοῦ μὲν γὰρ χειμῶνος ἐστὶν ἀλεεινά· τοῦ δὲ θέρους ψυχεινά. ἐπειδὰν δ᾽ ἀφίκηται ἐπὶ τὴν εὐνὴν ὑλακτεῖ. ὁ δ᾽ οὐκ ἀνίσταται ὡς τὰ πολλά. λαβόντας οὖν τὴν κύνα καὶ ταύτην μετὰ τῶν ἄλλων δῆσαι ἄποθεν ἀπὸ τῆς εὐνῆς πολὺ καὶ εἰς τοὺς ὅρμους ἐμβάλλεσθαι τὰς ἄρκυς ἐπιβάλλοντας τοὺς βρόχους ἐπὶ ἀποσχαλιδώματα τῆς ὕλης δικρά. τῆς δὲ ἄρκυος αὐτῆς μακρὸν προβάλλοντας κόλπον ποιεῖν ἀντηρίδας ἔνδοθεν ἑκατέρωθεν ὑφιστάντας κλῶνας, ὅπως ἂν εἰς τὸν κόλπον διὰ τῶν βρόχων αἱ

αὐγαὶ

αὐταῖς τοῦ φέγγους ὡς μάλιστα ἐνέχωσιν, ἵνα προσθέοντι ὡς φανότατον ᾖ τὸ ἔσω, καὶ τὸν περίδρομον ἐξάπτειν ἐκ δένδρου, ἰσχυροῦ, καὶ μὴ ἐκ ῥάχου. τυγχάνουσι γὰρ ἐν τοῖς ψιλοῖς αἱ ῥάχοι. ὑπὲρ δὲ ἑκάστης ἐμφράττειν τῇ ὕλῃ καὶ τὰ δύσορμα, ἵνα εἰς τὰς ἄρκυς ποιῆται τὸν δρόμον, καὶ μὴ ἐξαλλάττῃ. ἐπειδὰν δὲ στῶσιν, ἐλθόντας πρὸς τὰς κύνας, λῦσαι ἁπάσας, καὶ λαβόντας τὰ ἀκόντια καὶ τὰ προβόλια, προϊέναι. ἐγκελεύειν δὲ ταῖς κυσὶν ἕνα τὸν ἐμπειρότατον, τοὺς δὲ ἄλλους ἕπεσθαι κοσμίως ἀπολειπομένους ἀπ' ἀλλήλων πολύ, ὅπως ἂν ᾖ αὐτῷ ἱκανὴ διαδρομή. ἐὰν γὰρ ὑποχωρῶν ἐμπέσῃ εἰς πυκνούς, κίνδυνος πληγῆναι. ᾧ γὰρ ἂν προσπέσῃ εἰς τοῦτον τὴν ὀργὴν καταθήσεται. ἐπειδὰν δ' αἱ κύνες ἐγγὺς ὦσι τῆς εὐνῆς ἐπιοῦσι. θορυβούμενος δ' ἐξαναστήσεται, καὶ ἥτις ἂν τῶν κυνῶν, προσφέρηται αὐτῷ, πρὸς τὸ πρόσωπον ἀναρρίψει. θέων δ' ἐμπεσεῖται· ἐὰν δὲ μή, μεταθεῖν ἀνάγκη. καὶ ἐὰν μὲν ᾖ τὸ χωρίον καταφερὲς ἐν ᾧ ἂν ἔχῃ αὐτὸν ἡ ἄρκυς, ταχὺ ἐξαναστήσεται. ἐὰν δὲ ἄπεδον, εὐθὺς ἑστήξεται περὶ αὐτὸν ἔχων. ἐν τούτῳ δὲ τῷ καιρῷ αἱ μὲν κύνες προσκείσονται. αὐτοὺς δὲ χρὴ φυλαττομένους αὐτῷ ἀκοντίζειν, καὶ λίθοις βάλλειν περιισταμένους ὄπισθεν, καὶ πολὺ ἄποθεν, ἕως ἂν κατατείνῃ προωθῶν αὐτὸν τῆς ἄρκυος τὸν περίδρομον. ἔπειτα ὅστις ἂν ᾖ τῶν παρόντων ἐμπειρότατος καὶ ἐγκρατέστατος, προσελθόντα ἐκ τοῦ πρόσθεν, τῷ προβολίῳ παίειν. ἐὰν δὲ μὴ βούληται ἀκοντιζόμενος καὶ βαλλόμενος κατατεῖναι τὸν περίδρομον, ἀλλ' ἐπανιεὶς ἔχῃ πρὸς τὸν προσιόντα περιδρομὴν ποιούμενος ἀνάγκη. ὅταν οὕτως ἔχῃ λαβόντα τὸ προβόλιον, προσιέναι. ἔχεσθαι δ' αὐτοῦ τῇ μὲν χειρὶ τῇ ἀριστερᾷ πρόσθεν, τῇ δ' ἑτέρᾳ ὄπισθεν. κατορθοῖ γὰρ ἡ μὲν ἀριστερὰ αὐτοῦ. ἡ δὲ δεξιὰ ἐπεμβάλλει. ἔμπροσθεν δὲ ὁ πούς ὁ μὲν ἀριστερὸς ἑπέσθω τῇ χειρὶ τῇ ὁμωνύμῳ. ὁ δὲ δεξιὸς τῇ ἑτέρᾳ. προσιόντα δὲ προβάλλεσθαι τὸ προβόλιον μὴ πολλῷ μείζω διαβάντα, ἢ ἔμπαλιν ἐπιστρέφοντα, τὰς πλευρὰς τὰς εὐωνύμους, ἐπὶ τὴν χεῖρα τὴν εὐώνυμον, εἶτα εἰσβλέποντα εἰς τὸ ὄμμα τοῦ θηρίου ἐνθυμούμενον τὴν κίνησιν τὴν ἀπὸ τῆς κεφαλῆς τῆς ἐκείνου. προσφέρειν δὲ τὸ προβόλιον, φυλαττόμενον, μὴ ἐκκρούσῃ ἐκ τῶν χειρῶν τῇ κεφαλῇ ἐκνεύσας. ἡ γὰρ ῥύμη τῆς ἐκκρούσεως ἕπεται. παθόντα δὲ τοῦτο πίπτειν δεῖ ἐπὶ στόμα, καὶ ἔχεσθαι τῆς ὕλης κάτωθεν. τὸ γὰρ θηρίον ἐὰν μὲν οὕτως ἔχον προσπέσῃ διὰ τὴν σιμότητα τῶν ὀδόντων, τὸ σῶμα οὐ δύναται ὑπολαβεῖν. ἐὰν δὲ μετεώρῳ, ἀνάγκη πληγῆναι. πειρᾶται μὲν οὖν μετεωρίζειν. ἐὰν δὲ μὴ δύνηται, ἀμφιβὰς πατεῖ. ἀπαλλαγὴ δὲ τούτων μία ἐστὶ μόνη, ὅταν ἐν τῇ ἀνάγκῃ ταύτῃ ἔχηται, προσελθόντα ἐγγὺς τῶν συγκυνηγετῶν ἕνα, ἔχοντα προβόλιον ἐρεθίζειν ὡς ἀφήσοντα. ἀφιέναι δὲ οὐ χρή, μὴ τύχῃ τοῦ πεπτωκότος. ὅταν δὲ ἴδῃ τοῦτο, καταλιπὼν ὃν ἂν ἔχῃ ὑπ' αὐτῷ, ἐπὶ τὸν ἐρεθίζοντα ὑπ' ὀργῆς καὶ θυμοῦ ἐπιστρέψεται. τὸν δὲ ταχὺ ἀναπηδᾶν. τὸ δὲ προβόλιον μεμνῆσθαι ἔχοντα ἀνίστασθαι. οὐ γὰρ καλὴ ἡ σωτηρία ἄλλως, ἢ κρατήσαντι. προσφέρειν δὲ πάλιν τὸν αὐτὸν τρόπον καὶ προθεῖναι ἐντὸς τῆς ὠμοπλάτης ᾗ ἡ σφαγή, καὶ ἀντερείσαντα ἔχειν ἐρρωμένως. ὁ δ' ὑπὸ τοῦ μένους πρόεισι, καὶ εἰ μὴ κωλύοιεν οἱ κνώδοντες τῆς λόγχης, ἀφίκοιτ' ἂν διὰ τῆς

ῥάβδου

splendor lucis prorsus insistat, & currenti pars interior perquam lucidißima sit. Plagam ab arbore ualidam religet, non a stipite: stipites enim nudis in locis inueniuntur. Vtrinque uerò arborum ramis claudat ea etiam quæ facilè adiri non possunt ut in retia cursum nusquam declinans intendat. Cum retia tetenderit, ad canes redeant, omnesq; soluant, & iaculis uenabulisq; sumptis procedant: sed canes aliquis hortetur qui peritißimus sit, reliqui deinceps sequantur magnis interuallis alius ab alio distantes, ut peritus feræ discursus late satis pateat. Nam si excedens in confertos inciderit, periculum est ut sauciantur: & in quemcunque irruerit, in hunc iram excitet. Sed canes cum iam cubili propius fuerint, impetum faciunt: ille perturbatus exurgit, & quæcunque e[x] fronte inuaserit, ea retrudit. Irruet autem cursu, alioquin necesse est transcurrere. Et si præceps fuerit locus in quo eum sagenæ detinent, statim exurget: si planus, ab initio stabit ibidem inhærens: incumbent tum uero canes. Ipsos autem uenatores oportet intentos in eum tela conijcere, & circumuenientes à tergo lapides mittere, donec illatus plagam retis intenderit. Tum eorum qui adsunt peritißimus uenabulo progressus à fronte percutiat. Quod si petitus ictusq; telis plagam intendere noluerit, sed inuadentem conuersus occursando institerit: hoc ubi contigerit, necesse est sumpto uenabulo accedere, & manibus in eum procumbere, læua anteriore, dextra posteriore: nam telum sinistra dirigit, dextra urget. Pedes autem manus sequantur, læuus leuam, dexter dexteram, & accedens uenabulum obijciat latera læua prætergrediendo, non multò plus quàm leuorsum regrediendo, tum feræ frontem inspiciat, capitis illius motum obseruans, & uenabulum porrigat prouidus, ne capite rotato de manibus excutiat. Is enim impetus fit qui excutere poßit: hoc si cui contigerit, pronus in ora cadat oportet, & uirgulta humiliora comprehendat: nam si hoc modo inhærens procubuerit, fera præ incuruitate dentium corpus adipisci non potest: quòd si steterit, saucieri necesse est. Itaque illud attollere tentat: quod si nequiuerit, obambulans proteret. Huius autem rei liberatio una tantum superest: cum in hac angustia deprehensus fuerit, tum ex comitibus aliquis cum uenabulo accedens, illum irritet deserturo similis. Deserere autem nusquam oportet, ne iacentem opprimat: hoc ille ubi animaduerterit, omisso eo quem premebat, contra irritantem præ ira & furore conuertitur. Hic autem celeriter exiliat, memor cum uenabulo exurgendum esse: nam nisi uincenti salus honesta non est: & rursus inuadat sicut antea, ferrumque inter scapulas dirigat, qua parte iugulum est, & obnixus acriter inhæreat. Ille furens prouolat, & nisi lanceæ dentalia prohiberent, per

Hb hastile

Dentes aprorum cū irritantur feruent.

hastile se trudens ad eum ueniret qui uenabulum tenet. Adeo autem magna uis eius est, ut ipsi etiam ea insint quæ nemo putaret: quippe eius recenter occisi dentes adeo feruent, ut crines si quis admouerit, exurant. Nam uiuentis si quando irritantur, ignescunt: quod nisi ita esset, summos canum uillos cum corpus ab ictu declinant, non incenderēt. Et mas quidem tanto in uorijs etiam labore capitur. At fœminam si ea inciderit in cursu petat, obseruans ne retrusus cadat: quod si contigerit, proteratur necesse est, ac mordeatur. Non est igitur sponte cadendum: sed si quis huc peruenerit inuitus, ei non aliter surgendum est, q̃ qui sub masculo ceciderit: exurgens aūt, uenabulo percutiat oportet, quoad eam occiderit. Sed capiuntur hoc etiam modo: Retia illis in transitu saltuum ponuntur, ad nemora, ad ualles, ad cliuos. Insultus uerò fiunt in agros, in paludes, in aquas. Qui iussus est, retia cum uenabulo seruat: alij canes agunt, optima quæq; locorum scrutantes, & cumprimum inuentus fuerit, agitatur: sed si in casses præcipitat, retium custos accedat sumpto uenabulo, & utatur quemadmodum docimus: si non præcipitat, currendum est. Capitur etiam dum medio æstu premitur canibus. Nam licet uiribus præstet, præ nimio tamen anhelitu fatiscit. Pereunt autem multæ in eiusmodi uenatione canes: quinetiam uenatores ipsi periclitantur. Sed ubi cursu fatigatum uenabulo petere coguntur, siue in aqua, siue in rupis recessu fuerit siue ex opaco exire noluerit: nam nec rete illum, nec aliud quicquam prohibet cominus cum appropinquante congredi: ueruntamen cum ita se continuerit, adeundum est, ut magnitudo animi, cuius gratia hanc laboris uoluptatem delegerunt, declaretur: utendum est uenabulo & insultibus corporis, ut dictum est: nam sic quandoque etiam capi contingit. Ponuntur uero ipsis tendiculæ in eisdem locis sicut & ceruis. Obseruationes eædem sunt, & cursus, & aditus, & usus uenabuli. Catulos uero earum capi uix contingit: neq; enim ab eis discedunt quatenus adulti fuerint: & cum eos canes inuenerint, uel aliquid ipsi præsenserint, statim se abdunt in syluas, & sequuntur ipsæ ubicunque fuerint: quo tempore sæuiores sunt, & pro illis acrius quàm pro seipsis pugnant.

De uenatione leonum, pardorum, lyncū, pantherarū, & ursorum.

At leones, pardi, lynces, pantheres, ursi, & aliæ quæcunque eiusmodi feræ, in locis externis capiuntur circa Pangæum montem, & Cittum supra Macedoniam: aliæ in Olympo, Mysio & Pindo: aliæ in Nysa supra Syriam, & ad alios montes quotquot idonei sunt generis huius animalia nutrire. Capiuntur uerò partim in montibus aconitico ueneno, propter asperitatem regionis. Hoc autem ea re miscētes qua quæque delectatur fera, uenatores illis obijciunt secus aquas, & si quid aliud adire consueuerint: partim etiam quæ noctu in plana descendunt, equis & armis interclusæ, nec sine uenatorum discrimine capiuntur. Sunt quibus & foueas latas in orbem ducūt, in medio relinquentes profundā terræ

columnam

ῥάβδον, προσβαίνων αὐτὴν πρὸς τὸ προβόλιον ἔχοντα. ὅτῳ δὲ πολλὴ ἡ δύναμίς ἐστιν αὐτοῦ, ὥστε καὶ ἃ οὐκ ἂν οἴοιτό τις πρόσεστιν αὐτῷ. τεθνεῶτος γὰρ εὐθὺς ἐάν τις ἐπὶ τὸν ὀδόντα ἐπιθῇ τρίχας, συντρέχουσιν. οὕτως εἰσὶ θερμοί. ζῶντι δὲ διάπυροι, ὅταν ἐρεθίζηται. οὐ γὰρ ἂν τῶν κυνῶν ἁμαρτάνων τῇ πληγῇ τοῦ σώματος, ἄκρα τὰ τριχώματα περιεπίμπρα. ὁ μὲν οὖν ἄρρην τοσαῦτα καὶ ἔτι πλείω πράγματα παρασχὼν ἁλίσκεται. ἐὰν δὲ θήλεια ᾖ ἡ ἐμπεσοῦσα, ἐπιθέοντα παίειν φυλαττόμενον μὴ ὠσθεὶς πέσῃ, παθόντα δὲ τοῦτο πατεῖσθαι ἀνάγκη καὶ δάκνεσθαι. ἑκόντα οὖν οὐ χρὴ ὑποπίπτειν, ἐὰν δὲ ἄκων ἔλθῃ εἰς τοῦτο, διαναστάσεις γίγνονται αἱ αὐταί, ὥσπερ ὑπὸ τοῦ ἄρρενος. ἐξαναστάντα δὲ δεῖ παίειν τῷ προβολίῳ, ἕως ἂν ἀποκτείνῃ. ἁλίσκονται δὲ καὶ ὧδε. ἵστανται μὲν αὐτοῖς αἱ ἄρκυς ἐπὶ τὰς διαβάσεις τῶν ναπῶν εἰς τοὺς δρυμούς, τὰ ἄγκη, τὰ τραχέα. εἰσβολαὶ δὲ εἰς τὰς ὀργάδας καὶ τὰ ἕλη καὶ τὰ ὕδατα. ὁ δὲ τεταγμένος ἔχων τὸ προβόλιον φυλάττει τὰς ἄρκυς. οἱ δὲ τὰς κύνας ἐπάγουσι τοὺς τόπους ζητοῦντες τοὺς καλλίστους. ἐπειδὰν δὲ εὑρεθῇ, διώκεται. ἐὰν οὖν εἰς τὴν ἄρκυν ἐμπίπτῃ, τὸν ἀρκυωρὸν ἀναλαβόντα τὸ προβόλιον, προσιέναι καὶ χρῆσθαι ὡς εἴρηκα· ἐὰν δὲ μὴ ἐμπέσῃ, μεταθεῖν. ἁλίσκεται δὲ καὶ ὅταν ᾖ πνῖγος διωκόμενος ὑπὸ τῶν κυνῶν. τὸ γὰρ θηρίον καίπερ ὑπερβάλλον δυνάμει, ἀπαγορεύει ὑπέρασθμον γιγνόμενον. ἀποθνήσκουσι δὲ κύνες πολλαὶ ἐν τῇ τοιαύτῃ θήρᾳ, καὶ αὐτοὶ οἱ κυνηγέται κινδυνεύουσιν. ὅταν δ' ἐν ταῖς μεταδρομαῖς ἀπειρηκότι, ἀναγκάζωνται προσιέναι τὰ προβόλια, ἢ ἐν ὕδασιν ὄντι, ἢ ἀφεστῶτι πρὸς ἀποκρήμνῳ, ἢ ἐκ δασέος μὴ θέλοντι ἐξιέναι. οὐ γὰρ κωλύει αὐτὸν οὔτε ἄρκυς, οὔτε ἄλλο οὐδὲν φέρεσθαι ὁμόσε τῷ πλησιάζοντι. ὅμως μέντοι προσιτέον ὅταν ἔχῃ οὕτως, καὶ ἐπιδεικτέον τὴν εὐψυχίαν δι' ἣν εἵλοντο ἐκπονεῖν τὴν ἐπιθυμίαν ταύτην. χρηστέον δὲ τῷ προβολίῳ καὶ ταῖς προβολαῖς τοῦ σώματος ὡς εἴρηται. εἰ γάρ τι καὶ πάσχοι, οὐκ ἂν διά γε τὸ ὀρθῶς ποιεῖν πάσχοι. ἵστανται δὲ αἱ ποδοστράβαι αὐτοῖς, ὥσπερ τοῖς ἐλάφοις ἐν τοῖς αὐτοῖς τόποις, καὶ ἐπισκέψεις αἱ αὐταὶ καὶ μεταδρομαὶ καὶ αἱ πρόσοδοι, καὶ αἱ χρεῖαι τοῦ προβολίου. τὰ δὲ νεογνὰ αὐτῶν ὅταν ἁλίσκηται, χαλεπῶς τοῦτο πάσχει, οὔτε γὰρ μονοῦται ἕως ἂν μικρὰ ᾖ. ὅταν τε αἱ κύνες εὕρωσιν ἢ προΐδῃ τι, ταχὺ εἰς τὴν ὕλην ἀφανίζεται, ἕπονταί τε ἐπὶ τὸ πολύ, ὧν ἂν ὦσιν ἀμφότεροι χαλεποὶ ὄντες τότε, καὶ μᾶλλον μαχόμενοι ὑπὲρ ἐκείνων ἢ ὑπὲρ αὐτῶν. λέοντες δέ, παρδάλεις, λύγκες, πάνθηρες, ἄρκτοι, καὶ τἆλλα ὅσα ἐστὶ τοιαῦτα θηρία, ἁλίσκεται ἐν ξέναις χώραις, περὶ τὸ πάγγαιον ὄρος, καὶ τὸν κιττὸν τὸν ὑπὲρ τῆς μακεδονίας. τὰ δ' ἐν τῷ ὀλύμπῳ τῷ μυσίῳ, καὶ ἐν πίνδῳ. τὰ δ' ἐν τῇ νύσῃ τῇ ὑπὲρ τῆς συρίας καὶ πρὸς τοῖς ἄλλοις ὄρεσιν, ὅσα οἷά τ' ἐστὶ τρέφειν τοιαῦτα. ἁλίσκεται δὲ τὰ μὲν ἐν τοῖς ὄρεσιν φαρμάκῳ διὰ δυσχωρίαν ἀκονιτικῷ. παραβάλλουσι δὲ τοῦτο οἱ θηρώμενοι συμμιγνύντες εἰς τὸ αὐτό, ὅτῳ ἂν ἕκαστον χαίρῃ περὶ τὰ ὕδατα, καὶ πρὸς ὅτι ἂν ἄλλο προσῇ. τὰ δὲ αὐτῶν καταβαίνοντα εἰς τὸ πεδίον τῆς νυκτός, ἀποκλεισθέντα, μετὰ ἵππων καὶ ὅπλων ἁλίσκεται εἰς κίνδυνον καθιστάντα τοὺς αἱροῦντας. ἔστι δὲ οἷς αὐτῶν καὶ ὀρύγματα ποιοῦσι, περιφερῆ μεγάλα, βαθέα ἐν μέσῳ, λείποντες

κίονα

κίονα τῆς γῆς. ἐπὶ δὲ τοῦτον εἰς νύκτα ἐπιθέντες δήσαντες τὴν αἶγα, καὶ ἔφραξαν κύκλῳ τὸ ὄρυγμα ὕλῃ, ὥστε μὴ προορᾶν, εἴσοδον οὐ λείποντες, τὰ δὲ ἀκούοντα τῆς φωνῆς ἐν τῇ νυκτὶ κύκλῳ τὸν φραγμὸν περιθέουσι, καὶ ἐπειδὰν μὴ εὑρίσκῃ δίοδον, ὑπερπηδᾷ καὶ ἁλίσκεται. περὶ μὲν αὐτῶν τῶν πράξεων τῶν ἐν τοῖς κυνηγεσίοις ἀρκεῖ. ὠφελήσονται δ' οἱ ἐπιθυμήσαντες τούτου τοῦ ἔργου πολλά. ὑγίειαν τε γὰρ τοῖς σώμασι παρασκευάζουσι, καὶ ὁρᾶν καὶ ἀκούειν μᾶλλον, γηράσκειν δὲ ἧττον. τὰ δὲ πρὸς τὸν πόλεμον μάλιστα παιδεύει. πρῶτον μὲν τὰ ὅπλα ὅταν ἔχοντες πορεύωνται ὁδοὺς χαλεπάς, οὐκ ἀπεροῦσιν, ἀνέξονται γὰρ τοὺς πόνους διὰ τὸ εἰθίσθαι μετὰ τούτων αἱρεῖν τὰ θηρία. ἔπειτα εὐνάζεσθαί τε σκληρῶς δυνατοὶ ἔσονται, καὶ φύλακες εἶναι ἀγαθοὶ τοῦ ἐπιταττομένου, ἐν δὲ ταῖς προσόδοις ταῖς πρὸς τοὺς πολεμίους, ἅμα οἷοί τε ἔσονται ἐπιέναι, καὶ τὰ παραγγελλόμενα ποιεῖν, διὰ τὸ οὕτω καὶ αὐτοὶ αἱρεῖν τὰς ἄγρας. ταττόμενοι δ' ἐν τῷ πρόσθεν, οὐ λείψουσι τὰς τάξεις διὰ τὸ καρτερεῖν δύνασθαι. ἐν φυγῇ δὲ τῶν πολεμίων ὀρθῶς καὶ ἀσφαλῶς διώξονται τοὺς ἐναντίους, ἐν παντὶ χωρίῳ διὰ τὸ συνήθειαν. δυστυχήσαντος δὲ οἰκείου στρατοπέδου, ἐν χωρίοις ὑλώδεσι καὶ ἀποκρήμνοις, ἢ ἄλλοις χαλεποῖς οἷοί τ' ἔσονται αὐτοί τε σῴζεσθαι μὴ αἰσχρῶς καὶ ἑτέρους σῴζειν. ἡ γὰρ συνήθεια τοῦ ἔργου, παρέξει αὐτοῖς πλέον τι εἰδέναι. καὶ ἤδη τινὲς τῶν τοιούτων πολλοῦ ὄχλου συμμάχων τραπέντος, τῇ αὐτῶν εὐεξίᾳ καὶ θράσει διὰ δυσχωρίαν ἁμαρτόντας τοὺς πολεμίους νενικηκότας ἀναμαχόμενοι ἐτρέψαντο. ἀεὶ γὰρ ἔστι τοῖς τὰ σώματα καὶ τὰς ψυχὰς εὖ ἔχουσιν, ἐγγὺς εἶναι τοῦ εὐτυχεῖν. εἰδότες δὲ καὶ οἱ πρόγονοι ἡμῶν, ὅτι ἐντεῦθεν εὐτύχουν πρὸς τοὺς πολεμίους, τῶν νέων ἐπιμέλειαν τῶν νέων ἐποιήσαντο. σπανίζοντες γὰρ καρπῶν ἐξ ἀρχῆς ἐνόμισαν ὅμως τοὺς κυνηγέτας μὴ κωλύειν, διὰ τὸ μηδὲν τῶν ἐν τῇ γῇ φυομένων ἀγρεύειν. πρὸς δὲ τούτῳ μὴ νυκτερεύειν ἐντὸς πολλῶν σταδίων, ἵνα μὴ ἀφαιροῖντο τὰς θήρας αὐτῶν οἱ ἔχοντες ταύτην τὴν τέχνην. ἑώρων γὰρ ὅτι τῶν νέων ἡ ἡδονὴ μόνη αὕτη, πλεῖστα ἀγαθὰ παρασκευάζει. σώφρονάς τε γὰρ ποιεῖ καὶ δικαίους διὰ τὸ ἐν τῇ ἀληθείᾳ παιδεύεσθαι. τά τε τοῦ πολέμου διὰ τῶν τοιούτων εὐτυχοῦντας ᾐσθάνοντο, τῶν τε ἄλλων ἅ τι βούλονται ἐπιτηδεύειν καλῶν, οὐδενὸς ἀποστερεῖ, ὥσπερ αἱ ἕτεραι κακαὶ ἡδοναί, ἃς οὐ χρὴ μανθάνειν. ἐκ τῶν τοιούτων οὖν στρατιῶταί τε ἀγαθοὶ καὶ στρατηγοὶ γίγνονται. ὧν γὰρ οἱ πόνοι τὰ μὲν αἰσχρὰ καὶ ὑβριστικὰ ἐκ τῆς ψυχῆς καὶ τοῦ σώματος ἀφαιροῦνται, ἐπιθυμίαν δ' ἀρετῆς ἐγκύκλωσαν, οὗτοι ἄριστοι. οὐ γὰρ ἂν περιίδοιεν οὔτε τὴν πόλιν τὴν ἑαυτῶν ἀδικουμένην, οὔτε τὴν χώραν πάσχουσαν κακῶς. λέγουσι δέ τινες, ὡς οὐ χρὴ ἐρᾶν κυνηγεσίων, ἵνα μὴ τῶν οἰκείων ἀμελῶσιν, οὐκ εἰδότες ὅτι τὰς πόλεις καὶ τοὺς φίλους εὖ ποιοῦντες, πάντες τῶν οἰκείων ἐπιμελέστεροί εἰσιν. εἰ οὖν οἱ φιλοκυνηγέται παρασκευάζουσιν αὑτοὺς τῇ πατρίδι χρησίμους εἶναι εἰς τὰ μέγιστα, οὐδ' ἂν τὰ ἴδια προΐοιντο. σὺν γὰρ τῇ πόλει καὶ σῴζεται καὶ ἀπόλλυται τὰ οἰκεῖα ἑκάστου, ὥστε πρὸς τοῖς αὑτῶν καὶ τὰ τῶν ἄλλων ἰδιωτῶν οἱ τοιοῦτοι σῴζουσι. πολλοὶ δὲ αὐτῶν φθόνου ἀλόγιστοι τῶν ταῦτα λεγόντων αἱροῦνται διὰ τὴν αὑτῶν κακίαν ἀπόλλυσθαι μᾶλλον, ἢ ἑτέρων ἀρετῇ σῴζεσθαι.

αἱ

columnam, cui capram sub noctis tempus religatam superponunt, & foueam ramis circum sepiunt, ne uideri possit, nullo aditu relicto. Illae audita per noctē uoce saepe obambulant, & ubi transitum non inuenerint, transiliunt, & capiuntur.

Hactenus de his quae in uenatione geruntur, cuius studio dediti magnam ex eo utilitatem capient. Nam corporib. bonā ualetudinē comparant, hinc uident audiuntq; magis, senescunt minus. Haec ad bellum praecipuè instituit. Primò quidem si uias iniquas sub armis ambulant, minus lassantur: nā labores sustinent, quib. feras capere consueuerūt. Deinde poterunt humi iacentes quiescere, ad Imperatoris edictum praesto esse. In adeundis hostibus inuadere simul & imperata facere, cum feras ipsi hoc modo uenentur. Nec uero in fronte locati deserunt acies, quia paratissimi sunt. At in hostium fuga ubique illos propter locorum peritiam rectè ac tuto persequuntur. Quod si exercitus suus infeliciter pugnauerit, in syluosis, abruptis, iniquisq; alijs locis, seipsos cum caeteris non turpiter saluare poterunt. Nam consuetudo uenandi nonnihil eos peritiores reddit. Et hi plerunque, magna commilitonum turba fugiente, uictores hostes propter locorum difficultatem errantes, suo ipsi robore & audacia repugnando terga dare coēgerunt: nam FORTUNA FERE CORPORIS ET ANIMI FORTITUDINEM COMITATUR. Quod cum maiores nostri cognoscerent, hinc rem aduersus hostes bene geri, studium hoc iuuenum instituerunt. Nam cum ab initio frugum penuria laborarent, uenatores tamen non prohibere sanxerunt, quia uidelicet nihil eorum uenantur quae de terra gignuntur: quinetiam intra multa eos stadia non pernoctare, ne huius artis periti homines sua ipsos uenatione priuarent: uidebant enim hanc unam eorum uoluptatem iunioribus bona multa comparare, cum modestos eos faciat & iustos, quod procul à dolo erudiantur, & res bellicas per hanc sibi succedere intelligebant: quae, si quid aliud honestum exercere uelint, nihil impediat, sicut paruae aliae uoluptates quae discendae non sunt. Hinc igitur boni milites, boni imperatores euadunt: nam illorum ex animis, corporibus, labor turpitudinem & contumeliam expellit: contrà uerò cupiditatem uirtutis ingenerat. Hi optimi sunt: quippe qui nec patriae iniuriam inferri, nec regionem suam male pati sinerent. Dicunt uerò nonnulli, uenationibus delectari non oportere, ne rem familiarem negligant, nescientes qui de republica & amicis bene merentur, eos omnes rei familiaris diligentiores esse. Quod si studiosi uenationis ita se comparant, ut patriae utilissimi sint, hi certe nec priuata neglexerint: nam sua cuiusque unà cum republica seruantur, & pereunt. Itaq; priuatas res suas & aliorum pariter tales uiri conseruant. Sed eorū multi qui haec sine ratione dicunt, prae inuidia deligunt suo ipsorum uitio perire magis, quàm aliorum uirtute saluari.

Hortatio ad uenationem cum insectatione sophistarum.

Nam uoluptates multæ sunt & prauæ, quibus uicti peiora dicere uel facere compelluntur: deinde ex inanibus dictis odia sibi comparant: ex improbis facinoribus morbos, damna, mortes: nec sibi solum, sed liberis quoque & amicis, qui sine sensu malorum suorum uoluptates prius etiam quàm cæteri sentiunt: quibus hominibus ad salutem rei publicæ quis uteretur? Verùm eiusmodi mala nemo nō abhorret, his delectatus quæ nos admonemus. Honesta enim educatio docet uti legib. dicere de reb. iustis & audire. Quo fit, ut qui nunquā ad aliquod negociū niti & institui recusant, & sibiipsis doctrinā laboriosāq; studia uendicent, suæ uero reipublicæ salutem. Qui uerò non in labore doceri, sed in uoluptatib. importunis degere uolunt, hi natura pessimi, qui nec legibus, nec recte dictis obediunt. Nam quia laborem nesciunt, qualem uirum bonum esse oporteat nō inueniūt. Itaq; nec religiosi esse possunt, nec sapientes: & quia indoctis utuntur, doctis plurimū conuiciantur. Per hos igitur nihil bene cedit: per meliores cōmoda omnia hominib. parantur. Meliores aūt sunt qui laborem amplectuntur: quod ita esse magno probatur exemplo. Nam ueteres, quorū memoriam feci, ab ineūte ætate uenationes apud Chironem meditati, multa & honesta didicerunt: ex quibus magna illis uirtus accessit, quæ ipsos nunc etiam admirandos facit. Hanc quidem omnes plane amant, sed quia per laborem quæritur, multi eam deserūt: nam adipiscēdi ratio dubia, in adipiscēdo labores manifesti sunt. Quod si uirtus quasi corpus perspici posset, homines eam minus fortasse negligerēt: quia sicut à se illam, ita se ab illa uideri intelligerēt. Quilibet enim cū ab amato uidetur, seipso melior existit: nam nec turpia, nec indecora dicit aut facit, ne ab illo uideatur. Nunc uerò probra multa & flagitia palam admittunt, quòd se à uirtute uideri nō putant, cum etiā eā ipsi minime perspiciāt. Illa uerò ubiq; adest. nā immortalis est: et ut quisq; erga se fuerit, honore bonos, ignominia malos afficit. Quod si ab ea se cōspici noscēt, labores atq; doctrinā quibus illa percipitur, adirēt, ut ipsam acquirerēt. Miror aūt nō nullos qui sophistæ uocantur, quod se iuuenes ad uirtutem prouehere dicāt, quos ab ea prorsus auertūt. Nam hominē nusquam uidimus, quem hi sophistæ bonum fecerint, cum nec literas quidem tradāt, ex quibus bonos euadere oporteat. Sed ab his multa de inanib. rebus cōscripta sunt, ubi nō uirtus inest sed uoluptates iuniorib. inutiles: quinetiam discendi cupidos in his frustra uersari faciunt, & à rebus alijs utilibus prohibent, atque ea docent quæ parum honesta sunt. Vitia igitur eorum maiora magis uitupero: scripta uerò, quod uerba illis exquisita sunt: rectæ sententiæ, quibus iuniores ad uirtutem instituerētur, nullatenus. Equidē uulgaris homo sum, scio tamen primū esse, ab ipsa natura, id quod bonū est perdiscere: proximum, ab his potius qui uerè boni scientiam tenent, quàm ab alijs qui fallendi artem possident.

αἱ γὰρ ἡδοναὶ αἱ πολλαὶ καὶ κακαὶ, ὧν ἡττώμενοι ἢ λέγειν ἢ πράττειν ἐπαίρονται τὰ χείρω, εἶτα ἐκ μὲν τῶν ματαίων λόγων ἔχθρας ἀναιροῦνται, ἐκ δὲ τῶν κακῶν ἔργων νόσους, καὶ ζημίας, καὶ θανάτους. καὶ αὐτῶν, καὶ παίδων, καὶ φίλων ἀναισθήτως μὲν τῶν κακῶν ἔχοντες. τῶν δὲ ἡδονῶν πλέον τῶν ἄλλων αἰσθανόμενοι, ὥστε τίς ἂν χρήσαιτο πόλεως σωτηρίαν; τούτων μέντοι τῶν κακῶν οὐδεὶς ὅστις οὐκ ἀφέξεται ἐρασθεὶς ὧν ἐγὼ παραινῶ. παίδευσις γὰρ καλὴ διδάσκει χρῆσθαι νόμοις, καὶ λέγειν περὶ τῶν δικαίων καὶ ἀκούειν. οἱ μὲν οὖν πάσχοντες αὐτοὺς ἤδη τὸ ἀεὶ μοχθεῖν τι καὶ διδάσκεσθαι, αὐτοῖς μὲν μαθήσεις καὶ μελέτας ἐπιπόνους ἔχουσι. σωτηρίαν δὲ ταῖς αὐτῶν πόλεσιν. οἱ δὲ μὴ θέλοντες διὰ τὸ ἐπίπονον διδάσκεσθαι, ἀλλὰ ἐν ἡδοναῖς ἀκαίροις διάγειν, φύσει οὗτοι κάκιστοι. οὔτε γὰρ νόμοις, οὔτε λόγοις ἀγαθοῖς πείθονται. οὐ γὰρ εὑρίσκουσι, διὰ τὸ μὴ πονεῖν, οἷον χρὴ τὸν ἀγαθὸν εἶναι, ὥστε οὔτε θεοσεβεῖς δύνανται εἶναι, οὔτε σοφοί. τῷ δὲ ἀπαιδεύτῳ χρώμενοι, πολλὰ ἐπιτιμῶσι τοῖς πεπαιδευμένοις. διὰ μὲν οὖν τούτων, οὐδὲ ἂν καλῶς ἔχοι. διὰ δὲ τῶν ἀμεινόνων ἅπασαι αἱ ὠφέλειαι τοῖς ἀνθρώποις εὕρηνται. ἀμείνους οὖν οἱ θέλοντες πονεῖν, καὶ τοῦτο ἀποδέδεικται μεγάλῳ παραδείγματι. τῶν γὰρ παλαιοτέρων οἱ παρὰ Χείρωνι, ὧν ἐπεμνήσθην, νέοι ὄντες ἀρξάμενοι ἀπὸ τῶν κυνηγεσίων, πολλὰ καὶ καλὰ ἔμαθον, ἐξ ὧν ἐγένετο αὐτοῖς μεγάλη ἀρετὴ, δι' ἣν καὶ νῦν θαυμάζονται. ἧς ὅτι μὲν ἐρῶσι πάντες, δῆλον. ὅτι δὲ διὰ πόνων ἐστὶ τυχεῖν αὐτῆς, οἱ πολλοὶ ἀφίστανται. τὸ μὲν γὰρ κατεργάσασθαι αὐτὴν ἄδηλον. οἱ δὲ πόνοι οἱ ἐν αὐτῇ ὄντες φανεροί. ἴσως μὲν οὖν εἰ ἦν τὸ σῶμα αὐτῆς δῆλον, ἧττον ἂν ἠμέλουν οἱ ἄνθρωποι ἀρετῆς, εἰδότες ὅτι ὥσπερ αὐτοῖς ἐκείνη ἐμφανής ἐστιν, οὕτω καὶ αὐτοὶ ὑπ' ἐκείνης ὁρῶνται. ὅταν μὲν γάρ τις ὁρᾶται ὑπὸ τοῦ ἐρωμένου ἅπας ἑαυτοῦ ἐστὶ βελτίων, καὶ οὔτε λέγει οὔτε ποιεῖ αἰσχρὰ, οὔτε κακὰ, ἵνα μὴ ὀφθῇ ὑπ' ἐκείνου. ὑπὸ δὲ τῆς ἀρετῆς οὐκ οἰόμενοι ἐπισκοπεῖσθαι, πολλὰ κακὰ καὶ αἰσχρὰ ἐναντίον ποιοῦσιν, ὅτι αὐτὴν ἐκεῖνοι οὐχ ὁρῶσιν. ἡ δὲ πανταχοῦ πάρεστι, διὰ τὸ εἶναι ἀθάνατος, καὶ τιμᾷ τοὺς περὶ αὐτὴν ἀγαθοὺς, τοὺς δὲ κακοὺς ἀτιμάζει. εἰ οὖν εἰδοῖεν τοῦτο, ὅτι θεᾶται αὐτοὺς, ἵεντο ἂν ἤδη τοὺς πόνους καὶ τὰς παιδεύσεις αἷς ἁλίσκεται μόλις, καὶ κατεργάζοιντ' ἂν αὐτήν. θαυμάζω δὲ τῶν σοφιστῶν καλουμένων, ὅτι φασὶ μὲν ἐπ' ἀρετὴν ἄγειν οἱ πολλοὶ τοὺς νέους. ἄγουσι δ' ἐπὶ τοὐναντίον. οὔτε γὰρ ἄνδρα που ἑωράκαμεν ὅντιν' οἱ νῦν σοφισταὶ ἀγαθὸν ἐποίησαν. οὔτε γράμματα παρέχονται ἐξ ὧν χρὴ ἀγαθοὺς γίγνεσθαι. ἀλλὰ περὶ μὲν τῶν ματαίων πολλὰ αὐτοῖς γέγραπται, ἀφ' ὧν τοῖς νέοις, αἱ μὲν ἡδοναὶ κεναὶ, ἀρετὴ δ' οὐκ ἔνι. διατρίβειν δ' ἄλλως παρέχει τοῖς ἐλπίσασι τι ἐξ αὐτῶν μαθήσεσθαι μάτην, καὶ ἑτέρων κωλύει χρησίμων, καὶ διδάσκει κακά. μέμφομαι οὖν αὐτοῖς τὰ μὲν μεγάλα μειζόνως. περὶ δὲ ὧν γράφουσιν, ὅτι τὰ μὲν ῥήματα αὐτοῖς ἐζήτηται, γνῶμαι δὲ ὀρθῶς ἔχουσαι, αἷς ἂν παιδεύοιντο οἱ νεώτεροι ἐπ' ἀρετὴν οὐδαμοῦ. ἐγὼ δὲ ἰδιώτης μέν εἰμι. οἶδα δὲ, ὅτι κράτιστον μέν ἐστι παρὰ τῆς αὐτοῦ φύσεως τὸ ἀγαθὸν διδάσκεσθαι. δεύτερον δὲ παρὰ τῶν ἀληθῶς ἀγαθόν τι ἐπισταμένων μᾶλλον, ἢ ὑπὸ τῶν ἐξαπατᾶν τέχνην ἐχόντων.

των. ἴσως οὖν τοῖς μὲν ὀνόμασιν οὐ σεσοφισμένως λέγω, οὐδὲ γὰρ ζητῶ τοῦτο. ὧν δὲ δέονται εἰς ἀρετὴν οἱ καλῶς πεπαιδευμένοι, ὀρθῶς ἐγνωσμένα ζητῶ λέγειν. ὀνόματα μὲν γὰρ οὐκ ἂν παιδεύσειεν, γνῶμαι δὲ εἰ καλῶς ἔχοιεν. ψέγουσι δὲ καὶ ἄλλοι πολλοὶ τοὺς νῦν σοφιστάς, καὶ οὐ τοὺς φιλοσόφους, ὅτι ἐν τοῖς ὀνόμασι σοφίζονται, καὶ οὐκ ἐν τοῖς νοήμασιν. οὐ λανθάνει δέ με ὅτι καλῶς καὶ ἑξῆς γεγράφθαι. φαῦλον γὰρ ἔσται αὐτοῖς ταχὺ μὴ ὀρθῶς μέμψασθαι. καίτοι γέγραπταί γε οὕτως ἵνα ὀρθῶς ἔχῃ καὶ μὴ σοφιστικοὺς ποιῇ, ἀλλὰ σοφοὺς καὶ ἀγαθούς. οὐ γὰρ δοκεῖν αὐτὰ βούλομαι μᾶλλον, ἢ εἶναι χρήσιμα ἵνα ἀνεξέλεγκτα ᾖ εἰς ἀεί. οἱ σοφισταὶ δ' ἐπὶ τῷ ἐξαπατᾶν λέγουσι καὶ γράφουσιν, ἐπὶ τῷ ἑαυτῶν κέρδει, καὶ οὐδένα οὐδὲν ὠφελοῦσιν. οὐδὲ γὰρ σοφὸς αὐτῶν ἐγένετο οὐδείς, οὐδ' ἔστιν, ἀλλὰ καὶ ἀρκεῖ ἑκάστῳ σοφιστὴν κληθῆναι, ὅ ἐστιν ὄνειδος παρά γε εὖ φρονοῦσι. τὰ μὲν οὖν τῶν σοφιστῶν παραγγέλματα παραινῶ φυλάττεσθαι. τὰ δὲ τῶν φιλοσόφων ἐνθυμήματα, μὴ ἀτιμάζειν. οἱ μὲν γὰρ σοφισταὶ πλουσίους καὶ νέους θηρῶνται· οἱ δὲ φιλόσοφοι πᾶσι κοινοὶ καὶ φίλοι. τύχας δὲ ἀνδρῶν οὔτε τιμῶσιν, οὔτε ἀτιμάζουσι. μὴ ζηλοῦν δέ, μηδὲ τοὺς ἐπὶ τὰς πλεονεξίας εἰκῇ ἰόντας. μήτ' ἐπὶ τὰς ἰδίας, μήτ' ἐπὶ τὰς δημοσίας, ἐνθυμηθέντα. ὅτι οἱ μὲν ἄριστοι αὐτῶν, γιγνώσκονται μὲν ἐπὶ τὰ βελτίω, ἐπίπονοί τ' εἰσίν. οἱ δὲ κακοὶ πάσχουσί τε κακῶς. καὶ γιγνώσκονται ἐπὶ τὰ χείρω. τάς τε γὰρ τῶν ἰδιωτῶν οὐσίας ἀφαιρούμενοι, καὶ τὰ τῆς πόλεως, εἰς τὰς κοινὰς σωτηρίας ἀνωφελέστεροί εἰσι τῶν ἰδιωτῶν, τά τε σώματα πρὸς τὸν πόλεμον κάκιστα καὶ αἴσχιστα ἔχουσι, πονεῖν οὐ δυνάμενοι. οἱ δὲ κυνηγέται εἰς τὸ κοινὸν τοῖς πολίταις καὶ τὰ σώματα καὶ τὰ κτήματα καλῶς ἔχοντα παρέχουσιν. ἔρχονται δὲ οἱ μὲν ἐπὶ τὰ θηρία, οἱ δ' ἐπὶ τοὺς φίλους ἰόντες δύσκλειαν ἔχουσι παρὰ πᾶσιν. οἱ δὲ κυνηγέται ἐπὶ τὰ θηρία ἰόντες εὔκλειαν. ἑλόντες μὲν γὰρ πολέμια νικῶσι. μὴ ἑλόντες δέ, πρῶτον μὲν ὅτι πάσης τῆς πόλεως ἐχθροῖς ἐπιχειροῦσιν, ἔπαινον ἔχουσιν· ἔπειτα ὅτι οὔτ' ἐπ' ἀνδρὸς βλάβῃ οὔτε φιλοκερδίᾳ ἔρχονται. ἔπειτα δὲ ἐξ αὐτοῦ τοῦ ἐπιχειρήματος βελτίους γίγνονται πρὸς πολλὰ καὶ σοφώτεροι, δι' ὃ διδαξόμεθα. ἐὰν γὰρ μὴ πόνοις καὶ ἐνθυμήμασι καὶ ἐπιμελείαις πολλαῖς ὑπερβάλλωνται, οὐκ ἂν ἕλοιεν ἄγρας. τὰ γὰρ ἀντίπαλα αὐτῶν ὑπὲρ τῆς ψυχῆς ἀγωνιζόμενα, καὶ ἐν τῇ αὐτῶν οἰκήσει, ἐν ἰσχύι πολλῇ ἐστιν, ὥστε τῷ κυνηγέτῃ μάτην οἱ πόνοι γίγνονται, ἐὰν μὴ μείζονι φιλοπονίᾳ καὶ πολλῇ συνέσει κρατήσῃ αὐτῶν. οἱ μὲν οὖν κατὰ πόλιν βουλόμενοι πλεονεκτεῖν, μελετῶσι νικᾶν φίλους· οἱ δὲ κυνηγέται κοινοὺς ἐχθρούς. καὶ τοὺς μὲν ἡ μελέτη αὕτη ποιεῖ πρὸς τοὺς ἄλλους πολεμίους ἀμείνους, τοὺς δὲ πολὺ χείρους. καὶ τοῖς μὲν ἡ ἄγρα μετὰ σωφροσύνης, τοῖς δὲ μετὰ αἰσχροῦ θράσους. κακοηθείας δὲ καὶ αἰσχροκερδείας οἱ μὲν δύνανται καταφρονεῖν, οἱ δὲ οὐ δύνανται. φωνὴν δὲ οἱ μὲν εὐεπῆ ἱᾶσιν, οἱ δ' αἰσχράν. πρὸς δὲ τὰ θεῖα τοῖς μὲν οὐδὲν ἐμποδὼν ἀσεβεῖν, οἱ δ' εὐσεβέστατοι. λόγοι γὰρ παλαιοὶ κατέχουσιν ὡς καὶ θεοὶ τούτῳ τῷ ἔργῳ χαίρουσι καὶ πράττοντες καὶ ὁρῶντες. ὥστε ὑπάρχειν ἐνθυμουμένους τούτων, θεοφιλεῖς τ' εἶναι καὶ εὐσεβεῖς εἰς τοὺς νέους, τοὺς ποιοῦντας ἃ ἐγὼ παραινῶ, οἰομένους ὑπὸ θεῶν του ὁρᾶσθαι ταῦτα. οὗτοι δ' ἂν εἶεν καὶ τοκεῦσιν ἀγαθοί, καὶ πάσῃ

sident. Itaq; uerbis forsitan insulse loquor: nam hoc non quaero, sed recta exquiro dicere praecepta, quibus ad uirtutem libere educati iuuenes utuntur. Neq; enim uerba, sed sententiae, si honestae fuerint, doctos faciunt. Vituperant autem & alij multi sophistas istos, non philosophos, qui prudē[illegible]e minimē. Nec me latet criminaturos quamprimum, q[illegible] & ordine scriptum sit, non recte scriptum esse. Id enim ipsis facile erit: sed tamen ita scriptum est ut honestum sit, nec sophisticos, sed bonos sapiētes faciat: neq; enim haec uideri malo q̄ esse utilia, ut nunquam reprehendi possint. Sophistae uero ad fallendum dicunt & scribunt ut lucrum faciant, & nihil cuiquam prosint: nam ex his nec fuit, nec est sapiens ullus: sed habet quisq; satis ut sophista uocetur, quod apud sanos dedecus est. Moneo igitur sophistarum professiones uitandas esse, philosophorum uero praecepta non aspernanda. Nam sophistae aucupantur eos qui diuites sunt, & iuuenes: philosophi omnibus communes sunt & amici, fortunas hominum nec obseruant, nec contemnunt. Nec uero probaueris qui lucrum temerē sequuntur publicum atq; priuatum, cum tibi apud animum proposueris bonos & meliora sentire, & laboribus dedi, malos & uoluptatibus affici, & deteriora consulere: nam priuatas res & publicas usurpant. Quod ad communem salutem attinet, uulgo inutiliores, et ad bellum segnes ignauiq; sunt, quia laborem tolerare non possunt. At uenatores corpora & bona sua ciuibus bene cōparata in medium exponunt: & hi quidem feras inuadunt, illi amicos. Inuadendis autem sophistae amicis, uenatores feris, illi dedecus, hi laudē apud omnes cōparant: nam si eas debellarint, animalia noxia subigunt. Sin autem, laudantur tum primū, quia ciuitatis cuiuslibet inimicos adoriuntur. Deinde, quod nec hominis damno, nec lucri cupiditate grassantur. Postremo ex ipso conatu ad multa meliores & sapientiores euadunt, id quam ob rem docebimus. nam uenationes nisi labore multo, & cura, et solicitudine praestarent, uenatores haud quaquam obtinerent: quippe quorū aduersarij pro uita decertāt, & in sua ipsorum sede magni roboris sunt. Itaq; uenator incassum laboraret, nisi feras industria uehementiore ac prudētia multa superaret. Illi ergo cum in urbe ditescere uelint, meditantur uincere amicos: uenatores autem cōmunes inimicos, & alios hostes. Meditatio ipsa meliores hos facit, illos multo deteriores: et sua utrisq; uenatio, his cum modestia, illis cum turpi audacia constat. Flagitium & quaestum hi contēnere possunt, illi non possunt: uocem hi gratam emittunt, illi turpem. Quod ad rem diuinā attinet, nihil illos ab impietate deterret: at hi religiosissimi sunt. Fama enim antiquitus tenet, hoc opere deos etiam laetari faciendo, laetari spectando. Quo fit, ut iuuenes horū memores quae ego admoneo, si ea faciunt, dei cultores sint & pij, cum haec a dijs spectari arbitrentur, boni in parentes,

in patriam, in amicos, in ciues omnes. Nec uiri solum studiosi uenationis probi fuere, uerumetiam fœminæ, quibus hæc deus tradidit, ut Diana, Atalanta, Procris, & si qua alia fuit.

XENOPHONTIS CONVIVIVM, ——— INTERPRETE.

Virorum bonorū facta, non modo seria, uerūetiā iocosa, mihi memoratu digna esse uidentur. Cur autē ita sentiā, deinceps exponā. Panathenæis magnis, ludi Circēses agebātur. Callias autē Hipponici filius amabat Autolycū adhuc puerū, quē uictorē in Pācratio ad spectandū ducebat. Vt autē ludi peracti sunt, Autolycum ipsum eiusq; patrē, domū, quā in Piræo habebat, deducebat. Comitabatur autē illi Niceratus: sed cū uidisset Socratem, Critobulū, Hermogenē, Antisthenē, et Charmidē unà esse, mandauit uni ex suis, ut Autolycū & eos qui cū eo essent, domū duceret. Ipse igitur accessit ad Socratē & reliquos, quos sic affatus est: Opportune sanè occurritis: cōstitui enim Autolycū & patrē eius cōuiuio excipere. Spero igitur apparatū splendidiorē uisum iri, si uiris præclaris animo tā prædi tis, quales uos estis, conuiuium decoratū fuerit, ac multo magis q̄ si Imperatores, equitū magistri, deniq; q̄ si magistratuū appetētes adhibiti essent. Tum Socrates: Sēper, inquit, tu cōtēptim scōmata in nos iacis, quia ipse sapiētiæ adipiscēdæ causa grandē pecuniā Protagoræ, Gorgiæ, Prodico, alijsq; cōpluribus dedisti, et animaduertis nos nostra spōte sine doctore philosophari. Tū Callias: Antea quidē celaui uos, inquit, cum multa, eaq; sapiētia plena haberem, quæ proferre possem: nūc uerò si apud me fueritis, mei specimē præbebo, multaq; præclara exponā. Socrates igitur et illius familiares, primū (ut assolet) laudata illius inuitatione recusarūt ad cœnā uenire. Sed cū uehemēter dolere uideretur, si nō comitarētur, morē eius uoluntati gesserūt. Deinde partim quidē in gymnasio exercitati et uncti, partim loti ad illum accesserunt: ac Autolycus quidē primus assedit, alij etiā pro more accubuerunt. Principio igitur, postq̄ quis fieret id animaduertisset, tale initium exordiū, ut diceret formā natura esse quiddā regale, præsertim si cū pudore, et tēperantia coniunctam, quemadmodū Autolycus, eam quis adeptus esset. Primū enim, ut cum lux aliqua noctu affulserit in omniū oculos incurrit, sic tunc Autolycus forma pulchritudineq; sua omnium oculos in se cōuertebat nemoq; fuit eorū qui spectarēt, qui nō aliquā tum animo commoueretur, uel secum tacitus, uel etiam gestu aliquo immutaretur. Ac omnes quidem deorum numine afflati spectatu digni esse uidentur: qui autem aliorum numine instructi sunt, tum truculentiores uisu, tū terribiliores, ac in loquendo uehementiores esse dicuntur. At qui casto amore

πᾶσι τῇ ἑαυτῶν πόλει καὶ ἐν ἑκάστῳ τῶν πολιτῶν καὶ φίλων. οὐ μόνον δὲ ὅσοι ἄνδρες κυνηγεσίων ἠράσθησαν, ἐγένοντο ἀγαθοί· ἀλλὰ καὶ αἱ γυναῖκες αἷς ἔδωκεν ἡ θεὸς ταῦτα, Ἄρτεμις, Ἀταλάντη, καὶ Πρόκρις, καὶ εἴ τις ἄλλη.

ΞΕΝΟΦΩΝΤΟΣ ΡΗΤΟΡΟΣ ΣΥΜΠΟΣΙΟΝ.

Ἀλλ' ἐμοὶ δοκεῖ τῶν καλῶν κἀγαθῶν ἀνδρῶν ἔργα οὐ μόνον τὰ μετὰ σπουδῆς πραττόμενα ἀξιομνημόνευτα εἶναι, ἀλλὰ καὶ τὰ ἐν ταῖς παιδιαῖς. οἷς δὲ παραγενόμενος ταῦτα γιγνώσκω, δηλῶσαι βούλομαι. ἦν μὲν γὰρ Παναθηναίων τῶν μεγάλων ἱπποδρομία. Καλλίας δὲ ὁ Ἱππονίκου ἐρῶν ἐτύγχανεν Αὐτολύκου παιδὸς ὄντος, καὶ νενικηκότα αὐτὸν παγκράτιον, ἧκεν ἄγων ἐπὶ τὴν θέαν. ὡς δὲ ἡ ἱπποδρομία ἔληξεν, ἔχων τόν τε Αὐτόλυκον καὶ τὸν πατέρα αὐτοῦ, ἀπῄει εἰς τὴν ἐν Πειραιεῖ οἰκίαν. συνείπετο δὲ αὐτῷ καὶ Νικήρατος, ἰδὼν δὲ ὁμοῦ ὄντας, Σωκράτην τε καὶ Κριτόβουλον, καὶ Ἑρμογένην, καὶ Ἀντισθένην, καὶ Χαρμίδην, τοῖς μὲν ἀμφ' Αὐτόλυκον ἡγεῖσθαί τινα ἔταξεν. αὐτὸς δὲ προσῆλθε τοῖς ἀμφὶ Σωκράτην, καὶ εἶπεν· εἰς καλόν γε ὑμῖν συντετύχηκα. ἑστιᾶν γὰρ μέλλω Αὐτόλυκον καὶ τὸν πατέρα αὐτοῦ. οἶμαι οὖν πολὺ ἂν τὴν κατασκευήν μοι λαμπροτέραν φανῆναι, εἰ ἀνδράσιν ἐκκεκαθαρμένοις τὰς ψυχὰς, ὥσπερ ὑμῖν, ὁ ἀνδρὼν κεκοσμημένος εἴη μᾶλλον, ἢ εἰ στρατηγοῖς καὶ ἱππάρχαις καὶ σπουδάρχαις. καὶ ὁ Σωκράτης εἶπεν· ἀεὶ σὺ ἐπισκώπτεις ἡμᾶς καταφρονῶν, ὅτι σὺ μὲν Πρωταγόρᾳ τε πολὺ ἀργύριον δέδωκας ἐπὶ σοφίᾳ, καὶ Γοργίᾳ, καὶ Προδίκῳ, καὶ ἄλλοις πολλοῖς. ἡμᾶς δ' ὁρᾷς αὐτουργούς τινας τῆς φιλοσοφίας ὄντας. καὶ ὁ Καλλίας, καὶ πρόσθεν μέν γε, ἔφη, ἀπεκρυπτόμην ὑμᾶς, ἔχων πολλὰ καὶ σοφὰ λέγειν. νῦν δὲ ἐὰν παρ' ἐμοὶ ἦτε, ἐπιδείξω ὑμῖν ἐμαυτὸν πάνυ πολλῆς σπουδῆς ἄξιον ὄντα. οἱ οὖν ἀμφὶ τὸν Σωκράτην, πρῶτον μὲν ὥσπερ εἰκὸς ἦν ἐπαινοῦντες τὴν κλῆσιν, οὐχ ὑπισχνοῦντο συνδειπνήσειν. ὡς δὲ πάνυ ἀχθόμενος φανερὸς ἦν εἰ μὴ ἕψοιντο, συνηκολούθησαν. ἔπειτα δὲ αὐτῷ οἱ μὲν γυμνασάμενοι καὶ χρισάμενοι, οἱ δὲ καὶ λουσάμενοι παρῆλθον. Αὐτόλυκος μὲν οὖν παρὰ τὸν πατέρα ἐκαθέζετο. οἱ δ' ἄλλοι ὥσπερ εἰκὸς κατεκλίθησαν. εὐθὺς μὲν οὖν ἐννοήσας τὰ γιγνόμενα, ἡγήσατ' ἄν φύσει βασιλικόν τι κάλλος εἶναι, ἄλλως τε καὶ ἢν μετ' αἰδοῦς καὶ σωφροσύνης, καθάπερ Αὐτόλυκος τότε, κέκτηταί τις αὐτό. πρῶτον μὲν γὰρ ὥσπερ ὅταν φέγγος τι ἐν νυκτὶ φανῇ πάντων προσάγεται τὰ ὄμματα, οὕτω καὶ τότε τοῦ Αὐτολύκου τὸ κάλλος πάντων εἷλκε τὰς ὄψεις πρὸς αὐτόν. ἔπειτα τῶν ὁρώντων οὐδεὶς οὐκ ἔπασχέ τι τὴν ψυχὴν ὑπ' ἐκείνου. οἱ μέν γε σιωπηρότεροι ἐγίγνοντο, οἱ δὲ καὶ ἐσχηματίζοντό πως. πάντες μὲν οὖν οἱ ἐκ θεῶν του κατεχόμενοι ἀξιοθέατοι δοκοῦσιν εἶναι. ἀλλ' οἱ μὲν ἐξ ἄλλων πρὸς τὸ γοργότερόν τε ὁρᾶσθαι, καὶ φοβερώτερον φθέγγεσθαι, καὶ σφοδρότεροι εἶναι φέρονται. οἱ δ' ὑπὸ τοῦ σώφρονος ἔρωτος

ἔρωτος ἔνθεοι, τά τε ὄμματα φιλοφρονέστερον ἔχουσι καὶ τὴν φωνὴν πρᾳοτέραν ποιοῦνται, καὶ τὰ σχήματα εἰς τὸ ἐλευθεριώτερον ἄγουσιν. ἃ δὴ καὶ Καλλίας τότε διὰ τὸν ἔρωτα πράττων, ἀξιοθέατος ἦν τοῖς τετελεσμένοις τούτῳ τῷ θεῷ. ἐκεῖνοι μὲν οὖν σιωπῇ ἐδείπνουν, ὥσπερ τοῦτο ἐπιτεταγμένον αὐτοῖς ὑπὸ κρείττονός τινος. Φίλιππος δ᾽ ὁ γελωτοποιὸς κρούσας τὴν θύραν, εἶπε τῷ ὑπακούσαντι, εἰσαγγεῖλαι ὅστις τε εἴη, καὶ δι᾽ ὅ τι κατάγεσθαι βούλοιτο, συνεσκευασμένος τε παρεῖναι ἔφη πάντα τὰ ἐπιτήδεια, ὥστε δειπνεῖν τἀλλότρια. καὶ τὸν παῖδα δέ, ἔφη, πάνυ πιέζεσθαι, διά τε τὸ φέρειν μηδέν, καὶ διὰ τὸ ἀνάριστον εἶναι. ὁ οὖν Καλλίας ἀκούσας ταῦτα, εἶπεν· ἀλλὰ μέντοι, ὦ ἄνδρες, αἰσχρὸν στέγης γε φθονῆσαι. εἰσίτω οὖν. καὶ ἅμα ἀπέβλεψεν εἰς τὸν Αὐτόλυκον, δῆλον ὅτι ἐπισκοπῶν τί ἐκείνῳ δόξειε τὸ σκῶμμα εἶναι. ὁ δὲ στὰς ἐπὶ τῷ ἀνδρῶνι ἔνθα τὸ δεῖπνον ἦν, εἶπεν· ὅτι μὲν γελωτοποιός εἰμι, ἴστε πάντες. ἥκω δὲ προθύμως, νομίσας γελοιότερον εἶναι τὸ ἄκλητον, ἢ τὸ κεκλημένον ἐλθεῖν ἐπὶ τὸ δεῖπνον. κατακλίνου τοίνυν, ἔφη Καλλίας. καὶ γὰρ οἱ παρόντες σπουδῆς μέν, ὡς ὁρᾷς, μεστοί. γέλωτος δὲ ἴσως ἐνδεέστεροι. δειπνούντων δ᾽ αὐτῶν, ὁ Φίλιππος γελοῖόν τι εὐθὺς ἐπεχείρει λέγειν, ἵνα δὴ ἐπιτελοίη, ὧνπερ ἕνεκα ἐκαλεῖτο ἑκάστοτε ἐπὶ τὰ δεῖπνα. ὡς δ᾽ οὐκ ἐκίνησε γέλωτα, τότε μὲν ἀχθεσθεὶς φανερὸς ἐγένετο. αὖθις δ᾽ ὀλίγον ὕστερον, ἄλλο τι γελοῖον ἐβούλετο λέγειν. ὡς δὲ οὐδὲ τότε ἐγέλασαν ἐπ᾽ αὐτῷ, ἐν τῷ μεταξὺ παυσάμενος τοῦ δείπνου συγκαλυψάμενος κατέκειτο. καὶ ὁ Καλλίας, τί τοῦτ᾽, ἔφη, ὦ Φίλιππε; ἀλλ᾽ ἢ ὀδύνη σε εἴληφε; καὶ ὃς ἀναστενάξας, εἶπε· ναὶ μὰ Δί᾽, ἔφη, ὦ Καλλία, μεγάλη γε. ἐπεὶ γὰρ γέλως ἐξ ἀνθρώπων ἀπόλωλεν, ἔρρει τὰ ἐμὰ πράγματα. πρόσθεν μὲν γὰρ τούτου ἕνεκα ἐκαλούμην ἐπὶ τὰ δεῖπνα, ἵνα εὐφραίνοιντο οἱ συνόντες δι᾽ ἐμὲ γελῶντες. νῦν δὲ τίνος ἕνεκα καὶ καλεῖ μέ τις; οὔτε γὰρ ἔγωγε σπουδάσαι δυναίμην μᾶλλον, ἤπερ ἀθάνατος γενέσθαι, οὔτε μὴν ὡς ἀντικληθησόμενος καλεῖ μέ τις. ἐπεὶ πάντες ἴσασιν, ὅτι ἀρχὴν οὐδὲ νομίζεται εἰς τὴν ἐμὴν οἰκίαν δεῖπνον προσφέρεσθαι. καὶ ἅμα λέγων ταῦτα, ἀπεμύττετό τε καὶ τῇ φωνῇ σαφῶς κλαίειν ἐφαίνετο. πάντες μὲν οὖν παρεμυθοῦντό τε αὐτόν, ὡς αὖθις γελασόμενοι, καὶ δειπνεῖν ἐκέλευον. Κριτόβουλος δὲ καὶ ἐξεκάγχασεν ἐπὶ τῷ οἰκτισμῷ αὐτοῦ. ὁ δ᾽ ὡς ᾔσθετο τοῦ γέλωτος, ἀνεκαλύψατό τε καὶ τῇ ψυχῇ παρακελευσάμενος θαρρεῖν ὅτι ἔσονται συμβολαί, πάλιν ἐδείπνει.

Ὡς δ᾽ ἀφῃρέθησαν αἱ τράπεζαι, καὶ ἔσπεισαν, καὶ ἐπαιάνισαν, ἔρχεται αὐτοῖς ἐπὶ κῶμον Συρακόσιός τις ἄνθρωπος, ἔχων τε αὐλητρίδα ἀγαθήν, καὶ ὀρχηστρίδα, τῶν τὰ θαύματα δυναμένων ποιεῖν, καὶ παῖδα πάνυ γε ὡραῖον, καὶ πάνυ καλῶς κιθαρίζοντα καὶ ὀρχούμενον. ταῦτα δὲ καὶ ἐπιδεικνὺς ὡς ἐν θαύματι, ἀργύριον ἐλάμβανεν. ἐπεὶ δὲ αὐτοῖς ἡ αὐλητρὶς μὲν ηὔλησεν, ὁ δὲ παῖς ἐκιθάρισε, καὶ ἐδόκουν μάλα ἀμφότεροι ἱκανῶς εὐφραίνειν, εἶπεν ὁ Σωκράτης· νὴ Δί᾽, ὦ Καλλία, τελέως ἡμᾶς ἑστιᾷς. οὐ γὰρ μόνον δεῖπνον ἄμεμπτον παρέθηκας, ἀλλὰ καὶ θεάματα καὶ ἀκροάματα ἥδιστα παρέχεις. καὶ ὅς ἔφη, τί οὖν εἰ καὶ μύρον τις ἡμῖν ἐνέγκαι, ἵνα καὶ εὐωδίᾳ ἑστιώμεθα; μηδαμῶς, ἔφη ὁ Σωκράτης. ὥσπερ γάρ τοι ἐσθὴς ἄλλη μὲν γυναικί, ἄλλη δὲ ἀνδρὶ καλή, οὕτω καὶ ὀσμή. ἄλλη μὲν ἀνδρί,

amore diuinoq; instinctu afflati, hi & oculos amabiliores habent, & uocem mittunt leniorem, & gestus agunt liberalius. Quæ quidem Callias tum amore incitatus faciens, dignus spectatu ijs uidebatur, qui et deo initiati essent. Illi itaque taciti cœnabant, quasi id illis à magistro aliquo præscriptum esset. Philippus autem sannio accessit ad ianuam, pulsauit, iussit ministro renunciaret qui esset, & quam ob causam se introduci uellet, dicebatq; se paratum esse & 10 instructum ijs omnibus quibus soleret domi alienæ sibi cœnam parare: & puerum admodum premi, & quod nihil afferret, & quod impransus esset. Cum igitur hæc Callias audiuisset, Turpe est, inquit, ô uiri tectum ei saltem negare: introëat igitur. Et simul oculos conuertit in ipsum Autolycum, considerans uidelicet quale uideretur ei scomma illud. Cumq; uenisset in cubiculum in quo conuiuium agitabatur, in hunc modum loqui cœpit: Sannionem me esse nemo uestrûm ignorat. Audacter aūt huc ueni, quod existi- 20 marē ridiculosius fore, si inuocatus ad conuiuium uenissem. Accumbe igitur, inquit Callias: etenim hi omnes tristes, ut uides, & seueri sunt, risum autē fortaßis requirunt. Cœnantibus illis Philippus rid culū quiddā statim aggressus est dicere, ut nimirū ea exequeretur, propter quæ semper ad cōuiuia uocari soleret: cū autē risum non moueret, tum quidem ægrè ferre uidebatur. Rursus paulò pòst, aliud quiddā ridiculū dicere cupiebat: at cū ne tū quidē risissent propter illius dicta, finem fecit cœnandi, seq; obtegens procūbebat. 30 Et Callias, quid istud est Philippe? inquit: an te dolor parietis cepit? Qui suspirās respondit: Certe quidem ô Callia, & quidem magnus: quoniā enim risus ex hominū cœtu perit, actum est de reb. meis: quandoquidem ob eam causam, antea ad cōuiuia uocabar, ut cōuiuæ ridiculis meis exhilarērentur: nūc uerò, cuius causa me uocet quisquā? Non enim serius possum per laus tractare, q̄ immortalitatē consequi. Quis item me uocet, quasi uicißim à me uocandus? nam sciunt omnes non esse moris, ut domi meæ cōuiuia agitētur. Cumq; hæc 40 diceret, emungebat, & uoce fletum imitabatur. Omnes igitur cōuiuæ consolari hominem cœperūt, significātes se rursus risuros, et ut cœnaret hortabātur. In qua etiam cōmiseratione Critobulus risum sustulit. Atque ille ut risum sensit, ea quib. tectus erat reiecit, seq; ipse sperās futuras cōgreßiones exhortatur ut cōsideret, iterūq; cœnaret. Sublatis aūt mēsis cū libaßēt cecinissentq;, uenit quidā Syracusanus post cœnæ tēpus comessatū. Is secum habebat tibicinā doctam et saltatricē, & præstigiorū effectricē: unà sequebatur puer 50 admodum formosus, saltator, et peritißimus citharœdus. Hæc aūt ostēdebat, ut propter rei admirationē pecuniā exigeret. Dum aūt tibicina tibis cecinisset, & puer fidib. usus esset, uiderēturq; ambo satis conuiuas oblectasse, Profectò, inqt Socrates, magnifice nos excipis Callia: nō. n. solū cœnā nobis apposuisti magno apparatu, sed etiā spectacula et acroamata præbes iucūdißima. Tū ille: Quid igitur, inquit, si etiā unguentū nobis afferatur, ut bona quoq; fragrātia satiemur? Minimè decet, inquit Socrates: ut enim cultus alius mulieri, alius uiro honestus est, sic & odor alius ui-

alius mulierem decet. Vnguento certè uiri uxorũ causa non utuntur, sed mulieres, præsertim cum sponsæ sunt, ut si te Nicerati & Critobuli, unguentum requirunt, quod istæ maxime olent: sed olei gymnastici odor & præsens suauior, quàm unguenti, mulieribus & absens magis expetitur. Nam unguento delibuti seruus & liber, statim utrique eodem olent modo. At odores qui sunt ex liberalibus exercitationibus, & industriam requirunt & tempus, si modo futuri sunt suaues, & libero homine digni. Tum Lycon: Ergo, inquit, sibi ista habeant iuuenes: sed nos, qui iam non in gymnasijs exercemur, quid olere decebit? Probitatem, inquit Socrates. At unde istud unguentum accipias? Certe, inquit, non ab unguentarijs. sed unde, docet Theognis his uerbis:

> Iusta docent iusti: prauis conuixeris, antè
> Quæ fuerat probitas protinus aufugiet.

Et Lycon: Fili, inquit, audis hæc? Certè, inquit Socrates, et quidem utitur. Quoniam igitur cupit uictor Pãcratij esse, ubi tecum considerarit, qui sit ad eam rem docendam aptissimus, eius consuetudine utendum sibi putabit. Idem igitur ferè omnes dixerunt. Vnus autem ex illis: Vbi ergo, inquit, reperiat qui eam artem doceat? Alius ex eo cœtu eam rem ne cadere quidem sub doctrinam dicebat. Alius uerò, istud, si quid aliud discendum esse. At Socrates: Quandoquidem, inquit, res est ambigua, in aliud reijciamus tempus: nunc autem propositum exequamur: uideo enim tibicinam adstantem, & aliquem orbes ei afferentem. Ex illo igitur tibia canebat ei altera, & adstans quidam orbes circiter duodecim afferebat: illa accipiens simul saltabat, & sursum uoluendo iactabat, facilè coniectans in quantam altitudinem iacere oporteret, ut deceenter compositeq́; excipere posset. Tum Socrates: Cum in multis, uiri, inquit, tum in his quæ puella hæc agit, perspicuum est muliebre ingenium non deterius esse uirili, sed consilium & robur desiderare. Quare si quis nostrûm uxorem habet, magna cum spe doceat quicquid uolet, ea perita usurus. Et Antisthenes: Cur ego, inquit, ô Socrates, cum sic sentias, non instituis Xanthippen, sed uteris uxore earum quæ sunt, quæ fuerunt, & futuræ sunt, molestissima? Quod, inquit, uideam, qui equitandi peritissimi cupiunt esse, non eos qui libentissime parent, sed ferocissimos equos comparare: arbitrantur enim si tales possint coërcere, facilioribus alijs se usuros esse. Ergo igitur cùm uellem cum hominibus congredi, eorumq́; consuetudine uti, hanc comparaui, probè sciens futurum, ut si eam tulissem, facilè & commode cum omnibus hominibus uersaturum. Atque ea oratio minime absurda uisa est. Postea allatus est orbis gladiorum plenus rectorum, per quos saltatrix saliebat & exiliebat, ut spectatores metuerent ne quid illi accideret. Illa uero audacter tutoq́; hæc omnia faciebat. Et Socrates, uocato Antisthene: Non, inquit, spectatores arbitror negaturos, quin & fortitudo & periculorum contemptio cadat sub doctrinam: quando hæc, mulier cùm sit, non dubitanter per gladios graditur. Tum Antisthenes: An igitur huic Syracusano utilissimum esset, ut cùm ostenderit ciuitati

δρί, ἀλλὰ ἡ γυναικὶ πρέπει. καὶ γὰρ ἀνδρὸς μὲν δήπου ἕνεκα ἀνὴρ οὐδεὶς μύρῳ χρίεται. αἱ μέντοι γυναῖκες ἄλλως τε καὶ ἢν ὅταν νύμφαι τύχωσιν οὖσαι, ὥσπερ ἡ Νικηράτου τε καὶ ἡ Κριτοβούλου, μύρου μέντοι καὶ προσδέονται. αὐταὶ γὰρ τούτου ὄζουσιν. ἐλαίου δὲ τοῦ ἐν γυμνασίοις ὀσμὴ, καὶ ἡ παροῦσα ἡδίων ἢ μύρου γυναιξὶ, καὶ ἀποῦσα ποθεινοτέρα. καὶ γὰρ δὴ μύρῳ μὲν ὁ ἀλειψάμενος καὶ δοῦλος καὶ ἐλεύθερος εὐθὺς ἅπας ὅμοιον ὄζει. αἱ δὲ ἀπὸ τῶν ἐλευθερίων μόχθων ὀσμαὶ, ἐπιτηδευμάτων τε πρῶτον καὶ χρόνου δέονται, εἰ μέλλουσιν ἡδεῖαί τε καὶ ἐλευθέριοι ἔσεσθαι. καὶ ὁ Λύκων εἶπεν· οὐκοῦν νέοις μὲν ἂν εἴη ταῦτα. ἡμᾶς δὲ τοὺς μηκέτι γυμναζομένους τίνος ὄζειν δεήσει; καλοκἀγαθίας νὴ Δί', ἔφη ὁ Σωκράτης. καὶ πόθεν ἄν τις τοῦτο τὸ χρῖσμα λάβοι; οὐ μὰ Δί', ἔφη, οὐ παρὰ τῶν μυροπωλῶν. ἀλλὰ πόθεν δή; ὁ μὲν Θέογνις ἔφη· ἐσθλῶν μὲν γὰρ ἄπ' ἐσθλὰ διδάξεαι, ἢν δὲ κακοῖσι συμμιγῇς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον. καὶ ὁ Λύκων εἶπεν· ἀκούεις ταῦτα, ὦ υἱέ; ναὶ μὰ Δί', ἔφη ὁ Σωκράτης, καὶ χρῆταί γε. ἐπεὶ γοῦν νικηφόρος ἐβούλετο τοῦ παγκρατίου γενέσθαι, σὺν σοὶ σκεψάμενος αὖ ὃς ἂν δοκῇ αὐτῷ ἱκανώτατος εἶναι εἰς ταῦτα ἐπιτηδεῦσαι, τούτῳ συνέσται. ἐνταῦθα δὴ πολλοὶ ἐφθέγξαντο. καὶ ὁ μέν τις αὐτῶν εἶπε· ποῦ οὖν εὑρήσει τούτου διδάσκαλον; ὁ δέ τις ὡς οὐδὲ διδακτὸν τοῦτο εἴη. ἕτερος δέ τις ὡς εἴπερ τι καὶ ἄλλο, καὶ τοῦτο μαθητόν. ὁ δὲ Σωκράτης ἔφη· τοῦτο μὲν ἐπειδὴ ἀμφίλογόν ἐστιν, εἰσαῦθις ἀποθώμεθα. νυνὶ δὲ τὰ προκείμενα ἀποτελῶμεν. ὁρῶ γὰρ ἔγωγε τήνδε τὴν ὀρχηστρίδα ἐφεστηκυῖαν, καὶ τροχούς τινα αὐτῇ προσφέροντα. ἐκ τούτου δὴ ηὔλει μὲν αὐτῇ ἡ ἑτέρα. παρεστηκὼς δέ τις τῇ ὀρχηστρίδι, ἀνεδίδου τοὺς τροχοὺς μέχρι δώδεκα. ἡ δὲ λαμβάνουσα, ἅμα τε ὠρχεῖτο, καὶ ἀνεῤῥίπτει δινουμένους, συντεκμαιρομένη ὅσον ἔδει ῥιπτεῖν ὕψος, ὡς ἐν ῥυθμῷ δέχεσθαι αὐτούς. καὶ ὁ Σωκράτης εἶπεν· ἐν πολλοῖς μὲν, ὦ ἄνδρες, καὶ ἄλλοις δῆλον, καὶ ἐν οἷς δ' ἡ παῖς ποιεῖ, ὅτι ἡ γυναικεία φύσις οὐδὲν χείρων τῆς τοῦ ἀνδρὸς οὖσα τυγχάνει, γνώμης δὲ καὶ ἰσχύος δεῖται. ὥστε εἴ τις ὑμῶν γυναῖκα ἔχει, θαρρῶν διδασκέτω, ὅ τι βούλοιτ' ἂν αὐτῇ ἐπισταμένῃ χρῆσθαι. καὶ ὁ Ἀντισθένης, πῶς οὖν, ἔφη, ὦ Σώκρατες, οὕτω γιγνώσκων, οὐ καὶ σὺ παιδεύεις Ξανθίππην, ἀλλὰ χρῇ γυναικὶ τῶν οὐσῶν, οἶμαι δὲ καὶ τῶν γεγενημένων καὶ τῶν ἐσομένων χαλεπωτάτῃ; ὅτι, ἔφη, ὁρῶ καὶ τοὺς ἱππικοὺς βουλομένους γενέσθαι, οὐ τοὺς εὐπειθεστάτους, ἀλλὰ τοὺς θυμοειδεῖς ἵππους κτωμένους. νομίζουσι γὰρ ἂν τοὺς τοιούτους δύνωνται κατέχειν, ῥᾳδίως τοῖς γε ἄλλοις ἵπποις χρήσεσθαι. κἀγὼ δὴ βουλόμενος ἀνθρώποις χρῆσθαι καὶ ὁμιλεῖν, ταύτην κέκτημαι. εὖ εἰδὼς ὅτι εἰ ταύτην ὑποίσω, ῥᾳδίως τοῖς γε ἄλλοις ἅπασιν ἀνθρώποις συνέσομαι. καὶ οὗτος μὲν δὴ ὁ λόγος οὐκ ἀπὸ τοῦ σκοποῦ ἔδοξεν εἰρῆσθαι. μετὰ δὲ τοῦτο κύκλος εἰσηνέχθη περίμεστος ξιφῶν ὀρθῶν. εἰς μὲν οὖν ταῦτα ἡ ὀρχηστρὶς ἐκυβίστα τε καὶ ἐξεκυβίστα ὑπὲρ αὐτῶν, ὥστε οἱ μὲν θεώμενοι ἐφοβοῦντο μή τι πάθῃ. ἡ δὲ θαρρούντως τε καὶ ἀσφαλῶς ταῦτα διεπράττετο. καὶ ὁ Σωκράτης καλέσας τὸν Ἀντισθένην, εἶπεν· οὔτοι τούς γε θεωμένους τάδε ἀντιλέξειν ἔτι οἴομαι ὡς οὐ καὶ ἡ ἀνδρεία διδακτόν, ὁπότε αὕτη καίπερ γυνὴ οὖσα, τολμηρῶς εἰς τὰ ξίφη ἵεται. καὶ ὁ Ἀντισθένης εἶπεν· ἆρ' οὖν καὶ τῷδε τῷ Συρακοσίῳ κράτιστον ἐπιδείξαντα

τῇ πόλει τὴν ὀρχηστρίδα ἐπαινεῖν, ἐὰν διδῶσιν αὐτῷ Ἀθηναῖοι χρήματα, ποιήσει πάντας Ἀθηναίους τολμᾶν ὁμόσε ταῖς λόγχαις ἰέναι. καὶ ὁ Φίλιππος· νὴ Δί', ἔφη, ἦ μὴν ἔγωγε ἡδέως ἂν θεώμην Πείσανδρον τὸν δημηγόρον μανθάνοντα κυβιστᾶν εἰς τὰς μαχαίρας, ὃς νῦν διὰ τὸ μὴ δύνασθαι λόγχαις ἀντιβλέπειν, οὐδὲ συστρατεύεσθαι ἐθέλει. ἐκ τούτου ὁ παῖς ὠρχήσατο, καὶ ὁ Σωκράτης εἶπεν, εἴδετ', ἔφη, ὡς καλὸς ὁ παῖς ὢν, ὅμως σὺν τοῖς σχήμασιν ἔτι καλλίων φαίνεται, ἢ ὅταν ἡσυχίαν ἔχῃ. καὶ ὁ Χαρμίδης εἶπεν· ἐπαινοῦντι ἔοικας τὸν ὀρχηστοδιδάσκαλον. ναὶ μὰ τὸν Δί', ἔφη ὁ Σωκράτης. καὶ γὰρ ἄλλο τι προσενόησα, ὅτι οὐδὲν ἀργὸν τοῦ σώματος ἐν τῇ ὀρχήσει ἦν, ἀλλ' ἅμα καὶ τράχηλος καὶ σκέλη καὶ χεῖρες ἐγυμνάζοντο, ὥσπερ χρὴ ὀρχεῖσθαι τὸν μέλλοντα εὐφορώτερον τὸ σῶμα ἕξειν. καὶ ἐγὼ μὲν, ἔφη, πάνυ ἂν ἡδέως, ὦ Συρακόσιε, μάθοιμι τὰ σχήματα παρὰ σοῦ. καὶ ὅς, τί οὖν χρήσῃ αὐτοῖς; ἔφη. ὀρχήσομαι νὴ Δία. ἐνταῦθα δὴ ἐγέλασαν ἅπαντες. καὶ ὁ Σωκράτης μάλα ἐσπουδακότι τῷ προσώπῳ, γελᾶτε, ἔφη, ἐπ' ἐμοί; πότερον ἐπὶ τούτῳ εἰ βούλομαι γυμναζόμενος μᾶλλον ὑγιαίνειν, ἢ εἰ ἥδιον ἐσθίειν καὶ καθεύδειν, ἢ τοιούτων γυμνασίων ἐπιθυμῶ, μὴ ὥσπερ οἱ δολιχοδρόμοι τὰ σκέλη μὲν παχύνονται, τοὺς δὲ ὤμους λεπτύνονται, μηδ' ὥσπερ οἱ πύκται τοὺς μὲν ὤμους παχύνονται, τὰ δὲ σκέλη λεπτύνονται, ἀλλὰ παντὶ διαπονῶν τῷ σώματι, πᾶν ἰσόρροπον ποιεῖν; ἢ ἐπ' ἐκείνῳ γελᾶτε, ὅτι οὐ δεήσει με συγγυμναστὴν ζητεῖν, οὐδ' ἐν ὄχλῳ πρεσβύτην ὄντα ἀποδύεσθαι, ἀλλ' ἀρκέσει μοι οἶκος ἑπτάκλινος, ὥσπερ καὶ νῦν τῷδε τῷ παιδὶ ἤρκεσε τόδε τὸ οἴκημα ἐνιδρῶσαι. καὶ χειμῶνος μὲν ἐν στέγῃ γυμνάσομαι, ὅταν δὲ ἄγαν καῦμα ᾖ, ἐν σκιᾷ; ἢ τόδε γελᾶτε, εἰ μείζω τοῦ καιροῦ τὴν γαστέρα ἔχων μετριωτέραν βούλομαι ποιῆσαι αὐτήν; ἢ οὐκ ἴστε ὅτι ἔναγχος ἕωθεν Χαρμίδης οὑτοσὶ κατέλαβέ με ὀρχούμενον; ναὶ μὰ τὸν Δί', ἔφη ὁ Χαρμίδης. καὶ τὸ μέν γε πρῶτον ἐξεπλάγην, καὶ ἔδεισα μὴ μαίνοιο. ἐπεὶ δέ σου ἤκουσα ὅμοια οἷς νῦν λέγεις, καὶ αὐτὸς ἐλθὼν οἴκαδε, ὠρχούμην μὲν οὔ· οὐ γὰρ πώποτε τοῦτ' ἔμαθον· ἐχειρονόμουν δέ, ταῦτα γὰρ ἠπιστάμην. νὴ Δί', ἔφη ὁ Φίλιππος. καὶ οὖν οὕτω τὰ σκέλη τοῖς ὤμοις φαίνει ἰσοφόρα ἔχειν, ὥστε δοκεῖς ἐμοί, κἂν εἰ τοῖς ἀγορανόμοις ἀφιστάνοις, ὥσπερ ἄρτους, τὰ κάτω πρὸς τὰ ἄνω, ἀζήμιος ἂν γενέσθαι. καὶ ὁ Καλλίας εἶπεν· ὦ Σώκρατες, ἐμὲ μὲν παρακάλει ὅταν μέλλῃς μανθάνειν ὀρχεῖσθαι, ἵνα σοι ἀντίστοιχός τε καὶ συμμανθάνω. ἄγε δή, ἔφη ὁ Φίλιππος, καὶ ἐμοὶ αὐλησάτω, ἵνα καὶ ἐγὼ ὀρχήσωμαι. ἐπειδὴ δ' ἀνέστη, διῆλθε μιμούμενος τήν τε τοῦ παιδὸς καὶ τὴν τῆς παιδὸς ὄρχησιν. καὶ πρῶτον μὲν, ὅτι ἐπῄνεσαν ὡς ὁ παῖς σὺν τοῖς σχήμασιν ἔτι καλλίων ἐφαίνετο, ἀντεπίδειξεν ὅτι κινοίη τοῦ σώματος ἅπαν τι φύσεως γελοιότερον. ὅτι δ' ἡ παῖς εἰς τοὔπισθεν καμπτομένη τροχοὺς ἐμιμεῖτο, ἐκεῖνος ταῦτα εἰς τὸ ἔμπροσθεν ἐπικύπτων μιμεῖσθαι τροχοὺς ἐπειρᾶτο. τέλος δ' ὅτι τὴν παῖδ' ἐπῄνουν ὡς ἐν τῇ ὀρχήσει ἅπαν τὸ σῶμα γυμνάζοι, κελεύσας τὴν αὐλητρίδα θᾶττον τὸν ῥυθμὸν ἐπάγειν, ἵει ἅμα πάντα καὶ σκέλη, καὶ χεῖρας, καὶ κεφαλήν. ἐπειδὴ δὲ ἀπειρήκει, κατακλινόμενος εἶπε, τεκμήριον, ὦ ἄνδρες, ὅτι καλῶς γυμνάζει, καὶ τὰ ἐμὰ ὀρχήματα. ἐγὼγ' οὖν διψῶ, καὶ ὁ παῖς ἐγχεάτω

μοι

ciuitati suam saltatricem, dicat Atheniensibus, si pecuniam dederint, se effecturum omnes Athenienses audaces, adeo ut simul per lanceas ingredi audeant. Certe, inquit Philippus. Atqui libenter equidem spectarem Pisandrum concionatorē, cùm didicerit saltare per gladios, qui nunc, cùm non poßit ne aspectum quidem ferre lancearũ, ne militare quidē uult omnino. Ac tum puer saltare cœpit. In quo Socrates: Vidistis, inquit, q̃ esset puer formosus, tamen gestum agēs multo formosior uidetur, q̃ cum quiescit. Tũ Charmides: Mihi uideris, inquit, saltationis magistrũ laudare. Maxime, inquit Socrates. Etenim aliud quiddã obseruaui, nihil ociosum esse in corpore saltantis, sed simul & collũ & manus exerceri, ut necesse sit saltare uolentē habere corpus quam agillimũ. Ac ualde, inquit, libenter ex te Syracusane discere uellē saltandi artē. At ille: Cui usui tibi erit, inquit? saltabo uerò. Hic nimirũ omnes risere. At Socrates ualde seuero uultu, An, inquit, me ridetis? Vtrũ ob id quod uelim propter exercitationē melius ualere, uel iucundius cibũ sumere & somnũ; quod tales exercitationes appeto, nō ut cursores qui sunt crurib. craßis, humeris aũt tenuibus: nec ut pugillatores, quorũ humeri craßi sunt, & crura tenuia, sed totũ exercens corpus, totũ æquali pondere degrauetur? An ridetis, quòd nō necesse futurum sit ut sociũ exercitationis mihi quærã? neq; cũ senex sim in turba exuar, sed cōtentus futurus sim ædib. septē lectos continentibus, quemadmodũ & huic puero satis fuit hoc cubiculũ ad sudandum: ac hyeme quidem super tecto, cum aũt uehementior æstus fuerit, in umbra exercebor? An hoc ridetis, quod cùm maiorem, q̃ par sit uentrem habeam, ad mediocritatem studeam redigere? An nescitis quemadmodũ nuper Charmides mane hic saltantē me offenderit? Certè, inquit Charmides: ac primũ quidem obstupui, uerituq; sum ne insanires. Vbi aũt eadem quæ nunc dicis audiui, cùm me domũ recepissem, ipse nō saltaui quidem (nunq̃ enim illud didicerã) sed manib. gesticulatus sum, cùm essem eius rei peritus. Ita est, inquit Philippus, etenim sic crura uideris æqualis cum humeris molis habere, ut mihi uidearis, etiã si apud mercatus præfectos ponderanda sint, quemadmodũ panes ab imo ad summũ, nullum damnũ facturus. Tum Callias: O Socrates, inquit, aduoca me cũ saltandi artem uoles discere, ut cōmilito & cōdiscipulus sim. Age uerò, inquit Philippus, mihi etiam tibia canat, ut ipse saltem. Simul aũt ac surrexit, pueri puellæq; saltationē in medio imitari cœpit. Ac primũ quod puerũ laudassent gestus agentē formosiorem uideri, contrà ostendit, quicquid corpus moueret, id omne natura ipsa magis esse ridiculũ. Quod aũt puella reflexa retrorsum orbes imitaretur, ille eadē antrorsum se flectens orbes imitari conabatur. Ad extremum aũt, qd' puerũ in saltatione totũ corpus exercere laudassent, cùm iußisset tibicinã celerius numerũ percurrere, simul uniuersa et manus et caput & crura iactabat. Defessus aũt recubuit, ac dixit: Magnum est argumentum, o uiri, meas quoq; saltationes exercere corpus, cùm præsertim sitiam. Puer

insun-

infundant mihi magnum poculum. Et nobis quoque, inquit Callias: nam et nos te ridendo sitimus. Rursus Socrates: Quin, inquit, mihi quoque, o uiri, ut bibatur ualde placet: uinum enim animos rigans, tristitias & dolores quemadmodum mandragoras sopit: & hilaritatem, quemadmodum oleum flammam, excitat. Itaque uirorum conuiuijs eadem accidunt, quae ijs quae ex terra nascuntur: etenim illa, cùm Deus nimio imbre irrigat, recta stare non possunt, nec auris perflari: at cum quantum requirunt, tantum biberint, tum & recta augescunt, florent, ad frugemque perueniunt. Eodem modo & nos, si nimio uino nos ingurgitauerimus, statim tum corpora, tum mentes concidunt, nec respirare, nedum loqui possumus. Quod si ministri minuta pocula rorantiaque crebro ministrarint, ut ego Gorgiae uerbis utar, sic non uiolati uino, ut ebrij fiamus, sed incitati, ad puerilia ludicra descendimus. Haec omnibus ita uisa sunt. Illud adiecit Philippus, ministros poculorum debere imitari bonos aurigas, ut celeriter circunducant pocula. Ministri igitur sic faciebant. Postea autem cùm puer lyram ad rationem tibiae accommodauisset, fidibus utens canebat. Tum uniuersi laudabant. Charmides uero, At mihi uidetur, inquit, ut Socrates de uino dixit, sic & ipsa temperatio formae puerorum & sonorum, dolores consopire, sed uenerem excitare. Post illa rursus Socrates: Isti nimirum uidentur idonei, qui nos delectatione teneant: sed illud certo scio, nos arbitrari esse istis multo meliores. Nonne igitur turpe erit, si conemur quidem alij alios uel iuuare uel delectare? Hic multi, Tu igitur, inquiunt, expone nobis qua oratione utentes, haec maximè praestare possimus. Atqui, inquit Socrates, libentissime uellem promissi Calliae fructum capere: pollicitus est enim omnino si secum coenaremus, suam se sapientiam ostensurum. Et ostendam sanè, inquit, si & uos singuli in medium, quicquid scitis optimum, afferatis. Sed nemo tibi negat, quin dicturus sit, quod quisque existimat scitu dignum maximè. Ego igitur rursum dicam uobis, quare plurimum gloriari possim. Arbitror enim me idoneum esse, qui homines efficiam meliores. Tum Antisthenes: Utrum, inquit, artem aliquam sordidam, an probitatem docens? Probitatem, inquit Callias. Sed probitas, est ne iustitia? Certè, inquit Antisthenes, quae quidem minime est ambigua, & incerta: quoniam fortitudo & sapientia aliquando & ciuitati & amicis nocent: at iustitia ne minima quidem parte attingit iniustitiam. Cùm igitur unusquisque uestrum quod habet utile, dixerit, tum ego artem, per quam istud efficiam, explicare non grauabor. Sed tu uicissim dic, inquit, Nicerate, qua maxime arte fretus, sic magnificè de te sentis? Tum ille: Pater meus, inquit, cùm daret operam ut in bonum uirum euaderem, omnia Homeri carmina ediscere coëgit: ac nunc totam Iliada & Odysseam memoriter pronunciare possim. An illud, inquit Antisthenes, ignoras, Rhapsodos omnes ac alienorum carminum recitatores ista omnia tenere? Qui, inquit, ignorem, cùm ferè quotidie istos audiam? Nosti ne igitur ullam gentem stultiorem,

μοι τὴν μεγάλην φιάλην. νὴ Δί', ἔφη ὁ Καλλίας, καὶ ἡμῖν γε. ἐπεὶ καὶ ἡμεῖς διψῶμεν ἐπὶ σοὶ γελῶντες. ὁ δ' αὖ Σωκράτης εἶπεν· ἀλλὰ πίνειν μὲν, ὦ ἄνδρες, καὶ ἐμοὶ πάνυ δοκεῖ. τῷ γὰρ ὄντι ὁ οἶνος ἄρδων τὰς ψυχὰς, τὰς μὲν λύπας ὥσπερ ὁ μανδραγόρας τοὺς ἀνθρώπους κοιμίζει, τὰς δὲ φιλοφροσύνας, ὥσπερ ἔλαιον φλόγα, ἐγείρει. δοκεῖ μέντοι μοι καὶ τὰ τῶν ἀνδρῶν συμπόσια ταὐτὰ πάσχειν, ἅπερ καὶ τὰ ἐν γῇ φυομένων. καὶ γὰρ ἐκεῖνα ὅταν μὲν ὁ θεὸς αὐτὰ ἄγαν ἀθρόως ποτίζῃ, οὐ δύναται ὀρθοῦσθαι, οὐδὲ ταῖς αὔραις διαπνεῖσθαι. ὅταν δὲ ὅσῳ ἥδεται τοσούτῳ πίνῃ, καὶ μάλα ὀρθά τε αὔξεται καὶ θάλλοντα ἀφικνεῖται εἰς τὴν καρπογονίαν. οὕτω δὲ καὶ ἡμεῖς, ἢν μὲν ἀθρόον τὸ ποτὸν ἐγχεώμεθα, ταχὺ ἡμῖν καὶ τὰ σώματα καὶ αἱ γνῶμαι σφαλοῦνται, καὶ οὐδὲ ἀναπνεῖν, μὴ ὅτι λέγειν τι δυνησόμεθα. ἢν δὲ ἡμῖν οἱ παῖδες μικραῖς κύλιξι πυκνὰ ἐπιψεκάζωσιν, ἵνα καὶ ἐγὼ ἐν Γοργιείοις ῥήμασιν εἴπω, οὕτως οὐ βιαζόμενοι ὑπὸ τοῦ οἴνου μεθύειν, ἀλλ' ἀναπειθόμενοι, πρὸς τὸ παιγνιωδέστερον ἀφιξόμεθα. ἐδόκει μὲν δὴ ταῦτα πᾶσι. προσέθηκε δὲ ὁ Φίλιππος ὡς χρὴ τοὺς οἰνοχόους μιμεῖσθαι τοὺς ἀγαθοὺς ἁρματηλάτας θᾶττον περιελαύνοντας τὰς κύλικας. οἱ μὲν δὴ οἰνοχόοι οὕτως ἐποίουν. ἐκ δὲ τούτου συνηρμοσμένῃ τῇ λύρᾳ πρὸς τὸν αὐλὸν ἐκιθάρισεν ὁ παῖς, καὶ ᾖσεν. ἔνθα δὴ ἐπῄνεσαν μὲν ἅπαντες. ὁ δὲ Χαρμίδης καὶ εἶπεν· ἀλλ' ἐμοὶ μὲν δοκεῖ, ὦ ἄνδρες, ὥσπερ Σωκράτης ἔφη τὸν οἶνον, οὕτω καὶ αὕτη ἡ κρᾶσις τῶν τε παίδων τῆς ὥρας καὶ τῶν φθόγγων τὰς μὲν λύπας κοιμίζειν, τὴν δ' ἀφροδίτην ἐγείρειν. ἐκ τούτου δὲ πάλιν εἶπεν ὁ Σωκράτης· οὗτοι μὲν δὴ, ὦ ἄνδρες, ἱκανοὶ τέρπειν ἡμᾶς φαίνονται, ἡμεῖς δὲ τούτων, οἶδ' ὅτι πολὺ βελτίονες οἰόμεθα εἶναι. οὐκ αἰσχρὸν οὖν εἰ μηδ' ἐπιχειρήσομεν συνόντες ὠφελεῖν τι ἢ εὐφραίνειν ἀλλήλους. ἐντεῦθεν εἶπον πολλοί· σὺ τοίνυν ἡμῖν ἐξηγοῦ, ποίων λόγων ἁπτόμενοι, μάλιστ' ἂν ταῦτα ποιοῖμεν. ἐγὼ μὲν τοίνυν, ἔφη, ἥδιστ' ἂν ἀπολαύοιμι παρὰ Καλλίου τὴν ὑπόσχεσιν. ἔφη γὰρ δήπου, εἰ συνδειπνοῖμεν, ἐπιδείξειν τὴν αὑτοῦ σοφίαν. καὶ ἐπιδείξω γε, ἔφη, ἐὰν καὶ ὑμεῖς ἅπαντες εἰς μέσον φέρητε ὅ,τι ἕκαστος ἐπίστασθε ἀγαθόν. ἀλλ' οὐδείς σοι, ἔφη, ἀντιλέγει τὸ, μὴ οὐ λέξειν ὅ,τι ἕκαστος ἡγεῖται πλείστου ἄξιον ἐπίστασθαι. ἐγὼ μὲν τοίνυν, ἔφη, λέγω ὑμῖν, ἐφ' ᾧ μέγιστον φρονῶ. ἀνθρώπους γὰρ οἶμαι ἱκανὸς εἶναι βελτίους ποιεῖν. καὶ ὁ Ἀντισθένης εἶπε· πότερον τέχνην τινὰ βαναυσικὴν ἢ καλοκαγαθίαν διδάσκων; ἡ καλοκαγαθία ἐστὶν ἡ δικαιοσύνη. νὴ Δί', ἔφη ὁ Ἀντισθένης, ἥ γε ἀναμφιλογωτάτη. ἐπεί τοι ἀνδρεία μὲν καὶ σοφία, ἔστιν ὅτε βλαβερὰ καὶ φίλοις καὶ πόλει δοκεῖ εἶναι. ἡ δὲ δικαιοσύνη, οὐδὲ καθ' ἓν συμμίγνυται τῇ ἀδικίᾳ. ἐπειδὰν τοίνυν καὶ ὑμῶν ἕκαστος εἴπῃ ὅ,τι ὠφέλιμον ἔχει, τότε κἀγὼ οὐ φθονήσω εἰπεῖν τὴν τέχνην, δι' ἧς τοῦτο ἀπεργάζομαι. ἀλλὰ σὺ αὖ, ἔφη, λέγε, ὦ Νικήρατε, ἐπὶ ποίᾳ ἐπιστήμῃ μέγα φρονεῖς. καὶ ὃς εἶπεν· ὁ πατὴρ ὁ ἐπιμελούμενος ὅπως ἀνὴρ ἀγαθὸς γενοίμην, ἠνάγκασέ με πάντα τὰ Ὁμήρου ἔπη μαθεῖν· καὶ νῦν δυναίμην ἂν Ἰλιάδα ὅλην καὶ Ὀδύσσειαν ἀπὸ στόματος εἰπεῖν. ἐκεῖνο δ', ἔφη ὁ Ἀντισθένης, λέληθέ σε, ὅτι καὶ οἱ ῥαψῳδοὶ πάντες ἐπίστανται ταῦτα τὰ ἔπη; καὶ πῶς ἄν, ἔφη, λελήθοι ἀκροώμενόν γε αὐτῶν ὀλίγου ἀν' ἑκάστην ἡμέραν; οἶσθά τι οὖν ἔθνος, ἔφη, ἠλιθιώτερον

βελτίονος ῥαψῳδῶν. οὐ μὰ τὸν Δί', ἔφη ὁ Νικήρατος. οὔ-
κουν ἐμοί γε δοκεῖ. δῆλον γάρ, ἔφη ὁ Σωκράτης, ὅτι τὰς
ὑπονοίας οὐκ ἐπίστανται. σὺ δὲ Στησιμβρότῳ τε καὶ Ἀνα-
ξιμάνδρῳ, καὶ ἄλλοις πολλοῖς, πολὺ δέδωκας ἀργύριον,
ὥστε οὐδέν σε τῶν πολλοῦ ἀξίων λέληθε. τί γὰρ σύ, ἔφη, ὦ
Κριτόβουλε, ἐπὶ τίνι μέγιστον φρονεῖς; ἐπὶ κάλλει, ἔφη. ἆ-
ρ' οὖν καὶ σύ, ὦ Σώκρατες, ἔφη, ἕξεις λέγειν, ὅτι τῷ σῷ κάλ-
λει, ἱκανὸς εἶ βελτίους ἡμᾶς ποιεῖν. εἰ δὲ μή, δῆλον γε ὅτι
φαῦλος φανοῦμαι. τί γὰρ σύ, εἶπεν, ἐπὶ τίνι μέγα φρονεῖς, 10
ὦ Ἀντίσθενες; ἐπὶ πλούτῳ, ἔφη. ὁ μὲν δὴ Ἑρμογένης ἀνή-
ρετο, εἰ πολὺ εἴη αὐτῷ ἀργύριον. ὁ δὲ ἀπώμοσε, μηδὲ ὀβο-
λόν. ἀλλὰ γῆν πολλὴν ἔφη κέκτησαι. ἴσως ἄν, ἔφη, Αὐ-
τολύκῳ τούτῳ ἱκανὴ γένοιτο ἐγκονίσασθαι. ἀκουστέον ἂν
εἴη καὶ σοῦ. τί γὰρ σύ, ἔφη, ὦ Χαρμίδη, ἐπὶ τίνι μέγα φρο-
νεῖς; ἐγὼ αὖ, ἔφη, ἐπὶ πενίᾳ μέγα φρονῶ. νὴ Δί', ἔφη Σω-
κράτης, ἐπ' εὐχαρίστῳ γε πράγματι. τοῦτο γὰρ δὴ ἥκιστα
μὲν ἐπίφθονον, ἥκιστα δὲ περιμάχητον, καὶ ἀφύλακτον ὂν
σώζεται, καὶ ἀμελούμενον, ἰσχυρότερον γίγνεται. σὺ δὲ
δή, ἔφη ὁ Καλλίας, ἐπὶ τίνι μέγα φρονεῖς, ὦ Σώκρατες, 20
καὶ ὃς μάλα σεμνῶς ἀνασπάσας τὸ πρόσωπον, ἐπὶ μα-
στροπείᾳ, εἶπεν. ἐπεὶ δὲ ἐγέλασαν ἐπ' αὐτῷ, ὑμεῖς μὲν
γελᾶτε, ἔφη. ἐγὼ δὲ οἶδ' ὅτι καὶ πάνυ ἂν πολλὰ χρήμα-
τα λαμβάνοιμι, εἰ βουλοίμην χρῆσθαι τῇ τέχνῃ. σύ γε μὴν
δῆλον, ἔφη Λύκων, τὸν Φίλιππον, ὅτι ἐπὶ τῷ γελωτοποιεῖν
μέγα φρονεῖς. δικαιότερόν γ', ἔφη, οἶμαι ἢ Καλλιππί-
δης ὁ ὑποκριτής. ὃς ὑπερσεμνύνεται, ὅτι δύναται πολ-
λοὺς κλαίοντας καθίζειν. οὐκοῦν καὶ σύ, ἔφη ὁ Ἀντισθένης,
λέξεις, ὦ Λύκων, ἐπὶ τίνι μέγα φρονεῖς. καὶ ὃς ἔφη, οὐ γὰρ ἅ- 30
παντες ἴστε, ἔφη, ἐπὶ τούτῳ τῷ υἱεῖ; οὗτός γε μήν, ἔφη τις,
δῆλον ὅτι ἐπὶ τῷ νικηφόρος εἶναι. καὶ ὁ Αὐτόλυκος ἀνερυ-
θριάσας εἶπε, μὰ Δί' οὐκ ἔγωγε. ἐπεὶ δὲ ἅπαντες ἡσθέντες
ὅτι ἤκουσαν αὐτοῦ φωνήσαντος προσέβλεψαν, ἤρετό
τις αὐτόν, ἀλλ' ἐπὶ τῷ μήν, Αὐτόλυκε; ὁ δὲ εἶπεν, ὅτι ἐπὶ τῷ
πατρί. καὶ ἅμα ἀνεκλίθη αὐτῷ. καὶ ὁ Καλλίας ἰδών, ἆρ' οἶ-
σθα, ἔφη, ὦ Λύκων, ὅτι πλουσιώτατος εἶ ἀνθρώπων; μὰ
Δί', ἔφη, τοῦτο μέντοι ἐγὼ οὐκ οἶδα. ἀλλὰ λανθάνει σε,
ὅτι οὐκ ἂν δέξαιο τὰ βασιλέως χρήματα ἀντὶ τοῦ υἱοῦ; ἐπ' 40
αὐτοφώρῳ εἴλημμαι, ἔφη, πλουσιώτατος ὡς ἔοικεν ἀν-
θρώπων ὤν. σὺ δέ, ἔφη ὁ Νικήρατος, ὦ Ἑρμόγενες, ἐπὶ τί-
νι μάλιστα ἀγάλλῃ; καὶ ὅς, ἐπὶ φίλων, ἔφη, ἀρετῇ καὶ δυ-
νάμει, καὶ ὅτι τοιοῦτοι ὄντες, ἐμοῦ ἐπιμέλονται. ἐνταῦ-
θα τοίνυν πάντες προσέβλεψαν αὐτῷ. καὶ πολλοὶ ἅμα
ἤροντο, εἰ καὶ σφίσι δηλώσειεν αὐτούς. ὁ δὲ εἶπεν, ὅτι οὐ φθο-
νήσει. ἐκ τούτου ἔλεξεν ὁ Σωκράτης· οὐκοῦν λοιπὸν ἂν
εἴη ἡμῖν, ἃ ἕκαστος ὑπέσχετο ἀποδεικνύναι ὡς πολλοῦ ἄ-
ξιά ἐστιν. ἀκούοιτ' ἄν, ἔφη ὁ Καλλίας, ἐμοῦ πρῶτον. ἐγὼ γὰρ
ἐν τῷ χρόνῳ ᾧ ὑμῶν ἀκούω ἀπορούντων τί τὸ δίκαιον,
ἐν τούτῳ δικαιοτέρους τοὺς ἀνθρώπους ποιῶ. καὶ ὁ Σωκρά-
της, πῶς, ὦ λῷστε, ἔφη. διδοὺς νὴ Δί' ἀργύριον. καὶ Ἀντι-
σθένης ἐπαναστάς, μάλα ἐλεγκτικῶς αὐτὸν ἐπήρετο. οἱ δὲ
ἄνθρωποι, ὦ Καλλία, πότερον ἐν ταῖς ψυχαῖς, ἔφη, ἢ ἐν
τῷ βαλαντίῳ τὸ δίκαιόν σοι δοκοῦσιν ἔχειν; ἐν ταῖς ψυ-
χαῖς, ἔφη. κἄπειτα σὺ εἰς τὸ βαλάντιον διδοὺς ἀργύριον
τὰς ψυχὰς δικαιοτέρας ποιεῖς; μάλιστα. πῶς; ὅτι διὰ τὸ
εἰδέναι ὡς ἔστιν ὅτῳ πριάμενοι τὰ ἐπιτήδεια ἕξουσιν, οὐκ
ἐθέλουσι κακουργοῦντες κινδυνεύειν. ἦ καί σοι, ἔφη, ἀπο-
διδόασιν

tiorem, quàm rhapsodorum? Minimè uerò, inquit Nicera-
tus: mihi quidem non ita uidetur. An nō perspicuum est,
inquit Socrates, sententias ab istis non intelligi? Tu ue-
rò Stesimbroto Anaximandro, multisq; alijs magnā de-
disti pecuniam, quare nihil te rerum magnarum latet.
Quid tu, inquit, ô Critobule, qua re confisus tibi multum
tribuis? Forma, inquit. Vtrū igitur, Socrates inquit, pote-
ris dicere te tua forma et pulchritudine efficere posse, ut
simus meliores? in secus, me improbum uisum iri perspi-
10 cuum est. Quid, inquit, qua maxime re fisus Antisthenes
te effers? Diuitijs, inquit Hermogenes igitur rogauit, an
multū ei esset pecuniæ. At ille ne obolum quidē se habe-
re iurauit. At multum agri possides? inquit Hermogenes.
Fortassis, inquit, quantum Autolyco huic satis sit ad pul-
uere se inspergendum. Tu etiam audiendus es. Quid tu,
inquit, ô Charmides, qua re gloriaris maximè? Pauperta-
te, inquit ille. Certe, inquit Socrates, rem dicis iucun-
dam maxime: hæc enim est minime inuidiosa, minimeq;
pugnarum effectrix, quæq; sine præsidio seruatur, ac si
20 negligatur, magis corroborari solet. Iam uerò, inquit Cal-
lias, qua re fisus, ô Socrates, magnificè de te sentis? Tum
ille uultu ad summam grauitatem composito, lenocinio,
inquit. Cum risissent omnes, Vos ridetis, inquit: ego ue-
ro illud certo scio me maximū quæstum facere posse, si
ea arte uti uellem. Tu certe, inquit Lycon (Philippum
autem ostendebat) gloriaris te artem risus concitandi
nosse. Certe, inquit, iustius, ut arbitror, quàm Callipides
histrio, qui mirifice superbit, quod multitudinē plorātem
sedare possit. An non tu quoq;, ô Lycon, inquit Antisthe-
30 nes, dices qua re glorieris? Et ille: Nonne uos omnes sci-
tis, inquit, hoc meo filio me gloriari? Hic aūt unus ex con-
uiuis inquit: Perspicue gloriatur in eo quòd uictoriam re-
portarit. Tum Autolycus erubescens, Minime uerò, in-
quit, uictor sum. Postquā autē omnes ipsum cum magna
uoluptate audissent loquentem, ac in eum oculos conuer-
tissent, rogauit eum aliquis, At tu Autolyce qua tandem
re? At ille, Patre, inquit. Et Callias intuitus: Nescis, in-
quit ô Lycon, te esse omnium hominum ditissimum? Cer-
te quidem, inquit, istud ignoro. At illud non intelligis, te
40 præ filio omnes illius regis copias repudiaturum? Hic, in-
quit, quasi in ipso facinore deprehensus sum, nimirum o-
mnium hominum ditissimus. Tu uerò Hermogenes, in-
quit Niceratus, qua re maximè gloriaris? Tum ille, ami-
corum, inquit, uirtute et potentia, quodq; tales cùm sint,
mei curam habent. Tum igitur in eum oculos conuerte-
rūt omnes, multiq; simul rogant, an sibi uelit, qui essent,
significare. Ille autem, Non grauabor, inquit. Deinceps
Socrates: Superest, inquit, quæ quisq; nostrum pollicitus
est eximia memoratuq; digna, ea ut ostendat. Audietis
50 me primùm, inquit Callias: ego enim quo tempore uos
audio, quid sit ius & æquitas dubitantes, in eo ipso ho-
mines efficio iustiores. Et Socrates: Quo tandem modo,
optime uir, inquit? Data nimirum pecunia. Tum Anti-
sthenes surgit, & acriter coarguens interrogat Calliam
hoc modo: Vtrum, inquit, homines in animis, an in cru-
mena tibi ius habere uidentur? In animis, inquit ille. Et tu
in crumenam data pecunia, animos iuriperitos efficis?
Maximè. Quo tandem modo? Propterea quod sciunt sibi
deesse unde necessaria emant, pro maleficijs se in pericu-
la cōijcere nolūt. An tibi quæ ipsi abs te acceperint, red-
dere

dere solent? Non sane, inquit. Quid uero, an pro pecuniis gratias? Certe, inquit, ne hoc quidem: immo uero sunt, qui & inimiciores sunt quàm antea, cùm nullas accepissent pecunias. Mirifica sane ista, inquit Antisthenes: simul intuens & reprehendens illum, si ut in alios sint iusti efficere potes, ut in te sint, non potes? Quid mirum, inquit Callias: an non multos tum fabros, tum ædificatores uides domos alijs ædificare, sibi ædificare nō posse, sed mercede conducere? Patere te esse uictum Sophista. Patiatur sane, inquit Socrates: nam & uates quidem alijs futura prædicere dicuntur, sibi autem quod impendet, non preuidere. Sic igitur sermo hunc finem habuit. Deinceps autem Niceratus: Ex me, inquit, audire potestis, quibus meliores efficiemini, si mea utemini consuetudine. Certo enim scitis Homerum fere de rebus omnibus humanis in suo poëmate sapientissime conscripsisse: quisquis ergo ex uobis fieri uolet uel paterfamiliàs peritus, uel orator popularis, uel imperatoriæ disciplinæ non ignarus, uel simi lis Achilli aut Aiaci, aut Nestori, aut Vlyssi, me frequentet & colat: hæc enim omnia scire me profiteor. An etiā regnandi artem, inquit Antisthenes, te scire profiteris, quod scias eum laudasse Agamemnonem ut bonum regem fortemq; bellatorem? Ego uero illud etiam, inquit, scio, oportere aurigam ad stipitem inflectere:

> Se curru inclinet dextro, laxentur habenæ
> Alipedi, stimulis illum & clamoribus altis
> Ire iube, læuum modera.

Præter hæc noui & aliud quiddam, quod iam probare uosipsi potestis. Dixit enim alicubi Homerus, Cepa potum condit: Si quis igitur attulerit cepam, statim hanc utilitatem capietis, ut iucundius bibatis. Et Charmides inquit: Niceratus cepas olens cupit domum reuerti, ut uxor eius credat non solum neminem ipsum osculatum esse, sed ne cogitasse quidem. Aliam autem fortassis opinionem ridiculam addere posse uidemur: Obsonium enim tale uidetur esse, ut non solùm cibum, sed etiam potionem cepa condiat, iucundioremque reddat. An etiam illam post cœnam edemus, ne quis nos ad Calliam uoluptatis causa iuisse dicat? Nequaquam, inquit Socrates: nam ei qui ad pugnam incitatur, conuenit ceparum esus: ut nonnulli cum allio gallos pauerint, eos ad pugnam committere dicuntur. Nos certè de osculo magis quàm de prælio deliberamus. Atque hoc quodammodo finem habuit oratio. Critobulus autem, Ego uicissim dicam, inquit, quamobrem forma glorier mea. Dic, inquiunt. Si igitur non sum formosus, sicut mea fert opinio, uos optimo iure fallaciæ culpam sustinebitis: semper enim iureiurando affirmatis me formosum esse, iusiurandum exigente nemine. Et certe uobis assentior: cùm præsertim bonos & honestos uiros uos esse arbitrer. Quod si uerè pulcher sum, & idem uobis à me accidit, quod mihi ab eo quem formosum putem, per deos omnes iuro, me, quod formosus sim, Persarum imperio anteponere. Nunc enim Cliniam libentius, quàm omnes alias res humanas specto: malimque cæterarum rerum omnium, quàm illius unius aspectu carere: atque noctem & somnum accuso, quod illum non uideam: luci autem & Soli gratiam habeo maximam, quod mihi Cliniam ostendant. Illud certe magnum est ob quod gloriari possint formo

δέχωσιν ὅ,τι ἂν λάβωσι; μὰ τὸν Δί᾽, ἔφη, οὐ μὲν δή. τί δὲ αὐτὶ τοῦ ἀργυρίου χάριτας; οὐ μὰ τὸν Δί᾽, ἔφη, οὐδὲ τοῦτο, ἀλλ᾽ ἔνιοι καὶ ἐχθίονες ἔχουσιν, ἢ πρὶν λαβεῖν. θαυμαστά γε, ἔφη ὁ ἀντισθένης, ἅμα εἰσβλέπων, ὡς ἐλέγχων αὐτόν. εἰ μὲν πρὸς τοὺς ἄλλους δύνασαι δικαίους ἂν ποιεῖν αὐτούς, πρὸς δὲ σαυτὸν οὐχ. καὶ τί τοῦτ᾽, ἔφη ὁ καλλίας, θαυμαστόν; οὐ καὶ τέκτονάς τε καὶ οἰκοδόμους πολλοὺς ὁρᾷς, οἳ ἄλλοις μὲν πολλοῖς ποιοῦσιν οἰκίας, ἑαυτοῖς δὲ οὐ δύνανται ποιῆσαι, ἀλλ᾽ ἐν μισθωταῖς οἰκοῦσι; καὶ ἀνάσχου μέντοι, ὦ σοφιστά, ἐλεγχόμενος. νὴ Δί᾽, ἔφη σωκράτης, ἀνεχέσθω μέντοι· ἐπεὶ καὶ οἱ μάντεις λέγονταί δή που, ἄλλοις μὲν προαγορεύειν τὸ μέλλον, ἑαυτοῖς δὲ μὴ προορᾶν τὸ ἐπιόν. οὗτος μὲν δὴ ὁ λόγος ἐνταῦθα ἔληξεν. ἐκ τούτου δὲ ὁ νικήρατος, ἀκούοιτ᾽ ἄν, ἔφη, καὶ ἐμοῦ, ἃ ἔσεσθε βελτίονες, ἢν ἐμοὶ συνῆτε. ἴστε γὰρ δή που ὅτι ὁ ὅμηρος ὁ σοφώτατος πεποίηκε σχεδὸν περὶ πάντων τῶν ἀνθρωπίνων. ὅστις ἂν οὖν ὑμῶν βούληται ἢ οἰκονομικὸς, ἢ δημηγορικὸς, ἢ στρατηγικὸς γενέσθαι, ἢ ὅμοιος ἀχιλλεῖ, ἢ αἴαντι, ἢ νέστορι, ἢ ὀδυσσεῖ, ἐμὲ θεραπευέτω. ἐγὼ γὰρ ταῦτα πάντα ἐπίσταμαι. ἦ καὶ βασιλεύειν, ἔφη ὁ ἀντισθένης, ἐπίστασαι; ὅτι οἶσθα ἐπαινέσαντα αὐτὸν τὸν ἀγαμέμνονα, ὡς βασιλεύς τε ἀγαθὸς κρατερός τ᾽ αἰχμητής; καὶ ναὶ μὰ Δί᾽, ἔφη, ἔγωγε, ὅτι ἁρματηλατοῦντα δεῖ ἐγγὺς μὲν τῆς στήλης κάμψαι, αὐτὸν δὲ κλινθῆναι ἐϋξέστου ἐπὶ δίφρου. ἦκ᾽ ἐπ᾽ ἀριστερὰ τοῖιν, ἀτὰρ τὸν δεξιὸν ἵππον, κένσαι ὁμοκλήσαντ᾽ εἶξαί τε οἱ ἡνία χερσί. καὶ πρὸς τούτοις γε ἄλλο οἶδα, καὶ ὑμῖν αὐτίκα μάλα ἔξεστι πειρᾶσθαι. εἶπε γάρ που ὅμηρος, ἐπὶ δὲ κρόμυον ποτῷ ὄψον. ἐὰν οὖν ἐνέγκῃ τις κρόμυον, αὐτίκα μάλα τοῦτό γε ὠφελημένοι ἔσεσθε. ἥδιον γὰρ πιεῖσθε. καὶ ὁ χαρμίδης εἶπεν· ὦ ἄνδρες, ὁ νικήρατος κρομμύων ὄζων ἐπιθυμεῖ οἴκαδε ἐλθεῖν, ἵνα ἡ γυνὴ αὐτοῦ πιστεύῃ, μὴ διανοηθῆναι μηδένα ἂν φιλῆσαι αὐτόν. νὴ Δί᾽, ἔφη, ὦ σώκρατες, ἀλλ᾽ ἄλλην που δόξαν γελοίαν κίνδυνος ἡμῖν προσλαβεῖν. ὄψον μὲν γὰρ δὴ ὄντως ἔοικεν εἶναι ὡς κρόμυόν γε οὐ μόνον σῖτον, ἀλλὰ καὶ ποτὸν ἡδύνει. εἰ δὲ δὴ τοῦτο καὶ μετὰ δεῖπνον τρωξόμεθα, ὅπως μὴ φήσει τις ἡμᾶς πρὸς καλλίαν ἐλθόντας ἡδυπαθεῖν. μηδαμῶς, ἔφη σωκράτης. εἰ μὲν γὰρ εἰς μάχην ὁρμώμενον, καλῶς ἔχει κρόμυον ὑποτρώγειν, ὥσπερ ἔνιοι τοὺς ἀλεκτρυόνας σκόροδα σιτίσαντες συμβάλλουσιν. ἡμεῖς δὲ ἴσως βουλευόμεθα, ὅπως φιλήσομέν τινα μᾶλλον ἢ μαχούμεθα. καὶ οὗτος μὲν δὴ ὁ λόγος οὕτω πως ἐπαύσατο. ὁ δὲ κριτόβουλος, οὐκοῦν αὖ ἐγὼ λέξω, ἔφη, ἐξ οὗ ἐπὶ τῷ κάλλει μέγα φρονῶ. λέγε, ἔφασαν. εἰ μὲν τοίνυν μὴ καλός εἰμι ὡς οἴομαι, ὑμεῖς ἂν δικαίως ἀπάτης δίκην ὑπέχοιτε. οὐδενὸς γὰρ ὁρκίζοντος ἀεὶ ὀμνύοντες, καλόν με φατὲ εἶναι. κἀγὼ μέντοι πιστεύω. καλοὺς γὰρ κἀγαθοὺς ὑμᾶς ἄνδρας νομίζω. εἰ δ᾽ εἰμί τε τῷ ὄντι καλὸς, καὶ ὑμεῖς ταὐτὰ πρὸς ἐμὲ πάσχετε, οἷάπερ ἐγὼ πρὸς τὸν ἐμοὶ δοκοῦντα καλὸν εἶναι, ὄμνυμι πάντας θεοὺς, μὴ ἑλέσθαι ἂν τὴν βασιλέως ἀρχὴν ἀντὶ τοῦ καλὸς εἶναι. νῦν γὰρ ἐγὼ κλεινίαν, ἥδιον μὲν θεῶμαι, ἢ τἆλλα πάντα τὰ ἐν ἀνθρώποις καλά. τυφλὸς δὲ τῶν ἄλλων ἁπάντων μᾶλλον ἂν δεξαίμην εἶναι, ἢ κείνου ἑνὸς ὄντος. ἄχθομαι δὲ καὶ νυκτὶ καὶ ὕπνῳ, ὅτι ἐκεῖνον οὐχ ὁρῶ. ἡμέρᾳ δὲ καὶ ἡλίῳ τὴν μεγίστην χάριν οἶδα, ὅτι μοι κλεινίαν ἀναφαίνουσιν. ἄξιόν γε μὴν ἀπ᾽ ἡμῖν

τοῖς

τοῖς καλοῖς. καὶ ἤδη τοῖς δὲ μέγα φρονεῖν. ὅτι τὸν μὲν ἰσχυρὸν πονοῦντα δεῖ κτᾶσθαι τἀγαθά, καὶ τὸν ἀνδρεῖον κινδυνεύοντα, τὸν δὲ σοφὸν λέγοντα. ὁ δὲ καλὸς καὶ ἡσυχίαν ἔχων, πάντ' ἂν διαπράξαιτο. ἔγωγ' οὖν καίπερ εἰδὼς ὅτι χρήματα ἡδὺ κτῆμα, ἥδιον μὲν ἂν τὰ ὄντα κλεινίᾳ διδοίην, ἢ ἕτερα παρ' ἄλλου λαμβάνοιμι. ἥδιον δ' ἂν δουλεύοιμι ἢ ἐλεύθερος εἴην, εἴ μου κλεινίας ἄρχειν ἐθέλοι. καὶ γὰρ πονοίην ἂν ῥᾷον ἐκείνῳ, ἢ ἀναπαυοίμην. καὶ κινδυνεύοιμ' ἂν πρὸς ἐκείνου ἥδιον, ἢ ἀκίνδυνος ζῴην. ὥστε εἰ σύ, ὦ καλλία μέγα φρονεῖς, ὅτι δικαιοτέρους δύνασαι ποιεῖν, ἐγὼ πρὸς πᾶσαν ἀρετὴν δικαιότερός σου εἰμὶ ἄγειν ἀνθρώπους. διὰ γὰρ τὸ ἐμπνεῖν τι ἡμᾶς τοὺς καλοὺς τοῖς ἐρωτικοῖς, ἐλευθεριωτέρους μὲν αὐτοὺς ποιοῦμεν εἰς χρήματα, φιλοπονωτέρους δὲ καὶ φιλοκαλωτέρους τε ἐν τοῖς κινδύνοις. καὶ μὴν αἰδημονεστέρους τε ἐγκρατεστέρους. οἵ γε καὶ ὧν δέονται μάλιστα, ταῦτ' αἰσχύνονται. μαίνονται δὲ καὶ οἱ μὴ τοὺς καλοὺς στρατηγοὺς αἱρούμενοι. ἐγὼ οὖν μετὰ κλεινίου κἂν διὰ πυρὸς ἰοίην. οἶδα δ' ὅτι καὶ ὑμεῖς μετ' ἐμοῦ. ὥστε μηκέτι ἀπόρει, ὦ σώκρατες, εἰ τοὐμὸν κάλλος ἀνθρώπους ὠφελήσει. ἀλλ' οὐδὲ μέντοι ταύτῃ γε ἀτιμαστέον τὸ κάλλος, ὡς ταχὺ παρακμάζον. ἐπεὶ ὥσπερ γε παῖς γίγνεται καλός, οὕτω καὶ μειράκιον καὶ ἀνὴρ καὶ πρεσβύτης. τεκμήριον δὲ θαλλοφόρους δὲ τῇ ἀθηνᾷ, τοὺς καλοὺς γέροντας ἐκλέγονται, ὡς συμπαρομαρτοῦντος πάσῃ ἡλικίᾳ τοῦ κάλλους. εἰ δὲ ἡδὺ τὸ παρ' ἑκόντων διαπράττεσθαι ὧν τις δέοιτο, εὖ οἶδ' ὅτι καὶ νυνὶ θᾶττον ἂν ἐγὼ καὶ σιωπῶν πείσαιμι τὸν παῖδα τόνδε, καὶ τὴν παῖδα φιλῆσαί με, ἢ σύ, ὦ σώκρατες, εἰ καὶ πάνυ πολλὰ καὶ σοφὰ λέγοις. τί τοῦτο, ἔφη ὁ σωκράτης, ὡς γὰρ καὶ ἐμοῦ καλλίων ὤν, ταῦτα κομπάζεις. νὴ δί', ἔφη ὁ κριτόβουλος, ἢ πάντων σειληνῶν τῶν ἐν τοῖς σατυρικοῖς αἴσχιστος ἂν εἴην. ὁ δὲ σωκράτης, καὶ ἐτύγχανε προσεμφερὴς τούτοις ὤν. ἄγε νῦν, ἔφη σωκράτης, ὅπως μεμνήσῃ διακριθῆναι περὶ τοῦ κάλλους. ἐπειδὰν οἱ προκείμενοι λόγοι περιέλθωσι, κρινάτω δ' ἡμᾶς, μὴ ἀλέξανδρος ὁ πριάμου, ἀλλ' αὐτοὶ οὗτοι οὕσπερ σὺ οἴει ἐπιθυμεῖν σε φιλῆσαι. κλεινίᾳ δ', ἔφη, ὦ σώκρατες, οὐκ ἂν ἐπιτρέψαις; καὶ ὃς εἶπεν, οὐ γὰρ αὖ παύσῃ σὺ κλεινίου μεμνημένος; ἂν δὲ μὴ ὀνομάζω, ἧττόν τί με οἴει μεμνῆσθαι αὐτοῦ; οὐκ οἶσθα ὅτι οὕτω σαφῶς ἔχω εἴδωλον αὐτοῦ ἐν τῇ ψυχῇ, ὡς εἰ πλαστικὸς ἢ ζωγραφικὸς ἦν, οὐδὲν ἂν ἧττον ἐκ τοῦ εἰδώλου ἢ πρὸς αὐτὸν ὁρῶν, ὅμοιον αὐτῷ ἀπειργασάμην. καὶ ὁ σωκράτης ὑπέλαβε· τί δῆτα οὕτως ὅμοιον εἴδωλον ἔχων, πράγματά μοι παρέχεις, ἄγεις τε αὐτὸν ὅπου ὄψει. ὅτι, ὦ σώκρατες, ἡ μὲν αὐτοῦ ὄψις εὐφραίνειν δύναται, ἡ δὲ τοῦ εἰδώλου τέρψιν μὲν οὐ παρέχει, πόθον δὲ ἐμποιεῖ. καὶ ὁ ἑρμογένης εἶπεν· ἀλλ' ἐγώ, ὦ σώκρατες, οὐδὲ πρὸς σοῦ ποιῶ τὸ περιιδεῖν κριτόβουλον, οὕτως ὑπὸ τοῦ ἔρωτος ἐκπλαγέντα. δοκεῖς γάρ, ἔφη ὁ σωκράτης, ἐξ οὗ ἐμοὶ σύνεστιν οὕτω διατεθῆναι αὐτόν; ἀλλὰ πότε μήν. οὐχ ὁρᾷς ὅτι τούτῳ μὲν παρὰ τὰ ὦτα ἄρτι ἴουλος καθέρπει. κλεινίᾳ δὲ πρὸς τὸ ὄπισθεν ἤδη ἀναβαίνει; οὗτος οὖν συμφοιτῶν εἰς ταὐτὰ διδασκαλεῖα ἐκείνῳ, τότε ἰσχυρῶς προσεκαύθη. ἃ δὴ αἰσθόμενος ὁ πατὴρ παρέδωκέ μοι αὐτόν, εἴ τι δυναίμην ὠφελῆσαι. καὶ μέντοι πολὺ βέλτιον ἤδη ἔχει. πρόσθεν μὲν γὰρ ὥσπερ

formosi, quòd robustum necesse sit laborare, si bona acquirere uelit, fortem periculis se obijcere, sapientem oratione uti: at formosus uel in summo ocio omnia conficit. Nam tametsi intelligo pecuniam rem esse iucundissimam, meam tamen libentius darem Cliniæ, quàm ab alijs acciperem. Libentiusq; seruirem, quam liber essem, si mihi Clinias imperare uellet: etenim facilius laborem illi, quàm quiescam: & pericula libentius adeam illius causa, quàm sine periculo uitam degã. Quare si tu Callia hoc nomine te amas, quod potes efficere iustiores, ego facilius quàm tu possum homines ad omnem uirtutem incitare & ducere: quia formosi nescio quid inspiramus amori deditis, ut eos in largitionib. liberaliores, in periculis magis industrios, & honesti appetentiores efficiamus: & præterea tum uerecundiores tum continentiores, qui quidem uel ea quæ maximè desiderant, eloqui uerentur: ac insaniunt, nisi formosos duces nacti fuerint. Itaq; si cum Clinia per ignem incederem, scio uos quoq; mecum ingressuros. Quare noli amplius Socrates dubitare, quin forma hominibus prosit. Nec uerò hac ratione uituperanda forma est, quòd citò deflorescat: nam ut puer est formosus, sic etiam adolescens, sic uir, sic senex. Hoc declarant Mineruæ θαλλοφόροι, (ramigeros uocare possumus) qui semper eliguntur formosi senes, tanquam quos per omnes ætatis gradus forma sit comitata. Quod si iucundum est ab non inuitis impetrare posse quæ expetas, persuasum habeo me nunc facilius uel tacendo huic puero & puellæ persuadere posse, ut me osculetur, quàm te Socrates, etiam si admodũ multa, eaq; docta dixeris. Quid istud est: inquit Socrates: nam quasi me sis formosior, hæc iactas. Certè, inquit Critobulus, alioqui omnib. Silenis Satyricorũ longe essem deformior. Socrates aũt his erat assimilis. Agedũ, inquit Socrates, uide memineris de forma iudiciũ factum iri, postq̃ instituti sermones finem habuerint. Hanc aũt nostram causam disceptet nõ Alexander Priami filius, sed ipsi illi quos te cupere osculari putas. Tum ille: Hoc iudicium Socrates Cliniæ nõ permittes? Tum Socrates: Nõ desines, inquit, Cliniæ mentionẽ facere? Quòd si non nomino, putas propterea me minus meminisse? Nescis me sic clarũ eius simulachrũ in animo ferre, ut si essem fictor, uel pictor, nihilo deterius ex illo simulachro, q̃ si præsentem intuerer, simile illius efficerem? Tum Socrates respõdit: Cur igitur, cum tam simile illi simulachrũ gestas, facessis mihi negociũ, meq; in eũ locũ, ubi spectare possis, ducis? Quòd, ô Socrates, aspectus, eius uoluptate afficere potest: at simulachrũ nullam affert uoluptatẽ, desiderium autem ingenerat. Tum Hermogenes: At ego, inquit, ô Socrates, ne tua quidem causa facio, ut contemnã Critobulum sic amore obstupefactum. An existimas, inquit Socrates, eum ex quo mecũ uersari cœpit, sic affectũ esse? at quando tandem? nõ uides huic ad aures iam lanuginem serpere, Cliniæ aũt retrò tandem succrescere? Ad hunc igitur modũ simul itans in eundem ludum adeò uehementer exarsit. Quam rem cum sensisset pater, eum mihi tradidit, si quid prodesse & emendare possem. Et certe iam multo melius habet: antea enim,

ut qui Gorgonem uiderint, in saxi mor.m oculos fi/gebat in illum, & tanquam saxum nusquam ab illo dimouebat: nunc uero iam ipsum conniuentem crebro animaduerti: quanquam, per deos, mihi quidem uidetur, inquit, ut in uobis affixus esse, sic & deosculatus esse Cliniam, cuius amore nullus est æstus uehementior: est enim inexplebilis, & spem habet dulcem. Fortasse autem propterea, quod solum omnium opus, quo corpora se mutuo contrectant, homonymum & idem cum amicorum osculis, præstabilius est: ob quam causam abstinendum esse à formosorum osculis ei, qui uelit continenter & pudice uiuere. Tum Charmides: Sed cur tandem, inquit, sic nos amicos deterres à formosis? Tum Socrates: Teipsum, inquit, uidi profecto grammatistam, cum in eodem libro coniunctis capitibus aliquid ambo quæreretis, et humerum nudum humero hærentem. Et Socrates: Facesse, inquit, hæc igitur, quasi à bestia aliqua morsus: & humerum amplius quinq; diebus fricuerunt, & in corde quasi pruritũ quendam habere uidebar. Sed nunc quid tibi, inquit, Critobule uidetur? Corã tot testibus prohibeo ne me tãgas, priusquã mentum eodẽ modo, quo caput, pilis uestiatur. Atq; illi quidẽ iocosa seriaq; uicissim tractabãt. At Callias: Tuæ, inquit, partes sunt, Charmidẽ alloquẽs, ut dicas, cur paupertate glorieris? An nõ hoc cõstat, inquit, præstãtius esse fidere q̃ metuere? ac liberum esse magis, q̃ seruire? & coli, quàm colere? & cum esse cui patria fidem habeat magis, q̃ cui diffidat? Ego igitur cum in hac ciuitate diues essem, primùm metuebam ne quis pariete diruto res meas diriperet, ac meipsum aliquo incõmodo afficeret, maleq; tractaret. Deinde etiã incolendi mihi erãt sycophãtæ: intelligebã enim mihi facilius ab illis malũ accidere posse, q̃ illis à me: semper enim ciuitas mihi sumptus imperabat, nec peregrinari usquam licebat. Nunc uero cum bonis longinquis caream, & suburbana nulla percipiam, domestica uendita sint, porrectus dormio iucundè. Apud ciues autoritate ualeo, nec iam quisquam mihi minatur, sed aliis ipse minitor, & tanquam libero mihi licet & peregrinari, & in patria uersari: quia & suis sedibus mihi cedunt, & de uia diuites decedunt: sumq; tyranno nunc similis: tunc autem apertè seruus eram, qui & tributum pendebam populo, at nunc ciuitas pendit, ac me alit. Quin etiam tunc cum diues essem conuicium mihi faciebant, quòd Socratis consuetudine uterer. Postquã autem ad paupertatẽ sum redactus, iam ne curat quidem quisquam. Iam uerò cum multa possiderem, aliquid semper auferebat uel respublica, uel fortuna. Nunc autem nihil deperdo, cum nihil habeam, sed semper accepturum me spero. An etiam, inquit Callias, optas ut nunquam diues fias? & si quod faustum somnium uideres, diis qui mala auertunt sacrificares? Minime, inquit, istud facerem: sed uehementer periculose expecto sicunde quid me accepturum spero. Age igitur, inquit Socrates, tu rursus dic Antisthenes, cur cum tam pauca possideas, tam magnificè de te propter opulentiam sentias? Quòd existimem, inquit, hominum diuitias aut paupertatem non in domibus esse, sed in animis. Video

ὥσπερ οἱ τὰς γοργόνας θεώμενοι, λιθίνως ἔβλεπε πρὸς αὐτόν, καὶ λιθίνως οὐδαμοῦ ἀπῄει ἀπ' αὐτοῦ. νῦν δὲ ἤδη εἶδον αὐτὸν καὶ σκαρδαμύξαντα. καίτοι νὴ τοὺς θεούς, ὦ ἄνδρες, δοκεῖ μοί γ', ἔφη, ὡς ἐν ὑμῖν αὐτοῖς ἀρρῆσθαι, οὗτος καὶ πεφιληκέναι τὸν κλεινίαν, οὗ ἔρωτος οὐδὲν ἐστι δεινότερον ὑπέκκαυμα. καὶ γὰρ ἄπληστον, καὶ ἐλπίδας τινὰς γλυκείας ἔχει. ἴσως δὲ καὶ διὰ τὸ μόνον πάντων ἔργον τὸ τοῖς σώμασι συμψαύειν ὁμώνυμον εἶναι τῷ ταῖς ψυχαῖς φιλεῖσθαι, ἐντιμότερόν ἐστιν. οὕνεκα ἀφεκτέον ἐγώ φημι εἶναι φιλημάτων ὡραίων, καὶ σωφρονεῖν δυνησομένῳ, καὶ ὁ χαρμίδης εἶπεν· ἀλλὰ τί δή ποτε, ὦ σώκρατες, ἡμᾶς μὲν οὕτω τοὺς φίλους μορμολύττῃ ἀπὸ τῶν καλῶν. αὐτὸν δέ σε, ἔφη ἐγώ, εἶδον. ναὶ μὰ τὸν ἀπόλλω. ὅτε παρὰ τῷ γραμματιστῇ ἐν τῷ αὐτῷ βιβλίῳ ἀμφότεροι ἐμβατεύετέ τι, τῇ κεφαλῇ πρὸς τῇ κεφαλῇ. καὶ τὸν ὦμον γυμνὸν πρὸς γυμνῷ τῷ κριτοβούλου ὤμῳ ἔχοντα. καὶ ὁ σωκράτης. φεῦ, ἔφη. ταῦτ' ἄρα, ἔφη ἐγώ, ὥσπερ ὑπὸ θηρίου τινὸς δεδηγμένος, τόν δε ὦμον πλεῖον ἢ πέντε ἡμέρας ὤδαξον. καὶ ἐν τῇ καρδίᾳ ὥσπερ κνήσματι ἐδόκουν ἔχειν. ἀλλὰ νῦν τί σοι, ἔφη, ὦ κριτόβουλε. ἐναντίον τοσούτων μαρτύρων προαγορεύω μὴ ἅπτεσθαί μου, πρὶν ἂν τὸ γένειον τῇ κεφαλῇ ὁμοίως κομήσῃς. καὶ οὗτοι μὲν δὴ οὕτως ἀναμὶξ ἔσκωψάν τε καὶ ἐσπούδασαν. ὁ δὲ καλλίας, σὸν μέρος, ἔφη, λέγειν, ὦ χαρμίδη, δι' ὅτι ἐπὶ πενίᾳ μέγα φρονεῖς. οὐκοῦν τόδε μὲν, ἔφη, ὁμολογεῖται, κρεῖττον εἶναι θαρρεῖν ἢ φοβεῖσθαι, καὶ ἐλεύθερον εἶναι μᾶλλον, ἢ δουλεύειν, καὶ θεραπεύεσθαι μᾶλλον ἢ θεραπεύειν, καὶ πιστεύεσθαι ὑπὸ τῆς πατρίδος μᾶλλον ἢ ἀπιστεῖσθαι. ἐγὼ τοίνυν ἐν τῇδε τῇ πόλει, ὅτι μὲν πλούσιος ἦν, πρῶτον μὲν ἐφοβούμην μή τις μου τὴν οἰκίαν διορύξας καὶ τὰ χρήματα λάβοι, καὶ αὐτόν τί με κακὸν ἐργάσαιτο. ἔπειτα δὲ καὶ τοὺς συκοφάντας ἐθεράπευον, εἰδὼς, ὅτι παθεῖν μᾶλλον κακῶς ἱκανὸς εἴην, ἢ ποιῆσαι ἐκείνους. καὶ γὰρ δὴ καὶ προσετάττετο μὲν ἀεί τί μοι δαπανᾶν ὑπὸ τῆς πόλεως. ἀποδημῆσαι δὲ οὐδαμοῦ ἐξῆν. νῦν δὲ ἐπειδὴ τῶν ὑπερορίων στέρομαι, καὶ τὰ ἔγγαια οὐ καρποῦμαι, καὶ τὰ ἐκ τῆς οἰκίας πέπραται, ἡδέως μὲν καθεύδω ἐκτεταμένος. πιστὸς δὲ τῇ πόλει γεγένημαι. οὐκ ἔτι δὲ ἀπειλοῦμαι, ἀλλ' ἤδη ἀπειλῶ ἄλλοις. ὡς ἐλευθέρῳ τε ἔξεστί μοι, καὶ ἀποδημεῖν καὶ ἐπιδημεῖν. ὑπανίστανται δέ μοι ἤδη καὶ θάκων. καὶ ὁδῶν ἐξίστανται οἱ πλούσιοι. καὶ εἰμὶ νῦν μὲν τυράννῳ ἐοικώς. τότε δὲ σαφῶς δοῦλος ἦν, καὶ τότε μὲν ἐγὼ φόρον ἀπέφερον τῷ δήμῳ. νῦν δὲ ἡ πόλις τέλος φέρουσα τρέφει με, ἀλλὰ καὶ σωκράτει, ὅτε μὲν πλούσιος ἦν, ἐλοιδόρουν με ὅτι συνῆν. νῦν δ' ἐπεὶ πένης γεγένημαι, οὐκέτι οὐδὲ μέλει οὐδενί. καὶ μὴν ὅτε μέν γε πολλὰ εἶχον, ἀεί τι ἀπέβαλλον ἢ ὑπὸ τῆς πόλεως, ἢ ὑπὸ τῆς τύχης. νῦν δὲ ἀποβάλλω μὲν οὐδέν. οὐδὲ γὰρ ἔχω. ἀεὶ δέ τι λήψεσθαι ἐλπίζω. οὐκοῦν, ἔφη ὁ καλλίας, καὶ εὔχῃ μηδέ ποτε πλουτεῖν; καὶ ἐάν τι ὄναρ ἀγαθὸν ἴδῃς, τοῖς ἀποτροπαίοις θύεις; μὰ δία τοῦτο μέντοι, ἔφη, ἐγὼ οὐ ποιῶ. ἀλλὰ μάλα φιλοκινδύνως ὑπομένω, ἤν ποθέν τι ἐλπίζω λήψεσθαι. ἀλλ' ἄγε δή, ἔφη ὁ σωκράτης, σὺ αὖ λέγε ἡμῖν, ὦ ἀντίσθενες, πῶς οὕτω βραχέα ἔχων, μέγα φρονεῖς ἐπὶ πλούτῳ. ὅτι νομίζω, ὦ ἄνδρες, τοὺς ἀνθρώπους οὐκ ἐν τῷ οἴκῳ τὸν πλοῦτον καὶ τὴν πενίαν ἔχειν, ἀλλ' ἐν ταῖς ψυχαῖς.

ὁρῶ

ὁρῶ γὰρ πολλοὺς μὲν ἰδιώτας, οἳ πάνυ πολλὰ ἔχοντες χρήματα, οὕτω πένεσθαι ἡγοῦνται, ὥστε πάντα μὲν πόνον, πάντα δὲ κίνδυνον ὑποδύονται, ἐφ᾽ ᾧ πλείονα κτήσονται. οἶδα δὲ καὶ ἀδελφοὺς, οἳ τὰ ἴσα λαχόντες, ὁ μὲν αὐτῶν τἀρκοῦντα ἔχει, καὶ περιττεύοντα τῆς δαπάνης. ὁ δὲ τοῦ παντὸς ἐνδεῖται. αἰσθάνομαι δὲ καὶ τυράννους τινὰς, οἳ οὕτως αὖ πεινῶσι χρημάτων, ὥστε ποιοῦσι πολὺ δεινότερα τῶν ἀπορωτάτων. δι᾽ ἔνδειαν μὲν γὰρ δήπου οἱ μὲν κλέπτουσιν, οἱ δὲ τοιχωρυχοῦσιν, οἱ δὲ ἀνδραποδίζονται. τύραννοι δ᾽ εἰσί τινες, οἳ ὅλους μὲν οἴκους ἀναιροῦσιν, ἀθρόους δ᾽ ἀποκτείνουσι, πολλάκις δὲ καὶ ὅλας πόλεις χρημάτων ἕνεκα ἐξανδραποδίζονται. τούτους μὲν οὖν ἔγωγε καὶ πάνυ οἰκτείρω τῆς χαλεπῆς νόσου. ὅμοια γάρ μοι δοκοῦσι πάσχειν, ὥσπερ εἴ τις πολλὰ ἔχων, καὶ πολλὰ ἐσθίων, μηδέποτε ἐμπίπλαιτο. ἐγὼ δὲ οὕτω μὲν πολλὰ ἔχω, ὡς μόλις αὐτὰ καὶ ἐγὼ αὐτὸς εὑρίσκω. ὅμως δὲ περίεστί μοι καὶ ἐσθίοντι, ἄχρι τοῦ μὴ πεινῆν ἀφικέσθαι. καὶ πίνοντι μέχρι τοῦ μὴ διψῆν. καὶ ἀμφιέννυσθαι, ὥστε ἔξω μὲν μηδὲν μᾶλλον Καλλίου τούτου τοῦ πλουσιωτάτου ῥιγοῦν. ἐπειδάν γε μὴν ἐν τῇ οἰκίᾳ γένωμαι, πάνυ μὲν ἀλεεινοὶ χιτῶνες, οἱ τοῖχοί μοι δοκοῦσιν εἶναι. πάνυ δὲ παχεῖαι ἐφεστρίδες, οἱ ὄροφοι. στρωμνήν γε μὴν οὕτως ἀρκοῦσαν ἔχω, ὥστ᾽ ἔργον μέγ᾽ ἐστὶ καὶ ἀνεγεῖραι. ἢν δέ ποτε καὶ ἀφροδισιάσαι τὸ σῶμα μου δεηθῇ, οὕτω μοι τὸ παρὸν ἀρκεῖ, ὥστε αἷς ἂν προσέλθω ὑπερασπάζονταί με, διὰ τὸ μηδένα ἄλλον αὐταῖς ἐθέλειν προσιέναι. καὶ πάντα τοίνυν ταῦτα οὕτως ἡδέα μοι δοκεῖ εἶναι, ὡς μᾶλλον μὲν ἥδεσθαι ποιῶν ἕκαστα αὐτῶν, οὐκ ἂν εὐξαίμην. ἧττον δὲ τούτων μοι δοκεῖ ἔνια αὐτῶν ἡδίω εἶναι τοῦ συμφέροντος. πλείστου δ᾽ ἄξιον κτῆμα ἐν τῷ ἐμῷ πλούτῳ λογίζομαι εἶναι ἐκεῖνο, ὅτι εἴ μου τίς καὶ τὰ νῦν ὄντα παρέλοιτο, οὐδὲν οὕτως ὁρῶ φαῦλον ἔργον, ὁποῖον οὐκ ἀρκοῦσαν ἂν τροφὴν ἐμοὶ παρέχοι. καὶ γὰρ ὅταν ἡδυπαθῆσαι βουληθῶ, οὐκ ἐκ τῆς ἀγορᾶς τὰ τίμια ὠνοῦμαι, πολυτελῆ γὰρ γίνεται, ἀλλ᾽ ἐκ τῆς ψυχῆς ταμιεύομαι. καὶ πολὺ πλεῖον διαφέρει πρὸς ἡδονὴν, ὅταν ἀναμείνας τὸ δεηθῆναι προσφέρωμαι, ἢ ὅταν τινὶ τῶν τιμίων χρῶμαι. ὥσπερ καὶ νῦν τῷδε τῷ Θασίῳ οἴνῳ ἐντυχὼν, οὐ διψῶν πίνω αὐτόν. ἀλλὰ μὴν καὶ πολὺ δικαιοτέρους γε εἰκὸς εἶναι, τοὺς εὐτέλειαν μᾶλλον ἢ πολυχρηματίαν σκοποῦντας. οἷς γὰρ μάλιστα τὰ παρόντα ἀρκεῖ, ἥκιστα τῶν ἀλλοτρίων ὀρέγονται. ἄξιον δ᾽ ἐννοῆσαι, ὡς καὶ ἐλευθερίους ὁ τοιοῦτος πλοῦτος παρέχεται. Σωκράτης τε γὰρ οὗτος παρ᾽ οὗ ἐγὼ τοῦτον ἐκτησάμην, οὔτ᾽ ἀριθμῷ, οὔτε σταθμῷ ἐπήρκει μοι. ἀλλ᾽ ὁπόσον ἐδυνάμην φέρεσθαι τοσοῦτόν μοι παρεδίδου. ἐγώ τε νῦν οὐδενὶ φθονῶ, ἀλλὰ πᾶσι τοῖς φίλοις, καὶ ἐπιδεικνύω τὴν ἀφθονίαν καὶ μεταδίδωμι τῷ βουλομένῳ, τοῦ ἐν τῇ ἐμῇ ψυχῇ πλούτου. καὶ μὴν καὶ τὸ ἁβρότατόν γε κτῆμα, τὴν σχολὴν ἀεὶ ὁρᾶτέ μοι παροῦσαν, ὥστε καὶ θεᾶσθαι τὰ ἀξιοθέατα, καὶ ἀκούειν τὰ ἀξιάκουστα. καὶ ὃ πλείστου ἐγὼ τιμῶμαι Σωκράτει σχολάζων συνδιημερεύειν. καὶ οὗτος δὲ οὐ τοὺς πλεῖστον ἀριθμοῦντας χρυσίον θαυμάζει, ἀλλ᾽ οἳ ἂν αὐτῷ ἀρέσκωσι, τούτοις συνὼν διατελεῖ. οὗτος μὲν οὖν οὕτως εἶπεν. ὁ δὲ Καλλίας, νὴ τὴν Ἥραν, ἔφη, τά τε ἄλλα ζηλῶ σε τοῦ πλούτου, καὶ ὅτι οὔτε ἡ πόλις σοι ἐπιτάττου-

Video enim multos idiotas, qui cum multa admodum possideant, ita tamen se pauperes putant, quò suas augeant opes, & plura acquirant, ut quemuis laborem ac quoduis periculum subeant. Noui etiam fratres, quorum patrimonia essent paria, alterum quæ satis essent habere, præterq; sumptus superare: alterum uerò omnium egere. Audio etiam tyrannos quosdam sic esurire diuitias, ut multa moliantur indigniora quàm egentissimi. Nam propter indigentiam alij furantur, alij parietes diruunt, alij plagiarij sunt, liberosq; pro mancipijs uendunt: suntq; nonnulli tyranni, qui totas domos euertunt, complures occidunt, sæpe etiam totas ciuitates in seruitutem redigunt causa pecuniæ: quorum, quia graui morbo laborant, magnopere me miseret. Similiter enim eos accidit, ut si quis cum multa possideat, multáque edat, nunquam tamen expleatur. Ego uerò tam multa habeo, ut ea uix ipse reperiam, tamen satis mihi est cum edo ad famem explendam, & cum bibo ad sitim restinguendam, & ad corpus contegendum, ut foris nihilo plus quàm Callias iste ditissimus frigeam, & cum domi sum parietes mei mihi calidæ tunicæ, & tecta crassæ admodum uestes esse uidentur. Stratum autem meum ita mihi est satis, ut difficile sit me uel è somno excitari. Quòd si corpus res uenereas requirit, sic mihi quod adest, satis est, ut eæ quibus cum congredior, supra modum complectantur, propterea quod alius adeat nemo. Ac omnia hæc sic mihi iucunda esse uidentur, ut in singulis horum maiorem non desiderem uoluptatem. Sed mihi uidentur nonnulla horum minus iucunda esse, quàm utile sit. Maximum autem in meis diuitijs illud esse arbitror, quod si quis quæ nunc habeo auferat, nullam arbitror tantam accidere posse calamitatem, quæ cibo parabili me priuare possit: etenim cum uoluptati me dare cupio, non ea quæ sunt in foro maximi precij emo, sunt enim nimis cara, sed ex animo meo promo. Multoq; plus confert ad uoluptatem, si expectato appetitu sumam, quàm si magno precio emptis utar: ut nunc cum in Thasium uinum inciderim, non sitiens bibo. Quinetiam multo iustiores esse par est eos qui uilitatem annonæ magis quàm caritatem spectant: quibus enim quæ adsunt maxime sufficiunt, hi aliena minimè appetunt. Illud etiam dignum est ut consideremus, tales diuitias liberos efficere solere. Etenim Socrates hic à quo has opes sum consecutus, neq; numero, neq; pondere mihi suppeditabat, sed quantum ferre ualebam, tantum mihi largiebatur. Nec cuiquam nunc inuideo, sed omnibus amicis & ostendo abundantiam, & animi opes uolentibus communico. Videtis etiam iucundissimam ocij possessionem semper adesse, ut res magnas & spectare & audire liceat: &, quod pluris facio, licet cum Socrate in ocio totos dies consumere. Nec uero eos qui plurimum auri possident admiratur, sed qui placuerint, cum his perpetuo uersatur. Atque is locutus est ad hunc modum. Callias autem, Per Iunonem, inquit, cum ob alias causas admiror tuas diuitias, tum quod ciuitas neq; tibi pre-

ὥστε μόνον μὴ διαφθείρειν τοὺς συγκαθεύδοντας, ὥστε σύ γε εἰ μὴ ἐπ' ἄλλῳ, ἀλλ' ἐπὶ τῷ χρωτὶ ἄξιον μέγα φρονεῖν. ἀλλὰ μὰ Δί', ἔφη, οὐκ ἐπὶ τούτῳ μέγα φρονῶ, ἀλλ' ἐπὶ τῷ μίμῳ. ἐπὶ τίνι δή; ὅτι νὴ Δία τοῖς ἄφροσιν. οὗτοι γὰρ τὰ ἐμὰ νευρόσπαστα θεώμενοι τρέφουσί με. ταῦτα γὰρ, ἔφη ὁ Φίλιππος, καὶ πρώην ἐγώ σου ἤκουον εὐχομένου πρὸς τοὺς θεούς, ὅπου ἂν ᾖς, διδόναι καρποῦ μὲν ἀφθονίαν, φρενῶν δὲ ἀφορίαν. εἶεν, ἔφη ὁ Καλλίας. σὺ δὲ δή, ὦ Σώκρατες, τί ἔχεις εἰπεῖν, ὡς ἄξιόν σοι ἐστὶ μέγα φρονεῖν, ἐφ' ᾗ εἶπας οὕτως ἀδόξῳ οὔσῃ τέχνῃ; καὶ ὃς εἶπεν, ὁμολογησώμεθα πρῶτον, ποῖά ἐστιν ἔργα τοῦ μαστροποῦ, καὶ ὅσα ἂν ἐρωτῶ, μὴ ὀκνεῖτε ἀποκρίνεσθαι, ἵνα εἰδῶμεν, ὅσα ἂν συνομολογῶμεν. καὶ ὑμῖν οὕτω δοκεῖ, ἔφη. πάνυ μὲν οὖν, ἔφασαν. ὡς δ' ἅπαξ εἶπον, πάνυ μὲν οὖν, τοῦτο πάντες ἐκ τοῦ λοιποῦ ἀπεκρίναντο. οὐκοῦν ἀγαθοῦ μὲν ἔφη, ὑμῖν δοκεῖ μαστροποῦ ἔργον εἶναι, ὃν ἂν ἢ ἣν ἂν μαστροπεύῃ, ἀρέσκοντα τοῦτον ἀποδεικνύναι οἷς ἂν συνῇ; πάνυ μὲν οὖν, ἔφασαν. οὐκοῦν ἕν μέν τί ἐστιν εἰς τὸ ἀρέσκειν ἐκ τοῦ πρέπουσαν ἔχειν σχῆμα τριχῶν καὶ ἐσθῆτος; πάνυ μὲν οὖν, ἔφασαν. οὐκοῦν καὶ τόδε ἐπιστάμεθα, ὅτι ἔστιν ἀνθρώπῳ τοῖς αὐτοῖς ὄμμασι καὶ φιλικῶς καὶ ἐχθρῶς πρός τινας βλέπειν; πάνυ μὲν οὖν. τί δέ, τῇ αὐτῇ φωνῇ ἔστι καὶ αἰδημόνως καὶ θρασέως φθέγγεσθαι; πάνυ μὲν οὖν. τί δέ, λόγοι οὐκ εἰσὶ μὲν τινὲς ἀπεχθανόμενοι, εἰσὶ δέ τινες οἳ πρὸς φιλίαν ἄγουσι; πάνυ μὲν οὖν. οὐκοῦν τούτων ὁ ἀγαθὸς μαστροπὸς τὰ συμφέροντα εἰς τὸ ἀρέσκειν διδάσκοι ἄν; πάνυ μὲν οὖν. ἀμείνων δ' ἂν εἴη, ἔφη, ὁ ἑνὶ δυνάμενος ἀρέσκοντας ποιεῖν, ἢ ὅστις καὶ πολλοῖς; ἐνταῦθα μέντοι ἐσχίσθησαν. καὶ οἱ μὲν εἶπον, δῆλον ὅτι ὅστις πλείστοις, οἱ δὲ πάνυ μὲν οὖν. ὁ δ' εἰπὼν ὅτι καὶ τοῦτο ὁμολογεῖται, ἔφη· εἰ δέ τις καὶ ὅλῃ τῇ πόλει ἀρέσκοντας δύναιτο ἀποδεικνύναι, οὐχ οὗτος παντελῶς ἂν ἤδη μαστροπὸς ἀγαθὸς εἴη; σαφῶς γε νὴ Δία, πάντες εἶπον. οὐκοῦν εἴ τις τοιούτους δύναιτο ἐξεργάζεσθαι ὧν προστατοίη, δικαίως ἂν μέγα φρονοίη ἐπὶ τῇ τέχνῃ, καὶ δικαίως ἂν πολὺν μισθὸν λαμβάνοι. ἐπεὶ δὲ καὶ ταῦτα πάντες συνωμολόγουν, τοιοῦτος μέντοι, ἔφη, μοι δοκεῖ Ἀντισθένης εἶναι οὗτος. καὶ ὁ Ἀντισθένης, ἐμοί, ἔφη, παραδίδως, ὦ Σώκρατες, τὴν τέχνην; ναὶ μὰ Δί', ἔφη, ὁρῶ γάρ σε καὶ τὴν ἀκόλουθον ταύτης πάνυ ἐξειργασμένον. τίνα ταύτην; τὴν προαγωγείαν, ἔφη. καὶ ὃς μάλα ἀχθεσθεὶς ἐπήρετο, καὶ τί μοι σύνοισθα, ὦ Σώκρατες, τοιοῦτον εἰργασμένῳ; οἶδα μέν, ἔφη, σε Καλλίαν τουτονὶ προαγωγεύσαντα τῷ σοφῷ Προδίκῳ, ὅτε ἑώρας τοῦτον μὲν φιλοσοφίας ἐρῶντα, ἐκεῖνον δὲ χρημάτων δεόμενον. οἶδα δέ σε Ἱππίᾳ τῷ Ἠλείῳ, παρ' οὗ οὗτος καὶ τὸ μνημονικὸν ἔμαθεν· ἀφ' οὗ δὴ καὶ ἐρωτικώτερος γεγένηται, διὰ τὸ, ὅ τι ἂν καλὸν ἴδῃ, μηδέποτε ἐπιλανθάνεσθαι. ἔναγχος δὲ δήπου καὶ πρὸς ἐμὲ ἐπαινῶν τὸν Ἡρακλεώτην ξένον, ἐπεί με ἐποίησας ἐπιθυμεῖν αὐτοῦ, συνέστησάς μοι αὐτόν. καὶ χάριν μέντοι σοι ἔχω. πάνυ γὰρ καλὸς κἀγαθὸς δοκεῖ μοι εἶναι. Αἰσχύλον δὲ τὸν Φλειάσιον πρὸς ἐμὲ ἐπαινῶν, καὶ ἐμὲ πρὸς ἐκεῖνον, οὐχ οὕτω διέθηκας, ὥστε διὰ τοὺς σοὺς λόγους ἐρῶντας ἐκυνοδρομοῦμεν ἀλλήλους ζητοῦντες; ταῦτα μὲν οὖν ὁρῶν σε δυνάμενον ποιεῖν, ἀγαθὸν νομίζω προαγωγὸν εἶναι. ὁ γὰρ οἷός τε ὢν γιγνώσκειν τε τοὺς ὠφελίμους αὐτοῖς, καὶ τούτους δυνάμενος ποιεῖν ἐπιθυμεῖν ἀλλήλων, οὗτος ἄν μοι δοκεῖ καὶ πόλεις δύνασθαι φίλας

solus non corrumpas concumbentes. Quare tu quidem si non ob aliud, certè propter corpus habes rem gloriatione dignam. At nō ob hanc causam, inquit. Ob quam igitur? Profectò, inquit, propter insipiētes: isti enim mea νευρόσπαστα spectantes alunt me. Ista etiam, inquit Philippus, & nuper audiui te à Dijs precantem, ubicunq; fueris, ut largiantur fructuum copiā, mentiū aūt inopiam. Sit ita sanè, inquit Callias. Tu uerò, Socratem ostendens, quid habes dicere cur glorieris arte, quam dixisti, adeò ignobili & infami? Et ille: In primis, inquit, constituamus quod sit lenonis officium: tum quæ rogauero, ne grauemini respondere, ut intelligamus, de quibus inter nos constet. Ac nobis sic uidetur? Maxime uero, inquiunt. Vt autem semel assensi sunt, illud, Maximè uero, omnes postea responderunt. Ergo, inquit, boni lenonis officium uidetur esse, cum uel eam cuicunq; lenocinabitur, gratum reddere ei qui cum consuescet? Maximè, inquiunt. Ergo unum quiddam est quo placetur, ex eo quod habeat capillorum & cultus decentem cōpositionem. Maxime, inquiunt. Ergo etiam illud scimus, quid sit homini eodem intuitu & amicè & hostiliter aliquos intueri. Maximè. Quid uero, eadémne uoce & uerecunde & confidenter loqui licet? Maxime. Quid uero de sermonibus, sunt ne qui ad odium impellant, & qui amicitiam cōcilient? Maximè. Ergo horum, bonus leno, qui utiles erunt ad placendum, eos docebit? Maxime. Vtrum autem præstatior qui uni gratos, an qui quamplurimis efficiat? Hic diuisi sunt. At alij dixerunt, cum qui quamplurimis: alij, maxime, inquiunt. Ille, cum hoc quoq; cōuenire dixisset, adiecit: Quod si quis etiam toti ciuitati gratos & approbatos efficere posset, an non is omnino habendus est leno? Perspicuè, inquiunt omnes. Ergo si quis eos quibus præsit tales posset reddere, ob hāc artem optimo iure gloriari possit, ac iustissime amplam mercedem accipiat. Postquam autem id assensi essent, Talis certe, inquit, mihi uidetur esse hic Antisthenes. Tum Antisthenes: Mihi ne, inquit, tribuis Socrates hanc artem? Certe, inquit: uideo enim te hanc et huius pedissequam multū exercuisse. Quānam istam? Perductorum artem, inquit. Et ille uehementer indignatus, Ecquid, inquit, tale scis me perpetrasse? Scio, inquit ille, te ad Prodicum sapientem Calliam perduxisse, quum uideres hunc amore Philosophiæ captum esse, & illum pecuniæ indigere. Scio et ad Hippiam Eleum te perduxisse eundem, à quo artem reminiscendi didicit. Ex quo sane tempore amoribus dedutior factus fuit, quod quicquid mali uiderit, id nunquam obliuiscatur. Nuper autem tradens mihi Heracleotem hospitem, cum effecisses ut illius amicitiam appeterem, commendasti. & tibi certe gratiā habeo: nam probus uir mihi uidetur esse: Aeschylum autem Phliasium apud me laudans, & me apud illum, an non sic affecisti, ut tua oratione mutuo amantes canum more curramus, alter alterum quærens? Cumq; uideam te ista efficere posse, bonum perductorem te esse iudico: qui enim potest sibi utiles cognoscere, eosq; impellere ut se mutuo appetant, seq; mutuo diligant, is mihi uidetur ciuitates

consociare posse, utiles cōciliare nuptias, atq; ut ipse in magno sit precio ciuitatibus & amicis & socijs, efficere. Tu uerò, quasi male audiens, quod te dixerim esse bonum perductorem, ira commotus es? At certe, inquit, non nunc: si enim hæc possim, nimirum satiatus erit animus diuitijs. Atq; hic sermonum ambitus absolutus est. Callias autem: Quin tu Critobule, inquit, de forma in certamen cum Socrate descendis? Recte, inquit Socrates: uidet enim apud iudices glorantem lenonem. Non recuso tamen, inquit Critobulus: sed doce, si quid sapientia dignum habes, te esse me formosiorem. Modo, inquit, lucerna propius admoueatur. Ad quæstionem iuris, inquit, te prouoco. At responde, tu uerò percontare. Vtrum uerò in homine solum putas esse pulchritudinem, an etiam in alio quopiam? Equidem, inquit, & in equo, & in boue, & in rebus inanimatis multis esse arbitror: scio enim & scutum aliquod pulchrum esse, & gladium, itemq; hastam. Qui, inquit, fieri potest, ut hæc quæ inter se nullam habent similitudinem, omnia pulchra sint? Si nimirum, inquit, in eos usus quorum causa quæque comparamus, probè fuerint uel confecta uel nata. Etiam hæc, inquit Critobulus, bella sunt. Nostin', inquit, cuius gratia oculis egemus? Profecto, inquit, aspiciendi causa. Ita igitur mei oculi tuis erunt pulchriores. Quo tandem modo? quia tui tantummodo directò aspiciunt, at mei etiam in transuersum, quia sunt eminentes & extantes. Tu dicis, inquit, cancrum omnium animantium optimus præditum esse oculis? Prorsus, inquit: nam & ad robur oculos optime à natura constitutos habet. Vter autem nasus, meus ne an tuus formosior est? Equidem, inquit, meum arbitror, si modo odorandi causa dij nobis fabricati sunt: tuus enim in terra intuetur, meus autem erectus est, ut undique odores recipiat. At simus nasus qui potest esse recto pulchrior? Quia, inquit, non obturat, sed statim sinit ut oculi, quæ sub ipsos cadunt, aspiciant. At editus nasus tanquam iniuriam adferens, oculos quasi muro cingit. Iam quod ad os attinet, inquit Critobulus, tibi cedo: si enim mordendi causa factum est, multo tu melius, quàm ego mordeas. Labra autem, quia crassa sunt, an non putas me suauius osculari quàm te? Videor, inquit, tua ratione uel asinis ipsis turpius os habere. Sed an non putas satis magnum esse illud argumentum, me esse te formosiorem, quod Naiades, deæ cum sint, Silenos mihi similiores quam tibi pariunt? Et Critobulus: Non possum amplius, inquit, contra ista dicere: itaq; ferant sententiam, ut quamprimū quid me oporteat pati uel dependere intelligam. Modo clam ferant: pertimesco enim tuas & Antisthenis diuitias, ne me potentia opprimatis. Puella igitur & puer clàm tulerunt. Socrates interim curauit ut lucerna admoueretur Critobulo, ne fallerentur iudices: effecitq; ut ei qui uicisset, non fasciæ, sed oscula pro corollis à iudicibus decernerentur. Postea quàm autem contecti sunt calculi, ac Critobulus omnibus uicit: Papæ, inquit Socrates, quàm non uidetur tua Critobule, Calliæ pecuniæ similis: illius enim probissimos efficit, huius uero quasi numerosissima,

φίλας ποιεῖν, καὶ γάμους ἐπιτηδείους συνάγειν. καὶ πολλοῦ ἂν ἄξιος εἴη καὶ πόλεσι καὶ φίλοις καὶ συμμάχοις κεκτῆσθαι. σὺ δὲ ὡς κακῶς ἀκούσας ὅτι ἀγαθόν σε ἔφην προαγωγὸν εἶναι, ὀργίζῃ. ἀλλὰ μὰ Δί', ἔφη, οὐ νῦν. ἐὰν γὰρ ταῦτα δύνωμαι, σεσαγμένος δὴ παντάπασι πλούτῳ τὴν ψυχὴν ἔσομαι. καὶ αὕτη μὲν δὴ ἡ περίοδος τῶν λόγων ἀπετελέσθη. ὁ δὲ Καλλίας εἶπε· σὺ δὲ δὴ ὦ Κριτόβουλε, εἰς τὸν περὶ τοῦ κάλλους ἀγῶνα πρὸς Σωκράτην οὐκ ἀνθίστασαι; νὴ Δί', ἔφη ὁ Σωκράτης, ἴσως γὰρ εὐδοκιμοῦντα τὸν μαστροπὸν παρὰ τοῖς κριταῖς ὁρᾷ. ἀλλ' ὅμως ἔφη ὁ Κριτόβουλος, οὐκ ἀναδύομαι. ἀλλὰ δίδασκε, εἴ τι ἔχεις σοφόν, ὡς καλλίων εἶ ἐμοῦ. μόνον, ἔφη, τὸν λαμπτῆρα ἐγγὺς προσενεγκάτω. εἰς ἀνάκρισιν τοίνυν σε, ἔφη, πρῶτον τῆς δίκης καλοῦμαι, ἀλλ' ἀποκρίνου. σὺ δὲ ἐρώτα. πότερον οὖν ἐν ἀνθρώπῳ μόνον νομίζεις τὸ καλὸν εἶναι, ἢ καὶ ἐν ἄλλῳ τινί; ἐγὼ μὲν ναὶ μὰ Δί', ἔφην, καὶ ἐν ἵππῳ, καὶ βοΐ, καὶ ἐν ἀψύχοις πολλοῖς. οἶδα γοῦν οὖσαν καὶ ἀσπίδα καλήν, καὶ ξίφος, καὶ δόρυ. καὶ πῶς, ἔφη, οἷόν τε ταῦτα μηδὲν ὅμοια ὄντα ἀλλήλοις, πάντα καλὰ εἶναι; ἢν νὴ Δί', ἔφη, πρὸς τὰ ἔργα ὧν ἕνεκα ἕκαστα κτώμεθα, εὖ εἰργασμένα ᾖ, ἢ εὖ πεφυκότα πρὸς ἃ ἂν δεώμεθα. καὶ ταῦτ', ἔφη ὁ Κριτόβουλος, καλά. οἶσθα οὖν, ἔφη, ὀφθαλμῶν τίνος ἕνεκα δεόμεθα; δῆλον, ἔφη, ὅτι τοῦ ὁρᾶν. οὕτω μὲν τοίνυν ἤδη οἱ ἐμοὶ ὀφθαλμοὶ καλλίονες ἂν τῶν σῶν εἶεν. πῶς δή; ὅτι οἱ μὲν σοὶ, τὸ κατ' εὐθὺ μόνον ὁρῶσιν· οἱ δὲ ἐμοὶ καὶ τὸ ἐκ πλαγίου, διὰ τὸ ἐπιπόλαιοι εἶναι. λέγεις σύ, ἔφη, καρκίνον εὐοφθαλμότατον εἶναι τῶν ζώων; πάντως δήπου, ἔφη· ἐπεὶ καὶ πρὸς ἰσχὺν τοὺς ὀφθαλμοὺς ἄριστα πεφυκότας ἔχει. εἶεν, ἔφη· τῶν δὲ ῥινῶν ποτέρα καλλίων, ἡ σὴ, ἢ ἡ ἐμή; ἐγὼ μέν, ἔφη, οἶμαι τὴν ἐμήν, εἴπερ γε τοῦ ὀσφραίνεσθαι ἕνεκεν ἐποίησαν ἡμῖν ῥῖνας οἱ θεοί. οἱ μὲν γὰρ σοὶ μυκτῆρες εἰς γῆν ὁρῶσιν, οἱ δὲ ἐμοὶ ἀναπέπτανται, ὥστε τὰς πάντοθεν ὀσμὰς προσδέχεσθαι. τὸ δὲ δὴ σιμὸν τῆς ῥινὸς πῶς τοῦ ὀρθοῦ κάλλιον; ὅτι, ἔφη, οὐκ ἀντιφράττει, ἀλλ' εὐθὺς ἐᾷ τὰς ὄψεις ὁρᾶν ἃ ἂν βούλωνται· ἡ δὲ ὑψηλὴ ῥίς, ὥσπερ ἐπηρεάζουσα, διατετείχικε τὰ ὄμματα. τοῦ γε μὴν στόματος, ἔφη ὁ Κριτόβουλος, ὑφίεμαι. εἰ γὰρ τοῦ ἀποδάκνειν ἕνεκα πεποίηται, πολὺ ἂν σὺ μεῖζον ἢ ἐγὼ ἀποδάκοις. διὰ δὲ τὸ παχέα ἔχειν τὰ χείλη, οὐκ οἴει καὶ μαλακώτερόν σου ἔχειν τὸ φίλημα; ἔοικα, ἔφη, ἐγὼ κατὰ τὸν σὸν λόγον καὶ τῶν ὄνων αἴσχιον τὸ στόμα ἔχειν. ἐκεῖνο δὲ οὐδὲν τεκμήριον λογίζῃ, ὡς ἐγὼ σοῦ καλλίων εἰμί, ὅτι καὶ Ναΐδες θεαὶ οὖσαι, τοὺς Σειληνοὺς ἐμοὶ ὁμοιοτέρους τίκτουσιν ἢ σοί; καὶ ὁ Κριτόβουλος, οὐκ ἔτι, ἔφη, ἔχω πρός σε ἀντιλέγειν, ἀλλὰ διαφερόντων, ἔφη, τὰς ψήφους, ἵνα ὡς τάχιστα εἰδῶ ὅ,τι με χρὴ παθεῖν ἢ ἀποτῖσαι. μόνον, ἔφη, κρυφῇ φερόντων. δέδοικα γὰρ τὸν σὸν καὶ Ἀντισθένους πλοῦτον, μή με καταδυναστεύσῃ. ἡ μὲν δὴ παῖς καὶ ὁ παῖς κρύφα ἀνέφερον. ὁ δὲ Σωκράτης ἐν τούτῳ διέπραττε τόν τε λύχνον ἀντιπροσενεγκεῖν τῷ Κριτοβούλῳ, ὡς μὴ ἐξαπατηθεῖεν οἱ κριταί, καὶ τῷ νικήσαντι μὴ ταινίας ἀλλὰ φιλήματα ἀναδήματα παρὰ τῶν κριτῶν γενέσθαι. ἐπεὶ δὲ ἐξέπεσον αἱ ψῆφοι καὶ ἐγένοντο πᾶσαι σὺν Κριτοβούλῳ, παπαῖ, ἔφη ὁ Σωκράτης, οὐχ ὅμοιον ἔοικε τὸ σὸν ἀργύριον, ὦ Κριτόβουλε, τῷ Καλλίου εἶναι. τὸ μὲν γὰρ τούτου δικαιοτέρους ποιεῖ. τὸ δὲ σόν, ὥσπερ τὸ πλεῖστον

ρον. διαφθείρειν ἱκανὸν ὄντα καὶ δικαστὰς καὶ κριτάς. ἐκ δὲ τούτου οἱ μὲν τὰ νικητήρια φιλήματα ἐκλαμβάνειν τὸν κριτόβουλον ἐκέλευον. οἱ δὲ τὸν κύριον πείθειν· οἱ δὲ καὶ ἄλλα ἔσκωπτον. ὁ δὲ ἑρμογένης κἀνταῦθα ἐσιώπα. καὶ ὁ σωκράτης ὀνομάσας αὐτὸν, ἔχοις ἄν, ὦ ἑρμόγενες, εἰπεῖν ἡμῖν τί ἐστι παροινία; καὶ ὃς ἀπεκρίνατο· εἰ μὲν ὅ,τι ἐστὶν ἐρωτᾷς, οὐκ οἶδα. τὸ μέντοι μοι δοκοῦν, εἴποιμ' ἄν. ἀλλὰ δοκεῖ τοῦτ', ἔφη. τὸ τοίνυν παρ' οἶνον λυπεῖν τοὺς συνόντας, τοῦτ' ἐγὼ κρίνω παροινίαν. οἶσθα οὖν, ἔφη, ὅτι καὶ σὺ νῦν ἡμᾶς λυπεῖς σιωπῶν; ἦ καὶ ὅταν λέγητε, ἔφη; οὐκ ἀλλ' ὅταν διαλίπωμεν. ἦ οὖν λέληθέ σε, ὅτι μεταξὺ τοῦ ἡμᾶς λέγειν οὐδ' ἂν τρίχα μὴ ὅτι λόγον ἄν τις παρείρειν. καὶ ὁ σωκράτης, ἔχοις ἄν τι, ἔφη, ἀνδρὶ ἐλεγχομένῳ βοηθῆσαι; ἔγωγ', ἔφη. ὅταν γὰρ ὁ αὐλὸς φθέγγηται, παντάπασι σιωπῶμεν. καὶ ὁ ἑρμογένης, ἦ οὖν βούλεσθε, ἔφη, ὥσπερ νικόστρατος ὁ ὑποκριτὴς τετράμετρα πρὸς τὸν αὐλὸν κατέλεγεν, οὕτω καὶ ὑπὸ τὸν αὐλὸν ὑμῖν διαλέγωμαι; καὶ ὁ σωκράτης, πρὸς τῶν θεῶν ἔφη, ἑρμόγενες, οὕτω ποίει. οἶμαι γὰρ ὥσπερ ἡ ᾠδὴ ἥδιον πρὸς τὸν αὐλὸν, οὕτω καὶ τοὺς σοὺς λόγους ἡδύνεσθαί τι ὑπὸ τῶν φθόγγων. ἄλλως τε καὶ εἰ μορφάζοις ὥσπερ ἡ αὐλητρὶς καὶ σὺ πρὸς τὰ λεγόμενα. καὶ ὁ καλλίας ἔφη, ὅταν οὖν ὁ ἀντισθένης ὅδ' ἐλέγχῃ τινὰ ἐν τῷ συμποσίῳ, τί ἔσται τὸ αὔλημα; καὶ ὁ ἀντισθένης εἶπε· τῷ μὲν ἐλεγχομένῳ οἶμαι ἄν, ἔφη, πρέπειν συριγμόν. τοιούτων δὲ λόγων ὄντων ὡς ἑώρα ὁ συρακόσιος, τῶν μὲν αὐτοῦ ἐπιδειγμάτων ἀμελοῦντας, ἀλλήλοις δὲ ἡδομένους, φθονῶν τῷ σωκράτει εἶπεν· ἆρα σὺ ὦ σώκρατες ὁ φροντιστὴς ἐπικαλούμενος; οὐκοῦν κάλλιον, ἔφη, ἢ εἰ ἀφρόντιστος ἐκαλούμην. εἰ μή γε ἐδόκεις τῶν μετεώρων φροντιστὴς εἶναι. οἶσθα οὖν, ἔφη ὁ σωκράτης, μετεωρότερόν τι τῶν θεῶν; ἀλλ' οὐ μὰ δί', ἔφη, οὐ τούτων σε λέγουσιν ἐπιμελεῖσθαι. ἀλλὰ τῶν ἀνωφελεστάτων. οὐκοῦν καὶ οὕτως ἄν, ἔφη, θεῶν ἐπιμελοίμην. ἄνωθεν μέν γε ὕοντες, ὠφελοῦσιν. ἄνωθεν δὲ φῶς παρέχουσιν. εἰ δὲ ψυχρὰ λέγω, σὺ αἴτιος, ἔφη, πράγματά μοι παρέχων. ταῦτα μὲν, ἔφη, ἔα, ἀλλ' εἰπέ μοι πόσους ψύλλα πόδας ἐμοῦ ἀπέχει. ταῦτα γάρ σέ φασι γεωμετρεῖν. καὶ ὁ ἀντισθένης εἶπε, σὺ μέντοι δεινὸς εἶ, ὦ φίλιππε, εἰκάζειν. οὐ δοκεῖ σοι ὁ ἀνὴρ οὗτος λοιδορεῖσθαι βουλομένῳ ἐοικέναι; ναὶ μὰ τὸν δί', ἔφη, καὶ ἄλλοις γε πολλοῖς. ἀλλ' ὅμως, ἔφη ὁ σωκράτης, σὺ αὐτὸν μὴ εἴκαζε, ἵνα μὴ καὶ σὺ λοιδορουμένῳ ἐοίκῃς. ἀλλ' εἴπερ γε τοῖς πᾶσι καλοῖς καὶ τοῖς βελτίστοις εἰκάζω αὐτόν, ἐπαινοῦντι μᾶλλον ἢ λοιδορουμένῳ δικαίως ἂν εἰκάζοι μέ τις. καὶ νῦν σύ γε λοιδορουμένῳ ἔοικας, εἰ πάντ' αὐτοῦ βελτίω φὴς εἶναι. ἀλλὰ βούλει πονηροτέροις εἰκάζω αὐτόν; μὴ δὲ πονηροτέροις. ἀλλὰ μηδενί; μηδ' ἐνὶ μὴ δὲ τούτων εἴκαζε. ἀλλ' οὐ μέντοι γε σιωπῶν οἶδα ὅπως ἄξια τοῦ δείπνου ἐργάσομαι. καὶ ῥᾳδίως γ' ἂν ἃ μὴ δεῖ λέγειν, ἔφη, σιωπᾷς. αὕτη μὲν δὴ ἡ παροινία οὕτω κατεσβέσθη. ἐκ τούτου δὲ τῶν ἄλλων οἱ μὲν ἐκέλευον εἰκάζειν· οἱ δὲ ἐκώλυον. θορύβου δὲ ὄντος, ὁ σωκράτης αὖ πάλιν εἶπεν· ἆρα ἐπειδὴ πάντες ἐπιθυμοῦμεν λέγειν, νῦν ἂν μάλιστα καὶ ἅμα ᾄσαιμεν; καὶ εὐθὺς τοῦτ' εἰπὼν, ἦρχεν ᾠδῆς. ἐπεὶ δὲ ᾖσαν, εἰσεφέρετο τῇ ὀρχηστρίδι τροχὸς τῶν κεραμευτικῶν. ἐφ' οὗ ἔμελλε θαυμασιουργήσειν. ἐνταῦθα δὴ εἶπεν ὁ σωκράτης, ὦ συρακόσιε, κινδυνεύω ἐγὼ, ὥσπερ σὺ λέγεις, τῷ ὄντι φροντιστὴς εἶναι.

νῦν

sißima, potest & disceptatores & iudices corrumpere. Deinceps alij iubebant ut uictoriæ præmia, nempe oscula auferret: alij tanquàm domino persuadere, alij alia iocabantur. At Hermogenes etiam tum silebat. Et Socrates nominatim illum appellans, Potésne, inquit, quid sit parœnia dicere? Et ille: Etsi, inquit quod rogas nescio, tamen quid mihi uideatur, dicā. Ad pocula molestum esse conuiuis, id ego parœniam esse iudico. Intelligisne igitur, inquit, te nunc nobis 10 esse molestū tuo silentio? An etiā quando loquimini, inquit? Non, sed cū intermittimus. An uero ignoras, interea dum loquimur, ne pilum quidē, nedū sermonem quenquā interiecisse? Tum Socrates: Poßisne, inquit, homini reprehenso & coarguto succurrere? Ego uerò poßim, inquit: cum enim tibia canitur, omnino silemus. Et Hermogenes: An igitur uultis, inquit, ut Nicostratus histrio tetrametra ad tibiam recitabat, sic ego uobiscū ad tibiam dispute et colloquar? Tū Socrates: Per deos, inquit, oramus ita facias: exi- 20 stimo enim ut carmē iucundius est ad tibiā, sic & tuos sermones suauitatis nonnihil accepturos à sonis, præsertim si, ut solet tibicina, tu quoq; inter recitandum aliquē adhibeas gestum. Et Callias: Quum igitur, inquit, hic Antisthenes aliquē coarguit in conuiuio, quis erit tibiarū concentus? Antisthenes: Cōfutatum, inquit, decet (opinor) sibilatio. Vt aūt Syracusanus tales sermones cōferri animaduertit, & suas negligi præstigias, illosq; mutuis sermonib. oblectari, Socrati inuidēs, Tu ne es, inquit, Socrates ille, cogno- 30 mento φροντιστής? An non, inquit ille melius est, quàm si ἀφρόντιστος uocarer? Nisi [illegible], id est, inutilißimorū curiosus esse uidereris. Nosti ne, inquit Socrates, quicquā dijs sublimius? Minime, inquit ille: at negant te ista curare, sed [illegible]. An nō, inquit ille, ista quidē ratione deos curo? siquidem illi [illegible], id est, iuuant superne, & e sublimi lucē mittunt. Quod si frigida loquor, tu autor es, inquit, qui mihi sis molestus. Missa fac ista, inquit, ac mihi dic, quot pedes à me distet pulex: hæc enim aiunt te me- 40 tiri solere. Tum Antisthenes: Tu certe, inquit, Philippe peritus es cōiectandi: an nō uidetur tibi hic uir cōuicium facere uolenti similis esse? Certe, inquit, et quidem multis alijs. At, inquit Socrates, tu de ipso ne cōiectato, ne tu quoq; conuiciatori similis uideare. At si omnibus bonis & præstantißimis eum cōpararo, laudatori magis quàm conuiciatori me quis similem iudicarit: nunc quidem tu conuiciatori similis uideris, si omnia quæ in eo sunt optima esse dicas. An uis ut improbioribus similem iudicem? Ne improbis quidē. 50 At nemini, ne istorum quidem, compara. Verùm silens, nescio quemadmodum conuiuio dignam efficiam. Facile quidem, si quæ loqui non cōuenit, inquit, tacebis. Atq; hæc quidē parœnia sic est sedata. Post erant qui iuberent cōiectare, erant qui uetarent: tūq; ne iam omnia turbulēta essent, Socrates rursus: Quādoquidem, inquit, omnes cupimus loqui, an etiam simul canemus? Et ut dixit, cœpit canere. Postq̄ aūt cecinisset, allata est saltatrici orbis saltatorius, in quo admiranda erat editura. Hic igitur, inquit Socrates, uere uidebor ut dicis phrōtistes, id est, contēplator:

nunc

nunc enim qua ratione puer tuus, itemq; puella hæc quamfacillime peragant, contemplor: maxime enim oblectantur hoc spectaculo, id quod etiā te uelle certo scio. Mihi igitur in caput salire periculi genus esse uidetur, quod conuiuio non conuenit. In rota quidem dum uersatur, scribere & legere mirabile quiddam est: sed quid uoluptatis hæc afferant, scire non possum. Nec uerò eos qui corpus intorquent, & rotas imitantur, spectare iucundum est, quàm quiescentes pulchros & formosos. Nec illud quidē ualde rarū est, in mirāda incidere, si quis appetat, sed statim licet præsentia & in cōspectu posita spectare. Cur tādem lucerna propter splendidam flammā quam habet, lucem fundit: ahenū uerò cum sit splendidum, lucem nullam emittit, alia in ipso cōspicienda exhibentur? Item qui fit ut oleum liquidū cum sit, flammā augeat, aqua uero quia liquida sit, ignē restinguit? alioqui enim hæc non idem quod unum efficiūt. Quod si ijs habitibus, quibus Gratiæ, & anni tempora, ac Nymphæ pinguntur, ad tibiam saltarent, multo arbitror eos facilius spectatores tenere posse, conuiuiūq; multo hilarius futurum. Syracusius igitur, Certe, inquit, uereq; dicis Socrates, ac ea quibus oblectabimini spectacula inducam. Exijt igitur Syracusius, ac tintinnabulis perstrepit. Socrates uerò rursus nouum orationis exordium induxit. Vtrum, inquit, æquum est præsentis magni dei, & sempiternis dijs æqualis, & forma maxime iuuenilis, magnitudine autem cuncta sustinentis, animo hominibus æqualis, Cupidinis obliuisci, nullamq; mentionem facere, præsertim cum huius ipsius dei Thiasotæ fanatici simus omnes? nā tempus nullum commemorare possum, in quo amore uacem. Charmidem uero scio multos amatores habere, ac nonnullos ab ipso amanter appeti. Critobulus quidem certe cum adhuc ametur, iam amasiorum amores concupiscit. Quinetiam Niceratus, ut ego audio, & diligit uxorem, & ipse uicissim ab illa diligitur. Hermogenē etiam quis nostrûm ignorat probitatis, qualiscunq; tandem sit, amore tabescere? Nō uidetis q̄ grauia sint supercilia, oculi immoti, moderata oratio, uox lenis, hilares & mores & gestus? deorū autem uenerabilium maxime amicitia utēs, ne nos quidem homines contemnit. Tu uero solus ex omnibus Antisthenes amas neminem? Per deos, inquit, te amo, & ualde quidē. Tum Socrates irridens, quasiq; delicias faciens, Ne sis, inquit, mihi molestus, alia, ut uides, agenti. Et Antisthenes: Quàm aperte tamē tu leno tui semper hæc agis, alias dæmonium prætendens, alias aliud aliquid captans, mecum colloqui recusas? Et Socrates: Per deos, inquit, ô Antisthenes, modo ne me concidas, omnem aliam molestiā, quam mihi exhibueris, & fero, & feram amice. Atenim, inquit, tuum amorem occulto quidem, quia non animi sit, sed formæ meæ. Nam Autolycum à te amari Callia, cuies norunt omnes, multiq; ut opinor, peregrini. Atque huius rei causa est, quod è patribus clarissimis & illustrissimis prognati estis ambo illustres & clari: ac ingenium quidem tuum semper sum admiratus, hoc uerò tempore multo magis, cum uideam te amore captum non delicijs

νῦν οὖν σκοπῶ ὅπως ἂν ὁ μὲν παῖς ὅδε ὁ σός, καὶ παῖς ἡ δὲ ὡς ῥᾷστα διάγοιεν, ἡμεῖς δ' ἂν μάλιστα εὐφραινοίμεθα θεώμενοι αὐτούς, ὅπερ εὖ οἶδα, ὅτι καὶ σὺ βούλει. δοκεῖ οὖν μοι τὸ μὲν εἰς μαχαίρας κυβιστᾶν κινδύνου ἐπίδειγμα εἶναι, ὃ συμποσίῳ οὐδὲν προσήκει. καὶ μὴν τό, τε ἐπὶ τοῦ τροχοῦ ἅμα περιδινουμένου γράφειν τε καὶ ἀναγινώσκειν, θαῦμα μὲν ἴσως τί ἐστιν. ἡδονὴν δὲ οὐδὲ ταῦτα δύναμαι γνῶναι, τίν' ἂν παράσχοι. οὐδὲ μὴν τό γε διαστρέφοντας τὰ σώματα καὶ τροχοὺς μιμουμένους ἥδιον, ἢ ἡσυχίαν ἔχοντας, τοὺς καλοὺς καὶ ὡραίους θεωρεῖν. καὶ γὰρ δὴ οὐδὲ πάνυ τι σπάνιον τό γε θαυμασίοις ἐντυχεῖν, εἴ τις τούτου δεῖται, ἀλλ' ἔξεστιν αὐτίκα μάλα τὰ παρόντα θαυμάζειν. τί ποτε ὁ μὲν λύχνος διὰ τὸ λαμπρὰν φλόγα ἔχειν, φῶς παρέχει. τὸ δὲ χαλκεῖον λαμπρὸν ὂν, φῶς μὲν οὐ ποιεῖ, ἐν αὑτῷ δὲ ἄλλα ἐμφαινόμενα παρέχεται. καὶ πῶς τὸ μὲν ἔλαιον ὑγρὸν ὂν αὔξει τὴν φλόγα, τὸ δὲ ὕδωρ ὅτι ὑγρόν ἐστι κατασβέννυσι τὸ πῦρ. ἀλλὰ γὰρ καὶ ταῦτα μὲν οὐκ εἰς ταὐτὸν τῷ οἴνῳ ἐπισπεύδει. εἰ δὲ ὀρχοῖντο πρὸς τὸν αὐλὸν σχήματα ἐν οἷς Χάριτές τε καὶ Ὧραι καὶ Νύμφαι γράφονται, πολὺ ἂν οἶμαι αὐτούς τε ῥᾷον διάγειν, καὶ τὸ συμπόσιον πολὺ ἐπιχαριτώτερον εἶναι. ὁ οὖν Συρακόσιος, ἀλλὰ ναὶ μὰ τὸν Δί', ἔφη, ὦ Σώκρατες, καλῶς γε λέγεις, καὶ ἐγὼ εἰσάξω θεάματα, ἐφ' οἷς ὑμᾶς εὐφρανεῖσθε. ὁ μὲν δὴ Συρακόσιος ἐξελθὼν, συνεκροτεῖτο. ὁ δὲ Σωκράτης πάλιν αὖ καινοῦ λόγου κατῆρχεν. ἆρ', ἔφη, ὦ ἄνδρες, εἰκὸς ἡμᾶς παρόντος δαίμονος μεγάλου, καὶ τῷ μὲν χρόνῳ ἰσήλικος τοῖς ἀειγενέσι θεοῖς, τῇ δὲ μορφῇ νεωτάτου, καὶ μεγέθει πάντα ἐπέχοντος, ψυχῇ δὲ ἀνθρώπου ἱδρυμένου Ἔρωτος μὴ ἀμνημονῆσαι, ἄλλως τε καὶ ἐπειδὴ πάντες ἐσμὲν τοῦ θεοῦ τούτου θιασῶται; ἐγώ τε γὰρ οὐκ ἔχω χρόνον εἰπεῖν, ἐν ᾧ οὐκ ἐρῶν τινος διατελῶ. Χαρμίδην δὲ τόνδε οἶδα, πολλοὺς μὲν ἐραστὰς κτησάμενον, ἔστι δὲ ὧν καὶ αὐτὸν ἐπιθυμήσαντα. Κριτόβουλός γε μὴν ἔτι καὶ νῦν ἐρώμενος ὢν, ἤδη ἄλλων ἐπιθυμεῖ. ἀλλὰ μὴν καὶ ὁ Νικήρατος, ὡς ἐγὼ ἀκούω, ἐρῶν τῆς γυναικὸς, ἀντερᾶται. Ἑρμογένην γε μὴν τίς ἡμῶν οὐκ οἶδεν, ὡς ὅ, τι ποτ' ἐστὶν ἡ καλοκαγαθία, τῷ ταύτης ἔρωτι κατατήκεται; οὐχ ὁρᾶτε ὡς σπουδαῖαι μὲν αὐτοῦ αἱ ὀφρύες, ἀτρεμὲς δὲ τὸ ὄμμα, μέτριοι δὲ οἱ λόγοι, πρᾳεῖα δὲ ἡ φωνή, ἱλαρὸν δὲ τὸ ἦθος; τοῖς δὲ σεμνοτάτοις θεοῖς φίλοις χρώμενος, οὐδὲ ἡμᾶς τοὺς ἀνθρώπους ὑπερορᾷ; σὺ δὲ μόνος, ὦ Ἀντίσθενες, οὐδενὸς ἐρᾷς; ναὶ μὰ τοὺς θεούς, εἶπεν ἐκεῖνος, καὶ σφόδρα γε σοῦ. καὶ ὁ Σωκράτης ἐπισκώψας ὡς δὴ θρυπτόμενος, εἶπε, μὴ νῦν μοι ἐν τῷ παρόντι ὄχλον πάρεχε. ὡς γὰρ ὁρᾷς, ἄλλα πράττω. καὶ ὁ Ἀντισθένης ἔλεξεν, ὡς σαφῶς μέντοι σὺ μαστροπὲ σαυτοῦ ἀεὶ τοιαῦτα ποιεῖς, τοτὲ μὲν τὸ δαιμόνιον προφασιζόμενος, οὐ διαλέγει μοι, τοτὲ δ' ἄλλου του ἐφιέμενος. καὶ ὁ Σωκράτης ἔφη, πρὸς τῶν θεῶν, ὦ Ἀντίσθενες, μόνον με μὴ συγκόψῃς. τὴν δὲ ἄλλην χαλεπότητα ἐγώ σου καὶ φέρω καὶ οἴσω φιλικῶς. ἀλλὰ γάρ, ἔφη, τὸν μὲν σὸν ἔρωτα κρύπτωμεν, ἐπειδὴ καὶ ἔστιν οὐ ψυχῆς, ἀλλ' εὐμορφίας τῆς ἐμῆς. ὅτι γε μὴν σύ, ὦ Καλλία, ἐρᾷς Αὐτολύκου, πᾶσα μὲν ἡ πόλις οἶδε, πολλοὺς δ' οἶμαι καὶ τῶν ξένων. τούτου δ' αἴτιον, τὸ πατέρων τε ὀνομαστῶν ἀμφοτέρους ὑμᾶς εἶναι, καὶ αὐτοὺς ἐπιφανεῖς. ἀεὶ μὲν οὖν ἔγωγε ἠγάμην τὴν σὴν φύσιν, νῦν δὲ καὶ πολὺ μᾶλλον, ἐπεὶ ὁρῶ σε ἐρῶντα, οὐχ

ἁβρό-

ἁβρότητι χλιδαινομένου, οὐδὲ μαλακίᾳ θρυπτομένου, ἀλλὰ πᾶσιν ἐπιδεικνυμένου, ῥώμην τε καὶ καρτερίαν, καὶ ἀνδρείαν καὶ σωφροσύνην. τὸ δὲ τοιούτων ἐπιθυμεῖν, τεκμήριόν ἐστι τῆς τοῦ ἐραστοῦ φύσεως. εἰ μὲν οὖν μία ἐστὶν ἀφροδίτη ἢ διτταὶ οὐρανία τε καὶ πάνδημος, οὐκ οἶδα. καὶ γὰρ ζεὺς ὁ αὐτὸς δοκῶν εἶναι, πολλὰς ἐπωνυμίας ἔχει. ὅτι γε μέντοι χωρὶς ἑκατέρᾳ βωμοί τέ εἰσι καὶ ναοὶ καὶ θυσίαι, τῇ μὲν πανδήμῳ ῥᾳδιουργότεραι, τῇ δὲ οὐρανίᾳ ἁγνότεραι, οἶδα. εἰκάσαις δ' ἂν καὶ τοὺς ἔρωτας, τὴν μὲν πάνδημον, τῶν σωμάτων ἐπιπέμπειν, τὴν δ' οὐρανίαν, τῆς ψυχῆς τε καὶ τῆς φιλίας καὶ τῶν καλῶν ἔργων. ὑφ' οὗ δὴ καὶ σύ, ὦ καλλία, κατέχεσθαί μοι δοκεῖς ἔρωτος. τεκμαίρομαι δὲ τῇ τοῦ ἐρωμένου καλοκαγαθίᾳ. καὶ ὅτι σε ὁρῶ τὸν πατέρα αὐτοῦ παραλαμβάνοντα εἰς τὰς πρὸς τοῦτον συνουσίας. οὐδὲν γὰρ τούτων ἐστὶν ἀπόκρυφον πατρός, τῷ καλῷ τε καὶ ἀγαθῷ ἐραστῇ. καὶ ὁ ἑρμογένης εἶπε· νὴ τὴν ἥραν, ἔφη, ὦ σώκρατες, ἄλλα τέ σου πολλὰ ἄγαμαι, καὶ ὅτι νῦν ἅμα χαριζόμενος καλλίᾳ, καὶ παιδεύεις αὐτὸν οἷόν περ χρὴ εἶναι. νὴ Δί', ἔφη, ὅπως δὲ καὶ ἔτι μᾶλλον εὐφραίνηται, βούλομαι αὐτῷ μαρτυρῆσαι, ὡς καὶ πολὺ κρείττων ἐστὶν ὁ τῆς ψυχῆς ἢ ὁ τοῦ σώματος ἔρως. ὅτι μὲν γὰρ δὴ ἄνευ φιλίας συνουσία οὐδεμία ἀξιόλογος, πάντες ἐπιστάμεθα. φιλεῖν γε μὴν τῶν μὲν τὸ ἦθος ἀγαμένων, ἀνάγκη ἡδεῖα καὶ ἐθελουσία καλεῖται. τῶν δὲ τοῦ σώματος ἐπιθυμούντων, πολλοὶ μὲν τρόπους μέμφονται, καὶ μισοῦσι τῶν ἐρωμένων. ἂν δὲ καὶ ἀμφότεροι στέρξωσι, τὸ μὲν τῆς ὥρας ἄνθος ταχὺ δήπου παρακμάζει. ἀπολείποντος δὲ τούτου, ἀνάγκη καὶ τὴν φιλίαν συναπομαραίνεσθαι. ἡ δὲ ψυχὴ ὅσονπερ ἂν χρόνον ἴῃ ἐπὶ τὸ φρονιμώτερον, καὶ ἀξιεραστοτέρα γίγνεται. καὶ μὴν ἐν μὲν τῇ τῆς μορφῆς χρήσει, ἔνεστί τις καὶ κόρος, ὥστε ἅπερ καὶ πρὸς τὰ σιτία διὰ πλησμονήν, ταῦτα ἀνάγκη καὶ πρὸς τὰ παιδικὰ πάσχειν. ἡ δὲ τῆς ψυχῆς φιλία διὰ τὸ ἁγνὴ εἶναι, καὶ ἀκορεστοτέρα ἐστίν. οὐ μέντοι ὥσπερ ἄν τις οἰηθείη, διὰ τοῦτο καὶ ἀνεπαφροδιτοτέρα. ἀλλὰ σαφῶς καὶ ἀποτελεῖται ἡ εὐχὴ ἐν ᾗ αἰτούμεθα τὴν θεόν, ἐπαφρόδιτα καὶ ἔπη καὶ ἔργα διδόναι. ὡς μὲν γὰρ ἄγαταί τε καὶ φιλεῖ τὸν ἐρώμενον, θάλλουσα μορφῇ τε, ἐλευθερίᾳ καὶ ἤθει αἰδήμονί τε καὶ γενναίᾳ ψυχῇ, εὐθὺς ἐν τοῖς ἥλιξιν ἡγεμονική τε ἅμα καὶ φιλόφρων οὖσα, οὐδὲν ἐπιδεῖται λόγου. ὅτι δὲ εἰκὸς καὶ ὑπὸ τῶν παιδικῶν τὸν τοιοῦτον ἐραστὴν ἀντιφιλεῖσθαι, καὶ τοῦτο διδάξω. πρῶτον μὲν γὰρ τίς μισεῖν δύναιτ' ἂν ὑφ' οὗ εἰδείη καλός τε καὶ ἀγαθὸς νομιζόμενος. ἔπειτα δὲ ὁρῴη αὐτόν, τὰ τοῦ παιδὸς καλὰ μᾶλλον ἢ τὰ ἑαυτοῦ ἡδέα σπουδάζοντα. πρὸς δὲ τούτοις πιστεύῃ, μήτ' ἂν παρά τι ποιήσῃ, μήτ' ἂν κάμνων ἀμορφότερος γένηται, μειωθῆναι ἂν τὴν φιλίαν. οἷς γε μὴν κοινὸν τὸ φιλεῖσθαι, πῶς οὐκ ἀνάγκη τούτους, ἡδέως μὲν προσορᾶν ἀλλήλους, εὐνοϊκῶς δὲ διαλέγεσθαι, πιστεύειν τε καὶ πιστεύεσθαι, καὶ προνοεῖν μὲν ἀλλήλων, συνήδεσθαι δ' ἐπὶ ταῖς καλαῖς πράξεσι, συνάχθεσθαι δὲ ἤν τι σφάλμα προσπίπτῃ. τότε δ' εὐφραινομένους διατελεῖν, ὅταν ὑγιαίνοντες συνῶσιν. ἢν δὲ κάμῃ ὁπότερος οὖν, πολὺ συνεχεστέραν τὴν συνουσίαν ἔχειν. καὶ ἀπόντων ἔτι μᾶλλον ἢ παρόντων ἐπιμελεῖσθαι. οὐ ταῦτα πάντα ἐπαφρόδιτα; διά γέ τοι τὰ τοιαῦτα ἔργα, ἅμα ἐρῶντες τῆς φιλίας καὶ χρώμενοι αὐτῇ εἰς γῆρας διατελοῦσι. τὸν δὲ ἐκ τοῦ σώματος κρεμάμενον

delicijs fracti, aut mollicie delicati, sed eius qui omnibus & fortitudinem & continentiam approbat suam. Tales autem appetere, signum est eius qui amator ingenij & naturæ. Vtrum igitur una sit Venus, an gemina, cœlestis una, altera in terris uersans, nescio: nam & Iupiter ipse cum unus & idem sit, multa cognomenta habere uidetur. Vtriq; tamen separatim dicatas esse aras, templa & sacrificia, terrestri quidem nocentiora, cœlesti autem puriora, non ignoro. Cupidines aũt corporum à terrestri, animi aũt et amicitiæ rerũq; honestarum immitti à cœlesti, coniectare licet: quo quidem amore uideris mihi Callia captus esse. Coniecturã autem facio ex probitate eius quem amas, quod uideam à te patrem eius adhiberi cum congressu eius uteris: nihil enim horum clam patre à bono & probo amatore fit. Et Hermogenes: Per Iunonem, inquit, ô Socrates, cum propter alia multa te admiror, tum quod gratificans Calliæ simul instituis qualem esse oporteat. Certe inquit: atq; ut magis etiam delectetur, de ipso testari uolo, multo esse præstantiorem animi quàm corporis amorem. Nam sine amicitia congressus nullos magnifaciendos esse scimus omnes: diligerẽ autem mores eorum quos miramur, necessitudo prius ta & uoluntaria uocatur. At eorum qui quæ corporis sunt amant, mores accusant permulti, & amasium oderunt. Quod si ambo ament, ætatis flos celerrimè profectò deflorescit: qui cum defecerit, necesse est simul & amicitiam marcescere. Animus autem quanto diutius in prudentia uersatur, tanto amabilior reddi solet. Ac in formæ usu inest etiam quædam satietas: & quæ in cibis propter expletionem accidunt, eadem in amoribus accidere puerorum necesse est. At animorum amicitia, quia casta est, insatiabilior esse solet: non tamen ut existimare debeas, idcirco cum Venere esse coniunctiorem: sed aperte expletur desiderium, cum à dea petimus, ut uenusta & carmina & opera largiatur. Quemadmodum enim admiretur & diligat amasium florens forma liberali, & moribus uerecundis, animoq; generoso, quæq; statim in æqualibus imperio digna esse uideatur, & amicitiæ conciliatrix, ad explicandum nulla opus est oratione. Verisimile autem esse talem amatorem à pueris uicissim amari, deinceps exponam. Primùm enim, quis eum oderit, à quo sciat se bonum probumque iudicari? Deinde autem uideat, illum quæ ad pueri honestatem pertinent magis curare quàm suam uoluptatem? Ad hæc credat, neque si quid falso assimularit, neque si morbo deformior factus fuerit, amicitiam minutum iri. Quibus autem communis est amor, an non necesse est hos ipsos cum uoluptate se mutuo aspicere, beneuoléque colloqui, fidemque mutuam habere, ac prouidere alios alijs, delectari alios aliorum honestis actionibus, & condolescere si quid inciderit erroris: tum uerò, perseuerare in lætitia, cum ualentes congrediuntur: sin autem in morbum inciderit uteruis, multò celebriorem habiturum familiarium frequentiam, atque absentium magis etiam quàm præsentium curam habiturum? An non hæc sunt iucunda? Atque propter huiusmodi officia & simul diligunt amicos, & eis utuntur usq; ad senectutem. Qui autem ex corpore pendet,

det, quid causæ est cur eum puer redamare uelit? utrũ quod sibi ille ea tribuit, quæ ipse cõcupierit, puero aũt dedecorosa probra? An propterea, q̃d quæ festinat agere ultra amores puerorum, iis prohibeat maxime familiares. Iam quod nõ uim adhibeat, sed uerbis persuadeat, ob eam causam maiore est odio dignus: qui enim uim affert, se improbũ esse declarat: qui aũt persuadet, eius cui persuadet animũ corrũpit. Iam uerò qui mercede formã uendit, cur magis amet amatorẽ qui emit, q̃ qui in foro uendit & addicit? nõ certè, quia florens cũ obsoleto, et formosus cũ deformi, & cũ amante cõgreditur nõ amans, ipsum diliget. Neq;.n. puer cum uiro, quẽadmodũ fœmina, uoluptatũ particeps est uenereарũ, sed sobrius ebriũ uenere incitatũ spectat: unde nihil mirũ si contemnit amatorẽ. Iam si quis cõsideret, ex iis q propter mores amãtur, inueniet nullã unquã interuenisse molestiã: at ex impudico cõgressu multa iã, eaq; scelerata designata esse. Illiberalẽ uerò cõgreßionem eius esse, qui corpus magis q̃ animũ diligit, deinceps exponã. Qui enim præcepta uiuẽdi atq; dicendi dat, is optimo iure honore est afficiendus, quemadmodum ab Achille Chiro et Phœnix. Qui aũt corpus appetit, merito in mendici morẽ semper sequetur, cum præsertim petens & requirens uel osculũ, uel aliã aliquã tactionẽ, semper comitetur. Quod si audacius loquor, nolite mirari: uinũ enim simul incitat, & semper meus domesticus amor stimulat, ut in aduersariũ ipsius Cupidinẽ loquar liberè. Mihi.n. uidetur, qui formã sibi spectãdã proponit, ei qui agrũ cõduxerit similis esse: nõ.n. ut maioris sit precij, diligentiã adhibet, sed ut ipse multis modis ex eo uoluptates plurimas percipiat. Qui autẽ amicitiã magis appetit, is similis uidetur suũ agrũ possidenti & colenti: undiq;.n. inuehens in eum quicquid poßit, utiliorẽ & preciosiorẽ efficit, quem amore prosequitur. Quinetiã qui scierit puer se forma eleganti prædiũ, amatori dominabitur, ut uerisimile est, ideóq; alia improba facturus est. Qui aũt cognouerit se, nisi honestus et probus fuerit, amicitiã nõ retenturũ, cũ decebit maiorẽ uirtutis habere rationẽ. Maxime aũt bonũ est ex puero amicũ bonũ reddidisse, quod necesse sit et illũ uirtutẽ exercere: fieri.n. nequit, qui ipse in uitijs uersetur, eũ efficiat bonũ qui cũ cõsuescat. Nec uero impudẽs & impotens, continentẽ amasiũ efficiet et pudentẽ. Sed cupio tecũ, inquit, ô Callia, sermones cõferre, ac exponere, quemadmodũ nõ homines modo, sed etiã dij ipsi & heroës, animi amicitiã pluris, q̃ corporis existimẽt: quia Iuppiter quibus cum congressus est, forma captus, eas mortales passus est manere: at quorũ animos præclaros admiratus est, eos immortales effecit: quorũ de numero sunt Hercules & Dioscuri, qui sunt Castor et Pollux: cõmemorantur etiã alij: illudq; affirmo, ipsum quoq; Ganymedẽ nõ propter corpus, sed propter animũ in cœlũ à Ioue esse translatũ, cui rei uel ipsum uocabulũ testimonio sit: est.n. alicubi apud Homerũ, γάνυται δ' ἀκούων, quo uult significare, Lætari audiendo. Est etiam alibi, Varia in animo μήδεα uoluit: quod significat consilia in animo uolutare prudentiæ plena. Ex his igitur duobus, non propter corporis uoluptatem, sed propter sententiarũ iucunditatem, nũcupatus Ganymedes in deorum numerũ relatus est.

Imò

μένον, διά τι ἀντιφιλήσειέ γ' ἂν ὁ παῖς. πότερον ὅτι ἑαυτῷ μὲν νέμει ὧν ἐπιθυμεῖ, τῷ δὲ παιδὶ τὰ ἐπονειδιστότατα, ἢ διότι ἃ σπεύδει πράττειν παρὰ τῶν παιδικῶν, εἴργειν μάλιστα τοὺς οἰκείους ἀπὸ τούτων καὶ μὴ εἴη γε. οὐ βιάζεται, ἀλλὰ πείθει. διὰ τοῦτο μᾶλλον μισητέος. ὁ μὲν γὰρ βιαζόμενος, ἑαυτὸν πονηρὸν ἀποδείκνυσιν. ὁ δὲ πείθων τὴν τοῦ ἀναπειθομένου ψυχὴν διαφθείρει. ἀλλὰ μὴν καὶ ὁ χρημάτων γε ἀπεμπολῶν τὴν ὥραν, τί μᾶλλον στέρξει τὸν πριάμενον, ἢ ὁ ἐν ἀγορᾷ πωλῶν καὶ ἀποδιδόμενος. οὐ μὴν ὅτι γε ὡραῖος ἀώρῳ, οὐδὲ ὅτι γε καλὸς οὐκέτι καλῷ, καὶ ἐρῶντι οὐκ ἐρῶν ὁμιλεῖ, φιλήσει αὐτόν. οὐδὲ γὰρ ὁ παῖς τῷ ἀνδρὶ ὥσπερ γυνὴ κοινωνεῖ τῶν ἐν τοῖς ἀφροδισίοις εὐφροσυνῶν. ἀλλὰ νήφων μεθύοντα ὑπὸ τῆς ἀφροδίτης θεᾶται. ἐξ ὧν οὐδὲν θαυμαστόν, εἰ καὶ τὸ ὑπερορᾶν ἐγγίγνεται αὐτῷ τοῦ ἐραστοῦ. καὶ σκοπῶν δ' ἄν τις εὕροι ἐκ μὲν τῶν διὰ τοὺς τρόπους φιλουμένων, οὐδὲ χαλεπὸν γεγενημένον. ἐκ δὲ τῆς ἀναιδοῦς ὁμιλίας πολλὰ ἤδη καὶ ἀνόσια πεπραγμένα. ὡς δὲ καὶ ἀνελεύθερος ἡ συνουσία τῷ τὸ σῶμα μᾶλλον, ἢ τῷ τὴν ψυχὴν ἀγαπῶντι, νῦν τοῦτο δηλώσω. ὁ μὲν γὰρ παιδεύων λέγειν ἃ δεῖ καὶ πράττειν, δικαίως ἂν ὥσπερ χείρων καὶ φοῖνιξ ὑπὸ ἀχιλλέως τιμῷτο. ὁ δὲ τοῦ σώματος ὀρεγόμενος, εἰκότως ἂν ὥσπερ πτωχὸς περιέποιτο. ἀεὶ γάρ τοι προσαιτῶν καὶ προσδεόμενος ἢ φιλήματος ἢ ἄλλου τινὸς ψηλαφήματος παρακολουθεῖ. εἰ δὲ λαμυρώτερον λέγω, μὴ θαυμάζετε. ὅ, τε γὰρ οἶνος συνεπαίρει, καὶ ὁ ἀεὶ σύνοικος ἐμοὶ ἔρως κεντρίζει, εἰς τὸν ἀντίπαλον ἔρωτα αὐτῷ, παῤῥησιάζεσθαι. καὶ γὰρ δὴ δοκεῖ μοι ὁ μὲν τῷ εἴδει τὸν νοῦν προσέχων μεμισθωμένῳ χῶρον ἐοικέναι. οὐ γὰρ ὅπως πλείονος ἄξιος γένηται, ἐπιμελεῖται, ἀλλ' ὅπως αὐτὸς ὅτι πλεῖστα ὡραῖα καρπώσηται. ὁ δὲ τῆς φιλίας ἐφιέμενος μᾶλλον ἔοικε τῷ τὸν οἰκεῖον ἀγρὸν κεκτημένῳ. πάντοθεν γοῦν φέρων ὅ, τι ἂν δύνηται, πλείονος ἄξιον ποιεῖ τὸν ἐρώμενον, καὶ μὴν καὶ τῶν παιδικῶν ὅσα ἂν μὲν εἰδῇ τοῦ εἴδους ἐπαρκῶν ἄρξει τοῦ ἐραστοῦ, εἰκὸς αὐτὸν τἆλλα ῥᾳδιουργεῖν. ὃς δ' ἂν γινώσκῃ ὅτι ἂν μὴ καλὸς κἀγαθὸς ᾖ, οὐ καθέξει τὴν φιλίαν, τοῦτον προσήκει μᾶλλον ἀρετῆς ἐπιμελεῖσθαι. μέγιστον δ' ἀγαθὸν τῷ ὀρεγομένῳ ἐκ παιδικῶν φίλον ἀγαθὸν ποιήσασθαι, ὅτι ἀνάγκη καὶ αὐτὸν ἀσκεῖν ἀρετήν. οὐ γὰρ οἷόν τε πονηρὰ αὐτὸν ποιοῦντα, ἀγαθὸν τὸν συνόντα ἀποδεῖξαι. οὐδέ γε ἀναισχυντίαν καὶ ἀκρασίαν παρεχόμενον, ἐγκρατῆ καὶ αἰδοῖ μετὰ τὸν ἐρώμενον ποιῆσαι. ἐπιθυμῶ δέ σοι, ἔφη, ὦ καλλία, καὶ μυθολογῆσαι, ὡς οὐ μόνον ἄνθρωποι καὶ ἀλλὰ καὶ θεοὶ καὶ ἥρωες, τὴν τῆς ψυχῆς φιλίαν περὶ πλείονος ἢ τὴν τοῦ σώματος χρῆσιν ποιοῦνται. ζεύς τε γὰρ ὅσων μὲν θνητῶν οὐσῶν μορφῆς ἠράσθη συγγενόμενος, εἴα αὐτὰς θνητὰς εἶναι. ὅσων δὲ ψυχαῖς ἀγαθαῖς ἀγασθείη, ἀθανάτους τούτους ἐποίει. ὧν ἡρακλῆς μὲν καὶ διόσκουροι εἰσί. λέγονται δὲ καὶ ἄλλοι. καὶ ἐγὼ δέ φημι καὶ γανυμήδην, οὐ σώματος ἀλλὰ ψυχῆς ἕνεκα ὑπὸ διὸς εἰς ὄλυμπον ἀνενεχθῆναι. μαρτυρεῖ δὲ καὶ τοὔνομα αὐτοῦ. ἔστι μὲν γὰρ δήπου καὶ ὁμήρῳ, γάνυται δ' ἀκούων. τοῦτο δὲ φράζει, ὅτι ἥδεται δὲ τοῦ ἀκούων. ἔστι δὲ καὶ ἄλλοθί που, πυκινὰ φρεσὶ μήδεα εἰδώς. τοῦτο δ' αὖ λέγει, σοφὰ φρεσὶ βουλεύματα εἰδώς. ἐξ οὖν συναμφοτέρων τούτων οὐχ ἡδυσώματος ὀνομασθεὶς ὁ γανυμήδης, ἀλλ' ἡδυγνώμων ἐν θεοῖς τίμηται.

ἀλλὰ

ἀλλὰ μὴν, ὦ νικήρατε, καὶ ἀχιλλεὺς ὁμήρῳ πεποίηται οὐχ ὡς παιδικοῖς πατρόκλῳ, ἀλλ' ὡς ἑταίρῳ ἀποθανόντι, ἐκπρεπέστατα τιμωρῆσαι. καὶ ὀρέστης δὲ καὶ πυλάδης, καὶ θησεὺς καὶ πειρίθοος καὶ ἄλλοι δὲ πολλοὶ τῶν ἡμιθέων οἱ ἄριστοι ὑμνοῦνται, οὐ διὰ τὸ συγκαθεύδειν, ἀλλὰ διὰ τὸ ἄγασθαι ἀλλήλους τὰ μέγιστα καὶ κάλλιστα κοινῇ διαπεπρᾶχθαι. τί δέ; τὰ νῦν καλὰ ἔργα, οὐ πάντ' ἂν εὕροι τις ἕνεκα ἐπαίνου ὑπὸ τῶν καὶ πονεῖν καὶ κινδυνεύειν ἐθελόντων πραττόμενα μᾶλλον, ἢ ὑπὸ τῶν ἐθιζομένων ἡδονὴν ἀντ' εὐκλείας αἱρεῖσθαι; καίτοι παυσανίας ὁ ἀγάθωνος τοῦ ποιητοῦ ἐραστὴς ἀπολογούμενος ὑπὲρ τῶν ἀκρασίᾳ συγκυλινδουμένων εἴρηκεν ὡς καὶ στράτευμα ἀλκιμώτατον ἂν γένοιτο ἐκ παιδικῶν τε καὶ ἐραστῶν. τούτους γὰρ ἄν, ἔφη, οἴεσθαι μάλιστα αἰδεῖσθαι ἀλλήλους ἀπολείπειν. θαυμαστὰ λέγων εἴ γε οἱ ψόγου τε ἀφροντιστεῖν καὶ ἀναισχυντεῖν πρὸς ἀλλήλους ἐθιζόμενοι, οὗτοι μάλιστα αἰσχυνοῦνται αἰσχρόν τι ποιεῖν. καὶ μαρτύρια δὲ ἐπήγετο, ὡς ταῦτα ἐγνωκότες εἶεν, καὶ θηβαῖοι, καὶ ἠλεῖοι· συγκαθεύδοντας γοῦν αὐτοῖς, ὅμως παρατάττεσθαί φησι τὰ παιδικὰ εἰς τὸν ἀγῶνα. οὐδὲν γὰρ τοῦτο σημεῖον λέγων ὅμοιον. ἐκείνοις μὲν γὰρ ταῦτα νόμιμα, ἡμῖν δ' ἐπονείδιστα. δοκοῦσι δ' ἔμοιγε οἱ μὲν παρατατόμενοι, ἀπιστοῦσιν ἐοικέναι, μὴ χωρὶς γενόμενοι οἱ ἐρώμενοι, οὐκ ἀποτελῶσι τὰ τῶν ἀγαθῶν ἀνδρῶν ἔργα. λακεδαιμόνιοι δὲ οἱ νομίζοντες, ἐὰν καὶ ὀρεχθῇ τις σώματος, μηδενὸς ἂν ἔτι καλοῦ κἀγαθοῦ τοῦτον τυχεῖν, οὕτω τελέως τοὺς ἐρωμένους ἀγαθοὺς ἀπεργάζονται, ὡς καὶ μετὰ ξένων, κἂν μὴ ἐν τῇ αὐτῇ πόλει ταχθῶσι τῷ ἐραστῇ, ὁμοίως αἰδοῦνται τοὺς παρόντας ἐγκαταλείπειν. θεὰν γὰρ οὐ τὴν ἀναίδειαν, ἀλλὰ τὴν αἰδῶ νομίζουσι. δοκοῦμεν δ' ἄν μοι πάντες ὁμόλογοι γενέσθαι περὶ ὧν λέγω, εἰ ὧδε ἐπισκοποῖμεν, τῷ ποτέρως παιδὶ φιληθέντι μᾶλλον ἄν τις πιστεύσειεν ἢ χρήματα ἢ τέκνα ἢ χάριτας παρακαταθέσθαι. ἐγὼ μὲν γὰρ οἶμαι καὶ αὐτὸν τὸν τῷ εἴδει τοῦ ἐρωμένου χρώμενον, μᾶλλον ἂν ταῦτα πάντα τῷ τὴν ψυχὴν ἐρασμίῳ πιστεῦσαι. σοί γε μήν, ὦ καλλία, δοκεῖ μοι ἄξιον εἶναι καὶ θεοῖς χάριν εἰδέναι, ὅτι σοι αὐτολύκου ἔρωτα ἐνέβαλον. ὡς μὲν γὰρ φιλότιμός ἐστιν, εὔδηλον. ὃς τοῦ κηρυχθῆναι ἕνεκα νικῶν παγκράτιον, πολλοὺς μὲν πόνους, πολλὰ δ' ἄλγη ἀνέχεται. εἰ δὲ οἴοιτο μὴ μόνον ἑαυτὸν καὶ τὸν πατέρα κοσμήσειν, ἀλλ' ἱκανὸς γενήσεσθαι δι' ἀνδραγαθίαν, καὶ φίλους εὖ ποιεῖν καὶ τὴν πατρίδα αὔξειν τρόπαιον τῶν πολεμίων ἱστάμενος, καὶ διὰ ταῦτα περίβλεπτός τε καὶ ὀνομαστὸς ἔσεσθαι καὶ ἐν ἕλλησι καὶ ἐν βαρβάροις, πῶς οὐκ οἴει αὐτὸν ὅντιν' ἡγεῖτο εἰς ταῦτα συνεργὸν εἶναι κράτιστον, τοῦτον ταῖς μεγίσταις ἂν τιμαῖς περιέπειν; εἰ οὖν βούλει τούτῳ ἀρέσκειν, σκεπτέον μέν σοι ποῖα ἐπιστάμενος θεμιστοκλῆς, ἱκανὸς ἐγένετο τὴν ἑλλάδα ἐλευθεροῦν. σκεπτέον δέ, ποῖά ποτε εἰδὼς περικλῆς, κράτιστος ἐδόκει τῇ πατρίδι σύμβουλος εἶναι. ἀθρητέον δὲ καὶ πῶς ποτε σόλων φιλοσοφήσας, νόμους κρατίστους τῇ πόλει κατέθηκεν. ἐρευνητέον δὲ ποῖα λακεδαιμόνιοι ἀσκοῦντες, κράτιστοι δοκοῦσιν ἡγεμόνες εἶναι. πρόξενοι δὲ καὶ κατάγονται ἀεὶ παρὰ σοὶ, οἱ κράτιστοι αὐτῶν. ὡς μὲν οὖν σοι ἡ πόλις ταχὺ ἂν ἐπιτρέψειεν αὑτὴν εἰ βούλοιο, εὖ ἴσθι. τὰ μέγιστα γάρ σοι ὑπάρχει, εὐπατρίδης εἶ, ἱερεὺς θεῶν τῶν ἀπ' ἐρεχθέως, οἳ καὶ ἐπὶ τὸν βάρβαρον σὺν ἰάκχῳ ἐστράτευσαν.

καὶ

Imò uerò, ô Nicerate, Achillē Homerus facit non propter amores, sed propter sodalitatē & societatē, Patroclo inter fecto decentißimè parentantē. Atq; etiam Orestes & Pylades, Theseus, Pirithous, aliiq; multi ex numero semideorum præstantißimi fuiße cum laude prædicātur, nō quia unà cōcumberent, sed quia alij ab alijs res maximas & pulcherrimas admirabantur, cōmuniter esse gestas. Quid uerò nūc res præclaras, an nō omnes ab ijs qui ultrò suscipiūt labores & adeūt pericula, magis esse gestas, q̃ ab his qui assuefacti sunt uoluptatem gloriæ præponere, reperiemus? quanquā Pausanias Agathonis poëtæ amator, in defensione eorū qui ex impotētia & intemperantia uolutati essent, dixit exercitū fortißimū confici posse ex pueris & amatoribus: istos enim dicebat in ea esse opinione, ut maximè uereātur ne alij alios deserāt: admirabiliter loquens, si qui assueti sunt uituperationib. & nullis curis, atq; securitati & impudentiæ, hi turpe aliquid admittere maximè uererētur: atq; testimonia adducebat Thebanorum & Eleorum, qui dicuntur ista nō ignorare: nam etsi cū pueris concumbunt, eos tamen statuunt in acie ad præliandū. Sed nihil in ea re argumenti simile adducit: hæc enim illis legitima, nobis autē probrosißima sunt. Mihi quidē uidentur in acie instructi diffidentibus similes esse, ne si separati essent amasij, bonorū uirorum munera nō exequerētur. Lacedæmonij uero, qui arbitrantur, si quis corpus appetat, nihil unquam postea honesti aut boni consequi posse, adeò perfecte amasios bonos efficiunt, ut etiam cum peregrinis, etiamsi nō in eadem ciuitate, instructi fuerint, quemadmodū amator præsentes deserere uereantur: nō enim impudentiam, sed pudorem deum esse credunt, ac suis moribus colunt. Videmur autem omnes in his quæ à me dicuntur cōsentire posse, si ista ratione cōsideremus, utrū puero, quem quis amet, magis credat uel pecunias, uel liberos, uel munera apud eum deponat? existimo enim uel ipsum formæ amasij fruentem, potius hæc omnia ei qui propter animum dignus sit amari, crediturū esse. Mihi uidetur, ô Callia, te dignum, ut dijs gratias agas, quòd tibi Autolyci amorem cōcidiarunt: satis enim perspicuū est eum esse honoris appetentem, qui ut præconis uoce prædicaretur Pancratij uictor, multos labores multosq; dolores sustinet. Quod si existimat non solum seipsum & patrem decoraturū, sed futurum ut sua fortitudine de amicis bene mereri, & patriam augere, ac de hostibus trophæa statuere poßit, atq; ob eam causam celebrē & clarum futurū tum apud Græcos, tum apud barbaros, quid est quamobrē quem in his adiutorē esse posse optimū duxerit, cum ipsum non putes maximis honoribus ab illo effectum iri? Si igitur huic placere cupis, considerandum tibi est, qua tandem arte Themistocles potuit Græciam in libertatem uindicare: itemq; uidendū, qua tandem scientia fretus Pericles, optimus consiliarius uisus sit patriæ: atq; etiam animaduertendū, qua ratione in philosophia uersatus Solon, præclarißimas leges ciuitati dederit. Illud etiam scrutandū, quibus Lacedæmonij exercitationibus præstantißimi duces esse uideantur: hospites uero qui sunt ex illis omniū præclarißimi uiri semper ad te diuertunt. Atq; illud quidem scito, ciuitatem seipsam breui, si modo uelis, tibi permissuram: maximæ enim res in te sunt, patritius es, & in ciuitate princeps: sacerdos eorum deorum, qui ab Erechtheo instituti sunt, qui aduersus barbaros cum Iaccho militauerunt:

ac nunc

ac nunc in celebritate festi maxime sacerdotum decorus uideris esse omnium qui ante fuerunt. Corpus habes omnium ciuium spectatu pulchrum maximè, robustum ad sufferendos labores. Quod si uobis uideor grauiora quàm conuiuio conuenit, tractare, nolite mirari: nam bonorum uirorum & uirtutis perstudiosorum, cum ciuitate, amator esse nunquam destiti. Cæteri igitur de auditis disputabant, Autolycus autem Calliam aspectabat, & Callias illum intuens, Ergo, inquit, ô Socrates lenocinans ad ciuitatem me perduces ut rempublicam capessam & administrem, eique semper gratus sim? Certè, inquit ille, si animaduerterit te non uideri solum, sed reuera uirtutis esse studiosum: falsa enim laus citò reipsa confutatur: at uera probitas, nisi deus aliquis impediat, semper actionibus splendidiorem gloriam comparat. Atque colloquium quidem hunc finem habuit. Autolycus autem, quia iam tempus erat, surrexit ad deambulandum. Et Lycon pater, qui unà cum illo erat, conuersus, Per Iunonem, inquit, ô Socrates, bonus & probus mihi uideris. Postea sedile quoddam intus positum est. Tum Syracusius ingressus, cùm thronum ascendisset, Viri, inquit, Ariadne suum & Bacchi thalamum ingreditur: pòst ueniet Bacchus in cœtu deorum ebrius factus, ac eòdem ingredietur: tum ludos inter se facient. Quibus dictis, principiò Ariadne uelut sponsa exornata prodijt, ac in solio resedit: atque sic prodeunte Libero, ad numeros Bacchicos tibia canebatur. Tum igitur admirati sunt saltationis magistrum: statim enim ut Ariadne audiuit, tale quid fecit, ut omnes intelligerent, eam cum uoluptate audiuisse: nec tamen obuiam iuit aut surrexit, sed illud apparebat, uix eam posse conquiescere. Postea uerò quàm Liber eam aspexit, saltans, ut si quis summo amore incitatus, ad genua sedit, eámque complexus est & osculatus. Illa etsi uereri uidebatur, tamen amatoriè illum uicißim complectebatur. Conuiuæ autem hæc spectantes simul plaudebant, & clamabant rursus. Vt autem Bacchus surrexit, erexit Ariadnen. Post illa igitur licebat spectare gestus osculantium, & inter se complectentium. Qui autem spectabant uerè formosum Bacchum, pulchrámque Ariadnen, non illudentes, sed reuera oribus admotis osculantes, omnes sursum elati, quasi pennis præditi uolarent, spectabant. Etenim audiebant Bacchum rogantem ipsam, an se amaret: ea autem sic iurante, non solum Bacchum, sed uniuersos qui adessent, iurare, puerum & puellam inter se mutuò amare: similes enim uidebantur non arte factis gestus, sed immißis ad peragenda ea quæ iamdudum concupijssent. Ad extremum autem cum uidissent conuiuæ eos mutuis complexibus implicatos, & iam ad cubile ituros, qui non duxerant uxores, se ducturos iurauerunt: qui autem duxissent, conscensis equis ac incitatis ad uxores suas, ut eis fruerentur, festinarunt. Socrates autem ac alij qui cum Lycone & filio remanserant, cum Callia deambulatum ierunt. Atq; ad hunc modum conuiuium dimissum est.

καὶ νῦν ἐν τῇ ἑορτῇ ἱεροπρεπέστατος δοκεῖς εἶναι τῶν πρὸ σοῦ γεγενημένων. καὶ σῶμα ἀξιοπρεπέστατον μὲν ἰδεῖν τῆς πόλεως ἔχεις, ἱκανὸν δὲ μόχθους ὑποφέρειν. εἰ δ' ὑμῖν δοκῶ σπουδαιολογῆσαι μᾶλλον ἢ παρὰ πότον πρέπει, μηδὲ τοῦτο θαυμάζετε. ἀγαθῶν γὰρ φύσει καὶ τῶν ἀρετῆς φιλοτίμως ἐφιεμένων, ἀεί ποτε τῇ πόλει συνεραστὴς ὢν διατελῶ. οἱ μὲν δὴ ἄλλοι περὶ τῶν ῥηθέντων διελέγοντο. ὁ δ' αὐτόλυκος κατεθεᾶτο τὸν καλλίαν. καὶ ὁ καλλίας δὲ παρορῶν εἰς ἐκεῖνον, εἶπεν· οὐκοῦν σύ με, ὦ σώκρατες, μαστροπεύσεις πρὸς τὴν πόλιν, ὅπως πράττω τὰ πολιτικά, καὶ ἀεὶ ἀρεστὸς ὦ αὐτῇ. ναὶ μὰ δί', ἔφη, ἢν ὁρῶσί γέ σε, μὴ τῷ δοκεῖν ἀλλὰ τῷ ὄντι ἀρετῆς ἐπιμελούμενον. ἡ μὲν γὰρ ψευδὴς δόξα ταχὺ ἐλέγχεται ὑπὸ τῆς πείρας, ἡ δ' ἀληθὴς ἀνδραγαθία, ἢν μὴ θεὸς βλάπτῃ, ἀεὶ ἐν ταῖς πράξεσι λαμπροτέραν τὴν δόξαν συμπαρέχεται. οὗτος μὲν δὴ ὁ λόγος ἐνταῦθα ἔληξεν. αὐτόλυκος δέ, ἤδη γὰρ ὥρα ἦν αὐτῷ, ἐξανίστατο εἰς περίπατον. καὶ ὁ λύκων ὁ πατὴρ αὐτῷ συνεξιὼν, ἐπιστραφεὶς εἶπε· νὴ τὴν ἥραν, ὦ σώκρατες, καλός τε κἀγαθὸς δοκεῖς μοι ἄνθρωπος εἶναι. ἐκ δὲ τούτου πρῶτον μὲν θρόνος τις ἔνδον κατετέθη, ἔπειτα δὲ ὁ συρακόσιος εἰσελθὼν, εἶπεν· ὦ ἄνδρες, ἀριάδνη εἴσεισιν εἰς τὸν ἑαυτῆς τε καὶ διονύσου θάλαμον, μετὰ δὲ τοῦθ' ἥξει διόνυσος ὑποπεπωκὼς παρὰ θεοῖς, καὶ εἴσεισι πρὸς αὐτήν. ἔπειτα παιξοῦνται πρὸς ἀλλήλους. ἐκ τούτου πρῶτον μὲν ἡ ἀριάδνη ὡς νύμφη κεκοσμημένη παρῆλθε, καὶ καθέζετο ἐπὶ τοῦ θρόνου. οὔπω δὲ φαινομένου τοῦ διονύσου, ηὐλεῖτο ὁ βακχεῖος ῥυθμός. ἔνθα δὴ ἠγάσθησαν τὸν ὀρχηστοδιδάσκαλον. εὐθὺς μὲν γὰρ ἡ ἀριάδνη ἀκούσασα, τοιοῦτόν τι ἐποίησεν, ὡς πᾶς ἂν ἔγνω, ὅτι ἀσμένη ἤκουσε, καὶ ὑπήντησε μὲν οὔ, οὐδὲ ἀνέστη. δήλη δὲ ἦν μόλις ἠρεμοῦσα. ἐπεί γε μὴν κατεῖδεν αὐτὴν ὁ διόνυσος, ἐπιχορεύσας, ὥσπερ ἂν εἴ τις φιλικώτατα, καθίζετο ἐπὶ τῶν γονάτων. καὶ περιλαβὼν, ἐφίλησεν αὐτήν. ἡ δ' αἰδουμένῃ μὲν ἐῴκει, ὅμως δὲ φιλικῶς ἀντιπεριελάμβανεν. οἱ δὲ συμπόται ὁρῶντες, ἅμα μὲν ἐκρότουν, ἅμα δὲ ἐβόων αὖθις. ὡς δὲ ὁ διόνυσος ἀνιστάμενος συνανέστησε μεθ' ἑαυτοῦ τὴν ἀριάδνην, ἐκ τούτου δὴ φιλούντων τε καὶ ἀσπαζομένων ἀλλήλους, σχήματα παρῆν θεάσασθαι. οἱ δὲ ὁρῶντες ὄντως καλὸν μὲν τὸν διόνυσον, ὡραίαν δὲ τὴν ἀριάδνην, οὐ σκώπτοντας δὲ ἀλλ' ἀληθινῶς τοῖς στόμασι φιλοῦντας, πάντες ἀνεπτερωμένοι ἐθεῶντο. καὶ γὰρ ἤκουον τοῦ διονύσου μὲν ἐπερωτῶντος αὐτὴν, εἰ φιλεῖ αὐτόν. τῆς δὲ οὕτως ἐπομνυούσης, μὴ μόνον τὸν διόνυσον, ἀλλὰ καὶ τοὺς παρόντας ἅπαντας ἐπομόσαι ἄν, ἦ μὴν τὸν παῖδα καὶ τὴν παῖδα ὑπ' ἀλλήλων φιλεῖσθαι. ἐῴκεσαν γὰρ οὐ δεδιδαγμένοις τὰ σχήματα, ἀλλ' ἐφειμένοις πράττειν ἃ πάλαι ἐπιθύμουν. τέλος δὲ οἱ συμπόται ἰδόντες περιβεβληκότας τε ἀλλήλους, καὶ ὡς εἰς εὐνὴν ἀπιόντας, οἱ μὲν ἄγαμοι γαμεῖν ἐπώμνυσαν, οἱ δὲ γεγαμηκότες ἀναβάντες ἐπὶ τοὺς ἵππους, ἀπήλαυνον πρὸς τὰς ἑαυτῶν γυναῖκας, ὅπως τούτων τύχοιεν. σωκράτης δὲ καὶ τῶν ἄλλων οἱ ὑπομείναντες πρὸς λύκωνα, καὶ τὸν υἱὸν σὺν καλλίᾳ περιπατήσοντες ἀπῆλθον. αὕτη τοῦ τότε συμποσίου κατάλυσις ἐγένετο.

ΞΕΝΟ-

ΞΕΝΟΦΩΝΤΟΣ ΡΗΤΟΡΟΣ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ ΠΟΛΙΤΕΙΑ.

Ἀλλ' ἐγὼ ἐννοήσας ποτὲ ὡς ἡ Σπάρτη τῶν ὀλιγανθρωποτάτων πόλεων οὖσα, δυνατωτάτη τε καὶ ὀνομαστοτάτη ἐν τῇ Ἑλλάδι ἐφάνη, ἐθαύμασα ὅτῳ ποτὲ τρόπῳ τοῦτ' ἐγένετο. ἐπεὶ μέντοι κατενόησα τὰ ἐπιτηδεύματα τῶν Σπαρτιατῶν, οὐκέτι ἐθαύμαζον. Λυκοῦργον μέντοι τὸν θέντα αὐτοῖς τοὺς νόμους, οἷς πειθόμενοι ηὐδαιμόνησαν, τοῦτον καὶ θαυμάζω καὶ εἰς τὰ ἔσχατα μάλα σοφὸν ἡγοῦμαι. ἐκεῖνος γὰρ οὐ μιμησάμενος τὰς ἄλλας πόλεις, ἀλλὰ καὶ ἐναντία γνοὺς ταῖς πλείσταις, προέχουσαν εὐδαιμονίᾳ τὴν πατρίδα ἐπέδειξεν. αὐτίκα γὰρ περὶ τεκνοποιίας, ἵνα ἐξ ἀρχῆς ἄρξωμαι. οἱ μὲν ἄλλοι τὰς μελλούσας τίκτειν, καὶ καλῶς δοκούσας κόρας παιδεύεσθαι, καὶ σίτῳ ᾗ ἀνυστὸν μετριωτάτῳ τρέφουσι, καὶ ὄψῳ ᾗ δυνατὸν μικροτάτῳ. οἴνου γε μὴν ἢ πάμπαν ἀπεχομένας, ἢ ὑδαρεῖ χρωμένας διάγουσιν. ὥσπερ δὲ οἱ πολλοὶ τῶν τὰς τέχνας ἐχόντων ἑδραῖοί εἰσιν, οὕτω καὶ τὰς κόρας οἱ ἄλλοι Ἕλληνες ἠρεμιζούσας ἐριουργεῖν ἀξιοῦσι. τὰς μὲν οὖν οὕτω τρεφομένας, πῶς χρὴ προσδοκῆσαι μεγαλεῖον ἄν τι γεννῆσαι; ὁ δὲ Λυκοῦργος, ἐσθῆτας μὲν καὶ δούλας παρέχειν, ἱκανὰς ἡγήσατο εἶναι. ταῖς δ' ἐλευθέραις, μέγιστον νομίσας εἶναι τὴν τεκνοποιίαν, πρῶτον μὲν σωμασκεῖν ἔταξεν οὐδὲν ἧττον τὸ θῆλυ τοῦ ἄρρενος φύλου. ἔπειτα δὲ δρόμου καὶ ἰσχύος, ὥσπερ καὶ τοῖς ἀνδράσιν, οὕτω καὶ ταῖς θηλείαις ἀγῶνας πρὸς ἀλλήλας ἐποίησε, νομίζων ἐξ ἀμφοτέρων ἰσχυρῶν καὶ τὰ ἔκγονα ἐρρωμενέστερα γίγνεσθαι. ἐπεί γε μὴν γυνὴ πρὸς ἄνδρα ἔλθοι, ὁρῶν τοὺς ἄλλους τὸν πρῶτον τοῦ χρόνου ἀμέτρως ταῖς γυναιξὶ συνόντας, καὶ τούτου τἀναντία ἔγνω. ἔθηκε γὰρ αἰδεῖσθαι μὲν εἰσιόντα ὀφθῆναι, αἰδεῖσθαι δ' ἐξιόντα. οὕτω δὲ συνόντων, ποθεινοτέρως μὲν ἀνάγκη σφῶν αὐτῶν ἔχειν. ἐρρωμενέστερα δὲ γίγνεσθαι εἴ τι βλαστάνοι οὕτω μᾶλλον ἢ εἰ διάκοροι ἀλλήλων εἶεν. πρὸς δὲ τούτοις καὶ ἀποπαύσας τοῦ ὁπότε βούλοιντο ἕκαστοι γυναῖκα ἄγεσθαι, ἔταξεν ἐν ἀκμαῖς τῶν σωμάτων τοὺς γάμους ποιεῖσθαι, καὶ τοῦτο συμφέρον τῇ εὐγενείᾳ νομίζων. εἴ γε μέντοι συμβαίη γεραιῷ νέαν ἔχειν, ὁρῶν τοὺς τηλικούτους φυλάσσοντας μάλιστα τὰς γυναῖκας, τἀναντία καὶ τούτῳ ἐνόμισε. τῷ γὰρ πρεσβυτέρῳ ἐποίησεν ὁποίου ἀνδρὸς σῶμά τε καὶ ψυχὴν ἀγασθείη, τοῦτον ἐπαγομένῳ τεκνοποιήσασθαι. εἰ δέ τις αὖ γυναικὶ μὲν συνοικεῖν μὴ βούλοιτο, τέκνων δὲ ἀξιολόγων ἐπιθυμοίη, καὶ τούτῳ νόμον ἐποίησεν. ἥντινα ἂν εὔτεκνον καὶ γενναίαν ὁρῴη, πείσαντα τὸν ἔχοντα, ἐκ ταύτης τεκνοποιεῖσθαι. καὶ πολλὰ μὲν τοιαῦτα συνεχώρει. αἵ τε γὰρ γυναῖκες διττοὺς οἴκους βούλονται κατέχειν, οἵ τε ἄνδρες ἀδελφοὺς τοῖς παισὶ προσλαμβάνειν, οἳ τοῦ μὲν γένους καὶ τῆς δυνάμεως κοινωνοῦσι, τῶν δὲ χρημάτων οὐκ ἀντιποιοῦνται. περὶ μὲν δὴ τεκνοποιίας οὕτω τἀναντία γνοὺς τοῖς ἄλλοις, εἴ τι διαφέροντας καὶ περὶ μέγεθος, καὶ κατ' ἰσχὺν ἄνδρας ἡ Σπάρτη ἀπετέ-

XENOPHONTIS DE REPVBLICA ET LEGIBVS LACEDAEMONIORVM LIBER, FRANCISCO Philelpho interprete.

Cogitanti mihi aliquãdo Spartã, quæ omniũ una urbiũ infrequẽs esset hominib. & uirib. in Græcia & nomine claruisse, mirandum profecto uisum est, quonã id pacto fieri potuerit. Sed cum Spartiatarũ studia didicissem, mirari iam desiui. Equidẽ Lycurgũ qui leges his tulerat, quibus obtẽperantes rem fauste feliciterq; gessere, hunc mehercule & admiror, & ad summũ usq; sapientissimũ duco. Ille nanq; haudquaquã reliquas ciuitates imitatus, quin potius harũ plurimis contraria sentiens, patriã ut cæteris felicitate præstaret, effecit. Liberorũ enim procreatione (ut ab initio rẽ aggrediar) alij quidẽ eas quæ ad sobolem procreandã idoneæ & bene institutæ puellæ uideãtur, tum cibo quãtenuissimo, tum obsonio quoad fieri potest quãminimo nutriunt. Vini aũt aut omnino expertes, aut eo aquatissimo uti uolunt. Quemadmodum igitur ex artificib. multi uno in loco quieti sedent, sic & uirgines reliqui Græci per quietẽ lanificio insistere dignum putant. Ex his uero ita educatis, quid sperandum est magni aliquid nasci posse? At Lycurgus uestes ab ancillis præberi, satis putauit esse Sed liberis quidem mulierib. cum procreationẽ liberorũ magnũ quiddam esse censuisset, primũ nihilo minus fœminã quam marẽ exerceri corpore instituit: deinde cursus et uirium ueluti uiris, ita & fœminis certamina inuicem posuit. Existimabat enim ex acribus illis robustissimisq; uiris natos, etiam robustioris gigni. Cum uero mulier ad uirũ uenerit, intuens ille alios primo tempore immoderatius uxoribus cõmisceri, sensit & huiusce rei contraria. Sanxit nanq; & ingredientẽ ad uxorem uirum & exeuntẽ, ne ab alijs uideretur, pudore affici: sic autem coẽuntes necesse est tum suauius sese auidiusq; appetere, tum ualentiores etiã eos esse si in aduersam ualetudinẽ inciderint, ita magis q̃ si ad satietatẽ usq; inuicem sint. Statuit præterea quod nemo pro uoluntate uxorem duceret: nõ nisi cum in adultam ætatem peruentum iam esset nuptias fieri: id enim plurimũ ipsi fœcunditati ac robustitati conducturũ arbitratus est. Atq; si quidẽ contigerit, ut senex aliquis iuniorem uxorem habeat, uidens Lycurgus huius ætatis homines maxime asseruare uxores, item et huius rei contrarium constituit. Sanxit enim, ut cuius uiri corpore animoq; senior ipse magis delectaretur, eo adducto prolem ipse susciperet. At si quis uxorem rursus nolit, ingenuæ autem prolis desiderio tangatur, in hanc quoq; rem legem tulit: si quam is fœcundam generosamq; prospexerit, persuaso eius uiro ex ea suscipere natos queat. Et huiusmodi multa Lycurgi legibus sunt concessa. Enimuero & uxores domos binas inhabitare uolunt, & uiri ipsi fratres ex se natis pueris acquirere, qui generis quidem utriumq; participes æquẽ sunt, substantiæ uerò nequaquam sunt. Hoc de procreandis liberis diuerso à Græcis cæteris instituto, quanto præstantiores ille & magnitudine & robore uiros Spartæ

reddiderit, quiuis secum animo uolutato. Ego uerò postquam de ortu ipso disserui, uolo & ipsam Spartiatarum reliquorumq; Graecorum disciplinam utrinque exponere. Alij quidem Graeci, & hi praesertim qui pulcherrime filios instituere cupiunt, quamprimum pueri quae dicuntur intelligunt, continuò seruos his pedagogos praeficiunt, continuò item illos ad magistros mittunt, literas scilicet & musicam, & quae ad palestram attinent, percepturos. Puerorum praeterea pedes calceamentis demolliunt, corpora uerò uestium uarietate insigniunt, cibi modum uentris plenitudine metiuntur. Lycurgus autem pro seruis pedagogis, quos priuatim pueris quisque praeficit, utrum praeesse ex illis uoluit, e quibus maximi magistratus constant: qui quoniam pueros moderetur, pedonomus appellatur. Huic uero potestatem dedit, ut & pueros congregaret, & quem uersute aut nequiter quicquam patrare obseruasset, acerrimè caederet. Dedit etiam sibi ex puberum numero qui flagra ferrent, ut uerberibus cum opus foret, pueros afficerent: quo factum est, ut & multa pueri uerecundia tenerentur, & iussis facile parerent. Pro calceamentis autem, pedum nuditatem instituit: censebat enim huiusmodi exercitatione longe facilius & accliuium ascendere posse, & tutius decliuium descendere, & exilire & resilire, & celerius discalceatum currere si pedes exercuerit, quàm calceatum. Pro uestium uerò uarietate instituit, uno amictu quotannis assuefieri, ratus & aduersus frigora & aduersus calores melius hoc utique pacto muniri. Cibi autem tantum masculo habendum censuit, ut & nunquam crapula grauaretur, & indigentiam ferre expertus sciret: putans eos qui sic eruditi essent, ut magis profectò, si opus esset, uel absque cibo labores perpeti, & ab ipso si amouerentur plus temporis abstinere posse: & minus praeterea obsonij egere, & faciluis omnem escam admittere. Quinetiam ad salubrius degendum, & ad staturae proceritatem magis id alimenti conducere arbitratus est, quòd gracilia corpora, quàm quòd lata cibo efficeret. Verùm ne rursus fame admodum premerentur, noluit illos quibus indigebant ea ociosos capere, sed furari quaedam sinebat quibus fames leuaretur: atque ut ne non habens quidem quod daret, permisit his alimentum sua sibi industria molirentur, latère id puto neminem. Patet autem eum qui surrepturus quippiam sit, oportere & noctu uigilare, & interdiu fraudem ac insidias tendere, exploratoresque parare, si consequi quod cupit, uelit. Itaque perspicuum est, eum qui pueros callidiores circa res ad uictum necessarias magis quàm bellicosos facere uelit, sic omnibus instituere consuesse. At dixerit quispiam: Quid igitur, si quidem furari bonum existimabat, multis eum uerberibus qui in furto deprehenderetur, plectendum uoluit? Quoniam, ut mihi uidetur, & in alijs quaecunq; homines edocent, puniunt non rite ministrantem: proinde & illi cruciant deprehensos perinde atque inepte furantes. Perpulchrum praeterea statuens ex arduo & difficili loco caseos quamplurimos rapere, quos ab alijs caedi iussit: ille quidem hoc significans, solere eum qui paucum tempus doluisset, diu ubi sibi prosperè successerit gaudere.

Quid si ἀνυπόδετον

ἀπετέλεσαν, ὁ βουλόμενος ἐπισκοπείτω. ἐγὼ μέντοι ἐπεὶ καὶ περὶ γενέσεως ἐξήγημαι, βούλομαι καὶ τὴν παιδείαν ἑκατέρων σαφηνίσαι. τῶν μὲν τοίνυν ἄλλων ἑλλήνων οἱ φάσκοντες κάλλιστα τοὺς υἱεῖς παιδεύειν, ἐπειδὰν τάχιστα αὐτοῖς οἱ παῖδες τὰ λεγόμενα ξυνιῶσιν, εὐθὺ μὲν ἐπ' αὐτοῖς παιδαγωγοὺς θεράποντας ἐφιστᾶσιν, εὐθὺς δὲ πέμπουσιν εἰς διδασκάλων μαθησομένους καὶ γράμματα, καὶ μουσικὴν, καὶ τὰ ἐν παλαίστρᾳ. πρὸς δὲ τούτοις τῶν παίδων πόδας μὲν ὑποδήμασιν ἁπαλύνουσιν. σώματα δὲ ἱματίων μεταβολαῖς διαθρύπτουσι. σίτου γε μὴν αὐτοῖς γαστέρα μέτρον νομίζουσιν. ὁ δὲ λυκοῦργος ἀντὶ μὲν τοῦ ἰδίᾳ ἕκαστον παιδαγωγοὺς δούλους ἐφιστάναι, ἄνδρα ἐπέστησε κρατεῖν αὐτῶν, ἐξ ὧνπερ αἱ μέγισται ἀρχαὶ καθίστανται, ὃς δὴ καὶ παιδονόμος καλεῖται. τοῦτον δὲ κύριον ἐποίησε, καὶ ἀθροίζειν τοὺς παῖδας, καὶ ἐπισκοποῦντα εἴ τις ῥᾳδιουργοίη, ἰσχυρῶς κολάζειν. ἔδωκε δ' αὐτῷ καὶ τῶν ἡβώντων μαστιγοφόρους, ὅπως τιμωροῖεν ὅτε δέοι. ὥστε πολλὴν μὲν αἰδῶ, πολλὴν δὲ πειθὼ ἐκεῖ συμπαρεῖναι. ἀντί γε μὴν τοῦ ἁπαλύνειν τοὺς πόδας ὑποδήμασιν, ἔταξεν ἀνυποδησίᾳ κρατύνειν· νομίζων εἰ τοῦτ' ἀσκήσειαν, πολὺ μὲν ῥᾷον ἂν ὄρθια δὲ βαίνειν, ἀσφαλέστερον δὲ πρανῆ καταβαίνειν, καὶ πηδῆσαι δὲ αὐθορεῖν, καὶ δραμεῖν θᾶττον * ἀνυπόδετον εἰ ἠσκηκὼς εἴη τοὺς πόδας, ἢ ὑποδεδεμένον. καὶ ἀντί γε τοῦ ἱματίοις διαθρύπτεσθαι, ἐνόμισεν ἑνὶ ἱματίῳ δι' ἔτους προσεθίζεσθαι· νομίζων οὕτω καὶ πρὸς ψύχη καὶ πρὸς θάλπη ἄμεινον ἂν παρεσκευάσθαι. σῖτον γε μὴν ἔταξε τοσοῦτον ἔχοντα συμβολεύειν τὸν ἄρρενα, ὡς ὑπὸ πλησμονῆς μὲν μή ποτε βαρύνεσθαι, τοῦ δὲ ἐνδεεστέρως διάγειν, μὴ ἀπείρως ἔχειν· νομίζων τοὺς οὕτω παιδευομένους, μᾶλλον μὲν ἂν δύνασθαι εἰ δεήσειεν ἀσιτήσαντας ἐπιπονῆσαι, μᾶλλον δ' ἂν εἰ παραγγελθείη, ἀπὸ τοῦ αὐτοῦ σίτου πλείω χρόνον ἐπιταθῆναι, ἧττον δ' ἂν ὄψου δεῖσθαι, εὐχερέστερον δὲ πρὸς τ' ἂν ἔχειν βρῶμα. καὶ ὑγιεινοτέρως δ' ἂν διάγειν, καὶ εἰς μῆκος ἂν αὐξάνεσθαι τὴν ῥαδινὰ τὰ σώματα ποιοῦσαν τροφὴν, μᾶλλον συλλαμβάνειν ἡγήσατο, ἢ τὴν διαπλατύνουσαν τῷ σίτῳ. ὡς δὲ μὴ ὑπὸ λιμοῦ ἄγαν αὖ πιέζοιντο, ἀπραγμόνως μὲν αὐτοῖς οὐκ ἔδωκε λαμβάνειν ὧν ἂν δέωνται. κλέπτειν δ' ἐφῆκεν ἔστιν ἃ τῷ λιμῷ ἐπικουροῦντας. καὶ ὡς μὲν οὐκ ἀπορῶν ὅ, τι δοίη, ἐφῆκεν αὐτοῖς γε μηχανᾶσθαι τὴν τροφὴν, οὐδένα οἶμαι τοῦτο ἀγνοεῖν. δῆλον δ' ὅτι τὸν μέλλοντα κλωπεύειν, καὶ νυκτὸς ἀγρυπνεῖν δεῖ, καὶ μεθ' ἡμέραν ἀπατᾶν καὶ ἐνεδρεύειν. καὶ κατασκόπους δὲ ἑτοιμάζειν, τὸν μέλλοντά τι λήψεσθαι. ταῦτα οὖν δὴ πάντα δηλονότι μηχανικωτέρους τῶν ἐπιτηδείων βουλόμενος τοὺς παῖδας ποιεῖν, καὶ πολεμικωτέρους οὕτως ἐπαίδευσε. εἴποι δ' ἂν οὖν τις, τί δῆτα εἴπερ τὸ κλέπτειν ἀγαθὸν ἐνόμιζε, πολλὰς πληγὰς ἐπέβαλλε τῷ ἁλισκομένῳ; ὅτι φημὶ ἐγὼ καὶ τἆλλα ὅσα ἄνθρωποι διδάσκουσι, κολάζουσι τὸν μὴ καλῶς ὑπηρετοῦντα. κἀκεῖνοι οὖν τοὺς ἁλισκομένους, ὡς κακῶς κλέπτοντας τιμωροῦνται. καὶ ὡς πλείστους δὴ ἁρπάσαι τυροὺς παρ' Ὀρθίας καλὸν θεὶς μαστιγοῦν τούτους ἄλλοις ἐπέταξεν· τοῦτο δὲ δηλῶσαι καὶ ἐν τούτῳ βουλόμενος, ὅτι ἔστιν ὀλίγον χρόνον ἀλγήσαντα πολὺν χρόνον εὐδοκιμοῦντα

εὐφραί-

εὐφραίνεσθαι. δηλοῦται δὲ ἐν τούτῳ ὅτι ὅπου τάχους δεῖ ὁ βλακεύων, ἐλάχιστα μὲν ὠφελεῖται, πλεῖστα δὲ πράγματα λαμβάνει. ὅπως δὲ μηδ' εἰ ὁ παιδονόμος ἀπέλθοι, ἔρημοί ποτε οἱ παῖδες εἶεν ἄρχοντος, ἐποίησε τὸν ἀεὶ παρόντα τῶν πολιτῶν κύριον εἶναι, καὶ ἐπιτάττειν τοῖς παισὶν, ὅ,τι ἂν ἀγαθὸν δοκοίη εἶναι, καὶ κολάζειν εἴ τι ἁμαρτάνοιεν. τοῦτο δὲ ποιήσας διέπραξε, καὶ αἰδημονεστέρους εἶναι τοὺς παῖδας. οὐδὲν γὰρ οὕτως αἰδοῦνται, οὔτε παῖδες οὔτε ἄνδρες, ὡς τοὺς ἄρχοντας. ὡς δὲ καὶ εἴποτε μηδεὶς τύχοι ἀνὴρ παρὼν, μηδ' ὡς ἔρημοι οἱ παῖδες ἄρχοντος εἶεν, ἔθηκε τῆς ἴλης ἑκάστης, τὸν τορώτατον τῶν εἰρένων ἄρχειν. ὥστε οὐδέποτε ἐκεῖ οἱ παῖδες ἔρημοι ἄρχοντός εἰσι. λεκτέον δέ μοι δοκεῖ εἶναι καὶ περὶ τῶν παιδικῶν ἐρώτων. ἔστι γάρ τι καὶ τοῦτο πρὸς παιδείαν. οἱ μὲν τοίνυν ἄλλοι Ἕλληνες, ἢ ὥσπερ Βοιωτοὶ, ἀνὴρ καὶ παῖς συζυγέντες ὁμιλοῦσιν, ἢ ὥσπερ Ἠλεῖοι διὰ χαρίτων τῇ ὥρᾳ χρῶνται. εἰσὶ δὲ καὶ οἳ παντάπασι τοῦ διαλέγεσθαι τοὺς ἐραστὰς εἴργουσιν ἀπὸ τῶν παίδων. ὁ δὲ Λυκοῦργος ἐναντία καὶ τούτοις πᾶσι γνούς, εἰ μέν τις αὐτὸς ὢν οἷον δεῖ, ἀγασθεὶς ψυχὴν παιδὸς πειρῷτο ἄμεμπτον φίλον ἀποτελέσασθαι, καὶ συνεῖναι, ἐπῄνει, καὶ καλλίστην παιδείαν ταύτην ἐνόμιζεν. εἰ δέ τις παιδὸς σώματος ὀρεγόμενος φανείη, αἴσχιστον τοῦτο θεὶς, ἐποίησεν ἐν Λακεδαίμονι μηδὲν ἧττον ἐραστὰς παιδικῶν ἀπέχεσθαι, ἢ γονεῖς παίδων, ἢ καὶ ἀδελφοὶ ἀδελφῶν εἰς ἀφροδίσια ἀπέχονται. τὸ μέντοι ταῦτα ἀπιστεῖσθαι ὑπό τινων, οὐ θαυμάζω. ἐν πολλαῖς γὰρ τῶν πόλεων οἱ νόμοι οὐκ ἐναντιοῦνται ταῖς πρὸς τοὺς παῖδας ἐπιθυμίαις. ἡ μὲν δὴ παιδεία εἴρηται, ἥ τε Λακωνικὴ καὶ ἡ τῶν ἄλλων Ἑλλήνων. ἐξ ὁποτέρας δ' αὐτῶν καὶ εὐπειθέστεροι καὶ αἰδημονέστεροι, καὶ ὧν δεῖ ἐγκρατέστεροι ἄνδρες ἀποτελοῦνται, ὁ βουλόμενος καὶ ταῦτα ἐπισκοπείσθω. ὅταν γε μὴν ἐκ παίδων εἰς τὸ μειρακιοῦσθαι ἐκβαίνωσι, τηνικαῦτα οἱ μὲν ἄλλοι παύουσι μὲν ἀπὸ παιδαγωγῶν, παύουσι δὲ καὶ ἀπὸ διδασκάλων, ἄρχουσι δὲ οὐδένες ἔτι αὐτῶν, ἀλλ' αὐτονόμους ἀφιᾶσιν. ὁ δὲ Λυκοῦργος καὶ τούτων τἀναντία ἔγνω. καταμαθὼν γὰρ τοῖς τηλικούτοις μέγιστον μὲν φρόνημα ἐμφυόμενον, μάλιστα δὲ ὕβριν ἐπιπολάζουσαν, ἰσχυροτάτας δὲ ἐπιθυμίας τῶν ἡδονῶν παρισταμένας, τηνικαῦτα πλείστους μὲν πόνους αὐτοῖς ἐπέβαλε, πλείστην δὲ ἀσχολίαν ἐμηχανήσατο. ἐπιθεὶς δὲ καὶ εἴ τις ταῦτα φύγοι, μηδενὸς ἔτι τῶν καλῶν τυγχάνειν, ἐποίησε μὴ μόνον τοὺς ἐκ δημοσίου, ἀλλὰ καὶ τοὺς κηδομένους ἑκάστων ἐπιμελεῖσθαι, ὡς μὴ ἀποδειλιάσαντες ἀδόκιμοι παντάπασιν ἐν τῇ πόλει γένοιντο. πρὸς δὲ τούτοις τὸ αἰδεῖσθαι ἰσχυρῶς ἐμφῦσαι βουλόμενος αὐτοῖς, καὶ ἐν ταῖς ὁδοῖς ἐπέταξεν ἐντὸς μὲν τοῦ ἱματίου τὼ χεῖρε ἔχειν, σιγῇ δὲ πορεύεσθαι, περιβλέπειν δὲ μηδαμοῖ, ἀλλ' αὐτὰ τὰ πρὸ τῶν ποδῶν ὁρᾶν. ἔνθα δὴ καὶ δῆλον γεγένηται, ὅτι τὸ ἄρρεν φῦλον καὶ εἰς τὸ σωφρονεῖν ἰσχυρότερόν ἐστι τῆς θηλείας φύσεως. ἐκείνων γοῦν ἧττον μὲν ἂν φωνὴν ἀκούσαις, ἢ τῶν λιθίνων, ἧττον δ' ἂν ὄμματα μεταστρέψαις, ἢ τῶν χαλκῶν, αἰδημονεστέρους δ' ἂν αὐτοὺς ἡγήσαιο καὶ αὐτῶν τῶν ἐν τοῖς θαλάμοις παρθένων. καὶ ἐπειδὰν εἰς τὸ φιλίτιόν γε ἀφίκωνται, ἀγαπητὸν αὐτῶν καὶ τὸ ἐρωτηθὲν ἀκοῦσαι. καὶ τῶν μὲν αὖ παιδισκῶν οὕτως ἐπεμελήθη.

περὶ γε

gaudere. Manifestatur etiam, hac in re mollē et tardū, ubi maturato sit opus minime iuuare, ac plurimas turbas capere. Quod si pædonomus abeat, ne quando pueri sine magistro sint, fecit ut is qui semper adesset ex ciuibus, ius haberet, qui quicquid factu optimum uideretur pueris imperaret, ac si quid delinquerent plecteret: quod quidem faciens illud etiam est assecutus, ut & maiore pueri uerecundia tenerentur. Nihil enim neque pueri, neque uiri ita ut suos magistros uereri solent. Vt autem & ipsi quando neminem uirum adesse contingeret, aliquis ipsis pueris præesset, statuit, qui in singulis alijs grauißimus esset, is maribus imperaret: quare nunquam illic pueri sine magistro sunt. Sed iam mihi de puerorum amoribus dicendum est, nam hoc & ad disciplinam pertinet. Alij quidem Græci, uel sicuti Bœotij uir atque puer commixti coeunt, uel sicuti Elienses gratiarum interuentu formæ specie utuntur: alij uerò sunt qui uel cum pueris colloqui amatores prohibent. Lycurgus autem ab his omnibus dissentiens, si quidem aliquis admiratus ipse, ut decet, pueri animum enitatur irreprehensibilem amicum reddere, & unà esse permisit, & honestißimam hanc disciplinam duxit. Quod si quis pueri corpus appetere uideretur, id turpißimū decernens, statuit, apud Lacedæmonios nihilo usque minus amatores à puerorum congressu abstinere, quàm uel parentes à filijs, uel à fratribus fratres uenereis in rebus abstinent: quæ quidem ne à quibusdam credi haud miror. In multis enim urbibus leges minime aduersantur libidinibus erga pueros. De disciplina igitur pueritiæ tum Laconica, tum aliorum Græcorum diximus. Ex utra uero ipsarum & obedientiores & uerecundiores, & magis denique quibus in rebus opus sit, continentes uiri perficiuntur, poterit quisque secum ipse considerare. Sed postquam è ludo pueritiæ ad pubertatem excesserint, continuo alij quidem tum à pædagogis, tum à doctoribus cessant, ipsisq; nemo præficitur, sed liberi mittuntur. Lycurgus uerò & ab his plurimum dissensit: quippe qui quoniam didicisset adolescentibus maximam animorum elationem ingenitam, procacemq; contumeliam, & uehementißimas uoluptatum cupiditates adesse, tunc plurimis eos laboribus subdidit, uti; semper occupati essent, molitus est. Qui cum etiam addidisset, si quis hæc fugeret, ei nihil rerum honestarum assequi licere, effecit quò non solum publice constituti, sed etiam necessarij singulos curarent, ne metu uacantes reprobi prorsus in ciuitate fierent. Ad hæc uolens quasi naturalem his pudorem uehementer conciliare, imperauit ut in uijs manus intra pallium haberent, silentioq; incederent, ac nusquam circunspicerent, sed humi defixos oculos tenerent. Hic certe patet masculinum sexum & circa pudicitiam acriorem esse natura muliebri. Itaq; illorum uocem minus quàm si lapidei essent, audieris: oculos uero minus quàm si essent ænei conuerteris. Maiore autem eos pudore affici, quàm ipsas in thalamis uirgines existimaris. Ac posteaquam in conuiuiū uenerint, satis profecto fit si uel ad interrogata respondeant. Et circa horum rursus instituta hanc curam adhibuit.

Enimuero de puberibus quammaximam diligentiam habendam uoluit: hosce nanque arbitrabatur, si quales deceret fierent, boni plurimum reipublicæ allaturos. Videns igitur, quibuscunque maxime contentionis studium innatum esset, horum & choros summo studio audiri, & gymnica certamina maxima frequentia celebrari, ratus est adolescentes ad uirtutis certamen accendere hoc pacto, & hosce ad probitatis plurimum peruenire posse. Quo igitur pacto hos rursus ad id inflammarit, ostendam. Eligunt ipsorum Ephori ex florentioribus uiros tres, qui hippagretæ ab equitatu coaggregando appellantur. Horum quilibet uiros centum deligit, declarans cuius gratia alios in honore præfert, alios reprobat. Qui ergo dehonestati sunt, certamen ineunt, & aduersus eos á quibus missi non fuerint, & aduersus illos quos sibi in electione prælatos uident: seq; inuicē obseruant, si quid præter honesti existimationē admiserint. Quare pijssima hæc fit & reip. perutilis contentio, ubi ostenditur & quæ sint bono uiro facienda, et separatim utrinq; diligentiā omnem studiumq; accommodant, ut quam optimi semper sint: atq; si quid oporteat, singulatim reipub. pro uirili parte opitulantur. Cogūtur etiam bonæ ualetudini cōsulere: nam ubicunq; conueniāt, ambitionis gratia cōtendunt pugnis, luctanturq;. Quos quidem ita pugnantes, quisquis ius habēs interfuerit, dirimit: quod si quis illi minus pareat, eū pedonomus ad Ephoros agit. Hi uerò acerrimè illos puniūt, quippe qui uelint constituere, ne unquam quis ira usque adeo superetur, quò minus legibus obtemperet. Cum puberem uerò ætatē superarint, et maximi iam ex his magistratus constent, alij quidem Græci nulla roboris adhibita diligentia, militiæ tamē munus illis imponūt. Lycurgus autem legē tulit, quæ huius ætatis homines uenatione uti, nisi quod publicū officium impedierit, pulcherrimū esse dixit, quò & nihilo minus possent quam ipsi adolescentes militiæ labores tolerare. Quæ igitur cuiq; ætati seruanda studia Lycurgus sanxerit, fere diximus. Cuiusmodi uerò uictum omnibus constituerit, in præsentia dicere aggrediar. Cum Lycurgus Spartiatas domi ueluti & reliquos Græcos conuiuantes accepisset, ac per id animaduertisset plurimos ex his in nequitiam labi, contubernia in publicum eduxit: existimans illos minime hoc pacto transgredi imperata posse: ac cibum statuit ut neq; his nimis, neq; parum foret. Permulta quoq; ab ociosis & absurda patrari solent, ac locupletes interdum ociosi similitudinem reddunt: proinde neq; uacua cibis mensa unquam fit quoad discubuerint, neq; item sumptuosa. At qui remouens á potu non necessarias potiones, quæ & corpora & mentes lædunt, permisit quando quisque sitiret, biberet: arbitratus sic & saluberrimum & iucundissimum potum esse. Enimuero ita conuenientibus, quomodo quis uel edacitate uel ebrietate, aut sese, aut rem domesticam corruperit? Nempe alijs in urbibus ut plurimum æquales inuicem uersantur, proinde et pudore quamminime detinentur: at Lycurgus apud Spartiatas iuuenili ætate seniorum disciplinam peritiamq; admiscuit. Etenim patrium est in conuiuijs dici, quodcunque honeste in urbe quis fecerit: quam

περί γε μὴν τῶν ἡβώντων πολὺ μάλιστα ἐσπούδασε, νομίζων τούτους εἰ γένοιντο οἵους δεῖ, πλεῖστον ῥέπειν ἐπὶ τὸ ἀγαθὸν τῇ πόλει. ὁρῶν οὖν οἷς ἂν μάλιστα φιλονεικία ἐγγένηται, τούτων καὶ χοροὺς ἀξιακροατοτάτους γιγνομένους, καὶ γυμνικοὺς ἀγῶνας ἀξιοθεατοτάτους ἐνόμιζεν, εἰ καὶ τοὺς ἡβῶντας συμβάλλοι εἰς ἔριν περὶ ἀρετῆς, οὕτως ἂν καὶ τούτους ἐπὶ πλεῖστον ἀφικνεῖσθαι ἀνδραγαθίας. ὡς οὖν τούτους αὖ συνέβαλεν, ἐξηγήσομαι. αἱροῦνται τοίνυν αὐτῶν οἱ ἔφοροι ἐκ τῶν ἀκμαζόντων τρεῖς ἄνδρας, οὗτοι δὲ ἱππαγρέται καλοῦνται. τούτων δ᾽ ἕκαστος ἄνδρας ἑκατὸν καταλέγει, διασαφηνίζων ὅτου ἕνεκα τοὺς μὲν προτιμᾷ, τοὺς δὲ ἀποδοκιμάζει. οἱ οὖν μὴ τυγχάνοντες τῶν καλῶν, πολεμοῦσι τοῖς μὲν ἀποστείλασιν αὐτούς, καὶ τοῖς αἱρεθεῖσιν ἀνθ᾽ αὐτῶν, καὶ παραφυλάττουσιν ἀλλήλους, ἐάν τι παρὰ τὰ καλὰ νομιζόμενα ῥᾳδιουργῶσι. καὶ αὕτη δὴ γίγνεται ἡ θεοφιλεστάτη τε καὶ πολιτικωτάτη ἔρις, ἐν ᾗ ἀποδέδεικται μὲν ἃ δεῖ ποιεῖν τὸν ἀγαθόν. χωρὶς δ᾽ ἑκάτεροι ἀσκοῦσιν, ὅπως ἀεὶ κράτιστοι ἔσονται. ἐὰν δέ τι δέῃ, καθ᾽ ἕνα ἀρήξουσι τῇ πόλει παντὶ σθένει. ἀνάγκη δ᾽ αὐτοῖς καὶ εὐεξίας ἐπιμελεῖσθαι. καὶ γὰρ πυκτεύουσι διὰ τὴν ἔριν ὅπου ἂν συμβάλωσι. διαλύειν μέντοι τοὺς μαχομένους πᾶς ὁ παραγιγνόμενος κύριος. ἢν δέ τις ἀπειθῇ τῷ διαλύοντι, ἄγει αὐτὸν ὁ παιδονόμος ἐπὶ τοὺς ἐφόρους. οἱ δὲ ζημιοῦσι μεγαλείως, καθιστάναι βουλόμενοι, εἰς τὸ μήποτε ὀργὴν τοῦ μὴ πείθεσθαι τοῖς νόμοις κρατῆσαι. τοῖς γε μὴν τὴν ἡβητικὴν ἡλικίαν πεπερακόσιν, ἐξ ὧν ἤδη καὶ αἱ μέγισται ἀρχαὶ καθίστανται, οἱ μὲν ἄλλοι Ἕλληνες ἀφελόντες αὐτῶν τὸ ἰσχύος ἔτι ἐπιμελεῖσθαι, στρατεύεσθαι ὅμως αὐτοῖς ἐπιτάττουσιν. ὁ δὲ Λυκοῦργος τοῖς τηλικούτοις νόμιμον ἐποίησε κάλλιστον εἶναι τὸ θηρᾶν, εἰ μή τι δημόσιον κωλύοι, ὅπως δύναιντο καὶ οὗτοι μηδὲν ἧττον τῶν ἡβώντων στρατιωτικοὺς πόνους ὑποφέρειν. ἃ μὲν οὖν ἑκάστῃ ἡλικίᾳ ἐνομοθέτησεν ὁ Λυκοῦργος ἐπιτηδεύματα, σχεδὸν εἴρηται. οἵαν δὲ καὶ πᾶσι δίαιταν κατεσκεύασε, νῦν πειράσομαι διηγεῖσθαι. Λυκοῦργος τοίνυν παραλαβὼν τοὺς Σπαρτιάτας ὥσπερ τοὺς ἄλλους Ἕλληνας οἴκοι σκηνοῦντας, γνοὺς ἐν τούτοις πλείστους ῥᾳδιουργεῖσθαι, εἰς τὸ φανερὸν ἐξήγαγε τὰ συσκήνια, οὕτως ἡγούμενος ἥκιστ᾽ ἂν παραβαίνεσθαι τὰ προσταττόμενα. καὶ σῖτόν γε ἔταξεν αὐτοῖς, ὡς μήτε ὑπερπληροῦσθαι, μήτε ἐνδεεῖς γίγνεσθαι. πολλὰ δὲ καὶ παράλογα γίγνεται ἀπὸ τῶν ἀγρευομένων. οἱ δὲ πλούσιοι ἔστιν ὅτε καὶ ἄρτον ἀντιπαραβάλλουσιν. ὥστε οὔτε ἔρημός ποτε ἡ τράπεζα βρωτῶν γίγνεται, ἕως ἂν διασκηνῶσιν, οὔτε πολυδάπανος. καὶ μὴν τοῦ πότου ἀποπαύσας τὰς οὐκ ἀναγκαίας πόσεις, αἳ σφάλλουσι μὲν σώματα, σφάλλουσι δὲ γνώμας, ἐφῆκεν, ὁπότε διψῴη ἕκαστος πίνειν· οὕτω νομίζων ἀβλαβέστατόν τε καὶ ἥδιστον ποτὸν γίγνεσθαι. οὕτω γε μὴν συσκηνούντων πῶς ἄν τις ἢ ὑπὸ λιχνείας ἢ οἰνοφλυγίας, ἢ αὑτὸν ἢ οἶκον διαφθείρειεν; καὶ γὰρ δὴ ἐν μὲν ταῖς ἄλλαις πόλεσιν, ὡς τὸ πολὺ οἱ ἥλικες ἀλλήλοις σύνεισι, μεθ᾽ ὧνπερ καὶ ἐλάχιστος αἰδὼς παραγίγνεται. ὁ δὲ Λυκοῦργος ἐν τῇ Σπάρτῃ ἀνέμιξε παιδεύεσθαι τὰ πολλὰ τοὺς νεωτέρους ὑπὸ τῆς τῶν γεραιτέρων ἐμπειρίας. καὶ γὰρ δὴ ἐπιχώριον ἐν τοῖς φιλιτίοις λέγεσθαι ὅ, τι ἂν καλῶς τις ἐν τῇ πόλει ποιήσῃ·

ὥστ᾽

ὥστ' ἐκεῖ ἥκιστα μὲν ὕβριν, ἥκιστα δὲ παροινίαν, ἥκιστα δὲ αἰσχρουργίαν καὶ αἰσχρολογίαν ἐγγίγνεσθαι. ἀγαθά γε μὴν ἀπεργάζεται καὶ τάδε ἡ ἔξω σίτησις. περιπατεῖν τε γὰρ ἀναγκάζονται ἐν τῇ οἴκαδε ἀφόδῳ, καὶ μὴν τὸ ὑπὸ οἴνου μὴ σφάλλεσθαι ἐπιμελεῖσθαι, εἰδότες ὅτι οὐκ ἔνθαπερ ἐδείπνουν καταμενοῦσι, καὶ τῇ ὄρφνῃ ὅσα ἡμέρᾳ χρηστέον. οὐδὲ γὰρ ὑπὸ φανοῦ τὸν ἔτι ἔμφρουρον ἔξεστι πορεύεσθαι. καταμαθών γε μὴν ὁ Λυκοῦργος, καὶ ὅτι ἀπὸ τῶν σίτων, οἱ μὲν διαπονούμενοι εὔχροοί τε καὶ εὔσαρκοι καὶ εὔρωστοί εἰσιν· οἱ δ' ἄπονοι πεφυσημένοι τε καὶ αἰσχροὶ καὶ ἀσθενεῖς ἀναφαίνονται, οὐδὲ τούτου ἠμέλησεν. ἀλλ' ἐννοῶν ὅτι καὶ ὅταν αὐτός τι τῇ ἑαυτοῦ γνώμῃ φιλοπονῇ, ἀρκοῦν τὸ σῶμα ἔχων ἀναφαίνεται, ἐπέταξε τὸν ἀεὶ πρεσβύτατον ἐν τῷ γυμνασίῳ ἑκάστῳ ἐπιμελεῖσθαι, ὡς μήποτε αὐτοῖς ἐλάττους τῶν σιτίων γίγνεσθαι. καὶ ἐμοὶ μὲν οὐδ' ἐν τούτῳ σφαλῆναι δοκεῖ. οὐκ ἂν οὖν ῥᾳδίως γέ τις εὕροι Σπαρτιατῶν, οὔτε ὑγιεινοτέρους, οὔτε τοῖς σώμασι χρησιμωτέρους. ὁμοίως γὰρ ἀπὸ τῶν σκελῶν, καὶ ἀπὸ χειρῶν, καὶ ἀπὸ τραχήλου γυμνάζονται. ἐναντία γε μὴν ἔγνω καὶ τάδε τοῖς πλείστοις. ἐν μὲν γὰρ ταῖς ἄλλαις πόλεσι τῶν ἑαυτοῦ ἕκαστος καὶ παίδων καὶ οἰκετῶν καὶ χρημάτων ἄρχουσιν. ὁ δὲ Λυκοῦργος κατασκευάσαι βουλόμενος, ὡς ἂν μηδὲν βλάπτοντες ἀπολαύοιέν τι οἱ πολῖται ἀλλήλων ἀγαθόν, ἐποίησε παίδων ἕκαστον ὁμοίως τῶν ἑαυτοῦ καὶ τῶν ἀλλοτρίων ἄρχειν. ὅταν δέ τις εἰδῇ ὅτι οὗτοι πατέρες εἰσὶ τῶν παίδων ὧν αὐτὸς ἄρχει, ὥσπερ ἂν καὶ τῶν ἑαυτοῦ ἄρχεσθαι βούλοιτο. ἢν δέ τις παῖς ποτε πληγὰς λαβὼν ὑπ' ἄλλου κατείπῃ πρὸς τὸν πατέρα, αἰσχρόν ἐστι μὴ οὐκ ἄλλας πληγὰς ἐμβάλλειν τῷ υἱῷ. οὕτω πιστεύουσιν ἀλλήλους μηδὲν αἰσχρὸν προστάττειν τοῖς παισίν. ἐποίησε δὲ καὶ οἰκέταις εἴ τις δεηθείη χρῆσθαι καὶ τοῖς ἀλλοτρίοις. καὶ κυνῶν δὲ θηρευτικῶν συνῆψε κοινωνίαν. ὥστε οἱ μὲν δεόμενοι παρακαλοῦσιν ἐπὶ θήραν. ὁ δὲ μὴ αὐτὸς σχολάζων, ἡδέως ἐκπέμπει. καὶ ἵπποις δὲ ὡσαύτως χρῶνται. ὁ γὰρ ἀσθενήσας, ἢ δεηθεὶς ὀχήματος, ἢ ταχύ που βουληθεὶς ἀφικέσθαι, ἤν που ἴδῃ ἵππον ὄντα, λαβὼν καὶ χρησάμενος, καλῶς ἀποκαθίστησιν. οὐ μὴν οὐδ' ἐκεῖνό γε παρὰ τοῖς ἄλλοις εἰθισμένον, ἐποίησεν ἐπιτηδεύεσθαι. ὅπου γὰρ ἂν ὑπὸ θήρας ὀψισθέντες δεηθῶσι τῶν ἐπιτηδείων, ἢν μὴ συνεσκευασμένοι τύχωσι, καὶ ἐνταῦθα ἔθηκε τοὺς μὲν πεπαμένους καταλείπειν τὰ πεποιημένα, τοὺς δὲ δεομένους ἀνοίξαντας τὰ σήμαντρα, λαβόντας ὅσων ἂν δέωνται, σημηναμένους καταλιπεῖν. τοιγαροῦν οὕτως μεταδιδόντες ἀλλήλοις καὶ οἱ τὰ μικρὰ ἔχοντες, μετέχουσι πάντων τῶν ἐν τῇ χώρᾳ, ὁπόταν τινὸς δεηθῶσιν. ἐναντία γε μὴν καὶ τάδε τοῖς ἄλλοις Ἕλλησι κατέστησεν ὁ Λυκοῦργος ἐν τῇ Σπάρτῃ νόμιμα. ἐν μὲν γὰρ δήπου ταῖς ἄλλαις πόλεσι πάντες χρηματίζονται ὅσον δύνανται. ὁ μὲν γὰρ γεωργεῖ, ὁ δὲ ναυκληρεῖ, ὁ δ' ἐμπορεύεται, οἱ δὲ καὶ ἀπὸ τεχνῶν τρέφονται. ἐν δὲ τῇ Σπάρτῃ ὁ Λυκοῦργος τοῖς μὲν ἐλευθέροις τῶν ἀμφὶ χρηματισμὸν ἀπεῖπε μηδενὸς ἅπτεσθαι. ὅσα δὲ ἐλευθερίαν ταῖς πόλεσι παρασκευάζει, ταῦτα ἔταξε μόνα ἔργα αὐτῶν νομίζειν. καὶ γὰρ δὴ τί πλοῦτος ἐκεῖ γε σπουδαστέος, ἔνθα ἴσα μὲν φέρειν εἰς τὰ ἐπιτήδεια, ὁμοίως δὲ διαιτᾶσθαι τάξας ἐποίησε, μὴ ἡδυπαθείας

quam ob rem nulla illic contumelia, nullum uinositatis conuicium, nulla turpis actio, nullum denique turpe uerbum interuenit. Atqui ex publica epulatione id quoque perficitur boni: nam & deambulare coguntur cum domum abeunt, & ne uino debilitentur diligenter curare, utpote quos non latet, non ubi cœnarint manendum fore, & nocte non secus ac die uti oportere: neque enim sub lumine eum qui adhuc intra præsidium sit, proficisci licet. Cum autem animaduertisset Lycurgus, ut a cibis hi qui sese laboribus dedunt, & colore insignes, & uegeti robustiq; sunt, ocio uero soluti, tumentes imbecilliq; redduntur, neq; rem hanc neglexit, sed cogitans cum ipse quicquam mente machinatus abunde corpori satisfacit, instituit qui natu maximus esset, is quolibet semper in gymnasio curaret ne cibis immodicis manus darent: atque mihi quidem neque in hoc uidetur errasse. Itaque haud facile quis inueniat neque bona ualetudine, neque corporis uiribus, qui Spartiatis antecellant: æque etenim & cruribus & manibus ceruiceq; exercentur. Secus autem & in hisce Lycurgus sanxit quam ciuitates plurimæ cõsuessent. In alijs nanque urbibus homines suorum quisque & filiorum & seruorum, atque pecuniarum domini sunt. At Lycurgus cum efficere uoluisset, ut ciues inuicem nihil officientes mutuo bono aliquo fruerentur, statuit pueris quenque suis alienisq; iussa imperare. Cum uero quis uideat hos esse patres puerorum quibus ipse imperet, cogitur ita imperare quemadmodum uelit & illos suis. Quod si quis aliquando puer cæsus ab alio, patri deferat, turpissimum factu dicitur, nisi & ipsius filium alijs uerberibus affecerit: adeo se inuicem credunt nihil turpe pueris imperare. Idem statuit & circa seruos tum proprios, tum alienos, si quid his uti opus fuerit. Statuit & uenationis canes communes iungendos. Itaque indigentes ad uenationem uocant: quod si quis ipse minus uacat, libenter canes emittit. Et equis eodem utuntur modo: nam inualidus uehiculiue indigens, aut aliquo propere profecturus, sicubi equum uideat eum capit, usumq; pulchre restituit. Præterea & illud, quod minime apud alios solitum sit, usitatum fecit. Quocunque enim loco a uenatione retardati egeant rebus ad uictum necessarijs, si minus his instructi sint, sanxit ut hic & hi qui cœnarint quæ parata sunt relinquerent: indigentes uero paratas res resignarent, & quotquot indigerent acceptis, rursum obsignata dimitterent. Sic igitur illis inuicem communicantibus, ipsi etiam pauperes participes sunt quæcunque pro loco inueniuntur, quandocunque alicuius indiguerint. Item & hæc legitima Lycurgus Spartæ discrepare a reliquis Græcis uoluit. In alijs enim urbibus omnes rei pecuniariæ pro uiribus intendunt. Nam alius agriculturæ, alius nauigationi, alius mercaturæ studet, alij uero ab artificijs nutriuntur. Lycurgus autem apud Spartiatas liberos scilicet homines uetuit quicquam attingere, quod circa rem pecuniariam uersaretur. Quæcunque autem libertatem ciuitatibus afferunt, hæc sola instituit ipsorum studia ducenda. Etenim quid illic diuitijs indulgendum est, ubi pariter ad res necessarias feruntur? Identidem etiam ex hac uictus institutione fecit, ne uoluptatis

gratia pecunias desideraret. Quinetiã ne uestiũ quidem gratia quæstui incumbendũ est: nõ. n. uestis sumptu ac magnificẽtia, sed bona corporis habitudine exornãtur. Neq; eò pecuniæ cõgregandæ sunt, quò sumptus in cõtubernia præberi queat, propterea quod illustrius indicauit corporis laborib. quàm ipsis sumptib. homines familiaribus hominib. prodesse, quippe qui demõstraret aliud animi, aliud uerò diuitiarũ opus esse. Ueruntamen per iniuriã locupletari in talib. etiã prohibuit. Enimuero primũ huiusmodi nummũ cõstituit, qui decẽ minarũ solum, ubi in domũ peruenerit, nunquã neq; heros, neq; seruos lateat: nam & loco magno, & curru ad agendũ opus sit. Nẽpe & aurũ & argentũ diligẽter inquiritur: quod sicubi appareat, possessor mulctatur. Quid ergo pecuniis cõparandis eo loci quis studeat, ubi illarum comparatio plus ægritudinis, quàm usus uoluptatis præstat? Sede iam maiorẽ in modum apud Spartiatas, tum magistratibus, tum legib. cunctos obedire omnes scimus. Ego quidẽ neq; attentasse Lycurgũ puto bonũ hunc reipub. statum, priusquam eos qui optimates in urbe essent, inter sese conciliasset. Hæc autem assequor coniectura, quod in alijs urbibus potentiores neq; uolunt uideri quidem magistratus ipsos pertimescere, quan illiberale id esse ducũt: principes uerò & parẽt Spartæ, maxime in magistratibus: & humiles esse, currendoq; potius quàm incedendo cum uocentur obedire, gloriosum censent hi quidem, facile futurum existimantes ut & alij sequãtur, si quidem ipsi uehementer obtemperando principes fuerint: quod certè & factũ est. Consentaneũ uero est hos etiã ipsos Ephororũ potestatẽ constituisse, quoniã intelligerẽt obedire maximũ esse bonũ, tum in repub. tum etiã & militiæ & domi: quò enim maiores uiros magistratus haberet, eò magis arbitratus est ciues ad obediendũ perterrendos. Itaq; Ephori quẽcunq; uelint mulctare queũt: possunt extẽplo trãsigere, possunt in magistratu cõstitutos intra tẽpus & abrogare, et in carcerẽ cõijcere, ac de uita certamen cõstituere. Tantã uero habẽtes potestatẽ, haudquaquã aliarũ ciuitatũ exẽplo sinũt delectos ad magistratũ semper utcunq; uoluerint dominari: quin potius quemadmodũ tyranni, et qui gymnicis certaminib. præsunt, quem senserint præter leges aliquid perpetrantẽ, perq̃ properè puniũt. Sed cum & alia permulta sint pulchra Lycurgi inuenta, quibus ciues legib. obtẽperent, tum & hoc in primis pulcherrimum esse puto, quod non ante multitudini leges edidit, quàm cum principibus Delphos petens deum rogasset, an esset futurum cõducibilius & melius Spartæ, ubi legibus quas ipse tulerit obediret. Qui cum oraculum suscepisset, id prorsus melius fore, tunc edebat, non modo iniquum, uerum & impium statuens, si quis legibus Pythio roboratis oraculo minus paruisset. Dignum est præterea & hac in re Lycurgum admiremur, qui apud Lacedæmonios id effecerit, ut honestam mortem turpi uitæ anteponerent. Etenim si quis secum ipse consuleret, inueniat horum longe pauciores, his qui ex hac luce migrare metu elegerunt. Et profecto si uerum dicendum sit, consentaneum est uirtute in longiorem ætatem quàm uitio perueniri: ea nanq; & facilior est & iucundior & expeditior & fortior. Patet autem gloriam maxime sequi uirtutem ipsam: etenim omnes quodam/

ἕνεκα χρημάτων ὀρέγεσθαι, ἀλλὰ μὴν οὐδ' ἱματίων γε ἕνεκα χρηματιστέον. οὐ γὰρ ἐσθῆτος πολυτελείᾳ, ἀλλὰ σώματος εὐεξίᾳ κοσμοῦνται. οὐδὲ μὴν τοῦ γε εἰς τοὺς συσκήνους ἕνεκα ἔχειν δαπανᾶν χρήματα ἀθροιστέον. ἐπεὶ τῷ σώματι πονοῦντα ὠφελεῖν τοὺς συνόντας εὐδοξότερον ἐποίησεν, ἢ τὸ δαπανῶντας, ἐπιδείξας, τὸ μὲν ψυχῆς, τὸ δὲ πλούτου ἔργον. τό γε μὴν ἐξ ἀδίκων χρηματίζεσθαι, καὶ ἐν τοῖς τοιούτοις διεκώλυσε. πρῶτον μὲν γὰρ νόμισμα τοιοῦτον κατεστήσατο, ὃ δέκα μνῶν μόνον ἂν εἰς οἰκίαν εἰσελθὸν, οὔποτε δεσπότας, οὔτε οἰκέτας λάθοι. καὶ γὰρ χώρας μεγάλης καὶ ἁμάξης ἀνάγκης δέοιτ' ἄν. χρυσίον γε μὴν καὶ ἀργύριον ἐρευνᾶται. καὶ ἄν τί που φανῇ, ὁ ἔχων ζημιοῦται. τί οὖν ἂν ἐκεῖ χρηματισμὸς σπουδάζοιτο, ἔνθα ἡ κτῆσις πλείους λύπας ἢ ἡ χρῆσις εὐφροσύνας παρέχει. ἀλλὰ γὰρ ὅτι μὲν ἐν Σπάρτῃ μάλιστα πείθονται ταῖς ἀρχαῖς τε καὶ τοῖς νόμοις, ἴσμεν ἅπαντες. ἐγὼ μέντοι οὐδ' ἐγχειρῆσαι οἶμαι πρότερον τὸν Λυκοῦργον ταύτην τὴν εὐεξίαν καθιστάναι, πρὶν ὁμογνώμονας ἐποιήσατο τοὺς κρατίστους τῶν ἐν τῇ πόλει. τεκμαίρομαι δὲ ταῦτα. ὅτι ἐν μὲν ταῖς ἄλλαις πόλεσιν οἱ δυνατώτεροι οὔτε βούλονται δοκεῖν τὰς ἀρχὰς φοβεῖσθαι, ἀλλὰ νομίζουσι τοῦτο ἀνελεύθερον εἶναι. ἐν δὲ τῇ Σπάρτῃ οἱ κράτιστοι, καὶ ὑπέρχονται μάλιστα τὰς ἀρχὰς, καὶ τῷ ταπεινοὶ εἶναι μεγαλύνονται. καὶ τὸ, ὅταν καλῶνται, τρέχοντες, ἀλλὰ μὴ βαδίζοντες ὑπακούειν. νομίζοντες ἢν αὐτοὶ κατάρχωσι τοῦ σφόδρα πείθεσθαι, ἕψεσθαι καὶ τοὺς ἄλλους. ὅπερ καὶ γεγένηται. εἰκὸς δὲ καὶ τὴν τῆς ἐφορείας δύναμιν τοὺς αὐτοὺς τούτους συγκατασκευάσαι. ἐπείπερ ἔγνωσαν τὸ πείθεσθαι μέγιστον ἀγαθὸν εἶναι, καὶ ἐν πόλει καὶ ἐν στρατιᾷ καὶ ἐν οἴκῳ. ὅσῳ γὰρ μείζω δύναμιν ἔχει ἡ ἀρχὴ, τοσούτῳ μᾶλλον ἡγήσαντο αὐτὴν καὶ καταπλήξειν τοὺς πολίτας τοῦ ὑπακούειν. ἔφοροι οὖν ἱκανοὶ μέν εἰσι ζημιοῦν ὃν ἂν βούλωνται. κύριοι δ' ἐκπράττειν παραχρῆμα. κύριοι δὲ καὶ ἄρχοντας μεταξὺ, καὶ καταπαῦσαι καὶ εἷρξαί γε, καὶ περὶ τῆς ψυχῆς εἰς ἀγῶνα καταστῆσαι. τοσαύτην δὲ ἔχοντες δύναμιν, οὐχ ὥσπερ αἱ ἄλλαι πόλεις ἐῶσι τοὺς αἱρεθέντας ἀεὶ ἄρχειν τὸ ἔτος, ὅπως ἂν βούλωνται, ἀλλ' ὥσπερ οἱ τύραννοι καὶ οἱ ἐν τοῖς γυμνικοῖς ἀγῶσιν ἐπιστάται, ἤν τινα αἰσθάνωνται παρανομοῦντά τι, εὐθὺς παραχρῆμα κολάζουσι. πολλῶν δὲ καὶ ἄλλων ὄντων μηχανημάτων καλῶν τῷ Λυκούργῳ εἰς τὸ πείθεσθαι τοῖς νόμοις ἐθέλειν τοὺς πολίτας, ἐν τοῖς καλλίστοις καὶ τοῦτό μοι δοκεῖ εἶναι, ὅτι οὐ πρότερον ἀπέδωκε τῷ πλήθει τοὺς νόμους, πρὶν ἐλθὼν σὺν τοῖς κρατίστοις εἰς Δελφοὺς ἐπήρετο τὸν θεὸν, εἰ λῷον καὶ ἄμεινον εἴη τῇ Σπάρτῃ πειθομένῃ, οἷς αὐτὸς ἔθηκε νόμοις. ἐπεὶ δὲ ἀνεῖλε τῷ παντὶ ἄμεινον εἶναι, τότε ἀπέδωκεν, οὐ μόνον ἄνομον, ἀλλὰ καὶ ἀνόσιον θεὶς, τὸ πυθοχρήστοις νόμοις μὴ πείθεσθαι. ἄξιον δὲ τοῦ Λυκούργου καὶ τόδε ἀγασθῆναι, τὸ κατεργάσασθαι ἐν τῇ πόλει αἱρετώτερον εἶναι καλὸν θάνατον, ἀντὶ τοῦ αἰσχροῦ βίου. καὶ γὰρ δὴ [illegible]σκοπῶν τις ἂν εὕροι μείους ἀποθνήσκοντας τούτων [illegible] ἐκ τοῦ φοβεροῦ ἀποχωρεῖν αἱρουμένων. ὡς ἀληθὲς εἰ[illegible] καὶ ἕπεται τῇ ἀρετῇ σώζεσθαι εἰς τὸν πλείω χρόνο[illegible]λλον ἢ τῇ κακίᾳ. καὶ γὰρ ῥάων καὶ ἡδίων, καὶ εὐ[illegible]τέρα καὶ ἰσχυροτέρα. δῆλον δὲ ὅτι καὶ εὔκλεια μά[illegible] ἕπεται τῇ ἀρετῇ. καὶ γὰρ συμμαχεῖν πως

πῶς παρὰ τοῖς ἀγαθοῖς βούλονται. ἡ μέντοι ὥστε ταῦ-
τα γίγνεσθαι ἐμηχανήσατο, καὶ τοῦτο καλὸν μὴ παραλι-
πεῖν. ἐκεῖνος τοίνυν σαφῶς παρεσκεύασε τοῖς μὲν ἀ-
γαθοῖς εὐδαιμονίαν, τοῖς δὲ κακοῖς κακοδαιμονίαν.
ἐν μὲν γὰρ ταῖς ἄλλαις πόλεσιν, ὁπόταν τις κακὸς γέ-
νηται, ἐπίκλησιν μόνον ἔχει κακὸς εἶναι. ἀγοράζει δὲ ἐν
τῷ αὐτῷ ὁ κακὸς τῷ ἀγαθῷ, καὶ κάθηται καὶ γυμνάζε-
ται ἐὰν βούληται. ἐν δὲ τῇ Λακεδαίμονι πᾶς μὲν ἄν τις
αἰσχυνθείη τὸν κακὸν σύσκηνον παραλαβεῖν, πᾶς δ'
ἂν ἐν παλαίσματι συγγυμναστήν. πολλάκις δὲ ὁ τοιοῦ-
τος καὶ διαιρουμένων τοὺς ἀντισφαιρίζοντας, ἀχώριστος
περιγίγνεται. καὶ ἐν χοροῖς δ' εἰς τὰς ἐπονειδίστους χώ-
ρας ἀπελαύνεται. καὶ μὴν ἐν ὁδοῖς παραχωρητέον αὐτῷ
καὶ ἐν θάκοις, καὶ ἐν τοῖς νεωτέροις ὑπαναστατέον. καὶ τὰς
μὲν προσηκούσας κόρας, οἴκοι θρεπτέον, καὶ ταύταις τῆς
ἀνανδρείας αἰτίαν ὑφεκτέον. γυναικὸς δὲ κενὴν ἑστίαν οὐ
περιοπτέον, καὶ ἅμα τούτου ζημίαν ἀποτειστέον. λιπαρὸν δὲ
οὐ πλανητέον, οὐδὲ μιμητέον τοὺς ἀνεγκλήτους, ἢ πλη-
γὰς ὑπὸ τῶν ἀμεινόνων ληπτέον. ἐγὼ μὲν δὴ τοιαύτης
τοῖς κακοῖς ἀτιμίας ἐπικειμένης, οὐδὲν θαυμάζω τὸ προ-
αιρεῖσθαι ἐκεῖ θάνατον ἀντὶ τοῦ οὕτως ἀτίμου τε καὶ ἐπονει-
δίστου βίου. καλῶς δέ μοι δοκεῖ ὁ Λυκοῦργος νομοθε-
τῆσαι, καὶ ᾗ μέχρι γήρως ἀσκοῖτ' ἂν ἀρετή. ἐπὶ γὰρ τῷ
τέρματι τοῦ βίου, τὴν κρίσιν τῆς γεροντίας προσθεὶς ἐ-
ποίησε, μηδὲ ἐν τῷ γήρᾳ ἀμελεῖσθαι τὴν καλοκἀγα-
θίαν. ἀξιάγαστον δ' αὐτοῦ καὶ τὸ ἐπικουρῆσαι τῷ τῶν
ἀγαθῶν γήρᾳ. θεὶς γὰρ τοὺς γέροντας κυρίους τοῦ περὶ τῆς
ψυχῆς ἀγῶνος, διέπραξεν ἐντιμότερον εἶναι τὸ γῆρας, τῆς
τῶν ἀκμαζόντων ῥώμης. εἰκότως δέ τοι καὶ σπουδάζε-
ται οὗτος ὁ ἀγὼν μάλιστα τῶν ἀνθρώπων. καλοὶ μὲν
γὰρ καὶ οἱ γυμνικοί· ἀλλ' οὗτοι μὲν σωμάτων εἰσίν. ὁ δὲ περὶ
τῆς γεροντίας ἀγών, ψυχῶν ἀγαθῶν κρίσιν παρέχει. ὅ-
σῳ οὖν κρείττων ψυχὴ σώματος, τοσούτῳ καὶ οἱ ἀγῶ-
νες οἱ τῶν ψυχῶν ἢ οἱ τῶν σωμάτων ἀξιοσπουδαστότε-
ροι. τόδε γε μὴν τοῦ Λυκούργου πῶς οὐ μεγάλως ἄξιον
ἀγασθῆναι; ὃς ἐπειδὴ κατέμαθεν ὅτι ὅπου οἱ βουλόμενοι
ἐπιμελοῦνται τῆς ἀρετῆς, οὐχ ἱκανοί εἰσι τὰς πατρίδας αὔ-
ξειν, ἐκεῖνος ἐν τῇ Σπάρτῃ ἠνάγκασε δημοσίᾳ πάν-
τας, πάσας ἀσκεῖν τὰς ἀρετάς. ὥσπερ οὖν ἰδιῶται τῶν
ἰδιωτῶν διαφέρουσιν ἀρετῇ οἱ ἀσκοῦντες τῶν ἀμελούντων,
οὕτω καὶ ἡ Σπάρτη εἰκότως πασῶν τῶν πόλεων ἀρετῇ δια-
φέρει, μόνη δημοσίᾳ ἐπιτηδεύουσα τὴν καλοκἀγαθίαν.
οὐ γὰρ κἀκεῖνο καλόν, τὸ τῶν ἄλλων πόλεων κολαζουσῶν,
ἤν τις τι ἕτερος ἕτερον ἀδικῇ, ἐκεῖνον ζημίας μὴ ἐλάτ-
τους ἐπιθεῖναι εἴ τις φανερὸς εἴη ἀμελῶν τοῦ ὡς βέλτιστος
εἶναι. ἐνόμιζε γάρ, ὡς ἔοικεν, ὑπὸ μὲν τῶν ἀνδραποδιζομέ-
νων τινάς, ἢ ἀποστερούντων τι, ἢ κλεπτόντων, τοὺς βλαπτο-
μένους μόνον ἀδικεῖσθαι. ὑπὸ δὲ τῶν κακῶν καὶ ἀνάν-
δρων, ὅλας τὰς πόλεις προδίδοσθαι. ὥστε εἰκότως ἔμοι-
γε δοκεῖ τούτοις μεγίστας ζημίας ἐπιθεῖναι. ἐπέθηκε δὲ
καὶ τὴν ἀνυπόστατον ἀνάγκην ἀσκεῖν ἅπασαν πολι-
τικὴν ἀρετήν. τοῖς μὲν γὰρ τὰ νόμιμα ἐκτελοῦσιν ὁ-
μοίως ἅπασι τὴν πόλιν οἰκείαν ἐποίησε. καὶ οὐδὲν ὑ-
πελογίσατο, οὔτε σωμάτων, οὔτε χρημάτων ἀσθένειαν.
εἰ δέ τις ἀποδειλιάσειε τοῦ τὰ νόμιμα διαπονεῖσθαι, τοῦτον
ἐκεῖ ἀπέδειξε, μηδὲ νομίζεσθαι ἔτι τῶν ὁμοίων εἶναι.
ἀλλὰ

quodammodo bonis auxilio esse uolunt. Quo igitur
pacto ut haec fierent molitus sit, & hoc nō omittamus
oportet. Ille igitur plane praestituit, ut & boni feliciter
& mali misere degerent. In alijs enim urbi us cū ali-
quis malus fiat, mali tantum cognom nū accipit: uer-
satur autem eodē in foro malus, ubi & bonus, & se-
det & ludit si uelit: sed apud Lacedaemonios quisq;
erubesceret uitiosum hominē in contuberniū secū, aut
in palaestra concertatorē admittere. Saepe etiā malus,
diuisis qui pilae ludum cōtra inter se ludūt, in neutram
partem accipitur, atq; in choreis quoq; in abiectiores
locos reijcitur, atq; uijs cunctis sibi cedendum est, et
in consessibus, ac inter iuniores quoq; assurgendum.
Propinquas autem uirgines domi nutrire cōuenit, &
his est causa fortitudinis subducendū. Vxoris autem
uacuū larem despicere fas non est: & hu us rei mulcta
simul subeunda. neq; precibus flectere, neq; insontes
imitari licet: aut si secus fecerit, uerbera suscipere à
praestantioribus oportet. Ego igitur cum huiusmodi i-
gnominiam propositam malis intueor, ne miror qui-
dem male illic homines mori, quàm tanta cum igno-
minia ac probro uiuere. Perpulchrè & in hac re Ly-
curgus mihi legibus sanxisse uisus est, qui ad ipsam
usq; senectutem uirtutem excolendam uoluerit. Nam
cum in uitae meta senectutis iudicium apposuisset, sta-
tuit ne in senio quidem honestatem ac probitatem ne-
gligendā esse. Est & illud tum laude, tum admiratio-
ne dignum, quod & bonorum uirorum senio prospe-
xerit. Cum enim instituisset uitae certamē penes senes
esse, perfecit senectam pluris habendam esse quàm iu-
uentutis robur. Et recte quidem ex omnibus humanis
rebus huic certamini studetur: nam etsi gymnica cer-
tamina pulchra sunt, ea tamen corporū certè sunt: se-
nectutis uerò certamen, animorū iudicium bonorum
praebet. Sed quantum corpori praestat animus, tantum
etiam animorum certamina corporum certaminibus
antecellunt. Atqui & hoc Lycurgi institutū quì non
maximopere admiremur? qui posteaquam didicisset
eos qui lentius studere uirtuti uellent: patrias amplifi-
care non posse, coēgit Spartae omnes uirtutes exer-
cendas publice. Quemadmodum igitur priuati homi-
nes priuatis praestant uirtute, & studiosi negligenti-
bus: ita & Sparta, quae sola publice honestatem pro-
bitatemq; exercet, uirtute cunctis plane urbibus prae-
cellit. Etenim nónne & illud pulchrum, quod alijs ci-
uitatibus in eos duntaxat animaduertentibus, si quis
alter iniuriam alteri intulisset, Lycurgus eum non mi-
nus plectendum uoluit, si quis manifesto neglexerit
quo optimus fiat? Existimabat enim, ut uidetur, ab his
qui aliquos captiuos effecissent, aut quicquam abstu-
lissent, aut furto surripuissent, in eos qui laederentur
solum perpetrari iniuriam, à uitiosis uerò ignauisq;
hominibus respublicas prodi. Itaq; recte uidetur mihi
maximas hisce poenas statuisse. Addidit praeterea into-
lerabilem quandam necessitatem ad omnem ciuilem
uitam excolendam. Nam his qui legitima exoluerent,
ex aequali omnibus rempublicā esse uoluit: nihilq; exi-
stimauit, neq; corporum, neq; rerum imbecillitatem.
Quod si quis ignauū sese circa legitima praestitisset,
hunc decreuit ne in ciuibus quidem habendum esse.

Nam

Nam quod hæ leges uetustißimæ sunt, perspicuũ est. Lycurgus enim Heraclidarum temporibus fuisse traditur, quæ cum ita uetustæ sint, hac etiam tempestate alijs sunt admodum nouæ. Etenim quod unum omnium maxime admirandum, huiusmodi studia omnes laudant, imitari autem nulla ciuitas uult. Atque hæc quidem communia bona sunt & pacis & belli. At si quis discere uelit, & circa rem militarem Lycurgum melius quàm reliquos prospexisse, ex his audire licet. Primum igitur Ephori pronunciant, quibus annis educendæ copiæ sint & equitibus & grauioris armaturæ: & peditibus primùm, deinde & opificibus. Quare quotquot rebus in urbe utuntur homines, his omnibus & militiæ Lacedæmonij affluunt. Eodem modo & instrumenta quibus exercitus uulgò egue/rit, ea omnia partim curru, partim iumentis præbenda imperauit: sic enim minus quod defuerit, latère id quenque poßit. In armorum autem certamen talia quædam molitus est. Voluit enim stolam puniceam haberent, & clypeum æreum. Hanc quidem stolam arbitratus minime communem cum fœminis, esse quambellacißimam: nam & celerius ea expurgatur, & serius maculatur. Permisit autem eos qui pubertatis annos transcendißent, nutrire comam: ratus hoc pacto & maiores illos, & liberaliores, feliciores'q; uideri. Quibus ita instructis, distribuit equites ac pedites in tribus sex. Quælibet autem ex urbanis tribubus habet unum tribunum militum, & manipulorum præfectos quatuor, quinquagenarios octo, duces turmarum sexdecim. Ex his uero tribubus per denunciationem constituuntur tum in turmas tres, interdum autem in sex. Quod autem plures putant ordinem Laconicum esse in armis perquam implicitum, longe secus quàm res se habeat opinantur. Sunt enim in ordine Laconico præpositi principes, & singuli ordines quæcunq; præbenda sunt omnia continent. Hanc autem institutionem ita est perdiscere facilè, ut nemo qui homines queat cognoscere unquam errarit. Alijs enim datur ut ducant, alijs ut sequantur demandatur. Atqui mouendæ phalangis modus tanquã ex præcone ab turmæ duce uerbo manifestatur. Phalanges uerò & raræ & latiores fiunt, quarum neq; quiduis discere difficile fit. Quod itidem tametsi perturbentur, eandem hæ aciem cum obuio hoste præliantur, difficile quis intelligat præter eos qui Lycurgi legibus instructi fuerint. Faciliã Lacedæmonijs & illa factu sunt, quæ armis pugnantes per difficilia ducunt. Cum enim in cornu incedunt, turma in postremis sequitur: quod si hoc ordine hostium phalanx ex aduerso appareat, turmario duci denunciatur, ad frontem sese in clypeum ad læuam locet: itaq; semper se habeat quandiu aduersa phalanx ita steterit. Et si quidem interea loci terga hostes inuaserint, uertuntur singuli ordines, quo fortiores semper hostibus opponantur. Cum princeps autem ad læuam fiat: neq; hoc modo deteriores sibi partes datas existimant, quin potiores interdum: si qui etenim circuire tentarint, non nudas quidem, sed armatas partes circundabant. Quod si alicuius rei gratia uideatur conducere ut imperator dextrum cornu teneat, uerso in cornu agmine

ἀλλὰ γὰρ ὅτι μὲν παλαιότατοι οὗτοι οἱ νόμοι εἰσί, σαφές· ὁ γὰρ Λυκοῦργος κατὰ τοὺς Ἡρακλείδας λέγεται γενέσθαι. οὕτω δὲ παλαιοὶ ὄντες, ἔτι καὶ νῦν τοῖς ἄλλοις καινότατοί εἰσι. καὶ γὰρ τὸ πάντων θαυμαστότατον, ἐπαινοῦσι μὲν πάντες τὰ τοιαῦτα ἐπιτηδεύματα, μιμεῖσθαι δὲ αὐτὰ οὐδεμία πόλις ἐθέλει. καὶ ταῦτα μὲν δὴ κοινὰ ἀγαθὰ καὶ ἐν εἰρήνῃ καὶ ἐν πολέμῳ. εἰ δέ τις βούλεται καταμαθεῖν, ὅτι καὶ εἰς τὰς στρατιὰς βέλτιον τῶν ἄλλων ἐμηχανήσατο, ἔξεστι καὶ τούτων ἀκούειν. πρῶτον μὲν τοίνυν οἱ ἔφοροι προκηρύττουσι τὰ ἔτη εἰς ἃ δεῖ στρατεύεσθαι, καὶ ἱππεῦσι καὶ ὁπλίταις, ἔπειτα δὲ καὶ τοῖς χειροτέχναις, ὥστε ὅσοισπερ ἐπὶ πόλεως χρῶνται ἄνθρωποι, πάντων τούτων καὶ ἐπὶ στρατιᾶς οἱ Λακεδαιμόνιοι εὐποροῦσι. καὶ ὅσα δὲ ὀργάνων ἡ στρατιὰ κοινῇ δεηθείη ἂν ἁπάντων, τὰ μὲν ἁμάξῃ προστέτακται παρέχειν, τὰ δὲ ὑποζυγίῳ. οὕτω γὰρ ἥκιστ᾽ ἂν τὸ ἐκλεῖπον διαλάθοι. εἴς γε μὴν τὸν ἐν τοῖς ὅπλοις ἀγῶνα τοιάδ᾽ ἐμηχανήσατο. στολὴν μὲν ἔχειν φοινικίδα, καὶ χαλκῆν ἀσπίδα. ταύτην νομίζων ἥκιστα μὲν γυναικείᾳ κοινωνεῖν, πολεμικωτάτην δ᾽ εἶναι. καὶ γὰρ τάχιστα λαμπρύνεται, καὶ σχολαιότατα ῥυπαίνεται. ἐφῆκε δὲ καὶ κομᾶν τοῖς ὑπὲρ τὴν ἡβητικὴν ἡλικίαν, νομίζων οὕτω καὶ μείζους ἂν καὶ ἐλευθεριωτέρους καὶ γοργοτέρους φαίνεσθαι. οὕτω γε μὴν διεῖλεν ἓξ καὶ ἱππέων καὶ ὁπλιτῶν. ἑκάστη δὲ τῶν πολιτικῶν ἔχει μορῶν, πολέμαρχον ἕνα, λοχαγοὺς τέσσαρας, πεντηκοστῆρας ὀκτώ, ἐνωμοτάρχους ἑκκαίδεκα. ἐκ δὲ τούτων μορῶν διὰ παρεγγυήσεως καθίστανται τότε μὲν εἰς ἐνωμοτίας, τότε δὲ εἰς τρεῖς, τότε δὲ εἰς ἕξ. ὃ δὲ οἱ πλεῖστοι οἴονται πολυπλοκωτάτην εἶναι τὴν ἐν ὅπλοις Λακωνικὴν τάξιν, τὸ ἐναντιώτατον ὑπέλαβον τοῦ ὄντος. εἰσὶ μὲν γὰρ ἐν τῇ Λακωνικῇ τάξει, οἱ πρωτοστάται ἄρχοντες, καὶ ὁ στίχος ἕκαστος πάντ᾽ ἔχων, ὅσα δεῖ παρέχεσθαι. οὕτω δὲ ῥᾴδιον ταύτην τὴν τάξιν μαθεῖν, ὡς ὅστις τοὺς ἀνθρώπους δύναται γιγνώσκειν, οὐδεὶς ἂν ἁμάρτοι. τοῖς μὲν γὰρ ἡγεῖσθαι δίδοται, τοῖς δὲ ἕπεσθαι τέτακται. αἱ δὲ παραγωγαί, ὥσπερ ὑπὸ κήρυκος ὑπὸ τοῦ ἐνωμοτάρχου λόγῳ δηλοῦνται, ἀραιαί τε καὶ βαθύτεραι αἱ φάλαγγες γίγνονται. ὧν δ᾽ οὐδ᾽ ὅπως τι οὖν χαλεπὸν μαθεῖν. τὸ μέντοι κἂν ταραχθῶσι μετὰ τοῦ παρατυχόντος ὁμοίως μάχεσθαι, ταύτην τὴν τάξιν, οὐκ ἔτι ῥᾴδιόν ἐστι μαθεῖν, πλὴν τοῖς ὑπὸ τῶν τοῦ Λυκούργου νόμων πεπαιδευμένοις. εὐπορώτατα δὲ καὶ ἐκεῖνα Λακεδαιμόνιοι ποιοῦσι, τὰ τοῖς ὁπλομάχοις πάνυ δοκοῦντα χαλεπὰ εἶναι. ὅταν μὲν γὰρ ἐπὶ κέρως πορεύωνται, κατ᾽ οὐρὰν δήπου ἐνωμοτία ἕπεται. ἐὰν δ᾽ ἐν τῷ τοιούτῳ ἐκ τοῦ ἐναντίου πολεμία φάλαγξ ἐπιφανῇ, τῷ ἐνωμοτάρχῳ παρεγγυᾶται εἰς μέτωπον παρ᾽ ἀσπίδα καθίστασθαι, καὶ διὰ παντὸς οὕτως ἔστ᾽ ἂν ἡ φάλαγξ ἐναντία καταστῇ. ἢν γε μὴν οὕτως ἐχόντων ἐκ τοῦ ὄπισθεν οἱ πολέμιοι ἐπιφανῶσιν, ἐξελίττεται ἕκαστος ὁ στίχος, ἵνα οἱ κράτιστοι ἐναντίοι ἀεὶ τοῖς πολεμίοις ὦσιν. ὅτι δὲ ἄρχων εὐώνυμος γίγνεται, οὐδ᾽ ἐν τούτῳ μειονεκτεῖν ἡγοῦνται, ἀλλ᾽ ἔστιν ὅτε καὶ πλεονεκτεῖν. εἰ γάρ τινες κυκλοῦσθαι ἐγχειροῖεν, οὐκ ἂν κατὰ γυμνά, ἀλλὰ κατὰ τὰ ὡπλισμένα περιβάλλοιεν ἄν. ἢν δέ ποτε ἕνεκά τινος δοκῇ συμφέρειν τὸν ἡγεμόνα δεξιὸν κέρας ἔχειν, στρέψαντες τὸ ἄγημα ἐπὶ κέρας, ἐξε-

ἐξελίσσουσι τὴν φάλαγγα, ἔστ' ἂν ὁ μὲν ἡγεμὼν δεξιὸς ᾖ, ὁ δὲ οὐραγὸς εὐώνυμος γένηται. ἢν δ' αὖ ἐκ τῶν δεξιῶν πολεμίων τάξις ἐπιφαίνηται ἐπὶ κέρως πορευομένων, οὐδὲν ἄλλο πραγματεύονται, ἢ τὸν λόχον ἕκαστον ὥσπερ τριήρη ἀντίπρῳρον τοῖς ἐναντίοις στρέφουσι. καὶ οὕτως αὖ γίγνεται ὁ κατ' οὐρὰν λόχος παρὰ δόρυ. ἢν γε μὴν κατὰ τὰ εὐώνυμα πολέμιοι προσίωσιν, οὐδὲ τοῦτ' ἐῶσιν, ἀλλ' ἀπωθοῦσιν, ἢ ἐναντίους ἀντιπάλους τοὺς λόχους στρέφουσι· καὶ οὕτως αὖ ὁ κατ' οὐρὰν λόχος παρ' ἀσπίδα καθίσταται. ἐρῶ δὲ καὶ ᾗ στρατοπεδεύεσθαι ἐνόμισε χρῆναι Λυκοῦργος. διὰ μὲν γὰρ τὸ τὰς γωνίας τοῦ τετραγώνου ἀχρήστους εἶναι, εἰς κύκλον ἐστρατοπεδεύσατο, εἰ μὴ ὄρος ἀσφαλὲς εἴη, ἢ τεῖχος, ἢ ποταμὸν ὄπισθεν ἔχοιεν. φυλακάς γε μὴν ἐποίησε μεθημερινάς. τὰς μὲν παρὰ τὰ ὅπλα εἴσω βλεπούσας. οὐ γὰρ πολεμίων ἕνεκα, ἀλλὰ φίλων αὗται καθίστανται. τούς γε μὴν πολεμίους, ἱππεῖς φυλάττουσι ἀπὸ χωρίων ὧν ἂν ἐκ πλείστου προορῷεν. εἰ δέ τις πρόσθεν νύκτωρ ἔξω τῆς φάλαγγος, ἐνόμισεν ὑπὸ Σκιριτῶν προφυλάττεσθαι. νῦν δ' ἤδη καὶ ὑπὸ ξένων αὐτῶν τινων συμπαρόντων. τὸ δὲ ἔχοντας τὰ δόρατα ἀεὶ περιιέναι, εὖ καὶ τοῦτο δεῖ εἰδέναι, ὅτι τοῦ αὐτοῦ ἕνεκά ἐστιν, οὗπερ καὶ τοὺς δούλους εἴργουσιν ἀπὸ τῶν ὅπλων· καὶ τοὺς ἐπὶ τὰ ἀναγκαῖα ἀπιόντας. οὐ δεῖ θαυμάζειν, ὅτι οὔτε ἀλλήλων, οὔτε τῶν ὅπλων πλέον, ἢ ὅσον μὴ λυπεῖν ἀλλήλους ἀπέρχονται. καὶ γὰρ ταῦτα ἀσφαλείας ἕνεκα ποιοῦσι. μεταστρατοπεδεύονταί γε μὴν πυκνά, καὶ τοῦ σίνεσθαι τοὺς πολεμίους ἕνεκα, καὶ τοῦ ὠφελεῖν τοὺς φίλους. καὶ γυμνάζεσθαι δὲ προαγορεύεται ὑπὸ τοῦ νόμου ἅπασι Λακεδαιμονίοις, ὅσονπερ ἂν στρατεύωνται. ὥστε μεγαλοπρεπεστέρους μὲν αὐτοὺς ἐφ' ἑαυτοῖς γίγνεσθαι, ἐλευθεριωτέρους δὲ τῶν ἄλλων φαίνεσθαι. δεῖ δὲ οὔτε περίπατον οὔτε δρόμον ἐλάσσω ποιεῖσθαι, ἢ ὅσον ἂν ἡ μόρα ἐφήκῃ, ὅπως μηδεὶς τῶν αὑτοῦ ὅπλων πόρρω γίγνηται. μετὰ δὲ τὰ γυμνάσια, καθίζειν μὲν ὁ πρῶτος πολέμαρχος κηρύττει. ἔστι δὲ τοῦτο ὥσπερ ἐξέτασις. ἐκ τούτου δὲ ἀριστοποιεῖσθαι, καὶ ταχὺ τὸν πρόσκοπον ὑπολύεσθαι. ἐκ τούτου δ' αὖ διατριβαὶ καὶ ἀναπαύσεις πρὸ τῶν ἑσπερινῶν γυμνασίων. μετά γε μὴν ταῦτα δειπνοποιεῖσθαι κηρύττεται, καὶ ἐπειδὰν ᾄσωσιν εἰς τοὺς θεοὺς οἷς ἂν κεκαλλιερηκότες ὦσιν, ἐπὶ τῶν ὅπλων ἀναπαύεσθαι. ὅτι δὲ πολλὰ γράφω, οὐ δεῖ θαυμάζειν. ἥκιστα γὰρ Λακεδαιμονίοις εὕροι ἄν τις παραλελειμμένα ἐν τοῖς στρατιωτικοῖς, ὅσα δεῖται ἐπιμελείας. διηγήσομαι δὲ καὶ ἣν ἐπὶ στρατιᾶς ὁ Λυκοῦργος βασιλεῖ δύναμιν καὶ τιμὴν παρεσκεύασε. πρῶτον μὲν γὰρ ἐπὶ φρουρᾶς τρέφει ἡ πόλις βασιλέα καὶ τοὺς σὺν αὐτῷ. συσκηνοῦσι δὲ αὐτῷ οἱ πολέμαρχοι, ὅπως ἀεὶ συνόντες μᾶλλον, καὶ κοινοβουλῶσιν, ἤν τι δέωνται. συσκηνοῦσι δὲ καὶ ἄλλοι τρεῖς ἄνδρες τῶν ὁμοίων. οὗτοι τούτοις ἐπιμελοῦνται πάντων τῶν ἐπιτηδείων, ὡς μηδεμία ἀσχολία ᾖ αὐτοῖς τῶν πολεμικῶν ἐπιμελεῖσθαι. ἐπαναλήψομαι δὲ ὡς ἐξορμᾶται σὺν στρατιᾷ ὁ βασιλεύς. θύει μὲν γὰρ πρῶτον οἴκοι ὢν Διὶ Ἀγήτορι καὶ τοῖς σὺν αὐτῷ. ἢν δὲ ἐνταῦθα καλλιερήσῃ, λαβὼν ὁ πυρφόρος πῦρ ἀπὸ τοῦ βωμοῦ, προηγεῖται ἐπὶ τὰ ὅρια τῆς χώρας. ὁ δὲ βασιλεὺς ἐκεῖ αὖ θύεται Διὶ καὶ Ἀθηνᾷ. ὅταν δὲ ἀμφοῖν τούτοιν τοῖν θεοῖν καλλιερηθῇ, τότε διαβαίνει τὰ ὅρια τῆς χώρας. καὶ τὸ πῦρ μὲν

agmine phalangem ipsam quoad imperator ad dexteram, postremi uerò ad læuam fuerint, explicãt. Quod si ex dextro hostiũ cornu acies decẽter incesserit, nihil aliud curant q̃ ut singulos manipulos ueluti triremem aduersa prora in aduersos uertant. Itaq; rursus postrema acies in hastam ad dexteram constituitur. Sin autem ad læuam hostes inuaserint, id minimè sinunt, quin repellunt, aut aduersariorum aduersas acies uertunt: & sic iterum postremus manipulus in clypeum constituitur. Dicam etiam quo pacto castrametandum esse Lycurgus censuerit. Nam quoniam quadrati agminis angulos inutiles esse duceret, in orbem castra ponebat, nisi aut monte tuti essent, aut mœnia, aut fluuium post se haberent. Statuit diurnas custodias, quæ in armis intrò aspicerent: nõ enim hostium gratia, sed amicorũ hæ constituuntur: quippe quæ tum hostilem equitatũ ex his locis obseruãt, è quib. prospicere plurimum queant. At si quis noctu extra phalangẽ progrediatur, statuit ab sciritis obseruari, qui ne quis ordinem egrederetur, ius habebant: nunc uero & ab ipsorum etiam peregrinorũ quibusdam simul circumeunt obseruari. Quod aũt & hastati semper circumeunt, sane & hoc scire cõuenit ea gratia fieri, qua & seruos ab armis prohibent, & eos qui ad leuandum aluũ abeunt. Neq; mirandum est, eos neq; ab inuicẽ, neq; ab armis longius abire, quàm ut sibi inuicem molestiæ non sint: faciunt enim hæc securitatis gratia. Atqui castra percrebrò mutant, quò & hostes lædant, & amicos iuuent. Ac ut se exerceant, lex omnibus Lacedæmonijs præscribit, quicunq; meruerint: quare tum magnificentiores ipsi inter se fiunt, & inter alios strenuiores apparent. Oportet autẽ neq; ambulationis, neq; cursus minus efficere, quàm quantumcunq; tribus ipsa permiserit, quò nemo suis ab armis porro absit. Post exercitationis autem ludos, primus militum cunctis sedendum iubet: hoc aũt perinde ac exquisitio quædam est: deinde prandendum mandat, confestim speculatorem dimittendũ, postea rursus concelis inter se habent, & se quieti dedunt ante uespertina gymnasia. Quibus actis cœna per præconem significatur, & ut posteaquã deorum laudes cecinerint, quoscũq; sacrificijs placarint, in armis quiescant. Quod autem multa à me scribuntur, mirandum certè non est: nam minimè Lacedæmonijs quis omissa inueniat, quæcũq; in re militari studiosa ducenda sint. Sed iam mihi narrandum est quam & uim & honorem regi Lycurgus in exercitu pararit. Primùm nanq; regem ciuitas, et eos qui cum rege sunt nutrit. In præsidio contubernales sunt, unaq; secum militum tribuni, quò semper præsentes unà magis, si quid opus est, consulant. Cõtubernales sunt simul alij tres, eiusdem ordinis uiri. Hi cũ illis unà omniũ rerum necessariarũ eam diligentiã habẽt, ut nunquã prorsus uacent à rerum bellicarũ cura. Repetam autem quonam rex pacto copias educit. Nam primùm domi sacra facit Ioui ductori, alijsq; cœlitibus: quod si hic litarit, accipiens fœcialis (qui pyrphoros à ferendo igne appellatur) ignem ex ara, præcedit ad regionis usque confinia, ubi rex rursum Ioui Mineruæq; sacrificat. Cum his uero duobus dijs litatum fuerit, tum demum regionis fines transit. & ignis

ab his sacrificijs perpetuus antecedit, omnifariamq; hostiæ sequuntur semper cum sacrificaturus sit. Id operis adhuc crepusculo aggreditur, uolens is quidem ante sibi dei fauorem beneuolentiámque conciliare. Adsunt circa sacrificium tribuni militum, manipulorum præfecti, quinquagenarij peregrini militis duces, & eorum qui impedimenta ferunt duces, urbiumque prætores, quisque pro uoluntate. Adsunt & ex Ephoris duo, qui nihil agunt nisi à rege accersiti. Intuentes autem quid singuli faciunt, castigant omnes ut decet. Absolutis uerò sacrificijs, rex aduocata concione quæ facienda sunt iubet. Itaq; hæc aspiciens, facilè putet alios quidem disciplinæ rei militaris perrudes esse, Lacedæmonios autem solos existere profectò rerum bellicarum artifices. Cum igitur rex ducit, si quidem nemo ex aduerso appareat, nemo ante ipsum incedit præter scirtas & speculatores equites. Quod si quando prælium futurum existimant, assumens rex primæ tribus agmen ducit, in hastam conuertens, quousque in medio duarum tribuum exstat, & inter duos militum tribunos. Quos uero præfici hisce oporteat, is qui circa rempublicam maximus natu est, illos constituit. Hi uerò sunt quotquot eiusdem ordinis simul conuiuantur, & uates & medici & tibicines ac exercitus principes, & si qui ultro affuerint. Quo fit ut eorum quæ fieri oportet, nihil ambiguum sit: nihil est enim non perspiciendum. Pulchre & hoc Lycurgus & utiliter, ut mihi quidem uidetur, in armorum certamine cogitauit. Nam cum intuentibus iam hostibus capra iuguletur, lex est omnes astantes tibicines tibijs uti, ac neminem Lacedæmoniorum sine corona esse: atque arma quoque expolienda pronunciat: licet etiã iuniori ac delecto, in pugnam congrediatur, & sese lætum atq; probum præstet. Hæc autem turmario duci demandantur. Neque enim auditur in omnes singulatim turmas à singulis, præter turmæ ducem: quod ut rectè fiat, militum tribuno curandum est. At cum uidetur castra metandi tempus, id regi Lycurgus ait curandum esse, locumq; demonstrandum. Item & legationis & societatis ineundæ, belli ratio, diligentiæ regis commissa est: atque regem omnes adeunt cum quid agere uoluerint. Quod si cui causa ulla fuerit, hunc rex ad certaminum iudices dimittit: sin pecuniarum gratia ueniat, ad quæstores: sin autem prædam agens, ad eos qui prædam uendunt. His uero ita à rege gestis, negocij aliud circa præsidium relinquitur regi nihil, nisi ut sacerdotem sese diuinis in rebus, erga homines autem ducem gerat. Sed si quis me roget an hac etiam tempestate uideantur mihi Lycurgi leges immotæ permanere, id ego mehercule nec iam audacter dixerim. Scio nanque Lacedæmonios prius frugalitatem sibi sponte eligentes, domi inter se cõgredi, quàm in urbibus magistratibus præesse, ac per assentatores corrumpi, longè maluisse. Et antea quidem pertimescebant, ne quid auri habere uiderentur: nunc autem quosdam nosco, qui quæstu gloriantur. Neq; me præterea latet antea quoque huiusce rei gratia peregrinos amotos esse, neque peregrinari licuisse, ne ciues uersutias atque dolos à peregrinis haurirent.

At

μὲν ἀπὸ τούτων τῶν ἱερῶν προηγεῖται οὔποτε ἀποσβεννύμενον. σφάγια δὲ παντοῖα ἕπεται, ἀεὶ δὲ ὅταν θύηται. ἄρχεται μὲν τούτου τοῦ ἔργου ἔτι κνεφαῖος, προλαμβάνειν βουλόμενος τὴν τοῦ θεοῦ εὔνοιαν. πάρεισι δὲ περὶ τὴν θυσίαν πολέμαρχοι, λοχαγοί, πεντηκοντῆρες, ξένων, στρατίαρχοι, στρατοῦ σκευοφορικοῦ ἄρχοντες. καὶ τῶν ἀπὸ τῶν πόλεων δὲ στρατηγῶν ὁ βουλόμενος. πάρεισι δὲ καὶ τῶν ἐφόρων δύο, οἳ πολυπραγμονοῦσι μὲν οὐδὲν, ἢν μὴ ὁ βασιλεὺς προσκαλῇ. ὁρῶντες δὲ ὅ,τι ποιεῖ ἕκαστος, πάντας σωφρονίζουσιν ὡς τὸ εἰκός. ὅταν δὲ τελεσθῇ τὰ ἱερά, ὁ βασιλεὺς προσκαλέσας πάντας, παραγγέλλει τὰ ποιητέα. ὥστε ὁρῶν ταῦτα, ἡγήσαιο ἂν τοὺς μὲν ἄλλους αὐτοσχεδιαστὰς εἶναι τῶν στρατιωτικῶν, λακεδαιμονίους δὲ μόνους τῷ ὄντι τεχνίτας τῶν πολεμικῶν. ἐπειδάν γε μὴν ἡγῆται ὁ βασιλεύς, ἢν μὲν μηδεὶς ἐναντίος φαίνηται, οὐδεὶς αὐτοῦ πρόσθεν πορεύεται, πλὴν σκιρῖται, καὶ οἱ προερευνώμενοι ἱππεῖς. ἢν δέ ποτε μάχην οἴωνται ἔσεσθαι, λαβὼν τὸ ἄγημα τῆς πρώτης μόρας ὁ βασιλεύς, ἄγει στρέψας ἐπὶ δόρυ, ἔστ' ἂν γένηται ἐν μέσῳ δυοῖν μόραιν καὶ δυοῖν πολεμάρχοιν. οὓς δὲ δεῖ ἐπὶ τούτοις τετάχθαι, ὁ πρεσβύτατος τῶν περὶ δημοσίαν συντάττει. εἰσὶ δὲ οὗτοι ὅσοι ἂν σύσκηνοι ὦσι τῶν ὁμοίων, καὶ μάντεις, καὶ ἰατροί, καὶ αὐληταί, οἱ τοῦ στρατοῦ ἄρχοντες καὶ ἐθελούσιοι ἤν τινες παρῶσιν, ὥστε τῶν δεομένων γίγνεσθαι, οὐδὲν ἀπορεῖται. οὐδὲν γὰρ ἀπρόσκεπτόν ἐστι. καλὰ δὲ καὶ τάδε ὠφέλιμα, ὡς ἐμοὶ δοκεῖ ἐμηχανήσατο λυκοῦργος εἰς τὸν ἐν ὅπλοις ἀγῶνα. ὅταν γὰρ ὁρώντων ἤδη τῶν πολεμίων χίμαιρα σφαγιάζηται, αὐλεῖν τε πάντας τοὺς παρόντας αὐλητὰς νόμος, καὶ μηδένα λακεδαιμονίων ἀστεφάνωτον εἶναι. καὶ ὅπλα δὲ λαμπρύνεσθαι προαγορεύεται. ἔξεστι δὲ τῷ νέῳ καὶ κεκριμένῳ εἰς μάχην συνιέναι, καὶ φαιδρὸν εἶναι καὶ εὐδόκιμον. καὶ παρακελεύονται δὲ τῷ ἐνωμοτάρχῃ. οὐδ' ἀκούεται γὰρ εἰς ἑκάστην πᾶσαν τὴν ἐνωμοτίαν ἀφ' ἑκάστου ἐνωμοτάρχου ἔξω. ὅπως δὲ καλῶς γίγνηται, πολεμάρχῳ δεῖ μέλειν. ὅταν γε μὴν καιρὸς δοκῇ εἶναι στρατοπεδεύεσθαι, τούτου μὲν λυκοῦργος βασιλεὺς καὶ τοῦ δεῖξαί γε ὅπου δεῖ. τὸ μέντοι πρεσβείας ἀποπέμπεσθαι, καὶ φιλίας καὶ πολεμίας, τοῦτ' αὖ βασιλέως. καὶ ἄρχονται μὲν πάντες ἀπὸ βασιλέως, ὅταν βούλονται πρᾶξαί τι. ἢν δ' οὖν δίκης δεόμενός τις ἔλθῃ, πρὸς ἑλλανοδίκας, τοῦτον ὁ βασιλεὺς ἀποπέμπει. ἢν δὲ χρημάτων, πρὸς ταμίας. ἢν δὲ λεῖδα ἄγων, πρὸς λαφυροπώλας. οὕτω δὲ πραττομένων βασιλεῖ, οὐδὲν ἄλλο ἔργον καταλείπεται ἐπὶ φρουρᾶς, ἢ ἱερεῖ μὲν τὰ πρὸς τοὺς θεοὺς εἶναι, στρατηγῷ δὲ τὰ πρὸς τοὺς ἀνθρώπους. εἰ δέ τίς με ἐρωτῴη καὶ νῦν ἔτ' οἴμοι δοκοῦσιν οἱ λυκούργου νόμοι ἀκίνητοι διαμένειν, τοῦτο μὰ Δία οὐκ ἂν ἔτι θρασέως εἴποιμι. οἶδα γὰρ πρότερον μὲν λακεδαιμονίους αἱρουμένους οἴκοι τὰ μέτρια ἔχοντας ἀλλήλοις συνεῖναι μᾶλλον, ἢ ἁρμόζοντας ἐν ταῖς πόλεσι, καὶ κολακευομένους διαφθείρεσθαι. καὶ πρόσθεν μὲν οἶδα αὐτοὺς φοβουμένους, χρυσίον ἔχοντας φαίνεσθαι. νῦν δ' ἔστιν οὓς καὶ καλλωπιζομένους ἐπὶ τῷ κεκτῆσθαι. ἐπίσταμαι δὲ καὶ πρόσθεν τούτου ἕνεκα ξενηλασίας γιγνομένας, καὶ ἀποδημεῖν οὐκ ἐξόν, ὅπως μὴ ῥᾳδιουργίας οἱ πολῖται ἀπὸ τῶν ξένων ἐμπίπλαιντο.

νῦν

νῦν δ' ἐπίσταμαι τοὺς δοκοῦντας πρώτους εἶναι ἐσπουδακότας ὡς μηδέποτε παύωνται ἁρμόζοντες ἐπὶ ξένης. καὶ ἦν μὲν ὅτε ἐπεμελοῦντο ὅπως ἄξιοι εἶεν ἡγεῖσθαι. νῦν δὲ πολὺ μᾶλλον πραγματεύονται, ὅπως ἄρξουσιν, ἢ ὅπως ἄξιοι τούτων ἔσονται. τοιγαροῦν οἱ Ἕλληνες πρότερον μὲν ἰόντες εἰς Λακεδαίμονα, ἐδέοντο αὐτῶν ἡγεῖσθαι ἐπὶ τοὺς δοκοῦντας ἀδικεῖν. νῦν δὲ πολλοὶ παρακαλοῦσιν ἀλλήλους ἐπὶ τὸ διακωλύειν ἄρξαι πάλιν αὐτούς. οὐδὲν μέντοι δεῖ θαυμάζειν τούτων τῶν ἐπιψόγων αὐτοῖς γιγνομένων, ἐπειδὴ φανεροί εἰσιν, οὔτε τῷ θεῷ πειθόμενοι, οὔτε τοῖς Λυκούργου νόμοις. Βούλομαι δὲ καὶ ἃς βασιλεῖ πρὸς τὴν πόλιν συνθήκας ὁ Λυκοῦργος ἐποίησε διηγήσασθαι. μόνη γὰρ δὴ αὕτη ἀρχὴ διατελεῖ, οἵαπερ ἐξ ἀρχῆς κατεστάθη. τὰς δὲ ἄλλας πολιτείας, εὕροι ἄν τις μετακεκινημένας, καὶ ἔτι καὶ νῦν μετακινουμένας. ἔθηκε γὰρ θύειν μὲν βασιλέα πρὸ τῆς πόλεως τὰ δημόσια ἅπαντα, ὡς ἀπὸ τοῦ θεοῦ ὄντα, καὶ στρατιὰν ὅποι ἂν ἡ πόλις ἐκπέμπῃ, ἡγεῖσθαι. ἔδωκε δὲ καὶ γέρα ἀπὸ τῶν θυομένων λαμβάνειν, καὶ γῆν δὲ ἐν πολλαῖς τῶν περιοίκων πόλεων ἀπέδειξεν ἐξαίρετον τοσαύτην, ὥστε μήτε δεῖσθαι τῶν μετρίων μήτε πλούτῳ ὑπερφέρειν. ὅπως δὲ καὶ οἱ βασιλεῖς ἔξω σκηνοῖεν, σκηνὴν αὐτοῖς δημοσίαν ἀπέδειξε, καὶ διμοιρίᾳ γε ἐπὶ τῷ δείπνῳ ἐτίμησεν, οὐχ ἵνα διπλάσια καταφάγοιεν, ἀλλ' ἵνα καὶ ἀπὸ τοῦδε τιμῆσαι ἔχοιεν, εἴ τινα βούλοιντο. ἔδωκε δ' αὖ καὶ συσκήνους δύο ἑκατέρῳ προσελέσθαι, οἳ δὴ καὶ Πύθιοι καλοῦνται. ἔδωκε δὲ καὶ πασῶν τῶν συῶν ἀπὸ τόκου χοῖρον λαμβάνειν, ὡς μήποτε ἀπορήσαι βασιλεὺς ἱερῶν, ἤν τι δεηθῇ θεοῖς συμβουλεύσασθαι. καὶ πρὸς τῇ οἰκίᾳ δὲ λίμνη ὕδατος παρέχει. ὅτι δὲ καὶ τοῦτο πρὸς πολλὰ χρήσιμον, οἱ μὴ ἔχοντες αὐτὸ μᾶλλον γιγνώσκουσι. καὶ ἕδρας δὲ πάντες ὑπανίστανται βασιλεῖ, πλὴν οὐκ ἔφοροι ἀπὸ τῶν ἐφορικῶν δίφρων. καὶ ὅρκους δὲ ἀλλήλοις κατὰ μῆνα ποιοῦνται· ἔφοροι μὲν ὑπὲρ τῆς πόλεως, βασιλεὺς δ' ὑπὲρ ἑαυτοῦ. ὁ δὲ ὅρκος ἐστί· τῷ μὲν βασιλεῖ κατὰ τοὺς τῆς πόλεως κειμένους νόμους βασιλεύσειν, τῇ δὲ πόλει ἐμπεδορκοῦντος ἐκείνου, ἀστυφέλικτον τὴν βασιλείαν παρέξειν. αὗται μὲν οὖν αἱ τιμαὶ οἴκοι ζῶντι βασιλεῖ δίδονται, οὐδέν τι πολὺ ὑπερφέρουσαι τῶν ἰδιωτικῶν. οὐ γὰρ ἐβουλήθη οὔτε τοῖς βασιλεῦσι τυραννικὸν φρόνημα παραστῆσαι, οὔτε τοῖς πολίταις φθόνον ἐμποιῆσαι τῆς δυνάμεως. αἱ δὲ τελευτήσαντι τιμαὶ βασιλεῖ δίδονται, τῇδε βούλονται δηλοῦν οἱ Λυκούργου νόμοι, ὅτι οὐχ ὡς ἀνθρώπους, ἀλλ' ὡς ἥρωας τοὺς Λακεδαιμονίων βασιλεῖς προτετιμήκασιν.

ΞΕΝΟ-

At hoc tempore non sum nescius eos qui primarij uidentur, in id maximè studere, inuigilare, incumbere, quo nunquā peregrino magistratu desistant. Et olim certe els[illegible]eru essent qui imperarēt, nunc autem curant lo[illegible], q̄ ut imperio digni sint. Itaq; reliqui Græci petentes antea Lacedæmonem, eos deprecabantur ut sibi duces fierēt aduersus eos à quibus iniuriam sumpsisse uiderētur. Sed hac tempestate permulti sunt qui se inuicem rogant atque
10 exhortentur, ut eis ne denuo imperent & obstent & arceant. At profectò mirari nemo debet quid ipsos ita uituperemus, quippe qui manifesti sunt qui neq; deo, neq; Lycurgi legibus obtemperent. Narrandū etiam mihi est quæ fœdera Lycurgus regi aduersus ciuitatē constituerit: solus enim hic principatus pro initij constitutione perseuerat: alias uerò respub. & antea immutatas, & item nunc immutari quis inueniat. Statuit nanq; ut rex publicis in rebus omnibus tanquā ex deo esset, pro urbe sacra persolueret, & exercitus quocūq;
20 ciuitas mitteret, dux fieret. Decreuitq; sibi munera ex his quæ immolarentur capiunda: et præcipui agri tantum in uicinis plerisq; urbibus statuit, quo neq; frugali apparatu indigeret, neq; opulentia efferretur. Atq; ut reges in publico discumberent, conuiuium eis publicum instituit, & duplici parte in cœna honorauit: non ut duplo magis quàm alij ederent, sed quò & ex hoc quem uellent honorare quirent. Dedit præterea contubernales duos, quos ipse utrunq; deligeret: hi autem Pythij appellantur. Dedit & ex omni scropha-
30 rum fœtu porcum unum, quo si quid deum consulere opus foret, nunquam hostijs indigeret. Ac iuxta domum aquæ copiam stagnū præstat, quod quanto plurimis in rebus usui sit, hi qui carent magis intelligūt. Atq; regi omnes ex subsellijs assurgunt, præterquam Ephori à sui magistratus sellis. Hi autem singulis mensibus iureiurando se mutuo astringunt: Ephori quidem ciuitatis nomine, rex autem suo. Iusiurandum uero regis . ?, pro conditis ciuitatis legibus imperaturum ire: ciuitatis autem, pro iureiurando inuiolabiliter illi
40 obseruato regnum inconcussum redditum ire. Hi ergo honores domi uiuo regi exhibentur, qui parum admodum priuatorum honoribus antecellunt. Non enim Lycurgus uoluit, neque regibus tyrannicum fastum asciscere, neq; ciuibus inuidiam aduersus regiam maiestatem inijcere. Quibus autem rex mortuus cumuletur honoribus, id declarant Lycurgi leges, quæ non ut homines, sed tanquam heroës Lacedemoniorum reges honorandos uoluere.

XENOPHONTIS RHETORIS ATHENIENSIVM RESPVBLICA,

DE Atheniensiũ uero republica, quod eã reipublicæ rationem secuti sunt, ideo non laudo, quod dum eam sequuntur, illud assecuti sunt, ut improbi meliore essent conditione, quàm probi. Atque hac quidem in re non laudo. Sed postquam ita eis uisum est, ostendam eos recte & rempublicam tueri, et alia administrare, in quibus reliquis Græcis peccare uideantur. Principio hoc dico, pauperes, & plebem ibi merito plus posse, quàm nobiles, & diuites, propterea quod plebs est quæ naues agit, & potentiam ciuitati conciliat: tum gubernatores, & hortatores, & qui sunt præfecti quinquaginta, & proretas, & nauium fabricatores, hi sunt qui potestatem ciuitati pepererũt, multo magis quàm ciues, quàm nobiles, quàm fœneratores. Cum igitur hæc ita habeant, uidetur æquũ esse, ut omnes magistratus gerant, tum & sortitione, tum à suffragijs, utq; cuiuis ciuium liceat causam orare si uelit. Deinde qui magistratus siue clari, siue obscuri, ad salutem pertinent, aut ad periculum totius populi, horum magistratuum administrationem nihil moratur plebs: neq; rei militaris præfecturã, neq; equitatus sibi cõuenire existimat. Intelligit enim magis e re sua esse, si non ipsa his magistratibus præsit, sed potentissimos præesse sinat. Qui autem magistratus mercedem, & rei familiaris utilitatem afferunt, his adipiscendis studet plebs. Præterea mirantur nonnulli eos ubiq; plus tribuere malis, & egenibus, & plebeijs, quam bonis: sed in hoc ipso apparebit eos populi potestatem conseruare. Nam pauperes, & plebeij, & deteriores, dum bene cum eis agitur, & multi accedunt, popularem potentiam augent. Quod si bene rem gerant locupletes, & boni: contrariam sibi partem corroborant plebeij. Est autem ubique terrarum optima quæque pars populari contraria potentiæ. Nam in optimis quibusque minima est incontinentia, & iniuria: plurimaq; probitatis solertia. At in plebe plurima est imperitia, confusio, & peruersitas. Nam & paupertas eos magis impellit ad turpia, & ignorantia, inscitiaq; propter rei indigentiam, inest in nonnullis hominum. Sed dicet quis, non debere eis permitti, ut omnes, sine discrimine, causas orent, aut sententiam dicant, sed tantum aptissimi, & optimi quique. Ipsi uero etiam hoc in genere scite faciunt, ut malos quoque orare sinant. Nam si boni concionarentur, & sententias dicerent, cum eorum similibus bene ageretur, at cum plebeijs non bene. Nunc autem cum surgat ad concionandum quiuis nequissimus, excogitat quod bonum sit & sibi & sui similibus. Dicet quis: Quid tandem boni cogitet aut sibi, aut plebi, talis homo? At isti intelligunt huius imperitiam & nequitiam, cum beneuolentia magis è re sua esse, quàm boni uiri uirtutem, & sapientiam cum maleuolentia. Quare huiusmodi administrationibus efficitur non ut optima sit ciuitas illa quidem: sed

ΞΕΝΟΦΩΝΤΟΣ ΡΗΤΟΡΟΣ ΑΘΗΝΑΙΩΝ ΠΟΛΙΤΕΙΑ.

ΠΕΡΙ δὲ τῆς Ἀθηναίων πολιτείας, ὅτι μὲν εἵλοντο τοῦτον τὸν τρόπον τῆς πολιτείας, οὐκ ἐπαινῶ διὰ τόδε. ὅτι ταῦθ' ἑλόμενοι, εἵλοντο τοὺς πονηροὺς ἄμεινον πράττειν ἢ τοὺς χρηστούς. διὰ μὲν οὖν τοῦτο οὐκ ἐπαινῶ. ἐπεὶ δὲ ταῦτα οὕτως ἔδοξεν αὐτοῖς, ὡς εὖ διασώζονται τὴν πολιτείαν, καὶ τἆλλα διαπράττονται, ἃ δοκοῦσιν ἁμαρτάνειν τοῖς ἄλλοις Ἕλλησι, τοῦτ' ἀποδείξω. πρῶτον μὲν οὖν τοῦτο ἐρῶ, ὅτι δικαίως αὐτόθι καὶ οἱ πένητες καὶ ὁ δῆμος πλέον ἔχει τῶν γενναίων καὶ τῶν πλουσίων, διὰ τόδε, ὅτι ὁ δῆμός ἐστιν ὁ ἐλαύνων τὰς ναῦς, καὶ ὁ τὴν δύναμιν περιτιθεὶς τῇ πόλει, καὶ οἱ κυβερνῆται, καὶ οἱ κελευσταὶ, καὶ οἱ πεντηκόνταρχοι, καὶ οἱ πρωρᾶται, καὶ οἱ ναυπηγοί. οὗτοί εἰσιν οἱ τὴν δύναμιν περιτιθέντες τῇ πόλει, πολὺ μᾶλλον ἢ οἱ ὁπλῖται καὶ οἱ γενναῖοι καὶ οἱ χρηστοί. ἐπειδὴ οὖν ταῦτα οὕτως ἔχει, δοκεῖ δίκαιον εἶναι πᾶσι τῶν ἀρχῶν μετεῖναι, ἔν τε τῷ κλήρῳ, καὶ ἐν τῇ χειροτονίᾳ, καὶ λέγειν ἐξεῖναι τῷ βουλομένῳ τῶν πολιτῶν. ἔπειτα ὁπόσαι μὲν σωτηρίαν φέρουσι τῶν ἀρχῶν χρησταὶ οὖσαι καὶ μὴ χρησταὶ, κίνδυνον τῷ δήμῳ ἅπαντι. τούτων μὲν τῶν ἀρχῶν οὐδὲν δεῖται ὁ δῆμος μετεῖναι, οὔτε τῶν στρατηγικῶν κλήρων οἴονταί σφισι χρῆναι μετεῖναι, οὔτε τῶν ἱππαρχιῶν. γιγνώσκει γὰρ ὁ δῆμος ὅτι πλείω ὠφελεῖται ἐν τῷ μὴ αὐτὸς ἄρχειν ταύτας τὰς ἀρχὰς, ἀλλ' ἐᾶν τοὺς δυνατωτάτους ἄρχειν. ὁπόσαι δ' εἰσὶν ἀρχαὶ μισθοφορίας ἕνεκα καὶ ὠφελείας εἰς τὸν οἶκον, ταύτας ζητεῖ ὁ δῆμος ἄρχειν. ἔπειτα δὲ ὃ ἔνιοι θαυμάζουσιν, ὅτι πανταχοῦ πλέον νέμουσι τοῖς πονηροῖς καὶ πένησι, καὶ δημοτικοῖς ἢ τοῖς χρηστοῖς, ἐν αὐτῷ τούτῳ φανοῦνται τὴν δημοκρατίαν διασώζοντες. οἱ μὲν γὰρ πένητες καὶ οἱ δημόται καὶ οἱ χείρους, εὖ πράττοντες, καὶ πολλοὶ οἱ τοιοῦτοι γιγνόμενοι, τὴν δημοκρατίαν αὔξουσι. ἐὰν δὲ εὖ πράττωσιν οἱ πλούσιοι καὶ οἱ χρηστοὶ, ἰσχυρὸν τὸ ἐναντίον σφίσιν αὐτοῖς καθιστᾶσιν οἱ δημοτικοί. ἔστι δὲ πάσῃ γῇ τὸ βέλτιστον ἐναντίον τῇ δημοκρατίᾳ. ἐν γὰρ τοῖς βελτίστοις ἔνι ἀκολασία τε ὀλιγίστη καὶ ἀδικία, ἀκρίβεια δὲ πλείστη εἰς τὰ χρηστά. ἐν δὲ τῷ δήμῳ ἀμαθία τε πλείστη καὶ ἀταξία καὶ πονηρία. ἥ τε γὰρ πενία αὐτοὺς μᾶλλον ἄγει ἐπὶ τὰ αἰσχρὰ, καὶ ἡ ἀπαιδευσία καὶ ἡ ἀμαθία δι' ἔνδειαν χρημάτων ἐνίοις τῶν ἀνθρώπων. εἴποι δ' ἄν τις ὡς ἐχρῆν αὐτοὺς μὴ ἐᾶν λέγειν πάντας ἑξῆς μηδὲ βουλεύειν, ἀλλὰ τοὺς δεξιωτάτους καὶ ἄνδρας ἀρίστους. οἱ δὲ καὶ ἐν τούτῳ ἄριστα βουλεύονται ἐῶντες καὶ τοὺς πονηροὺς λέγειν. εἰ μὲν γὰρ οἱ χρηστοὶ ἔλεγον καὶ ἐβούλευον, τοῖς ὁμοίοις σφίσιν αὐτοῖς ἦν ἀγαθὰ, τοῖς δὲ δημοτικοῖς οὐκ ἀγαθά. νῦν δὲ λέγων ὁ βουλόμενος ἀναστὰς ἄνθρωπος πονηρὸς, ἐξευρίσκει τὸ ἀγαθὸν αὐτῷ τε καὶ τοῖς ὁμοίοις αὐτῷ. εἴποι τις ἄν· τί ἂν οὖν γνοίη ἀγαθὸν αὐτῷ ἢ τῷ δήμῳ τοιοῦτος ἄνθρωπος; οἱ δὲ γιγνώσκουσιν ὅτι ἡ τούτου ἀμαθία καὶ πονηρία καὶ εὔνοια μᾶλλον λυσιτελεῖ, ἢ ἡ τοῦ χρηστοῦ ἀρετὴ καὶ σοφία καὶ κακόνοια. εἴη μὲν οὖν ἂν πόλις οὐκ ἀπὸ τοιούτων διαιτημάτων ἡ βελτίστη, ἀλλ'

ἀλλ᾽ ἡ δημοκρατία μάλιστ᾽ ἂν σώζοιτο οὕτως. ὁ γὰρ δῆμος οὐ βούλεται εὐνομουμένης τῆς πόλεως αὐτὸς δουλεύειν, ἀλλ᾽ ἐλεύθερος εἶναι, καὶ ἄρχειν. τῆς δὲ κακονομίας αὐτῷ ὀλίγον μέλει. ὃ γὰρ σὺ νομίζεις οὐκ εὐνομεῖσθαι, αὐτὸς ἀπὸ τούτου ἰσχύει ὁ δῆμος, καὶ ἐλεύθερός ἐστιν. εἰ δ᾽ εὐνομίαν ζητεῖς, πρῶτα μὲν ὄψει τοὺς δεξιωτάτους αὐτοῖς τοὺς νόμους τιθέντας, ἔπειτα κολάσουσιν οἱ χρηστοὶ τοὺς πονηρούς, καὶ βουλεύσουσιν οἱ χρηστοὶ περὶ τῆς πόλεως, καὶ οὐκ ἐάσουσι μαινομένους ἀνθρώπους βουλεύειν, οὐδὲ λέγειν, οὐδὲ ἐκκλησιάζειν. ἀπὸ τούτων τοίνυν τῶν ἀγαθῶν τάχιστ᾽ ἂν ὁ δῆμος εἰς δουλείαν καταπέσοι. τῶν δούλων δ᾽ αὖ καὶ τῶν μετοίκων πλείστη ἐστὶν Ἀθήνησιν ἀκολασία, καὶ οὔτε πατάξαι ἔξεστιν αὐτόθι, οὔτε ὑπεκστήσεταί σοι ὁ δοῦλος. οὗ δ᾽ ἕνεκεν ἐστὶ τοῦτο ἐπιχώριον, ἐγὼ φράσω. εἰ νόμος ἦν τὸν δοῦλον ὑπὸ τοῦ ἐλευθέρου τύπτεσθαι ἢ τὸν μέτοικον, ἢ τὸν ἀπελεύθερον, πολλάκις ἂν οἰηθεὶς εἶναι τὸν ἀθηναῖον δοῦλον, ἐπάταξεν ἄν. ἐσθῆτά τε γὰρ οὐδὲν βελτίων ὁ δῆμος αὐτόθι, ἢ οἱ δοῦλοι καὶ οἱ μέτοικοι, καὶ τὰ εἴδη οὐδὲν βελτίους εἰσίν. εἰ δέ τις καὶ τοῦτο θαυμάζει ὅτι ἐῶσι τοὺς δούλους τρυφᾶν αὐτόθι, καὶ μεγαλοπρεπῶς διαιτᾶσθαι ἐνίους, καὶ τοῦτο γνώμῃ φανεῖεν ἂν ποιοῦντες. ὅπου γὰρ ναυτικὴ δύναμίς ἐστιν ἀπὸ χρημάτων, ἀνάγκη τοῖς ἀνδραπόδοις δουλεύειν, ἵνα λαμβάνωμεν πράττοντες τὰς ἀποφοράς, καὶ ἐλευθέρους ἀφιέναι. ὅπου δ᾽ εἰσὶ πλούσιοι δοῦλοι, οὐκ ἔτι ἐνταῦθα λυσιτελεῖ τὸν ἐμὸν δοῦλον σὲ δεδιέναι. ἐν δὲ τῇ Λακεδαίμονι ὁ ἐμὸς δοῦλος σὲ δέδοικε. ἂν δὲ δεδίῃ ὁ σὸς δοῦλος ἐμέ, κινδυνεύσει καὶ τὰ χρήματα διδόναι τὰ ἑαυτοῦ, ὥστε μὴ κινδυνεύειν περὶ ἑαυτοῦ. διὰ τοῦτ᾽ οὖν ἰσηγορίαν καὶ τοῖς δούλοις πρὸς τοὺς ἐλευθέρους ἐποιήσαμεν, καὶ τοῖς μετοίκοις πρὸς τοὺς ἀστούς, διότι δεῖται ἡ πόλις μετοίκων, διά τε τὸ πλῆθος τῶν τεχνῶν καὶ διὰ τὸ ναυτικόν. διὰ τοῦτο οὖν καὶ τοῖς μετοίκοις εἰκότως τὴν ἰσηγορίαν ἐποιήσαμεν. τοὺς δὲ γυμναζομένους αὐτόθι καὶ τὴν μουσικὴν ἐπιτηδεύοντας, καταλέλυκεν ὁ δῆμος, νομίζων τοῦτο οὐ καλὸν εἶναι, γνοὺς ὅτι οὐ δυνατὰ ταῦτά ἐστιν ἐπιτηδεύειν. ἐν ταῖς χορηγίαις αὖ καὶ γυμνασιαρχίαις καὶ τριηραρχίαις γιγνώσκουσιν, ὅτι χορηγοῦσι μὲν οἱ πλούσιοι, χορηγεῖται δὲ ὁ δῆμος, καὶ γυμνασιαρχοῦσιν οἱ πλούσιοι. ὁ δὲ δῆμος τριηραρχεῖται καὶ γυμνασιαρχεῖται. ἀξιοῖ οὖν ἀργύριον λαμβάνειν ὁ δῆμος, καὶ ᾄδων καὶ τρέχων καὶ ὀρχούμενος, καὶ πλέων ἐν ταῖς ναυσίν, ἵνα αὐτός τε ἔχῃ, καὶ οἱ πλούσιοι πενέστεροι γίγνωνται. ἔν τε τοῖς δικαστηρίοις οὐ τοῦ δικαίου αὐτοῖς μέλει μᾶλλον ἢ τοῦ αὐτοῖς συμφέροντος. περὶ δὲ τῶν συμμάχων ὅτι ἐκπλέοντες συκοφαντοῦσιν, ὡς δοκοῦσι, καὶ μισοῦσι τοὺς χρηστούς, γιγνώσκοντες ὅτι μισεῖσθαι μὲν ἀνάγκη τὸν ἄρχοντα ὑπὸ τοῦ ἀρχομένου. εἰ δὲ ἰσχύσουσιν οἱ πλούσιοι καὶ οἱ ἰσχυροὶ ἐν ταῖς πόλεσιν, ὀλίγιστον χρόνον ἡ ἀρχὴ ἔσται τοῦ δήμου τοῦ Ἀθήνησιν. διὰ ταῦτα οὖν τοὺς μὲν χρηστοὺς ἀτιμοῦσι, καὶ χρήματα ἀφαιροῦνται, καὶ ἐξελαύνουσι καὶ ἀποκτείνουσι. τοὺς δὲ πονηροὺς αὔξουσιν. οἱ δὲ χρηστοὶ ἀθηναίων τοὺς χρηστοὺς ἐν ταῖς συμμαχίσι πόλεσι σώζουσι, γιγνώσκοντες ὅτι σφίσιν ἀγαθόν ἐστι τοὺς βελτίστους σώζειν ἀεὶ ἐν ταῖς πόλεσιν. εἴποι δέ τις ἄν, ὅτι ἰσχύς ἐστιν αὕτη ἀθηναίων, ἐὰν οἱ σύμμαχοι δυνατοὶ ὦσι χρήματα εἰσφέρειν. τοῖς δὲ δημοτικοῖς δοκεῖ μεῖζον ἀγαθὸν εἶναι,

τὰ

sed ut popularis potestas ita maxime conseruetur. Populus enim non uult, bene constituta ciuitate, seruire ipse, sed liber esse, & dominari. Prauam autem constitutionem parum curat. Nam quod tu putas non bene constitutum, in hoc ipso sita est plebis potentia & libertas. Quod si bonam constitutionem quaeris, primum uidebis scientissimos quosque eis leges ferre. Deinde punient boni malos, & consultabunt de ciuitate, neq; sinent insanientes homines consultare, neq; dicere, neq; concionari. Ab his igitur bonis quamprimum populus sit in seruitutem delapsurus. Seruorum autem, & peregrinorum maxima est Athenis licentia, neq; eos pulsare ibi fas est, neque tibi decedet seruus. Cur autem ita soleat, ego disseram. Si mos esset seruum à libero pulsari, aut peregrinum, aut libertinum, saepe quis Atheniensem pulsaret, seruum esse ratus. Nam ueste nihil antecellit populus ille seruos, & peregrinos: & specie nihilo est praestantiore. Quod si quis hoc quoq; miratur, eos permittere seruis apud se luxuriari, nonnullis etiam magnifice uiuere, hoc quoque uidebuntur prudenter facere. * Siquidem ubi naualis potestas est absque pecunia, necesse est mancipijs seruire, ut qui capit, faciat quaestum, & liberos dimittere. At ubi diuites sunt serui, hic non iam ex usu est ut meus te seruus metuat. In Lacedaemone quidem meus te seruus metueret: Si uerò me tuus seruus metuat, periculum erit ne etiam suas facultates det, ne ueniat in periculum de seipso. Hanc igitur ob causam fecimus ut in uitae communitate eodem iure uterentur & serui cum liberis, & peregrini cum urbanis, quod eget ciuitas peregrinis: tum propter artium multitudinem, tum propter rem naualem. Hanc ob rem ergo etiam peregrinis par in uitae communione ius fecimus. Gymnasijs autem, & musicae deditos populus sustulit: existimans hoc non decens esse, intelligens his non posse operam dari. In commeatibus item, & gymnasiorum, triremiumque magisterijs, intelligunt diuites commeatum suggerere, pauperes autem accipere: diuites gymnasijs praeesse, pauperes & in gymnasijs, & in triremibus parere. Censet igitur ut argentum accipiat populus, ut qui & cantet, & currat, & saltet, & nauiget in nauibus, ut & ipse abundet, & locupletes reddantur pauperiores. In iudicijs quoque non magis aequitatis rationem habent, quàm suae utilitatis. De socijs autem, quum dum enauigant, calumniantur, ut uidentur, etiam bonos oderunt, intelligentes necesse esse, ut is qui dominatur, odio sit ei qui paret. Quod si pollebunt diuites, & potentes, in urbibus futurum esse ut breui amittat potentatū populus Atheniensis. Itaq; hac de causa bonos à magistratibus repellunt, pecunia mulctant, expellunt, interficiunt: malos aūt augent. Boni aūt ex Atheniensib. bonos in socijs ciuitatibus cōseruāt: intelligētes è re sua esse optimos quosq; semper in ciuitatib. conseruare. Dicet fortasse quispiā, in eo positas uires esse Atheniensiū, si socij possint pecuniā cōtribuere. At plebeijs uidetur melius esse,

Hunc locū suspicor deprauatum.

ut sociorum pecunias unusquisq; Atheniensium habeat: illi autem quantum opus sit ad uictum, & opera, ne possint insidiari. Videtur autem populus Atheniensis in hoc quoq; imprudenter agere, quod socios cogunt Athenas ad ius petendum nauigare. Sed opponunt ipsi quae hinc bona populo Atheniensi proueniant. Primum quod a Prytaneis mercedem per totum annum accipiunt. Deinde quod domi sedentes, sine nauigatione, socias ciuitates administrant, & populares seruant, & aduersarios opprimunt in iudicijs. Quod si suae quiq; domi iurisdictionem haberent, cum sint perosi Athenienses, eos ex suis euerterent, qui populo Atheniensi maxime essent amici. Accedit ad haec, quod populus Atheniensis haec lucratur, dum ius Athenis petunt socij. Primum centesima urbi maior est in Piraeo. Deinde si cui coenaculum aut mancipium meritorium est. Praeterea praecones melius rem gerunt, propter sociorum peregrinationes. Adhaec nisi ad iurisdictionem uenirent socij, eos solos Atheniensium honorarent, qui ad ipsos nauigarent, imperatores, triremium praefectos, legatos. Nunc cogitur sociorum unusquisque populum colere Atheniensem, intelligens sibi esse Athenas profecto experiendum, & causam dicendam, non apud alios, quam apud populum, qui sane Athenis lex est. Itaque cogitur in iudicijs orare: & si quis intrat, manum prehensare. Propter hanc causam socij magis serui efficiuntur populi Atheniensis. Adde quod propter possessiones, & principatus, a suis finibus remotos, discunt obiter remigare tum ipsi, tum comites. Necesse est enim ut qui saepe nauigat, remum prehendat & ipse, & famulus, discatque naualis instrumenti nomina: fiuntq; boni gubernatores tum experientia nauigiorum, tum meditatione. Meditantur autem alij nauigium gubernando, alij nauem onerariam: nonnulli hinc ad triremes transeunt. Plerique protinus naues ingressi, remigant, quippe qui possint, utpote per omnem uitam praemeditati. Armatura autem (quae minime bene habere uidetur Athenis) haec est ratio. Hostibus quidem & ipsi se inferiores se esse, & superiores existimant. Sociorum autem, qui pendunt tributum, & in terra praestantissimi sunt, & se putant armis dominari, si socijs sunt superiores. Praeterea huiusmodi quiddam eis fortuna accidit. Qui in terra subditi sunt imperio, his licet ex paruis oppidis coire, & collatis uiribus pugnare. At qui in mari parent, quotquot insulani sunt, his oppida eodem conferre non licet: interiacet enim mare, cuius imperium est penes eos, qui dominantur. Quod si liceret etiam latenter eodem conuenire insulanis in unam insulam, perirent fame. Quae autem oppida sunt in continenti Atheniensibus parentia, ea si magna sunt, propter metum parent: sin paruula, propter utilitatem. Nullum est enim oppidum, cui non opus sit aliquid aut importari, aut exportari: quod non fiet, nisi pareat eis, qui maris potestatem habent. Deinde qui dominantur mari, his

* Sequentia ad finem usq; in Florentino desiderantur.

τὰ τῶν συμμάχων χρήματα καὶ ἕκαστον ἔχειν, Ἀθηναίους δὲ ὅσον ζῆν καὶ ἐργάζεσθαι δυνατοὺς ὄντας, ἐπιβουλεύειν. Δοκεῖ δὲ ὁ δῆμος ὁ Ἀθηναίων, καὶ ἐν τῷδε κακῶς βουλεύεσθαι, ὅτι τοὺς συμμάχους ἀναγκάζουσι πλεῖν ἐπὶ δίκας Ἀθήναζε. οἱ δὲ ἀντιλογίζονται ὅσα ἐν τούτῳ ἔνι ἀγαθὰ τῷ δήμῳ τῷ Ἀθηναίων. πρῶτον μὲν ἀπὸ τῶν πρυτανείων τὸν μισθὸν δι' ἐνιαυτοῦ λαμβάνειν. εἶτ' οἴκοι καθήμενοι ἄνευ νεῶν ἔκπλου διοικοῦσι τὰς πόλεις τὰς συμμαχίδας. καὶ τοὺς μὲν τοῦ δήμου σώζουσι, τοὺς δ' ἐναντίους ἀπολλύουσιν ἐν τοῖς δικαστηρίοις. εἰ δὲ οἴκοι εἶχον ἕκαστοι τὰς δίκας, ἅτε ἀχθόμενοι Ἀθηναίοις, τούτους ἂν σφῶν αὐτῶν ἀπώλλυσαν, οἵτινες φίλοι μάλιστα ἦσαν Ἀθηναίων * τῷ δήμῳ. πρὸς δὲ τούτοις ὁ δῆμος τῶν Ἀθηναίων τάδε κερδαίνει τῶν δικῶν Ἀθήνησιν οὐσῶν τοῖς συμμάχοις. πρῶτον μὲν γὰρ ἡ ἑκατοστὴ τῇ πόλει πλείων ἡ ἐν Πειραιεῖ. ἔπειτα εἴ τῳ συνοικία ἐστὶν ἢ ἀνδράποδον μισθοφοροῦν. ἔπειτα οἱ κήρυκες ἄμεινον πράττουσι διὰ τὰς ἐπιδημίας τὰς τῶν συμμάχων. πρὸς δὲ τούτοις, εἰ μὲν μὴ ἐπὶ δίκας ᾔεσαν οἱ σύμμαχοι, τοὺς ἐκπλέοντας Ἀθηναίων ἐτίμων ἂν μόνους, τούς τε στρατηγούς, καὶ τοὺς τριηράρχους καὶ πρέσβεις. νῦν δ' ἠνάγκασται τὸν δῆμον κολακεύειν τῶν Ἀθηναίων εἷς ἕκαστος τῶν συμμάχων, γιγνώσκων ὅτι δεῖ μὲν ἀφικόμενον Ἀθήναζε δίκην δοῦναι καὶ λαβεῖν, οὐκ ἐν ἄλλοις τισὶν, ἀλλ' ἐν τῷ δήμῳ, ὅς δή ἐστι νόμος Ἀθήνησι. καὶ ἀντιβολῆσαι ἀναγκάζεται ἐν τοῖς δικαστηρίοις. καὶ εἰσιόντος του ἐπιλαμβάνεσθαι τῆς χειρός. διὰ τοῦτο οὖν οἱ σύμμαχοι δοῦλοι τοῦ δήμου τοῦ Ἀθηναίων καθεστᾶσι μᾶλλον. πρὸς δὲ τούτοις διὰ τὴν κτῆσιν τὴν ἐν τοῖς ὑπερορίοις, καὶ διὰ τὰς ἀρχὰς τὰς εἰς τὴν ὑπερορίαν λελήθασι μανθάνοντες ἐλαύνειν τῇ κώπῃ, αὐτοί τε καὶ οἱ ἀκόλουθοι. ἀνάγκη γὰρ ἄνθρωπον πολλάκις πλέοντα κώπην λαβεῖν καὶ αὐτὸν καὶ τὸν οἰκέτην, καὶ ὀνόματα μαθεῖν τὰ ἐν τῇ ναυτικῇ. καὶ κυβερνῆται ἀγαθοὶ γίγνονται δι' ἐμπειρίαν τε τῶν πλόων, καὶ διὰ μελέτην. ἐμελέτησαν δὲ οἱ μὲν πλοῖον κυβερνῶντες, οἱ δὲ ὁλκάδα, οἱ δ' ἐντεῦθεν ἐπὶ τριήρεσι κατέστησαν. οἱ δὲ πολλοὶ ἐλαύνειν εὐθὺς οἷοί τε εἰσβάντες εἰς ναῦς, ἅτε ἐν παντὶ τῷ βίῳ προμεμελετηκότες. τὸ δὲ ὁπλιτικὸν αὐτοῖς, ὃ ἥκιστα δοκεῖ εὖ ἔχειν Ἀθήνησιν, οὕτω καθέστηκεν. καὶ τῶν μὲν πολεμίων ἥττους τε σφᾶς αὐτοὺς ἡγοῦνται εἶναι καὶ μείους. τῶν δὲ συμμάχων οἳ φέρουσι τὸν φόρον, καὶ κατὰ γῆν κράτιστοί εἰσι, καὶ νομίζουσι τὸ ὁπλιτικὸν ἀρκεῖν, εἰ τῶν συμμάχων κρείττονές εἰσι. πρὸς δὲ καὶ κατὰ τύχην τι αὐτοῖς τοιοῦτον καθέστηκε. τοῖς μὲν κατὰ γῆν ἀρχομένοις, οἷόν τ' ἐστὶν ἐκ μικρῶν πόλεων συνοικισθέντας, ἀθρόους μάχεσθαι. τοῖς δὲ κατὰ θάλατταν ἀρχομένοις, ὅσοι νησιῶταί εἰσιν, οὐχ οἷόν τε συνελθεῖν εἰς τὸ αὐτὸ τὰς πόλεις. ἡ γὰρ θάλαττα ἐν μέσῳ. οἱ δὲ κρατοῦντες θαλασσοκράτορές εἰσιν. εἰ δ' οἷόν τε καὶ λαθεῖν συνελθοῦσιν εἰς ταὐτὸ τοῖς νησιώταις, εἰς μίαν νῆσον, ἀπολοῦνται λιμῷ. ὁπόσαι δ' ἐν τῇ ἠπείρῳ εἰσὶ πόλεις ὑπὸ τῶν Ἀθηναίων ἀρχόμεναι, αἱ μὲν μεγάλαι διὰ δέος ἄρχονται, αἱ δὲ μικραὶ πάνυ διὰ χρείαν. οὐ γάρ ἐστι πόλις οὐδεμία ἥτις οὐ δεῖται εἰσάγεσθαί τι, ἢ ἐξάγεσθαι. ταῦτα τοίνυν οὐκ ἔσται αὐτῇ, ἐὰν μὴ ὑπήκοος ᾖ τῶν ἀρχόντων τῆς θαλάττης. ἔπειτα τοῖς ἄρχουσι τῆς θαλάττης οἷόν τ'

τα ποιεῖν, ἅπερ οὐ τοῖς τῆς γῆς. ἐνίοτε τέμνειν τὴν γῆν τῶν κρειττόνων. παραπλεῖν γὰρ ἔξεστιν ὅπου ἂν μηδεὶς ᾖ πολέμιος, ἢ ὅπου ἂν ὀλίγοι, ἐὰν δὲ προσίωσιν, ἀναβάντα ἀποπλεῖν, καὶ τοῦτο ποιῶν ἧττον ἀπορεῖ, ἢ ὁ πεζῇ παραβοηθῶν. ἔπειτα δὲ τοῖς μὲν κατὰ θάλατταν ἄρχουσιν, οἷόν τ' ἀποπλεῦσαι ἀπὸ τῆς σφετέρας αὐτῶν ὁπόσον βούλει πλοῦν. τοῖς δὲ κατὰ γῆν οὐχ οἷόν τε ἀπὸ τῆς σφετέρας αὐτῶν ἀπελθεῖν πολλῶν ἡμερῶν ὁδόν. βραδεῖαί τε γὰρ αἱ πορεῖαι καὶ σῖτον οὐχ οἷόν τε ἔχειν πολλοῦ χρόνου πεζῇ ἰόντα. καὶ τὸν μὲν πεζῇ ἰόντα δεῖ διὰ φιλίας ἰέναι, ἢ νικᾶν μαχόμενον. τὸν δὲ πλέοντα, οὗ μὲν ἂν ᾖ κρείττων, ἔξεστιν ἀποβῆναι ταύτῃ τῆς γῆς, ἀλλὰ παραπλεῦσαι, ἕως ἂν ἐπὶ φιλίαν χώραν ἀφίκηται, ἢ ἐπὶ ἥττους αὐτοῦ. ἔπειτα νόσους τῶν καρπῶν αἳ ἐκ διός εἰσιν, οἱ μὲν κατὰ γῆν κράτιστοι, χαλεπῶς φέρουσιν, οἱ δὲ κατὰ θάλατταν ῥᾳδίως. οὐ γὰρ ἅμα πᾶσα γῆ νοσεῖ, ὥστε ἐκ τῆς εὐθηνούσης ἀφικνεῖται τοῖς τῆς θαλάσσης ἄρχουσιν. εἰ δὲ δεῖ καὶ σμικροτέρων μνησθῆναι διὰ τὴν ἀρχὴν τῆς θαλάσσης, πρῶτον μὲν τρόπους εὐωχιῶν ἐξεῦρον ἐπιμισγόμενοι ἀλλήλοις, ὅτι ἐν σικελίᾳ ἡδὺ, ἢ ἐν ἰταλίᾳ, ἢ ἐν κύπρῳ, ἢ ἐν αἰγύπτῳ, ἢ ἐν λυδίᾳ, ἢ ἐν τῷ πόντῳ, ἢ ἐν πελοποννήσῳ, ἢ ἄλλοθί που, ταῦτα πάντα εἰς ἓν ἠθροῖσθαι, διὰ τὴν ἀρχὴν τῆς θαλάττης. ἔπειτα φωνὴν πᾶσαν ἀκούοντες ἐξελέξαντο, τοῦτο μὲν ἐκ τῆς, τοῦτο δὲ ἐκ τῆς. καὶ οἱ μὲν ἕλληνες ἰδίᾳ μᾶλλον καὶ φωνῇ καὶ διαίτῃ καὶ σχήματι χρῶνται. ἀθηναῖοι δὲ κεκραμένῃ ἐξ ἁπάντων τῶν ἑλλήνων καὶ βαρβάρων. θυσίας δὲ καὶ ἱερὰ καὶ ἑορτὰς καὶ τεμένη γνοὺς ὁ δῆμος ὅτι οὐχ οἷόν τέ ἐστιν ἑκάστῳ τῶν πενήτων θύειν καὶ εὐωχεῖσθαι, καὶ ἵστασθαι ἱερὰ, καὶ πόλιν οἰκεῖν καλὴν καὶ μεγάλην, ἐξηῦρεν ὅτῳ τρόπῳ ἔσται ταῦτα. θύουσιν οὖν δημοσίᾳ μὲν ἡ πόλις ἱερεῖα πολλά. ἔστι δὲ ὁ δῆμος ὁ εὐωχούμενος καὶ διαλαγχάνων τὰ ἱερεῖα. καὶ γυμνάσια καὶ λουτρὰ καὶ ἀποδυτήρια, τοῖς μὲν πλουσίοις ἐστὶν ἴδια ἐνίοις. ὁ δὲ δῆμος αὐτὸς αὑτῷ οἰκοδομεῖται ἰδίᾳ παλαίστρας πολλὰς, ἀποδυτήρια, λουτρῶνας, καὶ πλείω τούτων ἀπολαύει ὁ ὄχλος, ἢ οἱ ὀλίγοι καὶ οἱ εὐδαίμονες. τὸν δὲ πλοῦτον μόνοι οἷοί τ' εἰσὶν ἔχειν τῶν ἑλλήνων καὶ τῶν βαρβάρων. εἰ γάρ τις πόλις πλουτεῖ ξύλοις ναυπηγησίμοις, ποῖ διαθήσεται, ἐὰν μὴ πείσῃ τὸν ἄρχοντα τῆς θαλάσσης; τί δ' εἴ τις σιδήρῳ ἢ χαλκῷ ἢ λίνῳ πλουτεῖ πόλις, ποῖ διαθήσεται, ἐὰν μὴ πείσῃ τὸν ἄρχοντα τῆς θαλάττης; ἐξ αὐτῶν μέντοι τούτων καὶ δὴ νῆές μοί εἰσι. παρὰ μὲν τοῦ ξύλα, παρὰ δὲ τοῦ σίδηρος, παρὰ δὲ τοῦ χαλκός, παρὰ δὲ τοῦ λίνον, παρὰ δὲ τοῦ κηρός. πρὸς δὲ τούτοις ἄλλοσε ἄγειν οὐκ ἐάσουσιν, οἵτινες ἀντίπαλοι ἡμῖν εἰσιν, ἢ οὐ χρήσονται τῇ θαλάττῃ. ἐγὼ μὲν οὐδὲν ποιῶν ἐκ τῆς γῆς, πάντα ταῦτα ἔχω διὰ τὴν θάλατταν. ἄλλη δὲ οὐδεμία πόλις δύο τούτων ἔχει. οὐδ' ἔστι τῇ αὐτῇ ξύλα καὶ λίνον· ἀλλ' ὅπου λίνον ἐστὶ πλεῖστον, λεία χώρα καὶ ἄξυλος, οὐδὲ χαλκὸς καὶ σίδηρος ἐκ τῆς αὐτῆς πόλεως, οὐδὲ τ' ἄλλα δύο ἢ τρία μιᾷ πόλει. ἀλλὰ τὸ μὲν τῇ, τὸ δὲ τῇ. ἔστι δὲ πρὸς τούτοις παρὰ πᾶσαν ἤπειρον ἐστὶν ἢ ἀκτὴ προέχουσα, ἢ νῆσος προκειμένη, ἢ στενόπορόν τι. ὥστε ἔξεστιν ἐνταῦθα ἐφορμοῦσι τοῖς τῆς θαλάττης ἄρχουσι, λωβᾶσθαι τοὺς τὴν ἤπειρον οἰκοῦντας. ἑνὸς δὲ ἐνδεεῖς εἰσιν. εἰ γὰρ νῆσον οἰκοῦντες θαλασσοκράτορες ἦσαν ἀθηναῖοι, ὑπῆρχεν

licet facere, quæ terra dominātibus non licet: nonnunquam terram uastare potentiorum. Licet enim appellere ubi hostes uel nulli, uel pauci sunt: quod si hostes aduenient, licet conscensis nauibus soluere. atque hoc qui facit, minor in difficultate est, quàm qui succurrit. Cum autē in mari imperantibus licet à suis finibus quamlibet longè nauigare, cum terra dominantibus non liceat suos fines itinere plurium dierum egredi. Nam & tarda itinera sunt, & commeatus longioris temporis haberi nequit pedibus uadenti. Ac pedibus quidem iter facienti, aut per amicitiam uadendum, aut pugnando uincendum est. At nauiganti licet, si cui fuerit impar, eius terrā deuitare, ac praeternauigare, donec aut ad pacatam regionem, aut ad inferiores se perueniat. Frugum quoq; morbos, qui cœli uitio concitantur, qui terra plurimū possunt, ægre ferunt: qui uero mari, facile. Non enim simul omnis terra laborat, itaq; ex ea, quæ copiose extulit, suppetit eis, qui mare tenent. Iam uerò (si leuiora memorare fas est) propter maris imperium primùm epulandi modos inuenerunt, dum inter se commiscentur, ut in Sicilia, aut in Italia, aut in Cypro, aut in Aegypto, aut in Lydia, aut in Ponto, aut in Pelopōneso, aut alicubi alibi: hæc omnia in unum coacta sunt, propter maris imperium. Deinde cum uocem omnē audiant, aliud ex alia delegerunt. Ac Græci quidem propria magis & uoce, & cōsuetudine, et forma utuntur. Athenienses uero tēperata ex omnib. & Græcis, & Barbaris. Sacrificia aūt, & festa, et fana, cū sciret populus fieri nō posse, ut pauperum quisq; et sacrificaret, et epularetur, et sacra compararet, et urbem pulchrā, magnāq; incoleret, excogitauit quo pacto hæc fierent. Sacrificantur igitur publice, nomine ciuitatis, hostiæ frequentes. Populus aūt is est qui epulatur, et hostias sortitur. Et gymnasia quidē, et lauacra, et spoliaria, diuitib nōnullis priuata sunt. At populus ædificat ipse sibi priuatim multas palæstras, spoliaria, lauacra, magisq; his fruitur plebs, quā pauci, et beati. Iā diuitias soli possūt habere et Græcorū et Barbarorū. Nam si quod oppidū lignis abūdat ad fabricandas naues idoneis, quo adhibebit, nisi maris dominatorē cōciliauerit? Aut si qd' ferro, ære, lino abūdat oppidum, quo adhibebit nisi maris dominatorē cōciliauerit? Atq ex his ipsis mihi suppetūt naues, ab alio ligna, ab alio ferrū, ab alio æs, ab alio linū, ab alio cera. Neq; uero hæc aliò importari sinēt, si q nobis hostes sunt, cum maris usum non concedent. Et ego quidem nihil comparans ex terra, omnia hæc per mare habeo, quorū aliud oppidū nullum duo habet, neq; est eidē materia et lini copia: quin ubi lini plurimū est, ibi plana est regio, et absq; materia: neq; æs, et ferrū ex eodē oppido: neq; alia duo, tria ue, uni sunt oppido, sed aliud alij. Postremo apud omnem continentem aut littus est prominēs, aut insula adiacēs, aut aliqua angustia. Itaq; licet maris dominatoribus huc appellere, & eos, qui cōtinentem incolunt, infestare. Sed unum eis deest. Nam si insulam habitantes, mare tenerent Athenienses,

liceret eis damnum inferre, si uellent, neque tum pati, quandiu mare tenerent, ut neq; ipsorum fines uastarentur, neque hostes admitterent. Nunc agri cultores & locupletes Athenienses, hostibus magis obnoxij sunt. At populus, quippe qui sciat illos nihil sui crematuros, neq; uastaturos, sine metu uiuit, neque ab illis infestatur. Praeterea ab alio metu liberi essent, si insulam incolerent, uidelicet nunquam urbem à paucis proditũ, neq; portas apertum iri, neque hostes inuasuros (Quomodo enim insulam habitantibus haec fierent?) nec rursum seditiones ullas fore in populo, si insulam colerent. Nam nunc quidem, si seditiones mouerent, hostium spe mouerẽt, ut eos per terram inducturi. Quod si insulam colerent, ab his quoq; in tuto essẽt. Postquã igitur à primordio nõ contigit eos habitare in insula, nũc haec faciunt: facultates suas apud insulas deponunt, freti maris imperio: Atticam autem terram uastari ultrò patiuntur: scientes, si eam misereantur, maioribus se commodis priuatum iri. Item societates, & foedera, necesse est ut paucorum imperio subditis ciuitatibus officiant. Quod si conuentis non steterint, fieri nõ potest ut non pauci illi criminis authores esse uideantur. At quae populus paciscetur, licet reliquis reiectâ culpa in unum illum, qui dixit, & qui sciuit, negare: non enim adfuisse, aut comprobasse, qui quidem quae sciscuntur, in pleno sciscitentur populo. Aut si hoc non uideatur, at mille inueniant occasiones non faciendi quod nolint. Et si quod malum euenit ex plebiscito causatur populus paucos homines ipsi contrauenientes negociũ corrupisse. Sin aliquod bonum, sibi ipsis causam ascribit. Comoedijs autem reprehendi, et maledictis incessi populum, non sinunt illi quidem, ne ipsi male audiant: sed priuatim praecipiunt, si quis aliquem uult, intelligentes non uulgarẽ, neq; de multitudine esse eum, qui reprehendatur ut plurimum, sed aut diuitem, aut nobilem, aut potentem. Pauperũ quidem, & popularũ paucos sine reprehendi, & ne eos quidem, nisi ob curiositatem, aut quia conentur aliquid supra plebẽ. Itaq; ne hos quidem suggillari aegre ferunt. Equidem hoc dico, populum Atheniensem cognoscere quinam ciuium boni, quiq; mali sint: quod cum sciant, eos qui sibi commodi sunt, & utiles, diligunt, etiam si mali sint: bonos autem magis oderunt. Non enim existimant uirtutem illis ad suum bonum inditam esse, sed ad malum. Contrà autem, quidam, cum reipsa natura de plebe sint, non sunt populares tamen. Ac populi quidem potentatum ipsi populo ignosco. Nam cum eo bene agi, omnino ferendum est. Sed qui, cum de plebe non sit, mauult tamen in ciuitate habitare, quae plebis, quàm quae paucorum arbitrio regatur, is ius uiolare statuit, & nouit facilius posse eum, qui malus sit, in ciuitate uersari, in qua populus imperet, quàm in qua pauci. Ac de Atheniensium quidem ciuitate institutum non probo. Sed postquam uisum est eis populi imperio gubernari, rectè mihi uidentur populi imperiũ tueri, dum

Neq; hunc locum satis intelligo.

ὑπῆρχεν ἂν αὐτοῖς ποιεῖν μὲν κακῶς εἴ τι ἐβούλοντο, πάσχειν δὲ μηδὲν ἕως τῆς θαλάττης ἦρχον, μηδὲ τμηθῆναι τὴν ἑαυτῶν γῆν, μηδὲ προσδέχεσθαι τοὺς πολεμίους. νῦν δὲ οἱ γεωργοῦντες καὶ οἱ πλούσιοι ἀθηναίων ὑπέρχονται τοὺς πολεμίους μᾶλλον. ὁ δὲ δῆμος ἅτε εὖ εἰδὼς ὅτι οὐδὲν τῶν σφῶν ἐμπρήσουσιν, οὐδὲ τεμοῦσιν, ἀδεῶς ζῇ, καὶ οὐχ ὑπερχόμενος αὐτούς. πρὸς δὲ τούτοις καὶ ἑτέρου δέους ἀπηλλαγμένοι ἂν ἦσαν, εἰ νῆσον ᾤκουν μηδέποτε προδοθῆναι τὴν πόλιν ὑπ' ὀλίγων, μηδὲ πύλας ἀνοιχθῆναι, μηδὲ πολεμίους ἐπεισπεσεῖν, πῶς γὰρ νῆσον οἰκούντων ταῦτ' ἐγίγνετο; μηδ' αὖ στασιάσαι τῷ δήμῳ μηδὲν εἰ νῆσον ᾤκουν. νῦν μὲν γὰρ εἰ στασιάσαιεν, ἐλπίδα ἂν ἔχοντες τοῖς πολεμίοις στασιάσειαν ὡς κατὰ γῆν ἐπαξόμενοι. εἰ δὲ νῆσον ᾤκουν, καὶ ταῦτα ἂν ἀδεῶς αὐτοῖς εἶχεν. ἐπειδὴ οὖν ἐξ ἀρχῆς οὐκ ἔτυχον οἰκήσαντες νῆσον, νῦν τάδε ποιοῦσι. τὴν μὲν οὐσίαν ταῖς νήσοις παρατίθενται, πιστεύοντες τῇ ἀρχῇ τῇ κατὰ θάλατταν. τὴν δὲ ἀττικὴν γῆν περιορῶσι τεμνομένην, γιγνώσκοντες ὅτι εἰ αὐτὴν ἐλεήσουσιν, ἑτέρων ἀγαθῶν μειζόνων στερήσονται. ἔτι δὲ συμμαχίας καὶ τοὺς ὅρκους ταῖς μὲν ὀλιγαρχουμέναις πόλεσιν ἀνάγκη ἐμπεδοῦν. ἢν δὲ μὴ ἐμμένωσι ταῖς συνθήκαις, ἢ ὑφ' ὅτου ἀδικεῖν, ὀνόματα ἀπὸ τῶν ὀλίγων οἱ συνέθεντο. ἅσσα δ' ἂν ὁ δῆμος συνθῆται, ἔξεστιν αὐτῷ ἐνὶ ἀνατιθέντι τὴν αἰτίαν τῷ λέγοντι, καὶ τῷ ἐπιψηφίσαντι, ἀρνεῖσθαι τοῖς ἄλλοις, ὅτι οὐ παρῆν οὐδὲ ἀρέσκει, οἷς γε τὰ συγκείμενα πυνθάνονται ἐν πλήρει τῷ δήμῳ. καὶ εἰ μὴ δόξαι εἶναι ταῦτα, προφάσεις μυρίας ἐξηύρηκε τοῦ μὴ ποιεῖν, ὅσα ἂν μὴ βούλωνται. καὶ ἂν μέν τι κακὸν ἀναβαίνῃ ἀπὸ ὧν ὁ δῆμος ἐβούλευσεν, αἰτιᾶται ὁ δῆμος ὡς ὀλίγοι ἄνθρωποι αὐτῷ ἀντιπράττοντες διέφθειραν. ἐὰν δέ τι ἀγαθὸν, σφίσιν αὐτοῖς τὴν αἰτίαν ἀνατιθέασι. κωμῳδεῖν δ' αὖ καὶ κακῶς λέγειν τὸν μὲν δῆμον οὐκ ἐῶσιν, ἵνα μὴ αὐτοὶ ἀκούωσι κακῶς, ἰδίᾳ δὲ κελεύουσιν εἴ τίς τινα βούλεται, εὖ εἰδότες ὅτι οὐχὶ τοῦ δήμου ἐστὶν, οὐδὲ τοῦ πλήθους ὁ κωμῳδούμενος ὡς ἐπὶ τὸ πολὺ, ἀλλ' ἢ πλούσιος, ἢ γενναῖος, ἢ δυνάμενος. ὀλίγοι δέ τινες τῶν πενήτων καὶ τῶν δημοτικῶν κωμῳδοῦνται. καὶ οὐδ' οὗτοι ἐὰν μὴ διὰ πολυπραγμοσύνην, καὶ διὰ τὸ ζητεῖν πλέον τι ἔχειν τοῦ δήμου. ὥστε οὐδὲ τοὺς τοιούτους ἄχθονται κωμῳδουμένους. φημὶ οὖν ἔγωγε τὸν δῆμον τὸν ἀθήνησι γιγνώσκειν, οἵτινες χρηστοί εἰσι τῶν πολιτῶν, καὶ οἵτινες πονηροί. γιγνώσκοντες δὲ τοὺς μὲν σφίσιν αὐτοῖς ἐπιτηδείους καὶ συμφόρους φιλοῦσι, κἂν πονηροὶ ὦσι, τοὺς δὲ χρηστοὺς μισοῦσι μᾶλλον. οὐ γὰρ νομίζουσι τὴν ἀρετὴν αὐτοῖς πρὸς τῷ σφετέρῳ ἀγαθῷ πεφυκέναι, ἀλλ' ἐπὶ τῷ κακῷ. καὶ τοὐναντίον γε τούτου ἔνιοι ὄντες ὡς ἀληθῶς τοῦ δήμου τὴν φύσιν, οὐ δημοτικοί εἰσι. δημοκρατίαν δ' ἐγὼ μὲν αὐτῷ τῷ δήμῳ συγγιγνώσκω. αὑτὸν μὲν γὰρ εὖ ποιεῖν παντὶ συγγνώμη ἐστίν. ὅστις δὲ μὴ [illegible] τοῦ δήμου εἵλετο ἐν δημοκρατουμένῃ πόλει οἰκ[illegible] μᾶλλον, ἢ ἐν ὀλιγαρχουμένῃ, ἀδικεῖν παρεσκευάσατο, καὶ ἔγνω ὅτι μᾶλλον οἷόν τε διαλαθεῖν κακῷ [illegible] ἐν δημοκρατουμένῃ πόλει, ἢ ἐν ὀλιγαρχουμένῃ. [illegible] περὶ τῆς ἀθηναίων πολιτείας τὸν μὲν τρόπον οὐκ [illegible]αινῶ. ἐπειδὴ δὲ ἔδοξεν αὐτοῖς δημοκρατεῖσθαι, [illegible] μοι δοκοῦσι διασῴζεσθαι τὴν δημοκρατίαν, τούτῳ

τοῦτον τὸν τρόπον ὅντινα ἐγὼ ἐπέδειξα. ἔτι δὲ τινας ὁρῶ μεμφομένους Ἀθηναίους, ὅτι ἐνίοτε οὐκ ἔστιν αὐτόθι χρηματίσαι τῇ βουλῇ οὐδὲ τῷ δήμῳ ἐνιαυτὸν καθημένῳ ἀνθρώπῳ. καὶ τοῦτο Ἀθήνησι γίγνεται οὐ διὰ ἄλλο, ἢ διὰ τὸ πλῆθος τῶν πραγμάτων, οὐχ οἷοί τε πάντας ἀποπέμπειν εἰσὶ χρηματίσαντες. πῶς γὰρ ἂν καὶ οἷοί τε εἶεν, οὕς τινας πρῶτον μὲν δεῖ ἑορτάσαι ἑορτὰς ὅσας οὐδὲ μία τῶν ἑλληνίδων πόλεων. ἐν δὲ ταύταις ἧττόν τινα δυνατόν ἐστι διαπράττεσθαι τῶν τῆς πόλεως. ἔπειτα δὲ δίκας καὶ γραφὰς καὶ εὐθύνας ἐκδικάζειν, ὅσας οὐδ᾽ οἱ σύμπαντες ἄνθρωποι ἐκδικάζουσι. τὴν δὲ βουλὴν βουλεύεσθαι, πολλὰ μὲν περὶ τοῦ πολέμου, πολλὰ δὲ περὶ πόρου χρημάτων, πολλὰ δὲ περὶ νόμων θέσεως, πολλὰ δὲ περὶ τῶν κατὰ πόλιν ἀεὶ γιγνομένων· πολλὰ δὲ καὶ τοῖς συμμάχοις, καὶ φόρον δέξασθαι, καὶ νεωρίων ἐπιμεληθῆναι καὶ ἱερῶν. ἆρα δή τι θαυμαστόν ἐστιν, εἰ τοσούτων ὑπαρχόντων πραγμάτων μὴ οἷοί τ᾽ εἰσὶ πᾶσιν ἀνθρώποις χρηματίσαι. λέγουσι δέ τινες, ἤν τις ἀργύριον ἔχων προσίῃ πρὸς βουλὴν ἢ δῆμον, χρηματίσαι. ἐγὼ δὲ τούτοις ὁμολογήσαιμ᾽ ἂν ἀπὸ χρημάτων πολλὰ διαπράττεσθαι Ἀθήνησι, καὶ ἔτι ἂν πλείω διαπράττεσθαι, εἰ πλείους ἐπεδίδοσαν ἀργύριον. τοῦτο μέντοι εὖ οἶδα, διότι πᾶσι διαπρᾶξαι ἡ πόλις τῶν δεομένων οὐχ ἱκανή, οὐδ᾽ εἰ ὁποσονοῦν χρυσίον καὶ ἀργύριον διδοίη τις αὐτοῖς. δεῖ δὲ καὶ τάδε διαδικάζειν, εἴ τις τὴν ναῦν μὴ ἐπισκευάζει ἢ κατοικοδομεῖ τι τὸ δημόσιον. πρὸς δὲ τούτοις χορηγοῖς διαδικάσαι εἰς Διονύσια καὶ Θαργήλια, καὶ Παναθήναια, καὶ Προμήθεια, καὶ Ἡφαίστια ὅσα ἔτη. καὶ τριήραρχοι καθίστανται τετρακόσιοι ἑκάστου ἐνιαυτοῦ, καὶ τούτων τοῖς βουλομένοις διαδικάσαι ὅσα ἔτη. πρὸς δὲ τούτοις ἀρχὰς δοκιμάσαι καὶ διαδικάσαι καὶ ὀρφανοὺς δοκιμάσαι, καὶ φύλακας δεσμωτῶν καταστῆσαι. ταῦτα μὲν οὖν ὅσα ἔτη. διὰ χρόνου διαδικάσαι δεῖ στρατείας. καὶ ἐάν τι ἄλλο ἐξαπιναῖον ἀδίκημα γίγνηται, ἐάν τε ὑβρίζωσί τινες ἄηθες ὕβρισμα, ἐάν τε ἀσεβήσωσι. πολλὰ ἔτι πάνυ παραλείπω. τὸ δὲ μέγιστον εἴρηται, πλὴν αἱ τάξεις τοῦ φόρου. τοῦτο δὲ γίγνεται ὡς τὰ πολλὰ δι᾽ ἔτους πέμπτου. φέρε δὴ τοίνυν ταῦτα οὐκ οἴεσθαι χρῆναι διαδικάζειν ἅπαντα. εἰπάτω γάρ τις, ὅτι οὐ χρῆν αὐτόθι διαδικάζεσθαι. εἰ δ᾽ αὖ ὁμολογεῖν δεῖ ἅπαντα χρῆναι διαδικάζειν, ἀνάγκη δι᾽ ἐνιαυτοῦ. ὡς οὐδὲ νῦν δι᾽ ἐνιαυτοῦ δικάζοντες ὑπάρχουσιν. ὥστε παύειν τοὺς ἀδικοῦντας ὑπὸ τοῦ πλήθους τῶν ἀνθρώπων. φέρε δή, ἀλλὰ φησί τις, χρῆναι δικάζειν μὲν, ἐλάττους δὲ δικάζειν. ἀνάγκη τοίνυν ἐὰν μὲν ὀλίγα ποιῶνται δικαστήρια, ὀλίγοι ἐν ἑκάστῳ ἔσονται τῷ δικαστηρίῳ. ὥστε καὶ διασκευάσασθαι ῥᾴδιον ἔσται πρὸς ὀλίγους δικαστὰς, καὶ συνδεκάσαι πολὺ ἧττον δικαίως δικάζειν. πρὸς δὲ τούτοις οἴεσθαι χρὴ καὶ ἑορτὰς ἄγειν χρῆναι Ἀθηναίους, ἐν αἷς οὐχ οἷόν τε δικάζειν. καὶ ἄγουσι μὲν ἑορτὰς διπλασίους, ἢ οἱ ἄλλοι. ἀλλ᾽ ἐγὼ μὲν τίθημι ἴσας τῇ ὀλιγίστας ἀγούσῃ πόλει. τούτων τοίνυν τοιούτων [illegible]ων, οὔ φημι οἷόν τ᾽ εἶναι ἄλλως ἔχειν τὰ πράγματα Ἀθ[illegible]σιν, ἢ ὥσπερ νῦν ἔχει, πλὴν εἰ κατὰ μικρόν τι οἷόν τε [illegible] μὲν ἀφελεῖν, τὸ δὲ προσθεῖναι. πολὺ δ᾽ οὐχ οἷόν τε με[illegible]εῖν, ὥστε μὴ οὐχὶ τῆς δημοκρατίας ἀφαιρεῖν τι. ὥστε μὲν [illegible]ρ βέλτιον ἔχειν

dum hac ratione utuntur, quam ego demonstraui. In hoc etiam uideo à quibusdam Athenienses reprehendi, quod interdum non licet ibi senatui, neq; populo, hominem expedire, qui illic per totũ annum desideat. Et hoc Athenis fit nullam aliam ob rem, quàm quod propter negociorũ multitudinem, non possunt omnes confectis eorum causis dimittere. Nam quo pacto possint, quibus primum plura sunt agenda festa, quam ulli Græcarum ciuitatũ, in quibus festis minus possunt negocia procurari ciuitatis? Deinde tot causæ, actiones, iudicia iudicanda, quot ne uniuersi quidem homines iudicant. Senatui autem statuenda sunt multa de bello, multa de pecunijs comparandis, multa de legum latione, multa de quotidianis negocijs, multa etiam de socijs: tum tributum accipiendum, & rei naualis, & sacrorum gerenda cura est. Quid ergo mirum est, si, cum tot sint negocia, nequeunt omnium hominum causas expedire? Sed dicunt nonnulli, si quis argentum habens, senatum adeat, aut populum, eius negocium confici. Ego uero his fatebor pecunia multa confici Athenis, atq; etiam plura confectum iri, si plures argentum darent. Hoc tamen exploratum habeo, omnium, quibus opus sit, negocijs absoluendis ciuitatem non esse satis, ne quidem si quis eis quantumuis auri, argentiq; det. Hæc quoq; dijudicanda sunt, si quis nauem non conficit, aut aliquid publicum ædificat. Præterea choragis uacandum est in Bacchanalia, in Apollinaria, in Quinquatria, in Prometheis, in Vulcanalia quotãnis, & triremiũ præfecti cõstituũtur in singulis annis quadringenti, & de his, si qui uelint, dijudicandũ est quotannis. Adhæc magistratus sunt probandi, & dijudicandi, & orphani probandi, & uinctorũ custodes constituendi. De his quidem rebus quotannis stato tẽpore statuendũ est exercitibus: tum si quod aliud repentinũ crimen extiterit, aut si quis rarum aliquod facinus, aut impium quod cõmiserit: & adhuc permulta omitto, sed quod maximum est, dictum est, præter ordinationes tributi, hoc autem ferè fit quinto quoq; anno. Age sane, nonne existimandum est hæc omnia esse dijudicanda? nisi si quis neget ibi debere dijudicari. Nam si quidem conuenit oportere omnia dijudicare, necesse est id in anno fieri. Atqui ne nunc quidem, cum per annum iudicent, sufficiunt maleficis coërcendis, præ multitudine hominum. Esto sanè: sed dicet aliquis iudicare quidem oportere, sed pauciores iudicare. Igitur si pauca fiant iudicia, pauci in singulis iudicijs sint necesse est. Itaque & accingi facile erit ad paucos iudices, & subscribere, multo minus iuste iudicare. Præterea existimandum est, festos quoque dies agendos esse Atheniensibus, in quibus iudicia exercere nefas. Et quidem festa agunt dupla, quàm alij. Sed ego pono paris ciuitati, quæ paucissima agit. Cum hæc igitur ita se habeant, nego fieri posse ut aliter se res habeant Athenis, quàm quomodo nunc habent, nisi si potest paulatim aliud adimi, aliud addi: multum quidem recte immutari non potest, [illegible]on de populi potentatu aliquid detrahatur [illegible]m ut melius

habeat respublica, possunt multa excogitari. Sed ut manente populi imperio, melius respublica administretur, non facile ratio inueniri potest, nisi quam modo dixi, paulatim addendo, aut detrahendo. Videntur autem Athenienses hoc quoq; non recte instituere, quod deteriores eligunt in ciuitatibus seditione motis. Sed ne hoc quidem ab re faciūt. Si enim eligerent meliores, eligerent non eos qui eadem secum sentirēt, nam in nulla ciuitate pars optima beneuola est erga plebem, sed pessima quaeq; pars in quaq; ciuitate, optime uult plebi. Similes enim similibus beneuolunt. Hanc igitur ob rem Athenienses sibi conuenientia deligunt. Quoties autem conati sunt eligere optimos, nō profuit eis, quia intra breue tempus populus seruiuit: modo Boeotis: modo, cum Milesiorū elegerunt optimos, intra breue tempus per defectionem populum conciderunt: modo cum elegerūt Lacedaemonios pro Messenijs, intra breue tempus Lacedaemonij, euersis Messenijs, bellum Atheniensibus intulerunt. Arbitretur autē fortassis aliquis nullum immerito repulsam accepisse Athenis. Ego uero dico quosdā esse, qui iniuria repulsam passi sint, sed eos paucos. Atqui nō paucis opus est, qui Athenarum populare imperium inuadant, quandoquidem sic se res habet, nihil cogitare homines, qui merito honorantur. Sed si qui immerito: at quis putet multos immerito repulsa notatos Athenis, cum populus sit qui magistratus moderatur: & ex eo quod non iuste imperent, neq; iusta dicant, aut faciant, ex his inquam causis Athenis sint inhonorati? His considerandis non debet iudicari aliquid esse mali ab eis, qui sunt Athenis inhonorati.

FINIS.

ἔχειν τὴν πολιτείαν, οἷόν τε πολλὰ ἐξευρεῖν. ὥστε μὲν τοι ὑπάρχειν δημοκρατίαν μὲν εἶναι, ἀρκούντως δὲ τοῦτο ἐξευρεῖν. ὅπως δὲ βέλτιον πολιτεύσωνται, οὐ ῥᾴδιον, πλὴν ὅπερ ἄρτι εἶπον κατὰ μικρόν τι προσθέντα ἢ ἀφελόντα. δοκοῦσι δὲ Ἀθηναῖοι καὶ τοῦτό μοι οὐκ ὀρθῶς βουλεύεσθαι, ὅτι τοὺς χείρους αἱροῦνται ἐν ταῖς πόλεσι ταῖς στασιαζούσαις. οἱ δὲ τοῦτο γνώμῃ ποιοῦσιν. εἰ μὲν γὰρ ᾑροῦντο τοὺς βελτίους, ᾑροῦντ' ἂν οὐχὶ τοὺς ταὐτὰ γιγνώσκοντας σφίσιν αὐτοῖς. ἐν οὐδεμιᾷ γὰρ πόλει τὸ βέλτιστον εὔνουν ἐστὶ τῷ δήμῳ, ἀλλὰ τὸ κάκιστον ἐν ἑκάστῃ πόλει εὔνουν τῷ δήμῳ. οἱ δ' ὅμοιοι τοῖς ὁμοίοις εὖνοί εἰσι. διὰ ταῦτα οὖν Ἀθηναῖοι τὰ σφίσιν αὐτοῖς προσήκοντα αἱροῦνται. ὁποσάκις δ' ἐπεχείρησαν αἱρεῖσθαι τοὺς βελτίστους, οὐ συνήνεγκεν αὐτοῖς, ἀλλ' ἐντὸς ὀλίγου χρόνου ὁ δῆμος ἐδούλευσεν. ὁ μὲν Βοιωτοῖς. τοῦτο δὲ ὅτε Μιλησίων εἵλοντο τοὺς βελτίστους ἐντὸς ὀλίγου χρόνου ἀποστάντες τὸν δῆμον κατέκοψαν. τοῦτο δὲ ὅτε εἵλοντο Λακεδαιμονίους ἀντὶ Μεσσηνίων, ἐντὸς ὀλίγου χρόνου Λακεδαιμόνιοι καταστρεψάμενοι Μεσσηνίους, ἐπολέμουν Ἀθηναίοις. ὑπολάβοι δέ τις ἂν ὡς οὐδεὶς ἄρα ἀδίκως ἠτίμωται Ἀθήνησιν. ἐγὼ δέ φημί τινας εἶναι, οἳ ἀδίκως ἠτίμωνται· ὀλίγοι μέντοι τινές. ἀλλ' οὐκ ὀλίγων δεῖ τῶν ἐπιθησομένων τῇ δημοκρατίᾳ τῇ Ἀθήνησιν. ἐπεί τοι καὶ οὕτως ἔχειν οὐδὲν ἐνθυμεῖσθαι ἀνθρώπους, οἵ τινες δικαίως τιμῶνται ἀλλ' εἴ τινες ἀδίκως, πῶς ἂν οὖν ἀδίκως οἴοιτό τις ἂν τοὺς πολλοὺς ἠτιμῶσθαι Ἀθήνησιν, ὅπου ὁ δῆμός ἐστιν ὁ ἄρχων τὰς ἀρχάς. ἐκ δὲ τοῦ μὴ δικαίως ἄρχειν, μηδὲ λέγειν τὰ δίκαια πράττειν, ἐκ τοιούτων ἄτιμοί εἰσιν Ἀθήνησι. ταῦτα χρὴ λογιζόμενον μὴ νομίζειν εἶναί τι δεινὸν ἀπὸ τῶν ἀτίμων Ἀθήνησι.

ΤΕΛΟΣ.

ROMA

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google